17 E

N° 24 / N° 143 — 1001

last leaf containing the Anchor only is bound between pp. 288 and 289.

coll. cpl.

PLVTARCHI OPVSCVLA. LXXXXII.

Index Moralium omnium, & eorum quæ in ipsis tractantur, habetur hoc quaternione. Numerus autem Arithmeticus remittit lectorem ad semipaginã, ubi tractantur singula.

ALD. PIVS. M. R. IACOBO ANTIQVARIO PERVSINO. S. P. D.

O Ptima quæque difficillima factu esse, cum plurimis aliis, tum uel eo uerum dixerim, quod ex quo Plutarchi moralia cœpi studiose conquirere, & colligere undique, ut excusa typis publicarem in manus literatorum, tot mihi impedimento fuerunt, tot alia ex aliis incommoda acciderunt, ut sæpe cœptum opus intermittere coactus fuerim. Sed quoniam labor omnia uincit improbus, en tandem absolutum opus. In quo tibi dedicando habeo mi Antiquari caussas plurimas, uel miræ probitatis tuæ, uel multæ doctrinæ, uel humanitatis egregiæ, uel tui erga me mutui amoris, uel in primis morũ sanctiss. quib. ita abũdas, ut uel maior sis, q̃ fore nos sanctissima Plutarchi præcepta iubent. Quid igitur conuenientius, q̃ homini omnium moribus ornatissimo, libros de moribus dedicare? Vidi ipse Mediolani hospes tuus plenum te uirtutum omnium, miratus'que sum non te solum sanctissimum, sed & adolescentem Antiquarium Nepotis tui ex fratre filium, in quo tanta apparebat modestia, tantus amor erga bonas literas (erat. n. iam & latine, & græce doctus) ut futurus mihi breui uideretur optimus pariter, & doctissimus, tui'que simillimus. Quid? quod ministros ipsos tuos, ac totam familiam modestiæ plenam, ac sanctam, Heri'que similem admirabar. Vnde uerissimum illud, quod dicitur adfirmauerim, Qualescunque patres familiarũ, Qualescunque Heri, Nobiles, Principes, Summi'que ciuitatis uiri fuerit, talem familiam fore, taleis ministros, seruos, ciuitates ipsas, populos'que futuros. Quam sententiam. M. Tullius in libris de legibus, elegãter, ut omnia, dicit his uerbis. Nec tãtum mali est peccare principes, (quanquam est magnum per seipsum malum) quantum illud, quod per multi etiam imitatores principum existunt. Nam licet uidere, si uelis, replicare memoriam temporum, qualescunq; summi ciuitatis uiri fuerint, talem ciuitatem fuisse. Quæcunq; imitatio morũ in principib. extiterit, eandem in populo secuturam. Idque haud paulo est uerius, q̃ quod Platoni nostro placet, qui musicorum cantibus ait mutatis, mutari ciuitatũ status. Ego autem nobilium uita, uictu'que mutato, mores mutari ciuitatũ puto. Quo perniciosius de Rep. merentur uitiosi principes, quod nõ solum uitia concipiunt ipsi, sed ea infundunt in ciuitatem. neque solum obsunt quod illi ipsi corrumpũtur, sed etiam, quod corrumpunt. Plus'q; EXEMPLO q̃ peccato nocent. Quamobrẽ omneis homines, qui aliis præsunt, quibúsque λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλε, optimos esse uelim mi Antiquari, & tui simillimos, breui certe fieret, ut cuncti mortales beatam uitam agerent. fugarentur e' terris summo omnium consensu, scelera, et uitia omnia, &, ut ait Ouidius, fraudes'q;, doliq;, Insidiæ'q;, & uis & amor sceleratus habendi, atq; horum in locum subirent uirtutes sanctissimæ, Probitas, &, ut idem ait, Verum, Rectúmq;, Fidésq;. Sed perpauci sunt ætate nostra boni uiri. Quo fit, ut tanto magis tecum esse, tecũ uiuere semper uelim, quem uirum opt. integerrimum'q; cognoui & sermone quotidiano, qui uitam hominis facile patefacit, nam, quod a Solone dictum ferunt, οἷος ὁ βίος, τοιοῦτος καὶ ὁ λόγος. καὶ οἷος ὁ λόγος, τοιαῦ-

ται

ται καὶ αἱ πράξεις, & re ipsa. Merito igitur Galeacius primo, deinde Lodouicus Illustrissimi Mediolani duces faciebant te plurimi, merito etiã in ista Vrbe omnes uno ore efferunt te in cœlum laudibus. Puderet me opt. Antiq. priuatim ad te de te hæc scribere. sed eæ sunt epistolæ meæ, quæ in fronte librorum cura nostra excusorum præponũtur, ut, & si ad priuatum aliquem scribi uidentur, publice tamen scribantur legendæ doctis omnibus, in quorũ manus peruenerint. Quare uelim mihi ignoscas Antiq. humanissime, si hoc meo testimonio, quod scio esse uerissimum, de sanctissimis moribus tuis, de integerrima uita, de summa probitate, de summa uirtute tua cupio Antiquarium meum cognosci non solum a studiosissimo quoq; huius ætatis, sed & a posteris, quandiu scripta hæc nostra legentur, habebuntur'q; in manibus literatorum unà cũ Plutarchi Moralibus. Præterea tantam inter nos amicitiam intercedere, ut tribus, aut quatuor paribus amicorum, quæ antiquitas celebrat, Antiquarii, & Aldi mutua beneuolentia, & summa amicitia, quartum, quintúmue par adiungatur. Libuit hic subiungere Hendecasyllabos, quos, cum ueni ad te Mediolanum lusisti extempore præ summo gaudio Aduentus nostri, ut faciant et hi fidem mutui amoris nostri.

A ldus uenit en, Aldus ecce uenit,
N ostrum sinciput, occipútq; nostrum,
M el, sal, lac quoque, corculúmque solus,
G raios altera, & altera Latinos
Qui apprendendo manu, reduxit omneis
I n uerum modo limitem, superbos
V ictores superans olympiorum.
N unc o nunc Iuuenes ubique in Vrbe
F lores spargite. Vere nanque primo
A ldus uenit en, Aldus ecce uenit.

Sed iam Indicem eorum, quæ hisce Plutarchi opusculis habentur, lege. ac Vale. Venetiis mense Martio. M.D.IX.

ΠΙΝΑΞ.

* ii

Περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις, βιβλίον πρῶτον.

Περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις, βιβλίον δεύτερον.

Περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις, βιβλίον, τρίτον.

ΙΕΡΩΝΥΜΟΥ ΑΛΕΑΝΔΡΟΥ ΤΟΥ ΜΟΤΤΕΩΣ.

Ξεῖνε τί νῦν νοέειν Πλούταρχον ἔοικε, καμόντων
εἴ τι ἐν ἠλυσίῳ αἰσθάνεται τὸ γένος,
οὐ πλείστην ἄλλῳ χάριν οἴδαμεν; ὅς γε παλίμπαιν
τοῦδ' ἰδραῖς ζωὴν ὤπασε ταῖς σελίσι
ταῖς πρὶν ἀπολλυμένῃσιν ὑπὸ χρόνου, ὡς συνέλεξας
Λητοΐ μειλιχίῃ Ἱππολύτοιο μέλη.
Οὐ θέμι τοὺς νεκροὺς ἀγνώμονας ἦμεν, ἀπάσης
ῥυσθέντας κακίης σκήνεσιν ὀφλομένης.

ΔΗΜΗΤΡΙΟΣ ΔΟΥΚΑΣ Ο ΚΡΗΣ ΤΟΙΣ ΣΠΟΥΔΑΙΟΙΣ ΕΥ ΠΡΑΤΤΕΙΝ.

Ἄλδος ὁ σωτὴρ τῆς ἑλληνίδος φωνῆς μήτε πόνου μήτε δαπάνης φεισάμενος, τὸν ψυχικὸν τοῦτον πλοῦτον ἡμῖν ἐδωρήσατο τὸν Πλούταρχον δηλαδή. ὅσῳ δὲ ἡ ψυχὴ τιμιωτέρα τοῦ σώματος καὶ τῶν λοιπῶν ἁπάντων, τοσούτῳ καὶ τὰ τῆς ψυχῆς τῶν περὶ τὸ σῶμα. καὶ ὁ Πλούταρχος ἄρα παντὸς πανδήμου πλούτου πολλῷ τιμιώτερος, ἅτε δὴ βρύων ψυχικῶν ἀγαθῶν. τίς γοῦν, εἰ μὴ παντελῶς ἀναίσθητος, τὴν Πλουτάρχου ταύτην ἠθικὴν βίβλον διελθὼν, οὐκ ἂν οἷός τε γένοιτο, δεισιδαιμονίαν μὲν καὶ ἀθεότητα φεύγειν, εὐσέβειαν δὲ τηρεῖν. τῆς δ' ἀδολεσχίας ἀπέχεσθαι πολλῶν κακῶν αἰτίας οὔσης. πρὸς δὲ τούτοις πῶς μὲν φίλοις χρῆσθαι δεῖ πῶς δὲ ἐχθροῖς καὶ ὑπ' αὐτῶν ὠφελεῖσθαι πῶς ἄν τις ἔχοι. περιττὸν ἑκάστου τῶν συγγραμμάτων τὴν ὠφέλειαν παρεμφαίνοντα διακρίβειν. ὅστις οὖν τὴν βίβλον ὑποδέδυκε ταύτην, τὰ τοῦ βίου κύματα θαρσαλέως ποντοπορείτω. κέκτηται γοῦν εὐσέβειαν μὲν πρὸς θεοὺς, πίστιν δὲ πρὸς φίλους, περὶ δὲ τὸν ἄλλον βίον, εὐψυχίαν, φιλανθρωπίαν, ἐμπειρίαν, εὐτέλειαν, ἐγκράτειαν, ὁμιλίαν εὐάρμοστον, ἀψευδὲς ἦθος, εὐστάθειαν, ἐν βουλαῖς τάχος, καλλίστην ἐν ταῖς πράξεσι προαίρεσιν, ἐν τῷ καλῷ τὸ τελεσιουργόν. τοιαύτης μὲν οὖν ἠξιώθητε δωρεᾶς Ἄλδου χορηγοῦντος, ἡμῶν τε διορθούντων. ὑμέτερον δ' ἂν εἴη τὸν ἡμέτερον κάματον εὐγνωμόνως ἀποδέξασθαι, μὴ δ' ἐκφαυλίζειν, εἴ πού γράμμα διεστραμμένον ἢ ἄλλο τι τοιοῦτον ἡμᾶς παρέδραμεν, οὐκ ὂν ἐμποδὼν οὐδὲ τοῖς μήπω φωνῆς γευσαμένοις ἑλληνικῆς. πολλοὶ μὲν ἀπείρως ἔχοντες τῆς περὶ τὸ διορθοῦν φιλοπονίας, ἢ βέλτιον εἰπεῖν ταλαιπωρίας, καὶ τὸ γνῶθι σαυτὸν ἀμνημονοῦντες, ὅλως τε σοφοὶ δοκεῖν ἐφιέμενοι, μεγάλῃ τῇ φωνῇ λαρυγγίζουσιν ὀξεῖα ἀντὶ βαρείας ἐτέθη, παῖε παῖε τὸν κατάρατον, διέφθαρται γὰρ ἡ βίβλος, ἣν ἐκεῖνος ἐπιτέτραπτο κατασκευάσαι τοῖς φιλολόγοις ὁλόκληρόν τε καὶ ἀνενδεᾶ. ἡμεῖς δὲ ἐκ τοῖς ἀντιγράφοις οἷς ἐνετύχομεν οὕτως ὠρθογραφήσαμεν τοὺς τύπους, ὥστε καὶ τὸν Μῶμον αὐτὸν ἐνταῦθα μηδὲν ἂν ἔχειν τέλεον μωμήσασθαι, ἐκτὸς τῶν μηδενὸς ἀξίων λόγου, εἴ τις μὴ φιλαπεχθημόνως, ἀλλ' [illegible] γνώμῃ καὶ σαφεῖ κρίνειν ἐθέλοι. τά γε μὴν ἀνηκέστως διεφθαρμένα, μηδὲν τολμήσαντες καινοτομεῖν ἡμεῖς, καταλείπομεν ὑμῖν τοῖς σοφοῖς δεόμενα θεραπείας τυχεῖν. Ἔρρωσθε.

ΠΛΟΥΤΑΡΧΟΥ ΧΑΙΡΩΝΕΩΣ ΠΕΡΙ ΠΑΙΔΩΝ ΑΓΩΓΗΣ.

Τί τις ἂν ἔχοι εἰπεῖν περὶ τῆς τῶν ἐλευθέρων παίδων ἀγωγῆς, καὶ τίνι χρώμενοι σπουδαῖοι ἂν τοῖς τρόποις ἀποβαῖεν, φέρε σκεψώμεθα. βέλτιον δ' ἴσως ἀπὸ τῆς γενέσεως ἄρξασθαι πρῶτον. τοῖς τοίνυν ἐπιθυμοῦσιν ἐνδόξων τέκνων γενέσθαι πατράσιν, ὑποθείμην ἂν ἔγωγε, μὴ ταῖς τυχούσαις γυναιξὶ συνοικεῖν. λέγω δὲ οἷον ἑταίραις ἢ παλλακαῖς. τοῖς γὰρ μητρόθεν ἢ πατρόθεν οὐκ εὖ γεγονόσιν, ἀνεξάλειπτα παρακολουθεῖ τὰ τῆς δυσγενείας ὀνείδη παρὰ πάντα τὸν βίον, καὶ πρόχειρα τοῖς ἐλέγχειν καὶ λοιδορεῖσθαι βουλομένοις. καὶ σοφὸς ἦν ἄρα ὁ ποιητὴς ὅς φησιν· ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους. καλὸς οὖν παρρησίας θησαυρὸς, εὐγένεια· ἧς δὴ πλεῖστον λόγον ποιητέον, τοῖς νομίμου παιδοποιίας γλιχομένοις. καὶ μὴν δὴ καὶ τὰ φρονήματα τῶν ὑπόχαλκον καὶ κίβδηλον ἐχόντων τὸ γένος, σφάλλεσθαι καὶ ταπεινοῦσθαι πέφυκε. καὶ μάλα ὀρθῶς ὁ λέγων ποιητής φησι· δουλοῖ γὰρ ἄνδρα κἂν θρασύσπλαγχνός τις ᾖ, ὅταν συνειδῇ μητρὸς, ἢ πατρὸς κακά. ὥσπερ ἀμέλει τοὐναντίον μεγαλαυχίας ἐμπίπλανται καὶ φρυάγματος, οἱ γονέων διασήμων. Διόφαντον γοῦν τὸν Θεμιστοκλέους πολλάκις λέγουσι φάναι καὶ πρὸς πολλοὺς, ὡς ὅ, τι ἂν αὐτὸς βούληται, τοῦτο καὶ τῷ δήμῳ συνδοκεῖ τῷ τῶν Ἀθηναίων. ἃ μὲν γὰρ αὐτὸς ἐθέλει, καὶ ἡ μήτηρ· ἃ δ' ἂν ἡ μήτηρ, καὶ Θεμιστοκλῆς· ἃ δ' ἂν Θεμιστοκλῆς, καὶ πάντες Ἀθηναῖοι. πάνυ δὲ ἄξιον ἐπαινεῖν καὶ Λακεδαιμονίους τῆς μεγαλοφροσύνης, οἵτινες Ἀρχίδαμον τὸν βασιλέα ἑαυτῶν ἐζημίωσαν χρήμασιν, ὅτι μικρὰν τὸ μέγεθος γυναῖκα γάμῳ λαβεῖν ὑπέμεινεν, ὑπειπόντες ὡς οὐ βασιλέας ἀλλὰ βασιλίδας παρασχεῖν αὐτοῖς διανοοῖτο. ἐχόμενον δ' ἂν εἴη τούτων εἰπεῖν, ὅπερ οὐδὲ τοῖς πρὸ ἡμῶν παρεωρᾶτο. ποῖον; ὅτι τοὺς ἕνεκα παιδοποιίας πλησιάζοντας ταῖς γυναιξὶν, ἤτοι τὸ παράπαν ἀοίνους, ἢ μετρίως γοῦν οἰνωμένους ποιεῖσθαι προσήκει τὸν συνουσιασμόν. φίλοινοι γὰρ καὶ μεθυστικοὶ γίνεσθαι φιλοῦσιν, ὧν ἂν τὴν ἀρχὴν τῆς σπορᾶς οἱ πατέρες ἐν μέθῃ ποιησάμενοι τύχωσιν. ᾗ καὶ Διογένης μειράκιον ἐκστατικὸν ἰδὼν, καὶ παραφρονοῦν, νεανίσκε ἔφησεν· ὁ πατήρ σε μεθύων ἔσπειρε. καὶ περὶ μὲν τῆς γενέσεως, τοσαῦτα εἰρήσθω μοι.

Περὶ δὲ τῆς ἀγωγῆς, καὶ δὴ λεκτέον. καθόλου μὲν εἰπεῖν ὃ κατὰ τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν λέγειν εἰώθαμεν, τοῦτο καὶ κατὰ τῆς ἀρετῆς φατέον ἐστίν. ὡς εἰς τὴν παντελῆ δικαιοπραγίαν, τρία δεῖ συνδραμεῖν. φύσιν. καὶ λόγον. καὶ ἔθος. καλῶ δὲ, λόγον μὲν τὴν μάθησιν. ἔθος δὲ τὴν ἄσκησιν. εἰσὶ δ' αἱ μὲν ἀρχαὶ, τῆς μαθήσεως· αἱ δὲ χρήσεις τῆς μελέτης· αἱ δ' ἀκρότητες πάντων. καθ' ὃ δ' ἂν λειφθῇ τι τούτων, κατὰ τοῦτ' ἀνάγκη χωλὴν γίνεσθαι τὴν ἀρετήν. ἡ μὲν γὰρ φύσις ἄνευ μαθήσεως, τυφλόν. ἡ δὲ μάθησις δίχα φύσεως, ἐλλιπές. ἡ δὲ ἄσκησις χωρὶς ἀμφοῖν, ἀτελές. ὥσπερ δὲ ἐπὶ τῆς γεωργίας, πρῶτον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ τὴν γῆν· εἶτα δὲ φυτουργὸν ἐπιστήμονα, εἶτα τὰ σπέρματα σπουδαῖα, τὸν αὐτὸν τρόπον. γῇ μὲν ἔοικεν ἡ φύσις. γεωργῷ δὲ ὁ παιδεύων. σπέρματι δὲ αἱ τῶν λόγων ὑποθῆκαι καὶ τὰ παραγγέλματα. ταῦτα πάντα διατεινάμενος εἴποιμι, ὅτι συνῆλθε καὶ συνέπνευσεν εἰς τὰς τῶν παρὰ ἅπασιν ᾀδομένων ψυχὰς, Πυθαγόρου καὶ Σωκράτους καὶ Πλάτωνος, καὶ τῶν ὅσοι δόξης ἀειμνήστου τετυχήκασιν. εὔδαιμον μὲν οὖν καὶ θεοφιλὲς εἴ τῳ ταῦτα πάντα

θεῶν τις ἀπέδωκεν. εἰ δέ τις οἴεται τοὺς οὐκ εὖ πεφυκότας, μαθήσεως καὶ μελέ-
της τυχόντας ὀρθῆς πρὸς ἀρετὴν, οὐκ ἂν τὴν τῆς φύσεως ἐλάττωσιν εἰς τὸ ἐν-
δεχόμενον ἀναδραμεῖν, ἴστω πολλοῦ, μᾶλλον δὲ τοῦ παντὸς διαμαρτάνων. φύ-
σεως μὲν γὰρ ἀρετὴν, διαφθείρει ῥᾳθυμία. φαυλότητα δὲ, ἐπανορθοῖ διδα-
χή. καὶ τὰ μὲν ῥᾴδια τοὺς ἀμελοῦντας φεύγει. τὰ δὲ χαλεπὰ, ταῖς ἐπιμελεί-
αις ἁλίσκεται. καταμάθοις δ' ἂν, ὡς ἀνύσιμον πρᾶγμα καὶ τελεσιουργὸν ἐπι-
μέλεια, καὶ πόνος ἐστὶν, ἰδοὶ πολλὰ τῶν γιγνομένων ἐπιβλέψας. σταγόνες μὲν
γὰρ ὕδατος, πέτρας κοιλαίνουσι. σίδηρος δὲ καὶ χαλκὸς ταῖς ἐπαφαῖς τῶν χει-
ρῶν ἐκτρίβονται. οἱ δ' ἁρμάτειοι τροχοὶ πόνῳ καμφθέντες, οὐδ' ἂν, εἴ τι γέ-
νοιτο, τὴν ἐξ ἀρχῆς δύναιντο ἂν λαβεῖν εὐθυωρίαν. τάς γε μὴν καμπύλας τῶν
ὑποκριτῶν βακτηρίας ἀπευθῦναι ἀμήχανον. ἀλλὰ τὸ παρὰ φύσιν, τῷ πόνῳ
τῶν κατὰ φύσιν ἐγένετο κρεῖττον. καὶ μόνα ἄρα ταῦτα τὴν ἐπιμελείας ἰσχὺν
διαδείκνυσιν; οὐκ. ἀλλὰ καὶ μυρία ἐπὶ μυρίοις. ἀγαθὴ γῆ πέφυκεν, ἀλλ' ἀμελη-
θεῖσα χερσεύεται. καὶ ὅσῳ τῇ φύσει βελτίων ἐστὶ, τοσούτῳ μᾶλλον ἐξαργηθεῖ-
σα δι' ἀμέλειαν, ἐξαπόλλυται. ἀλλ' ἔστι τις ἀπόκροτος καὶ τραχυτέρα τοῦ δέ-
οντος, ἀλλὰ γεωργηθεῖσα, παραυτίκα γενναίους καρποὺς ἐξήνεγκε. ποῖα δὲ
δένδρα, οὐκ ὀλιγωρηθέντα μὲν στρεβλὰ φύεται καὶ ἄκαρπα καθίσταται; τυ-
χόντα δὲ ὀρθῆς παιδαγωγίας, ἔγκαρπα γίνονται καὶ τελεσφόρα; ποία δὲ σώ-
ματος ἰσχὺς οὐκ ἐξαμβλοῦται καὶ καταφθίνει, δι' ἀμέλειαν καὶ τρυφὴν καὶ κα-
χεξίαν; τίς δ' ἀσθενὴς φύσις οὐ τοῖς γεγυμνασμένοις καὶ καταθλήσασι πλεῖ-
στον εἰς ἰσχὺν ἐπέδωκε; τίνες δ' ἵπποι καλῶς πωλοδαμνηθέντες, οὐκ εὐπει-
θεῖς ἐγένοντο τοῖς ἀναβάταις; τίνες δὲ ἀδάμαστοι μείναντες, οὐ σκληραύχε-
νες καὶ θυμοειδεῖς ἀπέβησαν; καὶ τί δεῖ τἄλλα θαυμάζειν, ὅπου γε τῶν θηρί-
ων τῶν ἀγριοτάτων, ὁρῶμεν πολλὰ καὶ τιθασευόμενα καὶ χειροήθη γιγνόμε-
να τοῖς πόνοις; εὖ δὲ καὶ ὁ Θετταλὸς ἐρωτηθεὶς, τίνες εἰσὶν οἱ ἠπιώτατοι Θεττα-
λῶν, ἔφη. οἱ παυόμενοι πολεμεῖν. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; καὶ γὰρ τὸ ἦθος
ἐστὶ πολυχρόνιον, καὶ τὰς ἠθικὰς ἀρετὰς ἐοικυίας ἄν τις λέγῃ, οὐκ ἄν τι πλημ-
μελεῖν δόξειεν. ἑνὶ δὲ πλείω τούτων ἔτι παραδείγματι χρησάμενος, ἀπαλλά-
« ξομαι τοῦ ἔτι πλείω αὐτῶν μηκύνειν. Λυκοῦργος γὰρ ὁ τῶν Λακεδαιμονίων
« νομοθέτης δύο σκύλακας τῶν αὐτῶν γονέων λαβὼν, οὐδὲν ὁμοίως ἀλλήλοις
« ἤγαγεν. ἀλλὰ τὸν μὲν ἀπέφηνε λίχνον καὶ σινάμωρον, τὸν δὲ, ἐξιχνεύειν καὶ θη-
« ρᾶν δυνατόν. εἶτα ποτὲ τῶν Λακεδαιμονίων εἰς ταὐτὸ συνειλεγμένων, με-
« γάλη τις ῥοπὴ πρὸς ἀρετῆς κτῆσίν ἐστιν ἄνδρες ἔφησε Λακεδαιμόνιοι, καὶ ἔθη,
« καὶ παιδεῖαι, καὶ διδασκαλίαι, καὶ βίων ἀγωγαί. καὶ ἐγὼ ταῦτα ὑμῖν αὐ-
« τίκα δὴ μάλα ποιήσω φανερά. εἶτα προσαγαγὼν τοὺς δύο σκύλακας, καὶ
« καταθεὶς εἰς μέσον λοπάδα καὶ λαγωὸν κατ' εὐθὺ τῶν σκυλάκων διαφῆκε.
« τὸν λαγωὸν ᾖξεν. ὁ δὲ εὐθὺ τὴν λοπάδα ὥρμησε. καὶ ὁ μὲν ἐπὶ
« πω συμβαλεῖν ἐχόντων τί ποτε αὐτῷ τοῦτο δύναται, καὶ τί βουλόμενος τοὺς
« σκύλακας ἐπεδείκνυεν, οὗτοι γονέων ἔφη τῶν αὐτῶν ἀμφότεροι, διαφόρου δὲ τυ-
« χόντες ἀγωγῆς, ὁ μὲν, λίχνος. ὁ δὲ θηρευτὴς ἀποβέβηκε. καὶ περὶ μὲν ἐθῶν καὶ
βίων, ἀρκείτω ταῦτα. περὶ δὲ τροφῆς, ἐχόμενον ἂν εἴη λέγειν. δεῖ δὲ ὡς ἐγὼ
ἂν φαίην, αὐτὰς τὰς μητέρας τὰ τέκνα τρέφειν. καὶ τούτοις ὑπέχειν τοὺς μα-
στούς. συμπαθέστερόν τε γὰρ θρέψουσι, καὶ διὰ πλείονος ἐπιμελείας ὡσὰν ἔνδο-
θεν καὶ τὸ δὴ λεγόμενον, ἐξ ὀνύχων ἀγαπῶσαι τὰ τέκνα. αἱ τίτθαι δὲ καὶ αἱ
τροφοὶ, τὴν εὔνοιαν ὑποβολιμαίαν καὶ παρέγγραπτον ἔχουσιν, ἅτε μισθοῦ φι-
λοῦσαι. δηλοῖ δὲ καὶ ἡ φύσις, ὅτι δεῖ τὰς μητέρας ἃ γεγεννήκασιν, αὐτὰς
τιτθεύειν

τιτθεύειν, καὶ τρέφειν. διὰ γὰρ τοῦτο παντὶ ζώῳ τεκόντι, τὴν ἐκ τοῦ γάλακτος
τροφὴν ἐχορήγησε. σοφὸν δὲ ἄρα ἡ πρόνοια. διττοὺς ἐνέθηκε ταῖς γυναιξὶ τοὺς
μαστοὺς. ἵνα καὶ εἰ δίδυμα τέκοιεν, διττὰς ἔχοιεν τὰς τῆς τροφῆς πηγάς. χωρὶς
δὲ τούτων, εὔνους καὶ τοῖς τέκνοις γίγνοιντ' ἂν, καὶ φιλητικώτεραι. καὶ μὰ Δί'
οὐκ ἀπεικότως. ἡ συντροφία γὰρ, ὥσπερ ἐπιτόνιόν ἐστι τῆς εὐνοίας. καὶ γὰρ
τὰ θηρία τῶν συντρεφομένων ἀποσπώμενα, ταῦτα ποθοῦντα φαίνεται. μά-
λιστα μὲν οὖν ὥσπερ ἔφην, αὐτὰς πειρατέον τὰ τέκνα τρέφειν τὰς μητέρας.
εἰ δ' ἄρ' ἀδυνάτως ἔχοιεν, ἢ διὰ σώματος ἀσθένειαν, γένοιτο γὰρ ἄν τι καὶ τοιοῦ-
τον, ἢ πρὸς ἑτέρων τέκνων σπεύδουσαι γένεσιν, ἀλλὰ τάς γε τίτθας καὶ τρο-
φοὺς, οὐ τὰς τυχούσας, ἀλλ' ὡς ἔνι μάλιστα σπουδαίας δοκιμαστέον ἐστί. πρῶ-
τον μὲν τοῖς ἤθεσιν Ἑλληνίδας. ὥσπερ γὰρ τὰ μέλη τοῦ σώματος εὐθὺς ἀπὸ γενέ-
σεως πλάττειν τῶν τέκνων ἀναγκαῖόν ἐστιν, ἵνα ταῦτα ὀρθὰ καὶ ἀστραβῆ φύη-
« ται, τὸν αὐτὸν τρόπον ἐξ ἀρχῆς τὰ τῶν τέκνων ἤθη ῥυθμίζειν προσήκει. εὔπλα-
« στον γὰρ καὶ ὑγρὸν, ἡ νεότης. καὶ ταῖς τούτων ψυχαῖς ἁπαλαῖς ἔτι τὰ μαθή-
« ματα ἐντήκεται. πᾶν δὲ τὸ σκληρὸν, χαλεπῶς μαλάττεται. καθάπερ γὰρ
« σφραγῖδες τοῖς ἁπαλοῖς ἐναπομάττονται κηροῖς, οὕτως αἱ μαθήσεις ταῖς τῶν
« ἔτι παιδίων ψυχαῖς ἐναποτυποῦνται. καί μοι δοκεῖ Πλάτων ὁ δαιμόνιος,
ἐμμελῶς παραινεῖν ταῖς τίτθαις, μὴ τοὺς τυχόντας μύθους τοῖς παιδίοις
λέγειν, ἵνα μὴ τὰς τούτων ψυχὰς ἐξ ἀρχῆς, ἀνοίας καὶ διαφθορᾶς ἀναπίμ-
πλασθαι συμβαίνῃ. κινδυνεύει δὲ καὶ Φωκυλίδης ὁ ποιητὴς καλῶς παραινεῖν
» λέγων. χρὴ παῖδ' ἔτ' ἐόντα, καλὰ διδάσκειν ἔργα. οὐ τοίνυν οὐδὲ τοῦτο παρα-
λιπεῖν ἄξιόν ἐστιν, ὅτι καὶ τὰ παιδία τὰ μέλλοντα τοῖς τροφίμοις ὑπηρετεῖν,
καὶ τούτοις σύντροφα γίνεσθαι, ζητητέον πρώτιστα μὲν, σπουδαῖα τοὺς τρόπους.
ἔτι μέντοι Ἑλληνικὰ καὶ περίτρανα λαλεῖν. ἵνα μὴ συναναχρωννύμενοι βαρβά-
ροις καὶ τὸ ἦθος μοχθηροῖς, ἀποφέρονταί τι τῆς ἐκείνων φαυλότητος. καὶ οἱ
« παροιμιαζόμενοι δέ φασιν, οὐκ ἀπὸ τρόπου λέγοντες. ὅτι ἂν χωλῷ παροικήσῃς,
« ὑποσκάζειν μαθήσῃ. ἐπειδὰν τοίνυν ἡλικίαν λάβωσιν, ὑπὸ παιδαγωγοῖς τε-
τάχθαι, ἐνταῦθα δὴ ἐπιμέλειαν ἐκτέον τῆς τούτων καταστάσεως, ὡς μὴ λάθω-
σιν ἀνδραπόδοις ἢ βαρβάροις, ἢ παλιμβόλοις τὰ τέκνα παραδόντες. ἐπεὶ
νῦν γε τὸ γινόμενον πολλοῖς, ὑπερκαταγέλαστόν ἐστι. τῶν γὰρ δούλων τῶν σπου-
δαίων, τοὺς μὲν, γεωργοὺς ἀποδεικνύουσι. τοὺς δὲ, ναυκλήρους. τοὺς δὲ, ἐμπό-
ρους. τοὺς δὲ, οἰκονόμους. τοὺς δὲ, δανειστάς. ὅτι δ' ἂν εὕρωσιν ἀνδράποδον οἰνό-
ληπτον καὶ λίχνον, πρὸς πᾶσαν πραγματείαν ἄχρηστον, τούτῳ φέροντες ὑπο-
βάλλουσι τοὺς υἱούς. δεῖ δὲ τὸν σπουδαῖον παιδαγωγὸν τοιοῦτον εἶναι τὴν φύ-
σιν, οἷόσπερ ἦν ὁ Φοῖνιξ ὁ τοῦ Ἀχιλλέως παιδαγωγός. τὸ δὲ πάντων μέγιστον καὶ
κυριώτατον τῶν εἰρημένων, ἔρχομαι φράσων. διδασκάλους γὰρ ζητητέον τοῖς
τέκνοις οἳ καὶ τοῖς βίοις εἰσὶν ἀδιάβλητοι, καὶ τοῖς τρόποις ἀνεπίληπτοι. καὶ ταῖς ἐμ-
« πειρίαις ἄριστοι. πηγὴ γὰρ καὶ ῥίζα καλοκαγαθίας, τὸ νομίμου τυχεῖν παιδεί-
« ας. καὶ καθάπερ τοὺς χάρακας οἱ γεωργοὶ τοῖς φυτοῖς παρατιθέασιν, οὕτως οἱ
νόμιμοι τῶν διδασκάλων, ἐμμελεῖς τὰς ὑποθήκας καὶ παραινέσεις παραπηγνύ-
ουσι τοῖς νέοις, ἵν' ὀρθὰ τούτων βλαστάνοι τὰ ἤθη. νῦν δέ τις καὶ καταπτύσειε τῶν
πατέρων ἐνίων, οἵτινες πρὶν δοκιμάσαι τοὺς μέλλοντας διδάσκειν, δι' ἄγνοιαν
ἔσθ' ὅτε καὶ δι' ἀπειρίαν, ἀνθρώποις ἀδοκίμοις, καὶ παρασήμοις ἐγχειρίζου-
σι τοὺς παῖδας. καὶ οὔπω τοῦτό ἐστι καταγέλαστον, εἰ καὶ δι' ἀπειρίαν αὐτὸ πράττου-
σιν. ἐκεῖνο δὲ ἐσχάτως ἄτοπον. τὸ ποῖον; ἐνίοτε γὰρ εἰδότες, αἰσθομένοις μᾶλλον
αὐτοῖς τοῦτο λεγόντων, τὴν ἐνίων τῶν παιδευόντων ἀπειρίαν ἅμα καὶ μοχθηρίαν,

ὅμως τούτοις ἐπιτρέπουσι τοὺς παῖδας. οἱ μὲν ταῖς τῶν ἀρεσκομένων ἡττώμενοι κολακείαις. εἰσὶ δ' οἳ δεομένοις χαριζόμενοι φίλοις. παρόμοιον ποιοῦντες, ὥσπερ ἂν εἴ τις τῷ σώματι κάμνων, τὸν σὺν ἐπιστήμῃ δυνηθέντα ἂν σῶσαι παραλιπὼν, φίλῳ χαριζόμενος, τὸν δι' ἀπειρίαν ἀπολέσοντα αὐτὸν προέλοιτο. ἢ ναύκληρον τὸν ἄριστον ἀφεὶς, τὸν χείριστον δοκιμάσειε, φίλου δεηθέντος. Ζεῦ καὶ θεοὶ πάντες. πατήρ τις καλούμενος, πλέω λόγον τῆς τῶν δεομένων ποιεῖται χάριτος, ἢ τῆς τῶν τέκνων παιδεύσεως; εἶτ' οὐκ εἰκότα πολλάκις ὁ Κράτης ἐκεῖνος ὁ παλαιὸς ἔλεγεν, ὅτι εἰ πῃ ἄρα δυνατὸν ἦν, ἀναβάντα ἐπὶ τὸ μετεωρότατον τῆς πόλεως ἀνακραγεῖν μέγα. ὦ ἄνθρωποι ποῖ φέρεσθε. οἵτινες χρημάτων μὲν κτήσεως πέρι, πᾶσαν ποιεῖσθε σπουδήν. τῶν δ' υἱέων οἷς ταῦτα καταλείψετε, μικρὰ φροντίζετε; τούτοις δ' ἂν ἔγωγε προσθείην, ὅτι οἱ τοιοῦτοι τῶν πατέρων παραπλήσιον ποιοῦσιν, οἷον εἴ τις τοῦ μὲν ὑποδήματος φροντίζοι, τοῦ δὲ ποδὸς ὀλιγώρως ἔχοι. πολλοὶ δὲ εἰς τοσοῦτον τῶν πατέρων προβαίνουσι φιλαργυρίας ἅμα καὶ μισοτεκνίας, ὥσθ' ἵνα μὴ πλείονα μισθὸν τελέσειαν, ἀνθρώπους τοὺς μηδενὸς τιμίους αἱροῦνται τοῖς τέκνοις παιδευτὰς, εὔωνον ἀμαθίαν διώκοντες. ἣ καὶ Ἀρίστιππος οὐκ ἀκόμψως, ἀλλὰ καὶ πάνυ ἀστείως ἐπέσκωψε τῷ λόγῳ, πατέρα νοῦ καὶ φρενῶν κενόν. ἐρωτήσαντος γάρ τινος αὐτόν. πόσον αἰτοίη μισθὸν ὑπὲρ τῆς τοῦ τέκνου παιδεύσεως, χιλίας ἔφη δραχμάς. τοῦ δὲ, Ἡράκλεις εἰπόντος, ὡς ὑπέρπολυ τὸ αἴτημα. δύναμαι γὰρ ἀνδράποδον χιλίων πρίασθαι. τοιγαροῦν εἶπε, δύο ἕξεις ἀνδράποδα, καὶ τὸν υἱὸν, καὶ ὃν ἂν πρίῃ. τὸ δ' ὅλον πῶς οὐκ ἄτοπον; τῇ μὲν δεξιᾷ συνεθίζειν τὰ παιδία δέχεσθαι τὰς τροφὰς, κἂν προτείνῃ τὴν ἀριστερὰν ἐπιτιμᾶν, μηδεμίαν δὲ ποιεῖσθαι πρόνοιαν τοῦ λόγων ἐπιδεξίων καὶ νομίμων ἀκούειν. τί οὖν συμβαίνει τοῖς θαυμαστοῖς πατράσιν, ἐπειδὰν κακῶς μὲν θρέψωσι, κακῶς δὲ παιδεύσωσι τοὺς υἱοὺς, ἐγὼ φράσω. ὅταν γὰρ εἰς ἄνδρας ἐγγραφέντες, τοῦ μὲν ὑγιαίνοντος καὶ τεταγμένου βίου καταφρονήσωσιν, εἰς δὲ τὰς ἀτάκτους καὶ ἀνδραποδώδεις ἡδονὰς ἑαυτοὺς κρημνίσωσι, τότε δὴ μεταμελοῦνται τὴν τῶν τέκνων προδεδωκότες παιδείαν, ὅτ' οὐδὲν ὄφελος, τοῖς ἐκείνων ἀδικήμασιν ἀδημονοῦντες. οἱ μὲν γὰρ αὐτῶν κόλακας καὶ παρασίτους ἀναλαμβάνουσιν, ἀνθρώπους ἀσήμους καὶ καταράτους καὶ τῆς νεότητος ἀνατροπέας καὶ λυμεῶνας. οἱ δὲ τινὲς ἑταίρας καὶ χαμαιτύπας λυτροῦνται, σοβαρὰς καὶ πολυτελεῖς. οἱ δὲ κατοψοφαγοῦσιν. οἱ δὲ εἰς κύβους καὶ κώμους ἐξοκέλλουσιν. ἤδη δὲ τινὲς καὶ τῶν νεανικωτέρων ἅπτονται κακῶν, μοιχεύοντες καὶ Διονυσοφοροῦντες, καὶ μίαν ἡδονὴν θανάτου τιμώμενοι. φιλοσόφῳ δὲ ὁμιλήσαντες οὗτοι, οὐ τοῖς ἴσοις πράγμασιν ἑαυτοὺς ἂν κατὰ πειθεῖς παρεῖχον. καὶ τό γε παράγγελμα τοῦ Διογένους ἔμαθον ἂν, ὃς φορτικῶς μὲν τοῖς ῥήμασιν, ἀληθῶς δὲ τοῖς πράγμασι παραινεῖ, καὶ φησίν. εἴσελθε εἰς πορνεῖόν που, ἵνα μάθῃς, ὅτι τῶν ἀναξίων τὰ τίμια, οὐδὲν διαφέρει. συνελὼν τοίνυν ἐγώ φημι καὶ χρησμολογεῖν μᾶλλον ἢ παραινεῖν δόξαιμ' ἂν εἰκότως, ὅτι ἓν πρῶτον καὶ μέσον καὶ τελευταῖον ἐν τούτοις κεφάλαιον, ἀγωγὴ σπουδαία καὶ παιδεία νόμιμός ἐστι. καὶ ταῦτα φέρειν καὶ συνεργεῖν πρὸς ἀρετὴν, καὶ πρὸς εὐδαιμονίαν φημί. καὶ τὰ μὲν ἄλλα τἀγαθὰ, ἀνθρώπινα, καὶ μικρὰ, καὶ οὐκ ἀξιοσπούδαστα καθέστηκεν. εὐγένεια καλὸν μὲν, ἀλλὰ προγόνων ἀγαθόν. πλοῦτος δὲ τίμιον μὲν, ἀλλὰ τύχης κτῆμα, ἐπειδὴ τοῖς μὲν ἔχουσι πολλάκις ἀφείλετο, τοῖς δ' οὐκ ἐλπίσασι, φέρουσα προσήνεγκε. καὶ ὁ πολὺς πλοῦτος, σκοπὸς ἔκκειται τοῖς βουλομένοις βαλλάντια τρώειν, κακούργοις οἰκέταις

καὶ συκοφάνταις. καὶ τὸ μέγιστον, ὅτι καὶ τοῖς πονηροτάτοις μέτεστι. δόξα γε μὴν, σεμνὸν, ἀλλ' ἀβέβαιον. κάλλος δὲ περιμάχητον μὲν, ἀλλ' ὀλιγοχρόνιον. ὑγίεια δὲ, τίμιον μὲν, ἀλλ' εὐμετάστατον. ἰσχὺς δὲ ζηλωτὸν μὲν, ἀλλὰ νόσῳ εὐάλωτον καὶ γήρᾳ. τὸ δὲ ὅλον, εἴ τις ἐπὶ τῇ τοῦ σώματος ῥώμῃ φρονεῖ, μαθέτω γνώμης διαμαρτάνων. πόσον γάρ ἐστιν ἰσχὺς αὕτη τῆς τῶν ἄλλων ζώων δυνάμεως, λέγω δὲ οἷον ἐλεφάντων καὶ ταύρων καὶ λεόντων. παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. καὶ δύο τὰ πάντων ἐστὶ κυριώτατα ἐν ἀνθρωπίνῃ φύσει, νοῦς καὶ λόγος. καὶ ὁ μὲν νοῦς, ἀρχικόν ἐστι τοῦ λόγου. ὁ δὲ λόγος, ὑπηρετικὸς τοῦ νοῦ. τύχῃ μὲν ἀνάλωτος. συκοφαντίᾳ δὲ ἀναφαίρετος. νόσῳ δ' ἀδιάφθορος. γήρᾳ δ' ἀλύμαντος. μόνος γὰρ ὁ νοῦς παλαιούμενος ἀνηβᾷ. καὶ ὁ χρόνος τἄλλα πάντ' ἀφαιρῶν, τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην. ὅ γε μὴν πόλεμος χειμάῤῥου δίκην πάντα σύρων, καὶ πάντα παραφέρων, μόνην οὐ δύναται παιδείαν παρελέσθαι. καί μοι δοκεῖ Στίλπων ὁ Μεγαρεὺς φιλόσοφος, ἀξιομνημόνευτον ποιήσασθαι ἀπόκρισιν, ὅτε Δημήτριος ἐξανδραποδισάμενος τὴν πόλιν εἰς ἔδαφος κατέβαλε, καὶ τὸν Στίλπωνα ἤρετο, μή τι ἀπολωλεκὼς εἴη; καὶ ὃς, οὐ δῆτα εἶπε. πόλεμος γὰρ οὐ λαφυραγωγεῖ ἀρετήν. σύμφωνος δὲ καὶ συνῳδὸς, καὶ ἡ Σωκράτους ἀπόκρισις ταύτῃ φαίνεται. καὶ γὰρ οὗτος ἐρωτήσαντος αὐτὸν, μοὶ δοκεῖ, Γοργίου, ἣν ἔχει περὶ τοῦ μεγάλου βασιλέως ὑπόληψιν, καὶ εἰ νομίζοι τοῦτον εὐδαίμονα εἶναι, οὐκ οἶδα ἔφησε, πῶς ἀρετῆς καὶ παιδείας ἔχει. ὡς τῆς εὐδαιμονίας ἐν τούτοις, οὐκ ἐν τοῖς τυχηροῖς ἀγαθοῖς κειμένης. ὥσπερ δὲ παραινῶ, τῆς παιδείας τῶν τέκνων μηδὲν ποιεῖσθαι προυργιαίτερον, οὕτως αὖ πάλιν φημὶ δεῖν, τῆς ἀδιαφθόρου καὶ ὑγιαινούσης ἔχεσθαι. τῶν δὲ
« πανηγυρικῶν λήρων, ὡς ποῤῥωτάτω τοὺς υἱεῖς ἀπάγειν. τὸ γὰρ τοῖς πολλοῖς
« ἀρέσκειν, τοῖς σοφοῖς ἐστιν ἀπαρέσκειν. μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ Εὐριπίδης λέγων. ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον, εἰς ἥλικας δὲ κὠλίγους σοφώτερος. οἱ δ' ἐν σοφοῖς φαῦλοι, παρ' ὄχλῳ μουσικώτεροι λέγειν.
ὁρῶ δ' ἔγωγε τοὺς τοῖς συρφετώδεσιν ὄχλοις ἀρεστῶς καὶ κεχαρισμένως ἐπιτηδεύοντας λέγειν, καὶ τὸν βίον ὡς τὰ πολλὰ ἀσώτους καὶ φιληδόνους ἀποβαίνοντας. καὶ νὴ Δί' εἰκότως. εἰ γὰρ ἄλλοις ἡδονὰς παρασκευάζοντες ἀμελοῦσι τοῦ καλοῦ, σχολῇ γ' ἂν τῆς ἰδίας ἡδυπαθείας καὶ τρυφῆς ὑπεράνω, τὸ ὀρθὸν καὶ ὑγιὲς ποιήσαιντο, ἢ τὸ σῶφρον ἀντὶ τοῦ τερπνοῦ διώξαιεν. πρὸς δὲ τούτοις, τί ἂν τοὺς παῖδας χρηστὸν ἕτερον διδάξαιμεν, ἢ τίσιν ἀγαθοῖς ἐπιφύεσθαι παραινέσαιμεν; καλὸν γάρ τοι μηδὲν εἰκῇ, μήτε λέγειν, μήτε πράττειν. καὶ κατὰ
« τὴν παροιμίαν, χαλεπὰ τὰ καλά. οἱ δ' αὐτοσχέδιοι τῶν λόγων, πολλῆς εὐχερείας, καὶ ῥᾳδιουργίας εἰσὶ πλήρεις. οὔθ' ὅθεν ἀρκτέον, οὔθ' ὅποι παυστέον εἰδότες. χωρὶς δὲ τῶν ἄλλων πλημμελημάτων, οἱ ἐκ τοῦ παραχρῆμα λέγοντες, εἰς ἀμετρίαν δεινὴν ἐμπίπτουσι, καὶ πολυλογίαν. ἡ σκέψις δ' οὐκ ἐᾷ τὸν ἱκνουμένης συμμετρίας τὸν λόγον ἐκπίπτειν. ὁ Περικλῆς, ὡς ἡμῖν ἀκούειν παραδέδοται, καλούμενος ὑπὸ τοῦ δήμου πολλάκις οὐχ ὑπήκουσε, λέγων ἀσύντακτος εἶναι. ὡσαύτως δὲ καὶ Δημοσθένης ζηλωτὴς τῆς τούτου πολιτείας γενόμενος, καλούντων αὐτὸν τῶν Ἀθηναίων σύμβουλον, ἀντέβαινεν, οὐ συντέταγμαι λέγων. καὶ ταῦτα μὲν ἴσως, ἀδέσποτός ἐστι, καὶ πεπλασμένη παράδοσις. ἐν δὲ τῷ κατὰ Μειδίου, τὴν τῆς σκέψεως ὠφέλειαν ἐναργῶς παρίστησι.
» φησὶ γοῦν. ἐγὼ δ' ἐσκέφθαι μὲν ὦ Ἀθηναῖοι φημὶ, κοὐκ ἂν ἀρνηθείην, καὶ μεμελετηκέναι γε ὡς ἐνῆν μάλιστ' ἐμοί. καὶ γὰρ ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ πάσχων, ἠμέλουν ὧν περὶ τούτων ἐρεῖν ἔμελλον. τὸ δὲ δὴ παντάπασιν

ἀποδοκιμάζειν τῶν λόγων τὴν ἑτοιμότητα, ἢ πάλιν αὖ ταύτην οὐκ ἐπαξίοις ἀσκεῖν, οὐ φαίην ἂν ἔγωγε. ἀλλ' ὡς ἐν φαρμάκου μοίρᾳ τοῦτο ποιητέον ἐστί. μέχρι δὲ τῆς τῶν ἀνδρῶν ἡλικίας, οὐδὲν ἐκ τοῦ παρατυχόντος ἀξιῶ λέγειν. ἀλλ' ὅταν τις εὖ ῥιζώσῃ τὴν δύναμιν, τότε τῶν καιρῶν καλούντων, ἐλευθεριάζειν τοῖς λόγοις προσήκει. ὥσπερ γὰρ οἱ πολὺν χρόνον δεθέντες, κἂν λυθῶσιν ὕστερον, ὑπὸ τῆς πολυχρονίου τῶν δεσμῶν συνηθείας οὐ δυνάμενοι βαδίζειν ὑποσκελίζονται, τὸν αὐτὸν τρόπον, οἱ πολλῷ χρόνῳ τὸν λόγον σφίγξαντες, κἄν ποτε ἐκ τοῦ παραχρῆμα δεήσειεν εἰπεῖν, οὐδὲν ἧττον τὸν αὐτὸν τῆς ἑρμηνείας χαρακτῆρα φυλάσσουσι. τὸ δὲ ἔτι παῖδας ὄντας ἐᾶν αὐθὶ καιροῦ λέγειν, ματαιολογίας τῆς ἐσχάτης, αἴτιον καθίσταται. ζωγράφος φασὶν ἄθλιος Ἀπελλῇ δείξας εἰκόνα, ταύτην ἔφη, νῦν γέγραφα. ὁ δὲ καὶ ἢν μὴ λέγῃς εἶπεν, οἶδα, ὅτι ταχὺ γέγραπται, θαυμάζω δὲ πῶς οὐχὶ τοιαύτας πλείους γέγραφας. ὥσπερ τοίνυν, ἐπανάγω γὰρ πρὸς τὴν ἐξ ἀρχῆς τοῦ λόγου ὑπόθεσιν, τὴν θεατρικὴν καὶ παρατράγῳδον, οὕτως αὖ πάλιν καὶ τὴν σμικρολογίαν τῆς λέξεως καὶ ταπείνωσιν, παραινῶ διευλαβεῖσθαι καὶ φεύγειν. ἡ μὲν γὰρ ὑπέρογκος, ἀπολίτευτός ἐστιν, ἡ δὲ ἰσχνὴ λίαν, ἀνέκπληκτος. καθάπερ δὲ τὸ σῶμα οὐ μόνον ὑγιεινόν, ἀλλὰ καὶ εὐεκτικὸν εἶναι χρή, καὶ τὸν λόγον ὡσαύτως οὐκ ἄνοσον μόνον, ἀλλὰ καὶ εὔρωστον εἶναι δεῖ. τὸ μὲν γὰρ ἀσφαλές, ἐπαινεῖται μόνον, τὸ δὲ ἐπικίνδυνον, καὶ θαυμάζεται. ταύτην δὲ τυγχάνω γνώμην ἔχων, καὶ περὶ τῆς ἐν τῇ ψυχῇ διαθέσεως. οὔτε γὰρ θρασεῖαν, οὔτ' ἄτολμον καὶ καταπλῆγα προσήκει εἶναι. τὸ μὲν γὰρ εἰς ἀναισχυντίαν, τὸ δὲ εἰς ἀνδραποδωδίαν περιίσταται. ἔντεχνον δέ, τὸ τὴν μέσην ἐν ἅπασι τέμνειν ἐμμελέστατα. βούλομαι δ' ἕως ἔτι μέμνημαι τῆς παιδείας, ὡς ἔχω δόξης περὶ αὐτῆς εἰπεῖν. ὅτι τὸν μονόκωλον λόγον, πρῶτον μὲν ἀμουσίας οὐ μικρὸν ποιοῦμαι τεκμήριον, ἔπειτα δὲ καὶ πρὸς τὴν ἄσκησιν ἀψίκορον, καὶ πάντη ἀνεπίμονον εἶναι νομίζω. μονῳδία γὰρ ἐν ἅπασίν ἐστι, πλήσμιόν τε καὶ προσαντές, ἡ δὲ ποικιλία, τερπνόν. καθάπερ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, οἷον ἀκούσμασιν ἢ θεάμασιν. δεῖ τοίνυν τὸν παῖδα τὸν ἐλεύθερον, μηδενὸς μὴ δὲ τῶν ἄλλων τῶν καλουμένων ἐγκυκλίων παιδευμάτων, μήτε ἀνήκοον, μήτε ἀθέατον ἐᾶν εἶναι, ἀλλὰ ταῦτα μὲν ἐκ παραδρομῆς μαθεῖν ὥσπερ εἰ γεύματος ἕνεκεν, ἐν ἅπασι γὰρ τὸ τέλειον ἀδύνατον, τὴν δὲ φιλοσοφίαν πρεσβεύειν. ἔχω δ' εἰκόνος παραστῆσαι τὴν ἐμαυτοῦ γνώμην. ὥσπερ γὰρ περιπλεῦσαι μὲν πολλὰς πόλεις καλόν, ἐνοικῆσαι δὲ τῇ κρατίστῃ χρήσιμον. ἀστείως δὲ καὶ Βίων ἔλεγεν ὁ φιλόσοφος, ὅτι ὥσπερ οἱ μνηστῆρες τῇ Πηνελόπῃ πλησιάζειν μὴ δυνάμενοι, ταῖς ταύτης ἐμίγνυντο θεραπαίναις, οὕτω καὶ οἱ φιλοσοφίας μὴ δυνάμενοι κατατυχεῖν, ἐν τοῖς ἄλλοις παιδεύμασι τοῖς οὐδενὸς ἀξίοις, ἑαυτοὺς κατασκελετεύουσι. διὸ δεῖ τῆς ἄλλης παιδείας ὥσπερ κεφάλαιον ποιεῖν, τὴν φιλοσοφίαν. περὶ μὲν γὰρ τὴν τοῦ σώματος ἐπιμέλειαν, διττὰς εὗρον ἐπιστήμας οἱ ἄνθρωποι, τὴν ἰατρικήν, καὶ γυμναστικήν, ὧν ἡ μὲν τὴν ὑγείαν, ἡ δὲ τὴν εὐεξίαν ἐντίθησι. τῶν δὲ τῆς ψυχῆς ἀρρωστημάτων, καὶ παθῶν, ἡ φιλοσοφία μόνη φάρμακόν ἐστι. διὰ γὰρ ταύτην ἔστι καὶ μετὰ ταύτης γνῶναι, τί τὸ καλόν, τί τὸ αἰσχρόν, τί τὸ δίκαιον, τί τὸ ἄδικον, τί τὸ συλλήβδην αἱρετόν, ἢ φευκτόν, πῶς θεοῖς, πῶς γονεῦσι, πῶς πρεσβυτέροις, πῶς νόμοις, πῶς ἀλλοτρίοις, πῶς ἄρχουσι, πῶς φίλοις, πῶς γυναιξί, πῶς τέκνοις, πῶς οἰκέταις χρηστέον ἐστί. ὅτι δεῖ, θεοὺς μὲν σέβεσθαι, γονέας δὲ τιμᾶν, πρεσβυτέρους αἰδεῖσθαι, νόμοις πειθαρχεῖν, ἄρχουσιν ὑπείκειν, φίλους ἀγαπᾶν, πρὸς γυναῖκας σωφρονεῖν, τέκνων στερκτικοὺς εἶναι, δούλους μὴ περιυβρίζειν, τὸ δὲ μέγιστον, μήτε ἐν ταῖς εὐπραγίαις περιχαρεῖς, μήτε ἐν ταῖς συμφοραῖς περιλύπους ὑπάρχειν.

μήτε

μήτε ἐν ταῖς ἡδοναῖς ἐκλύτους εἶναι, μήτε ἐν ταῖς ὀργαῖς ἐκπαθεῖς καὶ θηριώδεις, ἅπερ ἐγὼ πάντων τῶν ἐκ φιλοσοφίας περιγινομένων ἀγαθῶν, πρεσβύτατα κρίνω. τὸ μὲν γὰρ εὐγενῶς εὐτυχεῖν, ἀνδρός. τὸ δ' ἀνεπιφθόνως, εὐηνίου ἀνδρός. τὸ δὲ τοῖς λογισμοῖς περιεῖναι τῶν ἡδονῶν, σοφῶν. τὸ δὲ ὀργῆς κατακρατεῖν, ἀνδρὸς οὐ τοῦ τυχόντος ἐστί. τελείους δὲ ἀνθρώπους ἡγοῦμαι, τοὺς δυναμένους τὴν πολιτικὴν δύναμιν μῖξαι καὶ κεράσαι τῇ φιλοσοφίᾳ. καὶ δυοῖν ὄντοιν μεγίστοιν ἀγαθοῖν ἐπηβόλους ὑπάρχειν ὑπολαμβάνω, τοῦ τε κοινωφελοῦς βίου πολιτευομένους, τοῦ τε ἀκύμονος καὶ γαληνοῦ διατρίβοντας περὶ φιλοσοφίαν. τριῶν γὰρ ὄντων βίων, ὧν ὁ μέν ἐστι πρακτικός, ὁ δέ, θεωρητικός, ὁ δὲ ἀπολαυστικός, ὁ μὲν ἔκλυτος καὶ δοῦλος τῶν ἡδονῶν, ζωώδης καὶ μικροπρεπής ἐστιν, ὁ δὲ θεωρητικὸς τοῦ πρακτικοῦ διαμαρτάνων, ἀνωφελής, ὁ δὲ πρακτικὸς ἀμοιρήσας φιλοσοφίας, ἄμουσος καὶ πλημμελής. πειρατέον οὖν εἰς δύναμιν καὶ τὰ κοινὰ πράττειν, καὶ τῆς φιλοσοφίας ἀντιλαμβάνεσθαι κατὰ τὸ παρεῖκον τῶν καιρῶν. οὕτως ἐπολιτεύσατο Περικλῆς. οὕτως Ἀρχύτας ὁ Ταραντῖνος. οὕτω Δίων ὁ Συρακούσιος. οὕτως Ἐπαμινώνδας ὁ Θηβαῖος. ὧν ἑκάτερος Πλάτωνος ἐγένετο συνουσιαστής. καὶ περὶ μὲν παιδείας, οὐκ οἶδ' ὅτι δεῖ πλείονα λέγοντα διατρίβειν. πρὸς δὲ τοῖς εἰρημένοις χρήσιμον, μᾶλλον δὲ ἀναγκαῖόν ἐστι, μὴ δὲ τῆς τῶν παλαιῶν συγγραμμάτων κτήσεως ὀλιγώρως ἔχειν. ἀλλὰ καὶ τούτων ποιεῖσθαι συλλογὴν κατὰ τὸ γεωργικόν. * τὸν αὐτὸν τρόπον, ὄργανον τῆς παιδείας, ἡ χρῆσις τῶν βιβλίων ἐστί. καὶ ἀπὸ πηγῆς τὴν ἐπιστήμην τηρεῖν συμβέβηκεν. οὐ τοίνυν ἄξιον, οὐδὲ τὴν τοῦ σώματος ἀγωνίαν παρορᾶν. ἀλλὰ πέμποντας ἐς παιδοτρίβου τοὺς παῖδας ἱκανῶς ταῦτα διαπονεῖν, ἅμα μὲν τῆς τοῦ σώματος εὐρυθμίας ἕνεκεν, ἅμα δὲ καὶ πρὸς ῥώμην. καλοῦ γὰρ γήρως θεμέλιον ἐν παισίν, ἡ τῶν σωμάτων εὐεξία. καθάπερ οὖν ἐν εὐδίᾳ τὰ πρὸς τὸν χειμῶνα προσήκει παρασκευάζειν, οὕτως ἐν νεότητι τὴν εὐταξίαν καὶ τὴν σωφροσύνην, ἐφόδιον εἰς τὸ γῆρας ἀποτίθεσθαι. οὕτω δεῖ ταμιεύεσθαι τὸν τοῦ σώματος πόνον, ὡς μὴ καταξήρους γινομένους, πρὸς τὴν τῆς παιδείας ἐπιμέλειαν ἀπαγορεύειν. κατὰ γὰρ Πλάτωνα, ὕπνοι καὶ κόποι μαθήμασι πολέμιοι. καὶ τί ταῦτα; ἀλλ' ὃ πάντων ἐστὶ κυριώτατον τῶν εἰρημένων, σπεύδω λέγειν. πρὸς γὰρ τοὺς στρατιωτικοὺς ἀγῶνας, τοὺς παῖδας ἀσκητέον, ἐν ἀκοντισμοῖς αὐτοὺς καταθλοῦντας, καὶ τοξείαις, καὶ θήραις. τὰ γὰρ τῶν ἡττωμένων ἐν ταῖς μάχαις ἀγαθά, τοῖς νικῶσιν ἆθλα πρόκειται. πόλεμος δὲ, ἐσκιατραφημένην σωμάτων ἕξιν οὐ δέχεται. ἰσχνὸς δὲ στρατιώτης πολεμικῶν ἀγώνων ἐθάς, ἀθλητῶν καὶ πολεμίων φάλαγγας διωθεῖ. τί οὖν ἄν τις εἴποι; σὺ δὲ δὴ περὶ τῆς τῶν ἐλευθέρων παίδων ἀγωγῆς ὑποσχόμενος παραγγέλματα δώσειν, ἔπειτα φαίνῃ τῆς μὲν τῶν πενήτων καὶ δημοτικῶν παραμελῶν ἀγωγῆς, μόνοις δὲ τοῖς πλουσίοις ὁμονοεῖς τὰς ὑποθήκας διδόναι, πρὸς οὓς οὐ χαλεπὸν ἀπαντῆσαι. ἐγὼ γὰρ μάλιστα ἂν βουλοίμην, πᾶσι κοινὴν χρήσιμον εἶναι τὴν ἀγωγήν. εἰ δέ τινες ἐνδεῶς τοῖς ἰδίοις πράττοντες ἀδυνατήσουσι τοῖς ἐμοῖς χρήσασθαι παραγγέλμασι, τὴν τύχην αἰτιάσθωσαν, οὐ τὸν ταῦτα συμβουλεύοντα. πειρατέον μὲν οὖν εἰς δύναμιν, τὴν κρατίστην ἀγωγὴν ποιεῖσθαι τῶν παίδων, καὶ τοῖς πένησιν. εἰ δὲ μή, τῇ γε δυνατῇ χρηστέον. καὶ ταῦτα μὲν δὴ τῷ λόγῳ παρεφορτισάμην, ἵν' ἑξῆς καὶ τἄλλα τὰ φέροντα πρὸς τὴν ὀρθὴν τῶν νέων ἀγωγὴν συνάψω. κἀκεῖνό φημι. δεῖν τοὺς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων ἄγειν, παραινέσεσι καὶ λόγοις, μὴ μὰ Δία, πληγαῖς, μὴ δ' αἰκισμοῖς. δοκεῖ γάρ που ταῦτα τοῖς δούλοις μᾶλλον, ἢ τοῖς ἐλευθέροις πρέπειν. ἀπονάρκωσι γὰρ καὶ φρίττουσι πρὸς τοὺς πόνους, τὰ μὲν διὰ τὰς ἀλγηδόνας τῶν πληγῶν, τὰ δὲ καὶ διὰ τὰς ὕβρεις. ἔπαινοι δὲ καὶ ψόγοι, πάσης εἰσὶν αἰκίας ὠφελιμώτεροι τοῖς ἐλευθέροις. οἱ μὲν

τῇ ἐπιπλήξει κἀπειδὰν ποτε σφοδρῶς ἐπιπλήξωσιν

ὥσπερ τὰ καλὰ παρορμῶντες. οἱ δὲ, ἀπὸ τῶν αἰσχρῶν ἀνείργοντες. δεῖ δὲ ἐναλ-
λὰξ καὶ ποικίλως χρῆσθαι ταῖς ἐπιπλήξεσι καὶ τοῖς ἐπαίνοις. κἄπειδάν
ποτε εὐφρανῶνται, ταῖς ἐπιπλήξεσιν ἐν αἰσχύνῃ ποιεῖσθαι. καὶ πάλιν ἀνακα-
λεῖσθαι τοῖς ἐπαίνοις, καὶ μιμεῖσθαι τὰς τίτθας, αἵ τινες, ἐπειδὰν τὰ παι-
δία κλαυθμυρίσωσιν, εἰς παρηγορίαν πάλιν τὸν μαστὸν ὑπέχουσι. δεῖ δὲ αὐτοὺς
μὴ δὲ τοῖς ἐγκωμίοις ἐπαίρειν καὶ φυσᾶν. χαυνοῦνται γὰρ ταῖς ὑπερβολαῖς τῶν
ἐπαίνων καὶ θρύπτονται. ἤδη δέ τινας ἐγὼ εἶδον πατέρας, οἷς τὸ λίαν φιλεῖν, τοῦ
μὴ φιλεῖν αἴτιον κατέστη. τί οὖν ἐστιν, ὃ βούλομαι λέγειν, ἵνα τῷ παραδείγματι
φωτεινότερον ποιήσω τὸν λόγον; σπεύδοντες γὰρ τοὺς παῖδας ἐν πᾶσι τάχιον
πρωτεῦσαι, πόνους αὐτοῖς ὑπερμέτρους ἐπιβάλλουσιν, οἷς ἀπαυδῶντες ἐμπί-
πτουσι, καὶ ἄλλως βαρυνόμενοι ταῖς κακοπαθείαις, οὐ δέχονται τὴν μάθησιν
εὐηνίως. ὥσπερ γὰρ τὰ φυτὰ τοῖς μὲν μετρίοις ὕδασι τρέφεται, τοῖς δὲ πολ-
λοῖς πνίγεται, τὸν αὐτὸν τρόπον ψυχὴ, τοῖς μὲν συμμέτροις αὔξεται πόνοις, τοῖς
δ' ὑπερβάλλουσι, βαπτίζεται. δοτέον οὖν τοῖς παισὶν, ἀναπνοὴν τῶν συ-
« νεχῶν πόνων, ἐνθυμουμένους ὅτι πᾶς ὁ βίος ἡμῶν, εἰς ἄνεσιν καὶ σπουδὴν δι-
« ῄρηται. καὶ διὰ τοῦτο, οὐ μόνον ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος εὑρέθη. οὐδὲ πόλε-
μος, ἀλλὰ καὶ εἰρήνη. οὐδὲ χειμὼν, ἀλλὰ καὶ εὐδία. οὐδὲ ἐνεργοὶ πράξεις, ἀλ-
λὰ καὶ ἑορταί. συνελόντι δὲ εἰπεῖν, ἡ ἀνάπαυσις, τῶν πόνων ἄρτυμά ἐστι.
καὶ οὐκ ἐπὶ τῶν ζώων μόνων τοῦτο ἴδοι τις γινόμενον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀψύχων.
καὶ γὰρ τὰ τόξα καὶ τὰς λύρας ἀνίεμεν, ἵνα ἐπιτείναι δυνηθῶμεν. καθόλου
δὲ σώζεται, σῶμα μὲν, ἐνδείᾳ καὶ πληρώσει. ψυχὴ δὲ, ἀνέσει καὶ πόνῳ. ἄξιον
δ' ἐπιτιμᾶν τῶν πατέρων ἐνίοις, οἵ τινες παιδαγωγοῖς καὶ διδασκάλοις ἐπιτρέ-
ψαντες τοὺς υἱεῖς, αὐτοὶ τῆς τούτων μαθήσεως οὔτε αὐτόπται γίνονται τοπα-
ράπαν, οὔτε αὐτήκοοι, πλεῖστον τοῦ δέοντος ἁμαρτάνοντες. αὐτοὺς γὰρ παρ'
ὀλίγας ἡμέρας δεῖ δοκιμασίαν λαμβάνειν τῶν παίδων, ἀλλὰ μὴ τὰς ἐλπίδας
ἔχειν ἐν μισθωτοῦ διαθέσει. καὶ γὰρ ἐκεῖνοι πλείονα ποιήσονται τὴν ἐπιμέλειαν
τῶν παίδων, μέλλοντες ἑκάστοτε διδόναι τὰς εὐθύνας. καὶ ἐνταῦθα δὴ τὸ ῥηθὲν
« ὑπὸ τοῦ ἱπποκόμου χάριεν. ὡς οὐδὲν οὕτω πιαίνει τὸν ἵππον, ὡς βασιλέως ὀφθαλ-
« μός. πάντων δὲ μάλιστα τὴν μνήμην τῶν παίδων ἀσκεῖν καὶ συνεθίζειν. αὕτη
γὰρ ὥσπερ τῆς παιδείας ἐστὶ ταμεῖον. καὶ διὰ τοῦτο μητέρα τῶν μουσῶν ἐμυθολό-
γησαν τὴν μνημοσύνην, αἰνιττόμενοι καὶ παραδηλοῦντες, οὕτως οὐδὲν γεν-
ναῖν καὶ τρέφειν ὡς ἡ μνήμη πέφυκε. καὶ τοίνυν ταύτην κατ' ἀμφότερα ἀσκη-
τέον, εἴτε ἐκ φύσεως μνήμονες εἶεν οἱ παῖδες, εἴτε καὶ τοὐναντίον ἐπιλήσμο-
νες. τὴν γὰρ πλεονεξίαν τῆς φύσεως ἐπιρρώσομεν, τὴν δ' ἔλλειψιν ἀναπλη-
ρώσομεν. καὶ οἱ μὲν, τῶν ἄλλων ἔσονται βελτίους, οἱ δ' ἑαυτῶν. τὸ γὰρ ἡσιό-
» δειον καλῶς εἴρηται. εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο, καὶ θαμὰ
» τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο. μὴ λανθανέτω τοίνυν μηδὲ τοῦτο
τοὺς πατέρας, ὅτι τὸ μνημονικὸν τῆς μαθήσεως μέρος, οὐ μόνον πρὸς τὴν παι-
δείαν, ἀλλὰ καὶ πρὸς τὰς τοῦ βίου πράξεις οὐκ ἐλαχίστην συμβάλλεται μοῖ-
ραν. ἡ γὰρ τῶν γεγενημένων πράξεων μνήμη τῆς περὶ τῶν μελλόντων εὐβουλί-
ας γίνεται παράδειγμα. καὶ μέν τοι καὶ τῆς αἰσχρολογίας ἀπακτέον τοὺς
« υἱεῖς. λόγος γὰρ ἔργου σκιὴ κατὰ δημόκριτον. εἶτα γε μὴν ἐντευκτικοὺς αὐ-
τοὺς παρασκευαστέον καὶ φιλοπροσηγόρους. οὐδὲν γὰρ ὡς τὰ ἀνέντευκτα τῶν
ἠθῶν ἐστιν ἀξιομίσητα. ἔτι τοίνυν οἱ παῖδες ἀμισεῖς γίνοιντ' ἂν τοῖς συνοῦ-
« σι, μὴ παντελῶς ἐν ταῖς ζητήσεσιν ἀπαραχώρητοι γινόμενοι. οὐ γὰρ τὸ νικᾶν
« μόνον, ἀλλὰ καὶ τὸ ἡττᾶσθαι ἐπίστασθαι καλὸν, ἐν οἷς τὸ νικᾶν βλαβερόν. ἔστι

γὰρ

μοι — ἀξιομίσητον — ὅτι

γὰρ ὡς ἀληθῶς καὶ νίκη καδμεία. ἔχω δὲ μάρτυρα τούτων εὐριπίδην ἐν σο-
» φὸν ἐπαγγέλλεσθαι, λέγοντα. δυοῖν λεγόντοιν θατέρου θυμουμένου, ὁ μὴ ἀντι-
» τείνων τοῖς λόγοις σοφώτερος. ἃ τοίνυν τῶν εἰρημένων οὐδενὸς ἧττόν ἐστιν, ἀλ-
λὰ καὶ μᾶλλον ἐπιτηδευτέα τοῖς νέοις, καὶ δὴ λεκτέον. ταῦτα δέ ἐστι. τὸν βί-
ον ἄτυφον ἀσκεῖν. τὸ τὴν γλῶτταν κατέχειν. τὸ τῆς ὀργῆς ὑπεράνω γίγνεσθαι.
τὸ τῶν χειρῶν κρατεῖν. τούτων ἕκαστον ἡλίκον ἐστὶ σκεπτέον. ἔσται γὰρ ἐκ τῶν πα-
ραδειγμάτων γνωριμώτερα. οἷον, ἵνα ἀπὸ τοῦ τελευταίου πρῶτον ἄρξωμαι,
τὰς χεῖρας τινὲς ὑποσχόντες λήμμασιν ἀδίκοις, τὴν δόξαν τῶν προβεβιωμέ-
νων ἐξέχεαν. ὡς γύλιππος ὁ λακεδαιμόνιος τὰ σακκία τῶν χρημάτων πα-
» ραλύσας, φυγὰς ἀπηλάθη τῆς σπάρτης. τό γε μὴν ἀόργητον, ἀνδρός ἐστι σο-
φοῦ. σωκράτης μὲν γὰρ λακτίσαντος αὐτὸν νεανίσκου θρασέος μάλα καὶ βδε-
λυροῦ, τοὺς ἀμφ' αὐτὸν ὁρῶν ἀγανακτοῦντας καὶ σφαδάζοντας, ὡς καὶ διώ-
κειν αὐτὸν ἐθέλειν, ἆρα ἔφησε καὶ εἴ με ὄνος ἐλάκτισεν, ἀντιλακτίσαι τοῦτον
ἠξιώσατε ἄν; οὐ μὴν ἐκεῖνός γε παντελῶς κατεπράξατο. πάντων γὰρ αὐτὸν ὀνει-
διζόντων καὶ λακτιστὴν ἀποκαλούντων, ἀπήγξατο. ἀριστοφάνους δὲ ὅτε τὰς
νεφέλας ἐξέφερε, παντοίως πᾶσαν ὕβριν αὐτοῦ κατασκεδαννύντος, καί τι-
νος τῶν παρόντων, τὰ τοιαῦτα ἀνακωμῳδοῦντος, οὐκ ἀγανακτεῖς εἰπόντος
ὦ σώκρατες; μὰ δί' οὐκ ἔγωγε ἔφησεν. ὡς γὰρ ἐν συμποσίῳ μεγάλῳ τῷ θεάτρῳ
σκώπτομαι. ἀδελφὰ τούτοις καὶ σύζυγα φανήσονται πεποιηκότες, ἀρχύτας
ὁ ταραντῖνος καὶ πλάτων. ὁ μὲν γὰρ ἐπανελθὼν ἀπὸ τοῦ πολέμου, στρατηγῶν δὲ
ἐτύγχανε, γῆν καταλαβὼν κεχερσωμένην, τὸν ἐπίτροπον καλέσας αὐτῆς, ᾤ-
μωξας ἂν ἔφησεν εἰ μὴ λίαν ὠργιζόμην. πλάτων δὲ δούλῳ λίχνῳ καὶ βδελυ-
ρῷ θυμωθεὶς, τὸν τῆς ἀδελφῆς υἱὸν σπεύσιππον καλέσας, τοῦτον ἔφησεν ἀπελ-
θὼν κρότησον, ἐγὼ γὰρ πάνυ θυμοῦμαι. χαλεπὰ δὲ ταῦτα καὶ δυσμίμητα
φαίη τις ἂν, οἶδα κἀγώ. πειρατέον οὖν εἰς ὅσον οἷόν τέ ἐστι, τούτοις παραδείγ-
μασι χρωμένους, τὸ πολὺ τῆς ἀκράτου καὶ μαινομένης ὑφαιρεῖν ὀργῆς. οὐδὲ γὰρ
ἐς τἄλλα ἐνάμιλλοι ταῖς ἐκείνων ἐσμὲν, οὔτ' ἐμπειρίαις, οὔτε καλοκαγαθί-
αις. ἀλλ' οὐδὲν ἧττον ἐκείνων ὥσπερ θεῶν ἱεροφάνται καὶ δᾳδοῦχοι τῆς σοφί-
ας ὄντες, ὅσα περ ἐστὶν ἐν δυνατῷ, ταῦτα μιμεῖσθαι καὶ περικνίζειν ἐπιχει-
ροῦμεν. τὸ τοίνυν τῆς γλώττης κρατεῖν, περὶ τούτου γὰρ, ὥσπερ ὑπεθέμην,
εἰπεῖν λοιπὸν, εἴ τις μικρὸν καὶ φαῦλον ὑπείληφε, πλεῖστον διαμαρτάνει τοῦ
« δέοντος. σοφὸν γὰρ εὔκαιρος σιγὴ, καὶ παντὸς λόγου κρείττων. καὶ διὰ τοῦτό μοι δο-
κεῖ τὰς μυστηριώδεις τελετὰς οἱ παλαιοὶ καταδεῖξαι, ἵνα ἐν ταύταις σιω-
πᾶν ἐθισθέντες, ἐπὶ τὴν τῶν ἀνθρωπίνων μυστηρίων πίστιν, τὸν ἀπὸ τῶν θεῶν
μεταφέρωμεν φόβον. καὶ γὰρ αὖ, σιωπήσας μὲν, οὐδεὶς μετενόησε. λαλή-
σαντες δὲ, παμπληθεῖς. καὶ τὸ μὲν σιγηθὲν, ἐξειπεῖν ῥᾴδιον. τὸ δὲ ῥηθὲν, ἀνα-
λαβεῖν ἀδύνατον. μυρίους δ' ἔγωγε οἶδα ἀκούσας ταῖς μεγίσταις συμφοραῖς πε-
ριπεσόντας, διὰ τὴν τῆς γλώττης ἀκρασίαν. ὧν τοὺς ἄλλους παραλιπὼν, ἑνὸς ἢ
δυοῖν, τύπου ἕνεκεν ἐπιμνησθήσομαι. τοῦ γὰρ φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν
ἀρσινόην, σωτάδης εἰπὼν, εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς, ἐν δεσμωτη-
ρίῳ πολλοὺς κατεσάπη χρόνους, καὶ τῆς ἀκαίρου λαλιᾶς, οὐ μεμπτὴν ἔδωκε
δίκην. ἵνα δὲ γέλωτα παράσχῃ τοῖς ἄλλοις, αὐτὸς πολὺν χρόνον ἔκλαυσεν.
ἐνάμιλλα δὲ τούτοις καὶ σύζυγα, καὶ θεόκριτος ὁ σοφιστὴς εἶπέ τε καὶ ἔπαθε
καὶ πολὺ δεινότερα. ἀλεξάνδρου γὰρ πορφυρᾶς ἐσθῆτας κελεύσαντος κατα-
σκευάζειν τοὺς ἕλληνας, ἵνα ἐπανελθὼν τὰ ἐπινίκια τοῦ πολέμου τοῦ κατὰ
τῶν βαρβάρων θύσειε. καὶ τῶν ἐθνῶν κατὰ κεφαλὴν εἰσφερόντων ἄργυρον,

τὸν προβεβιωμένον βίον — καλεπεοῖξαι — παντοίαν ὕβριν / πᾶσαν ὕβριν — τῆς ἀληθείας

πρότερον μὲν ἔφησεν ἀμφισβητῶν, νῦν δὲ ᾔσθημαι σαφῶς, ὅτι ὁ πορφύρεος Ὁμήρου θάνατος, οὗτός ἐστιν. ἐξ ὧν ἐχθρὸν ἐκτήσατο τὸν Ἀλέξανδρον. Ἀντίγονον δὲ τὸν βασιλέα τῶν Μακεδόνων ἑτερόφθαλμον ὄντα, τὴν πήρωσιν προφέρων, εἰς οὐ μετρίαν ὀργὴν κατέστησε. τὸν γὰρ ἀρχιμάγειρον Εὐτροπίωνα γεγενημένον ἐν τάξει, παραγενέσθαι πρὸς αὐτὸν ἠξίου καὶ λόγον δοῦναι καὶ λαβεῖν. ταῦτα δὲ ἀπαγγέλλοντος ἐκείνου πρὸς αὐτὸν καὶ πολλάκις προσιόντος, εὖ οἶδα ἔφησεν, ὅτι ὠμόν με θέλεις τῷ Κύκλωπι παραθεῖναι, ὀνειδίζων, τὸν μὲν, ὅτι πηρός, τὸν δὲ, ὅτι μάγειρος ἦν. κἀκεῖνος, τοιγαροῦν εἰπὼν τὴν κεφαλὴν οὐχ ἕξεις, ἀλλὰ τῆς ἀθυροστομίας ταύτης καὶ μανίας δώσεις δίκην, ἀπήγγειλε τὰ εἰρημένα τῷ βασιλεῖ. καὶ ὁ μὲν πέμψας, ἀνεῖλε τὸν Θεόκριτον. πρὸ πάντων δὲ ταῦτα, ὅπερ ἐστὶν ἱεροπρεπέστατον, συνεθιστέον τοὺς παῖδας τἀληθῆ λέγειν. τὸ γὰρ ψεύδεσθαι, δουλοπρεπές, καὶ πᾶσιν ἀνθρώποις μισεῖσθαι ἄξιον, οὐδὲ μετρίοις δούλοις συγγνωστόν. ταῦτα μὲν οὖν οὐκ ἐνδοιάσας οὐδὲ μελλήσας, περὶ τῆς τῶν παίδων εὐκοσμίας καὶ σωφροσύνης διείλεγμαι. περὶ δὲ τοῦ ῥηθήσεσθαι μέλλοντος, ἀμφίδοξός εἰμι καὶ διχογνώμων. καὶ τῇδε κἀκεῖσε κλίνων ὡς ἐπὶ πλάστιγγος, πρὸς οὐδέτερον ῥέψαι δύναμαι. πολὺς δ' ὄκνος ἔχει με καὶ τῆς εἰσηγήσεως, καὶ τῆς ἀποτροπῆς τοῦ πράγματος. ἀποτολμητέον δ' οὖν ὅμως εἰπεῖν αὐτό. τί δ' οὖν τοῦτό ἐστι; πότερα δεῖ τοὺς ἐρῶντας τῶν παίδων, ἐᾶν τούτοις συνεῖναι καὶ συνδιατρίβειν, ἢ τοὐναντίον εἴργειν αὐτοὺς καὶ ἀποσοβεῖν τῆς πρὸς τούτους ὁμιλίας προσήκει. ὅταν μὲν γὰρ ἀποβλέψω πρὸς τοὺς πατέρας αὐθεκάστους καὶ τὸν τρόπον ὀμφακίας καὶ στρυφνούς, οἳ διὰ τὴν τῶν τέκνων ὕβριν οὐκ ἀνεκτὴν νομίζουσι τὴν τῶν ἐρώντων ὁμιλίαν, εὐλαβοῦμαι ταύτης εἰσηγητὴς γενέσθαι καὶ σύμβουλος. ὅταν δ' αὖ πάλιν ἐνθυμηθῶ τὸν Σωκράτην, τὸν Πλάτωνα, τὸν Ξενοφῶντα, τὸν Αἰσχίνην, τὸν Κέβητα, τὸν πάντα χορὸν ἐκείνων τῶν ἀνδρῶν, οἳ τοὺς ἄρρενας ἐδοκίμασαν ἔρωτας, καὶ τὰ μειράκια προήγαγον ἐπί τε παιδείαν καὶ δημαγωγίαν καὶ τὴν ἀρετὴν τῶν τρόπων, πάλιν ἕτερος γίνομαι, καὶ κάμπτομαι πρὸς τὸν ἐκείνων τῶν ἀνδρῶν ζῆλον. μαρτυρεῖ δὲ τούτοις Εὐριπίδης οὑτωσὶ λέγων·

Ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως, ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς.

τὸ δὴ τοῦ Πλάτωνος σπουδῇ καὶ χαριεντισμῷ μεμιγμένον, οὐ παραλειπτέον. ἐξεῖναι γάρ φησι δεῖν τοῖς ἀριστεύσασιν, ὧν ἂν βούλωνται τῶν καλῶν φιλῆσαι. τοὺς μὲν οὖν τῆς ὥρας ἐπιθυμοῦντας, ἀπελαύνειν προσήκει. τοὺς δὲ τῆς ψυχῆς ἐραστάς, ἐγκρίνειν κατὰ τὸ σύνολον. καὶ τοὺς μὲν Θήβησι καὶ τοὺς Ἤλιδι, φευκτέον ἔρωτας, καὶ τὸν ἐκ Κρήτης καλούμενον ἁρπαγμόν. τοὺς δὲ Ἀθήνησι καὶ τοὺς ἐν Λακεδαίμονι, ζηλωτέον, καὶ τῶν παίδων μιμητέον. περὶ μὲν οὖν τούτων, ὅπως ἕκαστος αὐτὸς ἑαυτὸν πέπεικεν, οὕτως ὑπολαμβανέτω. ἐγὼ δὲ ἐπειδὴ περὶ τῆς τῶν παίδων εὐταξίας εἴρηκα καὶ κοσμιότητος, καὶ ἐπὶ τὴν τῶν μειρακίων ἡλικίαν ἤδη μεταβήσομαι, μικρὰ παντάπασιν εἰπών. πολλάκις γὰρ κατεμεμψάμην τοὺς μοχθηρῶν ἐθῶν γεγονότας εἰσηγητάς, οἵτινες τοῖς μὲν παισὶ παιδαγωγοὺς καὶ διδασκάλους ἐπέστησαν, τὴν δὲ τῶν μειρακίων ὁρμὴν ἄνετον εἴασαν νέμεσθαι. δέον αὖ τοὐναντίον πλείω ποιεῖσθαι τούτων εὐλάβειαν καὶ φυλακήν, ἢ τῶν παίδων. τίς γὰρ οὐκ οἶδεν ὅτι τὰ μὲν τῶν παίδων πλημμελήματα, μικρὰ καὶ παντελῶς ἐστὶν ἰάσιμα; παιδαγωγῶν ἴσως ὀλιγωρία, καὶ διδασκάλων παραγωγῆς ἀνηκουστία. τὰ δὲ τῶν ἤδη νεανισκευομένων ἀδικήματα, πολλάκις ὑπερφυᾶ γίνεται καὶ σχέτλια, ἀμετρία γαστρός, καὶ κλοπαὶ πατρῴων χρημάτων, καὶ κύβοι, καὶ κῶμοι, καὶ πότοι, καὶ παρθένων ἔρωτες, καὶ γυναικῶν διαφθοραὶ γαμετῶν. ἐχρῆν οὖν τὰς τούτων ὁρμὰς, ταῖς ἐπιμελείαις δεσ-

μεύειν καὶ κατέχειν προσήκει. ἀταμίευτον γὰρ τῶν ἡδονῶν ἡ ἀκμή, καὶ σκιρτητικόν, καὶ χαλινοῦ δεόμενον, ὥσθ' οἱ μὴ τῆς ἡλικίας ταύτης ἐρρωμένως ἀντιλαμβανόμενοι, τῇ διανοίᾳ διδόντες ἐξουσίαν ἐπὶ τὰ ἀδικήματα λανθάνουσι. δεῖ τοίνυν τοὺς ἔμφρονας πατέρας, παρὰ τοῦτον μάλιστα τὸν καιρὸν, φυλάττειν, ἐγρηγορέναι, σωφρονίζειν τοὺς μειρακίσκους, διδάσκοντας, ἀπειλοῦντας, δεομένους, συμβουλεύοντας, ὑπισχνουμένους, παραδείγματα δεικνύντας, τῶν μὲν διὰ φιληδονίαν συμφοραῖς περιπεσόντων, τῶν δὲ διὰ καρτερίαν, ἔπαινον καὶ δόξαν ἀγαθὴν περιποιησαμένων. δύο γὰρ ταῦτα ὡσπερεὶ στοιχεῖα τῆς ἀρετῆς εἰσίν. ἐλπίς τε τιμῆς, καὶ φόβος τιμωρίας. ἡ μὲν γὰρ ὁρμητικωτέρους πρὸς τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων, ὁ δὲ ὀκνηροὺς πρὸς τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται. καὶ καθόλου δὲ ἀπείργειν προσήκει τοὺς παῖδας, τῆς πρὸς τοὺς πονηροὺς ἀνθρώπους συνουσίας. ἀποφέρονται γάρ τι τῆς τούτων κακίας. τοῦτο δὲ παρήγγελλε καὶ Πυθαγόρας αἰνίγμασιν. ἅπερ ἐγὼ παραθείς, ἐξηγήσομαι. καὶ γὰρ ταῦτα πρὸς ἀρετῆς κτῆσιν συμβάλλεται ῥοπὴν οὐκ ἐλαχίστην. οἷον μὴ γεύεσθαι μελανούρων. τουτέστι μὴ συνδιατρίβειν μέλασιν ἀνθρώποις διὰ κακοήθειαν. μὴ δὲ ζυγὸν ὑπερβαίνειν. ὅτι δεῖ τῆς δικαιοσύνης πλεῖστον ποιεῖσθαι λόγον, καὶ μὴ ταύτην ὑπερβαίνειν. μὴ δ' ἐπὶ χοίνικος καθίσαι. φεύγειν ἀργίαν. καὶ προνοεῖν ὅπως τὴν ἀναγκαίαν παρασκευάσωμεν τροφήν. μὴ παντὶ ἐμβάλλειν δεξιάν. ἀντὶ τοῦ προχείρως οὐ δεῖ συναλλάττειν. μὴ φορεῖν στενὸν δακτύλιον. ὅτι δεῖ τὸν βίον ἐπιτηδεύειν, καὶ μὴ δεῖν δεσμῷ προσάπτειν αὐτόν. πῦρ σιδήρῳ μὴ σκαλεύειν. ἀντὶ τοῦ μὴ ἐρεθίζειν θυμούμενον. οὐ γὰρ προσῆκεν, ἀλλ' ὑπείκειν τοῖς ὀργιζομένοις. μὴ ἐσθίειν καρδίαν. μὴ βλάπτειν τὴν ψυχήν, ταῖς φροντίσιν αὐτὴν κατατρύχοντα. κυάμων ἀπέχεσθαι. ὅτι οὐ δεῖ πολιτεύεσθαι. κυαμευταὶ γὰρ ἦσαν ἔμπροσθεν αἱ ψηφοφορίαι, δι' ὧν πέρας ἐπετίθεσαν ταῖς ἀρχαῖς. σιτίον εἰς ἀμίδα μὴ ἐμβάλλειν. ἐπισημαίνει γὰρ ὅτι εἰς πονηρὰν ψυχήν, ἀστεῖον λόγον ἐμβάλλειν οὐ προσήκει. ὁ μὲν γὰρ λόγος, τροφὴ διανοίας ἐστί. τοῦτον δὲ ἀκάθαρτον ἡ πονηρία ποιεῖ τῶν ἀνθρώπων. μὴ ἐπιστρέφεσθαι ἐπὶ τοὺς ὅρους ἐλθόντας. τουτέστι μέλλοντας ἀποθνήσκειν, καὶ τὸν ὅρον τοῦ βίου πλησίον ὄντα ὁρῶντας, φέρειν εὐκόλως καὶ μὴ ἀθυμεῖν. ἀνακάμψω δὲ ἐπὶ τὴν ἐξ ἀρχῆς τοῦ λόγου πρόθεσιν. ἁπάντων μὲν γὰρ, ὅπερ ἔφην, τῶν πονηρῶν ἀνθρώπων, ἀπάγειν δεῖ τοὺς παῖδας, μάλιστα δὲ τῶν κολάκων. ὅπερ γὰρ πολλάκις καὶ πρὸς πολλοὺς τῶν πατέρων διατελῶ λέγων, καὶ νῦν ἂν εἴποιμι. γένος οὐδέν ἐστιν ἐξωλέστατον, οὐδὲ μᾶλλον καὶ θᾶττον ἐκτραχηλίζον τὴν νεότητα, ὡς τῶν κολάκων, οἳ καὶ τοὺς πατέρας καὶ τοὺς παῖδας, προρρίζους ἐκτρίβουσι, τῶν μὲν τὸ γῆρας ἐπίλυπον, τῶν δὲ τὴν νεότητα ποιοῦντες, τῶν δὲ συμβουλευμάτων δέλεαρ ἀφύλακτον προτείνοντες τὴν ἡδονήν. τοῖς παισὶ τοῖς πλουσίοις οἱ πατέρες νήφειν παραινοῦσιν, οἱ δὲ μεθύειν. σωφρονεῖν, οἱ δὲ ἀσελγαίνειν. φυλάττειν, οἱ δὲ δαπανᾶν. φιλεργεῖν, οἱ δὲ ῥαθυμεῖν. στιγμὴ χρόνου πᾶς ὁ βίος ἐστὶ λέγοντες, ζῆν καὶ οὐ παραζῆν προσήκει. τί δὲ φροντιστέον ἡμῖν τῶν τοῦ πατρὸς ἀπειλῶν; κρονόληρος καὶ σοροδαίμων ἐστί. καὶ μετέωρον αὐτὸν ἀράμενοι, τὴν ταχίστην ἐξοίσομεν. καθῆκε δέ τις καὶ χαμαιτύπην, καὶ προηγόρευσε γαμετήν, καὶ τὰ τῶν πατέρων ἐφόδια τοῦ γήρως, περιέκοψε καὶ σεσύληκε. μιαρὸν τὸ φῦλον, ὑποκριταὶ φιλίας, ἄγευστοι παρρησίας, πλουσίων μὲν κόλακες, πενήτων δὲ ὑπερόπται, ὡς ἐκ λυρικῆς τέχνης ἐπὶ τοὺς νέους ἀγόμενοι, σεσηρότες, ὅθ' οἱ τρέφοντες γελῶσι, καὶ ψυχῆς ὑποβολιμαῖα, καὶ νόθα μέρη βίου. πρὸς δὲ τὸ τῶν πλουσίων νεῦμα ζῶντες, τῇ τύχῃ μὲν ἐλεύ-

θεροι, τῇ προαιρέσει δὲ δοῦλοι. ὅταν δὲ μὴ ὑβρίζωνται, τότε ὑβρίζεσθαι δοκοῦντες, ὅτι μὴ μάτην παρατρέφονται. ὥστε εἴ τῳ μέλει τῶν πατέρων τῆς τῶν τέκνων εὐαγωγίας, ἐκδιωκτέον τὰ μυσαρὰ ταῦτα θρέμματα. ἐκδιωκτέον δὲ, καὶ τὰς τῶν συμφοιτητῶν μοχθηρίας. καὶ γὰρ οὗτοι τὰς ἐπιεικεστάτας φύσεις ἱκανοὶ διαφθείρειν εἰσί. ταῦτα μὲν οὖν καλὰ καὶ συμφέροντα. ἃ δὲ μέλλω λέγειν, ἀνθρώπινα. οὐδὲ γὰρ αὖ πάλιν τοὺς πατέρας ἔγωγε ἀξιῶ τελέως σκληροὺς καὶ τραχεῖς εἶναι τὴν φύσιν. ἀλλὰ πολλαχοῦ καὶ συγχωρῆσαί τινα τῷ νεωτέρῳ τῶν ἁμαρτημάτων. καὶ ἑαυτοὺς ἀναμιμνήσκειν, ὅτι ἐγένοντο νέοι. καὶ καθάπερ ἰατροὶ τὰ πικρὰ τῶν φαρμάκων τοῖς γλυκέσι χυμοῖς καταμιγνύντες, τὴν τέρψιν ἐπὶ τὸ συμφέρον πάροδον εὗρον, οὕτω δὴ τοὺς πατέρας τὴν τῶν ἐπιτιμημάτων ἀποτομίαν, τῇ πρᾳότητι μιγνύναι. καὶ ποτὲ μὲν, ταῖς ἐπιθυμίαις τῶν παίδων ἀνεῖναι, καὶ χαλάσαι τὰς ἡνίας, ποτὲ δ' αὖ πάλιν ἀντιτεῖναι, καὶ μάλιστα μὲν εὐκόλως φέρειν τὰς ἁμαρτίας, εἰ δὲ μήγε, προσοργισθέντας ταχέως ἀποφλεγμῆναι. μᾶλλον γὰρ ὀξύθυμον εἶναι δεῖ τὸν πατέρα, ἢ βαρύθυμον. ὡς τό γε δυσμενὲς καὶ δυσκατάλλακτον, μισοτεκνίας οὐ μικρὸν τεκμήριόν ἐστι. καλὸν δὲ ἔνια τῶν ἁμαρτημάτων μηδὲ εἰδέναι δοκεῖν. ἀλλὰ τὸ τοῦ γήρως ἀμβλυωπὸν καὶ δύσκωφον, ἐπὶ τὰ γιγνόμενα μεταφέρειν, ὡς ἔνια τῶν πραττομένων ὁρῶντας μὴ ὁρᾶν, καὶ μὴ ἀκούειν ἀκούοντας. φίλων ἁμαρτήματα φέρομεν. τί θαυμαστὸν, εἰ τέκνων; δούλων πολλάκις κραιπαλώντων μέθην οὐκ ἐξηλέγξαμεν. ἐφείσω ποτὲ, ἀλλὰ καὶ χορήγησον. ἠγανάκτησάς ποτε, ἀλλὰ καὶ σύγγνωθι. ἐβουκόλησέ ποτε διὰ οἰκέτου, τὴν ὀργὴν κατάσχες. ἐξ ἀγροῦ ποτε ζεῦγος ἀφείλετο, ἦλθέ ποτε χθιζῆς μέθης ἀποπνέων, ἀγνόησον. μύρων ἀπόζων, σίγησον. οὕτω σκιρτῶσα νεότης πωλοδαμνεῖται. πειρατέον δὲ τοὺς τῶν ἡδονῶν ἥττους καὶ πρὸς τὰς ἐπιτιμήσεις δυσηκόους, γάμῳ καταζεῦξαι. δεσμὸς γὰρ οὗτος τῆς νεότητος ἀσφαλέστατος. ἐγγυᾶσθαι δὲ δεῖ τοῖς υἱοῖς γυναῖκας, μήτε εὐγενεστέρας πολλῷ, μήτε πλουσιωτέρας. τὸ γὰρ τὴν κατὰ σαυτὸν ἔλαν, σοφόν. ὡς οἵ γε μακρῷ κρείττους ἑαυτῶν λαμβάνοντες, οὐ τῶν γυναικῶν ἄνδρες, τῶν δὲ προικῶν δοῦλοι λανθάνουσι γινόμενοι. βραχέα δὲ προσθεὶς αὖθις, περιγράψω τὰς ὑποθήκας. πρὸ πάντων γὰρ δεῖ τοὺς πατέρας τῷ μηδὲν ἁμαρτάνειν, ἀλλὰ πάντα ἃ δεῖ πράττειν, ἐναργὲς ἑαυτοὺς παράδειγμα τοῖς τέκνοις παρέχειν. ἵνα πρὸς τὸν τούτων βίον ὥσπερ κάτοπτρον ἀποβλέποντες, ἀποτρέπωνται τῶν αἰσχρῶν ἔργων καὶ λόγων. ὡς οἵ τινες τοῖς ἁμαρτάνουσιν υἱοῖς ἐπιτιμῶντες, τοῖς αὐτοῖς ἁμαρτήμασι περιπίπτουσιν, ἐπὶ τῷ ἐκείνων ὀνόματι λανθάνουσιν ἑαυτῶν κατήγοροι γιγνόμενοι. οἱ δ' ὅλως φαύλως ζῶντες, οὐδὲ τοῖς δούλοις παρρησίαν ἄγουσιν ἐπιτιμᾶν, μήτι γε δὴ τοῖς υἱοῖς. χωρὶς δὲ τούτων, γένοιντο ἂν αὐτοῖς τῶν ἀδικημάτων σύμβουλοι καὶ διδάσκαλοι. ὅπου γὰρ γέροντές εἰσιν ἀναίσχυντοι, ἐνταῦθ' ἀνάγκη καὶ νέους ἀναιδεστάτους εἶναι. πειρατέον οὖν εἰς τὸν τῶν τέκνων σωφρονισμὸν, πάνθ' ὅσα προσήκει ἐπιτηδεύειν, ζηλώσαντας τὴν Εὐρυδίκην. ἥτις Ἰλλυρὶς οὖσα καὶ τριβάρβαρος, ὅμως ἐπὶ τῇ μαθήσει τῶν τέκνων, ὀψὲ τῆς ἡλικίας ἥψατο παιδείας. ἱκανῶς δ' αὐτῆς τὴν φιλοτεκνίαν σημαίνει τοὐπίγραμμα ὅπερ ἀνέθηκε μούσαις.

» Εὐρυδίκη Ἱρᾶ πολιῆτις, τόνδ' ἀνέθηκεν, εὔιστον μούσαις ψυχῇ ἑλοῦσα πόθον.
» γράμματα γὰρ μνημεῖα λόγων μήτηρ γεγαυῖα παίδων ἡβώντων, ἐξεπόνησε μαθεῖν.

τὸ μὲν οὖν πάσας τὰς προειρημένας συμπεριλαβεῖν, εὐχῆς ἴσως ἢ παραινέσεως ἔργον ἐστί. τὸ μὲν εὐμοιρίας δεόμενόν ἐστι. τὸ δὲ τὰς πλείους ζηλῶσαι, καὶ πολλῆς ἐπιμελείας. ἄνυστον δ' οὖν ἀνθρωπίνῃ φύσει καθέστηκεν.

Δ. συμπεριλαβεῖν παραινέσεις εὐχῆς ἴσως ἔργον ἐστί.

ΠΩΣ ΔΕΙ ΤΟΝ ΝΕΟΝ ΠΟΙΗΜΑΤΩΝ ΑΚΟΥΕΙΝ.

Τὶ μὲν ὡς Φιλόξενος ὁ ποιητὴς ἔλεγεν ὦ Μάρκε Σήδατε, τῶν κρεῶν, τὰ μὴ κρέα ἥδιστά ἐστι, καὶ τῶν ἰχθύων, οἱ μὴ ἰχθύες, ἐκείνοις ἀποφαίνεσθαι παρῶμεν, οἷς ὁ Κάτων ἔφη τῆς καρδίας τὴν ὑπερῴαν εὐαισθητοτέραν ὑπάρχειν. ὅτι δὲ τῶν ἐν φιλοσοφίᾳ λεγομένων οἱ σφόδρα νέοι τοῖς μὴ δοκοῦσι φιλοσόφως, μηδὲ ἀπὸ σπουδῆς λέγεσθαι χαίρουσι μᾶλλον, καὶ παρέχουσιν ὑπηκόους ἑαυτοὺς καὶ χειροήθεις, δῆλόν ἐστιν ἡμῖν. οὐ γὰρ μόνον τὰ αἰσώπεια μυθάρια, καὶ τὰς ποιητικὰς ὑποθέσεις, ἀλλὰ καὶ τὸν Ἄβαριν τὸν Ἡρακλείδου, καὶ τὸν Λύκωνα τὸν Ἀρίστωνος διερχόμενοι, τὰ περὶ τῶν ψυχῶν δόγματα μεμιγμένα μυθολογίᾳ μεθ' ἡδονῆς ἐνθουσιῶσι. διὸ δεῖ μὴ μόνον ἐν ταῖς περὶ ἐδωδὴν καὶ πόσιν ἡδοναῖς διαφυλάττειν εὐσχήμονας αὐτοὺς, ἔτι δὲ μᾶλλον, ἐν ταῖς ἀκροάσεσιν καὶ ἀναγνώσεσιν ἐθίζειν ὥσπερ ὄψῳ χρωμένους μετρίως τῷ τέρποντι, τὸ χρήσιμον ἀπ' αὐτῶν καὶ τὸ σωτήριον διώκειν. οὔτε γὰρ πόλιν αἱ κεκλεισμέναι πύλαι τηροῦσιν ἀνάλωτον, ἂν διὰ μιᾶς παραδέξηται τοὺς πολεμίους. οὔτε νέον αἱ περὶ τὰς ἄλλας ἡδονὰς ἐγκράτειαι σώζουσιν, ἄν τι δι' ἀκοῆς λάθῃ προέμενος αὐτὸν, ἀλλ' ὅσον μᾶλλον αὐτὸ τοῦ φρονεῖν καὶ λογίζεσθαι πεφυκότος ἅπτεται, τοσοῦτον μᾶλλον ἀμεληθεῖσα βλάπτει καὶ διαφθείρει τὸν παραδεξάμενον. ἐπεὶ τοίνυν οὔτε ἴσως δυνατόν ἐστιν, οὔτε ὠφέλιμον ποιημάτων ἀπείργειν τὸν τηλικοῦτον, ἡλίκος ὁ ἐμός τε νῦν Σώκλαρός ἐστι, καὶ ὁ σὸς Κλέανδρος, εὖ μάλα παραφυλάττωμεν αὐτοὺς, ὡς ἐν ταῖς ἀναγνώσεσι μᾶλλον, ἢ ταῖς ὁδοῖς παιδαγωγίας δεομένους. ἀλλ' οὖν ἐμοὶ περὶ ποιημάτων εἰπόντι πρῴην, ἐπῆλθε νῦν πρός σε γεγραμμένα πέμψαι διελθεῖν, κἂν δοκῇ σοι μηδὲν εἶναι φαυλότερα τῶν ἀμεθύστων καλουμένων, ἅ τινες ἐν τοῖς πόνοις περιάπτονται, καὶ προλαμβάνουσι. μεταδίδου τῷ Κλεάνδρῳ, καὶ προκαταλάμβανε τὴν φύσιν αὐτοῦ διὰ τὸ μηδαμοῦ νωθρὸν, ἀλλὰ πανταχοῦ σφοδρὸν καὶ δεδορκὸς εὐαγωγοτέραν ὑπὸ τῶν τοιούτων οὖσαν.

» πουλύποδος κεφαλῇ ἔνι μὲν κακὸν, ἐν δὲ καὶ ἐσθλόν.

ὅτι τῷ βρωθῆναι μέν ἐστιν ἥδιστος, δυσόνειρον δὲ ὕπνον ποιεῖ, φαντασίας ταραχώδεις, καὶ ἀλλοκότους δεχόμενον, ὡς λέγουσιν. οὕτω δὴ καὶ ποιητικῇ, πολὺ μὲν τὸ ἡδὺ καὶ θρέψιμον νέου ψυχῆς ἔνεστιν, οὐκ ἔλαττον δὲ τὸ ταρακτικὸν καὶ παράφορον, ἂν μὴ τυγχάνῃ παιδαγωγίας ὀρθῆς ἡ ἀκρόασις. οὐ γὰρ μόνον ὡς ἔοικε περὶ τῆς τῶν Αἰγυπτίων χώρας, ἀλλὰ καὶ περὶ τῆς ποιητικῆς ἐστιν εἰπεῖν·

» φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρὰ
» αὐτοῖς χρωμένοις ἀναδίδωσιν.
» ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς,
» πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων.

οὐ γὰρ ἅπτεται τὸ ἀπατηλὸν αὐτῆς ἀβελτέρων κομιδῆ καὶ ἀνοήτων. διὸ καὶ Σιμωνίδης μὲν ἀπεκρίνατο πρὸς τὸν εἰπόντα, τί δὴ μόνους οὐκ ἐξαπατᾷς Θετταλοὺς, ἀμαθέστεροι γάρ εἰσιν ἢ ὡς ὑπ' ἐμοῦ ἐξαπατᾶσθαι. Γοργίας δὲ τὴν τραγῳδίαν εἶπεν ἀπάτην, ἣν ὅ τε ἀπατήσας, δικαιότερος τοῦ μὴ ἀπατήσαντος, καὶ ὁ ἀπατηθεὶς, σοφώτερος τοῦ μὴ ἀπατηθέντος. πότερον οὖν τῶν νέων ὥσπερ τῶν Ἰθακησίων κηρῷ τινι τὰ ὦτα ἀτέκτῳ καταπλάσσοντες ἀναγκάζωμεν αὐτοὺς τὸ Ἐπικούρειον ἀκάτειον ἀραμένους ποιητικὴν φεύγειν καὶ παρεξελαύνειν, ἢ μᾶλλον ὀρθῷ τινι λογισμῷ περιστάντες καὶ καταδέοντες τὴν κρίσιν ὅπως μὴ παραφέρηται τῷ τέρποντι πρὸς τὸ βλάπτον, ἀπευθύνωμεν, καὶ παραφυλάττωμεν.

» οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος ὑγιαίνοντα νοῦν εἶχεν ὅ-

τι πολλῶν μεθυσκομένων, καὶ παροινούντων, τὰς ἀμπέλους περιιὼν ἐξέκοπτεν, αὐτὶ τοῦ τὰς κρήνας ἐγγυτέρω προσαγαγεῖν, καὶ μαινόμενον θεόν, ὥς φησιν ὁ πλάτων, ἑτέρῳ θεῷ νήφοντι κολαζόμενον σωφρονίζειν. ἀφαιρεῖ γὰρ ἡ κρᾶσις τοῦ οἴνου τὸ βλάπτον, οὐ συναναιροῦσα τὸ χρήσιμον. μὴ δὲ ἡμεῖς οὖν τὴν ποιητικὴν μερίδα τῶν μουσῶν ἐκκόπτωμεν μὴ δ' ἀφανίζωμεν, ἀλλ' ὅπου μὲν ὑφ' ἡδονῆς ἀκράτου πρὸς δόξαν αὐθάδως θρασυνόμενον ἐξυβρίζει καὶ ὑλομανεῖ τὸ μυθῶδες αὐτῆς καὶ θεατρικόν, ἐπιλαμβανόμενοι, κολούωμεν καὶ πιέζωμεν. ὅπου δὲ ἅπτεταί τινος μούσης τῇ χάριτι, καὶ τὸ γλυκὺ τοῦ λόγου καὶ ἀγωγὸν οὐκ ἄκαρπόν ἐστιν, οὐδὲ κενόν, ἐνταῦθα φιλοσοφίαν εἰσάγωμεν, καὶ καταμιγνύωμεν. ὥσπερ γὰρ ὁ μανδραγόρας ταῖς ἀμπέλοις παραφυόμενος, καὶ διαδιδοὺς τὴν δύναμιν εἰς τὸν οἶνον, μαλακωτέραν ποιεῖ τὴν καταφορὰν τοῖς πίνουσιν, οὕτω τοὺς λόγους ἡ ποίησις ἐκ φιλοσοφίας ἀναλαμβάνουσα μιγνυμένους πρὸς τὸ μυθῶδες, ἐλαφρὰν καὶ προσφιλῆ παρέχει τοῖς νέοις τὴν μάθησιν. ὅθεν οὐ φευκτέον ἐστὶ τὰ ποιήματα τοῖς φιλοσοφεῖν μέλλουσιν, ἀλλ' ἐν ποιήμασι προφιλοσοφητέον, ἐθιζομένους ἐν τῷ τέρποντι, τὸ χρήσιμον ζητεῖν καὶ ἀγαπᾶν, εἰ δὲ μή, διαμάχεσθαι καὶ δυσχεραίνειν. ἀρχὴ γὰρ αὕτη παιδεύσεως. ἔργου δὲ παντὸς ἤν τις ἄρχηται καλῶς, καὶ τὰς τελευτὰς εἰκὸς ἔσθ' οὕτως ἔχειν, κατὰ τὸν σοφοκλέα. πρῶτον οὖν εἰσάγωμεν εἰς τὰ ποιήματα μηδὲν οὕτω μεμελετημένον ἔχοντα καὶ πρόχειρον, ὡς τὸ πολλὰ ψεύδονται ἀοιδοί. τὰ μὲν ἑκόντες, τὰ δὲ ἄκοντες. ἑκόντες μὲν ὅτι πρὸς ἡδονὴν ἀκοῆς καὶ χάριν, ἣν οἱ πλεῖστοι διώκουσιν, αὐστηροτέραν ἡγοῦνται τὴν ἀλήθειαν τοῦ ψεύδους. ἡ μὲν γὰρ ἔργῳ γινομένη, κἂν ἀτερπὲς ἔχῃ τὸ τέλος, οὐκ ἐξίσταται. τὸ δὲ πλαττόμενον λόγῳ, ῥᾷστα παραχωρεῖ, καὶ τρέπεται πρὸς τὸ ἥδιον ἐκ τοῦ λυποῦντος. οὔτε γὰρ μέτρον, οὔτε τρόπος, οὔτε λέξεως ὄγκος, οὔτ' εὐκαιρία μεταφορᾶς, οὔτε ἁρμονία, καὶ σύνθεσις, ἔχει τοσοῦτον αἱμυλίας καὶ χάριτος, ὅσον εὖ πεπλεγμένη διάθεσις μυθολογίας. ἀλλ' ὥσπερ ἐν γραφαῖς κινητικώτερόν ἐστι χρῶμα γραμμῆς διὰ τὸ ἀνδρείκελον καὶ ἀπατηλόν, οὕτως ἐν ποιήμασι μεμιγμένον πιθανότητι ψεῦδος, ἐκπλήττει, καὶ ἀγαπᾶται μᾶλλον τῆς ἀμύθου καὶ ἀπλάστου περὶ μέτρον καὶ λέξιν κατασκευῆς. ὅθεν ὁ σωκράτης ἔκ τινων ἐνυπνίων ποιητικῆς ἁψάμενος, αὐτὸς μὲν ἅτε δὴ γεγονὼς ἀληθείας ἀγωνιστὴς τὸν ἅπαντα βίον, οὐ πιθανὸς ἦν οὐδ' εὐφυὴς ψευδῶν δημιουργός. τοὺς δὲ αἰσώπου τοῖς ἔπεσι μύθους ἐνέβαλεν, ὡς ποίησιν οὐκ οὖσαν ᾗ ψεῦδος μὴ πρόσεστι. θυσίας μὲν γὰρ ἀχόρους καὶ ἀναύλους ἴσμεν. οὐκ ἴσμεν δ' ἄμυθον οὐδ' ἀψευδῆ ποίησιν. τὰ δ' ἐμπεδοκλέους ἔπη, καὶ παρμενίδου, καὶ θηριακὰ νικάνδρου, καὶ γνωμολογίαι θεόγνιδος, λόγοι εἰσὶ κεχρημένοι παρὰ ποιητικῆς, ὥσπερ ὄχημα, τὸν ὄγκον καὶ τὸ μέτρον, ἵνα τὸ πεζὸν διαφύγωσιν. ὅταν οὖν ἄτοπόν τι καὶ δυσχερὲς ἐν τοῖς ποιήμασι λέγηται περὶ θεῶν ἢ δαιμόνων ἢ ἀρετῆς ὑπ' ἀνδρὸς ἐλλογίμου καὶ δόξαν ἔχοντος, ὁ μὲν ὡς ἀληθῆ προσδεξάμενος λόγον, οἴχεται φερόμενος, καὶ διέφθαρται τὴν δόξαν. ὁ δὲ μεμνημένος ἀεὶ καὶ κατέχων ἐναργῶς τὴν τῆς ποιητικῆς περὶ τὸ ψεῦδος γοητείαν, καὶ δυνάμενος λέγειν ἑκάστοτε πρὸς αὐτήν, ὦ μηχάνημα λυγκὸς αἰολώτερον, τί παίζουσα τὰς ὀφρῦς συνάγεις; τί δ' ἐξαπατῶσα προσποιεῖ διδάσκειν; οὐδὲν πείσεται δεινὸν οὐδὲ πιστεύσει φαῦλον. ἀλλ' ἐπιλήψεται μὲν αὑτοῦ φοβουμένου τὸν ποσειδῶνα καὶ ταρβοῦντος μὴ τὴν γῆν ἀναρρήξῃ, καὶ ἀπογυμνώσῃ τὸν ᾅδην. ἐπιλήψεται δὲ τῷ ἀπόλλωνι χαλεπαίνοντος ὑπὲρ τοῦ πρώτου τῶν ἀχαιῶν, ὃν αὐτὸς ὑμνῶν αὐτὸς ἐν

θοίνῃ παρών, αὐτὸς τάδ' εἰπών, αὐτός ἐστιν ὁ κτανών. παύσεται δὲ τὸν φθιτὸν ἀχιλλέα καὶ τὸν ἀγαμέμνονα τὸν καθ' ᾅδου δακρύων, ἀδυνάτους καὶ ἀσθενεῖς χεῖρας ἐπιθυμίᾳ τοῦ ζῆν ὀρέγοντας. ἂν δέ που συνταράττηται τοῖς πάθεσι καὶ κρατῆται φαρμακευόμενος, οὐκ ὀκνήσει πρὸς ἑαυτὸν εἰπεῖν, ἀλλὰ φόωσδε τάχιστα λιλαίεο· ταῦτα δὲ πάντα ἴσθ' ἵνα καὶ μετόπισθε τεῇ εἴπῃσθα γυναικί. καὶ γὰρ τοῦτο χαριέντως ὁ ὅμηρος εἰς τὴν νεκυίαν εἶπεν, ὡς γυναικὸς ἀκρόασιν οὖσαν διὰ τὸ μυθῶδες. τοιαῦτα γάρ ἐστιν, ἃ πλάττουσιν ἑκόντες οἱ ποιηταί. πλείονα δέ, ἃ μὴ πλάττοντες, ἀλλ' οἰόμενοι καὶ δοξάζοντες αὐτοὶ προσαναχρωννύουσι τὸ ψεῦδος ἡμῖν. οἷον ἐπὶ τοῦ διὸς εἰρηκότος ὁμήρου, ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο, τὴν μὲν ἀχιλλῆος, τὴν δ' ἕκτορος ἱπποδάμοιο· ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' ἕκτορος αἴσιμον ἦμαρ, ᾤχετο δ' εἰς ἀΐδαο, λίπεν δέ ἑ φοῖβος ἀπόλλων, τραγῳδίαν ὁ αἰσχύλος ὅλην τῷ μύθῳ περιέθηκεν, ἐπιγράψας ψυχοστασίαν, καὶ παραστήσας ταῖς πλάστιγξι τοῦ διός, ἔνθεν μὲν τὴν θέτιν, ἔνθεν δὲ τὴν ἠῶ, δεομένας ὑπὲρ τῶν υἱέων μαχομένων. τοῦτο δὲ παντὶ δῆλον ὅτι μυθοποίημα, καὶ πλάσμα πρὸς ἡδονὴν ἢ ἔκπληξιν ἀκροατοῦ γέγονε. τὸ δέ, ζεὺς ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται. καὶ τό, θεὸς μὲν αἰτίαν φύει βροτοῖς, ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ. ταῦτα δὲ ἤδη κατὰ δόξαν εἴρηται, καὶ πίστιν αὐτῶν, ἣν ἔχουσιν ἀπάτην περὶ θεῶν, καὶ ἄγνοιαν εἰς ἡμᾶς ἐκφερόντων, καὶ μεταδιδόντων. πάλιν αἱ περὶ τὰς νεκυίας τερατουργίαι, καὶ διαθέσεις ὀνόμασι φοβεροῖς ἐνδημιουργοῦσαι φαντάσματα, καὶ εἴδωλα ποταμῶν φλεγομένων, καὶ τόπων ἀγρίων, καὶ κολασμάτων σκυθρωπῶν, οὐ πάνυ πολλοὺς διαλανθάνουσιν, ὅτι τὸ μυθῶδες αὐτοῖς πολύ, καὶ τὸ ψεῦδος ὥσπερ τροφαῖς τὸ φαρμακῶδες ἐγκέκραται. καὶ οὔτε ὅμηρος, οὔτε πίνδαρος, οὔτε σοφοκλῆς πεπεισμένοι ταῦτα ἔχειν οὕτως ἔγραψαν. ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοί. καὶ πὰρ δ' ἴσαν ὠκεανοῦ τε ῥοὰς καὶ λευκάδα πέτρην. καὶ στενωπὸς ᾅδου καὶ παλίρροια βυθοῦ. ὅσοι μέντοι τὸν θάνατον ὡς οἰκτρόν, ἢ τὴν ἀταφίαν ὡς δεινὸν ὀλοφυρόμενοι, καὶ δεδιότες φωνὰς ἐξενηνόχασι, μή μ' ἄκλαυτον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν. καὶ ψυχὴ δ' ἐκ ῥεθέων πταμένη ἄϊδόσδε βεβήκει, ὃν πότμον γοόωσα λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην. καὶ μή μ' ἀπολέσῃς ἄωρον· ἡδὺ γὰρ τὸ φῶς λεύσσειν· τὰ δ' ὑπὸ γῆν μή μ' ἰδεῖν ἀναγκάσῃς. αὗται πεπονθότων εἰσὶ καὶ προεαλωκότων ὑπὸ δόξης καὶ ἀπάτης. διὸ μᾶλλον ἅπτονται καὶ διαταράττουσιν ἡμᾶς ἀναπιμπλαμένους τοῦ πάθους καὶ τῆς ἀσθενείας, ἀφ' ἧς λέγονται. πρὸς ταῦτα δὴ πάλιν παρασκευάζωμεν εὐθὺς ἐξ ἀρχῆς ἔχειν ἐν αὐλόν. ὅτι ποιητικῇ μὲν οὐ πάνυ μέλον ἐστὶ τῆς ἀληθείας. ἡ δὲ περὶ ταῦτα ἀλήθεια, καὶ τοῖς μηδὲν ἄλλο πεποιημένοις ἔργον ἢ γνῶσιν καὶ μάθησιν τοῦ ὄντος, εὖ μάλα δυσθήρατός ἐστι, καὶ δύσληπτος, ὡς ὁμολογοῦσιν αὐτοί. καὶ τὰ ἐμπεδοκλέους ἔστω πρόχειρα ταυτὶ οὕτως. οὔτ' ἐπιδερκτὰ τάδ' ἀνδράσιν, οὔτ' ἐπακουστά, οὔτε νόῳ περιληπτά. καὶ τὰ ξενοφάνους, καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ γένετ' οὐδέ τις ἔσται εἰδὼς ἀμφὶ θεῶν τε καὶ ἅσσα λέγω περὶ πάντων. καὶ νὴ δία τὰ σωκράτους ἐξομνυμένου παρὰ πλάτωνι τὴν περὶ τούτων γνῶσιν. ἧττον γὰρ ὡς εἰδόσι τι περὶ τούτων προσέξουσι τοῖς ποιηταῖς, ἐν οἷς τοὺς φιλοσόφους ἰλιγγιῶντας ὁρῶσιν. ἔτι δὲ μᾶλλον ἐπιστήσωμεν αὐτὸν ἅμα τῷ προσάγειν τοῖς ποιήμασιν ὑπογράφοντες τὴν ποιητικήν, ὅτι μιμητικὴ τέχνη, καὶ δύναμίς ἐστιν ἀντίστροφος τῇ ζωγραφίᾳ, καὶ μὴ μόνον ἐκεῖνο τὸ θρυλούμενον ἀκηκοὼς ἔστω, ζωγραφίαν μὲν εἶναι φθεγγομένην τὴν ποίησιν. ποίησιν δὲ σιγῶ

σαν τὴν ζωγραφίαν. ἀλλὰ πρὸς τούτῳ διδάσκωμεν αὐτὸν, ὅτι γεγραμμένην
σαῦραν ἢ πίθηκον, ἢ Θερσίτου πρόσωπον ἰδόντες, ἡδόμεθα καὶ θαυμάζομεν,
οὐχ ὡς καλὸν, ἀλλ' ὡς ὅμοιον. οὐσίᾳ μὲν γὰρ, οὐ δύναται καλὸν γενέσθαι τὸ
αἰσχρόν. ἡ δὲ μίμησις, ἄν τε περὶ φαῦλον, ἄν τε περὶ χρηστὸν ἐφίκηται τῆς ὁμοιό-
τητος, ἐπαινεῖται. καὶ τοὐναντίον ἂν αἰσχροῦ σώματος εἰκόνα καλὴν παράσχῃ,
τὸ πρέπον, καὶ τὸ εἰκὸς οὐκ ἀπέδωκεν. γράφουσι δὲ καὶ πράξεις ἀτόπους ἔνιοι
καθάπερ Τιμόμαχος τὴν Μηδείας τεκνοκτονίαν. καὶ Θέων τὴν Ὀρέστου μητροκτο-
νίαν. καὶ Παρράσιος τὴν Ὀδυσσέως προσποίητον μανίαν. καὶ Χαιρεφάνης ἀκο-
λάστους ὁμιλίας γυναικῶν πρὸς ἄνδρας, ἐν οἷς μάλιστα δεῖ τὸν νέον ἐθίζεσθαι
διδασκόμενον, ὅτι τὴν πρᾶξιν οὐκ ἐπαινοῦμεν, ἧς γέγονεν ἡ μίμησις, ἀλλὰ τὴν
τέχνην, εἰ μεμίμηται προσηκόντως τὸ ὑποκείμενον. ἐπεὶ τοίνυν καὶ ποιητικὴ
πολλάκις ἔργα φαῦλα, καὶ πάθη μοχθηρὰ, καὶ ἤθη μιμητικῶς ἀπαγγέλλει,
δεῖ τὸ θαυμαζόμενον ἐν τούτοις, καὶ κατορθούμενον μήτε ἀποδέχεσθαι τὸν νέ-
ον, ὡς ἀληθές, μήτε δοκιμάζειν, ὡς καλὸν, ἀλλ' ἐπαινεῖν μόνον, ὡς ἐναρμόττ-
ον τῷ ὑποκειμένῳ προσώπῳ, καὶ οἰκεῖον. ὥσπερ γὰρ ὑὸς βοὴν καὶ ψόφον τρο-
χιλίας, καὶ πνευμάτων ῥοῖζον, καὶ θαλάττης κτύπον ἀκούοντες, ἐνοχλούμε-
θα, καὶ δυσχεραίνομεν. ἂν δέ τις πιθανῶς ταῦτα μιμῆται, καθάπερ Παρμένων
τὴν ὗν, καὶ Θεόδωρος τὰς τροχιλίας, ἡδόμεθα. καὶ νοσώδη μὲν ἄνθρωπον, καὶ ὕπου-
λον, ὡς ἀτερπὲς θέαμα φεύγομεν. τὸν δὲ Ἀριστοφῶντος Φιλοκτήτην, καὶ τὴν Σι-
λανίωνος Ἰοκάστην ὁμοίως φθίνουσι, καὶ ἀποθνήσκουσι πεποιημένους ὁρῶντες
χαίρομεν. οὕτως ὁ νέος ἀναγινώσκων, ἃ Θερσίτης ὁ γελωτοποιὸς, ἢ Σίσυφος ὁ φθο-
ρεὺς, ἢ Βάτραχος ὁ πορνοβοσκὸς λέγων ἢ πράττων πεποίηται, διδασκέσθω τὴν
μιμουμένην ταῦτα δύναμιν καὶ τέχνην ἐπαινεῖν. ἃς δὲ μιμεῖται διαθέσεις
καὶ πράξεις προβάλλεσθαι καὶ κακίζειν. οὐ γάρ ἐστι ταὐτὸ, τὸ καλόν τι μιμεῖσθαι
καλῶς. καλῶς γάρ ἐστι τὸ πρεπόντως καὶ οἰκείως. οἰκεῖα δὲ καὶ πρέποντα τοῖς αἰσχροῖς τὰ
αἰσχρά. καὶ γὰρ αἱ Δημωνίδου τοῦ χωλοῦ κρηπῖδες, ἃς ἀπολέσας ηὔχετο τοῖς τοῦ
κλέψαντος ἐναρμόσαι ποσὶν, φαῦλαι μὲν ἦσαν. ἐκείνῳ δὲ ἥρμοττον. καὶ τὸ,
» εἴπερ γὰρ ἀδικεῖν χρὴ, τυραννίδος πέρι κάλλιστον ἀδικεῖν. καὶ τὸ, τοῦ μὲν δικαίου
» τὴν δόκησιν ἄρνυσο, τὰ δ' ἔργα τοῦ πᾶν δρῶντος, ἔνθα κερδανεῖς. καὶ, τάλαντον
» ἡ προὶξ μὴ λαβών. καὶ ζῆν δ' ἔστι μοι τάλαντον ὑπεριδόντι; τεύξομαι δ' ὕπνου
„ προέμενος; οὐ δώσω δὲ καὶ ᾅδου δίκην ὡς ἠσεβηκὼς εἰς τάλαντον ἀργυροῦ;
„ μοχθηροὶ μέν εἰσι λόγοι, καὶ ψευδεῖς. Ἐτεοκλεῖ, καὶ Ἰξίονι, καὶ τοκογλύφῳ πρεσβύ-
„ τῃ πρέποντες. ἂν οὖν ὑπομιμνήσκωμεν τοὺς παῖδας, ὅτι ταῦτα οὐκ ἐπαινοῦν-
τες, οὐδὲ δοκιμάζοντες, ἀλλ' ὡς ἄτοπα, καὶ φαῦλα, φαύλοις, καὶ ἀτόποις ἤθεσι,
καὶ προσώποις περιτιθέντες γράφουσιν, οὐκ ἂν ὑπὸ τῆς δόξης βλάπτοιντο τῶν
ποιητῶν. ἀλλὰ τοὐναντίον ἡ πρὸς τὸ πρόσωπον ὑποψία, διαβάλλει καὶ τὸ πρᾶγμα,
καὶ τὸν λόγον, ὡς φαῦλον ὑπὸ φαύλου καὶ λεγόμενον, καὶ πραττόμενον. οἷόν ἐστι καὶ τὸ τῆς
συγκοιμήσεως τοῦ Πάριδος ἐκ τῆς μάχης ἀποδράντος. οὐδένα γὰρ ἄλλον ἀνθρώ-
πων ἡμέρας συγκοιμώμενον γυναικὶ ποιήσας, ἢ τὸν ἀκόλαστον, καὶ μοιχικὸν, ἐν
αἰσχύνῃ δῆλός ἐστι καὶ ψόγῳ τιθέμενος τὴν τοιαύτην ἀκρασίαν. ἐν δὲ τούτοις εὖ
μάλα προσεκτέον, εἴ τινας ὁ ποιητὴς αὐτὸς ἐμφάσεις δίδωσι κατὰ τῶν λεγο-
μένων, ὡς δυσχεραινομένων ὑπ' αὐτοῦ, καθάπερ ὁ Μένανδρος ἐν τῷ προλόγῳ τῆς
» Θαΐδος πεποίηκεν. ἐμοὶ μὲν οὖν ἄειδε τοιαύτην θεὰ θρασεῖαν, ὡραίαν δὲ, καὶ πι-
» θανὴν ἅμα, ἀδικοῦσαν, ἀποκλείουσαν, αἰτοῦσαν πυκνὰ, μηδενὸς ἐρῶσαν, προσ-
» ποιουμένην δ' ἀεί. ἄριστα δὲ Ὅμηρος τῷ γένει τούτων κέχρηται, καὶ γὰρ προδια-
» βάλλει τὰ φαῦλα, καὶ προσυνίστησι τὰ χρηστὰ τῶν λεγομένων. προσυνίστησι μὲν οὖν

» πως

» πως. αὐτίκα μειλίχιον, καὶ κερδαλέον φάτο μῦθον. καὶ τὸ, δ' ἀγανοῖς ἐπέεσσιν
» ἐρητύσασκε παραστάς. ἐν δὲ τῷ προδιαβάλλειν, μονονοὺ μαρτύρεται καὶ δια-
γορεύει μήτε χρῆσθαι μήτε προσέχειν, ὡς οὖσιν ἀτόποις καὶ φαύλοις, οἷον τόν τε
Ἀγαμέμνονα μέλλων διηγεῖσθαι τῷ ἱερεῖ χρώμενον ἀφειδῶς, προείρηκεν. ἀλλ'
» οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ, ἀλλὰ κακῶς ἀφίει, τουτέστιν ἀγρίως καὶ
αὐθαδῶς καὶ παρὰ τὸ προσῆκον. τῷ τε Ἀχιλλεῖ τοὺς θρασεῖς λόγους περιτί-
» θησιν, οἰνοβαρὲς κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο, τὴν αὐτὴν κρίσιν
» ὑπειπὼν, Πηλείδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν Ἀτρείδην προσέειπε, καὶ
» οὔπω λῆγε χόλοιο. καλὸν γὰρ εἰκὸς οὐδὲν εἶναι μετ' ὀργῆς καὶ αὐστηρῶς λεγό-
» μενον. ὁμοίως καὶ ἐπὶ τῶν πράξεων. ἦ ῥα καὶ Ἕκτορα δῖον, ἀεικέα μήδετο
» ἔργα, πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας. εὖ δὲ καὶ ταῖς ἐπιρρή-
σεσι χρῆται, καθάπερ τινὰ ψῆφον ἰδίαν ἐπιφέρων τοῖς πραττομένοις, ἢ λεγο-
» μένοις, ἐπὶ μὲν τῆς μοιχείας τοῦ Ἄρεως, τοὺς θεοὺς ποιῶν λέγοντας, οὐκ ἀρε-
» τᾷ κακὰ ἔργα, κιχάνει τοι βραδὺς ὠκύν. ἐπὶ δὲ τῆς τοῦ Ἕκτορος ὑπερφροσύ-
» νης καὶ μεγαλαυχίας, ὣς ἔφατ' εὐχόμενος, νεμέσησε δὲ πότνια Ἥρη. τὸ δὲ τῆς
» Πανδάρου τοξείας. ὣς φάτ' Ἀθηναίη, τῷ δὲ φρένας ἄφρονι πεῖθεν. αὗται
μὲν οὖν αἱ τῶν λόγων ἀποφάσεις καὶ δόξαι παντός εἰσι κατιδεῖν τοῦ προσέ-
χοντος. ἑτέρας δ' ἐκ τῶν πραγμάτων αὐτῶν παρέχουσι μαθήσεις, ὥσπερ ὁ
Εὐριπίδης εἰπεῖν λέγεται πρὸς τοὺς τὸν Ἰξίονα λοιδοροῦντας, ὡς ἀσεβῆ, καὶ
μιαρὸν, οὐ μέντοι πρότερον αὐτὸν ἐκ τῆς σκηνῆς ἐξήγαγον, ἢ τῷ τροχῷ προσ-
ηλῶσαι. παρὰ δὲ Ὁμήρῳ, σιωπώμενόν ἐστι τὸ τοιοῦτον γένος τῆς διδασκα-
λίας, ἔχον δὲ ἀναθεώρησιν ὠφέλιμον ἐπὶ τῶν διαβεβλημένων μάλιστα μύ-
θων, οὓς ταῖς πάλαι μὲν ὑπονοίαις, ἀλληγορίαις δὲ νῦν λεγομέναις παραβια-
ζόμενοι, καὶ διαστρέφοντες ἔνιοι, μοιχευομένην φασὶν Ἀφροδίτην ὑπὸ Ἄρεως,
μηνύειν τὸν Ἥλιον, ὅτι τῷ τῆς Ἀφροδίτης ἀστέρι συνελθὼν ὁ τοῦ Ἄρεως, μοιχικὰς
ἀποτελεῖ γενέσεις, Ἡλίου δὲ ἐπαναφερομένου καὶ καταλαμβάνοντος, οὐ λαν-
θάνουσιν. τὸν δὲ τῆς Ἥρας καλλωπισμὸν ἐπὶ τὸν Δία, καὶ τὴν περὶ τὸν κεστὸν
γοητείαν, ἀέρος τινὸς κάθαρσιν εἶναι βούλονται, τῷ πυρώδει πλησιάζοντος ὥσ-
περ οὐκ αὐτοῦ τὰς λύσεις τοῦ ποιητοῦ διδόντος. ἐν μὲν γὰρ τοῖς περὶ τῆς Ἀφρο-
δίτης, διδάσκει τοὺς προσέχοντας ὅτι μουσικὴ φαύλη, καὶ ᾄσματα πονηρὰ,
καὶ λόγοι μοχθηρὰς ὑποθέσεις λαμβάνοντες, ἀκόλαστα ποιοῦσιν ἤθη, καὶ βί-
ους ἀνάνδρους, καὶ ἀνθρώπους τρυφὴν καὶ μαλακίαν καὶ γυναικοκρασίαν ἀγα-
» πῶντας, εἵματά τ' ἐξημοιβὰ, λοετρά τε θερμὰ καὶ εὐνάς. διὸ καὶ τὸν Ὀδυσσέα
» τῷ κιθαρῳδῷ προστάττοντα πεποίηκεν, ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἵππου κό-
» σμον ἄεισον, καλῶς ὑφηγούμενος τὸ, παρὰ τῶν φρονίμων καὶ νοῦν ἐχόντων χρῆ-
ναι λαμβάνειν τοὺς μουσικοὺς, καὶ ποιητικοὺς τὰς ὑποθέσεις. ἐν δὲ τοῖς περὶ τῆς
Ἥρας, ἄριστα τὴν ἀπὸ τῶν φαρμάκων καὶ γοητείας, καὶ μετὰ δόλου πρὸς τοὺς
ἄνδρας ὁμιλίαν, καὶ χάριν ἔδειξεν, οὐ μόνον ἐφήμερον καὶ ἁψίκορον, καὶ ἀβέ-
βαιον οὖσαν, ἀλλὰ καὶ μεταβάλλουσαν εἰς ἔχθραν, καὶ ὀργὴν, ὅταν τὰ τῆς ἡδο-
» νῆς ἀπομαρανθῇ. τοιαῦτα γὰρ ὁ Ζεὺς ἀπειλεῖ, καὶ λέγει πρὸς αὐτήν. ὄφρα ἴδῃς,
» ἤν τοι χραίσμῃ φιλότης τε, καὶ εὐνὴ, ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο, καί μ' ἀπά-
τησας. ἡ γὰρ τῶν φαύλων διάθεσις ἔργων καὶ μίμησις, ἂν προσαποδῷ τὴν συμ-
βαίνουσαν αἰσχύνην καὶ βλάβην τοῖς εἰργασμένοις, ὠφέλησεν οὐκ ἔβλαψε τὸν
ἀκροώμενον. οἱ γοῦν φιλόσοφοι παραδείγμασι χρῶνται, νουθετοῦντες καὶ
παιδεύοντες ἐξ ὑποκειμένων. οἱ δὲ ποιηταὶ ταῦτα ποιοῦσι πλάττοντες αὐτοὶ
πράγματα καὶ μυθολογοῦντες. ὁ μὲν οὖν Μελάνθιος εἴτε παίζων εἴτε σπου-

δάξων, ἔλεγε διασώζεσθαι τὴν ἀθηναίων πόλιν, ὑπὸ τῆς τῶν ῥητόρων διχο-
στασίας καὶ ταραχῆς. οὐ γὰρ ἀποκλίνειν ἅπαντας εἰς τὸν αὐτὸν τοῖχον, ἀλλὰ
γίνεσθαί τινα τοῦ βλάπτοντος ἀνθολκὴν ἐν τῇ διαφορᾷ τῶν πολιτευομένων.
αἱ δὲ τῶν ποιητῶν ὑπεναντιώσεις πρὸς αὐτούς, ἀνταναφέρουσαι τὴν πίστιν, οὐκ
ἐῶσιν ἰσχυρὰν ῥοπὴν γενέσθαι πρὸς τὸ βλάπτον. ὅπου μὲν οὖν αὐτοῖς τὸ τι-
θέναι σύνεγγυς ἐκφανεῖς ποιεῖ τὰς ἀντιλογίας, δεῖ τῷ βελτίονι συνηγορεῖν,
ὥσπερ ἐν τούτοις. πόλλ' ὦ τέκνον σφάλλουσιν ἀνθρώπους θεοί. τὸ ῥᾷστον εἶπας
αἰτιάσασθαι θεούς. καὶ πάλιν, χρυσοῦ σε πλήθει, τούσδε δ' οὐ, χαίρειν χρεών. σκαι-
όν γε πλουτεῖν κ' ἄλλο μηδὲν εἰδέναι. καὶ τί δεῖ ταῦτα δεῖ σε κατθανεῖν ἄμεινον. οὐ δεῖς
κάματος εὐσεβεῖν θεούς. τὰ γὰρ τοιαῦτα, τὰς λύσεις ἔχει προχείρους, ἐὰν ὥς-
περ εἴρηται πρὸς τὰ βελτίονα τῇ κρίσει τοὺς νέους κατευθύνωμεν. ὅσα
δὲ εἴρηται μὲν ἀτόπως, εὐθὺς δὲ οὐ λέλυται, ταῦτα δεῖ τοῖς ἀλλαχόθι πρὸς
τοὐναντίον εἰρημένοις ὑπ' αὐτῶν ἀνταναιρεῖν, μὴ ἀχθομένους τῷ ποιητῇ, μηδὲ
χαλεπαίνοντας, ἀλλὰ τοῖς ἐν ἤθει καὶ μετὰ παιδιᾶς λεγομένοις. εὐθὺς εἰ βού-
λει πρὸς τὰς ὁμηρικὰς τῶν θεῶν ῥίψεις ὑπ' ἀλλήλων, καὶ τρώσεις ὑπ' ἀνθρώπων
καὶ διαφορὰς καὶ χαλεπότητας. οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆ-
σαι; καὶ νοεῖς νὴ Δία καὶ λέγεις κρεῖττον ἀλλαχόθι καὶ βέλτιον τὰ τοιαῦτα. θεοὶ
ῥεῖα ζώοντες. καὶ, τῷ ἔνι τέρπονται μάκαρες θεοί, ἤματα πάντα. καὶ, ὡς γὰρ
ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι ζώειν ἀχνυμένοις, αὐτοὶ δέ τ' ἀκηδέες εἰσί.
αὗται γάρ εἰσιν ὑγιαίνουσαι περὶ θεῶν δόξαι καὶ ἀληθεῖς. ἐκεῖνα δὲ πέπλασται
πρὸς ἔκπληξιν ἀνθρώπων. πάλιν εὐριπίδου λέγοντος, πολλαῖσι μορφαῖς
οἱ θεοὶ σοφισμάτων, σφάλλουσιν ἡμᾶς, κρείττονες πεφυκότες, οὐ χεῖρόν ἐστιν ὑπε-
νεγκεῖν τὸ εἰ θεοί τι δρῶσι φαῦλον, οὐκ εἰσὶ θεοί, βέλτιον εἰρημένον ὑπ' αὐτοῦ. καὶ
τοῦ πινδάρου σφόδρα πικρῶς καὶ παροξυντικῶς εἰρηκότος. χρὴ δὲ πᾶν ἔρδον-
τ' ἀμαυρῶσαι τὸν ἐχθρόν. ἀλλ' αὐτός γε σὺ λέγεις, ὅτι τῷ παρὰ δίκαν γλυκεῖ,
πικροτάτα μένει τελευτά. καὶ τοῦ σοφοκλέους, τὸ κέρδος ἡδύ, κἂν ἀπὸ ψευ-
δῶν ἔῃ. καὶ μὴν σοῦ γε ἀκηκόαμεν, ὡς οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι. πρὸς
δὲ ἐκεῖνα τὰ περὶ τοῦ πλούτου. δεινὸς γὰρ ἕρπειν πλοῦτος πρός τε τὰ βατὰ καὶ
πρὸς τ' ἄβατα, καὶ ὅποθεν πένης ἀνὴρ οὐδ' ἐντυχὼν, δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν.
καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον, γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν,
ἀντιπαραθήσει πολλὰ τῶν σοφοκλέους, ὧν καὶ ταῦτά ἐστι, γένοιτο κἂν ἄπλου-
τος ἐν τιμαῖς ἀνήρ. καὶ, οὐδὲν κακίων πτωχὸς, εἰ καλῶς φρονοῖ. καὶ ἄλλα. τῶν πολ-
λῶν καλῶν τίς χάρις, εἰ κακόβουλος φροντὶς ἐκτρέφοι τὸν εὐαίωνα πλοῦτον.
ὁ δὲ μένανδρος ἐπῆρε μὲν ἀμέλει τὴν φιληδονίαν καὶ ὑπεχαύνωσε τοῖς ἐρωτι-
κοῖς καὶ διαπύροις, ἐκείνοις. ἅπανθ' ὅσα ζῇ καὶ τὸν ἥλιον βλέπει τὸν κοινὸν ἡμῖν,
δοῦλα ταῦτ' ἔσθ' ἡδονῆς. πάλιν δ' ἐπέστρεψε καὶ περιέσπασε πρὸς τὸ καλὸν ἡ-
μᾶς, καὶ τὴν θρασύτητα τῆς ἀκολασίας ἐξέκοψεν εἰπών, ὄνειδος αἰσχρὸς βίος
ὁμοίως κἂν ἡδὺς ᾖ. ταῦτα γὰρ ἐκείνοις μέν ἐστιν ὑπεναντία, βελτίω δὲ καὶ χρησι-
μώτερα. δυεῖν οὖν θάτερον ἡ τοιαύτη τῶν ἐναντίων ποιήσει παράθεσις καὶ
κατανόησις. ἢ παράξει πρὸς τὸ βέλτιον, ἢ καὶ τοῦ χείρονος ἀποστήσει τὴν πίστιν.
ἂν δὲ αὐτοὶ μὲν μὴ διδῶσι τῶν ἀτόπως εἰρημένων λύσεις, οὐ χεῖρόν ἐστιν ἑτέρων
ἐνδόξων ἀποφάσεις ἀντιτάττοντας, ὥσπερ ἐπὶ ζυγοῦ ποιεῖν πρὸς τὸ βέλτιον.
οἷον τοῦ ἀλέξιδος κινοῦντος ἐνίους ὅταν λέγῃ τὰς ἡδονὰς δεῖ συλλέγειν τὸν σώ-
φρονα. τρεῖς δ' εἰσὶν αἵ γε τὴν δύναμιν κεκτημέναι τὴν ὡς ἀληθῶς συντελοῦσαν
τῷ βίῳ, τὸ πιεῖν, τὸ φαγεῖν, τὸ τῆς ἀφροδίτης τυγχάνειν. τὰ δ' ἄλλα προσθή-
κας ἅπαντα χρὴ καλεῖν. ὑπομνηστέον ὅτι σωκράτης τοὐναντίον ἔλεγε. τοὺς
μὲν

μὲν φαύλους ζῆν, τοῦ ἐσθίειν καὶ πίνειν ἕνεκεν, τοὺς δ' ἀγαθοὺς ἐσθίειν καὶ πίνειν
ἕνεκεν τοῦ ζῆν. πρὸς δὲ τὸν γράψαντα, ποτὶ τὸν πονηρὸν οὐκ ἄχρηστον ὅπλον
ἁ πονηρία, τρόπον τινὰ συνεξομοιοῦσθαι κελεύοντα τοῖς πονηροῖς, τὸ τοῦ διογέ-
νους παραβαλεῖν ἐστιν. ἐρωτηθεὶς γὰρ ὅπως ἄν τις ἀμύναιτο τὸν ἐχθρὸν, αὐτὸς
ἔφη καλὸς κἀγαθὸς γενόμενος. δεῖ δὲ τῷ διογένει καὶ πρὸς τὸν σοφοκλέα χρή-
σασθαι, πολλὰς γὰρ ἀνθρώπων μυριάδας ἐμπέπληκεν ἀθυμίας περὶ τῶν μυ-
στηρίων ταῦτα γράψας, ὡς τρισόλβιοι ἐκεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέ-
λη μολῶσ' ἐς ᾅδου. τοῖσδε γὰρ μόνοις ἐκεῖ ζῆν ἐστι, τοῖς δ' ἄλλοισι πάντ' ἐκεῖ
κακά. διογένης δὲ ἀκούσας τι τοιοῦτον, τί λέγεις ἔφη, κρείττονα μοῖραν ἕξει πα-
ταικίων ὁ κλέπτης ἀποθανὼν, ἢ ἐπαμεινώνδας, ὅτι μεμύηται; τιμοθέῳ μὲν
γὰρ ᾄδοντι τὴν ἄρτεμιν ἐν τῷ θεάτρῳ μαινάδα, θυάδα, φοιβάδα, λυσσάδα, κι-
νησίας εὐθὺς ἀντεφώνησε, τοιαύτη σοι θυγάτηρ γένοιτο. χάριεν δὲ καὶ τὸ τοῦ
βίωνος πρὸς τὸν θέογνιν λέγοντα, πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος, οὔτε τι εἰ-
πεῖν, οὔθ' ἔρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται, πῶς οὖν σὺ πένης ὢν φλυα-
ρεῖς τοσαῦτα καὶ καταδολεσχεῖς ἡμῶν. δεῖ δὲ μηδὲ τὰς ἐκ τῶν παρακειμέ-
νων ἢ συμφραζομένων παραλιπεῖν ἀφορμὰς πρὸς τὴν ἐπανόρθωσιν. ἀλλ' ὥς-
περ οἱ ἰατροὶ τῆς κανθαρίδος οὔσης θανασίμου, τοὺς πόδας ὅμως καὶ τὰ πτε-
ρὰ βοηθεῖν οἴονται, καὶ ἀναλύειν τὴν δύναμιν, οὕτως ἐν τοῖς ποιήμασι κἂν ὄνο-
μα, κἂν ῥῆμα παρακείμενον ἀμβλυτέραν ποιῇ τὴν πρὸς τὸ χεῖρον ἀπαγωγὴν,
ἐπιλαμβάνεσθαι καὶ προσδιασαφεῖν, ὡς ἐπὶ τούτων ἔνιοι ποιοῦσι. τοῦτό νυ καὶ
γέρας ἐστὶν οἰζυροῖσι βροτοῖσι, κείρασθαί τε κόμην βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν.
καὶ, ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι ζώειν ἀχνυμένοις. οὐ γὰρ ἁπλῶς
εἶπε καὶ πᾶσιν ἀνθρώποις ὑπὸ θεῶν ἐπικεκλῶσθαι λυπηρὸν βίον, ἀλλὰ τοῖς
ἄφροσι καὶ ἀνοήτοις. οὓς δειλοὺς καὶ οἰκτροὺς διὰ μοχθηρίαν ὄντας, εἴωθε δει-
λοὺς καὶ οἰζυροὺς προσαγορεύειν. ἄλλος τοίνυν τρόπος ἐστὶ τὰς ἐν τοῖς ποιή-
μασιν ὑποψίας πρὸς τὸ βέλτιον ἐκ τοῦ χείρονος μεθιστὰς, ὁ διὰ τῶν ὀνομάτων τῆς
συνηθείας, περὶ ὃν χρὴ τὸν νέον γεγυμνάσθαι μᾶλλον, ἢ περὶ τὰς λεγομένας
γλώττας. ἐκεῖνο μὲν γὰρ, φιλόλογον καὶ οὐκ ἀηδὲς, ὅτι ῥιγεδανὴ, κακοθάνα-
τός ἐστιν εἰδέναι. δάνον γὰρ μακεδόνες τὸν θάνατον καλοῦσι. καμμονίην δὲ νίκην,
αἰολεῖς τὴν ἐξ ἐπιμονῆς καὶ καρτερίας. δρύοπες δὲ, πόπους τοὺς δαίμονας.
τουτὶ δὲ ἀναγκαῖον καὶ χρήσιμον, εἰ μέλλοιμεν ἐκ τῶν ποιημάτων ὠφεληθήσε-
σθαι καὶ μὴ βλαβήσεσθαι, τὸ γινώσκειν πῶς τοῖς τῶν θεῶν ὀνόμασιν οἱ ποιηταὶ
χρῶνται, καὶ πάλιν τοῖς τῶν κακῶν καὶ ἀγαθῶν, καὶ τί τὴν ψυχὴν καὶ τὴν μοῖ-
ραν νοοῦντες ὀνομάζουσι, καὶ πότερον ταῦτα τῶν ἁπλῶς, ἢ τῶν πολλαχῶς λε-
γομένων ἐστὶ παρ' αὐτοῖς, ὥσπερ ἄλλα πολλά. καὶ γὰρ οἶκον, ποτὲ μὲν τὴν οἰκίαν
καλοῦσιν, οἶκον ἐς ὑψόροφον, ποτὲ δὲ τὴν οὐσίαν, ἐσθίεταί μοι οἶκος, καὶ τὸν βίον
ποτὲ μὲν, τὸ ζῆν, ἀμενήνωσε δέ οἱ αἰχμὴν κυανοχαῖτα ποσειδάων βιότοιο με-
γήρας, ποτὲ δὲ τὰ χρήματα, βίοτον δέ μοι ἄλλοι ἔδουσι. καὶ τὸ ἀλύειν ποτὲ μὲν,
ἀντὶ τοῦ δυσκολαίνειν καὶ ἀπορεῖσθαι κέχρηται, ὡς ἔφαθ', ἡ δ' ἀλύουσ' ἀπεβήσατο
τείρετο δ' αἰνῶς, ποτὲ δὲ, ἀντὶ τοῦ γαυριᾶν καὶ χαίρειν. ἦ ἀλύεις ὅτι ἶρον ἐνίκησας
τὸν ἀλήτην. καὶ τὸ θοάζειν ἢ τὸ κινεῖσθαι σημαίνουσιν, ὡς εὐριπίδης, κῆτος θο-
άζον ἐξ ἀτλαντικῆς ἁλός, ἢ τὸ καθέζεσθαι, καὶ θακεῖν ὡς σοφοκλῆς, τίνας
ποθ' ἕδρας τάσδε μοι θοάζετε ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι. χάριεν δὲ,
καὶ τὸ τὴν χρείαν τῶν ὀνομάτων, συνοικειοῦν τοῖς ὑποκειμένοις πράγμασιν, ὡς
οἱ γραμματικοὶ διδάσκουσιν, ἄλλην πρὸς ἄλλα δύναμιν λαμβανόντων, οἷόν
ἐστι, νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι. τὸ μὲν γὰρ αἰνεῖν σημαίνεται

τὸ ἐπαινεῖν, αὐτὸ δὲ τὸ ἐπαινεῖν, ἀντὶ τοῦ παραιτεῖσθαι νῦν κέχρηται, καθάπερ ἐν
τῇ συνηθείᾳ καλῶς φαμὲν ἔχειν καὶ χαίρειν κελεύομεν, ὅταν μὴ δεώμεθα μηδὲ
λαμβάνωμεν, οὕτω δὲ καὶ τὴν ἐπαινὴν Περσεφόνειαν ἔνιοι φασὶν ὡς παραιτητὴν εἰρῆ-
σθαι. ταύτην δὴ τὴν διαίρεσιν καὶ τὴν διάκρισιν τῶν ὀνομάτων ἐν τοῖς μείζο-
σι καὶ σπουδαιοτέροις παραφυλάττοντες, ἀπὸ τῶν θεῶν ἀρχώμεθα διδάσκειν
τοὺς νέους, ὅτι χρῶνται τοῖς τῶν θεῶν ὀνόμασιν οἱ ποιηταί, ποτὲ μὲν αὐτῶν ἐκεί-
νων ἐφαπτόμενοι τῇ ἐννοίᾳ, ποτὲ δὲ δυνάμεις τινάς, ὧν οἱ θεοὶ δωτῆρές εἰσι καὶ
καθηγεμόνες, ὁμωνύμως προσαγορεύοντες. οἷον εὐθὺς ὁ Ἀρχίλοχος, ὅταν
μὲν εὐχόμενος λέγῃ, κλῦθι ἄναξ Ἥφαιστε, καί μοι σύμμαχος γουνουμένῳ ἵλαος
γενοῦ, χαρίζευ δ' οἷά περ χαρίζεαι, αὐτὸν τὸν θεὸν ἐπικαλούμενος δῆλός ἐστιν.
ὅταν δὲ τὸν ἄνδρα τῆς ἀδελφῆς ἠφανισμένον ἐν θαλάττῃ καὶ μὴ τυχόντα νο-
μίμου ταφῆς, λέγῃ, μετριώτερον ἂν τὴν συμφορὰν ἐνεγκεῖν, εἰ κείνου κεφα-
λὴν καὶ χαρίεντα μέλεα Ἥφαιστος καθαροῖσιν ἐν εἵμασιν ἀμφεπονήθη, τὸ πῦρ οὕ-
τως, οὐ τὸν θεὸν προσηγόρευσε. πάλιν δὲ ὁ μὲν Εὐριπίδης εἰπὼν ἐν ὅρκῳ, μὰ
τὸν μετ' ἄστρων Ζῆν' Ἄρη τε φοίνιον, αὐτοὺς τοὺς θεοὺς ὠνόμασε. τοῦ δὲ Σοφοκλέ-
ους λέγοντος, τυφλὸς γὰρ ὦ γυναῖκες οὐδ' ὁρῶν Ἄρης συὸς προσώπῳ πάντα
τυρβάζει κακά, τὸν πόλεμόν ἐστιν ὑπακοῦσαι, καθάπερ αὖ τὸν χαλκὸν Ὁμήρου
λέγοντος, τῶν νῦν αἷμα κελαινὸν ἐΰρροον ἀμφὶ Σκάμανδρον ἐσκέδασ' ὀξὺς
Ἄρης. πολλῶν οὖν οὕτω λεγομένων, εἰδέναι δεῖ καὶ μνημονεύειν, ὅτι καὶ τῷ
τοῦ Διὸς καὶ Ζηνὸς ὀνόματι, ποτὲ μὲν τὸν θεόν, ποτὲ δὲ τὴν τύχην, πολλάκις δὲ τὴν
εἱμαρμένην προσαγορεύουσιν. ὅταν μὲν γὰρ λέγωσι, Ζεῦ πάτερ Ἴδηθεν μεδέων,
καὶ ὦ Ζεῦ, τίς εἶναί φησι σοῦ σοφώτερος, τὸν θεὸν αὐτὸν λέγουσιν. ὅταν δὲ ταῖς
αἰτίαις τῶν γινομένων πάντων ἐπονομάζωσι τὸν Δία καὶ λέγωσι, πολλὰς δ'
ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν, Διὸς δ' ἐτελείετο βουλή, τὴν εἱμαρμένην. οὐ
γὰρ τὸν θεὸν ὁ ποιητὴς οἴεσθαι κακομηχανᾶσθαι τοῖς ἀνθρώποις, ἀλλὰ τὴν τῶν πρα-
γμάτων ἀνάγκην ὀρθῶς ὑποδείκνυσιν, ὅτι καὶ πόλεσι καὶ στρατοπέδοις καὶ ἡγε-
μόσιν, ἂν μὲν σωφρονῶσιν, εὖ πράττειν πέπρωται καὶ κρατεῖν τῶν πολεμίων,
ἂν δὲ εἰς πάθη καὶ ἁμαρτίας ἐμπεσόντες, ὥσπερ οὗτοι, διαφέρωνται πρὸς ἀλ-
λήλους καὶ στασιάζωσιν, ἀσχημονεῖν καὶ ἐκταράττεσθαι καὶ κακῶς ἀπαλλάτ-
τειν. εἱμαρμένον γὰρ τῶν κακῶν βουλευμάτων, κακὰς ἀμοιβὰς ἐστὶ καρποῦσθαι
βροτοῖς. καὶ μὴν ὁ Ἡσίοδος τὸν Προμηθέα ποιῶν τῷ Ἐπιμηθεῖ παρακελευόμε-
νον, μή ποτε δῶρα δέξασθαι παρὰ Ζηνὸς Ὀλυμπίου, ἀλλ' ἀποπέμπειν, ἐπὶ τῇ
τῆς τύχης δυνάμει τῷ Διὸς ὀνόματι κέχρηται. τὰ γὰρ τυχηρὰ τῶν ἀγαθῶν
Διὸς δῶρα κέκληκε, πλούτους καὶ γάμους καὶ ἀρχὰς καὶ πάντα ὅλως τὰ
ἐκτός, ὧν ἡ κτῆσις ἀνόνητός ἐστι τοῖς χρῆσθαι καλῶς μὴ δυναμένοις. διὸ καὶ τὸν
Ἐπιμηθέα φαῦλον ὄντα καὶ ἀνόητον, οἴεται δεῖν φυλάττεσθαι καὶ δεδιέναι τὰς
εὐτυχίας, ὡς βλαβησόμενον καὶ διαφθαρησόμενον ὑπ' αὐτῶν. καὶ πάλιν ὅ-
ταν λέγῃ, μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ τέτλα ὀνειδίζειν, μα-
κάρων δόσιν αἰὲν ἐόντων. θεόσδοτον νῦν τὸ τυχηρὸν εἴρηκεν, ὡς οὐκ ἄξιον ἐγκα-
λεῖν τοῖς διὰ τὴν τύχην πενομένοις, ἀλλὰ τὴν μετ' ἀργίας καὶ ῥαθυμίας καὶ
μαλακίας καὶ πολυτελείας εὐπορίαν, αἰσχρὰν καὶ ἐπονείδιστον οὖσαν. οὔπω
γὰρ αὐτὸ τοὔνομα τῆς τύχης λέγοντες, εἰδότες δὲ τὴν τῆς ἀτάκτως καὶ ἀορί-
στως περιφερομένης αἰτίας δύναμιν, ἰσχυρὰν καὶ ἀφύλακτον οὖσαν ἀνθρωπί-
νῳ λογισμῷ, τοῖς τῶν θεῶν ὀνόμασιν ἐξέφραζον. ὥσπερ ἡμεῖς καὶ πράγματα
καὶ ἤθη καὶ νὴ Δία λόγους καὶ ἄνδρας εἰώθαμεν δαιμονίους καὶ θείους προσαγο-
ρεύειν. τούτῳ δὴ τὰ πολλὰ τῶν ἀτόπως περὶ τοῦ Διὸς λέγεσθαι δοκούντων ἐπα-

νορθωτέον. ὧν ἐστὶ καὶ ταῦτα, δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει κη-
ρῶν ἔμπλειοι, ὁ μὲν ἐσθλῶν, αὐτὰρ ὁ δειλῶν. καὶ, ὅρκια μὲν Κρονίδης ὑψίζυγος
οὐκ ἐτέλεσσεν, ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροισι. καὶ τότε γάρ ῥα
κυλίνδετο πήματος ἀρχὴ Τρωσί τε καὶ Δαναοῖσι Διὸς μεγάλου διὰ βουλάς. ὡς περὶ
τῆς τύχης ἢ τῆς εἱμαρμένης λεγομένων, ἐν αἷς τὸ ἀσυλλόγιστον ἡμῖν τῆς αἰ-
τίας, καὶ ὅλως οὐ καθ' ἡμᾶς. ὅπου δὲ τὸ προσῆκον καὶ κατὰ λόγον καὶ εἰκός ἐστιν,
ἐνταῦθα κυρίως ὀνομάζεσθαι τὸν θεὸν νομίζομεν. ὥσπερ ἐν τούτοις. αὐτὰρ ὁ τῶν
ἄλλων ἐπεπωλεῖτο στίχας ἀνδρῶν, Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο, Ζεὺς
γάρ οἱ ἐνεμέσα. καὶ, Ζεὺς γὰρ τὰ μὲν τοιαῦτα φροντίζει βροτῶν, τὰ μικρὰ δ'
ἄλλοις δαίμοσι παρεὶς ἐᾷ. σφόδρα δὲ δεῖ καὶ τοῖς ἄλλοις ὀνόμασι προσέ-
χειν, κατὰ πολλὰ πράγματα κινουμένοις καὶ μεθισταμένοις ὑπὸ τῶν ποιητῶν.
οἷόν ἐστι καὶ τὸ τῆς ἀρετῆς. ἐπεὶ γὰρ οὐ μόνον ἔμφρονας παρέχεται καὶ δικαί-
ους καὶ ἀγαθοὺς ἐν πράξεσι καὶ λόγοις, ἀλλὰ καὶ δόξας ἐπιεικῶς καὶ δυνάμεις
περιποιεῖ, παρὰ τοῦτο ποιοῦνται καὶ τὴν εὐδοξίαν ἀρετὴν καὶ δύναμιν ὀνο-
μάζοντες, ὥσπερ ἐλαίαν τὸν ἀπὸ τῆς ἐλαίας, καὶ φηγὸν τὸν ἀπὸ τῆς φηγοῦ καρ-
πὸν ὁμωνύμως τοῖς φέρουσιν. οὐκοῦν ὁ νέος ἡμῖν, ὅταν μὲν λέγωσι, τῆς δ' ἀρε-
τῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν. καὶ, τῆμος σφιν Δαναοὶ ἀρετῇ ῥήξαντο
φάλαγγας. καὶ εἰ δὲ θανεῖν θέμις ὧδε θανεῖν καλὸν εἰς ἀρετὴν καταδυσαμένους
βίον, εὐθὺς οἰέσθω λέγεσθαι ταῦτα περὶ τῆς ἀρίστης καὶ θειοτάτης ἕξεως ἐν ἡμῖν,
ἣν ὀρθότητα λόγου καὶ ἀκρότητα λογικῆς φύσεως, καὶ διάθεσιν ὁμολογουμένην ψυ-
χῆς νοοῦμεν. ὅταν δὲ ἀναγνώσῃ πάλιν, ἔκ τε Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλ-
λει τε μινύθει τε, καὶ τό, πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ, μὴ καθήσθω τοὺς πλου-
σίους ἐκπεπληγμένος καὶ τεθηπὼς καθάπερ ὤνιον εὐθὺς ἀργυρίου τὴν ἀρε-
τὴν ἔχοντας, μηδ' ἐπὶ τῇ τύχῃ κεῖσθαι τὴν αὐτοῦ φρόνησιν αὔξειν ἢ κολούειν νο-
μίζων, ἀλλ' ἀντὶ δόξης ἢ δυνάμεως ἢ εὐτυχίας ἢ τινὸς ὁμοίου τῇ ἀρετῇ κε-
χρῆσθαι τὸν ποιητὴν ἡγούμενος. καὶ γὰρ τῇ κακότητι, ποτὲ μὲν ἰδίως σημαίνουσι
κακίαν καὶ μοχθηρίαν ψυχῆς ὡς Ἡσίοδος. τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν
ἐστὶν ἑλέσθαι, ποτὲ δὲ ἄλλην τινὰ κάκωσιν ἢ δυστυχίαν, ὡς Ὅμηρος, αἶψα γὰρ ἐν κα-
κότητι βροτοὶ καταγηράσκουσιν. ἐπεὶ καὶ τὴν εὐδαιμονίαν ἐξαπατηθείη-
τις ἄν, οὕτω τοὺς ποιητὰς οἰόμενος λέγειν, ὡς οἱ φιλόσοφοι λέγουσι τὴν παντε-
λῆ τῶν ἀγαθῶν ἕξιν ἢ κτῆσιν, τελειότητα βίου κατὰ φύσιν εὐροοῦντος, ἀλλ' οὐχὶ
καταχρωμένους πολλάκις, τὸν πλούσιον εὐδαίμονα καλεῖν ἢ μακάριον, καὶ τὴν δύ-
ναμιν ἢ τὴν δόξαν, εὐδαιμονίαν. Ὅμηρος μὲν γὰρ, ὀρθῶς κέχρηται τοῖς ὀνόμασιν.
ὡς οὔτοι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω. καὶ Μένανδρος. ἔχω δὲ πολλὴν
οὐσίαν, καὶ πλούσιος καλοῦμαι ὑπὸ πάντων, μακάριος δ' ὑπ' οὐδενός. Εὐριπί-
δης δὲ πολλὴν ἀπεργάζεται ταραχὴν καὶ σύγχυσιν, ὅταν λέγῃ, μή μοι γένοι-
το λυπρὸς εὐδαίμων βίος. καὶ, τί τὴν τυραννίδ' ἀδικίαν εὐδαίμονα τιμᾷς;
ἂν μή τις, ὥσπερ εἴρηται, ταῖς μεταφοραῖς καὶ καταχρήσεσι τῶν ὀνομάτων
ἕπηται. ταῦτα μὲν οὖν ἱκανῶς περὶ τούτων. ἐκεῖνο δ' οὐχ ἅπαξ ἀλλὰ πολ-
λάκις ὑπομνηστέον ἐστὶ τοὺς νέους, ἐνδεικνυμένους αὐτοῖς, ὅτι μιμητικὴν ἡ ποίη-
σις ὑπόθεσιν ἔχουσα, κόσμῳ μὲν καὶ λαμπρότητι χρῆται περὶ τὰς ὑποκειμέ-
νας πράξεις καὶ τὰ ἤθη. τὴν δὲ ὁμοιότητα τοῦ ἀληθοῦς οὐ προλείπει, τῆς μι-
μήσεως ἐν τῷ πιθανῷ τὸ ἀγωγὸν ἐχούσης. διὸ καὶ κακίας καὶ ἀρετῆς σημεῖα με-
μιγμένα ταῖς πράξεσιν, ἡ μὴ παντάπασι τῆς ἀληθείας ὀλιγωροῦσα μίμη-
σις συνεκφέρει, ὥσπερ ἡ Ὁμήρου πολλὰ πάνυ τοῖς Στωϊκοῖς χαίρειν φράζουσα,
μήτε τι φαῦλον ἀρετῇ προσεῖναι, μήτε κακίᾳ χρηστὸν ἀξιοῦσιν, ἀλλὰ πάντως

μὲν ἐν πᾶσιν ἁμαρτωλὸν εἶναι τὸν ἀμαθῆ, περὶ πάντα δ' αὖ κατορθοῦν τὸν
ἀστεῖον. ταῦτα γὰρ ἐν ταῖς σχολαῖς ἀκούομεν. ἐν δὲ τοῖς πράγμασι καὶ τῷ βίῳ
τῶν πολλῶν κατ' εὐριπίδην, οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά, ἀλλ' ἔστι
τις σύγκρασις. ἄνευ δὲ τοῦ ἀληθοῦς μάλιστα μὲν ἡ ποιητικὴ τῷ ποικίλῳ χρῆ-
ται, καὶ πολυτρόπῳ. τὸ γὰρ ἐμπαθὲς καὶ παράλογον καὶ ἀπροσδόκητον, ᾧ
πλείστη μὲν ἔκπληξις ἕπεται, πλείστη δὲ χάρις, αἱ μεταβολαὶ παρέχουσι τοῖς
μύθοις. τὸ δ' ἁπλοῦν, ἀπαθές, καὶ ἄμυθον. ὅθεν οὔτε νικῶντας ἀεὶ πάντα
ποιοῦσι τοὺς αὐτούς, οὔτ' εὐημεροῦντας, οὔτε κατορθοῦντας. ἀλλ' οὐδὲ τοῖς
θεοῖς ὅταν εἰς ἀνθρωπίνας ἐμπέσωσι πράξεις, ἀπαθέσι χρῶνται καὶ ἀναμαρ-
τήτοις, ἵνα μηδαμοῦ τό, τε ταράττον, καὶ τὸ ἐκπλῆττον ἀργῇ τῆς ποιήσεως, ἀ-
κίνδυνον καὶ ἀνανταγώνιστον γινόμενον. οὕτως οὖν τούτων ἐχόντων, ἐπάγωμεν
τοῖς ποιήμασι τὸν νέον, μὴ τοιαύτας ἔχοντα τὰς δόξας περὶ τῶν καλῶν ἐκεί-
νων καὶ μεγάλων ὀνομάτων. ὡς ἄρα σοφοὶ καὶ δίκαιοι ἄνδρες ἦσαν ἄκροι τε βα-
σιλεῖς καὶ κανόνες ἀρετῆς ἁπάσης καὶ ὀρθότητος. ἐπεὶ βλαβήσεται μεγά-
λα δοκιμάζων πάντα καὶ τεθηπώς, μὴ δυσχεραίνων, μηδὲν ἀκούων, μηδὲ ἀπο-
δεχόμενος τοῦ ψέγοντος αὐτοὺς τοιαῦτα πράττοντας καὶ λέγοντας, αἲ γὰρ ζεῦ
τε πάτερ καὶ ἀθηναίη καὶ ἄπολλον μήτε τις οὖν τρώων θάνατον φύγοι ὅσσοι
ἔασι, μήτε τις ἀργείων. νῶϊν δ' ἐκδῦμεν ὄλεθρον, ὄφρ' οἶοι τροίης ἱερὰ κρήδεμνα
λύωμεν. καὶ οἰκτροτάτην δ' ἤκουσα ὄπα πριάμοιο θυγατρὸς κασσάνδρης, τὴν
κτεῖνε κλυταιμνήστρη δολόμητις ἀμφ' ἐμοί. καὶ, παλλακίδι προμιγῆναι ἵν'
ἐχθαίρειε γέροντα. τῇ πιθόμην, καὶ ἔρεξα. καὶ, ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτε-
ρος ἄλλος. μηδὲν ἐπαινεῖν ἐθιζέσθω τοιοῦτον ὁ νέος. μηδὲ προφάσεις λέγων,
μηδὲ παραγωγὰς τὰς εὐπρεπεῖς ἐπὶ πράγμασι φαύλοις μηχανόμενος, πιθα-
νὸς ἔστω καὶ πανοῦργος. ἀλλ' ἐκεῖνο μᾶλλον οἰέσθω μίμησιν εἶναι τὴν ποίησιν, ἠθῶν
καὶ βίων, καὶ ἀνθρώπων οὐ τελείων οὐδὲ καθαρῶν, οὐδ' ἀνεπιλήπτων παντάπα-
σιν, ἀλλὰ μεμιγμένων πάθεσι καὶ δόξαις ψευδέσι καὶ ἀγνοίαις, διὰ δ' εὐφυΐαν
αὐτοὺς πολλάκις μετατιθέντων πρὸς τὸ κρεῖττον. ἡ γὰρ τοιαύτη παρασκευὴ
τοῦ νέου καὶ διάνοια, τοῖς μὲν εὖ λεγομένοις καὶ πραττομένοις ἐπαιρομένου καὶ συ-
νενθουσιῶντος, τὰ δὲ φαῦλα μὴ προσιεμένου καὶ δυσχεραίνοντος, ἀβλαβῆ πα-
ρέξει τὴν ἀκρόασιν. ὁ δὲ πάντα θαυμάζων καὶ πᾶσιν ἐξοικειούμενος, καὶ κατα-
δεδουλωμένος τῇ δόξῃ τὴν κρίσιν ὑπὸ τῶν ἡρωϊκῶν ὀνομάτων, ὥσπερ οἱ τὴν
πλάτωνος ἀπομιμούμενοι κυρτότητα, καὶ τὴν ἀριστοτέλους τραυλότητα, λή-
σεται πρὸς πολλὰ τῶν φαύλων εὐχερὴς γενόμενος. δεῖ δὲ μὴ δειλῶς μηδὲ
ὥσπερ ὑπὸ δεισιδαιμονίας ἐν ἱερῷ φρίττειν ἅπαντα καὶ προσκυνεῖν, ἀλλὰ
θαρσαλέως ἐθιζόμενον ἐπιφωνεῖν μηδὲν ἧττον τοῦ ὀρθῶς καὶ πρεπόντως, τὸ οὐκ
ὀρθῶς καὶ οὐ προσῆκον. οἷον ὁ ἀχιλλεὺς ἐκκλησίαν συνάγει τῶν στρατιωτῶν νο-
σούντων, ἀσχάλλων μὲν ἀργοῦντι τῷ πολέμῳ, καὶ μάλιστα διὰ τὴν ἐν ταῖς στρα-
τείαις ἐπιφάνειαν αὐτοῦ καὶ δόξαν. ἰατρικὸς δὲ ὢν, καὶ μετὰ ἡμέραν ἐνάτην, ἣ ταῦ-
τα κρίνεσθαι πέφυκεν, αἰσθόμενος οὐκ οὖσαν συνήθη τὴν νόσον, οὐδὲ συνεστῶσαν
ἀπὸ κοινῶν αἰτιῶν, ἀναστὰς οὐ δημαγωγεῖ τὸν ὄχλον, ἀλλὰ τῷ βασιλεῖ γίνεται σύμ-
βουλος. ἀτρείδη νῦν ἄμμε παλιμπλαγχθέντας ὀΐω ἂψ ἀπονοστήσειν. ὀρθῶς
ταῦτα καὶ μετρίως καὶ πρεπόντως. τοῦ δὲ μάντεως δεδιέναι φήσαντος τὴν ὀργὴν
τοῦ δυνατωτάτου τῶν ἑλλήνων, οὐκ ἔτ' ὀρθῶς οὐδὲ μετρίως ἐπομόσας μηδένα
προσοίσειν χεῖρας αὐτῷ, ζῶντος αὐτοῦ, προστίθησιν, οὐδ' ἢν ἀγαμέμνονα εἴπῃς,
ἐνδεικνύμενος ὀλιγωρίαν καὶ περιφρόνησιν τοῦ ἄρχοντος. ἐκ δὲ τούτου μᾶλλον
παροξυνθεὶς, ἐπὶ τὸ ξίφος φέρεται σφάττειν διανοούμενος. οὔτε πρὸς τὸ καλὸν
ὀρθῶς

μηδὲ· R· A·
νῶϊ· A·
μηχανώμενος· A·
εἶναι· R· A·
προσηκόντως· A·
πάντων· A·

ὀρθῶς οὔτε πρὸς συμφέρον. εἶτ' αὖθις μετανοήσας, ἂψ ἐς κουλεὸν ὦσε μέγα ξί-
φος, οὐδ' ἀπίθησε μύθῳ ἀθηναίης. ὀρθῶς πάλιν καὶ καλῶς, ὅτι τὸν θυμὸν ἐκ-
κόψαι παντάπασι μὴ δυνηθείς, ὅμως πρὶν ἀνήκεστόν τι δρᾶσαι, μετέστησε καὶ
κατέσχεν, εὐπειθῆ τῷ λογισμῷ γενόμενον. πάλιν ὁ ἀγαμέμνων, ἐν μὲν τοῖς
περὶ τὴν ἐκκλησίαν γενομένοις καὶ λεγομένοις ὑπ' αὐτοῦ, καταγέλαστός ἐστιν, ἐν
δὲ τοῖς περὶ χρυσηΐδα, σεμνότερος καὶ βασιλικώτερος. ὁ μὲν γὰρ ἀχιλλεὺς, ἀγο-
μένης τῆς βρισηΐδος, δακρύσας ἑτάρων ἄφαρ ἕζετο νόσφι λιασθείς. οὗτος δὲ
αὐτὸς εἰς τὴν ναῦν ἐμβιβάζων καὶ παραδιδοὺς καὶ ἀποπέμπων τὴν ἄνθρω-
πον, ἣν ὀλίγῳ πρόσθεν εἴρηκε τῆς γαμετῆς τῇ εὐνοίᾳ προκρίνειν, οὐθὲν αἰσχρὸν
οὐδὲ ἐρωτικὸν ἐποίησε. καὶ μὴν ὁ φοῖνιξ διὰ τὴν παλλακίδα, κατάρατος
ὑπὸ τοῦ πατρὸς γενόμενος, τὸν μὲν ἐγώ φησι βούλευσα κατακτάμεν ὀξέϊ χαλκῷ,
ἀλλά τις ἀθανάτων παῦσε χόλον, ὅς ῥ' ἐνὶ θυμῷ δήμου θῆκε φάτιν, καὶ ὀνεί-
δεα πόλλ' ἀνθρώπων, ὡς μὴ πατροφόνος μετ' ἀχαιοῖσι καλεοίμην. ὁ μὲν οὖν
ἀρίσταρχος, ἐξεῖλε ταῦτα τὰ ἔπη φοβηθείς, ἔχει δὲ πρὸς τὸν καιρὸν ὀρθῶς τοῦ
φοίνικος τὸν ἀχιλλέα διδάσκοντος, οἷόν ἐστιν ὀργή, καὶ ὅσα διὰ θυμὸν ἄνθρωποι
τολμῶσι, μὴ χρώμενοι λογισμῷ, μὴ δὲ πειθόμενοι τοῖς παρηγοροῦσι. καὶ γὰρ τὸν
μελέαγρον ἐπεισάγει τοῖς πολίταις ὀργιζόμενον, εἶτα πραϋνόμενον, ὀρθῶς
τὰ πάθη ψέγων. τὸ δὲ μὴ συνακολουθεῖν ἀλλ' ἀντιτάττεσθαι καὶ κρατεῖν καὶ με-
τανοεῖν ἐπαινῶν, ὡς καλὸν καὶ συμφέρον. ἐνταῦθα μὲν οὖν ἡ διαφορὰ πρό-
δηλος. ὅπου δὲ ἀσάφεια τῆς γνώμης, διοριστέον οὕτω πως ἐφιστάντας τὸν νέον.
εἰ μὲν ἡ ναυσικάα ξένον ἄνδρα τὸν ὀδυσσέα θεασαμένη, καὶ παθοῦσα τὸ τῆς κα-
λυψοῦς πάθος πρὸς αὐτόν, ἅτε δὴ τρυφῶσα καὶ γάμων ὥραν ἔχουσα, τοιαῦ-
τα μωραίνει πρὸς τὰς θεραπαινίδας, αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος
εἴη ἐνθάδε ναιετάων, καί οἱ ἅδοι αὐτόθι μίμνειν, ψεκτέον τὸ θράσος αὐτῆς καὶ
τὴν ἀκολασίαν. εἰ δὲ τοῖς λόγοις τοῦ ἀνδρὸς τὸ ἦθος ἐνιδοῦσα, καὶ θαυμάσασα
τὴν ἔντευξιν αὐτοῦ πολὺν νοῦν ἔχουσαν, εὔχεται τοιούτῳ συνοικεῖν μᾶλλον, ἢ
πλωτικῷ τινι καὶ ὀρχηστικῷ τῶν πολιτῶν, ἄξιον ἄγασθαι. πάλιν τῆς πηνε-
λόπης τοῖς μνηστῆρσι προσδιαλεγομένης οὐκ ἀπανθρώπως, ἐκείνων δὲ αὐτῇ χα-
ριζομένων ἱμάτια καὶ κόσμον ἄλλον, ἡδόμενος ὀδυσσεὺς οὕνεκα τῶν μὲν δῶρα πα-
ρέλκετο, θέλγε δὲ θυμὸν, εἰ μὲν ἐπὶ τῇ δωροδοκίᾳ καὶ πλεονεξίᾳ χαίρει, τὸν
κωμῳδούμενον ὑπερβάλλει μαστροπείᾳ πολύαγρον. εὐδαίμων πολύαγρος οὐρά-
νιον αἶγα πλουτοφόρον τρέφων. εἰ δὲ μᾶλλον οἰόμενος ὑποχειρίους ἕξειν διὰ τὴν
ἐλπίδα, καὶ τὸ μέλλον οὐ προσδοκῶντας, λόγον ἔχει τὸ ἡδόμενον αὐτῷ καὶ θαρ-
ροῦν. ὁμοίως ἐπὶ τῇ διαριθμήσει τῶν χρημάτων, ἃ συνεξέθηκαν οἱ φαίακες
αὐτῷ καὶ ἀπέπλευσαν, εἰ μὲν ἀληθῶς ἐν ἐρημίᾳ τοσαύτῃ καὶ τῶν καθ' αὑτὸν
ἀσαφείᾳ καὶ ἀδηλότητι γεγονώς, περὶ τῶν χρημάτων φοβεῖται, μή τι οἱ οἴχων-
ται κοίλης ἐκ νηὸς ἔχοντες, οἰκτείρειν ἄξιον, ἢ βδελύττεσθαι νὴ δία, τὴν φιλο-
πλουτίαν. εἰ δ' ὥσπερ ἔνιοι λέγουσι περὶ τῆς ἰθάκης ἀμφιδοξῶν, οἴεται τὴν τῶν
χρημάτων σωτηρίαν, ἀπόδειξιν εἶναι τῆς τῶν φαιάκων ὁσιότητος, οὐ γὰρ ἂν ἀκερ-
δῶς φέροντας αὐτὸν εἰς ἀλλοτρίαν ἐκβάλλειν χώραν καὶ καταλιπεῖν ἀποσχομέ-
νους τῶν χρημάτων, οὔτε φαύλῳ τεκμηρίῳ χρῆται, καὶ τὴν πρόνοιαν ἄξιον ἐπαι-
νεῖν. ἔνιοι δὲ καὶ τὴν ἔκθεσιν αὐτήν, εἰ μὲν ἀληθῶς ἐγένετο καθεύδοντος, ψέ-
γουσι. καὶ τυρρηνοὺς ἱστορίαν τινά φασι διαφυλάττειν, ὡς ὑπνώδους φύσει τοῦ ὀδυσ-
σέως γενομένου καὶ δυσεντεύκτου διὰ τοῦτο πολλοῖς ὄντος. εἰ δ' οὐκ ἦν ἀληθὴς ὁ ὕ-
πνος, ἀλλ' αἰδούμενος μὲν ἀποπέμψαι τοὺς φαίακας ἄνευ ξενίων καὶ φιλοφροσύ-
νης, μὴ δυνάμενος δὲ τοὺς ἐχθροὺς λαθεῖν ἐκείνων συμπαρόντων, ἐχρήσατο τῆς

ἀπορίας παρακαλύμματι κοιμωμένῳ ποιήσας ὅμοιον ἑαυτόν, ἀποδέχοντη. καὶ ταῦτα δὴ τοῖς νέοις ὑποδεικνύοντες, οὐκ ἐάσωμεν φορὰν πρὸς τὰ φαῦλα γίνεσθαι τῶν ἠθῶν, ἀλλὰ τῶν βελτιόνων ζῆλον καὶ προαίρεσιν, εὐθὺς τοῖς μὲν τὸ ψέγειν, τοῖς δὲ, τὸ ἐπαινεῖν ἀποδιδόντες. μάλιστα δὲ τοῦτο ποιεῖν δεῖ, ἐν ταῖς τραγῳδίαις, ὅσαι λόγους ἔχουσι πιθανοὺς, καὶ πανούργους ἐν πράξεσιν ἀδόξοις καὶ πονηραῖς· οὐ πάνυ γὰρ ἀληθὲς τὸ τοῦ Σοφοκλέους λέγοντος· οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά. καὶ γὰρ οὗτος εἴωθεν ἤθεσι φαύλοις καὶ ἀτόποις πράγμασι, λόγους ἐπιγελῶντας, καὶ φιλανθρώπους αἰτίας πορίζειν. καὶ ὁ σύσκηνος αὐτοῦ πάλιν, ὁρᾷς ὅτι τήν τε Φαίδραν καὶ προσεγκαλοῦσαν τῷ Θησεῖ πεποίηκεν, ὡς διὰ τὰς ἐκείνου παρανομίας ἐρασθεῖσαν τοῦ Ἱππολύτου. τοιαύτην δὲ καὶ τῇ Ἑλένῃ παρρησίαν κατὰ τῆς Ἑκάβης ἐν ταῖς Τρῳάσι δίδωσιν, οἰομένην δεῖν ἐκείνην κολάζεσθαι μᾶλλον, ὅτι μοιχὸν αὐτῆς ἔτεκε. μηδὲν οὖν τούτων κομψὸν ἡγεῖσθαι καὶ πανοῦργον ὁ νέος ἐθιζέσθω, μηδὲ προσμειδιάτω ταῖς τοιαύταις εὑρεσιλογίαις, ἀλλὰ βδελυττέσθω τοὺς λόγους μᾶλλον, ἢ τὰ ἔργα τῆς ἀκολασίας. ἐπὶ πᾶσι τοίνυν καὶ τὸ τὴν αἰτίαν ἑκάστου τῶν λεγομένων ἐπιζητεῖν, χρήσιμόν ἐστιν. ὁ μὲν γὰρ Κάτων ἔτι παιδάριον ὤν, ἔπραττε μὲν ὃ προστάξειεν ὁ παιδαγωγός, αἰτίαν δὲ καὶ λόγον ἀπῄτει τοῦ προστάγματος. τοῖς δὲ ποιηταῖς οὐ πιστέον ὥσπερ παιδαγωγοῖς ἢ νομοθέταις, ἂν μὴ λόγον ἔχῃ τὸ ὑποκείμενον. ἕξει δὲ, ἂν μὲν χρηστὸν ᾖ, ἂν δὲ μοχθηρόν, ὀφθήσεται κενὸν καὶ μάταιον. ἀλλ' οἱ πολλοὶ τῶν μὲν τοιούτων τὰς αἰτίας πικρῶς ἀπαιτοῦσι καὶ διαπυνθάνονται πῶς λέλεκται, μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν πινόντων, καὶ ὃς δέ κ' ἀνὴρ ἀφ' ὧν ὀχέων ἕτερ' ἅρμαθ' ἵκηται, ἔγχει ὀρεξάσθω. τῶν δὲ μειζόνων ἀβασανίστως, παραδέχονται τὴν πίστιν. οἷα καὶ ταῦτ' ἐστίν· δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ, ὅταν συνειδῇ μητρὸς ἢ πατρὸς κακά. καὶ σμικρὸν φρονεῖν χρὴ τὸν κακῶς πεπραγότα. καίτοι ταῦτα τῶν ἠθῶν ἅπτεται, καὶ τοὺς βίους διαταράττει κρίσεις ἐμποιοῦντα φαύλας, καὶ δόξας ἀγεννεῖς, ἂν μὴ πρὸς ἕκαστον αὐτῶν εἰθισμένοι λέγωμεν· διατί σμικρὸν φρονεῖν χρὴ τὸν κακῶς πεπραγότα, καὶ μὴ μᾶλλον ἀνταίρειν τῇ τύχῃ, καὶ ποιεῖν ὑψηλὸν ἑαυτὸν καὶ ἀταπείνωτον. διατί δὲ, ἐὰν ἐκ πατρὸς φαύλου καὶ ἀνοήτου γεγονὼς, αὐτὸς ὢν χρηστός, καὶ φρόνιμος, οὐ προσήκει μὴ διὰ τὴν ἐμὴν ἀρετὴν μέγα φρονεῖν, ἀλλὰ καταπεπλῆχθαι καὶ ταπεινὸν εἶναι διὰ τὴν τοῦ πατρὸς ἀμαθίαν. ὁ γὰρ οὕτως ἀπαντῶν καὶ ἀντερείδων, καὶ μὴ παντὶ λόγῳ πλάγιον ὡς ὑπὸ πνεύματι παραδιδοὺς ἑαυτόν, ἀλλ' ὀρθῶς ἔχειν νομίζων τὸ, βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ φιλεῖ πεποιῆσθαι, πολλὰ διακρούσεται τῶν οὐκ ἀληθῶς οὐδὲ ὠφελίμως λεγομένων. ταῦτα μὲν οὖν ἀβλαβῆ παρέξει τὴν τῶν ποιημάτων ἀκρόασιν. ἐπεὶ δὲ ὥσπερ ἐν ἀμπέλου φύλλοις καὶ κλήμασιν εὐθαλοῦσι πολλάκις ὁ καρπὸς ἀποκρύπτεται, καὶ λανθάνει κατασκιαζόμενος, οὕτως ἐν ποιητικῇ λέξει καὶ μυθεύμασι περικεχυμένοις, πολλὰ διαφεύγει τὸν νέον ὠφέλιμα καὶ χρήσιμα· δεῖ δὲ τοῦτο μὴ πάσχειν μηδὲ ἀποπλανᾶσθαι τῶν πραγμάτων, ἀλλ' ἐμφύεσθαι μάλιστα τοῖς πρὸς ἀρετὴν φέρουσι καὶ δυναμένοις πλάττειν τὸ ἦθος, οὐ χεῖρόν ἐστι καὶ περὶ τούτου διελθεῖν ἐν βραχέσιν, ἁψάμενον τύπῳ τῶν πραγμάτων, μήκη δὲ καὶ κατασκευὰς καὶ παραδειγμάτων ὄχλον ἐῶντα τοῖς ἐπιδεικτικώτερον γράφουσι. πρῶτον μὲν οὖν τὰ χρηστὰ καὶ τὰ φαῦλα γινώσκων ὁ νέος ἤθη καὶ πρόσωπα, τοῖς λόγοις προσεχέτω καὶ ταῖς πράξεσιν, ἃς ὁ ποιητὴς ἑκατέρῳ προσηκόντως ἀποδίδωσιν. οἷον ὁ Ἀχιλλεὺς πρὸς τὸν Ἀγαμέμνονα λέγει, καίπερ λέγων μετ' ὀργῆς· οὐ γὰρ σοί ποτε ἶσον ἔχω γέρας ὁπ

πότ'

πότ' Ἀχαιοὶ Τρώων ἐκπέρσωσ' εὖ ναιόμενον πτολίεθρον. ὁ δὲ Θερσίτης τῷ αὐτῷ λοιδορούμενος λέγει, πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι ἅς τοι Ἀχαιοὶ πρωτίστῳ δίδομεν, εὖτ' ἂν πτολίεθρον ἕλωμεν. καὶ πάλιν ὁ Ἀχιλλεὺς αἴ κέ ποθι Ζεὺς δῷσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι. ὁ δὲ Θερσίτης, ὅν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν. πάλιν τοῦ Ἀγαμέμνονος ἐν τῇ ἐπιπωλήσει τὸν Διομήδην λοιδορήσαντος, ὁ μὲν οὐδὲν ἀντεῖπεν, αἰδεσθεὶς βασιλῆος ἐνιπὴν αἰδοίοιο. ὁ δὲ Σθένελος, οὗ μηδεὶς λόγος, Ἀτρείδη φησί, μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν· ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι. ἡ γὰρ τοιαύτη διαφορὰ μὴ παρορωμένη, διδάξει τὸν νέον ἀστεῖον ἡγεῖσθαι τὴν ἀτυφίαν καὶ μετριότητα, τὴν δὲ μεγαλαυχίαν καὶ περιαυτολογίαν, ὡς φαῦλον εὐλαβεῖσθαι. χρήσιμον δὲ καὶ τὸ τοῦ Ἀγαμέμνονος κατανοεῖν ἐνταῦθα. τὸν μὲν γὰρ Σθένελον, ἀπροσαύδητον παρῆλθε· τοῦ δὲ Ὀδυσσέως οὐκ ἠμέλησεν, ἀλλ' ἠμείψατο καὶ προσηγόρευσεν, ὡς γνῶ χωομένοιο, πάλιν δ' ὅγε λάζετο μῦθον. τὸ μὲν γὰρ πᾶσιν ἀπολογεῖσθαι, θεραπευτικόν, καὶ οὐκ ἀξιωματικόν· τὸ δὲ πάντων καταφρονεῖν, ὑπερήφανον καὶ ἀνόητον. ἄριστα δὲ ὁ Διομήδης ἐν μὲν τῇ μάχῃ σιωπᾷ, κακῶς ἀκούων ὑπὸ τοῦ βασιλέως, μετὰ δὲ τὴν μάχην παρρησίᾳ χρῆται πρὸς αὐτόν, ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσιν. εὖ δὲ ἔχει καὶ φρονίμου ἀνδρὸς καὶ μάντεως διαφορὰν πανηγυρικοῦ μὴ καταλιπεῖν. ὁ μὲν γὰρ Κάλχας οὐ συνεῖδε τὸν καιρόν, ἀλλ' ἐν πλήθει παρ' οὐδὲν ἐποιήσατο κατηγορῆσαι τοῦ βασιλέως ὡς τὸν λοιμὸν αὐτοῖς ἐπάγοντος. ὁ δὲ Νέστωρ βουλόμενος ἐμβαλεῖν λόγον ὑπὲρ τῶν πρὸς τὸν Ἀχιλλέα διαλλαγῶν, ἵνα μὴ διαβάλλειν δοκῇ τὸν Ἀγαμέμνονα πρὸς τὸ πλῆθος ὡς ἁμαρτόντα καὶ χρησάμενον ὀργῇ, δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι οὔτοι ἀεικές, πολλῶν δ' ἀγρομένων τῷ πείσεαι ὅς κεν ἀρίστην βουλὴν βουλεύσῃ. καὶ μετὰ τὸ δεῖπνον ἐξαποστέλλει τοὺς πρέσβεις. τοῦτο γὰρ ἦν ἐπανόρθωσις ἁμαρτίας, ἐκεῖνο δὲ, κατηγορία καὶ προπηλακισμός. ἔτι δὲ καὶ τὰς ἐν τοῖς γένεσι διαφορὰς σκεπτέον, ὧν τοιοῦτός ἐστιν ὁ τρόπος. οἱ μὲν Τρῶες ἐπίασι μετὰ κραυγῆς καὶ θράσους. οἱ δ' Ἀχαιοί, σιγῇ δειδιότες σημάντορας. τὸ γὰρ ἐν χερσὶ τῶν πολεμίων ὄντων φοβεῖσθαι τοὺς ἄρχοντας, ἀνδρείας ἅμα καὶ πειθαρχίας σημεῖον. ὅθεν ὁ μὲν Πλάτων ἐθίζει τοὺς ψόγους φοβεῖσθαι καὶ τὰ αἰσχρὰ μᾶλλον ἢ τοὺς πόνους καὶ τοὺς κινδύνους. ὁ δὲ Κάτων ἔλεγε φιλεῖν τοὺς ἐρυθριῶντας μᾶλλον ἢ τοὺς ὠχριῶντας. ἔστι δὲ καὶ τῶν ἐπαγγελιῶν ἴδιος χαρακτήρ. ὁ μὲν γὰρ Δόλων ἐπαγγέλλεται, τόφρα γὰρ ἐς στρατὸν εἶμι διαμπερές, ὄφρ' ἂν ἵκωμαι νῆ' Ἀγαμεμνονέην. ὁ δὲ Διομήδης ἐπαγγέλλεται μὲν οὐδέν, ἧττον δ' ἂν φησι φοβηθῆναι μεθ' ἑτέρου πεμπόμενος. Ἑλληνικὸν οὖν καὶ ἀστεῖον ἡ πρόνοια, βαρβαρικὸν δὲ καὶ φαῦλον ἡ θρασύτης. καὶ δεῖ, τὸ μὲν ζηλοῦν, τὸ δὲ δυσχεραίνειν. ἔχεται δέ τινος οὐκ ἀχρήστου θεωρίας, καὶ τὸ περὶ τοὺς Τρῶας καὶ τὸν Ἕκτορα πάθος, τοῦ Αἴαντος αὐτῷ μονομαχεῖν μέλλοντος. ὁ μὲν γὰρ Αἰσχύλος, Ἰσθμοῖ πύκτου πληγέντος εἰς τὸ πρόσωπον καὶ κραυγῆς γενομένης, οἷον εἶπεν ἡ ἄσκησίς ἐστιν, οἱ θεώμενοι βοῶσιν, ὁ δὲ πληγεὶς σιωπᾷ. τοῦ δὲ ποιητοῦ λέγοντος, ὅτι τὸν Αἴαντα μετὰ τῶν ὅπλων φανέντα λαμπρόν, οἱ μὲν Ἕλληνες ἔχαιρον ὁρῶντες, Τρῶας δὲ τρόμος αἰνὸς ἐπήλυθε γυῖα ἕκαστον, Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν. τίς οὐκ ἂν ἀγάσαιτο τὴν διαφοράν; τοῦ μὲν κινδυνεύοντος ἡ καρδία πηδᾷ μόνον, ὥσπερ παλαίειν ἢ διαδρομεῖν μέλλοντος. τῶν δὲ θεωμένων τρέμει καὶ πάλλεται τὸ σῶμα, δι' εὔνοιαν καὶ φόβον ὑπὲρ τοῦ βασιλέως. ἐνταῦθα δὲ, καὶ τὴν τοῦ κρατίστου πρὸς τὸν κάκιστον διαφορὰν ἀποθεωρητέον. ὁ μὲν γὰρ Θερσίτης, ἔχθιστος

δ' ἀχιλλῆι μάλιστ' ἦν ἡ δ' ὀδυσσῆι. ὁ δὲ αἴας, αἰεί τε τῷ ἀχιλλεῖ προσφιλὴς καὶ πρὸς τὸν ἕκτορα λέγει περὶ αὐτοῦ. νῦν μὲν δὴ σάφα εἴσεαι, οἰόθεν οἶος, οἷοι καὶ δαναοῖσιν ἀριστῆες μετέασι, καὶ μετ' ἀχιλλῆα ῥηξήνορα θυμολέοντα. καὶ τοῦτο μὲν ἀχιλλέως τὸ ἐγκώμιόν ἐστι, τὰ δ' ἑξῆς, ὑπὲρ ἁπάντων εἴρηται χρησίμως. ἡμεῖς δ' εἰμὲν τοῖοι, οἳ ἂν σέθεν ἀντιάσαιμεν καὶ πολέες. οὔτε μόνον, οὔτε ἄριστον ἀποφαίνων ἑαυτόν, ἀλλὰ μετὰ πολλῶν ὁμοίως δυναμένων ἀμύνασθαι. ταῦτα μὲν οὖν ἱκανὰ περὶ διαφορᾶς, ἂν μὴ κἀκεῖνο βουλώμεθα προσλαβεῖν, ὅτι τῶν τρώων ἑαλώκασι καὶ πολλοὶ ζῶντες, οὐδεὶς δὲ τῶν ἀχαιῶν. καὶ τῶν μὲν ὑποπεπτώκασιν ἔνιοι τοῖς πολεμίοις, ὥσπερ ὁ ἄδραστος, οἱ ἀντιμάχου παῖδες, ὁ λυκάων, αὐτὸς ὁ ἕκτωρ δεόμενος περὶ ταφῆς τοῦ ἀχιλλέως. ἐκείνων δὲ οὐδείς, ὡς βαρβαρικοῦ τοῦ ἱκετεύειν καὶ ὑποπίπτειν ἐν τοῖς ἀγῶσιν ὄντος. ἑλληνικοῦ δὲ τοῦ νικᾶν μαχόμενον ἢ ἀποθνήσκειν. ἐπεὶ δὲ ὥσπερ ἐν ταῖς νομαῖς, ἡ μὲν μέλιττα διώκει τὸ ἄνθος, ἡ δὲ αἲξ τὸν θαλλόν, ἡ δὲ ὗς τὴν ῥίζαν, ἄλλα δὲ ζῷα τὸ σπέρμα καὶ τὸν καρπόν, οὕτως ἐν ταῖς ἀναγνώσεσι τῶν ποιημάτων, ὁ μὲν ἀπανθίζεται τὴν ἱστορίαν, ὁ δὲ ἐμφύεται τῷ κάλλει καὶ τῇ κατασκευῇ τῶν ὀνομάτων, καθάπερ ὁ ἀριστοφάνης περὶ τοῦ εὐριπίδου φησί, χρῶμαι γὰρ αὐτοῦ τοῦ στόματος τῷ στρογγύλῳ, οἱ δὲ τῶν πρὸς τὸ ἦθος εἰρημένων ὠφελίμως ἔχονται, πρὸς οὓς δὴ νῦν ἡμῖν ὁ λόγος ἐστίν, ὑπομιμνήσκωμεν αὐτοὺς ὅτι δεινόν ἐστι, τὸν μὲν φιλόμυθον μὴ λανθάνειν τὰ καινῶς ἱστορούμενα καὶ περιττῶς, μηδὲ τὸν φιλόλογον ἐκφεύγειν τὰ καθαρῶς πεφρασμένα καὶ ῥητορικῶς, τὸν δὲ φιλότιμον καὶ φιλόκαλον, καὶ μὴ παιγνίας ἀλλὰ παιδείας ἕνεκα, ποιημάτων ἁπτόμενον, ἀργῶς καὶ ἀμελῶς ἀκούειν τῶν πρὸς ἀνδρίαν, ἢ σωφροσύνην, ἢ δικαιοσύνην ἀναπεφωνημένων. οἷα καὶ ταῦτ' ἐστί. τυδείδη τί παθόντε λελάσμεθα θούριδος ἀλκῆς. ἀλλά γε δεῦρο πέπον παρ' ἔμ' ἵστασο, δὴ γὰρ ἔλεγχος ἔσσεται, εἴ κεν νῆας ἕλῃ κορυθαίολος ἕκτωρ. τὸ γὰρ ἐν κινδύνῳ τοῦ διαφθαρῆναι καὶ ἀπολέσθαι μετὰ πάντων ὄντα τὸν φρονιμώτατον ὁρᾶν τὸ αἰσχρὸν δεδιότα καὶ τὸ ἐπονείδιστον, ἀλλὰ μὴ θάνατον, ἐμπαθῆ ποιήσει πρὸς ἀρετὴν τὸν νέον. καὶ τὸ, χαῖρε δ' ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ. τοιοῦτον ἐπιλογισμὸν δίδωσιν, μήτε πλουσίῳ τινί, μήτε καλῷ τὸ σῶμα, μήτε ἰσχυρῷ τὴν θεὸν χαίρουσαν, ἀλλὰ φρονίμῳ καὶ δικαίῳ ποιήσας. καὶ πάλιν τὸν ὀδυσσέα φάσκουσα μὴ περιορᾶν μηδὲ προλείπειν οὕνεκ' ἐπητής ἐστι καὶ ἀγχίνοος, καὶ ἐχέφρων, ἐνδείκνυται μόνον εἶναι τῶν ἡμετέρων θεοφιλὲς καὶ θεῖον ἀρετήν, εἴ γε δὴ τὰ ὅμοια χαίρειν τοῖς ὁμοίοις πέφυκεν. ἐπεὶ δὲ μεγάλου δοκοῦντος εἶναι καὶ ὄντος τοῦ κρατεῖν ὀργῆς, μεῖζόν ἐστιν ἡ φυλακὴ καὶ ἡ πρόνοια τοῦ μὴ περιπεσεῖν ὀργῇ μηδὲ ἁλῶναι. καὶ ταῦτα δεῖ τοῖς ἀναγινώσκουσιν ὑποδεικνύειν μὴ παρέργως, ὅτι τὸν πρίαμον ὁ ἀχιλλεύς, οὐκ ἀνασχετικὸς ὢν οὐδὲ πρᾶος, ἡσυχίαν ἄγειν κελεύει καὶ μὴ παροξύνειν αὐτὸν οὕτως. μηκέτι νῦν μ' ἐρέθιζε γέρον, νοέω δὲ καὶ αὐτὸς ἕκτορά τοι λῦσαι, διόθεν δέ μοι ἄγγελος ἦλθε. μή σε γέρων οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω, καὶ ἱκέτην περ ἐόντα, διὸς δ' ἀλίτωμαι ἐφετμάς. καὶ τὸν ἕκτορα λούσας καὶ περιστείλας αὐτὸς ἐπὶ τὴν ἀπήνην τίθησιν, πρὶν ἢ κηδευόμενον ὑπὸ τοῦ πατρὸς ὀφθῆναι, μὴ ὁ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο, παῖδα ἰδών, ἀχιλῆι δ' ὀρινθείη φίλον ἦτορ, καί ἑ κατακτείνειε, διὸς δ' ἀλίτηται ἐφετμάς. τὸ γὰρ εὐσφαλῶς πρὸς ὀργὴν ἔχοντα, καὶ φύσει τραχὺν ὄντα καὶ θυμοειδῆ, μὴ λανθάνειν ἑαυτόν, ἀλλ' ἐξευλαβεῖσθαι καὶ φυλάττεσθαι τὰς αἰτίας καὶ προκαταλαμβάνειν τῷ λογισμῷ πόρρωθεν, ὅπως οὐδὲ ἄκων τῷ πάθει περιπεσεῖται, θαυμαστῆς ἐστι προνοίας. οὕτω δὲ καὶ πρὸς μέθην τὸν φίλοινον ἔχειν, καὶ πρὸς ἔρωτα τὸν ἐρωτικόν, ὥσπερ

ὁ ἀγησίλαος οὐχ ὑπέμεινεν ὑπὸ τοῦ καλοῦ φιληθῆναι προσιόντος. ὁ δὲ κῦρος οὐδὲ ἰδεῖν τὴν πάνθειαν ἐτόλμησε, τῶν δ' ἀπαιδεύτων τοὐναντίον ὑπεκκαύματα τοῖς πάθεσι συλλεγόντων, καὶ πρὸς ἃ μάλιστα κακῶς καὶ ὀλισθηρῶς ἔχουσιν αὑτοὺς προϊεμένων. ὁ δὲ ὀδυσσεύς, οὐ μόνον ἑαυτὸν ἀνέχει θυμούμενον, ἀλλὰ καὶ τὸν τηλέμαχον ἐκ τοῦ λόγου συνιδὼν χαλεπὸν ὄντα, καὶ μισοπόνηρον, ἀμβλύνει καὶ παρασκευάζει πόρρωθεν ἡσυχίαν ἄγειν, καὶ ἀνέχεσθαι κελεύων. εἰ δέ μ' ἀτιμήσουσι δόμον κάτα, σὸν δὲ φίλον κῆρ τετλάτω ἐν στήθεσσι, κακῶς πάσχοντος ἐμεῖο, ἤν περ καὶ διὰ δῶμα ποδῶν ἕλκωσι θύραζε, ἢ βέλεσι βάλλωσι, σὺ δ' εἰσορόων ἀνέχεσθαι. ὥσπερ γὰρ τοὺς ἵππους οὐκ ἐν τοῖς δρόμοις χαλινοῦσιν, ἀλλὰ πρὸ τῶν δρόμων, οὕτω τοὺς δυσκαθέκτους πρὸς τὰ δεινὰ καὶ θυμοειδεῖς προκαταλαμβάνοντες τοῖς λογισμοῖς καὶ προκαταρτύοντες, ἄγουσιν ἐπὶ τοὺς ἀγῶνας. δεῖ δὲ μηδὲ τῶν ὀνομάτων ἀμελῶς ἀκούειν, ἀλλὰ τὴν μὲν κλεάνθους παιδιὰν παραιτεῖσθαι. κατειρωνεύεται γὰρ ἔστιν ὅτε προσποιούμενος ἐξηγεῖσθαι, τὸ ζεῦ πάτερ ἴδηθεν μεδέων. καὶ ζεῦ ἄνα δωδωναῖε, κελεύων ἀναγινώσκειν ὑφ' ἕν, ὡς τὸν ἐκ τῆς γῆς ἀναθυμιώμενον ἀέρα διὰ τὴν ἀνάδοσιν ἀναδωδωναῖον ὄντα. καὶ χρύσιππος δὲ πολλαχοῦ γλίσχρος ἐστίν, οὐ παίζων, ἀλλ' εὑρεσιλογῶν ἀπιθάνως, καὶ παραβιαζόμενος εὐρύοπα κρονίδην εἶναι, τὸν δεινὸν ἐν τῷ διαλέγεσθαι, καὶ διαβεβηκότα τῇ δυνάμει τοῦ λόγου. βέλτιον δὲ ταῦτα τοῖς γραμματικοῖς παρέντας ἐκεῖνα μᾶλλον πιέζειν, οἷς ἅμα τὸ χρήσιμον καὶ πιθανὸν ἔστιν. οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλός. καὶ πᾶσιν γὰρ ἐπίσταμαι μείλιχος εἶναι. τήν τε γὰρ ἀνδρείαν ἀποφαίνων μάθημα, καὶ τὸ προσφιλῶς ἅμα καὶ κεχαρισμένως ἀνθρώποις ὁμιλεῖν, ἀπ' ἐπιστήμης καὶ κατὰ λόγον γίνεσθαι νομίζων, προτρέπει μὴ ἀμελεῖν ἑαυτῶν, ἀλλὰ μανθάνειν τὰ καλὰ καὶ προσέχειν τοῖς διδάσκουσιν, ὡς καὶ τὴν σκαιότητα καὶ τὴν δειλίαν ἀμαθίαν οὖσαν καὶ ἄγνοιαν. σφόδρα δὲ τούτοις κἀκεῖνα σύμφωνά ἐστιν, ἃ λέγει περὶ τοῦ διὸς καὶ τοῦ ποσειδῶνος. ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη. ἀλλὰ ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη. θειότατον γὰρ ἀποφαίνει τὴν φρόνησιν καὶ βασιλικώτατον, ἐν ᾗ τίθεται τὴν μεγίστην ὑπεροχὴν τοῦ διός, ἅτε δὴ καὶ τὰς ἄλλας ἀρετὰς ἕπεσθαι ταύτῃ νομίζων. ἐθιστέον ἅμα, καὶ τούτων ἐγρηγορότως τὸν νέον ἀκούειν. ψεῦδος δ' οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστί. καὶ ἀντίλοχε πρόσθεν πεπνυμένε ποῖον ἔρεξας. ᾔσχυνας μὲν ἐμὴν ἀρετήν, βλάψας δέ μοι ἵππους. καὶ γλαῦκε τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπας, ὦ πέπον ἦ τ' ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων, ὡς οὔτε ψευδομένων τῶν φρονίμων, οὔτε κακομαχούντων ἐν τοῖς ἀγῶσιν, οὔτε παρ' ἀξίαν ἑτέροις ἐγκαλούντων. καὶ τὸν πάνδαρον δὲ πεισθῆναι λέγων, διὰ τὴν ἀφροσύνην τὰ ὅρκια συγχέαι, δῆλός ἐστιν οὐκ ἂν ἀδικῆσαι τὸν φρόνιμον ἡγούμενος. ὅμοια δ' ἔστι καὶ περὶ σωφροσύνης ὑποδεικνύειν ἐφιστάντα τοῖς οὕτω λεγομένοις. τῷ δὲ γυνὴ προίτου ἐπεμήνατο δῖ' ἄντεια, κρυπταδίῃ φιλότητι μιγήμεναι. ἀλλὰ τὸν οὔ τι πεῖθ' ἀγαθὰ φρονέοντα δαΐφρονα βελλεροφόντην. καὶ, ἡ δ' ἤτοι τὸ πρὶν μὲν ἀναίνετο ἔργον ἀεικές δῖα κλυταιμνήστρη, φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν. ἐν μὲν οὖν τούτοις τῇ φρονήσει τὴν τοῦ σωφρονεῖν αἰτίαν ἀποδίδωσιν. ἐν δὲ ταῖς παρὰ τὰς μάχας κελεύσεσιν ἑκάστοτε λέγων, αἰδὼς ὦ λύκιοι πόσε φεύγετε; νῦν θοοὶ ἔστε. καὶ ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος αἰδῶ καὶ νέμεσιν, δὴ γὰρ μέγα νεῖκος ὄρωρεν. ἀνδρείους ἔοικε ποιεῖν τοὺς σώφρονας, διὰ τὸ αἰδεῖσθαι τὰ αἰσχρά, καὶ τὰς ἡδονὰς δυναμένους ὑπερβαίνειν, καὶ τοὺς κινδύνους ὑφίστασθαι. ἀφ' ὧν καὶ τιμόθεος ὁρμηθείς, οὐ κακῶς ἐν τοῖς πέρσαις τοὺς

ἕλληνας ἐπεκάλει, σέβεσθ' αἰδῶ συνεργὸν ἀρετᾶς δορυμάχων. αἰσχύλος δὲ
καὶ τὸ πρὸς δόξαν ἔχειν ἀτύφως καὶ μὴ διασοβεῖσθαι, μηδὲ ἐπαίρεσθαι τοῖς
παρὰ τῶν πολλῶν ἐπαίνοις, ἐν τῷ φρονεῖν τίθεται, περὶ τοῦ ἀμφιαράου γρά
φων, οὐ γὰρ δοκεῖν ἄριστος ἀλλ' εἶναι θέλει, βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπού
μενος, ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα. τὸ γὰρ ἐφ' ἑαυτῷ καὶ τῇ διαθέ
σει τῇ περὶ αὐτὸν οὔσῃ κρατίστῃ μέγα φρονεῖν, νοῦν ἔχοντος ἀνδρός ἐστι. πάντων
οὖν ἀναγομένων εἰς τὴν φρόνησιν, ἀποδείκνυται πᾶν εἶδος ἀρετῆς ἐπιγινόμε
νον ἐκ λόγου καὶ διδασκαλίας. ἡ μὲν γὰρ μέλιττα φυσικῶς ἐν τοῖς δριμυτάτοις
ἄνθεσι καὶ ταῖς τραχυτάταις ἀκάνθαις ἐξανευρίσκει τὸ λειότατον μέλι καὶ
χρηστικώτατον, οἱ δὲ παῖδες ἂν ὀρθῶς ἐντρέφωνται τοῖς ποιήμασι, καὶ ἀπὸ τῶν
φαύλους καὶ ἀτόπους ὑποψίας ἐχόντων, ἕλκειν τι χρήσιμον ἁμωσγέπως μα
θήσονται καὶ ὠφέλιμον. αὐτίκα γοῦν ὕποπτός ἐστιν ὁ ἀγαμέμνων, ὡς διὰ δω-
ροδοκίαν ἀφεὶς τῆς στρατείας τὸν πλούσιον ἐκεῖνον, καὶ τὴν αἴθην χαρισάμε
νον αὐτῷ δῶρ' ἵνα μή οἱ ἕποιθ' ὑπὸ ἴλιον ἠνεμόεσσαν, ἀλλ' αὐτοῦ τέρποιτο μέ-
νων. μέγα γάρ οἱ ἔδωκε ζεὺς ἄφενος. ὀρθῶς δέ γε ἐποίησεν, ὡς ἀριστοτέλης φη
σιν, ἵππον ἀγαθὴν ἀνθρώπου τοιούτου προτιμήσας. οὐδὲ γὰρ κυνὸς ἀντάξιος οὐδ'
ὄνου μὰ δία, δειλὸς ἀνὴρ καὶ ἄναλκις, ὑπὸ πλούτου καὶ μαλακίας διερρυηκώς.
πάλιν αἴσχιστα δοκεῖ τὸν υἱὸν ἡ θέτις ἐφ' ἡδονὰς παρακαλεῖν, καὶ ἀναμιμνήσκειν
ἀφροδισίων. ἀλλὰ κἀνταῦθα δεῖ παραθεωρεῖν τὴν τοῦ ἀχιλλέως ἐγκράτειαν, ὅ
τι τῆς βρισηίδος ἐρῶν, ἡκούσης πρὸς αὐτόν, εἰδὼς τὴν τοῦ βίου τελευτὴν ἐγγὺς οὖ
σαν, οὐ σπεύδει τῶν ἡδονῶν πρὸς ἀπόλαυσιν, οὐδ' ὥσπερ οἱ πολλοὶ πενθεῖ τὸν φί-
λον ἀπραξίᾳ καὶ παραλείψει τῶν καθηκόντων, ἀλλὰ τῶν μὲν ἡδονῶν διὰ τὴν λύ
πην ἀπέχεται, ταῖς δὲ πράξεσι καὶ ταῖς στρατηγίαις ἐνεργός ἐστι. πάλιν ὁ ἀρ
χίλοχος οὐκ ἐπαινεῖται λυπούμενος μὲν ἐπὶ τῷ ἀνδρὶ τῆς ἀδελφῆς διεφθαρ-
μένῳ κατὰ θάλασσαν, οἴνῳ δὲ καὶ παιδιᾷ πρὸς τὴν λύπην μάχεσθαι διανοού-
μενος. αἰτίαν μέντοι λόγον ἔχουσαν εἴρηκεν. οὔτε τι γὰρ κλαίων ἰήσομαι, οὔτε κά
κιον θήσω τερπωλὰς καὶ θαλίας ἐφέπων. εἰ γὰρ ἐκεῖνος οὐδὲν ἐνόμιζεν ποιή
σειν κάκιον τερπωλὰς καὶ θαλίας ἐφέπων, πῶς ἡμῖν τὰ παρόντα χεῖρον ἕξει
φιλοσοφοῦσι, καὶ πολιτευομένοις, καὶ προϊοῦσιν εἰς ἀγοράν, καὶ καταβαίνουσιν εἰς
ἀκαδημίαν, καὶ γεωργίαν ἐφέπουσιν; ὅθεν οὐδ' αἱ παραδιορθώσεις φαύλως
ἔχουσιν αἷς καὶ κλεάνθης ἐχρήσατο καὶ ἀντισθένης. ὁ μὲν εὖ μάλα τοὺς ἀθηναίους
θορυβήσαντας ἐν τῷ θεάτρῳ, τί δ' αἰσχρὸν εἰ μὴ τοῖσι χρωμένοις δοκεῖ, παραβαλ
λὼν εὐθὺς αἰσχρὸν τό γ' αἰσχρὸν κἂν δοκῇ κἂν μὴ δοκῇ. ὁ δὲ κλεάνθης περὶ τοῦ πλού
του, φίλοις τε δοῦναι, σῶμά τ' εἰς νόσους πεσὸν δαπάναισι σῶσαι, μεταγρά-
φων οὕτω, πόρναις τε δοῦναι, σῶμά τ' εἰς νόσους πεσὸν δαπάναις ἐπιτρῖψαι. καὶ
ὁ ζήνων ἐπανορθούμενος τὸ τοῦ σοφοκλέους, ὅστις δὲ πρὸς τύραννον ἐμπορεύε-
ται, κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ, μετέγραφεν, οὐκ ἔστι δοῦλος, ἂν ἐλεύ
θερος μόλῃ, τῷ ἐλευθέρῳ νῦν συνεκφαίνων, τὸν ἀδεῆ, καὶ μεγαλόφρονα, καὶ
ἀταπείνωτον. τί δὴ κωλύει καὶ ἡμᾶς ταῖς τοιαύταις ὑποφωνήσεσι τοὺς νέους
ἀνακαλεῖν πρὸς τὸ βέλτιον, οὕτω πως χρωμένους τοῖς λεγομένοις; τὸ δ' ἐστὶ τὸ ζη
λωτὸν ἀνθρώποις ὅτῳ τόξον μερίμνης εἰς ὃ βούλεται πέσῃ. οὐκ. ἀλλ' ὅτῳ τό-
ξον μερίμνης εἰς ὃ συμφέρει πέσῃ. τὸ γὰρ ἃ μὴ δεῖ βουλόμενον λαβεῖν καὶ τυγ-
χάνειν, οἰκτρόν ἐστι καὶ ἄζηλον. καὶ οὐκ ἐπὶ πᾶσιν ἐφύτευσ' ἀγαθοῖς ἀγάμεμνον
ἀτρεύς. δεῖ δέ σε χαίρειν καὶ λυπεῖσθαι. μὰ δία φήσομεν. ἀλλὰ δεῖ σε χαίρειν μὴ
λυπεῖσθαι τυγχάνοντα μετρίων. οὐ γὰρ πᾶσιν ἐφύτευσ' ἀγαθοῖς ἀγάμεμνον
ἀτρεύς. αἲ αἴ τὸ δ' ἤδη θεῖον ἀνθρώποις κακόν, ὅταν τις εἰδῇ τἀγαθόν, χρῆται δὲ

δέ μοι. θηριῶδες μὲν οὖν, καὶ ἄλογον, καὶ οἰκτρόν, εἰδότα τὸ βέλτιον, ὑπὸ τοῦ
χείρονος ἐξ ἀκρασίας, καὶ μαλακίας ἄγεσθαι. τρόπος ἔσθ' ὁ πείθων τοῦ λέ-
γοντος, οὐ λόγος. καὶ τρόπος μὲν οὖν καὶ λόγος, ἢ τρόπος διὰ λόγου. καθάπερ ἵπ
πος διὰ χαλινοῦ, καὶ πηδαλίου κυβερνήτης. οὐδὲν οὕτως φιλάνθρωπον οὐδὲ συγ
γενὲς ἐχούσης τῆς ἀρετῆς ὄργανον, ὡς τὸν λόγον. πρὸς θῆλυ νεύει μᾶλλον, ἢ
'πὶ τἄρρενα, ὅπου πρόσεστι τὸ κάλλος, ἀμφιδέξιος. ἦν δὲ βέλτιον εἰπεῖν, ὅπου πρό
σεστι τὸ σῶφρον, ἀμφιδέξιος ὡς ἀληθῶς καὶ ἰσόρροπος. ὁ δ' ὑφ' ἡδονῆς καὶ ὥρας
ὧδε κἀκεῖ μετοικιζόμενος, ἐπαρίστερος καὶ ἀβέβαιος. φόβος τὰ θεῖα τοῖσι σώ-
φροσι βροτῶν. καὶ μὴν οὐδαμῶς, ἀλλὰ θάρσος τὰ θεῖα τοῖσι σώφροσι βροτῶν, φό
βος δὲ τοῖς ἄφροσι καὶ ἀχαρίστοις καὶ ἀνοήτοις, ὅτι καὶ τὴν παντὸς αἰτίαν ἀγα-
θοῦ δύναμιν καὶ ἀρχήν, ὡς βλάπτουσαν ὑφορῶνται καὶ δεδίασι. τὸ μὲν
οὖν τῆς ἐπανορθώσεως γένος τοιοῦτόν ἐστι. τὴν δ' ἐπὶ πλεῖον τῶν λεγομένων χρῆ
σιν ὑπέδειξεν ὀρθῶς ὁ χρύσιππος, ὅτι δεῖ μετάγειν καὶ διαβιβάζειν ἐπὶ τὰ ὁ-
μοειδῆ τὸ χρήσιμον. ὅτε γὰρ ἡσίοδος εἰπὼν οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων
κακὸς εἴη, καὶ περὶ κυνὸς αὐτό, καὶ περὶ ὄνου λέγει, καὶ περὶ πάντων ὁμοί-
ως τῶν ἀπολέσθαι δυναμένων. καὶ πάλιν τοῦ εὐριπίδου λέγοντος. τίς δ' ἐστὶ δοῦ
λος τοῦ θανεῖν ἄφροντις ὤν; ὑπακουστέον ὅτι καὶ περὶ πόνου, καὶ νόσου τὰ αὐ-
τὰ εἴρηκεν. ὡς γὰρ φαρμάκου πρὸς ἓν ἁρμόσαντος νόσημα, τὴν δύναμιν
καταμαθόντες οἱ ἰατροί, μετάγουσι καὶ χρῶνται πρὸς πᾶν τὸ παραπλήσιον,
οὕτω καὶ λόγον κοινὸν καὶ δημοσιεύειν τὴν χρείαν δυνάμενον, οὐ χρὴ περιορᾶν ἐνὶ
πράγματι συνηρτημένον, ἀλλὰ κινεῖν ἐπὶ πάντα τὰ ὅμοια, καὶ τοὺς νέους
ἐθίζειν τὴν κοινότητα συνορᾶν καὶ μεταφέρειν ὀξέως τὸ οἰκεῖον, ἐν πολλοῖς πα-
ραδείγμασι ποιουμένους μελέτην, καὶ ἄσκησιν ὀξυηκοΐας, ἵνα τοῦ μενάνδρου
λέγοντος μακάριος ὅς τις οὐσίαν καὶ νοῦν ἔχει, τοῦτο καὶ περὶ δόξης καὶ περὶ
ἡγεμονίας καὶ περὶ λόγου δυνάμεως εἰρῆσθαι νομίζωσι. τὴν δὲ πρὸς τὸν ἀ-
χιλλέα τὸν ἐν σκύρῳ καθήμενον ἐν ταῖς παρθένοις γεγενημένην ἐπίπληξιν ὑπὸ
τοῦ ὀδυσσέως, σὺ δ' ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους, ξαίνεις ἀρίστου πα
τρὸς ἑλλήνων γεγώς, καὶ πρὸς τὸν ἄσωτον οἴοντε λέγεσθαι, καὶ πρὸς τὸν αἰσχρο
κερδῆ, καὶ πρὸς τὸν ἀμελῆ καὶ ἀπαίδευτον, πίνεις ἀρίστου πατρὸς ἑλλήνων γε-
γώς, ἢ κυβεύεις, ἢ ὀρτυγοκοπεῖς, ἢ καπηλεύεις, ἢ τοκογλυφεῖς, μηδὲν μέγα φρο-
νῶν, μηδὲ ἄξιον τῆς εὐγενείας. μὴ πλοῦτον εἴπῃς οὐχὶ θαυμάζω θεόν, ὃν καὶ
ὁ κάκιστος ῥᾳδίως ἐκτήσατο. οὐκοῦν μηδὲ δόξαν εἴπῃς, μηδὲ σώματος εὐμορφί-
αν, μηδὲ στρατηγικὴν χλαμύδα, μηδ' ἱερατικὸν στέφανον, ὧν καὶ τοὺς κακίστους ὁρῶ
μεν τυγχάνοντας. τῆς δειλίας γὰρ αἰσχρὰ γίνεται τέκνα. καὶ ναὶ μὰ δία
τῆς ἀκολασίας, καὶ τῆς δεισιδαιμονίας, καὶ τοῦ φθόνου, καὶ τῶν ἄλλων νοση
μάτων ἁπάντων. ἄριστα δὲ εἰρηκότος ὁμήρου τό, δύσπαρι εἶδος ἄριστε, καὶ τό,
ἕκτορ εἶδος ἄριστε, ψόγου γὰρ ἀποφαίνει καὶ λοιδορίας ἄξιον, ᾧ μηδέν ἐστιν ἀγα
θὸν εὐμορφίας κάλλιον, ἐφαρμοστέον τοῦτο καὶ τοῖς ὁμοίοις κολούοντα τοὺς με-
γαφρονοῦντας ἐπὶ τοῖς μηδενὸς ἀξίοις, καὶ διδάσκοντα τοὺς νέους ὄνειδος ἡ-
γεῖσθαι καὶ λοιδορίαν, τὸ χρήμασιν ἄριστε, καὶ δείπνοις ἄριστε, καὶ παισίν, ἢ ὑπο
ζυγίοις ἄριστε, καὶ νὴ δία, τῷ λέγειν ἐφεξῆς ἄριστε. δεῖ γὰρ ἐκ τῶν καλῶν διώκειν
τὴν ὑπεροχήν, καὶ περὶ τὰ πρῶτα πρῶτον εἶναι, καὶ μέγαν ἐν τοῖς μεγίστοις. ἡ
δὲ ἀπὸ μικρῶν δόξα καὶ φαύλων, ἄδοξός ἐστι καὶ ἀφιλότιμος. τοῦτο δ' ἡμᾶς
εὐθὺς ὑπομιμνήσκει τὸ παράδειγμα, τὸ τοὺς ψόγους ἀποθεωρεῖν, καὶ τοὺς ἐπαί-
νους, ἐν τοῖς ὁμήρου μάλιστα ποιήμασιν. ἔμφασις γὰρ γίνεται μεγάλη, τοῦ τὰ
σωματικὰ καὶ τυχηρὰ μὴ μεγάλης ἄξια σπουδῆς νομίζειν. πρῶτον μὲν γὰρ

ἐν ταῖς δεξιώσεσι καὶ ἀνακλήσεσιν, οὐ καλοὺς, οὐδὲ πλουσίους, οὐδ' ἰσχυροὺς προσαγορεύουσιν, ἀλλὰ τοιαύταις εὐφημίαις χρῶνται, διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ. καὶ, Ἕκτορ υἱὲ Πριάμοιο Διὶ μῆτιν ἀτάλαντε. καὶ, ὦ Ἀχιλλεῦ Πηλέως υἱὲ μέγα κῦδος Ἀχαιῶν. καὶ, διὲ Μενοιτιάδη τῷ 'μῷ κεχαρισμένε θυμῷ. ἔπειτα λοιδοροῦσιν οὐδὲν ἐφαπτόμενοι τῶν σωματικῶν, ἀλλὰ τοῖς ἁμαρτήμασι τοὺς ψόγους ἐπιφέροντες, οἰνοβαρὲς κυνὸς ὄμματ' ἔχων κραδίην δ' ἐλάφοιο. καὶ, Αἶαν νεῖκος ἄριστε κακοφραδές. καὶ, Ἰδομενεῦ τί πάρος λαβρεύεαι; οὐδέ τί σε χρὴ λαβραγόρην ἔμεναι. καὶ, Αἶαν ἁμαρτοεπὲς βουγάϊε. καὶ τέλος ὁ Θερσίτης ὑπὸ τοῦ Ὀδυσσέως, οὐ χωλὸς, οὐ φαλακρὸς, οὐ κυρτὸς, ἀλλ' ἀκριτόμυθος λοιδορεῖται. τὸν δ' Ἥφαιστον ἡ τεκοῦσα, καὶ φιλοφρονουμένη προσηγόρευσεν ἀπὸ τῆς χωλότητος, ὄρσεο κυλλοπόδιον ἐμὸν τέκος. οὕτως Ὅμηρος καταγελᾷ τῶν αἰσχυνομένων ἐπὶ χωλότησιν, ἢ τυφλότησιν, οὔτε ψεκτὸν ἡγούμενος τὸ μὴ αἰσχρὸν, οὔτε αἰσχρὸν τὸ μὴ δι' ἡμᾶς, ἀλλ' ἀπὸ τύχης γινόμενον. δύο δὴ περιγίνεται μεγάλα τοῖς τῶν ποιητῶν ἐθιζομένοις ἀκούειν, τὸ μὲν εἰς μετριότητα, μηδενὶ τύχην ἐπαχθῶς καὶ ἀνοήτως ὀνειδίζειν, τὸ δὲ εἰς μεγαλοφροσύνην αὖ, τοὺς χρησαμένους τύχαις, μὴ ταπεινοῦσθαι, μηδὲ ταράττεσθαι, φέρειν δὲ πράως καὶ σκώμματα καὶ λοιδορίας καὶ γέλωτας, μάλιστα μὲν τὸ τοῦ Φιλήμονος ἔχοντας πρόχειρον. ἥδιον οὐδὲν οὐδὲ μουσικώτερον ἔστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν. ἂν δὲ φαίνηταί τις ἐπιλήψεως δεόμενος, τῶν ἁμαρτημάτων καὶ τῶν παθῶν ἐπιλαμβάνου, ὥσπερ ὁ τραγικὸς Ἄδραστος τοῦ Ἀλκμαίωνος εἰπόντος πρὸς αὐτὸν, ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς, ἀπεκρίνατο, σὺ δ' αὐτόχειρ γε μητρὸς ἥ σ' ἐγείνατο. καθάπερ γὰρ οἱ τὰ ἱμάτια μαστιγοῦντες οὐχ ἅπτονται τοῦ σώματος, οὕτως οἱ δυστυχίας τινὸς ἢ δυσγενείας ὀνειδίζοντες, εἰς τὰ ἐκτὸς ἐντείνονται κενῶς καὶ ἀνοήτως, τῆς ψυχῆς δ' οὐ θιγγάνουσιν, οὐδὲ τῶν ἀληθῶς ἐπανορθώσεως δεομένων καὶ δήξεως. καὶ μὴν ὥσπερ ἐπάνω πρὸς τὰ φαῦλα καὶ βλαβερὰ ποιήματα λόγους καὶ γνώμας ἀντιτάσσοντες ἐνδόξων καὶ πολιτικῶν ἀνδρῶν, ἐδοκοῦμεν ἀφιστάναι καὶ ἀνακρούειν τὴν πίστιν, οὕτως ὅτι ἂν ἀστεῖον εὕρωμεν παρ' αὐτοῖς καὶ χρηστὸν, ἐκτρέφειν χρὴ καὶ αὔξειν ἀποδείξεσι καὶ μαρτυρίαις φιλοσόφοις, ἀποδιδόντας τὴν εὕρεσιν ἐκείνοις. καὶ γὰρ δίκαιον καὶ ὠφέλιμον, ἰσχὺν τῆς πίστεως καὶ ἀξίωμα προσλαμβανούσης, ὅταν τοῖς ἀπὸ σκηνῆς λεγομένοις, καὶ πρὸς λύραν ᾀδομένοις, καὶ μελετωμένοις ἐν διδασκαλείῳ τὰ Πυθαγόρου δόγματα καὶ Πλάτωνος ὁμολογῇ, καὶ τὰ Χίλωνος παραγγέλματα, καὶ τὰ Βίαντος ἐπὶ τὰς αὐτὰς ἄγει γνώμας ἐκείνοις τοῖς παιδικοῖς ἀναγνώσμασιν. ὅθεν οὐ παρέργως ὑποδεικτέον, ὅτι τὸ μὲν, τέκνον ἐμὸν οὔτοι δέδοται πολεμήϊα ἔργα, ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο. καὶ τὸ, Ζεὺς γάρ τοι νεμεσᾷ ὅτ' ἀμείνονι φωτὶ μάχοιο, οὐδὲν διαφέρει τοῦ γνῶθι σαυτὸν, ἀλλὰ τὴν αὐτὴν ἔχει διάνοιαν ἐκείνῳ. τὸ δὲ, νήπιοι οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντὸς, καὶ τὸ, ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη, ταὐτόν ἐστι τοῖς Πλάτωνος ἐν Γοργίᾳ καὶ Πολιτείᾳ δόγμασι, περὶ τοῦ τὸ ἀδικεῖν κάκιον εἶναι τοῦ ἀδικεῖσθαι, καὶ τοῦ κακῶς πάσχειν, τὸ ποιεῖν κακῶς βλαβερώτερον. ἐπιρρητέον δὲ καὶ τῷ Αἰσχύλῳ, θάρσει, πόνου γὰρ ἄκρον οὐκ ἔχει χρόνον. ὅτι τοῦτό ἐστι τὸ παρ' Ἐπικούρῳ θρυλούμενον, ἀεὶ καὶ θαυμαζόμενον, ὡς οἱ μεγάλοι πόνοι, συντόμως ἐξάγουσιν, οἱ δὲ χρόνιοι μέγεθος οὐκ ἔχουσιν. ὧν τὸ μὲν εἴρηκεν ὁ Αἰσχύλος ἐναργῶς, τὸ δὲ τῷ εἰρημένῳ παρακείμενόν ἐστιν, εἰ γὰρ ὁ μέγας καὶ σύντονος οὐ παραμένει πόνος, οὐκ ἔστι μέγας ὁ παραμένων, οὐδὲ δυσκαρτέρητος. τὰ δὲ τοῦ Θέσπιδος ταυτὶ, ὁρᾷς ὅτι Ζεὺς τῷδε πρωτεύει θεῶν, οὐ ψεῦδος, οὐ κόμπον, οὐ μῶρον γέλων ἀσκῶν, τὸ δ' ἡδὺ μόνος οὐκ ἐπί-

σταται, τί διαφέρει τοῦ, πόρρω γὰρ ἡδονῆς καὶ λύπης ἵδρυται τὸ θεῖον, ὡς Πλάτων ἔλεγε. τὸ δὲ, φαμὲν πιστὸν κῦδος ἔχειν ἀρετάν· πλοῦτος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ, λεγόμενον ὑπὸ τοῦ Βακχυλίδου. καὶ πάλιν ὑπὸ τοῦ Εὐριπίδου παραπλησίως. ἐγὼ δ' οὐδὲν πρεσβύτερον νομίζω τᾶς σωφροσύνας, ἐπεὶ τοῖς ἀγαθοῖς ἀεὶ σύνεστι. καὶ τὸ, τί μὰν τὰν τέταθε, πλοῦτον δ' ἀρετὰν κατεργασάσθω, δοκεῖτ' ἐν ἐσθλοῖσι δὲ καθήσεσθ' ἂν ὄλβιοι, ἆρα οὐκ ἀπόδειξιν ἔχει ὧν οἱ φιλόσοφοι λέγουσι περὶ πλούτου, καὶ τῶν ἐκτὸς ἀγαθῶν, ὡς χωρὶς ἀρετῆς ἀνωφελῶν ὄντων καὶ ἀνονήτων τοῖς ἔχουσι; τὸ γὰρ οὕτω συνάπτειν καὶ συνοικειοῦν τοῖς δόγμασιν, ἐξάγει τὰ ποιήματα τοῦ μύθου, καὶ τοῦ προσωπείου, καὶ σπουδὴν περιτίθησι τοῖς χρησίμως λεγομένοις· ἔτι δὲ, προανοίγει καὶ προσκλίνει τὴν τοῦ νέου ψυχὴν τοῖς ἐν φιλοσοφίᾳ λόγοις. ἔρχεται γὰρ, οὐκ ἄγευστος αὐτῶν παντάπασιν, οὐδὲ ἀνήκοος, οὐδὲ ἀκρίτως ἀνάπλεως, ὧν ἤκουε τῆς μητρὸς ἀεὶ καὶ τίτθης, καὶ νὴ Δία τοῦ πατρὸς, καὶ τοῦ παιδαγωγοῦ, τοὺς πλουσίους εὐδαιμονιζόντων καὶ σεβομένων, φριττόντων δὲ τὸν θάνατον καὶ τὸν πόνον, ἄζηλον δὲ καὶ τὴν ἀρετὴν, καὶ τὸ μηδὲν ἄνευ χρημάτων καὶ δόξης ἀγόντων, οἷς ἀντίφωνα τῶν φιλοσόφων ἀκούοντας αὐτοὺς τὸ πρῶτον ἔκπληξις ἴσχει καὶ ταραχὴ καὶ θάμβος, οὐ προσιεμένους οὐδὲ ὑπομένοντας, ἂν μὴ καθάπερ ἐκ σκότους πολλοῦ μέλλοντες ἥλιον ὁρᾶν ἐθισθῶσι, καθάπερ ἐν νόθῳ φωτὶ τοῖς κεκραμμένοις μύθοις ἀληθείας αὐγὴν ἔχοντι μαλθακὴν ἀλύπως διαβλέπειν τὰ τοιαῦτα καὶ μὴ φεύγειν. προακηκοότες γὰρ ἐν τοῖς ποιήμασι, καὶ προανεγνωκότες, τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά· τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον, χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων. καὶ, ἐπεὶ τί δεῖ βροτοῖσι πλὴν δυεῖν μόνον, Δήμητρος ἀκτῆς, πώματός θ' ὑδρηχόου; καὶ, ὦ τυραννὶ βαρβάρων ἀνδρῶν φίλη. καὶ, ἡ βροτῶν τ' εὐπραξία, τῶν τὰ ἐλάχιστα γινομένων λυπουμένων, ἧττον ταράττονται καὶ δυσκολαίνουσι παρὰ τοῖς φιλοσόφοις ἀκούοντες, ὡς ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς. καὶ ὁ τῆς φύσεως πλοῦτος ὥρισται. καὶ τὸ εὔδαιμον καὶ μακάριον οὐ χρημάτων πλῆθος, οὐδὲ πραγμάτων ὄγκος, οὐδ' ἀρχαί τινες ἔχουσιν, οὐδὲ δυνάμεις, ἀλλ' ἀλυπία, καὶ πραότης παθῶν, καὶ διάθεσις ψυχῆς τὸ κατὰ φύσιν ὁρίζουσα. διὸ καὶ τούτων ἕνεκα καὶ τῶν προειρημένων ἁπάντων, ἀγαθῆς δεῖ τῷ νέῳ κυβερνήσεως, περὶ τὴν ἀνάγνωσιν, ἵνα μὴ προδιαβληθεὶς, ἀλλὰ μᾶλλον προπαιδευθεὶς, εὐμενὴς, καὶ φίλος, καὶ οἰκεῖος ὑπὸ ποιητικῆς ἐπὶ φιλοσοφίαν προπέμπηται.

ΠΕΡΙ ΤΟΥ ΑΚΟΥΕΙΝ·

Ἣν γενομένην μοι σχολὴν περὶ τοῦ ἀκούειν, ὦ Νίκανδρε, ἀπέσταλκά σοι γράψας, ὅπως εἰδῇς τοῦ πείθοντος ὀρθῶς ἀκούειν, ὅτε τῶν προσταττόντων ἀπήλλαξαι, τὸ ἀνδρεῖον ἀνειληφὼς ἱμάτιον. ἀναρχία μὲν γὰρ, ἣν ἔνιοι τῶν νέων ἐλευθερίαν ἀπαιδευσίᾳ νομίζουσι, χαλεπωτέρους ἐκείνων τῶν ἐν παισὶ διδασκάλων καὶ παιδαγωγῶν δεσπότας ἐφίστησι τὰς ἐπιθυμίας, ὥσπερ ἐκ δεσμῶν λυθείσας. καὶ καθάπερ Ἡρόδοτός φησιν ἅμα τῷ χιτῶνι συνεκδύεσθαι τὴν αἰδῶ τὰς γυναῖκας, οὕτως ἔνιοι τῶν νέων, ἅμα τῷ τὸ παιδικὸν ἱμάτιον ἀποθέσθαι, συναποθέμενοι τὸ αἰδεῖσθαι καὶ φοβεῖσθαι, καὶ λύσαντες τὴν κατασχηματίζουσαν αὐτοὺς περιβολὴν, εὐθὺς ἐμπίπλανται τῆς ἀναγωγίας. σὺ δὲ πολλάκις ἀκηκοὼς, ὅτι ταὐτόν ἐστι τὸ ἕπεσθαι θεῷ, καὶ τὸ πείθεσθαι λόγῳ, νόμιζε τὴν εἰς

ἀνδράσιν ἐκ παίδων ἀγωγήν, οὐκ ἀρχῆς εἶναι τοῖς εὖ φρονοῦσιν ἀποβολήν, ἀλλὰ μεταβολὴν ἄρχοντος, ἀντὶ μισθωτοῦ τινὸς ἢ ἀργυρωνήτου, θεῖον ἡγεμόνα τοῦ βίου λαμβάνουσαν τὸν λόγον, ᾧ τοὺς ἑπομένους ἄξιόν ἐστι μόνους ἐλευθέρους νομίζειν. μόνοι γὰρ ἃ δεῖ, βούλεσθαι μαθόντες, ὡς βούλονται ζῶσι· τοῖς δ' ἀπαιδεύτοις καὶ παραλόγοις ὁρμαῖς καὶ πράξεσιν ἀγεννὲς ἔνεστι καὶ μικρὸν ἐν πολλῷ τῷ μετανοοῦντι τὸ ἑκούσιον. ἐπεὶ δ' ὥσπερ τῶν ἐγγραφομένων εἰς τὰς πολιτείας, οἱ μὲν ἀλλοδαποὶ καὶ ξένοι κομιδῇ πολλὰ μέμφονται καὶ δυσκολαίνουσι τῶν γινομένων, οἱ δ' ἐκ μετοίκων σύντροφοι καὶ συνήθεις ὄντες τῶν νόμων, οὐ χαλεπῶς προσδέχονται τὰ ἐπιβάλλοντα καὶ στέργουσιν, οὕτως ἔδει πολὺν χρόνον ἐν φιλοσοφίᾳ παρατρεφόμενον καὶ πᾶν μάθημα καὶ ἄκουσμα παιδικὸν ἀπ' ἀρχῆς ἐθισθέντα προσφέρεσθαι λόγῳ φιλοσόφῳ μεμιγμένον, εὐμενῆ καὶ οἰκεῖον ἥκειν εἰς φιλοσοφίαν, ἣ μόνη τὸν ἀνδρεῖον καὶ τέλειον ὡς ἀληθῶς ἐκ λόγου τοῖς νέοις περιτίθησι κόσμον. ἡδέως δ' οἶμαί σε προσακοῦσαι τὰ περὶ τῆς ἀκουστικῆς αἰσθήσεως, ἣν ὁ Θεόφραστος παθητικωτάτην εἶναί φησι πασῶν. οὔτε γὰρ ὁρατὸν οὐδὲν, οὔτε γευστόν, οὔτε ἁπτόν, ἐκστάσεις ἐπιφέρει καὶ ταραχὰς καὶ πτοίας τηλικαύτας, ἡλίκαι καταλαμβάνουσι τὴν ψυχήν, κτύπων τινῶν καὶ πατάγων καὶ ἤχων τῇ ἀκοῇ προσπεσόντων. ἔστι δὲ λογικωτέρα μᾶλλον ἢ παθητικωτέρα. τῇ μὲν γὰρ κακίᾳ πολλὰ χωρία καὶ μέρη τοῦ σώματος παρέχει δι' αὐτῶν ἐνδῦσαν ἅψασθαι τῆς ψυχῆς· τῇ δ' ἀρετῇ μία λαβὴ τὰ ὦτα τῶν νέων ἐστίν, ἂν ᾖ καθαρὰ καὶ ἄθρυπτα κολακείᾳ, καὶ λόγοις ἄθικτα φαύλοις ἀπ' ἀρχῆς φυλάττηται. διὸ καὶ Ξενοκράτης τοῖς παισὶ μᾶλλον ἢ τοῖς ἀθληταῖς ἐκέλευε περιάπτειν ἀμφωτίδας, ὡς ἐκείνων μὲν τὰ ὦτα ταῖς πληγαῖς, τούτων δὲ τοῖς λόγοις τὰ ἤθη διαστρεφομένων, οὐκ ἀνηκοΐαν οὐδὲ κωφότητα προμνώμενος, ἀλλὰ τῶν λόγων τοὺς φαύλους φυλάττεσθαι παραινῶν, πρὶν ἑτέρους χρηστοὺς ὥσπερ φύλακας ὑπὸ φιλοσοφίας τῷ ἤθει, τὴν μάλιστα κινουμένην αὐτοῦ καὶ ἀναπειθομένην χώραν κατασχεῖν. καὶ Βίας ὁ παλαιὸς Ἀμάσιδι κελευσθεὶς τὸ χρηστότατον ἀποπέμψαι κρέας τοῦ ἱερείου, τὴν γλῶτταν ἐξελὼν ἀπέπεμψεν, ὡς καὶ βλάβας καὶ ὠφελείας τοῦ λέγειν ἔχοντος μεγίστας. οἵ τε πολλοὶ τὰ μικρὰ παιδία καταφιλοῦντες, αὐτοί τε τῶν ὤτων ἅπτονται, κἀκεῖνα τοῦτο ποιεῖν κελεύουσιν, αἰνιττόμενοι μετὰ παιδιᾶς, ὅτι δεῖ φιλεῖν μάλιστα τοὺς διὰ τῶν ὤτων ὠφελοῦντας. ἐπεὶ ὅτι γε πάσης ἀκροάσεως ἀπειργόμενος ὁ νέος, καὶ λόγου μηδενὸς γευόμενος, οὐ μόνον ἄκαρπος ὅλως καὶ ἀβλαστὴς διαμενεῖ πρὸς ἀρετήν, ἀλλὰ καὶ διαστρέφοιτ' ἂν πρὸς κακίαν, ὥσπερ ἐκ χώρας ἀκινήτου καὶ ἀργῆς ἄγρια πολλὰ τῆς ψυχῆς ἀναδιδούς, δῆλόν ἐστι. τὰς γὰρ ἐφ' ἡδονὴν ὁρμὰς καὶ πρὸς πόνον ὑποψίας, οὐ θυραίους οὐδ' ἀπὸ λόγων ἐπεισάκτους, ἀλλ' ὥσπερ αὐτόχθονας οὔσας μυρίων παθῶν καὶ νοσημάτων πηγάς, ἂν ἐᾷ τις ἀφέτους ᾗ πεφύκασι χωρεῖν, καὶ μὴ λόγοις χρηστοῖς ἀφαιρῶν ἢ παρατρέπων καθιστῇ τὴν φύσιν, οὐκ ἔστιν ὅ τι τῶν θηρίων οὐκ ἂν ἡμερώτερον ἀνθρώπου φανείη. διὸ μεγάλην μὲν ὠφέλειαν, οὐκ ἐλάττω δὲ κίνδυνον τοῖς νέοις τοῦ ἀκούειν ἔχοντος, οἶμαι καλῶς ἔχειν καὶ περὶ τοῦ ἀκούειν ἀεὶ καὶ πρὸς ἕτερον διαλέγεσθαι. ἐπεὶ καὶ τούτῳ κακῶς τοὺς πλείστους χρωμένους ὁρῶμεν, οἳ λέγειν ἀσκοῦσι, πρὶν ἀκούειν ἐθισθῆναι· καὶ λόγων μὲν οἴονται μάθησιν εἶναι καὶ μελέτην, ἀκροάσει δὲ καὶ τοὺς ὁπωσοῦν χρωμένους ὠφελεῖσθαι. καίτοι τοῖς μὲν σφαιρίζουσιν ἅμα τοῦ βαλεῖν καὶ τοῦ λαβεῖν τὴν σφαῖραν ἡ μάθησις, ἐν δὲ τῇ τοῦ λόγου χρείᾳ, τὸ δέξασθαι καλῶς, τοῦ προέσθαι πρότερόν ἐστιν, ὥσπερ τοῦ τεκεῖν

τὸ συλλαβεῖν

τὸ συλλαβεῖν τι καὶ κατασχεῖν τῶν γονίμων. ταῖς μὲν οὖν ὄρνισι τὰς ὑπηνεμίους λοχείας καὶ ὠδῖνας, ἀτελῶν τινῶν καὶ ἀψύχων ὑπολειμμάτων ἀρχὰς λέγουσιν εἶναι· τῶν δὲ ἀκούειν μὴ δυναμένων νέων, μηδὲ ὠφελεῖσθαι δι' ἀκοῆς ἐθισθέντων, ὑπηνέμιος ὄντως ὁ λόγος ἐκπίπτων, ἀκλεὴς ἄδηλος ὑπαὶ νεφέεσσι κεδάσθη. τὰ μὲν γὰρ ἀγγεῖα πρὸς τὴν ὑποδοχὴν τῶν ἐγχεομένων ἐπικλίνουσι καὶ συνεπιστρέφουσιν, ἵν' ἔγχυσις ἀληθῶς, μὴ ἔκχυσις γένηται. αὑτοὺς δὲ τῷ λέγοντι παρέχειν καὶ συναρμόττειν τῇ προσοχῇ τὴν ἀκρόασιν, ὡς μηδὲν ἐκφύγοι τῶν χρησίμως λεγομένων, οὐ μανθάνουσιν. ἀλλ' ὃ πάντων καταγελαστότατόν ἐστιν, ἂν μέν τινι προστύχωσι διηγουμένῳ δεῖπνον, ἢ πομπήν, ἢ ὄνειρον, ἢ λοιδορίαν γεγενημένην αὐτῷ πρὸς ἄλλον, ἀκροῶνται σιωπῇ καὶ προσλιπαροῦσιν· ἂν δέ τις αὐτοὺς ἐπισπασάμενος διδάσκῃ τι τῶν χρησίμων, ἢ παραινῇ τῶν δεόντων, ἢ νουθετῇ πλημμελοῦντας, ἢ καταπραΰνῃ χαλεπαίνοντας, οὐχ ὑπομένουσιν, ἀλλ' ἐὰν μὲν δύνωνται, φιλοτιμούμενοι περιγενέσθαι, διαμάχονται πρὸς τὸν λόγον, εἰ δὲ μή, φεύγοντες ἀπίασι πρὸς ἑτέρους λόγους καὶ φλυάρους, ὡς ἀγγεῖα φαῦλα καὶ σαθρὰ τὰ ὦτα πάντως μᾶλλον ἢ τῶν ἀναγκαίων ἐμπιπλάντες. τοὺς μὲν οὖν ἵππους οἱ καλῶς τρέφοντες, εὐστόμους τῷ χαλινῷ, τοὺς δὲ παῖδας, εὐηκόους τῷ λόγῳ παρέχουσι, πολλὰ μὲν ἀκούειν, μὴ πολλὰ δὲ λέγειν διδασκομένους. καὶ γὰρ τὸν Ἐπαμινώνδαν ὁ Σπίνθαρος ἐπαινῶν, ἔφη μήτε πλείονα γινώσκοντι μήτε ἐλάττονα φθεγγομένῳ ῥᾳδίως ἐντυχεῖν ἑτέρῳ. καὶ τὴν φύσιν ἡμῶν ἑκάστῳ λέγουσι δύο μὲν ὦτα δοῦναι, μίαν δὲ γλῶτταν, ὡς ἐλάττονα λέγειν ἢ ἀκούειν ὀφείλοντι. πανταχοῦ μὲν οὖν τῷ νέῳ κόσμος ἀσφαλής ἐστιν ἡ σιωπή, μάλιστα δ' ὅταν ἀκούων ἑτέρου μὴ συνταράττηται, μηδ' ἐξυλακτῇ πρὸς ἕκαστον, ἀλλὰ κἂν ὁ λόγος ᾖ μὴ λίαν ἀρεστός, ἀνέχηται καὶ περιμένῃ παύσασθαι τὸν διαλεγόμενον, καὶ παυσαμένου, μὴ εὐθέως ἐπιβάλλῃ τὴν ἀντίρρησιν, ἀλλ' ὡς Αἰσχίνης φησί, διαλείπῃ χρόνον, εἴτε προσθεῖναί τι βούλοιτο τοῖς λελεγμένοις ὁ εἰρηκώς, εἴτε μεταθέσθαι καὶ ἀφελεῖν. οἱ δὲ εὐθὺς ἀντικόπτοντες, οὔτε ἀκούοντες, οὔτε ἀκουόμενοι, λέγοντες δὲ πρὸς λέγοντας, ἀσχημονοῦσιν. ὁ δ' ἐγκρατῶς καὶ μετ' αἰδοῦς ἀκούειν ἐθισθείς, τὸν μὲν ὠφέλιμον λόγον ἐδέξατο καὶ κατέσχε, τὸν δ' ἄχρηστον ἢ ψευδῆ μᾶλλον διεῖδε καὶ κατεφώρασε, φιλαλήθης φανείς, οὐ φιλόνεικος, οὐδὲ προπετὴς καὶ δύσερις. ὅθεν οὐ κακῶς ἔνιοι λέγουσιν, ὅτι δεῖ τῶν νέων μᾶλλον ἐκπνευματοῦν τὸ οἴημα καὶ τὸν τῦφον, ἢ τῶν ἀσκῶν τὸν ἀέρα, τοὺς ἐγχέαι τι βουλομένους χρήσιμον, εἰ δὲ μή, γέμοντες ὄγκου καὶ φυσήματος, οὐ προσδέχονται. φθόνος τοίνυν μετὰ βασκανίας καὶ δυσμενείας οὐδενὶ μὲν ἔργῳ παρὼν ἀγαθόν, ἀλλὰ πᾶσιν ἐμπόδιος τοῖς καλοῖς, κάκιστος δὲ ἀκροωμένῳ πάρεδρος, καὶ σύμβουλος, ἀνιαρὰ καὶ ἀηδῆ καὶ δυσπρόσδεκτα ποιῶν τὰ ὠφέλιμα, διὰ τὸ πᾶσι μᾶλλον ἥδεσθαι τοὺς φθονοῦντας ἢ τοῖς εὖ λεγομένοις. καίτοι πλοῦτος μέν τινα δάκνει, καὶ δόξα, καὶ κάλλος, ἑτέροις ὑπάρχοντα, φθονερός ἐστι μόνον· ἄχθεται γὰρ ἄλλων εὐτυχούντων. ὁ δὲ λόγῳ καλῶς λεγομένῳ δυσχεραίνων, ἐπὶ τῶν ἰδίων ἀγαθῶν ἀνιᾶται. ὡς γὰρ τὸ φῶς τῶν βλεπόντων, καὶ ὁ λόγος τῶν ἀκουόντων ἀγαθόν ἐστιν, ἂν βούλωνται δέχεσθαι. τὸν μὲν τὸν ἐφ' ἑτέροις φθόνον, ἄλλαι τινὲς ἀπαίδευτοι καὶ κακαὶ διαθέσεις ἐμποιοῦσιν· ὁ δὲ πρὸς τοὺς λέγοντας ἐκ φιλοδοξίας ἀκαίρου καὶ φιλοτιμίας ἀδίκου γινόμενος, οὐδὲ προσέχειν ἐᾷ τοῖς λεγομένοις τὸν οὕτω διακείμενον, ἀλλὰ θορυβεῖ καὶ περισπᾷ τὴν διάνοιαν, ἅμα μὲν τὴν ἑαυτῆς ἕξιν ἐπισκοποῦσαν, εἰ λείπεται τῆς τοῦ λέγοντος, ἅμα δὲ τοὺς ἄλλους ἐπιβλέπουσαν, εἰ ἄγονται καὶ θαυ-

μάζουσιν, ἐκπληττομένην ὑπὸ τῶν ἐπαίνων, καὶ ἀγριαίνουσαν πρὸς τοὺς πα-
ρόντας, ἂν ἀποδέχωνται τὸν λέγοντα. τῶν δὲ λόγων, τοὺς μὲν εἰρημένους
ἐῶσαν καὶ προϊεμένην ὅτι λυποῦσι μνημονευόμενοι, πρὸς δὲ τοὺς εἰπόντας
ταραττομένην καὶ τρέμουσαν, μὴ τῶν εἰρημένων βελτίονες λέγωνται. σπεύ-
δουσαν δὲ τάχιστα παύσασθαι τοὺς λέγοντας, ὅταν κάλλιστα λέγωσι· λυθεί-
σης δὲ τῆς ἀκροάσεως, πρὸς οὐδενὶ τῶν εἰρημένων οὖσαν, ἀλλὰ τὰς φωνὰς καὶ
διαθέσεις τῶν παρόντων ἐπιψηφίζουσαν, καὶ τοὺς μὲν ἐπαινοῦντας, ὥσπερ
ἐμμανῆ φεύγουσαν καὶ ἀποπηδῶσαν, προστρέχουσαν δὲ καὶ συναγελαζομέ-
νην τοῖς ψέγουσι τὰ εἰρημένα, καὶ διαστρέφουσιν, ἂν δὲ μηδενὶ διαστρέψαι
παραβάλλουσα νεωτέρας τινάς, ὡς ἄμεινον εἰρηκότας εἰς τὸ αὐτὸ καὶ δυνατώ-
τερον, ἕως διαφθείρασα καὶ λυμηναμένη τὴν ἀκρόασιν, ἀχρεῖον ἑαυτῇ καὶ ἀνό-
νητον ἀπεργάσηται. διὸ δεῖ τῇ φιληκοΐᾳ πρὸς τὴν φιλοδοξίαν σπεισάμε-
νον ἀκροᾶσθαι τοῦ λέγοντος ἵλεων καὶ πρᾶον, ὥσπερ ἐφ' ἑστίασιν ἱερὰν καὶ θυ-
σίας ἀπαρχὴν παρειλημμένον, ἐπαινοῦντα μὲν, οἷς ἐπιτυγχάνει τὴν δύνα-
μιν, ἀγαπῶντα δὲ τὴν προθυμίαν αὐτὴν τοῦ φέροντος εἰς μέσον, ἃ γινώσκει,
καὶ πείθοντος ἑτέρους δι' ὧν αὐτὸς πέπεισται. τοῖς μὲν οὖν κατορθουμένοις,
ἐπιλογιστέον, ὡς οὐκ ἀπὸ τύχης οὐδὲ αὐτομάτως, ἀλλ' ἐπιμελείᾳ, καὶ πόνῳ, καὶ
μαθήσει κατορθοῦνται· καὶ μιμητέον ταῦτα θαυμάζοντάς γε δὴ καὶ ζηλοῦν-
τας. τοῖς δὲ ἁμαρτανομένοις, ἐφιστάναι χρὴ τὴν διάνοιαν ὑφ' ὧν αἰτιῶν καὶ ὅθεν
ἡ παραδρομὴ γέγονεν. ὡς γὰρ ὁ Ξενοφῶν φησι τοὺς οἰκονομικούς, καὶ ἀπὸ τῶν
φίλων ὀνίνασθαι καὶ ἀπὸ τῶν ἐχθρῶν, οὕτως τοὺς ἐγρηγορότας καὶ προσέχον-
τας οὐ μόνον κατορθοῦντες, ἀλλὰ καὶ διαμαρτάνοντες ὠφελοῦσιν οἱ λέγον-
τες. καὶ γὰρ διανοήματος εὐτέλεια, καὶ ῥήματος κενότης, καὶ σχῆμα φορτικόν,
καὶ πτόησις μετὰ χαρᾶς ἀπειροκάλου πρὸς ἔπαινον, καὶ ὅσα τοιαῦτα, μᾶλλον
ἀκροωμένοις ἐφ' ἑτέρων, ἢ λέγουσιν ἐφ' ἑαυτῶν καταφαίνεται. διὸ δεῖ με-
ταφέρειν τὴν εὐθύνην ἐφ' ἑαυτοὺς ἀπὸ τοῦ λέγοντος ἀνασκοποῦντας, εἴ τι τοι-
οῦτον λανθάνομεν ἁμαρτάνοντες. ῥᾷστον γάρ ἐστι τῶν ὄντων τὸ μέμψασθαι τὸν
πλησίον, ἀχρήστως τε καὶ κενῶς γινόμενον, ἂν μὴ πρός τινα διόρθωσιν, ἢ φυλα-
κὴν ἀναφέρηται τῶν ὁμοίων. καὶ τὸ τοῦ Πλάτωνος οὐκ ὀκνητέον ἀεὶ πρὸς αὐ-
τὸν ἐπὶ τῶν ἁμαρτανόντων ἀναφθέγγεσθαι, ἦ πού ἄρ' ἐγὼ τοιοῦτος; ὡς γὰρ
ἐν τοῖς ὄμμασι τῶν πλησίων ἐλλάμποντα τὰ ἑαυτῶν ὁρῶμεν, οὕτως ἐπὶ τῶν λό-
γων δεῖ τὰ ἑαυτῶν εἰκονίζεσθαι τοῖς ἑτέρων, ἵνα μήτε ἄγαν θρασέως καταφρο-
νῶμεν ἄλλων, αὐτοῖς τε προσέχωμεν ἐν τῷ λέγειν ἐπιμελέστερον. χρήσιμον
δὲ πρὸς τοῦτο καὶ τὸ τῆς παραβολῆς, ὅταν γενόμενοι καθ' αὑτοὺς ἀπὸ τῆς ἀκρο-
άσεως, καὶ λαβόντες τι τῶν μὴ καλῶς, ἢ μὴ ἱκανῶς εἰρῆσθαι δοκούντων, ἐπιχει-
ρῶμεν εἰς ταὐτὸ καὶ προάγωμεν αὑτούς, τὰ μὲν ὥσπερ ἀναπληροῦν, τὰ δ' ἐπα-
νορθοῦσθαι, τὰ δὲ ἑτέρως φράζειν, τὰ δ' ὅλως εἰσφέρειν ἐξ ὑπαρχῆς πειρώ-
μενοι πρὸς τὴν ὑπόθεσιν· ὃ καὶ Πλάτων ἐποίησε πρὸς τὸν Λυσίου λόγον. τὸ μὲν ἀν-
τειπεῖν, οὐ χαλεπόν, ἀλλὰ καὶ πάνυ ῥᾴδιον, εἰρημένον λόγον, τὸ δ' ἕτερον ἀντα-
ναστῆσαι βελτίονα, παντάπασιν ἐργῶδες. ὥσπερ ὁ Λακεδαιμόνιος ἀκούσας
ὅτι Φίλιππος Ὄλυνθον κατέσκαψεν, ἀλλ' οὐκ ἀναστῆσαί γε τοιαύτην ἔφη πό-
λιν ἐκεῖνος ἂν δυνηθείη. ὅταν οὖν ἐν τῷ διαλέγεσθαι πρὸς τὴν αὐτὴν ὑπό-
θεσιν μὴ πολὺ φαινώμεθα τῶν εἰρηκότων διαφέροντες, πολὺ τοῦ καταφρονεῖν
ἀφαιροῦμεν, καὶ τάχιστα κολούεται τὸ αὔθαδες ἡμῶν καὶ φίλαυτον ἐν ταῖς
τοιαύταις ἐλεγχόμενον ἀντιπαραβολαῖς. τῷ τοίνυν καταφρονεῖν τὸ θαυ-
μάζειν ἀντικείμενον, εὐγνωμονεστέρας μέν ἐστι δή που, καὶ ἡμερωτέρας φύσεως.

δεῖται

δεῖται γε μὴν οὐδ' αὐτὸ μικρᾶς εὐλαβείας, τάχα δὲ καὶ μείζονος, ἐπεὶ οἱ μὲν κα-
ταφρονητικοὶ καὶ θρασεῖς, ἧττον ὠφελοῦνται ἀπὸ τῶν λεγόντων, οἱ δὲ θαυ-
μαστικοὶ καὶ ἄκακοι μᾶλλον βλάπτονται. καὶ τὸν Ἡράκλειτον οὐκ ἐλέγχουσιν
εἰπόντα, βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ παιδεύεσθαι φιλεῖ. δεῖ δὲ τὸν
μὲν ἔπαινον, ἀφελῶς τοῖς λέγουσι, τὴν δὲ πίστιν, εὐλαβῶς προΐεσθαι τοῖς λό-
γοις· καὶ τῆς μὲν λέξεως καὶ προφορᾶς τῶν ἀγωνιζομένων, εὐμενῆ καὶ ἁπλοῦν
εἶναι θεατήν, τῆς δὲ χρείας καὶ τῆς ἀληθείας τῶν λεγομένων, ἀκριβῆ καὶ πι-
κρὸν ἐξεταστήν, ἵν' οἱ μὲν ἀκούοντες μὴ μισῶσιν, οἱ δὲ λέγοντες μὴ βλάπτωσιν,
ὡς πολλὰ ψευδῆ καὶ πονηρὰ δόγματα λανθάνομεν εὐνοίᾳ καὶ πίστει τῇ πρὸς
τοὺς λέγοντας ἐκδεχόμενοι. οἱ μὲν οὖν Λακεδαιμονίων ἄρχοντες, ἀνδρὸς
οὐκ εὖ βεβιωκότος γνώμην δοκιμάσαντες, ἑτέρῳ προσέταξαν εἰπεῖν, εὐδοκι-
μοῦντι περὶ τὸν βίον καὶ τὸ ἦθος, ὀρθῶς πάνυ καὶ πολιτικῶς ἐθίζοντες τὸν
δῆμον, ἀπὸ τοῦ τρόπου μᾶλλον, ἢ τοῦ λόγου τῶν συμβουλευόντων ἄγεσθαι.
τοὺς δὲ ἐν φιλοσοφίᾳ λόγους, ἀφαιροῦντα χρὴ τὴν τοῦ λέγοντος δόξαν, αὐτοὺς
ἐφ' ἑαυτῶν ἐξετάζειν. ὡς γὰρ πολέμου, καὶ ἀκροάσεως πολλὰ τὰ κενά ἐστι. καὶ
γὰρ πολιὰ τοῦ λέγοντος, καὶ πλάσματα, καὶ ὀφρῦς, καὶ περιαυτολογία, μά-
λιστα δὲ αἱ κραυγαὶ καὶ οἱ θόρυβοι καὶ τὰ πηδήματα τῶν παρόντων, συνεκ-
πλήττει τὸν ἄπειρον ἀκροατὴν καὶ νέον, ὥσπερ ὑπὸ ῥεύματος παραφερόμενον.
ἔχει δέ τι καὶ ἡ λέξις ἀπατηλόν, ὅταν ἡδεῖα καὶ πολλὴ καὶ μετ' ὄγκου τινὸς
καὶ κατασκευῆς ἐπιφέρηται τοῖς πράγμασιν. ὡς γὰρ τῶν ἀπὸ αὐλὸν ᾀδόν-
των αἱ πολλαὶ τοὺς ἀκούοντας ἁμαρτίαι διαφεύγουσιν, οὕτως περιττὴ καὶ σο-
βαρὰ λέξις, ἀντιλάμπει τῷ ἀκροατῇ πρὸς τὸ δηλούμενον. ὁ μὲν γὰρ Μελάν-
θιος ὡς ἔοικε περὶ τῆς Διογένους τραγῳδίας ἐρωτηθείς, οὐκ ἔφη κατιδεῖν
αὐτὴν ἀπὸ τῶν ὀνομάτων ὑπὸ προσθουμένην. αἱ δὲ τῶν πολλῶν διαλέξεις καὶ
μελέται σοφιστῶν, οὐ μόνον τοῖς ὀνόμασι παραπετάσμασι χρῶνται τῶν διανο-
ημάτων, ἀλλὰ καὶ τὴν φωνὴν ἐμμελείαις τισὶ καὶ μαλακότησι καὶ περιά-
σεσιν ἐφηδύνοντες ἐκβακχεύουσι καὶ περιφέρουσι τοὺς ἀκροωμένους, κενὴν
ἡδονὴν διδόντες καὶ κενοτέραν δόξαν ἀντιλαμβάνοντες. ὥστε αὐτοῖς συμ-
βαίνει τὸ ἀπὸ Διονυσίου ῥηθέν. ἐκεῖνος γὰρ ὡς ἔοικεν εὐδοκιμοῦντι κιθα-
ρῳδῷ, παρὰ τὴν θέαν ἐπαγγειλάμενος δωρεάς τινας μεγάλας, ὕστερον
οὐδὲν ἔδωκεν, ὡς ἀποδεδωκὼς τὴν χάριν. ὅσον γὰρ ἔφη χρόνον εὔφραινες ᾄδων,
τοσοῦτον ἔχαιρες ἐλπίζων. τοῦτον δὲ τὸν ἔρανον αἱ τοιαῦται πληροῦσιν ἀκρο-
άσεις τοῖς λέγουσι. θαυμάζονται γὰρ ἐφ' ὅσον τέρπουσιν, εἶτα ἅμα τῆς ἀκοῆς
ἐξερρύη τὸ ἡδύ, κἀκείνους προλέλοιπεν ἡ δόξα, καὶ μάτην τοῖς μὲν ὁ χρόνος, τοῖς
δὲ καὶ ὁ βίος ἀνάλωται. διὸ δεῖ τὸ πολὺ καὶ κενὸν ἀφαιροῦντα τῆς λέξεως
αὐτὸν διώκειν τὸν καρπόν, καὶ μιμεῖσθαι, μὴ τὰς στεφανηπλόκους, ἀλλὰ τὰς με-
λίττας. αἱ μὲν γὰρ ἐπινοοῦσαι τὰ ἀνθηρὰ καὶ εὐώδη τῶν φύλλων, συνείρου-
σι καὶ διαπλέκουσιν ἡδὺ μέν, ἐφήμερον δὲ καὶ ἄκαρπον ἔργον. αἱ δὲ πολλάκις
ἴων καὶ ῥόδων καὶ ὑακίνθων διαπετόμεναι λειμῶνας ἐπὶ τὸν τραχύτατον καὶ
δριμύτατον θύμον καταίρουσι, καὶ τούτῳ προσκάθηνται, ξανθὸν μέλι μη-
δόμεναι, καὶ λαβοῦσαί τι τῶν χρησίμων, ἀποπέτονται πρὸς τὸ οἰκεῖον ἔργον.
οὕτω δὴ δεῖ τὸν φιλότεχνον καὶ καθαρὸν ἀκροατήν, τὰ μὲν ἀνθηρὰ καὶ τρυφε-
ρὰ τῶν ὀνομάτων, καὶ τῶν πραγμάτων τὰ δραστικὰ καὶ πανηγυρικά, κηφή-
νων βοτάνην σοφιστιώντων ἡγούμενον, ἐᾶν, αὐτὸν δὲ τῇ προσοχῇ καταδυόμενον
εἰς τὸν νοῦν τοῦ λόγου, καὶ τὴν διάθεσιν τοῦ λέγοντος, ἕλκειν ἀπ' αὐτῆς τὸ χρήσιμον
καὶ ὠφέλιμον, μεμνημένον ὡς οὐκ εἰς θέατρον, οὐδὲ ᾠδεῖον, ἀλλ' εἰς σχολὴν καὶ

διδασκαλεῖον ἀφῖκται, τῷ λόγῳ τὸν βίον ἐπανορθωσόμενος. ὅθεν δὴ καὶ ποιητέον ἐπίσκεψιν, καὶ κρίσιν τῆς ἀκροάσεως ἐξ αὐτοῦ, καὶ τῆς περὶ αὐτὸν διαθέσεως, ἀναλογιζόμενον εἴ τι τῶν παθῶν γέγονε μαλακώτερον, εἴ τι τῶν ἀνιαρῶν κουφότερον, εἰ θάρσος, εἰ φρόνημα βέβαιον, εἰ πρὸς ἀρετὴν καὶ τὸ καλὸν ἐνθουσιασμός. οὐ γὰρ ἐκ κουρείου μὲν ἀναστάντα δεῖ τῷ κατόπτρῳ παραστῆναι, καὶ τῆς κεφαλῆς ἅψασθαι, τὴν περικοπὴν τῶν τριχῶν ἐπισκοποῦντα, καὶ τῆς κουρᾶς τὴν διαφοράν, ἐκ δὲ ἀκροάσεως ἀπιόντα καὶ σχολῆς, οὐκ εὐθὺς ἀφορᾷν χρὴ πρὸς ἑαυτόν, καταμανθάνοντα τὴν ψυχήν, εἴ τι τῶν ὀχληρῶν ἀποθεμένη καὶ περιττῶν, ἐλαφροτέρα γέγονε καὶ ἡδίων. οὔτε γὰρ βαλανείου φησὶν ὁ ἀρίστων, οὔτε λόγου μὴ καθαίροντος, ὄφελός ἐστιν. ἡδέσθω μὲν οὖν ὑπὸ λόγου ὠφελούμενος ὁ νέος. οὐ δεῖ δὲ τὸ ἡδὺ τῆς ἀκροάσεως ποιεῖσθαι τέλος, οὐδὲ οἴεσθαι δεῖν ἐκ σχολῆς ἀπιέναι φιλοσόφου, μινυρίζοντα καὶ γεγανωμένον, οὐδὲ ζητεῖν μυρίζεσθαι δεόμενον ἐμβροχῆς καὶ καταπλάσματος, ἀλλὰ χάριν ἔχειν ἐάν τις ὥσπερ καπνῷ σμῆνος, λόγῳ δριμεῖ τὴν διάνοιαν ἀχλύος πολλῆς καὶ ἀμβλύτητος γέμουσαν ἐκκαθάρῃ. καὶ γὰρ εἰ τοῖς λέγουσι προσήκει μὴ παντάπασιν ἡδονὴν ἐχούσης καὶ πιθανότητα λέξεως παραμελεῖν, ἐλάχιστα τούτου φροντιστέον ἐστὶ τῷ νέῳ, τό γε πρῶτον. ὕστερον δ' ἴσως, καθάπερ οἱ πίνοντες ὅταν παύσωνται διψῶντες, τά τε τορεύματα τῶν ἐκπωμάτων ὑποθεωροῦσι καὶ στρέφουσιν, οὕτως ἐμπλησθέντι δογμάτων καὶ ἀναπνεύσαντι δοτέον τὴν λέξιν εἴ τι κομψὸν ἔχει καὶ περιττὸν ἐπισκοπεῖν. ὁ δ' εὐθὺς ἐξ ἀρχῆς μὴ τοῖς πράγμασιν ἐμφυόμενος, ἀλλὰ τὴν λέξιν ἀττικὴν ἀξιῶν εἶναι καὶ ἰσχνήν, ὅμοιός ἐστι μὴ βουλομένῳ πιεῖν ἀντίδοτον, ἂν μὴ τὸ ἀγγεῖον ἐκ τῆς ἀττικῆς κωλιάδος ᾖ κεκεραμευμένον, μηδὲ ἱμάτιον περιλαβέσθαι χειμῶνος, εἰ μὴ προβάτων ἀττικῶν εἴη τὸ ἔριον· ἀλλ' ὥσπερ ἐν τρίβωνι λυσιακοῦ λόγου λεπτῷ καὶ ψιλῷ καθήμενος, ἄπρακτος καὶ ἀκίνητος. ταῦτα γὰρ τὰ νοσήματα, πολλὴν μὲν ἐρημίαν νοῦ καὶ φρενῶν ἀγαθῶν, πολλὴν δὲ τερθρείαν καὶ στωμυλίαν ἐν ταῖς σχολαῖς πεποίηκε τῶν μειρακίων, οὔτε βίον, οὔτε πρᾶξιν, οὔτε πολιτείαν φιλοσόφου παραφυλαττόντων ἀνδρός, ἀλλὰ λέξεις καὶ ῥήματα, καὶ τὸ καλῶς ἀπαγγέλλειν ἐν ἐπαίνῳ τιθεμένων, τὸ δὲ ἀπαγγελλόμενον εἴτε χρήσιμον, εἴτε ἄχρηστον, εἴτε ἀναγκαῖον, εἴτε κενόν ἐστι καὶ περιττόν, οὐκ ἐπισταμένων, οὐδὲ βουλομένων ἐξετάζειν. ἀκολουθεῖ δὲ τούτοις, τὸ περὶ τῶν προβλημάτων παράγγελμα. δεῖ γὰρ τὸν ἐπὶ δεῖπνον ἥκοντα, τοῖς παρακειμένοις χρῆσθαι καὶ μηδὲν αἰτεῖν ἄλλο, μηδ' ἐξελέγχειν. ὁ δ' ἐπὶ λόγων ἀφιγμένος ἑστίασιν, ἂν μὲν ἐπὶ ῥητοῖς, ἀκροάσθω σιωπῇ τοῦ λέγοντος. οἱ γὰρ εἰς ἄλλας ὑποθέσεις ἐξάγοντες, καὶ παρεμβάλλοντες ἐρωτήματα, καὶ προσδιαποροῦντες, οὐχ ἡδεῖς οὐδὲ εὐσυνάλλακτοι πρὸς ἀκρόασιν ὄντες, ὠφελοῦνται μὲν οὐδέν, τὸν δὲ λέγοντα καὶ τὸν λόγον ὁμοῦ συνταράσσουσιν. ὅταν δὲ τοὺς ἀκούοντας ὁ λέγων ἐρωτᾶν καὶ προβάλλειν κελεύσῃ, χρήσιμόν τι δεῖ καὶ ἀναγκαῖον ἀεὶ προβάλλοντα φαίνεσθαι. ὁ μὲν γὰρ ὀδυσσεὺς καταγελᾶται παρὰ τοῖς μνηστῆρσιν αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας. μεγαλοψυχίας γὰρ ἡγοῦνται σημεῖον, ὡς τὸ διδόναι τι τῶν μεγάλων, καὶ τὸ αἰτεῖν. μᾶλλον δ' ἄν τις ἀκροατοῦ καταγελάσειεν, εἰς μικρὰ καὶ γλίσχρα προβλήματα τὸν διαλεγόμενον κινοῦντος, οἷα τερθρευόμενοί τινες τῶν νέων καὶ παρεπιδεικνύμενοι διαλεκτικὴν ἢ μαθηματικὴν ἕξιν, εἰώθασι προβάλλειν περὶ τῆς τῶν ἀορίστων τομῆς, καὶ τίς ἡ κατὰ πλευρὰν, ἢ κατὰ διάμετρον κίνησις. πρὸς οὓς ἔστιν εἰπεῖν, τὸ ὑπὸ φιλοτίμου πρὸς τὸν ἔμπυον καὶ φθισιῶντα ῥηθέν. ἐπεὶ γὰρ ἐλάλησεν αὐτῷ φαρμάκιον αἰτῶν πρὸς παρωνυχίαν, αἰσθόμενος ἀπὸ τῆς χρόας καὶ τῆς ἀναπνοῆς τὴν διάθεσιν, οὐκ ἔστι σοι φησὶν ὦ βέλτιστε περὶ παρωνυχίας, οὐδέ σοι τοίνυν ὦ νεανία περὶ τοιούτων ζητημάτων ὥρα σκοπεῖν, ἀλλὰ πῶς, οἰήματος καὶ ἀλαζονείας, ἐρώτων τε καὶ φλυαρίας ἀπολυθείς, εἰς βίον ἄτυφον καὶ ὑγιαίνοντα καταστήσεις σαυτόν.

εὖ μάλα δὲ χρή, καὶ πρὸς τὴν τοῦ λέγοντος ἐμπειρίαν ἢ φυσικὴν δύναμιν ἡρμοσμένον, ἐν οἷς αὐτὸς ἑαυτοῦ κράτιστός ἐστι ποιεῖσθαι τὰς ἐρωτήσεις, καὶ μὴ παραβιάζεσθαι, τῷ μὲν ἠθικώτερον φιλοσοφοῦντι φυσικὰς ἐπάγοντα καὶ μαθηματικὰς ἀπορίας. τὸν δὲ τοῖς φυσικοῖς σεμνυνόμενον, εἰς συνημμένων ἐπικρίσεις ἕλκοντα, καὶ ψευδομένων λύσεις. ὡς γὰρ ὁ τῇ κλειδὶ τὰ ξύλα σχίζειν, τῇ δὲ ἀξίνῃ τὴν θύραν ἀνοίγειν πειρώμενος, οὐκ ἐκεῖνα δόξειεν ἂν ἐπηρεάζειν, ἀλλ' αὑτὸν ἀποστερεῖν τῆς ἑκατέρου χρείας καὶ δυνάμεως, οὕτως οἱ παρὰ τοῦ λέγοντος ὃ μὴ πέφυκεν μηδὲ ἤσκηκεν αἰτοῦντες, ὃ δ' ἔχει καὶ δίδωσι μὴ δρεπόμενοι μηδὲ λαμβάνοντες, οὐ τοῦτο βλάπτονται μόνον, ἀλλὰ καὶ κακοήθειαν καὶ δυσμένειαν προσοφλισκάνουσι. φυλακτέον δὲ καὶ τὸ πολλὰ καὶ πολλάκις αὐτὸν προβάλλειν· ἔστι γὰρ καὶ τοῦτο τρόπον τινὰ παρεπιδεικνυμένου. τὸ δὲ ἑτέρου προτείνοντος ἀκροᾶσθαι μετ' εὐκολίας, φιλόλογον καὶ κοινωνικόν, ἐὰν μή τι τῶν ἰδίων ἐνοχλῇ, καὶ κατεπείγῃ πάθος, ἐπισχέσεως δεόμενον, ἢ νόσημα παρηγορίας. τάχα μὲν γὰρ, οὐδὲ ἀμαθίην κρύπτειν ἄμεινον, ὥς φησιν ἡράκλειτος, ἀλλ' εἰς μέσον τιθέναι καὶ θεραπεύειν. ἂν δ' ὀργή τις, ἢ προσβολὴ δεισιδαιμονίας, ἢ διαφορὰ πρὸς οἰκείους σύντονος, ἢ περιμανὴς ἐξ ἔρωτος ἐπιθυμία, κινοῦσα χορδὰς τὰς ἀκινήτους φρενῶν ἐπιταράξῃ τὴν διάνοιαν, οὐ φευκτέον εἰς ἑτέρους λόγους ἀποδιδράσκοντας τὸν ἔλεγχον· ἀλλὰ περὶ αὐτῶν τούτων ἀκουστέον ἐν ταῖς διατριβαῖς. καὶ μετὰ τὰς διατριβάς, ἰδίᾳ προσιόντας αὐτοὺς καὶ προσανακρίνοντας. ἀλλὰ μὴ τοὐναντίον ὥσπερ οἱ πολλοὶ χαίρουσι τοῖς φιλοσόφοις περὶ ἄλλων διαλεγομένοις, καὶ θαυμάζουσιν· ἐὰν δὲ τοὺς ἄλλους ἐάσας ὁ φιλόσοφος αὐτοῖς ἐκείνοις ἰδίᾳ παρρησιάζηται περὶ τῶν διαφερόντων καὶ ὑπομιμνήσκῃ, δυσχεραίνουσι καὶ περίεργον νομίζουσιν. ἐπιεικῶς γὰρ ὥσπερ τῶν τραγῳδῶν ἐν τοῖς θεάτροις, καὶ τῶν φιλοσόφων ἐν ταῖς σχολαῖς οἴονται δεῖν ἀκούειν. ἐν δὲ τοῖς ἔξω πράγμασιν, οὐδὲν αὐτοὺς ἑαυτῶν διαφέρειν ἡγοῦνται, πρὸς μὲν τοὺς σοφιστὰς εἰκότως τοῦτο πεπονθότες. ἀναστάντες γὰρ ἀπὸ τοῦ θρόνου, καὶ ἀποθέμενοι τὰ βιβλία, καὶ τὰς εἰσαγωγὰς ἐν τοῖς ἀληθινοῖς τοῦ βίου μέρεσι, μικροὶ καὶ ὑπὸ χεῖρα φαίνονται τοῖς πολλοῖς· περὶ δὲ τῶν ὄντως φιλοσόφων ἀγνοοῦντες, ὅτι καὶ σπουδὴ καὶ παιδιά, καὶ νάμα, καὶ μειδίαμα καὶ σκυθρωπασμὸς αὐτῶν, μάλιστα δ' ὁ πρὸς ἕκαστον ἰδίᾳ περαινόμενος λόγος, ἔχει τινὰ καρπὸν ὠφέλιμον τοῖς ὑπομένειν καὶ προσέχειν ἐθιθεῖσι. δεῖται δὲ καὶ τὸ περὶ τοὺς ἐπαίνους καθῆκον, εὐλαβείας τινὸς καὶ μεσότητος, ὡς τὸ μήτε τὴν ἔλλειψιν αὐτοῦ, μήτε τὴν ὑπερβολὴν ἐλευθέριον εἶναι. βαρὺς μὲν γὰρ ὁ ἀκροατὴς καὶ φορτικός, ὁ πρὸς πᾶν ἄτεγκτος καὶ ἀτενὴς τὸ λεγόμενον, οἰήματος ὑπούλου καὶ περιαυτολογίας ἐνδιαθέτου μεστός, ὡς ἔχων τι τῶν λεγομένων βέλτιον εἰπεῖν, μήτε ὀφρὺν κατὰ σχῆμα κινῶν, μήτε φωνὴν εὐγνώμονος μάρτυρα φιληκοΐας προϊέμενος, ἀλλὰ σιγῇ καὶ βαρύτητι καταπλάστῳ καὶ σχηματισμῷ, θηρώμενος δόξαν εὐσταθοῦς καὶ βάθος ἔχοντος ἀνδρός, ὥσπερ χρημάτων τῶν ἐπαίνων, ὅσον ἄλλῳ μεταδίδωσιν, αὑτοῦ δοκεῖν ἀφαιρεῖσθαι. πολλοὶ γάρ εἰσιν οἱ κακῶς καὶ παρὰ μέλος τὴν πυθαγόρου φωνὴν ὑπολαμβάνοντες. ἐκεῖνος μὲν γὰρ ἐκ φιλοσοφίας ἔφησεν αὐτῷ περιγεγονέναι τὸ μηδὲν θαυμάζειν. οὗτοι δὲ τὸ μηδένα ἐπαινεῖν, μηδὲ τιμᾶν ἐν τῷ καταφρονεῖν τιθέμενοι, καὶ τὸ σεμνὸν ὑπεροψίᾳ διώ-

κοντες. ὁ γὰρ φιλόσοφος λόγος, τὸ μὲν ἐξ ἀπορίας καὶ ἀγνοίας θαῦμα καὶ θάμβος ἐξαιρεῖ, γνώσει καὶ ἱστορίᾳ τῆς περὶ ἕκαστον αἰτίας, τὸ δὲ εὔκολον καὶ μέγα καὶ φιλάνθρωπον, οὐκ ἀπόλλυσι. τοῖς γὰρ ἀληθινῶς καὶ βεβαίως ἀγαθοῖς, τιμή τε καλλίστη, τὸ τιμῆσαί τινα τῶν ἀξίων. καὶ κόσμος εὐπρεπέστατος, τὸ ἐπικοσμῆσαι περιουσίᾳ δόξης καὶ ἀφθονίᾳ γινόμενον. οἱ δὲ γλίσχροι περὶ τοὺς ἑτέρων ἐπαίνους, ἔτι πένεσθαι καὶ πεινῆν ἐοίκασι τῶν ἰδίων. ὁ δ᾽ ἐναντίος τούτων αὖ πάλιν, μὴ δὲ ἐπικρίνων, ἀλλὰ κατὰ ῥῆμα καὶ συλλαβὴν ἐπιστάμενος, καὶ κεκραγώς, ἐλαφρός τις ὢν καὶ ὀρνεώδης. πολλάκις μὲν γάρ, τοῖς αὐτοῖς ἀρέσκει ἀγωνιζομένοις. ἀεὶ δὲ λυπεῖ τοὺς ἀκροωμένους ἀνασοβῶν καὶ συνεξανιστὰς παρὰ γνώμην, οἷον ἑλκομένους βίᾳ δι᾽ αἰδῶ καὶ συνεπηχοῦντας, οὐδὲν δὲ ὠφεληθείς, διὰ τὸ ταραχώδη καὶ πολυπτόητον αὐτῷ περὶ τοὺς ἐπαίνους γεγονέναι τὴν ἀκρόασιν, ἀπέρχεται τῶν τριῶν ἓν φερόμενος, εἴρων γάρ, ἢ κόλαξ, ἢ περὶ λόγους ἀπειρόκαλος, ἔδοξεν εἶναι. Δίκην μὲν οὖν δικάζοντα, δεῖ μήτε πρὸς ἔχθραν τινά, μήτε πρὸς χάριν ἀκούειν, ἀλλ᾽ ἀπὸ γνώμης πρὸς τὸ δίκαιον. ἐν δὲ ταῖς φιλολόγοις ἀκροάσεσιν, οὔτε νόμος οὐδείς, οὔτε ὅρκος ἡμᾶς ἀπείργει, μὴ μετ᾽ εὐνοίας ἀποδέχεσθαι τὸν διαλεγόμενον. ἀλλὰ καὶ τὸν Ἑρμῆν ταῖς Χάρισιν οἱ παλαιοὶ συγκαθίδρυσαν, ὡς μάλιστα τοῦ λόγου τὸ συγκεχαρισμένον καὶ προσφιλὲς ἀπαιτοῦντος. οὐδὲ γὰρ οἴονται παντελῶς οὕτως ἐκβόλιμον εἶναι τὸν λέγοντα καὶ διημαρτημένον, ὥστε μήτε νόησίν τινα παρασχεῖν ἄξιον ἐπαίνου, μήτε ἀπομνημόνευσιν ἑτέρων, μήτε αὐτὴν τὴν ὑπόθεσιν τοῦ λόγου καὶ προαίρεσιν, ἀλλὰ μηδὲ λέξιν, ἢ διάθεσιν τῶν λεγομένων, ὡς ἂν ἐχινόποδας καὶ ἀνὰ τραχεῖαν ὁδόν, ἵνα φύονται μαλακῶν ἄνθεα λευκοΐων. ὅπου γὰρ ἐμέτου τινὲς ἐγκώμια καὶ πυρετοῦ καὶ νὴ Δία χύτρας ἐπιδεικνύμενοι, πιθανότητος οὐκ ἀμοιροῦσιν, ἦ που λόγος ὑπ᾽ ἀνδρὸς ἄλλως γέ πως δοκοῦντος, ἢ καλουμένου φιλοσόφου περαινόμενος, οὐκ ἂν ὅλως ἀναπνοήν τινα καὶ καιρὸν ἀκροαταῖς εὐμενέσι καὶ φιλανθρώποις παρασχεῖν πρὸς ἔπαινον. οἱ γοῦν ἐν ὥρᾳ πάντες, ὥς φησιν ὁ Πλάτων, ἀμηγέπη δάκνουσι τὸν ἐρωτικόν. καὶ λευκοὺς μέν, θεῶν παῖδας ἀνακαλῶν, μέλανας δὲ ἀνδρικούς, καὶ τὸν γρυπὸν βασιλικόν, καὶ τὸν σιμὸν ἐπίχαριν. τὸν δὲ ὠχρὸν ὑποκοριζόμενος μελίχρουν, ἀσπάζεται καὶ ἀγαπᾷ. δεινὸς γάρ ἐστιν ὁ ἔρως, ὥσπερ ὁ κιττὸς αὑτὸν ἐκ πάσης ἀναδῆσαι προφάσεως. πολὺ δὴ μᾶλλον ὁ φιλήκοος καὶ φιλόλογος, ἀεί τινος αἰτίας εὑρετικὸς ἔσται δι᾽ ἣν οὐκ ἀπὸ τρόπου τῶν λεγόντων ἕκαστον ἐπαινῶν φανεῖται. καὶ γὰρ ὁ Πλάτων τὸν Λυσίου λόγον, οὔτε κατὰ τὴν εὕρεσιν ἐπαινῶν, καὶ τῆς ἀταξίας αἰτιώμενος, ὅμως αὐτοῦ τὴν ἐπαγγελίαν ἐπαινεῖ. καὶ ὅτι τῶν ὀνομάτων σαφῶς καὶ στρογγύλως ἕκαστον ἀποτετόρνευται. μέμψαιτο δ᾽ ἄν τις Ἀρχιλόχου μὲν τὴν ὑπόθεσιν, Παρμενίδου δὲ τὴν στιχοποιΐαν, Φωκυλίδου δὲ τὴν εὐτέλειαν, Εὐριπίδου δὲ τὴν λαλιάν, Σοφοκλέους δὲ τὴν ἀνωμαλίαν, ὥσπερ ἀμέλει καὶ τῶν ῥητόρων, ἔστιν ὁ μὲν οὐκ ἔχων ἦθος, ὁ δὲ πρὸς πάθος ἀργός, ὁ δ᾽ ἐνδεὴς χαρίτων, ἕκαστος γε μὴν ἐπαινεῖται κατὰ τὸ ἴδιον τῆς δυνάμεως, ᾧ κινεῖν καὶ ἄγειν πέφυκεν. ὥστε καὶ τοῖς ἀκούουσιν, εὐπορίαν εἶναι καὶ ἀφθονίαν τοῦ φιλοφρονεῖσθαι, τοὺς λέγοντας. ἐνίοις γὰρ ἐξαρκεῖ, κἂν μὴ διὰ φωνῆς ἐπιμαρτυρῶμεν, ὄμματος πρᾳότητα, καὶ γαλήνην προσώπου, καὶ διάθεσιν εὐμενῆ καὶ ἄλυπον ἐμπαρασχεῖν. ἐκεῖνα μὲν γὰρ ἤδη καὶ πρὸς τοὺς ὅλως ἀποτυγχάνοντας, ὥσπερ ἐγκύκλια καὶ κοινὰ πάσης ἀκροάσεώς ἐστι. καθέδρα δέ τις ἄτυφος, καὶ ἀκλινὴς ἐν ὀρθῷ σχήματι, καὶ πρόσβλεψις αὐτῷ τῷ λέγοντι, καὶ τάξις ἐναργοῦς προσοχῆς, καὶ προσώπου κατάστασις καθαρὰ καὶ ἀνέμφατος, οὐχ ὕβρεως, οὐδὲ δυσκολίας μόνον, ἀλλὰ

καὶ

καὶ φροντίδων ἄλλων καὶ ἀσχολιῶν, ὡς ἐν ἔργῳ γε παντί. τὸ μὲν καλόν, ἐκ πολλῶν οἷον ἀριθμῶν εἰς ἕνα καιρὸν ἡκόντων, ἀπὸ συμμετρίας τινὸς καὶ ἁρμονίας ἐπιτελεῖται. τὸ δ᾽ αἰσχρόν, ἐξ ἑνὸς τοῦ τυχόντος ἐλλείποντος, ἢ προσόντος ἀτόπως, εὐθὺς ἑτοίμην ἔχει τὴν γένεσιν. ὥσπερ ἐπ᾽ αὐτῆς τῆς ἀκροάσεως, οὐ μόνον βαρύτης ἐπισκυνίου, καὶ ἀηδία προσώπου, καὶ βλέμμα ῥεμβῶδες, καὶ περίκλασις σώματος, καὶ μηρῶν ἐπάλλαξις ἀπρεπής, ἀλλὰ καὶ νεῦμα, καὶ ψιθυρισμὸς πρὸς ἕτερον, καὶ μειδίαμα, χασμαί τε ὑπνώδεις, καὶ κατήφειαι, καὶ πᾶν εἴ τι τούτοις ἔοικεν, ὑπεύθυνόν ἐστι, καὶ δεῖται πολλῆς εὐλαβείας. οἱ δέ, τοῦ μὲν λέγοντος, οἴονταί τι ἔργον εἶναι, τοῦ δὲ ἀκούοντος, οὐδέν. ἀλλ᾽ ἐκεῖνον μὲν ἀξιοῦσιν ἥκειν πεφροντικότα, καὶ παρεσκευασμένον. αὐτοὶ δὲ ἄσκεπτοι καὶ ἀφρόντιδες τῶν καθηκόντων ἐμβαλόντες, καθέζονται καθάπερ ἀτεχνῶς ἐπὶ δεῖπνον ἥκοντες, εὖ παθεῖν πονουμένων ἑτέρων. καίτοι καὶ συνδειπνοῦντι χαριέντως ἔργον ἐστί, πολὺ δὲ μᾶλλον ἀκροατοῦ, κοινωνὸς γάρ ἐστι τοῦ λόγου, καὶ συνεργὸς τοῦ λέγοντος. καὶ οὐ τὰ μὲν ἐκείνου πλημμελήματα πικρῶς ἐξετάζειν ὀφείλει, κατὰ ῥῆμα καὶ πρᾶγμα προσάγων τὴν εὐθύνην, αὐτὸς δὲ ἀνυπεύθυνος ἀσχημονεῖν καὶ πολλὰ σολοικίζειν περὶ τὴν ἀκρόασιν. ἀλλ᾽ ὥσπερ ἐν τῷ σφαιρίζειν τῷ βάλλοντι δεῖ συγκινούμενον εὐρύθμως φέρεσθαι τὸν δεχόμενον, οὕτως ἐπὶ τῶν λόγων ἐστί τις εὐρυθμία, καὶ περὶ τὸν λέγοντα καὶ περὶ τὸν ἀκροώμενον, ἂν ἑκάτερος τὸ προσῆκον αὐτῷ φυλάττῃ. δεῖ δὲ μηδὲ ταῖς φωναῖς τῶν ἐπαίνων ὡς ἔτυχε χρῆσθαι. καὶ γὰρ Ἐπίκουρος ἐπὶ τοῖς τῶν φίλων ἐπιστολίοις κροτοθορύβους γίνεσθαι παρ᾽ αὐτῶν λέγων, ἀηδής ἐστιν. οἱ δὲ τὰς ξένας φωνὰς τοῖς ἀκροατηρίοις νῦν ἐπεισάγοντες, οὗτοι καὶ θείως, καὶ θεοφορήτως καὶ ἀπροσίτως ἐπιλέγοντες, ὡς οὐκέτι τοῦ καλῶς καὶ τοῦ σοφῶς καὶ τοῦ ἀληθῶς ἐξαρκοῦντος, οἷς οἱ περὶ Πλάτωνα καὶ Σωκράτην καὶ Ὑπερίδην ἐχρῶντο σημείοις τῶν ἐπαίνων, ὑπερασχημονοῦσι καὶ διαβάλλουσι τοὺς λέγοντας, ὡς ὑπερηφάνων τινῶν καὶ περιττῶν δεομένους ἐπαίνων. σφόδρα δὲ ἀηδεῖς εἰσι καὶ οἱ μεθ᾽ ὅρκου τοῖς λέγουσιν, ὥσπερ ἐν δικαστηρίῳ τὰς μαρτυρίας ἀποδιδόντες. οὐχ ἧττον δὲ τούτων, οἱ περὶ τὰς ποιότητας ἀστοχοῦντες ὅταν φιλοσόφῳ μὲν ἐπιφωνῶσι δριμέως, γέροντι δέ, εὐφυῶς ἢ ἀνθηρῶς, τὰς τῶν παιζόντων καὶ πανηγυριζόντων ἐν ταῖς σχολαστικαῖς μελέταις φωνὰς ἐπὶ τοὺς φιλοσόφους μετακομίζοντες, καὶ λόγῳ σωφρονοῦντι προσφέροντες ἔπαινον ἑταιρικόν, ὥσπερ ἀθλητῇ κρίνων ἢ ῥόδων στέφανον, οὐ δάφνης οὐδὲ κοτίνου περιτιθέντες. Εὐριπίδης μὲν οὖν ὁ ποιητής, ὡς ὑπολέγοντος αὐτοῦ τοῖς χορευταῖς ᾠδήν τινα πεποιημένην ἐφ᾽ ἁρμονίας, εἷς ἐγέλασεν, εἰ μή τις ἔφη ἦς ἀναίσθητος καὶ ἀπαθής, οὐκ ἂν ἐγέλας, ἐμοῦ μιξολυδιστὶ ᾄδοντος. ἀνὴρ δ᾽ ἄν, οἶμαι, φιλόσοφος καὶ πολιτικός, ἀκροατοῦ διακεχυμένου τρυφὴν ἐκκόψειεν εἰπών, σύ μοι δοκεῖς ἀνόητος εἶναι καὶ ἀνάγωγος. οὐ γὰρ ἂν ἐμοῦ διδάσκοντος ἢ νουθετοῦντος, ἢ διαλεγομένου περὶ θεῶν, ἢ πολιτείας, ἢ ἀρχῆς, ἐτερέτιζες καὶ προσωρχοῦ τοῖς λόγοις. ὅρα τι ἀληθῶς οἷόν ἐστι φιλοσόφου λέγοντος ἀπορεῖν τοὺς ἔξωθεν ἀπὸ τῆς ἔνδον βοώντων καὶ ἀλαλαζόντων, πότερον αὐλοῦντος, ἢ κιθαρίζοντος ἢ ὀρχουμένου τινὸς ὁ ἔπαινός ἐστι. καὶ μὴν τῶν γε νουθεσιῶν καὶ τῶν ἐπιπλήξεων, οὔτε ἀναλγήτως, οὔτε ἀνάνδρως ἀκουστέον. εἴτε γὰρ εὐκόλως καὶ ὀλιγώρως τὸ κακῶς ἀκούειν ἀπὸ τῶν φιλοσόφων φέροντες, ὥστε γελᾶν ἐλεγχόμενοι, καὶ τοὺς ἐλέγχοντας ἐπαινεῖν, ὥσπερ οἱ παράσιτοι τοὺς τρέφοντας, ὅταν ὑπ᾽ αὐτῶν λοιδορῶνται, παντάπασιν ἰταμοὶ καὶ θρασεῖς ὄντες, οὐ καλήν, οὐδ᾽ ἀληθῆ διδόασιν ἀπόδειξιν ἀνδρείας, τὴν ἀναισχυντίαν. σκῶμμα μὲν γὰρ ἀνύβριστον ἐν παι-

διά τινι μετ' εὐτραπελίας ἀφειμένον, ἐνεγκεῖν ἀλύπως καὶ ἱλαρῶς, οὐκ ἀγεννὲς, οὐδ' ἀπαίδευτον, ἀλλ' ἐλευθέριον πάνυ καὶ Λακωνικόν ἐστιν. ἐπαφῆς δὲ καὶ νουθεσίας πρὸς ἐπανόρθωσιν ἤθους ὥσπερ φαρμάκῳ δάκνοντι λόγῳ χρωμένης ἐλέγχοντι, μὴ συνεσταλμένον ἀκούειν, μηδ' ἱδρῶτος καὶ ἰλίγγου μεστὸν αἰσχύνῃ φλεγόμενον τὴν ψυχὴν, ἀλλ' ἄτρεπτον καὶ σεσηρότα καὶ καταιρωνευόμενον, ἀνελευθέρου τινὸς δεινῶς καὶ ἀπαθοῦς πρὸς τὸ αἰδεῖσθαι νέου διὰ συνήθειαν ἁμαρτημάτων καὶ συνέχειαν, ὥσπερ ἐν σκληρᾷ σαρκὶ καὶ τυλώδει τῇ ψυχῇ μώλωπα μὴ λαμβάνοντος. τούτων δ' τοιούτων ὄντων οἱ τὴν ἐναντίαν διάθεσιν ἔχοντες νέοι, κἂν ἅπαξ κακῶς ποτε ἀκούσωσι, φεύγοντες ἀνεπιστρεπτὶ καὶ δραπετεύοντες ἐκ φιλοσοφίας, καλὴν ἀρχὴν πρὸς τὸ σωθῆναι, τὸ αἰδεῖσθαι παρὰ τῆς φύσεως ἔχοντες, ἀπολλύουσι διὰ τρυφὴν καὶ μαλακίαν, οὐκ ἐγκαρτεροῦντες τοῖς ἐλέγχοις, οὐδὲ τὰς ἐπανορθώσεις δεχόμενοι γενναίως, ἀλλ' ἐπὶ τὰς προσηνεῖς καὶ ἁπαλὰς ἀποστρέφοντες ὁμιλίας τὰ ὦτα, κολάκων τινῶν ἢ σοφιστῶν, ἀνωφελεῖς καὶ ἀνονήτους, ἡδείας δὲ φωνὰς καταδόντων. ὥσπερ γὰρ ὁ μετὰ τὴν τομὴν φεύγων τὸν ἰατρὸν, καὶ τὸν ἐπίδεσμον μὴ προσιέμενος, τὸ μὲν ἀλγεινὸν ἀνεδέξατο, τὸ δ' ὠφέλιμον οὐχ ὑπέμεινε τῆς θεραπείας, οὕτως ὁ τῷ χαράξαντι καὶ δήξαντι λόγῳ τὴν ἀβελτηρίαν ἀπουλῶσαι καὶ καταστῆσαι μὴ παρασχὼν, ἀπῆλθε δηχθεὶς καὶ ἀλγήσας ἐκ φιλοσοφίας, ὠφεληθεὶς δὲ μηδέν. οὐ γὰρ μόνον ὡς Εὐριπίδης φησὶ, τὸ Τηλέφου τραῦμα πρίοισι λόγχης θέλγεται ῥινήμασιν, ἀλλὰ καὶ τὸ ἐκ φιλοσοφίας ἐμφυόμενον εὐφυέσι νέοις δηγμὸν, αὐτὸς ὁ τρώσας λόγος ἰᾶται. διὸ δεῖ πάσχειν μέν τι καὶ δάκνεσθαι, μὴ συντετρῖφθαι δὲ, μηδὲ ἀθυμεῖν τὸν ἐλεγχόμενον· ἀλλ' ὥσπερ ἐν τελετῇ καθειργνυμένος αὐτοῦ φιλοσοφίας, τοὺς πρώτους καθαρμοὺς καὶ θορύβους ἀναχόμενον, ἐλπίζειν τι γλυκὺ καὶ λαμπρὸν ἐκ τῆς παρούσης ἀδημονίας καὶ ταραχῆς. καὶ γὰρ ἂν ἀδίκως ἡ ἐπιτίμησις γίνεσθαι δοκῇ, καλὸν ἀνασχέσθαι καὶ διακαρτερῆσαι λέγοντος· παυσαμένῳ δὲ, αὐτὸν ἐντυχεῖν ἀπολογούμενον, καὶ δεόμενον τὴν παρρησίαν ἐκείνην καὶ τὸν τόνον ᾧ νῦν κέχρηται πρὸς αὐτὸν, εἴς τι τῶν ἀληθῶς ἁμαρτανομένων φυλάττειν. ἔτι τοίνυν ὥσπερ ἐν γράμμασι καὶ περὶ λύραν καὶ παλαίστραν αἱ πρὸς τὰς μαθήσεις πολλῷ ἔχουσι θόρυβον καὶ πόνον καὶ ἀσάφειαν, εἶτα προϊόντι κατὰ μικρὸν ὥσπερ πρὸς ἀνθρώπους συνήθεια πολλὴ καὶ γνῶσις ἐγγινομένη, πάντα φίλα καὶ χειροήθη καὶ ῥᾴδια, λέγειν τε καὶ πράττειν παρέχων· οὕτω δὴ καὶ φιλοσοφίας ἐχούσης τι καὶ γλίσχρον ἀμέλει καὶ ἀσύνηθες ἐν τοῖς πρώτοις ὀνόμασι καὶ πράγμασιν, οὐ δεῖ φοβηθέντα τὰς ἀρχὰς ψοφοδεῶς καὶ ἀτόλμως ἐγκαταλιπεῖν, ἀλλὰ πειρώμενον ἑκάστου καὶ προσλιπαροῦντα καὶ γλιχόμενον τοῦ πρόσω, τὴν πᾶν τὸ καλὸν ἡδὺ ποιοῦσαν ἀναμένειν συνήθειαν· ἥξει γὰρ οὐ διὰ μακροῦ πολὺ φῶς ἐπιφέρουσα τῇ μαθήσει, καὶ δεινοὺς ἔρωτας ἐνδιδοῦσα πρὸς τὴν ἀρετὴν, ὧν ἄνευ, πάνυ τλήμονος ἀνδρός ἐστιν ἢ δειλοῦ, τὸν ἄλλον ὑπομένειν βίον, ἐμπεσόντα δι' ἀνανδρίαν φιλοσοφίας. ἴσως μὲν οὖν ἔχει τι καὶ τὰ πράγματα τοῖς ἀπείροις καὶ νέοις ἐν ἀρχῇ δυσκατανόητον, οὐ μὴν ἀλλὰ τῆς γε πλείστης περιπίπτουσιν ἀσαφείας καὶ ἀγνοίας δι' αὑτοὺς, ἀπ' ἐναντίων φύσεων ταὐτὸν ἁμαρτάνοντες. οἱ μὲν γὰρ αἰσχύνῃ τινὶ καὶ φειδοῖ τοῦ λέγοντος ὀκνοῦντες ἀνερέσθαι καὶ βεβαιώσασθαι τὸν λόγον, ὡς ἔχοντες ἐν νῷ συνεπινεύουσιν· οἱ δ' ὑπὸ φιλοτιμίας ἀωροῦ καὶ κενῆς πρὸς ἑτέρους ἁμίλλης ὀξύτητα καὶ δύναμιν εὐμαθείας ἐπιδεικνύμενοι, πρὶν ἢ λαβεῖν ἔχειν ὁμολογοῦντες, οὐ λαμβάνουσιν. εἶτα συμβαίνει, τοῖς μὲν αἰδήμοσι καὶ σιωπηλοῖς ἐκείνοις, ὅταν ἀπέλθωσι, λυπεῖν αὑτοὺς καὶ ἀπορεῖσθαι, καὶ τέλος

αὖθις

αὖθις ὑπ' ἀνάγκης ἐλαυνομένους, σὺν αἰσχύνῃ μείζονι τοῖς εἰποῦσιν ἐνοχλεῖν, ἀναπυνθανομένους καὶ μεταθέοντας, τοῖς δὲ φιλοτίμοις καὶ θρασέσιν, ἀεὶ περιστέλλειν καὶ ἀποκρύπτειν συνοικοῦσαν τὴν ἀμαθίαν. πᾶσαν οὖν ἀπωσάμενοι τὴν τοιαύτην βλακείαν καὶ ἀλαζονείαν, πρὸς τὸ μαθεῖν καὶ περιλαβεῖν τῇ διανοίᾳ τὸ χρησίμως λεγόμενον ὄντες, ὑπομένωμεν τοὺς τῶν εὐφυῶν δοκούντων γελῶντας, ὥσπερ ὁ Κλεάνθης καὶ ὁ Ξενοκράτης, βραδύτεροι δοκοῦντες εἶναι τῶν συσχολαστῶν, οὐκ ἀπεδίδρασκον ἐκ τοῦ μανθάνειν οὐδὲ ἀπέκαμνον, ἀλλὰ φθάνοντες εἰς ἑαυτοὺς ἔπαιζον, ἀγγείοις τε βραχυστόμοις, καὶ πινακίσι χαλκαῖς ἀπεικάζοντες, ὡς μόλις μὲν παραδεχόμενοι τοὺς λόγους, ἀσφαλῶς δὲ καὶ βεβαίως τηροῦντες. οὐ γὰρ μόνον ὥς φησι Φωκυλίδης, πόλλ' ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλὸν, ἀλλὰ καὶ γελασθῆναι δεῖ πολλὰ, καὶ ἀδοξῆσαι, καὶ σκώμματα καὶ βωμολοχίας ἀναδεξάμενον ὥσαπερ παντὶ τῷ θυμῷ, καὶ καταθλῆσαι τὴν ἀμαθίαν. οὐ μὴν οὐδὲ τῆς πρὸς τοὐναντίον ἁμαρτίας ἀμελητέον, ἣν ἁμαρτάνουσιν, οἱ μὲν ὑπὸ νωθείας ἀηδεῖς καὶ κοπώδεις ὄντες, οὐ γὰρ ἐθέλουσι γενόμενοι καθ' αὑτοὺς πράγματα ἔχειν, ἀλλὰ παρέχουσι τῷ λέγοντι πολλάκις ἐκπυνθανόμενοι περὶ τῶν αὐτῶν, ὥσπερ ἀπτῆνες νεοσσοὶ, κεχηνότες ἀεὶ πρὸς ἀλλότριον στόμα, καὶ πᾶν ἕτοιμον ἤδη καὶ διαπεπονημένον ὑπ' ἄλλων ἐκλαμβάνειν ἐθέλοντες. ἕτεροι δὲ, προσοχῆς καὶ δριμύτητος ἐν οὐ δέοντι θηρώμενοι δόξαν, ἀποκναίουσι λαλιᾷ καὶ περιεργίᾳ τοὺς λέγοντας, ἀεί τι προσδιαποροῦντες τῶν οὐκ ἀναγκαίων, καὶ ζητοῦντες ἀποδείξεις τῶν οὐ δεομένων. οὕτως ὁδὸς βραχεῖα γίνεται μακρὰ, ὥς φησι Σοφοκλῆς, οὐκ αὐτοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις. ἀντιλαμβανόμενοι γὰρ ἑκάστοτε κεναῖς καὶ περιέργοις ταῖς ἐρωτήσεσι τοῦ διδάσκοντος ὥσπερ ἐν συνοδίᾳ, τὸ ἐνδελεχὲς ἐμποδίζουσι τῆς μαθήσεως, ἐπιστάσεις καὶ διατριβὰς λαμβανούσης. οὗτοι μὲν οὖν κατὰ τὸν Ἱερώνυμον, ὥσπερ οἱ δειλοὶ καὶ γλίσχροι σκύλακες τὰ δέρματα δάκνοντες οἴκοι, καὶ τὰ τρίμματα τίλλοντες, τῶν θηρίων αὐτῶν οὐχ ἅπτονται. τοὺς δ' ἀργοὺς ἐκείνους παρακαλῶμεν, ὅταν τὰ κεφάλαια τῇ νοήσει περιβάλλωσιν, αὐτοὺς δι' αὑτῶν τὰ λοιπὰ συντιθέναι, καὶ τῇ μνήμῃ χειραγωγεῖν τὴν εὕρεσιν, καὶ τὸν ἀλλότριον λόγον οἷον ἀρχὴν καὶ σπέρμα λαβόντας, ἐκτρέφειν καὶ αὔξειν. οὐ γὰρ ὡς ἀγγεῖον ὁ νοῦς ἀποπληρώσεως, ἀλλ' ὑπεκκαύματος μόνον, ὥσπερ ὕλη δεῖται, ὁρμὴν ἐμποιοῦντος εὑρετικὴν, καὶ ὄρεξιν ἐπὶ τὴν ἀλήθειαν. ὥσπερ οὖν εἴ τις ἐκ γειτόνων πυρὸς δεόμενος, εἶτα πολὺ καὶ λαμπρὸν εὑρὼν αὐτοῦ καταμένοι διὰ τέλους θαλπόμενος, οὕτως εἴ τις ἥκων λόγου μεταλαβεῖν πρὸς ἄλλον, οὐκ οἴεται δεῖν φῶς οἰκεῖον ἐξάπτειν καὶ νοῦν ἴδιον, ἀλλὰ χαίρων τῇ ἀκροάσει, κάθηται θελγόμενος, οἷον ἔρευθος ἕλκει καὶ γάνωμα τὴν δόξαν ἀπὸ τῶν λόγων, τὸν δὲ ἐντὸς εὐρῶτα τῆς ψυχῆς καὶ ζόφον, οὐκ ἐκτεθέρμακεν, οὐδ' ἐξέωκε διὰ φιλοσοφίας. εἰ δεῖ τινος πρὸς ἀκρόασιν ἑτέρου παραγγέλματος, δεῖ καὶ τοῦ νῦν εἰρημένου μνημονεύοντας, ἀσκεῖν ἅμα τῇ μαθήσει τὴν εὕρεσιν, ἵνα μὴ σοφιστικὴν ἕξιν μηδὲ ἱστορικὴν, ἀλλ' ἐνδιάθετον καὶ φιλόσοφον λαμβάνωμεν, ἀρχὴν τοῦ καλῶς βιῶναι, τὸ καλῶς ἀκοῦσαι νομίζοντες.

καθαιρομένης. Α.

ἐκπεσόντα. Α.

συλλαμβάνειν. Α.

περιλαβὼν. Α.

ΠΩΣ ΑΝ ΤΙΣ ΔΙΑΚΡΙΝΕΙΕ ΤΟΝ ΚΟΛΑΚΑ ΤΟΥ ΦΙΛΟΥ.

Τῷ σφόδρα φιλεῖν ἑαυτὸν ὦ ἀντίοχε φιλόπαππε φάσκοντι, συγγνώμην μὲν ἅπαντας ὁ πλάτων διδόναι φησί· κακίαν δὲ σὺν πολλαῖς ἄλλαις ἐγγίνεσθαι μεγίστην, ὑφ᾽ ἧς οὐκ ἔστιν αὑτοῦ κριτὴν δίκαιον οὐδὲ ἀδέκαστον εἶναι, τυφλοῦται γὰρ τὸ φιλοῦν περὶ τὸ φιλούμενον, ἂν μή τις μαθὼν ἐθισθῇ τὰ καλὰ τιμᾶν καὶ διώκειν μᾶλλον, ἢ τὰ συγγενῆ καὶ οἰκεῖα. τοῦτο τῷ κόλακι πολλὴν μεταξὺ τῆς φιλίας εὐρυχωρίαν δίδωσιν, ὁρμητήριον ἐφ᾽ ἡμᾶς εὐφυὲς ἔχοντι τὴν φιλαυτίαν, δι᾽ ἣν αὐτὸς αὑτοῦ κόλαξ ἕκαστος ὢν πρῶτος καὶ μέγιστος, οὐ χαλεπῶς προσίεται τὸν ἔξωθεν, ὃν οἴεται καὶ βούλεται μάρτυρα ἅμα αὐτῷ καὶ βεβαιωτὴν προσγινόμενον. ὁ γὰρ λοιδορούμενος φιλοκόλαξ, σφόδρα φίλαυτός ἐστι, καὶ δι᾽ εὔνοιαν ἑαυτῷ πάντα μὲν ὑπάρχειν βουλόμενος, πάντα δὲ οἰόμενος, ὧν ἡ μὲν βούλησις, οὐκ ἄτοπος, ἡ δὲ οἴησις, ἐπισφαλὴς καὶ δεομένη πολλῆς εὐλαβείας. εἰ δὲ θεῖον ἡ ἀλήθεια, καὶ πάντων μὲν ἀγαθῶν θεοῖς πάντων δὲ ἀνθρώποις ἀρχὴ κατὰ πλάτωνα, κινδυνεύει θεοῖς ἐχθρὸς ὁ κόλαξ εἶναι. τῷ δὲ πυθίῳ διαφερόντως, ἀντιτάττεται γὰρ ἀεὶ πρὸς τὸ, γνῶθι σαυτόν, ἀπάτην ἑκάστῳ πρὸς ἑαυτὸν ἐμποιῶν καὶ ἄγνοιαν ἑαυτοῦ τῶν περὶ αὐτὸν ἀγαθῶν καὶ κακῶν, τὰ ἀγαθὰ καὶ τὰ κακά, τὰ μὲν ἐλλιπῆ καὶ ἀτελῆ, τὰ δ᾽ ὅλως ἀνεπανόρθωτα ποιῶν. εἰ μὲν οὖν ὡς τὰ πλεῖστα τῶν ἄλλων κακῶν ὁ κόλαξ ἥπτετο μόνον, ἢ μάλιστα τῶν ἀγεννῶν καὶ φαύλων, οὐκ ἂν ἦν οὕτως δεινὸν οὐδὲ δυσφύλακτον. ἐπεὶ δὲ ὥσπερ οἱ θρῖπες ἐμφύονται μάλιστα τοῖς ἁπαλοῖς καὶ γλυκέσι ξύλοις, οὕτω τὰ φιλότιμα τῶν ἠθῶν καὶ χρηστά, καὶ ἐπιεικῆ, τὸν κόλακα δέχεται καὶ τρέφει προσφυόμενον. ἔτι δ᾽ ὥσπερ ὁ σιμωνίδης τὴν ἱπποτροφίαν φησὶν οὐ ζακύνθῳ ὀπαδεῖν, ἀλλ᾽ ἀρούραισι πυροφόροις, οὕτω τὴν κολακείαν ὁρῶμεν οὐ πένησιν, οὐδὲ ἀδόξοις, οὐδὲ ἀδυνάτοις ἀκολουθοῦσαν, ἀλλ᾽ οἴκων τε καὶ πραγμάτων μεγάλων, ὀλίσθημα καὶ νόσημα γινομένην, πολλάκις δὲ καὶ βασιλείας καὶ ἡγεμονίας ἀνατρέπουσαν, οὐ μικρὸν ἔργον ἐστὶν, οὐδὲ φαύλης δεόμενον προνοίας ἡ περὶ αὐτῆς ἐπίσκεψις, ὡς ἂν μάλιστα περίφωρος οὖσα, μὴ βλάπτοι μὴ δὲ διαβάλλοι τὴν φιλίαν. οἱ μὲν γὰρ φθεῖρες, ἀπίασιν ἀπὸ τῶν τελευτώντων καὶ ἀπολείπουσι τὰ σώματα σβεννυμένου τοῦ αἵματος ἐξ οὗ τρέφονται· τοὺς δὲ κόλακας οὐδ᾽ ὅλως ἰδεῖν ἔστι πράγμασι ξηροῖς καὶ κατεψυγμένοις προσιόντας, ἀλλὰ ταῖς δόξαις καὶ ταῖς δυνάμεσιν ἐπιτίθενται καὶ αὔξονται, ταχὺ δ᾽ ἐν ταῖς μεταβολαῖς ἀπορρέουσιν. ἀλλὰ τὴν τότε πεῖραν οὐ δεῖ περιμένειν, ἀνωφελῆ μᾶλλον δὲ βλαβερὰν, καὶ οὐκ ἀκίνδυνον οὖσαν. χαλεπὸν γὰρ ἐν καιρῷ δεομένῳ φίλων, τὸ μὴ φίλων αἰσθέσθαι, ἀντικαταλλαγὴν οὐκ ἔχοντα χρηστοῦ καὶ βεβαίου, πρὸς ἀβέβαιον καὶ κίβδηλον. ἀλλ᾽ ὥσπερ νόμισμα δεῖ τὸν φίλον ἔχειν πρὸ τῆς χρείας δεδοκιμασμένον, μὴ ἀπὸ τῆς χρείας ἐλεγχόμενον. οὐ γὰρ δεῖ βλαβέντας αἰσθέσθαι, ἀλλ᾽ ὅπως μὴ βλαβῶμεν, ἐμπειρίαν λαβεῖν καὶ κατανόησιν τοῦ κόλακος. εἰ δὲ μή, ταὐτὸ πεισόμεθα τοῖς αἰσθανομένοις τῷ προγεύεσθαι τῶν θανασίμων φαρμάκων, εἰς τὴν κρίσιν ἀπολλύντες ἑαυτοὺς καὶ διαφθείροντες. οὔτε γὰρ δὴ τούτους ἐπαινοῦμεν, οὔτε ὅσοι τὸ τοῦ φίλου εἰς τὸ καλὸν τιθέμενοι καὶ ὠφέλιμον, οἴονται τοὺς κεχαρισμένως ὁμιλοῦντας, εὐθὺς ἐπ᾽ αὐτοφώρῳ κόλακας εἰλῆφθαι. δεῖ γὰρ οὐκ ἀηδῆ τὸν φίλον, οὐδ᾽ ἄκρατον, οὐδὲ τῷ πικρῷ σεμνὸν ἡ φιλία καὶ αὐστηρόν, ἀλλ᾽ αὐτὸ τὸ

καλὸν καὶ τὸ σεμνὸν αὐτῆς, ἡδὺ καὶ τὸ ποθούμενόν ἐστι. παρὰ δ᾽ αὐτῇ, χάριτές τε καὶ ἵμερος οἰκί᾽ ἔθεντο. καὶ οὐ δυστυχοῦντι μόνον εἰς ὄμματ᾽ εὔνου φωτὸς ἐμβλέψαι γλυκὺ κατ᾽ εὐριπίδην, ἀλλ᾽ οὐδὲν ἧττον τοῖς ἀγαθοῖς ἡδονὴν ἐπιφέρουσα καὶ χάριν, ἢ τῶν κακῶν ἀφαιροῦσα τὰς λύπας καὶ τὰς ἀπορίας παρέπεται. καὶ καθάπερ ὁ εὔηνος εἶπε, τῶν ἡδυσμάτων τὸ πῦρ εἶναι κράτιστον. οὕτως τῷ βίῳ μίξας τὴν φιλίαν ὁ θεός, ἅπαντα φαιδρὰ καὶ γλυκέα καὶ προσφιλῆ ταύτης παρούσης καὶ συναπολαβούσης ἐποίησεν. ἐπεὶ πῶς ἂν ὁ κόλαξ ὑπεδύετο ταῖς ἡδοναῖς, εἰ τὴν φιλίαν ἑώρα τὸ ἡδὺ μηδαμοῦ προσιεμένην, οὐκ ἔστιν εἰπεῖν. ἀλλ᾽ ὥσπερ τὰ ψευδόχρυσα καὶ τὰ κίβδηλα, τὴν λαμπρότητα τοῦ χρυσοῦ καὶ τὸ γάνωμα μιμεῖται μόνον, οὕτως ἔοικεν ὁ κόλαξ τὸ τοῦ φίλου τὸ ἡδὺ καὶ κεχαρισμένον ἐκμιμούμενος, ἀεὶ παρέχειν ἱλαρὸν καὶ ἀνθηρόν, καὶ πρὸς μηδὲν ἀντιβαίνοντα, μηδ᾽ ὑπεναντιούμενον ἑαυτόν. ὅθεν οὐδὲ τοὺς ἐπαινοῦντας εὐθύς, ὡς κολακεύοντας ἁπλῶς ὑποπτευτέον. ἔπαινος γὰρ οὐχ ἧττον ἐν καιρῷ ψόγου φιλίᾳ προσήκει. μᾶλλον δὲ τὸ μὲν δύσκολον ὅλως καὶ μεμψίμοιρον, ἄφιλον καὶ ἀνομίλητον. τῆς δ᾽ ἀφθόνως καὶ προθύμως τοῖς καλοῖς ἀποδιδούσης ἔπαινον εὐνοίας, καὶ τὸ νουθετοῦν αὖθις καὶ παρρησιαζόμενον ἐλαφρῶς καὶ ἀλύπως ὑπομένουσι, πιστεύοντες καὶ ἀγαπῶντες ὡς ἀναγκαίως ψέγοντα τὸν ἡδέως ἐπαινοῦντα. χαλεπὸν οὖν, φαίη τις ἄν, ἐστι διακρίναι τὸν κόλακα καὶ τὸν φίλον, εἰ μήτε ἡδονῇ μήτε ἐπαίνῳ διαφέρουσι. καὶ γὰρ ἐν ὑπουργίαις καὶ διακονίαις, πολλάκις ἰδεῖν ἐστι τὴν φιλίαν ὑπὸ τῆς κολακείας παρατρεχομένην. τί δὲ οὐ μέλλει; φήσομεν ἂν, τὸν ἀληθινὸν κόλακα καὶ μετὰ δεινότητος καὶ τέχνης ἁπτόμενον τοῦ πράγματος διώκωμεν. ἀλλὰ μὴ καθάπερ οἱ πολλοὶ τοὺς αὐτολήκυθους τούτους λεγομένους καὶ τραπεζέας, καὶ μετὰ τὸ κατὰ χεῖρας ὕδωρ ἀκουομένους, ὥς τις εἶπε, κόλακας νομίζωμεν, ὧν ἐν μιᾷ λοπάδι καὶ κύλικι μετὰ βωμολοχίας καὶ βδελυρίας ἡ ἀνελευθερία γίνεται καταδήλος. οὐ γὰρ δὴ που μελάνθιον ἔδει τὸν ἀλεξάνδρου τοῦ φεραίου παράσιτον ἐξελέγχειν, ὃς τοῖς ἐρωτῶσι πῶς ἀλέξανδρος ἐσφάγη, διὰ τῆς πλευρᾶς ἔλεγεν εἰς τὴν γαστέρα τὴν ἐμήν. οὐδὲ τοὺς ἀμφὶ πλουσίαν τράπεζαν ἐγκυκλουμένους, οὓς οὔτε πῦρ οὔτε σίδηρος, οὐδὲ χαλκὸς εἴργει μὴ φοιτᾶν ἐπὶ δεῖπνον. οὐδὲ τὰς ἐν κύπρῳ κολακίδας, ἐπεὶ διέβησαν εἰς συρίαν, κλιμακίδας προσαγορευθείσας, ὅτι ταῖς γυναιξὶ τῶν βασιλέων ἀναβαίνειν ἐπὶ τὰς ἁμάξας δι᾽ αὐτῶν ὑποκατακλινόμεναι παρεῖχον. τίνα οὖν δεῖ φυλάττεσθαι; τὸν μὴ δοκοῦντα μηδ᾽ ὁμολογοῦντα κολακεύειν. ὃν οὐκ ἔστι λαβεῖν περὶ τοὐπτάνιον, οὐδ᾽ ἁλίσκεται σκιὰν καταμετρῶν ἐπὶ δεῖπνον, οὐδ᾽ ἔρριπται μεθυσθεὶς ὅπως ἔτυχεν, ἀλλὰ νήφει τὰ πολλά, καὶ πολυπραγμονεῖ, καὶ πράξεων μετέχειν οἴεται δεῖν, καὶ λόγων ἀπορρήτων βούλεται κοινωνὸς εἶναι, καὶ ὅλως τραγικός ἐστιν οὐ σατυρικὸς φιλίας ὑποκριτής, οὐδὲ κωμικός. ὥσπερ γὰρ ὁ πλάτων φησίν, ἐσχάτης ἀδικίας εἶναι δοκεῖν δίκαιον μὴ ὄντα, καὶ κολακείαν ἡγητέον χαλεπὴν τὴν λανθάνουσαν, οὐ τὴν ὁμολογοῦσαν, οὐδὲ τὴν παίζουσαν, ἀλλὰ τὴν σπουδάζουσαν. αὕτη γὰρ ἀναπίμπλησι καὶ τὴν ἀληθινὴν φιλίαν ἀπιστίας, συνεκπίπτουσαν αὐτῇ πολλάκις ἂν μὴ προσέχωμεν. ὁ μὲν οὖν γωβρύης εἰς σκοτεινὸν οἴκημα τῷ μάγῳ φεύγοντι συνεισπεσών, καὶ γενόμενος ἐν διαπάλαις, ἐπιστάντα καὶ διαποροῦντα τὸν δαρεῖον, ἐκέλευσεν ὠθεῖν καὶ δι᾽ ἀμφοτέρων. ἡμεῖς δὲ εἰ μηδαμῇ μηδαμῶς ἐπαινοῦμεν τὸ, ἐρρέτω φίλος σὺν ἐχθρῷ, διὰ πολλῶν ὁμοιοτήτων τὸν κόλακα τῷ φίλῳ συμπεπλεγμένον ἀποσπᾶσαι ζητοῦντες, ὀφείλομεν εὖ μάλα φοβεῖσθαι, μή πως ἢ τῷ κακῷ τὸ χρή-

ΠΩΣ ΑΝ ΤΙΣ ΔΙΑΚΡΙΝΕΙΕ ΤΟΝ ΚΟΛΑΚΑ ΤΟΥ ΦΙΛΟΥ.

Τῷ σφόδρα φιλεῖν ἑαυτὸν ὦ Ἀντίοχε Φιλόπαππε φάσκοντι,
συγγνώμην μὲν ἅπαντας ὁ πλάτων διδόναι φησί. κακίαν δὲ σὺν
πολλαῖς ἄλλαις ἐγγίνεσθαι μεγίστην, ὑφ' ἧς οὐκ ἔστιν αὑτοῦ κρι-
τὴν δίκαιον οὐδὲ ἀδέκαστον εἶναι, τυφλοῦται γὰρ τὸ φιλοῦν
περὶ τὸ φιλούμενον, ἂν μή τις μαθὼν ἐθισθῇ τὰ καλὰ τιμᾶν,
καὶ διώκειν μᾶλλον, ἢ τὰ συγγενῆ καὶ οἰκεῖα. τοῦτο τῷ κόλακι πολλὴν μεταξὺ
τῆς φιλίας εὐρυχωρίαν δίδωσιν, ὁρμητήριον ἐφ' ἡμᾶς εὐφυὲς ἔχοντι τὴν φι-
λαυτίαν, δι' ἣν αὐτὸς αὑτοῦ κόλαξ ἕκαστος ὢν πρῶτος, καὶ μέγιστος, οὐ χαλεπῶς
προσίεται τὸν ἔξωθεν, ὃν οἴεται καὶ βούλεται μάρτυν ἅμα αὐτῷ καὶ βεβαιω-
τὴν προσγινόμενον. ὁ γὰρ λοιδορούμενος φιλοκόλαξ, σφόδρα φίλαυτός ἐστι,
καὶ δι' εὔνοιαν ἑαυτῷ πάντα μὲν ὑπάρχειν βουλόμενος, πάντα δὲ οἰόμενος,
ὧν ἡ μὲν βούλησις, οὐκ ἄτοπος, ἡ δὲ οἴησις, ἐπισφαλὴς καὶ δεομένη πολλῆς εὐ-
λαβείας. εἰ δὲ θεῖον ἡ ἀλήθεια, καὶ πάντων μὲν ἀγαθῶν θεοῖς πάντων δὲ ἀν-
θρώποις ἀρχὴ κατὰ πλάτωνα, κινδυνεύει θεοῖς ἐχθρὸς ὁ κόλαξ εἶναι. τῷ δὲ
πυθίῳ διαφερόντως, ἀντιτάττεται γὰρ ἀεὶ πρὸς τὸ, γνῶθι σαυτὸν, ἀπάτην
ἑκάστῳ πρὸς ἑαυτὸν ἐμποιῶν καὶ ἄγνοιαν ἑαυτῷ τῶν περὶ αὑτὸν ἀγαθῶν καὶ
κακῶν, τὰ ἀγαθὰ καὶ τὰ κακά, τὰ μὲν ἐλλιπῆ καὶ ἀτελῆ, τὰ δ' ὅλως ἀνεπα-
νόρθωτα ποιῶν. εἰ μὲν οὖν ὡς τὰ πλεῖστα τῶν ἄλλων κακῶν ὁ κόλαξ ἥπτε-
το μόνον, ἢ μάλιστα τῶν ἀγεννῶν καὶ φαύλων, οὐκ ἂν ἦν οὕτως δεινὸν οὐδὲ δυσ-
φύλακτον. ἐπεὶ δὲ ὥσπερ οἱ θρῖπες ἐμφύονται μάλιστα τοῖς ἁπαλοῖς καὶ γλυ-
κέσι ξύλοις, οὕτω τὰ φιλότιμα τῶν ἠθῶν καὶ χρηστὰ, καὶ ἐπιεικῆ, τὸν κόλακα
δέχεται καὶ τρέφει προσφυόμενον. ἔτι δ' ὥσπερ ὁ σιμωνίδης τὴν ἱπποτροφίαν
φησὶν οὐ ληκύθῳ ὀπαδεῖν, ἀλλ' ἀρούραισι πυροφόροις, οὕτω τὴν κολακίαν ὁ-
ρῶμεν οὐ πένησιν, οὐδὲ ἀδόξοις, οὐδὲ ἀδυνάτοις ἀκολουθοῦσαν, ἀλλ' οἴκων τε καὶ
πραγμάτων μεγάλων, ὀλίσθημα καὶ νόσημα γινομένην, πολλάκις δὲ καὶ βασι-
λείας καὶ ἡγεμονίας ἀνατρέπουσαν, οὐ μικρὸν ἔργον ἐστὶν, οὐδὲ φαύλης δεόμε-
νον προνοίας ἡ περὶ αὐτῆς ἐπίσκεψις. ὡς ἂν μάλιστα περίφωρος οὖσα, μὴ βλά-
πτοι μὴ δὲ διαβάλλοι τὴν φιλίαν. οἱ μὲν γὰρ φθεῖρες, ἀπίασιν ἀπὸ τῶν τελευ-
τώντων καὶ ἀπολείπουσι τὰ σώματα σβεννυμένου τοῦ αἵματος ἐξ οὗ τρέφονται.
τοὺς δὲ κόλακας οὐδ' ὅλως ἰδεῖν ἐστι πράγμασι ξηροῖς καὶ κατεψυγμένοις προ-
σιόντας, ἀλλὰ ταῖς δόξαις καὶ ταῖς δυνάμεσιν ἐπιτίθενται καὶ αὔξονται,
ταχὺ δ' ἐν ταῖς μεταβολαῖς ἀπορρέουσιν. ἀλλὰ τὴν τότε πεῖραν οὐ δεῖ περι-
μένειν, ἀνωφελῆ μᾶλλον δὲ βλαβερὰν, καὶ οὐκ ἀκίνδυνον οὖσαν. χαλεπὴ γὰρ
ἐν καιρῷ δεομένῳ φίλων, ἡ τῶν μὴ φίλων αἴσθησις, ἀντικαταλλαγὴν οὐκ ἐχού-
σα χρηστοῦ καὶ βεβαίου, πρὸς ἀβέβαιον καὶ κίβδηλον. ἀλλ' ὥσπερ νόμισμα
δεῖ τὸν φίλον ἔχειν πρὸ τῆς χρείας δεδοκιμασμένον, μὴ ὑπὸ τῆς χρείας ἐλεγ-
χόμενον. οὐ γὰρ δεῖ βλαβέντας αἰσθέσθαι, ἀλλὰ πῶς μὴ βλαβῶμεν, ἐμπειρί-
αν λαβεῖν καὶ κατανόησιν τοῦ κόλακος. εἰ δὲ μὴ, ταὐτὸ πεισόμεθα τοῖς αἰσθανο-
μένοις τῷ προγεγεῦσθαι τῶν θανασίμων φαρμάκων, εἰς τὴν κρίσιν ἀπολλύντες
ἑαυτοὺς καὶ διαφθείροντες. οὔτε γὰρ δὴ τούτους ἐπαινοῦμεν, οὔτε ὅσοι τῶν
φίλων εἰς τὸ καλὸν τιθέμενοι καὶ ὠφέλιμον, οἴονται τοὺς κεχαρισμένως ὁμι-
λοῦντας, εὐθὺς ἔχειν ἐπ' αὐτοφώρῳ κόλακας εἰλημμένους. οὐ γὰρ ἀηδὲς ὁ φί-
λος, οὐδ' ἄκρατος, οὐδὲ τῷ πικρῷ σεμνὸν ἡ φιλία καὶ αὐστηρόν, ἀλλ' αὐτὸ δὴ

τοῦτο τὸ καλὸν καὶ τὸ σεμνὸν αὐτῆς, ἡδὺ καὶ ποθούμενόν ἐστι. παρὰ δ' αὐτῇ, χά-
ριτές τε καὶ ἵμερος οἰκί' ἔθεντο. καὶ οὐ δυστυχοῦντι μόνον εἰς ὄμματ' εὔνου φω-
τὸς ἐμβλέψαι γλυκὺ κατ' εὐριπίδην, ἀλλ' οὐδὲν ἧττον τοῖς ἀγαθοῖς ἡδονὴν ἐπι-
φέρουσα καὶ χάριν, ἢ τῶν κακῶν ἀφαιροῦσα τὰς λύπας καὶ τὰς ἀπορίας
παρέπεται. καὶ καθάπερ ὁ εὔηνος εἶπε. τῶν ἡδυσμάτων τὸ πῦρ εἶν' κράτιστον.
οὕτως τῷ βίῳ μίξας τὴν φιλίαν ὁ θεός, ἅπαντα φαιδρὰ καὶ γλυκέα καὶ
προσφιλῆ ταύτης παρούσης καὶ συναπολαβούσης ἐποίησεν. ἐπεὶ πῶς ἂν
ὁ κόλαξ ὑπεδύετο ταῖς ἡδοναῖς, εἰ τὴν φιλίαν ἑώρα τὸ ἡδὺ μηδαμοῦ προσιεμέ-
νην, οὐκ ἔστιν εἰπεῖν. ἀλλ' ὥσπερ τὰ ψευδόχρυσα καὶ τὰ κίβδηλα, τὴν λαμ-
πρότητα τοῦ χρυσοῦ καὶ τὸ γάνωμα μιμεῖται μόνον, οὕτως ἔοικεν ὁ κόλαξ τοῦ
φίλου τὸ ἡδὺ καὶ κεχαρισμένον ἐκμιμούμενος, ἀεὶ παρέχειν ἱλαρὸν καὶ ἀν-
θηρὸν, καὶ πρὸς μηδὲν ἀντιβαίνοντα, μηδ' ὑπεναντιούμενον ἑαυτόν. ὅθεν
οὐδὲ τοὺς ἐπαινοῦντας εὐθὺς, ὡς κολακεύοντας ἁπλῶς ὑφορατέον. ἔπαινος
γὰρ οὐχ ἧττον ἐν καιρῷ ψόγου φιλίᾳ προσήκει. μᾶλλον δὲ τὸ μὲν δύσκολον ὅλως
καὶ μεμψίμοιρον, ἄφιλον καὶ ἀνομίλητον. τῆς δ' ἀφθόνως καὶ προθύμως [illegible]
τοῖς καλοῖς ἀποδιδούσης ἔπαινον εὐνοίας, καὶ τὸ νουθετοῦν αὖθις καὶ παρ-
ρησιαζόμενον ἐλαφρῶς καὶ ἀλύπως ὑπομένουσι, πιστεύοντες καὶ ἀγαπῶντες
ὡς ἀναγκαίως ψέγοντα τὸν ἡδέως ἐπαινοῦντα. χαλεπὸν οὖν, φαίη τις ἄν,
ἐστι διακρῖναι τὸν κόλακα καὶ τὸν φίλον, εἰ μήτε ἡδονῇ μήτε ἐπαίνῳ διαφέρου-
σι. καὶ γὰρ ἐν ὑπουργίαις καὶ διακονίαις, πολλάκις ἰδεῖν ἐστι τὴν φιλίαν ὑπὸ
τῆς κολακείας παρατρεχομένην. τί δὲ οὐ μέλλει φήσομεν ἂν τὸν ἀληθινὸν κό-
λακα καὶ μετὰ δεινότητος καὶ τέχνης ἁπτόμενον τοῦ πράγματος διώκωμεν.
ἀλλὰ μὴ καθάπερ οἱ πολλοὶ τοὺς αὐτοληκύθους τούτους λεγομένους καὶ τραπε-
ζέας, καὶ μετὰ τὸ κατὰ χειρὸς ὕδωρ ἀκουομένους, ὥς τις εἶπε, κόλακας νο-
μίζομεν, ὧν ἐν μιᾷ λοπάδι καὶ κύλικι μετὰ βωμολοχίας καὶ βδελυρίας ἡ
ἀνελευθερία γίνεται κατάδηλος. οὐ γὰρ δή που μελάνθιον ἔδει τὸν ἀλε-
ξάνδρου τοῦ φεραίου παράσιτον ἐξελέγχειν, ὃς τοῖς ἐρωτῶσι πῶς ἀλέξανδρος
ἐσφάγη, διὰ τῆς πλευρᾶς ἔλεγεν εἰς τὴν γαστέρα τὴν ἐμήν. οὐδὲ τοὺς ἀμφὶ πλου-
σίαν τράπεζαν ἐγκυκλουμένους, οὓς οὔτε πῦρ οὐ σίδηρος, οὐδὲ χαλκὸς εἴργει μὴ
φοιτᾶν ἐπὶ δεῖπνον. οὐδὲ τὰς ἐν κύπρῳ κολακίδας, ἐπειδὴ διέβησαν εἰς συ-
ρίαν, κλιμακίδας προσαγορευθείσας, ὅτι ταῖς γυναιξὶ τῶν βασιλέων ἀνα-
βαίνειν ἐπὶ τὰς ἁμάξας δι' αὐτῶν ὑποκατακλινόμεναι παρεῖχον. τίνα οὖν
δεῖ φυλάττεσθαι; τὸν μὴ δοκοῦντα μηδ' ὁμολογοῦντα κολακεύειν. ὃν οὐκ ἔστι
λαβεῖν περὶ τοὐπτανεῖον, οὐδὲ ἁλίσκεται σκιὰν καταμετρῶν ἐπὶ δεῖπνον, οὐδ'
ἔρριπται μεθυσθεὶς ὅπως ἔτυχεν, ἀλλὰ νήφει τὰ πολλά, καὶ πολυπραγμονεῖ,
καὶ πράξεων μετέχειν οἴεται δεῖν, καὶ λόγων ἀπορρήτων βούλεται κοινωνὸς
εἶναι, καὶ ὅλως τραγικός ἐστιν οὐ σατυρικὸς φιλίας ὑποκριτής, οὐδὲ κωμικός.
ὡς γὰρ ὁ πλάτων φησὶν, ἐσχάτης ἀδικίας εἶν' δοκεῖν δίκαιον μὴ ὄντα, καὶ κολα-
κείαν ἡγητέον χαλεπὴν τὴν λανθάνουσαν, οὐ τὴν ὁμολογοῦσαν, οὐδὲ τὴν παίζου-
σαν, ἀλλὰ τὴν σπουδάζουσαν. αὕτη γὰρ ἀναπίμπλησι καὶ τὴν ἀληθινὴν φι-
λίαν ἀπιστίας συνεμπίπτουσαν αὐτῇ πολλάκις ἂν προσέχωμεν. ὁ μὲν οὖν
γωβρύης εἰς σκοτεινὸν οἴκημα τῷ μάγῳ φεύγοντι, συνεισπεσὼν, καὶ γενόμενος ἐν
διαπάλαις, ἐπιστάντα καὶ διαποροῦντα τὸν δαρεῖον, ἐκέλευσεν ὠθεῖν καὶ δι'
ἀμφοτέρων. ἡμεῖς δὲ εἰ μηδαμῇ μηδαμῶς ἐπαινοῦμεν τό, ἐρρέτω φίλος σὺν
ἐχθρῷ, διὰ πολλῶν ὁμοιοτήτων τὸν κόλακα τῷ φίλῳ συμπεπλεγμένον ἀπο-
σπᾶσαι ζητοῦντες, ὀφείλομεν εὖ μάλα φοβεῖσθαι, μή πως ἢ τῷ κακῷ τὸ χρή-

σιμον συνεκβάλωμεν, ἢ φειδόμενοι τοῦ οἰκείου, τῷ βλάπτοντι περιπέσωμεν. ὥσπερ τὰ σίμαια τῶν ἀγρίων σπερμάτων ὅσα καὶ σχῆμα καὶ μέγεθος παραπλήσιον ἔχοντα, τῷ πυρῷ συμμέμικται, χαλεπὴν ἔχει τὴν ἀποκάθαρσιν· ἢ γὰρ οὐ διεκπίπτει τῶν στενοτέρων θυρῶν, ἢ συνεκπίπτει διὰ τῶν ἀραιῶν, οὕτως ἡ κολακεία τῆς φιλίας εἰς πᾶν πάθος καὶ πᾶν κίνημα καὶ χρείαν καὶ συνήθειαν ἑαυτὴν καταμιγνύουσα, δυσχώριστός ἐστιν. ὅτι μὲν τοίνυν πάντων ἥδιστόν ἐστιν ἡ φιλία, καὶ οὐδὲν ἄλλο μᾶλλον εὐφραίνει, διὰ τοῦτο καὶ ὁ κόλαξ ἡδοναῖς ὑπάγεται καὶ περὶ ἡδονάς ἐστιν. ὅτι δ' ἡ χάρις καὶ ἡ χρεία τῇ φιλίᾳ παρέπεται, καθὸ δὴ καὶ λέγεται, πυρὸς καὶ ὕδατος ὁ φίλος ἀναγκαιότερος εἶναι· διὰ τοῦτο ἐμβάλλων ἑαυτὸν εἰς τὰς ὑπουργίας ὁ κόλαξ, ἁμιλλᾶται σπουδαστικὸς ἀεὶ φαίνεσθαι, καὶ ἄοκνος, καὶ πρόθυμος. ἐπειδὴ δὲ τὸ μάλιστα φιλίας ἀρχὴν συνέχον καὶ συνιστὰν, ὁμοιότης ἐστὶν ἐπιτηδευμάτων καὶ ἠθῶν, καὶ ὅλως τὸ χαίρειν τε τοῖς αὐτοῖς, καὶ τὸ τοῖς αὐτοῖς φεύγειν πρῶτον εἰς ταυτὸ συνάπτει καὶ συνίστησι διὰ τῆς ὁμοιοπαθείας, τοῦτο καταμαθὼν ὁ κόλαξ, αὐτὸν ὥσπερ ὕλην τινὰ ῥυθμίζει, καὶ σχηματίζει περιαρμόσαι καὶ προσπλάσαι ζητῶν, οἷς ἂν ἐπιχειρῇ διὰ μιμήσεως, ὑγρὸς ὢν καὶ πιθανὸς μεταβάλλεσθαι περὶ τὰς ἐξομοιώσεις· ὥστ' εἰπεῖν, οὐ παῖς Ἀχιλλέως, ἀλλ' ἐκεῖνος αὐτὸς εἶ. ὃ δὲ πάντων ἐστὶν αὐτοῦ πανουργότατον, αἰσθανόμενος τὴν παρρησίαν καὶ λεγομένην καὶ δοκοῦσαν ἰδίαν εἶναι φωνὴν ὥσπερ τινὸς ζῴου τῆς φιλίας, τὸ δὲ ἀπαρρησίαστον ἄφιλον καὶ ἀγεννές, οὐδὲ ταύτην ἀμίμητον ἀπολέλοιπεν, ἀλλ' ὥσπερ οἱ δεινοὶ τῶν ὀψοποιῶν, τοῖς πικροῖς χυμοῖς καὶ αὐστηροῖς ἡδύσμασι χρῶνται τῶν γλυκέων ἀφαιροῦντες τὸ πλήσμιον, οὕτως οἱ κόλακες, οὐκ ἀληθινὴν, οὐδ' ὠφέλιμον, ἀλλ' οἷον ἐπιλλώπτουσαν ἐξ ὀφρύος καὶ γαργαλίζουσαν ἀτεχνῶς παρρησίαν προσφέρουσιν. ἔστι μὲν οὖν διὰ ταῦτα, δυσφώρατος ὁ ἀνὴρ, ὥσπερ τῶν θηρίων ὅσα πεφυκότα τὴν χρόαν τρέπεσθαι, συναφομοιοῦται τοῖς ὑποκειμένοις ὕλαις καὶ χωρίοις. ἐπεὶ δ' ἐκεῖνος ἐξαπατᾶται καὶ περιαμπέχεται ταῖς ὁμοιότησιν, ἡμέτερον ἔργον ἐστὶ, ταῖς διαφοραῖς ἀνακαλύπτειν καὶ ἀπογυμνοῦν αὐτὸν, ἀλλοτρίοις χρώμασι καὶ σχήμασιν ἤ φησιν ὁ Πλάτων, χήτει οἰκείων κοσμούμενον. εὐθὺς οὖν ἀπὸ τῆς ἀρχῆς σκοπῶμεν, ἀρχὴν δὲ φιλίας ἔφαμεν εἶναι τοῖς πλείστοις, τὴν ταυτὰ μὲν ἐπιεικῶς ἀσπαζομένην ἔθη καὶ ἤθη, τοῖς δὲ αὐτοῖς χαίρουσαν ἐπιτηδεύμασι καὶ πράγμασι καὶ διατριβαῖς, ὁμοιοπαθῆ διάθεσιν καὶ φύσιν· ἐφ' οἷς καὶ ταῦτα εἴρηται· γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει· παῖς παιδί· καὶ γυναικὶ πρόσφορον γυνή· νοσῶν τε ἀνὴρ νοσοῦντι· καὶ δυσπραξίᾳ ληφθεὶς, ἐπῳδός ἐστι τῷ πειρωμένῳ. εἰδὼς οὖν ὁ κόλαξ, ὅτι τὸ χαίρειν τοῖς ὁμοίοις καὶ τὸ χρῆσθαι καὶ ἀγαπᾶν ἔμφυτόν ἐστι, ταύτῃ πρῶτον ἐπιχειρεῖ πλησιάζειν ἑκάστῳ καὶ παρασκηνοῦν, ὥσπερ ἐν νομαῖς θηρίῳ, τοῖς αὐτοῖς ἐπιτηδεύμασι καὶ διατριβαῖς περὶ ταυτὰ καὶ σπουδαῖς καὶ διαίταις, ἄσημα παραβάλλων καὶ προσαναχρωννύμενος, ἄχρι ἂν λαβὴν παράσχῃ, καὶ ψαύοντι τιθασὸς γένηται καὶ συνήθης, ψέγων μὲν, οἷς ἐκεῖνον αἰσθάνεται πράγμασι καὶ βίοις καὶ ἀνθρώποις ἀχθόμενον, ἐπαινέτης δὲ τῶν ἀρεσκόντων οὐ μέτριος, ἀλλ' ὥστε ὑπερβάλλειν σὺν ἐκπλήξει καὶ θαύματι φαινόμενος, βεβαιῶν δὲ τὸ φιλεῖν καὶ τὸ μισεῖν, ὡς κρίσει μᾶλλον ἢ πάθει γινόμενον. πῶς οὖν ἐλέγχεται καὶ τίσιν ἁλίσκεται διαφοραῖς, οὐκ ὢν ὅμοιος οὐδὲ γιγνόμενος, ἀλλὰ μιμούμενος ὅμοιον; πρῶτον μὲν ὁρᾶν δεῖ τὴν ὁμαλότητα τῆς προαιρέσεως καὶ τὸ ἐνδελεχές, εἰ χαίρει τε τοῖς αὐτοῖς ἀεὶ, καὶ ταῦτα ἐπαινεῖ, καὶ πρὸς ἓν ἀπευθύνει καὶ καθίστησι παράδειγμα τὸν ἑαυτοῦ βίον· ὥσπερ ἐλευθέρῳ φιλίας ὁμοιοτρόπου, καὶ συνηθείας ἐραστῇ προσήκει· τοιοῦτος γὰρ ὁ φίλος. ὁ δὲ

κόλαξ ἅτε δὴ μίαν ἑστίαν ἤθους οὐκ ἔχων μόνιμον, οὐδὲ ἑαυτῷ βίον ζητῶν αἱρετόν, ἀλλ' ἑτέρῳ καὶ πρὸς ἕτερον πλάττων καὶ προσαρμόζων ἑαυτὸν οὐχ ἁπλοῦς, οὐδὲ εἷς, ἀλλὰ παντοδαπός ἐστι καὶ ποικίλος εἰς ἄλλον ἐξ ἄλλου τύπον, ὥσπερ τὸ μεταφερόμενον ὕδωρ περιρρέον ἀεὶ καὶ μετασχηματιζόμενον τοῖς ὑποδεχομένοις. ὁ μὲν γὰρ πίθηκος ὡς ἔοικε μιμεῖσθαι τὸν ἄνθρωπον ἐπιχειρῶν, ἁλίσκεται συγκινούμενος καὶ συνορχούμενος, ὁ δὲ κόλαξ αὐτὸς ἑτέρους ἐπάγεται καὶ παλεύει μιμούμενος, οὐχ ὁμοίως ἅπαντας, ἀλλὰ τῷ μὲν συνορχούμενος καὶ συνᾴδων, τῷ δὲ συμπαλαίων καὶ συγκινούμενος. θηρευτικοῦ δὲ καὶ κυνηγετικοῦ λαβόμενος, μονονοὺ τὰ τῆς Φαίδρας ἀναβοῶν ἕπεται· πρὸς θεῶν ἔραμαι κυσὶ θωύξαι βαλιαῖς ἐλάφοις ἐγχριπτόμενος· καὶ οὐδὲν αὐτῷ πρᾶγμα πρὸς τὸ θηρίον, ἀλλ' αὐτὸν ἐκσαγηνεύει καὶ περιβάλλεται τὸν κυνηγόν. ἂν δὲ θηρεύῃ φιλόλογον καὶ φιλομαθῆ νέον, αὖθις ἐν βιβλίοις ἐστὶ, καὶ πώγων ποδήρης καθεῖται, καὶ τριβωνοφορία τὸ σχῆμα, καὶ ἀδιαφορία, καὶ διὰ στόματος οἵ τε ἀριθμοὶ, καὶ τὰ ὀρθογώνια καὶ τρίγωνα Πλάτωνος. εἰ τις ῥᾴθυμός τις ἐμπέπτωκεν αὐτῷ καὶ φιλοπότης καὶ πλούσιος, αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς· ἔρριπται μὲν ὁ τρίβων, κατακείρεται δὲ ὁ πώγων, ὥσπερ ἄκαρπον θέρος, ψυκτῆρες δὲ καὶ φιάλαι καὶ γέλωτες ἐν περιπάτοις, καὶ σκώμματα πρὸς τοὺς φιλοσοφοῦντας, ὥσπερ ἐν Συρακούσαις φασὶν, ὅτι ἡνίκα Πλάτων ἀφίκετο, καὶ Διονύσιον ζῆλος ἔσχε περιμανὴς φιλοσοφίας, τὰ βασίλεια κονιορτοῦ γέμειν ὑπὸ πλήθους τῶν γεωμετρούντων· ἐπεὶ δὲ προσέκρουσε Πλάτων, καὶ Διονύσιος ἐκπεσὼν φιλοσοφίας, πάλιν εἰς πότους καὶ γύναια, καὶ τὸ ληρεῖν καὶ ἀκολασταίνειν ἧκε φερόμενος ἀθρόως ἅπαντας, ὥσπερ ἐν Κίρκης μεταμορφωθέντας, ἀμουσία καὶ λήθη καὶ εὐήθεια κατέσχε. μαρτυρεῖ δὲ καὶ τὰ τῶν μεγάλων ἔργα κολάκων, καὶ τὰ τῶν δημαγωγῶν, ὧν ὁ μέγιστος Ἀλκιβιάδης, Ἀθήνησι μὲν σκώπτων καὶ ἱπποτροφῶν, καὶ μετ' εὐτραπελίας ζῶν καὶ χάριτος, ἐν δὲ Λακεδαίμονι κειρόμενος ἐν χρῷ, καὶ τριβωνοφορῶν, καὶ ψυχρολουτῶν, ἐν δὲ Θρᾴκῃ, πολεμῶν, καὶ πίνων, ἐπεὶ δὲ πρὸς Τισσαφέρνην ἀφίκετο, τρυφῇ καὶ ἁβρότητι καὶ ἀλαζονείᾳ χρώμενος, ἐδημαγώγει καὶ καθωμίλει τῷ συναφομοιοῦν καὶ συνοικειοῦν ἑαυτὸν ἅπασιν. οὐ μὴν τοιοῦτος Ἐπαμεινώνδας, οὐδ' Ἀγησίλαος, ἀλλὰ πλείστοις ὁμιλήσαντες ἀνθρώποις καὶ πόλεσι καὶ βίοις, τὸ πρέπον ἦθος αὐτοῖς πανταχοῦ, καὶ στολῇ, καὶ διαίτῃ, καὶ λόγῳ, καὶ βίῳ διεφύλαττον. οὕτω καὶ Πλάτων ἐν Συρακούσαις, οἷος ἐν Ἀκαδημίᾳ, καὶ πρὸς Διονύσιον, οἷος πρὸς Δίωνα. τὰς δὲ τοῦ κόλακος ὥσπερ πολύποδος τροπὰς, ῥᾷστα φωράσειεν ἄν τις αὐτὸς ἐπὶ πολλὰ δοκῶν τρέπεσθαι, καὶ ψέγων μὲν ὃν ἐπῄνει πρότερον βίον, οἷς δὲ ἤχθετο πράγμασιν ἢ διαίταις ἢ λόγοις ὡς ἀρέσκουσιν, ἐξαίφνης προσιέμενος· ὄψεται γὰρ αὐτὸν οὐδαμῶς βέβαιον οὐδ' ἴδιον, οὐδ' οἰκείῳ πάθει φιλοῦντα καὶ μισοῦντα καὶ χαίροντα καὶ λυπούμενον, ἀλλὰ δίκην κατόπτρου, παθῶν ὀθνείων καὶ βίων καὶ κινημάτων, εἰκόνας ἀναδεχόμενον. τοιοῦτος γὰρ οἷος εἰ ψέγοις τινὰ τῶν φίλων πρὸς αὐτὸν, εἰπεῖν, βραδέως πεφώρακας τὸν ἄνθρωπον, ἐμοὶ μὲν γὰρ οὐδὲ πρότερον ἤρεσκεν· ἂν δ' αὖ πάλιν ἐπαινῇς μεταβαλλόμενος, νὴ Δία φήσει συνήδεσθαι καὶ χάριν ἔχειν αὐτὸς ὑπὲρ τοῦ ἀνθρώπου καὶ πιστεύειν. ἂν δὲ βίον ἀλλακτέον ἕτερον εἴπῃς, οἷον εἰς ἀπραγμοσύνην καὶ ἡσυχίαν, ἐκ πολιτείας μεταβαλλόμενος, πάλαι γε ἐχρῆν φησι, θορύβων ἡμᾶς ἀπηλλάχθαι καὶ φθόνων· ἂν δὲ πάλιν ὁρμᾶν δοκῇς ἐπὶ τὸ πράττειν καὶ λέγειν, ὑποφωνήσει, ἄξια σου τὰ φρονεῖς, ἡ δ' ἀπραγμοσύνη γλυκὺ μὲν, ἀλλ' ἄδοξον καὶ ταπεινόν. εὐθὺς οὖν λεκτέον χρὴ πρὸς τὸν τοιοῦτον, ἀλλοῖός

μοι ξεῖν' ἐφάνης νέος, ἠὲ πάροιθεν. οὐ δέομαι φίλου συμμεθισταμένου καὶ συνεπινεύοντος, ἡ γὰρ σκιὰ ταῦτα ποιεῖ μᾶλλον, ἀλλὰ συναληθεύοντος καὶ συνεπικρίνοντος. εἷς μὲν οὖν τῶν ἐλέγχων τρόπος τοιοῦτός ἐστιν. ἑτέραν δὲ δεῖ ταῖς ὁμοιώσεσι τοιαύτην παραφυλάττειν διαφοράν. ὁ μὲν ἀληθὴς φίλος, οὔτε μιμητής ἐστι πάντων, οὔτ' ἐπαινέτης πρόθυμος, ἀλλὰ τῶν ἀρίστων μόνων, οὐ γὰρ συνεχθεῖν, ἀλλὰ συμφιλεῖν ἔφυ, κατὰ τὸν Σοφοκλέα. καὶ νὴ Δία γε συγκατορθοῦν καὶ συμφιλοκαλεῖν, οὐ συναμαρτάνειν, οὐδὲ συρραδιουργεῖν. ἂν μή τις οἷον ὀφθαλμίας ἀπόρροια καὶ ἀνάχρωσις, ἄκοντα δι' ὁμιλίαν καὶ συνήθειαν ἀναπλήσῃ φαυλότητος ἢ πλημμελείας τινός. ὥς που καὶ Πλάτωνος ἀπομιμεῖσθαί φασι τοὺς συνήθεις, τὸ ἐπίκυρτον. Ἀριστοτέλους δὲ, τὸν τραυλισμόν. Ἀλεξάνδρου δὲ τοῦ βασιλέως, τὴν ἔγκλισιν τοῦ τραχήλου, καὶ τὴν ἐν τῷ διαλέγεσθαι τραχύτητα τῆς φωνῆς. τὰ γὰρ πολλὰ λανθάνουσιν ἔνιοι καὶ ἀπὸ τῶν ἠθῶν καὶ ἀπὸ τῶν βίων ἀναλαμβάνοντες. ὁ δὲ κόλαξ ἀτεχνῶς τὸ τοῦ χαμαιλέοντος πέπονθεν. ἐκεῖνός τε γὰρ ἁπάσῃ χροιᾷ πλὴν τοῦ λευκοῦ συναφομοιοῦται. καὶ ὁ κόλαξ ἐν τοῖς ἀξίοις σπουδῆς ὅμοιον ἑαυτὸν ὑπ' ἀδυνάτων παρέχειν, οὐδὲν ἀπολείπει τῶν αἰσχρῶν ἀμίμητον. ἀλλ' ὥσπερ οἱ φαῦλοι ζωγράφοι τῶν καλῶν ἐφικνεῖσθαι μὴ δυνάμενοι δι' ἀσθένειαν, ἐν ῥυτίσι καὶ φακοῖς καὶ οὐλαῖς τὰς ὁμοιότητας ἀναφέρουσιν, οὕτως ἀκρασίας γίνεται μιμητής, δεισιδαιμονίας, ἀκροχολίας, πικρίας πρὸς οἰκέτας, ἀπιστίας πρὸς οἰκείους καὶ συγγενεῖς. φύσει τε γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὰ χείρονα καταφερής ἐστι, καὶ δοκεῖ πόρρω τοῦ ψέγειν, τὸ αἰσχρὸν εἶναι μιμούμενος. ὕποπτοι γὰρ οἱ τὰ βελτίω ζητοῦντες, καὶ δοκοῦντες ἄχθεσθαι καὶ δυσκολαίνειν τοῖς ἁμαρτήμασι τῶν φίλων, ὃ δὴ καὶ Διονυσίῳ Δίωνα, καὶ Σάμιον Φιλίππῳ, καὶ Κλεομένη Πτολεμαίῳ, διέβαλε καὶ ἀπώλεσεν. ὁ δὲ βουλόμενος εἶναι καὶ δοκεῖν ὁμοίως ἡδὺς ἅμα καὶ πιστὸς, ὡς ἀπὸ τοῦ σφόδρα φιλεῖν, οὐδὲ τὰ φαῦλα δυσχεραίνων, ἀλλὰ συμπαθὴς πᾶσι καὶ συμφυὴς γινόμενος. ὅθεν οὐδὲ τῶν ἀβουλήτων καὶ τυχηρῶν ἀμοιρεῖν ἀξιοῦσιν, ἀλλὰ καὶ νοσεῖν ὅμοια προσποιοῦνται κολακεύοντες τοὺς νοσοῦντας, καὶ μήτε βλέπειν ὀξὺ, μήτε ἀκούειν, ἂν ὑπὸ τυφλοῖς ἢ ὑποκώφοις συνῶσιν. ὥσπερ οἱ Διονυσίου κόλακες ἀμβλυωττοῦντος, ἐμπίπτοντες τ' ἀλλήλοις, καὶ τὰς παροψίδας ἐν τῷ δειπνεῖν καταβάλλοντες. ἔνιοι δὲ καὶ μᾶλλον ἁπτόμενοι τῶν παθῶν, ἐνδοτέρω ποιοῦσιν ἑαυτοὺς καὶ καταμιγνύουσιν ἄχρι τῶν ἀπορρήτων, τὰς ὁμοιοπαθείας. αἰσθόμενοι γὰρ ἢ περὶ γάμον δυστυχοῦντας, ἢ πρὸς οἰκείους ὑπόπτως ἔχοντας, αὐτοὶ σφῶν αὐτῶν ἀφειδοῦσι, καὶ ἀποδύρονται περὶ τέκνων ἰδίων, ἢ γυναικὸς, ἢ συγγενῶν, ἢ οἰκείων, αἰτίας τινὰς ἀπορρήτους ἐξαγορεύοντες. ἡ γὰρ ὁμοιότης συμπαθεστέρους ποιεῖ, καὶ μᾶλλον ὥσπερ ὅμηρα δεδεγμένοι, προΐενταί τι τῶν ἀπορρήτων αὐτοῖς, προέμενοι δὲ, χρῶνται, καὶ δεδίασιν ἐγκαταλιπεῖν τὴν πίστιν. ἐγὼ δὲ οἶδα καὶ συνεκβαλόντα γαμετὴν, ὡς ὁ φίλος ἀπεπέμψατο τὴν ἑαυτοῦ, κρύφα δὲ φοιτῶν πρὸς αὐτὴν καὶ διαπεμπόμενος, ἐφωράθη, συναισθομένης τῆς τοῦ φίλου γυναικός. οὕτως ἄπειρος ἦν κόλακος ὁ νομίζων τὰ ἰαμβεῖα ταυτὶ τῷ καρκίνῳ μᾶλλον, ἢ τῷ κόλακι προσήκειν. γαστὴρ ὅλον τὸ σῶμα. πανταχῇ βλέπων ὀφθαλμός. ἑρπον τοῖς ὀδοῦσι θηρίον. παράσιτου γὰρ ὁ τοιοῦτος εἰκονισμός ἐστι, τῶν περὶ τάγηνον καὶ μετ' ἄριστον φίλων, ὡς Εὔπολίς φησιν. οὐ μὴν ἀλλὰ ταῦτα μὲν, εἰς τὸν οἰκεῖον ἀναθώμεθα τοῦ λόγου τόπον. ἐκεῖνο δὲ μὴ παρῶμεν ἐν ταῖς μιμήσεσι τὸ σόφισμα τοῦ κόλακος, ὅτι κἂν τῶν καλῶν τι μιμῆται τοῦ κολακευομένου, διαφυλάττει τὴν ὑπεροχὴν ἐκείνῳ. τοῖς μὲν γὰρ ἀληθῶς φίλοις, οὔτε ζῆλος ἐστὶ

πρὸς ἀλλήλους, οὔτε φθόνος, ἀλλὰ κἂν ἴσον ἔχωσιν ἐν τῷ κατορθοῦν καὶ ἔλαττον, ἀνεπαχθῶς καὶ μετρίως φέρουσιν. ὁ δὲ κόλαξ ἀεὶ μνημονεύων τῶν τὰ δεύτερα λέγειν, ὑφίεται τῇ ὁμοιότητι τῆς ἰσότητος ἡττᾶσθαι, πανταχοῦ καὶ ἀπολείπεσθαι, πλὴν τῶν φαύλων ὁμολογῶν. ἐν δὲ τοῖς φαύλοις οὐ παρίησι τὸ πρωτεῖον, ἀλλὰ φησὶν, ἂν ἐκεῖνος ᾖ δύσκολος, αὐτὸν εἶναι μελαγχολικόν. ἂν ἐκεῖνος δεισιδαίμων, αὐτὸν θεοφόρητον. ἐρᾶν ἐκεῖνον, μαίνεσθαι δ' αὐτόν. ἀκαίρως φησὶν ἐγέλας, ἐγὼ δ' ἐξέθνησκον ἀπὸ τοῦ γέλωτος. ἀλλ' ἔν γε τοῖς χρηστοῖς τοὐναντίον. αὐτός φησι ταχέως τρέχειν, ἵπτασθαι δ' ἐκεῖνον. αὐτὸς ἱππεύειν ἐπιεικῶς, ἀλλὰ τί πρὸς τὸν ἱπποκένταυρον τοῦτον. εὐφυής εἰμι ποιητὴς, καὶ στίχον οὐ φαυλότατον γράφων. βροντᾶν δ' οὐκ ἐμὸν, ἀλλὰ Διός. ἅμα γὰρ αὐτοῦ δοκεῖ καὶ τὴν προαίρεσιν ἀποφαίνειν καλὴν, μιμούμενος, καὶ τὴν δύναμιν ἀνέφικτον ἡττώμενος. ἐν μὲν οὖν ταῖς ἐξομοιώσεσι, τοιαῦταί τινές εἰσιν αἱ τοῦ κόλακος διαφοραὶ πρὸς τὸν φίλον. ἐπεὶ δὲ ὥσπερ εἴρηταί που καὶ τὸ τῆς ἡδονῆς κοινόν ἐστι, χαίρει γὰρ οὐχ ἧττον τοῖς φίλοις ὁ χρηστὸς, ἢ τοῖς κόλαξιν ὁ φαῦλος, φέρε καὶ τοῦτο διορίσωμεν. ἔστι δὲ διορισμὸς, ἡ πρὸς τὸ τέλος ἀναφορὰ τῆς ἡδονῆς. σκόπει δὲ οὕτως. ἔνεστι μέν που τῷ μύρῳ τὸ εὐῶδες, ἔνεστι δ' ἐν ἀντιδότῳ. διαφέρει δὲ, ὅτι τοῦτο μὲν πρὸς ἡδονὴν καὶ πρὸς οὐδὲν ἕτερον γέγονεν, ἐκεῖ δὲ τὸ καθαῖρον, ἢ τὸ θερμαῖνον, ἢ τὸ σαρκοῦν τῆς δυνάμεως ἄλλως εὐῶδές ἐστι. πάλιν οἱ γραφεῖς ἀνθηρὰ χρώματα καὶ βάμματα μιγνύουσιν. ἔστι δὲ καὶ τῶν ἰατρικῶν φαρμάκων, ἔνια τὴν ὄψιν ἀνθηρὰ καὶ τὴν χρόαν οὐκ ἀπάνθρωπον ἔχοντα. τί τοίνυν διαφέρει. ἢ δῆλον, ὅτι τῷ τέλει τῆς χρείας διακρινοῦμεν. οὐκοῦν ὁμοίως αἱ μὲν τῶν φίλων χάριτες ἐπὶ καλῷ τινὶ καὶ ὠφελίμῳ τὸ εὐφραῖνον, ὥσπερ ἐπανθοῦν ἔχουσιν. ἔστι δ' ὅτε καὶ παιδιᾷ, καὶ τραπέζῃ, καὶ οἴνῳ καὶ νὴ Δία γέλωτι καὶ φλυαρίᾳ πρὸς ἀλλήλους, οἷον ἡδύσμασιν ἐχρήσαντο τῶν καλῶν καὶ σπουδαίων, πρὸς ὃ δὴ καὶ λέλεκται, τὸ μύθοις τέρποντο πρὸς ἀλλήλους ἐνέποντες. καὶ τὸ, οὐδέ κεν ἄλλο ἄμμε διέκρινε φιλέοντέ τε τερπομένω τε. τοῦ δὲ κόλακος τοῦτ' ἔργον ἐστὶ καὶ τέλος, ἀεί τινα παιδιὰν, ἢ πρᾶξιν, ἢ λόγον ἐφ' ἡδονῇ καὶ πρὸς ἡδονὴν ὀψοποιεῖν καὶ καρυκεύειν. συνελόντι δ' εἰπεῖν, ὁ μὲν ἵνα ἡδὺς ᾖ, πάντα δεῖν οἴεται ποιεῖν, ὁ δ' ἀεὶ ποιῶν ἃ δεῖ, πολλάκις μὲν ἡδὺς, πολλάκις δὲ ἀηδής ἐστιν, οὐ τοῦτο βουλόμενος, εἰ δὲ βέλτιον εἴη, μηδὲ τοῦτο φεύγων. ὥσπερ γὰρ ἰατρὸς ἂν συμφέρῃ κρόκον καὶ νάρδον ἐπέβαλε, καὶ νὴ Δία πολλάκις ἔλουσε προσηνῶς καὶ ἔθρεψε φιλανθρώπως. ἔστι δὲ ὅπου ταῦτα ἐάσας, καστόριον ἐνέσεισεν ἢ πόλιον βαρύοσμον, ὃ δὴ ῥίγιστον ὄδωδεν, ἢ τρίψας ἐλλέβορον ἐκπιεῖν ἠνάγκασεν, οὔτε ἐνταῦθα τὸ ἀηδὲς, οὔτε ἐκεῖ τὸ ἡδὺ ποιούμενος τέλος, ἀλλ' ἐφ' ἓν δι' ἀμφοτέρων ἐπὶ τὸ συμφέρον ἄγων τὸν θεραπευόμενον, οὕτως ὁ φίλος, ἔστι μὲν ὅτε τῷ ἐπαινῷ καὶ χάριτι μεγαλύνων ἀεὶ καὶ εὐφραίνων, ἄγει πρὸς τὸ καλὸν, ὥσπερ οὗτος. Τεῦκρε φίλη κεφαλὴ Τελαμώνιε κοίρανε λαῶν, βάλλ' οὕτω, καὶ πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην. ὅπου δ' αὖ πάλιν ἐπιστροφῆς δεῖται, καὶ λόγῳ δηκτῷ καὶ παρρησίᾳ κηδεμονικῇ καθαπτόμενος. ἀφραίνεις Μενέλαε διοτρεφὲς, οὐδέ τί σε χρὴ ταύτης ἀφροσύνης. ἔστι δὲ ὅπου καὶ τὸ ἔργον ἅμα τῷ λόγῳ συνῆψεν. ὡς Μενέδημος Ἀσκληπιάδου τοῦ φίλου τὸν υἱὸν ἄσωτον ὄντα, καὶ ἄτακτον ἀποκλείων, καὶ μὴ προσαγορεύων, ἐσωφρόνισε. καὶ Βάττῳ τὴν σχολὴν ἀπεῖπεν Ἀρκεσίλαος, ὅτε πρὸς Κλεάνθην στίχον ἐποίησεν ἐν κωμῳδίᾳ. πείσαντος δὲ τὸν Κλεάνθην καὶ μεταμελομένου διηλλάγη. δεῖ γὰρ ὠφελοῦντα λυπεῖν τὸν φίλον, οὐ δεῖ δὲ λυποῦντα τὴν φιλίαν ἀναιρεῖν, ἀλλ' ὡς φαρμάκῳ τῷ δάκνοντι χρῆσθαι, σώζοντι καὶ

φυλάττοντι τὸ θεραπευόμενον. ὅθεν ὥσπερ ἁρμονικὸς ὁ φίλος τῇ πρὸς τὸ καλὸν καὶ συμφέρον μεταβολῇ, τὰ μὲν ἐνδιδοὺς, ἃ δ' ἐπιτείνων, πολλάκις μὲν ἡδὺς, ἀεὶ δὲ ὠφέλιμός ἐστι. ὁ δὲ κόλαξ ἀφ' ἑνὸς διαγράμματος ἀεὶ τὸ ἡδὺ καὶ τὸ πρὸς χάριν εἰωθὼς ὑποκρέκειν, οὔτε ἔργον οἶδεν ἀντιτεῖνον, οὔτε ῥῆμα λυποῦν, ἀλλὰ μόνῳ παρέπεται τῷ βουλομένῳ, συνᾴδων ἀεὶ καὶ συμφθεγγόμενος. ὥσπερ οὖν τὸν Ἀγησίλαον ὁ Ξενοφῶν ἡδέως ἐπαινεῖσθαί φησιν ὑπὸ τῶν καὶ ψέγειν ἐθελόντων, οὕτω δὴ τὸ εὐφραῖνον καὶ χαριζόμενον ἡγεῖσθαι φιλικὸν, ἂν καὶ λυπεῖν ποτε δύνηται καὶ ἀντιτείνειν. τὴν δὲ συνεχῆ ταῖς ἡδοναῖς καὶ τῷ πρὸς χάριν ἄκρατον ἀεὶ καὶ ἄδηκτον ὁμιλίαν, ὑπονοεῖν, καὶ νὴ Δία τὸ τοῦ Λάκωνος ἔχειν πρόχειρον, ὃς ἐπαινουμένου Χαρίλλου τοῦ βασιλέως, πῶς δ' οὗτος ἔφη χρηστὸς, ὃς οὐδὲ τοῖς πονηροῖς πικρός ἐστι. τοῖς μὲν οὖν ταύροις τὸν οἶστρον ἐνδύεσθαι παρὰ τὸ οὖς λέγουσι, καὶ τοῖς κυσὶ τὸν κρότωνα, τῶν δὲ φιλοτίμων ὁ κόλαξ τὰ ὦτα κατέχων τοῖς ἐπαίνοις, καὶ προσπεφυκὼς, δυσαπότριπτός ἐστιν. ὅθεν ἐνταῦθα δεῖ μάλιστα τὴν κρίσιν ἔχειν ἐγρηγορυῖαν καὶ παραφυλάττουσαν, πότερον τοῦ πράγματος ἢ τοῦ ἀνδρὸς, ὁ ἔπαινός ἐστιν. ἔστι δὲ τοῦ πράγματος, ἂν ἀπόντας μᾶλλον ἢ παρόντας ἐπαινῶσιν, ἐὰν καὶ αὐτοὶ τὰ αὐτὰ βουλόμενοι καὶ ζηλοῦντες μὴ μόνους ἡμᾶς, ἀλλὰ πάντας ἐπὶ τοῖς ὁμοίοις, μὴ νῦν μὲν ταῦτα, νῦν δὲ τἀναντία πράττοντες καὶ λέγοντες. τὸ δὲ μέγιστον, ἂν αὐτοὶ συνειδῶμεν ἑαυτοὺς μὴ μεταμελομένους ἐφ' οἷς ἐπαινούμεθα, μηδὲ αἰσχυνομένους, μηδὲ μᾶλλον ἡμῖν τἀναντία τούτων πεπρᾶχθαι καὶ λελέχθαι βουλομένους. ἡ γὰρ οἴκοθεν κρίσις ἀντιμαρτυροῦσα, καὶ μὴ προσδεχομένη τὸν ἔπαινον, ἀπαθής ἐστι, καὶ ἄθικτος, καὶ ἀπὸ τοῦ κολακεύοντος ἀνάλωτος. ἀλλ' οὐκ οἶδ' ὅπως οἱ πολλοὶ τὰς μὲν ἐν τοῖς ἀτυχήμασι παρηγορίας, οὐχ ὑπομένουσιν, ἀλλὰ μᾶλλον ὑπὸ τῶν συνεπιθρηνούντων ἐπάγονται καὶ συνοδυρομένων. ὅταν δ' ἁμαρτάνωσι καὶ πλημμελῶσιν, ὁ μὲν ἐλέγχῳ καὶ ψόγῳ δηγμὸν ἐμποιῶν καὶ μετάνοιαν, ἐχθρὸς δοκεῖ καὶ κατήγορος. τὸν δ' ἐπαινοῦντα καὶ κατευλογοῦντα τὰ πεπραγμένα, ἀσπάζονται καὶ νομίζουσιν εὔνουν καὶ φίλον. ὅσοι μὲν οὖν ἢ πρᾶξιν, ἢ λόγον, ἢ σπουδάσαντος ὁτιοῦν, ἢ σκώψαντος εὐχερῶς, ἐπαινοῦσι καὶ συνεπικροτοῦσιν, εἰς τὸ παρόν εἰσι καὶ τὰ ὑπὸ χεῖρα βλαβεροὶ μόνον, ὅσοι δὲ πρὸς τὸ ἦθος ἐξικνοῦνται τοῖς ἐπαίνοις, καὶ διὰ τοῦ τρόπου τῇ κολακείᾳ θιγγάνουσι, ταυτὸ ποιοῦσι τῶν οἰκετῶν τοῖς μὴ ἀπὸ τοῦ σωροῦ κλέπτουσι, ἀλλ' ἀπὸ τοῦ σπέρματος. σπέρμα γὰρ τῶν πράξεων οὖσαν τὴν διάθεσιν, καὶ τὸ ἦθος ἀρχὴν καὶ πηγὴν τοῦ βίου, διαστρέφουσι, τὰ τῆς ἀρετῆς ὀνόματα τῇ κακίᾳ περιθέντες. ἐν μὲν γὰρ ταῖς στάσεσι καὶ τοῖς πολέμοις ὁ Θουκυδίδης φησὶν, ὅτι τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξε τῇ δικαιώσει. τόλμα μὲν γὰρ ἀλόγιστος, ἀνδρεία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς, δειλία εὐπρεπὴς, τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὸ πρὸς ἅπαν συνετὸν, ἐπὶ πᾶν ἀργόν. ἐν δὲ ταῖς κολακείαις, ὁρᾶν χρὴ καὶ παραφυλάττειν ἀσωτίαν μὲν, ἐλευθεριότητα καλουμένην, καὶ δειλίαν, ἀσφάλειαν, ἐμπληξίαν δὲ, ὀξύτητα, μικρολογίαν δὲ, σωφροσύνην, τὸν δ' ἐρωτικὸν φιλοσυνήθη, καὶ φιλόστοργον, ἀνδρεῖον δὲ, τὸν ὀργίλον καὶ ὑπερήφανον, φιλάνθρωπον δὲ, τὸν εὐτελῆ καὶ ταπεινόν. ὥσπου καὶ Πλάτων φησὶ τὸν ἐραστὴν κόλακα τῶν ἐρωμένων ὄντα, τὸν μὲν σιμὸν, καλεῖν ἐπίχαριν, τὸν δὲ γρυπὸν, βασιλικὸν, μέλανας δὲ, ἀνδρικοὺς, λευκοὺς δὲ θεῶν παῖδας, τὸ δὲ, μελίχλωρον ὅλως ἐραστοῦ προσποίημα εἶναι ὑποκοριζομένου καὶ εὐκόλως φέροντος τὴν ὠχρότητα. καίτοι καλὸς μὲν εἶναι πεισθεὶς ὁ αἰσχρὸς ἢ μέγας ὁ μικρὸς οὔτε χρόνον πολὺν τῇ

λὺν τῇ ἀπάτῃ σύνεστι, καὶ βλάπτεται βλάβην ἐλαφρὰν, καὶ οὐκ ἀνήκεστον. ὁ δὲ ταῖς κακίαις ἐθίζων ἔπαινος, ὡς ἀρεταῖς ὡς μὴ ἀχθόμενον ἀλλὰ χαίροντα χρῆσθαι, καὶ τὸ αἰδεῖσθαι τῶν ἁμαρτανομένων ἀφαιρῶν, οὗτος ἐπέτρεψε Σικελιώτας τὴν Διονυσίου καὶ Φαλάριδος ὠμότητα, μισοπονηρίαν καὶ δικαιοσύνην προσαγορεύειν, οὗτος Αἴγυπτον ἀπώλεσε, τὴν Πτολεμαίου θηλύτητα, καὶ θεοληψίαν, καὶ ὀλολυγμοὺς, καὶ κρίνων καὶ τυμπάνων ἐγχαράξεις, εὐσέβειαν ὀνομάζων καὶ θεῶν λατρείαν, οὗτος τὰ Ῥωμαίων ἤθη τηνικαῦτα, παρ' οὐδὲν ἦλθεν ἀναστρέψαι καὶ ἀνελεῖν, τὰς Ἀντωνίου τρυφὰς, καὶ ἀκολασίας, καὶ πανηγυρισμοὺς, ἱλαρὰ πράγματα, καὶ φιλάνθρωπα, χρωμένης ἀφθόνως αὐτῷ δυνάμεως, καὶ τύχης ὑποκοριζόμενος. Πτολεμαίῳ δὲ, τί περιῆψεν ἄλλο, φορβειὰν καὶ αὐλούς. τί δὲ Νέρωνι, τραγικὴν ἐπήξατο σκηνὴν, καὶ προσωπεῖα, καὶ κοθόρνους περιέθηκεν. οὐχ ὁ τῶν κολακευόντων ἔπαινος; οἱ δὲ πολλοὶ τῶν βασιλέων, οὐκ Ἀπόλλωνες μὲν, ἂν μινυρίσωσι, Διόνυσοι δὲ, ἂν μεθυσθῶσιν, Ἡρακλεῖς δὲ, ἂν παλαίσωσι προσαγορευόμενοι, καὶ χαίροντες, εἰς ἅπαν αἰσχύνην ὑπὸ τῆς κολακείας ἐξάγονται; διὸ φυλακτέον ἐστὶ μάλιστα τὸν κόλακα περὶ τοὺς ἐπαίνους, ὅπερ οὐδὲ αὐτὸν ἐκεῖνον λέληθεν, ἀλλὰ δεινὸς ὢν φυλάττεσθαι τὸ ὕποπτον, ἂν μὲν εὐτραπέλου τινὸς ἢ ἀγροίκου λάβηται, φορβειὰν παχεῖαν φέροντος, ὅλῳ τῷ μυκτῆρι χρῆται, καθάπερ ὁ Στρουθίας ἐμπεριπατῶν τῷ Βίαντι, καὶ κατορχούμενος τῆς ἀναισθησίας αὐτοῦ τοῖς ἐπαίνοις. Ἀλεξάνδρου τοῦ βασιλέως πλέον πέπωκας, καὶ γελῶ τι πρὸς τὸν Κύπριον ἐνθυμούμενος. τοὺς δὲ κομψοτέρους ὁρῶν ἐνταῦθα μάλιστα προσέχοντας αὐτῷ καὶ φυλαττομένους τὸ χωρίον τοῦτο καὶ τὸν τόπον, οὐκ ἀπ' εὐθείας ἐπανάγει τὸν ἔπαινον, ἀλλ' ἀπαγαγὼν πόρρω κυκλοῦται καὶ πρόσεισιν, οἷον ἀψοφητὶ θρέμματος ἐπιψαύων, καὶ ἀποπειρώμενος. νῦν μὲν γὰρ, ἑτέρων περὶ αὐτοῦ τινῶν ἐπαίνους ἀπαγγέλλει, καθάπερ οἱ ῥήτορες, ἀλλοτρίῳ προσχρώμενος προσώπῳ, ξένοις λέγων ἢ πρεσβυτέροις ἐν ἀγορᾷ μάλ' ἡδέως παραγενέσθαι, πολλὰ καὶ ἀγαθὰ μεμνημένοις αὐτοῦ, καὶ θαυμάζουσι. νῦν δ' αὖ πάλιν, αἰτίας ἐλαφρὰς καὶ ψευδεῖς πλασάμενος, καὶ συνθεὶς ἐπ' αὐτὸν, ὡς ἀκηκοὼς ἑτέρων, ἀφῖκται μετὰ σπουδῆς, πυνθανόμενος ποῦ τοῦτο εἶπεν, ἢ ποῦ τοῦτο ἔπραξεν, ἀρνούμενον δὲ ὡς εἰκὸς, αὐτόθεν ἔχων ἐμβέβληκεν εἰς τοὺς ἐπαίνους τὸν ἄνθρωπον· ἐγὼ δὲ ἐθαύμαζον, εἰ σὺ κακῶς τινα τῶν συνήθων εἶπας, ὁ μηδὲ τοὺς ἐχθροὺς πεφυκὼς, εἰ σὺ τοῖς ἀλλοτρίοις ἐπεχείρησας, ὁ τοσαῦτα τῶν ἰδίων δωρούμενος. ἕτεροι τοίνυν ὥσπερ οἱ ζωγράφοι τὰ φωτεινὰ καὶ λαμπρὰ, τοῖς σκιεροῖς καὶ σκοτεινοῖς ἐπιτείνουσιν ἐγγὺς παρατιθεμένοις, οὕτω τῷ ψέγειν τἀναντία καὶ λοιδορεῖν, ἢ διασύρειν καὶ καταγελᾶν, λανθάνουσι τὰ προσόντα κακὰ τοῖς κολακευομένοις ἐπαινοῦντες καὶ τρέφοντες. σωφροσύνην τε γὰρ ὡς ἀγροικίαν ψέγουσιν, ἐν ἀσώτοις καὶ πλεονέκταις καὶ κακούργοις καὶ πλουτοῦσιν ἀπὸ πραγμάτων αἰσχρῶν καὶ πονηρῶν, αὐτάρκειαν δὲ καὶ δικαιοσύνην, ὡς ἀτολμίαν καὶ ἀρρωστίαν πρὸς τὸ πράττειν. ὅταν δὲ ῥαθύμοις καὶ σχολασταῖς καὶ τὰ μέσα φεύγουσι τῶν πόλεων ὁμιλῶσιν, οὐκ αἰσχύνονται πολιτείαν μὲν ἀλλοτριοπραγίαν ἐπίπονον, φιλοτιμίαν δὲ, κενοδοξίαν ἄκαρπον ὀνομάζοντες. ἤδη δὲ καὶ ῥήτορος ἐστὶν ὅτε κολακεία διασῦραι φιλόσοφον, καὶ παρὰ γυναιξὶν ἀκολάστοις εὐδοκιμοῦσι, τὰς μονολεχεῖς καὶ φιλάνδρους, ἀναφροδίτους καὶ ἀγροίκους ἀποκαλοῦντες. ὑπερβάλλει δὲ μοχθηρία, τὸ μηδ' ἑαυτῶν ἀπέχεσθαι τοὺς κόλακας. ὡς γὰρ οἱ παλαισταὶ τὸ σῶμα ποιοῦσι ταπεινὸν ὅπως ἑτέρους καταβάλωσιν, οὕτω τῷ ψέγειν ἑαυτοὺς, εἰς τὸ θαυμάζειν τοὺς πλησίον ὑπορρέουσιν· ἀνδράποδον

εἰμὶ δειλὸν ἐν θαλάσσῃ, πρὸς δὲ πόνους ἀπαγορεύω, μαίνομαι κακῶς ἀκούσας ὑπ᾽ ὀργῆς, ἀλλὰ τούτῳ φησὶν οὐδέν ἐστι δεινὸν, οὐδὲν πονηρὸν, ἀλλ᾽ ἴδιος ἄνθρωπος, πάντα πράως φέρει, πάντα ἀλύπως. ἂν δ᾽ ᾖ τις οἰόμενος πολὺν ἔχειν νοῦν, καὶ βουλόμενος αὐστηρὸς εἶναι καὶ αὐθέκαστος, ὑπό δή τινος ὀρθότητος ἀεὶ προβάλληται, τὸ Τυδείδη μή τ᾽ ἄρ με μάλ᾽ αἴνεε μήτε τι νείκει. οὐ ταύτῃ πρόσεισιν ὁ τεχνίτης κόλαξ, ἀλλ᾽ ἔστι τις ἑτέρα μηχανὴ πρὸς τὸν τοιοῦτον. ἥκει τι αὐτῷ περὶ πραγμάτων ἰδίων, ὡς δὴ φρονήσει περιττοτέρῳ συμβουλευσόμενος, καί φησι μᾶλλον μὲν ἑτέρους ἔχειν συνήθεις, ἐνοχλεῖν δ᾽ ἀναγκαίως ἐκείνῳ. ποῦ γὰρ καταφύγωμεν οἱ γνώμης δεόμενοι, τίνι δὲ πιστεύσωμεν, εἶτ᾽ ἀκούσας ὅτι ἂν εἴπῃ, χρησμὸν εἰληφέναι φήσας, οὐ γνώμην, ἄπεισιν. ἂν δὲ καὶ λόγων τινὸς ἐμπειρίας ὁρᾷ μεταποιούμενον, ἔδωκέ τι τῶν αὐτῷ γεγραμμένων ἀναγνῶναι καὶ διορθῶσαι παρακαλέσας. Μιθριδάτῃ δὲ τῷ βασιλεῖ φιλιατροῦντι, καὶ τέμνειν ἔνιοι καὶ καῦσαι παρεῖχον αὑτοὺς τῶν ἑταίρων, ἔργῳ κολακεύοντες οὐ λόγῳ· μαρτυρεῖσθαι γὰρ ἐμπειρίαν ἐδόκει, πιστευόμενος ὑπ᾽ αὐτῶν. πολλαὶ μορφαὶ τῶν δαιμονίων. τὸ δὲ γένος τοῦτο τῶν ἀρνουμένων ἐπαίνων πανουργοτέρας δεόμενον εὐλαβείας, ἐλεγκτέον, ἐπίτηδες ἀτόπους ἐκτάττοντας συμβουλίας καὶ ὑποθήκας, καὶ διορθώσεις ποιουμένους ἀλόγους, πρὸς μηδὲν γὰρ ἀντιλέγων, ἀλλὰ πᾶσι συνεπινεύων, καὶ δεχόμενος πάντα, καὶ βοῶν παρ᾽ ἕκαστον, ὡς εὖ καὶ ἱκανῶς, γίνεται καταφανής, σύνθημα ἐρωτῶν, ἄλλο μαστεύων, χρέος ἐπαινέσαι καὶ συνεπιτυφῶσαι βουλόμενος. ἔτι τοίνυν ὥσπερ ἔνιοι τὴν ζωγραφίαν σιωπῶσαν ἀπεφήναντο ποιητικήν, οὕτως ἔστι τις κολακείας σιωπώσης ἔπαινος. ὡς γὰρ οἱ θηρεύοντες, ἂν μὴ τοῦτο ποιεῖν ἀλλ᾽ ὁδοιπορεῖν ἢ νέμειν ἢ γεωργεῖν δοκῶσι, μᾶλλον τὰ θηρευόμενα λανθάνουσιν, οὕτως οἱ κόλακες ἅπτονται μάλιστα τοῖς ἐπαίνοις, ὅταν ἐπαινεῖν μὴ δοκῶσιν, ἀλλ᾽ ἕτερόν τι πράττειν. ὁ γὰρ εἴκων ἕδρας καὶ κλισίας ἐπιόντι, καὶ λέγων πρὸς δῆμον ἢ βουλὴν, ἂν αἴσθηταί τινα τῶν πλουσίων βουλόμενον εἰπεῖν, ἀποσιωπῶν μεταξὺ, καὶ παραδιδοὺς τὸ βῆμα, καὶ τὸν λόγον, ἐνδείκνυται σιωπῶν μᾶλλον ἢ βοῶν, ὅτι κρείττονα νομίζει καὶ διαφέροντα τὸ φρονεῖν, ἐκεῖνον. ὅθεν ὁρᾶν ἐστιν αὐτοὺς ἕδρας τε τὰς πρώτας ἐν ἀκροάσεσι καὶ θεάτροις καταλαμβάνοντας, οὐχ ὅτι τούτων ἀξιοῦσιν αὑτοὺς, ἀλλ᾽ ὅπως ὑπεξανιστάμενοι τοῖς πλουσίοις κολακεύωσι· καὶ λόγου κατάρχοντας ἐν συνόδοις καὶ συνεδρίοις, εἶτα παραχωροῦντας ὡς κρείττοσι, καὶ μετατιθεμένους ῥᾷστα πρὸς τοὐναντίον, ἂν ὁ δυνατὸς ἢ πλούσιος ἢ ἔνδοξος ὁ ἀντιλέγων, ᾧ καὶ μάλιστα δεῖ τὰς τοιαύτας ὑποκατακλίσεις καὶ ἀναχωρήσεις αὐτῶν ἐξελέγχειν, οὐκ ἐμπειρίαις οὐδ᾽ ἀρεταῖς, οὐδ᾽ ἡλικίαις ὑφιεμένων, ἀλλὰ πλούτοις καὶ δόξαις. Ἀπελλῆς μὲν γὰρ ὁ ζωγράφος Μεγαβύζου παρακαθίσαντος αὐτῷ, καὶ περὶ γραμμῆς τι καὶ σκιᾶς βουλομένου λαλεῖν, ὁρᾷς ἔφη τὰ παιδάρια ταυτὶ τὰ τὴν μηλίδα τρίβοντα; πάνυ σοι προσεῖχε τὸν νοῦν σιωπῶντι, καὶ τὴν πορφύραν ἐθαύμαζε καὶ τὰ χρυσία, νῦν δέ σου καταγελᾷ περὶ ὧν οὐ μεμάθηκας ἀρξαμένου λαλεῖν. καὶ Σόλων Κροίσου περὶ εὐδαιμονίας διαπυνθανομένου, Τέλλον τινὰ τῶν οὐκ ἐπιφανῶν Ἀθήνησι καὶ Βίτωνα καὶ Κλέοβιν, ἀπέφηνεν εὐποτμοτέρους. οἱ δὲ κόλακες τοὺς βασιλεῖς καὶ πλουσίους καὶ ἄρχοντας, οὐκ ὀλβίους μόνον καὶ μακαρίους, ἀλλὰ καὶ φρονήσει καὶ τέχνῃ καὶ ἀρετῇ πάσῃ πρωτεύοντας ἀναγορεύουσιν. εἶτα τῶν μὲν στωικῶν οὐδὲ ἀκούειν ἔνιοι ὑπομένουσι, τὸν σοφὸν ὁμοῦ πλούσιον, καλὸν, εὐγενῆ, βασιλέα, προσαγορευόντων· οἱ δὲ κόλακες τὸν πλούσιον ὁμοῦ καὶ ῥήτορα, καὶ ποιητὴν, ἂν δὲ βούληται, καὶ ζωγράφον, καὶ αὐλητὴν ἀποφαίνουσι, καὶ ποδώκη,

ποδώκη, καὶ ῥωμαλέον, ὑποπίπτοντες ἐν τῷ παλαίειν, καὶ ἀπολιμπανόμενοι θεόντων, ὥσπερ Κρίσων ὁ Ἱμεραῖος ἀπελείφθη διαθέων πρὸς Ἀλέξανδρον, ἐκεῖνος δ᾽ αἰσθόμενος, ἠγανάκτησε. Καρνεάδης δὲ ἔλεγεν ὅτι πλουσίων καὶ βασιλέων παῖδες ἱππεύειν μόνον, ἄλλο δὲ οὐδὲν εὖ καὶ καλῶς μανθάνουσι. κολακεύει γὰρ αὐτοὺς ἐν ταῖς διατριβαῖς ὁ διδάσκαλος ἐπαινῶν, καὶ ὁ προσπαλαίων ὑποκατακλινόμενος, ὁ δὲ ἵππος οὐκ εἰδὼς οὐδὲ φροντίζων ὅστις ἰδιώτης ἢ ἄρχων ἢ πλούσιος ἢ πένης, ἐκτραχηλίζει τοὺς μὴ δυναμένους ὀχεῖσθαι. εὐήθη τοίνυν καὶ ἀβέλτερα τὰ τοῦ Βίωνος, εἰ τὸν ἀγρὸν ἔμελλεν ἐγκωμιάζων εὔφορον ποιεῖν καὶ εὔκαρπον, οὐκ ἂν ἁμαρτάνειν ἐδόκει τοῦτο ποιῶν μᾶλλον, ἢ σκάπτων καὶ πράγματα ἔχων. οὐ τοίνυν οὐδ᾽ ἄνθρωπος ἄτοπος ἂν εἴη ἐπαινῶν, εἰ τοῖς ἐπαινουμένοις ὠφέλιμός ἐστι, καὶ πάμφορος. ὁ μὲν γὰρ ἀγρὸς οὐ γίνεται χείρων ἐπαινούμενος· ἄνθρωπον δὲ, τυφοῦσι καὶ ἀπολλύουσιν οἱ ψευδῶς καὶ παρ᾽ ἀξίαν ἐπαινοῦντες. ταῦτα μὲν οὖν ἀπόχρη περὶ τούτων. ἐφεξῆς δὲ τὸ τῆς παρρησίας, ἴδωμεν. ἔδει μὲν γὰρ ὡς ὁ Πάτροκλος τὰ τοῦ Ἀχιλλέως ὅπλα περιβαλλόμενος, καὶ τοὺς ἵππους ἐξελαύνων ἐπὶ τὴν μάχην, μόνης οὐκ ἐτόλμησεν τῆς Πηλιάδος θιγεῖν, ἀλλ᾽ ἀφῆκεν, οὕτω τὸν κόλακα, τοῖς τοῦ φίλου σκευοποιούμενον καὶ ἀναπλαττόμενον ἐπισήμοις καὶ συμβόλοις, μόνην τὴν παρρησίαν ὥσπερ ἐξαίρετον βάσταγμα φιλίας βριθὺ μέγα στιβαρὸν, καταλιπεῖν ἄθικτον καὶ ἀμίμητον. ἐπεὶ δὲ φεύγοντες τὸν ἐν γέλωτι καὶ ἀκράτῳ καὶ σκώμμασι καὶ παιδιαῖς ἔλεγχον, εἰς ὀφρὺν αἴρουσιν ἤδη τὸ πρᾶγμα καὶ κολακεύουσιν ἐσκυθρωπακότες, καὶ ψόγον τινὰ καὶ νουθεσίαν παραμιγνύουσι, φέρε μὴ δὲ τοῦτο παραλείπωμεν ἀβασάνιστον. οἶμαι δὲ ὥσπερ ἐν κωμῳδίᾳ Μενάνδρου ψευδηρακλῆς πρόσεισι, ῥόπαλον κομίζων, οὐ στιβαρὸν, οὐδ᾽ ἰσχυρὸν, ἀλλὰ χαῦνόν τι πλάσμα καὶ διάκενον, οὕτω τὴν τοῦ κόλακος παρρησίαν φανεῖσθαι πειρωμένοις μαλθακὴν, καὶ ἀβαρῆ, καὶ τόνον οὐκ ἔχουσαν, ἀλλὰ ταὐτὸ τοῖς τῶν γυναικῶν προσκεφαλαίοις δρῶσαν, ἃ δοκοῦντα ταῖς κεφαλαῖς ἀντερείδειν καὶ ἀντέχειν, ἐνδίδωσι καὶ ὑπείκει μᾶλλον, ὥσπερ ἡ κίβδηλος αὕτη παρρησία κενὸν ἔχουσα καὶ ψευδῆ καὶ ὕπουλον ὄγκον, ἐξήρθη καὶ ᾤδησεν, ἵνα συσταλεῖσα καὶ συμπεσοῦσα δέξηται καὶ συνεπισπάσηται τὸν καταφερόμενον εἰς αὐτήν. ἡ μὲν γὰρ ἀληθὴς, καὶ φιλικὴ παρρησία, τοῖς ἁμαρτανομένοις ἐπιφύεται, σωτήριον ἔχουσα καὶ κηδεμονικὸν τὸ λυποῦν, ὥσπερ τὸ μέλι τὰ ἡλκωμένα δάκνουσα καὶ καθαίρουσα, τἆλλα δὲ ὠφέλιμος οὖσα καὶ γλυκεῖα, περὶ ἧς ἴδιος ἔσται λόγος. ὁ δὲ κόλαξ, πρῶτον μὲν ἐνδείκνυται τὸ πικρὸς εἶναι καὶ περισπερχὴς καὶ ἀπαραίτητος ἐν τοῖς πρὸς ἑτέρους. οἰκέταις γοῦν αὐτοῦ χαλεπός ἐστι, καὶ συγγενῶν καὶ οἰκείων ἐπεμβῆναι δεινὸς ἁμαρτήμασι, καὶ μηδένα θαυμάσαι, μὴ δὲ σεμνῦναι τῶν ἐκτὸς, ἀλλ᾽ ὑπερορᾶν, ἀσυγγνώμων δὲ καὶ διάβολος ἐν τῷ πρὸς ὀργὴν ἑτέρους παροξύνειν, θηρώμενος μισοπονηρίας δόξαν, ὡς οὐκ ἂν ἑκὼν ὑφέμενος παρρησίας αὐτοῖς, οὐδὲ ποιήσας οὐδὲν, οὐδ᾽ εἰπὼν πρὸς χάριν. ἔπειτα δὲ τῶν μὲν ἀληθινῶν καὶ μεγάλων ἁμαρτημάτων, οὐδὲν εἰδέναι προσποιούμενος, οὐδὲ γινώσκειν, πρὸς δὲ τὰ μικρὰ καὶ τὰ ἐκτὸς ἐλλείμματα, δεινὸς ᾆξαι, καὶ μετὰ τόνου καθάψασθαι καὶ σφοδρότητος, ἂν σκεῦος ἀμελῶς ἴδῃ κείμενον, ἂν οἰκοῦντα φαύλως, ἂν ὀλιγωροῦντα κουρᾶς ἢ ἀμπεχόνης, ἢ κυνὸς ἢ ἵππου, μὴ κατ᾽ ἀξίαν ἐπιμελόμενον. γονέων δὲ ὀλιγωρία, καὶ παίδων ἀμέλεια, καὶ ἀτιμία γαμετῆς, καὶ πρὸς οἰκείους ὑπεροψία, καὶ χρημάτων ὄλεθρος, οὐδέν ἐστι πρὸς αὐτὸν, ἀλλ᾽ ἄφωνος ἐν τούτοις καὶ ἄτολμος, ὥσπερ ἀθλητὴν ἀλείπτης ἐῶν μεθύειν καὶ ἀκολασταίνειν, εἶτα περὶ ληκύθου χαλεπὸς ὢν, καὶ

φυλάττοντι τὸ θεραπευόμενον. ὅθεν ὥσπερ ἁρμονικὸς ὁ φίλος τῇ πρὸς τὸ καλὸν καὶ συμφέρον μεταβολῇ, τὰ μὲν ἐνδιδοὺς, ἃ δ' ἐπιτείνων, πολλάκις μὲν ἡδὺς, ἀεὶ δὲ ὠφέλιμός ἐστι. ὁ δὲ κόλαξ ἀφ' ἑνὸς διαγράμματος ἀεὶ τὸ ἡδὺ καὶ τὸ πρὸς χάριν εἰωθὼς ὑποκρέκειν, οὔτε ἔργον οἶδεν ἀντιτεῖνον, οὔτε ῥῆμα λυποῦν, ἀλλὰ μόνῳ παρέπεται τῷ βουλομένῳ, συνᾴδων ἀεὶ καὶ συμφθεγγόμενος. ὥσπερ οὖν τὸν ἀγησίλαον ὁ ξενοφῶν ἡδέως ἐπαινεῖσθαί φησιν ὑπὸ τῶν καὶ ψέγειν ἐθελόντων, οὕτω δὴ τὸ εὐφραῖνον καὶ χαριζόμενον ἡγεῖσθαι φιλικὸν, ἂν καὶ λυπεῖν ποτε δύνηται καὶ ἀντιτείνειν. τὴν δὲ συνεχῆ ταῖς ἡδοναῖς καὶ τῷ πρὸς χάριν ἄκρατον ἀεὶ καὶ ἄδηκτον ὁμιλίαν, ὑπονοεῖν, καὶ νὴ Δία τὸ τοῦ λάκωνος ἔχειν πρόχειρον, ὃς ἐπαινουμένου χαρίλλου τοῦ βασιλέως, πῶς οὗτος ἔφη χρηστὸς, ὃς οὐδὲ τοῖς πονηροῖς πικρός ἐστι. τοῖς μὲν οὖν ταύροις τὸν οἶστρον ἐνδύεσθαι παρὰ τὸ οὖς λέγουσι, καὶ τοῖς κυσὶ τὸν κρότωνα, τῶν δὲ φιλοτίμων ὁ κόλαξ τὰ ὦτα κατέχων τοῖς ἐπαίνοις, καὶ προσπεφυκὼς, δυσαπόσπαστός ἐστιν. ὅθεν ἐνταῦθα δεῖ μάλιστα τὴν κρίσιν ἔχειν ἐγρηγορυῖαν καὶ παραφυλάττουσαν, πότερον τοῦ πράγματος ἢ τοῦ ἀνδρὸς, ὁ ἔπαινός ἐστιν. ἔστι δὲ τοῦ πράγματος, ἂν ἀπόντας μᾶλλον ἢ παρόντας ἐπαινῶσιν, ἐὰν καὶ αὐτοὶ τὰ αὐτὰ βουλόμενοι καὶ ζηλοῦντες μὴ μόνους ἡμᾶς, ἀλλὰ πάντας ἐπὶ τοῖς ὁμοίοις, μὴ νῦν μὲν ταῦτα, νῦν δὲ τἀναντία πράττοντες καὶ λέγοντες. τὸ δὲ μέγιστον, ἂν αὐτοὶ συνειδῶμεν ἑαυτοὺς μὴ μεταμελομένους ἐφ' οἷς ἐπαινούμεθα μηδὲ αἰσχυνομένους, μηδὲ μᾶλλον ἡμῖν τἀναντία τούτων πεπρᾶχθαι καὶ λελέχθαι βουλομένους. ἡ γὰρ οἴκοθεν κρίσις ἀντιμαρτυροῦσα, καὶ μὴ προσδεχομένη τὸν ἔπαινον, ἀπαθής ἐστι, καὶ ἄθικτος, καὶ ὑπὸ τοῦ κολακεύοντος ἀνάλωτος. ἀλλ' οὐκ οἶδ' ὅπως οἱ πολλοὶ τὰς μὲν ἐπὶ τοῖς ἀτυχήμασι παρηγορίας οὐχ ὑπομένουσιν, ἀλλὰ μᾶλλον ὑπὸ τῶν συνεπιθρηνούντων ἐπάγονται καὶ συνοδυρομένων. ὅταν δ' ἁμαρτάνωσι καὶ πλημμελῶσιν, ὁ μὲν ἐλέγχῳ καὶ ψόγῳ δηγμὸν ἐμποιῶν καὶ μετάνοιαν, ἐχθρὸς δοκεῖ καὶ κατήγορος. τὸν δ' ἐπαινοῦντα καὶ κατευλογοῦντα τὰ πεπραγμένα, ἀσπάζονται καὶ νομίζουσιν εὔνουν καὶ φίλον. ὅσοι μὲν οὖν ἢ πρᾶξιν, ἢ λόγον, ἢ σπουδάσαντος ὁτιοῦν, ἢ σκώψαντος εὐχερῶς, ἐπαινοῦσι καὶ συνεπικροτοῦσιν, εἰς τὸ παρόν εἰσι μόνον καὶ τὰ ὑπὸ χεῖρα βλαβεροὶ μόνον, ὅσοι δὲ πρὸς τὸ ἦθος ἐξικνοῦνται τοῖς ἐπαίνοις, καὶ διὰ τοῦ τρόπου τῇ κολακείᾳ θιγγάνουσι, ταὐτὸ ποιοῦσι τῶν οἰκετῶν τοῖς μὴ ἀπὸ τοῦ σωροῦ κλέπτουσι, ἀλλ' ἀπὸ τοῦ σπέρματος. σπέρμα γὰρ τῶν πράξεων οὖσαν τὴν διάθεσιν, καὶ τὸ ἦθος ἀρχὴν καὶ πηγὴν τοῦ βίου, διαστρέφουσι, τὰ τῆς ἀρετῆς ὀνόματα τῇ κακίᾳ περιθέντες. ἐν μὲν γὰρ ταῖς στάσεσι καὶ τοῖς πολέμοις ὁ θουκυδίδης φησὶν, ὅτι τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξε τῇ δικαιώσει. τόλμα μὲν γὰρ ἀλόγιστος, ἀνδρεία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς, δειλία εὐπρεπὴς, τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὸ πρὸς ἅπαν συνετὸν, ἐπὶ πᾶν ἀργόν. ἐν δὲ ταῖς κολακείαις, ὁρᾶν χρὴ καὶ παραφυλάττειν ἀσωτίαν μὲν, ἐλευθεριότητα καλουμένην, καὶ δειλίαν, ἀσφάλειαν, ἐμπληξίαν δὲ, ὀξύτητα, μικρολογίαν δὲ, σωφροσύνην, τὸν δ' ἐρωτικὸν φιλοσυνήθη, καὶ φιλόστοργον, ἀνδρεῖον δὲ, τὸν ὀργίλον καὶ ὑπερήφανον, φιλάνθρωπον δὲ, τὸν εὐτελῆ καὶ ταπεινόν. ὥσπου καὶ πλάτων φησὶ τὸν ἐραστὴν κόλακα τῶν ἐρωμένων ὄντα, τὸν μὲν σιμὸν, καλεῖν ἐπίχαριν, τὸν δὲ γρυπὸν, βασιλικὸν, μέλανας δὲ, ἀνδρικοὺς, λευκοὺς δὲ θεῶν παῖδας, τὸ δὲ, μελίχρουν ὅλως ἐραστοῦ προσποίημα εἶναι ὑποκοριζομένου καὶ εὐκόλως φέροντος τὴν ὠχρότητα. καίτοι καλὸς μὲν εἶναι πεισθεὶς ὁ αἰσχρὸς ἢ μέγας ὁ μικρὸς, οὔτε χρόνον πο

λὺν τῇ

λὺν τῇ ἀπάτῃ σύνεστι, καὶ βλάπτεται βλάβην ἐλαφρὰν, καὶ οὐκ ἀνήκεστον. ὁ δὲ ταῖς κακίαις ἐθίζων ἔπαινος, ὡς ἀρεταῖς ὡς μὴ ἀχθόμενον ἀλλὰ χαίροντα χρῆσθαι, καὶ τὴν αἰδεῖσθαι τῶν ἁμαρτανομένων ἀφαιρῶν, οὗτος ἐπέτρεψε σικελιώτας τὴν διονυσίου καὶ φαλάριδος ὠμότητα, μισοπονηρίαν καὶ δικαιοσύνην προσαγορεύειν, οὗτος αἴγυπτον ἀπώλεσε, τὴν πτολεμαίου θηλύτητα, καὶ θεοληψίαν, καὶ ὀλολυγμοὺς, καὶ κρίνων καὶ τυμπάνων ἐγχαράξεις, εὐσέβειαν ὀνομάζων καὶ θεῶν λατρείαν, οὗτος τὰ ῥωμαίων ἤθη τηνικαῦτα, παρ' οὐδὲν ἦλθεν ἀνατρέψαι καὶ ἀνελεῖν, τὰς ἀντωνίου τρυφὰς, καὶ ἀκολασίας, καὶ πανηγυρισμοὺς, ἱλαρὰ πράγματα, καὶ φιλάνθρωπα, χρωμένης ἀφθόνως αὐτῷ δυνάμεως, καὶ τύχης ὑποκοριζόμενος. πτολεμαίῳ δὲ, τί περιῆψεν ἄλλο, φορβέαν καὶ αὐλούς. τί δὲ νέρωνι, τραγικὴν ἐπήξατο σκηνὴν, καὶ προσωπεῖα, καὶ κοθόρνους περιέθηκεν. οὐχ ὁ τῶν κολακευόντων ἔπαινος; οἱ δὲ πολλοὶ τῶν βασιλέων, οὐκ ἀπόλλωνες μὲν, ἂν μινυρίσωσι, διόνυσοι δὲ, ἂν μεθυσθῶσιν, ἡρακλεῖς δὲ, ἂν παλαίσωσι προσαγορευόμενοι, καὶ χαίροντες, εἰς ἅπαν αἰσχύνην ὑπὸ τῆς κολακείας ἐξάγονται; διὸ φυλακτέον ἐστὶ μάλιστα τὸν κόλακα περὶ τοὺς ἐπαίνους, ὅπερ οὐδὲ αὐτὸν ἐκεῖνον λέληθεν, ἀλλὰ δεινὸς ὢν φυλάττεσθαι τὸ ὕποπτον, ἂν μὲν εὐπαρύφου τινὸς ἢ ἀγροίκου λάβηται, φορβειὰν παχεῖαν φέροντος, ὅλῳ τῷ μυκτῆρι χρῆται, καθάπερ ὁ στρουθίας ἐμπεριπατῶν τῷ βίαντι, καὶ κατορχούμενος τῆς ἀναισθησίας αὐτοῦ τοῖς ἐπαίνοις. ἀλεξάνδρου τοῦ βασιλέως πλέον πέπωκας, καὶ γελῶ τὸ πρὸς τὸν κύπριον ἐνθυμούμενος. τοὺς δὲ κομψοτέρους ὁρῶν ἐνταῦθα μάλιστα προσέχοντας αὐτῷ καὶ φυλαττομένους τὸ χωρίον τοῦτο καὶ τὸν τόπον, οὐκ ἀπ' εὐθείας ἐπανάγει τὸν ἔπαινον, ἀλλ' ἀπαγαγὼν πόῤῥω κυκλοῦται καὶ πρόσεισιν, οἷον ἀψοφητὶ θρέμματος ἐπιψαύων, καὶ ἀποπειρώμενος. νῦν μὲν γὰρ, ἑτέρων περὶ αὐτοῦ τινῶν ἐπαίνους ἀπαγγέλλει, καθάπερ οἱ ῥήτορες, ἀλλοτρίῳ προσχρώμενος προσώπῳ, ξένοις λέγων ἢ πρεσβυτέροις ἐν ἀγορᾷ μάλ' ἡδέως παραγενέσθαι, πολλὰ καὶ ἀγαθὰ μεμνημένοις αὐτοῦ, καὶ θαυμάζουσι. νῦν δ' αὖ πάλιν, αἰτίας ἐλαφρὰς καὶ ψευδεῖς πλασάμενος, καὶ συνθεὶς ἐπ' αὐτὸν, ὡς ἀκηκοὼς ἑτέρων, ἀφῖκται μετὰ σπουδῆς, πυνθανόμενος ποῦ τοῦτο εἶπεν, ἢ ποῦ τοῦτο ἔπραξεν, ἀρνουμένου δὲ ὡς εἰκὸς, αὐτόθεν ἔχων ἐμβέβληκεν εἰς τοὺς ἐπαίνους τὸν ἄνθρωπον. ἐγὼ δὲ ἐθαύμαζον, εἰ σὺ κακῶς τινα τῶν συνήθων εἶπας, ὁ μηδὲ τοὺς ἐχθροὺς πεφυκὼς, εἰ σὺ τοῖς ἀλλοτρίοις ἐπεχείρησας, ὁ τοσαῦτα τῶν ἰδίων δωρούμενος. ἕτεροι τοίνυν ὥσπερ οἱ ζωγράφοι τὰ φωτεινὰ καὶ λαμπρὰ, τοῖς σκιεροῖς καὶ σκοτεινοῖς ἐπιτείνουσιν ἐγγὺς παρατιθεμένοις, οὕτω τῷ ψέγειν τἀναντία καὶ λοιδορεῖν, ἢ διασύρειν καὶ καταγελᾶν, λανθάνουσι τὰ προσόντα κακὰ τοῖς κολακευομένοις ἐπαινοῦντες καὶ τρέφοντες. σωφροσύνην τε γὰρ ὡς ἀγροικίαν ψέγουσιν, ἐν ἀσώτοις καὶ πλεονέκταις καὶ κακούργοις καὶ πλουτοῦσιν ἀπὸ πραγμάτων αἰσχρῶν καὶ πονηρῶν, αὐτάρκειαν δὲ καὶ δικαιοσύνην, ὡς ἀτολμίαν καὶ ἀῤῥωστίαν πρὸς τὸ πράττειν. ὅταν δὲ ῥαθύμοις καὶ σχολασταῖς καὶ τὰ μέσα φεύγουσι τῶν πόλεων ὁμιλῶσιν, οὐκ αἰσχύνονται πολιτείαν μὲν ἀλλοτριοπραγίαν ἐπίπονον, φιλοτιμίαν δὲ, κενοδοξίαν ἄκαρπον ὀνομάζοντες. ἤδη δὲ καὶ ῥήτορός ἐστιν ὅτε κολακεία διασῦραι φιλόσοφον, καὶ παρὰ γυναιξὶν ἀκολάστοις εὐδοκιμοῦσι, τὰς μονολεχεῖς καὶ φιλάνδρους, ἀναφροδίτους καὶ ἀγροίκους ἀποκαλοῦντες. ὑπερβάλλει δὲ μοχθηρίᾳ, τὸ μὴ δ' ἑαυτῶν ἀπέχεσθαι τοὺς κόλακας. ὡς γὰρ οἱ παλαισταὶ τὸ σῶμα ποιοῦσι ταπεινὸν ὅπως ἑτέρους καταβάλωσιν, οὕτω τῷ ψέγειν ἑαυτοὺς, εἰς τὸ θαυμάζειν τοὺς πλησίον ὑποῤῥέουσιν. ἀνδράποδον

ἐμὲ δειλὸν ἐν θαλάσσῃ, πρὸς τοὺς πόνους ἀπαγορεύω, μαίνομαι κακῶς ἀκούσας
ὑπ' ὀργῆς, ἀλλὰ τούτῳ φησὶν οὐδέν ἐστι δεινόν, οὐδὲν πονηρόν, ἀλλ' ἴδιος ἄνθρω-
πος, πάντα πράως φέρει, πάντα ἀλύπως. ἂν δ' ἦ τις οἰόμενος πολὺν ἔχειν
νοῦν, καὶ βουλόμενος αὐστηρὸς εἶναι καὶ αὐθέκαστος, ὑπὸ δή τινος ὀρθότητος
ἀεὶ προβάλληται, τὸ Τυδείδη μήτ' ἄρ με μάλ' αἴνεε μήτε τι νείκει· οὐ ταύτῃ
πρόσεισιν ὁ τεχνίτης κόλαξ, ἀλλ' ἔστι τις ἑτέρα μηχανὴ πρὸς τὸν τοιοῦτον. ἥ-
κει τι αὐτῷ περὶ πραγμάτων ἰδίων, ὡς δὴ φρονήσει περιττοτέρῳ συμβουλευσό-
μενος, καί φησι μᾶλλον μὲν ἑτέρους ἔχειν συνήθεις, ἐνοχλεῖν δ' ἀναγκαίως ἐκεί-
νῳ. ποῦ γὰρ καταφύγωμεν οἱ γνώμης δεόμενοι, τίνι δὲ πιστεύσομεν, εἶτ' ἀκούσας
ὅτι ἂν εἴπῃ, χρησμὸν εἰληφέναι φήσας, οὐ γνώμην, ἄπεισιν. ἂν δὲ καὶ λόγων
τινὸς ἐμπειρίας ὁρᾷ μεταποιούμενον, ἔδωκέ τι τῶν αὐτῷ γεγραμμένων ἀνα-
γνῶναι καὶ διορθῶσαι παρακαλέσας. Μιθριδάτῃ δὲ τῷ βασιλεῖ φιλιατροῦντι,
καὶ τεμεῖν ἔνιοι καὶ καῦσαι παρεῖχον αὐτοὺς τῶν ἑταίρων, ἔργῳ κολακεύον-
τες οὐ λόγῳ· μαρτυρεῖσθαι γὰρ ἐμπειρίαν ἐδόκει, πιστευόμενος ὑπ' αὐτῶν.
" πολλαὶ μορφαὶ τῶν δαιμονίων. τὸ δὲ γένος τοῦτο τῶν ἀρνουμένων ἐπαίνων πα-
νουργοτέρας δεόμενον εὐλαβείας, ἐλεγκτέον, ἐπίτηδες ἀτόπους ἐκτάττον τὰς
συμβουλίας καὶ ὑποθήκας, καὶ διορθώσεις ποιούμενον ἀλόγους, πρὸς μηδὲν ἀν-
τιλέγων, ἀλλὰ πᾶσι συνεπινεύων, καὶ δεχόμενος πάντα, καὶ βοῶν παρ' ἕ-
καστον, ὡς εὖ καὶ ἱκανῶς γίνεται καταφανής, σύνθημα ἐρωτῶν, ἄλλο μαστεύων
χρέος ἐπαινέσαι καὶ συνεπιτυφῶσαι βουλόμενος. ἔτι τοίνυν ὥσπερ ἔνιοι
τὴν ζωγραφίαν σιωπῶσαν ἀπεφήναντο ποιητικήν, οὕτως ἔστι τις κολακείας
σιωπώσης ἔπαινος. ὥσπερ γὰρ οἱ θηρεύοντες, ἂν μὴ τοῦτο ποιεῖν, ἀλλ' ὁδοιπο-
ρεῖν ἢ νέμειν ἢ γεωργεῖν δοκῶσι, μᾶλλον τὰ θηρευόμενα λανθάνουσιν, οὕτως οἱ κό-
λακες ἅπτονται μάλιστα τοῖς ἐπαίνοις, ὅταν ἐπαινεῖν μὴ δοκῶσιν, ἀλλ' ἕτερόν
τι πράττειν. ὁ γὰρ εἴκων ἕδρας καὶ κλισίας ἐπιόντι, καὶ λέγων πρὸς δῆμον ἢ
βουλήν, ἂν αἴσθηταί τινα τῶν πλουσίων βουλόμενον εἰπεῖν, ἀποσιωπῶν μεταξύ,
καὶ παραδιδοὺς τὸ βῆμα, καὶ τὸν λόγον, ἐνδείκνυται σιωπῶν μᾶλλον τοῦ βοῶν-
τος, ὅτι κρείττονα νομίζει καὶ διαφέροντα τῷ φρονεῖν, ἐκεῖνον. ὅθεν ὁρᾶν ἔστιν
αὐτοὺς ἕδρας τε τὰς πρώτας ἐν ἀκροάσεσι καὶ θεάτροις καταλαμβάνοντας,
οὐχ ὅτι τούτων ἀξιοῦσιν αὑτούς, ἀλλ' ὅπως ὑπεξανιστάμενοι τοῖς πλουσίοις, κο-
λακεύωσι· καὶ λόγου κατάρχοντας ἐν συνόδοις καὶ συνεδρίοις, εἶτα παραχω-
ροῦντας ὡς κρείττοσι, καὶ μετατιθεμένους, ῥᾷστα πρὸς τοὐναντίον, ἄνπερ ἢ δυ-
νατὸς ἢ πλούσιος ἢ ἔνδοξος ὁ ἀντιλέγων, ᾧ καὶ μάλιστα δεῖ τὰς τοιαύτας ὑπο-
κατακλίσεις καὶ ἀναχωρήσεις αὐτῶν ἐξελέγχειν, οὐκ ἐμπειρίαις οὐδ' ἀρεταῖς,
οὐδ' ἡλικίαις ὑφιεμένων, ἀλλὰ πλούτοις καὶ δόξαις. Ἀπελλῆς μὲν γὰρ ὁ ζω-
" γράφος Μεγαβύζου παρακαθίσαντος αὐτῷ, καὶ περὶ γραμμῆς τι καὶ σκιᾶς βου-
" λομένου λαλεῖν, ὁρᾷς ἔφη τὰ παιδάρια ταυτὶ τὰ τὴν μηλίδα τρίβοντα; πά-
" νυ σοι προσεῖχε τὸν νοῦν σιωπῶντι, καὶ τὴν πορφύραν ἐθαύμαζε καὶ τὰ χρυσία,
" νῦν δέ σου καταγελᾷ περὶ ὧν οὐ μεμάθηκας ἀρξαμένου λαλεῖν. καὶ Σόλων,
Κροίσου περὶ εὐδαιμονίας διαπυνθανομένου, Τέλλον τινὰ τῶν οὐκ ἐπιφανῶν Ἀ-
θήνῃσι καὶ Βίτωνα καὶ Κλέοβιν, ἀπέφηνεν εὐποτμοτέρους. οἱ δὲ κόλακες τοὺς
βασιλεῖς καὶ πλουσίους καὶ ἄρχοντας, οὐκ ὀλβίους μόνον καὶ μακαρίους, ἀλλὰ
καὶ φρονήσει καὶ τέχνῃ καὶ ἀρετῇ πάσῃ πρωτεύοντας ἀναγορεύουσιν. εἶτα
τῶν μὲν Στωικῶν οὐδὲ ἀκούειν ἔνιοι ὑπομένουσι, τὸν σοφὸν ὁμοῦ πλούσιον, καλόν,
εὐγενῆ, βασιλέα, προσαγορευόντων· οἱ δὲ κόλακες τὸν πλούσιον ὁμοῦ καὶ ῥήτο-
ρα, καὶ ποιητήν, ἂν δὲ βούληται, καὶ ζωγράφον, καὶ αὐλητὴν ἀποφαίνουσι, καὶ
ποδώκη,

ποδώκη, καὶ ῥωμαλέον, ὑποπίπτοντες ἐν τῷ παλαίειν, καὶ ἀπολιμπανόμενοι
θεόντων, ὥσπερ Κρίσων ὁ Ἱμεραῖος ἀπελείφθη διαθέων πρὸς Ἀλέξανδρον, ὁ δ'
αἰσθόμενος, ἠγανάκτησε. Καρνεάδης δὲ ἔλεγεν ὅτι πλουσίων καὶ βασιλέων
παῖδες ἱππεύειν μόνον, ἄλλο δὲ οὐδὲν εὖ καὶ καλῶς μανθάνουσι. κολακεύει γὰρ
αὐτοὺς ἐν ταῖς διατριβαῖς ὁ διδάσκαλος ἐπαινῶν, καὶ ὁ προσπαλαίων ὑπο-
κατακλινόμενος, ὁ δὲ ἵππος οὐκ εἰδὼς οὐδὲ φροντίζων ὅς τις ἰδιώτης ἢ ἄρχων ἢ
πλούσιος ἢ πένης, ἐκτραχηλίζει τοὺς μὴ δυναμένους ὀχεῖσθαι. εὐήθη τοίνυν καὶ
ἀβέλτερα τὰ τοῦ Βίωνος, εἰ τὸν ἀγρὸν ἔμελλεν ἐγκωμιάζων εὔφορον ποιεῖν καὶ
εὔκαρπον, οὐκ ἂν ἁμαρτάνειν ἐδόκει τοῦτο ποιῶν μᾶλλον, ἢ σκάπτων καὶ πράγ-
ματα ἔχων. οὐ τοίνυν οὐδ' ἄνθρωπος ἄτοπος ἂν εἴη ἐπαινῶν, εἰ τοῖς ἐπαινουμένοις
ὠφέλιμός ἐστι, καὶ πάμφορος. ὁ μὲν γὰρ ἀγρὸς οὐ γίνεται χείρων ἐπαινούμε-
νος. ἄνθρωπον δέ, τυφοῦσι καὶ ἀπολλύουσιν οἱ ψευδῶς καὶ παρ' ἀξίαν ἐπαινοῦν-
τες. ταῦτα μὲν οὖν ἀπόχρη περὶ τούτων. ἐφεξῆς δὲ τὸ τῆς παρρησίας, ἴδω-
μεν. ἔδει μὲν γὰρ ὡς ὁ Πάτροκλος τοῦ Ἀχιλλέως τὰ ὅπλα περιβαλλόμενος, καὶ
τοὺς ἵππους ἐξελαύνων ἐπὶ τὴν μάχην, μόνης οὐκ ἐτόλμησεν τῆς Πηλιάδος
θιγεῖν, ἀλλ' ἀφῆκεν, οὕτω τὸν κόλακα, τοῖς τοῦ φίλου σκευοποιούμενον, καὶ ἀνα-
πλαττόμενον ἐπισήμοις καὶ συμβόλοις, μόνην τὴν παρρησίαν ὥσπερ ἐξαίρε-
τον βάσταγμα φιλίας βριθὺ μέγα στιβαρόν, καταλιπεῖν ἄθικτον καὶ ἀμίμητον.
ἐπεὶ δὲ φεύγοντες τὸν ἐν γέλωτι καὶ ἀκράτῳ καὶ σκώμμασι καὶ παιδιαῖς ἔλεγ-
χον, εἰς ὀφρὺν αἴρουσιν ἤδη τὸ πρᾶγμα καὶ κολακεύουσιν ἐσκυθρωπακότες, καὶ
ψόγον τινὰ καὶ νουθεσίαν παραμιγνύουσι, φέρε μὴ δὲ τοῦτο παραλείπωμεν ἀ-
βασάνιστον. οἶμαι δὲ ὥσπερ ἐν κωμῳδίᾳ Μενάνδρου Ψευδηρακλῆς πρόσεισι,
ῥόπαλον κομίζων, οὐ στιβαρόν, οὐδ' ἰσχυρόν, ἀλλὰ χαῦνόν τι πλάσμα καὶ διά-
κενον, οὕτω τὴν τοῦ κόλακος παρρησίαν φανεῖσθαι πειρωμένοις μαλθακήν, καὶ ἀ-
βαρῆ, καὶ τόνον οὐκ ἔχουσαν, ἀλλὰ ταὐτὸν τοῖς τῶν γυναικῶν προσκεφαλαίοις
δρῶσαν, ἃ δοκοῦντα ταῖς κεφαλαῖς ἀντερείδειν καὶ ἀντέχειν, ἐνδίδωσι καὶ
ὑπείκει μᾶλλον, ὥσπερ ἡ κίβδηλος αὕτη παρρησία κενὸν ἔχουσα καὶ ψευδῆ
καὶ ὕπουλον ὄγκον, ἐξήρθη καὶ ᾤδησεν, ἵνα συσταλεῖσα καὶ συμπεσοῦσα δέξη-
ται καὶ συνεπισπάσηται τὸν καταφερόμενον εἰς αὐτήν. ἡ μὲν γὰρ ἀληθής,
καὶ φιλικὴ παρρησία, τοῖς ἁμαρτανομένοις ἐπιφύεται, σωτήριον ἔχουσα καὶ
κηδεμονικὸν τὸ λυποῦν, ὥσπερ τὸ μέλι τὰ ἡλκωμένα δάκνουσα καὶ καθαί-
ρουσα, τἆλλα δὲ ὠφέλιμος οὖσα καὶ γλυκεῖα, περὶ ἧς ἴδιος ἔσται λόγος. ὁ
δὲ κόλαξ, πρῶτον μὲν ἐνδείκνυται τὸ πικρὸς εἶναι καὶ περιασερχὴς καὶ
ἀπαραίτητος ἐν τοῖς πρὸς ἑτέρους. οἰκέταις γοῦν αὐτοῦ χαλεπός ἐστι, καὶ συγ-
γενῶν καὶ οἰκείων ἐπεμβῆναι δεινὸς ἁμαρτήμασι, καὶ μηδένα θαυμάσαι, μηδὲ
σεμνῦναι τῶν ἐκτός, ἀλλ' ὑπερορᾶν, ἀσυγγνώμων δὲ καὶ διάβολος ἐν τῷ πρὸς
ὀργὴν ἑτέρους παροξύνειν, θηρώμενος μισοπονηρίας δόξαν, ὡς οὐκ ἂν ἑκὼν
ὑφέμενος παρρησίας αὐτοῖς, οὐδὲ ποιήσας οὐδέν, οὐδ' εἰπὼν πρὸς χάριν.
ἔπειτα δὲ τῶν μὲν ἀληθινῶν καὶ μεγάλων ἁμαρτημάτων, οὐδὲν εἰδέναι προσ-
ποιούμενος, οὐδὲ γινώσκειν, πρὸς δὲ τὰ μικρὰ καὶ τὰ ἐκτὸς ἐλλείμματα, δεινὸς
ἀΐξαι, καὶ μετὰ τόνου καθάψασθαι καὶ σφοδρότητος, ἂν σκεῦος ἀμελῶς ἴδῃ
κείμενον, ἂν οἰκοῦντα φαύλως, ἂν ὀλιγωροῦντα κουρᾶς ἢ ἀμπεχόνης, ἢ κυνός,
ἢ ἵππου, μὴ κατ' ἀξίαν ἐπιμελόμενον. γονέων δὲ ὀλιγωρία, καὶ παίδων ἀμέ-
λεια, καὶ ἀτιμία γαμετῆς, καὶ πρὸς οἰκείους ὑπεροψία, καὶ χρημάτων ὄλεθρος,
οὐδέν ἐστι πρὸς αὐτόν, ἀλλ' ἄφωνος ἐν τούτοις καὶ ἄτολμος, ὥσπερ ἀθλητὴν ἀ-
λείπτης ἐῶν μεθύειν καὶ ἀκολασταίνειν, εἶτα περὶ ληκύθου χαλεπὸς ὤν, καὶ

ελπίδος, ἢ γραμματικὸς ἐπιπλήττων παιδὶ περὶ δέλτου καὶ γραφείου, σολοικίζοντος δὲ καὶ βαρβαρίζοντος, οὐ δοκῶν ἀκούειν. τοιοῦτος γὰρ ὁ κόλαξ, οἷος ῥήτορος φαύλου καὶ καταγελάστου μηδὲν εἰπεῖν πρὸς τὸν λόγον, ἀλλὰ τῆς φωνῆς αἰτιᾶσθαι, καὶ χαλεπῶς ἐγκαλεῖν, ὅτι τὴν ἀρτηρίαν διαφθείρει ψυχροποτῶν, καὶ σύγγραμμα κελευσθεὶς ἄθλιον διελθεῖν, αἰτιᾶσθαι τὸ χαρτίον ὡς δασύ, καὶ τὸν γραφέα μιαρὸν καὶ ὀλίγωρον ἀποκαλεῖν. οὕτως δὲ καὶ Πτολεμαίῳ φιλομαθεῖν δοκοῦντι, περὶ γλώττης καὶ στιχιδίου καὶ ἱστορίας μαχόμενοι, μέχρι μέσων νυκτῶν ἀπέτεινον, ὠμότητι δὲ χρωμένου καὶ ὕβρει καὶ τυμπανίζοντος καὶ τελοῦντος, οὐδεὶς ἐνέστη τῶν τοσούτων. ὥσπερ οὖν εἴ τις ἀνθρώπου φύματα καὶ σύριγγας ἔχοντος, ἰατρικῷ σμιλίῳ τὰς τρίχας τέμνοι καὶ τοὺς ὄνυχας, οὕτως οἱ κόλακες τὴν παρρησίαν πρὸς τὰ μὴ λυποῦντα μηδὲ ἀλγοῦντα προσφέρουσιν. ἔτι δὲ τούτων ἕτεροι πανουργότεροι, καὶ πρὸς ἡδονὴν χρῶνται τῷ παρρησιάζεσθαι καὶ ψέγειν. καθάπερ Ἆγις ὁ Ἀργεῖος, Ἀλεξάνδρου γελωτοποιῷ τινι μεγάλας δωρεὰς διδόντος, ὑπὸ φθόνου καὶ λύπης ἐξέκραγεν, ὢ τῆς πολλῆς ἀτοπίας, ἐπιστρέψαντος δὲ τοῦ βασιλέως πρὸς αὐτὸν ὀργῇ, καὶ δὴ τί σὺ λέγεις εἰπόντος, ὁμολογῶ φησιν ἄχθεσθαι καὶ ἀγανακτεῖν, ὁρῶν ὑμᾶς τοὺς ἐκ Διὸς γεγονότας ἅπαντας, ὁμοίως κόλαξι καὶ ἀνθρώποις καὶ καταγελάστοις χαίροντας. καὶ γὰρ Ἡρακλῆς Κέρκωψί τισι, καὶ Σειληνοῖς ὁ Διόνυσος ἐτέρπετο, καὶ παρὰ σοὶ τοιούτους ἰδεῖν ἐστιν εὐδοκιμοῦντας. Τιβερίου δὲ Καίσαρος εἰς τὴν σύγκλητόν ποτε παρελθόντος, εἷς τῶν κολάκων ἀναστὰς ἔφη, δεῖν ἐλευθέρους ὄντας παρρησιάζεσθαι, καὶ μηδὲν ὑποστέλλεσθαι, μηδ' ἀποσιωπᾶν τῶν συμφερόντων. ἀνατείνας δὲ πάντας οὕτω, γενομένης αὐτῷ σιωπῆς, καὶ τοῦ Τιβερίου προσέχοντος, ἄκουσον ἔφη Καῖσαρ ἅ σοι πάντες ἐγκαλοῦμεν, οὐδεὶς δὲ τολμᾷ φανερῶς λέγειν, ἀμελεῖς σεαυτοῦ, καὶ προΐεσαι τὸ σῶμα, καὶ κατατρύχεις ἀεὶ φροντίσι καὶ πόνοις ὑπὲρ ἡμῶν, οὔτε μεθ' ἡμέραν, οὔτε νυκτὸς ἀναπαυόμενος. πολλὰ δὲ αὐτοῦ τοιαῦτα συνείροντος, εἰπεῖν φασι τὸν ῥήτορα Κάσσιον Σευῆρον, αὕτη τοῦτον ἡ παρρησία τὸν ἄνθρωπον ἀποκτενεῖ. καὶ ταῦτα μὲν ἐλάττονά ἐστιν. ἐκεῖνα δ' ἤδη χαλεπὰ καὶ λυμαίνεται τοὺς ἀνοήτους, ὅταν εἰς τὰ ἐναντία πάθη καὶ νοσήματα κατηγορῶσιν, ὥσπερ Ἱμέριος ὁ κόλαξ τῶν πλουσίων τινὰ ἀνελευθερώτατον καὶ φιλαργυρώτατον Ἀθήνησιν, ὡς ἄσωτον ἐλοιδόρει καὶ ἀμελῆ, καὶ πεινήσοντα κακῶς μετὰ τῶν τέκνων. ἢ τοὺς ἀσώτους αὖ πάλιν καὶ πολυτελεῖς, εἰς μικρολογίαν καὶ ῥυπαρίαν ὀνειδίζωσιν, ὥσπερ Νέρωνα Τίτος Πετρώνιος. ἢ τοὺς ὠμῶς καὶ ἀγρίως προσφερομένους ἄρχοντας ὑπηκόοις, ἀποθέσθαι κελεύωσι τὴν πολλὴν ἐπιείκειαν, καὶ τὸν ἄκαιρον ἔλεον καὶ ἀσύμφορον. ὁμοίως δὲ τούτοις, καὶ ὁ τὸν εὐήθη καὶ βλᾶκα καὶ ἀβέλτερον, ὡς δεινόν τινα καὶ πανοῦργον φυλάττεσθαι καὶ δεδιέναι προσποιούμενος, καὶ ὁ τοῦ βασκάνου δὲ καὶ τῷ κακολογεῖν ἀεὶ καὶ ψέγειν χαίροντος, ἄν ποτε προαχθεὶς ἐπαινέσῃ τινὰ τῶν ἐνδόξων, καθαπτόμενος καὶ ἀντιλέγων ὡς νόσημα τοῦτ' ἔχοντος, ἀνθρώπους ἐπαινεῖς μηδενὸς ἀξίους; τίς γὰρ οὗτός ἐστιν, ἢ τί λαμπρὸν ἢ πεποίηκεν ἢ καὶ εἴρηκε. μάλιστα δὲ περὶ τοὺς ἔρωτας τοῖς κολακευομένοις ἐπιτίθενται καὶ προσεκκαίουσιν. ἀδελφοὺς μὲν γὰρ ὁρῶντες διαφερομένους, ἢ γονέων ὑπερφρονοῦντας, ἢ πρὸς γυναῖκας αὐτῶν ὑπεροπτικῶς ἔχοντας, οὔτε νουθετοῦσιν, οὔτ' ἐγκαλοῦσιν, ἀλλὰ καὶ προσεπιτείνουσι τὰς ὀργάς. οὐ γὰρ αἰσθάνῃ σαυτοῦ, καὶ σὺ τούτων αἴτιος, ἀεὶ θεραπευτικῶς προσφερόμενος καὶ ταπεινός. ἐὰν δὲ πρὸς ἑταίραν ἢ μοιχεύτριαν ἐρωμένην κνισμός τις ἐξ ὀργῆς καὶ ζηλοτυπίας ὑπογένηται, πάρεστι μετὰ παρ-

ῥησίας

ῥησίας λαμπρᾶς ἡ κολακεία, πῦρ ἐπὶ πῦρ ἐπιφέρουσα καὶ δικαιολογουμένη, καὶ κατηγοροῦσα τοῦ ἐρῶντος, ὡς ἀνέραστα πολλὰ καὶ σκληρὰ καὶ νεμεσητὰ ποιοῦντος. ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων. οὕτως Ἀντωνίου οἱ φίλοι τῆς Αἰγυπτίας ἐρῶντα καὶ καιόμενον ἀναπείθοντες ὡς ὑπ' ἐκείνης ἐρᾶται, καὶ λοιδοροῦντες ἐκάλουν ἀπαθῆ καὶ ὑπερήφανον, ἡ μὲν γυνὴ καταλιποῦσα βασιλείαν τοσαύτην καὶ διατριβὰς εὐδαίμονας, φθείρεται μετὰ σοῦ στρατευομένη, σχῆμα παλλακίδος ἔχουσα, σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστί, καὶ περιορᾷς αὐτὴν ἀνιωμένην. ὁ δ' ἡδέως ἐλεγχόμενος ὡς ἀδικῶν, καὶ τοῖς κατηγοροῦσι χαίρων, ὡς οὐδὲ τοῖς ἐπαινοῦσιν, ἐλάνθανε τῷ νουθετεῖν δοκοῦντι προσδιαστρεφόμενος. ἔοικε γὰρ ἡ τοιαύτη παρρησία τοῖς τῶν ἀκολάστων δήγμασι γυναικῶν, ἐγείρουσα καὶ γαργαλίζουσα τῷ δοκοῦντι λυπεῖν τὸ ἡδόμενον. καὶ καθάπερ τὸν ἄκρατον ἄλλως βοηθοῦντα πρὸς τὸ κώνειον, ἂν ἐμμίξωσι προσβάλλοντες αὐτῷ, κομιδῇ ποιοῦσι τὴν τοῦ φαρμάκου δύναμιν ἀβοήθητον, ὀξέως ἀναφερομένην ἐπὶ τὴν καρδίαν ὑπὸ θερμότητος, οὕτως τὴν παρρησίαν ἐπιστάμενοι μέγα βοήθημα πρὸς τὴν κολακείαν οὖσαν οἱ πονηροί, δι' αὐτῆς κολακεύουσι τῆς παρρησίας. ὅθεν οὐδὲ ὁ Βίας ἀπεκρίνατο καλῶς τῷ πυθομένῳ τί τῶν ζῴων χαλεπώτατόν ἐστιν, ἀποκρινάμενος, ὅτι τῶν μὲν ἀγρίων ὁ τύραννος, τῶν δὲ ἡμέρων ὁ κόλαξ. ἀληθέστερον γὰρ ἦν εἰπεῖν ὅτι τῶν κολάκων, ἥμεροι μέν εἰσιν οἱ περὶ τὸ βαλανεῖον οὗτοι καὶ περὶ τὴν τράπεζαν. ὁ δὲ εἰς τὰ δωμάτια καὶ τὴν γυναικωνῖτιν ἐκτείνων ὥσπερ πλεκτάνας τὸ πολυπράγμον καὶ διάβολον καὶ κακόηθες, ἄγριος καὶ θηριώδης καὶ δυσμεταχείριστος.

εἷς δέ τις ἔοικε τρόπος εἶναι φυλακῆς, τὸ γινώσκειν καὶ μνημονεύειν ἀεί, ὅτι τῆς ψυχῆς τὸ μὲν ἀληθινὸν καὶ φιλόκαλον καὶ λογικὸν ἐχούσης, τὸ δὲ ἄλογον καὶ φιλοψευδὲς καὶ παθητικόν, ὁ μὲν φίλος ἀεὶ τῷ κρείττονι πάρεστι σύμβουλος καὶ συνήγορος, ὥσπερ ἰατρὸς τὸ ὑγιαῖνον αὔξων καὶ διαφυλάττων, ὁ δὲ κόλαξ τῷ παθητικῷ καὶ ἀλόγῳ παρακάθηται, καὶ τοῦτο κνᾷ καὶ γαργαλίζει καὶ ἀναπείθει, καὶ ἀφίστησι τοῦ λογισμοῦ, μηχανώμενος αὐτῷ πονηράς τινας ἡδυπαθείας. ὥσπερ οὖν τῶν σιτίων ἔστιν ἃ μήτε αἵματι προσφυέσι μήτε πνεύματι, μήτε νεύροις τινὰ τόνον ἢ μυελοῖς προστίθησιν, ἀλλ' αἰδοῖα παρακινεῖ, κοιλίαν ἐγείρει, καὶ σάρκα ποιεῖ σαθρὰν καὶ ὕπουλον, οὕτως ὁ τοῦ κόλακος λόγος οὐδὲν τῷ σωφρονοῦντι καὶ λογιζομένῳ προστίθησιν, ἀλλ' ἢ ἡδονήν τινα πιθανὸς ἐρῶντος, ἢ θυμὸν ἐντείνων ἀνόητον, ἢ διερεθίζων φθόνον, ἢ φρονήματος ὄγκον ἐμποιῶν ἐπαχθῆ καὶ κενόν, ἢ λύπῃ συνεπιθρηνῶν, ἢ τὸ κακόηθες καὶ ἀνελεύθερον καὶ ἄπιστον, ἀεί τισι διαβολαῖς καὶ προαισθήσεσι δριμὺ καὶ ψοφοδεὲς ποιῶν καὶ ὕποπτον, οὐ διαφεύξεται τοὺς προσέχοντας. ἀεὶ γὰρ ὑφορμεῖ τινι πάθει καὶ τοῦτο παιαίνει, καὶ πάρεστι βουβῶνος δίκην ἑκάστοτε τοῖς ὑπούλοις καὶ φλεγμαίνουσι τῆς ψυχῆς ἐπιγινόμενος. ὀργίζῃ; κόλασον. ἐπιθυμεῖς; ὤνησαι. φοβῇ; φύγωμεν. ὑπονοεῖς; πίστευσον. ἂν δὲ περὶ ταῦτα δυσφώρατος ᾖ τὰ πάθη, διὰ σφοδρότητα καὶ μέγεθος ἐκκρουομένου τοῦ λογισμοῦ, περὶ τὰ λοιπὰ λαβὴν παρέξει μᾶλλον, ὅμοιος ὤν. καὶ γὰρ ἐν ὑποψίᾳ κραιπάλης τινὸς ἢ πλησμονῆς γενόμενον, καὶ διστάζοντα περὶ λουτροῦ καὶ τροφῆς, ὁ μὲν φίλος ἐφέξει φυλάττεσθαι καὶ προσέχειν παραινῶν, ὁ δὲ κόλαξ εἰς τὸ βαλανεῖον ἕλκει, καὶ κελεύει νεαρόν τι παραθεῖναι, καὶ μὴ κακοῦν ἀνατάσει τὸ σῶμα. καὶ πρὸς ὁδὸν ἢ πλοῦν ἤ τινα πρᾶξιν ὁρῶν ἀπομαλθακιζόμενον, οὐ φήσει κατεπείγειν τὸν καιρόν, ἀλλὰ ταὐτὸ ποιήσειν ὑπερθεμένους, ἢ πέμψαντας ἕτερον. ἂν δὲ ὑπεσχημένος ἀργύριον οἰκείῳ τινὶ δανείσειν ἢ ἐπιδώσειν, μεταμε-

λῆται μὲν, αἰσθῆται δὲ, τῇ χείρονι ῥοπῇ προστιθεὶς ἑαυτὸν ὁ κόλαξ, ἐπέῤῥωσε τὴν εἰς τὸ βαλάντιον γνώμην, καὶ τὸ δυσωπούμενον ἐξέκοψεν, ὡς ἀναλίσκοντα πολλὰ, καὶ πολλοῖς ἀρκεῖν ἐθέλοντα, φείδεσθαι κελεύων. ὅθεν εἰ μὴ λανθάνωμεν ἑαυτοὺς ἐπιθυμοῦντες, ἀναισχυντοῦντες, ἀποδειλιῶντες, οὐ λήσεται ἡμᾶς ὁ κόλαξ· ἔστι γὰρ ὁ συνηγορῶν ἀεὶ τούτοις τοῖς πάθεσι, καὶ περὶ τὰς τούτων ἐκβάσεις παῤῥησιαζόμενος. ταῦτα μὲν οὖν ἱκανὰ περὶ τούτων. ἐπὶ δὲ τὰς χρείας καὶ τὰς ὑπουργίας ἴωμεν ἤδη· καὶ γὰρ ἐνταύταις πολλὴν ἀπεργάζεται σύγχυσιν καὶ ἀσάφειαν ὁ κόλαξ τῆς πρὸς τὸν φίλον διαφορᾶς, ἄοκνος δοκῶν εἶναι καὶ πρόθυμος ἐν πᾶσι καὶ ἀπροφάσιστος. ὁ γὰρ τοῦ φίλου τρόπος ὥσπερ ὁ τῆς ἀληθείας μῦθος, ἁπλοῦς ἐστι κατ' Εὐριπίδην καὶ ἀφελὴς καὶ ἄπλαστος· ὁ δὲ τοῦ κόλακος ὄντως νοσῶν ἐν αὑτῷ, φαρμάκων δεῖται σοφῶν καὶ πολλῶν νὴ Δία καὶ περιττῶν. ὥσπερ οὖν ἐν ταῖς ἀπαντήσεσιν ὁ μὲν φίλος ἔστιν ὅτε μήτε εἰπὼν μήτε ἀκούσας μηδὲν, ἀλλὰ προσβλέψας καὶ μειδιάσας, τὸ εὐμενὲς καὶ τὸ οἰκεῖον ἔνδοθεν διδοὺς ταῖς ὄψεσι καὶ δεξάμενος, παρῆλθεν· ὁ δὲ κόλαξ τρέχει, καταδιώκει, δεξιοῦται πόῤῥωθεν, ἂν προσαγορευθῇ πρότερον ὀφθεὶς, ἀπολογεῖται μετὰ μαρτύρων καὶ ὅρκων πολλάκις. οὕτως ἐν ταῖς πράξεσι πολλὰ παραλείπουσιν οἱ φίλοι τῶν μικρῶν, οὐκ ἐξακριβοῦντες, οὐδὲ πολυπραγμονοῦντες οὐδὲν, οὐδὲ ἑαυτοὺς εἰς πᾶσαν ὑπουργίαν ἐμβάλλοντες· ἀλλ' ἐκεῖνος ἐνταῦθα συνεχὴς καὶ ἐνδελεχὴς καὶ ἄτρυτος, οὐ διδοὺς ἑτέρῳ τόπον, οὐδὲ χώραν διακονίας, ἀλλὰ βουλόμενος κελεύεσθαι, κἂν μὴ κελευσθῇ, δακνόμενος, μᾶλλον δὲ ὅλως ἐξαθυμῶν καὶ ποτνιώμενος. ἔστι μὲν οὖν καὶ ταῦτα δηλώματα τοῖς νοῦν ἔχουσιν, οὐκ ἀληθινῆς φιλίας οὐδὲ σώφρονος, ἀλλ' ἑταιρούσης καὶ περιπλεκομένης ἑτοιμότερον τῶν δεομένων. οὐ μὴν ἀλλὰ δεῖ πρῶτον ἐν ταῖς ἐπαγγελίαις σκοπεῖν τὴν διαφοράν. εὖ γὰρ εἴρηται καὶ τοῖς πρὸ ἡμῶν, φίλου μὲν ἐκείνην εἶναι τὴν ἐπαγγελίαν, εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί· κόλακος δὲ ταύτην, αὔδα ὅτι φρονέεις. καὶ γὰρ οἱ κωμικοὶ, τοιούτους εἰσάγουσιν· ἐμὲ Νικόμαχε πρὸς τὸν στρατιώτην τάξατε, ἂν μὴ ποιήσω πέπονα, μαστιγῶν ὅλον· ἂν μὴ ποιήσω σπογγιᾶς μαλακώτερον τὸ πρόσωπον. ἔπειτα τῶν μὲν φίλων, οὐδεὶς γίνεται συνεργὸς, εἰ μὴ γένηται σύμβουλος πρότερον, ἀλλ' ὅταν δοκιμάσῃ καὶ συγκαταστήσῃ τὴν πρᾶξιν, ἢ τὸ πρέπον ἢ τὸ συμφέρον· ὁ δὲ κόλαξ, κἂν ἀποδῷ τις αὐτῷ τὸ συνδοκιμάσαι καὶ συναποφήνασθαι περὶ τοῦ πράγματος, οὐ μόνον ὑπείκειν καὶ χαρίζεσθαι βουλόμενος, ἀλλὰ καὶ δεδιὼς ὑποψίαν ὀκνοῦντος παρέχειν καὶ φεύγοντος τὸ ἔργον, ἐνδίδωσι καὶ συνεξορμᾷ τῇ ἐπιθυμίᾳ, οὐδεὶς γάρ ἐστι ῥᾳδίως πλούσιος οὐδὲ βασιλεὺς, οἷος εἰπεῖν· ἐμοὶ γὰρ εἴη πτωχὸς, εἰ δὲ βούλεται πτωχοῦ κακίων, ὅστις ὢν εὔνους ἐμοὶ, φόβον παρελθὼν τἀπὸ καρδίας ἐρεῖ. ἀλλ' ὥσπερ οἱ τραγῳδοὶ χοροῦ δέονται φίλων συναδόντων, ἢ θεάτρου συνεπικροτοῦντος. ὅθεν εἰ μὲν τραγικὴ Μερόπη παραινεῖ· φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις κέκτησο, τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ τῇ σῇ, πονηροὺς, κλεῖθρον εἰργέτω στέγης· οἱ δὲ τοὐναντίον δρῶσι τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις, ἀλλ' ἀντιβαίνοντας ὑπὲρ τοῦ συμφέροντος, ἀφοσιοῦνται· τοὺς δὲ πρὸς χάριν πονηροὺς καὶ ἀνελευθέρους καὶ γόητας, οὐ μόνον κλείθρων καὶ στέγης ἐντὸς, ἀλλὰ καὶ παθῶν καὶ πραγμάτων ἀποῤῥήτων λαμβάνουσιν, ὧν ὁ μὲν ἁπλούστερος, οὐκ οἴεται δεῖν οὐδ' ἀξιοῖ σύμβουλος εἶναι πραγμάτων τηλικούτων, ἀλλ' ὑπουργὸς καὶ διάκονος, ὁ δὲ πανουργότερος, ἔστι μὲν ἐν τῷ συνδιαπορεῖν καὶ τὰς ὀφρῦς συνέχειν, καὶ συνδιανεύειν τῷ προσώπῳ, λέγει δὲ οὐδὲν, ἂν δ' ἐκεῖνος εἴπῃ τὸ φαινόμενον, ὦ Ἡράκλεις ἔφθης

ἔφθης με, φησὶ, μικρὸν εἰπὼν, ἐγὼ γὰρ αὐτὸ τοῦτο λέγειν ἔμελλον. ὡς γὰρ οἱ μαθηματικοὶ τὰς ἐπιφανείας καὶ τὰς γραμμὰς λέγουσι μήτε κάμπτεσθαι, μήτε διατείνεσθαι, μήτε κινεῖσθαι καθ' ἑαυτὰς νοητὰς καὶ ἀσωμάτους οὔσας, συγκάμπτεσθαι δὲ καὶ συνδιατείνεσθαι καὶ συμμεθίστασθαι τοῖς σώμασιν, ὧν πέρατά εἰσιν, οὕτω τὸν κόλακα φωράσεις ἀεὶ συνεπιφάσκοντα, καὶ συνεπιφαινόμενον, καὶ συναισθανόμενον, καὶ συνοργιζόμενον. ὥστε παντελῶς ἔν γε τούτοις, εὐφωροτάτην εἶναι τὴν διαφοράν. ἔτι δὲ μᾶλλον ἐν τῷ τρόπῳ τῆς ὑπουργίας· ἡ μὲν γὰρ παρὰ τοῦ φίλου χάρις, ὥσπερ ζῴου ἐν βάθει τὰς κυριωτάτας ἔχει δυνάμεις, ἐπιδεικτικὸν δὲ καὶ πανηγυρικὸν οὐδὲν ἔπεστιν, ἀλλὰ πολλάκις ὥσπερ ἰατρὸς λαθὼν ἐθεράπευσε, καὶ φίλος ὠφέλησεν ἐντυχὼν, ἢ διαλυσάμενος ἀγνοοῦντος ἐπιμεληθείς. τοιοῦτος Ἀρκεσίλαος περί τε τὰ ἄλλα καὶ νοσοῦντος Ἀπελλοῦ τοῦ Χίου τὴν πενίαν καταμαθὼν, ἐπανῆλθε μετὰ αὖθις ἔχων εἴκοσι δραχμὰς, καὶ καθίσας πλησίον, ἐνταῦθα μὲν εἶπεν οὐδὲν, ἢ τὰ Ἐμπεδοκλέους στοιχεῖα ταυτί· πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθέρος ἤπιον ὕψος. ἀλλ' οὐδὲ κατάκεισαι σὺ δεξιῶς, ἅμα δὲ διακινῶν τὸ προσκεφάλαιον αὐτοῦ, λαθὼν ὑπέβαλε τὸ κερμάτιον. ὡς οὖν ἡ διακονοῦσα πρεσβῦτις εὗρε, καὶ θαυμάσασα τῷ Ἀπελλῇ προσήγγειλε, γελάσας ἐκεῖνος, Ἀρκεσιλάου εἶπε τουτὶ τὸ κλέμμα. καὶ μὴν ἐοικότα γε τέκνα φύεται γονεῦσιν ἐν φιλοσοφίᾳ. Λακύδης γοῦν ὁ Ἀρκεσιλάου γνώριμος, ἀπ' εἰσαγγελίας φεύγοντι δίκην Κηφισοκράτει, μετὰ τῶν ἄλλων φίλων παρειστήκει· τοῦ δὲ κατηγόρου τὸ δακτύλιον αἰτήσαντος, ὁ μὲν ἡσυχῇ παρακαθῆκεν, αἰσθόμενος δὲ ὁ Λακύδης, ἐπέβη τῷ ποδὶ καὶ ἐπέκρυψεν, ἦν δὲ ὁ ἔλεγχος ἐν ἐκείνῳ, μετὰ δὲ τὴν ἀπόφασιν τοῦ Κηφισοκράτους δεξιουμένου τοὺς δικαστὰς, εἷς τις, ὡς ἔοικεν, ἑωρακὼς τὸ γενόμενον, ἐκέλευσε Λακύδῃ χάριν ἔχειν· καὶ τὸ πρᾶγμα διηγήσατο, τοῦ Λακύδου πρὸς μηδένα φράσαντος. οὕτως οἶμαι καὶ τοὺς θεοὺς εὐεργετεῖν τὰ πολλὰ λανθάνοντας, αὐτῷ τῷ χαρίζεσθαι, καὶ εὖ ποιεῖν, φύσιν ἔχοντας ἥδεσθαι. τὸ δὲ τοῦ κόλακος ἔργον οὐδὲν ἔχει δίκαιον, οὐδ' ἀληθινὸν, οὐδ' ἁπλοῦν, οὐδ' ἐλευθέριον, ἀλλ' ἱδρῶτα, καὶ διαδρομὴν, καὶ κραυγὴν, καὶ σύντασιν προσώπου, ποιοῦσαν ἔμφασιν καὶ δόκησιν ἐπιπόνου χρείας καὶ κατεσπευσμένης, ὥσπερ ζωγράφημα περίεργον ἀναιδέσι φαρμάκοις καὶ κεκλασμέναις στολίσι καὶ ῥυτίσι καὶ γωνίαις, ἐναργείας φαντασίαν ἐπαγόμενον. ἔστι δὲ καὶ διηγούμενος ἐπαχθὴς, ὡς ἔπραξε πλάνας τινὰς ἐπ' αὐτοῦ καὶ φροντίδας, εἶτα ἀπεχθείας πρὸς ἑτέρους, εἶτα πράγματα μυρία καὶ πάθη μεγάλα διεξιὼν, ὥστ' εἰπεῖν, οὐκ ἄξια ταῦτα ἐκείνων. πᾶσα μὲν γὰρ ὀνειδιζομένη χάρις ἐπαχθὴς καὶ ἄχαρις καὶ οὐκ ἀνεκτή· ταῖς δὲ τῶν κολάκων, οὐχ ὕστερον ἀλλὰ πραττομέναις ἔνεστιν εὐθὺς τὸ ἐπονείδιστον καὶ δυσωποῦν. ὁ δὲ φίλος, κἂν εἰπεῖν δεήσῃ τὸ πρᾶγμα, μετρίως ἀπήγγειλε, περὶ αὑτοῦ δὲ εἶπεν οὐδὲν, ὃ δὴ καὶ Λακεδαιμόνιοι Σμυρναίοις δεομένοις σῖτον πέμψαντες, ὡς ἐθαύμαζον ἐκεῖνοι τὴν χάριν, οὐδὲν ἔφασαν μέγα, μίαν γὰρ ἡμέραν ψηφισάμενοι τὸ ἄριστον ἀφελεῖν ἑαυτῶν, καὶ τῶν ὑποζυγίων, ταῦτα ἠθροίσαμεν. οὐ γὰρ μόνον ἐλευθέριος ἡ τοιαύτη χάρις, ἀλλὰ καὶ τοῖς λαμβάνουσιν ἡδίων, ὅτι τοὺς ὠφελοῦντας οὐ μεγάλα βλάπτεσθαι νομίζουσιν. οὐ τοίνυν μάλιστα τῷ περὶ τὰς ὑπουργίας ἐπαχθεῖ τοῦ κόλακος, οὐδὲ τῇ περὶ τὰς ἐπαγγελίας εὐχερείᾳ, γνοίη τις ἂν τὴν φύσιν, ἀλλὰ μᾶλλον ἐν τῷ καλῷ τῆς χρείας, ἢ αἰσχρῷ, καὶ διαφέροντι πρὸς ἡδονὴν, ἢ ὠφέλειαν· ὁ μὲν γὰρ φίλος οὐχ ὥσπερ ἀπεφαίνετο Γοργίας, αὐτῷ μὲν ἀξιώσει τὰ δίκαια τὸν φίλον ὑπουργεῖν, ἐκείνῳ δ' αὐτὸς ὑπηρετήσει πολλὰ καὶ τῶν μὴ δικαίων· συσσωφρονεῖν γὰρ, οὐχὶ συννοσεῖν

ἔφυ, μᾶλλον οὖν ἐκεῖνον ἀποστρέφει τῶν μὴ προσηκόντων. ἂν δὲ μὴ πάθῃ, κα-
λὸν τὸ Φωκίωνος πρὸς Ἀντίπατρον, οὐ δύνασαί μοι καὶ φίλῳ χρῆσθαι καὶ
κόλακι, τουτέστι καὶ φίλῳ καὶ μὴ φίλῳ. συνεργεῖν γὰρ δεῖ τῷ φίλῳ, μὴ συμ-
πανουργεῖν, καὶ συμβουλεύειν, μὴ συνεπιβουλεύειν, καὶ συμμαρτυρεῖν, μὴ
συνεξαπατᾶν, καὶ συνατυχεῖν νὴ Δία, μὴ συναδικεῖν. οὐδὲ γὰρ τὸ συνειδέναι τοῖς
φίλοις τὰ αἰσχρὰ πόθεν γε δή, τὸ συμπράττειν καὶ συνασχημονεῖν αἱρετόν ἐστιν.
ὥσπερ οὖν Λακεδαιμόνιοι μάχῃ κρατηθέντες ὑπ' Ἀντιπάτρου, καὶ ποιούμε-
νοι διαλύσεις, ἠξίουν ὅτι βούλεται ζημιῶδες, αἰσχρὸν δὲ μηδὲν ἐπιτάττειν αὐ-
τοῖς, οὕτως ὁ φίλος καὶ τοιοῦτος. ἄν τις ἢ δαπάνην ἢ κίνδυνον ἢ πόνον ἔχου-
σα χρεία καταλαμβάνῃ, πρῶτος ἀξιῶν καλεῖσθαι καὶ μετέχειν ἀπροφασίστως
καὶ προθύμως, ὅπου δὲ πρόσεστιν αἰσχύνη μόνον, ἐᾶν καὶ φείδεσθαι παραιτού-
μενος. ἀλλ' ἥ γε κολακεία, τοὐναντίον. ἐν μὲν ταῖς ἐπιπόνοις καὶ κινδυνώδε-
σιν ὑπουργίαις, ἀπαγορεύει, κἂν διαπειρώμενος κρούσῃς, σαθρὸν ἔκ τινος προ-
φάσεως ὑπηχεῖ καὶ ἀγεννές. ἐν δὲ ταῖς αἰσχραῖς καὶ ταπειναῖς καὶ ἀδόξοις δια-
κονίαις, ἀποχρῆσαι, πάτησον, οὐδὲν ἡγεῖται δεινὸν, οὐδὲ ὑβριστικόν. ὁρᾷς τὸν
πίθηκον; οὐ δύναται τὴν οἰκίαν φυλάττειν ὡς ὁ κύων, οὐδὲ βαστάζειν ὡς ὁ ἵππος
οὐδὲ ἀροῦν τὴν γῆν ὡς οἱ βόες, ὕβριν οὖν φέρει καὶ βωμολοχίαν, καὶ παιδι-
ὰς ἀνέχεται, γέλωτος ὄργανον ἐμπαρέχων ἑαυτόν, οὕτω δὴ καὶ ὁ κόλαξ, οὐ
συνειπεῖν, οὐ συνεξενεγκεῖν, οὐ συναγωνίσασθαι δυνάμενος, πόνου τε καὶ σπου-
δῆς ἁπάσης ἀπολειπόμενος, ἐν ταῖς ὑπὸ μάλης πράξεσιν ἀπροφάσιστός ἐστι,
καὶ πιστὸς ἔρωτος ὑπηρέτης, καὶ περὶ λύσιν πόρνης ἀκριβής, καὶ πότου δα-
πάνης ἐκκαθᾶραι λογισμὸν οὐκ ἀμελὴς οὐδὲ ῥάθυμος ἐν δείπνων παρασκευ-
αῖς, θεραπευτικὸς δὲ παλλακίδων. πρὸς δὲ κηδεστὰς ἀποθρασύνεσθαι κελευ-
σθεὶς, καὶ συνεκβαλεῖν γαμετὴν ἄτεγκτος καὶ ἀδυσώπητος. ὥστε μηδὲ ταύτῃ
δυσθεώρατον εἶναι τὸν ἄνδρα. προσταττόμενος γὰρ ὅτι βούλει τῶν ἀδόξων καὶ
μὴ καλῶν, ἕτοιμος ἀφειδεῖν ἑαυτοῦ, τῷ προστάττοντι χαριζόμενος. οὐχ ἥ-
κιστα δ' ἄν τις αὐτὸν ἐν τῇ πρὸς ἄλλους φίλους διαθέσει καταμάθοι, πολὺ τοῦ
φίλου διαφέροντα. τῷ μὲν γὰρ ἥδιστόν ἐστι μετὰ πολλῶν φιλεῖν καὶ φιλεῖσθαι,
καὶ τοῦτο πράττων ἀεὶ διατελεῖ περὶ τὸν φίλον, ὅπως πολύφιλος καὶ πολυτίμη-
τος ἔσται, κοινὰ γὰρ τὰ φίλων ἡγούμενος, οὐδὲν οὕτως οἴεται δεῖν κοινὸν, ὡς τοὺς
φίλους ὑπάρχειν. ὁ δὲ ψευδὴς καὶ νόθος καὶ ὑπόχαλκος, ἅτε δὴ μάλιστα γινώσκων
ἑαυτὸν ἀδικοῦντα τὴν φιλίαν, ὥσπερ νόμισμα παράσημον ὑπ' αὐτοῦ γενομένην,
ἔστι μὲν καὶ φύσει φθονερὸς, ἀλλὰ τῷ φθόνῳ χρῆται πρὸς τοὺς ὁμοίους, διαμιλ-
λώμενος ὑπερβάλλεσθαι βωμολοχίᾳ καὶ σπερμολογίᾳ, τὸν δὲ κρείττονα τρέμει
καὶ δέδοικεν, οὐ μὰ Δία παρὰ Λύδιον ἅρμα πεζὸς ἰχνεύων, ἀλλὰ παρὰ χρυ-
σὸν ἑφθὸν ὥς φησι Σιμωνίδης ἀκήρατον οὐδὲ μόλιβδον ἔχων. ὅταν οὖν ἐλα-
φρὸς ὢν, καὶ ἐπίκτητος καὶ ἀπατηλὸς ἐγγύθεν ἀντεξετάζηται πρὸς ἀληθι-
νὴν καὶ ἐμβριθῆ φιλίαν καὶ σφυρήλατον, οὐκ ἀναφέρων, ἀλλ' ἐξελεγχόμενος,
ταὐτὸ ποιεῖ τῷ ζωγραφήσαντι τοὺς ἀλεκτρυόνας ἀθλίως. ἐκεῖνός τε γὰρ ἐκέλευσε
τὸν παῖδα τοὺς ἀληθινοὺς ἀλεκτρυόνας ἀποσοβεῖν ἀπωτάτω τοῦ πίνακος, οὗτος
δὲ τοὺς ἀληθινοὺς ἀποσοβεῖ φίλους, καὶ οὐκ ἐᾷ πλησιάζειν. ἂν δὲ μὴ δύνηται, φανερῶς
μὲν ὑποσαίνει, καὶ περιέπει καὶ τέθηπεν ὡς ἀμείνονας, λάθρᾳ δ' ὑφίησί τινας
καὶ ὑποσπείρει διαβολάς, κρυφαίου δὲ λόγου κνίσαντος ἕλκος, κἂν μὴ παντελῶς
εὐθὺς ἐξεργάσηται, τὸ τοῦ Μηδίου φυλάττει μεμνημένος. ἦν δὲ ὁ Μήδιος, τοῦ περὶ
τὸν Ἀλέξανδρον χοροῦ τῶν κολάκων, οἷον ἔξαρχος καὶ σοφιστὴς κορυφαῖος ἐπὶ
τοὺς ἀρίστους συντεταγμένος. ἐκέλευεν οὖν θαρροῦντας ἅπτεσθαι καὶ δά-

κνειν

κνειν ταῖς διαβολαῖς, διδάσκων, ὅτι κἂν θεραπεύσῃ τὸ ἕλκος ὁ δεδηγμένος, ἡ
οὐλὴ μενεῖ τῆς διαβολῆς. ταύταις μέντοι ταῖς οὐλαῖς, μᾶλλον δὲ γαγγραί-
ναις καὶ καρκινώμασι διαβρωθεὶς Ἀλέξανδρος, ἀπώλεσε καὶ Καλλισθένη, καὶ
Παρμενίωνα, καὶ Φιλώταν. Ἄγνωσι δὲ καὶ Βαγώαις καὶ Ἀγησίαις καὶ Δημητρί-
οις ἀφειδῶς ἐνέδωκεν ἑαυτὸν ὑποσκελίζεσθαι, προσκυνούμενον καὶ καταστολι-
ζόμενον καὶ ἀναπλαττόμενον ὑπ' αὐτῶν ὥσπερ ἄγαλμα βαρβαρικόν. οὕ-
τως μεγάλην ἔχει τὸ πρὸς χάριν δύναμιν, καὶ μεγίστην, ὡς ἔοικεν, ἐν τοῖς μεγί-
στοις εἶναι δοκοῦσι. τὸ γὰρ οἴεσθαι τὰ κάλλιστα μετὰ τοῦ βούλεσθαι, πίστιν ἅμα τῷ
κόλακι καὶ θάρσος δίδωσι. τῶν μὲν γὰρ τόπων τὰ ὑψηλὰ, δυσπρόσοδα, καὶ δυ-
σέφικτα γίνεται τοῖς ἐπιβουλεύουσι. τὸ δ' ἐν ψυχῇ νοῦν οὐκ ἐχούσῃ δι' εὐτυχίαν ἢ
δι' εὐφυΐαν ὕψος καὶ φρόνημα, τοῖς μικροῖς καὶ ταπεινοῖς μάλιστα βάσιμόν
ἐστι. ὅθεν ἀρχόμενοί τε τοῦ λόγου, παρεκελευσάμεθα, καὶ νῦν παρακελευό-
μεθα, τὸ φίλαυτον ἐκκόπτειν ἑαυτῶν καὶ τὴν οἴησιν. αὕτη γὰρ ἡμᾶς προκολα-
κεύουσα, μαλακωτέρους ποιεῖ τοῖς θυραίοις κόλαξιν ὡς ἑτοίμους ὄντας, ἂν δὲ
πειθόμενοι τῷ θεῷ καὶ τὸ γνῶθι σαυτὸν ὡς ἕκαστον τοῦ παντὸς ἄξιόν ἐστι μαθόντες,
ἅμα καὶ φύσιν, καὶ τροφὴν, καὶ παίδευσιν ἑαυτῶν ἀναθεωρῶμεν, ἐλλείμματα
μυρία τοῦ καλοῦ καὶ πολὺ τὸ φαύλως καὶ εἰκῆ συμμεμιγμένον ἐχούσαις ἐν πρά-
ξεσιν, ἐν λόγοις, ἐν πάθεσιν, οὐ πάνυ ῥαδίως ἐμπεριπατεῖν τοῖς κόλαξιν ἑαυ-
τοὺς παρέξομεν. Ἀλέξανδρος μὲν γὰρ ἀπιστεῖν ἔφη τοῖς θεὸν αὐτὸν ἀναγο-
ρεύουσιν ἐν τῷ καθεύδειν μάλιστα καὶ ἀφροδισιάζειν, ὡς ἀγεννέστερος περὶ ταῦτα,
καὶ παθητικώτερος αὑτοῦ γινόμενος. ἡμεῖς δὲ πολλὰ πολλαχοῦ τῶν ἰδίων αἰ-
σχρὰ, καὶ λυπηρὰ, καὶ ἀτελῆ, καὶ ἡμαρτημένα καθορῶντες ἀεὶ, φωράσωμεν
ἑαυτοὺς οὐκ ἐπαινοῦντος φίλου καὶ κατευλογοῦντος, ἀλλ' ἐλέγχοντος καὶ παρ-
ρησιαζομένου καὶ ψέγοντος ἡμᾶς ἰδίᾳ κακῶς πράττοντας. ὀλίγοι μὲν γὰρ ἐκ
πολλῶν εἰσὶν οἱ παρρησιάζεσθαι μᾶλλον, ἢ χαρίζεσθαι τοῖς φίλοις τολμῶντες.
ἐν δὲ τοῖς ὀλίγοις αὖθις, οὐ ῥαδίως ἂν εὕροις ἐπισταμένους τοῦτο ποιεῖν, ἀλλ' οἰο-
μένους ἂν λοιδορῶσι καὶ ψέγωσι, παρρησίᾳ χρῆσθαι. καίτοι καθάπερ ἄλλῳ τινὶ
φαρμάκῳ καὶ τῷ παρρησιάζεσθαι μὴ τυχόντι καιροῦ, τὸ λυπεῖν ἀχρήστως καὶ
ταράττειν περίεστι, καὶ τρόπον τινὰ μετ' ἀλγηδόνος, ὃ ποιεῖ μεθ' ἡδονῆς, τὸ
κολακεύειν. βλάπτονται γὰρ οὐκ ἐπαινούμενοι μόνον ἀκαίρως, ἀλλὰ καὶ ψεγόμε-
νοι, καὶ τοῦτο μάλιστα τοῖς κόλαξιν εὐλήπτους καὶ πλαγίους παραδίδωσιν, ἀπὸ
τῶν σφόδρα προσαντῶν καὶ ἀντιτύπων, ὥσπερ ἐπὶ τὰ κοῖλα καὶ μαλακὰ
δίκην ὕδατος ἀπολισθαίνοντας. διὸ δεῖ τὴν παρρησίαν, ἤθει κεκρᾶσθαι, καὶ
λόγον ἔχειν ἀφαιροῦντα, τὸ ἄγαν καὶ τὸ ἄκρατον αὐτῆς ὥσπερ φωτὸς, ἵνα μὴ τα-
ραττόμενοι μηδ' ἀλγοῦντες ὑπὸ τῶν ἅπαντα μεμφομένων καὶ πᾶσιν ἐγκα-
λούντων καταφεύγωσιν εἰς τὴν τοῦ κόλακος σκιὰν, καὶ πρὸς τὸ μὴ λυποῦν ἀπο-
στρέφωνται. πᾶσαν μὲν γὰρ ὦ Φιλόπαππε κακίαν φευκτέον ἐστὶ δι' ἀρετῆς,
οὐχὶ διὰ τῆς ἐναντίας κακίας, ὥσπερ ἔνιοι δοκοῦσιν, αἰσχυντηλίαν μὲν, ἀναισχυν-
τίᾳ φεύγειν, ἀγροικίαν δὲ, βωμολοχίᾳ, δειλίας δὲ καὶ μαλακίας ἀπωτάτω
τίθεσθαι τὸν τρόπον, ἂν ἔγγιστα φαίνωνται λαμυρίας καὶ θρασύτητος. ἔνιοι δὲ
καὶ δεισιδαιμονίας ἀθεότητα καὶ πανουργίαν ἀβελτηρίας ἀπολόγημα ποι-
οῦνται, καθάπερ ξύλον τὸ ἦθος ἐκκαμπῆς εἰς τοὐναντίον, ἀπειρίᾳ τοῦ κατορ-
θοῦν διαστρέφοντες, αἰσχίστης δὲ κολακείας ἄρνησις, ἀνωφελῶς λυπηρὸν εἶναι,
καὶ κομιδῇ τινὸς ἀμούσου καὶ ἀτέχνου πρὸς εὔνοιαν ὁμιλίας, ἀηδίᾳ καὶ χα-
λεπότητι φεύγειν τὸ ἀγεννὲς ἐν φιλίᾳ καὶ ταπεινόν. ὥσπερ ἀπελεύθερον ἐν
κωμῳδίᾳ τὴν κατηγορίαν, ἰσηγορίας ἀπόλαυσιν ἡγούμενον. ἐπεὶ τοίνυν

ςλεπίδος, ἢ γραμματικὸς ἐπιπλήττων παισὶ περὶ δέλτου καὶ γραφείου, σολοικίζοντος δὲ καὶ βαρβαρίζοντος, οὐ δοκῶν ἀκούειν. τοιοῦτος γὰρ ὁ κόλαξ, δίκης ῥήτορος φαύλου καὶ καταγελάστου μηδὲν εἰπεῖν πρὸς τὸν λόγον, ἀλλὰ τῆς φωνῆς αἰτιᾶσθαι, καὶ χαλεπῶς ἐγκαλεῖν, ὅτι τὴν ἀρτηρίαν διαφθείρει ψυχροποτῶν, καὶ σύγγραμμα κελευσθεὶς ἄθλιον διελθεῖν, αἰτιᾶσθαι τὸ χαρτίον ὡς δασύ, καὶ τὸν γραφέα μιαρὸν καὶ ὀλίγωρον ἀποκαλεῖν. οὕτως δὲ καὶ Πτολεμαίῳ φιλομαθεῖν δοκοῦντι, περὶ γλώττης καὶ στιχιδίου καὶ ἱστορίας μαχόμενοι, μέχρι μεσῶν νυκτῶν ἀπέτεινον, ὠμότητι δὲ χρωμένου καὶ ὕβρει καὶ τυμπανίζοντος καὶ τελοῦντος, οὐδεὶς ἀντέστη τῶν τοσούτων. ὥσπερ οὖν εἴ τις ἀνθρώπου φύματα καὶ σύριγγας ἔχοντος, ἰατρικῷ σμιλίῳ τὰς τρίχας τέμνοι καὶ τοὺς ὄνυχας, οὕτως οἱ κόλακες τὴν παρρησίαν πρὸς τὰ μὴ λυπούμενα μόρια μὴ δ᾽ ἀλγοῦντα προσφέρουσιν. ἔτι δὲ τούτων ἕτεροι πανουργότεροι, καὶ πρὸς ἡδονὴν χρῶνται τῷ παρρησιάζεσθαι καὶ ψέγειν· καθάπερ Ἄγις ὁ Ἀργεῖος, Ἀλεξάνδρου γελωτοποιῷ τινι μεγάλας δωρεὰς δόντος, ὑπὸ φθόνου καὶ λύπης ἐξέκραγεν, ὢ τῆς πολλῆς ἀτοπίας, ἐπιστρέψαντος δὲ τοῦ βασιλέως πρὸς αὐτὸν ὀργῇ, καὶ δὴ τί σὺ λέγεις εἰπόντος, ὁμολογῶ φησιν ἄχθεσθαι καὶ ἀγανακτεῖν, ὁρῶν ὑμᾶς τοὺς ἐκ Διὸς γεγονότας ἅπαντας, ὁμοίως κόλαξιν ἀνθρώποις καὶ καταγελάστοις χαίροντας· καὶ γὰρ Ἡρακλῆς Κέρκωψί τισι, καὶ Σειληνοῖς ὁ Διόνυσος ἐτέρπετο, καὶ παρὰ σοὶ τοιούτους ἰδεῖν ἐστιν εὐδοκιμοῦντας. Τιβερίου δὲ Καίσαρος εἰς τὴν σύγκλητόν ποτε παρελθόντος, εἷς τῶν κολάκων ἀναστὰς ἔφη, δεῖν ἐλευθέρους ὄντας παρρησιάζεσθαι, καὶ μηδὲν ὑποστέλλεσθαι, μὴ δ᾽ ἀποσιωπᾶν τῶν συμφερόντων· ἀνατείνας δὲ πάντας οὕτως, γενομένης αὐτῷ σιωπῆς, καὶ τοῦ Τιβερίου προσέχοντος, ἄκουσον ἔφη Καῖσαρ ἅ σοι πάντες ἐγκαλοῦμεν, οὐδεὶς δὲ τολμᾷ φανερῶς λέγειν, ἀμελεῖς σεαυτοῦ, καὶ προΐεσαι τὸ σῶμα, καὶ καταξύχεις ἀεὶ φροντίσι καὶ πόνοις ὑπὲρ ἡμῶν, οὔτε μεθ᾽ ἡμέραν, οὔτε νυκτὸς ἀναπαυόμενος. πολλὰ δὲ αὐτοῦ τοιαῦτα συνείροντος, εἰπεῖν φασι τὸν ῥήτορα Κάσσιον Σευῆρον, αὕτη τοῦτον ἡ παρρησία τὸν ἄνθρωπον ἀποκτενεῖ. καὶ ταῦτα μὲν ἐλάττονά ἐστιν, ἐκεῖνα δὲ ἤδη χαλεπὰ καὶ λυμαινόμενα τοὺς ἀνοήτους, ὅταν εἰς τὰ ἐναντία πάθη καὶ νοσήματα κατηγορῶσιν, ὥσπερ Ἱμέριος ὁ κόλαξ τῶν πλουσίων τινὰ ἀνελευθερώτατον καὶ φιλαργυρώτατον Ἀθήνησιν, ὡς ἄσωτον ἐλοιδόρει καὶ ἀμελῆ, καὶ πεινήσοντα κακῶς μετὰ τῶν τέκνων· ἢ τοὺς ἀσώτους αὖ πάλιν καὶ πολυτελεῖς, εἰς μικρολογίαν καὶ ῥυπαρίαν ὀνειδίζωσιν, ὥσπερ Νέρωνα Τίτος Πετρώνιος· ἢ τοὺς ὠμῶς καὶ ἀγρίως προσφερομένους ἄρχοντας ὑπηκόοις, ἀποθέσθαι κελεύωσι τὴν πολλὴν ἐπιείκειαν, καὶ τὸν ἄκαιρον ἔλεον καὶ ἀσύμφορον. ὁμοίως δὲ τούτοις, καὶ ὁ τὸν εὐήθη καὶ ἐλάκη καὶ ἀβέλτερον, ὡς δεινόν τινα καὶ πανοῦργον φυλάττεσθαι καὶ δεδιέναι προσποιούμενος, καὶ ὁ τοῦ βασκαίνου δὲ καὶ τῷ κακολογεῖν ἀεὶ καὶ ψέγειν χαίροντος, ἄν ποτε προαχθεὶς ἐπαινέσῃ τινὰ τῶν ἐνδόξων, καθαπτόμενος καὶ ἀντιλέγων ὡς νόσημα τοῦτο ἔχοντος, ἀνθρώπους ἐπαινεῖς μηδενὸς ἀξίους; τίς γὰρ οὗτός ἐστιν, ἢ τί λαμπρὸν ἢ πεποίηκεν ἢ καὶ εἴρηκε. μάλιστα δὲ περὶ τοὺς ἔρωτας τοῖς κολακευομένοις ἐπιτίθενται καὶ προσεκκαίουσιν, ἀδελφοὺς μὲν γὰρ ὁρῶντες διαφερομένους, ἢ γονέων ὑπερφρονοῦντας, ἢ πρὸς γυναῖκας αὐτῶν ὑπεροπτικῶς ἔχοντας, οὔτε νουθετοῦσιν, οὔτ᾽ ἐγκαλοῦσιν, ἀλλὰ καὶ προσεπιτείνουσι τὰς ὀργάς· οὐ γὰρ αἰσθάνῃ σαυτοῦ, καὶ σὺ τούτων αἴτιος, ἀεὶ θεραπευτικῶς προσφερόμενος καὶ ταπεινῶς, ἐὰν δὲ πρὸς ἑταίραν ἢ μοιχεύτριαν ἐρωμένην κνισμός τις ἐξ ὀργῆς καὶ ζηλοτυπίας γένηται, πάρεστι μετὰ παρ-

ῥησίας

ῥησίας λαμπρᾶς ἡ κολακεία, πῦρ ἤδη πυρὶ ἐπιφέρουσα καὶ δικαιολογουμένη, καὶ κατηγοροῦσα τοῦ ἐρῶντος, ὡς ἀνέραστα πολλὰ καὶ σκληρὰ καὶ νεμεσητὰ ποιοῦντος· ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων. οὕτως Ἀντώνιον οἱ φίλοι τῆς Αἰγυπτίας ἐρῶντα καὶ καόμενον ἀνέπειθον ὡς ὑπ᾽ ἐκείνης ἐρῷτο, καὶ λοιδοροῦντες ἐκάλουν ἀπαθῆ καὶ ὑπερήφανον, ἡ μὲν γυνὴ καταλιποῦσα βασιλείαν τοσαύτην καὶ διατριβὰς εὐδαίμονας, φθείρεται μετὰ σοῦ στρατευομένη, σχῆμα παλλακίδος ἔχουσα, σοὶ δέ τις ἐν στήθεσιν ἀκήλητος νόος ἐστί, καὶ περιορᾷς αὐτὴν ἀνιωμένην, ὁ δ᾽ ἡδέως ἐλεγχόμενος ὡς ἀδικῶν καὶ τοῖς κατηγοροῦσι χαίρων, ὡς οὐδὲ τοῖς ἐπαινοῦσιν, ἐλάνθανε τῷ νουθετεῖν δοκοῦντι προσδιαστρεφόμενος. ἔοικε γὰρ ἡ τοιαύτη παρρησία τοῖς τῶν ἀκολάστων δήγμασι γυναικῶν, ἐγείρουσα καὶ γαργαλίζουσα τῷ δοκοῦντι λυπεῖν τὸ ἡδόμενον. καὶ καθάπερ τὸν ἄκρατον ἄλλως βοηθοῦντα πρὸς τὸ κώνειον, ἂν ἐμμίξωσι προσβάλλοντες αὐτῷ, κομιδῇ ποιοῦσι τὴν τοῦ φαρμάκου δύναμιν ἀβοήθητον, ὀξέως ἀναφερομένην ἤδη τὴν καρδίαν ὑπὸ θερμότητος, οὕτως τὴν παρρησίαν ἐπιστάμενοι μέγα βοήθημα πρὸς τὴν κολακείαν οὖσαν οἱ πονηροί, δι᾽ αὐτῆς κολακεύουσι τῆς παρρησίας. ὅθεν οὐδὲ ὁ Βίας ἀπεκρίνατο καλῶς τῷ πυθομένῳ τί τῶν ζῴων χαλεπώτατόν ἐστιν ἀποκρινάμενος, ὅτι τῶν μὲν ἀγρίων ὁ τύραννος, τῶν δὲ ἡμέρων ὁ κόλαξ. ἀληθέστερον γὰρ ἦν εἰπεῖν ὅτι τῶν κολάκων, ἥμεροι μέν εἰσιν οἱ περὶ τὸ βαλανεῖον οὗτοι καὶ περὶ τὴν τράπεζαν· ὁ δὲ εἰς τὰ δωμάτια καὶ τὴν γυναικωνῖτιν ἐκτείνων ὥσπερ πλεκτάνας τὸ πολυπράγμον καὶ διάβολον καὶ κακόηθες, ἄγριος καὶ θηριώδης καὶ δυσμεταχείριστος.

εἷς δέ τις ἔοικε τρόπος εἶναι φυλακῆς, τὸ γινώσκειν καὶ μνημονεύειν ἀεὶ, ὅτι τῆς ψυχῆς τὸ μὲν ἀληθινὸν καὶ φιλόκαλον καὶ λογικὸν ἐχούσης, τὸ δὲ ἄλογον καὶ φιλοψευδὲς καὶ παθητικόν, ὁ μὲν φίλος ἀεὶ τῷ κρείττονι πάρεστι σύμβουλος καὶ συνήγορος, ὥσπερ ἰατρὸς τὸ ὑγιαῖνον αὔξων καὶ διαφυλάττων, ὁ δὲ κόλαξ τῷ παθητικῷ καὶ ἀλόγῳ παρακάθηται, καὶ τοῦτο κνᾷ καὶ γαργαλίζει καὶ ἀναπείθει καὶ ἀφίστησι τοῦ λογισμοῦ, μηχανώμενος αὐτῷ πονηράς τινας ἡδυπαθείας. ὥσπερ οὖν τῶν σιτίων ἔστιν ἃ μήτε αἵματι προσφύεται μήτε πνεύματι μήτε νεύροις τινὰ τόνον ἢ μυελοῖς προστίθησιν, ἀλλ᾽ αἰδοῖα παρακινεῖ, κοιλίαν ἐγείρει, καὶ σάρκα ποιεῖ σαθρὰν καὶ ὕπουλον, οὕτως ὁ τοῦ κόλακος λόγος οὐδὲν τῷ φρονοῦντι καὶ λογιζομένῳ προστίθησιν, ἀλλ᾽ ἢ δονήν τινα πιθασεύων ἔρωτος, ἢ θυμὸν ἐντείνων ἀνόητον, ἢ διερεθίζων φθόνον, ἢ φρονήματος ὄγκον ἐμβριθῶν ἐπαχθῆ καὶ κενόν, ἢ λύπῃ συνεπιθρηνῶν, ἢ τὸ κακόηθες καὶ ἀνελεύθερον καὶ ἄπιστον, ἀεί τισι διαβολαῖς καὶ προαισθήσεσι δριμὺ καὶ ψοφοδεὲς ποιῶν καὶ ὕποπτον, οὐ διαφεύξεται τοὺς προσέχοντας. ἀεὶ γὰρ ὑφορμεῖ τινι πάθει καὶ τοῦτο πιαίνει, καὶ πάρεστι βουβῶσι δίκην ἑκάστοτε τοῖς ὑπούλοις καὶ φλεγμαίνουσι τῆς ψυχῆς ἐπιγινόμενος. ὀργίζῃ; κόλασον. ἐπιθυμεῖς; ὤνησαι. φοβῇ; φύγωμεν. ὑπονοεῖς; πίστευσον. ἂν δὲ περὶ ταῦτα δυσφώρατος ᾖ τὰ πάθη, διὰ σφοδρότητα καὶ μέγεθος ἐκκρουομένου τοῦ λογισμοῦ, περὶ τὰ λοιπὰ λαβὴν παρέξει μᾶλλον, ὅμοιος ὤν. καὶ γὰρ ἐν ὑποψίᾳ κραιπάλης τινὸς ἢ πλησμονῆς γενόμενον, καὶ διστάζοντα περὶ λουτροῦ καὶ τροφῆς, ὁ μὲν φίλος ἐφέξει φυλάττεσθαι καὶ προσέχειν παραινῶν, ὁ δὲ κόλαξ εἰς τὸ βαλανεῖον ἕλκει, καὶ κελεύει νεαρόν τι παρατιθέναι, καὶ μὴ κακοῦν ἀνατάσει τὸ σῶμα, καὶ πρὸς ὁδὸν ἢ πλοῦν ἤ τινα πρᾶξιν ὁρῶν ἀπομαλθακιζόμενον, οὐ φήσει κατεπείγειν τὸν καιρόν, ἀλλὰ ταὐτὸν ποιήσειν ὑπερθεμένους, ἢ πέμψαντας ἕτερον. ἂν δὲ ὑπεσχημένος ἀργύριον οἰκείῳ τινὶ δανείσειν ἢ ἐπιδώσειν, μεταμε-

αἰσχρὸν μὲν ἐστὶ κολακείᾳ περιπεσεῖν διώκοντα τὸ πρὸς χάριν, αἰσχρὸν δὲ φεύγοντα κολακείαν, παῤῥησίας ἀμετρίᾳ διαφθεῖραι τὸ φιλικὸν καὶ κηδεμονικόν. δεῖ δὲ μηδέτερον παθεῖν, ἀλλ᾽ ὥσπερ ἄλλῳ τινὶ, καὶ τῇ παῤῥησίᾳ τὸ καλὸν ἐκ τοῦ μετρίου λαβεῖν, αὐτὸς ἔοικεν ὁ λόγος ὁ τὸ ἐφεξῆς ἀπαιτῶν ὑποτιθέναι τῇ κορωνίδι τοῦ συγγράμματος. ὥσπερ οὖν κῆράς τινας ἑπομένας τῇ παῤῥησίᾳ πλειόνας ὁρῶντες, πρῶτον ἀφαιρῶμεν αὐτῆς τὴν φιλαυτίαν, εὖ μάλα φυλαττόμενοι, μὴ διά τι τῶν ἰδίων, οἷον ἀδικούμενοι καὶ ἀλγοῦντες, ὀνειδίζειν δοκῶμεν. οὔτε γὰρ ὑπ᾽ εὐνοίας ἀλλ᾽ ὑπ᾽ ὀργῆς οἴονται γίνεσθαι τὸν ὑπὲρ αὐτοῦ τοῦ λέγοντος γινόμενον λόγον, οὔτε νουθεσίαν, ἀλλὰ μέμψιν εἶναι. φιλικὸν γὰρ ἡ παῤῥησία καὶ σεμνὸν, ἡ δὲ μέμψις καὶ φίλαυτον, καὶ μικρολόγον. ὅθεν αἰδοῦνται τοὺς παῤῥησιαζομένους καὶ θαυμάζουσι, τοῖς δὲ μεμφομένοις, ἀντεγκαλοῦσι καὶ καταφρονοῦσιν. ὥσπερ ὁ Ἀγαμέμνων τὸν Ἀχιλλέα παῤῥησιάζεσθαι δοκοῦντα μετρίως, οὐχ ὑπέμεινε. τοῦ δ᾽ Ὀδυσσέως καθαπτομένου πικρῶς καὶ λέγοντος, οὐλόμεν᾽ αἴθ᾽ ὤφελες ἀεικελίου στρατοῦ ἄλλου σημαίνειν, εἴκει καὶ καρτερεῖ, τῷ κηδεμονικῷ τοῦ λόγου καὶ νοῦν ἔχοντι συστελλόμενος. οὗτος μὲν γὰρ οὐκ ἔχων ἰδίας πρόφασιν ὀργῆς, ἐπαῤῥησιάζετο πρὸς αὐτὸν ὑπὲρ τῆς Ἑλλάδος, ἐκεῖνος δὲ δι᾽ αὑτὸν ἐδόκει μάλιστα χαλεπαίνειν. αὐτός γε μὴν ὁ Ἀχιλλεὺς καίπερ οὐ γλυκύθυμος ὢν οὐδ᾽ ἀγανόφρων, ἀλλὰ δεινὸς ἀνὴρ οἷος καὶ ἀναίτιον αἰτιᾶσθαι, παρεῖχε τῷ Πατρόκλῳ σιωπῇ καταφέρειν αὐτοῦ πολλὰ τοιαῦτα. νηλεὲς, οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεὺς, οὐδὲ Θέτις μήτηρ, γλαυκὴ δέ σε τίκτε θάλασσα, πέτραι τ᾽ ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής. ὥσπερ γὰρ Ὑπερίδης ὁ ῥήτωρ ἠξίου σκοπεῖν Ἀθηναίους μὴ μόνον εἰ πικρός ἐστιν, ἀλλ᾽ εἰ καὶ προῖκα πικρὸς, οὕτως ἡ τοῦ φίλου νουθεσία καθαρεύουσα παντὸς ἰδίου πάθους αἰδεστόν ἐστι καὶ σεμνὸν καὶ ἀναντίβλεπτον. ἐὰν δὲ δὴ καὶ φανερὸς ᾖ τις ἐν τῷ παῤῥησιάζεσθαι, τὰ μὲν εἰς αὐτὸν ἁμαρτήματα τοῦ φίλου κομιδῇ προϊέμενος καὶ ἀπολείπων, ἄλλας δέ τινας αὐτοῦ πλημμελείας ἐλέγχων, καὶ δάκνων ἐφ᾽ ἑτέροις καὶ μὴ φειδόμενος, ἄμαχος ὁ τόνος τῆς παῤῥησίας οὗτός ἐστι, καὶ τῇ γλυκύτητι τοῦ νουθετοῦντος ἐπιτείνων τὸ πικρὸν καὶ αὐστηρὸν τῆς νουθεσίας. ὅθεν εὖ μὲν εἴρηται, τὸ δεῖν ἐν ταῖς ὀργαῖς καὶ ταῖς διαφοραῖς ταῖς πρὸς τοὺς φίλους, μάλιστα πράττειν τι καὶ σκοπεῖν τῶν ἐκείνοις συμφερόντων ἢ πρεπόντων, οὐχ ἧττον δὲ τούτου φιλικόν ἐστι, τὸ παρορᾶσθαι καὶ ἀμελεῖσθαι δοκοῦντας αὐτοὺς ὑπὲρ ἄλλων ἀμελουμένων παῤῥησιάζεσθαι, καὶ ὑπομιμνήσκειν, ὡς Πλάτων ἐν ταῖς πρὸς Διονύσιον ὑποψίαις καὶ διαφοραῖς, ᾐτήσατο καιρὸν ἐντυχίας, εἶτα ὁ μὲν ἔδωκεν οἰόμενος ὑπὲρ αὐτοῦ τι μέμψασθαι τὸν Πλάτωνα καὶ διελθεῖν. ὁ δὲ Πλάτων, οὕτω πως διελέχθη πρὸς αὐτόν. εἴ τινα αἴσθοιο Διονύσιε δυσμενῆ πεπλευκότα εἰς Σικελίαν, κακόν τι σε ποιῆσαι βουλόμενον, οὐκ ἔχοντα δὲ καιρὸν, ἆρ᾽ ἂν ἐάσειας αὐτὸν ἐκπλεῦσαι, καὶ περιίδοις ἀθῷον ἀπαλλαγέντα; πολλοῦ δέω εἶπεν ὁ Διονύσιος, ὦ Πλάτων. δεῖ γὰρ οὐ τὰ ἔργα τῶν ἐχθρῶν μόνον, ἀλλὰ καὶ τὴν προαίρεσιν μισεῖν καὶ κολάζειν. εἰ τοίνυν εἶπεν ὁ Πλάτων, ἐπ᾽ εὐνοίᾳ τὶς ἀφιγμένος τῇ σῇ δεῦρο βούλεται μὲν ἀγαθοῦ τινὸς αἴτιός σοι γενέσθαι, σὺ δὲ καιρὸν οὐ παρέχεις, ἄξιόν ἐστι τοῦτον ἀχαρίστως προέσθαι καὶ ὀλιγώρως; ἐρωτήσαντος δὲ τοῦ Διονυσίου τίς οὗτός ἐστιν. Αἰσχίνης εἶπεν, ἀνήρ τῷ τε ἤθει παρ᾽ ὁντινοῦν τῶν Σωκράτους ἑταίρων ἐπιεικὴς, καὶ τῷ λόγῳ δυνατὸς ἐπανορθοῦν οἷς σύνεστι, πλεύσας δὲ δεῦρο πολλὴν θάλατταν ὡς συγγένοιτό σοι διὰ φιλοσοφίας, ἠμέληται. ταῦτα οὕτως ἐκίνησε τὸν Διονύσιον, ὥστε τὰς μὲν χεῖρας τῷ Πλάτωνι εὐθὺς

περιβαλεῖν, καὶ κατασπάζεσθαι, τὴν εὐμένειαν καὶ μεγαλοφροσύνην ἀγάμενον, τοῦ δ᾽ Αἰσχίνου καλῶς καὶ μεγαλοπρεπῶς ἐπιμεληθῆναι. δεύτερον τοίνυν ὥσπερ ἐκκαθαίροντες ὕβριν ἅπασαν, καὶ γέλωτα, καὶ σκῶμμα, καὶ βωμολοχίαν, ἡδύσματα πονηρὰ τῆς παῤῥησίας ἀφαιρῶμεν. ὥσπερ γὰρ ἰατροῦ σάρκα τέμνοντος, εὐρυθμίαν τινὰ δεῖ καὶ καθαριότητα τοῖς ἔργοις ἐπιτρέχειν, ὀρχηστικὴν δὲ καὶ παράβολον καὶ περιτρέχουσαν ὑγρότητα καὶ περιεργίαν ἀπεῖναι τῆς χειρὸς, οὕτως ἡ παῤῥησία δέχεται τὸ ἐπιδέξιον καὶ τὸ ἀστεῖον ἂν ἡ χάρις τὴν σεμνότητα σώζῃ, θρασύτης δὲ καὶ βδελυρία καὶ ὕβρις προσοῦσα πάνυ διαφθείρει καὶ ἀπόλλυσιν. ὅθεν ὁ μὲν ψάλτης οὐκ ἀπιθάνως, οὐδὲ ἀμούσως ἐπεστόμισε τὸν Φίλιππον, ἐπιχειροῦντα περὶ κρουμάτων διαφέρεσθαι πρὸς αὐτὸν, εἰπὼν μὴ γένοιτό σοι οὕτως ὦ βασιλεῦ κακῶς, ἵνα ἐμοῦ ταῦτα βέλτιον εἰδῇς. Ἐπίχαρμος δὲ, οὐκ ὀρθῶς τοῦ Ἱέρωνος ἀνελόντος ἐνίους τῶν συνήθων, καὶ μεθ᾽ ἡμέρας ὀλίγας καλέσαντος ἐπὶ δεῖπνον αὐτὸν, ἀλλὰ πρώην ἔφη θύων τοὺς φίλους οὐκ ἐκάλεσας. κακῶς δὲ καὶ Ἀντιφῶν, παρὰ Διονυσίῳ ζητήσεως οὔσης καὶ λόγου, ποῖος χαλκὸς ἄριστος, ἐκεῖνος εἶπεν, ἐξ οὗ κατεσκεύασαν Ἀθηναῖοι τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας. οὔτε γὰρ ὠφελεῖ τούτων τὸ λυπηρὸν καὶ πικρὸν, οὔτε τέρπει τὸ βωμολόχον καὶ παιδιῶδες. ἀλλ᾽ ἐστὶ κακοηθείας καὶ ὕβρει μεμιγμένης ἀκρασίας μετ᾽ ἔχθρας τὸ τοιοῦτον εἶδος, ᾧ χρώμενοι, προσαπολλύουσιν αὐτοὺς, τὴν περὶ τὸ φρέαρ ὄρχησιν ἀτεχνῶς ὀρχούμενοι. καὶ γὰρ Ἀντιφῶν ἀπέθανεν ὑπὸ Διονυσίου. καὶ Τιμαγένης ἐξέπεσε τῆς Καίσαρος φιλίας, ἐλευθέρᾳ μὲν οὐδέποτε φωνῇ χρησάμενος, ἐν δὲ τοῖς συμποσίοις καὶ τοῖς περιπάτοις ἑκάστοτε πρὸς οὐδ᾽ ἡντινοῦν σπουδὴν, ἀλλ᾽ ὅτι οἱ εἵσαιτο γελοίιον Ἀργείοισιν, αἰτίαν φιλίας ὥσπερ σόφισμα λοιδορίας προσφερόμενος. ἐπεὶ καὶ τοῖς κωμικοῖς πολλὰ πρὸς τὸ θέατρον αὐστηρὰ καὶ πολιτικὰ πεποίηται. συμμιγνύμενον δὲ τὸ γελοῖον αὐτοῖς καὶ βωμολόχον, ὥσπερ σιτίοις ὑπότριμμα μοχθηρὸν, ἐξίτηλον ἐποίει τὴν παῤῥησίαν καὶ ἄχρηστον. ὥστε περιῆν κακοηθείας δόξα καὶ βδελυρία τοῖς λέγουσι. χρήσιμον δὲ τοῖς ἀκούουσιν οὐδὲν ἀπὸ τῶν λεγομένων. ἄλλως μὲν οὖν προσοιστέον ἐστὶ καὶ παιδιὰν καὶ γέλωτα τοῖς φίλοις, ἡ δὲ παῤῥησία σπουδὴν ἐχέτω καὶ ἦθος. ἐὰν δὲ ὑπὲρ μειζόνων ᾖ, καὶ πάθει, καὶ σχήματι, καὶ τόνῳ φωνῆς, ὁ λόγος ἀξιόπιστος ἔστω καὶ κινητικός. ὁ δὲ καιρὸς ἐν παντὶ μὲν παρεθεὶς, μεγάλα βλάπτει, μάλιστα δὲ τῆς παῤῥησίας διαφθείρει τὸ χρήσιμον. ὅτι μὲν οὖν ἐν οἴνῳ καὶ μέθῃ τὸ τοιοῦτο φυλακτέον, εὔδηλόν ἐστιν. εὐδίᾳ γὰρ ἐπάγει νέφος. ὁ κινῶν ἐν παιδιᾷ καὶ φιλοφροσύνῃ λόγον, ὀφρῦς ἀνασπῶντα καὶ συνιστάντα τὸ πρόσωπον, ὥσπερ ἀντιταττόμενον τῷ Λυαίῳ θεῷ, καὶ λύοντι τὸ τῶν δυσφόρων σχοινίον καὶ μεριμνῶν, κατὰ Πίνδαρον. ἔχει δὲ καὶ κίνδυνον ἡ ἀκαιρία μέγαν. ἀκροσφαλεῖς γάρ εἰσιν αἱ ψυχαὶ πρὸς ὀργὴν διὰ τὸν οἶνον, καὶ πολλάκις ἡ μέθη παραλαβοῦσα τὴν παῤῥησίαν, ἔχθραν ἐποίησε. καὶ ὅλως οὐκ ἔστι γενναῖον οὐδὲ θαῤῥαλέον, ἀλλ᾽ ἄνανδρον, ἐν τῷ νήφειν ἀπαῤῥησιάστους ὄντας παῤῥησιάζεσθαι περὶ τράπεζαν, ὥσπερ οἱ δειλοὶ κύνες. οὐδὲν οὖν δεῖ περὶ τούτων λέγοντα μηκύνειν. ἐπεὶ δὲ πολλοὶ τοὺς φίλους εὖ φερομένους ἐν τοῖς πράγμασιν, οὔτε ἀξιοῦσιν οὔτε τολμῶσι ῥυθμίζειν, ἀλλ᾽ ὅλως ἀπρόσιτον, καὶ ἀνέφικτον ἡγοῦνται νουθεσίᾳ τὸ εὐτυχοῦν εἶναι, σφαλομένοις δὲ καὶ πταίουσιν, ἐπιτίθενται, καὶ πατοῦσιν ὑπὸ χεῖρα καὶ ταπεινοὺς γεγενημένους. ὥσπερ ῥεῦμα κεκρατημένον παρὰ φύσιν, τὴν παῤῥησίαν ἀθρόως ἐφιέντες αὐτοῖς καὶ ἀπολαύοντες ἄσμενοι τῆς μεταβολῆς, διὰ τὴν πρόσθεν ὑπεροψίαν ἐκείνων, αὑτῶν δὲ ἀσθένειαν, οὐ χεῖρόν ἐστι περὶ τούτων διελθεῖν, καὶ ἀποκρίνασθαι τῷ Εὐριπίδῃ

λέγοντι. ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων; ὅτι δεῖ μάλιστα παῤῥησιαζο-
μένων τῶν φίλων τοῖς εὐτυχοῦσι, καὶ τὸ ἄγαν ὑφαιρούντων τοῦ φρονήματος. ὀλίγοι
γάρ εἰσιν οἷς μετὰ τὸ εὐτυχεῖν παραγίνεται τὸ φρονεῖν. οἱ δὲ πολλοὶ φρενῶν ἐπεισάκτων
δέονται, καὶ λογισμῶν πιεζόντων ἔξωθεν αὐτοὺς ὑπὸ τῆς τύχης φυσωμένους,
καὶ σαλευομένους. ὅταν δὲ ὁ δαίμων καταβάλῃ καὶ περιέλῃ τὸν ὄγκον αὐτοῖς
τοῖς πράγμασιν, ἔνεστι τὸ νουθετοῦν καὶ μετάνοιαν ἐμποιοῦν. ὅθεν οὐδὲν ἔργον
τότε παῤῥησίας φιλικῆς, οὐδὲ λόγων βάρος ἐχόντων καὶ δηγμόν, ἀλλ' ὡς ἀ-
ληθῶς ἐν ταῖς τοιαύταις μεταβολαῖς, εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυ-
κύ, παρηγοροῦντος καὶ παραθαῤῥύνοντος, ὥσπερ τοῦ κλεάρχου τὸ πρόσω-
πον ὁ ξενοφῶν ἐν ταῖς μάχαις καὶ περὶ τὰ δεινά φησιν ὁρώμενον, εὐμενὲς καὶ
φιλάνθρωπον, εὐθαρσεστέρους ἐποίει τοὺς κινδυνεύοντας. ὁ δὲ παῤῥησίαν
καὶ δηγμὸν ἀνθρώπῳ δυστυχοῦντι προσάγων, ὥσπερ ὀξυδερκικὸν ὄμματι τα-
ρασσομένῳ καὶ φλεγμαίνοντι, θεραπεύει μὲν οὐδέν, οὐδὲ ἀφαιρεῖ τοῦ λυποῦν-
τος, ὀργὴν δὲ τῇ λύπῃ προστίθησι, καὶ παροξύνει τὸν ἀνιώμενον. αὐτίκα
γοῦν ὑγιαίνων μέν τις οὐ χαλεπός ἐστιν, οὐδ' ἄγριος παντάπασιν ἀνδρὶ φίλῳ,
ψέγοντι μὲν συνουσίας καὶ πότους αὐτοῦ, ψέγοντι δὲ ἀργίαν, καὶ γυμνασίαν,
καὶ λουτρὰ συνεχῆ, καὶ πλησμονὰς ἀκαίρους. νοσοῦντι δέ, οὐκ ἀνεκτόν, ἀλλὰ
μείζων νόσος ἀκοῦσαι, ὅτι ταῦτά σοι γέγονεν ἐξ ἀκρασίας, καὶ μαλακίας, καὶ
δι' ὄψα, καὶ γυναῖκας. ὢ τῆς ἀκαιρίας ἄνθρωπε, διαθήκην γράφω, καὶ πα-
ρασκευάζεταί μοι καστόριον, ἢ σκαμμώνιον ὑπὸ τῶν ἰατρῶν, σὺ δὲ νουθετεῖς καὶ
φιλοσοφεῖς; οὕτω τοίνυν καὶ τὰ πράγματα τῶν δυστυχούντων, οὐ παῤ-
ῥησίαν ἐνδέχεται καὶ γνωμολογίαν, ἀλλ' ἐπιεικείας δεῖται καὶ βοηθείας. καὶ
γὰρ αἱ τίτθαι τοῖς παιδίοις πεσοῦσιν, οὐ λοιδορησόμεναι προστρέχουσιν, ἀλλ'
ἤγειραν, καὶ περιέπλυναν, καὶ κατέστειλαν, εἶθ' οὕτως ἐπιπλήττουσι καὶ κο-
λάζουσι. λέγεται δὲ καὶ δημήτριος ὁ φαληρεύς, ὅτε τῆς πατρίδος ἐξέ-
πεσε, καὶ περὶ θήβας ἀδοξῶν, καὶ ταπεινὰ πράττων διῆγεν, οὐχ ἡδέως ἰδεῖν
προσιόντα κράτητα, παῤῥησίαν κυνικὴν καὶ λόγους τραχεῖς προσδεχόμενος,
ἐντυχόντος δὲ πράως αὐτῷ τοῦ κράτητος, καὶ διαλεχθέντος περὶ φυγῆς, ὡς οὐ-
δὲν ἔχοι κακὸν οὐδ' ἄξιον φέρειν βαρέως, πραγμάτων σφαλερῶν καὶ ἀβεβαί-
ων ἀπηλλαγμένον, ἅμα δὲ θαῤῥεῖν ἐφ' ἑαυτῷ καὶ τῇ διαθέσει παρακαλοῦν-
τος, ἡδίων γενόμενος καὶ ἀναθαρσήσας, πρὸς τοὺς φίλους εἶπε, φεῦ τῶν πρά-
ξεων ἐκείνων καὶ ἀσχολιῶν, δι' ἃς ἄνδρα τοιοῦτον οὐκ ἔγνωμεν. λυπουμένῳ γὰρ
μῦθος εὐμενὴς φίλων, ἄγαν δὲ μωραίνοντι νουθετήματα. οὗτος ὁ τρόπος
τῶν γενναίων φίλων. οἱ δ' ἀγεννεῖς καὶ ταπεινοὶ τῶν εὐτυχούντων κόλακες, ὥσ-
περ τὰ ῥήγματα καὶ τὰ σπάσματά φησι δημοσθένης, ὅταν τι κακὸν τὸ σῶμα
λάβῃ, τότε κινεῖσθαι, καὶ οὗτοι ταῖς μεταβολαῖς ἐπιφύονται καθάπερ ἡδόμε-
νοι καὶ ἀπολαύοντες. καὶ γὰρ ἂν δέηταί τινος ὑπομνήσεως ἐν οἷς δι' αὐτὸν ἔπται-
σε βουλευσάμενος κακῶς, ἱκανόν ἐστι τό, οὔτι κατ' ἡμέτερόν γε νόον. μάλα γὰρ
τοι ἔγωγε πόλλ' ἀπεμυθεόμην. ἐν τίσιν οὖν σφοδρὸν εἶναι δεῖ τὸν φίλον, καὶ
πότε τῷ τόνῳ χρῆσθαι τῆς παῤῥησίας; ὅταν ἡδονῆς ἢ ὀργῆς ἢ ὕβρεως ἐπιλα-
βέσθαι φερομένης, οἱ καιροὶ παρακαλῶσιν, ἢ κωλῦσαι φιλαργυρίαν ἢ πρὸς
ἐξὶν ἀντισχεῖν ἀνόητον. οὕτως ἐπαῤῥησιάζετο σόλων πρὸς κροῖσον ὑπ' εὐτυ-
χίας ἀβεβαίου διεφθορότα, καὶ τρυφῶντα, τέλος ὁρᾶν κελεύσας. οὕτως σω-
κράτης ἀλκιβιάδην ἐκόλουε, καὶ δάκρυον ἐξῆγεν ἀληθινόν, ἐξελεγχομένου, καὶ
τὴν καρδίαν ἀνέστρεφε. τοιαῦτα τὰ κύρου πρὸς κυαξάρην, καὶ τὰ πρὸς δίω-
να πλάτωνος, ὅτε λαμπρότατος ἦν καὶ πάντας εἰς ἑαυτὸν ἀνθρώπους ἐπέστρεφε,

διὰ τὸ κάλλος τῶν πράξεων, καὶ τὸ μέγεθος, παρακελευομένου φυλάττεσθαι
καὶ δεδιέναι τὴν αὐθάδειαν, ὡς ἐρημίᾳ ξύνοικον. ἔγραφε δὲ καὶ σπεύσιππος
αὐτῷ, μὴ μέγα φρονεῖν εἰ πολὺς αὐτοῦ λόγος ἐστὶν ἐν παιδαρίοις καὶ γυναίοις,
ἀλλ' ὁρᾶν ὅπως ὁσιότητι, καὶ δικαιοσύνῃ, καὶ νόμοις ἀρίστοις κοσμήσας σικε-
λίαν, εὐκλεᾶ θήσει τὴν ἀκαδημίαν. εὔκτος δὲ καὶ εὐλαῖος ἑταῖροι περσέ-
ως, εὐτυχοῦντι μὲν ἀεὶ πρὸς χάριν ὁμιλοῦντες, καὶ συνεπινεύοντες, ὥσπερ
οἱ λοιποὶ παρηκολούθουν, ἐπεὶ δὲ ῥωμαίοις συμβαλὼν περὶ πύδναν ἔπταισε
καὶ ἔφυγε, προσπεσόντες, ἐπετίμων πικρῶς, καὶ ἀνεμίμνησκον ὧν ἐξήμαρ-
τεν, ἢ παρεῖδεν ἕκαστον ἐξονειδίζοντες, ἄχρις οὗ διαλγήσας ὁ ἄνθρωπος ὑπὸ
λύπης καὶ ὀργῆς, ἀμφοτέρους τῷ ξιφιδίῳ παίων ἀνεῖλεν. ὁ μὲν οὖν κοινὸς
οὕτω διωρίσθω καιρός. οὓς δὲ παρέχουσιν αὐτοὶ πολλάκις, οὐ χρὴ προΐεσθαι
τὸν κηδόμενον φίλον, ἀλλὰ χρῆσθαι. καὶ γὰρ ἐρώτησις ἐνίοις καὶ διήγησις, καὶ
ψόγος ὁμοίων ἐφ' ἑτέροις ἢ ἔπαινος, ὥσπερ ἐνδόσιμον εἰς παῤῥησίαν ἐστίν. οἷον
ἐλθεῖν δημάρατον εἰς μακεδονίαν ἐκ κορίνθου λέγουσι, καθ' ὃν χρόνον ἐν διαφο-
ρᾷ πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν ὁ φίλιππος ἦν, ἀσπασαμένου δὲ αὐτὸν τοῦ φι-
λίππου καὶ πυθομένου πῶς πρὸς ἀλλήλους ἔχουσιν ὁμονοίας οἱ ἕλληνες, εἰ-
πεῖν τὸν δημάρατον εὔνουν ὄντα, καὶ συνήθη, πάνυ γοῦν ὦ φίλιππε καλόν ἐ-
στί σοι πυνθάνεσθαι περὶ τῆς ἀθηναίων καὶ πελοποννησίων ὁμοφροσύνης, τὴν
δ' οἰκίαν περιορᾶν τὴν σεαυτοῦ τοσαύτης στάσεως καὶ διχονοίας γέμουσαν.
εὖ δὲ καὶ διογένης, ὃς ἐπεὶ παρελθὼν εἰς τὸ τοῦ φιλίππου στρατόπεδον ὅτε τοῖς
ἕλλησιν ἐβάδιζε μαχόμενος, ἀνήχθη πρὸς αὐτόν, ὁ δὲ ἀγνοῶν ἠρώτησεν εἰ κατά-
σκοπός ἐστι, πάνυ μὲν οὖν ἔφη κατάσκοπος ὦ φίλιππε τῆς ἀβουλίας σου καὶ
τῆς ἀνοίας, δι' ἣν οὐδενὸς ἀναγκάζοντος, ἔρχῃ περὶ βασιλείας καὶ τοῦ σώμα-
τος ὥρᾳ μιᾷ διακυβεύσων. τοῦτο μὲν οὖν ἴσως σφοδρότερον, ἕτερος δὲ και-
ρός ἐστι νουθεσίας, ὅταν ὑπ' ἄλλων λοιδορηθέντες ἐφ' οἷς ἁμαρτάνουσι ταπει-
νοὶ γένωνται, καὶ συσταλῶσιν, ᾧ χρῷτο ἂν ἐμμελῶς ὁ χαρίεις, τοὺς μὲν λοιδο-
ροῦντας ἀνακόπτων καὶ διακρουόμενος, ἰδίᾳ δὲ αὐτὸς ἁπτόμενος τοῦ φίλου καὶ ὑπο-
μιμνήσκων, ὡς εἰ διὰ μηδὲν ἄλλο, προσεκτέον ἐστὶν αὐτοῖς, ὅπως γε μὴ θρασεῖς
ὦσιν οἱ ἐχθροί. ποῦ γάρ ἐστι τούτοις τὸ στόμα διᾶραι, τί δὲ προσειπεῖν, ἂν ἀφῇς ταῦ-
τα καὶ ῥίψῃς, ἐφ' οἷς κακῶς ἀκούεις. γίνεται γὰρ οὕτως, τὸ μὲν λυπηρὸν τοῦ λοι-
δοροῦντος, τὸ δὲ ὠφέλιμον τοῦ νουθετοῦντος. ἔνιοι δὲ κομψότερον, ἄλλους λέγον-
τες ἐπιστρέφουσι τοὺς συνήθεις, κατηγοροῦσι γὰρ ἑτέρων, ἃ πράττοντας ἐκείνους
ἴσασιν. ὁ δ' ἡμέτερος καθηγητὴς ἀμμώνιος, ἐν δειλινῇ διατριβῇ τῶν γνωρί-
μων τινὰς αἰσθόμενος ἠριστηκότας οὐχ ἁπλοῦν ἄριστον, ἐκέλευσεν ἰδίῳ παι-
δὶ πληγὰς ἐμβαλεῖν τὸν ἀπελεύθερον, ἐπειπών, ὅτι χωρὶς ὄξους ἀριστᾶν οὐ-
δύναται, καὶ ἅμα πρὸς ἡμᾶς ἀπέβλεψεν, ὥστε τῶν ἐνόχων ἅψασθαι τὴν ἐπι-
τίμησιν. ἔτι τοίνυν εὐλαβητέον ἐστὶν ἐν πολλοῖς παῤῥησίᾳ χρῆσθαι πρὸς φί-
λον, ἐνθυμούμενον τὸ τοῦ πλάτωνος. ἐπεὶ γὰρ ὁ σωκράτης ἥψατό τινος τῶν συ-
νήθων σφοδρότερον ἐπὶ ταῖς τραπέζαις διαλεγόμενος, οὐκ ἄμεινον ἦν ὁ πλά-
των ἔφη ἰδίᾳ ταῦτα λελέχθαι; καὶ ὁ σωκράτης, σὺ δὲ εἶπεν οὐκ ἄμεινον ἂν ἐποί-
ησας ἰδίᾳ πρὸς ἐμὲ τοῦτο εἰπών; πυθαγόρου δὲ τραχύτερον ἐν πολλοῖς γνωρίμῳ
προσενεχθέντος, ἀπάγξασθαι τὸ μειράκιον λέγουσιν. ἐκ τούτου δὲ μηδέποτε τὸν
πυθαγόραν αὖθις ἄλλου παρόντος, ἄλλον νουθετῆσαι. δεῖ γὰρ ὡς νοσήματος οὐκ
εὐπρεποῦς, τῆς ἁμαρτίας τὴν νουθέτησιν καὶ ἀποκάλυψιν ἀπόρρητον εἶναι,
καὶ μὴ πανηγυρικήν, μηδ' ἐπιδεικτικήν, μηδὲ μάρτυρας καὶ θεατὰς συνά-
γουσαν. οὐ γὰρ φιλικόν, ἀλλὰ σοφιστικόν, ἀλλοτρίοις ἐνευδοκιμεῖν σφάλμασι,

καλλωπιζόμενον πρὸς τοὺς παρόντας. ὥσπερ οἱ χειρουργοῦντες ἐν τοῖς θεάτροις
ἰατροί, πρὸς ἐργολαβίαν. ἀλλ᾽ οὐδὲ τῆς ὕβρεως ἣν οὐδεμιᾷ θεραπείᾳ προσεῖ-
ναι δίκαιόν ἐστι, καὶ τὸ τῆς κακίας σκεπτέον φιλόνεικον καὶ αὔθαδες. οὐ γὰρ ἁ-
πλῶς νουθετούμενος ἔρως μᾶλλον πιέζει κατ᾽ Εὐριπίδην, ἀλλ᾽ ἐὰν νουθετῇ τις ἐν
πολλοῖς καὶ μὴ φειδόμενος, πᾶν νόσημα καὶ πᾶν πάθος εἰς τὸ ἀναίσχυντον κα-
θίστησιν. ὥσπερ οὖν ὁ Πλάτων τοὺς παρασκευάζοντας ἐν τοῖς νέοις αἰσχύνην
γέροντας, αὐτοὺς ἀξιοῖ πρῶτον αἰσχύνεσθαι τοὺς νέους, οὕτω τῶν φίλων ἡ δυσω-
πουμένη παρρησία, δυσωπεῖ μάλιστα καὶ τὸ μετ᾽ εὐλαβείας ἀτρέμα προσιέναι,
καὶ ἅπτεσθαι τοῦ ἁμαρτάνοντος, καὶ ὑπερείπει καὶ διεργάζεται τὴν κακίαν
ἀναπιμπλαμένην τοῦ αἰδεῖσθαι τὸν αἰδούμενον. ὅθεν ἄριστα μὲν ἔχει, τὸ ἄγχι
σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ᾽ οἱ ἄλλοι. ἥκιστα δὲ πρέπει γαμετῆς ἀκουούσης ἄν-
δρα, καὶ παίδων ἐν ὄψει, πατέρα, καὶ ἐραστὴν ἐρωμένου παρόντος, ἢ γνωρί-
μων, διδάσκαλον ἀποκαλύπτειν, ἐξίστανται γὰρ ὑπὸ λύπης καὶ ὀργῆς ἐλεγ-
χόμενοι παρ᾽ οἷς εὐδοκιμεῖν ἀξιοῦσιν. οἶμαι δὲ καὶ Κλεῖτος, οὐχ οὕτω παρο-
ξῦναι διὰ τὸν οἶνον, ὡς ὅτι πολλῶν παρόντων ἐδόκει κολάζειν τὸν Ἀλέξανδρον.
καὶ Ἀριστομένης ὁ Πτολεμαίου καθηγητής, ὅτι νυστάζοντα, πρεσβείας παρού-
σης, ἐπέστησεν ἐξεγείρων, λαβήν τινα παρέσχε τοῖς κόλαξι, προσποιουμένοις ἀ-
γανακτεῖν ὑπὲρ τοῦ βασιλέως καὶ λέγουσιν, εἰ τοσαῦτα κοπιῶν καὶ ἀγρυπνῶν
κατηνέχθης, ἰδίᾳ σε νουθετεῖν ὀφείλομεν, οὐκ ἐναντίον ἀνθρώπων τοσούτων προσ-
φέρειν τὰς χεῖρας. ὁ δὲ φαρμάκου κύλικα πέμψας, ἐκέλευσεν ἐκπιεῖν τὸν ἄν-
θρωπον. Ἀριστοφάνης δὲ καὶ τὸν Κλέωνα τοῦτο ἐγκαλεῖν φησιν. ὅτι ξένων πα-
ρόντων, τὴν πόλιν κακῶς λέγει, καὶ παροξύνει τοὺς Ἀθηναίους. διὸ δεῖ σφό-
δρα φυλάττεσθαι καὶ τοῦτο μετὰ τῶν ἄλλων, τὸ μὴ παρεπιδείκνυσθαι μηδὲ δημα-
γωγεῖν, ἀλλ᾽ ὀνησιφόρως καὶ θεραπευτικῶς χρῆσθαι τῇ παρρησίᾳ βουλομένους.
καὶ μὴν ὅπερ ὁ Θουκυδίδης τοὺς Κορινθίους λέγοντας περὶ αὑτῶν πεποίηκεν,
ὡς ἄξιοί εἰσιν ἑτέροις ἐπενεγκεῖν ψόγον οὐ κακῶς εἰρημένον, ἔδει προσεῖναι τοῖς παρ-
ρησιαζομένοις. Λύσανδρος μὲν γὰρ ὡς ἔοικε πρὸς τὸν ἐκ Μεγάρων ἐν τοῖς συμμά-
χοις παρρησιαζόμενον ὑπὲρ τῆς Ἑλλάδος, ἔφη τοὺς λόγους αὐτοῦ πόλεως δεῖ-
σθαι, παρρησία δὲ παντὸς ἀνδρὸς ἤθους ἴσως δεῖται, καὶ τοῦτ᾽ ἀληθέστατόν ἐστιν
ἐπὶ τῶν ἑτέρους νουθετούντων καὶ σωφρονιζόντων, λεγόμενον. ὁ γοῦν Πλά-
των ἔλεγε νουθετεῖν τὸν βίον τὸν Σπεύσιππον. ὥσπερ ἀμέλει καὶ Πολέμωνα Ξε-
νοκράτης ὀφθεὶς μόνον ἐν τῇ διατριβῇ, καὶ ἀποβλέψας πρὸς αὐτόν, ἐτρέψα-
το καὶ μετέθηκεν. ἐλαφροῦ δὲ καὶ φαύλου τὸ ἦθος ἀνθρώπου, λόγῳ παρρησίας ἀπτο-
μένου, περίεστι προσακοῦσαι, τὸ, ἄλλων ἰατρὸς, αὐτὸς ἕλκεσι βρύων. οὐ μήν, ἀλλ᾽
ἐπεὶ φαύλους γε ὄντας αὐτοὺς ἑτέροις τε τοιούτοις ὁμιλοῦντας ἐξάγει τὰ πράγ-
ματα πολλάκις εἰς τὸ νουθετεῖν, ἐπιεικέστατος ἂν εἴη τρόπος, ὁ συνεμπλέκων
καὶ συνεπιλαμβάνων ἁμῇ γέ πη τῷ ἐγκλήματι τὸν παρρησιαζόμενον, ἐν ᾧ λέ-
λεκται καὶ τὸ, Τυδείδη τί δὴ παθόντε λελάσμεθα θούριδος ἀλκῆς. καὶ τὸ,
νῦν δ᾽ οὐδενὸς ἄξιοι εἰμὲν Ἕκτορος. καὶ ὁ Σωκράτης οὕτως ἀτρέμα τοὺς νέους
ἤλεγχεν. ὡς μηδ᾽ αὐτὸς ἀπηλλαγμένος ἀμαθίας, ἀλλὰ μετ᾽ ἐκείνων οἰόμενος
δεῖν ἀρετῆς ἐπιμελεῖσθαι καὶ ζητεῖν τὸ ἀληθές. καὶ γὰρ εὔνοιαν καὶ πίστιν ἔχουσιν
οἱ τὰ αὐτὰ μὲν ἁμαρτάνειν, ἐπανορθοῦσθαι δὲ τοὺς φίλους ὥσπερ αὑτοὺς δο-
κοῦντες. ὁ δὲ σεμνύνων ἑαυτὸν ἐν τῷ κολούειν ἕτερον, ὡς δή τις εἰλικρινὴς
καὶ ἀπαθής, ἂν μὴ πολὺ καθ᾽ ἡλικίαν ᾖ προήκων, μηδὲ ἔχων ἀρετῆς ὁμολο-
γούμενον ἀξίωμα καὶ δόξης, ἐπαχθὴς φανεὶς καὶ βαρύς, οὐδὲν ὠφέλησεν.
ὅθεν οὐχ ἁπλῶς ὁ Φοῖνιξ ἐνέβαλε τὰ περὶ αὑτὸν ἀτυχήματα, δι᾽ ὀργὴν ἐπι-

χειρήσαντος ἀνελεῖν τὸν πατέρα καὶ ταχὺ μεταγνόντος, ὡς μὴ πατροφόνος μετ᾽
Ἀχαιοῖσι καλεοίμην. ἵνα μὴ δοκῇ νουθετεῖν ἐκεῖνον, ὡς αὐτὸς ἀπαθὴς ὢν ὑπ᾽ ὀρ-
γῆς καὶ ἀναμάρτητος. ἐνδύεται γὰρ ἠθικῶς τὰ τοιαῦτα, καὶ μᾶλλον εἴκουσι
τοῖς ὁμοιοπαθεῖν, ἀλλὰ μὴ περιφρονεῖν δοκοῦσι. ἐπεὶ δὲ οὔτε φῶς λαμπρὸν
ὄμματι φλεγμαίνοντι προσοιστέον, οὔτ᾽ ἐμπαθὴς ψυχὴ παρρησίαν ἀναδέχεται
καὶ νουθεσίαν ἄκρατον, ἐν τοῖς χρησιμωτάτοις ἐστὶ τῶν βοηθημάτων, ὁ παραμι-
γνύμενος ἐλαφρὸς ἔπαινος, ὥσπερ ἐν τούτοις. ὑμεῖς δ᾽ οὐκέτι καλὰ μεθίετε
θούριδος ἀλκῆς, πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν. οὐδ᾽ ἂν ἔγωγε ἀνδρὶ μαχε-
σαίμην ὅς τις πολέμοιο μεθείη λυγρὸς ἐών. ὑμῖν δὲ νεμεσῶμαι περὶ κῆρι. καὶ
Πάνδαρε, ποῦ τοι τόξον, οἱ δὲ πτερόεντες ὀϊστοὶ καὶ κλέος, ᾧ οὔ τίς τοι ἐρίζεται
ἐνθάδε γ᾽ ἀνήρ. σφόδρα δὲ ἐμφανῶς ἀνακαλεῖται καὶ τὰ τοιαῦτα τοὺς ὑπο-
φερομένους. ὁ δ᾽ Οἰδίπους, ποῦ τὰ κλείν᾽ αἰνίγματα. καὶ ὁ πολλὰ δὴ τλὰς
Ἡρακλῆς, λέγει τάδε. οὐ γὰρ μόνον ἀνίησι τοῦ ψόγου τὸ τραχὺ καὶ κελευστικόν, ἀλ-
λὰ καὶ ζῆλον ἐμποιεῖ πρὸς ἑαυτὸν αἰδουμένῳ τὰ αἰσχρὰ τῇ τῶν καλῶν ὑπομνή-
σει, καὶ παράδειγμα ποιουμένῳ τῶν βελτιόνων ἑαυτόν. ὅταν δὲ ἑτέρους, οἷον
ἥλικας ἢ πολίτας παραβάλλωμεν ἢ συγγενεῖς, ἄχθεται καὶ διαγριαίνεται
τὸ φιλόνεικον τῆς κακίας, καὶ τοῦτο πολλάκις εἴωθεν ὑποφωνεῖν μετ᾽ ὀργῆς. τί
οὖν οὐκ ἄπει πρὸς τοὺς ἐμοῦ κρείττονας, ἐμοὶ δὲ μὴ παρέχεις πράγματα.
φυλακτέον οὖν ἑτέρους ἐπαινεῖν, παρρησιαζόμενον πρὸς ἑτέρους, ἂν μὴ νὴ Δία γο-
νεῖς ὦσιν ὡς Ἀγαμέμνων, ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς, καὶ ὁ ἐν τοῖς
Σκυρίοις Ὀδυσσεύς. σὺ δ᾽ ὦ τὸ λαμπρὸν φῶς καταισχύνων γένους ξαίνεις ἀρίστου
πατρὸς Ἑλλήνων γεγώς; ἥκιστα δὲ προσήκει νουθετούμενον ἀντινουθετεῖν, καὶ
παρρησίᾳ παρρησίαν ἀντεκφέρειν, ταχὺ γὰρ ἐκκαίει καὶ ποιεῖ διαφοράν. καὶ ὅλως
οὐκ ἀντιπαρρησιαζομένου δόξειεν ἄν, ἀλλὰ παρρησίαν μὴ φέροντος ὁ τοιοῦτος
ὠθισμὸς εἶναι. βέλτιον οὖν ὑπομένειν τὸν νουθετεῖν δοκοῦντα φίλον, ἂν
γὰρ ὕστερον αὐτὸς ἁμαρτάνῃ, καὶ δέηται νουθεσίας, αὐτὸ τοῦτο τῇ παρρησίᾳ τρό-
πόν τινα, παρρησίαν δίδωσιν, ὑπομιμνησκόμενος γὰρ ἄνευ μνησικακίας, ὅτι
τοὺς φίλους καὶ αὐτὸς εἰώθει μὴ περιορᾶν ἁμαρτάνοντας, ἀλλ᾽ ἐξελέγχειν καὶ
διδάσκειν μᾶλλον ἐνδώσει, καὶ παραδέξεται τὴν ἐπανόρθωσιν ὡς οὖσαν εὐνοί-
ας καὶ χάριτος, οὐ μέμψεως ἀνταπόδοσιν, οὐδὲ ὀργῆς. ἔτι τοίνυν ὁ μὲν Θου-
κυδίδης φησίν. ὅς τις ἐπὶ μεγίστοις τὸ ἐπίφθονον λαμβάνει ὀρθῶς βουλεύεται.
τῶν δὲ φίλων προσήκει, τὸ ἐκ τοῦ νουθετεῖν ἐπαχθές, ὑπὲρ μεγάλων ἀναδέχε-
σθαι καὶ σφόδρα διαφερόντων. ἂν δ᾽ ἐκ πᾶσι καὶ πρὸς πάντα δυσκολαίνῃ, καὶ
μὴ φιλικῶς, ἀλλὰ παιδαγωγικῶς προσφέρηται τοῖς συνήθεσιν, ἀμβλὺς ἐν
τοῖς μεγίστοις νουθετῶν ἔσται καὶ ἄπρακτος. ὥσπερ ἰατρὸς δριμὺ φάρμακον ἢ πι-
κρὸν ἀναγκαῖον δὲ καὶ πολυτελές, εἰς πολλὰ καὶ μικρὰ καὶ οὐκ ἀναγκαῖα, τῇ
παρρησίᾳ κατακεχρημένος. αὐτὸς μὲν οὖν σφόδρα φυλάξεται τὸ συνε-
χὲς καὶ φιλαίτιον. ἑτέρου δὲ μικρολογουμένου περὶ πάντα, καὶ παρασυκο-
φαντοῦντος, ὥσπερ ἐνδόσιμον ἕξει πρὸς τὰ μείζονα τῶν ἁμαρτημάτων. καὶ γὰρ
ἰατρὸς Φιλότιμος ἐμπύου περὶ ἧπαρ, ἀνθρώπου δείξαντος αὐτῷ τὸν δάκτυλον
ἡλκωμένον, οὐκ ἔστι σοι εἶπεν ὦ τᾶν περὶ παρωνυχίας, οὕτω καὶ τῷ φίλῳ δί-
δωσιν ὁ καιρὸς εἰπεῖν πρὸς τὸν ἐπὶ μικροῖς καὶ μηδενὸς ἀξίοις ἐγκαλοῦντά τι,
παιδιὰς καὶ πότους καὶ φλυάρους λέγομεν, οὗτος ὦ τᾶν, ἀποπεμψάσθω τὴν
ἑταίραν, ἢ παυσάσθω κυβεύων, καὶ τὰ ἄλλα θαυμαστὸς ἡμῖν ἄνθρωπός ἐστιν.
ὁ γὰρ εἰς τὰ μικρὰ συγγνώμην λαβών, οὐκ ἀηδῶς εἰς τὰ μείζονα τῷ φίλῳ παρ-
ρησίαν δίδωσιν. ὁ δ᾽ ἐγκείμενος ἀεί, καὶ πανταχοῦ πικρὸς καὶ ἀτερπὴς καὶ πάν-

τα γινώσκων καὶ πολυπραγμονῶν οὐδὲ παισὶν ἀνεκτὸς, οὐδὲ ἀδελφοῖς, ἀλλὰ καὶ δούλοις ἀφόρητος. ἐπεὶ δὲ οὔτε τῷ γήρᾳ πάντα πρόσεστι κακὰ κατ' Εὐριπίδην, οὔτε τῇ τῶν φίλων ἀβελτηρίᾳ, δεῖ μὴ μόνον ἁμαρτάνοντας, ἀλλὰ καὶ κατορθοῦντας ἐπιτηρεῖν τοὺς φίλους, καὶ νὴ Δία προθύμως ἐπαινεῖν τὸ πρῶτον, εἶθ' ὥσπερ ὁ σίδηρος πυκνοῦται τῇ περιψύξει καὶ δέχεται τὴν στόμωσιν, ἀνεθεὶς πρῶτον ὑπὸ θερμότητος καὶ μαλακὸς γενόμενος, οὕτω τοῖς φίλοις διακεχυμένοις, καὶ θερμοῖς οὖσιν ὑπὸ τῶν ἐπαίνων, ὥσπερ βαφὴν ἀτρέμα τὴν παρρησίαν ἐπάγειν. δίδωσι γοῦν ὁ καιρὸς εἰπεῖν, ἆρ' ἄξιον ἐκεῖνα τούτοις παραβάλλειν; ὁρᾷς τὸ καλὸν οἵους καρποὺς ἀποδίδωσι; ταῦτα ἀπαιτοῦμεν οἱ φίλοι, ταῦτ' ἔστιν οἰκεῖα, πρὸς ταῦτα πέφυκας, ἐκεῖνα δὲ ἀποδιοπομπητέον, εἰς ὄρος ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης. ὡς γὰρ ἰατρὸς εὐγνώμων βούλοιτ' ἂν ὕπνῳ καὶ τροφῇ μᾶλλον, ἢ καστορίῳ καὶ σκαμμωνίῳ τὸ νόσημα λῦσαι τοῦ κάμνοντος, οὕτω καὶ φίλος ἐπιεικὴς, καὶ πατὴρ χρηστὸς, καὶ διδάσκαλος, ἐπαίνῳ μᾶλλον ἢ ψόγῳ χαίρει πρὸς ἐπανόρθωσιν ἤθους χρώμενος. οὐδὲν γὰρ ἄλλο ποιεῖ τὸν παρρησιαζόμενον ἥκιστα λυπεῖν, καὶ μάλιστα θεραπεύειν, ἢ τὸ φειδόμενον ὀργῆς, ἐν ἤθει καὶ μετ' εὐνοίας προσφέρεσθαι τοῖς ἁμαρτάνουσιν. ὅθεν οὔτε ἀρνουμένους δεῖ πικρῶς ἐξελέγχειν, οὔτε κωλύειν ἀπολογουμένους, ἀλλὰ καὶ προφάσεις εὐσχήμονας ἁμωσγέπως συνεκπορίζειν, καὶ τῆς χείρονος αἰτίας ἀφισταμένους, αὐτὸν ἐνδιδόναι μετριώτερον, ὡς ὁ Ἕκτωρ, δαιμόνι' οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῷ, πρὸς τὸν ἀδελφὸν, ὡς οὐκ ἀπόδρασιν, οὐδὲ δειλίαν οὖσαν, ἀλλ' ὀργὴν τὴν ἐκ τῆς μάχης ἀναχώρησιν αὐτοῦ. καὶ πρὸς τὸν Ἀγαμέμνονα ὁ Νέστωρ· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ εἶξας. ἠθικώτερον γοῦν οἶμαι, τὸ, ἠδίκησας, καὶ ἠσχημόνησας καὶ οὐκ ἐπίστησας, τοῦ, ἠγνόησας, καὶ τὸ μὴ φιλονείκει πρὸς τὸν ἀδελφὸν, ἢ τὸ, μὴ φθόνει τῷ ἀδελφῷ, καὶ τὸ, φύγε τὴν γυναῖκα διαφθείρουσαν, ἢ τοῦ παῦσαι τὴν γυναῖκα διαφθείρων. τοιοῦτον γὰρ ἡ θεραπευτικὴ παρρησία ζητεῖ τρόπον, ἡ δὲ πρακτικὴ, τὸ ἐναντίον. ὅταν γὰρ ἢ μέλλοντας ἁμαρτάνειν ἐκκροῦσαι δέῃ, ἢ πρὸς ὁρμήν τινα βίαιον ἱσταμένους ἐξεναντίας φερομένην, ἢ πρὸς τὰ καλὰ μαλακῶς καὶ ἀπροθύμως ἔχοντας, ἐντεῖναι καὶ παρορμῆσαι θελήσωμεν. εἰς αἰτίας δεῖ μεταφέρειν ἀτόπους καὶ μὴ πρεπούσας τὸ γινόμενον. ὡς ὁ παρὰ Σοφοκλεῖ τὸν Ἀχιλλέα παροξύνων Ὀδυσσεὺς, οὔ φησιν ὀργίζεσθαι διὰ τὸ δεῖπνον, ἀλλ' ἤδη φησὶ τὰ Τροίας εἰσορῶν ἐρείπια δέδοικας. καὶ πρὸς ταῦτα πάλιν τοῦ Ἀχιλλέως διαγανακτοῦντος καὶ ἀποπλεῖν λέγοντος, ἐγῷδα ὃ φεύγεις, οὐ τὸ μὴ κλύειν κακῶς, ἀλλ' ἐγγὺς Ἕκτωρ ἐστίν, οὐ μένειν καλόν. τὸν μὲν οὖν θυμοειδῆ καὶ ἀνδρώδη, δειλίας δόξῃ, τὸν δὲ σώφρονα καὶ κόσμιον, ἀκολασίας, τὸν δ' ἐλευθέριον καὶ μεγαλοπρεπῆ, μικρολογίας, καὶ φιλαργυρίας, δεδιττόμενοι, παρορμῶσι πρὸς τὰ καλὰ, καὶ τῶν αἰσχρῶν ἀπελαύνουσι, μέτριοι μὲν ἐν τοῖς ἀνηκέστοις ἐξεταζόμενοι, καὶ τὸ λυπούμενον καὶ τὸ συναλγοῦν πλέον ἐν τῷ παρρησιάζεσθαι τοῦ ψέγοντος ἔχοντες. ἐν δὲ ταῖς κωλύσεσι τῶν ἁμαρτανομένων, καὶ πρὸς τὰ πάθη διαμάχεσθαι, σφοδροὶ καὶ ἀπαραίτητοι καὶ συνεχεῖς ὄντες. οὗτος γοῦν ὁ καιρὸς, εὐνοίας ἀθρύπτου καὶ παρρησίας ἀληθινῆς ἐστι. τῷ δὲ ψέγειν τὰ πραχθέντα, καὶ τοὺς ἐχθροὺς κατ' ἀλλήλων ὁρῶμεν χρωμένους. ὥσπερ Διογένης ἔλεγεν, ὅτι τῷ μέλλοντι σώζεσθαι, δεῖ φίλους ἀγαθοὺς, ἢ διαπύρους ἐχθροὺς ὑπάρχειν. οἱ μὲν γὰρ διδάσκουσιν, οἱ δὲ ἐλέγχουσι. βέλτιον δὲ τὰς ἁμαρτίας φυλάττεσθαι τοῖς συμβουλεύουσι πειθόμενον, ἢ μετανοεῖν ἁμαρτόντα, διὰ τοὺς κακῶς λέγοντας. καὶ διὰ τοῦτο δεῖ καὶ περὶ τὴν παρρησίαν φιλοτεχνεῖν, ὅσῳ μέγιστόν ἐστι καὶ κράτιστον ἐν φιλίᾳ φάρμακον,

εὐστοχίας τε καιροῦ μάλιστα καὶ κράσεως μέτρον ἐχούσης ἀεὶ δεομένην. ἐπεὶ τοίνυν ὥσπερ εἴρηται πολλάκις ἡ παρρησία τῷ θεραπεύοντι λυπηρὰ ὑπάρχει, δεῖ μιμεῖσθαι τοὺς ἰατρούς. οὔτε γὰρ ἐκεῖνοι τέμνοντες ἐν τῷ πονεῖν καὶ ἀλγεῖν καταλείπουσι τὸ πεπονθὸς, ἀλλ' ἐνέβρεξαν προσηνῶς καὶ κατηόνησαν, οὔτε οἱ νουθετοῦντες ἀστείως τὸ πικρὸν καὶ δηκτικὸν προσβάλλοντες, ἀποτρέχουσιν, ἀλλ' ὁμιλίαις ἑτέραις, καὶ λόγοις ἐπιεικέσιν ἐκπραΰνουσι καὶ διαχέουσιν. ὥσπερ οἱ λιθοξόοι τὰ πληγέντα καὶ περικοπέντα τῶν ἀγαλμάτων ἐπιλεαίνοντες καὶ γανοῦντες. ὁ δὲ πληγεὶς μὲν τῇ παρρησίᾳ καὶ χαραχθεὶς, ἀφεθεὶς δὲ τραχὺς καὶ οἰδῶν καὶ ἀνώμαλος ὑπ' ὀργῆς, δυσανάκλητός ἐστι, καὶ δυσπαρηγόρητος. διὸ καὶ τοῦτο δεῖ παραφυλάττειν ἐν τοῖς μάλιστα τοὺς νουθετοῦντας καὶ μὴ προσαπολείπειν, μὴ δὲ ποιεῖσθαι πέρας ὁμιλίας καὶ συνουσίας τὸ λυποῦν καὶ παροξῦνον τοὺς συνήθεις.

ΠΩΣ ΑΝ ΤΙΣ ΑΙΣΘΟΙΤΟ ΕΑΥΤΟΥ ΠΡΟΚΟΠΤΟΝΤΟΣ ΕΠ' ΑΡΕΤΗ.

Τίς τῶν λόγων ὦ Σόσσιε Σενεκίων, σώσει τὴν αὑτοῦ βελτιουμένου πρὸς ἀρετὴν συναίσθησιν, εἰ μηδεμίαν αἱ προκοπαὶ ποιοῦσι τῆς ἀφροσύνης ἄνεσιν, ἀλλ' ἰσοσταθμῷ πᾶσιν ἡ κακία περιθεμένη, μολιβδὶς ὥστε δίκτυον κατέσπασεν· οὐδὲ γοῦν ἐν μουσικοῖς τίς ἢ γραμματικοῖς ἐπιδιδοὺς γνοίη, μηδὲν ἐν τῷ μανθάνειν ἀπαρύττων τῆς περὶ ταῦτα ἀμαθίας, ἀλλ' ἴσης αὐτῷ τῆς ἀτεχνίας ἀεὶ παρούσης, οὐδὲ κάμνοντι θεραπεία, μὴ ποιοῦσα ῥαστώνην μηδὲ κουφισμὸς, ἁμωσγέπως τοῦ νοσήματος ὑπείκοντος καὶ χαλῶντος, αἴσθησιν ἂν παρέχοι διαφορᾶς, πρὶν εἰλικρινῆ τὴν ἐναντίαν ἕξιν ἐπιδέχεσθαι παντάπασι, τοῦ σώματος ἀναῤῥωσθέντος. ἀλλ' ὥσπερ ἐν τούτοις οὐ προκόπτουσιν, ἂν προκόπτοντες ἀνέσει τοῦ βαρύνοντος, οἷον ἐπὶ ζυγοῦ πρὸς τοὐναντίον ἀναφερόμενοι μὴ γινώσκωσι τὴν μεταβολὴν, οὕτως ἐν τοῖς φιλοσοφεῖν ἐπαγγελλομένοις, οὔτε τινὰ προκοπὴν, οὔτε προκοπῆς αἴσθησιν ἀπολειπτέον, εἰ μηθὲν ἡ ψυχὴ μεθίησι μηδ' ἀποκαθαίρεται τῆς ἀβελτηρίας, ἀλλ' ἄχρι τοῦ λαβεῖν τὸ ἄκρον ἀγαθὸν καὶ τέλειον, ἀκράτῳ τῷ κακῷ χρῆται, καὶ γὰρ ἀκαρὴς χρόνου καὶ ὥρας ἐκ τῆς ὡς ἔνι μάλιστα φαυλότητος εἰς οὐκ ἔχουσαν ὑπερβολὴν ἀρετῆς διάθεσιν μεταβάλλων ὁ σοφὸς, ἧς οὐδὲ ἐν χρόνῳ πολλῷ μέρος ἀφεῖλε κακίας, ἀλλὰ πᾶσαν ἐξαίφνης ἀποπέφευγε. καί τοι ἤδη ταῦτά γε λέγοντας οἶσθα δή που πάλιν πολλὰ παρέχοντας αὑτοῖς πράγματα, καὶ μεγάλας ἀπορίας περὶ τοῦ διαλεληθότος· ὃς αὐτὸς, ἑαυτὸν οὔπω κατείληφε γεγονὼς σοφὸς, ἀλλ' ἀγνοεῖ καὶ ἀμφιδοξεῖ τὸ κατὰ μικρὸν ἐν χρόνῳ πολλῷ τὰ μὲν, ἀφαιροῦντι, τὰ δὲ προστιθέντι γινομένην τὴν ἐπίδοσιν, καθάπερ πορείαν τῇ ἀρετῇ λαθεῖν ἀτρέμα προσμίξασαν. εἰ δέ γε ἦν τάχος τοσοῦτον τῆς μεταβολῆς καὶ μέγεθος, ὥστε τὸν πρωῒ κάκιστον, ἑσπέρας γεγονέναι κράτιστον. ἂν δὲ οὕτω τινὶ συντύχῃ τὰ τῆς μεταβολῆς, καταδαρθέντα φαῦλον, ἀνεγρέσθαι σοφὸν, καὶ προσειπεῖν ἐκ τῆς ψυχῆς μεθεικότα τὰς χθιζὰς ἀβελτηρίας καὶ ἀπάτας. ψευδεῖς ὄνειροι, χαίρετ' οὐδὲν ἦτε· ἆρά τις ἀγνοήσειεν αὑτοῦ διαφορὰν ἐν αὑτῷ τοσαύτην γενομένην καὶ φρόνησιν ἀθρόον ἐκλάμψασαν; ἐμοὶ μὲν γὰρ δοκεῖ μᾶλλον ἄν τις ὡς ὁ Καινεὺς γενόμενος κατ' εὐχὴν ἀνὴρ ἐκ γυναικὸς, ἀγνοῆσαι τὴν μετακόσμησιν, ἢ σώφρων καὶ φρόνιμος καὶ ἀνδρεῖος, ἐκ δειλοῦ καὶ ἀνοήτου καὶ ἀκρατοῦς ἀποτελεσθεὶς, καὶ μεταβαλὼν εἰς θεῖον ἐκ θηρι

τὸν βίον ἀκαρές, διαλαθεῖν αὐτόν. ἀλλ' ὀρθῶς μὲν εἴρηται τὸ πρὸς στάθμην πέτρον τιθέναι, μή τι πρὸς πέτρῳ στάθμην· οἱ δὲ μή τιθέμενοι τὰ δόγματα πρὸς τὰ πράγματα, ἀλλὰ τὰ πράγματα πρὸς τὰς ἑαυτῶν ὑποθέσεις ὁμολογεῖν μὴ πεφυκότα καταβιαζόμενοι, πολλῶν ἀπορειῶν ἐμπεπλήκασι τὴν φιλοσοφίαν· μεγίστης δὲ τῆς εἰς μίαν ὁμοῦ κακίαν πάντας ἀνθρώπους πλὴν ἑνὸς τοῦ τελείου θεμένης, ὑφ' ἧς αἴνιγμα γέγονεν ἡ λεγομένη προκοπή, μικρὸν ἀπολείπουσα τῆς ἐσχάτης ἀφροσύνης· τοὺς δὲ πάντων ἅμα παθῶν καὶ νοσημάτων ἀφειμένους ἀπ' αὐτῆς, ἔτι τοῖς μηδενὸς ἀπηλλαγμένοις τῶν κακίστων ὁμοίως παρέχουσα κακοδαιμονοῦντας. οὗτοι μὲν οὖν ἑαυτοὺς ἐλέγχουσιν, ἐν μὲν ταῖς σχολαῖς ἴσην ἀδικίαν τὴν Ἀριστείδου τῇ Φαλάριδος τιθέμενοι, καὶ δειλίαν τὴν Βρασίδου τῇ Δόλωνος καὶ νὴ Δία τὴν Μελήτου μηδ' ὁτιοῦν τῆς Πλάτωνος ἀγνωμοσύνην διαφέρουσαν· ἐν δὲ τῷ βίῳ καὶ τοῖς πράγμασιν, ἐκείνους μὲν ἐκτρεπόμενοι καὶ φεύγοντες ὡς ἀμειλίκτους, τούτοις δ' ὡς ἀξίοις πολλοῦ, τὰ μέγιστα καὶ χρώμενοι καὶ πιστεύοντες. ἡμεῖς δέ, παντὶ γένει κακοῦ, μάλιστα δὲ τῷ περὶ ψυχὴν ἀτάκτῳ καὶ ἀορίστῳ τὸ μᾶλλον καὶ ἧττον ἐπιγινόμενον ὁρῶντες, ᾗ καὶ διαφέρουσιν αἱ προκοπαί, καθάπερ σκιᾶς ἀνέσει τῆς μοχθηρίας ὑπὸ τοῦ λόγου διαφωτίζοντος ἀτρέμα τὴν ψυχὴν καὶ διακαθαίροντος, οὐκ ἄλογον οἰόμεθα τὴν συναίσθησιν εἶναι τῆς μεταβολῆς, ὥσπερ ἐκ βυθοῦ τινος ἀναφερομένην, ἀλλ' ἔχουσαν ἐπιλογισμούς. ὧν ἐσκόπει πρῶτον εὐθύς, εἰ καθάπερ οἱ πρὸς ἀχανὲς θέοντες ἱστίοις πέλαγος, ἅμα τῷ χρόνῳ πρὸς τὴν τοῦ πνεύματος ῥώμην ἀναμετροῦνται τὸν δρόμον, ὡς εἰκὸς ἐν τοσούτῳ γεγονόσιν ἀπὸ τοιαύτης κομιζομένοις ἠνύσθαι δυνάμεως, οὕτως ἄν τις ἐν φιλοσοφίᾳ τὸ ἐνδελεχὲς καὶ τὸ συνεχὲς τῆς πορείας, καὶ μὴ πολλὰς διὰ μέσου ποιούμενον ἐπιστάσεις, εἶτ' αὖθις ὁρμὰς καὶ ἐπιπηδήσεις, ἀλλὰ λείως καὶ ὁμαλῶς τοῦ πρόσθεν ἐπιλαμβάνον ἀεὶ καὶ διιὸν ἀπταίστως διὰ τοῦ λόγου, τεκμήριον ἑαυτῷ ποιήσαιτο προκοπῆς. τὸ γὰρ εἰ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο καὶ θαμὰ τοῦτ' ἔρδοις, οὐ πρὸς ἀργυρίου μόνον αὔξησιν εἴρηται καλῶς, ἀλλ' εἰς ἅπαντα ποιεῖ, μάλιστα δ' εἰς ἀρετῆς ἐπίδοσιν, πολὺ καὶ τελεσιουργὸν ἔθος τοῦ λόγου προσλαμβάνοντος. αἱ δ' ἀνωμαλίαι καὶ ἀμβλύτητες τῶν φιλοσοφούντων, οὐ μόνας ἐπιστάσεις καὶ ἐποχὰς ὥσπερ ἐν ὁδῷ τῆς προκοπῆς, ἀλλ' ἀναλύσεις, ἀεὶ τῷ παρείκοντι κατὰ σχολὴν τῆς κακίας ἐπιτιθεμένης, καὶ πρὸς τοὐναντίον εὐθὺ ποφερούσης. τοὺς μὲν γὰρ πλανήτας οἱ μαθηματικοὶ στηρίζειν λέγουσι παυσαμένους τῆς εἰς τοὔμπροσθεν αὐτῶν πορείας· ἐν δὲ τῷ φιλοσοφεῖν, οὐκ ἔστι ληγούσης διάλειμμα προκοπῆς οὐδὲ στηριγμός, ἀλλ' ἀεί τινας ἔχουσα κινήσεις ἡ φύσις, ὥσπερ αὐτὴ ζυγοῦ ῥέπειν ἐθέλει, καὶ κατατείνεσθαι ταῖς βελτίοσιν, ἢ ταῖς ἐναντίαις πρὸς τὸ χεῖρον οἴχεται φερομένη. ἂν οὖν κατὰ τὸν δοθέντα χρησμὸν Κιρραίοις ἀπὸ τοῦ θεοῦ, πάντ' ἤματα καὶ πάσας νύκτας πολεμῇς, οὕτω συνειδῇς σαυτὸν ἢ μὴ πολλάκις γε τὴν φρουρὰν ἀνεικότα, μὴ δὲ συνεχῶς παρ' αὐτῆς οἱονεὶ κήρυκας ἡδονάς τινας ἢ ῥᾳστώνας ἢ ἀσχολίας ἐπὶ σπονδαῖς προσδεδεγμένον, εἰκότως ἂν εὐθαρσὴς καὶ πρόθυμος ἐπὶ τὸ λειπόμενον βαδίζοις. οὐ μὴν ἀλλὰ κἂν ᾖ διαλείμματα γινόμενα τοῦ φιλοσοφεῖν, τὰ δ' ὕστερα τῶν προτέρων ἑδραιότερα καὶ μακρότερα, σημεῖον οὐ πονηρόν ἐστιν ἐκθλιβομένης πόνῳ καὶ ἀσκήσει τῆς ῥᾳθυμίας· τὸ δ' ἐναντίον πονηρόν, αἱ μετ' οὐ πολὺν χρόνον πολλαὶ καὶ συνεχεῖς ἀνακοπαὶ τῆς προθυμίας, οἷον ἀπομαραινομένης. ὡς γὰρ ἡ τοῦ καλάμου βλάστησις ὁρμὴν ἔχουσα πλείστην καὶ καλλίστην ἀπ' ἀρχῆς εἰς μῆκος ὁμαλὲν καὶ συνεχὲς τὸ πρῶτον ἐν διαστήμασι μεγάλοις ὀλίγας λαμβάνουσα προσκρούσεις καὶ

ἀντικοπάς

ἀντικοπάς, εἶθ' οἷον ὑπ' ἄσθματος ἄνω δι' ἀσθένειαν ἀπαγορεύουσα, πολλοῖς ἐνίσχεται καὶ πυκνοῖς γόνασι τοῦ πνεύματος πληγὰς καὶ σφυγμοὺς ἔχοντος, οὕτως ὅσοι τὸ πρῶτον μεγάλαις ἐκδρομαῖς ἐχρήσαντο πρὸς φιλοσοφίαν, εἶτα πολλάκις συνεχῆ προσκρούσματα καὶ διασπάσματα λαμβάνουσι, μηδενὸς διαφέρε πρὸς τὸ βέλτιον ἐπαισθανόμενοι, τελευτῶντες ἐξέκαμον, καὶ ἀπηγόρευσαν. τῷ δ' αὖ τε πτερὰ φύετο δι' ὠφέλειαν διαφερομένῳ καὶ διακόπτοντι τὰς προφάσεις ὥσπερ ὄχλον ἐμποδὼν ὄντα ῥώμῃ καὶ προθυμίᾳ τῆς ἀνύσεως. καθάπερ τῶν ἐρώντων ἀρχομένου σημεῖόν ἐστιν οὐ τὸ χαίρειν τῷ καλῷ παρόντι, τοῦτο γὰρ κοινόν, ἀλλὰ τὸ δάκνεσθαι καὶ ἀλγεῖν ἀποσπώμενον, οὕτως ἅπτονται μὲν ἀπὸ φιλοσοφίας πολλοί, καὶ σφόδρα γε φιλοτίμως ἀντιλαμβάνεσθαι τοῦ μανθάνειν δοκοῦσιν, ἂν δὲ ἀπέλθωσιν ἀπὸ πραγμάτων ἄλλων καὶ ἀσχολιῶν, ἐξερρύη τὸ πάθος αὐτῶν ἐκεῖνο, καὶ ῥᾳδίως φέρουσιν. ᾧ δὲ ἔρωτος δῆγμα παιδικὸν πρόσεστι, μέτριος ἄν σοι φανείη καὶ πρᾷος ἐν τῷ παρεῖναι καὶ συμφιλοσοφεῖν, ὅταν δ' ἀποσπασθῇ καὶ χωρὶς γίνηται, θέα φλεγόμενον καὶ ἀδημονοῦντα καὶ δυσκολαίνοντα πᾶσι πράγμασι καὶ ἀσχολίαις, λήθῃ δὲ φίλων ὥσπερ ἄλογος ἐλαύνεται πόθῳ τῷ πρὸς φιλοσοφίαν. οὐ γὰρ δεῖ τοῖς λόγοις εὐφραίνεσθαι παρόντας, ὥσπερ τοῖς μύροις, ἀποστάντας δὲ μὴ ζητεῖν μηδ' ἀσχάλλειν, ἀλλὰ πείνῃ τινὶ καὶ δίψῃ πάθος ὅμοιον ἐν τοῖς ἀποσπασμοῖς πάσχοντας ἔχεσθαι τοῦ προκόπτοντος ἀληθῶς, ἄν τε γάμος, ἄν τε πλοῦτος, ἄν τε φιλία τις, ἄν τε στρατεία προσπεσοῦσα, ποιήσῃ τὸν χωρισμόν. ὅσῳ γὰρ πλέον ἐστὶ τὸ προσειλημμένον ἐκ φιλοσοφίας, τοσούτῳ μᾶλλον ἐνοχλεῖ τὸ ἀπολειπόμενον. τούτῳ δ' ἢ ὁμοῦ ταὐτόν ἐστιν ἢ σύνεγγυς τὸ πρεσβύτατον δήλωμα προκοπῆς τὸ Ἡσιόδου· μηκέτι προσάντη μηδ' ὄρθιον ἄγαν, ἀλλὰ ῥᾳδίαν καὶ λείαν καὶ δι' εὐπετείας εἶναι τὴν ὁδόν, οἷον ἐκλεαινομένην τῇ ἀσκήσει, καὶ φῶς ἐν τῷ φιλοσοφεῖν καὶ λαμπρότητα ποιοῦσαν ἐκ τῆς ἀπορείας καὶ πλάνης καὶ μεταμελειῶν, αἷς προστυγχάνουσιν οἱ φιλοσοφοῦντες τὸ πρῶτον, ὥσπερ οἱ γῆν ἀπολιπόντες ἣν ἴσασι, μήπω δὲ καθορῶντες ἐφ' ἣν πλέουσι. προέμενοι γὰρ τὰ κοινὰ καὶ συνήθη, πρὶν ἢ τὰ βελτίονα γνῶναι καὶ λαβεῖν, ἐν μέσῳ περιφέρονται πολλάκις ὑποτρεπόμενοι, καθάπερ φασὶ Σέξτιόν τε τὸν Ῥωμαῖον ἀφεικότα τὰς ἐν τῇ πόλει τιμὰς καὶ ἀρχὰς διὰ φιλοσοφίαν, ἐν δὲ τῷ φιλοσοφεῖν αὖ πάλιν δυσπαθοῦντα καὶ χρώμενον τῷ λόγῳ χαλεπῶς τὸ πρῶτον, ὀλίγου δεῆσαι καταβαλεῖν ἑαυτὸν ἔκ τινος διήρους. καὶ περὶ Διογένους ὅμοια τοῦ Σινωπέως ἱστοροῦσιν ἀρχομένου φιλοσοφεῖν, ὡς Ἀθηναίοις ἦν ἑορτή, καὶ δεῖπνα πολυτελῆ, καὶ θέαι, καὶ συνουσίαι μετ' ἀλλήλων ἔχοντες, ἐχρῶντο κώμοις καὶ παννυχίσιν. ὁ δ' ἔν τινι γωνίᾳ τῆς ἀγορᾶς συνεσπειραμένος ὡς καθευδήσων, ἐνέπιπτεν εἰς λογισμοὺς τρέποντας αὐτὸν οὐκ ἀτρέμα καὶ θραύοντας, ὡς ἐξ οὐδεμιᾶς ἀνάγκης εἰς ἐπίπονον καὶ ἀλλόκοτον ἥκων βίον, αὐτὸς ὑφ' ἑαυτοῦ κάθηται τῶν ἀγαθῶν ἁπάντων ἐστερημένος· εἶτα μέντοι μῦν τινα προσερπύσαντα λέγεται περὶ τὰς ψίχας αὐτοῦ τῆς μάζης ἀναστρέφεσθαι, τὸν δ' αὖθις ἀναφέρειν τῷ φρονήματι, καὶ λέγειν πρὸς ἑαυτόν, οἷον ἐπιπλήττοντα καὶ κακίζοντα, τί φῂς ὦ Διόγενες, τοῦτον μὲν εὐωχεῖ τὰ σὰ λείμματα καὶ τρέφει, σὺ δ' ὁ γεννάδας ὅτι μὴ μεθύεις ἐκεῖ κατακείμενος ἐν ἁπαλοῖς καὶ ἀνθινοῖς στρώμασιν ὀδύρῃ καὶ θρηνεῖς σεαυτόν; ὅταν τοίνυν οἱ τοιοῦτοι κατασπασμοὶ γίνωνται, μὴ πολλάκις, αἵ τε πρὸς αὐτοὺς ἐξαιρέσεις καὶ ἀνακλίσεις τοῦ φρονήματος, ὥσπερ ἐκ τροπῆς ταχεῖαι παρῶσι καὶ διαλύωσι ῥᾳδίως τὸν ἄλυν καὶ τὴν ἀδημονίαν, ἐν τινὶ βεβαίῳ τὴν προκοπὴν εἶναι δεῖ νομίζειν. ἐπεὶ δ' οὐ μόνον ἐξ αὐτῶν τὰ κατασείοντα καὶ στρέφοντα πρὸς τοὐ-

ναντίον ὑπ' ἀσθενείας ἐπιτείνεται τοῖς φιλοσοφοῦσιν, ἀλλὰ καὶ φίλον σπουδαῖ
μετὰ σπουδῆς, καὶ διαφόρων ἀντιλήψεις ἐν γέλωτι καὶ παιδιᾷ γινόμεναι κάμ-
πτουσι καὶ μαλάσσουσιν, ἐνίους δὲ καὶ τέλεον ἤδη φιλοσοφίας ἐξέσεισαν, οὐ φαῦ
λον ἄν τι προκοπῆς εἴη σημεῖον ἡ πρὸς ταῦτα πραότης ἑκάστου, καὶ τὸ μὴ τα-
ραττόμενον μηδὲ κνιζόμενον, ἀπὸ τῶν λεγόντων καὶ ὀνομαζόντων, ἡλικιώτας τινὰς
ἐν αὐλαῖς βασιλέων εὐημεροῦντας, ἢ φερνὰς ἐπὶ γάμοις λαμβάνοντας, ἢ
κατιόντας ἀπὸ πλήθους εἰς ἀγορὰν ἐπ' ἀρχήν τινα ἢ συνηγορίαν. ὁ γὰρ ἀνέκ-
πληκτος ἐν τούτοις καὶ ἄτρεπτος, ἤδη δῆλός ἐστιν εἰλημμένος ἣν προσήκει λα-
βεῖν ἀπὸ φιλοσοφίας. οὐ γὰρ οἷόν τε παύσασθαι ζηλοῦντας ἅπερ οἱ πολλοὶ
θαυμάζουσιν, οἷς ἂν μὴ τὸ θαυμάζειν ἀρετὴν ἐγγένηται. πρὸς μὲν γὰρ ἀνθρώ-
πους ἀποθρασύνεσθαι, καὶ δι' ὀργὴν ἐνίοις πάρεστι καὶ δι' ἀφροσύνην. ὧν δὲ θαυ
μάζουσιν ἄνθρωποι πραγμάτων, οὐκ ἔστιν ἄνευ φρονήματος ἀληθινοῦ καὶ βεβαίου κα-
ταφρονῆσαι. διὸ καὶ ταῦτα παραβάλλοντες ἐκείνοις, ἐπιγαυροῦσιν ἑαυτούς,
» ὥσπερ ὁ Σόλων. ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα τῆς ἀρετῆς τὸν πλοῦτον,
» ἐπεὶ τὸ μὲν ἔμπεδόν ἐστι, χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει. καὶ Διο-
γένης τὴν εἰς Ἀθήνας ἐκ Κορίνθου καὶ πάλιν εἰς Κόρινθον ἐκ Θηβῶν μετάβασιν
αὐτοῦ, παρέβαλε ταῖς βασιλέως, ἔαρος μὲν ἐν Σούσοις, καὶ χειμῶνος ἐν Βα-
βυλῶνι, θέρους δ' ἐν Μηδίᾳ διατριβαῖς. καὶ ὁ Ἀγησίλαος περὶ τοῦ μεγάλου
βασιλέως, τί γὰρ ἐμοῦ μείζων ἐκεῖνος, εἰ μὴ καὶ δικαιότερος. ὁ δὲ Ἀριστο-
« τέλης πρὸς Ἀντίπατρον περὶ Ἀλεξάνδρου γράφων, ἔφη μὴ μόνον ἐκείνῳ προ-
« σήκειν ὅτι πολλῶν κρατεῖ μέγα φρονεῖν, ἀλλ' οὐδὲν ἧττον, εἴ τις ὀρθῶς γινώ-
« σκει περὶ θεῶν. ὁ δὲ Ζήνων ὁρῶν τὸν Θεόφραστον ἐπὶ τῷ πολλοὺς ἔχειν μα-
θητὰς θαυμαζόμενον, ὁ ἐκείνου μὲν χορὸς ἔφη μείζων, οὑμὸς δὲ συμφωνό-
τερος. ὅταν οὖν οὕτως τὰ τῆς ἀρετῆς πρὸς τὰ ἐκτὸς ἀντιθεὶς, ὑπεκ-
χέῃς φθόνους καὶ ζηλοτυπίας καὶ τὰ κνίζοντα καὶ ταπεινοῦντα πολλοὺς τῶν
ἀρχομένων φιλοσοφεῖν, μέγα καὶ τοῦτο δήλωμα σεαυτῷ τοῦ προκόπτειν. οὐκ ἔστι δὲ
μικρὸν, οὐδὲ ἡ περὶ τοὺς λόγους μεταβολή. πάντες γὰρ ὡς ἁπλῶς εἰπεῖν οἱ ἀρ-
χόμενοι, τοὺς πρὸς δόξαν διώκουσι μᾶλλον. οἱ μὲν ὥσπερ ὄρνιθες ἐπὶ τὴν λαμ-
πρότητα τῶν φυσικῶν καὶ τὸ ὕψος ἀπὸ κουφότητος καὶ φιλοτιμίας καταί-
ροντες, οἱ δ' ὥσπερ τὰ σκυλάκια φησὶν ὁ Πλάτων, τῷ ἕλκειν καὶ σπαράττειν χαί-
ροντες ἐπὶ τὰς ἔριδας καὶ τὰς ἀπορίας καὶ τὰ σοφίσματα χωροῦσιν. οἱ δὲ
πλεῖστοι τοῖς διαλεκτικοῖς ἐνδύντες, εὐθὺς ἐπισιτίζονται πρὸς σοφιστείαν. ἔνιοι
δὲ καὶ χρείας καὶ ἱστορίας ἀναλεγόμενοι, περιίασιν ὥσπερ Ἀνάχαρσις ἔλεγε,
τῷ νομίσματι πρὸς οὐδὲν ἕτερον ἢ τὸ ἀριθμεῖν χρωμένους ὁρᾶν τοὺς Ἕλληνας,
οὕτω τοὺς λόγους παραριθμούμενοι καὶ παραμετροῦντες, ἄλλο δ' οὐδὲν εἰς ὄνησιν
ἀπ' αὐτῶν τιθέμενοι. συμβαίνει δὴ τὸ τοῦ Ἀντιφάνους ὥς τις εἶπε τῶν Πλά-
τωνος συνήθων. ὁ γὰρ Ἀντιφάνης ἔλεγε παίζων ἔν τινι πόλει τὰς φωνὰς εὐ-
θὺς λεγομένας πήγνυσθαι διὰ ψύχος, εἶθ' ὕστερον ἀνιεμένων ἀκούειν θέρους, ἃ
τοῦ χειμῶνος διελέχθησαν. οὕτω δὴ τῶν ἀπὸ Πλάτωνος ἔφη νέοις οὖσι λεχθέν-
των, μόλις ὀψὲ τοὺς πολλοὺς αἰσθάνεσθαι, γέροντας γενομένους. καὶ πρὸς
ὅλην δὲ τοῦτο τὴν φιλοσοφίαν πεπόνθασιν, ἄχρις οὗ κατάστασιν ὑγιεινὴν ἡ κρίσις
λαβοῦσα τοῖς ἦθος ἐμποιεῖν καὶ μέγεθος δυναμένοις, ἄρξηται συμφέρεσθαι
καὶ ζητεῖν λόγους, ὧν κατὰ τὸν Αἴσωπον εἴσω μᾶλλον ἢ ἔξω τὰ ἴχνη τέτραπται.
ὥσπερ γὰρ ὁ Σοφοκλῆς ἔλεγε τὸν Αἰσχύλου διαπεπαιχὼς ὄγκον, εἶτα τὸ πικρὸν
καὶ κατάτεχνον τῆς αὐτοῦ κατασκευῆς, τρίτον ἤδη τὸ τῆς λέξεως μεταβάλ-
λειν εἶδος, ὅπερ ἐστὶν ἠθικώτατον καὶ βέλτιστον, οὕτως οἱ φιλοσοφοῦντες, ὅταν
ἐκ τῶν

ἐκ τῶν πανηγυρικῶν καὶ κατατέχνων, εἰς τὸν ἁπτόμενον ἤθους καὶ πάθους,
λόγον μεταβῶσιν, ἄρχονται τὴν ἀληθῆ προκοπὴν καὶ ἄτυφον προκόπτειν.
ὅρα δὴ μὴ μόνον φιλοσόφων συγγράμματα διεξιὼν καὶ λόγους ἀκούων, εἰ μὴ πλέ-
« ον τοῖς ὀνόμασι μόνον προσέχεις ἢ τοῖς πράγμασι, μὴ δὲ μᾶλλον ἐπιπηδᾷς τοῖς
« τὸ δύσκολον ἔχουσι καὶ περιττὸν, ἢ τοῖς τὸ χρήσιμον καὶ σάρκινον καὶ ὠφέλι-
« μον. ἀλλὰ καὶ ποιήμασιν ὁμιλῶν καὶ ἱστορίᾳ, παραφύλαττε σεαυτὸν, εἰ μηδέν
σε διαφεύγει τῶν πρὸς ἐπανόρθωσιν ἤθους ἢ πάθους κουφισμὸν ἐμμελῶς
λεγομένων. ὥσπερ γὰρ ἄνθεσιν ὁμιλεῖν ὁ Σιμωνίδης φησὶ τὴν μέλιτταν ξαν-
θὸν μέλι μηδομέναν, οἱ δ' ἄλλοι χρόαν αὐτῶν καὶ ὀσμὴν, ἕτερον δ' οὐθὲν ἀγαπῶ-
σιν, οὐδὲ λαμβάνουσιν, οὕτω τῶν ἄλλων ἐν ποιήμασιν ἡδονῆς ἕνεκα καὶ παιδιᾶς
ἀναστρεφομένων, αὐτὸς εὑρίσκων τι καὶ συνάγων σπουδῆς ἄξιον, ἔοικεν ἤδη γνω-
ριστικὸς ἀπὸ συνηθείας καὶ φιλίας τοῦ καλοῦ καὶ οἰκείου γεγονέναι. τοὺς
μὲν γὰρ Πλάτωνι καὶ Ξενοφῶντι χρωμένους διὰ τὴν λέξιν, ἕτερον δὲ μηθὲν, ἀλλ'
ἢ τὸ καθαρὸν τε καὶ ἀττικὸν ὥσπερ δρόσον καὶ χνοῦν ἀποδρεπομένους, τί ἂν ἄλ-
λο φαίης, ἢ φαρμάκων τὸ εὐῶδες καὶ τὸ ἀνθηρὸν ἀγαπᾶν, τὸ δὲ ἀνώδυνον καὶ
καθαρτικὸν, μὴ προσίεσθαι μὴ δὲ γινώσκειν. ἀλλ' οἵ γε μᾶλλον ἔτι προκόπτον-
τες, οὐκ ἀπὸ λόγων μόνον, ἀλλὰ καὶ θεαμάτων καὶ πραγμάτων πάντων, ὠφε-
λεῖσθαι δύνανται καὶ συνάγειν τὸ οἰκεῖον καὶ χρήσιμον, οἷα καὶ περὶ Αἰσχύλου
λέγουσι καὶ περὶ ἄλλων ὁμοίων. Αἰσχύλος μὲν γὰρ Ἰσθμοῖ θεώμενος ἀγῶνα πυκτῶν
ἐπεὶ πληγέντος ἑτέρου τὸ θέατρον ἐξέκραγε, νύξας Ἴωνα τὸν Χῖον, ὁρᾷς ἔφη οἷον
ἡ ἄσκησίς ἐστιν; ὁ πεπληγὼς σιωπᾷ. οἱ δὲ θεώμενοι βοῶσι. ὁ Βρασίδας δὲ μῦν τινα
συλλαβὼν ἐν ἰσχάσι καὶ δηχθεὶς ἀφῆκεν, εἶτα πρὸς ἑαυτὸν, ὦ Ἡράκλεις ἔφη, ὡς
οὐδέν ἐστι μικρὸν οὐδ' ἀσθενὲς ὃ μὴ ζήσεται, τολμῶν ἀμύνεσθαι. Διογένης δὲ τὸν
πίνοντα ταῖς χερσὶ θεασάμενος ἐξέβαλε τῆς πήρας τὸ ποτήριον. οὕτω τὸ
προσέχειν καὶ τετάσθαι τὴν ἄσκησιν, αἰσθητικοὺς καὶ δεκτικοὺς ποιεῖ, τῶν πρὸς
ἀρετὴν φερόντων πανταχόθεν. γίνεται δὲ τοῦτο μᾶλλον, ἂν τοὺς λόγους ταῖς
πράξεσι μιγνύωσι, μὴ μόνον ὡς Θουκυδίδης ἔλεγε μετὰ κινδύνων ποιούμενοι
τὰς μελέτας, ἀλλὰ καὶ πρὸς ἡδονὰς καὶ πρὸς ἔριδας καὶ περὶ κρίσεις καὶ
συνηγορίας καὶ ἀρχὰς, οἷον ἀπόδειξιν αὑτοῖς τῶν δογμάτων διδόντες.
μᾶλλον δὲ τῷ χρῆσθαι δόγματα ποιοῦντες, ὡς τούς γε μανθάνοντας ἔτι καὶ
πραγματευομένους καὶ σκοποῦντας εἰ λαβόντες ἐκ φιλοσοφίας, εὐθὺς,
εἰς ἀγορὰν, ἢ νέων διατριβὴν, ἢ βασιλικὸν συμπόσιον ἐκκυκλήσουσιν. οὐ μᾶλ-
λον οἴεσθαι χρὴ φιλοσοφεῖν, ἢ τοὺς τὰ φάρμακα καὶ τὰ μίγματα πω-
λοῦντας ἰατρεύειν. μᾶλλον δὲ ὅλως οὐθὲν ὁ τοιοῦτος σοφιστὴς διαφέρει τῆς ὁ μη-
ρικῆς ὄρνιθος. ὅτι ἂν λάβοι τοῖς μαθηταῖς ὥσπερ ἀπτῆσι νεοττοῖς διὰ τοῦ στό-
» ματος προσφέρων. κακῶς δέ τε οἱ πέλει αὐτῷ, μηδὲν εἰς ὄνησιν οἰκείαν ἀναδιδόν-
» τι μὴ δὲ καταπέττοντι τῶν λαμβανομένων. ὅθεν ἐπισκοπεῖν ἀναγκαῖον, εἰ χρώμε-
θα τῷ λόγῳ, πρὸς ἑαυτοὺς μὲν δὴ χρηστικῶς, πρὸς ἑτέρους δὲ μὴ δόξης εἰκαίας
ἕνεκα, μὴ δὲ φιλοτιμίας, ἀλλὰ μᾶλλον ἀκοῦσαί τι καὶ διδάξαι. μάλιστα δὲ
εἰ τὸ φιλόνεικον καὶ δύσερι περὶ τὰς ζητήσεις ὑφεῖται, καὶ πεπαύμεθα τοὺς
λόγους ὥσπερ ἱμάντας ἢ σφαίρας ἐπιδούμενοι πρὸς ἀλλήλους, καὶ τῷ πα-
τάξαι καὶ καταβαλεῖν μᾶλλον ἢ τὸ μαθεῖν τι καὶ διδάξαι χαίροντες. ἡ γὰρ ἐν
τούτοις ἐπιείκεια καὶ πραότης, καὶ τὸ μὴ μετ' ἀγῶνος συνίστασθαι μή τε διαλύε-
σθαι μετ' ὀργῆς τὰς κοινολογίας, μὴ δ' οἷον ἐφυβρίζειν ἐλέγξαντας, ἢ χαλε-
παίνειν ἐλεγχθέντας, ἱκανῶς προκόπτοντός ἐστι. ἐδήλωσε δὲ Ἀρίστιππος ἔν
τινι λόγῳ κατασοφισθεὶς ὑπ' ἀνθρώπου τόλμαν ἔχοντος, ἄλλως δὲ μανικοῦ καὶ

αἰσθήσεως, χαίροντα τὸ αὐτὸ ὁρῶν καὶ τετυφωμένον, ἐγὼ μὲν εἶπεν ὁ ἐλεγχθεὶς, ἄπει
μι, σοῦ τὸ ἐλέγξαντος ἥδιον καθευδήσων. ἔστι δὲ καὶ λέγοντας ἑαυτῶν λαμ
βάνειν διάπειραν, εἰ μήτε πολλῶν παρὰ προσδοκίαν συνελθόντων, ὑπὸ δει
λίας ἀναδυώμεθα, μήδ' ἐν ὀλίγοις ἀθυμῶμεν ἀγωνιζόμενοι, μήτε πρὸς δῆμον
ἢ πρὸς ἀρχὴν εἰπεῖν δεήσαν, ἐνδείᾳ τῆς περὶ τὴν λέξιν παρασκευῆς προϊέμεθα τὸν
καιρόν· οἷα περὶ δημοσθένους λέγουσι καὶ ἀλκιβιάδου· καὶ γὰρ οὗτος, τῷ νοῆσαι
πράγματα δεινότατος ὢν, περὶ δὲ τὴν λέξιν ἀθαρσέστερος, ἑαυτὸν διέκρουεν
ἐν τοῖς πράγμασι, καὶ πολλάκις ἐν αὐτῷ τῷ λέγειν ζητῶν καὶ διώκων ὄνομα
καὶ ῥῆμα διαφεῦγον ἐξέπιπτεν. ὅμηρος δὲ, τὸν πρῶτον οὐδ' ἠνέχθη τῶν στίχων
ἄμετρον ἐξενεγκών, τοσοῦτον περιῆν αὐτῷ φρονήματος εἰς τὰ λοιπὰ διὰ τὴν δύ-
ναμιν· οὐκοῦν μᾶλλον εἰκός ἐστιν οἷς πρὸς ἀρετὴν καὶ τὸ καλὸν ἡ ἅμιλλα, τῷ
καιρῷ καὶ τοῖς πράγμασι χρῆσθαι, τῶν δ' ἐπὶ ταῖς λέξεσι θορύβων καὶ κρότων
ἐλάχιστα φροντίζοντας. οὐ μόνον δὲ δεῖ τοὺς λόγους, ἀλλὰ καὶ τὰς πράξεις
ἕκαστον ἐπισκοπεῖν, εἰ τὸ χρειῶδες τοῦ πανηγυρικοῦ μᾶλλον καὶ τὸ πρὸς ἐπίδειξιν αὐ-
ταῖς πλέον ἔνεστι τοῦ πρὸς ἀλήθειαν· εἰ γὰρ ἀληθινὸς ἔρως παιδὸς ἢ γυναικὸς
οὐ ζητεῖ μάρτυρας, ἀλλὰ καρποῦται τὸ ἡδὺ, κἂν κρύφα κατεργάσηται τὸν πό-
θον, ἔτι μᾶλλον εἰκός ἐστι τὸν φιλόκαλον καὶ φιλόσοφον συνόντα διὰ τῶν πράξεων
τῇ ἀρετῇ καὶ χρώμενον, αὐτὸν ἐν ἑαυτῷ σιωπῇ μέγα φρονεῖν, ἐπαινετοῦ καὶ ἀκροα
τοῦ μηδὲν δεόμενον. ὥσπερ γὰρ ὁ καλέσας ἐκεῖνος οἴκοι τὴν θεραπαινίδα, καὶ βοῶν,
θέασαι διονυσία πέπαυμαι τετυφωμένος, οὕτως ὁ ποιήσας τι χάριεν καὶ ἀστεῖ-
ον, εἶτα τοῦτο διηγούμενος καὶ περιφέρων πανταχόσε, δῆλός ἐστιν ἔξω βλέπων
ἔτι καὶ πρὸς δόξαν ἑλκόμενος, οὔπω δὲ τῆς ἀρετῆς γεγονὼς θεατὴς, οὐδ' ὕπαρ,
ἀλλ' ὄναρ αὐτῆς ἐν εἰδώλοις καὶ σκιαῖς ῥεμβόμενος, εἶθ' ὥσπερ ζωγράφημα
προστιθεὶς εἰς θέαν τὸ πεπραγμένον. ἔστιν οὖν τοῦ προκόπτοντος, οὐ μόνον
δόντα τῷ φίλῳ, καὶ γνώριμον εὐεργετήσαντα, μὴ φράσαι πρὸς ἑτέρους, ἀλ
λὰ καὶ ψῆφον ἐν πολλαῖς θέμενον ἀδίκοις δικαίαν, καὶ πρὸς ἔντευξιν αἰσχρὰν
πλουσίου τινὸς ἢ ἄρχοντος ἀπισχυρισάμενον, καὶ δωρεὰς ὑπεριδόντα, καὶ νὴ
δία διψήσαντα νύκτωρ καὶ μὴ πιόντα, ἢ πρὸς φίλημα καλοῦ ἢ καλῆς διαμα
χεσάμενον, ὡς ὁ ἀγησίλαος, ἐν ἑαυτῷ κατασχεῖν καὶ σιωπῆσαι. οὗτος γὰρ αὐ-
τὸς εὐδοκιμῶν παρ' ἑαυτῷ, μὴ καταφρονῶν ἀλλὰ χαίρων καὶ ἀγαπῶν ὡς ἱκα-
νὸς ὢν μάρτυς ἅμα τῶν καλῶν καὶ θεατὴς, δείκνυσι τὸν λόγον ἐντὸς ἤδη στρε-
φόμενον καὶ ῥιζούμενον ἐν ἑαυτῷ, καὶ κατὰ δημόκριτον, αὐτὸν ἐξ ἑαυτοῦ τὰς
τέρψιας ἐθιζόμενον λαμβάνειν. οἱ μὲν οὖν γεωργοὶ, τῶν σταχύων ἥδιον ὁρῶ-
σι τοὺς κεκλιμένους καὶ νεύοντας εἰς γῆν, τοὺς δ' ὑπὸ κουφότητος αἰρομένους
ἄνω, κενοὺς ἡγοῦνται καὶ ἀλαζόνας, οὕτω δὴ καὶ τῶν φιλοσοφεῖν βουλομέ-
νων νέων, οἱ μάλιστα κενοὶ καὶ βάρος οὐκ ἔχοντες, θράσος ἔχουσι καὶ σχῆμα καὶ
βάδισμα καὶ πρόσωπον ὑπεροψίας καὶ ὀλιγωρίας μεστὸν, ἀφειδοῦσι πάν-
των. ἀρχόμενοι δὲ πληροῦσθαι καὶ συλλέγειν καρπὸν ἀπὸ τῶν λόγων, τὸ
σοβαρὸν καὶ φλοιῶδες ἀποτίθενται. καὶ καθάπερ ἀγγείων ὑγρὸν δεχομέ-
νων ὁ κενὸς ἀὴρ ἐκθλιβόμενος ὑπέξεισιν, οὕτως ἀνθρώποις πληρουμένοις τῶν ἀλη-
θινῶν ἀγαθῶν, ἐνδίδωσιν ὁ τῦφος, καὶ γίνεται τὸ οἴημα μαλακώτερον, καὶ παυ-
όμενοι τοῦ διὰ πώγωνα καὶ τρίβωνα φρονεῖν μέγα, τὴν ἄσκησιν μεταφέρουσιν εἰς τὴν ψυ-
χὴν μεταφέρουσι, καὶ τῷ δηκτικῷ καὶ πικρῷ χρῶνται πρὸς ἑαυτοὺς μάλιστα,
τοῖς δ' ἄλλοις πραότερον ἐντυγχάνουσι· τὸ δὲ φιλοσοφίας ὄνομα καὶ τὴν τοῦ
φιλοσοφεῖν δόξαν οὐχ ἁρπάζουσιν αὐτοῖς ὡς πρότερον οὐδὲ προσγράφουσιν,
ἀλλὰ καὶ προσαγορευθεὶς ὑφ' ἑτέρου ταύτῃ τῇ προσηγορίᾳ, φράσειεν ἂν εὐφυ-
ής, νέος

τοῦτον δ' αὖ εὐδοκιμοῦντα παρ' ἑαυτῷ μὴ καταφρονοῦντα ἀλλὰ χαίροντα καὶ ἀγαπῶντα, ὡς ἱκανὸν ὄντα μάρτυρα ἅμα τῶν καλῶν καὶ θεατὴν,

ἠς νέος, ὥστ' εἰπεῖν μειδιάσας καὶ ὑποπλησθεὶς ἐρυθήματος· οὔτι τοι θεός εἰμι,
τί μ' ἀθανάτοισιν ἐΐσκεις. νέας μὲν γὰρ γυναικὸς ὡς αἰσχύλος φησὶν, οὐ λανθά-
νει φλέγων ὀφθαλμὸς, ἥτις ἀνδρὸς ἦ γεγευμένη· νέῳ δ' ἀνδρὶ γευσαμένῳ τῆς προ
κοπῆς ἀληθῶς ἐν φιλοσοφίᾳ, τὰ Σαπφικὰ ταυτὶ παρέπεται. κατὰ μὲν
γλῶσσαν ἔαγε, λεπτὸν δ' αὐτίκα χρῶ πῦρ ὑποδεδρόμακε, καὶ ἀθόρυβον δὲ ὄψιν, καὶ
πρᾶον ὄμμα φθεγγομένου δ' ἀκοῦσαι ποθήσειας. ὡς γὰρ οἱ τελούμενοι κατ' ἀρ
χὰς ἐν θορύβῳ καὶ βοῇ πρὸς ἀλλήλους ὠθούμενοι συνίασι, δρωμένων δὲ καὶ
δεικνυμένων τῶν ἱερῶν, προσέχουσιν ἤδη μετὰ φόβου καὶ σιωπῆς, οὕτω καὶ φι-
λοσοφίας ἐν ἀρχῇ καὶ περὶ θύρας, πολὺν θόρυβον ὄψει καὶ θρασύτητα καὶ
λαλιὰν, ὠθουμένων πρὸς τὴν δόξαν ἐνίων ἀγροίκως τε καὶ βιαίως· ὁ δ' ἐντὸς γε-
νόμενος, καὶ φῶς μέγα ἰδὼν, οἷον ἀνακτόρων ἀνοιγομένων· ἕτερον λαβὼν σχῆμα
καὶ σιωπὴν καὶ θάμβος, ὥσπερ θεῷ τῷ λόγῳ, ταπεινὸς συνέπεται καὶ κε-
κοσμημένος. εἰς δὲ τούτους ἔοικε καὶ τῷ μενεδήμῳ πεπαιγμένον εὖ λέγεσθαι·
καταπλεῖν γὰρ ἔφη τοὺς πολλοὺς ἐπὶ σχολὴν ἀθήναζε, σοφοὺς τὸ πρῶτον, εἶτα
γενέσθαι φιλοσόφους, εἶτα ῥήτορας, τοῦ δὲ χρόνου προϊόντος, ἰδιώτας, ὅσῳ μᾶλλον
ἅπτονται τοῦ λόγου, μᾶλλον τὸ οἴημα καὶ τὸν τῦφον κατατιθεμένους. τῶν
τοίνυν δεομένων ἰατρείας, οἱ μὲν ὀδόντα πονοῦντες ἢ δάκτυλον, αὐτόθι βαδί-
ζουσι πρὸς τοὺς θεραπεύοντας, οἱ δὲ πυρέττοντες, οἴκαδε καλοῦσι καὶ δέονται
βοηθεῖν, οἱ δ' εἰς μελαγχολίαν ἢ φρενῖτιν ἢ παρακοπὴν ἥκοντες, οὐδὲ φοιτῶν-
τας ἐνίοτε πρὸς αὐτοὺς ἀνέχονται, ἀλλ' ἐξελαύνουσιν, ἢ φεύγουσιν ὑπὸ τοῦ
σφόδρα νοσεῖν, μὴ δ' ὅτι νοσοῦσιν αἰσθανόμενοι· οὕτω δὴ καὶ τῶν ἁμαρτανόν-
των, ἀνήκεστοι μέν εἰσιν οἱ πρὸς τοὺς ἐλέγχοντας καὶ νουθετοῦντας, ἐχθρῶς καὶ
ἀγρίως διατιθέμενοι καὶ χαλεπαίνοντες, οἱ δ' ὑπομένοντες καὶ προσιέμενοι,
πραότερον ἔχουσι· τὸ δ' ἑαυτὸν ἁμαρτάνοντα παρέχειν τοῖς ἐλέγχουσι, καὶ
τὸ πάθος λέγειν καὶ τὴν μοχθηρίαν ἀποκαλύπτειν, καὶ μὴ χαίρειν λανθάνον-
τα, μὴ δ' ἀγαπᾶν ἀγνοούμενον, ἀλλ' ὁμολογεῖν καὶ δεῖσθαι τοῦ ἁπτομένου καὶ
νουθετοῦντος, οὐ φαῦλον ἂν εἴη προκοπῆς σημεῖον· ὥσπερ διογένης ἔλεγε, τῷ
σωτηρίας δεομένῳ ζητεῖν προσήκειν ἢ φίλον σπουδαῖον, ἢ διάπυρον ἐχθρὸν,
ὅπως ἐλεγχόμενος ἢ θεραπευόμενος, ἀποφύγῃ τὴν κακίαν. ἄχρι δ' οὗ τις
ἐπιδεικνύμενος ῥύπον ἢ κηλίδα χιτῶνος, ἢ διερρωγὸς ὑπόδημα, καλλωπίζεται
πρὸς τοὺς ἐκτὸς, ἀτυφίᾳ κενῇ διασκώπτων αὐτὸς ἑαυτὸν ὡς μικρὸν ἢ ὡς κυρ
τὸν οἴεται νεανιεύεσθαι, τὰ δ' ἐντὸς αἴσχη τῆς ψυχῆς καὶ τὰ περὶ τὸν βίον ἑλ
κώματα, καὶ φθόνους καὶ κακοηθείας καὶ μικρολογίας καὶ φιληδονίας ὥσ-
περ ἕλκη περιστέλλων καὶ ἀποκρύπτων, οὐδένα θιγεῖν, οὐδὲ προσιδεῖν ἐᾷ δεδι-
ὼς τὸν ἔλεγχον, ὀλίγον αὐτῷ προκοπῆς μέτεστι, μᾶλλον δὲ οὐθέν. ἀλλ' ὁ τού-
τοις ὁμόσε χωρῶν, καὶ μάλιστα μὲν αὐτὸς ἑαυτὸν ἀλγύνειν τε καὶ κακίζειν ἁ-
μαρτάνοντα, δεύτερον δὲ παρέχειν, ἑτέρου νουθετοῦντος, ἐγκαρτεροῦντα καὶ
καθαιρόμενον ὑπὸ τῶν ἐλέγχων δυνάμενος καὶ βουλόμενος, οὗτος ἀποτρι-
βομένῳ καὶ βδελυττομένῳ τὴν μοχθηρίαν ἀληθῶς ἔοικε. δεῖ μὲν γὰρ ἀμέλει καὶ
τὸ δοκεῖν εἶναι πονηρὸν, αἰδεῖσθαι καὶ φεύγειν· ὁ δὲ τὴν οὐσίαν τῆς μοχθηρίας μᾶλλον
ἢ τὴν ἀδοξίαν δυσχεραίνων, οὐ φεύγει τὸ κακῶς ἀκοῦσαι καὶ εἰπεῖν ἐπὶ τῷ βελ-
τίων γενέσθαι. χάριεν γὰρ τὸ τοῦ διογένους πρός τινα νεανίσκον ὀφθέντα
ἐν καπηλείῳ, καταφυγόντα δὲ εἰς τὸ καπηλεῖον, ὅσῳ γὰρ εἶπεν ἐνδοτέρω
φεύγεις, μᾶλλον ἐν τῷ καπηλείῳ γίνῃ· καὶ τῶν φαύλων ἕκαστος ὅσῳ μᾶλ-
λον ἀρνεῖται, τοσούτῳ μᾶλλον ἐνδύεται καὶ καθείργνυσιν ἑαυτὸν εἰς τὴν κα-
κίαν. ἀμέλει τῶν πενομένων οἱ προσποιούμενοι πλουτεῖν, ἔτι μᾶλλον πένον-

ται διὰ τὴν ἀλαζονείαν. ὁ δὲ προκόπτων ἀληθῶς, καὶ τὸν ἱπποκράτην παρά-
δειγμα ποιεῖται, τὸν περὶ τὰς ῥαφὰς ἀγνοηθέν αὐτῷ τῆς κεφαλῆς ἐξαγορεύ-
σαντα καὶ γράψαντα, λογιζόμενος ὅτι δεινόν ἐστιν ἐκεῖνον μὲν ὅπως ἂν ἕτεροι
μὴ τὸ αὐτὸ πάθωσιν αὐτοῦ τὴν ἁμαρτίαν κατειπεῖν. αὐτὸν δέ τινα μέλλοντα
σώζεσθαι, μὴ τολμᾶν ἐλέγχεσθαι μηδ' ὁμολογεῖν τὴν ἀβελτηρίαν καὶ τὴν ἀ-
μαθίαν. καὶ μὴν τά γε βίωνος καὶ πύῤῥωνος, οὐ προκοπῆς ἄν τις, ἀλλὰ μεί-
ζονος ἕξεως σημεῖα θεῖτο καὶ τελειοτέρας. ὁ μὲν γὰρ ἠξίου τοὺς συνήθεις οἴε-
σθαι προκόπτειν, ὅταν τῶν λοιδορούντων οὕτως ἀκούωσιν, ὡς λεγόντων, ὦ ξέ-
νε. ἐπεὶ οὔτε κακῷ, οὔτ' ἄφρονι φωτὶ ἔοικας, τὸ λέγε καὶ μέγα χαῖρε, θεοὶ νύ τοι
ὄλβια δοῖεν. πύῤῥωνα δέ φασι πλέοντα καὶ κινδυνεύοντα χειμῶνι, δελφά-
κιόν τι δεῖξαι χρώμενον ἀσμένως κριθαῖς παρακεχυμέναις, καὶ εἰπεῖν πρὸς
τοὺς ἑταίρους, ὅτι τοιαύτην ἀπάθειαν παρασκευαστέον ἐκ λόγου καὶ φιλοσοφί-
ας, τὸν ὑπὸ τῶν προστυγχανόντων διαταράττεσθαι μὴ βουλόμενον. ὅρα
δὴ καὶ τὸ τοῦ ζήνωνος ὁποῖόν ἐστιν. ἠξίου γὰρ ἀπὸ τῶν ὀνείρων, ἕκαστον ἑαυτοῦ συ-
ναισθάνεσθαι προκόπτοντος. εἰ μήτε ἡδόμενον αἰσχρῷ τινι ἑαυτὸν, μήτε τι προ-
ϊέμενον ἢ πράττοντα τῶν δεινῶν καὶ ἀδίκων ὁρᾷ κατὰ τοὺς ὕπνους, ἀλλ' οἷον
ἐν βυθῷ γαλήνης ἀκλύστου καταφανεῖ, διαλάμπει τῆς ψυχῆς τὸ φανταστικὸν
καὶ παθητικὸν ὑπὸ τοῦ λόγου διακεχυμένον. τοῦτο δὲ πλάτων ὡς ἔοικε
συνιδὼν πρότερον, ἐξεμόρφωσε καὶ διετύπωσε τῆς φύσει τυραννικῆς ψυχῆς
οἷα κατὰ τοὺς ὕπνους δρᾷ τὸ φανταστικὸν καὶ ἄλογον. μητρί τ' ἐπιχειροῦν μί-
γνυσθαι, καὶ περὶ βρώσεις ὁρμᾷ παντοδαπὰς παρανομοῦν, καὶ χρώμενον
ἑαυτοῦ ταῖς ἐπιθυμίαις, οἷον λελυμέναις, ἃς μεθ' ἡμέραν ὁ νόμος αἰσχύνῃ καὶ
φόβῳ καθείργνυσιν. ὥσπερ οὖν τὰ πεπαιδευμένα καλῶς τῶν ὑποζυγίων, οὐ-
δ' ἂν ἀφῇ τὰς ἡνίας ὁ ἄρχων, ἐπιχειρεῖ τρέπεσθαι καὶ ἀπολείπειν τὴν ὁδὸν,
ἀλλ' ὥσπερ εἴθισται πρόεισιν ἐν τάξει διαφυλάττοντα τὴν πορείαν ἄπταιστον, οὕ-
τως οἷς ἂν εὐπειθὲς ἤδη τὸ ἄλογον καὶ πρᾶον ᾖ, γεγονὸς ὑπὸ τοῦ λόγου καὶ κε-
κολασμένον, οὔτε καθ' ὕπνους, οὔθ' ὑπὸ νόσων ἔτι ῥᾳδίως ἐξυβρίζειν ἢ παρανο-
μεῖν ἐθέλει ταῖς ἐπιθυμίαις, ἀλλὰ τηρεῖ καὶ διαμνημονεύει τὸν ἐθισμὸν, ἰσχὺν
ἐμποιοῦντα τῇ προσοχῇ καὶ τόνον. εἰ γὰρ καὶ τὸ σῶμα τῇ ἀσκήσει τῆς ἀπαθείας
ὑπήκοον ἑαυτῷ, καὶ τὰ μέρη παρέχειν πέφυκεν, ὡς ὀφθαλμούς τε πρὸς οἶκ-
τον ἴσχεσθαι δακρύων, καὶ καρδίαν πηδήματος, ἐν φόβοις, αἰδοῖά τε σωφρόνως
ἔχειν ἀτρέμα καὶ μηδὲν ἐνοχλεῖν, παρὰ καλοῖς ἢ καλαῖς, πῶς οὐ μᾶλλον εἰκός ἐστι
τῆς ψυχῆς τοῦ παθητικοῦ τὴν ἄσκησιν ἐπιλαμβανομένην, οἷον ἐκλεαίνειν καὶ συ-
σχηματίζειν τὰ φαντάσματα καὶ τὰ κινήματα μέχρι τῶν ὕπνων πιέζουσαν.
οἷα λέγεται περὶ τοῦ φιλοσόφου στίλπωνος. ὡς ἰδεῖν δόξαι κατὰ τοὺς ὕπνους,
ὀργιζόμενον αὐτῷ τὸν ποσειδῶνα μὴ θύσαντι βοῦν ὥσπερ ἔθος ἦν τοῖς ἱερεῦσιν,
αὐτὸν δὲ μηθὲν ἐκπλαγέντα, τί λέγεις φάναι ὦ πόσειδον, ὥσπερ παῖς ἥκεις
μεμψιμοιρῶν, ὅτι μὴ δανεισάμενος ἐνέπλησα κνίσσης τὴν πόλιν, ἀλλ' ἀφ' ὧν
εἶχον ἔθυσά σοι μετρίως οἴκοθεν; καὶ μέντοι δοκεῖν αὐτῷ τὸν ποσειδῶνα μει-
διάσαντα τὴν δεξιὰν προτεῖναι καὶ εἰπεῖν, ὡς ἀφύων φορὰν μεγαρεῦσι ποιήσει
δι' ἐκεῖνον. οἷς οὖν οὕτως εὐόνειρα καὶ φανὰ καὶ ἄλυπα, φοβερὸν δὲ μηθὲν
ἢ τραχὺ μηδὲ κακόηθες ἢ σκολιὸν ἐκ τῶν ὕπνων ἐπαναφέρεται, ταῦτα τῆς προ-
κοπῆς ἀπαυγασμούς τινας εἶναι λέγουσιν. οἴστρους δὲ καὶ πτοίας καὶ φυγὰς
ἀγεννεῖς καὶ παιδικὰς περιχαρείας καὶ ὀλοφύρσεις ἐνυπνίων οἰκτρῶν καὶ ἀλ-
λοκότων, ῥαχίαις τε πισὶ καὶ σάλοις ἐοικέναι, ψυχῆς οὔπω τὸ κοσμοῦν ἐχούσης
οἰκεῖον, ἀλλὰ πλαττομένης ἔτι δόξαις καὶ νόμοις, ὧν ἀποτάτω γινομένη κατὰ

τοὺς ὕπνους, αὖθις ἀναλύεται καὶ ἀνελίττεται τοῖς πάθεσι. ταῦτα μὲν οὖν
συνεπισκόπει καὶ αὐτὸς, εἴτε προκοπῆς ἐστιν, εἴτε τινὸς ἕξεως ἤδη βεβαιότητα
καὶ κράτος ἐχούσης ὑπὸ τοῖς λόγοις ἀσάλευτον. ἐπεὶ δὲ ἡ παντελὴς ἀπά-
θεια μέγα καὶ θεῖον, ἐνδόσει δέ τινι καὶ πραότητι παθῶν ὡς λέγομεν προκοπὴ,
δεῖ καὶ πρὸς αὐτὰ καὶ πρὸς ἄλληλα τὰ πάθη σκοποῦντα κρίνειν τὰς δια-
φοράς, πρὸς αὐτὰ μὲν, εἰ νῦν μὲν ἐπιθυμίαις τε μαλακωτέραις χρώμεθα τῶν
πάλαι, καὶ φόβοις καὶ ὀργαῖς, ταχὺ τῷ λόγῳ τὸ ἐξάπτον αὐτῶν καὶ φλεγμαῖ-
νον ἀφαιροῦντες. πρὸς ἄλληλα δὲ, εἰ μᾶλλον αἰσχυνόμεθα νῦν ἢ φοβούμεθα, καὶ
ζηλοῦμεν καὶ οὐ φθονοῦμεν, καὶ οὐ φιλοδοξοῦμεν ἢ φιλοχρηματοῦμεν. καὶ ὅλως
εἰ δωρίοις μᾶλλον ἢ λυδίοις ὥσπερ οἱ μελῳδοῦντες ὑπερβολαῖς ἁμαρτάνο-
μεν, σκληρότεροι περὶ τὴν δίαιταν ὄντες ἢ μαλακώτεροι, καὶ βραδύτεροι περὶ
τὰς πράξεις, ἢ προπετέστεροι, καὶ θαυμασταὶ παρὰ δεῖ λόγων καὶ ἀνδρῶν, ἢ κατα-
φρονηταί. καθάπερ γὰρ αἱ τῶν νόσων εἰς τὰ μὴ κύρια μέρη τοῦ σώματος ἐκ-
τροπαὶ, σημεῖον οὐ φαῦλόν εἰσιν, οὕτως ἡ κακία τῶν προκοπτόντων ἔοικεν εἰς
ἐπιεικέστερα πάθη μεθισταμένη, κατὰ μικρὸν ἐξαλείφεσθαι. φρύνιν μὲν γὰρ
οἱ ἔφοροι ταῖς ἑπτὰ χορδαῖς δύο παρεντεινάμενον ἠρώτων, πότερον τὰς ἄνω-
θεν ἢ τὰς κάτωθεν ἐκτεμεῖν αὐτοῖς ἐθέλει παρασχεῖν. ἡμῶν δὲ δεῖται μέν πως
τὰ ἄνω καὶ τὰ κάτω περικοπῆς, εἰ μέλλοιμεν εἰς τὸ μέσον καθίστασθαι καὶ μέ-
τριον. ἡ δὲ προκοπὴ, τὰς ὑπερβολὰς πρότερον καὶ τὰς ὀξύτητας τῶν πα-
θῶν ἀνίησι. πρὸς ἃ περ οἱ μαργῶντες ἐντονώτατοι κατὰ τὸν σοφοκλέα. καὶ
μὴν τὸ ὅλως τὰς κρίσεις εἰς τὰ ἔργα μετάγειν, καὶ τοὺς λόγους, μὴ λόγους ἐᾶν ἀλλὰ
πράξεις ποιεῖν, μάλιστα τῆς προκοπῆς ἴδιόν ἐστιν εἴρηται. δήλωμα δὲ αὐτοῦ πρῶτα
μὲν ὁ πρὸς τὰ ἐπαινούμενα ζῆλος, καὶ τὸ ποιεῖν εἶναι προθύμους ἃ θαυμά-
ζομεν, ἃ δὲ ψέγομεν, μὴ ἐθέλειν μηδὲ ὑπομένειν. ἐπεὶ πάντας γε ἀθηναίους εἰ-
κὸς ἦν ἐπαινεῖν τὴν μιλτιάδου τόλμαν καὶ ἀνδρίαν. θεμιστοκλῆς δ' εἰπὼν
ὡς οὐκ ἐᾷ καθεύδειν αὐτὸν ἀλλ' ἐκ τῶν ὕπνων ἀνίστησιν τὸ μιλτιάδου τρόπαιον,
οὐκ ἐπαινῶν μόνον οὐδὲ θαυμάζων, ἀλλὰ καὶ ζηλῶν καὶ μιμούμενος, εὐθὺς ἦν
καταφανής. σμικρὸν οὖν οἴεσθαι χρὴ προκόπτειν, ἄχρις οὗ τὸ θαυμάζειν τοὺς
κατορθοῦντας ἀργὸν ἔχομεν καὶ ἀκίνητον ἐξ ἑαυτοῦ πρὸς μίμησιν. οὔτε γὰρ
ἔρως σώματος ἐνεργὸς, εἰ μὴ μετὰ ζηλοτυπίας ἔνεστιν, οὔτ' ἔπαινος ἀρετῆς διά-
πυρος καὶ δραστήριος, ὁ μὴ νύττων μηδὲ κεντρίζων, μηδὲ ποιῶν ἀντὶ φθόνου ζῆ-
λον ὑπὸ τοῖς καλοῖς, ἀναπληρώσεως ὀρεγόμενον. οὐ γὰρ ὑπὸ τῶν λόγων δεῖ
τοῦ φιλοσοφοῦντος μόνον, ὥσπερ ἀλκιβιάδης ἔλεγε, τὴν καρδίαν στρέφεσθαι,
καὶ δάκρυα ἐμπίπτειν, ἀλλ' ὅ γε προκόπτων ἀληθῶς, μᾶλλον ἔργοις καὶ πράξε-
σιν ἀνδρὸς ἀγαθοῦ καὶ τελείου παραβάλλων ἑαυτὸν, ἅμα τῷ συνειδότι τοῦ ἐνδε-
οῦς δακνόμενος, καὶ δι' ἐλπίδα καὶ πόθον χαίρων, καὶ μεστὸς ὢν ὁρμῆς οὐκ ἠρε-
μούσης, οἷός τ' ἐστὶ κατὰ τὸν σιμωνίδην. ἄθηλος ἵππῳ πῶλος ὡς ἅμα τρέχειν, τῷ
ἀγαθῷ μονονουχὶ συμφῦναι γλιχόμενος. καὶ γὰρ τοῦτο, προκοπῆς ἀληθοῦς ἴ-
διόν ἐστι πάθος, ὧν ζηλοῦμεν τὰ ἔργα, τὴν διάθεσιν φιλεῖν καὶ ἀγαπᾶν, καὶ μετ'
εὐνοίας ἀεὶ τιμὴν ἀποδιδούσης εὔφημον ἐξομοιοῦσθαι. φιλονεικία δὲ ὅτῳ καὶ φθό-
νος ἐνέστακται πρὸς τοὺς κρείττονας, οὗτος ἴστω, δόξης τινὸς ἢ δυνάμεως ζηλο-
τυπίᾳ κνιζόμενος, ἀρετὴν δὲ μὴ τιμῶν μηδὲ θαυμάζων. ὅταν οὖν οὕτως ἀρ-
χώμεθα τῶν ἀγαθῶν ἐρᾶν, ὥστε μὴ μόνον κατὰ πλάτωνα, μακάριον μὲν αὐ-
τὸν ἡγεῖσθαι τὸν σώφρονα, μακάριον δὲ τὸν ξυνήκοον τῶν ἐκ τοῦ σωφρονοῦντος στόμα-
τος ἰόντων λόγων, ἀλλὰ καὶ σχῆμα καὶ βάδισμα καὶ βλέμμα καὶ μειδίαμα θαυ-
μάζοντες αὐτοῦ καὶ ἀγαπῶντες, οἷον συναρμόττειν καὶ συγκολλᾶν πρόθυμοι

ὁρῶμεν ἑαυτούς, ὅτε χρὴ νομίζειν, ἀληθῶς προκόπτειν. ἔτι δὲ μᾶλλον ἂν μὴ μόνον εὐημεροῦντας τοὺς ἀγαθοὺς θαυμάζωμεν, ἀλλ' ὥσπερ οἱ ἐρῶντες καὶ τὰς ψελλότητας ἀσπάζονται τῶν ἐν ὥρᾳ καὶ ὠχρότητας· τῆς δὲ Πανθείας καὶ δάκρυα καὶ κατήφεια πενθούσης ἄρα καὶ κεκακωμένης ἐξέπληξε τὸν Ἀράσπην, οὕτως ἡμεῖς μήτε φυγὴν Ἀριστείδου, μήτε εἱργμὸν Ἀναξαγόρου, μήτε πενίαν Σωκράτους, ἢ καταδίκην Φωκίωνος ὑποδειμαίνωμεν, ἀλλὰ καὶ μετὰ τούτων ἀξιέραστον ἡγούμενοι τὴν ἀρετήν, ὁμόσε χωρῶμεν αὐτῇ, τὸ Εὐριπίδειον ἐφ' ἑκάστῳ φθεγγόμενοι, φεῦ τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν. τὸν γὰρ ἄχρι τούτου καὶ τὰ φαινόμενα δεινὰ μὴ δυσχεραίνειν, ἀλλὰ θαυμάζειν καὶ ζηλοῦν ἐνθουσιασμόν, οὐκ ἂν ἔτι γε τῶν καλῶν οὐδεὶς ἀποτρέψειεν. ἤδη δὲ τοῖς τοιούτοις παρέπεται, τοῖς βαδίζουσιν ἐπὶ πράξεις τινὰς ἢ λαβοῦσιν ἀρχὴν ἢ χρησαμένοις τύχῃ, τίθεσθαι πρὸ ὀφθαλμῶν τοὺς ὄντας ἀγαθοὺς ἢ γεγενημένους, καὶ διανοεῖσθαι, τί δ' ἂν ἔπραξεν ἐν τούτῳ Πλάτων, τί δ' ἂν εἶπεν Ἐπαμεινώνδας, ποῖος δ' ἂν ὤφθη Λυκοῦργος ἢ Ἀγησίλαος, οἷον τι πρὸς ἔσοπτρα κοσμοῦντας ἑαυτοὺς ἢ μεταρρυθμίζοντας, ἢ φωνῆς ἀγεννεστέρας αὑτῶν ἐπιλαμβανομένους, ἢ πρός τι πάθος ἀντιβαίνοντας. οἱ μὲν γὰρ ἐκμεμαθηκότες τὰ τῶν Ἰδαίων ὀνόματα δακτύλων, χρῶνται πρὸς τοὺς φόβους αὐτοῖς ὡς ἀλεξικάκοις, ἀτρέμα καταλέγοντες ἕκαστον· ἡ δὲ τῶν ἀγαθῶν ἀνδρῶν ἐπίνοια καὶ μνήμη, ταχὺ παρισταμένη καὶ διαλαμβάνουσα τοὺς προκόπτοντας ἐν πᾶσι πάθεσι καὶ πάσαις ἀπορίαις, ὀρθοὺς διαφυλάσσει καὶ ἀπτῶτας. ὅθεν ἔστω σοι καὶ τοῦτο σημεῖον αὐτὸ τοῦ πρὸς ἀρετὴν ἐπιδιδόντος. πρὸς δὲ τούτῳ, τὸ μηκέτι ταράττεσθαι σφόδρα, μηδ' ἐρυθριᾶν, μηδὲ κατακρύπτειν, ἢ μετασχηματίζειν τι τῶν καθ' αὑτόν, ἀνδρὸς ἐνδόξου καὶ σώφρονος ἐξαπίνης ἐπιφανέντος· ἀλλὰ θαρρεῖν ὁμόσε χωροῦντα τοῖς τοιούτοις, ἔχει τινὰ τοῦ συνειδότος ἐκβεβαίωσιν. Ἀλέξανδρος μὲν γὰρ ὡς ἔοικεν ἄγγελον ἰδὼν περιχαρῆ προσθέοντα, καὶ τὴν δεξιὰν προτείνοντα, τί μοι μέλλεις εἰπεῖν ὦ τᾶν ἀπαγγέλλειν, ἢ ὅτι Ὅμηρος ἀναβεβίωκεν, οὐδενὸς αὐτῷ τὰ πράγματα πλὴν ὑστεροφημίας ἐνδεῖν οἰόμενος. νέῳ δὲ ἀνδρὶ βελτιουμένῳ τὸ ἦθος, οὐδενὸς ἔρως ἐμφύεται μᾶλλον, ἢ καλοῖς καὶ ἀγαθοῖς ἀνδράσιν ἐγκαλλωπίσασθαι, καὶ παρασχεῖν οἰκίαν αὐτοῦ καταφανῆ, τράπεζαν, γυναῖκα, παιδία, σπουδήν, λόγους λεγομένους ἢ γραφομένους, ὥστε καὶ δάκνεσθαι πατρὸς τεθνεῶτος ἢ καθηγητοῦ μεμνημένον, οὐκ ἐπιδόντος αὐτὸν ἐν τοιαύτῃ διαθέσει, καὶ μηδὲν ἂν οὕτως εὔξασθαι παρὰ θεῶν, ὡς ἐκείνους ἀναβιώσαντας αὐτῷ γενέσθαι τοῦ βίου καὶ τῶν πράξεων θεατάς. ὥσπερ αὖ τοὐναντίον οἱ καταμελήσαντες ἑαυτῶν καὶ διαφθαρέντες, οὐδ' ἐν ὕπνῳ τοὺς προσήκοντας ἀτρέμως καὶ ἀδεῶς ὁρῶσιν. ἔτι τοίνυν πρόσλαβε τοῖς εἰρημένοις σημεῖον οὐ μικρὸν εἰ βούλει, τὸ μηδὲν ἔτι μικρὸν ἡγεῖσθαι τῶν ἁμαρτανομένων, ἀλλ' εὐλαβεῖσθαι καὶ προσέχειν ἅπασιν. ὥσπερ γὰρ οἱ τὸ πλουτήσειν ἀπεγνωκότες ἐν οὐδενὶ τίθενται τὰ μικρὰ δαπανήματα, μηδὲν οἰόμενοι ποιεῖν μέγα τὸ μικρῷ τινὶ προστιθέμενον, ἡ δ' ἐλπὶς ἐγγυτέρω τοῦ τέλους βαδίζουσα τῷ πλούτῳ συναύξει τὴν φιλοπλουτίαν, οὕτως ἐν τοῖς πρὸς ἀρετὴν πράγμασιν ὁ μὴ πολλὰ συγχωρῶν, τῷ τί γὰρ τὸ παρὰ τοῦτο, καὶ νῦν μὲν οὕτως, αὖθις δὲ βέλτιον, ἀλλὰ προσέχων ἑκάστῳ, κἂν εἰς τὸ μικρότατον ἡ κακία ποτὲ τῶν ἁμαρτημάτων ἐνδῦσα συγγνώμην πορίζηται, δυσανασχετῶν καὶ δυσκολαίνων, δῆλός ἐστιν ἤδη τι καθαρὸν κτώμενος ἑαυτῷ, καὶ οὐδ' ὁπωσοῦν ἀξιῶν ῥυπαίνεσθαι. τὸ δὲ μηδὲν οἴεσθαι κατ' Αἰσχύλον μέγα μηδ' ἔχειν, εὐχερεῖς πρὸς τὰ μικρὰ ποιεῖ καὶ ὀλιγώρους. καὶ γὰρ αἱμασιάν τινα καὶ θριγγὸν οἰκοδομοῦ-

σιν, οὐ διαφέρει ξύλον τὸ τυχὸν ἢ λίθον ἐπιβαλεῖν χυδαῖον, ἢ στήλην ὑποθεῖναι παραπεσοῦσαν ἀπὸ μνήματος, οἷα ποιοῦσιν οἱ φαῦλοι, πᾶσαν ἐργασίαν καὶ πρᾶξιν ὡς ἔτυχε συμφοροῦντες εἰς ταὐτὸ καὶ σωρεύοντες· ἀλλ' οἵ γε προκόπτοντες, οἷς ἤδη καθάπερ ἱεροῦ τινος οἰκοδομήματος καὶ βασιλικοῦ τοῦ βίου κεκρότηται χρυσέα κρηπίς, οὐδὲν εἰκῇ προσίενται τῶν γινομένων, ἀλλ' οἷον ἀπὸ στάθμης τοῦ λόγου προσάγουσι καὶ προσαρμόττουσιν ἕκαστον, ὑπὲρ οὗ τὸν Πολύκλειτον οἰόμενοι λέγειν, ὡς ἔστι χαλεπώτατον αὐτῶν τὸ ἔργον, οἷς ἂν εἰς ὄνυχα ὁ πηλὸς ἀφίκηται.

ΠΩΣ ΑΝ ΤΙΣ ΥΠ' ΕΧΘΡΩΝ ΩΦΕΛΟΙΤΟ.

ὁ

ρῶ μὲν ὅτι τὸν πρᾳότατον ὦ Κορνήλιε Ποῦλχερ ἄτερ πολιτείας ᾕρησαι τρόπον ἐν ᾧ μάλιστα τοῖς κοινοῖς ὠφέλιμος ὤν, ἀλυπότατον ἰδίᾳ τοῖς ἐντυγχάνουσι παρέχεις σεαυτόν. ἐπεὶ δὲ χώραν μὲν ἄθηρον ὥσπερ ἱστοροῦσι τὴν Κρήτην εὑρεῖν ἔστι, πολιτεία δὲ μήτε φθόνον ἐνηνοχυῖα, μήτε ζῆλον ἢ φιλονεικίαν, ἔχθρας γονιμώτατα πάθη, μέχρι νῦν οὐ γέγονεν· ἀλλ' εἰ μηδὲν ἄλλο, ταῖς ἔχθραις αἱ φιλίαι συμπλέκουσιν ἡμᾶς, ὃ καὶ Χίλων ὁ σοφὸς νοήσας τὸν εἰπόντα μηδένα ἔχειν ἐχθρόν, ἠρώτησεν εἰ μηδὲ φίλον ἔχει· δοκεῖ μοι τά τε ἄλλα περὶ ἐχθρῶν τῷ πολιτικῷ διεσκέφθαι προσήκειν, καὶ τοῦ Ξενοφῶντος ἀκηκοέναι μὴ παρέργως εἰπόντος, ὅτι τοῦ νοῦν ἔχοντός ἐστι, καὶ ἀπὸ τῶν ἐχθρῶν ὠφελεῖσθαι. ἅπερ οὖν εἰς τοῦτο πρώην εἰπεῖν μοι παρέστη, συναγαγὼν ὁμοῦ τοῖς αὐτοῖς ὀνόμασιν ἀπέσταλκά σοι, φεισάμενος ὡς ἐνῆν μάλιστα τῶν ἐν τοῖς Πολιτικοῖς παραγγέλμασι γεγραμμένων· ἐπεὶ κἀκεῖνο τὸ βιβλίον, ὁρῶ σε πρόχειρον ἔχοντα πολλάκις. ἐξήρκει τοῖς παλαιοῖς ἀπὸ τῶν ἀλλοφύλων καὶ ἀλλοτρίων ζώων μὴ ἀδικεῖσθαι, καὶ τοῦτο τῶν πρὸς τὰ θηρία τέλος ἦν ἀγώνων ἐκείνοις· οἱ δ' ὕστερον ἤδη χρῆσθαι μαθόντες αὐτοῖς, καὶ ὠφελοῦνται σαρξὶ τρεφόμενοι, καὶ θριξὶν ἀμφιεννύμενοι, καὶ χολαῖς καὶ πιτύαις ἰατρευόμενοι, καὶ δέρμασιν ἐξοπλίζοντες αὐτούς· ὥστε ἄξιον εἶναι δεδιέναι μὴ τῶν θηρίων ἐπιλιπόντων τῷ ἀνθρώπῳ, θηριώδης ὁ βίος αὐτοῦ γένηται, καὶ ἄπορος, καὶ ἀνήμερος. ἐπεὶ τοίνυν τοῖς μὲν ἄλλοις ἱκανόν ἐστι τὸ μὴ πάσχειν ὑπὸ τῶν ἐχθρῶν κακῶς· τοὺς δὲ νοῦν ἔχοντας ὁ Ξενοφῶν καὶ ἀπὸ τῶν διαφερομένων ὠφελεῖσθαί φησιν· ἀπιστεῖν μὲν οὐ χρή, ζητεῖν δὲ μέθοδον καὶ τέχνην, δι' ἧς τοῦτο περιέσται τὸ καλόν, οἷς χωρὶς ἐχθροῦ ζῆν ἀδύνατόν ἐστιν. οὐ δύναται πᾶν ἐξημερῶσαι δένδρον ὁ γεωργός, οὐδὲ πᾶν τιθασεῦσαι θηρίον ὁ κυνηγός· ἐζήτησαν οὖν καὶ καθ' ἑτέρας χρείας, ὁ μὲν ἐκ τῶν ἀκάρπων, ὁ δὲ ἀπὸ τῶν ἀγρίων, ὠφελεῖσθαι. τῆς θαλάττης τὸ ὕδωρ ἄποτόν ἐστι καὶ πονηρόν, ἀλλ' ἰχθῦς τρέφει, καὶ πόμπιμόν ἐστι πάντῃ, καὶ πορεύσιμον ὄχημα τοῖς κομιζομένοις. τοῦ δὲ Σατύρου, τὸ πῦρ ὡς πρῶτον ὤφθη, βουλομένου φιλῆσαι καὶ περιβαλεῖν· ὁ Προμηθεύς, τράγος γένειον ἆρα πενθήσεις σύ γε, καίει τὸν ἁψάμενον· ἀλλὰ φῶς παρέχει καὶ θερμότητα, καὶ τέχνης ἁπάσης ὄργανόν ἐστι τοῖς χρῆσθαι μαθοῦσι. σκόπει δὴ καὶ τὸν ἐχθρὸν εἰ βλαβερὸς ὢν τἄλλα καὶ δυσμεταχείριστος, ἁμωσγέπως ἁφὴν ἐνδίδωσιν αὑτοῦ καὶ χρῆσιν οἰκείαν, καὶ ὠφέλιμός ἐστι· καὶ τῶν πραγμάτων ἄφιλα πολλὰ καὶ ἀπεχθῆ καὶ ἀντίπαλα τοῖς ἐντυγχάνουσιν· ἀλλ' ὁρᾷς ὅτι καὶ νόσοις ἔνιοι σώματος, εἰς ἀπραγμοσύνην ἐχρήσαντο, καὶ πόνοι πολλοῖς προσπεσόντες ἔρρωσαν καὶ ἤσκησαν. ἔνιοι δὲ καὶ πατρίδος στέρησιν καὶ χρημάτων ἀποβολήν, ἐφόδιον σχο-

λῆς ἐποιήσαντο καὶ φιλοσοφίας, ὡς Διογένης καὶ Κράτης. Ζήνων δὲ τῆς ναυ-
κληρίας αὐτῷ συντριβείσης, πυθόμενος εἶπεν· εὖγε ὦ τύχη ποιεῖς, εἰς τὸν
τρίβωνα συνελαύνουσα ἡμᾶς. ὥσπερ γὰρ τὰ ῥωμαλέα τοῖς στομάχοις καὶ
ὑγιέστατα τῶν ζώων, ὄφεις ἐσθίοντα καταπέττει καὶ σκορπίους, ἔστι δ' ἃ καὶ
λίθοις καὶ ὀστράκοις τρέφεται, μεταβάλλουσι δὲ δι' εὐτονίαν καὶ θερμότητα
πνεύματος· οἱ δὲ σικχοὶ καὶ νοσώδεις ἄρτον καὶ οἶνον προσφερόμενοι ναυτιῶσιν,
οὕτως οἱ μὲν ἀνόητοι καὶ τὰς φιλίας διαφθείρουσιν, οἱ δὲ φρόνιμοι καὶ ταῖς ἔ-
χθραις ἐμμελῶς χρῆσθαι δύνανται. πρῶτον μὲν οὖν δοκεῖ μοι τῆς ἔχθρας
τὸ βλαβερώτατον, ὠφελιμώτατον ἂν γενέσθαι τοῖς προσέχουσι. τί δὲ τοῦτό
ἐστιν; ἐφεδρεύει σου τοῖς πράγμασιν ἐγρηγορὼς ὁ ἐχθρὸς ἀεί, καὶ λαβὴν ζη-
τῶν πανταχόθεν περιοδεύει τὸν βίον, οὐ διὰ δρυὸς μόνον ὁρῶν ὡς ὁ Λυγκεύς,
οὐδὲ διὰ λίθων καὶ ὀστράκων, ἀλλὰ καὶ διὰ φίλου, καὶ οἰκέτου, καὶ διὰ συνή-
θους παντός· ὡς ἀνυστόν ἐστι φωρῶν τὰ πραττόμενα καὶ τὰ βουλευόμενα διορύτ-
των καὶ διερευνώμενος. οἱ μὲν γὰρ φίλοι καὶ νοσοῦντες ἡμᾶς πολλάκις καὶ
ἀποθνήσκοντες λανθάνουσι, μέλλοντας καὶ ὀλιγωροῦντας· τῶν δ' ἐχθρῶν, μο-
νονουχὶ καὶ τοὺς ὀνείρους πολυπραγμονοῦμεν· νόσοι δὲ καὶ δανεισμοὶ καὶ δια-
φοραὶ πρὸς γυναῖκας, αὐτοὺς ἐκείνους μᾶλλον ἢ τὸν ἐχθρὸν λανθάνουσι· μάλι-
στα δὲ τῶν ἁμαρτιῶν ἔχεται, καὶ ταύτας ἐξιχνεύει. καὶ καθάπερ οἱ γῦπες
ἐπὶ τὰς ὀσμὰς τῶν διεφθορότων σωμάτων φέρονται, τῶν δὲ καθαρῶν καὶ ὑγι-
αινόντων αἴσθησιν οὐκ ἔχουσιν, οὕτω τὰ νοσοῦντα τοῦ βίου καὶ φαῦλα καὶ πε-
πονθότα κινεῖ τὸν ἐχθρόν, καὶ πρὸς ταῦτα οἱ μισοῦντες ἄττουσι, καὶ τούτων
ἅπτονται καὶ σπαράττουσι. τοῦτ' οὖν ὠφέλιμόν ἐστι, πάνυ μὲν οὖν εὐλαβού-
μενον ζῆν καὶ προσέχειν ἑαυτῷ, καὶ μήτε πράττειν μηδὲν ὀλιγώρως καὶ ἀπερι-
σκέπτως, μήτε λέγειν, ἀλλ' ἀεὶ διαφυλάττειν ὥσπερ ἐν ἀκριβεῖ διαίτῃ τὸν βί-
ον ἀνεπίληπτον. ἡ γὰρ οὕτω συστέλλουσα τὰ πάθη καὶ συνέχουσα τὸν λογισμὸν
εὐλάβεια, μελέτην ἐμποιεῖ καὶ προαίρεσιν τοῦ ζῆν ἐπιεικῶς καὶ ἀνεγκλήτως.
καθάπερ γὰρ αἱ πολέμοις ἀστυγειτονικοῖς καὶ στρατείαις ἐνδελεχέσι σωφρονι-
ζόμεναι πόλεις, εὐνομίαν καὶ πολιτείαν ὑγιαίνουσαν ἠγάπησαν, οὕτως οἱ δι' ἔχ-
θρας τινὰς ἀναγκασθέντες ἐπινήφειν τῷ βίῳ καὶ φυλάττεσθαι τὸ ῥᾳθυμεῖν καὶ
καταφρονεῖν, καὶ μετ' εὐχαριστίας ἕκαστα πράττειν, λανθάνουσιν εἰς τὸ ἀναμάρ-
τητον ὑπὸ τῆς συνηθείας ἀγόμενοι, καὶ κατακοσμούμενοι τὸν τρόπον, ἂν καὶ
μικρὸν ὁ λόγος συνεπιλαμβάνηται. τὸ γὰρ ἦ κεν γηθήσαι Πρίαμος Πρια-
μοιό τε παῖδες, οἷς ἐστιν ἀεὶ πρόχειρον, ἐπιστρέφει καὶ διατρέπει καὶ ἀφίστησι τῶν
τοιούτων, ἐφ' οἷς οἱ ἐχθροὶ χαίρουσι καὶ καταγελῶσι. καὶ μὴν τοὺς περὶ τὸν
Διόνυσον τεχνίτας ὁρῶμεν ἐκλελυμένους καὶ ἀπροθύμους, καὶ οὐκ ἀκριβῶς
πολλάκις ἀγωνιζομένους ἐν τοῖς θεάτροις ἐφ' ἑαυτῶν, ὅταν δὲ ἅμιλλα καὶ ἀγὼν
γένηται πρὸς ἑτέρους, οὐ μόνον αὐτούς, ἀλλὰ καὶ τὰ ὄργανα μᾶλλον συνεπι-
στρέφουσι, χορδολογοῦντες καὶ ἀκριβέστερον ἁρμοζόμενοι καὶ καταυλοῦντες·
ὅστις οὖν οἶδεν ἀνταγωνιστὴν βίου καὶ δόξης τὸν ἐχθρὸν ὄντα, προσέχει μᾶλλον
αὑτῷ, καὶ τὰ πράγματα περισκοπεῖ, καὶ διαρμόζεται τὸν βίον. ἐπεὶ καὶ
τοῦτο τῆς κακίας ἴδιόν ἐστι, τὸ τοὺς ἐχθροὺς αἰσχύνεσθαι μᾶλλον ἢ τοὺς φίλους,
ἐφ' οἷς ἐξαμαρτάνομεν. ὅθεν ὁ Νασικᾶς οἰομένων τινῶν καὶ λεγόντων ἐν ἀσφα-
λεῖ γεγονέναι τὰ Ῥωμαίων πράγματα, Καρχηδονίων μὲν ἀνῃρημένων, Ἀχαιῶν
δὲ δεδουλομένων, νῦν μὲν οὖν εἶπεν ἐπισφαλῶς ἔχομεν μήτε οὓς φοβηθῶμεν
μήτε οὓς αἰσχυνθῶμεν, ἑαυτοῖς ἀπολελοιπότες. ἔτι τοίνυν πρόσλαβε τὴν Διο-
γένους ἀπόφασιν, φιλόσοφον σφόδρα καὶ πολιτικὴν οὖσαν· πῶς ἀμυνοῦμαι τὸν

ἐχθρόν; αὐτὸς καλὸς κἀγαθὸς γενόμενος. ἵππους ἐχθρῶν ὁρῶντες εὐδοκιμοῦν-
τας, ἀνιῶνται, κύνας ἐπαινουμένους, ἂν χωρίον ἐκπεπονημένον ἴδωσιν, ἂν εὐ-
θαλοῦντα κῆπον, ἐπιστένουσι. τί οὖν οἴει, σεαυτὸν ἐπιδεικνύμενος ἄνδρα δίκαιον,
ἀρτίφρονα, χρηστόν, ἐν λόγοις εὐδόκιμον, ἐν πράξεσι καθαρόν, ἐν διαίτῃ κόσμιον,
βαθεῖαν αὔλακα διὰ φρενὸς καρπούμενον, ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύ-
ματα; νικώμενοί φησι Πίνδαρος ἄνδρες ἀγρυξίᾳ δέδενται, οὐχ ἁπλῶς οὐδὲ
πάντες, ἀλλ' ὅσοι νικωμένους αὑτοὺς ὁρῶσιν ὑπὸ τῶν ἐχθρῶν, ἐπιμελείᾳ, χρη-
στότητι, μεγαλοφροσύνῃ, φιλανθρωπίᾳ, εὐεργεσίαις, ταῦτα ἀποστρέφει τὴν γλῶτ-
ταν ὡς ὁ Δημοσθένης φησίν, ἐμφράττει τὸ στόμα, ἄγχει, σιωπᾶν ποιεῖ, σὺ τοι διάφε-
ρε τῶν κακῶν, ἔξεστι γάρ. εἰ θέλεις ἀνιᾶν τὸν μισοῦντα, μὴ λοιδόρει κίναιδον,
μηδὲ μαλακόν, μηδὲ ἀκόλαστον, μηδὲ βωμολόχον, μηδ' ἀνελεύθερον, ἀλλ' αὐ-
τὸς ἀνὴρ ἴσθι, καὶ σωφρόνει, καὶ ἀλήθευε, καὶ χρῶ φιλανθρώπως καὶ δικαίως τοῖς ἐν-
τυγχάνουσιν. ἂν δὲ λοιδορῆσαι προαχθῇς, ἄπαγε πορρωτάτω σεαυτὸν ὧν λοι-
δορεῖς ἐκεῖνον, ἔνδυου τῇ ψυχῇ, περισκόπει τὰ σαθρά, μή τι καὶ σοί ποθεν ὑπο-
φθέγγηται κακία τὸ τοῦ τραγῳδοῦ, ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων.
ἂν ἀπαίδευτον εἴπῃ σε, ἐπίτεινε τὸ φιλομαθὲς ἐν σεαυτῷ καὶ φιλόπονον, ἂν δει-
λόν, ἔγειρε μᾶλλον τὸ θαρσαλέον καὶ ἀνδρῶδες, κἂν ἀσελγῆ καὶ ἀκόλαστον, ἐξά-
λειφε τῆς ψυχῆς εἴ τι λανθάνον ἐστὶ φιληδονίας ἴχνος. οὐδὲν γὰρ αἴσχιόν ἐστι βλα-
σφημίας παλινδρομούσης, οὐδὲ λυπηρότερον, ἀλλ' ἔοικε καὶ τὸ τοῦ φωτὸς ἀνα-
κλώμενον μᾶλλον ἐνοχλεῖν τὰς ἀσθενεῖς ὁράσεις, καὶ τῶν ψόγων, οἱ πρὸς αὐτοὺς
ἀναφερόμενοι τοὺς ψέγοντας ὑπὸ τῆς ἀληθείας. ὡς γὰρ ὁ καικίας τὰ νέφη,
καὶ ὁ φαῦλος βίος ἐφ' ἑαυτὸν ἕλκει τὰς λοιδορίας. ὁ μὲν οὖν Πλάτων, ὁ-
σάκις ἀσχημονοῦσιν ἀνθρώποις παραγένοιτο, πρὸς αὑτὸν ἀπιὼν εἰώθει λέγειν,
μή που ἄρ' ἐγὼ τοιοῦτος; ὁ δὲ λοιδορήσας τὸν ἑτέρου βίον, ἂν εὐθὺς ἐπισκοπῇ τὸν
ἑαυτοῦ καὶ μεθαρμόττῃ, πρὸς τοὐναντίον ἀπευθύνων καὶ ἀποστρέφων, ἕξει τι χρή-
σιμον ἐκ τοῦ λοιδορεῖν, ἄλλως ἀχρήστου καὶ κενοῦ δοκοῦντος εἶναι καὶ ὄντος. οἱ μὲν οὖν πολ-
λοὶ γελῶσιν ἄν τις ὢν φαλακρὸς ἢ κυρτός, ἑτέρους εἰς ταῦτα λοιδορῇ καὶ σκώπτῃ,
γελοῖον δὲ ὅλως ἐστὶ τὸ λοιδορεῖν καὶ σκώπτειν ὁτιοῦν ἀντιλοιδορηθῆναι δυνάμενον,
ὡς Λέων ὁ Βυζάντιος ὑπὸ κυρτοῦ λοιδορηθεὶς εἰς τὴν τῶν ὀμμάτων ἀσθένειαν, ἀνθρώπινον
ἔφη πάθος ὀνειδίζεις, ἐπὶ τοῦ νώτου φέρων τὴν νέμεσιν. οὐκοῦν μηδὲ μοι-
χὸν λοιδορήσῃς, αὐτὸς ὢν παιδομανής, μηδ' ἄσωτον, αὐτὸς ὢν ἀνελεύθερος.
ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς, τὸν Ἄδραστον ὁ Ἀλκμαίων, τί οὖν ἐκεῖνος,
οὐκ ἀλλότριον ἀλλ' ἴδιον, ἑαυτῷ προσφέρων ὄνειδος, σὺ δ' αὐτόχειρ γε μητρὸς
ἥ σ' ἐγείνατο. πρὸς τὸν Κράσσον ὁ Δομίτιος, οὐ σὺ μυραίνης ἐν ζωγρείῳ σοι τρεφομέ-
νης εἶτα ἀποθανούσης ἔκλαυσας; καὶ ὁ ἕτερος, οὐ σὺ τρεῖς γυναῖκας ἐκκομί-
σας δάκρυσας; οὐκ εὐφυᾶ δεῖ τὸν λοιδορησόμενον εἶναι καὶ μεγαλόφωνον,
καὶ ἰταμόν, ἀλλ' ἀλοιδόρητον καὶ ἀνέγκλητον. οὐδενὶ γὰρ οὕτως ἔοικε προστάτ-
τειν ὁ θεός, ὡς τῷ μέλλοντι ψέγειν ἕτερον, τὸ γνῶθι σαυτόν, ἵνα μὴ λέγοντες ἃ
θέλουσιν, ἀκούωσιν ἃ μὴ θέλουσι. φιλεῖ γὰρ ὁ τοιοῦτος κατὰ τὸν Σοφοκλέα,
γλῶτταν ἐκχέας μάτην, ἄκων ἀκούειν, οὓς ἑκὼν εἴπῃ λόγους. τοῦτο μὲν οὖν
ἔνεστι τοῦ λοιδορεῖν τὸν ἐχθρὸν ὠφέλιμον καὶ χρήσιμον, οὐκ ἔλαττον δὲ ἑτέρου τὸ
λοιδορεῖσθαι καὶ κακῶς ἀκούειν αὐτὸν ὑπὸ τῶν ἐχθρῶν. ὅθεν ὀρθῶς ὁ Ἀντισθέ-
νης εἶπεν, ὅτι τοῖς μέλλουσι σώζεσθαι, ἢ φίλων δεῖ γνησίων, ἢ διαπύρων ἐχθρῶν,
οἱ μὲν γὰρ νουθετοῦντες τοὺς ἁμαρτάνοντας, οἱ δὲ λοιδοροῦντες ἀποτρέπουσι.
ἐπεὶ δὲ ἡ φιλία ταννῦν ἰσχνόφωνος γέγονεν ἐν τῷ παρρησιάζεσθαι, καὶ τὸ κολα-
κεῦον αὐτῆς λάλον ἐστί, τὸ δὲ νουθετοῦν ἄναυδον, ἀκουστέον ἐστὶ πρὸς τῶν ἐχθρῶν

τὴν ἀλήθειαν, ὡς γὰρ ὁ Τήλεφος οἰκείου μὴ τυγχάνων ἰατροῦ τῷ πολεμικῷ δόρατι τὸ ἕλκος ὑπέθηκεν, οὕτως τοὺς ἀποροῦντας εὐνοίας νουθετούσης, ὑπομένειν ἀνάγκη μισοῦντος ἐχθροῦ λόγον, ἂν ἐλέγχῃ καὶ κολάζῃ τὴν κακίαν, σκοποῦντας τὸ ἔργον, ἀλλὰ μὴ τὴν γνώμην τοῦ κακῶς λέγοντος. ὥσπερ γὰρ ὁ τὸν Θεσσαλὸν Προμηθέα κτεῖναι διανοηθεὶς, ἔπαισε τῷ ξίφει τὸ φῦμα, καὶ διεῖλεν οὕτως ὥστε σωθῆναι τὸν ἄνθρωπον καὶ ἀπαλλαγῆναι τοῦ φύματος ῥαγέντος, οὕτω πολλάκις ὑπ' ὀργῆς ἢ ἔχθρας προσπεσοῦσα λοιδορία, κακὸν ψυχῆς, ἢ ἀγνοούμενον ἢ ἀμελούμενον ἐθεράπευσεν. ἀλλ' οἱ πολλοὶ λοιδορηθέντες οὐ σκοποῦσιν εἰ πρόσεστιν αὐτοῖς τὸ λεγόμενον, ἀλλὰ τί πρόσεστιν ἕτερον τῷ λοιδοροῦντι, καὶ καθάπερ οἱ παλαίοντες τὴν κόνιν οὐχ ἑαυτῶν ἀποψῶσι τὰς λοιδορίας, ἀλλὰ συμπάττουσιν ἀλλήλους εἶτα φύρονται καὶ ἀναχρώννυνται, συμπεσόντες ὑπ' ἀλλήλων. δεῖ δὲ ἀκούσαντα κακῶς ὑπ' ἐχθροῦ, τὸ μὲν προσὸν ἀφαιρεῖν αὑτοῦ μᾶλλον, ἢ κηλῖδα προσοῦσαν ἱματίῳ καὶ δειχθεῖσαν, ἂν δέ τις λέγῃ τὰ μὴ προσόντα, ὅμως ζητεῖν αἰτίαν ἀφ' ἧς ἡ βλασφημία γέγονε, καὶ φυλάττεσθαι καὶ δεδιέναι, μή τι λανθάνωμεν ἢ συνεγγὺς, ἢ ὅμοιον τῷ λεγομένῳ παραμαρτάνοντες. οἷον Λακύδην τὸν Ἀργείων βασιλέα, κόμης τινὸς διάθεσις καὶ βάδισμα θρυπτικώτερον, εἰς μαλακίαν διέβαλε. καὶ Πομπήιον, τὸ ἑνὶ κνᾶσθαι δακτύλῳ τὴν κεφαλὴν, πορρωτάτω θηλύτητος καὶ ἀκολασίας ὄντα. Κράσσος δὲ τῶν ἱερῶν μιᾷ παρθένων αἰτίαν ἔσχε πλησιάζειν, χωρίον τι καλὸν ὠνήσασθαι παρ' αὐτῆς βουλόμενος, καὶ διὰ τοῦτο πολλάκις ἐντυγχάνων ἰδίᾳ καὶ θεραπεύων. Ποστουμίαν δὲ τὸ γελᾶν προχειρότερον καὶ λαλιᾷ χρῆσθαι θρασυτέρᾳ πρὸς ἄνδρας, διέβαλεν, ὥστε κριθῆναι φθορᾶς, εὑρέθη μὲν οὖν καθαρὰ τῆς αἰτίας, ἀπολύσας δὲ αὐτὴν ὁ ἀρχιερεὺς Σπόριος Μινούκιος, ὑπέμνησε μὴ χρῆσθαι λόγοις ἀσεμνοτέροις τοῦ βίου. Θεμιστοκλεῖ δὲ Παυσανίας μηδὲν ἀδικοῦντι, προσετρίψατο τὴν ὑποψίαν τῆς προδοσίας, διὰ τὸ χρῆσθαι φίλῳ καὶ γράφειν συνεχῶς καὶ πέμπειν πρὸς αὐτόν. ὅταν οὖν λεχθῇ τι μὴ ἀληθὲς, οὐχ ὅτι ψεῦδός ἐστι δεῖ καταφρονεῖν καὶ ἀμελεῖν, ἀλλὰ σκοπεῖν τί τῶν ὑπὸ σοῦ λεγομένων ἢ πραττομένων, ἢ σπουδαζομένων, ἢ συνόντων, ὁμοιότητα τῇ διαβολῇ παρέσχηκε, καὶ τοῦτο διευλαβεῖσθαι, καὶ φεύγειν. εἰ γὰρ ἕτεροι πράγμασιν ἀβουλήτοις περιπεσόντες, διδάσκονται τὸ χρήσιμον, ὥσπερ ἡ Μερόπη φησίν·

» αἱ τύχαι δέ με
» μισθὸν λαβοῦσαι τῶν ἐμῶν τὰ φίλτατα σοφὴν ἔθηκαν·

τί κωλύει διδάσκαλον ἄμισθον λαβόντα τὸν ἐχθρὸν, ὠφεληθῆναι καὶ μαθεῖν τι τῶν λανθανόντων· πολλὰ γὰρ ὁ ἐχθρὸς μᾶλλον αἰσθάνεται τοῦ φίλου, τυφλοῦται γὰρ τὸ φιλοῦν περὶ τὸ φιλούμενον, ὡς ὁ Πλάτων φησί. τῷ δὲ μισεῖν μετὰ τοῦ πολυπραγμονεῖν, καὶ τὸ λαλεῖν ἔνεστιν. ὁ Ἱέρων ὑπό τινος τῶν ἐχθρῶν, εἰς τὴν δυσωδίαν ἐλοιδορήθη τοῦ στόματος, ἐλθὼν οὖν οἴκαδε πρὸς τὴν γυναῖκα, τί λέγεις εἶπεν οὐδὲ σύ μοι τοῦτο ἔφρασας, ἡ δὲ οὖσα σώφρων καὶ ἄκακος, ᾤμην εἶπεν ὅτι τοιοῦτο πάντες ὄζουσιν οἱ ἄνδρες. οὕτω καὶ τὰ αἰσθητικὰ καὶ τὰ σωματικὰ, καὶ τὰ καταφανῆ πᾶσι, παρὰ τῶν ἐχθρῶν μαθεῖν πρότερόν ἐστιν, ἢ τῶν φίλων καὶ συνήθων. ἄνευ δὲ τούτου τὴν περὶ γλῶτταν ἐγκράτειαν, οὐ μικρὸν ἀρετῆς μέρος οὖσαν, ὑπήκοον ἀεὶ τῷ λογισμῷ καὶ πειθήνιον ἔχειν, οὐκ ἔστιν ἂν μή τις ἀσκήσει καὶ μελέτῃ καὶ φιλοπονίᾳ τὰ κάκιστα τῶν παθῶν, οἷόν ἐστιν ἡ ὀργὴ καταγωνίσηται· ἡ γὰρ ἀκουσίως ἐκπίπτουσα φωνὴ, καὶ τὸ

» ἔπος φύγεν ἕρκος ὀδόντων,

καὶ τὸ ἔνια ἐξίπτασθαι τῶν ῥημάτων αὐτόματα, τοῖς ἀνασκήτοις μάλιστα θυμοῖς οἷον ὀλισθαίνουσι καὶ διαρρέουσιν, ἐπιγίνεται, δι' ἀσθένειαν θυμοῦ, δι' ἀκρατῆ γνώμην, δίαιτῃ θρασείᾳ. λόγου

δὲ κουφοτάτου πράγματος βαρυτάτη ζημία κατὰ τὸν θεῖον Πλάτωνα, καὶ παρὰ θεῶν ἕπεται καὶ παρὰ ἀνθρώπων· ἡ δὲ σιγὴ, πανταχοῦ μὲν ἀνυπεύθυνος· οὐ μόνον ἄδιψον ὥς φησιν Ἱπποκράτης· ἐν δὲ λοιδορίᾳ σεμνὸν καὶ σωκρατικὸν, μᾶλλον δὲ ἡράκλειον, εἴγε κἀκεῖνος,

» οὐδ' ὅσσον μυῖα συγερῶν ἐμπάζετο μύθων.

οὔτε μὴν τούτου σεμνότερον καὶ κάλλιόν ἐστι, τὸ λοιδοροῦντος ἐχθροῦ τὴν ἡσυχίαν ἄγειν·

» λισσάδα πέτραν φιλοκέρτομον ὡς παρανηχόμενος.

ἀλλὰ μείζων ἡ ἄσκησις ἂν ἐχθρὸν ἐθισθῇς λοιδοροῦντα φέρειν σιωπῇ, πάνυ ῥᾳδίως οἴσεις γυναικὸς ὁρμὴν κακῶς λεγούσης, καὶ φίλου φωνὰς, καὶ ἀδελφοῦ πικροτέρας ἀκούων, ὑπομενεῖς ἀθορύβως· πατρὶ δὲ καὶ μητρὶ τυπτόμενος καὶ βαλλόμενος, παρέξεις ἄθυμον καὶ ἀμήνιτον σεαυτόν. ὁ μὲν γὰρ Σωκράτης ἔφερε τὴν Ξανθίππην, θυμοειδῆ οὖσαν καὶ χαλεπὴν, ὡς ἂν εὐκόλως συνεσόμενος ἑτέροις, ἂν ἐκείνην ὑπομένειν ἐθισθῇ, πολὺ δὲ βέλτιον ἐχθρῶν καὶ ἀλλοτρίων ἐγγυμνασάμενον σκώμμασι καὶ λοιδορίαις, καὶ ὀργαῖς καὶ βδελυρίαις ἐθίσαι τὸν θυμὸν ἡσυχίαν ἄγειν, μὴ δὲ ἀσχάλλειν ἐν τῷ λοιδορεῖσθαι. πρᾳότητα μὲν οὖν καὶ ἀνεξικακίαν οὕτως ἔστιν ἐνεπιδείξασθαι ταῖς ἔχθραις· ἁπλότητα δὲ καὶ μεγαλοφροσύνην καὶ χρηστότητα, μᾶλλον ἐν ταῖς φιλίαις· φίλον μὲν γὰρ οὐχ οὕτω τὸ εὖ ποιεῖν καλὸν, ὡς αἰσχρὸν τὸ μὴ ποιεῖν δεόμενον· ἐχθροῦ δὲ καὶ τὸ τιμωρεῖν παραλιπεῖν ἐν καιρῷ παρασχόντος, ἐπιεικές ἐστι· τὸν δὲ καὶ πταίσαντί τι συμπαθήσαντα, καὶ δεηθέντι συλλαβόμενον καὶ παισὶν ἐχθροῦ καὶ οἰκείοις πράγμασιν ἐν χρείᾳ γενομένοις, σπουδήν τινα καὶ προθυμίαν ἐνδειξάμενον· ὅς τις οὐκ ἀγαπᾷ τῆς εὐμενείας οὐδ' ἐπαινεῖ τὴν χρηστότητα,

» κεῖνος ἐξ ἀδάμαντος ἢ σιδήρου κεχάλκευται μέλαιναν καρδίαν.

τῷ Καίσαρι κελεύσαντι τὰς Πομπηΐου τιμὰς ἀνασταθῆναι καταβεβλημένας, ὁ Κικέρων τοὺς Πομπηΐου φησὶν ἀνδριάντας ἔστησας, τοὺς δὲ σοὺς ἔπηξας. ὅθεν οὐδ' ἐπαίνου φειστέον, οὐδὲ τιμῆς περὶ ἀνδρὸς ἐχθροῦ, δικαίως εὐδοκιμήσαντος· ἔπαινόν τε γὰρ φέρει μείζονα τοῖς ἐπαινοῦσι, καὶ πίστιν ἔχει πάλιν ἐγκαλῶν, ὡς οὐ τὸν ἄνδρα μισῶν, ἀλλὰ τὴν πρᾶξιν ἀποδοκιμάζων. τὸ δὲ κάλλιστον καὶ χρησιμώτατον, ἀπωτάτω καθίσταται τοῦ φθονεῖν, καὶ φίλοις εὐτυχοῦσι, καὶ κατορθοῦσιν οἰκείοις, ὁ τοὺς ἐχθροὺς ἐθισθεὶς ἐπαινεῖν, καὶ μὴ δάκνεσθαι, μὴ δὲ βασκαίνειν εὖ πραττόντων. καίτοι τίς ἄσκησις ἑτέρα μείζονα ὠφέλειαν ἐνεργάζεται ταῖς ψυχαῖς, ἢ διάθεσιν κρείττονα τῆς ἀφαιρούσης τὸ δύσζηλον ἡμῶν καὶ φιλόφθονον. ὥσπερ γὰρ ἐν πόλει πολλὰ τῶν ἀναγκαίων, ἄλλως δὲ φαύλων, ἔθος λαβόντα καὶ νόμου δύναμιν, οὐκ ἔστι ῥᾳδίως ἀπώσασθαι βλαπτομένους, οὕτως ἡ ἔχθρα συνεισάγουσα τῷ μίσει, φθόνον, ζηλοτυπίαν, ἐπιχαιρεκακίαν, μνησικακίαν ἐναπολείπει. πρὸς δὲ τούτοις, καὶ πανουργία καὶ ἀπάτη, καὶ ἐπιβουλὴ δοκοῦσα μὴ φαῦλον εἶναι μὴ δὲ ἄδικον πρὸς ἐχθρὸν ἂν ἐγγένηται, παραμένει δυσαπάλλακτος· εἶτα χρῶνται πρὸς τοὺς φίλους αὐτοὶ ὑπὸ συνηθείας ἂν μὴ φυλάξωνται πρὸς τοὺς ἐχθρούς. εἴπερ οὖν ὀρθῶς ὁ Πυθαγόρας ἐν ἀλόγοις ζώοις ἐθίζων, ὠμότητος ἀπέχεσθαι καὶ πλεονεξίας, ὀρνέων τε θηρευτὰς παρῃτεῖτο, καὶ βόλους ὠνούμενος ἰχθύων, ἐκέλευεν ἀφιέναι, καὶ παντὸς ἡμέρου ζώου φόνον ἀπηγόρευσε. πολὺ δή που σεμνότερόν ἐστιν, ἐν διαφοραῖς πρὸς ἀνθρώπους καὶ φιλονεικίαις γενναῖον ἐχθρὸν ὄντα καὶ δίκαιον καὶ ἀψευδῆ, τὰ μοχθηρὰ καὶ ἀγεννῆ καὶ κακοῦργα πάθη, κολάζειν καὶ ταπεινὰ ποιεῖν· ὅπως ἐν τοῖς πρὸς τοὺς φίλους συμβολαίοις παντάπασιν ἀτρεμῇ, καὶ ἀπέχηται τοῦ κακουργεῖν. Σκαῦρος, ἐχθρὸς ἦν Δομιτίου καὶ κατήγορος· οἰκέτης οὖν τοῦ Δομιτίου πρὸ τῆς δίκης, ἧκε πρὸς αὐτὸν, ὡς ἔχων τι μηνῦσαι τῶν λανθανόν-

τῶν ἐκείνῳ, ὁ δὲ οὐκ εἴασεν εἰπεῖν, ἀλλὰ συλλαβὼν τὸν ἄνθρωπον, ἀπέστειλε πρὸς τὸν δεσπότην. Κάτωνι δὲ Μουρήναν διώκοντι δημοκοπίας καὶ συνάγοντι τοὺς ἐλέγχους, ἐξ ἔθους παρηκολούθουν οἱ τὰ πραττόμενα παραφυλάττοντες· πολλάκις οὖν αὐτὸν ἠρώτων εἴ τι μέλλει σήμερον συνάγειν ἢ πραγματεύεσθαι πρὸς τὴν κατηγορίαν· εἰ δὲ μὴ φαίη, πιστεύοντες ἀπῄεσαν. ταῦτα μὲν οὖν αὐτῆς τῆς δόξης ἔχει τεκμήριον μέγιστον, ἀλλὰ μεῖζον καὶ κάλλιστον, ὅτι τῷ δικαίῳ χρῆσθαι καὶ πρὸς ἐχθροὺς ἐθισθέντες, οὐδέ ποτε μὴ προσενεχθῶμεν ἀδίκως καὶ πανούργως τοῖς συνήθεσι καὶ φίλοις. ἐπεὶ δὲ πάσῃσι κορυδαλλῇσι χρὴ λόφον ἐγγενέσθαι κατὰ τὸν Σιμωνίδην· καὶ πᾶσα φύσις ἀνθρώπου φέρει φιλονεικίαν καὶ ζηλοτυπίαν καὶ φθόνον, κενεοφρόνων ἑταῖρον ἀνδρῶν ὥς φησι Πίνδαρος, οὐ μετρίως ἄν τις ὠφελοῖτο τῶν παθῶν τούτων ποιούμενος ἀποκαθάρσεις εἰς τοὺς ἐχθρούς, καὶ ἀποστρέφων ὥσπερ ὀχετοὺς πορρωτάτω τῶν ἑταίρων καὶ οἰκείων. καὶ τοῦτο ὡς ἔοικε συνιδὼν πολιτικὸς ἀνὴρ ὄνομα Δῆμος, ἐν Χίῳ τῆς κρατούσης μερίδος ἐν στάσει γενόμενος, παρῄνει τοῖς ἑταίροις μὴ πάντας ἐξελάσαι τοὺς ἀντιστασιάσαντας, ἀλλ' ὑπολείπεσθαί τινας, ὅπως ἔφη μὴ πρὸς τοὺς φίλους ἀρξώμεθα διαφέρεσθαι, τῶν ἐχθρῶν παντάπασιν ἀπαλλαγέντες. οὐκοῦν καὶ ἡμῶν καταναλισκόμενα ταῦτα τὰ πάθη πρὸς τοὺς ἐχθρούς, ἧττον ἐνοχλήσει τοῖς φίλοις. οὐ γὰρ κεραμεῖ δεῖ κεραμέα φθονεῖν, οὐδ' ἀοιδὸν ἀοιδῷ καθ' Ἡσίοδον, οὐδὲ γείτονα ζηλοῦν, οὐδ' ἀνεψιόν, οὐδ' ἀδελφὸν εἰς ἄφενος σπεύδοντα, καὶ τυγχάνοντα χρηστῶν πραγμάτων. ἀλλ' εἰ μηδεὶς τρόπος ἐστὶν ἄλλος ἀπαλλαγῆς ἐρίδων καὶ φθόνων καὶ φιλονεικιῶν, ἔθιζε σαυτὸν δάκνεσθαι τῶν ἐχθρῶν εὐημερούντων, καὶ παρόξυνε καὶ χάραττε τὸ φιλόνεικον ἐν ἐκείνοις θηγόμενον.

ὥσπερ γὰρ οἱ χαρίεντες γεωργοὶ τὰ ῥόδα καὶ τὰ ἴα βελτίω ποιεῖν νομίζουσι σκόροδα καὶ κρόμμυα παραφυτεύοντες, ἀποκρίνεται γὰρ εἰς ἐκεῖνα πᾶν ὅσον ἔνεστι τροφῇ δριμὺ καὶ δυσῶδες, οὕτω καὶ ὁ ἐχθρὸς ἀναλαμβάνων καὶ περισπῶν τὸ βάσκανον καὶ κακόηθες, εὐμενέστερον παρέξει τοῖς φίλοις εὐπραττοῦσι καὶ ἀλυπότερον. διὸ καὶ τὰς ἁμίλλας πρὸς ἐκείνους ἐστὶ ποιητέον, ὑπὲρ δόξης ἢ ἀρχῆς ἢ πορισμῶν δικαίων, μὴ δακνομένους μόνον ἄν τι πλέον ἡμῶν ἔχωσιν, ἀλλὰ καὶ πάντα παραφυλάττοντας ἐξ ὧν πλέον ἔχουσι, καὶ πειρωμένους ὑπερβαλέσθαι ταῖς ἐπιμελείαις καὶ φιλοπονίαις, καὶ τῷ σωφρονεῖν καὶ προσέχειν ἑαυτοῖς, ὡς Θεμιστοκλῆς ἔλεγεν, οὐκ ἐᾶν αὐτὸν καθεύδειν τὴν ἐν Μαραθῶνι Μιλτιάδου νίκην. ὁ μὲν γὰρ εὐτυχίᾳ διαφέρειν αὑτοῦ τὸν ἐχθρὸν ἡγούμενος ἐν ἀρχαῖς ἢ συνηγορίαις ἢ πολιτείαις, ἢ παρὰ φίλοις καὶ ἡγεμόσιν, ἐκ τοῦ πράττειν τι καὶ ζηλοῦν, εἰς τὸ βασκαίνειν παντάπασι καὶ ἀθυμεῖν καταδυόμενος, ἀργῷ τῷ φθόνῳ καὶ ἀπράκτῳ σύνεστιν. ὁ δὲ μὴ τυφλούμενος περὶ τὸ μισούμενον, ἀλλὰ καὶ βίου καὶ ἤθους καὶ λόγων καὶ ἔργων γινόμενος θεατὴς δίκαιος, τὰ πλεῖστα κατόψεται τῶν ζηλουμένων, ἐξ ἐπιμελείας καὶ προνοίας καὶ πράξεων χρηστῶν περιγινόμενα τοῖς κεκτημένοις καὶ πρὸς ταῦτα συντείνων, ἐπασκήσει τὸ φιλότιμον αὑτοῦ καὶ φιλόκαλον, τὸ δὲ χασμῶδες ἐκκόψει καὶ ῥάθυμον. εἰ δέ τινας οἱ ἐχθροὶ κολακεύοντες, ἢ πανουργοῦντες, ἢ δικάζοντες, ἢ μισθαρνοῦντες αἰσχρὰς καὶ ἀνελευθέρους δοκοῦσι καρποῦσθαι δυνάμεις ἐν αὐλαῖς ἢ πολιτείαις, οὐκ ἐνοχλήσουσιν ἡμᾶς, ἀλλὰ μᾶλλον εὐφρανοῦσι τὴν αὐτῶν ἐλευθερίαν, καὶ τὸ καθαρὸν τοῦ βίου καὶ ἀνύβριστον ἀντιτιθέντας. ἅπας γὰρ ὁ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν χρυσὸς, οὐκ ἀντάξιος ἀρετῆς κατὰ Πλάτωνα. καὶ τὸ τοῦ Σόλωνος ἔχειν ἀεὶ δεῖ πρόχειρον· ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα τῆς ἀρετῆς τὸν πλοῦτον, οὐδέ γε βοὰς δεδειπνισμένων θεάτρων, οὐδὲ τιμὰς

δὲ τιμὰς καὶ προεδρίας παρ' εὐνούχοις καὶ παλλακαῖς, καὶ σατραπείας βασιλέων· ζηλωτὸν γὰρ οὐδέν, οὐδὲ καλὸν ἐξ αἰσχροῦ φυόμενον, ἀλλ' ἐπιτυφλοῦται τὸ φιλοῦν περὶ τὸ φιλούμενον ὥς φησιν ὁ Πλάτων, καὶ παρέχουσι μᾶλλον ἡμῖν οἱ ἐχθροὶ ἀσχημονοῦντες αἴσθησιν. δεῖ δὲ μήτε τὸ χαῖρον ἐφ' οἷς ἁμαρτάνουσιν ἀργὸν εἶναι, μήτε τὸ λυπούμενον ἐφ' οἷς κατορθοῦσιν, ἀλλ' ἐπιλογίζεσθαι δι' ἀμφοτέρων, ὅπως τὰ μὲν, φυλαττόμενοι βελτίους ὦμεν αὐτῶν, τὰ δὲ μιμούμενοι μὴ χείρονες.

ΠΕΡΙ ΠΟΛΥΦΙΛΙΑΣ.

Μένωνα τὸν Θετταλὸν οἰόμενον ἐν λόγοις ἱκανῶς γεγυμνάσθαι, καὶ τοῦτο δὴ τὸ ὑπὸ τοῦ Ἐμπεδοκλέους λεγόμενον, σοφίας ἐπ' ἄκροισι θαμίζειν, ἠρώτησεν ὁ Σωκράτης τί ἀρετή ἐστιν· ἀποκριναμένου δὲ ἰταμῶς ἐκείνου καὶ προχείρως, ὅτι καὶ παιδός ἐστιν ἀρετή, καὶ πρεσβύτου, καὶ ἀνδρὸς, καὶ γυναικὸς, καὶ ἄρχοντος, καὶ ἰδιώτου, καὶ δεσπότου, καὶ θεράποντος, εὖ γε εἶπεν ὁ Σωκράτης ὅτι μίαν ἀρετὴν ἐρωτηθεὶς, σμῆνος ἀρετῶν κεκίνηκας, οὐ κακῶς τεκμαιρόμενος, ὅτι μηδὲ μίαν εἰδὼς ἀρετὴν ἄνθρωπος, πολλὰς ὠνόμαζεν. ἆρ' οὐχὶ καὶ ἡμῖν ἄν τις ἐπιχλευάσειεν, ὅτι μηδέ πω μίαν φιλίαν κεκτημένοι βεβαίως, φοβούμεθα μὴ λάθωμεν εἰς πολυφιλίαν ἐμπεσόντες; σχεδὸν γὰρ οὐδὲν διαφέρομεν ἀνθρώπου κολοβοῦ καὶ τυφλοῦ, φοβουμένου μὴ Βριάρεως ὁ ἑκατόγχειρ, καὶ Ἄργος ὁ πανόπτης γένηται. καίτοι τόν γε παρὰ τῷ Μενάνδρῳ νεανίσκον ὑπερφυῶς ἐπαινοῦμεν, εἰπόντα, θαυμαστὸν ὅσον νομίζειν ἕκαστον ἀγαθὸν, ἂν ἔχῃ φίλου σκιάν. αἴτιον δὲ μετὰ πολλῶν ἄλλων, οὐχ ἥκιστά γ' εἰς φιλίας κτῆσιν, ἡ τῆς πολυφιλίας ὄρεξις· ὥσπερ ἀκολάστων γυναικῶν τῷ πολλάκις καὶ πολλοῖς συμπλέκεσθαι τῶν πρώτων κρατεῖν μὴ δυναμένοις, ἀμελουμένων καὶ ἀπορρεόντων. μᾶλλον δὲ ὥσπερ ὁ τῆς Ὑψιπύλης τρόφιμος εἰς τὸν λειμῶνα καθίσας ἔδρεπεν ἕτερον ἐφ' ἑτέρῳ αἰρόμενος ἄγρευμα, ἀνθέων ἡδομένᾳ ψυχᾷ, τὸ νήπιον ἄχρυσον ἔχων, οὕτως ἕκαστον ἡμῶν διὰ τὸ φιλόκαινον καὶ ἀψίκορον, ὁ πρόσφατος ἀεὶ καὶ ἀνθῶν ἐπάγεται, καὶ μετατίθησι πολλὰς ὁμοῦ καὶ ἀτελεῖς ἀρχὰς πράττοντα καὶ φιλίας καὶ συνηθείας, ἔρωτι τοῦ διωκομένου παρερχομένους τὸν καταλαμβανόμενον. πρῶτον μὲν οὖν ὥσπερ ἀφ' ἑστίας ἀρξάμενοι τῆς τοῦ βίου φήμης, ἣν ὑπὲρ φίλων βεβαίων ἀπολέλοιπεν ἡμῖν, τὸν μακρὸν καὶ παλαιὸν αἰῶνα μάρτυρα ἅμα τοῦ λόγου καὶ σύμβουλον λάβωμεν, ἐν ᾧ κατὰ ζεῦγος φιλίας λέγονται, Θησεὺς καὶ Πειρίθους· Ἀχιλλεὺς καὶ Πάτροκλος· Ὀρέστης καὶ Πυλάδης· Φιντίας καὶ Δάμων· Ἐπαμινώνδας καὶ Πελοπίδας. συνόμον γὰρ ἡ φιλία ζῷον, οὐκ ἀγελαῖόν ἐστιν, οὐδὲ κολοιῶδες, καὶ τὸ ἄλλον αὐτὸν ἡγεῖσθαι τὸν φίλον καὶ προσαγορεύειν ἑταῖρον καὶ ἕτερον, ὡς ἕτερον οὐδέν ἐστιν ἄλλο, πλὴν μέτρῳ φιλίας τῇ δυάδι χρωμένων. οὔτε γὰρ δούλους οὔτε φίλους ἐστὶ κτήσασθαι πολλοὺς ἀπ' ὀλίγου νομίσματος. τί οὖν νόμισμα φιλίας; εὔνοια καὶ χάρις μετ' ἀρετῆς, ὧν οὐδὲν ἔχει σπανιώτερον ἡ φύσις· ὅθεν τὸ σφόδρα φιλεῖν καὶ φιλεῖσθαι, πρὸς πολλοὺς οὐκ ἔστιν. ἀλλ' ὥσπερ οἱ ποταμοὶ πολλὰς σχίσεις καὶ κατατομὰς λαμβάνοντες ἀσθενεῖς καὶ λεπτοὶ ῥέουσιν, οὕτω τὸ φιλεῖν ἡ ψυχὴ σφόδρα πέφυκεν, εἰς πολλοὺς δὲ μεριζομένη ἐξαμαυροῦται. διὸ καὶ τῶν ζῴων τὸ φιλότεκνον, τοῖς μονοτόκοις ἰσχυρότερον ἐμφύεται· καὶ Ὅμηρος ἀγαπητὸν υἱὸν ὀνομάζει μοῦνον τηλύγετον τουτέστι, μὴ ἔ-

χρηστὸν ἕτερον γονεῦσι, μήτε ἔξεστι γεγεννημένον· τὸν δὲ φίλον ἡμεῖς μόνον μὲν οὐκ ἀξιοῦμεν εἶναι, μετ' ἄλλων δὲ τηλύγετός τις καὶ ὀψίγονος ἔστω· τὸν θρυλλούμενον ἐκεῖνον χρόνῳ τῶν ἁλῶν συγκατεδηδοκὼς μέδιμνον, οὐχ ὥσπερ νῦν πολλοὶ φίλοι λεγόμενοι συμπιόντες ἅπαξ, ἢ συσφαιρίσαντες, ἢ συγκυβεύσαντες, ἢ συγκαταλύσαντες ἐκ πανδοχείου καὶ παλαίστρας καὶ ἀγορᾶς, φιλίας συλλέγουσιν. ἐν δὲ ταῖς τῶν πλουσίων καὶ ἡγεμονικῶν οἰκίαις, πολὺν ὄχλον καὶ θόρυβον ἀσπαζομένων καὶ δεξιουμένων καὶ δορυφορούντων ὁρῶντες, εὐδαιμονίζουσι τοὺς πολυφίλους. καίτοι πλείονάς γε μυίας ἐν τοῖς ὀπτανείοις αὐτῶν ὁρῶσιν, ἀλλ' οὔτε αὗται τῆς λιχνείας, οὔτ' ἐκεῖνοι τῆς χρείας ἐπιλειπούσης παραμένουσιν. ἐπειδὴ ἀληθινὴ φιλία, τρία ζητεῖ μάλιστα, τὴν ἀρετὴν ὡς καλὸν, καὶ τὴν συνήθειαν ὡς ἡδὺ, καὶ τὴν χρείαν ὡς ἀναγκαῖον· δεῖ γὰρ ἀποδέξασθαι κρίναντα, καὶ χαίρειν συνόντα, καὶ χρῆσθαι δεόμενον, ἃ πάντα πρὸς τὴν πολυφιλίαν ὑπεναντιοῦται, καὶ μάλιστα πρὸς τὸ κυριώτατον ἡ κρίσις. ποῖα δὲ πρῶτον εἰ δυνατόν ἐστιν ἐν βραχεῖ χρόνῳ δοκιμασία χορευτὰς συναγορευομένους, ἐρέτας ὁμορροθήσοντας, οἰκέτας χρημάτων ἐπιτρόπους, ἢ τέκνων παιδαγωγοὺς ἐσομένους, μή τί γε φίλους πολλοὺς εἰς πάντων ἀπαίσῃ τύχῃ συναποδυομένους, ὧν ἕκαστος αὐτός τε αὑτὸν πράττων εὖ, τίθησιν εἰς μέσον, τῶν δυστυχοῦντός τε λαγχάνων οὐκ ἄχθεται. οὔτε ναῦς οὕτω τοσούτους ἕλκεται χειμῶνας εἰς θάλασσαν, οὔτε χωρίοις θριγκοὺς καὶ λιμέσιν προβάλλουσι ἕρκη καὶ χώματα τηλικούτους προσδεχόμενοι κινδύνους, καὶ τοσούτους, ὅσων ἐπαγγέλλεται φιλία καταφυγὴν καὶ βοήθειαν, ὀρθῶς καὶ βεβαίως ἐξετασθεῖσα. τῶν δὲ ἀνεξετάστων παραῤῥυέντων, ὥσπερ νομισμάτων ἀδοκίμων ἐλεγχομένων, οἱ μὲν ἐστερημένοι χαίρουσιν, οἱ δὲ ἔχοντες εὔχονται φυγεῖν. ἔστι δὲ τοῦτο χαλεπὸν καὶ οὐ ῥᾴδιον τὸ φυγεῖν, ἢ ἀποθέσθαι δυσαρεστουμένην φιλίαν, ἀλλ' ὥσπερ σιτίον βλαβερὸν καὶ δυσχεραινόμενον, οὔτε κατέχειν οἷόν τε μὴ λυποῦν καὶ διαφθεῖρον, οὔτε ἐκβάλλειν οἷον εἰσῆλθεν, ἀλλ' εἰ δεχθὲς καὶ συμπεφυραμένον καὶ ἀλλόκοτον, οὕτω φίλος πονηρὸς, ἢ σύνεστι λυπῶν καὶ λυπούμενος, ἢ βίᾳ μετ' ἔχθρας καὶ δυσμενείας ὥσπερ χολή τις ἐξέπεσε. διὸ δεῖ μὴ ῥᾳδίως προσδέχεσθαι μὴ δὲ κολλᾶσθαι τοῖς ἐντυγχάνουσι, μὴ δὲ φιλεῖν τοὺς διώκοντας, ἀλλὰ τοὺς ἀξίους φιλίας διώκειν. οὐ γὰρ αἱρετέον πάντως τὸ ῥᾳδίως ἁλισκόμενον. καὶ γὰρ ἐρίνην καὶ βάτον ἐπιλαμβανομένην ὑπερβαίντες, καὶ διωσάμενοι, βαδίζομεν οὕτω τὴν ἐλαίαν καὶ τὴν ἄμπελον, οὕτως ἀεὶ μὴ τὸν εὐχερῶς περιπλεκόμενον ποιεῖσθαι συνήθη καλὸν, ἀλλὰ τοῖς ἀξίοις σπουδῆς καὶ ὠφελίμοις αὐτοὺς περιπλέκεσθαι δοκιμάζοντας. ὥσπερ οὖν ὁ Ζεῦξις αἰτιωμένων αὐτὸν τινῶν ὅτι ζωγραφεῖ βραδέως, ὁμολογῶ εἶπεν ἐν πολλῷ χρόνῳ γράφειν· καὶ γὰρ εἰς πολλὴν οὕτω φιλίαν καὶ συνήθειαν σώζειν παραλαβὼν ἐν πολλῷ κριθεῖσαν. ἆρ' οὖν κρῖναι μὲν οὐκ ἔστι πολλοὺς φίλους ῥᾴδιον, συνεῖναι δὲ πολλοῖς ὁμοῦ ῥᾴδιον, ἢ καὶ τοῦτο ἀδύνατον. καὶ μὴν ἀπόλαυσίς ἐστιν ἡ συνήθεια τῆς φιλίας, καὶ τὸ ἥδιστον ἐν τῷ συνεῖναι καὶ συνημερεύειν. οὐ μὲν γάρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων βουλὰς ἑζόμενοι βουλεύσομεν· καὶ περὶ τοῦ Ὀδυσσέως ὁ Μενέλαος· οὐδέ κεν ἄλλο ἄμμε διέκρινε φιλέοντέ τε τερπομένω τε, πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψε. τοὐναντίον οὖν ἔοικεν ἡ καλουμένη πολυφιλία ποιεῖν. ἡ μὲν γὰρ συνάγει καὶ συνίστησι καὶ συνέχει καταπυκνοῦσα ταῖς ὁμιλίαις καὶ φιλοφροσύναις. ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐγόμφωσε καὶ ἔδησε κατ' Ἐμπεδοκλέα. τοιαύτην γὰρ ἡ φιλία βούλεται ποιεῖν ἑνότητα καὶ σύμπηξιν. ἡ δὲ πολυφιλία διίστησι καὶ ἀποσπᾷ καὶ ἀποστρέφει, τῷ μετακαλεῖν ἄλλοτε πρὸς ἄλλον καὶ με-

ταφέρειν

ταφέρειν, οὐκ ἐῶσα κρᾶσιν οὐδὲ κόλλησιν εὐνοίας ἐν τῇ συνηθείᾳ περιχυθείσης καὶ παγείσης γενέσθαι. τοῦτο δὲ εὐθὺς ὑποβάλλει καὶ τὴν περὶ τὰς ὑπουργίας ἀνωμαλίαν καὶ δυσωπίαν. τὰ γὰρ εὔχρηστα τῆς φιλίας, δύσχρηστα γίνεται διὰ τὴν πολυφιλίαν, ἄλλον τρόπος, ἄλλον ἐγείρει φροντὶς ἀνθρώπων. οὔτε γὰρ αἱ φύσεις ἡμῶν εἰς ταὐτὰ ταῖς ὁρμαῖς ῥέπουσιν, οὔτε τύχαις ὁμοτρόποις ἀεὶ σύνεσμεν, οἵ τε τῶν πράξεων καιροὶ καθάπερ τὰ πνεύματα τοῖς μὲν φέρουσι, τοῖς δὲ ἀντιπίπτουσι. καίτοι κἂν πάντες ἅμα τῶν αὐτῶν οἱ φίλοι δέωνται, χαλεπὸν ἐξαρκέσαι πᾶσι βουλευομένοις, ἢ πολιτευομένοις, ἢ φιλοτιμουμένοις, ἢ ὑποδεχομένοις. ἂν δὲ ἐνὶ καιρῷ διαφόροις πράγμασι καὶ πάθεσι προστυγχάνοντες ὁμοῦ παρακαλῶσιν, ὁ μὲν πλέων συναποδημεῖν, ὁ δὲ κρινόμενος συνδικεῖν, ὁ δὲ κρίνων συνδικάζειν, ὁ δὲ πιπράσκων ἢ ἀγοράζων, συνδιοικεῖν, ὁ δὲ γαμῶν συνθύειν, ὁ δὲ θάπτων συμπενθεῖν, πόλις δὲ ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων καὶ στεναγμάτων, ἡ πολυφιλία πᾶσι μὲν ἀμήχανον παρεῖναι, μηδενὶ δὲ ἄτοπον, ἑνὶ δὲ ὑπουργοῦντα προσκρούειν πολλοῖς ἀνιαρόν. οὐδεὶς γὰρ ἀγαπῶν αὐτὸς, ἀμελεῖθ' ἡδέως. καίτοι τὰς ἀμελείας καὶ ῥᾳθυμίας τῶν φίλων πρᾳότερον φέρουσι, καὶ τὰς τοιαύτας ἀπολογίας, ἀμηνίτως δέχονται παρ' αὐτῶν, ἐξελαθόμην, ὁ δὲ λέγων οὐ παρέστην σοι δίκην ἔχοντι, παριστάμην γὰρ ἑτέρῳ φίλῳ, καὶ πυρέττοντά σε οὐκ εἶδον, τῷ δεῖνι γὰρ φίλους ἑστιῶντι συνηχολούμην, αἰτίαν τῆς ἀμελείας τὴν ἑτέρων ἐπιμέλειαν ποιούμενος, οὐ λύει τὴν μέμψιν, ἀλλὰ προσεπιβάλλει ζηλοτυπίαν. ἀλλὰ πολλοὶ τὰς φιλίας ἃ δύναται παρέχειν μόνον σκοποῦσιν ὡς ἔοικε, ἃ δ' ἐμποιεῖν παρορῶσι, καὶ οὐ μνημονεύουσιν ὅτι δεῖ πολλοῖς εἰς ἃ δεῖται χρώμενον, πολλοῖς δεομένοις ἀνθυπουργεῖν. ὥσπερ οὖν ὁ Βριάρεως ἑκατὸν χερσὶν εἰς πεντήκοντα φορῶν γαστέρας, οὐδὲν ἡμῶν πλέον εἶχε τῶν ἀπὸ δυοῖν χεροῖν μίαν κοιλίαν διοικούντων, οὕτως ἐν τοῖς φίλοις χρήσιμον καὶ τὸ λειτουργεῖν πολλοῖς ἔνεστι, καὶ τὸ συναγωνιᾶν, καὶ τὸ συνασχολεῖσθαι καὶ συγκάμνειν. οὐ γὰρ Εὐριπίδῃ πειστέον λέγοντι· χρῆν γὰρ μετρίαν εἰς ἀλλήλους φιλίαν θνατοὺς ἀντείνασθαι καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς, εὔλυτα δ' εἶναι θέλγητρα φρενῶν, ἀπό τ' ὤσασθαι καὶ ξυντεῖναι, καθάπερ πόδα νεὼς ἐπιδιδόντα καὶ προσάγοντα ταῖς χρείαις τὴν φιλίαν. ἀλλὰ τοῦτο μὲν ὦ Εὐριπίδη, μεταθῶμεν ἐπὶ τὰς ἔχθρας, καὶ κελεύωμεν μετρίας ποιεῖσθαι τὰς διαφορὰς καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς. εὔλυτα δ' ἔστωσι, καὶ ὀργὰς καὶ μεμψιμοιρίαν, καὶ ὑπονοίας, ἐκεῖνο δὲ μᾶλλον ἡμῖν παραίνει τὸ Πυθαγορικὸν, μὴ πολλοῖς ἐμβάλλειν δεξιάν. τουτέστι μὴ πολλοὺς ποιεῖσθαι φίλους, μὴ δὲ πολύκοινον μὴ δὲ πάνδημον ἀσπάζεσθαι φιλίαν, καὶ πρὸς ἐναντίην ἡ μετὰ πολλῶν παθῶν εἰσιοῦσα· ὧν τὸ μὲν συναγωνίαν καὶ συνάχθεσθαι καὶ συμπονεῖν καὶ συγκινδυνεύειν, οὐ πάνυ δύσοιστον τοῖς ἐλευθέροις καὶ γενναίοις ἐστί. τὸ δὲ τοῦ σοφιστοῦ Χίλωνος ἀληθὲς, πρὸς τὸν εἰπόντα μηδένα ἔχειν ἐχθρὸν, ἔοικας ἔφη σὺ μηδὲ φίλον ἔχειν. αἱ γὰρ ἔχθραι ταῖς φιλίαις εὐθὺς ἐπακολουθοῦσι καὶ συμπλέκονται. οὐκ ἔστι φίλον μὴ συναδικεῖσθαι καὶ μὴ συναδοξεῖν καὶ συναπεχθαίνεσθαι. οἱ γὰρ ἐχθροὶ τὸν φίλον εὐθὺς ὑφορῶνται καὶ μισοῦσιν, οἱ δὲ φίλοι πολλάκις, φθονοῦσί τε καὶ ζηλοτυποῦσι καὶ περισπῶσιν. ὥσπερ οὖν ὁ Τιμησίᾳ περὶ τῆς ἀποικίας δοθεὶς χρησμὸς προηγόρευσε· σμῆνα μελισσάων τάχα τοι καὶ σφῆκες ἔσονται, οὕτως οἱ φίλων ζητοῦντες ἑσμὸν, ἔλαθον ἐχθρῶν σφηκιαῖς περιπεσόντες, καὶ οὐκ ἴσον ἄγει σταθμὸν, ἐχθροῦ μνησικακία καὶ φίλου χάρις. ὅρα δὲ τοὺς Φιλώτου καὶ Παρμενίωνος φίλους καὶ οἰκείους ἃ διέθηκεν Ἀλέξανδρος, ἃ τοὺς Δίωνος, Διονύσιος, τοὺς Πλαύτου, Νέρων, καὶ τοὺς

χρεῖον ἕτερον γινῶσι, μή τι ἔξεσι γεγεννημένον. τὸν δὲ φίλον ἡμεῖς μόνον μὲν οὐκ ἀξιοῦμεν εἶναι, μετ' ἄλλων δὲ τηλύγετός τις καὶ ὀψίγονος ἔστω. τὸν θρυλλούμενον ἐκεῖνον χρόνῳ τῶν ἁλῶν συγκατεδηδοκὼς μέδιμνον, οὐχ ὥσπερ νῦν πολλοὶ φίλοι λεγόμενοι συμπιόντες ἅπαξ, ἢ συσφαιρίσαντες, ἢ συγκυβεύσαντες, ἢ συγκαταλύσαντες ἐκ πανδοκείου καὶ παλαίστρας καὶ ἀγορᾶς, φιλίας συλλέγουσιν. ἐν δὲ ταῖς τῶν πλουσίων καὶ ἡγεμονικῶν οἰκίαις, πολὺν ὄχλον καὶ θόρυβον ἀσπαζομένων καὶ δεξιουμένων καὶ δορυφορούντων ὁρῶντες, εὐδαιμονίζουσι τοὺς πολυφίλους. καίτοι πλείονάς γε μυίας ἐν τοῖς ὀπτανείοις αὐτῶν ὁρῶσιν, ἀλλ' οὔτε αὗται τῆς λιχνείας, οὔτ' ἐκεῖνοι τῆς χρείας ἐπιλειπούσης παραμένουσιν. ἐπειδὴ ἀληθινὴ φιλία, τρία ζητεῖ μάλιστα, τὴν ἀρετὴν ὡς καλὸν, καὶ τὴν συνήθειαν ὡς ἡδὺ, καὶ τὴν χρείαν ὡς ἀναγκαῖον. δεῖ γὰρ ἀποδέξασθαι κρίνοντα, καὶ χαίρειν συνόντα, καὶ χρῆσθαι δεόμενον, ἃ πάντα πρὸς τὴν πολυφιλίαν ὑπεναντιοῦται, καὶ μάλιστα πρὸς τὸ κυριώτατον ἡ κρίσις. ποῖα δὲ πρῶτον εἰ δυνατόν ἐστιν ἐν βραχεῖ χρόνῳ δοκιμασία χορευτὰς συναγορευομένους, ἐρέτας ὁμορροθήσοντας, οἰκέτας χρημάτων ἐπιτρόπους, ἢ τέκνων παιδαγωγοὺς ἐσομένους, μή τί γε φίλους πολλοὺς εἰς πάντων ἁπάσῃ τύχῃ συναποδυομένους, ὧν ἕκαστος αὐτός τε αὐτὸν πράττων εὖ, τίθησιν εἰς μέσον, τῶν δὲ δυστυχοῦς τε λαγχάνων οὐκ ἄχθεται. οὔτε ναῦς ἐπὶ τοσούτους ἕλκεται χειμῶνας εἰς θάλασσαν, οὔτε χωρίοις θριγκοὺς καὶ λιμέσιν προβάλλουσι ἕρκη καὶ χώματα τηλικούτους προσδεχόμενοι κινδύνους, καὶ τοσούτους, ὅσων ἐπαγγέλλεται φιλία καταφυγὴν καὶ βοήθειαν, ὀρθῶς καὶ βεβαίως ἐξετασθεῖσα. τῶν δὲ ἀνεξετάστων παραρρυέντων, ὥσπερ νομισμάτων ἀδοκίμων ἐλεγχομένων, οἱ μὲν ἐστερημένοι χαίρουσιν, οἱ δὲ ἔχοντες εὔχονται φυγεῖν. ἔστι δὲ τοῦτο χαλεπὸν καὶ οὐ ῥάδιον τὸ φυγεῖν, ἢ ἀποθέσθαι δυσαρεστουμένην φιλίαν, ἀλλ' ὥσπερ σιτίον βλαβερὸν καὶ δυσχεραινόμενον, οὔτε κατέχειν οἷόν τε μὴ λυποῦν καὶ διαφθεῖρον, οὔτε ἐκβάλλειν οἷον εἰσῆλθεν, ἀλλ' εἰ δεχθὲς καὶ συμπεφυραμένον καὶ ἀλλόκοτον, οὕτω φίλος πονηρὸς, ἢ σύνεστι λυπῶν καὶ λυπούμενος, ἢ βίᾳ μετ' ἔχθρας καὶ δυσμενείας ὥσπερ χολή τις ἐξέπεσε. διὸ δεῖ μὴ ῥαδίως προσδέχεσθαι μηδὲ κολλᾶσθαι τοῖς ἐντυγχάνουσι, μηδὲ φιλεῖν τοὺς διώκοντας, ἀλλὰ τοὺς ἀξίους φιλίας διώκειν. οὐ γὰρ αἱρετέον πάντως τὸ ῥαδίως ἁλισκόμενον. καὶ γὰρ ἐρίνην καὶ βάτον ἐπιλαμβανομένην ὑπερβάντες, καὶ διωσάμενοι, βαδίζομεν ἐπὶ τὴν ἐλαίαν καὶ τὴν ἄμπελον, οὕτως ἀεὶ μὴ τὸν εὐχερῶς περιπλεκόμενον ποιεῖσθαι συνήθη καλὸν, ἀλλὰ τοῖς ἀξίοις σπουδῆς καὶ ὠφελίμοις αὐτοὺς περιπλέκεσθαι δοκιμάζοντας. ὥσπερ οὖν ὁ Ζεῦξις αἰτιωμένων αὐτὸν τινῶν ὅτι ζωγραφεῖ βραδέως, ὁμολογῶ εἶπεν ἐν πολλῷ χρόνῳ γράφειν. καὶ γὰρ εἰς πολλὴν οὕτω φιλίαν καὶ συνήθειαν σώζειν παραλαβὼν ἐν πολλῷ κριθεῖσαν. ἆρ' οὖν κρῖναι μὲν οὐκ ἔστι πολλοὺς φίλους ῥᾴδιον, συνεῖναι δὲ πολλοῖς ὁμοῦ ῥᾴδιον, ἢ καὶ τοῦτο ἀδύνατον. καὶ μὴν ἀπόλαυσίς ἐστιν ἡ συνήθεια τῆς φιλίας, καὶ τὸ ἥδιστον ἐν τῷ συνεῖναι καὶ συνημερεύειν. οὐ μὲν γάρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων βουλὰς ἑζόμενοι βουλεύσομεν. καὶ περὶ τοῦ Ὀδυσσέως ὁ Μενέλαος· οὐδέ κεν ἄλλο ἄμμε διέκρινε φιλέοντέ τε τερπομένω τε, πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψε. τοὐναντίον οὖν ἔοικεν ἡ καλουμένη πολυφιλία ποιεῖν. ἡ μὲν γὰρ συνάγει καὶ συνίστησι καὶ συνέχει καταπυκνοῦσα ταῖς ὁμιλίαις καὶ φιλοφροσύναις. ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐγόμφωσε καὶ ἔδησε κατ' Ἐμπεδοκλέα. τοιαύτην γὰρ ἡ φιλία βούλεται ποιεῖν ἑνότητα καὶ σύμπηξιν. ἡ δὲ πολυφιλία διΐστησι καὶ ἀποσπᾷ καὶ ἀποστρέφει, τῷ μετακαλεῖν ἄλλοτε πρὸς ἄλλον καὶ με

ταφέρειν

ταφέρειν, οὐκ ἐῶσα κρᾶσιν οὐδὲ κόλλησιν εὐνοίας ἐν τῇ συνηθείᾳ περιχυθείσῃ καὶ παγείσῃ γενέσθαι. τοῦτο δὲ εὐθὺς ὑποβάλλει καὶ τὴν περὶ τὰς ὑπουργίας ἀνωμαλίαν καὶ δυσωπίαν. τὰ γὰρ εὔχρηστα τῆς φιλίας, δύσχρηστα γίνεται διὰ τὴν πολυφιλίαν, ἄλλον τρόπος, ἄλλον ἐγείρει φροντὶς ἀνθρώπων. οὔτε γὰρ αἱ φύσεις ἡμῶν ἐπὶ ταὐτὰ ταῖς ὁρμαῖς ῥέπουσιν, οὔτε τύχαις ὁμοτρόποις ἀεὶ συνέσμεν, οἵ τε τῶν πράξεων καιροὶ καθάπερ τὰ πνεύματα τοῖς μὲν φέρουσι, τοῖς δὲ ἀντιπίπτουσι. καίτοι κἂν πάντες ἅμα τῶν αὐτῶν οἱ φίλοι δέωνται, χαλεπὸν ἐξαρκέσαι πᾶσι βουλευομένοις, ἢ πολιτευομένοις, ἢ φιλοτιμουμένοις, ἢ ὑποδεχομένοις, ἀλλ' ἐν ἑνὶ καιρῷ διαφόροις πράγμασι καὶ πάθεσι προστυγχάνοντες ὁμοῦ παρακαλῶσιν, ὁ μὲν πλέων συναποδημεῖν, ὁ δὲ κρινόμενος συνδικεῖν, ὁ δὲ κρίνων συνδικάζειν, ὁ δὲ πιπράσκων ἢ ἀγοράζων, συνδιοικεῖν, ὁ δὲ γαμῶν συνθύειν, ὁ δὲ θάπτων συμπενθεῖν, πόλις δὲ ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων καὶ στεναγμάτων, ἡ πολυφιλία πᾶσι μὲν ἀμήχανον παρεῖναι, μηδενὶ δὲ ἄτοπον, ἑνὶ δὲ ὑπουργοῦντα προσκρούειν πολλοῖς ἀνιαρόν. οὐδεὶς γὰρ ἀγαπῶν αὑτὸν, ἀμελεῖθ' ἡδέως. καίτοι τὰς ἀμελείας καὶ ῥαθυμίας τῶν φίλων πρᾳότερον φέρουσι, καὶ τὰς τοιαύτας ἀπολογίας, ἀμηνίτως δέχονται παρ' αὐτῶν, ἐπελαθόμην, ὁ δὲ λέγων οὐ παρέστην σοι δίκην ἔχοντι, παριστάμην γὰρ ἑτέρῳ φίλῳ, καὶ πυρέττοντά σε οὐκ εἶδον, τῷ δεῖνι γὰρ φίλους ἑστιῶντι συνησχολούμην, αἰτίαν τῆς ἀμελείας τὴν ἑτέρων ἐπιμέλειαν ποιούμενος, οὐ λύει τὴν μέμψιν, ἀλλὰ προσεπιβάλλει ζηλοτυπίαν. ἀλλὰ πολλοὶ τὰς φιλίας ἃ δύναται παρέχειν μόνον σκοποῦσιν ὡς ἔοικε, ἃ δ' ἐμποιεῖν παρορῶσι, καὶ οὐ μνημονεύουσιν ὅτι δεῖ πολλοῖς εἰς ἃ δεῖται χρώμενον, πολλοῖς δεομένοις ἀνθυπουργεῖν. ὥσπερ οὖν ὁ Βριάρεως ἑκατὸν χερσὶν εἰς πεντήκοντα φορῶν γαστέρας, οὐδὲν ἡμῶν πλέον εἶχε τῶν ἀπὸ δυοῖν χεροῖν μίαν κοιλίαν διοικούντων, οὕτως ἐν τοῖς φίλοις χρήσιμον καὶ τὸ λειτουργεῖν πολλοῖς ἔνεστι, καὶ τὸ συναγωνιᾶν, καὶ τὸ συνασχολεῖσθαι καὶ συγκάμνειν. οὐ γὰρ Εὐριπίδῃ πειστέον λέγοντι· χρῆ γὰρ μετρίαν εἰς ἀλλήλους φιλίαν θνατοὺς ἀντείνασθαι καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς, εὔλυτα δ' εἶναι θέλγητρα φρενῶν. ἀπό τ' ὤσασθαι καὶ ξυντεῖναι καθάπερ πόδα νεὼς ἐπιδιδόντα καὶ προσάγοντα ταῖς χρείαις τὴν φιλίαν. ἀλλὰ τοῦτο μὲν ὦ Εὐριπίδη, μεταθῶμεν ἐπὶ τὰς ἔχθρας, καὶ κελεύωμεν μετρίας ποιεῖσθαι τὰς διαφορὰς καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς. εὔλυτα δ' εἶναι μίση, καὶ ὀργὰς καὶ μεμψιμοιρίαν, καὶ ὑπονοίας, ἐκεῖνο δὲ μᾶλλον ἡμῖν παραινεῖ τὸ Πυθαγορικὸν, μὴ πολλοῖς ἐμβάλλειν δεξιάν. τουτέστι μὴ πολλοὺς ποιεῖσθαι φίλους, μηδὲ πολύκοινον μηδὲ πάνδημον ἀσπάζεσθαι φιλίαν, καὶ πρὸς [illegible] ἡ μετὰ πολλῶν παθῶν εἰσιοῦσα. ὧν τὸ μὲν συναγωνιᾶν καὶ συνάχθεσθαι καὶ συμπονεῖν καὶ συγκινδυνεύειν, οὐ πάνυ δύσοιστον τοῖς ἐλευθέροις καὶ γενναίοις ἐστί. τὸ δὲ τοῦ σοφοῦ Χίλωνος ἀληθὲς, πρὸς τὸν εἰπόντα μηδένα ἔχειν ἐχθρὸν, ἔοικας ἔφη σὺ μηδὲ φίλον ἔχειν. αἱ γὰρ ἔχθραι ταῖς φιλίαις εὐθὺς ἐπακολουθοῦσι καὶ συμπλέκονται. οὐκ ἔστι φίλων μὴ συναδικεῖσθαι καὶ μὴ συναδοξεῖν καὶ συναπεχθάνεσθαι. οἱ γὰρ ἐχθροὶ τὸν φίλον εὐθὺς ὑφορῶνται καὶ μισοῦσιν, οἱ δὲ φίλοι πολλάκις, φθονοῦσί τε καὶ ζηλοτυποῦσι καὶ περισπῶσιν. ὥσπερ οὖν ὁ τῷ Τιμησίᾳ περὶ τῆς ἀποικίας δοθεὶς χρησμὸς προηγόρευσε· σμῆνα μελισσάων τάχα τοι καὶ σφῆκες ἔσονται, οὕτως οἱ φίλων ζητοῦντες ἑσμὸν, ἔλαθον ἐχθρῶν σφηκίαις περιπεσόντες, καὶ οὐκ ἴσον ἄγει σταθμὸν, ἐχθροῦ μνησικακία καὶ φίλου χάρις. ὅρα δὲ τοὺς Φιλώτου καὶ Παρμενίωνος φίλους καὶ οἰκείους ἃ διέθηκεν Ἀλέξανδρος, ἃ τοὺς Δίωνος, Διονύσιος, τοὺς Πλαύτου, Νέρων, καὶ τοὺς

σπιθαμοῦ τι βέβαιος, στρεβλοῦντες καὶ ἀποκτιννύοντες. ὡς γὰρ τὸν Κρέοντα τῆς
θυγατρὸς οὐδὲν ὁ χρυσὸς οὐδ' ὁ πλοῦτος ὠφέλει, τὸ δὲ πῦρ ἀναφθὲν αἰφνιδίως προσ-
δραμόντα καὶ περιπτύξαντα κατέκαυσε, συναπώλεσεν, οὕτως ἔνιοι τῶν φί-
λων οὐδὲν ἀπολαύσαντες εὐτυχούντων, συναπόλλυνται δυστυχοῦσι, καὶ τοῦτο
μάλιστα πάσχουσιν οἱ φιλόσοφοι καὶ χαρίεντες, ὡς θησεὺς τῷ πειρίθῳ κολα-
ζομένῳ καὶ δεδεμένῳ, πέδαις ἀχαλκεύτοισιν ἔζευκται πόδας. ἐν δὲ τῷ λοι-
μῷ φησὶν ὁ θουκυδίδης, τοὺς ἀρετῆς μάλιστα μεταποιουμένους, συναπόλλυσθαι
τοῖς φίλοις νοσοῦσιν, ἠφείδουν γὰρ σφῶν αὐτῶν, ἰόντες παρὰ τοὺς ἐπιτηδείους.
ὅθεν οὕτως τῆς ἀρετῆς ἀφειδεῖν οὐ προσῆκον, ἄλλοις συνδέοντας αὐτὴν καὶ συμ-
πλέκοντας, ἀλλὰ τοῖς ἀξίοις τὴν αὐτὴν φυλάττειν κοινωνίαν, τουτέστι τοῖς ὁμοί-
ως φιλεῖν καὶ κοινωνεῖν δυναμένοις. καὶ γὰρ δὴ τούτων πάντων μέγιστόν ἐστιν
ἐναντίωμα πρὸς τὴν πολυφιλίαν, ὅτι φιλία γένεσις δι' ὁμοιότητός ἐστιν. ὅπου
γὰρ καὶ τὰ ἄψυχα τὰς μίξεις πρὸς τὰ ἀνόμοια ποιεῖται μετὰ βίας ἀναγκα-
ζόμενα, καὶ ὀκλάζει καὶ ἀγανακτεῖ φεύγοντα ἀπ' ἀλλήλων, τοῖς δὲ συγγενέσι
καὶ οἰκείοις ὁμοπαθεῖ κεραννύμενα καὶ προσίεται τὴν κοινωνίαν λείως καὶ μετ'
εὐμενείας, πῶς οἷόν τε φιλίαν ἤθεσι διαφόροις ἐγγενέσθαι καὶ πάθεσιν ἀνομοί-
οις καὶ βίοις ἑτέρας προαιρέσεως ἔχουσιν. ἡ μὲν γὰρ περὶ ψαλμοὺς καὶ φόρ-
μιγγας ἁρμονία, δι' ἀντιφώνων ἔχει τὸ σύμφωνον ὀξύτησι καὶ βαρύτησιν ἁμῶς
γέπως ὁμοιότητος ἐγγινομένης, τῆς δὲ φιλικῆς συμφωνίας ταύτης καὶ ἁρμο-
νίας, οὐδὲν ἀνόμοιον οὐδὲ ἀνώμαλον, οὐδὲ ἄδηλον εἶναι μέρος, ἀλλ' ἐξ ἁπάντων
ὁμοίως ἐχόντων, ὁμολογεῖν καὶ ὁμοδοξεῖν καὶ ὁμοβουλεῖν καὶ συνομοπαθεῖν,
ὥσπερ μιᾶς ψυχῆς ἐν πλείοσι διῃρημένης σώμασι. τίς οὖν ἐστιν οὕτως ἐπί-
πονος καὶ μετάβολος καὶ παντοδαπὸς ἀνὴρ, ὥστε πολλοῖς ἑαυτὸν ἐξομοιοῦν
καὶ προσαρμόττειν, καὶ μὴ καταγελᾷν τοῦ θεόγνιδος παραινοῦντος. πουλύπο-
δος νόον ἴσχε πολύφρονος, ὃς ποτὶ πέτρῃ τῇ ὁμιλήσει τοῖος ἰδεῖν ἐφάνη.
καίτοι τοῦ πολύποδος αἱ μεταβολαὶ, βάθος οὐκ ἔχουσιν, ἀλλὰ περὶ αὐτὴν γί-
γνονται τὴν ἐπιφάνειαν, στυφότητι, καὶ μανότητι τὰς ἀπορροίας τῶν πλησια-
ζόντων ἀναλαμβανούσης, αἱ δὲ φιλίαι τὰ ἤθη ζητοῦσι συνεξομοιοῦν, καὶ τὰ πά-
θη, καὶ τοὺς λόγους, καὶ τὰ ἐπιτηδεύματα, καὶ τὰς διαθέσεις. πρωτέως τινὸς
οὐκ εὐτυχοῦς οὐδὲ πάνυ χρηστοῦ τὸ ἔργον, ἀλλ' ἀπὸ γοητείας ἑαυτὸν εἰς ἕτε-
ρον εἶδος ἐξ ἑτέρου μεταλάττοντος ἐν τῷ αὐτῷ πολλάκις, φιλολόγοις συναγι-
νώσκοντος, καὶ παλαισταῖς συγκονιομένου, καὶ φιλοθήροις συγκυνηγετοῦν-
τος, καὶ φιλοπόταις συμμεθυσκομένου καὶ πολιτικοῖς συναρχαιρεσιάζοντος,
ἰδίαν ἤθους ἑστίαν οὐκ ἔχοντος. ὡς δὲ τὴν ἀσχημάτιστον οἱ φυσικοὶ καὶ ἀχρώ-
ματον οὐσίαν καὶ ὕλην λέγουσιν ὑποκειμένην καὶ τρεπομένην ὑπ' αὐτῶν, νῦν μὲν
φλέγεσθαι, νῦν δ' ἐξυγραίνεσθαι, ποτὲ δ' ἐξαεροῦσθαι, πήγνυσθαι δὲ αὖθις,
οὕτως ἄρα τῇ πολυφιλίᾳ ψυχὴν ὑποκεῖσθαι δεήσει, πολυπαθῆ καὶ πολύ-
τροπον καὶ ὑγρὰν καὶ ῥᾳδίαν μεταβάλλειν. ἀλλ' ἡ φιλία στάσιμόν τι
ζητεῖ καὶ βέβαιον ἦθος καὶ ἀμετάπτωτον ἐν μιᾷ χώρᾳ
καὶ συνηθείᾳ. διὸ καὶ σπάνιον καὶ δυσεύ-
ρετόν ἐστι φίλος βέβαιος.

Τύχη τὰ θνητῶν πράγματ' οὐκ εὐβουλία, πότερον οὐδὲ δικαιο-
σύνη τὰ θνητῶν πράγματα, οὐδὲ ἰσότης, οὐδὲ σωφροσύνη, οὐ-
δὲ κοσμιότης, ἀλλ' ἐκ τύχης μὲν καὶ διὰ τύχην ἀριστείδης ἐνεκαρτέ-
ρησε τῇ πενίᾳ πολλῶν χρημάτων κύριος γενέσθαι δυνάμενος,
καὶ σκηπίων καρχηδόνα ἑλὼν, οὐδὲν οὔτ' ἔλαβεν οὔτ' εἶδε τῶν
λαφύρων, ἐκ τύχης δὲ καὶ διὰ τύχην φιλοκράτης λαβὼν χρυσίον παρὰ φιλίπ-
που, πόρνας καὶ ἰχθῦς ἠγόραζε, καὶ λασθένης καὶ εὐθυκράτης ἀπώλεσαν ὄ-
λυνθον τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν, ἀπὸ τύχης δὲ
ὁ μὲν φιλίππου ἀλέξανδρος, αὐτός τε τῶν αἰχμαλώτων ἀπείχετο γυναι-
κῶν, καὶ τοὺς ὑβρίζοντας ἐκόλαζεν, ὁ δὲ πριάμου δαίμονι κακῷ καὶ τύχῃ χρώ-
μενος, συνεκοιμᾶτο τῇ τοῦ ξένου γυναικὶ, καὶ λαβὼν αὐτὴν ἐνέπλησέ τε πολέ-
μου καὶ κακῶν τὰς δύο ἠπείρους; εἰ γὰρ ταῦτα γίνεσθαι διὰ τύχην, τί κωλύει
καὶ τὰς γαλᾶς καὶ τοὺς τράγους καὶ τοὺς πιθήκους, συνέχεσθαι φάναι διὰ τὴν
τύχην ταῖς λιχνείαις καὶ ταῖς ἀκρασίαις καὶ βωμολοχίαις. εἰ δ' ἔστι σωφροσύ-
νη καὶ δικαιοσύνη καὶ ἀνδρία, πῶς λόγον ἔχει μὴ εἶναι φρόνησιν. εἰ φρόνησις, πῶς
εὐβουλίαν μὴ εἶναι. ἡ γὰρ σωφροσύνη φρόνησίς τίς ἐστιν ὥς λέγουσι, καὶ ἡ δι-
καιοσύνη τῆς φρονήσεως δεῖται, παρούσης δὲ μᾶλλον. τὴν εὐβουλίαν καὶ τὴν
φρόνησιν ἐν μὲν ἡδοναῖς ἀγαθοὺς παρεχομένην, ἐγκράτειαν καὶ σωφροσύνην κα-
λοῦμεν, ἐν δὲ κινδύνοις καὶ πόνοις, καρτερίαν καὶ ἀνδραγαθίαν, ἐν δὲ κοινωνήμα-
σι καὶ πολιτείαις, εὐνομίαν καὶ δικαιοσύνην. ὅθεν εἰ τὰ τῆς εὐβουλίας ἔρ-
γα τῆς τύχης δικαιοῦμεν εἶναι, ἔστω τύχης καὶ τὰ τῆς δικαιοσύνης, καὶ τὰ τῆς
σωφροσύνης, καὶ νὴ δία τὸ κλέπτειν, τύχης ἔστω, καὶ τὸ βαλαντιοτομεῖν, καὶ τὸ
ἀκολασταίνειν, καὶ μεθέμενοι τῶν οἰκείων λογισμῶν, εἰς τὴν τύχην ἑαυτοὺς
ἀφῶμεν, ὥσπερ ὑπὸ πνεύματος πολλοῦ, κονιορτὸν ἢ συρφετὸν ἐλαυνομένους
ἢ διαφερομένους. εὐβουλίας τοίνυν μὴ οὔσης, οὐδὲ βουλὴν εἰκὸς εἶναι περὶ
πραγμάτων, οὐδὲ σκέψιν οὐδὲ ζήτησιν τοῦ συμφέροντος. ἀλλὰ ἐλήρησεν εἰπὼν
ὁ σοφοκλῆς. ὅτι πᾶν τὸ ζητούμενον ἁλωτόν. ἐκφεύγει δὲ τὰ μελούμενον. καὶ πά-
λιν αὖ τὰ πράγματα διαιρῶν, τὰ μὲν διδακτὰ μανθάνω. τὰ δ' εὑρετὰ ζητῶ.
τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην. τί γὰρ εὑρετὸν ἢ τί μαθητόν ἐστιν ἀνθρώποις, εἰ
πάντα περαίνεται κατὰ τύχην. ποῖον δὲ οὐ καναιρεῖται βουλευτήριον πό-
λεως ἢ ποῖον οὐ καταλύεται συνέδριον βασιλέως, εἰ ὑπὸ τῇ τύχῃ πάντα
ἐστὶν, ἣν τυφλὴν λοιδοροῦμεν, ὡς τυφλοὶ περιπίπτοντες αὐτῇ. τί δὲ οὐ μέλλομεν
ὅταν ὥσπερ ὄμματα τὴν εὐβουλίαν ἐκκόψαντες αὐτῶν, τοῦ βίου τυφλὴν χεῖρα
ὁδηγὸν λαμβάνωμεν. καίτοι φέρε λέγειν τινὰ ἡμῶν, ὡς τύχη τὰ τῶν βλεπόν-
των πράγματα, οὐκ ὄψις οὐδὲ ὄμματα φωσφόρα φησὶν ὁ πλάτων, καὶ τύχη
τὰ τῶν ἀκουόντων, οὐ δύναμις ἀντιληπτικὴ πληγῆς ἀέρος δι' ὠτὸς καὶ ἐγκεφά-
λου προσφερομένης. καλὸν δὲ ἦν ὡς ἔοικεν εὐλαβεῖσθαι τὴν αἴσθησιν, ἀλλὰ μὴν
τὴν ὄψιν καὶ ἀκοὴν καὶ γεῦσιν καὶ ὄσφρησιν, καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος
δυνάμεως αὐτῶν ὑπηρεσίαν εὐβουλίας καὶ φρονήσεως ἡ φύσις ἤνεγκεν ἡμῖν.
καὶ νοῦς ὁρῇ καὶ νοῦς ἀκούει. τὰ δ' ἄλλα κωφὰ καὶ τυφλά. καὶ ὥσπερ ἡλίου
μὴ ὄντος, ἕνεκα τῶν ἄλλων ἄστρων εὐφρόνην ἂν ἤγομεν ὥς φησιν ἡράκλειτος, οὕ-
τως ἕνεκα τῶν αἰσθήσεων, εἰ μὴ νοῦν μηδὲ λόγον ὁ ἄνθρωπος εἶχεν, οὐδὲν ἂν διέφε-
ρε τῷ βίῳ τῶν θηρίων. νῦν δὲ οὐκ ἀπὸ τύχης οὐδὲ αὐτομάτως περιεσμὲν αὐτῶν καὶ
κρατοῦμεν, ἀλλ' ὁ προμηθεὺς τουτέστιν ὁ λογισμὸς, αἴτιος. ἵππων ὄνων τ' ὀχεῖα,

καὶ ταύρων γονὰς δοὺς ἀντίδωρα, σὲ πόνων ἐκδέκτορα κατ' αἰσχύλον. ἐπεὶ
τύχῃ γε καὶ φύσει γενέσεως ἄμεινον τὰ πλεῖστα τῶν ἀλόγων κέχρηται. τὰ μὲν γὰρ
ὥπλισται κέρασι καὶ ὀδοῦσι καὶ κέντροις. αὐτὰρ ἐχίνοις φησὶν ἐμπεδοκλῆς, ὀξυ
βελεῖς δέ τε νώτοις ἐπιπεφρίκασι, καὶ ὑποδέδεται καὶ ἠμφίεσται φολίσι καὶ
λάχναις καὶ χηλαῖς καὶ ὁπλαῖς ἀποκρότοις. μόνος δ' ὁ ἄνθρωπος κατὰ τὸν πλά-
τωνα, γυμνὸς καὶ ἄοπλος καὶ ἀνυπόδητος καὶ ἄστρωτος ὑπὸ τῆς φύσεως ἀ-
πολέλειπται. ἀλλ' ἓν διδοῦσα, πάντα μαλθάσσει τάδε, τὸν λογισμὸν καὶ τὴν ἐπι
μέλειαν, καὶ τὴν πρόνοιαν. βραχὺ μὲν σθένος ἀνδρός, ἀλλὰ ποικιλίᾳ πρα-
πίδων, δεινὰ μὲν πόντου, χθονίων δὲ ὀρέων δάμναται παιδεύματα. κουφότα-
τον ἵπποι καὶ ὠκύτατον, ἀνθρώποις δὲ θέουσι. μάχιμον κύων καὶ θυμοειδές, ἀνθρώ
πων φυλάττει. ἰχθύς, πολύσαρκον καὶ ὗς, ἀνθρώποις τροφὴ καὶ ὄψον ἐστί. τί μεῖζον ἐ-
λέφαντος ἢ φοβερώτερον ἰδεῖν, ἀλλὰ καὶ τοῦτο παίγνιον γέγονεν ἀνθρώπου,
καὶ θέαμα πανηγυρικόν, ὀρχήσεις τε μανθάνει καὶ χορείας καὶ προσκυνήσεις. οὐκ
ἀχρήστως τῶν τοιούτων παραγομένων, ἀλλ' ἵνα μανθάνωμεν ποῦ τὸν ἄνθρω-
πον ἡ φρόνησις αἴρει, τίνων καὶ ὑπεράνω ποιεῖ, καὶ πλείω κρατεῖ πάντων καὶ
περίεστιν. οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες, οὐδὲ παλαισταί, οὐδὲ ποσὶ κραιπνῶς
θέομεν, ἀλλ' ἐν πᾶσι τούτοις ἀτυχέστεροι τῶν θηρίων ἐσμέν. ἐμπειρίᾳ δὲ καὶ μνή
μῃ καὶ σοφίᾳ καὶ τέχνῃ κατὰ ἀναξαγόραν, σφῶν τε αὐτῶν χρώμεθα, καὶ βλίττο-
μεν, καὶ ἀμέλγομεν, καὶ φέρομεν, καὶ ἄγομεν συλλαμβάνοντες, ὥστε ἐνταῦθα
μηδὲν τῆς τύχης, ἀλλὰ πάντα τῆς εὐβουλίας εἶναι καὶ τῆς προνοίας. ἀλλὰ μὴν καὶ
τὰ τεκτόνων δή που πράγματα, θνητῶν ἐστι, καὶ τὰ χαλκοτύπων, καὶ οἰκοδό
μων, καὶ ἀνδριαντοποιῶν, ἐν οἷς οὐδὲν αὐτομάτως, οὐδ' ὡς ἔτυχε κατορθούμενον
ὁρῶμεν. καὶ ἓν μὲν βραχεῖα σοφῷ τύχη παρεμπίπτει χαλκοτύπῳ τινὶ καὶ οἰκοδό-
μῳ, τὰ δὲ πλεῖστα καὶ μέγιστα τῶν ἔργων, αἱ τέχναι συντελοῦσι δι' αὐτῶν, καὶ τοῦ
το ὑποδεδήλωκε. βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρώναξ λεώς, οἳ τὴν διὸς γοργῶπιν
ἐργάνην στατοῖσι λικνοῖσι προστρέπεσθε. τὴν γὰρ ἐργάνην καὶ τὴν ἀθηνᾶν αἱ
τέχναι πάρεδρον, οὐ τὴν τύχην ἔχουσιν. ὅτι μὲν τοι φασὶν ἵππον ζωγραφοῦν-
τα, τοῖς μὲν ἄλλοις κατορθοῦν εἴδεσι καὶ χρώμασι, τῷ δὲ ἀφρῷ τὴν περὶ τῷ χαλινῷ
κοπτομένην χαυνότητα καὶ συνεκπίπτουσαν τῷ ἄσθματι μὴ ἀρέσκειν ἑαυτῷ
γράφοντα, πολλάκις γοῦν ἐξαλείφειν, τέλος δ' ὑπ' ὀργῆς προσβαλεῖν τῷ πί
νακι τὸν σπόγγον, ὥσπερ εἶχε τῶν φαρμάκων ἀνάπλεων. τὸν δὲ προσπεσόντα
θαυμαστῶς ἐναπομάξαι καὶ ποιῆσαι τὸ δέον. τοῦτο ἐπιτυχὲς μόνον ἱστορεῖ-
ται. κανόσι καὶ σταθμαῖς καὶ μέτροις καὶ ἀριθμοῖς, πανταχοῦ χρῶνται, ἵνα
μηδαμοῦ τὸ εἰκῇ καὶ ὡς ἔτυχε τοῖς ἔργοις ἐγγένηται. καὶ μὴν αἱ τέχναι μικραί
τινες εἶναι λέγονται φρονήσεις, μᾶλλον δὲ ἀπόρροιαι καὶ προβλήματα ἐνδιε-
σπαρμένα ταῖς χρείαις περὶ τὸν βίον. ὥσπερ αἰνίττεται τὸ πῦρ ὑπὸ τοῦ προμηθέως
μερισθὲν, ἄλλο ἄλλῃ διασπαρῆναι. καὶ γὰρ τῆς φρονήσεως μόρια καὶ σπάσματα
μικρὰ, θραυομένης καὶ κατακερματιζομένης, εἰς τάξεις κεχώρηκε. θαυμαστὸν
οὖν ἐστι, πῶς αἱ μὲν τέχναι τῆς τύχης οὐδέονται πρὸς τὸ οἰκεῖον τέλος. ἡ δὲ πασῶν με
γίστη καὶ τελειοτάτη τέχνη καὶ τὸ κεφάλαιον τῆς ἀνθρωπίνης εὐφημίας καὶ δικαιο
σύνης οὐδέν ἐστιν, ἀλλ' ἐν ἐπιτάσει χορδῶν καὶ ἀνέσει, εὐβουλία τίς ἐστιν, ἣν μου
σικὴν καλοῦσι, καὶ περὶ ἄρτυσιν ὄψων, ἣν μαγειρικὴν ὀνομάζομεν, καὶ περὶ
πλύσιν ἱματίων, ἣν γναφικήν. τοὺς δὲ παῖδας καὶ ὑποδεῖσθαι καὶ περι-
βάλλεσθαι διδάσκομεν, καὶ τῇ δεξιᾷ λαμβάνειν τοῦ ὄψου, τῇ δὲ ἀριστερᾷ κρα
τεῖν τὸν ἄρτον, ὡς οὐδὲ τούτων γινομένων ἀπὸ τύχης, ἀλλ' ἐπιστάσεως καὶ προσ-
οχῆς δεομένων. τὰ δὲ μέγιστα καὶ κυριώτατα πρὸς εὐδαιμονίαν οὐ παρακα-
λεῖ

λεῖ τὴν φρόνησιν, οὐδὲ μετέχει τοῦ κατὰ λόγον καὶ πρόνοιαν; ἀλλὰ γῆν μὲν
οὐδεὶς ὑδατώσας ἀφῆκεν, ὡς ἀπὸ τύχης καὶ αὐτομάτως πλίνθων ἐσομέ
νων, οὐδ' ἔρια καὶ σκύτη κτησάμενος, κάθηται τῇ τύχῃ προσευχόμενος, ἱμά
τιον αὐτῷ καὶ ὑποδήματα γενέσθαι. χρυσίον δὲ πολὺ συμφορήσας καὶ ἀργύ
ρειον καὶ πλῆθος ἀνδραπόδων καὶ πολυθύρους αὐλὰς περιβαλόμενος, καὶ
κλίνας προθέμενος πολυτελεῖς καὶ τραπέζας, οἴεται ταῦτα, φρονήσεως αὐ
τῷ μὴ παραγενομένης, εὐδαιμονίαν ἔσεσθαι καὶ βίον ἄλυπον καὶ μακάριον
καὶ ἀμετάβλητον; ἠρώτα τις ἰφικράτην τὸν στρατηγόν, ὥσπερ ἐξελέγ-
χων τίς ἐστιν. οὔτε γὰρ ὁπλίτης, οὔτε τοξότης, οὔτε πελταστής, κἀκεῖνος ὁ τού-
τοις ἔφη πᾶσιν ἐπιτάττων καὶ χρώμενος. οὐ χρυσίον ἡ φρόνησις τίς ἐστιν, οὐδ' ἀρ
γύρειον, οὐδὲ δόξα, οὐδὲ πλοῦτος, οὐδ' ὑγίεια, οὐδ' ἰσχύς, οὐδὲ κάλλος, τί οὖν ἐστι; τὸ
πᾶσι καλῶς τούτοις χρῆσθαι δυνάμενον, καὶ δι' ὃ τούτων ἕκαστον, ἡδὺ γίνεται καὶ
ἔνδοξον καὶ ὠφέλιμον, ἄνευ δὲ τούτου, δύσχρηστα καὶ ἄκαρπα καὶ βλαβερὰ καὶ
βαρύνει καὶ καταισχύνει τὸν κεκτημένον. ἦ που καλῶς ὁ ἡσιόδου προμη-
θεὺς τῷ ἐπιμηθεῖ παρακελεύεται, μήποτε δῶρα δέξηται παρὰ ζηνὸς ὀλυμ-
πίου, ἀλλ' ἀποπέμπειν, τὰ τυχηρὰ λέγων καὶ τὰ ἐκτός. ὥσπερ εἰ παρεκελεύετο μὴ
συρίζειν ἄμουσον ὄντα, μηδ' ἀναγινώσκειν ἀγράμματον, μηδὲ ἱππεύειν ἄνιπ-
πον, οὕτως παρακελευόμενος αὐτῷ μὴ ἄρχειν ἀνόητον ὄντα, μηδὲ πλουτεῖν,
ἀνελεύθερον, μηδὲ γαμεῖν κρατούμενον ὑπὸ γυναικός. οὐ γὰρ μόνον τὸ πράσσειν παρὰ τὴν
ἀξίαν, ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται, ὡς δημοσθένης εἶπεν,
ἀλλὰ τὸ εὐτυχεῖν παρὰ τὴν ἀξίαν, ἀφορμὴ τοῦ κακῶς πράττειν τοῖς μὴ φρονοῦσιν.

ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ.

Ἱμάτια δοκεῖ θερμαίνειν τὸν ἄνθρωπον, οὐκ αὐτὰ δή που θερ-
μαίνοντα καὶ προσβάλλοντα τὴν θερμότητα. καθ' ἑαυτὸ γὰρ
ἕκαστον αὐτῶν, ψυχρόν ἐστιν, ἧ καὶ πολλάκις καυματιζόμενοι καὶ
πυρέττοντες, ἐξ ἑτέρων ἕτερα μεταλαμβάνουσιν, ἀλλ' ἣν ὁ ἄνθρωπος
ἀναδίδωσιν ἐξ ἑαυτοῦ θερμότητα, ταύτην ἡ ἐσθὴς τῷ σώματι
προσπεσοῦσα, συνέχει καὶ περιστέλλει, καὶ καθειργνυμένην εἰς τὸ σῶμα, οὐκ ἐᾷ πά
λιν σκεδάννυσθαι. ταὐτὸ δὴ τοῦτο καὶ τοῖς πράγμασιν ὑπάρχον, ἐξαπατᾷ τοὺς πολ
λούς, ἂν οἰκίας μεγάλας περιβάλωνται, καὶ πλῆθος ἀνδραπόδων καὶ χρημάτων συνα
γάγωσιν, ἡδέως βιώσεσθαι. τὸ δ' ἡδέως ζῆν καὶ ἱλαρῶς, οὐκ ἔξωθέν ἐστιν, ἀλλὰ τοὐ
ναντίον ὁ ἄνθρωπος τοῖς περὶ αὐτὸν πράγμασιν ἡδονὴν καὶ χάριν ὥσπερ ἐκ πηγῆς τοῦ ἤθους
προστίθησιν. αἰθομένου δὲ πυρός, γεραρώτερος οἶκος ἰδέσθαι, καὶ πλοῦτος ἡδίων,
καὶ δόξα λαμπροτέρα καὶ δύναμις, ἂν τὸ ἀπὸ τῆς ψυχῆς ἔχῃ γῆθος. ὅπου καὶ
πενίαν, καὶ φυγήν, καὶ γῆρας, ἐλαφρῶς ἡ προσηνὴς πρὸς εὐκολίαν καὶ πρᾳό
τητα τρόπου φέρουσιν. ὡς γὰρ ἀρώματα τρίβωνας εὐώδεις καὶ ῥάκια ποιεῖ,
τὸ δὲ ἀγχίσου σῶμα ἰχῶρα πονηρὸν ἐξεδίδου, μότου κατασταζόντα βυσσι-
νον φάρος, οὕτως μετ' ἀρετῆς καὶ δίαιτα πᾶσα καὶ βίος, ἄλυπός ἐστι καὶ ἐπι
τερπής. ἡ δὲ κακία, καὶ τὰ λαμπρὰ φαινόμενα καὶ πολυτελῆ καὶ σεμνὰ μι-
γνυμένη, λυπηρὰ καὶ ναυτιώδη καὶ δυσπρόσδεκτα παρέχει τοῖς κεκτημένοις.
οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται, ἐπὰν δ' ἀνοίξῃ τὰς θύρας, τρισάθλιος. γυ
νὴ κρατεῖ πάντων, ἐπιτάττει, μάχεται. καίτοι γυναικὸς οὐ χαλεπῶς ἄν τις ἀ-
παλλαγείη χρηστὸς ὢν ἀνὴρ καὶ μὴ ἀνδράποδον. πρὸς δὲ τὴν ἑαυτοῦ κακίαν οὐκ ἔστι
γραψάμενον ἀπολείψεως ἤδη πραγμάτων ἀφεῖσθαι καὶ ἀναπαύσασθαι γενόμενον καθ'

καὶ ταύρων γονὰς δοὺς ἀντίδωρα, σὺν πόνων ἐκδέκτορα κατ' Αἰσχύλον. ἐπεὶ τύχη γε καὶ φύσει γενέσεως, ἄμεινον τὰ πλεῖστα τῶν ἀλόγων κέχρηται. τὰ μὲν γὰρ ὥπλισται κέρασι καὶ ὀδοῦσι καὶ κέντροις· αὐτὰρ ἐχίνοις φησὶν Ἐμπεδοκλῆς, ὀξυβελὴς δέ τε νώτοις ἐπιπέφρικασι, καὶ ὑποδέδεται καὶ ἠμφίεσται φολίσι καὶ λάχναις καὶ χηλαῖς καὶ ὁπλαῖς ἀποκρότοις· μόνος δ' ὁ ἄνθρωπος κατὰ τὸν Πλάτωνα, γυμνὸς καὶ ἄοπλος καὶ ἀνυπόδετος καὶ ἄστρωτος ὑπὸ τῆς φύσεως ἀπολέλειπται. ἀλλ' ἓν διδοῦσα, πάντα μαλθάσσεται τάδε, τὸν λογισμὸν καὶ τὴν ἐπιμέλειαν, καὶ τὴν πρόνοιαν. βραχὺ μὲν σθένος ἀνδρός, ἀλλὰ ποικιλίᾳ πραπίδων, δεινὰ μὲν πόντου, χθονίων δὲ ὀρέων δάμναται παιδεύματα. κουφότατον ἵπποι καὶ ὠκύτατον, ἀνθρώποις δὲ θέουσι. μάχιμον κύων καὶ θυμοειδές, ἀνθρώπων φυλάττει. ἰχθύς, πολύσαρκον καὶ ὗς, ἀνθρώποις τροφὴ καὶ ὄψον ἐστί. τί μεῖζον ἐλέφαντος ἢ φοβερώτερον ἰδεῖν, ἀλλὰ καὶ οὗτος παίγνιον γέγονεν ἀνθρώπου, καὶ θέαμα πανηγυρικόν, ὀρχήσεις τε μανθάνει καὶ χορείας καὶ προσκυνήσεις· οὐκ ἀχρήστως τῶν τοιούτων παρεισαγομένων, ἀλλ' ἵνα μανθάνωμεν ποῦ τὸν ἄνθρωπον ἡ φρόνησις αἴρει, τίνων καὶ ὑπεράνω ποιεῖ, καὶ πλείω κρατεῖ πάντων καὶ περίεστιν. οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες, οὐδὲ παλαισταί, οὐδὲ ποσὶ κραιπνῶς θέομεν, ἀλλ' ἐν πᾶσι τούτοις, ἀτυχέστεροι τῶν θηρίων ἐσμέν, ἐμπειρίᾳ δὲ καὶ μνήμῃ καὶ σοφίᾳ καὶ τέχνῃ κατὰ Ἀναξαγόραν, σφῶν τε αὐτῶν χρώμεθα, καὶ βλίττομεν, καὶ ἀμέλγομεν, καὶ φέρομεν, καὶ ἄγομεν συλλαμβάνοντες, ὥστε ἐνταῦθα μηδὲν τῆς τύχης, ἀλλὰ πάντα τῆς εὐβουλίας εἶναι καὶ τῆς προνοίας. ἀλλὰ μὴν καὶ τὰ τεκτόνων δή που πράγματα, θνητῶν ἐστι, καὶ τὰ χαλκοτύπων, καὶ οἰκοδόμων, καὶ ἀνδριαντοποιῶν, ἐν οἷς οὐδὲν αὐτομάτως, οὐδ' ὡς ἔτυχε κατορθούμενον ὁρῶμεν, καὶ εἰ μὲν βραχεῖα σοφῷ τύχη παρεμπίπτει χαλκοτύπῳ τε καὶ οἰκοδόμῳ, τὰ δὲ πλεῖστα καὶ μέγιστα τῶν ἔργων, αἱ τέχναι συντελοῦσι δι' αὐτῶν, καὶ ὁ ποιητὴς ὑποδεδήλωκε. βᾶτε εἰς ὁδὸν δὴ πᾶς ὁ χειρῶναξ λεώς, οἳ τὴν Διὸς γοργῶπιν ἐργάνην στατὸν τοῖς λίκνοισι προστρέπεσθε. τὴν γὰρ ἐργάνην καὶ τὴν Ἀθηνᾶν αἱ τέχναι πάρεδρον, οὐ τὴν τύχην ἔχουσιν. ἕνα μέντοι φασὶν ἵππον ζωγραφοῦντα, τοῖς μὲν ἄλλοις κατορθοῦν εἴδεσι καὶ χρώμασι, τοῦ δὲ ἀφροῦ τὴν περὶ τῷ χαλινῷ κοπτομένην χαυνότητα καὶ συνεκπίπτουσαν τῷ ἄσθματι μὴ ἀρέσκειν ἑαυτῷ γράφοντα, πολλάκις γοῦν ἐξαλείφειν, τέλος δὲ ὑπ' ὀργῆς προσβαλεῖν τῷ πίνακι τὸν σπόγγον, ὥσπερ εἶχε τῶν φαρμάκων ἀνάπλεων. τὸν δὲ προσπεσόντα θαυμαστῶς ἐναπομάξαι καὶ ποιῆσαι τὸ δέον, τοῦτο ἔντεχνον τύχης μόνον ἱστορεῖται. κανόσι καὶ σταθμοῖς καὶ μέτροις καὶ ἀριθμοῖς, πανταχοῦ χρῶνται, ἵνα μηδαμοῦ τὸ εἰκῆ καὶ ὡς ἔτυχε τοῖς ἔργοις ἐγγένηται, καὶ μὴν αἱ τέχναι μικραί τινες εἶναι λέγονται φρονήσεις, μᾶλλον δὲ ἀπόρροιαι, καὶ προσζίματα ἐνδιεσπαρμένα ταῖς χρείαις περὶ τὸν βίον. ὥσπερ αἰνίττεται τὸ πῦρ ὑπὸ τοῦ Προμηθέως μερισθέν, ἄλλο ἄλλῃ διασπαρῆναι. καὶ γὰρ τῆς φρονήσεως μόρια καὶ σπάσματα μικρά, θραυομένης καὶ κατακερματιζομένης, εἰς τάξεις κεχώρηκε. θαυμαστὸν οὖν ἐστι, πῶς αἱ μὲν τέχναι τῆς τύχης οὐδέονται πρὸς τὸ οἰκεῖον τέλος. ἡ δὲ πασῶν μεγίστη καὶ τελειοτάτη τέχνη καὶ τὸ κεφάλαιον τῆς ἀνθρωπίνης εὐφημίας καὶ δικαιώσεως οὐδέν ἐστιν, ἀλλ' ἐν ἐπιτάσει χορδῶν καὶ ἀνέσει, εὐβουλία τίς ἐστιν, ἣν μουσικὴν καλοῦσι, καὶ περὶ ἄρτυσιν ὄψων, ἣν μαγειρικὴν ὀνομάζομεν, καὶ περὶ πλύσιν ἱματίων, ἣν γναφικήν. τοὺς δὲ παῖδας καὶ ὑποδεῖσθαι καὶ περιβάλλεσθαι διδάσκομεν, καὶ τῇ δεξιᾷ λαμβάνειν τοῦ ὄψου, τῇ δὲ ἀριστερᾷ κρατεῖν τὸν ἄρτον, ὡς οὐδὲ τούτων γινομένων ἀπὸ τύχης, ἀλλ' ἐπιστάσεως καὶ προσοχῆς δεομένων. τὰ δὲ μέγιστα καὶ κυριώτατα πρὸς εὐδαιμονίαν οὐ παρακα-

λεῖ

λεῖ τὴν φρόνησιν, οὐδὲ μετέχει τοῦ κατὰ λόγον καὶ πρόνοιαν; ἀλλὰ γῆν μὲν οὐδεὶς ὕδατι δεύσας ἀφῆκεν, ὡς ἀπὸ τύχης καὶ αὐτομάτως πλίνθων ἐσομένων, οὐδ' ἔρια καὶ σκύτη κτησάμενος, κάθηται τῇ τύχῃ προσευχόμενος, ἱμάτιον αὐτῷ καὶ ὑποδήματα γενέσθαι. χρυσίον δὲ πολὺ συμφορήσας καὶ ἀργύριον καὶ πλῆθος ἀνδραπόδων καὶ πολυθύρους αὐλὰς περιβαλόμενος, καὶ κλίνας προθέμενος πολυτελεῖς καὶ τραπέζας, οἴεται ταῦτα, φρονήσεως αὐτῷ μὴ παραγενομένης, εὐδαιμονίαν ἔσεσθαι καὶ βίον ἄλυπον καὶ μακάριον καὶ ἀμετάβλητον; ἠρώτα τὶς Ἰφικράτην τὸν στρατηγόν, ὥσπερ ἐξελέγχων τίς ἐστιν. οὔτε γὰρ ὁπλίτης, οὔτε τοξότης, οὔτε πελταστής, κἀκεῖνος ὁ τούτοις ἔφη πᾶσιν ἐπιτάττων καὶ χρώμενος. οὐ χρυσίον ἡ φρόνησίς τίς ἐστιν, οὐδ' ἀργύριον, οὐδὲ δόξα, οὐδὲ πλοῦτος οὐδ' ὑγίεια, οὐδ' ἰσχύς, οὐδὲ κάλλος, τί οὖν ἐστι; τὸ πᾶσι καλῶς τούτοις χρῆσθαι δυνάμενον, καὶ δι' ὃ τούτων ἕκαστον, ἡδύ γίνεται καὶ ἔνδοξον καὶ ὠφέλιμον, ἄνευ δὲ τούτου, δύσχρηστα καὶ ἄκαρπα καὶ βλαβερὰ καὶ βαρύνει καὶ καταισχύνει τὸν κεκτημένον. ἦ που καλῶς ὁ Ἡσιόδου Προμηθεὺς τῷ Ἐπιμηθεῖ παρακελεύεται, μήποτε δῶρα δέξηται παρὰ Ζηνὸς Ὀλυμπίου, ἀλλ' ἀποπέμπειν τὰ τυχηρὰ λέγων καὶ τὰ ἐκτός. ὡς εἴπερ ἐκέλευε μὴ συρίζειν ἄμουσον ὄντα, μηδ' ἀναγινώσκειν ἀγράμματον, μὴ δὲ ἱππεύειν ἄνιππον, οὕτως παρακελευόμενος αὐτῷ μὴ ἄρχειν ἀνόητον ὄντα, μὴ δὲ πλουτεῖν, ἀνελεύθερον, μὴ δὲ γαμεῖν κρατούμενον ὑπὸ γυναικός. τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν, ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται, ὡς Δημοσθένης εἶπεν, ἀλλὰ τὸ εὐτυχεῖν παρὰ τὴν ἀξίαν, ἀφορμὴ τοῦ κακῶς πράττειν τοῖς μὴ φρονοῦσι.

ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ.

Ἱμάτια δοκεῖ θερμαίνειν τὸν ἄνθρωπον, οὐκ αὐτά δή που θερμαίνοντα καὶ προσβάλλοντα τὴν θερμότητα· καθ' ἑαυτὸ γὰρ ἕκαστον αὐτῶν, ψυχρόν ἐστιν, ᾗ καὶ πολλάκις καυματιζόμενοι καὶ πυρέττοντες, ἐξ ἑτέρων ἕτερα μεταλαμβάνουσιν, ἀλλ' ἣν ὁ ἄνθρωπος ἀναδίδωσιν ἐξ ἑαυτοῦ θερμότητα, ταύτην ἡ ἐσθὴς τῷ σώματι προσπεσοῦσα, συνέχει καὶ περιστέλλει, καὶ καθειργνυμένην εἰς τὸ σῶμα, οὐκ ἐᾷ πάλιν σκεδάννυσθαι. ταυτὸ δὴ τοῦτο τοῖς πράγμασιν ὑπάρχον, ἐξαπατᾷ τοὺς πολλούς, ἂν οἰκίας μεγάλας περιβάλωνται, καὶ πλῆθος ἀνδραπόδων καὶ χρημάτων συναγάγωσιν, ἡδέως βιωσομένους. τὸ δὲ ἡδέως ζῆν καὶ ἱλαρῶς, οὐκ ἔξωθέν ἐστιν, ἀλλὰ τοὐναντίον ὁ ἄνθρωπος τοῖς περὶ αὐτὸν πράγμασιν ἡδονὴν καὶ χάριν ὥσπερ ἐκ πηγῆς τοῦ ἤθους προστίθησιν. αἰθομένου δὲ πυρός, γεραρώτερος οἶκος ἰδέσθαι· καὶ πλοῦτος ἡδίων, καὶ δόξα λαμπροτέρα καὶ δύναμις, ἂν τὸ ἀπὸ τῆς ψυχῆς ἔχῃ γῆθος· ὅπου καὶ πενίαν, καὶ φυγήν, καὶ γῆρας, ἐλαφρῶς καὶ προσηνῶς πρὸς εὐκολίαν καὶ πραότητα τρόπου φέρουσιν. ὡς γὰρ ἀρώματα τρίβωνας εὐώδεις καὶ ῥάκια ποιεῖ, τὸ δὲ Ἀγχίσου τὸ ῥάκος ἰχῶρα πονηρὸν ἐξελίσσου, μότου καταστάζοντα βύσσινον φᾶρος, οὕτως μετ' ἀρετῆς καὶ δίαιτα πᾶσα καὶ βίος, ἄλυπός ἐστι καὶ ἐπιτερπής. ἡ δὲ κακία, καὶ τὰ λαμπρὰ φαινόμενα καὶ πολυτελῆ καὶ σεμνὰ μιγνυμένη, λυπηρὰ καὶ ναυτιώδη καὶ δυσπρόσδεκτα παρέχει τοῖς κεκτημένοις. οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται, ἐπὰν δ' ἀνοίξῃ τὰς θύρας τρισάθλιος. γυνὴ κρατεῖ πάντων, ἐπιτάττει, μάχεται. καίτοι γυναικὸς οὐ χαλεπῶς ἄν τις ἀπαλλαγείη πονηρᾶς, ἀνὴρ ὢν μὴ δ' ἀνδράποδον. πρὸς δὲ τὴν ἑαυτοῦ κακίαν οὐκ ἔστι γραψάμενον ἀπόλειψιν ἤδη πραγμάτων ἀφεῖσθαι καὶ ἀναπαύεσθαι γενόμενον καθ'

αὐτόν, ἀλλ' ἀεὶ συνοικοῦσα τοῖς σπλάγχνοις καὶ προσπεφυκυῖα νύκτωρ καὶ μεθ' ἡμέραν, ὕει ἅτερ δαλοῦ καὶ ὠμῷ γήραϊ δῶκε, βαρεῖα συνέκδημος οὖσα δι' ἀλαζονείαν, καὶ πολυτελὴς σύνδειπνος ὑπὸ λιχνείας, καὶ σύγκοιτος ὀδυνηρὰ φροντίσι καὶ μερίμναις καὶ ζηλοτυπίαις ἐκκόπτουσα τὸν ὕπνον καὶ διαφθείρουσα. καὶ γὰρ ὁ καθεύδουσι, τοῦ σώματος ὕπνος ἐστὶ καὶ ἀνάπαυσις, τῆς δὲ ψυχῆς πτοῖαι καὶ ὄνειροι καὶ ταραχαί, διὰ δεισιδαιμονίαν. ὅταν δὲ νυστάζοντά με λύπη λάβῃ, ἀπόλλυμαι ὑπὸ τῶν ἐνυπνίων φησί τις. οὕτω δὲ καὶ φθόνος καὶ φόβος καὶ θυμὸς καὶ ἀκολασία, διατίθησι. μεθ' ἡμέραν μὲν γὰρ ἔξω βλέπουσα καὶ συσχηματιζομένη ἡ κακία πρὸς ἑτέρους, δυσωπεῖται καὶ περικαλύπτει τὰ πάθη, καὶ οὐ παντάπασι ταῖς ὁρμαῖς ἐκδίδωσιν ἑαυτήν, ἀλλ' ἀντιτείνει καὶ μάχεται πολλάκις. ἐν δὲ τοῖς ὕπνοις ἀποφυγοῦσα δόξας καὶ νόμους, καὶ πορρωτάτω γενομένη τοῦ δεδιέναι καὶ αἰδεῖσθαι, πᾶσαν ἐπιθυμίαν κινεῖ, καὶ ἐπανεγείρει τὸ κακόηθες καὶ τὸ ἀκόλαστον. μητρί τε γὰρ ἐπιχειρεῖ μίγνυσθαι ὥς φησιν ὁ Πλάτων, καὶ βρώσεις ἀθέσμους προσάγεται, καὶ πράξεως οὐδεμιᾶς ἀπέχεται, ἀπολαύουσα τοῦ παρανομεῖν ὡς ἀνυστόν ἐστιν εἰδώλοις καὶ φάσμασιν, εἰς οὐδεμίαν ἡδονὴν οὐδὲ τελείωσιν τοῦ ἐπιθυμοῦντος τελευτῶσιν, ἀλλὰ κινεῖν μόνον καὶ διαγριαίνειν τὰ πάθη καὶ τὰ νοσήματα δυναμένοις. ποῦ τοίνυν τὸ ἡδὺ τῆς κακίας ἐστίν, εἰ μηδαμοῦ τὸ ἀμέριμνον, τὸ ἄλυπον, μηδὲ αὐτάρκεια, μηδὲ ἀταραξία, μηδὲ ἡσυχία. ταῖς μὲν γὰρ τῆς σαρκὸς ἡδοναῖς, ἡ τοῦ σώματος εὐκρασία καὶ ὑγίεια, χώραν καὶ γένεσιν δίδωσι. τῇ δὲ ψυχῇ οὐκ ἔστιν ἐγγενέσθαι γῆθος οὐδὲ χαρὰν, ἂν μὴ τὸ ἄφοβον καὶ θαρραλέον, ὥσπερ ἕδραν ἢ γαλήνην ἄκλυστον ὑποβάληται. ἀλλὰ κἂν ὑπομειδιάσῃ τις ἐλπὶς ἢ τέρψις, αὕτη ταχὺ φροντίδος ἐκραγείσης ὥσπερ ἐν εὐδίᾳ σπιλάδος συνεχύθη καὶ συνεταράχθη. ἄθροιζε χρυσίον, συνάγε ἀργύριον, οἰκοδόμει περιπάτους, ἔμπλησον ἀνδραπόδων τὴν οἰκίαν, καὶ χρεωστῶν τὴν πόλιν, ἂν μὴ τὰ πάθη τῆς ψυχῆς κατασορέσῃς, καὶ τὴν ἀπληστίαν παύσῃς, καὶ φόβων καὶ φροντίδων ἀπαλλάξῃς σαυτόν, οἶνον διηθεῖς πυρέττοντι, καὶ χολικῷ μέλι προσφέρεις καὶ σιτία καὶ ὄψα κοιλιακοῖς ἑτοιμάζεις καὶ δυσεντερικοῖς μὴ στέγουσι μηδὲ ῥωννυμένοις, ἀλλὰ προσδιαφθειρομένοις ὑπ' αὐτῶν. οὐχ ὁρᾷς τοὺς νοσοῦντας ὅτι τῶν βρωμάτων τὰ καθαριώτατα καὶ πολυτελέστερα δυσχεραίνουσι καὶ διαπτύουσι καὶ παραιτοῦνται, προσφερόντων καὶ βιαζομένων. εἶτα τῆς κράσεως μεταβαλούσης καὶ πνεύματος χρηστοῦ, καὶ γλυκέος αἵματος ἐγγενομένου καὶ θερμότητος οἰκείας, ἀναστάντες ἄρτον λιτὸν ἐπὶ τυρῷ καὶ καρδάμῳ χαίρουσι, καὶ ἀσμενίζουσιν ἔσθοντες; τοιαύτην ὁ λόγος ἐμποιεῖ τῇ ψυχῇ διάθεσιν. καὶ αὐτάρκης ἔσῃ, ἐὰν μάθῃς τί τὸ καλὸν καὶ ἀγαθόν ἐστι. τρυφήσεις ἐν πενίᾳ καὶ βασιλεύσεις, καὶ τὸν ἀπράγμονα βίον καὶ ἰδιώτην οὐδὲν ἧττον ἀγαπήσεις, ἢ τὸν ἐπὶ στρατηγίαις καὶ ἡγεμονίαις. οὐ βιώσῃ φιλοσοφήσας ἀηδῶς, ἀλλὰ πανταχοῦ ζῆν ἡδέως μαθήσῃ. καὶ ἀπὸ πάντων εὐφρανεῖ σε πλοῦτος, πολλοὺς εὐεργετοῦντα, καὶ πενία, πολλὰ μὴ μεριμνῶντα, καὶ δόξα, τιμώμενον, καὶ ἀδοξία μὴ φθονούμενον.

ΠΑΡΑΜΥΘΗΤΙΚΟΣ ΠΡΟΣ ΑΠΟΛΛΩΝΙΟΝ.

Καὶ πάλαι σοι συνήλγησα καὶ συνηχθέσθην ἀπολλώνιε, ἀκούσας περὶ τῆς τοῦ προσφιλεστάτου πᾶσιν ἡμῖν υἱοῦ σου προώρου μεταλλαγῆς τοῦ βίου, νεανίσκου κοσμίου πάνυ καὶ σώφρονος, καὶ διαφερόντως τά τε πρὸς θεοὺς, καὶ τὰ γονεῖς καὶ φίλους, ὅσια καὶ δίκαια διαφυλάξαντος. τότε μὲν οὖν παρὰ τὸν τῆς τελευτῆς καιρὸν, ἐντυγχάνειν σοι καὶ παρακαλεῖν ἀνθρωπίνως φέρειν τὸ συμβεβηκὸς, ἀνοίκειον ἦν, παρειμένον τό, τε σῶμα καὶ τὴν ψυχὴν ὑπὸ τῆς παραλόγου συμφορᾶς, καὶ συμπαθεῖν δ' ἦν ἀναγκαῖον. οὐδὲ γὰρ οἱ βέλτιστοι τῶν ἰατρῶν πρὸς τὰς ἀθρόας τῶν ῥευμάτων ἐπιφορὰς, εὐθὺς προσφέρουσι τὰς διὰ τῶν φαρμάκων βοηθείας, ἀλλ' ἐῶσι τὸ βαρῦνον τῆς φλεγμονῆς, διὰ τῆς τῶν ἔξωθεν ἐπιχρίστων ἐπιθέσεως, αὐτὸ δι' αὑτοῦ λαβεῖν πέψιν. ἐπειδὴ οὖν καὶ χρόνος ὁ πάντα πεπαίνειν εἰωθὼς ἐγγέγονε τῇ συμφορᾷ, καὶ ἡ περὶ σὲ διάθεσις ἀπαιτεῖν ἔοικε τὴν παρὰ τῶν φίλων βοήθειαν, καλῶς ἔχειν ὑπέλαβον, τῶν παραμυθητικῶν σοι μεταδοῦναι λόγων, πρὸς ἄνεσιν τῆς λύπης, καὶ παῦλαν τῶν πενθικῶν καὶ ματαίων ὀδυρμῶν. ψυχῆς γὰρ νοσούσης εἰσὶν ἰατροὶ λόγοι, ὅταν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ. κατὰ γὰρ τὸν σοφὸν Εὐριπίδην, ἄλλῃ ἐπ' ἄλλῃ φάρμακον κεῖται νόσῳ, λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλων, ἄγαν δὲ μωραίνοντι, νουθετήματα. πολλῶν γὰρ ὄντων ψυχικῶν παθῶν, ἡ λύπη χαλεπωτάτη πέφυκεν εἶναι πάντων. διὰ λύπην γάρ φασι, καὶ μανίαν γίνεσθαι πολλοῖς, καὶ νοσήματ' οὐκ ἰάσιμα. αὑτοὺς τ' ἀνῃρήκασι διὰ λύπην τινές. τὸ μὲν οὖν ἀλγεῖν καὶ δάκνεσθαι τελευτήσαντος υἱοῦ, φυσικὴν ἔχει τὴν ἀρχὴν τῆς λύπης καὶ οὐκ ἐφ' ἡμῖν. οὐ γὰρ ἔγωγε συμφέρομαι τοῖς τὴν ἄγριον ὑμνοῦσι καὶ σκληρὰν ἀπάθειαν, ἔξω καὶ τοῦ δυνατοῦ καὶ τοῦ συμφέροντος οὖσαν. ἀφαιρήσεται γὰρ ἡμῶν αὕτη τὴν ἐκ τοῦ φιλεῖσθαι καὶ φιλεῖν εὔνοιαν, ἣν παντὸς μᾶλλον διασῴζειν ἀναγκαῖον. τὸ δὲ πέρα τοῦ μέτρου παρεκφέρεσθαι καὶ συναύξειν τὰ πένθη, παρὰ φύσιν εἶναί φημι, καὶ ὑπὸ τῆς ἐν ἡμῖν φαύλης γίνεσθαι δόξης. διὸ καὶ τοῦτο μὲν ἐατέον ὡς βλαβερὸν καὶ φαῦλον, καὶ σπουδαίοις ἀνδράσιν ἥκιστα πρέπον. τὴν δὲ μετριοπάθειαν, οὐκ ἀποδοκιμαστέον. μὴ γὰρ νοσοῖμεν φησὶν ὁ ἀκαδημιακὸς Κράντωρ, νοσήσασι δὲ, παρείη τις αἴσθησις. εἴτ' οὖν τέμνοιτό τι τῶν ἡμετέρων, εἴτ' ἀποσπῷτο, τὸ γὰρ ἀνώδυνον τοῦτο, οὐκ ἄνευ μεγάλων ἐγγίνεται μισθῶν τῷ ἀνθρώπῳ. τεθηριῶσθαι γὰρ εἰκὸς, ἐκεῖ μὲν σῶμα τοιοῦτον, ἐνταῦθα δὲ ψυχήν. οὔτ' οὖν ἀπαθεῖς εἶναι ἐπὶ τῶν τοιούτων συμφορῶν ὁ λόγος ἀξιοῖ γίνεσθαι τοὺς εὖ φρονοῦντας, οὔτε δυσπαθεῖς. τὸ μὲν γὰρ, ἄτεγκτον καὶ θηριῶδες, τὸ δ' ἐκλελυμένον καὶ γυναικοπρεπές. εὐλόγιστος δ' ὁ τὸν οἰκεῖον ὅρον ἔχων καὶ δυνάμενος φέρειν δεξιῶς, τά τε προσηνῆ καὶ τὰ λυπηρὰ τῶν ἐν τῷ βίῳ συμβαινόντων, καὶ προειληφὼς ὅτι καθάπερ ἐν δημοκρατίᾳ, κλῆρός ἐστι τῶν ἀρχῶν, καὶ δεῖ λαχόντα μὲν ἄρχειν, ἀπολαχόντα δὲ, φέρειν ἀνεπαχθῶς τὴν τύχην, οὕτω καὶ τῇ διανομῇ τῶν πραγμάτων, ἀνεγκλήτως καὶ πειθηνίως ἕπεσθαι. τοῦτο γὰρ οἱ μὴ δυνάμενοι ποιεῖν, οὐδὲ τὰς εὐπραγίας ἂν εὐφρόνως φέρειν δύναιντο καὶ μετρίως. τῶν μὲν γὰρ καλῶς λεγομένων ἐστὶν ἐν ὑποθήκης μέρει καὶ τοῦτο. μὴ δ' εὐτύχημα μηδὲν ὧδ' ἔστω μέγα ὅ σ' ἐξεπαίρῃ μεῖζον, ἢ χρεὼν φρονεῖν, μὴ δ' αὖ τι συμβῇ δυσχερὲς δουλοῦ πάλιν, ἀλλ' αὐτὸς ἀεὶ μένε τὴν σαυτοῦ φύσιν σῴζων βεβαίως, ὥστε χρυσὸς ἐν πυρί. πεπαιδευμένων γάρ ἐστι καὶ σωφρόνων ἀνδρῶν, πρός τε τὰς δοκούσας εὐτυχίας τὸν αὐτὸν

εἶναι, καὶ πρὸς τὰς ἀτυχίας γενναίως φυλάξαι τὸ πρέπον. τῆς γὰρ εὐλογιστίας ἔργον ἐστὶν, ἢ τὸ φυλάξασθαι τὸ κακὸν ἐπιφερόμενον, ἢ διορθώσασθαι γινόμενον, καὶ συστεῖλαι πρὸς τὸ βραχύτατον, ἢ παρασκευάζειν αὐτῷ τὴν ὑπομονὴν ἄρρενα καὶ γενναίαν. καὶ γὰρ περὶ τἀγαθὸν ἡ φρόνησις πραγματεύεται τετραχῶς, ἢ κτωμένη τἀγαθὰ, ἢ φυλάττουσα, ἢ αὔξουσα, ἢ χρωμένη δεξιῶς. οὗτοι τῆς φρονήσεως καὶ τῶν ἄλλων ἀρετῶν εἰσι κανόνες, οἷς πρὸς ἀμφότερα χρηστέον. οὐκ ἔστι γὰρ ὅς τις πάντ᾽ ἀνὴρ εὐδαιμονεῖ. καὶ νὴ Δία, τὸ τοι χρεὼν, οὐκ ἔστι μὴ χρεὼν ποιεῖν. ὥσπερ γὰρ ἐν φυτοῖς ποτὲ μὲν πολυκαρπίαι γίνονται, ποτὲ δ᾽ ἀκαρπίαι, καὶ ἐν ζώοις ποτὲ μὲν πολυγονίαι, ποτὲ δὲ καὶ ἀγονίαι, καὶ ἐν θαλάττῃ εὐδίαι τε καὶ χειμῶνες, οὕτω καὶ ἐν βίῳ πολλαὶ καὶ ποικίλαι περιστάσεις γινόμεναι, πρὸς τὰς ἐναντίας περιάγουσι τοὺς ἀνθρώπους τύχας. εἰς ἃς διαβλέψας ἄν τις, οὐκ ἀπεικότως εἴποι, οὐκ ἐπὶ πᾶσί σ᾽ ἐφύτευσ᾽ ἀγαθοῖς Ἀγάμεμνον Ἀτρεύς. δεῖ δέ σε χαίρειν καὶ λυπεῖσθαι, θνητὸς γὰρ ἔφυς. κἂν μὴ σὺ θέλῃς, τῶν θεῶν οὕτω βουλομένων, ἔσται. καὶ τὸ ἀπὸ τοῦ Μενάνδρου ἐνθέν. εἰ γὰρ ἐγένου σὺ τρόφιμε τῶν πάντων μόνος, ὅτ᾽ ἔτικτεν ἡ μήτηρ σε, ἐφ᾽ ᾧ γε διατελεῖν πράττων ἃ βούλει, καὶ διευτυχῶν ἀεί, καὶ τοῦτο τῶν θεῶν τίς ὡμολόγησέ σοι, ὀρθῶς ἀγανακτεῖς. ἔστι γὰρ ἐψευσμένος, ἄτοπόν τε πεποίηκεν. εἰ δ᾽ ἐπὶ τοῖς αὐτοῖς νόμοις ἐφ᾽ οἷσπερ ἡμεῖς ἔσπασας τὸν ἀέρα τὸν κοινὸν, ἵνα σοι τραγικώτερον λαλῶ, οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον. τὸ δὲ κεφάλαιον τῶν λόγων, ἄνθρωπος εἶ, οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος, καὶ πάλιν ταπεινότητα, ζῷον οὐθὲν λαμβάνει, καὶ μάλα δικαίως. ἀσθενέστατον γὰρ ὂν φύσει, μεγίστοις οἰκονομεῖται πράγμασιν. ὅταν πέσῃ δὲ πλεῖστα συντρίβει καλά. σὺ δ᾽ οὔθ᾽ ὑπερβάλλοντα τρόφιμ᾽ ἀπώλεσας ἀγαθά. τανῦν δ᾽ ἔστι μέτριά σοι κακά. ὥστ᾽ ἀνὰ μέσον που καὶ τὸ λοιπὸν φέρε. ἀλλ᾽ ὅμως τοιούτων ὄντων τῶν πραγμάτων, ἔνιοι διὰ τὴν ἀφροσύνην, οὕτως εἰσὶν ἀβέλτεροι, καὶ κεναυχεῖς, ὥστε μικρὸν ἐπαρθέντες, ἢ διὰ χρημάτων περιουσίαν ἄφθονον, ἢ διὰ μέγεθος ἀρχῆς, ἢ διά τινας προεδρίας πολιτικὰς, ἢ διὰ τιμὰς καὶ δόξας, ἐπαπειλεῖν τοῖς ἥττοσι καὶ ἐξυβρίζειν, οὐκ ἐνθυμούμενοι τὸ τῆς τύχης ἄστατον καὶ ἀβέβαιον, οὐδ᾽ ὅτι ῥαδίως τὰ ὑψηλὰ γίνεται ταπεινὰ, καὶ τὰ χθαμαλὰ πάλιν ὑψοῦται ταῖς ὀξυρρόποις μεθιστάμενα τῆς τύχης μεταβολαῖς. ζητεῖν οὖν ἐν ἀβεβαίοις βέβαιόν τι, λογιζομένων ἐστὶ περὶ τῶν πραγμάτων οὐκ ὀρθῶς. τροχοῦ γὰρ περιστείχοντος, ἄλλοθ᾽ ἡτέρα ἁψὶς ὕπερθε γίγνετ᾽ ἄλλοθ᾽ ἡτέρα. κράτιστον δὲ πρὸς ἀλυπίαν φάρμακον, ὁ λόγος, καὶ ἡ διὰ τούτου παρασκευὴ πρὸς πάσας τοῦ βίου μεταβολάς. χρὴ γὰρ οὐ μόνον ἑαυτὸν θνητὸν εἰδέναι ὄντα τὴν φύσιν, ἀλλὰ καὶ ὅτι θνητῷ σύγκληρός ἐστι βίῳ, καὶ πράγμασι ῥαδίως μεθισταμένοις πρὸς τοὐναντίον. ἀνθρώπων γὰρ ὄντως, θνητὰ μὲν καὶ ἐφήμερα τὰ σώματα, θνηταὶ δὲ τύχαι καὶ πάθη, καὶ πάνθ᾽ ἁπλῶς τὰ κατὰ τὸν βίον, ἅπερ οὐκ ἔστι φυγεῖν βροτὸν, οὐδ᾽ ὑπαλύξαι τὸ παράπαν. ἀλλὰ ταρτάρου πυθμένα πιέζεις ἀφανοῦς σφυρηλάτοις ἀνάγκαις ὥς φησι Πίνδαρος. ὅθεν ὀρθῶς ὁ Φαληρεὺς Δημήτριος, εἰπόντος Εὐριπίδου, ὁ δ᾽ ὄλβος οὐ βέβαιος ἀλλ᾽ ἐφήμερος, καὶ ὅτι μικρότατα σφάλλονται, καὶ μία ἡμέρα τὰ μὲν, καθεῖλεν ὑψόθεν, τὰ δ᾽ ἦρ᾽ ἄνω. τὰ μὲν ἄλλα καλῶς ἔφη λέγειν αὐτόν. βέλτιον δ᾽ ἂν ἔχειν, εἰ μὴ μίαν ἡμέραν, ἀλλὰ στιγμὴν εἶπε χρόνου. κύκλος γὰρ αὐτὸς καρπίμοις τε γῆς φυτοῖς, θνητῶν γενεᾶς τοῖς μὲν αὔξεται βίος, τῶν δὲ φθίνει τε καὶ θερίζεται πάλιν. ὁ δὲ Πίνδαρος ἐν ἄλλοις. τί δέ τις. τί δ᾽ οὔ τις. σκιᾶς ὄναρ ἄνθρωπος. ἐκφαντικῶς σφόδρα καὶ φιλοτέχνως ὑπερβολῇ χρησάμενος, τὸν τῶν ἀνθρώπων βίον ἐδήλωσε. τί γὰρ σκιᾶς

ἀσθενέστερον, τὸ δὲ ταύτης ὄναρ, οὐδ᾽ ἂν ἐκφράσαι τις ἕτερος δυνηθείη σαφῶς. τούτοις δ᾽ ἑπόμενος καὶ ὁ Κράντωρ παραμυθούμενος ἐπὶ τῇ τῶν τέκνων τελευτῇ τὸν Ἱπποκλέα, φησί. ταῦτα γὰρ πᾶσα ἡ ἀρχαία αὕτη φιλοσοφία λέγει τε καὶ παρακελεύεται. ὧν εἰ δή τι ἄλλο μὴ ἀποδεχόμεθα, τό γε πολλαχῆ εἶναι ἐργώδη καὶ δύσκολον τὸν βίον, ἄγαν ἀληθές, καὶ γὰρ εἰ μὴ φύσει τοιοῦτον ἔχει τὸν τρόπον, ὑπό γε ἡμῶν εἰς ταύτην ἀφῖκται διαφθορὰς, ἥ τε ἄδηλος αὕτη τύχη πόρρωθεν ἡμῖν καὶ ἔτι ἀπ᾽ ἀρχῆς ἠκολούθηκεν, οὐδ᾽ ἐφ᾽ ἑνὶ ὑγιεῖ. φυομένοις τε μίγνυταί τις ἐν πᾶσι κακοῦ μοῖρα. τὰ γάρ τοι σπέρματα εὐθὺς θνητὰ, ταύτης κοινωνεῖ τῆς αἰτίας, ἐξ ἧς ἀφυΐα μὲν ψυχῆς, νόσοι τε καὶ κήδεα καὶ μοῖρα θνητῶν ἐκεῖθεν ἡμῖν ἕρπει. τοῦ δὴ χάριν ἐξετασόμεθα δεῦρο, ἵν᾽ εἰδείημεν ὅτι καινὸν ἀτυχεῖν οὐδὲν ἀνθρώπῳ, ἀλλὰ πάντες ταυτὸ πεπόνθαμεν. ἄσκοπος γὰρ ἡ τύχη φησὶν ὁ Θεόφραστος, καὶ δεινὴ παρελέσθαι τὰ προπονημένα καὶ μεταρρίψαι τὴν δοκοῦσαν εὐημερίαν, οὐδένα καιρὸν ἔχουσα τακτόν. ταῦτα γοῦν καὶ ἄλλα τοιαῦτα, καὶ καθ᾽ ἑαυτὸν ἑκάστῳ λογίσασθαι ῥᾴδιον, καὶ ἄλλων ἀκοῦσαι παλαιῶν καὶ σοφῶν ἀνδρῶν. ὧν πρῶτος μέν ἐστιν ὁ θεῖος Ὅμηρος εἰπών.

οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο. οὐ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι ὀπίσω, ὄφρ᾽ ἀρετὴν παρέχωσι θεοὶ καὶ γούνατ᾽ ὀρώρει. ἀλλ᾽ ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέουσι, καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ. καὶ τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, οἷον ἐπ᾽ ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε. καὶ ἐν ἄλλοις. Τυδείδη μεγάθυμε τίη γενεὴν ἐρεείνεις. οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν. φύλλα, τὰ μέν τ᾽ ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ᾽ ὕλη τηλεθόωσα φύει, ἔαρος δ᾽ ἐπιγίνεται ὥρη, ὣς ἀνδρῶν γενεὴ, ἡ μὲν φύει, ἡ δ᾽ ἀπολήγει. ταύτῃ δ᾽ ὅτι καλῶς ἐχρήσατο τῇ εἰκόνι τοῦ ἀνθρωπείου βίου, δῆλον ἐξ ὧν ἐν ἄλλῳ τόπῳ φησὶν οὕτως. βροτῶν δ᾽ οὕνεκα πτολεμίζειν δειλῶν, οἳ φύλλοισιν ἐοικότες, ἄλλοτε μέν τοι, ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν ἔδοντες, ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι, οὐδέ τις ἀλκή. Σιμωνίδης δ᾽ ὁ τῶν μελῶν ποιητὴς, Παυσανίου τοῦ βασιλέως τῶν Λακεδαιμονίων μεγαλαυχουμένου συνεχῶς ἐπὶ ταῖς αὐτοῦ πράξεσι, καὶ κελεύοντος ἀπαγγεῖλαί τι αὐτῷ σοφὸν μετὰ χλευασμοῦ, συνεὶς αὐτοῦ τὴν ὑπερηφανίαν, συνεβούλευε μεμνῆσθαι, ὅτι ἄνθρωπός ἐστι. Φίλιππος δ᾽ ὁ τῶν Μακεδόνων βασιλεὺς, τριῶν αὐτῷ προσαγγελθέντων εὐτυχημάτων ὑφ᾽ ἕνα καιρὸν, πρώτου μὲν ὅτι τεθρίππῳ νενίκηκεν Ὀλύμπια, δευτέρου δὲ, ὅτι Παρμενίων ὁ στρατηγὸς, μάχῃ Δαρδανεῖς ἐνίκησε, τρίτου δ᾽ ὅτι ἄρρεν αὐτῷ παιδίον ἐκύησεν Ὀλυμπιὰς, ἀνατείνας εἰς οὐρανὸν τὰς χεῖρας, ὦ δαῖμον εἶπε, μέτριόν τι τούτοις ἀντίθες ἐλάττωμα, εἰδὼς ὅτι μεγάλοις εὐτυχήμασι, φθονεῖν πέφυκεν ἡ τύχη. Θηραμένης δὲ ὁ γενόμενος Ἀθήνησι τῶν τριάκοντα τυράννων, συμπεσούσης τῆς οἰκίας ἐν ᾗ μετὰ πλειόνων ἐδείπνει, μόνος σωθεὶς, καὶ πρὸς πάντων εὐδαιμονιζόμενος, ἀναφωνήσας μεγάλῃ τῇ φωνῇ, ὦ τύχη εἶπεν, εἰς τίνα με καιρὸν ἄρα φυλάττεις, μετ᾽ οὐ πολὺ δὲ χρόνον κατεστρεβλωθεὶς ὑπὸ τῶν συντυράννων ἐτελεύτησεν. ὑπερφυῶς δὲ φαίνεται περὶ τὴν παραμυθίαν ὁ ποιητὴς εὐδοκιμεῖν, ποιήσας τὸν Ἀχιλλέα λέγοντα πρὸς τὸν Πρίαμον ἥκοντα ἐπὶ λύτρα τοῦ Ἕκτορος ταυτί, ἀλλ᾽ ἄγε δὴ κατ᾽ ἄρ᾽ ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ᾽ ἔμπης ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν, ἀχνύμενοί περ. οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο. ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι ζώειν ἀχνυμένοις, αὐτοὶ δέ τ᾽ ἀκηδέες εἰσί. δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει. δώρων οἷα δίδωσι κακῶν. ἕτερος δὲ ἑάων. ᾧ μὲν καμμίξας δώῃ Ζεὺς τερπικέραυνος, ἄλλοτε μέν τε κακῷ ὅ γε

κύρεται, ἄλλοτε δ' ἐσθλῷ· ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε, καί ἑ κα-
κὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει· φοιτᾷ δ' οὔτε θεοῖσι τετιμένος, οὔτε
βροτοῖσιν. ὁ δὲ μετὰ τοῦτον καὶ τῇ δόξῃ καὶ τῷ χρόνῳ, καίτοι τῶν μουσῶν ἀνα-
γορεύων ἑαυτὸν μαθητὴν Ἡσίοδος, καὶ οὗτος ἐν πίθῳ καθείρξας τὰ κακά, τὴν Παν-
δώραν ἀνοίξασαν ἀποφαίνει, σκεδάσαι τὸ πλῆθος ἐπὶ πᾶσαν γῆν καὶ θάλατ-
ταν, λέγων ὧδε. ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα, ἐσκέδασ'·
ἀνθρώποισι δὲ μήσατο κήδεα λυγρά. μούνη δ' αὐτόθι ἐλπὶς ἐν ἀρρήκτοισι δόμοι-
σιν, ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε ἐξέπτη· πρόσθεν γὰρ ἐπέβαλε
πῶμα πίθοιο. ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται· πλείη μὲν γὰρ
γαῖα κακῶν, πλείη δὲ θάλασσα, νοῦσοι δ' ἀνθρώποισιν ἐφήμεροι, αἳ δ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα
Ζεύς. ἀπηρτημένος δὲ τούτοις ὁ κωμικός, ἐπὶ τῶν δυσπαθούντων ἐν ταῖς
τοιαύταις συμφοραῖς ταυτὶ λέγει· εἰ τὰ δάκρυ' ἡμῖν τῶν κακῶν ἦν φάρμακ-
ον, ἀεί θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο, ἠλλαττόμεσθ' ἂν δάκρυα, δόντες χρυ-
σίον. νῦν δ' οὐ προσέχει τὰ πράγματ' οὐδ' ἀποβλέπει εἰς ταῦτα δέσποτ' ἀλλὰ
τὴν αὐτὴν ὁδὸν ἐάν τε κλαίῃς ἄν τε μή, πορεύσεται, τί οὖν πλέον ποιοῦμεν; οὐθέν.
ἡ λύπη δ' ἔχει ὥσπερ τὰ δένδρα καρπόν, τὰ δάκρυα. ὁ δὲ παραμυθούμενος
τὴν Δανάην δυσπενθοῦσαν Δίκτυς, φησί· δοκεῖς τὸν ᾅδην σῶν τι φροντίζειν γόων
καὶ παῖδ' ἀνήσειν τὸν σὸν εἰ θέλοις στένειν; παῦσαι βλέπουσα δ' εἰς τὰ τῶν πέ-
λας κακά, ῥάων γένοι' ἄν, εἰ λογίζεσθαι θέλοις, ὅσοι τε δεσμοῖς ἐκμεμόχθηνται
βροτῶν, ὅσοι τε γηράσκουσιν ὀρφανοὶ τέκνων, τούς τ' ἐκ μεγίστης ὀλβίας τυραν-
νίδος, τὸ μηδὲν ὄντας· ταῦτά σε σκοπεῖν χρεών. κελεύει γὰρ αὐτὴν ἐνθυμεῖσθαι
τὰ τῶν ἴσα καὶ μείζω δυστυχούντων, ὡς ἐσομένην ἐλαφροτέραν. ἐνταῦθα γὰρ
ἄν τις ἑλκύσειε καὶ τὴν τοῦ Σωκράτους φωνήν, τὴν οἰομένην δεῖν, συνενέγκαι-
μεν εἰς τὸ κοινὸν τὰς ἀτυχίας, ὥστε διελέσθαι τὸ ἴσον ἕκαστον, ἀσμένως ἂν τοὺς
πλείους τὰς αὑτῶν λαβόντας ἀπελθεῖν. ἐχρήσατο δὲ τῇ τοιαύτῃ ἀγωγῇ
καὶ Ἀντίμαχος ὁ ποιητής· ἀποθανούσης γοῦν τῆς γυναικὸς αὐτοῦ Λύδης πρὸς ἣν
φιλοστόργως εἶχε, παραμύθιον τῆς λύπης αὐτῷ ἐποίησε τὴν ἐλεγείαν τὴν κα-
λουμένην Λύδην, ἐξαριθμησάμενος τὰς ἡρωϊκὰς συμφορὰς τοῖς ἀλλοτρίοις κα-
κοῖς, ἐλάττω τὴν ἑαυτοῦ ποιῶν λύπην. ὥστε καταφανὲς εἶναι ὅτι ὁ παραμυ-
θούμενος τὸν λυπούμενον, καὶ δεικνύων κοινὸν καὶ πολλῶν τὸ συμβεβηκός, ἐκ τῶν
καὶ ἑτέροις συμβεβηκότων, ἐλάττονα τὴν δόξαν τοῦ λελυπημένου μεθίστησι· καὶ τὸ
αὐτὴν τινὰ ἐμποιεῖ πίστιν αὐτῷ, ὅτι καὶ ἔλαττον ἢ ἡλίκον ᾤετο τὸ συμβεβηκός ἐστιν.
ὁ δ' Αἰσχύλος, καλῶς ἔοικεν ἐπιπλήττειν τοῖς νομίζουσι τὸν θάνατον εἶναι κακὸν
λέγων ὧδε· ὡς οὐ δικαίως θάνατον ἔχθουσι βροτοί, ὅσπερ μέγιστον ἴαμα τῶν πολ-
λῶν κακῶν. τοῦτον γὰρ ἀπεμιμήσατο καὶ ὁ εἰπών· ὦ θάνατε παιὰν ἰατρὸς μό-
λοις· λιμὴν γὰρ ὄντως ἀΐδας ἀνιᾶν. μέγα γάρ ἐστι τὸ μετὰ πείσματος τεθαρρηκό-
τως εἰπεῖν· τίς δ' ἐστὶ δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν, καὶ ᾅδην δ' ἔχων βοηθόν, οὐ
φρέμω σκιάς. τί γὰρ τὸ χαλεπόν ἐστι καὶ τὸ δυσανιῶν καὶ ἐν τῷ τεθνάναι. τὰ γὰρ
τοῦ θανάτου, μή ποτε καὶ λίαν ὄντα ἡμῖν συνήθη καὶ συμφυῆ, πάλιν οὐκ οἶδ'
ὅπως δυσαλγῆ δοκεῖ εἶναι. τί γὰρ θαυμαστὸν εἰ τὸ τμητὸν τέτμηται, εἰ τὸ τηκτὸν
τέτηκται, εἰ τὸ καυστὸν κέκαυται, εἰ τὸ φθαρτὸν ἔφθαρται. πότε γὰρ ἐν ἡμῖν αὐ-
τοῖς, οὐκ ἔστιν ὁ θάνατος καὶ ἥ φησιν Ἡράκλειτος ταὐτό τ' ἔνι ζῶν καὶ τεθνηκώς, καὶ
τὸ ἐγρηγορὸς καὶ καθεῦδον, καὶ νέον καὶ γηραιόν· τάδε γὰρ μεταπεσόντα, ἐκεῖ-
νά ἐστι, κἀκεῖνα πάλιν μεταπεσόντα, ταῦτα. ὡς γὰρ ἐκ τοῦ αὐτοῦ πηλοῦ δύ-
ναταί τις πλάττων ζῶα συγχεῖν, καὶ πάλιν πλάττειν καὶ συγχεῖν, καὶ τοῦτο

ἓν παρ' ἓν ποιεῖν ἀδιαλείπτως, οὕτω καὶ ἡ φύσις ἐκ τῆς αὐτῆς ὕλης, πάλαι μὲν
τοὺς προγόνους ἡμῶν ἀνέσχεν, εἶτα συνεχεῖς αὐτοῖς ἐγέννησε τοὺς πατέρας, εἶ-
τα ἡμᾶς, εἶτ' ἄλλους ἐπ' ἄλλοις ἀνακυκλήσει, καὶ ὁ τῆς γενέσεως ποταμὸς οὗτος
ἐνδελεχῶς ῥέων, οὔποτε στήσεται, καὶ πάλιν ἐξ ἐναντίας αὐτῷ ὁ τῆς φθορᾶς,
εἴτε Ἀχέρων, εἴτε Κωκυτὸς καλούμενος ὑπὸ τῶν ποιητῶν. ἡ πρώτη οὖν αἰ-
τία ἡ δείξασα ἡμῖν τὸ τοῦ ἡλίου φῶς, ἡ αὐτὴ καὶ τὸν ζοφερὸν ᾅδην ἄγει, καὶ
μή ποτε τοῦδε εἰκὼν ἦ ὁ περὶ ἡμᾶς ἀήρ, ἓν παρ' ἕν, ἡμέραν καὶ νύκτα ποιῶν,
ἐπαγωγὰς ζωῆς τε καὶ θανάτου, καὶ ὕπνου καὶ ἐγρηγόρσεως· διὸ καὶ μοιρίδιον
χρέος εἶναι λέγεται τὸ ζῆν, ὡς ἀποδοθησόμενον, ὃ ἐδανείσαντο ἡμῶν οἱ προ-
πάτορες, ὃ δὴ καὶ εὐκόλως καταβλητέον καὶ ἀστενάκτως, ὅταν ὁ δανείσας ἀ-
παιτῇ. εὐγνωμονέστατοι γοῦν ἂν οὕτω φανείημεν. οἶμαι δὲ καὶ τὴν φύσιν ὁρῶ-
σαν τό, τε ἄτακτον καὶ βραχυχρόνιον τοῦ βίου, ἄδηλον ποιῆσαι τὴν τοῦ θανά-
του προθεσμίαν· τοῦτο γὰρ ἦν ἄμεινον· εἰ γὰρ προῄδειμεν, κἂν προεξετήκοντό
τινες ταῖς λύπαις, καὶ πρὶν ἀποθανεῖν, ἐτεθνήκεσαν. ὅρα δὲ καὶ τοῦ βίου τὸ ὀ-
δυνηρόν, καὶ τὸ πολλαῖς φροντίσιν ἐπηντλημένον, ἃς εἰ βουλοίμεθα καταριθ-
μεῖσθαι, λίαν ἂν αὐτοῦ καταγνοίημεν, ἐπαληθεύσαιμεν δὲ καὶ τὴν παρ' ἐνίοις
κρατοῦσαν δόξαν, ὡς ἄρα κρεῖττόν ἐστι τὸ τεθνάναι τοῦ ζῆν. ὁ γοῦν Σιμωνίδης
ἀνθρώπων φησίν, ὀλίγον μὲν κάρτος, ἄπρακτοι δὲ μεληδόνες, αἰῶνι δὲ παύρῳ,
πόνος ἀμφὶ πόνῳ· ὁ δ' ἄφυκτ' ὁμῶς ἐπικρέμαται θάνατος· κείνου γὰρ ἴσον λά-
χον μέρος, οἵ τ' ἀγαθοὶ ὅστις τε κακός. Πίνδαρος δὲ ἓν παρ' ἐσθλὸν, σύνδυο
πήματα δαίονται βροτοῖς, ἀθάνατοι τὰ μὲν ὦν οὐ δύνανται νήπιοι κόσμῳ φέ-
ρειν. Σοφοκλῆς δέ· σὺ δ' ἄνδρα θνητὸν εἰ κατέφθιτο στένεις, εἰδὼς τὸ μέλλον οὐ-
δὲν εἰ κέρδος φέρει. Εὐριπίδης δὲ τὰ θνητὰ πράγματ' οἶδας ἣν ἔχει φύσιν; δο-
κῶ μὲν οὔ, πόθεν γάρ; ἀλλ' ἄκουέ μου. βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται, κοὐκ
ἔστιν αὐτῶν ὅστις ἐξεπίσταται τὴν αὔριον μέλλουσαν εἰ βιώσεται. τὸ τῆς τύ-
χης γὰρ ἀφανὲς οἷ προβήσεται. τοιούτου δὲ τοῦ βίου τῶν ἀνθρώπων ὄντος, οἷον οὗ-
τοί φασι, πῶς οὐκ εὐδαιμονίζειν μᾶλλον προσήκει τοὺς ἀπολυθέντας τῆς ἐν αὐ-
τῷ λατρείας, ἢ κατοικτείρειν τε καὶ θρηνεῖν, ὅπερ οἱ πολλοὶ δρῶσι δι' ἀμαθίαν.
ὁ δὲ Σωκράτης παραπλήσιον ἔλεγεν εἶναι τὸν θάνατον, ἤτοι τῷ βαθυτάτῳ ὕ-
πνῳ, ἢ ἀποδημίᾳ μακρᾷ καὶ πολυχρονίῳ, ἢ τρίτον φθορᾷ τινὶ καὶ ἀφανισμῷ,
τοῦ τε σώματος καὶ τῆς ψυχῆς, κατ' οὐδὲν δὲ τούτων κακὸν εἶναι, καὶ καθ' ἕκαστον
ἐπεπορεύετο, καὶ πρῶτον, τῷ πρώτῳ. εἰ γὰρ δὴ ὕπνος τίς ἐστιν ὁ θάνατος, καὶ περὶ τοὺς
καθεύδοντας μηδέν ἐστι κακόν, δῆλον ὡς οὐδὲ περὶ τοὺς τετελευτηκότας εἴη ἄν
τι κακόν, ἀλλὰ μὴν γ' ὅτι ἥδιστός ἐστιν ὁ βαθύτατος, τί δεῖ καὶ λέγειν. αὐτὸ γὰρ
τὸ πρᾶγμα, φανερόν ἐστι πᾶσιν ἀνθρώποις· μαρτυρεῖ δὲ καὶ Ὅμηρος ἐπ' αὐτοῦ λέ-
γων, νήγρετος, ἥδιστος, θανάτῳ ἄγχιστα ἐοικώς· πολλαχοῦ δὲ καὶ ταῦτα λέγει.
ἔνθ' ὕπνῳ ξύμβλητο κασιγνήτῳ θανάτοιο, ὕπνῳ καὶ θανάτῳ διδυμάοσιν, ὄψει
τὴν ὁμοιότητα αὐτῶν δηλῶν· τὰ γὰρ δίδυμα τὴν ὁμοιότητα μάλιστα παρεμ-
φαίνει. πάλιν τέ που φησὶ τὸν θάνατον εἶναι, χάλκεον ὕπνον, τὴν ἀναισθησίαν
ἡμᾶς διδάξαι πειρώμενος. οὐκ ἀμούσως δ' ἔδοξεν ἀποφήνασθαι οὐδ' ὁ εἰπὼν τὸν
ὕπνον τὰ μικρὰ τοῦ θανάτου μυστήρια· προμύησις γὰρ ὄντως ἐστὶ τοῦ θανάτου ὁ ὕ-
πνος. πάνυ δὲ σοφῶς καὶ ὁ κυνικὸς Διογένης κατενεχθεὶς εἰς ὕπνον, καὶ μέλ-
λων ἐκλείπειν τὸν βίον, διεγείραντος αὐτὸν τοῦ ἰατροῦ, καὶ πυθομένου μή τι περὶ
αὐτὸν εἴη χαλεπόν, οὐδέν ἔφη, ὁ γὰρ ἀδελφὸς τὸν ἀδελφὸν προλαμβάνει, ὁ ὕπνος
τὸν θάνατον. εἴγε μὴν ἀποδημίᾳ προσέοικεν ὁ θάνατος, οὐδ' οὕτως ἐστὶ κακόν,
μή ποτε δὲ καὶ τοὐναντίον ἀγαθόν, τὸ γὰρ δεδουλῶσθαι σαρκὶ καὶ τοῖς πάθε-

σι ταύτης διάγειν, ὑφ' ὧν καταστρωμένος ὁ νοῦς, τῆς θνητῆς ἀναπίμπλαται φλυαρίας, εὔδαιμόν τι καὶ μακάριον. μυρίας γάρ φησιν ἡμῖν ὁ πλάτων ἀσχολίας παρέχει τὸ σῶμα διὰ τὴν ἀναγκαίαν τροφήν, ἔτι δὲ ἐάν τινες νόσοι προσπέσωσιν, ἐμποδίζουσιν ἡμῖν τὴν τοῦ ὄντος θήραν. ἐρώτων δέ, καὶ ἐπιθυμιῶν, καὶ φόβων, καὶ εἰδώλων παντοδαπῶν, καὶ φλυαρίας ἐμπίπλησιν ἡμᾶς· ὥστε τὸ λεγόμενον ὡς ἀληθῶς τῷ ὄντι ὑπ' αὐτοῦ, οὐδὲ φρονῆσαι ἡμῖν ἐγγίνεται οὐδέποτε οὐδέν. καὶ γὰρ πολέμους καὶ στάσεις καὶ μάχας οὐδὲν ἄλλο παρέχει ἢ τὸ σῶμα, καὶ αἱ τούτου ἐπιθυμίαι. διὰ γὰρ τὴν τῶν χρημάτων κτῆσιν, πάντες οἱ πόλεμοι ἐγγίνονται, τὰ δὲ χρήματα ἀναγκαζόμεθα κτᾶσθαι διὰ τὸ σῶμα, δουλεύοντες τῇ τούτου θεραπείᾳ, καὶ ἐκ τούτου ἀσχολίαν ἄγομεν φιλοσοφίας πέρι διὰ ταῦτα πάντα. τὸ δ' ἔσχατον πάντων, ὅτι ἐάν τις ἡμῖν καὶ σχολὴ γένηται ἀπ' αὐτοῦ, καὶ τραπώμεθα πρὸς τὸ σκοπεῖν τι, ἐν ταῖς ζητήσεσι πανταχοῦ περιπῖπτον, θόρυβον παρέχει καὶ ταραχὴν καὶ ἐκπλήττει ὥστε μὴ δύνασθαι ὑπ' αὐτοῦ καθορᾶν τἀληθές. ἀλλὰ τῷ ὄντι ἡμῖν δέδεικται, ὅτι εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον αὐτοῦ, καὶ αὐτῇ τῇ ψυχῇ θεατέον αὐτὰ τὰ πράγματα, καὶ τότε ὡς ἔοικεν ἡμῖν ἔσται, οὗ ἐπιθυμοῦμεν, καὶ οὗ φαμὲν ἐρασταὶ εἶναι, φρόνησις, ἐπειδὰν τελευτήσωμεν ὡς ὁ λόγος σημαίνει, ζῶσι δὲ οὔ. εἰ γὰρ μὴ οἷόν τε μετὰ τοῦ σώματος μηδὲν καθαρῶς γνῶναι, δυοῖν θάτερον, ἢ οὐδαμοῦ ἐστι κτήσασθαι τὸ εἰδέναι, ἢ τελευτήσασι. τότε γὰρ αὐτὴ καθ' αὑτὴν ἔσται ἡ ψυχὴ χωρὶς τοῦ σώματος, πρότερον δ' οὔ, καὶ ἐν ᾧ ἂν ζῶμεν, οὕτως ὡς ἔοικεν ἐγγυτάτω ἐσόμεθα τοῦ εἰδέναι, ἐὰν ὅτι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι, μηδὲ κοινωνῶμεν, ὅτι μὴ πᾶσα ἀνάγκη, μηδὲ ἀναπιμπλώμεθα τῆς τούτου φύσεως, ἀλλὰ καθαρεύωμεν ἀπ' αὐτοῦ, ἕως ἂν ὁ θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς, καὶ οὕτω μὲν καθαροὶ ἀπαλλαττόμενοι τῆς τοῦ σώματος ἀφροσύνης, ὡς τὸ εἰκός, μετὰ τοιούτων ἐσόμεθα, δι' ἡμῶν αὐτῶν πᾶν τὸ εἰλικρινὲς ὁρῶντες, τοῦτο δέ ἐστι τὸ ἀληθές. μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ. ὥστε εἰ καὶ προσέοικε μετάγειν τινὰ εἰς ἕτερον τόπον ὁ θάνατος, οὐκ ἔστι κακόν. μή ποτε γὰρ καὶ τῶν ἀγαθῶν ἀναφαίνηται, καθάπερ ἀπέδειξεν ὁ πλάτων. διὸ καὶ πάνυ δαιμονίως ὁ σωκράτης πρὸς τοὺς δικαστὰς τοιοῦτον ἔφη· τὸ γὰρ δεδιέναι ὦ ἄνδρες τὸν θάνατον, οὐδὲν ἄλλο ἐστίν, ἢ δοκεῖν σοφὸν εἶναι μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι ἐστίν, ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον, οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ μέγιστον ὂν πάντων τῶν ἀγαθῶν, δεδίασι δὲ ὡς εὖ εἰδότες ὅτι τῶν κακῶν μέγιστόν ἐστι. οὐκ ἀπᾴδειν δὲ τούτων ἔοικεν οὐδ' ὁ εἰπών, μηδεὶς φοβείσθω θάνατον ἀπόλυσιν πόνων, ἀλλὰ καὶ κακῶν τῶν μεγίστων. λέγεται δὲ τούτοις μαρτυρεῖν καὶ τὸ θεῖον. πολλοὺς γὰρ παρειλήφαμεν δι' εὐσέβειαν, παρὰ θεῶν ταύτης τυχόντας τῆς δωρεᾶς. ὧν τοὺς μὲν ἄλλους φειδόμενος τῆς συμμετρίας τοῦ γράμματος, ἀπολείψω. μνησθήσομαι δὲ τῶν ὄντων ἐμφανεστάτων καὶ πᾶσι διὰ στόματος, πρῶτα δή σοι τὰ περὶ κλέοβιν καὶ βίτωνα τοὺς ἀργείους νεανίσκους διηγήσομαι. φασὶ γὰρ τῆς μητρὸς αὐτῶν ἱερείας οὔσης τῆς ἥρας, ἐπειδὴ τῆς εἰς τὸν νεὼν ἀναβάσεως ἧκεν ὁ καιρὸς τῶν ἑλκόντων τὴν ἀπήνην ἡμιόνων ὑστερησάντων, καὶ τῆς ὥρας ἐπειγούσης, τούτους ὑποδύντας ὑπὸ τὴν ἀπήνην, ἀγαγεῖν εἰς τὸ ἱερὸν τὴν μητέρα. τὴν δ' ὑπερησθεῖσαν τῇ τῶν υἱῶν εὐσεβείᾳ, κατεύξασθαι τὸ κράτιστον αὐτοῖς παρὰ τοῦ θεοῦ δοθῆναι τῶν ἐν ἀνθρώποις. τοὺς δὲ κατακοιμηθέντας μηκέτι ἀναστῆναι, τοῦ θεοῦ τὸν θάνατον αὐτοῖς, τῆς εὐσεβείας ἀμοιβὴν δωρησαμένης. καὶ περὶ ἀγαμήδους δὲ καὶ τροφωνίου φησὶ πίνδαρος, τὸν νεὼν τὸν ἐν δελφοῖς οἰκοδομήσαντας, αἰτεῖν παρὰ τοῦ ἀπόλλωνος μισθόν, τὸν δ' αὐτοῖς ἐπαγγείλασθαι εἰς ἑβδό-

μην ἡμέραν ἀποδώσειν, ἐν τοσούτῳ δ' εὐωχεῖσθαι παρακελεύσασθαι, τοὺς δὲ ποιήσαντας τὸ προσταχθέν, τῇ ἑβδόμῃ νυκτὶ κατακοιμηθέντας τελευτῆσαι. λέγεται δὲ καὶ αὐτῷ τῷ πινδάρῳ ἐπισκήψαντι τοῖς παρὰ τῶν βοιωτῶν πεμφθεῖσιν εἰς θεοῦ, πυθέσθαι τί ἄριστόν ἐστιν ἀνθρώποις, ἀποκρίνασθαι τὴν πρόμαντιν, ὅτι οὐδ' αὐτὸς ἀγνοεῖ, εἴ γε τὰ γραφέντα περὶ τροφωνίου καὶ ἀγαμήδους, ἐκείνου ἐστίν, εἰ δὲ καὶ πειραθῆναι βούλεται, μετ' οὐ πολὺ ἔσεσθαι αὐτῷ πρόδηλον, καὶ οὕτω πυθόμενον τὸν πίνδαρον, συλλογίζεσθαι τὰ πρὸς τὸν θάνατον, διελθόντος δ' ὀλίγου χρόνου, τελευτῆσαι. τὰ δὲ περὶ τὸν ἰταλὸν εὐθύνοον τοιαῦτά φασι γενέσθαι. εἶναι μὲν γὰρ αὐτόν, ἠλισίου πατρὸς καὶ τεριναίου, τῶν ἐκεῖ πρώτου καὶ ἀρετῆς πλούτῳ καὶ δόξῃ, τελευτῆσαι δ' ἐξαπίνης αἰτίᾳ τινὶ ἀδήλῳ. τὸν οὖν ἠλίσιον εἰσελθεῖν, ὅπερ ἴσως κἂν ἄλλῳ εἰσῆλθε, μή ποτ' εἴη φαρμάκοις ἀπολωλώς, τοῦτο γὰρ εἶναι μόνον αὐτῷ, ἐπ' οὐσίᾳ πολλῇ καὶ χρήμασιν, ἀποροῦντα δὲ ὅτῳ τρόπῳ βάσανον λάβοι τούτων, ἀφικέσθαι ἐπί τι ψυχομαντεῖον, προθυσάμενον δὲ ὡς νόμος, ἐγκοιμᾶσθαι, καὶ ἰδεῖν ὄψιν τοιάνδε, δόξαι παραγενέσθαι τὸν πατέρα τὸν ἑαυτοῦ, ἰδόντα δέ, διεξέρχεσθαι πρὸς αὐτόν, περὶ τῆς τύχης τῆς κατὰ τὸν υἱόν, καὶ ἀντιβολεῖν τε καὶ δεῖσθαι, συνεξευρεῖν τὸν αἴτιον τοῦ θανάτου, καὶ τόν, ἐπ' αὐτὸ τοῦτο ἥκω φάναι, ἀλλὰ δέξαι παρὰ τοῦδε ἅ σοι φέρει, ἐκ γὰρ τούτων ἅπαντ' εἴσῃ, ὧν πέρι λυπῇ, εἶναι δ' ὃν ἐσήμαινε, νεανίσκον ἑπόμενον αὐτῷ, ἐμφερῆ τε τῷ υἱῷ, καὶ τὰ τοῦ χρόνου τε καὶ τὰ τῆς ἡλικίας ἐγγύς, ἔρεσθαι οὖν ὅστις εἴη, καὶ τόν, φάναι δαίμων τοῦ υἱέως σου, καὶ οὕτω δή, ὀρέξαι οἱ γραμματίδιον, ἀνειλήσαντα οὖν αὐτό, ἰδεῖν ἐγγεγραμμένα τρία ταῦτα, ἦ που νήπιε ἠλίσιε φρένας ἀνδρῶν, εὐθύνοος κεῖται μοιριδίῳ θανάτῳ. οὐκ ἦν γὰρ ζώειν καλὸν, οὔτε γονεῦσι, τοιαῦτα δή σοι καὶ τὰ τῶν διηγημάτων παρὰ τοῖς ἀρχαίοις ἀναγεγραμμένων. εἴ γε μὴν ὁ θάνατος τελεία τίς ἐστι φθορὰ καὶ διάλυσις τοῦ τε σώματος καὶ τῆς ψυχῆς. τὸ τρίτον γὰρ ἦν τοῦτο τῆς σωκρατικῆς εἰκασίας, οὐδ' οὕτω κακόν ἐστιν ὁ θάνατος. ἀναισθησία γάρ τις κατ' αὐτὸν γίνεται, καὶ πάσης ἀπαλλαγὴ λύπης καὶ φροντίδος. ὥσπερ γὰρ οὔτ' ἀγαθὸν ἡμῖν ἔπεστιν, οὕτως οὐδὲ κακόν. περὶ γὰρ τὸ ὂν καὶ τὸ ὑφεστηκός, καθάπερ τὸ ἀγαθὸν πέφυκε γίνεσθαι, τὸν αὐτὸν τρόπον καὶ τὸ κακόν. περὶ δὲ τὸ μὴ ὂν ἀλλ' ἠρμένον ἐκ τῶν ὄντων, οὐδέτερον τούτων ὑπάρχει. εἰς τὴν αὐτὴν οὖν τάξιν οἱ τελευτήσαντες καθίστανται, τῇ πρὸ τῆς γενέσεως. ὥσπερ οὖν οὐδὲν ἡμῖν ἦν πρὸ τῆς γενέσεως, οὔτ' ἀγαθὸν οὔτε κακόν, οὕτως οὐδὲ μετὰ τὴν τελευτήν, καὶ καθάπερ τὰ πρὸ ἡμῶν οὐδὲν ἦν πρὸς ἡμᾶς, οὕτως οὐδὲ τὰ μεθ' ἡμᾶς, οὐδὲν ἔσται πρὸς ἡμᾶς. ἄλγος γὰρ ὄντως οὐθὲν ἅπτεται νεκροῦ, τὸ γὰρ μὴ γενέσθαι τῷ θανεῖν ἴσον λέγω, ἡ γὰρ αὐτὴ κατάστασίς ἐστι τῇ πρὸ τῆς γενέσεως, ἡ περὶ τὴν τελευτήν. ἀλλ' οἴει σὺ διαφορὰν εἶναι ἢ μὴ γενέσθαι, ἢ γενόμενον ἀπογενέσθαι; εἰ μὴ καὶ τῆς οἰκίας καὶ τῆς ἐσθῆτος ἡμῶν μετὰ τὴν διαφθοράν, ὑπολαμβάνεις τινὰ διαφορὰν εἶναι, πρὸς τὸν ὃν οὐδέπω κατεσκευάσθαι χρόνον, εἰ δ' ἐπὶ τούτων οὐδέν ἐστι, δῆλον ὡς οὐδ' ἐπὶ τοῦ θανάτου πρὸς τὴν πρὸ τῆς γενέσεως κατάστασιν, ἔστι διαφορά. χαρίεν γὰρ τὸ τοῦ ἀρκεσιλάου, τοῦτό φησι τὸ λεγόμενον κακὸν ὁ θάνατος, μόνον τῶν ἄλλων τῶν νενομισμένων κακῶν. παρὸν μέν, οὐθένα πώποτ' ἐλύπησεν, ἀπὸν δὲ καὶ προσδοκώμενον, λυπεῖ. τῷ γὰρ ὄντι, πολλοὶ διὰ τὴν οὐθένειαν καὶ τὴν πρὸς τὸν θάνατον διαβολήν, ἀποθνήσκουσιν, ἵνα μὴ ἀποθάνωσι. καλῶς οὖν ὁ ἐπίχαρμος συνεκρίθη φησὶ καὶ διεκρίθη, καὶ ἀπῆλθεν ὅθεν ἦλθε πάλιν, γᾶ μὲν εἰς γᾶν, πνεῦμα δ' ἄνω· τί τῶνδε χαλεπόν, οὐδὲ ἕν. ὁ κρεσφόντης δέ που ὁ παρὰ τῷ εὐριπίδῃ περὶ τοῦ ἡρακλέους, λέγων· εἰ μὲν γὰρ οἰκεῖ φησι νερτέρας ὑπὸ χθονὸς ἐν τοῖσιν, οὐκέτ' οὖσιν, οὐδὲν ἂν σθένοι.

τοῦτο μεταποιήσας, εἴποις ἄν· εἰ μὲν γὰρ οἰκεῖν νέρτερας ὑπὸ χθονὸς, οἷς χρῆν οὐκέτ᾽ οὖσιν, οὐδὲν ἂν πάθοι. γενναῖον δὲ καὶ τὸ λακωνικόν· νῦν ἄμμες, πρόσθ᾽ ἄλλοι ἐθάλλεον, αὐτίκα δ᾽ ἄλλοι, ὧν ἄμμες γενεὰν οὐκέτ᾽ ἐποψόμεθα. καὶ πάλιν· οἳ θάνον, οὐ τὸ ζῆν θέμενοι καλὸν, οὐδὲ τὸ θνήσκειν, ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερ᾽ ἐκτελέσαι. πάνυ δὲ καλῶς καὶ ὁ εὐριπίδης, ἐπὶ τῶν τὰς μακρὰς νοσηλείας ὑπομενόντων φησί· μισῶ δ᾽ ὅσοι χρήζουσιν ἐκτείνειν βίον, βρωτοῖσι καὶ ποτοῖσι καὶ μαγεύμασι παρεκτρέποντες ὀχετὸν, ὥστε μὴ θανεῖν, οὓς χρῆν, ἐπειδὰν μηδὲν ὠφελῶσι γῆν θανόντας ἔρρειν, κἀκποδὼν εἶναι νέοις. ἡ δὲ μερόπη λόγους ἀνδρώδεις προσφερομένη κινεῖ τὰ θέατρα, λέγουσα τοιαῦτα, τεθνᾶσι παῖδες οὐκ ἐμοὶ μόνῃ βροτῶν, οὐδ᾽ ἀνδρὸς ἐστερήμεθ᾽, ἀλλὰ μυρίαι τὸν αὐτὸν ἐξήντλησαν ὡς ἐγὼ βίον. τούτοις γὰρ οἰκείως ἄν τις ταῦτα συνάψειε· ποῦ γὰρ τὰ σεμνὰ κεῖνα, ποῦ δὲ λυδίας μέγας δυνάστης κροῖσος, ἢ ξέρξης βαρὺν ζεύξας θαλάσσης αὐχέν᾽ ἑλλησποντίας, ἅπαντες ἀΐδαν ἦλθον καὶ λάθας δόμους, τῶν χρημάτων ἅμα τοῖς σώμασι διαφθαρέντων. νὴ δί᾽ ἀλλὰ τοὺς πολλοὺς κινεῖ πρὸς τὰ πένθη καὶ τοὺς θρήνους ὁ ἄωρος θάνατος, ἀλλὰ καὶ οὗτός ἐστιν εὐπαραμύθητος, ὥστε καὶ ὑπὸ τῶν τυχόντων ποιητῶν συνεωρᾶσθαι, καὶ τετυχηκέναι παραμυθίας. θέασαι γὰρ οἷα περὶ τούτου φησί τις τῶν κωμικῶν πρὸς τὸν ἐπὶ τῷ ἀώρῳ λυπούμενον θανάτῳ· εἶτ᾽ εἰ μὲν ᾔδεις ὅτι τοῦτον τὸν βίον ὃν οὐκ ἐβίωσε, ζῶν διευτύχησεν ἂν, ὁ θάνατος οὐκ εὔκαιρος, εἰ δ᾽ ἤνεγκεν οὗτος ὁ βίος τι τῶν ἀνηκέστων, ἴσως ὁ θάνατος σοῦ γέγονεν εὐνούστερος. ἀδήλου οὖν ὄντος, πότερον συμφερόντως ἀνεπαύσατο τὸν βίον ἐκλιπὼν, καὶ μειζόνων ἀπολυθεὶς κακῶν, ἢ οὔ, χρὴ μὴ φέρειν οὕτω βαρέως, ὡς ἀπολωλεκότας πάνθ᾽ ὅσων ᾠήθημεν τεύξεσθαι παρ᾽ αὐτοῦ. οὐ φαύλως γὰρ ἂν δόξειεν ὁ παρὰ τῷ ποιητῇ ἀμφιάρεως παραμυθεῖσθαι τὴν ἀρχεμόρου μητέρα, δυσχεραίνουσαν ὅτι νήπιος ὢν ὁ παῖς καὶ ἄγαν ἄωρος ἐτελεύτησε. φησὶ γὰρ οὕτως· ἔφυ μὲν οὐδεὶς ὅστις οὐ πονεῖ βροτῶν, θάπτει τε τέκνα, χἄτερα αὖ κτᾶται νέα, αὐτός τε θνήσκει, καὶ τάδ᾽ ἄχθονται βροτοὶ εἰς γῆν φέροντες γῆν. ἀναγκαίως δ᾽ ἔχει βίον θερίζειν ὥστε κάρπιμον στάχυν, καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή. τί ταῦτα δεῖ στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν; δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς. καθόλου γὰρ χρὴ διανοεῖσθαι πάντα τινὰ καὶ πρὸς αὑτὸν καὶ πρὸς ἄλλον διεξιόντα μετὰ σπουδῆς, ὡς οὐχ ὁ μακρότατος βίος ἄριστος, ἀλλ᾽ ὁ σπουδαιότατος. οὐδὲ γὰρ ὁ πλεῖστα κιθαρῳδήσας, ἢ ῥητορεύσας, ἢ κυβερνήσας, ἀλλ᾽ ὁ καλῶς, ἐπαινεῖται. τὸ γὰρ καλὸν, οὐκ ἐν μήκει χρόνου θετέον, ἀλλ᾽ ἐν ἀρετῇ καὶ τῇ καιρίῳ συμμετρίᾳ. τοῦτο γὰρ εὔδαιμον καὶ θεοφιλὲς εἶναι νενόμισται. διὰ τοῦτο γοῦν τοὺς ὑπεροχωτάτους τῶν ἡρώων, καὶ φύντας ἀπὸ θεῶν, πρὸ γήρως ἐκλιπόντας τὸν βίον, οἱ ποιηταὶ παρέδοσαν ἡμῖν. οὐ δὲ γὰρ ἐκεῖνον ὃν περὶ κῆρι φίλει ζεύς τ᾽ αἰγίοχος καὶ ἀπόλλων παντοίην φιλότητα, οὐδ᾽ ἵκετο γήραος οὐδόν. τὴν γὰρ εὐκαιρίαν μᾶλλον οὐ τὴν εὐγηρίαν πανταχοῦ θεωροῦμεν πρωτεύουσαν. καὶ γὰρ ἄριστα φυτῶν τὰ πλεῖστον καρπὸν ἐν βραχεῖ φορᾶς ποιούμενα, καὶ ζῴων, ἀφ᾽ ὧν ἐν οὐ πολλῷ χρόνῳ πολλὴν πρὸς τὸν βίον ὠφέλειαν ἔχομεν. τό τε πολὺ δήπουθεν ἢ μικρὸν οὐδὲν διαφέρειν δοκεῖ, πρὸς τὸν ἄπειρον ἀφορῶσιν αἰῶνα. τὰ γὰρ χίλια καὶ τὰ μύρια κατὰ σιμωνίδην ἔτη, στιγμή τίς ἐστιν ἀόριστος, μᾶλλον δὲ μόριόν τι βραχύτατον στιγμῆς. ἐπεὶ καὶ τῶν ζῴων ἐκείνων ἅπερ ἱστοροῦσι περὶ τὸν πόντον γινόμενα, τὴν ζωὴν ἔχειν ἡμερησίαν, ἕωθεν μὲν γεννώμενα, μέσης δ᾽ ἡμέρας ἀκμάζοντα, δείλης δὲ γηρῶντα, καὶ τελειοῦντα τὸ ζῆν, οὐχὶ κἀκείνων ἦν ἂν τὸ καθ᾽ ἡμᾶς πάθος, εἴπερ ψυχή τις αὐτοῖς καὶ λογισμὸς ἑκάστοις ἐνῆν; καὶ ταὐτὰ

δή που

δή που γ᾽ ἂν συνέπιπτεν· ὥστε τὰ πρὸ μέσης ἡμέρας ἐκλείποντα, θρήνους παρέχειν καὶ δάκρυα, τὰ δὲ διημερεύσαντα, πάντως ἂν εὐδαιμονίζεσθαι. μέτρον γὰρ τοῦ βίου τὸ καλὸν, οὐ τὸ τοῦ χρόνου μῆκος. ματαίας γὰρ καὶ πολλῆς εὐηθείας ἡγητέον εἶναι τὰς τοιαύτας ἐκφωνήσεις· ἀλλ᾽ οὐκ ἔδει νέον ὄντα ἀναρπαγῆναι. τίς γὰρ ἂν εἴποι ὡς ἔδει. πολλὰ δὲ καὶ ἄλλα ἐφ᾽ ὧν ἄν τις εἴποι οὐκ ἔδει πραχθῆναι, πέπρακται, καὶ πράττεται καὶ νῦν, καὶ πραχθήσεται πολλάκις. οὐ γὰρ νομοθετήσοντες πάρεσμεν εἰς τὸν βίον, ἀλλὰ πεισόμενοι τοῖς διατεταγμένοις ὑπὸ τῶν τὰ ὅλα πρυτανευόντων θεῶν, καὶ τοῖς τῆς εἱμαρμένης καὶ προνοίας θεσμοῖς. τί δ᾽ οἱ πενθοῦντες τοὺς οὕτως ἀποθανόντας, ἑαυτῶν ἕνεκα πενθοῦσιν, ἢ τῶν κατοιχομένων. εἰ μὲν οὖν αὑτῶν ὅτι τῆς ἀπὸ τῶν τεθνεώτων ἡδονῆς, ἢ χρείας, ἢ γηροβοσκίας ἐστερήθησαν, φίλαυτος ἡ τῆς λύπης πρόφασις. οὐ γὰρ ἐκείνους ποθοῦντες, ἀλλὰ τὰς ἀπ᾽ αὐτῶν ὠφελείας φανήσονται. εἰ δὲ τῶν τεθνεώτων ἕνεκα πενθοῦσιν, ἐπιστήσαντες ὅτι ἐν οὐδενὶ κακῷ τυγχάνουσιν ὄντες, ἀπαλλαγήσονται τῆς λύπης, ἀρχαίῳ καὶ σοφῷ πειθόμενοι λόγῳ τῷ παραινοῦντι τὰ μὲν ἀγαθὰ ποιεῖν ὡς μέγιστα, τὰ δὲ κακὰ, συστέλλειν καὶ ταπεινοῦν. εἰ μὲν οὖν τὸ πένθος ἐστὶν ἀγαθὸν, δεῖ ποιεῖν αὐτὸ, ὡς πλεῖστον καὶ μέγιστον· εἰ δ᾽ ὥσπερ ἡ ἀλήθεια ἔχει, κακὸν ὁμολογοῦμεν αὐτὸ εἶναι, συστέλλειν καὶ ποιεῖν ὡς ἐλάχιστον, καὶ ἐξαλείφειν εἰς τὸ δυνατόν. ὡς δὲ τοῦτο ῥᾴδιον, καταφανὲς ἐκ τῆς τοιαύτης παραμυθίας. φασὶ γάρ τινα τῶν ἀρχαίων φιλοσόφων εἰσιόντα πρὸς ἀρσινόην τὴν βασίλισσαν, πενθοῦσαν τὸν υἱὸν, τοιούτῳ χρήσασθαι λόγῳ, φάμενον ὅτι καθ᾽ ὃν χρόνον ὁ ζεὺς ἔνεμε τοῖς δαίμοσι τὰς τιμὰς, οὐκ ἔτυχε παρὸν τὸ πένθος, ἤδη δὲ νενεμημένων, ἦλθεν ὕστερον, τὸν οὖν δία ὡς ἠξίου καὶ αὐτῷ τιμὴν δοθῆναι, ἀποροῦντα διὰ τὸ ἤδη καταναλῶσθαι πάσας τοῖς ἄλλοις, ταύτην αὐτῷ δοῦναι τὴν ἐπὶ τοῖς τελευτήσασι γιγνομένην, οἷον δάκρυα καὶ λύπας. ὥσπερ οὖν τοὺς ἄλλους δαίμονας ὑφ᾽ ὧν τιμῶνται τούτους ἀγαπᾶν, τὸν αὐτὸν τρόπον καὶ τὸ πένθος. ἐὰν μὲν οὖν αὐτὸ ἀτιμάσῃς ὦ γύναι, οὐ προσελεύσεταί σοι. ἐὰν δὲ τιμᾶται ὑπὸ σοῦ ἐπιμελῶς, ταῖς δοθείσαις αὐτῷ τιμαῖς, λύπαις καὶ θρήνοις, ἀγαπήσει σε, καὶ ἀεί τί σοι παρέξεται τοιοῦτον, ἐφ᾽ ᾧ τιμηθήσεται παρὰ σοῦ συνεχῶς. θαυμασίως δὴ φαίνεται τῷ λόγῳ πείσας οὗτος, παρελέσθαι τῆς ἀνθρώπου τὸ πένθος, καὶ τοὺς θρήνους. τὸ δ᾽ ὅλον εἴποι τις ἂν πρὸς τὸν πενθοῦντα, πότερα παύσῃ ποτὲ δυσφορῶν, ἢ ἀεὶ δεῖν οἰήσῃ λυπεῖσθαι καὶ παρ᾽ ὅλον τὸν βίον. εἰ μὲν γὰρ ἀεὶ μενεῖς ἐπὶ τῇ δυσπαθείᾳ ταύτῃ, τελείαν ἀθλιότητα σαυτῷ παρέξεις, καὶ πικροτάτην κακοδαιμονίαν, διὰ ψυχῆς ἀγέννειαν καὶ μαλακίαν. εἰ δὲ μεταθήσῃ ποτὲ, τί οὐκ ἤδη μετατίθεσαι, καὶ σαυτὸν ἀνέλκεις ἐκ τῆς ἀτυχίας. οἷς γὰρ λόγοις τοῦ χρόνου προϊόντος χρησάμενος ἀπολυθήσῃ, τούτοις νῦν προσχὼν, ἀπαλλάγηθι τῆς κακοπαθείας. καὶ γὰρ ἐπὶ τῶν σωματικῶν παθημάτων ἡ ταχίστη τῆς ἀπαλλαγῆς ὁδὸς, ἀμείνων. ὃ οὖν μέλλεις τῷ χρόνῳ χαρίζεσθαι, τοῦτο τῷ λόγῳ χάρισαι, καὶ τῇ παιδείᾳ, καὶ σαυτὸν ἔκλυσαι τῶν κακῶν. ἀλλ᾽ οὐ γὰρ ἤλπιζόν φησι ταῦτα πείσεσθαι, οὐδὲ προσεδόκων. ἀλλ᾽ ἐχρῆν σε προσδοκᾶν, καὶ προκατακεκρικέναι τῶν ἀνθρωπείων τὴν ἀδηλότητα καὶ οὐδένειαν, καὶ οὐκ ἂν νῦν ἀπαράσκευος, ὥσπερ ὑπὸ πολεμίων ἐξαίφνης ἐπελθόντων ἐλήφθης. καλῶς γὰρ ὁ παρὰ τῷ εὐριπίδῃ θησεὺς παρεσκευάσθαι φαίνεται πρὸς τὰ τοιαῦτα. ἐκεῖνος γάρ φησιν· ἐγὼ δὲ παρὰ σοφοῦ τινος μαθὼν, εἰς φροντίδας ἐς συμφορὰς ἐβαλλόμην, φυγάς τ᾽ ἐμαυτῷ προστιθεὶς πάτρας ἐμᾶς, θανάτους τ᾽ ἀώρους, καὶ κακῶν ἄλλας ὁδοὺς, ἵν᾽ εἴ τι πάσχοιμ᾽ ὧν ἐδόξαζον φρενὶ, μή μοι νεαρὸν προσπεσὸν μᾶλλον δάκνῃ. οἱ δ᾽ ἀγεννέστεροι καὶ ἀνά

σκήτως διακείμενοι, οὐδὲ ἀναστροφὴν ἐνίοτε λαμβάνουσι πρὸς τὸ βουλεύεσθαί τι τῶν εὐσχημόνων καὶ συμφερόντων, ἀλλ᾽ ἐκτρέπονται πρὸς τὰς ἐσχάτας ταλαιπωρίας, τὸ μηδὲν αἴτιον σῶμα τιμωρούμενοι, καὶ τὰ μὴ νοσοῦντα κατὰ τὸν ἀρχαῖον, συναλγεῖν ἀναγκάζοντες. διὸ καὶ πάνυ καλῶς ὁ Πλάτων ἔοικε παραινεῖν, ἐν ταῖς τοιαύταις συμφοραῖς ἡσυχίαν ἔχειν· ὡς οὔτε δήλου ὄντος τοῦ κακοῦ καὶ τοῦ ἀγαθοῦ, οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι· ἐμποδὼν γὰρ γίνεσθαι τὸ λυπεῖσθαι τῷ βουλεύεσθαι περὶ τοῦ γεγονότος· καὶ ὥσπερ ἐν πτώσει κύβων πρὸς τὰ πεπτωκότα τίθεσθαι τὰ ἑαυτοῦ πράγματα, ὅπῃ λόγος αἱρεῖ βέλτιστ᾽ ἔχειν. οὐ δεῖν οὖν προσπταίσαντας καθάπερ παῖδας ἐχομένους τοῦ πληγέντος βοᾶν, ἀλλ᾽ ἐθίζειν τὴν ψυχὴν, ὅτι τάχιστα γίνεσθαι περὶ τὸ ἰᾶσθαί τε καὶ ἐπανορθοῦν, τὸ πεσόν τε καὶ νοσῆσαν, ἰατρικῇ θρηνῳδίαν ἀφανίζοντας. τὸν τῶν Λυκίων νομοθέτην φασὶ προστάξαι τοῖς αὐτοῦ πολίταις, ἐπὰν πενθῶσι, γυναικείαν ἠμφιεσμένους ἐσθῆτα πενθεῖν, ἐμφαίνειν βουληθέντα, ὅτι γυναικῶδες τὸ πάθος ἐστὶ καὶ οὐχ ἁρμόττον ἀνδράσι κοσμίοις, καὶ παιδείας ἐλευθερίου μεταπεποιημένοις. θῆλυ γὰρ ὄντως καὶ ἀσθενὲς καὶ ἀγεννὲς τὸ πενθεῖν· γυναῖκες γὰρ ἀνδρῶν φιλοπενθέστεραί εἰσι, καὶ οἱ βάρβαροι τῶν Ἑλλήνων, καὶ οἱ χείρους τῶν ἀμεινόνων, καὶ αὐτῶν δὲ τῶν βαρβάρων οὐχ οἱ γενναιότατοι Κελτοὶ καὶ Γαλάται καὶ πάντες οἱ φρονήματος ἀνδρειοτέρου πεφυκότες ἔμπλεῳ, μᾶλλον δ᾽ εἴπερ ἄρα, Αἰγύπτιοί τε καὶ Σύροι καὶ Λυδοὶ καὶ πάντες ὅσοι τούτοις εἰσὶ παραπλήσιοι. τούτων γὰρ τοὺς μὲν, εἰς βόθρους τινὰς καταδύντας, ἱστοροῦσιν ἐπὶ πλείους ἡμέρας μένειν, μὴ δὲ τὸ τοῦ ἡλίου φῶς ὁρᾶν βουλομένους, ἐπειδὴ καὶ ὁ τετελευτηκὼς ἀπεστέρηται τούτου. Ἴων οὖν ὁ τραγικὸς ποιητὴς οὐκ ἀνήκοος ὢν τῆς τούτων εὐηθείας, πεποίηκέ τινα λέγουσαν· ἐξῆλθον ἡμῶν καὶ τὰ ἡμῶν τροφὸς τῶν παίδων, βόθρους λιποῦσα πενθητηρίους. τινὲς δὲ τῶν βαρβάρων καὶ μέρη τοῦ σώματος ἀποτέμνουσι, ῥῖνας καὶ ὦτα καὶ τὸ ἄλλο σῶμα καταικίζοντες, δοκοῦντές τι χαρίζεσθαι τοῖς τετελευτηκόσιν, ἀπερχόμενοι τῆς κατὰ φύσιν ἐν τοῖς τοιούτοις μετριοπαθείας. ἀλλὰ νὴ Δία τινὲς ὑποτυγχάνοντες, οὐκ ἐπὶ παντὶ θανάτῳ τὰ πένθη δεῖν οἴονται γίνεσθαι, ἀλλ᾽ ἐπὶ τοῖς ἀώροις, διὰ τὸ μηδενὸς τετυχηκέναι τῶν ἐν τῷ βίῳ νενομισμένων ἀγαθῶν, οἷον γάμου, παιδείας, τελειότητος, πολιτείας, ἀρχῶν, ταῦτα γὰρ εἶναι τὰ λυποῦντα μάλιστα τοὺς ἐπὶ τοῖς ἀώροις ἀτυχοῦντας, διὰ τὸ ἀφῃρῆσθαι πρὸ τοῦ δέοντος τῆς ἐλπίδος, ἀγνοοῦντες ὅτι ὁ ἄωρος θάνατος, ὡς πρὸς τὴν τῶν ἀνθρώπων φύσιν οὐδὲν διαφέρει. καθάπερ γὰρ τῆς εἰς κοινὴν πατρίδα πορείας προκειμένης πᾶσιν ἀναγκαίας καὶ ἀπαραιτήτου, οἱ μὲν προπορεύονται, οἱ δ᾽ ἐπακολουθοῦσι, πάντες δὲ ἐπὶ τὸ αὐτὸ ἔρχονται, τὸν αὐτὸν τρόπον, τῶν εἰς τὸ χρεὼν ὁδευόντων, οὐθὲν πλέον ἔχοντες τυγχάνουσιν οἱ βραδύτερον ἀφικνούμενοι, τῶν θᾶττον παραγινομένων. εἴγε μὴν ὁ ἄωρος θάνατος κακόν ἐστι, ἀωρότατος ἂν εἴη ὁ τῶν παίδων καὶ νηπίων, καὶ ἔτι μᾶλλον ὁ τῶν ἄρτι γεγονότων, ἀλλὰ τοὺς τούτων θανάτους ῥᾳδίως φέρομεν καὶ εὐθύμως, τοὺς δὲ τῶν ἤδη προβεβηκότων, δυσχερῶς καὶ πενθητικῶς, διὰ τὸν ἐκ τῶν ματαίων ἐλπίδων ἀναπλασμὸν, ἤδη νομιζόντων ἡμῶν, βεβαίαν ἔχειν τὴν τῶν τηλικούτων διαμονήν. εἰ δὴ ὁ τῆς ζωῆς τῶν ἀνθρώπων χρόνος εἰκοσαετὴς ἦν, τὸν ἤδη πεντεκαιδεκαέτη γενόμενον, ἐνομίζομεν ἂν, μηκέτι ἄωρον τελευτᾶν, ἀλλ᾽ ἤδη μέτρον ἡλικίας ἔχοντα ἱκανὸν, τὸν δὲ τὴν τῶν εἴκοσιν ἐτῶν προθεσμίαν ἐκπληρώσαντα, ἢ τὸν ἐγγὺς γενόμενον τοῦ τῶν εἴκοσιν ἐτῶν ἀριθμοῦ, πάντως ἂν ἐμακαρίζομεν, ὡς εὐδαιμονέστατον καὶ τελειότατον διαπεράσαντα βίον. εἰ δὲ διακοσίων ἐτῶν ἦν, τὸν ἑκατὸν ἐτῶν τελευτήσαντα, πάντως ἂν ἄωρον νομίζοντες

νομίζοντες εἶναι, πρὸς ὀδυρμοὺς καὶ θρήνους ἐτραπόμεθα. δῆλον οὖν ὅτι καὶ ὁ λεγόμενος ἄωρος θάνατος, εὐπαραμύθητός ἐστι, διά τε ταῦτα, καὶ τὰ προειρημένα ἐν τοῖς ἔμπροσθεν. μεῖον γὰρ ὄντως Τρωΐλος ἐδάκρυσεν, ἢ Πρίαμος αὐτὸς, εἰ προετελεύτησεν, ἐπ᾽ ἀκμαζούσης αὐτῷ τῆς βασιλείας, καὶ τῆς τοσαύτης τύχης ἧς ἐθρήνει. διὰ γοῦν πρὸς τὸν ἑαυτοῦ διελέχθη υἱὸν Ἕκτορα, παραινῶν ἀναχωρεῖν ἀπὸ τῆς πρὸς τὸν Ἀχιλλέα μάχης, ἐν οἷς φησιν,

ἀλλ᾽ εἰσέρχεο τεῖχος ἐμὸν τέκος, ὄφρα σαώσῃς Τρῶας καὶ Τρωιάδας, μὴ δὲ μέγα κῦδος ὀρέξῃς Πηλείδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς, πρὸς δέ με τὸν δύστηνον ἔτι φρονέοντ᾽ ἐλέησον, δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ, αἴσῃ ἐν ἀργαλέῃ φθίσει, κακὰ πόλλ᾽ ἐπιδόντα, υἷάς τ᾽ ὀλλυμένους, ἑλκυσθείσας τε θύγατρας, καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα βαλλόμενα ποτὶ γαίῃ, ἐν αἰνῇ δηϊοτῆτι, αὐτὸν δ᾽ ἂν πύματόν με κύνες, πρώτῃσι θύρῃσιν ὠμησταὶ ἐρύουσιν, ἐπεί κέ τις ὀξέϊ χαλκῷ τύψας ἠὲ βαλὼν, ῥεθέων ἐκ θυμὸν ἕληται, ἀλλ᾽ ὅτε δὴ πολιόν τε κάρη, πολιόν τε γένειον, αἰδῶ τ᾽ αἰσχύνωσι κύνες κταμένοιο γέροντος, τοῦτο δὴ οἴκτιστον πέλεται δειλοῖσι βροτοῖσιν. ἦ ῥ᾽ ὁ γέρων· πολιὰς δ᾽ ἄρ᾽ ἀνὰ τρίχας ἕλκετο χερσὶ τίλλων ἐκ κεφαλῆς, οὐδ᾽ Ἕκτορι θυμὸν ἔπειθεν.

ὄντων οὖν σοι παμπόλλων παραδειγμάτων περὶ τούτου ἐννοήθητι τὸν θάνατον, οὐκ ὀλίγους ἀπαλλάττειν μεγάλων καὶ χαλεπῶν κακῶν, ὧν εἰ ἐπεβίωσαν, πάντως ἂν ἐπειράθησαν, ἃ φειδόμενος τῆς τοῦ λόγου συμμετρίας παρέλιπον, ἀρκεσθεὶς τοῖς εἰρημένοις, πρὸς τὸ μὴ δεῖν πέρα τοῦ φυσικοῦ καὶ μετρίου, πρὸς ἄπρακτα πένθη καὶ θρήνους ἀγεννεῖς ἐκτρέπεσθαι. τὸ γὰρ μὴ δι᾽ αὐτὸν κακῶς πράττειν, ὁ μὲν Κράντωρ φησὶν, οὐ μικρὸν εἶναι κούφισμα πρὸς τὰς τύχας, ἐγὼ δ᾽ ἂν εἴποιμι φάρμακον ἀλυπίας εἶναι μέγιστον. τὸ δὲ φιλεῖν τὸν μεταλλάξαντα καὶ στέργειν, οὐκ ἐν τῷ λυπεῖν ἑαυτούς ἐστιν, ἀλλ᾽ ἐν τῷ τὸν ἀγαπώμενον ὠφελεῖν, ὠφέλεια δ᾽ ἐστὶ τοῖς ἀφῃρημένοις, ἡ διὰ τῆς ἀγαθῆς μνήμης τιμή. οὐδεὶς γὰρ ἀγαθὸς ἄξιος θρήνων, ἀλλ᾽ ὕμνων καὶ ἐπαίνων, οὐδὲ πένθους, ἀλλὰ μνήμης εὐκλεοῦς, οὐδὲ δακρύων ἐπωδύνων, ἀλλ᾽ ἀστείων ἀπαρχῶν, εἴγε ὁ μετηλλαχὼς, θειότερόν τινα βίον μετείληφεν, ἀπαλλαγεὶς τῆς τοῦ σώματος λατρείας, καὶ τῶν ἀλύτων τούτων φροντίδων τε καὶ συμφορῶν, ἃς ἀνάγκη τοὺς εἰληχότας τὸν θνητὸν βίον ὑπομένειν, ἕως ἂν ἐκπλήσωσι τὸν ἐπικλωσθέντα τῆς ζωῆς βίον, ὃν ἔδωκεν ἡμῖν ἡ φύσις οὐκ εἰς ἅπαντα τὸν χρόνον, ἀλλὰ καθ᾽ ἕκαστον ἀπένειμε τὸν μερισθέντα κατὰ τοὺς τῆς εἱμαρμένης νόμους. διὸ τοὺς εὖ φρονοῦντας ἐπὶ τοῖς ἀποθνήσκουσι οὐ χρὴ πέρα τοῦ φυσικοῦ καὶ μετρίου τῆς περὶ τὴν ψυχὴν λύπης εἰς ἄπρακτα καὶ βαρβαρικὰ πένθη παρεκτρέπεσθαι, καὶ τοῦθ᾽ ὅπερ πολλοῖς ἤδη συνέβη περιμένειν, ὥστε πρὶν ἀπώσασθαι τὰ πένθη, κακοχουμένους τελευτῆσαι τὸν βίον, καὶ ἐν τοῖς πενθήμοις τῆς κακοδαίμονος ταφῆς μεταλαβεῖν ἅμα τῶν τε ἀνιαρῶν, καὶ τῶν ἐκ τῆς ἀλογιστίας κακῶν συγκηδευομένων αὐτοῖς, ὥστ᾽ ἐπιφθέγξασθαι τὸ Ὁμηρικόν· μυρομένοισι δὲ τοῖσι, μέλας ἐπὶ ἕσπερος ἦλθε. διὸ καὶ πολλάκις αὐτοῖς προσδιαλέγεσθαι χρή, τί δαί, παυσόμεθά ποτε λυπούμενοι; ἢ ἀκαταπαύστῳ συμφορᾷ συνεσόμεθα μέχρι παντὸς τοῦ βίου. τὸ μὲν γὰρ δὴ ἀτελεύτητον νομίζειν τὸ πένθος, ἀνοίας ἐστὶν ἐσχάτης, καίτοι γε ὁρῶντας, ὡς καὶ οἱ βαρυλυπότατοι καὶ πολυπενθέστατοι, πραότατοι πολλάκις γίνονται ὑπὸ τοῦ χρόνου, καὶ ἐν οἷς ἐδυσχέραινον σφόδρα μνήμασιν ἀνοιμώζοντες καὶ στερνοτυπούμενοι, λαμπρὰς εὐωχίας συνίστανται μετὰ μουσουργῶν καὶ τῆς ἄλλης διαχύσεως. μεμηνότος οὖν ἐστι τὸ οὕτως ὑπολαμβάνειν, παράμονον ἕξειν τὸ πένθος. ἀλλ᾽ ἐλογίζοιντ᾽ ὅτι παύσεταί τινος γενομένου, προσαναλογήσαιντ᾽ ἂν, χρόνου δηλαδή τι ποιήσαντος. τὸ μὲν γὰρ γε-

τοὺς ἔτρεφον ἐν μεγάροισι τραπεζῆας πυλαωρούς.
οἵ κ᾽ ἐμὸν αἷμα πιόντες ἀλύσσοντες περὶ θυμῷ
κείσοντ᾽ ἐν προθύροισι· νέῳ δέ τε πάντ᾽ ἐπέοικεν
ἀρηϊ κταμένῳ δεδαϊγμένῳ ὀξέϊ χαλκῷ
κεῖσθαι· πάντα δὲ καλὰ θανόντι περ ὅττι φανήῃ.

γεγενημένον, οὐδὲ θεῶν δυνατόν ἐστι ποιεῖν ἀγένητον. οὐκοῦν τὸ νῦν παρ' ἐλπίδας συμβεβηκὸς καὶ παρὰ τὴν ἡμετέραν δόξαν, ἔδειξε τὸ εἰωθὸς περὶ πολλοὺς γίνεσθαι δι' αὐτῶν τῶν ἔργων. τί οὖν, ἆρά γ' ἡμεῖς τοῦτο διὰ τοῦ λόγου μαθεῖν οὐ δυνάμεθα, οὐδ' ἐπιλογίσασθαι; ὅτι πλείη μὲν γαῖα κακῶν, πλείη δὲ θάλασσα, καὶ τοιάδε θνητοῖσι κακὰ κακῶν ἀμφί τε κῆρες εἰλεῦνται, κενεὴ δ' εἴσδυσις οὐδ' αἰθέρι. πολλοῖς γὰρ καὶ σοφοῖς ἀνδράσιν ὥς φησι Κράντωρ, οὐ νῦν ἀλλὰ πάλαι κέκλαυσται τἀνθρώπινα, τιμωρίαν ἡγουμένοις εἶναι τὸν βίον, καὶ ἀρχὴν τὸ γενέσθαι ἄνθρωπον, συμφορὰν τὴν μεγίστην. τοῦτο δέ φησιν Ἀριστοτέλης καὶ τὸν Σειληνὸν συλληφθέντα τῷ Μίδᾳ ἀποφήνασθαι, βέλτιον δ' αὐτὰς τὰς τοῦ φιλοσόφου λέξεις παραθέσθαι, φησὶ δὲ ἐν τῷ Εὐδήμῳ ἐπιγραφομένῳ ἢ περὶ ψυχῆς ταυτί, διόπερ ὦ κράτιστε πάντων καὶ μακαριστότατε, καὶ πρὸς τὸ μακαρίους καὶ εὐδαίμονας εἶναι τοὺς τετελευτηκότας νομίζομεν, καὶ τὸ ψεύσασθαί τι κατ' αὐτῶν καὶ τὸ βλασφημεῖν οὐχ ὅσιον, ὡς κατὰ βελτιόνων ἡγούμεθα καὶ κρειττόνων ἤδη γεγονότων, καὶ ταῦθ' οὕτως ἀρχαῖα καὶ παλαιὰ διατελεῖ νενομισμένα παρ' ἡμῖν, ὥστε τὸ παράπαν οὐδεὶς οἶδεν οὔτε τοῦ χρόνου τὴν ἀρχὴν, οὔτε τὸν θέντα πρῶτον, ἀλλὰ τὸν ἄπειρον αἰῶνα τυγχάνουσι διατέλους οὕτω νενομισμένα, πρὸς δὲ δὴ τούτοις, διὰ στόματος ἐν τοῖς ἀνθρώποις ὁρᾷς, ὡς ἐκ πολλῶν ἐτῶν παλαιοῦ χρόνου περιφέρεται θρυλλούμενον, τί τοῦτ' ἔφη, κἀκεῖνος ὑπολαβὼν, ὡς ἄρα μὴ γίνεσθαι μὲν ἔφην ἄριστον πάντων, τὸ δὲ τεθνάναι τοῦ ζῆν ἐστι κρεῖττον, καὶ πολλοῖς οὕτω παρὰ τοῦ δαιμονίου μεμαρτύρηται, τοῦτο μὲν ἐκείνῳ τῷ Μίδᾳ λέγουσι δή που μετὰ τὴν θήραν ὡς ἔλαβε τὸν Σειληνὸν, διερωτῶντι καὶ πυνθανομένῳ, τί ποτέ ἐστι τὸ βέλτιον τοῖς ἀνθρώποις, καὶ τί τὸ πάντων αἱρετώτατον, τὸ μὲν πρῶτον, οὐδὲν ἐθέλειν εἰπεῖν, ἀλλὰ σιωπᾶν ἀρρήτως, ἐπειδὴ δέ ποτε μόλις πᾶσαν μηχανὴν μηχανώμενος προσηγάγετο φθέγξασθαί τι πρὸς αὐτὸν, οὕτως ἀναγκαζόμενος εἰπεῖν. δαίμονος ἐπιπόνου καὶ τύχης χαλεπῆς ἐφήμερον σπέρμα, τί με βιάζεσθε λέγειν, ἃ ὑμῖν ἄρειον μὴ γνῶναι. μετ' ἀγνοίας γὰρ τῶν οἰκείων κακῶν, ἀλυπότατος ὁ βίος, ἀνθρώποις δὲ πάμπαν, οὐκ ἔστι γενέσθαι τὸ πάντων ἄριστον, οὐδὲ μετασχεῖν τῆς τοῦ βελτίστου φύσεως. ἄριστον γὰρ πᾶσι καὶ πάσαις τὸ μὴ γενέσθαι, τὸ μέντοι μετὰ τοῦτο καὶ τὸ πρῶτον τῶν ἄλλων ἀνυστόν, δεύτερον δὲ, τὸ γενομένους ἀποθανεῖν ὡς τάχιστα. δῆλον οὖν ὡς οὔσης κρείττονος τῆς ἐν τῷ τεθνάναι διαγωγῆς, ἢ τῆς ἐν τῷ ζῆν, οὕτως ἀπεφήνατο. μυρία δ' ἐπὶ μυρίοις ἄν τις ἔχοι τοιαῦτα παρατίθεσθαι πρὸς τὸ αὐτὸ κεφάλαιον, ἀλλ' οὐκ ἀναγκαῖον μακρηγορεῖν. οὐ χρὴ οὖν τοὺς ἀποθνήσκοντας νέους θρηνεῖν, ὅτι τῶν ἐν τῷ μακρῷ βίῳ νομιζομένων ἀγαθῶν ἀπεστέρηνται, τοῦτο γὰρ ἄδηλον ὡς πολλάκις εἴπομεν, εἴτε ἀγαθῶν ἀπεστερημένοι τυγχάνουσιν, εἴτε κακῶν. πολλῷ γὰρ πλείονα τὰ κακά. καὶ τὰ μὲν μόλις καὶ διὰ πολλῶν φροντίδων κτώμεθα, τὰ δὲ κακὰ, πάνυ ῥᾳδίως. στρογγύλα γὰρ εἶναί φασι ταῦτα καὶ συνεχῆ, καὶ πρὸς ἄλληλα φερόμενα κατὰ πολλὰς αἰτίας, τὰ δ' ἀγαθὰ, διεχῆ τε καὶ δυσκόλως συνερχόμενα πρὸς αὐτοῖς τοῦ βίου τοῖς τέρμασιν. ἐπιλελησμένοις οὖν ἐοίκαμεν. οὐ γὰρ μόνον ὥς φησιν Εὐριπίδης τὰ χρήματα οὐκ ἴδια κέκτηνται βροτοὶ ἀλλ' ἁπλῶς τῶν ἀνθρωπίνων οὐδέν. διὸ καὶ ἐπὶ πάντων λέγειν χρὴ, τὰ τῶν θεῶν ἔχοντες, ἐπιμελούμεθα, ὅταν δὲ χρῄζωσιν, αὐτὰ ἀφαιροῦνται πάλιν. οὐ δεῖ οὖν δυσφορεῖν, ἐὰν ἃ ἔχρησαν ἡμῖν πρὸς ὀλίγον ταῦτα ἀπαιτῶσιν. οὐδὲ γὰρ οἱ τραπεζῖται, καθάπερ εἰώθαμεν λέγειν πολλάκις, ἀπαιτούμενοι τὰ θέματα, δυσχεραίνουσιν ἐπὶ τῇ ἀποδόσει, ἐάνπερ εὐγνωμονῶσι. πρὸς γὰρ τοὺς οὐκ εὐμαρῶς ἀποδιδόντας,

ἀποδιδόντας, εἰκότως ἄν τις εἴποι, ἐπελάθου ὅτι ταῦτ' ἔλαβες ἐπὶ τῷ ἀποδοῦναι; τοῦτο δὴ τοῖς θνητοῖς ἅπασι συμβέβηκεν, ἔχομεν γὰρ τὸ ζῆν, ὥσπερ παρακαταθεμένοις θεοῖς ἐξ ἀνάγκης, καὶ τούτου χρόνος οὐδείς ἐστιν ὡρισμένος τῆς ἀποδόσεως, ὥσπερ οὐδὲ τοῖς τραπεζίταις τῆς τῶν θεμάτων, ἀλλ' ἄδηλον πότε ὁ δοὺς ἀπαιτήσει. ὁ οὖν ἢ αὐτὸς μέλλων ἀποθνήσκειν, ἢ τέκνων ἀποθανόντων ὑπεραγανακτῶν, πῶς οὐ καταφανῶς ἐπιλέλησται, ὅτι καὶ αὐτὸς ἄνθρωπός ἐστι, καὶ τὰ τέκνα θνητὰ ἐγέννησεν. οὐ γάρ ἐστι φρένας ἔχοντος ἀνθρώπου ἀγνοεῖν, ὅτι ὁ ἄνθρωπος ζῶόν ἐστι θνητὸν, οὐδ' ὅτι γέγονεν εἰς τὸ ἀποθανεῖν. εἰ γοῦν ἡ Νιόβη κατὰ τοὺς μύθους πρόχειρον εἶχε τὴν ὑπόληψιν ταύτην, ὅτι οὐκ αἰεὶ θαλέθοντι βίῳ, βλάστουσα τέκνων βριθομένα, γλυκερὸν φάος ὁρῶσα τελευτήσει, οὐκ ἂν οὕτως ἐδυσχέραινεν, ὡς καὶ τὸ ζῆν ἐθέλειν ἐκλιπεῖν, διὰ τὸ μέγεθος τῆς συμφορᾶς, καὶ τοὺς θεοὺς ἐπικαλεῖσθαι, ἀνάρπαστον αὐτὴν γενέσθαι πρὸς ἀπώλειαν τὴν χαλεπωτάτην. δύ' ἐστὶ τῶν Δελφικῶν γραμμάτων, τὰ μάλιστ' ἀναγκαιότατα πρὸς τὸν βίον, τὸ γνῶθι σαυτόν, καὶ τὸ μηδὲν ἄγαν, ἐκ τούτων γὰρ ἤρτηται καὶ τὰ λοιπὰ πάντα, ταῦτα δέ ἐστιν ἀλλήλοις σύμφωνα καὶ συνῳδὰ, καὶ διὰ θατέρου θάτερον ἔοικε δηλοῦσθαι κατὰ δύναμιν. ἔν τε γὰρ τῷ γινώσκειν ἑαυτὸν, περιέχεται τὸ μηδὲν ἄγαν, καὶ ἐν τούτῳ, τὸ γινώσκειν ἑαυτόν. διὸ καὶ περὶ μὲν τούτων, φησὶν ὁ Ἴων οὕτως, τὸ γνῶθι σαυτὸν, τοῦτ' ἔπος μὲν οὐ μέγα, ἔργον δ' ὅσον, Ζεὺς μόνος ἐπίσταται θεῶν. ὁ δὲ Πίνδαρος σοφοὶ δέ φησι, καὶ τὸ μηδὲν ἄγαν ἔπος, αἴνησαν περισσῶς. ταῦτα οὖν ἐν διανοίᾳ τις ἔχων ὡς πυθόχρηστα παραγγέλματα, πρὸς πάντα τὰ τοῦ βίου πράγματα, ῥᾳδίως ἐφαρμόζειν δυνήσεται, καὶ φέρειν αὐτὰ δεξιῶς, εἴς τε τὴν αὐτοῦ φύσιν ἀφορῶν, καὶ εἰς τὸ μὴ παρὰ τὸ προσῆκον ἐν τοῖς προσπίπτουσιν, ἢ διαίρεσθαι πρὸς ἀλαζονείαν, ἢ ταπεινοῦσθαι, καὶ καταπίπτειν πρὸς οἴκτους καὶ ὀλοφυρμοὺς, διὰ τὴν τῆς τύχης ἢ ψυχῆς ἀσθένειαν, καὶ τὸν ἐμφυόμενον ἡμῖν τοῦ θανάτου φόβον, παρὰ τὴν ἄγνοιαν τῶν εἰωθότων ἐν τῷ βίῳ συμβαίνειν, κατὰ τὴν τῆς ἀνάγκης ἢ πεπρωμένης μοῖραν. καλῶς δ' οἱ Πυθαγόρειοι παρεκελεύσαντο λέγοντες, ὅσσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν, ὧν ἂν μοῖραν ἔχῃς, ταύτην ἔχε, μὴ δ' ἀγανάκτει, καὶ ὁ τραγικὸς Αἰσχύλος, ἀνδρῶν γάρ ἐστιν ἐναρέτων τε καὶ σοφῶν, ἐν τοῖς κακοῖσι μήτε θυμοῦσθαι θεοῖς, καὶ ὁ Εὐριπίδης, ὅστις δ' ἀνάγκῃ συγκεχώρηκεν βροτῶν, σοφὸς παρ' ἡμῖν, καὶ τὰ θεῖ' ἐπίσταται, καὶ ἐν ἄλλοις, τὰ προσπεσόντα δ' ὅς τις εὖ φέρει βροτῶν, ἄριστος εἶναι, σωφρονεῖν τέ μοι δοκεῖ. οἱ δὲ πολλοὶ πάντα καταμέμφονται, καὶ πάντα τὰ παρὰ τὰς ἐλπίδας αὐτοῖς συμβεβηκότα, ἐξ ἐπηρείας τύχης, καὶ δαιμόνων γίνεσθαι νομίζουσι, διὸ καὶ ἐπὶ πᾶσιν ὀδύρονται στένοντες, καὶ τὴν ἑαυτῶν ἀτυχίαν αἰτιώμενοι, πρὸς οὓς ὑποτυχὼν ἄν τις εἴποι, θεός δέ σοι πῆμ' οὐδὲν, ἀλλ' αὐτὸς αὑτῷ, σύ σοι, καὶ ἡ διὰ τὴν ἀπαιδευσίαν ἄνοια καὶ παραφροσύνη. καὶ διὰ ταύτην γοῦν τὴν διηπατημένην καὶ ψευδῆ δόξαν, πάντα καταμέμφονται θάνατον. ἐὰν μὲν γὰρ ἐν ἀποδημίᾳ τις ὢν ἀποθάνῃ, στένουσιν ἐπιλέγοντες, δύσμορος, οὐδ' ἄρα τῷ γε πατὴρ καὶ πότνια μήτηρ ὄσσε καθαιρήσουσιν. ἐὰν δ' ἐπὶ τῆς οἰκείας πατρίδος, παρόντων τῶν γονέων, ὀδύρονται, ὡς ἐξαρπασθέντος ἐκ τῶν χειρῶν, καὶ τὴν ἐπ' αὐτῷ ὀδύνην αὐτοῖς ἀφέντος. ἐὰν δ' ἄφωνος μηδὲν προσειπὼν περὶ μηδενὸς, κλαίοντες λέγουσιν, οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ μεμνῄμην. ἐὰν προσομιλήσας τι, τοῦτ' αἰεὶ πρόχειρον ἔχουσιν ὥσπερ ὑπέκκαυμα τῆς λύπης. ἐὰν ταχέως, ὀδύρονται λέγοντες, ἀνηρπάσθη. ἐὰν μακρῶς, μέμφονται, ὅτι καταφθινήσας καὶ τιμωρηθεὶς ἀπέθανε. πᾶσα πρόφασις ἱκανὴ πρὸς τὸ τὰς λύπας

καὶ τοὺς θρήνους συνεγείρειν. ταῦτα δ' ἐκίνησαν οἱ ποιηταί, καὶ μάλιστα τούτων ὁ πρῶτος Ὅμηρος λέγων, ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται ὀστέα καίων νυμφίου, ὅς τε θανὼν δειλοὺς ἀκάχησε τοκῆας, ἄρρητον δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκε, καὶ ταῦτα μὲν οὔπω δῆλον, εἰ δικαίως ὀδύρεται, ἀλλ' ὅρα τὸ ἑξῆς μοῦνος τηλύγετος πολλοῖσιν ἐπὶ κτεάτεσσι. τίς γοῦν οἶδεν εἰ ὁ θεὸς πατρικῶς προειδὼς, καὶ κηδόμενος τοῦ ἀνθρωπείου γένους, προορώμενος τὰ μέλλοντα συμβήσεσθαι, προεξάγει τινὰς ἐκ τοῦ ζῆν ἀώρους. ὅθεν οὐδὲν φευκτὸν νομιστέον αὐτοὺς παθεῖν. οὐδὲν γὰρ δεινὸν τῶν ἀναγκαίων βροτοῖς, οὔτε τῶν κατὰ προηγούμενον λόγον συμβαινόντων, οὔτε τῶν κατ' ἐπακολούθησιν, καὶ ὅτι οἱ πλεῖστοι θάνατοι πρὸ ἄλλων δυσχερῶν μειζόνων γίνονται, καὶ ὅτι τοῖς μὲν οὐδὲ γενέσθαι συνέφερε, τοῖς δ' ἅμα τῷ γενέσθαι, ἀποθανεῖν, τοῖς δὲ προελθοῦσιν ἐπὶ μικρὸν, τοῖς δ' ἀκμάζουσι. πρὸς πάντας δὴ τούτους τοὺς θανάτους ἐλαφρῶς ἑκτέον, εἰδότας, ὅτι τὴν μοῖραν οὐκ ἔστιν ἐκφυγεῖν, πεπαιδευμένων δ' ἐστὶν ἀνθρώπων προσλωφέναι, διότι βραχὺν χρόνον προειλήφασιν ἡμᾶς οἱ δοκοῦντες ἄωροι τοῦ ζῆν ἐστερῆσθαι. καὶ γὰρ ὁ μακρότατος βίος ὀλίγος ἐστὶ καὶ στιγμαῖος πρὸς τὸν ἄπειρον αἰῶνα, καὶ ὅτι πολλοὶ τῶν ἐπὶ πλέον πενθησάντων, μετ' οὐ πολὺ τοῖς ὑπ' αὐτῶν κατοδυρθεῖσιν ἐπηκολούθησαν, οὐδὲν ἐκ τοῦ πένθους ὄφελος περιποιησάμενοι, μάτην δ' αὐτοὺς καταικισάμενοι ταῖς κακουχίαις. βραχυτάτου δὲ τοῦ τῆς ἐπιδημίας ὄντος ἐν τῷ βίῳ χρόνου, οὐκ ἐν ταῖς αὐχμηραῖς λύπαις, οὐδ' ἐν τῷ κακοδαιμονεστάτῳ πένθει διαφθείρειν ἑαυτοὺς δεῖ ταῖς ὀδύναις, καὶ ταῖς τοῦ σώματος αἰκίαις παρατεινομένους, ἀλλὰ μεταβάλλειν ἐπὶ τὸ κρεῖσσον καὶ ἀνθρωπικώτερον πειρωμένους, καὶ σπουδάζοντας ἐντυγχάνειν ἀνδράσι, μὴ τοῖς συλλυπουμένοις καὶ διεγείρουσι τὰ πένθη διὰ κολακείαν, ἀλλὰ τοῖς ἀφαιρουμένοις τὰς λύπας, διὰ τῆς γενναίας καὶ σεμνῆς παρηγορίας, ἐπακούοντας καὶ ἔχοντας ἐν νῷ τὸ Ὁμηρικὸν τοῦτο ἔπος, ὅπερ ὁ Ἕκτωρ πρὸς τὴν Ἀνδρομάχην ἀποπαρηγορῶν αὐτὴν εἶπεν, ὦ δὲ δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ, οὐ γάρ τίς μ' ὑπὲρ αἶσαν ἀνὴρ ἄϊδι προϊάψει. μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν, οὐ κακὸν οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται, ταύτην δὲ τὴν μοῖραν, ἐν ἄλλοις ὁ ποιητής φησι, γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ. ταῦτα πρὸ διανοίας λαβόντες, τῆς ἀπράκτου καὶ κενῆς ἀπαλλαγησόμεθα βαρυπενθείας, ὀλίγου δὴ παντάπασι τοῦ μεταξὺ χρόνου τῆς ζωῆς ὄντος. φροντιστέον οὖν ὅπως εὐθυμοῦντές τε ἀπαρενόχλητοι τοῦτον ταῖς πενθικαῖς λύπαις διαγάγωμεν, τὰ τοῦ πένθους παράσημα μεθέμενοι, καὶ τῆς τοῦ σώματος ἐπιμελείας φροντίσαντες, καὶ τῆς τῶν συμβιούντων ἡμῖν σωτηρίας. καλὸν δὲ καὶ μεμνῆσθαι τῶν λόγων, οἷς κατὰ τὸ εἰκὸς ἐχρησάμεθά ποτε πρὸς συγγενεῖς ἢ φίλους ἐν τοῖς παραπλησίοις γενομένους συμφοραῖς, παραμυθούμενοι καὶ πείθοντες τὰ κοινὰ τοῦ βίου συμπτώματα κοινῶς φέρειν, καὶ τὰ ἀνθρώπινα ἀνθρωπίνως, καὶ μὴ τοῖς μὲν ἄλλοις ἐπαρκεῖν πρὸς ἀλυπίαν δύνασθαι, ἑαυτοῖς δὲ μηδὲν ὄφελος εἶναι τὴν τούτων ὑπόμνησιν, μηδὲ τὸ ἀλγοῦν τῆς ψυχῆς ἀποθεραπεύειν παιωνείοις λόγου φαρμάκοις ὡς πάντων μάλιστα, ἢ ἀλυπίας ἀναβολὴν δεῖ ποιεῖσθαι. καίτοι γε τὸν ἐν ὁτῳοῦν ἀμβολιεργὸν ἅπαντες φασὶ παλαίειν, τὸ κυκώμενον τοῦτο παρὰ πᾶσιν ἔπος, πολὺ δ' οἶμαι μᾶλλον τὸν ὑπερτιθέμενον τὰ τῆς ψυχῆς ἀχθεινὰ πάθη καὶ δυσάντητα, πρὸς τὸν ἐπιόντα χρόνον. ἀποβλέπειν δὲ καὶ πρὸς τοὺς εὐγενῶς καὶ μεγαλοφρόνως τοὺς ἐπὶ τοῖς υἱοῖς γενομένους θανάτους πράως ὑποστάντας, Ἀναξαγόραν τὸν Κλαζομένιον, καὶ Δημοσθένην τὸν Ἀθηναῖον, καὶ Δίωνα τὸν Συρακούσιον, καὶ τὸν βασιλέα Ἀντίγονον, καὶ συχνοὺς ἄλλους τῶν τε παλαιῶν καὶ τῶν καθ' ἡμᾶς, τοῦτον γὰρ Ἀναξαγόραν παρειλήφαμεν, ὥς φασι,

φυσιολογοῦντα καὶ διαλεγόμενον τοῖς γνωρίμοις, ἀκούσαντα παρά τινος τῶν ἀπαγγειλάντων αὐτῷ τὴν περὶ τὸν υἱὸν τελευτὴν, μικρὸν ἐπισχόντα πρὸς τοὺς παρόντας εἰπεῖν, ᾔδειν ὅτι θνητὸν ἐγέννησα υἱόν. Περικλέα δὲ τὸν καὶ Ὀλύμπιον προσαγορευθέντα διὰ τὴν περὶ τὸν λόγον καὶ τὴν σύνεσιν ὑπερβεβλημένην δύναμιν, πυθόμενον ἀμφοτέρους αὐτοῦ τοὺς υἱοὺς μετηλλαχέναι τὸν βίον, Πάραλόν τε καὶ Ξάνθιππον, ὥς φησι Πρωταγόρας, εἰπεῖν οὕτως· τῶν γὰρ υἱέων νεηνιῶν ὄντων καὶ καλῶν, ἐν ὀκτὼ δὲ ταῖς πάσῃσιν ἡμέρῃσιν ἀποθανόντων, νηπενθέως ἀνέτλη· εὐδίης γὰρ εἴχετο· ἐξ ἧς πολλὸν ὤνητο κατὰ πᾶσαν ἡμέρην εἰς εὐποτμίην, καὶ ἀνωδυνίην, καὶ τὴν ἐν τοῖς πολλοῖσι δόξαν. πᾶς γάρ τίς μιν ὁρῶν τὰ ἑαυτοῦ πένθεα ἐρρωμένως φέροντα, μεγαλόφρονά τε καὶ ἀνδρεῖον ἐδόκει εἶναι, καὶ ἑαυτοῦ κρείσσω, κάρτα εἰδὼς τὴν ἑαυτοῦ ἐν τοιοῖσδε πράγμασιν ἀμηχανίην. τοῦτον γὰρ εὐθὺς μετὰ τὴν προσαγγελίαν ἀμφοτέρων τῶν υἱέων, οὐδὲν ἧττον ἐστεφανωμένον κατὰ τὸ πάτριον ἔθος καὶ λευχειμονοῦντα δημηγορεῖν, βουλάς τε ἐξάρχοντα ἀγαθὰς πρὸς τὸν πόλεμον ἐπιπαρορμῶντα τοὺς Ἀθηναίους. Ξενοφῶντα δὲ τὸν Σωκρατικὸν θύοντά ποτε, παρὰ τῶν ἀγγέλων ἀπὸ τοῦ πολέμου πυθόμενον, ὅτι ὁ υἱὸς αὐτοῦ Γρύλλος ἀγωνιζόμενος ἐτελεύτησε, περιελόμενον τὸν στέφανον, ἐξετάζειν τίνα τρόπον ἐτελεύτησε, τῶν δ' ἀπαγγειλάντων ὅτι γενναίως ἀριστεύων καὶ πολλοὺς τῶν πολεμίων ἀποκτείνας, μικρὸν παντελῶς διασιωπήσαντα χρόνον καὶ τῷ λογισμῷ τὸ πάθος παρακαταχόντα, ἐπιθέμενον πάλιν τὸν στέφανον, ἐπιτελεῖν τὴν θυσίαν, καὶ πρὸς τοὺς ἀγγέλους εἰπεῖν, ὅτι θεοῖς ηὐξάμην, οὐκ ἀθάνατον οὐδὲ πολυχρόνιον γενέσθαι μοι τὸν υἱόν, τοῦτο γὰρ τοιοῦτον ἄδηλον ὅτι συμφέρει, ἀγαθὸν δὲ καὶ φιλόπατριν, ὃ δὴ καὶ γέγονεν. Δίωνα δὲ τὸν Συρακούσιον συνεδρεύοντα μετὰ τῶν φίλων, κατὰ τὴν οἰκίαν θορύβου γενομένου καὶ μεγάλης κραυγῆς, πυθόμενον τὴν αἰτίαν, καὶ τὸ συμβεβηκὸς ἀκούσαντα, ὅτι ὁ υἱὸς αὐτοῦ πεσὼν ἀπὸ τοῦ τέγους ἐτελεύτησεν, οὐδὲν ἐκπλαγέντα, τὸ μὲν σωμάτιον κελεῦσαι τοῦ μεταλλάξαντος ταῖς γυναιξὶ παραδοῦναι πρὸς τὴν νόμιμον ταφὴν, αὐτὸν δὲ περὶ ὧν διεσκέπτετο μὴ παραλιπεῖν. τοῦτον ζηλῶσαι λέγεται καὶ Δημοσθένην τὸν ῥήτορα, τὴν μόνην καὶ ἀγαπητὴν ἀπολέσαντα θυγατέρα, περὶ ἧς φησιν Αἰσχίνης κατηγορεῖν αὐτοῦ δοκῶν ταυτί, ἑβδόμην δ' ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν πενθῆσαι, καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα ἀναλαβὼν, ἐβουθύτει καὶ παρενόμει, τὴν μόνην ὁ δείλαιος καὶ πρώτην αὐτὸν πατέρα προσειποῦσαν ἀπολέσας. οὗτος μὲν οὖν ῥητορικῶς προθέμενος αὐτοῦ κατηγορῆσαι, ταῦτα διεξῆλθεν, ἀγνοῶν ὅτι διὰ τούτων αὐτὸν ἐπαινεῖ, τὸ πενθεῖν παρωσάμενον καὶ τὸ φιλόπατρι πρὸ τῆς τῶν ἀναγκαίων συμπαθείας ἐπιδειξάμενον. Ἀντίγονον δὲ τὸν βασιλέα πυθόμενον τὴν Ἀλκυονέως τοῦ υἱοῦ τελευτὴν ἐν παρατάξει γενομένην, μεγαλοφρόνως τε πρὸς τοὺς ἀπαγγείλαντας αὐτῷ τὴν συμφορὰν ἀπιδεῖν, καὶ μικρὸν ἐπισχόντα, καὶ κατηφιάσαντα προσειπεῖν, ὦ Ἀλκυονεῦ, ὀψίτερον μετήλλαξας τὸν βίον, οὕτως ἀφειδῶς ἐφορμῶν πρὸς τοὺς πολεμίους, καὶ οὔτε τῆς ἑαυτοῦ σωτηρίας, οὔτε τῶν ἐμῶν παραινέσεων φροντίζων. τούτους δὴ τοὺς ἄνδρας θαυμάζουσι μὲν τῆς μεγαλοφροσύνης πάντες καὶ ἄγανται, μιμεῖσθαι δὲ ἐπὶ τῶν ἔργων οὐ δύνανται, διὰ τὴν ἐκ τῆς ἀπαιδευσίας ἀσθένειαν τῆς ψυχῆς. πολλῶν δ' ὄντων παραδειγμάτων, τῶν διὰ τῆς ἱστορίας ἡμῖν παραδεδομένων τῆς τε Ἑλληνικῆς καὶ τῆς Ῥωμαϊκῆς, τῶν γενναίως καὶ καλῶς ἐν ταῖς τῶν ἀναγκαίων τελευταῖς διαγενομένων, ἀποχρήσει τὰ εἰρημένα πρὸς τὴν ἀπόθεσιν τοῦ πάντων ἀνιαροτάτου πένθους, καὶ τῆς ἐν τούτῳ πρὸς οὐδὲν χρήσιμον ματαιοπονίας. ὅτι γὰρ οἱ τῇ ἀρετῇ διενεγκόντες ὡς θεοφιλεῖς νέοι μετέστησαν πρὸς τὸ χρεὼν, καὶ πάλαι μὲν διὰ τῶν

πρόσθεν ὑπόμνησαι λόγων, καὶ νῦν δὲ πειράσομαι διὰ βραχυτάτων ἐπιδραμεῖν, προσμαρτυρήσας τῷ καλῶς εἰπόντι μὲν αἰσχρὸν ἐνθέντι τούτῳ, ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος. ἀλλ' ἴσως ὑποτυχὼν ἂν φαίης ἀπολλώνιε φίλτατε, σφόδρ' ἦν ἐπιτετευγμένος ὁ νεανίσκος ἀπολλώνιος ἐν μοίραις, καὶ σὲ ἔδει ὑπ' ἐκείνου τελείου γενομένου κηδευθῆναι μεταλλάξαντα τὸν βίον. τοῦτο γὰρ εἶναι κατὰ φύσιν τὴν ἡμετέραν δηλονότι καὶ τὴν ἀνθρωπίνην, ἀλλ' οὐ κατὰ τὴν τῶν ὅλων πρόνοιαν, καὶ τὴν κοσμικὴν διάταξιν. ἐκείνῳ δὲ τῷ μακαρισθέντι, οὐκ ἦν κατὰ φύσιν περαιτέρω τοῦ ἀπονενεμηθέντος αὐτῷ χρόνου, πρὸς τὸν ἐνθάδε βίον περιμένειν, ἀλλ' εὐτάκτως τοῦτον ἐκπλήσαντα πρὸς τὴν εἱμαρμένην ἐπανάγειν πορείαν, καλούσης αὐτῆς φησιν ἤδη πρὸς ἑαυτήν. ἀλλ' ἀώρως ἐτελεύτησεν; οὐκοῦν, εὐποτμώτερος διὰ τοῦτο, καὶ κακῶν ἀπείρατός ἐστιν.

ὁ βίος γάρ φησιν Εὐριπίδης ὄνομ' ἔχει, πόνος ἐών. οὗτος δ' ἐν αὐτῇ τῆς εὐανθεστάτης ἡλικίας προαπεφοίτησεν ὁ λόκληρος ἠίθεος, ζηλωτὸς καὶ περίβλεπτος πᾶσι τοῖς συνήθεσιν αὐτῷ, φιλοπάτωρ γενόμενος καὶ φιλομήτωρ, καὶ φιλοίκειος καὶ φιλόσοφος, τὸ δὲ σύμπαν εἰπεῖν φιλάνθρωπος, αἰδούμενος μὲν τοὺς πρεσβυτέρους τῶν φίλων, ὥσπερ πατέρας, στέργων δὲ τοὺς ὁμήλικας καὶ συνήθεις, τιμητικὸς δὲ τῶν καθηγησαμένων, ξένοις δὲ καὶ ἀστοῖς πραότατος, πᾶσι δὲ μείλιχος καὶ φίλος, διά τε τὴν ἐξ ὄψεως χάριν, καὶ τὴν εὐπροσήγορον φιλανθρωπίαν. ἀλλὰ γὰρ ἐκεῖνος μὲν τῆς σῆς εὐσεβίας καὶ τῆς ἑαυτοῦ τὴν πρέπουσαν εὐφημίαν ἔχων, πρὸς τὸν ἀεὶ χρόνον προαπεφοίτησε τοῦ θνητοῦ βίου καθάπερ ἐκ τοῦ συμποσίου, πρὶν εἴς τινα παροινίαν ἐκπεσεῖν, τὴν τῷ μακρῷ γήρᾳ παρεπομένην. εἰ δ' ὁ τῶν παλαιῶν τε ποιητῶν καὶ φιλοσόφων λόγος ἐστὶν ἀληθής, ὥσπερ εἰκὸς ἔχειν, οὕτω καὶ τοῖς εὐσεβέσι τῶν μεταλλαξάντων, ἔστι τις τιμὴ καὶ προεδρία, καθάπερ λέγεται, καὶ χῶρός τις ἀποτεταγμένος, ἐν ᾧ διατρίβουσιν αἱ τούτων ψυχαί. καλὰς ἐλπίδας ἔχειν σε δεῖ περὶ τοῦ μακαρίτου υἱέος σου, ὅτι τούτοις συγκαταριθμηθεὶς συνέσται. λέγεται δ' ὑπὸ μὲν τοῦ μελικοῦ Πινδάρου, ταυτὶ περὶ τῶν εὐσεβέων ἐν ᾅδου.

τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω, φοινικορόδιαί τε λειμῶνές εἰσι προάστειον αὐτῶν, καὶ λιβάνῳ σκιεραὶ καὶ χρυσοκάρποισι βέβριθε. καὶ τοὶ μὲν, ἵπποις γυμνασίοις, τοὶ δὲ, πεσσοῖς, τοὶ δὲ, φορμίγγεσι τέρπονται, παρὰ δὲ σφίσιν, εὐανθὴς ἅπας τέθηλεν ὄλβος, ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται ἀεὶ, θύματα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν ἐπὶ βωμοῖς.

καὶ μικρὸν προελθὼν ἐν ἄλλῳ θρήνῳ περὶ ψυχῆς λέγων, φησίν. ὀλβία δ' ἅπαντες αἴσᾳ λυσίπονον τελευτάν, καὶ σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ, ζωὸν δὲ λείπεται αἰῶνος εἴδωλον, τὸ γάρ μόνον ἐστὶν ἐκ θεῶν, εὕδει δὲ πρασσόντων μελέων, ἀτὰρ εὑδόντεσσιν, ἐν πολλοῖς ὀνείροις δείκνυσι τερπνῶν ἐφέρπουσαν, χαλεπῶν δὲ κρίσιν.

ὁ δὲ θεῖος Πλάτων πολλὰ μὲν ἐν τῷ περὶ ψυχῆς περί τε τῆς ἀθανασίας αὐτῆς εἴρηκεν, οὐκ ὀλίγα δὲ ἐν τῇ πολιτείᾳ, καὶ τῷ Μένωνι, καὶ τῷ Γοργίᾳ, καὶ σποράδην ἐν τοῖς ἄλλοις διαλόγοις. ἀλλὰ τὰ μὲν ἐν τῷ περὶ ψυχῆς διαλόγῳ ῥηθέντα, κατ' ἰδίαν ὑπομνηματισάμενός σοι παρέξομαι, ὡς ἐβουλήθης. τὰ δὲ πρὸς τὸ παρὸν καίρια καὶ χρήσιμα λεχθέντα πρὸς Καλλικλέα τὸν Ἀθηναῖον, ἑταῖρον δὲ καὶ μαθητὴν Γοργίου τοῦ ῥήτορος. φησὶ γὰρ ὁ παρὰ Πλάτωνι Σωκράτης. ἄκουε δή φησι μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσῃ, ὡς ἐγὼ οἶμαι, μῦθον, ἐγὼ δὲ λόγον. ὡς ἀληθῆ γὰρ ὄντα σοι λέξω, ἃ μέλλω λέγειν. ὡς γὰρ Ὅμηρος λέγει, διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον, ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων καὶ ἐπὶ Κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτι ἐστὶν ἐν θεοῖς. τῶν ἀνθρώπων, τὸν μὲν

τὸν μὲν, δικαίως διελθόντα τὸν βίον καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν, τὸν δὲ ἀδίκως καὶ ἀθέως, εἰς τὸ τῆς δίκης τε καὶ τίσεως δεσμωτήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι. τούτων δὲ οἱ δικασταὶ ἐπὶ Κρόνου, καὶ ἔτι νεωστὶ τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος, ζῶντες ἦσαν ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾗ μέλλοιεν τελευτήσειν. ἔπειτα αἱ δίκαι πως οὐ καλῶς ἐκρίνοντο. ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπιμεληταὶ οἱ ἐκ μακάρων νήσων ἰόντες, ἔλεγον πρὸς τὸν Δία, ὅτι φοιτῷέν σφισιν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι. εἶπεν οὖν ὁ Ζεὺς, ἀλλ' ἐγὼ ἔφη παύσω τοῦτο γινόμενον, νῦν μὲν γὰρ κακῶς αἱ δίκαι δικάζονται. ἀμπεχόμενοι γὰρ ἔφη οἱ κρινόμενοι κρίνονται. ζῶντες γὰρ κρίνονται. πολλοὶ μὲν οὖν ἴσως, ἦ δ' ὃς πονηρὰς ψυχὰς ἔχοντες, ἠμφιεσμένοι εἰσὶ σώματά τε καλὰ καὶ γένη καὶ πλούτους, καὶ ἐπειδὰν ἡ κρίσις ᾖ, ἔρχονται αὐτοῖς πολλοὶ μαρτυρήσοντες, ὡς δικαίως βεβιώκασι. οἱ οὖν δικασταὶ, ὑπό τε τούτων ἐκπλήττονται, ἅμα καὶ αὐτοὶ ἀμπεχόμενοι δικάζουσι πρὸ τῆς ψυχῆς τῆς ἑαυτῶν, ὀφθαλμούς τε καὶ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι. ταῦτα δὴ αὐτοῖς πάντα ἐπιπρόσθεσις γίνεται, καὶ τὰ ἑαυτῶν ἀμφιάσματα καὶ τὰ τῶν κρινομένων. πρῶτον μὲν οὖν παυστέον ἐστὶ προειδότας αὐτοὺς τὸν θάνατον. νῦν μὲν γὰρ προΐσασι. τοῦτο μὲν οὖν καὶ δὴ εἴρηται τῷ Προμηθεῖ, ὅπως ἂν παύσῃ αὐτό. ἔπειτα γυμνοὺς κριτέον ἁπάντων τούτων. τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι. καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα αὐτῇ τῇ ψυχῇ, αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀποθανόντος ἑκάστου, ἔρημον ἁπάντων τῶν συγγενῶν, καταλιπόντα ἐπὶ τῆς ψυχῆς πάντα ἐκεῖνον τὸν κόσμον, ἵνα ἡ κρίσις δικαία ᾖ. ἐγὼ οὖν ταῦτα ἐγνωκὼς πρότερον ἢ ὑμεῖς, ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας Μίνω τε καὶ Ῥαδάμανθυν, ἕνα δὲ ἐκ τῆς Εὐρώπης, Αἰακόν. οὗτοι δὲ δὴ, ἐπειδὰν τελευτήσωσι, δικάσουσιν ἐν τῷ λειμῶνι ἐν τῇ τριόδῳ, ἐξ ἧς φέρετον τὼ ὁδὼ, ἡ μὲν, ἐς μακάρων νήσους, ἡ δ' εἰς τάρταρον. καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας, Ῥαδάμανθυς κρινεῖ, τοὺς δ' ἐκ τῆς Εὐρώπης, Αἰακός. Μίνῳ δὲ πρεσβεῖα δώσω ἐπιδιακρίνειν, ἐὰν ἀπορῆτόν τι ᾖ τῷ ἑτέρῳ, ἵνα ὡς δικαιοτάτη κρίσις ᾖ περὶ τῆς πορείας τοῖς ἀνθρώποις. ταῦτ' ἐστὶν ὦ Καλλίκλεις, ἃ ἐγὼ ἀκηκοὼς, πιστεύω ἀληθῆ εἶναι, καὶ ἐκ τούτων τῶν λόγων τοιόντι λογίζομαι συμβαίνειν, ὅτι ὁ θάνατος τυγχάνει ὢν ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο, ἢ δυοῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος ἀπ' ἀλλήλων.

ταῦτά σοι διαγαγὼν ἀπολλώνιε φίλτατε, καὶ συνθεὶς μετὰ πολλῆς ἐπιμελείας, ἀπειργασάμην τὸν παραμυθητικόν σοι λόγον, ἀναγκαιότατον ὄντα σοι πρός τε τὴν τῆς παρούσης λύπης ἀπαλλαγὴν, καὶ τοῦ πάντων ἀνιαρωτάτου πένθους παῦλαν. περιέχει δὲ καὶ τὴν πρὸς τὸν θεοφιλέστατον υἱόν σου ἀπολλώνιον πρέπουσαν τιμὴν, ποθεινοτάτην οὖσαν τοῖς ἀφιδρωθεῖσι διὰ τῆς ἀγαθῆς μνήμης καὶ τῆς ἀδιαλείπτου πρὸς τὸν ἀεὶ χρόνον εὐφημίας. καλῶς οὖν ποιήσεις, καὶ τῷ λόγῳ πεισθεὶς, καὶ τῷ μακαρίτῃ σου υἱῷ χρησάμενος, καὶ μεταβαλὼν ἐκ τῆς ἀνωφελοῦς περὶ τὸ σῶμα καὶ τὴν ψυχὴν κακώσεως καὶ καταφθορᾶς, ἐπὶ τὴν συνήθη σοι καὶ κατὰ φύσιν διαγωγὴν ἐλθεῖν. ὡς γὰρ οὐδὲ συμβιῶν ἡμῖν ἡδέως ἑώρα κατηφεῖς ὄντας, οὔτε σὲ οὔτε τὴν μητέρα, οὕτως οὐδὲ νῦν μετὰ θεῶν ὢν, καὶ τούτοις συνεστιώμενος, ἀρεσθήσεται ἂν τῇ τοιαύτῃ ὑμῶν διαγωγῇ. ἀνδρὸς οὖν ἀγαθοῦ καὶ γενναίου καὶ φιλοτέκνου φρόνημα ἀναλαβὼν, σεαυτόν τε καὶ τὴν μητέρα τοῦ νεανίσκου καὶ τοὺς συγγενεῖς καὶ φίλους, ἔλκυσαι τῆς τοιαύτης κακοδαιμονίας, εἰς γαληνότερον μετελθὼν βίου σχῆμα καὶ προσφιλέστατον, τῷ τε υἱῷ σου καὶ πᾶσιν ἡμῖν τοῖς κηδομένοις σου κατὰ τὸ προσῆκον.

πρόσθεν ὑπόμνησιν λόγων, καὶ νῦν δὲ πειράσομαι διὰ βραχυτάτων ἐπιδραμεῖν, προσμαρτυρήσας τῷ καλῶς εἰπόντι μὴ ἄδοξον ἐπιθέντι τούτῳ, ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος. ἀλλ' ἴσως ὑποτυχὼν ἂν φαίης, Ἀπολλώνιε φίλτατε, σφόδρ' ἦν ἐπιτετευγμένος ὁ νεανίσκος Ἀπολλώνιος ἐν μοίραις, καὶ σὲ ἔδει ὑπ' ἐκείνου τελείου γενομένου κηδευθῆναι μεταλλάξαντα τὸν βίον. τοῦτο γὰρ εἶναι κατὰ φύσιν τὴν ἡμετέραν δηλονότι καὶ τὴν ἀνθρωπίνην, ἀλλ' οὐ κατὰ τὴν τῶν ὅλων πρόνοιαν, καὶ τὴν κοσμικὴν διάταξιν. ἐκείνῳ δὲ τῷ μακαρισθέντι, οὐκ ἦν κατὰ φύσιν περαιτέρω τοῦ ἀπονενεμηθέντος αὐτῷ χρόνου, πρὸς τὸν ἐνθάδε βίον περιμένειν, ἀλλ' εὐτάκτως τοῦτον ἐκπλήσαντα πρὸς τὴν εἱμαρμένην ἐπανάγειν πορείαν, καλούσης αὐτῆς φησιν ἤδη πρὸς ἑαυτήν. ἀλλ' ἀώρως ἐτελεύτησεν; οὐκοῦν εὐποτμώτερος διὰ τοῦτο, καὶ κακῶν ἀπείρατός ἐστιν. ὁ βίος γάρ φησιν Εὐριπίδης ὄνομ' ἔχει, πόνος γεγώς. οὗτος δ' ἐπὶ τῆς εὐανθεστάτης ἡλικίας προαπεφοίτησεν ὁλόκληρος ἠΐθεος, ζηλωτὸς καὶ περίβλεπτος πᾶσι τοῖς συνήθεσιν αὐτῷ, φιλοπάτωρ γενόμενος καὶ φιλομήτωρ, καὶ φιλοίκειος καὶ φιλόσοφος, τὸ δὲ σύμπαν εἰπεῖν φιλάνθρωπος, αἰδούμενος μὲν τοὺς πρεσβυτέρους τῶν φίλων, ὥσπερ πατέρας, στέργων δὲ τοὺς ὁμίληκας καὶ συνήθεις, τιμητικὸς δὲ τῶν καθηγησαμένων, ξένοις δὲ καὶ ἀστοῖς πραότατος, πᾶσι δὲ μείλιχος καὶ φίλος, διά τε τὴν ἐξ ὄψεως χάριν, καὶ τὴν εὐπροσήγορον φιλανθρωπίαν. ἀλλὰ γὰρ ἐκεῖνος μὲν τῆς τε σῆς εὐσεβείας καὶ τῆς ἑαυτοῦ τὴν πρέπουσαν εὐφημίαν ἔχων, πρὸς τὸν ἀεὶ χρόνον προαπεφοίτησε τοῦ θνητοῦ βίου καθάπερ ἐκ τοῦ συμποσίου, πρὶν εἴς τινα παροινίαν ἐκπεσεῖν, τὴν τῷ μακρῷ γήρᾳ παρεπομένην. εἰ δ' ὁ τῶν παλαιῶν τε ποιητῶν καὶ φιλοσόφων λόγος ἐστὶν ἀληθής, ὥσπερ εἰκὸς ἔχειν, οὕτω καὶ τοῖς εὐσεβέσι τῶν μεταλλαξάντων, ἐστί τις τιμὴ καὶ προεδρία, καθάπερ λέγεται, καὶ χῶρός τις ἀποτεταγμένος, ἐν ᾧ διατρίβουσιν αἱ τούτων ψυχαί· καλὰς ἐλπίδας ἔχειν σε δεῖ περὶ τοῦ μακαρίτου υἱέος σου, ὅτι τούτοις συγκαταριθμηθεὶς συνέσται. λέγεται δ' ὑπὸ μὲν τοῦ μελικοῦ Πινδάρου, ταυτὶ περὶ τῶν εὐσεβῶν ἐν ᾅδου. τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω, φοινικορόδιαί τε λειμῶνές εἰσι προάστειον αὐτῶν, καὶ λιβάνῳ σκιεραὶ καὶ χρυσοκάρποισι βέβριθε. καὶ τοὶ μὲν, ἵπποις γυμνασίοις, τοὶ δὲ, πεσσοῖς, τοὶ δὲ, φορμίγγεσι τέρπονται, παρὰ δὲ σφίσιν, εὐανθὴς ἅπας τέθηλεν ὄλβος, ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται ἀεί, θύματα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν ἐπὶ βωμοῖς. καὶ μικρὸν προελθὼν ἐν ἄλλῳ θρήνῳ περὶ ψυχῆς λέγων, φησίν· ὀλβία δ' ἅπαντες αἴσα λυσίπονον τελετάν, καὶ σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ, ζωὸν δὲ λείπεται αἰῶνος εἴδωλον, τὸ γὰρ μόνον ἐστὶν ἐκ θεῶν, εὕδει δὲ πρασσόντων μελέων, ἀτὰρ εὑδόντεσσιν, ἐν πολλοῖς ὀνείροις δείκνυσι τερπνῶν ἐφέρπουσαν, χαλεπῶν δὲ κρίσιν. ὁ δὲ θεῖος Πλάτων πολλὰ μὲν ἐν τῷ περὶ ψυχῆς περί τε τῆς ἀθανασίας αὐτῆς εἴρηκεν, οὐκ ὀλίγα δὲ ἐν τῇ πολιτείᾳ, καὶ τῷ Μένωνι, καὶ τῷ Γοργίᾳ, καὶ σποράδην ἐν τοῖς ἄλλοις διαλόγοις. ἀλλὰ τὰ μὲν ἐν τῷ περὶ ψυχῆς διαλόγῳ ῥηθέντα, κατ' ἰδίαν ὑπομνηματισάμενός σοι παρέξομαι, ὡς ἐβουλήθης. τὰ δὲ πρὸς τὸ παρὸν καίρια καὶ χρήσιμα λεχθέντα τὸν Ἀθηναῖον, ἑταῖρον δὲ καὶ μαθητὴν Γοργίου τοῦ ῥήτορος. φησὶ γὰρ ὁ παρὰ Πλάτωνι Σωκράτης· ἄκουε δή φησι μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσῃ, ὡς ἐγὼ οἶμαι, μῦθον, ἐγὼ δὲ λόγον. ὡς ἀληθῆ γὰρ ὄντα σοι λέξω, ἃ μέλλω λέγειν. διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον, ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων καὶ ἐπὶ Κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτι ἐστὶν ἐν θεοῖς· τῶν ἀνθρώπων,

τὸν μὲν

τὸν μὲν, δικαίως διελθόντα τὸν βίον καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν, τὸν δὲ ἀδίκως καὶ ἀθέως, εἰς τὸ τῆς δίκης τε καὶ τίσεως δεσμωτήριον, ὃ δὴ τάρταρον καλοῦσιν, ἰέναι. τούτων δὲ οἱ δικασταὶ ἐπὶ Κρόνου, καὶ ἔτι νεωστὶ τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος, ζῶντες ἦσαν ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾗ μέλλοιεν τελευτήσειν. ἔπειτα αἱ δίκαι πως οὐ καλῶς ἐκρίνοντο. ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπιμεληταὶ οἱ ἐκ μακάρων νήσων ἰόντες, ἔλεγον πρὸς τὸν Δία, ὅτι φοιτῷέν σφισιν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι. εἶπεν οὖν ὁ Ζεύς, ἀλλ' ἐγὼ ἔφη παύσω τοῦτο γινόμενον, νῦν μὲν γὰρ κακῶς αἱ δίκαι δικάζονται. ἀμπεχόμενοι γὰρ ἔφη οἱ κρινόμενοι κρίνονται. ζῶντες γὰρ κρίνονται. πολλοὶ μὲν οὖν ἴσως, ἦ δ' ὅς, πονηρὰς ψυχὰς ἔχοντες, ἠμφιεσμένοι εἰσὶ σώματά τε καλὰ καὶ γένη καὶ πλούτους, καὶ ἐπειδὰν ἡ κρίσις ᾖ, ἔρχονται αὐτοῖς πολλοὶ μαρτυρήσοντες, ὡς δικαίως βεβιώκασι. οἱ οὖν δικασταί, ὑπό τε τούτων ἐκπλήττονται, ἅμα καὶ αὐτοὶ ἀμπεχόμενοι δικάζουσι πρὸ τῆς ψυχῆς τῆς ἑαυτῶν, ὀφθαλμούς τε καὶ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι. ταῦτα δὴ αὐτοῖς πάντα ἐπιπρόσθεσις γίνεται, καὶ τὰ ἑαυτῶν ἀμφιάσματα καὶ τὰ τῶν κρινομένων. πρῶτον μὲν οὖν παυστέον ἐστὶ προειδότας αὐτοὺς τὸν θάνατον· νῦν μὲν γὰρ προΐσασι. τοῦτο μὲν οὖν καὶ δὴ εἴρηται τῷ Προμηθεῖ, ὅπως ἂν παύσῃ αὐτό. ἔπειτα γυμνοὺς κριτέον ἁπάντων τούτων. τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι. καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα αὐτῇ τῇ ψυχῇ, αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀποθανόντος ἑκάστου, ἔρημον ἁπάντων τῶν συγγενῶν, καταλιπόντα ἐπὶ τῆς ψυχῆς πάντα ἐκεῖνον τὸν κόσμον, ἵνα ἡ κρίσις δικαία ᾖ. ἐγὼ οὖν ταῦτα ἐγνωκὼς πρότερον ἢ ὑμεῖς, ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας Μίνω τε καὶ Ῥαδάμανθυν, ἕνα δὲ ἐκ τῆς Εὐρώπης, Αἰακόν. οὗτοι δὲ δή, ἐπειδὰν τελευτήσωσι, δικάσουσιν ἐν τῷ λειμῶνι ἐν τῇ τριόδῳ, ἐξ ἧς φέρετον τὼ ὁδώ, ἡ μὲν, ἐς μακάρων νήσους, ἡ δ' εἰς τάρταρον. καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας, Ῥαδάμανθυς κρινεῖ, τοὺς δ' ἐκ τῆς Εὐρώπης, Αἰακός. Μίνῳ δὲ πρεσβεῖα δώσω ἐπιδιακρῖναι, ἐὰν ἀπορῆτόν τι ᾖ τῷ ἑτέρῳ, ἵνα ὡς δικαιοτάτη κρίσις ᾖ περὶ τῆς πορείας τοῖς ἀνθρώποις. ταῦτ' ἐστὶν ὦ Καλλίκλεις, ἃ ἐγὼ ἀκηκοώς, πιστεύω ἀληθῆ εἶναι, καὶ ἐκ τούτων τῶν λόγων τοιόνδε τι λογίζομαι συμβαίνειν, ὅτι ὁ θάνατος τυγχάνει ὤν, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο, ἢ δυοῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος ἀπ' ἀλλήλων. ταῦτά σοι διαγαγὼν Ἀπολλώνιε φίλτατε, καὶ συνθεὶς μετὰ πολλῆς ἐπιμελείας, ἀπειργασάμην τὸν παραμυθητικόν σοι λόγον, ἀναγκαιότατον ὄντα σοι πρός τε τὴν τῆς παρούσης λύπης ἀπαλλαγήν, καὶ τοῦ πάντων ἀνιαροτάτου πένθους παῦλαν. περιέχει δὲ καὶ τὴν πρὸς τὸν θεοφιλέστατον υἱόν σου Ἀπολλώνιον πρέπουσαν τιμήν, ποθεινοτάτην οὖσαν τοῖς ἀφιδρωθεῖσι διὰ τῆς ἀγαθῆς μνήμης καὶ τῆς ἀδιαλείπτου πρὸς τὸν ἀεὶ χρόνον εὐφημίας. καλῶς οὖν ποιήσεις, καὶ τῷ λόγῳ πεισθείς, καὶ τῷ μακαρίτῃ σου υἱῷ χρησάμενος, καὶ μεταβαλὼν ἐκ τῆς ἀνωφελοῦς περὶ τὸ σῶμα καὶ τὴν ψυχὴν κακώσεως καὶ καταφθορᾶς, ἐπὶ τὴν συνήθη σοι καὶ κατὰ φύσιν διαγωγὴν ἐλθεῖν. ὡς γὰρ οὐδὲ συμβιῶν ἡμῖν ἡδέως ἑώρα κατηφεῖς ὄντας, οὔτε σὲ οὔτε τὴν μητέρα, οὕτως οὐδὲ νῦν μετὰ θεῶν ὢν, καὶ τούτοις συνεστιώμενος, εὐαρεστήσειεν ἂν τῇ τοιαύτῃ ὑμῶν διαγωγῇ. ἀνδρὸς οὖν ἀγαθοῦ καὶ γενναίου καὶ φιλοτέκνου φρόνημα ἀναλαβών, σεαυτόν τε καὶ τὴν μητέρα τοῦ νεανίσκου καὶ τοὺς συγγενεῖς καὶ φίλους, ἔλκυσαι τῆς τοιαύτης κακοδαιμονίας, εἰς γαληνότερον μετελθὼν βίου σχῆμα καὶ προσφιλέστατον, τῷ τε υἱῷ σου καὶ πᾶσιν ἡμῖν τοῖς κηδομένοις σου κατὰ τὸ προσῆκον.

ΥΓΙΕΙΝΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ.

ΜΟΣΧΙΩΝ ΚΑΙ ΖΕΥΞΙΠΠΟΣ.

Σὺ δὴ Γλαῦκον χθὲς ὦ Ζεύξιππε τὸν ἰατρὸν ἀπέτρεψας συμφιλοσοφεῖν ἡμῖν βουλόμενον; Ζ. οὔτ' ἀπέτρεψα μὴν ὦ φίλε Μοσχίων, οὔτ' ἐβούλετο συμφιλοσοφεῖν ἐκεῖνος, ἀλλ' ἔφυγον καὶ ἐφοβήθην λαβὴν φιλομαχοῦντι παρασχεῖν. ἐν μὲν γὰρ ἰατρικῇ κατὰ τὸν Ὅμηρον, ὁ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων, οὐκ εὐμενὴς δὲ πρὸς φιλοσοφίαν, ἀλλ' ἀεί τι τραχὺ καὶ δύσκολον ἔχων ἐν τοῖς λόγοις, καὶ νῦν ἐναντίος ἐφ' ἡμᾶς ἐχώρει, βοῶν ἔτι πρόσωθεν, οὐ μικρὸν οὐδὲ ἐπιεικὲς ἔργον ἡμῖν συγχύσιν ὅρων τετολμῆσθαι διαλεχθεῖσι περὶ διαίτης ὑγιεινῆς. χωρὶς γὰρ ἔφη τὰ φιλοσόφων, καὶ ἰατρῶν, ὥσπερ τινῶν Μυσῶν καὶ Φρυγῶν ὁρίσματα, καί τινα τῶν οὐ μετὰ σπουδῆς, οὐ μὴν ἀχρήστως εἰρημένων παρ' ἡμῶν, διὰ στόματος ἔχων ἐσπάραττε. Μ. ἀλλὰ καὶ τούτων ἔγωγε καὶ τῶν ἄλλων ὦ Ζεύξιππε, πρόθυμος ἀκροατὴς ἡδέως ἂν γενοίμην. Ζ. φιλόσοφος γὰρ εἶ τὴν φύσιν ὦ Μοσχίων, καὶ τῷ μὴ φιλιατροῦντι χαλεπαίνεις φιλοσόφῳ, καὶ ἀγανακτεῖς, εἰ μᾶλλον αὐτῷ οἴεται προσήκειν γεωμετρίας καὶ διαλεκτικῆς καὶ μουσικῆς ὀρέγεσθαι μεταποιούμενον, ἢ ζητεῖν καὶ μανθάνειν βουλόμενον, ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται, τῷ σώματι. καίτοι πλείους ἂν ἴδοις ἐκεῖ θεατὰς ὅπου θεωρικόν τι νέμεται τοῖς συνιοῦσιν, ὥσπερ Ἀθήνησι· τῶν ἐλευθερίων δὲ τεχνῶν ἰατρική, τὸ μὲν γλαφυρὸν καὶ περιττὸν καὶ ἐπιτερπὲς, οὐδεμιᾶς ἐνδεέστερον ἔχει, θεωρικὸν δὲ μέγα τοῖς φιλομαθοῦσι τὴν σωτηρίαν καὶ τὴν ὑγίειαν ἐπιδίδωσιν. ὥστε οὐ παράβασιν ὅρων ἐγκαλεῖν δεῖ τοῖς περὶ ὑγιεινῶν διαλεγομένοις φιλοσόφοις, ἀλλ' εἰ μὴ παντάπασιν ἀνελόντες οἴονται δεῖν τοὺς ὅρους, ὥσπερ ἐν μιᾷ χώρᾳ κοινῶς ἐμφιλοκαλεῖν, ἅμα τὸ ἡδὺ τῷ λόγῳ καὶ τὸ ἀναγκαῖον διώκοντες. Μ. ἀλλὰ Γλαῦκον μὲν ἐῶμεν ὦ Ζεύξιππε ὑπὸ σεμνότητος αὐτοτελῆ βουλόμενον εἶναι, καὶ ἀπροσδεῆ φιλοσοφίας, σὺ δὲ τοὺς λόγους ἡμῖν διέξελθε πάντας, εἰ δὲ βούλει, πρώτους ἐκείνους ὧν ἔφησθα μὴ πάνυ μετὰ σπουδῆς εἰρημένων ἐπιλαμβάνεσθαι τὸν Γλαῦκον. Ζ. ἔφη τοίνυν ὁ ἑταῖρος ἡμῶν ἀκοῦσαί τινος λέγοντος, ὡς τὸ τὰς χεῖρας ἀεὶ θερμὰς ἔχειν, καὶ μὴ περιορᾶν ψυχομένας, οὐ μικρὸν εἴη πρὸς ὑγίειαν, καὶ τοὐναντίον ἡ τῶν ἄκρων περίψυξις εἰς τὰ μέσα συνελαύνουσα τὸ θερμόν, ὥσπερ τινὰ συνήθειαν ἢ μελέτην ἐμποιεῖ πυρετοῦ, τὸ δ' ἔξω τρέφοντα μετὰ τῆς θερμότητος ἕλκειν ἐπὶ πάντα, καὶ διανέμειν τὴν ὕλην, ὠφελεῖν. ἐὰν μὲν οὖν ἐργαζομένοις τι ταῖς χερσὶ καὶ χρωμένοις τυγχάνωμεν, αὐτὴν τὴν κίνησιν ἐπάγειν ἐν ταῦτα καὶ συνέχειν τὸ θερμόν. ὄντων δὲ τοιούτων, σχολὴν ἄγοντας, ἥκιστα δεῖν προσδέχεσθαι τοῖς ἄκροις τὸ ψυχρόν. ἓν μὲν τοῦτ' ἦν τῶν γελασθέντων ἦν. δεύτερον δὲ οἶμαι τὸ περὶ τὰς τροφὰς ἃς προσφέρετε τοῖς κάμνουσιν. ἅπτεσθαι γὰρ αὐτῶν διὰ χρόνου παρῄνει καὶ γεύεσθαι, συνεθίζοντας αὑτοὺς ἐν τῷ ὑγιαίνειν, καὶ μὴ τρέμοντας ὥσπερ τὰ παιδάρια, μηδὲ μισοῦντας ἐκείνην τὴν δίαιταν, ἀλλὰ ποιουμένους ἀξίωμα χειροήθη ταῖς ὀρέξεσι καὶ σύντροφον, ὅπως ἐν τῷ νοσεῖν μὴ δυσχεραίνωμεν ὡς φάρμακα τὰ σιτία, μηδὲ ἀγανακτῶμεν ἁπλοῦν τι καὶ ἄοψον, καὶ ἄκνισον λαμβάνοντες. ὅθεν οὐδὲ ἀλούτους ποτὲ φευκτέον ἐλθεῖν ἐπὶ τροφήν, οὐδὲ ὕδωρ πιεῖν, οἴνου παρόντος, οὐδὲ θερμὸν ἐν θέρει χιόνος παρακειμένης, τὰς μὲν ἐπιδεικτικὰς καὶ σοφιστικὰς χαίρειν ἐῶντας ἀποχήσεις τῶν τοιούτων, καὶ μεγαλαυχίας ἐπὶ ταῖς ἀποχώσεσιν, αὐτοὺς δὲ καθ' ἑαυτοὺς σιωπῇ τήν τε ὄρεξιν ἅμα τοῦ συμφέροντος ὑπήκοον ἐθίζον-

τας εἶναι μετ' εὐκολίας, καὶ τῆς ψυχῆς ἀφαιροῦντας πόρρωθεν ἔτι τὴν περὶ ταῦτα μικρολογίαν ἐν ταῖς νόσοις, καὶ τὸ ἐπιθρηνεῖν ὀδυρομένους ὡς ἐξ ἡδέων μεγάλων καὶ ἀγαπητῶν εἰς ἀγεννῆ καὶ ταπεινὴν ἀπελήλαται δίαιταν. εὖ γὰρ εἰρημένον τὸ ἑλοῦ βίον τὸν ἄριστον, ἡδὺν δὲ αὐτὸν ἡ συνήθεια ποιήσει, καὶ κατὰ μέρος ὡς ἕκαστα πειρωμένῳ χρήσιμόν ἐστι, μάλιστα δὲ τῶν περὶ τὸ σῶμα διαιτημάτων ἐν τοῖς ὑπεναντιωτάτοις ἐπάγοντα τὴν συνήθειαν εὐμενῆ καὶ γνώριμα τῇ φύσει καὶ οἰκεῖα παρασκευάζειν, μεμνημένον ἃ πάσχουσιν ἔνιοι καὶ ποιοῦσιν ἐν ταῖς ἀρρωστίαις, χαλεπαίνοντες καὶ δυσανασχετοῦντες ὕδατος θερμοῦ προσφερομένου, καὶ ῥοφήματος ἢ ἄρτου, μιαρὰ μὲν ταῦτα καὶ ἀηδῆ, μιαροὺς δὲ καὶ χαλεποὺς τοὺς ἀναγκάζοντας ἀποκαλοῦντες. πολλοὺς δὲ καὶ λουτρὸν ἀπώλεσεν, οὐδὲν ἐν ἀρχῇ μέγα κακὸν ἔχοντας, ἀλλ' ἢ τὸ μὴ δύνασθαι μηδὲ ὑπομένειν γεύσασθαι τροφῆς ἀλούτους, ὧν καὶ Τίτος ἦν ὁ αὐτοκράτωρ ὥς φασιν οἱ νοσηλεύσαντες. ἔτι τοίνυν ἐλέχθη τοιοῦτον, ὡς ἀεὶ μὲν ὑγιεινότερα σώματα τὰ εὐτελέστερα, μάλιστα δὲ φυλακτέον πλησμονὰς καὶ μέθας καὶ ἡδυπαθείας, ἑορτήν τινα μέλλουσαν ἢ φίλων ὑποδοχὴν ἐν χερσὶν ἔχοντας, ἢ προσδοκῶντας ἑστίασιν βασιλικὴν καὶ ἡγεμονικὴν καὶ συμπεριφορὰν ἀπαραίτητον, οἷον ἐπιόντος ἀνέμου καὶ κύματος, εὐσταλὲς τὸ σῶμα καὶ κοῦφον ἐν εὐδίᾳ παρασκευάζοντας. ἔργον γάρ ἐστιν ἐν συνουσίαις καὶ φιλοφροσύναις αὑτὸν ἐπὶ τῶν μετρίων καὶ τῶν συνήθων φυλάξαι, μὴ πᾶσι μετ' ἀηδίας δεινὸς ἐπαχθῆ φανέντα καὶ φορτικόν. ἵνα οὖν μὴ πῦρ ἐπὶ πυρὶ ὥς φασι, πλησμονὴ ἐπὶ πλησμονῇ, καὶ ἄκρατος ἐπ' ἀκράτῳ γένηται, τὸ παιχθὲν ἀστείως ὑπὸ Φιλίππου μετὰ σπουδῆς μιμητέον. ἦν δὲ τοιοῦτον. ἄνθρωπος αὐτὸν ἐπὶ χώρας ὡς σὺν ὀλίγοις ὄντα δειπνῆσαι παρεκάλεσεν, εἶτα ὁρῶν πολλοὺς ἄγοντα, παρεσκευασμένων οὐ πολλῶν, ἐταράττετο, συναισθόμενος οὖν ὁ Φίλιππος ὑπέπεμπε τῶν φίλων ἑκάστῳ, κελεύων πλακοῦντι καταλιπεῖν χώραν, οἱ δὲ πειθόμενοι καὶ προσδοκῶντες ἐφείδοντο τῶν παρακειμένων. ἤρκεσεν οὖν ἅπασι τὸ δεῖπνον. οὕτω δὴ παρασκευαστέον αὑτοὺς ἐστὶ τῶν ἀναγκαίων συμπεριφορῶν, καὶ ὄψῳ καὶ πέμματι καὶ νὴ Δία μέθῃ χώραν φυλάττοντας ἐν τῷ σώματι, καὶ πρόσφατον ἐπὶ ταῦτα βουλομένην τὴν ὄρεξιν ἄγοντας. ἐὰν δὲ τοιαῦταί τινες ἄφνω βαρεῖς ὄντας ἡμᾶς, καὶ διακειμένους φαύλως ἀνάγκαι καταλάβωσιν, ἡγεμόνων παρόντων ἢ ξένων ἐπιφανέντων, ὑπ' αἰδοῦς βαδίζειν εἰς ἴσα τοῖς ἱκανῶς ἔχουσι καὶ συμπίνειν, ἐνταῦθα μάλιστα δεῖ παρατετάχθαι πρὸς τὴν μέγα σινομένην ἀνθρώπους αἰδῶ καὶ δυσωπίαν, τὰ τοῦ τραγικοῦ Κρέοντος λέγοντος. κρεῖσσον δέ

„ μοι νῦν προσαπεχθεῖσθαι ξένε, ἢ μαλθακισθένθ' ὕστερον μέγα στένειν. τὸ γὰρ

„ ἀγροικίας φοβηθέντα δόξαν, εἰς πλευρῖτιν ἢ φρενῖτιν ἐμβάλλειν ἑαυτόν,

„ ἀγροίκου τινὸς ὡς ἀληθῶς ἐστι καὶ νοῦν οὐκ ἔχοντος οὐδὲ λόγον, ἄνευ κύλικος καὶ κνίσης ἀνθρώποις ἐπιστάμενον ὁμιλεῖν. ἥ τε γὰρ παραίτησις ἂν τὸ ἐπιδέξιον καὶ τὸ ἀστεῖον ἔχῃ, οὐχ ἧττον ἔσται κεχαρισμένη τῆς συμπεριφορᾶς, ἄν τέ τις παρέχων ἑστίασιν ὥσπερ θυσίαν ἄγευστον, αὐτὸς ἀπέχηται, παρά τε τῇ κύλικι καὶ τῇ τραπέζῃ μετὰ προθυμίας καὶ φιλοφροσύνης ἅμα τι παίζων καὶ λέγων εἰς ἑαυτόν, ἡδίων φανεῖται τοῦ συμμεθυσκομένου καὶ συνοψοφαγοῦντος. ἐμνήσθη δὲ τῶν μὲν παλαιῶν, Ἀλεξάνδρου μετὰ πότον πολὺν αἰσχυνθέντος ἀπειπεῖν Μηδίῳ παρακαλοῦντι καὶ καταβάλλοντι αὖθις ἐξ ἀρχῆς αὐτὸν εἰς ἄκρατον ἀφ' οὗ διεφθάρη, τῶν δὲ καθ' ἡμᾶς Ῥήγλου τοῦ παγκρατιαστοῦ, καλοῦντος γὰρ ἐπὶ τὸ λουτρὸν ἅμα ἡμέρᾳ Τίτου Καίσαρος, ἧκε καὶ συνελούσατο, καὶ πιὼν ἅπαξ ὥς φασιν, ἀποπληξίας καταλαβούσης, εὐθὺς ἀπέθανε. ταῦτα

ἣν μὲν ἐκ γλαυκὸς ἐν γέλωτι προὔφερον ὡς παιδαγωγικήν, τῶν δ᾽ ἄλλων οὐ πάνυ πρόθυμος ἦν ἀκούειν, οὐδ᾽ ἡμεῖς ἐκείνῳ διηγεῖσθαι, σὺ δ᾽ ἐπισκόπει τῶν λεχθέντων ἕκαστον. πρῶτος μὲν ὁ Σωκράτης παρακελευόμενος φυλάττεσθαι τῶν βρωμάτων ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν πομάτων ὅσα πίνειν μὴ διψῶντας, οὐχ ἁπλῶς τὸ χρῆσθαι τούτοις ἀπηγόρευσεν, ἀλλὰ χρῆσθαι δεομένους ἐδίδασκε, καὶ τὸ ἡδὺ καταστάττοντας αὐτῶν εἰς τὸ ἀναγκαῖον, ὥσπερ οἱ τὰ θεωρικὰ ποιοῦντες ἐν ταῖς πόλεσι στρατιωτικά. τὸ γὰρ ἡδὺ τῇ φύσει μέχρις οὗ μέρος τοῦ τρέφοντος, οἰκεῖόν ἐστι· καὶ δεῖ πεινῶντας ἔτι τῶν ἀναγκαίων ἀπολαύειν, ἢ τῶν ἡδέων, ἰδίᾳ δὲ μὴ κινεῖν ἑτέρας ὀρέξεις τῶν κοινῶν ἀπηλλαγμένους. ὥσπερ γὰρ αὐτῷ Σωκράτει γυμνάσιον ἦν οὐκ ἀηδὲς ἡ ὄρχησις, οὕτως ᾧ τινι τὸ πέμμα καὶ τὸ τράγημα δεῖπνόν ἐστι καὶ σιτίον, ἧττον βλάπτεται, τὸ δὲ ἀπέχοντα τῇ φύσει τὸ μέτριον καὶ πεπληρωμένον, ἐπισπᾶσθαι τῶν τοιούτων, φυλακτέον ἐν τοῖς μάλιστα. φυλακτέον δὲ τῆς περὶ ταῦτα φιληδονίας καὶ γαστριμαργίας, οὐδὲν ἧττον ἀπειροκαλίαν καὶ φιλοτιμίαν· καὶ γὰρ αὗται πολλάκις συναναπείθουσι μὴ πεινῶντας ἐσθίειν ἄλλα, καὶ πίνειν μὴ διψῶντας, ἀνελευθέρους κομιδῇ καὶ φορτικὰς ὑποβάλλονται φαντασίας, ὡς ἄτοπόν ἐστι πράγματος σπανίου καὶ πολυτελοῦς μὴ ἀπολαῦσαι παρόντος, οἷον οὔθατος, ἢ μυκήτων Ἰταλικῶν, ἢ Σαμίου πλακοῦντος, ἢ χιόνος ἐν Αἰγύπτῳ. ταῦτα γὰρ δή που προάγεται πολλάκις χρῆσθαι τοῖς περιβοήτοις καὶ σπανίοις, ὥσπερ ὑπὸ κνίσσης τῆς κενῆς δόξης ἀγομένους, καὶ τὸ σῶμα κοινωνεῖν μὴ δεόμενον ἀναγκάζοντας, ὅπως ἔχωσιν ἑτέροις διηγεῖσθαι, ζηλούμενοι τῆς ἀπολαύσεως τῶν οὕτω δυσπορίστων καὶ περιττῶν. ὅμοια δὲ καὶ πρὸς γυναῖκας ἐνδόξους πάσχουσιν. ἰδίαις μὲν γὰρ ἔστιν ὅτε καὶ καλαῖς καὶ ἀγαπώσαις συναναπαυόμενοι, τὴν ἡσυχίαν ἄγουσι, Φρυνῇ δὲ τελέσαντες ἀργύριον ἢ Λαΐδι, καὶ τὸ σῶμα φαύλως καὶ πρὸς συνουσίαν ἀργῶς ἔχοντες διακείμενον ἐγείρουσιν ἅμα καὶ παρακαλοῦσι τὸ ἀκόλαστον εἰς τὴν ἡδονήν, ὑπὸ τῆς κενῆς δόξης. αὐτὴ γοῦν ἔλεγεν ἡ Φρύνη πρεσβυτέρα γεγενημένη τὴν τρύγα πλείονος πωλεῖν διὰ τὴν δόξαν. ἔστι δὲ μέγα καὶ θαυμαστὸν ἂν ὅσον ἡ φύσις δεομένη δέχηται τῶν ἡδονῶν προσιέμενοι τῷ σώματι, μᾶλλον δὲ αἱ τὰ πολλὰ παρὰ τὰς πράξεις αὐτῷ διαμαχόμενοι καὶ ἀναβαλλόμενοι, καὶ μόλις πάνυ ταῖς ἀνάγκαις χρηματίζοντες, ἢ ὥς φησιν ὁ Πλάτων, καὶ δάκνοντος καὶ κατατείνοντος ἐνδιδόντες, ἀβλαβεῖς ἀπαλλάττωμεν. τὰς δὲ ἀνάπαλιν ἐκ τῆς ψυχῆς ἐπὶ τὸ σῶμα κατιούσας ἐπιθυμίας, καὶ κατὰ βιαζομένας εἰς τὸ ἐκείνης ὑπηρετεῖν καὶ συνεξανίστασθαι πάθεσιν, οὐδεμία μηχανὴ τὸ μὴ σφοδροτάτας βλάβας καὶ μεγίστας ἐν ἡδοναῖς ἀσθενέσι καὶ ἀμαυραῖς ἀπολιπεῖν, ἥκιστα δὲ ψυχῆς ἐπιθυμίᾳ σῶμα πρὸς ἡδονὰς κινητέον· ἡ γὰρ ἀρχὴ παρὰ φύσιν γίνεται. καὶ καθάπερ αἱ τῶν μασχαλῶν ψηλαφήσεις οὐχ ἵλεων οὐδὲ πρᾷον οὐδ᾽ ἵλεω γέλωτα τῇ ψυχῇ παρέχουσιν, ἀλλ᾽ ἐοικότα σπασμῷ καὶ χαλεπόν, οὕτω πάλιν ὅσας τὸ σῶμα νυττόμενον ὑπὸ τῆς ψυχῆς ἡδονὰς ἴσχει καὶ ταραττόμενον, ἐκστατικαὶ καὶ ταρακτικαὶ αὗται καὶ ἀλλότριαι τῆς φύσεως εἰσίν. ὅταν οὖν τι τῶν σπανίων ἀπολαυσμάτων ἢ ἐνδόξων παραγένηται, ταῖς ἀποσχέσεσι μᾶλλον φιλοτιμητέον ἢ ταῖς ἀπολαύσεσι, μεμνημένους ὅτι καθάπερ ὁ Σιμωνίδης ἔλεγε μηδέποτε αὐτῷ μεταμεληθῆναι σιγήσαντι, φθεγξαμένῳ δὲ πολλάκις, οὕτως ἡμῖν οὔτε ὄψον παρωσαμένοις μετεμέλησεν, οὔτε ὕδωρ ἀντὶ Φαλερίνου πιοῦσιν, ἀλλὰ τοὐναντίον οὐ μόνον οὐ προσβιαστέον ἐστὶ τὴν φύσιν, ἀλλὰ καὶ δεομένῃ προσφέρηταί τι τῶν τοιούτων, εἰς τὰ λιτὰ καὶ συνήθη πολλάκις ἀποστρεπτέον, ἔθους

ἕνεκα καὶ μελέτης τὴν ὄρεξιν, εἴπερ γὰρ ἀδικεῖν χρή, φησὶν ὁ Θηβαῖος, οὐκ ὀρθῶς λέγων, τυραννίδος πέρι κάλλιστον ἀδικεῖν, ἡμεῖς δὲ βέλτιον ὡς εἴπερ φιλοδοξεῖν πρὸς τὰ τοιαῦτα, ἐγκράτεια κάλλιστον ὑπὲρ ὑγείας. οὐ μὴν ἀλλὰ καὶ μικρολογία καὶ γλισχρότης ἐνίους ἀναγκάζει πιέζοντας οἴκοι τὰς ἐπιθυμίας, καὶ κατισχναίνοντας, ἐμπίπλασθαι παρ᾽ ἑτέροις τῶν πολυτελῶν καὶ ἀπολαύειν, καθάπερ ἐκ πολεμίας ἀφειδῶς ἐπισιτιζομένους, εἶτα κακῶς διατεθέντες, ἀπίασιν εἰς τὴν ὑστεραίαν, ἐφόδιον τῆς ἀπληστίας, τὴν ἀπεψίαν ἔχοντες. ὁ μὲν οὖν Κράτης διὰ τρυφὴν καὶ πολυτέλειαν οἰόμενος οὐχ ἥκιστα τὰς στάσεις καὶ τυραννίδας ἐμφύεσθαι ταῖς πόλεσι μετὰ παιδιᾶς παρῄνει, μὴ πρὸ φακῆς λοπάδα αὔξων ἀεὶ ἐς στάσιν ἄμμε βάλῃς. αὐτὸς δέ τις ἑαυτῷ παρακελευέσθω, μὴ πρὸ φακῆς λοπάδα αὔξων ἀεί, μηδὲ πάντως ὑπερβαίνων τὴν καρδαμίδα καὶ τὴν ἐλαίαν, ἐπὶ τὸ θεῖον καὶ τὸν ἰχθὺν εἰς στάσιν ἐκ πλησμονῆς τὸ σῶμα καὶ ταραχὰς ἐμβάλλειν καὶ διαρροίας. τὰ γὰρ εὐτελῆ κρατεῖ τὴν ὄρεξιν ἐν τῶν φυσικῶν μέτρων, ὀψοποιῶν δὲ τέχναι καὶ δημιουργῶν καὶ τὰ πανοῦργα ταῦτα ὀψάρια καὶ ὑποτρίμματα κατὰ τὸν κωμικόν, ἀεὶ τοὺς ὅρους τῆς ἡδονῆς μετατίθησιν εἰς τοὔμπροσθεν, καὶ παραλλάττει τὸ συμφέρον. οὐκ οἶδα δ᾽ ὅν τινα τρόπον ἡμῶν τὰς γυναῖκας, ὅσα φίλτρα μηχανῶνται καὶ γοητείας ἐπὶ τοὺς ἄνδρας, βδελυττομένων καὶ δυσχεραινόντων, μισθωτοῖς δὲ καὶ δούλοις προϊεμένων τὰ σιτία καὶ τὰ ὄψα μονονοὺ μαγγανεύειν καὶ φαρμάττειν. εἰ γὰρ καὶ πικρότερον φανεῖται τὸ τοῦ Ἀρκεσιλάου πρὸς τοὺς μοιχοὺς καὶ

« ἀκολάστους εἰρημένον, μηδὲν διαφέρειν ὄπισθέν τινα ἢ ἔμπροσθεν εἶναι κίναιδον,

« οὐκ ἀνάρμοστόν ἐστι τοῖς ὑποκειμένοις, τί γὰρ ὡς ἀληθῶς διαφέρει σατυρίοις προσάγοντα κινεῖν καὶ παροξύνειν τὸ ἀκόλαστον εἰς τὰς ἡδονάς, ἢ τὴν γεῦσιν ὀσμαῖς καὶ καρυκείαις ἐρεθίζειν, ὥσπερ τὰ ψωριῶντα κνησμῶν ἀεὶ δεῖσθαι καὶ γαργαλισμῶν. ἄλλοτε μὲν οὖν πρὸς τὰς ἡδονὰς λεκτέον ἴσως τὸ καλὸν καὶ σεμνὸν ἐφ᾽ ἑαυτοῦ τῆς ἐγκρατείας οἷόν ἐστι δεικνύντας. ὁ δὲ νῦν λόγος ὑπὲρ πολλῶν ἡδονῶν καὶ μεγάλων ἐστίν. οὔτε γὰρ πράξεις, οὔτε ἐλπίδας, οὔτε ἀποδημίας, οὔτε διατριβὰς αἱ νόσοι τοσαύτας, ὅσας ἡδονὰς ἡμῶν ἀφαιροῦνται καὶ διαφθείρουσιν. ὅθεν ἥκιστα λυσιτελεῖ καταφρονεῖν τῆς ὑγείας τοῖς μάλιστα τὴν ἡδονὴν διώκουσι. καὶ γὰρ φιλοσοφεῖν ἀρρωστία πολλοὺς παρέχουσι, καὶ στρατηγεῖν νὴ Δία καὶ βασιλεύειν, ἡδοναὶ δὲ σωματικαὶ καὶ ἀπολαύσεις ἔνιαι μὲν οὐδ᾽ ὅλως γένεσιν ἐν νόσῳ λαμβάνουσιν, αἱ δὲ λαμβάνουσαι βραχὺ τὸ οἰκεῖον καὶ οὐ καθαρόν, ἀλλὰ συμπεφυρμένον πολλῷ τῷ ἀλλοτρίῳ καὶ μεμωλωπισμένον, ὥσπερ ἐκ ζάλης καὶ χειμῶνος ἀναφέρουσιν, οὐ γὰρ ἐν πλησμοναῖς Κύπρις, ἀλλὰ μᾶλλον ἐν εὐδίᾳ σαρκὸς καὶ γαλήνῃ, καὶ Κύπρις εἰς ἡδονὴν τελευτᾷ, καὶ βρῶσις καὶ πόσις, ἡ δ᾽ ὑγεία ταῖς ἡδοναῖς ὥσπερ ἡ γαλήνη ταῖς ἀλκυόσιν ἀσφαλῆ καὶ καλὴν γένεσιν καὶ λοχείαν ἐνδίδωσιν. κομψῶς γὰρ ἔοικεν ὁ Πρόδικος εἰπεῖν, ὅτι τῶν ἡδυσμάτων ἄριστόν ἐστι τὸ πῦρ. ἀληθέστερον γὰρ ἄν τις εἴποι τὴν ὑγείαν ἥδυσμα θειότατον εἶναι καὶ προσηνέστατον. ἑφθὰ μὲν γὰρ καὶ ὀπτὰ καὶ πεπτὰ βρώματα νοσοῦσιν ἢ κραιπαλῶσιν ἢ ναυτιῶσιν οὐδεμίαν ἡδονὴν οὐδὲ χάριν ἀποδίδωσι, καθαρὰ δὲ καὶ ἀκραιφνὴς ὄρεξις ὑγιαίνοντι σώματι πᾶν ἡδὺ ποιεῖ, καὶ ἀρπαλέον ὡς Ὅμηρος ἔφη καὶ πρόσφορον. ἐπεὶ δὲ ὥσπερ ὁ Δημάδης πολεμικοὺς ἀκαίρως τοὺς Ἀθηναίους ὄντας ἔλεγε μηδέποτε χειροτονεῖν εἰρήνην ἄνευ μελαίνων ἱματίων, οὕτω καὶ ἡμεῖς οὐδέποτε μεμνήμεθα λιτῆς διαίτης καὶ σώφρονος, ἄνευ καύσεων καὶ καταπλασμάτων, ἐν τε τούτοις γινόμενοι πιέζομεν σφόδρα τὰς ἁμαρτίας ἀναπτυσσόμενοι τῇ μνήμῃ, καὶ καθάπερ οἱ πολλοὶ νῦν μὲν ἀέρας,

ναῦν δὲ χώρας ἐπιμεμφόμενοι νοσώδεις, ἀποδημίας τέ τινας λέγουσιν, ἐξαιρού-
μενοι τῆς αἰτίας τὴν ἀκρασίαν καὶ φιληδονίαν. ἀλλ' ὥσπερ ὁ Λυσίμαχος ἐν Γέ-
ταις συσχεθεὶς δίψῃ, καὶ παραδοὺς ἑαυτὸν μετὰ στρατεύματος αἰχμάλωτον,
εἶτα πιὼν ὕδωρ ψυχρόν, ὦ θεοὶ εἶπεν, ὡς βραχείας ἡδονῆς ἕνεκα μεγάλην εὐ-
δαιμονίαν ἀπεβαλόμην, οὕτως ἀνοιστέον ἐν ταῖς ἀρρωστίαις πρὸς αὐτοὺς ὡς διὰ
ψυχροποσίαν ἢ λουτρὸν ἄκαιρον, ἢ συμπεριφοράν, πολλὰς μὲν αὐτῶν διαφθεί-
ρομεν ἡδονάς, καλὰς τε πράξεις, ἐπιτερπεῖς τε διατριβὰς ἀπωλέσαμεν. ὁ γὰρ
ἐκ τῶν τοιούτων ἀναλογισμῶν δηγμός, αἱμάσσει τὴν μνήμην, ὥστε οἷον οὐλὴν
παραμένουσαν ἐν τῷ ὑγιαίνειν, εὐλαβεστέρους ποιεῖν περὶ τὴν δίαιταν. οὐ γὰρ
ἄγαν τὸ ὑγιαῖνον σῶμα, φύσει μεγάλας ἐπιθυμίας, οὐδὲ δυσπειθεῖς, οὐδὲ ἀσυ-
νήθεις, οὐδὲ δυσεκβιάστους. ἀλλὰ δεῖ θαρρεῖν πρὸς τὰς ὀρέξεις ἐκφερομένας,
καὶ ἐπιπηδώσας ταῖς ἀπολαύσεσιν, ὡς ἐλαφρὸν καὶ παιδικὸν ἐχούσας τὸ μεμ-
ψιμοιροῦν, καὶ κλαυθμυριζόμενον, εἶτα παυομένας ἀρθείσης τῆς τραπέζης,
καὶ μηδὲν ἐγκαλούσας μηδὲ ἀδικουμένας, ἀλλὰ τοὐναντίον καθαρὰς καὶ ἱλα-
ρὰς καὶ οὐ βαρείας, οὐδὲ ναυτιώδεις περιμενούσας τὴν αὔριον, ὥσπερ ἀμέλει
καὶ Τιμόθεον εἰπεῖν τῇ προτεραίᾳ δεδειπνηκότα ἐν Ἀκαδημίᾳ παρὰ Πλά-
τωνι μουσικὸν καὶ λιτὸν δεῖπνον, ὡς οἱ παρὰ Πλάτωνι δειπνήσαντες, καὶ εἰς αὔ-
ριον ἡδέως γίνονται. λέγεται δὲ καὶ Ἀλέξανδρος εἰπεῖν τοὺς ἐθάδας ὀψο-
ποιοὺς ἀποπεμψάμενος, ὡς ἔχει βελτίονας ἄγειν ἀεὶ σὺν αὐτῷ, πρὸς μὲν τὸ ἄρι-
στον τὴν νυκτοπορίαν, πρὸς δὲ τὸ δεῖπνον τὴν ὀλιγαριστίαν. οὐκ ἀγνοῶ δὲ ὅτι
καὶ διὰ κόπους πυρέττουσιν ἄνθρωποι, καὶ δι' ἐγκαύσεις καὶ διὰ περιψύξεις, ἀλ-
λ' ὥσπερ αἱ τῶν ἀνθέων ὀσμαὶ καθ' ἑαυτὰς ἀσθενεῖς εἰσι, μιχθεῖσαι δὲ τῷ ἐλαίῳ
ῥώμην ἴσχουσι καὶ τόνον, οὕτω ταῖς ἔξωθεν αἰτίαις καὶ ἀρχαῖς, οἷον οὐσίαις
καὶ σῶμα παρέχει τὸ πλῆθος ὑποκείμενον, ἄνευ δὲ τούτων χαλεπὸν οὐδέν, ἀλ-
λ' ἐξαμαυροῦνται καὶ διαχέονται ῥαδίως, αἵματος λεπτοῦ καὶ πνεύματος κα-
θαροῦ δεχομένου τὴν κίνησιν, ἐν δὲ πλήθει καὶ περιττώματι, οἷον ἰλὺς ἀναταρατ-
τομένη μιαρὰ ποιεῖ πάντα καὶ δυσχερῆ καὶ δυσαπάλλακτα, διὸ δὴ μὴ καθά-
περ οἱ ἀγαθοὶ ναύκληροι πολλὰ δι' ἀπληστίαν ἐμβαλόμενοι, τοὐντεῦθεν ἤδη δια-
τελοῦσιν ἀντλοῦντες καὶ ὑπεξαίροντες τὴν θάλατταν, οὕτως ἐμπλήσαντας τὸ
σῶμα καὶ βαρύναντας ὑποκαθαίρειν αὖθις καὶ ὑποκλύζειν, ἀλλὰ διατηρεῖν
εὐσταλές, ὅπως κἂν πιεσθῇ ποτέ, φελλοῦ δίκην ὑπὸ κουφότητος ἀναφέρηται.
μάλιστα δὲ προφυλακτέον ἐν ταῖς προπαθείαις καὶ προαισθήσεσιν, οὐ γὰρ ἅπα-
σαι κατὰ τὸν Ἡσίοδον ἐπιφοιτῶσιν αἱ νόσοι σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα
Ζεύς, ἀλλ' αἱ πλεῖσται καθάπερ προαγγέλους καὶ προδρόμους καὶ κήρυκας ἔχου-
σιν, ἀπεψίας καὶ δυσκινησίας. βαρύτητες καὶ κόποι, φησὶν Ἱπποκράτης, αὐ-
τόματοι νοῦσον φράζουσι, διὰ πλῆθος ὡς ἔοικεν ἐν τάσει διάτασιν καὶ σφήνωσιν
τοῦ περὶ τὰ νεῦρα πνεύματος ἔχοντος, ἀλλ' ὅμως αὐτοῦ μονονουχὶ τοῦ σώματος
ἀντιτείνοντος καὶ κατασπῶντος ἐπὶ τὸ κλινίδιον καὶ τὴν ἡσυχίαν, οἱ μὲν ὑπὸ
λαιμαργίας καὶ φιληδονίας ἐμβάλλουσιν ἑαυτοὺς εἰς τὰ βαλανεῖα καὶ σπεύ-
δουσιν εὐθὺ τὰς προπόσεις, ὥσπερ εἰς πολιορκίαν ἐπισιτιζόμενοι, καὶ δεδιότες
μὴ φθάσῃ καταλαβὼν αὐτοὺς ὁ πυρετὸς ἀναρίστους. οἱ δὲ κομψότεροι ταύτῃ
μὲν οὐχ ἁλίσκονται, πάνυ δὲ ἀβελτέρως αἰσχυνόμενοι κραιπάλην ἢ ἀπεψίαν ὁμο-
λογεῖν καὶ διημερεύειν ἐν ἱματίοις ἑτέρων εἰς τὸ γυμνάσιον βαδιζόντων καὶ
παρακαλούντων, ἀναστάντες συναποδύονται, καὶ τὰ αὐτὰ πράττουσι τοῖς ὑγιαίνουσι,
τοὺς δὲ πλείονας ἀκρασία καὶ μαλακία συνήγορον ἔχουσα τὴν παροιμίαν, ἐλπὶς ἀνα-
πείθει καὶ προάγεται βαδίζειν ἀναστάντας ἰταμῶς ἐπὶ τὴν συνήθειαν, ὡς οἴνῳ

δεῖ τὸν οἶνον, κραιπάλῃ δὲ τὴν κραιπάλην ἐξελόντας καὶ διαφορήσαντας.
πρὸς μὲν οὖν ταύτην τὴν ἐλπίδα, τὴν τοῦ Κάτωνος εὐλάβειαν ἀντιτακτέον, ἥν φη-
σιν ἐκεῖνος ὁ ἀνὴρ τὰ μὲν μεγάλα μικρὰ ποιεῖν, τὰ δὲ μικρὰ παντελῶς ἀναιρεῖν,
καὶ ὅτι κρεῖττον ἔνδειαν ὑπομεῖναι διακενῆς καὶ ἡσυχίαν, ἢ διακινδυνεῦσαι πρὸς
λουτρὸν ὠσαμένους καὶ δεῖπνον. εἰ μὲν γάρ ἐστί τι, βλάψει τὸ μὴ φυλάξασθαι, μη-
δὲ ἐπισχεῖν, εἰ δὲ μηδέν, οὐ βλάψει τὸ συσταλῆναι τῷ σώματι, καὶ γενέσθαι καθα-
ρώτερον. ὁ δὲ παιδαριώδης ἐκεῖνος καὶ τοῖς φίλοις δεδιὼς καὶ τοῖς οἰκέταις
φανερὸς γενέσθαι διακείμενος ἐκ πλησμονῆς, ἢ κραιπάλης ἀηδῶς, αἰσχυνό-
μενος ἀπεψίαν ὁμολογῆσαι τήμερον, αὔριον ὁμολογήσει κατάρροιαν, ἢ πυρε-
τόν, ἢ στρόφον αἰσχυνόμενος, αἴσχιστα πενίαν φέροις, πολὺ δὲ αἴσχιον ἀπεψίαν καὶ
βαρύτητα καὶ πλησμονὴν σώματος εἰς βαλανεῖον ἑλκομένου, καθάπερ εἰς
θάλασσαν σαθροῦ πλοίου καὶ μὴ στέγοντος. ὥσπερ γοῦν ἀμέλει πλέοντες ἔνιοι
χειμῶνος ὄντος αἰδοῦνται ἐπ' ἀκτῆς διατρίβειν, εἶτα ἀναχθέντες αἴσχιστα διά-
κεινται βοῶντες καὶ ναυτιῶντες, οὕτως ἐν ὑποψίᾳ καὶ προσπαθείᾳ σώματος
ἀγεννὲς ἡγούμενοι μίαν ἡμέραν ἐν κλίνῃ διάγειν, καὶ μὴ παραθέσθαι τράπε-
ζαν, αἴσχιστα πολλὰς ἡμέρας κεῖνται καθαιρόμενοι, καὶ καταπλαττόμενοι,
καὶ θωπεύοντες ἰατρούς, καὶ θεραπεύοντες, οἶνον αἰτοῦντες ἢ ψυχρὸν ὕδωρ, ἄτο-
πα καὶ ἀγεννῆ πολλὰ ποιεῖν καὶ φθέγγεσθαι διὰ τὸν πόνον καὶ τὸν φόβον ὑπο-
μένοντες, καὶ μὴν τούς γε διὰ τὰς ἡδονὰς μὴ κρατοῦντας ἑαυτῶν, ἀλλ' ἐνδιδόν-
τας ἢ φερομένους ὑπὸ τῶν ἐπιθυμιῶν, καλῶς ἔχει διδάσκειν καὶ ἀναμιμνήσκειν,
ὅτι πλεῖστον ἐκ τοῦ σώματος αἱ ἡδοναὶ λαμβάνουσι. καὶ καθάπερ οἱ Λάκωνες ὄξος
καὶ ἅλας δόντες τῷ μαγείρῳ, τὰ λοιπὰ κελεύουσιν ἐν τῷ ἱερείῳ ζητεῖν, οὕτως ἐν τῷ
σώματι τῷ προσφερομένῳ τὰ κάλλιστα τῶν ἡδυσμάτων ἐστίν, ἄν γε περ ὑγιαίνοντι καὶ
καθαρῷ προσφέρηται. γλυκὺ μὲν γὰρ ἢ πολυτελές, ἔξω καὶ καθ' αὑτὸ τὸ τοιοῦτον
ἐστίν. ἡδὺ δὲ πέφυκεν ἐν τῷ ἡδομένῳ καὶ μετὰ τοῦ ἡδομένου γίνεσθαι κατὰ φύσιν
ἔχοντος, ἐν δὲ δυσαρέστοις καὶ κραιπαλῶσι, καὶ φαύλως διακειμένοις, πάντα
τὴν αὐτῶν χάριν καὶ ὥραν ἀπόλλυσι. διὸ δεῖ μὴ σκοπεῖν τὸν ἰχθὺν εἰ πρόσ-
φατος, μηδὲ τὸν ἄρτον εἰ καθαρός, μηδὲ τὸ βαλανεῖον εἰ θερμόν, μηδὲ τὴν ἑταί-
ραν εἰ εὔμορφος, ἀλλ' αὑτὸν εἰ μὴ ναυτιώδης, μηδὲ θολερός, μηδὲ ἕωλος, μηδὲ
τεταραγμένος, εἰ δὲ μή, καθάπερ εἰς οἰκίαν πενθοῦσαν, ἐμβαλόντες ἐπίκωμοι
μεθύοντες οὐ φιλοφροσύνην παρέσχον, οὐδὲ ἡδονήν, ἀλλὰ κλαυθμοὺς ἐποίη-
σαν, οὕτω καὶ ἀφροδίσια καὶ ὄψα καὶ βαλανεῖα καὶ οἶνος ἐν σώματι κακῶς καὶ
παρὰ φύσιν ἔχοντι μιγνύμενα, τοῖς μὴ καθεστῶσι μηδὲ διεφθορόσι, φλέγμα
καὶ χολὴν κινεῖ καὶ ταράττει καὶ προσεξίστησιν, ἡδὺ δὲ οὐδὲν ἀξιολόγως, οὐδὲ ἀ-
πολαυστικὸν οὐδὲν οἷον προσεδοκήσαμεν, ἀποδίδωσιν. ἡ μὲν οὖν ἀκριβὴς
σφόδρα καὶ δι' ὄνυχος λεγομένη δίαιτα, τό τε σῶμα κομιδῇ ψοφοδεὲς παρέ-
χεται καὶ σφαλερόν, αὐτῆς δὲ τῆς ψυχῆς τὸ γαῦρον κολούει πάντα πράγ-
ματα καὶ πᾶσαν οὐχ ἧττον ἐν ἡδοναῖς καὶ πόνοις διατριβὴν καὶ πρᾶξιν ὑφο-
ρωμένοις, καὶ πρὸς μηδὲν ἰταμῶς καὶ θαρραλέως βαδιζούσης, δεῖ δὲ ὥσπερ
ἱστίον τὸ σῶμα, μήτε συστέλλειν εὐδίας οὔσης, καὶ πιέζειν σφόδρα, μήτ' ἀνει-
μένως χρῆσθαί τε καὶ καταφρονεῖν ἐν ὑποψίᾳ γινόμενον, ἀλλ' ἐνδιδόναι καὶ ποι-
εῖν ἐλαφρὸν ὥσπερ εἴρηται, καὶ μὴ περιμένειν ἀπεψίας καὶ διαρροίας, μηδὲ
θερμασίας, μηδὲ νάρκας, ἀφ' ὧν ἔνιοι μόλις ὥσπερ ὑπ' ἀγγέλων ἢ κλητόρων, πυ-
ρετοῦ περὶ θύρας ὄντος, ἤδη θορυβούμενοι συστέλλουσιν ἑαυτούς, ἀλλὰ πόρρωθεν ἐξευ-
λαβεῖσθαι πρὸ χείματος. ὡς τ' ἀνὰ Ποντίαν ἄκραν, βορρᾶ πνέοντος. ἄτοπον
γάρ ἐστι κοράκων μὲν λαρυγγισμοῖς, καὶ κλωσμοῖς ἀλεκτορίδων, καὶ συσὶν ἐπὶ

φορυτῷ μαργαινούσαις, ὡς ἔφη Δημόκριτος, ἐπιμελῶς προσέχειν σημεῖα ποιουμένους πνευμάτων καὶ ὄμβρων, τὰ δὲ τοῦ σώματος κινήματα καὶ σάλους καὶ προπαθείας μὴ προλαμβάνειν μηδὲ προφυλάττειν, μηδ᾽ ἔχειν σημεῖα χειμῶνος ἐν ἑαυτῷ γινομένου καὶ μέλλοντος. ὅθεν οὐ περὶ τροφὴν μόνον, οὐδὲ γυμνάσια δεῖ φυλάττειν τὸ σῶμα μὴ παρὰ τὸ εἰωθὸς ἅπτηται τούτων ὀκνηρῶς καὶ ἀπροθύμως· ἢ πάλιν διψῶδές ἐστι καὶ πειναλέον ὡς οὐ πέφυκεν, ἀλλὰ καὶ τῶν ὕπνων τὸ μὴ συνεχὲς μηδὲ λεῖον, ἀλλ᾽ ἀνωμαλίας ἔχον καὶ διασπασμοὺς εὐλαβεῖσθαι, καὶ νὴ Δία τῶν ἐνυπνίων τὴν ἀτοπίαν, ἂν γὰρ ὦσι μὴ νόμιμοι μηδὲ συνήθεις αἱ φαντασίαι, πλῆθος ἢ πάχος ὑγρῶν ἢ πνευμάτων ταραχὴν ἐντὸς κατηγοροῦσιν. ἤδη δὲ καὶ τὰ τῆς ψυχῆς κινήματα τὸ σῶμα μηνύει πρὸς νόσον ἐπισφαλῶς ἔχειν· ἄλογοι γὰρ ἴσχουσιν ἀθυμίαι καὶ φόβοι πολλάκις ὑπ᾽ οὐδενὸς φανεροῦ τὰς ἐλπίδας ἄφνω κατασβεννύουσαι· γίνονται δὲ καὶ ταῖς ὀργαῖς ἐπίχολοι, καὶ ὀξεῖς, καὶ μικρόλυποι, καὶ δακρυρροοῦσι καὶ ἀδημονοῦσιν ὅταν ἀτμοὶ πονηροὶ καὶ ἀναθυμιάσεις πικραὶ συνιστάμεναι ταῖς τῆς ψυχῆς ὥς φησιν ὁ Πλάτων ἀνακραθῶσι περιόδοις. διὸ δεῖ σκοπεῖν οἷς ἂν ταῦτα συμπίπτῃ, καὶ μνημονεύειν ἂν μηδὲν ᾖ πνευματικὸν, ὅτι σωματικόν ἐστιν αἴτιον ἀπὸ στολῆς τινὸς ἢ κατακράσεως δεόμενον. χρήσιμον δὲ πάλιν καὶ τὸ τοὺς φίλους ἐπισκεπτόμενον ἀσθενοῦντας ἐκ πυνθάνεσθαι τὰς αἰτίας, μὴ σοφιστικῶς, μηδὲ περιέργως, ἐνστάσεις καὶ παρεμπτώσεις καὶ κοινότητας λαλοῦντα, καὶ παρεπιδεικνύμενον ἰατρικῶν ὀνομάτων, καὶ γραμμάτων ἐμπειρίαν, ἀλλὰ ταυτὶ τὰ φαῦλα καὶ κοινὰ μὴ παρέργως ἀκούοντα πλῆθος ἢ λείωσιν, κόπον, ἀγρυπνίαν, μάλιστα δὲ δίαιταν, ᾗ χρώμενος ἐπύρεξεν, εἶτα ὥσπερ ὁ Πλάτων ἐπὶ τοῖς ἀλλοτρίοις ἁμαρτήμασιν, εἰώθει λέγειν ἀπιὼν, μή που ἄρα καὶ ἐγὼ τοιοῦτος; οὕτω τὰ περὶ αὐτὸν ἐν τοῖς πλησίον εὖ τίθεσθαι καὶ φυλάττεσθαι καὶ μνημονεύειν ὅπως οὐ περιπεσεῖται τοῖς αὐτοῖς, οὐδὲ αὐτὸς εἰς τὴν κλίνην καταπεσὼν ὑμνήσει ποθῶν τὴν πολυτίμητον ὑγίειαν, ἀλλ᾽ ἑτέρου πάσχοντος ἐνσημαίνεται πρὸς ἑαυτὸν ὡς ἄξιον πολλοῦ τὸ ὑγιαίνειν, καὶ δεῖ τοῦτο διατηρεῖν αὑτῷ προσέχοντα καὶ φειδόμενον. οὐ χεῖρον δὲ καὶ τὴν ἑαυτῶν παρεπισκοπεῖν δίαιταν, ἂν γὰρ ἐν πότοισι καὶ προσφοραῖς ἤ τισι πόνοις καὶ ἀταξίαις ἑτέραις τυγχάνωμεν γεγονότες, τὸ δὲ σῶμα μηδεμίαν ὑποψίαν παρέχῃ, μηδὲ προαίσθησιν, ὅμως αὐτοὺς δεῖ φυλάττεσθαι καὶ προκαταλαμβάνειν, ἐκ μὲν ἀφροδισίων καὶ κόπων ὄντας, ἀναπαύσει καὶ ἡσυχίᾳ, μετὰ δὲ οἴνωσιν καὶ συμπεριφορὰν, ὑδροποσίᾳ, μάλιστα δὲ τροφαῖς κεχρημένους ἐμβριθέσι καὶ κρεώδεσιν ἢ ποικίλαις ὀλιγοσιτεῖν, καὶ μηδὲν ὑπολιπεῖν περιττώματος πλῆθος ἐν τῷ σώματι· καὶ γὰρ αὐτὰ ταῦτα δι᾽ αὑτὰ πολλῶν αἴτια νόσων ἐστὶ, καὶ προστίθησι ταῖς ἄλλαις αἰτίαις ὕλην καὶ δύναμιν, ὅθεν ἄριστα λέλεκται τροφῆς ἀκορίην καὶ πόνων ἀοκνίην καὶ σπέρματος οὐσίης συντήρησιν, ὑγιεινότατα εἶναι· καὶ γὰρ ἡ περὶ τὰς συνουσίας ἀκρασία τῷ μάλιστα τὴν δύναμιν ἐκλύειν ὑφ᾽ ἧς ἡ τροφὴ διαπονεῖται, πλεῖον περίττωμα ποιεῖται καὶ πλῆθος. αὖθις οὖν ἀναλαβόντες ἐξ ἀρχῆς περὶ ἑκάστου, πρῶτον δὲ περὶ γυμνασίων φιλολόγοις ἁρμοζόντων λέγωμεν, ὅτι ὥσπερ ὁ φήσας μηδὲν γράφειν παραθαλασσίοις περὶ ὀδόντων, ἐδίδαξε τὴν χρείαν, οὕτω καὶ φιλολόγοις φαίη τις ἂν μὴ γράφειν περὶ γυμνασίων· ἡ γὰρ καθ᾽ ἡμέραν τοῦ λόγου χρεία διὰ φωνῆς περαινομένη θαυμαστὸν οἷόν ἐστι γυμνάσιον, οὐ μόνον πρὸς ὑγίειαν, ἀλλὰ καὶ πρὸς ἰσχὺν, οὐ παλαιστικὴν, οὐδὲ σαρκοῦσαν καὶ πυκνοῦσαν τὴν ἐκτὸς ὥσπερ οἰκοδομήματος, ἀλλὰ τοῖς ζωτικωτάτοις καὶ κυριωτάτοις μέρεσι ῥώμην ἐνδιάθετον καὶ τόνον ἀληθινὸν ἐμποιοῦσαν. ὅτι μὲν γὰρ

ἰσχύειν δίδωσι τὸ πνεῦμα, δηλοῦσιν οἱ ἀλεῖπται τοὺς ἀθλητὰς κελεύοντες ἀντερείδειν ταῖς τρίψεσι καὶ παρεικάττειν τηροῦντας ἀεὶ τὰ πλαττόμενα μόρια καὶ ψηλαφώμενα τοῦ σώματος· ἡ δὲ φωνὴ τοῦ πνεύματος οὖσα κίνησις, οὐκ ἐπιπολαίως, ἀλλ᾽ ὥσπερ ἐν πηγαῖς περὶ τὰ σπλάγχνα ῥωννυμένη, τὸ θερμὸν αὔξει, καὶ λεπτύνει τὸ αἷμα, καὶ πᾶσαν μὲν ἐκκαθαίρει φλέβα, πᾶσαν δὲ ἀρτηρίαν ἀνοίγει, σύστασιν δὲ καὶ πῆξιν ὑγρότητος οὐκ ἐᾷ περιττωματικῆς, ὥσπερ ὑποστάθμην γενέσθαι τοῖς τὴν τροφὴν παραλαμβάνουσι, καὶ κατεργαζομένοις ἀγγείοις. διὸ δεῖ μάλιστα ποιεῖν ἑαυτοὺς τούτῳ τῷ γυμνασίῳ συνήθεις καὶ συντρόφους ἐνδελεχῶς λέγοντας· ἂν δὲ ᾖ τις ὑποψία τοῦ σώματος ἐνδεέστερον, ἢ κοπωδέστερον ἔχοντος, ἀναγινώσκοντας ἢ ἀναφωνοῦντας. ὅπερ γὰρ αἰώρα πρὸς γυμνάσιόν ἐστι, τοῦτο πρὸς διάλεξιν ἀνάγνωσις, ὥσπερ ἐπ᾽ ὀχήματος ἀλλοτρίου λόγου κινοῦσα μαλακῶς καὶ διαφέρουσα πράως τὴν φωνήν· ἡ δὲ διάλεξις ἀγῶνα καὶ σφοδρότητα προστίθησιν, ἅμα τῆς ψυχῆς τῷ σώματι συνεπιτιθεμένης· κραυγὰς μέντοι περιπαθεῖς καὶ σπαραγματώδεις εὐλαβητέον· αἱ γὰρ ἀνώμαλοι προσβολαὶ καὶ διατάσεις τοῦ πνεύματος, ῥήγματα καὶ σπάσματα ποιοῦσιν. ἀναγνόντα δὲ, ἢ διαλεχθέντα, λιπαρᾷ καὶ ἀλεεινῇ τρίψει χρηστέον πρὸ τοῦ περιπάτου, καὶ μαλάξει τῆς σαρκὸς, ὡς ἀνοιστόν ἐστι τῶν σπλάγχνων ποιούμενον ἀφὴν, καὶ τὸ πνεῦμα πράως διομαλύνοντα, καὶ διαχέοντα μέχρι τῶν ἄκρων, μέτρον τοῦ πλήθους τῆς τρίψεως ἔστω τὸ προσφιλὲς τῇ αἰσθήσει, καὶ ἄλυπον· ὁ γὰρ οὕτω καταστήσας τὴν ἐν βάθει ταραχὴν, καὶ διάτασιν τοῦ πνεύματος, ἀλύπῳ τε χρῆται τῷ περιττώματι, κἂν ἀκαιρία τις, ἢ χρεία κωλύσῃ τὸν περίπατον, οὐδέν ἐστι πρᾶγμα· τὸ γὰρ οἰκεῖον ἡ φύσις ἀπείληφεν. ὅθεν οὐδὲ πλοῦν ποιητέον, οὔτε καταγωγὴν ἐν πανδοχείῳ σιγῆς πρόφασιν, οὐδ᾽ ἐὰν πάντες καταγελῶσιν· ὅπου γὰρ οὐκ αἰσχρὸν τὸ φαγεῖν, οὐδὲ τὸ γυμνάζεσθαι δήπουθεν αἰσχρὸν, ἀλλ᾽ αἴσχιον τὸ δεδοικέναι, καὶ δυσωπεῖσθαι ναύτας, καὶ ὀρεωκόμους, καὶ πανδοχεῖς καταγελῶντας, οὐ τοῦ σφαιρίζοντος καὶ σκιαμαχοῦντος, ἀλλὰ τοῦ λέγοντος ἂν ἅμα διδάσκῃ τι, καὶ ζητῇ, καὶ μανθάνῃ, καὶ ἀναμιμνήσκηται γυμναζόμενος. ὁ μὲν γὰρ Σωκράτης ἔλεγεν, ὅτι τῷ κινοῦντι δι᾽ ὀρχήσεως αὑτὸν ἑπτάκλινος οἶκος ἱκανός ἐστιν ἐγγυμνάζεσθαι τῷ δι᾽ ᾠδῆς, ἢ λόγου γυμνάσιον ἀποχρῆν γυμναζομένῳ, καὶ ἑστῶτι, καὶ κατακειμένῳ πᾶς τόπος παρέχει. μόνον ἐκεῖνο φυλακτέον, ὅπως μήτε πλησμονὴν, μήτε λαγνείαν, μήτε κόπον ἑαυτοῖς συνειδότες ἐντεινώμεθα τῇ φωνῇ τραχύτερον. ὃ πάσχουσι πολλοὶ τῶν ῥητόρων, καὶ τῶν σοφιστῶν, οἱ μὲν ὑπὸ δόξης, καὶ φιλοτιμίας, οἱ δὲ διὰ μισθοὺς, ἢ πολιτικὰς ἁμίλλας ἐξαγόμενοι παρὰ τὸ συμφέρον ἀγωνίζεσθαι. Νίγρος δὲ, ὁ ἡμέτερος ἐν Γαλατίᾳ σοφιστεύων, ἄκανθαν ἐτύγχανεν ἰχθύος καταπεπωκώς, ἑτέρου δ᾽ ἐπιφανέντος ἔξωθεν σοφιστοῦ, καὶ μελετῶντος, ὑφειμένου δόξαν παρασχεῖν ὀρρωδῶν, ἔτι τῆς ἀκάνθης ἐνισχομένης ἐμελέτησε, μεγάλης δὲ φλεγμονῆς καὶ σκληρᾶς γενομένης, τὸν πόνον οὐ φέρων, ἀνεδέξατο τομὴν ἔξωθεν βαθεῖαν· ἡ μὲν οὖν ἄκανθα διὰ τοῦ τραύματος ἐξῃρέθη, τὸ δὲ τραῦμα χαλεπὸν γενόμενον καὶ ῥευματικὸν, ἀνεῖλεν αὐτόν. ἀλλὰ ταῦτα μὲν ἄν τις ὕστερον εὐκαίρως ὑπομνήσειε. γυμνασαμένους δὲ λουτρῷ χρῆσθαι, ψυχρῷ μὲν, ἐπιδεικτικὸν καὶ νεανικὸν μᾶλλον, ἢ ὑγιεινόν ἐστιν· ἣν γὰρ δοκεῖ ποιεῖν δυσπάθειαν πρὸς τὰ ἔξω, καὶ σκληρότητα τοῦ σώματος, αὕτη μεῖζον ἀπεργάζεται περὶ τὰ ἐντὸς κακὸν, ἐνισταμένη τοῖς πόροις, καὶ τὰ ὑγρὰ συνάγουσα, καὶ πηγνύουσα τὰς ἀναθυμιάσεις ἀεὶ χαλᾶσθαι, καὶ διαφορεῖσθαι βουλομένας· ἔτι δὲ ἀνάγκη τοὺς ψυχρολουτοῦντας εἰς ἐκείνην αὖθις

φορυτῷ μαργαινούσαις ὡς ἔφη Δημόκριτος ἐπιμελῶς προσέχειν σημεῖα ποιου-
μένους πνευμάτων καὶ ὄμβρων, τὰ δὲ τοῦ σώματος κινήματα καὶ σάλους καὶ προ-
παθείας μὴ προλαμβάνειν μηδὲ προφυλάττειν, μηδ' ἔχειν σημεῖα χειμῶνος ἐν
ἑαυτῷ γενησομένου καὶ μέλλοντος. ὅθεν οὐ περὶ τροφὴν μόνον, οὐδὲ γυμνά-
σια δεῖ φυλάττειν τὸ σῶμα μὴ παρὰ τὸ εἰωθὸς ἅπτηται τούτων ὀκνηρῶς καὶ ἀ-
προθύμως· ἢ πάλιν διψώδης ἐστὶ καὶ πειναλέος ὡς οὐ πέφυκεν, ἀλλὰ καὶ τῶν
ὕπνων τὸ μὴ συνεχὲς μηδὲ λεῖον, ἀλλ' ἀνωμαλίας ἔχον καὶ διασπασμοὺς εὐ-
λαβεῖσθαι, καὶ νὴ Δία τῶν ἐνυπνίων τὴν ἀτοπίαν, ἄνπερ ὦσι μὴ νόμιμοι μηδὲ
συνήθεις αἱ φαντασίαι, πλῆθος ἢ πάχος ὑγρῶν ἢ πνευμάτων ταραχὴν ἐν τοῖς
κατηγοροῦσιν. ἤδη δὲ καὶ τὰ τῆς ψυχῆς κινήματα τὸ σῶμα μηνύει πρὸς νόσον
ἐπισφαλῶς ἔχειν· ἄλογοι γὰρ ἴσχουσιν ἀθυμίαι καὶ φόβοι πολλάκις ὑπ' οὐδε-
νὸς φανεροῦ τὰς ἐλπίδας ἄφνω κατασβεννύουσαι· γίνονται δὲ καὶ ταῖς ὀρ-
γαῖς ἐπίχολοι, καὶ ὀξεῖς, καὶ μικρόλυποι, καὶ δακρυρροοῦσι καὶ ἀδημονοῦσιν
ὅταν ἀτμοὶ πονηροὶ καὶ ἀναθυμιάσεις πικραὶ συνιστάμεναι ταῖς τῆς ψυχῆς
ὥς φησιν ὁ Πλάτων ἀνακραθῶσι περιόδοις. διὸ δεῖ σκοπεῖν οἷς ἂν ταῦτα συμ-
πίπτῃ, καὶ μνημονεύειν ἂν μηδὲν ᾖ πνευματικόν, ὅτι σωματικόν ἐστι αἴτιον ἀπο-
στολῆς τινὸς ἢ κατακράσεως δεόμενον. χρήσιμον δὲ πάλιν καὶ τὸ τοὺς φίλους
ἐπισκεπτόμενον ἀσθενοῦντας ἐκπυνθάνεσθαι τὰς αἰτίας, μὴ σοφιστικῶς, μηδὲ
περιέργως, ἐνστάσεις καὶ παρεμπτώσεις καὶ κοινότητας λαλοῦντα, καὶ πα-
ρεπιδεικνύμενον ἰατρικῶν ὀνομάτων καὶ γραμμάτων ἐμπειρίαν, ἀλλὰ ταυ-
τὶ τὰ φαῦλα καὶ κοινὰ μὴ παρέργως ἀκούοντα, πλῆθος ἢ λείωσιν, κόπον, ἀγρυ-
πνίαν, μάλιστα δὲ δίαιταν, ᾗ χρώμενος ἐπύρεξεν, εἶτα ὥσπερ ὁ Πλάτων ἐπὶ τοῖς
ἀλλοτρίοις ἁμαρτήμασιν, εἰώθει λέγειν ἀπιών, μή που ἄρα καὶ ἐγὼ τοιοῦτος; οὕ-
τω τὰ περὶ αὐτὸν ἐν τοῖς πλησίον εὖ τίθεσθαι καὶ φυλάττεσθαι καὶ μνημονεύ-
ειν ὅπως οὐ περιπεσεῖται τοῖς αὐτοῖς, οὐδὲ αὐτὸς εἰς τὴν κλίνην καταπεσὼν ὑ-
μνήσει ποθῶν τὴν πολυτίμητον ὑγίειαν, ἀλλ' ἑτέρου πάσχοντος ἐνσημανεῖται
πρὸς ἑαυτὸν ὡς ἄξιον πολλοῦ τὸ ὑγιαίνειν, καὶ δεῖ τοῦτο διατηρεῖν αὐτῷ προ-
σέχοντα καὶ φειδόμενον. οὐ χεῖρον δὲ καὶ τὴν ἑαυτῶν παρεπισκοπεῖν δίαιταν,
ἂν γὰρ ἐν πότοις καὶ προσφοραῖς ἤ τισι πόνοις καὶ ἀταξίαις ἑτέραις τυγχάνω-
μεν γεγονότες, τὸ δὲ σῶμα μηδεμίαν ὑποψίαν παρέχῃ, μηδὲ προαίσθησιν, ὅμως
αὐτοὺς δεῖ φυλάττεσθαι καὶ προκαταλαμβάνειν, ἐκ μὲν ἀφροδισίων καὶ κό-
πων ὄντας, ἀναπαύσει καὶ ἡσυχίᾳ, μετὰ δὲ οἴνωσιν καὶ συμπεριφορὰν, ὑδροπο-
σίᾳ, μάλιστα δὲ τροφαῖς κεχρημένους ἐμβριθέσι καὶ κρεώδεσιν ἢ ποικίλαις ὀλι-
γοσιτεῖν, καὶ μηδὲν ὑπολιπεῖν περιττώματος πλῆθος ἐν τῷ σώματι· καὶ γὰρ αὐ-
τὰ ταῦτα δι' αὐτὰ πολλῶν αἴτια νόσων ἐστί, καὶ προστίθησι ταῖς ἄλλαις αἰτί-
αις ὕλην καὶ δύναμιν, ὅθεν ἄριστα λέλεκται τροφῆς ἀκορείην καὶ πόνων ἀοκνίην
καὶ σπέρματος οὐσίης συντήρησιν, ὑγιεινότατα εἶναι· καὶ γὰρ ἡ περὶ τὰς συ-
νουσίας ἀκρασία τῷ μάλιστα τὴν δύναμιν ἐκλύειν ὑφ' ἧς ἡ τροφὴ διαπονεῖται,
πλεῖον περίττωμα ποιεῖται καὶ πλῆθος. αὖθις οὖν ἀναλαβόντες ἐξ ἀρ-
χῆς περὶ ἑκάστου, πρῶτον δὲ περὶ γυμνασίων φιλολόγοις ἁρμοζόντων λέγω-
μεν, ὅτι ὥσπερ ὁ φήσας μηδὲν γράφειν παραθαλασσίοις περὶ ὀδόντων, ἐδίδαξε
τὴν χρείαν, οὕτω καὶ φιλολόγοις φαίη τις ἂν μὴ γράφειν περὶ γυμνασίων· ἡ γὰρ
καθ' ἡμέραν τοῦ λόγου χρεία διὰ φωνῆς περαινομένη θαυμαστὸν οἷόν ἐστι γυμνάσι-
ον, οὐ μόνον πρὸς ὑγίειαν, ἀλλὰ καὶ πρὸς ἰσχὺν, οὐ παλαιστικὴν, οὐδὲ σαρκοῦσαν
καὶ πυκνοῦσαν τὴν ἐκτὸς ὥσπερ οἰκοδομήματος, ἀλλὰ τοῖς ζωτικωτάτοις καὶ κυ-
ριωτάτοις μέρεσι ῥώμην ἐνδιάθετον καὶ τόνον ἀληθινὸν ἐμποιοῦσαν. ὅτι μὲν γὰρ
ἰσχύειν

γαρ

καθάρσεως ·Ι. Α.

ἰσχύειν δίδωσι τὸ πνεῦμα, δηλοῦσιν οἱ ἀλεῖπται τοὺς ἀθλητὰς κελεύοντες ἀντε-
ρείδειν ταῖς τρίψεσι καὶ παρεκτείνειν τηροῦντας ἀεὶ τὰ πλασσόμενα μέρη
καὶ ψηλαφώμενα τοῦ σώματος· ἡ δὲ φωνὴ τοῦ πνεύματος οὖσα κίνησις, οὐκ ἐπι-
πολαίως, ἀλλ' ὥσπερ ἐν πηγαῖς περὶ τὰ σπλάγχνα ῥωννυμένη, τὸ θερμὸν
αὔξει, καὶ λεπτύνει τὸ αἷμα, καὶ πᾶσαν μὲν ἐκκαθαίρει φλέβα, πᾶσαν δὲ
ἀρτηρίαν ἀνοίγει, σύστασιν δὲ καὶ πῆξιν ὑγρότητος οὐκ ἐᾷ περιττωματικῆς, ὥσ-
περ ὑποστάθμην γενέσθαι τοῖς τὴν τροφὴν παραλαμβάνουσι, καὶ κατεργαζομέ-
νοις ἀγγείοις. διὸ δεῖ μάλιστα ποιεῖν ἑαυτοὺς τούτῳ τῷ γυμνασίῳ συνήθεις καὶ
συντρόφους ἐνδελεχῶς λέγοντας· ἂν δὲ ᾖ τις ὑποψία τοῦ σώματος ἐνδεέστερον,
ἢ κοπωδέστερον ἔχοντος, ἀναγινώσκοντας ἢ ἀναφωνοῦντας. ὅπερ γὰρ αἰώρα
πρὸς γυμνάσιόν ἐστι, τοῦτο πρὸς διάλεξιν ἀνάγνωσις, ὥσπερ ἐπ' ὀχήματος ἀλλο-
τρίου λόγου κινοῦσα μαλακῶς καὶ διαφέρουσα πράως τὴν φωνήν· ἡ δὲ διάλε-
ξις ἀγῶνα καὶ σφοδρότητα προστίθησιν, ἅμα τῆς ψυχῆς τῷ σώματι συνεπι-
τιθεμένης. κραυγὰς μέντοι περιπαθεῖς καὶ σπαραγματώδεις εὐλαβητέον·
αἱ γὰρ ἀνώμαλοι προσβολαὶ καὶ διατάσεις τοῦ πνεύματος, ῥήγματα καὶ σπά-
σματα ποιοῦσιν. ἀναγνόντα δὲ, ἢ διαλεχθέντα, λιπαρᾷ καὶ ἀλεεινῇ τρίψει
χρηστέον πρὸ τοῦ περιπάτου, καὶ μαλάξει τῆς σαρκὸς, ὡς ἀνυστόν ἐστι τῶν σπλάγ-
χνων ποιούμενον ἀφὴν, καὶ τὸ πνεῦμα πράως διομαλύνοντα, καὶ διαχέοντα
μέχρι τῶν ἄκρων, μέτριον τοῦ πλήθους τῆς τρίψεως ἔστω τὸ προσφιλὲς τῇ
αἰσθήσει, καὶ ἄλυπον. ὁ γὰρ οὕτω καταστήσας τὴν ἐν βάθει ταραχὴν, καὶ διάτα-
σιν τοῦ πνεύματος, ἀλύπως τε χρῆται τῷ περιπάτῳ, κἂν ἀκαιρία τις, ἢ χρεία
κωλύσῃ τὸν περίπατον, οὐδέν ἐστι πρᾶγμα· τὸ γὰρ οἰκεῖον ἡ φύσις ἀπείληφεν.
ὅθεν οὐδὲ πλοῦν ποιητέον, οὔτε καταγωγὴν ἐν πανδοχείῳ σιγῆς πρόφασιν, οὐδ'
ἐὰν πάντες καταγελῶσιν· ὅπου γὰρ οὐκ αἰσχρὸν τὸ φαγεῖν, οὐδὲ τὸ γυμνάζε-
σθαι δήπουθεν αἰσχρὸν, ἀλλ' αἴσχιον τὸ δεδοικέναι, καὶ δυσωπεῖσθαι ναύτας,
καὶ ὀρεωκόμους, καὶ πανδοχεῖς καταγελῶντας, οὐ τοῦ σφαιρίζοντος καὶ
σκιαμαχοῦντος, ἀλλὰ τοῦ λέγοντος ἂν ἅμα διδάσκῃ τι, καὶ ζητῇ, καὶ μανθάνῃ,
καὶ ἀναμιμνήσκηται γυμναζόμενος. ὁ μὲν γὰρ Σωκράτης ἔλεγεν, ὅτι τῷ κι-
νουμένῳ δι' ὀρχήσεως αὐτὸν ἑπτάκλινος οἶκος ἱκανός ἐστιν ἐγγυμνάζεσθαι τῷ δ'
ᾠδῆς, ἢ λόγου γυμνασίῳ ἀποχρῇ γυμναζομένῳ, καὶ ἑστῶτι, καὶ κατακειμένῳ
πᾶς τόπος παρέχει. μόνον ἐκεῖνο φυλακτέον, ὅπως μήτε πλησμονὴν, μήτε
λαγνείαν, μήτε κόπον ἑαυτοῖς συνειδότες ἐντεινώμεθα τῇ φωνῇ τραχύτερον.
ὃ πάσχουσι πολλοὶ τῶν ῥητόρων, καὶ τῶν σοφιστῶν, οἱ μὲν ὑπὸ δόξης, καὶ φιλο-
τιμίας, οἱ δὲ διὰ μισθοὺς, ἢ πολιτικὰς ἁμίλλας ἐξαγόμενοι παρὰ τὸ συμφέ-
ρον ἀγωνίζεσθαι. Νίγρος δὲ, ὁ ἡμέτερος ἐν Γαλατίᾳ σοφιστεύων, ἄκανθαν ἔτυ-
χεν ἰχθύος καταπεπωκὼς, ἑτέρου δὲ ἐπιφανέντος ἔξωθεν σοφιστοῦ, καὶ μελε-
τῶντος, ὑφειμένου δόξαν παραχεῖν ὀρρωδῶν, ἔτι τῆς ἀκάνθης ἐνισχομένης ἐμε-
λέτησε, μεγάλης δὲ φλεγμονῆς καὶ σκληρᾶς γενομένης, τὸν πόνον οὐ φέρων,
ἀνεδέξατο τομὴν ἔξωθεν βαθεῖαν· ἡ μὲν οὖν ἄκανθα διὰ τοῦ τραύματος ἐξῃρέθη,
τὸ δὲ τραῦμα χαλεπὸν γενόμενον καὶ ῥευματικὸν, ἀνεῖλεν αὐτόν. ἀλλὰ
ταῦτα μὲν ἄν τις ὕστερον εὐκαίρως ὑπομνήσειε· γυμνασαμένους δὲ λουτρῷ
χρῆσθαι, ψυχρῷ μὲν, ἐπιδεικτικὸν καὶ νεανικὸν μᾶλλον, ἢ ὑγιεινόν ἐστιν· ἣν
γὰρ δοκεῖ ποιεῖν δυσπάθειαν πρὸς τὰ ἔξω, καὶ σκληρότητα τοῦ σώματος, αὕτη
μεῖζον ἀπεργάζεται περὶ τὰ ἐντὸς κακὸν, ἐνιστᾶσα τοῖς πόροις, καὶ τὰ ὑ-
γρὰ συνάγουσα, καὶ πηγνύουσα τὰς ἀναθυμιάσεις ἀεὶ χαλᾶσθαι, καὶ διαφο-
ρεῖσθαι βουλομένας· ἔτι δὲ ἀνάγκη τοὺς ψυχρολουτοῦντας εἰς ἐκείνην αὖθις

πέρασμα. Α.

βλαψήσας. Α.

δὲ .Ι. Α.

ἐμβαίνειν, ἣν φεύγομεν ἀκριβῆ, καὶ τεταγμένην ἀποτόμως δίαιταν ἀεὶ προσέχοντας αὐτοῖς μὴ παραβαίνοντας, ὡς εὐθὺς ἐξελεγχομένου πικρῶς παντὸς ἁμαρτήματος. ἡ δὲ θερμολουσία δίδωσι πολλὴν συγγνώμην, οὐ γὰρ τοσοῦτον εὐτονίας ὑφαιρεῖ καὶ ῥώμης, ὅσον ὠφελεῖ πρὸς ὑγίειαν ἐνδόσιμα τῇ πέψει καὶ μαλακὰ παρέχουσα, τοῖς δὲ τὴν πέψιν διαφεύγουσιν ἄν γε δὴ μὴ παντάπασιν ὠμὰ, καὶ μετέωρα μένῃ, διαχύσεις ἀλύπους παρασκευάζουσα, τοὺς κόπους ἐκλεαίνουσα λανθάνοντας. οὐ μὴν ἀλλ᾽ ὅταν ἡ φύσις παρέχῃ μετρίως διακειμένου, καὶ ἱκανῶς τοῦ σώματος αἴσθησιν, ἐατέον τὸ βαλανεῖον, ἄλειμμα δὲ τὸ πρὸς πυρὶ βέλτιον, ἂν ἀλέας δέηται τὸ σῶμα, ταμιεύεται γὰρ αὐτῷ τῆς θερμότητος, ὁ δ᾽ ἥλιος οὔτε μᾶλλον, οὔθ᾽ ἧττον, ἀλλ᾽ ὡς κέκραται πρὸς τὸν ἀέρα κεχρῆσθαι δίδωσι. ταῦτα μὲν οὖν ἱκανὰ περὶ γυμνασίων. ἐφεξῆς δὲ τροφὴν παραγενομένοις, ἂν μὲν ἔκ τι τῶν πρόσθεν ὄφελος λόγων, οἷς τὰς ὀρέξεις κηλοῦμεν, καὶ καταπραΰνομεν, ἄλλο τί χρὴ παραινεῖν τῶν ἐφεξῆς, ἂν δὲ ὥσπερ ἐκ δεσμῶν λελυμένην χαλεπὸν ᾖ χειροῦσθαι, καὶ φιλονεικεῖν πρὸς γαστέρα ὦτα μὴ ἔχουσαν, ὡς ἔλεγε Κάτων, διαμηχανητέον τῇ ποιότητι τῆς τροφῆς ἐλαφρότερον ποιεῖν τὸ πλῆθος, καὶ τὰ μὲν στερεὰ, καὶ πολύτροφα τῶν σιτίων, οἷον τὰ κρεώδη, καὶ τυρώδη, καὶ σύκων τὰ ξηρὰ, καὶ ὠῶν τὰ ἑφθὰ προσφέρεσθαι πεφυλαγμένως ἁπτόμενον, ἔργον γὰρ ἀεὶ παραιτεῖσθαι· τοῖς δὲ λεπτοῖς ἐμφύεσθαι καὶ κούφοις, οἷα τὰ πολλὰ τῶν λαχάνων, καὶ τὰ πτηνὰ, καὶ τῶν ἰχθύων οἱ μὴ πίονες· ἔστι γὰρ τὰ τοιαῦτα προσφερόμενον, καὶ χαρίζεσθαι ταῖς ὀρέξεσι, καὶ τὸ σῶμα μὴ πιέζειν. μάλιστα δὲ τὰς ἀπὸ κρεῶν φοβητέον ἀπεψίας, καὶ γὰρ εὐθὺς σφόδρα καταβαρύνουσι, καὶ λείψανον εἰσαῦθις πονηρὸν ἀπ᾽ αὐτῶν παραμένει, καὶ κράτιστον μὲν ἐθίσαι τὸ σῶμα μηδεμιᾶς προσδεῖσθαι σαρκοφαγίας· πολλὰ γὰρ οὐ μόνον πρὸς διατροφὴν ἄφθονα, ἀλλὰ καὶ πρὸς εὐπάθειαν καὶ ἀπόλαυσιν ἀναδίδωσιν ἡ γῆ, τοῖς μὲν αὐτόθεν ἀπραγμόνως χρῆσθαι παρέχουσα, τὰ δὲ μιγνύμενα παντοδαπῶς παρασκευαζόμενα συνηδύνειν. ἐπεὶ δὲ τὸ ἔθος τρόπον τινὰ φύσις οὐ παρὰ φύσιν γέγονεν, οὐ δεῖ χρῆσθαι κρεωφαγίαις πρὸς ἀποπλήρωσιν ὀρέξεως, ὥσπερ λύκους ἢ λέοντας, ἀλλ᾽ οἷον ὑπέρεισμα καὶ διάζωσμα τῆς τροφῆς ἐμβαλλομένους, ἑτέροις σιτίοις χρῆσθαι, καὶ ὄψοις, ἃ καὶ τῷ σώματι μᾶλλόν ἐστι, καὶ κατὰ φύσιν, καὶ τῆς ψυχῆς ἧττον ἀμβλύνει τὸ λογικὸν, ὥσπερ ἐκ λιτῆς, καὶ ἐλαφρᾶς ὕλης ἀναπτόμενον. τῶν δὲ ὑγρῶν γάλακτι μὲν οὐχ ὡς ποτῷ χρηστέον, ἀλλ᾽ ὡς σιτίῳ δύναμιν ἐμβριθῆ, καὶ πολύτροφον ἔχοντι, πρὸς δὲ τὸν οἶνον, ἅπερ Εὐριπίδης πρὸς τὴν ἀφροδίτην διαλεκτέον, εἴης μοι μέτριος δέ πως εἴης, μηδ᾽ ἀπολείποις, καὶ γὰρ ποτῶν ὠφελιμώτατόν ἐστι, καὶ φαρμάκων ἥδιστον, καὶ ὄψων ἀσικχότατον, ἂν τύχῃ τῆς πρὸς τὸν καιρὸν εὐκρασίας μᾶλλον, ἢ τῆς πρὸς τὸ ὕδωρ, ὕδωρ δὲ οὐ μόνον τὸ μιγνύμενον πρὸς οἶνον, ἀλλὰ καὶ τὸ καθ᾽ ἑαυτὸ τοῦ κεκραμένου μεταξὺ πινόμενον, ἀβλαβέστερον ποιεῖ τὸ κεκραμένον. ἐθιστέον οὖν παρὰ τὴν καθημερινὴν δίαιταν, ὕδατος προσφέρεσθαι καὶ δύο καὶ τρία ποτήρια, τήν τε δύναμιν τοῦ οἴνου ποιοῦντα μαλακωτέραν, καὶ τοῦ σώματος συνήθη τὴν ὑδροποσίαν, ὅπως ὅταν ἐν χρείᾳ γένηται μὴ ξενοπαθῇ, μὴ δὲ ἀπαναίνηται. συμβαίνει γὰρ ἐνίους φέρεσθαι μάλιστα πρὸς τὸν οἶνον, ὅταν μάλιστα χρείαν ὑδροποσίας ἔχωσι, καὶ γὰρ ἡλιωθέντες, καὶ ῥιγώσαντες πάλιν, καὶ σφοδρότερον εἰπόντες, καὶ συντονώτερον φροντίσαντες, καὶ ὅλως μετὰ τοὺς κόπους καὶ τοὺς ἀγῶνας οἴονται ποτέον εἶναι τὸν οἶνον, ὡς καὶ τῆς φύσεως ἀπαιτούσης εὐπάθειάν τινα τῷ σώματι, καὶ μεταβολὴν ἐκ τῶν πόνων, ἡ δὲ φύσις εὐπάθειαν μὲν, εἴ τις εὐπάθειαν καλεῖ τὴν ἡδυπάθειαν, οὐκ ἀπαιτεῖ, μεταβολὴν δὲ ἀπαιτεῖ τὴν εἰς τὸ μέσον

μέσον ἡδονῆς, καὶ πόνου καθιστᾶσαν. διὸ καὶ τροφῆς ὑφαιρετέον ἐν τούτοις, καὶ τὸν οἶνον, ἢ παντελῶς ἀφαιρετέον, ἢ προσοιστέον πολλῷ κατακεραννύμενον διὰ μέσου καὶ κατακλυζόμενον ὑδροποσίᾳ· πλήκτης γὰρ ὢν καὶ ὀξὺς, ἐπιτείνει τὰς τοῦ σώματος ταραχὰς, καὶ τραχύτερα ποιεῖ, καὶ παροξύνει τὰ πεπληγμένα, παρηγορίας δεόμενα καὶ λειότητος, οἷας μάλιστα τὸ ὕδωρ ἐνδίδωσι. καὶ γὰρ ἂν οὐ διψῶντες, ἄλλως δὲ θερμὸν ὕδωρ πίωμεν μετὰ τοὺς κόπους, καὶ τὰς διατάσεις, καὶ τὰ καύματα, χαλάσματος καὶ μαλακότητος αἰσθανόμεθα τῶν ἐντὸς, ἤπιος γὰρ ἡ τοῦ ὕδατος ὑγρότης, καὶ ἄσφυκτος, ἡ δὲ τοῦ οἴνου φορὰν ἔχει πολλὴν, καὶ δύναμιν, οὐκ εὐμενῆ τοῖς προσφάτοις πάθεσιν, οὐ δὲ φιλάνθρωπον. καὶ γὰρ ἃς λέγουσιν ἔνιοι τῷ σώματι τὴν ἀσιτίαν δριμύτητας ἐμποιεῖν καὶ πικρότητας, εἴ τις δέδιεν, ἢ καθάπερ οἱ παῖδες δεινὸν ἡγεῖται πρὸ τοῦ πυρέττειν μὴ παρατίθεσθαι τράπεζαν ἐν ὑποψίᾳ γεγονὼς, εὐάρμοσον ἡ ὑδροποσία μεθόριον), καὶ γὰρ αὐτῷ τῷ Διονύσῳ, πολλάκις νηφάλια θύομεν, ἐθιζόμενοι καλῶς μὴ ζητεῖν ἀεὶ τὸν ἄκρατον. ὁ δὲ Μίνως καὶ τὸν αὐλὸν ἀφεῖλε τῆς θυσίας, καὶ τὸν στέφανον ὑπὸ λύπης, καί τοι λυπουμένην ψυχὴν ἴσμεν οὔτε ὑπὸ στεφάνων, οὔτε ὑπὸ αὐλῶν παθοῦσαν, σῶμα δὲ οὐδὲν οὕτως ἰσχυρόν ἐστιν, ᾧ τεταραγμένῳ καὶ φλεγμαίνοντι προσενεχθεὶς οἶνος, οὐκ ἠδίκησε. τοὺς μὲν οὖν Λυδοὺς ἐν τῷ λιμῷ λέγουσι διαγαγεῖν ἡμέραν παρ᾽ ἡμέραν τρεφομένους, εἶτα παίζοντας καὶ κυβεύοντας, φιλόλογον δὲ ἄρα, καὶ φιλόμουσον ἐν καιρῷ δεόμενον βραδυτέρου δείπνου, διάγραμμα παρακείμενον, ἤ τι βιβλίον, ἢ λύριον οὐ προΐενται τῇ γαστρὶ ἐκκεκλαυμένον, ἀλλ᾽ ἀποστρέφων συνεχῶς, καὶ μεταφέρων ἐπὶ ταῦτα τὴν διάνοιαν ἀπὸ τῆς τραπέζης, ὥσπερ ἀρπυίας τὰς ὀρέξεις διασοβήσει ταῖς μούσαις. ὅτι ὁ μὲν Σκύθης ὅταν πίνῃ πολλάκις ἐφάπτεται τοῦ τόξου, καὶ παραψάλλει τὴν νευρὰν ἐκλυόμενον ὑπὸ τῆς μέθης ἀνακαλούμενος τὸν θυμόν, Ἕλλην δὲ ἀνὴρ φοβήσεται τοὺς καταγελῶντας αὐτοῦ γράμμασι καὶ βιβλίοις ἀγνώμονα καὶ δυσπαραίτητον ἐπιθυμίαν ἀνιέντος ἀτρέμα καὶ χαλῶντος. τῶν μὲν γὰρ παρὰ τῷ Μενάνδρῳ νεανίσκων ὑπὸ τοῦ πορνοβοσκοῦ παρὰ πότον ἐπιβουλευομένων καλὰς καὶ πολυτελεῖς εἰσάγοντος ἑταίρας, ἕκαστος ὥς φησι κύψας εἰς αὐτὸν, τῶν τραγημάτων ἔτρωγε φυλαττόμενος καὶ φοβούμενος ἐμβλέπειν, οἱ δὲ φιλόλογοι καλὰς καὶ πολλὰς καὶ ἡδείας ἀπόψεις καὶ ἀποστροφὰς ἔχουσιν, ἂν ὥσπερ ἄλλως μὴ δύνωνται τὸ κυνικὸν καὶ θηριῶδες τῶν ὀρέξεων κατέχειν παρακειμένης τραπέζης. ἀλειπτῶν δὲ φωνὰς καὶ παιδοτριβῶν λόγους ἑκάστοτε λεγόντων, ὡς τὸ παρὰ δεῖπνον φιλολογεῖν τὴν τροφὴν διαφθείρει, καὶ βαρύνει τὴν κεφαλὴν, τότε φοβητέον ὅταν τὸν Ἰνδὸν ἀναλύειν ἢ διαλέγεσθαι περὶ τοῦ κυριεύοντος ἐν δείπνῳ μέλλωμεν. τὸν μὲν γὰρ ἐγκέφαλον τοῦ φοίνικος γλυκὺν ὄντα σφόδρα, κεφαλαλγὸν λέγουσιν εἶναι, διαλεκτικὴ δὲ τρωγάλιον ἐν δείπνῳ, γλυκὺ μὲν οὐδαμῶς, κεφαλαλγὲς δὲ, καὶ κοπῶδες ἰσχυρῶς ἐστιν. ἂν δὲ ἡμᾶς μὴ ἄλλο τί ζητεῖν, ἢ φιλοσοφεῖν, ἢ ἀναγινώσκειν, παρὰ δεῖπνον ἐῶσι τῶν ἐν τῷ καλῷ, καὶ ὠφελίμῳ τὸ ἐπαγωγὸν ὑφ᾽ ἡδονῆς, καὶ γλυκὺ μέτριον ἐχόντων, κελεύσομεν αὐτοὺς μὴ ἐνοχλεῖν, ἀλλ᾽ ἀπιόντας ἐν τῷ ξυστῷ, ταῦτα καὶ ταῖς παλαίστραις διαλέγεσθαι τοῖς ἀθλητοῖς, οὓς τῶν βιβλίων ἐξελόντες ἀεὶ διημερεύειν ἐν σκώμμασι, καὶ βωμολοχίαις ἐθίζοντες, ὡς ὁ κομψὸς Ἀρίστων ἔλεγε τοῖς ἐν γυμνασίῳ κίοσιν ὁμοίως λιπαροὺς πεποιήκασι καὶ λιθίνους. αὐτοὶ δὲ πειθόμενοι τοῖς ἰατροῖς παραινοῦσιν ἀεὶ τοῦ δείπνου, καὶ τοῦ ὕπνου λαμβάνειν μεθόριον, καὶ μὴ συμφορήσαντας εἰς τὸ σῶμα τὰ σιτία καὶ τὸ πνεῦμα καταθλίψαντας, μὴ εὐθὺς ὠμῇ καὶ ζεούσῃ τῇ τροφῇ βαρύνειν τὴν πέψιν, ἀλλ᾽ ἀναπνοὴν καὶ χάλασμα ἔχειν, ὥσπερ οἱ τὰ σώματα κινεῖν μετὰ

δεῖπνον ἀξιοῦντες, οὐ δρόμοις, οὐδὲ παγκρατίοις τῶν φίλων, ἀλλ' ἀβληχροῖς, καὶ περιπάτοις, καὶ χορείαις ἐμμελέσιν, οὕτως ἡμεῖς οἰησόμεθα, δεῖν τὰς ψυχὰς διαφέρειν μετὰ δεῖπνον μήτε πράγμασι μήτε φροντίσι μήτε σοφιστικοῖς ἀγῶσι πρὸς ἅμιλλαν ἐπιδεικτικήν, ἢ κινητικὴν περαινομένοις, ἀλλὰ πολλὰ μέν ἐστι τῶν φυσικῶν προβλημάτων ἐλαφρά, καὶ πιθανά, πολλαὶ δὲ διηγήσεις ἤθη καὶ σκέψεις ἔχουσαι, τῶν δὲ τὸ μενοεικὲς ὡς Ὅμηρος ἔφη, καὶ μὴ ἀντίτυπον, τῶν δὲ ἱστορικῶν καὶ ποιητικῶν ζητήσεων διαγωγὰς οὐκ ἀηδῶς ἔνιοι δευτέρας τραπέζας ἀνδράσι φιλολόγοις καὶ φιλομούσοις προσεῖπον. εἰσὶ δὲ καὶ διηγήσεις ἄλυποι, καὶ μυθολογίαι καὶ τὸ περὶ αὐλοῦ τι, καὶ λύρας ἀκοῦσαι, καὶ εἰπεῖν ἐλαφρότερον, ἢ λύρας αὐτῆς φθεγγομένης ἀκούειν, καὶ αὐλοῦ, μέτρον δὲ τοῦ καιροῦ τὸ τῆς τροφῆς καθισταμένης ἀτρέμα, καὶ συμπνεούσης τὴν πέψιν ἐγκρατῆ γενέσθαι καὶ ὑπερδέξιον. ἐπεὶ δὲ Ἀριστοτέλης οἴεται τῶν δεδειπνηκότων, τὸν μὲν περίπατον ἀναρριπίζειν τὸ θερμόν, τὸν δὲ ὕπνον αὖ εὐθὺς καθευδόντων, καταπνίγειν. ἕτεροι δὲ τὴν μὲν ἡσυχίαν οἴονται τὰς πέψεις βελτίονας ποιεῖν, τὴν δὲ κίνησιν ταράττειν τὰς ἀναδόσεις, καὶ τῶν τοὺς μὲν περιπατεῖν εὐθὺς ἀπὸ δείπνου, τοὺς δὲ ἀτρεμεῖν πέπεικεν, ἀμφοτέρως ἂν οἰκείως ἐφάπτεσθαι δόξειεν, ὁ τὸ μὲν σῶμα συνθάλπων καὶ συνέχων μετὰ τὸ δεῖπνον, τὴν δὲ διάνοιαν μὴ καταφερόμενος μηδὲ ἀργῶν εὐθύς, ἀλλ' ὥσπερ εἴρηται διαφορῶν, καὶ ἐλαφρῶς τὸ πνεῦμα καὶ λεπτύνων τῷ λαλεῖν τι, καὶ ἀκούειν τῶν προσηνῶν, καὶ μὴ δακνόντων, μηδὲ βαρυνόντων. ἐμέτοις δέ, καὶ κοιλίας καθάρσεσι τῶν φαρμάκων μιαρὰ παραμύθια πλησμονῆς, ἄνευ μεγάλης ἀνάγκης οὐ κινητέον, ὥσπερ οἱ πολλοὶ κενώσεως ἕνεκα πληροῦντες τὸ σῶμα, καὶ πάλιν πληρώσεως κενοῦντες παρὰ φύσιν, ταῖς πλησμοναῖς οὐχ ἧττον, ἢ ταῖς ἐνδείαις ἀνιώμενοι, μᾶλλον δὲ ὅλως τὴν μὲν πλήρωσιν ὡς κώλυσιν ἀπολαύσεως βαρυνόμενοι, τὴν δὲ ἔνδειαν ὡς χώραν ἀεὶ ταῖς ἡδοναῖς παρασκευάζοντες, τὸ γὰρ βλαβερὸν ἐν τούτοις προὖπτόν ἐστι, ταραχάς τε γὰρ ἀμφότερα τῷ σώματι παρέχεται, καὶ σπαραγμούς. ἴδιον δὲ τῷ μὲν ἐμέτῳ κακὸν πρόσεστι, τὸ τὴν ἀπληστίαν αὔξειν τε καὶ τρέφειν, γίνονται γὰρ αἱ πεῖναι καθάπερ τὰ κατασπώμενα ῥεῖθρα τραχεῖαι καὶ ταραχώδεις καὶ βίᾳ τὴν τροφὴν ἕλκουσιν ἀεὶ λυπούσας, οὐκ ὀρέξεσιν ἐοικυῖαι σιτίων δεομέναις, ἀλλὰ φλεγμοναῖς, φαρμάκων καὶ καταπλασμάτων. ὅθεν ἡδοναὶ μὲν ὀξεῖαι καὶ ἀτελεῖς, καὶ πολὺν ἔχουσαι σφυγμόν, καὶ οἶστρον ἐν ταῖς ἀπολαύσεσι λαμβάνουσιν αὐτούς, διατάσεις δὲ ἐπὶ τούτοις πόρων καὶ πνευμάτων, ἀναπλήσεις τε διαδέχονται, μὴ περιμένουσαι τὰς κατὰ φύσιν ὑπεξαγωγάς, ἀλλ' ἐπιπλάζουσαι τοῖς σώμασιν, ὥσπερ ὑπεράντλοις σκάφεσι φορτίων, ἐκβολῆς οὐ περιττωμάτων δεομένοις, αἱ δὲ περὶ τὴν κάτω κοιλίαν ἐκταράξεις διὰ φαρμακείας φθείρουσαι καὶ συντήκουσαι τὰ ὑποκείμενα, πλείονα ποιοῦσι περίττωσιν ἢ ὑπεξάγουσιν. ὥσπερ οὖν εἴ τις Ἑλλήνων ὄχλον ἐν πόλει βαρυνόμενος σύνοικον Ἀράβων ἐμπλήσειε, καὶ Σκυθῶν τὴν πόλιν ἐπικλύζων, οὕτως ἔνιοι τοῦ παντὸς διαμαρτάνουσιν ἐπὶ ἐκβολῇ περιττωμάτων συνήθων, καὶ συντρόφων, ἐμβάλλοντες ἔξωθεν εἰς τὸ σῶμα κόκκους τινὰς κνιδίους, καὶ σκαμμωνίαν καὶ δυνάμεις ἄλλας ἀσυγκεράστους, καὶ ἀγρίας, καὶ καθαρμοῦ δεομένας μᾶλλον, ἢ καθαίρειν τὴν φύσιν δυναμένας. ἄριστον μὲν οὖν τὸ μετρίᾳ διαίτῃ, καὶ σώφρονι τὸ σῶμα ποιεῖν περί τε κενώσεις, καὶ πληρώσεις, αὔταρκες ἀεὶ καὶ σύμμετρον, εἰ δ' ἀνάγκη ποτὲ μεταλαβεῖν, τῶν μὲν ἐμέτων ποιητέον ἄνευ φαρμακείας καὶ περιεργίας μηδὲν ἐκταράττοντας, ἀλλ' ὅσον ἀπεψίαν ἐκφυγεῖν αὐτόθεν ἀφιέντας ἀπραγμόνως τῷ πλεονάζοντι τὴν ἀπέρασιν. ὡς γὰρ τὰ ὀθόνια ῥύμμασι καὶ χαλαστραίοις πλυνόμενα, μᾶλλον ἐκπλύνεται τῶν ὑδατοκλύστων, οὕτως οἱ μετὰ φαρμάκων ἔμετοι λυμαίνονται τῷ σώ-

ματι

ματι καὶ διαφθείρουσιν, ὑφισταμένης δὲ κοιλίας, οὐδὲν φάρμακον οἷα τῶν σιτίων ἔνια μαλακὰς ἐνδιδόντα προθυμίας, καὶ διαλύοντα πράως, ὧν ἥ τε πεῖρα συνήθης, καὶ ἡ χρῆσις ἄλυπος, ἂν δὲ τούτοις ἀπειθῇ πλείονας ἡμέρας ὑδροποσίαν, ἢ ἀσιτίαν, ἢ κλυστῆρα προσδεκτέον μᾶλλον ἢ ταρακτικὰς, καὶ φθαρτικὰς φαρμακείας, ἐφ' ἃς οἱ πολλοὶ φέρονται προχείρως, καθάπερ ἀκόλαστοι γυναῖκες ἐκβολίοις χρώμεναι καὶ φθορίοις, ὑπὲρ τοῦ πάλιν πληροῦσθαι, καὶ ἡδὺ παθεῖν. ἀλλὰ τούτους μὲν ἐατέον, οἱ δὲ ἄγαν αὖ πάλιν ἀκριβεῖς, καὶ τεταγμένας τινὰς ἐκ περιόδου κριτικὰς ἐμβάλλοντες ἀσιτίας, οὐκ ὀρθῶς τὴν φύσιν μὴ δεομένην, διδάσκουσι δεῖσθαι συστολῆς, καὶ ποιεῖν ἀναγκαίαν τὴν οὐκ ἀναγκαίαν ὑφαίρεσιν ἐν καιρῷ ζητούμενον ἔθος ἀπαιτοῦντι. βέλτιον γὰρ ἐλευθέροις τοῖς τοιούτοις χρῆσθαι κολασμοῖς εἰς τὸ σῶμα, μηδεμιᾶς δὲ προαισθήσεως οὔσης, μηδὲ ὑποψίας, καὶ τὴν ἄλλην δίαιταν, ὥσπερ εἴρηται πρὸς τὸ συντυγχάνον ἀεὶ ταῖς μεταβολαῖς ὑπήκοον ἔχειν, μὴ καταδεδουλωμένην μηδὲ ἐν δεδεμένην ἑνὶ σχήματι βίου πρός τινας καιρούς, ἢ ἀριθμούς, ἢ περιόδους ἀγαθοῦ μεμελετηκότος. οὔτε γὰρ ἀσφαλές, οὐδὲ ῥᾴδιον, οὐδὲ πολιτικὸν οὐδ' ἀνθρωπικόν, ἀλλ' ὀστρέου τινὸς ζωῇ προσεοικός, ἢ στελέχους, τὸ ἀμετάστατον τῶν καθ' ἣν ἀναγκασμένον ἐν τροφαῖς καὶ ἀποχαῖς καὶ κινήσεσι καὶ ἡσυχίαις, εἰς ἐπίσκιόν τινα βίον καὶ σχολαστὴν καὶ μονότροπόν τινα καὶ ἄφιλον καὶ ἄδοξον ἀπωτάτω πολιτείας καθίσασιν ἑαυτούς, καὶ συνείλασιν, οὐ κατά γε τὴν ἐμὴν ἔφη γνώμην. οὐ γὰρ ἀργίας ὤνιον ἡ ὑγίεια καὶ ἀπραξίας, ἅ γε δὴ μάλιστα γνώμην κακῶν ταῖς νόσοις πρόσεστι, καὶ οὐδὲν διαφέρει τοῦ τὰ ὄμματα τῷ μὴ διαβλέπειν, καὶ τὴν φωνὴν τῷ μὴ φθέγγεσθαι φυλάττοντος ὁ τὴν ὑγείαν ἀχρηστίᾳ καὶ ἡσυχίᾳ σῴζειν οἰόμενος. οὐδὲν γὰρ ἑαυτῷ χρήσαιτο ἄν τι ὑγιαίνοντι κρεῖττον, πρὸς πολλὰς καὶ φιλανθρώπους πράξεις. ἥκιστα δὴ τὴν ἀργίαν ὑγιεινὸν ὑποληπτέον, εἰ τὸ τῆς ὑγείας τέλος ἀπόλλυσι, καὶ οὐδὲ ἀληθές ἐστι τὸ μᾶλλον ὑγιαίνειν, τοὺς ἡσυχίαν ἄγοντας. οὔτε γὰρ Ξενοκράτης μᾶλλον δι' ὑγίειαν Φωκίωνος, οὔτε Δημητρίου Θεόφραστος, Ἐπίκουρόν τε καὶ τοὺς περὶ Ἐπίκουρον οὐδὲν ὤνησε πρὸς τὴν ὑμνουμένην σαρκὸς εὐστάθειαν ἡ πάσης καὶ φιλοτιμίας ἐχούσης πράξεως ἀπόδρασις, ἀλλὰ καὶ ἑτέραις ἐπιμελείαις διασωστέον ἐστὶ τῷ σώματι τὴν κατὰ φύσιν ἕξιν, ὡς παντὸς βίου καὶ νόσον δεχομένου καὶ ὑγίειαν. οὐ μὴν ἀλλὰ καὶ τοῖς πολιτικοῖς ἔφη παραινετέον εἶναι τοὐναντίον, οὗ Πλάτων παρῄνει τοῖς νέοις. ἐκεῖνος μὲν γὰρ λέγειν ἐκ τῆς διατριβῆς ἀπαλλαττόμενος εἰώθει, ἄγε ὅπως εἰς καλόν τι καταθήσεσθε τὴν σχολὴν ὦ παῖδες, ἡμεῖς δὲ ἂν τοῖς πολιτευομένοις παραινέσαιμεν, εἰς τὰ καλὰ χρῆσθαι τοῖς πόνοις, καὶ ἀναγκαῖα, μὴ μικρῶν ἕνεκα, μηδὲ φαύλων τὸ σῶμα παρατείνοντας. ὡς γὰρ οἱ πολλοὶ κακοπαθοῦσιν ἐπὶ τοῖς τυχοῦσιν ἀποκναίοντες ἑαυτοὺς ἀγρυπνίαις καὶ πλάναις καὶ περιδρομαῖς εἰς οὐδὲν χρηστόν, οὐδὲ ἀστεῖον, ἀλλ' ἐπηρεάζοντες ἑτέροις, ἢ φθονοῦντες ἢ φιλονεικοῦντες, ἢ δόξας ἀκάρπους καὶ κενὰς διώκοντες. πρὸς τούτους γάρ οἶμαι μάλιστα τὸν Δημόκριτον εἰπεῖν, ὡς εἰ τὸ σῶμα δικάσαιτο τῇ ψυχῇ κακώσεως οὐκ ἂν αὐτὴν ἀποφυγεῖν. ἴσως μὲν γάρ τι καὶ Θεόφραστος ἀληθὲς εἶπεν, εἰπὼν ἐν μεταφορᾷ πολὺ τῷ σώματι τελεῖν ἐνοίκιον τὴν ψυχήν· πλείονα μέντοι τὸ σῶμα τῆς ψυχῆς ἀπολαύει κακὰ μὴ κατὰ λόγον αὐτῷ χρωμένης, μηδὲ ὡς προσήκει θεραπευόμενον, ὅταν γὰρ ἐν πάθεσιν ἰδίοις γένηται καὶ ἀγῶσι καὶ σπουδαῖς, ἀφειδεῖ τοῦ σώματος. ὁ μὲν οὖν Ἰάσων, οὐκ οἶδα ὅ, τι παθὼν τὰ μικρὰ δεῖν ἀδικεῖν ἔλεγεν, ἕνεκεν τοῦ τὰ μεγάλα δικαιοπραγεῖν, ἡμεῖς δ' ἂν εὐλόγως τῷ πολιτικῷ παραινέσαιμεν τὰ μικρὰ ῥᾳθυμεῖν καὶ σχολάζειν καὶ ἀναπαύειν αὐτὸν ἐν ἐκείνοις

ἐμβάλλεται πρὸς τὰς καλὰς πράξεις καὶ μεγάλας, μὴ διάφορον ἔχειν τὸ σῶμα, μὴ δὲ ἀμβλὺ, μὴ δὲ ἀπαγορεῦον, ἀλλ' ὥσπερ ἐν νεολκίᾳ τῇ χολῇ τεθεραπευμένον, ὅπως αὖθις τὰς χρείας τῆς ψυχῆς ἀγούσης, ἄθηλος ἵππῳ πῶλος, ὡς ἅμα θέῃ. διὸ τῶν πραγμάτων διδόντων ἀναληπτέον ἑαυτοὺς, μήτε ὕπνου φθονοῦντας τῷ σώματι, μήτε ἀρίστου, μήτε ῥᾳστώνης τῆς μέσον ἡδυπαθείας καὶ κοπαθείας, μήτε φυλαττούσης ὅρον, οἷον οἱ πολλοὶ φυλάττοντες ἐπιδιδοῦσι τὸ σῶμα ταῖς μεταβολαῖς, ὥσπερ τὸν βαπτόμενον σίδηρον, ὅταν ἐνταθῇ καὶ πιεσθῇ σφόδρα τοῖς πόνοις, αὖθις ἐν ἡδοναῖς τηκόμενον ἀμέτρως καὶ θλιβόμενον, εἶτα πάλιν ἐξ ἀφροδισίων καὶ οἴνου διάλυτον, καὶ μαλακὸν εἰς ἀγορὰν ἢ αὐλὴν ἤ τινα πραγματείαν διαπύρου καὶ συντόνου δεομένης σπουδῆς, ἐλαυνόμενον. ὁ Ἡράκλειτος μὲν γὰρ ὑδρωπιάσας, ἐκέλευεν αὐχμὸν ἐξ ἐπομβρείας ποιῆσαι τὸν ἰατρόν, οἱ δὲ πολλοὶ τοῦ παντὸς ἁμαρτάνουσι, ὅταν ἐν κόποις καὶ πόνοις καὶ ἐνδείαις γένωνται μάλιστα ταῖς ἡδοναῖς συγχραίνειν καὶ ἀνατήκειν τὰ σώματα παραδιδόντες, αὖθις δὲ μετὰ τὰς ἡδονὰς οἷον ἐπιστρέφοντες καὶ κατατείνοντες. ἡ γὰρ φύσις οὐ ζητεῖ τοιαύτην ἀνταπόδοσιν τοῦ σώματος, ἀλλὰ τῆς ψυχῆς τὸ ἀκόλαστον καὶ ἀνελεύθερον ἐκ τῶν ἐπιπόνων ὥσπερ οἱ ναῦται πρὸς ἡδονὰς καὶ ἀπολαύσεις ὕβρει φερόμενον, καὶ μετὰ τὰς ἡδονὰς πάλιν ἐπ' ἐργασίας καὶ γαμοὺς ὠθούμενον, οὐκ ἐᾷ λαβεῖν τὴν φύσιν, ἧς μάλιστα δεῖται καταστάσεως καὶ γαλήνης, ἀλλ' ἐξίστησι καὶ ταράττει διὰ τὴν ἀνωμαλίαν. οἱ δὲ νοῦν ἔχοντες, ἥκιστα μὲν ἡδονὰς πονοῦντι τῷ σώματι προσφέρουσιν, οὐ γὰρ δέονται τὸ παράπαν, ἀλλ' ἀμνημονοῦσι τῶν τοιούτων πρὸς τῷ καλῷ τῆς πράξεως τὴν διάνοιαν ἔχοντες, καὶ τὸ χαῖρον τῆς ψυχῆς ἢ σπουδάζον ταῖς ἄλλαις συναμαυροῦντες ἐπιθυμίαις. τὸ γάρ φασιν εἰπεῖν τὸν Ἐπαμινώνδαν μετὰ παιδιᾶς ἀνδρὸς ἀγαθοῦ περὶ τὰ Λευκτρικὰ νόσῳ τελευτήσαντος, ὦ Ἡράκλεις, πῶς ἐσχόλασεν ἀνὴρ ἀποθανεῖν ἐν τοσούτοις πράγμασι, τοῦτο ἀληθῶς ἐστιν εἰπεῖν ἐπ' ἀνδρὸς ἢ πολιτικὴν πρᾶξιν ἢ φιλόσοφον φροντίδα διὰ χειρὸς ἔχοντος, τίς δὲ σχολὴ τῷ ἀνδρὶ τούτῳ νῦν ἀπεπτεῖν, ἢ μεθύειν, ἢ λαγνεύειν, γενόμενοι δὲ πάλιν ἀπὸ τῶν πράξεων ἐν ἡσυχίᾳ καταπίθενται τὸ σῶμα καὶ διαναπαύουσι τῶν τε πόνων τῶν ἀχρήστων, καὶ μᾶλλον ἔτι τῶν ἡδονῶν τὰς οὐκ ἀναγκαίας, ὡς τῇ φύσει πολεμίας φυλαττόμενοι καὶ φεύγοντες. ἤκουσα τινῶν Τιβέριόν ποτε Καίσαρα εἰπεῖν, ὡς ἀνὴρ ὑπὲρ ἑξήκοντα γεγονὼς ἔτη, καὶ προτείνων ἰατρῷ χεῖρα καταγέλαστός ἐστιν, ἐμοὶ δὲ τοῦτο μὲν εἰρῆσθαι δοκεῖ σοβαρώτερον, ἐκεῖνο δὲ ἀληθὲς εἶναι, τὸ δεῖν ἕκαστον αὐτοῦ μήτε σφυγμοῦ ἰδιότητος εἶναι ἄπειρον, πολλαὶ γὰρ αἱ καθ' ἕκαστον διαφοραί, μήτε κρᾶσιν ἀγνοεῖν, ἣν ἔχει τὸ σῶμα θερμότητος, καὶ ξηρότητος, μήτε οἷς ὠφελεῖσθαι χρώμενον ἢ βλάπτεσθαι πέφυκεν. αὑτοῦ γὰρ ἀναίσθητός ἐστιν, καὶ τυφλὸς ἐνοικεῖ τῷ σώματι καὶ κωφὸς, ὁ ταῦτα μανθάνων παρ' ἑτέρου, καὶ πυνθανόμενος τοῦ ἰατροῦ, πότερον μᾶλλον θέρους ἢ χειμῶνος ὑγιαίνει, καὶ πότερον τὰ ὑγρὰ ῥᾷον, ἢ τὰ ξηρὰ προσδέχεται, καὶ πότερον φύσει πυκνὸν ἔχει τὸν σφυγμὸν, ἢ μανόν. καὶ γὰρ ὠφέλιμον εἰδέναι τὰ τοιαῦτα, καὶ ῥᾴδιον ἀεί γε δεῖ πειρωμένους, καὶ συνόντας. βρωμάτων δὲ καὶ πομάτων τὰ χρήσιμα μᾶλλον ἢ τὰ ἡδέα γιγνώσκειν προσήκει, καὶ μᾶλλον ἔμπειρον εἶναι τῶν εὐστομάχων, ἢ τῶν οὐκ εὐστομάχων, καὶ τῶν τὴν πέψιν μὴ ταραττόντων, ἢ τῶν τὴν γεῦσιν σφόδρα γαργαλιζόντων. τὸ γὰρ παρ' ἰατροῦ πυνθάνεσθαι τί δύσπεπτον, ἢ εὔπεπτον αὐτῷ, καὶ τί δυσκοίλιον ἢ εὐκοίλιον, οὐχ ἧττον αἰσχρόν ἐστιν ἢ τὸ πυνθάνεσθαι τί γλυκὺ καὶ πικρὸν καὶ αὐστηρόν. νῦν δὲ τοὺς μὲν ὀψοποιοὺς ἐπανορθοῦσιν ἐμπείρως διαισθανόμενοι τοῦ πλέον τὸ γλυκὺ τοῦ προσήκοντος, ἢ τὸ ἁλμυρὸν ἢ τὸ αὐστηρὸν ἔνεστιν, αὐτοὶ δὲ ἀγνοοῦσι τί τῷ σώ-

ματι

ματι μιχθὲν ἐλαφρὸν καὶ ἄλυπον ἔσται, καὶ χρήσιμον. ὅθεν ζωμοῦ μὲν ἄρτυσις οὐ πολλάκις ἁμαρτάνεται παρ' αὐτοῖς, αὐτοὺς δὲ ὁμοῦ φαύλως καὶ κακῶς ἀρτύοντες ὁσημέραι πολλὰ παρέχουσι πράγματα τοῖς ἰατροῖς. ζωμῷ μὲν γὰρ οὐκ ἄριστον ἡγοῦνται τὸν γλυκύτατον, ἀλλὰ καὶ πολλὰ καὶ δριμέα συμμιγνύουσιν, εἰς δὲ τὸ σῶμα πολλὰς καὶ κατακόρους ἐμβάλλουσιν ἡδονὰς, τὰ μὲν ἀγνοοῦντες, τὰ δὲ οὐ μνημονεύοντες, ὅτι τοῖς ὑγιεινοῖς καὶ ὠφελίμοις ἡ φύσις ἡδονὴν ἄλυπον καὶ ἀμετάβλητον προστίθησιν, ἀλλὰ καὶ ταῦτα δεῖ μνημονεύειν, τὰ σύμφυλα καὶ πρόσφορα τῷ σώματι, καὶ τοὐναντίον ἐν ταῖς καθ' ὥραν μεταβολαῖς, καὶ ταῖς ἄλλαις περιστάσεσιν, εἰδότας οἰκείως προσαρμόττειν ἑκάστῳ τὴν δίαιταν. ὅσα μὲν γὰρ μικρολογίας καὶ ἀνελευθερίας προσκρούματα λαμβάνουσιν οἱ πολλοὶ περί τε συγκομιδὰς καρπῶν, καὶ τηρήσεις ἐπιπόνους, ἀγρυπνίαις καὶ περιδρομαῖς ἐξελέγχοντες τὰ σαθρὰ καὶ ὕπουλα τοῦ σώματος, οὐκ ἄξιόν ἐστι δεδιέναι μὴ πάθωσιν ἄνδρες φιλολόγοι καὶ πολιτικοὶ, πρὸς οὓς ἐνέστηκεν ἡμῖν ὁ λόγος, ἀλλ' ἑτέραν τινὰ φυλακτέον ἐστὶ τούτοις δριμυτέραν ἐν γράμμασι καὶ μαθήσεσι μικρολογίαν, ὑφ' ἧς ἀφειδεῖν καὶ ἀμελεῖν τοῦ σώματος ἀναγκάζονται, πολλάκις ἀπαγορεύοντος οὐκ ἐνδιδόντες, ἀλλὰ προσβιαζόμενοι θνητὸν ἀθανάτῳ, καὶ γηγενὲς ὀλυμπίῳ συνεξαμιλλᾶσθαι καὶ συνεξανύτειν. εἶτα ὁ βοῦς πρὸς τὴν ὁμόδουλον ἔλεγε κάμηλον, ἐπικουφίσαι τοῦ φορτίου μὴ βουλομένην, ἀλλὰ κἀμὲ καὶ ταῦτα πάντα μετὰ μικρὸν οἴσεις, ὃ καὶ συνέβη, τελευτήσαντος αὐτοῦ, οὕτω συμβαίνει τῇ ψυχῇ καὶ μικρὰ χαλάσαι, καὶ παρεῖναι μὴ βουλομένῃ πονοῦντι καὶ δεομένῳ, μετ' ὀλίγον πυρετοῦ τινος, ἢ σκοτώματος ἐμπεσόντος ἀφεῖσα τὰ βιβλία καὶ τοὺς λόγους, καὶ τὰς διατριβὰς, ἀναγκάζεται συννοσεῖν ἐκείνῳ, καὶ συγκάμνειν. ὀρθῶς οὖν ὁ Πλάτων παρῄνεσε μήτε σῶμα κινεῖν ἄνευ ψυχῆς, μήτε ψυχὴν ἄνευ σώματος, ἀλλ' οἷόν τινα συνωρίδος ἰσορροπίαν διαφυλάττειν, ὅτε μάλιστα τῇ ψυχῇ συνεργεῖ τὸ σῶμα καὶ συγκάμνει πλείστην ἐπιμέλειαν αὐτῷ καὶ θεραπείαν ἀποδιδόντας, καὶ τὴν καλὴν καὶ ἐράσμιον ὑγίειαν ἀποδιδόντας, ὧν δίδωσιν ἀγαθῶν, κάλλιστον ἡγουμένους διδόναι, τὸ πρὸς γνῶσιν ἀρετῆς, καὶ χρῆσιν ἔν τε λόγοις, καὶ πράξεσιν ἀκώλυτον αὐτῶν.

ΓΑΜΙΚΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ.

ΠΛΟΥΤΑΡΧΟΣ ΠΟΛΛΙΑΝΩ, ΚΑΙ ΕΥΡΥΔΙΚΗ ΕΥ ΠΡΑΤΤΕΙΝ.

Μετὰ τὸν πάτριον θεσμὸν, ὃν ὑμῖν ἡ τῆς Δήμητρος ἱέρεια συνειργνυμένοις ἐφήρμοσεν, οἶμαι καὶ τὸν λόγον ὁμοῦ συνεφαπτόμενον ὑμῶν καὶ συνυμεναιοῦντα, χρήσιμον ἄν τι ποιῆσαι, καὶ τῷ νόμῳ προσῳδόν. ἐν μὲν γὰρ τοῖς μουσικοῖς ἕνα τῶν αὐλητικῶν νόμων ἱππόθορον ἐκάλουν, μέλος τι τοῖς ἵπποις ὁρμῆς ἐπεγερτικὸν, ὡς ἔοικεν, ἐνδιδόντα περὶ τὰς ὀχείας, φιλοσοφία δὲ, πολλῶν λόγων καὶ καλῶν ἐνόντων, οὐδενὸς ἧττον ἄξιος σπουδῆς ὁ γαμήλιός ἐστιν οὗτος, ᾧ καταθέλγουσα τοὺς ἐπὶ βίου κοινωνίᾳ συνιόντας εἰς ταὐτὸ, πράους τε παρέχει, καὶ χειροήθεις ἀλλήλοις. ὧν οὖν ἀκηκόατε πολλάκις ἐν φιλοσοφίᾳ παρατρεφόμενοι, κεφάλαια συντάξας ἐν εἰκόσιν ὁμοιότησι βραχείαις ὡς εὐμνημόνευτα μᾶλλον εἴη, κοινὸν ἀμφοτέροις πέμπω δῶρον, εὐχόμενος τῇ Ἀφροδίτῃ τὰς Μούσας παρεῖναι, καὶ συνεργεῖν, ὡς μήτε λύραν τινὰ, μήτε κιθάραν μᾶλλον αὐταῖς ἢ τὴν

τὸν γάμον, καὶ οἶκον ἐμμελῆ καὶ ἡρμοσμένην παρέχειν, διὰ λόγου, καὶ ἁρμονίας, καὶ φιλοσοφίας προσῆκον. καὶ γὰρ οἱ παλαιοὶ τῇ ἀφροδίτῃ τὸν ἑρμῆν συγκαθίδρυσαν, ὡς τῆς περὶ τὸν γάμον ἡδονῆς μάλιστα λόγου δεομένης, τήν τε πειθὼ, καὶ τὰς χάριτας, ἵνα πείθοντες διαπράττωνται παρ' ἀλλήλων, ἃ βούλονται, μὴ μαχόμενοι, μηδὲ φιλονεικοῦντες. ὁ σόλων ἐκέλευε τὴν νύμφην τῷ νυμφίῳ συγκατακλίνεσθαι μῆλον κυδώνιον κατατραγοῦσαν, αἰνιττόμενος ὡς ἔοικεν, ὅτι δεῖ τὴν ἀπὸ στόματος καὶ φωνῆς χάριν, εὐάρμοστον εἶναι πρώτην καὶ ἡδεῖαν. ἐν βοιωτίᾳ τὴν νύμφην κατακαλύψαντες, ἀσφαραγωνιᾷ στεφανοῦσιν. ἐκείνη τε γὰρ ἥδιστον ἐκ τραχυτάτης ἀκάνθης καρπὸν ἀναδίδωσιν, ἥ τε νύμφη τῷ μὴ φυγόντι, μήτε δυσχεράναντι τὴν πρώτην χαλεπότητα, καὶ ἀηδίαν αὐτῆς, ἥμερον καὶ γλυκεῖαν παρέξει συμβίωσιν. οἱ δὲ τὰς πρώτας τῶν παρθένων διαφορὰς μὴ ὑπομείναντες, οὐδὲν ἀπολείπουσι τῶν διὰ τὸν ὄμφακα τὴν σταφυλὴν ἑτέροις προϊεμένων. πολλαὶ δὲ καὶ τῶν νεογάμων δυσχεράνασαι διὰ τὰ πρῶτα τοὺς νυμφίους, ὅμοιον ἔπαθον πάθος τοῖς τὴν μὲν πληγὴν τῆς μελίττης ὑπομείνασι, τὸ δὲ κηρίον προεμένοις. ἐν ἀρχῇ μάλιστα δεῖ τὰς διαφορὰς, καὶ τὰς προσκρούσεις φυλάττεσθαι τοὺς γεγαμηκότας, ὁρῶντας, ὅτι καὶ τὰ συναρμοσθέντα τῶν σκευῶν κατ' ἀρχὰς μὲν ὑπὸ τῆς τυχούσης ῥᾳδίως διασπᾶται προφάσεως, χρόνῳ δὲ τῶν ἁρμῶν σύμπηξιν λαβόντων, μόλις ὑπὸ πυρὸς καὶ σιδήρου διαλύεται. ὥσπερ τὸ πῦρ ἐξάπτεται μὲν εὐχερῶς ἐν ἀχύροις, καὶ θριξὶ λαγώαις, σβέννυται δὲ τάχιον, ἂν μή τινος ἑτέρου δυναμένου στέγειν ἅμα, καὶ τρέφειν ἐπιλάβηται, οὕτω τὸν ἀπὸ σώματος, καὶ ὥρας ὀξὺν ἔρωτα τῶν νεογάμων ἀναφλεγόμενον, δεῖ μὴ διαρκῆ μηδὲ βέβαιον νομίζειν, ἂν μὴ περὶ τὸ ἦθος ἱδρυθεὶς, καὶ τοῦ φρονοῦντος ἁψάμενος ἔμψυχον λάβῃ διάθεσιν. ἡ διὰ τῶν φαρμάκων θήρα, ταχὺ μὲν αἱρεῖ, καὶ λαμβάνει ῥᾳδίως τὸν ἰχθὺν, ἄβρωτον δὲ ποιεῖ καὶ φαῦλον, οὕτως αἱ φίλτρα τινὰ καὶ γοητείας ἐπιτεχνώμεναι τοῖς ἀνδράσι, καὶ χειρούμεναι δι' ἡδονῆς αὐτοὺς, ἐμπλήκτοις καὶ ἀνοήτοις καὶ διεφθαρμένοις συμβιοῦσιν. οὐδὲ γὰρ τὴν κίρκην ὤνησαν οἱ καταφαρμακευθέντες, οὐδὲ ἐχρήσατο πρὸς οὐδὲν αὐτοῖς ὑσὶ καὶ ὄνοις γενομένοις, τὸν δὲ ὀδυσσέα νοῦν ἔχοντα, καὶ συνόντα φρονίμως ὑπερηγάπησεν. αἱ βουλόμεναι μᾶλλον ἀνοήτων κρατεῖν ἀνδρῶν, ἢ φρονίμων ἀκούειν, ἐοίκασι τοῖς ἐν ὁδῷ βουλομένοις μᾶλλον ὁδηγεῖν τυφλοὺς, ἢ τοῖς γινώσκουσιν ἀκολουθεῖν καὶ βλέπουσι. τὴν πασιφάην ἀπιστοῦσιν ἐρασθῆναι βοὸς βασιλεῖ συνοῦσαν, ἐνίας ὁρῶσαι, τοὺς μὲν αὐστηροὺς καὶ σώφρονας βαρυνομένας, τοῖς δ' ἐξ ἀκρασίας καὶ φιληδονίας κεκραμένοις, ὥσπερ κυσὶν ἢ τράγοις ἥδιον συνούσας. οἱ τοῖς ἵπποις ἐφάλλεσθαι μὴ δυνάμενοι δι' ἀσθένειαν ἢ μαλακίαν, αὐτοὺς ἐκείνους ὀκλάζειν καὶ ὑποπίπτειν διδάσκουσιν, οὕτως ἔνιοι τῶν λαβόντων εὐγενεῖς, ἢ πλουσίας γυναῖκας, οὐχ ἑαυτοὺς ποιοῦσι βελτίους, ἀλλ' ἐκείνας περικολούουσιν, ὡς μᾶλλον ἄρξοντες ταπεινῶν γενομένων. δεῖ δὲ ὥσπερ ἵππου τὸ μέγεθος φυλάττοντα, καὶ τὸ ἀξίωμα τῆς γυναικὸς χρῆσθαι τῷ χαλινῷ. τὴν σελήνην, ὅταν ἀποστῇ τοῦ ἡλίου, περιφανῆ καὶ λαμπρὰν ὁρῶμεν, ἀφανίζεται δὲ καὶ κρύπτεται πλησίον γενομένη. τὴν δὲ σώφρονα γυναῖκα δεῖ τοὐναντίον, ὁρᾶσθαι μάλιστα μετὰ τοῦ ἀνδρὸς οὖσαν, οἰκουρεῖν δὲ, καὶ κρύπτεσθαι μὴ παρόντος. οὐκ ὀρθῶς ἡρόδοτος εἶπεν, ὅτι ἡ γυνὴ ἅμα τῷ χιτῶνι ἐκδύεται καὶ τὴν αἰδῶ. τοὐναντίον γὰρ ἡ σώφρων ἀντενδύεται τὴν αἰδῶ, καὶ τῷ μάλιστα φιλεῖν, τὸ μάλιστα αἰδεῖσθαι, συμβόλῳ χρῶνται πρὸς ἀλλήλους. ὥσπερ ἂν φθόγγοι δύο σύμφωνοι ληφθῶσι, τοῦ βαρυτέρου γίνεται τὸ μέλος, οὕτω πᾶσα πρᾶξις ἐν οἰκίᾳ σωφρονούσῃ πράττεται μὲν ὑπ' ἀμφοτέρων ὁμονο-

οούντων

οούντων, ἐπιφαίνει δὲ τὴν τοῦ ἀνδρὸς ἡγεμονίαν, καὶ προαίρεσιν. ὁ ἥλιος τὸν βορέαν ἐνίκησεν. ὁ γὰρ ἄνθρωπος τοῦ μὲν ἀνέμου βιαζομένου τὸ ἱμάτιον ἀφελέσθαι, καὶ λαμπρὸν καταπνέοντος, μᾶλλον ἔσφιγγε, καὶ συνεῖχε τὴν περιβολήν, τοῦ δὲ ἡλίου μετὰ τὸ πνεῦμα θερμοῦ γενομένου θαλπόμενος, εἶτα καυματιζόμενος καὶ τὸν χιτῶνα τῷ ἱματίῳ προσαπεδύσατο, τοῦτο ποιοῦσιν αἱ πλεῖσται γυναῖκες ἀφαιρουμένοις τοῖς ἀνδράσι βίᾳ τὴν τρυφὴν, καὶ τὴν πολυτέλειαν, διαμάχονται, καὶ χαλεπαίνουσιν, ἂν δὲ πείθωνται μετὰ λόγου πράως ἀποτίθενται, καὶ μετριάζουσιν. ὁ κάτων ἐξέβαλε τῆς βουλῆς τὸν φιλήσαντα τὴν ἑαυτοῦ γυναῖκα τῆς θυγατρὸς παρούσης. τοῦτο μὲν οὖν ἴσως σφοδρότερον, εἰ δὲ αἰσχρόν ἐστιν, ὥσπερ ἐστιν, ἑτέρων παρόντων ἀσπάζεσθαι, καὶ φιλεῖν, καὶ περιβάλλειν ἀλλήλους, πῶς οὐκ αἴσχιον ἑτέρων παρόντων λοιδορεῖσθαι, καὶ διαφέρεσθαι πρὸς ἀλλήλους; τὰς μὲν ἐντεύξεις καὶ φιλοφροσύνας ἀποῤῥήτους πρὸς τὴν γυναῖκα ποιεῖσθαι, νουθεσίᾳ δὲ, καὶ μέμψει παῤῥησίᾳ χρῆσθαι φανερᾷ καὶ ἀναπεπταμένῃ. ὥσπερ ἐσόπτρου κατεσκευασμένου χρυσῷ καὶ λίθοις ὄφελος οὐδέν ἐστι, εἰ μὴ δείκνυσι τὴν μορφὴν ὁμοίαν, οὕτως οὐδὲ πλουσίας γαμετῆς ὄνησις, εἰ μὴ παρέχει τὸν βίον ὅμοιον τῷ ἀνδρὶ καὶ σύμφωνον τὸ ἦθος. εἰ χαίροντος μὲν εἰκόνα σκυθρωπὴν ἀποδίδωσι τὸ ἔσοπτρον, ἀχθομένου δὲ καὶ σκυθρωπάζοντος, ἱλαρὰν, καὶ σεσηρυῖαν, ἡμαρτημένον ἐστὶ, καὶ φαῦλον. οὐκοῦν καὶ γυνὴ φαῦλος καὶ ἄκαιρος, ἡ παίζειν μὲν ὡρμημένου, καὶ φιλοφρονεῖσθαι τοῦ ἀνδρὸς, ἐσκυθρωπακυῖα, σπουδάζοντος δὲ, παίζουσα καὶ γελῶσα. τὸ μὲν γὰρ ἀηδίας, τὸ δὲ, ὀλιγωρίας. δεῖ δὲ, ὥσπερ οἱ γεωμέτραι λέγουσι, τὰς γραμμὰς καὶ τὰς ἐπιφανείας οὐ κινεῖσθαι καθ' ἑαυτὰς, ἀλλὰ συγκινεῖσθαι τοῖς σώμασιν, οὕτω τὴν γυναῖκα μηδὲν ἴδιον πάθος ἔχειν, ἀλλὰ κοινωνεῖν τῷ ἀνδρὶ, καὶ σπουδῆς, καὶ παιδιᾶς, καὶ συννοίας, καὶ γέλωτος. οἱ τὰς γυναῖκας μὴ ἡδέως βλέποντες ἐσθιούσας, καὶ πεινούσας μετ' αὐτῶν, διδάσκουσιν ἐμπίπλασθαι μόνας γενομένας, οὕτως οἱ μὴ συνόντες ἱλαρῶς ταῖς γυναιξὶ, μηδὲ παιδιᾶς κοινωνοῦντες αὐταῖς, καὶ γέλωτος, ἰδίας ἡδονὰς χωρὶς αὐτῶν ζητεῖν διδάσκουσιν. τοῖς τῶν περσῶν βασιλεῦσιν αἱ γνήσιαι γυναῖκες παρακάθηνται δειπνοῦσι, καὶ συνεστιῶνται, βουλόμενοι δὲ παίζειν, καὶ μεθύσκεσθαι, ταύτας μὲν ἀποπέμπουσι, τὰς δὲ μουσουργοὺς, καὶ παλλακίδας καλοῦσιν, ὀρθῶς τοῦτό γε αὐτὸ ποιοῦντες, ὅτι τοῦ συνακολασταίνειν, καὶ παροινεῖν, οὐ μεταδιδόασι ταῖς γαμεταῖς. ἂν οὖν ἰδιώτης ἀνὴρ, ἀκρατὴς δὲ περὶ τὰς ἡδονὰς, καὶ ἀνάγωγος, ἐξαμάρτῃ τι πρὸς ἑταίραν, ἢ θεραπαινίδα, δεῖ τὴν γαμετὴν μὴ ἀγανακτεῖν, μὴ δὲ χαλεπαίνειν, λογιζομένην, ὅτι παροινίας, καὶ ἀκολασίας, καὶ ὕβρεως αἰδούμενος αὐτὴν, ἑτέρᾳ μεταδίδωσιν. οἱ φιλόμουσοι τῶν βασιλέων πολλοὺς μουσικοὺς ποιοῦσιν, οἱ φιλόλογοι λογίους, οἱ φιλαθληταὶ, γυμναστικοὺς, οὕτως ἀνὴρ φιλοσώματος καλλωπίστριαν γυναῖκα ποιεῖ, φιλήδονος, ἑταιρικὴν, καὶ ἀκόλαστον, φιλάγαθος καὶ φιλόκαλος σώφρονα, καὶ κοσμίαν. λάκαινα παιδίσκη πυνθανομένου τινὸς, εἰ ἤδη ἀνδρὶ προσελήλυθεν, οὐκ ἔγωγε εἶπεν, ἀλλ' ἐμοὶ ἐκεῖνος. οὗτος ὁ τρόπος οἶμαι τῆς οἰκοδεσποίνης, μήτε φεύγειν, μήτε δυσχεραίνειν τὰ τοιαῦτα τοῦ ἀνδρὸς ἀρχομένου, μήτε αὐτὴν κατάρχεσθαι. τὸ μὲν γὰρ ἑταιρικὸν, καὶ ἰταμὸν, τὸ δὲ, ὑπερήφανον καὶ ἀφιλόστοργον. ἰδίους οὐ δεῖ κτᾶσθαι φίλους τὴν γυναῖκα, κοινοῖς δὲ χρῆσθαι τοῖς τοῦ ἀνδρός. οἱ δὲ θεοὶ φίλοι πρῶτοι, καὶ μέγιστοι, διὸ καὶ θεοὺς οὓς ὁ ἀνὴρ νομίζει σέβεσθαι, τῇ γαμετῇ καὶ γινώσκειν μόνους προσήκει, περιέργοις δὲ θρησκείαις, καὶ ξέναις δεισιδαιμονίαις ἀποκεκλεῖσθαι τὴν αὔλειον, οὐδενὶ γὰρ

θεῶν ἱερὰ κλεπτόμενα, καὶ λανθάνοντα δρᾶται κεχαρισμένως ὑπὸ γυ-
ναικός. ὁ πλάτων φησὶν εὐδαίμονα, καὶ μακαρίαν εἶναι πόλιν, ἐν ᾗ
τὸ ἐμὸν καὶ οὐκ ἐμὸν ἥκιστα, φθεγγομένων ἀκούεται, διὰ τὸ κοινοῖς, ὡς ἔνι
μάλιστα, χρῆσθαι τοῖς ἀξίοις σπουδῆς τοὺς πολίτας, πολὺ δὲ μᾶλλον ἐκ
γάμου δεῖ τὴν τοιαύτην φωνὴν ἀνῃρῆσθαι, πλὴν ὥσπερ οἱ ἰατροὶ λέγουσι τὰς
τῶν εὐωνύμων πληγὰς τὴν αἴσθησιν ἐν τοῖς δεξιοῖς ἀναφέρειν, οὕτω τὴν γυναῖ-
κα τοῖς τοῦ ἀνδρὸς συμπαθεῖν, μᾶλλον δὲ καὶ τὸν ἄνδρα τοῖς τῆς γυναικός. ἵνα
ὥσπερ οἱ δεσμοὶ κατὰ τὴν ἐπάλλαξιν ἰσχὺν δι' ἀλλήλων λαμβάνουσιν, οὕτως
ἑκατέρου τὴν εὔνοιαν ἀντίστροφον ἀποδιδόντος, ἡ κοινωνία σώζηται δι' ἀμφοῖν.
καὶ γὰρ ἡ φύσις μίγνυσι διὰ τῶν σωμάτων ἡμᾶς, ἵν' ἐξ ἑκατέρων μέρος λαβοῦσα, καὶ
συγχέασα, κοινὸν ἀμφοτέροις ἀποδῷ τὸ γενόμενον. ὥστε μηδέτερον διορίσαι,
μὴ δὲ διακρῖναι τὸ ἴδιον, ἢ τὸ ἀλλότριον. αὕτη τοίνυν καὶ χρημάτων κοινωνία
προσήκει μάλιστα τοῖς γαμοῦσιν εἰς μίαν οὐσίαν πάντα καταχεαμένοις καὶ ἀνα-
μίξασι μὴ τὸ μέρος ἴδιον, καὶ τὸ μέρος ἀλλότριον, ἀλλὰ πᾶν ἴδιον ἡγεῖσθαι, καὶ
μηδὲν ἀλλότριον. ὥσπερ τὸ κρᾶμα καί τοι ὕδατος μετέχον πλείονος, οἶνον κα-
λοῦμεν, οὕτω τὴν οὐσίαν δεῖ, καὶ τὸν οἶκον τοῦ ἀνδρὸς λέγεσθαι, κἂν ἡ γυνὴ πλείο-
να συμβάλληται. φιλόπλουτος ἡ ἑλένη, φιλήδονος ὁ πάρις, φρόνιμος ὁ ὀδυσ-
σεὺς, σώφρων ἡ πηνελόπη, διὰ τοῦτο μακάριος γάμος ὁ τούτων, καὶ ζηλωτός.
ὁ δὲ ἐκείνων ἰλιάδα κακῶν ἕλλησι καὶ βαρβάροις ἐποίησεν. ὁ ῥωμαῖος ὑπὸ
τῶν φίλων νουθετούμενος, ὅτι σώφρονα γυναῖκα, καὶ πλουσίαν, καὶ ὡραίαν ἀ-
πέπεμψε, τὸν κάλτιον αὐτοῖς προτείνας, καὶ γὰρ οὗτος ἔφη καλὸς ἰδεῖν,
καὶ καινὸς, ἀλλ' οὐδεὶς οἶδεν ὅπου με θλίβει. δεῖ τοίνυν μὴ προικὶ, μὴ δὲ γένει,
μηδὲ κάλλει τὴν γυναῖκα πιστεύειν, ἀλλ' ἐν οἷς ἅπτεται μάλιστα τοῦ ἀνδρὸς ὁμι-
λίᾳ τε, καὶ ἤθει, καὶ συμπεριφορᾷ, ταῦτα μὴ σκληρὰ, μηδ' ἀνιῶντα καθ' ἡμέραν,
ἀλλ' εὐάρμοστα, καὶ ἄλυπα, καὶ προσφιλῆ παρέχειν. ὥσπερ γὰρ οἱ ἰατροὶ
τοὺς ἐξ αἰτιῶν ἀδήλων, καὶ κατὰ μικρὸν συλλεγομένων γεννωμένους πυρετοὺς
μᾶλλον δεδοίκασιν, ἢ τοὺς ἐμφανεῖς, καὶ μεγάλας προφάσεις ἔχοντας, οὕτω
τὰ λανθάνοντα τοὺς πολλοὺς μικρὰ, καὶ συνεχῆ, καὶ καθημερινὰ προσκρούμα-
τα γυναικὸς, καὶ ἀνδρὸς, μᾶλλον διΐστησι καὶ λυμαίνεται τὴν συμβίωσιν. ὁ
βασιλεὺς φίλιππος ἤρα θεσσαλῆς γυναικὸς αἰτίαν ἐχούσης καταφαρμακεύειν
αὐτὸν, ἐσπούδασεν οὖν ἡ ὀλυμπιὰς λαβεῖν τὴν ἄνθρωπον ὑποχείριον, ὡς δὲ εἰς
ὄψιν ἐλθοῦσα τό, τε εἶδος εὐπρεπὴς ἐφάνη, καὶ διελέχθη πρὸς αὐτὴν οὐκ ἀγεν-
νῶς, οὐδὲ ἀσυνέτως, χαιρέτωσαν εἶπεν ἡ ὀλυμπιὰς αἱ διαβολαί. σὺ γὰρ ἐν σεαυ-
τῇ τὰ φάρμακα ἔχεις. ἄμαχον οὖν τι γίνεται πρᾶγμα γαμετὴ γυνὴ καὶ νό-
μιμος, ἂν ἐν αὑτῇ πάντα θεμένη, καὶ προῖκα καὶ γένος, καὶ φάρμακα, καὶ
τὸν κεστὸν αὐτὸν, ἤθει καὶ ἀρετῇ κατεργάσηται τὴν εὔνοιαν. πάλιν ἡ ὀλυμ-
πιὰς, αὐλικοῦ τινος νεανίσκου γήμαντος εὐπρεπῆ γυναῖκα κακῶς ἀκούουσαν, οὗ-
τος εἶπεν οὐκ ἔχει λογισμὸν, οὐ γὰρ ἂν τοῖς ὀφθαλμοῖς ἔγημε, δεῖ δὲ μὴ τοῖς ὄμ-
μασι γαμεῖν, μὴ δὲ τοῖς δακτύλοις, ὥσπερ ἔνιοι ψηφίσαντες πόσα φέρουσαν
λαμβάνουσιν, οὐ κρίναντες πῶς συμβιωσομένην. ὁ σωκράτης ἐκέλευε τῶν ἐσο-
πτριζομένων νεανίσκων τοὺς μὲν αἰσχροὺς, ἐπανορθοῦσθαι τῇ ἀρετῇ, τοὺς δὲ κα-
λοὺς μὴ καταισχύνειν τῇ κακίᾳ τὸ εἶδος. καλὸν οὖν καὶ τὴν οἰκοδέσποιναν, ὅταν
ἐν ταῖς χερσὶν ἔχῃ τὸ ἔσοπτρον αὐτὴν ἐν ἑαυτῇ διαλαλεῖν, τὴν μὲν αἰσχρὰν, τί
οὖν ἂν μὴ σώφρων γένωμαι, τὴν δὲ καλὴν, τί οὖν ἂν σώφρων γένωμαι, τῇ γὰρ αἰ-
σχρᾷ σεμνὸν, εἰ φιλεῖται διὰ τὸ ἦθος, ἢ τὸ κάλλος. ταῖς λυσάνδρου θυγατρά-
σιν ὁ τύραννος ὁ σικελικὸς ἱμάτια, καὶ πλόκια τῶν πολυτελῶν ἔπεμψεν, ὁ δὲ

λύσανδρος οὐκ ἔλαβεν εἰπὼν, ταῦτα τὰ κόσμια καταισχυνεῖ μου μᾶλλον, ἢ κο-
σμήσει τὰς θυγατέρας, πρότερος δὲ λυσάνδρου σοφοκλῆς τοῦτο εἶπεν, οὐ κό-
σμος οὐκ ὦ τλῆμον, ἀλλ' ἀκοσμία φαίνοιτ' ἂν εἶναι σῶν τε μαργότης φρενῶν.
κόσμος γάρ ἐστιν, ὡς ἔλεγε κράτης, τὸ κοσμοῦν, κοσμεῖ δὲ τὸ κοσμιωτέραν γυναῖ-
κα ποιοῦν, ποιεῖ δὲ ταύτην οὐ χρυσὸς, οὔτε σμάραγδος, οὔτε κόκκος, ἀλλ' ὅσα σε-
μνότητος, εὐταξίας, αἰδοῦς, ἔμφασιν περιτίθησιν. οἱ τῇ γαμηλίᾳ θύοντες
ἥρᾳ τὴν χολὴν οὐ συγκαθαγίζουσι τοῖς ἄλλοις ἱεροῖς, ἀλλ' ἐξελόντες, ἔρριψαν παρὰ
τὸν βωμὸν, αἰνιττομένου τοῦ νομοθέτου, τὸ μηδέποτε δεῖν χολὴν μὴ δὲ ὀργὴν γά-
μῳ παρεῖναι. δεῖ γὰρ εἶναι τῆς οἰκοδεσποίνης, ὥσπερ οἴνου τὸ αὐστηρὸν, ὠφέλι-
μον καὶ ἡδὺ, μὴ πικρὸν, ὥσπερ ἀλόης, μὴ δὲ φαρμακῶδες. ὁ πλάτων τῷ ξε-
νοκράτει βαρυτέρῳ τὸ ἦθος ὄντι, τἄλλα δὲ καλῷ κἀγαθῷ παρεκελεύετο θύειν
ταῖς χάρισιν, οἶμαι δὴ καὶ τῇ σώφρονι μάλιστα δεῖν πρὸς τὸν ἄνδρα χαρίτων,
ἵν' ὡς ἔλεγε μητρόδωρος ἡδέως συνοικῇ, καὶ μὴ ὀργιζομένη, ὅτι σωφρονεῖ. δεῖ
γὰρ μήτε τὴν εὐτελῆ καθαριότητος ἀμελεῖν, μήτε τὴν φίλανδρον φιλοφροσύ-
νης. ποιεῖ γὰρ ἡ χαλεπότης ἀηδῆ τὴν εὐταξίαν τῆς γυναικὸς, ὥσπερ ἡ ῥυπαρία
τὴν ἀφέλειαν, ἡ φοβουμένη γελάσαι πρὸς τὸν ἄνδρα, καὶ παῖξαί τι ἵνα μὴ φανῇ
θρασεῖα, καὶ ἀκόλαστος, οὐδὲν διαφέρει τῆς ἵνα μὴ δοκῇ μυρίζεσθαι τὴν κεφαλὴν,
μὴ δὲ ἀλειφομένης, καὶ ἵνα μὴ φυκοῦσθαι τὸ πρόσωπον, μὴ δὲ νιπτομένης. ὁρῶ-
μεν δὲ καὶ ποιητὰς, καὶ ῥήτορας, ὅσοι φεύγουσι τὸ περὶ τὴν λέξιν ὀχλικὸν καὶ
ἀνελεύθερον, καὶ κακόζηλον τοῖς πράγμασι, καὶ ταῖς οἰκονομίαις, καὶ τοῖς
ἤθεσιν, ἄγειν καὶ κινεῖν τὸν ἀκροατὴν φιλοτεχνοῦντας, διὸ δεῖ καὶ τὴν οἰκοδέ-
σποιναν πᾶν τὸ περιττὸν, καὶ ἑταιρικὸν, καὶ πανηγυρικὸν εὖ ποιοῦσαν φεύγειν,
καὶ παραιτεῖσθαι, μᾶλλον δὲ φιλοτεχνεῖν ἐν ταῖς ἠθικαῖς, καὶ βιωτικαῖς χά-
ρισι πρὸς τὸν ἄνδρα, τῷ καλῷ μεθ' ἡδονῆς συνεθίζουσαν αὐτὸν, ἂν δ' ἄρα φύσει
τις αὐστηρὰ, καὶ ἄκρατος γένηται, καὶ ἀνήδυντος, ἀγνωμονεῖν δεῖ τὸν ἄνδρα,
καὶ καθάπερ ὁ φωκίων τοῦ ἀντιπάτρου πρᾶξιν αὐτῷ προστάττοντος οὐ καλὴν,
οὐδὲ πρέπουσαν, εἶπεν, οὐ δύνασαί μοι καὶ φίλῳ χρῆσθαι, καὶ κόλακι, οὕτω λο-
γίζεσθαι περὶ τῆς σώφρονος, καὶ αὐστηρᾶς γυναικὸς, οὐ δύναμαι τῇ αὐτῇ, καὶ
ὡς γαμετῇ, καὶ ὡς ἑταίρᾳ συνεῖναι. ταῖς αἰγυπτίαις ὑποδήμασι χρῆσθαι
πάτριον οὐκ ἦν, ὅπως ἐν οἴκῳ διημερεύωσι, τῶν δὲ πλείστων γυναικῶν ἂν ὑπο-
δήματα διάχρυσα περιέλῃς, καὶ ψέλλια, καὶ περισκελίδας, καὶ πορφύραν,
καὶ μαργαρίτας, ἔνδον μένουσιν. ἡ θεανὼ παρέφηνε τὴν χεῖρα περιβαλλομένη
τὸ ἱμάτιον, τινὸς δ' εἰπόντος, καλὸς ὁ πῆχυς, ἀλλ' οὐ δημόσιος ἔφη, δεῖ δὲ μὴ μό-
νον τὸν πῆχυν, ἀλλὰ μὴ δὲ τὸν λόγον δημόσιον εἶναι τῆς σώφρονος, ἀλλὰ τὴν φω-
νὴν, ὡς ἀπογύμνωσιν αἰδεῖσθαι, καὶ φυλάττεσθαι πρὸς τοὺς ἐκτός. ἐνορᾶται
γὰρ αὐτῇ καὶ πάθος, καὶ ἦθος, καὶ διάθεσις λαλούσης. τὴν ἠλείων ὁ φειδί-
ας ἀφροδίτην ἐποίησε χελώνην πατοῦσαν, οἰκουρίας σύμβολον ταῖς γυναι-
ξὶ, καὶ σιωπῆς. δεῖ γὰρ ἢ πρὸς τὸν ἄνδρα λαλεῖν, ἢ διὰ τοῦ ἀνδρὸς, μὴ δυσχεραί-
νουσαν, εἰ δι' ἀλλοτρίας γλώσσης, ὥσπερ αὐλητὴς φθέγγεται. σεμνότερον
οἱ πλούσιοι, καὶ οἱ βασιλεῖς τιμῶντες τοὺς φιλοσόφους αὑτούς τε κοσμοῦσι κἀκεί-
νους, οἱ δὲ φιλόσοφοι τοὺς πλουσίους θεραπεύοντες οὐκ ἐκείνους ποιοῦσιν ἐνδόξους,
ἀλλ' αὑτοὺς ἀδοξοτέρους, τοῦτο συμβαίνει καὶ περὶ τὰς γυναῖκας, ὑποταττού-
σαι μὲν γὰρ ἑαυτὰς τοῖς ἀνδράσιν ἐπαινοῦνται, κρατεῖν δὲ βουλόμεναι, μᾶλ-
λον τῶν κρατουμένων ἀσχημονοῦσι, κρατεῖν δὲ δεῖ τὸν ἄνδρα τῆς γυναικὸς, οὐχ ὡς
δεσπότην κτήματος, ἀλλ' ὡς ψυχὴν σώματος, συμπαθοῦντα καὶ συμπεφυκό-
τα τῇ εὐνοίᾳ. ὥσπερ οὖν σώματός ἐστι κήδεσθαι μὴ δουλεύοντα ταῖς ἡδοναῖς αὐ-

τοῦ, καὶ ταῖς ἐπιθυμίαις, οὕτω γυναικὸς ἄρχειν εὐφραίνοντα καὶ χαριζόμενον. τῶν σωμάτων οἱ φιλόσοφοι τὰ μὲν ἐκ διεστώτων λέγουσιν εἶναι, καθάπερ στόλον, καὶ στρατόπεδον, τὰ δ᾽ ἐκ συναπτομένων, ὡς οἰκίαν, καὶ ναῦν, τὰ δ᾽ ἡνωμένα, καὶ συμφυῆ, καθάπερ ἐστὶ τῶν ζῴων ἕκαστον. σχεδὸν οὖν καὶ γάμος, ὁ μὲν τῶν ἐρώντων ἡνωμένος, καὶ συμφυής ἐστιν, ὁ δὲ τῶν διὰ προῖκας ἢ τέκνα γαμούντων ἐκ συναπτομένων, ὁ δὲ τῶν συγκαθευδόντων ἐκ διεστώτων, οὓς συνοικεῖν ἄν τις ἀλλήλοις οὐ συμβιοῦν νομίσειεν. δεῖ δ᾽ ὥσπερ οἱ φυσικοὶ τῶν ὑγρῶν λέγουσι δι᾽ ὅλων γενέσθαι τὴν κρᾶσιν, οὕτω τῶν γαμούντων, καὶ σώματα, καὶ χρήματα, καὶ φίλους, καὶ οἰκείους ἀναμιχθῆναι δι᾽ ἀλλήλων. καὶ γὰρ ὁ Ῥωμαῖος νομοθέτης ἐκώλυσε δῶρα διδόναι, καὶ λαμβάνειν παρ᾽ ἀλλήλων τοὺς γεγαμηκότας, οὐχ ἵνα μηδενὸς μεταλαμβάνωσιν, ἀλλ᾽ ἵνα πάντα κοινὰ νομίζωσιν. ἐν Λέπτει τῆς Λιβύης πόλει πάτριόν ἐστι τῇ μετὰ τὸν γάμον ἡμέρᾳ τὴν νύμφην πρὸς τὴν τοῦ νυμφίου μητέρα πέμψασαν αἰτεῖσθαι χύτραν, ἡ δ᾽ οὐ δίδωσιν, οὐδέ φησιν ἔχειν, ὅπως ἀπ᾽ ἀρχῆς ἐπισταμένη τὸ τῆς ἑκυρᾶς μητρυιῶδες, ἂν ὕστερόν τι συμβαίνῃ τραχύτερον, μὴ ἀγανακτῇ, μηδὲ δυσκολαίνῃ. δεῖ δὴ γινώσκουσαν τὴν γυναῖκα θεραπεύειν τὴν πρόφασιν. ἔστι δὲ ζηλοτυπία τῆς μητρὸς ὑπὲρ εὐνοίας πρὸς αὐτήν, θεραπεία δὲ μία τοῦ πάθους, ἰδίᾳ μὲν εὔνοιαν τῷ ἀνδρὶ ποιεῖν πρὸς ἑαυτήν, τὴν δὲ μητρὸς μὴ περισπᾶν, μηδὲ ἐλαττοῦν. τοὺς υἱοὺς δοκοῦσι μᾶλλον ἀγαπᾶν αἱ μητέρες ὡς δυναμένους αὐταῖς βοηθεῖν, οἱ δὲ πατέρες τὰς θυγατέρας ὡς δεομένας αὐτῶν βοηθούντων, ἴσως δὲ καὶ τιμῇ πρὸς ἀλλήλους, ὁ ἕτερος τὸ μᾶλλον οἰκεῖον τῷ ἑτέρῳ, βούλεται μᾶλλον ἀσπαζόμενος καὶ ἀγαπῶν, φανερὸς εἶναι, καὶ τοῦτο μὲν ἴσως διάφορόν ἐστιν, ἐκεῖνο δὲ ἀστεῖον, ἂν ἡ γυνὴ μᾶλλον ἀποκλίνασα τῇ τιμῇ πρὸς τοὺς γονεῖς τοῦ ἀνδρὸς ἢ τοὺς ἑαυτῆς βλέπηται, κἄν τι λυπῆται, πρὸς ἐκείνους ἀναφέρουσα, τοὺς δὲ αὑτῆς λανθάνουσα. ποιεῖ γὰρ καὶ τὸ πιστεύειν δοκεῖν πιστεύεσθαι, καὶ τὸ φιλεῖν φιλεῖσθαι. τοῖς περὶ τὸν Κῦρον Ἕλλησι παρήγγειλαν οἱ στρατηγοὶ τοὺς πολεμίους, ἐὰν μὲν βοῶντες ἐπίωσι, δέχεσθαι μετὰ σιωπῆς, ἐὰν δὲ ἐκεῖνοι σιωπῶσιν, αὐτοὺς μετὰ βοῆς ἀντεξελαύνειν. αἱ δὲ νοῦν ἔχουσαι γυναῖκες ἐν ταῖς ὀργαῖς τῶν ἀνδρῶν κεκραγότων μὲν ἡσυχάζουσι, σιωπῶντας δὲ προσλαλοῦσαι καὶ παραμυθούμεναι καταπραΰνουσιν. ὀρθῶς ὁ Εὐριπίδης αἰτιᾶται τοὺς τῇ λύρᾳ χρωμένους παρ᾽ οἶνον. ἔδει γὰρ ἐπὶ τὰς ὀργὰς καὶ τὰ πένθη μᾶλλον τὴν μουσικὴν παρακαλεῖν, ἢ προσεκλύειν τοὺς ἐν ταῖς ἡδοναῖς ὄντας. νομίζετε οὖν ὑμεῖς ἁμαρτάνειν τοὺς ἡδονῆς ἕνεκα συγκαθεύδοντας ἀλλήλοις, ὅταν δ᾽ ἐν ὀργῇ τινι γένωνται, καὶ διαφορᾷ, χωρὶς ἀναπαυομένους, καὶ μὴ τότε μάλιστα τὴν Ἀφροδίτην παρακαλοῦντας, ἰατρὸν οὖσαν τῶν τοιούτων ἀρίστην, ὥς που καὶ ὁ ποιητὴς διδάσκει τὴν Ἥραν ποιῶν λέγουσαν, καί σφ᾽ ἄκριτα νείκεα λύσω εἰς εὐνὴν ἀνέσασα ὁμωθῆναι φιλότητι. ἀεὶ μὲν δεῖ καὶ πανταχοῦ φεύγειν τὸ προσκρούειν τῷ ἀνδρὶ τὴν γυναῖκα, καὶ τῇ γυναικὶ τὸν ἄνδρα, μάλιστα δὲ φυλάττεσθαι τοῦτο ποιεῖν ἐν τῷ συναναπαύεσθαι καὶ συγκαθεύδειν. ἡ μὲν γὰρ ὠδίνουσα καὶ δυσφοροῦσα πρὸς τοὺς κατακλίνοντας αὐτὴν ἔλεγε, πῶς δ᾽ ἂν ἡ κλίνη ταῦτα θεραπεύσειεν, οἷς ἐπὶ τῆς κλίνης περιέπεσον; ἃς δὲ ἡ κλίνη γεννᾷ διαφορὰς καὶ λοιδορίας καὶ ὀργάς, οὐ ῥᾴδιόν ἐστιν ἐν ἄλλῳ τόπῳ καὶ χρόνῳ διαλυθῆναι. ἡ Ἑρμιόνη δοκεῖ τι λέγειν ἀληθὲς λέγουσα, κακῶν γυναικῶν εἴσοδοί μ᾽ ἀπώλεσαν. τοῦτο δ᾽ οὐχ ἁπλῶς γινόμενόν ἐστιν, ἀλλ᾽ ὅταν αἱ πρὸς τοὺς ἄνδρας διαφοραὶ καὶ ζηλοτυπίαι ταῖς τοιαύταις γυναιξὶ μὴ τὰς θύρας μόνον, ἀλλὰ καὶ τὰς ἀκοὰς ἀνοίγωσι, τότε οὖν δεῖ μάλιστα τὴν νοῦν ἔχουσαν ἀποκλείειν τὰ ὦτα καὶ φυλάττεσθαι τὸν ψιθυρισμόν, ἵνα μὴ

πῦρ ἐπὶ πῦρ γένηται, καὶ πρόχειρον ἔχειν τὸ τοῦ Φιλίππου. λέγεται γὰρ ἐκεῖνος ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τοὺς Ἕλληνας ὡς εὖ πάσχοντας, καὶ κακῶς αὐτὸν λέγοντας εἰπεῖν, τί οὖν, ἂν καὶ κακῶς ποιῶμεν αὐτούς; ὅταν οὖν αἱ διαβάλλουσαι λέγωσιν ὅτι λυπεῖ σε φιλοῦσαν ὁ ἀνὴρ καὶ σωφρονοῦσαν, τί δ᾽ ἄν, ἂν καὶ μισεῖν αὐτὸν ἄρξωμαι καὶ ἀδικεῖν. ὁ τὸν δραπέτην ἰδὼν διὰ χρόνου, καὶ διώκων, ὡς κατέφυγε φθάσας εἰς μυλῶνα, ποῦ δ᾽ ἄν, ἔφησε, μᾶλλον εὑρεῖν ἐβουλήθην ἢ ἐνταῦθα; γυνὴ τοίνυν διὰ ζηλοτυπίαν ἀπόλειψιν γράφουσα, καὶ χαλεπῶς ἔχουσα, λεγέτω πρὸς ἑαυτήν, ποῦ δ᾽ ἂν ἡ ζηλοῦσά με μᾶλλον ἡσθείη θεασαμένη, καὶ τί ποιοῦσαν, ἢ λυπουμένην καὶ στασιάζουσαν πρὸς τὸν ἄνδρα, καὶ τὸν οἶκον αὐτὸν καὶ τὸν θάλαμον προϊεμένην. Ἀθηναῖοι τρεῖς ἀρότους ἱεροὺς ἄγουσι, πρῶτον ἐπὶ Σκίρῳ τοῦ παλαιοτάτου τῶν σπόρων ὑπόμνημα, δεύτερον ἐν τῇ Ῥαρίᾳ, τρίτον ὑπὸ πόλιν τὸν καλούμενον Βουζύγιον. τούτων δὲ πάντων ἱερώτατός ἐστιν ὁ γαμήλιος σπόρος καὶ ἄροτος ἐπὶ παιδοτεκνώσει. καλῶς τὴν Ἀφροδίτην ὁ Σοφοκλῆς εὔκαρπον Κυθέρειαν προσηγόρευσε, διὸ δεῖ μάλιστα τούτῳ χρῆσθαι μετ᾽ εὐλαβείας τὸν ἄνδρα καὶ τὴν γυναῖκα, τῶν ἀθέσμων καὶ παρανόμων πρὸς ἑτέρους ἁγνεύοντας ὁμιλιῶν, καὶ μὴ σπείροντας ἐξ ὧν οὐδὲν αὐτοῖς φύεσθαι θέλουσιν, ἀλλὰ κἂν γένηται καρπός, αἰσχύνονται καὶ ἀποκρύπτουσι. Γοργίου τοῦ ῥήτορος ἀναγνόντος ἐν Ὀλυμπίᾳ λόγον περὶ ὁμονοίας τοῖς Ἕλλησιν, ὁ Μελάνθιος, οὗτος ἡμῖν ἔφη συμβουλεύει περὶ ὁμονοίας, ὃς αὑτὸν καὶ τὴν γυναῖκα καὶ τὴν θεράπαιναν ἰδίᾳ τρεῖς ὄντας ὁμονοεῖν οὐ πέπεικεν. ἦν γάρ, ὡς ἔοικέ, τις ἔρως τοῦ Γοργίου καὶ ζηλοτυπία τῆς γυναικὸς πρὸς τὸ θεραπαινίδιον. εὖ τοίνυν ἡρμοσμένον τὸν οἶκον εἶναι δεῖ τῷ μέλλοντι ἁρμόζεσθαι καὶ ἀγορὰν καὶ φίλους. μᾶλλον γὰρ ἔοικε τὰ τῶν γυναικῶν ἢ τὰ πρὸς γυναῖκας ἁμαρτήματα λανθάνειν τοὺς πολλούς. τὸν αἴλουρον ὀσμῇ μύρων ἐκταράττεσθαι καὶ μαίνεσθαι λέγουσιν· εἰ δὲ τὰς γυναῖκας ἀγριαίνειν καὶ παραφρονεῖν ὑπὸ μύρων συνέβαινε, δεινὸν ἦν μὴ ἀπέχεσθαι μύρου τοὺς ἄνδρας, ἀλλὰ δι᾽ ἡδονὴν αὐτῶν βραχεῖαν οὕτω κακουμένας περιορᾶν. ἐπεὶ τοίνυν ταῦτα πάσχουσιν οὐ μυριζομένων τῶν ἀνδρῶν, ἀλλὰ συγγινομένων ἑταίραις, ἄδικόν ἐστιν ἡδονῆς ἕνεκα μικρᾶς ἐπὶ τοσοῦτο λυπεῖν καὶ συνταράττειν τὰς γυναῖκας, καὶ μὴ καθάπερ ταῖς μελίτταις, ὅτι δοκοῦσι δυσχεραίνειν καὶ μάχεσθαι τοῖς μετὰ γυναικῶν γενομένοις, ἁγνοὺς καὶ καθαρεύοντας ἑτέρων συνουσίας, προσιέναι ταῖς γυναιξί. οἱ προσιόντες ἐλέφασιν ἐσθῆτα λαμπρὰν οὐ λαμβάνουσιν, οὐδὲ φοινικίδας οἱ ταύροις, διαγριαίνεται γὰρ ὑπὸ τῶν χρωμάτων τούτων μάλιστα τὰ ζῷα, τὰς δὲ τίγρεις φασὶ περιτυμπανιζομένας ἐκμαίνεσθαι παντάπασι, καὶ διασπᾶν ἑαυτάς. ἐπεὶ τοίνυν καὶ τῶν ἀνδρῶν οἱ μὲν ἐσθῆτας κοκκίνας καὶ πορφυρᾶς ὁρῶντες δυσανασχετοῦσιν, οἱ δὲ κυμβάλοις καὶ τυμπάνοις ἄχθονται, τί δεινὸν ἀπέχεσθαι τούτων τὰς γυναῖκας, καὶ μὴ ταράττειν μηδὲ παροξύνειν τοὺς ἄνδρας, ἀλλὰ συνεῖναι μετ᾽ εὐσταθείας καὶ πρᾳότητος. γυνή τις πρὸς τὸν Φίλιππον ἄκουσαν ἐφελκόμενον αὐτήν, ἄφες με, εἶπε, πᾶσα γυνὴ τοῦ λύχνου ἀρθέντος ἡ αὐτή ἐστι. τοῦτο πρὸς τοὺς μοιχικοὺς καὶ ἀκολάστους εἴρηται καλῶς. τὴν δὲ γαμετὴν δεῖ μάλιστα τοῦ φωτὸς ἀρθέντος εἶναι μὴ τὴν αὐτὴν ταῖς τυχούσαις γυναιξίν, ἀλλὰ φαίνεσθαι, τοῦ σώματος μὴ βλεπομένου, τὸ σῶφρον αὐτῆς καὶ ἴδιον τῷ ἀνδρὶ καὶ τεταγμένον καὶ φιλόστοργον. ὁ Πλάτων τοῖς πρεσβύταις μᾶλλον παρῄνει αἰσχύνεσθαι τοὺς νέους, ἵνα καὶ ἐκεῖνοι πρὸς αὐτοὺς αἰδημόνως ἔχωσιν. ὅπου γὰρ ἀναισχυντοῦσι γέροντες, οὐδεμίαν αἰδῶ τοῖς νέοις οὐδ᾽ εὐλάβειαν ἐγγίνεσθαι. τούτου δεῖ μεμνημένον τὸν ἄνδρα μηδένα μᾶλλον αἰδεῖσθαι τῆς

γυναικός, ὡς τοῦ θαλάμου αὐτῇ διδασκαλίου εὐταξίας ἢ ἀκολασίας γινομένου. ὁ δὲ τῶν αὐτῶν ἡδονῶν αὐτὸς μὲν ἀπολαύων, ἐκείνην δὲ ἀποτρέπων, οὐδὲν διαφέρει τοῦ κελεύοντος διαμάχεσθαι τὴν γυναῖκα πρὸς τοὺς πολεμίους, οἷς αὐτὸς ἑαυτὸν παρέδωκε. Περὶ δὲ φιλοκοσμίας σὺ μὲν ὦ Εὐρυδίκη τὰ πρὸς Ἀρίστυλλαν ὑπὸ Τιμοξένας γεγραμμένα ἀναγνοῦσα πειρῶ διαμνημονεύειν, σὺ δὲ ὦ Πολλιανὲ μὴ νόμιζε περιεργίας ἀφέξεσθαι τὴν γυναῖκα καὶ πολυτελείας, ἂν ὁρᾷ σε μὴ καταφρονοῦντα τούτων ἐν ἑτέροις, ἀλλὰ καὶ χαίροντα χρυσώσεσιν ἐκπωμάτων, καὶ γραφαῖς οἰκημάτων, καὶ χλιδώσεσιν ἡμιόνων, καὶ ἵππων περιδεραίοις. οὐ γάρ ἐστιν ἐξελάσαι τῆς γυναικωνίτιδος ἐν μέσῃ τῇ ἀνδρωνίτιδι τὴν πολυτέλειαν ἀναστρεφομένην. καὶ σὺ μὲν ὥραν ἔχων ἤδη φιλοσοφεῖν, τοῖς μετ' ἀποδείξεως καὶ κατασκευῆς λεγομένοις, ἐπικόσμει τὸ ἦθος ἐντυγχάνων καὶ πλησιάζων τοῖς ὠφελοῦσι, τῇ δὲ γυναικὶ πανταχόθεν τὸ χρήσιμον συνάγων, ὥσπερ αἱ μέλιτται, καὶ φέρων αὐτὸς ἐν σεαυτῷ μεταδίδου, καὶ προσδιαλέγου, φίλους αὐτῇ ποιῶν, καὶ συνήθεις τῶν λόγων τοὺς ἀρίστους. πατὴρ μὲν γάρ ἐστιν αὐτῇ καὶ πότνια μήτηρ, ἠδὲ κασίγνητος, οὐχ ἧττον δὲ σεμνὸν ἀκοῦσαι γαμετῆς λεγούσης, ἄνερ ἀτὰρ σύ μοι ἐσσὶ καθηγητὴς καὶ φιλόσοφος καὶ διδάσκαλος τῶν καλλίστων καὶ θειοτάτων. τὰ δὲ τοιαῦτα μαθήματα, πρῶτον ἀφίστησι τῶν ἀτόπων τὰς γυναῖκας. αἰσχυνθήσεται γὰρ ὀρχεῖσθαι γυνὴ γεωμετρεῖν μανθάνουσα, καὶ φαρμάκων ἐπῳδὰς οὐ προσδέξεται, τοῖς Πλάτωνος ἐπᾳδομένη λόγοις, καὶ τοῖς Ξενοφῶντος. ἂν δέ τις ἐπαγγέλληται καθαιρεῖν τὴν σελήνην, γελάσεται τὴν ἀμαθίαν καὶ τὴν ἀβελτηρίαν τῶν ταῦτα πειθομένων γυναικῶν, ἀστρολογίας μὴ ἀνηκόως ἔχουσα, καὶ περὶ Ἀγανίκης ἀκηκουῖα τῆς Ἡγήτορος τοῦ Θεσσαλοῦ θυγατρὸς, ὅτι τῶν ἐκλειπτικῶν ἔμπειρος οὖσα πανσελήνων καὶ προειδυῖα τὸν χρόνον ἐν ᾧ συμβαίνει τὴν σελήνην ὑπὸ τῆς σκιᾶς ἁλίσκεσθαι, παρεκρούετο καὶ συνέπειθε τὰς γυναῖκας ὡς αὐτὴ καθαιροῦσα τὴν σελήνην. Παιδίον μὲν γὰρ οὐδεμία ποτὲ γυνὴ λέγεται ποιῆσαι δίχα κοινωνίας ἀνδρὸς, τὰ δ' ἄμορφα κυήματα καὶ σαρκοειδῆ καὶ σύστασιν ἐν ἑαυτοῖς ἐκ διαφορᾶς λαμβάνοντα, μύλας καλοῦσι. τοῦτο δὴ φυλακτέον ἐν ταῖς ψυχαῖς γίνεσθαι τῶν γυναικῶν. ἂν γὰρ λόγων χρηστῶν σπέρματα μὴ δέχωνται, μηδὲ κοινωνῶσι παιδείας τοῖς ἀνδράσιν, αὐταὶ καθ' αὑτὰς ἄτοπα πολλὰ καὶ φαῦλα βουλεύματα καὶ πάθη κύουσι. σὺ δ' ὦ Εὐρυδίκη μάλιστα πειρῶ τοῖς τῶν σοφῶν καὶ ἀγαθῶν ἀποφθέγμασιν ὁμιλεῖν, καὶ διὰ στόματος ἀεὶ τὰς φωνὰς ἔχειν ἐκείνας, ὧν καὶ παρθένος οὖσα παρ' ἡμῖν ἀνελάμβανες, ὅπως εὐφραίνῃς μὲν τὸν ἄνδρα, θαυμάζῃ δ' ὑπὸ τῶν ἄλλων γυναικῶν, οὕτω κοσμουμένη περιττῶς καὶ σεμνῶς ἀπὸ μηδενός. τοὺς μὲν γὰρ τῆσδε τῆς πλουσίας μαργαρίτας καὶ τὰ τῆσδε τῆς ξένης σηρικὰ λαβεῖν οὐκ ἔστιν, οὐδὲ περιθέσθαι μὴ πολλοῦ πριαμένην, τὰ δὲ Θεανοῦς κόσμια, καὶ Κλεοβουλίνης, καὶ Γοργοῦς τῆς Λεωνίδου γυναικὸς, καὶ Τιμοκλείας τῆς Θεογένους ἀδελφῆς, καὶ Κλαυδίας τῆς παλαιᾶς, καὶ Κορνηλίας τῆς Σκιπίωνος, καὶ ὅσαι ἐγένοντο θαυμασταὶ καὶ περιβόητοι, ταῦτα δ' ἔξεστι περικειμένην προῖκα καὶ κοσμουμένην αὐτοῖς, ἐνδόξως ἅμα βιοῦν καὶ μακαρίως. εἰ γὰρ ἡ Σαπφὼ διὰ τὴν ἐν τοῖς μέλεσι καλλιγραφίαν, ἐφρόνει τηλικοῦτον, ὥστε γράψαι πρός τινα πλουσίαν, κατθανοῦσα δὲ κείσεαι, οὐδέ τις μνημοσύνα σέθεν ἔσσεται, οὐ γὰρ πεδέχεις ῥόδων τῶν ἐκ Πιερίης, πῶς οὐχὶ σοὶ μᾶλλον ἔξεσται μέγα φρονεῖν ἐφ' ἑαυτῇ καὶ λαμπρὸν, ἂν μὴ τῶν ῥόδων, ἀλλὰ τῶν καρπῶν μετέχῃς, ὧν αἱ Μοῦσαι φέρουσι καὶ χαρίζονται τοῖς παιδείαν καὶ φιλοσοφίαν θαυμάζουσιν.

πάφθορᾶς l. A.

ΕΠΤΑ ΣΟΦΩΝ ΣΥΜΠΟΣΙΟΝ

Που προϊὼν ὁ χρόνος ὦ Νίκαρχε πολὺ σκότος ἐπάξει τοῖς πράγμασι, καὶ πᾶσαν ἀσάφειαν, εἰ νῦν ἐπὶ προσφάτοις οὕτω καὶ νεαροῖς λόγοι ψευδεῖς συντεθέντες ἔχουσι πίστιν. οὔτε γὰρ μόνων ὡς ὑμεῖς ἀκηκόατε τῶν ἑπτὰ γέγονε τὸ συμπόσιον, ἀλλὰ πλειόνων ἢ δὶς τοσούτων, ἐν οἷς καὶ αὐτὸς ἤμην, συνήθης μὲν ὢν Περιάνδρῳ διὰ τὴν τέχνην, ξένος δὲ Θάλεω, παρ' ἐμοὶ γὰρ κατέλυσεν ὁ ἀνὴρ Περιάνδρου κελεύσαντος, οὔτε τοὺς λόγους ὀρθῶς ἀπεμνημόνευσεν ὅστις ἦν ὑμῖν διηγούμενος, ἦν δὲ ὡς ἔοικεν οὐδεὶς τῶν παραγεγονότων. ἀλλ' ἐπεὶ σχολὴ πάρεστι πολλὴ, καὶ τὸ γῆρας οὐκ ἀξιόπιστον ἐγγυήσασθαι τὴν ἀναβολὴν τοῦ λόγου προθυμουμένοις ὑμῖν, ἀπ' ἀρχῆς ἅπαντα διηγήσομαι. Παρεσκευάκει μὲν γὰρ οὐκ ἐν τῇ πόλει τὴν ὑποδοχὴν ὁ Περίανδρος, ἀλλ' ἐν τῷ περὶ τὸ Λέχαιον ἑστιατορείῳ παρὰ τὸ τῆς Ἀφροδίτης ἱερὸν, ἧς ἦν καὶ θυσία. μετὰ γὰρ τὸν ἔρωτα τῆς μητρὸς αὐτοῦ προεμένης τὸν βίον ἑκουσίως, οὐ τεθυκὼς τῇ Ἀφροδίτῃ, τότε πρῶτον ἔκ τινων ἐνυπνίων τῆς Μελίσσης, ὥρμησε τιμᾶν καὶ θεραπεύειν τὴν θεόν. τῶν δὲ κεκλημένων ἑκάστῳ συνωρὶς ἱκανῶς κεκοσμημένη προσήχθη, καὶ γὰρ ὥρα θέρους ἦν, καὶ τὴν ὁδὸν ἅπασαν ὑπὸ πλήθους ἁμαξῶν καὶ ἀνθρώπων ἄχρι θαλάττης κονιορτὸς καὶ θόρυβος κατεῖχεν. ὁ μέντοι Θαλῆς τὸ ζεῦγος ἐπὶ ταῖς θύραις ἰδὼν καὶ μειδιάσας ἀφῆκεν. ἐβαδίζομεν οὖν ἐκτραπόμενοι διὰ τῶν χωρίων καθ' ἡσυχίαν, καὶ μεθ' ἡμῶν τρίτος ὁ Ναυκρατίτης Νειλόξενος, ἀνὴρ ἐπιεικὴς καὶ τοῖς περὶ Σόλωνα καὶ Θάλητα γεγονὼς ἐν Αἰγύπτῳ συνήθης, ἐτύγχανε δὲ πρὸς Βίαντα πάλιν ἀπεσταλμένος, ὧν δὲ χάριν οὐδὲ αὐτὸς ᾔδει, πλὴν ὑπενόει πρόβλημα δεύτερον αὐτῷ κομίζειν ἐν βιβλίῳ κατασεσημασμένον, εἴρητο γὰρ εἰ Βίας ἀπαγορεύσειεν, τὸ βιβλίον ἐπιδεῖξαι τοῖς σοφωτάτοις Ἑλλήνων. ἕρμαιον ὁ Νειλόξενος ἔφη μοι γέγονεν, ἐνταῦθα λαβεῖν ἅπαντας ὑμᾶς, καὶ κομίζω τὸ βιβλίον ὡς ὁρᾷς ἐπὶ τὸ δεῖπνον, ἅμα δὲ ἡμῖν ἐπεδείκνυε. καὶ ὁ Θαλῆς γελάσας, εἴ τι κακὸν εἶπεν αὖθις εἰς Πριήνην, διαλύσει γὰρ ὁ Βίας, ὡς διέλυσεν αὐτὸς τὸ πρῶτον. τί δὲ ἔφην ἐγὼ τὸ πρῶτον. ἱερεῖον εἶπεν ἔπεμψεν αὐτῷ, κελεύσας τὸ πονηρότατον ἐξελόντα καὶ χρηστότατον ἀποπέμψαι κρέας. ὁ δὲ ἡμέτερος εὖ καὶ καλῶς τὴν γλῶτταν ἐξελὼν ἔπεμψεν ὅθεν εὐδοκιμῶν δῆλός ἐστι καὶ θαυμαζόμενος. οὐ διὰ ταῦτα ἔφη μόνον ὁ Νειλόξενος, ἀλλ' οὐδὲ φεύγει τὸ φίλος εἶναι καὶ βασιλέων καθάπερ ἡμεῖς, ἐπεὶ σοῦ τε καὶ τὰ ἄλλα θαυμάζει, καὶ τῆς πυραμίδος τὴν μέτρησιν ὑπερφυῶς ἠγάπησεν, ὅτι πάσης ἄνευ πραγματείας καὶ μηδενὸς ὀργάνου δεηθεὶς, ἀλλὰ τὴν βακτηρίαν στήσας ἐπὶ τῷ πέρατι τῆς σκιᾶς ἣν ἡ πυραμὶς ἐποίει, γενομένων τῇ ἐπαφῇ τῆς ἀκτῖνος δυοῖν τριγώνων, ἔδειξας ὃν ἡ σκιὰ πρὸς τὴν σκιὰν λόγον εἶχε, τὴν πυραμίδα πρὸς τὴν βακτηρίαν ἔχουσαν. ἀλλ' ὅπερ ἔφην, διεβλήθης μισοβασιλεὺς εἶναι, καί τινες ὑβριστικαί σου περὶ τυράννων ἀποφάσεις ἀνεφέροντο πρὸς αὐτὸν, ὡς ἐρωτηθεὶς ὑπὸ Μολπαγόρου τοῦ Ἴωνος, τί παραδοξότατον εἴης ἑωρακὼς, ἀποκρίναιο τύραννον γέροντα, καὶ πάλιν ἔν τινι τόπῳ, περὶ θηρίων λόγου γενομένου, φαίης κάκιστον εἶναι, τῶν μὲν ἀγρίων θηρίων, τὸν τύραννον, τῶν δὲ ἡμέρων, τὸν κόλακα. ταῦτα γὰρ εἰ καὶ πάνυ προσποιοῦνται διαφέρειν οἱ βασιλεῖς τῶν τυράννων, οὐκ εὐμενῶς ἀκούουσιν. ἀλλὰ τοῦτο μὲν εἶπεν ὁ Θαλῆς Πιττακοῦ ἐστιν εἰρημένον ἐν παιδιᾷ ποτε πρὸς Μυρσίλον. ἐγὼ δὲ θαυμάσαιμ' ἂν ἔφην, οὐ τύραννον ἀλλὰ κυβερνήτην γέροντα θεασάμενος. πρὸς δὲ τὴν μετάθεσιν τὸ τοῦ νεανίσκου πέπονθα, τοῦ βαλόντος μὲν ἐπὶ τὴν κύνα, πατάξαντος δὲ τὴν

ὑμᾶς l. A.

πότῳ l. A.

μηνῦσαι, καὶ εἰφόντος οὐδὲ οὕτω κακῶς. διὸ καὶ σόλωνα σοφώτατον ἡγησάμην οὐ
δεξάμενον τυραννεῖν, καὶ πιττακὸς εἰ μοναρχίᾳ μὴ προσῆλθεν, οὐκ ἂν εἶπεν ὡς χα-
λεπὸν ἐσθλὸν ἔμμεναι. περίανδρος δὲ ἔοικεν ὡς ἐν νοσήματι πατρῴῳ τῇ τυραν-
νίδι κατειλημμένος, οὐ φαύλως ἐξαναφέρειν χρώμενος ὁμιλίαις ὑγιειναῖς,
ἄχρι τε νῦν καὶ συνουσίας ἀνδρῶν, νοῦν ἐχόντων ἐπαγόμενος. ἃς δὲ θρα-
σύβουλος αὐτῷ κολούσεις τῶν ἄκρων οὐ μέσα πολίταις ὑφηγεῖται μὴ προσί-
μενος· γεωργοῦ γὰρ ἀκρίδας καὶ ὄρνιθας ἀντὶ πυρῶν καὶ κριθῶν συγκομίζειν
ἐθέλοντος, οὐδὲν διαφέρει τύραννος ἀνδραπόδων μᾶλλον ἄρχειν ἢ ἀνδρῶν βου-
λόμενος· ἓν γὰρ ἀντὶ πολλῶν κακῶν ἀγαθὸν αἱ δυναστεῖαι τὴν τιμὴν ἔχουσι καὶ
τὴν δόξαν, ἂν περ ἀγαθῶν ὡς κρείττονες ἄρχωσι, καὶ μεγάλων μείζονες εἶναι
δοκῶσι, τὴν δὲ ἀσφάλειαν ἀγαπῶντας ἄνευ τοῦ καλοῦ, προβάτων ἔδει πολλῶν
καὶ ἵππων καὶ βοῶν ἄρχειν, μὴ ἀνθρώπων. ἀλλὰ γὰρ εἰς οὐδὲν προσήκοντας
ἐμβέβληκεν ἡμᾶς ἔφη ὁ ξένος ουτοσὶ λόγους, ἀμελήσας λέγειν τι καὶ ζητεῖν,
ἃ ἁρμόττει ἐπὶ δεῖπνον βαδίζουσιν. ἢ τί οὐκ οἴει καθάπερ ἑστιάσοντός ἐστι τὶς πα-
ρασκευὴ καὶ δειπνήσοντος εἶναι; συβαρῖται μὲν γὰρ ὡς ἔοικε πρὸ ἐνιαυτοῦ
τὰς κλήσεις ποιοῦνται τῶν γυναικῶν, ὅπως ἐκγένοιτο κατὰ σχολὴν παρεσκευα-
σμέναις ἐσθῆτι καὶ χρυσῷ φοιτᾶν ἐπὶ τὸ δεῖπνον. ἐγὼ δὲ πλέονος οἶμαι χρό-
νου δεῖσθαι τὴν ἀληθινὴν τοῦ δειπνήσοντος ὀρθῶς παρασκευήν. ὅσῳ χαλεπώτερόν
ἐστιν ἤθει τὸν πρέποντα κόσμον ἢ σώματι τὸν περιττὸν ἐξευρεῖν καὶ ἄχρηστον.
οὐ γὰρ ὡς ἀγγεῖον ἥκει κομίζων ἑαυτὸν ἐμπλῆσαι πρὸς τὸ δεῖπνον ὁ νοῦν ἔχων,
ἀλλὰ καὶ σπουδάσαι τί καὶ παῖξαι, καὶ ἀκοῦσαι καὶ εἰπεῖν, ὃ ὁ καιρὸς παρα-
καλεῖ τοὺς συνόντας, εἰ μέλλουσι μετ᾽ ἀλλήλων ἡδέως ἔσεσθαι. καὶ γὰρ ὄψον πο-
νηρὸν ἔστι παρώσασθαι, κἂν οἶνος ᾖ φαῦλος, ἐπὶ τὰς νύμφας καταφυγεῖν. συ-
σσίτου(?) δείπνου δὲ κεφαλγὴς καὶ βαρὺς καὶ ἀνάγωγος, παντὸς μὲν οἴνου καὶ ὄψου,
πάσαν δὲ μουσουργοῦ χάριν, ἀπόλλυσι καὶ λυμαίνεται, καὶ οὐδὲ ἀποπτύσαι τὴν
τοιαύτην ἀηδίαν ἕτοιμόν ἐστιν, ἀλλ᾽ ἐνίοις εἰς ἅπαντα τὸν βίον ἐμμένει τὸ γεγο-
νὸς πρὸς ἀλλήλους δυσάρεστον, ὥσπερ αἰωλοκρασία τις ὕβρεως, ἢ ὀργῆς ἐν οἴνῳ γενο-
μένης. ὅθεν ἄριστα χίλων καλούμενος ἐχθὲς οὐ πρότερον ὡμολόγησεν, ἢ πυ-
θέσθαι τῶν κεκλημένων ἕκαστον. ἔφη γὰρ ὅτι σύμπλουν ἀγνώμονα δεῖ φέρειν
καὶ σύσκηνον, οἷς συμπλεῖν ἀνάγκη καὶ συστρατεύεσθαι, πρὸς δὲ τὸ συμπόταις
ἑαυτὸν ὡς ἔτυχε καταμιγνύειν, οὐ νοῦν ἔχοντος ἀνδρός ἐστιν. ὁ δ᾽ αἰγύπτιος σκε-
λετὸς ὃν ἐπιεικῶς εἰσφέροντες εἰς τὰ συμπόσια προτιθέντες, καὶ παρακαλοῦντες
μεμνῆσθαι τάχα δὴ τοιούτους ἐσομένους, καίπερ ἄχαρις καὶ ἄωρος ἐπικω-
μος ἥκων, ὅμως ἔχει τινὰ καιρόν, εἰ μὴ πρὸς τὸ πίνειν καὶ ἡδυπαθεῖν, ἀλλὰ
πρὸς φιλίαν καὶ ἀγάπησιν ἀλλήλων προτρέπεται, καὶ παρακαλεῖ τὸν βίον
μὴ τῷ χρόνῳ βραχὺν ὄντα πράγμασι κακοῖς, μακρὸν ποιεῖν. ἐν τοιούτοις λό-
γοις γενόμενοι καθ᾽ ὁδὸν, ἀφικόμεθα πρὸς τὴν οἰκίαν, καὶ λούσασθαι μὲν ὁ θα-
λῆς οὐκ ἠθέλησεν, ἀλήλιμμαι γὰρ εἶπεν, ἐπιὼν δὲ τούς τε δρόμους ἐθεᾶτο καὶ
τὰς παλαίστρας καὶ τὸ ἄλσος τὸ παρὰ τὴν θάλασσαν ἱκανῶς διακεκοσμημέ-
νον ὑπ᾽ οὐδενὸς, ἐκπληττόμενος τῶν τοιούτων, ἀλλ᾽ ὅπως μὴ καταφρονεῖν δο-
κοίη τοῦ περιάνδρου, μηδὲ ὑπερορᾶν τῆς φιλοτιμίας, τῶν δὲ ἄλλων τὸν ἀλει-
ψάμενον ἢ λουσάμενον οἱ θεράποντες εἰσῆγον εἰς τὸν ἀνδρῶνα διὰ τῆς στοᾶς.
ὁ δ᾽ ἀνάχαρσις ἐν τῇ στοᾷ καθῆστο, καὶ παιδίσκη προεστήκει τὴν κόμην ταῖς χερ-
σὶ διακρίνουσα, ταύτην θάλης ἐλευθεριώτατά πως αὐτῷ προσδραμοῦσαν,
ἐφίλησε, καὶ γελάσας οὕτως ἔφη· ποίει καλὸν τὸν ξένον, ὅπως ἡμερώτατος
ὢν μὴ φοβερὸς ᾖ τὴν ὄψιν ἡμῖν, μηδὲ ἄγριος. ἐμοῦ δὲ ἐρομένου περὶ τῆς
παιδὸς

...τι .Γ. Α.

κεφαλαλγὴς .Γ. Α.

παιδὸς ἥ τις εἴη, τὴν σοφὴν ἔφη καὶ περιβόητον ἀγνοεῖς εὐμῆτιν; οὕτω γὰρ ταύτην
ὁ πατὴρ αὐτῆς, οἱ δὲ πολλοὶ πατρόθεν ὀνομάζουσι κλεοβουλίνην. καὶ ὁ νειλό-
ξενος ἦπου τὴν περὶ τὰ αἰνίγματα δεινότητα καὶ σοφίαν ἔφη τῆς κόρης ἐπαι-
νεῖς, καὶ γὰρ εἰς αἴγυπτον ἔνια τῶν προβαλλομένων ὑπ᾽ αὐτῆς δίικται. οὐκ
ἔγωγε εἶπε θάλης, τούτοις γὰρ ὥσπερ ἀστραγάλοις ὅταν τύχῃ παίζουσα χρῆται,
καὶ διαβάλλεται πρὸς τοὺς ἐντυγχάνοντας, ἀλλὰ καὶ φρόνημα θαυμαστὸν
καὶ νοῦς ἔνεστι πολιτικὸς, καὶ φιλάνθρωπον ἦθος, καὶ τὸν πατέρα τοῖς πολί-
ταις πρᾳότερον ἄρχοντα παρέχει. καὶ δημοτικώτερον εἶχεν ὁ νειλόξενος
ἔφη, καὶ φαίνεται βλέποντι πρὸς τὴν λιτότητα, καὶ ἀφέλειαν αὐτῆς. ἀνά-
χερσιν(?) δὲ πόθεν οὕτω τημελεῖ φιλοστόργως. ὅτι ἔφη σώφρων ἀνήρ ἐστι, καὶ
πολυμαθὴς, καὶ τὴν δίαιταν αὐτῇ καὶ τὸν καθαρμὸν ᾧ χρῶνται σκύθαι περὶ
τοὺς κάμνοντας, ἀφθόνως καὶ προθύμως παραδέδωκε, καὶ νῦν οἶομαι περι-
έπειν αὐτὴν τὸν ἄνδρα καὶ φιλοφρονεῖσθαι, μανθάνουσάν τε καὶ προσδιαλε-
γομένην. ἤδη δὲ πλησίον οὖσιν ἡμῖν τοῦ ἀνδρῶνος, ἀπήντησεν ἀλεξίδημος ὁ
μιλήσιος, ἦν δὲ θρασυβούλου τοῦ τυράννου νόθος, καὶ ἐξῄει τεταραγμένος, καὶ
σὺν ὀργῇ τινὶ πρὸς αὑτὸν οὐδὲν ἡμῖν γε σαφὲς διαλεγόμενος. ὡς δὲ τὸν θαλῆν
εἶδε μικρὸν ἀνενεγκών, καὶ καταστὰς οἵαν ὕβριν εἶπε πρὸς ἡμᾶς περίανδρος
ὕβρικεν, ἐκπλεῦσαι μὲν οὐκ ἐάσας ὡρμημένον, ἀλλὰ προσμεῖναι δεηθεὶς τῷ δεί-
πνῳ. ἐλθόντι δὲ νέμων κλισίην ἄτιμον, αἰολεῖς δὲ καὶ νησιώτας, καὶ τίνας γὰρ
οὐχὶ θρασυβούλου προτιμῶν, θρασύβουλον γὰρ ἐν ἐμοὶ τὸν πέμψαντα προπη-
λακίσαι βουλόμενος καὶ καταλαβεῖν ὡς δὴ περιορῶν δῆλός ἐστιν. εἶτα ἔ-
φη, σὺ δέδιας μὴ καθάπερ αἰγύπτιοι τοὺς ἀστέρας ὑψώματα καὶ ταπεινώ-
ματα λαμβάνοντας ἐν τοῖς τόποις οὓς διεξίασι γίνεσθαι βελτίονας ἢ χείρο-
νας ἑαυτῶν λέγουσιν, οὕτως ἡ περὶ σὲ διὰ τὸν τόπον ἀμαύρωσις ἢ ταπείνω-
σις γένηται, καὶ τοῦ λάκωνος ἔσῃ φαυλότερος, ὃς ἐν χορῷ τινι καταστα θεὶς ἐς
τὴν ἐσχάτην χώραν ὑπὸ τοῦ ἄρχοντος, εὖγε εἶπεν ἐξεῦρες· ὡς καὶ αὕτα ἔντιμος
γένηται. οὐ καταλαβόντας ἔφη τόπον μετὰ τίνας κατακείμεθα, μᾶλλον δὲ
ὅπως εὐάρμοστοι τοῖς κατακειμένοις ὦμεν, ἀρχὴν καὶ λαβὴν φιλίας εὐθὺς
ἐν αὐτοῖς δηλοῦντες, μᾶλλον δὲ ἔχοντες τὸ μὴ δυσκολαίνειν, ἀλλ᾽ ἐπαινεῖν ὅτι
τοιούτοις συγκατεκλίθημεν, ὡς ὅ, γε τὸ τόπῳ κλισίας δυσχεραίνων, δυσχεραίνει τῷ
συγκλίτῃ μᾶλλον ἢ τῷ κεκληκότι, καὶ πρὸς ἀμφοτέρους ἀπεχθάνεται. λό-
γος ἔφη ταῦτα ἄλλως ἐστὶν ὁ ἀλεξίδημος, ἔργῳ δὲ καὶ τοὺς σοφοὺς ὑμᾶς ὁρῶ, τὸ
τιμᾶσθαι διώκοντας, καὶ ἅμα παραμειψάμενος ἡμᾶς ἀπῆλθε, καὶ ὁ θάλης
πρὸς ἡμᾶς τὴν ἀτοπίαν τοῦ ἀνθρώπου θαυμάζοντας ἔμπληκτος ἔφη καὶ ἀλλό-
κοτος φύσει, ἐπεὶ καὶ μειράκιον ἔτι μύρου σπουδαίου θρασυβούλῳ κομισθέντος,
εἰς ψυκτῆρα κεράσας μέγαν, καὶ προσεγχέας ἄκρατον, ἐξέπιεν, ἔχθραν ἀντὶ
φιλίας διαπεπραγμένος. ἐκ τούτου περιελθὼν ὑπηρέτης κελεύει σε περί-
ανδρος ἔφη, καὶ θαλῆν παραλαβόντα τοῦτον ἐπισκέψασθαι τὸ κεκομισμένον
ἀρτίως αὐτῷ, πότερον ἄλλως γέγονεν, ἢ τί σημεῖόν ἐστι καὶ τέρας. αὐτὸς μὲν
γὰρ ἔοικε τεταράχθαι σφόδρα μίασμα καὶ κηλίδα τῆς θυσίας ἡγούμενος, ἅ-
μα δὲ ἀπῆγεν ἡμᾶς εἴς τι οἴκημα τῶν περὶ τὸν κῆπον, ἐνταῦθα νεανίσκος, ὡς ἐφαί-
νετο νομευτικὸς οὔπω γενειῶν, ἄλλως τε καὶ τὸ εἶδος οὐκ ἀγεννὴς, ἀναπτύξας
τινὰ διφθέραν, ἔδειξεν ἡμῖν βρέφος, ὡς ἔφη γεγονὸς ἐξ ἵππου, τὰ μὲν ἄνω μέ-
χρι τοῦ τραχήλου καὶ τῶν χειρῶν ἀνθρωπόμορφον, τὰ λοιπὰ δὲ ἔχον ἵππου,
τῇ δὲ φωνῇ καθάπερ τὰ νεογνὰ παιδάρια κλαυθμυριζόμενον. ὁ μὲν οὖν
νειλόξενος ἀλεξίκακε εἰπὼν ἀπεστράφη τὴν ὄψιν. ὁ δὲ θάλης προσέβαλε τῷ

ἀστραγάλοις .Γ. Α.

νεανίσκῳ πολὺν χρόνον, εἶτα μειδιάσας, εἰώθει δ' ἀεὶ παίζειν πρὸς ἐμὲ περὶ τῆς
τέχνης, ἤπου τὸν καθαρμὸν ὦ διόκλεις ἔφη κινεῖν διανοῇ; καὶ παρέχειν πράγ-
ματα τοῖς ζοπαίοις, ὥς τινος δεινοῦ καὶ μεγάλου συμβάντος; τί δὲ εἶπον οὐ μέλ-
λω, στάσεως γὰρ ὦ θαλῆ καὶ διαφορᾶς τὸ σημεῖόν ἐστι, καὶ δέδια μὴ μέχρι γάμου
καὶ γενεᾶς ἐξίκηται, πρὶν ἢ τὸ πρῶτον ἐξιλάσασθαι μήνιμα τῆς θεοῦ, δευτέρου
ὡς ὁρᾷς προφαινούσης. πρὸς τοῦτο μηδὲν ἀποκρινόμενος ὁ θαλῆς, ἀλλὰ γε-
λῶν ἀπηλλάττετο. καὶ τοῦ περιάνδρου πρὸς ταῖς θύραις ἀπαντήσαντος ἡμῖν καὶ
διαπυθομένου περὶ ὧν εἴδομεν, ἀφεὶς ὁ θαλῆς με καὶ λαβόμενος τῆς ἐκείνου χει-
ρὸς, ἐφ' ἃ μὲν διοκλῆς κελεύει, δράσεις καθ' ἡσυχίαν. ἐγὼ δέ σοι παραινῶ, ἢ θέ-
σω τὸ μὴ χρῆσθαι νομεῦσιν ἵππων ἢ διδόναι γυναῖκας αὐτοῖς. ἔδοξε μὲν οὖν
μοι τῶν λόγων ἀκούσας ὁ περίανδρος ἡσθῆναι σφόδρα, καὶ γοῦν ἐξεγέλασε, καὶ τὸν
θαλῆν περιλαβὼν κατησπάσατο. κἀκεῖνος, οἶμαι δ' εἶπεν ὦ διόκλεις καὶ πέρας
ἔχει τὸ σημεῖον. ὁρᾷς γὰρ ἡλίκον κακὸν γέγονεν ἡμῖν, ἀλεξίδημον συνδειπνεῖν μὴ
θελήσαντος; ἐπεὶ δὲ εἰσήλθομεν μεῖζον ἤδη ὁ θαλῆς φθεγξάμενος, ποῦ δὲ
εἶπεν ὁ ἀνὴρ κατακλινάμενος ἐδυσχέραινεν, ἀποδειχθείσης δὲ τῆς χώρας, περι-
ελθὼν ἐκεῖ κατέκλινεν ἑαυτὸν καὶ ἡμᾶς. ἀλλὰ κἂν ἐπριάμην εἰπὼν, ἀρδάλῳ
κοινωνεῖν μιᾶς τραπέζης. ἦν δὲ τροιζήνιος ὁ ἄρδαλος αὐλῳδὸς καὶ ἱερεὺς τῶν ἀρ-
δαλίων μουσῶν, ἃς ὁ παλαιὸς ἄρδαλος ἱδρύσατο ὁ τροιζήνιος. ὁ δὲ αἰσώ-
πος, ἐτύγχανε γὰρ ὑπὸ κροίσου νεωστὶ πρός τε περίανδρον ἅμα καὶ πρὸς τὸν θε-
ὸν εἰς δελφοὺς ἀπεσταλμένος, καὶ παρῆν ἐπὶ δίφρου τινὸς χαμαιζήλου παρὰ τὸν
σόλωνα καθήμενος, ἄνω κατακείμενον, ἡμίονος δ' ἔφη λυδὸς ἐν ποταμῷ τὴν
ὄψεως ἑαυτοῦ κατιδὼν εἰκόνα, καὶ θαυμάσας τὸ κάλλος τε καὶ τὸ μέγεθος τοῦ
σώματος, ὥρμησε θεῖν ὥσπερ ἵππος ἀναχαιτίσας, εἶτα μέντοι συμφρονήσας
ὡς ὄνου υἱὸς εἴη, κατέπαυσε ταχὺ τὸν δρόμον, καὶ ἀφῆκε τὸ φρύαγμα καὶ τὸν θυ-
μόν. ὁ δὲ χίλων λακωνίσας τῇ φωνῇ καὶ τύνη ἔφη βραδὺς καὶ ζέχεις τὸν ἡμί-
ονον. ἐκ τούτου παρῆλθε μὲν ἡ μέλιττα, καὶ κατεκλίθη περὶ τὸν περίανδρον.
ἡ δὲ εὐμῆτις ἐκάθισε παρὰ τὸ δειπνεῖν, καὶ ὁ θαλῆς ἐμὲ προσαγορεύσας ἐπάνω
τοῦ βίαντος κατακείμενον, τί δὲ οὐκ ἔφρασας εἶπεν ὦ διόκλεις βίαντι τὸν ναυ-
κρατίτην ξένον ἥκοντα μετὰ προβλημάτων βασιλικῶν αὖθις ἐπ' αὐτὸν ὅπως
νήφων καὶ προσέχων ἑαυτῷ τὸν λόγον δέχηται. καὶ ὁ βίας, ἀλλ' οὗτος μὲν
ἔφη πάλαι δεδίττεται ταῦτα παρακελευόμενος, ἐγὼ δὲ τὸν διόνυσον οἶδα τά
τε ἄλλα δεινὸν ὄντα, καὶ λύσιον ὑπὸ σοφίας προσαγορευόμενον, ὥστε οὐ δέδια
τοῦ θεοῦ μεστὸς γενόμενος, μὴ ἀθαρσέστερον ἀγωνίσωμαι. τοιαῦτα μὲν ἐκεῖνοι
πρὸς ἀλλήλους ἅμα δειπνοῦντες ἔπαιζον. ἐμοὶ δὲ τὸ δεῖπνον εὐτελέστερόν τι
τοῦ συνήθους ὁρῶντι, ἐννοεῖν ἐπῄει πρὸς ἐμαυτὸν, ὡς σοφῶν καὶ ἀγαθῶν ἀν-
δρῶν ἀποδοχὴ καὶ κλῆσις οὐδεμίαν προστίθησι δαπάνην, ἀλλὰ συστέλλει μᾶλ-
λον ἀφαιροῦσα περιεργίας ὄψων, καὶ μύρα ξενικὰ καὶ πέμματα, καὶ πολυτε-
λῶν οἴνων διαχύσεις, οἷς καθ' ἡμέραν χρώμενος ἐπιεικῶς ὁ περίανδρος ἐν τυραν-
νίδι καὶ πλούτῳ καὶ πράγμασι, τότε πρὸς τοὺς ἄνδρας ἐκαλλωπίζετο λιτό-
τητι καὶ σωφροσύνῃ δαπάνης. οὐ γὰρ μόνον τῶν ἄλλων, ἀλλὰ καὶ τῆς γυναι-
κὸς ἀφελὼν καὶ ἀποκρύψας τὸν συνήθη κόσμον, ἐπεδείκνυε σὺν εὐτελείᾳ καὶ πρᾳ-
ότητι κεκοσμημένην. ἐπεὶ δὲ ἐπήρθησαν αἱ τράπεζαι καὶ στεφάνων παρὰ
τῆς μελίττης διαδοθέντων, ἡμεῖς μὲν ἐσπείσαμεν, ἡ δὲ αὐλητρὶς ἐπιφθεγξαμέ-
νη μικρὰ ταῖς σπονδαῖς, ἐκ μέσου μετέστη. προσαγορεύσας τὸν ἀνάχαρσιν ὁ ἄρ-
δαλος ἠρώτησεν εἰ παρὰ σκύθαις αὐλητρίδες εἰσίν. ὁ δ' ἐκ τοῦ προστυχόντος,
οὐδ' ἄμπελοι εἶπε. τοῦ δ' ἀρδάλου πάλιν εἰπόντος, ἀλλὰ θεοί γε σκύθαις εἰσίν,
πάνυ

πάνυ μὲν οὖν ἔφη γλώσσης ἀνθρωπίνης συνιέντες, οὐχ ὥσπερ δ' οἱ ἕλληνες οἰόμενοι σκυ-
θῶν διαλέγεσθαι βέλτιον. ὅμως τοὺς θεοὺς ὀστέων καὶ ξύλων ἥδιον ἀκροᾶσθαι νο-
μίζουσιν. ὁ δ' αἴσωπος εἶγε εἶπεν εἰδείης ὦ ξένε τοὺς νῦν αὐλοποιοὺς ὡς προέμε-
νοι τὰ νεβρεῖα χρώμενοι τοῖς ὀνείοις, βέλτιον ἠχεῖν λέγουσιν. διὸ καὶ κλεοβούλινη
πρὸς τὸν φρύγιον αὐλὸν νεβρογόνος κνήμη κεραοφόρον οὖας ἦξε θαυμάζειν ἐκ τῆς
κρούσεως. ὥστε θαυμάζειν τὸν ὄνον εἰ παχύτατος καὶ ἀμουσότατος ὢν, τἄλλα λε-
πτότατον καὶ μουσικώτατον ὀστέον παρέχεται. καὶ ὁ νειλόξενος ἀμέλει ταῦτα
ἔφη καὶ ἡμῖν τοῖς ναυκρατίαις ἐγκαλοῦσι βουσιρῖται, χρώμεθα γὰρ ἤδη τοῖς ὀνείοις εἰς
τὸν αὐλὸν, ἐκείνοις δὲ καὶ σάλπιγγος ἀκούειν ἀθέμιτον, ὡς ὄνῳ φθεγγομένης ὅ-
μοιον, ὄνον δ' ὑπ' αἰγυπτίων ἴστε δή που διὰ τυφῶνα προπηλακιζόμενον. γε-
νομένης δὲ σιωπῆς, ὁ περίανδρος περιορῶν βουλόμενον μὲν, ὀκνοῦντα δὲ ἄρξασθαι
τοῦ λόγου τὸν νειλόξενον, ἐγώ τοι εἶπεν ὦ ἄνδρες ἐπαινῶ καὶ πόλεις καὶ ἄρχον-
τας, ὅσοι ξένοις πρῶτον, εἶτα πολίταις χρηματίζουσι. καὶ νῦν δοκεῖ μοι τοὺς
μὲν ἡμετέρους λόγους οἷον ἐπιχωρίους καὶ συνήθεις βραχὺν χρόνον ἐπισχεῖν, πρό-
σοδον δ' ὥσπερ ἐκκλησίᾳ δοῦναι τοῖς αἰγυπτίοις ἐκείνοις καὶ βασιλικοῖς, οὓς ὁ
βέλτιστος ἥκει κομίζων νειλόξενος βίαντι, βίας δὲ βούλεται κοινῇ σκέψασθαι
μεθ' ἡμῶν. καὶ ὁ βίας ποῦ γὰρ ἢ μετὰ τίνων ἔφη προθυμότερον ἄν τις ἀπο-
κινδυνεύσειεν, εἰ δεῖ πρὸς τοιαύτας ἀποκρίσεις, ἄλλως τε τοῦ βασιλέως κελεύ-
οντος ἄρξασθαι μὲν ἀπ' ἐμοῦ, περιελθεῖν δ' εἰς ἅπαντας ἡμᾶς τὸν λόγον.
οὕτω δὴ παρεδίδου μὲν αὐτῷ τὸ γραμματεῖον, ὁ νειλόξενος δὲ αὐτὸν ἐκέλευσε
λύσαντα πάντα πᾶσιν ἐς μέσον ἀναγνῶναι, διάνοιαν δὲ τοιαύτην εἶχε τὰ γε-
γραμμένα. βασιλεὺς αἰγυπτίων ἄμασις λέγει βίαντι σοφωτάτῳ ἑλλήνων,
βασιλεὺς αἰθιόπων ἔχει πρὸς ἐμὲ σοφίας ἅμιλλαν, ἡττώμενος δὲ τοῖς ἄλλοις,
τὸ πᾶσι συντέθεικεν ἄτοπον ἐπίταγμα καὶ δεινὸν, ἐκπιεῖν με κελεύων τὴν θά-
λασσαν, ἔστι δὲ λύσαντι μὲν ἔχειν κώμας τε πολλὰς, καὶ πόλεις τῶν ἐκείνου, μὴ
λύσαντι δὲ ἄστεων τῶν περὶ ἐλεφαντίνην ἀποστῆναι. σκεψάμενος οὖν εὐθὺς ἀπό- [marginal note, handwritten: ἀπόπεμπε. Δ.]
πεμπε νειλόξενον, ἃ δεῖ φίλοις σοῖς ἢ πολίταις γενέσθαι παρ' ἡμῶν, οὐ ταμά-
κω λύσει. τούτων ἀναγνωσθέντων οὐ πολὺν χρόνον ἐπισχὼν ὁ βίας, ἀλλὰ μι-
κρὰ μὲν αὐτὸς πρὸς αὐτῷ γενόμενος, μικρὰ δὲ τῷ κλεοβούλῳ προσομιλήσας
ἐγγὺς κατακειμένῳ, τί λέγεις εἶπεν ὦ ναυκρατῖτα, βασιλεύων τοσούτων ἀνθρώ-
πων ἄμασις, κεκτημένος δὲ χώραν ἀρίστην τοσαύτην, ἐθελήσει ἐπὶ κώμαις ἀδό-
ξοις καὶ λυπραῖς ἐκπιεῖν θάλασσαν; ὁ νειλόξενος γελάσας, ὡς θέλοντος αὐτοῦ
εἶπεν ὦ βία σκόπει τὸ δυνατόν. φραζέτω τοίνυν ἔφη τῷ αἰθίοπι τοὺς ἐμβάλ-
λοντας εἰς τὰ πελάγη ποταμοὺς ἐπισχεῖν ἕως αὐτὸς ἐκπίνῃ τὴν νῦν οὖσαν θά-
λασσαν, περὶ ταύτης γὰρ τὸ ἐπίταγμα γέγονεν οὐ τῆς ὕστερον ἐσομένης. ὡς δὲ
ταῦτα εἶπεν ὁ βίας, ὁ μὲν νειλόξενος ὑφ' ἡδονῆς ὥρμησε περιβάλλειν τὸν βίαν-
τα καὶ φιλῆσαι, τῶν δὲ ἄλλων ἐπαινεσάντων καὶ ἀποδεξαμένων, γελάσας ὁ
χίλων, ὦ ναυκρατῖτα ἔφη ξένε, πρὶν ἀπολύσασθαι τὴν θάλασσαν ἐκποθεῖσαν,
ἀπάγγελλε πλεύσας ἀμάσιδι, μὴ ζητεῖν ὅπως ἁλμυρὰν ἀναχώσῃ τοσαύτην, ἀλλὰ
μᾶλλον ὅπως πότιμον καὶ γλυκεῖαν τοῖς ὑπηκόοις παρέξῃ τὴν βασιλείαν, περὶ
ταῦτα δεινότατος βίας γὰρ καὶ διδάσκαλος τούτων ἄριστος, ἃ μαθὼν ἄμασις οὐ-
δὲν ἔτι τοῦ χρυσοῦ δεήσεται ποδονιπτῆρος ἐπὶ τοὺς αἰγυπτίους, ἀλλὰ θερα-
πεύσουσι πάντες αὐτὸν καὶ ἀγαπήσουσι χρηστὸν ἐόντα, κἂν μυριάκις ἢ νῦν ἀπεχθα-
νὴ δυσμενέστατος. καὶ μὴν ἔφη ὁ περίανδρος ἄξιόν γε τοιαύτας ἀπαρχὰς
τῷ βασιλεῖ συνεισενεγκεῖν, ἅπαντας ἀνδρικῶς ὥσπερ ἔφησεν ὅμηρος, ἐκείνῳ
τε γὰρ ἂν γένοιτο πλείονος ἀξία τῆς ἐμπορείας ἡ παραθήκη, καὶ ἡμῖν αὐτοῖς

[marginal note, handwritten, at the line "ἔφη καὶ ἡμῖν τοῖς ναυκρατίαις": ναυκρατίταις. Γ. Δ.]

πάντων ὠφέλιμος. εἰπόντος οὖν τοῦ Χίλωνος, ὁ Σόλων κατάρχεσθαι τοῦ λόγου δίκαιός ἐστιν, οὐ μόνον ὅτι πάντων προήκει καθ' ἡλικίαν, καὶ τυγχάνει κατακείμενος πρῶτος, ἀλλ' ὅτι τὴν μεγίστην καὶ τελειοτάτην ἀρχὴν ἄρχει, νόμους Ἀθηναίοις θέμενος. ὁ οὖν Νειλόξενος ἡσυχῇ πρὸς ἐμέ, πολλά γε εἶπεν ὦ Διόκλεις πιστεύεται ψευδῶς, καὶ χαίρουσι πολλοί, λόγους ἀνεπιτηδείους τῶν σοφῶν ἀνδρῶν αὐτοί τε πλάττοντες καὶ δεχόμενοι παρ' ἑτέρων ἑτοίμως, οἷα καὶ πρὸς ἡμᾶς εἰς Αἴγυπτον ἀπηγγέλη τοῦ Χίλωνος· ὡς ἄρα διαλύσαιτο τὴν πρὸς Σόλωνα φιλίαν καὶ ξενίαν, ὅτι τοὺς νόμους ὁ Σόλων ἔφη μετακινητοὺς εἶναι, καὶ ἐγὼ γελοῖος ἔφην ὁ λόγος, οὕτω γὰρ δεῖ πρότερον ἀποσιεῖσθαι τὸν Λυκοῦργον αὐτοῖς νόμοις, ὅλην μὲν κινήσαντα τὴν Λακεδαιμονίων πολιτείαν. μικρὸν οὖν ἐπισχὼν ὁ Σόλων, ἐμοὶ μὲν οὖν ἔφη δοκεῖ μάλιστ' ἔνδοξος γενέσθαι καὶ βασιλεὺς καὶ τύραννος, εἰ δημοκρατίαν ἐκ μοναρχίας κατασκευάσειε τοῖς πολίταις. δεύτερος δ' ὁ Βίας εἶπεν, εἰ πρῶτος χρῷτο τοῖς νόμοις τῆς πατρίδος. ἐπὶ τούτῳ δὲ Θαλῆς ἔφησεν εὐδαιμονίαν ἄρχοντος νομίζειν, εἰ τελευτήσει γηράσας κατὰ φύσιν. τέταρτος Ἀνάχαρσις εἰ μόνος εἴη φρόνιμος. πέμπτος δὲ Κλεόβουλος εἰ μηδενὶ πιστεύοι τῶν συνόντων. ἕκτος δὲ ὁ Πιττακός, εἰ τοὺς ὑπηκόους ὁ ἄρχων παρασκευάσειε φοβεῖσθαι μὴ αὐτόν, ἀλλ' ὑπὲρ αὐτοῦ. μετὰ τοῦτον ὁ Χίλων ἔφη τὸν ἄρχοντα χρῆναι μηδὲν φρονεῖν θνητόν, ἀλλὰ πάντα ἀθάνατα. ῥηθέντων δὲ τούτων ἠξιοῦμεν ἡμεῖς καὶ αὐτὸν εἰπεῖν τι τὸν Περίανδρον. ὁ δέ, οὐ μάλα φαιδρὸς ἀλλὰ συστήσας τὸ πρόσωπον, ἐγὼ τοίνυν ἔφη προσαποφαίνομαι τὰς εἰρημένας γνώμας ἁπάσας σχεδὸν ἀφεστάναι τοῦ ἄρχειν τὸν νοῦν ἔχοντα. καὶ ὁ Αἴσωπος οἷον ἐλεγκτικός, ἔδει τοίνυν ἔφη τοῦτο καθ' ἑαυτοὺς περαίνειν, καὶ μὴ συμβούλους φάσκοντας εἶναι, καὶ φίλους κατηγόρους γίνεσθαι τῶν ἀρχόντων. ἁψάμενος οὖν αὐτοῦ τῆς κεφαλῆς ὁ Σόλων, καὶ μειδιάσας εἶπεν, οὐκ ἂν δοκῇς μετριώτερον ἄρχοντα ποιεῖν καὶ τύραννον ἐπιεικέστερον, ὁ πείθων, ὡς ἄμεινον εἴη τὸ μὴ ἄρχειν ἢ τὸ ἄρχειν. τίς δ' ἂν ἔφη σοὶ τοῦτο πεισθείη, ἢ τῷ θεῷ φράσαντι κατὰ τὸν πρὸς σὲ χρησμόν· εὔδαιμον πτολίεθρον ἑνὸς κήρυκος ἀκούει. καὶ ὁ Σόλων ἀλλὰ μὴν ἔφη καὶ νῦν Ἀθηναῖοι ἑνὸς κήρυκος ἀκροῶνται, καὶ ἄρχοντος τοῦ νόμου, δημοκρατίαν ἔχοντες, σὺ δὲ δεινὸς εἶ κοράκων ἐπαΐειν, καὶ κολοιῶν, τῆς δὲ σοῦ φωνῆς οὐκ ἀκριβῶς ἐξακούεις, ἀλλὰ πόλιν μὲν οἴει κατὰ θεὸν ἄριστα πράττειν τὴν ἑνὸς ἀκούουσαν, συμποσίου δὲ ἀρετὴν νομίζεις τὸ πάντας διαλέγεσθαι καὶ περὶ πάντων. σὺ γὰρ ἔφη ὁ Αἴσωπος οὔπω γέγραφας ὅτι ὅμοιον οἰκέτας μὴ μεθύειν, ὡς ἔγραψας Ἀθήνησιν οἰκέτας μὴ ἐρᾶν, μὴ δὲ ξηραλοιφεῖν. γελάσαντος οὖν τοῦ Σόλωνος, Κλεόδωρος ὁ ἰατρός, ἀλλ' ὅμοιον ἔφη τὸ ξηραλοιφεῖν τῷ λαλεῖν ἐν οἴνῳ βρεχόμενον, ἥδιστον γάρ ἐστι. καὶ ὁ Χίλων ὑπολαβὼν ἔφη, διὰ τοῦτό τοι μᾶλλον ἀφεκτέον αὐτοῦ. πάλιν δὲ ὁ Αἴσωπος καὶ μὴν ἔφη, Θαλῆς ἔδοξεν εἰπεῖν ὅτι τάχιστα γηράσει. γελάσας οὖν ὁ Περίανδρος ἔχομεν εἶπεν Αἴσωπε τὴν δίκην προσηκόντως, ὅτι πρὶν ἢ τοὺς Ἀμάσιδος προελόμεθα πάντας εἰσαγαγεῖν λόγους εἰς ἑτέρους ἐμπεσόντες, ὅρα δὴ Νειλόξενε τὰ λοιπὰ τῆς ἐπιστολῆς, καὶ χρῶ παροῦσιν ἐν τούτῳ τοῖς ἀνδράσιν. ἀλλὰ μὴν ὁ Νειλόξενος ἔφη, τὴν μὲν τοῦ Αἰθίοπος ἐπίταξιν οὐδὲν ἄν τις ἄλλο πλὴν ἀχνυμένην σκυτάλην προσείποι κατ' Ἀρχίλοχον. ὁ δὲ σὸς ξένος Ἄμασις ἡμερώτερος ἐν τοῖς τοιούτοις προβλήμασι καὶ μουσικώτερος γέγονεν, ἐκέλευσε γὰρ αὐτὸν εἰπεῖν τὸ πρεσβύτατον, καὶ τὸ κάλλιστον καὶ τὸ μέγιστον, καὶ τὸ σοφώτατον, καὶ τὸ κοινότατον, καὶ ναὶ μὰ Δία πρὸς τούτοις τὸ ὠφελιμώτατον, καὶ βλαβερώτατον, καὶ τὸ ἰσχυρότατον, καὶ τὸ ῥᾷστον εἰπεῖν. ἆρ' οὖν ἀπεκρίνατο καὶ διέλυσε τούτων ἕκαστον; οὕτως ὁ Νειλόξενος ἔφη

νος ἔφη· κρίνετε δὲ ὑμεῖς ἀκούσαντες. περὶ πολλοῦ γοῦν ὁ βασιλεὺς ποιεῖται, μήτε συκοφαντῶν ἁλῶναι τὰς ἀποκρίσεις, εἴτε τι σφάλλεται κατὰ ταύτας ἀποκρινάμενος, τοῦτο μὴ διαφυγεῖν ἀνεξέλεγκτον, ἀναγνώσομαι δὲ ὑμῖν ὥσπερ ἀπεκρίνατο. τί πρεσβύτατον, χρόνος. τί μέγιστον, κόσμος. τί σοφώτατον, ἀλήθεια. τί κάλλιστον, φῶς. τί κοινότατον, θάνατος. τί ὠφελιμώτατον, θεός. τί βλαβερώτατον, δαίμων. τί ῥωμαλεώτατον, τύχη. τί ῥᾷστον, ἡδύ. τούτων πάλιν ἀναγνωσθέντων ὦ Νίκαρχε, γενομένης σιωπῆς, Θαλῆς ἠρώτησε τὸν Νειλόξενον, εἰ προσήκατο τὰς λύσεις ὁ Ἄμασις. ἐκείνου δὲ εἰπόντος ὅτι τὰς μὲν ἀπεδέξατο, ταῖς δὲ ἐδυσκόλαινε, καὶ μὴν εἶπεν ὁ Θαλῆς ἀνεπίληπτον οὐδέν ἐστιν, ἀλλ' ἔχει πάντα διαμαρτίας μεγάλας, καὶ ἀγνοίας, οἷον εὐθὺς ὁ χρόνος πῶς ἂν εἴη πρεσβύτατον, εἰ τὸ μὲν αὐτοῦ γεγονός, τὸ δὲ ἐνεστώς ἐστι, τὸ δὲ μέλλον. ὁ γὰρ μεθ' ἡμᾶς ἐσόμενος χρόνος καὶ πραγμάτων τῶν νῦν καὶ ἀνθρώπων νεώτερος ἂν φανείη. τὸ δὲ τὴν ἀλήθειαν ἡγεῖσθαι σοφίαν, οὐδὲν ἐμοὶ δοκεῖ διαφέρειν τοῦ τὸ φῶς ὀφθαλμὸν ἀποφαίνειν, εἰ δὲ τὸ φῶς ὥσπερ καλόν ἐστιν ἐνόμιζε, πῶς τὸν ἥλιον αὐτὸν παρεῖδε. τῶν δὲ ἄλλων ἡ μὲν περὶ θεῶν καὶ δαιμόνων ἀπόκρισις, θράσος ἔχει καὶ κίνδυνον, ἀλογίαν δὲ καὶ πολλὴν ἡ περὶ τῆς τύχης. οὐ γοῦν ἂν μετέπιπτε ῥᾳδίως, οὕτως ἰσχυρότατον οὖσα τῶν ὄντων καὶ ῥωμαλεώτατον. οὐ μὴν οὐδὲ θάνατος κοινόν ἐστιν, οὐ γάρ ἐστι πρὸς τοὺς ζῶντας, ἀλλ' ἵνα μὴ δοκῶμεν εὐθύνειν τὰς τῶν ἑτέρων ἰδίας ἀποφάσεις, ταῖς ἐκείνου παραβάλλωμεν, ἐμαυτὸν δὲ παρέχω πρῶτον εἰ βούλεται Νειλόξενος ἐρωτᾶν καθ' ἕκαστον. ὡς οὖν ἐγένοντο τότε, κἀγὼ νῦν διηγήσομαι τὰς ἀποκρίσεις καὶ τὰς ἐρωτήσεις. τί πρεσβύτατον, θεὸς ἔφη Θαλῆς· ἀγέννητον γάρ ἐστι. τί μέγιστον, τόπος· τὰ ἄλλα μὲν γὰρ ὁ κόσμος, τὸν δὲ κόσμον οὗτος περιέχει. τί κάλλιστον, κόσμος· πᾶν γὰρ τὸ κατὰ τάξιν τούτου μέρος ἐστί. τί σοφώτατον, χρόνος· τὰ μὲν γοῦν εὕρηκεν οὗτος ἤδη, τὰ δὲ εὑρήσει. τί κοινότατον, ἐλπίς· καὶ γὰρ οἷς ἄλλο μηδέν, αὕτη πάρεστι. τί ὠφελιμώτατον, ἀρετή· καὶ γοῦν τἆλλα τῷ χρῆσθαι καλῶς, ὠφέλιμα ποιεῖ. τί βλαβερώτατον, κακία· καὶ γοῦν τὰ πλεῖστα βλάπτει παραγενομένη. τί ἰσχυρότατον, ἀνάγκη· μόνον γὰρ ἀνίκητον. τί ῥᾷστον, τὸ κατὰ φύσιν· ἐπεὶ πρὸς ἡδονάς γε πολλάκις ἀπαγορεύουσιν. ἀποδεξαμένων δὲ πάντων τὸν Θαλῆν, ὁ Κλεόδημος εἶπεν, τοιαῦτα ἐρωτᾶν καὶ ἀποκρίνασθαι βασιλεῦσιν ὦ Νειλόξενε προσῆκόν ἐστιν. ὁ δὲ προπίνων τὴν θάλατταν Ἀμάσιδι βάρβαρος, ἐδεῖτο τῆς Πιττακοῦ βραχυλογίας, ᾗ πρὸς Ἀλυάττην ἐχρήσατο προστάττοντά τι καὶ γράφοντα Λεσβίοις, ὑπερήφανον ἀποκρινάμενος οὐδέν, ἀλλ' ἢ μόνον κελεύσας κρόμμυα καὶ θερμὸν ἄρτον ἐσθίειν. ὑπολαβὼν οὖν ὁ Περίανδρος, ἀλλὰ μὴν καὶ τοῖς παλαιοῖς Ἕλλησιν ἔθος ἦν ὦ Κλεόδημε τοιαύτας ἀλλήλοις ἀπορίας προβάλλειν. ἀκούομεν γὰρ ὅτι καὶ πρὸς τὰς Ἀμφιδάμαντος ταφὰς εἰς Χαλκίδα τῶν τότε σοφῶν οἱ δοκιμώτατοι ποιηταὶ συνῆλθον, ἦν δὲ ὁ Ἀμφιδάμας ἀνὴρ πολιτικός, καὶ πολλὰ πράγματα παρασχὼν Ἐρετριεῦσιν ἐν ταῖς περὶ Ληλάντου μάχαις ἔπεσεν, ἐπεὶ δὲ τὰ παρεσκευασμένα τοῖς ποιηταῖς ἔπη χαλεπὴν καὶ δύσκολον ἐποίει τὴν κρίσιν, διὰ τὸ ἐφάμιλλον, ἥ τε δόξα τῶν ἀγωνιστῶν Ὁμήρου καὶ Ἡσιόδου πολλὴν ἀπορίαν μετὰ αἰδοῦς τοῖς κρίνουσι παρεῖχεν, ἐτράποντο πρὸς τοιαύτας ἐρωτήσεις, καὶ προὔβαλομεν ὥς φησι Λέσχης·

Μοῦσά μοι ἔννεπε κεῖνα τὰ μήτ' ἐγένοντο πάροιθεν, μήτ' ἔσται μετόπισθεν,

ἀπεκρίνατο δὲ Ἡσίοδος ἐκ τοῦ παρατυχόντος,

ἀλλ' ὅταν ἀμφὶ Διὸς τύμβῳ καναχήποδες ἵπποι ἅρματα συντρίψωσιν ἐπειγόμενοι περὶ νίκης,

καὶ διὰ τοῦτο λέγεται μάλιστα θαυμασθεὶς τοῦ τρίποδος τυχεῖν. τί δὲ ταῦτα ὁ Κλεόδημος εἶπε διαφέρει τῶν Εὐμητίδος αἰνιγμάτων, ἃ ταύτῃ μὲν ἴσως οὐκ ἀπρεπές ἐστι παίζουσαν καὶ διαπλέ

κουσαν ὥσπερ ἑταῖραι ζώνια, καὶ κεκρυφάλους προβάλλειν ταῖς γυναιξὶν, ἄν-
δρας δὲ νοῦν ἔχοντας ἐν τινι σπουδῇ τίθεσθαι γελοῖον. ἡ μὲν οὖν εὔμητις
ἡδέως ἂν εἰποῦσά τι πρὸς αὐτὸν, ὡς ἐφαίνετο, κατέσχεν ἑαυτὴν ὑπ' αἰδοῦς, καὶ
ἀνεπλήσθη τὸ πρόσωπον ἐρυθήματος. ὁ δὲ αἴσωπος, οἷον ἀμυνόμενος ὑπὲρ
αὐτῆς, οὐ γελοιότερον οὖν εἶπε τὸ μὴ δύνασθαι ταῦτα διαλύειν; οἷόν ἐστιν ὃ μικρὸν
ἔμπροσθεν ἡμῖν τοῦ δείπνου προὔβαλεν, ἄνδρα εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολ-
λήσαντα, τί τοῦτ' ἐστιν ἔχοις ἂν εἰπεῖν; ἀλλ' οὐδὲ μαθεῖν δέομαι ἔφη ὁ κλεόδη-
μος. καὶ μὴν οὐδεὶς ἔφη σε τοῦτο μᾶλλον οἶδεν, οὐδὲ ποιεῖ βέλτιον, εἰ δὲ ἀρνῇ, μάρ-
τυρας ἔχω σικυωνίας. ὁ μὲν οὖν κλεόδημος ἐγέλασε, καὶ γὰρ ἐχρῆτο μάλι-
στα ταῖς σικυωνίαις τῶν καθ' αὐτὸν ἰατρῶν, καὶ δόξαν οὐχ ἥκιστα τὸ βοήθημα
τοῦτο δι' ἐκεῖνον ἔσχηκε. μνησίφιλος δὲ ὁ ἀθηναῖος ἑταῖρος ὢν καὶ ζηλωτὴς σό-
λωνος, ἐγώ τοι εἶπεν ὦ περίανδρε τὸν λόγον ἀξιῶ καθάπερ τὸν οἶνον μὴ πλου-
τίνδην, μὴ δὲ ἀριστίνδην, ἀλλ' ἐξ ἴσου πᾶσιν ὥσπερ ἐν δημοκρατίᾳ νέμεσθαι καὶ
κοινὸν εἶναι, τῶν δὲ ἄρτι περὶ ἀρχῆς καὶ βασιλείας εἰρημένων οὐδὲν ἡμῖν τοῖς
δημοτικοῖς μέτεστιν, ὅθεν οἰόμεθα δεῖν πάλιν ἕκαστον ὑμῶν περὶ πολιτείας ἰσο-
νόμου γνώμην τινὰ συμβαλέσθαι ἀρξαμένους αὖθις ἀπὸ σόλωνος. ἔδοξε δὴ
ταῦτα ποιεῖν, καὶ πρῶτος ὁ σόλων, ἀλλ' ἀκήκοας μὲν εἶπεν ὦ μνησίφιλε μετὰ
πάντων ἀθηναίων ἣν ἔχω γνώμην περὶ πολιτείας, εἰ δὲ βούλει καὶ νῦν ἀκούειν, δο-
κεῖ μοι πόλις ἄριστα πράττειν καὶ μάλιστα σώζειν δημοκρατίαν, ἐν ᾗ τὸν ἀδικήσαν-
τα τοῦ ἀδικηθέντος οὐδὲν ἧττον οἱ μὴ ἀδικηθέντες προβάλλονται καὶ κολάζου-
σιν. δεύτερος δὲ ὁ βίας ἔφησε, κρατίστην εἶναι δημοκρατίαν, ἐν ᾗ πάντες ὡς
τύραννον φοβοῦνται τὸν νόμον. ἐπὶ τούτῳ θαλῆς τὴν μήτε πλουσίους ἄγαν μή-
τε πένητας ἔχουσαν πολίτας. μετὰ δὲ τοῦτον ὁ ἀνάχαρσις ἐν ᾗ τῶν ἄλλων ἴσων
ὁριζομένων, ἀρετῇ τὸ βέλτιον ὁρίζεται, καὶ κακίᾳ τὸ χεῖρον. πέμπτος κλεό-
βουλος ἔφη μάλιστα σωφρονεῖν δῆμον, ὅπου τὸν ψόγον μᾶλλον οἱ πολιτευόμε-
νοι δεδοίκασιν, ἢ τὸν νόμον. ἕκτος δὲ πιττακὸς, ὅπου τοῖς πονηροῖς οὐκ ἔξεστιν
ἄρχειν, καὶ τοῖς ἀγαθοῖς ἔξεστιν ἄρχειν. μεταστραφεὶς δὲ ὁ χίλων ἀπεφήνα-
το τὴν μάλιστα νόμων, ἥκιστα δὲ ῥητόρων ἀκούουσαν πολιτείαν ἀρίστην εἶναι. τε-
λευταῖος δὲ πάλιν ὁ περίανδρος ἐπικρίνων ἔφη δοκεῖν αὐτῷ πάντας ἐπαι-
νεῖν δημοκρατίαν τὴν ὁμοιοτάτην ἀριστοκρατίᾳ. τέλος δὲ καὶ τούτου τοῦ
λόγου λαβόντος, ἠξίουν ἐγὼ καὶ περὶ οἴκου πῶς χρηστέον, εἰπεῖν τοὺς ἄνδρας ἡμῖν,
βασιλείας μὲν καὶ πόλεις ὀλίγοι κυβερνῶσιν, ἑστίας δὲ πᾶσιν ἡμῖν καὶ οἴκου
μέτεστι. γελάσας οὖν ὁ αἴσωπος οὐκ εἴ γε τὸν πάντ' ἔφη καὶ ἀνάχαρσιν ἀριθμεῖς,
τούτῳ γὰρ οἶκος οὐκ ἔστιν, ἀλλὰ καὶ σεμνύεται τῷ ἄοικος εἶναι χρῆσθαι ἁμάξῃ
καθάπερ τὸν ἥλιον ἐν ἅρμασι λέγουσι περιπολεῖν, ἄλλοτε ἄλλην ἐπινεμόμενον,
τοῦ οὐρανοῦ χώραν. καὶ ὁ ἀνάχαρσις διὰ τοῦτό τοι εἶπεν ἢ μόνος ἢ μάλιστα τῶν
θεῶν ἐλεύθερός ἐστι, καὶ αὐτόνομος, καὶ κρατεῖ πάντων, κρατεῖται δὲ ὑπ' οὐ-
δενὸς, ἀλλὰ βασιλεύει καὶ ἡνιοχεύει, πλὴν σέ γε λέληθε τὸ ἅρμα αὐτοῦ, ὡς ὑπερ-
φυὲς κάλλει καὶ μεγέθει θαυμάσιόν ἐστιν. οὐ γὰρ ἂν παίζων ἐπὶ γέλωτι παρέβα-
λες ἐκεῖνα τοῖς ἡμετέροις, οἶκον δέ μοι δοκεῖς ὦ αἴσωπε ταυτὶ τὰ πήλινα καὶ κερα-
μεᾶ στεγάσματα νομίζειν, ὥσπερ εἰ κοχλίαν ἡγοῖο τὸ κέλυφος, ἀλλὰ μὴ τὸ ζῶον.
εἰκότως οὖν σοι γέλωτα παρέσχεν ὁ σόλων, ὅτι τοῦ κροίσου τὴν οἰκίαν κεκοσμη-
μένην πολυτελῶς θεασάμενος, οὐκ εὐθὺς ἀπεφήνατο τὸν κεκτημένον εὐδαιμό-
νως οἰκεῖν καὶ μακαρίως, ἅτε δὴ τῶν ἐν αὐτῷ μᾶλλον ἀγαθῶν, ἢ τῶν παρ' αὐτῷ
βουλόμενος γενέσθαι θεατής. σὺ δὲ ἔοικας οὐδὲ τῆς ἑαυτοῦ μνημονεύειν ἀλώ-
πεκος, ἐκείνη μὲν γὰρ εἰς ἀγῶνα ποικιλίας καταστᾶσα πρὸς τὴν πάρδαλιν, ἠ-
ξίου

ξίου τὰ ἐντὸς αὐτῆς καταμαθεῖν τὸν δικαστὴν, ποικιλώτερα γὰρ ἐκεῖθεν φανεῖ-
σθαι, σὺ δὲ τὰ τεκτόνων καὶ λιθοξόων ἔργα περινοστεῖς, οἶκον ἡγούμενος οὐ τὰ
ἐντὸς ἑκάστου καὶ οἰκεῖα, καὶ παῖδας, καὶ γάμους, καὶ φίλους, καὶ θεράποντας,
οἷς καὶ ἐν μυρμηκιᾷ τις ἢ νεοττιᾷ νοῦν ἔχουσι καὶ σωφρονοῦσι κοινωνεῖ τῶν ὑ-
παρχόντων χρηστῶν, οἶκον οἰκεῖ καὶ μακάριον. ἐγὼ μὲν οὖν ἔφη ταῦτα καὶ
πρὸς αἴσωπον ἀποκρίνομαι, καὶ πρὸς διοκλῆν συμβάλλομαι, τῶν δὲ ἄλλων ἕκα-
στος ἀποφαίνεσθαι δίκαιός ἐστι τὴν ἑαυτοῦ γνώμην, οὕτως ὁ σόλων ἄριστον αὐτῷ
δοκεῖ οἶκον, οὗ που τὰ χρήματα μήτε κτωμένοις ἀδικία, μήτε φυλάττουσιν ἀπι-
στία, μήτε δαπανῶσι, μετάνοια πρόσεστιν. ὁ δὲ βίας ἐν ᾧ τοιοῦτός ἐστιν ὁ δεσπό-
της δι' αὑτὸν, οἷος ἔξω διὰ τὸν νόμον. ὁ δὲ θαλῆς ἐν ᾧ πλείστην ἄγειν τῷ δε-
σπότῃ σχολὴν ἔξεστιν. ὁ δὲ κλεόβουλος εἰ πλείονας ἔχει τῶν φοβουμένων αὐ-
τὸν τοὺς φιλοῦντας ὁ δεσπότης. ὁ δὲ πιττακὸς εἶπεν ὡς ἄριστος οἶκός ἐστιν ὁ τῶν
περιττῶν καὶ τῶν ἀναγκαίων μηδενὸς ἐνδεόμενος. ὁ δὲ χίλων ἔφη, δεῖ μάλιστα βα-
σιλευομένῃ πόλει προσεοικέναι τὸν οἶκον, εἶτα προσεῖπεν, ὅτι λυκοῦργος πρὸς τὸν
κελεύοντα δημοκρατίαν ἐν τῇ πόλει καταστῆσαι, πρῶτος ἔφη ποίησον ἐν τῇ οἰκίᾳ
σου δημοκρατίαν. ἐπεὶ δὲ καὶ οὗτος ἔσχεν ὁ λόγος τέλος, ἡ μὲν εὔμητις ἐξῆλθε
μετὰ τῆς μελίσσης, τοῦ δὲ περιάνδρου τῷ χίλωνι προπιόντος εὐμεγέθη κύλικα,
τῷ δὲ βίαντι τοῦ χίλωνος, ὁ ἄρδαλος ἐπαναστὰς καὶ προσαγορεύσας τὸν αἴσωπον,
σὺ δὲ οὐκ ἂν ἔφη διαπέμψαιο δεῦρο τὸ ποτήριον πρὸς ἡμᾶς, ὁρῶν τούτους ὥσπερ τὴν
βαθυκλέους κύλικα διαπεμπομένους ἀλλήλοις, ἑτέρῳ δὲ μὴ μεταδιδόντας.
καὶ ὁ αἴσωπος ἀλλ' οὐδὲ τοῦτο ἔφη τὸ ποτήριον δημοτικὸν εἶναι. σόλωνι γὰρ ἐκ-
πάλαι παράκειται μόνῳ. τὸν οὖν μνησίφιλον προσαγορεύσας ὁ πιττακὸς ἠ-
ρώτησε τί οὐ πίνει ὁ σόλων, ἀλλὰ καταμαρτυρεῖ τῶν ποιημάτων ἐν οἷς γέγραφε.
ἔργα δὲ κυπρογενοῦς νῦν μοι φίλα καὶ διονύσου, καὶ μουσῶν, ἃ τίθησ' ἀνδράσιν
εὐφροσύνας. ὑποφθάσας δὲ ἀνάχαρσις, σὲ γὰρ ὦ πιττακὲ, καὶ τὸν σὸν ἐκεῖ-
νον τὸν χαλεπὸν φοβεῖται νόμον ἐν ᾧ γέγραφας, ἐάν τις οὖν μεθύων ἁμάρτῃ,
διπλασίαν ἢ τῷ νήφοντι τὴν ζημίαν. καὶ ὁ πιττακὸς, σὺ δέ γε εἶπεν οὕτως ὑβρί-
σεις εἰς τὸν νόμον, ὥστε πέρυσι γὰρ καὶ νῦν μεθυσθεὶς, ἆθλον αἰτεῖν καὶ στέφα-
νον. τί δὲ οὐκ ἔμελλον ἔφη ὁ ἀνάχαρσις τῷ πλεῖον πιόντι προκειμένων ἄθλων,
πρῶτος μεθυσθεὶς ἐπαιτεῖν τὸ νικητήριον; ἢ διδάξατέ με ὑμεῖς τί τέλος ἐστὶ
τοῦ πολὺν πιεῖν ἄκρατον ἢ τὸ μεθυσθῆναι. τοῦ δὲ πιττακοῦ γελάσαντος, ὁ αἴ-
σωπος λόγον εἶπε τοιοῦτον. λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον
ἐγγὺς προσελθὼν, ἡλίκος ἂν ἦν ὑμῖν θόρυβος εἰ ἐγὼ τοῦτο ἐποίουν. καὶ ὁ χίλων
ὀρθῶς ἔφη αἴσωπος ἠμύνατο, μικρὸν ὄπισθεν ἐπιστομισθεὶς ὑφ' ἡμῶν, εἶτα νῦν ὁρῶν
ἑτέρους τὸν μνησιφίλου λόγον ὑφῃρηκότας, μνησίφιλος γὰρ ᾐτήθη τὴν ὑπὲρ σόλω-
νος ἀπόκρισιν, καὶ λόγον ὁ μνησίφιλος εἶπεν, εἰδὼς ὅτι σόλωνι δοκεῖ πάσης τέ-
χνης καὶ δυνάμεως ἀνθρωπίνης τε καὶ θείας ἔργον εἶναι τὸ γινόμενον μᾶλλον, ἢ δι'
οὗ γίνεται καὶ τὸ τέλος, ἢ τὰ πρὸς τὸ τέλος. ὑφάντης γὰρ ἂν οἶμαι χλαμύ-
δα ποιῆσαι μᾶλλον ἔργον αὐτοῦ καὶ ἱμάτιον, ἢ κανόνων διάθεσιν καὶ ἀνέγερσιν
ἀγνύθων, χαλκεύς τε κόλλησιν σιδήρου καὶ στόμωσιν πελέκεως μᾶλλον, ἢ τι τῶν
ἕνεκα τούτου γενομένων ἀναγκαίων, οἷον ἀνθράκων ἐκζωπύρησιν, ἢ λατύπης πα-
ρασκευήν. ἔτι δὲ μᾶλλον ἀρχιτέκτων μέμψαιτ' ἂν ἡμᾶς ἔργον αὐτοῦ μὴ ναῦν
μηδὲ οἰκίαν ἀποφαίνοντας, ἀλλὰ τρυπῆσαι ξύλα καὶ φυρᾶσαι πηλὸν, αἱ δὲ μοῦσαι
καὶ παντάπασιν εἰ νομίζομεν αὐτῶν ἔργον εἶναι κιθάραν καὶ αὐλοὺς, ἀλλὰ μὴ τὸ
παιδεύειν τὰ ἤθη, καὶ παρηγορεῖν τὰ πάθη τῶν χρωμένων μέλεσι καὶ ἁρμονίαις. οὐ-
κοῦν οὐδὲ τῆς ἀφροδίτης ἔργον ἐστὶ συνουσία καὶ μίξις, οὐδὲ τοῦ διονύσου μέθη καὶ

οἶνος, ἀλλ' ἣν ἐμποιοῦσι διὰ τούτων φιλοφροσύνην, καὶ πόθον, καὶ ὁμιλίαν ἡμῖν, καὶ
συνήθειαν πρὸς ἀλλήλους. ταῦτα γὰρ ἔργα θεῖα καλεῖ Σόλων, καὶ ταῦτά φησιν ἀγα-
πᾶν καὶ διώκειν μάλιστα πρεσβύτης γενόμενος. ἔστι δὲ τῆς μὲν πρὸς γυναῖκας ἀν-
δρῶν ὁμοφροσύνης καὶ φιλίας δημιουργὸς ἡ Ἀφροδίτη, τοῖς σώμασιν ὑφ' ἡδονῆς ἅ-
μα συμμιγνύουσα καὶ συντήκουσα τὰς ψυχάς, τοῖς δὲ πολλοῖς καὶ μὴ πάνυ συ-
νήθεσι, μηδὲ ἄγαν γνωρίμοις, ὁ Διόνυσος ὥσπερ ἐν πυρὶ τῷ οἴνῳ μαλάσσων τὰ
ἤθη καὶ ἀνυγραίνων ἀρχήν τινα συγκράσεως πρὸς ἀλλήλους καὶ φιλίας ἐνδί-
δωσιν. ὅταν δὲ τοιοῦτοι συνέλθωσιν ἄνδρες οἵους ὁ Περίανδρος ὑμᾶς παρακέκλη-
κεν, οὐθὲν ἔργον ἐστὶν οἶμαι κύλικος, οὐδὲ οἰνοχόης, ἀλλ' αἱ Μοῦσαι καθάπερ κρατῆρα
νηφάλιον ἐν μέσῳ προθέμεναι τὸν λόγον, ᾧ πλεῖστον ἡδονῆς, ἀλλὰ καὶ παιδιᾶς
καὶ σπουδῆς ἔνεστιν, ἐγείρουσι τούτῳ καὶ κατάρδουσι καὶ διαχέουσι τὴν φιλοφρο-
σύνην, ἐῶσαι τὰ πολλὰ τὴν οἰνοχόην ἄτρεμα κεῖσθαι κρατῆρος ὕπερθεν, ὅπερ
ἀπηγόρευσεν Ἡσίοδος ἐν τοῖς πίνειν μᾶλλον ἢ διαλέγεσθαι δυναμένοις. εἴπερ τ'
ἄλλοι γε καρηκομόωντες Ἀχαιοὶ δαιτρὸν πίνωσι, σὸν δὲ πλεῖον δέπας αἰὲν ἕστηκεν.
ἐπεὶ τάς τε προπόσεις αὐτὰς ἔφη πυνθάνομαι λέγειν τοῖς παλαιοῖς, ἐν δεί-
νον ὡς Ὅμηρος ἔφη, καὶ μετρητὸν ἑκάστου πίνοντος, εἶτα ὥσπερ Αἴας μερίδας με-
ταδιδόντας αὐτῶν τῷ πλησίον. εἰπόντος δὲ ταῦτα τοῦ Μνησιφίλου, Χερσίας ὁ ποι-
ητής, ἀφεῖτο γὰρ ἤδη τῆς αἰτίας, καὶ διήλλακτο τῷ Περιάνδρῳ νεωστὶ Χίλωνος
δεηθέντος, ἆρ' οὖν ἔφη καὶ τοῖς θεοῖς ὁ Ζεὺς ὥσπερ τοῖς ἀριστεῦσιν ὁ Ἀγαμέμνων
μετρητὸν ἔχει τὸ ποτόν, ὅτι προὔπινον ἀλλήλοις ἑστιώμενοι παρ' αὐτῷ; καὶ ὁ
Κλεόδημος σὺ δὲ ὦ Χερσία εἶπεν, εἰ τὴν ἀμβροσίαν τῷ Διὶ πελειάδες τινὲς κομί-
ζουσιν, ὡς ὑμεῖς λέγετε, τὰς Πλαγκτὰς ὑπερπετόμεναι χαλεπῶς καὶ μόλις,
οὐ νομίζεις καὶ τὸ νέκταρ αὐτῷ δυσπόριστον εἶναι καὶ σπάνιον, ὥστε φείδεσθαι
καὶ παρέχειν ἑκάστῳ τεταμιευμένον; καὶ ἴσως εἶπεν ὁ Χερσίας, ἀλλ' ἐπεὶ
πάλιν οἰκονομίας λόγος γέγονε, τίς ἂν ὑμῶν φράσειεν ἡμῖν τὸ ἀπολειπόμε-
νον; ἀπολείπεται δὲ οἶμαι κτήσεώς τε λαβεῖν μέτρον αὐταρκείας καὶ ἱκανῆς ἐσο-
μένης. καὶ ὁ Κλεόβουλος, ἀλλὰ τοῖς μὲν σοφοῖς ἔφη τὸ μέτρον ὁ νόμος δέδωκε,
πρὸς δὲ τοὺς φαύλους ἐρῶ λόγον τῆς ἐμῆς μητρός, ὃν πρὸς τὸν ἀδελφὸν εἶπεν.
ἔφη γὰρ τὴν σελήνην δεῖσθαι τῆς ἑαυτῆς μητρός, ὅπως αὐτῇ χιτώνιον ὑφήνῃ
σύμμετρον, τὴν δὲ εἰπεῖν, καὶ πῶς σύμμετρον ὑφήνω; νῦν μὲν γὰρ ὁρῶ σε πανσέλη-
νον, αὖθις δὲ μηνοειδῆ, ποτὲ δὲ ἀμφίκυρτον. οὕτω δὴ ὦ φίλε Χερσία καὶ πρὸς
ἄνθρωπον ἀνόητον καὶ φαῦλον οὐδέν ἐστι μέτρον οὐσίας. ἄλλοτε γὰρ ἄλλος ἐ-
στὶ ταῖς χρείαις, διὰ τὰς ἐπιθυμίας καὶ τὰς τύχας, ὥσπερ ὁ Αἰσώπου κύων, ὃν
οὑτωσί φασιν ἐν τῷ χειμῶνι συστρεφόμενον, καὶ συσπειρώμενον διὰ τὸ ῥιγοῦν οἰκί-
αν ποιεῖν διανοεῖσθαι, θέρους δὲ αὖ πάλιν ἐκτεταμένον καθεύδοντα φαίνεσθαι
μέγαν ἑαυτῷ, καὶ μήτε ἀναγκαῖον ἡγεῖσθαι, μήτε μικρὸν ἔργον οἰκίαν περιβάλ-
λεσθαι τοσαύτην. ἦ γὰρ οὐχ ὁρᾷς εἶπεν ὦ Χερσία, καὶ τοὺς μικροὺς νῦν μὲν εἰς μι-
κρὰ κομιδῆ συστέλλοντας ἑαυτοὺς ὡς στρογγύλως καὶ λακωνικῶς βιωσομένους,
νῦν δὲ εἰ μὴ τὰ πάντων ἔχοιεν ἰδιωτῶν ἅμα καὶ βασιλέων ὑπ' ἐνδείας ἀπο-
λεῖσθαι νομίζοντας; ὡς οὖν ὁ Χερσίας ἀπεσιώπησεν, ὑπολαβὼν ὁ Κλεόδη-
μος, ἀλλὰ καὶ τοὺς σοφοὺς εἶπεν ὑμᾶς ὁρῶμεν ἀνίσοις μέτροις τὰς κτήσεις νενε-
μημένας πρὸς ἀλλήλους ἔχοντας. καὶ ὁ Κλεόβουλος ὁ γὰρ τοι νόμος εἶπεν ὦ
βέλτιστε ἀνδρῶν, ὡς ὑφάντης ἑκάστῳ τὸ πρέπον ὑμῶν καὶ τὸ μέτριον καὶ ἁρμότ-
τον ἀποδίδωσι, καὶ σὺ καθάπερ τῷ νόμῳ τῷ λόγῳ τρέφων καὶ διαιτῶν καὶ φαρ-
μακεύων τοὺς κάμνοντας, οὐκ ἴσον ἑκάστῳ, τὸ δὲ προσῆκον ἀπονέμεις ἅπασιν.
ὑπολαβὼν δὲ ὁ Ἄρδαλος, ἆρ' οὖν ἔφη καὶ τὸν ἑταῖρον ἡμῶν, Σόλωνος δὲ ξένον
Ἐπιμενίδην

Ἐπιμενίδην, νόμος τις ἀπέχεσθαι τῶν ἄλλων σιτίων κελεύει, τῇ δὲ ἀλίμου δυνάμει,
ἣν ἡδονὴν αὐτὸς συντίθησιν μικρὸν εἰς τὸ στόμα λαμβάνοντα διημερεύειν ἀνά-
ριστον, καὶ ἄδειπνον. ἐπιστήσαντος δὲ τοῦ λόγου τὸ συμπόσιον, ὁ μὲν Θαλῆς ἐπι-
σκώπτων, εὖ φρονεῖν ἔφη τὸν Ἐπιμενίδην, ὅτι μὴ βούλεται πράγματα ἔχειν ἀ-
λῶν τὰ σιτία, καὶ πέττων ἑαυτῷ καθάπερ Πιττακός. ἐγὼ γὰρ εἶπε τῆς ξένης ἤκουον
ᾀδούσης πρὸς τὴν μύλην, ἐν Λέσβῳ γενόμενος, ἄλει μύλα ἄλει. καὶ γὰρ Πιττακὸς
ἀλεῖ μεγάλας Μυτιλήνας βασιλεύων. ὁ δὲ Σόλων ἔφη θαυμάζειν τὸν Ἄρ-
δαλον, εἰ τὸν νόμον οὐκ ἀνέγνωκε τῆς διαίτης τοῦ ἀνδρὸς ἐν τοῖς ἔπεσι τοῦ Ἡσιό-
δου γεγραμμένον. ἐκεῖνος γάρ ἐστιν ὁ πρῶτος Ἐπιμενίδῃ σπέρματα τῆς τροφῆς
ταύτης παρασχών, καὶ ζητεῖν διδάξας, ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ'
ὄνειαρ. οἴει γὰρ ὁ Περίανδρος εἶπε τὸν Ἡσίοδον ἐννοῆσαί τι τοιοῦτον, οὐκ ἐπαι-
νέτην ὄντα φειδοῦς αἰεί, καὶ πρὸς τὰ λιτότατα τῶν ὄψων ὡς ἥδιστα παρακα-
λεῖν ἡμᾶς; ἀγαθὴ μὲν γὰρ ἡ μαλάχη βρωθῆναι, γλυκὺς δὲ ὁ ἀνθέρικος, τὰ δὲ ἄ-
λιμα ταῦτα καὶ ἄδιψα φάρμακα μᾶλλον ἢ σιτία πυνθάνομαι, καὶ μέλι καὶ τυ-
ρόν τινα βαρβαρικὸν δέχεσθαι, καὶ σπέρματα πάμπολλα τῶν δυσποριστων. πῶς
οὖν οὐκ ἐν τῷ Ἡσιόδῳ τὸ πηδάλιον ὑπὲρ καπνοῦ κείμενον, ἔργα βοῶν δ' ἀπόλοι-
το, καὶ ἡμιόνων ταλαεργῶν, εἰ τοσαύτης δεήσει παρασκευῆς. θαυμάζω δέ σου
τὸν ξένον ὦ Σόλων, εἰ Δηλίοις ἔναγχος ποιησάμενος τὸν μέγαν καθαρμόν, οὐχ
ἱστόρησε παρ' αὐτοῖς εἰς τὸ ἱερὸν κομιζόμενα τῆς πρώτης ὑπομνήματα τροφῆς
καὶ δείγματα μετὰ ἄλλων καὶ αὐτοφυῶν μαλάχην καὶ ἀνθέρικον, ὧν εἰκός ἐστι
καὶ τὸν Ἡσίοδον προξενεῖν ἡμῖν τὴν λιτότητα καὶ ἀφέλειαν. οὐ ταῦτα ἔφη
μόνα ὁ Ἀνάχαρσις, ἀλλὰ καὶ πρὸς ὑγίειαν ἐν τοῖς μάλιστα τῶν λαχάνων ἑκάτε-
ρον ἐπαινεῖται. καὶ ὁ Κλεόδημος ὀρθῶς ἔφη λέγεις. ἰατρὸς γὰρ Ἡσίοδος ὢν
δῆλός ἐστιν, οὐκ ἀμελῶς οὐδὲ ἀπείρως περὶ διαίτης καὶ κράσεως οἴνου καὶ ἀρε-
τῆς ὕδατος καὶ λουτροῦ καὶ γυναικῶν διαλεγόμενος, καὶ συνουσίας καιροῦ, καὶ
βρεφῶν καθίσεως, ἀλλ' Ἡσιόδου μὲν ἐμοὶ δοκεῖ δικαιότερον Αἴσωπος αὑτὸν ἀπο-
φαίνειν μαθητὴν ἢ Ἐπιμενίδης. τούτῳ γὰρ ἀρχὴν τῆς καλῆς ταύτης καὶ ποικί-
λης καὶ πολυγλώσσου σοφίας ὁ πρὸς τὴν ἀηδόνα λόγος τοῦ ἱέρακος παρέσχη-
κεν. ἐγὼ δ' ἂν ἡδέως ἀκούσαιμι Σόλωνος. εἰκὸς γὰρ αὐτὸν πεπύσθαι πολὺν χρό-
νον Ἀθήνησιν Ἐπιμενίδῃ συγγενόμενον, ὅτι δὴ παθὼν ἢ σοφιζόμενος ἐπὶ τοιαύ-
την ἦλθε δίαιταν. καὶ ὁ Σόλων ἔφη τί δὲ τοῦτ' ἐκεῖνον ἐρωτᾶν ἔδει. δῆλον γὰρ
ἦν ὅτι τοῦ μεγίστου τῶν ἀγαθῶν καὶ κρατίστου, δεύτερόν ἐστι τὸ δεῖσθαι τροφῆς βρα-
χυτάτης, ἢ εἰ τὸ μέγιστον δοκεῖ τὸ μὴ δὲ ὅλως τροφῆς δεῖσθαι. οὐδαμῶς ὁ Κλε-
όδημος ἔμοιγε εἶπεν, εἰ δεῖ τὸ φαινόμενον εἰπεῖν, καὶ μάλιστα παρακειμένης τρα-
πέζης, ἀναιροῦσι αἱρομένης τροφῆς φιλίων θεῶν οὖσαν καὶ ξενίων. ὡς δὲ Θαλῆς
λέγει τῆς γῆς ἀναιρεθείσης σύγχυσιν τὸν ὅλον ἕξειν κόσμον, οὕτως οἴκου διάλυ-
σίς ἐστι, συναναιρεῖται γὰρ αὐτῇ πῦρ ἑστιοῦχον, ἑστία, κρατῆρες, ὑποδοχαί, ξενι-
σμοί, φιλανθρωπότατα καὶ πρῶτα κοινωνήματα πρὸς ἀλλήλους, μᾶλλον δὲ
σύμπας ὁ βίος, εἴ γε διαγωγή τίς ἐστιν ἀνθρώπου πράξεων ἔχουσα διέξοδον, ὧν ἡ
τῆς τροφῆς χρεία καὶ παρασκευὴ τὰς πλείστας παρακαλεῖ. δεινὸν μὲν οὖν ὦ ἑ-
ταῖρε καὶ τὸ γεωργίας αὐτῇ, διαλυομένη γὰρ αὖθις, ἀπολείπει γῆν ἡμῖν ἄ-
μορφον καὶ ἀκάθαρτον ὕλης ἀκάρπου καὶ ῥευμάτων πλημμελῶς φερομένων
ὑπ' ἀργίας ἀνθρώπων, συναπόλλυσι δὲ καὶ τέχνας πάσας καὶ ἐργασίας
ὧν ἐξάρχουσά ἐστι, καὶ παρέχει βάσιν καὶ ὕλην, καὶ τὸ μηδὲν εἶναι ταύτης ἐκπο-
δὼν γενομένης, καταλύονται καὶ τιμαὶ θεῶν, ἡλίῳ δὲ μικραί, ἔτι δὲ ἐλάττω
σελήνῃ χάριν αὐγῆς μόνον καὶ ἀλέας αὐτῶν ἐχόντων, ὀμβρίῳ δὲ Διί, καὶ προη-

ῥοσία δήμητρι, καὶ φυταλμίῳ ποσειδῶνι, τοῦ βωμός ἐστι, ποῦ δὲ θυσία, πῶς δὲ χαριδότης ὁ διόνυσος, εἰ δεησόμεθα μηδενὸς ὧν δίδωσι, τί δὲ θύσομεν, ἢ σπείσομεν, τίνος δὲ ἀπαρξόμεθα· πάντα γὰρ ταῦτα τῶν μεγίστων ἀναστροφὴν καὶ σύγχυσιν ἔχει πραγμάτων. ἡδονῆς δὲ πάσης μὲν περιέχεσθαι καὶ πάντως ἀλόγιστόν ἐστι, πᾶσαν δὲ φεύγειν, καὶ πάντως ἀναίσθητον. τὴν μὲν οὖν ψυχὴν ἑτέραις ποσὶν ἡδοναῖς χρῆσθαι κρείττοσιν ὑπαρχέτω, τῷ δὲ σώματι λαβεῖν ἡδονὴν τῆς ἀπὸ τοῦ τρέφεσθαι δικαιοτέραν οὐκ ἔστιν εὑρεῖν, ὅπερ οὐθένα λέληθεν ἀνθρώπων, ἣν γὰρ ἐν μέσῳ θέμενοι κοινωνοῦσιν ἀλλήλοις δείπνων, καὶ τραπέζης ἀφροδισίων δὲ νύκτα, καὶ πολὺ προβάλλονται σκότος, ἡγούμενοι ταύτης τὸ κοινωνεῖν, ἀναίσχυντον εἶναι καὶ θηριῶδες, ὡς τὸ μὴ κοινωνεῖν ἐκείνης. ὑπολαβὼν οὖν ἐγὼ, τοῦ κλεοδήμου διαλιπόντος, ἐκεῖνο δὲ οὐ λέγεις, εἶπον, ὅτι καὶ τὸν ὕπνον ἅμα τῇ τροφῇ συνεκβάλλομεν, ὕπνου δὲ μὴ ὄντος, οὐδὲ ὄνειρός ἐστιν, ἀλλ᾽ οἴχεται τὸ πρεσβύτερον ἡμῖν μαντεῖον, ἔσται δὲ μονοειδὴς ὁ βίος, καὶ τρόπον τινὰ μάτην τὸ σῶμα περικείσεται τῇ ψυχῇ, τὰ πλεῖστα γὰρ αὐτοῦ καὶ κυριώτατα τῶν μορίων, ἐπὶ τὴν τροφὴν ὄργανα παρεσκεύασται, γλῶττα, καὶ ὀδόντες, καὶ στόμαχος, καὶ ἧπαρ, ἀργὸν γὰρ οὐδέν ἐστιν, οὐδὲ πρὸς ἄλλην συντεταγμένον χρείαν· ὥστε ὁ μὴ δεόμενος τροφῆς, οὐδὲ σώματος δεῖται, τοῦτο δὲ ἦν, αὐτοῦ μὴ δεῖσθαι, σῶμα γὰρ ἡμῶν ἕκαστος, ἡμεῖς μὲν οὖν ἔφην ἐγὼ ταύτας τῇ γαστρὶ συμβολὰς εἰσφέρομεν, εἰ δὲ σόλων ἤ τις ἄλλος τί κατηγορεῖ, ἀκουσόμεθα. πάνυ μὲν οὖν ἔφη ὁ σόλων μὴ καὶ τῶν αἰγυπτίων ἀκριβέστεροι φανῶμεν, οἳ τὸν νεκρὸν ἀνατέμνοντες ἔδειξαν τῷ ἡλίῳ, εἶτ᾽ αὐτὰ μὲν εἰς τὸν ποταμὸν κατέβαλον, τοῦ δὲ ἄλλου σώματος ἤδη καθαροῦ γεγονότος, ἐπιμέλονται, τῷ γὰρ ὄντι, τοῦτό ἐστι τὸ μίασμα τῆς σαρκὸς ἡμῶν, καὶ ὁ τάρταρος ὡς ἐν ἅδου, δεινῶν τινων ῥευμάτων, καὶ πνεύματος ὁμοῦ καὶ πυρὸς συμπεφυρμένου καὶ νεκρῶν περίπλεως, ζῶν γὰρ ἀπ᾽ οὐδενὸς τρέφεται ζῶντος, ἀλλὰ θανατοῦντες ἔμψυχα καὶ τὰ φυόμενα τῷ τρέφεσθαι καὶ αὔξεσθαι μετέχοντα τοῦ ζῆν ἀπολλύντες ἀδικοῦμεν, ἀπόλλυται γὰρ ἐξ οὗ πέφυκε τὸ μεταβάλλον εἰς ἄλλο, καὶ πᾶσαν φθείρεται φθορὰν, ὅπως ἂν θατέρου τροφὴ γένοιτο. τὸ δ᾽ ἀπέχεσθαι σαρκῶν ἐδωδῆς, ὥσπερ ὀρφέα τὸν παλαιὸν ἱστοροῦσι, σόφισμα μᾶλλον ἢ φυγή τῶν περὶ τὴν τροφὴν ἀδικημάτων ἐστί, φυγὴ δὲ μία καὶ καθαρμὸς εἰς δικαιοσύνην τέλειος, αὐτάρκη καὶ ἀπροσδεῆ γενέσθαι, ᾧ δὲ ἂν οὖν κακώσεως ἑτέρου τὴν αὐτοῦ σωτηρίαν, ἀμήχανον ὁ θεὸς πεποίηκε, τούτῳ τὴν φύσιν ἀρχὴν ἀδικίας προστέθεικεν. ἆρ᾽ οὖν οὐκ ἄξιον ὦ φίλε δὲ συνεκτεμεῖν ἀδικίᾳ κοιλίαν καὶ στόμαχον καὶ ἧπαρ, ἃ καλοῦ μὲν οὐδενὸς, αἴσθησιν δὲ ὄρεξιν ἐνδίδωσι, σκεύεσι δὲ μαγειρικοῖς οἷα κοπίδες καὶ λέβητες, τὰ δὲ μυλωθρικοῖς καὶ καμίνοις καὶ φρεωρύχοις καὶ μακτηρίοις ἔοικεν. ἀτεχνῶς δ᾽ ἐπὶ πολλῶν ἴδοι τις ἂν, ὥσπερ ἐν μύλωνι τῷ σώματι τὴν ψυχὴν ἐγκεκαλυμμένην, ἀεὶ περὶ τὴν τῆς ψυχῆς χρείαν κυκλοῦσαν, ὥσπερ ἀμέλει καὶ ἡμεῖς, ἄρτι μὲν οὔθ᾽ ἑωρῶμεν ἀλλήλους, οὔτε ἠκούομεν, ἀλλ᾽ ἕκαστος ἐγκεκυφὼς, ἐδούλευε τῇ περὶ τὴν τροφὴν χρείᾳ, νυνὶ δὲ παρατεθεισῶν τῶν τραπεζῶν, ἐλεύθεροι γεγονότες ὡς ὁρᾷς, ἐστεφανωμένοι περὶ λόγους διατρίβομεν, καὶ ἀλλήλοις σύνεσμεν, καὶ σχολὴν ἄγομεν, εἰς τὸ μὴ δεῖσθαι τροφῆς ἐληλυθότες, ἆρ᾽ οὖν ἂν ὥσπερ ἡ νῦν οὖσα περὶ ἡμᾶς ἕξις, ἄπαυστος διαμένῃ παρὰ πάντα τὸν βίον, οὐκ ἀεὶ σχολὴν ἕξομεν ἀλλήλοις, ἵνα μὴ δὲ δεδιότες πενίαν, μὴ δὲ εἰδότες πλοῦτον, ὁ γὰρ τῶν περιττῶν ζῆλος, εὐθὺς ἀκολουθεῖ, καὶ συνοικίζεται τῇ χρείᾳ τῶν ἀναγκαίων, ἀλλ᾽ οἴεται δεῖν τροφὴν εἶναι κλεόδημος, ὅπως τράπεζαι καὶ κρατῆρες ὦσιν, ἃ δήμητρι καὶ κόρῃ θύεται ἔτι. ἕτερος δέ τις ἀξιούτω μάχας εἶναι καὶ πόλεμον, ἵνα καὶ τεί-

χη καὶ νεωσοίκους καὶ ὁπλοθήκας ἔχωμεν, καὶ θύωμεν ἑκατομφόνια, καθάπερ φασὶ νόμον εἶναι μεσσηνίοις, ἄλλον δὲ πρὸς τὴν ὑγίειαν οἶμαι χαλεπαίνειν, δεινὸν γὰρ εἰ μηδενὸς νοσοῦντος, οὐ στρωμνῆς ἔτι μαλακῆς ὄφελος, οὐ κλίνης, οὐκ ἀσκληπιῷ θύσομεν, οὐκ ἀποτροπαίοις, ἰατρικὴ δὲ μετὰ ὀργάνων καὶ φαρμάκων ἀποκείσεται, τοσοῦτον ἀκλεὴς καὶ ἀπόθετος, ἢ τί ταῦτα ἐκείνων διαφέρει, καὶ γὰρ ἡ τροφὴ λιμοῦ φάρμακον προσάγεται, καὶ θεραπεύειν αὐτοὺς λέγονται πάντες οἱ τρεφόμενοι δίαιταν, οὐχ ὡς ἡδύ τι καὶ κεχαρισμένον, ἀλλ᾽ ὡς ἀναγκαῖον τοῦτο τῇ φύσει πράττοντες. ἐπεὶ λύπας τε πλείονάς ἐστιν ἀπὸ τῆς τροφῆς τῶν ἡδονῶν γινομένας καταριθμῆσαι, μᾶλλον δὲ ἡ μὲν ἡδονὴ καὶ τόπον ἔχει βραχὺν ἐν τῷ σώματι, καὶ χρόνον οὐ πολύν, ἡ δὲ περὶ τὴν διοίκησιν αὐτῆς ἀσχολία καὶ δυσχέρεια, τί δεῖ λέγειν, ὅσων αἰσχρῶν καὶ ὀδυνηρῶν ἡμᾶς ἐμπίπλησιν, οἶμαι γὰρ εἰς τοσαῦτα βλέψαντα τὸν ὅμηρον ἀποδείξει κεχρῆσθαι περὶ θεῶν τοῦ μὴ ἀποθνήσκειν, τῷ μὴ τρέφεσθαι.

" οὐ γὰρ σῖτον ἔδουσ᾽ οὐ πίνουσ᾽ αἴθοπα οἶνον,
" τοὔνεκ᾽ ἀναίμονές εἰσι, καὶ ἀθάνατοι καλέονται,

ὡς μὴ μόνον τοῦ ζῆν ἀλλὰ καὶ τοῦ ἀποθνήσκειν τὴν τροφὴν ἐφόδιον οὖσαν, ἐκ ταύτης γὰρ αἱ νόσοι, συστρεφόμεναι τοῖς σώμασιν, οὐκ ἔλαττον ἐνδείας κακὸν ἔχουσι τὴν πλήρωσιν, πολλάκις δὲ καὶ μεῖζόν ἐστι ἔργον τὸ πορίσαι τροφὴν, καὶ συναγαγεῖν, καὶ καταναλῶσαι, καὶ τὸ διαφορῆσαι πάλιν εἰς τὸ σῶμα παραγενομένην. ἀλλ᾽ ὥσπερ εἰ διαποροῖεν αἱ δαναΐδες τίνα βίον βιώσονται, καὶ τί πράξουσιν ἀπαλλαγεῖσαι τῆς περὶ τὸν πίθον λατρείας καὶ πληρότητος, οὕτω διαποροῦμεν ἡμεῖς, εἰ γένοιτο παύσασθαι φρονοῦντας εἰς τὴν σάρκα τὴν ἄτρυτον, ἐκ γῆς ἅμα καὶ θαλάττης τοσαῦτα, τί πράξομεν ἀπειρίᾳ τῶν καλῶν τὸν τοῖς ἀναγκαίοις στέργοντες βίον. ὥσπερ οὖν οἱ δουλεύσαντες ὅταν ἐλευθερωθῶσιν ἃ πάλαι τοῖς δεσπόταις ἔπραττον ὑπηρετοῦντες ταῦτα πράττουσιν αὐτοὶ καὶ δι᾽ αὑτούς, οὕτως ἡ ψυχὴ νῦν μὲν τρέφει τὸ σῶμα πολλοῖς πόνοις καὶ ἀσχολίαις, εἰ δὲ ἀπαλλαγείη τῆς λατρείας αὐτὴν δήπουθεν ἐλευθέραν γενομένην, θρέψει καὶ βιώσεται εἰς αὐτὴν ὁρῶσα καὶ τὴν ἀλήθειαν, οὐδενὸς περισπῶντος οὐδὲ ἀπάγοντος. τὰ μὲν οὖν ῥηθέντα περὶ τροφῆς ὦ νίκαρχε ταῦτ᾽ ἦν. ἔτι δὲ τοῦ σόλωνος λέγοντος, εἰσῆλθε γοργίας ὁ περιάνδρου ἀδελφὸς, ἐτύγχανε γὰρ εἰς ταίναρον ἀπεσταλμένος ἔκ τινων χρησμῶν τῷ ποσειδῶνι θυσίαν καὶ θεωρίαν ἀπάγων, ἀσπασαμένων δὲ ἡμῶν αὐτὸν, καὶ τοῦ περιάνδρου προσαγαγομένου καὶ φιλήσαντος, καθίσας παρ᾽ αὐτὸν ἐπὶ τῆς κλίνης, ἀπήγγελλεν ἄττα δὴ πρὸς μόνον ἐκεῖνον, ὁ δὲ ἠκροᾶτο πολλὰ πάσχοντι πρὸς τὸν λόγον ὅμοιος ὢν, τὰ μὲν γὰρ ἀχθόμενος τὰ δὲ ἀγανακτῶν ἐφαίνετο, πολλάκις δὲ ἀπιστῶν, εἶτα θαυμάζων, τέλος δὲ γελάσας πρὸς ἡμᾶς, βούλομαι μὲν ἔφη πρὸς τὸ παρὸν φράσαι τὸ προσηγγελμένον· ὀκνῶ δὲ ἀκούσας θάλεώ ποτε εἰπόντος, ὅτι δεῖ τὰ μὲν εἰκότα λέγειν τὰ δὲ ἀμήχανα σιωπᾶν. ὑπολαβὼν οὖν ὁ βίας, ἀλλὰ καὶ τοῦτ᾽ ἔφη θάλεω τὸ σοφόν ἐστιν, ὅτι δεῖ τοῖς ἐχθροῖς καὶ περὶ τῶν πιστῶν ἀπιστεῖν, τοῖς δὲ φίλοις καὶ τὰ ἄπιστα πιστεύειν, ἐχθροὺς μὲν ἐγὼ ἡγοῦμαι τοὺς πονηροὺς καὶ ἀνοήτους, φίλους δὲ τοὺς χρηστοὺς καὶ φρονίμους, αὐτοῦ καλοῦντος. οὐκοῦν ἔφη λεκτέον εἰς ἅπαντας ὦ γοργία, μᾶλλον δὲ ᾀστέον ἐπὶ τοὺς νέους τούτους διθυράμβους ὑπερφθεγγόμενον ὃν ἥκεις λόγον ἡμῖν κομίζων. ἔφη τοίνυν γοργίας, ὅτι τῆς θυσίας ἐφ᾽ ἡμέρας τρεῖς συντελεσθείσης ὑπ᾽ αὐτοῦ, καὶ τῇ τελευταίᾳ παννυχίδος οὔσης, καὶ χορείας τινὸς καὶ παιδιᾶς πρὸς τὸν αἰγιαλὸν, ἡ μὲν σελήνη κατέλαμπεν εἰς τὴν θάλατταν, οὐκ ὄντος δὲ πνεύματος ἀλλὰ νηνεμίας καὶ γαλήνης, πόρρωθεν ἀφεωρᾶτο φρίκη κατιοῦσα παρὰ τὴν ἄκραν, ἀφρόν τινα καὶ ψόφον ἄγουσα τῷ ῥοθίῳ περὶ αὐτὴν πολὺν, ὥστε πάντας ἐπὶ τὸν τόπον οὗ προ-

σε ἔμελλε καταδραμεῖν θαυμάσαντας, πρὶν δὲ ἑκάστου τὸ προσφερόμενον ὑπὸ
τάχους, δελφῖνες ὤφθησαν, οἱ μὲν ἀθρόοι πέριξ κυκλοῦντες, οἱ δὲ ὑφηγούμενοι
τοῦ αἰγιαλοῦ πρὸς τὸ λειότατον, ἄλλοι δ' ἐξόπισθεν, οἷον περιέποντες, ἐν μέσῳ δὲ
ἀνεῖχεν ὑπὲρ τῆς θαλάσσης ὄγκος ἀσαφὴς καὶ ἄσημος, ὀχουμένου σώματος μέ-
χρις οὗ συνάγοντες εἰς αὐτὸ καὶ συνεποκείλαντες, ἐξέθηκαν ἐπὶ τὴν γῆν ἄν-
θρωπον ἔμπνουν καὶ κινούμενον, αὐτοὶ δὲ πάλιν πρὸς τὴν ἄκραν ἀναφερόμενοι
μᾶλλον ἢ πρότερον ἐξήλλοντο παίζοντες ὑφ' ἡδονῆς τινος ὡς ἔοικε καὶ σκιρτῶν-
τες. ἡμῶν δὲ ὁ Γοργίας ἔφη, πολλοὶ μὲν διαταραχθέντες ἔφυγον ἀπὸ τῆς θα-
λάσσης, ὀλίγοι δὲ μετ' ἐμοῦ θαρρήσαντες προσελθεῖν ἐγνώρισαν Ἀρίονα τὸν κι-
θαρῳδὸν αὐτὸν, τοὔνομα φθεγγόμενον αὐτοῦ, καὶ τῇ στολῇ καταφανῆ γενόμενον,
τὸν γὰρ ἐναγώνιον ἐτύγχανεν ἀμπεχόμενος κόσμον, ᾧ κιθαρῳδῶν ἐχρήσατο.
κομίσαντες οὖν ἐπὶ σκηνῆς αὐτὸν οὐδὲν εἶχε κακὸν, ἀλλ' ἢ διὰ τάχος καὶ ῥοῖζον
ἐφαίνετο τῆς φορᾶς ἐκλελυμένος καὶ κεκμηκὼς, ἠκούσαμεν λόγον ἄπιστον ἅ-
πασι, πλὴν ἡμῶν τῶν θεασαμένων τὸ τέλος. ἔλεγε γὰρ Ἀρίων ὡς πάλαι μὲν
ἐγνωκὼς ἐκ τῆς Ἰταλίας ἀπαίρειν, Περιάνδρου δὲ γράψαντος αὐτῷ προθυ-
μότερος γενόμενος, ὁλκάδος Κορινθίας παραφανείσης εὐθὺς ἐπιβὰς ἀναχθείη,
μετρίῳ δὲ πνεύματι χρωμένων, αἴσθοιτο τοὺς ναύτας ἐπιβουλεύοντας ἀνελεῖν αὐ-
τὸν, εἶτα καὶ παρὰ τοῦ κυβερνήτου πύθοιτο λάθρα μηνύσαντος, ὡς τῇ νυκτὶ τοῦτο
δρᾶν αὐτοῖς εἴη δεδογμένον. ἔρημος οὖν ὢν βοηθείας καὶ ἀπορῶν, ὁρμῇ τινι
χρήσαιτο δαιμονίῳ, τὸ μὲν σῶμα κοσμῆσαι, καὶ λαβεῖν ἐντάφιον αὐτῷ τὸν
ἐναγώνιον ἔτι ζῶν κόσμον, ἐξᾆσαι δὲ καὶ τῷ βίῳ τελευτῶν, καὶ μὴ γενέσθαι κατὰ
τοῦτο τῶν κύκνων ἀγεννέστερος. ἐσκευασμένος οὖν καὶ προειπὼν, ὅτι προθυ-
μία τις αὐτὸν ἔχει τὸν νόμον διελθεῖν τὸν Πυθικὸν ὑπὲρ σωτηρίας αὐτοῦ καὶ
τῆς νεὼς καὶ τῶν ἐμπλεόντων, καταστὰς παρὰ τὸν τοῖχον ἐν πρύμνῃ καί τινα
θεῶν πελαγίων ἀνάκλησιν προανακρουσάμενος ᾄδοι τὸν νόμον, καὶ ὅσον οὔπω
μεσοῦντος αὐτοῦ καταδύοιτο μὲν ὁ ἥλιος εἰς τὴν θάλατταν, ἀναφαίνοιτο δὲ ἡ Πε-
λοπόννησος, οὐκέτ' οὖν τῶν ναυτῶν τὴν νύκτα περιμενόντων, ἀλλὰ χωρούντων
ἐπὶ τὸν φόνον, ἰδὼν ξίφη γεγυμνωμένα, καὶ παρακαλυπτόμενον ἤδη τὸν κυ-
βερνήτην ἀναδραμὼν ῥίψειεν ἑαυτὸν ὡς δυνατὸν ἦν μάλιστα πόρρω τῆς ὁλκάδος,
πρὶν δὲ ὅλον καταδῦναι τὸ σῶμα, δελφίνων ὑποδραμόντων ἀναφέροιτο, μεστὸς ὢν
ἀπορίας καὶ ἀγνοίας καὶ ταραχῆς τὸ πρῶτον. ἐπεὶ δὲ ῥᾳστώνη τῆς ὀχήσεως
ἦν, καὶ πολλοὺς ἑώρα ἀθροιζομένους περὶ αὐτὸν εὐμενῶς καὶ διαδεχομένους,
ὡς ἀναγκαῖον ἐν μέρει λειτούργημα καὶ προσῆκον πᾶσιν, ἡ δὲ ὁλκὰς ἀπολει-
φθεῖσα πόρρω τοῦ τάχους αἴσθησιν παρεῖχε, μήτε τοσοῦτον ἔφη δέους πρὸς θάνα-
τον αὐτὸν, μήτε ἐπιθυμίαν τοῦ ζῆν, ὅσον φιλοτιμίας ἐγγενέσθαι πρὸς τὴν
σωτηρίαν, ὡς θεοφιλὴς ἀνὴρ φανείη, καὶ λάβοι περὶ θεῶν δόξαν βέβαιον, ἅμα
δὲ καθορῶν τὸν οὐρανὸν ἀστέρων περίπλεων, καὶ τὴν σελήνην ἀνίσχουσαν εὐφεγ-
γῆ καὶ καθαρὰν, ἑστώσης δὲ πάντῃ τῆς θαλάσσης ἀκύμονος, ὥσπερ τρίβον ἀνα-
σχιζόμενον τῷ δρόμῳ διανοεῖσθαι πρὸς αὐτὸν, ὡς οὐκ ἔστιν εἷς ὁ τῆς Δίκης ὀφθαλ-
μὸς, ἀλλὰ πᾶσι τούτοις ἐπισκοπεῖ κύκλῳ ὁ θεὸς τὰ πραττόμενα περί τε γῆν
καὶ θάλατταν. τούτοις δὲ δὴ τοῖς λογισμοῖς ἔφη τὸ κάμνον αὐτῷ καὶ βαρυνό-
μενον ἤδη τοῦ σώματος ἀναφέρεσθαι, καὶ τέλος ἐπεὶ τῆς ἄκρας ἀπαντώσης
ἀποτόμου καὶ ὑψηλῆς εὖ πως φυλαξάμενοι καὶ κάμψαντες, ἐν χρῷ γὰρ ἐνή-
χοντο τὴν γῆν ὥσπερ εἰς λιμένα σκάφος ἀσφαλὲς κατάγοντες, παντάπασιν
αἰσθέσθαι θεοῦ κυβερνήσει γεγονέναι τὴν κομιδήν. ταῦτα ὁ Γοργίας ἔφη τοῦ
Ἀρίονος εἰπόντος, ἠρόμην αὐτὸν ὅπου τὴν ναῦν οἴεται καταχθήσεσθαι, ὁ δὲ πάντως

μὲν εἰς Κόρινθον, πολύ μέντοι καθυστερεῖν, αὐτὸν γὰρ ἑσπέρας ἐκπεσόντα πεντα-
κοσίων οὐ μεῖον οἴεσθαι δρόμον σταδίων κομισθῆναι, καὶ γαλήνην εὐθὺς κατα-
σχεῖν, οὐ μὴν ἀλλ' ἑαυτὸν ὁ Γοργίας ἔφη πυθόμενον τοῦ τε ναυκλήρου τοὔνομα, καὶ
τοῦ κυβερνήτου, καὶ τῆς νεὼς τὸ παράσημον, ἐκπέμψαι πλοῖα καὶ στρατιώτας τὰς
καταίρσεις παραφυλάξοντας, τὸν δὲ Ἀρίονα μετ' αὐτοῦ κομίζειν ἀποκεκρυμ-
μένον, ὅπως μὴ προαισθόμενοι τὴν σωτηρίαν διαφύγοιεν, ὄντως οὖν ἐοικέναι
θείᾳ τύχῃ τὸ πρᾶγμα, παρεῖναι γὰρ αὐτοὺς ἅμα δεῦρο καὶ πυνθάνεσθαι τῆς νεὼς
κεκρατημένης ὑπὸ τῶν στρατιωτῶν, συνειλῆφθαι τοὺς ἐμπόρους καὶ ναύ-
τας. ὁ μὲν οὖν Περίανδρος ἐκέλευσεν εὐθὺς ἐξαναστάντα τὸν Γοργίαν εἰς φυ-
λακὴν ἀποθέσθαι τοὺς ἄνδρας, οὗ μηδεὶς αὐτοῖς πρόσεισι, μὴ δὲ φράσει τὸν Ἀ-
ρίονα σεσωσμένον. ὁ δὲ Αἴσωπος ἀλλ' ὑμεῖς ἔφη χλευάζετε τοὺς ἐμοὺς κο-
λοιοὺς καὶ κόρακας εἰ διαλέγονται, δελφῖνες δὲ τοιαῦτα νεανιεύονται;
ἄλλο τι λέγομεν ἔφη ὦ Αἴσωπε, τούτῳ δὲ τῷ λόγῳ πιστευομένῳ καὶ γραφομένῳ
παρ' ἡμῖν πλέον ἢ χίλια ἔτη διαγέγονε, καὶ ἀπὸ τῶν Ἰνοῦς καὶ Ἀθάμαντος χρό-
νων. ὁ δὲ Σόλων ὑπολαβὼν, ἀλλὰ ταῦτα μὲν ὦ Διόκλεις, ἐγγὺς θεῶν ἔστω καὶ
ὑπὲρ ἡμᾶς, ἀνθρώπινον δὲ καὶ πρὸς ἡμᾶς τὸ τοῦ Ἡσιόδου πάθος, ἀκήκοας γὰρ
ἴσως τὸν λόγον. οὐκ ἔγωγε εἶπεν. ἀλλὰ μὴν ἄξιον πυθέσθαι. Μιλησίου γὰρ ὡς ἔοι-
κεν ἀνδρὸς ᾧ ξενίας ἐκοινώνει ὁ Ἡσίοδος καὶ διαίτης ἐν Λοκροῖς, τῇ τοῦ ξένου θυ-
γατρὶ κρύφα συγγενομένου καὶ φωραθέντος, ὑποψίαν ἔσχεν ὡς γνοὺς ἀπ' ἀρχῆς καὶ
συνεπικρύψας τὸ ἀδίκημα μηδενὸς ὢν αἴτιος, ὀργῆς δὲ καιρῷ καὶ διαβολῇ πε-
ριπεσὼν ἀδίκως, ἀπέκτειναν γὰρ αὐτὸν οἱ τῆς παιδίσκης ἀδελφοὶ περὶ τὸ Λο-
κρικὸν Νέμειον ἐνεδρεύσαντες, καὶ μετ' αὐτοῦ τὸν ἀκόλουθον ᾧ Τρωΐλος ἦν ὄνο-
μα. τῶν δὲ σωμάτων εἰς τὴν θάλασσαν ὠσθέντων, τὸ μὲν τοῦ Τρωΐλου εἰς τὸν Δάφνον
ποταμὸν ἔξω φερόμενον, ἐπεσχέθη περικλύστῳ χοιράδι μικρὸν ὑπὲρ τὴν θά-
λασσαν ἀνεχούσῃ, καὶ μέχρι νῦν Τρωΐλος ἡ χοιρὰς καλεῖται, τὸν δὲ Ἡσιόδου τὸν
νεκρὸν εὐθὺς ἀπὸ γῆς ὑπολαβοῦσα δελφίνων ἀγέλη πρὸς τὸ Ῥίον ἐκόμιζε, καὶ
τὴν Μολύκρειαν, ἐτύγχανε δὲ Λοκροῖς ἡ τῶν Ῥίων καθεστῶσα θυσία καὶ πανήγυ-
ρις, ἣν ἄγουσιν ἔτι νῦν περιφανῶς περὶ τὸν τόπον ἐκεῖνον, ὡς δὲ ὤφθη προσφε-
ρόμενον τὸ σῶμα θαυμάσαντες, ὡς εἰκὸς, ἐπὶ τὴν ἀκτὴν κατέδραμον, καὶ γνω-
ρίσαντες ἔτι πρόσφατον νεκρὸν, ἅπαντα δεύτερα τοῦ ζητεῖν τὸν φόνον ἐποιοῦντο,
διὰ τὴν δόξαν τοῦ Ἡσιόδου, καὶ τοῦτο μὲν ταχέως ἔπραξαν εὑρόντες τοὺς φονεῖς,
αὐτούς τε γὰρ κατεπόντισαν ζῶντας, καὶ τὴν οἰκίαν κατέσκαψαν, ἐτάφη δὲ Ἡ-
σίοδος πρὸς τῷ Νεμείῳ, τὸν δὲ τάφον οἱ πολλοὶ τῶν ξένων οὐκ ἴσασιν, ἀλλ' ἀπο-
κέκρυπται ζητούμενος ὑπ' Ὀρχομενίων ὥς φασι βουλομένων κατὰ χρησμὸν ἀνε-
λέσθαι τὰ λείψανα, καὶ θάψαι παρ' αὐτοῖς. εἴπερ οὖν οὕτως ἔχουσιν οἰκεί-
ως καὶ φιλανθρώπως πρὸς τοὺς ἀποθανόντας, ἔτι μᾶλλον εἰκός ἐστι τοῖς ζῶσι βοηθεῖν,
καὶ μάλιστα κηληθέντες αὐλοῖς, ἤ τισι μέλεσι, τουτὶ γὰρ ἤδη πάντες ἴσμεν, ὅτι
μουσικῇ τὰ ζῶα ταῦτα χαίρειν καὶ διώκειν, καὶ παρανήχεσθαι τοῖς ἐλαυνο-
μένοις πρὸς ᾠδὴν καὶ αὐλὸν ἐν εὐδίᾳ πορείας τερπόμενα, χαίρει δὲ καὶ νήξεσι
παιδίων, καὶ κολύμβοις ἁμιλλᾶται, διὸ καὶ νόμος ἀδείας ἄγραφός ἐστιν αὐ-
τοῖς, θηρᾷ γὰρ οὐδεὶς οὔτε λυμαίνεται, πλὴν ὅταν ἐν δικτύοις γενόμενοι κα-
κουργοῦσι περὶ τὴν ἄγραν, πληγαῖς κολάζονται καθάπερ παῖδες ἁμαρτάνον-
τες. μέμνηται δὲ καὶ παρὰ Λεσβίων ἀνδρῶν ἀκούσας σωτηρίαν τινὰ κόρης
ὑπὸ δελφῖνος ἐκ θαλάττης γενέσθαι λεγόμενον ἀκριβῶς, ἀλλ' ὁ Πιττακὸς ἔνδο-
ξον ἐστὶν καὶ μνημονευόμενον ὑπὸ πολλῶν τὸν λόγον, χρησμοῦ γὰρ γενομένου τοῖς
οἰκίζουσι Λέσβον ὅταν ἕρματι πλέοντες προστύχωσιν ὃ καλεῖται Μεσόγειον,

ὅτε ἐνταῦθα Ποσειδῶνι μὲν ταῦρον, Ἀμφιτρίτῃ δὲ καὶ Νηρηΐσι ζῶσαν καθιέναι παρθένον. ὄντων οὖν ἀρχηγετῶν ἑπτὰ καὶ βασιλέων, ὀγδόου δὲ τοῦ Ἐχελάου πυθοχρήστου τῆς ἀποικίας ἡγεμόνος, ὄντος μὲν ἠΐθεος ἦν ἔτι, τῶν δ' ἑπτὰ κληρουμένων ὅσοι ἄγαμοι παῖδες ἦσαν καταλαμβάνει μὲν Σμινθέως ὁ κλῆρος, ἣν ἐσθῆτι καὶ χρυσῷ κοσμήσαντες, ὡς ἐγένοντο κατὰ τὸν τόπον, ἔμελλον εὐξάμενοι καθήσειν, ἔτυχε δέ τις ἐρῶν αὐτῆς τῶν συμπλεόντων, οὐκ ἀγεννὴς ὡς ἔοικε νεανίας, οὗ καὶ τὸ ὄνομα διαμνημονεύουσιν Ἔναλον, οὗτος ἀμήχανόν τινα τοῦ βοηθεῖν τῇ παρθένῳ προθυμίαν ἐν τῷ τότε πάθει λαβὼν παρὰ τὸν καιρὸν ὥρμησε, καὶ περιπλακεὶς ὁμοῦ συγκαθῆκεν ἑαυτὸν εἰς τὴν θάλασσαν. εὐθὺς μὲν οὖν φήμη τις οὐκ ἔχουσα τὸ βέβαιον, ἄλλως δὲ πείθουσα πολλοὺς ἐν τῷ στρατοπέδῳ, διηνέχθη περὶ σωτηρίας αὐτῶν καὶ κομιδῆς, ὑστέρῳ δὲ χρόνῳ τὸν Ἔναλόν φασιν ἐν Λέσβῳ φανῆναι καὶ λέγειν, ὡς ὑπὸ δελφίνων φορητοὶ διὰ θαλάττης ἐκπέσοιεν ἀβλαβῶς εἰς τὴν ἤπειρον. ἔστι δὲ ἄλλα θειότερα τούτων ἐκπλήττοντα καὶ κηλοῦντα τοὺς πολλοὺς διηγεῖσθαι, πάντων δὲ πίστιν ἔργον παρασχεῖν, κύματος γὰρ ἠλιβάτου περὶ τὴν νῆσον αἰρομένου καὶ τῶν ἀνθρώπων ἀπαντῆσαι δεδιότων, μόνον θαλάττῃ ἕπεσθαι πολύποδας αὐτῷ πρὸς τὸ ἱερὸν τοῦ Ποσειδῶνος, ὧν τοῦ μεγίστου λίθον κομίζοντος λαβεῖν τὸν Ἔναλον, καὶ ἀναθεῖναι, καὶ τοῦτον Ἔναλον καλοῦμεν. καθόλου δὲ εἶπεν εἴ τις εἰδείη διαφορὰν ἀδυνάτου καὶ ἀσυνήθους, καὶ παραλόγου καὶ παραδόξου, μάλιστα ἂν ὦ Χίλων, καὶ μήτε πιστεύων ὡς ἔτυχε, μήτε ἀπιστῶν, τὸ μηδὲν ἄγαν, ὡς σὺ προσέταξας, διαφυλάττων. μετὰ δὲ τοῦτον ὁ Ἀνάχαρσις εἶπεν, ὅτι τοῦ Θάλεω καλῶς ὑπολαμβάνοντος ἐν πᾶσιν εἶναι τοῖς κυριωτάτοις μέρεσι τοῦ κόσμου, καὶ μεγίστοις ψυχήν, οὐκ ἄξιόν ἐστι θαυμάζειν, εἰ τὰ κάλλιστα περαίνεται θεοῦ γνώμῃ, ψυχῆς γὰρ ὄργανον τὸ σῶμα, θεοῦ δὲ ἡ ψυχή, καὶ καθάπερ σῶμα πολλὰς μὲν ἐξ αὑτοῦ κινήσεις ἔχει, τὰς δὲ πλείστας καὶ καλλίστας ἀπὸ ψυχῆς, οὕτως αὖ πάλιν ἡ ψυχή, τὰ μὲν ὑφ' ἑαυτῆς κινουμένη πράττει, τὰ δὲ τῷ θεῷ παρέχει χρωμένῳ, κατευθύνειν καὶ τρέπειν ἑαυτὴν ᾗ βούλοιτο, πάντων ὀργάνων εὐτρεπέστατον οὖσα, δεινὸν γὰρ εἶπεν εἰ πῦρ μὲν ὄργανόν ἐστι καὶ πνεῦμα καὶ ὕδωρ καὶ νέφη καὶ ὄμβροι, δι' ὧν πολλὰ μὲν σώζει τε καὶ τρέφει, πολλὰ δὲ ἀπόλλυσι καὶ ἀναιρεῖ, ζώοις δὲ χρῆται πρὸς οὐδὲν ἁπλῶς οὐδέπω τῶν ὑπ' αὐτοῦ γινομένων, ἀλλὰ μᾶλλον εἰκὸς ἐξηρτημένων τῆς τοῦ θεοῦ δυνάμεως ὑπουργεῖν, καὶ συμπαθεῖν ταῖς τοῦ θεοῦ κινήσεσιν ἢ Σκύθαις τόξα, λύραι δὲ Ἕλλησι καὶ αὐλοί, συμπαθοῦσιν. ἐπὶ δὲ τούτοις ὁ ποιητὴς Χερσίας, ἄλλων τε σωθέντων ἀνελπίστως ἐμέμνητο καὶ Κυψέλου τοῦ Περιάνδρου πατρός, ὃν οἱ πεμφθέντες ἀνελεῖν νεογνὸν ὄντα προσμειδιάσαντα αὐτοῖς ἀπετράποντο, καὶ πάλιν μετανοήσαντες ἐζήτουν, καὶ οὐχ εὗρον εἰς κυψέλην ὑπὸ τῆς μητρὸς ἀποτεθέντα, διὸ καὶ τὸν οἶκον ἐν Δελφοῖς κατεσκεύασεν ὁ Κύψελος, ὥσπερ θεοῦ τότε τὸν κλαυθμυρισμὸν ἐπισχόντος, ὅπως διαλάθοι τοὺς ζητοῦντας. καὶ ὁ Πιττακὸς προσαγορεύσας τὸν Περίανδρον εὖ γε ἔφη Περίανδρε Χερσίας ἐποίησε μνησθεὶς τοῦ οἴκου, πολλάκις γὰρ ἐβουλόμην ἐρέσθαι σε τὴν αἰτίαν τῶν βατράχων ἐκείνων, τί βούλονται περὶ τὸν πυθμένα τοῦ φοίνικος ἐντετορνευμένοι τοσοῦτοι, καὶ τίνα πρὸς τὸν θεὸν ἢ τὸν ἀναθέντα λόγον ἔχουσι. τοῦ δὲ Περιάνδρου τὸν Χερσίαν ἐρωτᾶν κελεύσαντος, εἰδέναι γὰρ ἐκεῖνον, καὶ παρεῖναι τῷ Κυψέλῳ καθιδρύοντι τὸν οἶκον, ὁ Χερσίας μειδιάσας, ἀλλ' οὐκ ἂν ἔφη φράσαιμι πρότερον ἢ πυθέσθαι παρὰ τούτων, ὅτι βούλεται, τὸ μηδὲν ἄγαν αὐτοῖς, καὶ τὸ γνῶθι σαυτόν, καὶ τοῦτο δὲ τὸ πολλοὺς μὲν ἀγάμους, πολλοὺς δὲ πιστούς, ἐνίους δὲ καὶ ἀφώνους πεποιηκός, ἐγγύα πάρα δ' ἄτα. τί δὲ εἶπεν ὁ Πιττακὸς

ὅσιος .I.

ἡμῶν δέῃ ταῦτα φραζόντων, πάλαι τὸν Αἰσώπου λόγον εἰς ἕκαστον ὡς ἔοικε τούτων συντεθεικότος ἐπαινεῖς. καὶ ὁ Αἴσωπος ὅταν γε παίζῃ πρὸς ἐμὲ Χερσίας εἶπε, σπουδάζων δὲ, τούτων Ὅμηρον εὑρετὴν ἀποδείκνυσι, καί φησι τὸν μὲν Ἕκτορα γινώσκειν ἑαυτόν, τοῖς γὰρ ἄλλοις ἐπιτιθέμενος, Αἴαντος ἀλέεινε μάχην Τελαμωνιάδαο, τὸν δ' Ὀδυσσέα τοῦ μηδὲν ἄγαν ἐπαινέτην τῷ Διομήδει παρακελεύεσθαι, Τυδείδη μήτ' ἄρ με μάλ' αἴνεε, μήτε τι νείκει. τὴν δ' ἐγγύην, οἱ μὲν ἄλλοι λοιδορεῖν αὐτὸν ὡς πρᾶγμα δείλαιον καὶ μάταιον οἴονται, λέγοντα δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι. Χερσίας δ' οὑτοσί φησι τὴν ἄτην ὑπὸ τοῦ Διὸς ῥιφῆναι τῇ ἐγγύῃ παραγινομένην, ἣν ἐγγυησάμενος ὁ Ζεὺς ἐσφάλη περὶ τῆς τοῦ Ἡρακλέους γενέσεως. ὑπολαβὼν δὲ ὁ Σόλων οὐκοῦν ἔφη, καὶ τῷ σοφωτάτῳ πιστευτέον Ὁμήρῳ, νὺξ δ' ἤδη τελέθει, ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι, σπείσαντες οὖν Μούσαις καὶ Ποσειδῶνι, καὶ Ἀμφιτρίτῃ διαλύωμεν εἰ δοκεῖ τὸ συμπόσιον, τοῦτο ἔσχεν ὦ Νίκαρχε πέρας ἡ τότε συνουσία.

ἀποδείκνυμι .I. Δ.

ΠΕΡΙ ΔΕΙΣΙΔΑΙΜΟΝΙΑΣ.

Ης περὶ θεῶν ἀμαθίας καὶ ἀγνοίας εὐθὺς ἐξ ἀρχῆς δίχα ῥυείσης, τὸ μὲν ὥσπερ ἐν χωρίοις τισὶ σκληροῖς καὶ ἀντιτύποις ἤθεσι, τὴν ἀθεότητα, τὸ δὲ ὥσπερ ἐν ὑγροῖς καὶ ἁπαλοῖς τὴν δεισιδαιμονίαν ἐμπεποίηκεν. ἅπασα μὲν οὖν κρίσις ψευδής, ἄλλως τε κἂν ᾖ περὶ ταῦτα μοχθηρόν, ᾗ δὲ καὶ πάθος πρόσεστι μοχθηρότερον, πᾶν γὰρ πάθος ἔοικεν ἀπάτη φλεγμαίνουσα εἶναι. καὶ καθάπερ αἱ μετὰ τραύματος ἐκβολαὶ τῶν ἄρθρων, οὕτως αἱ μετὰ πάθους διαστροφαὶ τῆς ψυχῆς χαλεπώτεραι. ἀτόμους τις οἴεται καὶ κενὸν ἀρχὰς εἶναι τῶν ὅλων; ψευδὴς ἡ ὑπόληψις, ἀλλ' ἕλκος οὐ ποιεῖ, οὐδὲ σφυγμόν, οὐδὲ ὀδύνην ταράττουσαν. ὑπολαμβάνει τις τὸν πλοῦτον ἀγαθὸν εἶναι μέγιστον; τοῦτο τὸ ψεῦδος ἰὸν ἔχει, νέμεται τὴν ψυχήν, ἐξίστησιν, οὐκ ἐᾷ καθεύδειν, οἴστρων ἐμπίπλησιν, ὠθεῖ κατὰ τῶν πετρῶν, ἄγχει, τὴν παρρησίαν ἀφαιρεῖται. πάλιν οἴονταί τινες εἶναι σῶμα τὴν ἀρετὴν καὶ τὴν κακίαν; αἰσχρὸν ἴσως τὸ ἀγνόημα, θρήνων δὲ καὶ ὀδυρμῶν οὐκ ἄξιον. ἀλλ' αἵ τινές εἰσι τοιαῦται κρίσεις καὶ ὑπολήψεις, ὦ τλῆμον ἀρετή λόγος ἄρ' ἦσθα, ἐγὼ δὲ ὡς ἔργον σε ἤσκουν, ἀφεὶς τὴν πλουτοποιὸν ἀδικίαν, καὶ τὴν γόνιμον ἁπάσης ἡδονῆς ἀκολασίαν, ταύτας ἄξιόν ἐστιν οἰκτείρειν ὁμοῦ καὶ δυσχεραίνειν, ὅτι πολλὰ νοσήματα καὶ πάθη καθάπερ εὐλὰς καὶ σκώληκας ἐντίκτουσι ταῖς ψυχαῖς παροῦσαι. οὐκοῦν καὶ περὶ ὧν ὁ λόγος, ἡ μὲν ἀθεότης κρίσις οὖσα φαύλη τοῦ μηδὲν εἶναι μακάριον καὶ ἄφθαρτον, εἰς ἀπάθειάν τινα δοκεῖ τῇ ἀπιστίᾳ τοῦ θείου περιφέρειν, καὶ τέλος ἐστὶν αὐτῇ τοῦ μὴ νομίζειν θεόν, τὸ μὴ φοβεῖσθαι. τὴν δὲ δεισιδαιμονίαν καὶ μηνύει τοὔνομα, δόξαν ἐμπαθῆ καὶ δέους ποιητικὴν ὑπόληψιν οὖσαν ἐκταπεινοῦντος καὶ συντρίβοντος τὸν ἄνθρωπον, οἰόμενον τε εἶναι θεούς, εἶναι δὲ λυπηροὺς καὶ βλαβερούς. ἔοικε γὰρ ὁ μὲν ἄθεος ἀκίνητος εἶναι πρὸς τὸ θεῖον, ὁ δὲ δεισιδαίμων κινούμενος, ὡς οὐ προσήκει διαστρέφεσθαι. ἡ γὰρ ἄγνοια τῷ μὲν, ἀπιστίαν τοῦ ὠφελοῦντος ἐμπεποίηκε, τῷ δὲ καὶ δόξαν ὅτι βλάπτει προστέθεικεν. ὅθεν ἡ μὲν ἀθεότης λόγος ἐστὶ διεψευσμένος, ἡ δὲ δεισιδαιμονία πάθος ἐκ λόγου ψευδοῦς ἐγγεγενημένον. αἰσχρὰ μὲν δὴ πάντα τὰ ψυχῆς νοσήματα καὶ πάθη, τὸ δὲ γαῦρον ἐνίοις ὅμως, καὶ ὑψηλὸν καὶ διηρμένον ἔνεστιν ὑπὸ κουφότητος. δραστηρίου δὲ ὁρμῆς οὐδὲν ὡς ἔπος εἰπεῖν, ἀπεστέρηται, ἀλλὰ τοῦτο δὴ καὶ τὸ κοινὸν ἐσ

ἀρθέων .Δ.

κλημα παντὸς πάθους ἐστὶν, ὅτι ταῖς πρακτικαῖς ὁρμαῖς ἐκβιαζόμενα, κατε-
πείγει, καὶ συντείνει τὸν λογισμὸν, μόνος δὲ ὁ φόβος οὐχ ἧττον ὢν τόλμης ἐνδεὴς
ἢ λογισμοῦ, ἄπρακτον ἔχει καὶ ἄπορον, καὶ ἀμήχανον τὸ ἄλογον, ᾗ καὶ δεῖμα καὶ
τάρβος αὐτοῦ τὸ συνδέον ὁμοῦ τὴν ψυχὴν, καὶ ταράττον ὠνόμασται, φόβων δὲ
πάντων ἀπρακτότατος καὶ ἀπορώτατος ὁ τῆς δεισιδαιμονίας. οὐ φοβεῖ-
ται θάλασσαν ὁ μὴ πλέων, οὐδὲ πόλεμον ὁ μὴ στρατευόμενος, οὐδὲ λῃστὰς ὁ οἰκου-
ρῶν, οὐδὲ συκοφάντην ὁ πένης, οὐδὲ φθόνον ὁ ἰδιώτης, οὐδὲ σεισμὸν ὁ ἐν Γαλάταις,
οὐδὲ κεραυνὸν ὁ ἐν Αἰθίοψιν, ὁ δὲ θεοὺς δεδιὼς, πάντα δέδιε, γῆν, θάλατταν, ἀέ-
ρα, οὐρανὸν, σκότος, φῶς, κληδόνα, σιωπὴν, ὄνειρον. οἱ δοῦλοι τῶν δεσποτικῶν
ἐπιλανθάνονται καθεύδοντες, τοῖς πεδήταις ἐπελαφρύνει τὸν δεσμὸν ὁ ὕπνος.
φλεγμοναὶ περὶ τραύματα, καὶ νομαὶ σαρκὸς θηριώδεις, καὶ περιωδυνίαι
κοιμωμένων ἀφίστανται. ὦ φίλον ὕπνου θέλγητρον ἐπίκουρον νόσου, ὡς ἡδύ μοι
προσῆλθες ἐν δέοντί γε. τοῦτο οὐ δίδωσιν εἰπεῖν ἡ δεισιδαιμονία, μόνη γὰρ οὐ
σπένδεται πρὸς τὸν ὕπνον, οὐδὲ τῇ ψυχῇ ποτὲ γοῦν δίδωσιν ἀναπνεῦσαι, καὶ
ἀναθαρρῆσαι, τὰς πικρὰς καὶ βαρείας περὶ τοῦ θεοῦ δόξας ἀπωσαμένῃ. ἀλλ'
ὥσπερ ἐν ἀσεβῶν χώρῳ τῷ ὕπνῳ τῶν δεισιδαιμόνων εἴδωλα φρικώδη καὶ τε-
ράστια φάσματα καὶ ποινάς τινας ἐγείρουσα καὶ στροβοῦσα τὴν ἀθλίαν ψυχὴν,
ἐκ τῶν ὕπνων ἐκδιώκει τοῖς ὀνείροις, μαστιζομένην καὶ κολαζομένην αὐτὴν ὑφ' αὑ-
τῆς, ὡς ὑφ' ἑτέρου καὶ δεινὰ προστάγματα καὶ ἀλλόκοτα λαμβάνουσαν. εἶτ'
ἐξαναστάντες οὐ κατεφρόνησαν, οὐδὲ ἐγέλασαν, οὐδ' ᾔσθησαν, ὅτι τῶν ταραξάντων
οὐδὲν ἦν ἀληθινὸν, ἀλλὰ σκιὰν φεύγοντες ἀπάτης οὐδὲν κακὸν ἐχούσης, ὕπαρ ἐ-
ξαπατῶσιν ἑαυτοὺς καὶ δαπανῶσι καὶ ταράττουσιν εἰς ἀγύρτας καὶ γόητας ἀν-
θρώπους ἐμπεσόντες λέγοντας, ἀλλ' εἴτ' ἔνυπνον φάντασμα φοβῇ χθονίας θ' ἑ-
κάτης κῶμον ἐδέξω, τὴν περιμάκτριαν κάλει γραῦν, καὶ βάπτισον σεαυτὸν
εἰς θάλασσαν, καὶ καθίσας ἐν τῇ γῇ διημέρευσον. ὦ βάρβαρ' ἐξευρόντες ἕλ-
ληνες κακὰ τῇ δεισιδαιμονίᾳ πηλώσεις, καταβορβορώσεις, σαββατισμοὺς,
ῥίψεις ἐπὶ πρόσωπον αἰσχρὰς, προκαθίσεις ἀλλοκότους προσκυνήσεις. δι-
καίῳ τῷ στόματι τοὺς κιθαρῳδοὺς ἐκέλευον ᾄδειν, οἱ τὴν νόμιμον μουσικὴν σώζειν
δοκοῦντες. ἡμεῖς δὲ τοῖς θεοῖς ἀξιοῦμεν ὀρθῷ τῷ στόματι καὶ δικαίῳ προσεύχεσθαι,
καὶ μὴ τὴν ἐπὶ τῶν σπλάγχνων μὲν γλῶτταν, εἰ καθαρὰ καὶ ὀρθὴ, σκοπεῖν, τὴν δὲ
αὑτῶν διαστρέφοντας, καὶ μολύνοντας, ἀτόποις ὀνόμασι καὶ ῥήμασι βαρβα-
ρικοῖς καταισχύνειν καὶ παρανομεῖν τὸ θεῖον καὶ πάτριον ἀξίωμα τῆς εὐσεβεί-
ας. ἀλλ' ὅγε κωμικὸς οὐκ ἀηδῶς εἰρηκέ που πρὸς τοὺς καταχρυσοῦντας τὰ
κλινίδια καὶ καταργυροῦντας, ὅτι μόνον ἔδωκαν ἡμῖν οἱ θεοὶ προῖκα τὸν ὕπνον,
τί τοῦτο πολυτελὲς σεαυτῷ ποιεῖς. ἔστι δὲ καὶ πρὸς τὸν δεισιδαίμονα εἰπεῖν,
ὅτι τὸν ὕπνον οἱ θεοὶ λήθην κακῶν ἔδοσαν ἡμῖν, καὶ ἀνάπαυσιν. τί τοῦτο κολα-
στήριον σαυτῷ ποιεῖς ἐπίμονον, καὶ ὀδυνηρὸν τῆς ἀθλίας ψυχῆς εἰς ἄλλον ὕπνον
ἀποδρᾶναι μὴ δυναμένης. ὁ Ἡράκλειτός φησι τοῖς ἐγρηγορόσιν ἕνα καὶ κοινὸν
κόσμον εἶναι, τῶν δὲ κοιμωμένων ἕκαστον εἰς ἴδιον ἀποστρέφεσθαι. τῷ δὲ δεισιδαί-
μονι κοινὸς οὐδείς ἐστι κόσμος, οὔτε γὰρ ἐγρηγορὼς τῷ φρονοῦντι χρῆται, οὔτε
κοιμώμενος ἀπαλλάττεται τοῦ ταράττοντος, ἀλλ' ὀνειρώττει μὲν ὁ λογισμὸς, ἐγ-
ρήγορε δὲ ὁ φόβος ἀεὶ, φυγὴ δὲ οὐκ ἔστιν οὐδὲ μετάστασις. ἦν φοβερὸς ἐν Σάμῳ
Πολυκράτης τύραννος, ἦν ἐν Κορίνθῳ Περίανδρος, ἀλλ' οὐδεὶς ἐφοβεῖτο τούτους
μεταστὰς εἰς πόλιν ἐλευθέραν, καὶ δημοκρατουμένην. ὁ δὲ τὴν τῶν θεῶν ἀρχὴν
ὡς τυραννίδα φοβούμενος σκυθρωπὴν καὶ ἀπαραίτητον, ποῦ μεταστῇ, ποῦ
φύγῃ, ποίαν γῆν ἄθεον εὕρῃ, ποίαν θάλασσαν, εἰς τί καταδὺς τοῦ κόσμου μέρος,
καὶ

καὶ ἀποκρύψας σεαυτὸν ὦ ταλαίπωρε πιστεύσεις ὅτι τὸν θεὸν ἀποπέφευγας.
ἔστι καὶ δούλοις νόμος ἐλευθερίαν ἀπογνοῦσι, πρᾶσιν αἰτεῖσθαι, καὶ δεσπότην μετα-
βάλλειν ἐπιεικέστερον. ἡ δὲ δεισιδαιμονία θεῶν ἀλλαγὴν οὐ δίδωσιν, οὐδ' ἔστιν εὑ-
ρεῖν ὃν οὐ φοβήσεται θεὸν, ὁ φοβούμενος τοὺς πατρῴους καὶ γενεθλίους, ὁ φρίτ-
των τοὺς σωτῆρας καὶ μειλιχίους, τρέμων καὶ δεδοικὼς παρ' ὧν αἰτούμεθα πλοῦ-
τον, εὐπορίαν, ὁμόνοιαν, εἰρήνην, ὄρθωσιν λόγων καὶ ἔργων τῶν ἀρίστων. εἶτα
οὗτοι τὸ δουλεύειν ἀτύχημα ἡγοῦνται, καὶ λέγουσι, δεινή τις ἀνδρὶ καὶ γυναι-
κὶ συμφορὰ, δούλους γενέσθαι, δεσπότας τε δυστυχεῖς λαβεῖν. πόσῳ δὲ δεινό-
τερον οἴεσθε πάσχειν, ἀνεκφεύκτους, ἀναποδράστους, ἀναποστάτους. ἔστι δού-
λῳ φεύξιμος βωμὸς, ἔστι καὶ λῃσταῖς ἀβέβηλα πολλὰ τῶν ἱερῶν, καὶ πολεμί-
ους φεύγοντες, ἂν ἀγάλματος λάβωνται ἢ ναοῦ, θαρροῦσιν. ὁ δὲ δεισιδαίμων ταῦ-
τα μάλιστα φρίττει, καὶ φοβεῖται, καὶ δέδοικεν, ἐν οἷς οἱ φοβούμενοι τὰ δεινότα-
τα τὰς ἐλπίδας ἔχουσι μὴ ἀποσπᾶν τὸν δεισιδαίμονα τῶν ἱερῶν, ἐνταῦθα κο-
λάζεται καὶ τιμωρεῖται. τί δεῖ μακρὰ λέγειν, πέρας ἐστὶ τοῦ βίου πᾶσιν
ἀνθρώποις ὁ θάνατος, τοῖς δὲ δεισιδαιμονίας οὐδ' οὗτος, ἀλλ' ὑπερβάλλει τοὺς
ὅρους ἐπέκεινα τοῦ ζῆν, μακρότερον τοῦ βίου ποιοῦσα τὸν φόβον, καὶ συνάπτου-
σα τῷ θανάτῳ, κακῶν ἐπίνοιαν ἀθανάτων, καὶ ὅτε παύεται πραγμάτων, ἄρ-
χεσθαι δοκοῦσα μὴ παυομένων. ᾍδου τινὲς ἀνοίγονται πύλαι βαθεῖαι, καὶ ποτα-
μοὶ πυρὸς ὁμοῦ, καὶ στυγὸς ἀπορρῶγες ἀναπετάννυνται, καὶ σκότος ἐμπιπλα-
ται πολυφάνταστον, εἰδώλων μὲν χαλεπὰς ὄψεις, οἰκτρὰς δὲ φωνὰς ἐπιφερόν-
των. δικασταὶ δὲ καὶ κολασταὶ, καὶ χάσματα καὶ μυχοὶ κακῶν μυρίων γέμοντες.
οὕτως ἡ κακοδαίμων δυσειδαιμονία καὶ θεῷ τὸ μὴ παθεῖν ἐκπέφευγεν, ἀφυ-
λάκτῳ προσδοκᾶν αὐτῇ πεποίηκε. τούτων οὐδὲν τῇ ἀθεότητι πρόσεστιν, ἀλλ'
ἡ μὲν ἄγνοια χαλεπὴ, καὶ τὸ παρορᾶν, καὶ τυφλώττειν περὶ τηλικαῦτα, συμ-
φορὰ μεγάλη ψυχῆς, ὥσπερ ὀμμάτων πολλῶν τὸ φανότατον, καὶ κυριώτατον
ἀπεσβεσμένῃ τὴν τοῦ θεοῦ νόησιν. τὸ δὲ ἐμπαθὲς ὥσπερ εἴρηται, καὶ ἑλκῶδες,
καὶ ταρακτικὸν καὶ καταδεδουλωμένον, εὐθὺς πρόσεστι τῇ δόξῃ. μουσικὴν
φησὶν ὁ Πλάτων ἐμμελείας καὶ εὐρυθμίας δημιουργὸν ἀνθρώποις ὑπὸ θε-
ῶν, οὐ τρυφῆς ἕνεκα, καὶ κνήσεως ὤτων δοθῆναι, ἀλλὰ τὸ τῶν ψυχῆς περιόδων
καὶ ἁρμονιῶν ταραχῶδες, καὶ πεπλανημένον ἐν σώματι μούσης τε καὶ χά-
ριτος ἐνδείᾳ πολλαχῇ δι' ἀκολασίαν καὶ πλημμέλειαν ἐξυβρίζον αὖθις εἰς τά-
ξιν ἀνελίττουσαν οἰκείως καὶ περιάγουσαν παρεῖναι. ὅσα δὲ μὴ πεφίληκε Ζεὺς
ἔφη Πίνδαρος, ἀτύζονται βοὰν Πιερίδων ἀΐοντα. καὶ γὰρ διαγριαίνεται καὶ
ἀγανακτεῖ, καὶ τὰς τίγρις φασὶ περιτυμπανιζομένας ἐκμαίνεσθαι καὶ τα-
ράττεσθαι, καὶ τέλος αὑτὰς διασπᾶν. ἔλαττον οὖν κακὸν, οἷς διὰ κωφότη-
τα, καὶ πήρωσιν ἀκοῆς, ἀπάθεια πρὸς μουσικὴν καὶ ἀναισθησία συμβέβηκεν.
ὁ Τειρεσίας ἐχρῆτο δυστυχίᾳ μὴ βλέπων τὰ τέκνα, μὴ δὲ τοὺς συνήθεις, ὁ δὲ
Ἀθάμας μείζονι καὶ ἡ Ἀγαύη, βλέποντες ὡς λέοντας καὶ ἐλάφους. καὶ τῷ Ἡρα-
κλεῖ δή που μανέντι τοὺς υἱεῖς ἐλυσιτέλει μήτε ἰδεῖν, μήτε αἰσθέσθαι παρόντας,
ἢ χρῆσθαι τοῖς φιλτάτοις ὡς πολεμίοις. τί οὖν οὐ δοκεῖ σοι καὶ τὸ τῶν ἀθέων
πρὸς τοὺς δεισιδαίμονας πάθος ἔχειν τοιαύτην διαφοράν; οἱ μὲν οὖν οὐχ ὁρῶ-
σι τοὺς θεοὺς τοπαράπαν, οἱ δὲ ὑπάρχειν νομίζουσιν, οἱ μὲν παρορῶσιν, οἱ δὲ δο-
ξάζουσι φοβερὸν τὸ εὐμενὲς, καὶ τυραννικὸν τὸ πατρικὸν, καὶ βλαβερὸν τὸ κη-
δεμονικὸν, καὶ τὸ ἀμήνιτον ἄγριον εἶναι καὶ θηριῶδες, εἶτα χαλκοτύποις πεί-
θονται καὶ λιθοξόοις, καὶ κηροπλάσταις, ἀνθρωπόμορφα τῶν θεῶν τὰ σώμα-
τα εἶναι, καὶ τοιαῦτα πλάττουσι, καὶ κατασκευάζουσι, καὶ προσκυνοῦσι, κα-

k

λοσόφων δὲ καὶ πολιτικῶν ἀνδρῶν καταφρονοῦσιν, ἀποδεικνύντων τὴν τοῦ θεοῦ σεμνότητα μετὰ χρηστότητος καὶ μεγαλοφροσύνης, μετὰ βίας καὶ κηδεμονίας. περίεστιν οὖν τοῖς μὲν ἀναισθησία καὶ ἀπιστία τῶν ὠφελούντων καλῶν, τοῖς δὲ ταραχὴ καὶ φόβος πρὸς τὰ ὠφελοῦντα. καὶ ὅλως ἡ μὲν ἀθεότης, ἀπάθεια πρὸς τὸ θεῖόν ἐστι μὴ νοοῦσα τὸ ἀγαθόν· ἡ δὲ δεισιδαιμονία πολυπάθεια κακὸν τὸ ἀγαθὸν ὑπονοοῦσα. φοβοῦνται τοὺς θεούς, καὶ καταφεύγουσιν ἐπὶ τοὺς θεούς, κολακεύουσι καὶ λοιδοροῦσιν, εὔχονται καὶ καταμέμφονται. κοινὸν ἀνθρώπων τὸ μὴ πάντα διευτυχεῖν. κἀκεῖνοι γὰρ ἄνοσοι, καὶ ἀγήραοι, πόνων τε ἄπειροι, βαρυβόαν πορθμὸν πεφευγότες ἀχέροντος· ὁ πίνδαρος θεούς φησι· τὰ δὲ ἀνθρώπινα πάθη καὶ πράγματα μέμικται συντυχίαις ἄλλοτε ἄλλως ῥεούσαις. φέρε δὴ πρῶτον ἐν τοῖς ἀβουλήτοις σκόπει τὸν ἄθεον, καὶ καταμάνθανε τὴν διάθεσιν, ἐὰν ᾖ τἆλλα μέτριος, χρωμένου σιωπῇ τοῖς παροῦσι, καὶ ποριζόντος αὐτῷ βοηθείας καὶ παρηγορίας, ἂν δὲ δυσφορῇ καὶ βαρυπαθῇ, πάντας ἐπὶ τὴν τύχην καὶ τὸ αὐτόματον ἀπερειδομένου τοὺς ὀδυρμούς, καὶ βοῶντος ὡς οὐδὲν κατὰ δίκην, οὐδ' ἐκ προνοίας, ἀλλὰ πάντα συγκεχυμένως καὶ ἀκρίτως φέρεται, καὶ σπαθᾶται τὰ τῶν ἀνθρώπων. τοῦ δὲ δεισιδαίμονος οὐχ οὗτος ὁ τρόπος, ἀλλὰ μικρότατον αὐτῷ κακὸν τὸ συμπεπτωκός ἐστιν, ἀλλὰ κάθηται πάθη χαλεπά, καὶ μεγάλα καὶ δυσαπάλλακτα τῇ λύπῃ προσοικοδομῶν, καὶ προσεμφορῶν αὐτῷ δείματα, καὶ φόβους, καὶ ὑποψίας, καὶ ταραχάς, παντὶ θρήνῳ, καὶ παντὶ στεναγμῷ καθαπτόμενος. οὔτε γὰρ ἄνθρωπον, οὔτε τύχην, οὔτε καιρόν, οὔθ' αὑτόν, ἀλλὰ πάντων τὸν θεὸν αἰτιᾶται, κἀκεῖθεν ἐπ' αὐτὸν ἥκει, καὶ φέρεσθαι ῥεῦμα δαιμόνιον, ἄτης φησί, καὶ οὐ δυστυχὴς ὤν, ἀλλὰ θεομισής τις ἄνθρωπος ὑπὸ τῶν θεῶν κολάζεσθαι, καὶ δίκην διδόναι, καὶ πάντα πάσχειν προσηκόντως δι' αὑτὸν ὑπονοῶν. νοσῶν τε ὁ ἄθεος ἐκλογίζεται καὶ ἀναμιμνήσκεται πλησμονὰς αὑτοῦ καὶ οἰνώσεις, καὶ ἀταξίας περὶ δίαιταν, ἢ κόπους ὑπερβάλλοντας, ἢ μεταβολὰς ἀέρων ἀήθεις, καὶ τόπους, ἔπειτα προσκρούσας ἐν πολιτείαις, καὶ περιπεσὼν ἀδοξίαις πρὸς ὄχλον, ἢ διαβολαῖς πρὸς ἡγεμόνα, τὴν αἰτίαν ἐξ αὑτοῦ καὶ τῶν περὶ αὐτὸν ἀνασκοπεῖ, τί παρέβην, τί δ' ἔρεξα, τί μοι δέον οὐκ ἐτελέσθη. τῷ δὲ δεισιδαίμονι καὶ σώματος ἀρρωστία πᾶσα, καὶ χρημάτων ἀποβολή, καὶ τέκνων θάνατοι, καὶ περὶ πολιτικὰς πράξεις δυσημερίαι, καὶ ἀποτεύξεις, πληγαὶ θεοῦ καὶ προσβολαὶ δαίμονος λέγονται. ὅθεν οὐδὲ τολμᾷ βοηθεῖν, οὐδὲ διαλύειν τὸ συμβεβηκός, οὐδὲ θεραπεύειν, οὐδ' ἀντιτάττεσθαι, μὴ δόξῃ θεομαχεῖν καὶ ἀντιτείνειν κολαζόμενος, ἀλλ' ὠθεῖται μὲν ἔξω νοσοῦντος ὁ ἰατρός, ἀπελαύνεται δὲ πενθοῦντος ὁ νουθετῶν καὶ παραμυθούμενος φιλόσοφος, ἔα με φησὶν ἄνθρωπε διδόναι δίκην, τὸν ἀσεβῆ, τὸν ἐπάρατον, τὸν θεοῖς καὶ δαίμοσι μεμισημένον. ἔστιν ἀνθρώπου μὴ πεπεισμένου θεοὺς εἶναι, λυπουμένου δ' ἄλλως καὶ περιπαθοῦντος, ἀπομάξαι δάκρυον, ἀποκεῖραι κόμην, ἀφελέσθαι τὸ ἱμάτιον. τὸν δὲ δεισιδαίμονα πῶς ἂν προσείποις, ἢ τῇ βοηθήσεις; ἔξω κάθηται σακκίον ἔχων, ἢ περιεζωσμένος ῥάκεσι ῥυπαροῖς, πολλάκις δὲ γυμνὸς ἐν πηλῷ καλινδούμενος, ἐξαγορεύει τινὰς ἁμαρτίας αὑτοῦ καὶ πλημμελείας, ὡς τόδε φαγόντος, ἢ πιόντος, ἢ βαδίσαντος ὁδὸν ἣν οὐκ εἴα τὸ δαιμόνιον. ἂν δ' ἄριστα πράττῃ καὶ συνῇ πράῳ δεισιδαιμονίᾳ, περιθειούμενος οἴκοι κάθηται περιματτόμενος· αἱ δὲ γρᾶες καθάπερ πασσάλῳ φησὶν ὁ βίων, ὅτι ἂν τύχωσιν αὐτῷ περιάπτουσι φέρουσαι, καὶ περιαρτῶσι. τὸν τηρίβαζόν φασιν ὑπὸ τῶν περσῶν συλλαμβανόμενον, σπασάμενόν τε τὸν ἀκινάκην εὔρωστον ὄντα καὶ διαμάχεσθαι, μαρτυρομένων δὲ καὶ βοώντων, ὅτι συλλαμβάνουσιν αὐτὸν βασιλέως κελεύσαντος, αὐτίκα τὸ ξίφος μεταβαλεῖν, καὶ τὼ χεῖρε συνδῆσαι παρασχεῖν. ἆρ' οὖν οὐχ ὅμοιόν ἐστι τὸ γινόμενον; οἱ μὲν ἄλλοι διαμάχονται συμφοραῖς, καὶ διωθοῦνται τὰ πράγματα, φυγὰς ἑαυτοῖς μηχανώμενοι, καὶ παρατροπὰς τῶν ἀβουλήτων, ὁ δὲ δεισιδαίμων οὐδενὸς ἀκούσας αὐτὸς πρὸς αὑτὸν εἰπών, ταῦτα πάσχεις ὦ κακόδαιμον ἐκ προνοίας καὶ θεοῦ κελεύοντος, ἔρριψε πᾶσαν ἐλπίδα, προήκατο ἑαυτόν, ἔφυγε, διεκρούσατο τοὺς βοηθοῦντας. πολλὰ τῶν μετρίων κακῶν, ὀλέθρια ποιοῦσιν αἱ δεισιδαιμονίαι. μίδας ὁ παλαιὸς ὡς ἔοικεν ἔκ τινων ἐνυπνίων ἀθυμῶν καὶ ταραττόμενος, οὕτως κακῶς ἔσχε τὴν ψυχὴν ὥστε ἑκουσίως ἀποθανεῖν, αἷμα ταύρου πιών. ὁ δὲ τῶν μεσσηνίων βασιλεὺς ἀριστόδημος, ἐν τῷ πρὸς μεσσηνίους πολέμῳ, κυνῶν λύκοις ὠρυομένων, ὅμοια καὶ περὶ τὴν ἑστίαν αὐτοῦ τὴν πατρῴαν ἀγρώστεως ἀναβλαστανούσης, καὶ τῶν μάντεων τὰ σημεῖα φοβουμένων, ἐξαθυμήσας καὶ κατασβεσθεὶς ταῖς ἐλπίσιν αὐτὸς ἑαυτὸν ἀπέσφαξεν. ἦν δ' ἴσως καὶ νικίᾳ τῷ ἀθηναίων στρατηγῷ κράτιστον οὕτως ἀπαλλαγῆναι τῆς δεισιδαιμονίας, ὡς μίδας ἢ ἀριστόδημος, ἢ φοβηθέντι τὴν σκιὰν ἐκλιπούσης τῆς σελήνης καθῆσθαι περιτειχιζόμενον ὑπὸ τῶν πολεμίων, εἶτα ὁμοῦ τέτταρσι μυριάσιν ἀνδρῶν φονευθέντων, καὶ ζώντων ἁλόντων ὑποχείριον γενέσθαι καὶ δυσκλεῶς ἀποθανεῖν. οὐ γὰρ γῆς ἀντίφραξις ἐν μέσῳ γενομένης φοβερόν, οὐδὲ δεινὸν ἐν καιρῷ περιόδων σκιᾶς πρὸς σελήνην ἀπαντήσασης, ἀλλὰ δεινὸν τὸ τῆς δεισιδαιμονίας σκότος, ἐμπεσὸν ἀνθρώπου συγχέαι, καὶ τυφλῶσαι λογισμὸν ἐν πράγμασι μάλιστα λογισμοῦ δεομένοις. γλαῦκε, σ' ὁρᾶς· βαθὺς γὰρ ἤδη κύμασι ταράσσεται πόντος· ἀμφὶ δ' ἄκρα γυρέων ὀρθὸν ἵσταται νέφος, χειμῶνος σῆμα. τοῦτο ἰδὼν κυβερνήτης εὔχεται μὲν ὑπεκφυγεῖν, καὶ θεοὺς ἐπικαλεῖται σωτῆρας, εὐχόμενος δὲ τὸν οἴακα προσάγει, τὴν κεραίαν ὑφίησι, φεύγει μέγα λαῖφος ὑποστολίσας ἐρεβώδεος ἐκ θαλάσσης. ὁ ἡσίοδος κελεύει πρὸ ἀρότου καὶ σπόρου τὸν γεωργὸν εὔχεσθαι διί τε χθονίῳ, δημήτερί θ' ἁγνῇ τῆς ἐχέτλης ἐχόμενον, ὅμηρος δὲ τὸν αἴαντά φησι τῷ ἕκτορι μέλλοντα μονομαχεῖν, εὔχεσθαι κελεύειν τοὺς ἕλληνας ὑπὲρ αὐτοῦ τοῖς θεοῖς, εἶτα εὐχομένων ἐκείνων ὁπλίζεσθαι. καὶ ὁ ἀγαμέμνων ὅτε τοῖς μαχομένοις προσέταξεν, εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω, τότε παρὰ τοῦ διὸς αἰτεῖ, δός μοι κατὰ πρηνὲς βαλέειν πριάμοιο μέλαθρον. ἀρετῆς γὰρ ἐλπὶς ὁ θεός ἐστιν, οὐ δειλίας πρόφασις. ἀλλ' ἰουδαῖοι σαββάτων ὄντων ἐν ἀγνάμπτοις καθεζόμενοι, τῶν πολεμίων κλίμακας προστιθέντων, καὶ τὰ τείχη καταλαμβανόντων, οὐκ ἀνέστησαν, ἀλλ' ἔμειναν ὥσπερ ἐν σαγήνῃ μιᾷ τῇ δεισιδαιμονίᾳ συνδεδεμένοι. τοιαύτη μὲν ἐν τοῖς ἀβουλήτοις καὶ περιστατικοῖς λεγομένοις πράγμασι καὶ καιροῖς, ἡ δεισιδαιμονία, βελτίων δὲ οὐδὲ ἐν τοῖς ἡδίοσι τῆς ἀθεότητος. ἥδιστα δὲ τοῖς ἀνθρώποις ἑορταί, καὶ εἰλαπίναι πρὸς ἱεροῖς, καὶ μυήσεις καὶ ὀργιασμοί, καὶ κατευχαὶ θεῶν, καὶ προσκυνήσεις, ἐνταῦθα τοίνυν σκόπει τὸν ἄθεον, γελῶντα μὲν μανικόν, καὶ σαρδώνιον γέλωτα τούτοις τοῖς ποιουμένοις, καί που παραφθεγγόμενον ἀτρέμα πρὸς τοὺς συνήθεις, ὅτι τετύφωνται καὶ δαιμονῶσιν οἱ θεοῖς ταῦτα δρᾶσθαι νομίζοντες, ἄλλο δὲ οὐδὲν ἔχοντα κακόν. ὁ δὲ δεισιδαίμων βούλεται μέν, οὐ δύναται δὲ χαίρειν, οὐδ' ἥδεσθαι, πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων· ἡ ψυχὴ τοῦ δεισιδαίμονος, ἐστεφανωμένος ὠχριᾷ, θύει καὶ φοβεῖται, εὔχεται φωνῇ παλλομένῃ, καὶ χερσὶν ἐπιθυμιᾷ τρεμούσαις, καὶ ὅλως ἀποδείκνυσι τὸν πυθαγόρου λόγον φλύαρον εἰπόντος, ὅτι βέλτιστοι γινόμεθα πρὸς τοὺς θεοὺς βαδίζοντες. τότε γὰρ ἀθλιώτατα καὶ κάκιστα πράττουσιν οἱ δεισιδαίμονες, ὥσπερ ἄρκτων φωλεοῖς ἢ χειαῖς δρακόντων, ἢ μυχοῖς κητῶν τοῖς τῶν θεῶν μεγάροις, ἢ ἀνακτόροις προσιόντες.

ὅθεν ἔμοιγε καὶ θαυμάζειν ἔπεισι τοὺς τὴν ἀθεότητα φάσκοντας ἀσέβειαν εἶναι, μὴ φάσκοντας δὲ τὴν δεισιδαιμονίαν. καίτοι γε ἀναξαγόρας δίκην ἔφυγεν ἀσεβείας, ἐπὶ τῷ λίθον εἰπεῖν τὸν ἥλιον, κιμμερίους δὲ οὐδεὶς εἶπεν ἀσεβεῖς, ὅτι τὸν ἥλιον οὐδ' εἶναι τὸ παράπαν νομίζουσι. τί σὺ λέγεις, ὁ μὴ νομίζων θεοὺς εἶναι ἀνόσιός ἐστιν, ὁ δὲ τοιούτους νομίζων οἵους οἱ δεισιδαίμονες, οὐ μακρῷ δόξαις ἀνοσιωτέραις σύνεστιν; ἐγὼ γοῦν ἂν ἐθέλοιμι μᾶλλον ἀνθρώπους λέγειν περὶ ἐμοῦ μήτε γεγονέναι τὸ παράπαν μήτε εἶναι πλούταρχον, ἢ λέγειν ὅτι πλούταρχός ἐστιν ἄνθρωπος ἀβέβαιος, εὐμετάβολος, εὐχερὴς πρὸς ὀργὴν, ἐπὶ τοῖς τυχοῦσι τιμωρητικὸς, μικρόλυπος, ἂν καλῶν ἐπὶ δεῖπνον ἑτέρους παραλίπῃς ἐκεῖνον, ἂν ἀσχολίας σοι γενομένης ἐπὶ θύρας μὴ ἔλθῃς εἰ μὴ προσείπῃς, διέδεταί σου τὸ σῶμα προσφὺς, καὶ συλλαβὼν ἀποτυμπανιεῖ τὸ παιδίον, ἢ θηρίον ἔχων τοῖς καρποῖς ἐφήσει, καὶ λυμανεῖται τὴν ὀπώραν. τοῦ τιμοθέου τὴν ἄρτεμιν ᾄδοντος ἐν ἀθήναις, καὶ λέγοντος θυιάδα φοιβάδα μαινάδα λυσσάδα, κινησίας ὁ μελοποιὸς ἐκ τῶν θεατῶν ἀναστὰς, τοιαύτη σοι εἶπε θυγάτηρ γένοιτο. καὶ μὴν ὅμοια τούτοις καὶ χείρονα περὶ ἀρτέμιδος οἱ δεισιδαίμονες ὑπολαμβάνουσιν, αἴτε καὶ ἀπ' ἀγχόνας ἀΐξασα, αἴτε καὶ λεχόνα κναίσατε, αἴτε καὶ ἔκνεκρος μαίουσα ἂν πεφυρμένα ἐσῆλθες, αἴτε καὶ ἐκ τριπόδων καθαρμάτευσιν ἐπισπωμένα τῷ παλαμναίῳ συμπλεχθεῖσα. οὐδὲν δὲ τούτων ἐπιεικέστερα φρονήσουσι περὶ ἀπόλλωνος, περὶ ἥρας, περὶ ἀφροδίτης, πάντας γὰρ τούτους τρέμουσι καὶ δεδίασι. καίτοι τί τοσοῦτον ἡ νιόβη περὶ τῆς λητοῦς ἐβλασφήμησεν, οἷον ἡ δεισιδαιμονία πέπεικε περὶ τῆς θεοῦ τοὺς ἄφρονας, ὡς ἄρα λοιδορηθεῖσα κατετόξευσε τῆς ἀθλίας γυναικὸς ἓξ μὲν θυγατέρας, ἓξ δ' υἱεῖς ἡβῶντας, οὕτως ἄπληστος ἀλλοτρίων κακῶν ἦν καὶ ἀνίλαστος. εἰ γοῦν ἀληθῶς ἡ θεὸς χολὴν εἶχε, καὶ μισοπόνηρος ἦν, καὶ ἤλγει κακῶς ἀκούουσα, καὶ μὴ κατεγέλα τῆς ἀνθρωπίνης ἀμαθίας καὶ ἀγνοίας, ἀλλ' ἠγανάκτει, ἠγανάκτει ἂν πρὸς τούτους, τοσαύτην ὠμότητα καὶ πικρίαν καταψευδομένους αὐτῆς, καὶ τοιαῦτα γράφοντας καὶ λέγοντας. τῆς γοῦν ἑκάβης προβαλλόμεθα τὴν πικρίαν ὡς βάρβαρον καὶ θηριώδη λεγούσης· τοῦ, ἐγὼ μέσον ἧπαρ ἔχοιμι ἐσθέμεναι προσφῦσα. τὴν δὲ συρίαν θεὸν οἱ δεισιδαίμονες νομίζουσιν, ἂν μαινίδας τις ἢ ἀφύας φάγῃ, τὰ ἀντικνήμια διεσθίειν, ἕλκεσι τὸ σῶμα πιμπλάναι, συντήκειν τὸ ἧπαρ. ἆρ' οὖν τὸ μὲν λέγειν τὰ φαῦλα περὶ τῶν θεῶν ἀνόσιον, τὸ δὲ δοξάζειν οὐκ ἀνόσιον; ἢ καὶ τὴν φωνὴν ἄτοπον ἡ δόξα ποιεῖ τοῦ βλασφημοῦντος; καὶ γὰρ ἡμεῖς τὴν βλασφημίαν, ὅτι δυσμενείας σημεῖόν ἐστι προβαλλόμεθα, καὶ τοὺς κακῶς ἡμᾶς λέγοντας ἐχθροὺς νομίζομεν, ὡς καὶ ἀπίστους καὶ κακῶς φρονοῦντας. ὁρᾷς οἷα περὶ τῶν θεῶν οἱ δεισιδαίμονες φρονοῦσιν, ἐμπλήκτους, ἀπίστους, εὐμεταβόλους, τιμωρητικοὺς, ὠμοὺς, μικρολύπους ὑπολαμβάνοντες, ἐξ ὧν ἀνάγκη καὶ μισεῖν τὸν δεισιδαίμονα, καὶ φοβεῖσθαι τοὺς θεούς. πῶς γὰρ οὐ μέλλει τὰ μέγιστα τῶν κακῶν αὐτῷ δι' ἐκείνους οἰόμενος γεγονέναι, καὶ πάλιν γενήσεσθαι, μισῶν δὲ θεοὺς καὶ φοβούμενος, ἐχθρός ἐστι. κἂν δέδιε, καὶ προσκυνῇ καὶ θύῃ, καὶ κάθηται πρὸς ἱεροῖς, οὐ θαυμαστός ἐστι, καὶ γὰρ τοὺς τυράννους ἀσπάζονται, καὶ περιέπουσι, χρυσοῦς ἱστᾶσιν, ἀλλὰ μισοῦσι σιγῇ, κάρτα θύοντες, ἀλέξανδρον ἑρμόλαος ἐθεράπευσε, παυσανίας ἐδορυφόρει φίλιππον, χαιρέας γάϊον, ἀλλ' ἕκαστος τούτων ἔλεγε παρακολουθῶν, ἦ σ' ἂν τισαίμην εἴ μοι δύναμίς γε παρείη. οὐκ οἴεται θεοὺς εἶναι ὁ ἄθεος, ὁ δὲ δεισιδαίμων οὐ βούλεται, πιστεύει δὲ ἄκων, ἀποθανεῖν γὰρ φοβεῖται. εἰ δὲ ὥσπερ ὁ τάνταλος ὑπεκδῦναι τὸν λίθον ὑπαιωρούμενος τῷ φόβῳ καὶ πιεζόμενος, ἀγαπήσειεν ἂν καὶ

μακαρίσειε τὴν τοῦ ἀθέου διάθεσιν, ὡς ἐλευθερίαν, νυνὶ δὲ τῷ μὲν ἀθέῳ δεισιδαιμονίας οὐδὲν μέτεστιν, ὁ δὲ δεισιδαίμων τῇ προαιρέσει ἄθεος ὢν, ἀσθενέστερός ἐστιν, ἢ τοῦ δοξάζειν περὶ θεῶν ὃ βούλεται. καὶ μὴν ὁ ἄθεος δεισιδαιμονίας οὐδαμῆ συναίτιος, ἡ δὲ δεισιδαιμονία τῇ ἀθεότητι, καὶ γενέσθαι παρέσχεν ἀρχὴν, καὶ γενομένῃ δίδωσιν ἀπολογίαν, οὐκ ἀληθῆ μὲν οὐδὲ καλὴν, προφάσεως δέ τινος οὐκ ἄμοιρον οὖσαν, οὐ γὰρ ἐν οὐρανῷ τι μεμπτὸν, οὐδ' ἐν ἄστροις, οὐδ' ἐν ὥραις, ἢ περιόδοις, ἢ κινήσεσιν ἡλίου περὶ γῆν ἡμέρας καὶ νυκτὸς δημιουργοῖς, ἢ τροφαῖς ζώων, ἢ καρπῶν γενέσεσι πλημμελὲς, καὶ ἄτακτον ἐνιδόντες, οὕτως ἀθεότητα τοῦ παντὸς κατέγνωσαν. ἀλλὰ τῆς δεισιδαιμονίας ἔργα καὶ πάθη καταγέλαστα, καὶ ῥήματα, καὶ κινήματα, καὶ γοητεῖαι, καὶ μαγεῖαι, καὶ περιδρομαὶ, καὶ τυμπανισμοὶ, καὶ ἀκάθαρτοι μὲν καθαρμοὶ, ῥυπαραὶ δὲ ἁγνεῖαι, βάρβαροι δὲ καὶ παράνομοι πρὸς ἱεροῖς κολασμοὶ, καὶ προπηλακισμοὶ, ταῦτα δίδωσιν ἐνίοις λέγειν, ὡς μὴ εἶναι θεοὺς ἄμεινον, ἢ εἶναι τοιαῦτα μὲν δεχομένους, τοιούτοις δὲ χαίροντας, οὕτω δὲ ὑβριστὰς, οὕτω δὲ μικρολόγους, καὶ μικρολύπους. ἀλλ' οὐκ ἄμεινον ἦν γαλάταις ἐκείνοις καὶ σκύθαις τὸ παράπαν μήτε ἔννοιαν ἔχειν θεῶν, μήτε φαντασίαν, μήτε ἱστορίαν, ἢ θεοὺς εἶναι νομίζειν, χαίροντας ἀνθρώπων σφαττομένων αἵμασι, καὶ τελεωτάτην θυσίαν καὶ ἱερουργίαν ταύτην νομίζοντας; τί δὲ καρχηδονίοις οὐκ ἐλυσιτέλει κριτίαν λαβοῦσιν, ἢ διαγόραν νομοθέτην ἀπ' ἀρχῆς, μήτε τινὰ θεῶν, μήτε δαιμόνων νομίζειν, ἢ τοιαῦτα θύειν οἷα τῷ κρόνῳ ἔθυον, οὐχ ὥσπερ ἐμπεδοκλῆς φησι τῶν τὰ ζῶα θυόντων καθαπτόμενος· μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας σφάζει, ἐπευχόμενος μέγα νήπιος, ἀλλ' εἰδότες καὶ γινώσκοντες αὐτοὶ τὰ αὑτῶν τέκνα καθιέρευον, οἱ δὲ ἄτεκνοι παρὰ τῶν πενήτων ὠνούμενοι παιδία καθάπερ ἄρνας ἢ νεοσσοὺς, παρειστήκει δὲ ἡ μήτηρ ἄτεγκτος καὶ ἀστένακτος, εἰ δὲ στενάξειεν ἢ δακρύσειεν, ἔδει τῆς τιμῆς στέρεσθαι, τὸ δὲ παιδίον οὐδὲν ἧττον ἐθύετο. ἔτι δὲ κατεπίμπλατο πρὸ τοῦ ἀγάλματος ἐπαυλούντων καὶ τυμπανιζόντων, ἕνεκα τοῦ μὴ γενέσθαι τὴν βοὴν ἐξάκουστον. εἰ δὲ τυφῶνές τινες ἢ γίγαντες ἦρχον ἡμῶν τοὺς θεοὺς ἐκβαλόντες, ποίαις ἂν ἥδοντο θυσίαις, ἢ τίνας ἄλλας ἱερουργίας ἀπῄτουν. ἄμηστρις δὲ ἡ ξέρξου γυνὴ δώδεκα κατώρυξεν ἀνθρώπους ζῶντας ὑπὲρ αὐτῆς τῷ ᾅδῃ· ὃν ὁ πλάτων φησὶ φιλάνθρωπον ὄντα καὶ σοφὸν καὶ πλούσιον πειθοῖ καὶ λόγῳ κατέχοντα τὰς ψυχὰς, ᾅδην ὠνομάσθαι. ξενοφάνης δὲ ὁ φυσικὸς τοὺς αἰγυπτίους, κοπτομένους ἐν ταῖς ἑορταῖς καὶ θρηνοῦντας ὁρῶν, ὑπέμνησεν οἰκείως, οὗτοί φησιν εἰ μὲν θεοί εἰσι, μὴ θρηνεῖτε αὐτοὺς, εἰ δὲ ἄνθρωποι, μὴ θύετε αὐτοῖς. ἀλλ' οὐδὲν οὕτω πολυπλανὲς, καὶ πολυπαθὲς νόσημα, καὶ μεμιγμένον ἐναντίαις δόξαις καὶ μαχομέναις μᾶλλον, ὡς τὸ τῆς δεισιδαιμονίας. φευκτέον δὲ αὐτὴν οὐχ ὥσπερ οἱ λῃστῶν ἢ θηρίων ἔφοδον, ἢ πῦρ περιφεύγοντες καὶ ἀλογίστως περιφεύγοντες ἐμπίπτουσιν εἰς ἀνοδίας βάραθρα καὶ κρημνοὺς ἐχούσας. οὕτω γὰρ ἔνιοι φεύγοντες τὴν δεισιδαιμονίαν, ἐμπίπτουσιν εἰς ἀθεότητα τραχεῖαν καὶ ἀντίτυπον, ὑπερπηδήσαντες ἐν μέσῳ κειμένην τὴν εὐσέβειαν.

ΑΠΟΦΘΕΓΜΑΤΑ ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΣΤΡΑΤΗΓΩΝ.

Ἀρταξέρξης ὁ Περσῶν βασιλεὺς, ὦ μέγιστε αὐτοκράτωρ καῖσαρ Τραϊανὲ, οὐχ ἧττον οἰόμενος βασιλικὸν καὶ φιλάνθρωπον εἶναι τοῦ μεγάλα διδόναι τὸ μικρὰ λαμβάνειν εὐμενῶς καὶ προθύμως, ἐπεὶ παρελαύνοντος αὐτοῦ καθ' ὁδὸν, αὐτουργὸς ἄνθρωπος καὶ ἰδιώτης οὐδὲν ἔχων ἕτερον, ἐκ τοῦ ποταμοῦ ταῖς χερσὶν ἀμφοτέραις ὕδωρ ὑπολαβὼν προσήνεγκεν, ἡδέως ἐδέξατο καὶ ἐμειδίασε, τῇ προθυμίᾳ τοῦ διδόντος, οὐ τῇ χρείᾳ τοῦ διδομένου τὴν χάριν μετρήσας. ὁ δὲ Λυκοῦργος εὐτελεστάτας ἐποίησεν ἐν Σπάρτῃ τὰς θυσίας, ἵνα ἀεὶ τοὺς θεοὺς τιμᾶν ἑτοίμως δύνωνται καὶ ῥᾳδίως ἀπὸ τῶν παρόντων. τοιαύτῃ δέ τινι γνώμῃ κἀμοῦ λιτά σοι δῶρα καὶ ξένια, καὶ κοινὰς ἀπαρχὰς προσφέροντος ἀπὸ φιλοσοφίας, ἅμα τῇ προθυμίᾳ καὶ τὴν χρείαν ἀπόδεξαι τῶν ἀπομνημονευμάτων, εἰ ὄρον ἔχει τινὰ πρὸς κατανόησιν ἠθῶν καὶ προαιρέσεων ἡγεμονικῶν ἐμφαινομένων τοῖς λόγοις μᾶλλον ἢ ταῖς πράξεσιν αὐτῶν. καίτοι καὶ βίους ἔχει τὸ σύνταγμα τῶν ἐπιφανεστάτων, παρά τε Ῥωμαίοις, καὶ παρ' Ἕλλησιν ἡγεμόνων καὶ νομοθετῶν καὶ αὐτοκρατόρων. ἀλλὰ τῶν μὲν πράξεων αἱ πολλαὶ τύχην ἀναμεμιγμένην ἔχουσιν, αἱ δὲ γινόμεναι παρὰ τὰ ἔργα καὶ τὰ πάθη καὶ τὰς τύχας ἀποφάσεις καὶ ἀναφωνήσεις, ὥσπερ ἐν κατόπτροις καθαρῶς παρέχουσι τὴν ἑκάστου διάνοιαν ἀποθεωρεῖν. καὶ Σειράμνης ὁ Πέρσης πρὸς τοὺς θαυμάζοντας ὅτι τῶν λόγων αὐτοῦ νοῦν ἐχόντων, αἱ πράξεις οὐ κατορθοῦνται, τῶν μὲν λόγων ἔφη κύριος αὐτὸς εἶναι, τῶν δὲ πράξεων τὴν τύχην μετὰ τοῦ βασιλέως. ἐκεῖ μὲν οὖν ἅμα αἱ ἀποφάσεις τῶν ἀνδρῶν τὰς πράξεις παρακειμένας ἔχουσαι, σχολάζουσαν φιληκοΐαν περιμένουσιν. ἐνταῦθα δὲ καὶ τοὺς λόγους αὐτοὺς καθ' αὑτοὺς ὥσπερ δείγματα τῶν βίων καὶ σπέρματα συνειλεγμένους, οὐδὲν οἴομαί σοι τὸν καιρὸν ἐνοχλήσειν, ἐν βραχέσι πολλῶν ἀναθεώρησιν ἀνδρῶν ἀξίων μνήμης γενομένων λαμβάνοντι. Πέρσαι τῶν γρυπῶν ἐρῶσι καὶ καλλίστους ὑπολαμβάνουσι, διὰ τὸ Κῦρον ἀγαπηθέντα μάλιστα τῶν βασιλέων γεγονέναι γρυπὸν τὸ εἶδος. ἔλεγε δὲ Κῦρος ἑτέροις ἀναγκάζεσθαι τἀγαθὰ πορίζειν τοὺς αὑτοῖς μὴ θέλοντας. ἄρχειν δὲ μηδενὶ προσήκειν, ὃς οὐ κρείττων ἐστὶ τῶν ἀρχομένων. βουλομένους δὲ τοὺς Πέρσας ἀντὶ τῆς ἑαυτῶν οὔσης ὀρεινῆς καὶ τραχείας, πεδιάδα καὶ μαλακὴν χώραν λαβεῖν, οὐκ εἴασεν, εἰπὼν ὅτι καὶ τῶν φυτῶν τὰ σπέρματα καὶ τῶν ἀνθρώπων οἱ βίοι ταῖς χώραις συνεξομοιοῦνται. Δαρεῖος ὁ Ξέρξου πατὴρ ἑαυτὸν ἐγκωμιάζων, ἔλεγεν ἐν ταῖς μάχαις καὶ παρὰ τὰ δεινὰ γίγνεσθαι φρονιμώτερος. τοὺς δὲ φόρους τοῖς ὑπηκόοις τάξας μεταπεμψάμενος τοὺς πρώτους τῶν ἐπαρχιῶν, καὶ περὶ τῶν φόρων ἠρώτησε μὴ βαρεῖς εἰσι, φησάντων δὲ μετρίως ἔχειν ἐκέλευσε τελεῖν τοὺς ἡμίσεις ἕκαστον. ῥοιὰν δὲ μεγάλην ἀνοίξας, πυθομένου τινὸς, τί ἂν ἔχειν βούλοιτο τοσοῦτον, ὅσον ἐστὶ τῶν κόκκων τὸ πλῆθος, εἶπε Ζωπύρους, ἦν δὲ ἀνὴρ ἀγαθὸς καὶ φίλος ὁ Ζώπυρος. ἐπεὶ δὲ αὐτὸς ἑαυτὸν αἰκισάμενος ὁ Ζώπυρος καὶ τὴν ῥῖνα καὶ τὰ ὦτα περικόψας, ἐξηπάτησε Βαβυλωνίους, καὶ πιστευθεὶς ὑπ' αὐτῶν παρέδωκε Δαρείῳ τὴν πόλιν, πολλάκις ὁ Δαρεῖος εἶπεν, οὐκ ἂν ἐθελῆσαι λαβεῖν ἑκατὸν Βαβυλῶνας, ἐπὶ τῷ μὴ Ζώπυρον ἔχειν ὁλόκληρον. Σεμίραμις δὲ ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν, ὅστις ἂν χρημάτων δεηθῇ βασιλεὺς, διελόντα τὸ μνημεῖον ὅσα βούλεται λαβεῖν. Δαρεῖος οὖν διελὼν, χρήματα μὲν

οὐχ εὗρε, γράμμασι δὲ ἑτέροις ἐνέτυχε τάδε φράζουσιν. εἰ μὴ κακὸς ἦσθ' ἀνὴρ καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις. Ξέρξῃ τῷ Δαρείου περὶ τῆς βασιλείας ἀμφισβητῶν, ὁ ἀδελφὸς Ἀριμένης κατέβαινεν ἐκ τῆς Βακτριανῆς, ἔπεμψεν οὖν αὐτῷ δῶρα φράσαι κελεύσας τοὺς διδόντας, τούτοις σε τιμᾷ νῦν Ξέρξης ὁ ἀδελφὸς, ἐὰν δὲ βασιλεὺς ἀναγορευθῇ, πάντων ἔσῃ παρ' αὐτῷ μέγιστος. ἀποδειχθέντος δὲ τοῦ Ξέρξου βασιλέως, ὁ μὲν Ἀριμένης εὐθὺς προσεκύνησε καὶ τὸ διάδημα περιέθηκεν, ὁ δὲ Ξέρξης ἐκείνῳ τὴν δευτέραν μεθ' ἑαυτὸν ἔδωκε τάξιν. ὀργισθεὶς δὲ Βαβυλωνίοις ἀποστᾶσι, καὶ κρατήσας προσέταξεν ὅπλα μὴ φέρειν, ἀλλὰ ψάλλειν καὶ αὐλεῖν καὶ πορνοβοσκεῖν καὶ καπηλεύειν, καὶ φορεῖν κολπωτοὺς χιτῶνας. Ἀττικὰς δὲ ἰσχάδας οὐκ ἂν ἔφη φαγεῖν ὠνίους κομισθείσας, ἀλλ' ὅταν τὴν φέρουσαν κτήσηται χώραν. Ἕλληνας δὲ κατασκόπους ἐν τῷ στρατοπέδῳ λαβὼν, οὐδὲν ἠδίκησεν, ἀλλὰ τὴν στρατιὰν ἀδεῶς ἐπελθεῖν κελεύσας διαφῆκεν. Ἀρταξέρξης ὁ Ξέρξου ὁ μακρόχειρ προσαγορευθεὶς, διὰ τὸ τὴν ἑτέραν χεῖρα μακροτέραν ἔχειν, ἔλεγεν, ὅτι τὸ προσθεῖναι τοῦ ἀφελεῖν, βασιλικώτερόν ἐστι. πρῶτος δὲ πρωτοβολεῖν ἐκέλευσε τῶν συγκυνηγετούντων τοὺς δυναμένους καὶ βουλομένους. πρῶτος δὲ τοῖς ἁμαρτάνουσι τῶν ἡγεμονικῶν τιμωρίαν ἔταξεν, ἀντὶ τοῦ τὸ σῶμα μαστιγοῦν, μαστιγοῦσθαι μὲν ἀποδυσαμένων τὰ ἱμάτια, καὶ ἀντὶ τοῦ τὴν κεφαλὴν ἀποτίλλεσθαι, τὴν τιάραν ἀποθεμένων. Σατιβαρζάνην δὲ τὸν κατακοιμιστὴν αἰτούμενόν τι παρ' αὐτοῦ τῶν μὴ δικαίων, αἰσθόμενος ἐπὶ τρισμυρίοις δαρεικοῖς τοῦτο ποιοῦντα, προσέταξε τῷ ταμίᾳ τρισμυρίους δαρεικοὺς νομίσαι, καὶ διδοὺς αὐτῷ, λάβε εἶπεν ὦ Σατιβαρζάνη, ταῦτα μὲν γὰρ δοὺς οὐκ ἔσομαι πενέστερος, ἐκεῖνα δὲ πράξας, ἀδικώτερος. Κῦρος ὁ νεώτερος τοὺς Λακεδαιμονίους συμμαχεῖν αὐτῷ παρακαλῶν, ἔλεγε, τοῦ ἀδελφοῦ καρδίαν ἔχειν βαρυτέραν, καὶ πλείονα πίνειν ἄκρατον αὐτοῦ, καὶ φέρειν βέλτιον, ἐκεῖνον δὲ μόλις ἐν ταῖς θήραις ἐπὶ τῶν ἵππων μένειν, ἐν δὲ τοῖς δεινοῖς μηδὲ ἐπὶ τοῦ θρόνου, παρεκάλει δὲ ἀποστέλλειν ἄνδρας πρὸς αὐτὸν ἐπαγγελλόμενος τοῖς μὲν πεζοῖς ἵππους δώσειν τοῖς δὲ ἵππους ἔχουσιν, ἅρματα, τοῖς δὲ χωρία κεκτημένοις, κώμας, τοὺς δὲ κώμας ἔχοντας, πόλεων κυρίους ποιήσειν, ἀργυρίου δὲ καὶ χρυσίου οὐκ ἀριθμὸν, ἀλλὰ σταθμὸν ἔσεσθαι. Ἀρταξέρξης ὁ τούτου μὲν ἀδελφὸς, μνήμων δὲ καλούμενος, οὐ μόνον τοῖς ἐντυγχάνουσιν ἑαυτὸν ἀνέδην παρεῖχεν, ἀλλὰ καὶ τὴν γυναῖκα τὴν γνησίαν, ἐκέλευσε τῆς ἁρμαμάξης τὰς αὐλαίας περιελεῖν ὅπως οἱ δεόμενοι κατὰ τὴν ὁδὸν ἐντυγχάνωσι. πένητος δὲ ἀνθρώπου μῆλον ὑπερφυὲς μεγέθει προσενέγκαντος αὐτῷ, δεξάμενος ἡδέως νὴ τὸν Μίθραν εἶπεν, οὗτός μοι δοκεῖ καὶ πόλιν ἂν ἐκ μικρᾶς μεγάλην πιστευθεὶς ἀπεργάσασθαι. ἐν δὲ φυγῇ τινι τῆς ἀποσκευῆς αὐτοῦ διαρπαγείσης, ξηρὰ σῦκα φαγὼν καὶ κρίθινον ἄρτον, οἵας εἶπεν ἡδονῆς ἄπειρος ἤμην. Παρύσατις ἡ Κύρου καὶ Ἀρταξέρξου μήτηρ, ἐκέλευε τὸν βασιλέα μέλλοντα μετὰ παρρησίας διαλέγεσθαι βυσσίνοις χρῆσθαι ῥήμασι. Ὀρόντης ὁ βασιλέως Ἀρταξέρξου γαμβρὸς ἀτιμίᾳ περιπεσὼν δι' ὀργὴν, καὶ καταγνωσθεὶς ἔφη, καθάπερ οἱ τῶν ἀριθμητικῶν δάκτυλοι νῦν μὲν μυριάδας, νῦν δὲ μονάδα τιθέναι δύνανται, τὸ αὐτὸ καὶ τοὺς τῶν βασιλέων φίλους, νῦν μὲν τὸ πᾶν δύνασθαι, νῦν δὲ τοὐλάχιστον. Μέμνων ὁ Ἀλεξάνδρῳ πολεμῶν ὑπὲρ Δαρείου τοῦ βασιλέως μισθοφόρον τινὰ πολλὰ βλάσφημα καὶ ἀσελγῆ περὶ Ἀλεξάνδρου λέγοντα, τῇ λόγχῃ πατάξας, ἐγώ σε εἶπε τρέφω μαχούμενον, ἀλλ' οὐ λοιδορούμενον Ἀλεξάνδρῳ. Οἱ Αἰγυπτίων βασιλεῖς κατὰ νόμον ἑαυτῶν τοὺς δικαστὰς

ἐξώρκιζον, ὅτι κἂν βασιλεύς τι προστάξῃ κρῖναι τῶν μὴ δικαίων, οὐ κρινοῦσι. πόλτυς ὁ θρᾳκῶν βασιλεὺς ἐν τῷ τρωϊκῷ πολέμῳ πρεσβευσαμένων πρὸς αὐτὸν ἅμα τῶν τρώων καὶ τῶν ἀχαιῶν, ἐκέλευσε τὸν ἀλέξανδρον ἀποδόντα τὴν ἑλένην, δύο παρ᾽ αὐτοῦ λαβεῖν καλὰς γυναῖκας. τήρης ὁ σιτάλκου πατὴρ ἔλεγεν ὁπότε σχολάζοι καὶ μὴ στρατεύοιτο, τῶν ἱπποκόμων οἴεσθαι μηδὲν διαφέρειν. κότυς τῷ δωρησαμένῳ πάρδαλιν, ἀντεδωρήσατο λέοντα. φύσει δὲ ὢν ὀξὺς εἰς ὀργήν, καὶ πικρὸς τῶν ἁμαρτανόντων ἐν ταῖς διακονίαις κολαστής, ἐπεί ποτε κεράμεα κομίσαντος ξένου εὔθραυστα καὶ λεπτά, πιθανῶς δὲ καὶ περιττῶς εἰργασμένα γλυφαῖς τισὶ καὶ τορείαις, τῷ μὲν ξένῳ ἔδωκε δῶρα, τὰ δὲ σκεύη πάντα συνέτριψεν, ὅπως εἶπε μὴ δι᾽ ὀργὴν πικρότερον κολάζω τοὺς συντρίβοντας. ἰδάνθυρσος ὁ σκυθῶν βασιλεὺς ἐφ᾽ ὃν διέβη δαρεῖος, ἔπειθε τοὺς ἰώνων τυράννους τὸ τοῦ ἴστρου ζεῦγμα λύσαντας ἀπαλλάττεσθαι, μὴ βουληθέντας δὲ διὰ τὴν πρὸς δαρεῖον πίστιν, ἀνδράποδα χρηστὰ καὶ ἄδραστα ἐκάλει. ἀτέας ἔγραφε πρὸς τὸν φίλιππον, σὺ μὲν ἄρχεις μακεδόνων ἀνθρώπων μεμαθηκότων πολεμεῖν, ἐγὼ δὲ σκυθῶν οἳ καὶ λιμῷ καὶ δίψει μάχεσθαι δύνανται. τοὺς δὲ πρέσβεις τοῦ φιλίππου ψήχων τὸν ἵππον ἠρώτησεν, εἰ τοῦτο ποιεῖ φίλιππος. ἰσμηνίαν δὲ τὸν ἄριστον αὐλητὴν λαβὼν αἰχμάλωτον ἐκέλευσεν αὐλῆσαι, θαυμαζόντων δὲ τῶν ἄλλων, αὐτὸς ὤμοσεν ἥδιον ἀκούειν τοῦ ἵππου χρεμετίζοντος. σκίλουρος ὀγδοήκοντα παῖδας ἄρρενας ἀπολιπών, ἐπεὶ τελευτᾶν ἔμελλε δέσμην ἀκοντίων ἑκάστῳ προτείνων, ἐκέλευσε καταθραῦσαι, πάντων δ᾽ ἀπαγορευσάντων καθ᾽ ἓν αὐτὸς ἐξελὼν ἀκόντιον ἅπαντα ῥᾳδίως συνέκλασε, διδάσκων ἐκείνους ὅτι συνεστῶτες, ἰσχυροὶ διαμενοῦσιν, ἀσθενεῖς δ᾽ ἔσονται διαλυθέντες καὶ στασιάσαντες. γέλων ὁ τύραννος ὅτε καρχηδονίους πρὸς ἱμέραν κατεπολέμησεν, εἰρήνην ποιούμενος πρὸς αὐτούς, ἠνάγκασεν ἐγγράψαι ταῖς ὁμολογίαις ὅτι καὶ τὰ τέκνα παύσονται τῷ κρόνῳ καταθύοντες. ἐξῆγε δὲ πολλάκις τοὺς συρακουσίους ὡς ἐπὶ στρατείαν καὶ φυτείαν, ὅπως ἥ τε χώρα βελτίων γένηται γεωργουμένη, καὶ μὴ χείρονες αὐτοὶ σχολάζοντες. αἰτῶν δὲ χρήματα τοὺς πολίτας, ἐπεὶ ἐθορύβησαν, αἰτεῖν εἶπεν ὡς ἀποδώσων, καὶ ἀπέδωκε μετὰ τὸν πόλεμον. ἐν δὲ συμποσίῳ λύρας περιφερομένης, ἁρμοζομένων τῶν ἄλλων ἐφεξῆς καὶ ᾀδόντων, αὐτὸς τὸν ἵππον εἰσαγαγεῖν κελεύσας, ἐλαφρῶς καὶ ῥᾳδίως ἀνεπήδησεν ἐπ᾽ αὐτόν. ἱέρων ὁ μετὰ γέλωνα τύραννος, ἔλεγε μηδένα τῶν παρρησιαζομένων πρὸς αὐτὸν ἄκαιρον εἶναι. τοὺς δ᾽ ἀπόρρητον λόγον ἐκφέροντας, ἀδικεῖν ᾤετο καὶ πρὸς οὓς ἐκφέρουσι· μισοῦμεν γὰρ οὐ μόνον τοὺς ἐκφέροντας ἀλλὰ καὶ τοὺς ἀκούσαντας ἃ μὴ βουλόμεθα. λοιδορηθεὶς δ᾽ ὑπό τινος εἰς τὴν δυσωδίαν τοῦ στόματος, ᾐτιᾶτο τὴν αὐτοῦ γυναῖκα μηδέποτε περὶ τούτου φράσασαν· ἡ δ᾽ εἶπεν, ᾤμην τοιοῦτον ἅπαντας τοὺς ἄνδρας ὄζειν. πρὸς δὲ ξενοφάνην τὸν κολοφώνιον εἰπόντα μόλις οἰκέτας δύο τρέφειν, ἀλλ᾽ ὅμηρος εἶπεν ὃν σὺ διασύρεις, πλείονας ἢ μυρίους τρέφει τεθνηκώς. ἐπίχαρμον δὲ τὸν κωμῳδοποιὸν ὅτι τῆς γυναικὸς αὐτοῦ παρούσης εἶπέ τι τῶν ἀπρεπῶν ἐζημίωσε. διονύσιος ὁ πρεσβύτερος κληρουμένων κατὰ γράμμα τῶν δημηγορούντων, ὡς ἔλαχε τὸ μ, πρὸς τὸν εἰπόντα μωρολογεῖς διονύσιε, μοναρχήσω μὲν οὖν εἶπε, καὶ δημηγορήσας εὐθὺς ᾑρέθη στρατηγὸς ὑπὸ τῶν συρακουσίων. ἐπεὶ δ᾽ ἐν ἀρχῇ τῆς τυραννίδος ἐπολιορκεῖτο, συστάντων ἐπ᾽ αὐτὸν τῶν πολιτῶν, οἱ μὲν φίλοι συνεβούλευον ἀπαλλαγῆναι τῆς ἀρχῆς εἰ μὴ βούλεται κρατηθεὶς ἀποθανεῖν, ὁ δὲ βοῦν ἰδὼν σφαττόμενον ὑπὸ μαγείρου καὶ πίπτοντα ταχέως, εἶτ᾽ οὐκ ἀηδές ἐστιν εἶπεν οὕτω βραχὺν ὄντα τὸν θάνατον φοβηθέντας ἡμᾶς ἀρχὴν

ἀρχὴν ἐγκαταλιπεῖν τηλικαύτην; τὸν δὲ υἱὸν αἰσθόμενος, ᾧ τὴν ἀρχὴν ἀπολιπεῖν ἔμελλεν, ἀνδρὸς ἐλευθέρου διαφθείραντα γύναιον, ἠρώτησε μετ᾽ ὀργῆς τί τοιοῦτον αὐτῷ σύνοιδεν, εἰπόντος δὲ τοῦ νεανίσκου, σὺ γὰρ οὐκ εἶχες πατέρα τύραννον, οὐδὲ σὺ εἶπεν υἱὸν ἕξεις ἐὰν μὴ παύσῃ ταῦτα ποιῶν. πάλιν δὲ πρὸς αὐτὸν εἰσελθὼν καὶ θεασάμενος ἐκπωμάτων χρυσῶν καὶ ἀργυρῶν πλῆθος, ἀνεβόησεν, οὐκ ἔστιν ἐν σοὶ τύραννος, ὃς ἀφ᾽ ὧν λαμβάνεις ἀπ᾽ ἐμοῦ ποτηρίων τοσούτων φίλον οὐδένα σεαυτῷ πεποίηκας. χρήματα δὲ εἰσπράττων τοὺς συρακουσίους, εἶτα ὁρῶν ὀδυρομένους καὶ δεομένους καὶ λέγοντας ὡς οὐκ ἔχουσιν, ἐκέλευσεν ἕτερα πράττειν, καὶ δὶς ἢ τρὶς τοῦτο ἐποίησεν, ἐπεὶ δὲ προστάξας πλείονα γελᾶν ἤκουσεν αὐτοὺς καὶ σκώπτειν ἐν ἀγορᾷ περιιόντας, ἐκέλευσε παύσασθαι, νῦν γὰρ οὐδὲν ἔχουσιν εἶπεν ὅτε καταφρονοῦσιν ἡμῶν. τῆς δὲ μητρὸς αὐτοῦ παρήλικος μὲν οὔσης, δοθῆναι δὲ ἀνδρὶ βουλομένης, ἔφη τοὺς μὲν τῆς πόλεως βιάσασθαι νόμους δύνασθαι, τοὺς δὲ τῆς φύσεως μὴ δύνασθαι. πικρῶς δὲ τοὺς ἄλλους κακούργους κολάζων, ἐφείδετο τῶν λωποδυτῶν, ὅπως παύσωνται οἱ συρακούσιοι τοῦ δειπνεῖν καὶ μεθύσκεσθαι μετ᾽ ἀλλήλων. ξένου δέ τινος ἰδίᾳ φράσειν φάσκοντος αὐτῷ καὶ διδάξειν, ὅπως προειδῇ τοὺς ἐπιβουλεύοντας ἐκέλευσεν εἰπεῖν, ἐπεὶ δὲ προσελθὼν δός εἰπέ μοι τάλαντον ἵνα δόξῃς ἀκηκοέναι τὰ σημεῖα τῶν ἐπιβουλευόντων, ἔδωκε προσποιούμενος ἀκηκοέναι καὶ ἐθαύμαζε τὴν μέθοδον τοῦ ἀνθρώπου. πρὸς δὲ τὸν πυθόμενον εἰ σχολάζοι, μηδέποτε εἶπεν ἐμοὶ τοῦτο συμβαίη. δύο δὲ ἀκούσας νεανίσκους πολλὰ βλάσφημα περὶ αὐτοῦ καὶ τῆς τυραννίδος εἰρηκέναι παρὰ πότον, ἀμφοτέρους ἐκάλεσεν ἐπὶ δεῖπνον, ὁρῶν δὲ τὸν μὲν παροινοῦντα καὶ ληροῦντα πολλά, τὸν δὲ σπανίως καὶ μετ᾽ εὐλαβείας ταῖς πόσεσι χρώμενον, ἐκεῖνον μὲν ἀπέλυσεν ὡς φύσει παροινήσαντα καὶ διὰ μέθην κακολογήσαντα, τοῦτον δὲ ἀνεῖλεν, ὡς δύσνουν καὶ πολέμιον ἐκ προαιρέσεως. αἰτιωμένων δέ τινων ὅτι τιμᾷ καὶ προάγεται πονηρὸν ἄνθρωπον καὶ δυσχεραινόμενον ὑπὸ τῶν πολιτῶν, ἀλλὰ καὶ βούλομαι εἶπεν εἶναι τὸν ἐμοῦ μᾶλλον μισούμενον. ἐπεὶ δὲ κορινθίων τοῖς πρέσβεσι δῶρα διδόντος αὐτοῦ παρῃτοῦντο διὰ τὸν νόμον, ὃς οὐκ εἴα δῶρα λαμβάνειν παρὰ δυνάστου πρεσβεύοντας, δεινὸν ἔφη πρᾶγμα ποιεῖν αὐτούς, ὃ μόνον αἱ τυραννίδες ἀγαθὸν ἔχουσιν ἀναιροῦντας καὶ διδάσκοντας, ὅτι τὸ εὖ παθεῖν ὑπὸ τυράννου φοβερόν ἐστιν. ἀκούσας δέ τινα τῶν πολιτῶν χρυσίον ἔχειν οἴκοι κατορωρυγμένον, ἐκέλευσεν ἀνενεγκεῖν πρὸς αὐτόν, ἐπεὶ δὲ παρακλέψας ὀλίγον ὁ ἄνθρωπος καὶ μεταστὰς εἰς ἑτέραν πόλιν, ἐωνήσατο χωρίον, μεταπεμψάμενος αὐτὸν ἐκέλευσε πᾶν ἀπολαβεῖν κεχρημένον τῷ πλούτῳ, καὶ μηκέτι ποιοῦντα τὸ χρήσιμον ἄχρηστον. ὁ δὲ νεώτερος διονύσιος ἔλεγε πολλοὺς τρέφειν σοφιστὰς οὐ θαυμάζων ἐκείνους, ἀλλὰ δι᾽ ἐκείνων θαυμάζεσθαι βουλόμενος, πολυξένου δὲ τοῦ διαλεκτικοῦ φήσαντος αὐτὸν ἐξελέγχειν, ἀμέλει τοῖς λόγοις εἶπεν, ἐγὼ δέ σε τοῖς ἔργοις ἐλέγχω, τὰ γὰρ σεαυτοῦ καταλιπών, ἐμὲ καὶ τὰ ἐμὰ θεραπεύεις. ἐκπεσὼν δὲ τῆς ἀρχῆς, πρὸς μὲν τὸν εἰπόντα τί σε πλάτων καὶ φιλοσοφία ὠφέλησε, τὸ τηλικαύτην ἔφη τύχης μεταβολὴν ῥᾳδίως ὑπομένειν. ἐρωτηθεὶς δέ, πῶς ὁ μὲν πατὴρ αὐτοῦ πένης ὢν καὶ ἰδιώτης ἐκτήσατο τὴν συρακουσίων ἀρχήν, αὐτὸς δὲ ἔχων καὶ τυράννου παῖς ὢν πῶς ἀπέβαλεν, ὁ μὲν πατὴρ ἔφη μισουμένης δημοκρατίας ἐπέστη τοῖς πράγμασιν, ἐγὼ δὲ φθονουμένης τυραννίδος. ὑπ᾽ ἄλλου δὲ τὸ αὐτὸ τοῦτο ἐρωτηθείς, ὁ πατήρ ἔφη μοι τὴν τυραννίδα τὴν ἑαυτοῦ κατέλιπεν, οὐ τὴν τύχην. ἀγαθοκλῆς υἱὸς ἦν κεραμέως, γενόμενος δὲ κύριος σικελίας καὶ βασιλεὺς ἀναγορευθεὶς

γρ. μῦθον

εἰώθει κεραμεᾶ ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ, καὶ τοῖς νέοις ἐπιδεικνύμε-
νος λέγειν, ὅτι τοιαῦτα ἐποίει πρότερον, νῦν ταῦτα ποιεῖ διὰ τὴν ἐπιμέλειαν
καὶ τὴν ἀνδρίαν. πολιορκοῦντος δὲ πόλιν αὐτοῦ τῶν ἀπὸ τοῦ τείχους τινὲς ἐ-
λοιδοροῦντο λέγοντες, ὅτι ὦ κεραμεῦ τὸν μισθὸν πόθεν ἀποδώσεις τοῖς στρατιώ-
ταις, ὁ δὲ, πρᾴως καὶ μειδιῶν εἶπεν, ἐὰν ταύτην ἕλω, λαβὼν δὲ κατὰ κράτος ἐ-
πίπρασκε τοὺς ἐχμαλώτους λέγων, ἐάν με πάλιν λοιδορῆτε πρὸς τοὺς κυρίους
ὑμῶν ἔσται μοι ὁ λόγος. ἐγκαλούντων δὲ τοῖς ναύταις αὐτοῦ τῶν ἰθακησίων
ὅτι τῇ νήσῳ προσβαλόντες, τῶν θρεμμάτων τινὰ ἀπέσπασαν, ὁ δὲ ὑμέτερος ἔ-
φη βασιλεὺς ἐλθὼν πρὸς ἡμᾶς, οὐ μόνον τὰ πρόβατα λαβὼν, ἀλλὰ καὶ τὸν ποι-
μένα προσεκτυφλώσας ἀπῆλθε. δίων ὁ διονύσιον ἐκβαλὼν ἐκ τῆς τυραννί-
δος, ἀκούσας ἐπιβουλεύειν αὐτῷ κάλιππον, ᾧ μάλιστα τῶν φίλων καὶ ξένων ἐ-
πίστευεν, οὐχ ὑπέμεινεν ἐλέγξαι, βέλτιον εἶναι φήσας ἀποθανεῖν ἢ ζῆν, μὴ μό-
νον τοὺς πολεμίους, ἀλλὰ καὶ τοὺς φίλους φυλαττόμενον. ἀρχέλαος αἰτη-
θεὶς παρὰ πότον ποτήριον χρυσοῦν ὑπό τινος τῶν συνήθων οὐ μὴν ἐπιεικῶν, ἐ-
κέλευσεν εὐριπίδῃ τὸν παῖδα δοῦναι, θαυμάσαντος δὲ τοῦ ἀνθρώπου, σὺ μὲν γὰρ
εἶπεν αἰτεῖν, οὗτος δὲ λαμβάνειν ἄξιός ἐστι καὶ μὴ αἰτῶν. ἀδολέσχου δὲ κουρέ-
ως ἐρωτήσαντος αὐτὸν πῶς σε κείρω, σιωπῶν ἔφη. τοῦ δὲ εὐριπίδου τὸν καλὸν
ἀγάθωνα περιλαμβάνοντος ἐν τῷ συμποσίῳ καὶ καταφιλοῦντος ἤδη γενειῶν-
τα, πρὸς τοὺς φίλους εἶπε, μὴ θαυμάσητε, τῶν γὰρ καλῶν καὶ τὸ μετόπωρον κα-
λόν ἐστιν. ἐπεὶ δὲ τιμόθεος ὁ κιθαρῳδὸς ἐλπίσας πλείονα, λαβὼν δὲ ἐλάττονα
δῆλος ἦν ἐγκαλῶν αὐτῷ, καί ποτε ᾄδων τουτὶ τὸ κομμάτιον, σὺ δὲ τὸν γηγενέ-
ταν ἄργυρον αἰνεῖς, ἀπεσήμαινεν εἰς ἐκεῖνον, ὑπέκρουσεν ὁ ἀρχέλαος αὐτῷ σὺ δέ
γε αἰτεῖς. ὕδωρ δέ τινος αὐτοῦ κατασκεδάσαντος, ὑπὸ τῶν φίλων παρο-
ξυνόμενος ἐπὶ τὸν ἄνθρωπον, ἀλλ᾽ οὐκ ἐμοῦ φησὶν, ἀλλ᾽ ἐκείνου κατεσκέδασεν ὃν
ἔδοξεν ἐμὲ εἶναι. φίλιππον τὸν ἀλεξάνδρου πατέρα θεόφραστος ἱστόρηκεν,
οὐ μόνον μεταξὺ τῶν βασιλέων, ἀλλὰ καὶ τῇ τύχῃ καὶ τῷ τρόπῳ μείζονα γενέ-
σθαι καὶ μετριώτερον. ἀθηναίους μὲν οὖν μακαρίζων ἔλεγεν, εἰ καθ᾽ ἕκαστον ἐνι-
αυτὸν αἱρεῖσθαι δέκα στρατηγοὺς εὑρίσκουσιν, αὐτὸς γὰρ ἐν πολλοῖς ἔτεσιν ἕνα
μόνον στρατηγὸν εὑρηκέναι παρμενίωνα. πολλῶν δὲ κατορθωμάτων αὐτῷ καὶ
καλῶν ἐν μιᾷ ἡμέρᾳ προσαγγελθέντων, ὦ τύχη εἶπε μικρόν τί μοι κακὸν ἀντὶ
τοσούτων καὶ τηλικούτων ἀγαθῶν ποίησον. ἐπεὶ δὲ νικήσαντι τοὺς ἕλληνας
αὐτῷ συνεβούλευον ἔνιοι φρουραῖς τὰς πόλεις κατέχειν, ἔφη μᾶλλον πολὺν χρό-
νον ἐθέλειν χρηστὸς ἢ δεσπότης ὀλίγον καλεῖσθαι. τὸν δὲ λοίδορον ἐξελάσαι
τῶν φίλων κελευόντων οὐκ ἔφη ποιήσειν, ἵνα μὴ περιιὼν ἐν πλείοσι κακῶς λέ-
γῃ. σμικύθου δὲ νικάνορα διαβάλλοντος ὡς ἀεὶ κακῶς λέγοντα τὸν φίλιπ-
πον, καὶ τῶν ἑταίρων οἰομένων δεῖν μεταπέμπεσθαι καὶ κολάζειν, ἀλλὰ μὴν ἔ-
φη νικάνωρ, οὐ φαυλότατός ἐστι μακεδόνων, ἐπισκεπτέον οὖν μή τι γέγονε παρ᾽
ἡμᾶς, ὡς οὖν ἔγνω τὸν νικάνορα θλιβόμενον ἰσχυρῶς ὑπὸ πενίας, ἠμελημένον δὲ
ὑπ᾽ αὐτοῦ, προσέταξε δωρεάν τινα αὐτῷ δοθῆναι. πάλιν οὖν τοῦ σμικύθου λέγον-
τος, ὅτι θαυμαστὰ περὶ αὐτοῦ πρὸς ἅπαντας ἐγκώμια λέγων ὁ νικάνωρ διατελεῖ,
ὁρᾶτε οὖν εἶπεν ὅτι πρὸς ἡμᾶς αὐτούς ἐστι καὶ τὸ καλῶς, καὶ τὸ κακῶς ἀκούειν; τοῖς
δὲ τῶν ἀθηναίων δημαγωγοῖς ἔφη χάριν ἔχειν, ὅτι λοιδοροῦντες αὐτὸν βελτίο-
να ποιοῦσι, καὶ τῷ λόγῳ καὶ τῷ ἤθει· πειρῶμαι γὰρ αὐτοὺς ἅμα καὶ τοῖς λόγοις
καὶ τοῖς ἔργοις ψευδομένους ἐλέγχειν. τῶν δὲ ἀθηναίων ὅσοι περὶ χαιρώνειαν
ἑάλωσαν, ἀφεθέντων ὑπ᾽ αὐτοῦ δίχα λύτρων, τὰ δὲ ἱμάτια καὶ στρώματα προσαι-
τούντων, καὶ τοῖς μακεδόσιν ἐγκαλούντων, γελάσας ὁ φίλιππος εἶπεν, οὐ δο-

κοῦσιν ὑμῖν ἀθηναῖοι νομίζειν ἐν ἀστραγάλοις ὑφ᾽ ἡμῶν νενικῆσθαι; τῆς δὲ κλει-
δὸς αὐτῷ καταγείσης ἐν πολέμῳ, καὶ τοῦ θεραπεύοντος ἰατροῦ πάντως τι καθ᾽
ἡμέραν αἰτοῦντος, λάμβανε ἔφη ὅσα βούλει, τὴν γὰρ κλεῖν ἔχεις. δυεῖν δὲ ἀ-
δελφοῖν ἀμφοτέρου καὶ ἑκατέρου, τὸν μὲν ἑκατέρον ἔμφρονα καὶ πρακτικὸν ὁρῶν
τὸν δὲ ἀμφοτέρον εὐήθη καὶ ἀβέλτερον, ἔφη, τὸν μὲν ἑκατέρον, ἀμφότερον
εἶναι, τὸν δὲ ἀμφοτέρον, οὐδέτερον. τοὺς δὲ συμβουλεύοντας αὐτῷ πικρῶς
χρῆσθαι τοῖς ἀθηναίοις, ἀτόπους ἔλεγεν εἶναι, κελεύοντας ἄνθρωπον ὑπὲρ δό-
ξης πάντα ποιοῦντα καὶ πάσχοντα, ἀποβαλεῖν τὸ τῆς δόξης θέατρον. γενό-
μενος δὲ κριτὴς δυεῖν πονηρῶν, ἐκέλευσε τὸν μὲν, φεύγειν ἐκ μακεδονίας, τὸν δὲ
ἕτερον, διώκειν. μέλλων δὲ καταστρατοπεδεύειν ἐν χωρίῳ καλῷ, καὶ πυθόμε-
νος ὅτι χόρτος οὐκ ἔστι τοῖς ὑποζυγίοις, οἷος εἶπεν ἡμῶν ὁ βίος ἐστὶν, εἰ καὶ πρὸς τὸν
τῶν ὄνων καιρὸν ὀφείλομεν ζῆν. φρούριον δέ τι βουλόμενος λαβεῖν ὀχυρὸν,
ὡς ἀπήγγειλαν οἱ κατάσκοποι χαλεπὸν εἶναι παντάπασι καὶ ἀνάλωτον, ἠρώ-
τησεν εἰ χαλεπὸν οὕτως ἐστὶν ὥστε μηδὲ ὄνον προσελθεῖν χρυσίον κομίζοντα.
τῶν δὲ περὶ λασθένην τὸν ὀλύνθιον ἐγκαλούντων καὶ ἀγανακτούντων, ὅτι προ-
δότας αὐτοὺς ἔνιοι τῶν περὶ τὸν φίλιππον ἀποκαλοῦσι, σκαιοὺς ἔφη φύσει καὶ
ἀγροίκους εἶναι μακεδόνας, καὶ τὴν σκάφην, σκάφην λέγοντας. τῷ δ᾽ υἱῷ
παρῄνει πρὸς χάριν ὁμιλεῖν τοῖς μακεδόσι κτώμενον ἑαυτῷ τὴν παρὰ τῶν πολ-
λῶν δύναμιν ἕως ἔξεστι, βασιλεύοντος ἄλλου, φιλάνθρωπον εἶναι. συνεβού-
λευε δὲ τῶν ἐν ταῖς πόλεσι δυνατῶν, καὶ τοὺς ἀγαθοὺς φίλους κτᾶσθαι καὶ τοὺς
πονηρούς, εἶτα οἷς μὲν χρῆσθαι, οἷς δ᾽ ἀποχρῆσθαι. πρὸς δὲ φίλωνα τὸν θη-
βαῖον εὐεργέτην αὐτοῦ γενόμενον καὶ ξένον, ὁπηνίκα διῆγεν ἐν θήβαις ὁμηρεύων,
ὕστερον δὲ μηδεμίαν παρ᾽ αὐτοῦ δωρεὰν προσδεχόμενον, μή με εἶπεν ἀφαιροῦ
τὸ ἀνίκητον εὐεργεσίας καὶ χάριτος ἡττώμενον. ληφθέντων δὲ πολλῶν αἰχ-
μαλώτων ἐπίπρασκεν αὐτοὺς ἀνεσταλμένῳ τῷ χιτῶνι καθήμενος οὐκ εὐπρεπῶς
εἷς οὖν τῶν πωλουμένων ἀνεβόησε, φεῖσαί μου φίλιππε πατρικὸς γάρ εἰμί σου
φίλος, ἐρωτήσαντος δὲ τοῦ φιλίππου πόθεν ὦ ἄνθρωπε γενόμενος καὶ πῶς,
ἐγγὺς ἔφη φράσαι σοι βούλομαι προσελθὼν, ὡς οὖν προσήχθη, μικρὸν ἔφη κα-
τωτέρω τὴν χλαμύδα ποίησον, ἀσχημονεῖς γὰρ οὕτω καθήμενος, καὶ ὁ φίλιππος
ἄφετε αὐτὸν εἶπεν, ἀληθῶς γὰρ εὔνους ὢν καὶ φίλος, ἐλάνθανεν. ἐπεὶ δὲ ὑπό τινος
ξένου κληθεὶς ἐπὶ δεῖπνον ἐν ὁδῷ πολλοὺς ἐπήγετο, καὶ τὸν ξένον ἑώρα θορυβού-
μενον, ἦν γὰρ οὐχ ἱκανὰ τὰ παρεσκευασμένα, προπέμπων τῶν φίλων ἑκάστῳ
πλακοῦντι χώραν ἐκέλευεν ἀπολιπεῖν, οἱ δὲ πειθόμενοι καὶ προσδοκῶντες, οὐκ
ἤσθιον πολλὰ, καὶ πᾶσιν οὕτως ἤρεσκεν. ἱππάρχου τοῦ εὐβοέως ἀποθανόντος
δῆλος ἦν βαρέως φέρων, εἰπόντος δέ τινος, ἀλλὰ μὴν ὡραῖος ὢν ἐκεῖνος ἀποτέ-
θνηκεν, ἑαυτῷ γε εἶπεν, ἐμοὶ δὲ ταχέως, ἔφθη γὰρ τελευτῆσαι πρὶν ἢ παρ᾽ ἐμοῦ
χάριν ἀξίαν τῆς φιλίας ἀπολαβεῖν. πυθόμενος δ᾽ ἐγκαλεῖν αὐτῷ τὸν ἀλέ-
ξανδρον, ὅτι παῖδας ἐκ πλειόνων ποιεῖται γυναικῶν, οὐκοῦν ἔφη πολλοὺς ἔχων
περὶ τῆς βασιλείας ἀνταγωνιστὰς, γενοῦ καλὸς κἀγαθὸς, ἵνα μὴ δι᾽ ἐμὲ τῆς
βασιλείας τύχῃς, ἀλλὰ διὰ σεαυτόν, ἐκέλευε δ᾽ αὐτὸν ἀριστοτέλει προσέχειν
καὶ φιλοσοφεῖν, ὅπως ἔφη μὴ πολλὰ τοιαῦτα πράξῃς, ἐφ᾽ οἷς ἐγὼ πεπραγμέ-
νοις μεταμέλομαι. τῶν δὲ ἀντιπάτρου φίλων τινὰ καταλέξας εἰς τοὺς δι-
καστὰς, εἶτα τὸν πώγωνα βαπτόμενον αἰσθανόμενος καὶ τὴν κεφαλὴν, ἀνέστησεν εἰπὼν,
τὸν ἄπιστον ἐν θριξὶ μὴ νομίζειν ἀξιόπιστον ἐν πράγμασι. μαχαίτᾳ δέ τινι κρί-
νων δίκην καὶ ὑπονυστάζων, οὐ πάνυ προσεῖχε τοῖς δικαίοις, ἀλλὰ κατέκρινε, ἐκεί-
νου δὲ ἀναβοήσαντος ἐκκαλεῖσθαι τὴν κρίσιν, διοργισθεὶς, ἐπὶ τίνα εἶπε, καὶ ὁ μα-

ἤρκεσεν .l. A

χαίτας ἐπὶ σοὶ βασιλεῦ αὐτὸν, ἂν ἐγρηγόρως καὶ προσέχων ἀκούῃς, τότε μὲν οὖν ἀνέστη, γενόμενος δὲ μᾶλλον ἐφ᾽ ἑαυτὸν, καὶ γνοὺς ἀδικούμενον τὸν μαχαίταν, τὴν μὲν κρίσιν οὐκ ἔλυσε, τὸ δὲ τίμημα τῆς δίκης αὐτὸς ἐξέτισεν. ἐπεὶ δὲ ἅρπαλος ὑπὲρ συγγενοῦς καὶ οἰκείου κράτητος ἀδικημάτων δίκην ἔχοντος, ἠξίου τὴν ζημίαν εἰσενεγκεῖν, ἀφεθῆναι δὲ τῆς κρίσεως, ἵνα μὴ λοιδορηθῇ, βέλτιόν ἐστιν εἶπε ἐκεῖνον αὐτὸν ἢ ἡμᾶς δι᾽ ἐκεῖνον κακῶς ἀκούειν. ἀγανακτούντων δὲ τῶν φίλων ὅτι συρίττουσιν αὐτὸν ἐν ὀλυμπίοις εὖ πεπονθότες οἱ πελοποννήσιοι, τί οὖν εἶπεν ἐὰν κακῶς πάθωσι. κοιμηθεὶς δὲ πλείονα χρόνον ἐπὶ στρατείας εἶτα διαναστὰς, ἀσφαλῶς εἶπεν ἐκάθευδον, ἀντίπατρος γὰρ ἐγρηγόρει. πάλιν δὲ ἡμέρας καθεύδοντος αὐτοῦ καὶ τῶν ἠθροισμένων ἐπὶ θύραις ἑλλήνων ἀγανακτούντων καὶ ἐγκαλούντων, ὁ παρμενίων μὴ θαυμάσητε εἶπεν καθεύδει νῦν φίλιππος, ὅτε γὰρ ἐκαθεύδετε ὑμεῖς, οὗτος ἐγρηγόρει. ψάλτην δέ τινα βουλομένου παρὰ δεῖπνον ἐπανορθοῦν αὐτοῦ καὶ λαλεῖν περὶ κρουμάτων, ὁ ψάλτης μὴ γένοιτό σοι εἶπεν κακῶς οὕτως ὦ βασιλεῦ, ἵνα ταῦτα ἐμοῦ βέλτιον εἰδῇς. ἐπεὶ δὲ διενεχθέντος αὐτοῦ πρὸς ὀλυμπιάδα τὴν γυναῖκα καὶ τὸν υἱὸν, ἧκε δημάρατος ὁ κορίνθιος, ἐπυνθάνετο πῶς πρὸς ἀλλήλους ἔχουσιν οἱ ἕλληνες, καὶ ὁ δημάρατος πάνυ γοῦν ἔφη σοι περὶ τῆς τῶν ἑλλήνων ὁμονοίας ὁ λόγος ἐστὶν, οὕτω πρὸς σὲ τῶν οἰκειοτάτων ἐχόντων, ὁ δὲ, συμφρονήσας, ἐπαύσατο τῆς ὀργῆς καὶ διηλλάγη πρὸς αὐτούς. πρεσβύτιδος δὲ πενιχρᾶς ἀξιούσης ἐπ᾽ αὐτοῦ κριθῆναι καὶ πολλάκις ἐνοχλούσης, ἔφη μὴ σχολάζειν, ἡ δὲ πρεσβῦτις ἐγκραγοῦσα, καὶ μὴ βασίλευε εἶπεν, ὁ δὲ θαυμάσας τὸ ῥηθὲν οὐ μόνον ἐκείνης, ἀλλὰ καὶ τῶν ἄλλων εὐθὺς διήκουσεν. ἀλέξανδρος ἔτι παῖς ὢν, πολλὰ τοῦ φιλίππου κατορθοῦντος, οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συντρεφομένους ἔλεγε παῖδας, ἐμοὶ δὲ ὁ πατὴρ οὐδὲν ἀπολείψει, τῶν δὲ παίδων λεγόντων ὅτι ταῦτα σοὶ κτᾶται, τί δὲ ὄφελος εἶπεν, ἐὰν ἔχω μὲν πολλὰ, πράξω δὲ οὐδέν. ἐλαφρὸς δὲ ὢν καὶ ποδώκης καὶ παρακαλούμενος ὑπὸ τοῦ πατρὸς ὀλύμπια δραμεῖν στάδιον, εἴγε ἔφη βασιλεῖς ἕξειν ἔμελλον ἀνταγωνιστάς. ἀχθείσης δὲ παιδίσκης πρὸς αὐτὸν ὡς συναναπαυσομένης περὶ ἑσπέραν βαθεῖαν, ἠρώτησεν ὅτι τηνικαῦτα; τῆς δὲ εἰπούσης περιέμενον γὰρ τὸν ἄνδρα κατακλῖναι, πικρῶς ἐπετίμησε τοῖς παισὶ, ὡς μικροῦ δι᾽ αὐτοὺς μοιχὸς γενόμενος. ἐπιθυμιῶντι δὲ τοῖς θεοῖς ἀφειδῶς αὐτῷ καὶ πολλάκις ἐπιδραττομένῳ τοῦ λιβανωτοῦ, παρὼν λεωνίδης ὁ παιδαγωγὸς, οὕτως εἶπεν, ὦ παῖ δαψιλῶς ἐπιθυμιάσεις ὅταν τῆς λιβανωτοφόρου κρατήσῃς· ὡς οὖν ἐκράτησεν, ἔπεμψεν ἐπιστολὴν πρὸς αὐτὸν, ἀπέσταλκά σοι τάλαντα λιβανωτοῦ καὶ κασίας, ἵνα μηκέτι μικρολογῇ πρὸς τοὺς θεοὺς, εἰδὼς ὅτι καὶ τῆς ἀρωματοφόρου κρατοῦμεν. μέλλων δὲ τὴν ἐπὶ γρανίκῳ μάχην μάχεσθαι, παρεκάλει τοὺς μακεδόνας ἀφθόνως δειπνεῖν, καὶ πάντα φέρειν εἰς μέσον, ὡς αὔριον δειπνήσοντας ἐκ τῶν πολεμίων. περίλλου δέ τινος τῶν φίλων αἰτήσαντος προῖκα ταῖς θυγατρίοις, ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν, αὐτοῦ δὲ φήσαντος ἱκανὰ εἶναι δέκα, σοί γε ἔφη λαβεῖν, ἐμοὶ δ᾽ οὐχ ἱκανὰ δοῦναι. ἀναξάρχῳ δὲ τῷ φιλοσόφῳ δοῦναι τὸν διοικητὴν ἐκέλευσεν, ὅσον ἂν αἰτήσῃ, τοῦ δὲ διοικητοῦ φήσαντος ὡς ἑκατὸν αἰτεῖται τάλαντα, καλῶς ἔφη ποιεῖ, γινώσκων ὅτι φίλον ἔχει καὶ δυνάμενον τηλικαῦτα δωρεῖσθαι καὶ βουλόμενον. ἐν δὲ τῇ μιλήτῳ πολλοὺς ἀνδριάντας ἀθλητῶν θεασάμενος, ὀλύμπια καὶ πύθια νενικηκότων, καὶ ποῦ τὰ τηλικαῦτα ἦν σώματα ἔφη, ὅτε οἱ βάρβαροι ὑμῶν τὴν πόλιν ἐπολιόρκουν. τῆς δὲ τῶν καρῶν βασιλίσσης ἄδας, ὄψα καὶ πέμματα ἀεὶ παρεσκευασμένα περιττῶς διὰ δημιουργῶν καὶ μαγείρων φιλοτιμουμένης

πέμπειν πρὸς αὐτὸν, ἔφη κρείττονας ἔχειν αὐτὸς ὀψοποιοὺς, πρὸς μὲν ἄριστον, τὴν νυκτοπορίαν, πρὸς δὲ δεῖπνον, τὴν ὀλιγαριστίαν. ἐπεὶ δὲ παρεσκευασμένων πάντων πρὸς μάχην, ἠρώτησαν οἱ στρατηγοὶ μή τι πρὸς τούτοις ἕτερον; οὐδὲν εἶπεν, ἢ ξυρᾶν τὰ γένεια τῶν μακεδόνων, θαυμάσαντος δὲ τοῦ παρμενίωνος, οὐκ οἶδας εἶπεν ὅτι βελτίων οὐκ ἔστιν ἐν μάχῃ λαβὴ πώγωνος; δαρείου διδόντος αὐτῷ μυρία τάλαντα καὶ τὴν ἀσίαν νείμασθαι πρὸς αὐτὸν ἐπίσης, καὶ παρμενίωνος εἰπόντος ἔλαβον ἂν εἰ ἀλέξανδρος ἤμην, κἀγὼ νὴ δία εἶπεν, εἰ παρμενίων ἤμην, ἀπεκρίνατο δὲ δαρείῳ μήτε τὴν γῆν ἡλίους δύο, μήτε τὴν ἀσίαν δύο βασιλεῖς ὑπομένειν. μέλλοντι δὲ αὐτῷ περὶ τῶν ὅλων ἐν ἀρβήλοις κινδυνεύειν πρὸς ἑκατὸν μυριάδας ἀντιτεταγμένας, προσήεσαν οἱ φίλοι τῶν στρατιωτῶν, κατηγοροῦντες ὡς ἐν ταῖς σκηναῖς διαλαλούντων καὶ συντιθεμένων, ὅπως μηδὲν τῶν λαφύρων εἰς τὸ βασιλικὸν ἀνοίσουσιν ἀλλ᾽ αὐτοὶ κερδανοῦσιν, ὁ δὲ μειδιάσας ἀγαθὰ φησὶν ἀγγέλλετε, νικᾶν γὰρ ἀνδρῶν οὐ φεύγειν παρεσκευασμένων ἀκούω διαλογισμούς. καὶ προσιόντες αὐτῷ πολλοὶ τῶν στρατιωτῶν ἔλεγον, ὦ βασιλεῦ θάρρει καὶ μὴ φοβοῦ τὸ πλῆθος τῶν πολεμίων, αὐτὸν γὰρ ἡμῶν τὸν γράσον οὐχ ὑπομενοῦσι. παραταττομένου δὲ τοῦ στρατεύματος, ἰδὼν τινὰ τῶν στρατιωτῶν τὸ ἀκόντιον ἐναγκυλώμενον, ἐξέωσε τῆς φάλαγγος ὡς ἄχρηστον, ὃς παρασκευάζεται δὴ νῦν ὅτε δεῖ χρῆσθαι τοῖς ὅπλοις. ἐπιστολὴν δὲ παρὰ τῆς μητρὸς ἀναγινώσκων ἀπόρρητον λόγους κατ᾽ ἀντιπάτρου καὶ διαβολὰς ἔχουσαν, ἅμα τοῦ ἡφαιστίωνος ὥσπερ εἰώθει συναναγινώσκοντος, οὐκ ἐκώλυσεν, ὡς δὲ ἀνέγνω, τὸν δακτύλιον ἀφελόμενος τὸν ἑαυτοῦ τῷ στόματι τῷ ἐκείνου τὴν σφραγῖδα ἐπέθηκεν. ἐν δὲ ἄμμωνος ὑπὸ τοῦ προφήτου παῖς διὸς προσαγορευθεὶς, οὐδέν γε ἔφη θαυμαστὸν, πάντων μὲν γὰρ ὁ ζεὺς φύσει πατήρ ἐστιν, ἑαυτοῦ δὲ ποιεῖται τοὺς ἀρίστους. τοξεύματι δὲ πληγεὶς εἰς τὸ σκέλος, ὡς πολλοὶ συνέδραμον τῶν πολλάκις εἰωθότων αὐτὸν θεὸν προσαγορεύειν, διαχυθεὶς τῷ προσώπῳ, τουτὶ μὲν αἷμα εἶπεν ὡς ὁρᾶτε καὶ οὐκ ἰχὼρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν. ἐπαινούντων δὲ ἐνίων τοῦ ἀντιπάτρου τὴν εὐτέλειαν ὡς ἀθρύπως διαιτωμένου καὶ αὐστηρῶς, ἔξωθεν εἶπεν ἀντίπατρος λευκοπάρυφός ἐστι, τὰ δὲ ἔνδον, ὁλοπόρφυρος, ἐν δὲ χειμῶνι καὶ ψύχει τῶν φίλων τινὸς ἑστιῶντος αὐτὸν, ἐσχάραν δὲ μικρὰν καὶ πῦρ ὀλίγον εἰσενέγκαντος, ἢ ξύλα ἢ λιβανωτὸν εἰσενεγκεῖν ἐκέλευσεν. ἀντιπατρίδου δὲ καλὴν ψάλτριαν ἐπὶ τὸ δεῖπνον ἀγαγόντος, κινηθεὶς τῇ ὄψει πρὸς αὐτὴν ὁ ἀλέξανδρος, ἠρώτησε τὸν ἀντιπατρίδην μή τι τυγχάνει τῆς γυναικὸς ἐρῶν, ἐκείνου δὲ ὁμολογήσαντος, ὦ μιαρὲ εἶπεν, οὐκ ἀπάξεις εὐθὺς ἐκ τοῦ συμποσίου τὴν γυναῖκα; πάλιν δὲ πύθωνα τὸν εὔιον τοῦ αὐλητοῦ ἐρώμενον κάσσανδρος ἐβιάζετο φιλῆσαι, τὸν δὲ εὔιον ὁρῶν ἀχθόμενον, ἀνεπήδησε μετ᾽ ὀργῆς ἐπὶ τὸν κάσσανδρον κεκραγὼς, ἀλλ᾽ οὐδ᾽ ἐρασθῆναί τινος ἔξεστι δι᾽ ἡμᾶς; ἀποστέλλοντος δὲ αὐτοῦ τῶν μακεδόνων τοὺς νοσώδεις καὶ ἀναπήρους ἐπὶ θάλασσαν, ἐνεδείχθη τις εἰς τοὺς νοσοῦντας ἀπογεγραμμένος ἑαυτὸν οὐ νοσῶν, ἐπεὶ οὖν εἰς ὄψιν ἀχθεὶς καὶ ἀνακρινόμενος ὡμολόγησε προφασίζεσθαι δι᾽ ἔρωτα τελεσίππας ἀπιούσης ἐπὶ θάλασσαν, ἠρώτησεν ὁ ἀλέξανδρος πρὸς τίνα δεῖ περὶ τῆς τελεσίππης διαλέγεσθαι, πυθόμενος δὲ ἐλευθέραν οὖσαν, οὐκοῦν ἔφη ὦ ἀντίγενες πείθωμεν τὴν τελεσίππαν ἵνα μένῃ μεθ᾽ ὑμῶν, βιάζεσθαι δ᾽ ἐλευθέραν οὖσαν, οὐχ ἡμέτερον. τῶν δὲ μισθοφορούντων ἑλλήνων παρὰ τοῖς πολεμίοις ὑποχειρίων γενομένων, τοὺς μὲν ἀθηναίους ἐκέλευσεν ἐν πέδαις φυλάττειν ὅτι τροφὴν ἔχοντες ἐκ δημοσίου μισθοφοροῦσι, καὶ τοὺς θεσσαλοὺς ὅτι τὴν ἀρίστην κεκτημένοι οὐ γεωργοῦσι, τοὺς δὲ θηβαίους ἀφῆκεν εἰπὼν ὅτι μόνοις

τούτοις οὔτε πόλις οὔτε χώρα δι᾽ ἡμᾶς ἀπολέλειπται. τῶν δὲ ἰνδῶν τὸν ἄριστα
τοξεύειν δοκοῦντα καὶ λεγόμενον διὰ δακτυλίου τὸν ὀϊστὸν ἀφιέναι, λαβὼν αἰχ-
μάλωτον ἐκέλευσεν ἐπιδείξασθαι, καὶ μὴ βουλόμενον ὀργισθεὶς ἀνελεῖν προσέ-
ταξε, ἐπεὶ δ᾽ ἀγόμενος ὁ ἄνθρωπος ἔλεγε πρὸς τοὺς ἄγοντας ὅτι πολλῶν ἡμερῶν
οὐ μεμελέτηκε καὶ ἐφοβήθη διαπταίσειν, ἀκούσας ὁ ἀλέξανδρος ἐθαύμασε καὶ ἀπέ-
λυσε μετὰ δώρων αὐτὸν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν ἢ τῆς δόξης ἀνάξιος φα-
νῆναι. ἐπεὶ δὲ ταξίλης εἷς τῶν ἰνδῶν βασιλεὺς ὢν ἀπαντήσας προὐκαλεῖτο μὴ
μάχεσθαι μηδὲ πολεμεῖν ἀλέξανδρον, ἀλλ᾽ εἰ μέν ἐστιν ἥττων, εὖ πάσχειν, εἰ δὲ βελ-
τίων, εὖ ποιεῖν, ἀπεκρίνατο περὶ αὐτοῦ τούτου μαχετέον εἶναι, πότερος εὖ ποι-
ῶν περιγένηται. περὶ δὲ τῆς λεγομένης ἀόρνου πέτρας ἐν ἰνδοῖς ἀκούσας ὅτι
τὸ μὲν χωρίον, δυσάλωτόν ἐστιν, ὁ δὲ, ἔχων αὐτὸ δειλός ἐστιν, νῦν ἔφη τὸ χωρίον
εὐάλωτόν ἐστιν. ἐπεὶ δὲ ἄλλος ἔχων πέτραν ἄληπτον δοκοῦσαν εἶναι ἐνεχεί-
ρισεν ἑαυτὸν μετὰ τῆς πέτρας τῷ ἀλεξάνδρῳ καὶ τῆς δυνάμεως ἐκέλευσεν ἄρ-
χειν, καὶ προσέθηκε χώραν εἰπὼν, ὅτι φρονεῖν μοι δοκεῖ ὁ ἄνθρωπος ἀνδρὶ μᾶλ-
λον ἀγαθῷ πιστεύσας ἑαυτὸν, ἢ ὀχυρῷ τόπῳ. μετὰ δὲ τὴν τῆς πέτρας ἅλω-
σιν τῶν φίλων λεγόντων ὑπερβεβληκέναι τὸν ἡρακλέα ταῖς πράξεσιν, ἀλλ᾽
ἐγὼ εἶπε τὰς ἐμὰς πράξεις μετὰ τῆς ἡγεμονίας, ἑνὸς οὐ νομίζω ῥήματος ἀντα-
ξίας εἶναι τοῦ ἡρακλέους. τῶν δὲ φίλων τινὰς αἰσθόμενος ἐν τῷ κυβεύειν οὐ
παίζοντας ἐζημίωσε. τῶν δὲ πρώτων φίλων καὶ κρατίστων, τιμᾶν μὲν ἐ-
δόκει κρατερὸν μάλιστα πάντων, φιλεῖν δὲ ἡφαιστίωνα. κρατερὸς μὲν γάρ ἔφη
φιλοβασιλεύς ἐστι· ἡφαιστίων δὲ φιλαλέξανδρος. ξενοκράτῃ δὲ τῷ φιλοσό-
φῳ πεντήκοντα τάλαντα πέμψας, ὡς οὐκ ἐδέξατο, μὴ δεῖσθαι φήσας, ἠρώτη-
σεν εἰ μηδὲ φίλον ἔχει ξενοκράτης, ἐμοὶ μὲν γὰρ ἔφη μόλις ὁ δαρείου πλοῦτος
εἰς τοὺς φίλους ἤρκεσεν. ἐπεὶ δὲ πῶρος ἐρωτηθεὶς ὑπ᾽ αὐτοῦ μετὰ τὴν μά-
χην, πῶς σοι χρήσομαι, βασιλικῶς εἶπε, καὶ προσερωτηθεὶς μή τι ἄλλο, πάν-
τα εἶπεν ἐν τῷ βασιλικῶς ἔνεστι. θαυμάσας καὶ τὴν σύνεσιν αὐτοῦ καὶ τὴν ἀνδρα-
γαθίαν, πλείονα χώραν ἧς πρότερον εἶχε προσέθηκε. πυθόμενος δὲ ὑπό τι-
νος λοιδορεῖσθαι, βασιλικόν ἔφη ἐστὶν εὖ ποιοῦντα κακῶς ἀκούειν. ἀποθνήσκων
δὲ, πρὸς τοὺς ἑταίρους ἰδὼν, ἔφη μέγαν ὁρῶ μου τὸν ἐπιτάφιον ἐσόμενον. τε-
λευτήσαντος δὲ αὐτοῦ, δημάδης ὁ ῥήτωρ ὅμοιον ἔφη διὰ τὴν ἀναρχίαν ὁρᾶσθαι
τὸ στρατόπεδον τῶν μακεδόνων ἐκτετυφλωμένῳ τῷ κύκλωπι. πτολεμαῖος ὁ
λάγου τὰ πολλὰ παρὰ τοῖς φίλοις ἐδείπνει καὶ ἐκάθευδεν, εἰ δέ ποτε δειπνί-
ζοι τοῖς ἐκείνων ἐχρῆτο μεταπεμπόμενος ἐκπώματα καὶ στρώματα καὶ τραπέ-
ζας, αὐτὸς δὲ οὐκ ἐκέκτητο πλείω τῶν ἀναγκαίων, ἀλλὰ τοῦ πλουτεῖν ἔλεγε τὸ
πλουτίζειν εἶναι βασιλικώτερον. ἀντίγονος εἰσέπραττε χρήματα συντόνως,
εἰπόντος δέ τινος ἀλλ᾽ οὐκ ἀλέξανδρος ἦν τοιοῦτος, εἰκότως εἶπεν· ἐκεῖνος μὲν γὰρ
ἐθέριζε τὴν ἀσίαν, ἐγὼ δὲ καλαμῶμαι. τῶν δὲ στρατιωτῶν ἰδών τινας ἐν τοῖς
θώραξι καὶ τοῖς κράνεσι σφαιρίζοντας, ἥσθη, καὶ τοὺς ἡγεμόνας αὐτῶν μετε-
πέμπετο, ἐπαινέσαι βουλόμενος· ὡς δὲ ἤκουσεν ὅτι πίνουσι, τὰς ἐκείνων ἡγεμο-
νίας, τοῖς στρατιώταις ἔδωκε. θαυμαζόντων δὲ πάντων ὅτι γέρων γενόμε-
νος ἠπίως ἐχρῆτο καὶ πράως τοῖς πράγμασι, πρότερον μὲν γὰρ εἶπε δυνάμεως ἐ-
δεόμην, νῦν δὲ δόξης καὶ εὐνοίας. πρὸς δὲ τὸν υἱὸν φίλιππον πυθόμενος
πλειόνων παρόντων, πότε μέλλομεν ἀναζευγνύναι, τί δέδοικας εἶπε, μὴ μόνος
τῆς σάλπιγγος οὐκ ἀκούσῃς; σπουδάσαντος δὲ τοῦ νεανίσκου λαβεῖν κατά-
λυσιν παρὰ γυναικὶ χήρᾳ τρεῖς ἐχούσῃ θυγατέρας εὐπρεπεῖς, καλέσας τὸν ἐπὶ
τῶν ξενίων εἶπεν οὐκ ἐξάξεις μου τὸν υἱὸν ἐκ τῆς στενοχωρίας. νοσήσας δὲ μα-

κρὰν νόσον, ὡς ἀνέρρωσεν, οὐδὲν ἔφη χεῖρον, ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος μὴ μέγα
φρονεῖν ὡς ὄντας θνητούς. ἑρμοδότου δὲ αὐτὸν ἐν τοῖς ποιήμασιν ἡλίου παῖ-
δα γράψαντος, οὐ ταῦτά μοι ἔφη σύνοιδεν ὁ λασανοφόρος. εἰπόντος δέ τινος
ὅτι πάντα καλὰ καὶ δίκαια τοῖς βασιλεῦσι, ναὶ μὰ δία εἶπεν, τοῖς τῶν βαρβάρων,
ἡμῖν δὲ μόνα καλὰ, τὰ καλά, καὶ μόνα δίκαια τὰ δίκαια. μαρσύου τοῦ ἀδελφοῦ
δίκην ἔχοντος, ἀξιοῦντος δὲ τὴν κρίσιν αὐτῷ γενέσθαι κατ᾽ οἰκίαν, ἔσται μὲν οὖν
εἶπεν ἐν τῇ ἀγορᾷ, καὶ πάντων ἀκουόντων εἰ μηδὲν ἀδικοῦμεν. ἐπεὶ δέ ποτε
χειμῶνος ἐν τόποις σπανίζουσι τῶν ἐπιτηδείων ἠνάγκασε καταζεῦξαι, καὶ τῶν
στρατιωτῶν τινὲς ἐλοιδόρουν αὐτὸν, ἀγνοοῦντες ὅτι πλησίον ἐστὶν, τῇ βακτη-
ρίᾳ τὴν σκηνὴν διαστείλας, οἰμώξετε εἶπεν, εἰ μὴ μακρότερον ἀποστάντες λοι-
δορήσετε ἡμᾶς. ἀριστοδήμου δὲ τῶν φίλων τινὸς ἐκ μαγείρου γεγονέναι δοκοῦν-
τος, συμβουλεύοντος δὲ αὐτῷ τῶν ἀναλωμάτων καὶ τῶν δωρεῶν ἀφαιρεῖν, οἱ λό-
γοι σου εἶπεν ὦ ἀριστόδημε περιζώματος ὄζουσιν. ἀθηναίων δὲ δοῦλον αὐτοῦ τι-
μώμενον εἰς τὴν πολιτείαν ὡς ἐλεύθερον ἐγγραψάντων, οὐκ ἂν εἶπεν ἐβουλόμην ἕνα
ἀθηναῖον ὑπ᾽ ἐμοῦ μαστιγοῦσθαι. νεανίσκου δέ τινος τῶν ἀναξιμένους τοῦ ῥήτορος
μαθητῶν, λόγον ἐσκεμμένον ἐκ παρασκευῆς εἰπόντος ἐπ᾽ αὐτοῦ, βουλόμενός τι
μαθεῖν, ἠρώτησεν, ἀποσιωπήσαντος δὲ τοῦ νεανίσκου, τί λέγεις εἶπεν, ταῦτ᾽ ἐστὶν
τὰν δέλτοισιν ἐγγεγραμμένα; ἑτέρου δὲ ῥήτορος ἀκούων λέγοντος ὅτι χιονοβόλος
ἡ ὥρα γενομένη λειποβοτανεῖν ἐποίησε τὴν χώραν, οὐ παύσῃ μοι εἶπεν ὡς ὄχλῳ
χρώμενος; θρασύλλου δὲ τοῦ κυνικοῦ δραχμὴν αἰτήσαντος αὐτὸν, ἀλλ᾽ οὐ βασι-
λικὸν εἶπε τὸ δόμα, τοῦ δὲ εἰπόντος οὐκοῦν τάλαντον δός μοι, ἀλλ᾽ οὐ κυνικὸν ἔφη
τὸ λῆμμα. πέμπων δὲ δημήτριον τὸν υἱὸν μετὰ νεῶν πολλῶν καὶ δυνάμεων ἐλευ-
θερώσοντα τοὺς ἕλληνας, ἔλεγε τὴν δόξαν ὥσπερ ἀπὸ σκοπῆς τῆς ἑλλάδος εἰς
τὴν οἰκουμένην πυρσεύεσθαι. ἀνταγόρου δὲ τοῦ ποιητοῦ γόγγρον ἕψοντος καὶ αὐ-
τοῦ τὴν λοπάδα σείοντος, ἐπιστὰς ἐξόπισθεν οἴει φησὶ τὸν ὅμηρον ὦ ἀνταγόρα γόγ-
γρον ἕψειν τὰς τοῦ ἀγαμέμνονος γράφοντα πράξεις; καὶ ὁ ἀνταγόρας, σὺ δὲ
εἶπεν ὦ βασιλεῦ, τὸν ἀγαμέμνονα νομίζεις πράττοντα τὰς πράξεις ἐκείνας πο-
λυπραγμονεῖν, εἴ τις ἐν τῷ στρατοπέδῳ γόγγρον ἕψει; ἐπεὶ δὲ ὄναρ ἰδὼν χρυ-
σοῦν θέρος ἐξαμῶντα μιθριδάτην ἐβουλεύσατο κτεῖναι, καὶ δημητρίῳ τῷ υἱῷ
φράσας ὥρκωσε σιωπῆσαι, ὁ δὲ παραλαβὼν τὸν μιθριδάτην ὁ δημήτριος καὶ
συμπεριπατῶν παρὰ θάλασσαν ἐν τῷ αἰγιαλῷ κατέγραψε τῷ σαυρωτῆρι τοῦ
δόρατος, φεῦγε μιθριδάτα, ἐκεῖνος δὲ νοήσας ἔφυγεν εἰς πόντον, κἀκεῖ βασι-
λεύων διετέλεσε. ῥοδίους δὲ πολιορκῶν ὁ δημήτριος, ἔλαβεν ἔν τινι προα-
στείῳ πίνακα πρωτογένους τοῦ ζωγράφου τὸν ἰάλυσι γράφοντος, ἐπικηρυκευσα-
μένων δὲ τῶν ῥοδίων καὶ φείσασθαι τοῦ πίνακος παρακαλούντων, ἤφν μᾶλλον
τὰς τοῦ πατρὸς εἰκόνας, ἢ τὴν γραφὴν ἐκείνην διαφθείρειν. σπεισάμενος δὲ
τοῖς ῥοδίοις, τὴν ἑλέπολιν ἀπέλιπε παρ᾽ αὐτοῖς ὑπόδειγμα τῆς αὐτοῦ μεγα-
λουργίας, ἐκείνων δὲ ἀνδρείας ἐσομένην. ἀποστάντων δὲ τῶν ἀθηναίων, ἑλὼν
τὴν πόλιν ἤδη κακῶς ἀπὸ σιτοδείας ἔχουσαν, εὐθὺς ἐκκλησίας αὐτῷ συνα-
χθείσης, ἐπέδωκε δωρεὰν σῖτον αὐτοῖς, δημηγορῶν δὲ περὶ τούτων ἐβαρβάρι-
σε, τῶν δὲ καθημένων τινὸς ὡς ἔδει τὸ ῥῆμα λεχθῆναι παραφωνήσαντος, οὐκοῦν
ἔφη καὶ τῆς ἐπανορθώσεως ταύτης ἄλλους ὑμῖν πεντακισχιλίους ἐπιδίδωμι
μεδίμνους. ἀντίγονος ὁ δεύτερος, δημητρίου τοῦ πατρὸς ἁλόντος, καὶ πέμψαντος τι-
νὰ τῶν φίλων κελεύοντος μὴ προσέχειν ἄν τι γράφῃ, βιασθεὶς ὑπὸ σελεύκου μηδὲ πα-
ραχωρεῖν τῶν πόλεων, αὐτὸς ἔγραψε πρὸς σέλευκον ἐξιστάμενος αὐτῷ τῆς ἀρχῆς ἁπά-
σης καὶ παραδιδοὺς ὅμηρον ἑαυτὸν ὑπὲρ τοῦ πατέρα δημήτριον ἀπολυθῆναι. μέλλων δὲ

2:/ ἰάλυσον. Δ.
ἔφη. Δ.

ναυμαχεῖν πρὸς τοὺς πτολεμαίου στρατηγοὺς, εἰπόντος τοῦ κυβερνήτου πολὺ πλείονας εἶναι τὰς τῶν πολεμίων ναῦς, ἐμὲ δὲ ἔφη αὐτὸν παρόντα πρὸς πόσας ἀντιτάττεις. ὑποχωρῶν δέ ποτε τοῖς πολεμίοις ἐπερχομένοις, οὐκ ἔφη φεύγειν, ἀλλὰ διώκειν τὸ συμφέρον ὀπίσω κείμενον. ἐπεὶ δὲ νεανίσκος ἀνδρείου πατρὸς, αὐτὸς δὲ μὴ πάνυ δοκῶν ἀγαθὸς εἶναι στρατιώτης, ἠξίου τὰς τοῦ πατρὸς λαμβάνειν ἀποφοράς, ἀλλ᾽ ἐγὼ εἶπεν ὦ μειράκιον ἀνδραγαθίας οὐ πατραγαθίας μισθοὺς καὶ δωρεὰς δίδωμι. ζήνωνος δὲ τοῦ κιτιέως ἀποθανόντος, ὃν μάλιστα τῶν φιλοσόφων ἐθαύμασεν, ἔλεγε τὸ θέατρον αὐτοῦ τῶν πράξεων ἀνῃρῆσθαι. λυσίμαχος ἐν θρᾴκῃ κρατηθεὶς ὑπὸ δρομιχαίτου, καὶ διὰ δίψαν ἑαυτὸν καὶ τὸ στράτευμα παραδοὺς, ὡς ἔπιεν αἰχμάλωτος γενόμενος, ὦ θεοὶ εἶπεν, ὡς μικρᾶς ἡδονῆς ἕνεκα, δοῦλον ἐμαυτὸν ἐκ βασιλέως πεποίηκα. πρὸς δὲ φιλιππίδην τὸν κωμῳδοποιὸν φίλον ὄντα καὶ συνήθη, τίνος σοι εἶπε τῶν ἐμῶν μεταδῶ, κἀκεῖνος οὗ βούλει, πλὴν τῶν ἀπορρήτων. ἀντίπατρος ἀκούσας τὴν παρμενίωνος ὑπὸ ἀλεξάνδρου τελευτὴν, εἶπεν εἰ μὲν, ἐπεβούλευσε παρμενίων ἀλεξάνδρῳ, τίνι πιστευτέον, εἰ δὲ μὴ, τί πρακτέον. δημάδου δὲ τοῦ ῥήτορος ἤδη πρεσβύτου γεγονότος, ἔφη καθάπερ ἱερείου διαπεπραγμένου, καταλείπεσθαι μόνην τὴν γαστέρα καὶ τὴν γλῶτταν. ἀντίοχος ὁ τρίτος ἔγραψε ταῖς πόλεσιν, ἄν τι γράψῃ παρὰ τοὺς νόμους κελεύων γενέσθαι, μὴ προσέχειν ὡς ἠγνοηκότι. τὴν δὲ τῆς ἀρτέμιδος ἱέρειαν ἰδὼν ὑπερβολῇ καλὴν φανεῖσαν, εὐθὺς ἀνέζευξεν ἐξ ἐφέσου, φοβούμενος μὴ παρὰ γνώμην ἐκβιασθῇ πρᾶξαί τι τῶν οὐχ ὁσίων. ἀντίοχος ὁ ἐπικληθεὶς ἱέραξ ἐπολέμει περὶ βασιλείας πρὸς τὸν ἀδελφὸν σέλευκον, ἐπεὶ δὲ ὁ σέλευκος ἡττηθεὶς ὑπὸ γαλατῶν οὐδαμοῦ φανερὸς ἦν, ἀλλ᾽ ἐδόκει κατακεκόφθαι, θεὶς τὴν πορφύραν ὁ ἀντίοχος φαιὸν ἱμάτιον ἀνέλαβε μετ᾽ ὀλίγον δὲ πυθόμενος τὸν ἀδελφὸν σώζεσθαι, εὐαγγέλια τοῖς θεοῖς ἔθυσε, καὶ τὰς πόλεις τὰς ὑφ᾽ ἑαυτὸν στεφανηφορεῖν ἐποίησεν. εὐμένης ἐπιβουλευθεὶς ὑπὸ περσέως, ἔδοξε τεθνάναι, τῆς δὲ φήμης εἰς πέργαμον κομισθείσης, ἄτταλος ὁ ἀδελφὸς αὐτοῦ περιθέμενος τὸ διάδημα καὶ τὴν γυναῖκα γήμας ἐβασίλευσε, πυθόμενος δὲ προσιόντα ζῶντα τὸν ἀδελφὸν, ἀπήντησεν ὥσπερ εἰώθει μετὰ τῶν σωματοφυλάκων δοράτιον ἔχων, ὁ δὲ εὐμένης φιλοφρόνως ἀσπασάμενος αὐτὸν καὶ πρὸς τὸ οὖς εἰπὼν μὴ σπεῦδε γῆμαι πρὶν τελευτήσαντ᾽ ἴδῃς, οὐδὲν ἄλλο παρὰ πάντα τὸν βίον οὔτ᾽ εἶπεν ὕποπτον, οὔτ᾽ ἐποίησεν, ἀλλὰ καὶ τελευτῶν ἐκείνῳ τὴν γυναῖκα καὶ τὴν βασιλείαν ἀπέλιπεν. ἀνθ᾽ ὧν ἐκεῖνος οὐδὲν ἐξ ἑαυτοῦ τέκνον ἔθρεψε πολλῶν γενομένων, ἀλλὰ τῷ εὐμένους υἱῷ τὴν βασιλείαν ἔτι ζῶν ἐνηλίκῳ γενομένῳ παρέδωκε. πύρρον οἱ υἱοὶ παῖδες ὄντες ἠρώτων τίνι καταλείψει τὴν βασιλείαν, καὶ ὁ πύρρος εἶπεν, ὃς ἂν ὑμῶν ὀξυτέραν ἔχῃ τὴν μάχαιραν. ἐρωτηθεὶς δὲ πότερον πύθων ἢ καφεισίας αὐλητὴς ἀμείνων, πολυπέρχης ἔφη ὁ στρατηγός. ἐπεὶ δὲ συμβαλὼν ῥωμαίοις δὶς ἐνίκησε, πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἀπολέσας, ἂν ἔτι μίαν ἔφη μάχην ῥωμαίους νικήσωμεν, ἀπολώλαμεν. ἐπεὶ δὲ σικελίας ἀποτυχὼν ἐξέπλει, μεταστραφεὶς ὀπίσω πρὸς τοὺς φίλους οἵαν ἔφη ῥωμαίοις καὶ καρχηδονίοις ἀπολείπομεν παλαίστραν. τῶν δὲ στρατιωτῶν ἀετὸν αὐτὸν προσαγορευόντων, τί γὰρ εἶπεν, οὐ μέλλω τοῖς ἡμετέροις ὅπλοις ὥσπερ ὠκυπτέροις αἰρόμενος. ἀκούσας δὲ ὅτι νεανίσκοι πολλὰ βλάσφημα περὶ αὐτοῦ πίνοντες εἰρήκασιν ἐκέλευσεν ἀχθῆναι μεθ᾽ ἡμέραν πρὸς αὐτὸν ἅπαντας, ἀχθέντων δὲ τὸν πρῶτον ἠρώτησεν εἰ ταῦτα εἰρήκασι περὶ αὐτοῦ, καὶ ὁ νεανίσκος ταῦτα εἶπεν ὦ βασιλεῦ, πλείονα δ᾽ ἂν τούτων εἰρήκειμεν, εἰ πλείονα οἶνον εἴχομεν.

ἀντίοχος

ἀντίοχος ὁ στρατεύσας δεύτερον ἐπὶ πάρθους, ἔν τινι κυνηγεσίῳ καὶ διωγμῷ τῶν φίλων καὶ θεραπόντων ἀποπλανηθεὶς, εἰς ἔπαυλιν πενήτων ἀνθρώπων ἀγνοούμενος εἰσῆλθε, καὶ παρὰ τὸ δεῖπνον ἐμβαλὼν λόγον περὶ τοῦ βασιλέως, ἤκουσεν ὅτι τἆλλα χρηστός ἐστιν, φίλοις δὲ μοχθηροῖς ἐπιτρέπων τὰ πλεῖστα παρορᾷ, καὶ πολλάκις ἀμελεῖ τῶν ἀναγκαίων διὰ τὸ λίαν φιλόθηρος εἶναι, τότε μὲν οὖν ἐσιώπησεν, ἅμα δὲ ἡμέρᾳ τῶν δορυφόρων παραγενομένων ἐπὶ τὴν ἔπαυλιν, φανερὸς γενόμενος, προσφερομένης τῆς πορφύρας αὐτῷ καὶ τοῦ διαδήματος, ἀλλὰ ἀφ᾽ ἧς εἶπεν ἡμέρας ὑμᾶς ἀνείληφα πρῶτον, ἐχθὲς ἀληθινῶν λόγων ἤκουσα περὶ ἐμαυτοῦ. τῶν δὲ ἰουδαίων, πολιορκοῦντος αὐτοῦ τὰ ἱεροσόλυμα πρὸς τὴν μεγίστην ἑορτὴν αἰτησαμένων ἑπτὰ ἡμερῶν ἀνοχὰς, οὐ μόνον ἔδωκε ταύτας, ἀλλὰ καὶ ταύρους χρυσοκέρως παρασκευασάμενος καὶ θυμιαμάτων καὶ ἀρωμάτων πλῆθος, ἄχρι τῶν πυλῶν ἐπόμπευσε, καὶ παραδοὺς τοῖς ἐκείνων ἱερεῦσι τὴν θυσίαν, αὐτὸς ἐπανῆλθεν εἰς τὸ στρατόπεδον, οἱ δὲ ἰουδαῖοι θαυμάσαντες, εὐθὺς ἑαυτοὺς μετὰ τὴν ἑορτὴν ἐνεχείρισαν. θεμιστοκλῆς ἔτι μειράκιον ὢν, ἐν πότοις ἐκυλινδεῖτο καὶ γυναιξίν. ἐπεὶ δὲ μιλτιάδης στρατηγῶν ἐνίκησεν ἐν μαραθῶνι τοὺς βαρβάρους, οὐκέτι ἦν ἐντυχεῖν ἀτακτοῦντι θεμιστοκλεῖ. πρὸς δὲ τοὺς θαυμάζοντας τὴν μεταβολὴν, ἔλεγεν ὡς οὐκ ἐᾷ με καθεύδειν οὐδὲ ῥαθυμεῖν τὸ μιλτιάδου τρόπαιον. ἐρωτηθεὶς δὲ πότερον ἀχιλλεὺς ἐβούλετ᾽ ἂν ἢ ὅμηρος εἶναι, σὺ δ᾽ αὐτὸς ἔφη πότερον ἤθελες ὁ νικῶν ἐν ὀλυμπιάσιν ἢ ὁ κηρύσσων τοὺς νικῶντας εἶναι. ξέρξου δὲ καταβαίνοντος ἐπὶ τὴν ἑλλάδα τῷ μεγάλῳ στόλῳ, φοβηθεὶς ἐπικύδην τὸν δημαγωγὸν αἰσχροκερδῆ καὶ δειλὸν ὄντα, μὴ στρατηγὸς γενόμενος ἀπολέσῃ τὴν πόλιν, ἔπεισεν ἀργυρίῳ τῆς στρατηγίας ἀποστῆναι. ἀδειμάντου δὲ ναυμαχεῖν μὴ τολμῶντος, εἰπόντος πρὸς τὸν θεμιστοκλέα τοὺς ἕλληνας παρακαλοῦντα καὶ προτρέποντα ὦ θεμιστόκλεις τοὺς ἐν τοῖς ἀγῶσι προεξισταμένους μαστιγοῦσιν ἀεί, ναὶ εἶπεν ὦ ἀδείμαντε, τοὺς δὲ λειπομένους οὐ στεφανοῦσιν. ἐπαραμένου δὲ τοῦ εὐρυβιάδου τὴν βακτηρίαν ὡς πατάξοντος, πάταξον μὲν οὖν εἶπεν, ἄκουσον δέ. μὴ πείθων δὲ τὸν εὐρυβιάδην, ἐν τοῖς στενοῖς ναυμαχῆσαι, κρύφα πρὸς τὸν βάρβαρον ἔπεμψε, παραινῶν μὴ δεδιέναι τοὺς ἕλληνας ἀποδιδράσκοντας, ἐπεὶ δὲ πεισθεὶς ἐκεῖνος ἡττήθη, ναυμαχήσας ὅπου συνέφερε τοῖς ἕλλησι, πάλιν ἔπεμψε πρὸς αὐτὸν κελεύων φεύγειν ἐπὶ τὸν ἑλλήσποντον τὴν ταχίστην, ὡς τῶν ἑλλήνων διανοουμένων λύειν τὴν γέφυραν, ἵνα σώζων τοὺς ἕλληνας, ἐκεῖνον δοκῇ σώζειν. τοῦ δὲ σεριφίου πρὸς αὐτὸν εἰπόντος ὡς οὐ δι᾽ αὐτὸν, ἀλλὰ διὰ τὴν πόλιν ἔνδοξός ἐστιν. ἀληθῆ λέγεις εἶπεν, ἀλλ᾽ οὔτ᾽ ἂν ἐγὼ σερίφιος ὢν ἐγενόμην ἔνδοξος, οὔτε σὺ ἀθηναῖος. ἀντιφάτου δὲ τοῦ καλοῦ πρότερον μὲν ἐρῶντα τὸν θεμιστοκλέα φεύγοντος καὶ καταφρονοῦντος, ἐπεὶ δὲ δόξαν ἔσχε μεγάλην καὶ δύναμιν, προσερχομένου καὶ κολακεύοντος, ὦ μειράκιον εἶπεν, ὀψὲ μὲν ἀμφότεροι; ἀλλὰ νῦν ἐσχήκαμεν. πρὸς δὲ σιμωνίδην ἐξαιτούμενόν τινα κρίσιν οὐ δικαίαν, ἔφη μήτ᾽ ἂν ἐκεῖνον γενέσθαι ποιητὴν ἀγαθὸν ᾄδοντα παρὰ μέλος, μήτ᾽ αὐτὸν ἄρχοντα χρηστὸν δικάζοντα παρὰ τὸν νόμον. τὸν δὲ υἱὸν ἐντρυφῶντα τῇ μητρὶ, πλεῖστον ἑλλήνων ἔλεγε δύνασθαι. τῶν μὲν ἑλλήνων ἄρχειν ἀθηναίους, ἀθηναίων δὲ ἑαυτὸν, ἑαυτοῦ δὲ τὴν ἐκείνου μητέρα, τῆς δὲ μητρὸς ἐκεῖνον. τῶν δὲ τὴν θυγατέρα μνωμένων αὐτοῦ, τὸν ἐπιεικῆ τοῦ πλουσίου προτιμήσας, ἄνδρα ἔφη ζητεῖν χρημάτων δεόμενον μᾶλλον, ἢ χρήματα ἀνδρός. χωρίον δὲ πωλῶν, ἐκέλευσε κηρύττειν ὅτι καὶ γείτονα χρηστὸν ἔχει. τῶν δὲ ἀθηναίων αὐτὸν προπηλακιζόντων, τί κοπιᾶτε εἶπεν ὑπὸ τῶν αὐτῶν πολλάκις εὐχρηστούμενοι καὶ τοῖς πλατάνοις ἀπείκαζεν αὐτὸν, αἷς ὑποτρέχουσι χειμαζόμενοι, γενομένης δὲ εὐδίας τίλ-

ἀμφότεροι δ᾽ ἅμα

ἐντρυφῶντα

λοῦσι παρερχόμενοι καὶ λοιδοροῦσι. τοὺς δὲ ἐρετριεῖς ἐπισκώπτων ἔλεγεν ὥσ
περ τευθίδας μάχαιραν μὲν ἔχειν, καρδίαν δὲ μὴ ἔχειν. ἐπεὶ δ' ἐξέπεσε τῆς
ἀθηναίων τὸ πρῶτον, εἶτα καὶ τῆς ἑλλάδος, ἀναβὰς πρὸς βασιλέα καὶ κελευόμενος
λέγειν, ἔφη τὸν λόγον ἐοικέναι τοῖς ποικίλοις στρώμασιν· ὡς γὰρ ἐκεῖνα καὶ τοῦτον
ἐκτεινόμενον μὲν ἐπιδεικνύναι τὰ εἴδη, συστελλόμενον δὲ κρύπτειν καὶ διαφθείρειν·
ᾐτήσατο δὲ καὶ χρόνον ὅπως τὴν περσικὴν διάλεκτον καταμαθὼν ὡς βούλεται, καὶ
μὴ δι' ἑτέρου ποιήσαι τὴν πρὸς αὐτὸν ἔνδειξιν. πολλῶν δὲ δωρεῶν ἀξιωθεὶς καὶ
ταχὺ πλούσιος γενόμενος πρὸς τοὺς παῖδας εἶπεν, ὦ παῖδες ἀπωλόμεθ' ἂν εἰ
μὴ ἀπολώλειμεν. μυρωνίδης παρήγγειλεν ἔξοδον ἀθηναίοις ἐπὶ βοιωτοὺς
στρατεύων, ἐνστάσης δὲ τῆς ὥρας, καὶ τῶν λοχαγῶν λεγόντων μηδέπω πάντας
παρεῖναι, πάρεισιν εἶπεν οἱ μέλλοντες μάχεσθαι, καὶ χρησάμενος αὐτοῖς προ
θύμοις, ἐνίκησε τοὺς πολεμίους. ἀριστείδης δὲ ὁ δίκαιος, ἀεὶ καθ' αὑτὸν ἐπολι
τεύετο, καὶ τὰς ἑταιρείας ἔφευγεν ὡς τῆς ἀπὸ τῶν φίλων δυνάμεως ἀδικεῖν ἐπαι
ρούσης. ἐπεὶ δὲ τῶν ἀθηναίων ὁρμωμένων ἐπὶ τὸν ἐξοστρακισμόν, ἄνθρωπος ἀγράμμα
τος καὶ ἄγροικος ὄστρακον ἔχων προσῆλθεν αὐτῷ κελεύων, ἐγγράψαι τὸ ὄνομα τοῦ
ἀριστείδου, γινώσκεις τί ἔφη τὸν ἀριστείδην; τοῦ δὲ ἀνθρώπου γινώσκειν μὲν οὐ φήσαντος,
ἄχθεσθαι δὲ τῇ τοῦ δικαίου προσηγορίᾳ σιωπήσας ἐνέγραψε τὸ ὄνομα τῷ ὀστράκῳ καὶ
ἀπέδωκεν. ἐχθρὸς δὲ ὢν τοῦ θεμιστοκλέους, καὶ πρεσβευτὴς ἐκπεμφθεὶς σὺν αὐ
τῷ, βούλει φησὶν ὦ θεμιστόκλεις ἐπὶ τῶν ὅρων τὴν ἔχθραν ἀπολίπωμεν; ἂν δὲ δο
κῇ πάλιν αὐτὴν ἐπανιόντες ληψόμεθα. τάξας δὲ τοὺς φόρους τοῖς ἕλλησι, το
σούτῳ πτωχότερος ἐπανῆλθεν, ὅσον εἰς τὴν ἀποδημίαν ἀνήλωσεν. αἰσχύλου δὲ
ποιήσαντος εἰς ἀμφιάραον, οὐ γὰρ δοκεῖν ἄριστος ἀλλ' εἶναι θέλει βαθεῖαν ἄλοκα
διὰ φρενὸς καρπούμενος, ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα, καὶ λεγομένου
τούτου, πάντες εἰς ἀριστείδην ἀπέβλεψαν. περικλῆς ὁπότε μέλλοι στρατηγεῖν,
ἀναλαμβάνων τὴν χλαμύδα πρὸς ἑαυτὸν ἔλεγεν, πρόσεχε περίκλεις ἐλευθέρων
μέλλεις ἄρχειν, ἑλλήνων καὶ ἀθηναίων. ἐκέλευσε δὲ τοὺς ἀθηναίους τὴν αἴγιναν ὥσ
περ λήμην ἀφελεῖν τοῦ πειραιῶς. πρὸς δὲ φίλον τινὰ μαρτυρίας ψευδοῦς δεόμε
νον, ᾗ προσῆν καὶ ὅρκος, ἔφησε μέχρι τοῦ βωμοῦ φίλος εἶναι. μέλλων δὲ ἀποθνήσκειν,
αὐτὸς ἑαυτὸν ἐμακάριζεν, ὅτι μηδεὶς ἀθηναίων μέλαν ἱμάτιον δι' αὐτὸν ἐνεδύσατο.
ἀλκιβιάδης ἔτι παῖς ὢν ἐλήφθη λαβὴν ἐν παλαίστρᾳ, καὶ μὴ δυνάμενος διαφυ
γεῖν, ἔδακε τὴν χεῖρα τοῦ καταπαλαίοντος, εἰπόντος δὲ ἐκείνου δάκνεις, ὡς αἱ γυ
ναῖκες, οὐ μὲν οὖν εἶπεν, ἀλλ' ὡς οἱ λέοντες. ἔχων δὲ κύνα πάγκαλον ἑωνημέ
νον ἑπτακισχιλίων δραχμῶν, ἀπέκοψεν αὐτοῦ τὴν οὐράν, ὅπως ἔφη τοῦτο λέγω-
σιν ἀθηναῖοι περὶ ἐμοῦ καὶ μηδὲν ἄλλο πολυπραγμονῶσι. προσελθὼν δὲ δι-
δασκαλείῳ, ῥαψῳδίαν ἰλιάδος ᾔτει, τοῦ δὲ διδασκάλου μηδὲν ἔχειν ὁμήρου φή
σαντος, ἐντρίψας αὐτῷ κόνδυλον παρῆλθεν. ἐλθὼν δὲ ἐπὶ θύρας τοῦ περικλέ
ους, καὶ πυθόμενος αὐτὸν μὴ σχολάζειν, ἀλλὰ σκοπεῖν ὅπως ἀποδώσει λόγους ἀθη
ναίοις, οὐ βέλτιον ἔφη σκοπεῖν ἦν, ὅπως μὴ οὐκ ἀποδώσει; καλούμενος δὲ ἐπὶ
κρίσιν θανατικὴν ὑπὸ τῶν ἀθηναίων ἀπὸ σικελίας ἔκρυψεν ἑαυτόν, εἰπὼν ἀνόη
τον εἶναι τὸν δίκην ἔχοντα, ζητεῖν ἀποφυγήν, ἐξὸν φυγεῖν. εἰπόντος δέ τι-
νος οὐ πιστεύεις τῇ πατρίδι, τὴν περὶ σεαυτοῦ κρίσιν; ἐγὼ μὲν ἔφη οὐδὲ τῇ μη-
τρί, μή πως ἀγνοήσασα τὴν μέλαιναν βάλῃ ψῆφον ἀντὶ τῆς λευκῆς. ἀκούσας
δὲ ὅτι θάνατος αὐτοῦ καὶ τῶν σὺν αὐτῷ κατέγνωσται, δείξωμεν οὖν εἶπεν αὐτοῖς ὅτι
ζῶμεν, καὶ πρὸς λακεδαιμονίους τραπόμενος, τὸν δεκελικὸν ἤγειρεν ἐπὶ τοὺς ἀθηναίους
πόλεμον. λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτόντι, τοῦ δὲ φήσαντος μηκέτι
τοῦτο ποιήσειν, οὐκ ἔστιν εἶπεν, ἐν πολέμῳ δὶς ἁμαρτεῖν. ἰφικράτης δοκῶν υἱὸς εἶναι

τοῦ σκυτοτόμου, κατεφρονεῖτο, δόξαν δὲ τότε πρῶτον ἔσχεν, ὅτε τραυματίας πολέμιον
ἄνδρα μετὰ τῶν ὅπλων ζῶντα συναρπάσας, εἰς τὴν ἑαυτοῦ τριήρη μετήνεγκεν. ἐν
δὲ φιλίᾳ καὶ συμμάχῳ χώρᾳ στρατοπεδεύων καὶ χάρακα βαλλόμενος καὶ τάφρους
ὀρύττων ἐπιμελῶς, πρὸς τὸν εἰπόντα τί γὰρ φοβούμεθα, χειρίστην ἔφησε στρατηγοῦ
φωνὴν εἶναι, τὴν οὐκ ἂν προσεδόκησα. παρατατόμενος δὲ τοῖς βαρβάροις, ἔφη
δεδιέναι μὴ τὸν ἰφικράτην οὐκ ἴσασιν, ᾧ καταπλήττεται τοὺς ἄλλους πολεμίους.
κρινόμενος δὲ θανάτου, πρὸς τὸν συκοφάντην οἷα ποιεῖς ὦ ἄνθρωπε εἶπε, πολέμου
περιεστῶτος, τὴν πόλιν περὶ ἐμοῦ πείθων βουλεύεσθαι καὶ μὴ μετ' ἐμοῦ. πρὸς δὲ ἁρ
μόδιον τὸν τοῦ παλαιοῦ ἁρμοδίου ἀπόγονον, εἰς δυσγένειαν αὐτῷ λοιδορούμενον,
ἔφη, τὸ μὲν ἐμὸν ἀπ' ἐμοῦ γένος ἄρχεται, τὸ δὲ σόν, ἐν σοὶ παύεται. ῥήτορος δέ
τινος ἐπερωτῶντος αὐτὸν ἐν ἐκκλησίᾳ τίς ὢν μέγα φρονεῖς, πότερον ἱππεύς, ἢ
τοξότης, ἢ πελταστής, ἢ πεζός, οὐδεὶς ἔφη τούτων, ἀλλ' ὁ πᾶσι τούτοις ἐπιστάμενος
ἐπιτάττειν. τιμόθεος εὐτυχὴς ἐνομίζετο στρατηγὸς εἶναι, καὶ φθονοῦντες αὐτῷ τι
νές, ἐζωγράφουν τὰς πόλεις εἰς κύρτον αὐτομάτως ἐκείνου καθεύδοντος ἐνδυομέ
νας. ἔλεγεν οὖν ὁ τιμόθεος, εἰ τηλικαύτας πόλεις λαμβάνω καθεύδων, τί με
οἴεσθε ποιήσειν ἐγρηγορότα. τῶν δὲ τολμηροτέρων στρατηγῶν τινὸς τραῦμα τοῖς ἀθηναί
οις δεικνύοντος, ἐγὼ δὲ εἶπεν ᾐσχύνθην, ὅτι μου στρατηγοῦντος ὑμῶν ἐν σάμῳ κατα
πελτικὸν βέλος ἐγγὺς ἔπεσε. τῶν δὲ ῥητόρων τὸν χάρητα προσαγόντων καὶ τοιοῦτον
ἀξιούντων εἶναι τὸν τῶν ἀθηναίων στρατηγόν, οὐ τὸν στρατηγὸν εἶπεν ὁ τιμόθεος, ἀλλὰ τὸν
τῷ στρατηγῷ τὰ στρώματα κομίζοντα. χαβρίας ἔλεγε κάλλιστα στρατηγεῖν τοὺς
μάλιστα γινώσκοντας τὰ τῶν πολεμίων. δίκην δὲ φεύγων προδοσίας μετὰ ἰφικρά
τους, ἐπιτιμῶντος αὐτῷ τοῦ ἰφικράτους, ὅτι κινδυνεύων εἰς τὸ γυμνάσιον βαδίζει
καὶ τὴν εἰωθυῖαν ὥραν ἀριστᾷ, τοιγαροῦν εἶπεν, ἂν ἄλλο τι γνῶσι περὶ ἡμῶν ἀθηναῖοι,
σὲ μὲν αὐχμῶντα καὶ ἄσιτον, ἐμὲ δὲ ἠριστηκότα καὶ ἀληλιμμένον ἀποκτενοῦσιν. εἰώ
θει δὲ λέγειν ὅτι φοβερώτερόν ἐστιν ἐλάφων στρατόπεδον, ἡγουμένου λέοντος, ἢ λε
όντων, ἐλάφου. ἡγησίππου, τοῦ κρωβύλου προσαγορευομένου, παροξύνοντος τοὺς
ἀθηναίους ἐπὶ φίλιππον, ὑπεφώνησέ τις ἐκ τῆς ἐκκλησίας πόλεμον εἰσηγῇ; ναὶ μὰ
δία εἶπε καὶ μέλανα ἱμάτια, καὶ δημοσίας ἐκφοράς, καὶ λόγους ἐπιταφίους, εἰ μέλ
λομεν ἐλεύθεροι βιώσεσθαι, καὶ μὴ ποιήσειν τὸ προσταττόμενον μακεδόσι. πυθέας
ἔτι μειράκιον ὢν παρῆλθεν ἀντερῶν τοῖς περὶ ἀλεξάνδρου γραφομένοις ψηφίσμα-
σιν, εἰπόντος δέ τινος σὺ νέος ὢν τολμᾷς λέγειν περὶ τηλικούτων; καὶ μὴν ἀλέξαν-
δρος εἶπεν ὃν ψηφίζεσθε θεόν, ἐμοῦ νεώτερός ἐστιν. φωκίων ὁ ἀθηναῖος ὑπ' οὐδενὸς
οὔτε γελῶν ὤφθη, οὔτε δακρύων. ἐκκλησίας δὲ γινομένης πρὸς τὸν εἰπόντα, σκε-
πτομένῳ ὦ φωκίων ἔοικας, ὀρθῶς ἔφη τοπάζεις, σκέπτομαι γὰρ εἴ τι δύναμαι πε
ριελεῖν ὧν μέλλω λέγειν πρὸς ἀθηναίους. μαντείας δὲ γινομένης ἀθηναίοις ὡς εἷς
ἐστιν ἀνὴρ ἐν τῇ πόλει τῶν πάντων ἐναντιούμενος γνώμαις, καὶ τῶν ἀθηναίων ζητεῖν
κελευόντων ὅς τις ἐστὶ καὶ βοώντων, φωκίων ἑαυτὸν ἔφησε τοῦτον εἶναι, μόνῳ γὰρ ἑαυτῷ
μηδὲν ἀρέσκειν, ὧν οἱ πολλοὶ πράττουσι καὶ λέγουσιν. ἐπεὶ δὲ λέγων ποτὲ γνώμην
πρὸς τὸν δῆμον εὐδοκίμει, καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους, ἐπι
στραφεὶς πρὸς τοὺς φίλους εἶπεν, οὐδήπου κακόν τι λέγων ἐμαυτὸν λέληθα; πρὸς
δὲ θυσίαν τινὰ τῶν ἀθηναίων αἰτούντων ἐπιδόσεις, καὶ τῶν ἄλλων ἐπιδιδόντων, κλη
θεὶς πολλάκις, αἰσχυνοίμην ἂν εἶπεν ὑμῖν ἐπιδιδούς, τούτῳ δὲ μὴ ἀποδιδούς, ἅμα
δεικνύων τὸν δανειστήν. δημοσθένους δὲ τοῦ ῥήτορος εἰπόντος, ἀποκτενοῦσί σε ἀθηναῖοι
ἐὰν μανῶσι, ναὶ εἶπεν ἐμὲ μέν, ἂν μανῶσι, σὲ δὲ ἂν σωφρονῶσιν. ἀριστογείτονος δὲ
τοῦ συκοφάντου μέλλοντος ἀποθνήσκειν ἐν τῷ δεσμωτηρίῳ κατακείτου γεγονότος
καὶ δεομένου τὸν φωκίωνα πρὸς αὐτὸν ἐλθεῖν, τῶν δὲ φίλων οὐκ ἐώντων πρὸς ἄνθρωπον πο-

νηρὸν βαδίζειν, καὶ ποῦ τις ἂν εἶπεν ἥδιον ἀριστογείτονι λαλήσειεν. ὀργιζο-
μένων δὲ τοῖς βυζαντίοις τῶν ἀθηναίων, μὴ δεξαμένοις τῇ πόλει χάρητα πεμ-
φθέντα μετὰ δυνάμεως βοηθὸν αὐτοῖς πρὸς φίλιππον, εἰπὼν ὁ φωκίων ὅτι
δεῖ μὴ τοῖς ἀπιστοῦσι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιστουμένοις τῶν στρατηγῶν ὀρ-
γίζεσθαι, αὐτὸς ᾑρέθη στρατηγός, καὶ πιστευθεὶς ὑπὸ τῶν βυζαντίων, ἐποίησε
τὸν φίλιππον ἀπελθεῖν ἄπρακτον. ἀλεξάνδρου δὲ τοῦ βασιλέως ἑκατὸν
τάλαντα δωρεὰν αὐτῷ πέμψαντος, ἠρώτησε τοὺς κομίζοντας, τί δήποτε πολ-
λῶν ὄντων ἀθηναίων, αὐτῷ μόνῳ ταῦτα δίδωσιν ἀλέξανδρος, εἰπόντων δ' ἐ-
κείνων ὡς μόνον αὐτὸν ἡγεῖται καλὸν κἀγαθὸν εἶναι, οὐκοῦν ἔφη ἐασάτω με,
καὶ δοκεῖν καὶ εἶναι τοιοῦτον. αἰτοῦντος δὲ ἀλεξάνδρου τριήρεις, καὶ τοῦ δή-
μου κελεύοντος ὀνομαστὶ παριέναι τὸν φωκίωνα καὶ συμβουλεύειν, ἀναστὰς ἔφη
συμβουλεύω τοίνυν ὑμῖν ἢ κρατεῖν τοῖς ὅπλοις αὐτούς, ἢ φίλους εἶναι τῶν κρα-
τούντων. λόγου δὲ περὶ τῆς ἀλεξάνδρου τελευτῆς ἐμπεσόντος ἀδεσπότου, καὶ
τῶν ῥητόρων ἀναπηδώντων εὐθὺς ἐπὶ τὸ βῆμα, καὶ μὴ μέλλειν ἀλλὰ πολεμεῖν ἤδη
κελευόντων, ὁ φωκίων ἠξίου περιμεῖναι καὶ γνῶναι βεβαίως, εἰ γὰρ τήμερον ἔ-
φη τέθνηκε, καὶ αὔριον ἔσται καὶ εἰσέτι τεθνηκώς. τοῦ δὲ λεωσθένους εἰς τὸν
πόλεμον ἐμβαλόντος τὴν πόλιν ἐλπίσι λαμπραῖς πρὸς τὸ τῆς ἐλευθερίας ὄ-
νομα καὶ τῆς ἡγεμονίας ἐπαιρομένην, τοὺς λόγους αὐτοῦ ταῖς κυπαρίττοις
ἀπείκαζε, καλοὶ γὰρ ὄντες ἔφη καὶ ὑψηλοί, καρπὸν οὐκ ἔχουσι. κατορθωμένων
δὲ τῶν πρώτων, καὶ τῆς πόλεως εὐαγγέλια θυούσης, ἐρωτηθεὶς εἰ ταῦτα ἤθε-
λεν οὕτω πεπρᾶχθαι, πεπρᾶχθαι μὲν οὖν ἔφη ταῦτα, βεβουλεῦσθαι δὲ ἐκεῖ-
να. τῇ δὲ ἀττικῇ τῶν μακεδόνων προσβαλόντων καὶ πορθούντων τὴν πα-
ραλίαν, ἐξήγαγε τοὺς ἐν ἡλικίᾳ, πολλῶν δὲ συντρεχόντων πρὸς αὐτὸν καὶ πα-
ρεγκελευομένων ἐκεῖνον τὸν λόφον καταλαβεῖν ἐνταῦθα τάξαι τὴν δύναμιν,
ὦ ἡράκλεις εἶπεν, ὡς πολλοὺς ὁρῶ στρατηγούς, στρατιώτας δὲ ὀλίγους. οὐ μὴν ἀλ-
λὰ συμβαλὼν ἐκράτησε καὶ διέφθειρε νικίωνα τὸν ἄρχοντα τῶν μακεδόνων. μετ' ὀ-
λίγον δὲ χρόνον οἱ μὲν ἀθηναῖοι τῷ πολέμῳ κρατηθέντες ἐδέξαντο φρουρὰν ὑπ' ἀντι-
πάτρου, μενύλλου δὲ τοῦ τῆς φρουρᾶς ἄρχοντος χρήματα τῷ φωκίωνι διδόντος, ἀγα-
νακτήσας εἶπε, μήτε ἐκεῖνον ἀλεξάνδρου βελτίονα εἶναι, καὶ χείρονα τὴν αἰτίαν ἐφ'
ἣν λήψεται νῦν, τότε μὴ δεξάμενος. ἀντίπατρος δὲ ἔφη πῶς δυεῖν αὐτῷ φίλων
ἀθήνησιν ὄντων, οὔτε φωκίωνα λαβεῖν πέπεικεν, οὔτε δημάδην διδοὺς ἐμπέπλη-
κεν. ἀξιοῦντος δὲ ἀντιπάτρου ποιῆσαί τι τῶν μὴ δικαίων αὐτόν, οὐ δύνασαι εἶπεν
ἀντίπατρε καὶ φίλῳ φωκίωνι χρῆσθαι καὶ κόλακι. μετὰ δὲ τὴν ἀντιπάτρου τελευτὴν,
δημοκρατίας ἀθηναίοις γενομένης, κατεγνώσθη θάνατος τοῦ φωκίωνος ἐν ἐκκλη-
σίᾳ καὶ τῶν φίλων, οἱ μὲν οὖν ἄλλοι κλαίοντες ἤγοντο, τῷ δὲ φωκίωνι σιωπῇ βαδί-
ζοντι τῶν ἐχθρῶν τις ἐνέπτυσεν ἀπαντήσας εἰς τὸ πρόσωπον, ὁ δὲ πρὸς τοὺς ἄρ-
χοντας ἀποβλέψας, οὐ παύσει τις εἶπε τοῦτον ἀσχημονοῦντα; τῶν δὲ μελλόντων
συναποθνήσκειν ἑνὸς ὀδυρομένου καὶ ἀγανακτοῦντος, οὐκ ἀγαπᾷς εἶπεν ὦ θούδιππε
μετὰ φωκίωνος ἀποθανούμενος; ἤδη δὲ τῆς κύλικος αὐτῷ προσφερομένης ἐρωτη-
θεὶς εἴ τι λέγει πρὸς τὸν υἱόν, ἐγώ σοι εἶπεν ἐντέλλομαι καὶ παρακαλῶ μηδὲν ἀθηναίοις
μνησικακεῖν. πεισίστρατος ὁ ἀθηναίων τύραννος, ἐπεὶ τῶν φίλων τινὲς ἀποστάντες
αὐτοῦ φυλὴν κατέλαβον, ἦλθε πρὸς αὐτοὺς στρωματόδεσμον αὐτὸς κομίζων, πυνθανο-
μένων δὲ ἐκείνων τί βούλεται, πείσας ὑμᾶς εἶπεν ἀπαγαγεῖν, ἢ μὴ πείσας, μένειν μεθ' ὑμῶν, ὡς
καὶ διὰ τοῦτο ἀφῖγμαι συνεσκευασμένος. διαβληθείσης δὲ τῆς μητρὸς πρὸς αὐτόν, ὡς ἐ-
ρῶσά τινος νεανίσκου καὶ κρύφα σύνεστι φοβουμένῳ καὶ παραιτουμένῳ τὰ πολλά, καλέ-
σας ἐπὶ δεῖπνον τὸν νεανίσκον, ἠρώτησε δειπνήσαντα πῶς γέγονεν, ἡδέως δὲ φήσαντος,
ταῦτά

ταῦτά σοι ἔφη καθ' ἡμέραν ἔσται, ἐὰν τῇ μητρί μου ἀρέσκῃς. ἐπεὶ δὲ θρασύ-
βουλος ἐρῶν αὐτοῦ τῆς θυγατρὸς ἐφίλησεν ἀπαντήσας, παροξυνόμενος ἐπ'
αὐτὸν ὑπὸ τῆς γυναικός, ἂν τοὺς φιλοῦντας εἶπε μισῶμεν, τί ποιήσομεν τοὺς
μισοῦντας, καὶ ἔδωκεν γυναῖκα τῷ θρασυβούλῳ τὴν παρθένον. κωμαστῶν
δέ τινων περιτυχόντων αὐτοῦ τῇ γυναικὶ καὶ πολλὰ πραξάντων ἀσελγῆ καὶ
εἰπόντων, μεθ' ἡμέραν δὲ τοῦ πεισιστράτου δεομένων καὶ δακρυόντων, ὑμεῖς μὲν
ἔφη πειρᾶσθε σωφρονεῖν τὸ λοιπόν, ἡ δ' ἐμὴ γυνὴ τὸ παράπαν ἐχθὲς οὐδαμῇ
προῆλθε. τῶν παίδων, αὐτοῦ γαμεῖν ἑτέραν γυναῖκα μέλλοντος, διαπυνθανο-
μένων, μή τι μεμφόμενος αὐτοὺς εἴη, ἥκιστα εἶπεν, ἀλλ' ἐπαινῶν καὶ βουλόμενος ἑ-
τέρους μοι παῖδας τοιούτους γενέσθαι. δημήτριος ὁ φαληρεύς, πτολεμαίῳ
τῷ βασιλεῖ παρῄνει, τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀνα-
γινώσκειν, ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαρροῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βι-
βλίοις γέγραπται. λυκοῦργος ὁ λακεδαιμόνιος, εἴθισε τοὺς πολίτας κομᾶν,
λέγων ὅτι τοὺς μὲν καλοὺς ἡ κόμη εὐπρεπεστέρους ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερω-
τέρους. πρὸς δὲ τὸν κελεύοντα ποιεῖν ἐν τῇ πόλει δημοκρατίαν, σὺ πρῶτος
εἶπεν ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν. ἐκέλευε δὲ τὰς οἰκίας ποιεῖν ἀπὸ
πελέκεως καὶ πρίονος μόνον, αἰσχύνεσθαι γὰρ εἰς οἰκίας λιτὰς ἐκπώματα
καὶ στρώματα καὶ τραπέζας πολυτελεῖς εἰσφέροντας. πυγμὴν δὲ καὶ παγ-
κράτιον ἀγωνίζεσθαι ἐκώλυσεν, ἵνα μηδὲ παίζοντες ἀπαυδᾶν ἐθίζωνται.
στρατεύειν δὲ πολλάκις ἐπὶ τοὺς αὐτοὺς ἐκώλυσεν, ὅπως μὴ ποιῶσι μαχιμωτέ-
ρους. ὕστερον οὖν τοῦ ἀγησιλάου τρωθέντος, ὁ ἀνταλκίδας εἶπεν καλὰ διδασκά-
λια παρὰ θηβαίων λαμβάνειν αὐτὸν ἐθίσαντα καὶ διδάξαντα πολεμεῖν ἄ-
κοντας. χάριλλος ὁ βασιλεὺς ἐρωτηθεὶς διατί νόμους ὀλίγους οὕτω λυκοῦρ-
γος ἔθηκεν, ἀπεκρίνατο, τοὺς χρωμένους ὀλίγοις λόγοις μὴ δεῖσθαι νόμων πολ-
λῶν. τῶν δὲ εἱλώτων τινὸς θρασύτερον αὐτῷ προσφερομένου νὴ τὼ σιὼ εἶπε
κατέκτανόν του, εἰ μὴ ὠργιζόμαν. πρὸς δὲ τὸν πυθόμενον διατί κομῶσιν, εἶ-
πεν ὅτι τῶν κόσμων ἀδαπανώτατος οὗτός ἐστι. τήλεκλος ὁ βασιλεὺς πρὸς
τὸν ἀδελφὸν ἐγκαλοῦντα τοῖς πολίταις ὡς ἀγνωμονέστερον αὐτῷ προσφερο-
μένοις ἢ ἐκείνῳ, σὺ γὰρ εἶπεν οὐκ οἶδας ἀδικεῖσθαι. θεόπομπος ἔν τινι πόλει
πρὸς τὸν ἐπιδεικνύμενον τὸ τεῖχος αὐτῷ καὶ πυνθανόμενον εἰ δοκεῖ καλὸν καὶ ὑψη-
λὸν εἶναι, οὐ δεῖ γυναικῶν εἶπεν. ἀρχίδαμος ἐν τῷ πελοποννησιακῷ πολέμῳ τῶν
συμμάχων ἀξιούντων ὁρίσαι τοὺς φόρους αὐτοῖς, εἶπεν, ὁ πόλεμος οὐ τεταγ-
μένα σιτεῖται. βρασίδας ἐν ἰσχάσι συλλαβὼν μῦν καὶ δηχθεὶς ἀφῆκεν, εἶτα
πρὸς τοὺς παρόντας οὐδὲν οὕτως ἔφη μικρόν ἐστιν, ὃ μὴ σώζεται τολμῶν ἀμύνε-
σθαι τοὺς ἐπιχειροῦντας. ἐν δὲ μάχῃ διὰ τῆς ἀσπίδος ἀκοντισθεὶς καὶ τὸ δό-
ρυ τοῦ τραύματος ἑλκύσας αὐτῷ τούτῳ τὸν πολέμιον ἀπέκτεινεν, ἐπερωτηθεὶς
δὲ πῶς ἐτρώθη, προδούσης με τῆς ἀσπίδος εἶπεν. ἐπεὶ δὲ συνέβη πεσεῖν αὐ-
τὸν ἐλευθεροῦντα τοὺς ἐπὶ θρᾴκης ἕλληνας, οἱ δὲ πεμφθέντες εἰς λακεδαίμο-
να πρέσβεις, τῇ μητρὶ προσῆλθον αὐτοῦ, πρῶτον μὲν ἠρώτησεν εἰ καλῶς ὁ βρα-
σίδας ἀπέθανεν, ἐγκωμιαζόντων δὲ τῶν θρᾳκῶν αὐτὸν καὶ λεγόντων, ὡς οὐδεὶς
ἄλλος ἔσται τοιοῦτος, ἀγνοεῖτε εἶπεν ὦ ξένοι, βρασίδας μὲν γὰρ ἦν ἀνὴρ ἀγαθός,
ἡ δὲ λακεδαίμων πολλοὺς ἔχει τούτου κρείττονας. ἆγις ὁ βασιλεὺς οὐκ ἔφη τοὺς
λακεδαιμονίους ἐρωτᾶν πόσοι εἰσὶν ἀλλὰ ποῦ εἰσιν οἱ πολέμιοι. ἐν δὲ μαντινείᾳ
κωλυόμενος διαμάχεσθαι τοῖς πολεμίοις πλείοσιν οὖσιν, εἶπεν, ἀνάγκη πολλοῖς
μάχεσθαι τὸν ἄρχειν πολλῶν βουλόμενον. ἐπαινουμένων δὲ τῶν ἠλείων ἐπὶ τῷ
τὰ ὀλύμπια καλῶς ἄγειν, τί δὲ εἶπε ποιοῦσι θαυμαστόν, εἰ δι' ἐτῶν τεσσάρων, μιᾷ

νηρὸν βαδίζειν, καὶ ποῦ τίς ἂν εἶπεν ἥδιον ἀριστογείτονι λαλήσειεν. ὀργιζομένων δὲ τοῖς βυζαντίοις τῶν ἀθηναίων, μὴ δεξαμένοις τῇ πόλει χάρητα πεμφθέντα μετὰ δυνάμεως βοηθὸν αὐτοῖς πρὸς φίλιππον, εἰπὼν ὁ φωκίων ὅτι δεῖ μὴ τοῖς ἀπιστοῦσι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιστουμένοις τῶν στρατηγῶν ὀργίζεσθαι, αὐτὸς ᾑρέθη στρατηγός, καὶ πιστευθεὶς ὑπὸ τῶν βυζαντίων, ἐποίησε τὸν φίλιππον ἀπελθεῖν ἄπρακτον. ἀλεξάνδρου δὲ τοῦ βασιλέως ἑκατὸν τάλαντα δωρεὰν αὐτῷ πέμψαντος, ἠρώτησε τοὺς κομίζοντας, τί δή ποτε πολλῶν ὄντων ἀθηναίων, αὐτῷ μόνῳ ταῦτα δίδωσιν ἀλέξανδρος, εἰπόντων δὲ ἐκείνων ὡς μόνον αὐτὸν ἡγεῖται καλὸν κἀγαθὸν εἶναι, οὐκοῦν ἔφη ἐασάτω με, καὶ δοκεῖν καὶ εἶναι τοιοῦτον. αἰτοῦντος δὲ ἀλεξάνδρου τριήρεις, καὶ τοῦ δήμου κελεύοντος ὀνομαστὶ παριέναι τὸν φωκίωνα καὶ συμβουλεύειν, ἀναστὰς ἔφη συμβουλεύω τοίνυν ὑμῖν ἢ κρατεῖν τοῖς ὅπλοις αὐτούς, ἢ φίλους εἶναι τῶν κρατούντων. λόγου δὲ περὶ τῆς ἀλεξάνδρου τελευτῆς ἐμπεσόντος ἀδεσπότου, καὶ τῶν ῥητόρων ἀναπηδώντων εὐθὺς ἐπὶ τὸ βῆμα, καὶ μὴ μέλλειν ἀλλὰ πολεμεῖν ἤδη κελευόντων, ὁ φωκίων ἠξίου περιμεῖναι καὶ γνῶναι βεβαίως, εἰ γὰρ τήμερον ἔφη τέθνηκε, καὶ αὔριον ἔσται καὶ εἰσαῦθις τεθνηκώς. τοῦ δὲ λεωσθένους εἰς τὸν πόλεμον ἐμβαλόντος τὴν πόλιν ἐλπίσι λαμπραῖς πρὸς τὸ τῆς ἐλευθερίας ὄνομα καὶ τῆς ἡγεμονίας ἐπαιρομένην, τοὺς λόγους αὐτοῦ ταῖς κυπαρίττοις ἀπείκαζε, καλοὶ γὰρ ὄντες ἔφη καὶ ὑψηλοί, καρπὸν οὐκ ἔχουσι. κατορθωμένων δὲ τῶν πρώτων, καὶ τῆς πόλεως εὐαγγέλια θυούσης, ἐρωτηθεὶς εἰ ταῦτα ἤθελεν οὕτω πεπρᾶχθαι, πεπρᾶχθαι μὲν οὖν ἔφη ταῦτα, βεβουλεῦσθαι δὲ ἐκεῖνα. τῇ δὲ ἀττικῇ τῶν μακεδόνων προσβαλόντων καὶ πορθούντων τὴν παραλίαν, ἐξήγαγε τοὺς ἐν ἡλικίᾳ, πολλῶν δὲ συντρεχόντων πρὸς αὐτὸν καὶ παρακελευομένων ἐκεῖνον τὸν λόφον καταλαβεῖν ἐνταῦθα τάξαι τὴν δύναμιν, ὦ ἡράκλεις εἶπεν, ὡς πολλοὺς ὁρῶ στρατηγούς, στρατιώτας δὲ ὀλίγους. οὐ μὴν ἀλλὰ συμβαλὼν ἐκράτησε καὶ διέφθειρε νικίωνα τὸν ἄρχοντα τῶν μακεδόνων. μετ᾽ ὀλίγον δὲ χρόνον οἱ μὲν ἀθηναῖοι τῷ πολέμῳ κρατηθέντες ἐδέξαντο φρουρὰν ὑπ᾽ ἀντιπάτρου, μενύλλου δὲ τοῦ τῆς φρουρᾶς ἄρχοντος χρήματα τῷ φωκίωνι διδόντος, ἀγανακτήσας εἶπε, μήτε ἐκεῖνον ἀλεξάνδρου βελτίονα εἶναι, καὶ χείρονα τὴν αἰτίαν ἐφ᾽ ᾗ λήψεται νῦν, τότε μὴ δεξάμενος. ἀντίπατρος δὲ ἔφη δυεῖν αὐτῷ φίλων ἐν ἀθήνησιν ὄντων, οὔτε φωκίωνα λαβεῖν πέπεικεν, οὔτε δημάδην διδοὺς ἐμπέπληκεν. ἀξιοῦντος δὲ ἀντιπάτρου ποιῆσαί τι τῶν μὴ δικαίων αὐτόν, οὐ δύνασαι εἶπεν ἀντίπατρε καὶ φίλῳ φωκίωνι χρῆσθαι καὶ κόλακι. μετὰ δὲ τὴν ἀντιπάτρου τελευτὴν ἐκκλησίας δημοκρατίας ἀθηναίοις γενομένης, κατεγνώσθη θάνατος τοῦ φωκίωνος ἐν ἐκκλησίᾳ καὶ τῶν φίλων, οἱ μὲν οὖν ἄλλοι κλαίοντες ἤγοντο, τῷ δὲ φωκίωνι σιωπῇ βαδίζοντι τῶν ἐχθρῶν τις ἐνέπτυσεν ἀπαντήσας εἰς τὸ πρόσωπον, ὁ δὲ πρὸς τοὺς ἄρχοντας ἀποβλέψας, οὐ παύσει τις εἶπε τοῦτον ἀσχημονοῦντα; τῶν δὲ μελλόντων συναποθνήσκειν ἑνὸς ὀδυρομένου καὶ ἀγανακτοῦντος, οὐκ ἀγαπᾷς εἶπεν ὦ εὔιππε μετὰ φωκίωνος ἀποθανούμενος; ἤδη δὲ τῆς κύλικος αὐτῷ προσφερομένης ἐρωτηθεὶς εἴ τι λέγει πρὸς τὸν υἱόν, ἐγώ σοι εἶπεν ἐντέλλομαι καὶ παρακαλῶ μηδὲν ἀθηναίοις μνησικακεῖν. πεισίστρατος ὁ ἀθηναίων τύραννος, ἐπεὶ τῶν φίλων τινὲς ἀποστάντες αὐτοῦ φυλὴν κατελάβοντο, ἦλθε πρὸς αὐτοὺς στρωματόδεσμον αὐτὸς κομίζων, πυνθανομένων δὲ ἐκείνων τί βούλεται, πείσας ὑμᾶς εἶπεν ἀπαγαγεῖν, ἢ μὴ πείσας, μένειν μεθ᾽ ὑμῶν, καὶ διὰ τοῦτο ἀφῖγμαι συνεσκευασμένος. διαβληθείσης δὲ τῆς μητρὸς πρὸς αὐτὸν ὡς ἐρᾷ τινὸς νεανίσκου καὶ κρύφα σύνεστι φοβουμένῳ καὶ παραιτουμένῳ τὰ πολλά, καλέσας ἐπὶ δεῖπνον τὸν νεανίσκον, ἠρώτησε δειπνήσαντα πῶς γέγονεν, ἡδέως δὲ φήσαντος, ταῦ-

τά σοι ἔφη καθ᾽ ἡμέραν ἔσται, ἐὰν τῇ μητρί μου ἀρέσκῃς. ἐπεὶ δὲ θρασύβουλος ἐρῶν αὐτοῦ τῆς θυγατρὸς ἐφίλησεν ἀπαντήσας, παροξυνόμενος ἐπ᾽ αὐτὸν ὑπὸ τῆς γυναικός, ἂν τοὺς φιλοῦντας εἶπε μισῶμεν, τί ποιήσομεν τοὺς μισοῦντας, καὶ ἔδωκεν γυναῖκα τῷ θρασυβούλῳ τὴν παρθένον. κωμαστῶν δέ τινων περιτυχόντων αὐτοῦ τῇ γυναικὶ καὶ πολλὰ πραξάντων ἀσελγῆ καὶ εἰπόντων, μεθ᾽ ἡμέραν δὲ τοῦ πεισιστράτου δεομένων καὶ δακρυόντων, ὑμεῖς μὲν ἔφη πειρᾶσθε σωφρονεῖν τὸ λοιπόν, ἡ δ᾽ ἐμὴ γυνὴ τὸ παράπαν ἐχθὲς οὐδαμῇ προῆλθε. τῶν παίδων, αὐτοῦ γαμεῖν ἑτέραν γυναῖκα μέλλοντος, διαπυνθανομένων, μή τι μεμφόμενος αὐτοὺς εἴη, ἥκιστα εἶπεν, ἀλλ᾽ ἐπαινῶν καὶ βουλόμενος ἑτέρους μοι παῖδας τοιούτους γενέσθαι. δημήτριος ὁ φαληρεύς, πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει, τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν, ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαρροῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται. λυκοῦργος ὁ λακεδαιμόνιος, εἴθισε τοὺς πολίτας κομᾶν, λέγων ὅτι τοὺς μὲν καλοὺς ἡ κόμη εὐπρεπεστέρους ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερωτέρους. πρὸς δὲ τὸν κελεύοντα ποιεῖν ἐν τῇ πόλει δημοκρατίαν, σὺ πρῶτος εἶπεν ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν. ἐκέλευε δὲ τὰς οἰκίας ποιεῖν ἀπὸ πελέκεως καὶ πρίονος μόνον, αἰσχύνεσθαι γὰρ εἰς οἰκίας λιτὰς ἐκπώματα καὶ στρώματα καὶ τραπέζας πολυτελεῖς εἰσφέροντας. πυγμὴν δὲ καὶ παγκράτιον ἀγωνίζεσθαι ἐκώλυσεν, ἵνα μηδὲ παίζοντες ἀπαυδᾶν ἐθίζωνται. στρατεύειν δὲ πολλάκις ἐπὶ τοὺς αὐτοὺς ἐκώλυσεν, ὅπως μὴ ποιῶσι μαχιμωτέρους. ὕστερον οὖν τοῦ ἀγησιλάου τρωθέντος, ὁ ἀνταλκίδας εἶπεν καλὰ διδασκάλια παρὰ θηβαίων λαμβάνειν αὐτὸν ἐθίσαντα καὶ διδάξαντα πολεμεῖν ἄκοντας. χάριλλος ὁ βασιλεὺς ἐρωτηθεὶς διατί νόμους ὀλίγους οὕτω λυκοῦργος ἔθηκεν, ἀπεκρίνατο, τοὺς χρωμένους ὀλίγοις λόγοις μὴ δεῖσθαι νόμων πολλῶν. τῶν δὲ εἱλώτων τινὸς θρασύτερον αὐτῷ προσφερομένου νὴ τὼ σιὼ εἶπε κατέκτανον τοι εἰ μὴ ὠργιζόμαν. πρὸς δὲ τὸν πυθόμενον διατί κομῶσιν, εἶπεν ὅτι τῶν κόσμων ἀδαπανώτατος οὗτός ἐστι. τήλεκλος ὁ βασιλεὺς πρὸς τὸν ἀδελφὸν ἐγκαλοῦντα τοῖς πολίταις ὡς ἀγνωμονεστέρον αὐτῷ προσφερομένοις ἢ ἐκείνῳ, σὺ γὰρ εἶπεν οὐκ οἶδας ἀδικεῖσθαι. θεόπομπος ἔν τινι πόλει πρὸς τὸν ἐπιδεικνύμενον τὸ τεῖχος αὐτῷ καὶ πυνθανόμενον εἰ δοκεῖ καλὸν καὶ ὑψηλὸν εἶναι, οὐ δεῖ γυναικῶν εἶπεν. ἀρχίδαμος ἐν τῷ πελοποννησιακῷ πολέμῳ τῶν συμμάχων ἀξιούντων ὁρίσαι τοὺς φόρους αὐτοῖς, εἶπεν, ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται. βρασίδας ἐν ἰσχάσι συλλαβὼν μῦν καὶ δηχθεὶς ἀφῆκεν, εἶτα πρὸς τοὺς παρόντας οὐδὲν οὕτως ἔφη μικρόν ἐστιν, ὃ μὴ σώζεται τολμῶν ἀμύνεσθαι τοὺς ἐπιχειροῦντας. ἐν δὲ μάχῃ διὰ τῆς ἀσπίδος ἀκοντισθεὶς καὶ τὸ δόρυ τοῦ τραύματος ἑλκύσας αὐτῷ τούτῳ τὸν πολέμιον ἀπέκτεινεν, ἐπερωτηθεὶς δὲ πῶς ἐτρώθη, προδούσης με τῆς ἀσπίδος εἶπεν. ἐπεὶ δὲ συνέβη πεσεῖν αὐτὸν ἐλευθεροῦντα τοὺς ἐπὶ θρᾴκης ἕλληνας, οἱ δὲ πεμφθέντες εἰς λακεδαίμονα πρέσβεις, τῇ μητρὶ προσῆλθον αὐτοῦ, πρῶτον μὲν ἠρώτησεν εἰ καλῶς ὁ βρασίδας ἀπέθανεν, ἐγκωμιαζόντων δὲ τῶν θρᾳκῶν αὐτὸν καὶ λεγόντων, ὡς οὐδεὶς ἄλλος ἔσται τοιοῦτος, ἀγνοεῖτε εἶπεν ὦ ξένοι, βρασίδας μὲν γὰρ ἦν ἀνὴρ ἀγαθός, ἡ δὲ λακεδαίμων πολλοὺς ἔχει τήνου κάρρονας. ἆγις ὁ βασιλεὺς οὐκ ἔφη τοὺς λακεδαιμονίους ἐρωτᾶν πόσοι εἰσὶν ἀλλὰ ποῦ εἰσιν οἱ πολέμιοι. ἐν δὲ μαντινείᾳ κωλυόμενος διαμάχεσθαι τοῖς πολεμίοις πλείοσιν οὖσιν, εἶπεν, ἀνάγκη πολλοῖς μάχεσθαι τὸν ἄρχειν πολλῶν βουλόμενον. ἐπαινουμένων δὲ τῶν ἠλείων ἐπὶ τῷ τὰ ὀλύμπια καλῶς ἄγειν, τί δὲ εἶπε ποιοῦσι θαυμαστόν, εἰ δι᾽ ἐτῶν τεσσάρων, μιᾷ

ἡμέρᾳ χρῶνται τῇ δικαιοσύνῃ, ἐπιμενόντων δὲ τοῖς ἐπαίνοις, ἔφη, τί θαυμα-
στὸν εἰ πράγματι καλῷ καλῶς χρῶνται τῇ δικαιοσύνῃ. πρὸς δὲ ἄνθρωπον πο-
νηρὸν ἐρωτῶντα πολλάκις τίς ἄριστος εἴη σπαρτιατῶν, εἶπεν ὁ τοι ἀνομοιότα-
τος. ἑτέρου δὲ πυνθανομένου πόσοι εἰσὶ λακεδαιμόνιοι, ὅσοι εἶπεν ἱκανοὶ τοὺς
κακοὺς ἀπείργειν. καὶ τὸ αὐτὸ ἑτέρου πυνθανομένου, πολλοί σοι ἔφη δόξουσιν εἶναι
ἐὰν αὐτοὺς ἴδῃς μαχομένους. λύσανδρος διονυσίου τοῦ τυράννου πέμψαντος ἱ-
μάτια ταῖς θυγατράσιν αὐτοῦ τῶν πολυτελῶν, οὐκ ἔλαβεν, εἰπὼν δεδιέναι, μὴ
διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσιν. πρὸς δὲ τοὺς ψέγοντας αὐτὸν ἐπὶ τῷ διὰ
ἀπάτης τὰ πολλὰ πράσσειν, ὡς ἀνάξιον τοῦ ἡρακλέους, ἔλεγεν ὅπου μὴ ἐφικνεῖ-
ται ἡ λεοντῆ, προσραπτέον εἶναι ἐκεῖ τὴν ἀλωπεκῆν. πρὸς δὲ ἀργείους δικαιό-
τερα τῶν λακεδαιμονίων λέγειν περὶ τῆς ἀμφισβητουμένης χώρας δοκοῦντας,
σπασάμενος τὴν μάχαιραν, ὁ ταύτης ἔφη κρατῶν, βέλτιστα περὶ γῆς ὅρων δια-
λέγεται. τοὺς δὲ λακεδαιμονίους ὁρῶν ὀκνοῦντας προσμάχεσθαι τοῖς τείχεσι τῶν
κορινθίων, ὡς εἶδε λαγὼν ἐξαλλόμενον ἐκ τῆς τάφρου, τοιούτους ἔφη φοβεῖσθε
πολεμίους, ὧν οἱ λαγοὶ δι' ἀργίαν ἐν τοῖς τείχεσι ἐγκαθεύδουσι. μεγαρέως δὲ
ἀνδρὸς ἐν κοινῷ συλλόγῳ παρρησίᾳ χρησαμένου πρὸς αὐτὸν, οἱ λόγοι σου εἶπε
πόλεως δέονται. ἀγησίλαος ἔλεγε τοὺς τὴν ἀσίαν κατοικοῦντας ἐλευθέρους
μὲν, κακοὺς εἶναι· δούλους δὲ, ἀγαθούς. ἐθισμένων δὲ αὐτῶν τὸν περσῶν βα-
σιλέα μέγαν προσαγορεύειν, τί δὲ ἐκεῖνος εἶπεν ἐμοῦ μείζων, εἰ μὴ δικαιότερος καὶ
σωφρονέστερος. περὶ ἀνδρείας καὶ δικαιοσύνης ἐρωτηθεὶς πότερα βέλ-
τίων, οὐδὲν ἀνδρείας ἔφη χρῄζομεν, ἐὰν πάντες ὦμεν δίκαιοι. νυκτὸς δὲ μέλ-
λων κατὰ τάχος ἀναζευγνύειν ἐκ τῆς πολεμίας, καὶ τὸν ἐρώμενον ὁρῶν ἀπολει-
πόμενον δι' ἀσθένειαν, καὶ δακρύοντα, χαλεπὸν εἶπεν ἅμα ἐλεεῖν καὶ φρονεῖν.
μενεκράτους δὲ τοῦ ἰατροῦ διὸς προσαγορευομένου, γράψαντος ἐπιστολὴν πρὸς αὐ-
τὸν, μενεκράτης ζεὺς βασιλεῖ ἀγησιλάῳ χαίρειν, ἀντέγραψεν, βασιλεὺς ἀγη-
σίλαος, μενεκράτει ὑγιαίνειν. λακεδαιμονίων δὲ νικησάντων ἀθηναίους, καὶ τοὺς
συμμάχους ἐν κορίνθῳ, πυθόμενος τὸ πλῆθος τῶν πολεμίων νεκρῶν, φεῦ τᾶς
ἑλλάδος εἶπεν, ἃ τοσούτους ὑφ' ἑαυτᾶς ἀπολώλεκεν, ὅσοις ἀρκεῖ τοὺς βαρβά-
ρους νικῆν ἅπαντας. χρησμὸν δὲ λαβὼν ἐν ὀλυμπίᾳ παρὰ τοῦ διὸς ὃν ἤθε-
λεν, εἶτα τῶν ἐφόρων κελευόντων καὶ τὸν πύθιον ἐρωτῆσαι περὶ τῶν αὐτῶν, καὶ
εἰς δελφοὺς παραγενόμενος, ἠρώτησε τὸν θεὸν, εἰ ἅπερ τῷ πατρὶ δοκεῖ, καὶ
αὐτῷ. παραιτούμενος δέ τινα τῶν φίλων παρὰ τοῦ καρὸς ἰδριέως, ἔγραψε
πρὸς αὐτὸν νικίαν, εἰ μὲν οὐκ ἀδικεῖ, ἄφες, εἰ δὲ ἀδικεῖ, ἡμῖν ἄφες, πάν-
τως δὲ ἄφες. τοῦ δὲ μιμουμένου τὴν τῆς ἀηδόνος φωνὴν ἀκοῦσαι παρακαλού-
μενος, αὐτᾶς εἶπεν ἄκουκα πολλάκις. μετὰ δὲ τὴν ἐν λεύκτροις μάχην τοὺς τρέ-
σαντας ἀτίμους εἶναι, τοῦ νόμου κελεύοντος· ὁρῶντες οἱ ἔφοροι τὴν πό-
λιν ἀνδρῶν ἔρημον οὖσαν, ἐβούλοντο τὴν ἀτιμίαν λῦσαι, καὶ νομοθέτην ἀποδεῖ-
ξαι τὸν ἀγησίλαον, ὁ δὲ προελθὼν εἰς τὸ μέσον, ἐκέλευσε τοὺς νόμους ἀπὸ τῆς αὔριον
κυρίους εἶναι. ἐπεὶ δὲ πεμφθεὶς τῷ βασιλεῖ τῶν αἰγυπτίων σύμμαχος, ἐπο-
λιορκεῖτο μετ' αὐτοῦ πολλαπλασίων ὄντων τῶν πολεμίων, καὶ περιταφρευόν-
των τὸ στρατόπεδον, κελεύσαντος ἐπεξιέναι καὶ διαμάχεσθαι τοῦ βασιλέως, οὐκ
ἔφη διακωλύσειν τοὺς πολεμίους ἴσους αὐτοῖς γενέσθαι βουλομένους, ἔτι δὲ μι-
κρὸν ἀπολειπούσης τῆς τάφρου συνάψαι κατὰ τοῦτο παραταξάμενος τὸ διάλει-
πον, καὶ πρὸς ἴσους ἴσοι ἀγωνισάμενοι ἐνίκησαν. ἀποθνήσκων δὲ τοὺς φίλους προσ-
ἐκέλευσε μηδεμίαν πλάσιν μηδὲ μιμηλὰν ποιήσασθαι, τὰς εἰκόνας οὕτω προσα-
γορεύων, εἰ γάρ τι καλὸν ἔργον πεποίηκα, τοῦτό μου μνημεῖόν ἐστιν, εἰ δὲ μηδὲν,
οὐδ' εἰ

οὐδ' εἰ πάντες ἀνδριάντες. ἀρχίδαμος ὁ ἀγησιλάου, καταπελτικὸν ἰδὼν
βέλος τότε πρῶτον ἐκ σικελίας κομισθὲν, ἀνεβόησεν ὦ ἡράκλεις, ἀπόλω-
λεν ἀνδρὸς ἀρετά. ὁ δὲ νεώτερος ἆγις δημάδου λέγοντος, ὅτι τὰ λακω-
νικὰ ξίφη διὰ μικρότητα καταπίνουσιν οἱ θαυματοποιοὶ, καὶ μὴν ἔφη μάλιστα
οἱ λακεδαιμόνιοι τῶν πολεμίων τοῖς ξίφεσιν ἐφικνοῦνται. τῷ δὲ προδότῃ
παραδοῦναι στρατιώτας τῶν ἐφόρων κελευόντων, οὐκ ἔφη πιστεύειν τοὺς ἀλλοτρί-
ους, τῷ προδόντι τοὺς ἰδίους. κλεομένης πρὸς τὸν ὑπισχνούμενον αὐτῷ δώσειν
ἀλεκτρυόνας ἀποθνήσκοντας ἐν τῷ μάχεσθαι, μὴ σύ γε εἶπεν, ἀλλὰ δός μοι τοὺς
κατακτείνοντας ἐν τῷ μάχεσθαι. παιδάρετος οὐκ ἐγκριθεὶς εἰς τοὺς τριακο-
σίους, ἥτις ἦν ἐν τῇ πόλει πρωτεύουσα τιμὴ τῇ τάξει, ἱλαρὸς καὶ μειδιῶν ἀπῄει,
χαίρειν λέγων εἰ τριακοσίους ἡ πόλις ἔχει πολίτας ἑαυτοῦ βελτίονας. δα-
μωνίδας δὲ ταχθεὶς, εἰς τὴν τελευταίαν τοῦ χοροῦ τάξιν ὑπὸ τοῦ τὸν χορὸν ἱ-
στάντος, εὖγε εἶπεν, ἐξηῦρες πῶς καὶ αὕτη ἔντιμος γένηται. νικόστρατος ὁ τῶν
ἀργείων στρατηγὸς ὑπὸ ἀρχιδάμου χωρίον τι προδοῦναι παρακαλούμενος, ἐπὶ
χρήμασι πολλοῖς καὶ γάμῳ λακαίνης ἣν βούλεται δίχα τῶν βασιλικῶν, ἀπεκρίνατο
μὴ εἶναι τὸν ἀρχίδαμον ἀφ' ἡρακλέους, τὸν μὲν γὰρ ἡρακλέα περιιόντα τοὺς
κακοὺς κολάζειν, ἀρχίδαμον δὲ τοὺς ἀγαθοὺς κακοὺς ποιεῖν. εὐδαμονίδας
ἰδὼν ἐν ἀκαδημίᾳ ξενοκράτην πρεσβύτερον ἤδη μετὰ τῶν μαθητῶν φιλοσο-
φοῦντα, καὶ πυθόμενος ὅτι τὴν ἀρετὴν ζητεῖ, πότε οὖν εἶπεν αὐτῇ χρήσεται.
πάλιν ἀκούσας φιλοσόφου διαλεχθέντος ὅτι μόνος ἀγαθὸς στρατηγὸς ὁ σοφός
ἐστιν, ὁ μὲν λόγος ἔφη, θαυμαστὸς, ὁ δὲ λέγων, οὐ περισεσάλπισται. ἀντίοχος
ἐφορεύων, ὡς ἤκουσεν ὅτι μεσσηνίοις φίλιππος τὴν χώραν ἔδωκεν, ἠρώτησεν εἰ
καὶ τὸ κρατεῖν αὐτοῖς μαχομένοις περὶ τῆς χώρας ἔδωκεν. ἀνταλκίδας
πρὸς τὸν ἀθηναῖον, ἀμαθεῖς ἀποκαλοῦντα τοὺς λακεδαιμονίους, μόνοι γοῦν εἶ-
πεν ἡμεῖς οὐδὲν μεμαθήκαμεν κακὸν παρ' ὑμῶν. ἑτέρου δὲ ἀθηναίου πρὸς αὐ-
τὸν εἰπόντος, ἀλλὰ μὴν ἡμεῖς ἀπὸ τοῦ κηφισοῦ πολλάκις ὑμᾶς ἐδιώξαμεν, ἡμεῖς
δὲ οὐδέποτε εἶπεν ὑμᾶς ἀπὸ τοῦ εὐρώτα. σοφιστοῦ δὲ μέλλοντος ἀναγινώσκειν
ἐγκώμιον ἡρακλέους, ἔφη, τίς γὰρ αὐτὸν ψέγει. ἐπαμινώνδου τοῦ θηβαίου
στρατηγοῦντος, οὐδέποτε πανικὸς θόρυβος ἐνέπεσεν εἰς τὸ στρατόπεδον. ἔλε-
γε δὲ τὸν ἐν πολέμῳ θάνατον εἶναι κάλλιστον. τῶν δὲ ὁπλιτῶν δεῖν ἀπέφαι-
νεν εἶναι τὸ σῶμα γεγυμνασμένον, οὐκ ἀθλητικῶς μόνον ἀλλὰ καὶ στρατιωτικῶς.
διὸ καὶ τοῖς πολυσάρκοις ἐπολέμει, καί τινα τοιοῦτον ἀπήλασε τῆς στρατιᾶς,
εἰπὼν ὅτι μόλις αὐτοῦ σκέπουσι τὴν γαστέρα ἀσπίδες τρεῖς ἢ τέσσαρες, δι' ἣν οὐχ ἑώ-
ρακεν αὐτοῦ τὸ αἰδοῖον. οὕτω δ' ἦν εὐτελὴς περὶ τὴν δίαιταν, ὥστε κληθεὶς
ἐπὶ δεῖπνον ὑπὸ γείτονος εὑρὼν πεμμάτων καὶ ὄψων καὶ μύρων παρασκευὴν
ἀπῆλθεν εὐθὺς, εἰπὼν ἐγώ σε θύειν ᾤμην οὐχ ὑβρίζειν. τοῦ δὲ μαγείρου τοῖς συ-
ναρχοῦσιν ἡμερῶν τινῶν δαπάνην ἀπολογιζομένου, πρὸς μόνον ἠγανάκτησε τὸ
πλῆθος τοῦ ἐλαίου, θαυμασάντων δὲ τῶν συναρχόντων, οὐ τὸ τῆς δαπάνης
ἔφη λυπεῖν αὐτὸν, ἀλλ' εἰ τοσοῦτον ἔλαιον ἐντὸς παραδέδεκται τοῦ σώματος.
ἑορτὴν δὲ τῆς πόλεως ἀγούσης, καὶ πάντων ἐν πότοις καὶ συνουσίαις ὄντων, ἀπή-
ντησε ξενί τῶν συνήθων αὐχμηρὸς καὶ σύννους βαδίζων, θαυμάζοντος δὲ καὶ πυνθανο-
μένου τί δὴ μόνος οὕτως ἔχων περίεισιν, ὅπως εἶπεν ἐξῇ πᾶσιν ὑμῖν μεθύειν καὶ ῥαθυ-
μεῖν. ἄνθρωπον δὲ φαῦλον ἐξημαρτηκότα τι τῶν μετρίων, τοῦ μὲν πελοπίδου
παρακαλοῦντος, οὐκ ἀφῆκε, τῆς δ' ἐρωμένης δεηθείσης, ἀφῆκεν, εἰπὼν ὅτι
τοιαῦτα πρέπει λαμβάνειν ἑταιριδίοις ἀλλὰ μὴ στρατηγοῖς. ἐπεὶ δὲ
λακεδαιμονίων ἐπιστρατευομένων ἀνεφέροντο χρησμοὶ τοῖς θηβαίοις οἱ μὲν,

ἧτταν, οἱ δὲ νίκην φράζοντες, ἐκέλευε τοὺς μὲν ἐκ δεξιᾶς τοῦ βήματος θεῖναι, τοὺς δὲ ἐπ' ἀριστερᾷ. τεθέντων δὲ πάντων, ἀναστὰς εἶπεν, ἐὰν μὲν ἐθελήσητε τοῖς ἄρχουσι πείθεσθαι καὶ τοῖς πολεμίοις ὁμόσε χωρεῖν, οὗτοι ὑμῖν εἰσιν οἱ χρησμοί, δείξας τοὺς βελτίονας, ἐὰν δὲ ἀποδειλιάσητε πρὸς τὸν κίνδυνον, ἐκεῖνοι, πρὸς τοὺς χείρονας εἰπών. πάλιν δὲ προσάγοντι τοῖς πολεμίοις, βροντῆς γενομένης καὶ τῶν περὶ αὐτὸν πυνθανομένων τί σημαίνειν οἴεται τὸν θεόν, ἐμβεβροντῆσθαι τοὺς πολεμίους εἶπεν, ὅτι τοιούτων χωρίων ἐγγὺς ὄντων, ἐν τοιούτοις στρατοπεδεύουσιν. ἥδιστον δὲ πάντων αὐτῷ τῶν γεγονότων καλῶν καὶ ἀγαθῶν εἶναι ἔλεγε, τὸ τῶν γειναμένων αὐτὸν τοῦ πατρὸς ζῶντος ἔτι καὶ τῆς μητρὸς, ἐν λεύκτροις νικῆσαι λακεδαιμονίους. εἰωθὼς δὲ φαίνεσθαι τὸν ἄλλον χρόνον ἀληλιμμένος τὸ σῶμα, καὶ φαιδρὸς τῷ προσώπῳ μετὰ τὴν μάχην ἐκείνην, τῇ ὑστεραίᾳ προῆλθεν αὐχμηρὸς καὶ ταπεινός, τῶν δὲ φίλων ἐρωτώντων μή τι λυπηρὸν αὐτῷ συμπέπτωκεν, οὐδὲν εἶπεν, ἀλλ' ἐχθὲς ᾐσθόμην ἐμαυτοῦ μεῖζον ἢ καλῶς ἔχει φρονήσαντος, διὸ σήμερον κολάζω τὴν ἀμετρίαν τῆς χαρᾶς. εἰδὼς δὲ τοὺς σπαρτιάτας ἐπικρυπτομένους τὰ τοιαῦτα συμπτώματα, καὶ βουλόμενος ἐξελέγξαι τὸ μέγεθος τῆς συμφορᾶς αὐτῶν, οὐχ ὁμοῦ πᾶσι νεκρῶν ἀναίρεσιν, ἀλλ' ἑκάστοις κατὰ πόλιν ἔδωκεν ὥστε πλείονας ἢ χιλίους ὄντας ὀφθῆναι τοὺς λακεδαιμονίων. ἰάσονος δὲ τοῦ θεσσαλῶν μονάρχου, συμμάχου μὲν εἰς θήβας παραγενομένου, δισχιλίους δὲ χρυσοῦς τῷ ἐπαμινώνδᾳ πέμψαντος ἰσχυρῶς πενομένῳ, τὸ μὲν χρυσίον οὐκ ἔλαβε, τὸν δὲ ἰάσονα θεασάμενος, ἀδίκων ἔφη χειρῶν ἄρχεις, αὐτὸς δὲ πεντήκοντα δραχμὰς δανεισάμενος παρά τινος τῶν πολιτῶν, ἐφόδιον τῆς στρατιᾶς ἐνέβαλεν εἰς πελοπόννησον. αὖθις δὲ τοῦ περσῶν βασιλέως τρισμυρίους δαρεικοὺς ἀποστείλαντος αὐτῷ, καθήψατο πικρῶς διομέδοντος, εἰ τοσοῦτον πλοῦν πέπλευκε διαφθερῶν ἐπαμινώνδαν, πρὸς δὲ τὸν βασιλέα λέγειν ἐκέλευσεν, ὅτι τὰ συμφέροντα θηβαίοις φρονῶν ἕξει προῖκα φίλον ἐπαμινώνδαν, τὰ δὲ μὴ συμφέροντα, πολέμιον. ἐπεὶ δὲ ἀργεῖοι μὲν ἐγένοντο σύμμαχοι θηβαίων, ἀθηναίων δὲ πρέσβεις εἰς ἀρκαδίαν παραγενόμενοι κατηγόρουν ἀμφοτέρων, καὶ καλλίστρατος ὁ ῥήτωρ ὠνείδισε τὸν ὀρέστην καὶ τὸν οἰδίποδα ταῖς πόλεσιν, ἐπαναστὰς ὁ ἐπαμινώνδας, ὁμολογοῦμεν ἔφη καὶ παρ' ἡμῖν πατροκτόνον γενέσθαι, καὶ παρ' ἀργείοις μητροκτόνον, ἀλλὰ τοὺς ταῦτα δράσαντας, ἡμεῖς μὲν ἐξεβάλομεν, ἀθηναῖοι δὲ ὑπεδέξαντο. πρὸς δὲ τοὺς σπαρτιάτας, πολλὰ καὶ μεγάλα τῶν θηβαίων κατηγορήσαντας, οὗτοι μέντοι εἶπεν, ὑμᾶς βραχυλογοῦντας ἔπαυσαν. ἐπεὶ δὲ ἀθηναῖοι φίλον ἀλέξανδρον τὸν φεραίων τύραννον πολέμιον ὄντα θηβαίων, ἐποιήσαντο καὶ σύμμαχον ὑπισχνούμενον αὐτοῖς ἡμιωβολίου τὴν μνᾶν κρεῶν ὤνιον παρέξειν, ἡμεῖς δὲ ἔφη ὁ ἐπαμινώνδας ξύλα προῖκα παρέξομεν ἀθηναίοις ἐπὶ τὰ κρέα ταῦτα, τὴν δὲ χώραν αὐτῶν τεμοῦμεν, ἂν πολυπραγμονῶσι. τοὺς δὲ βοιωτοὺς ὑπὸ σχολῆς ἐκλυομένους ἀεὶ βουλόμενος ἐν τοῖς ὅπλοις συνέχειν, ὁπότε βοιωτάρχης αἱρεθείη παραινῶν ἔλεγεν, ἔτι βουλεύσασθε ἄνδρες, ἐὰν γὰρ ἐγὼ στρατηγῶ, στρατευτέον ἐστὶν ὑμῖν. καὶ τὴν χώραν ὑπτίαν οὖσαν καὶ ἀναπεπταμένην, πολέμου ὀρχήστραν προσηγόρευεν, ὡς μὴ δυναμένους κρατεῖν αὐτῆς, ἂν μὴ τὴν χεῖρα διὰ πόρπακος ἔχωσι. τοῦ δὲ χαβρίου περὶ κόρινθον ὀλίγους τινὰς τῶν θηβαίων ὑπὸ τὰ τείχη φιλομαχοῦντας καταβαλόντος καὶ στήσαντος τρόπαιον, ὁ ἐπαμινώνδας καταγελῶν ἔφη, ἐνταῦθα δὴ οὐ τρόπαιον, ἀλλ' ἑκατήσιον ἑστάναι· τὴν γὰρ ἑκάτην ἐπιεικῶς ἐν ταῖς πρὸ τῶν πυλῶν ἱδρύοντο τριόδοις. ἀπαγγείλαντος δέ τινος ὡς ἀθηναῖοι στράτευμα καινοῖς κεκοσμημένον

ὅπλοις

ὅπλοις εἰς πελοπόννησον ἀπεστάλκασι, τί οὖν εἶπεν ἀντιγενίδας στένει καινοὺς τέλλινος αὐλοὺς ἔχοντος. ἦν δὲ αὐλητὴς ὁ μὲν τέλλις κάκιστος, ὁ δὲ ἀντιγενίδας κάλλιστος. τὸν δὲ ὑπασπιστὴν αἰσθόμενος εἰληφότα χρήματα πολλὰ παρ' ἀνδρὸς αἰχμαλώτου γεγονότος, ἐμοὶ μὲν εἶπεν ἀπόδος τὴν ἀσπίδα, σεαυτῷ δὲ πρίω καπηλεῖον ἐν ᾧ καταζήσεις, οὐκ ἔτι γὰρ ἐθελήσεις κινδυνεύειν ὁμοίως εἷς τῶν πλουσίων γεγονὼς καὶ μακαρίων. ἐρωτηθεὶς δὲ πότερον ἑαυτὸν ἡγεῖται βελτίονα στρατηγὸν ἢ χαβρίαν, ἢ ἰφικράτην, δύσκριτον εἶπεν ἕως ζῶμεν. ἐπεὶ δ' ἐκ τῆς λακωνικῆς ὑποστρέψας ἔφευγε θανάτου δίκην μετὰ τῶν συστρατήγων ὡς ἐπιβαλὼν τῇ βοιωταρχίᾳ παρὰ τὸν νόμον τέσσαρας μῆνας, τοὺς μὲν οὖν συνάρχοντας ἐκέλευσεν εἰς ἑαυτὸν ἀναφέρειν τὴν αἰτίαν ὡς ἐκβιασθέντας, αὐτὸς δὲ οὐκ ἔφη βελτίονας ἔχειν τῶν ἔργων λόγους, εἰ δὲ δεῖ τι πάντως εἰπεῖν πρὸς τοὺς δικαστάς, ἀξιοῦν, ἂν ἀποκτείνωσιν αὐτόν, ἐπιγράψαι τῇ στήλῃ τὴν καταδίκην, ὅπως οἱ ἕλληνες εἰδῶσιν ὅτι μὴ βουλομένους θηβαίους, ἐπαμινώνδας ἠνάγκασε τὴν λακωνικὴν πυρπολῆσαι, πεντακοσίοις ἐνιαυτοῖς ἀδῄωτον οὖσαν, οἰκίσαι δὲ μεσσήνην δι' ἐτῶν τριάκοντα καὶ διακοσίων, συντάξαι δὲ καὶ συναγαγεῖν εἰς ταὐτὸν ἀρκάδας, ἀποδοῦναι δὲ τοῖς ἕλλησι τὴν αὐτονομίαν, ταῦτα γὰρ ἐπράχθη κατ' ἐκείνην τὴν στρατείαν. ἐξῆλθον οὖν οἱ δικασταὶ σὺν πολλῷ γέλωτι, μηδὲ τὰς ψήφους ἐπ' αὐτὸν ἀναλαβόντες. ἐν δὲ τῇ τελευταίᾳ μάχῃ τρωθεὶς δὲ καὶ κομισθεὶς ἐπὶ σκηνήν, ἐκάλει δαΐφαντον, εἶτα μετ' ἐκεῖνον ἰολλίδαν, τεθνάναι δὲ τοὺς ἄνδρας πυθόμενος ἐκέλευε διαλύεσθαι πρὸς τοὺς πολεμίους, ὡς οὐκ ὄντος αὐτοῖς στρατηγοῦ, καὶ τῷ λόγῳ τὸ ἔργον ἐμαρτύρησεν, ὡς εἰδότος ἄριστα τοὺς πολίτας. πελοπίδας ὁ συστράτηγος ἐπαμινώνδου, τῶν φίλων αὐτὸν ἀμελεῖν λεγόντων πράγματος ἀναγκαίου χρημάτων συναγωγῆς, ἀναγκαῖα τὰ χρήματα νὴ δία εἶπε τούτῳ νικομήδει, δείξας χωλὸν καὶ ἀνάπηρον ἄνθρωπον. τῆς δὲ γυναικὸς ἐπὶ μάχην ἐξιόντος αὐτοῦ δεομένης σώζειν ἑαυτόν, ἄλλοις ἔφη δεῖν τοῦτο παραινεῖν, ἄρχοντι δὲ καὶ στρατηγῷ, σώζειν τοὺς πολίτας. εἰπόντος δέ τινος τῶν στρατιωτῶν, ἐμπεπτώκαμεν εἰς τοὺς πολεμίους, τί μᾶλλον εἶπεν, ἢ εἰς ἡμᾶς ἐκεῖνοι. ἐπεὶ δὲ παρασπονδηθεὶς ὑπὸ ἀλεξάνδρου τοῦ φεραίων τυράννου, καὶ δεθείς, κακῶς αὐτὸν ἔλεγεν, εἰπόντος ἐκείνου σπεύδεις ἀποθανεῖν; πάνυ μὲν οὖν εἶπεν, ἵνα μᾶλλον ἐπὶ σὲ παροξυνθῶσι θηβαῖοι, καὶ σὺ δίκην δῷς τάχιον. θήβης δὲ τῆς τοῦ τυράννου γυναικὸς ἐλθούσης πρὸς πελοπίδαν, καὶ λεγούσης θαυμάζειν, ὅτι οὕτως ἱλαρός ἐστι δεδεμένος, αὐτὸς ἔφη μᾶλλον θαυμάζειν ἐκείνην, ὅτι μὴ δεδεμένη ὑπομένει ἀλέξανδρον. κομισαμένου δ' αὐτὸν τοῦ ἐπαμινώνδου, χάριν εἶπεν ἔχειν ἀλεξάνδρῳ πεπείραται γὰρ ἑαυτοῦ νῦν μάλιστα οὐ πρὸς πόλεμον ἀλλὰ καὶ πρὸς θάνατον εὐθαρσῶς ἔχοντος. μάνιος κούριος, ἐγκαλούντων αὐτῷ τινῶν, ὅτι τῆς αἰχμαλώτου χώρας ὀλίγον ἑκάστῳ μέρος διένειμε, τὴν δὲ πολλὴν ἐποίησε δημοσίαν, ἐπηύξατο μηδένα γενέσθαι ῥωμαίων ὃς ὀλίγην ἡγήσεται γῆν τὴν τρέφουσαν. σαυνιτῶν δὲ μετὰ τὴν ἧτταν ἀφικομένων πρὸς αὐτόν, καὶ χρυσίον διδόντων, ἔτυχεν ἐν χύτραις ἕψων γογγυλίδας, ἀπεκρίνατο δὲ τοῖς σαυνίταις μηδὲν χρυσίου δεῖσθαι τοιοῦτον δεῖπνον δειπνῶν, αὐτῷ δὲ βέλτιον εἶναι τοῦ χρυσίον ἔχειν, τὸ κρατεῖν τῶν ἐχόντων. γάϊος φαβρίκιος τὴν ὑπὸ πύρρου ῥωμαίων ἧτταν πυθόμενος, λαβινίῳ εἶπεν, πύρρος οὐκ ἠπειρῶται ῥωμαίους νενικήκασιν, ἐλθὼν δὲ πρὸς πύρρον περὶ λύσεως αἰχμαλώτων, χρυσίον μὲν πολὺ διδόντος, οὐκ ἔλαβε, τῇ δ' ὑστεραίᾳ τὸν μέγιστον ἐλέφαντα τοῦ πύρρου παρακελεύσαντος ἐξόπισθεν ἀγνοοῦντι τῷ φαβρικίῳ ῥήξαντα φωνὴν ἐπιφανῆναι, καὶ τούτου γενομένου, ἐπιστραφεὶς ὁ

φαβρίκιος καὶ μειδιάσας, ἐμὲ εἶπεν οὔτε τὸ χρυσίον ἐχθὲς, οὔτε σήμερον τὸ θη-
ρίον, ἐξέπληξε. τοῦ δὲ πύῤῥου παρακαλοῦντος αὐτὸν εἶναι σὺν αὐτῷ καὶ
τὴν μετ᾽ αὐτὸν ἔχειν ἡγεμονίαν, οὐδὲ σοὶ ἔφη τοῦτο λυσιτελές ἐστιν, ἠπειρῶται
γὰρ ἐὰν ἀμφοτέρους γνῶσιν ἡμᾶς, ὑπ᾽ ἐμοῦ βασιλεύεσθαι μᾶλλον, ἢ σοῦ ἐθελή-
σουσιν. ὑπατεύοντι δὲ τῷ φαβρικίῳ προσέπεμψεν ἐπιστολὴν ὁ τοῦ πύῤῥου ἰα-
τρὸς ἐπαγγελλόμενος ἐὰν κελεύῃ, φαρμάκοις τὸν πύῤῥον ἀποκτενεῖν, ὁ δὲ φα-
βρίκιος τὴν ἐπιστολὴν πρὸς πύῤῥον ἔπεμψεν αἰσθέσθαι κελεύσας, ὅτι καὶ φί-
λων κάκιστός ἐστι κριτὴς καὶ πολεμίων. ἐπεὶ δὲ φωράσας τὴν ἐπιβουλὴν ὁ πύῤ-
ῥος, τὸν μὲν ἰατρὸν ἐκρέμασε, τῷ δὲ φαβρικίῳ τοὺς αἰχμαλώτους ἄνευ λύτρων ἀ-
πέδωκεν, οὐκ ἐδέξατο δωρεὰν, ἀλλ᾽ ἴσους ἀντέδωκε, μὴ δόξῃ λαμβάνειν μισθὸν,
οὐδὲ γὰρ χάριτι πύῤῥου, μεμηνυκέναι τὴν ἐπιβουλὴν, ἀλλ᾽ ὅπως μὴ δοκῶσι ῥω-
μαῖοι δόλῳ κτείνειν ὡς φανερῶς νικᾶν οὐ δυνάμενοι. φάβιος μάξιμος ἀννίβᾳ
μάχεσθαι μὴ βουλόμενος, ἀλλὰ τρίβειν χρόνῳ τὴν δύναμιν αὐτοῦ, καὶ χρημά-
των ἐνδεᾶ καὶ σιτίων οὖσαν ἐπηκολούθει διὰ τῶν τραχέων καὶ ὀρεινῶν ἀντιπαρε-
ξιὼν, καταγελώντων δὲ τῶν πολλῶν, καὶ παιδαγωγὸν ἀννίβα καλούντων,
μικρὰ φροντίζων ἐχρῆτο τοῖς αὑτοῦ λογισμοῖς, καὶ πρὸς τοὺς φίλους ἔλεγεν
ὅτι τὸν σκώμματα φοβούμενον καὶ λοιδορίας, δειλότερον ἡγεῖται τοῦ φεύγοντος
τοὺς πολεμίους. ἐπεὶ δὲ τοῦ συνάρχοντος μινουκίου καταβαλόντος τινὰς
τῶν πολεμίων, πολὺς ἦν λόγος ὡς ἀνδρὸς ἀξίου τῆς ῥώμης, μᾶλλον ἔφη τὴν
εὐτυχίαν ἢ τὴν ἀτυχίαν τοῦ μινουκίου φοβεῖσθαι, καὶ μετὰ μικρὸν ἐνέδρᾳ πε-
ριπεσόντος, κινδυνεύοντος ἀπολέσθαι μετὰ τῆς ἑαυτοῦ δυνάμεως, ἐπιβοηθή-
σας τῶν τε πολεμίων πολλοὺς διέφθειρε, κἀκεῖνον ἔσωσεν. ὁ μὲν οὖν ἀννί-
βας, εἶπε πρὸς τοὺς φίλους οὐ πολλάκις ὑμῖν προὔλεγον ἐγὼ τὴν ἀπὸ τῶν ὀρῶν
νεφέλην, ὅτι χειμάσει ποτὲ ἐφ᾽ ἡμᾶς; μετὰ δὲ τὴν ἐν κάνναις ἀτυχίαν τῆς πό-
λεως, ἄρχων κατασταθεὶς μετὰ κλαυδίου μαρκέλλου τόλμαν ἔχοντος ἀνδρὸς,
καὶ φιλομαχοῦντος ἀεὶ πρὸς τὸν ἀννίβαν, αὐτὸς ἤλπιζεν εἰ μηδεὶς μάχοιτο τα-
χὺ τὴν δύναμιν τοῦ ἀννίβα παρατεινομένην ἀπαγορεύσειν. ἔλεγεν οὖν ὁ ἀννί-
βας ὅτι μᾶλλον φοβεῖται μαρκέλλου μαχομένου, φάβιον μὴ μαχόμενον. στρα-
τιώτου δέ τινος λευκανοῦ κατηγορηθέντος πρὸς αὐτὸν ὡς νύκτωρ ἀπὸ τοῦ στρα-
τοπέδου πλανῶτο πολλάκις ἐρῶν γυναικὸς, τὰ δὲ ἄλλα θαυμαστὸν ἐν τοῖς ὅ-
πλοις πυνθανόμενος εἶναι τὸν ἄνδρα, συλλαβεῖν ἐκέλευσε τὴν ἐρωμένην αὐτοῦ
κρύφα καὶ πρὸς αὐτὸν ἀγαγεῖν, ὡς δὲ ἤχθη, μεταπεμψάμενος τὸν ἄνθρωπον, οὐ λέ-
ληθας ἔφη παρὰ τὸν νόμον ἀπονυκτερεύων, ἀλλ᾽ οὐδὲ χρηστὸς ὢν πρότερον ἐλε-
λήθεις, τὰ μὲν οὖν ἡμαρτημένα λελύσθω τοῖς ἠνδραγαθημένοις, τὸ δὲ λοιπὸν ἔσῃ
μεθ᾽ ἡμῶν, ἔχω γὰρ ἐγγυητὴν, καὶ προαγαγὼν συνέστησεν αὐτῷ τὸ γύναιον. τα-
ραντίνους δὲ κατέχοντα φρουρᾷ τὸν ἀννίβαν πλὴν τῆς ἀκροπόλεως, ἀπαγαγὼν
πορρωτάτω δι᾽ ἀπάτης, καὶ τὴν πόλιν ἑλὼν καὶ διαρπάσας, τοῦ γραμματέως
ἐπερωτήσαντος τί περὶ τῶν ἱερῶν ἔγνωκεν ἀγαλμάτων, ἀπολείπωμεν ἔφη
ταραντίνοις τοὺς θεοὺς κεχολωμένους. μάρκου δὲ λιβίου τοῦ τὴν ἀκρόπολιν
φρουροῦντος δι᾽ ἑαυτὸν ἑαλωκέναι τὴν πόλιν λέγοντος, οἱ μὲν ἄλλοι κατεγέλων
ὁ δὲ φάβιος εἶπεν, ἀληθῆ λέγεις, εἰ γὰρ μὴ σὺ τὴν πόλιν ἀπέβαλες, οὐκ ἂν ἐγὼ
ἀνέλαβον. ἤδη δὲ πρεσβύτερος ὢν ὑπατεύοντος τοῦ υἱοῦ, καὶ χρηματίζοντος
ἐν δημοσίῳ πολλῶν παρόντων, ἀναβὰς ἐφ᾽ ἵππου προσῄει, πέμψαντος δὲ τοῦ νεα-
νίσκου ῥαβδοῦχον καὶ καταβῆναι κελεύσαντος, οἱ μὲν ἄλλοι διεταράχθησαν αὐτὸς
δὲ ὁ φάβιος ἀποπηδήσας τοῦ ἵππου προσέδραμε παρ᾽ ἡλικίαν, καὶ περιβαλὼν
τὸν υἱὸν, εὖγε εἶπεν ὦ παῖ φρονεῖς αἰσθόμενος τίνων ἄρχεις, καὶ πηλίκης ἀρχῆς

μέγεθος παρείληφας. σκιπίων δὲ ὁ πρεσβύτερος, τὴν ἀπὸ τῶν στρατειῶν
καὶ τῆς πολιτείας σχολὴν ἐν γράμμασι διατριβὴν ποιούμενος, ἔλεγεν ὁπότε σχο-
λάζοι πλείονα πράττειν. ἐπεὶ δὲ καρχηδόνα κατὰ κράτος εἷλε, καὶ τῶν στρα-
τιωτῶν τινὲς αἰχμάλωτον λαβόντες εὐπρεπῆ παρθένον, ἧκον κομίζοντες,
αὐτῷ τε ἐδίδοσαν, ἡδέως ἂν ἔφη ἔλαβον, εἴπερ ἦν ἰδιώτης καὶ μὴ ἄρχων.
πολιορκῶν δὲ πόλιν βαθείαν ἧς ὑπερεφαίνετο ναὸς ἀφροδίτης, ἐκέλσεν ἐκεῖ
τὰς ἐγγύας ὁμολογεῖν, ὡς εἰς τρίτην ἐν τῷ ἱερῷ τῆς ἀφροδίτης ἀκουσόμενος
τῶν διαδικούντων, καὶ τοῦτ᾽ ἐποίησεν ὡς προεῖπε τῆς πόλεως ἁλούσης. πυν-
θανομένου δέ τινος ἐν σικελίᾳ τίνι πεποιθὼς ἐπὶ καρχηδόνα μέλλει τὸν στόλον
περαιοῦν, δείξας αὐτῷ ἐνόπλους ἄνδρας τριακοσίους γυμναζομένους, καὶ
πύργον ὑψηλὸν ὑπὲρ θαλάττης, οὐθεὶς τούτων ἔφη ἐστὶν ὃς ἐπὶ τὸν πύργον
ἀναβὰς ἐκεῖθεν οὐκ ἂν ἑαυτὸν ῥίψειεν ἐπὶ κεφαλὴν, ἐμοῦ κελεύσαντος. ἐπεὶ
δὲ διαβὰς τῆς τε γῆς ἐκράτει, καὶ τὰ στρατόπεδα τῶν πολεμίων κατέκαυσεν,
οἱ δὲ καρχηδόνιοι πέμψαντες ἐποιοῦντο συνθήκας τά τε θηρία καὶ τὰς ναῦς καὶ
τὰ χρήματα δώσειν ὁμολογήσαντες· ἀννίβου δὲ καταπλεύσαντος ἐξ ἰταλί-
ας, μετεμέλοντο ταῖς ὁμολογίαις διὰ τὸ θαῤῥεῖν, πυθόμενος δὲ ὁ σκιπίων ἔφη,
μὴ δὲ βουλομένοις αὐτοῖς ἔτι τὰς σπονδὰς φυλάξειν, ἂν μὴ τάλαντα πεντα-
κισχίλια προσεκτίσωσιν, ὅτι μετεπέμψαντο τὸν ἀννίβαν. ἐπεὶ δὲ νικηθέντες
οἱ καρχηδόνιοι κατὰ κράτος, περὶ σπονδῶν καὶ εἰρήνης πρέσβεις ἀπέστειλαν
πρὸς αὐτὸν, ἐκέλευσεν εὐθὺς ἀπιέναι τοὺς ἥκοντας ὡς οὐκ ἀκουσόμενος πρότε-
ρον αὐτῶν, ἢ λεύκιον τερέντιον ἀγάγωσιν, ἦν δὲ ῥωμαῖος ὁ τερέντιος ἐπιεικὴς
ἀνὴρ, γεγονὼς αἰχμάλωτος ὑπὸ καρχηδονίων, ἐπεὶ δὲ ἧκον ἄγοντες τὸν ἄν-
δρα, καθίσας ἐν τῷ συμβουλίῳ παρ᾽ αὐτὸν ἐπὶ τοῦ βήματος, οὕτως ἐχρημά-
τισε τοῖς καρχηδονίοις, καὶ κατέλυσε τὸν πόλεμον, ὁ δὲ τερέντιος ἐπηκολού-
θησεν αὐτῷ θριαμβεύοντι πίλιον ἔχων, ὥσπερ ἀπελεύθερος. ἀποθανόντος
δὲ τούτου ἐπὶ τὴν ἐκφορὰν παραγινομένοις ἐνέχει πίνειν οἰνόμελι, καὶ τὰ ἄλ-
λα περὶ τὴν ταφὴν ἐφιλοτιμήθη. ταῦτα μὲν οὖν ὕστερον, ἀντιόχου δὲ τοῦ
βασιλέως μετὰ τὸ διαβῆναι ῥωμαίους ἐπ᾽ αὐτὸν εἰς ἀσίαν πέμψαντος πρὸς σκι-
πίωνα περὶ διαλύσεως, ἔδει πρότερον εἶπεν, ἀλλὰ μὴ νῦν ὁπότε καὶ τὸν χα-
λινὸν καὶ τὸν ἀναβάτην προσδέδεξαι. χρήματα δὲ τῆς συγκλήτου λαβεῖν αὐ-
τὸν ἐκ τοῦ ταμείου ψηφισαμένης, τῶν δὲ ταμιῶν οὐ βουλομένων ἀνοῖξαι τῆς ἡ-
μέρας ἐκείνης, αὐτὸς ἀνοίξειν ἔφη, καὶ γὰρ κλείεσθαι δι᾽ αὐτὸν πλήσαντα χρη-
μάτων τοσούτων τὸ ταμεῖον. πετιλίου δὲ καὶ κοΐντου πολλὰ πρὸς τὸν δῆ-
μον αὐτοῦ κατηγορησάντων, εἰπὼν ὅτι τῇ σήμερον ἡμέρᾳ, καρχηδονίους καὶ
ἀννίβαν ἐνίκησεν, αὐτὸς μὲν ἔφη στεφανωσάμενος ἀναβαίνειν εἰς τὸ καπιτώλιον
θύσων, τὸν δὲ βουλόμενον τὴν ψῆφον, ἐκέλευσε φέρειν περὶ αὐτοῦ, καὶ ταῦτα εἰ-
πὼν, ἀνέβαινεν, ὁ δὲ δῆμος ἐπηκολούθησεν τοὺς κατηγόρους ἀπολιπὼν λέγον-
τας. τίτος κοΐντος οὕτως ἦν εὐθὺς ἐξ ἀρχῆς ἐπιφανὴς ὥστε πρὸ δημαρχίας
καὶ στρατηγίας καὶ ἀγορανομίας, ὕπατος αἱρεθῆναι, πεμφθεὶς δὲ στρατηγὸς ἐπὶ
φίλιππον, εἰς λόγους ἐπείσθη συνελθεῖν αὐτῷ, τοῦ δὲ φιλίππου λαβεῖν ὁμή-
ρους ἀξιοῦντος, ἐκεῖνον μὲν γὰρ εἶναι μετὰ πολλῶν ῥωμαίων, ἑαυτὸν δὲ μόνον μα-
κεδόσι, σὺ γὰρ μόνον ὁ κοΐντος ἔφη ἑαυτὸν ἐποίησας, ἀποκτείνας τοὺς φίλους καὶ
συγγενεῖς. νικήσας δὲ μάχῃ τὸν φίλιππον, ἐκήρυξεν ἐν ἰσθμίοις ὅτι τοὺς ἕλλη-
νας ἐλευθέρους καὶ αὐτονόμους ἀφίησιν. ὅσοι δὲ ῥωμαίων αἰχμάλωτοι γενό-
μενοι ἐν τοῖς κατ᾽ ἀννίβαν χρόνοις ἐδούλευον παρὰ τοῖς ἕλλησι, τούτων ἕκαστον οἱ
ἕλληνες ἐξωνησάμενοι δραχμῶν πεντακοσίων, δωρεὰν ἔδωκαν αὐτῷ, κἀκεῖνοι

θριαμβεύοντι συνηκολούθησαν ἐν ῥώμῃ πιλία περὶ ταῖς κεφαλαῖς ἔχοντες, ὥσπερ ἔθος ἐστὶ τοῖς ἐλευθερωθεῖσι. τοὺς δ' ἀχαιοὺς περὶ τὴν ζακυνθίων νῆσον διανοουμένους στρατεύειν ἐκέλευε φυλάττεσθαι, μὴ καθάπερ αἱ χελῶναι τὴν κεφαλὴν προτείναντες ἔξω τῆς πελοποννήσου κινδυνεύσωσιν. ἀντιόχου δὲ τοῦ βασιλέως μετὰ πολλῆς δυνάμεως ἥκοντος εἰς τὴν ἑλλάδα, καὶ πάντων ἐκπεπληγμένων τὰ πλήθη καὶ τοὺς ὁπλισμούς, λόγον εἶπε τοιοῦτον πρὸς τοὺς ἀχαιούς, ἔφη γὰρ ἐν χαλκίδι παρὰ τῷ ξένῳ δειπνῶν θαυμάζειν τὸ τῶν κρεῶν πλῆθος, εἰπεῖν δὲ τὸν ξένον ὅτι ταῦτα πάντα χοίρειά ἐστιν ἡδύσμασι καὶ σκευασίαις διαφέροντα, μὴ τοίνυν μηδὲ ὑμεῖς ἔφη θαυμάζετε τὴν βασιλικὴν δύναμιν, λογχοφόρους καὶ καταφράκτους καὶ πεζεταίρους, καὶ ἀμφιπποτοξότας ἀκούοντες, πάντες γάρ εἰσιν οὗτοι σύροι ὁπλαρίοις ἀλλήλων διαφέροντες. φιλοποίμενι δὲ τῷ στρατηγῷ τῶν ἀχαιῶν, ἱππεῖς μὲν πολλοὺς καὶ ὁπλίτας ἔχοντι, χρημάτων δὲ οὐκ εὐποροῦντι, προσπαίζων ἔλεγεν ὅτι χεῖρας ἔχει φιλοποίμην καὶ σκέλη, γαστέρα δὲ οὐκ ἔχει, καὶ γὰρ καὶ τῇ φύσει τοῦ σώματος ἦν ὁ φιλοποίμην τοιοῦτος.

δείπνων l. A.

γαΐος δομίτιος ὃν σκιπίων ὁ μέγας ἀνθ' ἑαυτοῦ τῷ ἀδελφῷ λευκίῳ παρακατέστησεν ἐν τῷ πρὸς ἀντίοχον πολέμῳ, κατασκεψάμενον τὴν τῶν πολεμίων φάλαγγα καὶ τῶν περὶ αὐτὸν ἡγεμονικῶν, εὐθὺς ἐπιχειρεῖν κελευόντων, ἔφη τὴν ὥραν οὐκ ἐπαρκεῖν ἵνα τοσαύτας μυριάδας κατακόψαντες καὶ διαρπάσαντες τὴν παρασκευὴν ἐπανελθόντες εἰς τὸ στρατόπεδον, ἑαυτῶν ἐπιμεληθῶσι, τὸ δὲ αὐτὸ ποιήσειν αὔριον καθ' ὥραν, καὶ συμβαλὼν τῇ ὑστεραίᾳ, πεντακισμυρίους τῶν πολεμίων ἀνεῖλεν. πόπλιος λικίνιος ὕπατος στρατηγὸς ἡττηθεὶς ὑπὸ περσέως τοῦ μακεδόνων βασιλέως ἱππομαχίᾳ δισχιλίους ὀκτακοσίους ἀπέβαλε, τοὺς μὲν πεσόντας τοὺς δὲ ἁλόντας, ἐπεὶ δὲ μετὰ τὴν μάχην ἔπεμψεν ὁ περσεὺς πρέσβεις περὶ σπονδῶν καὶ εἰρήνης, ἐκέλευεν ὁ νενικημένος τὸν νενικηκότα ῥωμαίοις ἐπιτρέπειν τὰ καθ' αὑτόν. παῦλος αἰμίλιος δευτέραν ὑπατείαν μετελθών, ἀπέτυχεν. ἐπεὶ δὲ τοῦ πρὸς περσέα καὶ μακεδόνας πολέμου μῆκος λαμβάνοντος, ἀπειρίᾳ καὶ μαλακίᾳ τῶν στρατηγῶν, ἐκεῖνον ὕπατον ἀπέδειξαν, οὐκ ἔφη χάριν ἔχειν αὐτοῖς, οὐ γὰρ αὐτὸς ἀρχῆς δεόμενος ὡς ἐκείνων ἄρχοντος ᾑρῆσθαι στρατηγός. ἐλθὼν δὲ εἰς οἶκον ἐξ ἀγορᾶς καὶ τὴν τερτίαν τὸ θυγάτριον εὑρὼν δεδακρυμένον, ἐπυνθάνετο τὴν αἰτίαν, εἰπούσης δὲ ὅτι περσεὺς τέθνηκεν ἡμῖν, κυνίδιον δ' ἦν οὕτως ὀνομαζόμενον, ἀγαθῇ τύχῃ εἶπεν ὦ θύγατερ, καὶ δέχομαι τὸν οἰωνόν. εὑρὼν δὲ ἐν τῷ στρατοπέδῳ πολλὴν θρασύτητα καὶ λαλιάν, παραστρατηγούντων καὶ πολυπραγμονούντων, ἐκέλευεν ἡσυχίαν ἔχειν καὶ ποιεῖν ὀξείας τὰς μαχαίρας μόνον, αὐτῷ δὲ τῶν ἄλλων μελήσειν. τὰς δὲ νυκτερινὰς φυλακὰς ἐκέλευεν φυλάσσειν, ἄνευ λόγχης καὶ ξίφους, ὅπως ἀμύνεσθαι τοὺς πολεμίους ἀπεγνωκότες, μᾶλλον διαμαχοῦνται πρὸς τὸν ὕπνον. ἐμβαλὼν δὲ διὰ τῶν ἄκρων εἰς μακεδονίαν, καὶ συντεταγμένους ἰδὼν τοὺς πολεμίους τοῦ νασικᾶ παρακαλοῦντος αὐτὸν εὐθὺς ἐπιχειρεῖν, εἴ γε τὴν σὴν εἶπεν ἡλικίαν εἶχον, αἱ δὲ πολλαί με πεῖραι κωλύουσιν ἐκ πορείας πρὸς φάλαγγα συντεταγμένην μάχεσθαι. νικήσας δὲ τὸν περσέα καὶ τὰς ἐπινικίους ποιούμενος ἑστιάσεις ἔλεγε τῆς ἐμπειρίας εἶναι στράτευμα φοβερώτερον πολεμίοις, καὶ συμπόσιον ἥδιστον φίλοις παρασχεῖν. τοῦ δὲ περσέως αἰχμαλώτου γενομένου καὶ παραιτουμένου τὸν θρίαμβον, ἐπὶ σοὶ εἶπε, τοῦτ' ἔστιν αὐτοῦ ἐξουσίαν διδοὺς αὐτῷ ἑαυτὸν ἀνελεῖν. χρημάτων δὲ ἀπείρων εὑρεθέντων, αὐτὸς μὲν οὐκ ἔλαβε τῷ δὲ γαμβρῷ τουβέρωνι, φιάλην ἀργυρᾶν ὁλκῆς πέντε λιτρῶν ἀριστεῖον ἔδωκε καὶ τοῦτό φασι πρῶτον εἰς τὸν αἰμιλίων οἶκον εἰσελθεῖν κειμή-

λιον ἀργυροῦν. τεσσάρων δὲ παίδων ἀρρένων αὐτῷ γεγονότων δύο μὲν πρότερον ἐτύγχανεν ἐκδεδωκὼς ἑτέροις θέσθαι, δυοῖν δὲ ὄντων ἐπὶ τῆς οἰκίας, ὁ μὲν ἡμέραις πέντε πρὸ τοῦ θριάμβου τεσσαρεσκαιδεκαέτης γεγονὼς ἔτη ἀπέθανεν, ὁ δὲ ὕστερον πέντε τοῦ θριάμβου δωδεκαέτης, προελθὼν δὲ τοῦ δήμου συναλγοῦντος αὐτῷ καὶ συμπενθοῦντος, νῦν ἔφη περὶ τῆς πατρίδος ἀδεὴς γεγονέναι καὶ ἀκίνδυνος, ὁπότε τῶν εὐτυχημάτων τὴν νέμεσιν εἰς τὸν οἶκον ἀπερεισαμένης τῆς τύχης, ὑπὲρ πάντων αὐτὸς ἀναδέδεκται. κάτων ὁ πρεσβύτερος ἐν τῷ δήμῳ τῆς ἀσωτίας καὶ πολυτελείας καθαπτόμενος εἶπεν, ὡς χαλεπόν ἐστιν λέγειν πρὸς γαστέρα ὦτα μὴ ἔχουσαν. θαυμάζειν δὲ πῶς σώζεται πόλις, ἐν ᾗ πωλεῖται πλείονος ἰχθὺς ἢ βοῦς. λοιδορῶν δέ ποτε τὴν ἐπιπολάζουσαν γυναικοκρατίαν, πάντες εἶπεν ἄνθρωποι τῶν γυναικῶν ἄρχουσιν, ἡμεῖς δὲ πάντων ἀνθρώπων, ἡμῶν δὲ αἱ γυναῖκες. ἔφη δὲ βούλεσθαι μᾶλλον εὐεργετήσας μὴ κομίσασθαι χάριν, ἢ μὴ ὑποσχεῖν κόλασιν ἀδικήσας, καὶ πᾶσιν ἀεὶ τοῖς ἁμαρτάνουσιν χωρὶς ἑαυτοῦ διδόναι συγγνώμην. παρορμῶν δὲ τοὺς ἄρχοντας ἐπιτιμᾶν τοῖς ἁμαρτάνουσιν, ἔλεγε τοὺς δυναμένους κωλύειν τοὺς κακῶς ποιοῦντας, ἐὰν μὴ κωλύωσι, καταλεύειν. τῶν δὲ νέων ἔφη χαίρειν τοῖς ἐρυθριῶσι μᾶλλον ἢ τοῖς ὠχριῶσι. στρατιώτην δὲ μισεῖν, ὃς ἐν τῷ περιπατεῖν τὰς χεῖρας, ἐν δὲ τῷ μάχεσθαι τοὺς πόδας κινεῖ, ῥέγχει δὲ μεῖζον ἢ ἀλαλάζει. κάκιστον δέ, ἔλεγεν ἄρχοντα εἶναι, τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον. μάλιστα δὲ ἐνόμιζε δεῖν ἕκαστον ἑαυτὸν αἰδεῖσθαι, μηδένα γὰρ ἑαυτοῦ μηδέποτε χωρὶς εἶναι. πολλῶν δὲ ὁρῶν ἀνισταμένους ἀνδριάντας, ἐμοῦ δὲ ἔφη ἐρωτᾶν βούλομαι μᾶλλον τοὺς ἀνθρώπους, διατί ἀνδριὰς οὐ κεῖται κάτωνος, ἢ διατί κεῖται. φείδεσθαι δὲ τῆς ἐξουσίας παρεκάλει τοὺς δυναμένους ὅπως ἀεὶ παραμένῃ τὸ ἐξεῖναι. τοὺς δὲ τῆς ἀρετῆς τὴν τιμὴν ἀφαιροῦντας, ἔλεγε τὴν ἀρετὴν ἀφαιρεῖν τῆς νεότητος. τὸν δὲ ἄρχοντα ἢ κριτὴν ἔλεγε δεῖν μήτε ὑπὲρ τῶν δικαίων λιπαρεῖσθαι, μὴ δὲ ὑπὲρ τῶν ἀδίκων ἐκλιπαρεῖσθαι. τὴν δὲ ἀδικίαν ἔλεγε τοῖς ἀδικοῦσι, κἂν μὴ φέρῃ κίνδυνον, ἅπασι φέρειν. τῷ δὲ γήρᾳ πολλῶν παρόντων ^, ἠξίου μὴ προστιθέναι τὴν ἀπὸ τῆς κακίας αἰσχύνην. τὸν δὲ ὀργιζόμενον ἐνόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν. ἥκιστα δὲ φθονεῖσθαι τοὺς τῇ τύχῃ χρωμένους ἐπιεικῶς καὶ μετρίως, οὐ γὰρ ἡμῖν, ἀλλὰ τοῖς περὶ ἡμᾶς φθονοῦσι. τοὺς δὲ σπουδάζοντας ἐν τοῖς γελοίοις, ἔλεγεν ἐν τοῖς σπουδαίοις ἔσεσθαι καταγελάστους. τὰς καλὰς πράξεις ἔλεγε δεῖν καταλαμβάνειν λόγοις καλοὺς ἵνα μὴ τῆς δόξης ἀπορρέωσιν. ἐπετίμα δὲ τοῖς πολίταις ἀεὶ τοὺς αὐτοὺς αἱρουμένοις ἄρχοντας, δόξετε γὰρ εἶπε μὴ πολλοῦ τὸ ἄρχειν ἄξιον, ἢ μὴ πολλοὺς τοῦ ἄρχειν ἀξίους ἡγεῖσθαι. τὸν δὲ τοὺς παραλίους ἀγροὺς πεπρακότα, προσεποιεῖτο θαυμάζειν ὡς ἰσχυρότερον τῆς θαλάσσης, ἃ γὰρ ἐκείνη μόλις ἐπικλύζει, οὗτος ῥᾳδίως καταπέπωκε. τιμητείαν δὲ μετιὼν καὶ τοὺς ἄλλους ὁρῶν δεομένους τῶν πολλῶν καὶ κολακεύοντας, αὐτὸς ἐβόα τὸν δῆμον ἀποτόμου χρείαν ἔχειν ἰατροῦ καὶ μεγάλου καθαρμοῦ, δεῖν οὖν μὴ τὸν ἥδιστον ἀλλὰ τὸν ἀπαραίτητον αἱρεῖσθαι, καὶ ταῦτα λέγων, ᾑρέθη πρὸ πάντων. διδάσκων δὲ τοὺς νέους εὐθαρσῶς μάχεσθαι, πολλάκις ἔλεγε τοῦ ξίφους τὸν λόγον μᾶλλον, καὶ τὴν φωνὴν τῆς χειρὸς τρέπειν καὶ καταπλήττειν τοὺς πολεμίους. ἐπεὶ δὲ πολεμῶν τοῖς περὶ τὸν βαίτην ποταμὸν οἰκοῦσιν, εἰς κίνδυνον ὑπὸ πλήθους τῶν πολεμίων κατέστη, τῶν μὲν κελτιβήρων ἐπὶ διακοσίοις ταλάντοις βουλομένων βοηθεῖν, τῶν δὲ ῥωμαίων οὐκ ἐώντων ὁμολογεῖν μισθὸν ἀνθρώποις βαρβάροις, ἁμαρτάνειν ἔφησεν αὐτούς, νικῶντας μὲν γὰρ

κάτων ὁ πρεσβύτερος

κατακελεύειν l. A.

κακῶν l. A.

ἀποδώσειν οὐ παρ᾽ αὑτῶν, ἀλλὰ παρὰ τῶν πολεμίων, ἢ ζημιώσειν δὲ μήτε τοὺς
ἀπητημένους μήτε τοὺς ἀπαιτοῦντας ἔσεσθαι. πλείονας δὲ πόλεις ἑλὼν
ὥς φησι τῶν ἡμερῶν ἃς διέτριψεν ἐν τοῖς πολεμίοις, οὐδὲν αὐτὸς πλέον λαβεῖν
ὧν εἶπε καὶ ἔφαγεν ἐκ τῆς πολεμίας. τῶν δὲ στρατιωτῶν ἑκάστῳ λίτραν ἀρ-
γύρου διανείμας, φησὶ βέλτιον εἶναι πολλοὺς ἔχοντας ἀργύριον, ἢ ὀλίγους
χρυσίον, ἀπὸ τῆς στρατείας ἐπανελθεῖν, τῶν γὰρ ἀρχόντων οὐδὲν ἄλλο δεῖν ἐν
ταῖς ἐπαρχίαις, ἢ τὴν δόξαν αὐξάνεσθαι. πέντε δὲ οἰκέτας εἶχεν ἐπὶ τῆς στρα-
τείας, ὧν εἷς αἰχμάλωτα τρία σώματα πριάμενος, ὡς οὐκ ἔλαθε τὸν Κάτωνα,
πρὶν εἰς ὄψιν ἐλθεῖν, ἀπήγξατο. παρακληθεὶς δὲ ὑπὸ Σκιπίωνος ἀφεικα-
νοῦ τοῖς Ἀχαιῶν συλλαβέσθαι φυγάσιν, ὅπως εἰς τὰς πατρίδας κατέλθωσιν,
προσεποιεῖτο μηδὲν αὐτῷ μέλειν τοῦ πράγματος, ἐν δὲ τῇ συγκλήτῳ πολλῶν γι-
νομένων λόγων ἀναστάς, ὥσπερ οὐκ ἔχοντες εἶπεν, ὃ πράττομεν καθήμεθα περὶ
γραικῶν γεροντίων ζητοῦντες πότερον ὑπὸ τῶν παρ᾽ ἡμῖν ἢ ὑπὸ τῶν ἐκεῖ
νεκροφόρων ἐξενεχθῶσι. Ποστουμίου δὲ Ἀλβίνου γράψαντος ἱστορίας Ἑλλη-
νιστί, καὶ συγγνώμην παρὰ τῶν ἀκροωμένων αἰτοῦντος, εἰρωνευόμενος ὁ Κάτων
ἔφη δοτέον εἶναι τὴν συγγνώμην, εἰ τῶν Ἀμφικτυόνων ψηφισαμένων ἀναγκασθεὶς ἔγρα-
ψε. Σκιπίωνα τὸν νεώτερον λέγουσιν ἔτεσι πεντήκοντα καὶ τέσσαρσιν οἷς ἐβίω-
σε, μηδὲν πρίασθαι, μηδὲν ἀποδόσθαι, μηδὲν οἰκοδομῆσαι, λίτρας δὲ ἀργύρου
τέσσαρας καὶ τριάκοντα μόνας ἐν οὐσίᾳ μεγάλῃ, δύο δὲ χρυσίου καταλιπεῖν, καὶ ταῦ-
τα Καρχηδόνος κύριον ὄντα, καὶ μάλιστα τῶν στρατηγῶν πλουτίσαντα τοὺς
στρατιώτας. τὸ δὲ Πολυβίου παράγγελμα διαφυλάττων ἐπειρᾶτο μὴ πρότε-
ρον ἐξ ἀγορᾶς ἀπελθεῖν, ἢ ποιήσασθαί τινα συνήθη καὶ φίλον ἁμωσγέπως τῶν
ἐντυγχανόντων. ἔτι δὲ νέος ὤν, τοσαύτην εἶχε δόξαν ἀνδρείας καὶ συνέσεως,
ὥστε Κάτωνα μὲν τὸν πρεσβύτερον εἰπεῖν ἐρωτηθέντα περὶ τῶν ἐν Καρχηδόνι
στρατευομένων, ἐν οἷς καὶ Σκιπίων ἦν, οἷος πέπνυται τοὶ δὲ σκιαὶ ἀΐσσουσιν.
εἰς δὲ τὴν Ῥώμην ἐλθόντος ἀπὸ στρατείας, ἐκάλουν αὐτόν, οὐκ ἐκείνῳ χαριζόμε-
νοι, ἀλλ᾽ ὡς Καρχηδόνα δι᾽ ἐκείνου ταχὺ καὶ ῥᾳδίως ληψόμενοι. ἐπεὶ δὲ πα-
ρελθὼν εἰς τὸ τεῖχος, τῶν Καρχηδονίων ἐκ τῆς ἄκρας ἀμυνομένων, μὴ οὐ τὴν
διὰ μέσου θάλασσαν οὐ πάνυ βαθεῖαν οὖσαν, τοῦ Πολυβίου συμβουλεύοντος αὐ-
τῷ καταστεῖραι τριβόλους σιδηροῦς ἢ σανίδας ἐμβαλεῖν κεντρωτάς, ὅπως
μὴ διαβαίνοντες οἱ πολέμιοι προσμάχωνται τοῖς χώμασιν, ἔφη γελοῖον εἶναι
κατειληφότας τὰ τείχη, καὶ τῆς πόλεως ἐντὸς ὄντας, εἶτα πράττειν ὅπως
οὐ μαχοῦνται τοῖς πολεμίοις. εὑρὼν δὲ τὴν πόλιν ἀνδριάντων Ἑλληνικῶν καὶ
ἀναθημάτων ἀπὸ Σικελίας μεστὴν οὖσαν, ἐκήρυξε τοὺς ἀπὸ τῶν πόλεων παρόν-
τας, ἐπιγνώσκειν καὶ κομίζεσθαι. τῶν δὲ χρημάτων οὔτε δοῦλον οὔτε ἀπελεύ-
θερον εἴα λαβεῖν οὐδένα, ἀλλ᾽ οὐδὲ πρίασθαι, πάντων ἀγόντων καὶ φερόντων.
Γαΐῳ δὲ Λαιλίῳ τῷ φιλτάτῳ τῶν ἑταίρων ὑπατείαν μετιόντι συμπράττων
ἐπηρώτησε Πομπήιον εἰ καὶ αὐτὸς ὑπατείαν μέτεισιν, ἐδόκει δὲ ὁ Πομπήιος υἱὸς αὐ-
λητοῦ γεγονέναι, τοῦ δὲ φήσαντος μὴ μετιέναι, ἀλλὰ καὶ τὸν Λαίλιον ἐπαγγελλό-
μενος συμπεριάξειν καὶ συναρχαιρεσιάσειν, πιστεύσαντες καὶ περιμένοντες
ἐκεῖνον, ἐξηπατήθησαν, ἀπηγγέλλετο γὰρ αὐτὸς ἐν ἀγορᾷ περιιὼν καὶ δεξιού-
μενος τοὺς πολίτας, ἀγανακτούντων δὲ τῶν ἄλλων, ὁ Σκιπίων γελάσας, ἀβελ-
τηρίᾳ δὲ εἶπεν ἡμῶν καθάπερ οὐκ ἀνθρώπους μέλλοντες, ἀλλὰ θεοὺς παρακαλεῖν
πάλαι διατρίβομεν αὐλητὴν ἀναμένοντες. Ἀππίου δὲ Κλαυδίου περὶ τῆς τιμητι-
κῆς ἀρχῆς ἁμιλλωμένου πρὸς αὐτὸν καὶ λέγοντος, ὅτι πάντας ὀνομαστὶ Ῥωμαί-
ους αὐτὸς ἀσπάζεται, Σκιπίων ὀλίγου δεῖν ἀγνοοῦντος ἅπαντας, ἀληθῆ λέγεις

εἶπεν, ἐμοὶ γὰρ οὐκ εἰδέναι πολλούς, ἀλλ᾽ ὑπὸ μηδενὸς ἀγνοεῖσθαι μεμέληκεν.
ἐκέλευε δὲ τοὺς πολίτας ἐπειδὴ ἐτύγχανον πολεμοῦντες Κελτίβηρσιν ἀμ-
φοτέρους ἐπὶ τὴν στρατείαν ἐκπέμψαντας, ἢ πρεσβευτάς, ἢ χιλιάρχους μάρ-
τυρας λαμβάνειν καὶ κριτὰς τῆς ἑκάστου ἀρετῆς τοὺς πολεμοῦντας. ἀπο-
δειχθεὶς δὲ τιμητὴς νεανίσκου μὲν ἀφείλετο τὸν ἵππον, ὅτι δειπνῶν πολυτελῶς
ἐν ᾧ χρόνῳ Καρχηδὼν ἐπολεμεῖτο, μελίπηκτον εἰς σχῆμα τῆς πόλεως διαπλά-
σας, καὶ τοῦτο Καρχηδόνα προσειπών, προὔθηκε διαρπάσαι τοῖς παροῦσι, καὶ
πυνθανομένου τοῦ νεανίσκου τὴν αἰτίαν δι᾽ ἣν ἀφῄρηται τὸν ἵππον, ἐμοῦ γὰρ ἔφη
πρότερος Καρχηδόνα διήρπασας. Γάιον δὲ Λικίνιον ἰδὼν παρερχόμενον,
οἶδα ἔφη τοῦτον ἐπιωρκηκότα τὸν ἄνδρα, μηδενὸς δὲ κατηγοροῦντος, οὐ δύνα-
μαι κατήγορος αὐτὸς εἶναι καὶ δικαστής. ἐκπεμφθέντα δ᾽ αὐτὸν ὑπὸ τῆς
βουλῆς τρίτον ὥς φησι Κλειτόμαχος, ἀνθρώπων πόλεών τε καὶ εὐνομίην ἐφορῶν-
τα πόλεων, ἐθνῶν, βασιλέων ἐπίσκοπον, ὡς εἰς Ἀλεξάνδρειαν ἧκε, καὶ τῆς νεὼς
ἀποβάς, ἐβάδιζε κατὰ τῆς κεφαλῆς ἔχων τὸ ἱμάτιον, ἠξίουν ἀποκαλύψασθαι,
περιθέοντες οἱ Ἀλεξανδρεῖς, καὶ δεῖξαι ποθοῦσιν αὐτοῖς τὸ πρόσωπον, ἀπο-
καλυψαμένου, κραυγὴν καὶ κρότον ἐποίησαν, τοῦ δὲ βασιλέως μόλις ἁμιλλω-
μένου βαδίζουσιν αὐτοῖς δι᾽ ἀργίαν καὶ τρυφὴν τοῦ σώματος, ὁ Σκιπίων ἀτρέμα
πρὸς τὸν Παναίτιον ψιθυρίσας εἶπεν ἤδη τι τῆς ἐπιδημίας ἡμῶν Ἀλεξανδρεῖς
ἀπολελαύκασι, δι᾽ ἡμᾶς γὰρ ἑωράκασι τὸν βασιλέα περιπατοῦντα. συναπ-
εδήμει δὲ αὐτῷ, φίλος μὲν εἷς φιλόσοφος Παναίτιος, οἰκέται δὲ πέντε καὶ τοῦ
ἑνὸς ἀποθανόντος ἐπὶ τῆς ξένης, ἄλλον μὴ βουλόμενος πρίασθαι, ἀπὸ τῆς Ῥώ-
μης μετεπέμψατο. τῶν δὲ Νομαντίνων ἀμάχων εἶναι δοκούντων καὶ πολλοὺς
νενικηκότων στρατηγούς, ὕπατον ἀπέδειξαν Σκιπίωνα τὸ δεύτερον ὁ δῆμος ἐπὶ
τὸν πόλεμον, ὡρμημένων δὲ πολλῶν ἐπὶ τὴν στρατείαν, καὶ τοῦτο διεκώλυσεν ἡ σύγ-
κλητος ὡς ἐρήμου τῆς Ἰταλίας ἐσομένης, καὶ χρήματα λαβεῖν τῶν ἑτοίμων
οὐκ εἴασαν, ἀλλὰ τὰς τελωνικὰς προσόδους ἀπέταξαν οὔπω χρόνον ἐχούσας,
ὁ δὲ Σκιπίων χρημάτων μὲν οὐκ ἔφη δεῖσθαι, τὰ γὰρ ἑαυτοῦ καὶ τῶν φίλων ἐξ-
αρκέσειν, περὶ δὲ τῶν στρατιωτῶν, ἐμέμψατο, χαλεπὸν γὰρ εἶναι τὸν πόλεμον,
εἰ μὲν δι᾽ ἀνδρείαν τῶν πολεμίων ἥττηνται, τοσαυτάκις ὅτι πρὸς τοιούτους, εἰ
δὲ δι᾽ ἀνανδρίαν τῶν πολιτῶν, ὅτι μετὰ τοιούτων. ἐπεὶ δὲ ἐλθὼν εἰς τὸ στρατό-
πεδον, πολλὴν ἀταξίαν καὶ ἀκολασίαν καὶ δεισιδαιμονίαν καὶ τρυφὴν κατέλα-
βε, μάντεις μὲν εὐθὺς ἐξήλασε καὶ θύτας καὶ πορνοβοσκούς, σκεύη δὲ προσέτα-
ξεν ἀποπέμπειν ἅπαντα πλὴν χύτρας ὀβελίσκου καὶ ποτηρίου κεραμεοῦ, τῶν
δὲ ἀργυρέων ἔκπωμα οὐ μεῖζον δύο λιτρῶν συνεχώρησε τοῖς βουλομένοις ἔ-
χειν, λούεσθαι δὲ ἀπεῖπε, τῶν δὲ ἀλειφομένων τρίβειν ἕκαστον ἑαυτόν, τὰ γὰρ ὑπο-
ζύγια χεῖρας οὐκ ἔχοντα, ἑτέρου τρίψαντος δεῖσθαι, προσέταξε δὲ ἀριστᾶν μὲν
ἑστῶτας ἄπυρον ὄψον, δειπνεῖν δὲ κατακειμένους ἄρτον ἢ πόλτον ἁπλῶς καὶ
κρέας ὀπτὸν ἢ ἑφθόν, αὐτὸς δὲ σάγον ἐμπεπορπημένος μέλανα περιῄει πενθεῖν
τὴν τοῦ στρατεύματος αἰσχύνην λέγων. μεμψάμενος δέ τινος χιλιάρχου λαβὼν
ὑποζύγια, ψυκτῆρας διαλίθους παρακομίζοντα καὶ Θηρικλείους, ἐμοὶ μὲν
εἶπεν ἡμέρας τριάκοντα καὶ τῇ πατρίδι, σαυτῷ δὲ τὸν βίον ἅπαντα τοιοῦτος
ὢν ἄχρηστον πεποίηκας σεαυτόν. ἑτέρου δὲ θυρεὸν ἐπιδείξαντος εὖ κεκο-
σμημένον, ὁ μὲν θυρεὸς εἶπεν ὦ νεανία καλός, πρέπει δὲ Ῥωμαῖον ἄνδρα μᾶλλον
ἐν τῇ δεξιᾷ τὰς ἐλπίδας ἔχειν, ἢ τῇ ἀριστερᾷ. τοῦ δὲ τὸν χάρακα ἄραντος,
σφόδρα πιέζεσθαι φάσκοντος, εἰκότως ἔφη, τῷ γὰρ ξύλῳ τούτῳ μᾶλλον ἢ τῇ
μαχαίρᾳ πιστεύεις. ὁρῶν δὲ τὴν ἀπόνοιαν τῶν πολεμίων, ἔλεγεν ὠνεῖσθαι τὸν

χρόνου τὴν ἀσφάλειαν. τὸν γὰρ ἀγαθὸν στρατηγόν, ὥσπερ ἰατρὸν ἐσχάτης δεῖσθαι
τῆς διὰ τοῦ σιδήρου θεραπείας, οὐ μὴν ἀλλ' ἐπιθέμενος ἐν καιρῷ τοὺς νομαντίνους
ἐτρέψατο. τῶν δὲ πρεσβυτέρων τοὺς ἡττημένους κακιζόντων, τί πεφεύγασιν,
οὓς τοσαυτάκις ἐδίωξαν, εἰπεῖν τινα λέγεται τῶν νομαντίνων, ὡς τὰ πρόβα-
τα ταὐτὰ καὶ νῦν ἐστιν, ὁ δὲ ποιμὴν ἄλλος. ἐπεὶ δὲ τὴν νομαντίαν ἑλὼν καὶ θρι-
αμβεύσας τὸ δεύτερον πρὸς γάϊον γράκχον, ὑπέρ τε τῆς βουλῆς καὶ τῶν συμ-
μάχων κατέστη διαφορὰ, καὶ λυπούμενος ὁ δῆμος ἐθορύβησεν αὐτὸν ἐπὶ τοῦ
βήματος, ἐμὲ εἶπεν οὐδέποτε στρατοπέδων ἀλαλαγμὸς ἐθορύβησεν, οὔτι γε συγ-
κλύδων ἀνθρώπων, ὧν οὐ μητέρα τὴν ἰταλίαν, ἀλλὰ μητρυιὰν οὖσαν ἐπίσταμαι.
τῶν δὲ περὶ τὸν γάϊον βοώντων κτεῖναι τὸν τύραννον, εἰκότως εἶπεν οἱ τῇ πατρί-
δι πολεμοῦντες, ἐμὲ βούλονται προανελεῖν, οὐ γὰρ οἷόν τε τὴν ῥώμην πεσεῖν,
σκιπίωνος ἑστῶτος, οὐδὲ ζῆν σκιπίωνα τῆς ῥώμης πεσούσης. καικίλιος μέ-
τελλος ὀχυρῷ χωρίῳ βουλευόμενος προσαγαγεῖν, εἰπόντος ἑκατοντάρχου πρὸς
αὐτὸν, ὡς ἐὰν δέκα μόνους ἀποβάλῃ, λήψεται τὸ χωρίον, ἠρώτησεν αὐτὸν,
εἰ βούλοιτο εἷς τῶν δέκα γενέσθαι. τῶν δὲ νεωτέρων τινὸς χιλιάρχου
πυνθανομένου τί μέλλει ποιεῖν, εἰ ᾔδειν ἔφη συνειδέναι μοι τὸν χιτωνίσκον ἐδέμι-
ζον, ἀποδυσάμενος ἂν αὐτὸν ἐπὶ τὸ πῦρ ἐπέθηκα. σκιπίωνι δὲ ζῶντι πολε-
μῶν, ἀποθανόντος ἠχθέσθη, καὶ τοὺς μὲν υἱοὺς ἐκέλευσεν ὑποδύντας ἄρασθαι τὸ
λέχος, τοῖς δὲ θεοῖς ἔφη χάριν ἔχειν ὑπὲρ τῆς ῥώμης ὅτι παρ' ἄλλοις οὐκ ἐγένε-
το σκιπίων. γάϊος μάριος ἐκ γένους ἀδόξου προϊὼν εἰς πολιτείαν διὰ τῆς στρα-
τιῶν ἀγορανομίαν τὴν μείζονα παρήγγειλεν. αἰσθόμενος δὲ ὅτι λείπεται, τῆς
αὐτῆς ἡμέρας ἐπὶ τὴν ἐλάττονα μετῆλθε, κἀκείνης ἀποτυχὼν, ὅμως οὐκ ἀπέ-
γνω τοῦ πρωτεύσειν ῥωμαίων. ἰξίας δὲ ἔχων ἐν ἀμφοτέροις τοῖς σκέλεσι,
παρέσχεν ἄδετος ἐκτεμεῖν τῷ ἰατρῷ, καὶ μὴ στενάξας μηδὲ τὰς ὀφρῦς συναγαγὼν,
ἐνεκαρτέρησεν τῇ χειρουργίᾳ, τοῦ δὲ ἰατροῦ μεταβαίνοντος ἐπὶ θάτερον, οὐκ
ἠθέλησεν, εἰπὼν οὐκ εἶναι τὸ θεράπευμα τῆς ἀλγηδόνος ἄξιον. ἐπεὶ δὲ λού-
σιος ὁ ἀδελφιδοῦς αὐτοῦ τὸ δεύτερον ὑπατεύοντος, ἐβιάζετο τῶν ἐν ὥρᾳ στρα-
τευομένων τινὰ ὀνόματι τρεβώνιον, ὁ δὲ ἀπέκτεινεν αὐτὸν, καὶ πολλῶν κατηγο-
ρούντων, οὐκ ἠρνήσατο κτεῖναι τὸν ἄρχοντα, τὴν δὲ αἰτίαν εἶπε καὶ ἀπέδειξε.
κελεύσας οὖν ὁ μάριος τὸν ἐπὶ ταῖς ἀριστείαις διδόμενον στέφανον κομισθῆ-
ναι, τῷ τρεβωνίῳ περιέθηκε. τοῖς δὲ τεύτοσι παραστρατοπεδεύσας ἐν χω-
ρίῳ ὀλίγον ὕδωρ ἔχοντι, τῶν στρατιωτῶν διψῆν λεγόντων, δείξας αὐτοῖς ποτα-
μὸν ἐγγὺς παραρρέοντα τῷ χάρακι τῶν πολεμίων, ἐκεῖθεν ὑμῖν ἐστιν εἶπε ποτὸν
ὤνιον αἵματος, οἱ δὲ ἄγειν παρεκάλουν, ἕως ὑγρὸν ἔχουσι τὸ αἷμα, καὶ μήπω πα[illegible]
ὑπὸ τοῦ δίψους ἐκπεπηγός. ἐν δὲ τοῖς κιμβρικοῖς πολέμοις καμαρίνων χι-
λίους ἄνδρας ἀγαθοὺς γενομένους ὁμοῦ ῥωμαίους ἐποίησε κατ' οὐδένα νόμον.
πρὸς δὲ τοὺς ἐγκαλοῦντας ἔλεγε, τῶν νόμων οὐκ ἐξακοῦσαι διὰ τὸν τῶν ὅπλων
ψόφον. ἐν δὲ τῷ ἐμφυλίῳ πολέμῳ περιταφρευόμενος καὶ πολιορκούμενος,
ἐκαρτέρει τὸν οἰκεῖον ἀναμένων καιρὸν, εἰπόντος δὲ τοῦ πομπηΐου σίλωνος πρὸς αὐτὸν,
εἰ μέγας εἶ στρατηγὸς ὦ μάριε, καταβὰς διαγώνισαι, σὺ μὲν οὖν εἶπεν εἰ μέγας εἶ
στρατηγὸς, ἀνάγκασόν με διαγωνίσασθαι καὶ μὴ βουλόμενον. κάτλος λουτάτιος,
ἐν τῷ κιμβρικῷ πολέμῳ παρὰ τὸν ἀτίσωνα ποταμὸν στρατοπεδεύων, ἐπεὶ τοὺς
βαρβάρους ὁρῶντες οἱ ῥωμαῖοι διαβαίνειν ἐπιχειροῦντας, ἀνεχώρουν, μὴ δυ-
νάμενος αὐτοὺς κατασχεῖν, ὥρμησεν εἰς τοὺς πρώτους τῶν ἀποχωρούντων, ὅπως
δοκῶσι μὴ φεύγειν τοὺς πολεμίους, ἀλλὰ τῷ στρατηγῷ κατακολουθεῖν. σύλ-
λας ὁ εὐτυχὴς ἀναγορευθεὶς τῶν μεγίστων εὐτυχιῶν ἐποιεῖτο δύο, τὴν πίου μετέλ-
λου φιλίαν,

λου φιλίαν, καὶ τὸ μὴ κατασκάψαι τὰς ἀθήνας, ἀλλὰ φείσασθαι τῆς πόλε-
ως. γάϊος ποπίλλιος ἐπέμφθη πρὸς ἀντίοχον ἐπιστολὴν παρὰ τῆς συγκλήτου
κομίζων κελεύουσαν ἀπάγειν ἐξ αἰγύπτου τὸ στράτευμα, καὶ μὴ σφετερίζε-
σθαι τῶν πτολεμαίου τέκνων ὀρφανῶν ὄντων τὴν βασιλείαν, προσιόντα δ' αὐ-
τὸν διὰ τοῦ στρατοπέδου πόρρωθεν ἀσπασαμένου τοῦ ἀντιόχου φιλοφρόνως, οὐκ
ἀντασπασάμενος τὸ γραμματεῖον ἐπέδωκεν, ἐπεὶ δὲ ἀναγνοὺς, ἔφη βουλεύσα-
σθαι καὶ δώσειν τὴν ἀπόκρισιν, τῷ κλήματι γῦρον περὶ αὐτὸν ὁ ποπίλλιος πε-
ριέγραψεν εἰπὼν, ἐνταῦθα τοίνυν ἑστὼς, βούλευσαι καὶ ἀπόκριναι, πάντων δὲ
τὸ φρόνημα τοῦ ἀνδρὸς καταπλαγέντων, τοῦ τε ἀντιόχου ποιήσειν ὁμολογοῦν-
τος τὰ δοκοῦντα ῥωμαίοις, οὕτως ἠσπάσατο καὶ περιέπτυξεν αὐτὸν ὁ ποπίλ-
λιος. λεύκολλος ἐν ἀρμενίᾳ μετὰ μυρίων ὁπλιτῶν καὶ χιλίων ἱππέων, ἐπὶ
τιγράνην ἐχώρει πεντεκαίδεκα μυριάδας στρατιᾶς ἔχοντα τῇ πρὸ μιᾶς νωνῶν
ὀκτωβρίων ἐν ᾗ πρότερον ὑπὸ κίμβρων ἡ μετὰ σκιπίωνος διεφθάρη δύναμις.
εἰπόντος δέ τινος ὅτι ῥωμαῖοι τὴν ἡμέραν ἀφοσιοῦνται καὶ δεδοίκασιν, οὐκοῦν
ἔφη σήμερον ἀγωνισώμεθα προθύμως, ἵνα καὶ ταύτην ἐξ ἀποφράδος καὶ σκυ-
θρωπῆς ποιήσωμεν ἱλαρὰν καὶ προσφιλῆ ῥωμαίοις. τοὺς δὲ καταφράκτους
μάλιστα φοβουμένων τῶν στρατιωτῶν ἐκέλευε θαρρεῖν, πλεῖον γὰρ ἔργον εἶναι
τοῦ νικῆσαι, τὸ τούτους σκυλεῦσαι. προσβὰς δὲ τῷ λόφῳ πρῶτος, καὶ τὸ κί-
νημα τῶν βαρβάρων θεασάμενος ἀνεβόησε, νενικήκαμεν ὦ συστρατιῶται, καὶ
μηδενὸς ὑποστάντος διώκων πέντε ῥωμαίων ἀπέβαλε πεσόντας, τῶν δὲ πολε-
μίων ὑπὲρ δέκα μυριάδας ἀπέκτεινε. γναῖος πομπήϊος ὑπὸ ῥωμαίων ἠγα-
πήθη τοσοῦτον, ὅσον ὁ πατὴρ ἐμισήθη, νέος δὲ ὢν παντάπασι τῇ σύλλα μερί-
δι προσέθηκεν αὑτὸν, καὶ μήτε ἄρχων μήτε βουλεύων, πολλοὺς ἐκ τῆς ἰταλί-
ας ἐστρατολόγησε, καὶ σύλλα καλοῦντος, οὐκ ἔφη δίχα λαφύρων οὐδὲ ἀναίμα-
κτον ἐπιδεῖξαι τῷ αὐτοκράτορι τὴν δύναμιν, οὐδ' ἦλθε πρότερον πρὶν ἢ πολ-
λαῖς μάχαις νικῆσαι τοὺς στρατηγοὺς τῶν πολεμίων. ἐπεὶ δὲ πεμφθεὶς εἰς
σικελίαν ὑπὸ σύλλα στρατηγὸς, ἐπυνθάνετο τοὺς στρατιώτας ἐν ταῖς ὁδοιπορί-
αις ἐκτρεπομένους βιάζεσθαι καὶ ἁρπάζειν, τοὺς μὲν ἄλλως πλανωμένους καὶ
περιθέοντας ἐκόλασε, τῶν δὲ πεμπομένων ὑπ' αὐτοῦ, σφραγίδας ἐπέβαλε ταῖς
μαχαίραις. μαμερτίνους δὲ τῆς ἐναντίας γενομένους μερίδος, οἷός τε ἦν ἀπο-
σφάττειν ἅπαντας, σθεννίου δὲ τοῦ δημαγωγοῦ φήσαντος, οὐ δίκαια ποιεῖν αὐτὸν,
ἀνθ' ἑνὸς αἰτίου, πολλοὺς ἀναιτίους κολάζοντα, αἴτιον δὲ αὐτὸν εἶναι τοὺς μὲν
φίλους πείσαντα τοὺς δὲ ἐχθροὺς βιασάμενον ἑλέσθαι τὰ μαρίου, θαυμάσας
ὁ πομπήϊος, ἔφη συγγνώμην ἔχειν μαμερτίνοις ὑπὸ τοιούτου πεισθεῖσιν ἀνδρὸς,
ὃς τὴν πατρίδα τῆς ἑαυτοῦ ψυχῆς προτιμᾷ, καὶ τήν τε πόλιν καὶ τὸν σθέννιον
ἀπέλυσεν. εἰς δὲ λιβύην διαβὰς ἐπὶ δομίτιον, καὶ μάχῃ μεγάλῃ κρατήσας,
ἀσπασαμένων αὐτὸν αὐτοκράτορα τῶν στρατιωτῶν, ἔφη μὴ δέχεσθαι τὴν τιμὴν,
ἕως ὀρθὸς ἕστηκεν ὁ χάραξ τῶν πολεμίων, οἱ δὲ, καίπερ ὄμβρου πολλοῦ κατέ-
χοντος, ὁρμήσαντες διεπόρθησαν τὸ στρατόπεδον. ἐπανελθόντα δὲ αὐτὸν ὁ
σύλλας ταῖς μὲν ἄλλαις τιμαῖς ἐδέξατο φιλοφρόνως καὶ μάγνον προσηγόρευ-
σε πρῶτος αὐτόν. θριαμβεῦσαι δὲ βουλόμενον, οὐκ εἴα μηδέπω μετέχοντα
βουλῆς, εἰπόντος δὲ τοῦ πομπηΐου πρὸς τοὺς παρόντας ἀγνοεῖν τὸν σύλλαν ὅτι
καὶ τὸν ἥλιον ἀνατέλλοντα πλείονες ἢ δύνοντα προσκυνοῦσιν, ὁ μὲν σύλλας
ἀνεβόησε θριαμβευέτω. σερουΐλιος δὲ ἀνὴρ ἀριστοκρατικὸς, ἠγανάκτει, καὶ τῶν
στρατιωτῶν ἐνίσταντο πολλοὶ τῷ θριάμβῳ δωρεάς τινας ἀπαιτοῦντες, ἐπεὶ δὲ ὁ
πομπήϊος ἔφη μᾶλλον ἀφήσειν τὸν θρίαμβον ἢ κολακεύσειν ἐκείνους, νῦν ἔφη καὶ

μέγαν ἀληθῶς ὁρᾶν, καὶ ἄξιον τοῦ θριάμβου τὸν πομπήϊον. ἔθους δὲ ὄντος ἐν ῥώμῃ τοῖς ἱππεῦσιν ὅταν στρατεύσωνται τὸν νόμιμον χρόνον ἄγειν τὸν ἵππον εἰς ἀγορὰν ἐπὶ τοὺς δύο ἄνδρας οὓς τιμητὰς καλοῦσι, καὶ καταριθμησαμένους τὰς στρατείας καὶ τοὺς στρατηγοὺς, ὑφ᾽ οὓς ἐστρατεύσαντο τυγχάνειν ἐπαίνων ἢ ψόγων τοῦ προσήκοντος, ὑπατεύων ὁ πομπήϊος, κατήγαγεν αὐτὸς τὸν ἵππον πρὸς τοὺς τιμητὰς σέλλιον καὶ λέντλον, ἐκείνων δὲ ὥσπερ ἔθος ἐστὶ πυθομένων εἰ πάσας ἐστρατεύσατο τὰς στρατείας, πάσας εἶπεν ὑπ᾽ ἐμαυτῷ αὐτοκράτορι. τῶν δὲ σερτωρίου γραμμάτων κρατήσας ἐν ἰβηρίᾳ, ἐν οἷς ἦσαν ἐπιστολαὶ πολλῶν ἡγεμόνων καλούντων σερτώριον εἰς ῥώμην ἐπὶ νεωτερισμῷ καὶ μεταβολῇ τῆς πολιτείας, κατέκαυσε πάσας, διδοὺς μετανοῆσαι καὶ βελτίονας γενέσθαι τοὺς πονηρούς. ἐπεὶ δὲ φραάτης ὁ πάρθων βασιλεὺς ἔπεμψε πρὸς αὐτὸν ἀξιῶν ὅρῳ χρῆσθαι τῷ εὐφράτῃ, μᾶλλον ἔφη χρῆσθαι ῥωμαίους ὅρῳ πρὸς πάρθους τῷ δικαίῳ. λευκίου δὲ λουκούλλου μετὰ τὰς στρατείας ἀφεικότος αὑτὸν εἰς ἡδονὰς καὶ πολυτελῶς ζῶντος, τὸν δὲ πομπήϊον ὡς παρ᾽ ἡλικίαν τοῦ πολλὰ πράσσειν ὀρεγόμενον ψέγοντος, μᾶλλον ἔφη γέροντι τὸ τρυφᾶν, ἢ τὸ ἄρχειν ἐστὶ παρ᾽ ἡλικίαν. νοσοῦντι δὲ αὐτῷ, κίχλην ὁ ἰατρὸς λαβεῖν προσέταξεν, οἱ δὲ ζητοῦντες οὐχ εὗρον, ἦν γὰρ παρ᾽ ὥραν, ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ λευκούλλῳ δι᾽ ἔτους τρεφομένας, εἶτα ἔφη, εἰ μὴ λεύκουλλος ἐτρύφα, πομπήϊος οὐκ ἂν ἔζησε; καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν, ἔλαβε τῶν εὐπορίστων. ἰσχυρᾶς δὲ σιτοδείας ἐν ῥώμῃ γενομένης ἀποδειχθεὶς λόγῳ μὲν ἀγορᾶς ἐπιμελητὴς, ἔργῳ δὲ γῆς καὶ θαλάσσης κύριος ἔπλευσεν εἰς λιβύην καὶ σαρδόνα καὶ σικελίαν, καὶ πολὺν ἀθροίσας σῖτον, ἔσπευδεν εἰς τὴν ῥώμην, μεγάλου δὲ τοῦ χειμῶνος γενομένου, καὶ τῶν κυβερνητῶν ὀκνούντων, πρῶτος ἐμβὰς, καὶ τὴν ἄγκυραν ἆραι κελεύσας, ἀνεβόησε πλεῖν ἀνάγκη, ζῆν οὐκ ἀνάγκη. τῆς δὲ πρὸς τὸν καίσαρα διαφορᾶς ἀποκαλυπτομένης, καὶ μαρκελλίνου τινὸς τῶν ὑπὸ πομπηΐου προῆχθαι δοκούντων, μεταβεβλημένου δὲ πρὸς καίσαρα πολλὰ πρὸς αὐτὸν ἐν συγκλήτῳ λέγοντος, οὐκ αἰσχύνῃ μαρκελλῖνε εἶπεν ἐμοὶ λοιδορούμενος δι᾽ ὃν ἐξ ἀφώνου λόγιος, ἐκ δὲ πεινατικοῦ ἐμετικὸς γέγονας; πρὸς δὲ κάτωνα πικρῶς καθαψάμενον, ὅτι πολλάκις αὐτοῦ προαγορεύοντος τὴν καίσαρος δύναμιν καὶ αὔξησιν, οὐκ ἐπ᾽ ἀγαθῷ τῆς δημοκρατίας γινομένην, ἀπεκρίνατο τὰ μὲν σὰ μαντικώτερα, τὰ δὲ ἐμὰ φιλικώτερα. περὶ δὲ αὑτοῦ παρρησιαζόμενος εἶπεν, ὡς πᾶσαν ἀρχὴν καὶ ἔλαβε θᾶσσον ἢ προσεδόκησε, καὶ κατέθετο θᾶσσον, ἢ προσεδοκήθη. μετὰ δὲ τὴν ἐν φαρσάλῳ μάχην φεύγων εἰς αἴγυπτον, ὡς ἔμελλε διαβαίνειν ἐκ τῆς τριήρους εἰς ἁλιευτικὸν πλοῖον ἀποσταλὲν παρὰ τοῦ βασιλέως, ἐπιστραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν οὐδὲν ἕτερον, ἢ τὸ τοῦ σοφοκλέους εἶπεν,

» ὅς τις δὲ πρὸς τύραννον ἐμπορεύεται, κείνου ἐστὶ δοῦλος κἂν
» ἐλεύθερος μόλῃ.

μεταβὰς δὲ καὶ πληγεὶς ξίφει καὶ στενάξας ἅπαξ, εἰπὼν δὲ μηδὲν, ἀλλ᾽ ἐγκαλυψάμενος παρέδωκεν ἑαυτόν. κικέρων ὁ ῥήτωρ εἰς τοὔνομα σκωπτόμενος, καὶ τῶν φίλων μεταθέσθαι κελευόντων ἔφη, τὸν κικέρωνα ἐνδοξότερον ποιήσειν τῶν κατώνων καὶ τῶν κάτλων καὶ τῶν σκαύρων. ἔκπωμα δὲ ἀργυροῦν τοῖς θεοῖς ἀνατιθεὶς, τὰ μὲν πρῶτα τῶν ὀνομάτων γράμμασιν ἐσήμανεν, ἀντὶ δὲ τοῦ κικέρωνος, ἐρέβινθον ἐτόρευσε. τῶν δὲ ῥητόρων τοὺς μέγα βοῶντας ἔλεγε δι᾽ ἀσθένειαν ἐπὶ τὴν κραυγὴν ὡς χωλοὺς ἀναβαίνειν ἐφ᾽ ἵππον. οὐέρρου δὲ υἱὸν ἔχοντος οὐκ εὖ κεχρημένον ἐφ᾽ ὥρᾳ τῷ σώματι, τὸν δὲ κικέρωνα λοιδοροῦντος εἰς μαλακίαν, καὶ κίναιδον ἀποκαλοῦντος, ἀγνοεῖς εἶπεν ὅτι προσήκει τοῖς τέκνοις ἔσω θυρῶν λοιδορεῖσθαι. μετέλλου δὲ νέπωτος εἰπόντος πρὸς αὐτὸν ὅτι πλείους μαρτυρῶν ἀπέκτονας, ἢ συνηγορῶν σέσωκας, καὶ γάρ ἐστιν ἔφη

πλέοσιν ἐμοὶ πίστεως ἢ λογιότητος. ἐρωτῶντος δὲ τοῦ μετέλλου, τίς αὐτοῦ πατήρ ἐστι, ταύτην ἔφη τὴν ἀπόκρισιν χαλεπωτέραν ἡ σὴ μήτηρ πεποίηκεν. ἦν δὲ ἡ τοῦ μετέλλου ἀκόλαστος, ὁ δὲ μέτελλος αὐτὸς ὑπόκουφος καὶ ἀβέβαιος καὶ φερόμενος ταῖς ὁρμαῖς. διοδότῳ δὲ τῷ διδασκάλῳ τῶν ῥητορικῶν ἀποθανόντι κόρακα λίθινον ἐπιστήσαντος αὐτοῦ, δικαίαν ἔφη τὴν ἀμοιβὴν γεγονέναι, πέτεσθαι γὰρ τοῦτον οὐ λέγειν ἐδίδαξεν. οὐάτιον δὲ ἄνθρωπον ἑαυτῷ διάφορον καὶ μοχθηρὸν ἄλλως ἀκούσας ὅτι τέθνηκεν, εἶτα γνοὺς ὕστερον ὅτι ζῇ, κακῶς εἶπε κακῶς ὁ ψευσάμενος. πρὸς δὲ τὸν δοκοῦντα λίβυν ἀπὸ γένους εἶναι, φήσαντα δὲ αὐτοῦ μὴ ἀκούειν λέγοντος, καὶ μὴν οὐκ ἀτρύπητον ἔχεις τὸ οὖς εἶπε. κάστον δὲ ποπίλλιον νομικὸν εἶναι βουλόμενον, ὄντα δὲ ἀμαθῆ καὶ ἀφυῆ, προσεκαλέσατο μάρτυρα πρός τινα δίκην, εἰπόντος δὲ ἐκείνου μηδὲν γινώσκειν, οἴει γὰρ ἴσως εἶπε περὶ τῶν νομίμων ἐρωτᾶσθαι; ὁρτησίου δὲ τοῦ ῥήτορος λαβόντος μισθὸν ἀργυρᾶν σφίγγα παρὰ τοῦ βέρρου καὶ πρὸς τὸν κικέρωνα πλαγίως τι εἰπόντα φήσαντος αἰνιγμάτων λύσεως ἀπείρως ἔχειν, καὶ μὴν ἡ σφίγξ ἔφη παρά σοί ἐστιν. οὐοκωνίῳ δὲ ἀπαντήσας μετὰ τριῶν θυγατέρων δυσμορφοτάτων τὴν ὄψιν, ἀτρέμα πρὸς τοὺς φίλους εἶπεν,

» φοίβου πότ᾽ οὐκ ἐῶντος ἔσπειρεν τέκνα.

φαύστου δὲ τοῦ σύλλα παιδὸς διὰ πλῆθος δανείων ἀπάρτιον προγράφοντος, ταύτην μᾶλλον ἔφη τὴν προγραφὴν ἀσπάζομαι, ἢ τὴν πατρῴαν αὐτοῦ. πομπηΐου δὲ καὶ καίσαρος διαστάντων ἔφη, γινώσκω ὃν φύγω, μὴ γινώσκων πρὸς ὃν φύγω, καὶ πομπήϊον ἐμέμψατο τὴν πόλιν ἐκλιπόντα, καὶ θεμιστοκλέα μᾶλλον ἢ περικλέα μιμησάμενον, οὐκ ἐκείνοις τῶν πραγμάτων, ἀλλὰ τούτοις ὁμοίων ὄντων, γενόμενος δ᾽ οὖν παρὰ πομπηΐῳ, καὶ πάλιν μετανοῶν ἐρωτηθεὶς ὑπὸ πομπηΐου ποῦ πίσωνα τὸν γαμβρὸν ἀπολέλοιπεν, ἔφη παρὰ τῷ πενθερῷ. μεταβαλλομένου δέ τινος ἀπὸ καίσαρος πρὸς τὸν πομπήϊον λέγοντος, ὑπὸ σπουδῆς καὶ προθυμίας ἀπολελοιπέναι τὸν ἵππον, βέλτιον ἔφη αὐτὸν περὶ τοῦ ἵππου βεβουλεῦσθαι. πρὸς δὲ τὸν ἀπαγγέλλοντα τοὺς καίσαρος φίλους σκυθρωποὺς εἶναι, λέγεις ἔφη δυσνοεῖν αὐτοὺς καίσαρι. μετὰ δὲ τὴν ἐν φαρσάλῳ μάχην πομπηΐου μὲν φυγόντος νωνίου δέ τινος ἔτι παρ᾽ αὐτοῖς ἀετοὺς ἑπτὰ φήσαντος εἶναι, καὶ διὰ τοῦτο θαρρεῖν παρακαλοῦντος, καλῶς ἂν παρῄνεις εἶπεν, εἰ κολοιοῖς ἐπολεμοῦμεν. ἐπεὶ δὲ καῖσαρ κρατήσας, τὰς πομπηΐου καταβεβλημένας εἰκόνας ἀνέστησε μετὰ τιμῆς, ἔφη περὶ αὐτοῦ λέγων ὁ κικέρων, ὅτι τοὺς πομπηΐου καῖσαρ ἱστὰς ἀνδριάντας τοὺς ἑαυτοῦ πήγνυσιν. οὕτω δὲ πολλοῦ τὸ καλῶς λέγειν ἐτίμα τε καὶ περὶ τοῦτο μάλιστα ἠγωνία, ὥστε προκειμένης δίκης ἐν τοῖς ἑκατὸν ἀνδράσιν ὡς ἐπικειμένης τῆς ἡμέρας, ἔρωτα ἀπαγγείλαντα αὐτῷ οἰκέτην εἰς τὴν ἐπιοῦσαν ὑπερτεθῆναι τὴν δίκην, ἐλευθερῶσαι. γάϊος καῖσαρ ὅτε σύλλαν ἔφυγεν ἔτι μειράκιον ὢν περιέπεσε πειραταῖς, καὶ πρῶτον μὲν αἰτηθεὶς ἀργυρίου πλῆθος κατεγέλασε τῶν λῃστῶν ὡς ἀγνοούντων ὃν ἔχοιεν, καὶ διπλάσιον ὡμολόγησε δώσειν, ἔπειτα φρουρούμενος, ὡς συνῆγε τὰ χρήματα προσέταττεν ἡσυχίαν αὐτῷ παρέχειν κοιμωμένῳ καὶ σιωπᾶν, λόγους δὲ καὶ ποιήματα γράφων ἀνεγίνωσκεν αὐτοῖς, καὶ τοὺς μὴ λίαν ἐπαινοῦντας, ἀναισθήτους καὶ βαρβάρους ἀπεκάλει, καὶ μετὰ γέλωτος ἠπείλει κρεμᾶν αὐτούς, ὃ καὶ μετ᾽ ὀλίγον ἐποίησεν, τῶν γὰρ λύτρων κομισθέντων ἀπολυθεὶς καὶ συναγαγὼν ἄνδρας ἐξ ἀσίας καὶ πλοῖα, συνήρπασε τοὺς λῃστὰς καὶ προσήλωσεν. ἐν δὲ ῥώμῃ, πρὸς κάτλον πρωτεύοντα ῥωμαίων εἰς ἅμιλλαν ὑπὲρ τῆς ἀρχιερωσύνης καταστὰς, καὶ προπεμπόμενος ὑπὸ τῆς μητρὸς ἐπὶ τὰς θύρας, σήμερον εἶπεν ὦ μῆτερ, ἀρχιερέα τὸν υἱὸν ἢ φυγάδα ἕξεις. πομπηΐαν

δὲ τὴν γυναῖκα κακῶς ἀκούσασαν ἐπὶ κλωδίῳ παραιτησάμενος, εἶτα τοῦ κλωδίου φεύγοντος ἐπὶ τούτῳ δίκην, μάρτυς εἰσαχθεὶς, οὐδὲν εἶπε φαῦλον περὶ τῆς γυναικὸς, ἐρομένου δὲ τοῦ κατηγόρου διατί τοίνυν ἐξέβαλες αὐτὴν, ὅτι τὴν καίσαρος ἔφη γυναῖκα καὶ διαβολῆς δεῖ καθαρὰν εἶναι. τὰς δὲ ἀλεξάνδρου πράξεις ἀναγινώσκων ἐδάκρυσε καὶ πρὸς τοὺς φίλους εἶπεν, ὅτι ταὐτὴν τὴν ἡλικίαν ἔχων ἐνίκησε δαρεῖον, ἐμοὶ δὲ μέχρι νῦν οὐδὲν πέπρακται. πολίχνιον δὲ αὐτοῦ λυπρὸν ἐν ταῖς ἄλπεσι παρερχομένου, καὶ τῶν φίλων διαπορούντων εἰ καὶ ἐνταῦθά τινες στάσεις εἰσὶ καὶ ἅμιλλαι περὶ πρωτείων, ἐπιστὰς καὶ σύννους γενόμενος, μᾶλλον ἂν ἔφη ἐβουλόμην πρῶτος ἐνταῦθα εἶναι ἢ δεύτερος ἐν ῥώμῃ. τῶν δὲ τολμημάτων τὰ παράβολα καὶ μεγάλα πράττειν ἔφη δεῖν, ἀλλὰ μὴ βουλεύεσθαι. καὶ διέβη τὸν οὔβρωνα ποταμὸν ἐκ τῆς γαλατικῆς ἐπαρχίας, ἐπὶ πομπήιον εἰπὼν, πᾶς ἀνερρίφθω κύβος.

ῥουβίκωνα. γρ.

ἐπεὶ δὲ πομπηίου φεύγοντος ἐπὶ θάλασσαν τῆς ῥώμης, καὶ μέτελλος ἔπαρχος ὢν τοῦ ταμιείου βουλόμενον αὐτὸν χρήματα λαβεῖν, ἐκώλυε καὶ τὸ ταμιεῖον ἀπέκλεισεν, ἠπείλησεν ἀποκτενεῖν αὐτόν, καταπλαγέντος δὲ τοῦ μετέλλου, τοῦτο εἶπεν ὦ νεανίσκε φεῖσαί μοι, χαλεπώτερον ἦν ἢ ποιῆσαι. τῶν δὲ στρατιωτῶν αὐτῷ βραδέως εἰς δυρράχιον ἐκ βρεντεσίου κομιζομένων, λαθὼν ἅπαντας εἰς πλοῖον μικρὸν ἐμβὰς ἐπεχείρησε διαπλεῖν τὸ πέλαγος, συγκλυζομένου δὲ τοῦ πλοίου φωνήσας τῷ κυβερνήτῃ φανερὸν ἑαυτὸν ἀνεβόησε, πίστευε τῇ τύχῃ, γνοὺς ὅτι καίσαρα κομίζεις. τότε μὲν οὖν ἐκωλύθη τοῦ χειμῶνος ἰσχυροῦ γενομένου, καὶ τῶν στρατιωτῶν συνδραμόντων καὶ περιπαθούντων εἰ περιμένει δύναμιν ἄλλην ὡς ἀπιστῶν αὐτοῖς. ἐπεὶ δὲ μάχης γενομένης νικῶν ὁ πομπήιος, οὐκ ἐπεξῆλθεν ἀλλὰ ἀνεχώρησεν εἰς τὸ στρατόπεδον, τήμερον εἶπεν ἡ νίκη παρὰ τοῖς πολεμίοις, ἀλλὰ τὸν εἰδότα νικᾶν οὐκ ἔχουσιν. ἐν δὲ φαρσάλῳ πομπηίου παρατεταγμένην τὴν φάλαγγα κατὰ χώραν ἑστάναι καὶ προσδέχεσθαι τοὺς πολεμίους παρεγγυήσαντος, ἁμαρτεῖν αὐτὸν ἔλεγε τὸν ἐκ τῆς ἐπιδρομῆς μετ' ἐνθουσιασμοῦ τόνον καὶ ῥοῖζον ἐκλύσαντα τῶν στρατιωτῶν. φαρνάκην νικήσας τὸν ποντικὸν ἐξ ἐφόδου, πρὸς τοὺς φίλους ἔγραψεν, ἦλθον, εἶδον, ἐνίκησα. μετὰ δὲ τὴν ἐν λιβύῃ τῶν περὶ σκηπίωνα φυγὴν καὶ ἧτταν κάτωνος αὑτὸν ἀνελόντος, φθονῶ σοι κάτων εἶπε τοῦ θανάτου, καὶ γὰρ σύ μοι τῆς σῆς σωτηρίας ἐφθόνησας. ἀντώνιον δὲ καὶ δολοβέλλαν ὑφορωμένων ἐνίων καὶ φυλάττεσθαι κελευόντων, οὐ τούτους ἔφη δεδιέναι τοὺς βαναύσους καὶ λιπῶντας, ἀλλὰ τοὺς ἰσχνοὺς καὶ ὠχροὺς ἐκείνους δείξας βροῦτον καὶ κάσσιον. λόγου δὲ παρὰ δεῖπνον ἐμπεσόντος περὶ θανάτου ποῖος ἄριστος, ὁ ἀπροσδόκητος εἶπε.

καῖσαρ ὁ πρῶτος ἐπικληθεὶς σεβαστὸς ἔτι μειράκιον ὤν, ἀντώνιον ἀπῄτει δισχιλίας πεντακοσίας μυριάδας τοῦ πρώτου καίσαρος ἀναιρεθέντος ἐκ τῆς οἰκίας ἃς πρὸς αὑτὸν ὁ ἀντώνιος μετήνεγκεν ἀποδοῦναι ῥωμαίοις βουλόμενος τὸ καταλειφθὲν ὑπὸ καίσαρος ἑκάστῳ δραχμὰς ἑβδομήκοντα πέντε, τοῦ δὲ ἀντωνίου τὰ μὲν χρήματα κατέχοντος, ἐκεῖνον δὲ τῆς ἀπαιτήσεως ἀμελεῖν εἰ σωφρονεῖ κελεύοντος, ἐκήρυττε τὰ πατρῷα καὶ ἐπίπρασκε, καὶ τὴν δωρεὰν ἀποδοὺς, εὔνοιαν μὲν αὐτῷ, μῖσος δὲ ἐκείνῳ παρὰ τῶν πολιτῶν περιεποίησεν. ἐπεὶ δὲ ῥυμητάλκης ὁ τῶν θρακῶν βασιλεὺς ἀπὸ ἀντωνίου μεταβαλλόμενος πρὸς αὐτὸν οὐκ ἐμετρίαζεν παρὰ τοὺς πότους, ἀλλ' ἦν ἐπαχθὴς ὀνειδίζων τὴν συμμαχίαν, προπιὼν τινὶ τῶν ἄλλων βασιλέων ὁ καῖσαρ εἶπεν, ἐγὼ προδοσίαν φιλῶ, προδότας δ' οὐκ ἐπαινῶ. τῶν δὲ ἀλεξανδρέων μετὰ τὴν ἅλωσιν τὰ δεινότατα πείσεσθαι προσδοκώντων, ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ παραστησάμενος ἄρειον τὸν ἀλεξανδρέα,

φείδεσθαι

φείδεσθαι μὲν τῆς πόλεως ἔφη πρῶτον διὰ τὸ μέγεθος καὶ τὸ κάλλος, ἔπειτα διὰ τὸν κτίστην ἀλέξανδρον, τρίτον δι' ἄρειον τὸν φίλον. ἀκούσας δὲ ὅτι ἔρως ὁ τὰ ἐν αἰγύπτῳ διοικῶν, ὄρτυγα τὸν κρατοῦντα πάντων ἐν τῷ μάχεσθαι καὶ ἀήττητον ὄντα πριάμενος ὀπτήσας κατέφαγε, μετεπέμψατο αὐτὸν καὶ ἀνέκρινεν, ὁμολογήσαντα δὲ ἐκέλευσεν ἱστῷ νηὸς προσηλωθῆναι. ἐν δὲ σικελίᾳ ἄρειον ἀντὶ θεοδώρου κατέστησε διοικητήν, ἐπιδόντος δέ τινος αὐτῷ βιβλίον ἐν ᾧ γεγραμμένον ἦν φαλακρὸς ἢ κλέπτης θεόδωρος ὁ ταρσεύς, τί σοι δοκεῖ, ἀναγνοὺς καῖσαρ ὑπέγραψε δοκεῖ. παρὰ δὲ μαικήνα τοῦ συμβιωτοῦ καθ' ἕκαστον ἐνιαυτὸν ἐν τοῖς γενεθλίοις δῶρον ἐλάμβανε φιάλην. ἀθηνοδώρῳ δὲ τῷ φιλοσόφῳ διὰ γῆρας εἰς οἶκον ἀφεθῆναι δεηθέντι συνεχώρησεν, ἐπεὶ δὲ ἀσπασάμενος αὐτὸν ὁ ἀθηνόδωρος, εἶπεν ὅταν ὀργισθῇς καῖσαρ, μηδὲν εἴπῃς μηδὲ ποιήσῃς πρότερον, ἢ τὰ εἴκοσι καὶ τέτταρα γράμματα διελθεῖν πρὸς ἑαυτόν, ἐπιλαβόμενος αὐτοῦ τῆς χειρὸς ἔτι σοῦ παρόντος ἔφη χρείαν ἔχω, καὶ κατέσχεν αὐτὸν ὅλον ἐνιαυτὸν εἰπών, ὅτι ἔστι καὶ σιγῆς ἀκίνδυνον γέρας. ἀκούσας δὲ ὅτι ἀλέξανδρος δύο καὶ τριάκοντα γεγονὼς ἔτη κατεστραμμένος τὰ πλεῖστα διηπόρει τί ποιήσει τὸν λοιπὸν χρόνον, ἐθαύμαζεν εἰ μὴ μεῖζον ἀλέξανδρος ἔργον ἡγεῖτο τοῦ κτήσασθαι μεγάλην ἡγεμονίαν, τὸ διατάξαι τὴν ὑπάρχουσαν.

ἀκούσας .Ι. Α.

γράψας τὸν περὶ τῶν μοιχῶν νόμον, ἐν ᾧ διώρισται, πῶς δεῖ κρίνεσθαι τοὺς ἐν αἰτίαις γενομένους, καὶ πῶς δεῖ κολάζεσθαι τοὺς ἁλόντας, εἶτα προσπεσὼν ὑπ' ὀργῆς τὸν ἐπὶ ἰουλίᾳ τῇ θυγατρὶ διαβεβλημένον νεανίσκον, ἔτυπτε ταῖς χερσίν, ἐκείνου δὲ ἀναβοῶντος νόμον ἔθηκας ὦ καῖσαρ, οὕτω μετενόησεν, ὥστε τὴν ἡμέραν ἐκείνην παραιτήσασθαι τὸ δεῖπνον. γάιον δὲ τὸν θυγατριδοῦν εἰς ἀρμενίαν ἀποστέλλων, ᾐτεῖτο παρὰ τῶν θεῶν εὔνοιαν αὐτῷ τὴν πομπηίου, τόλμαν δὲ τὴν ἀλεξάνδρου, τύχην δὲ τὴν ἑαυτοῦ παρακολουθῆσαι. ῥωμαίοις δὲ τῆς ἀρχῆς ἔλεγεν ἀπολείψειν διάδοχον, ὃς οὐδέποτε περὶ τοῦ αὐτοῦ πράγματος δὶς ἐβουλεύσατο τιβέριον λέγων. θορυβοῦντας δὲ τοὺς ἐν ἀξιώμασι νέους καταστεῖλαι βουλόμενος, ὡς οὐ προσεῖχον ἀλλ' ἐθορύβουν, ἀκούσατε εἶπε νέοι γέροντος, οὗ νέου γέροντες ἤκουον. τοῦ δὲ ἀθηναίων δήμου ἐξημαρτηκέναι τι δόξαντος, ἔγραψεν ἀπ' αἰγίνης οἴεσθαι μὴ λανθάνειν αὐτοὺς ὀργιζόμενος, οὐ γὰρ ἂν ἐν αἰγίνῃ διαχειμάσειν, ἄλλο δὲ οὐδὲν οὔτε εἶπεν αὐτοὺς, οὔτε ἐποίησε. τῶν δὲ εὐκυκλέους κατηγόρων ἑνὸς ἀφειδῶς καὶ κατακόρως παρρησιαζομένου καὶ προαχθέντος, εἰπεῖν τι τοιοῦτον, εἰ ταῦτά σοι καῖσαρ οὐ φαίνεται μεγάλα, κέλευσον αὐτὸν ἀποδοῦναί μοι θουκυδίδου τὴν ἑβδόμην, διοργισθεὶς ἀπάγεσθαι ἐκέλευσε. πυθόμενος δὲ ὅτι τῶν ἀπὸ βρασίδου γεγονότων ὑπόλοιπος οὗτός ἐστι, μετεπέμψατο καὶ μέτρια νουθετήσας, ἀπέλυσε. πείσωνος δὲ τὴν οἰκίαν ἐκ θεμελίων ἄχρι πάσης στέγης ἐπιμελῶς οἰκοδομοῦντος, εὔθυμον ἔφη με ποιεῖς οὕτως οἰκοδομῶν ὡς ἀιδίου τῆς ῥώμης ἐσομένης.

Ἀγασικλῆς ὁ Λακεδαιμονίων βασιλεὺς θαυμάζοντός τινος ὅτι
φιλήκοος ὢν οὐ προσδέχεται Φιλοφάνην τὸν σοφιστήν, ἔφη τού-
των χρῄζω μαθητὴς εἶναι, ὧν εἰμὶ καὶ υἱός. πρὸς δὲ τὸν εἰ-
πόντα πῶς ἄν τις ἀδορυφόρητος ὢν ἄρχειν ἀσφαλῶς δύναιτο,
ἐὰν οὕτως ἔφη αὐτῶν ἄρχῃ ὡς πατέρες τῶν υἱῶν. ἀγη-
σίλαος ὁ μέγας παρὰ πότον ποτὲ λαχὼν συμποσίαρχος, ἐρωτηθεὶς ὑπὸ τοῦ
οἰνοχόου πόσον ἑκάστῳ προσφέρει, εἰ μὲν πολὺς οἶνος ἐστὶ παρεσκευασμένος, ὅσον
ἕκαστος αἰτεῖ, εἰ δὲ ὀλίγος, ἐξ ἴσου δίδου πᾶσι. κακούργου δέ τινος ἐμμόνως
ὑπομείναντος βασάνους, ὡς σφόδρα πονηρὸς εἶπεν ἄνθρωπος, εἰς μοχθηρὰ καὶ
αἰσχρὰ πράγματα τὴν ὑπομονὴν καὶ καρτερίαν κατατιθέμενος. ἐπαινοῦν-
τος δέ τινος ῥήτορα ἐπὶ τῷ δυνατῶς αὔξειν τὰ μικρὰ πράγματα, οὐδὲ σκυτο-
τόμον ἔφησεν ἡγοῦμαι σπουδαῖον, ὃς μικρῷ ποδὶ ὑποδήματα μεγάλα περι-
τίθησι. φαμένου δέ τινός ποτε πρὸς αὐτὸν ὡμολόγηκας, καὶ πολλάκις τὸ αὐ-
τὸ λέγοντος, ναὶ δῆτα εἴ γ' ἔστι δίκαιον ἔφη, εἰ δὲ μή, ἔλεξα μέν, ὡμολόγησα δ' οὔ.
ἐπειπόντος δέ, ἀλλὰ μὴν δεῖ τοὺς βασιλεῖς ἐπιτελεῖν ὅττι κεν κεφαλῇ κατανεύ-
σωσιν, οὐ μᾶλλον ἔφη ἢ τοὺς προσιόντας, τοῖς βασιλεῦσιν αἰτεῖσθαι δεῖ τὰ δίκαια καὶ
λέγειν, στοχαζομένους τε τοῦ καιροῦ καὶ τοῦ ἁρμόζοντος τοῖς βασιλεῦσιν.
ὁπότε δὲ ψεγόντων ἢ ἐπαινούντων τινῶν ἀκούει, οὐχ ἧττον ᾤετο δεῖν καταμαν-
θάνειν τοὺς τῶν λεγόντων τρόπους, ἢ περὶ ὧν λέγοιεν. ἔτι δὲ παῖδα αὐτὸν
ὄντα, γυμνοπαιδίας ἀγομένης, ὁ χοροποιὸς ἔστησεν εἰς ἄσημον χώραν, ὁ δὲ ἐπεί-
θετο, καίπερ ἤδη βασιλεὺς ἀποδεδειγμένος, καὶ εἶπεν εὖγε, δείξω γὰρ ὅτι οὐχ οἱ τόποι
τοὺς ἄνδρας ἐντίμους, ἀλλ' οἱ ἄνδρες τοὺς τόπους ἐπιδεικνύουσι. προστάττον-
τος δέ τινος αὐτῷ ἰατροῦ περιεργοτέραν θεραπείαν καὶ οὐχ ἁπλῆν, νὴ τὼ σιώ φησιν,
οὐκ εἰ πάντως μοι πρόκειται ζῆν, οὐδ' εἰ πάντα ἀναδέξομαι. ἐφεστὼς δέ ποτε τῷ βωμῷ
τῆς Χαλκιοίκου βουθυτῶν, ἐπειδὴ φθεὶρ αὐτὸν ἔδακεν, οὐ διετράπη, λαβὼν δὲ
περιφανῶς ἐναντίον πάντων ἀπέκτεινε προσειπών, νὴ τοὺς θεοὺς ἡδέως τὸν
ἐπίβουλον καὶ ἐπὶ τῷ βωμῷ. ἄλλοτε ἰδὼν μῦν ἑλκόμενον ἐκ θυρίδος ὑπὸ
παιδαρίου κρατοῦντος, ἐπεὶ ὁ μῦς ἐπιστραφεὶς ἔδακε τὴν χεῖρα τοῦ κρατοῦντος
καὶ ἔφυγεν, ἐπιδείξας τοῖς παροῦσιν εἶπεν, ὅταν τὸ ἐλάχιστον ζῷον οὕτως ἀμύ-
νηται τοὺς ἀδικοῦντας, τί τοὺς ἄνδρας προσήκει ποιεῖν λογίζεσθαι. βου-
λόμενος δὲ τὸν πρὸς τὸν Πέρσην συστήσασθαι πόλεμον, ἕνεκα τοῦ ἐλευθερῶσαι τοὺς
ἐν τῇ Ἀσίᾳ Ἕλληνας τῷ κατὰ Δωδώνην Διὸς ἐχρήσατο μαντείῳ, κελεύσαντος δὲ
τοῦ θεοῦ στρατεύεσθαι, τὸ χρησθὲν ἀνήγγειλε τοῖς ἐφόροις, οἱ δὲ ἐκέλευ-
σαν αὐτὸν καὶ εἰς Δελφοὺς ἀφικόμενον, περὶ τῶν αὐτῶν πυνθάνεσθαι. πο-
ρευθεὶς οὖν εἰς τὸ μαντεῖον ἐπηρώτησεν οὕτως, ἄπολλον, ἦ δοκεῖ σοι ὅ καὶ τῷ
πατρί, συναινέσαντος δέ, αἱρεθεὶς οὕτως ἐστρατεύσατο. ἐπεὶ δὲ Τισσαφέρ-
νης ἐν ἀρχῇ μὲν φοβηθεὶς τὸν ἀγησίλαον, ἐποιήσατο σπονδάς, τὰς πόλεις αὐτῷ
τὰς ἑλληνικὰς ἀφήσειν αὐτονόμους βασιλεύεσθαι, μεταπεμψάμενος δὲ παρὰ
τοῦ βασιλέως πολὺ στράτευμα, πόλεμον κατήγγειλεν αὐτῷ, εἰ μὴ ἀπίοι τῆς
ἀσίας, ἄσμενος τὴν παράβασιν δεξάμενος, ὥρμησε μὲν καὶ ἐπὶ καρίαν προά-
ξων, ἐκεῖ δὲ τὴν δύναμιν τοῦ Τισσαφέρνους ἀθροίσαντος, ἄρας εἰς φρυγίαν
ἐνέβαλε, καὶ λαβὼν πόλεις πλείστας καὶ χρημάτων πλῆθος, ἔφη τοῖς φίλοις
ἀποσπεισάμενον μὲν ἀδίκως, ἀσεβές, τοὺς δὲ πολεμίους παραλογίζεσθαι,
οὐ μόνον δίκαιον καὶ ἔνδοξον, ἀλλὰ καὶ ἡδὺ καὶ κερδαλέον. τοῖς δ' ἱππεῦ-

σιν

σιν ἐλαττωθείς, ἀνεχώρησεν εἰς Ἔφεσον καὶ τοῖς εὐπόροις προεῖπε παρέχειν ἵπ-
πον ἀνθ' ἑαυτοῦ καὶ ἄνδρα καὶ ἀπολυόμενον τῆς στρατείας, ὥστε ταχὺ συνήχθη-
σαν καὶ ἵπποι καὶ ἄνδρες ἐπιτήδειοι ἀντὶ δειλῶν καὶ πλουσίων, τὸν ἀγαμέ-
μνονα ἔφη ζηλοῦν, καὶ γὰρ ἐκεῖνον θήλειαν ἵππον ἀγαθὴν λαβόντα, κακὸν ἄνδρα
καὶ πλούσιον τῆς στρατείας ἀπολῦσαι. ἐπεὶ δὲ κελεύσαντος αὐτοῦ τοὺς αἰχ-
μαλώτους γυμνοὺς πωλεῖν, ἐπίπρασκον οἱ λαφυροπῶλαι, καὶ τῆς μὲν ἐσθῆτος
ἦσαν ὠνηταὶ πολλοί, τῶν δὲ σωμάτων λευκῶν καὶ ἁπαλῶν παντάπασι διὰ
τὰς σκιατραφίας κατεγέλων ὡς ἀχρήστων καὶ μηδενὸς ἀξίων, ἐπιστὰς ὁ ἀγησί-
λαος, ταῦτα μὲν εἶπεν ὑπὲρ ὧν μάχεσθε, οὗτοι δὲ οἷς μάχεσθε. τρεψάμενος δὲ
περὶ Λυδίαν Τισσαφέρνην, καὶ πλείστους ἀνελών, κατέτρεχε τῆς βασιλέως χώ-
ρας, τούτου δὲ χρήματα αὐτῷ προπέμψαντος καὶ ἀξιοῦντος διαλύσασθαι τὸν
πόλεμον, ὁ ἀγησίλαος, τῆς μὲν εἰρήνης ἔφη τὴν πόλιν εἶναι κυρίαν, τοὺς δὲ στρα-
τιώτας πλουτίζων ἥδεσθαι μᾶλλον, ἢ αὐτὸς πλουτῶν, καλὸν δὲ νομίζειν Ἕλλη-
νας οὐ δῶρα λαμβάνειν ἀπὸ τῶν πολεμίων, ἀλλὰ λάφυρα κτᾶσθαι. μεγαβά-
του δὲ τοῦ Σπιθριδάτου παιδός, ὃς ἦν κάλλιστος τὴν μορφήν, προσελθόντος αὐτῷ
ὡς ἀσπασομένου καὶ φιλήσοντος διὰ τὸ σφόδρα δοκεῖν ἀγαπᾶσθαι, ἐξέκλινεν,
ὡς δ' ἐπαύσατο ἐκεῖνος προσιών, ἐπεζήτησεν αὐτὸν ὁ ἀγησίλαος, τῶν δὲ φίλων
φαμένων ὡς αὐτὸς εἴη αἴτιος, δείσας τὸ τοῦ καλοῦ φιλήματος ἐλθεῖν, καὶ μὴ ἀπο-
δειλίας ἥξειν ἐκεῖνον, χρόνον οὐκ ὀλίγον πρὸς αὑτῷ γενόμενος ὁ ἀγησίλαος καὶ
διασιωπήσας, οὐδὲν ἔφη δεῖν πείθειν ἐκεῖνον ἡμᾶς, ἐγὼ γάρ μοι δοκῶ τῶν τοιού-
των βούλεσθαι ἐπάνω εἶναι ἢ τὴν εὐανδροτάτην τῶν ἀντιτεταγμένων πόλιν
κατὰ κράτος ἑλεῖν, ἄμεινον γὰρ ἑαυτῷ φυλάττειν τὴν ἐλευθερίαν, ἢ τῶν ἑτέρων ἀ-
φαιρεῖσθαι. τὰ δὲ ἄλλα, ἀκριβὴς ὢν καὶ νόμιμος ἐν τοῖς φιλικοῖς πράγμα-
σιν, ἐνόμιζε πρόφασιν εἶναι τὸ λίαν δίκαιον πρὸς αὐτούς, φέρεται γοῦν ἐπιστόλιον
αὐτοῦ παραιτουμένου τινὰ τῶν φίλων πρὸς Ἱδριέα τὸν Κᾶρα· οὕτω Νικίας εἰ μὲν οὐκ
ἀδικεῖ, ἄφες, εἰ δὲ ἀδικεῖ ἐμοὶ ἄφες, πάντως δὲ ἄφες. ἐν μὲν οὖν τοῖς πλεί-
στοις ὑπὲρ τῶν φίλων, τοιοῦτος ἀγησίλαος, ἔστι δὲ ὅπου πρὸς τὸ συμφέρον ἐχρῆ-
το τῷ καιρῷ μᾶλλον. ἀναζυγῆς γοῦν ποτε γενομένης θορυβωδεστέρας, ἀσθενοῦντα
καταλιπὼν τὸν ἐρώμενον, ἐκείνου δεομένου καὶ ἀνακαλοῦντος μετὰ δακρύων αὐτόν,
ἐπιστραφεὶς εἶπεν ὡς χαλεπόν ἐστιν ἐλεεῖν ἅμα καὶ φρονεῖν. δίαιταν δὲ τὴν περὶ
τὸ σῶμα οὐδὲν ἀμείνονα τῶν συνόντων εἶχε, κόρου μὲν καὶ μέθης τὸ παράπαν ἀπε-
χόμενος, ὕπνῳ δὲ οὐ δεσπότῃ ἀλλ' ἀρχομένῳ ἀπὸ τῶν πράξεων χρώμενος, πρὸς δὲ
θάλπος οὕτω καὶ ψῦχος εἶχεν, ὥστε μόνοις ἀεὶ χρῆσθαι ταῖς ὥραις, ἐν μέσοις δὲ τοῖς
στρατιώταις σκηνῶν, οὐδενὸς ἀμείνονα κοίτην εἶχε, διετέλει δὲ λέγων, τὸν ἄρχον-
τα προσήκειν οὐ μαλακίᾳ καὶ τρυφῇ, καρτερίᾳ δὲ καὶ ἀνδρείᾳ τῶν ἰδιωτῶν περιεῖναι.
πυνθανομένου γοῦν τινος τί περιεποίησαν οἱ Λυκούργου νόμοι τῇ Σπάρτῃ, κατα-
φρονεῖν ἔφη τῶν ἡδονῶν. πρὸς δὲ τὸν ἐπιθαυμάζοντα τὴν μετριότητα τῆς ἐσθῆτος
καὶ τῆς τροφῆς αὐτοῦ, καὶ τῶν ἄλλων λακεδαιμονίων, ἀντὶ ταύτης ἔφη τῆς διαίτης
ὦ ξένε, τὴν ἐλευθερίαν ἀμώμεθα. ἄλλου δὲ προτρεπομένου ἀνίεσθαι καὶ λέγον-
τος διὰ τὸ τῆς τύχης ἄδηλον μή ποτε καιρὸς τούτου γένηται, ἀλλ' ἐγὼ εἶπεν, ἐμαυ-
τὸν ἐθίζω λέγων ὥστ' ἐν μηδεμιᾷ μεταβολῇ, μεταβολὴν ζητεῖν. καὶ πρεσ-
βύτης δὲ γενόμενος, τῇ αὐτῇ ἀγωγῇ ἐχρῆτο, πρὸς δὲ τὸν πυθόμενον διότι σφο-
δροῦ χειμῶνος ὄντος, ἀχίτων περιέρχεται εἰς τοῦτο τῆς ἡλικίας ἥκων, ἵνα
φησὶν οἱ νέοι μιμῶνται παράδειγμα ἔχοντες τοὺς πρεσβυτάτους καὶ ἄρχον-
τας. Θάσιοι δὲ τὴν χώραν αὐτοῦ διαπορευομένῳ μετὰ τοῦ στρατεύματος, ἄλφιτα
καὶ χῆνας καὶ τραγήματα καὶ μελίπηκτα καὶ ἄλλα παντοδαπὰ βρώματά τε καὶ

γασικλῆς ὁ Λακεδαιμονίων βασιλεὺς θαυμάζοντός τινος ὅτι φιλήκοος ὢν οὐ προσδέχεται Φιλοφάνην τὸν σοφιστήν, ἔφη τούτων χρῄζω μαθητὴς εἶναι, ὧν εἰμὶ καὶ υἱός. πρὸς δὲ τὸν εἰπόντα πῶς ἄν τις ἀδορυφόρητος ὢν ἄρχειν ἀσφαλῶς δύναιτο, ἐὰν οὕτως ἔφη αὐτῶν ἄρχῃ ὥσπερ οἱ πατέρες τῶν υἱῶν. Ἀγησίλαος ὁ μέγας παρὰ πότον ποτὲ λαχὼν συμποσίαρχος, ἐρωτᾶται ὑπὸ τοῦ οἰνοχόου πόσον ἑκάστῳ προσφέρει, εἰ μὲν πολὺς οἶνος ἐστὶ παρεσκευασμένος, ὅσον ἕκαστος αἰτεῖ, εἰ δὲ ὀλίγος, ἐξ ἴσου δίδου πᾶσι. κακούργου δέ τινος ἐμμόνως ὑπομείναντος βασάνους, ὡς σφόδρα πονηρὸς εἶπεν ἄνθρωπος, εἰς μοχθηρὰ καὶ αἰσχρὰ πράγματα τὴν ὑπομονὴν καὶ καρτερίαν κατατιθέμενος. ἐπαινοῦντος δέ τινος ῥήτορα ἐπὶ τῷ δυνατῶς αὔξειν τὰ μικρὰ πράγματα, οὐδὲ σκυτοτόμον ἔφησεν ἡγοῦμαι σπουδαῖον, ὃς μικρῷ ποδὶ ὑποδήματα μεγάλα περιτίθησι. φαμένου δέ τινος ποτὲ πρὸς αὐτὸν ὡμολόγηκας, καὶ πολλάκις τοῦτο λέγοντος, ναὶ δῆτα εἰ δ' ἔστι δίκαιον ἔφη, εἰ δὲ μή, ἔλεξα μέν, ὡμολόγησα δὲ οὔ. ἐπειπόντος δέ, ἀλλὰ μὴν δεῖ τοὺς βασιλεῖς ἐπιτελεῖν ὅττι κεν κεφαλῇ κατανεύσωσιν, οὐ μᾶλλον ἔφη ἢ τοὺς προσιόντας, τοῖς βασιλεῦσιν αἰτεῖσθαι δεῖ τὰ δίκαια καὶ λέγειν, στοχαζομένους τε τοῦ καιροῦ καὶ τοῦ ἁρμόζοντος τοῖς βασιλεῦσιν. ὁπότε δὲ ψεγόντων ἢ ἐπαινούντων τινῶν ἀκούει, οὐχ ἧττον ᾤετο δεῖν καταμανθάνειν τοὺς τῶν λεγόντων τρόπους, ἢ περὶ ὧν λέγοιεν. ἔτι δὲ παῖδα αὐτὸν ὄντα, γυμνοπαιδίας ἀγομένης, ὁ χοροποιὸς ἔστησεν εἰς ἄσημον τόπον, ὁ δὲ ἐπείσθη, καίπερ ἤδη βασιλεὺς ἀποδεδειγμένος, καὶ εἶπεν εὖγε, δείξω γὰρ ὅτι οὐχ οἱ τόποι τοὺς ἄνδρας ἐντίμους, ἀλλ' οἱ ἄνδρες τοὺς τόπους ἐπιδεικνύουσι. προστάττοντος δέ τινος αὐτῷ ἰατροῦ περιεργοτέραν θεραπείαν καὶ οὐχ ἁπλῆν, νὴ τὼ σιώ φησιν εἰ οὐ πάντως μοι πρόκειται ζῆν, οὐδ' εἰ πάντα ἀναδέχωμαι. ἐφεστὼς δέ ποτε τῷ βωμῷ τῆς Χαλκιοίκου βουθυτῶν, ἐπειδὴ φθεὶρ αὐτὸν ἔδακεν, οὐ διετράπη, λαβὼν δὲ περιφανῶς ἐναντίον πάντων ἀπέκτεινε προσειπών, νὴ τοὺς θεοὺς ἡδέως τὸν ἐπίβουλον καὶ ἐπὶ τῷ βωμῷ. ἄλλοτε ἰδὼν μῦν ἑλκόμενον ἐκ θυρίδος ὑπὸ παιδαρίου κρατοῦντος, ἐπεὶ ὁ μῦς ἐπιστραφεὶς ἔδακε τὴν χεῖρα τοῦ κρατοῦντος καὶ ἔφυγεν, ἐπιδείξας τοῖς παροῦσιν εἶπεν, ὅταν τὸ ἐλάχιστον ζῶον οὕτως ἀμύνηται τοὺς ἀδικοῦντας, τί τοὺς ἄνδρας προσήκει ποιεῖν λογίζεσθαι. βουλόμενος δὲ τὸν πρὸς τὸν Πέρσην συστήσασθαι πόλεμον, ἕνεκα τοῦ ἐλευθερῶσαι τοὺς ἐν τῇ Ἀσίᾳ Ἕλληνας τῷ κατὰ Δωδώνην Διὸς ἐχρήσατο μαντείῳ, κελεύσαντος δέ, ὅπερ ἐστὶν ὡς δοκεῖ στρατεύεσθαι, τὸ χρησθὲν ἀνήγγειλε τοῖς ἐφόροις, οἱ δὲ ἐκέλευσαν αὐτὸν καὶ εἰς Δελφοὺς ἀφικόμενον, περὶ τῶν αὐτῶν πυνθάνεσθαι. πορευθεὶς οὖν εἰς τὸ μαντεῖον ἐπηρώτησεν οὕτως, Ἄπολλον, εἰ δοκεῖ σοι ὃ καὶ τῷ πατρί, συναινέσαντος δέ, αἱρεθεὶς οὕτως ἐστρατεύσατο. ἐπεὶ δὲ Τισσαφέρνης ἐν ἀρχῇ μὲν φοβηθεὶς τὸν Ἀγησίλαον, ἐποιήσατο σπονδάς, τὰς πόλεις αὐτῷ τὰς Ἑλληνικὰς ἀφήσειν αὐτονόμους βασιλεύεσθαι, μεταπεμψάμενος δὲ παρὰ τοῦ βασιλέως πολὺ στράτευμα, πόλεμον κατήγγειλεν αὐτῷ, εἰ μὴ ἀπίοι τῆς Ἀσίας, ἄσμενος τὴν παράβασιν δεξάμενος, ὥρμησε μὲν καὶ ἐπὶ Καρίαν προάξων, ἐκεῖ δὲ τὴν δύναμιν τοῦ Τισσαφέρνους ἀθροίσαντος, ἄφνω εἰς Φρυγίαν ἐνέβαλε, καὶ λαβὼν πόλεις πλείστας καὶ χρημάτων πλῆθος, ἔφη τοῖς φίλοις ἀπεσπεισάμενον μὲν ἀδίκως, ἀσεβές, τοὺς δὲ πολεμίους παραλογίζεσθαι, οὐ μόνον δίκαιον καὶ ἔνδοξον, ἀλλὰ καὶ ἡδὺ καὶ κερδαλέον. τοῖς δ' ἱππεῦ-

σιν ἐλαττωθεῖσιν, ἀνεχώρησεν εἰς Ἔφεσον καὶ τοῖς εὐπόροις προεῖπε παρέχειν ἵππον ἀνθ' ἑαυτοῦ καὶ ἄνδρα, καὶ ἀπολυόμενον τῆς στρατείας, ὥστε ταχὺ συνήχθησαν καὶ ἵπποι καὶ ἄνδρες ἐπιτήδειοι ἀντὶ δειλῶν καὶ πλουσίων, τὸν Ἀγαμέμνονα ἔφη ζηλοῦν, καὶ γὰρ ἐκεῖνον θήλειαν ἵππον ἀγαθὴν λαβόντα, κακὸν ἄνδρα καὶ πλούσιον τῆς στρατείας ἀπολῦσαι. ἐπεὶ δὲ κελεύσαντος αὐτοῦ τοὺς αἰχμαλώτους γυμνοὺς πωλεῖν, ἐπίπρασκον οἱ λαφυροπῶλαι, καὶ τῆς μὲν ἐσθῆτος ἦσαν ὠνηταὶ πολλοί, τῶν δὲ σωμάτων λευκῶν καὶ ἁπαλῶν παντάπασι διὰ τὰς σκιατραφίας κατεγέλων ὡς ἀχρήστων καὶ μηδενὸς ἀξίων, ἐπιστὰς ὁ Ἀγησίλαος, ταῦτα μὲν εἶπεν ὑπὲρ ὧν μάχεσθε, οὗτοι δὲ οἷς μάχεσθε. τρεψάμενος δὲ περὶ Λυδίαν Τισσαφέρνην, καὶ πλείστους ἀνελών, κατέτρεχε τῆς βασιλέως χώρας, τούτου δὲ χρήματα αὐτῷ προπέμψαντος καὶ ἀξιοῦντος διαλύσασθαι τὸν πόλεμον, ὁ Ἀγησίλαος, τῆς μὲν εἰρήνης ἔφη τὴν πόλιν εἶναι κυρίαν, τοὺς δὲ στρατιώτας πλουτίζων ἥδεσθαι μᾶλλον, ἢ αὐτὸς πλουτῶν, καλὸν δὲ νομίζειν Ἕλληνας οὐ δῶρα λαμβάνειν ἀπὸ τῶν πολεμίων, ἀλλὰ λάφυρα κτᾶσθαι. Μεγαβάτου δὲ τοῦ Σπιθριδάτου παιδός, ὃς ἦν κάλλιστος τὴν μορφήν, προσελθόντος αὐτῷ ὡς ἀσπασομένου καὶ φιλήσοντος, διὰ τὸ σφόδρα δοκεῖν ἀγαπᾶσθαι, ἐξέκλινεν, ὡς δ' ἐπαύσατο ἐκεῖνος προσιών, ἐπεζήτησεν αὐτὸν ὁ Ἀγησίλαος, τῶν δὲ φίλων φαμένων ὡς αὐτὸς εἴη αἴτιος, τρέσας τὸ τοῦ καλοῦ φιλήματος ἐλθεῖν, καὶ μὴ ἀπὸ δειλίας ἥξειν ἐκεῖνον, χρόνον οὐκ ὀλίγον πρὸς αὑτῷ γενόμενος ὁ Ἀγησίλαος καὶ διασιωπήσας, οὐδὲν ἔφη δεῖν πείθειν ἐκεῖνον ὑμᾶς, ἐγὼ γάρ μοι δοκῶ τῶν τοιούτων βούλεσθαι ἐπάνω εἶναι ἢ τὴν εὐανδροτάτην τῶν ἀντιτεταγμένων πόλιν κατὰ κράτος ἑλεῖν, ἄμεινον γὰρ ἑαυτῷ φυλάττειν τὴν ἐλευθερίαν, ἢ ἑτέρων ἀφαιρεῖσθαι. τὰ δὲ ἄλλα, ἀκριβὴς ὢν καὶ νόμιμος ἐν τοῖς φιλικοῖς πράγμασιν, ἐνόμιζε πρόφασιν εἶναι τὸ λίαν δίκαιον πρὸς αὐτούς, φέρεται γοῦν ἐπιστόλιον αὐτοῦ παραιτουμένου τινὰ τῶν φίλων πρὸς Ἱδριέα τὸν Κᾶρα· οὕτω. Νικίας εἰ μὲν οὐκ ἀδικεῖ, ἄφες, εἰ δὲ ἀδικεῖ ἐμοὶ ἄφες, πάντως δὲ ἄφες. ἐν μὲν οὖν τοῖς πλείστοις ὑπὲρ τῶν φίλων, τοιοῦτος Ἀγησίλαος, ἔστι δὲ ὅπου πρὸς τὸ συμφέρον ἐχρῆτο τῷ καιρῷ μᾶλλον. ἀναζυγῆς γοῦν ποτε γενομένης θορυβωδεστέρας, ἀσθενοῦντα καταλιπὼν τὸν ἐρώμενον, ἐκείνου δεομένου καὶ ἀνακαλοῦντος μετὰ δακρύων αὐτόν, ἐπιστραφεὶς εἶπεν ὡς χαλεπόν ἐστιν ἐλεεῖν ἅμα καὶ φρονεῖν. δίαιταν δὲ τὴν περὶ τὸ σῶμα οὐδὲν ἀμείνονα τῶν συνόντων εἶχε, κόρου μὲν καὶ μέθης τὸ παράπαν ἀπεχόμενος, ὕπνῳ δὲ οὐ δεσπότῃ ἀλλ' ἀρχομένῳ ὑπὸ τῶν πράξεων χρώμενος, πρὸς δὲ θάλπος οὕτω καὶ ψύχος εἶχεν, ὥστε μόνοις ἀεὶ χρῆσθαι ταῖς ὥραις, ἐν μέσοις δὲ τοῖς στρατιώταις σκηνῶν, οὐδενὸς ἀμείνονα κοίτην εἶχε, διετέλει δὲ λέγων, τὸν ἄρχοντα προσήκειν οὐ μαλακίᾳ καὶ τρυφῇ, καρτερίᾳ δὲ καὶ ἀνδρίᾳ τῶν ἰδιωτῶν περιεῖναι. πυθομένου γοῦν τινος τί περιεποίησαν οἱ Λυκούργου νόμοι τῇ Σπάρτῃ, καταφρονεῖν ἔφη τῶν ἡδονῶν. πρὸς δὲ τὸν ἐπιθαυμάζοντα τὴν μετριότητα τῆς ἐσθῆτος καὶ τῆς τροφῆς αὐτοῦ, καὶ τῶν ἄλλων Λακεδαιμονίων, ἀντὶ ταύτης ἔφη τῆς διαίτης ὦ ξένε, τὴν ἐλευθερίαν ἀμώμεθα. ἄλλου δὲ προτρεπομένου ἀνίεσθαι καὶ λέγοντος διὰ τὸ τῆς τύχης ἄδηλον μή ποτε καιρὸς τούτου γένηται, ἀλλ' ἐγὼ εἶπεν, ἐμαυτὸν ἐθίζω λέγων ὥστ' ἐν μηδεμιᾷ μεταβολῇ, μεταβολὴν ζητεῖν. καὶ πρεσβύτης δὲ γενόμενος, τῇ αὐτῇ ἀγωγῇ ἐχρῆτο, πρὸς δὲ τὸν πυθόμενον διότι σφοδροῦ χειμῶνος ὄντος, ἀχίτων περιέρχεται εἰς τοσοῦτο τῆς ἡλικίας ἥκων, ἵνα φησὶν οἱ νέοι μιμῶνται παράδειγμα ἔχοντες τοὺς πρεσβυτάτους καὶ ἄρχοντας. Θάσιοι δὲ τὴν χώραν αὐτοῦ διαπορευομένῳ μετὰ τοῦ στρατεύματος, ἄλφιτα καὶ χῆνας καὶ τραγήματα καὶ μελίπηκτα καὶ ἄλλα παντοδαπὰ βρώματά τε καὶ

πόματα πολυτελῆ ἔπεμψαν, μόνα δὲ τὰ ἄλφιτα δεξάμενος, τὰ λοιπὰ ἀπάγοντας ἐκέλευσεν ὀπίσω τοὺς κεκομικότας, ὡς οὐδὲν αὐτοῖς ὄντα χρήσιμα, λιπαρούντων δὲ καὶ δεομένων πάντως λαβεῖν, ἐκέλευσεν αὐτοῖς τοῖς εἵλωσι διαδοῦναι, πυνθανομένων δὲ τὴν αἰτίαν, ἔφη τοὺς ἀνδραγαθίαν ἀσκοῦντας τὰς τοιαύτας λιχνείας, οὐχ ἁρμόζει προσίεσθαι, τὰ γὰρ δελεάζοντα τοὺς ἀνδραποδώδεις τῶν ἐλευθέρων ἀλλότρια. πάλιν δὲ τῶν θασίων διὰ τὸ δοκεῖν μέγα ὑπ' αὐτοῦ εὐεργετεῖσθαι, ναοῖς αὐτὸν καὶ ἀποθεώσεσι τιμησάντων, καὶ περὶ τούτου πρεσβείαν ἀποστειλάντων, ἀναγνοὺς τὰς τιμὰς ἃς αὐτῷ προσήνεγκαν οἱ πρέσβεις, ἠρώτησεν εἰ ἡ πατρὶς αὐτῶν ἀποθεοῦν ἀνθρώπους δύναται, φαμένων δέ, ἄγετ' ἔφη ποιήσατε πρώτους ἑαυτούς, καὶ τοῦτ' ἂν πράξητε, τότε πιστεύσω ὑμῖν, ὅτι κἀμὲ δυνήσεσθε θεὸν ποιῆσαι. τῶν δὲ ἐπὶ τῆς ἀσίας ἑλληνικῶν ἐθνῶν ψηφισαμένων ἐν ταῖς ἐπιφανεστάταις πόλεσιν εἰκόνας ἀνιστᾶν αὐτοῦ, προσέγραψε· ἐμοῦ μηδεμία εἰκὼν ἔστω, μὴ δὲ γραπτή, μηδὲ πλαστή, μηδὲ κατασκευαστή. θεασάμενος δ' ἐπὶ τῆς ἀσίας οἰκίαν τετραγώνοις ὠροφωμένην δοκοῖς, ἠρώτησε τὸν κεκτημένον, εἰ τετράγωνα παρ' αὐτοῖς φύεται ξύλα, φαμένου δὲ οὔ, ἀλλὰ στρογγύλα, τί οὖν εἶπεν, εἰ τετράγωνα ἦν, στρογγύλα ἐποιεῖτε; ἐρωτηθεὶς δέ ποτε, ἄχρι τίνος εἰσὶν οἱ τῆς λακωνικῆς ὅροι, τὸ δόρυ κραδάνας εἶπεν ἄχρις οὗ τοῦτο φθάνοι. ἄλλου δ' ἐπιζητοῦντος διατί ἀτείχιστος ἡ σπάρτη, ἐπιδείξας τοὺς πολίτας ἐξωπλισμένους, ταῦτα ἐστὶν εἶπε τὰ λακεδαιμονίων τείχη. ἄλλου δὲ τὸ αὐτὸ ἐπιζητοῦντος, οὐ λίθοις δεῖ καὶ ξύλοις τετειχίσθαι τὰς πόλεις ἔφη, ταῖς δὲ τῶν ἐνοικούντων ἀρεταῖς. τοῖς δὲ αὐτοῦ φίλοις παρήγγελε, μὴ χρήμασιν, ἀνδρίᾳ δὲ καὶ ἀρετῇ σπουδάζειν πλουτεῖν. ὁπότε δὲ βούλοιτο ἔργον τι ταχέως ὑπὸ τῶν στρατιωτῶν γενέσθαι, αὐτὸς πρῶτος ἐφήπτετο ἐν ὄψει ἁπάντων, ἐμεγαλύνετο δὲ τῷ μηδενὸς ἧττον πονεῖν καὶ τῷ ἄρχειν ἑαυτοῦ μᾶλλον ἢ τῷ βασιλεύειν. θεωρήσαντος δέ τινος λάκωνα χωλὸν ἐπὶ πόλεμον ἐξιόντα, καὶ ἵππον ζητοῦντος, οὐκ αἰσθάνῃ ἔφη ὅτι οὐ φευγόντων ἀλλὰ μενόντων ὁ πόλεμος χρείαν ἔχει; ἐρωτώμενος δὲ πῶς μεγάλην δόξαν περιεποιήσατο, θανάτου καταφρονήσας ἔφη. ἐπιζητοῦντος δέ τινος διατί σπαρτιᾶται μετ' αὐλῶν ἀγωνίζονται, ἔφη, ἵν' ὅταν πρὸς ῥυθμὸν βαίνωσιν οἵ τε δειλοὶ καὶ οἱ ἀνδρεῖοι φανεροὶ ὦσι. μακαρίζοντος δέ τινος τὸν τῶν περσῶν βασιλέα νέον κομιδῇ ὄντα εἶπεν, ἀλλ' οὐδὲ πρίαμος ταύτην ἔχων τὴν ἡλικίαν ἠτύχησε. πολλὴν δὲ τῆς ἀσίας ὑφ' ἑαυτῷ ποιησάμενος, διέγνω χωρεῖν ἐπ' αὐτὸν βασιλέα, ὅπως παύσῃ σχολὴν αὐτὸν ἄγοντα καὶ διαφθείροντα τοὺς τῶν ἑλλήνων δημαγωγούς, μεταπεμφθεὶς δὲ ὑπὸ τῶν ἐφόρων ἕνεκα τοῦ περιεστηκότος τὴν σπάρτην ἑλληνικοῦ πολέμου αἰτίας διὰ τὰ ὑπὸ πέρσου διαπεμφθέντα χρήματα, εἰπὼν τὸν ἀγαθὸν ἄρχοντα δεῖν ὑπὸ τῶν νόμων ἄρχεσθαι, ἀπέπλευσε τῆς ἀσίας πολὺν ἑαυτοῦ πόθον τοῖς ἐνταῦθα ἕλλησι καταλιπών. τοῦ δὲ περσικοῦ νομίσματος χάραγμα τοξότην ἔχοντος, ἀναζευγνύων ἔφη, τρισμυρίοις τοξόταις ὑπὸ βασιλέως ἐξελαύνεσθαι τῆς ἀσίας. τοσοῦτον γὰρ εἰς ἀθήνας καὶ θήβας κομισθέντων διὰ τιμοκράτους χρυσῶν δαρεικῶν καὶ διαδοθέντων τοῖς δημαγωγοῖς ἐξεπολεμώθησαν οἱ δῆμοι πρὸς τοὺς σπαρτιάτας, καὶ ἀντέγραψε τοῖς ἐφόροις ἐπιστολὴν τήνδε. ἀγησίλαος τοῖς ἐφόροις χαίρειν. τὰν πολλὰν τᾶς ἀσίας κατεστρεψάμεθα, καὶ τὼς βαρβάρως ἐλάσαμες, καὶ ἐν τᾷ ἰωνίᾳ ὅπλα ἐποιήσαμες πολλά, ἐπειδὴ κέλεσθέ με κατὰ τὰν προθεσμίαν παραγίνεσθαι, ἕπομαι τᾷ ἐπιστολᾷ, σχεδὸν δ' αὐτὰν καὶ φθάσω, ἄρχω γὰρ οὐκ ἐμαυτῷ τὰν ἀρχάν, ἀλλὰ τᾷ πόλει καὶ τοῖς συμμάχοις, καὶ τότε ἄρχων ἄρχει ἀλαθέως κατὰ δίκαν, ὅταν καὶ ἄρχηται ὑπό τε νόμων καὶ ἐφόρων, ἢ οἵτινες ἄλλοι

ἄλλοι ἐν πόλει ἄρχοντες ὦσιν. ὡς δὲ διαβὰς τὸν ἑλλήσποντον ἐβάδιζε διὰ τῆς θρᾴκης, ἐδεήθη μὲν οὐδενὸς τῶν βαρβάρων, πέμπων δὲ πρὸς ἑκάστους ἐπυνθάνετο πότερον ὡς φιλίαν ἢ ὡς πολεμίαν διαπορεύηται τὴν χώραν. οἱ μὲν οὖν ἄλλοι, φιλικῶς ἐδέχοντο καὶ παρέπεμπον. οἱ δὲ καλούμενοι τρωαλεῖς οἷς καὶ ξέρξης ὡς λέγεται ἔδωκε δῶρα τῆς διόδου, μισθὸν ᾔτουν τὸν ἀγησίλαον, ἑκατὸν ἀργυρίου τάλαντα, καὶ γυναῖκας τοσαύτας. ὁ δὲ καταειρωνευσάμενος αὐτῶν καὶ φήσας, τί οὖν οὐκ εὐθὺς ἦλθον ληψόμενοι, προσῆγε καὶ συμβαλὼν αὐτοῖς παρατεταγμένοις, τρεψάμενος καὶ διαφθείρας πολλοὺς διῆλθε. τῷ δὲ τῶν μακεδόνων βασιλεῖ τὸ αὐτὸ ἐρώτημα προσέπεμψε, φήσαντος δ' ἐκείνου βουλεύσεσθαι, βουλευέσθω τοίνυν εἶπεν, ἡμεῖς δὲ πορευσόμεθα, θαυμάσας οὖν τὴν τόλμαν καὶ δείσας, ἐκέλευσεν ὡς φίλον προάγειν. τῶν δὲ θετταλῶν τοῖς πολεμίοις συμμαχούντων, ἐπόρθησε τὴν χώραν, εἰς δὲ λάρισαν ἔπεμψε ξενοκλέα καὶ σκύθην περὶ φιλίας, συλληφθέντων δὲ τούτων καὶ παραφυλαττομένων, οἱ μὲν ἄλλοι βαρέως φέροντες, ᾤοντο δεῖν τὸν ἀγησίλαον περιστρατοπεδεύσαντα πολιορκεῖν τὴν λάρισαν, ὁ δὲ φήσας, οὐκ ἂν θελῆσαι θετταλίαν ὅλην λαβεῖν ἀπολέσας τῶν ἀνδρῶν τὸν ἕτερον, ὑποσπόνδους αὐτοὺς ἀπέλαβε. πυθόμενος δὲ μάχην γεγονέναι περὶ κόρινθον, καὶ σπαρτιατῶν μὲν παντάπασιν ὀλίγους τεθνάναι, κορινθίων δὲ καὶ ἀθηναίων καὶ τῶν ἄλλων συμμάχων αὐτοῖς παμπόλλους, οὐκ ὤφθη περιχαρής, οὐδ' ἐπηρμένος τῇ νίκῃ, ἀλλὰ καὶ πάνυ βαρὺ στενάξας, φεῦ τῆς ἑλλάδος ἔφη τοσούτους ὑφ' αὑτῆς ἀπολώλεκεν ὅσοις ἀρκεῖ τοὺς βαρβάρους νικᾶν ἅπαντας. φαρσαλίων δὲ προσκειμένων καὶ κακουργούντων αὐτοῦ τὸ στράτευμα πεντακοσίοις ἱππεῦσι τρεψάμενος αὐτούς, τρόπαιον ἔστησεν ὑπὸ τὸν ναρθάκιον, καὶ τὴν νίκην ἐκείνην πάντων ὑπερηγάπησεν, ὅτι συστησάμενος τὸ ἱππικὸν αὐτὸς δι' ἑαυτοῦ, τούτῳ μόνον τοὺς μέγιστον ἐφ' ἱππικῇ φρονοῦντας ἐκράτησε. διφρίδα δὲ οἴκοθεν ἀπαγγείλαντος αὐτῷ, εὐθὺς ἐκ παρόδου ἐμβαλεῖν εἰς τὴν βοιωτίαν, καίτοι ἐκ μείζονος παρασκευῆς τοῦτο ποιῆσαι ὕστερον διανοούμενος οὐκ ἀπειθήσας τοῖς ἄρχουσι, δύο μυριάδας τῶν περὶ κόρινθον στρατευομένων μεταπεμψάμενος, ἐπέβη τῆς βοιωτίας, καὶ συμβαλὼν ἐν κορωνείᾳ θηβαίοις, ἀθηναίοις, ἀργείοις, κορινθίοις, ἀμφοτέρους ἐνίκησε. καίτοι ὑπὸ πολλῶν τραυμάτων κακῶς τὸ σῶμα διακείμενος, τὴν μεγίστην μάχην ὥς φησι ξενοφῶν τῶν καθ' ἑαυτὸν γενομένων, οὐδὲν τῶν περὶ τὸν βίον καὶ τὴν δίαιταν διὰ τὰς τοσαύτας εὐτυχίας καὶ νίκας ἤλλαξεν οἴκαδ' ἐπανελθών. ὁρῶν δ' ἐνίους τῶν πολιτῶν ἀπὸ ἱπποτροφίας δοκοῦντας εἶναί τινας καὶ μεγαλοφρονοῦντας, ἔπεισε τὴν ἀδελφὴν κυνίσκαν εἰς ἅρμα καθίσασαν, ὀλυμπίασιν ἀγωνίσασθαι, βουλόμενος ἐνδείξασθαι τοῖς ἕλλησιν, ὡς οὐδεμιᾶς ἐστὶν ἀρετῆς, πλούτου δὲ καὶ δαπάνης τὰ τοιαῦτα. ξενοφῶντα δὲ τὸν σοφὸν ἔχων μεθ' ἑαυτοῦ σπουδαζόμενον ἐκέλευε τοὺς παῖδας ἐν λακεδαίμονι τρέφειν, μεταπεμψάμενον τὸ κάλλιστον τῶν μαθημάτων παιδευθησομένους, ἄρχειν τε καὶ ἄρχεσθαι. ἄλλοτε δ' ἐρωτώμενος διατί μάλιστα παρὰ τοὺς ἄλλους εὐδαιμονοῦσιν οἱ σπαρτιᾶται, διότι εἶπε παρὰ τοὺς ἄλλους ἀσκοῦσιν ἄρχειν τε καὶ ἄρχεσθαι. λυσάνδρου δὲ τελευτήσαντος εὑρὼν ἑταιρείαν πολλὴν συνεστῶσαν ἣν ἐκεῖνος εὐθὺς ἐπανελθὼν ἀπὸ τῆς ἀσίας συνέστησεν ἐπὶ τὸν ἀγησίλαον, ὥρμησεν αὐτὸν ἐξελέγχειν οἷος ἦν ζῶν πολίτης, καὶ λόγον ἀναγνοὺς ἐν βιβλίῳ ἀπολελειμμένον, ὃν ἔγραψε μὲν κλέων ὁ ἁλικαρνασσεύς, ἔμελλε δὲ λέγειν ἀναλαβὼν ὁ λύσανδρος ἐν τῷ δήμῳ περὶ πραγμάτων καινῶν, καὶ μεταστάσεως τοῦ πολιτεύματος ἠθέλησεν εἰς μέσον ἐξενεγκεῖν, ἐπεὶ δέ τις τῶν γερόντων τὸν λόγον ἐπελθὼν καὶ φοβηθεὶς τὴν δεινότητα,

συνεβούλευσε μὴ τὸν Λύσανδρον ἀνορύττειν, ἐπείσθη καὶ ἡσύχασε, τοὺς δὲ ὑπε-
ναντιουμένους αὐτῷ, φανερῶς μὲν οὐκ ἐτάραττε, διαπραττόμενος δ' ἔπεμπε τινὰς
στρατηγοὺς καὶ ἄρχοντας ἐξ αὐτῶν ἀπεδείκνυε· γινομένους ἐν ταῖς ἐξουσίαις πο-
νηροὺς καὶ πλεονέκτας· εἶτα κρινομένοις πάλιν αὖ βοηθῶν καὶ συναγωνιζό-
μενος οἰκείους ἐποιεῖτο, καὶ μεθίστη πρὸς ἑαυτὸν, ὥστε μηδένα ἀντίπαλον εἶναι.
ἐδεήθη τις αὐτοῦ γράψαι πρὸς τοὺς ἐπ' Ἀσίας ξένους ὅπως τύχῃ τοῦ δικαίου.
ἀλλ' οἱ ἐμοὶ ξένοι εἶπε τὰ δίκαια δι' ἑαυτῶν κἂν ἐγὼ μὴ γράψω, ποιοῦσιν. ἐπι-
δείκνυέ τις αὐτῷ τῆς πόλεως τὸ τεῖχος ὀχυρὸν καὶ καρτερῶς ἄγαν ἐξῳκοδο-
μημένον, καὶ ἠρώτα εἰ καλὸν αὐτῷ φαίνεται, νὴ Δία ἔφη καλὸν οὐχ ὡς ἀνδρά-
σι δὲ, ἀλλ' ὡς γυναιξὶν ἐνοικεῖν. Μεγαρέως δέ τινος περὶ τῆς πόλεως πρὸς αὐ-
τὸν μεγαλαυχουμένου, μειράκιον ἔφη, οἱ λόγοι σου πολλῆς δυνάμεως δέονται.
ἃ δὲ τοὺς ἄλλους ἑώρα θαυμάζοντας, ἐδόκει μηδὲ γινώσκειν. καί ποτε Καλλιππί-
δης ὁ τῶν τραγῳδοποιῶν ὑποκριτὴς ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς Ἕλλησι καὶ
σπουδαζόμενος ὑπὸ πάντων, πρῶτον μὲν ἀπήντησεν αὐτῷ καὶ προσεῖ-
πεν, ἔπειτα σοβαρῶς εἰς τοὺς συμπεριπατοῦντας ἐμβαλὼν ἑαυτὸν, ἐπε-
δείκνυτο νομίζων ἐκεῖνον ἄρξαι τινὸς φιλοφρονήσεως, τέλος δὲ εἶπεν, οὐκ
ἐπιγινώσκεις με ὦ βασιλεῦ, οὐδ' ἤκουσας ὅστις εἰμί; ὁ δ' Ἀγησίλαος ἀποβλέψας
εἰς αὐτὸν, ἀλλ' οὐ τύ ἐσσι Καλλιππίδας ὁ δεικηλίκτας; οὕτω δὲ Λακεδαιμόνιοι
τοὺς μίμους καλοῦσι. τοῦ δὲ μιμουμένου τὴν τῆς ἀηδόνος φωνὴν ἀκοῦσαι πα-
ρακαλούμενος, παρῃτήσατο, φήσας, αὐτᾶς ἄκουκα πολλάκις. Μενεκρά-
της δὲ ὁ ἰατρὸς ἐπεὶ κατατυχὼν ἔν τισιν ἀπεγνωσμέναις θεραπείαις, Ζεὺς ἐ-
πεκλήθη, φορτικῶς ταύτῃ χρώμενος τῇ προσωνυμίᾳ, καὶ δὴ πρὸς τὸν Ἀγη-
σίλαον ἐπιστεῖλαι τολμήσαντος οὕτω, Μενεκράτης Ζεὺς βασιλεῖ Ἀγησιλάῳ χαί-
ρειν, οὐκ ἀναγνοὺς τὰ λοιπὰ ἀντέγραψε, βασιλεὺς Ἀγησίλαος Μενεκράτει ὑγιαί-
νειν. ἐπεὶ δὲ Κόνωνος καὶ Φαρνάβαζος τῷ βασιλέως ναυτικῷ θαλαττοκρατοῦν-
τες, ἐπολιόρκουν τὰ παράλια τῆς Λακωνικῆς, ἐτειχίσθη δὲ τὸ ἄστυ τῶν Ἀθη-
ναίων, Φαρναβάζου χρήματα δόντος, εἰρήνην ἐποιήσαντο Λακεδαιμόνιοι πρὸς
βασιλέα, καὶ πέμπουσι πολίτην Ἀνταλκίδαν πρὸς Τιρίβαζον, τοὺς ἐν τῇ Ἀσίᾳ Ἕλ-
ληνας ὑπὲρ ὧν ἐπολέμησεν Ἀγησίλαος, βασιλεῖ παραδιδόντος, ὅθεν δὴ καὶ μάλι-
στα συνέβη τῆς κακοδοξίας ταύτης Ἀγησιλάῳ μετασχεῖν, ὁ γὰρ Ἀνταλκίδας
ἐχθρὸς ἦν αὐτῷ, καὶ τὴν εἰρήνην ἐξ ἅπαντος ἔπραττεν ὡς τοῦ πολέμου τὸν Ἀγησί-
λαον αὔξοντος, καὶ ποιοῦντος ἐνδοξότατον καὶ μέγιστον. οὐ μὴν ἀλλὰ καὶ
πρὸς τὸν εἰπόντα μηδίζειν τοὺς Λακεδαιμονίους, ἀπεκρίθη μᾶλλον τοὺς Μήδους
λακωνίζειν. ἐρωτηθεὶς δέ ποτε ὁποτέρα βελτίων τῶν ἀρετῶν, ἀνδρεία ἢ δι-
καιοσύνη, οὐδὲν ὄφελος ἀνδρείας ἔφασκεν εἶναι, μὴ παρούσης δικαιοσύνης, εἰ
δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας δεηθήσεσθαι. εἰθισμένων δὲ τῶν
τὴν Ἀσίαν κατοικούντων τὸν Περσῶν βασιλέα μέγαν προσαγορεύειν, τί δὲ ἐκεῖ-
νος ἐμοῦ μείζων, εἰ μὴ δικαιότερος καὶ σωφρονέστερος. ἔλεγε δὲ τοὺς τὴν Ἀσί-
αν κατοικοῦντας ἐλευθέρους μὲν κακοὺς, δούλους δὲ ἀγαθοὺς εἶναι. ἐρωτη-
θεὶς δὲ πῶς ἄν τις μάλιστα παρ' ἀνθρώποις εὐδοκιμοίη, εἰ λέγοι εἶπε τὰ ἄριστα,
πράττοι δὲ τὰ κάλλιστα. τὸν δὲ στρατηγὸν δεῖν ἔφασκε πρὸς μὲν τοὺς ἐναντίους
τόλμαν, πρὸς δὲ τοὺς ὑποτεταγμένους, εὔνοιαν ἔχειν. ἐπιζητοῦντος δέ τι-
νος τίνα δεῖ μανθάνειν τοὺς παῖδας, ταῦτ' εἶπεν οἷς καὶ ἄνδρες γενόμενοι χρή-
σονται. δικάζοντος δέ τινα δίκην αὐτοῦ, καὶ τοῦ μὲν κατηγόρου εὖ εἰρηκότος,
τοῦ δὲ ἀπολογουμένου φαύλως, λέγοντος δὲ πρὸς ἕκαστα, Ἀγησίλαε δεῖ τὸν βα-
σιλέα τοῖς νόμοις βοηθεῖν, καὶ τὴν οἰκίαν ἔφη εἴ τις σοι διέσκαπτε καὶ τὸ ἱμάτι-

ον ἀφῃρεῖτο, προσεδέχου ἂν τὸν οἰκοδόμον, ἢ τὸν τὸ ἱμάτιον ὑφάναντα ἐπικουρή-
σειν σοι; στολῆς δὲ αὐτῷ παρὰ τοῦ Περσῶν βασιλέως κομισθείσης, τῆς εἰρή-
νης γενομένης ἣν ὁ μετὰ Καλλίου τοῦ Λακεδαιμονίου Πέρσης ἤνεγκε περὶ ξενίας
καὶ φιλίας, οὐκ ἔλαβεν, εἰπὼν ἀπαγγεῖλαι βασιλεῖ, ὡς ἰδίᾳ μὲν πρὸς αὐτὸν,
οὐδὲν δέοι ἐπιστολὰς πέμπειν, ἢν δὲ φίλος τῇ Λακεδαίμονι καὶ τῇ Ἑλλάδι, εὔνους
ὢν φαίνηται, ὅτι καὶ αὐτὸς φίλος αὐτῷ κατὰ κράτος ἔσοιτο, ἐὰν μέντοι ἐπι-
βουλεύων ἁλίσκηται, μηδ' ἂν πάνυ πολλὰς δέχωμαι ἐπιστολὰς, πιστευέτω φί-
λον με ἕξειν. φιλοτεκνότατος δ' ὢν διαφερόντως, λέγεται ὅτι μικροῖς τοῖς
παιδίοις κάλαμον ἐπιβεβηκὼς, ὥσπερ ἵππον οἴκοι συνέπαιζεν, ὀφθεὶς δ' ὑ-
πό τινος τῶν φίλων, παρεκάλει μηδενὶ φράζειν, πρὶν καὶ αὐτὸς πατὴρ παί-
δων γένηται. συνεχῶς δὲ αὐτοῦ τοῖς Θηβαίοις πολεμοῦντος, καὶ τρωθέντος
ἐν τῇ μάχῃ, φασὶ τὸν Ἀνταλκίδαν εἰπεῖν, καλὰ τὰ διδασκάλια παρὰ Θηβαί-
ων ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς μηδ' ἐπισταμένους μάχεσθαι διδάξας.
τῷ γὰρ ὄντι Θηβαίους αὐτοὺς ἑαυτῶν πολεμικωτάτους τότε φασὶ γενέσθαι
ταῖς πολλαῖς στρατείαις τῶν Λακεδαιμονίων ἐπ' αὐτούς. διὸ καὶ Λυκοῦργος ὁ
παλαιὸς ἐν ταῖς καλουμέναις ῥήτραις ἀπεῖπε πολλάκις ἐπὶ τοὺς αὐτοὺς στρα-
τεύειν, ὅπως πολεμεῖν μὴ μανθάνωσιν. ἐπεὶ δ' ἤκουσε δυσχεραίνειν τοὺς συμμά-
χους διὰ τὰς συνεχεῖς στρατείας ὀλίγοις οὖσι τοῖς Λακεδαιμονίοις, πολλοὶ ἀκολου-
θοῦντες, ἐλέγξαι βουλόμενος αὐτῶν τὸ πλῆθος, ἐκέλευσεν ἅπαντας τοὺς
συμμάχους, καθίσαι μετ' ἀλλήλων ἀναμεμιγμένους, ἰδίᾳ δὲ τοὺς Λακεδαι-
μονίους ἐφ' ἑαυτῶν, εἶτα ἐκήρυττε τοὺς κεραμεῖς ἀνίστασθαι πρώτους, ὡς δὲ ἀ-
νέστησαν οὗτοι, δευτέρους ἐκήρυττε, τοὺς χαλκεῖς, εἶτα τέκτονας ἐφεξῆς, καὶ οἰ-
κοδόμους καὶ τῶν ἄλλων τεχνῶν ἑκάστην, πάντες οὖν ὀλίγου δεῖν ἀνέστησαν οἱ
σύμμαχοι. τῶν δὲ Λακεδαιμονίων οὐδείς, ἀπείρητο γὰρ αὐτοῖς τέχνην ἐργάζε-
σθαι ἢ μανθάνειν βάναυσον, οὕτω δὴ γελάσας ὁ Ἀγησίλαος, ὁρᾶτε εἶπεν ὦ ἄν-
δρες ὅσῳ πλείονας ὑμῶν στρατιώτας ἐκπέμπομεν ἡμεῖς; ἐν δὲ τῇ περὶ Λεῦ-
κτρα μάχῃ, πολλῶν Λακεδαιμονίων φυγόντων, καὶ τούτων ταῖς ἀπὸ τοῦ νόμου
αἰτίαις ὑπευθύνων ὄντων, οἱ ἔφοροι ἔρημον ἀνδρῶν τὴν πόλιν ὁρῶντες δεομένην
στρατιωτῶν, ἐβούλοντο τὴν ἀτιμίαν λῦσαι, καὶ τοὺς νόμους τηρεῖν, αἱροῦνται
οὖν νομοθέτην τὸν Ἀγησίλαον, ὁ δὲ προσελθὼν εἰς τὸ δημόσιον, νομοθέτης
μὲν, οὐκ ἂν γενοίμην ἑτέρων νόμων εἶπε, τοῖς δὲ οὖσιν οὔτ' ἂν προσθείην τι, οὔτ' ἂν
ἀφέλοιμι, οὔτε μεταποιήσαιμι, τοὺς δὲ ὄντας ὑμῖν νόμους καλῶς ἔχον ἐστὶ,
κυρίους ἀπὸ τῆς αὔριον εἶναι. τὸν δ' Ἐπαμινώνδαν ἐπελθόντα μετὰ τοσού-
του ῥεύματος καὶ κλύδωνος, τῶν Θηβαίων καὶ συμμάχων μεγαλαυχουμένων
ἐπὶ τῇ νίκῃ, ὅμως ἦρξε τῆς πόλεως καὶ ἀναστρέψαι ἐποίησεν, ὀλίγων ὄντων
τῶν ἐν τῇ πόλει. ἐν δὲ τῇ περὶ Μαντίνειαν μάχῃ, παρεκελεύσατο τοῖς Λα-
κεδαιμονίοις, τοὺς ἄλλους ἐάσαντας πάντας ἐπ' Ἐπαμινώνδαν μάχεσθαι, μόνους
λέγων τοὺς ἔμφρονας ἀνδρείους εἶναι, καὶ μόνους νίκης αἰτίους ὑπάρχειν, εἰ γοῦν
τοῦτον ἀνέλοιμεν, ῥᾷστα τοὺς ἄλλους ὑποχειρίους ποιήσειν, ἄφρονας γὰρ εἶναι καὶ
οὐδενὸς ἀξίους, ὃ καὶ συνέβη. τῆς γὰρ νίκης ἤδη ἐπ' Ἐπαμινώνδᾳ οὔσης, καὶ φυγῆς
γενομένης, ἐπιστραφέντα αὐτὸν καὶ ἀνακαλούμενον τοὺς ἰδίους, τῶν Λακεδαι-
μονίων τις καιρίως ἐπάταξε, καὶ πεσόντος, ἀναστρέψαντες ἀπὸ τῆς φυγῆς οἱ
σὺν Ἀγησιλάῳ ἐφάμιλλον τὴν νίκην ἐποίησαν, παραπολὺ μὲν τῶν Θηβαίων
χειρόνων, παραπολὺ δὲ τῶν Λακεδαιμονίων ἀμεινόνων φανέντων. χρημάτων
δὲ δεομένης τῆς Σπάρτης πρὸς πόλεμον καὶ ξενοτροφούσης, ἐπορεύθη ὁ Ἀγη-
σίλαος εἰς Αἴγυπτον μεταπεμφθεὶς ὑπὸ τοῦ βασιλέως Αἰγυπτίων ἐπὶ μισθῷ,

διὰ δὲ τὸ λιτὸν τῆς ἐσθῆτος, εἰς καταφρόνησιν ἦλθε τοῖς ἐγχωρίοις, προσεδόκων γὰρ τὸν τῆς Σπάρτης βασιλέα καθάπερ τὸν Πέρσην κεκοσμημένον ὄψεσθαι, διαπρεπῶς τὸ σῶμα, φαύλην ἔχοντες περὶ βασιλέων δόξαν, ἔδειξε γοῦν αὐτοῖς μεταξὺ ὡς τὸ μεγαλεῖον καὶ ἀξιόλογον οἰήσει καὶ ἀνδρίᾳ κτᾶσθαι προσήκει. ἐπεὶ δὲ τοὺς παρ' αὐτῷ παρασήσεσθαι μέλλοντας, ἑώρα δεδιότας τὸν ἐπιόντα κίνδυνον διὰ τὸ τῶν πολεμίων πλῆθος, εἴκοσι γὰρ ἦσαν μυριάδες, καὶ τὴν τῶν περὶ αὐτὸν ὀλιγότητα, πρὸ τῆς παρατάξεως ἔγνω προθυμήσεσθαι ἀσυμφόρως τοῖς ἄλλοις, καὶ ἐπὶ τὴν ἀριστερὰν ὑπεστρωμένην τῇ χειρὶ νίκην προσέγραψε, λαβὼν δὲ παρὰ τοῦ μάντεως τὸ ἧπαρ, ἐπέθηκε μὲν ἐπὶ τὴν ὑπογεγραμμένην χεῖρα, κρατῶν δὲ ἐφ' ἱκανὸν χρόνον ὑπέφαινε διασμὸν καὶ προσποίησιν ἔχειν ἀπορίας, μέχρι οὗ ἧπατι συναναληφθέντες ἐτυπώθησαν οἱ τῶν γραμμάτων χαρακτῆρες, καὶ τότε τοῖς συναγωνίζεσθαι μέλλουσιν, ἐπεδείκνυε, φάμενος τοὺς θεοὺς διὰ τῶν γεγραμμένων ἐκφαίνειν νίκην, ἀσφαλὲς οὖν τεκμήριον δόξαντες ἔχειν τοῦ κρατῆσαι, ἐθάρρησαν πρὸς τὴν μάχην. περιταφρευόντων δὲ τῶν πολεμίων τὸ στρατόπεδον αὐτοῦ διὰ τὸ πλῆθος, καὶ Νεκτανάβιδος ᾧ συνεμάχει ἀξιοῦντος ἐπεξιέναι καὶ διαμάχεσθαι, οὐκ ἔφη διακωλύειν τοὺς πολεμίους ἴσους αὐτοῖς γενέσθαι βουλομένους, ἔτι δὲ μικρὸν ἀπολιπούσης τῆς τάφρου συνάψαι κατὰ μέσον παρατάξας τὸ διαλεῖπον, καὶ πρὸς ἴσους ἴσοις ἀγωνισάμενος, τροπὴν ἐποιήσατο, καὶ πολὺν φόνον τῶν πολεμίων ὀλίγοις τοῖς περὶ αὐτὸν στρατιώταις, καὶ χρήματα πολλὰ τῇ πόλει διεπέμψατο. κατὰ δὲ τὸν Αἴγυπτον ἀποθνήσκων, ἐνετείλατο τοῖς περὶ αὐτόν, μήτε πλαστὰν μήτε μιμηλὰν τοῦ σώματος εἰκόνα ποιήσασθαι, εἰ γάρ τι καλὸν ἔργον πεποίηκα, τοῦτό μου μνημεῖον ἔσται, εἰ δὲ μή, οὐδ' οἱ πάντες ἀνδριάντες βαναύσων οὐδενὸς ἀξίων ἔργα ὄντες. Ἀγησίπολις ὁ Κλεομβρότου εἰπόντος τινὸς ὅτι Φίλιππος ἐν ὀλίγαις ἡμέραις Ὄλυνθον κατέσκαψε, μὰ τοὺς θεοὺς εἶπεν ἄλλην τοιαύτην ἐν πολλαπλασίονι χρόνῳ οὐκ οἰκοδομήσει. ἄλλου δὲ εἰπόντος ὅτι μετὰ τῶν ἀκμαζόντων βασιλεύων ὁμήρευσε, καὶ οὐχ οἱ παῖδες οὐδ' οἱ γυναῖκες αὐτῶν, δικαίως εἶπεν. αὐτοὺς γὰρ ἡμᾶς καλῶς ἔχον ἐστὶ τὰς αὐτῶν ἁμαρτίας φέρειν. βουλομένου δ' αὐτοῦ σκύλακας οἴκοθεν μεταπέμψασθαι, ὥς τις εἶπεν οὐκ ἔστιν ἐξαγωγὴ παρ' αὐτῶν, οὐδὲ γὰρ ἀνδρῶν ἔφη πρόσθεν, ἀλλὰ νῦν ἐγένετο. Ἀγησίπολις ὁ Παυσανίου Ἀθηναίων πρὸς αὐτόν, περὶ ὧν εἶχον πρὸς ἀλλήλους ἐγκλημάτων, τὴν τῶν Μεγαρέων πόλιν ἐπιτρεψάντων, αἰσχρὸν ἔφη ὦ Ἀθηναῖοι τοὺς ἀφηγησαμένους τῶν Ἑλλήνων ἧσσον εἰδέναι Μεγαρέων τὸ δίκαιον. Ἆγις ὁ Ἀρχιδάμου τῶν ἐφόρων βάδιζε τοὺς ἡβῶντας ἔχων ἐπὶ τὴν τούτου πατρίδα ἡγήσεται δέ σοι αὐτὸς οὗτος ἐπὶ τὴν ἀκρόπολιν, καὶ πῶς εἶπε καλῶς ἔχον ἐστὶν ὦ ἔφοροι τοσούτους νέους πιστεύειν, τῷ τὴν ἑαυτοῦ πατρίδα προδιδόντι. ἐρωτηθεὶς δὲ τί μάθημα μάλιστα ἐν Σπάρτῃ ἀσκεῖται, τὸ γινώσκειν εἶπεν ἄρχειν τε καὶ ἄρχεσθαι. ἔφη δὲ τοὺς Λακεδαιμονίους ἐρωτᾶν πόσοι εἰσὶν οἱ πολέμιοι, ἀλλὰ ποῦ εἰσιν. ἐν δὲ Μαντινείᾳ κωλυόμενος διαμάχεσθαι τοῖς πολεμίοις πλείοσιν οὖσιν εἶπεν, ἀνάγκη πολλοῖς μάχεσθαι τὸν ἄρχειν πολλῶν βουλόμενον. πυνθανομένου δέ τινος πόσοι εἰσὶν οἱ Λακεδαιμόνιοι, ὅσοι ἱκανοὶ εἶπε τοὺς κακοὺς ἀπερύκειν. διερχόμενος δὲ τὰ τῶν Κορινθίων τείχη καὶ θεασάμενος ὑψηλά τε καὶ ὀχυρὰ ἐπὶ πολὺ παρατείνοντα, τίνες εἶπεν αἱ τὸν τόπον κατοικοῦσι γυναῖκες. σοφιστοῦ δὲ τινος εἰπόντος πάντων λόγος ἐστὶ κράτιστον, οὐκοῦν ἔφη σὺ ἐὰν σιωπᾷς, οὐδενὸς ἄξιος εἶ. ὡς δὲ Ἀργεῖοι μετὰ τὴν ἧτταν ἀπήντων αὐτῷ πάλιν θρασύτερον παρασσομένους ὁρῶν τῶν συμμάχων τοὺς πλείους, θαρρεῖτε εἶπεν ὦ ἄνδρες, ὅπου

γὰρ ἡμεῖς οἱ νικῶντες ὀρρωδοῦμεν, τί δοκεῖτε ποιεῖν τοὺς ὑφ' ἡμῶν νενικημένους. πρὸς δὲ τὸν ἐκ τῶν Ἀβδήρων πρεσβευτήν, ὅτε κατέπαυσε πολλὰ εἰπὼν ἐρωτῶντα τί τοῖς πολίταις ἀπαγγείλοι, ὅτι ἔφη ὅσον σὺ χρόνον λέγειν ἔχρῃζες, τοσοῦτον ἐγὼ σιωπῶν ἤκουον. ἐπαινούντων δέ τινων Ἠλείους ὅτι δικαιότατοί εἰσι περὶ τὸν ἀγῶνα τῶν Ὀλυμπίων, καὶ τί μέγα εἶπεν ἢ θαυμαστὸν ποιοῦσιν, εἰ ἐν ἔτεσι πέντε, μιᾷ μόνον ἡμέρᾳ δικαιοσύνῃ χρῶνται. πρὸς δὲ τοὺς φάσκοντας ὅτι φθονοῦσι τινὲς αὐτῷ τῶν ἐκ τῆς ἑτέρας οἰκίας, οὐκοῦν ἔφη τὰ ἴδια αὐτοὺς κακὰ λυπήσει, καὶ πρὸς τούτοις τά τε ἐμὰ καὶ τῶν ἐμῶν φίλων ἀγαθά. συμβουλεύοντος δέ τινος ὅτι δεῖ τοῖς φεύγουσι τῶν πολεμίων διδόναι, δίοδον καὶ τοῖς ἔφη τοῖς διὰ δειλίαν φεύγουσι μὴ μαχόμενοι, τοῖς δι' ἀνδρείαν μένουσι μαχησόμεθα. προσφερομένου δέ τινος περὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, οὐκ ἀγεννῆ μὲν, δυσχερῆ δὲ ἐπιτελεσθῆναι, προσδέονταί σου ὦ ξένε ἔφη οἱ λόγοι δυνάμεως καὶ χρημάτων. λέγοντος δέ τινος ὅτι Φίλιππος αὐτοῖς ἀνεπίβατον τὴν Ἑλλάδα ποιήσει, ἱκανὴ ἡμῖν ἔφη ὦ ξένε ἡ ἐν τῇ ἰδίᾳ ἀναστροφή. πρεσβευτὴς ἐκ Περίνθου παραγενόμενος εἰς Λακεδαίμονα ἐμακρηγόρει, ὡς δ' ἐπαύσατο λέγων, καὶ ἠρώτα τὸν Ἆγιν τί δεῖ τοῖς Περινθίοις ἀπαγγεῖλαι, τί δ' ἄλλο ἔφη, ἢ ὅτι σὺ μὲν μόλις ἐπαύσω λέγων, ἐγὼ δὲ ἐσιώπων. πρεσβεύων δὲ μόνος ἧκε πρὸς Φίλιππον, εἰπόντος δ' ἐκείνου τί τοῦτο μόνος ἥκεις; ἔφη καὶ γὰρ πρὸς ἕνα. φήσαντος δέ τινος τῶν πρεσβυτέρων πρὸς αὐτὸν γηραιὸν ὄντα, ἐπειδὴ τὰ ἀρχαῖα νόμιμα ἐκλυόμενα ἑώρα, ἄλλα δὲ παρεισδυόμενα μοχθηρὰ διότι τὰ ἄνω κάτω γίνεται ἐν τῇ Σπάρτῃ, παίζων εἶπε, κατὰ λόγον οὕτω προβαίνει τὰ πράγματα εἰ τοῦτο γίνεται, καὶ γὰρ ἐγὼ παῖς ὢν ἤκουον παρὰ τοῦ πατρὸς ὅτι τὰ ἄνω κάτω γέγονε παρ' αὐτοῖς, ἔφη δὲ καὶ τὸν πατέρα αὐτῷ παιδὶ ὄντι τοῦτο εἰρηκέναι, ὥστε οὐ χρὴ θαυμάζειν, εἰ χείρω τὰ μετὰ ταῦτα τῶν προτέρων, ἀλλ' εἴπου βελτίω καὶ παραπλήσια γένοιτο. ἐρωτηθεὶς δὲ πῶς ἄν τις ἐλεύθερος διαμένοι, θανάτου καταφρονῶν ἔφη. Ἆγις ὁ νεώτερος Δημάδου λέγοντος ὅτι τὰ Λακωνικὰ ξίφη διὰ μικρότητα καταπίνουσιν οἱ θαυματοποιοί, καὶ μὴν ἔφη οἱ Λακεδαιμόνιοι τῶν πολεμίων τοῖς ξίφεσιν ἐφικνοῦνται. πρὸς δὲ ἄνθρωπον πονηρὸν ἐρωτῶντα πολλάκις τίς ἄριστος εἴη Σπαρτιάτης, ὅσοι ἀνομοιότατος. Ἆγις ὁ τελευταῖος τῶν Λακεδαιμονίων βασιλέων ἐξ ἐνέδρας συλληφθεὶς καὶ καταδικασθεὶς ὑπὸ τῶν ἐφόρων χωρὶς δίκης ἀπαγόμενος ἐπὶ τὸν βρόχον, ἰδών τινα τῶν ὑπηρετῶν κλαίοντα, παῦσαι εἶπεν ὦ ἄνθρωπε ἐπ' ἐμοὶ κλαίειν, καὶ γὰρ οὕτω παρανόμως καὶ ἀδίκως ἀπολλύμενος, κρείσσων εἰμὶ τῶν ἀναιρούντων, καὶ ταῦτα εἰπὼν παρέδωκε τῷ βρόχῳ τὸν τράχηλον ἑκουσίως. Ἀκρότατος, ἐπεὶ οἱ γονεῖς αὐτοῦ ἄδικόν τι, συμπρᾶξαι αὐτοῖς ἠξίουν μέχρι τινὸς ἀντέλεγεν, ὡς δὲ ἐνέκειντο, εἶπεν, ἕως μὲν παρ' ὑμῖν ἦν, οὐκ ἠπιστάμην δικαιοσύνης οὐδεμίαν ἔννοιαν, ἐπεὶ δέ με τῇ πατρίδι παρέδοτε καὶ τοῖς ταύτης νόμοις ἔτι δὲ δικαιοσύνῃ καὶ καλοκαγαθίᾳ ἐπαιδεύσατε ὡς ἠδύνασθε, τούτοις πειράσομαι ἢ ὑμῖν ἕπεσθαι, καὶ ἐπεὶ θέλετε ἄριστα πράττειν, ἄριστα δὲ τὰ δίκαιά ἐστι καὶ ἰδιώτῃ, καὶ πολὺ μᾶλλον ἄρχοντι, πράξω ἃ θέλετε, ἃ δὲ λέγετε παραιτήσομαι. Ἀλκαμένης ὁ Τηλέκλου, πυθομένου τινὸς πῶς ἄν τις ἄριστα βασιλείαν διατηροίη, εἰ τοῦ πλείονος ἔφη τὸ κέρδος μὴ ποιοῖτο. ἑτέρου δὲ ἐπιζητοῦντος διὰ τί παρὰ Μεσσηνίων δῶρα οὐκ ἐδέξατο, ὅτι λαβόντος μου ἔφη πρὸς τοὺς νόμους εἰρήνην ἄγειν ἀδύνατον. λέγοντος δέ τινος ὅτι συνεσταλμένως ζῇ ἱκανὴν οὐσίαν κεκτημένος, καλὸν γάρ ἔφη πολλὰ κεκτημένον ζῆν κατὰ λογισμὸν καὶ μὴ κατὰ τὴν ἐπιθυμίαν. Ἀλεξανδρίδας ὁ Λέοντος πρὸς τὸν δυσφοροῦντα διὰ τὴν ἐκ

λόγον l. A.
συνέχει l. A.

τῆς πόλεως αὐτῷ γενομένην φυγήν, ὦ λῷστε ἔφη μὴ τὴν πόλιν φεύγων ὀρρώδει,
ἀλλὰ τὴν δικαιοσύνην. τῷ δὲ τοῖς ἐφόροις τὰ δέοντα μὲν λέγοντι, πλείω δὲ
τῶν ἱκανῶν, ὦ ξένε ἔφη, οὐκ ἐν δέοντι τῷ δέοντι χρῇ. πυνθανομένου δέ τινος διὰ
τί τοῖς εἵλωσι τοὺς ἀγροὺς ἐγχειρίζουσι καὶ οὐκ αὐτοὶ ἐπιμελοῦνται, ὅτι ἔφη
οὐ τούτων ἐπιμελούμενοι, ἀλλ' ἑαυτῶν, αὐτοὺς ἐκτησάμεθα. ἑτέρου δέ τινος
λέγοντος ὅτι βλάπτουσιν αἱ δόξαι, καὶ ὅτι τούτων ὁ ἀπαλλαγεὶς εὐδαιμονήσει,
οὐκοῦν οἱ τὰ ἄδικα ἔφη ποιοῦντες κατὰ τὸν σὸν λόγον, εὐδαίμονες ἂν εἶεν, πῶς
γὰρ ἄν τις ἱεροσυλῶν ἢ ἀδικῶν δόξης ἐπιμελοῖτο. ἄλλου δὲ ἐρωτῶντος διὰ
τί ἐν τοῖς πολέμοις σπαρτιᾶται θαρραλέως κινδυνεύουσιν, ὅτι ἔφη αἰδεῖσθαι περὶ
βίου μελετῶμεν, οὐχ ὥσπερ οἱ ἄλλοι φοβεῖσθαι. ἐρωτῶντος δέ τινος αὐτὸν
διατί τὰς περὶ τοῦ θανάτου δίκας πλείοσιν ἡμέραις οἱ γέροντες κρίνουσι, καὶ
ἀποφύγῃ τις, ὅτι οὐδὲν ἧσσόν ἐστιν ὑπόδικος, πολλαῖς μὲν ἔφη ἡμέραις κρίνουσιν
ὅτι περὶ θανάτου τοῖς διαμαρτάνουσιν οὐκ ἔστι μεταβουλεύσασθαι. νόμῳ
δ' ὑπόδικον δεήσει εἶναι, ὅτι κατὰ τοῦτον τὸν νόμον ἂν εἴη καὶ τὸ κρείττονα βου-
λεύσασθαι. ἀνάξανδρος ὁ εὐρυκράτιος, πυνθανομένου τινὸς διατί χρήματα οὐ
συνάγουσιν εἰς τὸ δημόσιον, ὅπως ἔφη μὴ οἱ φύλακες αὐτῶν γινόμενοι διαφθεί-
ρωνται. ἀναξίλας πρὸς τὸν θαυμάζοντα διατί οἱ ἔφοροι τοῖς βασιλεῦσιν οὐχ
ὑπεξανίστανται, καὶ ταῦτα ὑπὸ τῶν βασιλέων καθιστάμενοι, διὰ τὴν αὐτὴν αἰ-
τίαν ἔφη δι' ἣν καὶ ἐφορεύουσιν. ἀνδροκλίδας ὁ λάκων πηρωθεὶς τὸ σκέλος
κατέταξεν αὐτὸν εἰς τοὺς πολεμιστάς, ὡς δὲ ἵσταντό τινες διακωλύοντες ὅτι ἐ-
πεπήρωτο, ἀλλ' οὐ φεύγοντα εἶπε μένοντα δὲ δεῖ τοῖς ἀντιτεταγμένοις μά-
χεσθαι. ἀνταλκίδας ἐν σαμοθρᾴκῃ μυούμενος ἐρωτηθεὶς ὑπὸ τοῦ ἱερέως τί δει-
νότατον δέδρακεν ἐν τῷ βίῳ, εἴ τι μοι πέπρακται τοιοῦτον, εἴσονται εἶπεν αὐτοὶ
οἱ θεοί. πρὸς δὲ τὸν ἀμαθεῖς καλοῦντα τοὺς λακεδαιμονίους ἀθηναῖον, μό-
νοι γοῦν εἶπεν ἡμεῖς οὐδὲν μεμαθήκαμεν παρ' ὑμῶν κακόν. ἑτέρου δ' ἀθηναίου
πρὸς αὐτὸν εἰπόντος, ἀλλὰ μὴν ἡμεῖς ἀπὸ τοῦ κηφισοῦ πολλάκις ὑμᾶς ἐδιώξαμεν,
ἡμεῖς δὲ ἔφη οὐδέ ποτε ὑμᾶς ἀπὸ τοῦ εὐρώτα. ἄλλου δὲ ἐρωτήσαντος πῶς
ἄν τις μάλιστα ἀρέσκοι τοῖς ἀνθρώποις, εἰ ἥδιστα μὲν ἔφη αὐτοῖς διαλέγοιτο,
ὠφελιμώτατα δὲ προσφέροιτο. σοφιστοῦ δέ τινος μέλλοντος ἀναγινώσκειν
ἐγκώμιον ἡρακλέους, τίς γὰρ αὐτὸν ἔφη ψέγει. πρὸς ἀγησίλαον πληγέντα
ἐν μάχῃ ὑπὸ θηβαίων, ἀπέχεις εἶπε τὰ διδασκάλια, μὴ βουλομένους αὐτοὺς μη-
δ' ἐπισταμένους μάχεσθαι διδάξας, ἐδόκουν γὰρ ταῖς συνεχέσιν ἐπ' αὐτοὺς τοῦ
ἀγησιλάου στρατείαις μάχιμοι γεγονέναι. ἔλεγε δὲ οὗτος τείχη εἶναι τῆς σπάρ-
της, τοὺς νέους, ὅρια δὲ τὰς ἐπιδορατίδας. πρὸς δὲ τὸν ἐπιζητοῦντα ὅτι
ἐγχειριδίοις βραχέσι κατὰ πόλεμον χρῶνται λακεδαιμόνιοι, διότι εἶπε πλη-
σίον τοῖς πολεμίοις μαχόμεθα. ἐφορεύων ἀντίοχος, ὡς ἤκουσεν ὅτι μεσσηνίοις
φίλιππος τὴν χώραν ἔδωκε, ἠρώτησεν εἰ καὶ δύναμιν αὐτοῖς παρέσχετο ὥστε μα-
χομένοις περὶ τῆς χώρας κρατεῖν. ἀρίγεύς, ἐπαινούντων τινῶν οὐκ ἰδίας
ἀλλὰ τινὰς τῶν ἀλλοτρίων γυναικῶν, μὰ τοὺς θεοὺς εἶπε περὶ τῶν καλῶν κἀγα-
θῶν γυναικῶν οὐδένα δεῖ λόγον εἰκῇ λέγεσθαι, ἀγνοεῖσθαι δ' αὐτὰς τὸ παρά-
παν ὁποῖαι τυγχάνουσι, πλὴν μόνοις τοῖς συμβιοῦσι. διὰ σελινοῦντος δέ πο-
τε τῆς σικελίας πορευόμενος, ἰδὼν ἐπὶ μνήματος ἐλεγεῖον ἐπιγεγραμμένον
σβεννύντας ποτὲ τούσδε τυραννίδα χάλκεος ἄρης εἷλε, σελινοῦντος δ' ἀμφὶ
πύλαις ἔθανον, δικαίως ἔφη ἀπεθάνετε τυραννίδα καιομένην ἀποσβεννύναι ἐπι-
χειρήσαντες, τοὐναντίον δ' ἔδει ὅλην αὐτὴν ἀφεῖναι κατακαῆναι. ἀρίστων ἐπαι-
νοῦντός τινος τὴν τοῦ κλεομένους χρείαν, ὅτι ἐρωτηθεὶς τί δεῖ τὸν ἀγαθὸν βασιλέα ποι-

εῖν, εἶπε, τοὺς μὲν φίλους εὐεργετεῖν, τοὺς δ' ἐχθροὺς κακῶς ποιεῖν, καὶ πόσῳ κρεῖσ-
σον ἔφη ὦ λῷστε τοὺς μὲν φίλους εὐεργετεῖν, τοὺς δ' ἐχθροὺς φίλους ποιεῖν, αὕτη
σωκράτους ὁμολογουμένη πρὸ πάντων χρεία οὖσα, καὶ εἰς αὐτὸν ἀναφέρεται.
πυνθανομένου δέ τινος πόσοι σπαρτιᾶται τὸ πλῆθος, ὅσοι ἱκανοί εἶπε τοὺς ἐχθροὺς
ἀπερύκειν. τῶν ἀθηναίων δέ τινος ἔπαινον ἐπιτάφιον ἀναγινώσκοντος τῶν
πεσόντων ὑπὸ λακεδαιμονίων, ποδαποὺς οὖν ἔφη εἶναι νομίζεις τοὺς ἡμε-
τέρους νικήσαντας τούτους. ἀρχιδαμίδας πρὸς τὸν ἐπαινοῦντα χαρίλαον
ὅτι πρὸς ἅπαντας ὁμοίως πρᾶος ἦν, καὶ πῶς τίς ἔφη δικαίως ἂν ἐπαινοῖτο, εἰ καὶ
πρὸς τοὺς πονηροὺς πρᾶος εἴη. μεμφομένου δέ τινος ἑκαταῖον τὸν σοφιστὴν ὅ-
τι παραληφθεὶς εἰς τὸ συσσίτιον αὐτῶν, οὐδὲν ἔλεγεν, ἀγνοεῖν μοι δοκεῖς εἶπεν,
ὅτι ὁ εἰδὼς λόγον, καὶ τὸν τοῦ λέγειν καιρὸν οἶδεν. ἀρχίδαμος ὁ ζευξιδάμου,
πυθομένου τινὸς αὐτὸν, τίνες προεστήκασι τῆς σπάρτης, οἱ νόμοι καὶ τὰ ἀρ-
χεῖα ἔφη κατὰ τοὺς νόμους. πρὸς δὲ τὸν ἐπαινοῦντα κιθαρῳδὸν καὶ θαυμά-
ζοντα τὴν δύναμιν αὐτοῦ, ὦ λῷστε ἔφη ποῖον γέρας παρὰ σοῦ τοῖς ἀγαθοῖς ἀν-
δράσιν ἔσται, ὅταν κιθαρῳδὸν οὕτως ἐπαινῇς. ἐπεὶ δέ τις αὐτῷ συνιστὰς ψάλ-
την, εἶπεν οὗτος ἀγαθὸς ψάλτης ἐστὶν, παρ' ἡμῖν δέ γε ἀγαθὸς ζωμοποιός, ὡς οὐ-
δὲν διαφέρον ἢ δι' ὀργάνων φωνῇ ἡδονὴν ἐμποιεῖν, τῆς δι' ὄψων καὶ ζωμοῦ σκευα-
σίας. ὑπισχνουμένου δέ τινος αὐτῷ τὸν οἶνον ἡδὺν, πρός τί ἔφη, καὶ γὰρ δαπα-
νηθήσεται πλείων, καὶ ποιήσει τὰ ἀνδρεῖα ἀχρηστότερα. στρατοπεδεύων δὲ
περὶ κόρινθον εἶδεν ἐκ τοῦ περὶ τὸ τεῖχος τόπου λαγωοὺς ἀναστάντας, εἶπεν οὖν
πρὸς τοὺς συστρατιώτας εὐάλωτοι ἡμῶν οἱ πολέμιοί εἰσι. δύο δέ τινων διαιτη-
τὴν αὐτὸν λαβόντων, ἀγαγὼν εἰς τὸ τῆς χαλκιοίκου τέμενος ἐξώρκισεν ἐμμεῖ-
ναι τοῖς κριθεῖσιν αὐτούς, ὁμοσάντων δ' ἐκείνων, κρίνω τοίνυν ἔφη μὴ πρότερον
ἀπελθεῖν ὑμᾶς ἐκ τοῦ τεμένους, πρὶν ἂν τὰ πρὸς ἀλλήλους διαλύσησθε. ταῖς
δὲ θυγατράσιν αὐτοῦ ἱματισμὸν πολυτελῆ διονυσίου τοῦ τυράννου σικελίας πέμ-
ψαντος, οὐκ ἐδέξατο, εἰπὼν φοβοῦμαι μὴ περιθέμεναι αἱ κόραι φανῶσί μοι αἰ-
σχραί. θεασάμενος δὲ τὸν υἱὸν προπετῶς μαχόμενον ἀθηναίοις, ἢ τῇ δυνάμει,
πρόσθες ἔφη, ἢ τοῦ φρονήματος ὕφες. ἀρχίδαμος ἀγησιλάου φιλίππου μετὰ
τὴν ἐν χαιρωνείᾳ μάχην σκληρότερον αὐτῷ ἐπιστολὴν γράψαντος, ἀντέγραψεν
εἰ μετρήσειας τὴν σεαυτοῦ σκιάν, οὐκ ἂν εὕροις αὐτὴν μείζονα γεγενημένην, ἢ πρὶν
νικᾶν. ἐρωτηθεὶς δὲ πόσης χώρας κρατοῦσι σπαρτιᾶται, ὅσης ἂν ἔφη τῷ δό-
ρατι ἐφικνῶνται. περίανδρον τοῦ ἰατροῦ ἀξιολόγου κατὰ τέχνην ὄντος καὶ ἐπαι-
νουμένου δὲ τὰ μάλιστα, φαῦλα δὲ ποιήματα γράφοντος, τί δή ποτε ὦ περίαν-
δρε εἶπεν, ἀντὶ χαρίεντος ἰατροῦ κακὸς ποιητὴς καλεῖσθαι ἐπιθυμεῖς. ἐν δὲ
τῷ πρὸς φίλιππον πολέμῳ συμβουλευόντων τινῶν ἔτι πόρρω τῆς οἰκείας, τὴν
μάχην συνάπτειν δεῖ, ἀλλ' οὐ τοῦτο ἔφη ὁρᾶν δεῖ, ἀλλ' εἰ μαχούμενοι κρείσσονες τῶν
πολεμίων ἐσόμεθα. πρὸς δὲ τοὺς ἐπαινοῦντας αὐτὸν ὅτε τὴν πρὸς τοὺς ἀρ-
κάδας μάχην ἐνίκησε, βέλτιον ἂν ἦν εἰ τῇ φρονήσει ἔφη αὐτοὺς ἐνικῶμεν μᾶλλον,
ἢ τῇ ἰσχύϊ. ὅτε δὲ εἰς ἀρκαδίαν ἐνέβαλε πυθόμενος βοηθεῖν αὐτοῖς ἠλείους,
ἀπέστειλεν αὐτοῖς, ἀρχίδαμος ἠλείοις καλὸν ἡσυχία. τῶν δὲ συμμάχων ἐν τῷ
πελοποννησιακῷ πολέμῳ ἐπιζητούντων πόσα χρήματα ἀρκέσει καὶ ἀξιούντων
ὁρίσαι τοὺς φόρους, ὁ πόλεμος ἔφη οὐ τεταγμένα ζητεῖ. καταπελτικὸν δὲ βέ-
λος ἰδὼν τότε πρῶτον ἐκ σικελίας κομισθὲν ἀνεβόησεν, ἡράκλεις ἀπόλωλεν
ἀνδρὸς ἀρετά. ἐπεὶ δὲ οὐκ ἐβούλοντο ἕλληνες πείθεσθαι αὐτῷ καὶ λῦσαι τὰς πρὸς
ἀντίγονον καὶ κρατερὸν τοὺς μακεδόνας ὁμολογίας, καὶ ἐλεύθεροι εἶεν, ὡς χα-
λεπωτέρων ἐσομένων λακεδαιμονίων ἢ μακεδόνων, εἶπε, πρόβατον μὲν ἀεὶ τὴν

αὐτὴν φθέγγεται φωνὴν, ἄνθρωπος δὲ πολλὰς καὶ ποικίλας ἕως ἂν τὴν δόξαν ἐπι-
τελέσῃ. ἀστυκρατίδας, εἰπόντος τινὸς αὐτῷ μετὰ τὸ ἡττηθῆναι ἆγιν τὸν βα-
σιλέα ἐν τῇ πρὸς τὸν ἀντίγονον μάχῃ περὶ μεγάλην πόλιν, τί ποιήσετε ὦ λακε-
δαιμόνιοι, ἢ δουλεύσετε μακεδόσιν, εἶπε, τί δὲ κωλύσαι ἂν δύναιτο ἀντίπατρος
μαχομένους ἡμᾶς ἀποθανεῖν ὑπὲρ τῆς σπάρτης; βίας ἐνεδρευθεὶς ὑπὸ ἰφι-
κράτους τοῦ ἀθηναίων στρατηγοῦ, καὶ ἐρωτώμενος ὑπὸ τῶν στρατιωτῶν τί δεῖ ποι-
εῖν, τί γὰρ ἄλλο ἔφη ἢ ὑμᾶς μὲν σώζεσθαι, ἐμὲ δὲ μαχόμενον ἀποθανεῖν. βρασί-
δας ἐν ἰσχάσι συλλαβὼν μῦν, καὶ δηχθεὶς ἀφῆκεν, εἶτα πρὸς τοὺς παρόντας
οὐδὲν οὕτως ἔφη μικρόν ἐστιν, ὃ οὐ δύναται σώζεσθαι τολμῶν ἀμύνεσθαι τοὺς
ἐπιχειροῦντας. ἐν δέ τινι μάχῃ διὰ τῆς ἀσπίδος ἀκοντισθεὶς καὶ τὸ δόρυ τοῦ
τραύματος ἐξελκύσας, αὐτῷ τούτῳ τὸν πολέμιον ἀπέκτεινε. καὶ πῶς ἐτρώ-
θη ἐρωτηθεὶς προδούσης με ἔφη τῆς ἀσπίδος. ἐξελθὼν δὲ ἐπὶ πόλεμον, ἔ-
γραψε τοῖς ἐφόροις, ἃ ἂν θέλωμαι, πράξω τὸν πόλεμον, ἢ τεθναξοῦμαι.
ἐπεὶ δὲ συνέβη πεσεῖν αὐτὸν ἐλευθεροῦντα τοὺς ἐπὶ θρᾴκης ἕλληνας, οἱ δὲ
πεμφθέντες εἰς λακεδαίμονα πρέσβεις τῇ μητρὶ αὐτοῦ ἀρχιλεωνίδῃ προσῆλ-
θον, πρῶτον μὲν ἠρώτησεν, εἰ καλῶς ὁ βρασίδας ἐτελεύτησεν, ἐγκωμιαζόντων δὲ
τῶν θρᾳκῶν καὶ λεγόντων, ὡς οὐδεὶς ἄλλος ἐστὶ τοιοῦτος, ἀγνοεῖτε εἶπεν ὦ ξένοι,
βρασίδας γὰρ ἦν μὲν ἀνὴρ ἀγαθὸς, πολλοὶ δ' ἐκείνου κρείσσονες ἐν τῇ σπάρ-
τῃ. δαμωνίδας ταχθεὶς ἔσχατος τοῦ χοροῦ ὑπὸ τοῦ τὸν χορὸν ἱστῶντος, εὖγε εἶπεν
ὦ χοραγὲ, ἐξεῦρες πῶς καὶ αὕτη ἡ χώρα ἄτιμος οὖσα, ἔντιμος γένηται. δα-
μῖς πρὸς τὰ ἐπισταλέντα παρὰ τοῦ ἀλεξάνδρου θεὸν εἶναι ψηφίσασθαι,
συγχωροῦμεν ἔφη ἀλεξάνδρῳ, ἐὰν θέλῃ θεὸς καλεῖσθαι. δαμίνδας φιλίπ-
που ἐμβαλόντος εἰς πελοπόννησον, καὶ εἰπόντος τινὸς κινδυνεύουσι δεινὰ πα-
θεῖν λακεδαιμόνιοι, εἰ μὴ τὰς πρὸς αὐτὸν διαλλαγὰς ποιήσονται, ἀνδρόγυναι
εἶπε, τί δ' ἂν πάθοιμεν δεινὸν θανάτου καταφρονήσαντες. δερκυλλίδας πύρ-
ῥου τὴν στρατείαν περὶ τῆς σπαρτιάτιδος ἔχοντος, πεμφθεὶς πρὸς αὐτὸν πρεσ-
βευτὴς, τοῦ πύρρου προστάττοντος καταδέχεσθαι τὸν βασιλέα αὐτῶν κλεώνυ-
μον, ἢ γνώσεσθαι ὡς οὐδενὸς τῶν ἄλλων ἀνδρειότεροι τυγχάνουσιν, ὑποτυχὼν
εἶπεν, εἰ μὲν θεός ἐστιν, οὐ φοβούμεθα τοῦτον, οὐδὲν γὰρ ἀδικοῦμεν, εἰ δὲ ἄνθρωπος,
οὐχ ἡμῶν γε κρείσσων. δημάρατος, ὀρόντου πρὸς αὐτὸν σκληρότερον ὁμιλή-
σαντος, καὶ εἰπόντος τινὸς σκληρῶς σοι κέχρηται ὀρόντης ὦ δημάρατε, οὐδὲν
ἥμαρτεν εἰς ἐμὲ εἶπεν, οἱ γὰρ πρὸς χάριν ὁμιλοῦντες βλάπτουσιν, οὐχ οἱ μετ'
ἀπεχθείας. ἐρωτήσαντος δέ τινος διατί τοὺς μὲν τὰς ἀσπίδας παρ' αὐ-
τοῖς ἀποβαλόντας ἀτιμοῦσι, τοὺς δὲ τὰ κράνη καὶ τοὺς θώρακας οὐκέτι, ὅτι
ἔφη ταῦτα μὲν χάριν ἑαυτῶν περιτίθενται, τὴν δὲ ἀσπίδα, τῆς κοινῆς τά-
ξεως ἕνεκα. ψάλτου δὲ ἀκροώμενος οὐ κακῶς εἶπε φαίνεταί μοι φλυαρεῖν.
ἐν δέ τινι συνεδρείῳ ἐρωτώμενος, πότερον διὰ μωρίαν, ἢ δι' ἀπορίαν λόγων
σιωπᾷ, ἀλλ' ὅγε μωρὸς οὐκ ἂν δύναιτο σιωπᾶν ἔφη. πυθομένου δέ τινος διατί
φεύγει τὴν σπάρτην βασιλεὺς ὤν, ὅτι ἔφη κρείσσονες αὐτῆς οἱ νόμοι εἰσί. τῶν
δὲ περσῶν τινος διὰ τὸ συνεχὲς τῆς δωροδοκίας τὸν ἐρώμενον αὐτοῦ ἀπαγα-
γόντος, καὶ λέγοντος ὦ λάκων, τεθήρευκά σου τὸν ἐρώμενον, μὰ τοὺς θεοὺς ἔφη,
οὐχὶ σύ γε, ἀλλ' ἠγόρακας. ἀποστάντος δέ τινος τῶν περσῶν τοῦ βασιλέως, καὶ
μεταπεισθέντος ὑπὸ δημαράτου ἐπανελθεῖν, καὶ μέλλοντος τοῦ βασιλέως τὸν
πέρσην διαχειρίζεσθαι, αἰσχρὸν ἔφη ὦ βασιλεῦ, ὅτε μὲν ἐχθρὸς ἦν σοι μὴ δύνα-
σθαι δίκην τῆς ἀποστάσεως παρ' αὐτοῦ λαβεῖν, ὅτε δὲ φίλος γέγονεν ἀποκτεί-
νειν. πρὸς δὲ τὸν παρασιτοῦντα τῷ βασιλεῖ καὶ περὶ τῆς φυγῆς πολλάκις
ἐπισκώπτοντα

ἐπισκώπτοντα αὐτὸν, οὐ μαχοῦμαί σοι ἔφη ὦ ξένε, κατανάλωκα γὰρ τὴν τοῦ
βίου τάξιν. ἐκπρεπὴς ὁ ἔφορος φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν
ἐννέα ἐξέτεμεν, εἰπὼν μὴ κακούργει τὴν μουσικήν. ἐπαινέτας πάντων ἔφη
τοὺς ψεύστας τῶν ἁμαρτημάτων καὶ τῶν ἀδικημάτων αἰτίους εἶναι. εὐβοί-
δας ἀκούων τινῶν ἐπαινούντων γυναῖκα ἀλλοτρείαν, οὐκ ἀπεδέχετο, φήσας ὅ-
λως περὶ γυναικείας φύσεως παρὰ τοῖς ἔξω λόγον εἶναι οὐδένα δεῖ. εὐδα-
μίδας ὁ ἀρχιδάμου, ἀδελφὸς δὲ ἄγιδος, ἰδὼν ξενοκράτην ἐν ἀκαδημίᾳ πρεσ-
βύτερον ἤδη μετὰ τῶν γνωρίμων φιλοσοφοῦντα ἐπύθετο τίς ὁ πρεσβύτης,
φαμένου δέ τινος ὅτι σοφὸς ἀνὴρ καὶ τῶν ζητούντων τὴν ἀρετὴν, καὶ πότε ἔφη
χρήσεται ἐὰν ἄρτι ζητῇ. ἀκούσας δὲ φιλοσόφου διαλεχθέντος ὅτι μόνος ἀ-
γαθὸς στρατηγὸς ὁ σοφός ἐστιν, ὁ μὲν λόγος ἔφη θαυμαστὸς, ὁ δὲ λέγων ἄπιστος, οὐ
γὰρ περισεσάλπισται. τὴν θέσιν δὲ ξενοκράτους εἰρηκότος καὶ καταπαυομέ-
νου, παρῆν ὁ εὐδαμίδας, ὡς δ' εἶπέ τις τῶν μετ' αὐτοῦ, ὅτε πάρεσμεν ἡμεῖς τό-
τε πέπαυται, καλῶς δὲ ἔφη, εἴπερ ἤδη ἔλεξε ταῦτα ἃ ἔχρῃζε, τοῦ δ' εἰπόντος,
καλὸν ἦν ἀκοῦσαι, ἢ καὶ πρὸς δεδειπνηκότα μολόντες, εἶπεν, ἠξιοῦμεν πάλιν
αὐτὸν δειπνεῖν; πυνθανομένου δέ τινος διατί τῶν πολιτῶν αἱρουμένων τὸν πρὸς
μακεδόνας πόλεμον, αὐτὸς ἡσυχίαν ἄγειν δοκιμάζει, ὅτι ἔφη οὐ χρῄζω ψευ-
δομένους αὐτοὺς ἐλέγξαι. ἑτέρου δὲ προσφερομένου τὰ κατὰ περσῶν ἀρι-
στεῖα καὶ προτρέποντος ἐπὶ τὸν πόλεμον, ἀγνοεῖν ἔφη μοι δοκεῖς γε ὅτι ταυτόν
ἐστι χιλίων προβάτων κρατήσαντα, πεντήκοντα λύκοις μάχεσθαι. ψάλτου
δέ τινος εὐημερήσαντος, ἠρώτησαν αὐτὸν ποδαπός τις αὐτῷ δοκεῖ εἶναι, μέγας
ἔφη κηλητὰς ἐν μικρῷ πράγματι. ἐπαινοῦντος δέ τινος τὰς ἀθήνας, ἔφη·
καὶ τίς ἂν ταύτην τὴν πόλιν δεόντως ἐπαινοίη, ἣν οὐδεὶς ἔστερξε γενόμενος βελ-
τίων. ἀργείου δέ τινος λέγοντος ὡς φαυλότεροι γίνονται κατὰ τὰς ἀποδη-
μίας οἱ λάκωνες ἐξιστάμενοι τῶν πατρίων νόμων, ἀλλ' οὐχ ὑμεῖς ἔφη εἰς τὴν σπάρ-
την ἐλθόντες χείρονες, ἀλλὰ βελτίονες γίνεσθε. ἀλεξάνδρου δὲ κηρύξαντος
ἐν ὀλυμπίᾳ κατιέναι τοὺς φυγάδας ἅπαντας εἰς τὴν ἰδίαν, πλὴν θηβαίων,
ἀτυχὲς μὲν ἔφη ὦ θηβαῖοι τὸ κήρυγμα, ἀλλ' ἔνδοξον, μόνους γὰρ ὑμᾶς φοβεῖται
ἀλέξανδρος. ἐρωτηθεὶς δέ τινος ἕνεκα πρὸ τῶν κινδύνων ταῖς μούσαις σφα-
γιάζουσιν, ὅπως ἔφη αἱ πράξεις λόγων ἀγαθῶν τυγχάνωσιν. εὐρυκρατίδας
ὁ ἀναξανδρίδου πυθομένου τινὸς διατί περὶ τὰ τῶν συμβολαίων δίκαια ἑκά-
στης ἡμέρας κρίνουσιν οἱ ἔφοροι, ὅπως ἔφη καὶ ἐν τοῖς πολεμίοις πιστεύωμεν
ἀλλήλοις. ζευξίδαμος πυθομένου τινὸς διατί τοὺς περὶ ἀνδρείας νόμους
ἀγράφους τηροῦσι, καὶ τοῖς νέοις ἀπογραψάμενοι οὐ διδόασιν ἀναγινώσκειν, ὅτι
ἔφη συνεθίζεσθαι δεῖ ταῖς ἀνδραγαθίαις κρεῖττον ἢ ταῖς γραφαῖς προσέχειν.
αἰτωλοῦ δέ τινος λέγοντος, ὅτι τοῖς ἀνδραγαθεῖν βουλομένοις, κρείσσων τῆς εἰρή-
νης ὁ πόλεμος, οὐ μὰ τοὺς θεοὺς ἔφη, ἀλλὰ τούτοις κρείσσων ὁ θάνατος τῆς ζωῆς.
ἡρώνδας ἀθήνησιν ἁλόντος τινὸς γραφὴν ἀργίας παρὼν καὶ πυθόμενος, ἐκέ-
λευσεν ἐπιδεῖξαι αὐτῷ τὸν τὴν ἐλευθερίαν δίκην ἡττηθέντα. θεαρίδας ξίφος
ἀκονῶν, ἠρωτήθη εἰ ὀξύ ἐστι, καὶ εἶπεν ὀξύτερον διαβολῆς. θεμιστέας προεῖπε
μὲν λεωνίδῃ τῷ βασιλεῖ τὴν γενησομένην ἀπώλειαν περὶ θερμοπύλας αὐτοῦ τε
καὶ τῶν συστρατευομένων αὐτῷ μάντις ὤν, ἀποπεμπόμενος δὲ ὑπὸ τοῦ λεωνί-
δου εἰς τὴν λακεδαίμονα προφάσει τοῦ ἀπαγγεῖλαι τὰ συμβησόμενα, ταῖς δ'
ἀληθείαις ἵνα μὴ παραπόληται, οὐκ ἠνέσχετο, ἀλλ' εἶπε μαχητὴς ἐπέμφθην οὐκ
ἀγγελιαφόρος. θεόπομπος πρὸς τὸν ἐρωτήσαντα πῶς ἄν τις ἀσφαλῶς τηροίη
τὴν βασιλείαν, εἰ τοῖς μὲν φίλοις ἔφη μεταδιδοίη παρρησίας δικαίας, τοὺς δὲ

ἀρχομένους κατὰ δύναμιν μὴ περιορᾷν ἀδικουμένους. πρὸς δὲ τὸν ξένον
τὸν λέγοντα ὅτι παρὰ τοῖς αὑτοῦ πολίταις καλεῖται φιλολάκων, κρεῖσσον
ἔφη ἦν σε φιλοπολίτην ἢ φιλολάκωνα καλεῖσθαι. τοῦ δ᾽ ἐκ τῆς ἤλιδος πρέσ-
βεως εἰπόντος ὅτι διὰ τοῦτ᾽ αὐτὸν ἐξαπέστειλαν οἱ πολῖται ὅτι μόνος τὸν λα-
κωνικὸν ἐζήλωσε βίον, καὶ πότερον ἔφη ὁ σὸς ἢ ὁ τῶν ἄλλων πολιτῶν βίος βελ-
τίων ἐστὶ, τοῦ δὲ εἰπόντος τὸν αὑτοῦ, πῶς οὖν ἂν ἔφη αὕτη ἡ πόλις σώζοιτο ἐν ᾗ
πολλῶν ὄντων, εἷς μόνος ἀγαθός ἐστι. λέγοντος δέ τινος ὅτι ἡ σπάρτη σώζεται
διὰ τοὺς βασιλεῖς ἀρχικοὺς ὄντας, οὐκ ἔφη, ἀλλὰ διὰ τοὺς πολίτας πειθαρχι-
κοὺς ὄντας. πυλίων δὲ αὐτῷ μείζονας τιμὰς ψηφισαμένων, ἀντέγραψεν ὅ-
τι τὰς μὲν μετρίας ὁ χρόνος αὔξει, τὰς δ᾽ ὑπεραιρούσας, ἀφανίζει. θηρυ-
κίων ἐκ δελφῶν παραγενόμενος ἰδών τὸ φιλίππου στρατόπεδον ἐν ἰσθμῷ τὰ
στενὰ κατειληφὸς, κακοὺς ἔφη πυλωροὺς ὑμᾶς ὦ κορίνθιοι ἡ πελοπόννησος ἔχει.
θεκταμένης, καταγνόντων αὐτοῦ θάνατον τῶν ἐφόρων, ἀπῄει μειδιῶν, καὶ
τινος τῶν παρόντων ἐρωτήσαντος εἰ καὶ καταφρονεῖ τῶν τῆς σπάρτης νομί-
μων, οὐχὶ εἶπεν, ἀλλὰ γέγηθα ὅτι δεῖ με τὴν ζημίαν ἐκτίσαι ταύτην, παρ᾽ οὐδε-
νὸς οὔτε αἰτήσαντά με οὔτε δανεισάμενον. ἱπποδάμος ὅτε ἆγις ἀρχιδά-
μῳ παρετάσσετο, συμπεμφθεὶς τῷ ἄγιδι εἰς σπάρτην ἐκεῖ τὰς χρείας παρέχε-
σθαι, ἀλλ᾽ οὗτος ἔφη, οὔτοι κάλλιον θάνατον ἀποθανοῦμαι ὑπὲρ σπάρτης ἀνδρα-
γαθῶν· ἦν δὲ βεβιωκὼς ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη, καὶ μετὰ ταῦτα λαβὼν τὰ
ὅπλα καὶ στὰς ἐν δεξιᾷ τοῦ βασιλέως μαχόμενος ἀπέθνησκε. ἱπποκρατίδας
πρὸς τὸν τῆς καρίας σατράπην ἐπιστείλαντα, διότι λακεδαιμόνιος ἀνὴρ, ἐπιβου-
λευόντων τινῶν συνειδὼς τὴν ἐπιβουλὴν κατεσιώπησε, καὶ προσθέντος πῶς χρή-
σεται αὐτῷ, ἀντέγραψεν εἰ μὲν μέγα τι αὐτὸν ἀγαθὸν πεποίηκας, κατάκτανε,
εἰ δὲ μὴ, ἐκ τῆς χώρας ἔκβαλε δειλὸν πρὸς ἀρετὴν ὄντα. ἀπαντήσαντος
δέ ποτε αὐτῷ μειρακίου ᾧ ἠκολούθει ἐραστής τις, καὶ διατραπέντος, μετὰ τοιού-
των ἔφη βαδίζειν δεῖ μεθ᾽ ὧν ὀφθεὶς τὴν αὐτὴν χρόαν τηρήσεις. καλλικρατί-
δας ναύαρχος, τῶν λυσάνδρου φίλων ἀξιούντων ἐπιτρέψαι αὐτοῖς ἕνα τινὰ
τῶν ἐχθρῶν ἀνελεῖν, καὶ λαβεῖν πεντήκοντα τάλαντα, καίτοι σφόδρα δεόμε-
νος χρημάτων εἰς ὀψώνια τοῖς ναύταις, οὐ συνεχώρησε. κλέανδρος δὲ σύμ-
βουλος ὢν, ἀλλ᾽ ἔγωγε ἂν ἔλαβον εἶπεν, εἰ σὺ ἤμην· κᾀγὼ αὐτὸς εἶπεν, εἰ σὺ ἦ.
παραγενόμενος δὲ πρὸς κῦρον τὸν νεώτερον εἰς σάρδεις σύμμαχον ὄντα λα-
κεδαιμονίοις ἐπὶ χρήματα τῷ ναυτικῷ, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἐκέλευσεν εἰσ-
αγγεῖλαι, ὅτι βούλεται κύρῳ ἐντυχεῖν, ὡς δ᾽ ἤκουσε πίνειν, προσμενῶ εἶπεν
ἕως ἂν πίῃ, καὶ τότε μὲν ἀπηλλάγη ὡς ἔγνω οὐχ οἷόν τε εἶναι συμβαλεῖν αὐ-
τῷ ἐκείνῃ τῇ ἡμέρᾳ δόξας ἀγροικότερος εἶναι, τῇ δ᾽ ἐχομένῃ, ὡς πάλιν αὐ-
τὸν πίνειν ἤκουσε καὶ οὐ προϊόντα, φήσας οὐχ οὕτω σπουδαστέον χρήματα λα-
βεῖν ὡς μηδὲν ἀνάξιον τῆς σπάρτης ποιεῖν, ἀπηλλάγη εἰς ἔφεσον, πολλὰ μὲν ἐπα-
ρώμενος κακὰ τοῖς πρώτοις ἐντρυφηθεῖσιν ὑπὸ βαρβάρων, καὶ διδάξασιν αὐτοὺς
ὑβρίζειν διὰ πλοῦτον, ὤμνυέ τε πρὸς τοὺς παρόντας ὡς ὅταν πρῶτον εἰς σπάρ-
την παραγένηται πάντα ποιήσειν ὑπὲρ τοῦ διαλλάξαι τοὺς ἕλληνας ὡς φοβερώ-
τεροι τοῖς βαρβάροις εἶεν, καὶ παύσαιντο τῆς ἐκείνων ἐπ᾽ ἀλλήλους δεόμενοι δυνά-
μεως. ἐρωτηθεὶς δὲ ὁποῖοι ἄνδρες εἰσὶν οἱ ἴωνες, ἐλεύθεροι μὲν ἔφη κακοὶ, δοῦ-
λοι δὲ ἀγαθοί. τοῦ δὲ κύρου τὸν μισθὸν προπέμψαντος τοῖς στρατιώταις, καὶ ξένια
αὐτῷ, μόνον ἔλαβε τὸν μισθὸν, τὰ δὲ ξένια ἀντέπεμψε φήσας μὴ δεῖν φιλίαν αὐτῷ
ἰδίαν πρὸς αὐτὸν εἶναι, ἀλλὰ τὴν κοινὴν πρὸς ἅπαντας λακεδαιμονίους γεγονυῖαν,
καὶ αὐτῷ ὑπάρχειν. μέλλων δὲ περὶ τὰς ἀργινούσας ναυμαχεῖν, ἐρομένου τοῦ κυβερνή-
του

του εἰπόντος ὅτι καλῶς ἔχει ἀποπλεῦσαι, αἱ γὰρ τριήρεις τῶν ἀθηναίων πολλῷ
πλείους εἰσὶν, εἶπε καὶ τί τοῦτο, ἀλλὰ φεύγειν αἰσχρὸν καὶ βλαβερὸν τῇ σπάρ-
τῃ, μένοντα δὲ ἢ ἀποθανεῖν ἢ νικᾶν ἄριστον. προθυσάμενος δὲ, ὡς ἤκουσε τοῦ
μάντεως σημαίνεσθαι διὰ τῶν ἐμπύρων τῷ μὲν στρατῷ, νίκην, τῷ δὲ στρατηγοῦντι,
θάνατον, οὐδὲν καταπλαγεὶς εἶπεν οὐ παρ᾽ ἕνα τὰ σπάρτα, ἀποθανόντος γάρ μου
οὐδὲν ἡ πατρὶς ἐλαττωθήσεται, εἴξαντος δὲ τοῖς πολεμίοις ἐλαττωθήσεται,
ἀποδείξας οὖν ἀνθ᾽ ἑαυτοῦ κλέανδρον ἡγεμόνα ὥρμησεν ἐπὶ τὴν ναυμαχίαν,
καὶ μαχόμενος τελευτᾷ. κλεόμβροτος ὁ παυσανίου ξένου τινὸς διαφερο-
μένου πρὸς τὸν πατέρα περὶ ἀρετῆς, μέχρι τούτου εἶπεν κρείσσων σου ἐστὶν ὁ πα-
τὴρ, μέχρις ἂν καὶ σὺ γεννήσῃς. κλεομένης ὁ ἀναξανδρίδου, τὸν μὲν ὅμηρον
λακεδαιμονίων εἶναι ποιητὴν ἔφη, τὸν δὲ ἡσίοδον τῶν εἱλώτων, τὸν μὲν γὰρ ὡς
χρὴ πολεμεῖν, τὸν δὲ ὡς χρὴ γεωργεῖν παρηγγελκέναι. ἀνοχὰς δὲ ἐφημέρους
πρὸς ἀργείους ποιησάμενος, φυλάξας αὐτοὺς τῇ τρίτῃ νυκτὶ κοιμωμένους
διὰ τὸ πεποιθέναι ταῖς σπονδαῖς, ἐπέθετο, καὶ τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ αἰχ-
μαλώτους ἔλαβεν, ὀνειδιζόμενος δὲ ἐπὶ τῇ παραβάσει τῶν ὅρκων, οὐκ ἔφη
προσομωμοκέναι ταῖς ἡμέραις τὰς νύκτας, ἄλλως τε καὶ ὅτι ἂν κακόν τις
ποιῇ τοὺς πολεμίους, τοῦτο καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις δίκης ὑπέρ-
τερον νομίζεσθαι. συνέβη δ᾽ αὐτῷ τῆς μὲν ἄργους, δι᾽ ὃ παρεσπόνδησεν, ἀποπεσεῖν
διὰ τὸ τὰς γυναῖκας τὰ ἀπὸ τῶν ἱερῶν καθελούσας ὅπλα, τούτοις αὐτὸν ἀμύ-
νασθαι, καὶ ὕστερον δὲ τῶν φρενῶν ἔξω γενόμενος δράξασθαι τινὸς μαχαιρίου
καὶ αὑτὸν ἀνατεμεῖν ἀπὸ τῶν σφυρῶν ἕως ἐπὶ τοὺς καιρίους τόπους καὶ οὕτως
ἐκλιπεῖν τὸν βίον γελῶντα καὶ σεσηρότα. τοῦ δὲ μάντεως ἀποτρέποντος μὴ
ἄγειν ἐπὶ τὴν τῶν ἀργείων πόλιν στράτευμα, τὴν γὰρ ἐπάνοδον αἰσχρὰν γενή-
σεσθαι, προσελθὼν τῇ πόλει, τὰς μὲν πύλας κεκλεισμένας εἶδε, τὰς δὲ γυναῖ-
κας ἐπὶ τῶν τειχῶν, αὕτη σοι ἔφη ἡ ἐπάνοδος αἰσχρὰ φαίνεται εἶναι ἐν ᾗ τῶν
ἀνδρῶν τεθνηκότων, αἱ γυναῖκες τὰς πύλας κεκλείκασι. πρὸς δὲ τοὺς λοι-
δοροῦντας αὐτὸν τῶν ἀργείων ὡς ἐπίορκον καὶ ἀσεβῆ, τὸ μὲν κακῶς λέγειν ἔφη
ὑμεῖς κύριοι, τοῦ δὲ κακῶς ὑμᾶς ποιεῖν, ἐγώ. τοῖς δὲ ἀπὸ τῆς σάμου πρέσβεσι
παρακαλοῦσιν αὐτὸν πολυκράτει τῷ τυράννῳ πολεμεῖν, καὶ διὰ τοῦτο μακρολογοῦ-
σιν ὧν εἰρήκετε ἔφη, τὰ μὲν ἐξ ἀρχῆς οὐ μέμνημαι, διὰ τοῦτο δὲ καὶ τὰ μέσα οὐ συνίη-
μι, τὰ δ᾽ ἐπὶ πᾶσιν οὐ δοκιμάζω. πειρατοῦ δὲ καταδραμόντος τὴν χώραν, καὶ
ὡς ἑάλω, λέγοντος ὅτι τροφὴν οὐκ εἶχον τοῖς στρατιώταις παρέχειν, πρὸς τοὺς ἔ-
χοντας οὖν ἑκοντὶ δ᾽ οὐκ ἂν δόντας, βίᾳ ληψόμενος ἦλθον, ἔφη συντόμως ἡ πονη-
ρία. φαύλου δέ τινος κακῶς αὐτὸν λέγοντος, ἆρα διὰ τοῦτο ἔφη πάντας
σὺ κακῶς λέγεις, ἵνα ἀπολογούμενοι μὴ εὐκαιρῶμεν περὶ τῆς σῆς κακίας λέ-
γειν; τῶν δὲ πολιτῶν τινὸς λέγοντος ὅτι τὸν ἀγαθὸν βασιλέα πάντη πάν-
τως πρᾶον εἶναι δεῖ, οὐκοῦν ἔφη ἄχρι τοῦ μὴ εὐκαταφρόνητον εἶναι. ἑλκυ-
σθεὶς δὲ νόσῳ μακρᾷ, ἐπεὶ καθάρταις καὶ μάντεσι προσεῖχε τὸ πρὶν οὐ προσέχων,
θαυμάζοντός τινος, τί θαυμάζεις ἔφη, οὐ γάρ εἰμι ὁ αὐτὸς νῦν καὶ τότε, οὐκ ὢν
δὲ ὁ αὐτὸς, οὐδὲ τὰ αὐτὰ δοκιμάζω. σοφιστοῦ δέ τινος περὶ ἀνδρείας λέ-
γοντος, πλεῖω ἐγέλασε, τοῦ δὲ εἰπόντος τί γελᾷς κλεόμενες, περὶ ἀνδρείας
λέγοντος ἀκούων καὶ ταῦτα βασιλεὺς ὤν, ὅτι ἔφη ὦ ξένε καὶ ἡ χελιδὼν, εἰ περὶ
αὐτῆς ἂν ἔλεγε, τὸ αὐτὸ ἂν ἐποίουν, εἰ δὲ ἀετὸς, πολλὴν ἂν εἶχον ἠρεμίαν.
τῶν δὲ ἀργείων τὴν προτέραν ἧτταν φασκόντων ἀναμαχεῖσθαι, θαυμάζω ἔφη
εἰ δύο συλλαβῶν προσθήκῃ νῦν κρείσσονες ἐγένεσθε, ἢ πρόσθεν ἦτε. λοιδοροῦν-
τος δέ τινος αὐτὸν καὶ φήσαντος θρυπτικὸς εἶ ὦ κλεόμενες, ἀλλὰ κρεῖσσον ἔφη

ἢ ἄδικον εἶναι. σὺ δὲ φιλοχρήματος καὶ περὶ κακὰ κεκτημένος. ψάλτην δέ
τις αὐτῷ βουλόμενος συστῆσαι, τά τε ἄλλα τὸν ἄνδρα ἐπῄνει, καὶ ψάλτην αὐτὸν
ἔφη κράτιστον εἶναι τῶν ἑλλήνων, ὁ δὲ δείξας τινὰ τῶν πλησίον, νὴ τοὺς θεοὺς
ἔφη οὗτος παρ' ἐμοὶ ψωμοποιός. μαιανδρίου δὲ τοῦ τῆς σάμου τυράννου διὰ
τὴν περσῶν ἔφοδον εἰς σπάρτην φυγόντος, καὶ ἐπιδείξαντος ὅσα κεκομίκει
χρήματα χαριζομένου τε ὅσα βούλεται, ἔλαβε μὲν οὐδέν, εὐλαβούμενος δὲ μὴ
ἑτέροις τισὶ τῶν ἀστῶν διαδῷ, παρελθὼν εἰς τοὺς ἐφόρους, ἄμεινον ἔφη εἶναι τῇ
σπάρτῃ τὸν ξένον ἑαυτοῦ σάμιον ἀπαλλάττεσθαι τῆς πελοποννήσου, ἵνα μὴ
πείσῃ τινὰ τῶν σπαρτιατῶν κακὸν γενέσθαι, οἱ δὲ ὑπακούσαντες ἐξεκήρυξαν
τὸν μαιάνδριον αὐτῆς ἡμέρας. εἰπόντος δέ τινος διατί πολεμοῦντας ὑμῖν
ἀργείους πολλάκις κρατήσαντες οὐκ ἀνῃρήκατε, οὐδ' ἂν ἀνέλοιμεν ἔφη, ὡς ἂν γυ-
μναστὰς τοῖς νέοισιν ἔχοιμεν. πυνθανομένου δέ τινος αὐτοῦ, διατί σπαρτιᾶται
θεοῖς οὐκ ἀνατιθέασι τὰ ἀπὸ τῶν πολεμίων σκῦλα, ὅτι ἔφη ἀπὸ δειλῶν ἐστι, τὰ δὲ
ἀπὸ τῶν κεκτημένων διὰ δειλίαν θηραθέντα οὔτε τοὺς νέους ὁρᾶν καλόν, οὔτε
τοῖς θεοῖς ἀνατιθέναι. κλεομένης ὁ κλεομβρότου, διδόντος αὐτῷ τινος μαχί-
μους ἀλεκτρυόνας καὶ λέγοντος ὅτι μαχόμενοι ἀποθνήσκουσι περὶ νίκης, τῶν κα-
τακτεινόντων τοίνυν αὐτούς τινας δός μοι, ἐκεῖνοι γὰρ τούτων ἀμείνους. λα-
βώτας μακρολογοῦντός τινος εἶπε, τί μοι μικρὸν περὶ μεγάλα φροιμιάζῃ, ὅ-
σον γὰρ εἴη πρᾶγμα, τοσοῦτον καὶ ὁ λόγος ᾧ χρῆσαι. λεωτυχίδας ὁ πρῶτος
λέγοντός τινος ὡς ἔστιν εὐμετάβολος διὰ τοὺς καιροὺς, ἔφη, οὐχ ὡς ὑμεῖς διὰ τὴν
αὑτῶν κακίαν. πρὸς δὲ τὸν ἐρωτῶντα πῶς ἄν τις μάλιστα διαφυλάσσοι τὰ
παρόντα τῶν ἀγαθῶν, εἶπεν εἰ μὴ πάντα τῇ τύχῃ πιστεύοι. ἐρωτηθεὶς δὲ τί δεῖ
μάλιστα μανθάνειν τοὺς ἐλευθέρους παῖδας, ταῦτ' ἔφη ὅσ' ἂν αὐτοὺς ὠφελήσει-
εν ἄνδρας γενομένους. πυνθανομένου δέ τινος διὰ τίνα αἰτίαν ὀλιγοποτοῦ-
σιν οἱ σπαρτιᾶται, ἔφη ἵνα μὴ ἄλλοι ὑπὲρ ἡμῶν βουλεύωνται, ἀλλ' ἡμεῖς ὑπὲρ
ἄλλων. λεωτυχίδας ὁ ἀρίστωνος πρὸς τὸν εἰπόντα ὅτι κακῶς σε οἱ τοῦ δη-
μαράτου λέγουσι, μὰ τοὺς θεοὺς ἔφη οὐ θαυμάζω, καλῶς γὰρ λέγειν οὐδεὶς ἂν
αὐτῶν δυνηθείη. τῇ δ' ἐγγυτέρω πύλῃ δράκοντος περὶ τὴν κλεῖν ἑλιχθέντος,
καὶ τῶν μάντεων τέρας ἀποφαινομένων εἶναι, οὔ τι ἔμοιγ' ἔφη δοκεῖ, ἀλλ' εἰ ἡ
κλεὶς τῷ δράκοντι περιειλίχθη, τέρας ἂν ἦν. πρὸς φίλιππον τὸν ὀρφεοτε-
λεστὴν παντελῶς πτωχὸν ὄντα, λέγοντα δ' ὅτι οἱ παρ' αὐτῷ μυηθέντες μετὰ τὴν
τοῦ βίου τελευτὴν εὐδαιμονοῦσι, τί οὖν ὦ ἀνόητε εἶπεν οὐ τὴν ταχίστην ἀποθνή-
σκεις, ἵνα ἀναπαύσῃ κακοδαιμονίαν καὶ πενίαν κλαίων. λέων ὁ εὐρυκρατί-
δας, ἐρωτηθεὶς ποίαν τις ἂν πόλιν οἰκήσας ἀσφαλῶς οἰκοίη, ὅπου ἔφη μήτε
πλείω μήτε ἐλάσσονα κεκτήσονται οἱ ἐνοικοῦντες, καὶ ὅπου τὸ μὲν δίκαιον ἰ-
σχύσει, τὸ δὲ ἄδικον ἀσθενὲς ἔσται. ὁρῶν δὲ τοὺς ἐν ὀλυμπίᾳ δρομεῖς σπουδάζοντας
περὶ τὴν ἄφεσιν ἵνα πλεονεκτήσωσιν, ὅσῳ μᾶλλον ἔφη οἱ δρομεῖς σπουδάζουσι περὶ
τῆς ταχυτῆτος ἢ περὶ τῆς δικαιοσύνης. ἀκαίρως δέ τινος περὶ πραγμάτων οὐκ ἀχρή-
στων διαλεχθέντος, ὦ ξένε εἶπεν οὐκ ἐν δέοντι χρῇ τῷ δέοντι. λεωνίδας ὁ ἀναξαν-
δρίδου ἀδελφὸς δὲ κλεομένους, πρός τινα εἰπόντα, πλὴν τοῦ βασιλεύειν ἡμῶν οὐδὲν δια-
φέρεις, ἀλλ' οὐκ ἄν ἔφη, εἰ μὴ βελτίων ὑμῶν ἤμην ἐβασίλευον. τῆς δὲ γυναικὸς αὐτοῦ γορ-
γοῦς πυνθανομένης ὅτε εἰς θερμοπύλας ἐξῄει τῷ πέρσῃ μαχούμενος εἴ τι αὐτῇ
ἐντέλλεται, ἔφη ἀγαθοῖς γαμεῖσθαι καὶ ἀγαθὰ τίκτειν. λεγόντων δὲ τῶν ἐφόρων ὀλί-
γους ἄγειν αὐτὸν εἰς θερμοπύλας, ἔφη πρὸς ἣν βαδίζομεν πρᾶξιν. πάλιν δὲ αὐ-
τῶν εἰπόντων μή τι ἕτερόν τι διέγνωκας ποιεῖν τὰς παρόδους τῶν βαρβάρων, κωλύειν τῷ
λόγῳ ἔφη, τῷ δ' ἔργῳ ἀποθανούμενος ὑπὲρ τῶν ἑλλήνων. γενόμενος δὲ ἐν θερμοπύλαις
πρὸς

πρὸς τοὺς συστρατιώτας εἶπε, λέγοντι τὸν βάρβαρον ἐγγὺς γενόμενον, ἄμμε δὲ
χρόνον τριβέειν, ἤδη γὰρ ἢ κτανέμες τὼς βαρβάρως, ἢ αὐτοὶ τεθνάμεν μέλλομες.
λέγοντος δέ τινος ἀπὸ τῶν οἰστευμάτων τῶν βαρβάρων οὐδὲ τὸν ἥλιον ἰδεῖν ἐστιν,
οὐκοῦν ἔφη χαρίεν, εἰ ὑπὸ σκιᾷ αὐτοῖς μαχεσόμεθα. ἄλλου δὲ εἰπόντος πά-
ρεισιν ἐγγὺς ἡμῶν, οὐκοῦν ἔφη καὶ ἡμεῖς αὐτῶν ἐγγύς. εἰπόντος δέ τινος πρὸς
πολλοὺς ὦ λεωνίδα μετ' ὀλίγων διακινδυνεύσων οὕτω πάρει; εἰ μὲν οἴεσθέ με ἔ-
φη τῷ πλήθει, οὐδὲ ἡ πᾶσα ἑλλὰς ἀρκεῖ, βραχεῖα γὰρ μοῖρα τοῦ ἐκείνων πλήθους
ἐστιν, εἰ δὲ ταῖς ἀρεταῖς καὶ οὗτος ὁ ἀριθμὸς ἱκανός. ἄλλου δὲ τὰ αὐτὰ λέγοντος
καὶ μὴν εἶπεν πολλοὺς ἐπάγομαι ὡς ἀποθανουμένους. ξέρξου δὲ γράψαντος
αὐτῷ ἔξεστί σοι μὴ θεομαχοῦντι, μετ' ἐμοῦ δὲ τασσομένῳ τῆς ἑλλάδος μοναρ-
χεῖν, ἀντέγραψεν εἰ τὰ καλὰ τοῦ βίου γινώσκοις, ἀπέστης ἂν τῆς τῶν ἀλλοτρίων
ἐπιθυμίας, ἐμοὶ δὲ κρείσσων ὁ ὑπὲρ τῆς ἑλλάδος θάνατος τοῦ μοναρχεῖν τῶν ὁ-
μοφύλων. πάλιν δὲ τοῦ ξέρξου γράψαντος, πέμψον τὰ ὅπλα, ἀντέγρα-
ψεν μολὼν λάβε. βουλομένου δ' αὐτοῦ ἤδη τοῖς πολεμίοις ἐπιτίθεσθαι οἱ πολέ-
μαρχοι πρὸς αὐτὸν ἔφασαν, ὅτι δεῖ προσμένειν αὐτὸν τοὺς ἄλλους συμμάχους,
οὐ γάρ ἔφη πάρεισιν οἱ μάχεσθαι μέλλοντες; ἢ οὐκ ἴστε ὅτι μόνοι πρὸς τοὺς πο-
λεμίους μάχονται οἱ τοὺς βασιλέας αἰδούμενοι καὶ φοβούμενοι. τοῖς δὲ στρα-
τιώταις παρήγγειλεν ἀριστοποιεῖσθαι ὡς ἐν ἅδου δειπνοποιησομένους. ἐρωτη-
θεὶς δὲ διατί οἱ ἄριστοι τὸν ἔνδοξον θάνατον, τῆς ἀδόξου προκρίνουσι ζωῆς, ὅτι ἔ-
φη τὸ μὲν τῆς φύσεως ἴδιον, τὸ δὲ αὐτῶν εἶναι νομίζουσι. τοὺς δ' ἠϊθέους βου-
λόμενος σῶσαι καὶ ἐπιστάμενος ἄντικρυς οὐκ ἀνεξομένους, σκυτάλας δοὺς καθ'
ἕνα αὐτῶν πρὸς τοὺς ἐφόρους ἔπεμψε, καὶ τῶν τελείων δὲ τρεῖς ἐβουλήθη διασῶ-
σαι, οἱ δὲ συννοήσαντες, οὐκ ἠνέσχοντο λαβεῖν τὰς σκυτάλας, ὧν ὁ μὲν εἶπεν, οὐ
κήρυξ ἀλλὰ μαχητὰς ἀκολούθησα, ὁ δὲ δεύτερος αὐτοῦ μένων, κρείσσων ἂν εἴη,
ὁ δὲ τρίτος, οὐχ ὕστερος τούτων, πρῶτος δὲ μαχήσομαι. λοχαγὸς ὁ πολυαινί-
δου καὶ σείρωνος πατὴρ ἀπαγγείλαντός τινος αὐτῷ ὅτι τῶν υἱῶν τεθνήκει ὁ ἕτε-
ρος, πάλαι ᾔδειν ἔφη ὅτι ἀποθανεῖν αὐτὸν ἔδει. λυκοῦργος ὁ νομοθέτης βου-
λόμενος ἐκ τῆς προϋπαρχούσης διαίτης τοὺς πολίτας εἰς σωφρονεστέραν βίου
τάξιν μετάγειν καὶ καλοκαγαθικοὺς ἀπεργάζεσθαι, ἁβροδίαιτοι γὰρ ἦσαν,
δύο σκύλακας ἀνέθρεψε τοῦ αὐτοῦ πατρὸς καὶ μητρὸς γενομένους, καὶ τὸν μὲν
εἴθισε περὶ λιχνείας οἴκοι ἐάσας, τὸν δὲ ἐπαγόμενος ἤσκησε περὶ κυνηγέσια,
ἔπειτα ἀγαγὼν εἰς τὴν ἐκκλησίαν ἔθηκεν ἀκάνθας καὶ λιχνείας τινὰς, ἀφῆ-
κε δὲ καὶ λαγών, ἐπὶ τὰ συνήθη δ' ἑκατέρου ὁρμήσαντος, καὶ θατέρου τὸν λα-
γὼν χειρωσαμένου, εἶπεν ὁρᾶτε ὦ πολῖται ὅτι ταὐτοῦ γένους ὑπάρχοντες ἐν τῇ
τοῦ βίου ἀγωγῇ παραπολὺ ἀλλήλων διάφοροι ἀπέβησαν, καὶ ποιητικωτέρα τῆς
φύσεως ἡ ἄσκησις πρὸς τὰ καλὰ τυγχάνει; τινὲς δέ φασιν, οὐ παρῆγε σκύ-
λακας οἳ ἐκ τῶν αὐτῶν γεγονότες ἐτύγχανον, ἀλλ' ὁ μὲν ἦν οἰκουρῶν, ἕτερος δὲ
κυνηγετῶν, κἄπειτα τὸν μὲν ἐκ τοῦ χείρονος γένους πρὸς τὰ κυνηγέσια ἤσκησε,
τὸν δὲ ἐκ τοῦ ἀμείνονος περὶ λιχνείας μόνον ἤσκησε, εἶθ' ἑκάστου ἐφ' ἃ εἴθιστο ὁρμή-
σαντος φανερὸν ποιήσας, ὅσον ἡ ἀγωγὴ πρὸς τὰ ἀμείνω καὶ χείρω συλλαμβά-
νεται εἶπεν, οὐκοῦν καὶ ἡμᾶς ὦ πολῖται, οὐδὲν ἡ παρὰ τοῖς πολλοῖς θαυμαζομένη
εὐγένεια καὶ τὸ ἀφ' ἡρακλέους εἶναι ὀνίνησιν, εἰ μὴ πράττομεν δι' ἃ ἐκεῖνος ἁπάν-
των ἀνθρώπων ἐπιδοξότερος καὶ εὐγενέστερος ἐφάνη, ἀσκούμενοι καὶ μανθάνον-
τες καλὰ δι' ὅλου τοῦ βίου. ἀναδασμὸν δὲ τῆς γῆς ποιήσας καὶ ἅπασιν ἴσον κλῆ-
ρον τοῖς πολίταις νείμας, λέγεται ὕστερον ποτὲ χρόνῳ τὴν χώραν διερχόμενος
ἐξ ἀποδημίας ἄρτι θεριζομένην, ἰδὼν τοὺς σωροὺς κειμένους παρ' ἀλλήλους καὶ

ὁ μαλλὸς ἡ ἀθῆναι, καὶ μειδιάσαντα εἰπεῖν πρὸς τοὺς παρόντας, ὡς ἡ λακωνικὴ φαίνεται πᾶσα πολλῶν ἀδελφῶν εἶναι νεωστὶ νενεμημένων. καὶ τῶν χρεῶν δὲ ἀποκοπὰς εἰσηγησάμενος, ἐπεχείρησε καὶ τὰ κατ' οἶκον ὄντα πάντα ἐξ ἴσου διαιρεῖν, ὅπως παντάπασιν ἐξέλοι τὸ ἄνισον καὶ ἀνώμαλον. ἐπεὶ δὲ χαλεπῶς ἑώρα προσδεξομένους τὴν ἄντικρυς ἀφαίρεσιν, τό τε χρυσοῦν καὶ ἀργυροῦν νόμισμα ἠκύρωσε, μόνῳ δὲ τῷ σιδήρῳ προσέταξε χρῆσθαι, καὶ μέχρις οὗ δεῖ ἔχειν τὴν ὅλην ὕπαρξιν πρὸς ἀμοιβὴν τούτων περιώρισε. τούτου δὲ γενομένου, ἐξέπεσε τῆς λακεδαίμονος ἀδικία πᾶσα, οὔτε γὰρ κλέπτειν, οὔτε δωροδοκεῖν, οὔτε ἀποστερεῖν ἢ ἁρπάζειν ἔτι ἠδύνατό τις, ὃ μήτε κατακρύψαι δυνατὸν ἦν, μήτε κτήσασθαι ζηλωτὸν, μήτε χρήσασθαι ἀκίνδυνον, μήτε ἐξάγειν ἢ ἐπάγειν ἀσφαλές. πρὸς δὲ τούτοις καὶ ἀπάντων τῶν περιττῶν ξενηλασίαν ἐποιήσατο, διὸ οὔτε ἔμπορος, οὔτε σοφιστὴς, οὔτε μάντις ἢ ἀγύρτης, οὔτε τῶν κατασκευασμάτων δημιουργὸς εἰσῄει εἰς τὴν σπάρτην, οὐδὲ γὰρ νόμισμα παρ' αὐτοῖς εὔχρηστον εἴασε, μόνον δὲ τὸ σιδηροῦν εἰσηγήσατο, ὃ ἐστι μνᾶ ὁλκὴ αἰγιναία, δυνάμει δὲ χαλκοῖ τέσσαρες. ἐπιθέσθαι δὲ τῇ τρυφῇ καὶ τὸν ζῆλον ἀφελέσθαι τοῦ πλούτου διανοηθεὶς, τὰ συσσίτια εἰσηγήσατο. πρὸς γοῦν τοὺς ἐπιζητοῦντας διατί ταῦτα συνεστήσατο, καὶ μεθ' ὅπλων κατ' ὀλίγους τοὺς πολίτας διήρηκεν, ὅπως εἶπεν ἐξ ἑτοίμου τὰ παραγγελλόμενα δέχωνται, καὶ ἐάν τι νεωτερίζωσιν, ἐν ὀλίγοις ᾖ τὸ ἀμπλάκημα, ἰσομοιρία τε τῆς τροφῆς καὶ πόσεως ᾖ, καὶ μήτε πόσει τινὶ ἢ βρώσει, ἀλλὰ μηδὲ στρωμνῇ ἢ σκεύεσιν ἢ ἄλλῳ τινὶ τοσοῦτον πλέον ἔχῃ ὁ πλούσιος τοῦ πένητος. ἄζηλον δὲ ποιήσας τὸν πλοῦτον οὐδενὸς οὐδὲ χρῆσθαι οὐδὲ ἐπιδεῖξαι δυναμένου, ἔλεγε πρὸς τοὺς συνήθεις, ὡς καλόν ἐστιν ὦ ἑταῖροι διὰ τῶν ἔργων ἐπιδεῖξαι τὸν πλοῦτον ὁποῖός ἐστι τῇ ἀληθείᾳ ὅτι τυφλός. παρεφύλαξε δὲ ὥστε μηδὲ οἴκοι προδειπνήσαντας ἐξεῖναι βαδίζειν ἐπὶ τὰ συσσίτια πεπληρωμένους ἑτέρων ἐδεσμάτων ἢ πομμάτων, ἐκάκιζον δὲ οἱ λοιποὶ τὸν μὴ πίνοντα ἢ φαγόντα μετ' αὐτῶν ὡς ἀκρατῆ καὶ πρὸς τὴν κοινὴν ἀπομαλακιζόμενον δίαιταν. ἐζημιοῦτο δὲ καὶ ὁ φανερὸς γενόμενος. ἄγιδος οὖν μετὰ πολὺν χρόνον τοῦ βασιλέως ἐπανελθόντος ἀπὸ στρατείας κατεπεπολεμήκει δὲ ἀθηναίους, βουλομένου παρὰ τῇ γυναικὶ μιᾷ ἡμέρᾳ δειπνῆσαι καὶ μεταπεμπομένου τὰς μερίδας, οὐκ ἔπεμψαν οἱ πολέμαρχοι, μεθ' ἡμέραν δὲ φανεροῦ γενομένου τοῖς ἐφόροις, ἐζημιώθη ὑπ' αὐτῶν. πρὸς οὖν τὰ τοιοῦτα τῶν νομοθετημάτων χαλεπήναντες οἱ εὔποροι, ἐπισυνέστησαν καὶ ἐβλασφήμουν αὐτὸν καὶ ἔβαλλον καταλεῦσαι βουλόμενοι, διωκόμενος δὲ διέπεσε διὰ τῆς ἀγορᾶς, καὶ τοὺς μὲν ἄλλους ἔφθασεν εἰς τὸ ἱερὸν τῆς χαλκιοίκου ἀθηνᾶς καταφυγών. ἀλκάνδρος δὲ ἐπιστραφέντος αὐτοῦ διώκων τῇ βακτηρίᾳ τὸν ὀφθαλμὸν ἐξέκοψεν αὐτοῦ, τοῦτον δὲ κοινῷ δόγματι παραλαβὼν ἐπὶ τιμωρίᾳ, οὔτε κακῶς διέθηκεν, οὔτε ἐμέμψατο, συνδιαιτώμενον δὲ ἔχων, ἐπέδειξεν ἐπαινέτην αὑτοῦ τε καὶ τῆς διαίτης ἣν εἶχε σὺν αὐτῷ, καὶ καθόλου τῆς ἀγωγῆς ἐραστήν, τοῦ δὲ πάθους ὑπόμνημα ἱδρύσατο ἐν τῷ τῆς χαλκιοίκου τεμένει ἱερὸν ἀθηνᾶς ὀπτιλλέτιν προσαγορεύσας, τοὺς γὰρ ὀφθαλμοὺς ὀπτίλους οἱ τῇδε δωριεῖς λέγουσι. ἐρωτηθεὶς δὲ διατί οὐκ ἐχρήσατο νόμοις ἐγγράφοις, ὅτι ἔφη οἱ πεπαιδευμένοι καὶ ἀχθέντες τῇ προσηκούσῃ ἀγωγῇ, τὸ τῷ καιρῷ χρήσιμον δοκιμάζουσι. πάλιν δὲ ἐπιζητούντων τινῶν διατί ὀροφὴν ἀπὸ πελέκεως ταῖς οἰκίαις ἐπιτιθέναι προσέταξε, θύραν δὲ ἀπὸ πρίονος μόνου καὶ μηδενὸς τῶν ἄλλων ἐργαλείων, ὅπως ἂν ἔφη μετριάζοιεν οἱ πολῖται περὶ πάντα ὅσα εἰς τὴν οἰκίαν εἰσάγουσι, καὶ μηδὲν τῶν παρ' ἄλλοις ζηλουμένων ἔχωσιν. ἐκ δὲ ταύτης τῆς συνηθείας φασὶ καὶ λεωτυχίδην τὸν πρῶτον βασιλέα

δειπνοῦντα παρά τινι, καὶ θεασάμενον τῆς στέγης τοῦ οἴκου τὴν παρασκευὴν πολυτελῆ καὶ φατνωματικὴν, ἐρωτῆσαι τὸν ξένον, εἰ τετράγωνα παρ' αὐτοῖς ξύλα φύεται. ἐρωτηθεὶς δὲ διατί ἐκώλυσεν ἐπὶ τοὺς αὐτοὺς πολεμίους πολλάκις στρατεύεσθαι, ἔφη ἵνα μὴ πολλάκις ἀμύνεσθαι συνεθιζόμενοι, ἔμπειροι πολέμου γένωνται. διὸ καὶ ἀγησιλάῳ ἔγκλημα οὐ βραχὺ ἔδοξεν εἶναι, ταῖς εἰς τὴν βοιωτίαν συνεχέσιν εἰσβολαῖς καὶ στρατείαις, τοὺς θηβαίους ἀντιπάλους λακεδαιμονίοις κατασκευάσαντος. ἄλλου δὲ ἐπιζητοῦντος διὰ τί τὰ σώματα τῶν παρθένων δρόμοις καὶ πάλαις καὶ βολαῖς δίσκων καὶ ἀκοντίων διεπόνησεν, ἵν' ἔφη ἡ τῶν γεννωμένων ῥίζωσις, ἰσχυρὰν ἐν ἰσχυροῖς σώμασιν ἀρχὴν λαβοῦσα καλῶς βλαστάνῃ, αὐταί τε μετὰ ῥώμης τοὺς τόκους ὑπομένουσαι, ῥᾳδίως τε ἅμα καὶ καλῶς ἀγωνίζωνται πρὸς τὰς ὠδῖνας, καὶ εἴ τις ἀνάγκη γένοιτο, δύνωνται ὑπὲρ αὐτῶν καὶ τέκνων καὶ τῆς πατρίδος μάχεσθαι. μεμφομένων δέ τινων τὴν γύμνωσιν τῶν παρθένων ἐν ταῖς πομπαῖς καὶ τὴν αἰτίαν ζητούντων, ἵν' ἔφη τὰ αὐτὰ τοῖς ἀνδράσιν ἐπιτηδεύουσαι, μηδὲν μεῖον ἔχωσι μήτε κατὰ σώματος ἰσχὺν καὶ ὑγείαν μήτε κατὰ ψυχῆς φιλοτιμίαν καὶ ἀρετήν. δόξης δὲ τῆς παρὰ τοῖς πολλοῖς ὑπερφρονῶσιν. ὅθεν καὶ περὶ γοργοῦς ἱστορεῖται τῆς λεωνίδου γυναικὸς τοιοῦτον. εἰπούσης γάρ τινος ὡς ἔοικεν ξένης πρὸς αὐτὴν, ὡς μόναι τῶν ἀνδρῶν ἄρχετε ὑμεῖς αἱ λάκαιναι, ἀπεκρίνατο, μόναι γοῦν ἡμεῖς ἄνδρας τίκτομεν. εἴρξας δὲ τοὺς ἀγάμους τῆς ἐν ταῖς γυμνοπαιδίαις θέας, καὶ ἀτιμίαν προσθεὶς, πολλὴν πρόνοιαν ἐποιήσατο τῆς παιδοποιίας. τιμῆς δὲ καὶ θεραπείας ἣν νέοι πρεσβυτέροις παρεῖχον ἐστέρησε. καὶ τὸ πρὸς δερκυλλίδαν ῥηθὲν, οὐδεὶς ἐμέμψατο καίπερ εὐδόκιμον ὄντα στρατηγὸν, ἐπιόντι γὰρ αὐτῷ τῶν νεωτέρων τὶς, ἕδραν οὐχ ὑπεῖξεν εἰπὼν, οὐδὲ γὰρ ἐμοὶ σὺ τὸν ὑπείξοντα ἐγέννησας. πυνθανομένου δέ τινος διατί τὰς κόρας ἐνομοθέτησεν ἀπροίκους ἐκδίδοσθαι, ὅπως ἔφη μήτε δι' ἔνδειαν ἄγαμοί τινες ἐαθῶσι, μήτε διὰ περιουσίαν σπουδάζωνται, ἕκαστος δὲ εἰς τὸν τρόπον τῆς παιδὸς ἀφορῶν, ἀρετῇ τὴν αἵρεσιν ποιῶνται, διὰ τοῦτο δὲ καὶ τὸν καλλωπισμὸν τῆς πόλεως ἀπήλασεν. ὁρίσαντος δὲ αὐτοῦ καὶ τὸν χρόνον τῶν τε γαμουμένων καὶ τῶν γαμούντων, πρὸς τὸν ζητοῦντα, ἵν' ἔφη τὰ γεννώμενα ἰσχυρὰ ᾖ ἐκ τελείων γεννώμενα. πρὸς δὲ τὸν θαυμάζοντα διότι τὸν γεγαμηκότα ἀπεῖρξε μὴ συγκοιμᾶσθαι τῇ γεγαμημένῃ, προσέταξε δὲ τὸ πλεῖστον τῆς ἡμέρας συνεῖναι τοῖς ἡλικιώταις καὶ τὰς νύκτας ὅλας συναναπαύεσθαι, τῇ δὲ νύμφῃ κρύφα καὶ μετ' εὐλαβείας συνεῖναι, ὅπως ἔφη καὶ τοῖς σώμασι ἰσχυροὶ ὦσι διακορεῖς μὴ γενόμενοι, καὶ τῷ φιλεῖν ἀεὶ καινοὶ ὑπάρχωσι, καὶ τὰ ἔκγονα ἐρρωμενέστερα παρέχωσι. καὶ τὸ μὲν μύρον ἐξέλασεν ὡς τοῦ ἐλαίου φθορὰν καὶ ὄλεθρον, τὴν δὲ βαφικὴν ὡς κολακείαν αἰσθήσεως. πᾶσι δὲ τοῖς περὶ τὸν τοῦ σώματος καλλωπισμὸν δημιουργοῖς ἀνεπίβατον ἐποίησε τὴν σπάρτην, ὡς διὰ τῆς κακοτεχνίας τὰς τέχνας λυμαινομένοις. τοσαύτη δ' ἦν κατ' ἐκείνους τοὺς χρόνους σωφροσύνη τῶν γυναικῶν, καὶ τοσοῦτον ἀπεῖχε τῆς ὕστερον περὶ αὐτὰς εὐχερείας, ὡς πρότερον ἄπιστον εἶναι τὸ τῆς μοιχείας παρ' αὐταῖς, καὶ λόγος ἀπομνημονεύεται γεραδέτα τινὸς σπαρτιάτου τῶν σφόδρα παλαιῶν, ὃς ἐρωτηθεὶς ὑπὸ ξένου τί πάσχουσιν οἱ μοιχοὶ παρ' αὐτοῖς, οὐδὲν γὰρ ὁρᾶν περὶ τούτου νενομοθετημένον ὑπὸ λυκούργου εἶπεν, οὐδεὶς ὦ ξένε γίνεται μοιχὸς παρ' ἡμῖν, ἐκείνου δὲ ὑπολαβόντος, ἂν δὲ γένηται, ταὐτὸν ἔφη ὁ γεραδέτας. πῶς ἂν ἔφη μοιχὸς ἐν σπάρτῃ γένοιτο ἐν ᾗ πλοῦτος μὲν καὶ τρυφὴ καὶ καλλωπισμὸς ἀτιμάζονται, αἰδὼς δὲ καὶ εὐκοσμία καὶ τῶν ἡγουμένων πειθὼ πρεσβεύονται. πρὸς δὲ τὸν ἀξιοῦντα δημοκρατίαν ἐν τῇ πόλει καταστήσασθαι, ὁ λυ-

κοῦργος εἶπε, σὺ πρῶτος ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν. πυνθανομένου δέ τινος διατί μικρὰς οὕτω καὶ εὐτελεῖς ἔταξε τὰς θυσίας, ὅπως ἔφη μηδέποτε τιμῶντες τὸ θεῖον διαλείπωμεν. μόνα δὲ ταῦτα τῶν ἀθλημάτων ἐφεῖτος αὐτοῦ τοῖς πολίταις ἀγωνίζεσθαι, ὅπου ἡ χεὶρ οὐκ ἀνατείνεται, ἐπύθετό τις τὴν αἰτίαν, ὁ δὲ ὅπως εἶπε μηδεὶς αὐτῶν ἐν τῷ πονεῖν ἀπαυδᾶν ἐθίζηται. ἐρωτῶντος δέ τινος διατί πυκνὰ μεταστρατοπεδεύειν κελεύει, ὅπως εἶπε πλείω τοὺς ἐχθροὺς βλάπτοιμεν. ἄλλου δ' ἐπιζητοῦντος, διατὶ πυργομαχεῖν ἀπεῖπε, ἵνα ἔφη μὴ ὑπὸ γυναικὸς ἢ παιδὸς ἤ τινος παραπλησίου ἀνθρώπου οἱ ἀμείνονες ἀποθνήσκωσιν. τοῖς δὲ συμβουλευομένοις τῶν θηβαίων περὶ τῆς ἱερουργίας καὶ τοῦ πένθους ἣν ποιοῦνται τῇ λευκοθέᾳ, συνεβούλευσεν, εἰ μὲν θεὸν ἡγοῦνται, μὴ θρηνεῖν, εἰ δὲ ἄνθρωπον, μὴ ἱερουργεῖν ὡς θεῷ. πρὸς δὲ τοὺς ἐπιζητοῦντας τῶν πολιτῶν πῶς ἂν πολεμίων ἔφοδον ἀλεξοίμεθα, ἐὰν πτωχοὶ ἔφη ἦτε καὶ μὴ μεῖζον ἅτερος θατέρου ὀρεείνει. καὶ πάλιν ἐπιζητούντων περὶ τειχῶν, οὐκ ἔφη πόλιν εἶναι ἀτείχιστον, ἥτις ἀνδράσι καὶ οὐ πλίνθοις ἐστεφάνωται. ἐπεμέλοντο δὲ οἱ σπαρτιᾶται καὶ τῆς κόμης ἀπομνημονεύοντες τινὰ λυκούργειον λόγον περὶ τούτου, ὅτι τοὺς μὲν καλοὺς, εὐπρεπεστέρους ποιεῖ· τοὺς δὲ αἰσχροὺς, φοβερωτέρους. παρήγγειλε δὲ ἐν τοῖς πολέμοις τρεψαμένους καὶ νικήσαντας μέχρι τοῦ βεβαιώσασθαι τὸ νίκημα ἐπιδιώκειν, εἶτα εὐθὺς ἀναχωρεῖν, ὅτε ἑλληνικὸν φονεύειν τοὺς παρακεχωρηκότας φάσκων, ἀλλὰ καὶ χρήσιμον, εἰδότας γὰρ τοὺς μαχομένους πρὸς αὐτοὺς ὅτι φείδονται μὲν τῶν ἐνδιδόντων, ἀναιροῦσι δὲ τοὺς ὑφισταμένους, τοῦ μένειν τὸ φεύγειν ὠφελιμώτερον ἡγείσασθαι. πυνθανομένου δέ τινος διατί τοὺς τῶν πολεμίων νεκροὺς ἀπηγόρευσε σκυλεύειν ὅπως ἔφη μὴ κυπτάζοντες περὶ τὰ σκῦλα τῆς μάχης ἀμελῶσιν, ἀλλὰ καὶ τὴν πενίαν ἅμα τῇ τάξει διασώζωσιν. λύσανδρος προσπέμψαντος αὐτῷ τοῦ διονυσίου δύο στολὰς, καὶ κελεύσαντος, ἣν βούλεται ἑλέσθαι τῇ θυγατρὶ κομίζειν, αὐτὴ ἐκείνη ἔφη βέλτιον αἱρήσεσθαι, καὶ λαβὼν ἀμφοτέρας ἀπῆλθεν. ὁ δὲ λύσανδρος δεινὸς σοφιστὴς γενόμενος, καὶ ἀπάταις τὰ πολλὰ ποικίλλων, τὸ δίκαιον ἐν μόνῳ τῷ λυσιτελεῖ τιθέμενος, καὶ τὸ καλὸν ἐν τῷ συμφέροντι, τὸ ἀληθὲς ἔλεγε τοῦ ψεύδους κρεῖττον εἶναι, ἑκατέρου δὲ τῇ χρείᾳ τὴν ἀξίαν καὶ τὴν τιμὴν ὁρίζεσθαι. πρὸς δὲ τοὺς ψέγοντας αὐτὸν ἐπὶ τῷ δι' ἀπάτης τὰ πλεῖστα πράττειν ὡς ἀνάξιον τοῦ ἡρακλέους καὶ δόλῳ, οὐκ ἄντικρυς κατορθοῦντα, γελῶν ἔλεγεν ὅπου μὴ ἐφικνεῖται τῇ λεοντῇ προσραπτέον εἶναι τὴν ἀλωπεκῆν. ἀπομεμφομένων δ' ἑτέρων αὐτὸν ἐπὶ ταῖς παραβάσεσι τῶν ὅρκων, οὓς ἐν μιλήτῳ ἐποιήσατο, ἔλεγε τοὺς μὲν παῖδας ἀστραγάλοις δεῖν ἐξαπατᾶν, τοὺς δὲ ἄνδρας ὅρκοις. νικήσας δὲ τοὺς ἀθηναίους ἐξ ἐνέδρας περὶ αἰγὸς ποταμοὺς καὶ λιμῷ πιέσας αὐτοὺς, παρεστήσατο τὴν πόλιν, καὶ ἔγραψε τοῖς ἐφόροις ἑαλώκαντι ταὶ ἀθᾶναι. πρὸς ἀργείους δὲ περὶ γῆς ὅρων ἀμφισβητοῦντας πρὸς λακεδαιμονίους καὶ δικαιότερα λέγειν αὐτῶν φάσκοντας, σπασάμενος τὴν μάχαιραν ὁ ταύτης ἔφη κρατῶν, βέλτιστα περὶ γῆς ὅρων διαλέγεται. τοὺς δὲ βοιωτοὺς ἐπαμφοτερίζοντας ὅτε διῄει τὴν χώραν ἐρῶν προσέπεμψε, πυνθανόμενος πότερον ὀρθοῖς τοῖς δόρασιν, ἢ κεκλιμένοις διαπορεύηται τὴν χώραν αὐτῶν. μεγαρέως δὲ ἀνδρὸς ἐν τῷ κοινῷ συλλόγῳ παρρησίᾳ χρησαμένου πρὸς αὐτὸν, οἱ λόγοι σου εἶπεν ὦ ξένε πόλεως δέονται. ἐπεὶ δὲ κορινθίων ἀφεστώτων διερχόμενος παρὰ τὰ τείχη τοὺς λακεδαιμονίους ἑώρα προσβάλλειν ὀκνοῦντας, καὶ λαγώς τις ὤφθη διαπηδῶν τὴν τάφρον, οὐκ αἰσχύνεσθε εἶπεν ὦ σπαρτιᾶται τοιούτους φοβούμενοι πολεμίους ὧν

δι'

δι' ἀργίαν οἱ λαγωοὶ τοῖς τείχεσιν ἐγκαθεύδουσιν; ἐν δὲ σαμοθρᾴκῃ χρηστηριαζομένῳ αὐτῷ ὁ ἱερεὺς ἐκέλευσεν εἰπεῖν, ὅ, τι ἀνομώτατον ἔργον αὐτῷ ἐν τῷ βίῳ πέπρακται, πότερον οὖν σοῦ τοῦτο κελεύσαντος, ἢ τῶν θεῶν, τοῦτο δεῖ ποιεῖν ἐπηρώτησε, φαμένου δὲ τῶν θεῶν, σὺ τοίνυν ἔφη ἐκποδών μοι κατάστηθι, κἀκείνοις ἐρῶ, ἐὰν πυνθάνωνται. πέρσου δ' ἐρωτήσαντος ποίαν μάλιστα ἐπαινεῖ πολιτείαν, ἥτις ἔφη τοῖς ἀνδρείοις καὶ δειλοῖς τὰ προσήκοντα ἀποδίδωσι. πρὸς δὲ τὸν εἰπόντα, ὅτι ἐπαινοίη αὐτὸν καὶ ὑπερασπάζοιτο, δύο βοῦς ἔφη ἐν ἀγρῷ ἔχω, σιγώντων δ' ἀμφοτέρων, ἀκριβῶς ἐπίσταμαι τόν τε ἀργὸν, καὶ τὸν ἐργαζόμενον. λοιδορουμένου δέ τινος αὐτῷ εἶπε, λέγε πυκνῶς ὦ ξενύλλιον λέγε μηδὲν ἐλλείπων, αἴ σου δύνῃ τὰν ψυχὰν κενῶσαι κακῶν ὧν ἔοικας πλήρης εἶναι. χρόνῳ δ' ὕστερον μετὰ τὴν τελευτὴν ἀντιλογίας συμμαχικῆς γενομένης, ἀγησίλαος ἦλθεν ἐπὶ τὴν τοῦ λυσάνδρου οἰκίαν, ὅπως τὰ περὶ αὐτοῦ γράμματα διασκέψηται, ταῦτα γὰρ παρ' αὐτῷ κατέσχεν ὁ λύσανδρος, εὗρε δὲ καὶ βιβλίον γεγραμμένον τῷ λυσάνδρῳ περὶ τῆς πολιτείας, ὡς χρὴ τὴν εὐρυποντιδῶν καὶ ἀγιδῶν τὴν βασιλείαν ἀφελομένους εἰς μέσον θεῖναι, καὶ ποιεῖσθαι τὴν αἵρεσιν ἐκ τῶν ἀρίστων, ἵνα μὴ τῶν ἀφ' ἡρακλέους, ἀλλ' οἷος ἡρακλῆς τῇ ἀρετῇ κρινόμενον τὸ γέρας ᾖ, ᾗ κἀκεῖνος εἰς θεῶν τιμὰς ἀνήχθη, καὶ τοῦτον τὸν λόγον ὥρμησε μὲν εἰς τοὺς πολίτας ἐξενεγκεῖν καὶ παραδεικνύναι τὸν λύσανδρον οἷος ὢν πολίτης διαλανθάνοι, καὶ ἐπὶ διαβολῇ τῶν λυσάνδρου φίλων. κρατίδην δέ φασι τότε προεστῶτα τῶν ἐφόρων εὐλαβηθέντα, μὴ πείσῃ ἀναγνωσθεὶς ὁ λόγος, ἐπιλαβέσθαι τοῦ ἀγησιλάου καὶ εἰπεῖν, ὡς οὐ δεῖ ἀνορύττειν τὸν λύσανδρον ἀλλὰ καὶ τὸν λόγον αὐτῷ συγκατορύττειν πανούργως καὶ πιθανῶς συντεταγμένον. τοὺς δὲ μνηστεύσαντας αὐτοῦ τὰς θυγατέρας, εἶτα μετὰ τὴν τελευτὴν πένητος εὑρεθέντος ἀπειπαμένους, ἐζημίωσαν οἱ ἔφοροι, ὅτι πλούσιον μὲν νομίζοντες ἐθεράπευον, δίκαιον δὲ καὶ χρηστὸν ἐκ τῆς πενίας ἐπιγνόντες, ὑπερεῖδον. ναμέρτης πρεσβευτὴς ἀποσταλεὶς, μακαρίζοντός τινος αὐτὸν τῶν ἐκεῖθι διότι πολύφιλος εἴη, ἠρώτησεν εἰ δοκίμιον ἔχει τίνι τρόπῳ πειράζεται ὁ πολύφιλος, ἐπιζητοῦντος δὲ θατέρου μαθεῖν, ἀτυχίᾳ εἶπεν. νίκανδρος εἰπόντος τινὸς ὅτι κακῶς αὐτὸν λέγουσιν οἱ ἀργεῖοι, οὐκοῦν ἔφη δίκην τίνουσι τοὺς ἀγαθοὺς κακῶς λέγοντες. πυθομένου δέ τινος διατί κομῶσι καὶ πωγωνοτροφοῦσιν, ὅτι ἔφη πάντων κάλλιστος καὶ ἀδαπανώτατος ἀνδρὶ ὁ ἴδιος κόσμος. τῶν ἀθηναίων δὲ εἰπόντος τινὸς λίαν ἀντέχεσθε ὦ νίκανδρε τοῦ σχολάζειν, ἀληθίζεις ἔφη, ἀλλ' οὐχ ὥσπερ ὑμεῖς ὅπως τύχοι σπουδάζομεν. πανθοίδας πρεσβεύων εἰς τὴν ἀσίαν ἐπιδεικνύντων αὐτῷ τεῖχος ἐχυρὸν, εἶπε, νὴ τοὺς θεοὺς ὦ ξένοι καλὴ γυναικωνῖτις. ἐν ἀκαδημίᾳ δὲ τῶν φιλοσόφων διαλεγομένων πολλὰ καὶ σπουδαῖα, ἐρωτώντων δὲ τὸν πανθοίδαν μετὰ ταῦτα τί δοκοῦσιν αὐτῷ οἱ λόγοι οὗτοι εἶναι, τί δ' ἄλλο ἔφη ἢ σπουδαῖοι, ὄφελος δ' οὐδὲν μὴ χρωμένων ὑμῶν αὐτοῖς. παυσανίας ὁ κλεομβρότου δηλίων δικαιολογουμένων περὶ τῆς νήσου πρὸς ἀθηναίους καὶ λεγόντων ὅτι κατὰ τὸν νόμον τὸν παρ' αὐτοῖς, οὔτε αἱ γυναῖκες ἐν τῇ νήσῳ τίκτουσιν, οὔτε οἱ τελευτήσαντες θάπτονται, πῶς οὖν ἔφη αὕτη πατρὶς ὑμῶν εἴη, ἐν ᾗ οὔτε γέγονέ τις ὑμῶν οὔτ' ἔσται. τῶν δὲ φυγάδων αὐτὸν προτρεπομένων ἐπὶ τοὺς ἀθηναίους ἄγειν τὴν στρατιὰν, λεγόντων τε ὅτι τοῖς ὀλυμπίοις ἀνακηρυττομένου αὐτοῦ, ἐσύριττον αὐτὸν μόνοι, τί οὖν οἴεσθε ἔφη τοὺς ὅτε εὖ ἔπασχον συρίττοντας, παθόντας κακῶς ποιήσειν. πυνθανομένου δέ τινος, διατὶ τυρταῖον τὸν ποιητὴν ἐποιήσαντο πολίτην, ὅπως ἔφη μηδέποτε ξένος φαίνηται ἡμῶν ἡγεμών. πρὸς δὲ τὸν ἀσθενῆ μὲν τῷ σώματι

διέλανθανε.

συμβουλεύοντα δὲ πρὸς τοὺς πολεμίους κατὰ γῆν καὶ θάλατταν διακινδυνεύειν,
θέλεις οὖν ἔφη δεῖξαι σεαυτὸν ἐκδύς, οἷος ὢν ἡμῖν μάχεσθαι συμβουλεύεις;
θαυμαζόντων δέ τινων ἐν τοῖς λαφύροις τῶν βαρβάρων τὴν πολυτέλειαν τῆς
ἐσθῆτος, κρεῖσσον ἔφη αὐτοῖς εἶναι πολλοῦ ἀξίους, ἢ κεκτῆσθαι πολλοῦ ἄξια.
μετὰ δὲ τὴν ἐν Πλαταιαῖς κατὰ Μήδων γενομένην νίκην, τοῖς ἀμφ' αὐτὸν ἐκέλευ-
σε τὸ προητοιμασμένον περσικὸν δεῖπνον παραθεῖναι, τούτου δὲ θαυμαστὴν πολυ-
τέλειαν ἔχοντος, νὴ τοὺς θεοὺς ἔφη, λίχνος ἦν ὁ πέρσης, ὅτι τοσαῦτα ἔχων, ἐπὶ
τὴν ἡμετέραν ἦλθε μᾶζαν. Παυσανίας ὁ Πλειστώνακτος πρὸς τὸν ἐρωτήσαντα,
διατί τῶν ἀρχαίων νόμων οὐδένα κινεῖν ἔξεστι παρ' αὐτοῖς, ὅτι τοὺς νόμους ἔφη τῶν ἀν-
δρῶν οὐ τοὺς ἄνδρας τῶν νόμων κυρίους εἶναι δεῖ. ἐπαινοῦντος δὲ αὐτοῦ ἐν Τε-
γέᾳ μετὰ τὴν φυγὴν τοὺς Λακεδαιμονίους, εἶπέ τις, διατί οὖν οὐκ ἔμενες ἐν Σπάρ-
τῃ, ἀλλ' ἔφυγες; ὅτι οὐδ' ἰατροί ἔφη παρὰ τοῖς ὑγιαίνουσιν, ὅπου δ' οἱ νοσοῦντες
διατρίβειν εἰώθασιν. πυθομένου δέ τινος αὐτοῦ, πῶς ἂν δυνηθεῖεν τοὺς Θρᾷ-
κας νικῆσαι, εἰ τὸν ἄριστον εἶπε στρατηγὸν καταστήσαιμεν. ἰατροῦ δ' ἐπισκεψα-
μένου αὐτὸν καὶ εἰπόντος, οὐδὲν κακὸν ἔχεις, οὐ γάρ σοι ἰατρῷ ἔφη χρῶμαι.
μεμφομένου δέ τινος αὐτὸν τῶν φίλων, διότι ἰατρόν τινα κακῶς λέγει πεῖραν
οὐκ ἔχων αὐτοῦ οὐδὲ ἀδικηθείς τι, ὅτι εἶπεν εἰ ἔλαβον αὐτοῦ πεῖραν, οὐκ ἂν ἔζων.
τοῦ δὲ ἰατροῦ εἰπόντος αὐτῷ γέρων γέγονας, διότι εἶπεν οὐκ ἐχρησάμην σοὶ ἰα-
τρῷ. κράτιστον δὲ ἔλεγε τοῦτον ἰατρὸν εἶναι, τὸν μὴ κατασήποντα τοὺς ἀρρω-
στοῦντας, ἀλλὰ τάχιστα θάπτοντα. Παιδάρετος λέγοντός τινος ὅτι πολλοί
εἰσιν οἱ πολέμιοι, οὐκοῦν ἔφη ἡμεῖς εὐκλεέστεροι ἐσόμεθα, πλείους γὰρ ἀποκτε-
νοῦμεν. ἰδὼν δέ τινα τῇ μὲν φύσει μαλακόν, δι' ἐπιείκειαν δὲ ἐπαινούμενον ὑπὸ
τῶν πολιτῶν, ἔφη, οὔτε ἄνδρας γυναιξὶν ὁμοίους ὄντας ἐπαινεῖν δεῖ, οὔτε γυ-
ναῖκας ἀνδράσιν, ἐὰν μὴ τὴν γυναῖκα χρεία τις καταλάβῃ. οὐκ ἐγκριθεὶς δ'
εἰς τοὺς τριακοσίους, ἥτις ἐν τῇ πόλει πρωτεύουσα τιμὴ τῇ τάξει ἦν, ἱλαρὸς καὶ
μειδιῶν ἀπῄει, ἀνακαλεσαμένων δ' αὐτὸν τῶν ἐφόρων καὶ πυνθανομένων διότι
γελᾷ, εἶπε, διότι συγχαίρω τῇ πόλει τριακοσίους κρείττονάς μου πολίτας ἐ-
χούσῃ. Πλείσταρχος Λεωνίδου πρὸς τὸν ἐπερωτήσαντα διά τινα αἰτίαν οὐκ
ἀπὸ τῶν πρώτων βασιλέων προσαγορεύονται, ὅτι ἔφη ἐκεῖνοι μὲν ἄγειν ἢ βασιλεύειν
ἔχρῃζον, οἱ δ' ἐκείνων ὕστερον, οὐδαμῶς; συνηγόρου δέ τινος γελοῖα λέγον-
τος, οὐ φυλάξῃ ἔφη ὦ ξένε συνεχῶς γελοιάζων, ὅπως μὴ γελοῖος γένῃ, ὥσπερ
καὶ οἱ συνεχῶς παλαίοντες, παλαισταί; λέγοντος δέ τινος ὅτι κακολόγος
τις αὐτὸν ἐπῄνει, θαυμάζω εἶπεν, εἰ μή τις αὐτῷ ἔφη ὅτι ἀπέθανον, ζῶντα γὰρ
ἐκεῖνος οὐδένα καλῶς λέξαι δύναται. Πλειστῶναξ ὁ Παυσανίου, ἀττικοῦ τινος
ῥήτορος ἀμαθεῖς ἀποκαλοῦντος τοὺς Λακεδαιμονίους, ὀρθῶς ἔφη λέγεις, ἡμεῖς
γὰρ ἑλλήνων μόνοι, οὐδὲν κακὸν μεμαθήκαμεν παρ' ὑμῶν. Πολύδωρος ὁ Ἀλκαμέ-
νους ἀπειλοῦντός τινος τοῖς ἐχθροῖς συχνά, οὐ συνίης ἔφη τὸ πλεῖστον καταναλί-
σκων τῆς τιμωρίας; ἐξάγοντος δ' αὐτοῦ τὸ στράτευμα ἐπὶ Μεσσήνην, ἤρετό
τις, εἰ τοῖς ἀδελφοῖς μάχεσθαι μέλλει, οὐκ ἔφη, ἀλλ' ἐπὶ τὴν ἀκλήρωτον τῆς χώ-
ρας βαδίζει. Ἀργείων δὲ πάλιν μετὰ τὴν τῶν τριακοσίων μάχην ἐκ παρατά-
ξεως πανδημεὶ κρατηθέντων, τὸν Πολύδωρον οἱ σύμμαχοι παρεκελεύοντο μὴ
παρεῖναι τὸν καιρὸν ἀλλ' ἐπελθόντα τῷ τείχει τῶν πολεμίων, τὴν πόλιν αἱρεῖν,
ῥᾷστον γὰρ ἔσεσθαι τῶν μὲν ἀνδρῶν ἀπολωλότων, τῶν γυναικῶν δὲ ἀπολελειμ-
μένων, ἔφη πρὸς αὐτούς, τὸ μὲν ἐκ τοῦ ἴσου μαχόμενον, νικᾶν τοὺς ἐναντιουμένους
ἐστί μοι καλόν, τὸ δ' ὑπὲρ τῶν ὅρων τῆς χώρας μεμαχημένον τὴν πόλιν ἐπιθυ-
μεῖν λαβεῖν, οὐ δίκαιον τίθεμαι εἶναι, ἦλθον γὰρ χώραν ἀπολαβεῖν οὐ κατα-

λαβέσθαι πόλιν. ἐρωτηθεὶς δὲ διατί Σπαρτιᾶται κατὰ πόλεμον κινδυνεύου-
σιν ἀνδρείως, ὅτι ἔφη αἰδεῖσθαι τοὺς ἡγεμόνας ἔμαθον, οὐ φοβεῖσθαι. Πο-
λυκρατίδας πρεσβεύων πρὸς τοὺς τοῦ βασιλέως στρατηγοὺς μεθ' ἑτέρων ἐρωτωμέ-
νων αὐτῶν, πότερον ἰδίᾳ πάρεισιν ἢ δημοσίᾳ ἐπέμφθησαν, αἴκε τύχωμεν δημο-
σίᾳ εἶπεν, εἰ δὲ μή, ἰδίᾳ. Φοιβίδας πρὸ τοῦ κινδύνου τοῦ Λευκτρικοῦ λεγόντων
τινῶν δείξειν τὴν ἡμέραν ταύτην τὸν ἀγαθόν, πολλοῦ τὴν ἡμέραν ἔφησεν ἀξίαν
εἶναι δυναμένην τὸν ἀγαθὸν δεῖξαι σῶον. λέγεται ἐν χωρίῳ χαλεπῷ καὶ ἀνύδρῳ πο-
λιορκούμενον ὑπὸ Κλειτορίων, ὁμολογῆσαι τὴν δορύκτητον αὐτοῖς ἀφεῖναι
γῆν, εἰ πίοιεν μετ' αὐτοῦ πάντες ἀπὸ τῆς πλησίον πηγῆς, ἐφρούρουν δ' αὐτὴν οἱ πολέ-
μιοι, γενομένων δὲ τῶν ὅρκων, συναγαγόντα τοὺς μεθ' ἑαυτοῦ διδόναι τῷ μὴ πι-
όντι τὴν βασιλείαν, οὐδενὸς δὲ καρτερήσαντος, ἀλλὰ πάντων πιόντων, αὐτὸν ἐπὶ
πᾶσι καταβάντα καὶ περιρρανάμενον ἔτι τῶν πολεμίων παρόντων ἐπελθεῖν,
καὶ τὴν χώραν κατασχεῖν ὡς μὴ πιόντα. Τήλεκρος πρὸς τὸν εἰπόντα, ὅτι ὁ
πατὴρ λέγει κακῶς αὐτόν, εἰ μὴ αὐτῷ ἔφη λεκτὸν ἦν, οὐκ ἂν ἔλεγεν. εἰπόν-
τος δὲ τοῦ ἀδελφοῦ, ὅτι οὐχ ὁμοίως αὐτῷ προσφέρονται οἱ πολῖται, ὡς ἐκείνῳ
ὄντι ἐκ τῶν αὐτῶν ἀγνωμονέστεροι, εἶπεν, σὺ γὰρ οὐκ οἶδας ἀδικεῖσθαι ἐγὼ δέ.
ἐρωτηθεὶς δέ, διατί ἔθος παρ' αὐτοῖς ἐστι τοὺς νεωτέρους τοῖς πρεσβυτέροις ὑπα-
νίστασθαι, ὅπως ἔφη περὶ τοὺς μὴ προσήκοντας, οὕτως ἔχοντες τιμῆς, μᾶλλον
τιμῶσι τοὺς γονέας. πυθομένου δέ τινος πόσην κέκτηται οὐσίαν, ἔφη, οὐ
πλείω τῆς ἱκανῆς. Χαρίλλος ἐρωτηθείς, διατί τοὺς νόμους ὁ Λυκοῦργος οὕ-
τως ὀλίγους ἔθηκεν, ὅτι ἔφη τοῖς ὀλίγα λέγουσιν, ὀλίγων καὶ νόμων ἐστὶ χρεία.
πυνθανομένου δέ τινος, διατί τὰς μὲν κόρας ἀκαλύπτους, τὰς δὲ γυναῖκας ἐγκε-
καλυμμένας εἰς τοὐμφανὲς ἄγουσιν, ὅτι ἔφη τὰς μὲν κόρας, ἄνδρας εὑρεῖν δεῖ,
τὰς δὲ γυναῖκας σώζειν τοὺς ἔχοντας. τῶν δὲ εἱλώτων τινὸς θρασύτερον αὐ-
τῷ προσφερομένου, εἰ μὴ ὠργιζόμην εἶπε, κατέκτανον ἄν σε. ἐρωτηθεὶς δὲ
τίνα νομίζει πολιτείαν ἀρίστην, ἔφη, ἐν ᾗ ἂν περὶ ἀρετῆς πλεῖστοι πολιτευό-
μενοι πρὸς ἀλλήλους ἄνευ στάσεως ἀγωνίζωνται. πυνθανομένου δέ τινος διατί
πάντα τὰ τῶν θεῶν ξόανα μεθ' ὅπλων ἵδρυται παρ' αὐτοῖς, ὅπως ἔφη μήτε
τὰ κατὰ τῶν ἀνθρώπων ὀνείδη λεγόμενα διὰ τὴν δειλίαν ἐπὶ τοὺς θεοὺς ἀνα-
φέρωμεν, μήτε οἱ νέοι τοῖς θεοῖς ἄνοπλοι εὔχωνται. Σαμίων πρεσβευταῖς
μακρολογοῦσιν, ἔφασαν οἱ Σπαρτιᾶται, τὰ μὲν πρῶτα ἐπιλελάθαμεν, τὰ δὲ
ὕστερα οὐ συνήκαμεν, διὰ τὸ τὰ πρῶτα ἐπιλελᾶσθαι. πρὸς Θηβαίους περί
τινων ἀντιλέγοντας, ἢ φρονεῖν ἔφησαν δεῖ ἔλασσον, ἢ δύνασθαι μεῖζον. Λάκων
ἐρωτηθείς, δι' ἣν αἰτίαν τὰς τοῦ πώγωνος τρίχας ἐπὶ πολὺ κομώσας ἔχεις,
εἶπεν, ἵνα βλέπων τὰς πολιάς, μηδὲν ἀνάξιον αὐτῶν πράττω. ἐπαινοῦντός τι-
νος τοὺς ἀρίστους μαχητάς, Λάκων ἀκούσας εἶπεν ἐν Τροίᾳ. ἕτερος ἀκούσας δει-
πνήσαντάς τινας βιάζεσθαι πίνειν, μὴ καὶ ἐσθίειν εἶπε βιάζονται; Πινδάρου
γράψαντος ἑλλάδος ἔρεισμα Ἀθῆναι, Λάκων ἔφη, καταπεσεῖν ἂν τὴν ἑλλάδα
ὀχουμένην ἐρείσματι τοιούτῳ. ἐπεὶ δὲ ἰδών τις ἐν πίνακι γραπτῷ Λάκωνας ὑπὸ
Ἀθηναίων σφαττομένους, ἔλεγεν, ἀνδρεῖοί γ' Ἀθηναῖοι, Λάκων ὑποτυχών, ἐν τῷ πί-
νακι εἶπεν. πρὸς δέ τινα προσιέμενον τὰς ἐκ διαβολῆς βλασφημίας, Λά-
κων εἶπε παῦσαι κατ' ἐμοῦ τὰ ὦτα χορηγῶν. πρὸς δὲ τὸν κολαζόμενον καὶ
λέγοντα ἄκων ἥμαρτον, εἶπέ τις ἄκων τοίνυν καὶ κολάζου. ἰδών τις ἐν ἀπο-
χωρήσει θακεύοντας ἐπὶ δίφρων ἀνθρώπους, μὴ γένοιτο εἶπεν ἐνταῦθα καθίσαι,
ὅθεν οὐκ ἔστιν ἐξαναστῆναι, πρεσβυτέρῳ. Χίων ποτὲ κατ' ἐπιδημίαν ἀπὸ δεί-
πνου ἐμεσάντων ἐν τῷ ἐφορείῳ, καὶ χεσάντων ἐπὶ τῶν δίφρων ἔνθα οἱ ἔφοροι

ἐνικήθησαν, τὸ μὲν πρῶτον, ἰσχυρῶς ἀνεζήτουν τοὺς ποιήσαντας, μὴ πολῖται τυγ-
χάνωσιν, ὡς δ' ἤσθοντο ὅτι Χῖοι εἴησαν, ἐκήρυξαν τοῖς Χίοις ἐξεῖναι ἀσελγαί-
νειν. ἐπεὶ δέ τις τὰς ἀμυγδαλᾶς τῶν σκληρῶν ἑώρα διπλασίω πωλουμένας,
μὴ σπάνιοι ἔφη οἱ λίθοι; τίλας τις ἀηδόνα, καὶ βραχεῖαν πάνυ σάρκα εὑρὼν
εἶπε, φωνά τυ τίς ἐσσι, καὶ οὐδὲν ἄλλο. ἰδών τις λάκων Διογένην τὸν κύνα περι-
λαμβάνοντα ἀνδριάντα χάλκεον ψύχους ὄντος σφοδροῦ, ἐπύθετο εἰ ῥιγῷη ἀρ-
νησαμένου δέ, τί οὖν ἔφη μέγα ποιεῖς; ὀνειδισθείς τις τῶν μεταποντίων εἰς δειλίαν
ὑπὸ λάκωνος, ἀλλὰ μὴν ἔφη οὐκ ὀλίγα τῆς ἀλλοτρίας ἔχομεν, οὐδὲ οὐ μόνον ἄρα ἔφη
δειλοί, ἀλλὰ καὶ ἄδικοί ἐστε. κατ' ἐπιδημίαν τις ἐν σπάρτῃ κεκμηκὼς ἐπιδούμενος ὀρθὸς
ἐπὶ θατέρου σκέλους εἶπε πρὸς λάκωνα, οὐκ ἂν οἶμαί σε ὦ λάκων τοσοῦτον χρόνον
ἐπὶ τοῦ ποδὸς ὅσον ἐγὼ στῆναι, καὶ ὃς ὑπολαβὼν, οὐ γὰρ ἔφη, τῶν μέντοι χη-
νῶν, οὐκ ἔστιν ὅς τις οὔ. μεγαλυνομένου τινὸς ἐπὶ τῇ ῥητορικῇ τέχνῃ, εἶπέ τις
λάκων, ἀλλὰ νὴ τὼ σιὼ, τέχνη ἄνευ τοῦ ἀληθείας ἧφθαι, οὔτε ἔστιν, οὔτε μή ποτε
γένηται. ἀργείου ποτὲ εἰπόντος πολλοὶ τάφοι παρ' ἡμῖν εἰσι σπαρτιατῶν,
λάκων εἶπεν, ἀλλὰ μὴν παρ' ἡμῖν ἀργείων οὐδὲ εἷς, ὡς αὐτῶν μὲν πολλάκις
ἄργους ἐπιβεβηκότων, ἀργείων δὲ τῆς σπάρτης οὐδέ ποτε. λάκων αἰχμα-
λωτισθεὶς καὶ πιπρασκόμενος, τοῦ κήρυκος λέγοντος λάκωνα πωλῶ, ἐπεστόμι-
σεν εἰπὼν, αἰχμάλωτον κήρυσσε. τῶν παρὰ λυσιμάχῳ στρατευομένων ἐρω-
τηθείς, τίς ὑπ' αὐτοῦ μή τις τῶν εἱλώτων ἐστὶ, σὺ δ' οἴει ἔφη ἐπὶ τὸ παρὰ σοῦ τε-
τρώβολον λάκωνα ἥξειν; ὅτε θηβαῖοι νικήσαντες τοὺς λάκωνας ἐν λεύκτροις
πρὸς αὐτὸν παρῆσαν τὸν εὐρώταν, καί τις μεγαλαυχῶν εἶπε, ποῦ νῦν εἰσιν οἱ
λάκωνες, σπαρτιάτης ληφθεὶς ὑπ' αὐτῶν οὐ πάρεισιν ἔφη, οὐ γὰρ ἂν ὑμεῖς δεῦρο
ἤλθετε. ἀθηναίων ἀξιούντων ὅτε παρέδωκαν τὸ ἄστυ σάμον αὐτοῖς μόνην
ἐᾶσαι, εἶπον, ὅταν αὐτῶν οὐκ ἦτε, τότε καὶ ἄλλους ἔχειν ζητεῖτε; ἀφ' οὗ καὶ ἡ πα-
ροιμία· ὃς αὐτὸς αὑτὸν οὐκ ἔχει, σάμον θέλει. πόλιν τινὰ κατὰ κράτος ἑλόντων
λακεδαιμονίων, οἱ ἔφοροι εἶπον, οἴχεται τὸ πάλαισμα τῶν νέων, οὐκ ἔτι ἕξου-
σιν ἀνταγωνιστάς. ἄλλην πόλιν ὑπισχνουμένου βασιλέως αὐτῶν τέλεον ἀφανι-
εῖν ἣν συμβεβήκει πράγματα πολλάκις παρεσχῆσθαι τοῖς λάκωσιν, οὐκ ἐπέ-
τρεψαν φάμενοι μηδαμῶς ἀφανίσῃς μηδ' ἀνέλῃς τὰν ἀκόναν τῶν νέων. τοῖς
παλαίουσι παιδοτρίβας οὐκ ἐφίστανον, ἵνα μὴ τέχνης ἀλλ' ἀρετῆς ἡ φιλοτιμία
γένηται, διὸ καὶ λύσανδρος ἐρωτώμενος ὅπως ὁ χάρων ἐνίκησεν αὐτὸν, τῇ πο-
λυμηχανίᾳ εἶπε. φιλίππου γράφοντος, ὅτε εἰς τὴν χώραν αὐτῶν παρεγέ-
νετο, πότερον βούλεται φίλον ἐλθεῖν ἢ πολέμιον αὐτὸν, ἀντεφώνησαν οὐδέ-
τερον. πρεσβευτὴν τινὰ πέμψαντες πρὸς ἀντίγονον τὸν δημητρίου πυθό-
μενοι, ὅτι ἐκάλεσεν αὐτὸν βασιλέα, ἐζημίωσαν, καίτοι μέδιμνον πυρῶν ἑκάστῳ
παρ' αὐτοῦ σιτοδείας οὔσης κομίζοντα. ἐνεγκαντός τινος ἀρίστην γνώμην
μοχθηροῦ, ταύτην μὲν ἀπεδέξαντο περιελόμενοι δὲ τούτου, περιέθηκαν ἑτέ-
ρῳ καλῶς βεβιωκότι. ἀδελφῶν πρὸς ἀλλήλους διαφερομένων, τὸν πατέρα
ἐζημίωσαν, ὅτι τοὺς υἱεῖς στασιάζοντας περιορᾷ. ψάλτην ἐπιδημήσαντα ἐζη-
μίωσαν, ὅτι δακτύλοις κιθαρίζει. δύο παῖδες ἐμάχοντο, ἅτερος δὲ αὐτῶν
τὸν ἕτερον ἔτρωσε δρεπάνῳ πληγῇ θανασίμῳ, τῶν δὲ συνήθων παίδων, ἐπεὶ δια-
λύεσθαι ἔμελλεν, ἐπαγγελλομένων ἀμυνεῖσθαι καὶ ἀναιρήσειν τὸν πλήξαντα,
μηδαμῶς εἶπε πρὸς θεῶν, οὐ γὰρ δίκαιον, καὶ γὰρ ἂν ἐγὼ ἐποίησα τοῦτο, εἰ ἔφθα-
σα καὶ ἀγαθὸς ἐγενόμην. ἕτερον παιδάριον ἐπεὶ παρῆν ὁ καιρὸς, ἐν ᾧ κλέ-
πτειν νενόμιστο τοὺς ἐλευθέρους παῖδας ὅ, τι τίς δύναιτο καὶ μὴ λαθεῖν αἰσχρὸν
ἦν, ὡς οἱ σὺν αὐτῷ παῖδες ζῶν ἔκλεψαν ἀλωπέκιον, καὶ ἔδωσαν αὐτῷ φυλάτ-

[Marginal note: κύτον ·l· Δ]

τειν, παραγενομένων τῶν ἀπολωλεκότων ἐπὶ ζήτησιν, ἔτυχε μὲν ὑποβαλὼν
τὸ ἀλωπέκιον ὑπὸ τὸ αὑτοῦ ἱμάτιον, ἀγριαίνοντος δὲ τοῦ θηρίου, καὶ τὴν πλευ-
ρὰν αὐτοῦ κατεσθίοντος μέχρι τῶν σπλάγχνων ἠρέμει ἵνα μὴ γένηται καταφα-
νής, ὡς δὲ ὕστερον ἐκείνων ἀπελθόντων ἐθεάσαντο τὸ γεγονὸς οἱ παῖδες καὶ ἐμέμ-
φοντο λέγοντες, ἄμεινον εἶναι φανερὸν ποιῆσαι τὸ ἀλωπέκιον, ἢ μέχρι θανάτου
κρύπτειν, οὐ μενοῦν εἶπεν, ἀλλὰ κρεῖττον ταῖς ἀλγηδόσι τελευτᾶν, ἢ περίφω-
ρον γενόμενον, διὰ μαλακίαν τὸ ζῆν αἰσχρῶς περιποιήσασθαι. περιτυχόντες
τινὲς λάκωσι καθ' ὁδὸν εἶπον, εὐτυχήκατε ἀρτίως ἐντεῦθεν λῃστῶν ἀπιόντων, οἱ
δὲ οὐ μὰ τὸν ἐνυάλιον, ἀλλ' ἐκεῖνοι μὴ περιτυχόντες ἡμῖν. λάκων ἐρωτηθεὶς
τί ἐπίσταται, εἶπεν ἐλεύθερος εἶναι. παῖς σπαρτιάτης αἰχμαλωτισθεὶς ὑπ'
ἀντιγόνου τοῦ βασιλέως καὶ πραθεὶς, τὰ μὲν ἄλλα πάντα, ὑπήκοος ἦν τῷ πρια-
μένῳ, ὅσα ᾤετο προσήκειν ἐλευθέρῳ ποιεῖν, ὡς δὲ προσέταξεν ἀμίδα κομίζειν,
οὐκ ἠνέσχετο, εἰπὼν οὐ δουλεύσω, ἐνισταμένου δὲ ἐκείνου ἀναβὰς ἐπὶ τὸν κέρα-
μον, καὶ εἰπὼν εἴσῃ τῆς ὠνῆς, ἔβαλεν ἑαυτὸν κάτω καὶ ἐτελεύτα. ἕτερος πω-
λούμενος, εἰπόντος τινὸς χρήσιμος ἔσῃ ἐὰν ἀγοράσωσι, κἂν μὴ ἀγοράσῃς εἶπεν,
ἄλλος αἰχμάλωτος πιπρασκόμενος, τοῦ κήρυκος ἐπιλέγοντος ἀνδράποδον πω-
λεῖν, κατάρατε εἶπεν οὐκ ἐρεῖς αἰχμάλωτον; λάκων ἐπὶ τῆς ἀσπίδος μυῖαν ἔ-
χων ἐπίσημον, καὶ ταύτην οὐ μείζω τῆς ἀληθινῆς, ὡς καταγελῶντές τινες ἔ-
λεγον ὑπὲρ τοῦ λανθάνειν τοῦτο πεποιήκει, ἵνα μὲν οὖν εἶπε φανερὸς ὦ, οὕτω γὰρ
τοῖς πολεμίοις πλησίον προσέρχομαι, ὥστε τὸ ἐπίσημον ἡλίκον ἐστὶν ὑπ' αὐτῶν
ὁρᾶσθαι. ἕτερος, ἐν συμποσίῳ προσενεχθείσης λύρας, οὐ λακωνικὸν εἶπε τὸ
φλυαρεῖν. σπαρτιάτης ἐρωτηθεὶς, εἰ ἀσφαλὴς ἡ εἰς σπάρτην ὁδὸς, εἶπεν
ὁποῖος καθίσεις, οἱ μὲν γὰρ λέοντες βαδίζοντες ἀποκλαίοντι, τοὺς δὲ λαγὼς
ἐπὶ τᾶς σκηνᾶς θηρεύομες. ἐν χειραψίᾳ περικρούοντες τὸν προστραχηλίζοντα
κενοσπούδως, καὶ κατασπῶντος ἐπὶ τὴν γῆν, ἐπειδὴ τῷ σώματι ἐλείπετο ὁ
προσπεσὼν, ἔδακε τὸν βραχίονα, καὶ ὁ ἕτερος εἶπε δάκνεις ὦ λάκων ὥσπερ
αἱ γυναῖκες, οὐ μενοῦν εἶπεν ἅτερος, ἀλλ' ὥσπερ οἱ λέοντες. χωλὸς ἐπὶ πό-
λεμον ἐξιὼν καὶ διαγελώμενος εἶπεν, οὐ φευγόντων δεῖ, ἀλλ' ἱσταμένων καὶ τὴν
τάξιν τηρούντων. ἕτερος τοξευθεὶς καὶ τὸν βίον ἐκλείπων ἔλεγεν, οὐ μέλει
μοι τοῦτο, ὅτι ἀποθανοῦμαι, ἀλλ' ὅτι ὑπὸ γύνιδος τοξότου καὶ μηδὲν πράξας.
εἰς πανδοκεῖόν τις καταλύσας καὶ δοὺς ὄψον τῷ πανδοκεῖ σκευάσαι, ὡς ἅτερος
τυρὸν ᾔτει καὶ ἔλαιον, τί ἔφη εἰ τυρὸν εἶχον, ἔτι ἂν ἐδεόμην ὄψου; πρὸς δὲ τὸν
μακαρίζοντα λάμπιν τὸν αἰγινήτην διότι ἐδόκει πλουσιώτερος εἶναι ναυκλήρια
πολλὰ ἔχων, λάκων εἶπε, οὐ προσέχω εὐδαιμονίᾳ ἐκ σχοινίων ἀπηρτημένῃ.
εἰπόντος δέ τινος λάκωνι ὅτι ψεύδεται, ἀπεκρίνατο, ἐλεύθεροι γάρ εἰμες, οἱ δ'
ἄλλοι αἴκα μὴ τὰ ἀληθῆ λέγωντι οἰμώξονται. προθέμενός τις νεκρὸν στῆσαι
ὄρθιον, ὡς πάντα ποιῶν οὐκ ἠδύνατο, νὴ δία εἶπεν, ἔνδον τι εἶναι δεῖ. τυννί-
χος θρασυβούλου τοῦ παιδὸς ἀποθανόντος, εὐρώστως ἤνεγκε, καὶ ἐπίγραμμα εἰς
τοῦτον ἐγένετο· τὰν πιτάναν θρασύβουλος ἐπ' ἀσπίδος ἤλυθεν ἄπνους, ἑπτὰ πρὸς
ἀργείων τραύματα δεξάμενος, δεικνὺς ἀντία πάντα τὸν αἱματόεντα δ' ὁ πρέσ-
βυς θεὶς ἐπὶ πυρκαϊὴν τύννιχος εἶπε τάδε, δειλοὶ καλαιέσθωσαν, ἐγὼ δέ σε τέκ-
νον ἀδακρυτὶ θάψω τὸν καὶ ἐμὸν καὶ λακεδαιμόνιον. ἀλκιβιάδῃ τῷ ἀθηναίῳ
βαλανέως ἐπὶ πλεῖστον παρέχοντος ὕδωρ, λάκων εἶπε, τί τοῦτο ὡς οὐ καθαρῷ,
σφόδρα δὲ ὡς ῥυπαρῷ πλεῖον παρέχει. φιλίππου ὅτε ἐνέβαλεν εἰς τὴν
λακωνικὴν, καὶ ἐδόκουν ἅπαντες ἀπολεῖσθαι, εἶπε πρός τινα τῶν σπαρτιατῶν,
τί νῦν ποιήσετε ὦ λάκωνες, τί γὰρ ἔφη ἄλλο ἢ ἀνδρείως ἀποθανούμεθα, μόνοι

[Marginal note: κλαιέσθωσαν]

γὰρ ἡμεῖς ἑλλήνων ἐλεύθεροι εἶναι καὶ μὴ ὑπακούειν ἄλλοις ἐμάθομεν. μετὰ δὲ τὴν ἄγιδος ἧτταν ὁμήρους αἰτοῦντος ἀντιπάτρου πεντήκοντα παῖδας, ἐτεοκλῆς ἐφορεύων εἶπε, παῖδας μὲν οὐ δώσειν ἵνα μὴ ἀπαίδευτοι γένωνται τῆς πατρίου ἀγωγῆς ἀτακτήσαντες, οὐδὲ πολῖται γὰρ ἂν εἶησαν, πρεσβύτας δ' ἢ γυναῖκας εἰ βούλοιτο διπλασίους δώσειν. ἀπειλοῦντος δ' αὐτοῦ δεινὰ εἰ μὴ λάβοι, ἀπεκρίναντο κοινῇ, ἐὰν χαλεπώτερα θανάτου ἐπιτάττῃς, εὐκολώτερον ἀποθανούμεθα. πρεσβύτης ἐν ὀλυμπίᾳ συντελουμένου τοῦ ἀγῶνος προθυμούμενος θεάσασθαι, καθέδρας ἠπόρει, πολλοὺς δ' ἐπιπορευόμενος τόπους, ὑβρίζετο καὶ ἐσκώπτετο, μηδενὸς αὐτὸν παραδεχομένου, ὡς δὲ κατὰ τοὺς λακεδαιμονίους ἧκεν, ἀνέστησαν πάντες οἱ παῖδες, καὶ πολλοὶ τῶν ἀνδρῶν τοῦ τόπου ἐκχωροῦντες, τῶν δὲ πανελλήνων ἐπισημειωσαμένων κρότῳ τὸ ἔθος καὶ ὑπερεπαινούντων, ὁ πρεσβύτης κινήσας πολιόν τε κάρη πολιόν τε γένειον καὶ δακρύσας, οἴμοι τῶν κακῶν φησιν, ὡς ἅπαντες μὲν οἱ ἕλληνες ἐπίστανται τὰ καλὰ, χρῶνται δ' αὐτοῖς μόνοι λακεδαιμόνιοι. φασὶ δέ τινες ὅτι καὶ ἀθήνησι τὸ αὐτὸ ἐγένετο. παναθηναίων γὰρ ὄντων, οἱ ἀττικοὶ γέροντα προσεπηλάκιζον προσκαλούμενοι μὲν ὡς παραδεξόμενοι, εἰ δὲ παραγένοιτο οὐ προσδεχόμενοι, ὡς δὲ διεξιὼν σχεδὸν ἅπαντας ἐγένετο κατὰ τοὺς τῶν λακεδαιμονίων θεωρούς, ἅπαντες τῶν βάθρων ἀναστάντες, τοῦ τόπου παρεχώρουν, ἀγασθεὶς δὲ ὁ ὄχλος ἐπὶ τῷ γεγονότι, ἐκρότησε μετὰ πολλῆς ἐπισημασίας, καί τις εἶπε τῶν σπαρτιατῶν, νὴ τὼ σιὼ, ἴσασι μὲν οἱ ἀθηναῖοι τὰ καλὰ οὐ πράσσουσι δέ. ἐπαίτης ᾔτησε λάκωνα, ἀλλὰ εἰ δώην σοι ἔφη, μᾶλλον πτωχεύσεις, τῆς δὲ ἀσχημοσύνης σου ταύτης ὁ πρῶτος μεταδοὺς, αἴτιος, ἀργόν σε ποιήσας. λάκων ἰδὼν ἀγείροντά τινα θεοῖς, οὐδὲν εἶπε φροντίζειν θεῶν πτωχοτέρων ἑαυτοῦ. λαβών τις μοιχὸν ἐπ' αἰσχρᾷ γυναικὶ, ἄθλιε εἶπε τίς τοι ἀνάγκα. ἄλλος ἀκούων ῥήτορος μεγάλας στρέφοντος περιόδους, ἀλλὰ νὴ τὼ σιὼ εἶπεν, ἀνδρεῖός γε ὁ ἄνθρωπος πρὸς οὐδὲν ὑποκείμενον εὖ στροβιλοῖ τὴν γλῶσσαν. εἰς λακεδαίμονα παραγενόμενός τις καὶ τὴν πρὸς τοὺς πρεσβύτας τῶν νέων τιμὴν θεασάμενος, ἐν σπάρτῃ μόνῃ εἶπε λυσιτελεῖ γηράσκειν. ἐρωτηθεὶς λάκων ποῖός ἐστι τυρταῖος ὁ ποιητὴς, ἀγαθὸς εἶπε κακκανῆν νέων ψυχάς. ἕτερος ἀλγῶν τοὺς ὀφθαλμοὺς ἐξῄει ἐπὶ πόλεμον, λεγόντων δὲ αὐτῷ τινῶν ποῦ ἄπει οὕτως ἔχων ἢ τί ποιήσων, κἂν μηδὲν ἕτερον πράξω ἔφη, πολεμίου γε μάχαιραν ἀμβλυνῶ. βοῦλις καὶ σπέρτις λακεδαιμόνιοι πορευθέντες ἐθελονταὶ πρὸς ξέρξην τὸν περσῶν βασιλέα ἐπὶ τιμωρίᾳ, ἣν ὤφειλεν ἡ λακεδαίμων κατὰ χρησμὸν, διότι κήρυκας πεμφθέντας ἀπὸ τοῦ πέρσου ὡς αὐτοὺς ἀπέκτειναν, ἐλθόντες πρὸς τὸν ξέρξην, ἐκέλευον ᾧ βούλεται τρόπῳ διαχρήσασθαι αὐτοὺς ὑπὲρ λακεδαιμονίων, ὡς δὲ ἐκεῖνος ἀγασθεὶς ἀπέλυσε τοὺς ἄνδρας καὶ ἠξίου μένειν παρ' αὐτῷ, καὶ πῶς ἂν ἔφασαν δυναίμεθα ζῆν ἐνταῦθα πατρίδα καταλιπόντες καὶ νόμους, καὶ τούτους τοὺς ἄνδρας ὑπὲρ ὧν τοσαύτην ἤλθομεν ὁδὸν ἀποθανούμενοι, ἰνδάρνου δὲ τοῦ στρατηγοῦ ἐπὶ πλέον δεομένου καὶ λέγοντος τεύξεσθαι αὐτοὺς τῆς ἴσης τιμῆς τοῖς μάλιστα ἐν προαγωγῇ φίλοις τοῦ βασιλέως, ἔφασαν, ἀγνοεῖν ἡμῖν δοκεῖς ἡλίκον ἐστὶ τὸ τῆς ἐλευθερίας, ἧς οὐκ ἂν ἀλλάξαιτό τις νοῦν ἔχων τὴν περσῶν βασιλείαν. λάκων ἐπὶ τῇ μὲν προτεραίᾳ ἡμέρᾳ ὁ ξένος αὐτὸν ἐξέκλινε, τῇ δ' ἑξῆς στρώματα χρησάμενος δαψιλῶς ὑπεδέχετο, ἐπιβὰς τοῖς στρώμασι κατεπάτει ἐπιλέγων διὰ ταῦτα ἐχθὲς οὐδ' ἐπὶ ψιάθου ὑπνωκέναι. ἕτερος ἐλθὼν εἰς ἀθήνας καὶ ὁρῶν τοὺς ἀθηναίους τὸ τάριχος ἀποκηρύττοντας καὶ τὸ ὄψον καὶ τελωνοῦντας καὶ πορνοβοσκοῦντας καὶ ἕτερα ἔργα ἀσχήμονα

θεον. l. A.

ρέξω. l. A.

πράττοντας καὶ μηδὲν αἰσχρὸν ἡγουμένους, ὅτε ἐπανῆλθεν εἰς τὴν πατρίδα, τῶν πολιτῶν πυνθανομένων αὐτοῦ, ποῖά τινα τὰ ἐν ἀθήναις, πάντα εἶπε καλὰ, εἰρωνευόμενος καὶ παριστὰς, ὅτι πάντα παρὰ τοῖς ἀθηναίοις καλὰ νομίζεται, αἰσχρὸν δὲ οὐδέν. ἄλλος ἐρωτώμενος περί τινος, ἀπεκρίνατο, οὔ, ὡς δὲ ὁ ἐρωτήσας ἀπεκρίνατο ὅτι ψεύδῃ, ὁρᾷς οὖν ἔφη ὅτι μάταιος εἶ περὶ ὧν ἐπίστασαι ἐρωτῶν; ἧκόν ποτε κατὰ πρεσβείαν λάκωνες πρὸς λύγδαμιν τὸν τύραννον, ὡς δ' ἐκεῖνος ὑπερτιθέμενος πολλάκις συντυχεῖν ἀνεβάλλετο, τὸ δ' ἐπὶ πᾶσι μαλακῶς ἔχειν αὐτὸν ἔφασαν, οἱ πρέσβεις λέγε αὐτῷ εἶπον, ὅτι μὰ τοὺς θεοὺς οὐ παλαισόμενοι πρὸς αὐτὸν ἐληλύθαμεν ἀλλὰ διαλεχθησόμενοι. λάκωνά τινά τις μυσταγωγῶν, ἠρώτα τί πρᾶξας ἑαυτῷ σύνοιδεν ἀσεβέστατον, ὁ δὲ, γινώσκουσιν οἱ θεοὶ ἔφη, ἐπικειμένου δὲ μᾶλλον καὶ λέγοντος πάντως σε δεῖ εἰπεῖν, ὁ λάκων ἀντηρώτησε τίνι με δεῖ εἰπεῖν σοὶ ἢ τῷ θεῷ, τοῦ δὲ εἰπόντος τῷ θεῷ, σὺ τοίνυν ἔφη ἀποχώρησον. ἕτερος νυκτὸς μνῆμα παριὼν καὶ φαντασιωθεὶς δαιμόνιόν τι, ἐπέδραμε τῇ λόγχῃ διαράμενος καὶ ἐναπερείδων, εἶπε, πῆ με φεύγεις δὶς ἀποθανουμένη ψυχή. ἄλλος εὐξάμενος ἀπὸ τῆς λευκάτα ῥίπτειν ἑαυτὸν, ἀνέβη καὶ ὑπέστρεψεν ἰδὼν τὸ ὕψος, ὀνειδιζόμενος δὲ εἶπεν, οὐκ ᾤμην ταύτην τὴν εὐχὴν ἄλλας μείζονος εὐχᾶς δεῖσθαι. ἄλλος ἐπὶ παρατάξεως τῷ πολεμίῳ τὸ ξίφος καταφέρειν μέλλων, ἐπεὶ τὸ ἀνακλητικὸν ἐσήμηνεν, οὐκ ἔτι κατήνεγκε, πυθομένου δέ τινος διατί τὸν ἐχθρὸν ἔχων ὑποχείριον οὐκ ἀπέκτεινεν, ὅτι ἔφη βέλτιόν ἐστι τοῦ φονεύειν τὸ πείθεσθαι τῷ ἄρχοντι. λάκωνί τινι ἡττωμένῳ ἐν ὀλυμπίᾳ, εἶπέ τις ὁ ἀνταγωνιστὴς ὦ λάκων ἐγένετό σου κρείττων, οὐ μὲν οὖν ἔφη ἀλλὰ καββαλικώτερος. τῶν δὲ εἰσιόντων εἰς τὰ συσσίτια, ἑκάστῳ δεικνύων ὁ πρεσβύτατος τὰς θύρας, διὰ τούτων φησὶν οὐδεὶς ἐξέρχεται λόγος. δοκιμαζομένου μάλιστα παρ' αὐτοῖς τοῦ μέλανος λεγομένου ζωμοῦ, ὥστε μὴ κρεαδίου δεῖσθαι τοὺς πρεσβυτέρους, παραχωρεῖν δὲ τοὺς νεανίσκους. λέγεται διονύσιος ὁ τῆς σικελίας τύραννος τούτου χάριν λακωνικὸν μάγειρον πρίασθαι καὶ προστάξαι σκευάσαι αὐτῷ μηδενὸς φειδόμενον ἀναλώματος, ἔπειτα γευσάμενον καὶ δυσχεράναντα ἀποπτύσαι, καὶ τὸν μάγειρον εἰπεῖν, ὦ βασιλεῦ, τοῦτον δεῖ τὸν ζωμὸν γυμνασάμενον λακωνικῶς τῷ εὐρώτᾳ λελουμένον ἐπορφᾶσθαι. πιόντες οἱ λάκωνες ἐν τοῖς συσσιτίοις μετρίως, ἀπίασι δίχα λαμπάδος, οὐ γὰρ ἔξεστι πρὸς φῶς βαδίζειν, οὔτε ταύτην οὔτε ἄλλην ὁδὸν, ὅπως ἐθίζωνται σκότους καὶ νυκτὸς εὐθαρσῶς καὶ ἀδεῶς ὁδεύειν. γράμματα ἕνεκα τῆς χρείας ἐμάνθανον, τῶν δὲ ἄλλων παιδευμάτων, ξενηλασίαν ἐποιοῦντο, οὐ μᾶλλον ἀνθρώπων, ἢ λόγων, ἡ δὲ παιδεία ἦν αὐτοῖς πρὸς τὸ ἄρχεσθαι καλῶς, καὶ καρτερεῖν πονοῦντα καὶ μαχόμενον νικᾶν ἢ ἀποθνήσκειν. διετέλουν δὲ καὶ ἄνευ χιτῶνος ἓν ἱμάτιον εἰς τὸν ἐνιαυτὸν λαμβάνοντες, αὐχμηροὶ τὰ σώματα, καὶ λουτρῶν καὶ ἀλειμμάτων κατὰ τὸ πλεῖστον ἀπεχόμενοι. ἐκάθευδον δὲ οἱ νέοι ὁμοῦ κατ' ἴλην καὶ κατὰ ἀγέλην ἐπὶ στιβάδων, ἃς αὐτοὶ συνεφόρουν τοῦ παρὰ τῷ εὐρώτᾳ πεφυκότος καλάμου τὰ ἄκρα ταῖς χερσὶν ἄνευ σιδήρου κατακλάσαντες, ἐν δὲ τῷ χειμῶνι τοὺς λεγομένους λυκοφόνας ὑπεβάλλοντο καὶ κατεμίγνυσαν ταῖς στιβάσι θερμαντικὸν ἔχειν τι τῆς ὕλης δοκούσης. ἐρᾶν τὴν ψυχὴν σπουδαίων παίδων ἐφεῖτο, τὸ δὲ πλησιάζειν αἰσχρὸν νενόμιστο, ὡς τοῦ σώματος ἐρῶντας ἀλλ' οὐ τῆς ψυχῆς, ὁ δὲ ἐγκληθεὶς ὡς ἐπ' αἰσχύνῃ πλησιάζων, ἄτιμος διὰ βίου ἦν. ἔθος ἦν καὶ τοὺς νεωτέρους ὑπὸ τῶν πρεσβυτέρων ἐρωτᾶσθαι ποῦ πορεύονται καὶ ἐπί τι, καὶ τὸν μὴ ἀποκρινόμενον, ἢ προφάσεις πλέκοντα ἐπιπλήττειν, ὁ δὲ μὴ ἐπιπλήττων παρόντος αὐτοῦ ἁμαρτάνοντα, ἔνοχος ἦν τῷ ἴσῳ ἐπιτιμίῳ ὥσπερ

λευκάδα. l. A.

ᾤμην. l. A.

συσσίτια. l. A.

ἀνεῖλε τὴν δεισιδαιμονίαν ἅπασαν ὁ λυκοῦργος ἐν τῇ πόλει θάπτειν τοὺς νεκροὺς, καὶ πλησίον ἔχειν τὰ μνημεῖα τῶν ἱερῶν συγχωρήσας. περιεῖλε δὲ καὶ τοὺς μιασμοὺς, συνθάπτειν δὲ οὐδὲν ἐπέτρεψεν, ἀλλ' ἐν φοινικίδι καὶ φύλλοις ἐλαίας θέντας, τὸ σῶμα περιστέλλειν κατ' ἴσον ἅπαντας. ἀνεῖλε δὲ καὶ τὰς ἐπιγραφὰς τὰς ἐπὶ τῶν μνημείων, πλὴν τῶν ἐν πολέμῳ πεσόντων, καὶ τὰ πένθη καὶ τοὺς ὀδυρμούς. ἀποδημεῖν δεῖ οὐκ ἐξῆν αὐτοῖς, ἵνα μὴ ξενικῶν ἐθῶν καὶ βίων ἀπαιδεύτων μετάσχωσι. καὶ ξενηλασίας δὲ εἰσηγήσατο, ὅπως οἱ παρεισρέοντες, μὴ διδάσκαλοι κακοῦ τινὸς τοῖς πολίταις ὑπάρχωσι. τῶν πολιτῶν ὃς ἂν μὴ ὑπομείνῃ τὴν τῶν παίδων ἀγωγὴν, οὐ μετεῖχε τῶν τῆς πόλεως δικαίων. ἔνιοι δὲ ἔφασαν ὅτι καὶ τῶν ξένων ὃς ἂν ὑπομείνῃ ταύτην τὴν ἄσκησιν τῆς πολιτείας, κατὰ τὸ βούλημα τοῦ λυκούργου μετεῖχε τῆς ἀρχῆθεν διατεταγμείας μοίρας, πωλεῖν δ' οὐκ ἐξῆν. τοῖς τῶν πλησίον οἰκέταις ὡς ἰδίοις χρῆσθαι ἔθος ἦν, εἴ που δέοιντο καὶ κυσὶ καὶ ἵπποις, εἰ μὴ οἱ δεσπόται χρῄζοιεν. καὶ ἐν ἀγρῷ δὲ εἴ τις τινὸς ἐνδεὴς γενόμενος δεηθείη, ἀνοίξας καὶ βαστάσας τὰ ἐπιτήδεια τοῦ ἔχοντος, τὰ ταμεῖα σημηνάμενος κατέλιπεν. ἐν τοῖς πολέμοις φοινικίσιν ἐχρῶντο. ἅμα μὲν γὰρ ἡ χρόα ἐδόκει αὐτοῖς ἀνδρικὴ εἶναι, ἅμα δὲ τὸ αἱματῶδες τοῦ χρώματος πλείονα τοῖς ἀπείροις φόβον παρέχειν, καὶ τὸ μὴ εὐπερίφωρον δὲ τοῖς πολεμίοις εἶναι, ἐάν τις αὐτῶν πληγῇ, ἀλλὰ διαλανθάνειν διὰ τὸ ὁμόχρουν, χρήσιμον. ὅταν στρατηγήματι τοὺς πολεμίους νικήσωσι, βοῦν τῷ ἄρει θύουσιν, ὅταν δ' ἐκ τοῦ φανεροῦ, ἀλεκτρυόνα, ἐθίζοντες τοὺς ἡγουμένους, οὐ μόνον πολεμικοὺς ἀλλὰ καὶ στρατηγικοὺς εἶναι. ταῖς ἀχαῖς προστιθέασι τὸ ἀδικεῖσθαι δύνασθαι. εὐχὴ δ' αὐτῶν, διδόναι τὰ καλὰ τοῖς ἀγαθοῖς καὶ πλέον οὐδέν. ἀφροδίτην σέβονται τὴν ἐνόπλιον, καὶ πάντας δὲ τοὺς θεοὺς θηλείας καὶ ἄρρενας λόγχας ἔχοντας ποιοῦνται, ὡς ἁπάντων τὴν πολεμικὴν ἀρετὴν ἐχόντων. ἐπιλέγουσι δὲ καὶ οἱ παροιμιαζόμενοι, τὰν χεῖρα ποτιφέροντα τὰν τύχαν καλεῖν. ὡς δέον ἐπικαλεῖσθαι τοὺς θεοὺς μετὰ τοῦ ἐγχειρεῖν τι καὶ πράττειν, ἄλλως δὲ μή. τοῖς παισὶν ἐπεδείκνυον τοὺς εἵλωτας μεθύσαντες εἰς ἀποτροπὴν πολυοινίας. ἔθος ἦν αὐτοῖς μὴ κόπτειν τὰς αὐλείους θύρας, ἀλλ' ἔξωθεν βοᾶν. στλεγγίσιν οὐ σιδηραῖς, ἀλλὰ καλαμίναις ἐχρῶντο. κωμῳδίας καὶ τραγῳδίας οὐκ ἠκροῶντο, ὅπως μήτε ἐν σπουδῇ μήτε ἐν παιδιᾷ ἀκούωσι τῶν ἀντιλεγόντων τοῖς νόμοις. ἀρχίλοχον τὸν ποιητὴν ἐν λακεδαίμονι γενόμενον αὐτῆς ὥρας ἐδίωξαν, διότι ἐπέγνωσαν αὐτὸν πεποιηκότα, ὡς κρεῖττόν ἐστιν ἀποβαλεῖν τὰ ὅπλα, ἢ ἀποθανεῖν. ἀσπίδι μὲν σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων, ἀσπὶς ἐκείνη ἐρρέτω, ἐξαῦθις κτήσομαι οὐ κακίω. κόραις καὶ κόροις κοινὰ τὰ ἱερά. σκιραφίδαν ἐζημίωσαν οἱ ἔφοροι, ὅτι ὑπὸ πολλῶν ἠδικεῖτο. σακκοφόρον ἀνεῖλον, διότι παρυφὴν εἰς τὸν σάκκον ἐνέβαλε. τὸν ἐκ τοῦ γυμνασίου νεανίσκον ἐπετίμων, ὅτι τὴν εἰς πυλαίαν ὁδὸν ἠπίστατο. κηφισοφῶντα εἰπόντα περὶ τοῦ τυχόντος δύνασθαι ὅλην τὴν ἡμέραν λέγειν, ἐξέβαλον, φάμενοι τὸν ἀγαθὸν μυθητὰν, δεῖν τοῖς πράγμασιν ἴσον τὸν λόγον ἔχειν. οἱ παῖδες παρ' αὐτοῖς ξαινόμενοι μάστιξι δι' ὅλης τῆς ἡμέρας ἐπὶ τοῦ βωμοῦ τῆς ὀρτίας ἀρτέμιδος μέχρι θανάτου πολλάκις διακαρτεροῦσιν ἱλαροὶ καὶ γαῦροι. ἁμιλλώμενοι περὶ νίκης πρὸς ἀλλήλους, ὅς τις αὐτῶν ἐπιπλέον τε καὶ μᾶλλον καρτερήσει τυπτόμενος, καὶ ὁ περιγενόμενος, ἐν τοῖς μάλιστα ἐπίδοξός ἐστι. καλεῖται δὲ ἡ ἅμιλλα διαμαστίγωσις. γίνεται δὲ καθ' ἕκαστον ἔτος. ἐν δέ τι τῶν καλῶν καὶ μακαρίων ἐδόκει παρεσκευακέναι τοῖς πολίταις ὁ λυκοῦργος ἀφθονίας σχολῆς. τέχνης μὲν γὰρ ἅψασθαι βαναύσου τὸ παράπαν οὐκ ἔξεστιν, χρηματισμοῦ

δὲ .Ι. Α.

διατεταγμένης

εὐχαῖς .Ι. Α.

δὲ συνακτῶ γῆν ἔχοντος ἐργώδη καὶ πραγματείας, οὐδέποτε οὐδὲν ἔδει, διὰ τὸ κομιδῇ τὸν πλοῦτον ἄζηλον πεποιηκέναι καὶ ἄτιμον. οἱ δὲ εἵλωτες αὐτοῖς εἰργάζοντο τὴν γῆν, ἀποφορὰν τὴν ἄνωθεν ἐσταμένην. ἀπάρατον δὲ ἦν πλείονός τινα μισθῶσαι, ἵνα ἐκεῖνοι μὲν κερδαίνοντες ἡδέως ὑπηρετῶσιν, οὗτοι δὲ μὴ πλέον ἐπιζητῶσιν. ἀπείρητο δὲ αὐτοῖς ναύταις εἶναι καὶ ναυμαχεῖν. ὕστερον μέντοι ἐναυμάχησαν, καὶ τῆς θαλάσσης κρατήσαντες, πάλιν ἀπέστησαν διαφθειρόμενα τὰ ἤθη τῶν πολιτῶν θεωροῦντες, ἀλλὰ πάλιν μετεβάλοντο καθάπερ ἐν τοῖς ἄλλοις πᾶσι. καὶ γὰρ χρημάτων συναχθέντων τοῖς λακεδαιμονίοις, οἱ συναγαγόντες, θανάτῳ κατεδικάσθησαν. ἀλκαμένει τε καὶ θεοπόμπῳ τοῖς βασιλεῦσι χρησμὸς ἐδόθη. ἁ φιλοχρηματία σπάρταν ὀλεῖ. ἀλλ᾽ ὅμως λύσανδρος ἑλὼν ἀθηναίους, πολὺν χρυσὸν καὶ ἄργυρον εἰσήγαγε, καὶ παρεδέξαντο καὶ ἐτίμησαν τὸν ἄνδρα. τοῖς μὲν οὖν λυκούργου χρωμένη νόμοις ἡ πόλις, καὶ τοῖς ὅρκοις ἐμμείνασα, ἐπρώτευε τῆς ἑλλάδος, εὐνομίᾳ καὶ δόξῃ χρόνων ἐτῶν πεντακοσίων, κατ᾽ ὀλίγον δὲ παραβαινομένων, καὶ φιλοπλουτίας καὶ πλεονεξίας παρεισδυομένης, καὶ τὰ τῆς δυνάμεως ἠλαττοῦτο, καὶ οἱ σύμμαχοι διὰ ταῦτα δυσμενῶς εἶχον πρὸς αὐτούς. ἀλλ᾽ ὅμως οὕτως ἔχοντες μετὰ τὴν φιλίππου τοῦ μακεδόνος ἐν χαιρωνείᾳ νίκην, πάντων αὐτὸν τῶν ἑλλήνων ἡγεμόνα κατά τε γῆν καὶ θάλασσαν ἀναγορευσάντων, καὶ μεταξὺ δὲ ἀλέξανδρον τὸν υἱὸν μετὰ τὴν θηβαίων καταστροφήν, μόνοι λακεδαιμόνιοι, καίπερ ἀτείχιστον πόλιν ἔχοντες, καὶ ὀλίγοι πάνυ ὄντες, διὰ τοὺς συνεχεῖς πολέμους, καὶ πολὺ ἀσθενέστεροι καὶ εὐχείρωτοι γενόμενοι, πάνυ βραχέα τινὰ ζώπυρα διασώζοντες τῆς λυκούργου νομοθεσίας, οὔτε συνεστράτευσαν, οὔτε κοινοῦ τούτοις, οὔτε τοῖς μεταξὺ μακεδονικοῖς βασιλεῦσιν, οὔτε εἰς συνέδριον κοινὸν εἰσῆλθον, οὐδὲ φόρον ἤνεγκαν, ἕως οὗ παντάπασιν ὑπεριδόντες τὴν λυκούργου νομοθεσίαν, ὑπὸ τῶν ἰδίων πολιτῶν ἐτυραννεύθησαν, μηδὲν ἔτι σώζοντες τῆς πατρίου ἀγωγῆς, καὶ παραπλήσιοι τοῖς ἄλλοις γενόμενοι, τὴν πρόσθεν εὔκλειαν καὶ παρρησίαν ἀπέθεντο, καὶ εἰς δουλείαν μετέστησαν. καὶ νῦν ὑπὸ ῥωμαίοις καθάπερ οἱ ἄλλοι ἕλληνες ἐγένοντο. ἀργιλεωνὶς ἡ βρασίδου μήτηρ, τελευτήσαντος αὐτῇ τοῦ υἱοῦ, ὡς παραγενόμενοί τινες τῶν ἀμφιπολιτῶν εἰς σπάρτην, ἧκον πρὸς αὐτήν, ἠρώτησεν εἰ καλῶς καὶ ἀξίως τῆς σπάρτης ὁ υἱὸς ἐτελεύτα, μεγαλυνόντων δὲ ἐκεῖνον, καὶ λεγόντων ἄριστον ἐν τοῖς τοιούτοις ἔργοις ἁπάντων λακεδαιμονίων εἶναι, εἶπεν, ὦ ξένοι, καλὸς μὲν ἦν καὶ ἀγαθὸς ὁ παῖς μου, πολλοὺς δὲ ἄνδρας λακεδαίμων ἔχει τήνου κρέσσονας. γοργὼ βασιλέως κλεομένους θυγάτηρ, ἀρισταγόρου τοῦ μιλησίου παρακαλοῦντος αὐτὸν εἰς τὸν πρὸς βασιλέα πόλεμον ὑπὲρ ἰώνων, καὶ ὑπισχνουμένου χρημάτων πλῆθος, καὶ ὅσω ἀντέλεγε, πλείονα προστιθέντος, καταφθαρεῖ σε ἔφη ὦ πάτερ τὸ ξενύλλιον, ἐὰν μὴ τάχιον αὐτὸν τῆς οἰκίας ἐκβάλῃς. προστάξαντος δέ ποτε αὐτῇ τοῦ πατρὸς δοῦναί τινι σῖτον εἰς μισθοῦ λόγον, καὶ προστιθέντος, ἐδίδαξε γάρ με τὸν οἶνον χρηστὸν ποιεῖν, οὐκοῦν ὦ πάτερ ἔφη, ὅτε οἶνος πλείων ἐκποθήσεται, καὶ οἱ πίνοντες θρυπτικώτεροι καὶ χείρονες ἔσονται. τὸν δὲ ἀρισταγόραν ὑπό τινος τῶν οἰκετῶν ὑποδούμενον θεασαμένη, πάτερ ἔφη, ὁ ξένος χεῖρας οὐκ ἔχει. ξένου δέ τινος μαλακῶς χολῇ προσαναγόντος παρωσαμένη αὐτὸν, οὐκ ἄπει ἐντεῦθεν εἶπεν, οὔτε τὰ γυναικὸς δυνάμενος; γυρτιὰς ἀκροτάτου ποτὲ τοῦ θυγατριδοῦ αὐτῆς ἔκ τινος τῶν παίδων μάχης πολλὰς πληγὰς λαβόντος, καὶ ἀπενεχθέντος οἴκαδε ὡς τεθνηκότος, κλαιόντων οἰκείων τε καὶ γνωρίμων, οὐ σιωπήσετε ἔφη; ἔδειξε γὰρ οἵου αἵματος ἦν, καὶ οὐκ ἔφη δεῖν τοὺς ἀγαθοὺς βοᾶν, ἀλλ᾽ ἰατρεύεσθαι. ὅτε ἄγγελος ἦλθεν ἐκ κρήτης τὸν ἀκροτάτου θάνατον ἀπαγγέλλων, οὐκ ἔμελλεν ἔφη πρὸς τοὺς πολεμίους ἥκων, ἢ αὐτὸς

ἢ αὐτὸν ἀποθανεῖσθαι, ἢ κατακαίνειν ἐκείνους; ἥδιον δὲ ἀκούειν ὅτι ἀπέθανε καὶ ἑαυτοῦ καὶ τῆς πόλεως ἀξίως καὶ τῶν προγόνων, ἢ ἔζη τὸν ἅπαντα χρόνον κακὸς ὤν. δαμάτρια τὸν υἱὸν δειλὸν καὶ ἀνάξιον ἑαυτῆς ἀκούσασα, παραγενόμενον ἀνεῖλε. τὸ δ᾽ ἐπίγραμμα ἐπ᾽ αὐτῆς τόδε. τὸν παραβάντα νόμους δαμάτριον, ἔκτανε μάτηρ ἁ λακεδαιμονία τὸν λακεδαιμόνιον. ἑτέρα λάκαινα τὸν υἱὸν λειποτακτήσαντα, ὡς ἀνάξιον τῆς πατρίδος ἀνεῖλεν, εἰποῦσα, οὐκ ἐμὸν τὸ φίτυμα, ἐφ᾽ ἧς τὸ ἐπίγραμμα τόδε. ἔρρε κακὸν φίτυμα διὰ σκότος, οὗ διὰ μῖσος, εὐρώτας δειλαῖς μὴ δ᾽ ἐλάφοισι ῥέοι, ἀχρεῖον σκυλάκευμα, κακὰ μερίς, ἔρρε ποτ᾽ ἅδαν, ἔρρε, τὸ μὴ σπάρτας ἄξιον, οὐδ᾽ ἔτεκον. ἀκούσασά τις τὸν υἱὸν σεσωσμένον καὶ πεφευγότα ἐκ τῶν πολεμίων, γράφει αὐτῷ, κακὰ φάμα τευ κακκέχυται, ἢ ταύταν νῦν ἔκνιψαι, ἢ μὴ ἔσο. ἄλλη, τῶν υἱῶν φυγόντων ἐκ μάχης, καὶ παραγενομένων ὡς αὐτήν, ποῦ φησιν ἥκετε δραπετεύσαντες κακὰ ἀνδράποδα, ἢ δεῦρο ὅθεν ἐξέδυτε καταδυσόμενοι, ἀνασυραμένη καὶ ἐπιδείξασα αὐτοῖς τὴν κοιλίαν. προσάγοντά τις τὸν υἱὸν, θεασαμένη, ἐπύθετό τι πράσσει ἡ πατρίς, εἰπόντος δὲ πάντες ἀπολώλασι, κεραμίδα ἄρασα, ἐπαφῆκεν αὐτῷ, καὶ ἀνεῖλεν εἰποῦσα, σὲ οὖν κακάγγελον ἔπεμψαν ἁμῖν; διηγουμένου τινὸς τῇ μητρὶ γενναῖον θάνατον τοῦ ἀδελφοῦ, εἶτ᾽ οὐκ αἰσχρὸν εἶπε, τοιαύτης συνοδίας ἀποτυχεῖν; ἐκπέμψασά τις τοὺς υἱοὺς αὐτῆς πέντε ὄντας ἐπὶ πόλεμον, ἐν τοῖς προαστείοις εἱστήκει, καραδοκοῦσά τι ἐκ τῆς μάχης ἀποβήσοιτο, ὡς δὲ παραγενόμενός τις, πυθομένης, ἀπήγγελε τοὺς παῖδας ἅπαντας τετελευτηκέναι, ἀλλ᾽ οὐ τοῦτο ἐπυθόμην εἶπε, κακὸν ἀνδράποδον, ἀλλὰ τί πράσσει ἡ πατρίς, φήσαντος δὲ ὅτι νικᾷ, ἀσμένη τοίνυν εἶπε δέχομαι καὶ τὸν τῶν παίδων θάνατον. θάπτουσά τις τὸν υἱὸν, ὡς γραΐδιον εὐτελὲς προσελθὸν αὐτῇ, ὦ γύναι τᾶς τύχας εἶπε, νὴ τὼ σιὼ τᾶς καλᾶς γε φαίη, οὗ γὰρ αὐτὸν ἕνεκεν ἔτεκον, ἵνα ὑπὲρ τᾶς σπάρτας ἀποθάνῃ, τοῦτό μοι συνέβη. σεμνυνομένης γυναικός τινος ἰωνικῆς ἐπί τινι τῶν ἑαυτῆς ὑφασμάτων ὄντι πολυτελεῖ, λάκαινα ἐπιδείξασα τοὺς τέσσαρας υἱοὺς ὄντας κοσμιωτάτους, τοιαῦτα ἔφη δεῖν εἶναι τὰ τῆς καλῆς καὶ ἀγαθῆς γυναικὸς ἔργα, καὶ ἐπὶ τούτοις ἐπαίρεσθαι καὶ μεγαλαυχεῖν. ἄλλη ἀκούσασα περὶ τοῦ υἱοῦ, ὡς κακῶς ἐπὶ τοῖς ξένοις ἀναστρέφοιτο, ἔγραψε, κακά τοι φάμα κακκέχυται, ταύταν ἀπόθου, ἢ μὴ ἔσο. παραπλησίως δὲ καὶ χίων φυγάδες ἐλθόντες εἰς σπάρτην, πολλὰ παιδαρείτου κατηγόρουν, μεταπεμψαμένη δὲ αὐτοὺς ἡ μήτηρ τελευτία, καὶ ἀκούσασα ὧν ἐνεκάλουν, ἐπεὶ ἐδόκει αὐτῇ ἁμαρτάνειν ὁ υἱὸς, ἐπέστειλεν ἁ μάτηρ παιδαρείτῳ, ἢ βέλτιονα πράσσειν σε, ἢ αὖθι μένε ἀπογνοὺς τὰν ἐς σπάρταν σωτηρίαν. ἑτέρα ἐπ᾽ ἀδικήματι τῷ παιδὶ κρινομένῳ, τέκνον εἶπεν, ἢ τὰς αἰτίας, ἢ σεαυτὸν τοῦ ζῆν ἀπόλυσον. ἄλλη χωλὸν υἱὸν ἐπὶ παράταξιν προπέμπουσα, τέκνον εἶπε κατὰ βῆμα τῆς ἀρετῆς μέμνησο. ἄλλη τοῦ παιδὸς αὐτῇ ἀφικομένου, ἀπὸ παρατάξεως τετρωμένου τὸν πόδα, καὶ σφόδρα ἀλγοῦντος, ἐὰν τῆς ἀρετῆς εἶπε μεμνῇ ὦ τέκνον, καὶ ἄπονος ἔσῃ, καὶ θαῤῥήσεις. λάκων τρωθεὶς ἐν πολέμῳ καὶ βαδίζειν οὐ δυνάμενος, τετραποδιστὶ ὥδευεν, αἰσχυνομένῳ δ᾽ αὐτῷ ἐν γελοίῳ, ἡ μήτηρ καὶ πόσῳ βέλτιον ὦ τέκνον εἶπε, μᾶλλον ἐπὶ τῇ ἀνδρίᾳ γεγηθέναι, ἢ αἰσχύνεσθαι ἐπὶ γέλωτι ἀνοήτῳ. ἄλλη προσαναδιδοῦσα τῷ παιδὶ τὴν ἀσπίδα, καὶ παρακελευομένη, τέκνον ἔφη, ἢ τὰν, ἐπὶ τᾶς. ἄλλη προϊόντι τῷ υἱῷ ἐπὶ πόλεμον, ἀναδιδοῦσα τὴν ἀσπίδα, ταύτην ἔφη ὁ πατήρ σοι ἀεὶ ἔσωζε, καὶ σὺ οὖν ταύταν σῶζε, ἢ μὴ ἔσο. ἄλλη πρὸς τὸν υἱὸν λέγοντα μικρὸν ἔχειν τὸ ξίφος, εἶπε, καὶ βῆμα πρόσθες. ἄλλη ἀκούσασα ὅτι ὁ υἱὸς αὐτῆς ἐν παρατά-

καὶ ὁ ἁμαρτὼν, καὶ ὁ δυσχεραίνων δὲ εἰ ἐπιτιμῷτο, ἐν μεγάλῳ ὀνείδει ἦν. εἴ τις φω-
ραθείη ἁμαρτάνων, ἔδει τοῦτον βωμόν τινα τῶν ἐν τῇ πόλει κύκλῳ περιιέναι ψό-
γον ᾄδοντα πεποιημένον εἰς ἑαυτὸν, ὅπερ ἦν οὐδὲν ἕτερον, ἢ ἐπιπλήττειν αὐτὸν
ἑαυτῷ. καὶ τοὺς νέους δὲ οὐ μόνον τοὺς ἰδίους αἰδεῖσθαι πατέρας, καὶ ὑπηκό-
ους τούτοις εἶναι, ἀλλὰ πάντας τοὺς πρεσβυτέρους ἐντρέπεσθαι, καὶ ὁδῶν
ὑποχωροῦντας, καὶ καθέδρας ὑπεξισταμένους, καὶ παριόντων ἡσυχάζον-
τας. διὸ καὶ ἦρχεν ἕκαστος, οὐχ ὥσπερ ἐν ταῖς ἄλλαις πόλεσι τῶν αὑτοῦ τέκνων
καὶ δούλων καὶ κτημάτων, ἀλλ' ὥσπερ τῶν αὑτοῦ, καὶ τῶν τοῦ πλησίον, ὅπως
ὅτι μάλιστα κοινωνῶσι καὶ φροντίζωσι ὡς ἰδίων. παῖς δὲ ὑπό τινος κολασθεὶς,
εἰ τῷ πατρὶ ἐξήγγελεν, αἰσχρὸν ἦν τῷ πατρὶ μὴ προσεντεῖναι ἀκούσαντα πά-
λιν ἑτέρας, ἐπίστευον γὰρ ἑαυτοῖς ἐκ τῆς πατρίου ἀγωγῆς μηδὲν αἰσχρὸν προσ-
τάξαι τοῖς τέκνοις. κλέπτουσι δὲ οἱ νέοι καὶ τῶν σιτίων ὅτι ἂν δύνωνται μαν-
θάνοντες εὐφυῶς ἐπιτίθεσθαι τοῖς καθεύδουσιν, ἢ ῥαθύμως φυλάσσουσι. τῷ δὲ ἁ-
λόντι, ζημία πληγαὶ καὶ τὸ πεινῆν, γλίσχρον γὰρ αὐτοῖς ἐστι δεῖπνον, ὅπως δι'
αὑτῶν ἀμυνόμενοι τὴν ἔνδειαν ἀναγκάζωνται τολμᾶν καὶ πανουργεῖν, τὸ δὲ ἔργον
τῆς σιτοδείας, διάτε ταῦτα γλίσχρον ἦν, ἵν' ἐθίζωνται μηδέ ποτε γίνεσθαι πλήρεις,
δύνασθαι δὲ πεινῆν, οὕτω γὰρ ᾤοντο καὶ ἐν πολέμῳ χρησιμωτέρους ἔσεσθαι, εἰ δύ-
ναιντο, καὶ ἀσιτήσαντες ἐπιπονῆσαι, καὶ ἐγκρατεστέρους δὲ καὶ εὐτελεστέρους, εἰ πλείω
χρόνον διάγοιεν ἀπὸ μικρᾶς δαπάνης, τὴν δ' ἀνοψίαν ἀποφέρειν, ὥστε βρῶμα τὸ
τυχὸν προσφέρεσθαι ᾤοντο ὑγιεινότερα τὰ σώματα, καὶ αὔξειν ἀπὸ τῆς ἐλλει-
πούσης ποιεῖν τροφῆς εἰς βάθος καὶ πλάτος, μὴ πιεζόμενον ἐπαίρειν εἰς ὕψος
τὰ σώματα, καὶ καλὰ δὲ ποιεῖν, τὰς γὰρ ἰσχνὰς καὶ διακένους ἕξεις ὑπακούειν
πρὸς τὴν διάρθρωσιν, τὰς δὲ πολυτρόφους διὰ βάρος ἀντιβαίνειν. ἐσπούδα-
ζον δὲ καὶ περὶ τὰ μέλη καὶ τὰς ᾠδὰς οὐδὲν ἧττον, κέντρον δ' εἶχε ταῦτα ἐγερ-
τικὸν θυμοῦ καὶ φρονήματος, καὶ παραστατικὸν ὁρμῆς ἐνθουσιώδους καὶ πρα-
κτικῆς, καὶ ἡ λέξις ἦν ἀφελὴς καὶ ἄθρυπτος, οὐδὲν δ' ἕτερον εἶχεν, ἢ ἐπαίνους
τῶν γενναίως ζησάντων, καὶ ὑπὲρ τῆς σπάρτης ἀποθανόντων καὶ εὐδαιμονι-
ζομένων, καὶ ψόγους τῶν τρεσάντων, ὡς ἀλγεινὸν καὶ κακοδαίμονα βιούντων βί-
ον, ἐπαγγελία τε καὶ μεγαλαυχία πρὸς ἀρετὴν πρέπουσα ταῖς ἡλικίαις.
τριῶν οὖν χορῶν ὄντων κατὰ τὰς τρεῖς ἡλικίας καὶ συνισταμένων ἐν ταῖς ἑορ-
ταῖς, ὁ μὲν τῶν γερόντων ἀρχόμενος ᾖδεν, ἄμες πότ' ἦμες ἄλκιμοι νεανίαι, εἶτα
ὁ τῶν ἀκμαζόντων ἀνδρῶν ἀμειβόμενος, ἄμες δέ γ' ἐσμέν· αἰ δὲ λῇς, αὐγάσδεο, ὁ
δὲ τρίτος ὁ τῶν παίδων, ἄμες δέ γ' ἐσσόμεθα πολλῷ κάρρονες. καὶ οἱ ἐμβατήριοι
δὲ ῥυθμοὶ παρορμητικοὶ πρὸς ἀνδρείαν καὶ θαῤῥαλεότητα καὶ ὑπερφρόνησιν
θανάτου, οἷς ἐχρῶντο ἔν τε χοροῖς καὶ πρὸς αὐλὸν ἐπάγοντες τοῖς πολεμίοις,
ὁ γὰρ λυκοῦργος παρέζευξε τῇ κατὰ πόλεμον ἀσκήσει τὴν φιλομουσίαν, ὅ-
πως τὸ ἄγαν πολεμικὸν τῷ ἐμμελεῖ κερασθὲν, συμφωνίαν καὶ ἁρμονίαν ἔχῃ, διὸ
καὶ ἐν ταῖς μάχαις προεθύετο ταῖς μούσαις ὁ βασιλεὺς, ἵνα λόγου ἀξίας πα-
ρέχωσι τὰς πράξεις οἱ μαχόμενοι καὶ μνήμης εὐκλεοῦς. εἰ δέ τις παραβαίνοι
τι τῆς ἀρχαίας μουσικῆς οὐκ ἐπέτρεπον, ἀλλὰ καὶ τὸν τέρπανδρον ἀρχαϊκώτε-
ρον ὄντα καὶ ἄριστον τῶν καθ' ἑαυτὸν κιθαρῳδῶν καὶ τῶν ἡρωικῶν πράξεων ἐπαι-
νέτην, ὅμως οἱ ἔφοροι ἐζημίωσαν, καὶ τὴν κιθάραν αὐτοῦ προσεπαττάλευ-
σαν φέροντες, ὅτι μίαν μόνην χορδὴν ἐνέτεινε περισσοτέραν τοῦ ποικίλου τῆς
φωνῆς χάριν, μόνα γὰρ τὰ ἁπλούστερα τῶν μελῶν ἐδοκίμαζον. τιμοθέου δὲ
ἀγωνιζομένου τὰ κάρνεια, εἷς τῶν ἐφόρων μάχαιραν λαβὼν, ἠρώτησεν αὐτὸν ἐκ
ποτέρου τῶν μερῶν ἀποτέμοι τὰς πλείους τῶν ἑπτὰ χορδῶν. τὸν δὲ τάφων

ἀνεῖλε

ἀνεῖλε τὴν δεισιδαιμονίαν ἅπασαν ὁ λυκοῦργος ἐν τῇ πόλει θάπτειν τοὺς νεκροὺς,
καὶ πλησίον ἔχειν τὰ μνημεῖα τῶν ἱερῶν συγχωρήσας. περιεῖλε δὲ καὶ τοὺς μι-
ασμούς, συνθάπτειν δὲ οὐδὲν ἐπέτρεψεν, ἀλλ' ἐν φοινικίδι καὶ φύλλοις ἐλαίας θέν-
τας, τὸ σῶμα περιστέλλειν κατ' ἴσον ἅπαντας. ἀνεῖλε δὲ καὶ τὰς ἐπιγραφὰς τὰς
ἐπὶ τῶν μνημείων, πλὴν τῶν ἐν πολέμῳ πεσόντων, καὶ τὰ πένθη καὶ τοὺς ὀδυρ-
μούς. ἀποδημεῖν δεῖ οὐκ ἐξῆν αὐτοῖς, ἵνα μὴ ξενικῶν ἐθῶν καὶ βίων ἀπαι-
δεύτων μετάσχωσι. καὶ ξενηλασίας δὲ εἰσηγήσατο, ὅπως οἱ παρεισρέοντες,
μὴ διδάσκαλοι κακοῦ τινος τοῖς πολίταις ὑπάρχωσι. τῶν πολιτῶν ὃς ἂν
μὴ ὑπομείνῃ τὴν τῶν παίδων ἀγωγὴν, οὐ μετεῖχε τῶν τῆς πόλεως δικαίων.
ἔνιοι δὲ ἔφασαν ὅτι καὶ τῶν ξένων ὃς ἂν ὑπομείνῃ ταύτην τὴν ἄσκησιν τῆς πολι-
τείας, κατὰ τὸ βούλημα τοῦ λυκούργου μετεῖχε τῆς ἀρχῆθεν διατεταγμείας
μοίρας, πωλεῖν δ' οὐκ ἐξῆν. τοῖς τῶν πλησίον οἰκέταις ὡς ἰδίοις χρῆσθαι
ἔθος ἦν, εἴπου δέοιντο καὶ κυσὶ καὶ ἵπποις, εἰ μὴ οἱ δεσπόται χρήζοιεν. καὶ ἐν ἀ-
γρῷ δὲ εἴ τις τινὸς ἐλλιπὴς γενόμενος δεηθείη, ἀνοίξας καὶ βαστάσας τὰ ἐπιτήδεια
τοῦ ἔχοντος, τὰ ταμεῖα σημηνάμενος κατέλιπεν. ἐν τοῖς πολέμοις φοινικίσιν
ἐχρῶντο. ἅμα μὲν γὰρ ἡ χρόα ἐδόκει αὐτοῖς ἀνδρικὴ εἶναι, ἅμα δὲ τὸ αἱματῶδες τοῦ
χρώματος πλείονα τοῖς ἀπείροις φόβον παρέχειν, καὶ τὸ μὴ εὐπερίφωρον δὲ τοῖς
πολεμίοις εἶναι, ἐάν τις αὐτῶν πληγῇ, ἀλλὰ διαλανθάνειν διὰ τὸ ὁμόχρουν, χρή-
σιμον. ὅταν στρατηγήματι τοὺς πολεμίους νικήσωσι, βοῦν τῷ ἄρει θύουσιν,
ὅταν δ' ἐκ τοῦ φανεροῦ, ἀλεκτρυόνα ἐθίζοντες τοὺς ἡγουμένους, οὐ μόνον πολεμι-
κοὺς ἀλλὰ καὶ στρατηγικοὺς εἶναι. ταῖς ἀχαῖς προστιθέασι τὸ ἀδικεῖσθαι
δύνασθαι. εὐχὴ δ' αὐτῶν, διδόναι τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς καὶ πλέον οὐδέν.
ἀφροδίτην σέβουσι τὴν ἐνόπλιον, καὶ πάντας δὲ τοὺς θεοὺς θηλείας καὶ ἄῤῥε-
νας λόγχας ἔχοντας ποιοῦνται, ὡς ἁπάντων τὴν πολεμικὴν ἀρετὴν ἐχόν-
των. ἐπιλέγουσι δὲ καὶ οἱ παροιμιαζόμενοι, τὰν χεῖρα ποτιφέροντα τὰν τύχαν
καλεῖν. ὡς δέον ἐπικαλεῖσθαι τοὺς θεοὺς μετὰ τοῦ ἐγχειρεῖν τι καὶ πράττειν, ἄλ-
λως δὲ μή. τοῖς παισὶν ἐπεδείκνυον τοὺς εἵλωτας μεθύσαντας εἰς ἀποτροπὴν
πολυοινίας. ἔθος ἦν αὐτοῖς μὴ δὲ κόπτειν τὰς αὐλείους θύρας, ἀλλ' ἔξωθεν βο-
ᾶν, στλεγγίσιν οὐ σιδηραῖς, ἀλλὰ καλαμίναις ἐχρῶντο. κωμῳδίας καὶ τραγῳδί-
ας οὐκ ἠκροῶντο, ὅπως μήτε ἐν σπουδῇ μήτε ἐν παιδιᾷ ἀκούωσι τῶν ἀντιλεγόν-
των τοῖς νόμοις. ἀρχίλοχον τὸν ποιητὴν ἐν λακεδαίμονι γενόμενον αὐτῆς ὥ-
ρας ἐδίωξαν, διότι ἐπέγνωσαν αὐτὸν πεποιηκότα, ὡς κρεῖττόν ἐστιν ἀποβαλεῖν
τὰ ὅπλα, ἢ ἀποθανεῖν. ἀσπίδι μὲν σαΐων τις ἀγάλλεται, ἣν περὶ θάμνῳ ἔντος ἀμώ-
μητον κάλλιπον οὐκ ἐθέλων, ἀσπὶς ἐκείνη ἐρρέτω, ἐξαῦθις κτήσομαι οὐ κακίω.
κόραις καὶ κόροις, κοινὰ τὰ ἱερά. σκιραφίδαν ἐζημίωσαν οἱ ἔφοροι, ὅτι ὑπὸ
πολλῶν ἠδικεῖτο. σακκοφόρον ἀνεῖλον, διότι παρυφὴν εἰς τὸν σάκον ἐνέβαλε.
τὸν ἐκ τοῦ γυμνασίου νεανίσκον ἐπετίμων, ὅτι τὴν εἰς πυλαίαν ὁδὸν ἠπίστατο.
κηφισοφῶντα εἰπόντα περὶ τοῦ τυχόντος δύνασθαι ὅλην τὴν ἡμέραν λέγειν,
ἐξέβαλον, φάμενοι τὸν ἀγαθὸν μυθητὰν, δεῖν τοῖς πράγμασιν ἴσον τὸν λόγον ἔχειν.
οἱ παῖδες παρ' αὐτοῖς ξαινόμενοι μάστιξι δι' ὅλης τῆς ἡμέρας ἐπὶ τοῦ βωμοῦ τῆς
ὀρθίας ἀρτέμιδος μέχρι θανάτου πολλάκις διακαρτεροῦσιν ἱλαροὶ καὶ γαῦροι.
ἁμιλλώμενοι περὶ νίκης πρὸς ἀλλήλους, ὅς τις αὐτῶν ἐπὶ πλέον τε καὶ μᾶλλον
καρτερήσει τυπτόμενος, καὶ ὁ περιγενόμενος, ἐν τοῖς μάλιστα ἐπίδοξός ἐστι. καλεῖ-
ται δὲ ἡ ἅμιλλα διαμαστίγωσις. γίνεται δὲ καθ' ἕκαστον ἔτος. ἓν δέ τι τῶν καλῶν
καὶ μακαρίων ἐδόκει παρεσκευακέναι τοῖς πολίταις ὁ λυκοῦργος ἀφθονίας
σχολῆς. τέχνης μὲν γὰρ ἅψασθαι βαναύσου τὸ παράπαν οὐκ ἔξεστιν, χρηματισμοῦ

ξει ἀνδραγαθήσας ἀπέθανεν, ἐμὸς γοῦν ἦν εἶπε. περὶ δὲ τοῦ ἑτέρου πυθομένη ὅτι ἀποδειλιάσας σώζεται, οὐ γοῦν ἦν ἐμὸς ἔφη. ἑτέρα ἀκούσασα τεθνηκέναι τὸν υἱὸν ἐν μάχῃ καθὰ προσετέτακτο, κάτθετε αὐτὸν ἔφη, ἀνταπληρωσάτω δὲ τὴν ἐκείνου τάξιν ὁ ἀδελφός. ἄλλη πομπὴν τελοῦσα πάνδημον ἤκουσεν ἐκ τῆς παρατάξεως νικᾶν τὸν υἱὸν, ἐκ δὲ τῶν τραυμάτων πολλῶν γενομένων θνήσκειν, οὐ περιελομένη οὖν τὸν στέφανον ἀλλὰ σεμνυνθεῖσα πρὸς τὰς πλησίον εἶπεν, ὡς πολλῷ κάλλιον ὦ φίλαι ἐστὶν, ἐν παρατάξει νικῶντα τελευτᾶν, ἢ τὰ ὀλύμπια περιγινόμενον ζῆν. διηγουμένου τινὸς τῇ ἀδελφῇ γενναῖον θάνατον τοῦ παιδὸς αὐτῆς, ἐκείνη εἶπεν, ὅτι ὅσον ἐπ' ἐκείνῳ γέγηθα, τοσοῦτον ἐπὶ σοὶ ἄχθομαι, ἐναρέτου συνοδίας ἀπολειφθέντι. λακαίνῃ τις προσεπέμψεν, ἀφθορᾷ συνεπινεύειν, ἣ δ' ἔφη, παῖς μὲν οὖσα ἔμαθον τῷ πατρὶ πείθεσθαι, καὶ τοῦτο ἔπραξα, γυνὴ δὲ γενομένη, τῷ ἀνδρί, εἰ οὖν δίκαιά με παρακαλεῖ, τούτῳ φανερὸν ποιησάτω πρῶτον. παρθένος πενιχρὰ ἐρωτηθεῖσα, τίνα δίδωσι τῷ γαμοῦντι προῖκα, τὴν πάτριον εἶπε σωφροσύνην. λάκαινα ἐρωτηθεῖσα εἰ ἀνδρὶ προσελήλυθεν, οὐκ ἐγὼ εἶπεν, ἀλλ' ὁ ἀνὴρ ἐμοί. κρύφα τις διαπαρθενευθεῖσα, καὶ διαφθείρασα τὸ βρέφος, οὕτως ἐνεκαρτέρησε, μηδεμίαν προεμένη φωνήν, ὥστε καὶ τὸν πατέρα, καὶ ἄλλους πλησίον ὄντας λαθεῖν ἀποκυήσασα· τὸ γὰρ μέγεθος τῶν ἀλγηδόνων, τῇ εὐσχημοσύνῃ τὸ ἄσχημον προσπεσὸν ἐνίκησε. λάκαινα πιπρασκομένη καὶ ἐρωτωμένη τί ἐπίσταται, ἔφη, πιστὰ ἦμεν. ἄλλη αἰχμαλωτισθεῖσα, καὶ ἐρωτωμένη παραπλησίως, εὖ οἰκεῖν οἶκον ἔφη. ἐρωτηθεῖσά τις ὑπό τινος εἰ ἔσται ἀγαθή, ἂν αὐτὴν ἀγοράσῃ, εἶπεν κἂν μὴ ἀγοράσῃς. ἄλλη πιπρασκομένη, τοῦ κήρυκος πυνθανομένου τί ἐπίσταται, εἶπεν, ἐλευθέρα ἦμεν. ὡς δὲ ὁ ὠνησάμενος προσέταξέ τινα αὐτῇ οὐχ ἁρμόζοντα ἐλευθέρᾳ, εἰποῦσα οἰμώξῃ, φθονήσας σεαυτῷ τοιούτου κτήματος, ἐξήγαγεν ἑαυτήν.

ΓΥΝΑΙΚΩΝ ΑΡΕΤΑΙ·

Περὶ ἀρετῆς ὦ κλέα γυναικῶν, οὐ τὴν αὐτὴν τῷ θουκυδίδῃ γνώμην ἔχομεν. ὁ μὲν γὰρ, ἧς ἂν ἐλάχιστος ᾖ παρὰ τοῖς ἐκτὸς ψόγου πέρι, ἢ ἐπαίνου λόγος, ἀρίστην ἀποφαίνεται, καθάπερ τὸ σῶμα καὶ τοὔνομα τῆς ἀγαθῆς γυναικὸς, οἰόμενος δεῖν κατάκλειστον εἶναι, καὶ ἀνέξοδον. ἡμῖν δὲ κομψότερος μὲν ὁ γοργίας φαίνεται, κελεύων μὴ τὸ εἶδος ἀλλὰ τὴν δόξαν εἶναι πολλοῖς γνώριμον τῆς γυναικός. ἄριστα δὲ ὁ ῥωμαίων δοκεῖ νόμος ἔχειν, ὥσπερ ἀνδράσι, καὶ γυναιξὶ δημοσίᾳ μετὰ τὴν τελευτὴν τοὺς προσήκοντας ἀποδιδοὺς ἐπαίνους. διὸ καὶ λεοντίδος τῆς ἀρίστης ἀποθανούσης, εὐθύς τε μετὰ σοῦ τότε πολὺν λόγον εἴχομεν, οὐκ ἀμοιροῦντα παραμυθίας φιλοσόφου· καὶ νῦν ὡς ἐβουλήθης τὰ ὑπόλοιπα τῶν λεγομένων εἰς τὴν μίαν εἶναι καὶ τὴν αὐτὴν ἀνδρός τε καὶ γυναικὸς ἀρετὴν, προσανέγραψά σοι τὸ ἱστορικὸν ἀποδεικτικὸν ἔχοντα, καὶ πρὸς ἡδονὴν μὲν ἀκοῆς οὐ συντεταγμένον, εἰ δὲ τῷ πείθοντι καὶ τὸ τέρπον ἔνεστι φύσει τοῦ παραδείγματος, οὐ φεύγει χάριν ἀποδείξεως συνεργὸν ὁ λόγος, οὐδ' αἰσχύνεται ταῖς μούσαις τὰς χάριτας συγκαταμιγνὺς καλλίστην συζυγίαν, ὥς εὐριπίδης φησιν ἐκ τῆς φιλοκαλίας μάλιστα τῆς ψυχῆς ἀναδούμενος τὴν πίστιν. φέρε γὰρ εἰ λέγοντες τὴν αὐτὴν εἶναι ζωγραφίαν ἀνδρῶν, καὶ γυναικῶν, παρειχόμεθα τοιαύτας γραφὰς γυναικῶν οἵας ἀπελλῆς ἀπολέλοιπεν, ἢ ζεῦξις, ἢ νικόμαχος, ἆρ' ἄν τις ἐπετίμησεν ἡμῖν, ὡς τοῦ χαρίζεσθαι, καὶ ψυχαγωγεῖν μᾶλλον, ἢ τοῦ πείθειν στοχαζομένοις, ἐγὼ μὲν οὐκ οἶμαι. τί δὲ, ἐὰν ποιητικὴν πάλιν ἢ μιμητικὴν ἀποφαίνοντες, οὐκ ἑτέραν μὲν ἀνδρῶν, ἑτέραν

ἑτέραν

ἑτέραν δὲ γυναικῶν οὖσαν, ἀλλὰ τὴν αὐτὴν τὰ σαπφοῦς μέλη τοῖς ἀνακρέοντος, ἢ τὰ σιβύλλης λόγια τοῖς βάκιδος ἀντιπαραβάλλοιμεν, ἕξει τις αἰτιάσασθαι δικαίως τὴν ἀπόδειξιν, ὅτι χαίροντα καὶ τερπόμενον ἐπάγει τῇ πίστει τὸν ἀκροατὴν, οὐδὲ τοῦτο ἂν εἴποις. καὶ μὴν οὐκ ἔστιν ἀρετῆς γυναικείας καὶ ἀνδρείας ὁμοιότητα καὶ διαφορὰν ἄλλοθεν καταμαθεῖν μᾶλλον, ἢ βίους βίοις, καὶ πράξεσι πράξεις, ὥσπερ ἔργα μεγάλης τέχνης παρατιθέντας ἅμα καὶ σκοποῦντας, εἰ τὸν αὐτὸν ἔχει χαρακτῆρα καὶ τύπον ἡ σεμιράμεως μεγαλοπραγμοσύνη τῇ σεσώστριος, ἢ τὰ τανακυλλίδος συνέσεις τῇ σερβίου τοῦ βασιλέως, ἢ τὸ πορκίας φρόνημα τῷ βρούτου, καὶ τὸ πελοπίδου τῷ τιμοκλείας, κατὰ τὴν κυριωτάτην κοινότητα καὶ δύναμιν. ἐπειδὴ διαφοράς γέ τινας ἑτέρας ὥσπερ χροιὰς ἰδίας αἱ ἀρεταὶ διὰ τὰς φύσεις λαμβάνουσι, καὶ συνεξομοιοῦνται τοῖς ὑποκειμένοις ἔθεσι καὶ κράσεσι σωμάτων καὶ τροφαῖς καὶ διαίταις· ἄλλως γὰρ ἀνδρεῖος ὁ ἀχιλλεύς, ἄλλως ὁ αἴας, καὶ φρόνησις ὀδυσσέως οὐχ ὁμοία τῇ νέστορος, οὐδὲ δίκαιος ὡσαύτως κάτων καὶ ἀγησίλαος, οὐδ' εἰρήνη φίλανδρος ὡς ἄλκηστις, οὐδὲ κορνηλία μεγαλόφρων ὡς ὀλυμπιάς. ἀλλὰ μὴ παρὰ τοῦτο πολλὰς καὶ διαφόρους ποιῶμεν ἀνδρείας καὶ φρονήσεις καὶ δικαιοσύνας, ἂν μόνον τοῦ λόγου τοῦ οἰκείου μηδεμίαν αἱ καθ' ἕκαστον ἀνομοιότητες ἐκβιάζωσι. τὰ μὲν οὖν ἄγαν περιβόητα, καὶ ὅσων οἶμαί σε βεβαίως βιβλίοις ἐντυχοῦσαν ἱστορίαν, ἔχειν καὶ γνῶσιν, ἤδη παρήσω, πλὴν εἰ μή τινας τοὺς τὰ κοινὰ καὶ δεδημοσιευμένα πρὸ ἡμῶν ἱστορήσαντας, ἀκοῆς ἄξια διαπέφευγεν. ἐπεὶ δὲ πολλὰ καὶ κοινῇ καὶ ἰδίᾳ γυναιξὶν ἄξια λόγου πέπρακται, βραχέα τῶν κοινῶν, οὐ χεῖρόν ἐστι προϊστορῆσαι.

ΤΡΩΑΔΕΣ. Τῶν ἀπ' ἰλίου περὶ τὴν ἅλωσιν ἐκφυγόντων, οἱ πλεῖστοι χειμῶνι χρησάμενοι, καὶ δι' ἀπειρίαν τοῦ πλοῦ καὶ ἄγνοιαν τῆς θαλάττης ἀπενεχθέντες εἰς τὴν ἰταλίαν, καὶ περὶ τὸν θύμβριν ποταμὸν ὅρμοις καὶ ναυλόχοις ἀναγκαίοις μόλις ὑποδραμόντες, αὐτοὶ μὲν ἐπλανῶντο περὶ τὴν χώραν, φραστήρων δεόμενοι. ταῖς δὲ γυναιξὶν ἐμπίπτει λογισμὸς, ὡς ἡ τις οὖν ἵδρυσις ἐν τῇ πάσῃ πλάνῃ καὶ ναυτιλίᾳ, εὖ τε καὶ καλῶς πράττουσιν ἀνθρώποις, ἀμείνων ἐστὶ, καὶ πατρίδα δὲ ποιεῖν αὐτοὺς ἀπολαβεῖν ἣν ἀπολωλέκασι μὴ δυναμένους. ἐκ δὲ τούτου συμφρονήσασαι κατέφλεξαν τὰ πλοῖα μιᾶς καταρξαμένης ὡς φασὶ ῥώμης. πράξασαι δὲ ταῦτα τοῖς ἀνδράσιν ἀπήντων βοηθοῦσι πρὸς τὴν θάλασσαν, καὶ φοβούμεναι τὴν ὀργὴν, αἱ μὲν ἀνδρῶν, αἱ δὲ οἰκείων ἀντιλαμβανόμεναι καὶ καταφιλοῦσαι λιπαρῶς, ἐξεπράϋναν τῷ τρόπῳ τῆς φιλοφροσύνης. διὸ καὶ γέγονε καὶ παραμένει ταῖς ῥωμαίων γυναιξὶν ἔτι νῦν ἔθος ἀσπάζεσθαι μετὰ τοῦ καταφιλεῖν τοὺς κατὰ γένος προσήκοντας αὐταῖς. συνιδόντες γὰρ ὡς ἔοικε τὴν ἀνάγκην οἱ τρῶες καὶ ἅμα πειρώμενοι τῶν ἐγχωρίων, εὐμενῶς καὶ φιλανθρώπως προσδεχομένων, ἠγάπησαν τὸ πραχθὲν ὑπὸ τῶν γυναικῶν, καὶ συνκατῴκησαν αὐτόθι τοῖς λατίνοις.

ΦΩΚΙΔΕΣ.

Τὸ δὲ τῶν φωκίδων ἐν δόξῃ μὲν οὐ τετύχηκε συγγραφέως, οὐδενὸς δὲ τῶν γυναικείων ἔλαττον εἰς ἀρετήν ἐστι μαρτυρούμενον ἱεροῖς τε μεγάλοις, οἷς δρῶσι φωκεῖς ἔτι νῦν περὶ ὑάμπολιν, καὶ δόγμασι παλαιοῖς, ὧν τὴν μὲν καθ' ἕκαστον τῆς πράξεως ἐν τῷ δαϊφάντου βίῳ γέγραπται· τὸ δὲ τῶν γυναικῶν τοιοῦτόν ἐστιν. ἄσπονδος ἦν θετταλοῖς πρὸς φωκέας πόλεμος, οἱ μὲν γὰρ ἄρχοντας αὐτῶν καὶ τυράννους ἐν ταῖς φωκικαῖς πόλεσιν ἡμέρᾳ μιᾷ πάντας ἀπέκτειναν, οἱ δὲ πεντήκοντα καὶ διακοσίους ἐκείνων ὁμήρους κατηλόησαν, εἶτα πανστρατιᾷ διὰ λοκρῶν ἐνέβαλον δόγμα θέμενοι μηδενὸς φείδεσθαι τῶν ἐν ἡλικίᾳ, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσασθαι. δαΐφαντος οὖν ὁ βαθυλλίου τρίτος αὐτὸς ἄρχων ἔπεισε τοὺς φω

κεῖς μὲν αὐτοὺς ἀπαντήσαντας τοῖς θεταλοῖς μάχεσθαι, τὰς δὲ γυναῖκας ἅμα τοῖς τέκνοις εἰς ἕνα που τόπον συναγαγόντας ἐξ ἁπάσης τῆς φωκίδος, ὕλην τε περινῆσαι ξύλων καὶ φύλακας καταλιπεῖν, πρόσταγμα δόντας, ἂν αἴσθωνται νικωμένους αὐτούς, κατὰ τάχος τὴν ὕλην ἅψαι καὶ καταπρῆσαι τὰ σώματα. ψηφιζομένων δὲ ταῦτα τῶν ἄλλων, εἷς ἐξαναστὰς ἔφη, δίκαιον εἶναι ταῦτα συνδοκεῖν καὶ ταῖς γυναιξίν, εἰ δὲ μή, χαίρειν ἐᾶν, καὶ μὴ προσβιάζεσθαι. τούτου τοῦ λόγου διελθόντος εἰς τὰς γυναῖκας, αὐταὶ καθ' αὑτὰς συνελθοῦσαι ταῦτα ἐψηφίσαντο, καὶ τὸν δαΐφαντον ἀνέδησαν, ὡς τὰ ἄριστα τῇ φωκίδι βεβουλευμένον, τὰ δ' αὐτὰ καὶ τοὺς παῖδας ἰδίᾳ φασὶν ἐκκλησιάσαντας ἐπιψηφίσασθαι. πραχθέντων δὲ τούτων, συμβαλόντες οἱ φωκεῖς περὶ κλεωνὰς τῆς ὑαμπόλιδος ἐνίκησαν. τὸ μὲν οὖν ψήφισμα φωκέων, ἀπόνοιαν οἱ ἕλληνες ὠνόμασαν· ἑορτὴν δ' ἐκ πασῶν μεγίστην τὰ ἐλαφηβόλια μέχρι νῦν τῇ ἀρτέμιδι τῆς νίκης ἐκείνης ἐν ὑαμπόλιδι τελοῦσιν.

ΧΙΑΙ.

Χῖοι λευκωνίαν ἐπῴκησαν ἐκ τοιαύτης αἰτίας. ἐγάμει τις ἐν χίῳ τῶν δοκούντων γνωρίμων εἶναι, ἀγομένης δὲ τῆς νύμφης ἐπὶ ζεύγους, ὁ βασιλεὺς ἱππόκλος ἐπιτήδειος ὢν τῷ γαμοῦντι, καὶ παρὼν ὥσπερ οἱ λοιποί, μέθης οὔσης καὶ γέλωτος, ἀνεπήδησεν ἐπὶ τὸ ζεῦγος, οὐδὲν ὑβριστικὸν πράξων, ἀλλ' ἔθει κοινῷ καὶ παιδιᾷ χρώμενος. οἱ δὲ φίλοι τοῦ γαμοῦντος ἀπέκτειναν αὐτόν. μηνιμάτων δὲ τοῖς χίοις προφαινομένων, καὶ τοῦ θεοῦ κελεύσαντος τοὺς ἱππόκλον ἀνελόντας ἀνελεῖν, ἅπαντες ἔφασαν ἱππόκλον ἀνῃρηκέναι. πάντας οὖν αὖθις ὁ θεὸς ἐκέλευσε τὴν πόλιν ἐκλιπεῖν, εἰ πᾶσι τοῦ ἄγους μέτεστιν. οὕτω δὲ τοὺς αἰτίους καὶ μεταλαβόντας τοῦ φόνου καὶ συνεπαινέσαντας, ἁμῶς γέ πως οὐκ ὀλίγους γενομένους, οὐδ' ἀδυνάτους ὄντας, ἀπῴκισαν εἰς λευκωνίαν, ἣν κορωνεῖς ἀφελόμενοι πρότερον ἐκτήσαντο μετ' ἐρυθραίων. ὕστερον δὲ πολέμου πρὸς τοὺς ἐρυθραίους αὐτοῖς γενομένου, μέγιστον ἰώνων δυναμένους, τότε κἀκείνων ἐπὶ τὴν λευκωνίαν στρατευσάντων ἀντέχειν μὴ δυνάμενοι, συνεχώρησαν ἐξελθεῖν ὑπόσπονδοι χλαῖναν μίαν ἑκάστου καὶ ἱμάτιον, ἄλλο δὲ μηδὲν ἔχοντες. αἱ δὲ γυναῖκες ἐκάκιζον αὐτούς, εἰ προέμενοι τὰ ὅπλα γυμνοὶ διὰ τῶν πολεμίων ἔξιασιν. ὀμωμοκέναι δὲ φασκόντων, ἐκέλευον αὐτοὺς τὰ μὲν ὅπλα μὴ καταλιπεῖν, λέγειν δὲ πρὸς τοὺς πολεμίους, ὅτι χλαῖνα μέν ἐστι τὸ ξυστόν, χιτὼν δὲ ἡ ἀσπίς, ἀνδρὶ θυμὸν ἔχοντι. πεισθέντων δὲ ταῦτα τῶν χίων καὶ πρὸς τοὺς ἐρυθραίους παρρησιαζομένων καὶ τὰ ὅπλα δεικνυόντων, ἐφοβήθησαν οἱ ἐρυθραῖοι τὴν τόλμαν αὐτῶν, καὶ οὐδεὶς προσῆλθεν οὐδὲ ἐκώλυσεν, ἀλλ' ἠγάπησαν ἀπαλλαγέντων. οὗτοι μὲν οὖν θαρρεῖν διδαχθέντες ὑπὸ τῶν γυναικῶν οὕτως ἐσώθησαν. τούτου δὲ οὐδέν τι λειπόμενον ἔργον ἀρετῇ καὶ χρόνοις ὕστερον πολλοῖς ἐπράχθη ταῖς χίων γυναιξίν, ὁπηνίκα φίλιππος ὁ δημητρίου πολιορκῶν τὴν πόλιν ἐκήρυξε κήρυγμα βάρβαρον καὶ ὑπερήφανον, ἀφίστασθαι τοὺς οἰκέτας πρὸς ἑαυτὸν ἐπ' ἐλευθερίᾳ καὶ γάμῳ τῆς κεκτημένης, ὡς συνοικιῶν αὐτοὺς ταῖς τῶν δεσποτῶν γυναιξί. δεινὸν δὲ αἱ γυναῖκες καὶ ἄγριον θυμὸν λαβοῦσαι μετὰ τῶν οἰκετῶν καὶ αὐτῶν συναγανακτούντων καὶ συμπαρόντων, ὥρμησαν ἀναβαίνειν ἐπὶ τὰ τείχη, καὶ λίθους καὶ βέλη προσφέρουσαι καὶ παρακελευόμεναι καὶ προσλιπαροῦσαι τοῖς μαχομένοις, τέλος δὲ ἀμυνόμεναι καὶ βάλλουσαι τοὺς πολεμίους, ἀπώσαντο τὸν φίλιππον, οὐδενὸς δούλου τοπαράπαν ἀποστάντος πρὸς αὐτόν.

ΑΡΓΕΙΑΙ.

Οὐδενὸς δὲ ἧττον ἔνδοξόν ἐστι τῶν κοινῇ διαπεπραγμένων γυναιξὶν ἔργων, ὁ πρὸς κλεομένην περὶ ἄργους ἀγών, ὃν ἠγωνίσαντο τελεσίλλης τῆς ποιητρίας προ-

τρεψαμένης. ταύτην δέ φασιν οἰκίας οὖσαν ἐνδόξου, τῷ δὲ σώματι νοσηματικήν, εἰς θεοὺς πέμψαι περὶ ὑγιείας, καὶ χρησθὲν αὐτῇ μούσας θεραπεύειν, πειθομένην τῷ θεῷ καὶ ἐπιθεμένην ᾠδῇ καὶ ἁρμονίᾳ, τοῦ τε πάθους ἀπαλλαγῆναι ταχύ, καὶ θαυμάζεσθαι διὰ ποιητικὴν ὑπὸ τῶν γυναικῶν. ἐπεὶ δὲ κλεομένης ὁ βασιλεὺς τῶν σπαρτιατῶν πολλοὺς ἀποκτείνας, οὐ μὴν ὥς ἔνιοι μυθολογοῦσιν, ἑπτὰ καὶ ἑβδομήκοντα καὶ ἑπτακοσίους πρὸς ἑπτακισχιλίοις, ἐβάδιζε πρὸς τὴν πόλιν. ὁρμὴ καὶ τόλμα δαιμόνιος παρέστη ταῖς ἀκμαζούσαις τῶν γυναικῶν ἀμύνασθαι τοὺς πολεμίους ὑπὲρ τῆς πατρίδος. ἡγουμένης δὲ τῆς τελεσίλλης ὅπλα λαμβάνουσι, καὶ παρ' ἔπαλξιν ἱστάμεναι κύκλῳ τὰ τείχη περιέστεψαν, ὥστε θαυμάζειν τοὺς πολεμίους. τὸν μὲν οὖν κλεομένην πολλῶν πεσόντων ἀπεκρούσαντο, τὸν δὲ ἕτερον βασιλέα δημάρατον, ὥς σωκράτης φησίν, ἐντὸς γενόμενον καὶ κατασχόντα τὸ παμφυλιακόν, ἐξέωσαν. οὕτω δὲ τῆς πόλεως περιγενομένης, τὰς μὲν πεσούσας ἐν τῇ μάχῃ τῶν γυναικῶν, ἐπὶ τῆς ὁδοῦ τῆς ἀργείας ἔθαψαν, ταῖς δὲ σωθείσαις ὑπόμνημα τῆς ἀριστείας, ἔδοσαν ἱδρύσασθαι τὸν ἐνυάλιον. τὴν δὲ μάχην, οἱ μέν, ἑβδόμῃ λέγουσιν ἱσταμένου μηνός, οἱ δέ, νουμηνίᾳ γενέσθαι, τοῦ νῦν μὲν τετάρτου, πάλαι δὲ ἑρμαίου παρ' ἀργείοις, καθ' ἣν μέχρι νῦν τὰ ὑβριστικὰ τελοῦσι, γυναῖκας μὲν ἀνδρείοις χιτῶσι καὶ χλαμύσιν, ἄνδρας δὲ πέπλοις γυναικῶν καὶ καλύπτραις ἀμφιεννῦντες. ἐπανορθούμενοι δὲ τὴν ὀλιγανδρίαν, οὐχ ὡς ἡρόδοτος ἱστορεῖ τοῖς δούλοις, ἀλλὰ τῶν περιοίκων ποιησάμενοι πολίτας τοὺς ἀρίστους συνῴκισαν τὰς γυναῖκας. ἐδόκουν δὲ καὶ τούτους ἀτιμάζειν καὶ περιορᾶν ἐν τῷ συγκαθεύδειν, ὡς χείρονας. ὅθεν ἔθεντο νόμον τὸν κελεύοντα, πώγωνα δεῖν ἐχούσας συναναπαύεσθαι τοῖς ἀνδράσι τὰς γεγαμημένας.

ΠΕΡΣΙΔΕΣ.

Πέρσας ἀστυάγου βασιλέως καὶ μήδων ἀποστήσας κῦρος, ἡττήθη μάχῃ. φεύγουσι δὲ τοῖς πέρσαις εἰς τὴν πόλιν ὀλίγον ἀπεχόντων συνεισπεσεῖν τῶν πολεμίων, ἀπήντησαν αἱ γυναῖκες πρὸ τῆς πόλεως, καὶ τοὺς πέπλους ἐκ τῶν κάτω μερῶν ἐπάρασαι, ποῖ φέρεσθε εἶπον ὦ κάκιστοι πάντων ἀνθρώπων, οὐ γὰρ ἐνταῦθά γε δύνασθε καταδῦναι φεύγοντες, ὅθεν ἐξεγένεσθε. ταύτην τὴν ὄψιν ἅμα καὶ τὴν φωνὴν αἰδεσθέντες οἱ πέρσαι, καὶ κακίσαντες ἑαυτούς, ἀνέστρεψάν τε καὶ συμβαλόντες ἐξ ἀρχῆς ἐτρέψαντο τοὺς πολεμίους. ἐκ τούτου κατέστη νόμος, εἰσελάσαντος βασιλέως εἰς τὴν πόλιν ἑκάστην γυναῖκα χρυσοῦν λαμβάνειν, κύρου νομοθετήσαντος. ὦχον δέ φασι, τά τε ἄλλα μοχθηρὸν καὶ φιλοκερδέστατον βασιλέων ὄντα, περικάμψαι τὴν πόλιν ἀεὶ καὶ μὴ παρελθεῖν, ἀλλ' ἀποστερῆσαι τῆς δωρεᾶς τὰς γυναῖκας. ἀλέξανδρος δὲ καὶ δὶς εἰσῆλθε καὶ ταῖς κυούσαις διπλοῦν ἔδωκε.

ΚΕΛΤΑΙ.

Κελτοῖς πρὶν ὑπερβαλεῖν ἄλπεις καὶ κατοικῆσαι τῆς ἰταλίας, ἣν νῦν νέμονται χώραν, στάσις ἐμπεσοῦσα δεινὴ καὶ δυσκατάπαυστος, εἰς πόλεμον ἐμφύλιον προῆλθεν. αἱ δὲ γυναῖκες ἐν μέσῳ τῶν ὅπλων γενόμεναι, καὶ παραλαβοῦσαι τὰ νείκη διῄτησαν οὕτως ἀμέμπτως καὶ διέκριναν, ὥστε φιλίαν πᾶσι θαυμαστήν, καὶ κατὰ πόλεις καὶ κατ' οἴκους γενέσθαι πρὸς πάντας. ἐκ τούτου διετέλουν περί τε πολέμου καὶ εἰρήνης βουλευόμενοι μετὰ τῶν γυναικῶν καὶ τὰ πρὸς τοὺς συμμάχους ἀμφίβολα δι' ἐκείνων βραβεύοντες. ἐν γοῦν ταῖς πρὸς ἀννίβαν συνθήκαις ἔγραψαν, κελτῶν μὲν ἐγκαλούντων καρχηδονίοις, τοὺς ἐν ἰβηρίᾳ καρχηδονίων ἐπάρχους καὶ στρατηγοὺς εἶναι δικαστάς, ἂν δὲ καρχηδόνιοι κελτοῖς ἐγκαλοῦσι, τὰς κελτῶν γυναῖκας.

ΜΗΛΙΑΙ.

Μήλιοι γῆς χρήζοντες ἀμφιλαφοῦς, νυμφαῖον ἡγεμόνα τῆς ἀποικίας ἐποίησαν

το νέον ἄνδρα καὶ κάλλει διαφέροντα, τοῦ θεοῦ πλεῖν κελεύσαντος αὐτοὺς, ὅπου δ' ἂν ἀποβάλωσι τοὺς κωμιστῆρας, ἐκεῖ κατοικεῖν, συνέπεσε τῇ Καρίᾳ προσβαλοῦσιν αὐτοῖς καὶ ἀποβᾶσι, τὰς ναῦς ὑπὸ χειμῶνος διαφθαρῆναι. τῶν δὲ Καρῶν οἱ Κρύασσαν οἰκοῦντες, εἴτε τὴν ἀπορίαν οἰκτείραντες, εἴτε δείσαντες αὐτῶν τὴν τόλμαν, ἐκέλευον οἰκεῖν παρ' αὐτοῖς, καὶ τῆς χώρας μετέδωκαν. εἶτα πολλὴν ἐν ὀλίγῳ χρόνῳ λαμβάνοντας αὔξησιν ὁρῶντες, ἐπεβούλευον ἀνελεῖν, εὐωχίαν τινὰ καὶ θοίνην παρασκευάσαντες. ἔτυχε δὲ Καρίνη παρθένος ἐρῶσα τοῦ Νυμφαίου καὶ λανθάνουσα τοὺς ἄλλους· ἐκαλεῖτο δὲ Καφένη. πραττομένων δὲ τούτων οὐ δυναμένη τὸν Νυμφαῖον περιορᾶν ἀπολλύμενον, ἐξήγγειλε τὴν διάνοιαν αὐτῷ τῶν πολιτῶν. ὡς οὖν ἧκον οἱ Κρυασσεῖς καλοῦντες αὐτοὺς, οὐκ ἔφη νόμον ὁ Νυμφαῖος Ἕλλησιν εἶναι βαδίζειν ἐπὶ δεῖπνον ἄνευ γυναικῶν, ἀκούσαντες δὲ οἱ Κᾶρες ἐκέλευον ἄγειν καὶ τὰς γυναῖκας. οὕτω δὴ φράσας τὰ πεπραγμένα Μηλίοις, ἐκέλευσεν αὐτοὺς μὲν ἀνόπλους ἐν ἱματίοις βαδίζειν, τῶν δὲ γυναικῶν ἑκάστην ξίφος ἐν τῷ κόλπῳ κομίζειν, καὶ καθέζεσθαι παρὰ τὸν αὑτῆς. ἐπεὶ δὲ τοῦ δείπνου μεσοῦντος ἐδόθη τὸ σύνθημα τοῖς Καρσὶ, καὶ συνῄσθοντο τὸν καιρὸν οἱ Ἕλληνες, αἱ μὲν γυναῖκες ἅμα πᾶσαι τοὺς κόλπους διέσχον, οἱ δὲ τὰ ξίφη λαβόντες ἐπέθεντο τοῖς βαρβάροις, καὶ διέφθειραν αὐτοὺς ἅμα πάντας. κτησάμενοι δὲ τὴν χώραν καὶ τὴν πόλιν ἐκείνην καταβαλόντες, ᾤκησαν ἑτέραν ἣν νέαν Κρύασσαν ὠνόμασαν. ἡ δὲ Καφένη τῷ Νυμφαίῳ γαμηθεῖσα, τιμὴν καὶ χάριν ἔσχε ταῖς εὐεργεσίαις πρέπουσαν. ἄξιον οὖν ἄγασθαι τῶν γυναικῶν καὶ τὴν σιωπὴν, καὶ τὸ θάρσος, καὶ τὸ μηδεμίαν ἐν πολλαῖς μηδὲ ἄκουσαν ὑπὸ δειλίας κακὴν γενέσθαι.

ΤΥΡΡΗΝΙΔΕΣ.

Τυρρηνῶν τινων τὴν Λῆμνον καὶ Ἴμβρον κατασχόντων, ἁρπασάντων δὲ Βαυρωνόθεν τὰς Ἀθηναίων γυναῖκας, ἐγένοντο παῖδες, οὓς ἐξήλασαν Ἀθηναῖοι μιξοβαρβάρους ὄντας ἐκ τῶν νήσων. οἱ δὲ εἰς Ταίναρον καταράντες, ἐγένοντο χρήσιμοι Σπαρτιάταις περὶ τὸν εἱλωτικὸν πόλεμον, καὶ διὰ τοῦτο πολιτείας καὶ ἐπιγάμων τυχόντες. οὐκ ἀξιούμενοι δὲ ἀρχείων καὶ βουλῆς ὑπόνοιαν ἔσχον, ὡς ἐπὶ νεωτερισμῷ συνερχόμενοι, καὶ διανοούμενοι τὰ καθεστῶτα κινεῖν. συλλαβόντες οὖν αὐτοὺς οἱ Λακεδαιμόνιοι, καὶ καθείρξαντες, ἐφύλαττον ἰσχυρῶς, ζητοῦντες ἑλεῖν σαφέσι καὶ βεβαίοις ἐλέγχοις. αἱ δὲ τῶν καθειργμένων γυναῖκες ἐπὶ τὴν εἱρκτὴν παραγενόμεναι, πολλαῖς ἱκεσίαις καὶ δεήσεσι παρεπείσθησαν ὑπὸ τῶν φυλάκων, ὅσον ἀσπάσασθαι καὶ προσειπεῖν τοὺς ἄνδρας, ἐπεὶ δὲ εἰσῆλθον, ἐκέλευον αὐτοὺς μεταμφιέννυσθαι ταχὺ τὰ ἱμάτια, καὶ τὰ μὲν αὑτῶν ἐκείναις ἀπολιπεῖν, τὰς δὲ ἐκείνων ἐνδύντας αὐτοὺς ἀπιέναι περικαλυψαμένους. γενομένων δὲ τούτων, αἱ μὲν ὑπέμειναν αὐτοῦ παραταξάμεναι πρὸς πάντα τὰ δεινὰ, τοὺς δὲ ἄνδρας ἐξαπατηθέντες οἱ φύλακες παρῆκαν ὡς δὴ γυναῖκας. ἐκ δὴ τούτου καταλαβομένων αὐτῶν τὰ Ταΰγετα, καὶ τὸ εἱλωτικὸν ἀφιστάντων καὶ προσδεχομένων, οἱ Σπαρτιᾶται εἰς πολλὴν φόβον καταστάντες ἐπεκηρυκεύσαντο καὶ διηλλάγησαν ἐπὶ τῷ κομίσασθαι μὲν αὐτοὺς τὰς γυναῖκας, χρήματα δὲ καὶ ναῦς λαβόντας ἐκπλεῦσαι, καὶ γῆς τυχόντας ἀλλαχόσε καὶ πόλεως, ἀποίκους Λακεδαιμονίων καὶ συγγενεῖς νομίζεσθαι. ταῦτα ἔπραττον οἱ Πελασγοὶ, Πόλλιν ἡγεμόνα καὶ ἀδελφὸν καὶ Κραταΐδαν Λακεδαιμονίους λαβόντες, καὶ μέρος μὲν αὐτῶν ἐν Μήλῳ κατῴκησαν, τοὺς δὲ πλείστους οἱ περὶ Πόλλιν ἔχοντες, εἰς Κρήτην ἔπλευσαν, ἀποπειρώμενοι τῶν λογίων. ἐχρήσθη γὰρ αὐτοῖς ὅταν τὴν θεὸν καὶ τὴν ἄγκυραν ἀπολέσωσι παύσασθαι πλάνης, καὶ πόλιν ἐκεῖ συνοικίζειν. ὁρμισθεῖσιν οὖν πρὸς τῇ λεγομένῃ Χερρονήσῳ, θόρυβοι

πανικοὶ

πανικοὶ προσέπεσον νύκτωρ, ὑφ' ὧν διαπτοηθέντες, ἐνεπήδησαν εἰς τὰς ναῦς ἀκόσμως, ἀπολιπόντες ἐν τῇ γῇ ξόανον τῆς Ἀρτέμιδος, ὃ πατρῷον ἦν αὐτοῖς εἰς Λῆμνον ἐκ Βραύρωνος κομισθὲν, ἐκ δὲ Λήμνου πανταχοῦ συμπεριαγόμενον. ἐπεὶ δὲ τοῦ θορύβου λήξαντος, ἐπόθησαν αὐτὸ κατὰ πλοῦν, ἅμα δὲ ὁ Πόλλις κατέμαθε τῇ ἀγκύρᾳ τὸν ὄνυχα μὴ προσόντα· βίᾳ γὰρ ἑλκομένης ὡς ἔοικεν ἐν τόποις ὑποπέτροις ἀποσπασθεὶς, ἔλαθε· περαίνεσθαι τὰ πυθόχρηστα φήσας, ἐσήμαινεν ἀναστρέφειν, καὶ κατέσχε τὴν χώραν, καὶ μάχαις πολλαῖς τῶν ἀντιταξαμένων ἐπικρατήσας, Λύκτον ᾤκησε, καὶ πόλεις ἄλλας ὑποχειρίους ἔλαβον. διὸ καὶ νομίζουσιν αὐτοὺς Ἀθηναίοις τε διὰ τὰς μητέρας κατὰ γένος προσήκειν, καὶ Σπαρτιατῶν ἀποίκους εἶναι.

ΛΥΚΙΑΙ.

Τὸ δὲ ἐν Λυκίᾳ γενέσθαι λεγόμενον, μυθῶδες μέν ἐστιν, ἔχει δέ τινα φήμην ὁμοῦ μαρτυροῦσαν. Ἀμισώδαρος γὰρ ὥς φασιν ὃν Ἰσάραν Λύκιοι καλοῦσιν, ἧκεν ἐκ τῆς περὶ Ζέλειαν ἀποικίας Λυκίων, λῃστρίδας ἄγων ναῦς, ὧν Χίμαρρος ἡγεῖτο, πολεμιστὴς μὲν ἀνὴρ, ὠμὸς δὲ καὶ θηριώδης. ἔπλει δὲ πλοίῳ λέοντα μὲν ἔχοντι πρώραθεν ἐπίσημον, ἐκ δὲ πρύμνης δράκοντα, καὶ πολλὰ κακὰ τοὺς Λυκίους ἐποίει, καὶ πλεῦσαι τὴν θάλατταν οὐκ ἦν, οὐδὲ τὰς ἐγγὺς θαλάττης πόλεις οἰκεῖν. τοῦτον οὖν ἀποκτείνας ὁ Βελλεροφόντης φεύγοντα τῷ Πηγάσῳ διώξας, ἐκβαλὼν δὲ καὶ τὰς Ἀμαζόνας, οὐδενὸς ἐτύγχανε τῶν δικαίων, ἀλλ' ἦν ἀδικώτατος περὶ αὐτὸν Ἰοβάτης, ὅθεν εἰς τὴν θάλατταν ἐμβὰς, ηὔξατο κατ' αὐτοῦ τῷ Ποσειδῶνι τὴν χώραν ἄκαρπον γενέσθαι καὶ ἀνόνητον, εἶτα ὁ μὲν ἀπῄει κατευξάμενος, κῦμα δὲ διαρθὲν ἐπέκλυζε τὴν γῆν, καὶ θέαμα δεινὸν ἦν, ἑπομένης μετεώρου τῆς θαλάττης, καὶ ἀποκρυπτούσης τὸ παιδίον. ἐπεὶ δὲ τῶν ἀνδρῶν δεομένων τὸν Βελλεροφόντην ἐπισχεῖν οὐδὲν ἔπειθον, αἱ γυναῖκες ἀνασυράμεναι τοὺς χιτωνίσκους, ἀπήντησαν αὐτῷ. πάλιν οὖν ἀπ' αἰσχύνης ἀναχωροῦντος ὀπίσω, καὶ τὸ κῦμα λέγεται συνυποχωρῆσαι.

πεδίον. l.

τινὲς δὲ τοῦ λόγου τούτου παραμυθούμενοι τὸ μυθῶδες, οὔ φασι κατάραις ὑπαγέσθαι τὴν θάλασσαν αὐτὸν ἀλλὰ τοῦ πεδίου τὸ πιότατον ὑποκεῖσθαι τῇ θαλάσσῃ ταπεινότερον. ὀφρὺν δὲ παρατείνουσαν ἀκτῆς ἣ διεῖργε τὴν θάλασσαν, ἐκρῆξαι τὸν Βελλεροφόντην, καὶ βίᾳ τοῦ πελάγους ἐπιφερομένου καὶ κατακλύζοντος τὸ πεδίον, τοὺς μὲν ἄνδρας οὐδὲν περαίνειν δεομένους αὐτοῦ, τὰς δὲ γυναῖκας ἀθρόας περιχυθείσας, αἰδοῦς τυχεῖν καὶ ἀποπαῦσαι τὴν ὀργήν. οἱ δ' ὅλως τὴν λεγομένην Χίμαιραν, ὄρος ἀντήλιον γεγονέναι φασὶ, καὶ ποιεῖν ἀνακλάσεις καὶ ἀνακαύσεις ἐν τῷ θέρει χαλεπὰς καὶ παρώδεις, ὑφ' ὧν ἀνὰ τὸ πεδίον σκεδαννυμένων, μαραίνεσθαι τοὺς καρπούς. τὸν δὲ Βελλεροφόντην συμφρονήσαντα, διακόψαι τοῦ κρημνοῦ τὸ λειότατον, καὶ μάλιστα τὰς ἀνακλάσεις ἀνταποστέλλον. ἐπεὶ δ' οὐκ ἐτύγχανε χάριτος, ὀργῇ πρὸς ἄμυναν τραπέσθαι τῶν Λυκίων, πεισθῆναι δὲ ὑπὸ τῶν γυναικῶν. ἣν δὲ Νύμφις ἐν τῷ τετάρτῳ περὶ Ἡρακλείας αἰτίαν εἴρηκεν, ἥκιστα μυθώδης ἐστί. λέγει γὰρ ὅτι σῦν ἄγριον ἐν τῇ Ξανθίων χώρᾳ καὶ ζῷα καὶ καρποὺς λυμαινόμενον ἀνελὼν ὁ Βελλεροφόντης οὐδεμιᾶς ἐτύγχανεν ἀμοιβῆς. καταρασαμένου δὲ τοῦ Ξανθίων αὐτοῦ πρὸς τὸν Ποσειδῶνα πᾶν τὸ πεδίον ἐξήνθησεν ἁλμυρίδα καὶ διέφθαρτο παντάπασι, τῆς γῆς πικρᾶς γενομένης, μέχρις οὗ τὰς γυναῖκας αἰδεσθεὶς δεομένας, ηὔξατο τῷ Ποσειδῶνι τὴν ὀργὴν ἀφεῖναι, διὸ καὶ νόμος ἦν τοῖς Ξανθίοις μὴ πατρόθεν ἀλλ' ἀπὸ μητρῶν χρηματίζειν.

ΣΑΛΜΑΤΙΔΕΣ.

Ἀννίβα δὲ τοῦ Βάρκα πρὶν ἐπὶ Ῥωμαίους στρατεύειν ἐν Ἰβηρίᾳ πόλει μεγάλῃ Σαλματικῇ προσμαχομένου, πρῶτον μὲν ἔδεισαν οἱ πολιορκούμενοι, καὶ συνέθεντο ποιήσειν τὸ προσταττόμενον, Ἀννίβᾳ τριακόσια δόντες ἀργυρίου τάλαντα καὶ

τριακοσίους ὁμήρους, αὐτὸς δὲ τὴν πολιορκίαν ἐκείνου, μεταγνόντες οὐδὲν ἔπραττον ὧν ὡμολόγησαν. αὖθις οὖν ἐπιστρέψαντος αὐτοῦ, καὶ τοὺς στρατιώτας ἐπὶ διαρπαγῇ χρημάτων κελεύσαντος ἐπιχειρεῖν τῇ πόλει, παντάπασι καταπλαγέντες οἱ βάρβαροι, συνεχώρησαν ἐξελθεῖν ἐν ἱματίῳ τοὺς ἐλευθέρους, ὅπλα καὶ χρήματα καὶ ἀνδράποδα καὶ τὴν πόλιν καταλιπόντας. αἱ δὲ γυναῖκες οἰόμεναι τῶν μὲν ἀνδρῶν φωράσειν ἕκαστον ἐξιόντα τοὺς πολεμίους, αὐτῶν δὲ οὐκ ἂν ἅψασθαι, ξίφη λαβοῦσαι καὶ ἀποκρύψασαι, συνεξέπιπτον τοῖς ἀνδράσιν. ἐξελθόντων δὲ πάντων, ὁ ἀννίβας φρουρὰν μασαισυλίων ἐπιστήσας, ἐν τῷ προαστείῳ, συνεῖχεν αὐτούς, οἱ δὲ ἄλλοι τὴν πόλιν ἀτάκτως ἐμπεσόντες διήρπαζον. πολλῶν δὲ ἀγομένων οἱ μασαισύλιοι καρτερεῖν οὐκ ἠδύναντο βλέποντες, οὐδὲ τῇ φυλακῇ τὸν νοῦν προσεῖχον, ἀλλ' ἠγανάκτουν καὶ ἀπεχώρουν, ὡς μεθέξοντες τῆς ὠφελείας. ἐν τούτῳ δὲ αἱ γυναῖκες ἐμβοήσασαι τοῖς ἀνδράσι τὰ ξίφη παρέδωκαν. ἔνιαι δὲ καὶ δι' ἑαυτῶν ἐπετίθεντο τοῖς φρουροῖς. μία δὲ καὶ λόγχην ἐξαρπάσασα βάνωνος τοῦ ἑρμηνέως, αὐτὸν ἐκεῖνον ἔπαισεν, ἔτυχε δὲ τεθωρακισμένος. τῶν δὲ ἄλλων τοὺς μὲν καταβαλόντες, τοὺς δὲ τρεψάμενοι, διεξέπεσον ἀθρόοι μετὰ τῶν γυναικῶν. πυθόμενος δὲ ὁ ἀννίβας καὶ διώξας, τοὺς μὲν καταλειφθέντας εἷλεν, οἱ δὲ τῶν ὀρῶν ἐπιλαβόμενοι παραχρῆμα μὲν διέφυγον, ὕστερον δὲ πέμψαντες ἱκετηρίαν, εἰς τὴν πόλιν ὑπ' αὐτοῦ κατήχθησαν, ἀδείας καὶ φιλανθρωπίας τυχόντες.

ΜΙΛΗΣΙΑΙ.

Τὰς μιλησίων ποτὲ παρθένους δεινόν τι πάθος καὶ ἀλλόκοτον κατέσχεν, ἐκ δή τινος αἰτίας ἀδήλου. μάλιστα δὲ εἰκάζετο κρᾶσιν ἐκστατικὴν καὶ φαρμακώδη λαβὼν ὁ ἀήρ, τροπὴν αὐταῖς καὶ παραφορὰν τῆς διανοίας ἐνεργάσασθαι. πάσαις μὲν γὰρ ἐξαίφνης ἐπιθυμία θανάτου καὶ πρὸς ἀγχόνην ὁρμὴ περιμανὴς ἐνέπιπτε. πολλαὶ δὲ ἀπήγχοντο λανθάνουσαι. λόγοι δὲ καὶ δάκρυα γονέων καὶ παρηγορίαι φίλων οὐδὲν ἐπέραινον, ἀλλὰ περιῆσαν ἐπινοίας καὶ πανουργίας ἁπάσης τῶν φυλαττόντων ἑαυτὰς διαχρώμεναι, καὶ τὸ κακὸν ἐδόκει δαιμόνιον εἶναι καὶ κρεῖττον ἀνθρωπίνης βοηθείας. ἄχρις οὗ γνώμῃ νοῦν ἔχοντος ἀνδρὸς ἐγράφη προβούλευμα, τὰς ἀπαγχομένας γυμνὰς ἐκκομίζεσθαι διὰ τῆς ἀγορᾶς. καὶ τοῦτο κυρωθὲν οὐ μόνον ἐπέσχεν, ἀλλὰ καὶ παντελῶς ἔπαυσε θανατώσας τὰς παρθένους. μέγα δὴ τεκμήριον εὐφυΐας καὶ ἀρετῆς, ἡ τῆς ἀδοξίας εὐλάβεια, καὶ τὸ πρὸς τὰ δεινότατα τῶν ὄντων θάνατον καὶ πόνον ἀδεῶς ἐχούσας, αἰσχροῦ φαντασίαν μὴ ὑπομεῖναι, μηδὲ ἐνεγκεῖν αἰσχύνης μετὰ θάνατον ἐσομένης.

ΚΙΑΙ. Ταῖς κίων παρθένοις ἔθος ἦν εἰς ἱερὰ δημόσια συμπορεύεσθαι, καὶ διημερεύειν μετ' ἀλλήλων. οἱ δὲ μνηστῆρες ἐθεῶντο παιζούσας καὶ χορευούσας. ἑσπέρας δὲ πρὸς ἑκάστην ἀνὰ μέρος βαδίζουσαι, διηκονοῦντο τοῖς ἀλλήλων γονεῦσι καὶ ἀδελφοῖς, ἄχρι τοῦ καὶ τοὺς πόδας ἀπονίζειν. ἤρων πολλάκις μιᾶς πλείονες, οὕτω κόσμιον ἔρωτα καὶ νόμιμον, ὥστε τῆς κόρης ἐγγυηθείσης ἑνί, τοὺς ἄλλους εὐθὺς πεπαῦσθαι. κεφάλαιον δὲ τῆς ἀταξίας τῶν γυναικῶν, τὸ μήτε μοιχείαν μήτε φθορὰν ἀνέγγυον ἐτῶν ἑπτακοσίων μνημονεύεσθαι παρ' αὐτοῖς γενομένην.

ΦΩΚΙΔΕΣ.

Τῶν ἐν φωκεῦσι τυράννων κατειληφότων δελφούς, καὶ τὸν ἱερὸν κληθέντα πόλεμον θηβαίων πολεμούντων πρὸς αὐτούς, αἱ περὶ τὸν διόνυσον γυναῖκες, ἃς θυιάδας ὀνομάζουσιν, ἐκμανεῖσαι καὶ πλανηθεῖσαι νυκτὸς ἔλαθον ἐν ἀμφίσσῃ γενόμεναι, κατάκοποι δὲ οὖσαι καὶ μηδέπω τοῦ φρονεῖν παρόντος αὐταῖς, ἐν τῇ ἀγορᾷ προέμεναι τὰ σώματα, σποράδην ἔκειντο καθεύδουσαι. τῶν δὲ ἀμφισσέων αἱ γυναῖκες φοβηθεῖσαι μὴ διὰ τὸ σύμμαχον τὴν πόλιν φωκέων γεγονέναι, καὶ

συχνοὺς στρατιώτας παρεῖναι τῶν τυράννων ἀγνωμονηθῶσιν αἱ θυιάδες, ἐξέδραμον εἰς τὴν ἀγορὰν ἅπασαι καὶ κύκλῳ περιστᾶσαι σιωπῇ, κοιμωμέναις μὲν οὐ προσῄεσαν, ἐπεὶ δ' ἐξανέστησαν ἄλλαι περὶ ἄλλας ἐγίνοντο θεραπεύουσαι, καὶ τροφὴν προσφέρουσαι, τέλος δὲ πείσασαι τοὺς ἄνδρας ἐπηκολούθησαν αὐταῖς ἄχρι τῶν ὅρων ἀσφαλῶς προπεμπομέναις.

ΟΥΑΛΕΡΙΑ ΚΑΙ ΚΛΟΙΛΙΑ.

Ταρκύνιον σούπερβον, ἕβδομον ἀπὸ ῥωμύλου βασιλεύοντα ῥωμαίων, ἐξήλασεν ὕβρις καὶ ἀρετὴ λουκρητίας γυναικός, ἀνδρὶ γεγαμημένης λαμπρῷ καὶ κατὰ γένος προσήκοντι τοῖς βασιλεῦσιν. ἐβιάσθη μὲν γὰρ ὑφ' ἑνὸς τῶν ταρκυνίου παίδων, ἐπιξενωθέντος αὐτῇ, φράσασα δὲ τοῖς φίλοις καὶ οἰκείοις τὸ πάθος, εὐθὺς ἀπέσφαξεν ἑαυτήν. ἐκπεσὼν δὲ τῆς ἀρχῆς ὁ ταρκύνιος, ἄλλους τε πολλοὺς ἐπολέμησε πολέμους, πειρώμενος ἀναλαβεῖν τὴν ἡγεμονίαν, καὶ τέλος ἄρχοντα τυρρηνῶν πορσίναν ἔπεισεν ἐπὶ τὴν ῥώμην στρατεῦσαι μετὰ πολλῆς δυνάμεως. ἅμα δὲ τῷ πολέμῳ καὶ λιμοῦ συνεπιτιθεμένου τοῖς ῥωμαίοις, πυνθανόμενοι τὸν πορσίναν, οὐ πολεμικὸν εἶναι μόνον, ἀλλὰ καὶ δίκαιον ἄνδρα καὶ χρηστόν, ἐβούλοντο χρῆσθαι δικαστῇ τῷ πρὸς ταρκύνιον, ἀπαυθαδισαμένου δὲ τοῦ ταρκυνίου, καὶ τὸν πορσίναν εἰ μὴ μένει σύμμαχος βέβαιος, οὐδὲ κριτὴν δίκαιον ἔσεσθαι φάσκοντος, ἀφεὶς ἐκεῖνον ὁ πορσίνας ἔπραττεν, ὅπως φίλος ἄπεισι ῥωμαίων, τῆς τε χώρας ὅσην ἀποτέτμηντο τυρρηνῶν, καὶ τοὺς αἰχμαλώτους κομισάμενος. ἐπὶ τούτοις, ὁμήρων αὐτῷ δοθέντων, δέκα μὲν ἀρρένων παίδων, δέκα δὲ θηλειῶν, ἐν αἷς ἦν ἡ ποπλικόλα τοῦ ὑπάτου θυγάτηρ βαλερία, πᾶσαν εὐθὺς ἀνῆκεν τὴν πρὸς τὸν πόλεμον παρασκευήν, καίπερ οὔπω τέλος ἐχούσης τῆς ὁμολογίας. αἱ δὲ παρθένοι κατέβησαν μὲν ἐπὶ τὸν ποταμόν, ὡς λουσόμεναι μικρὸν ἀπωτέρω τοῦ στρατοπέδου, μιᾶς δὲ αὐτῶν ὄνομα κλοιλίας προτρεψαμένης, ἀναδησάμεναι περὶ τὰς κεφαλὰς τοὺς χιτωνίσκους, παρεβάλοντο πρὸς ῥεῦμα πολύ, καὶ δίνας βαθείας νέουσαι διεπέρασαν ἀλλήλων ἐχόμεναι πολυπόνως καὶ μόλις. εἰσὶ δὲ οἱ λέγοντες ἵππον τὴν κλοιλίαν εὐπορήσασαν, αὐτὴν μὲν ἐπιβῆναι καὶ διεξελαύνειν ἠρέμα, ταῖς δὲ ἄλλαις ὑφηγεῖσθαι, παραθαρσύνουσαν νηχομένας, καὶ παραβοηθοῦσαν. ᾧ δὲ τεκμηρίῳ χρῶνται μετ' ὀλίγον ἐροῦμεν. ἐπεὶ δὲ σωθείσας εἶδον οἱ ῥωμαῖοι, τὴν μὲν ἀρετὴν καὶ τόλμαν ἐθαύμασαν, τὴν δὲ κομιδὴν οὐκ ἠγάπησαν, οὐδ' ὑπέμειναν ἐν πίστει χείρονος ἀνδρὸς ἑνὸς γενέσθαι. πάλιν οὖν τὰς κόρας ἐκέλευσαν ἀπιέναι, καὶ συνέπεμψαν αὐταῖς ἀγωγούς, οἷς διαβᾶσι τὸν ποταμὸν ἐνέδραν ὑφεὶς ὁ ταρκύνιος, ὀλίγου ἐδέησεν ἐγκρατὴς γενέσθαι τῶν παρθένων. ἡ μὲν οὖν τοῦ ὑπάτου ποπλικόλα θυγάτηρ οὐαλερία μετὰ τριῶν προεξέφυγεν οἰκετῶν εἰς τὸ τοῦ πορσίνα στρατόπεδον, τὰς δὲ ἄλλας ὁ τοῦ πορσίνα υἱὸς ἄρρους ταχὺ προσβοηθήσας ἐξείλετο τῶν πολεμίων. ἐπεὶ δὲ ἤχθησαν, ἰδὼν αὐτὰς ὁ πορσίνας, ἐκέλευσεν εἰπεῖν ἥτις εἴη ἡ προτρεψαμένη καὶ κατάρξασα τοῦ βουλεύματος. αἱ μὲν οὖν ἄλλαι φοβηθεῖσαι περὶ τῆς κλοιλίας ἐσιώπησαν. αὐτῆς δὲ τῆς κλοιλίας εἰπούσης ἑαυτήν, ἀγασθεὶς ὁ πορσίνας, ἐκέλευσεν ἵππον ἀχθῆναι κεκοσμημένον εὐπρεπῶς, καὶ τῇ κλοιλίᾳ δωρησάμενος, ἀπέπεμψεν εὐμενῶς καὶ φιλανθρώπως πάσας. τοῦτο ποιοῦνται σημεῖον οἱ πολλοὶ τοῦ τὴν κλοιλίαν ἵππῳ διεξελάσαι τὸν ποταμόν. οἱ δέ, οὔ φασιν, ἀλλὰ τὴν ῥώμην θαυμάσαντα, καὶ τὴν τόλμαν αὐτῆς, ὡς κρείττονα γυναικός, ἀξιῶσαι δωρεᾶς ἀνδρὶ πολεμιστῇ πρεπούσης. ἀνέκειτο γοῦν ἔφιππος εἰκὼν γυναικὸς παρὰ τὴν ὁδὸν τὴν ἱερὰν λεγομένης, ἣν οἱ μὲν τῆς κλοιλίας οἱ δὲ τῆς οὐαλερίας λέγουσιν εἶναι.

ΜΙΚΚΑ, ΚΑΙ ΜΕΓΙΣΤΩ.

Ἀριστότιμος ἠλείοις ἐπαναστὰς τύραννος, ἴσχυε μὲν δι' ἀντιγόνου τοῦ βασιλέως, ἐχρῆ

το δὲ τῇ δυνάμει πρὸς οὐδὲν ἐπιεικὲς οὐδὲ μέτριον, καὶ γὰρ αὐτὸς ἦν φύσει θηριώδης, καὶ τοῖς φυλάττουσι τὴν ἀρχὴν καὶ τὸ σῶμα βαρβάροις, μιγάσι δουλεύων διὰ φόβον, πολλὰ μὲν ὑβριστικά, πολλὰ δὲ ὠμὰ τοὺς πολίτας ὑπ' αὐτῶν περιεώρα πάσχοντας, οἷον ἦν καὶ τὸ Φιλοδήμου πάθος· ἔχοντος γὰρ αὐτοῦ θυγατέρα καλὴν ὄνομα Μίκκαν, ἐπεχείρησέ τις τῶν περὶ τὸν τύραννον ξεναγῶν ὄνομα Λεύκιος ὕβρει μᾶλλον ἢ ἔρωτι συγγενέσθαι, καὶ πέμψας ἐκάλει τὴν παρθένον. οἱ μὲν οὖν γονεῖς τὴν ἀνάγκην ὁρῶντες ἐκέλευον βαδίζειν, ἡ δὲ παῖς οὖσα γενναία καὶ μεγαλόφρων ἐδεῖτο τοῦ πατρὸς περιπλεκομένη καὶ καθικετεύουσα μᾶλλον αὐτὴν περιιδεῖν ἀποθανοῦσαν, ἢ τὴν παρθενίαν αἰσχρῶς καὶ παρανόμως ἀφαιρεθεῖσαν, καὶ διατριβῆς γενομένης, σπαργῶν καὶ μεθύων ὁ Λεύκιος αὐτὸς ἐξανέστη μεταξὺ πίνων πρὸς ὀργήν, καὶ τὴν Μίκκαν εὑρὼν ἐν τοῖς γόνασι τοῦ πατρὸς τὴν κεφαλὴν ἔχουσαν ἐκέλευεν αὐτῷ συνακολουθεῖν, οὐ βουλομένης δὲ τὸ χιτώνιον περιρρήξας ἐμαστίγου γυμνήν, αὐτὴν μὲν ἐγκαρτεροῦσαν σιωπῇ ταῖς ἀλγηδόσιν, ὁ δὲ πατὴρ καὶ ἡ μήτηρ ὡς οὐδὲν ἀντιβολοῦντες καὶ δακρύοντες ἐπέραινον, ἐτράποντο πρὸς θεῶν καὶ ἀνθρώπων ἀνάκλησιν, ὡς δεινὰ καὶ παράνομα πάσχοντες, ὁ δὲ βάρβαρος ἐκμανεὶς παντάπασιν ὑπὸ τοῦ θυμοῦ καὶ μέθης, ἀποσφάττει τὴν παρθένον ὡς ἔτυχεν ἐν τοῖς κόλποις τοῦ πατρὸς ἔχουσαν τὸ πρόσωπον, ἀλλ' οὐδὲ τούτοις ὁ τύραννος ἐκάμπτετο, πολλοὺς δὲ ἀνῄρει καὶ πλείονας ἐφυγάδευεν, ὀκτακόσιοι γοῦν λέγονται καταφυγεῖν εἰς Αἰτωλούς, δεόμενοι τὰς γυναῖκας αὐτοῖς καὶ τὰ νήπια τῶν τέκνων κομίσασθαι παρὰ τοῦ τυράννου, ὀλίγῳ δ' ὕστερον αὐτὸς ἐκήρυξε τὰς βουλομένας γυναῖκας ἀπιέναι πρὸς τοὺς ἄνδρας ὅσα βούλονται, τῶν γυναικείων χρημάτων ἐπιφερομένας. ἐπεὶ δὲ πάσας ᾔσθετο μεθ' ἡδονῆς τὸ κήρυγμα δεδεγμένας, ἐγένοντο γὰρ ὑπὲρ ἑξακόσιαι τὸ πλῆθος, ἐκέλευσεν ἀθρόας ἡμέρᾳ ῥητῇ βαδίζειν, ὡς τὴν ἀσφάλειαν αὐτὸς παρέξων, ἐνστάσης δὲ τῆς ἡμέρας, αἱ μὲν ἤδη τὰς πύλας ἠθροίζοντο τὰ χρήματα συσκευασάμεναι, καὶ τῶν τέκνων, τὰ μὲν ἐν ταῖς ἀγκάλαις φέρουσαι, τὰ δ' ἤδη τῶν ἁμαξῶν ἔχουσαι καὶ περιέμενον ἀλλήλας, ἄφνω δὲ πολλοὶ τῶν τοῦ τυράννου ἐπεφέροντο μένειν βοῶντες ἔτι πόρρωθεν, ὡς δὲ ἐγγὺς ἐγένοντο, τὰς μὲν γυναῖκας ἐκέλευον ἀναχωρεῖν ὀπίσω, τὰ δὲ ζεύγη καὶ τὰς ἁμάξας ὑποστρέψαντες ἔωσαν εἰς αὐτάς, καὶ διὰ μέσων ἀφειδῶς διήλαυνον, οὔτε ἀκολουθεῖν, οὔτε μένειν ἐῶντες, οὔτε τοῖς νηπίοις βοηθεῖν ἀπολλυμένοις, τὰ μὲν γὰρ ἐκπίπτοντα τῶν ἁμαξῶν, τὰ δ' ὑποπίπτοντα διεφθείροντο, βοῇ καὶ μάστιξιν ὥσπερ πρόβατα τῶν μισθοφόρων ἐπαγόντων ἀναξεπομένας ὑπ' ἀλλήλων, ἕως εἰς τὸ δεσμωτήριον ἐνέβαλον ἁπάσας, τὰ δὲ χρήματα πρὸς τὸν Ἀριστότιμον ἀπεκομίσθη. Χαλεπῶς δὲ τῶν Ἠλείων ἤδη τούτοις ἐχόντων, αἱ περὶ τὸν Διόνυσον ἱεραὶ γυναῖκες, ἃς ἑκκαίδεκα καλοῦσιν, ἱκετηρίας καὶ στέμματα τῶν ἀπὸ τοῦ θεοῦ λαβοῦσαι, περὶ τὴν ἀγορὰν ἀπήντησαν τῷ Ἀριστοτίμῳ, καὶ τῶν δορυφόρων ὑπὸ αἰδοῦς διαστάντων, ἔστησαν τὸ πρῶτον σιωπῇ ὁσίως προϊσχόμεναι τὰς ἱκετηρίας, ἐπεὶ δὲ ἐγένοντο φανεραὶ δεόμεναι καὶ παραιτούμεναι τὴν ὀργὴν ὑπὲρ τῶν γυναικῶν, παροξυνθεὶς πρὸς τοὺς δορυφόρους, καὶ κεκραγὼς ὅτι προσελθεῖν εἴασαν αὐτάς, ἐποίησε τὰς μὲν ὠθοῦντας, τὰς δὲ τύπτοντας ἐξελάσαι ἐκ τῆς ἀγορᾶς, ἑκάστην δὲ δυσὶ ταλάντοις ἐζημίωσε. Γενομένων δὲ τούτων, ἐν μὲν τῇ πόλει συνέστησε πρᾶξιν ἐπὶ τὸν τύραννον Ἑλλάνικος ἀνὴρ διὰ γῆρας ἤδη καὶ δύο τέκνων θάνατον, ὡς οὐδὲν ἂν πράξας ὑπὸ τοῦ τυράννου περιορώμενος. ἐκ δ' Αἰτωλίας διαπεράσαντες οἱ φυγάδες, καταλαμβάνουσι τῆς χώρας ἐπιτήδειον ἐμπολεμεῖν ἔρυμα τὴν Ἀμυμώνην, καὶ συχνοὺς προσεδέχοντο τῶν πολιτῶν ἐκ τῆς Ἤλι-

δος ἀποδιδράσκοντας, ταῦτα δὲ δείσας ὁ Ἀριστότιμος, εἰσῆλθε πρὸς τὰς γυναῖκας, καὶ νομίζων φόβῳ μᾶλλον ἢ χάριτι διαπράξασθαι, προσέταξε πέμπειν, καὶ γράφειν αὐτὰς τοῖς ἀνδράσιν, ὅπως ἀπίωσιν ἐκ τῆς χώρας, εἰ δὲ μή, κατασφάξειν ἠπείλει, πάσας αἰκισάμενος καὶ προανελὼν τοὺς παῖδας. αἱ μὲν οὖν ἄλλαι, πολὺν χρόνον ἐφεστῶτος καὶ κελεύοντος εἰπεῖν, εἴ τι πράξουσι τούτων, οὐδὲν ἀπεκρίναντο πρὸς ἐκεῖνον, ἀλλὰ προσέβλεψαν ἀλλήλαις σιωπῇ, καὶ διένευσαν, ὁμολογοῦσαι τὸ μὴ δεδιέναι, μηδὲ ἐκπεπλῆχθαι τὴν ἀπειλήν. Μεγιστὼ δὲ ἡ Τιμολέοντος γυνὴ καὶ διὰ τὸν ἄνδρα καὶ τὴν ἀρετὴν ἡγεμονικὴν ἔχουσα τάξιν, διαναστῆναι μὲν οὐκ ἠξίωσεν, οὐδὲ εἴασε τὰς ἄλλας, καθεζομένη δ' ἀπεκρίνατο πρὸς αὐτόν, εἰ μὲν ἦς ἀνὴρ φρόνιμος, οὐκ ἂν διελέγου γυναιξὶ περὶ ἀνδρῶν, ἀλλὰ πρὸς ἐκείνους ὡς κυρίους ἡμῶν ἔπεμπες ἀμείνονας λόγους εὑρών, ἢ δι' ὧν ἡμᾶς ἐξηπάτησας, εἰ δὲ αὐτὸς ἐκείνους πεῖσαι ἀπεγνωκὼς δι' ἡμῶν ἐπιχειρεῖς παραλογίζεσθαι, μήτε ἡμᾶς ἔλπιζε πάλιν ἐξαπατήσειν, μήτε ἐκεῖνοι κακῶς οὕτω φρονήσειαν, ὥστε φειδόμενοι παιδαρίων καὶ γυναικῶν ἐγκαταλιπεῖν τὴν τῆς πατρίδος ἐλευθερίαν, οὐ γὰρ τοσοῦτο κακὸν αὐτοῖς ἡμᾶς ἀπολέσαι μὴ νῦν ἔχοντας, ὅσον ἀγαθὸν ἐξελέσθαι τῆς σῆς ὠμότητος, καὶ ὕβρεως τοὺς πολίτας. Ταῦτα τῆς Μεγιστοῦς λεγούσης, οὐκ ἀνασχόμενος ὁ Ἀριστότιμος ἐκέλευσε τὸ παιδίον αὐτῆς ὡς ἀποκτενῶν ἐν ὄψει κομισθῆναι, ζητούντων δὲ τῶν ὑπηρετῶν ἀναμεμιγμένον ἐν τοῖς ἄλλοις παίζουσι καὶ διαπαλαίουσι, ἡ μήτηρ ὀνομαστὶ προσκαλεσαμένη, δεῦρο ἔφη τέκνον, πρὶν αἰσθάνεσθαι καὶ φρονεῖν ἀπαλλάγηθι τῆς πικρᾶς τυραννίδος, ὡς ἐμοὶ βαρύτερόν ἐστιν, δουλεύοντά σε παρ' ἀξίαν ἐφορᾶν, ἢ ἀποθνήσκοντα. Τοῦ δὲ Ἀριστοτίμου σπασαμένου τὴν μάχαιραν ἐπ' αὐτὴν ἐκείνην καὶ μετ' ὀργῆς ἐπιφερομένου, τῶν συνήθων τις αὐτῷ Κύλων ὄνομα, πιστὸς δοκῶν εἶναι, μισῶν δὲ καὶ μετέχων τῆς συνωμοσίας τῆς περὶ τὸν Ἑλλάνικον, ἀντέστη καὶ ἀπέστρεψε δεόμενος, καὶ λέγων ἀγενὲς εἶναι καὶ γυναικῶδες, οὐκ ἀνδρὸς ἡγεμονικοῦ καὶ πράγμασι χρῆσθαι μεμαθηκότος τὸ ἔργον, ὥστε μόλις ἔννουν γενόμενον τὸν Ἀριστότιμον ἀπελθεῖν. Γίνεται δὲ σημεῖον αὐτῷ μέγα, μεσημβρία μὲν γὰρ ἦν, καὶ μετὰ τῆς γυναικὸς ἀνεπαύετο, παρασκευαζομένων δὲ τῶν περὶ τὸ δεῖπνον, ἀετὸς μετέωρος ὤφθη δινούμενος ὑπὲρ τῆς οἰκίας, εἶθ' ὥσπερ ἐκ προνοίας καὶ στοχασμοῦ λίθον ἀφῆκεν εὐμεγέθη κατ' ἐκεῖνο τῆς στέγης τὸ μέρος, οὗ τὸ δωμάτιον ἦν, ἐν ᾧ κατακείμενος ἐτύγχανεν ὁ Ἀριστότιμος, ἅμα δὲ ἄνωθεν ψόφου μεγάλου καὶ κραυγῆς ἔξωθεν ὑπὸ τῶν ἰδόντων τὸν ὄρνιν γενομένης, ἐκπλαγεὶς καὶ πυθόμενος τὸ γεγονός, μετεπέμψατο μάντιν, ᾧ χρώμενος διετέλει κατ' ἀγοράν, καὶ διηρώτα περὶ τοῦ σημείου συντεταραγμένος, ὁ δὲ ἐκεῖνον μὲν παρεκάλει ὡς τοῦ Διὸς αὐτὸν ἐξεγείροντος καὶ βοηθοῦντος, οἷς δὲ ἐπίστευε τῶν πολιτῶν, ἔφρασεν ὅσον οὔπω τὴν δίκην αἰωρουμένην ὑπὲρ κεφαλῆς ἐμπεσεῖσθαι τῷ τυράννῳ. διὸ καὶ τοῖς περὶ τὸν Ἑλλάνικον ἔδοξε μὴ μέλλειν, ἀλλ' ἐπιτίθεσθαι τῇ ὑστεραίᾳ. Τῆς δὲ νυκτὸς Ἑλλάνικος ἐδόκει κατὰ τοὺς ὕπνους τῶν τεθνηκότων υἱῶν τὸν ἕτερον λέγειν αὐτῷ παραστάντα, τί πέπονθας ὦ πάτερ καθεύδων, αὔριον δέ σε δεῖ τῆς πόλεως στρατηγεῖν, οὗτός τε δὴ διὰ τὴν ὄψιν εὐθαρσὴς γεγενημένος, παρεκάλει τοὺς ἑταίρους, ὅτε Ἀριστότιμος πυθόμενος Κρατερὸν αὐτῷ βοηθοῦντα μετὰ πολλῆς δυνάμεως ἐν Ὀλυμπίᾳ καταστρατοπεδεύειν, οὕτως ἐξεθάρσησεν, ὥστε ἄνευ δορυφόρων εἰς τὴν ἀγορὰν προελθεῖν μετὰ τοῦ Κύλωνος. Ὡς οὖν συνεῖδε τὸν καιρὸν ὁ Ἑλλάνικος, ὃ μὲν ἦν σημεῖον αὐτῷ, πρὸς τοὺς μέλλοντας ἐπιχειρεῖν συγκείμενον, οὐκ ἔδωκε, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ ἅμα τὰς χεῖρας προτείνων ἀμφοτέρας, τί μέλλετε ἄνδρες

ἀγαθοὶ, καλὸν τὸ θέατρον, ἐν μέσῳ τῆς πατρίδος ἐναγωνίσασθαι, πρῶτον μὲν οὖν
ὁ κύλων σπασάμενος τὸ ξίφος παίει τινὰ τῶν ἑπομένων τῷ ἀριστοτίμῳ. θρασυ-
βούλου δὲ καὶ λαμπίδου ἐξ ἐναντίας ἐπιφερομένων, ἔφθη μὲν ὁ ἀριστότιμος
εἰς τὸ τοῦ διὸς ἱερὸν καταφυγὼν, ἐκεῖ δὲ ἀποκτείναντες αὐτὸν, καὶ τὸ σῶμα προ-
βαλόντες εἰς τὴν ἀγορὰν ἐκάλουν τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν, οὐ μὴν ἔφθη-
σάν γε πολλοὶ τὰς γυναῖκας, εὐθὺς γὰρ ἐξέδραμον μετὰ χαρᾶς καὶ ὀλολυγμοῦ
καὶ περιστᾶσαι τοὺς ἄνδρας ἀνέδουν καὶ κατέστεφον, εἶτα τοῦ πλήθους ἐπὶ τὴν
οἰκίαν τοῦ τυράννου ῥυέντος, ἡ μὲν γυνὴ συγκλείσασα τὸν θάλαμον, αὑτὴν ἀνήρ-
τησε. δύο δ᾽ ἦσαν αὐτῷ θυγατέρες, παρθένοι μὲν ἔτι, κάλλισται δὲ τὴν ὄψιν, ἤδη
γάμων ὥραν ἔχουσαι, ταύτας συλλαβόντες εἷλκον ἔξω πάντως μὲν ἀνελεῖν,
αἰκίσασθαι δὲ καὶ καθυβρίσαι πρότερον ἐγνωκότες. ἀπαντήσασα δὲ ἡ με-
γιστὼ μετὰ τῶν ἄλλων, ἐβόα δεινὰ ποιεῖν αὐτοὺς, εἰ δῆμος ἀξιοῦντες εἶναι, ταῦ-
τα τολμῶσι καὶ ἀσελγαίνουσι τοῖς τυράννοις ὅμοια. ἐντρεπομένων δὲ πολλῶν
τὸ ἀξίωμα τῆς γυναικὸς, παῤῥησιαζομένης καὶ δακρυούσης, ἔδοξεν ἀφελεῖν τὴν
ὕβριν, αὐτὰς δ᾽ ἐᾶσαι δι᾽ αὑτῶν ἀποθανεῖν, ὡς δ᾽ οὖν ἀναστρέψαντες ἔνδον ἐκέ-
λευον εὐθὺς ἀποθνήσκειν τὰς παρθένους, ἡ πρεσβυτέρα μυρὼ λύσασα τὴν ζώ-
νην, καὶ βρόχον ἐνάψασα, τὴν ἀδελφὴν κατησπάζετο, καὶ παρεκάλει προσέ-
χειν καὶ ποιεῖν, ἅπερ ἂν αὐτὴν θεάσηται ποιοῦσαν, ὅπως ἄν ἔφη μὴ ταπεινῶς
μὴ δ᾽ ἀναξίως ἑαυτῶν καταστρέψωμεν. τῆς δὲ νεωτέρας δεομένης αὐτῇ πα-
ρεῖναι προτέρᾳ ἀποθανεῖν, καὶ τῆς ζώνης ἀντιλαμβανομένης, οὐδὲν ἄλλο πώπο-
τε εἶπεν, οὐδὲν ἠρνημαί σοι δεομένῃ, καὶ ταύτην οὖν λάβε τὴν χάριν, ἐγὼ δὲ ὑπο-
μενῶ καὶ τλήσομαι τοῦ θανάτου βαρύτερον, τὸ σὲ φιλτάτη πρότερον ἰδεῖν θνή-
σκουσαν. ἐκ τούτου τὴν μὲν ἀδελφὴν αὐτὴ διδάξασα τῷ τραχήλῳ περιβαλέ-
σθαι τὸν βρόχον, ὡς ᾔσθετο τεθνηκυῖαν, καθεῖλε καὶ κατεκάλυψεν, αὐτὴν δὲ τὴν
μεγιστὼ παρεκάλεσεν ἐπιμεληθῆναι καὶ μὴ ὑπεριδεῖν αἰσχρῶς ἐπειδὰν ἀπο-
θάνῃ τεθεῖσαν. ὥστε μηδένα πικρὸν μηδὲ μισοτύραννον οὕτω γενέσθαι τῶν πα-
ρόντων, ὃς οὐκ ἔκλαυσεν οὐδὲ κατηλέησεν τὴν τῶν παρθένων εὐγένειαν. τῶν
μὲν οὖν κοινῇ πεπραγμένων γυναιξὶ μυρίων ὄντων, ἱκανὰ ταῦτα παραδείγμα-
τα, τὰς δὲ καθ᾽ ἑκάστην ἀρετὰς, ὅπως ἂν ἐπίῃ σποράδην ἀναγράψομεν, οὐδὲν
οἰόμενοι τῆς κατὰ χρόνον τάξεως δεῖσθαι τὴν ὑποκειμένην ἱστορίαν.

ΠΙΕΡΙΑ. Τῶν εἰς μίλητον ἀφικομένων ἰώνων στασιάσαντες ἔνιοι πρὸς
τοὺς νείλεω παῖδας, ἀπεχώρησαν εἰς μυοῦντα, κἀκεῖ κατῴκουν πολλὰ κακὰ
πάσχοντες ὑπὸ τῶν μιλησίων, ἐπολέμουν γὰρ αὐτοῖς διὰ τὴν ἀποστασίαν, οὐ
μὴν ἀκήρυκτος ἦν οὐδὲ ἀνεπίμικτος ὁ πόλεμος, ἀλλ᾽ ἔν τισιν ἑορταῖς ἐφοίτων εἰς
μίλητον ἐκ τοῦ μυοῦντος αἱ γυναῖκες. ἦν δὲ πύθης ἀνὴρ ἐν αὐτοῖς ἐμφανὴς, γυ-
ναῖκα μὲν ἔχων ἰαπυγίαν, θυγατέρα δὲ πιερίαν. οὔσης οὖν ἑορτῆς ἀρτέμιδι
καὶ θυσίας παρὰ μιλησίοις, ἣν νηληΐδα προσαγορεύουσιν, ἔπεμψε τὴν γυναῖ-
κα καὶ τὴν θυγατέρα δεηθείσας, ὅπως τῆς ἑορτῆς μετάσχωσι. τῶν δὲ νείλεω
παίδων ὁ δυνατώτατος ὄνομα φρύγιος τῆς πιερίας ἐρασθεὶς, ἐσκόπει τί ἂν αὐτῇ
μάλιστα γένοιτο παρ᾽ αὐτοῦ κεχαρισμένον. εἰπούσης δ᾽ ἐκείνης εἰ διαπράξαιό μοι τὸ
πολλάκις ἐνταῦθα καὶ μετὰ πολλῶν βαδίζειν. συνεὶς οὖν ὁ φρύγιος δεομένην φι-
λίας καὶ εἰρήνης τοῖς πολίταις, κατέπαυσε τὸν πόλεμον. ἦν οὖν ἐν ἀμφοτέ-
ραις ταῖς πόλεσι δόξα καὶ τιμὴ τῆς πιερίας, ὥστε καὶ τὰς μιλησίων εὔχεσθαι
γυναῖκας ἄχρι νῦν, οὕτως ἐρᾶν αὐτῶν, ὡς φρύγιος ἠράσθη πιερίας.

ΠΟΛΥΚΡΙΤΗ. Ναξίοις καὶ μιλησίοις συνέστη πόλεμος διὰ τὴν ὑ-
ψικρέοντος τοῦ μιλησίου γυναῖκα νέαιραν. αὕτη γὰρ ἠράσθη προμέδοντος ναξί-

καὶ συνέπλευσεν, ἔστιν μὲν ξένος τοῦ ὑψικρέοντος, ἐρασθείσῃ δὲ τῇ νεαίρᾳ
συνῆλθε, καὶ τὸν ἄνδρα φοβουμένην ἀπαγαγὼν εἰς νάξον, ἱκέτιν τῆς ἑστίας ἐκά-
θισεν. τῶν δὲ ναξίων οὐκ ἐκδιδόντων χάριν τοῦ προμέδοντος, ἄλλως δὲ ποιου-
μένων πρόφασιν τὴν ἱκετείαν, ὁ πόλεμος συνέστη. τοῖς δὲ μιλησίοις ἄλλοι τε
πολλοὶ, καὶ προθυμότατα τῶν ἰώνων ἐρυθραῖοι συνεμάχουν, καὶ μῆκος ἔσχε
καὶ συμφορὰς ἤνεγκε μεγάλας ὁ πόλεμος. εἶτα ἐπαύσατο δι᾽ ἀρετὴν γυναι-
κὸς, ὡς συνέστη διὰ μοχθηρίαν. διόγνητος γὰρ ὁ τῶν ἐρυθραίων στρατηγὸς ἔχων
καὶ πεπιστευμένος ἔρυμα κατὰ τῆς ναξίων πόλεως εὖ πεφυκὸς καὶ κατεσκευ-
ασμένον, ἠλάσατο λείαν τῶν ναξίων πολλὴν, καὶ γυναῖκας ἐλευθέρους καὶ παρ-
θένους ἔλαβεν, ὧν μιᾶς πολυκρίτης ἐρασθεὶς εἶχεν αὐτὴν οὐχ ὡς αἰχμάλωτον,
ἀλλ᾽ ἐν τάξει γαμετῆς γυναικός. ἑορτῆς δὲ τοῖς μιλησίοις καθηκούσης ἐν τῇ
στρατιᾷ, καὶ πρὸς πόσιν ἁπάντων καὶ συνουσίας τρεπομένων, ἠρώτησε τὸν διό-
γνητον ἡ πολυκρίτη, μή τι κωλύοι πεμμάτων μερίδας ἀποπέμψαι τοῖς ἀδελ-
φοῖς αὐτῆς, ἐπιτρέψαντος δὲ ἐκείνου καὶ κελεύσαντος, ἐνέβαλε μολίβδινον
γραμματίδιον εἰς πλακοῦντα, κελεύσασα φράσαι τὸν κομίζοντα τοῖς ἀδελ-
φοῖς, ὅπως αὐτοὶ μόνοι καταναλώσωσιν ἃ ἔπεμψε. οἱ δ᾽ ἐντυχόντες τῷ μολίβ-
δῳ καὶ τὰ γράμματα τῆς πολυκρίτης ἀναγνόντες, κελευούσης νυκτὸς ἐπιθέ-
σθαι τοῖς πολεμίοις, ὡς ὑπὸ μέθης διὰ τὴν ἑορτὴν ἐξημελημένων πάντων,
προσήγγειλαν τοῖς στρατηγοῖς καὶ παρώρμησαν ἐξελθεῖν μετ᾽ αὐτῶν. ἁλόν-
τος δὲ τοῦ χωρίου καὶ πολλῶν διαφθαρέντων, ἐξῃτήσατο τὸν διόγνητον ἡ πολυ-
κρίτη παρὰ τῶν πολιτῶν, καὶ διέσωσεν. αὐτὴ δὲ πρὸς ταῖς πύλαις γενομένη
τοὺς πολίτας ἀπαντῶντας αὐτῇ μετὰ χαρᾶς καὶ στεφάνων ὑποδεχομένους καὶ θαυ-
μάζοντας, οὐκ ἤνεγκε τὸ μέγεθος τῆς χαρᾶς, ἀλλ᾽ ἀπέθανεν αὐτοῦ πεσοῦσα περὶ
τὴν πύλην, ὅπου τέθαπται, καὶ καλεῖται βασκάνου τάφος, ὡς βασκάνῳ τινὶ τύ-
χῃ τὴν πολυκρίτην φθονηθεῖσαν ἀπολαῦσαι τῶν τιμῶν. οὕτω μὲν οἱ ναξίων
συγγραφεῖς ἱστοροῦσιν. ὁ δὲ ἀριστοτέλης φησὶν, οὐδὲ ἁλούσης τῆς πολυκρίτης, ἀλ-
λως δέ πως ἰδόντα τὸν διόγνητον ἐρασθῆναι, καὶ πάντα διδόναι καὶ ποιεῖν ἕ-
τοιμον εἶναι, τὴν δὲ ὁμολογεῖν ἀφίξεσθαι πρὸς αὐτὸν, ἑνὸς μόνου τυχοῦσαν, περὶ
οὗ τὸν διόγνητον ὡς φησὶν ὁ φιλόσοφος ὅρκον ᾔτησεν, ἐπεὶ δὲ ὤμοσεν, ἠξίου τὸ
δήλιον αὐτῇ δοθῆναι, δήλιον γὰρ ἐκαλεῖτο τὸ χωρίον, ἄλλως δὲ οὐκ ἂν ἔφη συν-
ελθεῖν. ὁ δὲ καὶ διὰ τὴν ἐπιθυμίαν καὶ διὰ τὸν ὅρκον ἐξέστη, καὶ παρέδωκε τῇ
πολυκρίτῃ τὸν τόπον, ἐκείνη δὲ τοῖς πολίταις. ἐκ δὲ τούτου πάλιν εἰς ἴσον
καταστάντες ἐφ᾽ οἷς ἠβούλοντο πρὸς τοὺς μιλησίους διελύθησαν.

ΛΑΜΨΑΚΗ. Ἐκ φωκέας τοῦ κοδριδῶν γένους, ἦσαν ἀδελφοὶ δίδυ-
μοι, φόβος καὶ βλέψος, ὧν ὁ φόβος ἀπὸ τῶν λευκάδων πετρῶν πρῶτος ἀφῆκεν
ἑαυτὸν εἰς θάλασσαν, ὡς χάρων ὁ λαμψακηνὸς ἱστόρηκεν, ἔχων δὲ δύναμιν καὶ βα-
σιλικὸν ἀξίωμα παρέπλευσεν εἰς πάριον ἰδίων ἕνεκα πραγμάτων, καὶ γενό-
μενος φίλος καὶ ξένος μάνδρωνι βασιλεύοντι βεβρύκων τῶν πιτυοεσσηνῶν προ-
σαγορευομένων, ἐβοήθησε καὶ συνεπολέμησεν αὐτοῖς ὑπὸ τῶν προσοίκων
ἐνοχλουμένοις. ὁ δὲ μάνδρων ἄλλην τε πολλὴν ἐνδειξάμενος τῷ φόβῳ φιλοφροσύ-
νην ἀποπλέοντι, καὶ μέρος τῆς τε χώρας καὶ τῆς πόλεως ὑπισχνεῖτο δώσειν,
εἰ βούλοιτο φωκαεῖς ἔχων ἐποίκους εἰς τὴν πιτυόεσσαν ἀφικέσθαι. πείσας οὖν
τοὺς πολίτας ὁ φόβος, ἐξέπεμψε τὸν ἀδελφὸν ἄγοντα τοὺς ἐποίκους, καὶ τὰ μὲν
παρὰ τοῦ μάνδρωνος ὑπῆρχεν αὐτοῖς ὡς προσεδόκησαν, ὠφελείας δὲ με-
γάλας καὶ λάφυρα καὶ λείας ἀπὸ τῶν προσοίκων βαρβάρων λαμβάνοντες,
ἐπίφθονοι τὸ πρῶτον, εἶτα καὶ φοβεροὶ τοῖς βέβρυξιν ἦσαν. ἐπιθυμοῦντες οὖν

αὐτῶν ἀπὸ Μαγνησίας, ὧν μὲν Μάνδρωνα χρηστὸν ὄντα, καὶ δίκαιον ἄνδρα περὶ τοὺς Ἕλληνας οὐκ ἔπεισαν, ἀποδημήσαντος δὲ ἐκείνου, παρεσκευάζοντο τοὺς Φωκαεῖς δόλῳ διαφθεῖραι. τοῦ δὲ Μάνδρωνος ἡ θυγάτηρ Λαμψάκη παρθένος οὖσα τὴν ἐπιβουλὴν προέγνω, καὶ πρῶτον ἐπεχείρει τοὺς φίλους καὶ οἰκείους ἀποτρέπειν, καὶ διδάσκειν, ὡς ἔργον καὶ δεινὸν καὶ ἀσεβὲς ἐγχειροῦσι πράττειν εὐεργέτας καὶ συμμάχους ἄνδρας, νῦν δὲ καὶ πολίτας ἀποκτιννύντες. ὡς δὲ οὐκ ἔπειθε, τοῖς Ἕλλησιν ἔφρασε κρύφα τὰ πραττόμενα, καὶ παρεκελεύσατο φυλάττεσθαι. οἱ δὲ θυσίαν τινὰ παρασκευασάμενοι καὶ θοίνην, ἐξεκαλέσαντο τοὺς Πιτυοεσσηνοὺς εἰς τὸ προάστειον, αὐτοὶ δὲ διελόντες δίχα, τοῖς μὲν τὰ τείχη κατέλαβον, τοῖς δὲ τοὺς ἄνδρας ἀνεῖλον. οὕτω δὴ τὴν πόλιν κατέχοντες, τὸν Μάνδρωνα μετεπέμποντο συμβουλεύειν τοῖς παρ᾽ αὐτῶν κελεύοντες, καὶ τὴν Λαμψάκην ἐξ ἀρρωστίας ἀποθανοῦσαν, ἔθαψαν ἐν τῇ πόλει μεγαλοπρεπῶς, καὶ τὴν πόλιν ἀπ᾽ αὐτῆς Λάμψακον προσηγόρευσαν. ἐπεὶ δὲ ὁ Μάνδρων προδοσίας ὑποψίαν φεύγων, τὸ μὲν οἰκεῖν μετ᾽ αὐτῶν παρῃτήσατο, παῖδας δὲ τῶν τεθνηκότων, καὶ γυναῖκας ἠξίωσε κομίσασθαι, καὶ ταῦτα προθύμως οὐδὲν ἀδικήσαντες ἐξέπεμψαν, καὶ τῇ Λαμψάκῃ πρότερον ἡρωικὰς τιμὰς ἀποδιδόντες, ὕστερον ὡς θεῷ θύειν ἐψηφίσαντο, καὶ διατελοῦσιν οὕτω θύοντες.

ΑΡΕΤΑΦΙΛΑ.

A Ἀρεταφίλα δὲ ἡ Κυρηναία, παλαιὰ μὲν οὐ γέγονεν, ἀλλ᾽ ἐν τοῖς Μιθριδατικοῖς καιροῖς, ἀρετὴν δὲ καὶ πρᾶξιν ἅμιλλαν τῇ βουλῇ τῶν ἡρωίδων παρέχων. ἦν δὲ θυγάτηρ μὲν Αἰγλάτορος, Φαιδίμου δὲ γυνή, γνωρίμων ἀνδρῶν, καλὴ δὲ τὴν ὄψιν οὖσα, καὶ τὸ φρονεῖν ἐδόκει περιττή τις εἶναι, καὶ πολιτικῆς δεινότητος οὐκ ἄμοιρος. ἐπιφανῆ δὲ αὐτὴν αἱ κοιναὶ τύχαι τῆς πατρίδος ἐποίησαν. Νικοκράτης γὰρ ἐπαναστὰς Κυρηναίοις τύραννος, ἄλλους τε πολλοὺς ἐφόνευε τῶν πολιτῶν, καὶ τὸν ἱερέα τοῦ Ἀπόλλωνος αὐτόχειρ ἀνελὼν Μελάνιππον, ἔσχε τὴν ἱερωσύνην. ἀνεῖλε δὲ καὶ Φαίδιμον τὸν τῆς Ἀρεταφίλας ἄνδρα, καὶ τὴν Ἀρεταφίλαν ἔγημεν ἄκουσαν. πρὸς δὲ μυρίοις ἄλλοις παρανομήμασι φυλακὰς ἐπὶ τῶν πυλῶν κατέστησεν, οἳ τοὺς ἐκφερομένους νεκροὺς ἐλυμαίνοντο νύττοντες ξιφιδίοις, καὶ καυτήρια προσβάλλοντες, ὑπὲρ τοῦ μηδένα τῶν πολιτῶν ὡς νεκρὸν λαθεῖν ἐκκομιζόμενον. δύσφορα μὲν οὖν καὶ τῇ Ἀρεταφίλᾳ τὰ οἰκεῖα κακά, καίπερ ἐνδιδόντος αὐτῇ δι᾽ ἔρωτα τοῦ τυράννου πλεῖστον ἀπολαύειν τῆς δυνάμεως· ἥττητο γὰρ ἐκείνης, καὶ μόνῃ χειροήθη παρεῖχεν αὑτόν, ἄπρακτος ὢν τἆλλα καὶ θηριώδης. ἠνία δὲ μᾶλλον αὐτὴν ἡ πατρὶς οἰκτρὰ πάσχουσα παρ᾽ ἀξίαν. ἄλλος γὰρ ἐπ᾽ ἄλλῳ τῶν πολιτῶν ἐσφάττετο, τιμωρία δὲ ἀπ᾽ οὐδενὸς ἠλπίζετο. καὶ γὰρ οἱ φυγάδες ἀσθενεῖς παντάπασιν ὄντες καὶ περίφοβοι διεσπάρησαν. αὐτὴν οὖν ἡ Ἀρεταφίλα ὑποθεῖσα μόνην τοῖς κοινοῖς ἐλπίσι, καὶ τὰ Θήβης ζηλώσασα τῆς Φεραίας καλὰ καὶ περιβόητα τολμήματα, συμμάχων δὲ πιστῶν καὶ οἰκείων, οἵους ἐκείνῃ τὰ πράγματα παρέσχεν, ἔρημος οὖσα, φαρμάκοις ἐπεχείρησε διεργάσασθαι τὸν ἄνδρα, παρασκευαζομένη δὲ καὶ πορίζουσα, καὶ διαπειρωμένη πολλῶν δυνάμεων, οὐκ ἔλαθεν ἀλλ᾽ ἐμηνύθη. γενομένων δ᾽ ἐλέγχων, Καλβία μὲν ἡ τοῦ Νικοκράτους μήτηρ φύσει φονικὴ γυνὴ καὶ ἀπαραίτητος, εὐθὺς ᾤετο δεῖν ἀναιρεῖν αἰκισαμένην τὴν Ἀρεταφίλαν, τοῦ δὲ Νικοκράτους μέλλησιν ἐποίει τῇ ὀργῇ καὶ ἀσθένειαν ὁ ἔρως, καὶ τὸ τὴν Ἀρεταφίλαν ἐρρωμένως ὁμόσε χωρεῖν ταῖς κατηγορίαις ἀμυνοῦσαν ἑαυτῇ πρόφασίν τινα τῷ πάθει παρεῖχεν. ἐπεὶ δὲ κατελαμβάνετο τοῖς ἐλέγχοις, καὶ τὴν παρασκευὴν τῆς φαρμακείας ἑώρα μὴ δεχομένην ἄρνησιν, ὡμολόγει, παρασκευάσασθαι δὲ οὐκ ὀλέθριον φαρμακείαν, ἀλλ᾽ ὑπὲρ μεγάλων εἶπεν ὦ ἄνερ ἀγω-

νίζομαι

...οκράτης l. A.

νίζομαι τῆς σῆς πρὸς ἐμὲ καὶ δόξης καὶ δυνάμεως, ἣν διὰ σὲ καρποῦμαι, εὐνοίας πολλαῖς ἐπιφθόνου οὔσης κακαῖς γυναιξίν, ὧν φάρμακα δεδοικυῖα καὶ μηχανάς, ἐπείσθην ἀντιμηχανήσασθαι, μωρὰ μὲν ἴσως καὶ γυναικεῖα, θανάτου δὲ οὐκ ἄξια, πλὴν εἰ κριτῇ σοι δόξει φίλτρων ἕνεκα καὶ γοητείας κτεῖναι γυναῖκα, πλεῖον ἢ σὺ βούλει φιλεῖσθαι δεομένην. τοιαῦτα τὴν Ἀρεταφίλαν ἀπολογουμένην, ἔδοξε τῷ Νικοκράτει βασανίσαι, καὶ τῆς Καλβίας ἐφεστώσης ἀτέγκτου καὶ ἀπαραιτήτου ταῖς βασάνοις ἀνέκρινε, καὶ διεφύλαξεν αὐτὴν ἀήττητον ἐν ταῖς ἀνάγκαις, ἄχρι καὶ τὴν Καλβίαν ἀποκαμεῖν ἄκουσαν. ὁ δὲ Νικοκράτης ἀφῆκε πεισθείς, καὶ μετενόει βασανίσας, καὶ χρόνον οὐ πολὺν διαλιπών, αὖθις ἧκεν ὑπὸ τοῦ πάθους εἰς αὐτὴν φερόμενος, καὶ σωθεῖσαν αὖθις ἀναλαμβάνων τιμαῖς καὶ φιλοφροσύναις τὴν εὔνοιαν. ἡ δὲ οὐκ ἔμελλε χάριτος ἡττᾶσθαι, κρατήσασα βασάνων καὶ πόνων, ἀλλὰ τῷ φιλοκάλῳ φιλονεικίας προσγενομένης, ἑτέρας ἥπτετο μηχανῆς. ἦν γὰρ αὐτῇ θυγάτηρ ἀνδρὸς ὥραν ἔχουσα, καὶ τὴν ὄψιν ἱκανή. ταύτην ὑφῆκε τἀδελφῷ τοῦ τυράννου δέλεαρ ὄντι μειρακίῳ πρὸς ἡδονὰς εὐαλώτῳ. πολὺς δὲ λόγος ἐστὶ χρησαμένην γοητείᾳ καὶ φαρμάκοις αὐτὴν τὴν κόρην τὴν Ἀρεταφίλαν, χειρώσασθαι καὶ διαφθεῖραι τοῦ νεανίσκου τὸν λογισμόν. ἐκαλεῖτο δὲ Λέανδρος. ἐπεὶ δὲ ἡλώκει, καὶ λιπαρήσας τὸν ἀδελφόν, ἔτυχε τοῦ γάμου, τὰ μὲν ἡ κόρη παρῆγεν αὐτὸν ὑπὸ τῆς μητρὸς διδασκομένη, καὶ ἀνέπειθεν ἐλευθεροῦν τὴν πόλιν, ὡς μηδὲ αὐτὸν ἐλεύθερον ἐν τυραννίδι ζῶντα, μηδὲ τοῦ λαβεῖν γάμον ἢ φυλάξαι κύριον ὄντα. τὰ δὲ οἱ φίλοι τῇ Ἀρεταφίλᾳ χαριζόμενοι, διαβολάς τινας ἀεὶ καὶ ὑπονοίας κατεσκεύαζον αὐτῷ πρὸς τὸν ἀδελφόν. ὡς δὲ ᾔσθετο καὶ τὴν Ἀρεταφίλαν τὰ αὐτὰ βουλομένην καὶ σπουδάζουσαν, ἐπεχείρει τὸ ἔργον, καὶ Δάφνιν ἱκέτην παρορμήσας, ἀπέκτεινε δι᾽ ἐκείνου τὸν Νικοκράτην. τὰ λοιπὰ δὲ οὐκέτι τῇ Ἀρεταφίλᾳ προσεῖχεν, ἀλλ᾽ εὐθὺς ἔδειξε τοῖς ἔργοις ἀδελφοκτόνος, οὐ τυραννοκτόνος γεγονώς. ἦρχε γὰρ ἐμπλήκτως καὶ ἀνοήτως. τιμὴ δέ τις ὅμως ἦν τῆς Ἀρεταφίλας παρ᾽ αὐτῷ καὶ δύναμις, οὐκ ἀπεχθανομένης, οὐδὲ πολεμούσης ἄντικρυς, ἀλλ᾽ ἀδήλως διαπραττούσης τὰ πράγματα. πρῶτον μὲν γὰρ αὐτῷ Λιβυκὸν ὑπεκίνησε πόλεμον, Ἀναβοῦν τινα πείσασα δυνάστην τὴν χώραν ἐπιδραμεῖν, καὶ τῇ πόλει προσαγαγεῖν. ἔπειτα διέβαλε τοὺς φίλους καὶ τοὺς στρατηγοὺς πρὸς τὸν Λέανδρον ὡς πολεμεῖν οὐκ ὄντας προθύμους, εἰρήνης δὲ μᾶλλον δεομένους καὶ ἡσυχίας, ἣν καὶ τὰ πράγματα ποθεῖν αὐτοῦ, καὶ τὴν τυραννίδα βουλομένῳ βεβαίως κρατεῖν τῶν πολιτῶν. αὐτὴ δὲ πράξειν ἔφη τὰς διαλύσεις, καὶ τὸν Ἀναβοῦν εἰς λόγους αὐτῷ συνάξειν, ἐὰν κελεύῃ, πρὶν ἀνήκεστόν τι τὸν πόλεμον ἐξεργάσασθαι. κελεύσαντος δὲ τοῦ Λεάνδρου, πρότερον αὐτὴ τῷ Λίβυι διελέχθη, συλλαβεῖν δεομένη τὸν τύραννον, ἐπὶ δωρεαῖς μεγάλαις καὶ χρήμασιν, ὅταν εἰς λόγους αὐτῷ παραγένηται. πεισθέντος δὲ τοῦ Λίβυος, ὤκνει μὲν ὁ Λέανδρος, αἰδεσθεὶς δὲ τὴν Ἀρεταφίλαν, αὐτὴν παρέσεσθαι φάσκουσαν, ἐξῆλθεν ἄνοπλος καὶ ἀφύλακτος. ὡς δὲ ἐγγὺς ἦλθε καὶ τὸν Ἀναβοῦν εἶδεν, αὖθις ἐδυσχέραινε καὶ περιμένειν ἐβούλετο τοὺς δορυφόρους. ἡ δὲ Ἀρεταφίλα παροῦσα, τὰ μὲν ἐθάρρυνεν αὐτόν, τὰ δὲ ἐκάκιζε, τέλος δὲ γενομένης διατριβῆς, ἐφελκυσαμένη τῆς χειρὸς ἰταμῶς πάνυ καὶ τεθαρρηκότως προσήγαγε τῷ βαρβάρῳ καὶ παρέδωκεν. εὐθὺς οὖν ἀνήρπαστο, καὶ συνείληπτο, καὶ δεθεὶς ὑπὸ τῶν Λιβύων ἐτηρεῖτο, ἄχρις οὗ τὰ χρήματα τῇ Ἀρεταφίλᾳ κομίζοντες οἱ φίλοι παρεγένοντο μετὰ τῶν ἄλλων πολιτῶν. πυθόμενοι γὰρ οἱ πλεῖστοι, ἐξέδραμον ἐπὶ τὴν παράκλησιν, ὡς δὲ εἶδον τὴν Ἀρεταφίλαν, ὀλίγου ἐδέησαν ἐκλαθέσθαι τῆς πρὸς τὸν τύραννον ὀργῆς, καὶ πάρεργον τὴν ἐκείνου

οἰκέτην l. A.

τιμωρίαν ἐνόμιζον. ἔργον δὲ πρῶτον ἦν αὐτοῖς καὶ ἀπόλαυσμα τῆς ἐλευθερίας, ἐκείνην ἀσπάσασθαι μετὰ χαρᾶς καὶ δακρύων, ὥσπερ ἀγάλματι θεοῦ προσπίπτοντας. ἄλλων δ' ἐπ' ἄλλοις ἐπιρρεόντων, μόλις ἑσπέρας τὸν Λέανδρον παραλαβόντες, ἐπανῆλθον εἰς τὴν πόλιν. ἐπεὶ δὲ τῶν τιμῶν τῆς Ἀρεταφίλας καὶ τῶν ἐπαίνων ἐνεπλήσθησαν, οὕτω τραπόμενοι πρὸς τοὺς τυράννους, τὴν μὲν Καλβίαν ζῶσαν κατέκαυσαν, τὸν δὲ Λέανδρον ἐνράψαντες εἰς βύρσαν κατεπόντισαν. ἠξίουν δὲ τὴν Ἀρεταφίλαν συνάρχειν καὶ συνδιοικεῖν τοῖς ἀρίστοις ἀνδράσι τὴν πολιτείαν. ἡ δὲ ὥς ποικίλον τι δρᾶμα καὶ πολυμερὲς ἀγωνισαμένη μέχρι στεφάνου διαδόσεως, ὡς ἐπεῖδε τὴν πόλιν ἐλευθέραν, εὐθὺς εἰς τὴν γυναικωνῖτιν ἐνέδυ, καὶ τοῦ πολυπραγμονεῖν ὁτιοῦν παραβαλλομένη, τὸν λοιπὸν χρόνον ἐν ἱστοῖς ἡσυχίαν ἄγουσα μετὰ τῶν φίλων καὶ οἰκείων διετέλεσεν.

ΚΑΜΜΑ.

Ἦσαν ἐν Γαλατίᾳ δυνατώτατοι τῶν τετραρχῶν, καίτοι καὶ κατὰ γένος προσήκοντες ἀλλήλοις, Σινάτος τε καὶ Συνόριξ. ὧν ὁ Σινάτος γυναῖκα παρθένον ἔσχε Κάμμαν ὄνομα, περίβλεπτον μὲν ἰδέᾳ σώματος καὶ ὥρᾳ, θαυμαζομένην δὲ μᾶλλον δι' ἀρετήν. οὐ γὰρ μόνον σώφρων καὶ φίλανδρος, ἀλλὰ καὶ συνετὴ καὶ μεγαλόφρων καὶ ποθεινὴ τοῖς ὑπηκόοις ἦν διαφερόντως ὑπ' εὐμενείας καὶ χρηστότητος. ἐπιφανεστέραν δὲ αὐτὴν ἐποίει καὶ τὸ τῆς Ἀρτέμιδος ἱέρειαν εἶναι, ἣν μάλιστα Γαλάται σέβουσι, περί τε πομπὰς ἀεὶ καὶ θυσίας κεκοσμημένην ὁρᾶσθαι μεγαλοπρεπῶς. ἐρασθεὶς οὖν αὐτῆς ὁ Συνόριξ, καὶ μήτε πεῖσαι, μήτε βιάζεσθαι ζῶντος τοῦ ἀνδρὸς δυνατὸς ὤν, ἔργον εἰργάσατο δεινόν. ἀπέκτεινε γὰρ δόλῳ τὸν Σινάτον, καὶ χρόνον οὐ πολὺν διαλιπὼν, ἐμνᾶτο τὴν Κάμμαν ἐν τῷ ἱερῷ ποιουμένην διατριβὰς, καὶ φέρουσαν οὐκ οἰκτρῶς καὶ ταπεινῶς, ἀλλὰ θυμῷ νοῦν ἔχοντι, καὶ καιρὸν περιμένον τὴν τοῦ Συνόριγος παρανομίαν. ὁ δὲ λιπαρὴς ἦν περὶ τὰς δεήσεις, καὶ λόγων ἐδόκει μὴ παντάπασιν ἀπορεῖν εὐπρέπειαν ἐχόντων. ὡς τὰ μὲν ἄλλα Σινάτου βελτίονα παρεσχηκὼς ἑαυτὸν, ἀνελὼν δὲ ἐκεῖνον ἔρωτι τῆς Κάμμας, μὴ δι' ἑτέραν τινὰ πονηρίαν. ἦσαν οὖν τὸ πρῶτον ἀρνήσεις οὐκ ἄγαν ἀπηνεῖς τῆς γυναικός, εἶτα κατὰ μικρὸν ἐδόκει μαλάσσεσθαι. καὶ γὰρ οἰκεῖοι καὶ φίλοι προσέκειντο θεραπείᾳ καὶ χάριτι τοῦ Συνόριγος μέγιστον δυναμένου, πείθοντες αὐτὴν καὶ καταβιαζόμενοι. τέλος δὲ συνεχώρει, καὶ μετεπέμπετο πρὸς ἑαυτὴν ἐκεῖνον, ὡς παρὰ τῷ θεῷ τῆς συναινέσεως καὶ καταπιστώσεως γενησομένης. ἐλθόντα δὲ δεξαμένη φιλοφρόνως καὶ προσαγαγοῦσα τῷ βωμῷ, κατέσπεισεν ἐκ φιάλης. καὶ τὸ μὲν, ἐξέπιεν αὐτή. τὸ δὲ, ἐκεῖνον ἐκέλευσεν. ἦν δὲ πεφαρμαγμένον μελίκρατον. ὡς δὲ εἶδε πεπωκότα, λαμπρὸν ἀνωλόλυξε, καὶ τὴν θεὸν προσκυνήσασα, μαρτύρομαί σε εἶπεν ὦ πολυτίμητε δαῖμον, ὅτι ταύτης ἕνεκα τῆς ἡμέρας ἐπέζησα τῷ Σινάτου φόνῳ, χρόνον τοσοῦτον οὐδὲν ἀπολαβοῦσα τοῦ βίου χρηστὸν, ἀλλὰ τὴν ἐλπίδα τῆς δίκης, ἣν ἔχουσα καταβαίνω πρὸς τὸν ἐμὸν ἄνδρα. σοὶ δὲ ὦ πάντων ἀνοσιώτατε ἀνθρώπων, τάφον ἀντὶ θαλάμου καὶ γάμου παρασκευαζέτωσαν οἱ προσήκοντες. ταῦτα δὲ ἀκούσας ὁ Γαλάτης, καὶ τοῦ φαρμάκου δρῶντος ἤδη καὶ διακινοῦντος τὸ σῶμα συναισθόμενος, ἐπέβη μετὰ ὀχήματος ὡς σάλῳ καὶ τιναγμῷ χρησόμενος. ἐξέστη δὲ παραχρῆμα, καὶ μεταβὰς εἰς φορεῖον, ἑσπέρας ἀπέθανεν. ἡ δὲ Κάμμα διενεγκοῦσα τὴν νύκτα καὶ πυθομένη τέλος ἔχειν ἐκεῖνον, εὐθύμως καὶ ἱλαρῶς κατέστρεψεν.

ΣΤΡΑΤΟΝΙΚΗ.

Παρέσχε δὲ ἡ Γαλατία καὶ Στρατονίκην τὴν Δηιοτάρου, καὶ Χιομάραν τὴν Ὀρτιάγοντος, ἀξίας μνήμης γυναῖκας. ἡ μὲν οὖν Στρατονίκη δεόμενον γνησίων παίδων ἐπὶ διαδοχῇ τῆς βασιλείας ἐπισταμένη τὸν ἄνδρα, μὴ τίκτουσα δὲ αὐτὴ, συνέπεισεν ἐξ ἑτέρας γυναικὸς παιδοποιησάμενον αὐτῇ τὸ παιδίον περιϊ-

δεῖν

δεῖν ὑποβαλλόμενον, τοῦ δὲ Δηιοτάρου τήν τε γνώμην θαυμάσαντος, καὶ πᾶν ἐπ' αὐτῇ ποιησαμένου, παρθένον εὐπρεπῆ παρασκευάσασα τῶν αἰχμαλώτων ὄνομα Ἠλέκτραν, συνεῖρξε τῷ Δηιοτάρῳ, καὶ τοὺς γενομένους παῖδας ὥσπερ γνησίους αὐτῆς ἔθρεψε φιλοστόργως καὶ μεγαλοπρεπῶς.

ΧΙΟΜΑΡΑ.

Χιομάραν δὲ συνέβη τὴν Ὀρτιάγοντος αἰχμάλωτον γενέσθαι μετὰ τῶν ἄλλων γυναικῶν, ὅτε Ῥωμαῖοι καὶ Γναῖος ἐνίκησαν μάχῃ τοὺς ἐν Ἀσίᾳ Γαλάτας. ὁ δὲ λαβὼν αὐτὴν ταξίαρχος, ἐχρήσατο τῇ τύχῃ στρατιωτικῶς καὶ κατῄσχυνεν. ἦν δὲ ἄρα καὶ πρὸς ἡδονὴν καὶ ἀργύριον ἀμαθὴς καὶ ἀκρατὴς ἄνθρωπος, ἡττήθη δὲ ὅμως ὑπὸ τῆς φιλαργυρίας, καὶ χρυσίου συχνοῦ διομολογηθέντος ὑπὲρ τῆς γυναικὸς, ἦγεν αὐτὴν ἀπολυτρώσων ποταμοῦ τινος ἐν μέσῳ διείργοντος. ὡς δὲ διαβάντες οἱ Γαλάται τὸ χρυσίον ἔδωκαν αὐτῷ καὶ παρελάμβανον τὴν Χιομάραν, ἡ μὲν ἀπὸ νεύματος προσέταξεν ἑνὶ παῖσαι τὸν Ῥωμαῖον ἀσπαζόμενον αὐτὴν καὶ φιλοφρονούμενον, ἐκείνου δὲ πεισθέντος καὶ τὴν κεφαλὴν ἀποκόψαντος, ἀραμένη καὶ περιστείλασα τοῖς κόλποις ἀπήλαυνεν. ὡς δὲ ἦλθε πρὸς τὸν ἄνδρα καὶ τὴν κεφαλὴν αὐτῷ προὔβαλεν, ἐκείνου θαυμάσαντος καὶ εἰπόντος ὦ γύναι καλὸν ἡ πίστις, ναὶ εἶπεν, ἀλλὰ κάλλιον ἕνα μόνον ζῆν ἐμοὶ συγγεγενημένον. ταύτῃ μὲν ὁ Πολύβιός φησι διὰ λόγων ἐν Σάρδεσι γενόμενος θαυμάσαι, τό τε φρόνημα καὶ τὴν σύνεσιν. ἐπεὶ δὲ Μιθριδάτης ἐξήκοντα Γαλατῶν τοὺς ἀρίστους μεταπεμψάμενος εἰς Πέργαμον ὡς φίλους, ὑβριστικῶς ἐδόκει καὶ δεσποτικῶς προσφέρεσθαι, καὶ πάντες ἠγανάκτουν. Ποριδόραξ ἀνήρ τό τε σῶμα ῥωμαλέος καὶ τὴν ψυχὴν διαφέρων, ἦν δὲ Τοσιωπῶν τετράρχης, ἀνεδέξατο τὸν Μιθριδάτην, ὅταν ἐν τῷ βήματι γυμνασίῳ χρηματίζῃ, συναρπάσας, ὤσειν ἅμα σὺν αὑτῷ κατὰ τοῦ φάραγγος. τύχῃ δέ τινι τῆς ἡμέρας ἐκείνης οὐκ ἀναβάντος εἰς τὸ γυμνάσιον αὐτοῦ, μεταπεμπομένου δὲ τοὺς Γαλάτας οἴκαδε, θαρρεῖν παρεκάλει, καὶ ὅταν ἐν ταὐτῷ γένωνται, διασπάσαι τὸ σῶμα καὶ διαφθεῖραι πανταχόθεν προσπεσόντας. τοῦτο οὐκ ἔλαθε τὸν Μιθριδάτην, ἀλλὰ μηνύσεως γενομένης καθ' ἕνα τῶν Γαλατῶν παρεδίδου σφαγησόμενον, εἶτά πως ἀναμνησθεὶς νεανίσκου πολὺ προέχοντος πρωτεύσαντος ὥρᾳ καὶ κάλλει τῶν καθ' αὐτὸν, ᾤκτειρε καὶ μετενόει, καὶ δῆλος ἦν ἀχθόμενος ὡς ἐν πρώτοις ἀπολωλότος, ὅμως δὲ ἔπεμψεν, εἰ ζῶν εὑρεθείη μεθεῖναι κελεύων. ἦν δὲ ὄνομα τῷ νεανίσκῳ Βηπολιτανὸς, καί τις αὐτῷ τύχη θαυμαστὴ συνέπεσε. καλὴν γὰρ ἐσθῆτα καὶ πολυτελῆ συνελήφθη φορῶν, ἣν ὁ δήμιος ἀναίμακτον αὐτῷ καὶ καθαρὰν διαφυλάξαι βουλόμενος, καὶ ἀποδύων ἀτρέμα τὸν νεανίσκον, εἶδε τοὺς παρὰ τοῦ βασιλέως προσθέοντας ἅμα, καὶ τοὔνομα τοῦ μειρακίου βοῶντας. τὸν μὲν οὖν Βηπολιτανὸν ἡ πολλοὺς ἀπολέσασα φιλαργυρία διέσωσεν ἀπροσδοκήτως, ὁ δὲ Ποριδόραξ κατακοπεὶς ἄταφος ἐξεβέβλητο, καὶ τῶν φίλων οὐδεὶς ἐτόλμησε προσελθεῖν. γύναιον δὲ Περγαμηνὸν ἐγνωσμένον ἀφ' ὥρας ζῶντι τῷ Γαλάτῃ παρεκινδύνευσε θάψαι καὶ περιστεῖλαι τὸν νεκρόν. ᾔσθοντο δὲ οἱ φύλακες καὶ συλλαβόντες, ἀνήγαγον πρὸς τὸν βασιλέα. λέγεται μὲν οὖν τι καὶ πρὸς τὴν ὄψιν αὐτῆς παθεῖν ὁ Μιθριδάτης, νέας παντάπασι καὶ ἀκάκου τῆς παιδίσκης φανείσης, ἔτι δὲ μᾶλλον ὡς ἔοικε τὴν αἰτίαν γνοὺς ἐρωτικὴν οὖσαν, ἐπεκλάσθη καὶ συνεχώρησεν ἀνελέσθαι καὶ θάψαι τὸν νεκρὸν ἐσθῆτα καὶ κόσμον ἐκ τῶν ἐκείνου λαβοῦσαν.

ΤΙΜΟΚΛΕΙΑ.

Θεαγένης ὁ Θηβαῖος Ἐπαμινώνδᾳ καὶ Πελοπίδᾳ καὶ τοῖς ἀρίστοις ἀνδράσι τὴν αὐτὴν ὑπὲρ τῆς πόλεως λαβὼν διάνοιαν, ἔπταισε περὶ τὴν κοινὴν τύχην τῆς Ἑλλάδος ἐν Χαιρωνείᾳ κρατῶν ἤδη, καὶ διώκων τοὺς κατ' αὐτὸν ἀντιτεταγμένους.

ἐκεῖνος γὰρ ἦν ὁ πρὸς τὸν ἐμβοήσαντα μέχρι ποῦ διώκεις, ἀποκρινάμενος μέχρι μακεδονίας. ἀποθανόντι δ' αὐτῷ περιῆν ἀδελφὴ μαρτυροῦσα, κἀκεῖνον ἀρετῇ γένους καὶ φύσει μέγαν ἄνδρα καὶ λαμπρὸν γενέσθαι, πλὴν ταύτῃ γε καὶ χρηστὸν ἀπολαῦσαί τι τῆς ἀρετῆς ὑπῆρξεν. ὥστε κουφότερον ὅσον τῶν κοινῶν ἀτυχημάτων εἰς αὐτὴν ἦλθεν ἐνεγκεῖν. ἐπεὶ γὰρ ἐκράτησε θηβαίων ἀλέξανδρος, ἄλλοι δὲ ἄλλα τῆς πόλεως ἐπόρθουν ἐπιόντες, ἔτυχε τῆς τιμοκλείας τὴν οἰκίαν καταλαβὼν ἄνθρωπος, οὐκ ἐπιεικὴς οὐδὲ ἥμερος, ἀλλ' ὑβριστὴς καὶ ἀνόητος, ἦρχε δὲ θρᾳκίου τινὸς ἴλης, καὶ ὁμώνυμος ἦν τοῦ βασιλέως, οὐδὲν δὲ ὅμοιος, οὔτε γὰρ τὸ γένος οὔτε τὸν βίον αἰδεσθεὶς τῆς γυναικὸς ὡς ἐνέπλησεν ἑαυτὸν οἴνου μετὰ δεῖπνον ἐκάλει συναναπαυσομένην, καὶ τοῦτο πέρας οὐκ ἦν, ἀλλὰ καὶ χρυσὸν ἐζήτει καὶ ἄργυρον εἴ τις εἴη κεκρυμμένος ὑπ' αὐτῆς, τὰ μὲν, ὡς ἀπολῶν, τὰ δὲ, ὡς ἕξων διαπαντὸς ἐν τάξει γυναικός. ἡ δὲ δεξαμένη λαβὴν αὐτοῦ διδόντος, ὤφελον μὲν εἶπε τεθνάναι πρὸ ταύτης ἐγὼ τῆς νυκτὸς ἢ ζῆν, τὸ γοῦν σῶμα πάντων ἀπολλυμένων ἀπείρατον ὕβρεως διαφυλάξαι. πεπραγμένων δὲ οὕτως εἰ σὲ κηδεμόνα καὶ δεσπότην καὶ ἄνδρα δεῖ νομίζειν τοῦ δαίμονος διδόντος, οὐκ ἀποστερήσω σε τῶν σῶν, ἐμαυτὴν γὰρ ὅτι βουλήσῃ ὁρῶ γεγενημένην, ἐμοὶ περὶ σῶμα κόσμος ἦν καὶ ἄργυρος ἐν ἐκπώμασιν, ἦν τι καὶ χρυσοῦ καὶ νομίσματος, ὡς δὲ ἡ πόλις ἡλίσκετο, πάντα συλλαβεῖν κελεύσασα τὰς θεραπαινίδας ἔρριψα, μᾶλλον δὲ κατεθέμην εἰς φρέαρ ὕδωρ οὐκ ἔχον, οὐδὲ ἴσασιν αὐτὸ πολλοί, πῶμα γὰρ ἔπεστι καὶ κύκλῳ περιπέφυκεν ὕλη σύσκιος, ταῦτα σὺ μὲν εὐτυχοίης λαβὼν, ἐμοὶ δὲ ἔσται πρὸς σὲ μαρτύρια καὶ γνωρίσματα τῆς περὶ τὸν οἶκον εὐτυχίας καὶ λαμπρότητος. ἀκούσας οὖν ὁ μακεδὼν οὐ περιέμεινε τὴν ἡμέραν, ἀλλ' εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν τόπον ἡγουμένης τιμοκλείας, καὶ τὸν κῆπον ἀποκλεῖσαι κελεύσας, ὅπως αἴσθοιτο μηδεὶς, κατέβαινεν ἐν τῷ χιτῶνι, συνεργὰ δ' ἡγεῖτο κλωθὼ τιμωρὸς ὑπὸ τῆς τιμοκλείας ὑφεστώσης ἄνωθεν, ὡς δ' ᾔσθετο τῇ φωνῇ κάτω γεγονότος, πολλοὺς μὲν αὐτὴ τῶν λίθων ἐπέφερε, πολλοὺς δὲ καὶ μεγάλους αἱ θεραπαινίδες ἀπεκυλίνδουν, ἄχρις οὗ κατέκοψαν αὐτὸν καὶ κατέχωσαν. ὡς δ' ἔγνωσαν οἱ μακεδόνες, καὶ τὸν νεκρὸν ἀνείλοντο, κηρύγματος ἤδη γεγονότος μηδένα κτείνειν θηβαίων, ἦγον αὐτὴν συλλαβόντες ἐπὶ τὸν βασιλέα, καὶ προσήγγειλαν τὸ τετολμημένον. ὁ δὲ καὶ τῇ καταστάσει τοῦ προσώπου καὶ τῷ σχολαίῳ τοῦ βαδίσματος ἀξιωματικόν τι καὶ γενναῖον ἐνιδὼν, πρῶτον ἀνέκρινεν αὐτὴν, τίς εἴη γυναικῶν, ἡ δὲ ἀνεκπλήκτως πάνυ καὶ τεθαῤῥηκότως εἶπεν, ἐμοὶ θεαγένης ἦν ἀδελφὸς, ὃς ἐν χαιρωνείᾳ στρατηγῶν καὶ μαχόμενος πρὸς ὑμᾶς ὑπὲρ τῆς τῶν ἑλλήνων ἐλευθερίας, ἔπεσεν, ὅπως ἡμεῖς μηδὲν τοιοῦτον πάθωμεν, ἐπεὶ δὲ πεπόνθαμεν ἀνάξια τοῦ γένους, ἀποθανεῖν οὐ φεύγομεν. οὐδὲ γὰρ ἄμεινον ἴσως ζῶσαν ἑτέρας πειρᾶσθαι νυκτὸς, εἰ σὺ τοῦτο μὴ κωλύσῃς. οἱ μὲν οὖν ἐπιεικέστεροι τῶν παρόντων ἐδάκρυσαν, ἀλεξάνδρῳ δὲ οἰκτείρειν μὲν οὐκ ἐπῄει τὴν ἄνθρωπον ὡς μείζονα, θαυμάσας δὲ τὴν ἀρετὴν καὶ τὸν λόγον εὖ μάλα καθαψάμενον αὐτοῦ, τοῖς μὲν ἡγεμόσι παρήγγειλεν προσέχειν καὶ φυλάττειν, μὴ πάλιν ὕβρισμα τοιοῦτον εἰς οἰκίαν ἔνδοξον γένηται. τὴν δὲ τιμόκλειαν ἀφῆκεν αὐτήν τε καὶ πάντας ὅσοι κατὰ γένος αὐτῇ προσήκοντες εὑρέθησαν.

ΕΡΥΞΩ.

Βάττου τοῦ ἐπικληθέντος εὐδαίμονος, υἱὸς ἀρκεσίλαος ἦν, οὐδὲν ὅμοιος τῷ πατρὶ τοὺς τρόπους. καὶ γὰρ ζῶντος ἔτι τοῦ πατρὸς τὴν οἰκίαν περιθεὶς ἐπάλξεις, ὑπὸ τοῦ πατρὸς ἐζημιώθη ταλάντῳ, καὶ τελευτήσαντος ἐκείνου, τοῦτο μὲν τὴν φύσιν χαλεπὸς ὢν ὅπερ καὶ ἐπεκλήθη, τοῦτο δὲ φίλῳ πονηρῷ λαάρχῳ χρώμενος, ἀντὶ βασιλέως ἐγεγόνει τύραννος. ὁ δὲ λάαρχος ἐπιβουλεύων τῇ τυραννίδι καὶ τοὺς ἀρίστους τῶν κυρηναίων ἐξελαύνων ἢ φονεύων,

ἐπὶ τὸν ἀρκεσίλαον τὰς αἰτίας ἔτρεπε, καὶ τέλος ἐκεῖνον μὲν εἰς νόσον ἐμβαλὼν φθινάδα καὶ χαλεπὴν, λαγὼν πιόντα θαλάσσιον διέφθειρεν, αὐτὸς δὲ τὴν ἀρχὴν εἶχεν, ὡς τῷ παιδὶ τῷ ἐκείνου βάττῳ διαφυλάττων. ὁ μὲν οὖν παῖς καὶ διὰ τὴν χωλότητα καὶ διὰ τὴν ἡλικίαν κατεφρονεῖτο, τῇ δὲ μητρὶ πολλοὶ προσεῖχον αὐτοῦ, σώφρων τε γὰρ ἦν καὶ φιλάνθρωπος, οἰκείους τε πολλοὺς καὶ δυνατοὺς εἶχε, διὸ καὶ θεραπεύων αὐτὴν ὁ λάαρχος ἐμνηστεύετο, καὶ τὸν βάττον ἠξίου παῖδα θέσθαι γήμας ἐκείνην, καὶ κοινωνὸν ἀποδείξας τῆς ἀρχῆς. ἡ δὲ ἐρυξὼ, τοῦτο γὰρ ἦν τοὔνομα τῇ γυναικὶ, βουλευσαμένη μετὰ τῶν ἀδελφῶν, ἐκέλευε τὸν λάαρχον ἐντυγχάνειν ἐκείνοις, ὡς αὐτῆς προσιεμένης τὸν γάμον. ἐπεὶ δ' ὁ λάαρχος ἐνετύγχανε τοῖς ἀδελφοῖς, ἐκεῖνοι δὲ ἐπίτηδες παρῆγον καὶ ἀνεβάλλοντο, πέμπει πρὸς αὐτὸν ἡ ἐρυξὼ θεραπαινίδα παρ' αὐτῆς παραγγέλλουσαν, ὅτι νῦν μὲν ἀντιλέγουσιν οἱ ἀδελφοὶ, γενομένης δὲ τῆς συνόδου παύσονται διαφερόμενοι καὶ συγχωρήσουσι, δεῖ οὖν αὐτὸν εἰ βούλεται, νύκτωρ ἀφικέσθαι πρὸς αὐτὴν, καλῶς γὰρ ἕξειν καὶ τὰ λοιπὰ τῆς ἀρχῆς γενομένης. ἦν οὖν ταῦτα πρὸς ἡδονὴν τῷ λαάρχῳ, καὶ παντάπασιν ἀναπτοηθεὶς πρὸς τὴν φιλοφροσύνην τῆς γυναικὸς, ὡμολόγησεν ἥξειν ὅταν ἐκείνη κελεύῃ. ταῦτα δὲ ἔπραττεν ἡ ἐρυξὼ μετὰ πολυάρχου τοῦ πρεσβυτάτου τῶν ἀδελφῶν. ὁρισθέντος δὲ καιροῦ πρὸς τὴν σύνοδον, ὁ πολύαρχος εἰς τὸ δωμάτιον τῆς ἀδελφῆς παρεισήχθη κρύφα νεανίσκους ἔχων δύο σὺν αὐτῷ ξιφήρεις, φόνῳ πατρὸς ἐπεξιόντας, ὃν ὁ λάαρχος ἐτύγχανεν ἀπεκτονὼς νεωστί. μεταπεμψαμένης δὲ τῆς ἐρυξοῦς αὐτὸν ἄνευ δορυφόρων εἰσῆλθε, καὶ τῶν νεανίσκων αὐτῷ προσπεσόντων, τυπτόμενος τοῖς ξίφεσιν ἀπέθανε. τὸν μὲν οὖν νεκρὸν ἔρριψαν ὑπὲρ τὸ τεῖχος, τὸν δὲ βάττον προσαγαγόντες ἀνέδειξαν ἐπὶ τοῖς πατρῴοις βασιλέα, καὶ τὴν ἀπ' ἀρχῆς πολιτείαν ὁ πολύαρχος ἀπέδωκε τοῖς κυρηναίοις, ἐτύγχανον δὲ ἀμάσιδος τοῦ αἰγυπτίων βασιλέως στρατιῶται συχνοὶ παρόντες, οἷς ὁ λάαρχος ἐχρῆτο πιστοῖς, καὶ φοβερὸς ἦν οὐχ ἥκιστα δι' ἐκείνων τοῖς πολίταις, οὗτοι πρὸς ἄμασιν ἔπεμψαν τοὺς κατηγορήσοντας, τοῦ τε πολυάρχου καὶ τῆς ἐρυξοῦς, χαλεπαίνοντος δὲ ἐκείνου καὶ διανοουμένου πολεμεῖν τοῖς κυρηναίοις, συνέβη τὴν μητέρα τελευτῆσαι, καὶ ταφὰς αὐτῆς ἐπιτελοῦντος, ἀπαγγέλλοντας ἐλθεῖν παρὰ τοῦ ἀμάσιδος. ἔδοξεν οὖν τῷ πολυάρχῳ βαδίζειν ἀπολογησομένῳ, τῆς δὲ ἐρυξοῦς μὴ ἀπολειπομένης, ἀλλ' ἕπεσθαι καὶ συγκινδυνεύειν βουλομένης, οὐδὲ ἡ μήτηρ καίτοι γε καὶ πρεσβῦτις οὖσα ἀπελείπετο, μέγιστον δὲ αὐτῆς ἦν ἀξίωμα βάττου γεγενημένης ἀδελφῆς τοῦ εὐδαίμονος. ὡς οὖν ἦλθον εἰς αἴγυπτον, οἵ τε ἄλλοι θαυμαστῶς ἀπεδέξαντο τὴν πρᾶξιν αὐτῶν, καὶ ὁ ἄμασις οὐ μετρίως ἀπεδέξατο τήν τε σωφροσύνην καὶ τὴν ἀνδρείαν τῆς ἐρυξοῦς, δώροις δὲ τιμήσας καὶ θεραπείᾳ βασιλικῇ τόν τε πολύαρχον καὶ τὰς γυναῖκας εἰς κυρήνην ἀπέστειλεν.

ΞΕΝΟΚΡΙΤΗ.

Οὐχ ἧττον δ' ἄν τις ἀγάσαιτο τὴν κυμαίαν ξενοκρίτην ἐπὶ τοῖς πραχθεῖσι περὶ ἀριστόδημον τὸν τύραννον, ᾧ τινες μαλακοῦ ἐπίκλησιν οἴονται γεγονέναι, τὸ ἀληθὲς ἀγνοοῦντες, ἐπεκλήθη γὰρ ὑπὸ τῶν βαρβάρων μαλακὸς, ὅπερ ἐστὶν αὐτίπαις, ὅτι μειράκιον ὢν παντάπασι μετὰ τῶν ἡλίκων ἔτι κομώντων, οὓς κορωνιστὰς ὡς ἔοικεν ἀπὸ τῆς κόμης ὠνόμαζον. ἐν τοῖς πρὸς τοὺς βαρβάρους πολέμοις, ἐπιφανὴς ἦν καὶ λαμπρὸς, οὐ τόλμῃ μόνον, οὐδὲ χειρὸς ἔργοις, ἀλλὰ συνέσει καὶ προνοίᾳ φανεὶς περιττὸς, ὅθεν εἰς τὰς μεγίστας προῆλθεν ἀρχὰς θαυμαζόμενος ὑπὸ τῶν πολιτῶν, καὶ ῥωμαίοις ἐπικουρίαν ἄγων, ἐπέμφθη πολεμουμένοις ὑπὸ τῶν τυῤῥηνῶν, ταρκυνίου σοῦπερβον ἐπὶ τὴν βασιλείαν κατα-

γόντων, ἐν ταύτῃ δὲ τῇ στρατιᾷ μακρᾷ γενομένῃ πάντῃ πρὸς χάριν ἐνδιδοὺς τοῖς στρατευομένοις τῶν πολιτῶν, καὶ δημαγωγῶν μᾶλλον ἢ στρατηγῶν, ἔπεισεν αὐτοὺς συνεπιθέσθαι τῇ βουλῇ καὶ συνεκβαλεῖν τοὺς ἀρίστους καὶ δυνατωτάτους. ἐκ δὲ τούτου γενόμενος τύραννος, ἦν μὲν ἐν ταῖς περὶ γυναῖκας καὶ παῖδας ἐλευθέρους ἀδικίαις αὐτὸς ἑαυτοῦ μοχθηρότερος· ἱστορεῖται γὰρ ὅτι τοὺς μὲν ἄρρενας παῖδας ἤσκει κόμαις καὶ χρυσοφορεῖν, τὰς δὲ θηλείας ἠνάγκαζε περιτρόχαλα κείρεσθαι, καὶ φορεῖν ἐφηβικὰς χλαμύδας, καὶ τῶν ἀνακώλων χιτωνίσκων. οὐ μὴν, ἀλλ' ἐξαιρέτως ἐρασθεὶς τῆς ξενοκρίτης εἶχεν αὐτὴν φυγάδος οὖσαν πατρὸς, οὐ καταγαγὼν οὐδὲ πείσας ἐκεῖνον, ἀλλ' ὅπως συνῆν ἡγούμενος ἀγαπᾶν συνοῦσαν αὐτῷ τὴν κόρην, ἅτε δὴ ζηλουμένην καὶ μακαριζομένην ὑπὸ τῶν πολιτῶν. τὴν δὲ ταῦτα μὲν οὐκ ἐξέπληττεν· ἀχθομένη δὲ ἐπὶ τῷ συνοικεῖν ἀνεκδότως καὶ ἀνέγγυος, οὐδὲν ἧττον ἐπόθει τῶν μισουμένων ὑπὸ τοῦ τυράννου τὴν τῆς πατρίδος ἐλευθερίαν. ἔτυχε δὲ κατ' ἐκεῖνο καιροῦ, τάφρον ἄγων κύκλῳ περὶ τὴν χώραν ὁ ἀριστόδημος, οὔτε ἀναγκαῖον ἔργον, οὔτε χρήσιμον, ἄλλως δὲ τρίβειν καὶ ἀποκναίειν πόνοις καὶ ἀσχολίαις τοὺς πολίτας βουλόμενος. ἦν γὰρ προστεταγμένον ἑκάστῳ μέτρων τινῶν ἀριθμὸν ἐκφορεῖν τῆς γῆς, ὡς εἶδεν ἀπιόντα τὸν ἀριστόδημον, ἐξέκλινε καὶ παρεκαλύψατο τῷ χιτωνίσκῳ τὸ πρόσωπον. ἀπελθόντος οὖν τοῦ ἀριστοδήμου, σκώπτοντες οἱ νεανίσκοι καὶ παίζοντες ἠρώτων, ὅτι δὴ μόνον ὑπ' αἰδοῦς φύγοι τὸν ἀριστόδημον, πρὸς δὲ τοὺς ἄλλους οὐδὲν πάθοι τοιοῦτον, ἡ δὲ καὶ μάλα μετὰ σπουδῆς ἀπεκρίνατο, μόνος γὰρ ἔφη κυμαίων ἀριστόδημος ἀνήρ ἐστι. τοῦτο τὸ λεχθὲν τὸ ῥῆμα πάντων μὲν ἥψατο, τοὺς δὲ γενναίους καὶ παρώξυνεν αἰσχύνῃ τῆς ἐλευθερίας ἀντέχεσθαι. λέγεται δὲ καὶ τὴν ξενοκρίτην ἀκούσασαν εἰπεῖν, ὡς ἐβούλετο ἂν καὶ αὐτὴ γῆν ὑπὲρ τοῦ πατρὸς φέρειν παρόντος, ἢ τρυφῆς συμμετέχειν ἀριστοδήμῳ, καὶ δυνάμεως τοσαύτης. ἐπέρρωσεν οὖν ταῦτα συνισταμένους ἐπὶ τὸν ἀριστόδημον, ὧν ἡγεῖτο θυμοτέλης, καὶ τῆς ξενοκρίτης εἰσόδου παρεχούσης αὐτοῖς ἄδειαν, καὶ τὸν ἀριστόδημον ἄοπλον καὶ ἀφύλακτον οὐ χαλεπῶς παρεισπεσόντες, διαφθείρουσιν αὐτόν. οὕτω μὲν ἡ κυμαίων πόλις ἠλευθερώθη δυεῖν ἀρετῇ γυναικῶν, τῆς μὲν ἐπίνοιαν αὐτοῖς καὶ ὁρμὴν ἐμβαλούσης τοῦ ἔργου, τῆς δὲ πρὸς τὸ τέλος συλλαβομένης. τιμῶν δὲ καὶ δωρεῶν μεγάλων τῇ ξενοκρίτῃ προτεινομένων, ἐάσασα πάσας, ἓν ᾐτήσατο θάψαι τὸ σῶμα τοῦ ἀριστοδήμου. καὶ τοῦτ' οὖν ἔδοσαν αὐτῇ, καὶ δήμητρος ἱέρειαν αὐτὴν εἵλοντο, οὐχ ἧττον οἰόμενοι τῇ θεῷ κεχαρισμένην ἢ πρέπουσαν ἐκείνῃ τιμὴν ἔσεσθαι. λέγεται δὲ καὶ τὴν πύθεω τοῦ κατὰ ξέρξην γυναῖκα σοφὴν γενέσθαι καὶ χρηστήν. αὐτὸς μὲν γὰρ ὁ πύθης ὡς ἔοικε χρυσείοις ἐντυχὼν μετάλλοις, καὶ ἀγαπήσας τὸν ἐξ αὐτῶν πλοῦτον, οὐ μετρίως, ἀλλ' ἀπλήστως καὶ περιττῶς αὐτός τε περὶ ταῦτα διέτριβε, καὶ τοὺς πολίτας καταβιάζων ἅπαντας ὁμαλῶς ὀρύττειν ἢ φορεῖν ἢ καθαίρειν ἠνάγκαζε τὸ χρυσίον, ἄλλο μηδὲν ἐργαζομένους τὸ παράπαν μηδὲ πράττοντας. ἀπολλυμένων δὲ πολλῶν, πάντων δὲ ἀπαγορευόντων αἱ γυναῖκες μεθ' ἱκετηρίαν ἔθεσαν ἐπὶ τὰς θύρας ἐλθοῦσαι τῆς τοῦ πύθεω γυναικός. ἡ δὲ ἐκείνας μὲν ἀπιέναι καὶ θαρρεῖν ἐκέλευσεν, αὐτὴ δὲ τῶν περὶ τὸ χρυσίον τεχνιτῶν οἷς ἐπίστευε μάλιστα καλέσασα καὶ καθείρξασα, ποιεῖν ἐκέλευσεν ἄρτους τε χρυσοῦς, καὶ πέμματα παντοδαπὰ, καὶ ὀπώρας, καὶ ὄψα οἷς δὴ μάλιστα τὸν πύθην ἐγίνωσκεν ἡδόμενον ἐν ὄψοις καὶ βρώμασι, ποιηθέντων δὲ πάντων, ὁ μὲν πύθης ἧκεν ἀπὸ τῆς ξένης, ἐτύγχανε γὰρ ἀποδημῶν, ἡ δὲ γυνὴ δεῖπνον αἰτοῦντι παρέθηκε χρυσῆν τράπεζαν οὐδὲν ἐδώδιμον ἔχουσαν, ἀλλὰ πάντα χρυσᾶ, τὸ μὲν οὖν πρῶτον ἔχαιρε πύθης τοῖς μιμήμασιν, ἐμπλησθεὶς δὲ τῆς ὄψεως, ᾔτει φαγεῖν, ἡ δὲ, χρυσοῦν ὅτι τύχοι ποθήσας, προσέφερε.

φερε. δυσχεραίνοντος δὲ αὐτοῦ καὶ πεινῆν βοῶντος, ἀλλὰ σύ γε τούτων εἶπεν, ἄλλου δὲ οὐδενὸς εὐπορίαν πεποίηκας ἡμῖν, καὶ γὰρ ἐμπειρία καὶ τέχνη πᾶσα φροῦδος, γεωργεῖ δὲ οὐδείς, ἀλλὰ τὰ σπειρόμενα καὶ φυτευόμενα καὶ τρέφοντα τῆς γῆς ὀπίσω καταλιπόντες, ὀρύσσομεν ἄχρηστα καὶ ζητοῦμεν, ἀποκναίοντες αὑτοὺς καὶ τοὺς πολίτας, ἐκίνησε ταῦτα τὸν πύθην· καὶ πᾶσαν μὲν οὐ κατέλυσε τὴν περὶ τὰ μέταλλα πραγματείαν, ἀνὰ μέρος δὲ τὸ πέμπτον ἐργάζεσθαι κελεύσας τῶν πολιτῶν, τοὺς λοιποὺς ἐπὶ γεωργίαν καὶ τὰς τέχνας ἔτρεψε. ξέρξου δὲ καταβαίνοντος ἐπὶ τὴν ἑλλάδα, λαμπρότατος ἐν ταῖς ὑπεροχαῖς καὶ ταῖς δωρεαῖς γενόμενος, χάριν ᾐτήσατο παρὰ τοῦ βασιλέως, πλειόνων αὐτῷ παίδων ὄντων, ἕνα παρεῖναι τῆς στρατιᾶς, καὶ καταλιπεῖν αὐτῷ γηροβοσκεῖν. ὁ δὲ ξέρξης ὑπ' ὀργῆς τοῦτον μόνον ὃν ἐξῃτήσατο σφάξας καὶ διατεμὼν, ἐκέλευσε τὸν στρατὸν διελθεῖν, τοὺς δὲ ἄλλους ἐπηγάγετο, καὶ πάντες ἀπώλοντο κατὰ τὰς μάχας, ἐφ' οἷς ὁ πύθης ἀθυμήσας ἔπαθεν ὅμοια πολλοῖς τῶν κακῶν καὶ ἀνοήτων. τὸν μὲν γὰρ θάνατον ἐφοβεῖτο, τῷ βίῳ δὲ ἤχθετο. βουλόμενος δὲ μὴ ζῆν, προέσθαι δὲ τὸ ζῆν μὴ δυνάμενος, χώματος ὄντος ἐν τῇ πόλει μεγάλου, καὶ ποταμοῦ διαρρέοντος, ὃν πυθοπολίτην ὠνόμαζον, ἐν μὲν τῷ χώματι κατεσκεύασε μνημεῖον, ἐκτρέψας δὲ τὸ ῥεῖθρον, ὥστε διὰ τοῦ χώματος φέρεσθαι ψαύοντα τοῦ τάφου τὸν ποταμόν. ἐπὶ τούτοις συντελεσθεῖσιν, αὐτὸς μὲν εἰς τὸ μνημεῖον κατῆλθε, τῇ δὲ γυναικὶ τὴν ἀρχὴν καὶ τὴν πόλιν ἀναθεὶς ἅπασαν, ἐκέλευσε μὴ προσιέναι, πέμπειν δὲ τὸν δεῖπνον αὐτῷ καθ' ἑκάστην ἡμέραν εἰς βᾶριν ἐντεθεῖσαν, ἄχρις οὗ τὸν τάφον ἡ βᾶρις παρέλθῃ τὸ δεῖπνον ἀκέραιον ἔχουσα, τότε δὲ παύσασθαι πέμπουσαν, ὡς αὐτοῦ τεθνηκότος, ἐκεῖνος μὲν οὕτω τὸν λοιπὸν βίον διῆγεν. ἡ δὲ γυνὴ τῆς ἀρχῆς καλῶς ἐπεμελήθη, καὶ μεταβολὴν κακῶν τοῖς ἀνθρώποις παρέσχεν.

ΠΕΡΙ ΤΟΥ ΠΟΤΕΡΟΝ ΥΔΩΡ Η ΠΥΡ ΧΡΗΣΙΜΩΤΕΡΟΝ.

α

ριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ φησὶν ὁ πίνδαρος, ὥστε οὗτος μὲν, δευτέραν ἄντικρυς τῷ πυρὶ χώραν ἔδωκε. συμφωνεῖ δὲ καὶ ἡσίοδος εἰπὼν, ἤτοι μὲν πρώτιστα χάος γένετο. τοῖς πλείστοις γὰρ ὠνομακέναι δοκεῖ τὸ ὕδωρ τοῦτον τὸν τρόπον παρὰ τὴν χύσιν. ἀλλὰ τὸ μὲν τῶν μαρτύρων ἑκάτερον ἴσον. ἐπεὶ καὶ τὸ πῦρ εἰσὶν οἱ τοῦ παντὸς ἀρχὴν ἀποφαινόμενοι, καὶ οἷον σπέρμα τοῦτο ἐξ ἑαυτοῦ τε πάντα ποιεῖν καὶ εἰς ἑαυτὸ ἐκλαμβάνειν κατὰ τὴν ἐκπύρωσιν. ἀφέμενοι δὲ τῶν ἀνδρῶν, σκεψώμεθα τοὺς εἰς ἑκάτερον λόγους πῇ μᾶλλον ἄγουσιν ἡμᾶς. ἆρ' οὖν οὐ χρησιμώτερον ἐκεῖνο, οὗ πάντοτε καὶ διηνεκῶς δεόμεθα καὶ πλείστου, καθάπερ ἐργαλεῖον καὶ ὄργανον, καὶ νὴ δία φίλος ὁ πάσης ὥρας καὶ παντὸς καιροῦ παρὼν ἕτοιμος; καὶ μὴν τὸ μὲν πῦρ οὐ πάντοτε χρήσιμον, ἔστι δὲ ὅτε καὶ βαρυνόμεθα καὶ ἀποσπώμεθα, τοῦ δὲ ὕδατος χρεία καὶ χειμῶνος καὶ θέρους, καὶ νοσοῦσι καὶ ὑγιαίνουσι, νυκτὸς καὶ μεθ' ἡμέραν, καὶ οὐκ ἔστιν ὅτε ἄνθρωπος οὐ δεῖται, ἀμέλει καὶ τοὺς ἀποθανόντας ἀλίβαντας καλοῦσιν, ὡς ἐνδεεῖς λιβάδος τουτέστιν ὑγρότητος, καὶ παρὰ τοῦτο στερουμένους τοῦ ζῆν. καὶ ἄνευ μὲν πυρὸς, ἦν πολλά. ὕδατος δὲ οὐδέποτ' ἄνθρωπος, ἐπεὶ τὸ ἐξ ἀρχῆς καὶ ἅμα τῇ πρώτῃ καταβολῇ τῶν ἀνθρώπων, χρησιμώτερον τοῦ ὕστερον εὑρεθέντος. δῆλον γὰρ ὡς τὸ μὲν, ἀναγκαῖον οὕτως ἡ φύσις δέδωκε, τὸ δὲ περιουσία τῆς χρήσεως, μάχη καὶ μηχανή τις εὗρεν. ὕδωρ μὲν οὖν οὐκ ἔστιν

εἰπεῖν ὅτε οὐκ ἦν ἀνθρώποις, οὐδέ τις εὑρετὴς λέγεται θεῶν ἢ ἡρώων· σχεδὸν γὰρ
γενομένων εὐθὺς ὑπῆρχε, τὸ γεγενῆσθαι παρεῖχεν, ἡ δὲ πυρὸς χρῆσις ἐχθές φα-
σι καὶ πρώην ἀπὸ Προμηθέως, βίος πυρὸς, οὐκ ἄνευ ὕδατος ἦν· καὶ τὸ μὲν πλά-
σμα τοῦτο μὴ εἶναι ποιητικὸν, ἀποδείκνυσιν ὁ καθ' ἡμᾶς βίος· ἔστι γὰρ ἀνθρώπων
γένη τινὰ χωρὶς πυρὸς ποιούμενα τὴν δίαιταν, ἄοικα καὶ ἀνέστια καὶ ὑπαίθρια,
καὶ Διογένης δὲ ὁ κύων, ἥκιστα προσεχρῆτο πυρὶ, ὥστε καὶ πολύποδα καταπιὼν
ὠμὸν, οὕτως ὑπὲρ ὑμῶν εἶπεν ὦ ἄνδρες παραβάλλομαι, χωρὶς δὲ ὕδατος οὔτε
καλόν τις ἐνόμισε ζῆν, οὔτε δυνατόν. καὶ τί μικρολογοῦμαι τὴν τῶν ἀνθρώ-
πων ἐπεξερχόμενος φύσιν, πολλῶν παρόντων μᾶλλον δὲ ἀπείρων γενεῶν, τὸ τῶν
ἀνθρώπων σχεδὸν μόνον οἶδε πυρὸς χρῆσιν, τὰ δὲ λοιπὰ ἀπύροις χρῆται διαίταις
καὶ τροφαῖς, καὶ βίος αὐτοῖς νεμομένοις, ἱπταμένοις, ἕρπουσιν, ἀπὸ ῥιζῶν καὶ
καρπῶν καὶ σαρκῶν ἄνευ πυρός, ὕδατος δὲ χωρὶς, οὐκ ἐνάλιον οὐδὲ χερσαῖον οὐδ'
αἰθέριον· καὶ γὰρ τὰ σαρκοβόρα τῶν ζώων, ὧν ἔνιά φησι μὴ πίνειν Ἀριστοτέλης,
τῷ δὲ ὄντως ὑγρῷ χρώμενα διαζῆν. τοῦτο οὖν χρησιμώτερον, οὗ μηδεμία ζώης
φύσις ἄνευ, ἵσταται καὶ διαμένει. μετίωμεν ἀπὸ τῶν χρωμένων ἐπὶ ταῦτα οἷς
χρώμεθα φυτὰ καὶ καρπούς· τούτων ἃ μὲν, οὐδὲ ὅλως θερμοῦ μετείληφεν, ἃ
δὲ ἥκιστα καὶ ἀδήλως· ἡ δὲ ὑγρὰ φύσις βλαστάνοντα πάντα παρέχεται αὔξα-
νόμενα καὶ καρποφοροῦντα· καὶ τί με δεῖ καταριθμεῖσθαι οἶνον καὶ ἔλαιον καὶ τὰ
λοιπὰ ὅσα βδάλλομεν καὶ ἀμέλγομεν καὶ βλέπομεν ἐν φανερῷ κείμενα, ὅπου γε
καὶ ὁ πυρὸς δοκῶν εἶναι τῆς ξηρᾶς τροφῆς μεταβολῇ καὶ σήψει καὶ διαχύσει
τοῦ ὑγροῦ γίνεται. καὶ μὴν καὶ χρησιμώτερον, ὃ μηδέ ποτε βλάπτει· πῦρ μὲν
οὖν ῥᾶον ὀλεθριώτατον, ἡ δὲ ὕδατος φύσις, οὐδέ ποτε βλαβερά. καὶ ἐκ δυοῖν
ὠφελιμώτερον τὸ εὐτελέστερον, καὶ χωρὶς τινος παρασκευῆς τὴν ἐξ αὑτοῦ πα-
ρέχων ὠφέλειαν· ἡ μὲν οὖν ἀπὸ τοῦ πυρὸς, χορηγίας δεῖται καὶ ὕλης, διὸ τούτου
μετέχουσιν αὐτοῦ πλέον πλούσιοι πενήτων, βασιλεῖς ἰδιωτῶν, τὸ δὲ ὕδωρ καὶ
τοῦτο ἔχει φιλάνθρωπον, τὴν ἰσότητα τὸ ὅμοιον· οὐ δεῖται γὰρ ὀργάνων, οὐδ' ἐρ-
γαλείων, ἀπροσδεὲς, αὐτοτελὲς ἀγαθόν. ἔτι μὴν ὃ πολυπλασιαζόμενον τὴν
ὠφέλειαν ἀπόλλυσιν, ἀχρηστότερον· τοιοῦτον δὲ τὸ πῦρ, οἷον θηρίον παμφάγον καὶ
δαπανῆ τῶν παρακειμένων καὶ μεθόδῳ καὶ τέχνῃ μᾶλλον καὶ μετριότητι τῇ
αὐτοῦ φύσει ὠφέλιμον, τὸ δὲ ὕδωρ οὐδέ ποτε φοβερόν. καὶ μὴν δυεῖν τὸ μετὰ
τοῦ ἑτέρου χρησιμώτερον· πῦρ μὲν οὖν οὐκ ἐπιδέχεται τὸ ὑγρόν, οὐδὲ τῇ δι' αὐ-
τοῦ κοινωνίᾳ χρήσιμον, ὕδωρ δέ ἐστι μετὰ πυρὸς ὠφέλιμον· τὰ γοῦν θερμὰ τῶν
ὑδάτων, ἀκέσιμα, καὶ πρὸς θεραπείαν εὐαίσθητα· καὶ πῦρ μὲν ὑγρὸν οὐκ ἄν τις
εὕροι· ὕδωρ δὲ ὡς ψυχρὸν οὕτω καὶ θερμὸν ὠφέλιμον ἀνθρώπῳ. καὶ μὴν τεττά-
ρων ὄντων τῶν στοιχείων, τὸ ὕδωρ ἐξ ἑαυτοῦ πέμπτον ὥς ἄν τις εἴποι πεποίηκε στοιχεῖ-
ον τὴν θάλασσαν, οὐδὲν ἧττον ἐκείνων ὠφέλιμον τῶν τε ἄλλων ἕνεκεν καὶ μάλιστα
τῆς ἐπιμιξίας· ἄγριον οὖν ἡμᾶν ὄντα καὶ ἀσύμβολον τὸν βίον τοῦτο τὸ στοιχεῖ-
ον συνῆψε, καὶ τέλειον ἐποίησε, διορθούμενον ταῖς παρ' ἀλλήλων ἐπικουρίαις
καὶ ἀντιδόσεσι κοινωνίαν ἐργαζόμενον καὶ φιλίαν. Ἡράκλειτος μὲν οὖν εἰ μὴ
ἥλιός φησιν ἦν, εὐφρόνη ἂν ἦν· ἔστι δὲ εἰπεῖν, ὡς εἰ μὴ θάλαττα ἦν, πάντων ἀγριώ-
τατον ζῶον, καὶ ἀναιδέστατον, ὁ ἄνθρωπος ἦν· νυνὶ δὲ τοῦτο μὲν παρ' Ἰνδῶν ἄμπε-
λον τοῖς Ἕλλησιν, ἐκ δὲ τῆς Ἑλλάδος καρπῶν χρῆσιν τοῖς ἐπέκεινα ὁ τῆς θαλάσ-
σης ἔδωκεν, ἐκ Φοινίκης δὲ γράμματα μνημόσυνα λήθης, ἐκόμισε δὲ οἶνον, καὶ
καρπὸν, καὶ ἀπαίδευτον ἐκώλυσεν εἶναι τὸ πλεῖστον ἀνθρώπων γένος· πῶς οὖν
οὐ χρησιμώτερον ὕδωρ στοιχείῳ περιττεῦον. ἢ πρὸς τοὐναντίον ἄν τις ἐντεῦθεν
ἔχων λέγοι· διότι τέτταρα μὲν στοιχεῖα θεῷ καθάπερ τεχνίτῃ πρὸς τὴν τῶν ὅλων
ἐργασίαν

ἐργασίαν ὑποκείμενα· τούτων δὲ αὖ πάλιν ἀλλήλοις διάφορα, πλὴν γῆ μὲν καὶ
ὕδωρ ὑποβέβληνται δίκην ὕλης ποιούμενα καὶ πλαττόμενα, καὶ μετέχοντα
κόσμου καὶ τάξεως, καὶ τοῦ φύειν γέ φασι καὶ γεννᾶν, ὅσον ἂν μεταλάβῃ παρ'
ἑτέρων, πνεῦμα μὲν καὶ πῦρ ποιούντων καὶ δημιουργούντων, καὶ κείμενα νεκρὰ
τέως, ἐπὶ τὴν γένεσιν ἀνιστάντων· τῶν δὲ δυεῖν τούτων αὖθις τὸ πῦρ, ἄρχει καὶ
ἡγεμονεύει· δῆλον δὲ ἐκ τῆς ἐπαγωγῆς· γῆ τε γὰρ ἄνευ θερμῆς οὐσίας, ἄγονος
καὶ ἄκαρπος· τὸ δὲ πῦρ ἐκρυὲν καὶ διαχέαν παρείστησιν εἰς τὴν γένεσιν ὀργῶντα,
οὐδεμίαν γὰρ αἰτίαν εὕροι τίς ἂν δι' ἣν ἄγονοι πέτραι καὶ τὰ κατεσκληκότα τῶν
ὀρῶν, ἢ ὅτι πυρὸς οὐδ' ὅλως ἢ ὀλίγον μετέσχηκε. τὸ δὲ ὅλον τοσοῦτον ἀπέχει
πρὸς σωτηρίαν ἢ ἑτέρων γένεσιν τὸ ὕδωρ αὐτοτελὲς εἶναι, ὥστε καὶ αὐτῷ φθο-
ρὰ πυρὸς ἔνδεια· συνέχει γὰρ ἡ θερμότης ἕκαστον ἐν τῷ εἶναι καὶ ἐπὶ τῆς ἰδί-
ας οὐσίας φυλάττει καθάπερ καὶ τἄλλα, καὶ τὸ ὕδωρ, ἀπελθόντος δὲ καὶ ἐνδεή-
σαντος, σήπεται, καὶ θάνατος ὕδατι καὶ ὄλεθρος, ἐπίλειψις θερμότητος.
ἀμέλει τὰ λιμναῖα καὶ ὅσα στάσιμα τῶν ὑδάτων, καί τινα ἐν ἀδιεξόδοις ἐγκαθή-
μενα κοιλότησιν, μοχθηρὰ καὶ τελευτῶντα σήπεται τῷ κινήσεως ἥκιστα μετέ-
χειν, ἣ τὸ θερμὸν ἐν ἑκάστοις ῥιπίζουσα τηρεῖ περὶ τὰ μάλιστα φερόμενα καὶ ῥέον-
τα τῶν ὑδάτων, διὰ τὴν κίνησιν συνεχομένης τῆς θερμότητος, οὕτω καὶ προ-
σαγορεύομεν ζῆν λέγοντες. πῶς τοίνυν δυεῖν οὐκ ὠφελιμώτερον, ὃ τῷ ἑτέρῳ
τὴν αἰτίαν τοῦ εἶναι παρέσχηκε, καθάπερ τὸ πῦρ τῷ ὕδατι. καὶ μὴν οὗ παν-
τάπασιν ἀπαλλαγέντος φθείρεται τὸ ζῶον, τοῦτο ὠφελιμώτερον· δῆλον γὰρ ὡς
τὸ οὗ στερούμενον οὐκ ἔστιν εἶναι, τοῦτο καὶ τὴν αἰτίαν παρέσχηκεν, ὅτε ἦν· ὑγρό-
της μὲν οὖν καὶ τοῖς τεθνηκόσι πάρεστι, καὶ οὐκ ἐξήρηται παντάπασιν, ἐπεὶ οὐκ
ἂν ἐσήπετο τὰ ὑγρὰ τῶν σωμάτων, τῆς σήψεως εἰς ὑγρὸν οὔσης ἐκ ξηροῦ μεταβο-
λῆς, μᾶλλον δὲ ὑγρῶν ἐν σαρκὶ φθορᾶς, θάνατος δὲ οὐκ ἄλλο τι, ἢ ἔκλειψις θερ-
μοῦ παντελής· ψυχρότατοι τοίνυν οἱ νεκροί, καὶ τὰς ἀκμὰς εἴ τις ἐπιχειροίη τῶν
ξυρῶν, ἀπαμβλύνουσι δι' ὑπερβολὴν ψυχρότητος. καὶ ἐν αὐτῷ δὲ τῷ ζώῳ
τὰ ἥκιστα μετέχοντα πυρὸς, ἀναισθητότερα, καθάπερ ὀστᾶ καὶ τρίχες, καὶ τὰ
πόρρωθεν ἀφεστῶτα τῆς καρδίας· σχεδὸν γὰρ ἡ πρὸς τὰ μείζω τῶν ἐκ τῆς τοῦ πυ-
ρὸς γίνεται παρουσίας διαφορά· φυτὰ μὲν γὰρ καὶ καρποὺς οὐχὶ ἡ ὑγρότης
ἀναδίδωσιν, ἀλλ' ἡ θερμὴ ὑγρότης· ἀμέλει τὰ ψυχρὰ τῶν ὑδάτων ἧττον, ἢ οὐδ'
ὅλως γόνιμα. καίτοι γε εἰ τῇ αὐτοῦ φύσει τὸ ὕδωρ καρποφόρον, δεῖ πάντοτε
καὶ καθ' αὑτὸ ἀναφέρειν καρπούς· τὸ δὲ τοὐναντίον, καὶ βλαβερόν ἐστιν ἀπ' ἄλ-
λης ἀρχῆς· πρὸς μὲν τὴν τοῦ πυρὸς ὡς πυρὸς χρῆσιν, ὕδατος οὐ προσδεόμεθα,
ἀλλὰ τοὐναντίον ἐμποδὼν γίνεται, κατασβέννυσι γὰρ καὶ διαφθείρει· ὕδατος
δὲ τοῖς πλείστοις χρῆσις οὐκ ἔστιν ἄνευ πυρὸς, θερμανθὲν γὰρ ὠφελιμώτερον, οὕ-
τω δὲ βλαβερόν· ὥστε δυεῖν, ἄμεινον ὃ ἀφ' ἑαυτοῦ παρέχεται χρείαν, τοῦ ἑτέρου
μὴ προσδεόμενον. ἔτι ὕδωρ μὲν μοναχῶς ὠφέλιμον κατὰ θίξιν λουσαμένοις,
ἢ ἁψαμένοις· τὸ δὲ πῦρ, διὰ πάσης αἰσθήσεως· καὶ γὰρ διὰ τῆς ἁφῆς καὶ πόρρωθεν
ὁρώμενον, ὥστε προσεῖναι τοῖς ἄλλοις τῆς χρείας αὐτοῦ, καὶ τὴν πολυτέλειαν.
τὸ γὰρ λέγειν ὡς ἔστι ποτὲ ὁ ἄνθρωπος ἄνευ πυρὸς, οὐδ' ὅλως δύναται γενέσθαι ὁ
ἄνθρωπος, διαφοραὶ δέ εἰσιν ἐν γένει καθάπερ καὶ ἐν ἄλλοις. καὶ τὴν θάλατταν
ἡ θερμότης ὠφελιμωτέραν ἐποίησεν, ὡς μᾶλλον κατὰ θέρει τῶν ὑδάτων, ἐπεὶ
κατ' αὐτὸ τῶν λοιπῶν οὐδὲν διέφερε. καὶ οἱ μὴ προσδεόμενοι δὲ τοῦ ἔξωθεν
πυρὸς, οὐχ ὡς ἀπροσδεεῖς τοῦτο πάσχουσιν, ἀλλὰ περιουσίᾳ καὶ πλεονασμῷ
τοῦ ἐν αὐτοῖς θερμοῦ, ὥστε καὶ κατὰ τοῦτο ὑπερέχειν τὴν τοῦ πυρὸς χρείαν,
ὡς εἰκός. τὸ μὲν ὕδωρ οὐδέ ποτε τοιοῦτον, ὥστε μὴ δεῖσθαι τῶν ἐκτὸς, τὸ δὲ

πῦρ, ὑπ' ἀρετῆς πολλῆς, καὶ αὔταρκες. ὥσ οὖν στρατηγὸς ἀμείνων ὁ παρα
σκευάσας τὴν πόλιν μὴ δεῖσθαι τῶν ἔξωθεν συμμάχων, οὕτω καὶ στοιχεῖον τὸ τῆς ἔξω
θεν ἐπικουρίας παρέχον πολλάκις μὴ δεόμενον ὑπέρεχον. τοῦτο ῥητέον, καὶ
περὶ τῶν ἄλλων ζώων, ὅσα μὴ προσδεῖται. καί τοι γε εἰσ τοὐναντίον λάβοι τις
ἂν τὸ χρησιμώτερον εἶναι· τούτῳ γὰρ χρώμεθα μόνῳ, καὶ μάλιστα τὸ βέλτιον ἐκλογισμοῦ
λαβεῖν δυνάμενοι. ἐπεὶ τί λόγου χρησιμώτερον, ἢ μᾶλλον ἀνθρώποις λυσιτε-
λέστερον, ἀλλ' οὐ πάρεστι τοῖς ἀλόγοις. τί οὖν διὰ τοῦτο ἧττον ὠφέλιμον ἐκ τῆς προ-
νίασ τοῦ βελτίονος εὑρεθέν; ἐπεὶ δὲ κατὰ τοῦτο τοῦ λόγου γεγόναμεν, τί τέ
χνης τῷ βίῳ λυσιτελέστερον, τέχνασ δὲ πάσας καὶ ἀνεῦρε τὸ πῦρ καὶ σώζει, διὸ καὶ
τὸν ἥφαιστον ἀρχηγὸν αὐτῶν ποιοῦσι. καὶ μὴν ὀλίγου χρόνου καὶ βίου τοῖς ἀνθρώ
ποις δεδομένου, ὡς ἀρίστων φησὶν, ὅτι ὁ ὕπνος οἷον τελώνης τὸ ἥμισυ ἀφαιρεῖ τού
του· ἐγὼ δὲ ἂν εἴποιμι, ὅτι σκότος ἐγρήγορεν ἀεὶ διὰ νυκτὸς, ἀλλ' οὐδὲν ὄφελος τῆς
ἐγρηγόρσεως, εἰ μὴ τὸ πῦρ τὰ τῆς ἡμέρασ ἡμῖν παρέχειν ἀγαθὰ, καὶ τὴν ἡμέ-
ρας καὶ νυκτὸς ἐξῄρει διαφοράν. εἰ τοίνυν τοῦ ζῆν οὐδὲν ἀνθρώποις λυσιτελέ-
στερον, καὶ τοῦτο πολλαπλασιάζει τὸ πῦρ, πως οὐκ ἂν εἴη πάντων ὠφελιμώτα-
τον. καὶ μὴν οὗ πλείστου κρᾶσις ἡ τῶν αἰσθήσεων μετείληφε, τοῦτ' ἂν εἴη λυσι-
τελέστερον. οὐχ ὁρᾷς οὖν ὡς τῇ μὲν ὑγρᾷ φύσει οὐδεμία τῶν αἰσθήσεων κατ' αὐ
τὴν προσχρῆται, χωρὶς πνεύματος ἢ πυρὸσ ἐγκεκραμένου. τοῦ δὲ πυρὸς ἅπασα
μὲν αἴσθησις, οἷον τὸ ζωτικὸν ἐνεργαζομένου μετείληφεν, ἐξαιρέτως δὲ ἡ ὄψις,
ἥ τις ὀξυτάτη τῶν διὰ σώματός ἐστιν αἰσθήσεων, πυρὸσ ἔξαμμα οὖσα, καὶ ὅτι θεῶν
πίστιν παρέσχηκεν, ἔτι τε ἣ πλάτων φησὶ, δυνάμεθα κατασχηματίζειν πρὸς τὰς
τῶν ἐν τῷ οὐρανῷ κινήσεις τὴν ψυχὴν διὰ τῆς ὄψεως.

ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ· ΡΩΜΑΙΚΑ

δ

ιατί τὴν γαμουμένην ἅπτεσθαι πυρὸς, καὶ ὕδατος κελεύουσι.
πότερον τούτων, ὡς ἐν στοιχείοισ καὶ ἀρχαῖς, τὸ μὲν ἄρρεν ἐστὶ, τὸ
δὲ θῆλυ, καὶ τὸ μὲν ἀρχὰς κινήσεως ἐνίησι, τὸ δὲ ὑποκειμένου,
καὶ ὕλης δύναμιν. ἢ διότι τὸ πῦρ καθαίρει, καὶ τὸ ὕδωρ ἁγνίζει,
δεῖ δὲ καθαρὰν, καὶ ἁγνὴν διαμένειν τὴν γαμηθεῖσαν, ἢ ὅτι κα-
θάπερ τὸ πῦρ χωρὶς ὑγρότητος, ἄτροφόν ἐστι, καὶ ξηρὸν, τὸ δὲ ὕδωρ ἄνευ θερ-
μότητος, ἄγονον καὶ ἀργὸν, οὕτω καὶ τὸ ἄρρεν ἀδρανὲς, καὶ τὸ θῆλυ χωρὶσ
ἀλλήλων, ἡ δὲ σύνοδος ἀμφοῖν ἐπιτελεῖ τοῖς γάμοις τὴν συμβίωσιν. ἢ οὐκ ἀπο-
λειπτέον, καὶ κοινωνητέον ἁπάσης τύχης, κἂν καλοῦ μηδενὸς ἢ πυρὸς καὶ ὕδα-
τος, μέλλωσι κοινωνεῖν ἀλλήλοις. Διατί οὐ πλείονασ οὐδὲ ἐλάττονασ, ἀλ
λὰ πέντε λαμπάδας ἅπτουσιν ἐν τοῖς γάμοις, ἃς κηρίωνασ ὀνομάζουσιν. πό
τερον, ὡς βάρρων ἔλεγεν, ὅτι τῶν στρατηγῶν τρισὶ χρωμένων, τοῖς ἀγορανόμοις
πλείονας, παρὰ δὲ τῶν ἀγορανόμων ἅπτουσι τὸ πῦρ οἱ γαμοῦντες. ἢ διότι πλείο
σι χρώμενον ἀριθμοῖς, πρός τε τὰ ἄλλα βελτίων, καὶ τελειότερος ὁ περιττὸς
ἐνομίζετο, καὶ πρὸσ γάμον ἁρμοδιώτερος. ὁ γὰρ ἄρτιος, διάστασίν τε δέχεται,
καὶ τὸ ἴσον αὐτοῦ μάχιμόν ἐστι καὶ ἀντίπαλον, ὁ δὲ περιττὸς οὐ δύναται δια-
σχισθῆναι παντάπασιν, ἀλλὰ ὑπολείπει τι κοινὸν ἀεὶ μεριζόμενον, τοῦ δὲ περιτ
τοῦ μάλιστα γαμήλιος ἡ πεντάς ἐστι, τὰ γὰρ τρία πρῶτος περιττὸς, καὶ τὰ
δύο πρῶτος ἄρτιος. ἐκ δὲ τούτων ὥσπερ ἄρρενος καὶ θήλεος ἡ πεντὰς μέμι-
κται. ἢ μᾶλλον ἐπεὶ τὸ φῶς γενέσεώς ἐστι σημεῖον, γυνὴ δὲ ἄχρι πέντε τίκτειν
ὁμοῦ τὰ πλεῖστα πέφυκε, τοσαύταισ χρῶνται λαμπάσιν. ἢ ὅτι πέντε δεῖσθαι

θεῶν τοὺς γαμοῦντας οἴονται, διὸς τελείου, καὶ ἥρασ τελείασ, καὶ ἀφροδί-
της, καὶ πειθοῦς, ἐπὶ πᾶσι δὲ ἀρτέμιδος, ἣν ταῖς λοχείαις, καὶ ταῖς ὠδῖ-
σιν αἱ γυναῖκες ἐπικαλοῦνται. Διατί πολλῶν ὄντων ἐν ῥώμῃ ναῶν ἀρ-
τέμιδος, εἰς μόνον τὸν ἐν τῷ καλουμένῳ πατρικίῳ στενωπῷ, ἄνδρες οὐκ εἰσίασιν. ἢ διὰ
τὸν λεγόμενον μῦθον. γυναῖκα γὰρ αὐτόθι τὴν θεὸν σεβομένην βιαζόμενός τις,
ὑπὸ τῶν κυνῶν διεσπάσθη, καὶ ἀπὸ τούτου δυσειδαιμονίασ γενομένης, ἄνδρες
οὐκ εἰσίασι. Διατί τοῖς ἄλλοις ἀρτεμισίοις ἐπιεικῶς ἐλάφων κέρατα
προσπατταλεύουσι, τῷ δὲ ἐν ἀβεντίνῳ βοῶν. ἢ τοῦ παλαιοῦ συμπτώματος ἀπο-
μνημονεύοντες. λέγεται γὰρ ἐν σαβίνοις ἄντρωνι κορατίῳ βοῦς ἐκπρεπὴς ὄψει
καὶ μεγέθει διαφέρουσα τῶν ἄλλων γενέσθαι. μάντεως δέ τινος αὐτῷ φράσαν
τος, ὅτι τοῦ καθιερεύσαντος ἀρτέμιδι τὴν βοῦν ἐκείνην ἐν ἀβεντίνῳ, πέπρωται
μεγίστην γενέσθαι, καὶ βασιλεῦσαι τῆς ἰταλίασ ἁπάσης τὴν πόλιν, ἐλθεῖν
μὲν εἰς ῥώμην τὸν ἄνθρωπον, ὡσ θύσοντα τὴν βοῦν, οἰκέτου δὲ κρύφα τῷ βασιλεῖ
σερουίῳ τὸ μάντευμα φράσαντος, ἐκείνου δὲ κορνηλίῳ τῷ ἱερεῖ προστάξαι τὸν κόρ
νήλιον τῷ ἄντρωνι λούσασθαι πρὸ τῆς θυσίασ ἀπὸ τοῦ θύμβρεως, νενομίσθαι
γὰρ οὕτω τοὺς καλλιεροῦντας. ἐκεῖνον μὲν οὖν ἀπελθόντα λούσεσθαι, τὸν δὲ
σερούιον φθάσαντα, θῦσαι τῇ θεῷ τὴν βοῦν, καὶ τῷ ἱερῷ τὰ κέρατα προσπατ
ταλεῦσαι. ταῦτα καὶ ὁ ἰόβασ ἱστόρηκε, καὶ βάρρων, πλὴν ὅτι τοὔνομα τοῦ ἄν
τρωνος βάρρων οὐ γέγραφεν, οὐδὲ ὑπὸ κορνηλίου φησὶ τοῦ ἱερέωσ, ἀλλ' ὑπὸ
τοῦ νεωκόρου παρακρουσθῆναι τὸν σαβῖνον. Διατί τοὺς τεθνάναι φημισθέν-
τας ἐπὶ ξένης ψευδῶς, κἂν ἐπανέλθωσιν, οὐ δέχονται κατὰ θύρασ, ἀλλὰ τῷ
κεράμῳ προσβαίνοντες εἴσω καθιᾶσιν αὐτούσ. ὁ μὲν γὰρ βάρρων αἰτίαν μυθι
κὴν ὅλως ἀποδίδωσι φησὶ γὰρ ἐν τῷ περὶ σικελίαν πολέμῳ, ναυμαχίασ με-
γάλης γενομένης, καὶ κατὰ πολλῶν φήμησ οὐκ ἀληθοῦς, ὡς ἀπολωλότων ῥυεί
σης, ἐπανελθόντας αὐτοὺς ὀλίγῳ χρόνῳ πάντας τελευτῆσαι, ἑνὶ δὲ εἰσιόν-
τι, τὰς θύρασ ἀπαντῆσαι κλειομένασ ἀπὸ αὐτομάτου, καὶ μὴ χαλᾶν ἐπιχει
ρούντων ἀνοίγειν, τὸν δὲ ἄνθρωπον αὐτοῦ καταδαρθέντα πρὸ τῶν θυρῶν ἰδεῖν
κατὰ τοὺσ ὕπνους ὄψιν ὑφηγουμένην αὐτῷ, τὴν ὑπὲρ τὸ τέγος εἰς τὴν οἰκίαν κα
θίμησιν, ποιήσαντα δὲ οὕτως, εὐτυχῆ γενέσθαι καὶ γηραιὸν, ἐκ δὲ τούτου τὸ ἔθος
καταστῆναι τοῖσ ὕστερον. ὅρα δὲ μὴ καὶ ταῦτα τρόπον τινὰ τοῖς ἑλληνικοῖς ἔοι-
κεν. οὐ γὰρ ἐνόμιζον ἁγνοὺς, οὐδὲ κατεμίγνυσαν ἑαυτοῖς, οὐδὲ εἴων ἱεροῖς πλη
σιάζειν, οἷς ἐκφορὰ γεγόνει, καὶ τάφος ὡσ τεθνηκόσι. λέγεται δέ τινα τῶν ἐνόχων
ταύτῃ τῇ δεισιδαιμονίᾳ γεγονότων ἀρίστινον, εἰς δελφοὺς ἀποστείλαντα δεῖ
σθαι τοῦ θεοῦ, καὶ παραιτεῖσθαι τὰς παρούσασ αὐτῷ διὰ τὸν νόμον ἀπορίας,
τὴν δὲ πυθίαν εἰπεῖν ὅσσαπερ ἐν λεχέεσσι γυνὴ τίκτουσα τελεῖται, ταῦτα πά
λιν τελέσαντα θύειν μακάρεσσι θεοῖσι. τὸν οὖν ἀρίστινον εὖ φρονήσαντα παρα-
σχεῖν ἑαυτὸν ὥσπερ ἐξ ἀρχῆς τικτόμενον ταῖς γυναιξὶν ἀπολοῦσαι, καὶ σπαρ
γανῶσαι, καὶ θηλὴν ἐπισχεῖν, οὕτω τε δρᾶν καὶ τοὺς ἄλλους ἅπαντας, ὑστεροπό
μους προσαγορευομένους. ἔνιοι δὲ καὶ πρὸ τοῦ ἀριστίνου ταῦτα γίνεσθαι περὶ
τοὺσ ὑστεροπόμους, καὶ τὸ ἔθοσ εἶναι παλαιόν, οὐδὲν οὖν θαυμαστὸν, εἰ καὶ ῥω
μαῖοι τότε δοκοῦσιν ἅπαξ τεθάφθαι καὶ γεγονέναι τῆς τῶν φθιτῶν μερίδος,
οὐκ ᾤοντο δεῖν παριέναι τὴν αὔλειον, ᾗ θύσοντες ἐξίασι, καὶ θύσαντες εἰσίασιν,
ἀλλὰ ἄνωθεν ἐκέλευον εἰς τὸ ὕπαιθρον καταβαίνειν ἐκ τοῦ περιέχοντος. καὶ γὰρ
τοὺς καθαρμοὺς ἐπιεικῶς πάντας ἐν ὑπαίθρῳ τελοῦσι. Διατί τοὺς συγγεν-
εῖς τῷ στόματι φιλοῦσιν αἱ γυναῖκες; πότερον, ὡς οἱ πλεῖστοι νομίζουσιν, ἀ-
πειρημένον ἦν πίνειν οἶνον ταῖς γυναιξὶν, ὅπως οὖν αἱ πιοῦσαι μὴ λανθάνω-

σιν, ἀλλὰ ἐλέγχοντες περιτυγχάνουσαι τοῖς οἰκείοις ἐνομίσθη καταφιλεῖν.
ἢ δι᾽ ἣν Ἀριστοτέλης ὁ φιλόσοφος αἰτίαν ἱστόρηκε. τὸ γὰρ πολυθρύλητον ἐκεῖνο,
καὶ πολλοῦ γενέσθαι λεγόμενον ὡς ἔοικεν, ἐτολμήθη ταῖς Τρῳάσι, καὶ περὶ
τὴν Ἰταλίαν. τῶν γὰρ ἀνδρῶν ὡς προσέπλευσαν ἀποβάντων, ἐνέπρησαν τὰ
πλοῖα πάντως ἀπαλλαγῆναι τῆς πλάνης δεόμεναι, καὶ τῆς θαλάττης, φοβη-
θεῖσαι δὲ τοὺς ἄνδρας ἠσπάζοντο τῶν συγγενῶν, καὶ οἰκείων μετὰ τοῦ καταφι-
λεῖν, καὶ περιπλέκεσθαι τοὺς προστυγχάνοντας, παυσαμένων δὲ τῆς ὀργῆς
καὶ διαλλαγέντων, ἐχρῶντο καὶ τὸ λοιπὸν ταύτῃ τῇ φιλοφροσύνῃ πρὸς αὐτούς.
ἢ μᾶλλον ἐδόθη τοῦτο ταῖς γυναιξὶν, ὡς τιμὴν ἅμα καὶ δύναμιν αὐταῖς φέ-
ρον, εἰ φαίνοιντο πολλοὺς καὶ ἀγαθοὺς ἔχουσαι συγγενεῖς καὶ οἰκείους. ἢ μὴ νε-
νομισμένου συγγενίδας γαμεῖν, ἄχρι φιλήματος ἡ φιλοφροσύνη προῆλθεν,
καὶ τοῦτο μόνον ἀπελείφθη σύμβολον καὶ κοινώνημα τῆς συγγενείας, πρότε-
ρον γὰρ οὐκ ἐγάμουν τὰς ἀφ᾽ αἵματος, ὥσπερ οὐδὲ νῦν τιτθίδας οὐδὲ ἀδελφὰς
γαμοῦσιν, ἀλλ᾽ ὀψὲ συνεχώρησαν ἀνεψιαῖς συνοικεῖν ἐκ τοιαύτης αἰτίας.
ἀνὴρ χρημάτων ἐνδεὴς, τὰ δὲ ἄλλα χρηστὸς, καὶ παρ᾽ ὅντινα οὖν τῷ δήμῳ τῶν πο-
λιτευομένων ἀρέσκων, ἐπίκληρον ἀνεψιὰν ἔχειν ἔδοξε, καὶ πλουτεῖν ἀπ᾽ αὐ-
τῆς, ἐπὶ τούτῳ δὲ γενομένης αὐτοῦ κατηγορίας, ὁ δῆμος ἀφεὶς τὴν αἰτίαν ἐ-
λέγχειν, ἔλυσε τὸ ἔγκλημα ψηφισάμενος πᾶσιν ἐξεῖναι γαμεῖν ἄχρις ἀνεψι-
ῶν, τὰ δὲ ἀνωτέρω κεκωλῦσθαι. Διατί δὲ δῶρον λαβεῖν ἀνδρὶ παρὰ γυ-
ναικὸς, καὶ γυναικὶ παρὰ ἀνδρὸς ἀπείρηται. πότερον ὡς Σόλωνος γράψαντος τὰς
δόσεις κυρίας εἶναι τῶν τελευτώντων, πλὴν εἰ μή τις ἀνάγκῃ συνεχόμενος,
καὶ γυναικὶ πειθόμενος, τὴν μὲν ἀνάγκην ὡς βιαζομένην ὑπεξείλετο, τὴν δὲ ἡδο-
νὴν ὡς παραλογιζομένην, οὕτως ὑπενοήθησαν αἱ γυναικῶν καὶ ἀνδρῶν δόσεις.
ἢ φαυλότατον ἡγούμενοι σημεῖον εὐνοίας τὸ διδόναι. διδόασι γὰρ καὶ ἀλλότριοι
καὶ μὴ φιλοῦντες, ἐκ τοῦ γάμου τὴν τοιαύτην ἀρέσκειαν ἀνεῖλον, ὅπως ἄμι-
σθον ᾖ καὶ προῖκα, καὶ δι᾽ αὐτὸ μὴ δι᾽ ἄλλο τὸ φιλεῖσθαι καὶ φιλεῖν. ἢ ὅτι τῷ
λαμβάνειν διαφθειρόμεναι μάλιστα προσίενται τοὺς ἀλλοτρίους, σεμνὸν ἐφά-
νη τὸ μὴ διδόντας ἀγαπᾶν τοὺς ἰδίους. ἢ μᾶλλον ὅτι δεῖ κοινὰ, καὶ γυναιξὶν
εἶναι τὰ ἀνδρῶν, καὶ ἀνδράσι τὰ γυναικῶν. μανθάνει γὰρ ὁ λαβὼν τὸ δοθὲν
ἀλλότριον ἡγεῖσθαι τὸ μὴ δοθέν ὥστε ὀλίγον διδόντες ἀλλήλοις, τὸ πᾶν ἀφαι-
ροῦνται. Διατί δὲ παρὰ γαμβροῦ, καὶ παρὰ πενθεροῦ λαβεῖν ἐκείνοις
κεκώλυται δῶρον. ἢ παρὰ γαμβροῦ μὲν, ἵνα μὴ δόξῃ διὰ τοῦ πατρὸς εἰς τὴν γυ-
ναῖκα περιχωρεῖν τὸ δῶρον, παρὰ πενθεροῦ δὲ, ὅτι τὸν μὴ διδόντα δίκαιον ἐφά-
νη μηδὲ λαμβάνειν. Διατί κἂν ἐξ ἀγροῦ κἂν ἀπὸ ξένης ἐπανιόντες ἔχοντες
οἴκοι γυναῖκας, προπέμπουσι δηλοῦντες αὐταῖς ὅτι παραγίνονται. πότερον
ὅτι τοῦτο πιστεύοντός ἐστι τὴν γυναῖκα μηδὲν ῥᾳδιουργεῖν. τὸ δὲ ἐξαίφνης καὶ ἀ-
προσδοκήτως οἷον ἐνέδρα, καὶ παρατηρήσει προσέοικεν, ὡς ποθούσαις καὶ
προσδεχομέναις, εὐαγγελίζεσθαι περὶ αὐτῶν. ἢ μᾶλλον αὐτοὶ περὶ ἐκείνων
πυθέσθαι ποθοῦσιν, εἰ σωζομένας καὶ ποθούσας ἐπὶ τῆς οἰκίας καταλαμβά-
νουσιν. ἢ πλείονες ταῖς γυναιξὶν οἰκονομίαι, καὶ ἀσχολίαι τῶν ἀνδρῶν ἀπόντων
τυγχάνουσι, καὶ διαφοραὶ καὶ ὁρμαὶ πρὸς τοὺς ἔνδον. ἵνα οὖν ἀπαλλαγεῖσα
τούτων ἀθόρυβον τῷ ἀνδρὶ παρέχῃ τὴν ὑποδοχὴν καὶ ἡδεῖαν, ἡ προδήλωσις
γίνεται. Διατί τοὺς θεοὺς προσκυνοῦντες ἐπικαλύπτονται τὴν κεφα-
λὴν, τῶν δὲ ἀνθρώπων τοῖς ἀξίοις τιμῆς ἀπαντῶντες, κἂν τύχωσιν ἐπὶ τῆς κεφα-
λῆς ἔχοντες τὸ ἱμάτιον ἀποκαλύπτονται. τοῦτο γὰρ ἔοικε κἀκείνην ἐπιτείνειν
τὴν ἀπορίαν. εἰ μὲν οὖν ὁ περὶ Αἰνείου λεγόμενος λόγος, ἀληθής ἐστι, καὶ τοῦ Διο-

…ιέρκηται .l. A.

…νοίας .l.

μήδους παρεξιόντος, ἐπικαλυψάμενος τὴν θυσίαν ἐπετέλεσε, λόγον ἔχει καὶ
ἀκολουθεῖ τῷ συγκαλύπτεσθαι πρὸς τοὺς πολεμίους, τὸ τοῖς φίλοις, καὶ ἀγα-
θοῖς ἐντυγχάνοντας ἀποκαλύπτεσθαι, τὸ γὰρ πρὸς τοὺς θεοὺς οὐκ ἴδιόν ἐστιν,
ἀλλὰ κατὰ συμβεβηκὸς, καὶ ἀπ᾽ ἐκείνου μεμένηκε τηρούμενον, εἰ δὲ ἄλλο τι λέ-
γειν χρὴ, σκόπει μὴ μόνον ἐκεῖνο δεῖ ζητεῖν δι᾽ ὃ τοὺς θεοὺς προσκυνοῦντες
ἐπικαλύπτονται, θάτερον δὲ ἀκόλουθόν ἐστι. τῶν γὰρ ἀνθρώπων ἀποκαλύπτον-
ται τοῖς δυνατωτέροις, οὐ τιμὴν αὐτοῖς προστιθέντες, ἀλλὰ τὸν φθόνον αὐτῶν
μᾶλλον ἀφαιροῦντες, ἵνα μὴ δόξωσι τὰς αὐτὰς τοῖς θεοῖς τιμὰς ἀπαιτεῖν,
μὴ δὲ ὑπομένειν, μὴ δὲ χαίρειν θεραπευόμενοι παραπλησίως ἐκείνοις, τοὺς δὲ θεοὺς
οὕτω προσεκύνουν. ἢ ταπεινοῦντες ἑαυτοὺς τῇ ἐπικρύψει τῆς κεφαλῆς. ἢ μᾶλ-
λον εὐλαβούμενοί τινα φωνὴν προσπεσεῖν αὐτοῖς ἔξωθεν εὐχομένοις ἀπαίσιον
καὶ δύσφημον, ἄχρι τῶν ὤτων ἀνελάμβανον τὸ ἱμάτιον. ὅτι γὰρ ἰσχυρῶς ἐφυ-
λάττοντο ταῦτα, δῆλόν ἐστι τῷ προσιόντας ἐπὶ μαντείαν χαλκωμάτων πα-
τάγῳ περιψοφεῖσθαι. ἢ ὡς Κάστωρ λέγει τὰ ῥωμαϊκὰ τοῖς πυθαγορικοῖς συνοι-
κειῶν, τὸν ἐν ἡμῖν δαίμονα, δεῖσθαι τῶν ἐκτὸς θεῶν, καὶ ἱκετεύειν τῇ τῆς κεφα-
λῆς ἐπικαλύψει, τὴν τῆς ψυχῆς αἰνιττόμενον ὑπὸ τοῦ σώματος ἐγκάλυψιν, καὶ
ἀπόκρυψιν. Διατί τῷ Κρόνῳ θύουσιν ἀπαρακαλύπτῳ τῇ κεφαλῇ. πότερον
ὅτι τὴν ἐγκάλυψιν Αἰνείας παρέδωκεν, ἡ δὲ τοῦ Κρόνου θυσία, παμπάλαιός ἐστιν.
ἢ ὅτι τοῖς οὐρανίοις ἐπικαλύπτονται, τὸν δὲ Κρόνον ἡγοῦνται θεὸν ὑπουδαῖον,
καὶ χθόνιον. ἢ ὅτι τῆς ἀληθείας οὐδὲν ἐπίκρυφον ἢ ἐπίσκιον, ἀληθείας δὲ νο-
μίζουσι Ῥωμαῖοι πατέρα τὸν Κρόνον εἶναι. Διατί δὲ τὸν Κρόνον πατέρα
τῆς ἀληθείας νομίζουσι. πότερον ὥσπερ ἔνιοι τῶν φιλοσόφων, χρόνον οἴονται
τὸν Κρόνον εἶναι, τὸ δὲ ἀληθὲς εὑρίσκει χρόνος. ἢ τὸν μυθολογούμενον ἐπὶ Κρό-
νου βίον, εἰ δικαιότατος ἦν, εἰκός ἐστι μάλιστα μετέχειν ἀληθείας. Διατί
καὶ τῷ λεγομένῳ Ὀνώρῳ θύουσιν ἀκαλύπτῳ τῇ κεφαλῇ, τὸν δὲ ὄνωρε δόξαν ἄν
τις ἢ τιμὴν μεθερμηνεύσειε. πότερον δὲ ὅτι λαμπρὸν ἡ δόξα καὶ περιφανὲς καὶ
ἀναπεπταμένον, δι᾽ ἣν αἰτίαν τοῖς ἀγαθοῖς καὶ τιμωμένοις ἀνδράσιν ἀποκαλύ-
πτονται, διὰ ταύτην καὶ τὸν ἐπώνυμον τῆς τιμῆς θεὸν οὕτω προσκυνοῦσι.
Διατί τοὺς γονεῖς ἐκκομίζουσιν, οἱ μὲν υἱοὶ συγκεκαλυμμένοις, αἱ δὲ θυγατέρες γυ-
μναῖς ταῖς κεφαλαῖς, καὶ ταῖς κόμαις λελυμέναις. πότερον ὅτι τιμᾶσθαι μὲν
ὑπὸ τῶν ἀρρένων δεῖ τοὺς πατέρας ὡς θεοὺς, πενθεῖσθαι δὲ ὑπὸ τῶν θυγα-
τέρων ὡς τεθνηκότας, ἑκατέρῳ τὸ οἰκεῖον ὁ νόμος ἀποδιδοὺς, ἐξ ἀμφοτέρων ἐ-
ποίησε τὸ ἁρμόττον. ἢ πένθους μὲν οἰκεῖον τὸ μὴ σύνηθες, συνηθέστερον δὲ τὸ
μὲν γυναιξὶν ἐγκεκαλυμμέναις, τοῖς δὲ ἀνδράσιν ἀκαλύπτοις εἰς τὸ δημόσιον
προϊέναι. καὶ γὰρ παρ᾽ Ἕλλησιν ὅταν δυστυχία τις γένηται, κείρονται μὲν αἱ γυ-
ναῖκες, κομῶσι δὲ οἱ ἄνδρες, ὅτι τοῖς μὲν τὸ κείρεσθαι ταῖς δὲ τὸ κομᾶν συνή-
θές ἐστιν. ἢ τοὺς μὲν υἱοὺς ἐπικαλύπτεσθαι δι᾽ ἣν εἰρήκαμεν αἰτίαν ἐνομίσθη, καὶ
γὰρ ἐπὶ τῶν τάφων ὥς φησι Βάρρων, περιστρέφονται, καθάπερ θεῶν ἱερὰ τι-
μῶντες τὰ τῶν πατέρων μνήματα, καὶ καύσαντες τοὺς γονεῖς ὅταν ὀστέῳ πρῶτον
ἐντύχωσι, θεὸν γεγονέναι τὸν τεθνηκότα λέγουσι, ταῖς δὲ γυναιξὶν οὐδὲ ὅλως ἐξῆν
ἐπικαλύπτεσθαι τὴν κεφαλήν. ἱστορεῖται γοῦν ὅτι πρῶτος μὲν ἐξέβαλε γυ-
ναῖκα Σπόριος Καρβίλιος ἐπ᾽ ἀτεκνίᾳ, δεύτερος δὲ Σουλπίκιος Γάλλος ἐφελ-
κυσαμένην ἰδὼν κατὰ κεφαλῆς τὸ ἱμάτιον, τρίτος δὲ Πόπλιος Σεμπρώνιος ἀ-
γῶνα θεωρήσασαν ἐπιτάφιον. Διατί τὸν Τέρμινον, ᾧ τὰ Τερμινάλια ποι-
οῦσι, θεὸν νομίζοντες, οὐδὲν ἔνθυον αὐτῷ ζῷον. ἢ Ῥωμύλος μὲν ὅρους ἔθηκε τῆς
χώρας, ὅπως ἐξῇ προϊέναι καὶ ἀποτέμνεσθαι καὶ νομίζειν πᾶσαν ἰδίαν, ὡς

ἀπόκρυφον .l.

περ ὁ Λάκων εἶπεν, ἧς ἂν τὸ δόρυ ἐφικνῆται. Νουμᾶς δὲ Πομπίλιος ἀνὴρ δίκαιος καὶ πολιτικὸς ὢν καὶ φιλόσοφος γενόμενος, τήν τε χώραν ὡρίσατο πρὸς τοὺς γειτνιῶντας καὶ τοῖς ὅροις ἐπιφημίσας, τὸν Τέρμινον ὡς ἐπίσκοπον καὶ φύλακα φιλίας καὶ εἰρήνης, ᾤετο δεῖν αἵματος καὶ φόνου καθαρὸν καὶ ἀμίαντον διαφυλάττειν.

Διατί δούλαις τὸ τῆς Λευκοθέας ἱερὸν ἄβατόν ἐστι· μίαν δὲ μόνην αἱ γυναῖκες εἰσάγουσαι, παίουσιν ἐπὶ κόῤῥης καὶ ῥαπίζουσιν· ἢ τὸ μὲν ταύτην ῥαπίζεσθαι, σύμβολόν ἐστι τοῦ μὴ ἐξεῖναι, κωλύουσι δὲ τὰς ἄλλας διὰ τὸν μῦθον. ἡ γὰρ Ἰνὼ ζηλοτυπήσασα δούλην ἐπὶ τῷ ἀνδρὶ, λέγεται περὶ τὸν υἱὸν ἐκμανῆναι· τὴν δὲ δούλην Ἑλληνες Αἰτωλίδα γένει φασὶν εἶναι, καλεῖσθαι δὲ Ἀντιφέραν. διὸ καὶ παρ' ἡμῖν ἐν Χαιρωνείᾳ πρὸ τοῦ σηκοῦ τῆς Λευκοθέας ὁ νεωκόρος λαβὼν μάστιγα κηρύσσει, μὴ δοῦλον εἰσιέναι μὴ δούλαν, μὴ δὲ Αἰτωλὸν μὴ δὲ Αἰτωλαν.

ἀσιέναι .l. Δ.

Διατί παρὰ τῇ θεῷ ταύτῃ τοῖς μὲν ἰδίοις τέκνοις οὐκ εὔχονται τἀγαθὰ, τοῖς δὲ τῶν ἀδελφῶν· πότερον ὅτι φιλάδελφος μέν τις ἡ Ἰνὼ καὶ τὸν ἐκ τῆς ἀδελφῆς ἐτιθήνησατο· ἡ δὲ περὶ τοὺς ἑαυτῆς παῖδας ἐδυστύχησεν· ἢ καὶ ἄλλως, ἠθικὸν καὶ καλὸν τὸ ἔθος καὶ πολλὴν παρασκευάζον εὔνοιαν ταῖς οἰκειότησι.

Διατί τῷ Ἡρακλεῖ πολλοὶ τῶν πλουσίων ἐδεκάτευον τὰς οὐσίας· πότερον ὅτι κἀκεῖνος ἐν Ῥώμῃ τῶν Γηρυόνου βοῶν ἀπέθυσε τὴν δεκάτην· ἢ ὅτι Ῥωμαίους ἀπὸ Τυῤῥηνῶν δεκατευομένους ἀπήλλαξεν· ἢ ταῦτα μὲν οὐκ ἔχει τὴν ἱστορίαν ἀξιόπιστον, ὡς δὲ ἀδηφάγῳ τινὶ τῷ Ἡρακλεῖ καὶ εὐθοίνῳ δαψιλῶς καὶ ἀφθόνως ἀπέθυον· ἢ μᾶλλον ὡς ἐπαχθῆ ταῖς πολιτείαις τὸν ὑπερβάλλοντα πλοῦτον κολούοντες, καὶ καθάπερ εὐεξίας ἐπ' ἄκρον εὐσωματούσης ἀφαιροῦντες, ᾤοντο μάλιστα τιμᾶσθαι τὸν Ἡρακλέα, καὶ χαίρειν ταῖς τοιαύταις ἀποχρήσεσι καὶ συστολαῖς τῶν περιττῶν, εὐτελῆ καὶ αὐτάρκη καὶ ἀπέριττον τῷ βίῳ γενόμενον.

πολιτείαις .l. Δ.

Διατί τὸν Ἰανουάριον μῆνα νέου ἔτους ἀρχὴν λαμβάνουσι· τὸ γοῦν παλαιὸν ὁ Μάρτιος ἠριθμεῖτο πρότερος, ὡς ἄλλοις τε πολλοῖς δῆλόν ἐστι τεκμηρίοις, καὶ μάλιστα τῷ τὸν πέμπτον ἀπὸ τοῦ Μαρτίου Πέμπτον, καὶ τὸν ἕκτον Ἕκτον ὀνομάζεσθαι, καὶ τοὺς ἄλλους ἐφεξῆς ἄχρι τοῦ τελευταίου, ὃν Δεκέμβριον καλοῦσιν, ἀπὸ τοῦ Μαρτίου δέκατον ἀριθμούμενον, ἐξ οὗ δὴ καὶ παρέστη τισὶν οἴεσθαι καὶ λέγειν, ὡς οὐ δώδεκα μησὶν, ἀλλὰ δέκα συνεπλήρουν οἱ τότε Ῥωμαῖοι τὸν ἐνιαυτὸν, ἐνίοις τῶν μηνῶν ἡμέρας πλείονας τῶν τριάκοντα προστιθέντες. ἄλλοι δὲ ἱστοροῦσι τὸν μὲν Δεκέμβριον ἀπὸ τοῦ Μαρτίου δέκατον εἶναι, τὸν δὲ Ἰανουάριον ἑνδέκατον, τὸν δὲ Φεβρουάριον, δωδέκατον, ἐν ᾧ καθαρμοῖς τε χρῶνται, καὶ τοῖς φθιμένοις ἐναγίζουσι τοῦ ἐνιαυτοῦ τελευτῶντος· μετατεθῆναι δὲ τούτους καὶ γενέσθαι τὸν Ἰανουάριον πρῶτον, ὅτι τῇ νουμηνίᾳ τούτου τοῦ μηνὸς ἣν ἡμέραν καλάνδας Ἰανουαρίας καλοῦσιν, οἱ πρῶτοι κατεστάθησαν ὕπατοι, τῶν βασιλέων ἐκπεσόντων· πιθανώτεροι δέ εἰσιν οἱ λέγοντες ὅτι τὸν μὲν Μάρτιον ὁ Ῥωμύλος πολεμικὸς καὶ ἀρειμάνιος ὢν, καὶ δοκῶν ἐξ Ἄρεος γεγονέναι, προέταξε τῶν μηνῶν ἐπώνυμον ὄντα τοῦ Ἄρεος· Νουμᾶς δὲ αὖθις εἰρηνικὸς γενόμενος καὶ πρὸς ἔργα τῆς γῆς φιλοτιμούμενος τρέψαι τὴν πόλιν, ἀποστῆσαι δὲ τῶν πολεμικῶν, τῷ Ἰανουαρίῳ τὴν ἡγεμονίαν ἔδωκε, καὶ τὸν Ἰανὸν εἰς τιμὰς προήγαγε μεγάλας ὡς πολιτικὸν καὶ γεωργικὸν μᾶλλον ἢ πολεμικὸν γενόμενον· ὅρα δὲ μὴ μᾶλλον ὁ Νουμᾶς τὴν φύσει προσήκουσαν ἀρχὴν ἔλαβε τοῦ ἔτους ὡς πρὸς ἡμᾶς· καθόλου μὲν τὸ οὐδέν ἐστι φύσει τῶν ἐν κύκλῳ περιφερομένων, οὔτε ἔσχατον, οὔτε πρῶτον, νόμῳ δὲ ἄλλην ἄλλοι τοῦ χρόνου λαμβάνουσιν ἀρχήν· ἄριστα δὲ οἱ τὴν μετὰ τροπὰς χειμερίας λαμβάνοντες, ὁπηνίκα τοῦ πρόσω βαδίζειν πεπαυμένος ὁ ἥλιος ἐπιστρέφει καὶ ἀνακάμπτει πάλιν πρὸς ἡμᾶς, γίνεται γὰρ αὐτοῖς τρόπον τινὰ καὶ φύ-

σει, τὸν μὲν τοῦ φωτὸς αὔξουσα χρόνον ἡμῖν, μειοῦσα δὲ τὸν τοῦ σκότους, ἐγγυτέρω δὲ ποιοῦσα τὸν κύριον καὶ ἡγεμόνα τῆς ῥευστῆς οὐσίας ἁπάσης.

Διατί τῇ γυναικείᾳ θεῷ, ἣν Ἀγαθὴν καλοῦσιν, κοσμοῦσαι σηκὸν αἱ γυναῖκες, οἴκοι μυρσίνας οὐκ εἰσφέρουσι, καίτοι πᾶσι φιλοτιμούμεναι χρῆσθαι τοῖς βλαστάνουσι καὶ ἀνθοῦσι· πότερον ὡς οἱ μυθολογοῦντες ἱστοροῦσι· Φαυλίου μὲν ἦν γυνὴ τοῦ μάντεως, οἴνῳ δὲ χρησαμένη κρύφα καὶ μὴ λαθοῦσα, ῥάβδοις ἀπὸ τοῦ ἀνδρὸς ἐκολάσθη μυρσίνης, ὅθεν μυρσίνην μὲν οὐκ εἰσφέρουσιν, οἶνον δὲ αὐτῇ σπένδουσι, γάλα προσαγορεύουσαι· ἢ πολλῶν μὲν ἁγναὶ, μάλιστα δὲ ἀφροδισίων τὴν ἱερουργίαν ἐκείνην ἐπιτελοῦσιν· οὐ γὰρ μόνον ἐξοικίζουσι τοὺς ἄνδρας, ἀλλὰ καὶ πᾶν ἄῤῥεν ἐξελαύνουσι τῆς οἰκίας, ὅταν τὰ νενομισμένα τῇ θεῷ ποιῶσι· τὴν οὖν μυρσίνην ὡς ἱερὰν Ἀφροδίτην ἀφοσιοῦνται· καὶ γὰρ ἣν νῦν Μουρκίαν Ἀφροδίτην καλοῦσιν, Μυρτίαν τὸ παλαιὸν ὡς ἔοικεν ὠνόμαζον.

Διατί τὸν δρυοκολάπτην οἱ Λατῖνοι σέβονται, καὶ ἀπέχονται πάντες ἰσχυρῶς τοῦ ὄρνιθος· πότερον ὅτι τὸν Πῖκον λέγουσιν ὑπὸ φαρμάκων τῆς γυναικὸς μεταβαλεῖν τὴν φύσιν, καὶ γενόμενον δρυοκολάπτην ἀποφθέγγεσθαι λόγια, καὶ χρησμῳδεῖν τοῖς ἐρωτῶσιν, ἢ τοῦτο μὲν ἄπιστόν ἐστιν ὅλως καὶ τερατῶδες, ἅτερος δὲ τῶν μύθων πιθανώτερος, ὡς ἄρα τοῖς περὶ Ῥωμύλον καὶ Ῥῶμον ἐκτεθεῖσιν, οὐ μόνον ἡ λύκαινα θηλὴν ἐπεῖχεν, ἀλλὰ καὶ δρυοκολάπτης τις ἐπιφοιτῶν ἐψώμιζεν· ἐπιεικῶς γοῦν ἔτι καὶ νῦν τοῖς ὑπωρείοις καὶ δρυμώδεσι τόποις ὅπου φαίνεται δρυοκολάπτης, ἐκεῖ καὶ λύκος, ὡς Νίγιδος ἱστορεῖ· ἢ μᾶλλον ὡς ἄλλον ἄλλου θεοῦ καὶ τοῦτον Ἄρεος ἱερὸν νομίζουσι τὸν ὄρνιν· καὶ γὰρ εὐθαρσὴς καὶ γαῦρός ἐστι, καὶ τὸ ῥύγχος οὕτως ἔχει κραταιὸν, ὥστε δρῦς ἀνατρέπειν ὅταν κόπτων πρὸς τὴν ἐντεριώνην ἐξίκηται.

Διατί τὸν Ἰανὸν διπρόσωπον οἴονται γεγονέναι, καὶ γράφουσιν οὕτως καὶ πλάττουσιν· πότερον ὅτι τῷ μὲν γένει Ἕλλην ἐκ Περῤαιβίας ἦν, ὡς ἱστοροῦσιν, διαβὰς δὲ εἰς Ἰταλίαν, καὶ συνοικήσας τοῖς αὐτόθι βαρβάροις, μετέβαλε καὶ γλῶτταν καὶ δίαιταν· ἢ μᾶλλον ὅτι τοὺς περὶ τὴν Ἰταλίαν ἀνθρώπους ἀγρίοις καὶ ἀνόμοις χρωμένους ἔθεσιν, εἰς ἕτερον βίου σχῆμα πείσας καὶ γεωργεῖν καὶ πολιτεύεσθαι μετέβαλε καὶ μετεκόσμησε.

Διατί τὰ πρὸς τὰς ταφὰς πιπράσκουσιν ἐν τῷ τεμένει τῷ Λιβιτίνης, νομίζοντες Ἀφροδίτην εἶναι τὴν Λιβιτίνην· πότερον καὶ τοῦτο τοὔνομα τοῦ βασιλέως φιλοσοφημάτων ἕν ἐστιν, ὅπως μανθάνωσι μὴ δυσχεραίνειν τὰ τοιαῦτα, μηδὲ φεύγειν ὡς μιασμόν· ἢ μᾶλλον ὑπόμνησίς ἐστι τοῦ φθαρτὸν εἶναι τὸ γεννητὸν, ὡς μιᾶς θεοῦ τὰς γενέσεις καὶ τὰς τελευτὰς ἐπισκοπούσης· καὶ γὰρ ἐν Δελφοῖς Ἀφροδίτης Ἐπιτυμβίας ἀγαλμάτιόν ἐστι, πρὸς ὃ τοὺς κατοιχομένους ἐπὶ τὰς χοὰς ἀνακαλοῦνται.

τοῦ Νουμᾶ .l. Δ.

Διατί τρεῖς τοῦ μηνὸς ἀρχὰς καὶ προθεσμίας ἔχουσιν, οὐ ταὐτὸ διάστημα τῶν ἡμερῶν μεταξὺ λαμβάνοντες· πότερον ὡς οἱ περὶ τὸν Ἰόβαν ἱστοροῦσιν, ὅτι ταῖς καλάνδαις ἐκάλουν τὸν δῆμον οἱ ἄρχοντες, καὶ κατήγγελλον εἰς πέμπτην τὰς Νόννας, εἰδοὺς δὲ ἡμέραν ἱερὰν ἐνόμιζον· ἢ μᾶλλον ὅτι ταῖς τῆς σελήνης διαφοραῖς ὁρίζοντες τὸν χρόνον, ἑώρων ἐν τρισὶ γινομένην διαφοραῖς τὴν σελήνην κατὰ μῆνα ταῖς μεγίσταις, πρώτῃ μὲν ὅτε κρύπτεται, σύνοδον ποιησαμένη πρὸς ἥλιον, δευτέρα δὲ ὅταν ἐκφυγοῦσα τὰς αὐγὰς τοῦ ἡλίου, καταφανὴς πρῶτον ἐπὶ δυσμῶν γένηται, τρίτη δὲ τῇ περὶ τὴν πλήρωσιν αὐτῆς πανσελήνου γενομένης, ὀνομάζουσι τὸν μὲν ἀφανισμὸν αὐτῆς καὶ τὴν κρύψιν, καλάνδας, ὅτι πᾶν τὸ κρύφα καὶ λάθρα κλάμ, καὶ κηλάρε τὸ λανθάνειν, τὴν δὲ πρώτην φασὶ νόννας τῷ δικαιοτάτῳ τῶν ὀνομάτων νουμηνίαν οὖσαν· καὶ γὰρ αὐτοὶ τὸ νέον καὶ καινὸν ὥσπερ ἡμεῖς προσαγορεύουσι· τὰς δὲ εἰδοὺς, ἢ διὰ τὸ κάλλος καὶ τὸ εἶδος, ὁλοκλήρου καθισταμένης τῆς σελήνης, ἢ τῷ διῒ τὴν

φασὶν .l. Δ.

ἐπωνυμίαν ἐπιδιδόντες, οὐ δεῖ δὲ τῶν ἡμερῶν τὸν ἀκριβέστατον ἀριθμὸν διώκειν, οὐδὲ τὸ παρ' ὀλίγον συκοφαντεῖν, ὅπου καὶ νῦν ἐπίδοσιν τοσαύτην ἀστρολογίας ἐχούσης, περιγίνεται τῆς ἐμπειρίας τῶν μαθηματικῶν ἡ τῆς κινήσεως ἀνωμαλία διαφεύγουσα τὸν λόγον.

Διατί τὴν μετὰ καλάνδας ἡμέραν καὶ νόννας καὶ εἰδοὺς ἀνέξοδον καὶ ἀνεκδήμητον τίθενται. πότερον ὡς οἱ πλεῖστοι νομίζουσιν καὶ λίβιος ἱστορεῖ, μετὰ τὰς κυιντιλίας εἰδοὺς, ἃς νῦν ἰουλλίας καλοῦσιν, ἐξάγοντες οἱ χιλίαρχοι τὸ στράτευμα περὶ τὸν ἀλλίαν ποταμὸν, ἐκρατήθησαν ὑπὸ κελτῶν μάχῃ, καὶ τὴν πόλιν ἀπώλεσαν. νομισθείσης δὲ μετὰ τὰς εἰδοὺς ἀποφράδος, προσταγὲν ὥσπερ φιλεῖ πορρωτέρω τὸ ἔθος ἡ δεισιδαιμονία, καὶ κατέστησεν εἰς τὴν αὐτὴν εὐλάβειαν τήν τε μετὰ τὰς νόννας καὶ τὴν μετὰ καλάνδας. ἢ τοῦτο μὲν ἔχει πολλὰς ἀντιλογίας, ἄλλῃ τε γὰρ ἡμέρᾳ τὴν μάχην ἡττήθησαν, ἣν ἀλλιάδα διὰ τὸν ποταμὸν καλοῦντες ἀφοσιοῦνται, καὶ πολλῶν ἀποφράδων οὐσῶν, οὐκ ἐν παντὶ μηνὶ τὰς ὁμωνύμους παραφυλάττουσι, ἀλλὰ ἑκάστην ἐν ᾧ συνέτυχε· τό τε ταῖς μετὰ νόννας καὶ καλάνδας ἁπλῶς ἁπάσαις προστεῖψαι τὴν δυσειδαιμονίαν ἀπιθανώτατον. ἔρα δὴ μὴ καθάπερ τῶν μηνῶν, τὸν μὲν πρῶτον ὀλυμπίοις θεοῖς ἱδρύσαν, τὸν δὲ δεύτερον χθονίοις, ἐν ᾧ καὶ καθαρμούς τινας τελοῦσι, καὶ τοῖς κατοιχομένοις ἐναγίζουσιν, οὕτω τῶν ἡμερῶν, τὰς μὲν οἷον ἀρχὰς καὶ κυρίας, ὥσπερ εἴρηται τρεῖς οὔσας, ἑορτασίμους καὶ ἱερὰς ἔθεντο, τὰς δὲ ἐφεξῆς δαίμοσι καὶ φθιτοῖς ἐπιφημίσαντες, ἀποφράδας καὶ ἀπράκτους ἐνόμισαν· καὶ γὰρ ἕλληνες ἐν τῇ νουμηνίᾳ τοὺς θεοὺς σεβόμενοι, τὴν δευτέραν ἥρωσι καὶ δαίμοσιν ἀποδεδώκασιν, καὶ τῶν κρατήρων ὁ δεύτερος ἥρωσιν ἐπικίρναται καὶ ἡρωΐσι, καὶ ὅλως ἀριθμός τις ὁ χρόνος, ἀριθμοῦ δὲ θεῖον ἡ ἀρχὴ, μονὰς γάρ ἐστιν, ἡ δὲ μετ' αὐτὴν δυὰς, ἀντίπαλον τῇ ἀρχῇ καὶ ἀρτίων πρώτη. τὸ δὲ ἄρτιον, ἐνδεὲς καὶ ἀτελὲς καὶ ἀόριστον, ὥσπερ αὖ τὸ περιττὸν ὥρισται καὶ περαίνει καὶ τέλειόν ἐστι, διὸ καὶ νόνναι μὲν ἐπιβάλλουσι διὰ πέμπτης καλάνδαις, νόνναις δὲ εἰδοὶ δι' ἐνάτης. ὁρίζουσι γὰρ οἱ περισσοὶ τὰς ἀρχὰς, οἱ δὲ μετὰ τὰς ἀρχὰς ἄρτιοι ὄντες, οὐκ ἔχουσι τάξιν οὐδὲ δύναμιν, ὅθεν οὐκ ἄρχονται πράξεως οὐδὲ ἀποδημίας ἐν ταύταις, ἢ καὶ τὸ τοῦ θεμιστοκλέους ἔχει λόγον ἐρίσαι ποτὲ τὴν ὑστεραίαν πρὸς τὴν ἑορτὴν, ἐκείνης μὲν ἀσχολίαν καὶ κόπον ἐχούσης πολὺν, αὐτὴ δὲ παρέχουσα μετὰ σχολῆς καὶ ἡσυχίας ἀπολαῦσαι τῶν παρεσκευασμένων πρὸς τὴν ἑορτὴν, ἀποκρίνασθαι δὲ πρὸς ταῦτα τὴν ἑορτὴν ἀληθῆ λέγεις, ἀλλ' ἐμοῦ μὴ γενομένης, οὐδ' ἂν σὺ ἦς. ταῦτα δὲ ὁ θεμιστοκλῆς πρὸς τοὺς αὖθις ἔλεγε στρατηγοὺς τῶν ἀθηναίων, ὡς οὐκ ἂν οὐδαμοῦ φανέντας, εἰ μὴ τὴν πόλιν αὐτὸς ἔσωσεν. ἐπεὶ τοίνυν πᾶσα μὲν ἀξία σπουδῆς ἀποδημία καὶ πρᾶξις, οἰκονομίας δεῖται καὶ παρασκευῆς, ῥωμαῖοι δὲ τὸ παλαιὸν ἐν ταῖς ἑορταῖς οὐδὲν ᾠκονόμουν, οὐδὲ ἐφρόντιζον, ἀλλ' ἢ περὶ τοὺς θεοὺς ἠσχολοῦντο, καὶ τοῦτο ἔπραττον ὥσπερ ἔτι νῦν προκηρύττουσιν οἱ ἱερεῖς, ἐπὶ τὰς θυσίας βαδίζοντες, εἰκότως εὐθὺς οὐκ ἐξεδήμουν μετὰ τὰς ἑορτὰς οὐδὲ ἔπραττον, ἀπαράσκευοι γὰρ ἦσαν, ἀλλ' ἐκφροντίζοντες οἴκοι καὶ παρασκευαζόμενοι τὴν ἡμέραν ἐκείνην διετέλουν. ἢ καθάπερ ἔτι νῦν προσευξάμενοι καὶ προσκυνήσαντες ἐν τοῖς ἱεροῖς ἐπιμένειν καὶ καθίζειν εἰώθασιν, οὕτως οὐκ εὐθὺς ἐπέβαλλον ταῖς ἱεραῖς ἡμέραις τὰς ἐνεργοὺς, ἀλλ' ἐποίουν τι διάλειμμα καὶ διάστημα, πολλὰ τῶν πραγμάτων δυσχερῆ καὶ ἀβούλητα φερόντων.

Διατί λευκὰ φοροῦσιν ἐν τοῖς πένθεσιν αἱ γυναῖκες ἱμάτια καὶ λευκοὺς κεκρυφάλους. πότερον ὡς τοὺς μάγους φασὶν πρὸς τὸν ἅδην καὶ τὸ σκότος ἀντιταττομένους, τῷ δὲ φωτεινῷ καὶ

λαμπρῷ

λαμπρῷ συνεξομοιοῦντας ἑαυτοὺς τοῦτο ποιεῖν, ἢ καθάπερ τὸ σῶμα τοῦ τεθνηκότος ἀμφιεννύουσι λευκοῖς, καὶ τοὺς προσήκοντας ἀξιοῦσι, τὸ δὲ σῶμα κοσμοῦσιν οὕτως, ἐπεὶ μὴ δύνανται τὴν ψυχὴν, βούλονται δὲ ἐκείνην λαμπρὰν καὶ καθαρὰν προπέμπειν, ὡς ἀφειμένην ἤδη καὶ διηγωνισμένην μέγαν ἀγῶνα καὶ ποικίλον. ἢ τὸ μὲν λιτὸν ἐν τούτοις μάλιστα καὶ τὸ ἁπλοῦν πρέπει, τῶν δὲ βαπτῶν, τὰ μὲν καὶ πολυτέλειαν ἐμφαίνει, τὰ δὲ περιεργίαν· οὐδὲν γὰρ ἧττόν ἐστι πρὸς τὸ μέλαν ἢ τὸ ἁλουργὸν εἰπεῖν, δολερὰ μὲν τὰ εἵματα, δολερὰ δὲ τὰ χρώματα. τὸ δὲ αὐτόχροον μέλαν, οὐχ ὑπὸ τέχνης ἀλλὰ φύσει βαπτόν ἐστιν, καὶ μεμιγμένον τῷ σκιώδει κέκραται. μόνον οὖν τὸ λευκὸν εἰλικρινὲς καὶ ἀμιγὲς καὶ ἀμίαντόν ἐστι βαφῇ καὶ ἀμίμητον. οἰκειότατον οὖν τοῖς θαπτομένοις. καὶ γὰρ ὁ τεθνηκὼς, ἁπλοῦν τι γέγονε καὶ ἀμιγὲς καὶ καθαρὸν, ἀτεχνῶς οὐδὲν, ἀλλ' ἢ φαρμάκου δευσοποιοῦ τοῦ σώματος ἀπηλλαγμένος. ἐν δὲ ἄργει λευκὰ φοροῦσιν ἐν τοῖς πένθεσιν ὡς σωκράτης φησὶν ὑδατόκλυστα.

Διατί τὸ τεῖχος ἀβέβηλον καὶ ἱερὸν νομίζουσι, τὰς δὲ πύλας οὐ νομίζουσιν. ἢ καθάπερ ἔγραψε βάρρων, τὸ μὲν τεῖχος ἱερὸν δεῖ νομίζειν, ὅπως ὑπὲρ αὐτοῦ μάχωνται προθύμως καὶ ἀποθνήσκωσιν. οὕτω γὰρ δοκεῖ καὶ ῥωμύλος ἀποκτεῖναι τὸν ἀδελφὸν, ὡς ἄβατον καὶ ἱερὸν τόπον ἐπιχειροῦντα διαπηδᾶν, καὶ ποιεῖν ὑπέρβατον καὶ βέβηλον. τὰς δὲ πύλας οὐχ οἷόν τε ἦν ἀφιερῶσαι, δι' ὧν ἄλλα τε πολλὰ τῶν ἀναγκαίων καὶ τοὺς νεκροὺς ἐκκομίζουσιν. ὅθεν οἱ πόλιν ἀπ' ἀρχῆς κτίζοντες, ὅσον ἂν μέλλωσι τόπον ἀνοικοδομεῖν, ἐπιᾶσιν ἀρότρῳ, βοῦν ἄρρενα καὶ θήλειαν ὑποζεύξαντες. ὅταν δὲ τὰ τείχη περιορίζωσι, τὰς τῶν πυλῶν χώρας διαμετροῦντες, τὴν ὕνιν ὑφαιροῦσι καὶ μεταφέρουσιν οὕτω τὸ ἄροτρον, ὡς τὴν ἀρουμένην πᾶσαν ἱερὰν καὶ ἄσυλον ἐσομένην.

Διατί τοὺς παῖδας ὅταν ὀμνύωσι τὸν ἡρακλέα, κωλύουσιν ὑπὸ στέγῃ τοῦτο ποιεῖν, καὶ κελεύουσιν εἰς ὕπαιθρον προϊέναι. πότερον ὡς ἔνιοι λέγουσιν, οὐκ οἰκουρίᾳ τὸν ἡρακλέα χαίρειν, ἀλλὰ ὑπαίθρῳ βίῳ καὶ θυραυλίαις νομίζοντες. ἢ μᾶλλον ὅτι τῶν θεῶν, οὐκ ἐπιχώριος οὗτος, ἀλλὰ πόρρωθεν ξένος. οὐδὲ γοῦν τὸν διόνυσον ὀμνύουσιν ὑπὸ στέγῃ ξένον ὄντα καὶ αὐτὸν, εἴπερ ἐστὶ διόνυσος. ἢ ταῦτα μὲν λέγεται καὶ παίζεται πρὸς τοὺς παῖδας. ἄλλως δὲ ἐπίσχεσίς ἐστι τῆς πρὸς τὸν ὅρκον εὐχερείας καὶ ταχύτητος τὸ γινόμενον, ὡς φαβωρῖνος ἔλεγε. τὸ γὰρ ὥσπερ ἐκ παρασκευῆς μέλλησιν ἐμποιεῖ, καὶ βουλεύσασθαι δίδωσι. συμβάλλοιτο δ' ἄν τις τῷ φαβωρίνῳ, πρὸς τὸ μὴ κοινὸν ἀλλὰ ἴδιον εἶναι τοῦ θεοῦ τούτου τὸ γινόμενον ἐκ τῶν περὶ ἡρακλέους λεγομένων. ἱστορεῖται γὰρ οὕτως εὐλαβὴς γεγονέναι πρὸς ὅρκον, ὥστε ἅπαξ ὀμόσαι καὶ μόνῳ φυλεῖ τῷ αὐγέου. διὸ καὶ τὴν πυθίαν προφέρειν τὰ ὅρκια ταῦτα λακεδαιμονίοις, ὡς ἐμπεδοῦσι λῷον εἴη καὶ ἄμεινον.

Διατί τὴν γαμουμένην οὐκ ἐῶσιν αὐτὴν ὑπερβῆναι τὸν οὐδὸν τῆς οἰκίας, ἀλλ' ὑπεραίρουσιν οἱ προπέμποντες. πότερον ὅτι τὰς πρώτας γυναῖκας ἁρπάσαντες οὕτως εἰσήνεγκαν, αὐταὶ δὲ οὐκ εἰσῆλθον. ἢ βούλονται δοκεῖν εἰσιέναι βιαζομένας οὐχ ἑκούσας ὅπου μέλλουσι διαλύειν τὴν παρθενίαν. ἢ σύμβολόν ἐστι τοῦ μηδὲ ἐξιέναι δι' αὐτῆς, μηδὲ καταλιπεῖν τὴν οἰκίαν, εἰ μὴ βιασθείη καθάπερ καὶ εἰσῆλθε βιασθεῖσα. καὶ γὰρ παρ' ἡμῖν ἐν βοιωτίᾳ καίουσι πρὸ τῆς θύρας τὸν ἄξονα τῆς ἁμάξης, ἐμφαίνοντες δεῖν τὴν νύμφην ἐμβαίνειν ὡς ἀνῃρημένου τοῦ ἀπάξοντος.

Διατί τὴν νύμφην εἰσάγοντες λέγειν κελεύουσιν ὅπου σὺ γαῖος ἐγὼ γαΐα. πότερον, ὥσπερ ἐπὶ ῥητοῖς εὐθὺς εἴσεισι τῷ κοινωνεῖν ἁπάντων καὶ συνάρχειν, καὶ τὸ μὲν δηλούμενόν ἐστιν ὅπου σὺ κύριος καὶ οἰκοδεσπότης, καὶ ἐγὼ κυρία καὶ οἰκοδέσποινα. τοῖς δὲ ὀνόμασι τούτοις ἄλλως κέχρηνται κοινοῖς οὖσιν, ὥσπερ οἱ νομικοὶ γάϊον σήϊον,

καὶ λούκιον τίτιον· καὶ οἱ φιλόσοφοι δίωνα καὶ θέωνα παραλαμβάνουσιν. ἢ διὰ γαΐαν κεκιλίαν καλὴν καὶ ἀγαθὴν γυναῖκα τῶν ταρκυνίου παίδων ἑνὶ συνοικήσασαν, ἧς ἐν τῷ τοῦ σάγκου ἱερῷ χαλκοῦς ἀνδριὰς ἕστηκεν· ἔκειτο δὲ πάλαι καὶ σανδάλια καὶ ἄτρακτοι· τὸ μὲν οἰκουρίας αὐτῆς, τὸ δὲ ἐνεργείας σύμβολον.

Διατί ὁ πολυθρύλητος ᾄδεται ταλάσιος ἐν τοῖς γάμοις. πότερον ἀπὸ τῆς ταλασίας· καὶ γὰρ τὸν τάλαρον τάλαντον ὀνομάζουσι, καὶ τὴν νύμφην εἰσάγοντες, νάκος ὑποστρωννύουσιν, αὐτὴ δὲ εἰσφέρει μὲν ἠλακάτην καὶ τὸν ἄτρακτον, ἐρίῳ δὲ τὴν θύραν περιστέφει τοῦ ἀνδρός. ἢ τὸ λεγόμενον ὑπὸ τῶν ἱστορικῶν ἀληθές, ὅτι νεανίας ἦν τις λαμπρὸς ἐν τοῖς πολεμικοῖς καὶ τἄλλα χρηστὸς ὄνομα ταλάσιος. ἐπεὶ δὲ ἥρπαζον οἱ ῥωμαῖοι τὰς τῶν σαβίνων θυγατέρας ἐλθούσας ἐπὶ θέαν, ἐκομίζετο τῷ ταλασίῳ παρθένος ἐκπρεπὴς τὴν ὄψιν ὑπὸ δημοτικῶν τινῶν καὶ πελατῶν τοῦ ταλασίου, βοώντων ὑπὲρ ἀσφαλείας καὶ τοῦ μηδένα πελάζειν μηδὲ ἀντιλαμβάνεσθαι τῆς παιδός, ὡς ταλασίῳ γυνὴ φέροιτο. τιμῶντες οὖν οἱ λοιποὶ τὸν ταλάσιον, καὶ συνευχόμενοι καὶ συνευφημοῦντες, εἵποντο καὶ παρέπεμπον. ὅθεν ἀτυχοῦς γάμου γενομένου, καὶ τοῖς ἄλλοις εἰθίσθησαν ἐπιφωνεῖν τὸν ταλάσιον ὥσπερ Ἕλληνες τὸν ὑμέναιον.

Διατί τοῦ μαΐου μηνὸς ἀπὸ τῆς ξυλίνης γεφύρας εἴδωλα ῥιπτοῦντες ἀνθρώπων εἰς τὸν ποταμόν, ἀργείους τὰ ῥιπτούμενα καλοῦσιν. ἢ τὸ παλαιὸν οἱ περὶ τὸν τόπον οἰκοῦντες βάρβαροι τοὺς ἁλισκομένους Ἕλληνας οὕτως ἀπώλλυσαν. ἡρακλῆς δὲ θαυμασθεὶς ὑπ᾽ αὐτῶν, ἔπαυσε μὲν τὴν ξενοκτονίαν· ἐδίδαξε δὲ τὸ ἔθος καὶ τὴν δεισιδαιμονίαν ἀπομιμουμένους εἴδωλα ῥιπτεῖν. ἀργείους δὲ τοὺς Ἕλληνας οἱ παλαιοὶ πάντας ὁμαλῶς προσηγόρευον, εἰ μὴ νὴ Δία τῶν ἀρκάδων πολεμίους καὶ τοὺς ἀργείους διὰ τὴν γειτνίασιν ἡγουμένων, οἱ περὶ εὔανδρον ἐκ τῆς Ἑλλάδος φυγόντες καὶ κατοικήσαντες αὐτόθι, τὴν μνησικακίαν καὶ τὴν ἔχθραν διεφύλαττον.

Διατί τὸ παλαιὸν οὐκ ἐδείπνουν ἔξω χωρὶς τῶν υἱῶν, ἔτι τὴν παιδικὴν ἡλικίαν ἐχόντων. ἢ τοῦτο μὲν καὶ λυκοῦργος εἴθισε τοὺς παῖδας ἐπεισάγων τοῖς φιτιδίοις, ὅπως ἐθίζωνται μὴ θηριωδῶς, μηδὲ ἀτάκτως, ἀλλὰ μετ᾽ εὐλαβείας ταῖς ἡδοναῖς προσφέρεσθαι, τοὺς πρεσβυτέρους οἷον ἐπισκόπους καὶ θεατὰς ἔχοντες, οὐκ ἔλαττον δὴ τοῦτο καὶ τοὺς πατέρας αὐτοὺς μᾶλλον αἰδεῖσθαι καὶ σωφρονεῖν τῶν υἱῶν παρόντων· ὅπου γὰρ ἀναισχυντοῦσι γέροντες ὥς φησιν ὁ πλάτων, ἐνταῦθα ἀνάγκη καὶ νέους ἀναισχυντοτάτους εἶναι.

Διατί τῶν ἄλλων ῥωμαίων ἐν τῷ φεβρουαρίῳ μηνὶ ποιουμένων χοὰς καὶ ἐναγισμοὺς τοῖς τεθνηκόσι, δέκιμος βροῦτος ὡς κικέρων ἱστόρηκεν, ἐν τῷ δεκεμβρίῳ τοῦτ᾽ ἔπραττεν. ἦν δὲ οὗτος ὁ λυσιτανίαν ἐπελθών, καὶ πρῶτος ἐπέκεινα στρατῷ διαβὰς τὸν τῆς λήθης ποταμόν. πότερον ὥσπερ ἡμέρας ληγούσης καὶ μηνὸς φθίνοντος εἰώθασιν ἐναγίζειν οἱ πολλοί, λόγον ἔχει καὶ τοῦ ἐνιαυτοῦ καταστρέφοντος, ἐν τῷ τελευταίῳ μηνὶ τιμᾶν τοὺς τεθνηκότας, ἔστι δὲ τῶν μηνῶν τελευταῖος, ὁ δεκέμβριος. ἢ χθονίων μὲν αἱ τιμαὶ θεῶν, τιμᾶν δὲ τοὺς χθονίους ὡραῖόν ἐστι τῶν καρπῶν ἁπάντων εἰληφότων συντέλειαν. ἢ ὅτε κινοῦσι τὴν γῆν ἀρχόμενοι σπόρου, μεμνῆσθαι μάλιστα τῶν κάτω προσήκει. ἢ κρόνῳ μὲν οὗτος ὁ μὴν ὑπὸ ῥωμαίων καθιέρωται. κρόνον δὲ τῶν κάτω θεῶν οὐ τῶν ἄνω νομίζουσιν. ἢ μεγίστης αὐτοῖς ἑορτῆς τῶν κρονίων καθεστώσης, καὶ συνουσίας τε πλείστας καὶ ἀπολαύσεις ἔχειν δοκούσης, ἔδοξε καὶ ταύτης ἀπονέμειν τινὰς ἀπαρχὰς τοῖς τεθνηκόσι. ἢ τοῦτο μὲν βροῦτον ἐναγίζειν ἐν τῷ μηνὶ τούτῳ, καθόλου ψεῦδός ἐστι· καὶ γὰρ τῇ λαρεντίᾳ ποιοῦσι τὸν ἐναγισμόν, καὶ χοὰς ἐπιφέρουσιν ἐπὶ τὸν τάφον τοῦ δεκεμβρίου μηνός.

Διατί δὲ τὴν λαρεντίαν ἑταίραν γεγενημένην,

γεγενημένην, οὕτω τιμῶσιν. ἄλλην γὰρ εἶναι λαρεντίαν ἄκκαν ἱστοροῦσι τὴν ῥωμύλου τροφόν, ἣν τῷ ἀπριλλίῳ μηνὶ τιμῶσι· τῇ δὲ ἑταίρᾳ λαρεντίᾳ, φαβόλαν ἐπίκλησιν εἶναι λέγουσιν. ἐγνωρίσθη δὲ διὰ τοιαύτην αἰτίαν. ζάκορός τις ἡρακλέους ὡς ἔοικεν ἀπολαύων σχολῆς, ἔθος εἶχεν ἐν πεττοῖς καὶ κύβοις τὰ πολλὰ διημερεύειν, καί ποτε τῶν εἰωθότων παίζειν σὺν αὐτῷ καὶ μετέχειν τῆς τοιαύτης διατριβῆς, κατὰ τύχην μηδενὸς παρόντος ἀδημονῶν, τὸν θεὸν προὐκαλεῖτο διαβαλέσθαι τοῖς κύβοις πρὸς αὐτόν, ὥσπερ ἐπὶ ῥητοῖς. νικήσας μὲν εὑρέσθαι τι παρὰ τοῦ θεοῦ χρηστόν, ἂν δὲ λειφθῇ, δεῖπνον αὐτὸς τῷ θεῷ παρασχεῖν καὶ μείρακα καλὴν συναναπαυσομένην. ἐκ τούτου δὲ τοὺς κύβους προθέμενος, τὴν μὲν ὑπὲρ ἑαυτοῦ, τὴν δὲ ὑπὲρ τοῦ θεοῦ βαλὼν ἐλείφθη. ταῖς οὖν προκλήσεσιν ἐμμένων, τράπεζάν τε λαμπροτέραν παρεσκεύασε τῷ θεῷ, καὶ τὴν λαρεντίαν παραλαβὼν ἐμφανῶς ἑταιροῦσαν εἱστίασε καὶ κατέκλινεν ἐν τῷ ἱερῷ, καὶ τὰς θύρας ἀπιὼν ἔκλεισε. λέγεται δὲ νύκτωρ ἐντυχεῖν αὐτῇ τὸν θεὸν οὐκ ἀνθρωπίνως, καὶ κελεῦσαι βαδίζειν ἕωθεν εἰς ἀγοράν, ᾧ δ᾽ ἂν ἐντύχῃ πρώτῳ, προσέχειν μάλιστα καὶ ποιεῖσθαι φίλον. ἀναστᾶσαν οὖν τὴν λαρεντίαν βαδίζειν καὶ συντυχεῖν τινι τῶν πλουσίων, ἀγάμων δὲ καὶ παρηκμακότων ὄνομα ταρρουντίῳ, γνωρισθεῖσαν δὲ τούτῳ, καὶ ζῶντος ἄρχειν τοῦ οἴκου, καὶ κληρονομῆσαι τελευτήσαντος, ὕστερον δὲ χρόνοις αὐτὴν τελευτῶσαν τῇ πόλει τὴν οὐσίαν ἀπολιπεῖν, διὸ τὰς τιμὰς ἔχειν ταύτας.

Διατί πύλην μίαν θυρίδα καλοῦσι, τὴν γὰρ φενέστραν τοῦτο σημαίνειν, καὶ παρ᾽ αὐτὴν ὁ καλούμενος τύχης θάλαμός ἐστι. πότερον ὅτι σέρβιος ὁ βασιλεὺς εὐτυχέστατος γενόμενος, δόξαν ἔσχε τῇ τύχῃ συνεῖναι φοιτώσῃ διὰ θυρίδος πρὸς αὐτόν. ἢ τοῦτο μὲν μῦθός ἐστιν· ἐπεὶ δὲ ταρκυνίου πρίσκου τοῦ βασιλέως ἀποθανόντος ἡ γυνὴ τανακυλλὶς ἔμφρων οὖσα καὶ βασιλική, διὰ θυρίδος προκύψασα τοῖς πολίταις ἐνέτυχε, καὶ συνέπεισεν ἀποδεῖξαι βασιλέα τὸν σέρβιον, ἔσχε ταύτην ὁ τόπος τὴν ἐπωνυμίαν.

Διατί τῶν τοῖς θεοῖς ἀνατιθεμένων, μόνα τὰ σκῦλα νενόμισται περιορᾶν ἀφανιζόμενα τῷ χρόνῳ, καὶ μήτε προσκινεῖν, μήτε ἐπισκευάζειν. πότερον ἵνα τὴν δόξαν οἰόμενοι τοῖς πρώτοις συνεκλιπεῖν, ἀεί τι πρόσφατον ὑπόμνημα τῆς ἀρετῆς ζητῶσι κομίζειν, ἢ μᾶλλον ὅτι τοῦ χρόνου τὰ σημεῖα τῆς πρὸς τοὺς πολεμίους διαφορᾶς ἀμαυροῦντος, αὐτοὺς ἀναλαμβάνειν καὶ καινοποιεῖν ἐπίφθονόν ἐστιν καὶ φιλαπεχθήμον. οὐδὲ γὰρ παρ᾽ Ἕλλησιν οἱ πρῶτοι λίθινον καὶ χαλκοῦν στήσαντες τρόπαιον εὐδοκιμοῦσι.

Διατί κόϊντος μέτελλος ἀρχιερεὺς γενόμενος, καὶ τἄλλα δοκῶν φρόνιμος εἶναι, καὶ πολιτικὸς ἀνήρ, ἐκώλυεν οἰωνίζεσθαι μετὰ τὸν σεξτίλιον μῆνα, τὸν νῦν αὔγουστον προσαγορευόμενον. πότερον ὅτι καθάπερ ἡμέρας ἀκμαζούσης, ἢ ἀρχομένης πράττομεν τὰ τοιαῦτα, καὶ μηνὸς ἱσταμένου καὶ αὐξομένου· τὰς δὲ ἀποκλίνους ὡς ἀχρηματίστους φυλαττόμεθα, παραπλησίως τοὺς μετὰ μῆνας ὀκτὼ χρόνους, ὥσπερ ἑσπέραν τινὰ τοῦ ἐνιαυτοῦ καὶ δείλην ἀποκλίνοντος ἤδη καὶ φθίνοντος νομίζειν, ἢ καὶ τοῖς ὄρνισι χρηστέον ἀκμαίοις καὶ τελείοις· εἰσὶ δὲ πρὸ τοῦ θέρους τοιοῦτοι· περὶ δὲ τὸ φθινόπωρον οἱ μὲν ἀσθενεῖς καὶ νοσώδεις, οἱ δὲ νεοσσοὶ καὶ ἀτελεῖς, οἱ δὲ παντάπασι φροῦδοι διὰ τὴν ὥραν ἐκτοπίζοντες.

Διατί τοῖς μὴ στρατευομένοις μέν, ἐν στρατοπέδῳ δὲ ἄλλως ἀναστρεφομένοις, οὐκ ἐξῆν ἄνδρα βαλεῖν πολέμιον οὐδὲ τρῶσαι, καὶ τοῦτο κάτων ὁ πρεσβύτης ἐν ἐπιστολῇ τινι δεδήλωκε, γράφων πρὸς τὸν υἱόν, καὶ κελεύων εἰ παρεθείη τῆς στρατείας ἀποπληρώσας τὸν χρόνον ὑποστρέφειν, ἢ προσμένοντα λαβεῖν παρὰ τοῦ στρατηγοῦ τὸ ἐξεῖναι τρῶσαι καὶ ἀνελεῖν πολέμιον. πότερον ὅτι τὴν ἀνάγκην μόνην ἐξουσίαν εἶναι δεῖ τοῦ ἀνε-

λεῖν ἄνδρα, ὁ δὲ ἄνευ νόμου καὶ προστάγματος τοῦτο ποιῶν, ἀνδροφόνος ἐστίν. διὸ
καὶ Χρυσάντα ἐπῄνεσεν ὁ Κῦρος, ὅτι μέλλων ἀναιρεῖν πολέμιον καὶ τὴν κοπίδα
διηρμένος, ἀκούσας τοῦ ἀνακλητικοῦ, ἀφῆκε τὸν ἄνδρα, καὶ οὐκ ἔπαισεν ὡς κε-
κωλυμένος. ἢ δεῖ τὸν συνιστάμενον πολεμίοις καὶ μαχόμενον, ἂν ἀποδειλιάσῃ,
μὴ ἀνυπεύθυνον εἶναι μηδὲ ἀθῷον. οὐ γὰρ οὕτω βαλών τινα, καὶ ζώσας ὠφέλη-
σεν, ὡς φυγὼν καὶ ἀναχωρήσας ἔβλαψεν. ὁ μὲν οὖν ἀφειμένος στρατείας, ἀπήλ-
λακται τῶν στρατιωτικῶν νόμων, ὁ δὲ αἰτησάμενος τὸ πράττειν τὰ τῶν στρα-
τευομένων, πάλιν ἑαυτὸν ὑπεύθυνον τῷ νόμῳ καὶ τῷ στρατηγῷ δέδωκεν.

Διατί τῷ ἱερεῖ τοῦ Διὸς, οὐκ ἔξεστιν ἐν ὑπαίθρῳ ἀλείφεσθαι. πότερον ὅτι καὶ παῖ-
δας γυμνοῦσθαι πατρὸς ὁρῶντος, καὶ πενθεροῦ γαμβρὸν, οὐχ ὅσιον ἦν οὐδὲ καλὸν,
οὐδὲ συνελούοντο τὸ παλαιὸν ἀλλήλοις. πατὴρ δὲ ὁ Ζεὺς, καὶ τὸ ἐν ὑπαίθρῳ μά-
λιστά πως εἶναι δοκεῖ, τοῦ Διὸς ἐνώπιον. ἢ καθάπερ ἐν ναῷ καὶ ἱερῷ γυμνοῦν ἑαυ-
τὸν ἀθέμιτόν ἐστιν, οὕτω τὸν ὕπαιθρον ἀέρα καὶ τὸν ὑπουράνιον ὄντα, καὶ θεῶν
καὶ δαιμόνων μεστὸν ἐξευλαβοῦντο. διὸ καὶ πολλὰ τῶν ἀναγκαίων ὑπὸ στέγῃ
δρῶμεν ἐπικρυπτόμενοι καὶ ἐπικαλυπτόμενοι ταῖς οἰκίαις πρὸς τὸ θεῖον. τὰ μὲν
μόνῳ τῷ ἱερεῖ, τὰ δὲ πᾶσιν ὑπὸ τοῦ νόμου προστέτακται διὰ τοῦ ἱερέως. διὸ καὶ
παρ' ἡμῖν τὸ μὲν στεφανηφορεῖν καὶ κομᾶν καὶ σιδηροφορεῖν, μηδὲ τοῖς Φωκέων
ὅροις ἐμβαίνειν, ἴδια λειτουργήματα τοῦ ἄρχοντός ἐστιν. τὸ δὲ ὀπώρας μὴ γεύ-
εσθαι πρὸ ἰσημερίας μετοπωρινῆς μηδὲ ἄμπελον τέμνειν πρὸ ἰσημερίας ἐαρι-
νῆς, ὁμοῦ τι πᾶσι δηλοῦται διὰ τοῦ ἄρχοντος. ἑκατέρου γὰρ ὁ καιρὸς ἐκεῖνός
ἐστι. τὸν αὐτὸν οὖν τρόπον ὡς ἔοικε καὶ τοῦ παρὰ Ῥωμαίοις ἱερέως ἴδιόν ἐστι,
τὸ μήτε ἵππῳ χρῆσθαι, μήτε πλείονας νύκτας ἀποδημεῖν τριῶν, μήτε ἀποτίθε-
σθαι τὸν πῖλον ἀφ' οὗ καὶ φλάμεν κέκληται. πολλὰ δὲ ἄλλα δηλοῦται πᾶ-
σι διὰ τοῦ ἱερέως ὧν ἕν ἐστι καὶ τὸ ἐν ὑπαίθρῳ μὴ ἀλείφεσθαι. τὸ γὰρ ξηραλοι-
φεῖν ὑφεωρῶντο Ῥωμαῖοι σφόδρα, καὶ τοῖς Ἕλλησιν οἴονται μηδὲν οὕτως αἴ-
τιον δουλείας γεγονέναι καὶ μαλακίας, ὡς τὰ γυμνάσια καὶ τὰς παλαί-
στρας πολὺν ἄλυν καὶ σχολὴν ἐντεκούσας ταῖς πόλεσι καὶ κακοσχολίαν, καὶ
τὸ παιδεραστεῖν καὶ τὸ διαφθείρειν τὰ σώματα τῶν νέων ὕπνοις καὶ περιπάτοις
καὶ κινήσεσιν εὐρύθμοις καὶ διαίταις ἀκριβέσιν, ὑφ' ὧν ἔλαθον ἐκρυέντες τῶν
ὅπλων καὶ ἀγαπήσαντες ἀνθ' ὁπλιτῶν καὶ ἱππέων ἀγαθῶν, εὐτράπελοι καὶ
παλαιστρῖται καὶ καλοὶ λέγεσθαι. ταῦτα γοῦν ἔργον ἐστὶν ἀποφυγεῖν εἰς
ὕπαιθρον ἀποδυομένους. οἱ δὲ κατ' οἰκίαν ἀλειφόμενοι καὶ θεραπεύοντες ἑαυ-
τοὺς, οὐδὲν ἁμαρτάνουσι.

Διατί τὸ παλαιὸν νόμισμα, πῆ μὲν εἶχεν Ἰα-
νοῦ διπρόσωπον εἰκόνα, πῆ δὲ πλοίου πρύμναν ἢ πρῷραν ἐγκεχαραγμένην. πό-
τερον ὡς οἱ πολλοὶ λέγουσιν ἐπὶ τιμῇ Κρόνου πλοίῳ διαπεράσαντες εἰς Ἰτα-
λίαν. ἢ τοῦτο μέν ἐστιν ἐπὶ πολλῶν λέγειν. καὶ γὰρ Ἰανὸς καὶ Εὔανδρος καὶ Αἰ-
νείας, ἐκ θαλάττης προσεκομίσθησαν. ἐκεῖνο δὲ ἄν τις μᾶλλον εἰκάσειεν, ὅτι τὰ
μὲν καλὰ ταῖς πόλεσίν ἐστιν, τὰ δὲ ἀναγκαῖα, καὶ μέγιστον τῶν μὲν καλῶν ἡ εὐ-
νομία, τῶν δὲ ἀναγκαίων ἡ εὐπορία. ἐπεὶ τοίνυν εὐνομίαν μὲν, Ἰανὸς κατέστησεν
αὐτοῖς ἐξημερώσας τὸν βίον, ἀφθονίαν δὲ παρέχει τῶν ἀναγκαίων ὁ ποταμὸς
πλώϊμος ὢν, καὶ τὰ μὲν ἐκ θαλάττης, τὰ δὲ ἀπὸ τῆς χώρας κατακομίζων,
σύμβολον ἔσχε τὸ νόμισμα, τοῦ μὲν νομοθέτου τὸ δίμορφον ὡς εἴρηται διὰ τὴν με-
ταβολὴν, τοῦ δὲ ποταμοῦ πορθμεῖον. ἑτέρῳ δὲ ἐχρήσαντο νομίσματι βοῦν ἔχοντι καὶ
πρόβατον καὶ σῦν παράσημον, εὐποροῦντες ἀπὸ τῶν θρεμμάτων μάλιστα, καὶ τὴν περιουσίαν
ἀπὸ τούτων ἔχοντες. διὸ καὶ τῶν ὀνομάτων πολλὰ τοῖς παλαιοῖς Σουΐλλιοι καὶ Βουβολκοὶ καὶ
Πόρκιοι ἦσαν, ὡς Φενεστέλλας εἴρηκεν.

Διατί τῷ τοῦ Κρόνου ναῷ χρῶνται ταμείῳ
τῶν

τῶν δημοσίων χρημάτων, ἅμα δὲ καὶ φυλακτηρίῳ τῶν συμβολαίων. πότερον
ὅτι δόξα κατεῖχε καὶ λόγος οὐκ εἶναι πλεονεξίαν ἐν ἀνθρώποις οὐδὲ ἀδικίαν,
Κρόνου βασιλεύοντος, ἀλλὰ πίστιν καὶ δικαιοσύνην. ἢ ὅτι καρπῶν εὑρετὴς, ἢ γεωργί-
ας ἡγεμὼν ὁ θεὸς, ἡ γὰρ ἅρπη τοῦτο σημαίνει, καὶ οὐχ ὡς γέγραφεν Ἀντίμαχος Ἡ-
σιόδῳ πειθόμενος, λέχριε δὲ δρεπάνῳ τέμνων ἀπὸ μήδεα πατρὸς Οὐρανοῦ Ἀκμο-
νίδεω λάσιος Κρόνος ἀντιτέτυκτο, καρπῶν δὲ ἀφθονία καὶ διάθεσις, γένεσίς ἐστι
νομίσματος, διὸ τὸν αἴτιον καὶ φύλακα ποιοῦνται τῆς εὐδαιμονίας, μαρτυ-
ρεῖ δὲ τούτῳ, τὸ τὰς ἀγομένας δι' ἐννέα ἡμερῶν ἐπ' ἀγορὰν συνόδους νουνδίνας
δὲ καλουμένας ἱερὰς τοῦ Κρόνου νομίζεσθαι, πράσεως γὰρ καὶ ὠνῆς περιουσία
καρπῶν ἀρχὴν παρέσχεν. ἢ ταῦτα μέν ἐστι παλαιὰ, πρῶτος δὲ ταμεῖον ἀπέ-
δειξε τὸ Κρόνιον, τῶν βασιλέων καταλυθέντων, Οὐαλέριος Ποπλικόλας, πει-
θόμενος εὐερκῆ καὶ καταφανῆ καὶ δυσεπιβούλευτον εἶναι τὸν τόπον.

Διατί δὲ
οἱ πρεσβεύοντες εἰς Ῥώμην ὁποθενοῦν, εἰς τὸν τοῦ Κρόνου ναὸν βαδίζοντες, ἀπο-
γράφονται πρὸς τοὺς ἐπάρχους τοῦ ταμείου. πότερον ὡς ξένου τοῦ Κρόνου γενομέ-
νου καὶ διὰ τοῦτο τοῖς ξένοις χαίροντος. ἢ καὶ τοῦτο λύεται τῇ ἱστορίᾳ. τὸ γὰρ παλαι-
ὸν ὡς ἔοικεν, οἱ ταμίαι ξένια τοῖς πρεσβεύουσιν ἔπεμπον, ἐκαλεῖτο δὲ λαύτεια
τὰ πεμπόμενα, καὶ νοσούντων ἐπεμέλοντο, καὶ τελευτήσαντας ἔθαπτον ἐκ δημο-
σίου, νῦν δὲ ὑπὸ πλήθους τῶν ἀφικνουμένων πρέσβεων ἐκλέλειπται τὸ τῆς δαπάνης,
μένει δὲ ἔτι τὸ τοῖς ἐπάρχοις τοῦ ταμείου προσεντυγχάνειν διὰ τῆς ἀπογραφῆς.

Διατί τῷ ἱερεῖ τοῦ Διὸς οὐκ ἔξεστιν ὀμόσαι. πότερον ὅτι βάσανός τις ἐλευθέρων ὁ
ὅρκος ἐστὶ, δεῖ δὲ ἀβασάνιστον εἶναι καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν τοῦ ἱερέως. ἢ ὅτι περὶ
μικρῶν ἀπιστεῖσθαι τὸν τὰ θεῖα καὶ μέγιστα πεπιστευμένον, οὐκ εἰκός ἐστιν. ἢ ὅτι πᾶς
ὅρκος εἰς κατάραν τελευτᾷ τῆς ἐπιορκίας, κατάρα δὲ δύσφημον καὶ σκυθρωπὸν,
ὅθεν οὐδὲ ἄλλοις ἐπαρᾶσθαι νομίζεται τοὺς ἱερεῖς. ἐπῃνέθη γοῦν Ἀθήνησιν ἡ ἱέρεια
μὴ θελήσασα καταράσασθαι τῷ Ἀλκιβιάδῃ τοῦ δήμου κελεύοντος, ἔφη γὰρ εὐχῆς
οὐ κατάρας ἱέρεια γεγονέναι. ἢ κοινὸς ὁ τῆς ἐπιορκίας κίνδυνος, ἂν ἀνὴρ ἀσεβὴς
καὶ ἐπίορκος εὐχῶν κατάρχηται, καὶ ἱερῶν ὑπὲρ τῆς πόλεως.

Διατί τῶν Οὐενερα-
λίων τῇ ἑορτῇ πολὺν οἶνον ἐκχέουσιν ἐκ τοῦ ἱεροῦ τῆς Ἀφροδίτης. πότερον ὡς οἱ
πλεῖστοι λέγουσι Μεζέντιος ὁ Τυρρηνῶν στρατηγὸς ἔπεμψε πρὸς Αἰνείαν σπενδό-
μενος ἐπὶ τῷ λαβεῖν τὸν ἐπέτειον οἶνον, ἀρνησαμένου δὲ ἐκείνου τοῖς Τυρρηνοῖς ὑπέ-
σχετο κρατήσας μάχῃ δώσειν τὸν οἶνον, Αἰνείας δὲ τὴν ὑπόσχεσιν αὐτοῦ πυθόμενος,
τοῖς θεοῖς τὸν οἶνον καθιέρωσε, καὶ μετὰ τὸ νικῆσαι συναγαγὼν τὸν καρπευθέντα ἐξέχεε
πρὸ τοῦ ἱεροῦ τῆς Ἀφροδίτης. ἢ καὶ τοῦτο σύμβολόν ἐστι τοῦ χρῆναι νήφοντας ἑορ-
τάζειν, ἀλλὰ μὴ μεθύοντας, ὡς τῶν θεῶν μᾶλλον τοῖς ἐκχέουσι χαιρόντων τὸν πο-
λὺν ἄκρατον, ἢ τοῖς πίνουσι.

Διατί τὸν τῆς Ὁρτας ναὸν ἀνεῳγμένον εἶχον οἱ
παλαιοὶ διαπαντός. πότερον ὡς Ἀντίστιος Λάβεων ἱστόρηκε τοῦ παρορμᾶν ὁρ-
τάρι λεγομένου, τὴν οἷον ἐγκελευομένην πρὸς τὰ καλὰ καὶ παρορμῶσαν θεὸν Ὅρ-
ταν λεγομένην, ᾤοντο δεῖν ὡς ἐνεργὸν ἀεὶ μηδέποτε μέλλειν, μηδὲ ἀποκεκλεῖσθαι,
μὴ δὲ κλειννύειν, ἢ μᾶλλον ὡς νῦν ὀνομάζουσιν αὐτὴν Ὥραν μηκυνομένης τῆς προ-
τέρας συλλαβῆς, ἐπιστρεφῆ τινα καὶ πολυωρητικὴν θεὸν, ἣν διαφυλακτικὴν καὶ
φροντιστικὴν οὖσαν, οὐδέποτε ῥάθυμον οὐδὲ ὀλίγωρον εἶναι τῶν ἀνθρώπων ἐνόμιζον.
ἢ καθάπερ ἄλλα πολλὰ, καὶ τοῦτο τῶν Ἑλληνικῶν ὀνομάτων ἐστὶ, καὶ δηλοῖ θεὸν ἐπι-
σκοποῦσαν καὶ ἐφορῶσαν. ὅθεν ὡς ἀκοιμήτου καὶ ἀΰπνου διαπαντὸς ἀνεῳγμέ-
νον ἦν τὸ ἱερὸν αὐτῆς. εἰ μέντοι τὴν ὥραν ὀρθῶς ὁ Λαβεὼν ἀπὸ τοῦ παρορμᾶν ὠνο-
μάσθαι δέδεικται, σκόπει μὴ τὸν ὀράτορα προτρεπτικόν τινα καὶ παρορμη-
τικὸν ὄντα σύμβουλον ἢ δημαγωγὸν οὕτως ὠνομάσθαι φατέον, οὐκ ἀπὸ τῆς

ἀρᾶς καὶ εὐχῆς ὡς ἔνιοι λέγουσι. Διατί τὸ τοῦ ἡφαίστου ἱερὸν ἔξω πόλεως
ὁ ῥωμύλος ἱδρύσατο· πότερον διὰ τὴν μυθολογουμένην πρὸς ἄρη ζηλοτυπί-
αν τοῦ ἡφαίστου δι᾽ ἀφροδίτην υἱὸς τοῦ δοκῶν ἄρεος, οὐκ ἐποιήσατο σύνοικον, οὐδὲ
ὁμόπολιν αὐτόν· ἢ τοῦτο μὲν ἀβέλτερον, ᾠκοδομήθη δὲ ὁ ναὸς ἐξ ἀρχῆς, συνέ-
δριον καὶ βουλευτήριον ἀπόρρητον αὐτῷ μετὰ τατίου τοῦ συμβασιλεύσαντος,
ὅπως συνιόντες ἐνταῦθα μετὰ τῶν γερόντων ἄνευ τοῦ παρενοχλεῖσθαι καθ᾽ ἡσυ-
χίαν βουλεύοιντο περὶ τῶν πραγμάτων· ἢ πρὸς ἐμπρησμὸν ἄνωθεν ἐπισφα-
λῶς τῆς ῥώμης ἐχούσης, ἔδοξε τιμᾶν μὲν, ἐξοικίσαι δὲ τῆς πόλεως τὸν θεόν.
Διατί τῇ τῶν κωνσαλίων ἑορτῇ καὶ τοὺς ἵππους καὶ τοὺς ὄνους στεφανοῦσι καὶ
σχολάζειν ἐῶσι· πότερον ὅτι ποσειδῶνι μὲν ἄγουσιν ἱππείῳ τὴν ἑορτὴν, ὁ δὲ ὄνος
τῷ ἵππῳ συναπολαύει καὶ συμμετέχει τῆς ἀδείας· ἢ ὅτι ναυτιλίας φανεί-
σης καὶ κομιδῆς κατὰ θάλατταν, ὑπῆρξέ τις ἁμωσγέπως ῥᾳστώνη καὶ ἀνάπαυ-
σις τοῖς ὑποζυγίοις. Διατί τοὺς παραγγέλλοντας ἀρχὴν, ἔθος ἦν ἐν ἱμα-
τίῳ τοῦτο ποιεῖν ἀχίτωνας, ὡς κάτων ἱστόρηκε· πότερον ἵνα μὴ δεκάζωσιν ἀργύ-
ριον ἐν τῷ κόλπῳ κομίζοντες· ἢ μᾶλλον ὅτι τοὺς ἀξίους ἄρχειν, οὐ γένεσιν οὐ-
δὲ χρήμασιν οὐδὲ δόξαις, ἀλλὰ τραύμασι καὶ ὠτειλαῖς ἔκρινον· ὅπως οὖν ταῦ-
τα καθορῶτο τοῖς ἐντυγχάνουσιν, ἀχίτωνες ἐπὶ τὰς ἐπαγγελίας κατῄε-
σαν· ἢ καθάπερ τῷ δεξιοῦσθαι καὶ παρακαλεῖν καὶ ὑποπίπτειν, οὕτω τῇ γυ-
μνότητι ταπεινοῦντες ἑαυτοὺς ἐδημαγώγουν. Διατί ὁ ἱερεὺς τοῦ διὸς,
ἀποθανούσης αὐτῷ τῆς γυναικὸς, ἀπετίθετο τὴν ἀρχὴν, ὡς ἀτήιος ἱστόρηκε· πότε-
ρον ὅτι τοῦ μὴ λαβόντος ὁ λαβὼν, εἶτα ἀποβαλὼν γυναῖκα γαμετὴν ἀτυχέστε-
ρος· ὁ μὲν γὰρ τοῦ γεγαμηκότος οἶκος τέλειος· ὁ δὲ τοῦ γήμαντος, εἶτα ἀποβαλόν-
τος, οὐκ ἀτελὴς μόνον, ἀλλὰ καὶ πεπηρωμένος· ἢ συνιερᾶται μὲν ἡ γυνὴ τῷ ἀν-
δρὶ ὡς καὶ πολλὰ τῶν ἱερῶν οὐκ ἔστι δρᾶσαι μὴ γαμετῆς συμπαρούσης· τὸ δὲ γα-
μεῖν εὐθὺς ἑτέραν ἀποβαλόντα τὴν προτέραν, οὔτε ἴσως δυνατὸν, οὔτ᾽ ἄλλως
ἐπιεικές· ὅθεν οὐδὲ ἀποπέμψασθαι πρότερον ἐξῆν, οὐδὲ νῦν ὡς ἔοικεν ἔξεστιν,
ἀλλὰ ἐφ᾽ ἡμῶν ἐπέτρεψεν ἐντευχθεὶς δομετιανός· οἱ δὲ ἱερεῖς παρεγένοντο τῇ τοῦ
γάμου διαλύσει, πολλὰ φρικώδη καὶ ἀλλόκοτα καὶ σκυθρωπὰ δρῶντες· ἧττον
δ᾽ ἄν τις τοῦτο θαυμάσειε προσιστορήσας, ὅτι καὶ τῶν τιμητῶν θατέρου τελευτή-
σαντος, ἔδει καὶ τὸν ἕτερον πεπαῦσθαι τῆς ἀρχῆς, ἀποθανόντος δὲ τιμητοῦ
λιβίου δρούσου, σκαῦρος αἰμίλιος συνάρχων, οὐκ ἐβούλετο τὴν ἀρχὴν ἀπει-
πάσθαι, μέχρις οὗ τῶν δημάρχων τινὲς αὐτὸν ἐκέλευον εἰς τὸ δεσμωτήριον ἀ-
πάγεσθαι. Διατί τῶν λαρητῶν οὓς ἰδίως πραιστίτας καλοῦσι, τούτοις κύων
παρέστηκεν, αὐτοὶ δὲ κυνῶν διφθέραις ἀμπέχονται· ἢ πραιστίτης μὲν οἱ προε-
στῶτές εἰσι, τοὺς δὲ προεστῶτας, οἴκου φυλακτικοὺς εἶναι προσήκει, καὶ φοβε-
ροὺς μὲν τοῖς ἀλλοτρίοις, ὥσπερ ὁ κύων ἐστὶν, ἠπίους δὲ καὶ πράους τοῖς συνοικοῦ-
σιν· ἢ μᾶλλον ὃ λέγουσιν ἔνιοι ῥωμαίων ἀληθές ἐστι, καὶ καθάπερ οἱ περὶ χρύσιπ-
πον οἴονται φιλόσοφοι φαῦλα δαιμόνια περινοστεῖν, οἷς οἱ θεοὶ δημίοις χρῶν-
ται κολασταῖς ἐπὶ τοὺς ἀνοσίους καὶ ἀδίκους ἀνθρώπους, οὕτως οἱ λάρητες ἐριννυώ-
δεις τινές εἰσι καὶ ποίνιμοι δαίμονες ἐπίσκοποι βίων καὶ οἴκων, διὸ καὶ νῦν
δέρμασιν ἀμπέχονται, καὶ κύων πάρεδρός ἐστιν ὡς δεινοῖς οὖσιν ἐξιχνεῦσαι καὶ
μετελθεῖν τοὺς πονηρούς. Διατί τῇ καλουμένῃ γενείτῃ μάνῃ κύνα θύουσιν,
καὶ κατεύχονται μηδένα χρηστὸν ἀποβῆναι τῶν οἰκογενῶν· ἢ ὅτι δαίμων ἐστὶν ἡ
γενείτα περὶ τὰς γενέσεις καὶ τὰς λοχείας τῶν φθαρτῶν, ῥύσιν γάρ τινα ση-
μαίνει τοὔνομα καὶ γένεσιν, ἢ ῥέουσαν γένεσιν· ὥσπερ οὖν οἱ ἕλληνες τῇ ἑκάτῃ,
καὶ τῇ γενείτῃ κύνα ῥωμαῖοι θύουσιν ὑπὲρ τῶν οἰκογενῶν· ἀργείους δὲ σωκρά-
της

[marginal handwritten note: ποίνιμοι .Γ.]

της φησὶ τῇ εἰλιονίᾳ κύνα θύειν διὰ τὴν ῥᾳστώνην τῆς λοχείας· τὸ δὲ τῆς εὐχῆς
πότερον, οὐκ ἐπ᾽ ἀνθρώπων ἐστὶν οἰκογενῶν μηδένα χρηστὸν γενέσθαι· χαλεποὺς
γὰρ εἶναι δεῖ καὶ φοβεροὺς τοὺς κύνας· ἢ διὰ τὸ ἀχρήστους καὶ κομψοὺς λέ-
γεσθαι τοὺς τελευτῶντας, αἰνιττόμενοι διὰ τῆς ἀρχῆς αἰτοῦνται μηδένα τῶν
συνοίκων ἀποθανεῖν· οὐ δεῖ δὲ τοῦτο θαυμάζειν· καὶ γὰρ ἀριστοτέλης ἐν ταῖς
ἀρκάδων πρὸς λακεδαιμονίους συνθήκαις, γεγράφθαι φησὶ μηδένα χρηστὸν
ποιεῖν βοηθείας χάριν τοῖς λακωνίζουσι τῶν τεγεατῶν, ὅπερ εἶναι μηδένα ἀπο-
κτιννύναι. Διατί τοῖς καπιτωλίοις θέας ἄγοντες ἔτι νῦν κηρύττουσι σαρ-
διανοὺς ὠνίους, καὶ γέρων τις ἐπὶ χλευασμῷ προάγεται, παιδικὸν ἐναψάμε-
νος περιδέῤῥαιον, ὃ καλοῦσι βοῦλλαν· ἢ ὅτι ῥωμύλῳ πολὺν χρόνον ἐπολέμη-
σαν οἱ λεγόμενοι οὐήιοι τυῤῥηνῶν, καὶ ταύτην πόλιν ἐσχάτην εἷλε, καὶ πολλοὺς
αἰχμαλώτους ἀπεκήρυξε μετὰ τοῦ βασιλέως, ἐπισκώπτων αὐτοῦ τὴν ἠλιθιό-
τητα καὶ τὴν ἀβελτηρίαν· ἐπεὶ δὲ λυδοὶ μὲν ἦσαν οἱ τυῤῥηνοὶ ἐξ ἀρχῆς, λυ-
δῶν δὲ μητρόπολις σάρδεις, οὕτω τοὺς οὐηίους ἀπεκήρυττον· καὶ μέχρι νῦν ἐν
παιδιᾷ τὸ ἔθος διαφυλάττουσι. Διατί τὰ κρεωπώλια μάκελλα καὶ μα-
κέλλας καλοῦσι· πότερον ἀπὸ τῶν μαγείρων τοὔνομα διαφθαρὲν, ὥσπερ ἄλ-
λα πολλὰ τῇ συνηθείᾳ κεκράτηκε· καὶ γὰρ τὸ κ πρὸς τὸ γ συγγένειαν ἔχει
παρ᾽ αὐτοῖς· ὀψὲ γὰρ ἐχρήσαντο τῷ γάμμα, καρβιλίου σπορίου προσεξευρόν-
τος, καὶ τὸ λ πάλιν τοῖς ἀπολισθαίνουσιν τοῦ ρ, διὰ ἀμβλύτητα τῆς γλώτ-
της ὑπόκειται ψαυλιζόμενον· ἢ καὶ τοῦτο λυτέον τῇ ἱστορίᾳ· λέγεται γὰρ ἐν
ῥώμῃ βίαιον ἄνδρα καὶ λῃστρικὸν γενόμενον καὶ περικόψαντα πολλοὺς μό-
γις ἁλῶναι καὶ κολασθῆναι τοὔνομα μάκελλον· ἐκ δὲ τῶν χρημάτων αὐτοῦ δη-
μόσιον οἰκοδομηθῆναι κρεωπώλιον ἀπ᾽ ἐκείνου κτησάμενον τὴν προσηγορίαν.
Διατί ταῖς ἰανουαρίαις εἰδοῖς περιϊέναι δέδοται τοῖς αὐληταῖς τὴν πόλιν ἐσθῆ-
τας γυναικείας φοροῦντας· ἢ διὰ τὴν λεγομένην αἰτίαν, μεγάλας γὰρ ὡς ἔοι-
κεν τιμὰς ἐκαρποῦντο, τοῦ βασιλέως νουμᾶ δόντος αὐτοῖς διὰ τὴν πρὸς τὸ θεῖον
ὁσιότητα· ταύτας δὲ ὕστερον ἀφαιρεθέντες ὑπὸ τῆς ἀνθυπατικῆς δεκαδαρ-
χίας ἀπεχώρησαν ἐκ τῆς πόλεως· ἦν οὖν ἐπιζήτησις αὐτῶν, καί πως ἥπτετο
δυσειδαιμονία τῶν ἱερέων ἄναυλα θυόντων· ἐπεὶ δὲ οὐκ ἐπείθοντο μεταπεμ-
πομένοις, ἀλλ᾽ ἐν τῇ τιβουρίδι διέτριβον· ἀνὴρ ἀπελεύθερος κρύφα τοῖς ἄρχουσιν
ἐπηγγείλατο κατάξειν αὐτοὺς, καὶ παρασκευάσας θοίνην ἄφθονον ὡς τεθυ-
κὼς θεοῖς, ἐκάλεσε τοὺς αὐλητὰς, καὶ γύναια παρῆν ἅμα τῷ πότῳ, καὶ παν-
νυχὶς συνεκροτεῖτο παιζόντων καὶ χορευόντων, εἶτα ἐξαίφνης ὁ ἄνθρωπος ἐμ-
βαλὼν λόγον, ὡς τοῦ πάτρωνος ἐπιόντος αὐτῷ καὶ ταραττόμενος, συνέπεισε
τοὺς αὐλητὰς ἀναβάντας ἐφ᾽ ἁμάξας δέῤῥεσι κύκλῳ περικαλυπτομένας εἰς
τὸ τίβουρι κομίζεσθαι, τοῦτο δὲ ἦν ἀπάτη· περιαγαγὼν γὰρ τὰς ἁμάξας οὐ
συνορῶντας αὐτοὺς διὰ τὸν οἶνον καὶ τὸ σκότος, ἔλαθεν εἰς ῥώμην καταγαγὼν
ἅπαντας ἕωθεν· ἐτύγχανον δὲ οἱ πολλοὶ διὰ τὴν παννυχίδα καὶ τὸν πότον
ἐν ἐσθῆσιν ἀνθιναῖς καὶ γυναικείαις ὄντες· ὡς οὖν ἐπείσθησαν ὑπὸ τῶν ἀρ-
χόντων καὶ διηλλάγησαν, ἐνομίσθη τὴν ἡμέραν ἐκείνην οὕτως ἀμπεχομένους,
σοβεῖν διὰ τῆς πόλεως. Διατί τὸ τῆς καρμέντης ἱερὸν ἐξ ἀρχῆς
δοκοῦσιν αἱ μητέρες ἱδρύσασθαι, καὶ νῦν μάλιστα σέβονται· λέγεται γάρ τις
λόγος ὡς ἐκωλύθησαν ὑπὸ τῆς βουλῆς αἱ γυναῖκες ὀχήμασι χρῆσθαι ζευ-
κτοῖς, συνέθεντο ἀλλήλαις μὴ κυΐσκεσθαι, μηδὲ τίκτειν ἀμυνόμεναι τοὺς
ἄνδρας, ἄχρις οὗ μετέγνωσαν καὶ συνεχώρησαν αὐταῖς· γενομένων δὲ
παίδων· εὐτεκνοῦσαι καὶ πολυτεκνοῦσαι τὸ τῆς καρμέντης ἱερὸν ἱδρύσαν

[marginal handwritten notes: ἀλλὰ ἐπὶ κυνῶν χρηστοῦ. L. A — μηδένα χρηστόν.]

οἱ μὲν .1. Δ.

το, τὴν δὲ καρμένταν, οἴμαι εὐάνδρου μητέρα λέγουσιν οὖσαν ἐλθεῖν εἰς ἰταλίαν ὀνομαζομένην θέμιν, ὡς δ᾽ ἔνιοι νικοστράτην, ἐμμέτρους δὲ χρησμοὺς ᾄδουσαν ὑπὸ τῶν λατίνων καρμένταν ὀνομάζεσθαι· τὰ γὰρ ἔπη, κάρμινα καλοῦσιν. οἱ δὲ μοῖραν ἡγοῦνται τὴν καρμένταν εἶναι, καὶ διὰ τοῦτο θύειν αὐτῇ τὰς μητέρας. ἔστι δὲ τοῦ ὀνόματος τὸ ἔτυμον, ἐστερημένη νοῦ διὰ τὰς θεοφορήσεις. ὅθεν οὐ τὰ κάρμινα τῇ καρμένῃ τοὔνομα παρέσχεν, ἀλλὰ μᾶλλον ἀπ᾽ ἐκείνης ἐκλήθη, διὰ τὸ τοὺς χρησμοὺς ἐν ἔπεσι καὶ μέτροις ἐνθουσιῶσαν ᾄδειν. Διατί τῇ ῥουμίνᾳ θύουσαι, γάλα κατασπένδουσι τῶν ἱερῶν, οἶνον δὲ οὐ προσφέρουσιν. ἢ ῥοῦμαν λατῖνοι τὴν θηλὴν καλοῦσι, καὶ ῥουμινάλιν ὀνομασθῆναι λέγουσιν, παρ᾽ ὅσον ἡ λύκαινα τῷ ῥωμύλῳ τὴν θηλὴν παρέσχεν· ὥσπερ οὖν ἡμεῖς τὰς τρεφούσας τὰ παιδία γάλακτι θηλονὰς ἀπὸ τῆς θηλῆς καλοῦμεν, οὕτως ἡ ῥουμίνα θηλῶ τίς οὖσα καὶ τιθήνη καὶ κουροτρόφος, οὐ προσίεται τὸν ἄκρατον ὡς βλαβερὸν ὄντα τοῖς νηπίοις. Διατί τῶν συγκλητικῶν τοὺς μὲν, πατέρας συγγεγραμμένους, τοὺς δὲ ἁπλῶς πατέρας προσηγόρευον. ἢ τοὺς μὲν ἐξ ἀρχῆς κατανεμηθέντας ὑπὸ τοῦ ῥωμύλου πατέρας ἐκάλουν καὶ πατρικίους, οἷον εὐπατρίδας ὄντας πατέρας αὐτῶν ἔχοντας ἀποδεῖξαι. τοὺς δὲ ὕστερον ἐπιγραφέντας ἐκ τῶν δημοτικῶν συγγεγραμμένους πατέρας ὠνόμασαν. Διατί κοινὸς ἦν βωμὸς ἡρακλέους καὶ μουσῶν. ἢ ὅτι γράμματα τοὺς περὶ εὔανδρον ἐδίδαξεν ἡρακλῆς, ὡς ἰόβας ἱστόρηκε, καὶ τὸ πρᾶγμα σεμνὸν ἐνομίζετο, φίλους καὶ συγγενεῖς διδασκόντων. ὀψὲ δὲ ἤρξαντο μισθοῦ διδάσκειν. καὶ πρῶτος ἀνέῳξε γραμματοδιδασκαλεῖον σπόριος καρβίλιος ἀπελεύθερος καρβιλίου τοῦ πρώτου γαμετὴν ἐκβαλόντος. Διατί δυεῖν βωμῶν ἡρακλέους ὄντων, οὐ μεταλαμβάνουσι γυναῖκες οὐδὲ γεύονται τῶν ἐπὶ τοῦ μείζονος θυομένων. πότερον ὅτι τῶν ἱερῶν αἱ περὶ τὴν καρμένταν ὑστέρησαν, ὑστέρησε δὲ καὶ τὸ πειναρίων γένος· ὅθεν εἰργόμενοι τῆς θοίνης ἑστιωμένων τῶν ἄλλων, πεινάριοι προσηγορεύθησαν. ἢ διὰ τὰ μυθολογούμενα περὶ τοῦ χιτῶνος καὶ τῆς δηιανείρας. Διατί τὸν θεὸν ἐκεῖνον ᾧ μάλιστα τὴν ῥώμην σώζειν προσήκει καὶ φυλάττειν, εἴτε ἐστὶν ἄρρην εἴτε θήλεια, καὶ λέγειν ἀπείρηται καὶ ζητεῖν καὶ ὀνομάζειν. ταύτην δὲ τὴν ἀπόρρησιν ἐξάπτουσι δεισιδαιμονίας ἱστοροῦντες οὐαλέριον σωρανὸν ἀπολέσθαι κακῶς διὰ τὸ ἐξειπεῖν. πότερον ὡς τῶν ῥωμαϊκῶν τινὲς ἱστορήκασιν, ἐκκλήσεις εἰσὶ καὶ γοητεῖαι θεῶν, αἷς νομίζοντες καὶ αὐτοὶ θεούς τινας ἐκκεκλῆσθαι παρὰ τῶν πολεμίων, καὶ μετῳκηκέναι πρὸς αὐτοὺς, ἐφοβοῦντο τὸ αὐτὸ παθεῖν ὑφ᾽ ἑτέρων. ὥσπερ οὖν τύριοι δεσμοὺς ἀγάλμασι λέγονται περιβαλεῖν, ἕτεροι δὲ αἰτεῖν ἐγγυητὰς ἐπὶ λουτρὸν ἢ καθαρμόν τινα προπέμποντες, οὕτως ᾤοντο ῥωμαῖοι τὸ ἄρρητον καὶ τὸ ἄγνωστον ἀσφαλεστάτην εἶναι θεοῦ καὶ βεβαιοτάτην φρουράν. ἢ καθάπερ ὁμήρῳ πεποίηται τὸ γαῖα δ᾽ ἔστι ξυνὴ πάντων, ὅπως οἱ ἄνθρωποι τοὺς θεοὺς πάντας σέβωνται, καὶ τιμῶσι τὴν γῆν κοινῶς ἔχοντες, οὕτως ἀπεκρύψαντο τὸν κύριον τῆς σωτηρίας οἱ παλαιοὶ ῥωμαῖοι, βουλόμενοι μὴ μόνον τοῦτον, ἀλλὰ πάντας ὑπὸ τῶν πολιτῶν τοὺς θεοὺς τιμᾶσθαι. Διατί τῶν λεγομένων φητιαλίων, ἑλληνιστὶ δὲ οἷον εἰρηνοποιῶν σπονδοφόρων, ὁ καλούμενος πατὴρ πατράτος ἐνομίζετο μέγιστος. ἔστι δὲ οὗτος ᾧ πατὴρ ζῇ καὶ παῖδές εἰσιν, ἔχει δὲ καὶ νῦν προνομίαν τινὰ καὶ πίστιν. οἱ γὰρ στρατηγοὶ τὰ δι᾽ εὐμορφίαν καὶ ὥραν ἐπιμελοῦς δεόμενα καὶ σώφρονος φυλακῆς σώματα, τούτοις παρακατατίθενται. πότερον ὅτι τὸ αἰδεῖσθαι τοὺς παῖδας αὐτοῖς καὶ τὸ φοβεῖσθαι τοὺς πατέρας πρόσεστιν, ἢ τοὔνομα τὴν αἰτίαν ὑπαγορεύει. βούλεται γὰρ εἶναι τὸ πατράτον, οἱονεὶ συμπεπερασμένον καὶ πεπερατωμένον, ὡς τελειοτέρου τῶν ἄλλων ὄντος

ὄντος ᾧ συμβέβηκε πατέρα κεκτημένῳ πατρὶ γενέσθαι. ἢ δεῖ τὸν ὅρκων καὶ εἰρήνης προϊστάμενον, ἅμα πρόσσω καὶ ὀπίσσω καθ᾽ ὅμηρον ὁρᾶν. εἴη δ᾽ ἂν μάλιστα τοιοῦτος, ᾧ παῖς ἐστιν ὑπὲρ οὗ βουλεύεται καὶ πατὴρ μεθ᾽ οὗ βουλεύεται.

Διατί τῷ καλουμένῳ ῥῆγι σάκρωρ ῥούμης, οὗτος δέ ἐστι βασιλεὺς ἱερῶν, ἀπείρηται καὶ ἄρχειν καὶ δημηγορεῖν. ἢ τὸ παλαιὸν οἱ βασιλεῖς τὰ πλεῖστα καὶ μέγιστα τῶν ἱερῶν ἔδρων, καὶ τὰς θυσίας ἔθυον αὐτοὶ μετὰ τῶν ἱερέων. ἐπεὶ δ᾽ οὐκ ἐμετρίαζον, ἀλλ᾽ ἦσαν ὑπερήφανοι καὶ βαρεῖς, τῶν μὲν ἑλλήνων οἱ πλεῖστοι τὴν ἐξουσίαν αὐτῶν περιελόμενοι, μόνον τὸ θύειν τοῖς θεοῖς ἀπέλιπον. ῥωμαῖοι δὲ παντάπασι τοὺς βασιλεῖς ἐκβαλόντες, ἄλλον ἐπὶ τὰς θυσίας ἔταξαν οὔτε ἄρχειν ἐάσαντες, οὔτε δημαγωγεῖν, ὅπως μόνον ἐν τοῖς ἱεροῖς βασιλεύεσθαι δοκῶσι, καὶ βασιλείαν διὰ τοὺς θεοὺς ὑπομένειν. ἔστι γοῦν τις ἐν ἀγορᾷ θυσία πρὸς τῷ λεγομένῳ κομιτίῳ πάτριος. ἣν θύσας ὁ βασιλεὺς κατὰ τάχος ἄπεισι φεύγων ἐξ ἀγορᾶς. Διατί τὴν τράπεζαν οὐκ εἴων ἀναιρεῖσθαι κενὴν, ἀλλὰ πάντως τινὸς ἐπόντος. πότερον αἰνιττόμενοι τὸ δεῖν ἀεί τι τοῦ παρόντος εἰς τὸ μέλλον ὑπολιπεῖν, καὶ τῆς αὔριον ἐν τῇ σήμερον μνημονεύειν. ἢ νομίζοντες ἀστεῖον εἶναι τὸ συστέλλειν καὶ ἀνέχειν τὴν ὄρεξιν, ἔτι παρούσης τῆς ἀπολαύσεως. ἧττον γὰρ ἐπιθυμοῦσι τῶν ἀπόντων ἐθισθέντες ἀπέχεσθαι τῶν παρόντων. ἢ καὶ πρὸς οἰκέτας φιλάνθρωπον τὸ ἔθος. οὐ γὰρ οὕτω λαμβάνοντες ὡς μεταλαμβάνοντες ἀγαπῶσι, κοινωνεῖν τρόπον τινὰ τραπέζης ἡγούμενοι τοῖς δεσπόταις, ἢ τῶν ἱερῶν οὐδέποτε δεῖν κενὸν οὐδὲν περιορᾶν. ἱερὸν δὲ ἡ τράπεζα. Διατί τῇ νύμφῃ τὸ πρῶτον οὐκ ἐντυγχάνει μετὰ φωτὸς ὁ ἀνὴρ ἀλλὰ διὰ σκότους. πότερον ὅτι αἰδεῖται πρινὴ συνελθεῖν ἀλλοτρίαν νομίζων, ἢ καὶ πρὸς ἰδίαν προσιέναι μετ᾽ αἰδοῦς ἐθιζόμενος. ἢ καθάπερ ὁ σόλων ἔγραψε μήλου κυδωνίου τὴν νύμφην ἐντραγοῦσαν εἰς τὸν θάλαμον βαδίζειν, ὅπως τὸ πρῶτον ἄσπασμα μὴ δυσχερὲς γένηται μηδὲ ἄχαριστον, οὕτω ῥωμαῖος νομοθέτης, εἰδή τι προσῆν ἄτοπον τῷ σώματι καὶ δυσχερὲς ἔκρυψεν. ἢ διαβολή τίς ἐστιν ἀφροδισίων παρανόμων τὸ γινόμενον, ὡς καὶ τοῖς νομίμοις αἰσχύνης τινὸς προσούσης. Διατί τῶν ἱπποδρόμων εἷς φλαμίνιος καλεῖται. ἢ ὅτι φλαμινίου τινὸς τῶν παλαιῶν τῇ πόλει χώραν ἐπιδόντος, ἐχρῶντο ταῖς προσόδοις εἰς τοὺς ἱππικοὺς ἀγῶνας. ἔτι δὲ περιόντων χρημάτων, κατεσκεύασαν ὁδὸν, ἣν καὶ αὐτὴν φλαμινίαν προσηγόρευσαν.

Διατί λικτώρεις τοὺς ῥαβδούχους ὀνομάζουσι. πότερον ὅτι καὶ συνέδεον τοὺς ἀκολασταίνοντας οὗτοι, καὶ τῷ ῥωμύλῳ παρηκολούθουν ἱμάντας ἐν τοῖς κόλποις κομίζοντες, τὸ δὲ δεσμεύειν ἀλλιγάρε λέγουσιν οἱ πολλοὶ ῥωμαίων, οἱ δὲ καθαρεύοντες ἐν τῷ διαλέγεσθαι, λιγάρε. ἢ νῦν μὲν παρέγκειται τὸ κ. πότερον δὲ λιτώρεις ἐκαλοῦντο, λειτουργοί τινες ὄντες περὶ τὸ δημόσιον. ὅτι γὰρ λῆτον ἄχρι νῦν ἐν πολλοῖς τὸ δημόσιον ἐν πολλοῖς τῶν ἑλλήνων νόμων γέγραπται, οὐδένα ὡς ἔπος εἰπεῖν λέληθε. Διατί κύνα θύουσιν οἱ λούπερκοι. λούπερκοι δέ εἰσιν οἱ τοῖς λουπερκαλίοις γυμνοὶ διαθέοντες ἐν περιζώμασι καὶ καθικνούμενοι σκύτει τῶν ἀπαντώντων. πότερον ὅτι καθαρμός ἐστι τῆς πόλεως, τὰ δρώμενα, καὶ τὸν μῆνα φεβρουάριον καλοῦσι, καὶ νὴ δία τὴν ἡμέραν ἐκείνην φεβράτην καὶ φεβράρειν τὸ τῶν σκυτῶν ἤθει καθικνεῖσθαι, τοῦ ῥήματος τὸ καθαίρειν σημαίνοντος. τῷ δὲ κυνὶ πάντες ὡς ἔπος εἰπεῖν ἕλληνες ἐχρῶντο, καὶ χρῶνταί γε μέχρι νῦν ἔνιοι σφαγίῳ πρὸς τοὺς καθαρμοὺς, καὶ τῇ ἑκάτῃ σκυλάκια μετὰ τῶν ἄλλων καθαρσίων ἐκφέρουσι, καὶ περιμάττουσι σκυλακίοις τοὺς ἁγνισμοῦ δεομένους. περισκυλακισμὸν τὸ τοιοῦτον γένος τοῦ καθαρμοῦ καλοῦντες. ἢ λύκος μὲν ὁ λοῦπός ἐστι, καὶ λύκαια τὰ λουπερκάλια, λύκῳ δὲ κύων πολέμιος, καὶ διὰ τοῦτο θύεται τοῖς λυκαίοις.

ἢ ὅτι τοὺς λουπέρκους ὑλακτοῦσι καὶ παραλυποῦσιν οἱ κύνες ἐν τῇ πόλει διαθέοντας. ἢ πανὶ μὲν ἡ θυσία γίνεται, πανὶ δὲ κύων προσφιλὲς διὰ τὰ αἰπόλια.

Διατί τῷ καλουμένῳ σεπτομοντίῳ παρεφύλαττον ὀχήμασι ζευκτοῖς μὴ χρῆσθαι, καὶ μέχρι νῦν οἱ τῶν παλαιῶν μὴ καταφρονοῦντες παραφυλάττουσι. τὸ δὲ σεπτομούντιον ἄγουσιν ἐπὶ τῷ τὸν ἕβδομον λόφον τῇ πόλει προσκατανεμηθῆναι, καὶ τὴν ῥώμην ἑπτάλοφον γενέσθαι. πότερον ὡς ἔνιοι τῶν ῥωμαϊκῶν ἐπινοοῦσι διὰ τὸ μήπω συνεζεῦχθαι τοῖς μέρεσι παντελῶς τὴν πόλιν, ἢ τοῦτο μὲν ἄλλως, τὸ πρὸς διόνυσόν ἐστιν. ἔργου δὲ μεγάλου τοῦ πρὸς τὸν συνοικισμὸν ἐκτελεσθέντος, οἰόμενοι τὴν πόλιν ἤδη πεπαῦσθαι προϊοῦσαν εἰς τὸ πρόσθεν, ἔπαυσαν μὲν αὐτούς, ἀνέπαυσαν δὲ τῶν ὑποζυγίων τὰ συμπονήσαντα, καὶ παρέσχον ἀπολαῦσαι τῇ σχολῇ τῆς κοινῆς ἑορτῆς. ἢ πᾶσαν μὲν ἐβούλοντο κοσμεῖν ἀεὶ καὶ τιμᾶν ἑορτὴν τοὺς πολίτας παρόντας, μάλιστα δὲ τὴν ἐπὶ τῷ συνοικισμῷ τῆς πόλεως ἀγομένην, ἵνα τὴν πόλιν ἧς ἐστιν ἡ ἑορτὴ μὴ ἀπολείπωσιν, οὐκ ἐφεῖτο χρῆσθαι ζεύγεσιν ἐκείνην τὴν ἡμέραν.

Διατί τοὺς ἀπεγνωσμένους ἐπὶ κλοπαῖς, ἢ δουλικοῖς τισὶν ἄλλοις ἁμαρτήμασι φουρκιφέρας καλοῦσιν. ἢ καὶ τοῦτο τῆς τῶν παλαιῶν ἐπιμελείας τεκμήριόν ἐστιν. ὁ γὰρ οἰκότριβος ἰδίου καταγνούς τινα μοχθηρίαν, ἐκέλευε διπλοῦν ξύλον, ὃ ταῖς ἁμάξαις ὑφιστᾶσιν ἀράμενον διὰ τῆς συνοικίας ἢ τῆς γειτνιάσεως διεξελθεῖν ὑπὸ πάντων ὁρώμενον, ὅπως ἀπιστοῖεν αὐτῷ καὶ φυλάττοιντο πρὸς τὸ λοιπόν. τὸ δὲ ξύλον, ἡμεῖς μὲν στήριγμα, ῥωμαῖοι δὲ φοῦρκαν ὀνομάζουσι. διὸ καὶ φουρκίφερ ὁ τοῦτο περιενεγκὼν καλεῖται.

Διατί τῶν κυριττόντων βοῶν ὑπὲρ τοῦ φυλάττεσθαι τὸν ἐντυγχάνοντα χόρτον τῷ κέρατι προσδέουσιν. ἢ διὰ κόρον καὶ πλησμονὴν ἐξυβρίζουσι, καὶ βόες καὶ ἵπποι καὶ ὄνοι καὶ ἄνθρωποι ὥς που καὶ σοφοκλῆς πεποίηκε. σὺ δὲ σφαδάζεις πῶλος ὡς εὐφορβία, γαστήρ τε γάρ σου καὶ γνάθος πλήρης. διὸ καὶ μάρκον κράσσον οἱ ῥωμαῖοι χόρτον ἔχειν ἔφασαν. ἐφυλάττοντο γὰρ αὐτὸν οἱ τοὺς ἄλλους ἐν τῇ πολιτείᾳ σπαράττοντες, ὡς ἀμυντικὸν καὶ δυσεπιχείρητον. οὐ μὴν ἀλλ' ὕστερον ἐλέχθη πάλιν, ὅτι κράσσου καῖσαρ ἀφηρήκει τὸν χόρτον. ἀντέστη γὰρ αὐτῷ πρῶτος ἐν τῇ πολιτείᾳ καὶ κατεφρόνησε.

Διατί τῶν ἐπ' οἰωνοῖς ἱερέων, οὓς αὔσπικας πρότερον, αὔγουρας δὲ νῦν καλοῦσιν, ᾤοντο δεῖν ἀεὶ τοὺς λαμπτῆρας ἀνεῳγμένους εἶναι, καὶ τὸ πῶμα μὴ ἐπικεῖσθαι. ἢ καθάπερ οἱ πυθαγορικοὶ μικρὰ μεγάλων ἐποιοῦντο σύμβολα, κωλύοντες ἐπὶ χοίνικος καθῆσθαι, καὶ πῦρ μαχαίρᾳ σκαλεύειν, οὕτως οἱ παλαιοὶ πολλοῖς αἰνίγμασιν ἐχρῶντο, καὶ μάλιστα πρὸς τοὺς ἱερεῖς, οἷόν ἐστι καὶ τὸ τοῦ λαμπτῆρος. ἔοικε γὰρ ὁ λαμπτὴρ τῷ περιέχοντι τὴν ψυχὴν σώματι. φῶς γάρ ἐστιν ἡ ἐντὸς ψυχή, καὶ δεῖ τὸ συνετὸν καὶ φρόνιμον, ἀεὶ ἀναπεπταμένον αὐτῆς εἶναι καὶ δεδορκός, καὶ μηδέποτε συγκεκλεῖσθαι, μηδὲ ἀποπνεόμενον. πνευμάτων δὲ ὄντων, οὐκ εὐσταθοῦσιν οἱ ὄρνιθες, οὐδὲ βέβαια σημεῖα παρέχουσι, διὰ τὴν πλάνην καὶ τὴν ἀνωμαλίαν. διδάσκουσιν οὖν τῷ ἔθει μὴ πνευμάτων ὄντων, ἀλλὰ νηνεμίας καὶ καταστάσεως ἐπὶ ταῦτα προϊέναι τοὺς οἰωνοπόλους, ὅτε δύνανται τοῖς λαμπτῆρσιν ἀνεῳγμένοις χρῆσθαι.

Διατί δὲ ἀπείρηται τοῖς ἕλκος ἔχουσιν ἱερεῦσιν ἐπ' οἰωνῶν καθίζεσθαι. πότερον καὶ τοῦτο σύμβολόν ἐστι τοῦ μηδὲν δακνομένους, μηδὲ οἷον ἕλκος ἴδιον καὶ πάθος ἔχοντας ἐν τῇ ψυχῇ τὰ θεῖα χρηματίζειν, ἀλλὰ ἀλύπους καὶ ἀκεραίους καὶ ἀπερισπάστους ὄντας. ἢ κατὰ λόγον ἐστίν, εἰ μήτε ἱερείῳ χρήσαιτ' ἄν τις ἕλκος ἔχοντι πρὸς θυσίαν, μήτε ὄρνισι πρὸς οἰωνισμόν, ἔτι μᾶλλον ἐφ' ἑαυτῶν φυλάττεσθαι τὰ τοιαῦτα, καὶ καθαροὺς γενομένους καὶ ἀσινεῖς καὶ ὁλοκλήρους, ἐπὶ τὰ παρὰ τῶν θεῶν σημαινόμενα βαδίζειν. τὸ γὰρ ἕλκος ἔοι-

κε πήρωσίς τις εἶναι καὶ μιασμὸς τοῦ σώματος.

Διατί μικρᾶς τύχης ἱερὸν ἱδρύσατο σερούϊος τύλλιος ὁ βασιλεύς, ἣν βρέβεμ καλοῦσι. πότερον ὅτι μικρὸς ὢν ἐν ἀρχῇ καὶ ταπεινὰ πράττων καὶ γεγονὼς ἐκ μητρὸς αἰχμαλώτου διὰ τὴν τύχην ἐβασίλευσε τῆς ῥώμης, ἢ αὐτὴ μὲν ἡ μεταβολὴ μέγεθος ἐμφαίνει τύχης μᾶλλον ἢ μικρότητα. πάντων δὲ μάλιστα σερούϊος ἔοικε τῆς τύχης ἐκθειάσας δύναμιν ἐπιφημίσαι πράξεσιν ἁπάσαις. οὐ γὰρ μόνον τύχης εὐέλπιδος καὶ ἀποτροπαίου καὶ μειλιχίας καὶ πρωτογενείας καὶ ἄρρενος ἱερὰ κατεσκεύασεν, ἀλλ' ἔστιν ἰδίας τύχης ἱερόν, ἕτερον δὲ ἐπιστρεφομένης, ἄλλο δὲ εὐέλπιδος, ἄλλο παρθένου. καὶ τί ἄν τις ἐπεξίοι τὰς ἄλλας ἐπωνυμίας, ὅπου τύχης ἰξευτείας ἱερόν ἐστιν, ἣν βισκᾶταν ὀνομάζουσιν, ὡς πόρρωθεν ἡμῶν ἁλισκομένων ὑπ' αὐτῆς καὶ προσισχομένων τοῖς πράγμασιν. ὅρα δὴ μὴ καταμαθὼν τὸ παρὰ μικρὸν ἀεὶ τῆς τύχης μέγα δυνάμενον, καὶ ὅτι τὸ γενέσθαι τι μικρὸν ἢ μὴ γενέσθαι πολλάκις ὑπῆρξεν ἐνίοις τυχεῖν, ἢ διαμαρτεῖν τῶν μεγίστων μικρᾶς τύχης ἱερὸν ἱδρύσατο, προσέχειν διδάσκων τοῖς πράγμασι, καὶ μὴ καταφρονεῖν διὰ μικρότητα τῶν ἐντυγχανόντων.

Διατί λύχνον οὐκ ἐσβέννυσαν ἀλλὰ αὐτὸν ὑφ' ἑαυτοῦ ἐπειώρων μαραινόμενον. πότερον ὡς συγγενὲς καὶ ἀδελφικὸν σεβόμενοι τοῦ ἀσβέστου καὶ ἀθανάτου πυρός. ἢ καὶ τοῦτο συμβολαιόν ἐστι τοῦ μὴ δεῖν τὸ ἔμψυχον ἂν μὴ βλάπτῃ διαφθείρειν, μηδὲ ἀναιρεῖν, ὡς ζώου τοῦ πυρὸς ἐοικότος. καὶ γὰρ τροφῆς δεῖται καὶ αὐτοκίνητόν ἐστι καὶ σβεννύμενον φωνὴν ἀφίησιν, ὥσπερ φονευόμενον. ἢ διδάσκει τὸ ἔθος ἡμᾶς, ὅτι δεῖ μήτε πῦρ μήτε ὕδωρ, μήτε ἄλλο τι τῶν ἀναγκαίων αὐτοὺς ἅδην ἔχοντας διαφθείρειν, ἀλλὰ ἐᾶν χρῆσθαι τοὺς δεομένους, καὶ ἀπολείπειν ἑτέροις, ὅταν αὐτοὶ μηκέτι χρείαν ἔχωμεν.

Διατί τὰς ἐν τοῖς ὑποδήμασι σεληνίδας οἱ διαφέρειν δοκοῦντες εὐγενείᾳ φοροῦσι. πότερον ὡς κάστωρ φησί, σύμβολόν ἐστι τοῦτο τῆς λεγομένης οἰκήσεως ἐπὶ ταῖς σελήναις, καὶ ὅτι μετὰ τὴν τελευτὴν αὖθις αἱ ψυχαὶ τὴν σελήνην ὑπὸ πόδας ἕξουσιν, ἢ τοῖς παλαιοτάτοις τοῦτο ὑπῆρχεν ἐξαίρετον, οὗτοι δὲ ἦσαν ἀρκάδες τῶν ἀπ' εὐάνδρου προσελήνων λεγομένων. ἢ καθάπερ ἄλλα πολλὰ καὶ τοῦτο τοὺς ἐπαιρομένους καὶ μέγα φρονοῦντας ὑπομιμνήσκει τῆς ἐπ' ἀμφότερα τῶν ἀνθρωπίνων μεταβολῆς παράδειγμα ποιουμένους τὴν σελήνην, ὡς ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα, πρόσωπα καλλύνουσα καὶ πληρουμένη, χὤταν περ αὐτῆς εὐγενεστάτη φανῇ, πάλιν διαρρεῖ κἀπὶ μηδὲν ἔρχεται. ἢ πειθαρχίας ἦν μάθημα βουλομένων μὴ δυσχεραίνειν, ἀλλ' ὥσπερ ἡ σελήνη προσέχειν ἐθέλει τῷ κρείττονι, καὶ δευτερεύειν ἀεὶ παπταίνουσα πρὸς αὐγὰς ἠελίοιο κατὰ τὸν παρμενίδην, οὕτω τὴν δευτέραν τάξιν ἀγαπᾶν χρωμένους τῷ ἡγεμόνι, καὶ τῆς ἀπ' ἐκείνου δυνάμεως καὶ τιμῆς ἀπολαύοντας.

Διατί τὸν μὲν ἐνιαυτόν, τοῦ διὸς νομίζουσι, τοὺς δὲ μῆνας, τῆς ἥρας. ἢ ὅτι τῶν μὲν ἀοράτων θεῶν καὶ νοητῶν βασιλεύουσι ζεὺς καὶ ἥρα, τῶν δὲ ὁρατῶν, ἥλιος καὶ σελήνη. ποιεῖ δὲ ὁ μὲν ἥλιος τὸν ἐνιαυτόν, ἡ δὲ σελήνη τοὺς μῆνας. δεῖ δὲ μὴ νομίζειν ἁπλῶς εἰκόνας ἐκείνων τούτους, ἀλλ' αὐτὸν ἐν ὕλῃ δία τὸν ἥλιον, καὶ αὐτὴν τὴν ἥραν ἐν ὕλῃ τὴν σελήνην. διὸ καὶ ἴουνον ἐπονομάζουσι τὴν ἥραν, τὸ νέον ἢ τὸ νεώτερον ἐμφαίνοντος τοῦ ὀνόματος ἀπὸ τῆς σελήνης. καὶ λουκίναν ἥραν καλοῦσιν, οἷον φαεινὴν ἢ φωτίζουσαν, καὶ νομίζουσιν ἐν ταῖς λοχείαις καὶ ὠδῖσι βοηθεῖν, ὥσπερ καὶ τὴν σελήνην διὰ κυάνεον πόλον ἄστρων, διά τε ὠκυτόκοιο σελάνας. εὐτοκεῖν γὰρ ἐν ταῖς πανσελήνοις μάλιστα δοκοῦσι.

Διατί τῶν οἰωνῶν ὁ καλούμενος ἀριστερὸς αἴσιος. πότερον οὐκ ἔστι τοῦτο ἀληθές, ἀλλὰ παρακρούεται πολλούς, ἢ διαλεκτικός. τὸ γὰρ ἀριστερόν, σίνιστρον ὀνομάζουσι, τὸ δὲ ἀφεῖναι σίνερε καὶ σίνε λέγουσιν, ὅταν

ἀφεῖναι παραγγέλλωσι. τὸν οὖν ἐφιέντα τὴν πρᾶξιν οἰωνὸν, συνιστήριον ὄντα, σύνιστρον οὐκ ὀρθῶς ὑπολαμβάνουσιν οἱ πολλοὶ καὶ ὀνομάζουσιν. ἢ καθάπερ Διονύσιός φησιν Ἀσκανίῳ τῷ Αἰνείου παρατεταγμένῳ πρὸς Μεζέντιον, ἀστραπῆς ἐν ἀριστερᾷ νικηφόρου γενομένης οἰωνισάμενοι, καὶ πρὸς τὸ λοιπὸν οὕτω παραφυλάττουσιν. ἢ ὡς ἄλλοι τινὲς Αἰνείᾳ τούτου συμπεσόντος. καὶ γὰρ Θηβαῖοι τῷ ἀριστερῷ κέρατι τρεψάμενοι τοὺς πολεμίους καὶ κρατήσαντες ἐν Λεύκτροις διετέλεσαν ἐν πάσαις ταῖς μάχαις τῷ ἀριστερῷ τὴν ἡγεμονίαν ἀποδιδόντες. ἢ μᾶλλον ὡς Ἰόβας φησὶ τοῖς πρὸς τὰς ἀνατολὰς ἀποβλέπουσιν ἐν ἀριστερᾷ γίνεται τὸ βόρειον, ὃ δὴ τοῦ κόσμου δεξιὸν ἔνιοι τίθενται καὶ καθυπέρτερον, ὅρα δὲ μὴ φύσει τοῖς εὐωνύμοις ἀσθενεστέροις οὖσιν, οἱ παριστάμενοι τῶν οἰωνῶν οἷον ἀναρρωννύουσι καὶ ὑπερείδουσι τὸ ἐλλιπὲς τῆς δυνάμεως ἐπανισοῦντες. ἢ τὰ ἐπίγεια καὶ θνητὰ τοῖς οὐρανίοις καὶ θείοις ἀντικεῖσθαι νομίζοντες, ᾤοντο τὰ πρὸς ἡμᾶς ἀριστερὰ, τοὺς θεοὺς ἀπὸ τῶν δεξιῶν προπέμπειν. Διατί τοῦ θριαμβεύσαντος εἶτα ἀποθανόντος καὶ καέντος ἐξῆν ὀστέον λαβόντας εἰς τὴν πόλιν εἰσφέρειν καὶ κατατίθεσθαι, ὡς Πύρρων ὁ Λιπαραῖος ἱστόρηκεν. ἢ τιμῆς ἕνεκα τοῦ τεθνηκότος. καὶ γὰρ ἄλλοις ἀριστεῦσι καὶ στρατηγοῖς ἔδωκαν, οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ τοὺς ἀπ' αὐτῶν ἐνθάπτεσθαι τῇ ἀγορᾷ, καθάπερ Οὐαλερίῳ καὶ Φαβρικίῳ, καὶ φασὶ τοῖς τούτων ἀπογόνοις ἀποθανοῦσι καὶ κομισθεῖσιν εἰς ἀγορὰν, ὑφίεσθαι δᾷδα καιομένην, εἶτα εὐθὺς αἴρεσθαι, χρωμένων ἀνεπιφθόνως τῇ τιμῇ καὶ τὸ ἐξεῖναι μόνον ἐκβεβαιουμένων. Διατί τοὺς θριαμβεύσαντας ἑστιῶντες ἐν δημοσίῳ παρῃτοῦντο τοὺς ὑπάτους, καὶ πέμποντες παρεκάλουν μὴ δὲ ἐλθεῖν ἐπὶ τὸ δεῖπνον. ἢ καὶ τὸν τόπον ἔδει τῷ θριαμβεύσαντι καὶ σίασον ἐντιμότατον ἀποδίδοσθαι, καὶ προπεμπὴν μετὰ τὸ δεῖπνον. ταῦτα δὲ οὐκ ἔξεστιν ἑτέρῳ γίνεσθαι τῶν ὑπάτων παρόντων, ἀλλὰ ἐκείνοις. Διατί περιπόρφυρον ὁ δήμαρχος οὐ φορεῖ, τῶν ἄλλων ἀρχόντων φορούντων. ἢ τὸ παράπαν οὐδὲ ἔστιν ἄρχων, οὐδὲ γὰρ ῥαβδούχους ἔχουσιν, οὐδὲ ἐπὶ δίφρου καθήμενοι χρηματίζουσιν, οὐδὲ ἔτους ἀρχῇ καθάπερ οἱ λοιποὶ πάντες ἄρχοντες εἰσὶν, οὐδὲ παύονται δικτάτωρος αἱρεθέντος, ἀλλὰ πᾶσαν ἀρχὴν ἐκείνου μετατιθέντος εἰς ἑαυτὸν, αὐτοὶ μόνοι διαμένουσιν, ὥσπερ οὐκ ὄντες ἄρχοντες, ἀλλ' ἑτέραν τινὰ τάξιν ἔχοντες, ὡς δὲ τῶν ῥητόρων ἔνιοι, τὴν παραγραφὴν οὐ βούλονται δίκην εἶναι, τοὐναντίον τῇ δίκῃ δρῶσαν. ἡ μὲν γὰρ εἰσάγει καὶ ποιεῖ κρίσιν, ἡ δὲ ἀναιρεῖ καὶ λύει, τὸν αὐτὸν τρόπον οἴονται, τὴν δημαρχίαν κώλυσιν ἀρχῆς μᾶλλον εἶναι, καὶ πρὸς ἀρχὴν ἀντίταξιν ἢ ἀρχήν. τὸ γὰρ ἐνστῆναι πρὸς δύναμιν ἄρχοντος, καὶ τὴν ἄγαν ἐξουσίαν ἀφελεῖν, ἐξουσία καὶ δύναμίς ἐστιν αὐτῆς, ἢ ταῦτα μὲν ἄν τις εἴποι, καὶ τὰ τοιαῦτα χρώμενος εὑρεσιλογίᾳ. τῆς δὲ δημαρχίας τὴν γένεσιν ἐκ τοῦ δήμου λαμβανούσης, τὸ δημοτικὸν ἰσχυρόν ἐστι, καὶ μέγα τὸ μὴ μεῖζον φρονεῖν τῶν λοιπῶν, ἀλλ' ὁμοιοῦσθαι μὲν σχήματι καὶ στολῇ καὶ διαίτῃ τοῖς ἐπιτυγχάνουσι τῶν πολιτῶν. ὁ γὰρ ὄγκος ὑπάτῳ προσήκει καὶ στρατηγῷ, τὸν δὲ δήμαρχον ὡς Γάιος Κουρίων ἔλεγε, καταπατεῖσθαι δεῖ καὶ μὴ σεμνὸν εἶναι τῇ ὄψει, μὴ δὲ δυσπρόσοδον, μὴ δὲ τοῖς πολλοῖς χαλεπὸν, ἀλλ' ὑπὲρ τῶν ἄλλων, τοῖς δὲ πολλοῖς εὐμεταχείριστον. ὅθεν οὐδὲ οἰκίας αὐτοῦ κλείεσθαι νενόμισται θύραν, ἀλλὰ καὶ νύκτωρ ἀνέωγε καὶ μεθ' ἡμέραν, ὥσπερ λιμὴν καὶ καταφυγὴ τοῖς δεομένοις, ὅσῳ δὲ μᾶλλον ἐκταπεινοῦται τῷ σώματι, τοσούτῳ μᾶλλον αὔξεται τῇ δυνάμει. κοινὸν γὰρ αὐτὸν ἀξιοῦσι τῇ χρείᾳ, καὶ πᾶσιν ἐφικτὸν, ὥσπερ βωμὸν εἶναι, τῇ δὲ τιμῇ ποιοῦσιν ἱερὸν καὶ ἅγιον καὶ ἄσυλον, ὅπου καὶ βαδίζων ἐν δημοσίῳ πᾶσι νόμος ἐστὶ καθαίρεσθαι καὶ ἁγνίζεσθαι τὸ σῶμα καθάπερ μεμιασμένον. Διατί τῶν στρατηγῶν αἱ

ῥάβδοι συνδεδεμέναι προσηρτημένων τῶν πελέκεων φέρονται. πότερον ὅτι σύμβολόν ἐστι τοῦ μὴ δεῖν πρόχειρον εἶναι καὶ λελυμένην τὴν ὀργὴν τοῦ ἄρχοντος, ἢ διατριβὴν καὶ μέλλησιν ἐμποιοῦν τῇ ὀργῇ τὸ λύειν ἀτρέμα τὰς ῥάβδους, πολλάκις ἐποίησε μεταγνῶναι περὶ τῆς κολάσεως. ἐπεὶ δὲ τῆς κακίας τὸ μὲν ἰάσιμόν ἐστι, τὸ δὲ ἀνήκεστον, αἱ μὲν ῥάβδοι νουθετοῦσι τὸ μετατίθεσθαι δυνάμενον, αἱ δὲ πελέκεις ἀποκόπτουσι τὸ ἀνουθέτητον. Διατί τοὺς καλουμένους Βλετονησίους βαρβάρους ὄντας ἀνθρώπον τεθυκέναι θεοῖς πυθόμενοι, μετεπέμψαντο τοὺς ἄρχοντας αὐτῶν ὡς κολάσοντες. ἐπεὶ δὲ νόμῳ τινὶ τοῦτο ἐφαίνοντο πεποιηκότες, ἐκείνους μὲν ἀπέλυσαν, ἐκώλυσαν δὲ πρὸς τὸ λοιπόν. αὐτοὶ δὲ οὐ πολλοῖς ἔτεσιν ἔμπροσθεν, δύο μὲν ἄνδρας, δύο δὲ γυναῖκας ἐν τῇ βοῶν ἀγορᾷ λεγομένῃ, τοὺς μὲν, Ἕλληνας, τοὺς δὲ, Γαλάτας ζῶντας κατώρυξαν. φαίνεται γὰρ ἄτοπον, ταῦτα μὲν ποιεῖν αὐτοὺς, ἐπιτιμᾶν δὲ βαρβάροις ὡς οὐχ ὅσια ποιοῦσι. πότερον τὸ μὲν θεοῖς θύειν ἀνθρώπους, ἀνόσιον ἡγοῦντο, τὸ δὲ δαίμοσιν ἀναγκαῖον. ἢ τοὺς μὲν ἔθει καὶ νόμῳ τοῦτο πράττοντας ἁμαρτάνειν ἐνόμιζον, αὐτοὶ δὲ προσταχθέντες ἐκ τῶν Σιβυλλείων ἔπραξαν. λέγεται γὰρ Ἐλβίαν τινὰ παρθένον ὀχουμένην ἐφ' ἵππου βληθῆναι κεραυνῷ, καὶ γυμνὸν μὲν εὑρεθῆναι κείμενον τὸν ἵππον, γυμνὴν δὲ αὐτὴν ὡς ἐπίτηδες ἀνηγμένου τοῦ χιτῶνος ἀπὸ τῶν ἀπορρήτων, ὑποδημάτων δὲ καὶ δακτυλίων καὶ κεκρυφάλου διερριμμένων χωρὶς ἄλλων ἀλλαχόθι, τοῦ δὲ στόματος ἔξω προβεβληκότος τὴν γλῶσσαν. ἀποφηναμένων δὲ τῶν μάντεων, δεινὴν μὲν αἰσχύνην ταῖς ἱεραῖς παρθένοις εἶναι, καὶ γενήσεσθαι περιβόητον, ἅψεσθαι δέ τινα καὶ ἱππέων ὕβριν, ἐμήνυσε βαρβάρου τινὸς ἱππικοῦ θεράπων, τρεῖς παρθένους τῶν ἑστιάδων, Αἰμιλίαν καὶ Λικινίαν καὶ Μαρκίαν ὑπὸ τὸ αὐτὸ διεφθαρμένας, καὶ συνούσας πολὺν χρόνον ἀνδράσιν, ὧν εἷς ἦν Βετούτιος Βάρβαρος τοῦ μηνυτοῦ δεσπότης, ἐκεῖναι μὲν οὖν ἐκολάσθησαν ἐξελεγχθεῖσαι. τῆς δὲ πράξεως δεινῆς φανείσης, ἔδοξεν ἀνακρίνεσθαι τὰ Σιβύλλια τοὺς ἱερεῖς. εὑρεθῆναι δέ φασι χρησμοὺς ταῦτά τε προδηλοῦντας ὡς ἐπὶ κακῷ γενησόμενα, καὶ προστάττοντας ἀλλοκότοις τισὶ δαίμοσι καὶ ξένοις, ἀποτροπῆς ἕνεκα τοῦ ἐπιόντος προέσθαι, δύο μὲν Ἕλληνας, δύο δὲ Γαλάτας ζῶντας αὐτόθι κατορυγέντας. Διατί τὴν τῆς ἡμέρας ἀρχὴν ἐκ μέσης νυκτὸς λαμβάνουσι. πότερον ὅτι ἡ πολιτεία στρατιωτικὴν ἐν ἀρχῇ σύνταξιν εἶχε, τὰ δὲ πολλὰ νύκτωρ ἐν ταῖς στρατείαις προλαμβάνεται τῶν χρησίμων. ἢ πράξεως μὲν ἀρχὴν ἐποιοῦντο τὴν ἀνατολὴν, παρασκευῆς δὲ τὴν νύκτα. δεῖ γὰρ παρασκευασαμένους πράττειν, ἀλλὰ μὴ παρασκευάζεσθαι πράττοντας, ὡς Μύσων πρὸς Χίλωνα τὸν σοφὸν εἰπεῖν ἐν χειμῶνι θρίνακα τεκταινόμενος. ἢ καθάπερ ἡ μεσημβρία πέρας ἐστὶ τοῖς πολλοῖς τοῦ τὰ δημόσια καὶ σπουδαῖα πράττειν, οὕτως ἀρχὴν ἔδοξε ποιεῖσθαι τὸ μεσονύκτιον. τεκμήριον δὲ τούτου μέγα, τὸ μὴ ποιεῖσθαι Ῥωμαῖον ἄρχοντα συνθήκας, μὴ δὲ ὁμολογίας μετὰ μέσον ἡμέρας, ἢ δύσει μὲν καὶ ἀνατολῇ λαμβάνειν ἀρχὴν ἡμέρας, καὶ τελευτὴν δυνατόν ἐστιν. ὡς μὲν γὰρ οἱ πολλοὶ τῇ αἰσθήσει διορίζουσιν, ἡμέρας μὲν ἀρχὴν τὴν πρώτην ἀνάσχεσιν τοῦ ἡλίου, νυκτὸς δὲ τελευταίαν ἀπόκρυψιν λαμβάνοντες, οὐχ ἕξομεν ἰσημερίαν, ἀλλ' ἣν μάλιστα τῇ ἡμέρᾳ νύκτα παρισοῦσθαι δοκοῦμεν, αὕτη τῆς ἡμέρας ἐλάττων φανεῖται τῷ τοῦ ἡλίου μεγέθει. ὃ δ' αὖ πάλιν οἱ μαθηματικοὶ ταύτην ἰώμενοι τὴν ἀτοπίαν τίθενται, τὸ τοῦ ἡλίου κέντρον ὅταν ἅψηται τοῦ ὁρίζοντος, ἡμέρας διορισμὸν εἶναι καὶ νυκτὸς, ἀναίρεσίς ἐστι τῆς ἐναργείας. συμβήσεται γὰρ ἔτι πολλοῦ φωτὸς ὑπὲρ γῆν ὄντος, καὶ τοῦ ἡλίου καταλάμποντος ἡμᾶς, μὴ δέπω ἡμέραν ὁμολογεῖν, ἀλλὰ ἔτι νύκτα εἶναι. ἐπεὶ τοίνυν ἐν

ταῖς ἀνατολαῖς καὶ δύσεσι τοῦ ἡλίου δυσλήπτός ἐστιν ἡ ἀρχή διὰ τὰς εἰρημένας ἀλογίας, ἀπολείπεται τὸ μεσουρανοῦν ἢ τὸ ἀντιμεσουρανοῦν αὐτοῦ λαμβάνειν ἀρχήν. βέλτιον δὲ τὸ δεύτερον. φέρεται γὰρ ἐκ μεσημβρίας ἐπὶ τὰς δύσεις ἀφ' ἡμῶν, ἐκ δὲ μεσονυκτίου πρὸς ἡμᾶς ἐπὶ τὰς ἀνατολάς. Διατί τὰς γυναῖκας, οὔτε ἀλεῖν εἴων, οὔτε ὀψοποιεῖν τὸ παλαιόν. ἢ τὰς συνθήκας διαμνημονεύοντες, ἃς ἐποιήσαντο πρὸς τοὺς Σαβίνους. ἐπεὶ γὰρ ἥρπασαν τὰς θυγατέρας αὐτῶν, εἶτα πολεμήσαντες διηλλάγησαν, ἐν ταῖς ἄλλαις ὁμολογίαις καὶ τοῦτο ἐγράφη, μήτε ἀλεῖν ἀνδρὶ Ῥωμαίῳ γυναῖκα, μήτε μαγειρεύειν.

Διατί τοῦ Μαΐου μηνὸς οὐκ ἄγονται γυναῖκας. πότερον ὅτι μέσος ἐστὶ τοῦ Ἀπριλλίου καὶ τοῦ Ἰουνίου μηνός, ὧν τὸν μὲν Ἀφροδίτης, τὸν δὲ Ἥρας γαμηλίων θεῶν ἱερὸν νομίζοντες, προλαμβάνουσι μικρὸν ἢ περιμένουσιν. ἢ ὅτι τῷ μηνὶ τούτῳ τὸν μέγιστον ποιοῦνται τῶν καθαρμῶν. νῦν μὲν εἴδωλα ῥιπτοῦντες ἀπὸ τῆς γεφύρας εἰς τὸν ποταμόν. πάλαι δὲ ἀνθρώπους. διὸ καὶ τὴν Φλαμινίκαν ἱερὰν τῆς Ἥρας εἶναι δοκοῦσαν, νενόμισται σκυθρωπάζειν, μήτε λουομένην τηνικαῦτα, μήτε κοσμουμένην. ἢ ὅτι πολλοὶ Λατίνων ἐν τῷ μηνὶ τούτῳ τοῖς κατοιχομένοις ἐναγίζουσι. καὶ διὰ τοῦτο ἴσως Ἑρμῆν ἐν αὐτῷ σέβονται, καὶ Μαίας ἐπώνυμός ἐστιν. ἢ καθάπερ ἔνιοι λέγουσιν, ὁ μὲν Μάϊος ἀπὸ τῆς πρεσβυτέρας, ὁ δὲ Ἰούνιος, ἀπὸ τῆς νεωτέρας ἡλικίας ὠνόμασται, γάμῳ δὲ ἁρμοδιώτερον τὸ νέον, ὡς καὶ Εὐριπίδης φησίν. ἀλλ' ἢ τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ, ἥ τ' Ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται. οὐ γαμοῦσιν οὖν ἐν τῷ Μαΐῳ περιμένοντες τὸν Ἰούνιον, ὃς εὐθύς ἐστι μετὰ τὸν Μάϊον. Διατί τῶν γαμουμένων αἰχμῇ δορατίου τὴν κόμην διακρίνουσιν. ἆρα σύμβολόν ἐστι τοῦτο τοῦ βίᾳ καὶ μετὰ πολέμου γαμηθῆναι τὰς πρώτας; ἢ μανθάνουσιν ἀνδράσι συνοικοῦσαι μαχίμοις καὶ πολεμικοῖς, ἄθρυπτον καὶ ἄθηλυν καὶ ἀφελῆ προσίεσθαι καλλωπισμόν, ὥσπερ ὁ Λυκοῦργος ἀπὸ πρίονος καὶ πελέκεως κελεύσας τὰ θυρώματα ταῖς οἰκίαις ποιεῖν καὶ τὰς ὀροφάς, ἄλλῳ δὲ μὴ χρῆσθαι τὸ παράπαν ἐργαλείῳ, πᾶσαν ἐξέβαλε περιεργίαν καὶ πολυτέλειαν. ἢ τὴν διάστασιν αἰνίττεται τὸ γινόμενον, ὡς μόνῳ σιδήρῳ τοῦ γάμου διαλυθησομένου. ἢ τὰ μὲν πλεῖστα τῶν γαμικῶν εἰς τὴν Ἥραν ἀνῆπτον, Ἥρας δὲ ἱερὸν τὸ δόρυ νενόμισται, καὶ τῶν ἀγαλμάτων αὐτῆς δόρατι στηρίζεται τὰ πλεῖστα, καὶ Κυρῖτις ἡ θεὸς ἐπωνόμασται. τὸ γὰρ δόρυ, κύριν ἐκάλουν οἱ παλαιοί. διὸ καί φασι Κύριν ὀνομασθῆναι τὸν Ἐνυάλιον. Διατί τὸ τελούμενον εἰς θέας, λουκάρ καλοῦσιν. ἢ ὅτι πολλά ἐστιν ἄλση περὶ τὴν πόλιν ἀνειμένα θεοῖς, ἃ καλοῦσι λούκους, καὶ τὴν ἀπὸ τούτων πρόσοδον, εἰς τὰς θέας ἀνήλισκον. Διατί τὰ Κυρινάλια, μωρῶν ἑορτὴν ὀνομάζουσιν. ἢ ὅτι τὴν ἡμέραν ταύτην ἀποδεδώκεσαν, ὡς Ἰόβας φησί, τοῖς τὰς αὑτῶν φατρίας ἀγνοοῦσιν, ἢ τοῖς μὴ θύσασιν ὥσπερ οἱ λοιποὶ κατὰ φυλὰς ἐν τοῖς Φουρνικαλίοις δι' ἀσχολίαν ἢ ἀποδημίαν ἢ ἄγνοιαν, ἐδόθη τῇ ἡμέρᾳ ταύτῃ τὴν ἑορτὴν ἐκείνην ἀπολαβεῖν. Διατί τῷ Ἡρακλεῖ γινομένης θυσίας, ἄλλον οὐδένα θεῶν ὀνομάζουσιν, οὐδὲ φαίνεται κύων ἐντὸς τῶν περιβόλων, ὡς Βάρρων ἱστόρηκεν. ἢ θεὸν μὲν ἄλλον οὐκ ὀνομάζουσιν, διὰ τὸ τοῦτον ἡμίθεον νομίζειν. ὡς δέ φασιν ἔνιοι, καὶ μετὰ τῶν ἀνθρώπων ὄντος ἔτι βωμὸν ἱδρύσασθαι τὸν Εὔανδρον αὐτοῦ, καὶ θυσίαν προσαγαγεῖν. κυνὶ δὲ πάντων μάλιστα τῶν ζώων ἐπολέμησε, καὶ γὰρ οὗτος αὐτῷ ἀεὶ πολλὰ πράγματα παρέσχε, καὶ ὁ Κέρβερος, καὶ ἐπὶ πᾶσι τοῦ Λικυμνίου παιδὸς Οἰωνοῦ διὰ κύνα φονευθέντος ὑπὸ τῶν Ἱπποκοωντιδῶν ἀναγκασθεὶς μάχην συνάψαι, τῶν τε ἄλλων φίλων πολλοὺς ἀπέβαλε, καὶ τὸν ἀδελφὸν Ἰφικλέα. Διατί τοῖς πατρικίοις οὐκ ἐξῆν περὶ τὸ Καπιτώλιον κατοικεῖν.

πότερον ὅτι Μάρκος Μάλλιος αὐτόθι κατοικῶν ἐπεχείρησε τυραννίδι, ὃν ἀπωμοτόν φασιν εἶναι τῷ οἴκῳ, μηδενὶ Μαλλίῳ ὄνομα Μάρκου γενέσθαι. ἢ παλαιὸς ἦν φόβος οὗτος. Ποπλικόλαν γοῦν ἄνδρα δημοτικώτατον, οὐκ ἐπαύσαντο διαβάλλοντες μὲν οἱ δυνατοί, δεδιότες οἱ πολλοί, μέχρις οὗ τὴν οἰκίαν αὐτὸς κατέσκαψεν, ἐπικεῖσθαι τῇ ἀγορᾷ δοκοῦσαν. Διατί τῷ σώσαντι πολίτην ἐν πολέμῳ δρύινον διδόασι στέφανον. πότερον ὅτι πανταχοῦ καὶ ῥᾳδίως ἐστὶν εὐπορῆσαι δρυὸς ἐπὶ στρατείας. ἢ ὅτι Διὸς καὶ Ἥρας ἱερὸς ὁ στέφανός ἐστιν, οὓς πολιούχους νομίζουσιν. ἢ παλαιὸν ἀπ' Ἀρκάδων τὸ ἔθος, οἷς ἐστί τις συγγένεια πρὸς τὴν δρῦν. πρῶτοι γὰρ ἀνθρώπων γεγονέναι δοκοῦσιν ἐκ γῆς, ὥσπερ ἡ δρῦς τῶν φυτῶν. Διατί γυψὶ χρῶνται μάλιστα πρὸς τοὺς οἰωνισμούς. πότερον ὅτι καὶ Ῥωμύλῳ δώδεκα γῦπες ἐφάνησαν ἐπὶ τῇ κτίσει τῆς Ῥώμης. ἢ ὅτι τῶν ὀρνίθων ἥκιστα συνεχὴς καὶ συνήθης οὗτος, οὐδὲ γὰρ νεοττιᾷ γυπὸς ἐντυχεῖν ῥᾳδίως ἐστίν, ἀλλὰ πόρρωθεν ποθὲν ἐξαπίνης καταίρουσι. διὸ καὶ σημειώδης ἡ ὄψις αὐτῶν ἐστίν. ἢ καὶ τοῦτο παρ' Ἡρακλέους ἔμαθον, εἰ λέγει ἀληθῶς Ἡρόδωρος, ὅτι πάντων μάλιστα γυψὶν ἐπὶ πράξεως ἀρχῇ φανεῖσιν ἔχαιρεν Ἡρακλῆς, ἡγούμενος δικαιότατον εἶναι τὸν γῦπα τῶν σαρκοφάγων ἁπάντων. πρῶτον μὲν γὰρ οὐδενὸς ἅπτεται ζῶντος, οὐδ' ἀποκτίννυσιν ἔμψυχον οὐδέν, ὡς ἀετοὶ καὶ ἱέρακες καὶ τὰ νυκτινόμα, χρῆται δὲ τοῖς ἄλλοις ἀποθανοῦσιν, ἔπειτα καὶ τούτων τὰ ὁμόφυλα παρίησι, πετεινοῦ γὰρ οὐδεὶς ἑώρακε γῦπα γευόμενον, ὡς ἀετοὶ καὶ ἱέρακες μάλιστα τὰ συγγενῆ διώκουσι καὶ κόπτουσι. καίτοι κατ' Αἰσχύλον ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών. ἀνθρώποις δὲ ὡς ἔπος εἰπεῖν, ἀβλαβέστατός ἐστιν, οὔτε καρπὸν ἀφανίζων, οὔτε φυτόν, οὔτε ζῶον ἥμερον κακουργῶν. εἰ δὲ ὡς Αἰγύπτιοι μυθολογοῦσι, θῆλυ πᾶν τὸ γένος ἐστὶ καὶ κυΐσκονται δεχόμενοι καταπνέοντα τὸν ἀπηλιώτην, ὥσπερ τὰ δένδρα τὸν ζέφυρον, καὶ παντάπασιν ἀπλανῆ τὰ σημεῖα καὶ βέβαια γίνεσθαι, πιθανόν ἐστιν ἀπ' αὐτῶν. ἐν δὲ τοῖς ἄλλοις αἱ περὶ τὰς ὀχείας σοβήσεις, ἔτι δὲ ἁρπαγαὶ καὶ φυγαὶ καὶ διώξεις πολὺ τὸ θορυβῶδες καὶ ἀκατάστατον ἔχουσι. Διατί τοῦ Ἀσκληπιοῦ τὸ ἱερόν, ἔξω πόλεώς ἐστι. πότερον ὅτι τὰς ἔξω διατριβὰς ὑγιεινοτέρας ἐνόμιζον εἶναι τῶν ἐν τῷ ἄστει. καὶ γὰρ Ἕλληνες ἐν τόποις καθαροῖς καὶ ὑψηλοῖς ἐπιεικῶς ἱδρυμένα τὰ Ἀσκληπιεῖα ἔχουσιν. ἢ ὅτι τὸν θεὸν ἐξ Ἐπιδαύρου μετάπεμπτον ἥκειν νομίζουσι, Ἐπιδαυρίοις δὲ οὐ κατὰ πόλιν, ἀλλὰ πόρρω τὸ Ἀσκληπιεῖόν ἐστιν. ἢ ὅτι τὸν δράκοντα ἐκ τῆς τριήρους κατὰ τὴν νῆσον ἀποβάντα καὶ ἀφανισθέντα, αὐτὸν ᾤοντο τὴν ἵδρυσιν ὑφηγεῖσθαι τὸν θεόν. Διατί νενόμισται τοὺς ἁγνεύοντας, ὀσπρίων ἀπέχεσθαι. πότερον ὡς οἱ Πυθαγορικοὶ τοὺς μὲν κυάμους ἀφωσιοῦντο διὰ τὰς λεγομένας αἰτίας. τὸν δὲ λάθυρον καὶ τὸν ἐρέβινθον, ὡς παρωνύμως τοῦ Ἐρέβους καὶ τῆς λήθης. ἢ ὅτι πρὸς τὰ περίδειπνα καὶ τὰς προκλήσεις τῶν νεκρῶν μάλιστα χρῶνται τοῖς ὀσπρίοις. ἢ μᾶλλον ὅτι δεῖ πρὸς τὰς ἁγνείας καὶ ἁγιστείας καθαρὰ καὶ λιτὰ τὰ σώματα ἔχειν, ἔστι δὲ τὰ ὄσπρια πνευματώδη, καὶ περίσσωμα ποιεῖ πολλῆς καθάρσεως δεόμενον. ἢ ὅτι καὶ πρὸς συνουσίαν παρορμᾷ διὰ τὸ φυσῶδες καὶ πνευματικόν. Διατί τῶν παναγῶν παρθένων τὰς διαφθαρείσας, ἄλλως οὐ κολάζουσιν, ἀλλὰ ζώσας κατορύττουσι. πότερον ὅτι καίουσι τοὺς ἀποθανόντας, θάπτειν δὲ πυρὶ τὴν τὸ πῦρ τὸ θεῖον ὁσίως μὴ φυλάξασαν, οὐκ ἦν δίκαιον. ἢ σῶμα ταῖς μεγίσταις καθωσιωμένον ἁγιστείαις ἀναιρεῖν, καὶ προσφέρειν ἱερᾷ γυναικὶ χεῖρας, οὐ θεμιτὸν ἐνόμιζον. αὐτὴν οὖν ἀποθανεῖν μηχανώμενοι, δι' αὐτῆς κατεβίβαζον ὑπὸ γῆν εἰς οἴκημα πεποιημένον, ὅπου καὶ λύχνος ἔκειτο καιόμενος, καὶ ἄρτος καὶ γάλακτός τι καὶ ὕδατος. εἶτα γῆ τὸ οἴκημα κατέ-

κρυπτὸν αὐτόθεν, καὶ διὰ τοῦτο τὸν τόπον ἀφοσιωσάμενοι τὴν δεισιδαιμονίαν ἐκπε-
φεύγασιν, ἀλλὰ μέχρι νῦν ἐναγίζουσιν οἱ ἱερεῖς ἐκεῖ βαδίζοντες εἰς τὸν τόπον.
Διατί ταῖς δεκεμβρίαις εἰδοῖς ἱπποδρομίας γενομένης, ὁ νικήσας δεξιὸς ἱερὸς
ἄρει θύεται, καὶ τὴν μὲν οὐρὰν ἀποκόψας τις ἐπὶ τὴν ῥήγιαν καλουμένην κο-
μίζει, καὶ τὸν βωμὸν αἱμάσσει, περὶ δὲ τῆς κεφαλῆς, οἱ μὲν ἀπὸ τῆς ἱερᾶς ὁδοῦ
λεγομένης, οἱ δὲ ἀπὸ τῆς σιβούρης καταβάντες διαμάχονται. πότερον ὡς ἔνιοι
λέγουσιν, ἵππῳ τὴν τροίαν ἡλωκέναι νομίζοντες, ἵππον κολάζουσιν, ἅτε δὴ καὶ
γεγονότες τρώων ἀγλαὰ τέκνα μεμιγμένα παισὶ λατίνων. ἢ ὅτι θυμοειδὲς καὶ
πολεμικὸν καὶ ἀρήιον ὁ ἵππος ἐστί, τὰ δὲ προσφιλῆ μάλιστα καὶ πρόσφορα
θύουσι τοῖς θεοῖς. ὁ δὲ νικήσας θύεται διὰ τὸ νίκης καὶ κράτος οἰκεῖον εἶναι τὸν
θεόν. ἢ μᾶλλον ὅτι τοῦ θεοῦ στάσιμον τὸ ἔργον ἐστὶ, καὶ νικῶσιν οἱ μένοντες ἐν τά-
ξει τοὺς μὴ μένοντας ἀλλὰ φεύγοντας, καὶ κολάζεται τὸ τάχος ὡς δειλίας
ἐφόδιον, καὶ μανθάνουσι συμβολικῶς ὅτι σωτήριον οὐκ ἔστι τοῖς φεύγουσι.
Διατί οἱ τιμηταὶ τὴν ἀρχὴν παραλαβόντες, οὐδὲν ἄλλο πράττουσι πρῶτον, ἢ τὴν
τροφὴν ἀπομισθοῦσι τῶν ἱερῶν χηνῶν, καὶ τὴν γάνωσιν τοῦ ἀγάλματος. πότερον
ἀπὸ τῶν εὐτελεστάτων ἀρχόμενοι, καὶ μὴ πολλῆς δεομένων δαπάνης μηδὲ πραγ-
ματείας. ἢ παλαιά τις αὕτη χάρις ἀπομνημονεύεται τοῖς ζώοις ἀπὸ τῶν κελ-
τικῶν, ὅτε τοὺς βαρβάρους ὑπερβαίνοντας ἤδη τὸ περιτείχισμα τοῦ καπε-
τωλίου, νύκτωρ οἱ χῆνες ᾔσθοντο, τῶν κυνῶν καθευδόντων, καὶ βοῇ τοὺς φύλακας ἐπή-
γειραν. ἢ φύλακες ὄντες οἱ τιμηταὶ τῶν μεγίστων καὶ προσηκόντων, ἐπισκοπεῖν καὶ
πολυπραγμονεῖν αὐτοῖς ἱερὰ καὶ δημόσια καὶ βίους καὶ ἤθη καὶ διαίτας, τὸ φυλα-
κτικώτατον ζῶον εὐθὺς ἐν λόγῳ τίθενται, καὶ ἅμα τῇ τούτων ἐπιμελείᾳ προτρέ-
πονται τοὺς πολίτας μὴ ἀμελεῖν μηδὲ ῥαθυμεῖν τῶν ἱερῶν, ἡ δὲ γάνωσις τοῦ
ἀγάλματος ἀναγκαία. ταχὺ γὰρ ἐξανθεῖ τὸ μίλτινον, ᾧ τὰ παλαιὰ τῶν ἀγαλμά-
των ἔχρωζον. Διατί τῶν ἄλλων ἱερέων τὸν καταδικασθέντα καὶ φυγόν-
τα παύοντες, ἕτερον αἱροῦνται, τοῦ δὲ αὔγουρος ἕως ζῇ, κἂν ἐπὶ τοῖς μεγί-
στοις ἀδικήμασι καταγνῶσιν, οὐκ ἀφαιροῦνται τὴν ἱερωσύνην. αὔγουρας δὲ τοὺς
ἐπὶ τῶν οἰωνῶν καλοῦσι. πότερον ὡς ἔνιοι λέγουσι, βούλονται μηδένα τὰ τῶν
ἱερῶν ἀπόρρητα γινώσκειν, ὃς οὐκ ἔστιν ἱερεύς. ἢ κατειλημμένον ὅρκοις τὸν αὔγου-
ρα μηδενὶ φράσειν τὰ τῶν ἱερῶν, ἀπολῦσαι τῶν ὅρκων οὐ θέλουσιν ἰδιώτην γι-
νόμενον. ἢ τιμῆς οὐκ ἔστιν οὐδὲ ἀρχῆς, ἀλλὰ ἐπιστήμης ὄνομα καὶ τέχνης ὁ αὔ-
γουρ. ὅμοιον οὖν τῷ τὸν μουσικὸν ἀποψηφίσασθαι, μουσικὸν μὴ εἶναι, καὶ τὸν
ἰατρὸν, ἰατρὸν, τὸ κωλύειν μάντιν εἶναι τὸν μάντιν, ἀφελέσθαι μὴ δυναμένους
τὴν δύναμιν αὐτοῦ, κἂν ἀφέλωνται τὴν προσηγορίαν, ἄλλον δὲ οὐ καθιστᾶσιν,
εἰκότως τὸν ἐξ ἀρχῆς ἀριθμὸν τῶν αὐγούρων φυλάττοντες. Διατί ταῖς
αὐγούσταις εἰδοῖς σεξτιλίαις δὲ πρότερον λεγομέναις, ἑορτάζουσιν αἵ τε δοῦλαι
καὶ οἱ δοῦλοι πάντες, αἱ δὲ γυναῖκες μάλιστα ῥύπτεσθαι τὰς κεφαλὰς καὶ κα-
θαίρειν ἐπιτηδεύουσιν. ἢ διὰ τὸν σέρβιον τὸν βασιλέα κατὰ ταύτην τὴν ἡμέραν
ἐξ αἰχμαλώτου γενέσθαι θεραπαινίδος, ἄδειαν ἔργων ἔχουσιν οἱ θεράποντες. τὸ
δὲ πλύνειν τὰς κεφαλὰς ἀρξάμενον ἀπὸ τῶν θεραπαινίδων διὰ τὴν ἑορτὴν,
ἄχρι τῶν ἐλευθέρων προῆλθεν. Διατί κοσμοῦσι τοὺς παῖδας τοῖς περι-
δεραίοις ἃ βούλλας καλοῦσι. πότερον ἐπὶ τιμῇ τῶν ἡρπασμένων γυναικῶν, ὥσ-
περ ἄλλα πολλὰ καὶ τοῦτο ἐψηφίσαντο τοῖς ἐξ αὐτῶν γεννωμένοις ὑπάρχειν,
ἢ τὴν ταρκυνίου τιμῶντες ἀνδραγαθίαν. λέγεται γὰρ ἔτι παῖς ὢν ἐν τῇ μάχῃ
τῇ πρὸς λατίνους ἅμα καὶ τυρρηνοὺς, ἐμβαλεῖν εἰς τοὺς πολεμίους, ἀπορρυεὶς
δὲ τοῦ ἵππου καὶ τοὺς ἐπιφερομένους ἰταμῶς ὑποστὰς ἐπιρρῶσαι τοὺς ῥωμαίους.
γενομένης

γενομένης δὲ λαμπρᾶς τροπῆς τῶν πολεμίων, καὶ μυρίων ἑξακισχιλίων ἀναιρε-
θέντων, τοῦτο λαβεῖν ἀριστεῖον παρὰ τοῦ πατρὸς καὶ βασιλέως. ἢ τοῖς παλαιοῖς
οἰκετῶν μὲν ἐρᾶν ὥραν ἐχόντων, οὐκ ἦν ἄδοξον οὐδὲ αἰσχρὸν, ὡς ἔτι νῦν αἱ κωμῳ-
δίαι μαρτυροῦσιν. ἐλευθέρων δὲ παίδων ἰσχυρῶς ἀπείχοντο, καὶ ὅπως μηδὲ
γυμνοῖς ἐντυχόντες ἀμφιγνοήσειαν, ἐφόρουν οἱ παῖδες τὸ παράσημον. ἢ καὶ
πρὸς εὐταξίαν ἐστὶ φυλακτήριον τοῦτο, καὶ τρόπον τινὰ τοῦ ἀκολάστου χαλινὸς,
αἰσχυνομένων ἀνδροῦσθαι, πρὶν ἢ τὸ παιδικὸν ἀποθέσθαι παράσημον. ὃ μὲν γὰρ
οἱ περὶ βάρρωνα λέγουσιν, οὐ πιθανόν ἐστιν, τῆς βούλλης ὑπὸ αἰολέων βόλλας
προσαγορευομένης. τοῦτο σύμβολον εὐβουλίας περιτίθεσθαι τοὺς παῖδας.
ἀλλὰ ὅρα μὴ καὶ τοῦτο διὰ τὴν σελήνην φοροῦσι. τὸ γὰρ φαινόμενον σχῆμα τῆς σε-
λήνης ὅταν ᾖ διχόμηνος, οὐ σφαιροειδὲς, ἀλλὰ φακοειδές ἐστι καὶ δισκοειδές. ὡς
δὲ ἐμπεδοκλῆς οἴεται, καὶ τὸ ὑποκείμενον. Διατί τῶν μὲν παίδων τοῖς μὲν
ἄρρεσιν ἐνναταίοις, τοῖς δὲ θήλεσιν ὀγδοαίοις τὰ ὀνόματα τίθενται. ἢ τὸ μὲν
προτέροις τοῖς θήλεσιν αἰτίαν ἔχει τὴν φύσιν. καὶ γὰρ αὔξεται τὸ θῆλυ, καὶ ἀκ-
μάζει καὶ τελειοῦται πρότερον τοῦ ἄρρενος, τῶν δὲ ἡμερῶν τὰς μετὰ τὴν ἑβδό-
μην λαμβάνουσιν. ἡ γὰρ ἑβδόμη σφαλερὰ τοῖς νεογνοῖς πρός τε τὰ ἄλλα καὶ τὸν
ὀμφαλόν. ἑβδομαῖος γὰρ ἀπολύεται τοῖς πλείστοις. ἕως δὲ ἀπολυθῇ, φυτῷ μᾶλ-
λον ἢ ζώῳ προσέοικε τὸ νήπιον. ἢ καθάπερ οἱ πυθαγορικοὶ τοῦ ἀριθμοῦ, τὸν μὲν
ἄρτιον θῆλυν, ἄρρενα δὲ τὸν περιττὸν ἐνόμιζον. γόνιμος γάρ ἐστι καὶ κρατεῖ τοῦ
ἀρτίου συντιθέμενος. καὶ διαιρουμένων εἰς τὰς μονάδας, ὁ μὲν ἄρτιος καθά-
περ τὸ θῆλυ, χώραν μεταξὺ κενὴν ἐνδίδωσι. τοῦ δὲ περιττοῦ, μόριον ἀεί τι πλή-
ρες ὑπολείπεται. διὸ τὸν μὲν ἄρρενι, τὸν δὲ θήλει πρόσφορον νομίζουσιν. ἢ ὅτι
τῶν ἀριθμῶν ἁπάντων, τὰ μὲν ἐννέα, πρῶτός ἐστι τετράγωνος, ἀπὸ περιττοῦ καὶ
τελείου τῆς τριάδος. τὰ δὲ ὀκτὼ, πρῶτος κύβος ἀπὸ ἀρτίου τῆς δυάδος. δεῖ δὲ
τὸν μὲν τετράγωνον εἶναι καὶ περιττὸν καὶ τέλειον. τὴν δὲ γυναῖκα καθάπερ τὸν
κύβον, ἑδραῖον καὶ οἰκουρὸν καὶ δυσμετακίνητον. τοῦτο δὲ προσληπτέον, ὅτι τὰ
μὲν ὀκτὼ κύβος ἐστὶν ἀπὸ δυάδος, τὰ δὲ ἐννέα τετράγωνος ἀπὸ τριάδος. χρῶνται
δὲ δυσὶ μὲν ὀνόμασιν αἱ θήλειαι, τρισὶ δὲ οἱ ἄρρενες. Διατί τοὺς ἀπάτορας
σπορίους υἱοὺς καλοῦσιν. οὐ γὰρ ὡς ἕλληνες νομίζουσι καὶ λέγουσιν οἱ ῥήτορες
ἐν ταῖς δίκαις, συμφορητοῦ τινος καὶ κοινοῦ σπέρματος γεγόνασιν, ἀλλὰ ἔστιν ὁ
σπόριος, τῶν πρώτων ὀνομάτων ὡς ὁ σέξτος καὶ ὁ δέκιμος καὶ ὁ γάϊος. τὰ δὲ
πρῶτα τῶν ὀνομάτων οὐχ ὁλογραφοῦσιν, ἀλλ᾽ ἢ δι᾽ ἑνὸς γράμματος, ὡς τὸν τίτον
μὲν τὸν λούκιον καὶ τὸν μάρκον, ἢ διὰ δυεῖν ὡς τὸν βέρριον καὶ τὸν γνέον. ἢ διὰ
τριῶν, ὡς τὸν σέξτον καὶ τὸν σερούϊον. ἔστιν οὖν καὶ ὁ σπόριος τῶν διὰ δυοῖν γρα-
φομένων τοῦ σ καὶ τοῦ π. γράφουσι δὲ διὰ τούτων καὶ τοὺς ἀπάτορας, σίνε πά-
τρε, οἷον ἄνευ πατρός. τῷ μὲν σῖγμα τὸ σίνε. τῷ δὲ π τὸ πάτρε σημαίνοντες.
τοῦτο οὖν τὴν πλάνην ἐποίησε, τὸ διὰ τῶν αὐτῶν γραμμάτων τὸ σίνε πάτρε
καὶ τὸν σπόριον γράφεσθαι. λεκτέον δὲ καὶ τὸν ἕτερον λόγον. ἔστι δὲ ἀτοπώτερος.
τοὺς γὰρ σαβίνους φασὶ τὸ τῆς γυναικὸς αἰδοῖον ὀνομάζειν σπόριον. εἶτα οἷον
ἐφυβρίζοντας οὕτω προσαγορεύειν τὸν ἐκ γυναικὸς ἀγάμου καὶ ἀνεγγύου γεγεννη-
μένον. Διατί τὸν διόνυσον λίβερουμ πάτρεμ καλοῦσι. πότερον ὡς ἐλευθερίας
πατέρα τοῖς πίνουσι γενόμενον. γίνονται γὰρ οἱ πολλοὶ θρασεῖς καὶ παρρησίας
ὑποπίμπλανται περὶ τὰς μέθας. ἢ ὅτι τὴν λοιβὴν παρέχει. ἢ ὡς ἀλέξαν-
δρός φησιν ἀπὸ τῆς περὶ ἐλευθέρας τῆς βοιωτίας, ἐλευθερέως διονύσου προ-
σαγορευομένου. Διατίνα αἰτίαν ἐν ταῖς δημοσίαις ἑορταῖς, ἔθος οὐκ ἔστι γα-
μεῖσθαι παρθένους, αἱ δὲ χῆραι γαμοῦνται. πότερον ὡς ὁ βάρρων εἴρηκεν ὅτι λυ-

χθόμεναι μὲν αἱ παρθένοι γαμοῦνται, χαίρουσαι δὲ αἱ γυναῖκες, ἑορτῇ δὲ μηθένα λυπουμένους ποιεῖν, μηδὲ πρὸς ἀνάγκην. ἢ μᾶλλον ὅτι ταῖς μὲν παρθένοις, καλὸν μὴ ὀλίγων, ταῖς δὲ χήραις αἰσχρὸν πολλῶν ὄντων γαμεῖσθαι. ζηλωτὸς γὰρ ὁ πρῶτος γάμος, ὁ δὲ δεύτερος ἀπευκταῖος, αἰσχύνονται γὰρ ἂν ζώντων τῶν προτέρων ἑτέρους λαμβάνωσιν, ὀδύρονται δὲ ἂν ἀποθανόντων· ὅθεν ἡσυχίᾳ χαίρουσι μᾶλλον, ἢ θορύβοις καὶ προπομπαῖς· αἱ δὲ ἑορταὶ περισπῶσι τοὺς πολλούς, ὥστε τοῖς τοιούτοις μὴ σχολάζειν· ἢ ὅτι καὶ τὰς Σαβίνων θυγατέρας ἁρπάσαντες ἐν ἑορτῇ παρθένους οὔσας, εἰς πόλεμον κατέστησαν, ἐξοιωνίσαντο γαμεῖν παρθένους ἐν ἱεραῖς ἡμέραις.

Διατί Ῥωμαῖοι τύχην σέβονται πριμιγένειαν, ἣν ἄν τις εἴποι πρωτογένειαν· ἆρα ὅτι Σερβίῳ κατὰ τύχην ὥς φασιν ἐκ θεραπαινίδος γενομένῳ, βασιλεῦσαι τῆς Ῥώμης ἐπιφανῶς ὑπῆρξεν· οὕτω γὰρ οἱ πολλοὶ Ῥωμαῖοι ὑπειλήφασιν· ἢ μᾶλλον ὅτι τῆς Ῥώμης ἡ τύχη παρέσχε τὴν ἀρχὴν καὶ τὴν γένεσιν· ἢ φυσικώτερον ἔχει λόγον τὸ πρᾶγμα καὶ φιλοσοφώτερον, ὡς τὴν τύχην πάντων οὖσαν ἀρχήν, καὶ τὴν φύσιν ἐκ τοῦ κατὰ τύχην συνισταμένην, ὅταν τισὶν ὡς ἔτυχεν ἀποκειμένοις τάξις ἐγγένηται.

Διατί τοὺς περὶ τὸν Διόνυσον τεχνίτας, ἱστρίωνας Ῥωμαῖοι καλοῦσιν· ἢ δι᾽ ἣν αἰτίαν Κλούβιος Ῥοῦφος ἱστόρηκε· φησὶ γὰρ ἐν τοῖς πάνυ παλαιοῖς χρόνοις Γαΐου τε Σουλπικίου καὶ Λικινίου Στόλωνος ὑπατευόντων, λοιμώδη νόσον ἐν Ῥώμῃ γενομένην, πάντας ὁμαλῶς διαφθεῖραι τοὺς ἐπὶ σκηνὴν προερχομένους· δεηθεῖσιν οὖν αὐτοῖς ἐκ Τυρρηνίας ἐλθεῖν πολλοὺς καὶ ἀγαθοὺς τεχνίτας, ὧν τὸν πρωτεύοντα δόξῃ καὶ χρόνῳ πλεῖστον ἐνημεροῦντα τοῖς θεάτροις, ἵστρον ὀνομάζεσθαι· καὶ διὰ τοῦτο πάντας ἱστρίωνας ἀπ᾽ ἐκείνου προσαγορεύεσθαι.

Διατί δὲ τὰς ἐγγὺς γένους οὐ γαμοῦσιν· πότερον αὔξειν τοῖς γάμοις βουλόμενοι τὰς οἰκειότητας, καὶ συγγενεῖς πολλοὺς ἐπικτᾶσθαι διδόντες ἑτέροις καὶ λαμβάνοντες παρ᾽ ἑτέρων γυναῖκας· ἢ φοβούμενοι τὰς ἐν τοῖς γάμοις τῶν συγγενῶν διαφοράς, ὡς τὰ φύσει δίκαια προσαπολλυούσας· ἢ πολλῶν βοηθῶν τὰς γυναῖκας ὁρῶντες δι᾽ ἀσθένειαν δεομένας, οὐκ ἐβούλοντο τὰς ἐγγὺς γένους συνοικίζειν, ὅπως ἂν οἱ ἄνδρες ἀδικῶσιν αὐτάς, οἱ συγγενεῖς βοηθῶσιν.

Διατί τῷ ἱερεῖ τοῦ Διὸς ὃν φλαμινα Διάλην καλοῦσιν, οὐκ ἐξῆν ἀλεύρου θιγεῖν οὐδὲ ζύμης· ἢ τὸ μὲν ἄλευρον ἀτελὴς τροφὴ καὶ ἄπεπτός ἐστιν· οὔτε γὰρ ὃ ἦν μεμένηκεν ὁ πυρός, οὔτε ὃ δεῖ γενέσθαι γέγονεν ὁ ἄρτος, ἀλλὰ καὶ τὴν τοῦ σπέρματος δύναμιν ἀπολώλεκεν ἅμα, καὶ τὴν τοῦ σιτίου χρείαν οὐκ ἔσχηκε· διὸ καὶ μυλήφατον ὁ ποιητὴς ἄλφιτον ἐκ μεταφορᾶς ὠνόμακεν, ὥσπερ φονευόμενον ἐν τῷ ἀλέτῳ καὶ φθειρόμενον· ἡ δὲ ζύμη καὶ γέγονεν ἐκ φθορᾶς αὐτή, καὶ φθείρει τὸ φύραμα μιγνυμένη· γίνεται γὰρ ἄτονον καὶ ἀδρανές, καὶ ὅλως ἔοικε σῆψις ἡ ζύμωσις εἶναι· πλεονάσασα γοῦν ἀποξύνει παντάπασι καὶ φθείρει τὸ ἄλευρον.

Διατί καὶ σαρκὸς ὠμῆς ἀπείρηται τῷ ἱερεῖ ψαύειν· πότερον ὠμοφαγίας πάνυ πόρρωθεν ἀποτρέπει τὸ ἔθος· ἢ δι᾽ ἣν τὸ ἄλευρον αἰτίαν ἀφοσιοῦται, καὶ τὸ κρέας· οὔτε γὰρ ἔστι ζῶον, οὔτε ὄψον ἤδη γέγονεν· ἡ γὰρ ἕψησις καὶ ὄπτησις ἀλλοίωσις οὖσα καὶ μετακόσμησις, ἐξίστησι τὴν μορφήν· τὸ δὲ πρόσφατον καὶ ὠμόν, οὐδὲ τὴν ὄψιν ἔχει καθαρὰν καὶ ἀμίαντον, ἀλλ᾽ ἀειδῆ καὶ ἑλκώδη.

Διατί δὲ κυνὸς καὶ αἰγὸς ἐκέλευον ἀπέχεσθαι τὸν ἱερέα, μήτε ἁπτόμενον μήτε ὀνομάζοντα· πότερον τῆς μὲν αἰγὸς βδελυττόμενοι τὸ ἀκόλαστον καὶ δυσῶδες, ἢ φοβούμενοι τὸ νοσηματικόν· δοκεῖ γὰρ ἐπιληψίᾳ καταλαμβάνεσθαι μάλιστα τῶν ζώων, καὶ προσαναχρώννυσθαι τοῖς φαγοῦσιν, ἢ θιγοῦσιν ὑπὸ τοῦ πάθους ἐχομένοις, αἰτίαν δὲ λέγουσι τὴν στενότητα τῶν πνευματικῶν πόρων πολλάκις ἐπιλαμβανομένην, τεκμαιρόμενοι τῇ λεπτότητι τῆς φωνῆς· καὶ γὰρ ἀνδρῶν ὅσοις ἐπιληπτίζουσι συμβαίνει φθέγγεσθαι

μηκασμῷ παραπλησίαν φωνὴν ἀφιᾶσι· τῷ δὲ κυνί, τοῦ μὲν ἀκολάστου καὶ δυσώδους ἧττον ἴσως μέτεστι· καίτοι φασὶν ἔνιοι, μήτε τὴν Ἀθηναίων ἀκροπόλεως ἐπιβαίνειν κύνα, μήτε τὴν Δηλίων νῆσον, διὰ τὴν ἐμφανῆ μίξιν, ὥσπερ βοῶν καὶ συῶν καὶ ἵππων ἐν θαλάμοις, ἀλλ᾽ οὐκ ἐμφανῶς καὶ ἀνέδην ὀχευόντων· τὴν γὰρ ἀληθινὴν αἰτίαν ἀγνοοῦσιν ὅτι μάχιμον ὄντα τὸν κύνα, τῶν ἀσύλων καὶ ἁγίων ἐξεῖργουσιν ἱερῶν, ἀσφαλῆ καταφυγὴν τοῖς ἱκέταις διδόντες. εἰκὸς μὲν οὖν ἐστι καὶ τὸν ἱερέα τοῦ Διὸς ὥσπερ ἔμψυχον καὶ ἱερὸν ἄγαλμα καταφύξιμον ἀνεῖσθαι τοῖς δεομένοις καὶ ἱκετεύουσι, μηδενὸς ἀπείργοντος μηδὲ ἐκφοβοῦντος· διὸ κλινίδιον μὲν ἦν αὐτοῦ κείμενον ἐν τῷ θυρῶνι τῆς οἰκίας· ὁ δὲ προσπεσὼν τοῖς γόνασι τὴν ἡμέραν ἐκείνην ἄδειαν εἶχε πληγῶν καὶ κολάσεως, εἰ δὲ δεσμώτης φθαίη προσελθών, ἐλύετο· τοὺς δὲ δεσμοὺς ἐκτὸς οὐ κατὰ θύρας, ἀλλὰ ὑπὸ τοῦ στέγους ἀπερρίπτουν· οὐδὲν οὖν ὄφελος ἦν οὕτως αὐτὸν ἥμερον παρέχειν καὶ φιλάνθρωπον, εἰ κύων προειστήκει, δεδιττόμενος καὶ ἀπερύκων τοὺς προσφυγεῖν δεομένους· οὐ μὴν οὐδὲ καθαρεύειν ᾤοντο παντάπασιν οἱ παλαιοὶ τὸ ζῶον, καὶ Ὀλυμπίων μὲν γὰρ οὐδενὶ θεῶν καθιέρωται· χθονίᾳ δὲ δεῖπνον Ἑκάτῃ πεμπόμενος εἰς τριόδους, ἀποτροπαίων καὶ καθαρσίων ἐπέχει μοῖραν, ἐν δὲ Λακεδαίμονι τῷ φονικωτάτῳ θεῶν Ἐνυαλίῳ σκύλακας ἐντέμνουσι· Βοιωτοῖς δὲ δημοσίᾳ καθαρμός ἐστι κυνὸς διχοτομηθέντος τῶν μερῶν διεξελθεῖν, αὐτοὶ δὲ Ῥωμαῖοι τοῖς Λυκαίοις ἃ Λουπερκάλια καλοῦσιν ἐν τῷ καθαρσίῳ μηνὶ κύνα θύουσιν· ὅθεν οὐκ ἀπὸ τρόπου τοῖς τὸν ὑπέρτατον καὶ καθαρώτατον εἰληφόσι θεραπεύειν θεόν, ἀπειρῆσθαι κύνα ποιεῖσθαι συνήθη καὶ σύνοικον.

Διατίνα δὲ αἰτίαν οὐδὲ κιττοῦ θιγεῖν ἐφεῖτο τῷ ἱερεῖ τοῦ Διός, οὐδὲ ὁδὸν διελθεῖν ἀναδενδράδος ἄνωθεν διατεταμένης· ἢ τοῦτο μὲν ὅμοιόν ἐστι, τῷ μὴ ἐσθίειν ἀπὸ δίφρου, μὴ δὲ ἐπὶ χοίνικος καθῆσθαι, μὴ δὲ σάρον ὑπερβαίνειν, οὐ ταῦτα τῶν Πυθαγορικῶν δεδιότων καὶ φυλαττομένων, ἀλλὰ ἕτερα τούτοις ἀπαγορευόντων· καὶ γὰρ τὸ ὑπὸ ἄμπελον ὑποπορεύεσθαι τὴν ἀναφορὰν εἰς τὸν οἶνον εἶχεν, ὡς οὐ θεμιτὸν τῷ ἱερεῖ μεθύσκεσθαι· τῶν γὰρ μεθυσκομένων, ὑπὲρ κεφαλῆς ὁ οἶνός ἐστι, καὶ πιέζονται καὶ ταπεινοῦνται· δέον ὑπερτέρους εἶναι καὶ κρατεῖν ἀεὶ τῆς ἡδονῆς ταύτης, ἀλλὰ μὴ κρατεῖσθαι. τὸν δὲ κιττὸν πότερον ὡς ἄκαρπον καὶ ἄχρηστον ἀνθρώποις, ἀδρανῆ δὲ καὶ δι᾽ ἀσθένειαν ἑτέρων ὀχούντων δεόμενον, σκιᾷ δὲ καὶ χλωρότητος ὄψει γοητεύοντα τοὺς πολλούς· οὐκ ᾤοντο δεῖν ἀσύμβολον ἐν ταῖς οἰκίαις μάτην ἐντρέφεσθαι καὶ περιπλέκεσθαι, βλαβερὸν ὄντα τοῖς προσδεχομένοις φυτοῖς, τῆς γῆς ἐχόμενον· διὸ τῶν μὲν Ὀλυμπίων ἱερῶν εἴργεται, καὶ οὔτε ἐν Ἥρας Ἀθήνησιν, οὔτε Θήβησιν ἐν Ἀφροδίτης, ἴδοι τις ἂν κιττόν· ἀγριωνίοις δὲ καὶ νυκτελίοις, ὧν τὰ πολλὰ διὰ σκότους δρᾶται πάρεστιν· ἢ καὶ τοῦτο συμβολικὴ θιάσων καὶ βακχευμάτων ἀπαγόρευσις ἦν· αἱ γὰρ ἔνοχοι τοῖς βακχικοῖς πάθεσι γυναῖκες, εὐθὺς ἐπὶ τὸν κιττὸν φέρονται καὶ σπαράττουσι δραττόμεναι ταῖς χερσὶ καὶ διεσθίουσαι τοῖς στόμασιν· ὥστε μὴ παντελῶς ἀπιθάνους εἶναι τοὺς λέγοντας, ὅτι καὶ πνεῦμα μανίας ἔχων ἐγερτικὸν καὶ παρακινητικόν, ἐξίστησι καὶ σπαράττει, καὶ ὅλως ἄοινον ἐπάγει μέθην, καὶ χάριν τοῖς ἐπισφαλῶς πρὸς ἐνθουσιασμὸν ἔχουσι.

Διατί τοῖς ἱερεῦσι τούτοις ἀρχὴν οὐκ ἐφεῖτο λαβεῖν οὐδὲ μετελθεῖν, ἀλλὰ ῥαβδούχῳ τε χρῶνται, καὶ δίφρον ἡγεμονικὸν ἐπὶ τιμῇ καὶ παραμυθίᾳ τοῦ μὴ ἄρχειν ἔχουσι· πότερον ὡς ἐνιαχοῦ τῆς Ἑλλάδος ἀντίρροπον ἦν τὸ τῆς ἱερωσύνης ἀξίωμα πρὸς τὸ τῆς βασιλείας, μὴ τυχόντας ἱερεῖς ἀπεδείκνυσαν· ἢ μᾶλλον ὅτι τῶν μὲν ἱερῶν ὡρισμένας πράξεις ἐχόντων ἀτάκτους καὶ ἀορίστους, οὐκ ἦν δυνατὸν εἰς ἓν ἅμα τῶν καιρῶν συμπεσόντων ἑκατέρῳ πα-

ἐξεῖναι τὸν αὐτόν, ἀλλ' ἔδει θάτερα πολλάκις ἀμφοτέρων ἐπειγόντων ἀπολείποντα, νῦν μὲν ἀσεβεῖν τοὺς θεούς, νῦν δὲ βλάπτειν τοὺς πολίτας, οἱ ταῖς ἀνθρωπίναις ἐνορῶντες ἀρχαῖς οὐκ ἐλάττονα τῆς ἐξουσίας τὴν ἀνάγκην προσοῦσαν, καὶ τὸν ἄρχοντα δήμου, καθάπερ Ἱπποκράτης ἔφη τὸν ἰατρόν, δεινὰ μὲν ὁρῶντα, δεινῶν δ' ἁπτόμενον, ἐπ' ἀλλοτρίοις δὲ κακοῖς ἰδίας λύπας καρπούμενον, οὐχ ὅσιον ἡγοῦντο θύειν θεοῖς καὶ ἱερῶν κατάρχεσθαι, γινόμενον ἐν καταδίκαις καὶ θανατώσεσι πολιτῶν, πολλάκις δὲ καὶ συγγενῶν καὶ οἰκείων, οἷα καὶ Βρούτῳ συνέτυχε.

ΕΛΛΗΝΙΚΑ.

Τίνες οἱ ἐν Ἐπιδαύρῳ κονίποδες καὶ ἄρτυνοι. οἱ μὲν τὸ πολίτευμα ὀγδοήκοντα καὶ ἑκατὸν ἄνδρες ἦσαν, ἐκ δὲ τούτων ᾑροῦντο βουλευτάς, οὓς ἀρτύνους ἐκάλουν, τοῦ δὲ δήμου τὸ πλεῖστον ἐν ἀγρῷ διέτριβεν, ἐκαλοῦντο δὲ κονίποδες, ὡς συμβαλεῖν ἔστιν ἀπὸ τῶν ποδῶν γνωριζόμενοι κεκονιμένων ὁπότε κατέλθοιεν εἰς τὴν πόλιν. Τίς ἡ παρὰ Κυμαίοις ὀνοβάτις. τῶν γυναικῶν τὴν ἐπὶ μοιχείᾳ ληφθεῖσαν ἀγαγόντες εἰς ἀγορὰν, ἐπὶ λίθου τινὸς ἐμφανῆ πᾶσι καθίστασαν. εἶτα οὕτως ἀνεβίβαζον ἐπ' ὄνον, καὶ τὴν πόλιν κύκλῳ περιαχθεῖσαν, ἔδει πάλιν ἐπὶ τὸν αὐτὸν λίθον καταστῆναι, καὶ τὸ λοιπὸν ἄτιμον διατελεῖν ὀνοβάτιν προσαγορευομένην. τὸν δὲ λίθον ἀπὸ τούτου οὐ καθαρὸν νομίζοντες, ἀφωσιοῦντο. ἦν δὲ καὶ φυλάκτου τις ἀρχὴ παρ' αὐτοῖς. ὁ δὲ ταύτην ἔχων, τὸν μὲν ἄλλον χρόνον ἐτήρει τὸ δεσμωτήριον. εἰς δὲ τὴν βουλὴν ἐν τῷ νυκτερινῷ συλλόγῳ παριὼν, ἐξῆγε τοὺς βασιλεῖς τῆς χειρὸς, καὶ κατεῖχε μέχρι περὶ αὐτῶν ἡ βουλὴ διαγνοίη, πότερον ἀδικοῦσιν ἢ οὔ, κρύβδην φέρουσα τὴν ψῆφον. Τίς ἡ παρὰ Σολεῦσιν ὑπεκκαύστρια. τὴν τῆς Ἀθηνᾶς ἱέρειαν οὕτω καλοῦσιν. ὅτι ποιεῖταί τινας θυσίας καὶ ἱερουργίας ἀποτροπαίους. Τίνες ἐν Κνίδῳ οἱ ἀμνήμονες καὶ τίς ὁ ἀφεστήρ. ἑξήκοντα προκρίτους ἄνδρας ἐκ τῶν ἀρίστων, οἷον ἐπισκόποις ἐχρῶντο διὰ βίου καὶ προβούλοις τῶν μεγίστων, ἐκαλοῦντο δὲ ἀμνήμονες, ὡς ἄν τις εἰκάσειε διὰ τὸ ἀνυπεύθυνον, εἰ μὴ νὴ Δία πολυμνήμονές τινες ὄντες. ὁ δὲ τὰς γνώμας ἐρωτῶν ἀφεστήρ. Τίνες οἱ παρὰ Ἀρκάσι καὶ Λακεδαιμονίοις χρηστοί. Λακεδαιμόνιοι Τεγεάταις διαλλαγέντες, ἐποιήσαντο συνθήκας, καὶ στήλην ἐπ' Ἀλφειῷ κοινὴν ἀνέστησαν, ἐν ᾗ μετὰ τῶν ἄλλων γέγραπται Μεσσηνίους ἐκβαλεῖν ἐκ τῆς χώρας, καὶ μὴ ἐξεῖναι χρηστοὺς ποιεῖν. ἐξηγούμενος οὖν ὁ Ἀριστοτέλης τοῦτό φησι δύνασθαι τὸ μὴ ἀποκτιννύναι βοηθείας χάριν τοῖς λακωνίζουσι τῶν Τεγεατῶν. Τίς ὁ παρὰ Ὀπουντίοις κριθολόγος. οἱ πλεῖστοι τῶν Ἑλλήνων πρὸς τὰς πάνυ παλαιὰς θυσίας ἐχρῶντο ταῖς κριθαῖς ἀπαρχομένων τῶν πολιτῶν. τὸν μὲν οὖν ἐπὶ τῶν θυσιῶν ἄρχοντα, καὶ ταύτας κομιζόμενον τὰς ἀπαρχὰς, κριθολόγον ὠνόμαζον. δύο δὲ ἦσαν ἱερεῖς παρ' αὐτοῖς, ὁ μὲν περὶ τὰ θεῖα τεταγμένος, ὁ δὲ περὶ τὰ δαιμόνια.

Τίνες αἱ πλωϊάδες νεφέλαι. τὰς ὑπόμβρους μάλιστα καὶ περιφερομένας ἐκάλουν πλωϊάδας, ὡς Θεόφραστος ἐν τετάρτῃ περὶ μεταρσίων εἴρηκε κατὰ λέξιν. ἐπεὶ καὶ αἱ πλωϊάδες αὗται νεφέλαι καὶ αἱ συνεστῶσαι ἀκίνητοι δὲ καὶ τοῖς χρώμασιν ἔκλευκοι, δηλοῦσι διαφοράν τινα τῆς ὕλης, ὡς οὔτε ἐξυδατουμένης, οὔτε ἐκπνευματουμένης. Τίς ὁ παρὰ Βοιωτοῖς πλατυχαίτας. τοὺς οἰκίας γειτνιώσας, ἢ χωρίοις ὁμοροῦντας αἰολίζοντες οὕτω καλοῦσιν ὡς τὸ πλεῖστ' ἔχοντας. παραθήσομαι δὲ λέξιν μίαν ἐκ τοῦ θεσμοφυλακίου νόμου, πολλῶν οὐσῶν. Τίς ὁ παρὰ

Δελφοῖς ὁσιωτήρ, καὶ διατί Βύσιον ἕνα τῶν μηνῶν καλοῦσι. ὁσιωτῆρα μὲν καλοῦσι τὸ θυόμενον ἱερεῖον, ὅταν ὅσιος ἀποδειχθῇ, πέντε δὲ εἰσὶν ὅσιοι διὰ βίου, καὶ τὰ πολλὰ μετὰ τῶν προφητῶν δρῶσιν, οὗτοι καὶ συνιερουργοῦσι, ἅτε γεγονέναι δοκοῦντες ἀπὸ Δευκαλίωνος. ὁ δὲ Βύσιος μήν, ὡς μὲν οἱ πολλοὶ νομίζουσι, φύσιός ἐστιν. ἔαρος γὰρ ἄρχει, καὶ τὰ πολλὰ φύεται τηνικαῦτα καὶ διαβλαστάνει. τὸ δ' ἀληθὲς οὐκ ἔχει οὕτως. οὐ γὰρ ἀντὶ τοῦ φ τῷ β χρῶνται Δελφοὶ καθάπερ Μακεδόνες, Βίλιππον καὶ βαλακρὸν καὶ Βερονίκην λέγοντες, ἀλλ' ἀντὶ τοῦ π, καὶ γὰρ τὸ πατεῖν, βατεῖν, καὶ τὸ πικρὸν βικρὸν ἐπιεικῶς καλοῦσιν. ἔστιν οὖν πύσιος ὁ Βύσιος, ἐν ᾧ πυστιῶνται, καὶ πυνθάνονται τοῦ θεοῦ. τὸ γὰρ ἐννοεῖν καὶ πάτριον. ἐν ᾧ μηνὶ γὰρ τούτῳ χρηστήριον ἐγίγνετο, καὶ ἑβδόμην ταύτην νομίζουσι τοῦ θεοῦ γενέθλιον, καὶ πολύφθονον ὀνομάζουσιν, οὐ διὰ τὸ πέττεσθαι φθοῖς, ἀλλὰ πολυπευθῆ καὶ πολυμάντευτον οὖσαν, ὀψὲ γὰρ ἀνεῖθησαν αἱ κατὰ μῆνα μαντεῖαι τοῖς δεομένοις, πρότερον δὲ ἅπαξ ἐθεμίστευεν ἡ Πυθία τοῦ ἐνιαυτοῦ κατὰ ταύτην τὴν ἡμέραν, ὡς Καλλισθένης καὶ Ἀναξανδρίδης ἱστορήκασι. Τί τὸ φυξίμηλον τῶν μικρῶν ἐστι καὶ χαμαιζήλων φυτῶν, ὧν ἐπινέμοντα τοὺς βλαστοὺς τὰ βοσκήματα κολούει καὶ ἀδικεῖ καὶ λυμαίνεται τὴν αὔξησιν. ὅταν γοῦν ἀναδραμόντα μέγεθος λάβῃ καὶ διαφύγῃ τὸ βλάπτεσθαι ὑπὸ τῶν ἐπινεμομένων, φυξίμηλα καλεῖται. τὸ δὲ μαρτύριον Αἰσχύλος.

Τίνες οἱ ἀποσφενδόνητοι. Κέρκυραν τὴν νῆσον Ἐρετριεῖς κατῴκουν, Χαρικράτους δὲ πλεύσαντος ἐκ Κορίνθου μετὰ δυνάμεως, καὶ τῷ πολέμῳ κρατοῦντος, ἐμβάντες εἰς τὰς ναῦς οἱ Ἐρετριεῖς, ἀπέπλευσαν οἴκαδε, προαισθόμενοι δὲ οἱ πολῖται τῆς χώρας, εἶργον αὐτοὺς, καὶ ἀποβαίνειν ἐκώλυον σφενδονῶντες, μὴ δυνάμενοι δὲ μήτε πεῖσαι, μήτε βιάσασθαι πολλοὺς καὶ ἀπαραιτήτους ὄντας, ἐπὶ Θρᾴκης ἔπλευσαν, καὶ κατασχόντες χωρίον, ἐν ᾧ πρότερον οἰκῆσαι Μέθωνα τὸν Ὀρφέως πρόγονον ἱστοροῦσι, τὴν μὲν πόλιν ὠνόμασαν Μεθώνην, ὑπὸ δὲ τῶν προσοίκων ἀποσφενδόνητοι προσωνομάσθησαν. Τίς ἡ παρὰ Δελφοῖς Χαρίλα. τρεῖς ἄγουσι Δελφοὶ ἐνναετηρίδας κατὰ τὸ ἑξῆς, ὧν τὴν μὲν Σεπτήριον καλοῦσι, τὴν δ' Ἡρωΐδα, τὴν δὲ Χαρίλαν. τὸ μὲν οὖν Σεπτήριον ἔοικε μίμημα τῆς πρὸς τὸν Πύθωνα τοῦ θεοῦ μάχης εἶναι, καὶ τῆς μετὰ τὴν μάχην ἐπὶ τὰ Τέμπη φυγῆς καὶ ἐκδιώξεως. οἱ μὲν γὰρ φυγεῖν ἐπὶ τῷ φόνῳ φασὶ χρῄζοντα καθαρσίων. οἱ δὲ τῷ Πύθωνι τετρωμένῳ καὶ φεύγοντι κατὰ τὴν ὁδὸν, ἣν νῦν ἱερὰν καλοῦμεν, ἐπακολουθεῖν καὶ μικρὸν ἀπολειφθῆναι τῆς τελευτῆς. κατέλαβε γὰρ αὐτὸν ἐκ τοῦ τραύματος ἄρτι τεθνηκότα κεκηδευμένον ὑπὸ τοῦ παιδὸς, ᾧ ὄνομα ἦν Αἶξ, ὡς λέγουσι. τὸ μὲν οὖν Σεπτήριον, τούτων ἢ τοιούτων τινῶν ἀπομίμησίς ἐστιν ἑτέρων, τῆς δ' Ἡρωΐδος τὰ πλεῖστα μυστικὸν ἔχει λόγον, ὃν ἴσασιν αἱ Θυιάδες, ἐκ δὲ τῶν δρωμένων φανερῶς Σεμέλης ἄν τις ἀναγωγὴν εἰκάσειε. περὶ δὲ τῆς Χαρίλας, τοιαῦτά τινα μυθολογοῦσι. λιμὸς ἐξ αὐχμοῦ τοὺς Δελφοὺς κατέσχε, καὶ πρὸς τὰς θύρας τοῦ βασιλέως ἐλθόντες, μετὰ τέκνων καὶ γυναικῶν ἱκέτευον. ὁ δὲ τῶν ἀλφίτων καὶ τῶν χεδρόπων μετεδίδου τοῖς γνωριμωτέροις αὐτῶν. οὐ γὰρ ἦν ἱκανὰ πᾶσιν. ἐλθούσης δὲ παιδὸς ἔτι μικρᾶς ὀρφανῆς γονέων καὶ προσλιπαρούσης, ἐρράπισεν αὐτὴν ὑποδήματι, καὶ τῷ προσώπῳ τὸ ὑπόδημα προσέρριψεν. ἡ δὲ, πενιχρά τις οὖσα καὶ ἔρημος, οὐκ ἀγεννὴς τὸ ἦθος, ἐκποδὼν γενομένη καὶ λύσασα τὴν ζώνην, ἀνήρτησεν ἑαυτήν. ἐπιτείνοντος δὲ τοῦ λιμοῦ καὶ νοσημάτων προσγενομένων, ἀνεῖλεν ἡ Πυθία τῷ βασιλεῖ Χαρίλαν ἱλάσκεσθαι παρθένον αὐτοθάνατον. μόλις οὖν ἀνευρόντες ὅτι τοὔνομα τοῦτ' ἦν τῇ ῥαπισθείσῃ παιδὶ, μεμιγμένην τινὰ καθαρμῷ θυσίαν ἀπε-

τέλεσαν, ἣν ἐπιτελοῦσιν ἔτι καὶ νῦν δι' ἐννέα ἐτῶν. προκάθηται μὲν γὰρ ὁ βασιλεὺς τῶν ἀλφίτων καὶ τῶν χεδρόπων ἐπιδιδοὺς πᾶσι καὶ ξένοις καὶ πολίταις, κομίζεται δὲ τῆς Χαρίλας παιδικὸν εἴδωλον. ὅταν οὖν πάντες λάβωσι, ὁ μὲν βασιλεὺς ῥαπίζει τῷ ὑποδήματι τὸ εἴδωλον, ἡ δὲ τῶν Θυιάδων ἀρχηγὸς ἀραμένη, κομίζει πρός τινα τόπον φαραγγώδη, κἀκεῖ σχοινίον περιάψαντες τῷ τραχήλῳ τοῦ εἰδώλου κατορύττουσιν, ὅπου τὴν Χαρίλαν ἀπαγξαμένην ἔθαψαν.

Τί τὸ πτωχικὸν κρέας παρ' Αἰνιᾶσι. Πλείονες γεγόνασιν Αἰνιάνων μεταναστάσεις. πρῶτον μὲν γὰρ οἰκοῦντες περὶ τὸ Δώτιον πεδίον, ἐξέπεσον ὑπὸ Λαπιθῶν εἰς Αἴθικας. ἐκεῖθεν τῆς Μολοσσίας τὴν περὶ τὸν Ἀραοῦαν χώραν κατέσχον. ὅθεν ὠνομάσθησαν Παραουαῖοι. μετὰ ταῦτα Κίρραν κατέσχον. ἐν δὲ Κίρρᾳ καταλεύσαντες Οἴνοκλον τὸν βασιλέα, τοῦ θεοῦ προστάξαντος, εἰς τὴν περὶ τὸν Ἴναχον χώραν κατέβησαν οἰκουμένην ὑπὸ Ἰναχιέων καὶ Ἀχαιῶν. γενομένου δὲ χρησμοῦ, τοὺς μὲν ἂν μεταδῶσι τῆς χώρας ἀποβαλεῖν ἅπασαν, τοὺς δ' ἂν λάβωσι παρ' ἑκόντων καθέξειν, Τέμων ἀνὴρ ἐλλόγιμος τῶν Αἰνιάνων ἀναλαβὼν ῥάκια καὶ πήραν καὶ προσαίτης ὢν, ἀφίκετο πρὸς τοὺς Ἰναχιεῖς, ὕβρει δὲ καὶ πρὸς γέλωτα τοῦ βασιλέως βῶλον ἐπιδόντος αὐτῷ, δεξάμενος εἰς τὴν πήραν, ἐνέβαλε, καὶ ἀφανὴς ἦν ἠγαπηκὼς τὸ δῶρον. ἀπεχώρησε γὰρ εὐθὺς οὐδὲν προσαιτήσας. οἱ δὲ πρεσβύτεροι θαυμάσαντες, ἀνεμιμνήσκοντο τοῦ χρησμοῦ, καὶ τῷ βασιλεῖ προσιόντες, ἔλεγον μὴ καταφρονῆσαι, μηδὲ προέσθαι τὸν ἄνθρωπον. αἰσθόμενος οὖν ὁ Τέμων τὴν διάνοιαν αὐτῶν, ὥρμησε φεύγειν, καὶ διέφυγεν εὐξάμενος τῷ Ἀπόλλωνι καθ' ἑκατόμβης. ἐκ δὲ τούτου μονομαχοῦσιν οἱ βασιλεῖς, καὶ τὸν τῶν Ἰναχιέων Ὑπέροχον ὁ τῶν Αἰνιάνων Φήμιος ὁρῶν μετὰ κυνὸς αὐτῷ προσφερόμενον, οὐκ ἔφη δίκαια ποιεῖν, δεύτερον ἐπάγοντα μαχούμενον. ἀπελαύνοντος δὲ τοῦ Ὑπερόχου τὸν κύνα καὶ μεταστρεφομένου λίθῳ βαλὼν ὁ Φήμιος ἀναιρεῖ. κτησάμενοι δὲ τὴν χώραν, τοὺς Ἰναχιεῖς μετὰ τῶν Ἀχαιῶν ἐκβαλόντες, τὸν μὲν λίθον ἐκεῖνον ὡς ἱερὸν σέβονται, καὶ θύουσιν αὐτῷ, καὶ τοῦ ἱερείου τῷ δημῷ περικαλύπτουσιν. ὅταν δὲ τῷ Ἀπόλλωνι τὴν ἑκατόμβην ἀποδιδῶσι, τῷ Διὶ βοῦν καταθύσαντες, μερίδα τοῖς Τέμωνος ἀπογόνοις ἐξαίρετον νέμουσι, καὶ πτωχικὸν κρέας ἐπονομάζουσι.

Τίνες οἱ παρ' Ἰθακησίοις κολιάδαι, καὶ τίς ὁ φάγιλος. Τῷ Ὀδυσσεῖ μετὰ τὴν μνηστηροφονίαν, οἱ ἐπιτήδειοι τῶν τεθνηκότων ἐπανέστησαν, μεταπεμφθεὶς δ' ὑπ' ἀμφοτέρων, διαιτητὴς Νεοπτόλεμος, ἐδικαίωσε τὸν μὲν Ὀδυσσέα μεταναστῆναι καὶ φεύγειν ἐκ τῆς Κεφαλληνίας καὶ Ζακύνθου καὶ Ἰθάκης ἐφ' αἵματι, τοὺς δὲ τῶν μνηστήρων ἑταίρους καὶ οἰκείους, ἀποφέρειν ποινὴν Ὀδυσσεῖ τῶν εἰς τὸν οἶκον ἀδικημάτων καθ' ἕκαστον ἐνιαυτόν. αὐτὸς μὲν οὖν εἰς Ἰταλίαν μετέστη. τὴν δὲ ποινὴν τῷ υἱεῖ καθιερώσας ἀποφέρειν, ἐκέλευσε τοὺς Ἰθακησίους, ἦν δὲ ἄλφιτα, οἶνος, κηρία, ἔλαιον, ἄλες, ἱερεῖα πρεσβυτέρων φαγίλων. φάγιλον δέ φησιν Ἀριστοτέλης τὸν ἀμνὸν εἶναι. τοὺς δὲ περὶ Εὔμαιον ἐλευθερώσας ὁ Τηλέμαχος, κατέμιξεν εἰς τοὺς πολίτας, καὶ τὸ γένος ἐστὶ Κολιαδῶν ἀπ' Εὐμαίου, καὶ Βουκολιδῶν ἀπὸ Φιλοιτίου.

Τίς ἡ ξυλίνη κύων παρὰ Λοκροῖς. Φυσκίου τοῦ Ἀμφικτύονος υἱὸς ἦν Λοκρός, ἐκ δὲ τούτου καὶ Καβύης Λοκρός, πρὸς ὃν ὁ πατὴρ διενεχθεὶς καὶ συχνοὺς τῶν πολιτῶν ἀναλαβὼν, περὶ ἀποικίας ἐμαντεύετο. τοῦ δὲ θεοῦ φήσαντος κτίζειν πόλιν, ὅπου περ ἂν τύχῃ δηχθεὶς ὑπὸ κυνὸς ξυλίνης, ὑπερβαίνων εἰς τὴν ἑτέραν θάλασσαν, ἐπάτησε κυνόσβατον. ἐνοχληθεὶς δὲ τῇ πληγῇ, διέτριψεν ἡμέρας αὐτόθι πλείονας, ἐν αἷς καταμαθὼν τὸ χωρίον, ἔκτισε πόλεις Φυσκεῖς, καὶ Ὑάνθειαν, καὶ τὰς ἄλλας ὅσας οἱ κληθέντες Ὀζόλαι Λοκροὶ κατῴκησαν. Ὀζόλας δὲ Λοκρούς, οἱ μὲν,

οἱ μὲν, διὰ τὸν Νέσσον, οἱ δὲ τὸν Πύθωνα δράκοντα κληθῆναι λέγουσιν, ἐκβρασθέντας ὑπὸ τῆς θαλάσσης, καὶ σαπέντας ἐν τῇ τῶν Λοκρῶν χώρᾳ. τινὲς δὲ κώδια καὶ τραγέας τοὺς ἀνθρώπους φοροῦντας καὶ τὰ πλεῖστα συνόντας αἰπολίοις, γενέσθαι δυσώδεις. ἔνιοι δὲ τοὐναντίον πολυάνθεμον τὴν χώραν οὖσαν, ὑπ' εὐωδίας τοὔνομα λαβεῖν, ὧν ἐστὶ καὶ Ἀρχύτας ὁ Ἀμφισσεύς. γέγραφε γὰρ οὕτω, τὴν βοτρυοστέφανον μυρίπνουν Μακυῶαν ἐρανήν.

Τί τὸ καλούμενον ὑπὸ Μεγαρέων ἀφάβρωμα. Νίσος ἀφ' οὗ προσηγορεύθη Νισαία, βασιλεύων ἐκ Βοιωτίας, ἔγημεν Ἀβρώτην Ὀγχήστου θυγατέρα, Μεγαρέως δὲ ἀδελφὴν γυναῖκα καὶ τὸ φρονεῖν ὡς ἔοικε περιττὴν, καὶ σώφρονα διαφερόντως. ἀποθανούσης δὲ αὐτῆς, οἵ τε Μεγαρεῖς ἐπένθησαν ἑκουσίως, καὶ ὁ Νίσος ἀϊδίαν τινὰ μνήμην καὶ δόξαν αὐτῆς καταστῆναι βουλόμενος, ἐκέλευε τὰς ἀστὰς φορεῖν, ἣν ἐκείνη στολὴν ἐφόρει, καὶ τὴν στολὴν ἀφάβρωμα δι' ἐκείνην ὠνόμασε. δοκεῖ δὲ τῇ δόξῃ τῆς γυναικὸς καὶ ὁ θεὸς βοηθῆσαι, πολλάκις γὰρ τὰς ἐσθῆτας ἀλλάξαι βουλομένας τὰς Μεγαρίδας, χρησμῷ διεκώλυσε.

Τίς ὁ δορύξενος. Τὸ παλαιὸν ἡ Μεγαρὶς ᾠκεῖτο κατὰ κώμας εἰς πέντε μέρη νενεμημένων τῶν πολιτῶν. ἐκαλοῦντο δὲ Ἡραεῖς, καὶ Πιραεῖς, καὶ Μεγαρεῖς, καὶ Κυνοσουρεῖς, καὶ Τριποδισκαῖοι. τῶν δὲ Κορινθίων πόλεμον αὐτοῖς ἐξεργασαμένων πρὸς ἀλλήλους. ἀεὶ γὰρ ἐπεβούλευον ὑφ' αὑτοῖς ποιήσασθαι τὴν Μεγαρικήν. ὅμως δι' ἐπιείκειαν ἡμέρως ἐπολέμουν καὶ συγγενικῶς, τοὺς μὲν γὰρ γεωργοῦντας οὐδεὶς ἠδίκει τὸ παράπαν. τοὺς δ' ἁλισκομένους λύτρον τι τεταγμένον ἔδει καταβαλεῖν, καὶ τοῦτο ἐλάμβανον ἀφέντες, πρότερον δὲ οὐκ εἰσέπραττον, ἀλλ' ὁ λαβὼν αἰχμάλωτον, ἀπῆγεν οἴκαδε καὶ μεταδοὺς ἁλῶν καὶ τραπέζης, ἀπέπεμπεν οἴκαδε. ὁ μὲν οὖν τὰ λύτρα κομίσας, ἐπῃνεῖτο, καὶ φίλος ἀεὶ διετέλει τοῦ λαβόντος ἐκ δορυαλώτου δορύξενος προσαγορευόμενος. ὁ δ' ἀποστερήσας, οὐ μόνον παρὰ τοῖς πολεμίοις, ἀλλὰ καὶ παρὰ τοῖς πολίταις ὡς ἄδικος καὶ ἄπιστος ἠδόξει.

Τίς ἡ παλιντοκία. Μεγαρεῖς Θεαγένη τὸν τύραννον ἐκβαλόντες ὀλίγον χρόνον ἐσωφρόνησαν κατὰ τὴν πολιτείαν, εἶτα πολλὴν κατὰ Πλάτωνα καὶ ἄκρατον αὐτοῖς ἐλευθερίαν τῶν δημαγωγῶν οἰνοχοούντων, διαφθαρέντες παντάπασι, τά τε ἄλλα τοῖς πλουσίοις ἀσελγῶς προσεφέροντο, καὶ παριόντες εἰς τὰς οἰκίας αὐτῶν οἱ πένητες, ἠξίουν ἑστιᾶσθαι καὶ δειπνεῖν πολυτελῶς, εἰ δὲ μὴ τυγχάνοιεν, πρὸς βίαν καὶ μεθ' ὕβρεως ἐχρῶντο πᾶσι. τέλος δὲ δόγμα θέμενοι, τοὺς τόκους ἀνεπράττοντο παρὰ τῶν δανειστῶν, οὓς δεδωκότες ἐτύγχανον. παλιντοκίαν τὸ γινόμενον προσαγορεύσαντες.

Τίς ἡ Ἀνθηδών, περὶ ἧς ἡ Πυθία εἶπε, πῖν' οἶνον τρυγίαν ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις. ἡ γὰρ ἐν Βοιωτοῖς, οὐκ ἔστι πολύοινος. τὴν Καλαυρείαν Εἰρήνην τὸ παλαιὸν ὠνόμαζον ἀπὸ γυναικὸς Εἰρήνης, ἣν ἐκ Ποσειδῶνος καὶ Μελανθείας τῆς Ἀλφειοῦ γενέσθαι μυθολογοῦσιν. ὕστερον δὲ τῶν περὶ Ἄνθην καὶ Ὑπέρην αὐτόθι κατοικούντων, Ἀνθηδονίαν καὶ Ὑπέρειαν ἐκάλουν τὴν νῆσον. εἶχε δὲ ὁ χρησμὸς οὕτως, ὡς Ἀριστοτέλης φησί. πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις οὐδ' ἱερὰν Ὑπέρειαν, ὅτι καὶ τρύγα οἶνον ἔπινες. ταῦτα μὲν ὁ Ἀριστοτέλης. ὁ δὲ Μνασιγείτων φησὶν, Ὑπέρης ἀδελφὸν ὄντα τὸν Ἄνθον, ἔτι νήπιον ἀπολέσθαι, καὶ τὸν Ὑπέρην κατὰ ζήτησιν αὐτοῦ πλανώμενον, εἰς Φερὰς πρὸς Ἄκαστον ἢ Ἄδραστον ἐλθεῖν, ὅπου κατὰ τύχην ὁ Ἄνθος ἐδούλευεν οἰνοχοεῖν τεταγμένος. ὡς οὖν ἑστιῶντο, τὸν παῖδα προσφέροντα τῷ ἀδελφῷ τὸ ποτήριον, ἐπιγνῶναι καὶ εἰπεῖν πρὸς αὐτὸν ἡσυχῇ, πῖν' οἶνον τρυγίαν ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις.

Τίς ὁ λεγόμενος ἐν Πριήνῃ παρὰ δρυῒ σκότος. Σάμιοι καὶ Πριηνεῖς πολεμοῦντες ἀλλήλοις, τὰ μὲν ἄλλα μετρίως ἐβλάπτοντο καὶ ἔβλαπτον. μάχης δὲ μεγάλης γενομέ-

νης, χιλίους σαμίων οἱ πριηνεῖς ἀπέκτειναν. ἑβδόμῳ δὲ ὕστερον ἔτει μιλησίοις συμβαλόντες παρὰ τὴν καλουμένην δρῦν, τοὺς ἀρίστους ὁμοῦ τι καὶ πρώτους ἀπέβαλον τῶν πολιτῶν, ὅτε καὶ βίας ὁ σοφὸς εἰς σάμον ἐκ πριήνης πρεσβεύσας εὐδοκίμησε. ταῖς δὲ πριηναίων γυναιξὶν ὁμοῦ τοῦ πάθους τούτου καὶ τῆς συμφορᾶς ἐλεεινῆς γενομένης, ἀρὰ κατέστη καὶ ὅρκος ὁ περὶ τῶν μεγίστων, ὁ παρὰ δρῦν σκότος, διὰ τὸ παῖδας αὐτῶν καὶ πατέρας καὶ ἄνδρας ἐκεῖ φονευθῆναι.

Τίνες οἱ παρὰ κρησὶ λεγόμενοι κατακαῦται. Τυῤῥηνούς φασι τοὺς τὰς ἀθηναίων θυγατέρας καὶ γυναῖκας ἐκ βραυρῶνος ἁρπάσαντας, ὁπηνίκα λῆμνον καὶ ἴμβρον κατῴκουν, εἶτα ἐκπεσόντας εἰς τὴν λακωνικὴν ἀφικέσθαι, καὶ γενέσθαι ἐπιμιξίαν αὐτοῖς μέχρι παίδων γενέσεως πρὸς τὰς ἐγχωρίους γυναῖκας, ἐκ δ' ὑποψίας καὶ διαβολῆς πάλιν ἀναγκασθέντας, ἐκλιπεῖν τὴν λακωνικὴν μετὰ παίδων καὶ γυναικῶν, εἰς κρήτην καταῖραι, πολῖν ἡγεμόνα τὸν ἀδελφὸν ἔχοντας. ἐκεῖ δὲ πολεμοῦντας τοῖς κατέχουσι τὴν κρήτην, πολλοὺς περιορᾶν τῶν ἐν ταῖς μάχαις ἀποθνησκόντων ἀτάφους. τὸ μὲν πρῶτον ἀσχόλους διὰ τὸν πόλεμον ὄντας καὶ τὸν κίνδυνον, ὕστερον δὲ φεύγοντας ἅπτεσθαι νεκρῶν ἐφθαρμένων ὑπὸ χρόνου καὶ διεῤῥυηκότων. τὸν οὖν πολῖν ἐξευρόντα τιμάς τινας καὶ προνομίας καὶ ἀτελείας ἀποδοῦναι, τὰς μὲν τοῖς ἱερεῦσι τῶν θεῶν, τὰς δὲ τοῖς ταφεῦσι τῶν τελευτηκότων ἐπιφημίσαντα, καὶ ταύτας δαίμοσι χθονίοις ὅπως ἀναφαίρετοι διαμένοιεν, εἶτα κλήρῳ διαλαχεῖν πρὸς τὸν ἀδελφὸν, ὀνομασθῆναι δὲ τοὺς μὲν ἱερεῖς, τοὺς δὲ κατακαύτας, καὶ πολιτεύεσθαι μὲν αὐτοὺς καθ' αὑτοὺς, ἔχειν δὲ μετὰ τῶν ἄλλων φιλανθρωπίαν καὶ ἄδειαν ἀδικημάτων, οἷς ἄλλοι κρῆτες εἰώθασι χρῆσθαι πρὸς ἀλλήλους ἄγοντες, λαθραίως καὶ ἀποφέροντες. ἐκείνους γὰρ οὐδὲν ἀδικεῖν οὐδὲ κλέπτειν οὐδὲν, οὐδὲ ἀφαιρεῖσθαι.

Τίς ὁ παίδων τάφος παρὰ χαλκιδεῦσι. Κόθος καὶ ἄρκλος οἱ ξούθου παῖδες εἰς εὔβοιαν ἧκον οἰκήσοντες, αἰολέων τότε τὰ πλεῖστα τῆς νήσου κατεχόντων. ἦν δὲ τῷ κόθῳ λόγιον εὖ πράξειν καὶ περιέσεσθαι τῶν πολεμίων, ἐὰν πρίηται τὴν χώραν. ἀποβὰς οὖν μετ' ὀλίγον, ἐνέτυχε παίζουσι παιδαρίοις παρὰ τὴν θάλασσαν, συμπαίζων οὖν αὐτοῖς καὶ φιλοφρονούμενος, ἔδειξε παίγνια πολλὰ τῶν ξενικῶν, ὡς δὲ ἑώρα τοὺς παῖδας ἐπιθυμοῦντας λαβεῖν, οὐκ ἔφησεν αὐτοῖς δώσειν ἄλλως, εἰ μὴ τῆς γῆς λάβοι παρ' αὐτῶν. οἱ δὲ παῖδες οὕτως ἀναιρούμενοι χαμᾶθεν ἐδίδοσαν, καὶ τὰ παίγνια λαβόντες, ἀπηλλάγησαν, οἱ δὲ αἰολεῖς αἰσθόμενοι τὸ γεγονὸς, καὶ τῶν πολεμίων αὐτοῖς ἐπιπλεόντων, ὑπ' ὀργῆς καὶ λύπης, διεχρήσαντο τοὺς παῖδας. ἐτάφησαν δὲ παρὰ τὴν ὁδὸν, ᾗ βαδίζουσιν ἐκ πόλεως ἐπὶ τὸν εὔριπον. καὶ ὁ τόπος τάφος παίδων καλεῖται.

Τίς ὁ μιξαρχαγέτας ἐν ἄργει. καὶ τίνες οἱ ἐλάσιοι. Μιξαρχαγέταν τὸν κάστορα καλοῦσι, καὶ νομίζουσι παρ' αὐτοῖς τεθάφθαι. τὸν δὲ πολυδεύκην ὡς ἕνα τῶν ὀλυμπίων σέβονται. τοὺς δὲ τὰς ἐπιληψίας ἀποτρέπειν δοκοῦντας, ἐλασίας μὲν ὀνομάζουσι. δοκοῦσι δὲ τῶν ἀλεξίδας τῆς ἀμφιαράου θυγατρὸς ἀπογόνων εἶναι.

Τί τὸ παρ' ἀργείοις λεγόμενον ἔγκνισμα. Τοῖς ἀποβαλοῦσί τινα συγγενῶν ἢ συνήθων, ἔθος ἐστὶ μετὰ πένθος εὐθὺς τῷ ἀπόλλωνι θύειν, ἡμέραις δὲ ὕστερον τριάκοντα, τῷ ἑρμῇ. νομίζουσι γὰρ ὥσπερ τὰ σώματα τῶν ἀποθανόντων δέχεσθαι τὴν γῆν, οὕτω τὰς ψυχὰς τὸν ἑρμῆν. τοῦ δὲ ἀπόλλωνος τῷ ἀμφιπόλῳ κριθὰς διδόντες, λαμβάνουσι κρέας τοῦ ἱερείου, καὶ τὸ πῦρ ἀποσβέσαντες ὡς μεμιασμένον, παρ' ἑτέρων δὲ ἐναυσάμενοι τοῦτο τὸ κρέας ὀπτῶσιν, ἔγκνισμα προσαγορεύοντες.

Τίς ἀλάστωρ ἀλιτήριος παλαμναῖος. Οὐ γὰρ πειστέον τοῖς λέγουσιν, ἀλιτηρίους κεκλῆσθαι τοὺς ἐπιτηροῦντας

τηροῦντας ἐν τῷ λιμῷ τοὺς ἀλοῦντας καὶ διαρπάζοντας. ἀλλὰ ἀλάστωρ μὲν κέκληται ὁ ἄληστα καὶ πολὺν χρόνον μνημονευθησόμενα δεδρακώς. ἀλιτήριος δὲ ὃν ἀλεύασθαι καὶ φυλάξασθαι διὰ μοχθηρίαν, καλῶς εἶχε. ταῦτά φησιν ὁ σωκράτης, ἐν διφθέραις χαλκαῖς γεγράφασι.

Τίνος ἔχεται διανοίας τὸ τοὺς ἀπάγοντας εἰς κασσωπαίαν τὸν βοῦν, ἐξάδειν τὰς παρθένους προπεμπούσας ἐπᾴδειν ἄχρι τῶν ὅρων, μή ποτε νοστήσαιτε φίλην ἐς πατρίδα γαῖαν. αἰνιᾶνες ὑπὸ λαπιθῶν ἐξαναστάντες τὸ πρῶτον, ᾤκησαν περὶ τὴν αἰθικίαν, εἶτα περὶ τὴν μολοσσίδα καὶ κασσωπαίαν, οὐδὲν δὲ χρηστὸν ἀπὸ τῆς χώρας ἔχοντες, ἀλλὰ καὶ χαλεποῖς χρώμενοι προσοίκοις, εἰς τὸ κιῤῥαῖον πεδίον ἧκον, ὀνόκλου τοῦ βασιλέως ἄγοντος αὐτούς. ἐκεῖ δὲ μεγάλων αὐχμῶν γενομένων κατὰ χρησμὸν, ὡς λέγεται, τὸν ὄνοκλον καταλεύσαντες καὶ πάλιν πλανηθέντες, εἰς ταύτην ἀφίκοντο τὴν χώραν, ἣν νῦν ἔχουσιν ἀγαθὴν καὶ πάμφορον οὖσαν. ὅθεν εἰκότως εὔχονται τοῖς θεοῖς, εἰς τὴν παλαιὰν πατρίδα μὴ ἐπανελθεῖν, ἀλλ' αὐτοῦ καταμένειν εὐδαιμονοῦντας.

Τί δή ποτε παρὰ ῥοδίοις εἰς τὸ τοῦ ὀκειδίωνος ἡρῷον, οὐκ εἰσέρχεται κῆρυξ. ἢ ὅτι ὄχιμος τὴν θυγατέρα κυδίππην ἐνεγγύησεν ὀκειδίωνι. κέρκαφος δὲ ἀδελφὸς ὢν ὀχίμου, τῆς δὲ παιδὸς ἐρῶν, ἔπεισε τὸν κήρυκα, διὰ κηρύκων γὰρ ἔθος ἦν τὸ μετέρχεσθαι τὰς νύμφας, ὅταν παραλάβῃ τὴν κυδίππην πρὸς ἑαυτὸν ἀγαγεῖν. τούτου δὲ πραχθέντος, ὁ μὲν κέρκαφος ἔχων τὴν κόρην ἔφυγεν. ὕστερον δὲ τοῦ ὀχίμου γηράσαντος ἐπανῆλθε. τοῖς δὲ ῥοδίοις κατέστη κήρυκα μὴ προσιέναι τῷ τοῦ ὀκειδίωνος ἡρῴῳ, διὰ τὴν γενομένην ἀδικίαν.

Τί δή ποτε παρὰ τενεδίοις εἰς τὸ τοῦ τένου ἱερὸν οὐκ ἔξεστιν αὐλητὴν εἰσελθεῖν, οὐδ' ἀχιλλέως ἐν τῷ ἱερῷ μνησθῆναι. ἢ ὅτι τῆς μητρυιᾶς τὸν τένην διαβαλλούσης ὡς βουλόμενον αὐτῇ συγγενέσθαι, μόλπος ὁ αὐλητὴς τὰ ψευδῆ κατεμαρτύρησεν αὐτοῦ. διὰ τοῦτο τῷ τένῃ συνέπεσε φεύγειν εἰς τένεδον μετὰ τῆς ἀδελφῆς. ἀχιλλεῖ δὲ λέγεται τὴν μητέρα θέτιν ἰσχυρῶς ἀγορεῦσαι μὴ ἀνελεῖν τὸν τένην, ὡς τιμώμενον ὑπὸ ἀπόλλωνος, καὶ παρεγγυῆσαι ἑνὶ τῶν οἰκετῶν, ὅπως προσέχῃ καὶ ἀναμιμνήσκῃ, μὴ λάθοι κτείνας ὁ ἀχιλλεὺς τὸν τένην. ἐπεὶ δὲ τὴν τένεδον κατατρέχων ἐδίωκε τὴν ἀδελφὴν τοῦ τένου καλὴν οὖσαν, ἀπαντήσας τε ὁ τένης ἠμύνετο πρὸ τῆς ἀδελφῆς. καὶ ἡ μὲν ἐξέφυγεν, ὁ δὲ τένης ἀνῃρέθη, ὁ δ' ἀχιλλεὺς πεσόντα γνωρίσας, τὸν μὲν οἰκέτην ἀπέκτεινεν, ὅτι παρὼν οὐκ ἀνέμνησε, τὸν δὲ τένην ἔθαψεν, οὗ νῦν τὸ ἱερόν ἐστι, καὶ οὔτε αὐλητὴς εἴσεισιν, οὔτε ἀχιλλεὺς ὀνομάζεται.

Τίς ὁ παρ' ἐπιδαμνίοις πωλίτης. ἐπιδάμνιοι γειτνιῶντες ἰλλυριοῖς ᾐσθάνοντο τοὺς ἐπιμιγνυμένους αὐτοῖς πολίτας γιγνομένους πονηρούς, καὶ φοβούμενοι νεωτερισμὸν, ᾑροῦντο πρὸς τὰ τοιαῦτα συμβόλαια καὶ τὰς ἀμείψεις καθ' ἕκαστον ἐνιαυτὸν ἕνα τῶν δεδοκιμασμένων παρ' αὐτοῖς, ὃς ἐπιφοιτῶν τοῖς βαρβάροις, παρεῖχεν ἀγορὰν καὶ διάθεσιν πᾶσι τοῖς πολίταις, πωλήτης προσαγορευόμενος.

Τίς ἡ περὶ θράκην ἀράινου ἀκτή. ἄνδριοι καὶ χαλκιδεῖς πλεύσαντες εἰς θράκην οἰκήσεως ἕνεκα, σάνην μὲν πόλιν ἐκ προδοσίας κοινῇ παρέλαβον. τὴν δὲ ἄκανθον ἐκλελοιπέναι τοὺς βαρβάρους πυνθανόμενοι, δύο κατασκόπους ἔπεμψαν. ὡς δὲ τῇ πόλει προσιόντες παντάπασι πεφευγότας ᾐσθάνοντο τοὺς πολεμίους, ὁ μὲν χαλκιδικὸς, προεξέδραμεν ὡς καταληψόμενος τοῖς χαλκιδεῦσι τὴν πόλιν, ὁ δὲ ἄνδριος οὐ συνεξανύτων, ἠκόντισε τὸ δόρυ, καὶ ταῖς πύλαις ἐμπαγέντος μετὰ βολῆς, ἀνδρίων ἔφη παισὶν αἰχμῇ προκατειλῆφθαι τὴν πόλιν. ἐκ τούτου διαφορᾶς γενομένης ἄνευ πολέμου, συνέβησαν ἐρυθραίοις καὶ σαμίοις καὶ παρίοις χρήσασθαι περὶ πάντων δικασταῖς.

ἐπεὶ δ' οἱ μὲν ἐρυθραῖοι καὶ οἱ σάμιοι τὴν ψῆφον ἀνδρίοις ἤνεγκαν, οἱ δὲ πάριοι χαλκιδεῦσιν, ἀρὰς ἔθεντο περὶ τὸν τόπον τοῦτον οἱ ἄνδριοι κατ' αὐτῶν, μήτε δοῦναι γυναῖκα παρίοις, μήτε λαβεῖν παρ' αὐτῶν. καὶ διὰ τοῦτο προσηγόρευσαν ἀκτὴν ἀραίνου πρότερον ὀνομαζομένην δράκοντος. Διατί τοῖς θεσμοφορείοις αἱ τῶν ἐρετριέων γυναῖκες, οὐ πρὸς πῦρ, ἀλλὰ πρὸς ἥλιον ὀπτῶσι τὰ κρέα, καὶ καλλιγλύψαι οὐ καλοῦσιν. ἢ ὅτι ταῖς αἰχμαλώτοις ἃς ἦγεν ἐκ τροίας ἀγαμέμνων, ἐνταῦθα συνέβη θεσμοφόρια θύειν, πλοῦ δὲ φανέντος, ἐξαίφνης ἀνήχθησαν ἀτελῆ τὴν θυσίαν καταλιποῦσαι. Τίνες οἱ ἀειναῦται παρὰ μιλησίοις. τῶν περὶ θόαντα καὶ δαμασήνορα τυράννων καταλυθέντων, ἑταιρεῖαι δύο τὴν πόλιν κατέσχον, ὧν ἡ μὲν ἐκαλεῖτο πλουτὶς, ἡ δὲ χειρομάχα. κρατήσαντες οὖν οἱ δυνατοὶ καὶ τὰ πράγματα περιστήσαντες εἰς τὴν ἑταιρείαν, ἐβουλεύοντο περὶ τῶν μεγίστων, ἐμβαίνοντες εἰς τὰ πλοῖα καὶ πόρρω τῆς γῆς ἐπανάγοντες, κυρώσαντες δὲ τὴν γνώμην, κατέπλεον, καὶ διὰ τοῦτο ἀειναῦται προσηγορεύθησαν. Τί δή ποτε χαλκιδεῖς τὸν περὶ τὸ πυρσόφιον τόπον ἀκμαίων λέσχην καλοῦσι. τὸν ναύπλιόν φασιν ὑπὸ τῶν ἀχαιῶν διωκόμενον, χαλκιδεῖς ἱκετεῦσαι, καὶ τὰ μὲν περὶ τῆς αἰτίας ἀπολογεῖσθαι, τὰ δ' αὐτὸν ἀντεγκαλεῖν τοῖς ἀχαιοῖς, ἐκδιδόναι μὲν αὐτὸν οἱ χαλκιδεῖς, οὐδὲ ἐμέλλησαν. δεδιότες δὲ μὴ δόλῳ φονευθῇ, φυλακὴν ἔδοσαν αὐτῷ τοὺς ἀκμάζοντας νεανίσκους, καὶ κατέστησαν εἰς τὸν τόπον τοῦτον ὅπου συνῆσαν ἀλλήλοις ἅμα, καὶ τὸν ναύπλιον παρεφύλαττον. Τίς ὁ βοῦν εὐεργέτῃ θύσας. πλοῖον ὥρμει περὶ τὴν ἰθακησίαν ληστρικὸν, ἐν ᾧ πρεσβύτης ἐτύγχανε μετὰ κεραμίων ἐχόντων πίττας. ταύτῃ κατὰ τύχην προσέσχε πορθμεὺς ἰθακήσιος ὀνόματι πυῤῥίας, καὶ τὸν πρεσβύτην ἐῤῥύσατο μηδὲν δεόμενος, ἀλλὰ πεισθεὶς ὑπ' αὐτοῦ καὶ οἰκτείρας, προσέλαβε δὲ καὶ τῶν κεραμίων τοῦ πρεσβύτου κελεύσαντος. ἀπαλλαγέντων δὲ τῶν ληστῶν καὶ γενομένης ἀδείας, ὁ πρεσβύτης τοῖς κεραμίοις τὸν πυῤῥίαν προσαγαγὼν, χρυσίον ἐδείκνυεν ἐν αὐτοῖς πολὺ καὶ ἀργύριον τῇ πίττῃ καταμεμιγμένον. ἐξαίφνης οὖν ὁ πυῤῥίας πλούσιος γενόμενος, τά τε ἄλλα εὖ περιεῖπε τὸν γέροντα, καὶ βοῦν ἔθυσεν αὐτῷ, ὃ καὶ παροιμιαζόμενοι λέγουσιν, οὐδεὶς εὐεργέτῃ βοῦν ἔθυσεν, ἀλλ' ἢ πυῤῥίας. Τί δή ποτε ταῖς κόραις τῶν βοττιαίων ἔθος ἦν λέγειν χορευούσαις, ἴωμεν εἰς ἀθήνας. κρῆτάς φασιν εὐξαμένους ἀνθρώπων ἀπαρχὴν εἰς δελφοὺς ἀποστεῖλαι. τοὺς δὲ πεμφθέντας ὡς ἑώρων οὐδεμίαν οὖσαν εὐπορίαν, αὐτόθεν εἰς ἀποικίαν ὁρμῆσαι, καὶ πρῶτον μὲν ἐν ἰαπυγίᾳ κατοικεῖν, ἔπειτα τῆς θρᾴκης τοῦτον τὸν τόπον κατασχεῖν, ἀναμεμιγμένων αὐτοῖς ἀθηναίων. ἔοικε γὰρ μὴ διαφθείρειν ὁ μίνως οὓς ἔπεμπον ἀθηναῖοι κατὰ τὸν δασμὸν ἠϊθέους, ἀλλὰ κατέχειν παρ' ἑαυτῷ λατρεύοντας. ἐξ ἐκείνων οὖν τινὲς γεγονότες καὶ νομιζόμενοι κρῆτες, εἰς δελφοὺς συναπεστάλησαν. ὅθεν αἱ θυγατέρες τῶν βοττιαίων ἀπομνημονεύουσαι τοῦ γένους, ᾖδον ἐν ταῖς ἑορταῖς, ἴωμεν εἰς ἀθήνας. Διατί τὸν διόνυσον αἱ τῶν ἠλείων γυναῖκες ὑμνοῦσαι παρακαλοῦσι βοέῳ ποδὶ παραγίνεσθαι πρὸς αὐτάς. ἔχει δ' οὕτως ὁ ὕμνος, ἐλθεῖν ἥρω διόνυσε ἅλιον ἐς ναὸν ἁγνὸν, σὺν χαρίτεσσιν ἐς ναὸν τῷ βοέῳ ποδὶ θύων. εἶτα δὶς ἐπᾴδουσιν ἄξιε ταῦρε. πότερον ὅτι καὶ βουγενῆ προσαγορεύουσιν καὶ ταῦρον ἔνιοι τὸν θεόν. ἢ τῷ μεγάλῳ ποδὶ βοέῳ λέγουσιν, ὡς βοῶπιν ὁ ποιητὴς τὴν μεγαλόφθαλμον, καὶ βούγαιον τὸν μεγάλαυχον. ἢ μᾶλλον ὅτι τοῦ βοὸς ὁ πούς ἀβλαβής ἐστι, τὸ δὲ κερασφόρον ἐπιβλαβὲς, οὕτω τὸν θεὸν παρακαλοῦσι πρᾶον ἐλθεῖν καὶ ἄλυπον. ἢ ὅτι καὶ ἀρότου καὶ σπόρου πολλοὶ τὸν θεὸν ἀρχηγὸν γεγονέναι νομίζουσι. Διατί

ταναγραίοις πρὸ τῆς πόλεώς ἐστιν ἀχίλλειον τόπος οὕτω προσαγορευόμενος. ἔχθρα γὰρ αὐτῷ μᾶλλον, ἢ φιλία λέγεται γεγονέναι πρὸς τὴν πόλιν, ἁρπάσαντι μὲν τὴν μητέρα τοῦ ποιμάνδρου στρατονίκην, ἀποκτείναντι δὲ υἱὸν ἐφίππου ἀκέστορα. ποίμανδρος τοίνυν ὁ ἐφίππου πατὴρ ἔτι τῆς ταναγρικῆς κατὰ κώμας οἰκουμένης, ἐν τῷ καλουμένῳ στέφοντι, πολιορκούμενος ὑπὸ τῶν ἀχαιῶν, διὰ τὸ μὴ βούλεσθαι συστρατεύειν, ἐξέλιπε τὸ χωρίον ἐκεῖνο νύκτωρ, καὶ τὴν ποιμανδρίαν ἐτείχισε. παρὼν δὲ πολύκριθος ὁ ἀρχιτέκτων διαφαυλίζων τὰ ἔργα καὶ καταγελῶν, ὑπερήλατο τὴν τάφρον, ὀργισθεὶς ὁ ποίμανδρος ὥρμησε λίθον ἐμβαλεῖν αὐτῷ μέγαν, ὃς ἦν αὐτόθι κεκρυμμένος ἐκ παλαιοῦ νυκτελίοις ἱεροῖς ἐπικείμενος, τοῦτον ἀνασπάσας ὑπὸ ἀγνοίας ὁ ποίμανδρος ἔβαλε, καὶ τοῦ μὲν πολυκρίθου διήμαρτε, λεύκιππον δὲ τὸν υἱὸν ἀπέκτεινεν. ἔδει μὲν οὖν κατὰ τὸν νόμον ἐκ τῆς βοιωτίας μεταστῆναι ἐφέστιον, καὶ ἱκέτην ξένον γενόμενον. οὐκ ἦν δὲ ῥᾴδιον ἐμβεβληκότων εἰς τὴν ταναγραϊκὴν τῶν ἀχαιῶν, ἔπεμψεν οὖν ἔφιππον τὸν υἱὸν ἀχιλλέως δεησόμενον. ὁ δὲ καὶ τοῦτον εἰσάγει πείσας, καὶ τληπόλεμον τὸν ἡρακλέους, καὶ πηνέλεων τὸν ἱππαλκμοῦ συγγενεῖς ἅπαντας αὐτῶν ὄντας, ὑφ' ὧν ὁ ποίμανδρος εἰς χαλκίδα συνεκπεμφθεὶς καὶ καθαρθεὶς παρ' ἐλεφήνορι τὸν φόνον, ἐτίμησε τοὺς ἄνδρας, καὶ τεμένη πᾶσιν ἐξεῖλεν, ὧν τὸ ἀχιλλέως καὶ τοὔνομα διατετήρηκεν. Τίνες οἱ παρὰ βοιωτοῖς ψολόεις, καὶ τίνες αἱ ὀλεῖαι. τὰς μινύου θυγατέρας φασὶ λευκίππην καὶ ἀρσινόην καὶ ἀλκαθόην μανείσας, ἀνθρωπίνων ἐπιθυμῆσαι κρεῶν, καὶ διαλαχεῖν περὶ τῶν τέκνων, λευκίππης λαχούσης παρασχεῖν ἵππασον τὸν υἱὸν, διασπάσασθαι κληθῆναι, τοὺς μὲν ἄνδρας αὐτῶν δυσειμαροῦντας ὑπὸ λύπης καὶ πένθους, ψολόεις τὰς αἰολείας οἰονολίας καὶ μέχρι νῦν ὀρχομένιοι τὰς ἀπὸ τοῦ γένους οὕτω καλοῦσι. καὶ γίνεται παρ' ἐνιαυτὸν ἐν τοῖς ἀγριωνίοις φυγὴ καὶ δίωξις αὐτῶν, ὑπὸ τοῦ ἱερέως τοῦ διονύσου ξίφος ἔχοντος. ἔξεστι δὲ τὴν καταληφθεῖσαν ἀνελεῖν, καὶ ἀνεῖλεν ἐφ' ἡμῶν ζωΐλος ὁ ἱερεύς. ἀπέβη δ' εἰς οὐδὲν χρηστὸν αὐτοῖς, ἀλλ' ὅτε ζωΐλος ἐκ τοῦ τυχόντος ἑλκυλίου νοσήσας καὶ διασαπεὶς πολὺν χρόνον ἐτελεύτησεν. οἵ τε ὀρχομένιοι δημοσίαις βλάβαις καὶ καταδίκαις περιπεσόντες, ἐκ τοῦ γένους τὴν ἱερωσύνην μετέστησαν, ἐκ πάντων αἱρούμενοι τὸν ἄριστον. Διατί τοὺς εἰς τὸ λύκαιον εἰσελθόντας ἑκουσίως καταλεύουσιν οἱ ἀρκάδες, ἂν δ' ὑπ' ἀγνοίας εἰς ἐλευθέρας ἀποστέλλουσι. πότερον ὡς ἐλευθερουμένων αὐτῶν διὰ τὴν ἀπόλυσιν ἔχων ὁ λόγος πίστιν, καὶ τοιοῦτόν ἐστι τὸ εἰς ἐλευθέρας, οἷον τὸ εἰς ἀμελοὺς χώραν, καὶ τὸ ἥξεις εἰς ἀρέσαντος ἕδος. ἢ κατὰ τὸν μῦθον. ἐπεὶ μόνοι τῶν λυκάονος παίδων ἐλευθὴρ καὶ λεβεάδος, οὐ μετέσχον τοῦ περὶ τὸν δία μιάσματος, ἀλλ' εἰς βοιωτίαν ἔφυγον. καὶ λεβαδεῦσίν ἐστιν ἰσοπολιτεία πρὸς ἀρκάδας. εἰς ἐλευθέρας οὖν ἀποπέμπουσι τοὺς ἐν τῷ ἀβάτῳ τοῦ διὸς ἀκουσίως γενομένους. ἢ ὥς φησιν ἀρχίτιμος ἐν τοῖς ἀρκαδικοῖς ἐμβάντας τινὰς κατὰ ἄγνοιαν ὑπὸ ἀρκάδων παραδοθῆναι φλιασίοις ὑπὸ δὲ φλιασίων μεγαρεῦσιν, ἐκ δὲ μεγαρέων εἰς θήβας κομιζομένους περὶ τὰς ἐλευθέρας, ὕδατι καὶ βρονταῖς καὶ διοσημίαις ἄλλαις κατασχεθῆναι, ἀφ' οὗ δὴ καὶ τὸν τόπον ἐλευθέρας ἔνιοί φασι προσαγορεύεσθαι. τὸ μέντοι σκιὰν μὴ πίπτειν ἀπὸ τοῦ ἐμβάντος εἰς τὸ λύκαιον, λέγεται μὲν οὐκ ἀληθῶς, ἐσχηκέναι δὲ πίστιν ἰσχυράν. πότερον τοῦ ἀέρος εἰς νέφη τρεπομένου καὶ σκυθρωπάζοντος τοῖς εἰσιοῦσιν. ἢ ὅτι θανατοῦται μὲν ὁ ἐμβὰς, τῶν δὲ ἀποθανόντων οἱ πυθαγορικοὶ λέγουσι τὰς ψυχὰς μὴ ποιεῖν σκιὰν μηδὲ σκαρδαμύττειν. ἢ σκιὰν μὲν ὁ ἥλιος ποιεῖ, τὸν δὲ ἥλιον ἀφαιρεῖται τοῦ ἐμβάντος ὁ νόμος. καὶ τοῦτο αἰνιττόμενοι λέγουσι. καὶ τὸν

ἔλαφος ὁ ἐμβὰς καλεῖται. διὸ καὶ κανθαρίωνα τὸν ἀρκάδα πρὸς ἠλείους αὐ-
τομολήσαντα πολεμοῦντας ἀρκάσι, καὶ διαβάντα μετὰ λείας τὸ ἄβατον. κα-
ταλυθέντος δὲ τοῦ πολέμου καὶ φυγόντα εἰς σπάρτην, ἐξέδοσαν οἱ λακεδαι-
μόνιοι τοῖς ἀρκάσι, τοῦ θεοῦ κελεύσαντος, ἀποδιδόναι τὸν ἔλαφον. Τίς
εὔνοστος ἥρως ἐν τανάγρᾳ, καὶ διὰ τίνα αἰτίαν τὸ ἄλσος αὐτοῦ γυναιξὶν ἀνέμ-
βατόν ἐστιν. ἐλιέως τοῦ κηφισσοῦ καὶ σκιάδος εὔνοστος ἦν υἱὸς, ᾧ φασιν ὑπὸ
νύμφης εὐνόστας ἐκτραφέντι τοῦτο γενέσθαι τοὔνομα. καλὸς δὲ ὢν καὶ δίκαιος,
οὐχ ἧττον ἦν σώφρων καὶ αὐστηρός. ἐρασθῆναι δὲ αὐτοῦ λέγουσιν ὄχναν μίαν τῶν
κολωνοῦ θυγατέρων ἀνεψιὰν οὖσαν. ἐπεὶ δὲ πειρῶσαν ὁ εὔνοστος ἀπετρέψατο, καὶ
λοιδορήσας ἀπῆλθεν εἰς τοὺς ἀδελφοὺς κατηγορήσων, ἔφθασεν ἡ παρθένος
τοῦτο πράξασα κατ' ἐκείνου, καὶ παρώξυνε τοὺς ἀδελφοὺς ὄχεμον καὶ λέον-
τα καὶ βουκόλον, ἀποκτεῖναι εὔνοστον, ὡς πρὸς βίαν αὐτῇ συγγεγενημένον. ἐκεῖ-
νοι μὲν οὖν ἐνεδρεύσαντες, ἀπέκτειναν τὸν νεανίσκον. ὁ δὲ ἐλιεὺς ἐκείνους ἔδησεν,
ἡ δὲ ὄχνη μεταμελομένη καὶ γέμουσα ταραχῆς, ἅμα μὲν αὑτὴν ἀπαλλάξαι θέ-
λουσα τῆς διὰ τὸν ἔρωτα λύπης, ἅμα δ' οἰκτείρουσα τοὺς ἀδελφοὺς, ἐξήγγειλε
πρὸς τὸν ἐλιέα πᾶσαν τὴν ἀλήθειαν. ἐκεῖνος δὲ κολωνῷ. κολωνοῦ δὲ δικάσαν-
τος, οἱ μὲν ἀδελφοὶ τῆς ὄχνης ἔφυγον. αὐτὴ δὲ κατεκρήμνισεν ἑαυτὴν, ὡς μυρ-
τὶς ἡ ἀνθηδονία ποιήτρια μελῶν ἱστόρηκε. τοῦ δὲ εὐνόστου τὸ ἡρῷον καὶ τὸ ἄλσος
οὕτως ἀνέμβατον ἐτήρει καὶ ἀπροσπέλαστον γυναιξίν. ὥστε πολλάκις σεισ-
μῶν ἢ αὐχμῶν ἢ διοσημιῶν ἄλλων γενομένων, ἀναζητεῖν καὶ πολυπραγμο-
νεῖν ἐπιμελῶς τοὺς ταναγραίους, μὴ λέληθε γυνὴ τῷ τόπῳ πλησιάσασα, καὶ
λέγειν ἐνίους ὧν ὁ κλείδαμος ἦν ἀνὴρ ἐπιφανὴς, ἀπηντηκέναι αὐτοῖς τὸν εὔνο-
στον ἐπὶ θάλατταν βαδίζοντα λουσόμενον, ὡς γυναικὸς ἐμβεβηκυίας εἰς τὸ τέ-
μενος. ἀναφέρει δὲ καὶ διοκλῆς ἐν τῷ περὶ ἡρώων συντάγματι δόγμα ταναγραίων,
περὶ ὧν ὁ κλείδαμος ἀπήγγελεν. Πόθεν ἐν τῇ βοιωτίᾳ περὶ τὸν ἐλεῶνα
ποταμὸς σκάμανδρος ὠνομάσθη. δηΐμαχος ὁ ἐλεῶνος υἱὸς ἑταῖρος ὢν ἡρακλέ-
ους, μετέσχε τῆς ἐπὶ τροίας στρατείας, τοῦ δὲ πολέμου μῆκος ὡς ἔοικε λαμβά-
νοντος, ἐρασθεῖσαν αὐτοῦ γλαυκίαν τὴν σκαμάνδρου θυγατέρα προσδεξάμε-
νος, ἔγκυον ἐποίησεν, εἶτ' αὐτὸς μὲν ἔπεσε μαχόμενος τοῖς τρωσίν, ἡ δὲ γλαυκία
φοβουμένη κατάφωρος γενέσθαι, τῷ ἡρακλεῖ κατέφυγε, καὶ κατεῖπεν αὐτοῦ
τὸν ἔρωτα, καὶ τὴν γενομένην πρὸς τὸν δηΐμαχον ὁμιλίαν. ὁ δὲ ἅμα μὲν οἴκτῳ
τῆς γυναικὸς, ἅμα δὲ χαίρων τῷ ὑπολείπεσθαι γένος ἀνδρὸς ἀγαθοῦ καὶ συνή-
θους, ἀνέλαβε τὴν γλαυκίαν εἰς τὰς ναῦς, καὶ τεκοῦσαν υἱὸν ἀγαγὼν ἐν τῇ βοιω-
τίᾳ, ἀπέδωκε τῷ ἐλεῶνι καὶ τὸ παιδίον καὶ αὐτήν. ὠνομάσθη δ' ὁ παῖς σκά-
μανδρος, καὶ τῆς χώρας ἐβασίλευσε, καὶ τὸν μὲν ἴναχον ποταμὸν ἀπ' αὐτοῦ
σκάμανδρον, τὸ δὲ πλησίον ῥεῦμα, γλαυκίαν ἀπὸ τῆς μητρὸς ὠνόμασεν, ἀκίδου-
σαν δὲ τὴν κρήνην ἀπὸ τῆς ἑαυτοῦ γυναικὸς, ἐξ ἧς ἔσχε τρεῖς θυγατέρας, ἃς τι-
μῶσιν ἄχρι νῦν παρθένους προσαγορεύοντες. Ἀπὸ τίνος ἐρρέθη τὸ πα-
ροιμιῶδες αὕτα κυρία. δίνων ὁ ταραντῖνος στρατηγῶν, ἀνὴρ δὲ ὢν ἀγαθὸς
ἐν τοῖς πολεμικοῖς, ἀποχειροτονησάντων αὐτοῦ τινὰ γνώμην τῶν πολιτῶν, ὡς
ὁ κῆρυξ ἀνεῖπε τὴν νικῶσαν, αὐτὸς ἀνατείνας τὴν δεξιὰν, ἅδε εἶπε κρείσσων. οὕτω
γὰρ ὁ θεόφραστος ἱστόρηκε. προσιστόρηκε δὲ καὶ ὁ ἀπολλόδωρος ἐν ῥυτίνῳ. τοῦ κή-
ρυκος αὗται πλείους εἰπόντος, ἀλλ' αὗται φαῖμι βελτίους, καὶ ἐπικυρῶσαι τὴν
τῶν ἐλαττόνων χειροτονίαν. Πόθεν ἡ τῶν ἰθακησίων πόλις ἀλαλκομεναὶ προ-
σηγορεύθη. διὰ τὸ τὴν ἀντίκλειαν ὑπὸ σισύφου βιασθεῖσαν ἐν τῇ παρθενείᾳ τὸν
ὀδυσσέα συλλαβεῖν, ὑπὸ πλειόνων δ' ἐστὶν εἰρημένον. ἴστρος δὲ ὁ ἀλεξανδρεὺς

ἐν ὑπομνήμασι προσιστόρηκεν, ὅτι τῷ λαέρτῃ δοθεῖσα πρὸς γάμον καὶ ἀναγομένη
περὶ τὸ ἀλαλκομένιον, ἐν τῇ βοιωτίᾳ τὸν ὀδυσσέα τέκοι, καὶ διὰ τοῦτο ἐκεῖνος ὡς
τῆς μητροπόλεως ἀναφέρων τοὔνομα, τὴν ἐν ἰθάκῃ πόλιν οὕτω φησὶ προσαγο-
ρεύεσθαι. Τίνες ἐν αἰγίνῃ οἱ μονοφάγοι. τῶν ἐπὶ τὴν τροίαν στρατευ-
σάντων αἰγινητῶν, πολλοὶ μὲν ἐν ταῖς μάχαις ἀπώλοντο, πλείονες δὲ κατὰ
πλοῦν ὑπὸ τοῦ χειμῶνος. ὀλίγους οὖν τοὺς περιλειπομένους οἱ προσήκοντες
ὑποδεξάμενοι, τοὺς δὲ ἄλλους πολίτας ὁρῶντες ἐν πένθεσι καὶ λύπαις ὄντας,
οὔτε χαίρειν ᾤοντο δεῖν φανερῶς, οὔτε θύειν τοῖς θεοῖς, ἀλλὰ κρύφα, καὶ κατ'
οἰκίαν ἕκαστοι τοὺς σεσωσμένους ἀνελάμβανον ἑστιάσεσι καὶ φιλοφροσύναις,
αὐτοὶ διακονούμενοι πατράσι καὶ συγγενέσι καὶ ἀδελφοῖς καὶ οἰκείοις, ἀλλοτρίου
μηδενὸς παρεισιόντος. ταῦτ' οὖν ἀπομιμούμενοι, τῷ ποσειδῶνι θυσίαν ἄγουσι
τοὺς καλουμένους θιάσους, ἐν ᾗ καθ' αὑτοὺς ἐφ' ἡμέρας ἑκκαίδεκα μετὰ σιω-
πῆς ἑστιῶνται. δοῦλος δὲ οὐ πάρεστιν. εἶτα ποιήσαντες ἀφροδίσια διαλύουσι τὴν
ἑορτὴν, ἐκ δὲ τούτου μονοφάγοι καλοῦνται. Διατί τοῦ λαβραδέως διὸς
ἐν καρίᾳ τὸ ἄγαλμα πέλεκυν ἠρμένον, οὐχὶ δὲ σκῆπτρον, ἢ κεραυνὸν πεποίηται.
ὅτι ἡρακλῆς ἱππολύτην ἀποκτείνας, καὶ μετὰ τῶν ἄλλων ὅπλων αὐτῆς λαβὼν
τὸν πέλεκυν, ὀμφάλῃ δῶρον δέδωκεν. οἱ δὲ μετ' ὀμφάλην λυδῶν βασιλεῖς ἐφό-
ρουν αὐτὸν, ὥς τι τῶν ἄλλων ἱερῶν ἐκ διαδοχῆς παραλαμβάνοντες, ἄχρι κανδαύλης
ἀπαξιώσας, ἑνὶ τῶν ἑταίρων φορεῖν ἔδωκεν. ἐπεὶ δὲ γύγης ἀποστὰς ἐπολέμει
πρὸς αὐτὸν, ἦλθεν ἄρσηλις ἐκ μυλέων ἐπίκουρος τῷ γύγῃ μετὰ δυνάμεως, καὶ
τόν τε κανδαύλην, καὶ τὸν ἑταῖρον αὐτοῦ διαφθείρει, καὶ τὸν πέλεκυν εἰς καρίαν
ἐκόμισε μετὰ τῶν ἄλλων λαφύρων, καὶ διὸς ἄγαλμα κατασκευάσας, τὸν πέλεκυν
ἐνεχείρισε, καὶ λαβραδέα τὸν θεὸν προσηγόρευσε. λυδοὶ γὰρ λάβρυν τὸν πέλεκυν
ὀνομάζουσι. Διατί ζαλλιανοὶ καθαρτῆρα καλοῦσι τὸν ἔροβον, καὶ χρῶν-
ται μάλιστα πρὸς τὰς ἀφοσιώσεις καὶ τοὺς καθαρμούς. ἢ ὅτι λέλεγες καὶ
μινύαι τὸ παλαιὸν ἐξελάσαντες αὐτοὺς, τὴν πόλιν καὶ τὴν χώραν κατεῖ-
χον, ὕστερον δ' οἱ ζαλλιανοὶ κατελθόντες καὶ κρατήσαντες, ὅσοι τῶν λελέγων
οὐ διεφθάρησαν οὐδ' ἔφυγον, ἀλλὰ δι' ἀμηχανίαν βίου καὶ ἀσθένειαν ὑπελείφθη-
σαν αὐτόθι, τούτων οὐδένα λόγον ἔχοντες, οὔτε ζώντων οὔτε ἀποθνησκόντων, νόμον
ἔθεντο τὸν κτείναντα μινύην ἢ λελέγην ζαλλιανῶν, καθαρὸν εἶναι μέδιμνον
ὀρόβων ἀπομετρήσαντα τοῖς οἰκείοις τοῦ φονευθέντος. Διατί παρὰ τοῖς
ἠλείοις παροιμιῶδές ἐστι τὸ δεινότερα σαμβίκου παθεῖν. λέγεταί τινα σάμβι-
κον ἠλεῖον ἔχοντα πολλοὺς ὑφ' ἑαυτῷ συνεργοὺς, πολλὰ περικόψαι τῶν ἐν
ὀλυμπίᾳ χαλκῶν ἀναθημάτων καὶ ἀποδόσθαι, τέλος δὲ συλῆσαι τὸ τῆς ἐπι-
σκόπου ἀρτέμιδος ἱερὸν, τοῦτο δ' ἐστὶ μὲν ἐν ἤλιδι, καλεῖται δὲ ἀριστάρχειον.
εὐθὺς οὖν μετὰ ταύτην τὴν ἱεροσυλίαν ἁλόντα, βασανίζεσθαι δι' ἐνιαυτοῦ περὶ
ἑκάστου τῶν κεκοινωνηκότων ἀνακρινόμενον, καὶ οὕτως ἀποθανεῖν, καὶ τὴν παροιμί-
αν ἐπὶ τοῖς ἐκείνου πάθεσι γενέσθαι. Διατί ἐν λακεδαίμονι παρὰ τὸ τῶν
λευκιππίδων ἱερὸν ἵδρυται τοῦ ὀδυσσέως ἡρῷον. ἐργῖνος εἷς τῶν διομήδους ἀπο-
γόνων ὑπὸ τημένου πεισθεὶς ἐξέκλεψε τὸ παλλάδιον ἐξ ἄργους, συνειδότος
λεάγρου καὶ συνεκκλέπτοντος, ἦν δ' οὗτος εἷς τῶν τημένου συνήθων, ὕστερον
δὲ τῷ τημένῳ γενόμενος δι' ὀργῆς ὁ λέαγρος εἰς λακεδαίμονα μετέστη τὸ παλ-
λάδιον κομίζων. οἱ δὲ βασιλεῖς δεξάμενοι προθύμως, ἱδρύσαντο πλησίον τοῦ
τῶν λευκιππίδων ἱεροῦ, καὶ πέμψαντες εἰς δελφοὺς διεμαντεύοντο περὶ σωτη-
ρίας αὐτοῦ καὶ φυλακῆς. ἀνελόντος δὲ τοῦ θεοῦ, ἕνα τῶν ὑφελομένων τὸ παλ-
λάδιον φύλακα ποιεῖσθαι, κατεσκεύασαν αὐτόθι τοῦ ὀδυσσέως τὸ ἡρῷον, ἀλ-

λως τε καὶ προσήκειν τῇ πόλει τὸν ἥρωα διὰ τὸν τῆς πηνελόπης γάμον ὑπολαβόντες. Διατί ταῖς χαλκηδονίαις ἔθος ἐστὶν, ὅταν ἀνδράσιν ἀλλοτρίοις ἐντύχωσι, μάλιστα δ᾽ ἄρχουσι, τὴν ἑτέραν παρακαλύπτεσθαι παρειάν. πόλεμος ἦν αὐτοῖς πρὸς βιθυνοὺς ἐκ πάσης παροξυνομένοις προφάσεως, ζειποίτου δὲ βασιλεύσαντος αὐτῶν πανστρατιᾷ, καὶ θρακῶν ἐπικουρίας προσγενομένης, ἐπυρπόλουν καὶ κατέτρεχον τὴν χώραν. ἐπιθεμένου δὲ τοῦ ζειποίτου περὶ τὸ καλούμενον φάλιον αὐτοῖς, κακῶς ἀγωνισάμενοι διὰ θράσος καὶ ἀταξίαν, ὑπὲρ ὀκτακισχιλίους ἀπέβαλον στρατιώτας, καὶ παντελῶς μὲν οὐκ ἀνῃρέθησαν, τότε ζειποίτου βυζαντίοις χαρισαμένου τὰς διαλύσεις, πολλῆς δὲ τὴν πόλιν ἐρημίας ἀνδρῶν κατεχούσης, αἱ μὲν πλεῖσται γυναῖκες ὑπ᾽ ἀνάγκης ἀπελευθέροις καὶ μετοίκοις συνῴκησαν. αἱ δὲ ἀνανδρίαν ἀντὶ τοιούτων ἑλόμεναι γάμων, αὗται δι᾽ αὑτῶν ἔπραττον ὅτου δεηθεῖεν παρὰ δικασταῖς καὶ ἄρχουσιν, ἀπάγουσαι θάτερον μέρος τοῦ προσώπου τῆς καλύπτρας. αἱ δὲ γεγαμημέναι δι᾽ αἰσχύνην ἀναμεμάμεναι ταύτας ὡς ἑαυτῶν βελτίονας, εἰς ἔθος ὅμοιον κατέστησαν. Διατί πρὸς τὸ τοῦ ἀγήνορος τέμενος τὰς οἶς προσελαύνοντες οἱ ἀργεῖοι βιβάζουσιν. ἢ ὅτι κάλλιστα προβάτων ὁ ἀγήνωρ ἐπεμελήθη, καὶ πλεῖστα ποίμνια τῶν βασιλέων ἐκτήσατο. Διατί βαλλαχράδας ἑαυτοὺς ἀργείων παῖδες ἐν ἑορτῇ τινι παίζοντες ἀποκαλοῦσιν. ἢ ὅτι τοὺς πρώτους ὑπὸ ἰνάχου καταχθέντας ἐκ τῶν ὀρῶν εἰς τὰ πεδία, ἀχράσι διατραφῆναι λέγουσι. ἀχράδας δὲ πρῶτον ἐν πελοποννήσῳ φανῆναι τοῖς ἕλλησιν, ἔτι τῆς χώρας ἐκείνης ἀπίας προσαγορευομένης. ὅθεν ἄπιοι ἀχράδες μετωνομάσθησαν. Τίς αἰτία, δι᾽ ἣν ἠλεῖοι τὰς ὄνους ἵππους ἐκτὸς ὅρων ἀπάγοντες βιβάζουσιν. ἢ ὅτι πάντων τῶν βασιλέων φιλιππότατος ὁ οἰνόμαος, καὶ μάλιστα τὸ ζῷον ἀγαπήσας τοῦτ᾽ ἐπηράσατο πολλὰ καὶ δεινὰ κατὰ τῶν ἵππων ὀχευόντων ἐν ἤλιδι, καὶ φοβούμενοι τὴν κατάραν ἐκείνην ἀφοσιοῦνται. Διατί παρὰ κνωσίοις ἔθος ἦν ἁρπάζειν τοῖς δανειζομένοις τὸ ἀργύριον. ἢ ὅπως ἀποστεροῦντες ἔνοχοι τοῖς βιαίοις ὦσι, καὶ μᾶλλον κολάζωνται. Τίς αἰτία, δι᾽ ἣν ἐν σάμῳ τὴν δεξικρέοντος ἀφροδίτην καλοῦσι. πότερον ὅτι τὰς γυναῖκας αὐτῶν ὑπὸ τρυφῆς καὶ ὕβρεως ἀκόλαστα ποιούσας, δεξικρέων ἀνὴρ ἀγύρτης καθαρμῷ χρησάμενος, ἀπήλλαξεν. ἢ ὅτι ναύκληρος ὢν ὁ δεξικρέων ἔπλευσεν εἰς κύπρον ἐπ᾽ ἐμπορίᾳ, καὶ μέλλοντα γεμίζειν, τὴν ἀφροδίτην κελεύειν ὕδωρ ἐμβαλλόμενον καὶ μηδὲν ἄλλο πλεῖν τὴν ταχίστην, πεισθεὶς δὲ καὶ πολὺ ὕδωρ ἐνθέμενος ἐξέπλευσεν, εἶτα νηνεμίας καὶ γαλήνης ἐν τῷ πελάγει κατασχούσης, διψῶσι τοῖς ἄλλοις ἐμπόροις καὶ ναυκλήροις ὕδωρ πιπράσκων, ἀργύριον πολὺ συνήθροισεν. ἐκ δὲ τούτου κατασκευάσας τὴν θεὸν, ἀφ᾽ ἑαυτοῦ προσηγόρευσεν. εἰ δὲ τοῦτο ἀληθές ἐστι, φαίνεται οὐχ ἕνα πλουτίσαι, πολλοὺς δὲ σῶσαι δι᾽ ἑνὸς ἡ θεὸς θελήσασα. Διατί τοῖς σαμίοις ὅταν τῷ ἑρμῇ τῷ χαριδότῃ θύωσι κλέπτειν ἐφεῖται τῷ βουλομένῳ καὶ λωποδυτεῖν. ὅτι κατὰ χρησμὸν ἐκ τῆς νήσου μεταστάντες εἰς μυκάλην ἀπὸ λῃστείας δέκα ἔτη διεζῶντο. καὶ μετὰ ταῦτα πλεύσαντες αὖθις εἰς τὴν νῆσον, ἐκράτησαν τῶν πολεμίων οἱ σάμιοι. Ἀπὸ τίνος πάναιμα τόπος ἐν τῇ σαμίων νήσῳ καλεῖται. ἢ ὅτι φεύγουσαι διονύσιον αἱ ἀμαζόνες ἐκ τῆς ἐφεσίων χώρας εἰς σάμον διέπεσαν, ὁ δὲ ποιησάμενος πλοῖα, καὶ διαβὰς, μάχην συνῆψε καὶ πολλὰς αὐτῶν ἀπέκτεινε περὶ τὸν τόπον τοῦτον, ὃν διὰ τὸ πλῆθος τοῦ ἐκχυθέντος αἵματος, οἱ θεώμενοι πάναιμα θαυμάζοντες ἐκάλουν, τῶν δ᾽ ἐλεφάντων ἀποθανεῖν, τινὲς λέγουσι περὶ τὸ φλοῖον, καὶ τὰ ὀστᾶ δείκνυται αὐτῶν. τινὲς δὲ λέγουσι καὶ τὸ φλοῖον ἐπ᾽ ἐκείνων ῥαγῆναι, φθεγγομένων μέγα τι

καὶ διάτορον. Ἀπὸ ποίας αἰτίας ὁ ἀνδρὼν ἐν σάμῳ πεδήτης καλεῖται. τῶν γεωμόρων ἐχόντων τὴν πολιτείαν μετὰ τὴν δημοτέλους σφαγὴν καὶ τὴν κατάλυσιν τῆς ἐκείνου μοναρχίας, οἱ μεγαρεῖς περινθίοις ἐπεστράτευσαν ἀποίκοις οὖσι σαμίων, πέδας κομίζοντες ὡς λέγεται, ἐπὶ τοὺς αἰχμαλώτους. ταῦτα δὲ οἱ γεωμόροι πυνθανόμενοι βοήθειαν ἔπεμπον κατὰ τάχος, στρατηγοὺς μὲν ἀποδείξαντες ἐννέα, ναῦς δὲ πληρώσαντες τριάκοντα, τούτων ἐκπλέουσαι δύο πρὸ τοῦ λιμένος ὑπὸ κεραυνοῦ διεφθάρησαν. οἱ δὲ στρατηγοὶ ταῖς ἄλλαις πλεύσαντες ἐνίκων τοὺς μεγαρέας, καὶ ζῶντας αὐτῶν ἔλαβον ἑξακοσίους. ἐπαρθέντες δὲ τῇ νίκῃ, διενοοῦντο καταλύειν τὴν οἴκοι γεωμόρων ὀλιγαρχίαν. ἀφορμὴν δὲ παρέσχον οἱ προεστῶτες τῆς πολιτείας, γράψαντες αὐτοῖς ὅπως τοὺς αἰχμαλώτους τῶν μεγαρέων κομίσωσι ταῖς αὐτῶν ἐκείνων πέδαις δεδεμένους. λαβόντες οὖν τὰ γράμματα ταῦτα καὶ δείξαντες κρύφα τοῖς τῶν μεγαρέων, ἔπεισαν αὐτοὺς συστῆναι μεθ᾽ αὐτῶν, καὶ τὴν πόλιν ἐλευθερῶσαι. βουλευομένοις δὲ κοινῇ περὶ τῆς πράξεως, ἔδοξε τῶν πεδῶν τοὺς κρίκους διακροτῆσαι, καὶ περιθέντας οὕτως τοῖς σκέλεσι τῶν μεγαρέων, ἀναλαβεῖν πρὸς τὰς ζώνας ἱμᾶσιν, ὅπως μὴ περιρρέωσι, μηδὲ ἐκβαίνωσιν αὐτῶν, ἐν τῷ βαδίζειν χαλαρῶν γενομένων, οὕτω δὲ τοὺς ἄνδρας ἐνσκευάσαντες καὶ ξίφος ἑκάστῳ δόντες, ἐπεὶ κατέπλευσαν εἰς σάμον καὶ ἀπέβησαν, ἦγον αὐτοὺς δι᾽ ἀγορᾶς εἰς τὸ βουλευτήριον, ὁμοῦ τι πάντων τῶν γεωμόρων συγκαθεζομένων, εἶτα σημείου δοθέντος, οἱ μεγαρεῖς προσπεσόντες, ἔκτεινον τοὺς ἄνδρας. οὕτω δὲ τῆς πόλεως ἐλευθερωθείσης, τούς τε βουλομένους τῶν μεγαρέων πολίτας ἐποιήσαντο, καὶ κατασκευάσαντες οἶκον εὐμεγέθη, τὰς πέδας ἀνέθηκαν, καὶ ἀπὸ τούτου πεδήτης ὁ οἶκος ὠνομάσθη.

Διατί παρὰ κῴοις ὁ τοῦ ἡρακλέους ἱερεὺς ἐν ἀντιμαχίᾳ γυναικείαν ἐνδεδυμένος ἐσθῆτα, καὶ τὴν κεφαλὴν ἀναδούμενος μίτρᾳ κατάρχεται τῆς θυσίας. ἡρακλῆς ταῖς ἓξ ναυσὶν ἀπὸ τροίας ἀναχθεὶς, ἐχειμάσθη, καὶ τῶν νεῶν διαφθαρεισῶν, μιᾷ μόνῃ πρὸς τὴν κῶν ὑπὸ τοῦ πνεύματος ἐλαυνόμενος, ἐξέπεσε κατὰ τὸν λακητῆρα καλούμενον, οὐδὲν ἄλλο περισώσας ἢ τὰ ὅπλα καὶ τοὺς ἄνδρας. ἐντυχὼν δὲ προβάτοις, ᾔτει κριὸν ἕνα παρὰ τοῦ νέμοντος. ὁ δ᾽ αὐτὸς ἐκαλεῖτο μὲν ἀνταγόρας, ἀκμάζων δὲ τῇ ῥώμῃ τοῦ σώματος, ἐκέλευσεν αὐτὸν διαπαλαῖσαι τὸν ἡρακλέα, κἂν καταβάλῃ, τὸν κριὸν φέρεσθαι, καὶ συμπεσόντος αὐτοῦ τοῦ ἡρακλέους ἐς χεῖρας, οἱ μέροπες τῷ ἀνταγόρᾳ παραβοηθοῦντες, οἱ δὲ ἕλληνες τῷ ἡρακλεῖ, μάχην καρτερὰν συνῆψαν. ἐν ᾗ λέγεται τῷ πλήθει καταπονούμενος ὁ ἡρακλῆς καταφυγεῖν πρὸς γυναῖκα θρᾷτταν, καὶ διαλαθεῖν ἐσθῆτι γυναικείᾳ κατακρύψας ἑαυτόν. ὕστερον δὲ τῶν μερόπων αὖθις κρατήσας καὶ καθαρθεὶς, ἔγημε τὴν ἀλκιόπου, ἀνέλαβε στολὴν ἀνθινὴν, διὸ θύει μὲν ὁ ἱερεὺς ὅπου τὴν μάχην συνέβη γενέσθαι, τὰς δὲ νύμφας οἱ γαμοῦντες δεξιοῦνται γυναικείαν στολὴν περιθέμενοι. Πόθεν ἐν μεγάροις γένος ἁμαξοκυλιστῶν. ἐπὶ τῆς ἀκολάστου δημοκρατείας, ἣ καὶ τὴν παλιντοκίαν ἐποίησε καὶ τὴν ἱεροσυλίαν, ἐπορεύετο θεωρία πελοποννησίων εἰς δελφοὺς διὰ τῆς μεγαρικῆς, καὶ κατηυλίσθησαν ἐν αἰγείροις παρὰ τὴν λίμνην μετὰ παίδων καὶ γυναικῶν ὡς ἔτυχεν ἐν ταῖς ἁμάξαις, τῶν δὲ μεγαρέων οἱ θρασύτατοι μεθυσθέντες, ὕβρει καὶ ὠμότητι τὰς ἁμάξας ἀνακυλίσαντες, εἰς τὴν λίμνην ἐνέωσαντο, ὥστε πολλοὺς ἀποπνιγῆναι τῶν θεωρῶν. οἱ μὲν οὖν μεγαρεῖς δι᾽ ἀταξίαν τῆς πολιτείας, ἠμέλησαν τοῦ ἀδικήματος. οἱ δὲ ἀμφικτύονες ἱερᾶς τῆς θεωρίας οὔσης ἐπιστραφέντες, τοὺς μὲν φυγῇ, τοὺς δὲ θανάτῳ τῶν ἐναιτίων ἐζημίωσαν. οἱ δ᾽ ἀπὸ τούτου γένους, ἁμαξοκυλισταὶ προσηγορεύθησαν.

ΠΕΡΙ ΤΩΝ ΕΚΛΕΛΟΙΠΟΤΩΝ ΧΡΗΣΤΗΡΙΩΝ.

α

Ἀετούς τινας ἢ κύκνους ὦ τερέντιε πρίσκε μυθολογοῦσιν ἀπὸ τῶν ἄκρων τῆς γῆς ἐπὶ τὸ μέσον φερομένους εἰς ταυτὸ συμπεσεῖν πυθοῖ, περὶ τὸν καλούμενον ὀμφαλόν. ὕστερον δὲ χρόνῳ τὸν φαίστιον ἐπιμενίδην ἐλέγχοντα τὸν μῦθον ἐπὶ τοῦ θεοῦ, καὶ λαβόντα χρησμὸν ἀσαφῆ καὶ ἀμφίβολον εἰπεῖν, οὔτε γὰρ ἦν γῆς μέσος ὀμφαλὸς, οὐδὲ θαλάσσης, εἰ δέ τίς ἐστι θεοῖς δῆλος, θνητοῖσι δ' ἄφαντος, ἐκεῖνον μὲν οὖν εἰκότως ὁ θεὸς ἠμύνατο, μύθου παλαιοῦ καθάπερ ζωγραφήματος ἁφῇ ἀποπειρώμενον. ὀλίγον δὲ πρὸ πυθίων τῶν ἐπὶ καλλιστράτου καθ' ἡμᾶς ἀπὸ τῶν ἐναντίων τῆς οἰκουμένης περάτων ἔτυχον ἄνδρες ἱεροὶ δύο συνδραμόντες εἰς δελφοὺς, δημήτριος μὲν ὁ γραμματικὸς ἐκ βρεττανίας εἰς ταρσὸν ἀνακομιζόμενος οἴκαδε, κλεόμβροτος δὲ ὁ λακεδαιμόνιος πολλὰ μὲν ἐν αἰγύπτῳ καὶ περὶ τὴν τρωγλοδυτικὴν γῆν πεπλανημένος, πόρρω δὲ τῆς ἐρυθρᾶς θαλάσσης ἀναπεπλευκὼς, οὐ κατ' ἐμπορείαν, ἀλλ' ἀνὴρ φιλοθεάμων, καὶ φιλοφανὴς, οὐσίαν δὲ ἔχων ἱκανὴν καὶ τὸ πλείονα τῶν ἱκανῶν ἔχειν, οὐκ ἄξιον πολλοῦ ποιούμενος, ἐχρῆτο τῇ σχολῇ πρὸς τὰ τοιαῦτα καὶ συνῆγεν ἱστορίαν, οἷον ὕλην φιλοσοφίας θεολογίαν, ὥσπερ αὐτὸς ἐκάλει τέλος ἐχούσης. νεωστὶ δὲ γεγονὼς παρ' ἄμμωνα, τὰ μὲν ἄλλα τῶν ἐκεῖ δῆλος ἦν μὴ πάνυ τεθαυμακὼς, περὶ δὲ τοῦ λύχνου τοῦ ἀσβέστου διηγεῖτο λόγον ἄξιον σπουδῆς, λεγόμενον ὑπὸ τῶν ἱερέων. ἀεὶ γὰρ ἔλαττον ἀναλίσκειν ἔλαιον ἔτους ἑκάστου. καὶ τοῦτο ποιεῖσθαι τεκμήριον ἐκείνους τῆς τῶν ἐνιαυτῶν ἀνωμαλίας, τὸν ἕτερον τοῦ προάγοντος ἀεὶ τῷ χρόνῳ βραχύτερον ποιούσης. εἰκὸς γὰρ ἐλάττονι χρόνῳ τὸ δαπανώμενον ἔλαττον εἶναι. θαυμασάντων δὲ τῶν παρόντων, τοῦ δὲ δημητρίου καὶ γέλοιον ἀφάτως εἶναι, ἀπὸ μικρῶν πραγμάτων οὕτω μεγάλα θηρᾶν, οὐ κατ' ἀλκαῖον ἐξ ὄνυχος τὸν λέοντα γράφοντας, ἀλλὰ θρυαλλίδι καὶ λύχνῳ τὸν οὐρανὸν ὁμοῦ καὶ τὰ σύμπαντα μεθιστάντας, καὶ τὴν μαθηματικὴν ἄρδην ἀναιροῦντας, ὁ κλεόμβροτος οὐδὲν ἔφη τούτων διαταράξει τοὺς ἄνδρας, ἀλλὰ τοῖς μαθηματικοῖς οὐχ ὑφήσονται τῆς ἀκριβείας, ὡς μᾶλλον ἂν ἐκείνους διαφυγόντα τὸν χρόνον ἐν κινήσεσι καὶ περιόδοις, οὕτω μακρὰν ἀφεστώσαις, ἢ τὸ μέτρον ἑαυτοὺς τοῦ ἐλαίου προσέχοντας ἀεὶ διὰ τὴν ἀτοπίαν τῷ παραλόγῳ καὶ παραφυλάττοντας. τὸ δὲ μικρὰ μὴ διδόναι σημεῖα γίνεσθαι μεγάλων ὦ δημήτριε, πολλαῖς ἐστι τέχναις ἐμποδὼν, ἐπεὶ καὶ πολλῶν μὲν ἀποδείξεις παραιρεῖσθαι συμβήσεται, πολλῶν δὲ προαγορεύσεις, καίτοι καὶ ἡμῖν οὐ μικρὸν ἀποδείκνυται πρᾶγμα, λεαίνεσθαι ξυρῷ τὰ σώματα τοὺς ἥρωας. ἐντυχόντες γὰρ ὁμήρῳ ξυρὸν ὀνομάσαντι, καὶ δανείζειν ἐπὶ τόκοις, ὅτι που χρέος συμβάλλεσθαι φησὶν, οὔτι νέον, οὐδὲ ὀλίγον, ὡς τοῦ ὠφελεῖσθαι τοῦτο αὔξεσθαι δηλοῦντες. αὖθις δὲ τὴν νύκτα θοὴν εἰπόντος, ἀγαπητῶς ἐμφύεσθαι τῷ ῥήματι, καὶ τοῦτ' ἐκεῖνο φάτε φράζεσθαι τὴν σκιὰν τῆς γῆς ὑπ' αὐτοῦ κωνικὴν οὖσαν ἀπὸ σφαιροειδοῦς, ἰατρικὴν δὲ λοιμῶδες θέρος ἀραχνίων πλήθει προσδηλοῦν, καὶ θείοις ἐαρινοῖς, ὅταν κορώνης ποσὶ εἴκελα γένηται. τίς ἐάσει τῶν ἀξιούντων μικρὰ σημεῖα μὴ γίνεσθαι τῶν μεγάλων. τίς δ' ἀνέξεται πρὸς χοῦν καὶ κοτύλην ὕδατος τὸ τοῦ ἡλίου μέγεθος μετρούμενον, ἢ τῆς ἐνταῦθα πλινθίδος, ἣ ποιεῖ γωνίαν ὀξεῖαν κεκλιμένην πρὸς τὸ ἐπίπεδον, μέτρον εἶναι λεγομένην τοῦ ἐξάρματος, ὃ ἐξῆρται τῶν πόλων, ὁ ἀεὶ φανερὸς ἀπὸ τοῦ ὁρίζοντος. ταῦτα γὰρ ἦν ἀκούειν τῶν ἐκεῖ

προφητῶν

προφητῶν, ὥστε ἄλλο τι λεγόντων πρὸς αὐτοὺς εἰ βουλόμεθα τῷ ἡλίῳ κατὰ τὰ πάτρια, τὴν νενομισμένην τάξιν ἀπαράβατον ποιοῦσι, παρὼν οὖν ἀνεφώνησεν ἀμμώνιος ὁ φιλόσοφος, οὐ τῷ ἡλίῳ μόνον εἰπεῖν, ἀλλὰ τῷ οὐρανῷ παντὶ, συστέλλεσθαι γοῦν ἀνάγκη τὴν ἀπὸ τροπῶν ἐπὶ τροπὰς πάροδον αὐτοῦ καὶ μὴ διαμένειν τηλικοῦτον μέρος οὖσαν τοῦ ὁρίζοντος, ἡλίκον οἱ μαθηματικοὶ λέγουσιν. ἀλλ' ἐλάττονα γίνεσθαι ἀεὶ πρὸς τὰ βόρεια τῶν νοτίων συναγωγὴν λαμβανόντων, καὶ τὸ θέρος ἡμῖν βραχύτερον, καὶ ψυχροτέραν εἶναι τὴν κρᾶσιν, ἐνδοτέρω κάμπτοντος αὐτοῦ, καὶ μειζόνων παραλλήλων ἐφαπτομένου τοῖς τροπικοῖς σημείοις. ἔτι δὲ τοὺς μὲν ἐν συήνῃ γνώμονας, ἀσκίους μηκέτι φαίνεσθαι περὶ τροπὰς θερινὰς, πολλοὺς δὲ ὑποδεδραμηκέναι τῶν ἀπλανῶν ἀστέρων, ἐνίους δὲ ψαύειν καὶ συγκεχύσθαι πρὸς ἀλλήλους τοῦ διαστήματος ἐκλελοιπότος. εἰ δ' αὖ φήσουσι τῶν ἄλλων ὁμοίως ἐχόντων ἀτακτεῖν ταῖς κινήσεσι τὸν ἥλιον, οὔτε τὴν μόνην τοῦτον ἐκ τοσούτων ἐπιταχύνουσαν αἰτίαν εἰπεῖν ἕξουσι. καὶ τὰ πολλὰ τῶν φαινομένων συνταράξουσι. τὰ δὲ πρὸς σελήνην καὶ παντάπασιν, ὥστε μὴ δεῖσθαι μέτρον ἐλαίου, τὴν διαφορὰν ἐλεγχόντων. αἱ γοῦν ἐκλείψεις, ἐλέγξουσιν αὐτοῦ τε τῇ σελήνῃ πλεονάκις ἐπιβάλλοντος, καὶ τῆς σελήνης τῇ σκιᾷ, τὰ δ' ἄλληλα καὶ οὐδὲν δεῖ περαιτέρω τὴν ἀλαζονείαν τοῦ λόγου διελίττειν. ἀλλὰ μὴν ὁ κλεόμβροτος ἔφη, καὶ τὸ μέτρον αὐτὸς εἶδον. πολλὰ γὰρ ἐδείκνυσαν. τὸ δ' ἐπέτειον, ἀπέδει τῶν παλαιοτάτων οὐκ ὀλίγον. ὑπολαβὼν δὲ αὖθις ὁ ἀμμώνιος, εἶτα τοὺς ἄλλους ἀνοῦς εἶπεν, ἔλαθε παρ' οἷς θεραπεύεται πυρὰ, καὶ σώζεται χρόνον ἐτῶν ὡς ἔπος εἰπεῖν ἄπειρον. εἰ δ' οὖν ὑποθοῖτό τις ἀληθὲς εἶναι τὸ λεγόμενον, οὐ βέλτιόν ἐστι ψυχρότητας αἰτιᾶσθαί τινας, καὶ ὑγρότητας ἀέρων, ὑφ' ὧν τὸ πῦρ μαραινόμενον, εἰκός ἐστι μὴ κρατεῖν πολλῆς μηδὲ δεῖσθαι τροφῆς, ἢ τοὐναντίον ξηρότητας καὶ θερμότητας. ἤδη γὰρ ἀκήκοα λεγόντων τινῶν περὶ τοῦ πυρὸς, ὡς ἐν χειμῶνι καίεται βέλτιον ὑπὸ ῥώμης εἰς αὐτὸ συστελλόμενον τῇ ψυχρότητι καὶ πυκνούμενον, ἐν δὲ τοῖς αὐχμοῖς ἐξασθενεῖ καὶ γίνεται μανὸν καὶ ἄτονον, κἂν ἐν ἡλίῳ καίηται, χεῖρον ἐργάζεται, καὶ τῆς ὕλης ἅπτεται μαλακῶς, καὶ καταναλίσκει βράδιον. μάλιστα δ' ἄν τις εἰς αὐτὸ τὴν αἰτίαν ἐπανάγοιτο τοὔλαιον. οὐ γὰρ ἀπεικός ἐστι. πάλαι μὲν ἄτροφον καὶ ὑδατῶδες εἶναι γεννώμενον ἐκ φυτάδος νέας, ὕστερον δὲ πεττόμενον ἐν τελείοις καὶ συνιστάμενον ἀπὸ πλήθους ἴσου, μᾶλλον ἰσχύειν καὶ τρέφειν βέλτιον, ἔδει τοῖς ἀμμωνίοις ἀνασώζειν, καίπερ ἄτοπον καὶ ἀλλόκοτον οὖσαν τὴν ὑπόθεσιν. παυσαμένου δὲ τοῦ ἀμμωνίου, μᾶλλον ἔφην ἐγὼ τὸ περὶ τοῦ μαντείου δίελθε ἡμῖν ὦ κλεόμβροτε. μεγάλη γοῦν ἡ παλαιὰ δόξα τῆς ἐκεῖ θειότητος, τὰ δὲ νῦν ἔοικεν ὑπομαραίνεσθαι. τοῦ δὲ κλεομβρότου σιωπῶντος καὶ κάτω βλέποντος, ὁ δημήτριος οὐδὲν ἔφη δεῖ περὶ τῶν ἐκεῖ πυνθάνεσθαι, καὶ διαπορεῖν τὴν ἐνταῦθα τῶν χρηστηρίων ἀμαύρωσιν. μᾶλλον δὲ πλὴν ἑνὸς ἢ δυεῖν ἁπάντων ἔκλειψιν ὁρῶντας, ἀλλ' ἐκεῖνο σκοπεῖν, δι' ἣν αἰτίαν οὕτως ἐξησθένηκε. τὰ γὰρ ἄλλα τί δεῖ λέγειν, ὅπου τὴν βοιωτίαν ἕνεκα χρηστηρίων πολύφωνον οὖσαν ἐν τοῖς πρότερον χρόνοις, νῦν ἐπιλέλοιπε κομιδῆ, καθάπερ νάματα, καὶ πολὺς ἐπέσχηκε μαντικῆς αὐχμὸς τὴν χώραν. οὐδαμοῦ γοῦν ἀλλαχόθι νῦν, ἢ λεβαδία ἡ βοιωτία παρέχεται τοῖς χρήζουσιν ἀρύσασθαι μαντικῆς. τῶν δ' ἄλλων, τὰ μὲν σιγὴ, τὰ δὲ παντελὴς ἐρημία κατέσχηκε, καίτοι γε περὶ τὰ μηδικὰ μὲν εὐδοκίμησεν οὐχ ἧττον, τὸ τοῦ ἀμφιάρεω ἀπεπειράθη μὲν ὡς ἔοικεν ἀμφοτέρων. ὡς ὁ μὲν τότε τοῦ μαντείου προφήτης φωνῇ αἰολίδι χρώμενος, τὸ πρὸς τὸν τῶν βαρβάρων χρήσιμον ἐξήνεγκεν. ὥστε μηδένα ξυνεῖναι ἁγίων παρόντων ὅν ἐκεῖνον, ὡς τῶν ἐνθουσιασμοῦ τι τοῖς βαρβάροις οὐκ ἔστιν. οὐ δέδοται φωνὴν ἑλληνίδα λαβεῖν τὸ προστα

τόμενον ὑπηρετοῦσαν. ὁ δὲ πεμφθεὶς εἰς Ἀμφιάρεω δοῦλος, ἔδοξε κατὰ τοὺς
ὕπνους ὑπηρέτην τοῦ θεοῦ φανέντα, πρῶτον μὲν ἀπὸ φωνῆς, ἐκβάλλειν αὐτὸν, ὡς τοῦ
θεοῦ μὴ παρόντος, ἔπειτα ταῖς χερσὶν ὠθεῖν, ἐπιμένοντος δὲ, λίθον εὐμεγέθη λα-
βόντα τὴν κεφαλὴν πατάξαι. ταῦτα δ' ἦν ὥσπερ ἀντίφωνα τῶν γενησομένων.
ἡττήθη γὰρ ὁ Μαρδόνιος, οὐ βασιλέως ἀλλ' ἐπιτρόπου καὶ διακόνου βασιλέως ἡγουμέ-
νου τῶν Ἑλλήνων, καὶ λίθῳ πληγεὶς ἔπεσεν, ὥσπερ ὁ Λυδὸς ἔδοξε πληγῆναι κατὰ
τοὺς ὕπνους. ἤκμαζε δὲ τότε καὶ τὸ περὶ τὰς Τεγύρας χρηστήριον, ὅπου καὶ γενέσθαι
τὸν θεὸν ἱστοροῦσι, καὶ ναμάτων δυεῖν παραρρεόντων, τὸ μὲν Φοίνικα, θάτερον δ' Ἐλαίαν
ἄχρι νῦν ὡς ἔνιοι λέγουσιν. ἐν μὲν οὖν τοῖς Μηδικοῖς Ἐχεκράτους προφητεύον-
τος, ἀνεῖλε νίκην καὶ κράτος πολέμου τοῖς Ἕλλησιν ὁ θεός. ἐν δὲ τῷ Πελοποννησιακῷ
πολέμῳ Δηλίοις ἐκπεσοῦσι τῆς νήσου, φασὶ χρησμὸν ἐκ Δελφῶν κομισθῆναι,
προστάττοντα τὸν τόπον ἀνευρεῖν, ἐν ᾧ γέγονεν ὁ Ἀπόλλων, καὶ θυσίας τινὰς ἐκεῖ
τελέσαι. θαυμαζόντων δὲ καὶ διαπορούντων, εἰ μὴ παρ' αὐτοῖς ὁ θεὸς ἀλλ' ἑτέρω-
θι γεγόνει, τὴν Πυθίαν προσανελεῖν, ὅτι κορώνη φράσει τὸ χωρίον αὐτοῖς. ἀπι-
όντας οὖν ἐν Χαιρωνείᾳ γενέσθαι, καὶ τῆς πανδοκευτρίας ἀκοῦσαι, πρός τινας
ξένους βαδίζοντας εἰς Τεγύρας περὶ τοῦ χρηστηρίου διαλεγομένης, τῶν δὲ ξένων
ὡς ἀπῄεσαν ἀσπαζομένων καὶ προσαγορευόντων τὴν ἄνθρωπον, ὥσπερ ὠνομά-
ζετο Κορώνην συνεῖναι τὸ λόγιον, καὶ θύσαντες ἐν ταῖς Τεγύραις τυχεῖν καθό-
δου μετ' ὀλίγον χρόνον. γεγόνασι δὲ καὶ νεώτεραι τούτων ἐπιφάνειαι περὶ τὰ
μαντεῖα ταῦτα. νῦν δ' ἐκλέλοιπεν. ὥστε τὴν αἰτίαν ἄξιον εἶναι παρὰ τῷ Πυθίῳ
διαπορῆσαι τῆς μεταβολῆς. ἤδη δέ πως ἀπὸ τοῦ νεὼ προϊόντες ἐπὶ ταῖς θύ-
ραις τῆς Κνιδίων λέσχης ἐγεγόνειμεν, παρελθόντες οὖν εἴσω τοὺς φίλους πρὸς
οὓς ἐβαδίζομεν, ἑωρῶμεν καθημένους, καὶ περιμένοντας ἡμᾶς. ἦν δὲ τῶν ἄλλων ἡσυ-
χία διὰ τὴν ὥραν, ἀλειφομένων ἢ θεωμένων τοὺς ἀθλητάς. καὶ ὁ Δημήτριος δια-
μειδιάσας, ψεύσομαι εἶπεν, ἢ ἔτυμον ἐρέω. δοκεῖτέ μοι μηδὲν ἄξιον σκέμμα διὰ
χειρῶν ἔχειν. ὁρῶ γὰρ ὑμᾶς ἀνειμένως σφόδρα καθημένους καὶ διακεχυμένους τοῖς
προσώποις. ὑπολαβὼν οὖν ὁ Μεγαρεὺς Ἡρακλέων, οὐ γὰρ ζητοῦμεν ἔφη τὸ βάλλω
ῥῆμα, πότερον τῶν δύο τὸ ἐν λάμβδα κατὰ τὸν μέλλοντα χρόνον ἀποβάλλουσιν, οὐδ'
ἀπὸ τίνων ἁπλῶν ὀνομάτων τὸ χεῖρον καὶ τὸ βέλτιον, καὶ τὸ χείριστον καὶ τὸ βέλτι-
στον ἐσχημάτισται. ταῦτα γὰρ ἴσως καὶ τὰ τοιαῦτα, συντείνει καὶ συνίστησι τὸ πρό-
σωπον. τὰ δ' ἄλλα ἔξεστι τὰς ὀφρῦς κατὰ χώραν ἔχοντας φιλοσοφεῖν καὶ ζητεῖν,
ἀτρέμα μὴ δεινὸν βλέποντας, μηδὲ χαλεπαίνοντας τοῖς παροῦσιν. δέξασθε οὖν ὁ
Δημήτριος ἡμᾶς ἔφη, καὶ μεθ' ἡμῶν λόγον, ὃς δὴ προσπέπτωκεν ἡμῖν οἰκεῖος ὢν τοῦ
τόπου, καὶ διὰ τὸν θεὸν ἅπασι προσήκων, καὶ ὅπως οὐ συνάξετε τὰς ὀφρῦς ἐπιχει-
ροῦντες σκοπεῖτε. ὡς οὖν ἀνεμίχθημεν διακαθεζόμενοι καὶ προὔβαλεν εἰς μέσον ὁ
Δημήτριος τὸν λόγον. εὐθὺς ἀναπηδήσας ὁ Κυνικὸς Δίδυμος, ἐπίκλησιν Πλανητι-
άδης, καὶ τῇ βακτηρίᾳ δὶς ἢ τρὶς πατάξας, ἀνεβόησεν ἰοὺ ἰού, δύσκριτον πρᾶγ-
μα καὶ ζητήσεως δεόμενον πολλῆς, ἥκετε κομίζοντες ἡμῖν. θαυμαστὸν γάρ ἐστιν εἰ
τοσαύτης κακίας ὑποκεχυμένης μὴ μόνον ὡς προεῖπεν Ἡσίοδος, Αἰδὼς καὶ Νέμε-
σις τὸν ἀνθρώπινον βίον ἀπολελοίπασιν, ἀλλὰ καὶ πρόνοια θεῶν συσκευασαμένη, τὰ
χρηστήρια πανταχόθεν οἴχεται. τοὐναντίον δ' ὑμῖν ἐγὼ προσβάλλω διαπορῆ-
σαι, πῶς οὐχὶ καὶ τότε ἀπείρηκεν, οὐδὲ Ἡρακλῆς αὖθις, ἤ τις ἄλλος θεῶν ὑπισπά-
κε τὸν τρίποδα καταπιμπλάμενον αἰσχρῶν καὶ ἀθέων ἐρωτημάτων, ἃ τῷ θεῷ προ-
βάλλουσιν. οἱ μὲν ὡς σοφιστοῦ διάπειραν λαμβάνοντες, οἱ δὲ περὶ θησαυρῶν ἢ κλη-
ρονομιῶν, ἢ γάμων παρανόμων διερωτῶντες, ὥστε κατὰ κράτος ἐξελέγχεσθαι τὸν Πυ-
θαγόραν εἰπόντα, βελτίστους ἑαυτῶν γίνεσθαι τοὺς ἀνθρώπους, ὅταν πρὸς τοὺς θεοὺς βαδί-

ζωσιν, οὕτως ἀπαρακαλύπτως ἔχειν, ἀνοῦ πρεσβυτέρου παρόντος ἀρνεῖσθαι, καὶ ἀποκρύ-
πτειν νοσήματα τῆς ψυχῆς καὶ πάθη, ταῦτα γυμνὰ καὶ περιφανῆ κομίζουσιν ἐπὶ τὸν
θεόν. ἔτι δὲ αὐτοῦ βουλομένου λέγειν ὅτε Ἡρακλέων ἐπελάβετο τοῦ τρίβωνος, κἀγὼ
γνώριμος ἁπάντων αὐτῷ συνηθέστατος ὤν, παῦε ἔφην ὦ φίλε Πλανητιάδη, παρο-
ξύνων τὸν θεόν, εὐόργητος γάρ ἐστι καὶ οὐ πρᾶος, κατεκείθη δὲ θνατοῖς ἀγανώτατος
ἔμμεν, ὥς φησιν ὁ Πίνδαρος, καὶ εἴτε ἥλιός ἐστιν εἴτε κύριος ἡλίου, καὶ πατὴρ καὶ ἐπέ-
κεινα τοῦ ὁρατοῦ παντός, οὐκ εἰκὸς ἀπαξιοῦν φωνῆς τοὺς νῦν ἀνθρώπους, οἷς αἴτιός ἐστι γε-
νέσεως καὶ τροφῆς, καὶ τοῦ εἶναι καὶ φρονεῖν. οὐδ' ἅμα τὴν πρόνοιαν, ὥσπερ εὐγνώμο-
να μητέρα καὶ χρηστὴν πάντα ποιοῦσαν ἡμῖν, καὶ φυλάττουσαν ἐν μόνῃ μνησικακον
ἐστὶ· τῇ μαντικῇ, καὶ ταύτην ἀφαιρεῖσθαι δοῦσαν ἐξ ἀρχῆς, ὥσπερ οὐχὶ καὶ τότε,
πλειόνων ὄντων ἐν πλείοσιν ἀνθρώπων πονηρῶν, ὅτε πολλαχόθεν τῆς οἰκουμένης χρη-
στήρια καθειστήκει. δεῦρο δὴ πάλιν καθίσας καὶ πρὸς τὴν κακίαν ἣν εἴωθας ἀεὶ
τῷ λόγῳ κολάζειν Πυθικὰς ἐκεχειρίας σπεισάμενος, ἑτέραν τινὰ μεθ' ἡμῶν αἰτίαν ζή-
τει τῆς λεγομένης ἐκλείψεως τῶν χρηστηρίων, τὸν δὲ θεὸν εὐμενῆ φύλαττε καὶ ἀμήνιτον.
ἐγὼ μὲν οὖν ταῦτ' εἰπὼν τοσοῦτον διεπραξάμην, ὅσον ἀπελθεῖν διὰ θυρῶν σιωπῇ τὸν
Πλανητιάδην. ἡσυχίας δὲ γενομένης ἐπ' ὀλίγον ὁ Ἀμμώνιος ἐμὲ προσαγορεύσας,
ὅρα τί ποιοῦμεν εἶπεν ὦ Λαμπρία, καὶ πρόσεχε τῷ λόγῳ τὴν διάνοιαν, ὅπως μὴ τὸν
θεὸν ἀναίτιον ποιῶμεν, ὃ γὰρ ἄλλῳ τινί, καὶ μὴ θεοῦ γνώμῃ τὰ παυσάμενα τῶν χρηστη-
ρίων ἐκλιπεῖν ἡγούμενος, ὑπόνοιαν δίδωσι τοῦ μὴ γενέσθαι, μὴ δ' εἶναι διὰ τὸν θεόν, ἀλ-
λ' ἑτέρῳ τινὶ τρόπῳ νομίζειν, οὗ γὰρ ἄλλη γέ τις ἐστὶ μείζων, οὐδὲ κρείττων δύναμις,
ὥστε ἀναιρεῖν καὶ ἀφανίζειν ἔργον θεοῦ τὴν μαντικὴν οὖσαν. ὁ μὲν οὖν Πλανητιά-
δου λόγος, οὐκ ἀρεστὸς ἐμοὶ διά τε τἆλλα καὶ τὴν ἀνωμαλίαν, ἣν περὶ τὸν θεὸν ποιεῖ, πῆ
μὲν ἀποστρεφόμενον, καὶ ἀπαξιοῦντα τὴν κακίαν, πῆ δὲ πάλιν αὖ προσιέμενον, ὥσπερ
εἰ βασιλεύς τις ἢ τύραννος ἑτέραις ἀποκλείων θύραις τοὺς πονηρούς, καθ' ἑτέρας εἰσ-
δέχοιτο καὶ χρηματίζοι. τοῦ δὲ μετρίου καὶ ἱκανοῦ καὶ μηδαμοῦ περιττοῦ, πανταχῆ δὲ
αὐτάρκους, μάλιστα τοῖς θεοῖς πρέποντος ὄντος, εἰ ταύτην λαβὼν φαίη τις, ὅτι
τῆς κοινῆς ὀλιγανδρίας ἣν αἱ πρότεραι στάσεις καὶ οἱ πόλεμοι περὶ πᾶσαν ὁμοῦ τι
τὴν οἰκουμένην ἀπειργάσαντο πλεῖστον μέρος ἡ Ἑλλὰς μετέσχηκε, καὶ μόλις ἂν νῦν
ὅλη παράσχοι τρισχιλίους ὁπλίτας, ὅσους ἡ Μεγαρέων μία πόλις ἐξέπεμψεν εἰς Πλα-
ταιάς, οὐδὲν οὖν ἕτερον ἢ τὸ πολλὰ καταλιπεῖν χρηστήρια τὸν θεόν, ἢ τῆς Ἑλλάδος ἐλέγχειν
τὴν ἐρημίαν, ἀκριβῶς ἂν αὐτὸς παράσχοιμι τῆς εὑρεσιλογίας. τίνος γὰρ ἦν ἀγαθὸν ἐν Τε-
γύραις, ὡς πρότερον ἦν μαντεῖον, ἢ περὶ τὸ Πτῷον, ὅπου μέρος ἡμέρας ἐντυχεῖν ἐστὶν ἀνθρώπῳ
νέμοντι. καὶ γὰρ τοῦτο δή που ἐνταῦθα πρεσβύτατον ὂν χρόνῳ τε καὶ δόξῃ κλει-
νότατον, ὑπὸ θηρίου χαλεποῦ δρακαίνης πολὺν χρόνον ἔρημον γενέσθαι, καὶ ἀπρο-
σπέλαστον ἱστοροῦσιν. οὐκ ὀρθῶς τὴν ἀργίαν, ἀλλ' ἀνάπαλιν λαμβάνοντες. ἡ γὰρ
ἐρημία τὸ θηρίον ἐπηγάγετο μᾶλλον ἢ τὸ θηρίον ἐποίησε τὴν ἐρημίαν. ἐπεὶ
δὲ τῷ θεῷ δόξαν οὕτως ἥ τε Ἑλλὰς ἐρρώσθη πόλεσι, καὶ τὸ χωρίον ἀνθρώποις ἐπλήθυε,
δυσὶν ἐχρῶντο προφήτισιν ἐν μέρει καθιεμέναις, καὶ τρίτη δ' ἔφεδρος ἦν ἀποδε-
δειγμένη. νῦν δ' ἐστὶ μία προφῆτις καὶ οὐκ ἐγκαλοῦμεν, ἐξαρκεῖ παρ' αὐτῇ τοῖς
δεομένοις. οὐ τοίνυν αἰτιατέον, οὐδὲ τὸν θεόν, ἡ γὰρ οὖσα μαντικὴ καὶ διαμένουσα πᾶ-
σίν ἐστιν ἱκανή, καὶ πάντας ἀποπέμπει τυγχάνοντας ὧν χρῄζουσιν. ὥσπερ οὖν
ἐννέα κήρυξιν ὁ Ἀγαμέμνων ἐχρῆτο, καὶ μόλις κατεῖχε τὴν ἐκκλησίαν διὰ πλῆ-
θος. ἐνταῦθα δὲ ὄψεσθε μεθ' ἡμέρας ὀλίγας ἐν τῷ θεάτρῳ μίαν φωνὴν ἐξικνουμέ-
νην εἰς πάντας, οὕτως τότε πλείοσιν ἐχρῆτο φωναῖς πρὸς πλείονας ἡ μαντι-
κή, νῦν δὲ τοὐναντίον ἔδει θαυμάζειν τὸν θεόν, εἰ περιεώρα τὴν μαντικὴν ἀχρήστως
δίκην ὕδατος ἀπορρέουσαν. ἢ καθάπερ αἱ πέτραι ποιμένων ἐν ἐρημίᾳ καὶ βο-

σχημάτων φωναῖς αὐτῇ χρῶσαν. εἰπόντος δὲ ταῦτα τοῦ Ἀμμωνίου, κἀμοῦ σιωπῶντος, ὁ Κλεόμβροτος ἐμὲ προσαγορεύσας, ἤδη σὺ ταῦτ' ἔφη δέδωκας τὸ καὶ ποιεῖν ταυτὶ τὰ μαντεῖα καὶ ἀναιρεῖν τὸν θεόν. οὐκ ἔτι γε εἶπεν, ἀναιρεῖσθαι μὲν γὰρ οὐ θεὸν αἰτίᾳ θεοῦ φημὶ μαντεῖον, οὐδὲ χρηστήριον, ἀλλ' ὥσπερ ἄλλα πολλὰ ποιοῦντος ἡμῖν ἐκείνου καὶ παρασκευάζοντος, ἐπάγει φθορὰν ἐνίοις καὶ στέρησιν ἡ φύσις, μᾶλλον δ' ἡ ὕλη στέρησις οὖσα ἀναφεύγει πολλάκις καὶ ἀναλύει τὸ γινόμενον ὑπὸ τοῦ κρείττονος αἰτίας, οὕτω μαντικῶν οἶμαι δυνάμεων σκοτώσεις ἑτέρας καὶ ἀναιρέσεις εἶναι, πολλὰ καὶ καλὰ τοῦ θεοῦ διδόντος ἀνθρώποις, ἀθάνατον δὲ μηδέν, ὥστε θνήσκειν καὶ τὰ θεῶν, θεοὺς δὲ οὔ, κατὰ τὸν Σοφοκλέα. τὴν δ' οὐσίαν αὐτῶν καὶ δύναμιν τοὺς ἐν τῇ φύσει καὶ τῇ ὕλῃ φασὶν δεινοὺς ὀφείλειν ζητεῖν, τῷ θεῷ τῆς ἀρχῆς ὥσπερ ἐστὶ δίκαιον φυλαττομένης. εὔηθες γάρ ἐστι καὶ παιδικὸν κομιδῇ τὸ οἴεσθαι τὸν θεὸν αὐτόν, ὥσπερ τοὺς ἐγγαστριμύθους εὐρυκλέας πάλαι, νυνὶ πύθωνας προσαγορευομένους, ἐνδυόμενον εἰς τὰ σώματα τῶν προφητῶν ὑποφθέγγεσθαι τοῖς ἐκείνων στόμασι, καὶ φωναῖς χρώμενον ὀργάνοις καταμιγνὺς αὐτὸν ταῖς χρείαις οὐ φείδεται τῆς σεμνότητος, οὐδὲ τηρεῖ τὸ ἀξίωμα καὶ τὸ μέγεθος αὐτοῦ τῆς ἀρετῆς. καὶ ὁ Κλεόμβροτος, ὀρθῶς λέγεις, ἀλλ' ἐπεὶ τὸ λαβεῖν καὶ διορίσαι πῶς χρηστέον, καὶ μέχρι τίνων τῇ προνοίᾳ χαλεπόν, οἱ μὲν οὐδενὸς ἁπλῶς τὸν θεόν, οἱ δὲ ὁμοῦ τι πάντων αἴτιον ποιοῦντες, ἀστοχοῦσι τοῦ μετρίου καὶ πρέποντος. εὖ μὲν οὖν λέγουσιν καὶ οἱ λέγοντες, ὅτι Πλάτων τὸ ταῖς γεννωμέναις ποιότησιν ὑποκείμενον στοιχεῖον ἐξευρών, ὃ νῦν ὕλην καὶ φύσιν καλοῦσιν, πολλῶν ἀπήλλαξε καὶ μεγάλων ἀποριῶν τοὺς φιλοσόφους. ἐμοὶ δὲ δοκοῦσι πλείονας λῦσαι καὶ μείζονας ἀπορίας οἱ τὸ τῶν δαιμόνων γένος ἐν μέσῳ θεῶν καὶ ἀνθρώπων, καὶ τρόπον τινὰ τὴν κοινωνίαν ἡμῶν συνάγον εἰς ταυτὸ καὶ συνάπτον ἐξευρόντες, εἴτε μάγων τῶν περὶ Ζωροάστρην ὁ λόγος οὗτός ἐστιν, εἴτε θρᾴκιος ἀπ' Ὀρφέως, εἴτ' αἰγύπτιος, ἢ φρύγιος, ὡς τεκμαιρόμεθα ταῖς ἑκατέρωθι τελεταῖς ἀναμεμιγμένα πρὸς τὰ θνητὰ καὶ πένθιμά τινα τῶν ὀργιαζομένων καὶ δρωμένων ἱερῶν ὁρῶντες. Ἑλλήνων δὲ Ὅμηρος μὲν φαίνεται κοινῶς ἀμφοτέροις χρώμενος τοῖς ὀνόμασι, καὶ τοὺς θεοὺς ἔστιν ὅτε δαίμονας προσαγορεύων, Ἡσίοδος δὲ καθαρῶς καὶ διωρισμένως πρῶτος ἐξέθηκε τῶν λογικῶν τέσσαρα γένη· θεούς, εἶτα δαίμονας πολλοὺς κἀγαθούς, εἶτα ἥρωας, εἶτα ἀνθρώπους, τῶν ἡμιθέων εἰς ἥρωας ἀποκριθέντων. ἕτεροι δὲ μεταβολὴν τοῖς τε σώμασιν ὁμοίως ποιοῦσι καὶ ταῖς ψυχαῖς· ὥσπερ ἐκ γῆς ὕδωρ, ἐκ δὲ ὕδατος ἀήρ, ἐκ δ' ἀέρος πῦρ γεννώμενον ὁρᾶται, τῆς οὐσίας ἄνω φερομένης· οὕτως ἐκ μὲν ἀνθρώπων εἰς ἥρωας, ἐκ δὲ ἡρώων εἰς δαίμονας, αἱ βελτίονες ψυχαὶ τὴν μεταβολὴν λαμβάνουσιν, ἐκ δὲ δαιμόνων ὀλίγαι μὲν ἔτι χρόνῳ πολλῷ δι' ἀρετῆς καθαρθεῖσαι παντάπασι θειότητος μετέσχον· ἐνίαις δὲ συμβαίνει μὴ κρατεῖν ἑαυτῶν, ἀλλ' ὑφιεμέναις καὶ ἀναλυομέναις πάλιν σώμασι θνητοῖς, ἀλαμπῆ καὶ ἀμυδρὰν ζωήν, ὥσπερ ἀναθυμίασιν ἴσχειν. ὁ δ' Ἡσίοδος οἴεται καὶ περιόδοις τισὶ χρόνων γίνεσθαι τοῖς δαίμοσι τὰς τελευτάς, λέγει γὰρ ἐν τῷ τῆς ναΐδος προσώπῳ καὶ τὸν χρόνον αἰνιττόμενος·

ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη,
ἀνδρῶν ἡβώντων· ἔλαφος δέ τε τετρακόρωνος,
τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται· αὐτὰρ ὁ φοῖνιξ,
ἐννέα τοὺς κόρακας, δέκα δ' ὑμεῖς τοὺς φοίνικας,
νύμφαι ἐϋπλόκαμοι κοῦραι Διὸς αἰγιόχοιο.

τοῦτον τὸν χρόνον εἰς πολὺ πλῆθος ἀριθμοῦ συνάγουσιν, οἱ μὴ καλῶς δεχόμενοι τὴν γενεάν· ἔστι γὰρ ἐνιαυτός· ὥστε γίνεσθαι τὸ σύμπαν ἐννεακισχίλια ἔτη καὶ ἑπτακόσια καὶ εἴκοσι τῆς τῶν δαιμόνων ζωῆς. ἔλαττον μὲν οὖν νομίζουσιν οἱ πολλοὶ τῶν μαθηματικῶν, πλέον δὲ οὔ, Πίνδαρος δὲ

εἴρηκεν, εἰπὼν τὰς νύμφας ζῆν ἰσοδένδρου τέκμαρ αἰῶνος λαχούσας, διὸ καὶ καλεῖ

αὐτὰς

αὐτὰς ἁμαδρυάδας. ἔτι δ' αὐτοῦ λέγοντος, Δημήτριος ὑπολαβὼν πῶς ἔφη λέγεις ὦ Κλεόμβροτε γενεὰν ἀνδρὸς εἰρῆσθαι τὸν ἐνιαυτόν. οὔτε γὰρ ἡβῶντος οὔτε γηρῶντος, ὡς ἀναγινώσκουσιν ἔνιοι χρόνος ἀνθρωπίνου βίου τοσοῦτός ἐστιν. ἀλλ' οἱ μὲν ἡβώντων ἀναγινώσκοντες, ἔτη τριάκοντα ποιοῦσι τὴν γενεὰν καθ' Ἡράκλειτον, ἐν ᾧ χρόνῳ γεννῶντα παρέχει τὸν ἐξ αὐτοῦ γεγεννημένον ὁ γεννήσας, οἱ δὲ γηρώντων πάλιν οὐχ ἡβώντων γράφοντες, ὀκτὼ καὶ ἑκατὸν ἔτη νέμουσι τῇ γενεᾷ· τὰ γὰρ πεντήκοντα καὶ τέσσαρα μεσούσης ὅρον ἀνθρωπίνης ζωῆς εἶναι συγκείμενον ἔκ τε τῆς μονάδος καὶ τῶν πρώτων δυεῖν ἐπιπέδων καὶ δυεῖν τετραγώνων καὶ δυεῖν κύβων, οὓς καὶ Πλάτων ἀριθμοὺς ἔλαβεν ἐν τῇ ψυχογονίᾳ, καὶ ὁ λόγος ὅλως ᾐνίχθαι δοκεῖ τῷ Ἡσιόδῳ πρὸς τὴν ἐκπύρωσιν, ὁπηνίκα συνεκλείπειν τοῖς ὑγροῖς εἰκός ἐστι τὰς νύμφας,

αἵ τ' ἄλσεα καλὰ νέμονται καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα.

καὶ ὁ Κλεόμβροτος, ἀκούω ταῦτ' ἔφη πολλῶν καὶ ὁρῶ τὴν στωικὴν ἐκπύρωσιν, ὥσπερ τὰ Ἡρακλείτου καὶ τὰ Ὀρφέως ἐπινεμομένην ἔπη, οὕτω καὶ τὰ Ἡσιόδου καὶ συνεξάπτουσαν, ἀλλ' οὔτε τοῦ κόσμου τὴν φθορὰν ἀνέχομαι λεγομένην, τά τε ἀμήχανα καὶ ὧν ὑπόμνησις τῶν φωνῶν μάλιστα περὶ τὴν κορώνην, καὶ τὴν ἔλαφον ἐκδύεσθαι αὐθὶ τοὺς ὑπερβάλλοντας. οὐκ ἐνιαυτὸς ἀρχὴν ἐν αὑτῷ, καὶ τελευτὴν ὁμοῦ τι πάντων ὧν φέρουσιν ὧραι, γῆ δὲ φύει περιέχων, οὐ δὲ ἀνθρώπων ἀπὸ τρόπου γενεὰ κέκληται. καὶ γὰρ ὑμεῖς ὁμολογεῖτε μή που τὸν Ἡσίοδον ἀνθρωπίνην ζωὴν τὴν γενεὰν λέγειν. ἢ γὰρ οὐχ οὕτως; συνέφησεν ὁ Δημήτριος. ἀλλὰ μὴν κἀκεῖνο δῆλον ὁ Κλεόμβροτος εἶπεν, τὸ πολλάκις τὸ μετροῦν καὶ τὰ μετρούμενα τοῖς αὐτοῖς ὀνόμασι προσαγορεύεσθαι κοτύλην καὶ χοίνικα καὶ ἀμφορέα καὶ μέδιμνον. ὃν τρόπον οὖν τοῦ παντὸς ἀριθμοῦ τὴν μονάδα μέτρον οὖσαν ἐλάχιστον καὶ ἀρχὴν ἀριθμὸν καλοῦμεν, οὕτως τὸν ἐνιαυτὸν ᾧ πρώτῳ μετροῦμεν ἀνθρώπου βίον ὁμωνύμως τῷ μετρουμένῳ γενεὰν ὠνόμασεν. καὶ γὰρ οὓς μὲν ἐκεῖνοι ποιοῦσιν ἀριθμούς, οὐδὲν ἔχουσι τῶν νενομισμένων ἐπιφανῶν καὶ λαμπρῶν ὡς ἐν ἀριθμοῖς. ὁ δὲ τῶν ἐννεακισχιλίων ἑπτακοσίων εἴκοσι τὴν γένεσιν ἔσχηκε, συνθέσει μὲν ἐκ τῶν ἀπὸ μονάδος τεσσάρων ἐφεξῆς τετράκις γινομένων τεσσάρων· τεσσαράκοντα γὰρ ἑκατέρως γίνεται. ταῦτα δὲ πεντάκις τριγωνισθέντα, τὸν ἐκκείμενον ἀριθμὸν παρέχων. Ἀλλὰ περὶ μὲν τούτων οὐκ ἀναγκαῖον ἡμᾶς Δημητρίῳ διαφέρεσθαι. καὶ γὰρ ἂν πλείων ὁ χρόνος, ἢ κἂν ἐλάττων, ἢ κἂν τεταγμένος, κἂν ἄτακτος, ἐν ᾧ μεταλλάττει δαίμονος ψυχήν, καὶ ἥρωος βίον· οὐδὲν ἧττον, ἐφ' ᾧ βούλεται δεδείξεται μετὰ μαρτύρων σαφῶν καὶ παλαιῶν, ὅτι φύσεις εἰσί τινες, ὥσπερ ἐν μεθορίῳ θεῶν καὶ ἀνθρώπων, δεχόμεναι πάθη θνητὰ καὶ μεταβολὰς ἀναγκαίας, οὓς δαίμονας ὀρθῶς ἔχει κατὰ νόμον πατέρων ἡγουμένους καὶ ὀνομάζοντας σέβεσθαι. παράδειγμα δὲ τῷ λόγῳ Ξενοκράτης μὲν ὁ Πλάτωνος ἑταῖρος ἐποιήσατο τὸ τῶν τριγώνων, θείῳ μὲν ἀπεικάσας τὸ ἰσόπλευρον, θνητῷ δὲ τὸ σκαληνόν, τὸ δ' ἰσοσκελὲς δαιμονίῳ, τὸ μὲν γὰρ ἴσον πάντῃ, τὸ δ' ἄνισον πάντῃ, τὸ δὲ πῇ μὲν ἴσον, πῇ δ' ἄνισον, ὥσπερ ἡ δαιμόνων φύσις ἔχουσα καὶ πάθος θνητοῦ καὶ θεοῦ δύναμιν, ἡ δὲ φύσις αἰσθητὰς εἰκόνας ἐξέθηκε καὶ ὁμοιότητας ὁρωμένων θεῶν, ὡς ἥλιον καὶ ἄστρα, θνητῶν δὲ σέλα καὶ κομήτας καὶ διάττοντας, ὡς Εὐριπίδης εἴκασεν, ἐν οἷς εἶπεν·

ὁ δ' ἄρτι θάλλων σάρκα διοπετὴς ὅπως ἀστὴρ ἀπέσβη, πνεῦμ' ἀφεὶς εἰς αἰθέρα,

μικρὸν δὲ σῶμα καὶ μίμημα δαιμόνιον. ὄντως τὴν σελήνην τῷ τῇ τύχῃ τοῦ γένους συνάδειν περιφορᾷ φθίσεις φαινομένας δεχομένην, καὶ αὐξήσεις μεταβολὰς ὁρῶντες, οἱ μὲν ἄστρον γεῶδες, οἱ δ' ὀλυμπίαν γῆν, οἱ δὲ χθονίας ὁμοῦ καὶ οὐρανίας κλῆρον ἑκάτης προσεῖπον. ὥσπερ οὖν εἰ τὸν ἀέρα τις ἀνέ

λοι καὶ ὑφαιρήσειε τὸν μεταξὺ γῆς καὶ σελήνης, τὴν ἑνότητα διαλύσει καὶ τὴν κοινωνίαν τοῦ παντὸς ἐν μέσῳ κενῆς καὶ ἀσυνδέτου χώρας γενομένης, οὕτως οἱ δαιμόνων γένος μὴ ἀπολείποντες, ἀνεπίμικτα τὰ τῶν θεῶν καὶ ἀνθρώπων ποιοῦσι καὶ ἀσυνάλλακτα, τὴν ἑρμηνευτικὴν ὡς Πλάτων ἔλεγεν καὶ διακονικὴν ἀναιροῦντες φύσιν· ἢ πάντα φύρειν ἅμα καὶ ταράττειν ἀναγκάζουσιν ἡμᾶς τοῖς ἀνθρωπίνοις πάθεσι καὶ πράγμασι τὸν θεὸν ἐμβιβάζοντας καὶ κατασπῶντας ἐπὶ τὰς χρείας, ὥσπερ αἱ Θετταλαὶ λέγονται τὴν σελήνην. ἀλλ' ἐκείναις μὲν ἐν γυναιξὶ τὸ πανοῦργον ἔσχε πίστιν Ἀγλαονίκης τῆς Ἡγήτορος, ὥς φασιν, ἀστρολογικῆς γυναικὸς ἐν ἐκλείψει σελήνης ἀεὶ προσποιουμένης γοητεύειν καὶ καθαιρεῖν αὐτήν· ἡμεῖς δὲ μήτε μαντεῖα τινὰς ἀθειάστους εἶναι λεγόντων, ἢ τελετὰς καὶ ὀργιασμοὺς ἀμελουμένους ὑπὸ θεῶν ἀκούωμεν· μήτ' αὖ πάλιν τὸν θεὸν ἐν τούτοις ἀναστρέφεσθαι καὶ παρεῖναι καὶ συμπραγματεύεσθαι δοξάζωμεν, ἀλλ' οἷς δίκαιόν ἐστι ταῦτα λειτουργοῖς θεῶν ἀνατιθέντες, ὥσπερ ὑπηρέταις καὶ γραμματεῦσι δαίμονας νομίζωμεν, ἐπισκόπους θεῶν ἱερῶν καὶ μυστηρίων ὀργιαστάς, ἄλλους δὲ τῶν ὑπερηφάνων καὶ μεγάλων τιμωροὺς ἀδικιῶν περιπολεῖν. τοὺς δὲ πάνυ σεμνῶς ὁ Ἡσίοδος ἁγνοὺς προσεῖπε πλουτοδότας, καὶ τοῦτο γέρας βασιλήιον ἔχοντας, ὡς βασιλικοῦ τοῦ εὖ ποιεῖν ὄντος. εἰσὶ γὰρ ὡς ἐν ἀνθρώποις καὶ δαίμοσιν ἀρετῆς διαφοραί, καὶ τοῦ παθητικοῦ καὶ ἀλόγου, τοῖς μὲν ἀσθενὲς καὶ ἀμαυρὸν ἔτι λείψανον, ὥσπερ περίττωμα, τοῖς δὲ πολὺ καὶ δυσκατάσβεστον ἔνεστιν, ὧν ἴχνη καὶ σύμβολα πολλαχοῦ θυσίαι καὶ τελεταὶ καὶ μυθολογίαι σώζουσι καὶ διαφυλάττουσιν ἐνδιεσπαρμένα. περὶ μὲν οὖν τῶν μυστικῶν ἐν οἷς τὰς μεγίστας ἐμφάσεις καὶ διαφάσεις λαβεῖν ἐστι τῆς περὶ δαιμόνων ἀληθείας, εὔστομά μοι κείσθω καθ' Ἡρόδοτον. ἑορτὰς δὲ καὶ θυσίας ὥσπερ ἡμέρας ἀποφράδας καὶ σκυθρωπάς, ἐν αἷς ὠμοφαγίαι καὶ διασπασμοί, νηστεῖαί τε καὶ κοπετοί, πολλαχοῦ δὲ πάλιν αἰσχρολογίαι πρὸς ἱεροῖς, μανίαι τε, ἄλλαι ὀρινόμεναι ἐριαύχενι σὺν κλόνῳ, θεῶν μὲν οὐδενί, δαιμόνων δὲ φαύλων, ἀποτροπῆς ἕνεκα φήσαιμ' ἂν τελεῖν μειλίχια καὶ παραμύθια· καὶ τὰς πάλαι ποιουμένας ἀνθρωποθυσίας, οὔτε θεοὺς ἀπαιτεῖν ἢ προσδέχεσθαι πιθανόν ἐστιν, οὔτε μάτην ἀνέχονται βασιλεῖς καὶ στρατηγοί, παῖδας αὐτῶν ἐπιδιδόντες καὶ ἀρχόμενοι καὶ φυλάττοντες, ἀλλὰ χαλεπῶν καὶ δυστρόπων ὀργὰς καὶ βαρυθυμίας ἀποσειόμενοι καὶ ἀποπιμπλάντες ἀλαστόρων, ἐνίων δὲ μανικοὺς καὶ τυραννικοὺς ἔρωτας οὐ δυναμένων οὐδὲ βουλομένων, σώμασι καὶ διὰ σωμάτων ὁμιλεῖν, ἀλλ' ὥσπερ Ἡρακλῆς Οἰχαλίαν ἐπολιόρκει διὰ παρθένον, οὕτως ἰσχυροὶ καὶ βίαιοι δαίμονες ἐξαιτούμενοι ψυχὴν ἀνθρωπίνην περιεχομένην σώματι καὶ διὰ σωμάτων ὁμιλεῖν οὐ δυνάμενοι, λοιμούς τε πόλεσι καὶ γῆς ἀφορίας ἐπάγουσι, καὶ πολέμους καὶ στάσεις ταράττουσιν, ἄχρις οὗ λάβωσι καὶ τύχωσιν οὗ ἐρῶσιν. ἔνιοι δὲ τοὐναντίον, ὥσπερ ἐν Κρήτῃ καὶ αὐτὸς χρόνον συχνὸν διατρίβων ἔγνων ἄτοπόν τινα τελουμένην ἑορτήν, ἐν ᾗ καὶ εἴδωλον ἀνδρὸς ἀκέφαλον ἀναδεικνύουσι καὶ λέγουσιν, ὡς οὗτος ἦν Μόλος ὁ Μηριόνου πατήρ, νύμφῃ δὲ πρὸς βίαν συγγενόμενος ἀκέφαλος εὑρεθείη. καὶ μὴν ὅσας ἔν τε μύθοις καὶ ὕμνοις λέγουσι καὶ ᾄδουσι, τοῦτο μὲν ἁρπαγάς, τοῦτο δὲ πλάνας θεῶν, κρύψεις τε καὶ φυγὰς καὶ λατρείας, οὐ θεῶν εἰσιν ἀλλὰ δαιμόνων παθήματα, καὶ τύχαι μνημονευόμεναι δι' ἀρετὴν καὶ δύναμιν αὐτῶν, καὶ οὔτε Αἰσχύλος εἶπεν ἁγνόν τ' Ἀπόλλω φυγάδ' ἀπ' οὐρανοῦ θεόν, οὔθ' ὁ Σοφοκλέους Ἄδμητος, οὑμὸς δ' ἀλέκτωρ αὐτὸν ἦγε πρὸς μύλην. πλεῖστον δὲ τῆς ἀληθείας διαμαρτάνουσιν οἱ Δελφῶν θεολόγοι νομίζοντες ἐνταῦθά ποτε πρὸς ὄφιν τῷ θεῷ περὶ τοῦ χρηστηρίου

χρηστηρίου μάχην γενέσθαι· καὶ ταῦτα ποιητὰς καὶ λογογράφους ἐν θεάτροις ἀγωνιζομένους λέγειν ἐῶντες, ὥσπερ ἐπίτηδες ἀντιμαρτυροῦντας ὧν δρῶσιν ἱεροῖς τοῖς ἁγιωτάτοις. θαυμάσαντος δὲ τοῦ Φιλίππου, παρῆν δ' ὁ συγγραφεύς, καὶ πυθομένου τίσιν ἀντιμαρτυρεῖν οἴεται τοὺς ἀνταγωνιζομένους, τούτοις ἔφη τοῖς περὶ τὸ χρηστήριον, οἷς ἄρτι τοὺς ἔξω Πυλῶν πάντας Ἕλληνας ἡ πόλις κατοργιάζουσα μέχρι Τεμπῶν ἐλήλακεν. ἥ τε γὰρ ἱσταμένη καλιὰς ἐνταῦθα περὶ τὴν ἅλω δι' ἐννέα ἐτῶν οὐ φωλεώδης τοῦ δράκοντος χειά, ἀλλὰ μίμημα τυραννικῆς ἢ βασιλικῆς ἐστιν οἰκήσεως, ἥ τε μετὰ σιγῆς ἐπ' αὐτὴν διὰ τῆς ὀνομαζομένης Δολωνείας ἔφοδος, ᾗ Αἰόλαδε τὸν ἀμφιθαλῆ κόρον ἡμμέναις δᾳσὶν ἄγουσι, καὶ προσβάλλοντες τὸ πῦρ τῇ καλιάδι, καὶ τὴν τράπεζαν ἀνατρέψαντες ἀνεπιστρεπτεὶ φεύγουσι διὰ τῶν θυρῶν τοῦ ἱεροῦ, καὶ τελευταῖον αἵ τε πλάναι καὶ ἡ λατρεία τοῦ παιδός, οἵ τε γινόμενοι περὶ τὰ Τέμπη καθαρμοί, μεγάλου τινὸς ἄγους καὶ τολμήματος ὑποψίαν ἔχουσι. παγγέλοιον γάρ ἐστιν ὦ ἑταῖρε τὸν Ἀπόλλω κτείναντα θηρίον, φεύγειν ἐπὶ πέρατα τῆς Ἑλλάδος ἁγνισμοῦ δεόμενον, εἶτ' ἐκεῖ χοάς τινας χεῖσθαι καὶ δρᾶν, ἃ δρῶσιν ἄνθρωποι, μηνίματα δαιμόνων ἀφοσιούμενοι καὶ πραΰνοντες, οὓς ἀλάστορας καὶ παλαμναίους ὀνομάζουσιν, ὡς ἀλήστων τινῶν καὶ παλαιῶν μιασμάτων μνήμαις ἐπεξιόντες. ὃν δ' ἤκουσα λόγον ἤδη περὶ τῆς φυγῆς ταύτης καὶ τῆς μεταστάσεως ἄτοπος μέν ἐστι δεινῶς καὶ παράδοξος, εἰ δ' ἀληθείας τι μετέχει, μὴ μικρὸν οἰώμεθα μηδὲ κοινὸν εἶναι τὸ πραχθὲν ἐν τοῖς τότε χρόνοις περὶ τὸ χρηστήριον. ἀλλ' ἵνα μοι τὸ Ἐμπεδόκλειον εἰπεῖν δόξω κορυφὰς ἑτέρας ἑτέραις προσάπτων μύθων, μήτε λέγειν ἀτραπὸν μίαν, ἐάσατέ με τοῖς πρώτοις τὸ προσῆκον ἐπιθεῖναι τέλος· ἤδη γὰρ ἐπ' αὐτῷ γεγόναμεν, καὶ τετολμήσθω μετὰ πολλοὺς εἰρῆσθαι καὶ ἡμῖν, ὅτι τοῖς περὶ τὰ μαντεῖα καὶ χρηστήρια τεταγμένοις δαιμονίοις ἐκλιποῦσί τε κομιδῇ, συνεκλείπει τὰ τοιαῦτα, καὶ φυγόντων ἢ μεταστάντων ἀποβάλλει τὴν δύναμιν, εἶτα παρόντων αὐτῶν διὰ χρόνου πολλοῦ καθάπερ ὄργανα φθέγγεται τῶν χρωμένων ἐπιστάντων καὶ παρόντων. ταῦτα τοῦ Κλεομβρότου διελθόντος, ὁ Ἡρακλέων, οὐδεὶς μὲν ἔφη τῶν βεβήλων καὶ ἀμυήτων καὶ περὶ θεῶν δόξας ἀσυγκράτους ἡμῖν ἐχόντων πάρεστιν· αὐτοὶ δὲ παραφυλάττωμεν αὑτούς, ὦ Φίλιππε, μὴ λάθωμεν ἀτόπους ὑποθέσεις καὶ μεγάλας τῷ λόγῳ διδόντες. εὖ λέγεις ὁ Φίλιππος εἶπεν, ἀλλὰ τί μάλιστά σε δυσωπεῖ τῶν ὑπὸ Κλεομβρότου τιθεμένων. καὶ ὁ Ἡρακλέων, τὸ μὲν ἐφεστάναι τοῖς χρηστηρίοις εἶπε μὴ θεούς, οἷς ἀπηλλάχθαι τῶν περὶ γῆν προσῆκόν ἐστιν, ἀλλὰ δαίμονας ὑπηρέτας θεῶν, οὐ δοκεῖ μοι κακῶς ἀξιοῦσθαι. τὸ δὲ τοῖς δαίμοσι τούτοις μονονουχὶ δράγδην λαμβάνοντας ἐκ τῶν ἐπῶν τῶν Ἐμπεδοκλέους, ἁμαρτίας καὶ ἄτας καὶ πλάνας θεηλάτους ἐπιφέρειν, τελευτῶντας δὲ καὶ θανάτους, ὥσπερ ἀνθρώπων ὑποτίθεσθαι, θρασύτερον ἡγοῦμαι καὶ βαρβαρικώτερον. ἠρώτησεν οὖν ὁ Κλεόμβροτος τὸν Φίλιππον, ὅστις εἴη καὶ ὁπόθεν ὁ νεανίας. πυθόμενος δὲ τοὔνομα καὶ τὴν πόλιν, οὐδ' αὐτοὺς ἡμᾶς ἔφη λανθάνομεν ὦ Ἡρακλέων, ἐν λόγοις ἀτόποις γεγονότες, ἀλλ' οὐκ ἔστι τῶν πραγμάτων μεγάλων μὴ μεγάλαις προσχρησάμενον ἀρχαῖς, ἐπὶ τὸ εἰκὸς τῇ δόξῃ προελθεῖν. σὺ δὲ σεαυτὸν λέληθας, ὃ δίδως ἀφαιρούμενος· ὁμολογεῖς γὰρ εἶναι δαίμονας, τὸ δὲ μὴ φαύλους ἀξιοῦν εἶναι μηδὲ θνητούς, οὐκέτι δαίμονας φυλάττεις. τίνι γὰρ τῶν θεῶν διαφέρουσιν, εἰ καὶ κατ' οὐσίαν τὸ ἄφθαρτον, καὶ κατ' ἀρετὴν τὸ ἀπαθὲς καὶ ἀναμάρτητον ἔχουσιν. πρὸς ταῦτα τοῦ Ἡρακλέωνος σιωπῇ διανοουμένου τι πρὸς αὐτόν, ἀλλὰ φαύλους μὲν ἔφη δαίμονας οὐκ Ἐμπεδοκλῆς μόνον ὦ Ἡρακλέων ἀπέλιπεν, ἀλλὰ καὶ Πλάτων καὶ Ξενοκράτης καὶ Χρύσιππος· ἔτι δὲ Δημόκριτος εὐχόμενος,

εὐλόγχων εἰδώλων τυγχάνειν, ἢ δῆλος ἦν ἕτερα δυστράπελα καὶ μοχθηρὰ γινώσκων ἔχοντα προαιρέσεις τινὰς καὶ ὁρμάς. περὶ δὲ θανάτου τῶν τοιούτων ἀκήκοα λόγον, ἀνδρὸς οὐκ ἄφρονος, οὐδ' ἀλαζόνος. αἰμιλιανοῦ γὰρ τοῦ ῥήτορος, οὗ καὶ ὑμῶν ἔνιοι διακηκόασιν, ἐπιθέρσης ἦν πατὴρ, ἐμὸς πολίτης καὶ διδάσκαλος γραμματικῶν, οὗτος ἔφη ποτὲ πλέων εἰς ἰταλίαν ἐπιβῆναι νεὼς, ἐμπορικὰ χρήματα καὶ συχνοὺς ἐπιβάτας ἀγούσης, ἑσπέρας δ' ἤδη περὶ τὰς ἐχινάδας νήσους ἀποσβῆναι τὸ πνεῦμα, καὶ τὴν ναῦν διαφερομένην πλησίον γενέσθαι παξῶν, ἐγρηγορέναι δὲ τοὺς πλείστους, πολλοὺς δὲ καὶ πίνειν ἔτι δεδειπνηκότας, ἐξαίφνης δὲ φωνὴν ἀπὸ τῆς νήσου τῶν παξῶν ἀκουσθῆναι, θαμοῦν τινὸς βοῇ καλοῦντος, ὥστε θαυμάζειν, ὁ δὲ θαμοῦς αἰγύπτιος ἦν κυβερνήτης, οὐδὲ τῶν ἐμπλεόντων γνώριμος πολλοῖς ἀπ' ὀνόματος. δὶς μὲν οὖν κληθέντα σιωπῆσαι, τὸ δὲ τρίτον ὑπακοῦσαι τῷ καλοῦντι, κἀκεῖνον ἐπιτείναντα τὴν φωνὴν εἰπεῖν, ὅτι ὅταν γένῃ κατὰ τὸ παλῶδες, ἀπάγγειλον ὅτι πὰν ὁ μέγας τέθνηκε. τοῦτ' ἀκούσαντας ὁ ἐπιθέρσης ἔφη, πάντας ἐκπλαγῆναι καὶ διδόντας ἑαυτοῖς λόγον, εἴτε ποιῆσαι βέλτιον εἴη τὸ προστεταγμένον, εἴτε μὴ πολυπραγμονεῖν, ἀλλ' ἐᾶν· οὕτως γνῶναι τὸν θαμοῦν, ἐὰν μὲν ᾖ πνεῦμα, παραπλεῖν ἡσυχίαν ἔχοντα, νηνεμίας δὲ καὶ γαλήνης περὶ τὸν τόπον γενομένης, ἀνειπεῖν ὃ ἤκουσεν. ὡς οὖν ἐγένετο κατὰ τὸ παλῶδες, οὔτε πνεύματος ὄντος, οὔτε κλύδωνος, ἐκ πρύμνης βλέποντα τὸν θαμοῦν πρὸς τὴν γῆν εἰπεῖν, ὥσπερ ἤκουσεν, ὅτι ὁ μέγας πὰν τέθνηκεν. οὐ φθῆναι δὲ παυσάμενον αὐτὸν, καὶ γενέσθαι μέγαν οὐχ ἑνὸς, ἀλλὰ πολλῶν στεναγμὸν, ἅμα θαυμασμῷ μεμιγμένον, οἷα δὲ πολλῶν ἀνθρώπων παρόντων, ταχὺ τὸν λόγον ἐν ῥώμῃ σκεδασθῆναι, καὶ τὸν θαμοῦν γενέσθαι μετάπεμπτον ὑπὸ τιβερίου καίσαρος, οὕτω δὲ πιστεῦσαι τῷ λόγῳ τὸν τιβέριον, ὥστε διαπυνθάνεσθαι καὶ ζητεῖν περὶ τοῦ πανὸς, εἰκάζειν δὲ τοὺς περὶ αὐτὸν φιλολόγους συχνοὺς ὄντας, τὸν ἐξ ἑρμοῦ καὶ πηνελόπης γεγενημένον. ὁ μὲν οὖν φίλιππος εἶχε καὶ τῶν παρόντων ἐνίους μάρτυρας, αἰμιλιανοῦ τοῦ γέροντος ἀκηκοότας. ὁ δὲ δημήτριος ἔφη τῶν περὶ τὴν βρεττανίαν νήσων εἶναι πολλὰς ἐρήμους σποράδας, ὧν ἐνίας δαιμόνων καὶ ἡρώων ὀνομάζεσθαι, πλεῦσαι δὲ αὐτὸς ἱστορίας καὶ θέας ἕνεκα πομπῇ τοῦ βασιλέως, εἰς τὴν ἔγγιστα κειμένην τῶν ἐρήμων, ἔχουσαν οὐ πολλοὺς ἐποικοῦντας, ἱεροὺς δὲ καὶ ἀσύλους πάντας ὑπὸ τῶν βρεττανῶν ὄντας. ἀφικομένου δ' αὐτοῦ νεωστὶ, σύγχυσιν μεγάλην περὶ τὸν ἀέρα καὶ διοσημείας πολλὰς γενέσθαι, καὶ πνεύματα καταρραγῆναι καὶ πεσεῖν πρηστῆρας. ἐπεὶ δ' ἐλώφησε, λέγειν τοὺς νησιώτας, ὅτι τῶν κρεισσόνων τινὸς ἔκλειψις γέγονεν. ὡς γὰρ λύχνος ἀναπτόμενος φάναι δεινὸν οὐδὲν ἔχει, σβεννύμενος δὲ πολλοῖς λυπηρός ἐστιν, οὕτως αἱ μεγάλαι ψυχαὶ τὰς μὲν ἀναλάμψεις εὐμενεῖς καὶ ἀλύπους ἔχουσιν, αἱ δὲ σβέσεις αὐτῶν καὶ φθοραὶ πολλάκις μὲν ὡς νυνὶ πνεύματα καὶ ζάλας τρέφουσι, πολλάκις δὲ λοιμικοῖς πάθεσιν ἀέρα φαρμάττουσιν. ἐκεῖ μέντοι μίαν εἶναι νῆσον ἐν ᾗ τὸν κρόνον καθεῖρχθαι φρουρούμενον ὑπὸ τοῦ βριάρεω καθεύδοντα. δεσμὸν γὰρ αὐτῷ τὸν ὕπνον μεμηχανῆσθαι, πολλοὺς δὲ περὶ αὐτὸν εἶναι δαίμονας ὀπαδοὺς καὶ θεράποντας. ὑπολαβὼν δὲ ὁ κλεόμβροτος ἔχω μὲν ἔφη καὶ ἐγὼ τοιαῦτα διελθεῖν. ἀρκεῖ δὲ πρὸς τὴν ὑπόθεσιν, τὸ μηδὲν ἐναντιοῦσθαι, μηδὲ κωλύειν ἔχειν οὕτω ταῦτα, καίτοι τοὺς στωικοὺς ἔφη γινώσκομεν οὐ μόνον κατὰ δαιμόνων ἣν λέγω ταύτην δόξαν ἔχοντας, ἀλλὰ καὶ θεῶν ὄντων τοσούτων τὸ πλῆθος, ἑνὶ χρωμένους ἀϊδίῳ καὶ ἀφθάρτῳ, τοὺς δ' ἄλλους καὶ γεγονέναι καὶ φθαρήσεσθαι νομίζοντας, ἐπικουρείων δὲ χλευασμοὺς καὶ γέλωτας, οὔτι φοβητέον οἷς τολμῶσι χρῆσθαι, καὶ

καὶ κατὰ τῆς προνοίας μῦθον αὐτὴν ἀποκαλοῦντες. ἡμεῖς δὲ τὴν ἀπειρίαν μῦθον εἶναι φαμὲν ἐν κόσμοις τοσούτοις, μηδένα λόγῳ θείῳ κυβερνώμενον ἔχουσαν, ἀλλὰ πάντας ἐκ ταὐτομάτου καὶ γεγονότας καὶ συνισταμένους. εἰ δὲ χρὴ γελᾶν ἐν φιλοσοφίᾳ, τὰ εἴδωλα γελαστέον τὰ κωφὰ καὶ τυφλὰ καὶ ἄψυχα, οἷ μένουσιν ἀπλέτους ἐτῶν περιόδους ἐπιφαινόμενα, καὶ περινοστοῦντα πάντη, τὰ μὲν ἔτι ζώντων, τὰ δὲ πάλαι κατακαέντων, ἢ κατασαπέντων ἀπορρυέντα, φλεδόνας καὶ σκιὰς ἕλκοντες εἰς φυσιολογίαν. αὐτοὶ δὲ φῇ τις εἶναι δαίμονας, οὐ φύσει μόνον, ἀλλὰ καὶ λόγοις, καὶ τὸ σώζεσθαι καὶ διαμένειν πολὺν χρόνον ἔχοντας, δυσχεραίνοντας. ῥηθέντων δὲ τούτων, ὁ ἀμμώνιος ὀρθῶς ἔφη μοι δοκεῖ θεόφραστος ἀποφήνασθαι. τί γὰρ κωλύει φωνὴν δέξασθαι σεμνὴν καὶ φιλοσοφωτάτην. καὶ γὰρ ἀθετουμένη πολλὰ τῶν ἐνδεχομένων, ἀποδειχθῆναι δὲ μὴ δυναμένων ἀναιρεῖ, καὶ τιθεμένη πολλὰ συνεφέλκεται τῶν ἀδυνάτων καὶ ἀνυπάρκτων. ὃ μήν τοι μόνον ἀκήκοα τῶν ἐπικουρείων λεγόντων πρὸς τοὺς εἰσαγομένους ὑπὸ ἐμπεδοκλέους δαίμονας, ὡς οὐ δυνατὸν εἶναι φαύλους καὶ ἁμαρτητικοὺς ὄντας μακαρίους καὶ μακραίωνας εἶναι, πολλὴν τυφλότητα τῆς κακίας ἐχούσης, καὶ τὸ περιπτωτικὸν τοῖς ἀναιρετικοῖς, εὔηθές ἐστιν. οὕτω γὰρ ἐπίκουρος τῷ χείρων γοργίου φανεῖται τοῦ σοφιστοῦ, καὶ μητρόδωρος ἀλεξίδος τοῦ κωμῳδοποιοῦ. διπλάσιον γὰρ οὗτος ἔζησε τοῦ μητροδώρου, ἐπικούρου δ' ἐκεῖνος πλέον ἢ ἐπὶ τέταρτον. ἄλλως γὰρ ἰσχυρὰν ἀρετὴν καὶ κακίαν ἐστὶν ἀσθενοῦς λεγομένου, πρὸς διαμονὴν καὶ διάλυσιν σώματος. ἐπεὶ καὶ τῶν θείων πολλὰ δυσκίνητα καὶ νωθρὰ ταῖς ψυχαῖς ὄντα, πολλὰ δὲ ἀκόλαστα καὶ ἄτακτα τῶν συνετῶν καὶ πανούργων χρόνους ζῇ μακροτέρους. ὅθεν οὐκ εὖ τῷ θεῷ τὴν ἀϊδιότητα ποιοῦσιν, ἐκ φυλακῆς καὶ διακρούσεως τῶν ἀναιρετικῶν. ἔδει γὰρ ἐν τῇ φύσει τοῦ μακαρίου τὸ ἀπαθὲς καὶ ἄφθαρτον εἶναι, μηδεμιᾶς πραγματείας δεόμενον. ἀλλ' ἴσως τὸ λέγειν πρὸς μὴ παρόντας, οὐκ εὔγνωμον φαίνεται. πάλιν οὖν ὁ κλεόμβροτος ἡμῖν, ὃν ἄρτι περὶ τῆς μεταστάσεως καὶ φυγῆς τῶν δαιμονίων ἀφῆκε λόγον, ἀναλαβεῖν δίκαιός ἐστι. καὶ ὁ κλεόμβροτος, ἀλλὰ θαυμάσαι μ' ἂν εἶπεν, εἰ μὴ πολὺ φαίνεται τῶν εἰρημένων ἡμῖν ἀτοπώτερος, καίτοι δοκεῖ φυσιολογίας ἔχεσθαι, καὶ πλάτων αὐτῷ παρέχει τὸ ἐνδόσιμον, οὐχ ἁπλῶς ἀποφηνάμενος ἐκ δόξης ἀμαυρᾶς, καὶ ὑπόνοιαν ἐμβαλὼν αἰνιγματώδη μετ' εὐλαβείας, ἀλλ' ὅμως πολὺ γέγονε κἀκείνου καταβόησις ὑπὸ τῶν ἄλλων φιλοσόφων. ἐπεὶ δὲ μύθων καὶ λόγων ἀναμεμιγμένων κρατὴρ ἐν μέσῳ πρόκειται, καί που τις ἐν εὐμενεστέροις ἀκροαταῖς ἐπιτυχὼν ὥσπερ νομίσματα ξενικὰ, τούτους δοκιμάσειε τοὺς λόγους, οὐχ ὀκνῶ χαρίζεσθαι βαρβάρου διήγησιν ἀνδρὸς, ὃν πλάναις πολλαῖς καὶ μήνυτρα τελέσας μεγάλα περὶ τὴν ἐρυθρὰν θάλασσαν ἀνθρώποις ἀνὰ πᾶν ἔτος ἅπαξ ἐντυγχάνοντα, τἄλλα δὲ ζῶντα ταῖς νύμφαις νομάσι καὶ δαίμοσιν, ὡς ἔφασκε, μόλις ἐξανευρὼν ἔτυχον λόγου καὶ φιλοφροσύνης. κάλλιστος δὲ ἦν ὧν εἶδον ἀνθρώπων ὀφθῆναι, νόσου τε πάσης ἀπαθὴς διετέλει, καρπόν τινα πόας φαρμακώδη καὶ πικρὸν ἑκάστου μηνὸς ἅπαξ προσφερόμενος, γλώσσαις δὲ πολλαῖς ἤσκητο χρῆσθαι, πρὸς δ' ἐμὲ τὸ πλεῖστον ἐδώριζεν, οὐ πόρρω μελῶν, φθεγγομένου δὲ, τὸν τόπον εὐωδία κατεῖχε, τοῦ στόματος ἥδιστον ἀποπνέοντος. ἡ μὲν οὖν ἄλλη μάθησις καὶ ἱστορία συνῆν αὐτῷ τὸν πάντα χρόνον. εἰς δὲ μαντικὴν ἐνεπνεῖτο μίαν ἡμέραν ἔτους ἑκάστου, καὶ προεθέσπιζε κατιὼν ἐπὶ θάλατταν, ἐπεφοίτων δὲ καὶ δυνάσται καὶ γραμματεῖς βασιλέων, εἶτ' ἀπῄεσαν. ἐκεῖνος οὖν τὴν μαντικὴν ἀνῆγεν εἰς δαίμονας, ἥδιστον δὲ δελφῶν λόγον εἶχε, καὶ περὶ τῶν λεγομένων περὶ τὸν διόνυσον ἐνταῦθα

καὶ δρωμένων ἱερῶν, οὐδενὸς ἀνήκοος ἦν, ἀλλὰ κἀκεῖνα δαιμόνων ἔφασκεν εἶναι
πάθη μεγάλα, καὶ ταῦτα δὴ περὶ πύθωνα. τῷ δ' ἀποκτείναντι μήτ' ἐννέα ἔτη,
μήτ' εἰς τὰ τέμπη γενέσθαι μετὰ τὴν φυγὴν αὐτὸν ἐκπεσόντα κόσμον, ὕστερον δ'
ἐκεῖθεν ἐνιαυτῶν μεγάλων ἐννέα περιόδοις ἁγνὸν γενόμενον, καὶ φοῖβον ἀληθῶς
καὶ ἐλθόντα τὸ χρηστήριον παραλαβεῖν, τέως ὑπὸ θέμιδος φυλαττόμενον. οὕτως
δ' ἔχει καὶ τὰ τυφωνικὰ, καὶ τιτανικὰ, δαιμόνων μάχας γεγονέναι πρὸς δαίμονας,
εἶτα φυγὰς τῶν κρατηθέντων, ἢ δικαιώσεις ὑπὸ θεοῦ τῶν ἐξαμαρτόντων, οἷα τυφῶνα
λέγεται περὶ ὄσιριν ἐξαμαρτεῖν καὶ κρόνον περὶ οὐρανὸν, ὧν ἀμαυρότεραι γεγόνα-
σιν αἱ τιμαί. ἢ καὶ παντάπασι μεταστάντων εἰς ἕτερον κόσμον, ἐπεὶ καὶ σολύμους
πυνθάνομαι τοὺς λυκίων προσοίκους, ἐν τοῖς μάλιστα τιμᾶν τὸν κρόνον. ἐπεὶ δὲ
ἀποκτείνας τοὺς ἄρχοντας αὐτῶν, ἄρσαλον καὶ δρύον καὶ τροσόβιον, ἔφυγε καὶ με-
τεχώρησεν ὅπη δή ποτε, τοῦτο γὰρ οὐκ ἔχουσιν εἰπεῖν. ἐκείνους μὲν ἀμεληθῆναι,
τοὺς δὲ περὶ τὸν ἄρσαλον σκληροὺς θεοὺς προσαγορεύοντας, καὶ τὰς κατάρας
ἐπὶ τούτῳ ποιεῖσθαι δημοσίᾳ καὶ ἰδίᾳ λυκίους. τούτοις μὲν οὖν ὅμοια πολλὰ λα-
βεῖν ἐστιν ἐκ τῶν θεολογουμένων, εἰ δὲ τοῖς νενομισμένοις τῶν θεῶν ὀνόμασι, δαί-
μονάς τινας καλοῦμεν, οὐ θαυμαστέον εἶπεν ὁ ξένος, ᾧ γὰρ ἕκαστος θεῷ συντέτα-
κται, καὶ παρ' οὗ δυνάμεως καὶ τιμῆς εἴληχεν, ἀπὸ τούτου φιλεῖ καλεῖσθαι.
καὶ γὰρ ἡμῶν ὁ μέν τίς ἐστι δῖος, ὁ δὲ ἀθηναῖος, ὁ δὲ ἀπολλώνιος, ἢ διονύσιος, ἢ
ἑρμαῖος. ἀλλ' ἔνιοι μὲν οὖν ὀρθῶς κατὰ τύχην ἐκλήθησαν. οἱ δὲ πολλοὶ μηδὲν προ-
σηκούσας, ἀλλ' ἐνηλλαγμένας ἐκτήσαντο θεῶν παρωνυμίας. σιωπήσαντος
δὲ τοῦ κλεομβρότου πᾶσι μὲν ὁ λόγος ἐφάνη θαυμαστός. τοῦ δ' ἡρακλέωνος πυθο-
μένου μὴ ταῦτα προσήκειν πλάτωνι, καὶ πῶς ἐκεῖνος τὸ ἐνδόσιμον τῷ λόγῳ τού-
τῳ παρέσχεν, ὁ κλεόμβροτος εὖ μνημονεύεις εἶπεν, ὅτι τὴν μὲν ἀπειρίαν αὐτόθεν
ἀπέγνω τῶν κόσμων. περὶ δὲ πλήθους ὡρισμένου διηπόρησε, καὶ μέχρι τῶν πέν-
τε τοῖς ὑποτιθεμένοις κατὰ στοιχεῖον ἕνα κόσμον ἐπιχωρήσας τὸ εἰκὸς, αὐτὸς
ἑαυτὸν ἐφ' ἑνὸς ἐτήρησεν, καὶ δοκεῖ τοῦτο πλάτωνος ἴδιον εἶναι, τῶν ἄλλων σφόδρα
φοβηθέντων τὸ πλῆθος ὡς τοὺς τὴν ὕλην μὴ ὁρίσαντας, ἀλλ' ἐκβάντας εὐ-
θὺς ἀορίστου καὶ χαλεπῆς ἀπειρίας ὑπολαμβανούσης. ὁ δὲ ξένος ἔφη, τούτῳ, οὐδὲ
περὶ πλήθους κόσμων ὥρισεν, ἢ πλάτων, ὅθεν εὖ ἐγένου τῷ ἀνδρὶ τῷ περὶ
διαπειράθης. ἀλλ' οὐκ ἔμελλον εἶπεν ὁ κλεόμβροτος, εἰ μηθὲν ἄλλο
ταῦτα λιπαρὴς εἶναι καὶ πρόθυμος ἀκροατὴς, ἐνδιδόντος ἑαυτὸν ἵλεω καὶ
παρέχοντος, ἔλεγε δὲ μὴ τ' ἀπείρους, μήθ' ἕνα, μήτε πέντε κόσμους, ἀλλὰ τρεῖς καὶ
ὀγδοήκοντα καὶ ἑκατὸν εἶναι συντεταγμένους σχῆμα τριγωνοειδὲς, οὗ πλευ-
ρὰν ἑκάστην, ἑξήκοντα κόσμους ἔχειν. τριῶν δὲ τῶν λοιπῶν ἕκαστον ἱδρῦσθαι κατὰ
γωνίαν, ἅπτεσθαι δὲ τοὺς ἐφεξῆς ἀλλήλων ἀτρέμα περιιόντας ὥσπερ ἐν χορείᾳ.
τὸ δ' ἐντὸς ἐπίπεδον τοῦ τριγώνου, κοινὴν ἑστίαν εἶναι πάντων, καλεῖσθαι δὲ πεδίον
ἀληθείας, ἐν ᾧ τοὺς λόγους καὶ τὰ εἴδη καὶ τὰ παραδείγματα τῶν γεγονότων
καὶ γενησομένων ἀκίνητα κεῖσθαι, καὶ περὶ αὐτὰ τοῦ αἰῶνος ὄντος, οἷον ἀπορ-
ροὴν ἐπὶ τοὺς χρόνους φέρεσθαι τὸν χρόνον. ὄψιν δὲ τούτων καὶ θέαν ψυχαῖς ἀν-
θρωπίναις ἅπαξ ἐν ἔτεσι μυρίοις ὑπάρχειν, ἄν γε εὖ βιώσωσι, καὶ τῶν ἐνταῦθα
τελετῶν τὰς ἀρίστας ἐκείνης ὄνειρον εἶναι τῆς ἐποπτείας καὶ τελετῆς, καὶ τοὺς λό-
γους ἀνάμνησιν, ἕνεκα τῶν ἐκεῖ φιλοσοφεῖσθαι καλῶν, ἢ μάτην περαίνεσθαι. ταῦτα μὲν
ἔφην περὶ τούτων μυθολογοῦντος ἤκουον ἀτεχνῶς, καθάπερ ἐν τελετῇ καὶ μυή-
σει, μηδεμίαν ἀπόδειξιν τοῦ λόγου μηδὲ πίστιν ἐπιφέροντος. κἀγὼ τὸν δημή-
τριον προσαγορεύσας, πῶς ἔχει ἔφην τὰ τῶν μνηστήρων ἔπη, τῶν θεα-
σάντων τὸ τόξον μεταχειριζόμενον. ὑπομνησθέντος δὲ τοῦ δημητρίου, ταῦτ' ἔφην

ξαμαρτανόντων · Η
τυφῶν · Α

ἐπιδέχεται κἀμοὶ περὶ τοῦ ξένου εἰπεῖν, εἴ τις θηρευτὴρ καὶ ἐπίκλοπος ἐπὶ
δογμάτων τε καὶ λόγων παντοδαπῶν καὶ πολυπλανὴς ἐν γράμμασι, καὶ οὐ βάρ-
βαρος, ἀλλ' ἕλλην γένος ἦν, πολλῆς ἑλληνίδος μούσης ἀνάπλεως. ἐλέγχει δ'
αὐτὸν ὁ τῶν κόσμων ἀριθμὸς οὐκ ὢν αἰγύπτιος οὐδὲ ἰνδὸς, ἀλλὰ δωριεὺς ἀπὸ σι-
κελίας, ἀνδρὸς ἱμεραίου τοὔνομα πέτρωνος, αὐτοῦ μὲν ἐκείνου βιβλίδιον οὐκ
ἀνέγνων, οὐδὲ οἶδα διασωζόμενον. ἵππυς δὲ ὁ ῥηγῖνος, οὗ μέμνηται φα-
νίας ὁ αἰρέσιος, ἱστορεῖ δόξαν εἶναι ταύτην, πέτρωνος καὶ λόγον, ὡς ἑκατὸν καὶ ὀγ-
δοήκοντα καὶ τρεῖς κόσμους ὄντας, ἁπτομένους δ' ἀλλήλων κατὰ στοιχεῖον, ὅτι δὴ
τὸ τ' ἐστὶ κατὰ στοιχεῖον ἅπτεσθαι, μὴ προσδιασαφῶν μηδ' ἄλλην τινὰ πιθανότητα
προσάπτων. ὑπολαβὼν δὲ δημήτριος τίς δ' ἂν εἶπεν ἐν τοιούτοις πράγμασιν εἴη
πιθανότης, ὅπου καὶ πλάτων οὐθὲν εἰπὼν εὔλογον οὐδ' εἰκὸς, οὕτως κατέλαβε
τὸν λόγον. καὶ ὁ ἡρακλέων, ἀλλὰ μὴν ὑμῶν ἔφη τῶν γραμματικῶν ἀκούομεν
εἰς ὅμηρον ἀγόντων τὴν δόξαν, ὡς ἐκείνου τὸ πᾶν εἰς πέντε κόσμους διανέμοντος,
οὐρανὸν, ὕδωρ, ἀέρα, γῆν, ὄλυμπον. ὧν τὰ μὲν δύο κοινὰ καταλείπει. γῆν μὲν
τοῦ κάτω παντὸς οὖσαν, ὄλυμπον δὲ τοῦ ἄνω παντὸς, οἱ δ' ἐν μέσῳ τρεῖς τοῖς τρι-
σὶ θεοῖς ἀπεδόθησαν. οὕτω δὲ καὶ πλάτων ἔοικε τὰ κάλλιστα καὶ πρῶτα σωμά-
των εἴδη καὶ σχήματα συννέμων, ταῖς τοῦ ὅλου διαφοραῖς πέντε κόσμους καλεῖν,
τὸν γῆς, τὸν ὕδατος, τὸν ἀέρος, τὸν πυρὸς, ἔσχατον δὲ τὸν περιέχοντα τούτους,
τὸν τοῦ δωδεκαέδρου πολύχυτον, καὶ πολύστρεπτον. ὡς μάλιστα δὴ ταῖς ψυχικαῖς
περιόδοις καὶ κινήσεσι πρέπον σχῆμα καὶ συναρμόττον ἀπέδωκε. καὶ ὁ δη-
μήτριος, ὅμηρον ἔφη τί κινοῦμεν ἐν τῷ παρόντι, μύθων γὰρ ἅλις. πλάτων δὲ πολ-
λοῦ δεῖ τὰς πέντε τοῦ κόσμου διαφορὰς πέντε κόσμους προσαγορεύειν, ἐν οἷς τε
μάχεται τοῖς ἀπείρους κόσμους ὑποτιθεμένοις. αὐτὴ δή φησι δοκεῖν ἕνα τοῦτον
εἶναι μονογενῆ τῷ θεῷ καὶ ἀγαπητὸν, ἐκ τοῦ σωματοειδοῦς παντὸς ὅλον καὶ τέ-
λειον καὶ αὐτάρκη γεγενημένον. ὅθεν ἄν τις καὶ θαυμάσειεν, ὅτι τἀληθὲς εἰπὼν
αὐτὸς ἑτέροις ἀπιθάνου καὶ λόγον οὐκ ἐχούσης ἀρχὴν παρέσχε δι' αὐτῆς. τὸ μὲν
γὰρ ἕνα μὴ φυλάξαι κόσμον, εἶχεν ἁμωσγέπως ὑπόθεσιν τὴν τοῦ παντὸς ἀπει-
ρίαν, τὸ δὲ ἀφωρισμένως ποιῆσαι τοσούτους, καὶ μήτε πλείους τῶν πέντε, μήτ'
ἐλάττους, κομιδῇ παράλογον καὶ πάσης πιθανότητος ἀπηρτημένον, εἰ μή τι
σὺ λέγεις ἔφη, πρὸς ἐμὲ βλέψας; κἀγὼ δοκεῖ γὰρ οὕτως ἔφην ἀφέντας ἤδη
τὸν περὶ χρηστηρίων λόγον, ὡς τέλος ἔχοντα, μεταλαμβάνειν ἕτερον. τοσοῦ-
τον οὐκ ἀφέντας εἶπεν ὁ δημήτριος ἐκεῖνον, ἀλλὰ μὴ παρελθόντας τοῦτον ἀν-
τιλαμβανόμενον ἡμῶν. οὐ γὰρ ἐνδιατρίψομεν, ἀλλ' ὅσον ἱστορῆσαι τὴν πιθανότη-
τα θιγόντες αὐτοῦ, μέτιμεν ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. πρῶτον τοίνυν ἔφην
ἐγὼ τὰ κωλύοντα ποιεῖν κόσμους, ἀπείρους οὐκ ἀπείργει πλείονας ἑνὸς ποιεῖν.
καὶ γὰρ ὅσον ἐστὶν εἶναι καὶ μαντικὴν καὶ πρόνοιαν ἐν πλείοσι κόσμοις, καὶ τὸ μι-
κρότατα τὴν τύχην παρεμπίπτειν, τὰ δὲ πλεῖστα καὶ μέγιστα τάξιν λαμβάνει γέ-
νεσιν καὶ μεταβολὴν, ὧν οὐδὲν ἡ ἀπειρία δέχεσθαι πέφυκεν. ἔπειτα τῷ λό-
γῳ μᾶλλον ἕπεται τὸ τῷ θεῷ μὴ μονογενῆ μηδ' ἔρημον εἶναι τὸν κόσμον. ἀγα-
θὸς γὰρ ὢν τελέως, οὐδεμιᾶς ἀρετῆς ἐνδεής ἐστιν. ἥκιστα δὲ τῶν περὶ δικαιοσύνην
καὶ φιλίαν. κάλλισται γὰρ αὗται καὶ θεοῖς πρέπουσαι, μάτην δὲ οὐδὲν ἔχειν, οὐ-
δὲ ἄχρηστον θεὸς πέφυκεν. εἰσὶν οὖν ἐκτὸς ἕτεροι θεοὶ καὶ κόσμοι, πρὸς οὓς χρῆ-
ται ταῖς κοινωνικαῖς ἀρεταῖς, οὐ δὲ γὰρ πρὸς αὐτὸν, οὐδὲ μέρος αὐτοῦ χρῆσις τῆς
δικαιοσύνης ἢ χάριτος ἢ χρηστότητος, ἀλλὰ πρὸς ἄλλους, ὥστε οὐκ εἰκὸς ἄφιλον
οὐδ' ἀγείτονα τοῦτον οὐδ' ἄμικτον, ἐν ἀπείρῳ κενῷ τὸν κόσμον σαλεύειν. ἐπεὶ καὶ
τὴν φύσιν ὁρῶμεν καθ' ἕκαστα γένεσιν καὶ εἴδεσιν οἷον ἀγγείοις, ἢ περικαρπίαις σπέρ-

Α. ἀλλαχῇ

κατέβαλε · Α
ὦ · Α
διαφορὰς · Η
τοῦτο · Ι · Α
δόξης · Ι · Α
περικαρπίοις · Η

ματος περιέχουσαν· οὐδὲν γὰρ ἐν ἀριθμῷ τῶν ὄντων ἐστὶν, οὐδὲ μὴν λόγος ὑπάρχει κοινὸς, οὐδὲ τυγχάνει τῆς τοιᾶσδε προσηγορίας, ὃ μὴ κοινῶς ποιὸν ἰδίως ἐστὶν, ὁ δὲ κόσμος οὐ λέγεται κοινὸς εἶναι. ποιὸς δ' ὢς τοίνυν ποιός ἐστιν ἐκ διαφορᾶς τῆς πρὸς ἄλληλα συγγενῆς, καὶ μονοειδὴς γεγονὼς τοιοῦτος. εἰ γὰρ οὔτε ἄνθρωπος εἷς, οὔτε ἵππος ἐν τῇ φύσει γέγονεν, οὔτε ἄστρον, οὔτε θεὸς, οὔτε δαίμων, τί κωλύει μὴ δὲ κόσμον ἕνα τὴν φύσιν ἔχειν, ἀλλ' ἢ πλείονας; ὁ γὰρ λέγων ὅτι καὶ γῆν μίαν ἔχει καὶ θάλατταν, ἐμφανές τι παρορᾷ τὸ τῶν ὁμοιομερῶν. τήν τε γὰρ γῆν εἰς ὁμώνυμα μέρη, καὶ τὴν θάλατταν ὡσαύτως διαιροῦμεν, τοῦ δὲ κόσμου μέρος οὐκ ἔτι κόσμος, ἀλλ' ἐκ διαφόρων φύσεων συνέστηκε. καὶ μὴν ὅ γε μάλιστα φοβηθέντες ἔνιοι καταναλίσκουσι τὴν ὕλην εἰς τὸν κόσμον ἅπασαν, ὡς μηδὲν ὑπολειπομένην ἐκτὸς, ἐνστάσεσιν ἢ πληγαῖς διαταράττοι τὴν τοῦδε σύστασιν, οὐκ ὀρθῶς ἔδεισαν, πλειόνων γὰρ ὄντων κόσμων, ἰδίᾳ δ' ἑκάστου συνειληχότος οὐσίας καὶ ὕλης μέτρον ὡρισμένον ἐχούσης, καὶ πέρας οὐδὲν ἄτακτον οὐδ' ἀκατακόσμητον, οἷον περίττωμα λειφθήσεται προσπῖπτον ἔξωθεν. ὁ γὰρ περὶ ἕκαστον λόγος ἐγκρατὴς ὢν τῆς συνενεμημένης ὕλης, οὐδὲν ἔκφορον ἐάσει καὶ πλανώμενον ἐμπεσεῖν εἰς ἄλλον, οὐδὲ εἰς ἑαυτὸν ἐξ ἄλλου, διὰ τὸ μήτε πλῆθος ἀόριστον καὶ ἄπειρον τὴν φύσιν ἔχειν, μήτε κίνησιν ἄλογον καὶ ἄτακτον. εἰ δὲ καί τις ἀπόρροια φέρεται πρὸς ἑτέρους ἀφ' ἑτέρων, ὁμόφυλον εἶναι καὶ προσηνῆ καὶ πᾶσιν οἰκείως ἐπιμιγνυμένην, ὥσπερ αἱ τῶν ἄστρων αὐγαὶ, καὶ συγκράσεις, αὐτούς τε τέρπεσθαι καθορῶντας ἀλλήλους εὐμενῶς, θεοῖς τε πολλοῖς καὶ ἀγαθοῖς καθ' ἕκαστον οὖσι, παρέχειν ἐπιμιξίας, καὶ φιλοφροσύνας. ἀδύνατον γὰρ οὐθέν ἐστι τούτων, οὔτε μυθῶδες, οὔτε παράλογον, εἰ μὴ νὴ Δία τὰ τοῦ Ἀριστοτέλους ὑφορῶνταί τινες, ὡς φυσικὰς ἔχοντα. τῶν γὰρ σωμάτων ἑκάστου τόπον οἰκεῖον ἔχοντος ὥς φησιν, ἀνάγκη τὴν γῆν πανταχόθεν ἐπὶ τὸ μέσον φέρεσθαι, καὶ τὸ ὕδωρ ἐπ' αὐτῆς διὰ βάρος ὑφιστάμενον τοῖς κουφοτέροις. ἂν οὖν πλείονες ὦσι κόσμοι, συμβήσεται τὴν γῆν πολλαχοῦ μὲν ἐπάνω τοῦ πυρὸς καὶ τοῦ ἀέρος κεῖσθαι, πολλαχοῦ δ' ὑποκάτω, καὶ τὸν ἀέρα καὶ τὸ ὕδωρ ὁμοίως. ποῦ μὲν ἐν ταῖς κατὰ φύσιν χώραις ὑπάρχειν, ὧν ἀδυνάτων ὄντων, ὡς οἴεται, μήτε δύο, μήτε πλείονας εἶναι κόσμους, ἀλλ' ἕνα τοῦτον ἐκ τῆς οὐσίας ἁπάσης συγκείμενον, ἱδρυμένον κατὰ φύσιν ὡς προσήκει ταῖς τῶν σωμάτων διαφοραῖς. ἀλλὰ καὶ ταῦτα πιθανῶς μᾶλλον, ἢ ἀληθῶς εἴρηται. σκόπει δὲ οὕτως ἔφη ὦ φίλε Δημήτριε. τῶν γὰρ σωμάτων, τὰ μὲν ἐπὶ τὸ μέσον καὶ κάτω κινεῖσθαι λέγων, τὰ δὲ ἀπὸ τοῦ μέσου καὶ ἄνω, τὰ δὲ περὶ τὸ μέσον καὶ κύκλῳ. πρός τι λαμβάνει τὸ μέσον, οὐ δήπου πρὸς τὸ κενόν. οὐ γάρ ἐστι κατ' αὐτὸν, καθ' οὗ δ' ἐστὶν οὐκ ἔχει μέσον, ὥσπερ οὐδὲ πρῶτον, οὐδ' ἔσχατον, πέρατα γὰρ ταῦτα, τὸ δὲ ἄπειρον καὶ ἀπέρατον. εἰ δὲ καὶ βιάσαιτό τις αὐτὸν λόγῳ βίᾳ κινούμενον, ἄπειρον τολμήσαι τις ἡ πρὸς τοῦτο γινομένη τῶν κινήσεων διαφορὰ τοῖς σώμασιν. οὔτε γὰρ ἐν τῷ κενῷ δύναμίς ἐστι τῶν σωμάτων, οὔτε τὰ σώματα προαίρεσιν ἔχει καὶ ὁρμὴν, ἢ τοῦ μέσου γλίχεται καὶ πρὸς τοῦτο συντείνει πανταχόθεν. ἀλλ' ὅμως ἄπορόν ἐστιν ἀψύχων σωμάτων πρὸς ἀσώματον χωρεῖν, καὶ ἀδιάφορον, ἢ φορὰν ἐξ αὐτῶν ἢ ὁλκὴν ὑπ' ἐκείνης γινομένην νοῆσαι. λείπεται τοίνυν τὸ μέσον οὐ τοπικῶς, ἀλλὰ σωματικῶς λέγεσθαι. τοῦδε γὰρ τοῦ κόσμου, μίαν ἐκ πλειόνων σωμάτων καὶ ἀνομοίων ἑνότητα καὶ σύνταξιν ἔχοντος, αἱ διαφοραὶ τὰς κινήσεις ἄλλους πρὸς ἄλλας ποιοῦσιν ἐξ ἀνάγκης. δῆλον δὲ τὸ μετακοσμούμενα ταῖς οὐσίαις ἕκαστα καὶ τὰς χώρας ἅμα συμμεταβάλλειν. αἱ μὲν γὰρ διακρίσεις ἀπὸ τοῦ μέσου τὴν ὕλην αἰρομένην ἄνω, κύκλῳ διανέμουσιν. αἱ δὲ συγκρίσεις καὶ πυκνώσεις πιέζουσι κάτω πρὸς τὸ μέσον καὶ συνελαύνουσι, περὶ ὧν οὐκ ἀναγκαῖον ἐν

ταῦθα πλείοσι λόγοις χρῆσθαι. ἣν γὰρ ἄν τις ὑποθῆται τῶν παθῶν τούτων καὶ τῶν μεταβολῶν αἰτίαν εἶναι δημιουργὸν, αὕτη συνέξει τὸν κόσμον ἕκαστον ἐν ἑαυτῷ. καὶ γὰρ γῆν καὶ θάλατταν ἕκαστος ἔχει κόσμον. ἔχει γὰρ καὶ μέσον ἕκαστος ἴδιον, καὶ πάθη σωμάτων, καὶ μεταβολὰς, καὶ φύσιν, καὶ δύναμιν σώζει κατὰ χώραν καὶ φυλάττει ἕκαστον. τὸ μὲν γὰρ ἐκτὸς εἴτ' οὐδέν ἐστιν, εἴτε κενὸν ἄπειρον οὐ παρέχει μέσον ὡς εἴρηται. πλειόνων δὲ κόσμων ὄντων καθ' ἕκαστόν ἐστιν ἴδιον μέσον. ὥς τε κίνησις ἰδία, τοῖς μὲν ἐπὶ τοῦτο, τοῖς δ' ἀπὸ τούτου, τοῖς δὲ περὶ τοῦτο, καθάπερ αὐτοὶ διαιροῦσιν. ὁ δ' ἀξιῶν πολλῶν μέσων ὄντων ἐφ' ἓν μόνον, ὠθεῖσθαι τὰ βαρέα πανταχόθεν, οὐθὲν διαφέρει τοῦ πολλῶν ὄντων ἀνθρώπων ἀξιοῦντος, εἰς μίαν φλέβα τὸ πανταχόθεν αἷμα συρρεῖν, καὶ μιᾷ μήνιγγι τοὺς πάντων ἐγκεφάλους περιέχεσθαι, δεινὸν ἡγούμενος, εἰ τῶν φυσικῶν καὶ σωμάτων οὐ μίαν ἅπαντα τὰ στερεὰ, καὶ μίαν τὰ μανὰ χώραν ἐφέξει. καὶ γὰρ οὗτος ἄτοπος ἔσται, κἀκεῖνος ἀγανακτῶν εἰ τὰ ὅλα τοῖς αὐτῶν μέρεσι χρῆσθαι, τὴν κατὰ φύσιν θέσιν ἔχουσιν ἐν ἑκάστῳ καὶ τάξιν. ἐκεῖνο γὰρ ἦν ἄτοπον, εἴ τις ἔλεγε κόσμον εἶναι τὸν ἐν αὐτῷ σελήνην ἔχοντα, καθάπερ ἄνθρωπον ἐν ταῖς πτέρναις τὸν ἐγκέφαλον φοροῦντα, καὶ τὴν καρδίαν ἐν τοῖς κροτάφοις. τὸ δὲ πλείονας ποιοῦντας χωρὶς ἀλλήλων κόσμους, ἅμα τοῖς ὅλοις τὰ μέρη συναφορίζειν καὶ συνδιαιρεῖν οὐκ ἄτοπον. ἡ γὰρ ἐν ἑκάστῳ γῆ καὶ θάλασσα καὶ οὐρανὸς κείσεται κατὰ φύσιν ὡς προσήκει, τό, τε ἄνω, τὸ κάτω, καὶ κύκλῳ, καὶ μέσον, οὐ πρὸς ἄλλον, οὐδ' ἐκτὸς, ἀλλ' ἐν ἑαυτῷ καὶ πρὸς ἑαυτὸν ἔχει τῶν κόσμων ἕκαστος. ὃν μὲν γὰρ ἔξω τοῦ κόσμου λίθον ὑποτίθενταί τινες, οὔτε μονῆς εὐπόρως παρέχειν ἀνησιν οὔτε κινήσεως. πῶς γὰρ ἢ μενεῖ βάρος ἔχων ἢ κινήσεται πρὸς τὸν κόσμον, ὥσπερ τὰ λοιπὰ βαρέα μήτε μέρος ὢν αὐτοῦ, μήτε συντεταγμένος εἰς τὴν οὐσίαν, τὴν δ' ἐν ἑτέρῳ κόσμῳ περιεχομένην καὶ συνδεδεμένην οὐκ ἔδει διαπορεῖν, ὅπως οὐκ ἐνταῦθα μεταχωρεῖ διὰ βάρος ἀπορραγεῖσα τοῦ ὅλου, τὴν φύσιν ὁρῶντας καὶ τὸν τόνον, ὑφ' οὗ συνέχεται τῶν μερῶν ἕκαστον. ἐπεὶ μὴ πρὸς τὸν κόσμον, ἀλλ' ἐκτὸς αὐτοῦ τὸ κάτω καὶ ἄνω λαμβάνοντες, ἐν ταῖς αὐταῖς ἀπορίαις ἐπικούρῳ γενησόμεθα, κινοῦντι τὰς ἀτόμους ἁπάσας εἰς τοὺς ὑπὸ πόδας τόπους, ὥσπερ ἢ τοῦ κενοῦ πόδας ἔχοντος, ἢ τῆς ἀπειρίας ἐν αὐτῇ κάτω τε καὶ ἄνω διανοῆσαι διδούσης. διὸ καὶ Χρύσιππον ἔστι θαυμάζειν, μᾶλλον δ' ὅλως διαπορεῖν, ὅτι δὴ παθὼν τὸν κόσμον ἐν μέσῳ φησὶν ἱδρύσθαι, καὶ τὴν οὐσίαν αὐτοῦ τὸν μέσον τόπον ἀϊδίως κατειληφυῖαν, οὐχ ἥκιστα τούτῳ συνεργεῖσθαι πρὸς τὴν διαμονὴν, καὶ οἱονεὶ ἀφθαρσίαν, ταυτὶ γὰρ ἐν τῷ τετάρτῳ περὶ δυνατῶν λέγει, μέσον τε τοῦ ἀπείρου τόπον οὐκ ὀρθῶς ὀνειρώττων. ἀτοπώτερόν τε τῆς διαμονῆς τοῦ κόσμου τῷ ἀνυπάρκτῳ μέσῳ τὴν αἰτίαν ὑποθεὶς, καὶ ταῦτα πολλάκις εἰρηκὼς ἐν ἑτέροις, ὅτι ταῖς εἰς τὸ αὐτῆς μέσον ἡ οὐσία, καὶ ταῖς ἀπὸ τοῦ αὐτῆς μέσου διοικεῖται καὶ συνέχεται κινήσεσι. καὶ μὴν τά γε ἄλλα τῶν στωικῶν, τίς ἂν φοβηθείη πυνθανομένων. πῶς εἱμαρμένη μία μένει καὶ πρόνοια, καὶ οὐ πολλοὶ Δίες καὶ Ζῆνες ἔσονται, πλειόνων ὄντων κόσμων. πρῶτον μὲν γὰρ εἰ τὸ πολλοὺς εἶναι Δίας καὶ Ζῆνας ἄτοπόν ἐστι, πολλῷ δή που θεν ἔσται τὰ ἐκείνων ἀτοπώτερα. καὶ γὰρ ἡλίους καὶ σελήνας καὶ ἀπόλλωνας καὶ ἀρτέμιδας καὶ ποσειδῶνας ἐν ἀπείροις κόσμων περιόδοις ἀπείρους ποιοῦσιν. ἔπειτα τίς ἀνάγκη πολλοὺς εἶναι Δίας, ἂν πλείονες ὦσι κόσμοι καὶ μὴ καθ' ἕκαστον ἄρχοντα πρῶτον καὶ ἡγεμόνα τοῦ ὅλου θεὸν ἔχοντα καὶ νοῦν καὶ λόγον, οἷον ὁ παρ' ἡμῖν κύριος ἁπάντων καὶ πατὴρ ἐπονομαζόμενος, ἢ τί κωλύσει τῆς τοῦ Διὸς εἱμαρμένης καὶ προνοίας ὑπηκόους πάντας εἶναι, καὶ τοῦτον ἐφορᾶν ἐν μέρει καὶ κατευθύνειν, ἐνδιδόντα

πᾶσιν ἀρχὰς καὶ σπέρματα καὶ λόγους τῶν περαινομένων· οὐ γὰρ ἐνταῦθα
μὲν ἓν συνίστασθαι σῶμα πολλάκις ἐκ διεστώτων σωμάτων, οἷον ἐκκλησία καὶ στράτευμα,
καὶ χορὸς, ὧν ἑκάστῳ καὶ ζῆν καὶ φρονεῖν καὶ μανθάνειν συμβέβηκεν, ὡς οἴεται
χρύσιππος, ἐν δὲ τῷ παντὶ δέκα κόσμους ἢ πεντήκοντα ἢ ἑκατὸν ὄντας ἑνὶ χρῆ-
σθαι λόγῳ, καὶ ἀρχὴν συντετάχθαι μίαν ἀδύνατόν ἐστιν, ἀλλὰ καὶ πάνυ πρέ-
πει θεοῖς ἡ τοιαύτη διάταξις, οὐ γὰρ ὡς σμήνους ἡγεμόνας δεῖ ποιεῖν ἀνεξόδους,
οὐδὲ φρουρεῖν συγκλείσαντας τῇ ὕλῃ, μᾶλλον δὲ συμφράξαντας, ὥσπερ οὗτοι
τοὺς θεοὺς ἀέρων ἕξεις ποιοῦντας καὶ ὑδάτων καὶ πυρὸς δυνάμεις, ἐγκεκραμέ-
νας ἡγούμενοι συγγεννῶσι τῷ κόσμῳ, καὶ πάλιν συγκατακαίουσιν, οὐκ ἀπολύτους,
οὐδ' ἐλευθέρους, οἷον ἡνιόχους ἢ κυβερνήτας ὄντας, ἀλλ' ὥσπερ ἀγαλμάτων προ-
σηλοῦται καὶ συντήκεται βάσεσιν, οὕτως ἐγκεκλεισμένους εἰς τὸ σωματικὸν καὶ
συγκαταγεγομφωμένους, κοινωνοῦντας αὐτῷ μέχρι φθορᾶς καὶ διαλύσεως ἁ-
πάσης καὶ μεταβολῆς· ἐκεῖνος δ' οἶμαι σεμνότερος ὁ λόγος καὶ μεγαλοπρεπέ-
στερος, ἀδεσπότους καὶ αὐτοκρατεῖς τοὺς θεοὺς ὄντας, ὥσπερ οἱ τυνδαρίδαι
τοῖς χειμαζομένοις βοηθοῦσι, ἐπερχόμενοί τε μαλάσσοντες βίᾳ τὸν πόντον ὠκεί-
ας τε ἀνέμων ῥιπὰς, οὐκ ἐμπλέοντες αὐτοὶ καὶ συγκινδυνεύοντες, ἀλλ' ἄνωθεν
ἐπιφαινόμενοι καὶ σώζοντες, οὕτως ὑπεῖναι τὸν κόσμον ἄλλοτε ἄλλον, ἡδονῇ τε
τῆς θέας ἀγομένους, καὶ τῇ φύσει συναπευθύνοντας ἕκαστον. ὁ μὲν γὰρ ὁμη-
ρικὸς ζεὺς οὐ πάνυ πρόσω μετέθηκε τὴν ὄψιν ἀπὸ τροίας ἐπὶ τὰ θρᾴκια καὶ τοὺς
περὶ τὸν ἴστρον νομάδας, ὁ δ' ἀληθινὸς ἔχει καλὰς καὶ πρεπούσας ἐν πλείοσι
κόσμοις μεταβολὰς, οὐχὶ κενὸν ἄπειρον ἔξω βλέπων, οὐδ' ἑαυτὸν, ἄλλο δὲ οὐ-
δὲν ὡς ᾠήθησαν ἔνιοι νοῶν, ἀλλ' ἔργα τε θεῶν καὶ ἀνθρώπων πολλὰ κινήσεις τε
καὶ φορὰς ἄστρων ἐν περιόδοις καταθεώμενος· οὐ γὰρ ἀπεχθάνεται μεταβολαῖς,
ἀλλὰ καὶ πάνυ χαίρει τὸ θεῖον, εἰ δεῖ τῶν φαινομένων τεκμαίρεσθαι ταῖς κατ'
οὐρανὸν ἀμείψεσι καὶ περιόδοις. ἡ μὲν οὖν ἀπειρία παντάπασιν ἀγνώμων
καὶ ἄλογος καὶ μηδαμῇ προσιεμένη θεὸν, ἀλλὰ χρωμένη πρὸς πάντα τῷ κατὰ
τύχην καὶ αὐτομάτῳ, ἡ δ' ἐν ὡρισμένῳ πλήθει καὶ ἀριθμῷ κόσμων ἐπιμέλεια
καὶ πρόνοια τῆς εἰς ἓν ἐνδεδυκυίας σῶμα καὶ προσηρτημένης ἑνὶ, καὶ τοῦτο μετα-
σχηματιζούσης καὶ ἀναπλαττούσης ἀπειράκις, ἔμοι γε δοκεῖ μηδὲν ἔχειν ἀσεμνό-
τερον μηδ' ἐπιπονώτερον. ἐγὼ μὲν οὖν τοσαῦτα εἰπὼν ἐπέσχον, ὁ δὲ φίλιππος
οὐ πολὺν χρόνον διαλιπὼν, τὸ μὲν ἀληθὲς περὶ τούτων οὕτως ἔχειν, ἢ ἑτέρως,
οὐκ ἂν ἔγωγε διισχυρισαίμην· εἰ δὲ τὸν θεὸν ἐκβιβάζομεν ἑνὸς κόσμου, διατί πέν-
τε μόνων ποιοῦμεν οὐ πλειόνων δημιουργὸν, καὶ τίς ἐστι τοῦ ἀριθμοῦ τούτου πρὸς
τὸ πλῆθος λόγος, ἥδιον ἄν μοι δοκῶ μαθεῖν, ἢ τῆς ἐνταῦθα τοῦ ε καθιερώσεως
τὴν διάνοιαν· οὔτε γὰρ τρίγωνος ἢ τετράγωνος, οὔτε τέλειος ἢ κυβικὸς, οὔτ' ἄλλην
τινὰ φαίνεται κομψότητα παρέχων τοῖς ἀγαπῶσι τὰ τοιαῦτα καὶ θαυμάζου-
σιν, ἡ δ' ἀπὸ τῶν στοιχείων ἔφοδος ἣν αὐτὸς ὑπηνίξατο, πάντη δυσληπτός ἐστι, καὶ
μηδὲν ὑποφαίνουσα τῆς ἐκείνων ἐπεσπασμένης πιθανότητος εἰπεῖν, ὡς εἰκός ἐστι
πέντε σωμάτων ἰσογωνίων καὶ ἰσοπλεύρων καὶ περιεχομένων ἴσοις ἐπιπέδοις,
ἐγγενομένων τῇ ὕλῃ, τοσούτους εὐθὺς ἐξ αὐτῶν ἀποτελεσθῆναι κόσμους. καὶ
μὴν ἔφην ἐγὼ δοκεῖ θεόδωρος ὁ σολεὺς, οὐ φαύλως μετιέναι τὸν λόγον, ἐξηγού-
μενος τὰ μαθηματικὰ τοῦ πλάτωνος· μέτεισι δὲ οὕτως· πυραμὶς, καὶ ὀκτάεδρον,
καὶ εἰκοσάεδρον, καὶ δωδεκάεδρον, ἃ πρῶτα τίθεται πλάτων, καλὰ μέν ἐστι
πάντα, συμμετρίαις λόγων καὶ ἰσότησι καὶ κρεῖσσον οὐδὲν αὐτῶν, οὐδ' ὅμοιον
ἄλλο συνθεῖναι τῇ φύσει καὶ συναρμόσαι λέλειπται, μιᾶς γε μὴν πάντα συ-
στάσεως οὐκ εἴληχεν, οὐδ' ὁμοίαν ἔχει τὴν γένεσιν, ἀλλὰ λεπτότατον μέν ἐστι καὶ

μικρότατον ἡ πυραμὶς, μέγιστον δὲ καὶ πολυμερέστατον τὸ δωδεκάεδρον, τῶν δὲ
λειπομένων δυεῖν τοῦ ὀκταέδρου, μεῖζον, ἢ διπλάσιον πλήθει τριγώνων τὸ εἰκο-
σάεδρον. διὸ τὴν γένεσιν ἅμα πάντα λαμβάνειν ἐκ μιᾶς ὕλης, ἀδύνατόν ἐστι.
τὰ γὰρ λεπτὰ καὶ μικρὰ καὶ ταῖς κατασκευαῖς ἁπλούστερα, πρῶτα τῷ κινοῦν-
τι καὶ διαπλάττοντι τὴν ὕλην ὑπακούειν ἀνάγκη καὶ συντελεῖσθαι καὶ προϋ-
φίστασθαι τῶν ἁδρομερῶν, καὶ πολυσωμάτων, ἐξ ὧν καὶ τὴν σύστασιν ἐργωδεστέ-
ραν ἐχόντων τὸ δωδεκάεδρον· ἕπεται δὲ τούτῳ, τὸ μόνον εἶναι σῶμα πρῶτον τὴν
πυραμίδα, τῶν δ' ἄλλων μηθὲν ἀπολειπομένων τῇ φύσει τῆς γενέσεως. ἐπεὶ
οὖν ἴαμα καὶ ταύτης τῆς ἀτοπίας ἡ τῆς ὕλης εἰς πέντε κόσμους διαίρεσις καὶ
διάστασις· ὅπου μὲν γὰρ πυραμὶς, ὑπέστη τοῦτο πρῶτον, ὅπου δ' ὀκτάεδρον, ὅπου
δ' εἰκοσάεδρον· ἐκ δὲ τοῦ προϋποστάντος ἐν ἑκάστῃ τὰ λοιπὰ τὴν γένεσιν ἕξει, κα-
τὰ σύγκρισιν μερῶν εἰς πάντα γινομένης πᾶσι μεταβολῆς, ὡς αὐτὸς ὁ πλάτων
ὑποδείκνυσι διὰ πάντων σχεδὸν ἐπεξιών· ἡμῖν δὲ βραχέως ἀρκέσει μαθεῖν.
ἐπεὶ ἀὴρ μὲν σβεννυμένου πυρὸς ὑφίσταται, καὶ λεπτυνόμενος, αὖθις ἐξ αὐ-
τοῦ, πῦρ ἀναδίδωσιν, ἐν τοῖς ἑκατέροις σπέρμασι τὰ πάθη δεῖ θεάσασθαι καὶ τὰς
μεταβολὰς, σπέρματα δὲ πυρὸς ἡ πυραμὶς, ἐξ εἴκοσι καὶ τεσσάρων πρώτων
τριγώνων· τὸ δ' ὀκτάεδρον ἀέρος ἐκ τεσσαράκοντα καὶ ὀκτὼ τῶν αὐτῶν γίνε-
ται. γίνεται τοίνυν ἀέρος μὲν ἓν στοιχεῖον, ἐκ δυεῖν πυρὸς, συγκραθέντων καὶ
συστάντων, τὸ δ' ἀέρος αὖ κερματιζόμενον, εἰς δύο πυρὸς διακρίνεται σώματα,
συνθλιβόμενον δ' αὖθις αὐτῷ καὶ συμπίπτον, εἰς ὕδατος ἰδέαν ἄπεισιν· ὥστε
πανταχοῦ τὸ προϋφιστάμενον ἀεὶ, πᾶσι τοῖς ἄλλοις εὐπόρως παρέχειν τὴν γένε-
σιν ἐκ τῆς μεταβολῆς· καὶ μὴ μόνον ἓν εἶναι πρῶτον ἑτέρου δ' ἐν ἑτέρῳ συστή-
ματι κίνησιν ἀρχηγὸν καὶ προληπτικὴν ἐς γένεσιν ἔχοντος, πᾶσι τηρεῖσθαι τὴν
ὁμωνυμίαν. καὶ ὁ ἀμμώνιος, ἀνδρικῶς μὲν ἔφη ταῦτα τῷ θεοδώρῳ καὶ φι-
λοτίμως διαπεπόνηται· θαυμάσαιμι δ' ἂν εἰ μὴ δόξειεν χρῆσθαι λήμμασιν ἀναι-
ρετικοῖς ἀλλήλων· ἀξιοῖ γὰρ ἅμα πᾶσι τοῖς πέντε μὴ γενέσθαι τὴν σύστασιν, ἀλλὰ
τὸ λεπτότατον ἀεὶ καὶ δι' ἐλάττονος πραγματείας συνιστάμενον προεκπίπτειν
εἰς γένεσιν· εἶτα ὥσπερ ἀκόλουθον οὐ μαχόμενον τούτῳ, τίθησι τὸ μὴ πᾶσαν ὕ-
λην πρῶτον εἰσφέρειν τὸ ἁπλότατον καὶ ἁπλούστατον, ἀλλ' ἐνιαχῆ τὰ ἐμβρι-
θῆ καὶ πολυμερῆ φθάνειν προανίσχοντα ταῖς γενέσεσιν ἐκ τῆς ὕλης. αὐτοῦ δὲ τού-
του πέντε σωμάτων πρώτων ὑποκειμένων, καὶ διὰ τοῦτο κόσμων λεγομένων εἶναι
τοσούτων, πρὸς μόνα τὰ τέσσαρα τῇ πιθανότητι χρῆται· τὸν δὲ κύβον ὥσπερ
ἐν παιδιᾷ ψήφων ὑφαίρηται, μήτ' αὐτὸν εἰς ἐκεῖνα μεταβάλλειν πεφυκότα, μή-
τ' ἐκείνοις παρέχειν μεταβολὴν εἰς ἑαυτὸν, ἅτε δὴ τῶν τριγώνων οὐχ ὁμογενῶν
ὄντων· ἐκείνοις μὲν γὰρ ὑπόκειται κοινὸν ἐν πᾶσι τὸ ἡμιτρίγωνον, ἐν τούτῳ δὲ ἴδι-
ον μόνῳ τὸ ἰσοσκελὲς, οὐ ποιοῦν πρὸς ἐκεῖνο σύνδυσιν, οὔτε σύγκρασιν ἑνωτικήν.
εἴπερ οὖν πέντε σωμάτων ὄντων καὶ πέντε κόσμων ἐν ἑκάστῳ τὴν ἡγεμονίαν ἔχει
τῆς γενέσεως· ὅπου γέγονεν ὁ κύβος πρῶτος, οὐθὲν ἔσται τῶν ἄλλων· εἰς οὐθὲν γὰρ
ἐκείνων μεταβάλλειν πέφυκεν· ἐῶ γὰρ ὅτι καὶ τὸ τοῦ καλουμένου δωδεκαέδρου στοιχεῖ-
ον, ἄλλο ποιοῦσιν οὐκ ἐκεῖνο τὸ σκαληνὸν, ἐξ οὗ τὴν πυραμίδα καὶ τὸ ὀκτάεδρον καὶ
τὸ εἰκοσάεδρον ὁ πλάτων συνίστησιν· ὥς τε ἅμα γελῶν ὁ ἀμμώνιος εἶπεν, ἢ ταῦ-
τά σοι διαλυτέον, ἢ ἴδιόν τι λεκτέον περὶ τῆς κοινῆς ἀπορίας, κἀγὼ πιθανώτε-
ρον οὐθὲν ἔχω λέγειν ἔν γε τῷ παρόντι, βέλτιον δ' ἴσως ἐστὶν ἰδίας εὐθύνας ὑ-
πέχειν δόξης ἢ ἀλλοτρίας. λέγω τοίνυν αὖθις ἐξ ἀρχῆς ὅτι δυοῖν ὑποκειμέ-
νων φύσεων, τῆς μὲν αἰσθητῆς ἐν γενέσει καὶ φθορᾷ μεταβόλου καὶ φορητῆς ἄλ-
λοτε ἄλλως, ἑτέρας δ' ἐν οὐσίᾳ νοητῆς ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἐχούσης· δεινόν

ἐστιν ὥσπερ τὴν μὲν νοητὴν διῃρεῖσθαι καὶ διαφορὰν ἔχειν ἐν ἑαυτῇ, τὴν δὲ σω-
ματικὴν καὶ παθητικὴν, εἰ μὴ μίαν τις ἀπολείποι συμπεφυκυῖαν αὐτῇ καὶ συ-
νοῦσαν, ἀλλὰ χωρίζει καὶ διίστησιν, ἀγανακτεῖν καὶ δυσχεραίνειν. τὰ γὰρ μόνι-
μα καὶ θεῖα δή που μᾶλλον αὐτῶν ἔχεσθαι προσήκει, καὶ φεύγειν ὡς ἀνυστόν ἐστι τὸ
μὴν ἅπασαν καὶ διάστασιν, ἀλλὰ καὶ τούτων ἡ τοῦ ἑτέρου δύναμις ἁπτομένη μεί-
ζονας ἐνείργασται τῶν κατὰ τόπον διαστάσεων, τοῖς νοητοῖς τὰς κατὰ λόγον καὶ
ἰδέαν ἀνομοιότητας. ὅθεν ἐνιστάμενος τοῖς ἓν τὸ πᾶν ἀποφαίνουσιν ὁ πλάτων,
τό τε ὂν εἶναί φησι καὶ τὸ ταυτὸν καὶ ἕτερον, ἐπὶ πᾶσι δὲ κίνησιν καὶ στάσιν.
ὄντων οὖν πέντε τούτων, οὐ θαυμαστὸν ἦν εἰ τῶν πέντε σωματικῶν στοιχείων ἐκείνων
ἕκαστον ἑκάστου μίμημα τῇ φύσει καὶ εἴδωλόν ἐστι γεγενημένον οὐκ ἄμικτον, οὐ-
δ' εἰλικρινὲς, ἀλλὰ τῷ μάλιστα μετέχειν ἕκαστον ἑκάστης δυνάμεως, ὁ μέν γε κύβος
ἐμφανῶς στάσεως οἰκεῖόν ἐστι σῶμα διὰ τὴν τῶν ἐπιπέδων ἀσφάλειαν καὶ βεβαιό-
τητα, τῆς δὲ πυραμίδος πᾶς ἄν τις τὸ πυροειδὲς καὶ κινητικὸν ἐν τῇ λεπτότητι
τῶν πλευρῶν καὶ τῇ τῶν γωνιῶν ὀξύτητι κατανοήσειεν, ἡ δὲ τοῦ δωδεκαέδρου
φύσις, περιληπτικὴ τῶν ἄλλων σχημάτων οὖσα τοῦ ὄντος εἰκὼν, πρὸς πᾶν τὸ σω-
ματικὸν γεγονέναι δόξειε. τῶν δὲ λοιπῶν δυεῖν, τὸ μὲν εἰκοσάεδρον τῆς τοῦ ἑτέρου,
τὸ δ' ὀκτάεδρον μάλιστα τῆς αὐτοῦ μετείληχεν ἰδέας. διὸ τοῦτο μὲν ἀέρα χωτι-
κὸν οὐσίας πάσης ἐν μιᾷ μορφῇ, θάτερον δὲ ὕδωρ ἐπὶ πλεῖστα τῷ κεραννύ-
σθαι γένη ποιοτήτων ξενόμενα παρέχειν. εἴπερ οὖν ἡ φύσις ἀπαιτεῖ τὴν
ἰσονομίαν ἐν πᾶσι, καὶ κόσμους εἰκός ἐστι μήτε πλείους γεγονέναι μήτ' ἐλάττους
τῶν παραδειγμάτων, ὅπως ἕκαστον ἑκάστῳ τάξιν ἡγεμονικὴν ἔχει καὶ δύναμιν,
ὥσπερ ἐν ταῖς συστάσεσι τῶν σωμάτων ἔσχηκεν. οὐ μὴν ἀλλὰ τοῦτο μὲν ἔστω πα-
ραμυθία τοῦ θαυμάζοντος, εἰ τὴν ἐν γενέσει καὶ μεταβολῇ φύσιν, εἰς γένη τοσαῦ-
τα διαιροῦμεν. ἐκεῖνο δ' ἤδη σκοπεῖτε κοινῇ προσέχοντες, ὅτι τῶν ἀνωτάτω ἀρ-
χῶν, λέγω δὲ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἡ μὲν ἀμορφίας πάσης στοιχεῖ-
ον οὖσα καὶ ἀταξίας, ἀπειρία κέκληται. ἡ δὲ τοῦ ἑνὸς φύσις ὁρίζουσα καὶ
καταλαμβάνουσα τῆς ἀπειρίας τὸ κενὸν καὶ ἄλογον καὶ ἀόριστον, ἔμμορφον
παρέχεται, καὶ τὴν ἑπομένην περὶ τὰ αἰσθητὰ δεῖξιν καταγόρευσιν ἁμωσγέ-
πως ὑπομένον καὶ δεχόμενον, αὗται δὲ πρῶτον αἱ ἀρχαὶ περὶ τὸν ἀριθμὸν ἐ-
πιφαίνονται, μᾶλλον δὲ ὅλως ἀριθμὸς οὐκ ἐστι τὸ πλῆθος, ἂν μὴ καθάπερ εἶδος
ὕλης τὸ ἐγγενόμενον ἐκ τῆς ἀπειρίας τοῦ ἀορίστου, πῆ μὲν πλεῖον, πῆ δὲ ἔλατ-
τον ἀποτέμνηται. τό τε γὰρ ἀριθμὸς γίνεται τῶν πληθῶν ἕκαστον, ὑπὸ τοῦ ἑνὸς
ὁριζόμενον. ἐὰν δὲ ἀναιρεθῇ τὸ ἓν, πάλιν ἡ ἀόριστος δυὰς συγχέασα πᾶν ἄρρυθ-
μον καὶ ἄπειρον καὶ ἄμετρον ἐποίησεν. ἐπεὶ δὲ τὸ εἶδος οὐκ ἀναίρεσίς ἐστι τῆς
ὕλης, ἀλλὰ μορφὴ καὶ τάξις ὑποκειμένης, ἀνάγκη καὶ τῷ ἀριθμῷ τὰς ἀρχὰς
ἐνυπάρχειν ἀμφοτέρας. ὅθεν ἡ πρώτη καὶ μεγίστη διαφορὰ καὶ ἀνομοιότης
γέγονεν. ἔστι γὰρ ἡ μὲν ἀόριστος ἀρχὴ τοῦ ἀρτίου δημιουργὸς, οὐδὲν βελτίων,
ὥσπερ ἡ τούτου, πρῶτος δὲ τῶν ἀρτίων τὰ δύο, καὶ τὰ τρία τῶν περιττῶν, ἐξ ὧν
τὰ πέντε τῇ μὲν συνθέσει κοινὸς ὢν ἀμφοῖν ἀριθμὸς, τῇ δὲ δυνάμει γεγονὼς
περιττός. ἔδει γὰρ εἰς πλείονα μέρη τοῦ αἰσθητοῦ καὶ σωματικοῦ μεριζο-
μένου διὰ τὴν σύμφυσιν, ἀνάγκη τῆς ἑτερότητος, μὴ δὲ τὸν πρῶτον ἄρτιον
γενέσθαι, μήτε τὸν πρῶτον περιττὸν, ἀλλὰ τὸν τρίτον ἐκ τούτων ἀποτελού-
μενον, ὅπως ἀπ' ἀμφοτέρων τῶν ἀρχῶν γένηται καὶ τῆς τὸ ἄρτιον δημιουρ-
γούσης, καὶ τῆς τὸ περιττόν. οὐ γὰρ ἦν οἷόν τε τῆς ἑτέρας ἀπαλλαγῆναι τὴν ἑτέ-
ραν, ἑκατέρα γὰρ ἀρχῆς φύσιν ἔχει καὶ δύναμιν. ἀμφοτέρων οὖν συνδιαζο-
μένων ἡ βελτίων κρατήσασα τῆς ἀοριστίας διαιρούσης, τὸ σωματικὸν ἔστη, καὶ

τῆς ὕλης

ALDVS MA.RO

τῆς ὕλης ἐν ἀμφοτέροις διισταμένης μέσην τὴν μονάδα θεμένη δίχα νεμηθῆναι
τὸ πᾶν οὐκ εἴασεν, ἀλλὰ πλῆθος μὲν γέγονε κόσμων ὑπὸ τῆς ἑτερότητος τῆς ἀορίστου
καὶ διαφορᾶς, περιττὸν δὲ πλῆθος ἡ ταὐτοῦ καὶ ὡρισμένου δύναμις ἀπείργασαι, πε-
ριττὸν δὲ τοιοῦτον, ὅτι πορρωτέρω τὴν φύσιν ἢ βέλτιον ἔχει, προελθεῖν οὐκ εἴασεν.
εἰ μὲν γὰρ ἀμιγὲς ἦν καθαρὸν ἦν τὸ ἕν, οὐδὲν ὅλως εἶχεν ἡ ὕλη διάστασιν. ἐπεὶ δὲ τῷ
διαιρετικῷ τῆς δυάδος μέμικται, τομὴν μὲν ἐδέξατο καὶ διαίρεσιν, ἐνταῦθα δ' ἔστη
τῷ περιττῷ τοῦ ἀρτίου κρατηθέντος. διὸ καὶ πεμπάσασθαι τὸ ἀριθμῆσαι τοῖς πα-
λαιοῖς ἔθος ἦν καλεῖν. οἶμαι δὲ καὶ τὰ πάντα τῶν πέντε παρώνυμα γεγονέναι
κατὰ λόγον, ἅτε δὴ τῆς πεντάδος ἐκ τῶν πρώτων ἀριθμὸν συνεστώσης. καὶ γὰρ οἱ μὲν
ἄλλοι πολλαπλασιαζόμενοι πρὸς ἄλλους εἰς ἕτερον αὐτῶν ἀριθμῶν ἐκβαίνου-
σιν, ἡ δὲ πεντὰς ἂν μὲν ἀρτιάκις λαμβάνηται, τὸν δέκα ποιεῖ τέλειον. ἐὰν δὲ περισ-
σάκις ἑαυτὸν πάλιν ἀποδίδωσιν. ἐῶ δ' ὅτι πρῶτον μὲν ἐκ πρώτων δυεῖν τετρα-
γώνων συνέστηκε τῆς τε μονάδος καὶ τῆς τετράδος ἡ πεντάς, πρώτη δὲ ἴσον δυνα-
μένη τοῖς πρὸ αὐτῆς δυσὶ τὸ κάλλιστον τῶν ὀρθογωνίων τριγώνων συνίστησι, πρώτη
δὲ ποιεῖ τὸν ἡμιόλιον λόγον. οὐ γὰρ ἴσως οἰκεῖα ταῦτα τοῖς ὑποκειμένοις πράγμασιν.
ἀλλ' ἐκεῖνο μᾶλλον τὸ φύσει διαιρετικὸν τοῦ ἀριθμοῦ καὶ τὰ πλεῖστα τούτῳ τὴν
φύσιν διανέμειν. ἐν μὲν γὰρ ἡμῖν αὐτοῖς αἰσθήσεις πέντε καὶ μόρια ψυχῆς, φυσικόν,
αἰσθητικόν, ἐπιθυμητικόν, θυμοειδές, λογιστικόν, καὶ δακτύλους ἑκατέρας χειρὸς
τοσούτους, καὶ τὸ γονιμώτατον σπέρμα πενταχῆ σχιζόμενον. οὐ γὰρ ἱστόρηται γυνὴ
πλείονα τεκοῦσα, πέντε συχνὰ ταῖς αὐταῖς ὠδῖσι, καὶ τὴν ῥέαν αἰγύπτιοι μυ-
θολογοῦσι πέντε θεοὺς τεκεῖν, αἰνιττόμενοι τὴν ἐκ μιᾶς ὕλης τῶν πέντε κόσμων γένε-
σιν. ἐν δὲ τῷ παντὶ πέντε μὲν ζώναις ὁ περὶ γῆν τόπος, πέντε δὲ κύκλοις ὁ οὐρανὸς
διώρισται, δυσὶν ἀρκτικοῖς καὶ δυσὶ τροπικοῖς καὶ μέσῳ τῷ ἰσημερινῷ, πέντε δ'
αἱ τῶν πλανωμένων ἄστρων περίοδοι γεγόνασιν. ἡλίου καὶ φωσφόρου καὶ στίλβωνος ὁ-
μοδρομούντων, ἐναρμόνιος δὲ καὶ ἡ τοῦ κόσμου σύνταξις, ὥσπερ ἀμέλει καὶ τὸ παρ'
ἡμῖν ἡρμοσμένον ἐν πέντε τετραχόρδων θέσεσιν ὁρᾶται τῶν ὑπατῶν, καὶ μέσων, καὶ
συνημμένων, καὶ διεζευγμένων, καὶ ὑπερβολαίων, καὶ τὰ μελῳδούμενα διαστήμα-
τα πέντε, δίεσις, καὶ ἡμιτόνιον, καὶ τόνος, καὶ τριημιτόνιον, καὶ δίτονον. ὥσθ'
ἡ φύσις ἔοικε τῷ πέντε ποιεῖν ἅπαντα χαίρειν μᾶλλον, ἢ τῷ σφαιροειδεῖ καθάπερ
ἀριστοτέλης ἔλεγε. τί δῆτα φήσαι τις ἂν ὁ πλάτων περὶ τὰ πέντε σχήματα τὸν τῶν
πέντε κόσμων ἀριθμὸν ἀνήνεγκεν εἰπών, ὅτι τῇ πέμπτῃ συστάσει ὁ θεὸς ἐπὶ τὸ πᾶν
κατεχρήσατο ἐκεῖνο διαγράφων, εἶτα τὴν περὶ τοῦ πλήθους τῶν κόσμων ὑπο-
θεὶς ἀπορίαν. πότερον ἕνα ἢ πέντε αὐτοὺς ἀληθείᾳ πεφυκότας λέγειν προσήκει,
δῆλός ἐστιν ἐντεῦθεν, οἰόμενος ὡρμῆσθαι τὴν ὑπόνοιαν. εἴπερ οὖν δεῖ πρὸς τὴν ἐκεί-
νου διάνοιαν ἀπάγειν τὸ εἰκός, σκοπῶν ὅτι ταῖς τῶν σωμάτων καὶ σχημάτων ἐκείνων
διαφοραῖς, ἀνάγκη καὶ κινήσεων εὐθὺς ἕπεσθαι διαφόροις, ὥσπερ αὐτὸς διδάσκει τὸ
διακρινόμενον, ἢ συγκρινόμενον ὄνομα τῆς οὐσίας τῇ ἑτεροιώσει, καὶ τὸν τόπον
μεταλλάττειν ἀποφαινόμενος. ἂν γὰρ ἐξ ἀέρος, πῦρ γένηται, λυθέντος τοῦ ὀκτα-
έδρου καὶ κερματισθέντος, εἰς πυραμίδας, ἢ πάλιν ἀὴρ ἐκ πυρὸς συνωσθέντος καὶ
συνθλιβέντος εἰς ὀκτάεδρον, οὐ δυνατὸν μένειν, ὅπου πρότερον ἦν, ἀλλὰ φεύγει
καὶ φέρεται πρὸς ἑτέραν χώραν ἐκβιαζόμενον καὶ μαχόμενον τοῖς ἐνισταμένοις καὶ κα-
τέχουσιν. ἔτι δὲ μᾶλλον, εἰκόνι τὸ συμβαῖνον ἐνδείκνυται τοῖς περὶ τὸν ἐπειγόντων
καὶ ὀργάνων περὶ τὴν τοῦ σίτου κάθαρσιν, ἐγκειμένοις ἀναλισκομένοις, ὁμοίως λέ-
γων τὰ στοιχεῖα σείοντα τὴν ὕλην ὑπ' ἐκείνης τε σειόμενα πρὸς χωρεῖν ἀεὶ τὰ ὅμοια
τοῖς ὁμοίοις, ἄλλην τε χώραν ἄλλα ἴσχειν πρὶν ἐξ αὐτῶν γενέσθαι τὸ πᾶν διακοσμη-
θέν. οὕτως οὖν τό τε τῆς ὕλης ἐχούσης ὡς ἔχειν τὸ πᾶν εἰκός, εὐθέως ἀπέστη.



τῆς ὕλης ἐν ἀμφοτέροις διισταμένης μέσην τὴν μονάδα θεμένη δίχα νεμηθῆναι τὸ πᾶν οὐκ εἴασεν, ἀλλὰ πλῆθος μὲν γέγονε κόσμων διὰ τὴν ἑτερότητα τῆς ἀορίστου καὶ διαφορᾶς, πεπερασμένον δὲ πλῆθος ἡ ταυτότητος καὶ ὡρισμένου δύναμις ἀπείργασται, περιττὸν δὲ τοιοῦτον, ὅτι προσωτέρω τὴν φύσιν ἡ βέλτιον ἔχει, προελθεῖν οὐκ εἴασεν· εἰ μὲν γὰρ ἀμιγὲς καὶ καθαρὸν ἦν τὸ ἕν, οὐδὲν ὅλως εἶχεν ἡ ὕλη διάστασιν· ἐπεὶ δὲ τῷ διαιρετικῷ τῆς δυάδος μέμικται, τομὴν μὲν ἐδέξατο καὶ διαίρεσιν, ἐνταῦθα δ' ἔστη τῷ περιττῷ τοῦ ἀρτίου κρατηθέντος· διὸ καὶ πεμπάσασθαι τὸ ἀριθμῆσαι τοῖς παλαιοῖς ἔθος ἦν καλεῖν. οἶμαι δὲ καὶ τὰ πάντα τῶν πέντε παρώνυμα γεγονέναι κατὰ λόγον, ἅτε δὴ τῆς πεντάδος ἐκ τῶν πρώτων ἀριθμὸν συνεστώσης. καὶ γὰρ οἱ μὲν ἄλλοι πολλαπλασιαζόμενοι πρὸς ἄλλους εἰς ἕτερον αὐτῶν ἀριθμῶν ἐκβαίνουσιν, ἡ δὲ πεντὰς ἂν μὲν ἀρτιάκις λαμβάνηται, τὸν δέκα ποιεῖ τέλειον· ἐὰν δὲ περισσάκις ἑαυτὸν πάλιν ἀποδίδωσιν. ἐῶ δ' ὅτι πρῶτον μὲν ἐκ πρώτων δυεῖν τετραγώνων συνέστηκε τῆς τε μονάδος καὶ τῆς τετράδος ἡ πεντάς, πρώτη δὲ ἴσον δυναμένη τοῖς πρὸ αὐτῆς δυσὶ τὸ κάλλιστον τῶν ὀρθογωνίων τριγώνων συνίστησι, πρώτη δὲ ποιεῖ τὸν ἡμιόλιον λόγον. οὐ γὰρ ἴσως οἰκεῖα ταῦτα τοῖς ὑποκειμένοις πράγμασιν· ἀλλ' ἐκεῖνο μᾶλλον τὸ φύσει διαιρετικὸν τοῦ ἀριθμοῦ καὶ τὸ πλεῖστα τούτων τὴν φύσιν διανέμειν. ἐν μὲν γὰρ ἡμῖν αὐτοῖς αἰσθήσεις πέντε καὶ μόρια ψυχῆς, φυσικὸν, αἰσθητικὸν, ἐπιθυμητικὸν, θυμοειδὲς, λογιστικὸν, καὶ δακτύλους ἑκατέρας χειρὸς τοσούτους, καὶ τὸ γονιμώτατον σπέρμα πενταχῆ σχιζόμενον· οὐ γὰρ ἱστόρηται γυνὴ πλείονα τεκοῦσα, πέντε συχνὰ ταῖς αὐταῖς ὠδῖσι, καὶ τὴν ῥέαν αἰγύπτιοι μυθολογοῦσι πέντε θεοὺς τεκεῖν, αἰνιττόμενοι τὴν ἐκ μιᾶς ὕλης τῶν πέντε κόσμων γένεσιν. ἐν δὲ τῷ παντὶ πέντε μὲν ζώναις ὁ περὶ γῆν τόπος, πέντε δὲ κύκλοις ὁ οὐρανὸς διώρισται, δυσὶν ἀρκτικοῖς καὶ δυσὶν τροπικοῖς καὶ μέσῳ τῷ ἰσημβρινῷ, πέντε δ' αἱ τῶν πλανωμένων ἄστρων περίοδοι γεγόνασιν· ἡλίου καὶ φωσφόρου καὶ στίλβωνος ὁμοδρομούντων, ἐναρμόνιος δὲ καὶ ἡ τοῦ κόσμου σύνταξις, ὥσπερ ἀμέλει καὶ τὸ παρ' ἡμῖν ἡρμοσμένον ἐν πέντε τετραχόρδων θέσεσιν ὁρᾶται τῶν ὑπατῶν, καὶ μέσων, καὶ συνημμένων, καὶ διεζευγμένων, καὶ ὑπερβολαίων, καὶ τὰ μελῳδούμενα διαστήματα πέντε, δίεσις, καὶ ἡμιτόνιον, καὶ τόνος, καὶ τριημιτόνιον, καὶ δίτονον. οὕτως ἡ φύσις ἔοικε τὸ πέντε ποιεῖν ἅπαντα χαίρειν μᾶλλον, ἢ τῷ σφαιροειδεῖ καθάπερ ἀριστοτέλης ἔλεγε. τί δῆτα φήσαι τις ἂν ὁ πλάτων πρὸς τὰ πέντε σχήματα τὸν τῶν πέντε κόσμων ἀριθμὸν ἀνήνεγκεν εἰπὼν, ὅτι τῇ πέμπτῃ συστάσει ὁ θεὸς πρὸς τὸ πᾶν κατεχρήσατο ἐκεῖνο διαγράφων, εἶτα τὴν περὶ τοῦ πλήθους τῶν κόσμων ὑποθεὶς ἀπορίαν· πότερον ἕνα ἢ πέντε αὐτοὺς ἀληθείᾳ πεφυκότας λέγειν προσήκει, δῆλός ἐστιν ἐντεῦθεν, οἰόμενος ὡρμῆσθαι τὴν ὑπόνοιαν· εἴπερ οὖν δεῖ πρὸς τὴν ἐκείνου διάνοιαν ἀπάγειν τὸ εἰκὸς, σκοπῶν ὅτι ταῖς τῶν σωμάτων καὶ σχημάτων ἐκείνων διαφοραῖς, ἀνάγκη καὶ κινήσεων εὐθὺς ἕπεσθαι διαφόροις, ὥσπερ αὐτὸς διδάσκει τὸ διακρινόμενον, ἢ συγκρινόμενον ὄνομα τῆς οὐσίας τῇ ἑτεροιώσει, καὶ τὸν τόπον μεταλλάττειν ἅμα φαινόμενος· ἂν γὰρ ἐξ ἀέρος, πῦρ γένηται, λυθέντος τοῦ ὀκταέδρου καὶ κερματισθέντος, εἰς πυραμίδας, ἢ πάλιν ἀὴρ ἐκ πυρὸς συνωσθέντος καὶ συνθλιβέντος εἰς ὀκτάεδρον, οὐ δυνατὸν μένειν, ὅπου πρότερον ἦν, ἀλλὰ φεύγει καὶ φέρεται πρὸς ἑτέραν χώραν ἐκβιαζόμενον καὶ μαχόμενον τοῖς ἐνισταμένοις καὶ κατεπείγουσιν. ἔτι δὲ μᾶλλον, εἰκόνι τὸ συμβαῖνον ἐκδείκνυται τοῖς ὑπὸ τῶν ἐπειγόντων καὶ ὀργάνων περὶ τὴν τοῦ σίτου κάθαρσιν, ἐγκειμένοις ἀναλισκομένοις, ὁμοίως λέγων τὰ στοιχεῖα σείοντα τὴν ὕλην ὑπ' ἐκείνης τε σειόμενα πρὸς χωρεῖν ἀεὶ τὰ ὅμοια τοῖς ὁμοίοις, ἄλλην τε χώραν ἄλλαις οἱ πρὶν ἐπ' αὐτῶν γενέσθαι τὸ πᾶν διακοσμηθέν.. οὕτως οὖν τό τε τῆς ὕλης ἐχούσης ὡς ἔχειν τὸ πᾶν εἰκὸς, εὐθέως ἅπεστιν.

εὐθὺς αἱ πρῶται πέντε ποιότητες, ἰδίας ἔχουσαι ῥοπὰς, ἐφέροντο χωρὶς οὐ παντάπασιν, οὐδὲ εἰλικρινῶς ἀποκρινόμεναι, διὰ τὸ πάντων ἀναμεμιγμένων ἀεὶ τὰ κρατούμενα τοῖς ἐπικρατοῦσι παρὰ φύσιν ἕπεσθαι. διὸ δὴ τοῖς τῶν σωμάτων γένεσιν, ἄλλων ἀλλαχῆ φερομένων ἰσαρίθμους μερίδας καὶ διαστάσεις ἐποίησαν, τὴν μὲν οὐ καθαροῦ πυρὸς, ἀλλὰ πυροειδῆ, τὴν δὲ οὐκ ἀμιγοῦς αἰθέρος, ἀλλ' αἰθεροειδῆ, τὴν δὲ οὐ γῆς αὐτῆς καθ' ἑαυτὴν, ἀλλὰ γεώδη· μάλιστα δὲ καὶ τὴν ἀέρος κοίνωσιν τὴν ὕδατος, διὰ τὸ πολλῶν ὥσπερ εἴρηται τῶν ἄλλων φύλων ἀναπεπλησμένων ἀπελθεῖν. οὐ γὰρ ὁ θεὸς διέστησεν, οὐδὲ διώκισε τὴν οὐσίαν, ἀλλ' ὑπ' αὐτῆς διεστῶσαν αὐτὴν, καὶ φερομένην χωρὶς, ἐν ἀκοσμίαις τοσαύταις παραλαβὼν, ἔταξε καὶ συνήρμοσε δι' ἀναλογίας καὶ μεσότητος· εἶθ' ἑκάστῃ λόγον ἐγκαταστήσας ὥσπερ ἁρμοστὴν καὶ φύλακα, κόσμους ἐποίησε τοσούτους, ὅσα γένη τῶν πρώτων σωμάτων ὑπῆρχε. ταῦτα μὲν οὖν τῇ Πλάτωνος ἀνακείσθω χάριτι, δι' Ἀμμώνιον. ἐγὼ δὲ περὶ μὲν ἀριθμοῦ κόσμων οὐκ ἄν ποτε διισχυρισαίμην, ὅτι τοσοῦτοι· τὴν δὲ πλείονας μὲν ἑνὸς οὐ μὴν ἀπείρους, ἀλλ' ὡρισμένους πλήθει τιθεμένην δόξαν, οὐδετέρας ἐκείνων ἀλογωτέραν ἡγοῦμαι τὸ φύσει τῆς ὕλης σκεδαστὸν καὶ μεριστὸν ὁρῶν, οὔτ' ἐφ' ἑνὸς μένον, οὔτ' εἰς ἄπειρον ὑπὸ τοῦ λόγου βαδίζειν ἐώμενον. εἰ δ' ἀλλαχόθι που κἀν τῆς ἀκαδημίας ὑπομιμνήσκοντες, ἑαυτοὺς τὸ ἄγαν τῆς πίστεως ἀφαιρῶμεν, καὶ τὴν ἀσφάλειαν, ὥσπερ ἐν χωρίῳ σφαλερῷ τῷ περὶ τῆς ἀπειρίας λόγῳ μόνον διασῴζωμεν. ἐμοῦ δὲ ταῦτα εἰπόντος, ὁ Δημήτριος, ὀρθῶς ἔφη Λαμπρίας παραινεῖ. πολλαῖς γὰρ οἱ θεοὶ μορφαῖς οὐ σοφισμάτων, ὡς Εὐριπίδης φησὶν, ἀλλὰ πραγμάτων σφάλλουσιν ἡμᾶς, ὅτ' ἂν ὡς ἐπιστάμενοι τολμῶμεν ἀποφαίνεσθαι περὶ τηλικούτων, ἀλλ' ἀνοιστέος ὁ λόγος, ὡς αὐτὸς ἀνήρ φησιν, ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. τὸ γὰρ ἀφισταμένων καὶ ἀπολειπόντων τὰ χρηστήρια τῶν δαιμόνων, ὥσπερ ὄργανα τεχνιτῶν ἀργὰ καὶ ἄναυδα κεῖσθαι λεχθὲν, ἕτερον λόγον ἐγείρει οὐ περὶ τῆς αἰτίας μείζονα καὶ δυνάμεως, ᾧ χρώμενοι ποιοῦσιν κατόχους τοῖς ἐνθουσιασμοῖς, καὶ φανταστικοὺς τοὺς προφήτας καὶ τὰς προφήτιδας. οὐ γὰρ οἷόν τε τὴν ἔκλειψιν αἰτιᾶσθαι τῶν ἀπουσιῶν τὰ μαντεῖα μὴ πεισθέντας, ὃν τρόπον ἐφεστῶτες αὐτοῖς καὶ παρόντες, ἐνεργὰ καὶ λόγια ποιοῦσιν οἱ δαίμονες. ὑπολαβὼν δ' ὁ Ἀμμώνιος, οἴει γὰρ ἕτερόν τι τοὺς δαίμονας εἰπεῖν ἢ ψυχὰς ὄντας περιπολεῖν καθ' Ἡσίοδον, ἠέρα ἑσσαμένους· ἐμοὶ μὲν γὰρ ἣν ἄνθρωπος ἔχει διαφορὰν πρὸς ἄνθρωπον ὑποκρινόμενον τραγῳδίαν ἢ κωμῳδίαν, ταύτην ἔχειν δοκεῖ ψυχὴν ἐνεσκευασμένην σῶμα πρὸς τὸν τῇδε βίῳ προσφέρειν. οὐδὲν οὖν ἄλογον οὐδὲ θαυμαστὸν, εἰ ψυχαὶ ψυχαῖς ἐντυγχάνουσαι, φαντασίας ἐμποιοῦσι τοῦ μέλλοντος, ὥσπερ ἡμεῖς ἀλλήλοις οὐ πάντα διὰ φωνῆς, ἀλλὰ καὶ γράμμασι, καὶ θίγοντες μόνον καὶ προσβλέψαντες πολλὰ μηνύομεν τῶν γεγονότων καὶ τῶν ἐσομένων προσημαίνομεν, εἰ μή τι σὺ λέγεις ἕτερον ὦ Λαμπρία, καὶ γὰρ ἔναγχος ἧκέν τις φωνὴ πρὸς ἡμᾶς ὡς σοῦ πολλὰ περὶ τούτων ἐν Λεβαδίᾳ ξένοις διαλεχθέντος, ὧν οὐδὲν ὁ διηγούμενος ἀκριβῶς διεμνημόνευσε. μὴ θαυμάσῃς ἔφην ἐγὼ, πολλαὶ γὰρ ἅμα πράξεις διὰ μέσου καὶ ἀσχολίαι συντυγχάνουσαι, διὰ τὸ μαντεῖον εἶναι καὶ θυσίαν τοὺς λόγους διεσπαρμένους ἡμῖν, καὶ σποράδας ἐποίησαν. ἀλλὰ νῦν ὁ Ἀμμώνιος ἔφη καὶ σχολὴν ἄγοντας ἀκροατὰς ἔχει, καὶ πρόθυμοι, τὰ μὲν ζητεῖν, τὰ δὲ μανθάνειν, ἔριδος ἐκποδὼν οὔσης, καὶ φιλονεικίας ἁπάσης, συγγνώμης δὲ παντὶ λόγῳ καὶ παρρησίας, ὡς ὁρᾷς δεδομένης. ταῦτα δὴ καὶ τῶν ἄλλων συμπαρακαλούντων, μικρὸν ἐγὼ σιωπήσας, καὶ μὴν ἀπὸ τύχης τινὸς ὦ Ἀμμώνιε τοῖς τότε λόγοις αὐτὸς ἀρχήν τινα καὶ πάροδον ἐνδέδωκας. εἰ γὰρ αἱ διακριθεῖσαι σώματος ἢ μὴ μεταλαχοῦσαι τὸ παράπαν ψυχαὶ δαίμονές εἰσι κατὰ σὲ καὶ

τὸν

τὸν θεῖον Ἡσίοδον· ἁγνοὶ ἐπιχθόνιοι φύλακες θνητῶν ἀνθρώπων· διατί τὰς ἐν τοῖς σώμασι ψυχὰς ἐκείνης τῆς δυνάμεως ἀποστεροῦμεν, ᾗ τὰ μέλλοντα καὶ προγινώσκειν πεφύκασι, καὶ προδηλοῦν οἱ δαίμονες· οὔτε γὰρ δύναμιν, οὔτε μόριον οὐθὲν ἐπιγίνεσθαι ταῖς ψυχαῖς, ὅταν ἀπολείπωσι τὸ σῶμα μὴ κεκτημέναις πρότερον εἰκός ἐστιν, ἀλλ' ἀεὶ μὲν ἔχειν, ἔχειν δὲ φαυλότερα τῷ σώματι μεμιγμένας, καὶ τὰ μὲν ὅλως ἄδηλα καὶ κεκρυμμένα, τὰ δὲ ἀσθενῆ καὶ ἀμαυρὰ, καὶ τοῖς δι' ὁμίχλης ὁρῶσιν, ἢ κινουμένοις ἐν ὑγρῷ παραπλησίως δύσεργα καὶ βραδέα καὶ πολλὴν ποθοῦντα θεραπείαν τοῦ οἰκείου καὶ ἀνάληψιν, ἀφαίρεσιν δὲ καὶ κάθαρσιν τοῦ κλέπτοντος. ὅτι ἡ ψυχὴ καὶ συνδεδεμένη τῷ σώματι, τὴν προγνωστικὴν ἔχει δύναμιν, ἐκτυφλοῦται δὲ διὰ τὴν πρὸς τὸ γεῶδες ἀνάκρασιν τοῦ σώματος. ὥσπερ γὰρ ὁ ἥλιος οὐχ ὅταν διαφύγῃ τὰ νέφη γίγνεται λαμπρὸς, ἀλλ' ἔστι μὲν ἀεὶ, φαίνεται δ' ἡμῖν ἐν ὁμίχλῃ δυσφανὴς καὶ ἀμαυρὸς, οὕτως ἡ ψυχὴ τὴν μαντικὴν οὐκ ἐπικτᾶται δύναμιν ἐκβᾶσα τοῦ σώματος, ὥσπερ νέφους, ἀλλ' ἔχουσα καὶ νῦν, τυφλοῦται διὰ τὴν πρὸς τὸ θνητὸν ἀνάμιξιν αὐτῆς καὶ σύγχυσιν. οὐ δεῖ δὲ θαυμάζειν οὐδ' ἀπιστεῖν ὁρῶντας, εἰ μηδὲν ἄλλο τῆς ψυχῆς τὴν ἀντίστροφον τῇ μαντικῇ δύναμιν ἣν μνήμην καλοῦμεν, ἡλίκον ἔργον ἀποδείκνυται τὸ σώζειν τὰ παρῳχημένα καὶ φυλάττειν, μᾶλλον δὲ ὄντα. τῶν γὰρ γεγονότων οὐδέν ἐστιν, οὐδ' ὑφέστηκεν, ἀλλ' ἅμα γίνεται πάντα καὶ φθείρεται, καὶ πράξεις καὶ λόγοι καὶ παθήματα τοῦ χρόνου, καθάπερ ῥεύματος ἕκαστα παραφέροντος, αὕτη δὲ τῆς ψυχῆς ἡ δύναμις, οὐκ οἶδ' ὅν τινα τρόπον ἀντιλαμβανομένη, τοῖς μὴ παροῦσι, φαντασίαν καὶ οὐσίαν περιτίθησιν. ὁ μὲν γὰρ Θετταλοῖς περὶ Ἄρνης δοθεὶς χρησμὸς ἐκέλευε φράζειν, κωφοῦ τ' ἀκοὴν, τυφλοῖσί τε δέρξιν, ἡ δὲ μνήμη καὶ κωφῶν πραγμάτων ἀκοὴ, καὶ τυφλῶν ὄψις ἡμῖν ἐστιν. ὅθεν ὡς ἔφην, οὐκ ἔστι θαυμαστὸν εἰ κρατοῦσα τῶν μηκέτ' ὄντων, προσλαμβάνει πολλὰ τῶν μηδέπω γεγονότων. ταῦτα γὰρ αὐτῇ μᾶλλον προσήκει, καὶ τούτοις συμπαθής ἐστι. καὶ γὰρ ἐπιβάλλεται καὶ προτίθεται πρὸς τὰ μέλλοντα, καὶ παρῳχημένων καὶ τέλος ἐχόντων ἀπήλλακται, πλὴν τοῦ μνημονεύειν. ταύτην οὖν ἔχουσαι τὴν δύναμιν ψυχαὶ σύμφυτον μὲν καὶ ἀμυδρὸν καὶ δυσφάντασον, ὅμως ἐξανθοῦσι πολλάκις καὶ ἀναλαμβάνουσιν ἔν τε τοῖς ἐνυπνίοις καὶ περὶ τὰς τελετὰς ἔνιαι, καθαροῦ γινομένου τοῦ σώματος, ἤ τινα κρᾶσιν οἰκείαν πρὸς τοῦτο λαμβάνοντος, ἢ τὸ λογιστικὸν καὶ φροντιστικὸν ἀνίεσθαι καὶ ἀπολύεσθαι τῶν παρόντων, ἀλόγῳ καὶ φανταστικῷ τοῦ μέλλοντος ἐπιστρεφομένας. οὐ γὰρ ὡς Εὐριπίδης φησὶ μάντις ἄριστος ὅστις εἰκάζει καλῶς, ἀλλ' οὗτος ὁ μόφρων μὲν ἀνὴρ καὶ τῷ νοῷ ἔχοντι τῆς ψυχῆς, καὶ μετ' εἰκότος ἡγουμένῳ καθ' ὁδὸν ἑπόμενος, τὸ δὲ μαντικὸν ὥσπερ γραμματεῖον ἄγραφον καὶ ἄλογον καὶ ἀόριστον ἐξ αὐτοῦ, δεκτικὸν δὲ φανταστῶν πάθεσι καὶ προαισθήσεων, ἀσυλλογίστως ἅπτεται τοῦ μέλλοντος, ὅταν ἐκστῇ μάλιστα τοῦ παρόντος, ἐξίσταται δὲ κράσει καὶ διαθέσει τοῦ σώματος ἐν μεταβολῇ γινόμενον, ὃν ἐνθουσιασμὸν καλοῦμεν, αὐτὸ μὲν ἐξ αὐτοῦ τὸ σῶμα τοιαύτην πολλάκις ἴσχει διάθεσιν, ἡ δὲ γῆ πολλῶν μὲν ἄλλων δυνάμεων πηγὰς ἀνίησιν ἀνθρώποις, τὰς μὲν ἐκστατικὰς καὶ νοσώδεις καὶ θανατηφόρους, τὰς δὲ χρηστὰς καὶ προσηνεῖς καὶ ὠφελίμους, ὡς δῆλα γίνονται πεῖρα προστυγχάνουσιν. τὸ δὲ μαντικὸν ῥεῦμα καὶ πνεῦμα θειότατόν ἐστι καὶ ὁσιώτατον, ἄν τε καθ' ἑαυτὸ δι' ἀέρος, ἄν τε μεθ' ὑγροῦ νάματος ἀφαιρῆται. καταμιγνύμενον γὰρ εἰς τὸ σῶμα, κρᾶσιν ἐμποιεῖ ταῖς ψυχαῖς ἀήθη καὶ ἄτοπον, ἧς τὴν ἰδιότητα χαλεπὸν εἰπεῖν σαφῶς, εἰκάσαι δὲ πολλαχῶς ὁ λόγος δίδωσι. θερμότητι γὰρ καὶ διαχύσει πόρους τινὰς ἀνοίγει φανταστικοὺς, μέλλοντος εἰκός ἐστιν ὡς οἶνος ἀναθυμιαθεὶς ἕτερα πολλὰ κινήματα

καὶ λόγους ἀποκειμένους καὶ λανθάνοντας ἀποκαλύπτει, τὸ γὰρ βακχεύσιμον
καὶ τὸ μανιῶδες μαντευτικὴν πολλὴν ἔχει κατ' εὐριπίδην, ὅταν ἔνθερμος ἡ ψυ-
χὴ γενομένη καὶ πυρώδης ἀπώσηται τὴν εὐλάβειαν, ἣν ἡ θνητὴ φρόνησις ἐπά-
γουσα πολλάκις ἀποστρέφει καὶ κατασβέννυσι τὸν ἐνθουσιασμόν. ἅμα δ' ἄν τις
οὐκ ἀλόγως καὶ ξηρότητα φαίη μετὰ τῆς θερμότητος ἐγγινομένην, λεπτύνειν τὸ
πνεῦμα καὶ ποιεῖν αἰθερῶδες καὶ καθαρόν. αὕτη γὰρ ξηρὰ ψυχὴ καθ' ἡράκλει-
τον, ὑγρότης δὲ οὐ μόνον ὄψιν ἀμβλύνει καὶ ἀκοήν, ἀλλὰ καὶ κατόπτρων θίγου-
σα καὶ μιχθεῖσα πρὸς ἀέρας ἀφαιρεῖ τὴν λαμπρότητα καὶ τὸ φέγγος, τοὐναντί-
ον πάλιν αὖ περιψύξει τινὶ καὶ πυκνώσει καὶ πνεύματος, οἷον βαφῆς σιδήρου τὸ
προγνωστικὸν μόριον ἐγγίνεσθαι καὶ στομοῦσθαι τῆς ψυχῆς, οὐκ ἀδύνατόν ἐστι.
καὶ μὴν ὡς καττίτερος μανὸν ὄντα καὶ πολύπορον τὸν χαλκὸν ἐντακείς, ἅμα μὲν
ἔσφιγξε καὶ κατεπύκνωσεν, ἅμα δὲ λαμπρότερον ἀπέδειξε καὶ καθαρώτερον,
οὕτως οὐδὲν ἀπέχει τὴν μαντικὴν ἀναθυμίασιν οἰκεῖόν τι ταῖς ψυχαῖς καὶ συγγε-
νὲς ἔχουσαν, ἀναπληροῦν τὰ μανὰ καὶ συνέχειν ἐναρμόττουσαν. ἄλλα γὰρ ἄλλοις
οἰκεῖα καὶ πρόσφορα, καθάπερ τῆς μὲν πορφύρας ὁ κύαμος, τῆς δὲ κόκκου τὸ
νίτρον δοκεῖ τὴν βαφὴν ἄγειν μεμιγμένον, βύσσῳ δὲ γλαυκῆς κρόκου καταμίσ-
γεται, ὡς ἐμπεδοκλῆς εἴρηκε, περὶ δὲ τοῦ κύδνου, καὶ τῆς ἱερᾶς τοῦ ἀπόλλωνος
ἐν ταρσῷ μαχαίρας, ὦ φίλε δημήτριε σοῦ λέγοντος ἠκούομεν ὡς ὁ κύδνος μάλ-
λον ἐκκαθαίρει σίδηρον ἐκεῖνον, οὔτε ὕδωρ ἄλλο τὴν μάχαιραν, ἢ ἐκεῖνο, καθά-
περ ἐν ὀλυμπίᾳ τὴν τέφραν προσπλάττουσι τῷ βωμῷ καὶ περιπηγνύουσι ἐκ
τοῦ ἀλφειοῦ παραχέοντες ὕδωρ, ἑτέρῳ δὲ πειρώμενοι ποταμῷ, οὐδενὶ δύναν-
ται συναγαγεῖν, οὐδὲ κολλῆσαι τὴν τέφραν. οὐ θαυμαστέον οὖν εἰ πολλὰ τῆς
γῆς ἀναθυμιάματα μεθιείσης, ταῦτα μόνα τὰς ψυχὰς ἐνθουσιαστικῶς διατίθη-
σι, καὶ φανταστικῶς τοῦ μέλλοντος. ἀμέλει δὲ καὶ τὰ τῆς φήμης συνᾴδει τῷ
λόγῳ, καὶ γὰρ ἐνταῦθα τὴν περὶ τὸν τόπον δύναμιν ἐμφανῆ γενέσθαι πρῶ-
τον ἱστοροῦσι νομέως τινὸς ἐμπεσόντος κατὰ τύχην, εἶτα φωνὰς ἀναφέροντος ἐν-
θουσιώδεις, ὧν τὸ μὲν πρῶτον οἱ παραγενόμενοι κατεφρόνουν, ὕστερον δὲ γενο-
μένων ὧν προεῖπεν ὁ ἄνθρωπος, ἐθαύμασαν. οἱ δὲ λογιώτατοι δελφῶν καὶ τοὔ-
νομα τοῦ ἀνθρώπου διαμνημονεύοντες κορήταν λέγουσιν. ἐμοὶ δὲ δοκεῖ μά-
λιστα τοιαύτην πρὸς τὸ μαντικὸν πνεῦμα λαμβάνειν σύγκρασιν ψυχὴ καὶ σύμπη-
ξιν, οἵαν πρὸς τὸ φῶς ἡ ὄψις ὁμοιοπαθὲς γινόμενον. ὀφθαλμοῦ τε γὰρ ἔχον-
τος τὴν ὁρατικὴν δύναμιν, οὐδὲν ἄνευ φωτὸς ἔργον ἐστίν, ψυχῆς τε τὸ μαν-
τικόν, ὥσπερ ὄμμα δεῖται τοῦ συνεξάπτοντος οἰκείου καὶ συνεπιθήγον-
τος. ὅθεν οἱ μὲν πολλοὶ τῶν προτέρων ἕνα καὶ τὸν αὐτὸν ἡγοῦντο θεὸν
ἀπόλλωνα καὶ ἥλιον. οἱ δὲ τὴν καλὴν καὶ σοφὴν ἐπιστάμενοι, καὶ τιμῶν-
τες ἀναλογίαν, ὅπως σῶμα πρὸς ψυχήν, ὄψις δὲ πρὸς νοῦν, φῶς δὲ πρὸς
ἀλήθειάν ἐστι τοῦτο, τὴν ἡλίου δύναμιν εἴκαζον εἶναι πρὸς τὴν ἀπόλλωνος φύ-
σιν, ἔκγονον ἐκείνου καὶ τόκον ὄντος ἀεὶ γινόμενον, ἀεὶ τοῦτον ἀποφαίνοντος.
ἐξάπτει γὰρ καὶ προάγεται καὶ συνεξορμᾷ τῆς αἰσθήσεως τὴν ὁρατικὴν
δύναμιν οὗτος, τῆς ψυχῆς τὴν μαντικὴν ἐκεῖνος. οἱ μέντοι δοξάζοντες ἕνα
καὶ τὸν αὐτὸν θεὸν εἶναι, εἰκότως ἀπόλλωνι καὶ γῇ κοινῶς ἀνέθεσαν τὸ χρηστήριον
οἰόμενοι τὴν διάθεσιν καὶ κρᾶσιν ἐμποιεῖν τῇ γῇ τὸν ἥλιον, ἀφ' ἧς ἐκφέρεται
τὰς μαντικὰς ἀναθυμιάσεις. αὐτὴν μὲν οὖν τὴν γῆν ὥσπερ ἡσίοδος ἐνί-
ων φιλοσόφων βέλτιον διανοηθεὶς πάντων ἕδος ἀσφαλὲς προσεῖπεν, οὕ-
τως καὶ ἡμεῖς καὶ ἀΐδιον καὶ ἄφθαρτον νομίζομεν, τῶν δὲ περὶ αὐτὴν
δυνάμεων, πῆ μὲν ἐκλείψεις, πῆ δὲ γενέσεις, ἀλλαχοῦ δὲ μεταστάσεις,
καὶ

φαιας Η.

άμυ Η.

σ Λ. Α

οσεῖπεν Λ. Α

καὶ μεταρροίας ἀλλαχόθεν εἰκός ἐστι συμβαίνειν καὶ κυκλεῖν ἐν αὐτῇ τὰς τοιαύ-
τας ἐν τῷ χρόνῳ παντὶ πολλάκις περιόδους, ὡς ἔστι τεκμαίρεσθαι τοῖς φαινο-
μένοις. λιμνῶν τε γὰρ γεγόνασι καὶ ποταμῶν, ἔτι δὲ πλείονες ναμάτων θερμῶν,
ὅπου μὲν ἐκλείψεις καὶ φθοραὶ παντάπασιν, ὅπου δ' οἷον ἀποδράσεις καὶ κα-
ταδύσεις. εἶτα πάλιν ἐκεῖ διὰ χρόνον ἐπιφαινομένη τοῖς αὐτοῖς ἢ πλησίον ὑπορ-
ρέοντα καὶ μετάλλων, τὸ μὲν ἐξαμαυρώσεις γεγονέναι κενάς, ὡς τῶν περὶ τὴν
ἀττικὴν ἀργυρείων, καὶ τῆς ἐν εὐβοίᾳ χαλκίτιδος, ἐξ ἧς ἐδημιουργεῖτο τὰ ψυ-
χρήλατα τῶν ξιφῶν, ὡς αἰσχύλος εἴρηκε. λαβὼν γὰρ αὐτόθηκτον εὐβοϊκὸν ξί-
φος, τῆς δ' ἐν καρύστῳ πέτρας, χρόνος οὐ πολὺς ἀφ' οὗ πέπαυται μηρύματα λί-
θων μαλακὰ νηματώδη συνεκφέρουσα, καὶ γὰρ ὑμῶν ἑωρακέναι τινὰς οἴομαι, χει-
ρόμακτρα καὶ δίκτυα καὶ κεκρυφάλους ἐκεῖθεν, οὐ τε περικαιομένους, ἀλλ' ὅσ' ἂν ῥυ-
πανθῇ χρωμένων ἐμβαλόντες εἰς φλόγα, λαμπρὰ καὶ διαφανῆ κομίζοντες, νῦν
δ' ἠφάνισται, καὶ μόλις, οἷον ἶνες ἢ τρίχες ἀραιαὶ διατρέχουσιν ἐν τοῖς μετάλ-
λοις, καὶ οἱ πάντων τούτων οἱ περὶ ἀριστοτέλην δημιουργὸν ἐν τῇ γῇ τὴν ἀναθυ-
μίασιν ἀποφαίνουσιν, ἣ καὶ συνεκλείπειν καὶ συμμεθίστασθαι, καὶ συνεξανθεῖν
πάλιν τὰς τοιαύτας φύσεις, ἀναγκαῖόν ἐστι. ταῦτα δὴ περὶ τῶν μαντικῶν πνευ-
μάτων διανοητέον, ὡς οὐκ ἐχόντων ἀΐδιον οὐδὲ ἀγήρω τὴν δύναμιν, ἀλλ' ὑποκειμέ-
νην μεταβολαῖς. καὶ γὰρ ὄμβρους ὑπερβάλλοντας εἰκός ἐστι κατασβεννύναι καὶ
κεραυνῶν ἐμπεσόντων διαφορεῖσθαι, μάλιστα δὲ τῆς γῆς ὑπὸ σάλου γινομένης
καὶ λαμβανούσης ἱζήματα καὶ σύγχυσιν ἐν βάθει μεθίστασθαι τὰς ἀναθυμιά-
σεις, ἢ τυφλοῦσθαι τὸ παράπαν, ὥσπερ ἐνταῦθα φασὶ παραμένειν, τὰ περὶ τὸν
μέγαν σεισμόν, ὃς καὶ τὴν πόλιν ἀνέτρεψεν. ἐν δὲ ὀρχομενῷ λέγουσι λοιμοῦ
γενομένου πολλοὺς μὲν ἀνθρώπων διαφθαρῆναι. τὸ δὲ τοῦ τειρεσίου χρηστήριον ἐ-
κλιπεῖν παντάπασι καὶ μέχρι τοῦ νῦν ἀργὸν διαμένειν καὶ ἄναυδον. εἰ δὲ καὶ
τοῖς περὶ κιλικίαν ὅμοια συμβέβηκε παθεῖν, ὡς ἀκούομεν, οὐδεὶς ἂν ἡμῖν ὦ δη-
μήτριε, σοῦ φράσειε σαφέστερον. καὶ ὁ δημήτριος οὐκ οἶδα ἔγωγε τὰ δὲ νῦν.
ἀποδημῶ γὰρ ὡς ἴστε πάμπολυν ἤδη χρόνον. ἔτι δ' ἤκμαζεν ἐμοῦ παρόντος, καὶ
τὸ μόψου καὶ τὸ ἀμφιλόχου μαντεῖον, ἔχω δ' εἰπεῖν τὸ μόψου παραγενόμενος
πρᾶγμα θαυμασιώτατον. ὁ γὰρ ἡγεμὼν τῆς κιλικίας αὐτὸς μὲν ἀμφίδοξός
ἐστι πρὸς τὰ θεῖα δι' ἀσθένειαν ἀπιστίας οἶμαι. τἆλλα γὰρ ἦν ὑβριστὴς καὶ φαῦλος,
ἔχων δὲ περὶ αὐτὸν ἐπικουρείους τινὰς τὴν καλὴν δὴ καὶ φυσιολόγον ἐνυβρίζον-
τας, ὡς αὐτοὶ λέγουσι, τοῖς τοιούτοις εἰσέπεμψεν ἀπελεύθερον, οἷον εἰς πολεμί-
ων κατάσκοπον ἐνσκευάσας, ἔχοντα κατεσφραγισμένην δέλτον, ἐν ᾗ τὸ ἐρώτη-
μα ἦν ἐγγεγραμμένον, οὐδενὸς εἰδότος. ἐννυχεύσας οὖν ὁ ἄνθρωπος, ὥσπερ ἔθος ἐστὶ
τῷ σηκῷ, καὶ κατακοιμηθεὶς ἀπήγγειλε μεθ' ἡμέραν ἐνύπνιον τοιοῦτον. ἄνθρωπον
ἔδοξεν αὐτῷ καλὸν ἐπιστάντα φθέγξασθαι τοσοῦτον μέλανα, καὶ πλέον οὐδέν, ἀλ-
λ' εὐθὺς οἴχεσθαι τοῦτο. ἡμῖν μὲν ἄτοπον ἐφαίνετο καὶ πολλὴν ἀπορίαν παρέχον. ὁ δ' ἡ-
γεμὼν ἐκεῖνο ἐξεπλάγη καὶ προσεκύνησεν, καὶ τὴν δέλτον ἀνοίξας, ἐπεδείκνυεν
ἐρώτημα τοιοῦτον γεγραμμένον. πότερόν σοι λευκὸν ἢ μέλανα θύσω ταῦρον. ὥσ-
τε καὶ τοὺς ἐπικουρείους διατραπῆναι, κἀκεῖνον αὐτὸν τήν τε θυσίαν ἐπιτελεῖν,
καὶ σέβεσθαι διὰ τέλους τὸν μόψον. ὁ μὲν οὖν δημήτριος ταῦτ' εἰπών, ἐσιώπησεν.
ἐγὼ δὲ βουλόμενος, ὥσπερ τι κεφάλαιον ἐπιθεῖναι τῷ λόγῳ πρὸς τὸν φίλιππον αὖ-
θις ἀπέβλεψα καὶ τὸν ἀμμώνιον, ὁμοῦ καθημένους, ἔδοξαν οὖν μοι βούλεσθαί τι δια-
λεχθῆναι καὶ πάλιν ἐπέσχον. ὁ δὲ ἀμμώνιος ἔχει μὲν ἔφη καὶ φίλιππος ὦ
λαμπρία περὶ τῶν εἰρημένων εἰπεῖν. οἴεται γὰρ ὥσπερ οἱ πολλοὶ καὶ αὐτός, οὐχ ἕ-
τερον εἶναι τὸν ἀπόλλωνα θεόν, ἀλλὰ τῷ ἡλίῳ τὸν αὐτόν. ἡ δ' ἐμὴ μείζων ἀπορία

εὐθὺς αἱ πρῶται πέντε ποιότητες, ἰδίας ἔχουσαι ῥοπὰς, ἐφόρουν χωρὶς οὐ
παντάπασιν, οὐδὲ εἰλικρινῶς ἀποκρινόμεναι, διὰ τὸ πάντων ἀναμεμιγμένων ἀεὶ
τὰ κρατούμενα τοῖς ἐπικρατοῦσι τὴν φύσιν ἕπεσθαι· διὸ δὴ τοῖς τῶν σωμάτων γένε-
σιν, ἄλλων ἀλλαχῆ φερομένων ἰσαρίθμους μερίδας καὶ διαστάσεις ἐποίησαν, τὴν
μὲν οὐ καθαροῦ πυρὸς, ἀλλὰ πυροειδῆ, τὴν δὲ οὐκ ἀμιγοῦς αἰθέρος, ἀλλ' αἰθεροειδῆ,
τὴν δὲ οὐ γῆς αὐτῆς καθ' ἑαυτὴν, ἀλλὰ γεώδη· μάλιστα δὲ καὶ τὴν ἀέρος κοίνωσιν τὴν
ὕδατος, διὰ τὸ πολλῶν ὥσπερ εἴρηται τῶν ἀλλοφύλων ἀναπεπλησμένων ἀπελ-
θεῖν· οὐ γὰρ ὁ θεὸς διέστησεν, οὐδὲ διῴκισε τὴν οὐσίαν, ἀλλ' ὑπ' αὐτῆς διεστῶσαν αὐτὴν,
καὶ φερομένην χωρὶς, ἐν ἀκοσμίαις τοσαύταις παραλαβὼν, ἔταξε καὶ συνήρ-
μοσε δι' ἀναλογίας καὶ μεσότητος· εἶθ' ἑκάστῃ λόγον ἐγκαταστήσας ὥσπερ ἁρμο-
στὴν καὶ φύλακα, κόσμους ἐποίησε τοσούτους, ὅσα γένη τῶν πρώτων σωμάτων ὑ-
πῆρχε. ταῦτα μὲν οὖν τῇ πλάτωνος ἀνακείσθω χάριτι, δι' ἀμμώνιον· ἐγὼ δὲ
περὶ μὲν ἀριθμοῦ κόσμων οὐκ ἄν ποτε διισχυρισαίμην, ὅτι τοσοῦτοι· τὴν δὲ πλεί-
ονας μὲν ἑνὸς οὐ μὴν ἀπείρους, ἀλλ' ὡρισμένους πλήθει τιθεμένην δόξαν, οὐδε-
τέρας ἐκείνων ἀλογωτέραν ἡγοῦμαι τὸ φύσει τῆς ὕλης σκεδαστὸν καὶ μερι-
στὸν ὁρῶν, οὔτ' ἐφ' ἑνὸς μένον, οὔτ' εἰς ἄπειρον ὑπὸ τοῦ λόγου βαδίζειν ἐώμενον, εἰ δ'
ἀλλαχόθι που κἂν τῆς ἀκαδημίας ὑπομιμνήσκοντες, ἑαυτοὺς τὸ ἄγαν τῆς πίστε-
ως ἀφαιρῶμεν, καὶ τὴν ἀσφάλειαν, ὥσπερ ἐν χωρίῳ σφαλερῷ τῷ περὶ τῆς ἀ-
πειρίας λόγῳ μόνον διασώζωμεν. ἐμοῦ δὲ ταῦτα εἰπόντος, ὁ δημήτριος ὀρ-
θῶς ἔφη λαμπρίας παραινεῖ· πολλαῖς γὰρ οἱ θεοὶ μορφαῖς οὐ σοφισμάτων, ὡς
εὐριπίδης φησὶν, ἀλλὰ πραγμάτων σφάλλουσιν ἡμᾶς, ὅτ' ἂν ὡς ἐπιστάμενοι το-
λμῶμεν ἀποφαίνεσθαι περὶ τηλικούτων, ἀλλ' ἀνοιστέος ὁ λόγος, ὡς αὐτὸς ἀνὴρ
φησὶν ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. τὸ γὰρ ἀφισταμένων καὶ ἀπολειπόντων τὰ χρηστή-
ρια τῶν δαιμόνων, ὥσπερ ὄργανα τεχνιτῶν ἀργὰ καὶ ἄναυδα κεῖσθαι λεχθὲν, ἕτε-
ρον λόγον ἐγείρει οὖν περὶ τῆς αἰτίας μείζονα καὶ δυνάμεως, ᾧ χρώμενοι ποιοῦ-
σιν κατόχους τοῖς ἐνθουσιασμοῖς, καὶ φανταστικοὺς τοὺς προφήτας καὶ τὰς
προφήτιδας, οὐ γὰρ οἷόν τε τὴν ἔκλειψιν αἰτιᾶσθαι τῶν ἀπουσιῶν τὰ μαντεῖα μὴ
πεισθέντας, ὃν τρόπον ἐφεστῶτες αὐτοῖς καὶ παρόντες, ἐνεργὰ καὶ λόγια ποιοῦσιν οἱ
δαίμονες. ὑπολαβὼν δὲ ὁ ἀμμώνιος, οἴει γὰρ ἕτερόν τι τοὺς δαίμονας εἰπεῖν ἢ ψυ-
χὰς ὄντας περιπολεῖν καθ' ἡσίοδον, ἠέρα ἑσσαμένους· ἐμοὶ μὲν γὰρ ἣν ἄνθρωπος ἔχει δια-
φορὰν πρὸς ἄνθρωπον ὑποκρινόμενον τραγῳδίαν ἢ κωμῳδίαν, ταύτην ἔχειν δοκεῖ
ψυχὴν ἐνεσκευασμένην σῶμα πρὸς ὄντι βίῳ προσφέρειν· οὐδὲν οὖν ἄλογον οὐδὲ θαυμα-
στὸν, εἰ ψυχαὶ ψυχαῖς ἐντυγχάνουσαι, φαντασίας ἐμποιοῦσι τοῦ μέλλοντος, ὥσ-
περ ἡμεῖς ἀλλήλοις οὐ πάντα διὰ φωνῆς, ἀλλὰ καὶ γράμμασι, καὶ θίγοντες μόνον
καὶ προσβλέψαντες πολλὰ [illegible] μηνύομεν τῶν γεγονότων καὶ τῶν ἐσομένων προσημαί-
νομεν, εἰ μή τι σὺ λέγεις ἕτερον ὦ λαμπρία, καὶ γὰρ ἔναγχος ἧκέν τις φωνὴ πρὸς
ἡμᾶς ὡς σοῦ πολλὰ περὶ τούτων ἐν λεβαδίᾳ ξένοις διαλεχθέντος, ὧν οὐδὲν ὁ διηγού-
μενος ἀκριβῶς διεμνημόνευσε. μὴ θαυμάσῃς ἔφην ἐγὼ, πολλαὶ γὰρ ἅμα πρά-
ξεις διὰ μέσου καὶ ἀσχολίαι συντυγχάνουσαι, διὰ τὸ μαντεῖον εἶναι καὶ θυσίας
τοὺς λόγους διεσπαρμένους ἡμῖν, καὶ σποράδας ἐποίησαν. ἀλλὰ νῦν ὁ ἀμ-
μώνιος ἔφη καὶ σχολὴν ἄγοντας ἀκροατὰς ἔχει, καὶ προθύμους, τὰ μὲν ζητεῖν, τὰ
δὲ μανθάνειν, ἔριδος ἐκποδὼν οὔσης, καὶ φιλονεικίας ἁπάσης, συγγνώμης δὲ παν-
τὶ λόγῳ καὶ παῤῥησίας, ὡς ὁρᾷς δεδομένης. ταῦτα δὴ καὶ τῶν ἄλλων συμ-
παρακαλούντων, μικρὸν ἐγὼ σιωπήσας, καὶ μὴν ἀπὸ τύχης τινὸς ὦ ἀμμώνιε τοῖς
τότε λόγοις αὐτὸς ἀρχήν τινα καὶ πάροδον ἐνδέδωκας· εἰ γὰρ αἱ διακριθεῖ-
σαι σώματος ἢ μὴ μετασχοῦσαι τοπαράπαν ψυχαὶ δαίμονές εἰσι κατὰ σὲ καὶ
τὸν

τὸν θεῖον ἡσίοδον· ἁγνοὶ ἐπιχθόνιοι φύλακες θνητῶν ἀνθρώπων. διατί τὰς ἐν τοῖς
σώμασι ψυχὰς ἐκείνης τῆς δυνάμεως ἀποστεροῦμεν, ᾗ τὰ μέλλοντα καὶ προγινώ-
σκειν πεφύκασι, καὶ προδηλοῦν οἱ δαίμονες· οὔτε γὰρ δύναμιν, οὔτε μέρος οὐθὲν
ἐπιγίνεσθαι ταῖς ψυχαῖς, ὅταν ἀπολείπωσι τὸ σῶμα μὴ κεκτημέναις πρότερον
εἰκός ἐστιν, ἀλλ' ἀεὶ μὲν ἔχειν, ἔχειν δὲ φαυλότερα τῷ σώματι μεμιγμένας, καὶ τὰ μὲν
ὅλως ἄδηλα καὶ κεκρυμμένα, τὰ δὲ ἀσθενῆ καὶ ἀμαυρὰ, καὶ τοῖς δι' ὁμίχλης ὁ-
ρῶσιν, ἢ κινουμένοις ἐν ὑγρῷ παραπλησίως δύσεργα καὶ βραδέα καὶ πολλὴν πο-
θοῦντα θεραπείαν τοῦ οἰκείου καὶ ἀνάληψιν, ἀφαίρεσιν δὲ καὶ κάθαρσιν τοῦ κλέ-
πτοντος· ὅτι ἡ ψυχὴ καὶ συνδεδεμένη τῷ σώματι, τὴν προγνωστικὴν ἔχει δύναμιν
ἐκτυφλοῦται δὲ διὰ τὴν πρὸς τὸ γεῶδες ἀνάκρασιν τοῦ σώματος. ✠ ὥσπερ γὰρ
ὁ ἥλιος οὐχ ὅταν διαφύγῃ τὰ νέφη γίγνεται λαμπρὸς· ἀλλ' ἔστι μὲν ἀεὶ, φαίνε-
ται δ' ἡμῖν ἐν ὁμίχλῃ δυσφανὴς καὶ ἀμαυρὸς, οὕτως ἡ ψυχὴ τὴν μαντικὴν, οὐκ
ἐπικτᾶται δύναμιν ἐκβᾶσα τοῦ σώματος, ὥσπερ νέφους, ἀλλ' ἔχουσα καὶ νῦν,
τυφλοῦται διὰ τὴν πρὸς τὸ θνητὸν ἀνάμιξιν αὐτῆς καὶ σύγχυσιν. οὐ δεῖ δὲ θαυμά-
ζειν οὐδ' ἀπιστεῖν ὁρῶντας, εἰ μηδὲν ἄλλο τῆς ψυχῆς τὴν ἀντίστροφον τῇ μαντικῇ
δύναμιν ἣν μνήμην καλοῦμεν, ἡλίκον ἔργον ἀποδείκνυται τὸ σώζειν τὰ παρῳ-
χημένα καὶ φυλάττειν, μᾶλλον δὲ ὄντα· τῶν γὰρ γεγονότων οὐδέν ἐστιν, οὐδ' ὑφέ-
στηκεν, ἀλλ' ἅμα γίνεται πάντα καὶ φθείρεται, καὶ πράξεις καὶ λόγοι καὶ παθήμα-
τα τοῦ χρόνου, καθάπερ ῥεύματος ἕκαστα παραφέροντος, αὕτη δὲ τῆς ψυχῆς ἡ
δύναμις, οὐκ οἶδ' ὅν τινα τρόπον ἀντιλαμβανομένη, τοῖς μὴ παροῦσι, φαντασίαν
καὶ οὐσίαν περιτίθησιν. ὁ μὲν γὰρ θεσσαλοῖς περὶ ἄρνης δοθεὶς χρησμὸς ἐκέλευε
φράζειν, κωφοῦ τ' ἀκοὴν, τυφλοῖς τε δέρξιν, ἡ δὲ μνήμη καὶ κωφῶν πραγμάτων
ἀκοὴ, καὶ τυφλῶν ὄψις ἡμῖν ἐστιν· ὅθεν ὡς ἔφην, οὐκ ἔστι θαυμαστὸν εἰ κρατοῦσα τῶν
μηκέτ' ὄντων, προσλαμβάνει πολλὰ τῶν μηδέπω γεγονότων· ταῦτα γὰρ αὐτῇ μᾶλ-
λον προσήκει, καὶ τούτοις συμπαθής ἐστι· καὶ γὰρ ἐπιβάλλεται καὶ προτίθεται
πρὸς τὰ μέλλοντα, καὶ παρῳχημένων καὶ τέλος ἐχόντων ἀπήλλακται, πλὴν
τοῦ μνημονεύειν. ταύτην οὖν ἔχουσαι τὴν δύναμιν ψυχαὶ σύμφυτον μὲν καὶ
ἀμυδρὸν καὶ δυσφάνταστον, ὅμως ἐξανθοῦσι πολλάκις καὶ ἀναλαμβάνουσιν ἔν
τε τοῖς ἐνυπνίοις καὶ περὶ τὰς τελετὰς ἔνιαι, καθαροῦ γινομένου τοῦ σώματος,
ἤ τινα κρᾶσιν οἰκείαν πρὸς τοῦτο λαμβάνοντος, ἢ τὸ λογιστικὸν καὶ φροντιστικὸν
ἀνίεσθαι καὶ ἀπολύεσθαι τῶν παρόντων, ἀλόγῳ καὶ φαντασιαστικῷ τοῦ μέλ-
λοντος ἐπιστρεφομένας. οὐ γὰρ ὡς εὐριπίδης φησὶ μάντις ἄριστος ὅς τις εἰκά-
ζει καλῶς, ἀλλ' οὗτος ὁ ἔμφρων μὲν ἀνὴρ καὶ τῷ νοῦν ἔχοντι τῆς ψυχῆς, καὶ μετ'
εἰκότος ἡγουμένῳ καθ' ὁδὸν ἑπόμενος, τὸ δὲ μαντικὸν ὥσπερ γραμματεῖον ἄγρα-
φον καὶ ἄλογον καὶ ἀόριστον ἐξ αὐτοῦ, δεκτικὸν δὲ φαντασιῶν πάθεσι καὶ προαι-
σθήσεων, ἀσυλλογίστως ἅπτεται τοῦ μέλλοντος, ὅταν ἐκστῇ μάλιστα τοῦ παρόντος, ἐξί-
σταται δὲ κράσει καὶ διαθέσει τοῦ σώματος ἐν μεταβολῇ γινόμενον, ὃν ἐνθουσιασμὸν
καλοῦμεν, αὐτὸ μὲν ἐξ αὐτοῦ τὸ σῶμα τοιαύτην πολλάκις ἴσχει διάθεσιν, ἡ δὲ
γῆ πολλῶν μὲν ἄλλων δυνάμεων πηγὰς ἀνίησιν ἀνθρώποις, τὰς μὲν ἐκστατικὰς
καὶ νοσώδεις καὶ θανατηφόρους, τὰς δὲ χρηστὰς καὶ προσηνεῖς καὶ ὠφελίμους,
ὡς δῆλα γίνονται πεῖρα προστυγχάνουσιν. τὸ δὲ μαντικὸν ῥεῦμα καὶ πνεῦ-
μα θειότατόν ἐστι καὶ ὁσιώτατον, ἄν τε καθ' ἑαυτὸ δι' ἀέρος, ἄν τε μεθ' ὑγροῦ νάμα-
τος ἀφαιρῆται· καταμιγνύμενον γὰρ εἰς τὸ σῶμα, κρᾶσιν ἐμποιεῖ ταῖς ψυχαῖς
ἀήθη καὶ ἄτοπον, ἧς τὴν ἰδιότητα χαλεπὸν εἰπεῖν σαφῶς, εἰκάσαι δὲ πολλα-
χῶς ὁ λόγος δίδωσι, θερμότητι γὰρ καὶ διαχύσει πόρους τινὰς ἀνοίγει φαν-
ταστικοὺς, μέλλοντος εἰκός ἐστιν ὡς οἶνος ἀναθυμιαθεὶς ἕτερα πολλὰ κινήματα

καὶ τῶν μειζόνων. ἄρτι δὲ οὐκ οἶδ᾽ ὅπως τῷ λόγῳ παρεχωρήσαμεν ἐκ τῶν θεῶν τὴν
μαντικήν, εἰς δαίμονας ἀτεχνῶς, ἀποδιοπομπούμενοι. νυνὶ δέ μοι δοκοῦμεν αὖ-
τοὺς πάλιν ἐκείνους ἐξωθεῖν καὶ ἀπελαύνειν ἐνθένδε τοῦ χρηστηρίου, καὶ τοῦ τρίποδος εἰς
πνεύματα καὶ ἀτμοὺς καὶ ἀναθυμιάσεις τὴν τῆς μαντικῆς ἀρχήν, μᾶλλον δὲ τὴν
οὐσίαν αὐτὴν καὶ τὴν δύναμιν ἀναλύοντες. αἱ δὲ εἰρημέναι κράσεις καὶ θερμότη-
τες, αὗται καὶ στομώσεις, ὅσῳ μᾶλλον ἀπάγουσι τὴν δόξαν ἀπὸ τῶν θεῶν, καὶ τι-
να τοιοῦτον ἐπιβάλλουσι τῆς αἰτίας τὸν λογισμόν, οἵῳ ποιεῖ τὸν κύκλωπα χρώμενον
Εὐριπίδης· ἡ γῆ δ᾽ ἀνάγκῃ, κἂν θέλῃ κἂν μὴ θέλῃ, τίκτουσα ποίαν τἀμὰ πιαί-
νει βοτά. πλὴν ἐκεῖνος μέν, οὔ φησι θύειν τοῖς θεοῖς, ἀλλ᾽ ἑαυτῷ καὶ τῇ μεγίστῃ γαστρὶ
δαιμόνων, ἡμεῖς δὲ καὶ θύομεν καὶ προσευχόμεθα, τί μαθόντες ἐπὶ τοῖς χρηστηρίοις, εἰ
δύναμιν μὲν ἐν ἑαυταῖς μαντικὴν αἱ ψυχαὶ κομίζουσιν. ἡ δὲ κινοῦσα ταύτην,
ἀέρος τίς ἐστι κρᾶσις ἢ πνεύματος. αἱ δὲ τῶν ἱερείων κατασπείσεις τί βούλονται,
καὶ τὸ μὴ θεμιστεύειν, εἰ μὴ τὸ ἱερεῖον ὅλον ἐξ ἄκρων σφυρῶν ὑπότρομον γένηται,
καὶ κραδανθῇ κατασπενδόμενον. οὐ γὰρ ἀρκεῖ τὸ διασεῖσαι τὴν κεφαλήν, ὥσπερ ἐν
ταῖς ἄλλαις θυσίαις, ἀλλὰ πᾶσι δεῖ τοῖς μέρεσι, τὸν σάλον ὁμοῦ καὶ τὸν παλμὸν
ἐνσείσασθαι μετὰ ψόφου τρομώδους, ἐὰν δὲ μὴ τοῦτο γένηται τὸ μαντεῖον, οὔ φασι χρημα-
τίζειν, οὐδ᾽ εἰσάγουσι τὴν Πυθίαν. καίτοι θεοῦ μὲν ἢ δαίμονος, αἰτίαν τὴν πλείστην
ἀνατιθέντας, εἰκός ἐστι ταῦτα ποιεῖν, καὶ νομίζειν, ὡς δὲ σὺ λέγεις οὐκ εἰκός. ἡ γὰρ
ἀναθυμίασις ἄν τε φρίξῃ τὸ ἱερεῖον, ἄν τε μὴ παροῦσα ποιῇ τὸν ἐνθουσιασμόν, καὶ δια-
θήσει τὴν ψυχήν. ὁμοίως οὐ τῆς Πυθίας μόνον, ἀλλὰ κἂν τοῦ τυχόντος ἅψηται σώ-
ματος. ὅθεν εὔηθές ἐστι, τὸ μιᾷ γυναικὶ πρὸς τὰ μαντεῖα χρῆσθαι, καὶ ταύτῃ παρέ-
χειν πράγματα, φυλάττοντας ἁγνὴν διὰ βίου καὶ καθαρεύουσαν. ὁ δὲ Κορήτας
ἐκεῖνος, ὃν Δελφοὶ λέγουσι πρῶτον ἐμπεσόντα τῆς περὶ τὸν τόπον δυνάμεως αἴσθη-
σιν παρασχεῖν, οὐδὲν οἶμαι διέφερε τῶν ἄλλων αἰπόλων καὶ ποιμένων, εἴγε δὴ τοῦτο μὴ
μῦθός ἐστι, μηδὲ πλάσμα κενόν, ὡς ἔγωγε ἡγοῦμαι, καὶ λογιζόμενος, πηλίκων ἀγα-
θῶν τουτὶ τὸ μαντεῖον αἴτιον γέγονε τοῖς Ἕλλησιν, ἔν τε πολέμοις καὶ κτίσεσι πόλε-
ων, ἔν τε λοιμοῖς καὶ καρπῶν ἀφορίαις, δεινὸν ἡγοῦμαι μὴ θεῷ καὶ προνοίᾳ τὴν εὕ-
ρεσιν αὐτοῦ καὶ ἀρχήν, ἀλλὰ τῷ κατὰ τύχην καὶ αὐτομάτως ἀνατίθεσθαι. πρὸς
δὴ ταῦτ᾽ εἶπεν ὦ Λαμπρία βούλομαι διαλεχθῆναι, περιμενοῖς δέ; πάνυ μὲν οὖν ὁ Φί-
λιππος ἔφη, καὶ πάντες οὗτοι. πάντας γὰρ ἡμᾶς ὁ λόγος κεκίνηκε. κἀγὼ πρὸς αὐτόν,
ἐμὲ δ᾽ εἶπον οὐ κεκίνηκεν ὦ Φίλιππε μόνον, ἀλλὰ καὶ συγκέχυκεν, ἐν τοσούτοις καὶ
τηλικούτοις οὖσιν ἡμῖν. δοκῶ παρ᾽ ἡλικίαν ὑπὸ πιθανῷ τοῦ λόγου καλλωπιζόμενος,
ἀναιρεῖν τι, καὶ κινεῖν τῶν ἀληθῶς καὶ θείως περὶ τοῦ θείου νενομισμένων, ἀπολογή-
σομαι δέ, μάρτυρα καὶ σύνδικον ἐμοῦ Πλάτωνα παρεισάμενος. ἐκεῖνος γὰρ
ἀνήρ, Ἀναξαγόραν μὲν ἐμέμψατο παλαιόν, ὅτι ταῖς φυσικαῖς ἄγαν ἐνδεδυμένος
αἰτίαις, καὶ τὸ κατ᾽ ἀνάγκην τοῖς τῶν σωμάτων ἀποτελούμενον πάθεσι, μετι-
ὼν ἀεὶ καὶ διώκων, τὸ οὗ ἕνεκα καὶ ὑφ᾽ οὗ, βελτίονας αἰτίας οὔσας, καὶ ἀρχὰς ἀ-
φῆκεν. αὐτὸς δὲ πρῶτος ἢ μάλιστα τῶν φιλοσόφων, ἀμφοτέρας ἐπεξῆλθεν, τῷ
μὲν θεῷ τὴν ἀρχὴν ἀποδιδούς, τῶν κατὰ λόγον ἐχόντων, οὐκ ἀποστερῶν δὲ τὴν ὕλην
τῶν ἀναγκαίων πρὸς τὸ γινόμενον αἰτιῶν, ἀλλὰ συνορῶν, ὅτι τῇ δέ πῃ καὶ τὸ πᾶν
αἰσθητὸν διακεκοσμημένον, οὐ καθαρόν ἐστιν, οὐδ᾽ ἀμιγές ἐστιν, ἀλλὰ τῆς ὕλης συμ-
πλεκομένης τῷ λόγῳ λαμβάνει τὴν γένεσιν. ὅρα δὲ πρῶτον ἐπὶ τῶν τεχνιτῶν, οἷον
εὐθὺς ἡ περιβόητος ἐνταῦθα τοῦ κρατῆρος ἕδρα καὶ βάσις, ἣν Ἡρόδοτος ἐπικρητη-
ρίδιον ὠνόμασεν, αἰτίας μὲν ἔχοντος ὑλικήν, πῦρ καὶ σίδηρον καὶ μάλαξιν, διὰ
πυρὸς καὶ ὕδατος βαφήν, ὧν ἄνευ γενέσθαι τὸ ἔργον, οὐδεμία μηχανή, τὴν δὲ κυ-
ριωτέραν ἀρχὴν καὶ ταῦτα κινοῦσαν καὶ διὰ τούτων ἐνεργοῦσαν, ἡ τέχνη καὶ ὁ

λόγος

εἰς δαίμονας

ἕνεκα l. A.

λόγος ὁ ἐπὶ τῷ ἔργῳ παρέχει. καὶ μὴν τῶν γε μιμημάτων τούτων καὶ εἰδώλων, ὁ ποιη-
τὴς καὶ δημιουργὸς ἐπιγέγραπται. γράψε Πολύγνωτος Θάσιος γένος Ἀγλαοφῶν-
τος υἱὸς περθομένην Ἰλίου ἀκρόπολιν, ὡς ὁρᾶται γράψας, ἄνευ δὲ φαρμακειῶν
συντριβέντων καὶ συμφθαρέντων ἀλλήλοις, οὐδὲν ἦν οἷόν τε τοιαύτην διάθεσιν
λαβεῖν καὶ ὄψιν. ἆρ᾽ οὖν ὁ βουλόμενος ἅπτεσθαι τῆς ὑλικῆς ἀρχῆς, ζητῶν δὲ καὶ
διδάσκων τὰ παθήματα καὶ τὰς μεταβολάς, ἃς ὤχρα μιχθεῖσα σινωπὶς ἴσχει,
καὶ μέλανι μηλιάς, ἀφαιρεῖται τὴν τοῦ σιδήρου δόξαν, ὁ δὲ τοῦ σιδήρου τὴν στόμω-
σιν ἐπεξιών, καὶ τὴν μάλαξιν, ὅτι τῷ μὲν πυρὶ χαλασθεὶς ἐπιδίδωσι, καὶ ὑπεί-
κει τοῖς ἐλαύνουσι καὶ πλήττουσιν, ἐμπεσὼν δὲ πάλιν εἰς ὕδωρ ἀκραιφνές, καὶ
τῇ ψυχρότητι διὰ τὴν ὑπὸ πυρὸς ἐγγενομένην ἁπαλότητα, καὶ μανότητα,
πιληθεὶς καὶ καταπυκνωθεὶς εὐτονίαν ἴσχει καὶ πῆξιν, ἣν Ὅμηρος σιδήρου κράτος
εἶπεν, ἧττόν τι τῷ τεχνίτῃ τηρεῖ τὴν αἰτίαν, τῆς τοῦ ἔργου γενέσεως, ἐγὼ μὲν οὐκ
οἴομαι, καὶ γὰρ τῶν ἰατρικῶν δυνάμεων ἔνιοι τὰς ποιότητας ἐλέγχουσιν, τὴν δ᾽
ἰατρικὴν οὐκ ἀναιροῦσιν, ὥσπερ ἀμέλει καὶ Πλάτων ὁρᾶν μὲν ἡμᾶς τῇ ἐκ τῶν
ὀφθαλμῶν αὐγῇ συγκεραννυμένῃ, πρὸς τὸ τοῦ ἡλίου φῶς, ἀκούειν δὲ τῇ πληγῇ τοῦ
ἀέρος ἀποφαινόμενος, οὐκ ἀνῄρει τὸ κατὰ λόγον καὶ πρόνοιαν ὁρατικοὺς καὶ ἀκου-
στικοὺς γεγονέναι. καθόλου γὰρ ὥς φημι δύο πάσης γενέσεως αἰτίας ἐχούσης,
οἱ μὲν σφόδρα παλαιοὶ θεολόγοι καὶ ποιηταὶ τῇ κρείττονι μόνῃ τὸν νοῦν προσέ-
χειν εἵλοντο. τοῦτο δὴ τὸ κοινὸν ἐπιφθεγγόμενοι πᾶσι πράγμασι, Ζεὺς ἀρχή, Ζεὺς
μέσσα, Διὸς δ᾽ ἐκ πάντα πέλονται. ταῖς δ᾽ ἀναγκαίαις καὶ φυσικαῖς, οὐκέτι προ-
σῄεσαν αἰτίαις. οἱ δὲ νεώτεροι τούτων καὶ φυσικοὶ προσαγορευόμενοι, τοὐναντί-
ον ἐκείνοις τῆς καλῆς καὶ θείας ἀποπλανηθέντες ἀρχῆς, ἐν σώμασι καὶ πάθε-
σι σωμάτων, πληγαῖς τε καὶ μεταβολαῖς καὶ κράσεσι τίθενται τὸ σύμπαν. ὅθεν
ἀμφοτέροις ὁ λόγος ἐνδεὴς τοῦ προσήκοντός ἐστι. τοῖς μὲν τὸ δι᾽ οὗ καὶ ὑφ᾽ οὗ, τοῖς
δὲ τὸ ἐξ ὧν καὶ δι᾽ ὧν ἀγνοοῦσιν, ἢ παραλείπουσιν. ὁ δὲ πρῶτος ἐκφανῶς ἀψάμε-
νος ἀμφοῖν, καὶ τῷ κατὰ λόγον ποιοῦντι, καὶ κινοῦντι προσλαβών, ἀναγκαίως τὸ
ὑποκείμενον καὶ πάσχον ἀπολύεται, καὶ ὑπὲρ ἡμῶν πᾶσαν ὑποψίαν καὶ διαβο-
λήν. οὐ γὰρ ἄθεον ποιοῦμεν οὐδ᾽ ἄλογον τὴν μαντικήν. ὕλην μὲν αὐτῇ τὴν ψυχὴν
τοῦ ἀνθρώπου, τὸ δ᾽ ἐνθουσιαστικὸν πνεῦμα καὶ τὴν ἀναθυμίασιν, οἷον ὄργανον ἢ
πλῆκτρον ἀποδιδόντες. πρῶτον μὲν ἡ γεννήσασα γῆ τὰς ἀναθυμιάσεις, ὁ δὲ
πᾶσαν ἐνδιδοὺς κράσεως τῇ γῇ καὶ μεταβολῆς δύναμιν ἥλιος, νόμῳ πατρίων
θεός ἐστιν, ἡμῖν ἔπειτα δαίμονας ἐπιστάτας καὶ περιπόλους καὶ φύλακας, οἷον
ἁρμονίας τῆς κράσεως ταύτης, τὰ μὲν ἀνιέντας ἐν καιρῷ, τὰ δ᾽ ἐπιτείνοντας,
καὶ τὸ ἄγαν ἐκστατικὸν αὐτῆς καὶ ταρακτικὸν ἀφαιροῦντας, τὸ δὲ κινητικὸν ἀλύ-
πως καὶ ἀβλαβῶς τοῖς χρωμένοις καταμιγνύντας ἀπολείποντες, οὐδὲν ἄλο-
γον ποιεῖν, οὐδ᾽ ἀδύνατον δόξομεν, οὐδέ γε προθυόμενοι καὶ καταστέφοντες ἱερεῖα καὶ
κατασπένδοντες, ἐναντία τῷ λόγῳ τούτῳ πράττομεν. οἱ γὰρ ἱερεῖς καὶ ὅσοι θύειν
φασὶ τὸ ἱερεῖον καὶ κατασπένδειν, καὶ τὴν κίνησιν αὐτοῦ καὶ τὸν τρόπον ἀποθεω-
ρεῖν, ἑτέρου τινὸς τοῦ θ᾽ ἡμῖν, ἢ τοῦ θεμιστεύειν τὸν θεὸν λαμβάνοντες, δεῖ γὰρ τὸ θύ-
σιμον τῷ τε σώματι καὶ τῇ ψυχῇ καθαρὸν εἶναι. καὶ ἀσινὲς καὶ ἀδιάφθορον. μέ-
τα μὲν οὖν περὶ τὸ σῶμα κατιδεῖν, οὐ πάνυ χαλεπόν ἐστι, τὴν δὲ ψυχὴν δοκιμά-
ζουσι, τοῖς μὲν ταύροις ἄλφιτα, τοῖς δὲ κάπροις ἐρεβίνθους παρατιθέντες. τὸ γὰρ
μὴ γευσάμενον, ὑγιαίνειν οὐκ οἴονται, τὴν δ᾽ αἶγα διελέγχειν τὸ ψυχρὸν ὕδωρ, οὐ γὰρ
εἶναι ψυχῆς κατὰ φύσιν ἐχούσης τὸ πρὸς τὴν κατάσεισιν ἀπαθὲς καὶ ἀκίνητον.
ἐγὼ δὲ κἂν ᾖ βέβαιον, ὅτι σημεῖόν ἐστι τοῦ θεμιστεύειν τὸ σείσασθαι, καὶ τοῦ μὴ θεμι-
στεύειν τοὐναντίον, οὐχ ὁρῶ τί συμβαίνει δυσχερὲς ἀπ᾽ αὐτοῦ τοῖς εἰρημένοις, πᾶ-

πολυγνώτου l. A

σα γὰρ δύναμις ᾗ πέφυκε τῷ καιρῷ, βέλτιον ἢ χεῖρον ἀποδίδωσι, τοῦ δὲ καιροῦ διαφεύγοντος ἡμᾶς σημεῖα διδόναι τὸν θεὸν εἰκός ἐστιν. οἴομαι μὲν οὖν μή τε τὴν ἀναθυμίασιν ὡσαύτως ἔχειν ἀεὶ διὰ παντὸς, ἀνέσεις δέ τινας ἴσχειν καὶ πάλιν σφοδρότητας, ᾧ δὲ τεκμηρίῳ χρῶμαι, μάρτυρας ἔχει, καὶ ξένους πολλοὺς, καὶ τοὺς θεραπεύοντας τὸ ἱερὸν ἅπαντας. ὁ γὰρ οἶκος ἐν ᾧ τοὺς χρωμένους τῷ θεῷ καθίζουσιν, οὔτε πολλάκις οὔτε τεταγμένως, ἀλλ' ὡς ἔτυχε διὰ χρόνων εὐωδίας ἀναπίμπλαται καὶ πνεύματος, οἵας ἂν τὰ ἥδιστα καὶ πολυτελέστατα τῶν μύρων, ὥσπερ ἐκ πηγῆς τοῦ ἀδύτου προσβάλλοντος. ἐξανθεῖν γὰρ εἰκὸς ὑπὸ θερμότητος, ἢ τινος ἄλλης ἐγγινομένης δυνάμεως. εἰ δὲ τοῦτο μὴ δοκεῖ πιθανὸν, ἀλλά γε τὴν πυθίαν αὐτὴν ἐν πάθεσι καὶ διαφοραῖς ἄλλοτε ἄλλαις, ἐκεῖνο τὸ μόριος τῆς ψυχῆς ἴσχειν, ᾧ πλησιάζει τὸ πνεῦμα, καὶ μὴ μίαν ἀεὶ κρᾶσιν, ὥσπερ ἁρμονίαν ἀμετάβολον ἐν παντὶ καιρῷ διαφυλάττειν ὁμολογήσατε. πολλαὶ μὲν γὰρ αἰσθομένης, πλείονες δὲ ἄδηλοι, τό τε σῶμα καταλαμβάνουσι καὶ τὴν ψυχὴν ὑπορρέουσι δυσχέρειαι καὶ κινήσεις, ὧν ἀναπιμπλαμένην οὐκ ἄμεινον ἐκεῖ βαδίζειν, οὐδὲ παρέχειν ἑαυτὴν τῷ θεῷ μὴ παντάπασι καθαρὰν οὖσαν, ὥσπερ ὄργανον ἐξηρτυμένον, καὶ εὐηχὲς, ἀλλ' ἐμπαθῆ καὶ ἀκατάστατον. οὔτε γὰρ ὁ οἶνος ὡσαύτως ἀεὶ τὸν μεθυστικὸν, οὔθ' ὁ αὐλὸς τὸν ἐνθουσιαστικὸν ὁμοίως διατίθησιν, ἀλλὰ νῦν μὲν ἧττον οἱ αὐτοὶ, νῦν δὲ μᾶλλον ἐκβακχεύονται καὶ παροινοῦσι, τῆς κράσεως ἐν αὐτοῖς ἑτέρας γενομένης. μάλιστα δὲ τὸ φανταστικὸν ἔοικε τῆς ψυχῆς ὑπὸ τοῦ σώματος ἀλλοιουμένου κρατεῖσθαι, καὶ συμμεταβάλλειν, ὡς δῆλόν ἐστιν ἀπὸ τῶν ὀνείρων, ποτὲ μὲν γὰρ ἐν πολλαῖς γινόμεθα καὶ παντοδαπαῖς ἐνυπνίων ὄψεσι, ποτὲ δ' αὖ πάλιν πᾶσα γίνεται γαλήνη καὶ ἡσυχία τῶν τοιούτων. καὶ κλέωνα μὲν ἴσμεν αὐτοὶ τὸν ἐκ δαυλείας τοῦτον ἐν πολλοῖς ἔτεσιν οἷς βεβίωκε, φάσκοντα μηδὲν ἰδεῖν πώποτε ἐνύπνιον. τῶν δὲ πρεσβυτέρων ταὐτὸ τοῦτο λέγεται περὶ θρασυμήδους τοῦ ἡραιέως, αἰτία δ' ἡ κρᾶσις τοῦ σώματος, ὥσπερ αὖ πάλιν ἡ τῶν μελαγχολικῶν πολυόνειρος καὶ πολυφάνταστος, εἰ καὶ δοκεῖ τὸ εὐθυόνειρον αὐτοῖς ὑπάρχειν. ἐπ' ἄλλα γοῦν ἄλλοτε τῷ φανταστικῷ τρεπόμενοι, καθάπερ οἱ πολλὰ βάλλοντες, ἐπιτυγχάνουσι πολλάκις, ὅταν οὖν ἁρμοστῶς ἔχῃ πρὸς τὴν τοῦ πνεύματος, ὥσπερ φαρμάκου κρᾶσιν ἡ φανταστικὴ καὶ μαντικὴ δύναμις, ἐν τοῖς προφητεύουσιν ἀνάγκη γίνεσθαι τὸν ἐνθουσιασμόν. ὅταν μὴ οὕτως, μὴ γίνεσθαι ἢ γίνεσθαι παράφορον, καὶ ἀκάθαρτον καὶ ταρακτικὸν, ὥσπερ ἴσμεν ἐπὶ τῆς ἔναγχος ἀποθανούσης πυθιάδος. θεοπρόπων γὰρ ἀπὸ ξένης παραγενομένων, λέγεται τὰς πρώτας καταστείσεις ἀκίνητον ὑπομεῖναι καὶ ἀπαθὲς τὸ ἱερεῖον, ὑπερβαλλομένων δὲ φιλοτιμίᾳ τῶν ἱερέων καὶ προσλιπαρούντων μόλις ὑπομβρον γενόμενον καὶ κατακλυσθὲν, ἐνδοῦναι. τί οὖν συνέβη περὶ τὴν πυθιάδα, κατέβη μὲν εἰς τὸ μαντεῖον ὥς φασιν ἄκουσα καὶ ἀπρόθυμος, εὐθὺς δ' ἐπὶ τὰς πρώτας ἀποκρίσεις ἦν καταφανὴς τῇ τραχύτητι τῆς φωνῆς οὐκ ἀναφέρουσα, δίκην νεὼς ἐπειγομένης ἀλάλου καὶ κακοῦ πνεύματος οὖσα πλήρης, τέλος δὲ παντάπασιν ἐκταραχθεῖσα καὶ μετὰ κραυγῆς φοβερᾶς φερομένη πρὸς τὴν ἔξοδον ἔρριψεν ἑαυτὴν, ὥστε φυγεῖν μὴ μόνον τοὺς θεοπρόπους, ἀλλὰ καὶ τὸν προφήτην νίκανδρον, καὶ παρόντας τῶν ὁσίων, ἀνείλοντο μέντοι μετὰ μικρὸν αὐτὴν εἰσελθόντες, ἔμφρονα καὶ διεβίωσεν ὀλίγας ἡμέρας, τούτων ἕνεκα, καὶ συνουσίας ἁγνὸν τὸ σῶμα καὶ τὸν βίον ὅλως ἀνεπίμικτον ἀλλοδαπαῖς ὁμιλίαις, καὶ ἄθικτον φυλάττουσι τῆς πυθιάδος, καὶ πρὸ τοῦ χρηστηρίου τὰ σημεῖα λαμβάνουσιν, οἰόμενοι τῷ θεῷ κατάδηλον εἶναι πότε τὴν πρόσφορον ἔχουσα κρᾶσιν καὶ διάθεσιν, ἀβλαβῶς ὑπομένει τὸν ἐνθουσιασμόν. οὔτε γὰρ πάντας, οὔτε τοὺς αὐτοὺς

ἀεὶ

ἀεὶ διατίθησιν ὡσαύτως ἡ τοῦ πνεύματος δύναμις, ἀλλ' ὑπέκκαυμα παρέχει καὶ ἀρχὴν, ὥσπερ εἴρηται τοῖς πρὸς τὸ παθεῖν καὶ μεταβαλεῖν οἰκείως ἔχουσιν. ἔστι δὲ θεία μὲν ὄντως καὶ δαιμόνιος, οὐ μὴν ἀνέκλειπτος, οὐδ' ἄφθαρτος, οὐδ' ἀγήρως, καὶ διαρκὴς εἰς τὸν ἄπειρον χρόνον. ὑφ' ἣν πάντα κάμνει τὰ μεταξὺ γῆς καὶ σελήνης κατὰ τὸν ἡμέτερον λόγον. εἰσὶ δ' οἱ καὶ τὰ ἐπάνω φάσκοντες οὐχ ὑπομένειν ἀλλ' ἀπαυδῶντα πρὸς τὸ ἀΐδιον καὶ ἄπειρον, ὀξέσι χρῆσθαι μεταβολαῖς καὶ παλιγγενεσίαις. ταῦτ' ἔφην ἐγὼ πολλάκις ἀνασκέπτεσθαι καὶ ὑμᾶς παρακαλῶ καὶ ἐμαυτὸν ὡς ἔχοντα πολλὰς ἀντιλήψεις καὶ ὑπονοίας πρὸς τοὐναντίον, ἃς ὁ καιρὸς οὐ παρέχει πάσας ἐπεξελθεῖν, ὥστε καὶ ταῦτα ὑπερκείσθω καὶ ἃ φίλιππος διαπορεῖ περὶ ἡλίου καὶ ἀπόλλωνος.

ΠΕΡΙ ΤΟΥ ΕΙ ΤΟΥ ΕΝ ΔΕΛΦΟΙΣ.

τιχιδίοις τισὶν οὐ φαύλως ἔχουσιν, ὦ φίλε σαραπίων ἐνέτυχον πρώην, ἃ δικαίαρχος εὐριπίδην οἴεται πρὸς ἀρχέλαον εἰπεῖν. οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης, μή μ' ἄφρονα κρίνῃς, ἢ διδοὺς αἰτεῖν δοκῶ. χαρίζεται μὲν γὰρ οὐδὲν ὁ διδοὺς ἀπ' ὀλίγων μικρὰ τοῖς πολλὰ κεκτημένοις, ἀπιστούμενος δὲ αὐτὸ μηδενὸς διδόναι, κακοηθείας καὶ ἀνελευθερίας προσλαμβάνει δόξαν. ὅρα δὴ ὅσον ἐλευθεριότητι καὶ κάλλει τὰ χρηματικὰ δῶρα λείπεται τῶν ἀπὸ λόγου καὶ σοφίας καὶ διδόναι καλόν ἐστι, καὶ διδόντας ἀνταιτεῖν ὅμοια παρὰ τῶν λαμβανόντων. ἐγὼ γοῦν πρὸς σὲ καὶ διὰ σὲ τοῖς αὐτόθι φίλοις τῶν πυθικῶν λόγων ἐνίους, ὥσπερ ἀπαρχὰς ἀποστέλλων, ὁμολογῶ προσδοκᾶν ἑτέρους, καὶ πλείονας καὶ βελτίονας παρ' ὑμῶν, ἅτε δὴ καὶ πόλει χρωμένων μεγάλῃ, καὶ σχολῆς μᾶλλον ἐν βιβλίοις πολλοῖς καὶ παντοδαπαῖς διατριβαῖς εὐπορούντων. ὁ δ' οὖν φίλος ἀπόλλων ἔοικε, τὰς μὲν περὶ τὸν βίον ἀπορίας ἰᾶσθαι καὶ διαλύειν θεμιστεύων τοῖς χρωμένοις, τὰς δὲ περὶ τὸν λόγον αὐτὸς ἀνιέναι καὶ προβάλλειν τῷ φύσει φιλοσόφῳ τῆς ψυχῆς ὄρεξιν ἐμποιῶν ἀγωγὸν ἐπὶ τὴν ἀλήθειαν, ὡς ἄλλοις τε πολλοῖς δῆλόν ἐστιν καὶ τῇ περὶ τοῦ ΕΙ καθιερώσει, τοῦτο γὰρ εἰκὸς οὐ κατὰ τύχην, οὐδ' οἷον ἀπὸ κλήρου τῶν γραμμάτων μόνον ἐν προεδρίᾳ παρὰ τῷ θεῷ γενέσθαι καὶ λαβεῖν ἀναθήματος τάξιν ἱεροῦ καὶ θεάματος, ἀλλ' ἢ δύναμιν αὐτοῦ κατιδόντας ἰδίαν καὶ περιττὴν ἢ συμβόλῳ χρωμένους πρὸς ἕτερόν τι τῶν ἀξίων σπουδῆς τοὺς ἐν ἀρχῇ περὶ τὸν θεὸν φιλοσοφήσαντας, οὕτως προσέσθαι. πολλάκις οὖν ἄλλοτε τὸν λόγον ἐν τῇ σχολῇ παραβαλλόμενον ἐκκλίνας ἀτρέμα καὶ παρελθὼν, ἔναγχος ὑπὸ τῶν υἱῶν ἐλήφθην ξένοις τισὶ συμφιλοτιμούμενος, οὓς εὐθὺς ἐκ δελφῶν ἀπαίρειν μέλλοντας, οὐκ ἦν εὐπρεπὲς παράγειν, οὐδὲ παραιτεῖσθαι πάντως ἀκοῦσαί τι προθυμουμένους. ὡς δὲ καθίσας περὶ τὸν νεὼν, τὰ μὲν αὐτὸς ἠρξάμην ζητεῖν, τὰ δ' ἐκείνους ἐρωτᾶν, ὑπὸ τοῦ τόπου καὶ τῶν λόγων αὐτῶν ἃ πάλαι ποτὲ καθ' ὃν καιρὸν ἐπεδήμει νέρων ἠκούσαμεν ἀμμωνίου, καὶ τινῶν ἄλλων διεξιόντων ἐνταῦθα τῆς αὐτῆς ἀπορίας ὁμοίως ἐμπεσούσης. ὅτι μὲν γὰρ οὐχ ἧττον ὁ θεὸς φιλόσοφος, ἢ μάντις δοκεῖ πᾶσιν ὀρθῶς πρὸς τοῦτο τῶν ὀνομάτων ἕκαστον, ἀμμώνιος τίθεσθαι καὶ διδάσκειν, ὡς πύθιος μέν ἐστι τοῖς ἀρχομένοις μανθάνειν καὶ διαπυνθάνεσθαι, δήλιος δὲ καὶ φαναῖος, οἷς ἤδη τι δηλοῦται καὶ ὑποφαίνεται τῆς ἀληθείας, ἰσμήνιος δὲ τοῖς ἔχουσι τὴν ἐπιστήμην καὶ λέσχην, ὅτι λέσχηνόριος ὅταν ἐνεργῶσι καὶ ἀπολαύωσι, χρώμενοι τῷ διαλέγεσθαι καὶ φιλοσοφεῖν πρὸς ἀλλήλους.

ἐπεὶ δὲ τοῦ φιλοσοφεῖν ἔφη τὸ ζητεῖν, τὸ θαυμάζειν καὶ ἀπορεῖν, εἰκότως τὰ πολλὰ τῶν περὶ τῶν θεῶν ἔοικεν αἰνίγμασι κατακεκρύφθαι καὶ λόγον τινὰ ποθοῦντα διατί, καὶ διδασκαλίαν τῆς αἰτίας, οἷον ἐνθάδε τοῦ πυρὸς τοῦ ἀθανάτου, καὶ τὸ καίεσθαι μόνον αὐτόθι τῶν ξύλων, ἐλάτην καὶ δάφνην ἐπιθυμιᾶσθαι, καὶ τὸ δύο μοίρας ἱδρύσθαι πανταχοῦ τριῶν νομιζομένων, καὶ τὸ μηδεμιᾶ γυναικὶ πρὸς τὸ χρηστήριον εἶναι προσελθεῖν, καὶ τὸ τοῦ τρίποδος, καὶ ὅσα τοιαῦτα τοῖς μὴ παντάπασιν ἀλόγοις καὶ ἀψύχοις ὑφειμένα δελεάζει καὶ παρακαλεῖ πρὸς τὸ σκοπεῖν τι καὶ ἀκούειν καὶ διαλέγεσθαι περὶ αὐτῶν. ὅρα δὲ καὶ ταυτὶ τὰ προγράμματα, γνῶθι σαυτὸν, καὶ τὸ μηδὲν ἄγαν, ὅσας ζητήσεις κεκίνηκε φιλοσόφους, καὶ ὅσων λόγων πλῆθος ἀφ' ἑκάστου, καθάπερ ἀπὸ σπέρματος ἀναπέφυκεν, ὧν οὐδενὸς ἧττον οἶμαι γόνιμον λόγον εἶναι τὸ νῦν ζητούμενον. εἰπόντος δὲ ταῦτα τοῦ ἀμμωνίου λαμπρίας ὁ ἀδελφὸς εἶπεν. καὶ μὴν ὃν ἡμεῖς ἀκηκόαμεν λόγον ἁπλοῦς τίς ἐστι καὶ κομιδῇ βραχύς. λέγουσι γὰρ ἐκείνους τοὺς σοφοὺς ὑπ' ἐνίων δὲ σοφιστὰς προσαγορευθέντας, αὐτοὺς μὲν εἶναι πέντε, χίλωνα καὶ θαλῆν καὶ σόλωνα καὶ βίαντα καὶ πιττακόν. ἐπεὶ δὲ κλεόβουλος ὁ λινδίων τύραννος, εἶτα περίανδρος ὁ κορίνθιος οὐδὲν αὐτοῖς ἀρετῆς μετὸν οὐδὲ σοφίας, ἀλλὰ δυνάμει καὶ φίλοις καὶ χάρισι καταβιαζόμενοι τὴν δόξαν ἐνέβαλον εἰς τοὔνομα τῶν σοφῶν, καί τινας γνώμας καὶ λόγους ἐξέπεμπον, καὶ διέσπειρεν εἰς τὴν ἑλλάδα τοῖς ὑπ' ἐκείνων λεγομένοις ὁμοίως. δυσχεράναντες ἄρα τοὺς ἄνδρας ἐξελέγχειν μὲν οὐκ ἐθέλειν τὴν ἀλαζονείαν, οὐδὲ φανερῶς ὑπὲρ δόξης ἀπεχθάνεσθαι καὶ διαμάχεσθαι πρὸς ἀνθρώπους μέγα δυναμένους, ἐνταῦθα δὲ συνελθόντας αὐτοὺς καθ' ἑαυτοὺς καὶ διαλεχθέντας ἀλλήλοις, ἀναθεῖναι τῶν γραμμάτων, ὃ τῇ τε τάξει πέμπτον ἐστὶ καὶ τοῦ ἀριθμοῦ τὰ πέντε δηλοῖ, μαρτυρουμένους μὲν ὑπὲρ αὐτῶν πρὸς τὸν θεὸν ὅτι πέντε εἰσί, τὸν δὲ ἕβδομον καὶ τὸν ἕκτον ἀποποιουμένους καὶ ἀποβάλλοντας, ὡς οὐ προσήκοντας αὐτοῖς, ὅτι δὲ οὐκ ἀπὸ σκοποῦ ταῦτα λέγεται, γνοίη τις ἂν ἀκούσας τῶν κατὰ τὸ ἱερὸν τὸ μὲν χρυσοῦν Ε͂Ι λιβίας τῆς καίσαρος γυναικὸς ὀνομαζόντων, τὸ δὲ χαλκοῦν ἀθηναίων, τὸ δὲ πρῶτον καὶ παλαιότατον, τῇ δὲ οὐσίᾳ ξύλινον. ἔτι νῦν τῶν σοφῶν καλοῦσιν οὐχ ἑνὸς, ἀλλὰ κοινὸν ἀνάθημα πάντων γενόμενον. ὁ μὲν οὖν ἀμμώνιος ἡσυχῇ διεμειδίασεν, ὑπονοήσας ἰδίᾳ τὸν λαμπρίαν δόξῃ κεχρῆσθαι, πλάττεσθαι δ' ἱστορίαν καὶ ἀκοὴν ἑτέρων πρὸς τὸ ἀνυπεύθυνον. ἕτερος δέ τις ἔφη τῶν παρόντων, ὡς ὅμοια ταῦτ' ἐστὶν οἷς πρώην ὁ χαλδαῖος ἐφλυάρει ξένος. ἑπτὰ μὲν ἦν τὰ φωνὴν ἰδίαν ἀφιέντα τῶν γραμμάτων, ἑπτὰ δὲ τοὺς κίνησιν αὐτοτελῆ καὶ ἀσύνδετον ἐν οὐρανῷ κινουμένους ἀστέρας, εἶναι δὲ τῇ τάξει δεύτερον τό τε Ε͂Ι τῶν φωνηέντων ἀπ' ἀρχῆς, καὶ τὸν ἥλιον ἀπὸ σελήνης τῶν πλανήτων, ἡλίῳ δ' ἀπόλλωνα τὸν αὐτὸν ὡς ἔπος εἰπεῖν πάντας ἕλληνας νομίζειν. ἀλλὰ ταυτὶ μὲν ἔφη παντάπασιν ἐκ πίνακος καὶ πυλαίας. ὁ δὲ λαμπρίας ἔλαθεν ὡς ἔοικε τοὺς ἀφ' ἱεροῦ κινήσας ἐνθάδε τὸν αὐτοῦ λόγον, ἃ μὲν γὰρ ἐκεῖνος εἶπεν, οὐδεὶς ἐγίνωσκε δελφῶν. τὴν δὲ κοινὴν καὶ περιηγητικὴν δόξαν εἰς τὸ μέσον προῆγον, οὔτε τὴν ὄψιν ἀξιοῦντες, οὔτε τὸν φθόγγον, ἀλλὰ τοὔνομα μόνον τοῦ γράμματος ἔχειν τι σύμβολον. ἔστι γὰρ ὡς ὑπολαμβάνουσι δελφοί, καί τε προηγορῶν ἔλεγε νίκανδρος ὁ ἱερεὺς, σχῆμα καὶ μορφὴ τῆς πρὸς τὸν θεὸν ἐντεύξεως, καὶ τάξιν ἡγεμονικὴν ἐν τοῖς ἐρωτήμασιν ἔχει τῶν χρωμένων ἑκάστοτε, καὶ διαπυνθανομένων, εἰ νικήσουσιν εἰ γαμήσουσιν, εἰ συμφέρει πλεῖν, εἰ γεωργεῖν, εἰ ἀποδημεῖν, τοῖς δὲ διαλεκτικοῖς, χαίρειν ἔλεγε σοφὸς ὢν ὁ θεός, ὁ δὲν οἰόμενος ἐκ τοῦ ε μορίου, καὶ τοῦ μετ' αὐτοῦ ἀξιώματος πρᾶγμα γίνεσθαι

πάσας τὰς ἐρωτήσεις ὑποτεταγμένας τούτῳ, καὶ νοῶν ὡς πράγματα καὶ προσιέμενος. ἐπεὶ δὲ ἴδιον τὸ ἐρωτᾶν πρὸς μάντιν ἐστὶν ἡμῖν καὶ τὸ εὔχεσθαι κοινὸν ὡς πρὸς θεὸν, οὐχ ἧττον οἴονται τῆς πευστικῆς τὴν εὐκτικὴν τὸ γράμμα περιέχειν δύναμιν, εἴ γὰρ ὄφελον φησὶν ἕκαστος τῶν εὐχομένων, καὶ ἀρχίλοχος, εἰ γὰρ ὡς ἐμοὶ γένοιτο χεῖρα νεοβούλης θιγεῖν, καὶ τοῦ εἴθε τὴν δευτέραν συλλαβὴν παρέλκεσθαι φησίν, οἷον τὸ σώφρονος ἅμα τέκνων θὴν δευομένα, καὶ τὸ ὁμηρικὸν ὥσθην καὶ σὸν ἐγὼ λύσω μένος. ἐν δὲ τῷ ΕΙ τὸ εὐκτικὸν καὶ ἀποχρώντως δηλοῦσθαι. ταῦτα τοῦ νικάνδρου διελθόντος. οἶσθα γὰρ δὴ θέωνα τὸν ἑταῖρον ἤρετο τὸν ἀμμώνιον, εἰ διαλεκτικῇ παρρησίας μέτεστιν οὕτω περιυβρισμένῃ. τοῦ δ' ἀμμωνίου λέγειν παρακελευομένου καὶ βοηθεῖν, ἀλλ' ὅτι μὲν ἔφην διαλεκτικώτατος ὁ θεός ἐστιν, οἱ πολλοὶ τῶν χρησμῶν δηλοῦσιν. τοῦ γὰρ αὐτοῦ δήπουθεν ἐστὶ καὶ λύειν καὶ ποιεῖν ἀμφιβολίας, ἔτι δ' ὥσπερ πλάτων ἔλεγε χρησμοῦ δοθέντος, ὅπως τὸν ἐν δήλῳ βωμὸν διπλασιάσωσιν, ὃ τῆς ἄκρας ἕξεως περὶ γεωμετρίαν ἔργον ἐστὶν, οὐ τοῦτο προστάττειν τὸν θεὸν, ἀλλὰ καὶ γεωμετρεῖν διακελεύεσθαι τοῖς ἕλλησιν. οὕτως ἄρα χρησμοὺς ἀμφιβόλους ἐκφέρων ὁ θεὸς αὔξει καὶ συνίστησι διαλεκτικὴν, ὡς ἀναγκαίαν τοῖς μέλλουσιν ὀρθῶς αὐτοῦ συνήσειν. ἐν δὲ διαλεκτικῇ δή που μεγίστην ἔχει δύναμιν ὁ συναπτικὸς οὑτοσὶ σύνδεσμος, ἅτε δὴ τὸ λογικώτατον σχηματίζων ἀξίωμα. πῶς γὰρ οὐ τοιοῦτο τὸ συνημμένον, εἴ γε τῆς μὲν ὑπάρξεως τῶν πραγμάτων ἔχει καὶ τὰ θηρία γνῶσιν, ἀκολούθου δὲ θεωρίαν καὶ κρίσιν, ἀνθρώπῳ μόνον παρέδωκεν ἡ φύσις. ὅτι γὰρ ἡμέρα καὶ φῶς ἐστιν αἰσθάνονται δή που καὶ λύκοι καὶ κύνες καὶ ὄρνιθες, ὅτι δ' εἰ ἡμέρα φῶς ἐστὶν, οὐδὲν ἄλλο συνίησι, πλὴν ἄνθρωπος, ἡγουμένου καὶ λήγοντος ἐμφάσεώς τε καὶ συναρτήσεως τούτων πρὸς ἄλληλα καὶ σχέσεως καὶ διαφορᾶς μόνον ἔχων ἔννοιαν, ἐξ ὧν αἱ ἀποδείξεις τὴν κυριωτάτην ἀρχὴν λαμβάνουσιν. ἐπεὶ τοίνυν φιλοσοφία μὲν περὶ ἀλήθειαν ἐστὶν, ἀληθείας δὲ φῶς ἀπόδειξις, ἀποδείξεως ἀρχὴ τὸ συνημμένον, εἰκότως ἡ τοῦτο συνέχουσα καὶ ποιοῦσα δύναμις ὑπὸ σοφῶν ἀνδρῶν τῷ μάλιστα τὴν ἀλήθειαν ἠγαπηκότι θεῷ καθιδρύθη, καὶ μάντις μὲν ὁ θεὸς, μαντικὴ δὲ τέχνη περὶ τὸ μέλλον, ἐκ τῶν παρόντων ἢ παρῳχημένων. οὐδενὸς γὰρ οὔτ' ἀναίτιος ἡ γένεσις, οὔτ' ἄλογος ἡ πρόγνωσις, ἀλλ' ἐπεὶ πάντα τοῖς γεγονόσι τὰ γιγνόμενα, τά τε γενησόμενα τοῖς γιγνομένοις ἕπεται καὶ συνήρτηται, κατὰ διέξοδον ἀπ' ἀρχῆς εἰς τέλος περαίνουσαν, ὁ τὰς αἰτίας εἰς ταυτὸ συνιδεῖν τε πρὸς ἄλληλα καὶ συμπλέκειν φυσικῶς ἐπιστάμενος, οἶδε καὶ προλέγει τά τ' ὄντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα. καὶ καλῶς ὅμηρος πρῶτον ἔταξε τὰ παρόντα, εἶτα τὸ μέλλον καὶ τὸ παρῳχημένον. ἀπὸ γὰρ τοῦ ὄντος ὁ συλλογισμὸς κατὰ τὴν τοῦ συνημμένου δύναμιν. ὡς εἰ τόδ' ἐστὶ, τόδε προηγεῖται. καὶ πάλιν εἰ τόδε ἐστὶ τόδε γενήσεται. τὸ γὰρ τεχνικὸν καὶ λογικὸν ὥσπερ εἴρηται, γνῶσις ἀκολουθίας, τὴν δὲ πρόσληψιν ἡ αἴσθησις τῷ λόγῳ δίδωσιν. ὅθεν εἰ καὶ αἰσχρὸν εἰπεῖν, οὐκ ἀποτρέψομαι τοῦτο εἶναι τὸν τῆς ἀληθείας τρίποδα τὸν λόγον, ὃς τὴν τοῦ λήγοντος πρὸς τὸ προηγούμενον ἀκολουθίαν θέμενος, εἶτα προσλαβὼν τὴν ὕπαρξιν, ἐπάγει τὸ συμπέρασμα τῆς ἀποδείξεως. τὸν οὖν πύθιον εἰ δὴ μουσικῇ τε ἥδεται, καὶ κύκνων φωναῖς καὶ κιθάρας ψόφοις, τί θαυμαστόν ἐστι διαλεκτικῆς φιλίᾳ τοῦτο ἀσπάζεσθαι τοῦ λόγου τὸ μέρος καὶ ἀγαπᾶν, ᾧ μάλιστα καὶ πλείστῳ προσχρωμένους ὁρᾷ τοὺς φιλοσόφους. ὁ δ' ἡρακλῆς οὔπω τὸν προμηθέα λελυκὼς, οὐδὲ τοῖς περὶ τὸν χείρωνα καὶ ἄτλαντα σοφισταῖς διειλεγμένος, ἀλλὰ νέος ὢν καὶ κομιδῇ βοιώτιος, ἀναιρῶν τὴν διαλεκτικὴν καὶ καταγελῶν τοῦ εἰ τὸ πρῶτον, τὸ δεύτερον ὑποπαρεῖν ἔδοξε βίᾳ τὸν τρί

ποσθαι καὶ διαμάχεσθαι πρὸς τὸν θεὸν ὑπὲρ τῆς τέχνης. ἐπεὶ προϊών γε τῷ χρόνῳ, καὶ οὕτως ἔοικε μαντικώτατος ὁμοῦ γενέσθαι καὶ διαλεκτικώτατος. παυσαμένου δὲ τοῦ Θέωνος, Εὔστροφον Ἀθηναῖον οἶμαι τὸν εἰπόντα εἶναι πρὸς ἡμᾶς, ὁρᾷς ὡς ἀμύνει τῇ διαλεκτικῇ Θέων προθύμως, μόνον οὐ τὴν λεοντῆν ἐπενδυσάμενος, οὔπω οὐδ' ἡμᾶς τοὺς πάντα συλλήβδην πράγματα καὶ φύσεις καὶ ἀρχὰς θείων ὁμοῦ καὶ ἀνθρωπείων ἐν ἀριθμῷ τιθεμένους, καὶ πολὺ μάλιστα τῶν καλῶν καὶ τιμίων, τοῦτον ἡγεμόνα ποιουμένους καὶ κύριον, εἰδὼς ἡσυχίαν ἄγειν, ἀλλ' ἀπάρξασθαι τῷ θεῷ τῆς φίλης μαθηματικῆς, βουλομένους αὐτὸ μὲν ἐφ' ἑαυτοῦ, μήτε δυνάμει μήτε μορφῇ μήτε τῷ ῥήματι τὸ Ε τῶν ἄλλων στοιχείων διαφέρειν ἡγουμένους· ὡς δὲ μεγάλου πρὸς τὰ ὅλα κυρίου σημεῖον ἀριθμοῦ προτετιμῆσθαι τῆς πεμπάδος, ἀφ' οὗ τὸ ἀριθμεῖν οἱ σοφοὶ πεμπάζειν ὠνόμαζον. ταῦτα δὲ πρὸς ἡμᾶς ἔλεγεν οὐ παίζων ὁ Εὔστροφος, ἀλλ' ἐπεὶ τηνικαῦτα προσεκείμην τοῖς μαθήμασιν ἐμπαθῶς, τάχα δὲ μέλλων εἰς πάντα τιμήσειν τὸ μηδὲν ἄγαν ἐν ἀκαδημίᾳ γενόμενος. εἶπον οὖν κάλλιστα τὸν Εὔστροφον τῷ ἀριθμῷ λύειν τὴν ἀπορίαν. ἐπεὶ γὰρ ἔφην εἰς τὸ ἄρτιον νενεμημένου παντὸς ἀριθμοῦ καὶ τὸ περιττόν, ἡ μὲν μονὰς ἀμφοτέρων ἐπίκοινός ἐστι τῇ δυνάμει, διὸ καὶ προστιθεμένη τὸν μὲν περιττὸν ἀριθμὸν ἄρτιον ποιεῖ, τὸν δὲ ἄρτιον περιττόν. ἀρχὴν δὲ τοῦ μὲν ἀρτίου τὰ δύο, τοῦ δὲ περιττοῦ τὰ τρία ποιοῦντα, τὰ δὲ πέντε γεννᾶται, τούτων πρὸς ἀλλήλους μιγνυμένων, εἰκότως ἔσχηκε τιμὴν πρῶτος ἐκ πρώτων ἀποτελούμενος, καὶ γάμος ἀπωνόμασται τῇ τοῦ ἀρτίου πρὸς τὸ θῆλυ, περιττοῦ δὲ αὖ πρὸς τὸ ἄρρεν ὁμοιότητι. ταῖς γὰρ εἰς ἴσα τομαῖς τῶν ἀριθμῶν, ὁ μὲν ἄρτιος πάντῃ διιστάμενος, ὑπολείπει τινὰ δεκτικὴν ἀρχὴν, οἷον ἐν ἑαυτῷ καὶ χώραν, ἐν δὲ τῷ περιττῷ τὸ αὐτὸ παθόντι, μέσον ἀεὶ περίεστι τῆς νεμήσεως γόνιμον, ἢ γονιμώτερός ἐστι τοῦ ἑτέρου, καὶ μιγνύμενος ἀεὶ κρατεῖ, κρατεῖται δὲ οὐδέποτε. γίνεται γὰρ ἐξ ἀμφοῖν κατ' οὐδεμίαν μῖξιν ἄρτιος, ἀλλὰ κατὰ πάσας περιττός. ἔστι δὲ μᾶλλον αὐτὸς ἐπιβάλλων αὐτῷ καὶ συντιθέμενος, δείκνυσι τὴν διαφορὰν ἑκάτερος. ἄρτιος μὲν γὰρ οὐδεὶς ἀρτίῳ συνελθὼν περιττὸν παρέσχεν, οὐδ' ἐξέβη τὸ οἰκεῖον ὑπ' ἀσθενείας ἄγονος ὢν ἑτέρου καὶ ἀτελής, περιττοὶ δὲ μιγνύμενοι περιττοῖς, ἀρτίους πολλοὺς διὰ τὸ πάντῃ γόνιμον ἀποτελοῦσι, τὰς δ' ἄλλας οὐκ ἄν τις ἐν καιρῷ νῦν ἐπεξίοι δυνάμεις, καὶ διαφορὰς τῶν ἀριθμῶν. ὡς οὖν ἄρρενος τοῦ πρώτου καὶ θήλεος ὁμοιότητι τὰ πέντε γινόμενα γάμον οἱ Πυθαγόρειοι προσεῖπον. ἔστι δὲ ἡ καὶ φύσις λέλεκται τῷ περὶ αὐτὸν πολυπλασιασμῷ πάλιν εἰς ἑαυτὸν περαίνων. ὡς γὰρ ἡ φύσις λαβοῦσα πυρὸν ἐν σπέρματι καὶ χεαμένη, πολλὰ μὲν ἐν μέσῳ φύει σχήματα καὶ εἴδη, δι' ὧν ἐπὶ τέλος ἐξάγει τὸ ἔργον· ἐπὶ πᾶσι δὲ πυρὸν ἀνέδειξεν, ἀποδοῦσα τὴν ἀρχὴν ἐν τῷ τέλει τοῦ παντός, οὕτω τῶν λοιπῶν ἀριθμῶν ὅταν αὐτοὺς πολλαπλασιάζωσιν εἰς ἑτέρους τελευτώντων τῇ αὐξήσει, μόνος ὁ τῶν πέντε καὶ ἓξ γενόμενος τοσαυτάκις αὐτοὺς ἀναφέρουσι καὶ ἀνασώζουσι. ἑξάκις γὰρ τὰ ἓξ τριακονταέξ, καὶ πεντάκις τὰ πέντε εἰκοσιπέντε γίνεται. καὶ πάλιν ὁ μὲν τῶν ἓξ ἅπαξ τοῦτο ποιεῖ, καὶ μοναχῶς αὐτὸς ἀφ' ἑαυτοῦ τετράγωνος γινόμενος, τῇ δὲ πεντάδι καὶ τοῦτο μὲν συμβέβηκε κατὰ πολυπλασιασμόν, ἰδίως δὲ τὸ κατὰ σύνθεσιν καθ' ἑαυτὴν, ἢ δεκάδα ποιεῖ παρὰ μέρος ἐπιβαλλούσης αὐτῆς, καὶ τοῦτο γίνεσθαι μέχρι παντός, ἀπομιμουμένου τοῦ ἀριθμοῦ τὴν τὰ ὅλα διακοσμοῦσαν ἀρχήν. ὡς γὰρ ἐκείνη φυλάττουσα ἐκ μὲν ἑαυτῆς τὸν κόσμον, ἐκ δὲ τοῦ κόσμου πάλιν ἀφ' ἑαυτὴν ἀποτελεῖν, πυρὸς ἀνταμείβεται πάντα φησὶν ὁ Ἡράκλειτος, καὶ πῦρ ἁπάντων ὥσπερ χρυσοῦ χρήματα, καὶ χρημάτων χρυ-

σός, οὕτως ἡ τῆς πεντάδος πρὸς ἑαυτὴν σύνοδος, οὐδὲν οὔτε ἀτελές, οὔτε ἀλλότριον γεννᾶν πέφυκεν, ἀλλ' ὡρισμένας ἔχει μεταβολάς, ἢ γὰρ αὐτὴν ἢ τὴν δεκάδα γεννᾷ, τουτέστιν ἢ τὸ οἰκεῖον ἢ τὸ τέλειον. ἐὰν οὖν ἐρωτᾷ τις τί ταῦτα πρὸς τὸν Ἀπόλλωνα, φήσομεν, οὐχὶ μόνον, ἀλλὰ καὶ πρὸς τὸν Διόνυσον, ᾧ τῶν Δελφῶν οὐδὲν ἧττον, ἢ τῷ Ἀπόλλωνι μέτεστιν. ἀκούομεν οὖν τῶν θεολόγων, τὰ μὲν ἐν ποιήμασι, τὰ δ' ἄνευ μέτρου λεγόντων καὶ ὑμνούντων, ὡς ἄφθαρτος ὁ θεὸς καὶ ἀΐδιος πεφυκώς, ὑπὸ δή τινος εἱμαρμένης γνώμης καὶ λόγου μεταβολαῖς ἑαυτοῦ χρώμενος, ἄλλοτε μὲν εἰς πῦρ ἀνῆψε τὴν φύσιν πάντα ὁμοιώσας πᾶσιν, ἄλλοτε δὲ παντοδαπὸς ἔν τε μορφαῖς καὶ ἐν πάθεσι καὶ δυνάμεσι διαφόροις γινόμενος, ὡς γίνεται νῦν κόσμος, ὀνομάζεται δὲ τῷ γνωριμωτάτῳ τῶν ὀνομάτων, κρυπτόμενοι δὲ τοὺς πολλοὺς οἱ σοφώτεροι, τὴν μὲν εἰς πῦρ μεταβολὴν Ἀπόλλωνά τε τῇ μονώσει, Φοῖβον τε τῷ καθαρῷ καὶ ἀμιάντῳ καλοῦσι. τῆς δ' εἰς πνεύματα καὶ ὕδωρ καὶ γῆν καὶ ἄστρα καὶ φυτῶν, ζώων τε γενέσεις τροπῆς αὐτοῦ καὶ διακοσμήσεως, τὸ μὲν πάθημα καὶ τὴν μεταβολὴν, διασπασμόν τινα καὶ διαμελισμὸν αἰνίττονται, Διόνυσον δὲ καὶ Ζαγρέα καὶ Νυκτέλιον καὶ Ἰσοδαίτην αὐτὸν ὀνομάζουσι, καὶ φθοράς τινας καὶ ἀφανισμοὺς, καὶ τὰς ἀποβιώσεις καὶ παλιγγενεσίας οἰκεῖα ταῖς εἰρημέναις μεταβολαῖς αἰνίγματα καὶ μυθεύματα περαίνουσι καὶ ᾄδουσι. τῷ μὲν διθυραμβικὰ μέλη παθῶν μεστὰ καὶ μεταβολῆς, πλάνην τινὰ καὶ διαφόρησιν ἐχούσης, μιξοβόαν γὰρ Αἰσχύλος φησὶ πρέπει διθύραμβον ὁμαρτεῖν σύγκοινον Διονύσῳ. τῷ δὲ παιᾶνα τεταγμένην καὶ σώφρονα μοῦσαν, ἀγήρω τε τοῦτον ἀεὶ καὶ νέον, ἐκεῖνον δὲ πολυειδῆ καὶ πολύμορφον ἐν γραφαῖς καὶ πλάσμασι δημιουργοῦσι, καὶ ὅλως τῷ μὲν ὁμοιότητα καὶ τάξιν καὶ σπουδὴν ἄκρατον, τῷ δὲ μεμιγμένην τινὰ παιδιᾷ καὶ ὕβρει καὶ σπουδὴν καὶ μανίαν προσφέροντες, ἀνωμαλίαν εὔιον ὀρσιγύναικα μαινομέναις Διόνυσον ἀνθέοντα τιμαῖς ἀνακαλοῦσιν, οὐ φαύλως ἑκατέρας μεταβολῆς τὸ οἰκεῖον λαμβάνοντες. ἐπεὶ δ' οὐκ ἴσος ὁ τῶν περιόδων ἐν ταῖς μεταβολαῖς χρόνος, ἀλλὰ μείζων ὁ τῆς ἑτέρας, ἣν κόρον καλοῦσιν, ὁ δὲ τῆς χρησμοσύνης ἐλάττων, τὸ κατὰ λόγον τηροῦντες ἐνταῦθα, τὸν μὲν ἄλλον ἐνιαυτὸν παιᾶνι χρῶνται περὶ τὰς θυσίας· ἀρχομένου δὲ χειμῶνος ἐπεγείραντες τὸν διθύραμβον, τὸν δὲ παιᾶνα καταπαύσαντες, τρεῖς μῆνας ἀντ' ἐκείνου τοῦτον κατακαλοῦνται τὸν θεόν, ὅπερ τρία πρὸς ἓν τοῦτο τὴν διακόσμησιν οἰόμενοι χρόνῳ πρὸς τὴν ἐκπύρωσιν εἶναι. ἀλλὰ ταῦτα μὲν ἱκανοῦ καιροῦ μᾶλλον ἀπομεμήκυνται. δῆλον δὲ ὅτι συνοικειοῦσιν αὐτὸν οἱ τὴν πεντάδα· νῦν μὲν αὐτὴν ἑαυτὴν ὡς τὸ πῦρ, αὖθις δὲ τὴν δεκάδα ποιοῦσαν ἐξ ἑαυτῆς, ὡς τὸν κόσμον λέγοντες. τῆς δὲ δὴ μάλιστα κεχαρισμένης τῷ θεῷ μουσικῆς, οὐκ οἰόμεθα τούτῳ τῷ ἀριθμῷ μετεῖναι, τὸ γὰρ πλεῖστον ὡς ἔπος εἰπεῖν, ἔργον ἁρμονικῆς περὶ τὰς συμφωνίας ἐστίν. αὗται δ' ὅτι πέντε καὶ οὐ πλείους ὁ λόγος ἐξελέγχει, τὸν ἐν χορδαῖς καὶ τρυπήμασι ταῦτα θηρᾶν ἀλόγως τῇ αἰσθήσει βουλόμενον· πᾶσαι γὰρ ἐν λόγοις τὴν γένεσιν ἀριθμῶν λαμβάνουσιν, καὶ λόγος ἐστὶ τῆς μὲν διὰ τεττάρων ἐπίτριτος, τῆς δὲ διὰ πέντε ἡμιόλιος, διπλάσιος δὲ τῆς διὰ πασῶν, τῆς δὲ διὰ πασῶν καὶ διὰ πέντε τριπλάσιος, τῆς δὲ δὶς διὰ πασῶν τετραπλάσιος. ἣν δὲ ταύταις ἐπεισάγουσιν οἱ ἁρμονικοὶ διὰ πασῶν καὶ διὰ τεσσάρων ὀνομάζοντες ἔξω μέτρου βαίνουσαν, οὐκ ἄξιόν ἐστι δέχεσθαι τῆς ἀκοῆς τῷ ἀλόγῳ παρὰ τὸν λόγον, ὥσπερ νόμον χαριζομένους. ἵνα τοίνυν ἀφῶ πέντε τετραχόρδων θέσεις, καὶ πέντε τοὺς πρώτους, εἴτε τόνους, ἢ τρόπους, εἴτε ἁρμονίας χρὴ καλεῖν, ὡς ἐπιτάσει καὶ ὑφέσει τρεπομένων κατὰ τὸ μᾶλλον καὶ ἧττον· αἱ λοιπαὶ βαρύτητές εἰσι καὶ

ὀξύτητος. ἆρ' οὐχὶ πολλῶν, μᾶλλον δὲ ἀπείρων διαστημάτων ὄντων, τὰ μελῳ-
δούμενα πέντε μόνα εἰσί, δίεσις, καὶ ἡμιτόνιον, καὶ τόνος, καὶ τριημιτόνιον, καὶ
δίτονον, ἄλλο δ' οὐδὲν, οὔτε μικρότερον, οὔτε μεῖζον ἐν φωνῆς χωρίον ὀξύτητι
καὶ βαρύτητι περατούμενον μελῳδητόν ἐστι. πολλὰ δὲ ἄλλα τοιαῦτα ἔφην ἐγὼ
προελθὼν, τὸν πλάτωνα προσάξομαι λέγοντα κόσμον ἕνα, ὡς εἴπερ εἰσὶ παρὰ
τοῦτον ἕτεροι καὶ μὴ μόνος οὗτος, εἰς πέντε τοὺς πάντας ὄντας καὶ μὴ πλείο-
νας· οὐ μὴν ἀλλὰ κἂν εἷς οὗτος ᾖ μονογενὴς, ὡς οἴεται καὶ ἀριστοτέλης, τρόπον τι-
νὰ καὶ τοῦτον ἐκ πέντε συγκείμενον κόσμον καὶ συνηρμοσμένον εἶναι. ὧν ὁ μέν
ἐστι γῆς, ὁ δ' ὕδατος, τρίτος δὲ πυρὸς, καὶ τέταρτος ἀέρος, τὸ δὲ πέμπτον οὐρανόν· οἱ δὲ
φῶς, οἱ δ' αἰθέρα καλοῦσιν, οἱ δ' αὐτὸ τοῦτο πέμπτην οὐσίαν, ᾗ τὸ κύκλῳ περιφέ-
ρεσθαι μόνῃ τῶν σωμάτων κατὰ φύσιν ἐστὶν, οὐκ ἐξ ἀνάγκης οὔτ' ἄλλως συμβε-
βηκός. διὸ δὴ καὶ τὰ πέντε κάλλιστα καὶ τελεώτατα σχήματα τῶν ἐν τῇ φύσει
κατανοήσας, πυραμίδα καὶ κύβον, καὶ ὀκτάεδρον, καὶ εἰκοσάεδρον, καὶ δωδε-
κάεδρον, ἕκαστον οἰκείως ἑκάστῳ προσένειμεν. εἰσὶ δ' οἳ καὶ τὰς τῶν αἰσθήσεων
δυνάμεις ἰσαρίθμους οὔσας τοῖς πρώτοις ἐκείνοις συνοικειοῦσι, τὴν μὲν ἁφὴν ἐ-
ρῶντες, ἀντίτυπον οὖσαν καὶ γεώδη, τὴν δὲ γεῦσιν ὑγρότητι τῶν γευστῶν τὰς ποιό-
τητας προσιεμένην· ἀὴρ δὲ πληγεὶς ἐν ἀκοῇ, γίνεται φωνὴ καὶ ψόφος, δυεῖν δὲ
τῶν λοιπῶν, ὀσμὴ μὲν ἣν ἡ ὄσφρησις εἴληχεν ἀναθυμίασις οὖσα καὶ γεννωμένη
θερμότητι, πυρώδης ἐστὶν, αἰθέρι δὲ καὶ φωτὶ διὰ συγγένειαν διαλαμπούσης
τῆς ὄψεως γίνεται κρᾶσις ἐξ ἀμφοῖν ὁμοιοπαθὴς καὶ σύμπληξις, ἄλλην δὲ οὔ-
τε τὸ ζῷον αἴσθησιν, οὔθ' ὁ κόσμος ἔχει φύσιν ἁπλῆν καὶ ἄμικτον, ἀλλὰ θαυμαστή
τις ὡς ἔοικε διανομὴ γέγονε, τῶν πέντε πρὸς τὰ πέντε καὶ σύλληξις. ἅμα δέ πως
ἐπιστήσας καὶ διαλιπὼν, οἷόν τι ἔφην ὦ εὔστροφε πεπόνθαμεν ὀλίγου παρελθόν-
τες τὸν ὅμηρον, ὡς οὐχὶ πρῶτον εἰς πέντε νείμαντα μοίρας τὸν κόσμον, ὃς τὰς
μὲν ἐν μέσῳ τρεῖς, ἀποδέδωκε τοῖς τρισὶ θεοῖς, δύο δὲ τὰς ἄκρας ὄλυμπον καὶ
γῆν, ὧν ἡ μέν ἐστι τῶν κάτω πέρας, ἡ δὲ τῶν ἄνω κοινὰς καὶ ἀνεμήτους ἀφῆκεν.
ἀλλ' ἀνοιστέος ὁ λόγος, ὡς εὐριπίδης φησὶν, οἱ δὲ τὴν τετράδα σεμνύναντες, οὐ φαύ-
λως διδάσκουσιν· ὅτι τῷ ταύτης λόγῳ πᾶν σῶμα γένεσιν ἔσχηκεν. ἐπεὶ γὰρ ἐν
μήκει καὶ πλάτει βάθος λαβόν τι πᾶν τὸ στερεόν ἐστι, καὶ μήκους μὲν προϋφί-
σταται στιγμὴ κατὰ μονάδα τεταγμένη, μῆκος δὲ ἀπλατὲς ἡ γραμμὴ καλεῖ-
ται, καὶ μῆκός ἐστιν· ἡ δ' ἐπὶ πλάτος γραμμῆς κίνησις καὶ ἐπιφανείας γένεσιν
ἐν τριάδι παρέσχε, βάθους δὲ τούτου προσγενομένου διὰ τεττάρων εἰς στερεὸν ἡ αὔ-
ξησις προβαίνει· παντὶ δῆλον. ὅτι μὴ δεῦρο τὴν φύσιν ἡ τετρὰς προαγαγοῦσα καὶ
μέχρι τοῦ σῶμα τελειῶσαι, καὶ παρασχεῖν ἁπτὸν ὄγκον καὶ ἀντίτυπον. εἶτ' ἀπο-
λέλοιπεν ἐνδεᾶ τοῦ μεγίστου. τὸ γὰρ ἄψυχον ὡς ἁπλῶς εἰπεῖν, ὀρφανὸν καὶ ἀτε-
λὲς καὶ πρὸς οὐδ' ὁτιοῦν μὴ χρωμένης ψυχῆς ἐπιτήδειον, ἡ δὲ τὴν ψυχὴν ἐμποι-
οῦσα κίνησις ἢ διάθεσις μεταβολὴ διὰ πέντε γινομένη, τῇ φύσει τὸ τέλειον ἀπο-
δίδωσι, καὶ τοσούτῳ κυριώτερον ἔχει τῆς τετράδος λόγον, ὅσῳ τιμῇ διαφέρει τὸ
ἀψύχου τὸ ζῷον. ἔτι δ' ἰσχύσασα μᾶλλον ἡ τῶν πέντε συμμετρία καὶ δύνα-
μις οὐκ εἴασεν εἰς ἄπειρα γένη προελθεῖν τὸ ἔμψυχον, ἀλλὰ πέντε τῶν ζώντων ἁ-
πάντων ἰδέας παρέσχεν. εἰσὶ γὰρ θεοὶ δή που καὶ δαίμονες, καὶ ἥρωες, εἶτα μετὰ
τούτους τὸ τέταρτον ἄνθρωποι γένος, ἔσχατον δὲ καὶ πέμπτον τὸ ἄλογον καὶ θη-
ριῶδες. ἔτι δ' εἰ τὴν ψυχὴν αὐτὴν κατὰ φύσιν διαιρεῖς, πρῶτον αὐτῆς καὶ ἀ-
μαυρότατόν ἐστι τὸ θρεπτικὸν, δεύτερον δὲ τὸ αἰσθητικὸν, εἶτα τὸ ἐπιθυμητικὸν,
εἶτα ἐπὶ τούτῳ τὸ θυμοειδὲς, εἰς δὲ τὴν τοῦ λογιστικοῦ δύναμιν, ἐξικομένη καὶ
τελεώσασα τὴν φύσιν, ὥσπερ ἐν ἄκρῳ τῷ πέμπτῳ καταπέπαυται. τοσαύ-

τας δὲ καὶ τηλικαύτας ἔχοντος τοῦ ἀριθμοῦ δυνάμεις καλὴ καὶ ἡ γένεσίς ἐστιν,
οὐχ ἣν ἤδη διήλθομεν ἐκ δυάδος οὖσα καὶ τριάδος, ἀλλ' ἣν ἀρχὴ τῷ πρώτῳ συ-
νελθοῦσα τετραγώνῳ παρέσχεν· ἀρχὴ μὲν γὰρ ἀριθμοῦ παντὸς ἡ μονάς, τετράγω-
νος δ' ὁ πρῶτος ἡ τετράς, ἐκ δὲ τούτων ὥσπερ ἰδέας καὶ ὕλης πέρας ἐχούσης ἡ πεμ-
πτάς. εἰ δὲ δὴ καὶ τὴν μονάδα τετράγωνον ὀρθῶς ἔνιοι τίθενται, δύναμιν οὖ-
σαν ἑαυτῆς καὶ περαίνουσαν εἰς ἑαυτὴν ἐκ δυεῖν πεφυκυῖα τῶν πρώτων τετρα-
γώνων ἡ πεμπτὰς, οὐκ ἀπολέλοιπεν ὑπερβολὴν εὐγενείας. τὸ δὲ μέγιστον ἔφ-
ην δέδια μὴ ῥηθὲν πιέζῃ τὸν πλάτωνα ἡμῶν, ὡς ἐκεῖνος ἔλεγε πιέζεσθαι τῷ τῆς
σελήνης ὀνόματι τὸν ἀναξαγόραν, παμπάλαιον οὖσάν τινα τὴν περὶ τῶν φω-
τισμῶν δόξαν αὐτῆς ἰδίαν ποιούμενον. ἢ γὰρ οὐ ταῦτα εἴρηκεν ἐν κρατύλῳ;
πάνυ μὲν οὖν ὁ εὔστροφος ἔφη, τί δ' ὅμοιον πέφυκεν οὐ συνορῶ. καὶ μὴν οἶ-
σθα δήπουθεν ὅτι πέντε μὲν ἐν σοφιστῇ τὰς κυριωτάτας ἀποδείκνυσιν ἀρχὰς,
τὸ ὂν, τὸ ταὐτὸν, τὸ ἕτερον, τέταρτον δὲ καὶ πέμπτον ἐπὶ τούτοις κίνησιν καὶ
στάσιν. ἄλλῳ δ' αὖ τρόπῳ διαιρέσεως ἐν φιλήβῳ χρώμενος. ἓν μὲν εἶναί φησι τὸ ἄ-
πειρον, ἕτερον δὲ πέρας. τούτων δὲ μιγνυμένων πᾶσαν συνίστασθαι γένεσιν,
αἰτίαν δ' ὑφ' ἧς μίγνυται, τέταρτον γένος τίθεται καὶ πέμπτον ἡμῖν ὑπονο-
εῖν ἀπολέλοιπεν, ᾧ τὰ μιχθέντα πάλιν ἴσχει διάκρισιν καὶ διάστασιν, τεκμαί-
ρομαι δὲ ταῦτ' ἐκείνων ὥσπερ εἰκόνας λέγεσθαι, τοῦ μὲν ὄντος τὸ γινόμενον, κι-
νήσεως δὲ τὸ ἄπειρον, τὸ δὲ πέρας τῆς στάσεως, ταὐτοῦ δὲ τὴν μιγνύουσαν ἀρ-
χὴν, θατέρου δὲ τὴν διακρίνουσαν. εἰ δ' ἕτερα ταῦτ' ἐστὶ, κἀκείνως ἂν εἴη καὶ οὕτως,
ἐν πέντε γενέσεσι καὶ διαφοραῖς. πυθόμενός φησι δή τις ταῦτα πρότερος συ-
νιδὼν πλάτωνος δύο ε̄ καθιδρῶσαι τῷ θεῷ, δήλωμα καὶ σύμβολον τοῦ ἀριθμοῦ
τῶν πάντων. ἀλλὰ μὴν καὶ τἀγαθὸν ἐν πέντε γενέσεσι φανταζόμενον κατα-
νοήσας, ὧν πρῶτόν ἐστι τὸ μέτριον, δεύτερον δὲ τὸ σύμμετρον, καὶ τρίτον ὁ νοῦς,
καὶ τέταρτον αἱ περὶ ψυχὴν ἐπιστῆμαι καὶ τέχναι καὶ δόξαι ἀληθεῖς, πέμπτον
εἴ τις ἡδονὴ καθαρὰ καὶ πρὸς τὸ λυποῦν ἄκρατος, ἐνταῦθα λήγει τὸ ὀρφικὸν ὑ-
πειπὼν, ἕκτῃ δ' ἐν γενεᾷ καταπαύσατε θυμὸν ἀοιδῆς. ἐπὶ τούτοις ἔφην εἰ-
ρημένοις πρὸς ὑμᾶς ἓν βραχὺ τοῖς περὶ νίκανδρον ἀείσω ξυνετοῖσι. τῆς γὰρ ἕκ-
της τοῦ νέου μηνὸς ὅτ' ἂν κατάγῃ, εἰς τὴν πυθίαν εἴς τι πρυτανεῖον, ὁ πρῶτος ὑ-
μῖν γίνεται τῶν τριῶν κλήρων εἰς τὰ πέντε πρὸς ἀλλήλους ἐκείνοις τὰ τρία οὐ
δὲ τὰ δύο βάλλοντες· ἢ γὰρ οὐχ οὕτως ἔχει; καὶ ὁ νίκανδρος οὕτως εἶπεν, ἡ
δ' αἰτία πρὸς ἑτέρους ἄρρητός ἐστι. οὐκοῦν ἔφην ἐγὼ μειδιάσας, ἄχρι οὗ τἀλη-
θὲς ἡμῖν ὁ θεὸς ἱεροῖς γενομένοις γνῶναι παράσχῃ. προσκείσεται καὶ τοῦτο
τοῖς ὑπὲρ τῆς πεντάδος λεγομένοις. τοιοῦτος μὲν καὶ ὁ τῶν ἀριθμητικῶν καὶ
ὁ τῶν μαθηματικῶν ἐγκωμίων τοῦ ε̄ λόγος, ὡς ἐγὼ μέμνημαι πέρας ἔσχεν.
ὁ δ' ἀμμώνιος ἅτε δὴ καὶ αὐτὸς οὐ τὸ φαυλότατον ἐν μαθηματικῇ φιλοσοφίᾳ
τιθέμενος, ἥσθη τε τοῖς λεγομένοις καὶ εἶπεν, οὐκ ἄξιον πρὸς ταῦτα λίαν ἀκρι-
βῶς ἀντιλέγειν τοῖς νέοις, πλὴν ὅτι τῶν ἀριθμῶν ἕκαστος οὐκ ὀλίγα βουλομέ-
νοις καὶ ὑμῖν ἐπαινεῖν παρέξει, καὶ τί δεῖ περὶ τῶν ἄλλων λέγειν, ἡ γὰρ ἱερὰ
τοῦ ἀπόλλωνος ἑβδομὰς ἀναλώσει τὴν ἡμέραν πρότερον, ἢ λόγῳ τὰς δυνάμεις
αὐτῆς ἁπάσας ἐπεξελθεῖν. εἶτα τῷ κοινῷ νόμῳ πολεμοῦντας ἅμα καὶ τῷ
πολλῷ χρόνῳ τοὺς σοφοὺς ἀποφανοῦμεν ἄνδρας, εἰ τὴν ἑβδομάδα τῆς προεδρί-
ας παρώσαντες τῷ θεῷ τὴν πεντάδα καθιδρώσουσιν, ὡς μᾶλλον τί προσήκου-
σαν, οὔτε οὖν ἀριθμὸν, οὔτε τάξιν οὔτε σύνδεσμον, οὔτ' ἄλλο τῶν ἐλλιπῶν μο-
ρίων οὐδὲν οἶμαι τὸ γράμμα σημαίνειν, ἀλλ' ἔστιν αὐτοτελὴς τοῦ θεοῦ προσαγό-
ρευσις καὶ προσφώνησις ἅμα τῷ ῥήματι τὸν φθεγγόμενον εἰς ἔννοιαν καθιστᾶσα τῆς

τοῦ θεοῦ δυνάμεως. ὁ μὲν γὰρ θεὸς ἕκαστον ἡμῶν ἐνταῦθα προσιόντα οἷον ἀσπαζόμενος προσαγορεύει τὸ γνῶθι σαυτόν, ὃ τοῦ χαῖρε δή, οὐθὲν μεῖόν ἐστιν. ἡμεῖς δὲ πάλιν ἀμειβόμενοι τὸν θεόν, εἶ φαμέν, ὡς ἀληθῆ καὶ ἀψευδῆ καὶ μόνην μόνῳ προσήκουσαν, τὴν τοῦ εἶναι προσαγόρευσιν ἀποδιδόντες. ἡμῖν μὲν γὰρ ὄντως τοῦ εἶναι μέτεστιν οὐδέν, ἀλλὰ πᾶσα θνητὴ φύσις ἐν μέσῳ γενέσεως καὶ φθορᾶς γενομένη φάσμα παρέχει καὶ δόκησιν, ἀμυδρὰν καὶ ἀβέβαιον αὐτῆς, ἂν δὲ τὴν διάνοιαν ἐπερείσῃς λαβέσθαι βουλόμενος ὥσπερ ἡ σφοδρὰ περίδραξις ὕδατος τῷ πιέζειν εἰς ταυτὸ καὶ συνάγειν διαρρέον ἀπόλλυσι τὸ περιλαμβανόμενον, οὕτω τῶν παθημάτων μεταβαλόντων ἑκάστου τὴν ἄγαν ἐνάργειαν ὁ λόγος διώκων ἀποσφάλλεται, τῇ μὲν εἰς τὸ γιγνόμενον αὐτοῦ, τῇ δ' εἰς τὸ φθειρόμενον, οὐδενὸς λαβέσθαι μένοντος, οὐδὲ ὄντος ὄντως δυνάμενος. ποταμῷ γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ καθ' Ἡράκλειτον, οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν, ἀλλ' ὀξύτητι καὶ τάχει μεταβολῆς σκίδνησι καὶ πάλιν συνάγει, πρόσεισι καὶ ἄπεισι, ὅθεν οὐδ' εἰς τὸ εἶναι περαίνει τὸ γιγνόμενον αὐτῆς τῷ μηδέποτε λήγειν, μηδ' ἵστασθαι τὴν γένεσιν· ἀλλ' ἀπὸ σπέρματος ἀεὶ μεταβάλλουσαν, ἔμβρυον ποιεῖν, εἶτα βρέφος, εἶτα παῖδα, μειράκιον, ἐφεξῆς νεανίσκον, εἶτα ἄνδρα, πρεσβύτην, γέροντα, τὰς πρώτας φθείρουσαν γενέσεις καὶ ἡλικίας ταῖς ἐπιγιγνομέναις. ἀλλ' ἡμεῖς ἕνα φοβούμεθα γελοίως θάνατον, ἤδη τοσούτους τεθνηκότες καὶ θνήσκοντες. οὐ γὰρ μόνον ὡς Ἡράκλειτος ἔλεγε, πυρὸς θάνατος, ἀέρι γένεσις, καὶ ἀέρος θάνατος, ὕδατι γένεσις, ἀλλ' ἔτι σαφέστερον ἐπ' αὐτῶν ἴδοις ἄν, φθείρεται μὲν ἀκμάζων γινομένου γέροντος, ἐφθάρη δ' ὁ νέος εἰς τὸν ἀκμάζοντα, καὶ ὁ παῖς εἰς τὸν νέον, εἰς δὲ τὸν παῖδα τὸ νήπιον. ὅ τε χθὲς εἰς τὸν σήμερον τέθνηκεν, ὁ δὲ σήμερον εἰς τὸν αὔριον ἀποθνήσκει, μένει δὲ οὐδείς, οὐδ' ἔστιν εἷς, ἀλλὰ γιγνόμεθα πολλοὶ περὶ ἓν φάντασμα καὶ κοινὸν ἐκμαγεῖον, ὕλης περιελαυνομένης καὶ ὀλισθανούσης. ἐπεὶ πῶς οἱ αὐτοὶ μένοντες ἑτέροις χαίρομεν νῦν, ἑτέροις τἀναντία φιλοῦμεν, ἢ μισοῦμεν, καὶ θαυμάζομεν, καὶ ψέγομεν, ἄλλοις δὲ χρώμεθα λόγοις, ἄλλοις πάθεσιν, οὐκ εἶδος, οὐ μορφήν, οὐ διάνοιαν ἔτι τὴν αὐτὴν ἔχοντες. οὔτε γὰρ ἄνευ μεταβολῆς ἕτερα πάσχειν εἰκός, οὔτε μεταβάλλων ὁ αὐτός ἐστιν, εἰ δ' ὁ αὐτὸς οὐκ ἔστιν, οὐδ' ἔστιν, ἀλλ' ἅμα τοῦτο αὐτὸ μεταβάλλει, γιγνόμενος ἕτερος ἐξ ἑτέρου, ψεύδεται δ' ἡ αἴσθησις, ἀγνοίᾳ τοῦ ὄντος εἶναι τὸ φαινόμενον. τί οὖν ὄντως ὄν ἐστι; τὸ ἀΐδιον καὶ ἀγέννητον καὶ ἄφθαρτον, ᾧ χρόνος μεταβολὴν οὐδὲ εἷς ἐπάγει. κινητὸν γάρ τι, καὶ κινουμένῃ συμφανταζόμενον ὕλῃ, καὶ ῥέον ἀεὶ καὶ μὴ στέγον ὥσπερ ἀγγεῖον, φθορᾶς καὶ γενέσεως ὁ χρόνος, οὗ γε δὴ τὸ μὲν ἔπειτα καὶ τὸ πρότερον, καὶ τὸ ἔσται λεγόμενον, καὶ τὸ γέγονεν αὐτόθεν ἐξομολόγησίς ἐστι τοῦ μὴ ὄντος. τὸ γὰρ ἐν τῷ εἶναι τὸ μηδέπω γεγονός, ἢ πεπαυμένον ἤδη τοῦ εἶναι λέγειν, ὡς ἔστιν, εὔηθες καὶ ἄτοπον. καὶ τὸ πάρεστι, καὶ ᾧ δὲ μάλιστα τὴν νόησιν ὑπερειδόντες τοῦ χρόνου, τὸ ἐνέστηκε, καὶ τὸ νῦν φθεγγόμεθα, τοῦτο αὖ πάλιν ἄγαν ἐκδυόμενος ὁ λόγος ἀπόλλυσιν, ἐκθλίβεται γὰρ εἰς τὸ μέλλον, καὶ τὸ παρῳχημένον, ὥσπερ ἀκμὴν βουλόμενος ἰδεῖν, ἢ μέσον μὲν ἡ φύσις, ἐξ ἀνάγκης διϊστάμενον. εἰ δὲ ταυτὰ τῷ μετροῦντι πέπονθεν, οὐδὲν αὐτῆς μένον, οὐδὲ ὄν ἐστιν, ἀλλὰ γινόμενα πάντα καὶ φθειρόμενα κατὰ τὴν πρὸς τὸν χρόνον συνεμίγη. ὅθεν οὐδ' ὅσιόν ἐστιν, οὐδὲ τοῦ ὄντος λέγειν, ὡς ἦν, ἢ ἔσται. ταῦτα γὰρ ἐκκλίσεις τινές εἰσι καὶ μεταβάσεις καὶ παραλλάξεις τοῦ μένειν ἐν τῷ εἶναι μὴ πεφυκότος, ἀλλ' ἔστιν ὁ θεὸς χρὴ φάναι, καὶ ἔστι κατ' οὐδένα χρόνον, ἀλλὰ κατὰ τὸν αἰῶνα τὸν ἀκίνητον, καὶ ἄχρονον, καὶ ἀνέγκλιτον, καὶ οὗ πρότερον οὐδέν ἐστιν, οὐδ' ὕστερον, οὐδὲ νεώτερον, ἀλλ' εἷς ὢν ἑνὶ τῷ νῦν, τὸ ἀεὶ πεπλήρωκε,

πεπλήρωκε, καὶ μόνον ἐστὶ τὸ κατὰ τοῦτον ὄντως ὄν, οὐ γεγονός, οὐδ' ἐσόμενον, οὐδ' ἀρξάμενον, οὐδὲ παυσόμενον. οὕτως αὐτὸ δεῖ σεβομένους ἀσπάζεσθαι καὶ προσεθίζειν, ἢ καὶ νὴ Δία ὡς ἔνιοι τῶν παλαιῶν, εἶ ἕν. οὐ γὰρ πολλὰ τὸ θεῖόν ἐστιν, ὡς ἡμῶν ἕκαστος ἐκ μυρίων διαφορῶν ἐν πάθεσι γινομένων, ἄθροισμα παντοδαπὸν καὶ πανηγυρικῶς μεμιγμένον, ἀλλ' ἓν εἶναι δεῖ τὸ ὄν, ὥσπερ ὂν τὸ ἕν, ἡ δ' ἑτερότης διαφορᾷ τοῦ ὄντος, εἰς γένεσιν ἐξίσταται τοῦ μὴ ὄντος, ὅθεν εὖ καὶ τὸ πρῶτον ἔχει τῷ θεῷ τῶν ὀνομάτων, καὶ τὸ δεύτερον καὶ τὸ τρίτον. Ἀπόλλων μὲν γὰρ οἷον ἀρνούμενος τὰ πολλὰ καὶ τὸ πλῆθος ἀποφάσκων ἐστίν, ἰήιος δὲ ὡς εἷς καὶ μόνος. Φοῖβον δὲ δή που τὸ καθαρὸν καὶ ἁγνὸν οἱ παλαιοὶ πᾶν ὠνόμαζον, ὡς ἔτι Θεσσαλοὶ τοὺς ἱερέας ἐν ταῖς ἀποφράσιν ἡμέραις αὐτοὺς ἐφ' ἑαυτῶν ἔξω διατρίβοντας, οἶμαι, φοιβονομεῖσθαι λέγουσι. τὸ δὲ ἕν, εἰλικρινὲς καὶ καθαρόν. ἑτέρου γὰρ μίξει πρὸς ἕτερον ὁ μιασμός, ὥς που καὶ Ὅμηρος ἐλέφαντά τινα φοινισσόμενον βαφῇ μιαίνεσθαί φησι, καὶ τὰ μιγνύμενα τῶν χρωμάτων οἱ βαφεῖς, φθείρεσθαι, καὶ φθορὰν τὴν μῖξιν ὀνομάζουσι. οὐκοῦν ἕν τε εἶναι καὶ ἄκρατον ἀεὶ τῷ ἀφθάρτῳ καὶ καθαρῷ προσήκει, τοὺς δ' Ἀπόλλωνα καὶ ἥλιον ἡγουμένους τὸν αὐτόν, ἀσπάζεσθαι μὲν ἄξιόν ἐστι καὶ φιλεῖν δι' εὐφυΐαν, ὃ μάλιστα τιμῶσιν, ὧν ἴσασι καὶ ποθοῦσιν, εἰς τοῦτο τιθέντας τοῦ θεοῦ τὴν ἐπίνοιαν. ὡς δὲ νῦν ἐν τῷ καλλίστῳ τῶν ἐνυπνίων τὸν θεὸν ὀνειροπολοῦντες, ἐγείρωμεν καὶ παρακαλῶμεν ἀνωτέρω προσάγειν, καὶ θεάσασθαι τὸ ὕπαρ αὐτοῦ καὶ τὴν οὐσίαν, τιμᾶν δὲ καὶ τὴν εἰκόνα, τήνδε καὶ σέβεσθαι τὸ περὶ αὐτὴν γόνιμον ὡς ἀνυστόν ἐστιν αἰσθητῷ νοητοῦ, καὶ φερομένῳ μένοντος ἐμφάσεις τινὰς καὶ εἴδωλα διαλάμπουσαν ἁμωσγέπως τῆς περὶ ἐκεῖνον εὐμενείας καὶ μακαριότητος, ἐκστάσεις δὲ αὐτοῦ καὶ μεταβολὰς πῦρ ἀφιέντος, ἑαυτὸν ἅμα σὺν ὅσοις λέγουσιν, αὖθις τε καταθλίβοντος, ἐνταῦθα κατατείνοντός εἰσι καὶ θάλασσαν καὶ ἀνέμους καὶ ζῷα καὶ τὰ δεινὰ παθήματα, καὶ ζώων καὶ φυτῶν, οὐδ' ἀκούειν ὅσιον. ἢ τοῦ ποιητικοῦ παιδὸς ἔσται φαυλότερος, ἣν ἐκεῖνος ἔν τινι ψαμάθῳ συντιθεμένην καὶ διαχεομένην πάλιν ὑφ' ἑαυτοῦ παίζει παιδιάν, ταύτην περὶ τὰ ὅλα χρώμενος ἀεί, καὶ τὸν κόσμον, οὐκ ὄντα πλάττων, εἶτ' ἀπολλύων γενόμενον. τοὐναντίον γὰρ ὅσον ἁμωσγέπως ἐγγέγονε τῷ κόσμῳ, τοῦτο συνδεῖ τὴν οὐσίαν καὶ κρατεῖ τῆς περὶ τὸ σωματικὸν ἀσθενείας ἐπὶ φθορὰν φερομένης. καί μοι δοκεῖ μάλιστα πρὸς τοῦτον τὸν λόγον, ἀντιταττόμενον τὸ ῥῆμα καὶ μαρτυρόμενον, εἶ φάναι πρὸς τὸν θεόν, ὡς οὐδέποτε γενομένης περὶ αὐτὸν ἐκστάσεως καὶ μεταβολῆς, ἀλλ' ἑτέρῳ τινὶ θεῷ, μᾶλλον δὲ δαίμονι τεταγμένῳ περὶ τὴν ἐν φθορᾷ καὶ γενέσει φύσιν τοῦτο ποιεῖν καὶ πάσχειν προσῆκεν, ὡς δῆλόν ἐστιν ἀπὸ τῶν ὀνομάτων εὐθύς, οἷον ἐναντίων ὄντων, καὶ ἀντιφώνων. λέγεται γὰρ ὁ μὲν Ἀπόλλων, ὁ δὲ Πλούτων, καὶ ὁ μὲν Δήλιος, ὁ δὲ Ἀϊδωνεύς, καὶ ὁ μὲν Φοῖβος, ὁ δὲ σκότιος, καὶ παρ' ᾧ μὲν αἱ Μοῦσαι καὶ ἡ Μνημοσύνη, παρ' ᾧ δὲ ἡ Λήθη καὶ ἡ σιωπή, καὶ ὁ μὲν θεώριος καὶ φαναῖος, ὁ δὲ νυκτὸς ἀϊδνίας ἀεργηλοῖό τε ὕπνου κοίρανος, καὶ ὁ μὲν βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων, πρὸς ὃν δὲ Πίνδαρος εἴρηκεν οὐκ ἀηδῶς κατεκείθη. δέον αὐτοῖς ἀγονώτατος ἔμμεν. εἰκότως οὖν ὁ Εὐριπίδης εἶπεν λοιβαὶ νεκύων φθιμένων ἀοιδαί, ἃς ὁ χρυσοκόμας Ἀπόλλων οὐκ ἐνδέχεται. καὶ πρότερος ἔτι τούτου ὁ Στησίχορος, μάλα τοι μάλιστα παιγμοσύνας φιλεῖ μολπάς τε Ἀπόλλων, κήδεά τε στοναχάς τ' Ἀΐδας ἔλαχε. Σοφοκλῆς δὲ καὶ τῶν ὀργάνων ἑκατέρῳ προσνέμων ἑκάτερον, δῆλός ἐστι διὰ τούτων, οὐ ναῦλα κωκυτοῖσιν οὐ λύρα φίλα. καὶ γὰρ ὁ αὐλὸς ὀψὲ καὶ πρώην ἐτόλμησε φωνὴν ἐφ' ἱμερτοῖσιν ἀφιέναι. τὸν δὲ πρῶτον χρόνον εἷλκε πρὸς τὰ πένθη, καὶ τὴν περὶ ταῦτα αὐτουργίαν οὐ μάλα ἔντιμον οὐδὲ

φαιδρὰν εἶχεν, εἴτ᾽ ἐμίχθη παντάπασι, μάλιστα δὲ τὰ θεῖα πρὸς τὰ δαιμόνια συγχέοντες εἰς ταραχὴν αὐτοὺς ἔστησαν, ἀλλά γε τὸ ἐπὶ τὸ γνῶθι σαυτὸν ἔοικέ πως ἀντικεῖσθαι καὶ τρόπον τινὰ πάλιν συνάδειν. τὸ μὲν γὰρ ἐκπλήξεως καὶ σεβασμοῦ πρὸς τὸν θεὸν ὡς ὄντα διαπαντὸς ἀναπεφώνηται, τὸ δὲ ὑπόμνησίς ἐστι τῷ θνητῷ τῆς περὶ αὐτὸ φύσεως καὶ ἀσθενείας.

ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ τοῖς φιλοσόφοις βιβλίον α´.

ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ τοῖς φιλοσόφοις, φυσικῶν δογμάτων ἐπιτομῆς βιβλίον. β´.

ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ τοῖς φιλοσόφοις βιβλίον. γ´.

ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ τοῖς φιλοσόφοις βιβλίον. δ´.

ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ τοῖς φιλοσόφοις. βιβλίον. ε´.

ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ ΤΟΙΣ ΦΙΛΟΣΟΦΟΙΣ. ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Μέλλοντες τὸν φυσικὸν παραδώσειν λόγον, ἀναγκαῖον ἡγούμεθα εὐθὺς ἐν ἀρχαῖς διελέσθαι τὴν τῆς φιλοσοφίας πραγματείαν, ἵν' εἰδῶμεν τί ἐστι, καὶ πόσον μέρος αὐτῆς, ἡ φυσικὴ διέξοδος. οἱ μὲν οὖν στωικοὶ ἔφασαν, τὴν μὲν σοφίαν εἶναι θείων τε καὶ ἀνθρωπίνων ἐπιστήμην, τὴν δὲ φιλοσοφίαν, ἄσκησιν τέχνης ἐπιτηδείας, ἐπιτήδειον δὲ εἶναι μίαν καὶ ἀνωτάτω τὴν ἀρετήν, ἀρετὰς δὲ τὰς γενικωτάτας τρεῖς, φυσικήν, ἠθικήν, λογικήν, δι' ἣν αἰτίαν καὶ τριμερής ἐστιν ἡ φιλοσοφία, ἧς τὸ μὲν φυσικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ λογικόν. καὶ φυσικὸν μὲν ὅταν περὶ κόσμου ζητῶμεν, καὶ τῶν ἐν κόσμῳ. ἠθικὸν δὲ τὸ κατησχολημένον περὶ τὸν ἀνθρώπινον βίον. λογικὸν δὲ τὸ περὶ τὸν λόγον, ὃ καὶ διαλεκτικὸν καλοῦσιν. ἀριστοτέλης δὲ καὶ θεόφραστος, καὶ σχεδὸν πάντες οἱ περιπατητικοί, διεῖλον τὴν φιλοσοφίαν οὕτως, ἀναγκαῖον τὸν τέλειον ἄνδρα καὶ θεωρητικὸν εἶναι τῶν ὄντων, καὶ πρακτικὸν τῶν δεόντων. τοῦτο δὲ ἔξεστι καὶ ἐκ τούτων συνιδεῖν· οἷον ζητεῖται, εἰ ζῷον ἢ μὴ ζῷον ὁ ἥλιος, εἰ περ ὁρᾶται. ὁ τοῦτο δὲ ζητῶν, θεωρητικός ἐστιν. οὐ γάρ τι πλέον θεωρεῖται, ἢ τὸ ὂν ζητεῖται, ὁμοίως εἰ ἄπειρος ὁ κόσμος ἐστί, καὶ εἰ ἔξω τι τοῦ κόσμου ἐστί. ταῦτα γὰρ πάντα θεωρητικά. ζητεῖται πῶς πάλιν βιωτεύειν, καὶ πῶς προΐστασθαι τέκνων προσήκει, καὶ πῶς ἄρχειν, καὶ πῶς νομοθετεῖν. ταῦτα γὰρ πάντα ἕνεκα τοῦ πρᾶξαι ζητεῖται, καὶ ἔστιν ὁ τοιοῦτος πρακτικὸς ἀνήρ.

ΤΙ ΕΣΤΙ ΦΥΣΙΣ. α.

Ἐπεὶ δὲ πρόκειται ἡμῖν τὰ φυσικὰ θεωρῆσαι, ἀναγκαῖον ἡγοῦμαι δηλῶσαι, τί ποτέ ἐστιν ἡ φύσις. ἄτοπον γὰρ πειρᾶσθαι μὲν φυσιολογεῖν, ἀγνοεῖν δὲ αὐτὸ τοῦτο τὴν τῆς φύσεως δύναμιν. ἔστιν οὖν κατὰ τὸν ἀριστοτέλην φύσις, ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ πρώτως ἐστὶ καὶ οὐ κατὰ συμβεβηκός. πάντα γὰρ τὰ ὁρώμενα ὅσα μήτε ἀπὸ τύχης, μήτε ἀπὸ ἀνάγκης, μήτε ἐστὶ θεῖα, μήτε τοιαύτην αἰτίαν ἔχει, φυσικὰ λέγεται καὶ φύσιν ἰδίαν ἔχει, οἷον γῆ, πῦρ, ὕδωρ, ἀήρ, φυτά, ζῷα. ἔτι δὲ ταῦτα τὰ γινόμενα, ὄμβροι, χάλαζαι, κεραυνοί, πρηστῆρες, ἄνεμοι. ταῦτα γὰρ ἀρχήν ἔχει τινά, οὐ γὰρ ἐξ αἰῶνος ἕκαστον τούτων ἐστίν, ἀλλ' ἀπό τινος ἀρχῆς γίνεται. καὶ ταῦτα μέντοι οἷον ζῷα φυτά, ἀρχὴν κινήσεως ἔχει. ἐν δὲ τούτοις ἡ φύσις ἀρχὴ τὸ πρῶτόν ἐστι, καὶ οὐ μόνον κινήσεως, ἀλλὰ καὶ ἠρεμίας. ὅσα γὰρ ἀρχὴν κινήσεως ἔλαβε, ταῦτα δύνανται λαβεῖν καὶ τελευτήν, διὰ τοῦτο οὖν ἡ φύσις, ἀρχὴ κινήσεώς ἐστι καὶ ἠρεμίας.

ΤΙΝΙ ΔΙΑΦΕΡΕΙ ΑΡΧΗ ΚΑΙ ΣΤΟΙΧΕΙΟΝ. β.

Οἱ μὲν οὖν περὶ ἀριστοτέλην καὶ πλάτωνα διαφέρειν ἡγοῦνται ἀρχὴν, καὶ στοιχεῖα. θαλῆς δὲ ὁ μιλήσιος ταὐτὸν νομίζει ἀρχὴν καὶ στοιχεῖα. πλεῖστον δὲ ὅσον διαφέρει ἀλλήλων. τὰ μὲν γὰρ στοιχεῖά ἐστι σύνθετα. τὰς δὲ ἀρχὰς φαμὲν εἶναι, οὔτε συνθέτους, οὔτε ἀποτελέσματα, οἷον στοιχεῖα μὲν καλοῦμεν γῆν, ὕδωρ, ἀέρα, πῦρ, ἀρχὰς δὲ λέγομεν διὰ τοῦτο, ὅτι οὐκ ἔχει τι πρότερον ἐξ οὗ γεννᾶται, ἐπεὶ οὐκ ἔσται ἀρχὴ τοῦτο ἀλλ' ἐκεῖνο ἐξ οὗ γεγέννηται. τῆς δὲ γῆς καὶ τοῦ ὕδατος, ἐστί τινα πρότερα, ἐξ ὧν γέγονεν ἡ ὕλη, ἄμορφος οὖσα καὶ ἀειδής, καὶ τὸ εἶδος ὃ καλοῦμεν ἐντελέχειαν, καὶ ἡ στέρησις. ἁμαρτάνει οὖν ὁ θαλῆς, στοιχεῖον καὶ ἀρχὴν λέγων τὸ ὕδωρ.

ΠΕΡΙ ΤΩΝ ΑΡΧΩΝ ΤΙ ΕΙΣΙΝ. γ'.

Θαλῆς ὁ μιλήσιος, ἀρχὴν τῶν ὄντων ἀπεφήνατο τὸ ὕδωρ, δοκεῖ δὲ ὁ ἀνὴρ οὗτος, ἄρξαι τῆς φιλοσοφίας, καὶ ἀπ' αὐτοῦ ἡ ἰωνικὴ αἵρεσις προσηγορεύθη. ἐγένοντο γὰρ πλεῖσται διαδοχαὶ φιλοσοφίας. φιλοσοφήσας δὲ ἐν αἰγύπτῳ ἦλθεν εἰς μίλητον πρεσβύτερος, ἐξ ὕδατός φησι πάντα εἶναι, καὶ εἰς ὕδωρ πάντα ἀναλύεσθαι. στοχάζεται δὲ ἐκ τούτου πρῶτον, ὅτι πάντων τῶν ζῴων ἡ γονὴ, ἀρχή ἐστιν, ὑγρὰ οὖσα, οὕτως εἰκὸς καὶ τὰ πάντα ἐξ ὑγροῦ τὴν ἀρχὴν ἔχειν. δεύτερον, ὅτι πάντα τὰ φυτὰ ὑγρῷ τρέφεται, καὶ καρποφορεῖ, ἀμοιροῦντα δὲ ξηραίνεται. τρίτον, ὅτι καὶ αὐτὸ τὸ πῦρ τὸ ἡλίου καὶ τὸ τῶν ἄστρων, ταῖς τῶν ὑδάτων ἀναθυμιάσεσι τρέφεται, καὶ αὐτὸς ὁ κόσμος, διὰ τοῦτο καὶ ὅμηρος ταύτην τὴν γένεσιν ὑποτίθεται περὶ τοῦ ὕδατος, ὠκεανὸς ὅς περ γένεσις πάντεσσι τέτυκται. ἀναξίμανδρος δὲ ὁ μιλήσιός φησι, τῶν ὄντων τὴν ἀρχὴν εἶναι τὸ ἄπειρον, ἐκ γὰρ τούτου πάντα γίνεσθαι, καὶ εἰς τοῦτο πάντα φθείρεσθαι, διὸ καὶ γεννᾶσθαι ἀπείρους κόσμους καὶ πάλιν φθείρεσθαι, εἰς τὸ ἐξ οὗ γίνεται. λέγει οὖν διατί ἄπειρόν ἐστιν, ἵνα μηδὲν ἐλλείπῃ ἡ γένεσις ἡ ὑφισταμένη. ἁμαρτάνει δὲ οὗτος μὴ λέγων τί ἐστι τὸ ἄπειρον. πότερον ἀήρ ἐστιν, ἢ ὕδωρ, ἢ γῆ, ἢ ἄλλα τινὰ σώματα, ἁμαρτάνει οὖν τὴν μὲν ὕλην ἀποφαινόμενος, τὸ δὲ ποιοῦν αἴτιον ἀναιρῶν. τὸ γὰρ ἄπειρον, οὐδὲν ἄλλο ἢ ὕλη ἐστίν. οὐ δύναται δὲ ἡ ὕλη εἶναι ἐνέργεια, ἂν μὴ τὸ ποιοῦν ὑποκέηται. ἀναξιμένης δὲ ὁ μιλήσιος ἀρχὴν τῶν ὄντων ἀέρα ἀπεφήνατο, ἐκ γὰρ τούτου τὰ πάντα γίνεσθαι, καὶ εἰς αὐτὸν πάλιν ἀναλύεσθαι, οἷον ἡ ψυχή φησιν ἡ ἡμετέρα ἀὴρ οὖσα, συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον, πνεῦμα καὶ ἀὴρ περιέχει, λέγεται δὲ συνωνύμως ἀὴρ καὶ πνεῦμα. ἁμαρτάνει δὲ καὶ οὗτος, ἐξ ἁπλοῦ καὶ μονοειδοῦς ἀέρος καὶ πνεύματος δοκῶν συνεστάναι τὰ ζῷα. ἀδύνατον γὰρ ἀρχὴν μίαν τὴν ὕλην τῶν ὄντων, ἐξ ἧς τὰ πάντα ὑποστῆναι, ἀλλὰ καὶ τὸ ποιοῦν αἴτιον χρὴ ὑποτιθέναι, οἷον οὐκ ἄργυρος ἀρκεῖ πρὸς τὸ ἔκπωμα γενέσθαι, ἂν μὴ καὶ τὸ ποιοῦν ᾖ, τουτέστιν ὁ ἀργυροκόπος, ὁμοίως καὶ ἐπὶ τοῦ χαλκοῦ καὶ τοῦ ξύλου καὶ τῆς ἄλλης ὕλης. ἀναξαγόρας ὁ κλαζομένιος ἀρχὰς τῶν ὄντων τὰς ὁμοιομερείας ἀπεφήνατο. ἐδόκει γὰρ αὐτῷ ἀπορώτατον εἶναι, πῶς ἐκ τοῦ μὴ ὄντος δύναταί τι γίνεσθαι, ἢ φθείρεσθαι εἰς τὸ μὴ ὄν. τροφὴν γοῦν προσφερόμεθα ἁπλῆν καὶ μονοειδῆ, οἷον τὸν δημήτρειον ἄρτον, τὸ ὕδωρ πίνοντες, καὶ ἐκ ταύτης τῆς τροφῆς, τρέφεται θρίξ, φλέψ, ἀρτηρία, νεῦρα, ὀστᾶ, καὶ τὰ λοιπὰ μόρια. τούτων οὖν γινομένων ὁμολογητέον ἐστίν, ὅτι ἐν τῇ τροφῇ τῇ προσφερομένῃ, πάντα ἐστὶ τὰ ὄντα, καὶ ἐκ τῶν ὄντων πάντα αὔξεται. καὶ ἐν ἐκείνῃ ἐστὶ τῇ τροφῇ μόρια αἵματος γεννητικά, καὶ νεύρων καὶ ὀστέων καὶ ἄλλων τῶν, ἃ ἦν λόγῳ θεωρητὰ μόρια, οὐ γὰρ δεῖ πάντα ἐπὶ τὴν αἴσθησιν ἀνάγειν, ὅτι ἄρτος καὶ τὸ ὕδωρ ταῦτα κατασκευάζει, ἀλλ' ἐν τούτοις ἐστὶ λόγῳ θεωρητὰ μόρια, ἀπὸ τοῦ οὖν ὅμοια τὰ μέρη εἶναι ἐν τῇ τροφῇ τοῖς γεννωμένοις, ὁμοιομερείας αὐτὰς ἐκάλεσε, καὶ ἀρχὰς τῶν ὄντων ἀπεφήνατο, καὶ τὰς μὲν ὁμοιομερείας, ὕλην, τὸ δὲ ποιοῦν αἴτιον, τὸν νοῦν τὸν τὰ πάντα διαταξάμενον, ἄρχεται δὲ οὕτως. ὁμοῦ πάντα χρήματα ἦν, νοῦς δὲ αὐτὰ διῆρε καὶ διεκόσμησε, χρήματα λέγων τὰ πράγματα. ἀποδεκτέος οὖν ἐστιν ὅτι τῇ ὕλῃ τὸν τεχνίτην προσέζευξεν. ἀρχέλαος ἀπολλοδώρου ἀθηναῖος ἀέρα ἄπειρον καὶ τὴν περὶ αὐτὸν πυκνότητα καὶ μάνωσιν, τούτων δὲ τὸ μὲν εἶναι πῦρ, τὸ δὲ ὕδωρ, οὗτοι μὲν οὖν ἐφεξῆς ἀλλήλοις ταῖς διαδοχαῖς γενόμενοι, τὴν λεχθεῖσαν ἰωνικὴν συμπληροῦσι φιλοσοφίαν ἀπὸ θαλη-

τος. πάλιν δὲ ἀπ' ἄλλης ἀρχῆς· πυθαγόρας μνησάρχου σάμιος, ὁ πρῶτος φιλοσοφίαν τούτῳ τῷ ῥήματι προσαγορεύσας, ἀρχὰς τοὺς ἀριθμοὺς καὶ τὰς συμμετρίας τὰς ἐν τούτοις, ἃς καὶ ἁρμονίας καλεῖ, τὰ δὲ ἐξ ἀμφοτέρων σύνθετα στοιχεῖα, καλούμενα δὲ γεωμετρικά. πάλιν δὲ τὴν μονάδα καὶ τὴν ἀόριστον δυάδα ἐν ταῖς ἀρχαῖς, σπεύδει δὲ αὐτῷ τῶν ἀρχῶν, ἡ μὲν ἐπὶ τὸ ποιητικὸν αἴτιον, καὶ εἰδικόν, ὅπερ ἐστὶ νοῦς ὁ θεός, ἡ δὲ ἐπὶ τὸ παθητικόν τε καὶ ὑλικόν, ὅπερ ἐστὶν ὁ ὁρατὸς κόσμος. εἶναι δὲ τὴν φύσιν τοῦ ἀριθμοῦ δεκάδα, μέχρι γὰρ τῶν δέκα πάντες ἕλληνες, πάντες βάρβαροι ἀριθμοῦσιν, ἐφ' ἃ ἐλθόντες πάλιν ἀναποδοῦσιν ἐπὶ τὴν μονάδα, καὶ τῶν δέκα πάλιν φησὶν ἡ δύναμίς ἐστιν ἐν τοῖς τέσσαρσι καὶ τῇ τετράδι. τὸ δὲ αἴτιον, εἴ τις ἀπὸ τῆς μονάδος ἀναποδῶν κατὰ πρόσθεσιν τιθείη τοὺς ἀριθμούς, ἄχρι τῶν τεσσάρων προελθὼν ἐκπληρώσει τὸν δέκα ἀριθμόν. ἐὰν δὲ ὑπερβάληται τὸν τῆς τετράδος, καὶ τῶν δέκα ὑπερεκπεσεῖται, οἷον εἴ τις θείη ἕν, καὶ δύο προσθείη, καὶ τρία, καὶ τούτοις τέσσαρα, τὸν τῶν δέκα πληρώσει ἀριθμόν, ὥστε ὁ ἀριθμὸς κατὰ μὲν μονάδα ἐν τοῖς δέκα, κατὰ δὲ δύναμιν ἐν τοῖς τέσσαρσι, διὸ καὶ ἐφθέγγοντο οἱ πυθαγόρειοι ὡς μεγίστου ὅρκου ὄντος τῆς τετράδος· οὐ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν παγάν, ἀενάου φύσεως ῥιζώματ' ἔχουσαν. καὶ ἡ ἡμετέρα ψυχή φησιν, ἐκ τετράδος σύγκειται, εἶναι γὰρ νοῦν, ἐπιστήμην, δόξαν, αἴσθησιν, ἐξ ὧν πᾶσα τέχνη καὶ ἐπιστήμη, καὶ αὐτοὶ λογικοί ἐσμεν. νοῦς μὲν οὖν ἡ μονάς ἐστιν, ὁ γὰρ νοῦς κατὰ μονάδα θεωρεῖται, οἷον πολλῶν ὄντων ἀνθρώπων, οἱ μὲν ἐπὶ μέρους εἰσὶν ἀναίσθητοι, ἀπερίληπτοι, καὶ ἄπειροι, ἀλλ' αὐτὸ τοῦτο ἄνθρωπον ἕνα μόνον νοοῦμεν, ᾧ οὐδεὶς ἔτυχεν ὅμοιος, καὶ ἵππον ἕνα μόνον νοοῦμεν, οἱ δὲ ἐπὶ μέρους, εἰσὶν ἄπειροι. τὰ γὰρ εἴδη ταῦτα πάντα καὶ γένη κατὰ μονάδας εἰσί, διὸ καὶ ἐπὶ ἑνὸς ἑκάστου αὐτῶν τοῦτον ὅρον ἀποδιδόντες, λέγουσι· ζῶον λογικόν, ἢ ζῶον χρεμετιστικὸν ῥητέον, διὰ τοῦτο οὖν νοῦς ἡ μονάς, ᾧ ταῦτα νοοῦμεν. καὶ ἡ δυὰς δὲ ἡ ἀόριστος ἐπιστήμη εἰκότως. πᾶσα γὰρ ἀπόδειξις καὶ πᾶσα πίστις ἐπιστήμης, πρὸς δέ, καὶ πᾶς συλλογισμός, ἔκ τινων ὁμολογουμένων τὸ ἀμφισβητούμενον συνάγει, καὶ ῥαδίως ἀποδείκνυται ἕτερον, ὧν ἡ ἐπιστήμη κατάληψίς ἐστι, διὸ εἴη ἂν δυάς. ἡ δὲ δόξα τριὰς ἐκ καταλήψεώς ἐστιν εὐλόγως, ὅτι πολλῶν ἐστιν ἡ δόξα, ἡ δὲ τριὰς πλῆθος, ὡς τρισμάκαρες δαναοί, διὰ τοῦτο οὐκ ἐπεκρίνει τὴν τριάδα. ἡράκλειτος καὶ ἵππασος ὁ μεταποντῖνος, ἀρχὴν τῶν ὅλων τὸ πῦρ, ἐκ πυρὸς γὰρ τὰ πάντα γίνεσθαι, καὶ εἰς πῦρ πάντα τελευτᾶν λέγουσι, τούτου δὲ κατασβεννυμένου, κοσμοποιεῖσθαι τὰ πάντα, πρῶτον μὲν γὰρ τὸ παχυμερέστατον αὐτοῦ εἰς αὐτὸ συστελλόμενον γῆ γίνεται, ἔπειτα ἀναχαλωμένην τὴν γῆν, ὑπὸ τοῦ πυρὸς φύσει, ὕδωρ ἀποτελεῖσθαι, ἀναθυμιώμενον δέ, ἀέρα γίνεσθαι. πάλιν δὲ τὸν κόσμον καὶ πάντα τὰ σώματα ὑπὸ πυρὸς ἀναλοῦσθαι ἐν τῇ ἐκπυρώσει. ἀρχὴν οὖν τὸ πῦρ, ὅτι ἐκ τούτου τὰ πάντα, τέλος δὲ ὅτι καὶ εἰς τοῦτο ἀναλύεται τὰ πάντα. ἐπίκουρος νεοκλέους ἀθηναῖος, κατὰ δημόκριτον φιλοσοφήσας, ἔφη τὰς ἀρχὰς τῶν ὄντων, σώματα λόγῳ θεωρητά, ἀμέτοχα κενοῦ, ἀγέννητα, ἀΐδια, ἄφθαρτα, οὔτε θραυσθῆναι δυνάμενα, οὔτε διάπλασμὸν ἐκ τῶν μερῶν λαβεῖν, οὔτε ἀλλοιωθῆναι, εἶναι δὲ αὐτὰ λόγῳ θεωρητά, ταῦτα μέντοι κινεῖσθαι ἐν τῷ κενῷ καὶ διὰ τοῦ κενοῦ, εἶναι δὲ καὶ αὐτὸ τὸ κενὸν ἄπειρον, καὶ τὰ σώματα ἄπειρα, συμβεβηκέναι δὲ τοῖς σώμασι, τρία ταῦτα, σχῆμα, μέγεθος, βάρος. δημόκριτος μὲν γὰρ ἔλεγε δύο, μέγεθός τε καὶ σχῆμα. ὁ δ' ἐπίκουρος, τούτοις καὶ τρίτον τὸ βάρος ἐπέθηκεν. ἀνάγκη γάρ φησι κινεῖσθαι τὰ σώματα τῇ τοῦ βάρους πληγῇ. ἐπεὶ οὐ κινηθήσεται, εἶναι δὲ τὰ

σχήματα

σχήματα τῶν ἀτόμων περιληπτά, οὐκ ἄπειρα, μὴ γὰρ εἶναι μήτε ἀγκιστροειδῆ, μήτε τριαινοειδῆ, μήτε κρικοειδῆ, ταῦτα γὰρ τὰ σχήματα, εὔθραυστά ἐστιν, αἱ δὲ ἄτομοι, ἀπαθεῖς, ἄθραυστοι, ἴδια δὲ ἔχειν σχήματα λόγῳ θεωρητά, καὶ εἴρηται ἄτομος, οὐχ ὅτι ἐστὶν ἐλαχίστη, ἀλλ' ὅτι οὐ δύναται τμηθῆναι, ἀπαθὴς οὖσα καὶ ἀμέτοχος κενοῦ, ὥστε ἐὰν εἴπῃ, ἄτομον, ἄθραυστον λέγει, καὶ ἀπαθῆ, ἀμέτοχον κενοῦ, ὅτι δέ ἐστιν ἄτομος, σαφές, καὶ γάρ ἐστι στοιχεῖα ἀεὶ ὄντα, καὶ ζῶα κενά, καὶ ἡ μονάς. ἐμπεδοκλῆς μέτωνος ἀκραγαντῖνος, τέτταρα μὲν λέγει στοιχεῖα· πῦρ, ἀέρα, ὕδωρ, γῆν, δύο δὲ ἀρχικὰς δυνάμεις, φιλίαν τε καὶ νεῖκος, ὧν ἡ μέν ἐστιν ἑνωτική, τὸ δὲ διαιρετικόν, φησὶ δὲ οὕτως τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε· ζεὺς αἰθὴρ ἥρη τε φερέσβιος ἠδ' ἀϊδωνεύς, νῆστις θ' ἣ δακρύοις τέγγει κρούνωμα βρότειον. δία μὲν γὰρ λέγει, τὴν ζέσιν καὶ τὸν αἰθέρα, ἥρην τε φερέσβιον τὸν ἀέρα, τὴν δὲ γῆν τὸν ἀϊδωνέα, νῆστιν δὲ καὶ κρούνωμα βρότειον, οἱονεὶ τὸ σπέρμα καὶ τὸ ὕδωρ. σωκράτης σωφρονίσκου ἀθηναῖος, καὶ πλάτων ἀρίστωνος ἀθηναῖος· αἱ γὰρ αὐταὶ περὶ παντὸς ἑκατέρου δόξαι, τρεῖς ἀρχάς, τὸν θεόν, τὴν ὕλην, τὴν ἰδέαν. ἔστι δὲ ὁ θεὸς ὁ νοῦς, ὕλη δὲ τὸ ὑποκείμενον πρῶτον γενέσει καὶ φθορᾷ, ἰδέα δὲ οὐσία ἀσώματος ἐν τοῖς νοήμασι καὶ ταῖς φαντασίαις τοῦ θεοῦ, ὁ δὲ θεός, νοῦς ἐστι τοῦ κόσμου. ἀριστοτέλης δὲ νικομάχου σταγειρίτης, ἀρχὰς μὲν ἐντελέχειαν, ἤτοι εἶδος, ὕλην, στέρησιν, στοιχεῖα δὲ τέτταρα, πέμπτον δέ τι σῶμα αἰθέριον ἀμετάβλητον. ζήνων μνασέου κιτιεὺς ἀρχὰς μὲν τὸν θεόν, καὶ τὴν ὕλην, ὧν ὁ μέν ἐστι τοῦ ποιεῖν αἴτιος, ἡ δὲ τοῦ πάσχειν, στοιχεῖα δὲ τέτταρα, ἡ δὲ τούτων αἵρεσις, ἰταλικὴ προσηγορεύθη, διὰ τὸ τὸν πυθαγόραν ἐν ἰταλίᾳ σχολάσαι, μετέστη γὰρ ἀπὸ σάμου τῆς πατρίδος, τῇ πολυκράτους τυραννίδι δυσαρεστήσας.

ΠΩΣ ΣΥΝΕΣΤΗΚΕΝ Ο ΚΟΣΜΟΣ. δ′.

Ο τοίνυν κόσμος συνέστη περικεκλασμένῳ σχήματι ἐσχηματισμένος τὸν τρόπον τοῦτον. τῶν ἀτόμων σωμάτων ἀπρονόητον καὶ τυχαίαν ἐχόντων τὴν κίνησιν, συνεχῶς τε καὶ τάχιστα κινουμένων εἰς τὸ αὐτὸ πολλὰ σώματα συνηθροίσθη, καὶ διὰ τοῦτο ποικιλίαν ἔχοντα καὶ σχημάτων καὶ μεγεθῶν. ἀθροιζομένων δ' ἐν ταὐτῷ τούτων, τὰ μὲν ὅσα μείζονα ἦν καὶ βαρύτατα, πάντως ὑπεκάθιζεν. ὅσα δὲ μικρὰ καὶ περιφερῆ καὶ λεῖα καὶ εὐόλισθα, ταῦτα καὶ ἐξεθλίβετο κατὰ τὴν τῶν σωμάτων σύνοδον, εἰς τε τὸ μετέωρον ἀνεφέρετο. ὡς δ' οὖν ἐξέλιπε μὲν ἡ πληκτικὴ δύναμις μετεωρίζουσα. οὐκέτι δὲ ἦγεν ἡ πληγὴ πρὸς τὸ μετέωρον, ἐκώλυεν δὲ ταῦτα κάτω φέρεσθαι, ἐπιέζετο πρὸς τοὺς τόπους τοὺς δυναμένους δέξασθαι, οὗτοι δὲ ἦσαν οἱ πέριξ, καὶ πρὸς τούτοις τὸ πλῆθος τῶν σωμάτων περιεκλᾶτο, περιπλεκόμενα δὲ ἀλλήλοις κατὰ τὴν περίκλασιν τὸν οὐρανὸν ἐγέννησαν, τῆς δ' αὐτῆς ἐχόμεναι φύσεως, αἱ ἄτομοι ποικίλαι οὖσαι καθὼς εἴρηται πρὸς τὸ μετέωρον ἐξωθούμεναι, τὴν τῶν ἀστέρων φύσιν ἀπετέλουν, τὸ δὲ πλῆθος τῶν ἀναθυμιωμένων σωμάτων, ἔπληττε τὸν ἀέρα, καὶ τοῦτον ἐξέθλιβε, πνευματούμενος δὲ οὗτος κατὰ τὴν κίνησιν, καὶ συμπεριλαμβάνων τὰ ἄστρα, συμπεριῆγε ταῦτα, καὶ τὴν νῦν περιφορὰν αὐτῶν μετέωρον ἐφύλαττε. κἄπειτα ἐκ μὲν τῶν ὑποκαθιζόντων, ἐγεννήθη ἡ γῆ, ἐκ δὲ τῶν μετεωριζομένων οὐρανός, πῦρ, ἀήρ. πολλῆς δὲ ὕλης ἔτι περιειλημμένης ἐν τῇ γῇ, πυκνουμένης τε ταύτης κατὰ τὰς ἀπὸ τῶν πνευμάτων πληγάς, καὶ τὰς ἀπὸ τῶν ἀστέρων αὔρας, προσεθλίβετο πᾶς ὁ μικρομερὴς σχηματισμὸς ταύτης, καὶ τὴν ὑγρὰν φύσιν ἐγέννα, ῥευστικῶς δὲ αὕτη διακειμένη κατεφέρετο πρὸς τοὺς κοίλους τόπους καὶ δυναμένους χωρῆσαί τε καὶ στέξαι, ἢ καθ' αὑτὸ τὸ ὕδωρ ὑποστὰν, ἐκοίλανε

τοὺς ὑποκειμένους χώρους, τὰ μὲν οὖν κυριώτατα μέρη τοῦ κόσμου, τὸν τρόπον τοῦτον ἐγεννήθη.

ΕΙ ΕΝ ΤΟ ΠΑΝ. ε΄.

Οἱ μὲν ἀπὸ τῆς στοᾶς ἕνα κόσμον ἀπεφήναντο, ὃν δὴ καὶ τὸ πᾶν ἔφασαν εἶναι καὶ τὸ σωματικόν. Ἐμπεδοκλῆς δὲ, κόσμον μὲν ἕνα, οὐ μέντοι τὸ πᾶν εἶναι τὸν κόσμον, ἀλλ' ὀλίγον τι τοῦ παντὸς μέρος, τὸ δὲ λοιπὸν ἀργὴν ὕλην. Πλάτων δὲ τεκμαίρεται τὴν δόξαν, ὅτι εἷς κόσμος, καὶ ἓν τὸ πᾶν, ἐκ τριῶν, ἐκ τοῦ μὴ εἶναι τέλειον, ἐὰν μὴ πάντα περιέχῃ· ἐκ τοῦ μὴ ἔσεσθαι ὅμοιον τῷ παραδείγματι, ἐὰν μὴ μονογενὴς ᾖ· ἐκ τοῦ μὴ ἔσεσθαι αὐτὸν ἄφθαρτον, ἐὰν ᾖ τι ἐξωτέρω αὐτοῦ. Πρὸς δὴ τὸν Πλάτωνα ῥητέον, ὅτι οὐ τέλειος ὁ κόσμος· οὐδὲ γὰρ πάντα περιέχει· καὶ γὰρ ὁ ἄνθρωπος ἐστὶ τέλειος, ἀλλ' οὐ πάντα περιέχει, καὶ πολλὰ παραδείγματά ἐστιν, ὥσπερ ἐπ' ἀνδριάντων καὶ οἰκιῶν καὶ ζωγραφιῶν. πῶς δὲ τέλειος, εἴπερ ἔξωθέν τι αὐτοῦ περιδινεῖσθαι δύναται; ἄφθαρτος δὲ οὐκ ἔστιν, οὐδὲ δύναται εἶναι γεννητὸς ὤν. Μητρόδωρος δέ φησιν ἄτοπον εἶναι ἐν μεγάλῳ πεδίῳ ἕνα στάχυν γεννηθῆναι, καὶ ἕνα κόσμον ἐν τῷ ἀπείρῳ. ὅτι δὲ ἄπειρος κατὰ τὸ πλῆθος, δῆλον ἐκ τοῦ ἄπειρα τὰ αἴτια εἶναι. εἰ γὰρ ὁ μὲν κόσμος πεπερασμένος, τὰ δὲ αἴτια πάντα ἄπειρα, ἐξ ὧν ὅδε ὁ κόσμος γέγονεν, ἀνάγκη ἀπείρους εἶναι· ὅπου γὰρ τὰ πάντα αἴτια, ἐκεῖ καὶ τὰ ἀποτελέσματα. αἴτια δὲ, ἤτοι αἱ ἄτομοι, ἢ τὰ στοιχεῖα.

ΠΟΘΕΝ ΕΝΝΟΙΑΝ ΕΣΧΟΝ ΘΕΟΥ ΑΝΘΡΩΠΟΙ. ς΄.

Ὁρίζονται δὲ τὴν τοῦ θείου οὐσίαν οἱ Στωϊκοὶ οὕτω, πνεῦμα νοερὸν καὶ πυρῶδες, οὐκ ἔχον μὲν μορφήν, μεταβάλλον δὲ εἰς ἃ βούλεται, καὶ συνεξομοιούμενον πᾶσιν. ἔσχον δὲ ἔννοιαν τούτου, πρῶτον μὲν ἀπὸ τοῦ κάλλους τῶν ἐμφαινομένων προσλαμβάνοντες· οὐδὲν γὰρ τῶν καλῶν εἰκῆ καὶ ὡς ἔτυχε γίνεται, ἀλλὰ μετά τινος τέχνης δημιουργούσης. καλὸς δὲ ὁ κόσμος· δῆλον δὲ ἐκ τοῦ σχήματος, καὶ τοῦ χρώματος, καὶ τοῦ μεγέθους, καὶ τῆς περὶ τὸν κόσμον τῶν ἀστέρων ποικιλίας. σφαιροειδὴς δὲ ὁ κόσμος, ὃ πάντων τῶν σχημάτων πρωτεύει, μόνον γὰρ τοῦτο τοῖς ἑαυτοῦ μέρεσιν ὁμοιοῦται. περιφερὴς δὲ ὤν, ἔχει τὰ μέρη περιφερῆ, διὰ τοῦτο γὰρ κατὰ τὸν Πλάτωνα ἐν τῇ κεφαλῇ τὸ ἱερώτατον συνέστηκε νοῦς. καὶ τὸ χρῶμα δὲ καλόν, κυανώσει γὰρ κέχρωσται, ὃ πορφύρας μέν ἐστι μελάντερον, στίλβουσαν δ' ἔχει τὴν ποιότητα, καὶ διὰ ταύτην τὴν αἰτίαν τῷ τῆς χροιᾶς συντόνῳ διακόπτων τηλικαύτην τοῦ ἀέρος ἀπόστασιν, ἐκ τοσούτων διαστημάτων θεωρεῖται. καὶ ἐκ τοῦ μεγέθους καλός· πάντων γὰρ τῶν ὁμογενῶν τὸ περιέχον καλόν, ὡς ζῷον καὶ δένδρον. ἐπιτελεῖ τὸ κάλλος τοῦ κόσμου καὶ ταῦτα φαινόμενα. ὁ μὲν γὰρ

λοξὸς κύκλος ἐν οὐρανῷ διαφέροις εἰδώλοις πεποίκιλται· τῷδ' ἔνι καρκίνος ἐστί,
λέων δ' ἐπὶ τῷ, μετὰ δ' αὐτὸν παρθένος, αἱ δ' ἐπὶ οἱ χηλαὶ καὶ ἐπ' αὐτῷ σκορπίος αὐτὸς,
τοξευτής τε καὶ αἰγόκερως, ἐπὶ δ' αἰγοκερῷ ὑδροχόος· δύο δ' αὐτὸν ἐπ' ἰχθύες ἀστερόεντες,
τοὺς δὲ μέτα κριός, ταῦρος δ' ἐπὶ τῷ, δίδυμοί τε. μυρία δ' ἄλλα καθ'
ὁμοίας τοῦ κόσμου περικλάσεις πεποίηκεν. ὅθεν καὶ Εὐριπίδης φησὶ τὸ ἀστερωπὸν οὐρανοῦ σέλας χρόνου, καλὸν ποίκιλμα τέκτονος σοφοῦ.

ἐλάβομεν δὲ ἐκ τούτου ἔννοιαν θεοῦ, ἀεί τε γὰρ ἥλιος καὶ σελήνη καὶ τὰ λοιπὰ τῶν ἄστρων τὴν ὑπόγειον φορὰν ἐνεχθέντα, ὅμοια μὲν ἀνατέλλει τοῖς χρώμασιν, ἴσα δὲ τοῖς μεγέθεσι, καὶ κατὰ τόπους καὶ κατὰ χρόνους τοὺς αὐτούς. διόπερ οἱ περὶ τῶν θεῶν παραδόντες σεβασμόν, διὰ τριῶν ἡμῖν ἐξέθηκαν εἰδῶν, πρῶτον μὲν, τοῦ φυσικοῦ, δεύτερον δὲ τοῦ μυθικοῦ, τρίτον δὲ τοῦ τὴν μαρτυρίαν ἐκ τῶν

νόμων

νόμων εἰληφότος. διδάσκεται δὲ, τὸ μὲν φυσικὸν ὑπὸ τῶν φιλοσόφων, τὸ δὲ μυθικὸν ὑπὸ τῶν ποιητῶν, τὸ δὲ νομικὸν ἐφ' ἑκάστης ἀεὶ πόλεως συνίσταται. διαιρεῖται μὲν δὴ πᾶσα διδαχὴ εἰς εἴδη ἑπτά. καὶ πρῶτον μὲν, τὸ ἐκ τῶν φαινομένων καὶ μετεώρων. θεοῦ γὰρ ἔννοιαν ἔσχον ἀπὸ τῶν φαινομένων ἀστέρων, ὁρῶντες τούτους μεγάλης συμφωνίας ὄντας αἰτίους, καὶ τεταγμένας ἡμέραν τε καὶ νύκτα, χειμῶνά τε καὶ θέρος, ἀνατολάς τε καὶ δυσμάς, καὶ τὰ ὑπὸ τῆς γῆς ζωογονούμενα, καὶ καρπογονούμενα. διὸ πατὴρ μὲν ἔδοξεν αὐτοῖς ὁ οὐρανὸς ὑπάρχειν, μήτηρ δὲ ἡ γῆ. τούτων δὲ ὁ μὲν οὐρανὸς πατήρ, διὰ τὸ τὰς τῶν ὑδάτων ἐκχύσεις, σπερμάτων ἔχειν τάξιν, ἡ δὲ γῆ μήτηρ, διὰ τὸ δέχεσθαι ταῦτα καὶ τίκτειν. βλέποντες δὲ ἀεὶ τοὺς ἀστέρας θέοντας, αἰτίους τε τοῦ θεωρεῖν ἡμᾶς ἥλιόν τε καὶ σελήνην, θεοὺς προσηγόρευσαν. εἰς δεύτερον δὲ καὶ τρίτον τόπον τοὺς θεοὺς διεῖλον, εἴς τε τὸ βλάπτον καὶ τὸ ὠφελοῦν, καὶ τοὺς μὲν ὠφελοῦντας, Δία, Ἥραν, Ἑρμῆν, Δήμητραν· τοὺς δὲ βλάπτοντας, Ποινὰς, Ἐριννύας, Ἄρην, τούτους ἀφοσιούμενοι χαλεποὺς ὄντας καὶ βιαίους. τέταρτον καὶ πέμπτον προστεθείκασι τοῖς πράγμασι, καὶ τοῖς πάθεσι, καθάπερ Ἔρωτα, Ἀφροδίτην, Πόθον, πραγμάτων δὲ Ἐλπίδα, Δίκην, Εὐνομίαν. ἕκτον δὲ τόπον προσέλαβε τὸν ὑπὸ τῶν ποιητῶν πεπλασμένον. Ἡσίοδος γὰρ βουλόμενος τοῖς γεννητοῖς θεοῖς πατέρα συστῆσαι, εἰσήγαγε τοιούτους αὐτοῖς γεννήτορας,

Κοῖόν τε Κρεῖόν θ' Ὑπερίονά τ' Ἰαπετόν τε,

διὸ τοῦτο καὶ μυθικὸν κέκληται. ἕβδομον δὲ καὶ ἐπὶ πᾶσι τὸ διὰ τὰς εἰς τὸν κοινὸν βίον εὐεργεσίας ἐκτετιμημένον, ἀνθρωπίνως δὲ γεννηθέντας, ὡς Ἡρακλέα, ὡς Διοσκούρους, ὡς Διόνυσον. ἀνθρωποειδεῖς δ' αὐτοὺς ἔφασαν εἶναι, διότι τῶν μὲν ἁπάντων, τὸ θεῖον κυριώτατον, τῶν δὲ ζῴων, ἄνθρωπος κάλλιστον κεκοσμημένον, ἀρετῇ διαφόρως κατὰ τὴν τοῦ νοῦ σύστασιν, τὸ κράτιστον. τοῖς οὖν ἀριστεύουσι, τὸ κράτιστον ὁμοίως καὶ καλῶς ἔχειν διενοήθησαν.

ΤΙΣ ΕΣΤΙΝ Ο ΘΕΟΣ. ζ΄

Ἔνιοι τῶν φιλοσόφων, καθάπερ Διαγόρας ὁ Μήλιος, καὶ Θεόδωρος ὁ Κυρηναῖος, καὶ Εὐήμερος ὁ Τεγεάτης, καθόλου φασὶ μὴ εἶναι θεούς. τὸν δὲ Εὐήμερον καὶ Καλλίμαχος ὁ Κυρηναῖος αἰνίττεται ἐν τοῖς ἰάμβοις γράφων, εἰς τὸ πρὸ τείχους

ἱερὸν ἀλέες δεῦτε, οὗ τὸν πάλαι χάλκεον ὁ πλάσας Ζᾶνα, γέρων ἀλαζὼν ἄδικα βιβλία ψύχει.

ταῦτ' ἐστὶ τὰ περὶ τοῦ μὴ εἶναι θεούς. καὶ Εὐριπίδης ὁ τραγῳδοποιὸς ἀποκαλύψασθαι μὲν οὐκ ἠθέλησε, δεδοικὼς τὸν Ἄρειον πάγον. ἐνέφηνε δὲ τοῦτον τὸν τρόπον. τὸν γὰρ Σίσυφον εἰσήγαγε προστάτην ταύτης τῆς δόξης, καὶ συνηγόρευσεν αὐτοῦ ταύτῃ τῇ γνώμῃ.

ἦν γὰρ χρόνος, φησίν, ὅτ' ἄτακτος
ἦν ἀνθρώπων βίος καὶ θηριώδης ἰσχύος θ' ὑπηρέτης,

ἔπειτά φησι τὴν ἀνομίαν λυθῆναι νόμων εἰσαγωγῇ. ἐπεὶ γὰρ ὁ νόμος τὰ φανερὰ τῶν ἀδικημάτων εἴργειν

ἐδύνατο, κρύφα δ' ἠδίκουν πολλοί, τότε τις σοφὸς ἀνὴρ ἐπέστησεν, ὡς δεῖ ἀεὶ ψευδεῖ λόγῳ τυφλῶσαι τὴν ἀλήθειαν, καὶ πεῖσαι τοὺς ἀνθρώπους ὡς ἔστι δαίμων
ἀφθίτῳ θάλλων βίῳ, ὃς ταῦτ' ἀκούει καὶ βλέπει φρονεῖ τ' ἄγαν. ἀναιρείσθω γάρ
φησιν ὁ ποιητικὸς λῆρος σὺν Καλλιμάχῳ λέγοντι· εἰ θεὸν οἶσθα, ἴσθι ὅτι καὶ δαίμονι ῥέξαι πᾶν δυνατόν. οὐδὲ γὰρ ὁ θεὸς δύναται πᾶν ποιεῖν, ἐπεί τοι γε ὁ θεός ἐστι, ποιείτω τὴν χιόνα μέλαιναν, τὸ δὲ πῦρ ψυχρόν, τὸ δὲ καθήμενον ὀρθόν, καὶ τὸ ἐναντίον. καὶ γὰρ Πλάτων, ὁ μεγαλόφωνος εἰπὼν ὁ θεὸς ἔπλασε τὸν κόσμον, πρὸς ἑαυτὸν ὑπόδειγμα, ὄζει λήρου βεκκεσελήνου, κατά γε τοὺς τῆς ἀρχαίας κωμῳδίας ποιητάς. πῶς γὰρ αὐτῷ ἀτενίζων ἔπλασεν, ἢ πῶς σφαιροειδῆ τὸν θεὸν ὄντα ταπεινότερον ἀνθρώπου. ὁ δὲ Ἀναξαγόρας φησίν, ὡς εἱστή-

κει κατ᾽ ἀρχὰς τὰ σώματα, νοῦς δὲ αὐτὰ διεκόσμησε θεοῦ, καὶ τὰς γενέσεις τῶν ὅλων ἐποίησεν. ὁ δὲ πλάτων οὐχ ἑστηκότα ὑπέθετο τὰ πρῶτα σώματα, ἀτάκτως δὲ κινούμενα· διὸ καὶ θεὸς φησὶν ἐπιστήσας, ὡς τάξις ἀταξίας ἐστὶ βελτίων, διεκόσμησε ταῦτα. κοινῶς οὖν ἁμαρτάνουσιν ἀμφότεροι, ὅτι τὸν θεὸν ἐποίησαν ἐπιστρεφόμενον τῶν ἀνθρωπίνων, ἢ καὶ τούτου χάριν τὸν κόσμον κατασκευάζοντα. τὸ γὰρ μακάριον καὶ ἄφθαρτον ζῶον συμπεπληρωμένον τε πᾶσι τοῖς ἀγαθοῖς καὶ κακοῦ παντὸς ἄδεκτον ὅλον ὂν περὶ τὴν συνοχὴν τῆς ἰδίας εὐδαιμονίας καὶ ἀφθαρσίας, ἀνεπιστρεφές ἐστι τῶν ἀνθρωπίνων πραγμάτων. κακοδαίμων δ᾽ ἂν εἴη ἐργάτου δίκην καὶ τέκτονος, ἀχθοφορῶν καὶ μεριμνῶν εἰς τὴν τοῦ κόσμου κατασκευὴν, καὶ πάλιν ὁ θεὸς ὃν λέγουσιν, ἢ τοι τὸν ἔμπροσθεν αἰῶνα οὐκ ἦν, ὅτε ἦν ἀκίνητα τὰ σώματα, ἢ ἀτάκτως ἐκινεῖτο, ἢ ἐκοιμᾶτο, ἢ ἐγρηγόρει, ἢ οὐδέτερον τούτων, καὶ οὔτε τὸ πρῶτόν ἐστι δέξασθαι, ὁ γὰρ θεὸς αἰώνιος, οὔτε τὸ δεύτερον, εἰ γὰρ ἐκοιμᾶτο ἐξ αἰῶνος ὁ θεὸς, ἐτεθνήκει, αἰώνιος γὰρ ὕπνος ὁ θάνατός ἐστιν, ἀλλ᾽ οὔτε δεκτικὸς ὕπνου θεὸς, τὸ γὰρ ἀθάνατον τοῦ θεοῦ καὶ τὸ ἐγγὺς θανάτου, πολὺ κεχώρισται. εἰ δὲ ἦν ὁ θεὸς ἐγρηγορὼς, ἢ τοι ἐνέλειπεν εἰς εὐδαιμονίαν, ἢ πεπληρώκει μακαριότητα, καὶ οὔτε κατὰ τὸ πρῶτον μακάριός ἐστιν ὁ θεὸς, τὸ γὰρ ἐλλεῖπον εἰς εὐδαιμονίαν οὐ μακάριον, οὔτε κατὰ τὸ δεύτερον, μηδὲν δὲ ἐλλείπων, κεναῖς ἔμελλεν ἐπιχειρεῖν πράξεσι. πῶς δὲ εἴπερ ὁ θεός ἐστι, καὶ τῇ τούτου φροντίδι τὰ κατὰ ἄνθρωπον οἰκονομεῖται. τὸ μὲν κίβδηλον εὐτυχεῖ, τὸ δὲ ἀστεῖον τἀναντία πάσχει. ἀγαμέμνων τε γὰρ ἀμφότερον·

, βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητὴς,

ὑπὸ μοιχοῦ καὶ μοιχαλίδος ἐπιβουλευθεὶς ἐδολοφονήθη, καὶ ὁ τούτου δὲ συγγενὴς ἡρακλῆς, πολλὰ τῶν ἐπιλυμαινομένων τὸν ἀνθρώπινον βίον καθάρας, ὑπὸ δηιανείρας φαρμακευθεὶς, ἐδολοφονήθη. θαλῆς νοῦν τοῦ κόσμου θεόν. ἀναξίμανδρος τοὺς ἀστέρας οὐρανίους θεούς. δημόκριτος νοῦν τὸν θεὸν ἐν πυρὶ σφαιροειδεῖ τὴν τοῦ κόσμου ψυχήν. πυθαγόρας τῶν ἀρχῶν τὴν μὲν μονάδα θεὸν, καὶ τἀγαθὸν, ἥτις ἐστὶν ἡ τοῦ ἑνὸς φύσις, αὐτὸς ὁ νοῦς, τὴν δ᾽ ἀόριστον δυάδα, δαίμονα καὶ τὸ κακὸν, περὶ ἥν ἐστι τὸ ὑλικὸν πλῆθος, ἔστι καὶ ὁρατὸς ὁ κόσμος. σωκράτης καὶ πλάτων τὸ ἓν τὸ μονοφυὲς, καὶ αὐτοφυὲς τὸ μοναδικὸν, τὸ ὄντως ἀγαθὸν, πάντα δὲ ταῦτα τῶν ὀνομάτων, εἰς τὸν νοῦν σπεύδει, νοῦς οὖν ὁ θεὸς, χωριστὸν εἶδος, τουτέστι τὸ ἀμιγὲς πάσης ὕλης μηδενὶ παθητῷ συμπεπλεγμένον. ἀριστοτέλης τὸν μὲν ἀνωτάτω θεὸν, εἶδος χωριστὸν ἐπιβεβηκότα τῇ σφαίρᾳ τοῦ παντὸς, ἥτις ἐστὶν αἰθέριον σῶμα, τὸ πέμπτον ὑπ᾽ αὐτοῦ καλούμενον. διῃρημένου δὲ τούτου κατὰ σφαίρας, τῇ μὲν φύσει συναφεῖς, τῷ λόγῳ δὲ κεχωρισμένας, ἑκάστην οἴεται τῶν σφαιρῶν ζῶον εἶναι σύνθετον ἐκ σώματος καὶ ψυχῆς, ὧν τὸ μὲν σῶμά ἐστιν αἰθέριον κινούμενον κυκλοφορικῶς, ἡ ψυχὴ δὲ λόγος ἀκίνητος, αἴτιος τῆς κινήσεως κατ᾽ ἐνέργειαν. οἱ στωικοὶ κοινότερον θεὸν ἀποφαίνονται, πῦρ τεχνικὸν ὁδῷ βαδίζον, ἐπὶ γενέσει κόσμου ἐμπεριειληφὸς πάντας τοὺς σπερματικοὺς λόγους, καθ᾽ οὓς ἕκαστα καθ᾽ εἱμαρμένην γίνεται, καὶ πνεῦμα μὲν διῆκον δι᾽ ὅλου τοῦ κόσμου, τὰς δὲ προσηγορίας μεταλαμβάνον δι᾽ ὅλης τῆς ὕλης, δι᾽ ἧς κεχώρηκε παραλλάξει, θεὸν δὲ καὶ τὸν κόσμον καὶ τοὺς ἀστέρας καὶ τὴν γῆν, τὸν δ᾽ ἀνωτάτω πάντων νοῦν ἐν αἰθέρι. ἐπίκουρος ἀνθρωποειδεῖς μὲν πάντας τοὺς θεοὺς, λόγῳ δὲ πάντας τούτους θεωρητοὺς διὰ τὴν λεπτομέρειαν τῆς τῶν εἰδώλων φύσεως. ὁ δ᾽ αὐτὸς ἄλλας τέσσαρας φύσεις κατὰ γένος ἀφθάρτους τάσδε, τὰ ἄτομα, τὸ κενὸν, τὸ ἄπειρον, τὰς ὁμοιότητας, αὗται δὲ λέγονται ὁμοιομέρειαι καὶ στοιχεῖα.

ΠΕΡΙ ΔΑΙΜΟΝΩΝ ΚΑΙ ΗΡΩΩΝ. η

Παρακειμένως δὲ τῷ περὶ θεῶν λόγῳ τὸν περὶ δαιμόνων καὶ ἡρώων ἱστορητέον. θαλῆς, πυθαγόρας, πλάτων, οἱ στωικοὶ, δαίμονας ὑπάρχειν οὐσίας ψυχικάς. εἶναι δὲ καὶ ἥρωας τὰς κεχωρισμένας ψυχὰς τῶν σωμάτων, καὶ ἀγαθοὺς μὲν τὰς ἀγαθάς· κακοὺς δὲ τὰς φαύλας. ἐπίκουρος δὲ, οὐδὲν τούτων ἐγκρίνει.

ΠΕΡΙ ΥΛΗΣ. θ

Ὕλη ἐστὶ τὸ ὑποκείμενον πρώτῃ γενέσει καὶ φθορᾷ, καὶ ταῖς ἄλλαις μεταβολαῖς. οἱ ἀπὸ θάλεω καὶ πυθαγόρου, καὶ οἱ στωικοὶ, τρεπτὴν καὶ ἀλλοιωτὴν καὶ μεταβλητὴν, καὶ ῥευστὴν ὅλην δι᾽ ὅλου τὴν ὕλην. οἱ ἀπὸ δημοκρίτου, ἀπαθῆ τὰ πρῶτα, τὴν ἄτομον, καὶ τὸ κενὸν, καὶ τὸ ἀσώματον. ἀριστοτέλης καὶ πλάτων, τὴν ὕλην σωματοειδῆ, καὶ ἄμορφον, ἀνείδεον, ἀσχημάτιστον, ἄποιον μὲν ὅσον ἐπὶ τῇ ἰδίᾳ φύσει, δεξαμενὴν δὲ τῶν εἰδῶν. οἷον τιθήνην καὶ ἐκμαγεῖον, καὶ μητέρα γενέσθαι. οἱ δὲ ὕδωρ λέγοντες ἢ γῆν, ἢ πῦρ, ἢ ἀέρα, τὴν ὕλην, οὐκέτι ἄμορφον αὐτὴν λέγουσιν, ἀλλὰ σῶμα. οἱ δὲ τὰ ἀμερῆ, καὶ τὰς ἀτόμους, ἄμορφον.

ΠΕΡΙ ΙΔΕΑΣ. ι

Ἰδέα ἐστὶν οὐσία σώματος, αὐτὴ μὲν μὴ ὑφεστῶσα καθ᾽ αὑτὴν, εἰκονίζουσα δὲ τὰς ἀμόρφους ὕλας, καὶ αἰτία γινομένη τῆς τούτων δείξεως. σωκράτης καὶ πλάτων χωριστὰς τῆς ὕλης οὐσίας τὰς ἰδέας ὑπολαμβάνει. ἐν τοῖς νοήμασι καὶ ἐν ταῖς φαντασίαις τοῦ θεοῦ, τουτέστι τοῦ νοῦ ὑφεστώσας. ἀριστοτέλης δὲ, εἴδη μὲν ἀπέλιπε καὶ ἰδέας οὐ μὴν κεχωρισμένας τῆς ὕλης, ὅ ἐξ ὧν γέγονε τὸ ὑπὸ τοῦ θεοῦ. οἱ ἀπὸ ζήνωνος στωικοὶ, ἐννοήματα ἡμέτερα τὰς ἰδέας ἔφασαν.

ΠΕΡΙ ΑΙΤΙΩΝ. ια

Αἴτιόν ἐστι τὸ ἀποτέλεσμα, ἢ δι᾽ ὃ συμβαίνει τι. πλάτων τριχῶς τὸ αἴτιον, φησὶν ὑφ᾽ οὗ, ἐξ οὗ, πρὸς ὅ, κυριώτερον δὲ ἡγεῖται τὸ ὑφ᾽ οὗ. τὸ δὲ ἦν, τὸ ποιοῦν, ὅ ἐστι νοῦς. πυθαγόρας ἀριστοτέλης τὰ μὲν πρῶτα αἴτια ἀσώματα, τὰ δὲ κατὰ μετοχὴν, ἢ κατὰ συμβεβηκὸς, τῆς σωματικῆς ὑποστάσεως· ὥστε εἶναι τὸν κόσμον σῶμα, οἱ στωικοὶ πάντα τὰ αἴτια σωματικά, πνεύματα γάρ.

ΠΕΡΙ ΣΩΜΑΤΩΝ. ιβ

Σῶμά ἐστι τὸ τριχῇ διαστατόν. πλάτει, βάθει, μήκει, ἢ ὄγκος ἀντίτυπος, ὅσον ἐφ᾽ ἑαυτῷ, ἢ τὸ κατέχον τόπον. πλάτων, ὅ μήτε βαρὺ μήτε κοῦφον εἶναι τῇ φύσει. ἐν γε τῷ οἰκείῳ τόπῳ ὑπάρχον. ἐν δέ γε τῷ ἀλλοτρίῳ γενόμενον, τό τε νεῦσιν ἴσχειν, ἐκ δὲ τῆς νεύσεως ῥοπὴν, ἤτοι πρὸς βαρύτητα ἢ κουφότητα. ἀριστοτέλης βαρύτατον μὲν εἶναι τὴν γῆν ἁπλῶς, κουφότατον δὲ τὸ πῦρ, ἀέρα δὲ καὶ ὕδωρ, ἄλλοτ᾽ ἄλλως. οἱ στωικοὶ, δύο μὲν ἐκ τῶν τεσσάρων στοιχείων κοῦφα, πῦρ καὶ ἀέρα. δύο δὲ βαρέα, ὕδωρ καὶ γῆν. κοῦφον γὰρ ὑπάρχει ὃ φύσει οὐ νεύσει ἀπὸ τοῦ ἰδίου μέσου, βαρὺ δὲ τὸ εἰς μέσον, βαρὺ δὲ οὐκ ἔστι τὸ μέσον. ἐπίκουρος δὲ, ἀπερίληπτα εἶναι τὰ σώματα, καὶ τὰ πρῶτα δὲ ἁπλᾶ. τὰ δὲ ἐξ ἐκείνων συγκρίματα, πάντα βάρος ἔχειν. κινεῖσθαι δὲ τὰ ἄτομα, τὸ μὲν κατὰ στάθμην τὸ δὲ κατὰ παρέγκλισιν, τὰ δὲ ἄνω κινούμενα, κατὰ πληγὴν, κατὰ παλμόν.

ΠΕΡΙ ΕΛΑΧΙΣΤΩΝ. ιγ'

Ἐμπεδοκλῆς πρὸ τῶν τεσσάρων στοιχείων θραύσματα ἐλάχιστα οἱονεὶ στοιχεῖα, πρὶν στοιχείων, ὁμοιομερῆ, ὅπερ ἐστὶ στρογγύλα. ἡράκλειτος ψηγμάτιά τινα ἐλάχιστα καὶ ἀμερῆ εἰσάγει.

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ. ιδ'

Σχῆμά ἐστιν ἐπιφάνεια καὶ περιγραφὴ καὶ πέρας σώματος. οἱ ἀπὸ πυθαγόρου, σφαιρικὰ τὰ σώματα τῶν τεττάρων στοιχείων· μόνον δὲ τὸ ἀνώτατον πῦρ κωνοειδές.

ΠΕΡΙ ΧΡΩΜΑΤΩΝ. ιε'

Χρῶμά ἐστι ποιότης σώματος ὁρατή. οἱ πυθαγορικοὶ χροιὰν ἐκάλουν τὴν ἐπιφάνειαν τοῦ σώματος. ἐμπεδοκλῆς τὸ τοῖς πόροις τῆς ὄψεως ἐναρμόττον. πλάτων φλόγα ἀπὸ τῶν σωμάτων, σύμμετρα μόρια ἔχουσαν πρὸς τὴν ὄψιν. ζήνων ὁ στωικὸς τὰ χρώματα, πρώτους εἶναι σχηματισμοὺς τῆς ὕλης. οἱ ἀπὸ πυθαγόρου τὰ γένη τῶν χρωμάτων λευκόν τε καὶ μέλαν, ἐρυθρόν, ὠχρόν, τὰς δὲ διαφορὰς τῶν χρωμάτων παρὰ τὰς ποιὰς μίξεις τῶν στοιχείων, τὰς δὲ τῶν ζώων, καὶ παρὰ τὰς ποικιλίας τῶν τροπῶν καὶ τῶν ἀέρων.

ΠΕΡΙ ΤΟΜΗΣ ΣΩΜΑΤΩΝ. ιϛ'

Οἱ ἀπὸ θάλεω καὶ πυθαγόρου παθητὰ τὰ σώματα, καὶ τμητὰ εἰς ἄπειρον, ἢ τὰς ἀτόμους ἢ τὰ ἀμερῆ ἵστασθαι, καὶ μὴ εἰς ἄπειρον εἶναι τὴν τομήν. ἀριστοτέλης δυνάμει μὲν εἰς ἄπειρον, ἐντελεχείᾳ δὲ οὐδαμῶς.

ΠΕΡΙ ΜΙΞΕΩΣ ΚΑΙ ΚΡΑΣΕΩΣ. ιζ'

Οἱ μὲν ἀρχαῖοι τὰς τῶν στοιχείων μίξεις κατ' ἀλλοίωσιν. οἱ δὲ περὶ ἀναξαγόραν καὶ δημόκριτον, κατὰ παράθεσιν. ἐμπεδοκλῆς δὲ ἐκ μικροτέρων ὄγκων τὰ στοιχεῖα συγκρίνει, ἅπερ ἐστὶν ἐλάχιστα, καὶ οἱονεὶ στοιχεῖα στοιχείων. πλάτων τὰ μὲν τρία σώματα, οὐ γὰρ θέλει κυρίως αὐτὰ εἶναι στοιχεῖα, ἢ προσονομάζειν τρεπτὰ εἰς ἄλληλα· πῦρ, ἀέρα, ὕδωρ, τὴν δὲ γῆν, εἴς τι τούτων ἀμετάβλητον.

ΠΕΡΙ ΚΕΝΟΥ. ιη'

Οἱ ἀπὸ θάλεω φυσικοὶ πάντες μέχρι πλάτωνος τὸ κενὸν ἀπέγνωσαν. ἐμπεδοκλῆς, οὐδέν τι τοῦ παντὸς κενὸν πέλει οὐδὲ περισσόν. λεύκιππος δημόκριτος δημήτριος μητρόδωρος ἐπίκουρος τὰ μὲν ἄτομα, ἄπειρα τῷ πλήθει, τὸ δὲ κενόν, ἄπειρον τῷ μεγέθει. οἱ στωικοί, ἐντὸς τοῦ κόσμου οὐδὲν εἶναι κενόν, ἔξωθεν δ' αὐτοῦ ἄπειρον. ἀριστοτέλης τοσοῦτον εἶναι τὸ κενὸν ἐκτὸς τοῦ κόσμου, ὥστε ἀναπνεῖν τὸν οὐρανόν· εἶναι γὰρ αὐτὸν πύρινον.

ΠΕΡΙ ΤΟΠΟΥ. ιθ'

Πλάτων τὸ μεταληπτικὸν τῶν εἰδῶν ὅπερ εἴρηκε μεταφορικῶς τὴν ὕλην, καθάπερ τινὰ τιθηνὴν καὶ δεξαμενήν. ἀριστοτέλης τὸ ἔσχατον τοῦ περιέχοντος συναπτὸν τῷ περιεχομένῳ.

ΠΕΡΙ ΧΩΡΑΣ. κ'

Οἱ στωικοὶ καὶ ἐπίκουρος, διαφέρειν κενόν, τόπον, χώραν, καὶ τὸ μὲν κενὸν εἶναι ἐρη-

μίαν σώματος, τὸν δὲ τόπον, τὸ ἐχόμενον ὑπὸ τοῦ σώματος, τὴν δὲ χώραν, τὸ ἐκ μέρους ἐχόμενον, ὥσπερ ἐπὶ τῆς τοῦ οἴνου πιθάκνης.

ΠΕΡΙ ΧΡΟΝΟΥ. κα'

Πυθαγόρας τὸν χρόνον, τὴν σφαῖραν τοῦ περιέχοντος εἶναι. πλάτων, αἰῶνος εἰκόνα κινητήν, ἢ διάστημα τῆς τοῦ κόσμου κινήσεως. ἐρατοσθένης τὴν τοῦ ἡλίου πορείαν.

ΠΕΡΙ ΟΥΣΙΑΣ ΧΡΟΝΟΥ. κβ'.

Πλάτων οὐσίαν χρόνου τὴν τοῦ οὐρανοῦ κίνησιν. οἱ πλείους τῶν στωικῶν αὐτὴν τὴν κίνησιν, καὶ οἱ μὲν πλείους ἀγέννητον τὸν χρόνον. πλάτων δὲ γεννητὸν κατ' ἐπίνοιαν.

ΠΕΡΙ ΚΙΝΗΣΕΩΣ. κγ'

Πυθαγόρας πλάτων κίνησίς ἐστι διαφορά τις, ἢ ἑτερότης ἐν ὕλῃ. ἀριστοτέλης ἐντελέχεια κινητοῦ. δημόκριτος ἓν γένος τῆς κινήσεως, τὸ κατὰ πλάγιον. ἐπίκουρος δύο εἴδη τῆς κινήσεως, τὸ κατὰ στάθμην, καὶ τὸ κατὰ παρέγκλισιν. ἡρόφιλος κινήσεως, τὴν μὲν λόγῳ θεωρητήν, τὴν δὲ αἰσθητήν. ἡράκλειτος ἠρεμίαν μὲν καὶ στάσιν ἐκ τῶν ὅλων ἀνῄρει· ἔστι γὰρ τοῦτο τῶν νεκρῶν· κίνησιν δὲ ἀΐδιον μὲν τοῖς ἀϊδίοις, φθαρτὴν δὲ τοῖς φθαρτοῖς.

ΠΕΡΙ ΓΕΝΕΣΕΩΣ ΚΑΙ ΦΘΟΡΑΣ. κδ'.

Παρμενίδης, μέλισσος, ζήνων ἀνῄρουν γένεσιν καὶ φθοράν, διὰ τὸ νομίζειν τὸ πᾶν ἀκίνητον. ἐμπεδοκλῆς δέ, καὶ ἐπίκουρος, καὶ πάντες ὅσοι μετὰ συναθροισμοῦ τῶν λεπτομερῶν σωμάτων κοσμοποιοῦσι, συγκρίσεις μὲν καὶ διακρίσεις εἰσάγουσι, γενέσεις δὲ καὶ φθορὰς οὐ κυρίως, οὐ γὰρ κατὰ ποιὸν ἐξ ἀλλοιώσεως, κατὰ δὲ ποσὸν ἐκ συναθροισμοῦ ταύτας γίνεσθαι. πυθαγόρας καὶ πάντες ὅσοι παθητὴν τὴν ὕλην ὑποτίθενται, κυρίως γένεσιν καὶ φθορὰν γίνεσθαι, ἐκ τῆς ἀλλοιώσεως στοιχείων καὶ τροπῆς καὶ ἀναλύσεως ταῦτα γίνεσθαι.

ΠΕΡΙ ΑΝΑΓΚΗΣ. κε'

Θαλῆς ἰσχυρότατον ἀνάγκην, κρατεῖ γὰρ τοῦ παντός. πυθαγόρας ἀνάγκην ἔφη περικεῖσθαι τῷ κόσμῳ. παρμενίδης καὶ δημόκριτος πάντα κατὰ ἀνάγκην, τὴν αὐτὴν δὲ εἶναι καὶ εἱμαρμένην, καὶ δίκην, καὶ πρόνοιαν, καὶ κοσμοποιόν.

ΠΕΡΙ ΟΥΣΙΑΣ ΑΝΑΓΚΗΣ. κϛ'

Πλάτων τὰ μὲν εἰς πρόνοιαν ἄγει, τὰ δὲ εἰς ἀνάγκην. ἐμπεδοκλῆς οὐσίαν ἀνάγκης, αἰτίαν χρηστικὴν τῶν ἀρχῶν καὶ τῶν στοιχείων. δημόκριτος τὴν ἀντιτυπίαν, καὶ τὴν φορὰν, καὶ πληγὴν τῆς ὕλης. πλάτων ὁτὲ μὲν τὴν ὕλην, ὁτὲ δὲ τὴν τοῦ ποιοῦντος πρὸς τὴν ὕλην σχέσιν.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ. κζ'

Ἡράκλειτος πάντα καθ' εἱμαρμένην, τὴν δὲ αὐτὴν ὑπάρχειν καὶ ἀνάγκην. πλάτων ἐγκρίνει μὲν τὴν εἱμαρμένην ἐπὶ τῶν ἀνθρωπίνων ψυχῶν καὶ βίων, συνεισάγει δὲ καὶ τὴν παρ' ἡμᾶς αἰτίαν. οἱ στωικοὶ πλάτωνι ἐμφερῶς, καὶ τὴν μὲν ἀνάγκην ἀνίκητόν φασιν αἰτίαν καὶ βιαστικήν, τὴν δὲ εἱμαρμένην συμπλοκὴν αἰτιῶν τεταγμένην, ἐν ᾗ συμπλοκῇ καὶ τὸ παρ' ἡμᾶς, ὥστε τὰ μὲν εἱμαρ-

θαι τὰ δὲ ἀνειμάρθαι.

ΠΕΡΙ ΟΥΣΙΑΣ ΕΙΜΑΡΜΕΝΗΣ. κη΄

Ηράκλειτος οὐσίαν εἱμαρμένης, λόγον τὸν διὰ τῆς οὐσίας τοῦ παντὸς διήκοντα, αὕτη δέ ἐστι τὸ αἰθέριον σῶμα σπέρμα τῆς τοῦ παντὸς γενέσεως. πλάτων λόγον ἀΐδιον καὶ νόμον ἀΐδιον τῆς τοῦ παντὸς φύσεως. χρύσιππος δύναμιν πνευματικὴν τάξει τοῦ παντὸς διοικητικήν, καὶ πάλιν ἐν τοῖς ὅροις, εἱμαρμένη ἐστὶν, ὁ τοῦ κόσμου λόγος, ἢ νόμος τῶν ὄντων ἐν τῷ κόσμῳ, προνοίᾳ διοικουμένων, ἢ λόγος, καθ᾽ ὃν τὰ μὲν γεγονότα, γέγονε, τὰ δὲ γινόμενα, γίνεται, τὰ δὲ γενησόμενα γενήσεται. οἱ στωικοὶ, εἱρμὸν αἰτιῶν, τουτέστι τάξιν καὶ ἐπισύνδεσιν ἀπαράβατον. ποσειδώνιος τρίτην ἀπὸ διός. πρῶτον μὲν γὰρ εἶναι τὸν δία, δεύτερον τὴν φύσιν, τρίτον δὲ τὴν εἱμαρμένην.

ΠΕΡΙ ΤΥΧΗΣ. κθ΄

Πλάτων αἰτίαν ἐν προαιρετικοῖς κατὰ συμβεβηκὸς, καὶ παρακολούθημα. ἀριστοτέλης αἰτίαν κατὰ συμβεβηκὸς ἐν τοῖς καθ᾽ ὁρμὴν ἕνεκά τινος γινομένοις, ἄδηλον καὶ ἄστατον, διαφέρειν δὲ τῆς τύχης τὸ αὐτόματον. τὸ μὲν γὰρ ἀπὸ τύχης καὶ ταὐτομάτου εἶναι ἐν τοῖς πρακτέοις πάντως, τὸ δ᾽ αὐτόματον οὐκ ἀπὸ τύχης, ἐν γὰρ τοῖς ἔξω πράξεως. καὶ τὴν μὲν τύχην τῶν λογικῶν, τὸ δὲ αὐτόματον, καὶ τῶν λογικῶν καὶ τῶν ἀλόγων ζώων καὶ τῶν ἀψύχων σωμάτων. ἐπίκουρος ἀσύστατον αἰτίαν προσώποις, χρόνοις, τρόποις. ἀναξαγόρας καὶ οἱ στωικοὶ, ἄδηλον αἰτίαν ἀνθρωπίνῳ λογισμῷ. ἃ μὲν γὰρ εἶναι κατ᾽ ἀνάγκην, ἃ δὲ καθ᾽ εἱμαρμένην, ἃ δὲ κατὰ προαίρεσιν, ἃ δὲ κατὰ τύχην, ἃ δὲ κατὰ τὸ αὐτόματον.

ΠΕΡΙ ΦΥΣΕΩΣ. λ΄

Ἐμπεδοκλῆς φύσιν μηδὲν εἶναι, μίξιν δὲ τῶν στοιχείων καὶ διάστασιν. γράφει γὰρ οὕτως ἐν τῷ πρώτῳ φυσικῷ,
» ἄλλο δέ τοι ἐρέω φύσις οὐδενός ἐστιν ἁπάντων θνητῶν, οὐ-
» δέ τις οὐλομένου θανάτοιο τελευτὴ, ἀλλὰ μόνον μίξις τε καὶ διάλλαξίς τε μι-
» γέντων ἐστὶ, φύσις δὲ βροτοῖς ὀνομάζεται ἀνθρώποισιν. ἀναξαγόρας ὁμοίως τὴν φύσιν σύγκρισιν καὶ διάκρισιν, τουτέστι γένεσιν καὶ φθοράν.

ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ ΤΟΙΣ ΦΙΛΟΣΟΦΟΙΣ. ΒΙΒΛΙΟΝ. β΄

Τετελεκὼς τὸν περὶ ἀρχῶν καὶ στοιχείων καὶ τῶν συνεδρευόντων αὐτοῖς λόγον, τρέψομαι πρὸς τὸν ἐπὶ τῶν ἀποτελεσμάτων ἀπὸ τοῦ περιεκτικωτάτου πάντων ἐνστησάμενος.

ΠΕΡΙ ΚΟΣΜΟΥ. α΄

Πυθαγόρας πρῶτος ὠνόμασε τὴν τῶν ὅλων περιοχὴν κόσμον, ἐκ τῆς ἐν αὐτῷ τάξεως. θαλῆς καὶ οἱ ἀπ᾽ αὐτοῦ ἕνα τὸν κόσμον. δημόκριτος καὶ ἐπίκουρος καὶ ὁ τούτων μαθητὴς μητρόδωρος ἀπείρους κόσμους ἐν τῷ ἀπείρῳ κατὰ πᾶσαν περίστασιν. ἐμπεδοκλῆς τὴν τοῦ ἡλίου περιδρομὴν εἶναι περιγραφὴν τοῦ κόσμου, καὶ εἶναι πέρας αὐτοῦ. σέλευκος ἄπειρον τὸν κόσμον. διογένης τὸ μὲν πᾶν, ἄπειρον, τὸν δὲ κόσμον πεπεράνθαι. οἱ στωικοὶ διαφέρειν τὸ πᾶν καὶ τὸ ὅλον, πᾶν μὲν γὰρ εἶναι τὸ σὺν τῷ κενῷ ἄπειρον, ὅλον δὲ χωρὶς τοῦ κενοῦ τὸν κόσμον, ὥστε οὐ τὸ αὐτὸ εἶναι τὸ ὅλον καὶ τὸν κόσμον.

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ. β΄

Οἱ μὲν στωικοὶ σφαιροειδῆ τὸν κόσμον. ἄλλοι δὲ, κωνοειδῆ. οἱ δὲ, ᾠοειδῆ. ἐπίκουρος δὲ, ἐνδέχεσθαι μὲν εἶναι σφαιροειδεῖς τοὺς κόσμους, ἐνδέχεσθαι δὲ καὶ ἑτέροις σχήμασι κεχρῆσθαι,

ΕΙ ΕΜΨΥΧΟΣ Ο ΚΟΣΜΟΣ. γ΄

Οἱ μὲν ἄλλοι πάντες, ἔμψυχον τὸν κόσμον καὶ προνοίᾳ διοικούμενον. δημόκριτος δὲ καὶ ἐπίκουρος καὶ ὅσοι τὰ ἄτομα εἰσηγοῦνται καὶ τὸ κενὸν, οὔτε ἔμψυχον, οὔτε προνοίᾳ διοικεῖσθαι, φύσει δέ τινι ἀλόγῳ. ἀριστοτέλης οὔτ᾽ ἔμψυχον ὅλον δι᾽ ὅλων, οὔτε μὴν αἰσθητικὸν, οὔτε λογικὸν, οὔτε νοερὸν, οὔτε προνοίᾳ διοικούμενον. τὰ μὲν γὰρ οὐράνια τούτων ἁπάντων κοινωνεῖν. σφαίρας γὰρ περιέχειν ἐμψύχους καὶ ζωτικάς. τὰ δὲ περίγεια μηδενὸς αὐτῶν. τῆς δ᾽ εὐταξίας κατὰ συμβεβηκὸς, οὐ προηγουμένως μετέχειν.

ΕΙ ΑΦΘΑΡΤΟΣ Ο ΚΟΣΜΟΣ. δ΄

Πυθαγόρας καὶ πλάτων, γενητὸν ὑπὸ θεοῦ τὸν κόσμον, καὶ φθαρτὸν μὲν, ὅσον ἐπὶ τῇ φύσει, αἰσθητὸν γὰρ εἶναι διὰ τὸ σωματικὸν, οὐ μὴν φθαρησόμενόν γε προνοίᾳ καὶ συνοχῇ θεοῦ. ἐπίκουρος φθαρτὸν, ὅτι καὶ γενητὸν, ὡς ζῶον ὡς φυτόν. ξενοφάνης, ἀγένητον καὶ ἀΐδιον καὶ ἄφθαρτον τὸν κόσμον. ἀριστοτέλης τὸ ὑπὸ τὴν σελήνην τοῦ κόσμου μέρος, παθητὸν, ἐν ᾧ καὶ τὰ περίγεια κηραίνεται.

ΠΟΘΕΝ ΤΡΕΦΕΤΑΙ Ο ΚΟΣΜΟΣ. ε΄

Ἀριστοτέλης, εἰ τρέφεται ὁ κόσμος καὶ φθαρήσεται, ἀλλὰ μὴν οὐδεμιᾶς τινος ἐπιδεῖται τροφῆς διὸ καὶ ἀΐδιος. πλάτων, αὐτὸν αὑτῷ τὸν κόσμον ἐκ τοῦ φθίνοντος κατὰ μεταβολὴν τὸ τρέφον παρέχεσθαι. φιλόλαος διττὴν εἶναι τὴν φθορὰν, τότε μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, τότε δὲ ἐξ ὕδατος σεληνιακοῦ, περιστροφῇ τοῦ ἀέρος ἀποχυθέντος, καὶ τούτων εἶναι τὰς ἀναθυμιάσεις τροφὰς τοῦ κόσμου.

ΑΠΟ ΠΟΙΟΥ στοιχείου ἤρξατο κοσμοποιεῖν ὁ θεός. ς΄

Οἱ φυσικοὶ ἀπὸ γῆς ἄρξασθαι φασὶ τὴν γένεσιν τοῦ κόσμου, καθάπερ ἀπὸ κέντρου, ἀρχὴ δὲ σφαίρας τὸ κέντρον. πυθαγόρας ἀπὸ πυρὸς καὶ τοῦ πέμπτου στοιχείου. ἐμπεδοκλῆς τὸν μὲν αἰθέρα, πρῶτον διακριθῆναι, δεύτερον δὲ τὸ πῦρ, ἐφ᾽ ᾧ τὴν γῆν, ἐξ ἧς ἄγαν περισφιγγομένης, τῇ ῥύμῃ τῆς περιφορᾶς, ἀναβλύσαι τὸ ὕδωρ, ἐξ οὗ θυμιαθῆναι τὸν ἀέρα, καὶ γενέσθαι τὸν μὲν οὐρανὸν, ἐκ τοῦ αἰθέρος. τὸν δὲ ἥλιον ἐκ πυρὸς, πιληθῆναι δὲ ἐκ τῶν ἄλλων τὰ περίγεια. πλάτων τὸν ὁρατὸν κόσμον γεγονέναι πρὸς παράδειγμα τοῦ νοητοῦ κόσμου, τοῦ δὲ ὁρατοῦ κόσμου προτέραν μὲν εἶναι τὴν ψυχὴν, μετὰ δὲ ταύτην τὸ σωματοειδὲς, τὸ ἐκ πυρὸς μὲν καὶ τῆς γῆς πρῶτον, ὕδατος δὲ καὶ ἀέρος δεύτερον. πυθαγόρας πέντε σχημάτων ὄντων στερεῶν, ἅπερ καλεῖται καὶ μαθηματικὰ, ἐκ μὲν τοῦ κύβου φησὶ γεγονέναι τὴν γῆν, ἐκ δὲ τῆς πυραμίδος τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου τὸν ἀέρα, ἐκ δὲ τοῦ εἰκοσαέδρου τὸ ὕδωρ, ἐκ δὲ τοῦ δωδεκαέδρου τὴν τοῦ παντὸς σφαῖραν. πλάτων δὲ καὶ ἐν τούτοις πυθαγορίζει.

ΠΕΡΙ ΤΑΞΕΩΣ ΤΟΥ ΚΟΣΜΟΥ. ζ΄

Παρμενίδης στεφάνας εἶναι περιπεπλεγμένας, ἐπαλλήλους· τὴν μὲν ἐκ τοῦ ἀραιοῦ, τὴν δὲ ἐκ τοῦ πυκνοῦ· μικτὰς δὲ ἄλλας, ἐκ φωτὸς καὶ σκότους, μεταξὺ τούτων, καὶ τὸ περιέχον δὲ πάσας τείχους δίκην στερεὸν ὑπάρχειν. Λεύκιππος καὶ Δημόκριτος χιτῶνα κύκλῳ καὶ ὑμένα περιτείνουσι τῷ κόσμῳ. Ἐπίκουρος ἐνίων μὲν κόσμων, ἀραιὸν τὸ πέρας, ἐνίων δὲ πυκνόν· καὶ τούτων τὰ μέν τινα κινούμενα, τὰ δὲ ἀκίνητα. Πλάτων πῦρ πρῶτον, εἶτα αἰθέρα, μεθ' ὃν ἀέρα, ἐφ' ᾧ ὕδωρ, τελευταίαν δὲ γῆν, ἐνίοτε δὲ τὸν αἰθέρα τῷ πυρὶ συνάπτει. Ἀριστοτέλης πρῶτον μὲν αἰθέρα ἀπαθῆ, πέμπτον δέ τι σῶμα, μεθ' ὃ παθητά, πῦρ, ἀέρα, ὕδωρ, τελευταίαν δὲ γῆν· τούτων δὲ τοῖς μὲν οὐρανίοις ἀποδιδόναι τὴν κυκλικὴν κίνησιν, τῶν δὲ ὑπ' ἐκεῖνα τεταγμένων, τοῖς μὲν κούφοις, τὴν ἄνω, τοῖς δὲ βαρέσι τὴν κάτω. Ἐμπεδοκλῆς μὴ διαπαντὸς ἑστῶτας, μὴ δ' ὡρισμένους τοὺς τόπους τῶν στοιχείων, ἀλλὰ πάντα τοὺς ἀλλήλων μεταλαμβάνειν.

ΤΙΣ Η ΑΙΤΙΑ τοῦ τὸν κόσμον ἐγκεκλίσθαι. η΄

Διογένης Ἀναξαγόρας, μετὰ τὸ συστῆναι τὸν κόσμον καὶ τὰ ζῶα ἐκ τῆς γῆς ἐξαγαγεῖν, ἐγκλιθῆναί πως τὸν κόσμον ἐκ τοῦ αὐτομάτου εἰς τὸ μεσημβρινὸν αὐτοῦ μέρος, ἴσως ὑπὸ προνοίας, ἵνα ἃ μέν τινα ἀοίκητα γένηται, ἃ δὲ οἰκητὰ μέρη τοῦ κόσμου, κατὰ ψύξιν καὶ ἐκπύρωσιν καὶ εὐκρασίαν. Ἐμπεδοκλῆς τοῦ ἀέρος εἴξαντος τῇ τοῦ ἡλίου ὁρμῇ, ἐγκλιθῆναι τὰς ἄρκτους, καὶ τὰ μὲν βόρεια ὑψωθῆναι, τὰ δὲ νότια ταπεινωθῆναι, καθὸ καὶ τὸν ὅλον κόσμον.

ΠΕΡΙ ΤΟΥ ἐκτὸς τοῦ κόσμου, εἰ ἔστι κενόν. θ΄

Οἱ μὲν ἀπὸ Πυθαγόρου, ἐκτὸς εἶναι τοῦ κόσμου κενόν, εἰς ὃ ἀναπνεῖ ὁ κόσμος, καὶ ἐξ οὗ. οἱ δὲ Στωικοὶ εἰς ὃ κατὰ τὴν ἐκπύρωσιν ἀναλύεται τὸ ἄπειρον. Ποσειδώνιος, οὐκ ἄπειρον, ἀλλ' ὅσον αὔταρκες εἰς τὴν διάλυσιν ἐν τῷ πρώτῳ περὶ κενοῦ. Ἀριστοτέλης ἔλεγεν εἶναι κενόν. Πλάτων μήτε ἐκτὸς τοῦ κόσμου μήτε ἐντὸς μηδὲν εἶναι κενόν.

ΤΙΝΑ ΔΕΞΙΑ τοῦ κόσμου καὶ τίνα ἀριστερά. ι΄

Πυθαγόρας Πλάτων Ἀριστοτέλης, δεξιὰ τοῦ κόσμου τὰ ἀνατολικὰ μέρη, ἀφ' ὧν ἡ ἀρχὴ τῆς κινήσεως, ἀριστερὰ δὲ τὰ δυτικά. Ἐμπεδοκλῆς δεξιὰ μὲν τὰ κατὰ τὸν θερινὸν τροπικόν, ἀριστερὰ δὲ τὰ κατὰ τὸν χειμερινόν.

ΠΕΡΙ ΟΥΡΑΝΟΥ. τίς ἡ τούτου οὐσία. ια΄

Ἀναξιμένης τὴν περιφορὰν τὴν ἐξωτάτω γηΐνην. Ἐμπεδοκλῆς στερέμνιον εἶναι τὸν οὐρανόν, ἐξ ἀέρος συμπαγέντος ὑπὸ πυρὸς κρυσταλλοειδῶς, τὸ πυρῶδες καὶ ἀερῶδες ἐν ἑκατέρῳ τῶν ἡμισφαιρίων περιέχοντα. Ἀριστοτέλης ἐκ πέμπτου σώματος πυρός, ἢ ἐκ θερμοῦ καὶ ψυχροῦ μίγματος.

ΠΕΡΙ διαιρέσεως οὐρανοῦ, εἰς πόσους κύκλους διαιρεῖται. ιβ΄

Θαλῆς Πυθαγόρας, οἱ ἀπ' αὐτοῦ μεμερίσθαι τὴν τοῦ παντὸς οὐρανοῦ σφαῖραν εἰς κύκλους πέντε, οὓς τινας προσαγορεύουσι ζώνας· καλεῖται δὲ ὁ μὲν αὐτῶν ἀρκτικός τε καὶ ἀειφανής, ὁ δὲ θερινὸς τροπικός, ὁ δὲ ἰσημερινός, ὁ δὲ χειμερινὸς τροπικός, ὁ δὲ ἀνταρκτικός τε καὶ ἀφανής· λοξὸς δὲ τοῖς τρισὶ μέσοις, ὁ καλούμενος ζωδιακὸς

ζωδιακὸς ὑποβέβληται παρεπιψαύων τῶν μέσων τριῶν, πάντας δὲ αὐτοὺς ὁ μεσημβρινὸς πρὸς ὀρθὰς ἀπὸ τῶν ἄρκτων ἐπὶ τὸ ἀντίξουν τέμνει. Πυθαγόρας πρῶτος ἐπινενοηκέναι λέγεται τὴν λόξωσιν τοῦ ζωδιακοῦ κύκλου, ἥντινα Οἰνοπίδης ὁ Χῖος ὡς ἰδίαν ἐπίνοιαν σφετερίζεται.

ΤΙΣ Η ΟΥΣΙΑ τῶν ἀστέρων, καὶ πῶς συνεστήκασιν. ιγ΄

Θαλῆς γεώδη μέν, ἔμπυρα δὲ τὰ ἄστρα. Ἐμπεδοκλῆς πύρινα ἐκ τοῦ πυρώδους, ὅπερ ὁ αἰθὴρ ἐν ἑαυτῷ περιέχων ἐξέθλιψε κατὰ τὴν πρώτην διάκρισιν. Ἀναξαγόρας τὸν περικείμενον αἰθέρα, πύρινον μὲν εἶναι κατὰ τὴν οὐσίαν, τῇ δ' εὐτονίᾳ τῆς περιδινήσεως ἀναρπάζοντα πέτρους ἐκ τῆς γῆς, καὶ καταφλέξαντα τούτους ἠστερικέναι. Διογένης, κισηρώδη τὰ ἄστρα, διαπνοὰς δὲ αὐτὰ νομίζει τοῦ κόσμου· πάλιν δὲ ὁ αὐτὸς ἀφανεῖς μὲν λίθους, πίπτοντας δὲ πολλάκις ἐπὶ τὴν γῆν σβέννυσθαι, καθάπερ τὸν ἐν Αἰγὸς ποταμοῖς πυροειδῶς κατενεχθέντα ἀστέρα πέτρινον. Ἐμπεδοκλῆς τοὺς μὲν ἀπλανεῖς ἀστέρας συνδεδέσθαι τῷ κρυστάλλῳ, τοὺς δὲ πλανήτας ἀνεῖσθαι. Πλάτων ἐκ μὲν τοῦ πλείστου μέρους, πυρίνους, μετέχοντας δὲ καὶ τῶν ἄλλων στοιχείων κόλλης δίκην. Ξενοφάνης ἐκ νεφῶν πεπυρωμένων, σβεννυμένων δὲ καθ' ἑκάστην ἡμέραν, ἀναζωπυρεῖν νύκτωρ καθάπερ τοὺς ἄνθρακας· τὰς γὰρ ἀνατολὰς καὶ τὰς δύσεις, ἐξάψεις εἶναι καὶ σβέσεις. Ἡρακλείδης, καὶ οἱ Πυθαγόρειοι, ἕκαστον τῶν ἀστέρων κόσμον ὑπάρχειν, γῆν περιέχοντα, ἀέρα τε καὶ αἰθέρα, ἐν τῷ ἀπείρῳ αἰθέρι, ταῦτα δὲ τὰ δόγματα ἐν τοῖς Ὀρφικοῖς φέρεται· κοσμοποιοῦσι γὰρ ἕκαστον τῶν ἀστέρων. Ἐπίκουρος οὐδὲν ἀπογινώσκει τούτων, ἐχόμενος τοῦ ἐνδεχομένου.

ΠΕΡΙ σχήματος ἀστέρων. ιδ΄

Οἱ Στωικοὶ σφαιρικοὺς τοὺς ἀστέρας, καθάπερ τὸν κόσμον καὶ ἥλιον καὶ σελήνην. Κλεάνθης κωνοειδεῖς. Ἀναξιμένης ἥλων δίκην καταπεπηγέναι τῷ κρυσταλλοειδεῖ· ἔνιοι δὲ πέταλα εἶναι πύρινα, ὥσπερ ζωγραφήματα.

ΠΕΡΙ τάξεως ἀστέρων. ιε΄

Ξενοκράτης κατὰ μιᾶς ἐπιφανείας οἴεται κινεῖσθαι τοὺς ἀστέρας, οἱ δ' ἄλλοι Στωικοὶ πρὸ τῶν ἑτέρων τοὺς ἑτέρους ἐν ὕψει καὶ βάθει. Δημόκριτος, τὰ μὲν ἀπλανῆ πρῶτον, μετὰ δὲ ταῦτα τοὺς πλανήτας, ἐφ' οἷς ἥλιον, φωσφόρον, σελήνην. Πλάτων μετὰ τὴν τῶν ἀπλανῶν θέσιν, πρῶτον φαίνοντα λεγόμενον τὸν τοῦ Κρόνου, δεύτερον φαέθοντα τὸν τοῦ Διός, τρίτον πυρόεντα τὸν τοῦ Ἄρεος, τέταρτον ἑωσφόρον τὸν τῆς Ἀφροδίτης, πέμπτον στίλβοντα τὸν τοῦ Ἑρμοῦ, ἕκτον ἥλιον, ἕβδομον σελήνην. Τῶν μαθηματικῶν τινὲς μέν, ὡς Πλάτων, τινὲς δέ, μέσον πάντων τὸν ἥλιον. Ἀναξίμανδρος, καὶ Μητρόδωρος ὁ Χῖος, καὶ Κράτης, ἀνωτάτω μὲν πάντων τὸν ἥλιον τετάχθαι, μετ' αὐτὸν δὲ τὴν σελήνην, ὑπὸ δὲ αὐτούς, τὰ ἀπλανῆ τῶν ἄστρων καὶ τοὺς πλανήτας.

ΠΕΡΙ τῆς τῶν ἀστέρων φορᾶς καὶ κινήσεως. ιϛ΄

Ἀναξαγόρας, Δημόκριτος, Κλεάνθης, ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς φέρεσθαι πάντας τοὺς ἀστέρας. Ἀλκμαίων καὶ οἱ μαθηματικοὶ τοὺς πλανήτας τοῖς ἀπλανέσιν ἐναντίους· ἀπὸ γὰρ δυσμῶν ἐπ' ἀνατολὰς ἀντιφέρεσθαι. Ἀναξίμανδρος, ὑπὸ τῶν κύκλων καὶ τῶν σφαιρῶν, ἐφ' ὧν ἕκαστος βέβηκε φέρεσθαι. Ἀναξιμένης, ὁμοίως ἐπὶ τὴν γῆν, καὶ περὶ αὐτὴν στρέφεσθαι τοὺς ἀστέρας. Πλάτων

καὶ οἱ μαθηματικοὶ ἰσοδρόμους εἶναι τὸν ἥλιον, τὸν ἑωσφόρον, τὸν στίλβοντα.

ΠΟΘΕΝ φωτίζονται οἱ ἀστέρες. ιζ΄

Μητρόδωρος ἅπαντας τοὺς ἀπλανεῖς ἀπὸ τοῦ ἡλίου προσλάμπεσθαι. Ἡράκλειτος, καὶ οἱ στωικοί, τρέφεσθαι τοὺς ἀστέρας ἐκ τῆς ἐπιγείου ἀναθυμιάσεως. Ἀριστοτέλης, μὴ δεῖσθαι τὰ οὐράνια τροφῆς· οὐ γὰρ φθαρτά, ἀλλ' ἀΐδια. Πλάτων, καὶ οἱ στωικοί, ὡς ὅλον τὸν κόσμον καὶ τὰ ἄστρα ἐξ αὐτῶν τρέφεσθαι.

ΠΕΡΙ τῶν ἀστέρων τῶν καλουμένων Διοσκούρων. ιη΄

Ξενοφάνης, τοὺς ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας, νεφέλια εἶναι κατὰ τὴν ποιὰν κίνησιν παραλάμποντα. Μητρόδωρος τῶν ὁρώντων ὀφθαλμῶν μετὰ δέους καὶ καταπλήξεως εἶναι στιλβηδόνας

ΠΕΡΙ ἐπισημασίας ἀστέρων, καὶ πῶς γίνεται χειμὼν καὶ θέρος. ιθ΄

Πλάτων, τὰς ἐπισημασίας τάς τε θερινὰς καὶ τὰς χειμερινὰς κατὰ τὰς τῶν ἀστέρων ἐπιτολάς τε καὶ δυσμὰς γίνεσθαι ἡλίου τε καὶ σελήνης, καὶ τῶν ἄλλων πλανήτων καὶ ἀπλανῶν. Ἀναξιμένης δέ, διὰ μὲν ταύτην, μηδὲν τούτων, διὰ δὲ τὸν ἥλιον μόνον. Εὔδοξος, Ἄρατος, κοινῶς διὰ πάντας τοὺς ἀστέρας, ἐν οἷς φησιν

" αὐτὸς γὰρ τάδε σήματ' ἐν οὐρανῷ ἐστήριξεν, ἄστρα διακρίνας· ἐσκέψατο δ' εἰς ἐνιαυτὸν

" ἀστέρας οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν.

ΠΕΡΙ οὐσίας ἡλίου. κ΄

Ἀναξίμανδρος, κύκλον εἶναι ὀκτωκαιεικοσαπλασίονα τῆς γῆς ἁρματείου τροχοῦ, τὴν ἀψίδα παραπλήσιον ἔχοντα κοίλην, πλήρη πυρός, ἧς κατά τι μέρος ἐκφαινούσης διὰ στομίου τὸ πῦρ, ὡς περ διὰ πρηστῆρος αὐλοῦ, καὶ τοῦτ' εἶναι τὸν ἥλιον. Ξενοφάνης ἐκ πυριδίων τῶν συναθροιζομένων μὲν ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως, συναθροιζόντων δὲ τὸν ἥλιον, ἢ νέφος πεπυρωμένον. Οἱ στωικοί, ἄναμμα νοερὸν ἐκ θαλάττης. Πλάτων ἐκ πλείστου πυρός. Ἀναξαγόρας, Δημόκριτος, Μητρόδωρος, μύδρον ἢ πέτρον διάπυρον. Ἀριστοτέλης σφαῖραν ἐκ τοῦ πέμπτου σώματος. Φιλόλαος ὁ πυθαγόρειος, ὑαλοειδῆ, δεχόμενον μὲν τοῦ ἐν τῷ κόσμῳ πυρὸς τὴν ἀνταύγειαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τὸ φῶς, ὥστε προσεοικέναι ἡλίῳ, τὸ ἐν τῷ οὐρανῷ πυρῶδες, τό τε δὴ ἀπ' αὐτοῦ καὶ ἐσοπτροειδές, καὶ τρίτον τὴν ἀπὸ τοῦ ἐσόπτρου κατ' ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς αὐγήν, καὶ γὰρ ταύτην προσαγορεύομεν ἥλιον, οἱονεὶ εἴδωλον εἰδώλου. Ἐμπεδοκλῆς δύο ἡλίους, τὸν μὲν ἀρχέτυπον πῦρ ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ τοῦ κόσμου, πεπληρωκὸς τὸ ἡμισφαίριον, ἀεὶ καταντικρὺ τῇ ἀνταυγείᾳ ἑαυτοῦ τεταγμένον, τὸν δὲ φαινόμενον ἀνταύγειαν ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ τῷ τοῦ ἀέρος τοῦ θερμομιγοῦς πεπληρωμένῳ, ἀπὸ κυκλοτεροῦς τῆς γῆς κατ' ἀνάκλασιν ἐγγινομένην εἰς τὸν ἥλιον τὸν κρυσταλλοειδῆ, συμπεριελκομένην δὲ τῇ κινήσει τοῦ πυρίνου, ὡς δὲ βραχέως εἰρῆσθαι συντεμόντα, ἀνταύγειαν εἶναι τοῦ περὶ τὴν γῆν πυρός, τὸν ἥλιον. Ἐπίκουρος, γήϊνον πύκνωμα κισηροειδὲς ταῖς κατατρήσεσιν ὑπὸ τοῦ πυρὸς ἀνημμένον.

ΠΕΡΙ μεγέθους ἡλίου. κα΄

Ἀναξίμανδρος, τὸν μὲν ἥλιον ἴσον τῇ γῇ εἶναι, τὸν δὲ κύκλον ἀφ' οὗ τὴν ἐκπνοὴν ἔχει καὶ ἐφ' οὗ φέρεται ἑπτακαιεικοσαπλασίονα τῆς γῆς. Ἀναξαγόρας πολλαπλασίονα Πελοποννήσου. Ἡράκλειτος εὖρος ποδὸς ἀνθρωπείου. Ἐπίκουρος πάλιν φησὶν ἐνδέχεσθαι τὰ προειρημένα πάντα, ἢ τηλικοῦτον, ἡλίκος φαίνεται, μικρῷ μείζων ἢ ἐλάττων.

ΠΕΡΙ σχήματος ἡλίου. κβ΄

Ἀναξιμένης, πλατὺν ὡς πέταλον τὸν ἥλιον. Ἡράκλειτος σκαφοειδῆ ὑπόκυρτον. Οἱ στωικοὶ σφαιροειδῆ ὡς τὸν κόσμον καὶ τὰ ἄστρα. Ἐπίκουρος ἐνδέχεσθαι τὰ προειρημένα πάντα.

ΠΕΡΙ τροπῶν ἡλίου. κγ΄

Ἀναξιμένης ὑπὸ πεπυκνωμένου ἀέρος καὶ ἀντιτύπου ἐξωθεῖσθαι τὰ ἄστρα. Ἀναξαγόρας ἀνταπώσει τοῦ πρὸς ταῖς ἄρκτοις ἀέρος, ὃν αὐτὸς συνωθῶν ἐκ τῆς πυκνώσεως ἰσχυροποιεῖ. Ἐμπεδοκλῆς ὑπὸ τῆς περιεχούσης αὐτὸν σφαίρας κωλυόμενον ἄχρι παντὸς εὐθυπορεῖν, καὶ ὑπὸ τῶν τροπικῶν κύκλων. Διογένης ὑπὸ τοῦ ἀντιπίπτοντος τῇ θερμότητι ψύχους σβέννυσθαι τὸν ἥλιον. Οἱ στωικοὶ κατὰ τὸ διάστημα τῆς ὑποκειμένης τροφῆς διέρχεσθαι τὸν ἥλιον, ὠκεανὸς δέ ἐστιν ἢ γῆ, ἧς τὴν ἀναθυμίασιν ἐπινέμεται. Πλάτων, Πυθαγόρας, Ἀριστοτέλης, παρὰ τὴν λόξωσιν τοῦ ζωδιακοῦ κύκλου, δι' οὗ φέρεται λοξοπορῶν ὁ ἥλιος, καὶ κατὰ δορυφορίαν τῶν τροπικῶν κύκλων, ταῦτα δὲ πάντα καὶ ἡ σφαῖρα δείκνυσιν.

ΠΕΡΙ ἐκλείψεως ἡλίου. κδ΄

Θαλῆς πρῶτος ἔφη ἐκλείπειν τὸν ἥλιον, τῆς σελήνης αὐτὸν ὑποτρεχούσης κατὰ κάθετον οὔσης φύσει γεώδους, βλέπεσθαι δὲ τοῦτο κατοπτρικῶς ὑποτιθεμένῳ τῷ δίσκῳ. Ἀναξίμανδρος, τοῦ στομίου τῆς τοῦ πυρὸς διεκπνοῆς ἀποκλειομένου. Ἡράκλειτος, κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφήν, ὥστε τὸ μὲν κοῖλον ἄνω γίνεσθαι, τὸ δὲ κυρτὸν κάτω πρὸς τὴν ἡμετέραν ὄψιν. Ξενοφάνης κατὰ σβέσιν, ἕτερον δὲ πάλιν πρὸς ταῖς ἀνατολαῖς γίνεσθαι· παριστόρηκε δὲ καὶ ἔκλειψιν ἡλίου ἐφ' ὅλον μῆνα, καὶ πάλιν ἔκλειψιν ἐντελῆ, ὥστε τὴν ἡμέραν νύκτα φανῆναι. Ἔνιοι, νεφῶν πύκνωσιν, τῶν ἀοράτως ἐπερχομένων τῷ δίσκῳ. Ἀρίσταρχος τὸν ἥλιον ἵστησι μετὰ τῶν ἀπλανῶν, τὴν δὲ γῆν κινεῖ περὶ τὸν ἡλιακὸν κύκλον, καὶ κατὰ τὰς ταύτης ἐγκλίσεις σκιάζεσθαι τὸν δίσκον. Ξενοφάνης πολλοὺς εἶναι ἡλίους καὶ σελήνας κατὰ κλίματα τῆς γῆς, καὶ ἀποτομὰς καὶ ζώνας, κατά τινα δὲ καιρὸν ἐμπίπτειν τὸν δίσκον εἴς τινα ἀποτομὴν τῆς γῆς, οὐκ οἰκουμένην ὑφ' ἡμῶν, καὶ οὕτως ὥσπερ κενεμβατοῦντα ἔκλειψιν ὑπομένειν, ὁ δ' αὐτὸς τὸν ἥλιον εἰς ἄπειρον μὲν προϊέναι, δοκεῖν δὲ κυκλεῖσθαι διὰ τὴν ἀπόστασιν.

ΠΕΡΙ οὐσίας σελήνης. κε΄ ΚΑΙ ΠΕΡΙ μεγέθους σελήνης. κϛ΄

Ἀναξίμανδρος κύκλον εἶναι ἐννεακαιδεκαπλασίονα τῆς γῆς, ὥσπερ τοῦ ἡλίου πλήρη πυρός, ἐκλείπειν δὲ κατὰ τὰς ἐπιστροφὰς τοῦ τροχοῦ, ὅμοιον γὰρ εἶναι ἁρματείῳ τροχῷ, κοίλην ἔχοντι τὴν ἀψίδα, καὶ πλήρη πυρὸς ἔχοντι μίαν ἐκπνοήν. Ξενοφάνης νέφος εἶναι πεπιλημένον. Οἱ στωικοί, μικτὴν ἐκ πυρὸς καὶ ἀέρος. Πλάτων ἐκ πλείονος τοῦ πυρώδους. Ἀναξαγόρας, Δημόκριτος, στερέωμα διάπυρον ἔχον ἐν ἑαυτῷ πεδία, καὶ ὄρη καὶ φάραγγας. Ἡράκλειτος γῆν ὀμίχλῃ περιειλημμένην. Πυθαγόρας κατὰ τὸ πυροειδὲς σῶμα σελήνης.

ΠΕΡΙ σχήματος σελήνης. κζ΄

Οἱ στωικοὶ μείζονα τῆς γῆς ἀποφαίνονται, ὡς καὶ τὸν ἥλιον. Παρμενίδης, ἴσον τῷ ἡλίῳ καὶ ἀπ' αὐτοῦ φωτίζεσθαι. Οἱ στωικοί, σφαιροειδῆ εἶναι, ὡς τὸν ἥλιον. Ἐμπεδοκλῆς δισκοειδῆ. Ἡράκλειτος σκαφοειδῆ. Ἄλλοι, κυλινδροειδῆ.

ΠΕΡΙ φωτισμῶν σελήνης. κη'

Ἀναξίμανδρος ἴδιον αὐτὴν ἔχειν φῶς, ἀραιότερον δέ πως. Ἀντιφῶν ἰδίῳ φέγγει λάμπειν τὴν σελήνην, τὸ δ' ἀποκρυπτόμενον περὶ αὐτὴν ὑπὸ τῆς προσβολῆς τοῦ ἡλίου ἀμαυροῦσθαι, πεφυκότος τοῦ ἰσχυροτέρου πυρὸς, τὸ ἀσθενέστερον ἀμαυροῦν, ὃ δὴ συμβαίνει καὶ περὶ τὰ ἄλλα ἄστρα. Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ, ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι τὴν σελήνην. Ἡράκλειτος, τὸ αὐτὸ πεπονθέναι τὸν ἥλιον καὶ τὴν σελήνην· σκαφοειδεῖς γὰρ ὄντας τοῖς σχήμασι τοὺς ἀστέρας, δεχομένους δὲ τὰ ἀπὸ τῆς ὑγρᾶς ἀναθυμιάσεως, αὐτὰ φωτίζεσθαι πρὸς τὴν φαντασίαν, λαμπρότερον μὲν τὸν ἥλιον, ἐν καθαρωτέρῳ γὰρ ἀέρι φέρεσθαι, τὴν δὲ σελήνην ἐν θολερωτέρῳ, διὰ τοῦτο καὶ ἀμαυροτέραν φαίνεσθαι.

ΠΕΡΙ ἐκλείψεως σελήνης. κθ'

Ἀναξιμένης, τοῦ στομίου τοῦ περὶ τὸν τροχὸν ἐπιφραττομένου. Βηρωσσὸς, κατὰ τὴν πρὸς ἡμᾶς ἐπιστροφὴν τοῦ ἀπυρώτου μέρους. Ἡράκλειτος, κατὰ τὴν τοῦ σκαφοειδοῦς συστροφήν. Τῶν Πυθαγορείων τινὲς, ἀνταύγειαν καὶ ἐπίφραξιν, τὸ μὲν τῆς γῆς, τὸ δὲ τῆς ἀντίχθονος. Οἱ δὲ νεώτεροι κατ' ἐπινέμησιν φλογὸς κατὰ μικρὸν ἐξαπτομένης τεταγμένως, ἕως ἂν τὴν τελείαν πανσέληνον ἀποδῷ, καὶ πάλιν ἀναλόγως μειουμένης μέχρι τῆς συνόδου, καθ' ἣν τελείως σβέννυται. Πλάτων, Ἀριστοτέλης, οἱ Στωϊκοὶ, οἱ Μαθηματικοὶ, συμφώνως τὰς μὲν μηνιαίους ἀποκρύψεις, συνοδεύουσαν αὐτὴν ἡλίῳ, καὶ περιλαμπομένην ποιεῖσθαι, τὰς δὲ ἐκλείψεις εἰς τὸ σκίασμα τῆς γῆς ἐμπίπτουσαν, μεταξὺ μὲν ἀμφοτέρων τῶν ἀστέρων γινομένης, μᾶλλον δὲ τῆς σελήνης ἀντιφραττομένης.

ΠΕΡΙ ἐμφάσεως αὐτῆς, διατί γεώδης φαίνεται. λ'

Οἱ Πυθαγόρειοι, γεώδη φαίνεσθαι τὴν σελήνην, διὰ τὸ περιοικεῖσθαι ταύτην, καθάπερ τὴν παρ' ἡμῖν γῆν, μείζοσι ζώοις καὶ φυτοῖς καλλίοσιν, εἶναι γὰρ πεντεκαιδεκαπλασίονα τὰ ἐπ' αὐτῆς ζῶα τῇ δυνάμει, μηδὲν περιττωματικὸν ἀποκρίνοντα, καὶ τὴν ἡμέραν τοσαύτην τῷ μήκει. Ἀναξαγόρας, ἀνωμαλότητα διὰ τοῦ συγκρίματος, διὰ τὸ ψυχρομιγὲς ἅμα καὶ γεῶδες, παραμεμῖχθαι γὰρ τῷ πυροειδεῖ τὸ ζοφῶδες· ὅθεν ψευδοφανῆ λέγεσθαι τὸν ἀστέρα. Οἱ Στωϊκοὶ, διὰ τὸ ἑτεροειδὲς τῆς οὐσίας μὴ εἶναι αὐτῆς ἀκήρατον τὸ σύγκριμα.

ΠΕΡΙ ἀποστήματος σελήνης, ὃ ἀφέστηκε τοῦ ἡλίου. λα'

Ἐμπεδοκλῆς διπλάσιον ἀπέχειν τὴν σελήνην ἀπὸ τοῦ ἡλίου, ἤπερ ἀπὸ τῆς γῆς. Οἱ ἀπὸ τῶν μαθηματικῶν, ὀκτωκαιδεκαπλάσιον. Ἐρατοσθένης, τὸν ἥλιον ἀπέχειν τῆς γῆς σταδίων μυριάδας ἑβδομηκονταοκτώ.

ΠΕΡΙ ἐνιαυτῶν, πόσος ἑκάστου τῶν πλανωμένων ὁ μέγας ἐνιαυτός. λβ.

Ἐνιαυτός ἐστι κρόνου μὲν ἐνιαυτῶν περίοδος λ'. διὸς δὲ ιβ'. ἄρεως δυεῖν, ἡλίου ιβ. μῆνες. οἱ δ' αὐτοὶ ἑρμοῦ καὶ ἀφροδίτης. ἰσόδρομοι γάρ. σελήνης ἡμέραι λ'. οὗτος γὰρ ὁ τέλειος μὴν ἀπὸ φαύσεως εἰς σύνοδον, τὸν δὲ μέγαν ἐνιαυτὸν, οἱ μὲν ἐν τῇ ὀκταετηρίδι τίθενται, οἱ δὲ ἐν τῇ ἐννεακαιδεκαετηρίδι, οἱ δὲ ἐν τοῖς ἑξήκοντα ἑνὸς δέουσιν. Ἡράκλειτος ἐκ μυρίων ὀκτακισχιλίων ἡλιακῶν. Διογένης ἐκ πέντε καὶ ἑξήκοντα καὶ τριακοσίων ἐνιαυτῶν τοσούτων, ὅσων ὁ κατὰ Ἡράκλειτον ἐνιαυτὸς, ἄλλοι δὲ δι' ἑπτακισχιλίων ψοζ'.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ ΤΟΙΣ ΦΙΛΟΣΟΦΟΙΣ ΒΙΒΛΙΟΝ. γ'

Περιωδευκὼς ἐν τοῖς προτέροις ἐν ἐπιτομῇ τὸν περὶ τῶν οὐρανίων λόγον, σελήνη δ' αὐτῶν τὸ μεθόριον, τρέψομαι ἐν τῷ τρίτῳ πρὸς τὰ μετάρσια. Ταῦτα δ' ἐστὶ τὰ ἀπὸ τοῦ κύκλου τῆς σελήνης καθήκοντα μέχρι πρὸς τὴν θέσιν τῆς γῆς, ἥν τινα κέντρου τάξιν ἐπέχειν τῇ περιοχῇ τῆς σφαίρας νενομίκασιν, ἄρξομαι δ' ἐντεῦθεν.

ΠΕΡΙ ΓΑΛΑΞΙΟΥ ΚΥΚΛΟΥ. α'

Κύκλος ἐστὶ νεφελοειδὴς, ἐν μὲν τῷ ἀέρι διαπαντὸς φαινόμενος, διὰ δὲ τὴν λευκόχροιαν γαλαξίας ὀνομαζόμενος. Τῶν Πυθαγορείων οἱ μὲν ἔφασαν, ἀστέρος εἶναι διάκαυσιν, ἐκπεσόντος μὲν ἀπὸ τῆς ἰδίας ἕδρας, δι' οὗ δὲ ἐπέδραμε χωρίου κυκλοτερῶς αὐτὸ καταφλέξαντος, ἐπὶ τοῦ κατὰ Φαέθοντα ἐμπρησμοῦ. Οἱ δὲ τὸν ἡλιακὸν ταύτῃ φασὶ κατ' ἀρχὰς γεγονέναι δρόμον. Τινὲς δὲ, κατοπτρικὴν εἶναι φαντασίαν, τοῦ ἡλίου τὰς αὐγὰς πρὸς τὸν οὐρανὸν ἀνακλῶντος, ὅπερ καὶ ἐπὶ τῆς ἴριδος, καὶ ἐπὶ τῶν νεφῶν συμβαίνει. Μητρόδωρος, διὰ τὴν πάροδον τοῦ ἡλίου· τοῦτον γὰρ εἶναι τὸν ἡλιακὸν κύκλον. Παρμενίδης, τὸ τοῦ πυκνοῦ καὶ ἀραιοῦ μίγμα γαλακτοειδὲς ἀποτελέσαι χρῶμα. Ἀναξαγόρας, τὴν σκιὰν τῆς γῆς, κατὰ τοῦτο τὸ μέρος ἵστασθαι τοῦ οὐρανοῦ, ὅταν ὑπὸ τὴν γῆν ὁ ἥλιος γενόμενος μὴ πάντα φωτίζῃ. Δημόκριτος, πολλῶν καὶ μικρῶν καὶ συνεχῶν ἀστέρων συμφωτιζομένων, ἀλλήλοις συναυγασμὸν, διὰ τὴν πύκνωσιν. Ἀριστοτέλης ἀναθυμιάσεως ξηρᾶς ἔξαψιν, πολλῆς τε καὶ συνεχοῦς, καὶ οὕτω κόμην πυρὸς ὑπὸ τὸν αἰθέρα, κατωτέρω τῶν πλανητῶν. Ποσειδώνιος πυρὸς σύστασιν ἄστρου μὲν λαμπρότερον, αὐγῆς δὲ πυκνότερον.

ΠΕΡΙ ΚΟΜΗΤΩΝ καὶ διαττόντων καὶ δοκίδων. β'

Τῶν ἀπὸ Πυθαγόρου τινὲς μὲν, ἀστέρα φασὶν εἶναι τὸν κομήτην, τῶν οὐκ ἀεὶ φαινομένων, διά τινος δὲ ὡρισμένου χρόνου περιοδικῶς ἀνατελλόντων. Ἄλλοι δὲ, ἀνάκλασιν τῆς ἡμετέρας ὄψεως πρὸς τὸν ἥλιον παραπλησίως ταῖς κατοπτρικαῖς ἐμφάσεσι. Ἀναξαγόρας, Δημόκριτος, σύνοδον ἀστέρων δυεῖν ἢ καὶ πλειόνων κατὰ συναυγασμόν. Ἀριστοτέλης τὴν ἐκ τῆς ξηρᾶς ἀναθυμιάσεως διάπυρον σύστασιν. Στράτων, ἄστρου φῶς περιληφθὲν νέφει πυκνῷ, καθάπερ ἐπὶ τῶν λαμπτήρων γίνεται. Ἡρακλείδης ὁ Ποντικὸς, νέφος μετάρσιον ὑπὸ μεταρσίου φωτὸς καταυγαζόμενον, ὁμοίως δ' αἰτιολογεῖ πωγωνίαν· ἄλλοι δοκίδας, κίονα, καὶ τὰ συγγενῆ τούτοις, καθάπερ ἀμέλει πάντες οἱ Περιπατητικοὶ, παρὰ τοὺς τοῦ νέφους ταύτῃ γίνεσθαι σχηματισμούς. Ἐπιγένης, πνεύματος ἀναφορὰν γεωμιγοῦς πεπυρωμένου. Βοηθὸς ἀέρος ἀνειμένου φαντασίαν. Διογένης, ἀστέρας εἶναι τοὺς κομήτας. Ἀναξαγόρας, τοὺς καλουμένους διάττοντας ἀπὸ τοῦ αἰθέρος, σπινθήρων δίκην καταφέρεσθαι, διὸ καὶ παραυτίκα κατασβέννυσθαι. Μητρόδωρος, τὴν εἰς τὰ νέφη τοῦ ἡλίου βιαίαν ἔμπτωσιν σπινθηρίζειν. Ξενοφάνης, πάντα τὰ τοιαῦτα τῶν νεφῶν πεπυρωμένων συστήματα ἢ κινήματα.

ΠΕΡΙ ΒΡΟΝΤΩΝ ΑΣΤΡΑΠΩΝ· ΚΕΡΑΥΝΩΝ ΠΡΗΣΤΗΡΩΝ ΚΑΙ ΤΥΦΩΝΩΝ. γ'

Ἀναξίμανδρος, ἐκ τοῦ πνεύματος ταυτὶ πάντα συμβαίνειν· ὅταν γὰρ περιληφθὲν

νέφει παχεῖ βιασάμενον ἐκπέσῃ, τῇ λεπτομερείᾳ καὶ τῇ κουφότητι, τότε ἡ μὲν ῥῆξις τὸν ψόφον, ἡ δὲ διαστολὴ παρὰ τὴν μελανίαν τοῦ νέφους τὸν διαυγασμὸν ἀποτελεῖ. μητρόδωρος ὅταν εἰς νέφος πεπηγὸς ὑπὸ πυκνότητος ἐμπέσῃ πνεῦμα, τῇ μὲν θραύσει τὸν κτύπον ἀποτελεῖ, τῇ δὲ πληγῇ καὶ τῷ σχισμῷ διαυγάζει, τῇ δὲ ὀξύτητι τῆς φορᾶς προλαμβάνον τὴν ἀπὸ τοῦ ἡλίου θερμότητα κεραυνοβολεῖ, τοῦ δὲ κεραυνοῦ τὴν ἀσθένειαν εἰς πρηστῆρα περιΐστησιν. ἀναξαγόρας ὅταν τὸ θερμὸν εἰς τὸ ψυχρὸν ἐμπέσῃ, τοῦτο δ' ἐστὶ αἰθέριον μέρος εἰς ἀερῶδες, τῷ μὲν ψόφῳ τὴν βροντὴν ἀποτελεῖ, τῷ δὲ παρὰ τὴν μελανίαν τοῦ νεφώδους χρώματι τὴν ἀστραπὴν, τῷ δὲ πλήθει καὶ μεγέθει τοῦ φωτὸς τὸν κεραυνὸν, τῷ δὲ πολυσωματωτέρῳ πυρὶ τὸν τυφῶνα, τῷ δὲ νεφελοειδεῖ τὸν πρηστῆρα. οἱ στωικοὶ βροντὴν μὲν συγκρουσμὸν νεφῶν, ἀστραπὴν δ' ἔξαψιν ἐκ παρατρίψεως, κεραυνὸν δὲ σφοδροτέραν ἔλλαμψιν, πρηστῆρα δὲ νωχελεστέραν. ἀριστοτέλης ἐξ ἀναθυμιάσεως καὶ τὰ τοιαῦτα γίνεσθαι τῆς ξηρᾶς. ὅταν οὖν ἐντύχῃ μὲν τῇ ὑγρᾷ παραβιάζηται δὲ τὴν ἔξοδον, τῇ μὲν παρατρίψει καὶ τῇ ῥήξει, τὸν ψόφον τῆς βροντῆς γίνεσθαι, τῇ δὲ ἐξάψει τῆς ξηρότητος, τὴν ἀστραπὴν, πρηστῆρας δὲ καὶ τυφῶνας τῷ πλεονασμῷ τῆς ὕλης, ἣν ἑκάτερος αὐτῶν συνεφέλκεται, θερμοτέραν μὲν ὁ πρηστὴρ, παχυτέραν δὲ ὁ τυφών.

ΠΕΡΙ ΝΕΦΩΝ ὑετῶν, χιόνων, χαλαζῶν. δ'

Αναξιμένης, νέφη μὲν γίνεσθαι παχυνθέντος ὅτι πλεῖστον τοῦ ἀέρος, μᾶλλον δὲ ἐπισυναχθέντος ἐκθλίβεσθαι τοὺς ὄμβρους, χιόνα δ' ἐπειδὰν τὸ καταφερόμενον ὕδωρ παγῇ, χάλαζαν δὲ ὅταν συμπεριληφθῇ τῷ ὑγρῷ πνεύματι. μητρόδωρος ἀπὸ τῆς ὑδατώδους ἀναφορᾶς συνίστασθαι τὰ νέφη. ὁ δ' ἐπίκουρος ἀπὸ τῶν ἀτμῶν, στρογγυλαίνεσθαι δὲ τὴν χάλαζαν καὶ τὸν ὑετὸν ἀπὸ τῆς μακρᾶς καταφορᾶς ὑποπεριπλησσόμενον.

ΠΕΡΙ ΙΡΙΔΟΣ. ε'

Των μεταρσίων παθῶν, τὰ μὲν καθ' ὑπόστασιν γίνεται, οἷον ὄμβρος, χάλαζα, τὰ δὲ κατ' ἔμφασιν, ἰδίαν οὐκ ἔχοντα ὑπόστασιν. αὐτίκα γοῦν πλεόντων ἡμῶν ἡ ἤπειρος κινεῖσθαι δοκεῖ. ἔστιν οὖν κατ' ἔμφασιν ἡ ἶρις. πλάτων φησὶ, θαύμαντος αὐτὴν γενεαλογῆσαι τοὺς ἀνθρώπους, διὰ τὸ θαυμάσαι ταύτην. ὅμηρος ἠΰτε πορφυρέην ἶριν θνητοῖσι τανύσσει. διὸ καὶ ἐμυθεύσαντό τινες αὐτὴν ταύρου κεφαλὴν ἔχουσαν, ἀναῤῥοφεῖν τοὺς ποταμούς. πῶς γοῦν γίνεται ἶρις. ὁρῶμεν δὴ κατὰ γραμμὰς ἢ κατ' εὐθείας, ἢ κατὰ καμπύλας, ἢ κατ' ἀνακλωμένας γραμμὰς ἀδήλους, λόγῳ θεωρητὰς καὶ ἀσωμάτους. κατὰ μὲν οὖν εὐθείας ὁρῶμεν τὰ ἐν ἀέρι καὶ τὰ διὰ τῶν λίθων τῶν διαυγῶν καὶ κεράτων. λεπτομερῆ γὰρ ταῦτα πάντα, καμπύλας δὲ γραμμὰς καθ' ὕδατος βλέπομεν γινομένας, κάμπτεται γὰρ ἡ ὄψις βίᾳ διὰ τὴν πυκνοτέραν τοῦ ὕδατος ὕλην. διὸ καὶ τὴν κώπην ἐν τῇ θαλάσσῃ μακρόθεν καμπτομένην ὁρῶμεν. τρίτος τρόπος τοῦ βλέπειν τὰ ἀνακλώμενα, ὡς τὰ κατοπτρικά. ἔστιν οὖν τὸ τῆς ἴριδος πάθος τοιοῦτον. δεῖ γὰρ ἐπινοῆσαι τὴν ὑγρὰν ἀναθυμίασιν εἰς νέφος μεταβάλλουσαν, εἶτα ἐκ τοῦ κατὰ βραχὺ εἰς μικρὰς ῥανίδας νοτίζουσας. ὅταν οὖν ὁ ἥλιος γένηται εἰς δυσμὰς, ἀνάγκη πᾶσαν ἶριν ἀντικρὺς ἡλίου φαίνεσθαι, ὅτε ἡ ὄψις προσπεσοῦσα ταῖς ῥανίσιν ἀνακλᾶται, ὥστε γίνεσθαι τὴν ἶριν. εἰσὶ δὲ αἱ ῥανίδες οὐ σχήματος μορφὴ, ἀλλὰ χρώματος, καὶ ἔχει τὸ μὲν πρῶτον φοινικοῦν, τὸ δὲ δεύτερον ἁλουργὲς καὶ πορφυροῦν, τὸ δὲ τρίτον κυάνεον καὶ πράσινον. μή ποτε οὖν τὸ μὲν φοινι-

κεον, ὅτι ἡ λαμπρότης τοῦ ἡλίου προσπεσοῦσα, καὶ ἡ ἀκραιφνὴς λαμπηδὼν ἀνακλωμένη, ἐρυθρὸν ποιεῖ καὶ φοινικοῦν τὸ χρῶμα. τὸ δὲ δεύτερον μέρος ἐπιθολούμενον καὶ ἐκλυόμενον μᾶλλον τῆς λαμπηδόνος διὰ τὰς ῥανίδας, ἁλουργές. ἄνεσις γὰρ τοῦ ἐρυθροῦ τοῦτο. ἔτι δὲ πάλιν ἐπιθολούμενον τὸ διορίζον, εἰς τὸ πράσινον μεταβάλλει. ἔστιν οὖν τοῦτο δοκιμάσαι δι' ἔργων, εἰ γάρ τις ἀντικρὺ τῶν ἡλίου ἀκτίνων λάβῃ ὕδωρ καὶ πτύσει, αἱ δὲ ῥανίδες ἀνάκλασιν πρὸς τὸν ἥλιον λάβωσιν, εὑρήσει γινομένην ἶριν, καὶ οἱ ὀφθαλμιῶντες δὲ τοῦτο πάσχουσιν, ὅταν εἰς τὸν λύχνον ἀποβλέψωσιν. ἀναξιμένης ἶριν γίνεσθαι κατ' αὐγασμὸν ἡλίου πρὸς νέφει πυκνῷ καὶ παχεῖ καὶ μέλανι, παρὰ τὸ μὴ δύνασθαι τὰς ἀκτῖνας εἰς τὸ πέραν διακόψαι ἐπισυνισταμένας αὐτῷ. ἀναξαγόρας ἀνάκλασιν ἀπὸ νέφους πυκνοῦ τῆς ἡλιακῆς περιφεγγείας, κατ' ἀντικρὺ δὲ τοῦ κατοπτρίζοντος αὐτὸν ἀστέρος διαπαντὸς ἵστασθαι, παραπλησίως δὲ φυσιολογεῖται τὰ καλούμενα παρήλια, γινόμενα δὲ κατὰ τὸν πόντον. μητρόδωρος, ὅταν διὰ νεφῶν ἥλιος διαλάμψῃ, τὸ μὲν νέφος κυανίζειν, τὴν δ' αὐγὴν ἐρυθραίνεσθαι.

ΠΕΡΙ ΡΑΒΔΩΝ. ς'

Τα κατὰ τὰς ῥάβδους καὶ ἀνθηλίους συμβαίνοντα μίξει τῆς ὑποστάσεως καὶ ἐμφάσεως ὑπάρχειν. τῶν μὲν νεφῶν ὁρωμένων, οὐ κατ' οἰκεῖον δὲ χρῶμα, ἀλλ' ἕτερον ὅπερ κατὰ τὴν ἔμφασιν φαίνεται. ἐν δὲ τούτοις πᾶσι, τά τε κατὰ φύσιν καὶ κατὰ ἐπίκτησιν ὅμοια συμβαίνει πάθη.

ΠΕΡΙ ΑΝΕΜΩΝ. ζ'

Αναξίμανδρος, ἄνεμον εἶναι ῥύσιν ἀέρος τῶν λεπτοτάτων ἐν αὐτῷ καὶ ὑγροτάτων ὑπὸ τοῦ ἡλίου κινουμένων ἢ τηκομένων. οἱ στωικοὶ πᾶν πνεῦμα ἀέρος εἶναι ῥύσιν, ταῖς τῶν τόπων δὲ παραλλαγαῖς τὰς ἐπωνυμίας παραλλάττοισι, οἷον ἀπὸ τοῦ ζόφου καὶ τῆς δύσεως, ζέφυρον, ἀπὸ τῆς ἀνατολῆς καὶ τοῦ ἡλίου ἀπηλιώτην, τὸν δὲ ἀπὸ τῶν ἄρκτων εἶναι βορέαν, τὸν δὲ ἀπὸ τῶν νοτίων λίβα. μητρόδωρος, ὑδατώδους ἀναθυμιάσεως διὰ τὴν ἡλιακὴν ἔκκαυσιν γίνεσθαι, ὁρμὴν πνευμάτων θείων. τοὺς δὲ ἐτησίας πνεῖν, τοῦ πρὸς ταῖς ἄρκτοις παχυνθέντος ἀέρος, ὑποχωροῦντι τῷ ἡλίῳ κατὰ τὴν θερινὴν τροπὴν ἐπισυῤῥέοντας.

ΠΕΡΙ ΧΕΙΜΩΝΟΣ καὶ θέρους. η'

Εμπεδοκλῆς καὶ οἱ στωικοὶ χειμῶνα μὲν γίνεσθαι τοῦ ἀέρος ἐπικρατοῦντος τῇ πυκνώσει καὶ εἰς τὸ ἀνωτέρω βιαζομένου. θερείαν δὲ τοῦ πυρὸς, ὅταν εἰς τὸ κατωτέρω βιάζηται. περιγεγραμμένων δέ μοι τῶν μεταρσίων, ἐφοδευθήσεται καὶ τὰ πρόσγεια

ΠΕΡΙ γῆς, καὶ τίς ἡ οὐσία αὐτῆς καὶ πόση. θ'

Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ μίαν εἶναι τὴν γῆν. ἱκέτης ὁ πυθαγόρειος, δύο, ταύτην καὶ τὴν ἀντίχθονα. οἱ στωικοὶ τὴν γῆν μίαν καὶ πεπερασμένην. ξενοφάνης ἐκ τοῦ κατωτέρου μέρους, εἰς ἄπειρον βάθος ἐῤῥιζῶσθαι, ἐξ ἀέρος δὲ καὶ πυρὸς συμπαγῆναι. μητρόδωρος τὴν μὲν γῆν ὑπόστασιν εἶναι καὶ τρύγα τοῦ ὕδατος, τὸν δὲ ἥλιον τοῦ ἀέρος.

ΠΕΡΙ σχήματος γῆς. ι'

Θαλῆς, καὶ οἱ στωικοὶ, καὶ οἱ ἀπ' αὐτῶν, σφαιροειδῆ τὴν γῆν. ἀναξίμανδρος λίθῳ κίονι τὴν γῆν προσφερῆ τῶν ἐπιπέδων. ἀναξιμένης τραπεζοειδῆ. λεύκιππος τυμπανο

ειδῆ. δημόκριτος δισκοειδῆ μὲν τῷ πλάτει, κοίλην δὲ τὸ μέσον.

ΠΕΡΙ θέσεως γῆς. ια΄

Οἱ ἀπὸ θάλεω τὴν γῆν μέσην. ξενοφάνης, πρώτην εἰς ἄπειρον ἐρριζῶσθαι. φιλόλαος ὁ πυθαγόρειος, τὸ μὲν πῦρ μέσον, τοῦτο γὰρ εἶναι τοῦ παντὸς ἑστίαν, δευτέραν δὲ τὴν ἀντίχθονα, τρίτην δὲ ἣν οἰκοῦμεν γῆν ἐξ ἐναντίας κειμένην τε καὶ περιφερομένην τῇ ἀντίχθονι, παρ᾽ ὃ καὶ μὴ ὁρᾶσθαι ὑπὸ τῶν ἐν τῇδε τοὺς ἐν ἐκείνῃ. παρμενίδης πρῶτος ἀφώρισε τῆς γῆς τοὺς οἰκουμένους τόπους, ὑπὸ ταῖς δυσὶ ζώναις ταῖς τροπικαῖς.

ΠΕΡΙ ἐγκλίσεως γῆς. ιβ΄

Λεύκιππος παρεκπεσεῖν τὴν γῆν εἰς τὰ μεσημβρινὰ μέρη διὰ τὴν ἐν τοῖς μεσημβρινοῖς ἀραιότητα, ἅτε δὴ πεπηγότων τῶν βορείων διὰ τὸ κατεψύχθαι τοῖς κρυμοῖς, τῶν δὲ ἀντιθέτων πεπυρωμένων. δημόκριτος διὰ τὸ ἀσθενέστερον εἶναι τὸ μεσημβρινὸν τοῦ περιέχοντος, αὐξομένην τὴν γῆν κατὰ τοῦτο ἐγκλιθῆναι· τὰ γὰρ βόρεια ἄκρατα, τὰ δὲ μεσημβρινὰ, κέκραται· ὅθεν κατὰ τοῦτο βεβάρηται, ὅπου περισσή ἐστι τοῖς καρποῖς καὶ τῇ αὐξήσει.

ΠΕΡΙ κινήσεως γῆς. ιγ΄

Οἱ μὲν ἄλλοι, μένειν τὴν γῆν. φιλόλαος δὲ ὁ πυθαγόρειος, κύκλῳ περιφέρεσθαι περὶ τὸ πῦρ κατὰ κύκλον λοξοῦ ὁμοιοτρόπως ἡλίῳ καὶ σελήνῃ. ἡρακλείδης ὁ ποντικὸς, καὶ ἔκφαντος ὁ πυθαγόρειος, κινοῦσι μὲν τὴν γῆν, οὐ μήν γε μεταβατικῶς, τροχοῦ δίκην ἐνζωνισμένην ἀπὸ δυσμῶν ἐπ᾽ ἀνατολὰς, περὶ τὸ ἴδιον αὐτῆς κέντρον. κατ᾽ ἀρχὰς μὲν πλάζεσθαι τὴν γῆν φησὶν ὁ δημόκριτος, διά τε μικρότητα, καὶ κουφότητα, πυκνωθεῖσαν δὲ τῷ χρόνῳ καὶ βαρυνθεῖσαν καταστῆναι.

ΠΕΡΙ διαιρέσεως γῆς, πόσαι αὐτῆς εἰσὶ ζῶναι. ιδ΄

Πυθαγόρας τὴν γῆν ἀναλόγως τῇ τοῦ παντὸς οὐρανοῦ σφαίρᾳ διῃρῆσθαι εἰς πέντε ζώνας, ἀρκτικὴν, θερινὴν, χειμερινὴν, ἰσημερινὴν, ἀνταρκτικὴν, ὧν ἡ μέση τὸ μέσον τῆς γῆς ὁρίζει παρ᾽ αὐτὸ τοῦτο διακεκαυμένη καλουμένη· οἱ δὲ οἰκητήριόν ἐστιν ἡ μέση τῆς θερινῆς, καὶ χειμερινῆς, εὔκρατός τις οὖσα.

ΠΕΡΙ σεισμῶν γῆς. ιε΄

Θαλῆς μὲν καὶ δημόκριτος, ὕδατι τὴν αἰτίαν τῶν σεισμῶν προσάπτουσιν. οἱ δὲ στωικοί φασι, σεισμός ἐστι τὸ ἐν τῇ γῇ ὑγρὸν εἰς ἀέρα διακρινόμενον καὶ ἐκπίπτον. ἀναξιμένης, ξηρότητα καὶ ἀραιότητα τῆς γῆς, αἰτίαν τῶν σεισμῶν, ὧν τὴν μὲν αὐχμοὶ γεννῶσι, τὴν δὲ ἐπομβρίαι. ἀναξαγόρας, ἀέρος ὑποδύσει, τῇ μὲν πυκνότητι τῆς ἐπιφανείας προσπίπτοντος, τῷ δὲ ἔκκρισιν λαβεῖν μὴ δύνασθαι, τρόμῳ τὸ περιέχον κραδαίνοντος. ἀριστοτέλης, διὰ τὴν τοῦ ψυχροῦ πανταχόθεν ἀντιπερίστασιν κάτωθεν καὶ ἄνωθεν αὐτῇ περιστάντος. τὸ γὰρ θερμὸν ἀνωτέρω γενέσθαι σπεύδει, ἅτε δὴ κοῦφον ὄν, διὰ τοῦτο ἐν ἀπολείψει γινομένης τῆς ξηρᾶς ἀναθυμιάσεως, τῇ σφηνώσει καὶ τοῖς ἀντελιγμοῖς διαταράττεσθαι. μητρόδωρος, μηδὲν ἐν τῷ οἰκείῳ τόπῳ σῶμα κινεῖσθαι, εἰ μή τις προσώσειεν ἢ καθελκύσειεν κατ᾽ ἐνέργειαν, διὸ μηδὲ τὴν γῆν, ἅτε δὴ κειμένην φυσικῶς κινεῖσθαι, τόπους δέ τινας αὐτῆς νοσεῖν τοῖς ἄλλοις. παρμενίδης, δημόκριτος, διὰ τὸ παν-

ταχόθεν

ταχόθεν ἴσον ἀφεστῶσαν μένειν ἐπὶ τῆς ἰσοῤῥοπίας, οὐκ ἔχουσαν αἰτίαν, δι᾽ ἣν δεῦρο μᾶλλον ἢ ἐκεῖσε ῥέψειεν ἄν, διὰ τοῦτο μόνον μὲν κραδαίνεσθαι, μὴ κινεῖσθαι δέ. ἀναξιμένης, διὰ τὸ πλάτος ἐποχεῖσθαι τῷ ἀέρι. οἱ δέ φασιν, ἐφ᾽ ὕδατος καθάπερ τὰ πλατανώδη καὶ σανιδώδη ἐπὶ τῶν ὑδάτων, διὰ τοῦτο κινεῖσθαι. πλάτων πάσης μὲν κινήσεως ἓξ εἶναι περιστάσεις, ἄνω, κάτω, ἐπὶ τὰ δεξιὰ, καὶ θάτερα, ἔμπροσθεν, καὶ ὄπισθεν, κατ᾽ οὐδεμίαν δὲ τούτων ἐνδέχεσθαι τὴν γῆν κινεῖσθαι, ἐν τῷ πανταχόθεν κατωτάτην κειμένην, μένειν μὲν ἀκίνητον μηδὲν ἔχουσαν ἐξαίρετον εἰς τὸ ῥέπειν μᾶλλον, τόπους δ᾽ αὐτῆς κατὰ ἀραιότητα σαλεύεσθαι. ἐπίκουρος, ἐνδέχεσθαι μὲν ὑπὸ τοῦ πάχους ἀέρος τοῦ ὑποκειμένου, ὑδατώδους ὄντος, ἀνακρουομένην αὐτὴν, καὶ οἷον ὑποτυπτομένην κινεῖσθαι, ἐνδέχεσθαι δὲ καὶ σηραγγώδη τοῖς κατωτέρω μέρεσι καθεστῶσαν ὑπὸ τοῦ διασπειρομένου πνεύματος εἰς τὰς ἀντροειδεῖς κοιλότητας ἐμπίπτοντος σαλεύεσθαι.

ΠΕΡΙ ΘΑΛΑΣΣΗΣ πῶς συνέστη καὶ πῶς ἐστὶ πικρά. ιϛ΄

Ἀναξίμανδρος, τὴν θάλασσάν φησιν εἶναι τῆς πρώτης ὑγρασίας λείψανον, ἧς τὸ μὲν πλεῖον μέρος ἀνεξήρανε τὸ πῦρ, τὸ δὲ ὑπολειφθὲν διὰ τὴν ἔκκαυσιν μετέβαλεν. ἀναξαγόρας, τοῦ κατὰ ἀρχὴν λιμνάζοντος ὑγροῦ περικαέντος ὑπὸ τῆς ἡλιακῆς περιφορᾶς, καὶ τοῦ λιπαροῦ ἐξατμισθέντος εἰς ἁλυκίδα καὶ πικρίαν τὸ λοιπὸν ὑποστῆναι. ἐμπεδοκλῆς ἱδρῶτα τῆς γῆς ἐκκαιομένης ὑπὸ τοῦ ἡλίου διὰ τὴν ἐπιπόλαιον πλύσιν. ἀντιφῶν ἱδρῶτα θερμοῦ, ἐξ οὗ τὸ περιληφθὲν ὑγρὸν ἀπεκρίθη τῷ κατεψηθῆναι, παρακυλίσασα, ὅπερ ἐπὶ παντὸς ἱδρῶτος συμβαίνει. μητρόδωρος διὰ τὸ διηθεῖσαν διὰ τῆς γῆς μετειληφέναι τοῦ περὶ αὐτὴν πάχους, καθάπερ τὰ διὰ τῆς τέφρας ὑλιζόμενα. οἱ ἀπὸ πλάτωνος τοῦ στοιχειώδους ὕδατος, τὸ μὲν ἐξ ἀέρος κατὰ περίψυξιν συνιστάμενον γλυκὺ γίνεσθαι, τὸ δ᾽ ἀπὸ τῆς κατὰ περίκαυσιν καὶ ἐκπύρωσιν ἀναθυμιώμενον ἁλμυρόν.

ΠΩΣ ΑΜΠΩΤΙΔΕΣ γίνονται καὶ πλημμύραι. ιζ΄

Ἀριστοτέλης, ἡράκλειτος, ἀπὸ τοῦ ἡλίου, τὰ γοῦν πλεῖστα τῶν πνευμάτων κινοῦντος καὶ συμπεριφέροντος, ὑφ᾽ ὧν ἐμβαλλόντων μὲν, προσωθουμένην ἀνοιδεῖν τὴν ἀτλαντικὴν θάλασσαν, καὶ παρασκευάζειν τὴν πλημμύραν, καταληγόντων δ᾽ ἀντιπερισπωμένην ὑποβαίνειν, ὅπερ εἶναι τὴν ἄμπωτιν. πυθέας ὁ μασσαλιώτης, τῇ πληρώσει τῆς σελήνης, τὰς πλημμύρας γίνεσθαι, τῇ δὲ μειώσει, τὰς ἀμπώτιδας. πλάτων, ἐπὶ τὴν ἑώραν φέρεσθαι τῶν ὑδάτων, εἶναι γάρ τινα ἑώραν διά τινος στομίου τρήματος περιφέρουσαν παλίρροιαν, ὑφ᾽ ἧς ἀντικυμαίνεσθαι τὰ πελάγη. τίμαιος, τοὺς ἐμβάλλοντας ποταμοὺς εἰς τὴν ἀτλαντικὴν διὰ τῆς κελτικῆς ὀρεινῆς αἰτιᾶται, προσωθοῦντας μὲν ταῖς ἐφόδοις καὶ πλημμύραν ποιοῦντας, ὑφέλκοντας δὲ ταῖς ἀναπαύλαις, καὶ ἀμπώτιδας κατασκευάζοντας. σέλευκος ὁ μαθηματικὸς, κινῶν καὶ οὗτος τὴν γῆν ἀντικόπτειν αὐτῆς, τῇ δίνῃ φησὶ καὶ τῇ κινήσει τὴν περιστροφὴν τῆς σελήνης, τοῦ δὲ μεταξὺ ἀμφοτέρων τῶν σωμάτων ἀντιπερισπωμένου πνεύματος καὶ ἐμπίπτοντος εἰς τὸ ἀτλαντικὸν πέλαγος κατὰ λόγον αὐτῷ συγκυκᾶσθαι τὴν θάλασσαν.

ΠΕΡΙ ΑΛΩ. ιη΄

Ἡ δὲ ἅλως οὕτως ἀποτελεῖται μεταξὺ τῆς σελήνης ἢ τινος ἄλλου ἄστρου, καὶ τῆς ὄψεως ἀὴρ παχὺς καὶ ὁμιχλώδης ἵσταται, εἶτα ἐν τούτῳ τῆς ὄψεως κατακλω

μένης καὶ εὐρυνομένης, καθ' οὕτω τῷ κύκλῳ τοῦ ἄστρου προσπιπτούσης κατὰ τὴν ἔξω περιφέρειαν κύκλος δοκεῖ περὶ τὸ ἄστρον φαίνεσθαι, ὃς κύκλος φαινόμενος, ἅλως καλεῖται. ὅτι δεῖ ν ἅλως προσεχῶς ἐκεῖ δοκεῖ αὐτὸς τοῦ φάσματος γίνεσθαι, ἔνθα ναῦ ἔπεσε τὸ πάχος τῆς ὄψεως.

ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ ΤΟΙΣ ΦΙΛΟΣΟΦΟΙΣ ΒΙΒΛΙΟΝ. δ'.

Πεπερασμένων δὲ τῶν τοῦ κόσμου μερῶν, διαβήσομαι πρὸς τὰ κατὰ μέρος.

ΠΕΡΙ ΝΕΙΛΟΥ ΑΝΑΒΑΣΕΩΣ. α'.

Θαλῆς τοὺς ἐτησίους ἀνέμους οἴεται πνέοντας τῇ αἰγύπτῳ ἀντιπροσώπους, ἐπαίρειν τοῦ νείλου τὸν ὄγκον διὰ τὸ τὰς ἐκροὰς αὐτοῦ τῇ παροιδήσει τοῦ ἀντιπαρήκοντος πελάγους ἀνακόπτεσθαι. εὐθυμένης ὁ μασσαλιώτης, ἐκ τοῦ ὠκεανοῦ καὶ τῆς ἔξω θαλάσσης γλυκείας κατ' αὐτὸν οὔσης νομίζει πληροῦσθαι τὸν ποταμόν. ἀναξαγόρας ἐκ τῆς χιόνος τῆς ἐν τῇ αἰθιοπίᾳ τηκομένης μὲν ἐν τῷ θέρει, ψυχομένης δὲ τῷ χειμῶνι. δημόκριτος τῆς χιόνος τῆς ἐν τοῖς πρὸς ἄρκτον μέρεσιν ὑπὸ θερινὰς τροπὰς ἀναλυομένης τε καὶ διαχεομένης, νέφη μὲν ἐκ τῶν ἀτμῶν πιλοῦσθαι. τούτων δὲ ἀπελαυνομένων πρὸς μεσημβρίαν καὶ τὴν αἴγυπτον, ὑπὸ τῶν ἐτησίων ἀνέμων, ἀποτελεῖσθαι ῥαγδαίους ὄμβρους, ὑφ' ὧν ἀναπίμπλασθαι τάς τε λίμνας, καὶ τὸν νεῖλον ποταμόν. ἡρόδοτος ὁ συγγραφεὺς ἴσον μὲν ἐκ τῶν πηγῶν φέρεσθαι χειμῶνος καὶ θέρους, φαίνεσθαι δὲ ἐλάττονα τοῦ χειμῶνος διὰ τὸ ἐν τούτῳ τῷ καιρῷ, πλησίον ἰόντα τὸν ἥλιον τῆς αἰγύπτου, ἐξατμίζειν τὰ νάματα. ἔφορος ὁ ἱστοριογράφος κατὰ θέρος φησὶν ἀναχαλᾶσθαι τὴν ὅλην αἴγυπτον καὶ οἱονεὶ ἐξιδροῦν τὸ πολὺ νᾶμα, συνδίδωσι δ' αὐτῇ καὶ ἡ ἀραβία καὶ ἡ λιβύη παρὰ τὸ ἀραιὸν καὶ ὑπόψαμμον. εὔδοξος τοὺς ἱερεῖς φησι λέγειν τὰ ὄμβρια τῶν ὑδάτων, καὶ τὴν ἀντιπερίστασιν τῶν ὡρῶν, ὅταν παρ' ἡμῖν ᾖ θέρος, τοῖς ὑπὸ τὸν θερινὸν τροπικὸν οἰκοῦσιν, τότε τοῖς ὑπὸ τὸν χειμερινὸν τροπικὸν ἀντοίκοις χειμών ἐστιν ἐξ ὧν τὸ πλημμυροῦν ὕδωρ καταῤῥήγνυται.

νὴ παράστασιν

ΠΕΡΙ ΨΥΧΗΣ. β'.

Θαλῆς ἀπεφήνατο πρῶτος τὴν ψυχήν, φύσιν ἀεικίνητον ἢ αὐτοκίνητον. πυθαγόρας, ἀριθμὸν ἑαυτὸν κινοῦντα, τὸν δ' ἀριθμὸν ἀντὶ τοῦ νοῦ παραλαμβάνει. πλάτων οὐσίαν νοητὴν ἐξ ἑαυτῆς κινητήν, κατ' ἀριθμὸν ἐναρμόνιον κινουμένην. ἀριστοτέλης ἐντελέχειαν πρώτην σώματος φυσικοῦ ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος, τὴν δὲ ἐντελέχειαν ἀκουστέον ἀντὶ τῆς ἐνεργείας. δικαίαρχος ἁρμονίαν τῶν τεσσάρων στοιχείων. ἀσκληπιάδης ὁ ἰατρὸς συγγυμνασίαν τῶν αἰσθήσεων.

ΕΙ ΣΩΜΑ Η ΨΥΧΗ ΚΑΙ ΤΙΣ ἡ οὐσία αὐτῆς. γ'.

Οὗτοι πάντες οἱ προτεταγμένοι, ἀσώματον τὴν ψυχὴν ὑποτίθενται, φύσει λέγοντες αὐτοκίνητον καὶ οὐσίαν νοητήν, καὶ τοῦ φυσικοῦ ὀργανικοῦ ζωὴν ἔχοντος ἐντελέχειαν. οἱ δ' ἀπὸ ἀναξαγόρου ἀεροειδῆ ἔλεγόν τε καὶ σῶμα. οἱ στωικοὶ πνεῦμα θερμόν. δημόκριτος, πυρῶδες σύγκριμα ἐκ τῶν λόγῳ θεωρητῶν, σφαιρικὰς μὲν ἐχόντων τὰς ἰδέας, πυρίνην δὲ τὴν δύναμιν, ὅπερ σῶμα εἶναι. ἐπίκουρος, κρᾶμα ἐκ τεσσάρων ἐκ ποιοῦ πυρώδους, ἐκ ποιοῦ ἀερώδους, ἐκ ποιοῦ πνευματικοῦ, ἐκ τετάρτου τινὸς ἀκατονομάστου, ὃ ἦν αὐτῷ αἰσθητικόν. ἡρά-

κλειτος, τὴν μὲν τοῦ κόσμου ψυχήν, ἀναθυμίασιν ἐκ τῶν ἐν αὐτῷ ὑγρῶν, τὴν δὲ ἐν τοῖς ζώοις, ἀπὸ τῆς ἐκτὸς καὶ τῆς ἐν αὐτῆς ἀναθυμιάσεως ὁμογενῆ.

ΠΕΡΙ ΜΕΡΩΝ ΨΥΧΗΣ. δ'.

Πυθαγόρας πλάτων, κατὰ μὲν τὸν ἀνωτάτω λόγον, διμερῆ τὴν ψυχήν, τὸ μὲν γὰρ ἔχει λογικόν, τὸ δὲ ἄλογον, κατὰ δὲ τὸ προσεχὲς καὶ ἀκριβές, τριμερῆ. τὸ γὰρ ἄλογον διαιροῦσιν εἴς τε τὸ θυμικόν, καὶ τὸ ἐπιθυμητικόν. οἱ στωικοί, ἐξ ὀκτὼ μερῶν φασι συνεστάναι. πέντε μὲν τῶν αἰσθητῶν, ὁρατικοῦ, ἀκουστικοῦ, ὀσφρητικοῦ, γευστικοῦ, ἁπτικοῦ, ἕκτου δὲ φωνητικοῦ, ἑβδόμου σπερματικοῦ, ὀγδόου αὐτοῦ τοῦ ἡγεμονικοῦ, ἀφ' οὗ ταῦτα πάντα ἐπιτέτακται, διὰ τῶν οἰκείων ὀργάνων προσφερῶς ταῖς τοῦ πολύποδος πλεκτάναις. δημόκριτος, ἐπίκουρος, διμερῆ τὴν ψυχήν, τὸ μὲν λογικὸν ἔχουσαν ἐν τῷ θώρακι καθιδρυμένον, τὸ δὲ ἄλογον καθ' ὅλην τὴν σύγκρισιν τοῦ σώματος διεσπαρμένον. ὁ δὲ δημόκριτος πάντα μετέχειν φησὶ ψυχῆς ποιᾶς, καὶ τὰ νεκρὰ τῶν σωμάτων, διότι ἀεὶ διαφανῶς τινος θερμοῦ καὶ αἰσθητικοῦ μετέχει τοῦ πλείονος διαπνεομένου.

ΤΙ ΤΟ ΤΗΣ ΨΥΧΗΣ ἡγεμονικὸν καὶ ἐν τίνι ἐστίν. ε'.

Πλάτων, δημόκριτος, ἐν ὅλῃ τῇ κεφαλῇ. στράτων ἐν μεσοφρύῳ. ἐρασίστρατος περὶ τὴν μήνιγγα τοῦ ἐγκεφάλου, ἣν ἐπικρανίδα λέγει. ἡρόφιλος ἐν τῇ τοῦ ἐγκεφάλου κοιλίᾳ, ἥ τις ἐστὶ καὶ βάσις. παρμενίδης ἐν ὅλῳ τῷ θώρακι, καὶ ἐπίκουρος. οἱ στωικοὶ πάντες, ἐν ὅλῃ τῇ καρδίᾳ, ἢ τῷ περὶ καρδίαν πνεύματι. διογένης ἐν τῇ ἀρτηριακῇ κοιλίᾳ τῆς καρδίας, ἥ τις ἐστὶ πνευματική. ἐμπεδοκλῆς ἐν τῇ τοῦ αἵματος συστάσει. οἱ δὲ ἐν τῷ τραχήλῳ τῆς καρδίας. οἱ δὲ ἐν τῷ περὶ καρδίαν ὑμένι, οἱ δὲ ἐν τῷ διαφράγματι. τῶν νεωτέρων δέ τινες διήκειν ἀπὸ κεφαλῆς μέχρι τοῦ διαφράγματος. πυθαγόρας, τὸ μὲν ζωτικὸν περὶ τὴν καρδίαν, τὸ δὲ λογικὸν καὶ νοερὸν περὶ τὴν κεφαλήν.

ΠΕΡΙ ΚΙΝΗΣΕΩΣ ΨΥΧΥΣ. ς'.

Πλάτων ἀεικίνητον τὴν ψυχήν, τὸν δὲ νοῦν ἀκίνητον τῆς μεταβατικῆς κινήσεως. ἀριστοτέλης ἀκίνητον τὴν ψυχήν, πάσης κινήσεως προηγουμένην, τῆς δὲ κατὰ συμβεβηκός, μετέχειν καθάπερ τὰ εἴδη τῶν σωμάτων.

προηγουμένην · Δ

ΠΕΡΙ ΑΦΘΑΡΣΙΑΣ ΨΥΧΗΣ. ζ'.

Πυθαγόρας, πλάτων, ἄφθαρτον εἶναι τὴν ψυχήν, ἐξιοῦσαν γὰρ εἰς τὸ τοῦ παντὸς ψυχὴν ἀναχωρεῖν πρὸς τὸ ὁμογενές. οἱ στωικοὶ ἐξιοῦσαν τῶν σωμάτων ὑποφέρεσθαι, τὴν μὲν ἀσθενεστέραν ἅμα τοῖς συγκρίμασι γενέσθαι, ταύτην δὲ εἶναι τῶν ἀπαιδεύτων, τὴν δὲ ἰσχυροτέραν, οἵα ἐστὶ περὶ τοὺς σοφούς, καὶ μέχρι τῆς ἐκπυρώσεως. δημόκριτος, ἐπίκουρος, φθαρτὴν τῷ σώματι συνδιαφθειρομένην. πυθαγόρας, πλάτων, τὸ μὲν λογικὸν ἄφθαρτον, καὶ γὰρ τὴν ψυχήν, οὐ θεὸν ἀλλ' ἔργον τοῦ ἀϊδίου θεοῦ ὑπάρχειν, τὸ δὲ ἄλογον φθαρτόν.

ΠΕΡΙ ΑΙΣΘΗΣΕΩΝ ΚΑΙ ΑΙΣΘΗΤΩΝ. η'.

Οἱ στωικοὶ ὁρίζονται οὕτω τὴν αἴσθησιν, αἴσθησίς ἐστιν ἀντίληψις αἰσθητηρίου, ἢ κατάληψις. πολλαχῶς δὲ λέγεται ἡ αἴσθησις. ἥ τε γὰρ ἕξις, καὶ ἡ δύναμις, καὶ ἡ ἐνέργεια, καὶ ἡ φαντασία ἡ καταληπτικὴ δι' αἰσθητηρίου γίνονται, καὶ αὐτὸ τὸ ὄγδοον ἡγεμονικόν, ἀφ' οὗ συνίσταται, πάλιν δὲ αἰσθητήρια λέγεται, πνεύ-

ματα νοερὰ, ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένα. Ἐπίκουρος, τὸ μόριόν ἐστιν ἡ αἴσθησις, ἥτις ἐστὶν ἡ δύναμις καὶ τὸ ἐπαίσθημα, ὅθεν ἐστὶ τὸ ἐνέργημα, ὥστε διχῶς παρ᾽ αὐτοῦ λέγεσθαι, αἴσθησιν μὲν τὴν δύναμιν, αἰσθητικὸν δὲ τὸ ἐνέργημα. Πλάτων τὴν αἴσθησιν ἀποφαίνεται ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτὸς, ἡ μὲν γὰρ δύναμις ψυχῆς, τὸ δὲ ὄργανον σώματος, ἄμφω δὲ διὰ φαντασίαν ἀντιληπτικὰ τῶν ἔξωθεν γίνεται. Λεύκιππος, Δημόκριτος, τὴν αἴσθησιν καὶ τὴν νόησιν γίνεσθαι, εἰδώλων ἔξωθεν προσιόντων, μηδενὶ γὰρ ἐπιβάλλειν μηδετέραν χωρὶς τοῦ προσπίπτοντος εἰδώλου.

ΕΙ ΑΛΗΘΕΙΣ ΑΙ ΑΙΣΘΗΣΕΙΣ καὶ αἱ φαντασίαι. θ΄.

Οἱ στωικοὶ, τὰς μὲν αἰσθήσεις ἀληθεῖς, τῶν δὲ φαντασιῶν, τὰς μὲν ἀληθεῖς, τὰς δὲ ψευδεῖς. Ἐπίκουρος, πᾶσαν αἴσθησιν καὶ πᾶσαν φαντασίαν ἀληθῆ· τῶν δὲ δοξῶν, τὰς μὲν ἀληθεῖς, τὰς δὲ ψευδεῖς· καὶ ἡ μὲν αἴσθησις μοναχῶς ψευδοποιεῖται τὰ κατὰ τὰ νοητὰ, ἡ δὲ φαντασία, διχῶς· καὶ γὰρ αἰσθητῶν ἐστι φαντασία καὶ νοητῶν. Ἐμπεδοκλῆς Ἡρακλείδης παρὰ τὰς συμμετρίας τῶν πόρων τὰς κατὰ μέρος αἰσθήσεις γίνεσθαι, τοῦ οἰκείου τῶν αἰσθητῶν ἑκάστης ἁρμόζοντος.

ΠΟΣΑΙ εἰσὶν αἱ αἰσθήσεις. ι΄.

Οἱ στωικοὶ πέντε τὰς ἰδικὰς αἰσθήσεις, ὅρασιν, ἀκοὴν, ὄσφρησιν, γεῦσιν, ἁφήν. Ἀριστοτέλης ἕκτην μὲν οὐ λέγει, κοινὴν δὲ αἴσθησιν τὴν τῶν συνθέτων εἰδῶν κριτικὴν, εἰς ἣν πᾶσαι συμβάλλουσιν αἱ ἁπλαῖ τὰς ἰδίας ἑκάστη φαντασίας, ἐν ᾗ τὸ μεταβατικὸν ἀφ᾽ ἑτέρου πρὸς ἕτερον, οἱονεὶ σχήματος καὶ κινήσεως δείκνυται. Δημόκριτος πλείους εἶναι αἰσθήσεις περὶ τὰ ἄλογα ζῶα καὶ περὶ τοὺς θεοὺς καὶ σοφούς.

ΠΩΣ γίνεται ἡ αἴσθησις καὶ ἡ ἔννοια καὶ ὁ κατὰ διάθεσιν λόγος. ια΄.

Οἱ στωικοί φασιν ὅταν γεννηθῇ ὁ ἄνθρωπος, ἔχει τὸ ἡγεμονικὸν μέρος τῆς ψυχῆς, ὥσπερ χάρτης ἐνεργὸν εἰς ἀπογραφὴν, εἰς τοῦτο μίαν ἑκάστην τῶν ἐννοιῶν ἐναπογράφεται, πρῶτος δὲ ὁ τῆς ἀναγραφῆς τρόπος, ὁ διὰ τῶν αἰσθήσεων, αἰσθανόμενοι γάρ τινος, οἷον λευκοῦ ἀπελθόντος αὐτοῦ μνήμην ἔχουσιν, ὅταν δὲ ὁμοειδεῖς πολλαὶ μνῆμαι γένωνται, τότε φασὶν ἔχειν ἐμπειρίαν, ἐμπειρία γάρ ἐστι τὸ τῶν ὁμοειδῶν πλῆθος, τῶν δὲ ἐννοιῶν, αἱ μὲν φυσικαὶ γίνονται κατὰ τοὺς εἰρημένους τρόπους καὶ ἀνεπιτεχνήτως, αἱ δὲ ἤδη δι᾽ ἡμετέρας διδασκαλίας καὶ ἐπιμελείας· αὗται μὲν οὖν ἔννοιαι καλοῦνται μόναι, ἐκεῖναι δὲ καὶ προλήψεις. ὁ δὲ λόγος καθ᾽ ὃν προσαγορευόμεθα λογικοὶ ἐκ τῶν προλήψεων συμπληροῦσθαι λέγεται, κατὰ τὴν πρώτην ἑβδομάδα. ἔστι δὲ νόημα φάντασμα διανοίας λογικοῦ ζώου. τὸ γὰρ φάντασμα ἐπειδὰν λογικῇ προσπίπτῃ ψυχῇ, τότε ἐννόημα καλεῖται, εἰληφὸς τοὔνομα παρὰ τὸν νοῦν, διόπερ τοῖς ἄλλοις ζώοις ὅσα προσπίπτει φαντάσματα, ὅσα δὲ καὶ τοῖς θεοῖς, καὶ ἡμῖν γε ταῦτα φαντάσματα μόνον ἐστὶ, ὅσα δὲ ἡμῖν, ταῦτα καὶ φαντάσματα κατὰ γένος, καὶ ἐννοήματα κατ᾽ εἶδος, ὥσπερ τὰ δηνάρια καὶ οἱ στατῆρες, αὐτὰ μὲν καθ᾽ αὑτὰ ὑπάρχειν δηνάρια, στατῆρες, ἐὰν δὲ εἰς πλοίων δοθῇ μίσθωσιν, τηνικαῦτα πρὸς τῷ δηνάρια εἶναι καὶ ναῦλα λέγεται.

ΤΙΝΙ ΔΙΑΦΕΡΕΙ φαντασία, φανταστικὸν, φάντασμα. ιβ΄.

Χρύσιππος διαφέρειν ἀλλήλων φησὶ, τέτταρα ταῦτα· φαντασία μὲν οὖν ἐστι, πάθος ἐν τῇ ψυχῇ γινόμενον, ἐνδεικνύμενον ἑαυτῷ καὶ τὸ πεποιηκὸς, οἷον ἐπειδὰν δι᾽ ὄψεως θεωρῶμεν τὸ λευκὸν, ἐστὶ πάθος τὸ ἐγγεγενημένον διὰ τῆς ὁράσεως ἐν τῇ ψυχῇ, καὶ τοῦτο τὸ πάθος εἰπεῖν ἔχομεν, ὅτι ὑπόκειται λευκὸν, κινοῦν ἡμᾶς, ὁμοίως καὶ διὰ τῆς ἁφῆς καὶ τῆς ὀσφρήσεως, εἴρηται δὲ φαντασία ἀπὸ τοῦ φωτὸς, καθάπερ γὰρ τὸ φῶς αὑτὸ δείκνυσι καὶ τὰ ἄλλα τὰ ἐν αὐτῷ περιεχόμενα, καὶ ἡ φαντασία δείκνυσιν ἑαυτὴν, καὶ τὸ πεποιηκὸς αὐτήν. φανταστὸν δὲ τὸ ποιοῦν τὴν φαντασίαν, οἷον τὸ λευκὸν, καὶ τὸ ψυχρὸν, καὶ πᾶν ὅτι ἂν δύναται κινεῖν τὴν ψυχὴν, τουτέστι φανταστόν. φανταστικὸν δέ ἐστι, διάκενος ἑλκυσμὸς, πάθος ἐν τῇ ψυχῇ ἀπ᾽ οὐδενὸς φανταστοῦ γινόμενον, καθάπερ ἐπὶ τῶν σκιαμαχούντων καὶ κενὰς ἐπιφερόντων τὰς χεῖρας, τῇ γὰρ φαντασίᾳ, ὑπόκειταί τι φανταστὸν, τῷ δὲ φανταστικῷ οὐδέν. φάντασμα δέ ἐστιν ἐφ᾽ ὃ ἑλκόμεθα κατὰ τὸν φανταστικὸν διάκενον ἑλκυσμὸν, ταῦτα δὲ γίνεται, ἐπὶ τῶν μελαγχολώντων καὶ μεμηνότων. ὁ γοῦν τραγικὸς Ὀρέστης ὅταν λέγει, ὦ μῆτερ ἱκετεύω σε μὴ ᾽πίσειέ μοι, τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας· αὗται γὰρ αὗται πλησίον θρώσκουσί μου, λέγει μὲν αὐτὰ ὡς μεμηνὼς, ὁρᾷ δὲ οὐδὲν, ἀλλὰ δοκεῖ μόνον. διὸ καὶ φησὶν αὐτῷ Ἠλέκτρα, μέν᾽ ὦ ταλαίπωρ᾽ ἀτρέμα σοῖς ἐν δεμνίοις, ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ᾽ εἰδέναι, ὡς καὶ παρ᾽ Ὁμήρῳ Θεοκλύμενος.

ΠΕΡΙ ΟΡΑΣΕΩΣ καὶ πῶς ὁρῶμεν. ιγ΄.

Δημόκριτος, Ἐπίκουρος, κατὰ εἰδώλων εἰσκρίσεις ᾤοντο τὸ ὁρατικὸν συμβαίνειν. ἕτεροι, κατά τινων ἀκτίνων ἔξοδον μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔντασιν, πάλιν ὑποστρεφουσῶν πρὸς τὴν ὄψιν. Ἐμπεδοκλῆς, τοῖς εἰδώλοις τὰς ἀκτῖνας ἀνέμιξε προσαγορεύσας τὸ γιγνόμενον, ἀκτῖνας εἰδώλου συνθέτου. Ἵππαρχος ἀκτῖνάς φησιν ἀφ᾽ ἑκατέρου τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν αὐτῶν, οἷον χειρῶν ἐπαφαῖς περικαθαπτούσας τοῖς ἐκτὸς σώμασι τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀποδιδόναι. Πλάτων, κατὰ συναύγειαν, τοῦ μὲν ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὁμογενῆ ἀέρα, τοῦ δὲ ἀπὸ τῶν σωμάτων φερομένου ἀντιρρέειν, τὸν δὲ μεταξὺ ἀέρα εὐδιάχυτον ὄντα καὶ εὔτρεπτον, συνεκτείνοντος τῷ πυρώδει τῆς ὄψεως, αὕτη λέγεται πλατωνικὴ συναύγεια.

ΠΕΡΙ ΚΑΤΟΠΤΡΙΚΩΝ ἐμφάσεων. ιδ΄.

Ἐμπεδοκλῆς, κατὰ ἀπορροίας μὲν τὰς συνισταμένας ἐπὶ τῆς ἐπιφανείας τοῦ κατόπτρου, τελειουμένας δὲ ὑπὸ τοῦ ἐκκρινομένου ἐκ τοῦ κατόπτρου πυρώδους, καὶ τὸν προκείμενον ἀέρα εἰς ὃν φέρεται τὰ ῥεύματα συμμεταφέροντος. Δημόκριτος, Ἐπίκουρος, τὰς κατοπτρικὰς ἐμφάσεις γίνεσθαι κατ᾽ εἰδώλων ὑποστάσεις, ἅτινα φέρεσθαι μὲν ἀφ᾽ ἡμῶν, συνίστασθαι δὲ ἐπὶ τοῦ κατόπτρου κατὰ τὴν ἀντιπερίστροφήν. Οἱ ἀπὸ Πυθαγόρου, κατὰ ἀντανακλάσεις τῆς ὄψεως, φέρεσθαι μὲν γὰρ τὴν ὄψιν τεταμένην ὡς ἐπὶ τὸν χαλκὸν, στέλλουσαν δὲ πυκνῷ καὶ λείῳ πληχθεῖσαν ὑποστρέφειν αὐτὴν ἐφ᾽ ἑαυτὴν, ὅμοιόν τι πάσχουσαν τῇ ἐκτάσει τῆς χειρὸς καὶ τῇ ἐπὶ τὸν ὦμον ἀντεπιστροφῇ. δύναταί τις τούτοις πᾶσι τοῖς κεφαλαίοις χρῆσθαι ἐπὶ τοῦ πῶς ὁρῶμεν.

ΕΙ ΟΡΑΤΟΝ ΤΟ ΣΚΟΤΟΣ. ιε΄.

Οἱ στωικοὶ, ὁρατὸν εἶναι τὸ σκότος, ἐκ γὰρ τῆς ὁράσεως προχεῖσθαί τινα εἰς αὐτὸ αὐγὴν, καὶ οὐ ψεύδεται ἡ ὅρασις, βλέπεται γὰρ ταῖς ἀληθείαις, ὅτι ἐστὶ σκότος. Χρύσιππος, κατὰ τὴν συνέντασιν τοῦ μεταξὺ ἀέρος ὁρᾶν ἡμᾶς, νυγέντος

μὲν ἀπὸ τοῦ ὁρατικοῦ πνεύματος, ὅπερ ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῆς κόρης διήκει, μετὰ δὲ τὴν πρὸς τὸν παρακείμενον ἀέρα ἐπιβολὴν, ἐντείνοντος αὐτὸν κωνοειδῶς, ὅταν ᾖ ὁμογενὴς ὁ ἀήρ, προχέονται δὲ ἐκ τῆς ὄψεως ἀκτῖνες πύριναι οὐχὶ μέλαιναι καὶ ὁμιχλώδεις, διόπερ ὁρατὸν εἶναι τὸ σκότος.

ΠΕΡΙ ΑΚΟΗΣ. ιϛʹ.

Εμπεδοκλῆς, τὴν ἀκοὴν γίνεσθαι κατὰ πρόσπτωσιν πνεύματος τῷ κοχλιώδει, ὅπερ φησὶν ἐξηρτῆσθαι ἐντὸς τοῦ ὠτὸς, κώδωνος δίκην αἰωρούμενον καὶ τυπτόμενον. Ἀλκμαίων, ἀκούειν ἡμᾶς τῷ κενῷ τῷ ἐντὸς τοῦ ὠτὸς, τοῦτο γὰρ εἶναι τὸ διηχοῦν κατὰ τὴν τοῦ πνεύματος ἐμβολὴν, πάντα γὰρ τὰ κενὰ ἠχεῖ. Διογένης τοῦ ἐν τῇ κεφαλῇ ἀέρος ὑπὸ τῆς φωνῆς τυπτομένου καὶ κινουμένου. Πλάτων καὶ οἱ ἀπ' αὐτοῦ πλήττεσθαι τὸν ἐν τῇ κεφαλῇ ἀέρα, τοῦτον δ' ἀνακλᾶσθαι εἰς τὰ ἡγεμονικὰ καὶ γίνεσθαι τῆς ἀκοῆς τὴν αἴσθησιν.

ΠΕΡΙ ΟΣΦΡΗΣΕΩΣ. ιζʹ.

Αλκμαίων ἐν τῷ ἐγκεφάλῳ εἶναι τὸ ἡγεμονικὸν, τούτῳ οὖν ὀσφραίνεσθαι ἕλκοντι διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς. Ἐμπεδοκλῆς ταῖς ἀναπνοαῖς ταῖς ἀπὸ τοῦ πνεύμονος συνεισκρίνεσθαι τὴν ὀσμὴν, ὅταν γοῦν ἡ ἀναπνοὴ βαρεῖα γένηται κατὰ τραχύτητα μὴ συναισθάνεσθαι, ὡς ἐπὶ τῶν ῥευματιζομένων.

ΠΕΡΙ ΓΕΥΣΕΩΣ. ιηʹ.

Αλκμαίων, τῷ ὑγρῷ καὶ τῷ χλιαρῷ τῷ ἐν τῇ γλώττῃ πρὸς τῇ μαλακότητι διακρίνεσθαι τοὺς χυμούς. Διογένης, τῇ ἀραιότητι τῆς γλώττης καὶ τῇ μαλακότητι, καὶ διὰ τὸ συνάπτειν τὰς ἀπὸ τοῦ σώματος εἰς αὐτὴν φλέβας, διαχεῖσθαι τοὺς χυλοὺς ἑλκομένους ἐπὶ τὴν αἴσθησιν καὶ τὸ ἡγεμονικὸν, καθάπερ ἀπὸ σπογγιᾶς.

ΠΕΡΙ ΦΩΝΗΣ. ιθʹ.

Πλάτων τὴν φωνὴν ὁρίζεται, πνεῦμα διὰ στόματος ἀπὸ διανοίας ἠγμένον, καὶ πληγὴν ὑπὸ ἀέρος, δι' ὤτων καὶ ἐγκεφάλου καὶ αἵματος μέχρι ψυχῆς διαδιδομένην. λέγεται δὲ καὶ καταχρηστικῶς ἐπὶ τῶν ἀλόγων ζώων φωνὴ καὶ τῶν ἀψύχων, ὡς χρεμετισμοὶ καὶ ψόφοι. κυρίως δὲ φωνὴ, ἡ ἔναρθρός ἐστιν, ὡς φωτίζουσα τὸ νοούμενον. Ἐπίκουρος τὴν φωνὴν εἶναι, ῥεῦμα ἐκπεμπόμενον ἀπὸ τῶν φωνούντων, ἢ ἠχούντων, ἢ ψοφούντων, τοῦτο δὲ τὸ ῥεῦμα εἰς ὁμοιοσχήμονα θρύπτεσθαι θραύσματα, ὁμοιοσχήμονα δὲ λέγεται τὰ στρογγύλα τοῖς στρογγύλοις. καὶ σκαληνὰ καὶ τρίγωνα τοῖς ὁμοιογενέσι. τούτων δ' ἐμπιπτόντων ταῖς ἀκοαῖς, ἀποτελεῖσθαι τὴν αἴσθησιν τῆς φωνῆς. φανερὸν δὲ τοῦτο γίνεσθαι ἀπὸ τῶν ἀσκῶν ἐκρεόντων καὶ τῶν ἐκφυσώντων κναφέων τοῖς ἱματίοις. Δημόκριτος, καὶ τὸν ἀέρα φησὶν, εἰς ὁμοιοσχήμονα θρύπτεσθαι σώματα, ὁμοιοσχήμονα δὲ λέγεται, τὰ στρογγύλα τοῖς στρογγύλοις, καὶ συγκαλινδεῖσθαι τοῖς ἐκ τῆς φωνῆς θραύσμασι. κολοιὸς γοῦν παρὰ κολοιὸν ἱζάνει, καὶ αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον. καὶ γὰρ ἐν τοῖς αἰγιαλοῖς αἱ ὅμοιαι ψῆφοι κατὰ τοὺς αὐτοὺς τόπους ὁρῶνται, κατ' ἄλλο μὲν αἱ σφαιροειδεῖς, κατ' ἄλλο δὲ αἱ ἐπιμήκεις. καὶ ἐπὶ τῶν κοσκινευόντων δὲ ἐπὶ τὸ αὐτὸ συναυλίζεται τὰ ὁμοιοσχήμονα, ὥστε χωρὶς εἶναι τοὺς κυάμους, καὶ ἐρεβίνθους. ἔχοι δ' ἄν τις πρὸς τούτοις εἰπεῖν, πῶς ὀλίγα θραύσματα πνεύματος, μυρίανδρον ἐκπληροῖ θέατρον. Οἱ δὲ Στωικοί φασι, τὸν ἀέρα μὴ συγκεῖσθαι ἐκ θραυσμάτων, ἀλλὰ συνεχῆ δι' ὅλου μηδὲν κενὸν ἔχοντα, ἐπειδὰν δὲ πληγῇ πνεύματι, κυματοῦται

κατὰ κύκλους ὀρθοὺς εἰς ἄπειρον, ἕως πληρώσει τὸν περικείμενον ἀέρα, ὡς ἐπὶ τῆς κολυμβήθρας τῆς πληγείσης λίθῳ, καὶ αὕτη μὲν κυκλικῶς κινεῖται, ὁ δ' ἀὴρ σφαιρικῶς. Ἀναξαγόρας, τὴν φωνὴν γίνεσθαι πνεύματος ἀντιπεσόντος μὲν στερεμνίῳ ἀέρι, τῇ δ' ὑποστροφῇ τῆς πλήξεως, μέχρι τῶν ἀκοῶν προσενεχθέντος, καθὸ καὶ τὴν λεγομένην ἠχὼ γίνεσθαι.

ΕΙ ΑΣΩΜΑΤΟΣ ἡ φωνὴ καὶ πῶς ἠχὼ γίνεται. κʹ.

Πυθαγόρας, Πλάτων, Ἀριστοτέλης, ἀσώματον, οὐ γὰρ τὸν ἀέρα, ἀλλὰ τὸ σχῆμα τὸ περὶ τὸν ἀέρα καὶ τὴν ἐπιφάνειαν, κατὰ ποιὰν πλῆξιν γίνεσθαι φωνήν, πᾶσα δὲ ἐπιφάνεια, ἀσώματος, συγκινεῖται μὲν γὰρ τοῖς σώμασιν, αὐτὴ δὲ ἀσωμάτως πάντως καθέστηκεν, ὥσπερ ἐπὶ τῆς καμπτομένης ῥάβδου, ἡ μὲν ἐπιφάνεια οὐδὲν πάσχει, ἡ δὲ ὕλη ἐστὶν ἡ καμπτομένη. Οἱ δὲ Στωικοὶ, σῶμα τὴν φωνήν, πᾶν γοῦν τὸ δρώμενον ἢ καὶ ποιοῦν, σῶμα, ἡ δὲ φωνὴ, ποιεῖ καὶ δρᾷ, ἀκούομεν γὰρ αὐτῆς καὶ αἰσθανόμεθα προσπιπτούσης τῇ ἀκοῇ καὶ ἐκτυπούσης, καθάπερ δακτυλίου εἰς κηρόν. ἔτι πᾶν τὸ κινοῦν καὶ ἐνοχλοῦν, σῶμά ἐστι, κινεῖ δὲ ἡμᾶς ἡ εὐμουσία, ἐνοχλεῖ δὲ ἡ ἀμουσία. ἔτι πᾶν τὸ κινούμενον, σῶμά ἐστι, κινεῖται δὲ ἡ φωνὴ καὶ ἐμπίπτει εἰς τοὺς λείους τόπους καὶ ἀντανακλᾶται, καθάπερ ἐπὶ τῆς σφαίρας τῆς βαλλομένης εἰς τοῖχον, ἐν γοῦν ταῖς κατ' Αἴγυπτον πυραμίσιν ἔνδον μία φωνὴ ῥηγνυμένη, τέτταρας ἢ καὶ πέντε ἤχους ἀπεργάζεται.

ΠΟΘΕΝ ΑΙΣΘΗΤΙΚΗ γίνεται ἡ ψυχὴ, καὶ τί αὐτῆς τὸ ἡγεμονικόν. καʹ.

Οἱ Στωικοί φασιν εἶναι τῆς ψυχῆς ἀνώτατον μέρος τὸ ἡγεμονικὸν, τὸ ποιοῦν τὰς φαντασίας, καὶ τὰς συγκαταθέσεις, καὶ αἰσθήσεις, καὶ ὁρμὰς, καὶ τοῦτο λογισμὸν καλοῦσιν. ἀπὸ δὲ τοῦ ἡγεμονικοῦ, ἑπτὰ μέρη εἰσὶ τῆς ψυχῆς ἐκπεφυκότα καὶ ἐκτεινόμενα εἰς τὸ σῶμα, καθάπερ αἱ ἀπὸ τοῦ πολύποδος πλεκτάναι, τῶν δὲ ἑπτὰ μερῶν τῆς ψυχῆς πέντε μέν εἰσι τὰ αἰσθητήρια, ὅρασις, ὄσφρησις, ἀκοὴ, γεῦσις, καὶ ἁφή. ὧν ἡ μὲν ὅρασίς ἐστι πνεῦμα διατεῖνον ἀπὸ ἡγεμονικοῦ μέχρις ὀφθαλμῶν. ἀκοὴ δὲ πνεῦμα διατεῖνον ἀπὸ ἡγεμονικοῦ μέχρις ὤτων. ὄσφρησις δὲ, πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι μυκτήρων λεπτῦνον. γεῦσις δὲ, πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι γλώττης. ἁφὴ δὲ, πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρις ἐπιφανείας εἰς θίξιν εὐαίσθητον προσπιπτόντων. τῶν δὲ λοιπῶν ὁ μὲν λέγεται σπέρμα, ὅπερ καὶ αὐτὸ πνεῦμά ἐστι διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῶν παραστατῶν. τὸ δὲ φωνᾶεν ὑπὸ τοῦ Ζήνωνος εἰρημένον, ὃ καὶ φωνὴν καλοῦσιν, ἔστι πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι φάρυγγος καὶ γλώττης καὶ τῶν οἰκείων ὀργάνων, αὐτὸ δὲ τὸ ἡγεμονικὸν, ὥσπερ ἐν κόσμῳ κατοικεῖ ἐν τῇ ἡμετέρᾳ σφαιροειδεῖ κεφαλῇ.

ΠΕΡΙ ΑΝΑΠΝΟΗΣ. κβʹ.

Εμπεδοκλῆς τὴν πρώτην ἀναπνοὴν τοῦ πρώτου ζώου γενέσθαι, τῆς ἐν τοῖς βρέφεσιν ὑγρασίας ἀποχώρησιν λαμβανούσης, πρὸς δὲ τὸ παρακενωθὲν, ἐπεισόδου τοῦ ἔξωθεν τοῦ ἐκτὸς ἀερώδους γινομένης, εἰς τὰ παρανοιχθέντα τῶν ἀγγείων, τὸ δὲ μετὰ τοῦτο ἤδη τοῦ ἐμφύτου θερμοῦ τῇ πρὸς τὸ ἐκτὸς ὁρμῇ τὸ ἀερῶδες ὑπαναθλίβοντος τὴν ἐκπνοήν, τῇ δ' εἰς τὸ ἐντὸς ἀνθυποχωρήσει τῷ ἀερώδει τὴν ἀντεπείσοδον παρεχομένου τὴν εἰσπνοήν, τὴν δὲ νῦν κατέχουσαν φερομένου τοῦ αἵματος ὡς πρὸς τὴν ἐπιφάνειαν, καὶ τὸ ἀερῶδες διὰ τῶν ῥινῶν ταῖς ἑαυτοῦ ἐπιῤῥοίαις ἀναθλίβοντος, καὶ τὴν ἐκχώρησιν αὐτοῦ γίνεσθαι τὴν ἐκπνοήν, παλινδρομοῦντος δὲ καὶ τοῦ ἀέρος ἀντεπεισαχθέντος εἰς τὰ διὰ τοῦ αἵματος ἀραιώματα, τὴν εἰσπνοήν.

ὑπομιμνήσκει δὲ αὐτὸ ἐπὶ τῆς κλεψύδρας ἀσκληπιάδης. τὸν μὲν πνεύμονα χώνης δίκην συνίστησιν, αἰτίαν δὲ τῆς ἀναπνοῆς τὴν ἐν τῷ θώρακι λεπτομέρειαν ὑποτίθεται, πρὸς ἣν τὸν ἔξωθεν ἀέρα ῥεῖν τε καὶ φέρεσθαι παχυμερῆ ὄντα. πάλιν δὲ ἀπωθεῖσθαι μηκέτι τοῦ θώρακος οἵου τε ὄντος, μήτ᾿ ἐπεισδέχεσθαι, μήθ᾿ ὑστερεῖν. ὑπολειπομένου δέ τινος ἐν τῷ θώρακι λεπτομεροῦς ἀεὶ βραχέος, οὐ γὰρ ἅπαν ἐκκρίνεται, πρὸς τοῦτο πάλιν τὸ ἴσω ὑπομένον βαρύτητα, τὸ ἐκτὸς ἀντεπεισφέρεται, ταῦτα δὲ ταῖς σικύαις ἀπεικάζει. τὴν δὲ κατὰ προαίρεσιν ἀναπνοὴν, γίνεσθαί φησι συναγομένων τῶν ἐν τῷ πνεύμονι λεπτοτάτων πόρων, καὶ τῶν βραγχίων στενουμένων, τῇ γὰρ ἡμετέρᾳ ταῦθ᾿ ὑπακούει προαιρέσει. ἡρόφιλος, δυνάμεις ἀπολείπει περὶ τὰ σώματα τὰς κινητικὰς, ἐν νεύροις, ἐν ἀρτηρίαις, ἐν μυσὶ, τὸν δὲ πνεύμονα νομίζει μόνον ὀρέγεσθαι διαστολῆς τε καὶ συστολῆς φυσικῶς, εἶτα δὲ καὶ τἄλλα ἐνέργειαν μετὰ τοῦ πνεύμονος, τὴν ἔξωθεν τοῦ πνεύματος ὁλκὴν, ἀπὸ δὲ τῆς πληρώσεως τοῦ θύραθεν γινομένης ἐφέλκεται, παρακειμένως δὲ διὰ τὴν δευτέραν ὄρεξιν ἐπ᾿ αὐτὸν ὁ θώραξ τὸ πνεῦμα μετοχετεύων, πληρωθεὶς δὲ, καὶ μηκέτι ἐφέλκεσθαι δυνάμενος, πάλιν εἰς τὸν πνεύμονα τὸ περιττὸν ἀντιμεταρρεῖ, δι᾿ οὗ πρὸς τὰ ἐκτὸς τὰ τῆς ἀποκρίσεως γίνεται, τῶν σωματικῶν μερῶν ἀντιπασχόντων ἀλλήλοις. ὅτε μὲν γὰρ διαστολὴ γίνεται πνεύμονος ταῖς ἀλλήλων ἀντιμεταλήψεσι, πληρώσεώς τε καὶ κενώσεως γινομένης, ὡς τέτταρας μὲν γίνεσθαι κινήσεις περὶ τὸν πνεύμονα, τὴν μὲν πρώτην, καθ᾿ ἣν ἔξωθεν ἀέρα δέχεται. τὴν δὲ δευτέραν, καθ᾿ ἣν τοῦθ᾿ ὅπερ ἐδέξατο θύραθεν, ἐντὸς αὐτοῦ πρὸς τὸν θώρακα μεταρρεῖ. τὴν δὲ τρίτην, καθ᾿ ἣν τὸ ἀπὸ τοῦ θώρακος συστελλόμενον, αὖθις εἰς αὐτὸν ἐκδέχεται. τὴν δὲ τετάρτην, καθ᾿ ἣν καὶ τὸ ἐξ ὑποστροφῆς ἐν αὐτῷ γινόμενον, θύραζε ἐκβάλλει. τούτων δὲ τῶν κινήσεων, δύο μὲν εἶναι διαστολὰς τήν τε ἔξωθεν, τήν τε ἀπὸ τοῦ θώρακος, δύο δὲ συστολὰς, τὴν μὲν ὅταν ὁ θώραξ ὑπ᾿ αὐτὸν τὸ πνευματικὸν ἑλκύσῃ, τὴν δὲ ὅταν αὐτὸς εἰς τὸν κόλπον ἀέρα ἀποκρίνῃ, δύο γὰρ μόναι γίνονται περὶ τὸν θώρακα, διαστολὴ μὲν ὅταν ἀπὸ τοῦ πνεύμονος ἐφέλκηται, συστολὴ δὲ ὅταν αὐτὸ πάλιν ἀνταποδιδῷ.

ΠΕΡΙ ΠΑΘΩΝ σωματικῶν, καὶ εἰ συναλγεῖ τούτῳ ἡ ψυχή. κγ´.

Οἱ στωικοὶ, τὰ μὲν πάθη ἐν τοῖς πεπονθόσι τόποις, τὰς δὲ αἰσθήσεις ἐν τῷ ἡγεμονικῷ. ἐπίκουρος, καὶ τὰ πάθη, καὶ τὰς αἰσθήσεις, ἐν τοῖς πεπονθόσι τόποις, τὸ γὰρ ἡγεμονικὸν ἀπαθές. στράτων, καὶ τὰ πάθη τῆς ψυχῆς καὶ τὰς αἰσθήσεις ἐν τῷ ἡγεμονικῷ, οὐκ ἐν τοῖς πεπονθόσι τόποις συνίστασθαι, ἐν γὰρ ταύτῃ κεῖσθαι τὴν ὑπομονὴν, ὥσπερ ἐπὶ τῶν δεινῶν καὶ ἀλγεινῶν, καὶ ὥσπερ ἐπὶ ἀνδρείων καὶ δειλῶν.

ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ ΤΟΙΣ ΦΙΛΟΣΟΦΙΣ ΒΙΒΛΙΟΝ. έ.

ΠΕΡΙ ΜΑΝΤΙΚΗΣ. ά.

ϖ Πλάτων καὶ οἱ στωικοὶ τὴν μαντικὴν εἰσάγουσι κατὰ τὸ ἔνθεον, ὅπερ ἐστὶν ἐνθουσιαστικὸν κατὰ θειότητα τῆς ψυχῆς, ὅπερ εἶπεν ἐνθουσιαστικὸν, καὶ τὸ ὀνειροπολικὸν, οὗτοι τὰ πλεῖστα μέρη τῆς μαντικῆς ἐγκρίνουσιν. ξενοφάνης καὶ ἐπίκουρος ἀναιροῦσι τὴν μαντικήν. πυθαγόρας δὲ μόνον τὸ θυτικὸν οὐκ ἐγκρίνει. ἀριστοτέλης καὶ δικαίαρχος τὸ κατ᾿ ἐνθουσιασμὸν μόνον παρεισάγουσι καὶ τοὺς ὀνείρους, ἀθάνατον μὲν εἶναι οὐ νομίζοντες τὴν ψυχὴν, θείας δέ τινος μετέχειν αὐτήν.

ΠΩΣ ΟΝΕΙΡΟΙ ΓΙΝΟΝΤΑΙ. β´.

Δημόκριτος, τοὺς ὀνείρους γίνεσθαι κατὰ τὰς τῶν εἰδώλων παραστάσεις. στράτων ἀλόγῳ φύσει τῆς διανοίας ἐν τοῖς ὕπνοις αἰσθητικωτέρας μέν πως γινομένης παρ᾿ αὐτῷ δὲ τούτῳ τῷ γνωστικῷ κινουμένης. ἡρόφιλος τοὺς ὀνείρους τοὺς θεοπνεύστους κατ᾿ ἀνάγκην γίνεσθαι, τοὺς δὲ φυσικοὺς ἀνειδωλοποιουμένης ψυχῆς τὸ συμφέρον αὐτῇ καὶ τὸ πρὸς τούτοις ἐσόμενον, τοὺς δὲ συγκραματικοὺς, ἐκ τοῦ αὐτομάτου κατ᾿ εἰδώλων πρόσπτωσιν, ὅταν ἃ βουλόμεθα βλέπωμεν, ὡς ἐπὶ τῶν τὰς ἐρωμένας ἐχόντων ἐν ὕπνῳ γίνονται.

ΤΙΣ Η ΟΥΣΙΑ τοῦ σπέρματος. γ´.

Ἀριστοτέλης, σπέρμα ἐστὶ τὸ δυνάμενον κινεῖν ἐν ἑαυτῷ εἰς τὸ ἀποτελέσαι τι τοιοῦτον, οἷόν ἐστι τὸ ἐξ οὗ συνεκρίθη. πυθαγόρας ἀφρὸν τοῦ χρηστοτάτου αἵματος τὸ σπέρμα περίττωμα τῆς τροφῆς, ὥσπερ τὸ αἷμα καὶ μυελόν. ἀλκμαίων ἐγκεφάλου μέρος. πλάτων μυελοῦ τοῦ νωτιαίου ἀπόρροιαν. ἐπίκουρος ψυχῆς καὶ σώματος ἀπόσπασμα. δημόκριτος ἀφ᾿ ὅλων τῶν σωμάτων καὶ τῶν κυριωτάτων μερῶν ὁ γόνος τῶν σαρκικῶν ἰνῶν.

ΕΙ ΣΩΜΑ ΤΟ ΣΠΕΡΜΑ. δ´.

Λεύκιππος καὶ ζήνων σῶμα, ψυχῆς γὰρ εἶναι ἀπόσπασμα. πυθαγόρας, πλάτων, ἀριστοτέλης, ἀσώματον μὲν εἶναι τὴν δύναμιν τοῦ σπέρματος, ὥσπερ νοῦν τὸν κινοῦντα, σωματικὴν δὲ τὴν ὕλην τὴν προχεομένην. στράτων καὶ δημόκριτος, καὶ τὴν δύναμιν σῶμα, πνευματικὴ γάρ.

ΕΙ ΚΑΙ αἱ θήλειαι προΐενται σπέρμα. έ.

Πυθαγόρας, ἐπίκουρος, δημόκριτος, καὶ τὸ θῆλυ προΐεσθαι σπέρμα, ἔχει γὰρ παραστάτας ἀπεστραμμένους, διὰ τοῦτο καὶ ὄρεξιν ἔχει περὶ τὰς χρήσεις. ἀριστοτέλης καὶ ζήνων ὕλην μὲν ὑγρὰν προΐεσθαι οἱονεὶ ἀπὸ τῆς συγγυμνασίας ἱδρῶτας, οὐ μὴν σπερματικόν. ἵππων προΐεσθαι μὲν σπέρμα τὰς θηλείας, οὐχ ἥκιστα τῶν ἀρρένων, μὴ μέντοι γε εἰς ζωογονίαν τοῦτο συμβάλλεσθαι, διὰ τὸ ἐκτὸς πίπτειν τῆς ὑστέρας, ὅθεν ὀλίγας προΐεσθαι πολλάκις δίχα τῶν ἀνδρῶν σπέρμα, καὶ τὰς μάλιστα χηρευούσας, καὶ εἶναι τὰ μὲν ὀστᾶ παρὰ τοῦ ἄρρενος τὰς δὲ σάρκας παρὰ τῆς θηλείας.

ΠΩΣ ΑΙ ΣΥΛΛΗΨΕΙΣ γίνονται. ς´.

Ἀριστοτέλης, τὰς μὲν συλλήψεις γίνεσθαι, προανελκομένης μὲν ἀπὸ τῆς καθάρσεως τῆς μήτρας, τῶν δὲ καταμηνίων συνεπισπωμένων ἀπὸ τοῦ παντὸς ὄγκου μέρος τι τοῦ καθαροῦ αἵματος, ὡς συμβαίνειν τὸν τοῦ ἄρρενος γόνον, μὴ γίνεσθαι δὲ τὰς κυήσεις παρ᾿ ἀκαθαρσίαν τῆς μήτρας, ἢ ἐμπνευμάτωσιν, ἢ φόβον, ἢ λύπην, ἢ ἀσθένειαν τῶν γυναικῶν, ἢ δι᾿ ἀτονίαν τῶν ἀνδρῶν.

ΠΩΣ ΑΡΡΕΝΑ γίνονται καὶ θήλεα. ζ´.

Ἐμπεδοκλῆς, ἄρρενα καὶ θήλεα γίνεσθαι παρὰ θερμότητα καὶ ψυχρότητα, ὅθεν ἱστορεῖται τοὺς μὲν πρώτους ἄρρενας πρὸς ἀνατολῇ καὶ μεσημβρίᾳ γεγενῆσθαι μᾶλλον ἐκ τῆς γῆς, τὰς δὲ θηλείας πρὸς ταῖς ἄρκτοις. παρμενίδης ἀντιστρόφως, τὰ μὲν πρὸς ταῖς ἄρκτοις, ἄρρενα βλαστῆσαι. τοῦ γὰρ πυκνοῦ

μετέχει πλείονος, τὰ δὲ πρὸς ταῖς μεσημβρίαις, θήλεα παρὰ τὴν ἀραιότητα. ἱππῶναξ, παρὰ τὸ συνεστὼς ἢ καὶ ἰσχυρὸν παρὰ τὸ ῥευστικόν τε καὶ ἀσθενέστερον σπέρμα. ἀναξαγόρας παρμενίδης, τὰ μὲν ἐκ τῶν δεξιῶν καταβάλλεσθαι εἰς τὰ δεξιὰ μέρη τῆς μήτρας, τὰ δὲ ἐκ τῶν ἀριστερῶν εἰς τὰ ἀριστερά, εἰ δ' ἐναλλαγείη τὰ τῆς καταβολῆς, γενέσθαι θήλεα. λεωφάνης, οὗ μέμνηται ἀριστοτέλης, τὰ μὲν ἐκ τοῦ δεξιοῦ διδύμου, τὰ δὲ ἐκ τοῦ ἀριστεροῦ. λεύκιππος, διὰ τὴν παραλλαγὴν τῶν μορίων, καθ' ἣν ὁ μὲν καυλόν, ἡ δὲ μήτραν ἔχει, τοσοῦτον γὰρ μόνον λέγει. δημόκριτος, τὰ μὲν κοινὰ μέρη, ἐξ ὁποτέρου ἂν τύχῃ, τὰ δ' ἰδιάζοντα, καὶ κατ' ἐπικράτειαν. ἱππῶναξ εἰ μὲν ἡ γονὴ κρατήσει, ἄρρεν, εἰ δ' ἡ τροφή, θῆλυ.

ΠΩΣ ΤΕΡΑΤΑ ΓΙΝΕΤΑΙ. η΄.

Ἐμπεδοκλῆς, τέρατα γίνεσθαι παρὰ πλεονασμὸν σπέρματος, ἢ παρ' ἔλλειψιν, ἢ παρὰ τὴν τῆς κινήσεως ἀρχήν, ἢ παρὰ τὴν εἰς πλείω διαίρεσιν, ἢ παρὰ τὸ ἀπονεύειν. οὕτω προειληφὼς φαίνεται σχεδόν τι πάσας τὰς ἀπολογίας. στράτων παρὰ πρόσθεσιν ἢ ἀφαίρεσιν ἢ μετάθεσιν ἢ πνευμάτωσιν. τῶν ἰατρῶν τινές, παρὰ τὸ διαστρέφεσθαι τότε τὴν μήτραν ἐμπνευματουμένην.

ΔΙΑ ΤΙ Η ΓΥΝΗ πολλάκις συνουσιάζουσα οὐ συλλαμβάνει. θ΄.

Διοκλῆς ὁ ἰατρός, ἢ παρὰ τὸ μηδόλως ἐνίας σπέρμα προΐεσθαι, ἢ παρὰ τὸ ἔλαττον τοῦ δέοντος, ἢ διὰ τὸ τοιοῦτον ἐν ᾧ τὸ ζωοποιητικὸν οὐκ ἔστιν, ἢ διὰ θερμασίας, ἢ ψύξεως, ἢ ὑγρασίας, ἢ ξηρότητος ἔνδειαν, ἢ κατὰ παράλυσιν τῶν μορίων. οἱ δὲ στωικοὶ κατὰ λοξότητα τοῦ καυλοῦ μὴ δυναμένου τὸν γόνον εὐθυβολεῖν, ἢ παρὰ τὸ ἀσύμμετρον τῶν μορίων, ὡς πρὸς τὴν ἀπόστασιν τῆς μήτρας. ἐρασίστρατος παρὰ τὴν μήτραν ὅταν τύλους ἔχῃ, καὶ σαρκώδεις, ἢ ἀραιοτέρα ἢ τοῦ κατὰ φύσιν ἢ μικροτέρα.

ΠΩΣ ΔΙΔΥΜΑ καὶ τρίδυμα γίνεται. ι΄.

Ἐμπεδοκλῆς, δίδυμα καὶ τρίδυμα γίνεσθαι κατὰ πλεονασμὸν καὶ περισχισμὸν τοῦ σπέρματος. ἀσκληπιάδης, παρὰ τὴν τῶν σωμάτων διαφοράν, ὥσπερ τὰς κριθὰς διστίχους καὶ τριστίχους, εἶναι γὰρ σπέρματα γονιμώτατα. ἐρασίστρατος διὰ τὰς συλλήψεις, ὥσπερ ἤδη τῶν ἀλόγων ζῴων, ὅταν γὰρ ἡ μήτρα εἴη κεκαθαρμένη, τότε ἤδη σύλληψιν ἔρχεται. οἱ στωικοὶ παρὰ τοὺς ἐν μήτρᾳ τόπους, ὅταν εἰς πρῶτον καὶ δεύτερον ἐμπέσῃ σπέρμα, τότε γίνεσθαι τὰς ἐπισυλλήψεις καὶ τὰ τρίδυμα.

ΠΟΘΕΝ ΓΙΝΟΝΤΑΙ τῶν γονέων ὁμοιώσεις καὶ τῶν προγόνων. ια΄.

Ἐμπεδοκλῆς, ὁμοιότητας γίνεσθαι κατ' ἐπικράτειαν τῶν σπερματικῶν γόνων, ἀνομοιότητας δέ, τῆς ἐν τῷ σπέρματι θερμασίας ἐξατμισθείσης. παρμενίδης, ὅταν μὲν ἀπὸ τοῦ δεξιοῦ μέρους τῆς μήτρας ὁ γόνος ἀποκριθῇ, τοῖς πατράσιν, ὅταν δὲ ἀπὸ τοῦ ἀριστεροῦ, ταῖς μητράσιν. οἱ στωικοί, ἀπὸ τοῦ σώματος ὅλου καὶ τῆς ψυχῆς φέρεσθαι τὰ σπέρματα, καὶ τὰς ὁμοιότητας ἀναπλάττεσθαι ἐκ τῶν αὐτῶν γενῶν, τοὺς τύπους καὶ τοὺς χαρακτῆρας, ὥσπερ ἂν εἰ ζωγράφον ἀπὸ ὁμοίων χρωμάτων εἰκόνα τοῦ βλεπομένου, προΐεσθαι δὲ καὶ τὴν γυναῖκα σπέρμα, κἂν μὲν ἐπικρατήσῃ τὸ τῆς γυναικός, ὅμοιον εἶναι τὸ γεννώμενον τῇ μητρί, ἐὰν δὲ τὸ τοῦ ἀνδρὸς τῷ ἀνδρί.

ΠΩΣ ΑΛΛΟΙΣ γίνονται ὅμοιοι καὶ οὐ τοῖς γονεῦσιν. ιβ΄.

Οἱ μὲν πλεῖστοι τῶν ἰατρῶν, τυχικῶς καὶ αὐτομάτως ἐκ τοῦ ὅταν διαψυχθῇ τὸ σπέρμα καὶ τὸ τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικός, ἀνόμοια γίνεσθαι τὰ παιδία. ἐμπεδοκλῆς, τῇ κατὰ τὴν σύλληψιν φαντασίᾳ τῆς γυναικὸς μορφοῦσθαι τὰ βρέφη, πολλάκις γὰρ εἰκόνων καὶ ἀνδριάντων ἠράσθησαν γυναῖκες καὶ ὅμοια τούτοις ἀπέτεκον. οἱ στωικοί, συμπαθείᾳ τῆς διανοίας κατὰ ῥευμάτων εἰσκρίσεις καὶ ἀκτίνων οὐκ εἰδώλων γίνεσθαι τὰς ἀλλήλων ὁμοιότητας.

ΠΩΣ ΣΤΕΙΡΑΙ γίνονται γυναῖκες, καὶ ἄγονοι ἄνδρες. ιγ΄.

Οἱ ἰατροὶ στείρας γίνεσθαι παρὰ τὴν μήτραν, ἢ παρὰ τὸ πυκνοτέραν εἶναι, ἢ παρὰ τὸ ἀραιοτέραν, ἢ παρὰ τὸ σκληροτέραν, ἢ παρά τινας ἐπιπωρώσεις, ἢ σαρκώσεις, ἢ παρὰ μικροθυμίαν, ἢ παρ' ἀτροφίαν, ἢ παρὰ καχεξίαν, ἢ παρὰ τὸ διαστρέφεσθαι τῷ σχηματισμῷ, ἢ διὰ παρασπασμόν. διοκλῆς, ἀγόνους τοὺς ἄνδρας, ἢ παρὰ τὸ μὴ θ' ὅλως ἐνίους σπέρμα προΐεσθαι, ἢ παρὰ τὸ ἔλαττον τοῦ δέοντος, ἢ παρὰ τὸ ἄγονον εἶναι τὸ σπέρμα, ἢ κατὰ παράλυσιν τῶν μορίων, ἢ κατὰ λοξότητα τοῦ καυλοῦ μὴ δυναμένου τὸν γόνον εὐθυβολεῖν, ἢ παρὰ τὸ ἀσύμμετρον τῶν μορίων, πρὸς τὴν ἀπόστασιν τῆς μήτρας. οἱ στωικοί, αἰτιῶνται τὰς ἀσυμφύλους εἰς ἑκάτερον τῶν πλησιαζόντων δυνάμεις τε καὶ ποιότητας, αἷς ὅταν συμβῇ χωρισθῆναι μὲν ἀπ' ἀλλήλων, συνελθεῖν δὲ ἑτέροις ὁμοφύλοις συνεκρατήθη τὸ κατὰ φύσιν, καὶ βρέφος τελεσιουργεῖται.

ΔΙΑ ΤΙ αἱ ἡμίονοι στεῖραι. ιδ΄.

Ἀλκμαίων, τῶν ἡμιόνων τοὺς μὲν ἄρρενας ἀγόνους, παρὰ τὴν λεπτότητα τῆς θορῆς, ὅ ἐστι σπέρματος ψυχρότητα, τὰς δὲ θηλείας παρὰ τὸ μὴ ἀναχάσκειν τὰς μήτρας, ὅ ἐστιν ἀναστομοῦσθαι, οὕτω γὰρ αὐτὸς εἴρηκεν. ἐμπεδοκλῆς, διὰ τὴν σμικρότητα καὶ ταπεινότητα καὶ στενότητα τῆς μήτρας, κατεστραμένως προσπεφυκυίας τῇ γαστρί, μήτε τοῦ σπέρματος εὐθυβολοῦντος εἰς αὐτήν, μήτε, εἰ καὶ φθάσειεν, αὐτῆς ἐκδεχομένης. διοκλῆς δὲ μαρτυρεῖ αὐτῷ λέγων ἐν ταῖς ἀνατομαῖς πολλάκις ἑωράκαμεν τοιαύτην μήτραν τῶν ἡμιόνων, καὶ ἐνδέχεσθαι διὰ τοιαύτας αἰτίας, καὶ τὰς γυναῖκας εἶναι στείρας.

ΕΙ ΤΟ ΕΜΒΡΙΟΝ ΖΩΟΝ. ιε΄.

Πλάτων, ζῷον τὸ ἔμβρυον, καὶ γὰρ κινεῖσθαι ἐν τῇ γαστρὶ καὶ τρέφεσθαι. οἱ στωικοί, μέρος εἶναι αὐτῷ τῆς γαστρὸς οὐ ζῷον, ὥσπερ γὰρ τοὺς καρποὺς μέρη τῶν φυτῶν ὄντας πεπαινομένους ἀπορρεῖν, οὕτω καὶ τὸ ἔμβρυον. ἐμπεδοκλῆς, μὴ εἶναι μὲν ζῷον τὸ ἔμβρυον, ἀλλ' ἔμπνουν ὑπάρχειν ἐν τῇ γαστρί, πρώτως δὲ ἀναπνοὴν τοῦ ζῴου γίνεσθαι κατὰ τὴν ἀποκύησιν, τῆς μὲν ἐν τοῖς βρέφεσιν ὑγρασίας ἀποχώρησιν λαμβανούσης, πρὸς δὲ τὸ παρακενωθὲν ἐπεισόδου τοῦ ἐκτὸς ἀερώδους γινομένης εἰς τὰ παρανοιχθέντα τῶν ἀγγείων. διογένης, γεννᾶσθαι μὲν τὰ βρέφη ἄψυχα, ἐν θερμασίᾳ δέ, ὅθεν τὸ ἔμφυτον θερμὸν εὐθέως προχυθέντος τοῦ βρέφους, εἰς τὸν πνεύμονα ἐφέλκεται. ἡρόφιλος, κίνησιν ἀπολείπει φυσικὴν τοῖς ἐμβρύοις, οὐ πνευματικήν, τῆς δὲ κινήσεως αἴτια νεῦρα, τότε δὲ ζῷα γίνεσθαι, ὅταν προχυθέντα, προσλάβῃ τι τοῦ ἀέρος.

ΠΩΣ ΤΡΕΦΕΤΑΙ τὰ ἔμβρυα. ις΄.

Δημόκριτος, ἐπίκουρος, τὸ ἔμβρυον ἐν τῇ μήτρᾳ διὰ τοῦ στόματος τρέφεσθαι, ὅθεν εὐ

θέως γεννηθὲν, ἐπὶ τὸν μαστὸν φέρεται τῷ στόματι, ἔστι γάρ τινας ἐν τῇ μήτρᾳ θηλάς τινας καὶ στόματα δι᾽ ὧν τρέφονται. οἱ στωικοὶ διὰ τοῦ χορίου καὶ τοῦ ὀμφαλοῦ, ὅθεν τοῦτον εὐθέως ἀποδεῖν τὰς μαιουμαίνας, καὶ ἀνευρύνειν τὸ στόμα, ἵνα γένηται ἡ μελέτη τῆς τροφῆς ἑτέρα. ἀλκμαίων δι᾽ ὅλου τοῦ σώματος τρέφεσθαι, ἀναλαμβάνειν γὰρ αὐτὸ, ὥσπερ σπογγιὰν τὰ ἀπὸ τῆς τροφῆς θρεπτικά.

ΤΙ ΠΡΩΤΟΝ τελεσιουργεῖται ἐν τῇ γαστρί. ιζ΄.

Οἱ στωικοὶ, τοῖς πολλοῖς γίνεσθαι. ἀριστοτέλης πρῶτον τὴν ὀσφὺν, ὡς τρόπιν νεώς. ἀλκμαίων τὴν κεφαλὴν ἐν ᾗ ἐστι τὸ ἡγεμονικόν. οἱ ἰατροὶ τὴν καρδίαν, ἐν ᾗ φλέβες καὶ ἀρτηρίαι. οἱ δὲ τὸν μέγαν δάκτυλον τοῦ ποδός. ἄλλοι δὲ τὸν ὀμφαλόν.

ΔΙΑ ΤΙ ΤΑ ΕΠΤΑΜΗΝΙΑ ΓΟΝΙΜΑ. ιη΄.

Ἐμπεδοκλῆς, ὅτε ἐγεννᾶτο τῶν ἀνθρώπων γένος ἐκ τῆς γῆς, τοσαύτην γενέσθαι τῷ μήκει τοῦ χρόνου, διὰ τὸ βραδυπορεῖν τὸν ἥλιον τὴν ἡμέραν, ὁπόση νῦν ἐστιν ἡ δεκάμηνος, προϊόντος δὲ τοῦ χρόνου τοσαύτην γενέσθαι τὴν ἡμέραν, ὁπόση νῦν ἐστιν ἡ ἑπτάμηνος, διὰ τοῦτο καὶ τὰ δεκάμηνα γόνιμα καὶ τὰ ἑπτάμηνα, τῆς φύσεως τοῦ κόσμου οὕτω μεμελετηκυίας αὔξεσθαι ἐν μιᾷ ἡμέρᾳ ᾗ τίθεται νυκτὶ τὸ βρέφος. τίμαιος δὲ οὐδένα μῆνας φησιν, ἐννέα δὲ νομίζεσθαι παρὰ τὰς ἐπισχέσεις τῶν μηναίων τῆς πρώτης συλλήψεως, οὕτω καὶ τὰ ἑπτάμηνα νομίζεσθαι οὐκ ὄντα ἑπτάμηνα, ἔγνωσται γὰρ καὶ μετὰ τὴν σύλληψιν πόσαι καθάρσεως. πόλυβος διοκλῆς οἱ ἐμπειρικοὶ, καὶ τὸν ὄγδοον μῆνα ἴσασι γόνιμον, ἀγνωστότερον δέ πως τῷ πολλάκις διὰ τὴν ἀτονίαν πολλοὺς φθείρεσθαι, καθόλου ὀλιγωτάτους δὲ μηδένα βούλεσθαι τὰ ὀκτάμηνα τρέφειν, γεγεννῆσθαι δὲ πολλοὺς ὀκταμηνιαίους ἄνδρας. ὁ δὲ ἀριστοτέλης καὶ ἱπποκράτης φασὶν, ἐὰν ἐκπληρωθῇ ἡ μήτρα ἐν τοῖς ἑπτὰ μησὶ, τότε προκύπτει καὶ γεγεννῆσθαι γόνιμα. ἐὰν δὲ προκύψῃ μὲν, μὴ τρέφηται δὲ, ἀσθενοῦντος τοῦ ὀμφαλοῦ διὰ τὸ ἐπίπονον αὐτὴν γεγεννῆσθαι τὸ κεῖμα, τότε ἔμβρυον ἄτροφον εἶναι, ἐὰν δὲ μένῃ τοὺς ἐννέα μῆνας ἐν τῇ μήτρᾳ, προκύψαν τότε ὁλόκληρόν ἐστι. πόλυβος, ἑκατὸν ὀγδοήκοντα δύο καὶ ἥμισυ ἡμέρας γίνεσθαι εἰς τὰ γόνιμα, εἶναι γὰρ ἑξάμηνον, ὅπη καὶ τὸν ἥλιον ἀπὸ τροπῶν ἐν τοσούτῳ χρόνῳ παραγίνεσθαι, λέγεσθαι δὲ ἑπταμηνιαίους, ὅταν τὰς ἐλλειπούσας ἡμέρας τούτου τοῦ μηνὸς, ἐν τῷ ἑπτὰ προσλαμβάνεσθαι, τὰ δὲ ὀκταμηνιαῖα μὴ ζῆν, ὅταν προκύψῃ μὲν τῆς μήτρας τὸ βρέφος αὐτὸ, πλεῖον δὲ ὁ ὀμφαλὸς βασανισθῇ, ἄτροφος γὰρ γίνεται, ὡς τοῦ τρέφοντος ἀπαθοῦς. οἱ δὲ μαθηματικοὶ τοὺς ὀκτὼ μῆνας ἀσυνδέτους φασὶν εἶναι πάσης γενέσεως, τοὺς δὲ ἑπτὰ συνδετικοὺς, τὰ δὲ ἀσύνδετα ζώδιά ἐστιν, ἐὰν τῶν οἰκοδεσποτούντων ἀστέρων τυγχάνῃ, ἐὰν γάρ τις τούτων τὴν ζωὴν καὶ τὸν βίον κληρώσηται, δυστυχεῖς καὶ ἀχρόνους σημαίνει, ἀσύνδετα δέ ἐστι ζώδια, ὀκτὼ ἀριθμούμενα, οἷον κριὸς πρὸς σκορπίον ἀσύνδετος, ταῦρος πρὸς τοξότην ἀσύνδετος, δίδυμοι πρὸς αἰγόκερων, καρκίνος πρὸς ὑδροχόον, λέων πρὸς ἰχθύας, παρθένος πρὸς κριὸν, διὰ τοῦτο καὶ τὰ ἑπτάμηνα ὄντα καὶ δεκάμηνα γόνιμα εἶναι, τὰ δὲ ὀκτάμηνα διὰ τὸ ἀσύνδετον τοῦ κόσμου φθείρεσθαι.

ΠΕΡΙ ζώων γενέσεως, πῶς ἐγένοντο ζῷα, καὶ εἰ φθαρτά. ιθ΄.

Καθ᾽ οὓς μὲν γενητὸς ὁ κόσμος, γενητὰ τὰ ζῷα καὶ φθαρτά εἰσιν. οἱ περὶ ἐπίκουρον καθ᾽ οὓς ἀγένητα ἐκ μεταβολῆς τῶν ἀλλήλων γεννᾶσθαι τὰ ζῷα. μέρη γὰρ ταῦτα τοῦ κόσμου τοῦτον, ὡς καὶ ἀναξαγόρας καὶ εὐριπίδης θνήσκει, μεταμειβόμενα δὲ ἄλλο πρὸς ἄλλο, μορφὰς ἔδειξεν. ἀναξίμανδρος ἐν ὑγρῷ γεννηθῆναι τὰ πρῶτα ζῷα, φλοιοῖς περιεχόμενα ἀκανθώδεσι, προβαινούσης δὲ τῆς ἡλικίας ἀποβαίνειν ἐπὶ τὸ ξηρότερον, καὶ περιῤῥηγνυμένου τοῦ φλοιοῦ, ἐπ᾽ ὀλίγον χρόνον μεταβιῶναι. ἐμπεδοκλῆς τὰς πρώτας γενέσεις τῶν ζώων καὶ φυτῶν μηδαμῶς ὁλοκλήρους γενέσθαι, ἀσυμφυέσι δὲ τοῖς μορίοις διεζευγμένας, τὰς δὲ δευτέρας συμφυομένων τῶν μερῶν εἰδωλοφανεῖς, τὰς δὲ τρίτας τῶν ἀλληλοφυῶν, τὰς δὲ τετάρτας οὐκ ἔτι ἐκ τῶν ὁμοίων, οἷον ἐκ γῆς καὶ ὕδατος, ἀλλὰ δι᾽ ἀλλήλων ἤδη, τῆς μὲν πυκνωθείσης, τοῖς δὲ καὶ τοῖς ζώοις τροφῆς, τοῖς δὲ τῆς εὐμορφίας τῶν γυναικῶν ἐπερεθισμὸν τοῦ σπερματικοῦ κινήματος ἐμποιησάσης. τῶν δὲ ζώων πάντων τὰ γένη διακριθῆναι διὰ τὰς ποιὰς κράσεις, τὰ μὲν οἰκειότερα εἰς τὸ ὕδωρ τὴν ὁρμὴν ἔχειν, τὰ δὲ εἰς ἀέρα ἀναπνεῖν, ἕως ἂν πυρῶδες ἔχῃ τι πλέον, τὰ δὲ βαρύτερα ἐπὶ τὴν γῆν, τὰ δὲ ἰσόμοιρα τῇ κράσει, πᾶσι τοῖς θώραξι πεφωνηκέναι.

ΠΟΣΑ ΓΕΝΗ ζώων, καὶ εἰ πάντα αἰσθητὰ καὶ λογικά. κ΄.

Ἔστι πραγματεία ἀριστοτέλους, ἐν ᾗ τέσσαρα γένη ζώων φησὶ, χερσαῖα, ἔνυδρα, πτηνὰ, οὐράνια. καὶ γὰρ τὰ ζῷα λέγεσθαι καὶ κόσμον καὶ τὸν γῆϊνον, ζῷον λογικὸν ἀθάνατον. δημόκριτος ἐπίκουρος τὰ οὐράνια. ἀναξαγόρας πάντα ζῷα λόγον ἔχειν τὸν ἐνεργητικὸν, τὸν δ᾽ οἱονεὶ νοῦν μὴ ἔχειν τὸν παθητικὸν, τὸν λεγόμενον τοῦ νοῦ ἑρμηνέα. πυθαγόρας, πλάτων, λογικὰς μὲν εἶναι καὶ τῶν ἀλόγων ζώων καλουμένων τὰς ψυχὰς, οὐ μὴν λογικῶς ἐνεργούσας παρὰ τὴν δυσκρασίαν τῶν σωμάτων καὶ τὸ μὴ ἔχειν τὸ φραστικὸν, ὥσπερ ἐπὶ τῶν πιθήκων καὶ τῶν κυνῶν, λαλοῦσι μὲν γὰρ οὗτοι οὐ φράζουσι δέ. διογένης, μετέχειν μὲν αὐτὰ τοῦ νοητοῦ καὶ ἀέρος, διὰ δὲ τὸ τὰ μὲν πυκνότατι, τὰ δὲ πλεονασμῷ τῆς ὑγρασίας, μήτε διανοεῖσθαι μήτε αἰσθάνεσθαι, προσφερῶς δὲ αὐτὰ διακεῖσθαι τοῖς μεμηνόσι, παρεπταικότος τοῦ ἡγεμονικοῦ.

ΕΝ ΠΟΣΩ χρόνῳ μορφοῦται τὰ ζῷα ἐν τῇ γαστρὶ ὄντα. κα΄.

Ἐμπεδοκλῆς, ἐπὶ μὲν τῶν ἀνθρώπων ἄρχεσθαι τῆς διαρθρώσεως ἀπὸ ἕκτης καὶ τριακοστῆς, τελειοῦσθαι δὲ τοῖς μορίοις ἀπὸ πεντηκοστῆς μιᾶς δεούσης. ἀσκληπιάδης ἐπὶ μὲν τῶν ἀῤῥένων διὰ τὸ θερμότατα εἶναι τὴν διάρθρωσιν γίνεσθαι ἀπὸ ἕκτης καὶ εἰκοστῆς, πολλὰς δὲ καὶ ἐνδοτέρω, πληροῦσθαι δὲ ἐν τοῖς τῆς πεντηκοστῆς μορίοις, ἐπὶ δὲ τῶν θηλυκῶν ἐν διμήνῳ διαρθροῦσθαι, ἐν τετραμήνῳ δὲ τελειοῦσθαι διὰ τὸ ἐνδεῖν τοῦ θερμοῦ. τὰ δὲ τῶν ἀλόγων ζώων, ὁλοτελῆ παρὰ τὰς συγκράσεις τῶν στοιχείων.

ΕΚ ΠΟΣΩΝ συνίσταται στοιχείων ἕκαστον τῶν ἐν ἡμῖν γενικῶν μορίων. κβ΄.

Ἐμπεδοκλῆς τὰς μὲν σάρκας γεννᾶσθαι ἐκ τῶν ἴσων τῇ κράσει τεττάρων στοιχείων, τὰ δὲ νεῦρα, πυρὸς, γῆς, τὰ διπλασίονα μιχθέντα, τοὺς δὲ ὄνυχας τοῖς ζώοις γεννᾶσθαι τῶν νεύρων, καθὸ τῷ ἀέρι συνέτυχε περιψυχθέντων, ὀστᾶ δὲ δοκεῖ μὲν ὕδατος, καὶ τῆς ἔσω γῆς, τεττάρων δὲ, πυρὸς, γῆς, τούτων συγκραθέντων μερῶν, ἱδρῶτα καὶ δάκρυον γίνεσθαι τοῦ σωματικοῦ οὕτως.

ΠΩΣ ΥΠΝΟΣ γίνεται ἢ θάνατος τῆς ψυχῆς ἢ σώματος. κγ΄.

Ἀλκμαίων ἀναχωρήσει τοῦ αἵματος εἰς τὰς ὁμόῤῥους φλέβας ὕπνον γίνεσθαί φησι, τὴν δὲ ἐξέγερσιν, διάχυσιν, τὴν δὲ παντελῆ ἀναχώρησιν, θάνατον. ἐμπε

δοκλῆς, τὸν μὲν ὕπνον καταψύξει τοῦ ἐν τῷ αἵματι θερμοῦ συμμέτρῳ τὸν ὕπνον γίνεσθαι, ἢ παντελῆ θάνατον. διογένης, εἰ ἅπαν τὸ αἷμα διαχεόμενον, πληρώσει μὲν τὰς φλέβας, τὸ δὲ ἐν αὐταῖς περιεχόμενον ἀέρα ὤσει εἰς τὰ στέρνα καὶ τὴν ὑποκειμένην γαστέρα, ὕπνον γεγενῆσθαι, καὶ θερμότερον ὑπάρχειν τὸν θώρακα. ἐὰν δὲ ἅπαν τὸ ἀερῶδες ἐκ τῶν φλεβῶν ἐκλίπῃ, θάνατον τυγχάνειν. πλάτων, οἱ στωικοί, τὸν μὲν ὕπνον γίνεσθαι ἀνέσει τοῦ αἰσθητικοῦ πνεύματος οὐ κατὰ ἀναχαλασμὸν καθάπερ ἐπὶ τῆς γῆς, φερόμενος δὲ ὡς ἐπὶ τὸ ἡγεμονικὸν μεσόφρυον, ὅταν δὲ παντελῶς γένηται ἡ ἄνεσις τοῦ αἰσθητικοῦ πνεύματος, τότε γεγενῆσθαι θάνατον.

ΠΟΤΕ ΚΑΙ πῶς ἄρχεται ὁ ἄνθρωπος τῆς τελειότητος. κδ΄.

Ηράκλειτος, καὶ οἱ στωικοί, ἄρχεσθαι τοὺς ἀνθρώπους τελειότητος περὶ τὴν δευτέραν ἑβδομάδα, περὶ ἣν ὁ σπερματικὸς κινεῖται ὀρρός, τὰ γὰρ δένδρα ἄρχεται τότε τελειότητος, ὅταν ἄρχηται γεννᾶν τὰ σπέρματα, ἀτελῆ δέ ἐστι καὶ ἄωρα καὶ ἄκαρπα ὄντα, τέλειος οὖν τότε ἄνθρωπος. περὶ δὲ τὴν δευτέραν ἑβδομάδα, ἔννοια γίνεται καλοῦ τε καὶ κακοῦ, καὶ τῆς διδασκαλίας αὐτῶν.

ΟΠΟΤΕΡΟΥ ἐστὶν ὕπνος ἢ θάνατος ψυχῆς ἢ σώματος. κε΄.

Αριστοτέλης, κοινὸν μὲν τὸν ὕπνον σώματος καὶ ψυχῆς. ἔστι δὲ αὐτοῦ τὸ ἀναθυμιαθὲν ὑγρὸν ἀπὸ τοῦ θώρακος, καὶ τοὺς περὶ τὴν κεφαλὴν τόπους, καὶ τῆς ὑποκειμένης τροφῆς τὸ ἐν τῇ καρδίᾳ παραψυχθὲν θερμόν, τὸν δὲ θάνατον εἶναι παντελῆ κατάψυξιν, θάνατον δὲ εἶναι μόνου τοῦ σώματος, οὐ ψυχῆς, ταύτης γὰρ οὐχ ὑπάρχει θάνατος.. ἀναξαγόρας δέ, τῆς σωματικῆς ἐνεργείας γίνεσθαι τὸν ὕπνον, σωματικὸν γὰρ εἶναι τὸ πάθος, οὐ ψυχικόν, εἶναι δὲ καὶ ψυχῆς θάνατον τὸν διαχωρισμόν. λεύκιππος, οὐ μόνον σώματος γίνεσθαι, ἀλλὰ κράσει τοῦ λεπτομεροῦς πλείονι τῆς ἐκκρίσεως τοῦ ψυχικοῦ θερμοῦ τὸν πλεονασμόν, αἰτίαν θανάτου, ταῦτα δὲ εἶναι πάθη σώματος, οὐ ψυχῆς. ἐμπεδοκλῆς τὸν θάνατον γεγενῆσθαι διαχωρισμὸν τοῦ πυρώδους, ἐξ ὧν ἡ σύγκρισις τῷ ἀνθρώπῳ συνεστάθη, ὥστε κατὰ τοῦτο κοινὸν εἶναι τὸν θάνατον σώματος καὶ ψυχῆς, ὕπνον δὲ γίνεσθαι διὰ χωρισμὸν τοῦ πυρώδους.

ΠΩΣ ΗΥΞΗΘΗ τὰ φυτὰ καὶ εἰ ζῶα. κϛ΄.

Πλάτων, ἐμπεδοκλῆς, καὶ τὰ φυτὰ ἔμψυχα καὶ ζῶα, φανερὸν δὲ καὶ ἀπὸ τοῦ σαλεύεσθαι καὶ ἐν τεταμένους ἔχειν τοὺς κλάδους, καὶ ἐν ταῖς ἐπανατάσεσιν εἴκειν, καὶ πάλιν σφοδρῶς ἀναχαλᾶσθαι, ὥστε καὶ συντελεῖν. ἀριστοτέλης, ἔμψυχα μέν, οὐ μὴν καὶ ζῶα, τὰ γὰρ ζῶα ὁρμητικὰ εἶναι, καὶ αἰσθητικὰ δὲ καὶ λογικά. οἱ στωικοὶ δὲ καὶ ἐπικούρειοι, οὐκ ἔμψυχα. τινὰ γὰρ ψυχῆς ὁρμητικῆς εἶναι καὶ ἐπιθυμητικῆς, τινὰ δὲ καὶ λογικῆς. τὰ δὲ φυτὰ αὐτομάτως πως γεγενῆσθαι, οὐ διὰ ψυχῆς. ἐμπεδοκλῆς πρῶτα τῶν ζώων τὰ δένδρα ἐκ γῆς ἀναδῦναί φησι, πρὶν τὸν ἥλιον περιαπλωθῆναι, καὶ πρὶν ἡμέραν καὶ νύκτα διακριθῆναι, διὰ δὲ συμμετρίας τῆς κράσεως, τὸν τοῦ ἄρρενος τοῦ θήλεος περιέχειν λόγον, αὔξεσθαι δὲ ἀπὸ τοῦ ἐν τῇ γῇ θερμοῦ διαιρουμένου, ὥστε γῆς εἶναι μέρη, καθάπερ καὶ τὰ ἔμβρυα τὰ ἐν τῇ γαστρὶ τῆς μήτρας μέρη, τοὺς δὲ καρποὺς περιττώματα εἶναι ἐν τοῖς φυτοῖς ὕδατος καὶ πυρός, καὶ τὰ μὲν ἐλλιπὲς ἔχοντα τὸ ὑγρόν, ἐξικμαζομένου αὐτοῦ τῷ θέρει φυλλορροεῖν, τὰ δὲ πλείονι παραμένειν, ὥσπερ ἐπὶ τῆς δάφνης, καὶ τῆς ἐλαίας, καὶ τοῦ φοίνικος, τὰς

δὲ

δὲ διαφορὰς τῶν χυμῶν, παραλλαγὰς τῆς πολυμερείας καὶ τῶν αἰτίων γίνεσθαι διαφορὰς ἐχόντων, τὰς ἀπὸ τοῦ τρέφοντος πολυμερείας, ὥσπερ ἐπὶ τῶν ἀμπέλων, οὐ γὰρ αἱ διαφοραὶ τούτων χρηστικὸν οἶνον ποιοῦσιν ἀλλ' ἐκ τοῦ τρέφεσθαι ἐδάφους.

ΠΕΡΙ ΤΡΟΦΗΣ καὶ αὐξήσεως. κζ΄.

Εμπεδοκλῆς, τρέφεσθαι μὲν τὰ ζῶα διὰ τὴν ὑπόστασιν τοῦ οἰκείου, αὔξεσθαι δὲ διὰ τὴν παρουσίαν τοῦ θερμοῦ, μειοῦσθαι δὲ καὶ φθίνειν διὰ τὴν ἔκλειψιν ἑκατέρων, τοὺς δὲ νῦν ἀνθρώπους τοῖς πρώτοις συμβαλλομένους βρεφῶν ἐπέχειν τάξιν.

ΠΟΘΕΝ ΑΙ ὀρέξεις γίνονται τοῖς ζώοις καὶ ἡδοναί. κη΄.

Εμπεδοκλῆς, τὰς μὲν ὀρέξεις γίνεσθαι τοῖς ζώοις κατὰ τὰς ἐλλείψεις τῶν ἀποτελούντων ἕκαστα στοιχείων, τὰς δὲ ἡδονὰς ἐξ ὑγροῦ, καὶ τὰς τῶν κινδύνων καὶ ὁμοίων κινήσεις, τὰς δὲ ὀχλήσεις καὶ τάς. *

ΠΩΣ ΓΙΝΕΤΑΙ ὁ πυρετός, καὶ εἰ ἐπιγέννημά ἐστι. κθ΄.

Ερασίστρατος ὁρίζεται τὸν πυρετὸν οὕτω, πυρετός ἐστι κίνημα αἵματος παρεμπεπτωκὸς εἰς τὰ τοῦ πνεύματος ἀγγεῖα ἀπροαιρέτως γινόμενον. καθάπερ γὰρ ἐπὶ τῆς θαλάττης, ὅταν μηδὲν αὐτὴν κινῇ, ἠρεμεῖ, ἀνέμου δὲ ἐμπνέοντος βιαίου παρὰ φύσιν, τότε ἐξ ὅλης κυκλεῖται, οὕτω καὶ ἐν τῷ σώματι, ὅταν κινηθῇ τὸ αἷμα, τότε ἐμπίπτει μὲν εἰς τὰ ἀγγεῖα τῶν πνευμάτων, πυρούμενον δὲ θερμαίνει τὸ ὅλον σῶμα, ἀρέσκει δὲ αὐτῷ καὶ ἐπιγέννημα εἶναι ὁ πυρετός. διοκλῆς δέ φησιν, ὄψεις ἀδήλων τὰ φαινόμενα, ἐπὶ δὲ τοῖς φαινομένοις ὁρᾶται ὁ πυρετὸς ἐπιγενόμενος, τραύματα καὶ φλεγμοναὶ καὶ βουβῶνες.

ΠΕΡΙ ΥΓΕΙΑΣ καὶ νόσου καὶ γήρως. λ΄.

Αλκμαίων, τῆς μὲν ὑγείας εἶναι συνεκτικήν, ἰσονομίαν τῶν δυνάμεων, ὑγροῦ, θερμοῦ, ξηροῦ, ψυχροῦ, πικροῦ, γλυκέος, καὶ τῶν λοιπῶν, τὴν δ' ἐν αὐτοῖς μοναρχίαν νόσου ποιητικήν, φθοροποιὸν γὰρ ἑκατέρου μοναρχία, καὶ νόσων αἰτία, ὡς μὲν ὑφ' οὗ, ὑπερβολὴ θερμότητος ἢ ψυχρότητος, ὡς δὲ ἐξ ἧς, διὰ πλῆθος ἢ ἔνδειαν, ὡς δ' ἐν οἷς, αἷμα ἔνδεον, ἢ ἐγκέφαλος. τὴν δὲ ὑγείαν σύμμετρον τῶν ποιῶν τὴν κρᾶσιν. διοκλῆς δέ, πλείστας τῶν νόσων δι' ἀνωμαλίαν τῶν ἐν σώματι στοιχείων καὶ τοῦ καταστήματος. ἐρασίστρατος, τὰς νόσους διὰ πλῆθος τροφῆς καὶ ἀπεψίας καὶ φθορᾶς, τὴν δὲ εὐταξίαν καὶ αὐτάρκειαν, εἶναι ὑγείαν. οἱ στωικοί, συμφώνως τὸ γῆρας γεγενῆσθαι διὰ τὴν τοῦ θερμοῦ ἔλλειψιν, οἱ γὰρ αὐτοὶ πλέον ἔχοντες τὸ θερμόν, ἐπὶ πλεῖον γηρῶσιν. ἀσκληπιάδης, αἰθίοπάς φησι ταχέως γηράσκειν, ἔτει τριακοστῷ διὰ τὸ ὑπερθερμαίνεσθαι τὰ σώματα ἀπὸ τοῦ ἡλίου διαφλεχθέντας. ἐν βρεττανίᾳ ἑκατὸν εἴκοσιν ἐτῶν γηρᾶν διὰ τὸ κατεψύχθαι μὲν τοὺς τόπους, ἐν ἑαυτοῖς δὲ στέγειν τὸ πυρῶδες. τὰ μὲν γάρ εἰσιν ἀραιότερα τῶν αἰθιόπων σώματα, διὰ τὸ ἀναχαλᾶσθαι ὑπὸ τοῦ ἡλίου, τὰ δὲ ἀπὸ τῶν ἄρκτων πυκνά, διὰ τοῦτο οὖν καὶ πολυχρόνια.

*

πλουτάρχου συναγωγὴ ἱστοριῶν παραλλήλων ῥωμαϊκῶν καὶ ἑλληνικῶν.

ΠΕΡΙ ΠΑΡΑΛΛΗΛΩΝ ΕΛΛΗΝΙΚΩΝ ΚΑΙ ΡΩΜΑΙΚΩΝ.

Τὰς ἀρχαίας ἱστορίας διὰ τὰ παράδοξα τῆς πράξεως οἱ πλεῖστοι νομίζουσι πλάσματα καὶ μύθους τυγχάνειν. εὑρὼν δὲ ἐγὼ καὶ ἐν τοῖς νῦν χρόνοις γεγονότα ὅμοια τὰ ἐν τοῖς ῥωμαϊκοῖς καιροῖς συμβεβηκότα ἐξελεξάμην, καὶ ἑκάστῳ πράγματι ἀρχαίῳ νεωτέραν ὁμοίαν διήγησιν ὑπέταξα ἀναγράψας καὶ τοὺς ἱστορήσαντας ἄνδρας.

Δάτις ὁ περσῶν σατράπης μετὰ τριάκοντα μυριάδων εἰς μαραθῶνα παραγενόμενος πεδίον τῆς ἀττικῆς, καὶ στρατοπεδευσάμενος, πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν. ἀθηναῖοι δὲ τοῦ βαρβαρικοῦ πλήθους καταφρονήσαντες, ἐννακισχιλίους ἔπεμψαν, στρατηγοὺς ποιήσαντες, κυνέγειρον, πολύζηλον, καλλίμαχον, μιλτιάδην. συμβληθείσης δὲ τῆς παρατάξεως, πολύζηλος μὲν ὑπὲρ ἄνθρωπον φαντασίαν θεασάμενος, τὴν ὅρασιν ἀπέβαλε, καὶ τυφλὸς ἐγένετο. καλλίμαχος δὲ πολλοῖς περιπεπαρμένος δόρασι, καὶ νεκρὸς ἐστάθη. κυνέγειρος δὲ περσικὴν ἀναγομένην ναῦν κατασχὼν, ἐχειροκοπήθη.

Ἀσδρούβας βασιλεὺς σικελίαν καταλαβόμενος, πόλεμον ῥωμαίοις κατήγγειλε. μέτελλος δὲ ὑπὸ τῆς συγκλήτου στρατηγὸς χειροτονηθεὶς, ἐγκρατὴς ἐγένετο τῆς νίκης ταύτης, ἐν ᾗ λεύκιος γλαύκων εὐγενὴς ἀνὴρ τὴν ἀσδρούβα κατέχων ναῦν, ἀμφοτέρας ἀπέβαλε τὰς χεῖρας, καθάπερ ἱστορεῖ ἀριστείδης μιλήσιος, ἐν πρώτῃ σικελικῶν, παρ' οὗ τὴν ὑπόθεσιν ἔμαθε διονύσιος ὁ σικελιώτης.

Ξέρξης μετὰ πεντακοσίων μυριάδων ἀρτεμισίῳ προσορμίσας, πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν. ἀθηναῖοι δὲ συγκεχυμένοι, κατάσκοπον ἔπεμψαν ἀγησίλαον τὸν θεμιστοκλέους ἀδελφὸν, καίπερ νεοκλέους τοῦ πατρὸς αὐτοῦ κατ' ὄναρ ἑωρακότος ἀμφοτέρας ἀποβεβληκότα τὰς χεῖρας. παραγενόμενος δὲ εἰς τοὺς βαρβάρους ἐν σχήματι περσικῷ, μαρδόνιον ἕνα τῶν σωματοφυλάκων ἀνεῖλεν, ὑπολαμβάνων ξέρξην εἶναι. συλληφθεὶς δὲ πρὸς τῶν περὶ ξ. δέσμιος ἤχθη πρὸς τὸν βασιλέα. βουθυτεῖν δὲ τοῦ προειρημένου μέλλοντος ἐπὶ τῷ τοῦ ἡλίου βωμῷ, τὴν δεξιὰν ἐπέθηκε χεῖρα, καὶ ἀστενάκτως ὑπομείνας τὴν ἀνάγκην τῶν βασάνων, ἠλευθερώθη τῶν δεσμῶν, εἰπὼν, πάντες μὲν τοιοῦτοι ἀθηναῖοι, εἰ δὲ ἀπιστεῖς καὶ τὴν ἀριστερὰν ἐπιθήσω. φοβηθεὶς δὲ ὁ ξέρξης, φρουρεῖσθαι αὐτὸν προσέταξε. καθάπερ ἱστορεῖ ἀγαθαρχίδης σάμιος ἐν δευτέρᾳ τῶν περσικῶν.

Πορσίνας τούσκων βασιλεὺς πέραν ποταμοῦ θύμβρεως στρατεύσας ἐπολέμησε ῥωμαίοις, καὶ τὴν ἀπὸ σιτίων φερομένην εὐθηνίαν ῥωμαίοις μέσην λαβὼν, λιμῷ τοὺς προειρημένους ἔτρυχε. τῆς δὲ συγκλήτου συγκεχυμένης, μούκιος τῶν ἐπισήμων ἀνὴρ λαβὼν τετρακοσίους ἀπὸ τῶν ὑπάτων ὁμήλικας, ἐν ἰδιωτικῷ σχήματι τὸν ποταμὸν διῆλθεν. ἰδὼν δὲ τὸν σωματοφύλακα τοῦ τυράννου τὰ ἐπιτήδεια διδόντα τοῖς στρατηγοῖς, ὑπολαβὼν αὐτὸν τὸν πορσίναν εἶναι ἀνεῖλεν, ἀχθεὶς δὲ ἐπὶ τὸν βασιλέα τοῖς ἐμπύροις ἐπέθηκε τὴν δεξιὰν χεῖρα, καὶ στέξας τὰς ἀλγηδόνας εὐψύχως ἐμειδίασεν, εἰπὼν βάρβαρε λέλυμαι κἂν μὴ θέλῃς, καὶ ἴσθι ἡμᾶς κατὰ σοῦ τετρακοσίους ὄντας ἐν τῷ στρατοπέδῳ, οἵ σε ἀνελεῖν ζητοῦμεν, ὁ δὲ φοβηθεὶς, σπονδὰς πρὸς ῥωμαίους ἐποιήσατο, καθάπερ ἱστορεῖ ἀριστείδης ὁ μιλήσιος ἐν τρίτῃ ἱστοριῶν.

Ἀργείων καὶ λακεδαιμονίων ὑπὲρ θυρεάτιδος χώρας πολεμούντων, οἱ ἀμφικτύονες ἔκριναν πολεμῆσαι ἑκατέρους, καὶ τῶν νικησάντων εἶναι τὴν χώραν.

λακεδαιμόνιοι μὲν οὖν ὀθρυάδην ἐποίησαν στρατηγὸν, ἀργεῖοι δὲ θέρσανδρον, πολεμούντων δὲ, δύο ἐκ τῶν ἀργείων περιελείφθησαν, ἀγήνωρ καὶ χρόμιος, οἵτινες εἰς τὴν πόλιν ἤγγειλαν τὴν νίκην. ἠρεμίας δὲ ὑπαρχούσης, ὁ ὀθρυάδης ἐπιζήσας καὶ ἡμικλάστοις δόρασιν ἐπερειδόμενος, τὰς τῶν νεκρῶν ἁρπάζων ἀσπίδας περιείλετο, καὶ τρόπαιον στήσας, ἐκ τοῦ ἰδίου αἵματος ἐπέγραψεν διὶ τροπαιούχῳ. καὶ τῶν δύο στάσιν ἐχόντων, οἱ ἀμφικτύονες αὐτόπται γενόμενοι, λακεδαιμονίους προκρίνουσι, καθάπερ χρύσερμος ἐν τρίτῳ πελοποννησιακῶν.

Ῥωμαῖοι πρὸς σαμνίτας πόλεμον ἔχοντες, στρατηγὸν ἐχειροτόνησαν μιθύντιον ἀμβλιρηνόν. οὗτος κατὰ τὰς καλουμένας φορκούτας κλαυδίνας, ἔστι δὲ τόπος στενώτατος, ἐνεδρευθεὶς, τρεῖς ἀπέβαλε λεγεῶνας, καὶ αὐτὸς καιρίως τρωθεὶς ἔπεσε, βαθείας δὲ νυκτὸς ὀλίγον ἐπιζήσας, περιείλετο τῶν ἀνῃρημένων πολεμίων τὰς ἀσπίδας, καὶ εἰς τὸ αἷμα τὴν χεῖρα βαπτίσας ἔστησε τρόπαιον ἐπιγράψας, ῥωμαῖοι κατὰ σαμνιτῶν διὶ τροπαιούχῳ. μάξιμος δὲ ὁ ἐπικληθεὶς λαίμαργος, στρατηγὸς πεμφθεὶς καὶ παραγενόμενος ἐπὶ τὸν τόπον ἰδὼν τὸ τρόπαιον, τὸν οἰωνὸν ἀσμένως ἐδέξατο, καὶ συμβαλὼν ἐνίκησε, καὶ αἰχμάλωτον λαβὼν τὸν βασιλέα, εἰς ῥώμην ἔπεμψεν, ὡς ἀριστείδης ὁ μιλήσιος ἐν τρίτῃ ἰταλικῶν.

Περσῶν μετὰ πεντακοσίων μυριάδων ἐπὶ τὴν ἑλλάδα ἐρχομένων, λεωνίδας ἅμα τριακοσίοις ἐπέμφθη εἰς θερμοπύλας ὑπὸ λακεδαιμονίων, εὐωχουμένοις δὲ ἐκεῖ, ἐπέκειτο τὸ τῶν βαρβάρων πλῆθος. καὶ ὁ λεωνίδας εἶπεν ἰδὼν τοὺς βαρβάρους, οὕτως ἀριστᾶτε ὡς ἐν ᾅδου δειπνήσοντες, καὶ ὁρμήσας κατὰ τῶν βαρβάρων, καὶ πολλοῖς περιπαρεὶς δόρασι, ἀνέβη ἐπὶ τὸν ξέρξην, καὶ τὸ διάδημα ἀφείλετο, οὗ ἀποθανόντος ὁ βάρβαρος τέμνει τὴν καρδίαν, καὶ εὑρίσκει δασεῖαν, ὡς ἀριστείδης ἐν πρώτῃ περσικῶν.

Ῥωμαῖοι πρὸς ποινοὺς πόλεμον ἔχοντες, ἔπεμψαν τριακοσίους, καὶ στρατηγὸν φάβιον μάξιμον, συμβαλὼν δὲ ἀπέβαλε πάντας, αὐτὸς δὲ καιρίως τρωθεὶς μετὰ ὁρμῆς ἐπὶ τὸν ἀννίβαν ἠνέχθη, καὶ καθελὼν τὸ διάδημα, συναπέθανεν αὐτῷ, καθάπερ ἱστορεῖ ἀριστείδης ὁ μιλήσιος.

Κατὰ κελαινὰν πόλιν τῆς φρυγίας χάσμα μεθ' ὕδατος γενόμενον, πολλὰς οἰκίας αὐτάνδρους εἰς τὸν βυθὸν εἵλκυσεν, μίδας δὲ ὁ βασιλεὺς χρησμὸν ἔλαβεν, ἐὰν τὸ τιμιώτατον ἐμβάλῃ, συνελεύσεσθαι, ὁ δὲ χρυσὸν καὶ ἄργυρον ἐμβαλὼν, οὐδὲν ἐβοήθησεν, ἄγχουρος δὲ υἱὸς τοῦ μίδα λογισάμενος μηδὲν εἶναι τιμιώτερον ἐν βίῳ ψυχῆς ἀνθρωπίνης, δοὺς περιπλοκὰς τῷ γεννήσαντι. καὶ τῇ γυναικὶ τιμοθέᾳ, ἔφιππος εἰς τὸν τόπον τοῦ χάσματος ἠνέχθη, συνελθούσης δὲ τῆς γῆς χρυσοῦν βωμὸν ἐποίησεν, ἰδαίου διὸς ἁψάμενος τῇ χειρί, οὗτος ὁ βωμὸς περὶ ἐκεῖνον τὸν καιρὸν ἐν ᾧ τὸ χάσμα συνέβη γενέσθαι, λίθος γίνεται, τῆς δὲ ὡρισμένης προθεσμίας παρελθούσης, χρύσεος ὁρᾶται, ὡς καλλισθένης ἐν δευτέρῳ μεταμορφώσεων.

Διὰ μέσης τῆς ἀγορᾶς ῥέων ὁ τίβερις διὰ μῆνιν ταρσίου διὸς, μέγιστον ἀπέρρηξε χάσμα, καὶ πολλὰς οἰκίας ἐβύθισε, χρησμὸς δὲ ἐδόθη λήξεσθαι, ἐὰν τὸ τίμιον ἐμβάλωσι, τῶν δὲ χρυσὸν καὶ ἄργυρον ἐμβαλόντων, κούρτιος τῶν ἐπισήμων νέος τὸν χρησμὸν νοήσας, καὶ λογισάμενος τὴν ψυχὴν τιμιωτέραν, ἔφιππον ἑαυτὸν ἔρριψεν εἰς τὸ χάσμα, καὶ τοὺς οἰκείους ἐξέσωσε τῶν κακῶν, ὡς ἀριστείδης ἐν τεσσαρακοστῷ ἰταλικῶν.

Τῶν ἅμα πολυνείκει εὐωχουμένων λοχαγῶν, ἀετὸς καταπτὰς τὸ ἀμφιαράεω ἐβάστασε δόρυ εἰς ὕψος, καὶ εἴασε, τὸ δὲ παγὲν ἐν γῇ, δάφνη ἐγένετο, τῇ δ' ὑστεραίᾳ πολεμούντων, κατ' ἐκεῖνο κατεπόθη ὁ ἀμφιάρεως σὺν ἅρματι, ἔνθα νῦν πόλις ἅρμα καλεῖται, ὡς Ζη-

σίμαχος ἐν τρίτῳ κτίσεων.

Ρωμαίων πρὸς πύρρον ἠπειρώτην πολεμούντων, αἰμίλιος παῦλος χρησμὸν ἔλαβεν νικῆσαι, βωμὸν ἐὰν ποιήσῃ, ἔνθα ἂν ἴδῃ χάσματι κρυπτόμενον ἄνδρα τῶν ἐπισήμων μετὰ ἅρματος, μετὰ τρεῖς ἡμέρας οὐαλέριος κονᾶτος κατ᾽ ὄναρ ἰδὼν ἀναλαβεῖν ἱερέως κόσμον, καὶ γὰρ ἦν μαντικῆς ἔμπειρος, στρατηγήσας καὶ πολλοὺς φονεύσας, ὑπὸ γῆς κατεπόθη. ὁ αἰμίλιος δὲ βωμὸν ἱδρύσας, ἐνίκησε, καὶ ἑκατὸν ἑξήκοντα πυργοφόρους ἐλέφαντας εἰς ῥώμην κατέπεμψεν, ὁ δὲ βωμὸς μαντεύεται κατ᾽ ἐκεῖνον τὸν καιρὸν, καθ᾽ ὃν ἐνικήθη πύρρος, ὡς ἱστορεῖ κριτόλαος τρίτῃ ἠπειρωτικῶν.

Πυραίχμης βασιλεὺς εὐβοέων ἐπολέμει βοιωτοῖς, ὃν ἡρακλῆς ἔτι νέος ὢν ἐνίκησεν, πώλοις δὲ προσδήσας καὶ εἰς δύο μέρη διελὼν τὸν πυραίχμην, ἄταφον ἔρριψεν, ὁ δὲ τόπος προσαγορεύεται, πῶλοι πυραίχμου. κεῖται δὲ παρὰ ποταμὸν ἡράκλειον, χρεμετισμὸν δὲ ἀναδίδωσι πινόντων ἵππων, ὡς ἐν τρίτῳ περὶ ποταμῶν.

Τοῦλλος ὁστίλλιος βασιλεὺς ῥωμαίων ἐπολέμησεν ἀλβανοῖς, βασιλέως ὄντος μετίου φουβεντίου, καὶ τὴν μάχην πολλάκις ὑπερέθετο, οἱ δὲ, ἡττωμένον εἰς εὐωχίαν ἐτράπησαν, οἰνωμένοις δὲ ἐπέθετο, καὶ τὸν βασιλέα δύο πώλοις συζεύξας διεσπάραξεν, ὡς ἀλέξαρχος ἐν τετάρτῃ ἰταλικῶν.

Φίλιππος μεθώνην καὶ ὄλυνθον βουλόμενος πορθῆσαι, καὶ βιαζόμενος ἐπὶ τῷ σανδάνῳ ποταμῷ διαβῆναι πέραν, ὑφ᾽ τινος τῶν ὀλυνθίων ἀστέρος ὀνόματι, ἐτοξεύθη τὸν ὀφθαλμὸν, εἰπόντος ἀστὴρ φιλίππῳ θανάσιμον πέμπει βέλος, ὁ δὲ ὀπίσω διανηξάμενος πρὸς τοὺς οἰκείους σώζεται ἀπολέσας τὸν ὀφθαλμὸν, ὡς καλλισθένης ἐν τρίτῳ μακεδονικῶν.

Πορσίνας τρούσκων βασιλεὺς πέραν θύβρεως ποταμοῦ στρατεύσας ἐπολέμησε ῥωμαίοις, καὶ τὴν ἀπὸ σιτίων φερομένην εὐθηνίαν μέσην λαβὼν, λιμῷ τοὺς προειρημένους ἔτρυχεν, ὁράτιος δὲ κόκλης στρατηγὸς χειροτονηθεὶς τὴν ξυλίνην κατελάβετο γέφυραν, καὶ τὸ πλῆθος τῶν βαρβάρων διαβῆναι βουλόμενον ἐπεῖχε, πλεονεκτούμενος δ᾽ ὑπὸ τῶν πολεμίων, προσέταξε τοῖς ὑποτεταγμένοις κόπτειν τὴν γέφυραν, καὶ τὸ πλῆθος τῶν βαρβάρων διαβῆναι βουλόμενον ἐκώλυσε, βέλει δὲ τὸν ὀφθαλμὸν πληγεὶς, ῥίψας ἑαυτὸν εἰς τὸν ποταμὸν, διενήξατο εἰς τοὺς οἰκείους, ὡς θεότιμος δευτέρῳ ἰταλικῶν.

Ο περὶ τοῦ ἰκαρίου μῦθος ᾧ διόνυσος ἐπεξενώθη, ἐρατοσθένης ἐν τῇ ἠριγόνῃ. κρόνος ἐπιξενωθεὶς γεωργῷ, ᾧ ἦν θυγάτηρ καλὴ ἐντωρία, ἣν ἐβιάζετο καὶ ἐτέκνωσεν υἱοὺς, ἰανὸν, ὕμνον, φαῦστον, φήληκα. διδοὺς οὖν τὸ ζόφον τῆς τοῦ οἴνου πόσεως καὶ τῆς ἀμπέλου, ἠξίωσε καὶ τοῖς γείτοσι μεταδοῦναι, ποιήσαντες δὲ αὐτὸ καὶ πιόντες παρὰ τὸ σύνηθες, εἰς ὕπνον κατηνέχθησαν βαρύτερον τοῦ δέοντος, οἱ δὲ πεφαρμακῶσθαι δόξαντες, λίθοις βάλλοντες τὸν ἰκάριον ἀπέκτειναν, οἱ δ᾽ θυγατριδαῖ ἀθυμήσαντες, βρόχῳ τὸν βίον κατέστρεψαν. λοιμοῦ δ᾽ κατασχόντος ῥωμαίους, ἔχρησεν ὁ πύθιος λωφήσειν, ἐὰν ἐξιλάσωνται τοῦ κρόνου τὴν μῆνιν, καὶ τοὺς δαίμονας τῶν ἀνόμως ἀπολομένων. λουτάτιος δὲ κάτλος ἀνὴρ τῶν ἐπισήμων, κατεσκεύασε τῷ θεῷ τέμενος τὸ κείμενον σύνεγγυς τοῦ ταρπηΐου ὄρους, καὶ τὸν ἄνω βωμὸν ἱδρύσατο τετραπρόσωπον, ἢ διὰ τοὺς θυγατριδοῦς, ἢ ὅτι τετραμερὴς ὁ ἐνιαυτός ἐστι, καὶ μῆνα κατέδειξεν ἰανουάριον, ὁ δὲ κρόνος πάντας κατηστέρισεν, καὶ οἱ μὲν καλοῦνται προτρυγητῆρες, ὁ δὲ ἰανὸς προανατέλλων, δείκνυται ἀστὴρ πρὸ τῶν ποδῶν τῆς παρθένου, ὡς κριτόλαος ἐν τετάρτῃ φαινομένων.

Περσῶν τὴν ἑλλάδα λεηλατούντων, παυσανίας ὁ τῶν λακεδαιμονίων στρατηγὸς, πεντακόσια χρυσοῦ τάλαντα παρὰ ξέρξου λαβὼν, ἔμελλε προδιδόναι τὴν σπάρτην, φωραθέντος δὲ τούτου, ἀγησίλαος ὁ πατὴρ μέχρι τοῦ ναοῦ τῆς χαλκιοίκου συνεδίωξεν ἀθηνᾶς, καὶ τὰς θύρας τοῦ τεμένους πλίνθῳ φράξας, λιμῷ ἀπέκτεινεν, ἡ δὲ μήτηρ καὶ ἄταφον ἔρριψεν, ὡς χρύσερμος ἐν δευτέρῳ ἱστορικῶν.

Ρωμαῖοι πρὸς λατίνους πολεμοῦντες ἐχειροτόνησαν ὕπατον πόπλιον δέκιον. νεανίσκος δέ τις τῶν ἐπισήμων πένης, τοὔνομα κάσσιος βροῦτος, ἐπὶ ῥητῷ μισθῷ νυκτὸς τὰς πύλας ἀνοῖξαι ἐβουλήθη, φωραθεὶς δὲ εἰς ναὸν ἔφυγεν ἀθηνᾶς αὐξιλιαρίας, κάσσιος δὲ σιγνίφερ ὁ πατὴρ αὐτοῦ κατέκλεισε, καὶ λιμῷ διέφθειρε καὶ ἄταφον ἔρριψεν, ὡς κλειτώνυμος ἐν ἰταλικῶν.

Δαρεῖος ὁ πέρσης ἐπὶ γρανικῷ πολεμήσας ἀλεξάνδρῳ, καὶ ἑπτὰ σατράπας ἀποβαλὼν καὶ ἅρματα δρεπανηφόρα δύο καὶ πεντακόσια, συμβαλεῖν ἔμελλε τῇ ἑξῆς. ἀριοβαρζάνης δ᾽ ὁ υἱὸς συμπαθῶς διακείμενος πρὸς ἀλέξανδρον ὑπισχνεῖτο τὸν πατέρα προδώσειν, ἀγανακτήσας δὲ ὁ πατὴρ, ἐτραχηλοκόπησεν, ὡς ἀρητάδης κνίδιος ἐν τρίτῳ μακεδονικῶν.

Βροῦτος ὑπὸ πάντων ὕπατος χειροτονηθεὶς, ἐφυγάδευσε τὸν ὑπερήφανον ταρκύνιον τυραννικῶς ἀναστρεφόμενον, ὁ δὲ ἐλθὼν εἰς τούσκους, ἐπολέμει ῥωμαίοις. οἱ δὲ τοῦ βρούτου παῖδες τὸν πατέρα προδοῦναι ἠβουλήθησαν, ἐμπεσόντων δ᾽ τραχηλοκοπῆσαι, ὡς ἀριστείδης μιλήσιος ἐν τοῖς ἰταλικοῖς.

Ἐπαμινώνδας ὁ τῶν θηβαίων στρατηγὸς, ἔχων πρὸς λακεδαιμονίους πόλεμον, καὶ ἀρχαιρεσιῶν ἀγομένων, ἧκεν ἐς πατρίδα, παραγγείλας τῷ παιδὶ στησιβρότῳ μὴ συμβάλλειν, λακεδαιμόνιοι μαθόντες τὴν ἀπουσίαν, ἐβλασφήμουν τὸν νεανίαν ὡς ἄνανδρον, ὁ δὲ ἀγανακτήσας καὶ ἐπιλαθόμενος τοῦ πατρὸς, συνέβαλε, καὶ ἐνίκησεν, ὁ δὲ πατὴρ βαρέως ἐνεγκὼν, στεφανώσας ἐτραχηλοκόπησεν, ὡς κτησιφῶν ἱστορεῖ ἐν τρίτῳ βοιωτιακῶν.

Ρωμαῖοι πρὸς σαμνίτας πόλεμον ἔχοντες, ἐχειροτόνησαν μάλλιον τὸν ἐπιτάκτην ἐπικληθέντα, οὗτος διὰ χειροτονίαν ὑπατικὴν εἰς ῥώμην πορευόμενος, τῷ υἱῷ προσέταξε μὴ συμβαλεῖν. οἱ δὲ σαμνῖται μαθόντες, βλασφημίαις ἐξουδένιζον τὸν νεανίαν. ὁ δὲ ταραχθεὶς ἐνίκησεν, μάλλιος δὲ ἐτραχηλοκόπησεν καθάπερ ἱστορεῖ ἀριστείδης μιλήσιος.

Ἡρακλῆς τοῦ ἰόλης γάμου ἀποτυχὼν, τὴν οἰχαλίαν ἐπόρθησεν, ἡ δὲ ἰόλη ἀπὸ τοῦ τείχους ἔρριψεν ἑαυτήν. συνέβη δὲ κολπωθείσης ὑπὸ ἀνέμου τῆς ἐσθῆτος μηδὲν παθεῖν, καθάπερ ἱστορεῖ νικίας μαλλεώτης.

Ρωμαῖοι πολεμοῦντες πρὸς τούσκον, ἐχειροτόνησαν βαλέριον τορκουάτον, οὗτος θεασάμενος τοῦ βασιλέως τὴν θυγατέρα τοὔνομα κλουσίαν, ᾔτει τὸ παρὰ τοῦ τούσκου τὴν θυγατέρα, μὴ τυχὼν δὲ, πορθεῖ τὴν πόλιν. ἡ δὲ κλουσία ἀπὸ τῶν πύργων ἔρριψεν ἑαυτὴν, προνοίᾳ δὲ ἀφροδίτης κολπωθείσης τῆς ἐσθῆτος, διεσώθη ἐπὶ τὴν γῆν, ἣν ὁ στρατηγὸς ἔφθειρε, καὶ διὰ τούτων πάντων ἕνεκα ἐξωρίσθη κοινῷ δόγματι ὑπὸ ῥωμαίων εἰς κέρσικαν νῆσον πρὸ τῆς ἰταλίας, ὡς θεόφιλος ἐν τρίτῳ ἰταλικῶν.

Ποινῶν καὶ σικελιωτῶν τὴν κατὰ ῥωμαίων συμμαχίαν ἑτοιμαζόντων, μέτελλος στρατηγὸς μόνῃ τῇ ἑστίᾳ οὐκ ἔθυσεν, ἡ δὲ πνεῦμα ἀντέπνευσε ταῖς ναυσί, γάϊος δ᾽ ἰούλιος μάντις εἶπε λωφῆσαι, ἐὰν προθύσῃ τὴν θυγατέρα, ὁ δὲ ἀναγκασθεὶς μεταλίαν τὴν θυγατέρα προσῆγεν, ἡ δὲ ἑστία ἐλεήσασα, δάμαλιν ὑπέβαλεν, καὶ αὐτὴν ἐκόμισεν εἰς λαμούσιον καὶ ἱέρειαν τοῦ σεβομένου παρ᾽ αὐτοῖς δράκον-

τος ἀπέδειξεν, ὡς πυθοκλῆς ἐν τρίτῃ ἰταλικῶν.

Ἐν αὐλίδι τῆς βοιωτίας τὰ περὶ ἰφιγένειαν ὁμοίως ἱστορεῖ μένυλλος ἐν πρώτῳ βοιωτιακῶν.

Βρέννος γαλατῶν βασιλεὺς λεηλατῶν τὴν ἀσίαν, ἐπὶ ἔφεσον ἦλθε, καὶ ἠράσθη παρθένου δημοτικῆς. ἡ δὲ συνελθεῖν ὑπέσχετο, ἐὰν τὰ ψέλλια καὶ τὸν κόσμον τῶν γυναικῶν δῷ αὐτῇ, καὶ τὴν ἔφεσον προδοῦναι. ὁ δὲ ἠξίωσε τοὺς στρατιώτας ἐμβαλεῖν εἰς τὸν κόλπον ὃν εἶχον χρυσὸν τῆς φιλαργύρου, ποιησάντων δὲ ὑπὸ τῆς δαψιλείας τοῦ χρυσοῦ, ζῶσα κατεχώσθη, καθάπερ ἱστορεῖ κλειτοφῶν ἐν πρώτῳ γαλατικῶν.

Ταρπηΐα τῶν εὐσχημόνων παρθένων, τοῦ καπιτωλίου φύλαξ, ῥωμαίων πρὸς ἀλβανοὺς πολεμούντων, ὑπέσχετο τῷ τατίῳ δώσειν εἴσοδον εἰς τὸ ταρπήιον ὄρος, ἐὰν μισθὸν λάβῃ τοὺς ὅρμους, οὓς ἐφόρουν κόσμου χάριν, σαβῖνοι δὲ νοήσαντες, ζῶσαν κατέχωσαν, ὡς ἀριστείδης μιλήσιος ἐν ἰταλικοῖς.

Τεγεάταις καὶ φενεάταις χρονίου πολέμου γενομένου, ἔδοξε τριδύμους ἀδελφοὺς πέμψαι τοὺς μαχησομένους περὶ τῆς νίκης, καὶ τεγεᾶται μὲν οὖν τοὺς ῥηξιμάχου παῖδας, φενεᾶται δὲ τοὺς δημοστράτου προὐβάλλοντο, συμβληθείσης δὲ τῆς μάχης, ἐφονεύθησαν τῶν ῥηξιμάχου δύο, ὁ δὲ τρίτος τοὔνομα κριτόλαος, στρατηγήματι περιεγένετο τῶν δύο, προσποιητὴν γὰρ φυγὴν σκηψάμενος, καθ᾽ ἕνα τῶν διωκόντων ἀνεῖλε, καὶ ἐλθόντος, οἱ μὲν ἄλλοι συνεχάρησαν, μόνη δὲ οὐκ ἐχάρη ἡ ἀδελφὴ δημοδίκη, πεφονεύκει γὰρ αὐτῆς τὸν κατηγγυημένον ἄνδρα δημότικον. ἀναξιοπαθήσας δὲ ὁ κριτόλαος ἀνεῖλεν αὐτήν, φόνου δὲ ἀγόμενος ὑπὸ τῆς μητρὸς ἀπελύθη τῶν ἐγκλημάτων, ὡς δημάρατος ἐν δευτέρῳ ἀρκαδικῶν.

Ῥωμαῖοι καὶ ἀλβανοὶ πολεμοῦντες, τριδύμους προμάχους εἵλοντο, καὶ ἀλβανοὶ μὲν κουρατίους, ῥωμαῖοι δὲ ὡρατίους, συμβληθείσης δὲ τῆς μάχης, οἱ κουριάτιοι δύο τῶν ἐναντίων ἀνεῖλον, ὁ δὲ περίλοιπος φυγῇ προσποιητῇ συμμάχῳ χρώμενος, ἐφόνευσε καθ᾽ ἕνα τῶν ἐπιδιωκόντων. χαρέντων δὲ πάντων μόνη ἡ ἀδελφὴ οὐ συνεχάρη ὡρατία, τὸν κατηγγυημένον ἄνδρα κουριάτιον ἀνῃρηκότι, ὁ δὲ ἐφόνευσε τὴν ἀδελφήν, ὡς φησιν ἀριστείδης μιλήσιος ἐν ἰταλικοῖς.

Ἐν ἰλίῳ τοῦ ναοῦ τῆς ἀθηνᾶς ἐμπρησθέντος, προσδραμὼν ἶλος τὸ διοπετὲς ἥρπασε παλλάδιον, καὶ ἐτυφλώθη, οὐ γὰρ ἐξὸν ὑπ᾽ ἀνδρὸς βλέπεσθαι, ὕστερον δὲ ἐξιλασάμενος ἀνέβλεψεν, ὡς δέρκυλλος ἐν πρώτῳ κτίσεων.

Ἄντυλος ἀνὴρ τῶν ἐπισήμων πορευόμενος εἰς τὸ προάστειον, ὑπὸ κοράκων ὑπεσχέθη παιόντων ταῖς πτέρυξιν, φοβηθεὶς δὲ τὸν οἰωνόν, εἰς ῥώμην ὑπέστρεψεν, ἰδὼν δὲ τὸ τέμενος τῆς ἑστίας καιόμενον, καὶ τὸ παλλάδιον ἁρπάσας, ἐτυφλώθη, ὕστερον δὲ ἀνέβλεψεν ἐξιλασάμενος, ὡς ἀριστείδης μιλήσιος ἐν ἰταλικοῖς.

Θρᾷκες ἀθηναίοις πολεμοῦντες, χρησμὸν ἔλαβον, ὡς ἐὰν κόδρου φείσωνται, νικήσαι. ὁ δὲ δρέπανον λαβὼν ἧκεν εἰς τοὺς ἐναντίους ἐν εὐτελοῦς σχήματι, καὶ ἕνα φονεύσας, ὑπὸ θατέρου ἀνῃρέθη, οὕτω τε ἐνίκησαν οἱ ἀθηναῖοι, ὡς σωκράτης ἐν δευτέρῳ θρᾳκικῶν.

Πούπλιος δέκιος ῥωμαῖος, πρὸς ἀλβανοὺς πολεμῶν ὄναρ εἶδεν ἐὰν ἀποθάνῃ, ῥώμην προσποιήσειν ῥωμαίοις, ἐλθὼν εἰς μέσον καὶ πολλοὺς φονεύσας, ἀνῃρέθη, ὁμοίως δὲ καὶ ὁ υἱὸς αὐτοῦ δέκιος ἐν τῷ πρὸς γάλλους πολέμῳ τοὺς ῥωμαίους διέσωσεν, ὡς ἀριστείδης μιλήσιος.

Κυάνιππος γένει συρακούσιος, μόνῳ διονύσῳ οὐκ ἔθυεν, ὁ δὲ θεὸς ὀργισθείς, μέθην ἐνέσκηψεν, καὶ ἐν τόπῳ σκοτεινῷ τὴν θυγατέρα ἐβιάσατο κυάνην, ἡ δὲ τὸν δακτύλιον περιελομένη ἔδωκεν τῇ τροφῷ ἐσόμενον ἀναγνώρισμα, λοιμώξαντων

δὲ, καὶ τοῦ πυθίου εἰπόντος μὲν δεῖν, τὸν ἀσεβῆ τροπαίοις θεοῖς σφαγιάσαι, τῶν δὲ ἄλλων ἀγνοούντων τὸν χρησμόν, γνοῦσα ἡ κυάνη καὶ ἐπιλαβομένη τῶν τριχῶν, εἷλκε, καὶ αὐτὴ κατασφάξασα τὸν πατέρα, ἑαυτὴν ἐπέσφαξε, καθάπερ δοσίθεος ἐν τῷ τρίτῳ σικελικῶν.

Τῶν διονυσίων ἐν τῇ ῥώμῃ, ἀγομένων, ἀρρούντιος ἐκ γενετῆς ὑδροπότης ἐξουθένιζε τὴν τοῦ θεοῦ δύναμιν, ὁ δὲ μέθην ἐνέβαλε, καὶ ἐβιάσατο τὴν θυγατέρα μεδουλλίναν, ἡ δὲ ἐκ δακτυλίου γνοῦσα τὸ γένος καὶ πρεσβύτερα τῆς ἡλικίας φρονήσασα μεθύσασα τὸν πατέρα καὶ στεφανώσασα, ἤγαγεν ἐπὶ τὸν βωμὸν τῆς ἀστραπῆς, καὶ δακρύσασα ἀνεῖλε τὸν ἐπίβουλον τῆς παρθενίας, ὡς ἀριστείδης ἐν τρίτῃ ἰταλικῶν.

Ἐρεχθεὺς πρὸς εὔμολπον πολεμῶν, ἔμαθε νικῆσαι, ἐὰν τὴν θυγατέρα προθύσῃ, καὶ συγκοινωνήσας τῇ γυναικὶ πραξιθέᾳ, προέθυσε τὴν παῖδα, μέμνηται εὐριπίδης ἐν ἐρεχθεῖ.

Μάριος πρὸς κύμβρους πόλεμον ἔχων καὶ ἡττώμενος ὄναρ εἶδεν, ὅτι νικήσει, ἐὰν τὴν θυγατέρα προθύσῃ, ἦν δὲ αὐτῷ καλπουρνία, προκρίνας δὲ τῆς φύσεως τοὺς πολίτας, ἔδρασε καὶ ἐνίκησε, καὶ ἔτι καὶ νῦν βωμοί εἰσι δύο ἐν γερμανίᾳ, οἳ κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἦχον σαλπίγγων ἀποπέμπουσιν, ὡς δωρόθεος ἐν τετάρτῳ ἰταλικῶν.

Κυάνιππος τῷ γένει θετταλὸς ἐπὶ θήραν συνεχῶς ἐξῄει, ἡ δὲ νεόνυμφος αὐτοῦ ὑπολαβοῦσα διὰ τὸ πολλάκις ἐν ὕλαις μένειν, συνήθειαν ἔχειν μεθ᾽ ἑτέρας, κατ᾽ ἴχνος ἠκολούθησε τῷ κυανίππῳ, καὶ ἔν τινι κατακρυβεῖσα συνδένδρῳ, τὸ μέλλον ἀπεκαραδόκει, τῶν δὲ κλάδων σεισθέντων, οἱ κύνες θηρίον εἶναι δόξαντες ὥρμησαν καὶ τὴν φίλανδρον, ἀλόγου δίκην ζώου διεσπάραξαν, ὁ δὲ κυάνιππος ἀνελπίστου πράξεως αὐτόπτης γενόμενος ἑαυτὸν ἀπέσφαξεν, ὡς παρθένιος ὁ ποιητής.

Ἐν συβάρει πόλει τῆς ἰταλίας νέος περίβλεπτος τὸ κάλλος αἰμίλιος φιλοκύνηγος ἦν, ἡ δὲ νεόνυμφος δόξασα ἑτέρᾳ συνεῖναι εἰσῄει εἰς τὴν νάπην, τῶν δὲ δένδρων σεισθέντων, οἱ κύνες ἐπιδραμόντες διέσπασαν, ὁ δὲ ἐπέσφαξεν ἑαυτόν, ὡς κλειτώνυμος ἐν δευτέρῳ συβαριτικῶν.

Σμύρνα κινύρου θυγάτηρ διὰ μῆνιν ἀφροδίτης ἠράσθη τοῦ γεννήσαντος, καὶ τῇ τροφῷ τὴν ἀνάγκην τοῦ ἔρωτος ἐδήλωσεν, ἡ δὲ δόλῳ ὑπῆγε τὸν δεσπότην, ἔφη γὰρ γείτονα παρθένον ἐρᾶν αὐτοῦ, καὶ αἰσχύνεσθαι ἐν φανερῷ προσιέναι, ὁ δὲ συνῄει, ποτὲ δὲ θελήσας τὴν ἐρῶσαν μαθεῖν, φῶς ᾔτησεν, ἰδὼν δέ, ξιφήρης τὴν ἀσελγεστάτην ἐδίωκεν, ἡ δὲ κατὰ πρόνοιαν ἀφροδίτης εἰς ὁμώνυμον δένδρον μετεμορφώθη, καθὰ θεόδωρος ἐν ταῖς μεταμορφώσεσιν.

Οὐαλερία τουσκλαναρία κατὰ μῆνιν ἀφροδίτης ἐρασθεῖσα οὐαλερίου τοῦ πατρός, τῇ τροφῷ ἀνεκοίνωσεν, ἡ δὲ τὸν δεσπότην δόλῳ ὑπῆλθεν εἰποῦσα, ὡς αἰδεῖται κατ᾽ ὄψιν μίσγεσθαι, τῶν τε γειτόνων εἶναι παρθένον, καὶ οἰνωθεὶς ὁ πατὴρ ᾔτει φῶς, ἡ δὲ τροφὸς φθάσασα διήγειρεν, ἥ τις ἐπὶ ταῖς ἀγροικίαις ἦν, ἐγκύμων τυγχάνουσα, ποτὲ δὲ κατὰ κρημνῶν ἐνεχθείσης τὸ βρέφος ἔζη, κατιοῦσα δὲ ἐγκύμων, κατέστη, καὶ εἰς τὸν ὡρισμένον χρόνον ἐγέννησεν αἰγίπανα, κατὰ τὴν ῥωμαίων φωνὴν σιλουανόν, ὁ δὲ οὐαλέριος ἀθυμήσας κατὰ τῶν αὐτῶν ἔρριψε κρημνῶν, ὡς ἀριστείδης μιλήσιος ἐν τρίτῳ ἰταλικῶν.

Μετὰ τὴν ἰλίου πόρθησιν ἐξεβράσθη διομήδης εἰς λιβύην, ἔνθα λύκος ἦν βασιλεὺς ἔθος ἔχων τοὺς ξένους ἄρει τῷ πατρὶ θύειν, καλλιρόη δὲ ἡ θυγάτηρ ἐρασθεῖσα διομήδους τὸν πατέρα προὔδωκε, καὶ τὸν διομήδην ἔσωσε λύσασα τῶν δεσμῶν, ὁ δὲ ἀμελήσας τῆς εὐεργέτιδος, ἀπέπλευσεν, ἡ δὲ βρόχῳ ἐτελεύτησεν, ὡς ἰόβας ἐν τρίτῃ λυβικῶν.

Καλπούρνιος κράσσος ἀνὴρ τῶν ἐπισήμων, ῥηγούλῳ συστρατευόμενος, ἐπέμφθη μετ᾽ ὀλίγων πορθήσων φρούριόν τι δυσάλωτον, γαραίτιον τοὔνομα. αἰχμάλωτος δὲ ληφθεὶς, ἔμελλε θύεσθαι τῷ κρόνῳ. βισαλτία δὲ τοῦ βασιλέως θυγάτηρ ἐρασθεῖσα προέδωκε τὸν πατέρα, καὶ νικηφόρον ἐκεῖνον ἐποίησεν. ἀναστρέψαντος δὲ αὐτοῦ ἡ κόρη κατέσφαξεν ἑαυτὴν, ὡς ἡσιάναξ ἐν τρίτῳ λιβυκῶν.

Πρίαμος πολύδωρον ὑπεξέθετο εἰς θράκην μετὰ χρυσίου πρὸς πολυμήστορα τὸν γαμβρόν, ὡς δ᾽ ἐγγὺς ἦν τοῦ πορθῆσθαι ἡ πόλις μετὰ τὴν ἅλωσιν ἀπέκτεινε τὸν παῖδα, ὡς ἂν κερδήσῃ τὸν χρυσόν. ἑκάβη δὲ ἐπὶ τοὺς τόπους παραγενομένη, καὶ σοφισαμένη, ὡς χρυσὸν δώσουσα ἅμα ταῖς αἰχμαλώτισι ταῖς χερσὶν ἐξετύφλωσεν, ὡς εὐριπίδης ὁ τραγῳδοποιός.

Λννίβα καμπανοὺς λεηλατοῦντος, λούκιος θρύμβεις τὸν υἱὸν ῥοῦστιον μετὰ χρημάτων ἔθετο πρὸς οὐαλέριον γέστιον ὄντα γαμβρόν, ὁ δὲ νενίκηκεν, ἀκούσας δὲ ὁ καμπανὸς, φιλαργυρίᾳ παρέβη τὰ δίκαια τῆς φύσεως, τὸν παῖδα φονεύσας, ὁ δὲ θρύμβεις διὰ τῆς ἀγροικίας πορευόμενος, καὶ τῷ σώματι τοῦ παιδὸς ἐντυχὼν ἔπεμψεν εὐθὺ τὸν γαμβρὸν, ὡς δείξων θησαυρούς, ἐλθόντα δὲ ἐτύφλωσε καὶ ἐσταύρωσεν, ὡς ἀριστείδης ἐν τρίτῳ ἰταλικῶν.

Φώκου ὄντος ἐκ ψαμάθης αἰακῷ, καὶ στεργομένου, τελαμὼν ἦγεν ἐπὶ θήραν, καὶ συὸς ἐπιφανέντος κατὰ τοῦ μισουμένου ἐπαφῆκε τὸ δόρυ καὶ ἐφόνευσεν, ὁ δὲ πατὴρ ἐφυγάδευσεν, ὡς δωρόθεος ἐν πρώτῳ μεταμορφώσεων.

Γάϊος μάξιμος ἔχων υἱοὺς σιμίλιον καὶ ῥῆσον, τὸν ἐγέννησεν ἐξ ἀμβρίας, κόνων ὁ ῥῆσος οὗτος ἐν κυνηγεσίῳ ἀπέκτεινε τὸν ἀδελφὸν, καὶ ὑποστρέψας, τὸ σύμπτωμα τύχης εἶπεν, οὐ κρίσεως γεγονέναι. ὁ δὲ γνοὺς τἀληθὲς ἐφυγάδευσεν, ὡς ἀριστοκλῆς ἐν τρίτῳ ἰταλικῶν. *

Ἄρης ἀλθαίᾳ συνῆλθε καὶ μελέαγρον ποιήσας, ὡς εὐριπίδης ἐν μελεάγρῳ.

Σεπτίμιος μάρκελλος γήμας σιλουίαν τὰ πολλὰ κυνηγίῳ προσέκειτο, τὴν δὲ νεόνυμφον ἐν σχήματι ποιμένος, ἄρης βιασάμενος ἔγκυμονα ἐποίησε, καὶ ὡμολόγησεν ὅστις ἦν, καὶ δόρυ ἔδωκεν, τὴν γένεσιν τοῦ μέλλοντος τίκτεσθαι φάσκων ὑπὲρ ἐν ἑαυτῷ ἀποκεῖσθαι, ἀπέκτεινε γοῦν σεπτίμιος τουσκῖνον. μάμερκος δὲ ὑπὲρ εὐκαρπίας θύων θεοῖς, μόνης ἠμέλησε δήμητρος. ἡ δὲ κάπρον ἔπεμψε, συναθροίσας δὲ πολλοὺς ἐκεῖνος κυνηγέτας ἀνεῖλε, καὶ τὴν κεφαλὴν καὶ τὸ δέρος τῇ κατηγγυημένῃ γυναικὶ κατεχώρησε, σκίμβρατης δὲ καὶ μουθίας οἱ μητράδελφοι περιείλοντο τῆς κόρης, ἀγανακτήσας δὲ ἀνεῖλε τοὺς συγγενεῖς, ἡ δὲ μήτηρ τὸ δόρυ κατέκαυσεν, ὡς μένυλλος ἐν τρίτῳ ἰταλικῶν.

Τελαμὼν ὁ αἰακοῦ καὶ ἐνδηΐδος ἐλθὼν εἰς εὔβοιαν καὶ νυκτὸς ἔφυγεν. ὁ δὲ πατὴρ αἰσθόμενος καὶ τῶν πολιτῶν τινὰ ὑποπτεύσας, ἔδωκε τὴν κόρην καταποντωθῆναι τινὶ τῶν δορυφόρων, ὁ δὲ ἐλεήσας ἀπημπόλησε. προσχούσης δὲ τῆς νεὼς σαλαμῖνι, τελαμὼν ὠνήσατο, ἡ δὲ ἔτεκεν αἴαντα, ὡς ἀρητάδης κνίδιος ἐν δευτέρῳ νησιωτικῶν.

Λούκιος τρώσιος θυγατέρα εἶχε φλωρεντίαν ἀπὸ τῆς πατρίδος, ταύτην ἔφθειρε καλπούρνιος ῥωμαῖος, ὁ δὲ παρέδωκε τὴν κόρην καταποντῖσαι, ἐλεηθεῖσα δὲ ὑπὸ τοῦ δορυφόρου, πιπράσκεται κατὰ τύχην τῆς νεὼς, προσχούσης εἰς ἰταλίαν, καλφούρνιος ὠνήσατο καὶ ἐποιήσατο ἐξ αὐτῆς κόντρουσκον.

Αἴολος τῶν κατὰ τυρρηνίαν βασιλεὺς ἔχων ἐξ ἀμφιθέας θυγατέρας ἓξ, καὶ ἴσους ἄρρενας, μακαρεὺς δὲ ὁ νεώτατος ἔρωτι ἔφθειρε μίαν, ἡ δὲ παιδίον ἐκύησεν. ἐμπεσούσῃ δὲ καὶ ξίφους πεμφθέντος ὑπὸ τοῦ πατρὸς ἄνομον κρίνασα ἑαυτὴν διεχρήσατο. ὁμοίως δὲ καὶ ὁ μακαρεὺς, ὡς σώστρατος ἐν δευτέρᾳ τυρρηνικῶν.

Παπίριος τολούκερ γήμας ἰουλίαν πούλχραν ἔχων ἓξ θυγατέρας, καὶ τοὺς ἴσους ἄρρενας, τούτων ὁ πρεσβύτατος παπίριος ῥωμανὸς τῆς ἀδελφῆς ἐρασθεὶς κανουλίας ἔγκυον ἐποίησε, μαθὼν δὲ ὁ πατὴρ τῇ θυγατρὶ ξίφος ἔπεμψεν, ἡ δὲ ἑαυτὴν ἀνεῖλε, τὸ αὐτὸ δὲ καὶ ὁ ῥωμανὸς ἔπραξεν, ὡς χρύσιππος ἐν τῷ πρώτῳ ἰταλικῶν.

Ἀρίστων ἀριστώνυμος ἐφέσιος υἱὸς δημοστράτου ἐμίσει γυναῖκας, ὄνῳ δὲ ἐμίσγετο. ἡ δὲ κατὰ χρόνον ἔτεκε κόρην εὐειδεστάτην, ὀνόσκελιν τοὔνομα, ὡς ἀριστοτέλης ἐν δευτέρᾳ παραδόξων.

Φουλούϊος στέλλος μισῶν γυναῖκας ἵππῳ συνεμίσγετο. ἡ δὲ κατὰ χρόνον ἔτεκε κόρην εὔμορφον καὶ ὠνόμασεν ἐπώναν, ἔστι δὲ θεοῖς πρόνοιαν ποιουμένη ἵππων, ὡς ἀγησίλαος ἐν τρίτῳ ἰταλικῶν.

Σαρδιανοὶ πρὸς σμυρναίους πόλεμον ἔχοντες περὶ τὰ τείχη ἐστρατοπεδεύσαντο, καὶ διὰ πρέσβεων ἔπεμψαν μὴ πρότερον ἀναχωρῆσαι, ἐὰν μὴ τὰς γυναῖκας συνελθεῖν αὐτοῖς συγχωρήσωσι, τῶν δὲ σμυρναίων διὰ τὴν ἀνάγκην μελλόντων πάσχειν κακῶς, θεραπαινὶς ἦν μία τῶν εὐσχημόνων, ἣ προσδραμοῦσα, ἔφη τῷ δεσπότῃ φιλάρχῳ, δεῖ τὰς θεραπαίνας κοσμήσαντας, ἀντ᾽ ἐλευθέρων πέμπειν. ὃ δὴ καὶ ἔδρασαν. οἱ δὲ κοπωθέντες ὑπὸ τῶν θεραπαινῶν ἑάλωσαν, ὅθεν καὶ νῦν παρὰ σμυρναίοις ἑορτὴ λέγεται ἐλευθέρια, ἐν ᾗ αἱ δοῦλαι τὸν κόσμον τῶν ἐλευθέρων φοροῦσιν, ὡς δοσίθεος ἐν τρίτῳ λυδιακῶν.

Ἀτεπόμαρος γάλλων βασιλεὺς ῥωμαίοις πολεμῶν ἔφη, μὴ πρότερον ἀναχωρῆσαι, ἐὰν μὴ τὰς γυναῖκας εἰς συνουσίαν ἐκδῶσι, τῶν δὲ διὰ συμβουλὴν θεραπαινίδων πεμψάντων τὰς δούλας, καὶ κοπωθέντες οἱ βάρβαροι τῇ ἀλήκτῳ συνουσίᾳ, ὑπνώθησαν. ἡ δὲ ῥητάνα, αὕτη γὰρ ἦν τούτων συμβουλεύσασα, ἀγρίας ἐπιλαβομένη συκῆς, ἀναβαίνει εἰς τὸ τεῖχος καὶ μηνύει τοῖς ὑπάτοις. οἱ δὲ ἐπελθόντες ἐνίκησαν, ἀφ᾽ οὗ καὶ ἑορτὴ θεραπαινῶν καλεῖται, ὡς ἀριστείδης μιλήσιος ἐν πρώτῃ ἰταλικῶν.

Ἀθηναίων πόλεμον ἐχόντων πρὸς εὔμολπον, καὶ τῆς εὐθηνίας μὴ ἐπαρκούσης, πύρανδρος ταμίας τῶν δημοσίων ὑπεσπάσατο τὸ μέτρον, φειδωλῶς χρώμενος. οἱ δὲ ἐγχώριοι, ὡς προδότην ὑποπτεύσαντες λιθόλευστον ἐποίησαν, ὡς καλλισθένης ἐν τρίτῳ θρᾳκικῶν.

Ῥωμαίων πρὸς γάλλους πολεμούντων, καὶ τῆς εὐθηνίας μὴ ἀρκούσης, κίννας τοῦ δήμου τὸ σιτόμετρον ὑπέσπασε, ῥωμαῖοι δὲ, ὡς ἀντιποιούμενον αὐτὸν τῆς βασιλείας λιθόλευστον ἐποίησαν, ὡς ἀριστείδης ἐν τρίτῳ ἰταλικῶν.

Ἐν τῷ πελοποννησιακῷ πολέμῳ πεισίστρατος ὀρχομένιος τοὺς μὲν εὐγενεῖς ἐμίσει, τοὺς δὲ εὐτελεῖς ἐφίλει, ἐβουλεύσαντο δὲ οἱ ἐν τῇ βουλῇ φονεῦσαι, καὶ διακόψαντες αὐτὸν εἰς τοὺς κόλπους ἔβαλον καὶ τὴν γῆν ἔξυσαν. ὁ δὲ δημότης ὄχλος ὑπόνοιαν λαβὼν ἔδραμεν εἰς τὴν βουλήν. ὁ δὲ νεώτερος υἱὸς τοῦ βασιλέως τλησίμαχος εἰδὼς τὴν συνωμοσίαν ἀπὸ τῆς ἐκκλησίας ἀπέσπασε τὸν ὄχλον, εἰπὼν ἑωρακέναι τὸν πατέρα μεθ᾽ ὁρμῆς εἰς τὸ πισαῖον ὄρος φέρεσθαι, μείζονα μορφὴν ἀνθρώπου κεκτημένον, καὶ οὕτως ἠπατήθη ὁ ὄχλος, ὡς θεόφιλος ἐν δευτέρῳ πελοποννησιακῶν.

Διὰ τοὺς ἀστυγείτονας πολέμους ἡ σύγκλητος τῶν ῥωμαίων τοῦ δήμου τὸ σιτόμετρον ἦρε, ῥωμύλος δὲ ὁ βασιλεὺς βαρέως ἐνεγκὼν, τῷ δήμῳ ἀπέδωκε, πολλοὺς δὲ τῶν μειζόνων ἐκόλαζεν. οἱ δὲ φονεύσαντες αὐτὸν ἐν τῇ συγκλήτῳ βουλῇ καὶ κόψαντες εἰς τοὺς κόλπους ἔβαλον. ῥωμαῖοι δὲ μετὰ πυρὸς εἰς τὴν σύγκλητον ἔδραμον, αἴτιος δὲ πρόκλος τῶν ἐπισήμων ἀνὴρ εἶπε τὸν ῥωμύλον ἐν ὄρει ἑωρακέναι μείζονα παντὸς ἀνθρώπου θεὸν γεγενῆσθαι, ῥωμαῖοι δὲ πιστεύσαντες ἀνεχώ-

ἔλαβον ·Η.

ρησαν, ὡς ἀριστόβουλος ἐν τρίτῳ ἰταλικῶν.

Πέλοψ ταντάλου καὶ εὐρυανάσσης, γήμας ἱπποδάμειαν, ἔσχεν ἀτρέα καὶ θυέστην, ἐκ δὲ δαναΐδος νύμφης χρύσιππον, ὃν πλέον τῶν γνησίων ἔστεργε. λάιος δὲ ὁ θηβαῖος ἐπιθυμήσας ἥρπασεν αὐτόν, καὶ συλληφθεὶς ὑπὸ θυέστου καὶ ἀτρέως ἐλέους ἔτυχε παρὰ πέλοπος διὰ τὸν ἔρωτα. ἱπποδάμεια δὲ ἀνέπειθεν ἀτρέα καὶ θυέστην ἀναιρεῖν αὐτόν, εἰδυῖα ἔσεσθαι ἔφεδρον βασιλείας, τῶν δὲ ἀρνησαμένων, αὐτὴ τῷ μύσει τὰς χεῖρας ἔχρισε, νυκτὸς γὰρ βαθείας κοιμωμένου λαΐου τὸ ξίφος ἑλκύσασα καὶ τρώσασα τὸν χρύσιππον, ἐγκαταπήγνυσι τὸ ξίφος. ὑπονοηθεὶς δὲ ὁ λάιος διὰ τὸ ξίφος, ῥύεται ὑπὸ ἡμιθνῆτος τοῦ χρυσίππου τὴν ἀλήθειαν ὁμολογήσαντος. ὁ δὲ θάψας, τὴν ἱπποδάμειαν ἐξώρισεν, ὡς δοσίθεος ἐν πελοπίδαις.

Ἤβιος τολίειξ γήμας νουκερίαν, ἔσχε δύο παῖδας ἐκ ταύτης, ἔσχε δὲ καὶ ἐξ ἀπελευθέρας κάλλει περίβλεπτον φίρμον, ὃν τῶν γνησίων μᾶλλον ἔστεργε. ἡ δὲ νουκερία πρὸς τὸν πρόγονον μισοπονήρως διακειμένη, τοὺς παῖδας ἀνέπειθεν αὐτὸν ἀναιρεῖν, τῶν δὲ εὐσεβῶς ἀνανευσάντων, αὐτὴ τὸν φόνον ἐνήργησεν, νυκτὸς τοῦ σωματοφύλακος τὸ ξίφος ἑλκύσασα καιρίως ἔτρωσε τὸν κοιμώμενον, ἐγκαταλιποῦσα τὸ ξίφος, τοῦ δὲ σωματοφύλακος ὑποπτευθέντος, ὁ παῖς τὴν ἀλήθειαν λέγει, ὁ δὲ τοῦτον θάψας τὴν γυναῖκα ἐφυγάδευσεν, ὡς δοσίθεος ἐν τρίτῳ ἰταλικῶν.

Θησεὺς ταῖς ἀληθείαις παῖς ποσειδῶνος, ἔχων δὲ ἐξ ἱππολύτης ἀμαζόνος ἱππόλυτον ἐπέγημε μητρυιὰν φαίδραν τὴν μίνωος, ἥτις τοῦ προγόνου εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τὴν τροφὸν ἔπεμψεν. ὁ δὲ καταλείψας ἀθήνας καὶ εἰς τροίζηνα παραγενόμενος, κυνηγεσίαις προσανέκειτο, τῆς δὲ προαιρέσεως ἡ ἀσελγὴς ἀποτυχοῦσα, ψευδεῖς κατὰ τοῦ σώφρονος ἐπιστολὰς ἐχάραξε καὶ βρόχῳ τὸ ζῆν ἀνήρτησε. θησεὺς δὲ πιστεύσας, ᾐτήσατο παρὰ ποσειδῶνος ἀπολέσθαι τὸν ἱππόλυτον, ἐκ τῶν τριῶν εὐχῶν ἃς εἶχε παρ' αὐτοῦ, ὁ δὲ παρ' αἰγιαλὸν ἐπὶ ἅρματος τυχόντι ταῦρον ἔπεμψε καὶ ἐπτόησε τοὺς ἵππους, οἳ συνέτριψαν τὸν ἱππόλυτον.

Κομμίνιος σοῦπερ λαυρεντῖνος ἔχων υἱὸν ἐξ αἰγερίας νύμφης κομμίνιον, ἐπήγαγε μητρυιὰν γιδίκαν, ἥτις ἐρασθεῖσα τοῦ προγόνου καὶ ἀποτυχοῦσα, βρόχῳ κατέστρεψε τὸν βίον, ἐπιστολὰς καταλείψασα ψευδεῖς. ὁ δὲ κομμίνιος ἀναγνοὺς τὰ ἐγκλήματα καὶ τῷ ζήλῳ πιστεύσας, ἐπεκαλέσατο τὸν ποσειδῶνα, ὁ δὲ τῷ παιδὶ ἐπὶ ἅρματος ὀχουμένῳ ταῦρον ἔδειξε, καὶ οἱ ἵπποι τὸν νέον σύραντες ἀπώλεσαν, ὡς δοσίθεος ἐν τρίτῳ ἰταλικῶν.

Λοιμοῦ κατασχόντος λακεδαίμονα, ἔχρησεν ὁ θεὸς παύσασθαι, ἐὰν παρθένον εὐγενῆ κατὰ ἔτος θύσωσιν. ἑλένης δέ ποτε κληρωθείσης καὶ προαχθείσης κεκοσμημένης, ἀετὸς καταπτὰς ἥρπασε τὸ ξίφος, καὶ ἐς τὰ βουκόλια κομίσας ἐπὶ δάμαλιν κατέθηκεν, ὅθεν ἀπέσχοντο τῆς παρθενοκτονίας, ὡς ἀριστόδημος ἐν τρίτῃ μυθικῇ συναγωγῇ.

Λοιμοῦ κατασχόντος χαλδρίους, καὶ φθορᾶς γενομένης, χρησμὸς ἐδόθη λωφῆσαι τὸ δεινόν, ἐὰν παρθένον τῇ ἥρᾳ θύωσι κατ' ἐνιαυτόν. ἀεὶ δὲ τῆς δεισιδαιμονίας μενούσης, κατὰ κλῆρον καλουμένη οὐαλερία λουπέρκα σπασαμένη τὸ ξίφος, ἀετὸς καταπτὰς ἥρπασε, καὶ ἐπὶ τῶν ἐμπύρων ἔθηκε ῥάβδον μικρὰν ἔχουσαν σφῦραν, τὸ δὲ ξίφος ἐπέβαλε δαμάλει τινὶ παρὰ τὸν ναὸν βοσκομένῃ. νοήσασα δὲ ἡ παρθένος καὶ τὴν βοῦν θύσασα καὶ τὴν σφῦραν ἄρασα, κατ' οἰκίας περιῆλθε, καὶ τοὺς ἀσθενοῦντας ἠρέμα πλήττουσα διήγειρεν, ἐρρῶσθαι ἑνὶ ἑκάστῳ λέγουσα. ὅθεν καὶ νῦν τὸ μυστήριον τελεῖται, ὡς ἀριστείδης ἐννεακαιδεκάτῳ ἰταλικῶν.

φυλονόμη

Φυλονόμη νυκτίμου καὶ ἀρκαδίας θυγάτηρ ἐκυνήγει σὺν τῇ ἀρτέμιδι. ἄρης δὲ ἐν σχήματι ποιμένος ἔγκυον ἐποίησεν. ἡ δὲ τεκοῦσα διδύμους παῖδας, καὶ φοβουμένη τὸν πατέρα, ἔρριψεν εἰς τὸν ἐρύμανθον. οἱ δὲ κατὰ πρόνοιαν ἀκινδύνως περιφερόμενοι, προσηνέχθησαν ἐν κοίλῃ δρυΐ. λύκαινα δὲ ἐμφωλεύουσα τοὺς μὲν ἰδίους σκύμνους εἰς τὸν ῥοῦν ἔρριψεν, τοῖς δὲ βρέφεσι θηλὴν παρέσχε. τύλιφος δὲ ποιμὴν αὐτόπτης γενόμενος καὶ ἀναλαβὼν τοὺς παῖδας, ὡς ἰδίους ἔθρεψε, τὸν μὲν καλέσας λύκαστον τὸν δὲ παρράσιον, τοὺς διαδεξαμένους τὴν βασιλείαν τῶν ἀρκάδων, ὡς ζώπυρος βυζάντιος ἐν τρίτῳ ἱστορικῶν.

Ἀμούλιος πρὸς νομίτορα τὸν ἀδελφὸν τυραννικῶς διακείμενον, τὸν μὲν υἱὸν αἴνιτον ἐπὶ κυνηγίᾳ ἀνεῖλε, τὴν δὲ θυγατέρα σιλουΐαν ἐν ἰουλίᾳ τῆς ἥρας, ἱέρειαν ἐποιήσατο, ταύτην ἄρης ἐγκύμονα ποιεῖ. ἡ δὲ ἔτεκε διδύμους, ὡμολόγησέ τε τῷ τυράννῳ τὴν ἀλήθειαν, ὁ δὲ φοβηθεὶς ἀμφοτέρους κατεπόντισε, βαλὼν παρὰ τὰς ὄχθας τοῦ θύμβρεως. οἱ δὲ προσηνέχθησαν ἐν τόπῳ, ἔνθα λύκαινα ἦν φωλεύουσα νεοτόκος, καὶ τοὺς μὲν σκύμνους ἔρριψε, τὰ δὲ βρέφη ἔτρεφε. φαῦστος δὲ ποιμὴν αὐτόπτης γενόμενος τοὺς παῖδας ἀνέθρεψε, καὶ τὸν μὲν ῥῶμον, τὸν δὲ ῥωμύλον προσηγόρευσε, τοὺς κτίσαντας ῥώμης, ὡς ἀριστείδης μιλήσιος ἐν τοῖς ἰταλικοῖς.

Μετὰ τὴν ἰλίου ἅλωσιν ἀγαμέμνων μετὰ κασσάνδρας ἀνῃρέθη, ὀρέστης δὲ παρὰ στροφίῳ ἀνατραφεὶς, τοὺς φονεῖς τοῦ πατρὸς ἐτιμωρήσατο, ὡς πύρανδρος ἐν τετάρτῳ πελοποννησιακῶν.

Φάβιος φαβρικιανὸς τοῦ μεγάλου συγγενὴς φαβίου πορθήσας τούξιον μητρόπολιν σαυνιτῶν τὴν παρ' αὐτοῖς τιμωμένην νικηφόρον ἀφροδίτην ἔπεμψεν εἰς ῥώμην, τούτου γυνὴ φαβία μοιχευθεῖσα ὑπό τινος εὐπρεποῦς νεανίου τοὔνομα πετρωνίου οὐαλεντίνου, τὸν ἄνδρα ἐδολοφόνησε. φαβία δὲ τὸν ἀδελφὸν ἔτι νήπιον φαβρικιανὸν τῶν κινδύνων ἐρρύσατο, καὶ ἔπεμψε κρύφα τραφησόμενον. ἀκμάσας δὲ ὁ νεανίας τήν τε μητέρα καὶ τὸν μοιχὸν ἀπέκτεινε, καὶ ἀπελύθη ὑπὸ τῆς συγκλήτου, ὡς ἱστορεῖ δοσίθεος ἐν τρίτῳ ἰταλικῶν.

Βούσιρις παῖς ποσειδῶνος καὶ ἀνίππης τῆς νείλου τοὺς παριόντας ὑπούλῳ φιλοξενίᾳ κατέθυε, μετῆλθε δὲ αὐτὸν ἡ τῶν τετελευτηκότων νέμεσις. ἡρακλῆς γὰρ ἐπιτεθεὶς τῷ ῥοπάλῳ διεχρήσατο, ὡς ἀγάθων σάμιος.

Ἡρακλῆς τὰς γηρυόνου βοῦς ἐλαύνων δι' ἰταλίας ἐπεξενώθη φαύνῳ βασιλεῖ, ὃς ἦν ἑρμοῦ παῖς, καὶ τοὺς ξένους τῷ γεννήσαντι ἔθυεν, ἐπιχειρήσας δὲ τῷ ἡρακλεῖ, ἀνῃρέθη, ὡς δέρκυλλος ἐν τρίτῳ ἰταλικῶν.

Φάλαρις ἀκραγαντίνων τύραννος ἀπότομος τοὺς παριόντας ξένους ἐστρέβλου καὶ ἐκόλαζε, περίλαος δὲ τῇ τέχνῃ χαλκουργὸς, δάμαλιν κατασκευάσας χαλκῆν, ἔδωκε τῷ βασιλεῖ, ὡς ἂν τοὺς ξένους κατακαίῃ ζῶντας ἐν αὐτῇ. ὁ δὲ μόνον τότε γενόμενος δίκαιος, αὐτὸν ἐνέβαλεν. ἐδόκει δὲ μυκηθμὸν ἀναδιδόναι ἡ δάμαλις, ὡς ἐν δευτέρῳ αἰτιῶν.

Ἐν αἰγέστῃ τῇ πόλει τῆς σικελίας ἐγένετό τις ὠμὸς τύραννος αἰμίλιος κενσωρῖνος, οὗτος τοὺς καινότερα βασανιστήρια κατασκευάσαντας ἐδωροδόκει, εἷς δέ τις ἀρούντιος πατέρκουλος δημιουργήσας ἵππον χαλκοῦν τῷ προειρημένῳ δῶρον ἔδωκεν, ἵνα βάλλῃ αὐτούς, ὁ δὲ τότε πρῶτον νομίμως ἀναστραφεὶς τὸν χαρισάμενον πρότερον ἔβαλεν, ὡς ἂν ἣν ἐπενόησε βάσανον ἄλλοις, αὐτὸς πάθῃ πρῶτος, εἶτα συλλαβὼν ἀπὸ τοῦ ταρπηΐου ὄρους ἔρριψε. καὶ δοκοῦσιν οἱ ἀποτόμως βασιλεύσαντες ἀπ' ἐκείνου αἰμίλιοι προσαγορεύεσθαι, ὡς ἀριστείδης ἐν τετάρτῳ ἰταλικῶν.

Εὔηνος Ἄρεος καὶ Στερόπης, τὴν Οἰνομάου γήμας Ἀλκίππην, ἐγέννησε θυγατέρα Μάρπισσαν, ἣν παρθένον ἐφρούρει· Ἴδας ὁ Ἀφάρηως καὶ ἁρπάσας ἐκ χοροῦ ἔφυγεν. ὁ δὲ πατὴρ διώξας καὶ μὴ συλλαβὼν, εἰς τὸν Λυκόρμαν ἔρριψεν ἑαυτὸν ποταμὸν, καὶ ἀθάνατος ἐγένετο, ὡς Δοσίθεος ἐν πρώτῳ Ἰταλικῶν.

φιλίαν ·Η·

Ἄννιος δὲ Τούσκων βασιλεὺς ἔχων θυγατέρα εὔμορφον τοὔνομα Σαλίαν παρθένον ἐτήρει, Κάθητος δὲ ἐκ τῶν ἐπισήμων ἰδὼν τὴν παρθένον παίζουσαν, ἠράσθη, καὶ μὴ στέγων τὸν ἔρωτα, ἥρπασε καὶ ἦγεν εἰς Ῥώμην. ὁ δὲ πατὴρ ἐπιδιώξας καὶ μὴ συλλαβὼν ἥλατο εἰς τὸν παρεούσιον ποταμόν, ὃς Ἀνίων μετωνομάσθη. τῇ δὲ Σαλίᾳ συγγενόμενος Κάθητος, ἐποιήσατο Λατῖνον καὶ Σάλιον, ἀφ' ὧν οἱ εὐγενέστατοι κατῆγον τὸ γένος, ὡς Ἀριστείδης Μιλήσιος καὶ Ἀλέξανδρος ὁ Πολυΐστωρ ἐν τρίτῳ Ἰταλικῶν.

Ἡγησίστρατος ἀνὴρ Ἐφέσιος ἐμφύλιον φόνον δράσας, ἔφυγεν εἰς Δελφοὺς, καὶ ἠρώτα τὸν θεὸν ποῦ οἰκήσειεν. ὁ δὲ Ἀπόλλων ἀνεῖπεν ἔνθα ἂν ἴδῃ χορεύοντας ἀγροίκους θαλλοῖς ἐλαίας ἐστεφανωμένους, γενόμενος δὲ κατὰ τὸν τόπον τῆς Ἀσίας, καὶ θεασάμενος φύλλοις ἐλαίας ἐστεφανωμένους γεωργοὺς καὶ χορεύοντας ἔκτισεν αὐτοῦ πόλιν, καὶ ἐκάλεσεν Ἐλαιοῦντα, ὡς Πυθοκλῆς Σάμιος ἐν τρίτῳ Γεωργικῶν.

Τηλέγονος Ὀδυσσέως καὶ Κίρκης ἐπὶ ἀναζήτησιν τοῦ πατρὸς πεμφθεὶς, ἔμαθε πόλιν κτίσαι, ἔνθα ἂν ἴδῃ γεωργοὺς ἐστεφανωμένους καὶ χορεύοντας, γενόμενος δὲ κατά τινα τόπον τῆς Ἰταλίας καὶ θεασάμενος ἀγροίκους πρινίοις κλάδοις ἐστεφανωμένους καὶ ὀρχήσει προσευκαιροῦντας, ἔκτισε πόλιν ἀπὸ τοῦ συγκυρήματος, Πρίνιστον ὀνομάσας, ἣν Ῥωμαῖοι παραγώγως, Πραίνεστον καλοῦσι, ὡς ἱστορεῖ Ἀριστοκλῆς ἐν τρίτῳ Ἰταλικῶν.

ΣΥΝΟΨΙΣ ΤΟΥ ΟΤΙ ΠΑΡΑΔΟΞΟΤΕΡΑ ΟΙ ΣΤΩΙΚΟΙ ΤΩΝ ΠΟΙΗΤΩΝ ΛΕΓΟΥΣΙΝ.

Πινδάρου Καινεὺς εὐθύναν ὑπεῖχεν ἀπιθάνως ἄρρηκτος σιδήρῳ καὶ ἀπαθὴς τὸ σῶμα πλασσόμενος, εἶτα καταδὺς ἄτρωτος ὑπὸ γῆν σχίσας ὀρθῷ ποδὶ γᾶν. ὁ δὲ Στωϊκὸς Λαπίθης ὥσπερ ἐξ ἀδαμαντίνης ὕλης ὑπ' αὐτῶν τῆς ἀπαθείας κεχαλκευμένος, οὐκ ἄτρωτός ἐστι, οὐδὲ ἄνοσος, οὐδὲ ἀναλγὴς, ἄφοβος δὲ μένει καὶ ἄλυπος, καὶ ἀήττητος, καὶ ἀβίαστος, τιτρωσκόμενος, ἀλγῶν, στρεβλούμενος ἐν κατασκαφαῖς πατρίδος, ἐν πάθεσι τοιούτοις. καὶ ὁ μὲν Πινδάρου Καινεὺς βαλλόμενος οὐ τιτρώσκεται. ὁ δὲ τῶν Στωϊκῶν σοφὸς ἐγκλειόμενος οὐ κωλύεται, καὶ κατακρημνιζόμενος οὐκ ἀναγκάζεται, καὶ στρεβλούμενος οὐ βασανίζεται, καὶ πηρούμενος οὐ βλάπτεται, καὶ πίπτων ἐν τῷ παλαίειν, ἀήττητός ἐστι, καὶ περιτειχιζόμενος ἀπολιόρκητος, καὶ πωλούμενος ὑπὸ τῶν πολεμίων ἀνάλωτος, οὐθὲν τῶν πλοίων διαφέρων, οἷς ἐπιγέγραπται μὲν εὔπλοια, καὶ πρόνοια σώζουσα, καὶ θεραπεία, χειμάζεται δὲ καὶ συντρίβεται καὶ ἀνατρέπεται. ὁ Εὐριπίδου Ἰόλαος ἐξ ἀδρανοῦς καὶ παρήλικος εὐχῇ τινὶ νέος καὶ ἰσχυρὸς ἐπὶ τὴν μάχην ἄφνω γέγονεν. ὁ δὲ τῶν Στωϊκῶν σοφὸς, χθὲς μὲν ἦν ἔχθιστος ἅμα καὶ κάκιστος, τήμερον ἄφνω μεταβέβληκεν εἰς ἀρετὴν, καὶ γέγονεν ἐκ ῥυσοῦ, καὶ ὠχροῦ, καὶ κατ' Αἰσχύλον ἐξ ὀσφυαλγοῦς καὶ ὀδυνοσπάδος, λυγροῦ γέροντος, εὐπρεπὴς, θεοειδὴς, καλλίμορφος. καὶ τοῦ Ὀδυσσέως ἡ Ἀθηνᾶ τὴν ῥυσότητα καὶ φαλακρότητα καὶ ἀμορφίαν, ἀφῄρηκεν, ὅπως φανείη καλός. ὁ δὲ τούτων σοφὸς οὐκ ἀπολείποντος τὸ σῶμα τοῦ γήρως, ἀλλὰ καὶ προσεπιθέντος καὶ προσεπιχώσαντος μὲν ὢν κυρτὸς αὖ οὕτω τύχῃ, νωδὸς, ἑτερόφθαλμος, οὔτε αἰσχρὸς οὔτε δύσμορφος οὔτε κακοπρόσωπός ἐστιν. ὁ γὰρ Στωϊκὸς ἔρως, ὥσπερ οἱ κάνθαροι λέγονται, τὸ μὲν μύρον ἀπολιπεῖν, τὰ δὲ δυσώδη διώκειν, οὕτως τοῖς αἰσχίστοις καὶ ἀμορφοτάτοις ὁμιλῶν, ὅταν εἰς εὐμορφίαν καὶ κάλλος ὑπὸ σοφίας μεταβάλωσιν ἀποτρέπεται. ὁ παρὰ τοῖς Στωϊκοῖς κάκιστος ἂν οὕτω τύχῃ πρωῒ, δείλης ἄριστος, καὶ καταδαρθὼν ἔμπληκτος, καὶ ἀμαθὴς, καὶ ἄδικος, καὶ ἀκόλαστος, καὶ ναὶ μὰ Δία δοῦλος, καὶ πένης καὶ ἄπορος αὐθημερὸν ἀνίσταται, καὶ βασιλεὺς καὶ πλούσιος καὶ ὄλβιος γεγονὼς, σώφρων τε καὶ δίκαιος καὶ βέβαιος καὶ ἄδοξος, οὐ γένεια φύσας, οὐδ' ἥβην ἐν σώματι νέῳ καὶ ἁπαλῷ, ἀλλ' ἐν ἀσθενεῖ καὶ ἁπαλῇ ψυχῇ καὶ ἀνάνδρῳ καὶ ἀβεβαίῳ, νοῦν τέλειον, ἄκραν φρόνησιν, ἰσόθεον διάθεσιν, ἀδόξαστον ἐπιστήμην, καὶ ἀμετάπτωτον ἕξιν ἐσχηκὼς, οὐδὲν ἐνδούσης πρότερον αὐτῷ τῆς μοχθηρίας· ἀλλ' ἐξαίφνης ὀλίγου δέω εἰπεῖν, ἥρως τις ἢ δαίμων ἢ θεὸς, ἐκ θηείων τοῦ κακίστου γενόμενος, ἐκ τῆς στοᾶς γὰρ λαβόντα τὴν ἀρετὴν, ἔστιν εἰπεῖν εὔξαι εἴ τι βούλει, πάντα σοι γενήσεται, πλοῦτον φέρει, βασιλείαν ἔχει, τύχην δίδωσιν, εὐπότμους ποιεῖ καὶ ἀπροσδεεῖς καὶ αὐτάρκεις, μίαν οἴκοθεν δραχμὴν οὐκ ἔχοντας. ὁ μὲν γὰρ ποιητικὸς μῦθος τὸ κατὰ λόγον φυλάττων οὐδαμοῦ προλείπει τὸν Ἡρακλέα τῶν ἀναγκῶν δεόμενον· ἀλλ' ὥσπερ ἐκ πηγῆς ἐπιρρεῖ αὐτῷ καὶ τοῖς συνοῦσιν. ὁ δὲ τὴν Στωϊκὴν λαβὼν Ἀμάλθειαν, πλούσιος μὲν γέγονεν, ἐρανίζεται δὲ τροφὴν παρ' ἑτέρων, καὶ βασιλεὺς μέν ἐστι, μισθοῦ δὲ ἀναλύει συλλογισμοὺς, καὶ πάντα μὲν ἔχει μόνος, ἐνοίκιον δὲ τελεῖ, καὶ ἄλφιτα ἀνεῖται πολλάκις δανειζόμενος, ἢ μεταιτῶν παρὰ τῶν οὐδὲν ἐχόντων, καὶ ὁ μὲν Ἰθακησίων βασιλεὺς προσαιτεῖ λανθάνειν ὅς ἐστι βουλόμενος, καὶ ποιῶν ἑαυτὸν ὡς μάλιστα πτωχῷ λευγαλέῳ ἐναλίγκιον. ὁ δὲ ἐκ τῆς στοᾶς βοῶν μέγα καὶ κεκραγὼς ἐγὼ μόνος εἰμὶ βασιλεὺς, ἐγὼ μόνος εἰμὶ πλούσιος, ὁρᾶται πολλάκις ἐπ' ἀλλοτρίαις θύραις λέγων δὸς χλαῖναν Ἱππώνακτι· κάρτα γὰρ ῥιγῶ καὶ βαμβακύζω.

θηρίου .l. Δ.

ἀναγκαίων .l. Δ.

ὠνεῖται .l. Δ.

Εὔηνος ἄρεος καὶ στερόπης, τὴν οἰνομάου γήμας ἀλκίππην, ἐγέννησε θυγατέρα μάρπισαν, ἣν παρθένον ἐφρούρει. ἴδας ὁ ἀφάρεως καὶ ἁρπάσας ἐκ χοροῦ ἔφυγεν. ὁ δὲ πατὴρ διώξας καὶ μὴ συλλαβών, εἰς τὸν λυκόρμαν ἔρριψεν ἑαυτὸν ποταμόν, καὶ ἀθάνατος ἐγένετο, ὡς δοσίθεος ἐν πρώτῳ ἰταλικῶν.

φιλίαν ·Η·

Ἄννιος δὲ τούσκων βασιλεὺς ἔχων θυγατέρα εὔμορφον τοὔνομα σαλίαν, παρθένον ἐτήρει, κάθητος δὲ ἐκ τῶν ἐπισήμων ἰδὼν τὴν παρθένον παίζουσαν, ἠράσθη, καὶ μὴ στέγων τὸν ἔρωτα, ἥρπασε καὶ ἦγεν εἰς ῥώμην. ὁ δὲ πατὴρ ἐπιδιώξας καὶ μὴ συλλαβὼν ἥλατο εἰς τὸν παρεούσιον ποταμόν, ὃς ἀνίων μετωνομάσθη. τῇ δὲ σαλίᾳ συγγενόμενος κάθητος, ἐποιήσατο λατῖνον καὶ σάλιον, ἀφ' ὧν οἱ εὐγενέστατοι κατῆγον τὸ γένος, ὡς ἀριστείδης μιλήσιος καὶ ἀλέξανδρος ὁ πολυΐστωρ ἐν τρίτῳ ἰταλικῶν.

Ἡγήσιστρατος ἀνὴρ ἐφέσιος ἐμφύλιον φόνον δράσας, ἔφυγεν εἰς δελφούς, καὶ ἠρώτα τὸν θεὸν ποῦ οἰκήσειεν. ὁ δὲ ἀπόλλων ἀνεῖπεν ἔνθα ἂν ἴδῃ χορεύοντας ἀγροίκους θαλλοῖς ἐλαίας ἐστεφανωμένους, γενόμενος δὲ κατὰ τὸν τόπον τῆς ἀσίας, καὶ θεασάμενος φύλλοις ἐλαίας ἐστεφανωμένους γεωργοὺς καὶ χορεύοντας ἔκτισεν αὐτοῦ πόλιν, καὶ ἐκάλεσεν ἐλαιοῦντα, ὡς πυθοκλῆς σάμιος ἐν τρίτῳ γεωργικῶν.

Τηλέγονος ὁ ὀδυσσέως καὶ κίρκης ἐπὶ ἀναζήτησιν τοῦ πατρὸς πεμφθείς, ἔμαθε πόλιν κτίσαι, ἔνθα ἂν ἴδῃ γεωργοὺς ἐστεφανωμένους καὶ χορεύοντας, γενόμενος δὲ κατά τινα τόπον τῆς ἰταλίας καὶ θεασάμενος ἀγροίκους πρινίνοις κλάδοις ἐστεφανωμένους καὶ ὀρχήσει προσευκαιροῦντας, ἔκτισε πόλιν ἀπὸ τοῦ συγκυρήματος, πρίνιστον ὀνομάσας, ἣν ῥωμαῖοι παραγώγως, πραίνεστον καλοῦσι, ὡς ἱστορεῖ ἀριστοκλῆς ἐν τρίτῳ ἰταλικῶν.

ΣΥΝΟΨΙΣ ΤΟΥ ΟΤΙ ΠΑΡΑΔΟΞΟΤΕΡΑ ΟΙ ΣΤΩΙΚΟΙ ΤΩΝ ΠΟΙΗΤΩΝ ΛΕΓΟΥΣΙΝ.

Πινδάρου καινεὺς εὐθύναν ὑπεῖχεν ἀπιθάνως ἄρρηκτος σιδήρῳ καὶ ἀπαθὴς τὸ σῶμα πλασσόμενος, εἶτα καταδὺς ἄτρωτος ὑπὸ γῆν σχίσας ὀρθῷ ποδὶ γᾶν. ὁ δὲ στωϊκὸς λαπίθης ὥσπερ ἐξ ἀδαμαντίνης ὕλης ὑπ' αὐτῶν τῆς ἀπαθείας κεχαλκευμένος, οὐκ ἄτρωτός ἐστι, οὐδὲ ἄνοσος, οὐδὲ ἀναλγής, ἄφοβος δὲ μένει καὶ ἄλυπος, καὶ ἀήττητος, καὶ ἀβίαστος, τιτρωσκόμενος, ἀλγῶν, στρεβλούμενος ἐν κατασκαφαῖς πατρίδος, ἐν πάθεσι τοιούτοις. καὶ ὁ μὲν πινδάρου καινεὺς βαλλόμενος οὐ τιτρώσκεται. ὁ δὲ τῶν στωϊκῶν σοφὸς ἐγκλειόμενος οὐ κωλύεται, καὶ κατακρημνιζόμενος οὐκ ἀναγκάζεται, καὶ στρεβλούμενος οὐ βασανίζεται, καὶ πηρούμενος οὐ βλάπτεται, καὶ πίπτων ἐν τῷ παλαίειν, ἀήττητός ἐστι, καὶ περιτειχιζόμενος ἀπολιόρκητος, καὶ πωλούμενος ὑπὸ τῶν πολεμίων ἀνάλωτος, ὅθεν τῶν πλοίων διαφόρων, οἷς ἐπιγέγραπται μὲν εὔπλοια, καὶ πρόνοια σώζουσα, καὶ θεραπεία, χειμάζεται δὲ καὶ συντρίβεται καὶ ἀνατρέπεται. ὁ εὐριπίδου ἰόλαος ἐξ ἀδρανοῦς καὶ παρήλικος εὐχῇ τινὶ νέος καὶ ἰσχυρὸς ἐπὶ τὴν μάχην ἄφνω γέγονεν. ὁ δὲ τῶν στωϊκῶν σοφός, χθὲς μὲν ἦν ἔχθιστος ἅμα καὶ κάκιστος, τήμερον δ' ἄφνω μεταβέβληκεν εἰς ἀρετήν, καὶ γέγονεν ἐκ ῥυσοῦ, καὶ ὠχροῦ, καὶ κατ' αἰσχύλον ἐξ ὀσφυαλγοῦς καὶ ὀδυνοσπάδος, λυγροῦ γέροντος, εὐπρεπής, θεοειδής, καλλίμορφος. καὶ τοῦ ὀδυσσέως ἡ ἀθηνᾶ τὴν ῥυσότητα καὶ φαλακρότητα καὶ ἀμορφίαν, ἀφῄρηκεν, ὅπως φανείη καλός. ὁ δὲ τούτων σοφὸς οὐκ ἀπολείποντος τὸ σῶμα τοῦ γήρως, ἀλλὰ καὶ προσεπιτιθέντος καὶ προσεπισωρεύοντος μένων κυρτὸς ἂν οὕτω τύχῃ, νωδός, ἑτερόφθαλμος, οὔτε αἰσχρὸς οὔτε δύσμορφος οὔτε κακοπρόσωπός ἐστιν. ὁ γὰρ στωϊκὸς ἔρως, ὥσπερ οἱ κάνθαροι λέγονται, τὸ μὲν μύρον ἀπολιπεῖν, τὰ δὲ δυσώδη διώκειν, οὕτως τοῖς αἰσχίστοις καὶ ἀμορφοτάτοις ὁμιλῶν, ὅταν εἰς εὐμορφίαν καὶ κάλλος, ὑπὸ σοφίας μεταβάλλωσιν ἀποτρέπεται. ὁ παρὰ τοῖς στωϊκοῖς κάκιστος ἂν οὕτω τύχῃ πρωΐ, δείλης ἄριστος, καὶ καταδαρθὼν ἔμπληκτος, καὶ ἀμαθής, καὶ ἄδικος, καὶ ἀκόλαστος, καὶ νὴ μὰ δία δοῦλος, καὶ πένης καὶ ἄπορος αὐθημερὸν ἀνίσταται, καὶ βασιλεὺς καὶ πλούσιος καὶ ὄλβιος γεγονώς, σώφρων τε καὶ δίκαιος καὶ βέβαιος καὶ ἄδοξος, οὐ γένεια φύσας, οὐδ' ἥβην ἐν σώματι νέῳ καὶ ἁπαλῷ, ἀλλ' ἐν ἀσθενεῖ καὶ ἁπαλῇ ψυχῇ καὶ ἀνάνδρῳ καὶ ἀβεβαίῳ, νοῦν τέλειον, ἄκραν φρόνησιν, ἰσόθεον διάθεσιν, ἀδόξαστον ἐπιστήμην, καὶ ἀμετάπτωτον ἕξιν ἐσχηκώς, οὐδὲν ἐνδούσης πρότερον αὐτῷ τῆς μοχθηρίας· ἀλλ' ἐξαίφνης ὀλίγου δέω εἰπεῖν, ἥρως τις ἢ δαίμων ἢ θεός, ἐκ θηρίων τοῦ κακίστου γενόμενος, ἐκ τῆς στοᾶς γὰρ λαβόντα τὴν ἀρετήν, ἔστιν εἰπεῖν εὖξαι εἴ τι βούλει, πάντα σοι γενήσεται, πλοῦτον φέρει, βασιλείαν ἔχει, τύχην δίδωσιν, εὐπότμους ποιεῖ καὶ ἀπροσδεεῖς καὶ αὐτάρκεις, μίαν οἴκοθεν δραχμὴν οὐκ ἔχοντας. ὁ μὲν γὰρ ποιητικὸς μῦθος τὸ κατὰ λόγον φυλάττων οὐδαμοῦ προλείπει τὸν ἡρακλέα τῶν ἀνακῶν δεόμενον· ἀλλ' ὥσπερ ἐκ πηγῆς ἐπιρρεῖ αὐτῷ καὶ τοῖς συνοῦσιν. ὁ δὲ τὴν στωικὴν λαβὼν ἀμάλθειαν, πλούσιος μὲν γέγονεν, ἐρανίζεται δὲ τροφὴν παρ' ἑτέρων, καὶ βασιλεὺς μέν ἐστι, μισθοῦ δὲ ἀναλύει συλλογισμούς, καὶ πάντα μὲν ἔχει μόνος, ἐνοίκιον δὲ τελεῖ, καὶ ἄλφιτα ἀνεῖται πολλάκις δανειζόμενος, ἢ μεταιτῶν παρὰ τῶν οὐδὲν ἐχόντων, καὶ ὁ μὲν ἰθακησίων βασιλεὺς προσαιτεῖ λανθάνειν ὅς ἐστι βουλόμενος, καὶ ποιῶν ἑαυτὸν ὡς μάλιστα πτωχῷ λευγαλέῳ ἐναλίγκιον. ὁ δ' ἐκ τῆς στοᾶς βοῶν μέγα καὶ κεκραγώς, ἐγὼ μόνος εἰμὶ βασιλεύς, ἐγὼ μόνος εἰμὶ πλούσιος, ὁρᾶται πολλάκις ἐπ' ἀλλοτρίαις θύραις λέγων δὸς χλαῖναν ἱππώνακτι· κάρτα γὰρ ῥιγῶ καὶ βαμβακύζω.

θηρίου ·l· Δ.

ἀναγκαίων ·l· Δ.

ὠνεῖται ·l· Δ.

ΠΕΡΙ ΜΟΝΑΡΧΙΑΣ ΚΑΙ ΔΗΜΟΚΡΑΤΙΑΣ ΚΑΙ ΟΛΙΓΑΡΧΙΑΣ.

ις ἔγωγε δὴ τὸ δυνατὸν καὶ αὐτὸς εἰς τὴν γενομένην μοι
πρὸς ὑμᾶς διάλεξιν ἐχθὲς, ᾤμην τῆς πολιτικῆς ἀρετῆς ὕπαρ
ἢ ὄναρ ἀκοῦσαι λεγούσης· κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν
ἀοιδαῖς· προσφερομένους καὶ διαιρῶν ἐπὶ πολιτείαν βέβληται
λόγος, εἰ ἀτεχνῶς μὲν ἤδη τὴν ὀφειλομένην ἐποικοδομοῦντες τῇ
προτροπῇ διδασκαλίαν, ὀφείλεται δὲ τῷ παραδεδεγμένῳ, τὴν ἐπὶ τὸ πράττειν
τὰ κοινὰ προτροπὴν καὶ ὁρμήν, ἐξ ἧς ἀκοῦσαι καὶ λαβεῖν παραγγέλματα πο-
λιτείας, οἷς χρώμενος, ὡς ἀνυστόν ἐστιν ἀνθρώπῳ, δημωφελὴς ἔσται μετ' ἀσφα-
λείας ἅμα καὶ τιμῆς δικαίας εὖ τιθέμενος τὸ οἰκεῖον. ὃ δὲ πρότερον μέν ἐστιν
εἰς τὰ μέλλοντα, τοῖς δὲ προλελεγμένοις ἕπεται, σκεπτέον, ἥτις ἡ ἀρίστη πο-
λιτεία, καθάπερ γὰρ ἀνθρώπου βίοι πλείονές εἰσι, καὶ δήμου πολιτεία βίος, ὥστε λα-
βεῖν τὴν ἀρίστην ἀναγκαῖον· ἢ γὰρ ἐκ πασῶν αἱρήσεται ταύτην ὁ πολιτικός, ἢ τῶν λοι-
πῶν τὴν ὁμοιοτάτην, εἰ ταύτην ἀδύνατον. λέγεται μὲν δὴ πολιτεία καὶ μετά-
ληψις τῶν ἐν πόλει δικαίων, ὡς φαμὲν Ἀλεξάνδρῳ πολιτείαν Μεγαρέας ψηφίσασθαι·
τοῦ δ' εἰς γέλωτα θεμένου τὴν σπουδὴν αὐτῶν, εἰπεῖν ἐκείνους, ὅτι μόνῳ πρότερον
τὴν πολιτείαν Ἡρακλεῖ καὶ μετ' ἐκεῖνον αὐτῷ ψηφίσαιντο, τὸν δὲ θαυμάσαντα δέξα-
σθαι, τὸ τίμιον ἐν τῷ σπανίῳ τιθέμενον. λέγεται δὲ καὶ βίος ἀνδρὸς πολιτικοῦ καὶ τὰ κοι-
νὰ πράττοντος πολιτεία, καθὸ τὴν Περικλέους πολιτείαν ἐπαινοῦμεν καὶ τὴν Βίαντος,
ψέγομεν δὲ τὴν Ὑπερβόλου καὶ Κλέωνος· ἔνιοι δὲ καὶ μίαν πρᾶξιν εὔστοχον εἰς τὰ κοι-
νὰ καὶ λαμπρὰν, πολιτείαν προσαγορεύουσιν, οἷον χρημάτων ἐπίδοσιν, διάλυσιν πολέ-
μου, ψηφίσματος εἰσήγησιν, καθὸ καὶ πεπολιτεῦσθαι τὸν δεῖνα σήμερον λέγομεν, εἰ τύ-
χοι τι διαπραξάμενος ἐν κοινῷ τῶν δεόντων. παρὰ πάντα ταῦτα λέγεται πολιτεία
τάξις καὶ κατάστασις πόλεως διοικοῦσα τὰς πράξεις, καθά φασι τρεῖς εἶναι πολιτείας, μο-
ναρχίαν, καὶ ὀλιγαρχίαν, καὶ δημοκρατίαν, ὧν καὶ Ἡρόδοτος ἐν τῇ τρίτῃ σύγκρισιν πε-
ποίηται, καὶ δοκοῦσι γενικώταται εἶναι· τὰς γὰρ ἄλλας ὥσπερ ἐν τοῖς μουσικοῖς διαγράμμασι
τῶν πρώτων τόνων ἀνιεμένων ἢ ἐπιτεινομένων, συμβέβηκε παρακρούσεις καὶ διαφθο-
ρὰς κατ' ἔλλειψιν ἢ ὑπερβολὴν εἶναι, ταύτας δὲ καὶ πλεῖστον καὶ μέγιστον ἐν ἡγεμονί-
αις δυνηθείσας τῶν ἐθνῶν ἀπεκληρώσαντο τὰς πολιτείας· Πέρσαι μὲν αὐτοκρατῆ βα-
σιλείαν, καὶ ἀνυπεύθυνον· Σπαρτιᾶται δὲ ἀριστοκρατικὴν ὀλιγαρχίαν καὶ αὐθέκα-
στον· Ἀθηναῖοι δὲ αὐτόνομον καὶ ἄκρατον δημοκρατίαν· ὧν ἁμαρτανομένων παρα-
τροπαὶ καὶ ὑπερχύσεις εἰσίν, αἱ λεγόμεναι τυραννίδες καὶ δυναστεῖαι, καὶ ὀχλοκρατί-
αι· ὅταν βασιλεία μὲν, ὕβριν ἐντέκῃ καὶ ἀνυπεύθυνον· ὀλιγαρχία δὲ, ὑπερφροσύνην τὸ
αὔθαδες· δημοκρατία δὲ, ἀναρχίαν, ἰσότης, ἀμετρίαν, πᾶσαι δὲ τὸ ἀνόητον. ὥσπερ
οὖν ὁ ἁρμονικὸς καὶ μουσικὸς ἀνὴρ παντὶ μὲν ὀργάνῳ χρήσεται προσῳδῷ τεχνικῶς ἁρ-
μοσάμενος, καὶ λόγῳ κρούων ἕκαστον, ὡς πέφυκεν ἐμμελὲς ὑπηχεῖν, ἤδη μέντοι συμβούλῳ
Πλάτωνι χρησάμενος πηκτίδας σαμβύκας, καὶ ψαλτήρια πολύφθογγα καὶ βαρβίτους
καὶ τρίγωνα παραπέμψας, τὴν λύραν καὶ τὴν κιθάραν προτιμήσει, τὸν αὐτὸν τρόπον
ὁ πολιτικὸς ἀνήρ, εὖ μὲν ὀλιγαρχίαν Λακωνικὴν, καὶ Λυκούργειον μεταχειριεῖ-
ται, συναρμοσάμενος αὐτῷ τοὺς ἰσοκρατεῖς καὶ ὁμοτίμους ἄνδρας, ἡσυχῇ προσβι-
αζόμενος, εὖ δὲ πολυφθόγγῳ καὶ πολυχόρδῳ συνοίσεται δημοκρατίᾳ, τὰ μὲν
ἀνιείς, τὰ δὲ ἐπιτείνων τῆς πολιτείας χαλάσας τε ἐν καιρῷ, καὶ καρτερῶς
αὖθις ἐμφύς, ἀντιβῆναι καὶ ἀντισχεῖν ἐπιστάμενος· εἰ δ' αἵρεσις αὐτῷ δοθείη κα-
θάπερ

θάπερ ὀργάνων τῶν πολιτειῶν, οὐκ ἂν ἄλλην ἕλοιτο, πλὴν τὴν μοναρχίαν, Πλά-
τωνι πειθόμενος, τὴν μόνην δυναμένην τὸν ἐντελῆ καὶ ὄρθιον ἐκεῖνον ὡς ἀλη-
θῶς τῆς ἀρετῆς τόνον ἀνασχέσθαι, καὶ μήτε πρὸς ἀνάγκην μήτε πρὸς χάριν
ἁρμόσαι τοῦ συμφέροντος. αἱ μὲν γὰρ ἄλλαι πολιτεῖαι, τρόπον τινὰ κρατού-
μεναι, κρατοῦσι, καὶ φερόμεναι, φέρουσι τὸν πολιτικὸν οὐκ ἔχοντα τὴν ἰσχὺν βέ-
βαιον ἐπὶ τούτων, παρ' ὧν ἔχει τὸ ἰσχύον, ἀλλὰ πολλάκις ἀναγκαζόμενον, τὸ Αἰ-
σχύλειον ἀναφωνεῖν ᾧ πρὸς τὴν τύχην ἐχρῆτο Δημήτριος ὁ πολιορκητὴς ἀποβα-
λὼν τὴν ἡγεμονίαν, σύ τοι με φυσᾷς, σύ με καταίθειν δοκεῖς.

ΠΕΡΙ ΤΟΥ ΤΑ ΑΛΟΓΑ ΛΟΓΩ ΧΡΗΣΘΑΙ.

ΟΔΥΣΣΕΥΣ. ΚΙΡΚΗ. ΓΡΥΛΛΟΣ.

Αὐτὰ μὲν ὦ Κίρκη μεμαθηκέναι δοκῶ καὶ διαμνημονεύειν, ἡδέ-
ως δ' ἂν σου πυθοίμην εἴ τινας ἔχεις Ἕλληνας ἐν τούτοις, οὓς λύ-
κους καὶ λέοντας ἐξ ἀνθρώπων πεποίηκας. Κίρκη. καὶ πολ-
λούς ὦ ποθούμενε Ὀδυσσεῦ· πρὸς τί δὲ τοῦτο ἐρωτᾷς. Ὀδυσσεύς.
ὅτι νὴ Δία καλὴν ἄν μοι δοκῶ γενέσθαι φιλοτιμίαν πρὸς τοὺς
Ἕλληνας, εἰ χάριτι λαβὼν τούτους αὖθις ἀνθρώπους ἑταίρους ἀνασώσαιμι, καὶ
μὴ περιίδοιμι καταγηράσαντας παρὰ φύσιν ἐν σώμασι θηρίων, οἰκτρὰν καὶ ἄτι-
μον οὕτω δίαιταν ἔχοντας. Κίρκη. οὗτος ὁ ἀνὴρ οὐχ αὑτῷ μόνον οὐδὲ τοῖς ἑ-
ταίροις, ἀλλὰ τοῖς μηδὲν προσήκουσιν οἴεται δεῖν ἀπὸ ἀβελτηρίας συμφο-
ρὰν γενέσθαι τὴν αὐτοῦ φιλοτιμίαν. Ὀδυσσεύς. ἕτερον αὖ τινὰ τοῦτον ὦ Κίρ-
κη κυκεῶνα λόγων παράττεις, ἐμὲ γοῦν ἀτεχνῶς ποιοῦσα θηρίον εἰ πείσομαί σοι,
ὡς συμφορά ἐστιν ἄνθρωπον ἐκ θηρίου γενέσθαι. Κίρ. οὐ γὰρ ἤδη τούτων ἀ-
τοπώτερα πεποίηκας σεαυτόν, ὃς τὸν ἀθάνατον καὶ ἀγήρω ζῶν ἐμοὶ βίον ἀφεὶς,
ἐπὶ γυναῖκα θνητὴν, ὡς δ' ἐγώ φημι καὶ γραῦν ἤδη, διὰ μυρίων ἔτι κακῶν σπεύ-
δεις, ὡς δὴ περίβλεπτος ἐκ τούτου καὶ ὀνομαστὸς ἔτι μᾶλλον ἢ νῦν γενόμενος, κε-
νὸν ἀγαθὸν καὶ εἴδωλον ἀντὶ τῆς ἀληθείας διώκων; Ὀδυ. ἐχέτω ταῦτα
ὡς λέγεις ὦ Κίρκη, τί γοῦν δεῖ πολλάκις ζυγομαχεῖν ἡμᾶς περὶ τῶν αὐτῶν, τούτους
δέ μοι δὸς ἀναλύσασα, καὶ χάρισαι τοὺς ἄνδρας. Κίρ. οὐχ οὕτως γε ἁπλῶς
μὰ τὴν Ἑκάτην, οὐ γὰρ οἱ τυχόντες εἰσὶν, ἀλλ' ἐροῦ πρῶτον αὐτοὺς εἰ θέλουσιν, ἂν
δὲ μὴ φῶσι, διαλεχθεὶς ὦ γενναῖε πεῖσον, ἐὰν δὲ μὴ πείσῃς, ἀλλὰ καὶ περιγένωνται
διαλεγόμενοι, ἱκανὸν ἔστω σοι περὶ σεαυτοῦ καὶ τῶν φίλων κακῶς βεβουλεῦ-
σθαι. Ὀδυ. τί μου καταγελᾷς ὦ μακαρία, πῶς γὰρ ἂν ἢ δοῖεν οὗτοι λόγον
ἢ λάβοιεν, ἕως ὄνοι καὶ σύες καὶ λέοντές εἰσι. Κίρ. θάρρει φιλοτιμότα-
τε ἀνθρώπων, ἐγώ σοι παρέξω καὶ συνιέντας αὐτοὺς καὶ διαλεγομένους, μᾶλ-
λον δὲ εἷς ἱκανὸς ἔσται καὶ διδοὺς καὶ λαμβάνων ὑπὲρ πάντων λόγον, ἰδοὺ,
τούτῳ διαλέγου. Ὀδυ. καὶ τίνα τούτων ὦ Κίρκη προσαγορεύσομεν, ἢ τίς ἦν
οὗτος ἀνθρώπων. Κίρ. τί γοῦν τοῦτο πρὸς τὸν λόγον, ἀλλὰ καὶ κάλει αὐτὸν εἰ
βούλει, Γρύλλον, ἐγὼ δὲ ἐκστήσομαι ὑμῖν, μὴ καὶ παρὰ γνώμην ἐμοὶ δοκῇ χαρι-
ζόμενος διαλέγεσθαι. Γρύ. χαῖρε Ὀδυσσεῦ. Ὀδυ. καὶ σὺ νὴ Δία Γρύλ-
λε. Γρύ. τί βούλει ἐρωτᾶν. Ὀδυ. ἐγὼ γινώσκω ὑμᾶς ἀνθρώπους γε-
γονότας, οἰκτείρω μὲν οὖν ἅπαντας, οὕτως ἔχοντας· εἰκὸς δέ μοι μᾶλλον διαφέ-
ρειν, ὅσοι Ἕλληνες ὄντες, εἰς ταύτην ἀφῖχθε τὴν δυστυχίαν· νῦν οὖν ἐποιησάμην

τῆς κίρκης δέησιν, ὅπως τὸν βουλόμενον ὑμῶν ἀναλύσασα καὶ καταστήσασα πάλιν εἰς τὸ ἀρχαῖον εἶδος ἀποπέμψῃ μεθ' ἡμῶν. γρύ. παῦε ὀδυσσεῦ καὶ περαιτέρω μηδὲν εἴπῃς, ὡς καὶ σοῦ πάντες ἡμεῖς καταφρονοῦμεν, ὡς μάτην ἄρα δεινὸς ἐλέγου, καὶ τῷ φρονεῖν πολὺ τῶν ἄλλων ἀνθρώπων ἐδόκεις διαφέρειν, ὃς αὐτὸ τοῦτο ἔδεισας τὴν μεταβολὴν ἐκ χειρόνων εἰς ἀμείνω, μὴ σκεψάμενος, ὥσπερ οἱ παῖδες τὰ φάρμακα τῶν ἰατρῶν φοβοῦνται, καὶ τὰ μαθήματα φεύγουσιν, ἃ μεταβάλλοντα ἐκ νοσερῶν καὶ ἀνοήτων ὑγιεινοτέρους καὶ φρονιμωτέρους ποιοῦσιν αὐτοὺς, οὕτως σὺ διεκρούσω τὸ ἄλλος ἐξ ἄλλου γενέσθαι, καὶ νῦν αὐτός τε φρίττων καὶ ὑποδειμαίνων τῇ κίρκῃ συνεῖναι, μή σε ποιήσῃ λαθοῦσα σῦν ἢ λύκον, ἡμᾶς τε πείθεις ἐν ἀφθόνοις ζῶντας ἀγαθοῖς, ἀπολιπόντας ἅμα τούτοις τὴν ταῦτα παρασκευάζουσαν, ἐκπλεῖν μετὰ σοῦ, τὸ πάντων δυσποτμότατον ζῶον αὖθις ἀνθρώπους γενομένους. ὀδυ. ἐμοὶ σὺ γρύλλε δοκεῖς οὐ τὴν μορφὴν μόνον, ἀλλὰ καὶ τὴν διάνοιαν ὑπὸ τοῦ πόματος ἐκείνου διεφθάρθαι, καὶ γεγονέναι μεστὸς ἀτόπων καὶ διαλελωβημένων παντάπασι δοξῶν, ἢ σέ τις αὖ συνηθείας ἡδονὴ πρὸς τόδε τὸ σῶμα καταγεγοήτευκεν. γρύ. οὐδέτερα τούτων ὦ βασιλεῦ κεφαλλήνων. ἂν δὲ διαλέγεσθαι μᾶλλον ἐθέλῃς, ἢ λοιδορεῖσθαι, ταχύ σε μεταπείσομεν, ἑκατέρου τοῦ βίου ἐμπείρως ἔχοντες, ὅτι ταῦτα πρὸ ἐκείνων εἰκότως ἀγαπῶμεν. ὀδυ. ἀλλὰ μὴν ἐγὼ πρὸς ὑμᾶς ἀκροᾶσθαι. γρύ. καὶ ἡμεῖς τοίνυν λέγειν, ἀρκτέον δὲ πρῶτον ἀπὸ τῶν ἀρετῶν, ἐφ' αἷς ὁρῶμεν ὑμᾶς μέγα φρονοῦντας, ὡς τῶν θηρίων πολὺ καὶ δικαιοσύνῃ καὶ φρονήσει καὶ ἀνδρείᾳ καὶ ταῖς ἄλλαις ἀρεταῖς διαφέροντας. ἀπόκριναι δή μοι σοφώτατε ἀνδρῶν, ἤκουσα γάρ σου ποτὲ διηγουμένου τῇ κίρκῃ περὶ τῆς τῶν κυκλώπων γῆς, ὡς οὔτε ἀρουμένη τὸ πα-παν οὔτε τινὸς εἰς αὐτὴν φυτεύοντος οὐδέν, οὕτως ἐστὶν ἀγαθὴ καὶ γενναία τὴν φύσιν, ὥστε ἅπαντας ἐκφέρειν τοὺς καρποὺς ἀφ' αὑτῆς. πότερον οὖν ταύτην ἐπαινεῖς μᾶλλον, ἢ τὴν αἰγίβοτον ἰθάκην καὶ τραχεῖαν, ἣ μόλις ἀπ' ὀρῶν τε πολλῶν καὶ διὰ πόνων μεγάλων, μικρὰ καὶ γλίσχρα καὶ μηδενὸς ἄξια τοῖς γεωργοῦσιν ἀναδίδωσι, καὶ ὅπως οὐ χαλεπῶς οἴσεις παρὰ τὸ φαινόμενον, εὐνοίᾳ τῆς πατρίδος ἀποκρινόμενος. ὀδυ. ἀλλ' οὐ δεῖ ψεύδεσθαι, φιλῶ μὲν γὰρ καὶ ἀσπάζομαι τὴν ἐμαυτοῦ πατρίδα καὶ χώραν μᾶλλον, ἐπαινῶ δὲ καὶ θαυμάζω τὴν ἐκείνων. γρύ. οὐκοῦν τοῦτο μὲν οὕτως ἔχειν φήσομεν, ὡς ὁ φρονιμώτατος ἀνθρώπων ἄλλα μὲν οἴεται δεῖν ἐπαινεῖν καὶ δοκιμάζειν, ἄλλα δὲ αἱρεῖσθαι καὶ ἀγαπᾶν. ἐκεῖνο δ' οἶμαί σε καὶ περὶ τῆς ψυχῆς ἀποκεκρίσθαι. ταὐτὸν γάρ ἐστι τὸ περὶ τῆς χώρας ἄμεινον, ἥτις ἄνευ πόνου τὴν ἀρετὴν ὥσπερ αὐτοφυῆ καρπὸν ἀναδίδωσιν. ὀδυ. ἔστω σοι καὶ τοῦτο οὕτως. γρύ. ἤδη οὖν ὁμολογεῖς τὴν τῶν θηρίων ψυχὴν εὐφυεστέραν εἶναι πρὸς γένεσιν ἀρετῆς, καὶ τελειοτέραν, ἀνεπίτακτος γὰρ καὶ ἀδίδακτος, ὥσπερ ἄσπορος καὶ ἀνήροτος ἐκφέρει καὶ αὔξει κατὰ φύσιν τὴν ἑκάστῳ προσήκουσαν ἀρετήν. ὀδυ. καὶ τίνος ποτὲ ἀρετῆς ὦ γρύλλε μέτεστι τοῖς θηρίοις. γρύ. τίνος μὲν οὖν οὐχὶ μᾶλλον, ἢ τῷ σοφωτάτῳ τῶν ἀνθρώπων, σκόπει δὲ πρῶτον εἰ βούλει τὴν ἀνδρείαν, ἐφ' ᾗ σὺ φρονεῖς μέγα καὶ οὐκ ἐγκαλύπτῃ θρασὺς καὶ πτολίπορθος ἀποκαλούμενος, ὅς τις ὦ σχετλιώτατε δόλοις καὶ μηχαναῖς ἀνθρώπους ἁπλοῦν καὶ γενναῖον εἰδότας πολέμου τρόπον, ἀπάτης δὲ καὶ ψευδῶν ἀπείρους παρακρουσάμενος, ὄνομα τῇ πανουργίᾳ προστίθης, τῆς ἀρετῆς ἥκιστα πανουργίαν προσιεμένης. ἀλλὰ τῶν γε θηρίων τοὺς πρὸς ἄλληλα καὶ πρὸς ὑμᾶς ἀγῶνας, ὁρᾷς, ὡς ἄδολοι καὶ ἄτεχνοι καὶ μετ' ἐμφανοῦς γυμνοῦ τε τοῦ θαρρεῖν πρὸς ἀληθινῆς ἀλκῆς ποιοῦνται τὰς ἀμύνας, καὶ οὔτε νόμου καλοῦντος, οὔτε ἀστρατείας δεδοικότα γραφὴν, ἀλλὰ φύσει φεύγοντα τὸ κρατεῖσθαι, μέχρι τῶν ἐσχάτων ἐγκαρτερεῖ καὶ διαφυλάττει

τὸ

τὸ ἀήττητον, οὐ γὰρ ἡττᾶται κρατούμενα τοῖς σώμασιν, οὐδὲ ἀπαγορεύει ταῖς ψυχαῖς, ἀλλὰ ταῖς μάχαις ἐναποθνήσκει, πολλῶν δὲ θνησκόντων ἡ ἀλκὴ μετὰ τοῦ θυμοειδοῦς ἀποχωρήσασά ποι καὶ συναθροισθεῖσα περὶ ἕν τι τοῦ σώματος μόριον, ἀνθίσταται τῷ κτείνοντι, καὶ πηδᾷ καὶ ἀγανακτεῖ, μέχρις ἂν ὥσπερ πῦρ ἐγκατασβεσθῇ παντάπασι καὶ ἀπόληται. δέησις δὲ οὐκ ἔστιν, οὐδ' οἴκτου παραίτησις, οὐδ' ἐξομολόγησις ἥττης, οὐδὲ δουλεύει λέων λέοντι, καὶ ἵππος ἵππῳ δι' ἀνδρείαν, ὥσπερ ἄνθρωπος ἀνθρώπῳ, τὴν τῆς δειλίας ἐπώνυμον εὐκόλως ἐνασπαζόμενος. ὀδυ. ὅσα δὲ ἄνθρωποι πάγαις ἢ δόλοις ἐχειρώσαντο, τὰ μὲν ἤδη τέλεια καὶ τροφὴν ἀπωσάμενα καὶ πρὸς δίψαν ἐγκαρτερήσαντα, τὸν πρὸ δουλείας ἐπάγεται καὶ ἀγαπᾷ θάνατον, νεοττοῖς δὲ καὶ σκύμνοις τούτων δι' ἡλικίαν εὐαγώγοις καὶ ἁπαλοῖς οὖσι πολλὰ καὶ ἀπατηλὰ μειλίγματα καὶ ὑποπεττεύματα προσφέροντες καὶ καταφαρμάττοντες, ἡδονῶν παρὰ φύσιν γευόμενα, καὶ διαίτης ἀδρανῆ χρόνον κατειργάσαντο καὶ προσεδέξαντο, καὶ ὑπέμειναν τὴν καλουμένην ἐξημέρωσιν, ὥσπερ ἀπογυναίκωσιν τοῦ θυμοειδοῦς. οἷς δὴ μάλιστα δηλονότι τὰ θηρία πρὸς τὸ θαρρεῖν εὖ πέφυκε. γρύ. τοῖς δὲ ἀνθρώποις ἡ παρρησία καὶ παρὰ φύσιν ἐστίν, ἐκεῖθεν δ' ἂν ὦ βέλτιστε ὀδυσσεῦ μάλιστα καταμάθῃς. ἐν γὰρ τοῖς θηρίοις ἰσορροπεῖ πρὸς ἀλκὴν ἡ φύσις, καὶ τὸ θῆλυ τοῦ ἄρρενος οὐδὲν ἀποδεῖ, πονεῖν τε τοὺς ἐπὶ τοῖς ἀναγκαίοις πόνους, ἀγωνίζεσθαί τε τοὺς ὑπὲρ τῶν τέκνων ἀγῶνας. ἀλλὰ καὶ κρομμυωνίαν τινὰ συνακούεις, ἣ πράγματα πολλὰ, θῆλυ θηρίον οὖσα τῷ θησεῖ παρέσχε, καὶ τὴν σφίγγα ἐκείνην οὐκ ἂν ὤνησεν ἡ σοφία περὶ τὸ φίκιον ἄνω καθεζομένην αἰνίγματα καὶ γρίφους πλέκουσαν, εἰ μὴ ῥώμῃ καὶ ἀνδρείᾳ πολὺ τῶν καδμείων ἐπεκράτει. ἐκεῖ δέ που καὶ τελμησίαν ἀλώπεκα μορμορον χρῆμα, καὶ πλησίον ὄφιν τῷ ἀπόλλωνι περὶ τοῦ χρηστηρίου μονομαχοῦσαν ἐν δελφοῖς γενέσθαι λέγουσιν, τὴν δ' αἴθην ὁ βασιλεὺς ὑμῶν ἔλαβε παρὰ τοῦ σικυωνίου μισθὸν ἀστρατείας ἄριστα βουλευσάμενος, ὃς δειλοῦ προετίμησεν ἀνδρὸς ἵππον ἀγαθὴν καὶ φιλόνικον. αὐτὸς δὲ καὶ παρδάλεις καὶ λεαίνας πολλάκις ἑώρακας, ὡς οὐδέν τι τὰ θήλεα τοῖς ἄρρεσιν ὑφίεται τοῦ θυμοῦ καὶ ἀλκῆς, ὥσπερ ἡ σὴ γυνή, σοῦ πολεμοῦντος οἴκοι κάθηται πρὸς ἐσχάραν πυρὸς, οὐκ ἂν οὐδ' ὅσον αἱ χελιδόνες ἀμυνομένη τοὺς ἐπ' αὐτὴν καὶ τὸν οἶκον βαδίζοντας, καὶ ταῦτα λάκαινα οὖσα. τί οὖν ἔτι σοι λέγω τὰς καρικὰς, ἢ μαιονίδας, ἀλλ' ἐκ τούτων γε δῆλόν ἐστιν, ὅτι τοῖς ἀνδράσιν οὐ φύσει μέτεστι τῆς ἀνδρείας, μετῆν γὰρ ἂν ὁμοίως καὶ ταῖς γυναιξὶν ἀλκῆς, ὡς θ' ὑμεῖς κατὰ νόμων ἀνάγκην, οὐχ ἑκούσιον οὐδὲ βουλομένην, ἀλλὰ δουλεύουσαν ἔθεσι καὶ ψόγοις καὶ δόξαις ἐπήλυσι, καὶ λόγοις πλαττομένην μελετᾶτε ἀνδρείαν, καὶ τοὺς πόνους ὑφίστασθε καὶ τοὺς κινδύνους, οὐ πρὸς ταῦτα θαρροῦντες, ἀλλὰ τῷ ἕτερα μᾶλλον τούτων δεδιέναι. ὥσπερ οὖν τῶν σῶν ἑταίρων ὁ φθάσας πρῶτος ἐπὶ τὴν ἐλαφρὰν ἀνίσταται κώπην, οὐ καταφρονῶν ἐκείνης, ἀλλὰ δεδιὼς καὶ φεύγων τὴν βαρυτέραν, οὕτως ὁ πληγὴν ὑπομένων, ἵνα μὴ λάβῃ τραύματα καὶ πρὸ αἰκίας τινὸς ἢ θανάτου πολέμιόν τινα ἀμυνόμενος, οὐ πρὸς ταῦτα θαρραλέος, ἀλλὰ πρὸς ἐκεῖνα δειλός ἐστι, οὕτως δ' ἀναφαίνει ὑμῖν, ἡ μὲν ἀνδρεία, δειλία φρόνιμος οὖσα, τὸ δὲ θάρσος, φόβος ἐπιστήμην ἔχων, τοῦ δι' ἑτέρων ἕτερα φεύγειν. ὅλως δὲ εἰ πρὸς ἀνδρείαν οἴεσθε βελτίους εἶναι τῶν θηρίων, τί ποτε ὑμῶν οἱ ποιηταὶ τοὺς κράτιστα τοῖς πολεμίοις μαχομένους, λυκόφρονας καὶ θυμολέοντας καὶ συῒ ἰκέλους ἀλκὴν προσαγορεύουσιν, ἀλλ' οὐ λέοντά τις αὐτῶν ἀνθρωπόθυμον, οὐ σῦν ἀνδρὶ εἴκελον ἀλκὴν προσαγορεύει, ἀλλ' ὥσπερ οἶμαι τοὺς ταχεῖς ποδηνέμους καὶ τοὺς καλοὺς θεοειδεῖς ὑπερβαλλόμενοι ταῖς

εἰκόσιν ὀνομάζουσιν, οὕτω τῶν δεινῶν μάχεσθαι, πρὸς τὰ κρείττονα ποιοῦνται τὰς ἀφομοιώσεις· αἴτιον δέ, ὅτι τῆς μὲν ἀνδρείας οἷον βαφή τις ὁ θυμός ἐστι καὶ στόμωμα, τούτῳ δὲ ἀκράτῳ τὰ θηρία χρῆται πρὸς τοὺς ἀγῶνας, ὑμῖν δὲ προσμιγνύμενος πρὸς τὸν λογισμόν, ὥσπερ οἶνος πρὸς ὕδωρ ἐξίσταται παρὰ τὰ δεινά, καὶ ἀπολείπει τὸν καιρόν. ἔνιοι δὲ ὑμῶν οὐδὲ ὅλως φασὶ χρῆναι παραλαμβάνειν ἐν ταῖς μάχαις τὸν θυμόν, ἀλλ' ἐκποδὼν θεμένους νήφοντι χρῆσθαι τῷ λογισμῷ, πρὸς μὲν σωτηρίας ἀσφάλειαν ὀρθῶς, πρὸς δὲ ἀλκὴν καὶ ἄμυναν αἴσχιστα λέγοντες. πῶς γὰρ οὐκ ἄτοπον αἰτιᾶσθαι μὲν ὑμᾶς τὴν φύσιν, ὅτι μὴ κέντρα προσέφυσε τοῖς σώμασι, μηδὲ ἀμυντηρίους ὀδόντας, μηδὲ ἀγκύλους ὄνυχας, αὐτοὺς δὲ τῆς ψυχῆς τὸ σύμφυτον ἀφαιρεῖν ὅπλον καὶ κολούειν. ὀδυ. παπαὶ ὦ γρύλλε δεινός μοι δοκεῖς γεγονέναι σοφιστής, ὅς γε καὶ νῦν ἐκ τῆς συηνίας φθεγγόμενος, οὕτω νεανικῶς πρὸς τὴν ὑπόθεσιν ἐπικεχείρηκας, ἀλλὰ τί οὐ περὶ τῆς σωφροσύνης ἐφεξῆς διεξῆλθες. γρύ. ὅτι ᾤμην σε τῶν εἰρημένων πρότερον ἐπιλήψεσθαι. σὺ δὲ σπεύδεις ἀκοῦσαι τὸ περὶ τῆς σωφροσύνης, ἐπεὶ σωφρονεστάτης μὲν ἀνήρ εἶ γυναικός, ἀπόδειξιν δὲ σωφροσύνης αὐτὸς οἴει δεδωκέναι, τῶν κίρκης ἀφροδισίων περιφρονήσας. καὶ τούτων μὲν οὐδενὸς τῶν θηρίων διαφέρει πρὸς ἐγκράτειαν. οὐδὲ γὰρ ἐκεῖνα τοῖς κρείττοσιν ἐπιθυμεῖ πλησιάζειν, ἀλλὰ καὶ τὰς ἡδονὰς καὶ τοὺς ἔρωτας πρὸς τὰ ὁμόφυλα ποιεῖται. οὐ θαυμαστὸν μὲν οὖν ἐστιν, εἰ καθάπερ ὁ μενδήσιος ἐν αἰγύπτῳ τράγος λέγεται πολλαῖς καὶ καλαῖς συνειργνύμενος γυναιξίν, οὐκ εἶναι μίγνυσθαι πρόθυμος, ἀλλὰ πρὸς τὰς αἶγας ἐπτόηται μᾶλλον, οὕτω σὺ χαίρων ἀφροδισίοις συνήθεσιν, οὐ θέλεις ἄνθρωπος ὢν θεᾷ συγκαθεύδειν. τὴν δὲ πηνελόπης σωφροσύνην, μυρίαι κορῶναι κρώζουσαι γέλωτα θήσονται καὶ καταφρονήσουσιν, ὧν ἑκάστη ἂν ἀποθάνῃ ὁ ἄρρην, οὐκ ὀλίγον χρόνον, ἀλλὰ ἐννέα χηρεύσει γενεὰς ἀνθρώπων, ὥστε σοι τὴν καλὴν πηνελόπην ἐνάκις ἀπολείπεσθαι τοῦ σωφρονεῖν ἧς βούλει κορώνης. ἀλλὰ ἐπεί σε μὴ λέληθα σοφιστὴς ὤν, φέρε χρήσομαι τάξει τινὶ τοῦ λόγου, τῆς μὲν σωφροσύνης ὅρον θέμενος, κατὰ γένος δὲ τὰς ἐπιθυμίας διελόμενος. ἡ μὲν οὖν σωφροσύνη βραχύτης τίς ἐστιν ἐπιθυμιῶν, καὶ τάξις, ἀναιροῦσα μὲν τὰς ἐπεισάκτους καὶ περιττάς, καιρῷ δὲ καὶ μετριότητι κοσμοῦσα τὰς ἀναγκαίας. ταῖς δὲ ἐπιθυμίαις ἐφορᾷς που μυρίαν διαφοράν, καὶ τὴν πόσιν ἅμα τῷ φυσικῷ καὶ τὸ ἀναγκαῖον ἔχουσαν. αἱ δὲ τῶν ἀφροδισίων αἷς ἀρχὰς ἡ φύσις ἐνδίδωσιν, ἔστι δέ που καὶ μὴ χρώμενον ἔχειν ἱκανῶς ἀπαλλαγέντα. φυσικαὶ μὲν οὖν, οὐκ ἀναγκαῖαι δὲ ἐκλήθησαν. τὸ δὲ τῶν μήτε ἀναγκαίων μήτε φυσικῶν, ἀλλ' ἔξωθεν ὑπὸ δόξης κενῆς δι' ἀπειροκαλίαν ἐπικεχυμένον γένος, ὑμῶν μὲν ὀλίγου δεῖν τὰς φυσικὰς ἀπέκρυψεν, ὑπὸ πλήθους ἁπάσας, ἔχει δὲ καθάπερ ξένων ὄχλος ἔπηλυς ἐν δήμῳ, καταβιαζόμενος πρὸς τοὺς ἐγγενεῖς πολίτας. τὰ δὲ θηρία παντάπασιν ἀβάτους καὶ ἀνεπιμίκτους ἔχοντα τοῖς ἐπεισάκτοις πάθεσι τὰς ψυχὰς καὶ τοῖς βίοις πόρρω τῆς κενῆς δόξης, ὥσπερ θαλάσσης ἀπῳκισμένα, τῷ γλαφυρῶς καὶ περιττῶς διάγειν ἀπολείπεται. τὸ δὲ σωφρονεῖν καὶ μᾶλλον διανομεῖσθαι ταῖς ἐπιθυμίαις, οὔτε πολλαῖς συνοικούσαις οὔτε ἀλλοτρίαις σφόδρα διαφυλάττεται. ἐμέ γοῦν ποτε καὶ αὐτὸν οὐχ ἧττον, ἢ σὲ νῦν, ἐξέπληττε μὲν χρυσός, ὡς κτημάτων ἄλλων οὐδενὶ παραβλητόν. ᾕρει δὲ ἄργυρος καὶ ἐλέφας. ὁ δὲ πλεῖστα τούτων κεκτημένος, ἐδόκει μακάριός τις εἶναι καὶ θεοφιλὴς ἀνήρ, εἴτε φρὺξ εἴτε κὰρ ἦν, τοῦ δόλωνος ἀγεννέστερος καὶ τοῦ πριάμου βαρυποτμότερος, ἐνταῦθα ἀνηρτημένος ἀεὶ ταῖς ἐπιθυμίαις, οὔτε χάριν οὔτε ἡδονὴν ἀπὸ τῶν ἄλλων πραγμάτων ἀφθόνων ὄντων καὶ ἱκανῶν ἐκαρπούμην τὸν ἐμαυτοῦ βίον, ὡς τῶν μεγίστων ἐνδεὴς καὶ ἄμοιρος ἀγαθῶν ἀπολελειμμένος.

λελειμμένος. τοιγαροῦν ὥς σε μέμνημαι ἐν κρήτῃ θεασάμενος ἀμπεχόνῃ κεκοσμημένον πανηγυρικῶς, οὐ τὴν φρόνησιν ἐζήλουν, οὐδὲ τὴν ἀρετήν, ἀλλὰ τοῦ χιτῶνος εἰργασμένου περιττῶς εἰς λεπτότητα, καὶ τῆς χλαμύδος οὔσης ἁλουργοῦ τὴν οὐλότητα, καὶ τὸ κάλλος ἀγαπῶν καὶ τεθηπώς, εἶχε δέ τι καὶ ἡ πόρπη χρυσοῦς οὖσα παίγνιον οἶμαι τορείας διηκριβωμένον, καὶ εἱπόμην γεγοητευμένος, ὥσπερ αἱ γυναῖκες. ἀλλὰ νῦν ἀπηλλαγμένος ἐκείνων τῶν κενῶν δοξῶν καὶ κεκαθαρμένος, χρυσὸν μὲν καὶ ἄργυρον ὥσπερ τοὺς ἄλλους λίθους περιορῶν ὑπερβαίνω, ταῖς δὲ σαῖς χλανίσι καὶ τάπησιν οὐδὲν ἂν μὰ δία ἥδιον ἢ βαθεῖ καὶ μαλθακῷ πηλῷ μεστὸς ὢν ἐγκατακλιθείην ἀναπαυόμενος, τὰ δὲ τοιαῦτα τῶν ἐπεισάκτων ἐπιθυμιῶν, οὐδεμία ταῖς ἡμετέραις ἐνοικίζεται ψυχαῖς, ἀλλὰ τὰ μὲν πλεῖστα ταῖς ἀναγκαίαις ὁ βίος ἡμῶν ἐπιθυμίαις καὶ ἡδοναῖς διοικεῖται, ταῖς δὲ οὐκ ἀναγκαίαις, ἀλλὰ φυσικαῖς μόνον, οὔτε ἀτάκτως οὔτε ἀπλήστως ὁμιλοῦμεν, καὶ ταύτας γε πρῶτον διέλθωμεν. ἡ μὲν οὖν πρὸς τὰ εὐώδη καὶ κινοῦντα ταῖς ἀπορροαῖς τὴν ὄσφρησιν, οἰκεῖος ἡδονὴ πρὸς τῷ τὸ ὄφελος καὶ προῖκα καὶ ἁπλοῦν ἔχειν, ἅμα χρείαν τινὰ συμβάλλεται τῇ διαγνώσει τῆς τροφῆς, ἡ μὲν γὰρ γλῶττα τοῦ γλυκέος καὶ δριμέος καὶ αὐστηροῦ γνώμων ἐστί τε καὶ λέγεται, ὅταν τῷ γευστικῷ προσμιγέντες οἱ χυμοὶ σύγχυσίν τινα λάβωσιν. ἡ δὲ ὄσφρησις ἡμῶν πρὸ τῶν χυμῶν, γνώμων οὖσα τῆς δυνάμεως ἑκάστου, πολὺ τῶν βασιλικῶν προγευστῶν σκεπτότερον διαισθανομένη, τὸ μὲν οἰκεῖον εἴσω παρίησι, τὸ δὲ ἀλλότριον ἀπελαύνει καὶ οὐκ ἐᾷ θιγεῖν, οὐδὲ λυπῆσαι τὴν γεῦσιν, ἀλλὰ διαβάλλει καὶ κατηγορεῖ τὴν φαυλότητα πρὶν ἢ βλαβῆναι, τἆλλα δὲ οὐκ ἐνοχλεῖ καθάπερ ὑμῖν τὰ θυμιάματα καὶ κιννάμωμα καὶ νάρδους καὶ φύλλα καὶ καλάμους ἀραβικούς, μετὰ δεινῆς τινος καὶ δευσοποιοῦ φαρμακίδος τέχνης, ἢ μυρεψικῆς, ὄνομα συνάγειν εἰς ταὐτὸ καὶ συμφαγεῖν ἀναγκάζουσα, χρημάτων πολλῶν ἡδυπάθειαν ἄνανδρον καὶ κορασιώδη, καὶ πρὸς οὐδὲν οὐδαμῶς χρήσιμον ὠνουμένους. ἀλλὰ καίπερ οὖσα τοιαύτη διέφθαρκεν, οὐ μόνον πάσας γυναῖκας, ἀλλὰ καὶ τῶν ἀνδρῶν τοὺς πλείστους, ὡς μηδὲ ταῖς αὐτῶν ἐθέλειν συγγίνεσθαι γυναιξίν, εἰ μὴ μύρων ὑμῖν ὀδωδυῖαι καὶ διαπασμάτων εἰς ταὐτὸ φοιτῷεν, ἀλλὰ κάπρους τε σύες, καὶ τράγους αἶγες, καὶ τὰ ἄλλα θήλεα τοὺς συννόμους αὐτῶν ταῖς ἰδίαις ὀσμαῖς ἐπάγεται δρόσου τε καθαρᾶς καὶ λειμώνων ὀδωδότα καὶ χλόης, συμφέρεται πρὸς τοὺς γάμους ὑπὸ κοινῆς φιλοφροσύνης, οὐχὶ θρυπτόμεναι μὲν αἱ θήλειαι, καὶ προϊσχόμεναι τῆς ἐπιθυμίας ἀπάτας καὶ γοητείας καὶ ἀρνήσεις. οἱ δὲ ἄρρενες ὑπὸ οἴστρου καὶ μαργότητος ὠνούμενοι μισθὸν καὶ πόνου καὶ λατρείας, τὸ τῆς γενέσεως ἔργον, ἄδολον δὲ σὺν καιρῷ, καὶ ἄμισθον ἀφροδίτην μετιόντες, ἣ καθ' ὥραν ἔτους ὥσπερ φυτῶν βλάστην ἐγείρουσα τῶν ζῴων τὴν ἐπιθυμίαν, εὐθὺς ἔσβεσεν οὔτε τοῦ θήλεος προσιεμένου μετὰ τὴν κύησιν, οὔτε πειρῶντος ἔτι τοῦ ἄρρενος. οὕτω μικρὰν ἔχει καὶ ἀσθενῆ τιμὴν ἡδονὴ παρ' ἡμῖν. τὸ δὲ ὅλον ἡ φύσις. ὅθεν οὔτε ἄρρενος πρὸς ἄρρεν, οὔτε θήλεος πρὸς θῆλυ μίξιν εἶναι τῶν θηρίων ἐπιθυμία, μέχρι γε νῦν ἐνήνοχασιν, ὑμῶν δὲ πολλὰ τοιαῦτα τῶν σεμνῶν καὶ ἀγαθῶν. ἐῶ γὰρ τοὺς οὐδενὸς ἀξίους, ὁ δὲ ἀγαμέμνων τὴν βοιωτίαν ἐπῆλθε κυνηγετῶν τὸν ἀργαῖον ὑποφεύγοντα, καὶ καταψευδόμενος τῆς θαλάσσης καὶ τῶν πνευμάτων, εἶτα καλὸν καλῶς ἑαυτὸν βαπτίζων εἰς τὴν κωπαΐδα λίμνην, ὡς αὐτόθι κατασβέσων τὸν ἔρωτα, καὶ τῆς ἐπιθυμίας ἀπαλλαξόμενος. ὁ δὲ ἡρακλῆς ὁμοίως, ἑταῖρον ἀγένειον ἐπιδιώκων, ἀπελείφθη τῶν ἀριστέων, καὶ προὔδωκε τὸν στόλον, ἐν δὲ τῇ θόλῳ τοῦ πτώου ἀπόλλωνος μαθών τις ὑμῶν ἐνέγραψεν, ἀχιλλεὺς καλός, ἤδη τοῦ ἀχιλλέως υἱὸν ἔχοντος, καὶ τὰ

γράμματα πυνθάνομαι διαμένειν. ἀλεκτρυὼν ἢ ἀλεκτρυόνος ἐπιβαίνων, θηλείας μὴ παρούσης καταπίμπραται ζωός, μάντεως τινὸς ἢ τερασκόπου, μέγα καὶ δεινὸν ἀποφαίνοντος εἶναι τὸ γινόμενον. οὕτως καὶ παρ' αὐτῶν ἀνωμολόγηται τῶν ἀνθρώπων, ὅτι μᾶλλον τοῖς θηρίοις σωφρονεῖν προσήκει, καὶ μὴ παραβιάζεσθαι ταῖς ἡδοναῖς τὴν φύσιν. τὰς δὲ ἐν ὑμῖν ἀκόλαστα, οὐδὲ τὸν νόμον ἔχουσα σύμμαχον ἡ φύσις, ἐντὸς ὅρων καθείργνυσιν, ἀλλ' ὥσπερ ὑπὸ ῥεύματος ἐκφερόμενον πολλαχοῦ ταῖς ἐπιθυμίαις δεινὴν ὕβριν καὶ ταραχὴν καὶ σύγχυσιν ἐν τοῖς ἀφροδισίοις ἀπεργάζεται τῆς φύσεως, καὶ γὰρ αἰγῶν ἐπειράθησαν ἄνδρες, καὶ ὑῶν καὶ ἵππων μιγνύμενοι, καὶ γυναῖκες ἄρρεσι θηρίοις ἐπεμάνησαν. ἐκ γὰρ τῶν τοιούτων γάμων ὑμῖν μινώταυροι καὶ αἰγίπανες. ὡς δ' ἐγῷμαι, καὶ σφίγγες ἀναβλαστάνουσι καὶ κένταυροι, καίτοι διὰ λιμόν ποτε ἀνθρώπου καὶ κύων ἔφαγεν ὑπ' ἀνάγκης, καὶ ὄρνις ἐπεγεύσατο, πρὸς δὲ συνουσίαν οὐδέ ποτε θηρίον ἐπεχείρησεν ἀνθρώπῳ χρήσασθαι. θηρία δὲ ἄνθρωποι, καὶ πρὸς ταῦτα καὶ πρὸς ἄλλα πολλὰ καθ' ἡδονάς, βιάζονται καὶ παρανομοῦσιν. οὕτω δὲ φαῦλοι καὶ ἀκρατεῖς περὶ τὰς εἰρημένας ἐπιθυμίας ὄντες, ἔτι μᾶλλον ἐν ταῖς ἀναγκαίαις ἐλέγχονται πολὺ τῷ σωφρονεῖν ἀπολειπόμενοι τῶν θηρίων, αὗται δέ εἰσιν αἱ περὶ βρῶσιν καὶ πόσιν, ὧν ἡμεῖς μὲν τὸ ἡδὺ μετὰ χρείας τινὸς ἀεὶ λαμβάνομεν. ὑμεῖς δὲ τὴν ἡδονὴν μᾶλλον, ἢ τὸ κατὰ φύσιν τῆς τροφῆς διώκοντες ὑπὸ πολλῶν καὶ μακρῶν κολάζεσθε νοσημάτων, ἅπερ ἐκ μιᾶς πηγῆς ἀπαντλούμενα τῆς πλησμονῆς τοῖς σώμασι παντοδαπῶν πνευμάτων καὶ δυσκαθάρτων ὑμᾶς ἐμπίπλησι. πρῶτον μὲν γὰρ ἑκάστου γένει ζώου μία τροφὴ σύμφυλός ἐστι, τοῖς μὲν, πόα, τοῖς δὲ ῥίζα τις ἢ καρπός, ὅσα δὲ σαρκοφαγεῖ πρὸς οὐδὲν ἄλλο τρέπεται βορᾶς εἶδος, οὐδὲ ἀφαιρεῖται τῶν ἀσθενεστέρων τὴν τροφήν, ἀλλὰ ἐᾷ νέμεσθαι. καὶ λέων ἔλαφον καὶ λύκος πρόβατον, ἢ πέφυκεν. ὁ δὲ ἄνθρωπος ἐπὶ πάντα ταῖς ἡδοναῖς ὑπὸ λαιμαργίας ἐξαγόμενος καὶ πειρώμενος πάντων καὶ ἀπογευόμενος, ὡς οὐδέπω τὸ πρόσφορον καὶ οἰκεῖον ἐγνωκώς, μόνος γέγονε τῶν ὄντων παμφάγον, καὶ σαρξὶ χρῆται πρῶτον, ὑπ' οὐδεμιᾶς ἀπορίας οὐδὲ ἀμηχανίας, ᾧ πάρεστιν ἀεὶ καθ' ὥραν ἄλλα ἐπ' ἄλλοις ἀπὸ φυτῶν καὶ σπερμάτων τρυγῶντι καὶ λαμβάνοντι καὶ δρεπομένῳ, μὴ κάμνειν διὰ πλῆθος, ἀλλ' ὑπὸ τρυφῆς καὶ κόρου τῶν ἀναγκαίων βρώσεις ἀνεπιτηδείους καὶ οὐ καθαρὰς σφαγαῖς ζώων μετερχόμενος, πολὺ τῶν ἀγριωτάτων θηρίων ὠμότερον. αἷμα γὰρ καὶ φόνος καὶ σάρκες ἰκτίνῳ καὶ λύκῳ καὶ δράκοντι, σιτίον οἰκεῖον, ἀνθρώπῳ δὲ ὄψον ἐστίν. ἔπειτα παντὶ γένει χρώμενος, οὐχ ὡς τὰ θηρία τῶν πλείστων ἀπέχεται, ὀλίγοις δὲ πολεμεῖ, διὰ τὴν τῆς τροφῆς ἀνάγκην, ἀλλ' οὔτε πτηνόν, οὔτε νηκτόν, ὡς ἔπος εἰπεῖν, οὔτε χερσαῖον ἐκπέφευγε τὰς ἡμέρους δὴ λεγομένας ὑμῶν καὶ φιλοξένους τραπέζας. εἶεν, ἀλλ' ἡδύσμασι χρῆσθε τούτοις ἐφηδύνοντες τὴν τροφήν; τί οὖν ἐπ' αὐτὰ ταῦτα φῶντας, ἀλλ' ἡ τῶν θηρίων φρόνησις τῶν μὲν ἀχρήστων καὶ ματαίων τεχνῶν, οὐδὲ μίαν χώραν δίδωσι, τὰς δὲ ἀναγκαίας, οὐκ ἐπεισάκτους παρ' ἑτέρων, οὐδὲ μισθοῦ διδακτάς, οὐδὲ κολλῶσα μελέτῃ καὶ συμπηγνῦσα, γλίσχρως τῶν θεωρημάτων ἕκαστον, πρὸς ἕκαστον, ἀλλ' αὐτόθεν ἐξ αὑτῆς, οἷον, ἰθαγενεῖς καὶ συμφύτους ἀναδίδωσι. τοὺς μὲν γὰρ Αἰγυπτίους πάντας ἰατροὺς ἀκούομεν εἶναι, τῶν δὲ ζώων ἕκαστον, οὐ μόνον πρὸς ἴασιν αὐτοτεχνόν ἐστιν, ἀλλὰ καὶ πρὸς διατροφὴν καὶ πρὸς ἀλκήν, θήραν τε καὶ φυλακὴν καὶ μουσικῆς, ὅσον ἑκάστῳ προσήκει κατὰ φύσιν. παρὰ τίνος γὰρ ἡμεῖς ἐμάθομεν νοσοῦντες, ἐπὶ τοὺς ποταμοὺς χάριν τῶν καρκίνων βαδίζειν. τίς δὲ τὰς χελώνας ἐδίδαξε τῆς ἔχεως φαγούσας, τὴν ὀρίγανον ἐπεσθίειν. τίς δὲ τὰς κρη-

τικὰς αἶγας ὅταν περιπέσωσι τοῖς τοξεύμασι τὸ δίκταμνον διώκειν, ὃ βρωθὲν τὰς ἐκβάλλουσι τὰς ἀκίδας. ἂν γὰρ εἴπῃς ὅτι ἀληθές ἐστι τούτων διδάσκαλον εἶναι τὴν φύσιν, εἰς τὴν κυριωτάτην καὶ σοφωτάτην ἀρχὴν ἀναφέρεις τὴν τῶν θηρίων φρόνησιν, ἣν εἰ μὴ λόγον οἴεσθε δεῖν, μὴ δὲ φρόνησιν καλεῖν, ὥρα σκοπεῖν ὄνομα κάλλιον αὐτῇ καὶ τιμιώτατον, ὥσπερ ἀμέλει καὶ δι' ἔργων ἀμείνονα καὶ θαυμασιωτέραν παρέχεται τὴν δύναμιν, οὐκ ἀμαθὴς οὐδὲ ἀπαίδευτος, αὐτομαθὴς δέ τις μᾶλλον οὖσα καὶ ἀπροσδεής, οὐδ' ἀσθένειαν, ἀλλὰ ῥώμῃ καὶ τελειότητι τῆς κατὰ φύσιν ἀρετῆς, χαίρειν ἐῶσα τὸν παρ' ἑτέρων διὰ μαθήσεως τοῦ φρονεῖν συνερανισμόν. ὅσα γοῦν ἄνθρωποι τρυφῶντες ἢ παίζοντες, εἰς τὸ μανθάνειν καὶ μελετᾶν ἄγουσιν, τούτων ἡ διάνοια καὶ παρὰ φύσιν τοῦ σώματος καὶ περιουσίᾳ συνέσεως ἀναλαμβάνει τὰς μαθήσεις. ἐῶ γὰρ ἰχνεύειν σκύλακας, καὶ βαδίζειν ἐν ῥυθμῷ πώλους μελετῶντας, ἀλλὰ κόρακας διαλέγεσθαι, καὶ κύνας ἅλλεσθαι διὰ τροχῶν περιφερομένων, ἵπποι δὲ καὶ βόες ἐν θεάτροις κατακλίσεις καὶ χορείας καὶ στάσεις παραβόλους καὶ κινήσεις, οὐδὲ ἀνθρώποις πάνυ ῥᾳδίως ἀκριβοῦσιν ἐκδιδασκόμενοι καὶ μνημονεύοντες, εὐμαθείας ἐπίδειξιν, ὡς ἄλλο οὐδὲν οὐδαμῶς χρήσιμον ἔχουσιν. εἰ δὲ ἀπιστεῖς ὅτι τέχνας μανθάνομεν, ἄκουσον ὅτι καὶ διδάσκομεν. αἵ τε γὰρ πέρδικες ἐν τῷ προφεύγειν τοὺς νεοττοὺς ἐθίζουσιν ἀποκρύπτεσθαι καὶ προΐσχεσθαι βῶλον ἀνθ' ἑαυτῶν τοῖς ποσὶν ὑπτίους ἀναπεσόντας, καὶ τοὺς πελαργιδεῦσιν ὁρᾷς ἐπὶ τῶν τεγῶν, ὡς οἱ τέλειοι παρόντες, ἀναπειρωμένοις ὑφηγοῦνται τὴν πτῆσιν. αἱ δὲ ἀηδόνες τοὺς νεοσσοὺς προδιδάσκουσιν ᾄδειν. οἱ δὲ ληφθέντες ἔτι νήπιοι καὶ τραφέντες ἐν χερσὶν ἀνθρώπων χεῖρον ᾄδουσιν, ὥσπερ πρὸ ὥρας ἀπὸ διδασκάλου γεγονότες. καταδὺς εἰς τουτὶ τὸ σῶμα, θαυμάζω τοὺς λόγους ἐκείνους οἷς ἀνεπειθόμην ὑπὸ τῶν σοφιστῶν ἄλογα καὶ ἀνόητα πάντα πλὴν ἀνθρώπου νομίζειν. ὀδυ. νῦν μὲν οὖν γρύλλε μεταβέβλησαι σὺ καὶ τὸ πρόβατον λογικὸν ἀποφαίνεις καὶ τὸν ὄνον. γρύ. αὐτοῖς μὲν οὖν τούτοις ὦ βέλτιστε ὀδυσσεῦ, μάλιστα δεῖ τεκμαίρεσθαι τὴν τῶν θηρίων φύσιν ὡς λόγου καὶ συνέσεως οὐκ ἔστιν ἄμοιρος, ὥσπερ οὐκ ἔστι δένδρον ἕτερον ἑτέρου μᾶλλον οὐδὲ ἧττον ἄψυχον, ἀλλ' ὁμοίως ἔχει πάντα πρὸς ἀναισθησίαν, οὐδενὶ γὰρ αὐτῶν ψυχῆς μέτεστιν, οὕτως οὐκ ἂν ἐδόκει ζῷον ἕτερον ἑτέρου, τῷ φρονεῖν ἀργότερον εἶναι, καὶ δυσμαθέστερον, εἰ μὴ πάντα λόγου καὶ συνέσεως, ἄλλα δὲ μᾶλλον καὶ ἧττον ἄλλων πως μετεῖχεν. ἐννόησον δὲ ὅτι τὰς ἐνίων ἀβελτηρίας καὶ βλακείας ἐλέγχουσιν ἑτέρων πανουργίαι καὶ δριμύτητες, ὅταν ἀλώπεκι καὶ λύκῳ καὶ μελίττῃ παραβάλῃς ὄνον καὶ πρόβατον, ὥσπερ εἰ σαυτῷ τὸν πολύφημον, ἢ τῷ πάππῳ σου τῷ αὐτολύκῳ, τὸν κορίνθιον ἐκεῖνον ὅμηρον. οὐ γὰρ οἶμαι θηρίου πρὸς θηρίον ἀπόστασιν εἶναι τοσαύτην, ὅσον ἄνθρωπος ἀνθρώπου τῷ φρονεῖν καὶ λογίζεσθαι καὶ μνημονεύειν ἀφέστηκεν. ὀδυ. ἀλλὰ ὅρα γρύλλε μὴ δεινὸν ᾖ καὶ βίαιον ἀπολιπεῖν λόγον οἷς οὐκ ἐγγίνεται θεοῦ νόησις. γρύ. εἶτά σε μὴ φῶμεν ὦ ὀδυσσεῦ, σοφὸν οὕτως ὄντα

ⓒ

περιττόν, ἐκ τοῦ σισύφου γεγονέναι.

ΟΤΙ ΟΥΔΕ ΖΗΝ ΕΣΤΙΝ ΗΔΕΩΣ ΚΑΤ' ΕΠΙΚΟΥΡΟΝ.

Κολώτης ὁ ἐπικούρου συνήθης, βιβλίον ἐξέδωκεν, ἐπιγράψας,
ὅτι κατὰ τὰ τῶν ἄλλων φιλοσόφων δόγματα, οὐδὲ ζῆν ἐστιν. ὅσα
τοίνυν ἡμῖν ἐπῆλθεν εἰπεῖν πρὸς αὐτὸν ὑπὲρ τῶν φιλοσόφων,
ἐγράφη πρότερον. ἐπεὶ δὲ καὶ τῆς σχολῆς διαλυθείσης, ἐγένον-
το πλείονες ἐν τῷ περιπάτῳ πρὸς τὴν αἵρεσιν, ἔδοξέ μοι καὶ τού-
τους ἀναλαβεῖν, εἰ καὶ δι' ἄλλο μηδέν, ἀλλ' ἐνδείξεως ἕνεκα τοῖς
εὐθύνουσιν ἑτέρους. ὅτι δεῖ τοὺς λόγους ἕκαστον ὧν ἐλέγχει καὶ τὰ γράμματα
μὴ παρέργως διελθεῖν, μηδὲ φωνὰς ἀλλαχόθεν ἄλλας ἀποσπῶντα καὶ ῥήμα-
σιν ἄνευ πραγμάτων ἐπιτιθέμενον, ἀποκρούεσθαι τοὺς ἀπείρους. προσελθόντων
γὰρ ἡμῶν εἰς τὸ γυμνάσιον ὥσπερ εἰώθειμεν, ἐκ τῆς διατριβῆς Ζεύξιππος, ἐμοὶ
μὲν ἔφη δοκεῖ, πολὺ τῆς προσηκούσης ὁ λόγος εἰρῆσθαι παῤῥησίας μαλακώ-
τερον, ἀπίασι δ' ἡμῖν ἐγκαλοῦντες οἱ περὶ ἡρακλείδην, τὸν ἐπικούρου καὶ τοῦ
μητροδώρου ἡμῶν μηδὲν αἰτίων ὄντων θρασύτερον καθαψάμενοι. καὶ ὁ θέων
εἶτα οὐκ ἔλεγες εἶπεν, ὅτι τοῖς ἐκείνων ὁ κολώτης παραβαλλόμενος εὐφημότα-
τος ἀνδρῶν φαίνεται. τὰ γὰρ ἐν ἀνθρώποις αἴσχιστα ῥήματα. βωμολοχίας λη-
κυθισμούς, ἀλαζονείας, ἑταιρήσεις, ἀνδροφονίας βαρυστόνους, πολυφθόρους,
βαρυεγκεφάλους συναγαγόντες, ἀριστοτέλους, καὶ σωκράτους, καὶ πυθαγόρου,
καὶ πρωταγόρου, καὶ θεοφράστου, καὶ ἡρακλείδου, καὶ ἱππάρχου, καὶ τίνος γὰρ
οὐχὶ τῶν ἐπιφανῶν κατεσκέδασαν. ὥστε εἰ καὶ τὰ ἄλλα πάντα σοφῶς εἶχεν
αὐτοῖς, διὰ τὰς βλασφημίας ταύτας καὶ κατηγορίας, πορρωτάτω σοφίας
ἂν εἴργεσθαι. φθόνος γὰρ ἔξω θείου χοροῦ καὶ ζηλοτυπίας δι' ἀσθένειαν ἀποκρύ-
ψαι μὴ δυναμένης τὸ ἀλγοῦν. ὑπολαβὼν οὖν ὁ ἀριστοτέλης, ἡρακλείδης γὰρ
ἔφη γραμματικὸς ὤν, ἀντὶ τῆς ποιητικῆς τύρβης, ὡς ἐκεῖνοι λέγουσι, καὶ τῶν ὁ-
μήρου μωρολογημάτων, ἀποτίνει ταύτας ἐπικούρῳ χάριτας. ἢ ὅτι μητρόδω-
ρος ἐν γράμμασι τοσούτοις τὸν ποιητὴν λελοιδόρηκεν. ἀλλ' ἐκείνους μὲν ἐῶμεν ὦ ζεύ-
ξιππε. τὸ δὲ ἐν ἀρχῇ τῶν λόγων ῥηθὲν πρὸς τοὺς ἄνδρας, ὡς οὐκ ἔστι ζῆν κατ' αὐ-
τούς, τί οὐ μᾶλλον, ἐπεὶ κέκμηκεν οὗτος, αὐτοὶ δι' αὐτῶν περαίνομεν ἅμα καὶ
θέωνα παραλαβόντες. καὶ ὁ θέων πρὸς αὐτόν, ἀλλ' οὗτος μὲν ἔφη ὁ ἄθλος
ἑτέροις ἐκτετέλεσται πρὸ ἡμῶν, νῦν αὖ τε σκοπὸν ἄλλον εἰ δοκεῖ θέμενοι, τοιαύ-
τῃ τινὶ δίκῃ μετίωμεν ὑπὲρ τῶν φιλοσόφων τοὺς ἄνδρας. ἀποδεῖξαι γὰρ ἂν
περ ᾖ δυνατὸν ἐπιχειρήσωμεν, ὅτι μηδὲ ζῆν ἐστιν ἡδέως κατ' αὐτούς. παπαὶ
εἶπον ἔγωγε γελάσας, εἰς τὴν γαστέρα τοῖς ἀνδράσιν ἔοικας ἐναλεῖσθαι, καὶ τὸν περὶ
τῶν κρεῶν ἐπάξειν, ἀφαιρούμενος ἡδονὴν ἀνθρώπων βοώντων. οὐ γὰρ πυγμά-
χοι εἰμὲν ἀμύμονες, οὐδὲ ῥήτορες, οὐδὲ προστάται δήμων, οὐδὲ ἄρχοντες, αἰεὶ
δ' ἡμῖν δαίς τε φίλη, καὶ πᾶσα διὰ σαρκὸς ἐπιτερπὴς κίνησις, ἐφ' ἡδονήν τι-
να καὶ χαρὰν ψυχῆς ἀναπεμπομένης. δοκεῖς οὖν μοι μὴ τὸ ἡδὺ ἐξαιρεῖν ὥς φα-
σιν, ἀλλὰ τὸ ζῆν ἀφαιρεῖσθαι τοὺς ἄνδρας, εἰ τὸ ζῆν ἡδέως μὴ ἀπολείψεις αὐ-
τοῖς. τί οὖν εἶπεν ὁ θέων, εἰ δοκιμάζεις τὸν λόγον αὐτόν, οὗ χρεία παρόντι χρή-
σομαι εἶπεν ἀκροώμενος καὶ ἀποκρινόμενος ἂν δέηθε, τὴν δὲ ἡγεμονίαν ὑμῖν πα-
ραδίδωμι. μικρὰ δὴ προφασισαμένου τοῦ θέωνος, ἀριστόδημος ὡς σύντο-
μον ἔφη καὶ λείαν ἔχων ὁδὸν ἀπετάφρευσας ἡμῖν πρὸς τὸν λόγον οὐκ ἐάσας περὶ
τοῦ καλοῦ πρότερον εὐθύνας ὑποσχεῖν τὴν αἵρεσιν, ἀνθρώπους γὰρ ἡδονὴν ὑποτι-
θεμένους τέλος, οὐκ ἔστιν ἐξετάσαι τοῦ ἡδέως ζῆν ῥᾴδιον, τοῦ δὲ καλῶς ἐκ πε-

σόντες, ἅμα, καὶ τοῦ ἡδέως συνεξέπιπτον. ἐπεὶ τὸ ἡδέως ζῆν ἄνευ τοῦ καλῶς,
ἀνύπαρκτόν ἐστιν ὡς αὐτοὶ λέγουσι. καὶ ὁ θέων, ἀλλὰ τοῦτο μὲν εἶπεν ἂν δόξῃ
τοῦ λόγου προϊόντος, ἀναληψόμεθα. νῦν δὲ χρησόμεθα τοῖς διδομένοις ὑπ' αὐτῶν.
οἴονται δὲ περὶ γαστέρα τἀγαθὸν εἶναι καὶ τοὺς ἄλλους πόρους τῆς σαρκὸς
ἅπαντας, δι' ὧν ἡδονὴ καὶ μὴ ἀλγηδὼν ἐπεισέρχεται, καὶ πάντα καλὰ καὶ σο-
φὰ ἐξευρήματα τῆς περὶ γαστέρα ἡδονῆς ἕνεκα γεγονέναι, καὶ τῆς ὑπὲρ ταύ-
της ἐλπίδος ἀγαθῆς, ὡς ὁ σοφὸς εἴρηκε μητρόδωρος. αὐτόθεν μὲν οὖν ὦ ἑταῖρε
φαίνονται γλίσχρον τι καὶ σαθρὸν καὶ οὐ βέβαιον αἴτιον τοῦ ἀγαθοῦ λαμβά-
νοντες. ἀλλὰ τοῖς πόροις τούτοις δι' ὧν ἡδονὰς ἐπεισάγονται, καὶ πρὸς ἀλγηδό-
νας ὁμοίως κατατετρημμένον. μᾶλλον δὲ ἡδονὴν μὲν ὀλίγοις, ἀλγηδόνα δὲ πᾶ-
σι τοῖς μορίοις δεχόμενον. πᾶσα γὰρ ἡδονὴ περὶ ἄρθρα καὶ νεῦρα καὶ πόδας καὶ
χεῖρας, οἷα ἐνοικίζεται τὰ πάθη δεινὰ καὶ σχέτλια, ποδαγρικὰ ῥεύματα καὶ
φαγεδαινικά, καὶ διαβρώσεις καὶ ἀποσήψεις. ὀσμῶν δὲ καὶ χυμῶν τὰ ἥδιστα
προσαγαγὼν τῷ σώματι, μικρὸν εὑρήσεις χωρίον ἐν αὐτῷ παντάπασιν τὸ κι-
νούμενον λείως καὶ προσηνῶς. τὰ δὲ ἄλλα πολλάκις δυσχεραίνει καὶ ἀγανακτεῖ,
πυρὶ δὲ καὶ σιδήρῳ καὶ δήγματι καὶ ὑστριχίσιν, οὐδὲν ἀπαθὲς οὐδὲ ἀναίσθητον
ἀλγηδόνος. ἀλλὰ καὶ καῦμα καὶ ῥῖγος εἰς ἅπαντα καταδύεται καὶ πυρετός.
αἱ δὲ ἡδοναὶ καθάπερ αὖραι πρὸς ἑτέραις ἕτεραι τοῦ σώματος ἄκραις ἐπιγε-
λῶσαι διαχέονται. καὶ ὁ χρόνος ὁ μὲν τούτων οὐ πολύς, ἀλλ' ὥσπερ οἱ διάττον-
τες, ἐξάψιν ἅμα καὶ σβέσιν ἐν τῇ σαρκὶ λαμβάνουσιν. ἐκ δὲ τοῦ πόνου μάρτυς
ὁ αἰσχύλου φιλοκτήτης ἱκανός. οὐ γὰρ ὁ δράκων φησὶν ἀνῆκεν, ἀλλ' ἐνῴκισε δει-
νὴν στομάτων ἔκφυσιν, ποδὸς λαβεῖν, ὀλισθεῖν ἀλγηδών, οὐδὲ ἕτερα τοιαῦτα κι-
νοῦσα καὶ γαργαλίζουσα τοῦ σώματος, ἀλλ' ὥσπερ τὸ τῆς μηδικῆς σπέρμα πο-
λυκαμπὲς καὶ σκληρὸν ἐμφύεται τῇ γῇ, καὶ διαμένει πολὺν χρόνον ὑπὸ τρα-
χύτητος, οὕτως ὁ πόνος ἀγκιστρα καὶ ῥίζας διασπείρων καὶ συμπλεκόμενος τῇ
σαρκί, καὶ παραμένων οὐχ ἡμέρας οὐδὲ νύκτας μόνον, ἀλλὰ καὶ ὥρας ἐτῶν ἐνί-
ους καὶ περιόδους ὀλυμπιακῶν, μόλις ὑπ' ἄλλων πόνων ὥσπερ ἥλων σφοδρο-
τέρων ἐκκρουόμενος, ἀπαλλάττεται. τίς γὰρ ἔπιε χρόνον τοσοῦτον, ἢ ἔφαγεν,
ὅσον διψῶσιν οἱ πυρέττοντες, καὶ πεινῶσιν οἱ πολιορκούμενοι. ποῦ δέ ἐστιν ἄνεσις
καὶ συνουσία μετὰ φίλων, ἐφ' ὅσον κολάζουσι καὶ στρεβλοῦσι τύραννοι. καὶ γὰρ
τοῦτο τῆς τοῦ σώματος φαυλότητος καὶ ἀφυΐας πρὸς τὸ ἡδέως ζῆν ἐστιν, ὅτι
τοὺς πόνους ὑπομένει μᾶλλον, ἢ τὰς ἡδονάς, καὶ πρὸς ἐκείνους ἔχει ῥώμην καὶ δύ-
ναμιν, ἐν δὲ ταύταις ἀσθενές τι καὶ ἀψίκορον. τὸ δὲ ἡδέως ζῆν ἂν ἀπίωσι πλεῖο-
να περὶ τούτου λέγειν οὐκ ἐῶσιν ἡμᾶς, ὁμολογοῦντες αὐτοὶ μικρὸν εἶναι τὸ
τῆς σαρκὸς ἡδύ, μᾶλλον δὲ ἀκαρές, εἴ γε δὴ μὴ κενολογοῦσι μηδὲ ἀλαζονεύονται.
μητρόδωρος μὲν λέγων ὅτι πολλάκις προσεπτύσαμεν ταῖς τοῦ σώματος ἡδοναῖς,
ἐπίκουρος δὲ καὶ γελᾶν φησι ταῖς ὑπερβολαῖς τῆς περὶ τὸ σῶμα νοσήματος,
πολλάκις κάμνοντα τὸν σοφόν. οἷς οὖν οἱ πόνοι τοῦ σώματος οὕτως εἰσὶν ἐλα-
φροὶ καὶ ῥᾴδιοι, πῶς ἂν ἐστί τι ταῖς ἡδοναῖς ἀξιόλογον. καὶ γὰρ εἰ μὴ χρόνῳ μηδὲ
μεγέθει τῶν πόνων ἀπολείπουσιν, ἀλλὰ περὶ πόνους ἔχουσι, καὶ πέρας αὐταῖς κοι-
νὸν ἐπίκουρος, τὴν παντὸς τοῦ ἀλγοῦντος ὑπεξαίρεσιν ἐπιτέθεικεν, ὡς τῆς φύ-
σεως ἄχρι τοῦ λῦσαι τὸ ἀλγεινὸν αὐξούσης τὸ ἡδύ, περαιτέρω δὲ προελθεῖν οὐκ
ἐώσης κατὰ μέγεθος, ἀλλὰ ποικιλμούς τινας οὐκ ἀναγκαίους, ὅταν οὐκ ἐν τῷ
μὴ πονεῖν γένηται δεχομένης. ἡ δὲ ἐπὶ τοῦτο μετ' ὀρέξεως πορεία, μέτρον ἡδονῆς
οὖσα, κομιδῆ βραχεῖα καὶ σύντομος. ὅθεν αἰσθόμενοι τῆς ἐνταῦθα γλισχρό-
τητος, ὥσπερ ἐκ χωρίου λυπροῦ τοῦ σώματος μεταφέρουσι τοῦ τέλους εἰς τὴν

ψυχήν, ὡς ἐκεῖνο ἡμᾶς καὶ λειμῶνας ἀμφιλαφεῖς ἡδονῶν ἄξοντας. ἐν δὲ Ἰθά-
κῃ, ὅ γ' δρόμοι εὐρέες· οὔτε λεία περὶ τὸ σαρκίδιον ἡ ἀπόλαυσις, ἀλλὰ τραχεῖα
μεμιγμένη πρὸς πολὺ τὸ ἀλλότριον καὶ σφυγματῶδες. ὑπολαβὼν οὖν ὁ Ζεύξιπ-
πος, εἶτα οὐ καλῶς ἔφη δοκοῦσί σοι ποιεῖν οἱ ἄνδρες, ἀρξάμενοι μὲν ἀπὸ τοῦ σώ-
ματος, ἐν ᾧ πρῶτον ἐφάνη γένεσις, εἶτα δὲ τὴν ψυχὴν ὡς βεβαιοτέραν, καὶ τὸ πᾶν
ἐν αὐτῇ τελειοῦντες καλῶς; νὴ Δία ἔφην ἐγώ, καὶ κατὰ φύσιν, εἴ τι κρεῖττον
ἐνταῦθα μετιόντες καὶ τελειότερον ἀληθῶς ἀνευρίσκουσιν, ὥσπερ οἱ θεωρη-
τικοὶ καὶ πολιτικοὶ τῶν ἀνδρῶν. εἰ δὲ ἀκούεις αὐτῶν μαρτυρομένων καὶ βοών-
των ὡς ἐπ' οὐδενὶ ψυχὴ τῶν ὄντων πέφυκε χαίρειν καὶ γαληνίζειν, πλὴν ἐπὶ σώμα-
τος ἡδοναῖς παρούσαις ἢ προσδοκωμέναις· καὶ τοῦτο αὐτῆς τὸ ἀγαθόν ἐστιν.
ἆρα οὐ δοκοῦσί σοι διέραμά τι τοῦ σώματος χρῆσθαι τῇ ψυχῇ· καθάπερ οἶνον ἐκ
πονηροῦ καὶ μὴ στέγοντος ἀγγείου τὴν ἡδονὴν διαχέοντες ἐνταῦθα καὶ παλαιοῦν-
τες, οἴεσθαι σεμνότερόν τι ποιεῖν καὶ τιμιώτερον. καί τοι γε οἶνον μὲν χρόνῳ
διαλυθέντα τηρεῖ καὶ συνηδύνει· τῆς δὲ ἡδονῆς ἡ ψυχὴ παραλαβοῦσα τὴν μνή-
μην ὥσπερ ὀσμήν, ἄλλο δὲ οὐδὲν φυλάσσει· ζέσασα γὰρ ἐπὶ σαρκὶ κατασβέν-
νυται καὶ τὸ μνημονευόμενον αὐτῆς ἀμαυρόν ἐστι καὶ κνισῶδες· ὥσπερ ἑώλων,
ὧν τις ἔφαγεν ἢ ἔπιε τιθεμένου καὶ ταμιεύοντος, ἐπινοίαις ἐν αὐτῷ καὶ χρω-
μένου δηλονότι ταύταις προσφάτων μὴ παρόντων. ὅρα δὲ ὅσῳ μετριώτεροι
οἱ Κυρηναϊκοὶ καίπερ ἐκ μιᾶς οἰνοχόης Ἐπικούρῳ πεπωκότες, οὐδὲ ὁμιλεῖν ἀ-
φροδισίοις οἴονται δεῖν μετὰ φωτός, ἀλλὰ σκότος προθεμένους, ὅπως μὴ τὰ εἴ-
δωλα τῆς πράξεως ἀναλαμβάνουσα διὰ τῆς ὄψεως ἐναργῶς ἐν αὐτῇ ἡ διάνοια
πολλάκις ἀνακαίῃ τὴν ὄρεξιν. οἱ δὲ τούτῳ μάλιστα τὸν σοφὸν ἡγούμενοι διαφέ-
ρειν, τῷ μνημονεύειν ἐναργῶς καὶ συνέχειν ἐν αὐτῷ τὰ περὶ τὰς ἡδονὰς φάσ-
ματα καὶ πάθη καὶ κινήσεις, εἰ μὲν οὐδὲν ἄξιον σοφίας παρεγγυῶσιν, ὥσπερ
σωμάτων οἰκίᾳ τῇ ψυχῇ τοῦ σοφοῦ τὰ τῆς ἡδονῆς ἐκκλύσματα μένειν ἐῶντες,
μὴ λέγωμεν· ὅτι δὲ οὐκ ἔστιν ἀπὸ τούτων ἡδέως ζῆν, αὐτόθεν πρόδηλον. οὐ γὰρ
ἴσως εἶναι μετὰ τῆς ἡδονῆς τὸ μνημονευόμενον, εἰ μικρόν τε δοκεῖ τὸ παρόν· τὸ δὲ
οἷς συνέφερε τοῖς μετρίοις γινομένοις ὑποχωρεῖν γενομένων. ὅπου οὐδὲ τοῖς ἐκπε-
πληγμένοις τὰ σωματικὰ καὶ θαυμάζουσιν, ἐμμένειν τὸ χαίρειν παυσαμένοις,
ἀλλὰ σκιά τις ὑπολείπεται καὶ ὄναρ ἐν τῇ ψυχῇ τῆς ἡδονῆς ἀποπταμένης· οἷον
ὑπέκκαυμα τῶν ἐπιθυμιῶν, ὥσπερ ἐν ὕπνῳ διψῶντος ἢ ἐρῶντος, ἀτελεῖς ἡδο-
ναὶ καὶ ἀπολαύσεις δριμύτερον ἐγείρουσι τὸ ἀκόλαστον, οὔτε δὴ τούτοις ἐπιτερ-
πὴς ἡ μνήμη τῶν ἀπολελαυσμένων ἀλλ' ἐξ ὑπολείμματος ἡδονῆς ἀμυδροῦ καὶ δια-
κένου, πολὺ τὸ οἰστρῶδες καὶ νύττον, ἐναργοῦς ἀναφέρουσα τῆς ὀρέξεως, οὔτε
τοὺς μετρίους καὶ σώφρονας εἰκὸς ἐνδιατρίβειν τῇ ἐπινοίᾳ τῶν τοιούτων, οὐδὲ
ἅπερ ἔσκωπτε τὸν Καρνεάδην πράττοντα, οἷον ἐξ ἐφημερίδων ἀναλέγεσθαι,
ποσάκις Ἡδείᾳ καὶ Λεοντίῳ συνῆλθον, ἢ ποῦ Θάσιον ἔπιον, ποίας εἰκάδας ἐδεί-
πνησα πολυτελέστατα, δεινὴν γὰρ ἐμφαίνει καὶ θηριώδη περὶ τὰ γινόμενα καὶ
προσδοκώμενα τῆς ἡδονῆς ἔργα ταραχὴν καὶ λύσσαν, ἡ τοσαύτη πρὸς ἀναμνή-
σεις βάκχευσις αὐτῆς τῆς ψυχῆς καὶ πρόστηξις. ὅθεν αὐτοί μοι δοκοῦσιν, τού-
των αἰσθόμενοι τῶν ἀτοπιῶν, εἰς τὴν ἀπονίαν καὶ τὴν εὐστάθειαν ὑποφεύγειν τῆς σαρ-
κός, ὡς ἐν τῷ ταύτην ἐπινοεῖν περί τινας ἐσομένην καὶ γεγενημένην, τοῦ ἡδέως ζῆν
ὄντος· τὸ γὰρ εὐσταθὲς σαρκὸς κατάστημα, καὶ τὸ περὶ ταύτης πιστὸν ἔλπισμα τὴν
ἀκροτάτην χαρὰν καὶ βεβαιοτάτην ἔχει τοῖς ἐπιλογίζεσθαι δυναμένοις. ὅρα
δὴ πρῶτον μὲν οἷα ποιοῦσιν, τὴν εἴτε ἡδονὴν ταύτην εἴτε ἀπονίαν, ἢ εὐπάθειαν,
ἄνω καὶ κάτω μεταχέροντες, ἐκ τοῦ σώματος εἰς τὴν ψυχήν, εἶτα πάλιν ἐκ ταύ-

της εἰς ἐκεῖνο τῷ μὴ στέγειν ἀπορρέουσαν καὶ περιολισθαίνουσαν, ἀναγκαζόμενοι
τῇ ἀρχῇ συνάπτειν· καὶ τὸ μὲν ἡδόμενον ὥς φησι τῆς σαρκός, τῷ χαίροντι τῆς
ψυχῆς ὑπερείδοντες, αὖθις δὲ τοῦ χαίροντος εἰς τὸ ἡδόμενον τῇ ἐλπίδι τελευ-
τῶντες. καὶ πῶς οἷόν τε τῆς βάσεως τινασσομένης, μὴ συντινάσσεσθαι τὸ ἐνόν·
ἢ βέβαιον ἐλπίδα καὶ χαρὰν ἀσάλευτον εἶναι περὶ πράγματος σάλον ἔχον-
τος τοσοῦτον καὶ μεταβολάς, ὅσαι φυλάττουσι τὸ σῶμα πολλαῖς μὲν ἔξωθεν
ὑποκείμενον, ἀνάγκαις καὶ πληγαῖς, ἐν αὐτῷ δὲ ἔχον ἀρχὰς κακῶν, ἃς οὐκ ἀπο-
τρέπει λογισμός. οὐδὲ γὰρ ἂν προσέπιπτεν ἀνδράσι νοῦν ἔχουσι στραγγουρικὰ πά-
θη καὶ δυσεντερικὰ καὶ φθίσεις καὶ ὕδρωπες, ὧν τοῖς μὲν αὐτὸς Ἐπίκουρος
συνηνέχθη, τοῖς δὲ Πολύαινος· τὰ δὲ Νεοκλέα καὶ Ἀγαθόβουλον ἐξήγαγε, καὶ
ταῦτα οὐκ ὀνειδίζομεν, εἰδότες καὶ Φερεκύδην καὶ Ἡράκλειτον ἐν νόσοις χαλε-
παῖς γενομένους, ἀλλὰ ἀξιοῦμεν αὐτοὺς εἰ τοῖς πάθεσι βούλονται τοῖς ἑαυτῶν
ὁμολογεῖν καὶ μὴ κεναῖς φωναῖς θρασυνόμενοι καὶ δημαγωγοῦντες, ἀλαζονείαν
προσοφλισκάνειν, ἢ μὴ λαμβάνειν χαρᾶς ἀρχὴν ἁπάσης τῆς σαρκὸς εὐστάθειαν,
ἢ μὴ φάναι χαίρειν καὶ ὑβρίζειν τοὺς ἐν πόνοις ὑπερβάλλουσι καὶ νόσοις γινομέ-
νους. κατάστημα μὲν γὰρ εὐσταθὲς σαρκὸς γίνεται πολλάκις, ἔλπισμα δὲ πιστὸν
ὑπὲρ σαρκὸς καὶ βέβαιον, οὐκ ἔστιν ἐν ψυχῇ νοῦν ἐχούσῃ γενέσθαι, ἀλλ' ὥσπερ
ἐν θαλάσσῃ κατ' Αἰσχύλον, ὠδῖνα τῇ πολλῇ νὺξ κυβερνήτῃ σοφῷ καὶ γαλήνῃ· τὸ
γὰρ μέλλον ἄδηλον, οὕτως ἐν σώματι ψυχὴν εὐσταθοῦντι καὶ ταῖς περὶ σώμα-
τος ἐλπίσι τἀγαθὸν θεμένην, οὐκ ἔστιν ἄφοβον καὶ ἀκύμονα διεξαγαγεῖν. οὐ γὰρ
ἔξωθεν μόνον ὥσπερ ἡ θάλασσα χειμῶνας ἴσχει καὶ καταιγισμοὺς τὸ σῶμα·
πλείονας δὲ ταραχὰς ἐξ ἑαυτοῦ καὶ μείζονας ἀναδίδωσι. εὐδίαν δὲ χειμερι-
νὴν μᾶλλον ἄν τις ἢ σαρκὸς ἀβλάβειαν ἐλπίσειεν αὐτῷ παραμένειν βεβαίως.
τὸ γὰρ ἐφήμερα καλεῖν καὶ ἀβέβαια καὶ ἀστάθμητα φύλλοις τε γινομένοις ἴσους
ὥρᾳ καὶ φθίνουσιν εἰκάζειν τὸν βίον, τί παρέσχηκεν ἄλλο τοῖς ποιηταῖς, ἢ τὸ τῆς
σαρκὸς ἐπίκηρον καὶ πολυβλαβὲς καὶ νοσῶδες, ἧς δὴ καὶ τὸ ἄκρον ἀγαθὸν δε-
διέναι καὶ κολούειν παρεγγυῶσι. σφαλερὸν γὰρ ἡ ἐπ' ἄκρον εὐεξία φησὶν Ἱπ-
ποκράτης· ὁ δὲ ἄρτι θάλλων σαρκί, Διοπείθης ὅπως ἀστὴρ ἀπέσβη κατὰ τὸν Εὐρι-
πίδην. ὑπὸ δὲ βασκανίας καὶ φθόνου βλάπτεσθαι προορωμένους οἴονται τοὺς
καλοὺς ὅτι τάχιστα τὸ ἀκμάζον ἴσχει μεταβολὴν τοῦ σώματος δι' ἀσθένειαν.
ὅτι δὲ ὅλως μοχθηρὰ τὰ πράγματα πρὸς βίον ἄλυπόν ἐστιν αὐτοῖς, σκόπει
καὶ ἀφ' ὧν πρὸς ἑτέρους λέγουσι. τοὺς γὰρ ἀδικοῦντας καὶ παρανομοῦντας
ἀθλίως φασὶ καὶ περιφόβως ζῆν τὸν πάντα χρόνον· ὅτι κἂν λαθεῖν δύνωνται,
πίστιν περὶ τοῦ λαθεῖν λαβεῖν ἀδύνατόν ἐστιν. ὅθεν ὁ τοῦ μέλλοντος ἀεὶ φόβος ἐγ-
κείμενος, οὐκ ἐᾷ χαίρειν, οὐδὲ θαρρεῖν ἐπὶ τοῖς παροῦσι. ταῦτα δὲ καὶ πρὸς
ἑαυτοὺς εἰρηκότες λελήθασιν. εὐσταθεῖν μὲν γάρ ἐστι καὶ ὑγιαίνειν τῷ σώματι πολ-
λάκις, πίστιν δὲ λαβεῖν περὶ τοῦ διαμένειν ἀμήχανον. ἀνάγκη δὴ ταράττεσθαι
καὶ ὠδίνειν ἀεὶ πρὸς τὸ μέλλον ὑπὲρ τοῦ σώματος· ἣν τί περιμένουσιν ἐλπίδα πι-
στὴν ἀπ' αὐτοῦ καὶ βέβαιον οὐδέ πω κτήσασθαι δυναμένους. τὸ δὲ μηδὲν ἀδι-
κεῖν, οὐδέν ἐστι πρὸς τὸ θαρρεῖν· οὐ γὰρ τὸ δικαίως παθεῖν, ἀλλὰ τὸ παθεῖν φοβε-
ρόν· οὐδὲ συνεῖναι μὲν αὐτὸν ἀδικίαις ἀνιαρόν, περιπεσεῖν δὲ ταῖς ἄλλων οὐ χα-
λεπόν· ἀλλ' εἰ μὴ μεῖζον, οὐκ ἔλαττόν γε τὸ κακὸν ἦν Ἀθηναίοις ἡ Λαχάρους, καὶ
Συρακουσίοις ἡ Διονυσίου χαλεπότης, ἤπερ αὐτοῖς ἐκείνοις· ταράττοντες γάρ,
ἐταράττοντο καὶ πείσεσθαι κακῶς προσεδόκων ἐκ τοῦ προαδικεῖν καὶ λυμαί-
νεσθαι τοὺς προστυγχάνοντας. ὄχλων δὲ θυμούς, καὶ λῃστῶν ὠμότητας,
καὶ κληρονόμων ἀδικίας, ἔτι δὲ λοιμοὺς ἀέρων, καὶ θάλασσαν εὐκράτην, ὑφ'

αἷς Ἐπίκουρος ὀλίγου ἐδέησε καταποθῆναι πλέων εἰς Λάμψακον, ὡς γράφει. τί ἂν λέγοι τις; ἀρκεῖ γοῦν ἡ φύσις τῆς σαρκὸς ὕλην ἔχουσα νόσων ἐν ἑαυτῇ, καὶ τοῦτο δὴ τὸ παιζόμενον, ἐκ τοῦ βοὸς τοὺς ἱμάντας λαμβάνουσα, τὰς ἀλγηδόνας ἐκ τοῦ σώματος. ὁμοίως τοῖς τε φαύλοις καὶ τοῖς ἐπιεικέσι τὸν βίον ἐπισφαλῆ ποιεῖν καὶ φοβερόν, ἄν περ τῇ σαρκὶ καὶ τῇ περὶ σάρκα ἐλπίδι μάθωσιν, ἄλλῳ δὲ μηδενὶ χαίρειν καὶ θαρρεῖν, ὡς Ἐπίκουρος ἔν τε ἄλλοις πολλοῖς γέγραφε, καὶ τούτοις ἅ ἐστι περὶ τελῶν. οὐ μόνον τοίνυν ἄπιστον καὶ ἀβέβαιον ἀρχὴν λαμβάνουσι τοῦ ἡδέως ζῆν, ἀλλὰ καὶ παντάπασιν εὐκαταφρόνητον καὶ μικράν. εἴ περ αὐτοῖς κακῶν ἀποφυγὴ τὸ χαρτόν ἐστι καὶ τὸ ἀγαθόν. ἄλλο δὲ οὐδὲν διανοεῖσθαί φασιν, οὐδὲ ὅλως τὴν φύσιν ἔχειν ὅποι τεθήσεται τὸ ἀγαθόν. εἰ μὴ μόνον ὅθεν ἐξελαύνεται τὸ κακὸν αὐτῆς, ὥς φησι Μητρόδωρος ἐν τοῖς πρὸς τοὺς σοφιστάς, ὥστε ταὐτὸν ἀγαθόν ἐστι, τὸ φυγεῖν τὸ κακόν. ἔνθα γοῦν τεθήσεται τὸ ἀγαθόν, οὐκ ἔστιν ὅταν μηδὲν ἔτι ὑπεξίῃ, μήτε ἀλγεινόν, μήτε λυπηρόν. ὅμοια δὲ καὶ τὰ Ἐπικούρου, λέγοντα τὴν τοῦ ἀγαθοῦ φύσιν ἐξ αὐτῆς τῆς φυγῆς τοῦ κακοῦ καὶ τῆς μνήμης καὶ ἐπιλογίσεως καὶ χάριτος, ὅτι τοῦτο συμβέβηκεν αὐτῷ γενέσθαι. τὸ γὰρ ποιοῦν φησιν ἀνυπέρβλητον γῆθος τὸ παρ' αὐτὸ πεφυγμένον μέγα κακόν. καὶ αὕτη φύσις ἀγαθοῦ, ἄν τις ὀρθῶς ἐπιβάλλῃ, ἔπειτα σταθῇ καὶ μὴ κενῶς περιπατῇ περὶ ἀγαθοῦ θρυλλῶν. φεῦ τῆς μεγάλης ἡδονῆς τῶν ἀνδρῶν καὶ μακαριότητος, ἣν καρποῦνται χαίροντες ἐπὶ τῷ μὴ κακοπαθεῖν μηδὲ λυπεῖσθαι μηδὲ ἀλγεῖν. ἆρα οὐκ ἄξιόν ἐστιν ἐπὶ τούτοις, καὶ φρονεῖν καὶ δὴ ὑπερλέγειν ἃ λέγουσιν, ἀφθάρτους καὶ ἰσοθέους ἀποκαλοῦντες αὑτούς· καὶ δι' ὑπερβολὰς καὶ ἀκρότητας ἀγαθῶν, εἰς βρόμους καὶ ὀλολυγμοὺς ἐκβακχεύοντες ὑφ' ἡδονῆς, ὅτι τῶν ἄλλων περιφρονοῦντες, ἐξευρήκασι μόνοι θεῖον ἀγαθόν, καὶ μέγα τὸ μηδὲν ἔχειν κακόν, ὥστε μήτε συῶν ἀπολείπεσθαι, μήτε προβάτων εὐδαιμονίαν, τὸ τῇ σαρκὶ καὶ τῇ ψυχῇ περὶ τῆς σαρκὸς ἱκανῶς ἔχειν μακάριον τιθεμένους. ἐπεὶ τοῖς γε κομψοτέροις καὶ γλαφυρωτέροις τῶν ζώων οὐκ ἔστι φύσει κακοῦ τέλος, ἀλλὰ καὶ πρὸς ᾠδὰς ὑπὸ κόρου τρέπεται, καὶ νήξεσι χαίρει καὶ πτήσεσι, καὶ ἀπομιμεῖσθαι παίζοντα φωνάς τε παντοδαπὰς καὶ ψόφους, ὑπὸ ἡδονῆς καὶ γαυρότητος ἐπιχειρεῖ· καὶ πρὸς ἄλληλα χρῆται φιλοφροσύναις τε καὶ σκιρτήσεσιν· ὅταν ἐκφύγῃ τὸ κακόν, τἀγαθὸν πεφυκότα ζητεῖν, μᾶλλον δὲ ὅλως πᾶν τὸ ἀλγεινὸν καὶ τὸ ἀλλότριον ὡς ἐμποδὼν ὄντα τῇ διώξει τοῦ οἰκείου καὶ κρείττονος ἐξωθοῦντα τῆς φύσεως. τὸ γοῦν ἀναγκαῖον οὐκ ἀγαθόν ἐστιν, ἀλλ' ἐπέκεινα τῆς φυγῆς τῶν κακῶν κεῖται, τὸ ἐφετὸν καὶ τὸ αἱρετόν, καὶ νὴ Δία τὸ ἡδὺ καὶ οἰκεῖον, ὡς Πλάτων ἔλεγε, καὶ ἀπηγόρευε τὰς λυπῶν καὶ πόνων ἀπαλλαγὰς ἡδονὰς μὴ νομίζειν, ἀλλ' οἷόν τινα σκιαγραφίαν ἢ μίξιν οἰκείου καὶ ἀλλοτρίου, καθάπερ λευκοῦ καὶ μέλανος ἀπὸ τοῦ κάτω πρὸς τὸ μέσον ἐπαναφερομένων· ἀπειρίᾳ δὲ τοῦ κάτω καὶ ἀγνοίᾳ τὸ μέσον ἄκρον ἡγουμένων εἶναι καὶ πέρας, ὥσπερ Ἐπίκουρος ἡγεῖται καὶ Μητρόδωρος οὐσίαν τἀγαθοῦ καὶ ἀκρότητα τὴν τοῦ κακοῦ φυγὴν τιθέμενοι, καὶ χαίροντες ἀνδραπόδων τινὰ χαρὰν ἢ δεσμίων ἐξ εἱργμοῦ λυθέντων, ἀσμένως ἀλειψαμένων καὶ ἀπολουσαμένων μετ' αἰκίας καὶ μάστιγας, ἐλευθέρας δὲ καὶ καθαρᾶς καὶ ἀμιγοῦς καὶ ἀπουλωτίστου χαρᾶς ἀγεύστων καὶ ἀθεάτων. οὐ γοῦν εἰ τὸ ψωριᾶν τὴν σάρκα καὶ λημᾶν τὸν ὀφθαλμὸν ἀλλότριον, ἤδη καὶ τὸ κνᾶσθαι καὶ ἀπομάττεσθαι θαυμάσιον, οὐδ' εἰ τὸ ἀλγεῖν καὶ φοβεῖσθαι τὰ θεῖα καὶ ταράττεσθαι τοῖς ἐν ᾅδου κακόν, ἡ τούτων ἀποφυγὴ μακάριον καὶ ζηλωτόν, ἀλλὰ μικρόν τινα τόπον καὶ γλίσχρον ἀποφαίνουσι τῆς χαρᾶς, ἐν ᾧ στρέφεται καὶ κυλινδεῖται μέχρι τοῦ μὴ ταράττεσθαι

τοῖς ἐν ᾅδου κακοῖς, ἡ τούτων παρὰ τὰς κενὰς δόξας προϊοῦσα, καὶ τοῦτο ποιουμένη τῆς σοφίας τέλος, ὃ δόξειεν αὐτόθεν ὑπάρχειν τοῖς ἀλόγοις. εἰ γὰρ πρὸς τὴν ἀπονίαν τοῦ σώματος οὐ διαφέρει, πότερον δι' αὑτό, ἢ φύσει τοῦ πονεῖν ἐκτός ἐστιν, οὐδὲ πρὸς τὴν ἀταραξίαν τῆς ψυχῆς μεῖζόν ἐστι τὸ δι' αὑτὸ ἢ κατὰ φύσιν ὡς οὕτως ἔχειν ὥστε μὴ ταράττεσθαι. καίτοι φήσειεν ἄν τις οὐκ ἀλόγως ἐρρωμενεστέραν εἶναι διάθεσιν τὴν φύσει μὴ δεχομένην τὸ ταράττον ἢ τὴν ἐπιμελείᾳ καὶ λόγῳ διαφεύγουσαν. ἔστω δὲ ἔχειν ἐπίσης, καὶ γοῦν οὕτω φανοῦνται τῶν θηρίων πλέον οὐδὲν ἔχοντες, ἐν τῷ μὴ ταράττεσθαι τοῖς ἐν ᾅδου καὶ περὶ θεῶν λεγομένοις, μηδὲ προσδοκᾶν λύπας μὴ δὲ ἀλγηδόνας ὅρον ἐχούσας. αὐτὸς γοῦν Ἐπίκουρος εἰπὼν ὡς εἰ μηδὲν ἡμᾶς αἱ περὶ τῶν μετεώρων ὑποψίαι ἠνώχλουν, ἔτι τὰ περὶ θανάτου καὶ ἀλγηδόνων, οὐκ ἄν ποτε προσεδεόμεθα φυσιολογίας εἰς τοῦτο· ὅτε γοῦν ὑποψίας ἔχει φαύλας περὶ θεῶν, οὔτε δόξας αἷς ἐνοχλεῖται μετὰ τὸν θάνατον, οὐδὲ ὅλος ἐπινοεῖ τι δεινὸν ἐν τούτοις οὐδὲ οἶδε. καίτοι εἰ μὲν ἐν τῇ προλήψει τοῦ θεοῦ τὴν πρόνοιαν ἀπέλιπον, ἐφαίνοντο ἂν ἐλπίσι χρησταῖς πλέον ἔχοντες οἱ φρόνιμοι τῶν θηρίων πρὸς τὸ ἡδέως ζῆν. ἐπεὶ δὲ τέλος ἦν τοῦ περὶ θεῶν λόγου τὸ μὴ φοβεῖσθαι θεόν, ἀλλὰ παύσασθαι ταραττομένους· βεβαιότερον οἶμαι τοῦτο ὑπάρχειν τοῖς ὅλως μὴ νοοῦσι θεόν, ἢ τοῖς νοεῖν μὴ βλάπτοντα μεμαθηκόσιν. οὐ γὰρ ἀπήλλακται δεισιδαιμονίας, ἀλλ' οὐδὲ περιπέπτωκεν, οὐδὲ ἀποτέθειται τὴν ταράττουσαν ἔννοιαν περὶ θεῶν, ἀλλ' οὐδ' εἴληφε. τὰ δὲ αὐτὰ καὶ περὶ τῶν ἐν ᾅδου λεκτέον, τὸ μὲν γὰρ ἐλπίζειν χρηστὸν ἀπ' ἐκείνων οὐδέτερον ὑπάρχει· τὸ δ' ὑποπτεύειν καὶ φοβεῖσθαι τὰ μετὰ τὸν θάνατον, ἧττον μέτεστιν, οἷς οὐ γίνεται θανάτου πρόληψις, ἢ τοῖς προλαμβάνουσιν, ὡς οὐδὲν πρὸς ἡμᾶς ὁ θάνατος, πρός μέν γε τοῦτό ἐστιν ἐφ' ὅσον περὶ αὐτοῦ διαλογίζονται καὶ σκοποῦσι· τὰ δὲ ὅλως ἀπήλλακται τοῦ φροντίζειν τῶν οὐ πρὸς ἑαυτά, πληγὰς δὲ φεύγοντα καὶ τραύματα καὶ φόνους, τοῦτο τοῦ θανάτου δέδοικεν, ὃ καὶ τούτοις φοβερόν ἐστιν. ἃ μὲν οὖν λέγουσιν αὐτοὺς ὑπὸ σοφίας παρεσκευασμένα, τοιαῦτά ἐστιν· ὧν δὲ αὑτοὺς ἀφαιροῦνται καὶ ἀπελαύνουσιν, ἤδη σκοπῶμεν. τὰς μὲν γοῦν περὶ σαρκὸς, καὶ σαρκὸς εὐπαθείᾳ τῆς ψυχῆς διαχύσεις, ἐὰν ὦσι μέτριαι μηδὲν ἐχούσας μέγα, μηδὲ ἀξιόλογον· ἂν δὲ ὑπερβάλλωσι πρὸς τῷ κενῷ καὶ ἀβεβαίῳ φορτικὰς φαινομένας καὶ θρασείας οὐδὲ ψυχικὰς ἄν τις οὐδὲ χαρὰς, ἀλλὰ σωματικὰς ἡδονάς, οἷον ἐπιμειδιάσεις καὶ συνεπιθρύψεις προσείποι τῆς ψυχῆς. ἃς δὲ ἄξιον καὶ δίκαιον εὐφροσύνας καὶ χαρὰς νομίζεσθαι, καθαραὶ μέν εἰσι τοῦ ἐναντίου, καὶ σφυγμὸν οὐδένα κεκραμένον, οὐδὲ δηγμόν, οὐδὲ μετάνοιαν ἔχουσιν. οἰκεῖον δὲ τῇ ψυχῇ, καὶ ψυχικὸν ἀληθῶς καὶ γνήσιον καὶ οὐκ ἐπείσακτον αὐτῶν τἀγαθόν ἐστιν, οὐδὲ ἄλογον, ἀλλὰ εὐλογώτατον ἐκ τοῦ θεωρητικοῦ καὶ φιλομαθοῦς, ἢ πρακτικοῦ καὶ φιλοκάλου τῆς διανοίας φυόμενον, ὧν ὅσας ἑκάτερον, καὶ ἡλίκας ἡδονὰς ἀναδίδωσιν, οὐκ ἄν τις ἀνύσειε διελθεῖν προθυμούμενος. ὑπομνῆσαι δὲ βραχέως αἵ τε ἱστορίαι πάρεισι πολλὰς μὲν ἐπιτερπεῖς διατριβὰς ἔχουσαι, τὸ δὲ ἐπιθυμοῦν ἀεὶ τῆς ἀληθείας ἀκόρεστον ἀπολείπουσαι καὶ ἄπληστον ἡδονῆς, δι' ἣν οὐδὲ τὸ ψεῦδος ἀμοιρεῖ χάριτος, ἀλλὰ καὶ πλάσμασι καὶ ποιήμασι τοῦ πιστεύεσθαι μὴ προσόντος, ἔνεστιν ὅμως τὸ πεῖθον. ἐννόει γοῦν ὡς δακνόμενοι τὸν Πλάτωνος ἀναγινώσκομεν Ἀτλαντικόν, καὶ τὰ τελευταῖα τῆς Ἰλιάδος, οἷον ἱερῶν κλειομένων ἢ θεάτρων ἐπιποθοῦντες τοῦ μύθου τὸ λειπόμενον. αὐτῆς δὲ τῆς ἀληθείας ἡ μάθησις οὕτως ἐράσμιόν ἐστι καὶ ποθεινόν, ὡς τὸ ζῆν καὶ τὸ εἶναι διὰ τὸ γινώσκειν. τοῦ δὲ θανάτου τὰ σκυθρωπότατα, λήθη καὶ ἄγνοια καὶ σκότος, ᾗ καὶ νὴ Δία μάχονται, τοῖς φθείρουσι τῶν ἀποθανόντων τὴν αἴσθησιν, ὀλίγου δεῖν ἅπαντες, ὡς ἐν νόμῳ τῷ

αὐτοῖς . L. A.

ἀποθανουμένῳ καὶ γινώσκοντι τῆς ψυχῆς τιθέμενοι τὸ ζῆν καὶ τὸ εὖ ζῆν καὶ τὸ χαίρειν. ἔστι γοῦν καὶ τοῖς ἀνιῶσι τὸ μεθ' ἡδονῆς τινος ἀκούεσθαι· καὶ ταραττόμενοι πολλάκις ὑπὸ τῶν λεγομένων καὶ κλαίοντες, ὅμως λέγειν κελεύουσιν ὥσπερ οὗτος,

οἴ μοι πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν, κἄγωγ' ἀκούειν· ἀλλ' ὅμως ἀκουστέον.

ἀλλὰ τοῦτο μὲν ἔοικε τῆς περὶ τὸ πάντα γινώσκειν ἡδονῆς ἀκρασία τις εἶναι, καὶ ῥύσις ἐκβιαζομένη τὸν λογισμόν. ὅταν δὲ μηδὲν ἔχουσα λυπηρὸν ἢ βλαβερὸν ἱστορία καὶ διήγησις, τοῖς πράξεσι καλαῖς καὶ μεγάλαις προσλάβῃ λόγον ἔχοντα δύναμιν καὶ χάριν, ὡς τὸν Ἡροδότου τὰ Ἑλληνικὰ καὶ Περσικὰ τὸν Ξενοφῶντος· ὅσα δὲ Ὅμηρος ἐθέσπισε θέσκελα εἰδώς, ἢ τὰς περιόδους Εὔδοξος, ἢ κτίσεις καὶ πολιτείας Ἀριστοτέλης, ἢ βίους ἀνδρῶν Ἀριστόξενος ἔγραψεν, οὐ μόνον μέγα καὶ πολὺ τὸ εὐφραῖνον, ἀλλὰ καὶ καθαρὸν καὶ ἀμεταμέλητόν ἐστι. τίς δ' ἂν φάγοι πεινῶν καὶ πίοι διψῶν τὰ Φαιάκων ἥδιον, ἢ διέλθοι τὸν Ὀδυσσέως ἀπόλογον τῆς πλάνης; τίς δ' ἂν ἡσθείη συναναπαυσάμενος τῇ καλλίστῃ γυναικὶ μᾶλλον, ἢ προσαγρυπνήσας οἷς γέγραφε περὶ Πανθείας Ξενοφῶν, ἢ περὶ Τιμοκλείας Ἀριστόβουλος, ἢ Θίσβης Θεόπομπος; ἀλλὰ ταῦτα τῆς ψυχῆς, ἐξωθοῦσι δὲ καὶ τὰς ἀπὸ τῶν μαθημάτων. καί τοι ταῖς μὲν ἱστορίαις ἁπλοῦν τι καὶ λεῖόν ἐστιν, αἱ δὲ ἀπὸ γεωμετρίας καὶ ἀστρολογίας καὶ ἁρμονικῆς δριμὺ καὶ ποικίλον ἔχουσαι τὸ δέλεαρ, οὐδὲν ἀγωγίμων ἀποδέουσιν, ἕλκουσαι καθάπερ ἴυγξι τοῖς διαγράμμασιν, ὧν ὁ γευσάμενος ἂν περ ἔμπειρος ᾖ, τὰ Σοφοκλέους περίεισιν ᾄδων,

μουσομανεῖ δ' ἐλάφθην δ' αὖ, καὶ τῷ πτερὶ δειραίν, ἔρχομαι δ' ἐκ τε λύρας, ἔκ τε νόμων.

οὐ Θαμύρας περὶ ἄλλα μουσοποιεῖ, καὶ νὴ Δία Εὔδοξος καὶ Ἀρίσταρχος καὶ Ἀρχιμήδης, ὅπου γοῦν οἱ φιλογραφοῦντες οὕτως ἄγονται τῇ πιθανότητι τῶν ἔργων, ὥστε Νικίαν γράφοντα τὴν νεκυίαν, ἐρωτᾶν πολλάκις τοὺς οἰκέτας, εἰ ἠρίστηκε· Πτολεμαίου δὲ τοῦ βασιλέως ἑξήκοντα τάλαντα τῆς γραφῆς συντελεσθείσης, πέμψαντος αὐτῷ, μὴ λαβεῖν μηδὲ ἀποδόσθαι τὸ ἔργον, τίνας οἰόμεθα καὶ πηλίκας ἡδονὰς ἀπὸ γεωμετρίας δρέπεσθαι καὶ ἀστρολογίας, Εὐκλείδην γράφοντα τὰ διοπτικά, καὶ Φίλιππον ἀποδεικνύοντα περὶ τοῦ σχήματος τῆς σελήνης, καὶ Ἀρχιμήδην ἀνευρόντα τῇ γωνίᾳ τὴν διάμετρον τοῦ ἡλίου, τηλικοῦτο τοῦ μεγίστου κύκλου μέρος οὖσαν, ἡλίκον ἡ γωνία τῶν τεσσάρων ὀρθῶν, καὶ Ἀπολλώνιον καὶ Ἀρίσταρχον ἑτέρων τοιούτων εὑρετὰς γενομένους, ὧν νῦν ἡ θέα καὶ κατανόησις, ἡδονάς τε μεγάλας καὶ φρόνημα θαυμάσιον ἐμποιεῖ τοῖς μανθάνουσι. καὶ οὐκ ἄξιον οὐδαμῶς ταύταις τὰς ἐκ τῶν ὀπτανείων καὶ ματρυλείων ἡδονὰς ἐκείνας παραβάλλοντα, καταισχύνειν τὸν Ἑλικῶνα καὶ τὰς Μούσας·

ἔνθ' οὔτε ποιμὴν ἀξιοῖ φέρβειν βοτά,
οὔτ' ἦλθέ πω σίδηρος·

ἀλλ' αὗται μέν εἰσιν ὡς ἀληθῶς ἀκήρατοι νομαὶ μελιττῶν· ἐκεῖνα δὲ συῶν καὶ τράγων κνησμοῖς ἔοικε προσαναπιμπλάντα τῆς ψυχῆς τὸ παθητικώτατον. ἔστι μὲν οὖν ποικίλον καὶ ἰταμὸν τὸ φιλήδονον, οὔπω δέ τις ἐρωμένῃ πλησιάσας ὑφ' ἡδονῆς χαρᾶς ἐβουθύτησεν, οὐδὲ ηὔξατό τις ἐμπλησθεὶς ὄψων ἢ πεμμάτων βασιλικῶν εὐθὺς ἀποθανεῖν· Εὔδοξος δὲ ηὔχετο παραστὰς τῷ ἡλίῳ, καὶ καταμαθὼν τὸ σχῆμα τοῦ ἄστρου καὶ τὸ μέγεθος καὶ τὸ εἶδος, ὡς ὁ Φαέθων καταφλεγῆναι, καὶ Πυθαγόρας ἐπὶ τῷ διαγράμματι βοῦν ἔθυσεν, ὥς φησιν Ἀπολλόδωρος·

ἡνίκα Πυθαγόρης τὸ περικλεὲς εὕρετο γράμμα,
κεῖνο ἐφ' ᾧ λαμπρὴν ἤγετο βουθυσίην,

εἴτε περὶ τῆς ὑποτεινούσης ὡς ἴσον δύναται ταῖς περιεχούσαις τὴν ὀρθήν, εἴτε πρόβλημα περὶ τοῦ χωρίου τῆς παραβολῆς. Ἀρχιμήδην δὲ βίᾳ τῶν διαγραμμάτων ἀποσπῶντες συνήλειφον οἱ θεράποντες· ὁ δὲ ἐπὶ τῆς κοιλίας ἔγραφε τὰ σχήματα τῇ στλεγγίδι, καὶ λουόμενος ὥς φασιν

ἐκ τῆς ὑπερχύσεως ἐννοήσας τὴν τοῦ στεφάνου μέτρησιν, οἷον ἔκ τινος κατοχῆς ἢ ἐπιπνοίας ἐξήλατο βοῶν, εὕρηκα, καὶ τοῦτο πολλάκις φθεγγόμενος ἐβάδιζεν. οὐδενὸς δὲ ἀκηκόαμεν, οὔτε γαστριμάργου περιπαθῶς, οὔτε βέβρωκα βοῶντος, οὔτε ἐρωτικοῦ πεφίληκα, μυρίων μυριάκις ἀκολάστων γεγονότων καὶ ὄντων, ἀλλὰ καὶ βδελυττόμεθα τοὺς μεμνημένους δείπνων ἐμπαθέστερον, ὡς ἐφ' ἡδοναῖς μικραῖς καὶ μηδενὸς ἀξίαις ὑπερασμενίζοντας. Εὐδόξῳ δὲ καὶ Ἀρχιμήδει καὶ Ἱππάρχῳ συνενθουσιῶμεν, καὶ Πλάτωνι πειθόμεθα περὶ τῶν μαθημάτων ὡς ἀμελούμενα δι' ἄγνοιαν καὶ ἀπειρίαν, ὅμως βίᾳ ὑπὸ χάριτος αὐξάνεται. ταύτας μέντοι τὰς τηλικαύτας καὶ τοσαύτας ἡδονάς, ὥσπερ ἀενάους ἐκτρέποντες οὗτοι καὶ ἀποστρέφοντες, οὐκ ἐῶσι γεύεσθαι τοὺς πλησιάσαντας αὐτοῖς, ἀλλὰ τοὺς μὲν ἐπαραμένους τὰ ἀκάτια, φεύγειν ἀπ' αὐτῶν κελεύουσι. Πυθοκλέους δὲ πάντες καὶ πᾶσαι δέονται δι' Ἐπικούρου καὶ ἀντιβολοῦσιν, ὅπως οὐ ζηλώσῃ τὴν ἐλευθέριον καλουμένην παιδείαν. Ἀπελλῆν δέ τινα θαυμάζοντες καὶ ὑπερασπαζόμενοι γράφουσιν, ὅτι τῶν μαθημάτων ἀποσχόμενος ἐξ ἀρχῆς καθαρὸν ἑαυτὸν ἐτήρησε. περὶ δὲ τῆς ἱστορίας ἵνα τὴν ἄλλην ἀνηκοΐαν ἐάσω, παραθήσομαι μόνα τὰ Μητροδώρου γράφοντος ἐν τοῖς περὶ ποιητῶν, ὅθεν μηδὲ εἰδέναι φάσκων μετὰ ποτέρων ἦν ὁ Ἕκτωρ, ἢ τοὺς πρώτους στίχους τῆς Ὁμήρου ποιήσεως, ἢ πάλιν τὰ ἐν μέσῳ μὴ ταρβήσῃς. ὅτι τοίνυν αἱ τοῦ σώματος ἡδοναὶ καθάπερ οἱ ἐτησίαι μαραίνονται μετὰ τὴν ἀκμὴν καὶ ἀπολήγουσιν, οὐ λέληθε τὸν Ἐπίκουρον· διαπορεῖ γοῦν εἰ γέρων ὁ σοφὸς ὢν καὶ μὴ δυνάμενος πλησιάζειν, ἔτι ταῖς τῶν καλῶν ἁφαῖς χαίρει καὶ ψηλαφήσεσιν, οὐ τὰ αὐτὰ μὲν τῷ Σοφοκλεῖ διανοούμενος, ἀσμένως ἐκφυγόντι τὴν ἡδονὴν ταύτην ὥσπερ ἄγριον καὶ λυττῶντα δεσπότην, ἀλλ' ἔδει γε τοὺς ἀπολαυστικοὺς ὁρῶντας ὅτι πολλὰς ἀφαυαίνει τῶν ἡδονῶν τὸ γῆρας, ἥ τε Ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται κατ' Εὐριπίδην, ταύτας μάλιστα συνάγειν τὰς ἡδονάς, ὥσπερ εἰς πολιορκίαν, ἄσηπτα σιτία καὶ ἄφθαρτα παρατιθεμένους, εἶτα ἄγειν ἀφροδίσια τοῦ βίου καὶ μεθεόρτους καλὰς ἐν ἱστορίαις καὶ ποιήμασι διατρίβοντας, ἢ προβλήμασι μουσικοῖς καὶ γεωμετρικοῖς. οὐ γὰρ ἂν ἐπῆλθεν αὐτοῖς εἰς νοῦν βαλέσθαι τὰς τυφλὰς ἐκείνας καὶ νωδὰς ψηλαφήσεις, καὶ ἐπιπηδήσεις τοῦ ἀκολάστου, μεμαθηκόσιν εἰ μηδὲν ἄλλο γράφειν περὶ Ὁμήρου καὶ περὶ Εὐριπίδου, ὡς Ἀριστοτέλης καὶ Ἡρακλείδης καὶ Δικαίαρχος, ἀλλ' οἶμαι τοιούτων ἐφοδίων μὴ φροντίσαντες, τῆς δὲ ἄλλης αὐτῶν πραγματείας ἀτερποῦς καὶ ξηρᾶς ὥσπερ αὐτοὶ τὴν ἀρετὴν λέγουσιν οὔσης, ἥδεσθαι πάντως ἐθέλοντες, τοῦ δὲ σώματος ἀπαγορεύοντος, αἰσχρὰ καὶ ἄωρα πράττειν ὁμολογοῦσι τῶν τε προτέρων ἡδονῶν ἀναμιμνήσκοντες ἑαυτούς, καὶ χρώμενοι ταῖς παλαιαῖς ἀπορίᾳ προσφάτων, ὥσπερ τεταριχευμέναις καὶ νεκραῖς, ἄλλας πάλιν καὶ τεθνηκυίας, οἷον ἐν τέφρᾳ ψυχρᾷ τῇ σαρκὶ κινοῦντες παρὰ φύσιν καὶ ἀναζωπυροῦντες, ἅτε δὴ μηδὲν οἰκεῖον ἡδὺ μετὰ χαρᾶς ἄξιον ἔχοντες ἐν τῇ ψυχῇ παρεσκευασμένον. καί τοι τὰ ἄλλα μέν, ὡς ἡμῖν ἐπῆλθεν εἰπεῖν, εἴρηται· μουσικὴν δὲ ὅσας ἡδονὰς καὶ χάριτας οἵας φέρουσαν ἀποστρέφονται καὶ φεύγουσι, βουλόμενος οὐκ ἄν τις ἐκλάθοιτο δι' ἀτοπίαν ὧν Ἐπίκουρος λέγει, φιλοθέωρον μὲν ἀποφαίνων τὸν σοφὸν ἐν ταῖς διαπορίαις καὶ χαίροντα παρ' ὁντινοῦν ἕτερον ἀκροάμασι καὶ θεάμασι Διονυσιακοῖς, προβλήμασι δὲ μουσικοῖς καὶ κριτικῶν φιλολόγοις ζητήμασιν, οὐδὲ παρὰ πότον διδοὺς χώραν, ἀλλὰ καὶ τοῖς φιλομούσοις τῶν βασιλέων παραινῶν στρατηγικὰ διηγήματα, καὶ

φορτικῆς βωμολοχίας ὑπομένειν μᾶλλον ἐν τοῖς συμποσίοις, ἢ λόγους περὶ
μουσικῶν καὶ ποιητικῶν προβλημάτων περαινομένους, ταυτὶ γὰρ ἐτόλμησε
γράφειν ἐν τῷ περὶ βασιλείας, ὥσπερ σαρδαναπάλῳ γράφων, ἢ ναράτῳ
τῷ σατραπεύσαντι βαβυλῶνος, οὐδὲ γὰρ ἱέρων γ' ἂν οὐδὲ ἄτταλος, οὐδὲ ἀρχέ-
λαος ἐπείσθησαν, εὐριπίδην καὶ σιμωνίδην καὶ μελανιππίδην καὶ κράτη-
τας καὶ διοδότους ἀναστήσαντες ἐκ τῶν συμποσίων κατακλῖναι κάρδακας καὶ
ἀγριάντας μεθ' αὑτῶν καὶ καλλίας γελωτοποιοὺς καὶ θρασωνίδας τινὰς καὶ
θρασυλέοντας ὀλολυγμοὺς, καὶ κροτοθορύβους ποιοῦντας. εἰ δὲ πτολε-
μαῖος ὁ πρῶτος συναγαγὼν τὸ μουσεῖον τούτοις συνέτυχε τοῖς καλοῖς καὶ βα-
σιλικοῖς παραγγέλμασιν, ἆρα οὐκ ἂν εἶπε τοῖς σαμίοις, ὦ μοῦσα τίς ὁ φθόνος, ἀ-
» θηναίων γὰρ οὐδενὶ πρέπει ταῖς μούσαις οὕτως ἀπεχθάνεσθαι καὶ πολεμεῖν,
» ὅσα δὲ μὴ πεφίληκε ζεὺς ἀτύζονται βοὰν περιδονέοντα. τί λέγεις ὦ ἐπί-
κουρε κιθαρῳδῶν καὶ αὐλητῶν ἕωθεν ἀκροασόμενος εἰς τὸ θέατρον βαδίζεις, ἐν
δὲ συμποσίῳ θεοφράστου περὶ συμφωνιῶν διαλεγομένου, καὶ ἀριστοξένου περὶ
μεταβολῶν, καὶ ἀριστοφάνους περὶ ὁμήρου, τὰ ὦτα καταλήψῃ ταῖς χερσὶ δυσ-
χεραίνων καὶ βδελυττόμενος, εἶτα οὐκ ἐμμελέστερον ἀποφαίνουσιν τὸν σκύθην ἀ-
τέαν, ὃς ἀμεινίου τοῦ αὐλητοῦ ληφθέντος αἰχμαλώτου καὶ παρὰ πότον αὐ-
λήσαντος, ὤμοσεν ἥδιον ἀκούειν τοῦ ἵππου χρεμετίζοντος, οὐχ ὁμολογοῦσι δὲ
τῷ καλῷ πολεμεῖν τὸν ἄσπονδον καὶ ἀκήρυκτον πόλεμον. εἰ δὲ μὴ ἡδονὴ πρόσε-
στι, τί σεμνὸν καὶ καθάριον ἀσπάζονται καὶ ἀγαπῶσιν. οὐκ ἦν δὲ πρὸς τὸ ἡδέως
ζῆν ἐπιεικέστερον, μύρα καὶ θυμιάματα δυσχεραίνειν, ὡς κάνθαροι καὶ γῦπες,
ἢ κριτικῶν καὶ μουσικῶν λαλιὰν βδελύττεσθαι καὶ φεύγειν; ποῖος γὰρ ἂν
» αὐλὸς ἢ κιθάρα διηρμοσμένη πρὸς ᾠδήν. ἢ τίς χορὸς εὐρύοπα κέλαδον ἀκρο-
σόφων ἀγνυμένων διὰ στομάτων φθεγγόμενος οὕτως ηὔφρανεν ἐπίκουρον καὶ μη-
τρόδωρον, ὡς ἀριστοτέλην καὶ θεόφραστον καὶ ἱερώνυμον καὶ δικαίαρχον, οἱ περὶ
χορῶν λόγοι καὶ διδασκαλίαι καὶ τὰ δι' αὐλῶν προβλήματα καὶ ῥυθμῶν καὶ
ἁρμονιῶν, οἷον διατί τῶν ἴσων αὐλῶν ὁ στενώτερος βαρύτερον φθέγγεται, καὶ
διατί τῆς σύριγγος ἀνασπωμένης, πᾶσιν ὀξύνεται τοῖς φθόγγοις, κλινομένης δὲ
πάλιν βαρύνει, καὶ συναχθεὶς πρὸς τὸν ἕτερον, διαχθεὶς δὲ ὀξύτερον ἠχεῖ, καὶ τί
δήποτε τῶν θεάτρων, ἂν ἄχυρα τῆς ὀρχήστρας κατασκεδάσῃς ὁ λαὸς τυ-
φλοῦται καὶ χαλκοῦν ἀλέξανδρον ἐν πέλλῃ βουλόμενον ποιῆσαι τὸ προσκή-
νιον, οὐκ εἴασεν ὁ τεχνίτης, ὡς διαφθεροῦντα τῶν ὑποκριτῶν τὴν φωνὴν, καὶ τί δή
ποτε τῶν γενῶν διαχεῖ τὸ χρωματικὸν, ἡ δὲ ἁρμονία συνίστησιν, ἤθη δὲ ποιητῶν
καὶ πλάσματα καὶ διαφοραὶ χαρακτήρων καὶ λύσεις ἀποριῶν, ἐν τῷ πρέ-
ποντι καὶ γλαφυρῷ τὸ οἰκεῖον ἅμα καὶ πιθανὸν ἔχουσαι, τὸ τοῦ ξενοφῶντος
ἐκεῖνό μοι δοκοῦσιν καὶ τὸν ἐρῶντα ποιεῖν ἐπιλανθάνεσθαι, τοσοῦτον ἡδονῆς κρα-
τούσης, ἧς οὐ μέτεστι τούτοις οὐδὲ φασὶν οὐδὲ βούλονται μετεῖναι. κατατείναν-
τες δὲ τὸ θεωρητικὸν εἰς τὸ σῶμα καὶ κατασπάσαντες ὥσπερ μολιβδίσι ταῖς
τῆς σαρκὸς ἐπιθυμίαις, οὐδὲν ἀπολείπουσιν ἱπποκόμων ἢ ποιμένων χόρτον ἢ κα-
λάμην, ἤ τινα πόαν προβαλλόντων, ὡς ταῦτα βόσκεσθαι καὶ τρώγειν προσῆκον
αὐτῶν τοῖς θρέμμασιν. ἢ γοῦν οὐχ οὕτως ἀξιοῦσι τὴν ψυχὴν ταῖς τοῦ σώματος
ἡδοναῖς κατασυβωτεῖν, ὅσον ἐλπίσαι τι περὶ σαρκὸς ἢ παθεῖν ἢ μνημονεῦσαι
χαίρουσαν, οἰκεῖον δὲ μηδὲν ἡδὺ μηδὲ τερπνὸν ἐξ αὑτοῦ λαμβάνειν, μηδὲ ζητεῖν
ἐῶντες, καίτοι τί γένοιτ' ἂν ἀλογώτερον, ἢ εἰ δυοῖν ὄντοιν ἐξ ὧν ὁ ἄνθρωπος πέ-
φυκε, σώματος καὶ ψυχῆς, ψυχῆς δὲ τάξιν ἡγεμονικωτέραν ἐχούσης, σώ-
ματος μὲν ἴδιόν τι καὶ κατὰ φύσιν καὶ οἰκεῖον ἀγαθὸν εἶναι, ψυχῆς δὲ μη-
δὲν,

δὲν, ἀλλὰ τῷ σώματι καθῆσθαι προσβλέπουσαν αὐτὴν, καὶ τοῖς τοῦ σώμα-
τος πάθεσιν ἐπιμειδιῶσαν καὶ συνηδομένην καὶ συγχαίρουσαν. αὐτὴν δ' ἀκί-
νητον ἐξ ἀρχῆς καὶ ἀπαθῆ καὶ μηδὲν αἱρετὸν ἔχουσαν, μηδὲ ὀρεκτὸν ὅλως μη-
δὲ χαρτόν. ἢ γοῦν ἁπλῶς ἀποκαλυψαμένους ἔδει σαρκοποιεῖν τὸν ἄνθρωπον ὅ-
λον, ὥσπερ ἔνιοι ποιοῦσι τὴν ψυχικὴν οὐσίαν ἀναιροῦντες, ἢ δύο φύσεις ἐν ἡμῖν
διαφόρους ἀπολιπόντας, ἴδιον ἀπολιπεῖν ἑκατέρας καὶ ἀγαθὸν καὶ κακὸν
καὶ οἰκεῖον καὶ ἀλλότριον, ὥσπερ ἀμέλει καὶ τῶν αἰσθήσεων ἑκάστη πρὸς ἴδιόν
τι πέφυκεν αἰσθητὸν, καὶ πάνυ συμπαθοῦσιν ἀλλήλαις. ἔστι δὲ τῆς ψυχῆς
ἴδιον αἰσθητήριον, ὁ νοῦς, ᾧ μηδὲν οἰκεῖον ὑποκεῖσθαι, μὴ θέαμα μὴ κίνημα, μὴ πά-
θος συγγενὲς, οὗ τυγχάνουσα χαίρειν πέφυκε, πάντων ἀλογώτατόν ἐστιν. εἰ μή
τι νὴ Δία λελήθασιν ἔνιοι συκοφαντοῦντες τοὺς ἄνδρας. κἀγὼ πρὸς αὐτὸν,
οὐχ ἡμῖν γε κριταῖς ἔφην, ἀλλὰ πάσης ἀφεῖσαι τῆς ἐπηρείας, ὥστε θαῤῥῶν τὰ
λοιπὰ τοῦ λόγου πέραινε. πῶς εἶπεν, οὐ γοῦν ἀριστόδημος ἡμᾶς εἰ σὺ παντά-
πασιν ἀπηγόρευκας διαδέξεται. πάνυ μὲν οὖν εἶπεν ὁ ἀριστόδημος, ὅταν ἀ-
ποκάμῃς ὥσπερ οὗτος. ἔτι δὲ ἀκμάζων ὦ μακάριε, χρῆσαι σεαυτῷ, καὶ μὴ δο-
κῇς ἀπομαλθακίζεσθαι. καὶ μὴν ὁ θέων εἶπε, πάνυ ῥᾴδιόν ἐστι τὸ λειπόμενον,
λείπεται δὲ τὸ πρακτικὸν ὅσας ἡδονὰς ἔχει διελθεῖν. αὐτοὶ δὲ δή που λέγουσιν,
ὡς τὸ εὖ ποιεῖν ἥδιόν ἐστι τοῦ πάσχειν. εὖ δὲ ποιεῖν, ἔστι μὲν ἀμέλει καὶ διὰ λόγων.
τὸ δὲ πλεῖστον ἐν πράξει καὶ μέγιστον, ὡς τοὔνομα τῆς εὐεργεσίας ὑφηγεῖται
καὶ μαρτυροῦσιν αὐτοὶ, μικρὸν γὰρ ἔμπροσθεν ἠκούομεν ἔφη τούτου λέγον-
τος, οἵας φωνὰς ἀφῆκεν ἐπίκουρος, οἷα δὲ γράμματα τοῖς φίλοις ἔπεμψεν ὑμ-
νῶν καὶ μεγαλύνων μητρόδωρον, ὡς εὖ τε καὶ νεανικῶς ἐξ ἄστεος, ἀλλὰ συνέβη
μίθρῳ τῷ σύρῳ βοηθήσων, καὶ ταῦτα πράξαντος οὐθὲν τότε τοῦ μητροδώρου.
τίνας οὖν οἰόμεθα καὶ ἡλίκας ἡδονὰς εἶναι τὰς πλάτωνος, ὁπηνίκα δίων
ὁρμήσας ἀπ' αὐτοῦ κατέλυσε διονύσιον, καὶ σικελίαν ἠλευθέρωσε, τίνας δὲ ἀ-
ριστοτέλους, ὅτε τὴν πατρίδα κειμένην ἐν ἐδάφει πάλιν ἀνέστησε καὶ κατήγα-
γε τοὺς πολίτας, τίνας δὲ θεοφράστου καὶ φανίου τοὺς τῆς πατρίδος ἐκκο-
ψάντων τυράννους. ἰδίᾳ μὲν γὰρ ὅσοις ἐβοήθησαν ἀνδράσιν, οὐ πυροὺς διαπέμ-
ποντες οὐδὲ ἀλφίτων μέδιμνον, ὡς ἐπίκουρος ἐνίοις ἔπεμψεν, ἀλλὰ φεύγοντας
διαπραξάμενοι κατελθεῖν, καὶ δεδεμένους λυθῆναι καὶ τέκνα καὶ γυναῖκας ἐστε-
ρημένους ἀπολαβεῖν. τί ἂν λέγοι τις ὑμῖν ἀκριβῶς εἰδόσιν. ἀλλὰ τὴν ἀτοπίαν
οὐδὲ βουλόμενόν ἐστι τοῦ ἀνθρώπου παρελθεῖν, τὰς μὲν θεμιστοκλέους καὶ μιλ-
τιάδου πράξεις ὑπὸ πόδας τιθεμένου καὶ κατευτελίζοντος, ὑπὲρ αὑτοῦ δὲ ταυ-
τὶ τοῖς φίλοις γράφοντος, ὁσίως τε καὶ μεγαλοπρεπῶς. ἐπεμελήθητε ἡμῶν
τὰ περὶ τὴν τοῦ σίτου κομιδὴν, καὶ οὐρανομήκη σημεῖα ἐνδέδειχθε τῆς πρὸς ἐμὲ
εὐνοίας. ὥστε εἴ τις ἐξεῖλε τὸ σιτάριον ἐκ τῆς ἐπιστολῆς τοῦ φιλοσόφου, δόξαι
ἂν πρασῆσαι τὰ ῥήματα τῆς χάριτος ὡς ὑπὲρ τῆς ἑλλάδος ὅλης ἢ τοῦ δήμου
τῶν ἀθηναίων ἐλευθερωθέντος, ἢ σωθέντος γραφομένης. ὅτι μὲν οὖν καὶ πρὸς
τὰς τοῦ σώματος ἡδονὰς ἡ φύσις δεῖται χορηγίας πολυτελοῦς, καὶ οὐκ ἔστιν ἐν
μάζῃ καὶ φακῇ τὸ ἥδιστον, ἀλλ' ὄψα καὶ θάσια καὶ μύρα καὶ πεπτὰ καὶ κροτητὰ
τῆς ξουθοπτέρου πελανομελίσσης ἀφθόνως δεδευμένα ζητοῦσιν αἱ τῶν ἀπολαυ-
στικῶν ὀρέξεις, καὶ πρός γε τούτοις εὐπρεπεῖς καὶ νέας γυναῖκας οἷα λεόντιον
καὶ βοΐδιον καὶ ἡδεῖα, καὶ νικίδειον ἐνέμοντο περὶ τὸν κῆπον, ἀφῶμεν. ταῖς
μέντοι τῆς ψυχῆς χαραῖς ὁμολογουμένως μέγεθος ὑποκεῖσθαι δεῖ πράξεων,
καὶ κάλλος ἔργων ἀξιολόγων, εἰ μέλλουσι μὴ διάκενοι μηδὲ ἀγεννεῖς καὶ κο-
ρασιώδεις, ἀλλ' ἐμβριθεῖς ἔσεσθαι καὶ βέβαιοι καὶ μεγαλοπρεπεῖς.

τὸ δὲ περὶ τοὺς πρὸς εὐπαθείας ἐπαίρεσθαι ναυτῶν δίκην ἀφροδίσια ἀγόντων καὶ μέγα φρονεῖν, ὅτι νόσῳ νοσῶν ἀσκεῖ, τίνας ἑστιάσεις φίλων συνῆγε, καὶ οὐκ ἐφθόνει τῆς προσαγωγῆς τοῦ ὑγροῦ τῷ ὕδρωπι, καὶ τῶν ἐσχάτων νεοκλέους λόγων μεμνημένος ἐτήκετο, τῇ μετὰ δακρύων ἰδιοτρόπῳ ἡδονῇ. ταῦτα οὐδεὶς ἂν ὑγιαίνων εὐφροσύνας ἀληθεῖς ἢ χαρὰς ὀνομάσειεν. ἀλλ᾽ εἴ τις ἔστι καὶ ψυχῆς σαρδάνιος γέλως, ἐν τούτοις ἐστὶ τοῖς παραβιασμοῖς καὶ κλαυσιγέλωσιν. εἰ δ᾽ οὖν ταῦτα φήσει τις εὐφροσύνας καὶ χαράς, σκόπει τὰς ὑπερβολὰς τῶν ἡδονῶν ἐκείνων. ἡμετέραις βουλαῖς, σπάρτα μὲν ἐκείρατο δόξαν. καὶ οὗτός τοι ῥώμας ὁ μέγας ξένε πατρίδος ἀστήρ. καὶ δίζω, ἤ σε θεὸν μαντεύσομαι ἢ ἄνθρωπον. ὅταν δὲ λάβω τὰ θρασυβούλου καὶ πελοπίδου πρὸ ὀφθαλμῶν κατορθώματα, καὶ τὸν ἐν πλαταιαῖς ἀριστείδην ἢ τὸν ἐν μαραθῶνι μιλτιάδην, ἐνταῦθα κατὰ τὸν ἡρόδοτον ἐξείργομαι γνώμην εἰπεῖν. ὅτι τῷ πρακτικῷ βίῳ τὸ ἡδὺ πλέον ἢ τὸ καλόν ἐστι. μαρτυρεῖ δέ μοι καὶ ἐπαμινώνδας εἰπών, ὥς φασιν, ἥδιστον αὐτῷ γενέσθαι τὸ τοὺς γονεῖς ζῶντας ἐπιδεῖν τὸ ἐν λεύκτροις τρόπαιον αὐτοῦ στρατηγοῦντος. παραβάλωμεν οὖν τῇ ἐπαμινώνδου μητρὶ, τὴν ἐπικούρου, χαίρουσαν ὅτι τὸν υἱὸν ἐπεῖδεν εἰς τὸ κηπίδιον ἐνδεδυκότα, καὶ κοινῇ μετὰ τοῦ πολυαίνου παιδοποιούμενον ἐκ τῆς κυζικηνῆς ἑταίρας. τὴν μὲν γὰρ μητροδώρου μητέρα καὶ τὴν ἀδελφήν, ὡς ὑπερέχαιρον ἐπὶ τοῖς γάμοις αὐτοῦ, ταῖς πρὸς τὸν ἀδελφὸν ἀντιγραφαῖς, ἐκ τῶν βιβλίων δή που δῆλόν ἐστιν. ἀλλ᾽ ἡδέως τε βεβιωκέναι καὶ βαβάζειν καὶ καθυμνεῖν τὸν αὑτῶν βίον, ἐκκραυγάζοντες λέγουσι. καὶ γὰρ οἱ θεράποντες ὅταν κρόνια δειπνῶσιν ἢ διονύσια κατ᾽ ἀγρὸν ἄγωσι περιιόντες, οὐκ ἂν αὐτῶν τὸν ὀλολυγμὸν ὑπομείναις καὶ τὸν θόρυβον, ὑπὸ χαρμονῆς καὶ ἀπειροκαλίας τοιαῦτα ποιούντων καὶ φθεγγομένων. τί κάθῃ καὶ πίωμεν, οὐ καὶ σῖτα πάρεστιν ὦ δύστηνε. μὴ σαυτῷ φθόνει. οἱ δ᾽ εὐθὺς ἠλάλαξαν, ἐν δ᾽ ἐκίρνατο, οἶνος, φέρων δὲ στέφανον ἀμφέθηκέ τις. ὑμνεῖ δ᾽ αἰσχρῶς κλῶνα πρὸς καλὸν δάφνης, ὁ φοῖβος. οὐ προσῳδὰ τήν τε ἐναύλιον, ὤθων τις ἐξέκλαξε σύγκοιτον φίλην. ἦ γὰρ οὐ τούτοις ἔοικε τὰ μητροδώρου πρὸς τὸν ἀδελφὸν γράφοντος; οὐδὲν δεῖ σώζειν τοὺς ἕλληνας, οὐδ᾽ ἐπὶ σοφίᾳ στεφάνων παρ᾽ αὐτῶν τυγχάνειν, ἀλλ᾽ ἐσθίειν καὶ πίνειν οἶνον τιμόκρατες ἀβλαβῶς τῇ γαστρὶ καὶ κεχαρισμένως. καὶ πάλιν πού φησιν ἐν τοῖς αὐτοῖς γράμμασιν, ὡς καὶ ἐχάρην καὶ ἐθρασυνάμην ὅτι ἔμαθον παρ᾽ ἐπικούρου ὀρθῶς γαστρὶ χαρίζεσθαι. καὶ περὶ γαστέρα γὰρ ὦ φυσιολόγε τιμόκρατες τὸ ἀγαθὸν καὶ ὅλον οἱ ἄνθρωποι τῆς ἡδονῆς τὸ μέγεθος καθάπερ κέντρῳ καὶ διαστήματι τῇ γαστρὶ περιγράφουσι. λαμπρᾶς δὲ καὶ βασιλικῆς καὶ φρόνημα ποιούσης μέγα καὶ φῶς καὶ γαλήνην, ἀληθῶς εἰς ἅπαντας ἀναχεομένην χαρᾶς, οὐκ ἔστι μετασχεῖν βίον ἀνέξοδον καὶ ἀπολίτευτον καὶ ἀφιλάνθρωπον καὶ ἀνενθουσίαστον εἰς τιμὴν καὶ χάριν ἀνειλομένους. οὐ γάρ τι φαῦλον ἡ ψυχὴ καὶ μικρόν, οὐδὲ ἀγεννές ἐστιν, οὐδὲ ὥσπερ οἱ πολύποδες ἄχρι τῶν ἐδωδίμων ἐκτείνει τὰς ἐπιθυμίας, ἀλλὰ ταύτην μὲν ὀξύτατος ἀποκόπτει κόρος, ἀκαρὲς ὥρας μόριον ἀκμασάντων. τῶν δὲ πρὸς τὸ καλὸν ὁρμῶν, καὶ τὴν ἐπὶ τῷ καλῷ τιμὴν καὶ χάριν, οὐκ ἔστιν αὐτῶν μέτρον ὁ τοῦ βίου χρόνος, ἀλλὰ τοῦ παντὸς αἰῶνος ἐπιδραττόμενον τὸ φιλότιμον καὶ φιλάνθρωπον, ἐξαμιλλᾶται ταῖς πράξεσι καὶ ταῖς χάρισιν ἡδονὴν ἀμήχανον ἐχούσαις, ἃς οὐδὲ φεύγοντες οἱ χρηστοὶ διαφυγεῖν δύνανται, πανταχόθεν αὐτοῖς ἀπαντώσας καὶ περιεχομένας, ὅταν εὐφραίνωσι πολλοὺς εὐεργετοῦντες. ἐρχόμενον δ᾽ ἀνὰ ἄστυ, θεὸν ὣς εἰσορόωσιν. ὁ γὰρ οὕτω διαθεὶς ἑτέρους, ὥστε καὶ χαίρειν καὶ γάννυσθαι καὶ ποθεῖν ἅψασθαι καὶ προσαγορεῦσαι, δῆλός ἐστι καὶ τυφλῷ μεγάλας ἔχων ἐν ἑαυτῷ καὶ καρπούμενος

ἡδονάς, ὅθεν οὐδὲ κάμνουσιν ὠφελοῦντες, οὐδ᾽ ἀπαγορεύουσιν, ἀλλὰ τοιαύτας αὐτῶν ἀκούομεν φωνάς, πολλοῖσι θνητοῖς ἄξιον τίκτει πατήρ. καὶ μή γε παυσώμεσθα δρῶντες εὖ βροτούς. καὶ τί δεῖ περὶ τῶν ἄκρως ἀγαθῶν λέγειν. εἰ γάρ τινι τῶν μέσως φαύλων, μέλλοντι θνήσκειν, ὁ κύριος ἤτοι θεὸς ἢ βασιλεὺς ὥραν ἐπιδοίη μίαν, ὥστε χρησάμενον αὐτῇ πρὸς τὴν καλὴν πρᾶξιν ἢ πρὸς ἀπόλαυσιν εὐθὺς τελευτᾶν, τίς ἂν ἐν τούτῳ τῷ χρόνῳ βούλοιτο μᾶλλον λαΐδι συγγενέσθαι καὶ πιεῖν οἶνον ἀριούσιον, ἢ κτείνας ἀρχίαν ἐλευθερῶσαι τὰς ἀθήνας, ἐγὼ μὲν οὐδένα νομίζω. καὶ γὰρ τῶν μονομάχων ὁρῶ τοὺς μὴ παντάπασι θηριώδεις, ἀλλ᾽ ἕλληνας, ὅταν εἰσιέναι μέλλωσι, προκειμένων πολλῶν ἐδεσμάτων καὶ πολυτελῶν, ἥδιον ἐν τῷ χρόνῳ τούτῳ τὰ γύναια τοῖς φίλοις παρακατατιθεμένους, καὶ τοὺς οἰκέτας ἐλευθεροῦντας, ἢ τῇ γαστρὶ χαριζομένους, ἀλλὰ καὶ ἐπὶ μέγα περὶ τὰς τοῦ σώματος ἡδονάς, κοινόν ἐστι δή που τοῦτο τοῖς πρακτικοῖς πράγμασιν, καὶ γὰρ σῖτον ἔδουσιν, καὶ πίνουσιν αἴθοπα οἶνον, καὶ μετὰ φίλων ἑστιῶνται πολύ γε οἶμαι προθυμότερον ἀπὸ τῶν ἀγώνων καὶ τῶν ἔργων, ὡς ἀλέξανδρος καὶ ἀγησίλαος, καὶ νὴ Δία φωκίων καὶ ἐπαμεινώνδας, ἢ καθάπερ οὗτοι πρὸς πῦρ ἀλειψάμενοι, καὶ τοῖς φορείοις ἀτρέμα διασεισθέντες, ἀλλὰ καταφρονοῦσι τούτων ἐν ἐκείναις ταῖς μείζοσιν ὄντων. τί γὰρ ἂν λέγοι τις ἐπαμεινώνδαν οὐκ ἐθελήσαντα δειπνεῖν, ὡς ἑώρα πολυτελέστερον τῆς οὐσίας τὸ δεῖπνον, ἀλλ᾽ εἰπόντα πρὸς τὸν φίλον, ἐγώ σε ᾤμην θύειν οὐχ ὑβρίζειν. ὅπου καὶ ἀλέξανδρος ἀπεώσατο τοὺς ἄδας μαγείρους, αὐτὸς εἰπὼν ἔχειν ἀμείνονας ὀψοποιούς, πρὸς μὲν ἄριστον τὴν νυκτοπορίαν, πρὸς δὲ δεῖπνον τὴν ὀλιγαριστίαν. φιλόξενον δὲ γράψαντα περὶ παίδων καλῶν εἰ πρίηται, μικρὸν ἐδέησε τῆς ἐπιτροπῆς ἀποστῆσαι. καίτοι τίνι μᾶλλον ἐξῆν, ἀλλ᾽ ὥσπερ φησὶν ἱπποκράτης, δυεῖν πόνων τὸν ἥττονα ὑπὸ τοῦ μείζονος ἀμαυροῦσθαι, καὶ τῶν ἡδονῶν τὰς σωματικάς, αἱ πρακτικαὶ καὶ φιλότιμοι τῷ χαίροντι τῆς ψυχῆς δι᾽ ὑπερβολὴν καὶ μέγεθος ἐναφανίζουσι καὶ κατασβεννύουσιν. εἰ τοίνυν ὥσπερ λέγουσι τὸ μεμνῆσθαι τῶν προτέρων ἀγαθῶν, μέγιστόν ἐστι πρὸς τὸ ἡδέως ζῆν. ἐπικούρῳ μὲν οὐδ᾽ ἂν εἷς ἡμῶν πιστεύσειεν, ὅτι ταῖς μεγίσταις ἀλγηδόσι καὶ νόσοις ἐναποθνήσκων αὐτὸ παρεπέμπετο τῇ μνήμῃ τῶν ἀπολελαυσμένων πρότερον ἡδονῶν. εἰκόνα γὰρ ὄψεως ἐν βυθῷ συνταραχθέντι καὶ κλύδωνι μᾶλλον ἄν τις, ἢ μνήμην ἡδονῆς διαμειδιῶσαν ἐν σφυγμῷ τοσούτῳ καὶ σπαραγμῷ σώματος, ἐπινοήσειε, τὰς δὲ τῶν πράξεων μνήμας οὐδεὶς ἂν οὐδὲ βουληθεὶς ἐκστήσειεν ἑαυτοῦ. πότερον γάρ, ἢ πῶς οἷόν τε ἦν ἐπιλαθέσθαι τῶν ἀρβήλων τὸν ἀλέξανδρον, ἢ τοῦ λεοντιάδου τὸν πελοπίδαν, ἢ τῆς σαλαμῖνος τὸν θεμιστοκλέα. τὴν μὲν γὰρ μαραθῶνι μάχην ἄχρι νῦν ἀθηναῖοι καὶ τὴν ἐν λεύκτροις θηβαῖοι, καὶ νὴ Δία ἡμεῖς τὴν δαϊφάντου περὶ ὑάμπολιν ἑορτάζομεν, ὡς ἴστε, καὶ θυσιῶν καὶ τιμῶν ἡ φωκὶς ἐμπέπλησται. καὶ οὐδείς ἐστιν ἡμῶν, ἐφ᾽ οἷς αὐτὸς βέβρωκεν ἢ πέπωκεν οὕτως ἡδόμενος, ὡς ἐφ᾽ οἷς ἐκεῖνοι κατώρθωσαν. ἐννοεῖν οὖν πάρεστι, πόση τις εὐφροσύνη καὶ χαρὰ καὶ γηθοσύνη συνεβίωσεν αὐτοῖς τοῖς τούτων δημιουργοῖς, ὧν ἐν ἔτεσι πεντακοσίοις καὶ πλείοσιν, οὐκ ἀποβέβληκεν ἡ μνήμη τὸ εὐφραῖνον. καὶ μὴν ἀπὸ δόξης γίνεσθαί τινας ἐπίκουρος ὡμολόγει, τί δὲ οὐκ ἔμελλεν αὐτὸς οὕτως σπαργῶν περιμανῶς καὶ σφαδάζων πρὸς δόξαν, ὥστε μὴ μόνον ἀπολέγεσθαι τοὺς καθηγητάς, μηδὲ δημοκράτει τῷ τὰ δόγματα ῥήμασιν αὐτοῖς ὑφαιρουμένῳ, ξυγομαχεῖν περὶ συλλαβῶν καὶ κεραιῶν, σοφὸν δὲ μηδένα φάναι, πλὴν αὐτοῦ γεγονέναι καὶ τῶν μαθητῶν, ἀλλὰ γράφειν ὡς κολώτης μὲν αὐτὸν φυσιολογοῦντα προσκυνήσειε γονάτων ἁψάμενος. νεοκλῆς δὲ ὁ ἀδελφὸς εὐθὺς ἐκ παίδων ἀποφαίνοιτο,

μηδένα σοφώτερον Ἐπικούρου γεγονέναι, μηδὲ εἶναι. ἡ δὲ μήτηρ ἀτόμους ἔσχεν ἐν αὐτῇ τοσαύτας, οἷαι συνελθοῦσαι, σοφὸν ἂν ἐγέννησαν. εἶτα οὐχ ὥσπερ Καλλικρατίδης ἔλεγε τὸν Κόνωνα μοιχεύειν τὴν θάλατταν, οὕτως ἄν τις εἴποι τὸν Ἐπίκουρον αἰσχρῶς καὶ κρύφα πειρᾶν καὶ παραβιάζεσθαι τὴν δόξαν, οὐ τυγχάνοντα φανερῶς, ἀλλὰ ἐρῶντα καὶ κατατεινόμενον. ὥσπερ γὰρ ὑπὸ λιμοῦ τὰ σώματα τροφῆς μὴ παρούσης ἀναγκάζεται παρὰ φύσιν ὑφ' αὑτῶν τρέφεσθαι, τοιοῦτον ἡ φιλοδοξία ποιεῖ κακὸν ἐν ταῖς ψυχαῖς, ὅταν ἐπαίνου πεινῶντες παρ' ἑτέρου μὴ τυγχάνωσιν, αὐτοὺς ἐπαινεῖν. ἀλλ' οἵ γε πρὸς ἔπαινον καὶ δόξαν οὕτως ἔχοντες, ἆρ' οὐχ ὁμολογοῦσι μεγάλας ἡδονὰς προΐεσθαι, δι' ἀσθένειαν ἢ μαλακίαν φεύγοντες ἀρχὰς ἢ πολιτείας καὶ φιλίας βασιλέων, ἀφ' ὧν τὰ μεγάλα καλὰ εἰς τὸν βίον γίνεσθαι ἔφη Δημόκριτος. οὐ γὰρ ἄν τινα πείσειεν ἀνῶν ὅτι τὴν Νεοκλέους μαρτυρίαν, καὶ τὴν Κωλώτου προσκύνησιν ἐν τοσούτῳ λόγῳ τιθέμενος καὶ ἀγαπῶν, ὡς οὐκ ἂν ὑπὸ τῶν Ἑλλήνων κροτηθεὶς Ὀλυμπίασιν, ἐξεμάνη καὶ ἀνωλόλυξε, μᾶλλον δὲ ὅτι δὴ ὑπὸ χαρᾶς ἤρθη κατὰ τὸν Σοφοκλέα,

γραῖ' ἀκάνθης παππὸς ὣς φυσώμενος. εἴγε μὴν τὸ εὐδοξεῖν ἡδύ, τὸ ἀδοξεῖν δή που λυπηρόν. ἀδοξότερον δὲ ἀφιλίας, ἀπραξίας, ἀθεότητος, ἡδυπαθείας, ὀλιγωρίας οὐδέν ἐστι. ταῦτα δὲ πάντες ἄνθρωποι πλὴν αὐτῶν ἐκείνων τῇ αἱρέσει προσεῖναι νομίζουσιν. ἀδίκως φήσει τις; ἀλλὰ τὴν δόξαν οὐ τὴν ἀλήθειαν σκοποῦμεν, καὶ βιβλία μὲν μὴ λέγωμεν, μηδὲ ψηφίσματα βλάσφημα πόλεων, ὅσα γέγραπται πρὸς αὐτούς, φιλαπεχθήμονα γάρ. εἰ δὲ χρησμοὶ καὶ μαντικὴ καὶ θεῶν πρόνοια καὶ γονέων πρὸς ἔκγονα στοργὴ καὶ ἀγάπησις, καὶ πολιτεία καὶ ἡγεμονία καὶ τὸ ἄρχειν ἔνδοξόν ἐστι καὶ εὐκλεές, οὕτως ἀνάγκη τοὺς λέγοντας ὡς οὐ δεῖ σώζειν τοὺς Ἕλληνας, ἀλλ' ἐσθίειν καὶ πίνειν ἀβλαβῶς τῇ γαστρὶ καὶ κεχαρισμένως, ἀδοξεῖν καὶ κακοὺς νομίζεσθαι, νομιζομένους δὲ τοιούτους ἀνιᾶσθαι καὶ ζῆν ἀπρεπῶς, εἴγε δὴ τὸ καλὸν ἡδὺ, καὶ τὴν εὐδοξίαν ἡγοῦνται. ταῦτα εἰπόντος τοῦ Θέωνος, ἔδοξε καταπαῦσαι τὸν περίπατον, καὶ καθάπερ εἰώθειμεν ἐπὶ τῶν βάθρων καθεζόμενοι, πρὸς τοῖς εἰρημένοις ἦμεν σιωπῇ χρόνον οὐ πολύν. ὁ γὰρ Ζεύξιππος ἀπὸ τῶν εἰρημένων ἐννοήσας, τίς ἔφη τὰ λειπόμενα τῷ λόγῳ προσαποδίδωσι, καὶ γὰρ οὔπω προσῆκον ἔχει τέλος. αὐτὸς ἄρτι μαντικῆς μνησθεὶς, καὶ προνοίας ὑποβέβληκε, ταῦτα γὰρ οὐχ ἥκιστά φασιν οἱ ἄνδρες ἡδονὴν καὶ γαλήνην καὶ θάρσος αὐτῶν παρασκευάζειν εἰς τὸν βίον, ὥστε δεῖ τι λεχθῆναι καὶ περὶ τούτων. ὑπολαβὼν δὲ ὁ Ἀριστόδημος, ἀλλὰ περὶ ἡδονῆς μὲν, εἴρηται σχεδὸν εἶπεν, ὡς εὐτυχῶν καὶ κατορθῶν ὁ λόγος αὐτῶν, φόβον ἀφαιρεῖ τινα καὶ δεισιδαιμονίαν, εὐφροσύνην δὲ καὶ χαρὰν ἀπὸ τῶν θεῶν οὐκ ἐνδίδωσιν, ἀλλ' οὕτως ἔχειν ποιεῖ πρὸς αὐτούς, τῷ μὴ ταράττεσθαι μηδὲ χαίρειν, ὡς πρὸς τοὺς Ὑρκανοὺς ἰχθῦς ἔχομεν, οὔτε χρηστὸν οὐθὲν οὔτε φαῦλον ἀπ' αὐτῶν προσδοκῶντες. εἰ δὲ δεῖ προσθεῖναί τι τοῖς εἰρημένοις, ἐκεῖνό μοι δοκῶ λήψεσθαι παρ' αὐτῶν. πρῶτον ὅτι τοῖς ἀναιροῦσι λύπας καὶ δάκρυα καὶ στεναγμοὺς, ἐπὶ ταῖς τῶν φίλων τελευταῖς, μάχονται καὶ λέγουσι τὴν εἰς τὸ ἀπαθὲς καθεστῶσαν ἀλυπίαν ὑφ' ἑτέρου κακοῦ μείζονος ὑπάρχειν ὠμότητος ἢ δοξοκοπίας ἀκράτου καὶ λύσσης. διὸ πάσχειν τι βέλτιον εἶναι καὶ λυπεῖσθαι καὶ μὴ δία λιπαίνειν τοὺς ὀφθαλμοὺς καὶ τήκεσθαι, καὶ ὅσα δὴ παθαινόμενοι καὶ γράφοντες ὑγροί τινες εἶναι καὶ φιλικοὶ δοκοῦσι. ταῦτα γὰρ ἐν ἄλλοις τε πολλοῖς Ἐπίκουρος εἴρηκε, καὶ περὶ τῆς Ἡγησιάνακτος τελευτῆς, πρὸς Δοσίθεον γράφων τὸν πατέρα, καὶ Πύρσωνα τὸν ἀδελφὸν τοῦ τεθνηκότος, ἔναγχος γὰρ κατὰ τύχην τὰς ἐπιστολὰς διῆλθον αὐτοῦ, καὶ λέγω μιμούμενος ὡς οὐχ ἧττόν ἐστι κακὸν ἀθεότης ὠμότητος, καὶ δοξοκοπίας, εἰς ἣν ἄγουσιν ἡμᾶς, οἱ τὴν χάριν ἐκ τοῦ θεοῦ μετὰ τῆς ὀργῆς ἀναιροῦντες. βέλτιον γὰρ ἐνυπάρχειν τι καὶ συγκεκρᾶσθαι τῇ περὶ θεῶν δόξῃ κοινὸν αἰδοῦς καὶ φόβου πάθος, ἢ τοῦτο φεύγοντας, μήτε ἐλπίδος μήτε χάριν ἑαυτοῖς, μήτε θάρσος ἀγαθῶν παρόντων

ρόντων

ρόντων, μήτε τινὰ δυστυχοῦσιν ἀποστροφὴν πρὸς τὸ θεῖον ἀπολείπεσθαι. δεῖ μὲν γὰρ ἀμέλει τῆς περὶ θεῶν δόξης, ὥσπερ ὄψεως λήμην ἀφαιρεῖν τὴν δεισιδαιμονίαν. εἰ δὲ τοῦτο ἀδύνατον, μὴ συνεκκόπτειν, μηδὲ τυφλοῦν τὴν πίστιν, ἣν οἱ πλεῖστοι περὶ θεῶν ἔχουσιν. αὕτη δέ ἐστιν οὐ φοβερά τις οὐδὲ σκυθρωπή, καθάπερ οὗτοι πλάττουσιν διαβάλλοντες τὴν πρόνοιαν, ὥσπερ παισὶν ἐμπίπτουσαν, ἢ ποινὴν ἀλιτηριώδη καὶ τραγικὴν ἐπιγεγραμμένην, ἀλλ' ὀλίγοι μὲν τῶν ἀνθρώπων δεδίασι τὸν θεόν, οἷς οὐκ ἄμεινον μὴ δεδιέναι. δεδιότες γὰρ ὥσπερ ἄρχοντα χρηστοῖς ἤπιον, ἀπεχθῆ δὲ φαύλοις ἑνὶ φόβῳ δι' ὃν οὐ δοκοῦσι πολλῶν ἐλευθεροῦνται τοῦ ἀδικεῖν, καὶ παρ' αὐτοῖς ἀτρέμα τὴν κακίαν ἔχοντες, οἷον ἀπομαραινομένην, ἧττον ταράττονται τῶν χρωμένων αὐτῇ καὶ τολμώντων, εἶτα εὐθὺς δεδιότων καὶ μεταμελομένων. ἡ δὲ τῶν πολλῶν καὶ ἀμαθῶν οὐ πάνυ μοχθηρῶν διάθεσις πρὸς τὸν θεόν, ἔχει μὲν ἀμέλει τῷ σεβομένῳ καὶ τιμῶντι μεμιγμένον τινὰ σφυγμὸν καὶ φόβον, ἣ καὶ δεισιδαιμονία κέκληται. μυριάκις δὲ μεῖζόν ἐστι καὶ πλέον αὐτῇ τὸ εὔελπι καὶ περιχαρές, καὶ πᾶσαν εὐπραξίας ὄνησιν, ὡς ἐκ θεῶν οὖσαν, εὐχόμενον καὶ δεχόμενον. δῆλον δὲ τεκμηρίοις τοῖς μεγίστοις, οὔτε γὰρ διατριβαὶ τῶν ἐν ἱεροῖς, οὔτε καιροὶ τῶν ἑορτασμῶν, οὔτε πράξεις οὔτε ὄψεις εὐφραίνουσιν ἕτεραι μᾶλλον ὧν ὁρῶμεν ἢ δρῶμεν αὐτοὶ περὶ θεῶν ὀργιάζοντες, ἢ χορεύοντες, ἢ θυσίαις παρόντες ἢ τελεταῖς. οὐ γὰρ ὡς τυράννοις τισὶν ἢ δεινοῖς κολασταῖς ὁμιλοῦσα τηνικαῦτα ἡ ψυχὴ περίλυπός ἐστι καὶ ταπεινὴ καὶ δύσθυμος, ὅπερ εἰκὸς ἦν. ἀλλ' ὅπου μάλιστα δοξάζει καὶ διανοεῖται παρεῖναι τὸν θεόν, ἐκεῖ μάλιστα λύπας καὶ φόβους, καὶ τὸ φροντίζειν ἀπωσαμένη τῷ ἡδομένῳ μέχρι μέθης καὶ παιδιᾶς καὶ γέλωτος, ἀφίησιν ἑαυτὴν ἐν τοῖς ἐρωτικοῖς ὡς ὁ ποιητὴς εἴρηκε. καί τε γέρων καὶ γρηῦς, ἐπὴν χρυσῆς Ἀφροδίτης μνήσωνται, καὶ τοῖσιν ἐπηέρθη φίλον ἦτορ. ἐν δὲ πομπαῖς καὶ θυσίαις, οὐ μόνον γέρων καὶ γρηῦς, οὐδὲ πένης καὶ ἰδιώτης, ἀλλὰ καὶ παχυσκελὴς ἀλετρὶς πρὸς μύλην κινουμένη, καὶ οἰκότριβες, καὶ θῆτες ὑπὸ γήθους καὶ χαρμοσύνης ἀναφέρονται, πλουσίοις τε καὶ βασιλεῦσιν ἑστιάσεις καὶ πανδαισίαι τινὲς πάρεισιν. αἱ δ' ἐφ' ἱεροῖς καὶ θυηπολίαις, καὶ ὅταν ἔγγιστα τοῦ θείου τῇ ἐπινοίᾳ ψαύειν δοκῶσι μετὰ τιμῆς καὶ σεβασμοῦ πολὺ διαφέρουσαν ἡδονὴν καὶ χάριν ἔχουσιν. ταύτης οὐδὲν ἀνδρὶ μέτεστιν ἀπεγνωκότι τῆς προνοίας, οὐ γὰρ οἴνου πλῆθος, οὐδὲ ὄπτησις κρεῶν τὸ εὐφραῖνόν ἐστιν ἐν ταῖς ἑορταῖς, ἀλλὰ καὶ ἐλπὶς ἀγαθὴ καὶ δόξα τοῦ παρεῖναι τὸν θεὸν εὐμενῆ καὶ δέχεσθαι τὰ γινόμενα κεχαρισμένως. αὐλὸν μὲν γὰρ ἑτέρων ἑορτῶν καὶ στέφανον ἀφαιροῦμεν, θεοῦ δὲ θυσίᾳ μὴ παρόντος, ὥσπερ ἱερὸν δοχῆς, ἄθεόν ἐστι καὶ ἀνεόρταστον καὶ ἀνενθουσίαστον τὸ λειπόμενον, μᾶλλον δὲ ὅλον ἀτερπὲς αὐτῷ καὶ λυπηρόν. ὑποκρίνεται γὰρ εὐχὰς καὶ προσκυνήσεις οὐθὲν δεόμενος διὰ φόβον τῶν πολλῶν, καὶ φθέγγεται φωνὰς ἐναντίας οἷς φιλοσοφεῖ, καὶ θύων μὲν ὡς μαγείρῳ παρέστηκε τῷ ἱερεῖ σφάττοντι, θύσας δὲ, ἄπεισι λέγων. τὸ μὲν ἀνδρεῖον ἔθυον, οὐ προσέχουσιν οὐδέν μοι θεοῖς. οὕτω γὰρ Ἐπίκουρος οἴεται δεῖν σχηματίζεσθαι καὶ μὴ φθονεῖν μηδὲ ἀπεχθάνεσθαι τοῖς πολλοῖς χαίρουσιν, ἕτεροι πράττοντες, αὐτοὶ δυσχεραίνοντες. πᾶν γὰρ ἀναγκαῖον πρᾶγμα, ἀνιηρὸν ἔφυ κατὰ τὸν Εὔηνον. ἡ καὶ τοὺς δεισιδαίμονας οὐ χαίροντας, ἀλλὰ φοβουμένους οἴονται θυσίαις καὶ τελεταῖς ὁμιλεῖν, μηδὲν ἐκείνων αὐτοὶ διαφέροντες, εἴτε διὰ φόβον τὰ αὐτὰ δρῶσιν, οὐδ' ἐλπίδος χρηστῆς, ὅσον ἐκεῖνοι μεταλαγχάνοντες, ἀλλὰ μόνον δεδιότες καὶ ταραττόμενοι, μὴ φανεροὶ γένωνται τοὺς πολλοὺς παραλογιζόμενοι καὶ φενακίζοντες, ἐφ' οὓς καὶ τὰ περὶ θεῶν καὶ ὁσιότητος αὐτοῖς βιβλία συντέτακται, ἑλικτὰ καὶ οὐδὲν ὑγιές, ἀλλὰ πάν-

περιεξεπαμπεχομένοις, καὶ ἀποκρυπτομένοις διὰ φόβον ἃς ἔχουσι δόξας. καὶ μὴν μετά γε τοὺς πονηροὺς καὶ τοὺς πολλοὺς, τρίτον ἤδη σκεψώμεθα, τὸ βέλτιον ἀνθρώπων καὶ θεοφιλέστατον γένος, ἐν ἡλίκαις ἡδοναῖς καθαραῖς περὶ θεοῦ δόξης συνόντες, ὡς πάντων μὲν ἡγεμὼν ἀγαθῶν, πάντων δὲ πατὴρ καλῶν ἐκεῖνός ἐστι, καὶ φαῦλον οὐδὲν ποιεῖν αὐτῷ θέμις, ὥσπερ οὐδὲ πάσχειν. ἀγαθὸς γάρ ἐστι, ἀγαθῷ δὲ περὶ οὐδενὸς ἐγγίνεται φθόνος οὔτε φόβος, οὔτε ὀργὴ ἢ μῖσος, οὔτε γὰρ θερμοῦ τὸ ψύχειν, ἀλλὰ τὸ θερμαίνειν, ὥσπερ οὐδὲ ἀγαθοῦ τὸ βλάπτειν. ὀργὴ δὲ χάριτος καὶ χόλος εὐμενείας, καὶ τοῦ φιλανθρώπου καὶ φιλόφρονος τὸ δυσμενὲς καὶ ταρακτικὸν, ἀπωτάτω τῇ φύσει τέτακται. τὰ μὲν γὰρ ἀρετῆς καὶ δυνάμεως, τὰ δὲ ἀσθενείας ἐστὶ καὶ φαυλότητος. οὐ τοίνυν ὀργαῖς καὶ χάρισι συνέχεται τὸ θεῖον, ἀλλ᾽ ὅτι μὲν χαρίζεσθαι καὶ βοηθεῖν πέφυκεν, ὀργίζεσθαι δὲ καὶ κακῶς ποιεῖν οὐ πέφυκεν, ἀλλὰ ὁ μὲν μέγας ἐν οὐρανῷ Ζεὺς, κατὰ πρῶτος πορεύεται διακοσμῶν πάντα καὶ ἐπιμελούμενος, τῶν δὲ ἄλλων θεῶν, ὁ μέν ἐστιν ἐπιδώτης, ὁ δὲ μειλίχιος, ὁ δὲ ἀλεξίκακος, ὁ δὲ Ἀπόλλων κατεκείνθη θνατοῖς ἀγανώτατος ἔμμεν ὡς ὁ Πίνδαρος πίνων ἅρμα ἐλαύνων φησί. πάντα δὲ τῶν θεῶν κατὰ τὸν Διογένην, καὶ κοινὰ τὰ τῶν φίλων, καὶ φίλοι τοῖς θεοῖς οἱ ἀγαθοὶ, καὶ τὸν θεοφιλῆ μή τι εὖ πράττειν, ἢ θεοφιλῆ εἶναι τὸν σώφρονα καὶ δίκαιον, ἀδύνατόν ἐστιν. ἆρά γε δίκης ἑτέρας οἴεσθαι δεῖσθαι τοὺς ἀναιροῦντας τὴν πρόνοιαν, οὐχ ἱκανὴν ἔχειν, ἐκκόπτοντας ἑαυτῶν ἡδονὴν καὶ χαρὰν τοσαύτην. ὅση γάρ ἐστι τοῖς οὕτω διακειμένοις πρὸς τὸ δαιμόνιον ἡμῖν, τῷ μὲν Ἐπικούρῳ καὶ Μητρόδωρος καὶ Πολύαινος καὶ Ἀριστόβουλος ἐκ θάρσημα καὶ γῆθος ἦσαν, ὧν τοὺς πλείστους θεραπεύων νοσοῦντας, ἢ καταθρηνῶν ἀποθνήσκοντας, διετέλεσε. Λυκοῦργος δὲ ὑπὸ τῆς Πυθίας προσαγορευθεὶς, Ζηνὶ φίλος, καὶ πᾶσιν Ὀλύμπια δώματ᾽ ἔχουσιν. καὶ Σωκράτης οἰόμενος αὐτῷ τὸ δαιμόνιον διαλέγεσθαι ὑπὸ εὐμενείας, καὶ Πίνδαρος ἀκούων ὑπὸ τοῦ Πανὸς ᾄδεσθαί τι μέλος, ὧν αὐτὸς ἐποίησε, μετρίως ἔχαιρεν. ἢ Φορμίων τοὺς Διοσκούρους, ἢ τὸν Ἀσκληπιὸν Σοφοκλῆς ξενίζειν, αὐτός τε πειθόμενος, καὶ τῶν ἄλλων οὕτως ἐχόντων διὰ τὴν γενομένην ἐπιφάνειαν. ἃ δὲ Ἑρμογένης ἐφρόνει περὶ τῶν θεῶν, ἄξιόν ἐστιν αὐτοῖς ὀνόμασι διαμνημονεύειν. οὗτοι γάρ φησιν, οἱ πάντα μὲν εἰδότες, πάντα δὲ δυνάμενοι θεοὶ, οὕτω μοι φίλοι εἰσὶν, ὡς διὰ τὸ ἐπιμελεῖσθαί μου, οὔποτε λήθω αὐτοὺς, οὔτε νυκτὸς οὔτε ἡμέρας, ὅποι ἂν ὁρμῶμαι, οὔτε ὅ, τι ἂν μέλλω πράττειν. διὰ δὲ τὸ προειδέναι καὶ ὅτι ἐξ ἑκάστου ἀποβήσεται, σημαίνουσι πέμποντες ἀγγέλους φήμας καὶ ἐνύπνια καὶ οἰωνούς. καλὰ μὲν οὖν εἰκὸς εἶναι καὶ τὰ γινόμενα παρὰ τῶν θεῶν, τὸ δὲ γίνεσθαι διὰ τῶν θεῶν ταῦτα αὐτὰ, μεγάλην ἡδονὴν ποιεῖ, καὶ θάρσος ἀμήχανον, καὶ φρόνημα καὶ χαρὰν, οἷον αὐγὴν ἐπιγελῶσαν τοῖς ἀγαθοῖς. οἱ δὲ ἄλλως ἔχοντες, τῆς μὲν εὐτυχίας τὸ ἥδιστον κωλύουσι, ταῖς δὲ δυστυχίαις ἀποστροφὴν οὐκ ἀπολείπουσιν, ἀλλ᾽ εἰς μίαν καταφυγὴν καὶ λιμένα πράττοντες κακῶς, τὴν διάλυσιν καὶ τὴν ἀναισθησίαν ἀποβλέπουσιν, ὥσπερ εἴ τις ἐν πελάγει καὶ χειμῶνι θαρρύνων ἐπιστὰς λέγοι, μήτε τὴν ναῦν τινὰ ἔχειν κυβερνήτην, μήτε τοὺς Διοσκούρους αὐτοὺς, ἀφίξεσθαι ἐπερχόμενόν τε μαλάξοντας βίαιον πόντον, ὠκείας τε ἀνέμων ῥιπὰς, οὐδὲν δὲ ὅμως εἶναι δεινὸν, ἀλλ᾽ ὅσον οὐδέπω καταποθήσεσθαι τὴν ναῦν ὑπὸ τῆς θαλάττης, ἢ συντριβήσεσθαι ταχὺ πρὸς πέτρας ἐκπεσοῦσαν. οὗτος γάρ ἐστιν ὁ Ἐπικούρειος λόγος ἐν νόσοις δειναῖς καὶ πόνοις ὑπερβάλλουσιν, ἐλπίζεις τι χρηστὸν παρὰ θεῶν δι᾽ εὐσέβειαν; τετύφωσαι. τὸ γοῦν μακάριον καὶ ἄφθαρτον οὔτε ὀργαῖς οὔτε χάρισι συνέχεται, βέλτιόν τι τῶν ἐν τῷ βίῳ μετὰ τὸν βίον ἐπινοεῖς; ἐξηπάτησαι. τὸ γὰρ λυθὲν, ἀναισθητεῖ, τὸ δὲ ἀναισθη-

τοῦν οὐδὲν πρὸς ἡμᾶς. πῶς οὖν ἄνθρωπε φαγεῖν με καὶ χαίρειν κελεύεις. ὅτι νὴ Δία χειμαζομένῳ τὸ ναυάγιον ἐγγύς ἐστιν; ὁ γὰρ πόνος ὁ ὑπερβάλλων συνάψει θανάτῳ. καίτοι νεὼς μὲν ἐκπεσὼν ἐπιβάτης διαλυθείσης ἐλπίδος ὀχεῖταί τινος, ὡς γῇ προσέξων τὸ σῶμα καὶ διανηξόμενος. τῆς δὲ τούτων φιλοσοφίας ἔκβασις, οὔπη φαίνεθ᾽ ἁλὸς πολιοῖο θύραζε τῇ ψυχῇ, ἀλλ᾽ εὐθὺς ἠφάνισται καὶ διέσπαρται, καὶ προαπόλωλε τοῦ σώματος, ὥστε ὑπερχαίρειν τὸ πάνσοφον τοῦτο δόγμα καὶ θεῖον παραλαβοῦσαν, ὅτι τοῦ κακῶς πράττειν πέρας ἐστὶν αὐτῇ τὸ ἀπολέσθαι καὶ φθαρῆναι καὶ μηδὲν εἶναι. ἀλλὰ γὰρ ἔφη πρὸς ἐμὲ βλέψας, εὔηθές ἐστι περὶ τούτου λέγειν, ἡμᾶς οὐ πρώην ἀκηκοότας ἱκανῶς διαλεγομένου πρὸς τοὺς ἀξιοῦντας τὸν Ἐπικούρου λόγον, τοὺς Πλάτωνος περὶ ψυχῆς ῥᾴονας καὶ ἡδίους πρὸς θάνατον ἡμᾶς ποιεῖν. ὑπολαβὼν οὖν ὁ Ζεύξιππος, εἶτα οὐ τοῦτο ἔφη δι᾽ ἐκεῖνον ἀτελὴς ὁ λόγος ἔσται, καὶ φοβηθησόμεθα τὸ λοιπὸν πρὸς Ἐπίκουρον λέγοντες; ἥκιστα ἔφην ἐγὼ καὶ δεῖ παρ᾽ ὃ δεῖ καλόν ἐστιν ἀκοῦσαι κατὰ τὸν Ἐμπεδοκλέα. πάλιν οὖν ὁ Θέων ἡμῖν παρακλητέος, οὐ γὰρ αὐτὸν οἶμαι παρεῖναι τοῖς τότε λεχθεῖσιν, ἀλλὰ καὶ νέος ἐστὶ, καὶ οὐδέποτε μὴ λήθης εὐθύνας ὑπόσχῃ τοῖς νέοις. καὶ ὁ Θέων ὥσπερ ἐκβιασθεὶς, ἀλλ᾽ εἰ δοκεῖ ταῦτα ἔφη ποιεῖν, οὐ μιμήσομαί σε ὦ Ἀριστόδημε, σὺ μὲν γὰρ ἐφοβήθης τὰ τούτου λέγειν, ἐγὼ δὲ χρήσομαι τοῖς σοῖς, ὀρθῶς γάρ μοι διαιρεῖν ἔδοξας εἰς τρία γένη τοὺς ἀνθρώπους. τὸ τῶν ἀδίκων καὶ πονηρῶν. δεύτερον δὲ τὸ τῶν πολλῶν καὶ ἰδιωτῶν. τρίτον δὲ τὸ τῶν ἐπιεικῶν καὶ νοῦν ἐχόντων. οἱ μὲν οὖν ἄδικοι καὶ πονηροὶ τὰς καθόλου δίκας καὶ τιμωρίας δεδιότες, καὶ φοβούμενοι κακουργεῖν καὶ διὰ τοῦτο μᾶλλον ἡσυχίαν ἄγοντες, ἥδιον βιώσονται καὶ ἀταρακτότερον. οὐ γὰρ Ἐπίκουρος ἄλλῳ τινὶ τῆς ἀδικίας οἴεται δεῖν ἀπείργειν, ἢ φόβῳ κολάσεων. ὥστε καὶ προσεμφορητέον ἐκείνοις τῆς δεισιδαιμονίας, καὶ κινητέον ἐπ᾽ αὐτοὺς ἅμα, τὰ ἐξ οὐρανοῦ καὶ γῆς δείματα καὶ χάσματα καὶ φόβους καὶ ὑπονοίας, εἰ μέλλουσιν ἐκπλαγέντες ὑπὸ τούτων, ἐπιεικέστερον ἔχειν καὶ πρᾳότερον. λυσιτελεῖ γοῦν αὐτοῖς τὰ μετὰ τὸν θάνατον, φοβουμένοις μὴ ἀδικεῖν, ἢ ἀδικοῦσιν ἐπισφαλῶς ἐν τῷ βίῳ διάγειν καὶ περιφόβως. τοῖς δὲ πολλοῖς καὶ ἄνευ φόβου περὶ τῶν ἐν ᾅδου ἡ περὶ τὸ μυθῶδες τῆς ἀϊδιότητος ἐλπὶς, καὶ ὁ πόθος τοῦ εἶναι, πάντων ἐρώτων πρεσβύτατος ὢν καὶ μέγιστος, ἡδονῆς ὑπερβάλλει καὶ γλυκυθυμίας τὸ παιδικὸν ἐκεῖνο δέος, ἢ καὶ τέκνα καὶ γυναῖκα καὶ φίλους ἀποβάλλοντες, εἶναί που μᾶλλον ἐθέλουσι, καὶ διαμένειν κακοπαθοῦντες, ἢ παντάπασιν ἐξῃρῆσθαι καὶ διεφθάρθαι καὶ γεγονέναι τὸ μηθὲν, ἡδέως δὲ τῶν ὀνομάτων τοῦ μεθίστασθαι τὸν θνήσκοντα καὶ μεταλλάττειν καὶ ὅσα δηλοῖ μεταβολὴν ὄντα τῆς ψυχῆς οὐ φθορὰν, τὸν θάνατον ἀκροῶνται καὶ λέγουσιν οὕτως. αὐτὰρ ἐγὼ κἀκεῖθι φίλου μεμνήσομ᾽ ἑταίρου, καὶ τί σοι πρὸς Ἕκτορ᾽ ἢ γέροντ᾽ εἴπω πόσιν. ἐκ δὲ τούτου παρατροπῆς γενομένης, καὶ ὅπλα καὶ σκεύη καὶ ἱμάτια συνήθη τοῖς τεθνηκόσι, καὶ ὡς ὁ Μίνως τῷ Γλαύκῳ Κρητικοὺς αὐλοὺς θανούσης κῶλα ποικίλης νεβροῦ συνθάπτοντες, ἥδιον ἔχουσι. κἄν τι δόξωσιν αἰτεῖν καὶ ποθεῖν ἐκείνους, χαίρουσιν ἐπιδιδόντες, ὥσπερ ὁ Περίανδρος τῇ γυναικὶ τὸν κόσμον, ὡς δεομένῃ καὶ ῥιγοῦν λεγούσῃ συγκατέκαυσεν, οἱ δὲ Αἰακοὶ καὶ Ἀσκάλαφοι καὶ Ἀχέροντες οὐ πάνυ διαταράττουσιν, οἷς γε καὶ χοροὺς καὶ θέατρα καὶ μοῦσαν ἡδομένοις παντοδαπὴν γενομένου δεδώκασιν. ἀλλ᾽ ἐκεῖνο τοῦ θανάτου τὸ πρόσωπον, ὡς φοβερὸν καὶ σκυθρωπὸν καὶ σκοτεινὸν ἅπαντες ὑποδειμαίνουσι, τὸ τῆς ἀναισθησίας καὶ λήθης καὶ ἀγνοίας, καὶ πρὸς τὸ ἀπόλωλε καὶ τὸ ἀνῄρηται καὶ τὸ οὐκ ἔστι ταράσσονται, καὶ δυσανασχετοῦσι τούτων λεγο-

μένων, ὃ ἐπιτακήσεται βαθυδένδρῳ ἐν χθονὶ συμποσίων τε καὶ λυρᾶν ἄμοιρος, ἰαχᾶς τε παντερπέος αὐλῶν, καὶ ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν, οὔτε λεϊστή, οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων. ἢ καὶ προσεπισφάττουσιν οἱ ταυτὶ λέγοντες, ἅπαξ ἄνθρωποι γεγόναμεν, δὶς δὲ οὐκ ἔστι γενέσθαι. δεῖ δὲ τὸν αἰῶνα μηκέτ' εἶναι, καὶ γὰρ τὸ παρὸν ὡς μικρόν, μᾶλλον δὲ μηδοτιοῦν πρὸς τὸ σύμπαντα ἀτιμήσαντες ἀναπόλαυστα προΐενται, καὶ ὀλιγωροῦσιν ἀρετῆς καὶ πράξεως, οἷον ἐξαθυμοῦντες καὶ καταφρονοῦντες ἑαυτῶν, ὡς ἐφημέρων καὶ ἀβεβαίων καὶ πρὸς οὐδὲν ἀξιόλογον γεγονότων. τὸ γὰρ ἀναίσθητον καὶ λυθὲν καὶ μηδὲν εἶναι πρὸς ἡμᾶς τὸ ἀναισθητοῦν, οὐκ ἀναιρεῖ τὸ τοῦ θανάτου δέος. ἀλλ' ὥσπερ ἀπόδειξιν αὐτοῦ προστίθησιν, αὐτὸ γὰρ τοῦτό ἐστιν, ὃ δέδοικεν ἡ φύσις. ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε, τὴν εἰς τὸ μὴ φρονοῦν μηδὲ αἰσθανόμενον διάλυσιν τῆς ψυχῆς, ἣν Ἐπίκουρος εἰς κενὸν καὶ ἀτόμους διασπορὰν ποιῶν, ἔτι μᾶλλον ἐκκόπτει τὴν ἐλπίδα τῆς ἀφθαρσίας, δι' ἣν ὀλίγου δέω λέγειν πάντας εἶναι καὶ πάσας προθύμους τῷ Κερβέρῳ διαδάκνεσθαι καὶ φορεῖν εἰς τὸν ἄτρητον, ὅπως ἐν τῷ εἶναι μόνον διαμένωσι μηδὲ ἀναιρεθῶσι. καί τοι ταῦτα μὲν ὥσπερ ἔφην οὐ πάνυ πολλοὶ δεδίασι μητέρων ὄντα καὶ τιτθῶν δόγματα, καὶ λόγους μυθώδεις. οἱ δὲ καὶ δεδιότες, τελετάς τινας αὖ πάλιν, καὶ καθαρμοὺς οἴονται βοηθεῖν, οἷς ἁγνισάμενοι διατελεῖν ἐν ᾅδου παίζοντες καὶ χορεύοντες, ἐν τοῖς αὐγὴν καὶ πνεῦμα καθαρὸν καὶ φθόγγον ἔχουσιν. ἡ δὲ τοῦ ζῆν στέρησις ἐνοχλεῖ καὶ νέους καὶ γέροντας. δυσέρωτες γὰρ φαινόμεθ' ὄντες, τοῦ δὲ ὅτι τόδε στίλβει κατὰ γῆν, ὡς Εὐριπίδης φησίν, οὐδὲ ῥαδίως οὐδὲ ἀλύπως ἀκούομεν, ὡς ἄρα εἴπομεν, τηλαυγὲς ἀμβρόσιον ἐλασίππου πρὸς τόπον ἀπέλιπεν ἁμέρας. διὸ τῇ δόξῃ τῆς ἀθανασίας συναναιροῦσι τὰς ἡδίστας ἐλπίδας, καὶ μεγίστας τῶν πολλῶν. τί δῆτα τῶν ἀγαθῶν οἰόμεθα καὶ βεβιωκότων ὁσίως καὶ δικαίως, κακὸν μὲν οὐδὲν ἐκεῖ, τὰ δὲ κάλλιστα καὶ θειότατα προσδοκῶσι. πρῶτον μὲν γὰρ ἀθληταὶ στέφανον οὐκ ἀγωνιζόμενοι λαμβάνουσιν, ἀλλὰ ἀγωνισάμενοι καὶ νικήσαντες. οὕτως ἡγούμενοι τοῖς ἀγαθοῖς τὰ νικητήρια τοῦ βίου μετὰ τὸν βίον ὑπάρχειν, θαυμάσιον οἷον φρονοῦσι τῇ ἀρετῇ πρὸς ἐκείνας τὰς ἐλπίδας, ἐν αἷς ἐστι καὶ τοὺς νῦν ὑβρίζοντας ὑπὸ πλούτου καὶ δυνάμεως, καὶ καταγελῶντας ἀνοήτως τῶν κρειττόνων ἐπιδεῖν ἀξίαν δίκην τίνοντας. ἔπειτα τῆς ἀληθείας καὶ θέας τοῦ ὄντος, οὐδεὶς ἐνταῦθα τῶν ἐρώντων ἐνέπλησεν ἑαυτὸν ἱκανῶς, οἷον δι' ὁμίχλης ἢ νέφους τοῦ σώματος, ὑγρῷ καὶ ταραττομένῳ τῷ λογισμῷ χρώμενος, ἀλλ' ὄρνιθος δίκην ἄνω βλέποντες ὡς ἐκπτησόμενοι τοῦ σώματος, εἰς μέγα τι καὶ λαμπρόν, εὐσταλῆ καὶ ἐλαφρὰν ποιοῦσι τὴν ψυχὴν ἀπὸ τῶν θνητῶν τῷ φιλοσοφεῖν μελέτῃ χρώμενοι τοῦ ἀποθνήσκειν. οὕτω μέγα τι καὶ τέλεον ὄντως ἀγαθὸν ἡγοῦμαι τὴν τελευτήν, ὡς βίον ἀληθῆ βιωσομένην ἐκεῖ τὴν ψυχήν, οὐχ ὕπαρ ζῶσαν, ἀλλ' ὀνείρασιν ὅμοια πάσχουσαν. εἰ τοίνυν ἡδὺ πανταχόθεν ἡ φίλου μνήμη τεθνηκότος, ὥσπερ Ἐπίκουρος εἶπε, καὶ ἤδη νοεῖν πάρεστιν, ἡλίκης ἑαυτοὺς χαρᾶς ἀποστεροῦσιν, οἳ φάσματα καὶ εἴδωλα τεθνηκότων ἑταίρων οἰόμενοι δέχεσθαι καὶ θηρεύειν, οἷς οὔτε νοῦς ἐστιν οὔτε αἴσθησις, αὐτοῖς δὲ συνέσεσθαι πάλιν ἀληθῶς, καὶ τὸν φίλον πατέρα καὶ τὴν φίλην μητέρα, καί που γυναῖκα χρηστὴν ὄψεσθαι μὴ προσδοκῶντες, μηδὲ ἔχοντες ἐλπίδα τῆς ὁμιλίας ἐκείνης καὶ φιλοφροσύνης, ἣν ἔχουσιν οἱ τὰ αὐτὰ Πυθαγόρᾳ καὶ Πλάτωνι καὶ Ὁμήρῳ περὶ ψυχῆς δοξάζοντες. ᾧ δὲ ὅμοιόν ἐστιν αὐτῶν τὸ πάθος, Ὅμηρος ὑποδεδήλωκεν, εἴδωλον τοῦ Αἰνείου καταβαλὼν εἰς μέσον τοῖς μαχομένοις ὡς τεθνηκότος, εἶτα ὕστερον αὐτὸν ἐκεῖνον ἀναδείξας ζῶον καὶ ἀρτεμέα προσιόντα, καὶ μένος ἐσθλὸν ἔχοντα τοῖς φίλοις

οἱ δὲ ἐχάρησαν φησί, καὶ τὸ εἴδωλον θέμενοι, παρέχον ἑαυτόν. οὐκοῦν καὶ ἡμεῖς τοῦ λόγου δεικνύοντος, ὡς ἔστιν ἐντυχεῖν ἀληθῶς τοῖς τεθνεῶσιν, καὶ τῷ φιλοῦντι τοῦ φρονοῦντος αὐτοῦ καὶ φιλοῦντος, ἅψασθαι καὶ συγγενέσθαι μὴ δυναμένους μηδὲ ἀπορρῖψαι τὰ εἴδωλα πάντα καὶ τοὺς φλοιούς, ἐν οἷς ὀδυρόμενοι καὶ κενοπαθοῦντες διατελοῦσιν. ἄνευ δὲ τούτου, οἱ μὲν ἑτέρου βίου τὸν θάνατον ἀρχὴν κρείττονος νομίζοντες, ἐάν τε ἐν ἀγαθοῖς ὦσι, μᾶλλον ἥδονται μείζονα προσδοκῶντες, ἄν τε μὴ κατὰ γνώμην τῶν ἐνταῦθα τυγχάνωσιν, οὐ πάνυ δυσχεραίνουσιν. ἀλλ' αἱ τῶν μετὰ τὸν θάνατον ἀγαθῶν καὶ καλῶν ἐλπίδες, ἀμηχάνους ἡδονὰς καὶ προσδοκίας ἔχουσαι, πᾶν μὲν ἔλλειμμα, πᾶν δὲ πρόσκρουσμα τῆς ψυχῆς, ἐξαλείφουσι καὶ ἀφανίζουσιν ὥσπερ ἐν ὁδῷ, μᾶλλον δὲ ὁδοῦ παρατροπῇ βραχείᾳ ῥᾳδίως τὰ συντυγχάνοντα καὶ μετρίως φερούσης. οἷς δὲ ὁ βίος εἰς ἀναισθησίαν περαίνει καὶ διαλύει, τούτοις ὁ θάνατος οὐ τῶν κακῶν μεταβολὴν ἐπιφέρων, ἀμφοτέροις μέν ἐστι λυπηρὸς μᾶλλον τοῖς εὐτυχοῦσιν ἢ τοῖς ἐπιπόνως ζῶσι. τούτων μὲν ἀποκόπτει τὴν ἄδηλον ἐλπίδα τοῦ πράξειν ἄμεινον, ἐκείνων δὴ βέβαιον ἀγαθὸν τὸ ἡδέως ζῆν ἀφαιρεῖται. καὶ καθάπερ οἶμαι τὰ μὴ χρηστὰ τῶν φαρμάκων, ἀλλὰ ἀναγκαῖα κουφίζοντα τοὺς νοσοῦντας ἐπιτρίβει καὶ λυμαίνεται τοὺς ὑγιαίνοντας, οὕτως ὁ Ἐπικούρου λόγος, τοῖς μὲν ἀθλίως ζῶσιν οὐκ εὐτυχῆ, τοῖς δὲ κακῶς πράσσουσι τελευτὴν ἐπαγγέλλεται τὴν ἀναίρεσιν καὶ διάλυσιν τῆς ψυχῆς, τῶν δὲ φρονίμων καὶ σοφῶν καὶ βρυόντων ἀγαθοῖς, παντάπασι κωλύει τὸ εὔθυμον, ἐκ τοῦ ζῆν μακαρίως, εἰς τὸ μὴ ζῆν μηδὲ εἶναι καταστρέφον. αὐτόθεν μὲν οὖν ἐστι δῆλον, ὡς ἀγαθῶν ἀποβολῆς ἐπίνοια λυπεῖν πέφυκεν, ὅσον ἐλπίδες βέβαιοι καὶ ἀπολαύσεις εὐφραίνουσι παρόντων, οὐ μὴν ἀλλὰ καὶ λέγουσιν αὐτοὶ τοῖς κακῶν ἀπαύστων ἀορίστων λυθεῖσαν ὑποψίαν, ἀγαθὸν βεβαιότατον καὶ ἥδιστον ἀπολιπεῖν τὴν ἐπίνοιαν τοῦ λελύσθαι, καὶ τοῦτο ποιεῖν τὸν Ἐπικούρου λόγον, ἱστάντα τοῦ θανάτου τὸ δέος, ἐν τῇ διαλύσει τῆς ψυχῆς. εἴπερ οὖν ἥδιστόν ἐστιν ἀπαλλαγὴ προσδοκίας κακῶν ἀπείρων· πῶς οὐκ ἀνιαρὸν αἰωνίων ἀγαθῶν ἐλπίδα στερεῖσθαι, καὶ τὴν ἀκροτάτην εὐδαιμονίαν ἀποβαλεῖν. ἀγαθὸν μὲν γάρ, οὐδὲ ἑτέροις, ἀλλὰ πᾶσι τοῖς οὖσι τὸ μὴ εἶναι παρὰ φύσιν καὶ ἀλλότριον, ὧν δὲ ἀφαιρεῖ τὰ τοῦ βίου κακά, τῷ τοῦ θανάτου κακῷ, τὸ ἀναίσθητον ἔχουσι παραμύθιον, ὥσπερ ἀποδιδράσκοντα καὶ τοὐναντίον οἷς ἐξ ἀγαθῶν εἰς τὸ μηδὲν μεταβολή. φοβερώτατον ὁρῶ ἐντελὲς ἐν ᾧ παύσεται τὸ μακάριον. οὐ γὰρ ὡς ἀρχὴν ἑτέρου τὴν ἀναισθησίαν δέδιεν ἡ φύσις, ἀλλ' ὅτι τῶν παρόντων ἀγαθῶν στέρησίς ἐστι. τὸ γὰρ οὐ πρὸς ἡμᾶς παντὸς ἀναιρέσει τοῦ ἡμετέρου γινόμενον, ἤδη πρὸς ἡμᾶς ἐστι τῇ ἐπινοίᾳ, καὶ τὸ ἀναίσθητον, οὐ λυπεῖ τότε τοὺς μὴ ὄντας, ἀλλὰ τοὺς ὄντας, εἰς τὸ μὴ εἶναι βλαπτομένους ὑπ' αὐτοῦ, καὶ μηδ' ὡς δυσομένους, ὅθεν οὐδὲ ὁ Κέρβερος οὐδὲ ὁ Κωκυτός, ἀόριστον ἐποίησε τοῦ θανάτου τὸ δέος, ἀλλὰ ἡ τοῦ μὴ ὄντος ἀπειλή, μεταβαλεῖν εἰς τὸ εἶναι πάλιν οὐκ ἐχοῦσα τοῖς φθαρεῖσι, δὶς γὰρ οὐκ ἔστι γενέσθαι. δεῖ δὲ τὸν αἰῶνα μὴ εἶναι κατ' Ἐπίκουρον, εἰ γάρ ἐστι τὸ πέρας τῷ μὴ εἶναι, τοῦτο δὲ ἀπέραντον καὶ ἀμετάστατον, εὕρηται κακὸν αἰώνιον, ἡ τῶν ἀγαθῶν στέρησις, ἀναισθησίαν μηδέποτε παυσομένην, καὶ σοφώτερος Ἡρόδοτος εἰπών, ὡς ὁ θεὸς γλυκὺν γεύσας τὸν αἰῶνα φθονερὸς ἐν αὐτῷ ὢν φαίνεται, καὶ μάλιστα τοῖς εὐδαιμονεῖν δοκοῦσιν, οἷς δέλεάρ ἐστι λύπης τὸ ἡδύ, γευομένοις ὧν στερήσονται. τίνα γὰρ εὐφροσύνην ἢ ἀπόλαυσιν καὶ βρυασμὸν οὐκ ἂν ἐκκρούσειεν, καὶ καταγάγοι ἐμπίπτουσα συνεχῶς, ἡ ἐπίνοια τῆς ψυχῆς, ὥσπερ εἰς πέλαγος ἀχανὲς τὸ ἄπειρον ἐκχεομένης τῶν ἐν ἡδονῇ τιθεμένων, τὸ καλὸν καὶ μακάριον. εἰ δὲ δὴ καὶ μετὰ ἀλγηδόνος ὥσπερ Ἐπίκουρος οἴεται

τοῖς πλείστοις ἀπόλλυσθαι συμβαίνει, παντάπασιν ἀπαρηγόρητός ἐστιν ὁ τοῦ θανάτου φόβος, εἰς ἀγαθῶν στέρησιν διὰ κακῶν ἄγοντος, καὶ πρὸς ταῦτα μὲν οὐκ ἀθυμοῦνται μαχόμενοι καὶ βιαζόμενοι πάντας ἀνθρώπους, ἀγαθὸν μὲν ἡγεῖσθαι τὴν τῶν κακῶν ἀποφυγήν, κακὸν δὲ μηκέτι νομίζειν τὴν τῶν ἀγαθῶν στέρησιν· ἐκεῖνο δὲ ὁμολογοῦσι τὸ μηδεμίαν ἐλπίδα μηδὲ χαρὰν ἔχειν τὸν θάνατον, ἀλλὰ ἀποκεκόφθαι πᾶν τὸ ἡδὺ καὶ τὸ ἀγαθόν, ἐν ᾧ χρόνῳ πολλὰ καλὰ καὶ μεγάλα καὶ θεῖα προσδοκῶσιν οἱ τὰς ψυχὰς ἀνωλέθρους εἶναι διανοούμενοι καὶ ἀφθάρτους, ἢ μακράς τινας χρόνων περιόδους, νῦν μὲν ἐν γῇ, νῦν δ' ἐν οὐρανῷ περιπολούσας, ἄχρις οὗ συνδιαλυθῶσι τῷ κόσμῳ, μετὰ ἡλίου καὶ σελήνης εἰς πῦρ νοερὸν ἀναφθεῖσαι. τοιαύτην χώραν ἡδονῶν τοσούτων Ἐπίκουρος ἐκτέμνει, καὶ ταῖς ἐκ θεῶν ἐλπίσιν ὥσπερ εἴρηται καὶ χάρισιν ἀναιρεθείσαις, αὐτοῦ τοῦ θεωρητικοῦ τὸ φιλομαθὲς καὶ τοῦ πρακτικοῦ τὸ φιλότιμον ἀποτυφλώσας, εἰς στενόν τι κομιδῆ καὶ οὐδὲ καθαρὸν τὸ ἐπὶ τῇ σαρκὶ τῆς ψυχῆς χαῖρον, συνέστειλε καὶ κατέβαλε τὴν φύσιν, ὡς μεῖζον ἀγαθὸν τοῦ τὸ κακὸν φεύγειν οὐδὲν ἔχουσαν.

ΕΙ ΚΑΛΩΣ ΕΙΡΗΤΑΙ ΤΟ ΛΑΘΕ ΒΙΩΣΑΣ.

α

Ἀλλ' οὐδὲ ὁ τοῦτο εἰπὼν λαθεῖν ἠθέλησεν, αὐτὸ γὰρ τοῦτο εἶπεν ἵνα μὴ λάθῃ, ὥς τι φρονῶν περιττότερον, ἐκ τῆς εἰς ἀδοξίαν προτροπῆς, δόξαν ἄδικον ποριζόμενος· μισῶ σοφιστήν, ὅστις οὐχ αὑτῷ σοφός. τοὺς μὲν γὰρ περὶ Φιλόξενον τὸν Ἐρύξιδος, καὶ Γνάθωνα τὸν Σικελιώτην ἐπτοημένους περὶ τὰ ὄψα, λέγουσιν, ἀπομύττεσθαι ταῖς παροψίσιν, ὅπως τοὺς συνεσθίοντας διασικχάναντες, αὐτοὶ μόνοι τῶν παρακειμένων ἐμφορῶνται· οἱ δὲ ἀκρατῶς φιλόδοξοι καὶ κατακόρως διαβάλλουσιν ἑτέροις τὴν δόξαν, ὥσπερ ἀντερασταῖς, ἵνα τυγχάνωσιν αὐτῆς ἀνανταγωνίστως, καὶ ταὐτὸ τοῖς ἐρέττουσι ποιοῦσιν. ὡς γὰρ ἐκεῖνοι πρὸς τὴν πρύμναν ἀφορῶντες τῆς νεὼς τὴν κατὰ πρῷραν ὁρμὴν συνεργοῦσιν, ὡς ἂν ἐκ τῆς ἀνακοπῆς περιρροίας καταλαμβανούσης συνωθῇ τὸ πορθμεῖον, οὕτως οἱ τὰ τοιαῦτα παραγγέλματα διδόντες, ὥσπερ ἀπεστραμμένοι τὴν δόξαν διώκουσιν. ἐπεὶ τί λέγειν ἔδει τοῦτο, τί δὲ γράφειν καὶ γράψαντα ἐκδιδόναι πρὸς τὸν μετὰ ταῦτα χρόνον, εἰ λαθεῖν ἐβούλετο τοὺς ὄντας ὁ μηδὲ τοὺς ἐσομένους; ἀλλὰ τοῦτο αὐτὸ τὸ πρᾶγμα πῶς οὐ πονηρόν, λάθε βιώσας ὡς τυμβωρυχήσας; ἀλλ' αἰσχρόν ἐστι τὸ ζῆν, ἵνα μὴ ἀγνοῶμεν πάντες; ἐγὼ δ' ἂν εἴποιμι, μὴ δὲ κακὸς βιώσας λάθε· ἀλλὰ γνώσθητι, σωφρονίσθητι, μετανόησον, εἴτε ἀρετὴν ἔχεις, μὴ διάγῃς ἄχρηστος, εἴτε κακίαν, μὴ μένῃς ἀθεράπευτος. μᾶλλον δὲ διελοῦ καὶ διόρισον, τίνι τοῦτο προστάττεις. εἰ μὲν ἀμαθεῖ καὶ πονηρῷ καὶ ἀγνώμονι, οὐδὲν διαφέρεις τοῦ λέγοντος, λάθε καὶ πυρέττων, λάθε φρενιτίζων, μὴ γνῷ σε ὁ ἰατρός, ἴθι ῥίψας ποι κατὰ σκότους σεαυτόν, ἀγνοούμενος μετὰ τῶν παθῶν. ἴθι τῇ κακίᾳ νόσον ἀνήκεστον νοσῶν καὶ ὀλέθριον, ἀποκρύπτων τοὺς φθόνους, τὰς δεισιδαιμονίας, ὥσπερ τινὰς σφυγμοὺς δεδιὼς παρασχεῖν τοῖς νουθετεῖν καὶ ἰᾶσθαι δυναμένοις. οἱ δὲ σφόδρα παλαιοὶ καὶ τοὺς νοσοῦντας φανερῶς προσεῖχον. τούτων δὲ ἕκαστος εἴ τι πρόσφορον ἔχοι παθὼν αὐτὸς ἢ τὸν παθόντα θεραπεύσας, ἔφραζε τῷ δεομένῳ, καὶ τέχνην οὕτω φασὶν ἐκ πείρας συνερανιζομένην μεγάλην γενέσθαι. ἔδει δὲ καὶ τοὺς νοσώδεις βίους καὶ τὰ τῆς ψυχῆς παθήματα πᾶσιν ἀπογυμνοῦν, καὶ ἅπτεσθαι καὶ λέγειν, ἕκαστον ἐπισκοποῦντα τὰς διαθέσεις, ὀργίζῃ; τοῦτο φύλαξαι· ζηλοτυπεῖς; ἐκεῖνο ποίησον· ἐρᾷς;

ποτ' ἠράσθην, ἀλλὰ μετενόησα· νῦν δὲ ἀρνούμενοι, ἀποκρυπτόμενοι, περιστέλλοντες, ἐμβαθύνουσι τὴν κακίαν ἑαυτοῖς. καὶ μὴν εἴ γε τοῖς χρηστοῖς λανθάνειν καὶ ἀγνοεῖσθαι παραινεῖς, Ἐπαμινώνδᾳ λέγεις μὴ στρατήγει, καὶ Λυκούργῳ μὴ νομοθέτει, καὶ Θρασυβούλῳ μὴ τυραννοκτόνει, καὶ Πυθαγόρᾳ μὴ παίδευε, καὶ Σωκράτει μὴ διαλέγου, καὶ σεαυτῷ πρῶτον Ἐπίκουρε, μὴ γράφε τοῖς ἐν Ἀσίᾳ φίλοις, μὴ δὲ τοὺς ἀπ' Αἰγύπτου ξενολόγει, μὴ δὲ τοὺς Λαμψακηνῶν ἐφήβους δορυφόρει, μὴ δὲ διάπεμπε βίβλους πᾶσι καὶ πάσαις ἐπιδεικνύμενος τὴν σοφίαν, μὴ δὲ διατάσσου περὶ ταφῆς. τί γὰρ αἱ κοιναὶ τράπεζαι, τί δὲ αἱ τῶν ἐπιτηδείων καὶ καλῶν σύνοδοι, τί δὲ αἱ τοσαῦται μυριάδες στίχων, ἐπὶ Μητρόδωρον, ἐπὶ Ἀριστόβουλον, ἐπὶ Χαιρέδημον γραφόμεναι καὶ συνταττόμεναι φιλοπόνως, ἵνα μὴ δὲ ἀποθανόντες λάθωσιν, ἵν' ἀμνηστίαν νομοθετῇς ἀρετῇ, καὶ ἀπραξίαν τέχνῃ, καὶ σιωπὴν φιλοσοφίᾳ, καὶ λήθην εὐπραγίᾳ. εἰ δ' ἐκ τοῦ βίου καθάπερ ἐκ συμποσίου φῶς ἀφαιρεῖς τὴν γνῶσιν, ὡς πάντα ποιεῖν ὑφ' ἡδονῆς πρὸς ἡδονὴν λανθάνουσι, λάθε βιώσας. πάνυ μὲν οὖν ἂν μεθ' Ἡδείας βιοῦν μέλλω τῆς ἑταίρας, καὶ Λεοντίῳ συγκαταζῆν, καὶ τῷ καλῷ προσπτύειν, καὶ τἀγαθὸν ἐν σαρκὶ καὶ γαργαλισμοῖς τίθεσθαι· ταῦτα δεῖται σκότους τὰ τέλη, ταῦτα νυκτός, ἐπὶ ταῦτα τὴν λήθην καὶ τὴν ἄγνοιαν. ἐὰν δέ τις ἐν μὲν φυσικοῖς θεὸν ὑμνῇ, καὶ δίκην, καὶ πρόνοιαν, ἐν δὲ ἠθικοῖς νόμον καὶ κοινωνίαν καὶ πολιτείαν, ἐν δὲ πολιτείᾳ τὸ καλόν, ἀλλὰ μὴ τὴν χρείαν, διατί λάθη βιώσας; ἵνα μηδένα παιδεύσῃ, μηδενὶ ζῆλος ἀρετῆς μὴ δὲ παράδειγμα καλὸν γένηται; εἰ Θεμιστοκλῆς Ἀθηναίους ἐλάνθανεν, οὐκ ἂν ἡ Ἑλλὰς ἀπεώσατο Ξέρξην, εἰ Ῥωμαίους Κάμιλλος, οὐκ ἂν ἡ Ῥώμη πόλις ἔμεινεν, εἰ Δίωνα Πλάτων, οὐκ ἂν ἠλευθερώθη Σικελία. ὥσπερ δὲ οἶμαι τὸ φῶς, οὐ μόνον φανερούς, ἀλλὰ καὶ χρησίμους καθίστησιν ἡμᾶς ἀλλήλοις, οὕτως ἡ γνῶσις οὐ μόνον δόξαν, ἀλλὰ καὶ πρᾶξιν ταῖς ἀρεταῖς δίδωσιν. Ἐπαμινώνδας γοῦν εἰς τεσσαρακοστὸν ἔτος ἀγνοηθείς, οὐδὲν ὤνησε Θηβαίους, ὕστερον δὲ πιστευθεὶς καὶ ἄρξας, τὴν μὲν πόλιν ἀπολλυμένην ἔσωσε, τὴν δὲ Ἑλλάδα δουλεύουσαν ἠλευθέρωσε, καθάπερ ἐν φωτὶ τῇ δόξῃ τὴν ἀρετὴν ἐνεργὸν εἰς καιρὸν παρασχόμενος. λάμπει γὰρ ἐν χρείαισιν ὥσπερ εὐγενὴς χαλκός, χρόνῳ διαργήσας ἤμυνε θυμόν, ἀστέγος ὥς φησι Σοφοκλῆς. ἀλλὰ καὶ ἦθος ἀνδρὸς οἷον εὐρῶτα καὶ γῆρας ἐν ἀπραξίᾳ δι' ἀγνοίας ἐφελκόμενον, ἡσυχία δὲ κωφὴ καὶ βίος ἑδραῖος ἐπὶ σχολῆς ἀποκείμενος, οὐ μόνον σώματα, ἀλλὰ καὶ ψυχὰς μαραίνει, καὶ καθάπερ τὰ λανθάνοντα τῶν ὑδάτων, τῷ περισκιάζεσθαι καὶ καθῆσθαι μὴ ἀπορρέοντα σήπεται, οὕτω τῶν ἀκινήτων βίων ὡς ἔοικεν, ἄν τι χρήσιμον ἔχωσι, μὴ ἀπορρεόντων μηδὲ πινομένων, φθείρονται καὶ ἀπογηράσκουσιν αἱ σύμφυτοι δυνάμεις. οὐχ ὁρᾷς ὅτι νυκτὸς μὲν ἐπιούσης τά τε σώματα δυσεργεῖς βαρύτητες ἴσχουσι, καὶ τὰς ψυχὰς ὄκνοι καταλαμβάνουσιν ἀδρανεῖς, καὶ συσταλεὶς ὁ λογισμὸς εἰς αὑτὸν ὥσπερ πῦρ ἀμαυρὸν ὑπὸ ἀργίας καὶ κατηφείας μικρὰ διεσπασμέναις πάλλεται φαντασίαις, ὅσον αὐτὸ τὸ ζῆν τὸν ἄνθρωπον ὑποσημαίνων; ἦμος δὲ στεροπῆς ἀπεώησεν ὀνείρους ὁ ἥλιος ἀνασχών, καὶ καθάπερ εἰς ταὐτὸ συμμίξας ἐπέστρεψε καὶ συνώρμησε τῷ φωτὶ τὰς πράξεις καὶ τὰς νοήσεις τὰς ἁπάντων ὥς φησι Δημόκριτος, νέα ἐφ' ἡμέρῃ φρονέοντες ἄνθρωποι τῇ πρὸς ἀλλήλους ὁρμῇ καθάπερ ἀρτήματι συντόνῳ σπασθέντες, ἄλλος ἀλλαχόθεν ἐπὶ τὰς πράξεις ἀνίστανται. δοκῶ δὲ ἔγωγε καὶ τὸ ζῆν αὐτὸ καὶ ὅλως τὸ φῦναι καὶ μετασχεῖν ἀνθρώπῳ γενέσεως, εἰς γνῶσιν ὑπὸ θεοῦ δοθῆναι. ἔστι δ' ἄδηλος καὶ ἄγνωστος ἐν τῷ παντὶ πολλῷ καὶ κατὰ μικρὰ καὶ σποράδην φερόμενος. ὅταν δὲ γένηται, συνερχόμενος αὐτῷ καὶ λαμβάνων μέγεθος, ἐκλάμπει καὶ καθίσταται δῆλος ἐξ ἀδήλου, καὶ φανερὸς ἐξ ἀ-

κινουμένων . L. A.

φανές, οὐ γὰρ εἰς οὐσίαν ὁδὸς ἡ γένεσις ὥς ἔνιοι λέγουσιν, ἀλλ᾽ οὐσίας εἰς γνῶσιν. οὐ γὰρ ποιεῖ τῶν γινομένων ἕκαστον, ἀλλὰ δείκνυσιν, ὥσπερ οὐδὲ ἡ φθορὰ τοῦ ὄντος, ἄρσις εἰς τὸ μὴ ὂν ἐστὶν, ἀλλὰ μᾶλλον εἰς τὸ ἄδηλον ἀπαγωγὴ τοῦ διαλυθέντος. ὅθεν δὴ τὸν μὲν ἥλιον ἀπόλλωνα κατὰ τοὺς πατρίους καὶ παλαιοὺς θεσμοὺς νομίζοντες, δήλιον καὶ πύθιον προσαγορεύουσι. τὸν δὲ τῆς ἐναντίας κύριον μοίρας, εἴτε θεὸς, εἴτε δαίμων ἐστὶν, ᾅδην ὀνομάζουσιν, ὡς ἂν εἰς ἀειδὲς καὶ ἀόρατον ἡμῶν ὅταν διαλυθῶμεν βαδιζόντων, νυκτὸς ἀϊδνᾶς ἀεργηλοῖό θ᾽ ὕπνου κοίρανον. οἶμαι δὲ καὶ τὸν ἄνθρωπον αὐτὸν, οὕτωσὶ φῶτα καλεῖν τοὺς παλαιοὺς ὅτι τοῦ γινώσκεσθαι καὶ γινώσκειν ἑκάστῳ διὰ συγγένειαν ἔρως ἰσχυρὸς ἐμπέφυκεν, αὐτήν τε τὴν ψυχὴν ἔνιοι τῶν φιλοσόφων, φῶς εἶναι τῇ οὐσίᾳ νομίζουσιν, ἄλλοις τε χρώμενοι τεκμηρίοις, καὶ ὅτι τῶν ὄντων μάλιστα τὴν μὲν ἄγνοιαν ἡ ψυχὴ δυσανασχετεῖ, καὶ πᾶν τὸ ἀφεγγὲς ἐχθαίρει καὶ ταράττεται τὰ σκοτεινὰ, φόβου καὶ ὑποψίας ὄντα πλήρη πρὸς αὐτὴν, ἡδὺ δὲ αὐτῇ καὶ ποθεινὸν οὕτω τὸ φῶς ἐστιν, ὥστε μηδὲ ἄλλο τι τῶν φύσει τερπνῶν ἄνευ φωτὸς ὑπὸ σκότους θέλειν, ἀλλὰ τοῦτο πᾶσαν ἡδονὴν καὶ πᾶσαν διατριβὴν καὶ ἀπόλαυσιν ὥσπερ τι κοινὸν ἥδυσμα κατα μιγνύμενον, ἱλαρὸν ποιεῖ καὶ φιλάνθρωπον. ὁ δὲ εἰς τὴν ἄγνοιαν αὑτὸν ἐμβαλὼν, καὶ σκότος περιαμπεχόμενος, καὶ κενοταφῶν τὸν βίον, ἔοικεν αὐτὴν βαρύνεσθαι τὴν γένεσιν καὶ ἀπαυδᾶν πρὸς τὸ εἶναι. καίτοι τῆς γε δόξης καὶ τοῦ εἶναι φύσιν εὐσεβῶν χῶρον τοῖσι λάμπει μένος ἀελίου, τὰν ἐνθάδε νύκτα κάτω φοινικορόδοις ἐν λειμώνεσσι, καὶ τοῖσιν ἀκάρπων μὲν ἀνθηρῶν, καὶ σκυθίων δένδρων ἄνθεσι τεθηλὸς ἀναπέπταται πεδίον, καὶ ποταμοί τινες ἄκλαυστοι καὶ λεῖοι διαῤῥέουσι καὶ διατριβὰς ἔχουσιν ἐν μνήμαις καὶ λόγοις τῶν γεγονότων καὶ ὄντων, παραπέμποντες αὐτοὺς καὶ συνόντες, ἡ δὲ τρίτη τῶν ἀνοσίως βεβιωκότων καὶ παρανόμων ὁδὸς ἐστιν, εἰς ἔρεβός τι καὶ βάραθρον ὠθοῦσα τὰς ψυχὰς, ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον, βληχροὶ δνοφεροὶ νυκτὸς ποταμοὶ δεχόμενοι καὶ ἀποκρύπτοντες ἀγνοίᾳ καὶ λήθῃ τοὺς κολαζομένους. οὐ γὰρ οὔτε γῦπες κειμένων ἐν γῇ τῶν πονηρῶν κείρουσιν ἀεὶ τὸ ἧπαρ, κατακέκαυται γὰρ ἢ κατασέσηπεν. οὔτε βαρῶν τινων ἀχθοφορίαι θλίβουσι καὶ καταπονοῦσι τὰ σώματα τῶν κολαζομένων, οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἰνὸς ἔχουσιν, οὐδὲν ἐστὶν ὑπόλειμμα σώματος τοῖς τεθνηκόσι τιμωρίας ἀντερεῖσιν ἀντίτυπον δέξασθαι δυνάμενον. ἀλλὰ ἓν κολαστήριον ὡς ἀληθῶς τῶν κακῶς βιωσάντων, ἀδοξία καὶ ἄγνοια, καὶ παντελῶς ἀφανισμὸς αἴρων εἰς τὸν ἀμειδῆ ποταμὸν ἀπὸ τῆς λήθης. καταποντίζων εἰς ἄβυσσον καὶ ἀχανὲς πέλαγος ἀχρηστίαν καὶ ἀπραξίαν πᾶσαν ἄγνοιαν καὶ ἀδοξίαν συνεφελκόμενον.

ΕΙ ΑΥΤΑΡΚΗΣ Η ΚΑΚΙΑ ΠΡΟΣ ΚΑΚΟΔΑΙΜΟΝΙΑΝ.

υ

πομένει τὸ σῶμα πεπραμένον τῆς φορνῆς ἔχων ὡς εὐριπίδης φησὶν, βραχέα δεδήλωται καὶ ἀβέβαια. τῷ δὲ οὐ πολλῆς δεῖ τέφρας, ἀλλὰ πυρκαϊᾶς τινος βασιλικῆς πορευομένῳ καὶ περιφλεγομένῳ, ἄσθματος καὶ φόβου μεστῷ, καὶ ἱδρῶτος διαποντίου πλοῦ τόν τινα προσθεῖσα ταντάλειον ἀπολαῦσαι δι᾽ ἀσχολίαν οὐ δυναμένῳ, ὁ μὲν γοῦν σικυώνιος ἐκεῖνος ἱπποτρόφος εὖ φρονῶν, ἔδωκε τῷ βασιλεῖ τῶν ἀχαιῶν, θήλειαν ἵππον δρομάδα δῶρον, ἵνα μὴ οἱ ἕποιθ᾽ ὑπὸ ἴλιον ἠνεμόεσσαν ἀλλὰ τέρποιτο μένων εἰς βαθεῖαν εὐπορίαν καὶ σχολὴν ἄλυπον ἀνακλίνας ἑαυτόν. οἱ δὲ νῦν ἄλυποι καὶ πρακτικοὶ δοκοῦντες εἶναι, μηδενὸς καλοῦντος, ὠθοῦνται δι᾽ αὐτῶν ἐπὶ τράχηλον εἰς αὐλὰς καὶ προπομπὰς καὶ θυραυλίας ἐπιπόνους ἵνα ἵππου τινὸς ἢ πόρπης ἢ τοιαύτης τινὸς εὐημερίας τύχωσι, τοῦ δὲ καὶ ἀμφιδρυφὴς ἄλοχος φυλάκῃ ἐλέλειπτο καὶ δόμος ἡμιτελὴς, σύρεται δὲ καὶ πλανᾶται τριβόμενος ἐν πίστιν ἐλπίζων καὶ προπηλακιζόμενος. ἂν δὲ καὶ τύχῃ τινὸς ὧν ποθεῖ, περιενεχθεὶς καὶ σκοτοδινιάσας, πρὸς τὸν τῆς τύχης πιτυρισμὸν, ἀπόβασιν ζητεῖ καὶ μακαρίζει τοὺς ἀδόξους καὶ ἀσφαλῶς ζῶντας. οἱ δ᾽ ἐκεῖνον πάλιν ἄνω βλέποντες ὑπὲρ αὐτοὺς φερόμενον, πάντως ἡ κακία διατίθησι πάντας ἀνθρώπους, αὐτοτελής τις οὖσα τῆς κακοδαιμονίας δημιουργός. οὔτε γὰρ ὀργάνων οὔτε ὑπηρετῶν ἔχει χρείαν. ἄλλοι δὲ τύραννοι σπουδάζοντες οὓς ἂν κολάζωσιν ἀθλίους ποιεῖν, δημίους τρέφουσι καὶ βασανιστὰς, ἢ καυτήρια καὶ σφῆνας ἐπιμηχανῶνται, ἀλόγου ψυχῆς. ἡ δὲ κακία, δίχα πάσης παρασκευῆς, τῇ ψυχῇ συνελθοῦσα, συνέτριψε καὶ κατέβαλε, λύπης ἐνέπλησε, θρήνων, βαρυθυμίας, μεταμελείας τὸν ἄνθρωπον. τεκμήριον δὲ τεμνόμενοι πολλοὶ, σιωπῶσι, καὶ μαστιγούμενοι καρτεροῦσι, καὶ σφηνούμενοι ὑπὸ δεσποτῶν ἢ τυράννων, φωνὴν οὐκ ἀφιᾶσιν, ὅταν ἡ ψυχὴ μύσασα τῷ λόγῳ τὸν τόνον ὥσπερ χειρὶ πιέσῃ καὶ κατάσχῃ, θυμῷ δὲ οὐκ ἂν ἐπιτάξαις ἡσυχίαν, οὐδὲ πένθει σιωπὴν, οὔτε φοβούμενον στῆναι πείσειας, οὔτε δυσφοροῦντα μετανοίᾳ μὴ βοῆσαι, μὴ δὲ τῶν τριχῶν λαβέσθαι ἢ τὸν μηρὸν κρούσαι, οὕτω καὶ πυρὸς ἐστὶν ἡ κακία καὶ σιδήρου βιαιοτέρα. αἱ πόλεις δήπουθεν ὅταν ἔκδοσιν ναῶν ἢ κολοσσῶν προγράφωσιν, ἀκροῶνται τῶν τεχνιτῶν ἁμιλλωμένων περὶ τῆς ἐργολαβίας, καὶ λόγους καὶ παραδείγματα κομιζόντων, εἶτα αἱροῦνται τὸν ἀπ᾽ ἐλάττονος δαπάνης τὸ αὐτὸ ποιοῦντα καὶ βέλτιον καὶ τάχιον. φέρε δὴ καὶ ἡμᾶς, ἔκδοσίν τινα βίου καὶ ἀνθρώπου κακοδαίμονος προσκηρύσσειν, εἶτα προσιέναι τῇ ἐργολαβίᾳ τὴν τύχην καὶ τὴν κακίαν διαφερομένας, τὴν μὲν ὀργάνων τε παντοδαπῶν κατά πλέων καὶ παρασκευῆς πολυτελοῦς, εἰς ἀπεργασίαν κακοδαίμονος ζωῆς καὶ οἰκτρᾶς λῃστήριά τινα καὶ πολέμους καὶ τυράννων μιαιφονίας, καὶ χειμῶνας ἐκ θαλάττης, καὶ κεραυνὸν ἐξ ἀέρος ἐφελκομένην, καὶ κώνεια τρίβουσαν, καὶ ξίφη φέρουσαν, καὶ συκοφάντας ξενολογοῦσαν, καὶ πυρετοὺς ἐξάπτουσαν, καὶ πέδας περικρούουσαν, καὶ περιοικοδομοῦσαν εἱρκτάς. καίτοι τούτων τὰ πλεῖστα τῆς κακίας μᾶλλον ἢ τῆς τύχης ἐστίν. ἀλλὰ πάντα ἔστω τῆς τύχης, ἡ δὲ κακία παρεστῶσα γυμνὴ καὶ μηδενὸς δεομένη τῶν ἔξωθεν ἐπὶ τὸν ἄνθρωπον ἐρωτάτω καὶ τὴν τύχην πῶς ποιήσει κακοδαίμονα καὶ ἄθυμον τὸν ἄνθρωπον. τύχη, πενίαν ἀπειλεῖς; καταγελᾶσσου μητροκλῆς, ὃς χειμῶνος ἐν τοῖς προβάτοις καθεύδων καὶ θέρους ἐν τοῖς προπυλαίοις τῶν ἱερῶν, τὸν ἐν βαβυλῶνι χειμάζοντα, καὶ περὶ μηδίαν θερίζοντα περσῶν βασιλέα περὶ εὐδαιμονίας εἰς ἀγῶνα προ

ἐκαλεῖτο. δουλείαν καὶ δεσμὰ καὶ πρᾶσιν ἐπάγεις; καταφρονεῖ σου Διογένης, ὃς ὑπὸ τῶν λῃστῶν πωλούμενος, ἐκήρυττε τίς ὠνήσασθαι βούλεται δεσπότην. κύλικα φαρμάκου παρατίθεις; οὐχὶ καὶ Σωκράτει ταύτην προέπιες; ὁ δὲ ἵλεως καὶ πρᾶος οὐ τρέσας οὐδὲ διαφθείρας, οὐδὲ χρώματος οὐδὲν, οὐδὲ σχήματος, μάλ' εὐκόλως ἐξέπιεν· ἀποθνήσκοντα δ' αὐτὸν ἐμακάριζον οἱ ζῶντες, ὡς οὐδ' ἐν ᾅδου θείας ἄνευ μοίρας ἐσόμενον. καὶ μὴν τὸ πῦρ Δέκιος ὁ Ῥωμαῖος ὢν στρατηγὸς προέλαβεν, ὅτε τῶν στρατοπέδων ἐν μέσῳ πυρὰν νήσας, τῷ Κρόνῳ κατ' εὐχὴν αὐτὸς ἑαυτὸν ἐκαλλιέρησεν ὑπὲρ τῆς ἡγεμονίας. Ἰνδῶν δὲ φίλανδροι καὶ σώφρονες γυναῖκες ὑπὲρ τοῦ πυρὸς ἐρίζουσι καὶ μάχονται πρὸς ἀλλήλας, τὴν δὲ νικήσασαν τεθνηκότι τῷ ἀνδρὶ συγκαταφλεγῆναι, μακαρίαν ᾄδουσιν αἱ λοιπαί. τῶν δ' ἐκεῖ σοφῶν οὐδεὶς ζηλωτὸς, οὐδὲ μακαριστός ἐστιν, ἂν μὴ ζῶν ἔτι καὶ φρονῶν καὶ ὑγιαίνων, τοῦ σώματος τὴν ψυχὴν πυρὶ διαστήσῃ, καὶ καθαρὸς ἐκβῇ τῆς σαρκὸς ἐκνιψάμενος τὸ θνητόν. ἀλλ' ἐξ οὐσίας λαμπρᾶς καὶ οἴκου καὶ τραπέζης καὶ πολυτελείας εἰς τρίβωνα καὶ πήραν καὶ προσαίτησιν ἐφημέρου τροφῆς κατάξεις; ταῦτα εὐδαιμονίας ἀρχαὶ Διογένει, ταῦτα ἐλευθερίας Κράτητι καὶ δόξης. ἀλλὰ εἰς σταυρὸν καθηλώσεις ἢ σκόλοπι πήξεις; καὶ τί Θεοδώρῳ μέλει πότερον ὑπὲρ γῆς ἢ ὑπὸ γῆς σήπεται; Σκυθῶν εὐδαίμονες ταφαὶ αὗται, Ὑρκανῶν δὲ κύνες, Βακτριανῶν δ' ὄρνιθες νεκροὺς ἐσθίουσι κατὰ νόμους ὅταν μακαρίου τέλους τυγχάνωσιν. τίνας οὖν ταῦτα κακοδαίμονας ποιεῖ; τοὺς ἀνάνδρους καὶ ἀλογίστους, τοὺς ἀθρέπτους καὶ ἀγυμνάστους, τοὺς ἐκ νηπίων ἃς ἔχουσιν δόξας φυλάττοντας. οὐκοῦν οὐκ ἔστιν ἡ τύχη κακοδαιμονίας τελεσιουργὸς, ἂν μὴ κακίαν ἔχῃ συνεργοῦσαν. ὡς γὰρ ἡ κρόκη τὸ ὀστέον πρίει, τέφρᾳ καὶ ὄξει διάβροχον γενόμενον, καὶ τὸν ἐλέφαντα τῷ ζύθει μαλακὸν γενόμενον καὶ χαλῶντα κάμπτουσι καὶ διασχηματίζουσιν, ἄλλως δὲ οὐ δύνανται, οὕτως ἡ τύχη τὸ πεπονθὸς ἐξ αὑτοῦ καὶ μαλακὸν κακίᾳ, προσπεσοῦσα, κοιλαίνει καὶ τιτρώσκει. καὶ καθάπερ ὁ πάροικος τῶν ἄλλων οὐδενὶ βλαβερὸς ὢν, οὐδὲ λυπῶν ἁπτομένους καὶ περιφέροντας, ἐὰν τετρωμένος ἐπεισενεχθῇ μόνον, εὐθὺς ἀπόλλυσι τῷ προσπεπονθότι καὶ τὴν ἀπορροὴν δεχομένῳ, οὕτω οὖν ἀπὸ τῆς τύχης συντριβήσεσθαι μέλλοντα τὴν ψυχὴν, ἴδιον ἕλκος ἐν ἑαυτῷ καὶ κακὸν ἔχειν δεῖ ἐντὸς σαρκὸς, ὅπως τὰ προσπίπτοντα ἔξωθεν οἰκτρὰ καὶ ὀδυρτὰ ποιήσῃ. ἆρ' οὖν ἡ κακία τοιοῦτον, ὥστε τῆς τύχης δεῖσθαι πρὸς κακοδαιμονίας ἀπεργασίαν. πόθεν οὖν τραχὺ καὶ δυσχείμερον ἐπαίρεται πέλαγος, οὐ λῃστῶν ἐνοδίοις διαζώννυσιν ἐνέδραις ἐρήμους ὑπωρείας, οὐ νέφη χαλαζοβόλα πεδίοις περιρήγνυσι καρποφόροις, οὐ Μέλητον οὐδὲ Ἄνυτον οὐδὲ Καλλίξενον, ἐπεί τι συκοφάντην οὐκ ἀφαιρεῖται πλοῦτον, οὐκ ἀπείργει στρατηγίας, ἵνα ποιήσῃ κακοδαίμονας, ἀλλὰ ποιεῖ πλουτοῦντας, εὐφοροῦντας, κληρονομοῦντας ἐν γῇ, διὰ θαλάττης ἐνδέδυκε, προσπέφυκεν, ἐκτήκουσα ταῖς ἐπιθυμίαις, διακαίουσα τοῖς θυμοῖς, συντρίβουσα ταῖς δεισιδαιμονίαις, διασύρουσα τοῖς ὀφθαλμοῖς.

ΠΕΡΙ ΤΗΣ ΕΙΣ ΤΑ ΕΚΓΟΝΑ ΦΙΛΟΣΤΟΡΓΙΑΣ.

Κλήσεις καὶ κρίσεις καὶ ξενικῶν δικαστηρίων ἀγωγαὶ τοῖς Ἕλλησι τὸ πρῶτον ἀπιστίᾳ τῇ πρὸς ἀλλήλους ἐπενοήθησαν ἀλλοτρίας δικαιοσύνης, ὥσπερ ἑτέρου τινὸς τῶν ἀναγκαίων μὴ φυομένου παρ' αὐτοῖς δεηθεῖσιν. ἆρ' οὖν καὶ οἱ φιλόσοφοι τῶν προβλημάτων ἔνια διὰ τὰς πρὸς ἀλλήλους διαφορὰς ἐπὶ τὴν τῶν ἀλόγων φύσιν ζώων, ὥσπερ ἀλλοδαπὴν πόλιν ἐκκαλοῦνται, καὶ τοῖς ἐκείνων πάθεσι καὶ ἤθεσιν ὡς ἀνεντεύκτοις καὶ ἀδεκάστοις ἐφιᾶσι τὴν κρίσιν, ἢ καὶ τοῦτο τῆς ἀνθρωπίνης κακίας ἔγκλημα κοινόν ἐστι, τὸ περὶ τῶν ἀναγκαιοτάτων καὶ μεγίστων ἀμφιδοξοῦντας ἡμᾶς ζητεῖν ἐν ἵπποις καὶ κυσὶ καὶ ὄρνισι, πῶς γαμοῦμεν αὐτοὶ καὶ γεννῶμεν καὶ τεκνοτροφοῦμεν, ὡς μηδὲν ἐν ἑαυτοῖς δήλωμα τῆς φύσεως ὄν; τὰ τῶν θηρίων ἤθη καὶ πάθη προσαγορεύουσι καὶ καταμαρτυροῦσι τοῦ βίου ἡμῶν, πολλὴν τὴν κατὰ φύσιν ἐκδιαίτησιν καὶ παράβασιν εὐθὺς ἐν ἀρχῇ καὶ περὶ τὰ πρῶτα συγχεομένων καὶ ταραττομένων. ἄκρατον γὰρ ἐν ἐκείνοις ἡ φύσις καὶ ἀμιγὲς καὶ ἁπλοῦν φυλάττει τὸ ἴδιον· ἐν δ' ἀνθρώποις ὑπὸ τοῦ λόγου καὶ τῆς συνηθείας ὥσπερ ἔλαιον ὑπὸ τῶν μυρεψῶν πέπονθε πρὸς πολλὰ μιγνυμένη δόγματα καὶ κρίσεις ἐπιθέτους, ποικίλη γέγονε καὶ ἰδία, τὸ δὲ οἰκεῖον οὐ τετήρηκε, καὶ μὴ θαυμάζωμεν εἰ τὰ ἄλογα ζῷα τῶν λογικῶν μᾶλλον ἕπεται τῇ φύσει, καὶ γὰρ τὰ φυτὰ τῶν ζῴων, οἷς οὔτε φαντασίαν οὔτε ὁρμὴν ἔδωκεν ἑτέρων ὄρεξιν τοῦ κατὰ φύσιν ἀποσαλεύουσαν, ἀλλ' ὥσπερ ἐν δεσμῷ συνειργμένα μένει καὶ κεκράτηται, μίαν ἀεὶ πορείαν ἣν ἡ φύσις ἄγει πορευόμενα. τοῖς δὲ θηρίοις τὸ μὲν πανοῦργον τοῦ λόγου καὶ περιττὸν καὶ φιλελεύθερον ἄγαν οὐκ ἔστιν, ἀλόγους δὲ ὁρμὰς καὶ ὀρέξεις ἔχοντα καὶ χρώμενα πλάναις καὶ περιδρομαῖς, πολλάκις οὐ μακραῖς, ἀλλ' ὡς ἐπ' ἀγκύρας τῆς φύσεως σαλεύει. καθάπερ οὖν ὁδὸν ὑφ' ἡνίᾳ καὶ χαλινῷ βαδίζοντα δείκνυσιν εὐθεῖαν, ὁ δ' ἀδέσποτος ἐν ἀνθρώπῳ καὶ αὐτοκρατὴς λόγος, ἄλλας ἄλλοτε παρεκβάσεις καὶ καινοτομίας ἀνευρίσκων, οὐδὲν ἴχνος ἐμφανὲς, οὐδὲ ἐναργὲς ἀπολέλοιπε τῆς φύσεως, ὅρα περὶ τοὺς γάμους, ὅσον ἐστὶν ἐν τοῖς ζῴοις τὸ κατὰ φύσιν. πρῶτον οὐκ ἀναμένει νόμους ἀγάμου καὶ ὀψιγάμου καθάπερ οἱ Λυκούργου πολῖται καὶ Σόλωνος, οὐδὲ ἀτιμίας ἀτέκνων δέδοικεν, οὐδὲ τιμὰς διώκει τριπαιδίας, ὡς Ῥωμαίων πολλοὶ γαμοῦσι καὶ γεννῶσιν, οὐχ ἵνα κληρονόμους ἔχωσιν, ἀλλ' ἵνα κληρονομεῖν δύνωνται. ἔπειτα μίγνυται τῷ θήλει τὸ ἄρρεν, οὐχ ἅπαντα χρόνον, ἡδονὴν οὐκ ἔχει τέλος, ἀλλὰ γέννησιν καὶ τέκνωσιν. διὸ τοῦ ἔτους ὥρᾳ ἣ πνοὰς γονίμους ἔχει καὶ πρόσφορον λοχευομένοις κρᾶσιν, ἦλθεν εἰς τὸ αὐτὸ τῷ ἄρρενι τὸ θῆλυ χειροῆθες καὶ ποθεινὸν, ἡδείᾳ μὲν ὀσμῇ χρωτὸς, ἰδίῳ δὲ κόσμῳ σώματος ἀγαλλόμενον, δρόσου καὶ βοτάνης ἀνάπλεων καθαρᾶς. αἰσθόμενον δὲ ὅτι κύει καὶ πεπλήρωται, κοσμίως ἄπεισι καὶ προνοεῖ περὶ τὴν κύησιν καὶ σωτηρίαν τοῦ ἀποτεχθέντος, ἀξίως δὲ οὐκ ἔστιν εἰπεῖν τὰ δρώμενα, πλὴν ὅτι γίνεται ἕκαστον αὐτῶν ἐν τῷ φιλοστόργῳ, ταῖς προνοίαις, ταῖς καρτερίαις, ταῖς ἐγκρατείαις. ἀλλὰ τὴν μέλιτταν ἡμεῖς σοφὴν καλοῦμεν, καὶ νομίζομεν ξανθὸν μέλι μηδομένην κολακεύοντες τὸ ἡδὺ καὶ γαργαλίζον ἡμᾶς τῆς γλυκύτητος· τὴν δὲ τῶν ἄλλων περὶ τὰς λοχείας καὶ τὰς ἀνατροφὰς σοφίαν καὶ τέχνην παρορῶμεν. οἷον εὐθὺς ἡ ἀλκυὼν κύουσα, τὴν νεοττείαν συντίθησι συλλαμβάνουσα τὰς ἀκάνθας τῆς θαλαττίας βελόνης, καὶ ταύτας δι' ἀλλήλων ἐγκαταπλέκουσα καὶ συνείρουσα, τὸ μὲν σχῆμα, περιαγὲς, ὡς ἁλιευτικοῦ κύρτου καὶ πρόμηκες ἀπεργάζεται, τῇ δ' ἁρμονίᾳ καὶ

πυκνότητι συμφράξασα τῆς ἀκάνθης ἀκριβῶς, ὑπέθηκε τῷ κλύσματι τοῦ κύ-
ματος, ὡς τυπτόμενον ἡσυχῇ καὶ πηγνύμενον τὸ ἐπίπλημα τῆς ἐπιφανείας στεγανὸν
γένηται· γίνεται δὲ σιδήρῳ καὶ λίθῳ δυσδιαίρετον. ὃ δ' ἐστὶ θαυμασιώτερον, οὕτω τὸ στό-
μα τῆς νεοττείας συμμέτρως πέπλασται πρὸς τὸ μέγεθος καὶ τὸ μέτρον τῆς ἀλκυόνος,
ὥστε μήτε μεῖζον ἄλλο, μήτε μικρότερον ἐνδύεσθαι ζῷον, ὥς δέ φασι μηδὲ θάλατ-
ταν παραδέχεσθαι, μηδὲ τὰ ἐλάχιστα. μάλιστα δὲ οἱ γαλεοὶ ζῳογονοῦσι μὲν ἐν
ἑαυτοῖς, ἐκβαίνειν δὲ παρέχουσιν ἔξω καὶ νέμεσθαι τοῖς σκύμνοις, εἶτα πάλιν
ἀναλαμβάνουσι καὶ περιπτύσσουσιν ἐγκοιμωμένοις τοῖς σπλάγχνοις. ἡ δ' ἄρκτος,
ἀγριώτατον καὶ σκυθρωπότατον θηρίον, ἄμορφα καὶ ἄναρθρα τίκτει, τῇ δὲ γλώτ-
τῃ καθάπερ ἐργαλείῳ διατυποῦσα τοὺς ὑμένας, οὐ δοκεῖ γεννᾶν μόνον, ἀλλὰ καὶ
» δημιουργεῖν τὸ τέκνον. ὁ δὲ ὁμηρικὸς λέων, ὅν ῥά τε νήπια τέκνα ἄγοντα συναν-
» τήσονται ἐν ὕλῃ ἄνδρες ἐπακτῆρες, ὁ δέ τε σθένεϊ βλεμεαίνει· πᾶν δέ τ' ἐπισκύ-
» νιον κάτω ἕλκεται ὄσσε καλύπτων· ἆρα οὐχ ὅμοιός ἐστι διανοουμένῳ πρὸς τοὺς κυ-
νηγοὺς σπένδεσθαι περὶ τῶν τέκνων; καθόλου γὰρ ἡ πρὸς τὰ ἔκγονα φιλοστοργία, καὶ
τὰ τολμηρὰ δειλὰ ποιεῖν, καὶ φιλόπονα τὰ ῥάθυμα, καὶ φειδωλὰ τὰ γαστρίμαρ-
» γα. καὶ ὥσπερ ἡ ὁμηρικὴ ὄρνις προσφέρουσα τοῖς νεοττοῖς μάστακ' ἐπεί κε λάβῃσι,
» κακῶς δέ τε οἱ πέλει αὐτῇ, τῷ γὰρ αὑτῆς τρέφει λιμῷ τὰ ἔκγονα· καὶ τὴν τροφὴν τῆς γα-
στρὸς ἁπτομένην, ἀποκρατεῖ καὶ πιέζει τῷ στόματι, μὴ λάθῃ καταπιοῦσα. ὡς δὲ κύ-
» ων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα ἄνδρ' ἀγνοιήσασ' ὑλάει, μέμονέν τε μά-
χεσθαι, τὸν περὶ τῶν τέκνων φόβον, ὡς δεύτερον προσλαβοῦσα θυμόν. αἱ δὲ πέρ-
δικες ὅταν διώκωνται μετὰ τῶν τέκνων, ἐκεῖνα μὲν ἐῶσι προπέτεσθαι καὶ φεύ-
γειν, αὐταῖς δὲ μηχανώμεναι προσέχειν τοὺς θηρεύοντας ἐγγὺς κυλινδούμεναι
καὶ καταλαμβανόμεναι, μικρὸν ὑπεκθέουσιν, εἶτα πάλιν ἵστανται καὶ παρέχου-
σιν ἐν ἐφικτῷ τῆς ἐλπίδος ἑαυτὰς, ἄχρις ἂν οὕτω προκινδυνεύουσαι τῆς νεοττῶν
τῆς ἀσφαλείας, προαγάγωνται πόῤῥω τοὺς διώκοντας. τὰς δὲ ἀλεκτορίδας ἐν
τοῖς ὄμμασι καθ' ἡμέραν ἔχομεν, ὃν τρόπον τὰ νεόττια περιέπουσι, τοῖς μὲν ἐνδύναι
χαλῶσαι τὰς πτέρυγας, τοῖς δ' ἐπιβαίνοντα τῶν νώτων, καὶ προσέρχοντα πάντα-
χόθεν ἀναδεχόμεναι, μετὰ τοῦ γηθοῦς ἣ καὶ πρὸς φιλὲς ἐπιφθέγγεσθαι, κυ-
νέας δὲ καὶ δράκοντας, ἂν περὶ αὐτῶν φοβηθῶσι, φεύγουσιν, ἂν δὲ περὶ τῶν
τέκνων, ἀμύνονται καὶ διαμάχονται παρὰ δύναμιν. εἶτα ταῦτα οἰόμεθα πά-
θη τοῖς ζῴοις ἐνεργάσασθαι τὴν φύσιν, ἀλεκτορίδων ἐπιγονῆς καὶ κυνῶν καὶ ἄρκτων προνοοῦ-
σαν, ἀλλ' οὐχ ἡμᾶς δυσωποῦσαν καὶ πτώσσουσαν, ἐπιλογιζομένους, ὅτι ταῦτα
παραδείγματα τοῖς ἑπομένοις, τοῖς δὲ ἀναλγήτοις, ὀνείδη περίεστι τῆς ἀπαθεί-
ας, δι' ὧν κατηγοροῦσι τῆς ἀνθρωπίνης φύσεως μόνης, μὴ προῖκα τὸ στέργειν ἐ-
χούσης, μηδὲ ἐπισταμένης φιλεῖν ἄνευ χρείας. θαυμάζεται γὰρ ἐν τοῖς θεά-
» τροις ὁ εἰπών· μισθοῦ γ' ἄνθρωπον, τίς ἄνθρωπον φιλεῖ, κατ' ἐπίκουρον ὁ πατὴρ
τὸν υἱόν, μήτηρ τὸ τέκνον, οἱ παῖδες τοὺς τεκόντας, ἀλλὰ εἰ λόγου γένοιτο τοῖς θη-
ρείοις σύνεσις, καὶ τοῦτό τις εἰς κοινὸν θέατρον συναγαγὼν ἵππους καὶ βόας καὶ κύνας
καὶ ὄρνιθας, ἀναφθέγξαιτο μεταγράψας, ὡς οὔτε κύνες ἐπὶ μισθῷ σκύλακας φιλοῦ-
σιν, οὔτε ἵπποι πώλους, οὔτε ὄρνιθες νεοττούς, ἀλλὰ προῖκα καὶ φυσικῶς, ἐπιγνω-
σθήσεται τοῖς ἁπάντων πάθεσιν ὡς εὖ καὶ ἀληθῶς λεγόμενον. αἰσχρὸν γὰρ ὦ Ζεῦ τὰς
θηρείων γενέσεις καὶ λοχείας καὶ ὠδῖνας καὶ τεκνοτροφίας φύσιν εἶναι καὶ χάριν, τὰς δὲ ἀν-
θρώπων, δάνεια καὶ μισθοὺς καὶ ἀῤῥαβῶνας ἐπὶ χρείαις διδομένους. ἀλλ' οὔτε ἀληθὴς ὁ
λόγος, οὔτε ἄξιον ἀκούειν. ἡ γὰρ φύσις ὥσπερ ἐν φυτοῖς ἀγρίοις, οἷον οἰνάνθαις ἐρινεοῖς, κο-
τίνοις, ἀρχὰς ἀπέπτους καὶ ἀτελεῖς ἡμέρων καρπῶν ἐνέφυσεν, οὕτω τοῖς μὲν ἀλό-
γοις τὸ πρὸς τὰ ἔκγονα φιλόστοργον, ἀτελὲς καὶ οὐ διαρκὲς πρὸς δικαιοσύνην,
οὐδὲ

οὐδὲ τῆς χρείας προσωτέρω προσερχόμενον ἔδωκεν· ἄνθρωπον δὲ λογικὸν καὶ
πολιτικὸν ζῷον ἐπὶ δίκην καὶ νόμον εἰσάγουσα καὶ θεῶν τιμὰς, καὶ πόλεων ἱδρύ-
σεις καὶ φιλοφροσύνην, γενναῖα καὶ καλὰ καὶ φερέκαρπα τούτων σπέρματα
παρέσχε τὴν πρὸς τὰ ἔκγονα χαίρειν καὶ ἀγάπησιν, ἀκολουθοῦσα ταῖς πρώταις
ἀρχαῖς, αὗται δὲ ἦσαν ἐν ταῖς τῶν σωμάτων κατασκευαῖς. πανταχοῦ μὲν
γὰρ ἡ φύσις ἀκριβὴς καὶ φιλότεχνος καὶ ἀνελλιπὴς καὶ ἀπερίττος, οὐδὲν ὡς
ἔφησεν Ἐρασίστρατος ἔχουσα ῥωπικόν· τὰ δὲ περὶ τὴν γένεσιν ἀξίως οὐκ ἔστιν εἰπεῖν·
οὐδὲ εὐπρεπὲς ἴσως λίαν ἀκριβῶς τῶν ἀπορρήτων ἐφάπτεσθαι τοῖς ὀνόμασι καὶ
τοῖς ῥήμασιν, ἀλλ' ἀποκειμένων καὶ κεκρυμμένων ἐπινοεῖν τὴν πρὸς τὸ γεννᾶν καὶ
λοχεύεσθαι τῶν μορίων ἐκείνων εὐφυΐαν, ἀρκεῖ δὲ ἡ τοῦ γάλακτος ἐργασία καὶ οἰ-
κονομία τὴν πρόνοιαν αὐτῆς ἐμφῆναι καὶ ἐπιμέλειαν. τοῦ γὰρ αἵματος ὅσον
περίττωμα τῆς χρείας ἐν ταῖς γυναιξὶ δι' ἀμβλύτητα καὶ μικρότητα τοῦ πνεύ-
ματος ἐπιπολάζον ἐμπλανᾶται καὶ βαρύνει, τὸν μὲν ἄλλον χρόνον εἴθισται καὶ
μεμελέτηκεν ἐμμήνοις ἡμερῶν περιόδοις ὀχετοὺς καὶ πόρους αὐτῷ τῆς φύσεως ἀνα-
στομούσης ἀποχεόμενον, τὸ μὲν ἄλλο σῶμα κουφίζειν καὶ καθαίρειν, τὴν δὲ ὑστέραν
οἷον ἀρότρῳ καὶ σπόρῳ γῆν ἐν φυτοῖς ὀργῶσαν ἐν καιρῷ παρέχειν. ὅταν δὲ τὴν γο-
νὴν ἀναλάβῃ προσπεσοῦσα ἡ ὑστέρα καὶ περιστέλλῃ ῥιζώσεως γενομένης· ὁ γ' ὀμ-
φαλὸς πρῶτον ἐν μήτρῃσιν ὥς φησι Δημόκριτος ἀγκυρηβόλιον σάλου καὶ πλά-
νης ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῷ γενομένῳ καρπῷ καὶ μέλλοντι, καὶ τοὺς μὲν
ἐμμήνους καὶ καθαρσίους ἔκλεισεν ὀχετοὺς ἡ φύσις, τοῦ δὲ αἵματος ἀντιλαμβα-
νομένη φερομένου, τροφῇ χρῆται καὶ καταρδεῖ τὸ βρέφος ἤδη συνιστάμενον καὶ δια-
πλαττόμενον, ἄχρις οὗ τοὺς προσήκοντας ἀριθμοὺς τῇ ἐντὸς αὐξήσει κινηθὲν, ἑ-
τέρας ἀναστροφῆς καὶ χώρας δέηται. τότε οὖν τὸ αἷμα παντὸς ἐμμελέστερον
φυτουργοῦ καὶ ὀχετηγοῦ πρὸς ἑτέραν ἀφ' ἑτέρας ἐκτρέπουσα, καὶ μεταλαμβά-
νουσα χρείαν ἔχει παρεσκευασμένας, οἷον ἐνσείους τινὰς κρήνας νάματος ἐπιρ-
ρέοντος, οὐκ ἀργῶς οὐδὲ ἀπαθῶς ὑποδεχομένας, ἀλλὰ καὶ τῇ τοῦ πνεύματος ἠπίᾳ θερ-
μότητι καὶ μαλακῇ θηλύτητι, ἐκπέμψαι καὶ λεᾶναι καὶ μεταβαλεῖν δυνα-
μένας· τοιαύτην γ' ὁ μαστὸς ἔχει ἐντὸς διάθεσιν καὶ κρᾶσιν, ἐκροαὶ δὴ τοῦ γάλακτος
οὐκ εἰσίν, οὐδὲ κρουνοὶ μεθιέντες ἀθρόως, εἰς δὲ σάρκα πιδακώδη καὶ πόροις ἀδέ-
μα λεπτοῖς διηθοῦσαν ἀπολήγοντες, εὐμενὲς τῷ τοῦ νηπίου στόματι καὶ προσφιλὲς
ψαῦσαι καὶ περιλαβεῖν ἐνδίδωσι ταμεῖον. ἀλλὰ τούτων γε τῶν τοσούτων πρὸς
τὴν γένεσιν ὀργάνων καὶ τοιούτων οἰκονομιῶν καὶ φιλοτιμίας καὶ προνοίας,
οὐδὲν ἦν ὄφελος, εἰ μὴ τὸ φιλόστοργον ἡ φύσις καὶ κηδεμονικὸν ἐνειργάσατο ταῖς
» τεκούσαις. οὐ μὲν γάρ τί που ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς πάντων, ὅσα τε γαῖαν
» ἔπι πνείει τε καὶ ἕρπει, οὐ ψεύδεται λέγων ἐπὶ νηπίου καὶ ἀρτιγενοῦς, οὐ-
δὲν γάρ ἐστιν οὕτως ἀτελὲς οὐδὲ ἄπορον, οὐδὲ γυμνὸν οὐδὲ ἄμορφον οὐδὲ μιαρὸν,
ὡς ἄνθρωπος ἐν γοναῖς ὁρώμενος, ᾧ μόνῳ σχεδὸν οὐδὲ καθαρὰν ἔδωκεν εἰς φῶς ὁ-
δὸν ἡ φύσις, ἀλλ' αἵματι πεφυρμένος, καὶ λύθρου περίπλεως, καὶ φονευομένῳ
μᾶλλον ἢ γεννωμένῳ ἐοικώς, οὐδενὸς ἐστὶν ἅψασθαι καὶ ἀνελέσθαι καὶ ἀσπάσα-
σθαι καὶ περιλαβεῖν, ἢ τοῦ φύσει φιλοῦντος. διὸ τῶν μὲν ἄλλων ζῴων ὑπὸ τὴν
γαστέρα τὰ οὔθατα χαλᾷ τοὺς μαστοὺς, ταῖς δὲ γυναιξὶν ἄνω γεγόνασι περὶ τὸ στέρ-
νον ἐν ἐφικτῷ τοῦ φιλῆσαι καὶ περιπτύξαι καὶ καταστάσασθαι τὸ νήπιον, ὡς
τοῦ τεκεῖν καὶ θρέψαι τέλος οὐ χρείαν ἀλλὰ φιλίαν ἔχοντος. ἐπὶ τοὺς παλαιοὺς
ἀνάγαγε τὸν λόγον, οἷς τῶν μὲν τεκεῖν πρώταις, ταῖς δὲ ἰδεῖν συνέβη τι κυόμενον βρέ-
φος, οὔτε νόμος ἦν ἐκείνοις τεκνοτροφεῖν προστάττων, οὔτε προσδοκία χάριτος ἢ
τροφείων ἐπὶ νέοις δανειζομένων. χαλεπαῖς δὲ μᾶλλον εἴποιμ' ἂν εἶναι καὶ μνησικάκους

τὰς τικτούσας τοῖς βρέφεσι, κινδύνων τε μεγάλων καὶ πόνων αὐταῖς γινομένων, ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα δριμύ, τό τε προϊᾶσι μογοστόκοι εἰλείθυιαι ἥρης θυγατέρες, πικρὰς ὠδῖνας ἔχουσαι. ταῦτα οὐχ ὅμηρον αἱ γυναῖκες, ἀλλ' ὁμηρίδα γράψαι λέγουσιν, τεκοῦσαν ἢ τίκτουσαν ἔτι, καὶ τὸ μίγμα τῆς ἀλγηδόνος ὁμοῦ πικρὸν καὶ ὀξὺ γινόμενον ἐν τοῖς σπλάγχνοις ἔχουσαν. ἀλλὰ τὸ φύσει φιλόστοργον ἔκαμπτε καὶ ἦγεν, ἔτι θερμὴ καὶ διαλγὴς καὶ κραδαινομένη τοῖς πόνοις, οὐχ ὑπερέβη τὸ νήπιον οὐδὲ ἔφυγεν, ἀλλ' ἐπεστράφη καὶ προσεμειδίασε καὶ ἀνείλετο καὶ ἠσπάσατο, μηδὲν ἡδὺ καρπουμένη μηδὲ χρήσιμον, ἀλλ' ἐπιπόνως καὶ ταλαιπώρως ἀναδεχομένη τῶν σπαργάνων βρεφικοῖς θάλπουσα καὶ ψύχουσα, καὶ πόνῳ πόνον ἐκ νυκτὸς ἀλλάσσουσα τὸν καθ' ἡμέραν. τίνων ταῦτα μισθῶν ἢ χρειῶν ἐκείνοις; ἀλλ' οὐδὲ τοῖς νῦν, αἱ γὰρ ἐλπίδες ἄδηλοι καὶ μακραί. ἄμπελον ἰσημερίας ἐαρινῆς σκάψας, μετοπωρινῆς ἐτρύγησε· πυρὸν ἔσπειρε δυομένης πλειάδος, εἶτα ἀνατελλούσης θερίζει· βόες καὶ ἵπποι καὶ ὄρνιθες ἕτοιμα τίκτουσιν εἰς τὰς χρείας· ἀνθρώπου δὲ ἡ μὲν ἐκτροφὴ πολύπονος, ἡ δ' αὔξησις βραδεῖα, τῆς δὲ ἀρετῆς μακρὰν οὔσης, προαποθνήσκουσιν οἱ πλεῖστοι πατέρες. οὐκ ἐπεῖδε τὴν σαλαμῖνα νεοκλῆς τὴν θεμιστοκλέους, οὐδὲ τὸν εὐρυμέδοντα μιλτιάδης τὸν κίμωνος, οὐδὲ ἤκουσε περικλέους ξάνθιππος δημηγοροῦντος, οὐδὲ ἀρίστων πλάτωνος φιλοσοφοῦντος, οὐδὲ εὐριπίδου καὶ σοφοκλέους νίκας οἱ πατέρες ἔγνωσαν, ψελλιζόντων καὶ συλλαβιζόντων ἠκροῶντο, καὶ κώμους καὶ πότους καὶ ἔρωτας αὐτῶν οἱ ἄνθρωποι πλημμελούντων ἐπεῖδον. ὥστε ἐπαινεῖσθαι καὶ μνημονεύεσθαι τοῦ εὐήνου τοῦτο μόνον, ὡς ἐπέγραψεν, ἢ δέος ἢ λύπη παῖς πατρὶ πάντα χρόνον. ἀλλ' ὅμως οὐ παύονται παῖδας τρέφοντες, μάλιστα δ' οἱ παίδων ἥκιστα δεόμενοι. γελοῖον γὰρ εἴ τις οἴεται τοὺς πλουσίους θύειν καὶ χαίρειν γενομένων αὐτοῖς τέκνων, ὅτι τοὺς θρέψοντας ἕξουσι καὶ τοὺς θάψοντας. εἰ μὴ νὴ δία κληρονόμων ἀπορίᾳ, παῖδας τρέφουσιν, οὐ γάρ ἐστιν εὑρεῖν οὐδ' ἐπιτυχεῖν τοῦ τἀλλότρια βουλομένου λαμβάνειν. ψάμμος ἢ κόνις ἢ πτερὰ ποικιλοθρόων οἰωνῶν τόσον οὐκ ἔχει ἀριθμόν, ὅσος ἐστὶν ὁ τῶν κληρονομούντων. δαναὸς ὁ πεντήκοντα θυγατέρων πατήρ, εἰ δὲ ἄτεκνος ἦν, πλείονας ἂν εἶχε κληρονομοῦντας καὶ οὐχ ὁμοίως. οἱ μὲν γὰρ παῖδες χάριν οὐδεμίαν ἔχουσιν, οὐδὲ ἕνεκα τούτου θεραπεύουσιν, οὐδὲ τιμῶσιν, ὡς ὀφείλημα τὸ κληρονομεῖν ἐκδεχόμενοι, τῶν δὲ ἀλλοτρίων περὶ τὸν ἄτεκνον φωνὰς ἀκούεις ταῖς κωμικαῖς ἐκείναις ὁμοίας. ὦ δὴ μέλουσαι πρῶτον ἐκ δικάσας μίαν, ἔνθου, ῥόφησον, ἔνθ' ἔχεις τριώβολον. τὸ δὲ ὑπὸ τοῦ εὐριπίδου λεγόμενον, τὰ χρήματα ἀνθρώποισιν εὑρίσκειν φίλους, δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχειν, οὐχ ἁπλῶς ἀληθές, ἀλλ' ἐπὶ τῶν ἀτέκνων. τούτους οἱ πλούσιοι δειπνίζουσιν, οἱ ἡγεμόνες θεραπεύουσιν, οἱ ῥήτορες μόνοις τούτοις προῖκα συνηγοροῦσιν, ἰσχυρόν ἐστι πλούσιος ἀγνοούμενος ἔχων κληρονόμον. πολλοὺς γοῦν πολυφίλους καὶ πολυτιμήτους ὄντας, ἓν παιδίον γεννώμενον, ἀφίλους καὶ ἀδυνάτους ἐποίησεν. ὅθεν οὐδὲ πρὸς δύναμιν οὐδέν ἐστιν ὠφέλιμον ἀπὸ τῶν τέκνων, ἀλλὰ τῆς φύσεως τὸ πᾶν κράτος, οὐχ ἧττον ἐν ἀνθρώποις ἢ θηρίοις, ἐξαμαυροῦται γὰρ ἡ ταῦτα καὶ πολλὰ τῶν ἄλλων ὑπὸ τῆς κακίας, ὥσπερ λόχμης ἡμέροις σπέρμασι παραβλαστανούσης. ἢ μὴ δὲ ἑαυτὸν φύσει στέργειν τὸν ἄνθρωπον λέγομεν, ὅτι πολλοὶ σφάττουσιν ἑαυτοὺς καὶ κατακρημνίζουσιν. ὁ δὲ οἰδίπους ἤραξεν ἀπαίρων βλέφαρα φοίνια δ' ὄμματ'. ἡγησίας διαλεγόμενος, πολλοὺς ἐποίησεν ἀποκαρτερῆσαι τῶν ἀκροωμένων. πολλαὶ μορφαὶ τῶν δαιμονίων, ταῦτα δὲ ἐστὶν ὥσπερ ἐκεῖνα νοσήματα καὶ πάθη ψυχῆς ἐκ τοῦ κατὰ φύσιν ἐξιστάντα τὸν ἄνθρωπον, ὡς αὐτοὶ καταμαρτυροῦσιν ἑαυτῶν. ἀλλ' εἰ ὗς τεκοῦσα δελφάκιον, ἢ κύων διασπαράξῃ σκυλάκιον, ἀθυμοῦσι καὶ ταράττονται

ταράττονται καὶ θεοῖς ἀποτρόπαια θύουσι, καὶ τέρας νομίζουσιν, ὡς πᾶσι καὶ παρὰ φύσιν στέργειν τὰ τικτόμενα καὶ τρέφειν οὐκ ἀναιρεῖν προσῆκον. οὐ μὴν ἀλλὰ ὥσπερ ἐν τοῖς μετάλλοις πολλῇ συμπεφυρμένον γῇ καὶ κατακεχωσμένον, ὅμως διαστίλβει τὸ χρυσίον, οὕτως ἡ φύσις ἐν αὐτοῖς τοῖς ἡμαρτημένοις ἤθεσι καὶ πάθεσιν, ἐκφαίνει τὸ πρὸς τὰ ἔκγονα φιλόστοργον, οἱ μὲν γὰρ πένητες οὐ τρέφουσι τέκνα, φοβούμενοι μὴ χεῖρον ἢ προσήκει τραφέντα, δουλοπρεπῆ καὶ ἀπαίδευτα, καὶ τῶν καλῶν πάντων ἐνδεᾶ γένηται, τὴν γὰρ πενίαν ἔσχατον ἡγούμενοι κακόν, οὐχ ὑπομένουσι μεταδοῦναι τέκνοις ὥσπερ τινὸς χαλεποῦ καὶ μεγάλου νοσήματος.

ΠΕΡΙ ΙΣΙΔΟΣ ΚΑΙ ΟΣΙΡΙΔΟΣ.

Πάντα μὲν ὦ κλέα δεῖ τἀγαθὰ τοὺς νοῦν ἔχοντας αἰτεῖσθαι παρὰ τῶν θεῶν, μάλιστα δὲ τῆς περὶ αὐτῶν ἐπιστήμης ὅσον ἐφικτόν ἐστιν ἀνθρώποις μετιόντες εὐχόμεθα τυγχάνειν παρ' αὐτῶν ἐκείνων, ὡς οὐθὲν ἀνθρώπῳ λαβεῖν μεῖζον, οὐ χαρίσασθαι θεῷ σεμνότερον ἀληθείας. τὰ μὲν γὰρ ἄλλα δίδωσιν ἀνθρώποις ὁ θεὸς ὧν δέονται, νοῦ δὲ καὶ φρονήσεως μεταδίδωσιν οἰκεῖα κεκτημένος ταῦτα καὶ χρώμενος. οὐ γὰρ ἀργύρῳ καὶ χρυσῷ μακάριον τὸ θεῖον, οὐδὲ βρονταῖς καὶ κεραυνοῖς ἰσχυρόν, ἀλλὰ ἐπιστήμῃ καὶ φρονήσει, καὶ τοῦτο κάλλιστα πάντων ὅμηρος ὧν εἴρηκε, περὶ θεῶν ἀναφθεγξάμενος. ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη, ἀλλὰ ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδει. σεμνοτέραν ἀπέφηνε τὴν τοῦ διὸς ἡγεμονίαν ἐπιστήμῃ καὶ σοφίᾳ πρεσβυτέραν οὖσαν. οἶμαι δὲ καὶ τῆς αἰωνίου ζωῆς ἣν ὁ θεὸς εἴληχεν εὔδαιμον εἶναι τὸ τῇ γνώσει μὴ προαπολείπειν τὰ γινόμενα, τὸ δὲ γινώσκειν τὰ ὄντα καὶ φρονεῖν ἀφαιρεθέντος οὐ βίον ἀλλὰ χρόνον εἶναι τὴν ἀθανασίαν. διὸ θειότητος ὄρεξίς ἐστιν ἡ τῆς ἀληθείας, μάλιστα δὲ τῆς περὶ θεῶν ἔφεσις, ὥσπερ ἀνάληψιν ἱερῶν τὴν μάθησιν ἔχουσα καὶ τὴν ζήτησιν. ἁγνείας τε πάσης καὶ νεωκορίας ἔργον ὁσιώτερον, οὐχ ἥκιστα δὲ τῇ θεῷ ταύτῃ κεχαρισμένον, ἣν σὺ θεραπεύεις ἐξαιρέτως σοφὴν καὶ φιλόσοφον οὖσαν, ὡς τοὔνομά τε φράζειν ἔοικε παντὸς μᾶλλον αὐτῇ τὸ εἰδέναι καὶ τὴν ἐπιστήμην προσήκουσαν. ἑλληνικὸν γὰρ ἡ ἶσίς ἐστι καὶ ὁ τυφὼν πολέμιος τῇ θεῷ, καὶ δι' ἄγνοιαν καὶ ἀπάτην τετυφωμένος, καὶ διασπῶν καὶ ἀφανίζων τὸν ἱερὸν λόγον, ὃν ἡ θεὸς συνάγει καὶ συντίθησι καὶ παραδίδωσι τοῖς τελουμένοις θειώσεως, σώφρονι μὲν ἐνδελεχῶς διαίτῃ καὶ βρωμάτων πολλῶν καὶ ἀφροδισίων ἀποχαῖς κολουούσαις τὸ ἀκόλαστον καὶ φιλήδονον, ἀθρύπτους δὲ καὶ στερρὰς ἐν ἱεροῖς λατρείας ἐθιζούσης ὑπομένειν, ὧν τέλος ἐστὶν ἡ τοῦ πρώτου καὶ κυρίου καὶ νοητοῦ γνῶσις, ὃν ἡ θεὸς παρακαλεῖ ζητεῖν παρ' αὐτῇ καὶ μετ' αὐτῆς ὄντα καὶ συνόντα. τὸ δ' ἱεροῦ τοὔνομα καὶ σαφῶς ἐπαγγέλλεται καὶ γνῶσιν καὶ εἴδησιν τοῦ ὄντος, ὀνομάζεται γὰρ ἴσειον ὡς εἰσόμενον τὸ ὄν, ἂν μετὰ λόγου καὶ ὁσίως εἰς τὰ ἱερὰ παρέλθωμεν τῆς θεοῦ. ἔτι πολλοὶ μὲν ἑρμοῦ, πολλοὶ δὲ προμηθέως ἱστορήκασιν αὐτὴν θυγατέρα, ὧν τὸν μὲν ἕτερον σοφίας καὶ προνοίας, ἑρμῆν δὲ γραμματικῆς καὶ μουσικῆς εὑρετὴν νομίζοντες. διὸ καὶ τῶν ἑρμουπόλει μουσῶν τὴν προτέραν ἶσιν ἅμα καὶ δικαιοσύνην καλοῦσι σοφὴν οὖσαν ὥσπερ εἴρηται, καὶ δεικνύουσαν τὰ θεῖα τοῖς ἀληθῶς καὶ δικαίως ἱεραφόροις καὶ ἱεροστόλοις προσαγορευομένοις. οὗτοι δέ εἰσιν, οἱ τὸν ἱερὸν λόγον περὶ θεῶν πάσης καθαρεύοντα δεισιδαιμονίας καὶ περιεργίας ἐν τῇ ψυχῇ φέροντες, ὥσπερ ἐν κίστῃ καὶ περιστέλλοντες, τὰ μὲν μέλανα καὶ σκιώδη, τὰ δὲ φανερὰ καὶ λαμ-

τερὰ τῆς περὶ θεῶν ὑποδηλοῦντα οἰήσεως, οἷα καὶ περὶ τὴν ἐσθῆτα τὴν ἱερὰν ἀποφαίνεται. διὸ καὶ τὸ κοσμεῖσθαι τούτοις τοὺς ἀποθανόντας ἰσιακούς, σύμβολόν ἐστι τοῦτον τὸν λόγον εἶναι μετ' αὐτῶν καὶ τοῦτον ἔχοντας, ἄλλο δὲ μηδὲν ἐκεῖ βαδίζειν. οὔτε γὰρ φιλοσόφους πωγωνοτροφίαι ὦ κλέα καὶ τριβωνοφορίαι ποιοῦσιν, οὔτε ἰσιακοὺς αἱ λινοστολίαι καὶ ξύρησις, ἀλλὰ ἰσιακός ἐστιν ὡς ἀληθῶς, ὁ τὰ δεικνύμενα καὶ δρώμενα περὶ τοὺς θεοὺς τούτους, ὅταν νόμῳ παραβάλῃ, λόγῳ ζητῶν καὶ φιλοσοφῶν περὶ τῆς ἐν αὐτοῖς ἀληθείας. ἐπεὶ τούς γε πολλοὺς καὶ τὸ κοινότατον τοῦτο καὶ τὸ σμικρότατον λέληθεν, ἐφ' ὅτῳ τὰς τρίχας οἱ ἱερεῖς ἀποτίθενται καὶ λινᾶς ἐσθῆτας φοροῦσιν, οἱ μὲν οὐδ' ὅλως φροντίζουσιν εἰδέναι περὶ τούτων, οἱ δὲ τῶν μὲν ἐρίων ὥσπερ τῶν κρεῶν σεβομένους τῶν προβάτων ἀπέχεσθαι λέγουσι, ξύρεσθαι δὲ τὰς κεφαλὰς διὰ τὸ πένθος, φορεῖν δὲ τὰ λινᾶ διὰ τὴν χρόαν, ἣν τὸ λίνον ἀνθοῦν, ἀνίησι τῇ περιεχούσῃ τὸν κόσμον αἰθερίῳ χαροπότητι προσεοικυῖαν. ἡ δὲ ἀληθὴς αἰτία μία πάντων ἐστί, καθαροῦ γὰρ ἤ φησιν ὁ πλάτων, οὐ θεμιτὸν ἅπτεσθαι μὴ καθαρῷ, περίττωμα δὲ τροφῆς καὶ σκύβαλον, οὐδὲν ἁγνὸν οὐδὲ καθαρόν ἐστι, ἐκ δὲ περιττωμάτων ἔρια καὶ λάχναι, καὶ τρίχες καὶ ὄνυχες ἀναφύονται, καὶ βλαστάνουσι. γελοῖον οὖν ἦν, τὰς μὲν αὑτῶν τρίχας, ἐν ταῖς ἁγνείαις ἀποτίθεσθαι ξυρωμένους καὶ λεαινομένους πᾶν ὁμαλῶς τὸ σῶμα, τὰς δὲ τῶν θρεμμάτων ἀμπέχεσθαι καὶ φορεῖν. καὶ γὰρ τὸν ἡσίοδον οἴεσθαι δεῖ λέγοντα μὴ δ' ἀπὸ πεντόζοιο θεῶν ἐν δαιτὶ θαλείῃ αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ, διδάσκειν ὅτι δεῖ καθαροὺς τῶν τοιούτων γενομένους ἑορτάζειν, οὐκ ἐν αὐταῖς ταῖς ἱερουργίαις χρῆσθαι καθάρσει καὶ ἀφαιρέσει τῶν περιττωμάτων, τὸ δὲ λίνον φύεται μὲν ἐξ ἀθανάτου τῆς γῆς, καὶ καρπὸν ἐδώδιμον ἀναδίδωσι, λιτὴν δὲ παρέχει καὶ καθαρὰν ἐσθῆτα, καὶ τῷ σκέποντι μὴ βαρύνουσαν, εὐάρμοστον δὲ πρὸς πᾶσαν ὥραν, ἥκιστα δὲ φθειροποιόν, ὡς λέγουσι, περὶ ὧν ἕτερος λόγος. οἱ δὲ ἱερεῖς οὕτω δυσχεραίνουσι τὴν τῶν περιττωμάτων φύσιν, ὥστε μὴ μόνον παραιτεῖσθαι τῶν ὀσπρίων τὰ πολλὰ καὶ τῶν κρεῶν τὰ μῆλα καὶ ὕεια πολλὴν ποιοῦντα περίττωσιν, ἀλλὰ καὶ τοὺς ἅλας τῶν σιτίων ἐν ταῖς ἁγνείαις ἀφαιρεῖν. ἄλλας τε πλείονας αἰτίας ἔχοντας, καὶ ποτικωτέρους καὶ βρωτικωτέρους ποιεῖν ἐπιθήγοντας τὴν ὄρεξιν. τὸ γὰρ ὡς ἀρισταγόρας ἔλεγε διὰ τὸ πηγνυμένοις πολλὰ τῶν μικρῶν ζῴων ἐναποθνήσκειν ἁλισκόμενα μὴ καθαροὺς λογίζεσθαι τοὺς ἅλας, εὔηθές ἐστι. λέγονται δὲ καὶ τὸν ἆπιν ἐκ φρέατος ἰδίου ποτίζειν, τοῦ δὲ νείλου παντάπασιν ἀπείργειν, οὐ μιαρὸν ἡγουμένους τὸ ὕδωρ διὰ τὸν κροκόδειλον ὡς ἔνιοι νομίζουσιν, οὐδὲν γὰρ οὕτω τιμὴ αἰγυπτίοις, ὡς ὁ νεῖλος, ἀλλὰ πιαίνειν δοκεῖ καὶ μάλιστα πολυσαρκίαν ποιεῖν τὸ νειλῷον ὕδωρ πινόμενον. οὐ βούλονται δὲ τὸν ἆπιν οὕτως ἔχειν, οὐδὲ ἑαυτούς, ἀλλὰ εὐσταλῆ καὶ κοῦφα ταῖς ψυχαῖς περικεῖσθαι τὰ σώματα, καὶ μὴ πιέζειν μηδὲ καταθλίβειν ἰσχύοντι τῷ θνητῷ, καὶ βαρύνοντι τὸ θεῖον. οἶνον δὲ οἱ μὲν ἐν ἡλίου πόλει θεραπεύοντες τὸν θεόν, οὐκ εἰσφέρουσι τὸ παράπαν εἰς τὸ ἱερόν, ὡς οὐ προσῆκον ἡμέρας πίνειν τοῦ κυρίου καὶ βασιλέως ἐφορῶντος. οἱ δὲ ἄλλοι χρῶνται μέν, ὀλίγῳ δέ, πολλὰς δὲ ἀοίνους ἁγνείας ἔχουσιν, ἐν αἷς φιλοσοφοῦντες καὶ μανθάνοντες καὶ διδάσκοντες τὰ θεῖα, διατελοῦσιν. οἱ δὲ βασιλεῖς καὶ μετρητὸν ἔπινον ἐκ τῶν ἱερῶν γραμμάτων, ὡς ἑκαταῖος ἱστόρηκεν, ἱερεῖς ὄντες, ἤρξαντο δὲ πίνειν ἀπὸ ψαμμητίχου, πρότερον δὲ οὐκ ἔπινον οἶνον, οὐδὲ ἔσπενδον ὡς φίλιον θεοῖς, ἀλλ' ὡς αἷμα τῶν πολεμησάντων ποτὲ τοῖς θεοῖς, ἐξ ὧν οἴονται πεσόντων καὶ τῇ γῇ συμμιγέντων ἀμπέλους γενέσθαι. διὸ καὶ τὸ μεθύειν ἔκφρονας ποιεῖ καὶ παραπλῆγας, ἅτε δὴ τῶν προγόνων τοῦ αἵματος ἐμπιπλαμέ-

νους.

νους. ταῦτα μὲν οὖν εὔδοξος ἐν τῇ δευτέρᾳ τῆς περιόδου λέγεσθαί φησιν οὕτως ὑπὸ τῶν ἱερέων. ἰχθύων δὲ θαλαττίων, πάντες μὲν οὐ πάντων ἀλλ' ἐνίων ἀπέχονται, καθάπερ ὀξυρυγχῖται τῶν ἀπ' ἀγκίστρου. σεβόμενοι γὰρ τὸν ὀξύρυγχον ἰχθύν, δεδίασι μή ποτε τὸ ἄγκιστρον οὐ καθαρόν ἐστιν ὀξυρύγχου περιπεσόντος αὐτῷ, συηνῖται δὲ φάγρου. δοκεῖ γὰρ ἐπιόντι τῷ νείλῳ συνεπιφαίνεσθαι καὶ τὴν αὔξησιν ἀσμένοις φράζειν αὐτάγγελος ὁρώμενος. οἱ δ' ἱερεῖς ἀπέχονται πάντων, πρώτου δὲ μηνὸς ἐνάτῃ τῶν ἄλλων αἰγυπτίων ἑκάστου πρὸ τῆς αὐλείου θύρας ὀπτὸν ἰχθὺν κατεσθίοντος οἱ ἱερεῖς οὐ γεύονται μέν, κατακαίουσι δὲ πρὸ τῶν θυρῶν τοὺς ἰχθῦς, δύο λόγους ἔχοντες, ὧν τὸν μὲν ἱερὸν καὶ περιττόν, αὖθις ἀναλήψομαι συνᾴδοντα τοῖς περὶ ὀσίριδος καὶ τυφῶνος ὁσίως φιλοσοφουμένοις. ὁ δὲ ἐμφανὴς καὶ πρόχειρος, οὐκ ἀναγκαῖον οὐδὲ περίεργον ὄψον ἀποφαίνειν τὸν ἰχθὺν ὁμήρῳ μαρτυρεῖ, μήτε φαίακας τοὺς ἁβροβίους, μήτε τοὺς ἰθακησίους ἀνθρώπους νησιώτας, ἰχθύσι χρωμένους ποιοῦντι, μήτε τοὺς ὀδυσσέως ἑταίρους ἐν πλῷ τοσούτῳ καὶ ἐν θαλάττῃ πρὶν εἰς ἐσχάτην ἐλθεῖν ἀπορίαν. ὅλως δὲ καὶ τὴν θάλατταν ἐκ πυρὸς ἡγοῦνται καὶ παρωρισμένην, οὐδὲ μέρος οὐδὲ στοιχεῖον, ἀλλὰ ἀλλοῖον περίττωμα διεφθορὸς καὶ νοσῶδες, οὐδὲν γὰρ ἄλογον οὐδὲ μυθῶδες, οὐδὲ ὑπὸ δεισιδαιμονίας, ὥσπερ ἔνιοι νομίζουσιν ἐγκατεστοιχειοῦτο ἱερουργίαις. ἀλλὰ τὰ μὲν ἠθικὰς ἔχοντα καὶ χρειώδεις αἰτίας, τὰ δὲ οὐκ ἄμοιρα κομψότητος ἱστορικῆς ἢ φυσικῆς ἐστιν. οἷον τὸ περὶ κρομμύου, τὸ γὰρ ἐμπεσεῖν εἰς τὸν ποταμὸν καὶ ἀπολέσθαι τὸν τῆς ἴσιδος τρόφιμον δίκτυν οὐ κρομμύων ἐπιδρασσόμενον ἐσχάτως ἀπίθανον. οἱ δὲ ἱερεῖς ἀφοσιοῦνται καὶ δυσχεραίνουσι καὶ τὸ κρόμμυον παραφυλάττοντες, ὅτι τῆς σελήνης φθινούσης μόνον, εὐτροφεῖν τοῦτο καὶ τεθηλέναι πέφυκεν. ἔστι δὲ πρόσφορον οὔτε ἁγνεύουσιν, οὔτε ἑορτάζουσι, τοῖς μὲν ὅτι διψῆν, τοῖς δὲ ὅτι δακρύειν ποιεῖ, τοὺς προσφερομένους. ὁμοίως δὲ καὶ τὴν ὗν ἀνίερον ζῷον ἡγοῦνται, ὡς μάλιστα γὰρ ὀχεύεσθαι δοκεῖ τῆς σελήνης φθινούσης, καὶ τῶν τὸ γάλα πινόντων ἐξανθεῖ τὰ σώματα λέπραν καὶ ψωρικὰς τραχύτητας. τὸν δὲ λόγον ὃν θύοντες ἅπαξ ὗν ἐν πανσελήνῳ καὶ ἐσθίοντες ἐπιλέγουσιν, ὡς ὁ τυφὼν ὗν διώκων, πρὸς τὴν πανσέληνον εὗρε τὴν ξυλίνην σορόν, ἐν ᾗ τὸ σῶμα τοῦ ὀσίριδος ἔκειτο καὶ διέρριψεν, οὐ πάντες ἀποδέχονται παρακουσμάτων ὥσπερ ἄλλα πολλὰ νομίζοντες. ἀλλὰ τρυφήν γε καὶ πολυτέλειαν καὶ ἡδυπάθειαν οὕτω προβάλλεσθαι τοὺς παλαιοὺς λέγουσιν, ὥστε καὶ στήλην ἔφασαν ἐν θήβαις ἐν τῷ ἱερῷ κεῖσθαι κατάρας ἐγγεγραμμένας ἔχουσαν κατὰ μείνιος τοῦ βασιλέως, ὃς πρῶτος αἰγυπτίους τοῦ ἀπλούτου καὶ ἀχρημάτου καὶ λιτῆς ἀπήλλαξε διαίτης. λέγεται δὲ καὶ τέχνα τις ὁ βακχόρεως πατὴρ στρατεύων ἐπ' ἄραβας τῆς ἀποσκευῆς βραδυνούσης, ἡδέως τῷ προστυχόντι σιτίῳ χρησάμενος, εἶτα κοιμηθεὶς βαθὺν ὕπνον ἐπὶ στιβάδος, ἀσπάσασθαι τὴν εὐτέλειαν, ἐκ δὲ τούτου καταράσασθαι τῷ μεινίῳ, καὶ τῶν ἱερέων ἐπαινεσάντων, στηλιτεῦσαι τὴν κατάραν. οἱ δὲ βασιλεῖς ἀπεδείκνυντο μὲν ἐκ τῶν ἱερέων ἢ τῶν μαχίμων, τοῦ μὲν δι' ἀνδρίαν, τοῦ δὲ διὰ σοφίαν, γένους ἀξίωμα καὶ τιμὴν ἔχοντος. ὁ δὲ ἐκ μαχίμων ἀποδεδειγμένος, εὐθὺς ἐγίνετο τῶν ἱερέων, καὶ μετεῖχε τῆς φιλοσοφίας ἐπικεκρυμμένης τὰ πολλὰ μύθοις καὶ λόγοις ἀμυδρὰς ἐμφάσεις τῆς ἀληθείας καὶ διαφάσεις ἔχουσιν, ὥσπερ ἀμέλει καὶ παραδηλοῦσιν αὐτοὶ πρὸ τῶν ἱερῶν τὰς σφίγγας ἐπιεικῶς ἱστάντες, ὡς αἰνιγματώδη σοφίαν τῆς θεολογίας αὐτῶν ἐχούσης. τὸ δ' ἐν σάει τῆς ἀθηνᾶς, ἣν καὶ ἶσιν νομίζουσιν, ἕδος, ἐπιγραφὴν εἶχε τοιαύτην, ἐγώ εἰμι πᾶν τὸ γεγονός, καὶ ὄν, καὶ ἐσόμενον, καὶ τὸν ἐμὸν πέπλον οὐδείς πω θνητὸς ἀπεκάλυψεν.

ἔτι δὲ τῶν πολλῶν νομιζόντων ἴδιον παρ᾽ Αἰγυπτίοις ὄνομα τοῦ Διὸς εἶναι τὸν ἀμοῦν, ὃ παράγοντες ἡμεῖς ἄμμωνα λέγομεν. μανεθὼς μὲν ὁ σεβεννύτης τὸ κεκρυμμένον οἴεται καὶ τὴν κρύψιν ὑπὸ ταύτης δηλοῦσθαι τῆς φωνῆς. ἑκαταῖος δὲ ὁ ἀβδηρίτης φησὶ τοῦτο καὶ πρὸς ἀλλήλους τῷ ῥήματι χρῆσθαι τοὺς αἰγυπτίους, ὅταν τινὰ προσκαλῶνται· προσκλητικὴν γὰρ εἶναι τὴν φωνήν. διὸ τὸν πρῶτον θεὸν τῷ παντὶ τὸν αὐτὸν νομίζουσιν, ὡς ἀφανῆ καὶ κεκρυμμένον ὄντα, προσκαλούμενοι καὶ παρακαλοῦντες ἐμφανῆ γενέσθαι καὶ δῆλον αὐτοῖς, ἀμοῦν λέγουσιν. ἡ μὲν οὖν εὐλάβεια τῆς περὶ τὰ θεῖα σοφίας αἰγυπτίων τοσαύτη ἦν. μαρτυροῦσι δὲ καὶ τῶν ἑλλήνων οἱ σοφώτατοι, σόλων, θαλῆς, πλάτων, εὔδοξος, πυθαγόρας, ὡς δ᾽ ἔνιοι φασὶ καὶ λυκοῦργος, εἰς αἴγυπτον ἀφικόμενοι καὶ συγγενόμενοι τοῖς ἱερεῦσιν. εὔδοξον μὲν οὖν χονούφεώς φασι μεμφίτου διακοῦσαι, σόλωνα δὲ σόγχιτος σαΐτου, πυθαγόραν δὲ οἰνούφεως ἡλιοπολίτου. μάλιστα δὲ οὗτος ὡς ἔοικε θαυμασθεὶς καὶ θαυμάσας τοὺς ἄνδρας, ἀπεμιμήσατο τὸ συμβολικὸν αὐτῶν καὶ μυστηριῶδες, ἀναμίξας αἰνίγμασι τὰ δόγματα. τῶν γὰρ καλουμένων γραμμάτων ἱερογλυφικῶν οὐθὲν ἀπολείπει τὰ πολλὰ τῶν πυθαγορικῶν παραγγελμάτων, οἷόν ἐστι τὸ μὴ ἐσθίειν ἐπὶ δίφρου, μηδ᾽ ἐπὶ χοίνικος καθῆσθαι, μηδὲ φοίνικα φυτεύειν, μηδὲ πῦρ μαχαίρῃ σκαλεύειν ἐν οἰκίᾳ. δοκῶ δ᾽ ἔγωγε καὶ τὸ τὴν μονάδα τοὺς ἄνδρας ὀνομάζειν ἀπόλλωνα, καὶ δυάδα τὴν ἄρτεμιν, ἀθηνᾶν δὲ τὴν ἑβδομάδα, ποσειδῶνα δὲ τὸν πρῶτον κύβον, ἐοικέναι τοῖς ἐπὶ τῶν ἱερῶν ἱδρυμένοις, καὶ δρωμένοις νὴ Δία καὶ γραφομένοις. τὸν γὰρ βασιλέα καὶ κύριον ὄσιριν ὀφθαλμῷ καὶ σκήπτρῳ γράφουσιν. ἔνιοι δὲ καὶ τοὔνομα διερμηνεύουσι πολυόφθαλμον, ὡς τοῦ μὲν ὂς τὸ πολύ, τοῦ δὲ ἶρι τὸν ὀφθαλμὸν αἰγυπτίᾳ γλώττῃ φράζοντες. τὸν δὲ οὐρανὸν, ὡς ἀγήρω δι᾽ ἀϊδιότητα, καρδίᾳ θυμὸν ἐσχάρας ὑποκειμένης. ἐν δὲ θήβαις εἰκόνες ἦσαν ἀνακείμεναι δικαστῶν ἄχειρες, ἡ δὲ τοῦ ἀρχιδικαστοῦ καταμύουσα τοῖς ὄμμασιν, ὡς ἄδωρον ἅμα τὴν δικαιοσύνην καὶ ἀνέντευκτον οὖσαν. τοῖς δὲ μαχίμοις κάνθαρος ἦν γλυφὴ σφραγῖδος· οὐ γάρ ἐστι κάνθαρος θῆλυς, ἀλλὰ πάντες ἄρσενες. τίκτουσι δὲ τὸν γόνον, ὡς σφαιροποιοῦσιν, οὐ τροφῆς μᾶλλον ἢ γενέσεως χώραν παρασκευάζοντες. ὅταν οὖν ἃ μυθολογοῦσιν αἰγύπτιοι περὶ τῶν θεῶν ἀκούσῃς, πλάνας καὶ διαμελισμοὺς, καὶ πολλὰ τοιαῦτα παθήματα, δεῖ τῶν προειρημένων μνημονεύειν, καὶ μηδὲν οἴεσθαι τούτων λέγεσθαι γεγονὸς, οὕτω καὶ πεπραγμένον. οὐ γὰρ τὸν κύνα κυρίως ἑρμῆν λέγουσιν, ἀλλὰ τοῦ ζῴου τὸ φυλακτικὸν καὶ τὸ ἄγρυπνον, καὶ τὸ φιλόσοφον, γνώσει καὶ ἀγνοίᾳ τὸ φίλον καὶ τὸ ἐχθρὸν ὁρίζοντος, ᾗ φησιν ὁ πλάτων, τῷ λογιωτάτῳ τῶν θεῶν συνοικειοῦσιν. οὐδὲ τὸν ἥλιον ἐκ λωτοῦ νομίζουσι βρέφος ἀνίσχειν νεογιλὸν, ἀλλ᾽ οὕτως ἀνατολὴν ἡλίου γράφουσι, τὴν ἐξ ὑγρῶν ἡλίου γενομένην ἀνάφλεξιν αἰνιττόμενοι. καὶ γὰρ τὸν ὠμότατον περσῶν βασιλέα καὶ φοβερώτατον ὦχον, ἀποκτείναντα πολλοὺς, τέλος δὲ καὶ τὸν ἆπιν ἀποσφάξαντα καὶ καταδειπνήσαντα μετὰ τῶν φίλων, ἐκάλεσαν μάχαιραν, καὶ καλοῦσι μέχρι νῦν οὕτως ἐν τῷ καταλόγῳ τῶν βασιλέων, οὐ κυρίως δή που τὴν οὐσίαν αὐτοῦ σημαίνοντες, ἀλλὰ τοῦ τρόπου τὴν σκληρότητα καὶ κακίαν ὀργάνῳ φονικῷ παρεικάζοντες. οὕτω δὴ τὰ περὶ θεῶν ἀκούσασα καὶ δεχομένη παρὰ τῶν ἐξηγουμένων τὸν μῦθον ὁσίως καὶ φιλοσόφως, καὶ δρῶσα μὲν ἀεὶ καὶ διαφυλάττουσα τῶν ἱερῶν τὰ νενομισμένα, τὴν δὲ ἀληθῆ δόξαν ἔχειν περὶ θεῶν, μηδὲν οἰομένη μᾶλλον αὐτοῖς μήτε θύσειν μήτε ποιήσειν κεχαρισμένον, οὐδὲν ἔλαττον ἀποφεύξοιο κακὸν ἀθεότητος δεισιδαιμονίαν. λέγεται δὲ ὁ μῦθος οὗτος ἐν βραχυτάτοις, ὡς ἔνεστι μάλιστα τῶν

ἀχρήστων σφόδρα καὶ περιττῶν ἀφαιρεθέντων. τῆς ῥέας φασὶ κρύφα τῷ κρόνῳ συγγενομένης, αἰσθόμενον ἐπαράσασθαι τὸν ἥλιον αὐτῇ, μήτε μηνὶ, μήτε ἐνιαυτῷ τεκεῖν. ἐρῶντα δὲ τὸν ἑρμῆν τῆς θεοῦ συνελθεῖν, εἶτα παίξαντα πεττείᾳ πρὸς τὴν σελήνην, καὶ ἀφελόντα τῶν φώτων ἑκάστου τὸ ἑβδομηκοστὸν, ἐκ πάντων ἡμέρας πέντε συνελεῖν, καὶ ταῖς ἑξήκοντα καὶ τριακοσίαις ἐπαγαγεῖν, ἃς νῦν ἐπαγομένας αἰγύπτιοι καλοῦσι, καὶ τῶν θεῶν γενεθλίους ἄγουσι. τῇ μὲν πρώτῃ τὸν ὄσιριν γενέσθαι, καὶ φωνὴν αὐτῷ τεχθέντι συνεκπεσεῖν, ὡς ἁπάντων κύριος εἰς φῶς πρόεισιν. ἔνιοι δὲ παμύλην τινὰ λέγουσιν ἐν θήβαις ὑδρευομένην ἐκ τοῦ ἱεροῦ τοῦ διὸς φωνὴν ἀκοῦσαι διακελευομένην ἀνειπεῖν μετὰ βοῆς, ὅτι μέγας βασιλεὺς εὐεργέτης ὄσιρις γέγονε, καὶ διὰ τοῦτο θρέψαι τὸν ὄσιριν, ἐγχειρίσαντος αὐτῇ τοῦ κρόνου, καὶ τὴν τῶν παμυλίων ἑορτὴν αὐτῷ τελεῖσθαι φαλληφορίοις ἐοικυῖαν. τῇ δὲ δευτέρᾳ τὸν ἀρούηριν, ὃν ἀπόλλωνα, ὃν καὶ πρεσβύτερον ὧρον ἔνιοι καλοῦσι. τῇ τρίτῃ δὲ τυφῶνα, μὴ καιρῷ μηδὲ κατὰ χώραν, ἀλλ᾽ ἀναρρήξαντα πληγῇ διὰ τῆς πλευρᾶς ἐξαλέσθαι. τετάρτῃ δὲ τὴν ἶσιν ἐν πανύγροις γενέσθαι. τῇ δὲ πέμπτῃ νέφθυν, ἣν καὶ τελευτὴν καὶ ἀφροδίτην, ἔνιοι δὲ καὶ νίκην ὀνομάζουσιν. εἶναι δὲ τὸν μὲν ὄσιριν ἐξ ἡλίου καὶ τὸν ἀρούηριν, ἐκ δὲ ἑρμοῦ τὴν ἶσιν, ἐκ δὲ τοῦ κρόνου τὸν τυφῶνα καὶ τὴν νέφθυν. διὸ καὶ τὴν τρίτην τῶν ἐπαγομένων ἀποφράδα νομίζοντες οἱ βασιλεῖς, οὐκ ἐχρημάτιζον, οὐδὲ ἐθεράπευον αὐτοὺς μέχρι νυκτός. γῆμαι δὲ τῷ τυφῶνι τὴν νέφθυν. ἶσιν δὲ καὶ ὄσιριν ἐρῶντας ἀλλήλων καὶ πρὶν ἢ γενέσθαι κατὰ γαστρὸς ὑπὸ σκότῳ συνεῖναι. ἔνιοι δὲ φασὶ καὶ τὸν ἀρούηριν οὕτω γεγονέναι, καὶ καλεῖσθαι πρεσβύτερον ὧρον ὑπ᾽ αἰγυπτίων, ἀπόλλωνα δ᾽ ὑφ᾽ ἑλλήνων. βασιλεύοντα δὲ ὄσιριν, αἰγυπτίους μὲν εὐθὺς ἀπόρου βίου καὶ θηριώδους ἀπαλλάξαι, καρπούς τε δείξαντα, καὶ νόμους θέμενον αὐτοῖς, καὶ θεοὺς διδάξαντα τιμᾶν. ὕστερον δὲ γῆν πᾶσαν ἡμερούμενον ἐπελθεῖν, ἐλάχιστα μὲν ὅπλων δεηθέντα, πειθοῖ δὲ τοὺς πλείστους καὶ λόγῳ μετ᾽ ᾠδῆς πάσης καὶ μουσικῆς θελγομένους προσαγόμενον. ὅθεν ἕλλησι δόξαι διονύσῳ τὸν αὐτὸν εἶναι. τυφῶνα δὲ, ἀπόντος μὲν οὐθὲν νεωτερίζειν, διὰ τὸ τὴν ἶσιν εὖ μάλα φυλάττεσθαι καὶ προσέχειν ἐγκρατῶς ἔχουσαν, ἐπανελθόντι δὲ δόλον μηχανᾶσθαι, συνωμότας ἄνδρας ἑβδομήκοντα καὶ δύο πεποιημένον, καὶ συνεργὸν ἔχοντα βασίλισσαν ἐξ αἰθιοπίας παροῦσαν, ἣν ὀνομάζουσιν ἀσώ. τοῦ δὲ ὀσίριδος ἐκμετρησάμενον λάθρα τὸ σῶμα καὶ κατασκευάσαντα πρὸς τὸ μέγεθος λάρνακα καλὴν καὶ κεκοσμημένην περιττῶς, εἰσενεγκεῖν εἰς τὸ συμπόσιον. ἡσθέντων δὲ τῇ ὄψει καὶ θαυμασάντων, ὑποσχέσθαι τὸν τυφῶνα μετὰ παιδιᾶς, ὃς ἂν ἐγκατακλιθεὶς ἐξισωθείη, διδόναι δῶρον αὐτῷ τὴν λάρνακα. πειρωμένων δὲ πάντων καθ᾽ ἕκαστον, ὡς οὐδεὶς ἐνηρμοττεν, ἐμβάντα τὸν ὄσιριν κατακλιθῆναι. τοὺς δὲ συνόντας ἐπιδραμόντας ἐπιρρίψαι τὸ πῶμα, καὶ τὰ μὲν γόμφοις καταλαβόντας ἔξωθεν, τῶν δὲ θερμοῦ μολίβδου καταχεαμένων ἐπὶ τὸν ποταμὸν ἐξενεγκεῖν καὶ μεθεῖναι διὰ τοῦ τανιτικοῦ στόματος εἰς τὴν θάλασσαν. ὃ διὰ τοῦτο μισητὸν ἔστι νῦν καὶ κατάπτυστον ὀνομάζειν αἰγυπτίους. ταῦτα δὲ πραχθῆναι λέγουσιν ἑβδόμῃ ἐπὶ δέκα μηνὸς ἀθὺρ, ἐν ᾧ τὸν σκορπίον ὁ ἥλιος διέξεισιν, ὄγδοον ἔτος καὶ εἰκοστὸν ἐκεῖνον βασιλεύοντος ὀσίριδος. ἔνιοι δὲ βεβιωκέναι φασὶν αὐτὸν, οὐ βεβασιλευκέναι χρόνον τοσοῦτον. πρώτων δὲ τῶν τὸν περὶ χέμμιν οἰκούντων τόπον πανῶν καὶ σατύρων τὸ πάθος αἰσθομένων, καὶ λόγον ἐμβαλόντων περὶ τοῦ γεγονότος, τὰς μὲν αἰφνιδίους τῶν ὄχλων ταραχὰς καὶ πτοήσεις, ἔτι νῦν διὰ τοῦτο πανικὰς προσαγορεύεσθαι. τὴν δ᾽ ἶσιν αἰσθομένην, κείρασθαι μὲν ἐνταῦθα τῶν πλοκάμων ἕνα καὶ πένθιμον στολὴν ἀναλαβεῖν, ὅπου

τῇ πόλει μέχρι νῦν ὄνομα κοπτώ. ἕτεροι δὲ τοὔνομα σημαίνειν οἴονται στέρησιν, τὸ γὰρ ἀποστερεῖν, κόπτειν λέγουσι. πλανωμένην δὲ πάντῃ καὶ ἀποροῦσαν, οὐδενὶ προσελθεῖν ἀπροσαύδητον, ἀλλὰ καὶ παιδαρίοις συντυχοῦσαν, ἐρωτᾶν περὶ τῆς λάρνακος· τὰ δ' ἔτυχεν ἑωρακότα καὶ φράσαι τὸ στόμα, δι' οὗ τὸ ἀγγεῖον οἱ φίλοι τοῦ τυφῶνος εἰς τὴν θάλασσαν ἔωσαν, ἐκ τούτου τὰ παιδάρια μαντικὴν δύναμιν ἔχειν οἴεσθαι τοὺς αἰγυπτίους καὶ μάλιστα ταῖς τούτων ὀττεύεσθαι κληδόσι παιζόντων ἐν ἱεροῖς καὶ φθεγγομένων ὅ τι ἂν τύχωσι. αἰσθομένην δὲ τῇ ἀδελφῇ ἐρῶντα συγγεγονέναι δι' ἄγνοιαν, ὡς ἑαυτῇ τὸν ὄσιριν καὶ τεκμήριον ἰδοῦσαν, τὸν μελιλώτινον στέφανον ὃν ἐκεῖνος παρὰ τὴν νέφθυν κατέλιπε, τὸ παιδίον ζητεῖν, ἐκθεῖναι γὰρ εὐθὺς τεκοῦσαν διὰ φόβον τοῦ τυφῶνος· εὑρεθὲν δὲ χαλεπῶς καὶ μόγις κυνῶν ἐπαγόντων τὴν ἶσιν, ἐκτραφῆναι καὶ γενέσθαι φύλακα καὶ ὀπαδὸν αὐτῆς ἄνουβιν προσαγορευθέντα καὶ λεγόμενον τοὺς θεοὺς φρουρεῖν, ὥσπερ οἱ κύνες τοὺς ἀνθρώπους, ἐκ δὲ τούτου πυθέσθαι περὶ τῆς λάρνακος, ὡς πρὸς τὴν βύβλου χώραν ὑπὸ τῆς θαλάττης ἐκκυμανθεῖσαν αὐτὴν, ἐρείκῃ τινὶ μαλθακῶς ὁ κλύδων προσέμιξεν. ἡ δὲ ἐρείκη κάλλιστον ἔρνος ὀλίγῳ χρόνῳ καὶ μέγιστον ἀναδραμοῦσα περιέπτυξε καὶ περιέφυ καὶ ἀπέκρυψεν ἐντὸς ἑαυτῆς. θαυμάσας δὲ ὁ βασιλεὺς τοῦ φυτοῦ τὸ μέγεθος, καὶ περιτεμὼν τὸν περιέχοντα τὴν σορὸν, οὐχ ὁρωμένην κόλπον ἔρεισμα τῆς στέγης ὑπέστησε. ταῦτά τε πνεύματι φασὶ δαιμονίῳ φήμης πυθομένην τὴν ἶσιν εἰς βύβλον ἀφικέσθαι, καὶ καθίσασαν ἐπὶ κρήνης ταπεινὴν, καὶ δεδακρυμένην, ἄλλῳ μὲν μηδενὶ προσδιαλέγεσθαι, τῆς δὲ βασιλίδος τὰς θεραπαινίδας ἀσπάζεσθαι καὶ φιλοφρονεῖσθαι τήν τε κόμην παραπλέκουσαν αὐτῶν, καὶ τῷ χρωτὶ θαυμαστὴν εὐωδίαν ἐπιπνέουσαν ἀφ' ἑαυτῆς, ἰδούσης δὲ τῆς βασιλίδος τὰς θεραπαινίδας, ἵμερον ἐμπεσεῖν τῆς ξένης τῶν τε τριχῶν, τοῦ τε χρωτὸς ἀμβροσίαν πνέοντος, οὕτω δὲ μεταπεμφθεῖσαν καὶ γενομένην συνήθη, ποιήσασθαι τοῦ παιδίου τὴν τίτθην. ὄνομα δὲ τῷ μὲν βασιλεῖ, μάλκανδρον εἶναί φασιν· αὐτὴν δὲ οἱ μὲν ἀστάρτην, οἱ δὲ σάωσιν· οἱ δὲ νεμανοῦν, ὅπερ ἂν ἕλληνες ἀθηναΐδα προσειπεῖν, τρέφειν δὲ τὴν ἶσιν ἀντὶ μαστοῦ τὸν δάκτυλον εἰς τὸ στόμα τοῦ παιδίου διδοῦσαν, νύκτωρ δὲ περικαίειν τὰ θνητὰ τοῦ σώματος, αὐτὴν δὲ γενομένην χελιδόνα τῇ κίονι περιπέτεσθαι καὶ θρηνεῖν, ἄχρις οὗ τὴν βασίλισσαν παραφυλάξασαν καὶ κεκραγεῖσαν ὡς εἶδε περικαιόμενον τὸ βρέφος, ἀφελέσθαι τὴν ἀθανασίαν αὐτοῦ, τὴν δὲ θεὰν φανερὰν γενομένην αἰτήσασθαι τὴν κίονα τῆς στέγης, ὑφελοῦσαν δὲ ῥᾷστα περικόψαι τὴν ἐρείκην, εἶτα ταύτην μὲν ὀθόνῃ περικαλύψασαν καὶ μύρον καταχεαμένην, ἐγχειρίσαι τοῖς βασιλεῦσι, καὶ νῦν ἔτι σέβεσθαι βυβλίους τὸ ξύλον ἐν ἱερῷ κείμενον ἴσιδος, τῇ δὲ σορῷ περιπεσεῖν καὶ κωκῦσαι τηλικοῦτον, ὥστε τῶν παίδων τοῦ βασιλέως τὸν νεώτερον ἐκθανεῖν, τὸν δὲ πρεσβύτερον μεθ' ἑαυτῆς ἔχουσαν καὶ τὴν σορὸν εἰς πλοῖον ἐνθεμένην ἀναχθῆναι. τοῦ δὲ φαίδρου ποταμοῦ πνεῦμα τραχύτερον ἐκθρέψαντος ἀπὸ τὴν ἕω, θυμωθεῖσαν ἀναξηρᾶναι τὸ ῥεῖθρον. ὅπου δὲ πρῶτον ἐρημίας ἔτυχεν αὐτὴν καθ' ἑαυτὴν γενομένην, ἀνοῖξαι τὴν λάρνακα, καὶ τῷ προσώπῳ τὸ πρόσωπον ἐπιθεῖσαν, ἀσπάσασθαι καὶ δακρύειν, τοῦ δὲ παιδίου σιωπῇ προσελθόντος ἐκ τῶν ὄπισθεν καὶ καταμανθάνοντος, αἰσθομένην μεταστραφῆναι καὶ δεινὸν ὑπ' ὀργῆς ἐμβλέψαι, τὸ δὲ παιδίον οὐκ ἀνασχέσθαι τὸ τάρβος ἀλλ' ἀποθανεῖν. οἱ δὲ φασὶν οὐχ οὕτως, ἀλλ' ὡς εἴρηται τρόπον ἐκπεσεῖν εἰς τὴν θάλασσαν, ἔχειν δὲ τιμὰς διὰ τὴν θεόν, ὃν γὰρ ᾄδουσιν αἰγύπτιοι παρὰ τὰ συμπόσια μανερῶτα, τοῦτον εἶναι. τινὲς δὲ τὸν μὲν παῖδα καλεῖσθαι παλαιστινὸν, ἢ πηλούσιον καὶ τὴν πόλιν ἐπώνυμον ἀπ' αὐτοῦ γε-

σῖριν .l. Α.

νέσθαι κτισθεῖσαν ὑπὸ τῆς θεοῦ· τὸν δὲ ᾀδόμενον μανερῶτα, πρῶτον εὑρεῖν μουσικὴν ἱστοροῦσιν. ἔνιοι δέ φασιν, ὄνομα μὲν οὐδενὸς εἶναι, διάλεκτον δὲ, πίνουσιν ἀνθρώποις καὶ θαλειάζουσι πρέπουσαν αἴσιμα τὰ τοιαῦτα παρείη, τούτῳ γὰρ τῷ μανερῶτι φραζόμενον ἀναφωνεῖν ἑκάστοτε τοὺς αἰγυπτίους, ὥσπερ ἀμέλει καὶ τὸ δεικνύμενον αὐτοῖς εἴδωλον ἀνθρώπου τεθνηκότος ἐν κιβωτίῳ περιφερόμενον, οὐκ ἔστιν ὑπόμνημα τοῦ περὶ ὀσίριδος πάθους, ἤ τινες ὑπολαμβάνουσιν, ἀλλ' οἰομένους παρακαλεῖν αὐτοὺς χρῆσθαι τοῖς παροῦσι καὶ ἀπολαύειν, ὡς πάντας αὐτίκα μάλα τοιούτους ἐσομένους, οὗ χάριν ἐπὶ κῶμον ἐπεισάγουσι. τῆς δὲ ἴσιδος πρὸς τὸν υἱὸν ὧρον ἐν βούτῳ τρεφόμενον πορευθείσης, τὸ δὲ ἀγγεῖον ἐκποδὼν ἀποθεμένης, τυφῶνα κυνηγετοῦντα νύκτωρ πρὸς τὴν σελήνην ἐντυχεῖν αὐτῷ, καὶ τὸ σῶμα γνωρίσαντα διελεῖν εἰς τεσσαρεσκαίδεκα μέρη καὶ διαρρίψαι, τὴν δὲ ἶσιν πυθομένην ἀναζητεῖν ἐν βαρίδι παπυρίνῃ, τὰ δὲ ἕλη διεκπλέουσαν, ὅθεν οὐκ ἀδικεῖσθαι τοὺς ἐν παπυρίνοις σκάφεσι πλέοντας ὑπὸ τῶν κροκοδείλων, ἢ φοβουμένων ἢ σεβομένων διὰ τὴν θεόν. ἐκ τούτου δὲ καὶ πολλοὺς τάφους ὀσίριδος ἐν αἰγύπτῳ λέγεσθαι διὰ τὸ προστυγχάνουσαν ἑκάστῳ μέρει ταφὰς ποιεῖν. οἱ δὲ οὔ φασιν· ἀλλ' εἴδωλα ποιουμένην διδόναι καθ' ἑκάστην πόλιν, ὡς τὸ σῶμα διδοῦσαν, ὅπως παρὰ πλείοσιν ἔχῃ τιμὰς, κἂν ὁ τυφῶν ἐπικρατήσῃ τοῦ ὥρου τὸν ἀληθινὸν τάφον ζητῶν, πολλῶν λεγομένων καὶ δεικνυμένων ἀπαγορεύσῃ, μόνον δὲ τῶν μερῶν τοῦ ὀσίριδος τὴν ἶσιν οὐχ εὑρεῖν τὸ αἰδοῖον, εὐθὺ γὰρ εἰς τὸν ποταμὸν ῥιφῆναι καὶ γεύσασθαι, τόν τε λεπιδωτὸν αὐτοῦ καὶ τὸν φάγρον καὶ τὸν ὀξύρυγχον, ὡς οὓς μάλιστα τῶν ἰχθύων ἀφοσιοῦσθαι, τὴν δ' ἶσιν ἀντ' ἐκείνου μίμημα ποιησαμένην καθιερῶσαι τὸν φαλλόν, ᾧ καὶ νῦν ἑορτάζειν τοὺς αἰγυπτίους. ἔπειτα τῷ ὥρῳ τὸν ὄσιριν ἐξ ᾅδου παραγενόμενον διαπονεῖν ἐπὶ τὴν μάχην καὶ ἀσκεῖν, εἶτα διερωτῆσαι τί κάλλιστον ἡγεῖται, τοῦ δὲ φήσαντος τῷ πατρὶ καὶ τῇ μητρὶ τιμωρεῖν κακῶς παθοῦσιν, δεύτερον ἐρέσθαι τί χρησιμώτερον οἴεται ζῷον εἰς μάχην ἐξιοῦσι, τοῦ δὲ ὥρου ἵππον εἰπόντος, ἐπιθαυμάσαι καὶ διαπορῆσαι, πῶς οὐ λέοντα μᾶλλον ἀλλ' ἵππον, εἰπεῖν οὖν τὸν ὧρον, ὡς λέων μὲν ὠφέλιμον ἐπιδεομένῳ βοηθείας, ἵππος δὲ φεύγοντα διασπάσαι καὶ καταναλῶσαι τὸν πολέμιον. ἀκούσαντα οὖν ἡσθῆναι τὸν ὄσιριν, ὡς ἱκανῶς παρεσκευασμένου τοῦ ὥρου. λέγεται δ' ὅτι πολλῶν μετατιθεμένων ἀεὶ πρὸς τὸν ὧρον, καὶ ἡ παλλακὴ τοῦ τυφῶνος ἀφίκετο θούηρις, ὄφις δέ τις ἐπιδιώκων αὐτὴν ὑπὸ τῶν περὶ τὸν ὧρον κατεκόπη, καὶ νῦν διὰ τοῦτο σχοινίον τι προσβάλοντες εἰς μέσον κατακόπτουσι. τὴν μὲν οὖν μάχην ἐπὶ πολλὰς ἡμέρας γενέσθαι καὶ κρατῆσαι τὸν ὧρον, τὸν τυφῶνα δὲ τὴν ἶσιν δεδεμένον παραλαβοῦσαν οὐκ ἀνελεῖν, ἀλλὰ καὶ λῦσαι καὶ μεθεῖναι, τὸν δὲ ὧρον οὐ μετρίως ἐνεγκεῖν, ἀλλ' ἐπιβαλόντα τῇ μητρὶ τὰς χεῖρας ἀποσπάσαι τῆς κεφαλῆς τὸ βασίλειον, ἑρμῆν δὲ περιθεῖναι βούκρανον αὐτῇ κράνος, τοῦ δὲ τυφῶνος δίκην τῷ ὥρῳ νοθείας λαχόντος, βοηθήσαντος δὲ τοῦ ἑρμοῦ, καὶ τὸν ὧρον ὑπὸ τῶν θεῶν γνήσιον κριθῆναι, τὸν δὲ τυφῶνα δυσὶν ἄλλαις μάχαις καταπολεμηθῆναι, τὴν δὲ ἶσιν μετὰ τὴν τελευτὴν ἐξ ὀσίριδος συγγενομένου, τεκεῖν ἠλιτόμηνον, καὶ ἀσθενῆ τοῖς κάτωθεν γυίοις τὸν ἁρποκράτην. ταῦτα σχεδόν ἐστι τοῦ μύθου τὰ κεφάλαια τῶν δυσφημοτάτων ἐξαιρεθέντων, οἷόν ἐστι τὸ περὶ τὸν ὥρου διαμελισμὸν καὶ τὸν ἴσιδος ἀποκεφαλισμόν. ὅτι μὲν οὖν εἰ ταῦτα περὶ τῆς μακαρίας καὶ ἀφθάρτου φύσεως, καθ' ἣν μάλιστα νοεῖται τὸ θεῖον ὡς ἀληθῶς πραχθέντα καὶ συμπεσόντα δοξάζουσι καὶ λέγουσιν, ἀποπτύσαι δεῖ καὶ καθήρασθαι τὸ στόμα κατ' αἰσχύλον, οὐδὲν δεῖ λέγειν πρὸς σε, καὶ γὰρ αὐτὴ δυσκολαίνεις τοῖς οὕτω παρανόμους καὶ βαρβάρους δόξας περὶ θεῶν ἔχου-

εὐθὺ .l. Α.

σιν, ὅτι δ' οὐκ ἔοικε ταῦτα κομιδῇ μυθεύμασιν ἀραιοῖς καὶ διακένοις πλάσμα-
σιν, οἷα ποιηταὶ καὶ λογογράφοι καθάπερ οἱ ἀράχναι γεννῶντες ἀφ' ἑαυτῶν ἀ-
παρχὰς ἀνυποθέτους ὑφαίνουσι καὶ ἀποτείνουσιν, ἀλλ' ἔχειν τινὰς ἀπορίας
καὶ παθῶν διηγήσεις αὐτή. καὶ καθάπερ οἱ μαθηματικοὶ τὴν ἶριν ἔμφασιν εἶναι
τοῦ ἡλίου λέγουσι ποικιλλομένην τῇ πρὸς τὸ νέφος ἀναχωρήσει τῆς ὄψεως, οὕ-
τως ὁ μῦθος ἐνταῦθα λόγου τινὸς ἔμφασίς ἐστιν ἀνακλῶντος ἐπ' ἄλλα τὴν διά-
νοιαν, ὡς ὑποδηλοῦσιν αἵ τε θυσίαι τὸ πένθιμον ἔχουσαι καὶ σκυθρωπὸν ἐμφαι-
νόμενον, αἵ τε τῶν ναῶν διαθέσεις, πῇ μὲν ἀνειμένων εἰς πτερὰ καὶ δρόμους ὑπαι-
θρίους καὶ καθαρούς, πῇ δὲ κρυπτὰ καὶ σκότια κατὰ γῆς ἐχόντων στολιστήρια θη-
βαίοις ἐοικότα καὶ σηκοῖς, οὐχ ἥκιστα δὲ ἡ τῶν Ὀσιρείων δόξα πολλαχοῦ κεῖσθαι λε-
γομένου τοῦ σώματος, Ἄβυδον ἴσως ἢ Μέμφιν ὀνομάζεσθαι πολίχνην λέγουσιν, ὡς
μόνην τῶν ἀληθινῶν ἔχουσαν, ἔν τε Ἀβύδῳ τοὺς εὐδαίμονας τῶν Αἰγυπτίων
καὶ δυνατοὺς μάλιστα θάπτεσθαι φιλοτιμουμένους ὁμοτάφους εἶναι τοῦ σώ-
ματος Ὀσίριδος, ἐν δὲ Μέμφει τρέφεσθαι τὸν Ἆπιν εἴδωλον ὄντα τῆς ἐκείνου ψυ-
χῆς, ὅπου καὶ τὸ σῶμα κεῖσθαι, καὶ τὴν μὲν πόλιν, οἱ μὲν ὅρμον ἀγαθῶν ἑρμη-
νεύουσιν, οἱ δ' ὡς τάφον Ὀσίριδος, τὴν δὲ πρὸς Φίλαις νησιτάνην, ἄλλως μὲν ἄβα-
τον ἅπασι καὶ ἀπροσπέλαστον εἶναι καὶ μὴ δὲ ὄρνιθας ἐπ' αὐτὴν καθιπτεύειν,
μὴ δὲ ἰχθῦς προσπελάζειν, ἑνὶ δὲ καιρῷ τοὺς ἱερεῖς διαβαίνοντας, ἐναγίζειν καὶ
καταστέφειν τὸ σῆμα μηθίδης φυτῷ περισκιαζόμενον, ὑπεραῖρον τι πάσης ἐλαί-
ας μέγεθος. Εὔδοξος δὲ πολλῶν τάφων ἐν Αἰγύπτῳ λεγομένων, ἐν Βουσίριδι
τὸ σῶμα κεῖσθαι, καὶ γὰρ πατρίδα ταύτην γεγονέναι τοῦ Ὀσίριδος, οὐκέτι μέν-
τοι λόγου δεῖσθαι τὴν Ταφόσιριν, αὐτὸ γὰρ φράζειν τοὔνομα ταφὴν Ὀσίριδος. αἰνῶ
δὲ τομὴν ξύλου καὶ σχίσιν λίνου, καὶ χοὰς χεομένας διὰ τὸ πολλὰ τῶν μυστικῶν
ἀναμεμίχθαι τούτοις, οὐ μόνον δὲ τούτων οἱ ἱερεῖς λέγουσιν, ἀλλὰ καὶ τῶν ἄλλων
θεῶν, ὅσοι μὴ ἀγέννητοι μὴ δὲ ἄφθαρτοι, τὰ μὲν σώματα παρ' αὐτοῖς κεῖσθαι
καμόντα καὶ θεραπεύεσθαι, τὰς δὲ ψυχὰς ἐν οὐρανῷ λάμπειν ἄστρα, καὶ καλεῖ-
σθαι κύνα μὲν τὴν Ἴσιδος ὑφ' Ἑλλήνων, ὑπ' Αἰγυπτίων δὲ Σῶθιν, Ὠρίωνα δὲ τὴν Ὥ-
ρου, τὴν δὲ Τυφῶνος, ἄρκτον, εἰς δὲ τὰς γραφὰς τῶν τιμωμένων ζώων, τοὺς μὲν
ἄλλους συντεταγμένα τελεῖν, μόνους δὲ μὴ διδόναι τοὺς Θηβαΐδα κατοικοῦντας,
ὡς θνητὸν θεὸν οὐδένα νομίζοντας, ἀλλὰ ὃν καλοῦσιν αὐτοὶ Κνήφ, ἀγέννητον ὄντα
καὶ ἀθάνατον. πολλῶν δὲ τοιούτων λεγομένων καὶ δεικνυμένων, οἱ μὲν οἰόμενοι
βασιλέων ταῦτα καὶ τυράννων δι' ἀρετὴν ὑπερφέρουσαν ἢ δύναμιν, ἀξίωμα
τῇ δόξῃ θεότητος ἐπιγραψαμένων, εἶτα χρησαμένων τύχαις ἔργα καὶ πάθη
δεινὰ καὶ μεγάλα διαμνημονεύεσθαι, ῥᾴστῃ μὲν ἀποδράσει τοῦ λόγου χρῶνται, καὶ
τὸ δύσφημον οὐ φαύλως ἀπὸ τῶν θεῶν ἐπ' ἀνθρώπους μεταφέρουσι, καὶ ταῦ-
τὸ μὲν ἔρ-
τας ἔχουσιν ἀπὸ τῶν ἱστορουμένων βοηθείας, ἱστοροῦσι γὰρ Αἰγύπτιοι, τὸν μὲν Ἑρ-
μῆν τῷ σώματι γενέσθαι γαλιάγκωνα, τὸν δὲ Τυφῶνα τῇ χρόᾳ πυῤῥόν, λευκὸν δὲ
τὸν Ὧρον, καὶ μελάγχρουν τὸν Ὄσιριν, ὡς τῇ φύσει γεγονότας ἀνθρώπους. ἔτι
δὲ καὶ στρατηγὸν ὀνομάζουσιν Ὄσιριν, καὶ κυβερνήτην Κάνωβον, οὗ φασιν ἐπώνυ-
μον γεγονέναι τὸν ἀστέρα, καὶ τὸ πλοῖον ὃ καλοῦσιν Ἕλληνες Ἀργώ, τῆς Ὀσίριδος
νεὼς εἴδωλον ἐπὶ τιμῇ κατηστερισμένον, οὐ μακρὰν φέρεσθαι τοῦ Ὠρίωνος καὶ
τοῦ κυνός, ὧν τὸν μὲν Ὥρου, τὸν δ' Ἴσιδος ἱερὸν Αἰγύπτιοι νομίζουσιν. ὀκνῶ δὲ μὴ
τοῦτο ᾖ τὰ ἀκίνητα κινεῖν καὶ πολεμεῖν οὐ τῷ πολλῷ χρόνῳ κατὰ Σιμωνίδην μό-
νον, πολλοῖς δὲ ἀνθρώπων ἔθνεσι καὶ γένεσι κατόχοις ὑπὸ τῆς πρὸς τοὺς θεοὺς
τούτους ὁσιότητος, οὐδὲν ἀπολιπόντας ἐξ οὐρανοῦ μεταφέρειν ἐπὶ γῆν ὀνόματα
τηλικαῦτα, καὶ τιμὴν καὶ πίστιν, ὀλίγου δεῖν ἅπασιν ἐκ πρώτης γενέσεως, ἐν δὲ

δυναμεν ἐξιστάναι καὶ ἀναλύειν, μεγάλας μὲν τῷ ἀθέῳ λεῷ κλισιάδας ἀνοίγον-
τας καὶ ἐξανθρωπίζοντι τὰ θεῖα, λαμπρὰν δὲ τοῖς Εὐημέρου τοῦ Μεσσηνίου φε-
νακισμοῖς παῤῥησίαν διδόντας, ὃς αὐτὸς ἀντίγραφα συνθεὶς ἀπίστου καὶ ἀνυ-
πάρκτου μυθολογίας, πᾶσαν ἀθεότητα κατασκεδάννυσι τῆς οἰκουμένης, τοὺς
νομιζομένους θεοὺς πάντας ὁμαλῶς διαγράφων, εἰς ὄνομα στρατηγῶν καὶ ναυ-
άρχων καὶ βασιλέων, ὡς δὴ πάλαι γεγονότων. ἐν δὲ Πάγχοντι γράμμασι χρυ-
σοῖς ἀναγεγραμμένοις, οἷς οὔτε βάρβαρος οὐδεὶς, οὔτε Ἕλλην, ἀλλὰ μόνος Εὐή-
μερος ὡς ἔοικε πλεύσας, εἰς τοὺς μηδαμόθι γῆς γεγονότας, μὴ δὲ ὄντας Παγ-
χώους καὶ Τριφύλλους ἐντετυχήκει. καὶ τοι μεγάλαι μὲν ὑμνοῦνται πρά-
ξεις ἐν Ἀσσυρίοις Σεμιράμιος, μεγάλαι δὲ αἱ Σεσώστριος ἐν Αἰγύπτῳ. Φρύγες δὲ
μέχρι νῦν τὰ λαμπρὰ καὶ θαυμαστὰ τῶν ἔργων, μανικὰ καλοῦσι διὰ τὸ Μάνιν τινὰ
τῶν πάλαι βασιλέων ἀγαθὸν ἄνδρα καὶ δυνατὸν γενέσθαι παρ' αὐτοῖς, ὃν ἔ-
νιοι Μάσδην καλοῦσι. Κῦρος δὲ Πέρσας, Μακεδόνας δὲ Ἀλέξανδρος ὀλίγου δεῖν
ἐπὶ πέρας τῆς γῆς κρατοῦντας προήγαγον, ἀλλὰ ὄνομα καὶ μνήμην βασιλέων
ἀγαθῶν ἔχουσιν. εἰ δέ τινες ἐξαρθέντες ὑπὸ μεγαλαυχίας, ὥς φησιν ὁ
Πλάτων ἅμα νεότητι καὶ ἀγνοίᾳ φλεγόμενοι τὴν ψυχὴν μεθ' ὕβρεως ἐδέξαντο
θεῶν ἐπωνυμίας, καὶ ναῶν ἱδρύσεις, βραχὺν ἤνθησεν ἡ δόξα χρόνον, εἶτα κε-
νότητα καὶ ἀλαζονείαν μετὰ ἀσεβείας καὶ παρανομίας προσοφλόντες, ὠ-
κύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν. καὶ νῦν ὥσπερ ἀγώγιμοι δραπέται
τῶν ἱερῶν καὶ τῶν βωμῶν ἀποσπασθέντες οὐδὲν, ἀλλ' ἢ τὰ μνήματα καὶ τοὺς
τάφους ἔχουσιν. ὅθεν Ἀντίγονος ὁ γέρων Ἑρμοδότου τινὸς ἐν ποιήμασιν αὐτὸν
Ἡλίου παῖδα καὶ θεὸν ἀναγορεύοντος, οὐ τοιαῦτά μοι εἶπεν ὁ λασανοφόρος σύ-
νοιδεν. εὖ δὲ καὶ Λύσιππος ὁ πλάστης Ἀπελλῆν ἐμέμψατο τὸν ζωγράφον, ὅτι
τὴν Ἀλεξάνδρου γράφων εἰκόνα, κεραυνὸν ἐνεχείρισεν, αὐτὸς δὲ λόγχην, ἧς τὴν
δόξαν οὐδὲ εἷς ἀφαιρήσεται χρόνος, ἀληθινὴν καὶ ἰδίαν οὖσαν. βέλτιον οὖν,
οἱ τὰ περὶ τὸν Τυφῶνα καὶ Ὄσιριν καὶ Ἶσιν ἱστορούμενα, μήτε θεῶν παθήματα,
μήτε ἀνθρώπων, ἀλλὰ δαιμόνων μεγάλων εἶναι νομίζοντες, ὡς καὶ Πλάτων
καὶ Πυθαγόρας καὶ Ξενοκράτης καὶ Χρύσιππος ἑπόμενοι τοῖς πάλαι θεολό-
γοις, ἐῤῥωμενεστέρους μὲν ἀνθρώπων γεγονέναι λέγουσι, καὶ πολλῇ τῇ δυνάμει
τὴν φύσιν ὑπερφέροντας ἡμῶν, τὸ δὲ θεῖον οὐκ ἀμιγές, οὐδὲ ἄκρατον ἔχοντας,
ἀλλὰ καὶ ψυχῆς φύσει καὶ σώματος αἰσθήσει ἐν συνειληχός, ἡδονὴν δεχομένην
καὶ πόνον, καὶ ὅσα ταύταις ἐγγενόμενα ταῖς μεταβολαῖς πάθη, τοὺς μὲν μᾶλ-
λον, τοὺς δὲ ἧττον ἐπιταράττει. γίνονται γὰρ ὡς ἐν ἀνθρώποις καὶ δαίμοσιν, ἀρε-
τῆς διαφοραὶ καὶ κακίας. τὰ γὰρ γιγαντικὰ καὶ τιτανικὰ παρ' Ἕλλησιν ᾀ-
δόμενα, καὶ Κρόνου τινὸς ἄθεσμοι πράξεις, καὶ Πύθωνος ἀντιτάξεις πρὸς Ἀπόλ-
λωνα, φυγαί τε Διονύσου καὶ πλάναι Δήμητρος, οὐδὲν ἀπολείπουσι τῶν Ὀσιρια-
κῶν καὶ Τυφωνικῶν ἄλλων τε, ὧν πᾶσιν ἔξεστιν ἀνέδην μυθολογουμένων ἀκούειν.
ὅσα τε μυστικοῖς ἱεροῖς περικαλυπτόμενα καὶ τελεταῖς ἄῤῥητα διασώζεται
καὶ ἀθέατα πρὸς τοὺς πολλούς, ὅμοιον ἔχει λόγον. ἀκούομεν δὲ καὶ Ὁμήρου,
τοὺς μὲν ἀγαθοὺς διαφόρως θεοειδέας ἑκάστοτε καὶ ἀντιθέους, καὶ θεῶν ἄπο-
μήδε' ἔχοντας, τῷ δὲ ἀπὸ τῶν δαιμόνων προσρήματι χρωμένου κοινῶς, ἐπί τε χρη-
στῶν καὶ φαύλων. δαιμόνιε σχεδὸν ἐλθέ, τί δεὶ δίδιεσαι οὕτως Ἀργείους, καὶ πά-
λιν ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος, καὶ δαιμονίη, τίνυ σε Πρία-
μος Πριάμοιό τε παῖδες, τόσα κακὰ ῥέζουσι, ὅτ' ἀσπερχὲς μενεαίνεις Ἰλίου ἐξα-
λαπάξαι ἐϋκτίμενον πτολίεθρον, ὡς τῶν δαιμόνων μικτὴν καὶ ἀνώμαλον φύ-
σιν ἐχόντων καὶ προαίρεσιν. ὅθεν ὁ μὲν Πλάτων Ὀλυμπίοις θεοῖς τὰ δεξιὰ καὶ

περιττὰ, τὰ δ' ἀντίφωνα τούτων δαίμοσιν ἀποδίδωσιν, ὁ δὲ ξενοκράτης καὶ τῶν ἡμερῶν τὰς ἀποφράδας καὶ τῶν ἑορτῶν, ὅσαι πληγάς τινας ἢ κοπετοὺς, ἢ νηστείας, ἢ δυσφημίας, ἢ αἰσχρολογίαν ἔχουσιν, οὔτε θεῶν τιμαῖς οὔτε δαιμόνων οἴεται προσήκειν χρηστῶν, ἀλλὰ εἶναι φύσεις ἐν τῷ περιέχοντι μεγάλας μὲν καὶ ἰσχυρὰς, δυστρόπους δὲ καὶ σκυθρωπὰς, αἳ χαίρουσι τοῖς τοιούτοις καὶ τυγχάνουσαι, πρὸς οὐδὲν ἄλλο χεῖρον τρέπονται, τοὺς δὲ χρηστοὺς πάλιν καὶ ἀγαθοὺς ὅ, τε ἡσίοδος ἁγνοὺς δαίμονας καὶ φύλακας ἀνθρώπων προσαγορεύει πλουτοδότας, καὶ τοῦτο γέρας βασιλήιον ἔχοντας, ὅ, τε πλάτων, ἑρμηνευτικὸν τὸ τοιοῦτον ὀνομάζει γένος καὶ διακονικὸν ἐν μέσῳ θεῶν καὶ ἀνθρώπων, εὐχὰς μὲν ἐκεῖ καὶ δεήσεις ἀνθρώπων ἀναπέμποντας, ἐκεῖθεν δὲ μαντεῖα δεῦρο καὶ δόσεις ἀγαθῶν φέροντας. ἐμπεδοκλῆς δὲ καὶ δίκας φησὶ διδόναι τοὺς δαίμονας, ὧν ἐξαμάρτωσι καὶ πλημμελήσωσιν. αἰθέριον γάρ σφε μένος πόντονδε διώκει· πόντος δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ' ἐσαῦθις ἠελίου ἀκάμαντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις, ἄλλος δ' ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες, ἄχρις οὗ κολασθέντες οὕτω καὶ καθαρθέντες, αὖθις τὴν κατὰ φύσιν χώραν καὶ τάξιν ἀπολάβωσι. τούτων δὲ καὶ τῶν τοιούτων, ἀδελφὰ λέγεσθαί φασι περὶ τυφῶνος, ὡς δεινὰ μὲν ὑπὸ φθόνου καὶ δυσμενείας ἐργάσαιτο, καὶ πάντα πράγματα ταράξας, ἐνέπλησε κακῶν γῆν ὁμοῦ τε πᾶσαν καὶ θάλασσαν, εἶτα δίκην ἔδωκεν, ἡ δὲ τιμωρὸς ὀσίριδος ἀδελφὴ καὶ γυνὴ τὴν τυφῶνος σβέσασα καὶ καταπαύσασα μανίαν καὶ λύσσαν, οὐ περιεῖδε τοὺς ἄθλους καὶ τοὺς ἀγῶνας, οὓς ἀνέτλη καὶ πλάνας αὐτῆς, καὶ πολλὰ μὲν ἔργα σοφίας, πολλὰ δὲ ἀνδρίας ἀμνηστίαν ὑπολαβοῦσα καὶ σιωπὴν, ἀλλὰ ταῖς ἁγιωτάταις ἀναμίξασα τελεταῖς, εἰκόνας καὶ ὑπονοίας καὶ μιμήματα τῶν τότε παθημάτων, εὐσεβείας ὁμοῦ δίδαγμα καὶ παραμύθιον ἀνδράσι καὶ γυναιξὶν ὑπὸ συμφορῶν ἐχομένοις ὁμοίως καθωσίωσεν, αὐτὴ δὲ καὶ ὄσιρις ἐκ δαιμόνων ἀγαθῶν δι' ἀρετῆς εἰς θεοὺς μεταβαλόντες, ὡς ὕστερον ἡρακλῆς καὶ διόνυσος, ἅμα καὶ θεῶν καὶ δαιμόνων οὐκ ἀπὸ τρόπου μεμιγμένας τιμὰς ἔχουσι, πανταχοῦ μὲν, ἐν δὲ τοῖς ὑπὲρ γῆν καὶ ὑπὸ γῆν δυνάμενοι μέγιστον, οὐ γὰρ ἄλλον εἶναι σάραπιν ἢ τὸν πλούτωνά φασι καὶ ἶσιν τὴν περσέφασσαν, ὡς ἀρχέμαχος εἴρηκεν ὁ εὐβοεὺς, καὶ ὁ ποντικὸς ἡράκλειτος τὸ χρηστήριον ἐν κανώβῳ πλούτωνος ἡγούμενος εἶναι. πτολεμαῖος δὲ ὁ σωτὴρ ἀνεῖλε τὸν ἐν σινώπῃ τοῦ πλούτωνος κολοσσὸν, οὐκ ἐπιστάμενος οὐδὲ ἑωρακὼς πρότερον οἷος τὴν μορφὴν κελεύοντα κομίσαι τὴν ταχίστην αὐτὸν εἰς ἀλεξάνδρειαν, ἀγνοοῦντι δ' αὐτῷ καὶ ἀποροῦντι ποῦ καθίδρυται καὶ διηγουμένῳ τοῖς φίλοις τὴν ὄψιν, εὑρέθη πολυπλανὴς ἄνθρωπος, ὄνομα σωσίβιος, ἐν σινώπῃ φάμενος ἑωρακέναι τοιοῦτον κολοσσὸν, οἷον ὁ βασιλεὺς ἰδεῖν ἔδοξεν, ἔπεμψεν οὖν σωτέλη καὶ διόνυσον, οἳ χρόνῳ πολλῷ καὶ μόλις, οὐκ ἄνευ μέντοι θείας προνοίας, ἤγαγον ἐκκλέψαντες, ἐπεὶ δὲ κομισθεὶς ὤφθη συμβαλόντες οἱ περὶ τιμόθεον τὸν ἐξηγητὴν καὶ μανέθωνα τὸν σεβεννύτην πλούτωνος ὂν ἄγαλμα, τῷ κερβέρῳ τεκμαιρόμενοι καὶ τῷ δράκοντι, πείθουσι τὸν πτολεμαῖον, ὡς ἑτέρου θεῶν οὐδενὸς, ἀλλὰ σαράπιδός ἐστιν, οὐ γὰρ ἐκεῖθεν οὕτως ὀνομαζόμενος ἧκεν, ἀλλ' εἰς ἀλεξάνδρειαν κομισθεὶς τὸ παρ' αἰγυπτίοις ὄνομα τοῦ πλούτωνος, ἐκτήσατο τὸν σάραπιν. καὶ μέντοι ἡρακλείτου τοῦ φυσικοῦ λέγοντος ἅδης καὶ διόνυσος οὗτος, ὅτε ἐῷ μαίνονται καὶ ληραίνουσιν, εἰς ταύτην ὑπάγουσι τὴν δόξαν. οἱ γοῦν ἀξιοῦντες ἅδην λέγεσθαι τὸ σῶμα τῆς ψυχῆς, οἷον παραφρονούσης καὶ μεθυούσης ἐν αὐτῷ, γλίσχρως ἀλληγοροῦσι, βέλτιον δὲ τὸν ὄσιριν, εἰς ταυτὸ συνάγειν τῷ διονύσῳ, τῷ τε ὀσίριδι τὸν σάραπιν, ὅτε τὴν φύσιν μετέβαλε ταύτης τυ-

χόντα

χόντα τῆς προσηγορίας, διὸ πᾶσι κοινὸς ὁ σάραπίς ἐστι, ὡς δὲ τὸν ὄσιριν οἱ τῶν ἱερῶν μεταλαβόντες ἴσασιν, οὐ γοῦν ἄξιον προσέχειν τοῖς φρυγίοις γράμμασιν, ἐν οἷς λέγεται χαροπῶς, τοὺς μὲν τοῦ ἡρακλέους γενέσθαι θυγάτηρ, ἰσαιακοῦ δὲ τοῦ ἡρακλέους ὁ τυφών· οὐδὲ φιλάρχου μὴ καταφρονεῖν γράφοντος, ὅτι πρῶτος εἰς αἴγυπτον ἐξ ἰνδῶν διόνυσος ἤγαγε δύο βοῦς, ὧν ἦν τῷ μὲν, ἆπις ὄνομα, τῷ δὲ, ὄσιρις, σάραπις δὲ ὄνομα τοῦ τὸ πᾶν κοσμοῦντός ἐστιν, παρὰ τὸ σαίρειν, ὃ καλλύνειν τινὲς καὶ κοσμεῖν λέγουσιν· ἄτοπα γὰρ ταῦτα τοῦ φιλάρχου, πολλῷ δὲ ἀτοπώτερα τῶν λεγόντων οὐκ εἶναι θεὸν τὸν σάραπιν, ἀλλὰ τὴν ἄπιδος σορὸν, οὕτως ὀνομάζεσθαι, καὶ χαλκᾶς τινας ἐν μέμφει πύλας λήθης καὶ κωκυτοῦ προσαγορευομένας, ὅταν θάπτωσι τὸν ἆπιν ἀνοίγεσθαι βαρὺ καὶ σκληρὸν ψοφούσας· διὸ παντὸς ἠχοῦντος ἡμᾶς χαλκώματος, ἐπιλαμβάνεσθαι· μετριώτερον δὲ παρὰ τὸ σεύεσθαι καὶ τὸ σοῦσθαι τὴν τοῦ παντὸς ἅμα κίνησιν εἰρῆσθαι φάσκοντες. οἱ δὲ πλεῖστοι τῶν ἱερέων εἰς τὸ αὐτό φασι τὸν ὄσιριν συμπεπλέχθαι καὶ τὸν ἆπιν, ἐξηγούμενοι καὶ διδάσκοντες ἡμᾶς ὡς εὔμορφον εἰκόνα χρὴ νομίζειν τῆς ὀσίριδος ψυχῆς τὸν ἆπιν. ἐγὼ δὲ, εἰ μὲν αἰγύπτιόν ἐστι τοὔνομα τοῦ σαράπιδος, εὐφροσύνην αὐτὸ δηλοῦν οἴομαι καὶ χαρμοσύνην, τεκμαιρόμενος, ὅτι τὴν ἑορτὴν αἰγύπτιοι τὰ χαρμόσυνα σαίρει καλοῦσιν· καὶ γὰρ πλάτων τὸν ἅδην, ὡς αἰδοῦς υἱὸν τοῖς παρ' αὐτοῦ γενομένοις καὶ προσηνῆ θεὸν ὠνομάσθαι φησὶν, καὶ παρ' αἰγυπτίοις ἄλλα τε πολλὰ τῶν ὀνομάτων λόγοι εἰσὶ, καὶ τὸν ὑποχθόνιον τόπον εἰς ὃν οἴονται τὰς ψυχὰς ἀπέρχεσθαι μετὰ τὴν τελευτὴν, ἀμένθην καλοῦσι, σημαίνοντος τοῦ ὀνόματος τὸν λαμβάνοντα καὶ διδόντα. εἰ δὲ καὶ τοῦτο τῶν ἐκ τῆς ἑλλάδος ἀπελθόντων πάλαι καὶ μετακομισθέντων ὀνομάτων ἐστὶν, ὕστερον ἐπισκεψόμεθα, νῦν δὲ τὰ λοιπὰ τῆς ἐν χερσὶ δόξης προσδιέλθωμεν. ὁ μὲν γοῦν ὄσιρις καὶ ἡ ἶσις ἐκ δαιμόνων ἀγαθῶν εἰς θεοὺς μετήλλαξαν, τὴν δὲ τοῦ τυφῶνος ἠμαυρωμένην καὶ συντετριμμένην δύναμιν, ἔτι δὲ καὶ ψυχορραγοῦσαν καὶ σφαδάζουσαν, ἔστιν αἷς παρηγοροῦσι θυσίαις καὶ πραΰνουσιν, ἔστι δ' ὅτε πάλιν ἐκταπεινοῦσι καὶ καθυβρίζουσιν ἔν τισιν ἑορταῖς, τῶν μὲν ἀνθρώπων τοὺς πυρροὺς καὶ προπηλακίζοντες, ὄνον δὲ καὶ κατακρημνίζοντες, ὡς κοπτῖται διὰ τὸ πυρρὸν γεγονέναι τὸν τυφῶνα καὶ ὀνώδη τὴν χρόαν, βουσιρῖται δὲ καὶ λυκοπολῖται σάλπιγξιν οὐ χρῶνται τὸ παράπαν, ὡς ὄνῳ φθεγγομέναις ἐμφερὲς, καὶ ὅλως τὸν ὄνον οὐ καθαρὸν ἀλλὰ δαιμονικὸν ἡγοῦνται ζῷον εἶναι διὰ τὴν πρὸς ἐκεῖνον ὁμοιότητα, καὶ πόπανα ποιοῦντες ἐν θυσίαις, τοῦ τε παϋνὶ καὶ τοῦ φαωφὶ μηνὸς ἐπιπλάττουσι παράσημον ὄνον δεδεμένον, ἐν δὲ τῇ τοῦ ἡλίου θυσίᾳ τοῖς ἐσομένοις τὸν θεὸν παρεγγυῶσι μὴ φορεῖν ἐπὶ τῷ σώματι χρυσία, μὴ δεομένῳ τροφὴν διδόναι· φαίνονται δὲ καὶ οἱ πυθαγορικοὶ τὸν τυφῶνα δαιμονικὴν ἡγούμενοι δύναμιν· λέγουσι γὰρ ἐν ἀρτίῳ μέτρῳ ἕκτῳ καὶ πεντηκοστῷ γεγονέναι τυφῶνα· καὶ πάλιν τὴν μὲν τοῦ τριγώνου, ἅδου καὶ διονύσου καὶ ἄρεος εἶναι, τὴν δὲ τοῦ τετραγώνου, ῥέας καὶ ἀφροδίτης καὶ δήμητρος καὶ ἑστίας καὶ ἥρας, τὴν δὲ τοῦ δωδεκαγώνου διὸς, τὴν δὲ ὀκτωκαιπεντηκονταγωνίου τυφῶνος, ὡς εὔδοξος ἱστόρηκεν. αἰγύπτιοι δὲ πυρρόχρουν γεγονέναι τὸν τυφῶνα νομίζοντες, καὶ τῶν βοῶν τοὺς πυρροὺς καθιερεύουσιν, οὕτως ἀκριβῆ ποιούμενοι τὴν παρατήρησιν, ὥστε κἂν μίαν ἔχῃ τρίχα μέλαιναν ἢ λευκὴν, ἄθυτον ἡγεῖσθαι, θύσιμον γὰρ οὐ φίλον εἶναι θεοῖς, ἀλλὰ τοὐναντίον, ὅσα ψυχαῖς ἀνοσίων ἀνθρώπων καὶ ἀδίκων εἰς ἕτερα μεταμορφουμένων σώματα συνείληφε· διὸ τῇ μὲν κεφαλῇ τοῦ ἱερείου καταρασάμενοι καὶ ἀποκόψαντες, εἰς τὸν ποταμὸν ἐρρίπτουν

πάλαι, νυνὶ δὲ τοῖς ξένοις ἀποδίδονται, τὸν δὲ μέλλοντα θύεσθαι βοῦν, οἱ σφραγισταὶ λεγόμενοι τῶν ἱερέων κατεσημαίνοντο τῆς σφραγῖδος, ὡς ἱστορεῖ Κάστωρ, γλυφὴν μὲν ἐχούσης ἄνθρωπον εἰς γόνυ καθεικότα ταῖς χερσὶν ὀπίσω περιηγμέναις ἔχοντα κατὰ τῆς σφαγῆς ξίφος ἐγκείμενον, ἀπολαύειν τε καὶ τὸν ὄνον ὥσπερ εἴρηται τῆς ὁμοιότητος, διὰ τὴν ἀμαθίαν καὶ τὴν ὕβριν οὐχ ἧττον ἢ διὰ τὴν χρόαν οἴονται. διὸ καὶ τῶν Περσικῶν βασιλέων ἐχθραίνοντες μάλιστα τὸν Ὦχον ὡς ἐναγῆ καὶ μιαρὸν, ὄνον ἐπωνόμασαν, κἀκεῖνος εἰπὼν, ὁ μέντοι ὄνος οὗτος ὑμῶν κατευωχήσεται τὸν βοῦν, ἔθυσε τὸν Ἆπιν, ὡς Δείνων ἱστόρηκεν. οἱ δὲ λέγοντες ἐκ τῆς μάχης ἐπὶ ὄνου τῷ Τυφῶνι τὴν φυγὴν ἑπτὰ ἡμέραις γενέσθαι καὶ σωθέντα γεννῆσαι παῖδας, Ἱεροσόλυμον καὶ Ἰουδαῖον, αὐτόθεν εἰσὶ κατάδηλοι τὰ Ἰουδαϊκὰ παρέλκοντες εἰς τὸν μῦθον. ταῦτα μὲν οὖν τοιαύτας ὑπονοίας δίδωσιν, ἀπ' ἄλλης δὲ ἀρχῆς τῶν φιλοσοφώτερόν τι λέγειν δυναμένων τοὺς ἁπλουστάτους σκεψώμεθα πρῶτον, οὗτοι δέ εἰσιν οἱ λέγοντες, ὥσπερ Ἕλληνες Κρόνον ἀλληγοροῦσι τὸν χρόνον, Ἥραν δὲ τὸν ἀέρα, γένεσιν δὲ Ἡφαίστου, τὴν εἰς πῦρ ἀέρος μεταβολὴν, οὕτω παρ' Αἰγυπτίοις, Νεῖλον εἶναι τὸν Ὄσιριν, Ἴσιδι συνόντα τῇ γῇ, Τυφῶνα δὲ τὴν θάλασσαν, εἰς ἣν ὁ Νεῖλος ἐμπίπτων, ἀφανίζεται καὶ διασπᾶται· πλὴν ὅσον ἡ γῆ μέρος ἀναλαμβάνουσα καὶ δεχομένη, γίνεται γόνιμος ὑπ' αὐτοῦ, καὶ θρῆνός ἐστιν ἱερὸς ἐπὶ τοῦ Κρόνου γενόμενος, θρηνεῖ δὲ τὸν ἐν τοῖς ἀριστεροῖς γενόμενον μέρεσιν, ἐν δὲ τοῖς δεξιοῖς φθειρόμενον. Αἰγύπτιοι γὰρ οἴονται τὰ μὲν ἑῷα τοῦ κόσμου, πρόσωπον εἶναι, τὰ δὲ πρὸς βορρᾶν δεξιά, τὰ δὲ πρὸς νότον ἀριστερά. φερόμενος οὖν ἐκ τῶν νοτίων ὁ Νεῖλος, ἐν δὲ τοῖς βορείοις ὑπὸ τῆς θαλάσσης καταναλισκόμενος, εἰκότως λέγεται τὴν μὲν γένεσιν ἐν τοῖς ἀριστεροῖς ἔχειν, τὴν δὲ φθορὰν ἐν τοῖς δεξιοῖς. διὸ τήν τε θάλασσαν οἱ ἱερεῖς ἀφοσιοῦνται, καὶ τὸν ἅλα Τυφῶνος ἀφρὸν καλοῦσιν, καὶ τῶν ἀπαγορευομένων ἐστὶν αὐτοῖς ἐπὶ τραπέζης ἅλα μὴ προστίθεσθαι, καὶ κυβερνήτας οὐ προσαγορεύουσιν, ὅτι χρῶνται θαλάττῃ, καὶ τὸν βίον ἀπὸ τῆς θαλάττης ἔχουσιν, οὐχ ἥκιστα δὲ καὶ τὸν ἰχθὺν ἀπὸ ταύτης προβάλλονται τῆς αἰτίας, καὶ τὸ μισεῖν ἰχθύι γράφουσιν. ἐν Σάι γοῦν ἐν τῷ προπύλῳ τοῦ ἱεροῦ τῆς Ἀθηνᾶς ἦν γεγλυμμένον βρέφος, γέρων, καὶ μετὰ τοῦτον ἱέραξ, ἐφεξῆς δὲ ἰχθύς, ἐπὶ πᾶσι δὲ ἵππος ποτάμιος. ἐδήλου δὲ συμβολικῶς, ὦ γινόμενοι καὶ ἀπογινόμενοι, διογέρων, ἱέρακι γὰρ τὸν θεὸν φράζουσιν, ἰχθύι δὲ μῖσος, ὥσπερ εἴρηται διὰ τὴν θάλατταν, ἱπποποτάμῳ δὲ ἀναίδειαν, λέγεται γὰρ ἀποκτείνας τὸν πατέρα, τῇ μητρὶ βίᾳ μίγνυσθαι. δόξει δὲ καὶ τὸ ὑπὸ τῶν Πυθαγορικῶν λεγόμενον, ὡς ἡ θάλαττα Κρόνου δάκρυόν ἐστιν, αἰνίττεσθαι τὸ μὴ καθαρὸν, μηδὲ σύμφυλον αὐτῆς. ταῦτα μὲν οὖν ἔξωθεν εἰρήσθω κοινὴν ἔχοντα τὴν ἱστορίαν. οἱ δὲ σοφώτεροι τῶν ἱερέων, οὐ μόνον τὸν Νεῖλον Ὄσιριν καλοῦσιν, οὐδὲ Τυφῶνα τὴν θάλασσαν, ἀλλὰ Ὄσιριν μὲν ἁπλῶς ἅπασαν τὴν ὑγροποιὸν ἀρχὴν καὶ δύναμιν, αἰτίαν γενέσεως καὶ σπέρματος οὐσίαν νομίζοντες, Τυφῶνα δὲ πᾶν τὸ αὐχμηρὸν καὶ πυρῶδες καὶ ξηραντικὸν ὅλως καὶ πολέμιον τῇ ὑγρότητι. διὸ καὶ πυρρόχρουν γεγονέναι τῷ σώματι καὶ πάρωχρον νομίζοντες, οὐ πάνυ προθύμως ἐντυγχάνουσιν, οὐδὲ ἡδέως ὁμιλοῦσι τοῖς τοιούτοις τὴν ὄψιν ἀνθρώποις. τὸν δὲ Ὄσιριν αὖ πάλιν μελάγχρουν γεγονέναι μυθολογοῦσιν, ὅτι πᾶν ὕδωρ καὶ γῆν καὶ ἱμάτια καὶ νέφη μελαίνει μιγνύμενον, καὶ τῶν νέων ὑγρότης ἐνοῦσα παρέχει τὰς τρίχας μελαίνας, ἡ δὲ πολίωσις οἷον ὠχρίασις ὑπὸ ξηρότητος ἐπιγίνεται τοῖς παρακμάζουσι, καὶ τὸ μὲν ἔαρ, θαλερὸν καὶ γόνιμον

καὶ προσηνές, τὸ δὲ φθινόπωρον ὑγρότητος ἐνδείᾳ, καὶ φυτοῖς πολέμιον καὶ ζώοις νοσῶδες. ὁ δὲ ἐν Ἡλιουπόλει τρεφόμενος βοῦς ὃν Μνεῦιν καλοῦσιν, Ὀσίριδος δὲ ἱερὸν, ἔνιοι δὲ καὶ τοῦ Ἄπιδος πατέρα νομίζουσι, μέλας ἐστὶ καὶ δευτέρας ἔχει τιμὰς μετὰ τὸν Ἆπιν. ἔτι τὴν Αἴγυπτον ἐν τοῖς μάλιστα μελάγγειον οὖσαν, ὥσπερ τὸ μέλαν τοῦ ὀφθαλμοῦ χημίαν καλοῦσι, καὶ καρδίᾳ παρεικάζουσι, θερμὴ γάρ ἐστι καὶ ὑγρὰ καὶ τοῖς νοτίοις μέρεσι τῆς οἰκουμένης, ὥσπερ ἡ καρδία τοῖς εὐωνύμοις τοῦ ἀνθρώπου μάλιστα ἐγκέκλειται καὶ προσκεχώρηκεν. ἥλιον δὲ καὶ σελήνην οὐχ ἅρμασιν ἀλλὰ πλοίοις ὀχήμασι χρωμένους περιπλεῖν ἀεὶ, αἰνιττόμενοι τὴν ἀφ' ὑγροῦ τροφὴν αὐτῶν καὶ γένεσιν. οἴονται δὲ καὶ Ὅμηρον, ὥσπερ Θαλῆν μαθόντα παρ' Αἰγυπτίων ὕδωρ ἀρχὴν ἁπάντων καὶ γένεσιν τίθεσθαι, τὸν γὰρ Ὠκεανὸν Ὄσιριν εἶναι, τὴν δὲ Τηθὺν Ἶσιν, ὡς τιθηνουμένην πάντα καὶ συνεκτρέφουσαν. καὶ γὰρ Ἕλληνες τὴν τοῦ σπέρματος πρόεσιν, ἀπουσίαν καὶ λύσιν καὶ συνουσίαν τὴν μίξιν, καὶ τὸν υἱὸν ἀπὸ τοῦ ὕδατος καὶ τοῦ ὕσαι. καὶ τὸν Διόνυσον ὕην, ὡς κύριον τῆς ὑγρᾶς φύσεως, οὐχ ἕτερον ὄντα τοῦ Ὀσίριδος. καὶ γὰρ τὸν Ὄσιριν Ἑλλάνικος, Ὕσιριν ἔθηκεν, ἀκηκοέναι ὑπὸ τῶν ἱερέων λεγόμενον, οὕτω γὰρ ὀνομάζων διατελεῖ τὸν θεὸν, εἰκότως ἀπὸ τῆς φύσεως καὶ τῆς εὑρέσεως. ὅτι μὲν οὖν ὁ αὐτός ἐστι Διονύσῳ, τίνα μᾶλλον ἢ σὲ γινώσκειν ὦ Κλέα δὴ προσῆκόν ἐστιν, ἀρχικλαμένουσαν ἐν Δελφοῖς τῶν Θυιάδων, τοῖς δὲ Ὀσιριακοῖς καθωσιωμένην ἱεροῖς ἀπὸ πατρὸς καὶ μητρός. εἰ δὲ τῶν ἄλλων ἕνεκα δὴ μαρτύρια παραθέσθαι, τὰ μὲν ἀπόρρητα κατὰ χώραν ἐῶμεν, ἃ δ' ἐμφανῶς δρῶσι θάπτοντες τὸν Ἆπιν οἱ ἱερεῖς, ὅταν παρακομίζωσιν ἐπὶ σχεδίας τὸ σῶμα, βακχείας οὐδὲν ἀποδεῖ, καὶ γὰρ νεβρίδας περικαθάπτονται, καὶ θύρσους φοροῦσι, καὶ βοαῖς χρῶνται καὶ κινήσεσιν, ὥσπερ οἱ κάτοχοι τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς. διὸ καὶ ταυρόμορφον Διόνυσον ποιοῦσιν ἀγάλματα πολλοὶ τῶν Ἑλλήνων, αἱ δὲ Ἠλείων γυναῖκες καὶ παρακαλοῦσιν εὐχόμεναι, ποδὶ βοείῳ τὸν θεὸν ἐλθεῖν πρὸς αὐτάς, Ἀργείοις δὲ βουγενὴς Διόνυσος ἐπίκλην ἐστὶν, ἀνακαλοῦνται δ' αὐτὸν ὑπὸ σαλπίγγων ἐξ ὕδατος, ἐμβάλλοντες εἰς τὴν ἄβυσσον ἄρνα τῷ πυλαόχῳ, τὰς δὲ σάλπιγγας ἐν θυρσοῖς ἀποκρύπτουσιν, ὡς Σωκράτης ἐν τοῖς περὶ ὁσίων εἴρηκεν. ὁμολογεῖ δὲ καὶ τὰ Τιτανικὰ καὶ νὺξ τελεία τοῖς λεγομένοις Ὀσίριδος διασπασμοῖς, καὶ ταῖς ἀναβιώσεσι καὶ παλιγγενεσίαις, ὁμοίως δὲ καὶ τὰ περὶ τὰς ταφάς, Αἰγύπτιοί τε γὰρ Ὀσίριδος πολλαχοῦ θήκας, ὥσπερ εἴρηται δεικνύουσι, καὶ Δελφοὶ τὰ τοῦ Διονύσου λείψανα παρ' αὐτοῖς παρὰ τὸ χρηστήριον ἀποκεῖσθαι νομίζουσιν, καὶ θύουσιν οἱ ὅσιοι θυσίαν ἀπόρρητον ἐν τῷ ἱερῷ τοῦ Ἀπόλλωνος, ὅταν αἱ θυιάδες ἐγείρωσι τὸν Λικνίτην. ὅτι δὲ οὐ μόνον τοῦ οἴνου Διόνυσον, ἀλλὰ καὶ πάσης ὑγρᾶς φύσεως Ἕλληνες ἡγοῦνται κύριον καὶ ἀρχηγόν, ἀρκεῖ Πίνδαρος μάρτυς εἶναι λέγων· δενδρέων δὲ νομὸν Διόνυσος πολυγαθὴς αὐξάνοι ἁγνὸν φέγγος ὀπώρας. διὸ καὶ τοῖς τὸν Ὄσιριν σεβομένοις ἀπαγορεύεται δένδρον ἥμερον ἀπολλύναι, καὶ πηγὴν ὕδατος ἐμφράττειν. οὐ μόνον δὲ τὸν Νεῖλον, ἀλλὰ πᾶν ὑγρὸν ἁπλῶς Ὀσίριδος ἀπορροὴν καλοῦσι, καὶ τῶν ἱερῶν ἀεὶ προπομπεύει τὸ ὑδρεῖον ἐπὶ τιμῇ τοῦ θεοῦ, καὶ θρύῳ βασιλέα, καὶ τὸ νότιον κλίμα τοῦ κόσμου γράφουσι, καὶ μεθερμηνεύεται τὸ θρύον, ποτισμὸς καὶ κύησις πάντων, καὶ δοκεῖ γεννητικῷ μορίῳ τὴν φύσιν ἐοικέναι. τὴν δὲ τῶν Παμυλίων ἑορτὴν ἄγοντες, ὥσπερ εἴρηται, φαλλικὴν οὖσαν, ἄγαλμα προτίθενται καὶ περιφέρουσιν, οὗ τὸ αἰδοῖον τριπλάσιόν ἐστιν· ἀρχὴ γὰρ ὁ θεός, ἀρχὴ δὲ πᾶσα τῷ γονίμῳ πολλαπλασιάζει τὸ ἐξ αὐτῆς, τὸ δὲ πολλάκις, εἰώθαμεν καὶ τρὶς λέγειν, ὡς τὸ τρισμάκαρες, καὶ δεσμοὶ μὲν τρὶς τόσσοι ἀπείρονες, εἰ μὴ νὴ Δία κυρίως

·Ι· ἐ· Δ·

δεῖ ·Ι· Δ·

ἐμφαίνεται τὸ τετραπλάσιον ἀπὸ τῶν παλαιῶν· ἡ γὰρ ὑγρὰ φύσις ἀρχὴ καὶ
γένεσις οὖσα πάντων ἐξ ἀρχῆς, τὰ πρῶτα τρία σώματα, γῆν, ἀέρα, καὶ πῦρ
ἐποίησε, καὶ γὰρ ὁ προστιθέμενος τῷ μύθῳ λόγος, ὡς τοῦ ὀσίριδος ὁ τυφῶν τὸ
αἰδοῖον ἔρριψεν εἰς τὸν ποταμόν, ἡ δ᾽ ἶσις οὐχ εὗρεν, ἀλλ᾽ ἐμφερὲς ἄγαλμα θεμέ-
νη, καὶ κατασκευάσασα τιμᾶν καὶ φαλληφορεῖν ἔταξεν, ἐνταῦθα δὲ παραχω-
ρεῖ διδάσκων, ὅτι τὸ γόνιμον καὶ τὸ σπερματικὸν τοῦ θεοῦ πρῶτον ἔσχεν ὕλην τὴν
ὑγρότητα, καὶ δι᾽ ὑγρότητος ἐνεκράθη τοῖς πεφυκόσι μετέχειν γενέσεως.
ἄλλος δὲ λόγος ἐστὶν αἰγυπτίων, ὡς ἄποπις ἡλίου ὢν ἀδελφὸς, ἐπολέμει τῷ διὶ,
τὸν δὲ ὄσιριν ὁ ζεὺς συμμαχήσαντα καὶ συγκαταστρεψάμενον αὐτῷ τὸν πολεμί-
ον, παῖδα θέμενος, διόνυσον προσηγόρευσεν· καὶ τούτου δὲ τοῦ λόγου τὸ μυθῶδές
ἐστιν ἀποδεῖξαι τῆς περὶ φύσιν ἀληθείας ἁπτόμενον· δία μὲν γὰρ αἰγύπτιοι,
τὸ πνεῦμα καλοῦσιν, ᾧ πολέμιον τὸ αὐχμηρὸν καὶ πυρῶδες, τοῦτο δὲ ἥλιος μὲν
οὐκ ἔστι, πρὸς δὲ ἥλιον ἔχει τινὰ συγγένειαν, ἡ δὲ ὑγρότης σβεννύουσα τὴν ὑπερ-
βολὴν τῆς ξηρότητος, αὔξει καὶ ῥώννυσι τὰς ἀναθυμιάσεις· ὑφ᾽ ὧν τὸ πνεῦ-
μα τρέφεται καὶ τέθηλεν· ἔτι τε τὸν κιττὸν ὃν ἕλληνές τε καθιεροῦσι τῷ διο-
νύσῳ, καὶ παρ᾽ αἰγυπτίοις λέγεται χενόσιρις ὀνομάζεσθαι, σημαίνοντος τοῦ ὀ-
νόματος, ὥς φασι, φυτὸν ὀσίριδος· ἀρίστων τοίνυν ὁ γεγραφὼς ἀθηναίων ἀ-
ποικίαν ἐπιστολῇ τινι ἀλεξάρχου περιπέπτωκε, ἐν ᾗ ἱστορεῖται δὲ καὶ ἴσιδος
υἱὸς ὢν ὁ διόνυσος ὑπὸ αἰγυπτίων, οὐκ ὄσιρις ἀλλὰ ἀρσαφὴς ἐν τῷ ἄλφα
γράμματι λέγεσθαι, δηλοῦντος τὸ ἀνδρεῖον τοῦ ὀνόματος, ἐμφαίνει δὲ τοῦτο καὶ
ὁ ἑρμαῖος, ἐν τῇ πρώτῃ περὶ τῶν αἰγυπτίων· ὄμβριμον γάρ φησι μεθερμηνευό-
μενον εἶναι τὸν ὄσιριν· ἐῶ δὲ μνάσεαν τῷ ἐπάφῳ προστιθέντα τὸν διόνυσον
καὶ τὸν ὄσιριν, καὶ τὸν σάραπιν, ἐῶ καὶ ἀντικλείδην λέγοντα τὴν ἶσιν προμη-
θέως οὖσαν θυγατέρα, διονύσῳ συνοικεῖν· αἱ γὰρ εἰρημέναι περὶ τὰς ἑορτὰς
καὶ τὰς θυσίας οἰκειότητες, ἐναργεστέραν τῶν μαρτύρων τὴν πίστιν ἔχουσι,
τῶν τε ἄστρων τὸν σείριον, ἴσιδος νομίζουσιν ὑδραγωγὸν ὄντα, καὶ τὸν λέοντα
τιμῶσι, καὶ χάσμασι λεοντείοις τὰ τῶν ἱερῶν θυρώματα κοσμοῦσιν, ὅτι πλημ-
μυρεῖ νεῖλος, ἠελίου τὰ πρῶτα συνερχομένοιο λέοντι. ὡς δὲ νεῖλον ὀσίριδος
ἀπορροὴν, οὕτως ἴσιδος σῶμα γῆν ἔχουσι καὶ νομίζουσιν, οὐ πᾶσαν, ἀλλ᾽ ἧς ὁ νεῖ-
λος ἐπιβαίνει σπερμαίνων καὶ μιγνύμενος· ἐκ δὲ τῆς συνουσίας ταύτης γεννῶσι τὸν
ὧρον· ἔστι δὲ ὧρος, ἡ πάντα σώζουσα καὶ τρέφουσα τοῦ περιέχοντος ὥρα, καὶ κρᾶσις
ἀέρος, ὃν ἐν τοῖς ἕλεσι τοῖς περὶ βοῦτον ὑπὸ λητοῦς τραφῆναι λέγουσιν, ἡ γὰρ ὑδα-
τώδης καὶ διάβροχος γῆ μάλιστα τὰς σβεννυούσας καὶ χαλώσας τὴν ξηρότη-
τα καὶ τὸν αὐχμὸν ἀναθυμιάσεις τιθηνεῖται. νέφθυν δὲ καλοῦσι τῆς γῆς
τὰ ἔσχατα καὶ παρόρια καὶ ψαύοντα τῆς θαλάττης· διὸ καὶ τελευταίην ἐπο-
νομάζουσι τὴν νέφθυν, καὶ τυφῶνι δὲ συνοικεῖν λέγουσιν, ὅταν δὲ ὑπερβαλὼν
καὶ πλεονάσας ὁ νεῖλος, ἐπέκεινα πλησιάσῃ τοῖς ἐσχατεύουσι, τοῦτο μίξιν ὀσί-
ριδος πρὸς νέφθυν καλοῦσιν, ὑπὸ τῶν ἀναβλαστανόντων φυτῶν ἐλεγχομένην·
ὧν καὶ τὸ μελίλωτόν ἐστιν, οὗ φησι μῦθος ἀπορρυέντος καὶ ἀπολειφθέντος, αἴ-
σθησιν γενέσθαι τυφῶνι τῆς περὶ τὸν γάμον ἀδικίας· ὅθεν ἡ μὲν ἶσις ἔτεκε γνησίως
τὸν ὧρον, ἡ δὲ νέφθυς, σκότιον τὸν ἄνουβιν. ἐν μὲν τοι ταῖς διαδοχαῖς τῶν βασι-
λέων ἀναγράφουσι τὴν νέφθυν τυφῶνι γεγαμημένην πρώτην γενέσθαι στεῖραν, εἰ δὲ
τοῦτο, μὴ περὶ γυναικὸς, ἀλλὰ περὶ τῆς θεοῦ λέγουσιν, αἰνίττονται τὸ παντελὲς τῆς
γῆς ἄγονον καὶ ἄκαρπον ὑπὸ στερρότητος, ἡ δὲ τυφῶνος ἐπιβουλὴ καὶ τυραννὶς, αὐχμοῦ
δύναμις ἦν ἐπικρατήσαντος καὶ διαφορήσαντος, τήν τε γεννῶσαν ὑγρότητα
τὸν νεῖλον καὶ αὔξουσαν, ἡ δὲ συνεργὸς αὐτοῦ βασιλὶς αἰθιόπων, αἰνίττεται

πνοὰς νοτίους ἐξ αἰθιοπίας, ὅταν γὰρ αὗται τῶν ἐτησίων ἐπικρατήσωσι τὰ
νέφη πρὸς τὴν αἰθιοπίαν ἐλαυνόντων, καὶ κωλύσωσι τοὺς τὸν νεῖλον αὔξοντας
ὄμβρους καταρραγῆναι, κατέχων ὁ τυφῶν ἐπιφλέγει, καὶ τότε κρατήσας παν-
τάπασι τὸν νεῖλον εἰς ἐναντίον ὑπὸ ἀσθενείας συσταλέντα καὶ ῥυέντα, κοῖ-
λον καὶ ταπεινὸν ἐξέωσεν εἰς τὴν θάλασσαν. ἡ γὰρ λεγομένη καθεῖρξις εἰς τὴν
σορὸν ὀσίριδος, οὐδὲν ἔοικεν, ἀλλ᾽ ἢ κρύψιν ὕδατος, καὶ ἀφανισμὸν αἰνίττεσθαι,
διὸ μηνὸς ἀθὺρ ἀφανισθῆναι τὸν ὄσιριν λέγουσιν, ὅτε τῶν ἐτησίων ἀπολειπόντων
παντάπασιν, ὁ μὲν νεῖλος ὑπονοστεῖ, γυμνοῦται δὲ ἡ χώρα. μηκυνομένης δὲ τῆς
νυκτὸς, αὔξεται τὸ σκότος, ἡ δὲ τοῦ φωτὸς μαραίνεται καὶ κρατεῖται δύναμις,
οἱ ἱερεῖς ἄλλα τε δρῶσι σκυθρωπὰ, καὶ βοῦν διάχρυσον ἱματίῳ μέλανι βυσσίνῳ
περιβάλλοντες, ἐπὶ πένθει τῆς θεοῦ δεικνύουσι, βοῦν γὰρ ὀσίριδος εἰκόνα καὶ γῆν
νομίζουσιν ἐπὶ τέσσαρας ἡμέρας ἀπὸ τῆς ἑβδόμης ἐπὶ δέκα ἑξῆς, καὶ γὰρ
τὰ πενθούμενα τέσσαρα, πρῶτον μὲν ὁ νεῖλος ἀπολείπων καὶ ὑπονοστῶν, δεύτε-
ρον δὲ τὰ βόρεια πνεύματα κατασβεννύμενα κομιδῇ τῶν νοτίων ἐπικρατούντων,
τρίτον δὲ τὸ τὴν ἡμέραν ἐλάττονα γίνεσθαι τῆς νυκτὸς, ἐπὶ πᾶσιν ἡ τῆς γῆς ἀπο-
γύμνωσις, ἅμα τῇ τῶν φυτῶν ψιλότητι τηνικαῦτα φυλλορροούντων, τῇ δὲ ἐνά-
τῃ ἐπὶ δέκα νυκτὸς, ἐπὶ θάλασσαν κάτεισι καὶ τὴν ἱερὰν κίστην οἱ στολισταὶ καὶ
οἱ ἱερεῖς ἐκφέρουσι χρυσοῦν ἐντὸς ἔχουσαν κιβώτιον, εἰς ὃ ποτίμου λαβόντες
ὕδατος ἐγχέουσι καὶ γίνεται κραυγὴ τῶν παρόντων, ὡς εὑρημένου τοῦ ὀσίριδος·
εἶτα τὴν κάρπιμον φυρῶσι τῷ ὕδατι, καὶ συμμίξαντες ἀρώματα καὶ θυμιάμα-
τα τῶν πολυτελῶν, ἀναπλάττουσι μηνοειδὲς ἀγαλμάτιον, καὶ τοῦτο στολίζουσι
καὶ κοσμοῦσιν, ἐμφαίνοντες, ὅτι γῆς οὐσίαν καὶ ὕδατος τοὺς θεοὺς τούτους νομί-
ζουσι. τῆς δὲ ἴσιδος πάλιν ἀναλαμβανούσης τὸν ὄσιριν, καὶ αὐξανούσης τὸν
ὧρον, ἀναθυμιάσεσι καὶ ὁμίχλαις καὶ νέφεσι ῥωννύμενον, ἐκρατήθη μὲν, οὐκ
ἀνῃρέθη δὲ ὁ τυφῶν, οὐ γὰρ εἴασεν ἡ κυρία τῆς γῆς θεὸς ἀναιρεθῆναι παντάπασι
τὴν ἀντικειμένην τῇ ὑγρότητι φύσιν, ἀλλ᾽ ἐχάλασε καὶ ἀνῆκε βουλομένη διαμέ-
νειν τὴν κρᾶσιν, οὐ γὰρ ἦν, κόσμον εἶναι τέλειον, ἐκλείποντος καὶ ἀφανισθέντος τοῦ
πυρώδους. εἰ δὲ ταῦτα μὴ λέγεται παρ᾽ αὐτοῖς, εἰκότως οὐδὲ ἐκεῖνον ἄν τις
ἀπορρίψειε τὸν λόγον, ὡς τυφῶν μὲν ἐκράτει πάλαι τῆς ὀσίριδος μοίρας, θά-
λασσα γὰρ ἦν ἡ αἴγυπτος· διὸ πολλὰ μὲν ἐν τοῖς μετάλλοις καὶ τοῖς ὄρεσιν εὑρί-
σκεται μέχρι νῦν κογχύλια ἔχειν, πᾶσαι δὲ πηγαὶ καὶ φρέατα πάντα πολλῶν
ὑπαρχόντων, ἁλμυρὸν ὕδωρ καὶ πικρὸν ἔχουσιν, ὡς ἂν ὑπόλειμμα τῆς πάλαι
θαλάσσης ἕωλον ἐνταυθοῖ συνερρυηκότος, ὁ δὲ ὧρος χρόνῳ τοῦ τυφῶνος, ἐπε-
κράτησε, τουτέστιν εὐκαιρίας ὀμβρίων γενομένης, ὁ νεῖλος ἐξεώσας τὴν θάλασ-
σαν, ἀνέφηνε τὸ πεδίον καὶ ἀνεπλήρωσε ταῖς προσχώσεσιν, ὃ δὴ μαρτυροῦ-
σαν ἔχει τὴν αἴσθησιν, ὁρῶμεν γὰρ ἔτι νῦν ἐπιφέροντι τῷ ποταμῷ νέαν ἰλὺν, καὶ
προσαγαγόντι τὴν γῆν κατὰ μικρὸν ὑποχωροῦν ὀπίσω τὸ πέλαγος· καὶ τὴν θά-
λασσαν τὸ ὕψος τὸ ἐν βάθει λαμβανόντων διὰ τὰς προσχώσεις ἀπορρέουσαν.
τὴν δὲ φάρον, ἣν ὅμηρος ᾔδει δρόμον ἡμέρας ἀπέχουσαν αἰγύπτου νῦν μέρος
οὖσαν αὐτῆς, οὐκ αὐτὴν ἀναδραμοῦσαν, οὐδὲ πρὸς ἀνάβασιν, ἀλλὰ τῆς μεταξὺ
θαλάττης ἀναπλάττοντι τῷ ποταμῷ καὶ τρέφοντι τὴν ἤπειρον ἀνασταλείσης.
ἀλλὰ ταῦτα μὲν ὅμοια τοῖς ὑπὸ τῶν στωικῶν θεολογουμένοις ἐστὶ, καὶ γὰρ ἐκεῖ-
νοι τὸ μὲν γόνιμον πνεῦμα καὶ τρόφιμον, διόνυσον εἶναι λέγουσι, τὸ πληκτικὸν
δὲ καὶ διαιρετικὸν, ἡρακλέα, τὸ δὲ δεκτικὸν, ἄμμωνα, δήμητραν δὲ καὶ κόρην, τὸ
διὰ τῆς γῆς καὶ τῶν καρπῶν διῆκον, ποσειδῶνα δὲ, τὸ διὰ τῆς θαλάττης, οἱ δὲ
τοῖς δὲ τοῖς φυσικοῖς καὶ τῶν ἀπ᾽ ἀστρολογίας μαθηματικῶν ἔνια μιγνύντες, τυ-

φθίνα μὲν οἴονται τὸν ἡλιακὸν κόσμον, ὄσιριν δὲ τὸν σεληνιακὸν λέγεσθαι, τὴν
μὲν γὰρ σελήνην γόνιμον τὸ φῶς καὶ ὑγροποιὸν ἔχουσαν, εὐμενῆ καὶ γοναῖς ζώ-
ων καὶ φυτῶν εἶναι βλαστήσεσι, τὸν δὲ ἥλιον ἀκράτῳ πυρὶ κεκληρωκότα θάλ-
πειν τε καὶ καταυαίνειν τὰ φυόμενα καὶ τεθηλότα, καὶ τὸ πολὺ μέρος τῆς γῆς
παντάπασιν ὑπὸ φλογμοῦ ποιεῖν ἀοίκητον, καὶ κατακρατεῖν πολλαχοῦ καὶ
τῆς σελήνης, διὸ τὸν τυφῶνα σὴθ ἀεὶ αἰγύπτιοι καλοῦσιν, ὅπερ ἐστὶ καταδυνα-
στεῦον ἢ καταβιαζόμενον, καὶ τῷ μὲν ἡλίῳ τὸν ἡρακλέα μυθολογοῦσιν ἐνιδρυμένον
συμπεριπολεῖν, τῇ δὲ σελήνῃ τὸν ἑρμῆν, λόγου γὰρ ἔργοις ἔοικε καὶ περὶ σοφί-
ας τὰ τῆς σελήνης, τὰ δ' ἐν ἡλίου πληγαῖς ὑπὸ βίας καὶ ῥώμης περαινο-
μένης. οἱ δὲ στωικοὶ τὸν μὲν ἥλιον ἐκ θαλάττης ἀνάπτεσθαι, καὶ τρέφεσθαί φα-
σι, τῇ δὲ σελήνῃ τὰ κρηναῖα καὶ λιμναῖα νάματα γλυκεῖαν ἀναπέμπειν καὶ μαλα-
κὴν ἀναθυμίασιν, ἑβδόμῃ ἐπὶ δέκα τὴν ὀσίριδος γενέσθαι τελευτὴν, αἰγύπτιοι
μυθολογοῦσιν, ἐν ᾗ μάλιστα γίνεται πληρουμένη κατάδηλος ἡ πανσέληνος,
διὸ καὶ τὴν ἡμέραν ταύτην ἀντίφραξιν οἱ πυθαγόρειοι καλοῦσι, καὶ ὅλως τὸν ἀ-
ριθμὸν τοῦτον ἀφοσιοῦνται. τοῦ γὰρ ἑξκαίδεκα τετραγώνου, καὶ τοῦ ὀκτωκαίδεκα
ἑτερομήκους, οἷς μόνοις ἀριθμῶν ἐπιπέδων συμβέβηκε τὰς περιμέτρους ἴσας
ἔχειν τοῖς περιεχομένοις ὑπ' αὐτῶν χωρίοις, μέσος ὁ τῶν ἑπτακαίδεκα παρεμπί-
πτων, ἀντιφράττει καὶ διαζεύγνυσιν ἀπ' ἀλλήλων, καὶ διαιρεῖ τὸν ἐπόγδοον λό-
γον εἰς ἄνισα διαστήματα τεμνόμενος. ἐτῶν δ' ἀριθμὸν, οἱ μὲν βιῶσαι τὸν ὄσι-
ριν, οἱ δὲ βασιλεῦσαι λέγουσιν ὀκτὼ καὶ εἴκοσιν, τοσαῦτα γάρ ἐστι φῶτα τῆς σε-
λήνης, καὶ τοσαύταις ἡμέραις τὸν αὐτῆς κύκλον ἐξελίσσει. τὸ δὲ ξύλον ἐν
ταῖς λεγομέναις ὀσίριδος ταφαῖς τέμνοντες κατασκευάζουσι λάρνακα μηνοει-
δῆ, διὰ τὸ τὴν σελήνην ὅταν τῷ ἡλίῳ πλησιάζῃ μηνοειδῆ γινομένην ἀποκρύπτε-
σθαι. τὸν δὲ εἰς δεκατέσσαρα μέρη τοῦ ὀσίριδος διασπασμὸν, αἰνίττονται πρὸς
τὰς ἡμέρας, ἐν αἷς φθίνει μετὰ πανσέληνον ἄχρι νουμηνίας τὸ ἄστρον, ἡμέραν
δὲ ἐν ᾗ φαίνεται πρῶτον ἐκφυγοῦσα τὰς αὐγὰς καὶ παρελθοῦσα τὸν ἥλιον, ἀ-
τελὲς ἀγαθὸν προσαγορεύουσιν, ὁ γὰρ ὄσιρις ἀγαθοποιὸς, καὶ τοὔνομα πολλὰ
φράζει, οὐχ ἥκιστα δὲ κράτος ἐνεργοῦν καὶ ἀγαθοποιὸν, ὃ λέγουσι, τὸ δ' ἕτερον ὄ-
νομα τοῦ θεοῦ τὸν ὄμφιν εὐεργέτην ὁ ἑρμαῖός φησι δηλοῦν ἑρμηνευόμενον.
οἴονται δὲ πρὸς τὰ φῶτα τῆς σελήνης ἔχειν τινὰ λόγον τοῦ νείλου τὰς ἀναβά-
σεις. ἡ μὲν γὰρ μεγίστη περὶ τὴν ἐλεφαντίνην, ὀκτὼ γίνεται καὶ εἴκοσι πήχεων,
ὅσα φῶτα καὶ μέτρα τῶν ἐμμήνων περιόδων ἑκάστης ἐστὶν, ἡ δὲ περὶ μένδητα καὶ
ξοῗν βραχυτάτη πήχεων ἓξ πρὸς τὴν διχότομον, ἡ δὲ μέση περὶ μέμφιν, ὅταν
ᾖ δικαία, δεκατεσσάρων πηχῶν πρὸς τὴν πανσέληνον, τὸν δὲ ἆπιν εἰκόνα μὲν ὀσί-
ριδος ἔμψυχον εἶναι, γενέσθαι δὲ ὅταν φῶς ἐρείσῃ γόνιμον ἀπὸ τῆς σελήνης, καὶ
καθάψηται βοὸς ὀργώσης, διὸ καὶ τοῖς τῆς σελήνης σχήμασιν ἔοικε, πολλὰ τοῦ
ἄπιδος περιμελαινομένου τὰ λαμπρὰ τοῖς σκιεροῖς, ὅτι τῇ νουμηνίᾳ τοῦ φα-
μενὼθ μηνὸς ἑορτὴν ἄγουσιν, ἔμβασιν ὀσίριδος εἰς τὴν σελήνην ὀνομάζοντες, ἔα-
ρος ἀρχὴν οὖσαν. οὕτω τὴν ὀσίριδος δύναμιν ἐν τῇ σελήνῃ τίθενται, τὴν ἶσιν
αὐτῷ γένεσιν οὖσαν συνεῖναι λέγουσι, διὸ καὶ μητέρα τὴν σελήνην τοῦ κόσμου κα-
λοῦσι, καὶ φύσιν ἔχειν ἀρσενόθηλυν οἴονται, πληρουμένην ὑπὸ ἡλίου καὶ κυϊ-
σκομένην, αὐτὴν δὲ πάλιν εἰς τὸν ἀέρα προϊεμένην γεννητικὰς ἀρχὰς καὶ κατα-
σπείρουσαν, οὐ γὰρ ἀεὶ τὴν φθορὰν ἐπικρατεῖν τὴν τυφώνειον, πολλάκις δὲ κρα-
τουμένην ὑπὸ τῆς γενέσεως καὶ συνδεομένην αὖθις ἀναδύεσθαι καὶ διαμάχε-
σθαι πρὸς τὸν ὧρον. ἔστι δ' οὗτος ὁ περίγειος κόσμος, οὔτε φθορᾶς ἀπαλλατ-
τόμενος παντάπασιν, οὔτε γενέσεως. ἔνιοι δὲ καὶ τῶν ἐκλειπτικῶν αἴνιγμα

ποι-

ποιοῦνται τὸν μῦθον, ἐκλείπει μὲν γὰρ ἡ σελήνη πανσέληνος, ἐναντίαν τοῦ ἡ-
λίου στάσιν ἔχοντος πρὸς αὐτὴν, εἰς τὴν σκιὰν ἐμπίπτουσα τῆς γῆς ὥσπερ φα-
σὶ τὸν ὄσιριν εἰς τὴν σορὸν, αὐτὴ δὲ πάλιν ἀποκρύπτει καὶ ἀφανίζει ταῖς τρια-
κάσιν, οὐ μὴν ἀναιρεῖται παντάπασι τὸν ἥλιον, ὥσπερ οὐδὲ τὸν τυφῶνα ἡ ἶσις,
γεννώσης τῆς νέφθυος τὸν ἄνουβιν, ἶσις ὑποβάλλεται, νέφθυς γάρ ἐστι τὸ ὑπὸ
γῆν καὶ ἀφανὲς, ἶσις δὲ τὸ ὑπὲρ τὴν γῆν καὶ φανερόν. ὁ δὲ τούτων ὑποψαύων καὶ
καλούμενος ὁρίζων κύκλος, ἐπίκοινος ὢν ἀμφοῖν ἄνουβις κέκληται, καὶ κυνὶ
τὸ εἶδος ἀπεικάζεται, καὶ γὰρ ὁ κύων χρῆται τῇ ὄψει νυκτός τε καὶ ἡμέρας ὁμοί-
ως, καὶ ταύτην ἔχειν δοκεῖ παρ' αἰγυπτίοις τὴν δύναμιν ὁ ἄνουβις, οἵαν ἡ ἑκάτη
παρ' ἕλλησι χθόνιος ὢν ὁμοῦ καὶ ὀλύμπιος. ἐνίοις δὲ δοκεῖ κρόνος ὁ ἄνουβις εἶναι,
διὸ πάντα τίκτων ἐξ ἑαυτοῦ καὶ κύων ἐν ἑαυτῷ τὴν τοῦ κυνὸς ἐπίκλησιν ἔσχεν.
ἔστι δ' οὖν τοῖς σεβομένοις τὸν ἄνουβιν, ἀπόρρητόν τι, καὶ πάλαι μὲν τὰς μεγί-
στας ἐν αἰγύπτῳ τιμὰς ὁ κύων ἔσχεν. ἐπεὶ δὲ καμβύσου τὸν ἆπιν ἀνελόντος καὶ ῥί-
ψαντος, οὐδὲν προσῆλθεν οὐδὲ ἐγεύσατο τοῦ σώματος, ἀλλ' ἢ μόνος ὁ κύων, ἀπώ-
λεσε τὸ πρῶτος εἶναι καὶ μάλιστα τιμᾶσθαι τῶν ἑτέρων ζώων. εἰσὶ δέ τινες
οἳ τὸ σκίασμα τῆς γῆς, εἰς ὃ τὴν σελήνην ὀλισθαίνουσαν ἐκλείπειν νομίζουσι, τυ-
φῶνα καλοῦντες. ὅθεν οὐκ ἀπέοικεν εἰπεῖν, ὡς ἰδίᾳ μὲν οὐκ ὀρθῶς ἕκαστος, ὁμοῦ
δὲ πάντες ὀρθῶς λέγουσιν, οὐ γὰρ αὐχμὸν οὐδὲ ἄνεμον, οὐδὲ θάλατταν, οὐδὲ σκό-
τος, ἀλλὰ πᾶν ὅσον ἡ φύσις βλαβερὸν καὶ φθαρτικὸν ἔχει μόριον, τοῦ τυφῶνός
ἐστιν, οὔτε γὰρ ἐν ἀψύχοις σώμασι τὰς τοῦ παντὸς ἀρχὰς θετέον, ὡς δημόκριτος
καὶ ἐπίκουρος, οὔτε ἀποίου, τὸν δημιουργὸν ὕλης, ἕνα λόγον καὶ μίαν πρόνοιαν,
ὡς οἱ στωικοὶ περιγινομένην ἁπάντων καὶ κρατοῦσαν, ἀδύνατον γὰρ ἢ καὶ φλαῦρον
ὁτιοῦν ὁμοῦ πάντων ἢ χρηστὸν, ὅπου μηδενὸς ὁ θεὸς αἴτιος ἐγγενέσθαι, παλίντο-
νος γὰρ ἁρμονίη κόσμου ὅκως περ λύρης καὶ τόξου καθ' ἡράκλειτον καὶ κατ' εὐ-
ριπίδην, οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακὰ, ἀλλ' ἔστι τις σύγκρασις, ὥστ' ἔχειν
καλῶς. διὸ καὶ παμπάλαιος αὕτη κάτεισιν ἐκ θεολόγων καὶ νομοθετῶν, εἴς
τε ποιητὰς καὶ φιλοσόφους δόξα τὴν ἀρχὴν ἀδέσποτον ἔχουσα, τὴν δὲ πίστιν ἰσχυ-
ρὰν καὶ δυσεξάλειπτον, οὐκ ἐν λόγοις μόνον, οὐδὲ ἐν φήμαις, ἀλλὰ ἔν τε τελεταῖς
ἔν τε θυσίαις καὶ βαρβάροις καὶ ἕλλησι πολλαχοῦ περιφερομένην, ὡς οὔτ' ἄ-
νουν καὶ ἄλογον καὶ ἀκυβέρνητον αἰωρεῖται τῷ αὐτομάτῳ τὸ πᾶν, οὔτε εἷς ἐστιν
ὁ κρατῶν καὶ κατευθύνων, ὥσπερ οἴαξιν ἤ τισι πειθηνίοις χαλινοῖς λόγος, ἀλλὰ
πολλὰ καὶ μεμιγμένα κακοῖς καὶ ἀγαθοῖς, μᾶλλον δὲ μηδὲν, ὡς ἁπλῶς εἰπεῖν ἄκρα-
τον ἐνταῦθα τῆς φύσεως φερούσης, οὐ δυεῖν πίθων εἷς ταμίας, ὥσπερ νάματα
τὰ πράγματα καπηλικῶς διανέμων ἀνακεραννύσιν ἡμῖν, ἀλλ' ἀπὸ δυεῖν ἐναν-
τίων ἀρχῶν, καὶ δυεῖν ἀντιπάλων δυνάμεων, τῆς μὲν ἐπὶ τὰ δεξιὰ, καὶ κατ' εὐθεῖαν
ὑφηγουμένης, τῆς δ' ἔμπαλιν ἀναστρεφούσης καὶ ἀνακλώσης, ὅ, τε βίος μικτὸς
ὅ, τε κόσμος, εἰ καὶ μὴ πᾶς, ἀλλ' ὁ περίγειος οὗτος καὶ μετὰ σελήνην, ἀνώμαλος
καὶ ποικίλος γέγονε καὶ μεταβολὰς πάσας δεχόμενος. εἰ γὰρ οὐθὲν ἀναιτίως
πέφυκε γενέσθαι, αἰτίαν δὲ κακοῦ τἀγαθὸν οὐκ ἂν παράσχοι, δεῖ γένεσιν ἰδίαν
καὶ ἀρχὴν, ὥσπερ ἀγαθοῦ καὶ κακοῦ τὴν φύσιν ἔχειν. καὶ δοκεῖ τοῦτο τοῖς
πλείστοις καὶ σοφωτάτοις. νομίζουσι γὰρ οἱ μὲν θεοὺς εἶναι δύο, καθάπερ ἀν-
τιτέχνους, τὸν μὲν γὰρ ἀγαθῶν, τὸν δὲ φαύλων δημιουργὸν, οἱ δὲ τὸν μὲν ἀμείνονα
θεὸν, τὸν δὲ ἕτερον δαίμονα καλοῦσιν, ὥσπερ ζωροάστρις ὁ μάγος, ὃν πεντακι-
σχιλίοις ἔτεσι τῶν τρωικῶν γεγονέναι πρεσβύτερον ἱστοροῦσιν. οὗτος οὖν ἐκάλει
τὸν μὲν, ὠρομάζην, τὸν δὲ ἀρειμάνιον, καὶ προσαπεφαίνετο, τὸν μὲν ἐοικέναι φω-
τὶ μάλιστα τῶν αἰσθητῶν, τὸν δὲ ἔμπαλιν σκότῳ καὶ ἀγνοίᾳ, μέσον δὲ ἀμφοῖν τὸν

μίθρην εἶναι, διὸ καὶ μίθρην πέρσαι τὸν μεσίτην ὀνομάζουσιν, ἐδίδαξε τῷ μὲν
εὐκταῖα θύειν καὶ χαριστήρια, τῷ δὲ ἀποτρόπαια καὶ σκυθρωπά. πόαν γάρ τινα
κόπτοντες ὄμωμι καλουμένην ἐν ὅλμῳ, τὸν ᾅδην ἀνακαλοῦνται καὶ τὸν σκό-
τον, εἶτα μίξαντες αἵματι λύκου σφαγέντος, εἰς τόπον ἀνήλεον ἐκφέρουσι
καὶ ῥίπτουσι. καὶ γὰρ τῶν φυτῶν νομίζουσι, τὰ μὲν τοῦ ἀγαθοῦ θεοῦ, τὰ δὲ τοῦ
κακοῦ δαίμονος εἶναι, καὶ τῶν ζῴων ὥσπερ κύνας καὶ ὄρνιθας καὶ χερσαί-
ους ἐχίνους τοῦ ἀγαθοῦ, τοῦ δὲ φαύλου, τοὺς ἐνύδρους εἶναι. διὸ καὶ τὸν κτείναν-
τα πλείστους, εὐδαιμονίζουσιν. οὐ μὴν κἀκεῖνοι πολλὰ μυθώδη περὶ τῶν θεῶν
λέγουσιν, οἷα καὶ ταῦτά ἐστιν, ὁ μὲν ὠρομάζης ἐκ τοῦ καθαρωτάτου φάους, ὁ δὲ
ἀρειμάνιος ἐκ τοῦ ζόφου γεγονὼς, πολεμοῦσιν ἀλλήλοις, καὶ ὁ μὲν ἓξ θεοὺς ἐ-
ποίησε, τὸν μὲν πρῶτον εὐνοίας, τὸν δὲ δεύτερον ἀληθείας, τὸν δὲ τρίτον εὐνομί-
ας, τῶν δὲ λοιπῶν, τὸν μὲν σοφίας, τὸν δὲ πλούτου, τὸν δὲ τῶν ἐπὶ τοῖς καλοῖς
ἡδέων δημιουργόν, ὁ δὲ τούτοις ὥσπερ ἀντιτέχνους ἴσους τὸν ἀριθμόν, εἶθ᾽ ὁ μὲν
ὠρομάζης τρὶς ἑαυτὸν αὐξήσας ἀπέστησε τοῦ ἡλίου τοσοῦτον, ὅσον ὁ ἥλιος τῆς
γῆς ἀφέστηκε, καὶ τὸν οὐρανὸν ἄστροις ἐκόσμησεν, ἕνα δὲ ἀστέρα πρὸ πάντων, οἷον
φύλακα καὶ προόπτην ἐγκατέστησε τὸν σείριον, ἄλλους δὲ ποιήσας τέσσαρας καὶ
εἴκοσι θεούς, εἰς ᾠὸν ἔθηκεν. οἱ δὲ ὑπὸ τοῦ ἀρειμανίου γενόμενοι, καὶ αὐτοὶ τοσοῦ-
τοι διατρήσαντες τὸ ᾠὸν γανωθέν, ἀναμέμικται τὰ κακὰ τοῖς ἀγαθοῖς. ἔπει-
σι δὲ χρόνος εἱμαρμένος, ἐν ᾧ τὸν ἀρειμάνιον λοιμὸν ἐπάγοντα καὶ λιμὸν ὑπὸ
τούτων ἀνάγκη φθαρῆναι παντάπασι καὶ ἀφανισθῆναι, τῆς δὲ γῆς ἐπιπέδου
καὶ ὁμαλῆς γενομένης, ἕνα βίον καὶ μίαν πολιτείαν ἀνθρώπων μακαρίων καὶ
ὁμογλώσσων ἁπάντων γενέσθαι. θεόπομπος δέ φησι κατὰ τοὺς μάγους ἀνὰ
μέρος τρισχίλια ἔτη, τὸν μὲν κρατεῖν, τὸν δὲ κρατεῖσθαι τῶν θεῶν, ἄλλα δὲ τρι-
σχίλια μάχεσθαι καὶ πολεμεῖν καὶ ἀναλύειν τὰ τοῦ ἑτέρου τὸν ἕτερον, τέλος δὲ
ἀπολείπεσθαι τὸν ᾅδην, καὶ τοὺς μὲν ἀνθρώπους εὐδαίμονας ἔσεσθαι, μήτε
τροφῆς δεομένους, μήτε σκιὰν ποιοῦντας, τὸν δὲ ταῦτα μηχανησάμενον θεὸν, ἠ-
ρεμεῖν καὶ ἀναπαύεσθαι χρόνῳ, καλῶς μὲν οὐ πολλῷ τῷ θεῷ, ὥσπερ ἀνθρώ-
πῳ κοιμωμένῳ μέτριον. ἡ μὲν οὖν μάγων μυθολογία, τοιοῦτον ἔχει τρόπον.
χαλδαῖοι δὲ τῶν πλανητῶν τοὺς θεοὺς γενέσθαι, οὓς καλοῦσι, δύο μὲν ἀγαθουρ-
γούς, δύο δὲ κακοποιούς, μέσους δὲ τοὺς τρεῖς ἀποφαίνουσι καὶ κοινούς. τὰ δὲ ἑλ-
λήνων, πᾶσί που δῆλα, τὴν μὲν ἀγαθὴν, διὸς ὀλυμπίου μερίδα, τὴν δὲ ἀποτρο-
παίου ᾅδου ποιουμένων. ἐκ δὲ ἀφροδίτης καὶ ἄρεως ἁρμονίαν γεγονέναι μυ-
θολογοῦσι. ὧν ὁ μὲν ἀπηνὴς καὶ φιλόνεικος, ἡ δὲ μειλίχιος καὶ γενέθλι-
ος. σκόπει δὲ τοὺς φιλοσόφους τούτοις συμφερομένους. ἡράκλειτος μὲν γὰρ
ἄντικρυς πόλεμον ὀνομάζει πατέρα, καὶ βασιλέα καὶ κύριον πάντων, καὶ
τὸν μὲν ὅμηρον εὐχόμενον, ἔκ τε θεῶν ἔριν, ἔκ τ᾽ ἀνθρώπων ἀπολέσθαι, λανθάνειν
φησὶ τῇ πάντων γενέσει καταρώμενον, ἐκ μάχης καὶ ἀντιπαθείας τὴν γένεσιν
ἐχόντων, ἥλιον δὲ μὴ ὑπερβήσεσθαι τοὺς προσήκοντας ὅρους. εἰ δὲ μή, γλώττας
μιν δίκης ἐπικούρους ἐξευρήσειν. ἐμπεδοκλῆς δὲ τὴν μὲν ἀγαθουργὸν ἀρχὴν
φιλότητα καὶ φιλίαν, πολλάκις δὲ ἁρμονίαν καλεῖ θεμερῶπι, τὴν δὲ χείρονα,
νεῖκος οὐλόμενον καὶ δῆριν αἱματόεσσαν. οἱ μὲν πυθαγορικοὶ διὰ πλειόνων ὀνομάτων κα-
τηγοροῦσι, τοῦ μὲν ἀγαθοῦ τὸ ἓν πεπερασμένον, τὸ μένον, τὸ εὐθύ, τὸ περιττόν, τὸ τετράγω-
νον, τὸ δεξιόν, τὸ λαμπρόν, τοῦ δὲ κακοῦ τὴν δυάδα, τὸ ἄπειρον, τὸ φερόμενον, τὸ
καμπύλον, τὸ ἄρτιον, τὸ ἑτερόμηκες, τὸ ἄνισον, τὸ ἀριστερόν, τὸ σκοτεινόν, ὡς
ταύτας ἀρχὰς γενέσεως ὑποκειμένας. ἀναξαγόρας δὲ νοῦν καὶ ἄπειρον.
ἀριστοτέλης δὲ, τὸ μὲν εἶδος, τὸ δὲ στέρησιν. πλάτων δὲ, πολλαχοῦ μὲν οἷον ἐπιλυ-

γαζόμενος

γαζόμενος καὶ παρακαλυπτόμενος τῶν ἐναντίων ἀρχῶν, τὴν μὲν ταὐτὸν ὀνομάζει,
τὴν δὲ θάτερον. ἐν δὲ τοῖς νόμοις ἤδη πρεσβύτερος ὢν, οὐ δι᾽ αἰνιγμῶν οὐδὲ συμ-
βολικῶς, ἀλλὰ κυρίοις ὀνόμασιν, οὐ μιᾷ ψυχῇ φησι κινεῖσθαι τὸν κόσμον, ἀλλὰ
πλείοσιν ἴσως, δυοῖν δὲ πάντως οὐκ ἐλάττοσιν. ὧν τὴν μὲν ἀγαθουργὸν εἶναι,
τὴν δὲ ἐναντίαν ταύτῃ καὶ τῶν ἐναντίων δημιουργόν, ἀπολείπει δὲ καὶ τρίτην τινὰ με-
ταξὺ φύσιν οὐκ ἄψυχον, οὐδὲ ἄλογον, οὐδὲ ἀκίνητον ἐξ αὑτῆς, ὥσπερ ἔνιοι νομίζου-
σιν, ἀλλ᾽ ἀνακειμένην ἀμφοῖν ἐκείναις, ἐφιεμένην δὲ τῆς ἀμείνονος ἀεὶ καὶ ποθοῦσαν,
καὶ διώκουσαν, ὡς τὰ ἐπιόντα δηλώσει τοῦ λόγου, τὴν αἰγυπτίων θεολογίαν,
μάλιστα ταύτῃ τῇ φιλοσοφίᾳ συνοικειοῦντος. μεμιγμένη γὰρ ἡ τοῦδε τοῦ κό-
σμου γένεσις καὶ σύστασις ἐξ ἐναντίων, οὐ μὴν ἰσοσθενῶν δυνάμεων, ἀλλὰ τῆς βελ-
τίονος τὸ κράτος ἐστίν, ἀπολέσθαι δὲ τὴν φαύλην παντάπασιν ἀδύνατον, πολλὴν
μὲν ἐμπεφυκυῖαν τῷ σώματι, πολλὴν δὲ τῇ ψυχῇ τοῦ παντὸς ἀεὶ πρὸς τὴν βελ-
τίονα καὶ δυσμαχοῦσαν. ἐν μὲν οὖν τῇ ψυχῇ νοῦς καὶ λόγος ὁ τῶν ἀρίστων πάν-
των ἡγεμὼν καὶ κύριος ὄσιρίς ἐστιν, ἐν δὲ γῇ καὶ πνεύμασι καὶ ὕδασι καὶ οὐρανῷ
καὶ ἄστροις τὸ τεταγμένον καὶ καθεστηκὸς καὶ ὑγιαῖνον, ὥραις καὶ κράσεσι καὶ
περιόδοις ὀσίριδος ἀπορροὴ καὶ εἰκὼν ἐμφαινομένη, τυφὼν δὲ τῆς ψυχῆς τὸ πα-
θητικὸν καὶ τιτανικὸν καὶ ἄλογον καὶ ἔμπληκτον, τοῦ δὲ σωματικοῦ τὸ ἐπίκηρο-
ον καὶ νοσῶδες, καὶ ταρακτικὸν ἀωρίαις καὶ δυσκρασίαις, καὶ κρύψεσιν ἡλίου
καὶ ἀφανισμοῖς σελήνης, οἷον ἐκδρομαὶ καὶ ἀφανισμοὶ τυφῶνος, καὶ τοὔνο-
μα κατηγορεῖ τὸ σὴθ, ᾧ τὸν τυφῶνα καλοῦσι. φράζει μὲν τὸ καταδυναστεῦον καὶ
καταβιαζόμενον, φράζει δὲ τὴν πολλάκις ἀναστροφὴν καὶ πάλιν ὑπερπήδησιν.
βέβωνα δέ τινες μὲν ἕνα τῶν τοῦ τυφῶνος ἑταίρων γεγονέναι λέγουσιν. μανέ-
θως δ᾽ αὐτὸν τυφῶνα καὶ βέβωνα καλεῖσθαι, σημαίνει δὲ τοὔνομα κάθεξιν ἢ κώ-
λυσιν, ὡς τοῖς πράγμασιν ὁδῷ βαδίζουσι καὶ πρὸς ὃ χρὴ φερομένοις, ἐνισταμέ-
νης τῆς τοῦ τυφῶνος δυνάμεως. διὸ καὶ τῶν μὲν ἡμέρων ζῴων ἀπονέμουσιν αὐ-
τῷ τὸ ἀμαθέστατον ὄνον, τῶν δὲ ἀγρίων τὰ θηριωδέστατα, κροκόδειλον, καὶ τὸν
ποτάμιον ἵππον. περὶ μὲν τοῦ ὄνου προδεδηλώκαμεν. ἐν δὲ ἑρμουπόλει τυ-
φῶνος ἄγαλμα δεικνύουσιν ἵππον ποτάμιον, ἐφ᾽ οὗ βέβηκεν ἱέραξ, ὄφει μαχό-
μενος, τῷ μὲν ἵππῳ τὸν τυφῶνα δεικνύντες, τῷ δὲ ἱέρακι δύναμιν καὶ ἀρχήν, ἣν
βίᾳ κτώμενος ὁ τυφὼν πολλάκις οὐκ ἀνιᾶται ταραττόμενος ὑπὸ τῆς κακίας
καὶ ταράττων. διὸ καὶ θύοντες ἑβδόμῃ τοῦ τυβὶ μηνός, ἣν καλοῦσιν ἄφιξιν ἴσι-
δος ἐκ φοινίκης, ἐπιπλάττουσι τοῖς ποπάνοις ἵππον ποτάμιον δεδεμένον.
ἐν δὲ ἀπόλλωνος πόλει νενομισμένον ἐστὶ κροκοδείλου φαγεῖν πάντως ἕκαστον. ἡ-
μέρᾳ δὲ μιᾷ θηρεύσαντες ὅσους ἂν δύνωνται καὶ κτείναντες, ἀπαντικρὺ τοῦ
ἱεροῦ προβάλλουσι καὶ λέγουσιν, ὡς ὁ τυφὼν τὸν ὧρον ἀπέδρα κροκόδειλος γενό-
μενος, πάντα καὶ ζῷα καὶ φυτὰ καὶ πάθη τὰ φαῦλα καὶ βλαβερὰ τυφῶνος ἔργα
καὶ μέρη καὶ κινήματα ποιούμενοι. τὸν δὲ ὄσιριν αὖ πάλιν ὀφθαλμῷ καὶ σκήπτρῳ γρά-
φουσιν, ὧν τὸ μὲν τὴν πρόνοιαν ἐμφαίνει, τὸ δὲ τὴν δύναμιν, ὡς ὅμηρος τὸν ἄρχοντα
καὶ βασιλεύοντα πάντων ζῆν᾽ ὕπατον καὶ μήστωρα καλῶν, ἔοικε τῷ μὲν ὑπά-
τῳ τὸ κράτος αὐτοῦ, τῷ δὲ μήστωρι τὴν εὐβουλίαν καὶ τὴν φρόνησιν σημαίνειν.
γράφουσι καὶ ἱέρακι τὸν θεὸν τοῦτον πολλάκις. εὐτονίᾳ γὰρ ὄψεως ὑπερβάλ-
λει, καὶ πτήσεως ὀξύτητι καὶ διοικεῖν αὑτὸν ἐλαχίστῃ τῇ τροφῇ πέφυκε. λέγεται
δὲ καὶ νεκρῶν ἀτάφων ὄμμασι γῆν ὑπερπετόμενος ἐπιβάλλειν. ὅταν δὲ πιούμε-
νος ἐπὶ τὸν ποταμὸν καταίρῃ, τὸ πτερὸν ἵστησιν ὀρθόν, πιὼν δὲ κλίνει τοῦτο
πάλιν, ᾧ δῆλός ἐστι σεσωσμένος καὶ διαπεφευγὼς τὸν κροκόδειλον. ἁρπα-
σθεὶς γὰρ μένει τὸ πτερὸν ὥσπερ ἔστη πεπηγός. πανταχοῦ δὲ καὶ ἀνθρωπόμορφον ὀ-

σίριδος ἄγαλμα δεικνύουσιν ἐξορθιάζον τῷ αἰδοίῳ, διὰ τὸ γόνιμον καὶ τὸ τρόφιμον. ἀμπεχόνῃ δὲ φλογοειδεῖ στέλλουσιν αὐτοῦ τὰς εἰκόνας, ἥλιον σῶμα τῆς τἀγαθοῦ δυνάμεως ὡς ὁρατὸν οὐσίας νοητῆς ἡγούμενοι. διὸ καὶ καταφρονεῖν ἄξιόν ἐστι τῶν τὴν ἡλίου σφαῖραν τυφῶνι προσνεμόντων, ᾧ λαμπρὸν οὐδὲν οὐδὲ σωτήριον, οὐδὲ τάξις, οὐδὲ γένεσις, οὐδὲ κίνησις μέτρον ἔχουσα καὶ λόγον, ἀλλὰ τἀναντία πρόσεστιν, ἔτι καὶ αὐχμὸν οἷς φθείρει πολλὰ τῶν ζώων καὶ βλαστανόντων, οὐχ ἡλίου θετέον ἔργον, ἀλλὰ τῶν ἐν γῇ καὶ ἀέρι μὴ καθ' ὥραν κεραννυμένων πνευμάτων καὶ ὑδάτων, ὅταν ἡ τῆς ἀτάκτου καὶ ἀορίστου δυνάμεως ἀρχὴ πλημμελήσασα, κατασβέσῃ τὰς ἀναθυμιάσεις. ἐν δὲ τοῖς ἱεροῖς ὕμνοις τοῦ ὀσίριδος ἀνακαλοῦνται τὸν ἐν ταῖς ἀγκάλαις κρυπτόμενον τοῦ ἡλίου, καὶ τῇ τριακάδι τοῦ ἐπιφὶ μηνὸς, ἑορτάζουσιν ὀφθαλμῶν ὥρου γενέθλιον, ὅτε σελήνη καὶ ἥλιος ἐπὶ μιᾶς εὐθείας γεγόνασιν, ὡς οὐ μόνον τὴν σελήνην, ἀλλὰ καὶ τὸν ἥλιον, ὄμμα τοῦ ὥρου καὶ φῶς ἡγούμενοι. τῇ δὲ ὀγδόῃ φθίνοντος τοῦ φαωφὶ βακτηρίας ἡλίου γενέθλια, ἑορτάζουσι μετὰ φθινοπωρινὴν ἰσημερίαν, ἐμφαίνοντες οἷον ὑπερείσματος δεῖσθαι καὶ ῥώσεως, τῷ τε θερμῷ γινόμενον ἐνδεᾶ, καὶ τῷ φωτὶ ἐνδεᾶ κλινόμενον, καὶ πλάγιον ἀφ' ἡμῶν φερόμενον. ἔτι δὲ τὴν βοῦν ὑπὸ τροπὰς χειμερινὰς ἑπτάκις περὶ τὸν ναὸν περιφέρουσι, καὶ καλεῖται ζήτησις ὀσίριδος ἡ περιδρομὴ τοῦ ἡλίου, τὸ ὕδωρ χειμῶνος τῆς θεοῦ ποθούσης. τοσαυτάκις δὲ περίεισιν, ὅτι τὴν ἀπὸ τροπῶν χειμερινῶν ἐπὶ τροπὰς θερινὰς πάροδον, ἑβδόμῳ μηνὶ συμπεραίνει. λέγεται δὲ καὶ θῦσαι τῷ ἡλίῳ τετράδι μηνὸς ἱσταμένου πάντων πρῶτος ὧρος ὁ Ἴσιδος, ὡς ἐν τοῖς ἐπιγραφομένοις γενεθλίοις ὥρου γέγραπται. καὶ μὴν ἡμέρας ἑκάστης τρίχως ἐπιθυμιῶσι τῷ ἡλίῳ, ῥητίνην μὲν ὑπὸ τὰς ἀνατολὰς, σμύρναν δὲ μεσουρανοῦντι, τὸ δὲ καλούμενον κῦφι περὶ δυσμὰς, ὧν ἕκαστον ὃν ἔχει λόγον ὕστερον ἀφηγήσομαι, τὸν δὲ ἥλιον πᾶσι τούτοις προστρέπεσθαι καὶ θεραπεύειν οἴονται. καὶ τί δεῖ πολλὰ τοιαῦτα συνάγειν· εἰσὶ γάρ οἱ τὸν ὄσιριν ἄντικρυς ἥλιον εἶναι καὶ ὀνομάζεσθαι σείριον ὑφ' ἑλλήνων λέγοντες, εἰ καὶ παρ' αἰγυπτίοις ἡ πρόσθεσις τοῦ ἄρθρου τοὔνομα πεποίηκεν ἀμφιγνοεῖσθαι. τὴν δ' Ἶσιν οὐχ ἑτέραν τῆς σελήνης ἀποφαίνοντες ἓν, καὶ τῶν ἀγαλμάτων αὐτῆς, τὰ μὲν κερασφόρα τοῦ μηνοειδοῦς γεγονέναι μιμήματα, τοῖς δὲ μελανοστόλοις ἐμφαίνουσι τὰς κρύψεις καὶ τοὺς περισκιασμοὺς, ἐν οἷς διώκει ποθοῦσα τὸν ἥλιον. διὸ καὶ πρὸς τὰ ἐρωτικὰ τὴν σελήνην ἐπικαλοῦνται, καὶ τὴν Ἶσιν εὔδοξός φησι βραβεύειν τὰ ἐρωτικά. τούτοις μὲν ἄλλως γέ πως τοῦ πιθανοῦ μέτεστι, τῶν δὲ τυφῶνα ποιούντων τὸν ἥλιον, οὐδὲ ἀκούειν ἄξιον, ἀλλ' ἡμεῖς αὖθις τὸν οἰκεῖον ἀναλάβωμεν λόγον. ἡ γὰρ Ἶσις ἐστὶ μὲν τὸ τῆς φύσεως θῆλυ καὶ δεκτικὸν ἁπάσης γενέσεως, καθὸ τιθήνη καὶ πανδεχὴς ὑπὸ τοῦ πλάτωνος, ὑπὸ δὲ τῶν πολλῶν μυριώνυμος κέκληται, διὰ τὸ πάσας ὑπὸ τοῦ λόγου τρεπομένη μορφὰς δέχεσθαι καὶ ἰδέας. ἔχει δὲ σύμφυτον ἔρωτα τοῦ πρώτου καὶ κυριωτάτου πάντων, ὃ τἀγαθῷ ταὐτόν ἐστι, κἀκεῖνο ποθεῖ καὶ διώκει, τὴν δὲ ἐκ τοῦ κακοῦ φεύγει καὶ διωθεῖται μοῖραν. ἀμφοῖν μὲν οὖσα χώρα καὶ ὕλη, ῥέπουσα δὲ ἀεὶ πρὸς τὸ βέλτιον ἐξ ἑαυτῆς καὶ παρέχουσα γεννᾶν ἐκεῖνο καὶ κατασπείρειν εἰς ἑαυτὴν ἀπορροίας καὶ ὁμοιότητας, αἷς χαίρει καὶ γέγηθε κυϊσκομένη καὶ ὑποπιμπλαμένη τῶν γενέσεων. εἰκὼν γάρ ἐστιν οὐσίας ἐν ὕλῃ γένεσις καὶ μίμημα τοῦ ὄντος τὸ γινόμενον. ὅθεν οὐκ ἀπὸ τρόπου μυθολογοῦσι τὴν ὀσίριδος ψυχὴν ἀΐδιον εἶναι καὶ ἄφθαρτον, τὸ δὲ σῶμα πολλάκις διασπᾶν καὶ ἀφανίζειν τὸν τυφῶνα· τὴν δ' Ἶσιν πλανωμένην καὶ ζητεῖν καὶ συναρμόττειν πάλιν, τὸ γὰρ ὂν καὶ νοητὸν καὶ ἀγαθὸν, φθορᾶς καὶ μεταβολῆς κρεῖττόν ἐστι, τινὰς δὲ ἀπ' αὐτοῦ τὸ αἰσθητὸν καὶ σωματικὸν εἰκόνας ἐκμάττεται, καὶ λόγους

εἴδη καὶ ὁμοιότητας ἀναλαμβάνειν, καθάπερ ἐν κηρῷ σφραγῖδες οὐκ ἀεὶ διαμένουσι, ἀλλὰ καταλαμβάνει τὸ ἄτακτον αὐτὰς καὶ ταραχῶδες, ἐνταῦθα τῆς ἄνω χώρας ἀπεληλαμένον καὶ μαχόμενον πρὸς τὸν ὧρον, ὃν ἡ Ἶσις εἰκόνα τοῦ νοητοῦ κόσμου αἰσθητὸν ὄντα γεννᾷ. διὸ καὶ δίκην φεύγειν λέγεται νοθείας ὑπὸ τυφῶνος, ὡς οὐκ ὢν καθαρὸς, οὐδὲ εἰλικρινὴς, οἷος ὁ πατὴρ λόγος αὐτὸς καθ' ἑαυτὸν ἀμιγὴς καὶ ἀπαθὴς, ἀλλὰ νενοθευμένος τῇ ὕλῃ διὰ τὸ σωματικόν. περιγίνεται δὲ καὶ νικᾷ τοῦ ἑρμοῦ, τουτέστι τοῦ λόγου, μαρτυροῦντος καὶ δεικνύοντος, ὅτι πρὸς τὸ νοητὸν ἡ φύσις μετασχηματιζομένη τὸν κόσμον ἀποδίδωσιν. ἡ μὲν γὰρ ἔτι τῶν θεῶν ἐν γαστρὶ τῆς ῥέας ὄντων ἐξ Ἴσιδος καὶ ὀσίριδος γενομένη γένεσις ἀπόλλωνος, αἰνίττεται τὸ πρὶν ἐκφανῆ γενέσθαι τόνδε τὸν κόσμον, καὶ συντελεσθῆναι τοῦ λόγου τὴν ὕλην φύσει ἐλεγχομένην ἐπ' αὐτὴν ἀτελῆ, τὴν πρώτην γένεσιν ἐξενεγκεῖν. διὸ καὶ φασὶ τὸν θεὸν ἐκεῖνον ἀνάπηρον ὑπὸ σκότῳ γενέσθαι καὶ πρεσβύτερον ὧρον καλοῦσιν. οὐ γὰρ ἦν κόσμος, ἀλλ' εἴδωλόν τι καὶ κόσμου φάντασμα μέλλοντος. ὁ δὲ ὧρος οὗτος αὐτός ἐστιν ὡρισμένος καὶ τέλειος, οὐκ ἀνῃρηκὼς τὸν τυφῶνα παντάπασιν, ἀλλὰ τὸ δραστήριον καὶ ἰσχυρὸν αὐτοῦ παρῃρημένος. ὅθεν ἐν κόπτῳ τὸ ἄγαλμα τοῦ ὥρου λέγουσιν ἐν τῇ ἑτέρᾳ χειρὶ τυφῶνος αἰδοῖα κατέχειν, καὶ τὸν ἑρμῆν μυθολογοῦσιν ἐξελόντα τοῦ τυφῶνος τὰ νεῦρα, χορδαῖς χρήσασθαι, διδάσκοντες ὡς τὸ πᾶν ὁ λόγος διαρμοσάμενος, σύμφωνον ἐξ ἀσυμφώνων μερῶν ἐποίησε, καὶ τὴν φθαρτικὴν οὐκ ἀπώλεσεν, ἀλλ' ἀνεπλήρωσε δύναμιν. ὅθεν ἐκείνη μὲν ἀσθενὴς καὶ ἀδρανὴς ἐνταῦθα φυρομένη καὶ προσπλεκομένη τοῖς παθητικοῖς καὶ μεταβολικοῖς μέλεσι, σεισμῶν μὲν ἐν γῇ καὶ τρόμων, αὐχμῶν, καὶ ἐν ἀέρι καὶ πνευμάτων ἀτόπων, αὖθις δὲ πρηστήρων καὶ κεραυνῶν δημιουργός ἐστι, φαρμάττει δὲ καὶ λοιμοῖς ὕδατα καὶ πνεύματα καὶ μέχρι σελήνης ἀνατρέχει καὶ ἀναχαιτίζει, συνέχουσα καὶ μελαίνουσα πολλάκις τὸ λαμπρὸν, ὡς αἰγύπτιοι νομίζουσι καὶ λέγουσιν, ὅτι τοῦ ὥρου νῦν μὲν ἐπάταξε, νῦν δὲ ἐξελὼν κατέπιεν ὁ τυφὼν τὸν ὀφθαλμὸν, εἶτα τῷ ἡλίῳ πάλιν ἀπέδωκε, πληγὴν μὲν αἰνιττόμενοι τὴν κατὰ μῆνα μείωσιν τῆς σελήνης, πήρωσιν δὲ τὴν ἔκλειψιν, ἣν ὁ ἥλιος ἰᾶται διαφυγούσης τὴν σκιὰν τῆς γῆς, εὐθὺς ἀντιλάμπων. ἡ δὲ κρείττων καὶ θειοτέρα φύσις, ἐκ τριῶν ἐστι τοῦ νοητοῦ καὶ τῆς ὕλης καὶ τοῦ ἐκ τούτων ὃν κόσμον ἕλληνες ὀνομάζουσιν. ὁ μὲν οὖν πλάτων, τὸ μὲν νοητὸν καὶ ἰδέαν καὶ παράδειγμα καὶ πατέρα, τὴν δὲ ὕλην καὶ μητέρα καὶ τιθήνην ἕδραν τε καὶ χώραν γενέσεως, τὸ δὲ ἐξ ἀμφοῖν, ἔγγονον καὶ γένεσιν ὀνομάζειν εἴωθεν. αἰγυπτίους δὲ ἄν τις εἰκάσειε τῶν τριγώνων τὸ κάλλιστον μάλιστα τούτῳ τὴν τοῦ παντὸς φύσιν ὁμοιοῦντας, ᾧ καὶ πλάτων ἐν τῇ πολιτείᾳ δοκεῖ τούτῳ προσκεχρῆσθαι, τὸ γαμήλιον διάγραμμα συντάττων. ἔχει δὲ ἐκεῖνο τὸ τρίγωνον, τριῶν τὴν πρὸς ὀρθίαν καὶ τεττάρων τὴν βάσιν καὶ πέντε τὴν ὑποτείνουσαν ἴσον ταῖς περιεχούσαις δυναμένην. εἰκαστέον οὖν τὴν μὲν πρὸς ὀρθὰς ἄρρενι, τὴν δὲ βάσιν θηλείᾳ, τὴν δὲ ὑποτείνουσαν ἀμφοῖν ἐγγόνῳ, καὶ τὸν μὲν ὄσιριν ὡς ἀρχὴν, τὴν δ' Ἶσιν ὡς ὑποδοχὴν, τὸν δὲ ὧρον ὡς ἀποτέλεσμα. τὰ μὲν γὰρ τρία, πρῶτος περιττός ἐστι καὶ τέλειος. τὰ δὲ τέτταρα, τετράγωνος ἀπὸ πλευρᾶς ἀρτίου τῆς δυάδος, τὰ δὲ πέντε, πῆ μὲν τῷ πατρὶ, πῆ δὲ τῇ μητρὶ προσέοικεν, ἐκ τριάδος συγκείμενα καὶ δυάδος. καὶ τὰ πάντα τῶν πέντε γέγονε παρώνυμα, καὶ τὸ ἀριθμήσασθαι πεμπάσασθαι λέγουσιν.

ποιεῖ δὲ τετράγωνον ἡ πεντὰς ἀφ' ἑαυτῆς, ὅσον τῶν γραμμάτων παρ' αἰγυπτίοις τὸ πλῆθός ἐστι, καὶ ὅσων ἐνιαυτῶν ἔζη χρόνον, ὁ ἄπις. τὸν μὲν οὖν ὧρον εἰώθασιν, καὶ μὲν προσαγορεύειν ὅπερ ἐστὶν ὁρώμενον· αἰσθητὸν γὰρ καὶ ὁρατὸν ὁ κόσμος· ἡ δ' Ἶσις ἐστὶν ὅτε καὶ μοὺθ καὶ πάλιν ἀθυρὶ καὶ μεθύερ προσαγορεύουσι· σημαίνουσι

δὲ τῷ μὲν πρώτῳ τῶν ὀνομάτων μητέρα, τῷ δὲ δευτέρῳ, οἶκον ὥρου κόσμιον, ὡς καὶ πλάτων χώραν γενέσεως καὶ δεξαμενήν, τὸ δὲ τρίτον σύνθετόν ἐστιν ἔκ τε τοῦ πλήρους καὶ τοῦ αἰτίου. πλήρης γάρ ἐστιν ἡ ὕλη τοῦ κόσμου, καὶ τῷ ἀγαθῷ καὶ καθαρῷ καὶ κεκοσμημένῳ σύνεστιν. δόξειε δ' ἂν ἴσως καὶ ἡσίοδος τὰ πρῶτα πάντα χάος καὶ γῆν καὶ τάρταρον καὶ ἔρωτα ποιῶν, οὐχ ἑτέρας λαμβάνειν ἀρχάς, ἀλλὰ ταύτας γε δὴ τῶν ὀνομάτων, τῇ μὲν ἴσιδι τὸ τῆς γῆς, τῷ δὲ ὀσίριδι τὸ τοῦ ἔρωτος, τῷ δὲ τυφῶνι τὸ τοῦ ταρτάρου μεταλαμβάνοντες, ὡς ἀποδιδόμενα. τὸ γὰρ χάος δοκεῖ χώραν τινὰ καὶ τόπον τοῦ παντὸς ὑποτίθεσθαι. προσκαλεῖται δὲ καὶ τὸν πλάτωνος ἁμωσγέπως τὰ πράγματα μῦθον, ὃν σωκράτης ἐν συμποσίῳ περὶ τῆς τοῦ ἔρωτος γενέσεως διῆλθε, τὴν πενίαν λέγων τέκνων δεομένην τῷ πόρῳ καθεύδοντι παρακλιθῆναι καὶ κυήσασαν ἐξ αὐτοῦ τεκεῖν τὸν ἔρωτα, φύσει μακρὸν ὄντα καὶ παντοδαπόν, ἅτε δὴ πατρὸς μὲν ἀγαθοῦ καὶ σοφοῦ καὶ πᾶσιν αὐτάρκους, μητρὸς δὲ ἀμηχάνου καὶ ἀπόρου καὶ δι' ἔνδειαν ἀεὶ γλιχομένης ἑτέρου, καὶ περὶ ἕτερον λιπαρούσης γεγενημένον. ὁ γὰρ πόρος οὐχ ἕτερός ἐστιν τοῦ πρώτου ἐραστοῦ καὶ ἐφετοῦ καὶ τελείου καὶ αὐτάρκους. πενίαν δὲ τὴν ὕλην προσεῖπεν, ἐνδεᾶ μὲν οὖσαν αὐτὴν καθ' ἑαυτὴν τοῦ ἀγαθοῦ, πληρουμένην δὲ ὑπ' αὐτοῦ καὶ ποθοῦσαν ἀεὶ καὶ μεταλαμβάνουσαν. ὁ δὲ γινόμενος ἐκ τούτων κόσμος καὶ ὧρος, οὐκ ἀΐδιος οὐδὲ ἀπαθής, οὐδὲ ἄφθαρτος, ἀλλ' ἀειγενὴς ὤν, μηχανᾶται ταῖς τῶν παθῶν μεταβολαῖς καὶ περιόδοις ἀεὶ νέος καὶ μηδέποτε φθαρησόμενος διαμένειν. χρηστέον δὲ τοῖς μύθοις, οὐχ ὡς λόγοις πάμπαν οὖσιν, ἀλλὰ τὸ πρόσφορον ἑκάστου τὸ κατὰ τὴν ὁμοιότητα λαμβάνοντας. ὅταν οὖν ὕλην λέγωμεν, οὐ δεῖ πρὸς ἐνίων φιλοσόφων δόξας ἀποφερομένους, ἄψυχόν τι σῶμα καὶ ἄποιον ἀργόν τε καὶ ἄπρακτον ἐξ ἑαυτοῦ διανοεῖσθαι. καὶ γὰρ ἔλαιον ὕλην μύρου καλοῦμεν, καὶ χρυσὸν ἀγάλματος οὐκ ὄντα πάσης ἔρημα ὁμοιότητος, αὐτήν τε τὴν ψυχὴν καὶ τὴν διάνοιαν τοῦ ἀνθρώπου, ὡς ὕλην ἐπιστήμης καὶ ἀρετῆς τῷ λόγῳ κοσμεῖν καὶ ῥυθμίζειν παρέχομεν. τόν τε νοῦν ἔνιοι τόπον εἰδῶν ἀπεφήναντο, καὶ τῶν νοητῶν οἷον ἐκμαγεῖον. ἔνιοι δὲ καὶ τὸ σπέρμα τῆς γυναικός, οὐ δύναμιν οὐδὲ ἀρχήν, ὕλην δὲ καὶ τροφὴν γενέσεως εἶναι δοξάζουσιν. ὧν ἐχομένους χρὴ καὶ τὴν θεὸν ταύτην οὕτω διανοεῖσθαι τοῦ πρώτου θεοῦ μεταλαγχάνουσαν ἀεὶ καὶ συνοῦσαν ἔρωτι τῶν περὶ ἐκεῖνον ἀγαθῶν καὶ καλῶν οὐχ ὑπεναντίαν, ἀλλ' ὥσπερ ἄνδρα νόμιμον καὶ δίκαιον ἐρᾶν ἐν δικαιοσύνῃ, καὶ γυναῖκα χρηστὴν ἔχουσαν ἄνδρα καὶ συνοῦσαν, ὅμως ποθεῖν λέγομεν, οὕτως ἀεὶ γλιχομένην ἐκείνου, καὶ περὶ ἐκεῖνον παροῦσαν καὶ ἀναπιμπλαμένην τοῖς κυριωτάτοις μέρεσιν καὶ καθαρωτάτοις. ὅπου δὲ ὁ τυφὼν παρεμπίπτει τῶν ἐσχάτων ἁπτόμενος, ἐνταῦθα δοκοῦσαν ἐπισκυθρωπάζειν καὶ πενθεῖν λεγομένην, καὶ λείψανα ἄττα καὶ σπαράγματα τοῦ ὀσίριδος ἀναζητεῖν καὶ στολίζειν ὑποδεχομένην τὰ φθειρόμενα καὶ ἀποκρύπτουσαν, ὥσπερ ἀναφαίνει πάλιν τὰ γινόμενα, καὶ ἀνίησιν ἐξ ἑαυτῆς. οἱ μὲν γὰρ ἐν οὐρανῷ καὶ ἄστροις λόγοι καὶ εἴδη καὶ ἀπόρροιαι τοῦ θεοῦ μένουσι, τὰ δὲ τοῖς παθητικοῖς διεσπαρμένα γῇ καὶ θαλάττῃ καὶ φυτοῖς καὶ ζώοις διαλεγόμενα καὶ φθειρόμενα καὶ θαπτόμενα καὶ πολλάκις αὖθις ἐκλάμπει καὶ ἀναφαίνεται ταῖς γενέσεσι. διὸ τὸν τυφῶνα τῇ νέφθυι συνοικεῖν φησὶν ὁ μῦθος, τὸν δὲ ὄσιριν κρύφα συγγενέσθαι. τὰ γὰρ ἔσχατα μέρη τῆς ὕλης, ἃ νέφθυν καὶ τελευτὴν καλοῦσιν, ἡ φθαρτικὴ μάλιστα κατέχει δύναμις, ἡ δὲ γόνιμος καὶ σωτήριος, ἀσθενὲς σπέρμα καὶ ἀμαυρὸν εἰς ταῦτα διαδίδωσιν, ἀπολλύμενον ὑπὸ τοῦ τυφῶνος, πλὴν ὅσον ἡ ἶσις ὑπολαμβάνουσα, σώζει καὶ τρέφει καὶ συνίστησι. καθόλου δὲ ἀμείνων οὗτός ἐστιν, ὥσπερ καὶ πλάτων ὑπονοεῖ καὶ ἀρι-

στοτέλης. κινεῖται δὲ τῆς φύσεως τὸ μὲν γόνιμον καὶ σωτήριον ἐπ' αὐτὸν καὶ πρὸς τὸ εἶναι, τὸ δὲ ἀναιρετικὸν καὶ φθαρτικὸν ὑπ' αὐτοῦ καὶ πρὸς τὸ μὴ εἶναι. διὸ τὸ μὲν ἶσιν καλοῦσι παρὰ τὸ ἵεσθαι μετ' ἐπιστήμης καὶ φέρεσθαι, κίνησιν οὖσαν ἔμψυχον καὶ φρόνιμον. οὐ γάρ ἐστι τοὔνομα βαρβαρικόν, ἀλλ' ὥσπερ τοῖς θεοῖς πᾶσιν ἀπὸ δυεῖν γραμμάτων τοῦ θεατοῦ καὶ τοῦ θέοντός ἐστιν ὄνομα κοινόν, οὕτω τὴν θεὸν ταύτην ἀπὸ τῆς ἐπιστήμης ἅμα καὶ τῆς κινήσεως, ἶσιν μὲν ἡμεῖς, ἶσιν δ' αἰγύπτιοι καλοῦσιν. οὕτω δὲ καὶ πλάτων φησί, τὴν ὁσίαν δηλοῦντας τοὺς παλαιούς, ἰσίαν καλοῦντας, οὕτω καὶ τὴν νόησιν καὶ τὴν φρόνησιν, ὡς νοῦ φορὰν καὶ κίνησιν οὖσαν, ἱεμένου καὶ φερομένου, καὶ τὸ συνιέναι καὶ τἀγαθὸν ὅλως, καὶ ἀρετὴν ἐπὶ τοῖς εὔρουσι καὶ θέουσι θέσθαι, καθάπερ αὖ πάλιν τοῖς ἀντιφωνοῦσιν ὀνόμασι λοιδορεῖσθαι τῶν κατὰ τὸ τὴν φύσιν ἐμποδίζον καὶ συνδέον καὶ ἴσχον καὶ κωλύον ἵεσθαι καὶ ἰέναι, κακίαν, ἀπορίαν, δειλίαν, ἀνίαν προσαγορευόντων. ὁ δὲ ὄσιρις, ἐκ τοῦ ὁσίου ἱεροῦ τοὔνομα μεμιγμένον ἔσχηκε. κοινὸς γάρ ἐστι τῶν ἐν οὐρανῷ καὶ τῶν ἐν ᾅδου λόγος. ὧν τὰ μὲν, ἱερά, τὰ δὲ, ὅσια τοῖς παλαιοῖς ἦν προσαγορεύειν. ὁ δὲ ἀναφαίνων τὰ οὐράνια καὶ τῶν ἄνω φερομένων ἄνουβις λόγος, ἔστι δὲ, ὅτε καὶ ἑρμάνουβις ὀνομάζεται, τὸ μὲν ὡς τοῖς ἄνω, τὸ δὲ ὡς τοῖς κάτω προσήκων. διὸ καὶ θύουσιν αὐτῷ, τὸν μὲν, λευκὸν ἀλεκτρυόνα, τὸν δὲ, κροκίαν, τὰ μὲν, εἰλικρινῆ καὶ φανά, τὰ δὲ μικτὰ καὶ ποικίλα νομίζοντες. οὐ δεῖ δὲ θαυμάζειν τῶν ὀνομάτων τὴν εἰς τὸ ἑλληνικὸν ἀνάπλασιν. καὶ γὰρ ἄλλα μυρία τοῖς μεθισταμένοις ἐκ τῆς ἑλλάδος συνεκπεσόντα, μέχρι νῦν παραμένει καὶ ξενιτεύει παρ' ἑτέροις, ὧν ἔνια τὴν ποιητικὴν ἀνακαλουμένην διαβάλλουσιν, ὡς βαρβαρίζουσαν οἱ γλώττας τὰς τοιαύτας προσαγορεύοντες. ἐν δὲ ταῖς ἑρμοῦ λεγομέναις βίβλοις ἱστοροῦσι γεγράφθαι περὶ τῶν ἱερῶν ὀνομάτων, ὅτι τὴν μὲν ἐπὶ τῆς τοῦ ἡλίου περιφορᾶς τεταγμένην δύναμιν ὧρον, ἕλληνες δὲ ἀπόλλωνα καλοῦσι. τὴν δὲ ἐπὶ τοῦ πνεύματος, οἱ μὲν ὄσιριν, οἱ δὲ σάραπιν, οἱ δὲ, σωθὶ αἰγυπτιστί, σημαίνει κύησιν ἢ τὸ κύειν. διὸ καὶ παρατροπῆς γενομένης τοῦ ὀνόματος, ἑλληνιστὶ κύων κέκληται τὸ ἄστρον, ὅπερ ἴδιον τῆς ἴσιδος νομίζουσιν. ἥκιστα μὲν οὖν δεῖ φιλοτιμεῖσθαι περὶ τῶν ὀνομάτων, οὐ μὴν ἀλλὰ μᾶλλον ὑφειμένην τοῦ σαράπιδος αἰγυπτίοις ἢ τοῦ ὀσίριδος. ἐκεῖνο μὲν οὖν ξενικόν, τοῦτο δὲ ἑλληνικόν, ἄμφω δὲ ἑνὸς θεοῦ καὶ μιᾶς δυνάμεως ἡγούμενος. ἔοικε δὲ τούτοις καὶ τὰ αἰγύπτια. τὴν μὲν γὰρ ἶσιν πολλάκις, τῷ τῆς ἀθηνᾶς ὀνόματι καλοῦσι φράζοντι τοιοῦτον λόγον, ἦλθον ἀπ' ἐμαυτῆς, ὅπερ ἐστὶν αὐτοκινήτου φορᾶς δηλωτικόν, ὁ δὲ τυφὼν ὥσπερ εἴρηται, σὴθ, καὶ βέβων, καὶ σμὺ, ὀνομάζεται. βίαιόν τινα καὶ κωλυτικὴν ἐπίσχεσιν, ὑπεναντίωσιν, ἢ ἀναστροφὴν ἐμφαίνειν βουλομένων τῶν ὀνομάτων. ἔτι τὴν σιδηρῖτιν λίθον ὀστέον ὥρου, τυφῶνος δὲ τὸν σίδηρον, ὡς ἱστορεῖ μανέθως, καλοῦσιν. ὥσπερ γὰρ ὁ σίδηρος πολλάκις μὲν ἑλκομένῳ καὶ ἑπομένῳ πρὸς τὴν λίθον ὅμοιός ἐστιν, πολλάκις δὲ ἀποστρέφεται καὶ ἀποκρούεται πρὸς τοὐναντίον, οὕτως ἡ σωτήριος καὶ ἀγαθὴ καὶ λόγον ἔχουσα τοῦ κόσμου κίνησις, ἐπιστρέφεταί τε καὶ προσάγεται καὶ μαλακώτερον ποιεῖ πείθουσα τὴν σκληρὰν ἐκείνην καὶ τυφώνιον, εἶτ' αὖθις ἀναχεθεῖσα εἰς ἑαυτὸν ἀνέστρεψε καὶ κατέδυσεν εἰς τὴν ἀπορίαν. ἔτι φησὶ περὶ τοῦ διὸς ὁ εὔδοξος μυθολογεῖν αἰγυπτίους, ὡς τῶν σκελῶν συμπεφυκότων αὐτῷ μὴ δυνάμενος βαδίζειν ὑπ' αἰσχύνης ἐρημίᾳ διέτριβεν. ἡ δὲ ἶσις διατεμοῦσα καὶ διαστήσασα τὰ μέρη ταῦτα τοῦ σώματος, ἀρτίποδα τὴν πορείαν παρέσχεν. αἰνίττεται δὲ καὶ διὰ τούτων ὁ μῦθος, ὅτι καθ' ἑαυτὸν ὁ τοῦ θεοῦ νοῦς καὶ λόγος, ἐν τῷ ἀοράτῳ καὶ ἀφανεῖ βεβηκώς, εἰς γένεσιν ὑπὸ κινήσεως προῆλθεν. ἐμφαίνει καὶ τὸ σεῖστρον, ὅτι σείεσθαι δεῖ

τὰ ὄντα καὶ μηδέποτε παύεσθαι φορᾶς, ἀλλ' οἷον ἐξεγείρεσθαι καὶ κλονεῖσθαι καταδαρθάνοντα καὶ μαραινόμενα. τὸν γὰρ τυφῶνά φασι τοῖς σείστροις ἀποτρέπειν καὶ ἀποκρούεσθαι, δηλοῦντες ὅτι τῆς φθορᾶς συνδεούσης καὶ ἱστάσης, αὖθις ἀναλύει τὴν φύσιν καὶ ἀνίστησι διὰ τῆς κινήσεως ἡ γένεσις. τοῦ δὲ σείστρου περιφεροῦς ἄνωθεν ὄντος, ἡ ἁψὶς περιέχει τὰ σειόμενα τέτταρα. καὶ γὰρ ἡ γεννωμένη καὶ φθειρομένη μοῖρα τοῦ κόσμου περιέχεται μὲν ὑπὸ τῆς σεληνιακῆς σφαίρας, κινεῖται δὲ ἐν αὐτῇ πάντα καὶ μεταβάλλεται διὰ τῶν τεττάρων στοιχείων, πυρὸς, καὶ γῆς, καὶ ὕδατος, καὶ ἀέρος, τῇ δὲ ἁψῖδι τοῦ σείστρου κατὰ κορυφὴν ἐντορεύουσιν αἴλουρον ἀνθρώπου πρόσωπον ἔχοντα, κάτω δὲ ὑπὸ τὰ σειόμενα, πῆ μὲν ἴσιδος, πῆ δὲ νέφθυος πρόσωπον, αἰνιττόμενοι τοῖς μὲν προσώποις γένεσιν καὶ τελευτήν, αὗται γάρ εἰσι τῶν στοιχείων μεταβολαὶ καὶ κινήσεις, τῷ δὲ αἰλούρῳ τὴν σελήνην διὰ τὸ ποικίλον καὶ νυκτουργὸν καὶ γόνιμον τοῦ θηρίου. λέγεται γὰρ ἓν τίκτειν, εἶτα δύο καὶ τρία καὶ τέσσαρα καὶ πέντε, καὶ καθ' ἓν οὕτως ἄχρι τῶν ἑπτὰ προστίθησιν, ὥστε ὀκτὼ καὶ εἴκοσι τὰ πάντα τίκτειν ὅσα καὶ τῆς σελήνης φῶτά ἐστιν. τοῦτο μὲν οὖν ἴσως μυθωδέστερον, αἱ δὲ ἐν τοῖς ὄμμασιν αὐτοῦ κόραι πληροῦσθαι μὲν καὶ πλατύνεσθαι δοκοῦσιν ἐν πανσελήνῳ, λεπτύνεσθαι δὲ καὶ μαραυγεῖν ἐν ταῖς μειώσεσι τοῦ ἄστρου, τῷ δὲ ἀνθρωπομόρφῳ τοῦ αἰλούρου τὸ νοερὸν καὶ λογικὸν ἐμφαίνεται τῶν περὶ τὴν σελήνην μεταβολῶν. συνελόντι δὲ εἰπεῖν, οὔτε ὕδωρ, οὔτε ἥλιον, οὔτε γῆν, οὔτε οὐρανὸν, ὄσιριν ἢ ἶσιν ὀρθῶς ἔχειν νομίζειν, οὔτε πῦρ τυφῶνα πάλιν, οὔτ' αὐχμὸν, οὐδὲ θάλατταν, ἀλλ' ἁπλῶς ὅσον ἐστὶν ἐν τούτοις ἄμετρον καὶ ἄτακτον ὑπερβολαῖς ἢ ἐνδείαις τυφῶνι προσνέμοντες, τὸ δὲ κεκοσμημένον καὶ ἀγαθὸν καὶ ὠφέλιμον, ὡς ἴσιδος μὲν ἔργον, εἰκόνα δὲ καὶ μίμημα καὶ λόγον ὀσίριδος, σεβόμενοι καὶ τιμῶντες, οὐκ ἂν ἁμαρτάνοιμεν, ἀλλὰ καὶ τὸν εὔδοξον ἀπιστοῦντα παύσομεν, καὶ διαποροῦντα, πῶς οὔτε δήμητρι τῆς τῶν ἐρωτικῶν ἐπιμελείας μέτεστιν, ἀλλ' ἴσιδι, τόν τε διόνυσον οὐ τὸν νεῖλον αὔξειν, οὔτε τῶν τεθνηκότων ἄρχειν δυνάμενον. ἑνὶ γὰρ λόγῳ κοινῷ τοὺς θεοὺς τούτους περὶ πᾶσαν ἀγαθοῦ μοῖραν ἡγούμεθα τετάχθαι, καὶ πᾶν ὅσον ἔνεστι τῇ φύσει καλὸν καὶ ἀγαθὸν, διὰ τούτους ὑπάρχειν, τὸν μὲν διδόντα τὰς ἀρχὰς, τὴν δὲ ὑποδεχομένην καὶ διανέμουσαν. οὕτω δὲ καὶ τοῖς πολλοῖς καὶ φορτικοῖς ἐπιχειρήσομεν, εἴτε ταῖς καθ' ὥραν μεταβολαῖς τοῦ περιέχοντος, εἴτε ταῖς καρπῶν γενέσεσι καὶ σποραῖς καὶ ἀρότοις χαίρουσι, τὰ περὶ τοὺς θεοὺς τούτους συνοικειοῦντες καὶ λέγοντες, θάπτεσθαι μὲν τὸν ὄσιριν, ὅτε κρύπτεται τῇ γῇ σπειρόμενος ὁ καρπὸς, αὖθις δὲ ἀναβιοῦσθαι καὶ ἀναφαίνεσθαι, ὅτε βλαστήσεως ἀρχή. διὸ καὶ λέγεσθαι τὴν ἶσιν αἰσθομένην ὅτι κύει περιάψασθαι φυλακτήριον, ἕκτῃ μηνὸς ἱσταμένου φαωφὶ, τίκτεσθαι δὲ τὸν ἁρποκράτην περὶ τροπὰς χειμερινὰς, ἀτελῆ καὶ νεαρὸν ἐν τοῖς προανθοῦσι καὶ προβλαστάνουσι. διὸ καὶ φακῶν αὐτῷ φυομένων ἀπαρχὰς ἐπιφέρουσι, τὰς δὲ λοχείους ἡμέρας ἑορτάζειν μετὰ τὴν ἐαρινὴν ἰσημερίαν. ταῦτα γὰρ ἀκούοντες ἀγαπῶσι καὶ πιστεύουσιν αὐτόθεν ἐκ τῶν προχείρων καὶ συνήθων τὸ πιθανὸν ἕλκοντες, καὶ δεινὸν οὐδὲν ἂν πρῶτον μὲν ἡμῖν τοὺς θεοὺς φυλάττωσι κοινοὺς καὶ μὴ ποιῶσιν αἰγυπτίων ἰδίους, μηδὲ νεῖλον, ἥν τε νεῖλος ἄρδει μόνην χώραν τοῖς ὀνόμασι τούτοις καταλαμβάνοντες, μηδὲ ἕλη, μηδὲ λωτοὺς, μηδὲ θεοποιΐαν λέγοντες, ἀποστερῶσι μεγάλων θεῶν τοὺς ἄλλους ἀνθρώπους, οἷς νεῖλος μὲν οὐκ ἔστιν, οὐδὲ βοῦτος οὐδὲ μέμφις, ἶσιν δὲ καὶ τοὺς περὶ αὐτὴν θεοὺς ἔχουσι καὶ γινώσκουσιν ἅπαντες, ἐνίους μὲν οὐ πάλαι τοῖς παρ' αἰγυπτίων ὀνόμασι καλεῖν μεμαθηκότες, ἑκάστου δὲ τὴν δύναμιν ἐξ ἀρχῆς ἐπιστάμενοι καὶ τιμῶντες. δεύτερον δὲ ὃ

μεῖζόν ἐστιν, ὅπως σφόδρα προσέξουσι καὶ φοβήσονται, μὴ λάθωσιν εἰς πνεύματα, καὶ ῥεύματα, καὶ σπόρους, καὶ ἀρότους, καὶ πάθη γῆς καὶ μεταβολὰς ὡρῶν διαγράφοντες τὰ θεῖα καὶ διαλύοντες· ὥσπερ οἱ διόνυσον τὸν οἶνον, ἥφαιστον δὲ τὴν φλόγα, φερσεφόνην δέ φησί που κλεάνθης τὸ διὰ τῶν καρπῶν φερόμενον καὶ φονευόμενον πνεῦμα. ποιητὴς δέ τις ἐπὶ τῶν θεριζόντων·

» τῆμος ὅτ' αἰζηοὶ δημήτερα κωλοτομεῦσιν.

οὐδὲν γὰρ οὗτοι διαφέρουσι τῶν ἱστία καὶ κάλους καὶ ἄγκυραν ἡγουμένων, κυβερνήτην, καὶ νήματα καὶ κρόκας, ὑφάντην, καὶ σπονδεῖον ἢ μελίκρατον ἢ πτισάνην, ἰατρὸν, ἀλλὰ δεινὰς καὶ ἀθέους ἐμποιοῦσι δόξας, ἀναισθήτοις καὶ ἀψύχοις καὶ φθειρομέναις ἀναγκαίως ὑπ' ἀνθρώπων δεομένων καὶ χρωμένων φύσεσι καὶ πράγμασιν, ὀνόματα θεῶν ἐπιφέροντες. ταῦτα μὲν γὰρ αὐτὰ νοῆσαι θεοὺς οὐκ ἔστιν. οὐ γὰρ ἄνουν οὐδὲ ἄψυχον ἀνθρώποις ὁ θεὸς ὑποχείριον, ἀπὸ τούτων δὲ τοὺς χρωμένους αὐτοῖς καὶ δωρουμένους ἡμῖν, καὶ παρέχοντας ἀέναα καὶ διαρκῆ, θεοὺς ἐνομίσαμεν, οὐχ ἑτέρους παρ' ἑτέροις, οὐδὲ βαρβάρους καὶ ἕλληνας, οὐδὲ νοτίους καὶ βορείους, ἀλλ' ὥσπερ ἥλιος καὶ σελήνη καὶ οὐρανὸς καὶ γῆ καὶ θάλασσα κοινὰ πᾶσιν, ὀνομάζεται δὲ ἄλλως ὑπ' ἄλλων, οὕτως ἑνὸς λόγου τοῦ ταῦτα κοσμοῦντος καὶ μιᾶς προνοίας ἐπιτροπευούσης, καὶ δυνάμεων ὑπουργῶν ἐπὶ πάντας τεταγμένων, ἕτεραι παρ' ἑτέροις κατὰ νόμους γεγόνασι τιμαὶ καὶ προσηγορίαι, καὶ συμβόλοις χρῶνται, καθιερωμένοι μὲν ἀμυδροῖς, οἱ δὲ τρανοτέροις ἐπὶ τὰ θεῖα τὴν νόησιν ὁδηγοῦντες οὐκ ἀκινδύνως. ἔνιοι γὰρ ἀποσφαλέντες παντάπασιν εἰς δεισιδαιμονίαν ὤλισθον· οἱ δὲ φεύγοντες ὥσπερ ἕλος τὴν δεισιδαιμονίαν, ἔλαθον αὖθις ὥσπερ εἰς κρημνὸν ἐμπεσόντες τὴν ἀθεότητα. διὸ δεῖ μάλιστα πρὸς ταῦτα λόγον ἐκ φιλοσοφίας μυσταγωγὸν ἀναλαβόντας ὁσίως διανοεῖσθαι τῶν λεγομένων καὶ δρωμένων ἕκαστον, ἵνα μὴ καθάπερ θεόδωρος εἶπε τοὺς λόγους, αὐτοῦ τῇ δεξιᾷ προτείνοντος, ἐνίους τῇ ἀριστερᾷ δέχεσθαι τῶν ἀκροωμένων, οὕτως ἡμεῖς ἃ καλῶς οἱ νόμοι περὶ τὰς θυσίας καὶ τὰς ἑορτὰς ἔταξαν ἑτέρως ὑπολαμβάνοντες, ἐξαμάρτωμεν. ὅτι γὰρ ἐπὶ τὸν λόγον ἀνοιστέον ἅπαντα, καὶ παρ' αὐτῶν ἐκείνων ἔστι λαβεῖν, τῇ μὲν γὰρ ἐνάτῃ ἐπὶ δέκα τοῦ πρώτου μηνὸς ἑορτάζοντες τῷ ἑρμῇ, μέλι καὶ σῦκον ἐσθίουσιν, ἐπιλέγοντες, γλυκὺ ἡ ἀλήθεια. τὸ δὲ τῆς ἴσιδος φυλακτήριον ὃ περιάπτεσθαι μυθολογοῦσιν αὐτὴν, ἐξερμηνεύεται φωνὴ ἀληθής. τὸν δὲ καρποκράτην οὔτε θεὸν ἀτελῆ καὶ νήπιον, οὔτε χεδροπῶν τινα νομιστέον, ἀλλὰ τοῦ περὶ θεῶν ἐν ἀνθρώποις λόγου νεαροῦ καὶ ἀτελοῦς καὶ ἀδιαρθρώτου προστάτην καὶ σωφρονιστήν. διὸ τῷ στόματι τὸν δάκτυλον ἔχει προσκείμενον ἐχεμυθίας καὶ σιωπῆς σύμβολον, ἐν δὲ τῷ μεσορὴ μηνὶ τῶν χεδροπῶν ἐπιφέροντες λέγουσιν, γλῶσσα τύχη, γλῶσσα δαίμων. τῶν δ' ἐν αἰγύπτῳ φυτῶν, μάλιστα τῇ θεῷ καθιερῶσθαι λέγουσι τὴν περσέαν, ὅτι καρδίᾳ μὲν ὁ καρπὸς αὐτῆς, γλώττῃ δὲ τὸ φύλλον ἔοικεν. οὐδὲν γὰρ ὧν ἄνθρωπος ἔχειν πέφυκε, θειότερον λόγου καὶ μάλιστα τῶν περὶ θεῶν, οὐδὲ μείζονα ῥοπὴν ἔχει πρὸς εὐδαιμονίαν. διὸ τῷ μὲν εἰς τὸ χρηστήριον ἐνταῦθα κατιόντι παρεγγυῶμαι, ὅσια φρονεῖν, εὔφημα λέγειν, οἱ δὲ πολλοὶ, γελοῖα δρῶσιν ἐν ταῖς πομπαῖς καὶ ταῖς ἑορταῖς εὐφημίαν προκηρύττοντες, εἶτα περὶ τῶν θεῶν αὐτῶν τὰ δυσφημότατα καὶ λέγοντες καὶ διανοούμενοι. πῶς οὖν χρηστέον ἐστὶ ταῖς σκυθρωπαῖς καὶ ἀγελάστοις καὶ πενθίμοις θυσίαις, εἰ μήτε παραλιπεῖν τὰ νενομισμένα καλῶς ἔχει, μήτε φύρειν τὰς περὶ θεῶν δόξας, καὶ συνταράττειν ὑποψίαις ἀτόποις; καὶ παρ' ἕλλησιν ὅμοια πολλὰ γίνεται περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον, οἷς αἰγύπτιοι δρῶσιν ἐν τοῖς ἐσίοις. καὶ γὰρ ἀθήνησι νηστεύουσιν αἱ γυναῖκες ἐν θεσμοφορίοις χαμαὶ καθήμεναι. καὶ βοιωτοὶ τὰ τῆς ἀχαιᾶς μέγαρα κινοῦσιν ἐπαχθῆ τὴν ἑορτὴν

ἐκείνην ὀνομάζοντες, ὡς διὰ τὴν τῆς κόρης κάθοδον ἐν ἄχει τῆς Δήμητρος οὔσης. ἔστι δ' ὁ μὴν οὗτος περὶ πλειάδα σπόριμος, ὃν Ἀθὺρ Αἰγύπτιοι, Πυανεψιῶνα δὲ Ἀθηναῖοι, Βοιωτοὶ δὲ Δαμάτριον καλοῦσι. τοὺς δὲ πρὸς ἑσπέραν οἰκοῦντας, ἱστορεῖ Θεόπομπος ἡγεῖσθαι καὶ καλεῖν, τὸν μὲν χειμῶνα Κρόνον, τὸ δὲ θέρος Ἀφροδίτην, τὸ δὲ ἔαρ Περσεφόνην, ἐκ δὲ Κρόνου καὶ Ἀφροδίτης γεννᾶσθαι πάντα. Φρύγες δὲ τὸν θεὸν οἰόμενοι χειμῶνος καθεύδειν, θέρους δ' ἐγρηγορέναι, τότε μὲν κατευνασμοὺς τότε δὲ ἀνεργέσεις βακχεύοντες αὐτῷ τελοῦσι. Παφλαγόνες δὲ καταδεῖσθαι καὶ καθείργνυσθαι χειμῶνος, ἦρος δὲ κινεῖσθαι καὶ ἀναλύεσθαι φάσκουσιν, καὶ δίδωσιν ὁ καιρὸς ὑπόνοιαν ἐπὶ τῶν καρπῶν τῇ ἀποκρύψει γίνεσθαι τὸν σκυθρωπασμόν, οὓς οἱ παλαιοὶ θεοὺς μὲν οὐκ ἐνόμιζον, ἀλλὰ δῶρα θεῶν ἀναγκαῖα καὶ μεγάλα πρὸς τὸ μὴ ζῆν ἀγρίως καὶ θηριωδῶς, καθ' ἣν δὲ ὥραν τοὺς μὲν ἀπὸ δένδρων ἑώρων ἀφανιζομένους παντάπασιν καὶ ἀπολείποντας, οὓς δὲ καὶ αὐτοὶ κατασπείραντες ἔτι γλίσχρως καὶ ἀπόρως διαμώμενοι ταῖς χερσὶ τὴν γῆν καὶ περιστέλλοντες αὖθις ἐπ' ἀδήλῳ τῷ πάλιν ἐκτελεῖσθαι καὶ συντέλειαν ἕξειν ἀποθέμενοι, πολλὰ θάπτουσιν ὅμοια καὶ πενθοῦσιν ἔπραττον. εἶτα ὥσπερ ἡμεῖς τὸν ὠνούμενον βιβλία Πλάτωνος, ὠνεῖσθαι φαμὲν Πλάτωνα, καὶ Μένανδρον τὸν ὑποκρίνεσθαι τὰ Μενάνδρου ποιήματα ὑποτιθέμενον, οὕτως ἐκεῖνοι τοῖς τῶν θεῶν ὀνόμασι τὰ τῶν θεῶν δῶρα καὶ ποιήματα καλεῖν οὐκ ἐφείδοντο, τιμῶντες ὑπὸ χρείας καὶ σεμνύνοντες. οἱ δὲ ὕστερον ἀπαιδεύτως δεχόμενοι καὶ ἀμαθῶς ἀναστρέφοντες ἐπὶ τοὺς θεοὺς τὰ πάθη τῶν καρπῶν καὶ τὰς παρουσίας τῶν ἀναγκαίων καὶ ἀποκρύψεις, θεῶν γενέσεις καὶ φθορὰς οὐ προσαγορεύοντες μόνον, ἀλλὰ καὶ νομίζοντες, ἀτόπων καὶ παρανόμων καὶ τεταραγμένων δοξῶν αὑτοὺς ἐνέπλησαν· καίτοι τοῦ παραλόγου τὴν ἀτοπίαν ἐν ὀφθαλμοῖς ἔχοντες, οὐ μόνον Ξενοφάνης ὁ Κολοφώνιος, ἠξίου τοὺς Αἰγυπτίους εἰ θεοὺς νομίζουσι, μὴ θρηνεῖν, εἰ δὲ θρηνοῦσι θεοὺς μὴ νομίζειν, ἀλλ' ὅτι γελοῖον ἅμα θρηνοῦντας εὔχεσθαι, τοὺς καρποὺς πάλιν ἀναφαίνειν καὶ τελειοῦν ἑαυτοῖς, ὅπως πάλιν ἀναλίσκωνται καὶ θρηνῶνται. τὸ δὲ οὐκ ἔστι τοιοῦτον, ἀλλὰ θρηνοῦσι μὲν τοὺς καρπούς, εὔχονται δὲ τοῖς αἰτίοις καὶ δοτῆρσι θεοῖς, ἑτέρους πάλιν νέους ποιεῖν καὶ ἀναφύειν ἀντὶ τῶν ἀπολλυμένων. ὅθεν ἄριστα λέγεται παρὰ τοῖς φιλοσόφοις, τοὺς μὴ μανθάνοντας ὀρθῶς ἀκούειν ὀνομάτων, κακῶς χρῆσθαι καὶ τοῖς πράγμασιν, ὥσπερ Ἑλλήνων οἱ τὰ χαλκᾶ καὶ τὰ γραπτὰ καὶ λίθινα μὴ μαθόντες μηδὲ ἐθισθέντες ἀγάλματα καὶ τιμὰς θεῶν, ἀλλὰ θεοὺς καλεῖν, εἶτα τολμῶντες λέγειν ὅτι τὴν Ἀθηνᾶν Λαχάρης ἐξέδυσε, τὸν δὲ Ἀπόλλωνα χρυσοῦς βοστρύχους ἔχοντα, Διονύσιος ἀπέκειρεν, ὁ δὲ Ζεὺς ὁ Καπιτώλιος περὶ τὸν ἐμφύλιον πόλεμον ἐνεπρήσθη καὶ διεφθάρη, μανθάνουσιν οὕτω ἐφελκόμενοι καὶ παραδεχόμενοι δόξας πονηρὰς ἑπομένας τοῖς ὀνόμασιν. τοῦτο δὲ οὐχ ἥκιστα πεπόνθασιν Αἰγύπτιοι περὶ τὰ τιμώμενα τῶν ζῴων. Ἕλληνες μὲν γὰρ ἔν γε τούτοις λέγουσιν ὀρθῶς καὶ νομίζουσιν, ἱερὸν Ἀφροδίτης ζῷον εἶναι τὴν περιστεράν, καὶ τὸν δράκοντα τῆς Ἀθηνᾶς, καὶ τὸν κόρακα τοῦ Ἀπόλλωνος, καὶ τὸν κύνα τῆς Ἀρτέμιδος, ὡς Εὐριπίδης· Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσῃ. Αἰγυπτίων δὲ οἱ πολλοὶ θεραπεύοντες αὐτὰ τὰ ζῷα καὶ περιέποντες, ὡς θεούς, οὐ γέλωτος μόνον οὐδὲ χλευασμοῦ καταπεπλήκασι τὰς ἱερουργίας, ἀλλὰ τοῦτο τῆς ἀβελτηρίας ἐλάχιστόν ἐστι κακόν, δόξα δὲ ἐμφύεται δεινὴ τοὺς μὲν ἀσθενεῖς καὶ ἀκάκους εἰς ἄκρατον ὑπερείπουσα τὴν δεισιδαιμονίαν· τοῖς δὲ δριμυτέροις καὶ θρασυτέροις εἰς ἀθέους ἐμπίπτουσα καὶ θηριώδεις λογισμούς, ᾗ καὶ περὶ τούτων τὰ εἰκότα διελθεῖν οὐκ ἀνάρμοστόν ἐστι. τὸ μὲν γὰρ εἰς ταῦτα τὰ ζῷα τοὺς θεοὺς τὸν Τυφῶνα δείσαντας μεταβαλεῖν, οἷον ἀποκρύπτοντας ἑαυτοὺς

σώμασιν

σώμασιν ἴβεων καὶ κυνῶν καὶ ἱεράκων· πᾶσαν ὑπερπέπαικε τερατείαν καὶ μυθολογίαν, καὶ τὸ τὰς ψυχὰς τῶν θανόντων ὅσαι διαμένουσιν εἰς ταῦτα μόνα γίνεσθαι τὴν παλιγγενεσίαν, ὁμοίως ἄπιστον. τῶν δὲ βουλομένων πολιτικήν τινα λέγειν αἰτίαν, οἱ μὲν, Ὄσιριν ἐν τῇ μεγάλῃ στρατιᾷ φασὶν εἰς μέρη πολλὰ διανείμαντα τὴν δύναμιν, λόχους καὶ τάξεις ἑλληνικῶς καλοῦσιν ἐπίσημα δοῦναι καὶ ζωόμορφα πᾶσιν, ὧν ἑκάστῳ γένει τῶν συννεμηθέντων, ἱερὸν γενέσθαι καὶ τίμιον, οἱ δὲ, τοὺς ὕστερον βασιλεῖς ἐκπλήξεως ἕνεκα τῶν πολεμίων, ἐν ταῖς μάχαις ἐπιφαίνεσθαι θηρίων χρυσᾶς προτομὰς καὶ ἀργυρᾶς περιτιθεμένους, ἄλλοι δὲ τῶν δὲ τῶν δεινῶν τινα καὶ πανούργων βασιλέων ἱστοροῦσι, τοὺς Αἰγυπτίους καταμαθόντα, τῇ μὲν φύσει κούφους καὶ πρὸς μεταβολὴν καὶ νεωτερισμὸν ὀξυρρόπους ὄντας, ἄμαχον δὲ καὶ δυσκάθεκτον ὑπὸ πλήθους δύναμιν ἐν τῷ σωφρονεῖν καὶ κοινοπραγεῖν ἔχοντας, ἀΐδιον αὐτοῖς ἐγκατασπεῖραι δεισιδαιμονίαν διαφορᾶς ἀπαύστου πρόφασιν· τῶν γὰρ θηρίων ἃ προσέταξεν ἄλλοις ἄλλα τιμᾶν καὶ σέβεσθαι δυσμενῶς καὶ πολεμικῶς ἀλλήλοις προσφερομένων, καὶ τροφὴν ἑτέραν ἑτέρους προσίεσθαι πεφυκότας, ἀμύνοντας ἀεὶ τοῖς οἰκείοις ἕκαστοι καὶ χαλεπῶς ἀδικούμενοι φέροντες, ἐλάνθανον ταῖς τῶν θηρίων ἔχθραις συνελκόμενοι καὶ συνεκπολεμούμενοι πρὸς ἀλλήλους. μόνοι γὰρ ἔτι νῦν Αἰγυπτίων Λυκοπολῖται πρόβατον ἐσθίουσιν, ἐπεὶ καὶ λύκος, ὃν θεὸν νομίζουσιν· οἱ δὲ Ὀξυρυγχῖται καθ' ἡμᾶς τῶν Κυνοπολιτῶν τὸν ὀξύρυγχον ἰχθὺν ἐσθιόντων, κύνας συλλαβόντες καὶ θύσαντες, ὡς ἱερεῖον κατέφαγον. ἐκ δὲ τούτου καταστάντες εἰς πόλεμον, ἀλλήλους τε διέθηκαν κακῶς, καὶ ὕστερον ὑπὸ Ῥωμαίων κολαζόμενοι διετέθησαν. πολλῶν δὲ λεγόντων εἰς ταῦτα τὰ ζῷα τὴν τοῦ Τυφῶνος αὐτοῦ διαιρεῖσθαι ψυχήν, αἰνίττεσθαι δόξειεν ἂν ὁ μῦθος, ὅτι πᾶσα φύσις ἄλογος καὶ θηριώδης, τῆς τοῦ κακοῦ δαίμονος γέγονε μοίρας· κἀκεῖνον ἐκμειλισσόμενοι καὶ παρηγοροῦντες περιέπουσι ταῦτα καὶ θεραπεύουσιν. ἂν δὲ πολὺς ἐμπίπτῃ καὶ χαλεπὸς αὐχμοὺς ἐπάγων ὑπερβαλλόντως, ἢ νόσους ὀλεθρίους, ἢ συμφορὰς ἄλλας παραλόγους καὶ ἀλλοκότους, ἔνια τῶν τιμωμένων οἱ ἱερεῖς ἐπάγοντες ὑπὸ σκότους μετὰ σιωπῆς καὶ ἡσυχίας, ἀπειλοῦσι καὶ δεδίττονται τὸ πρῶτον· ἂν δ' ἐπιμένῃ καθιεροῦσι καὶ σφάττουσιν, ὡς δή τινα κολασμὸν ὄντα τοῦ δαίμονος τοῦτον, ἢ καθαρμὸν ἄλλως μέγαν ἐπὶ μεγίστοις. καὶ γὰρ ἐν Ἰδιθυίας πόλει ζῶντας ἀνθρώπους κατεπίμπρασαν, ὡς Μανέθων ἱστόρηκε, Τυφωνίους καλοῦντες, καὶ τὴν τέφραν αὐτῶν λικμῶντες ἠφάνιζον καὶ διέσπειρον, ἀλλὰ τοῦτο μὲν ἐδρᾶτο φανερῶς καὶ καθ' ἕνα καιρὸν ἐν ταῖς κυνάσιν ἡμέραις, αἱ δὲ τῶν τιμωμένων ζῴων καθιερώσεις ἀπόρρητοι καὶ χρόνοις ἀτάκτοις πρὸς τὰ συμπίπτοντα γινόμεναι, τοὺς πολλοὺς λανθάνουσι, πλὴν ὅταν ταφὰς ἔχωσι καὶ τῶν ἄλλων ἀναδεικνύντες ἔνια πάντων παρόντων συνεμβάλλωσιν, οἰόμενοι τοῦ Τυφῶνος ἀντιλυπεῖν καὶ κολούειν τὸ ἡδόμενον. ὁ γὰρ Ἆπις δοκεῖ μετ' ὀλίγων ἄλλων ἱερὸς εἶναι τοῦ Ὀσίριδος· ἐκείνῳ δὲ τὰ πλεῖστα προσνέμουσι. κἂν ἀληθὴς ὁ λόγος οὗτος, σημαίνειν ἡγοῦμαι τὸ ζητούμενον ἐπὶ τῶν ὁμολογουμένων καὶ κοινὰς ἐχόντων τὰς τιμάς, οἷόν ἐστιν ἶβις καὶ ἱέραξ καὶ κυνοκέφαλος, αὐτὸς ὁ Ἆπις· οὕτω δὴ γὰρ τὸν ἐν Μένδητι τράγον καλοῦσι. λείπεται δὲ δὴ τὸ χρειῶδες καὶ τὸ συμβολικόν, ὧν ἔνια θατέρου, πολλὰ δ' ἀμφοῖν μετέσχηκε. βοῦν μὲν οὖν καὶ πρόβατον καὶ ἰχνεύμονα, δῆλον ὅτι χρείας ἕνεκα καὶ ὠφελείας ἐτίμησαν, ὡς Λήμνιοι κορύδους τὰ τῶν ἀττελάβων εὑρίσκοντας ᾠὰ καὶ κόπτοντας, Θεσσαλοὶ δὲ πελαργούς, ὅτι πολλοὺς ὄφεις τῆς γῆς ἀναδιδούσης ἐπιφανέντες ἐξώλεσαν ἅπαντας· διὸ καὶ νόμον ἔθεντο φεύγειν, ὅς τις ἂν ἀποκτείνῃ πελαργόν. ἀσπίδα δὲ καὶ γαλῆν καὶ κάνθαρον εἰκόνας τινὰς ἐν αὐτοῖς ἀμαυρὰς ὥσπερ ἐν σταγόσιν ἡλίου τῆς τῶν θεῶν δυνάμεως κατιδόντες

τες, τὴν μὲν γὰρ γαλῆν ἔτι πολλοὶ νομίζουσι καὶ λέγουσι κατὰ τὸ οὖς ὀχευομένην, τῷ δὲ στόματι τίκτουσαν, εἴκασμα τῆς τοῦ λόγου γενέσεως εἶναι. τὸ δὲ κάνθαρον γένος οὐκ ἔχειν θήλειαν· ἄρρενας δὲ πάντας ἀφιέναι τὸν γόνον εἰς τὴν σφαιροποιουμένην ὕλην, ἣν κυλινδοῦσιν ἀντιβάδην ὠθοῦντες, ὥσπερ δοκεῖ τὸν οὐρανὸν ὁ ἥλιος εἰς τοὐναντίον περιστρέφειν, αὐτὸς ἀπὸ δυσμῶν ἐπὶ τὰς ἀνατολὰς φερόμενος. ἀσπίδα δὲ ὡς ἀγήρω καὶ χρωμένην κινήσεσιν ἀνοργάνοις μετ' εὐπετείας καὶ ὑγρότητος ἄστρῳ προσείκασαν. οὐ μὴν οὐδὲ ὁ κροκόδειλος αἰτίας πιθανῆς ἀμοιροῦσαν ἔσχηκε τιμήν, ἀλλὰ μίμημα θεοῦ λέγεται γεγονέναι μόνος μὲν ἄγλωσσος ὤν, φωνῆς γὰρ ὁ θεῖος λόγος ἀπροσδεής ἐστι, καὶ δι' ἀψόφου βαίνων κελεύθου καὶ δίκης τὰ θνητὰ ἄγει κατὰ δίκην. μόνου δέ φασιν ἐν ὑγρῷ διαιτωμένου τὰς ὄψεις ὑμένα λεῖον καὶ διαφανῆ παρακαλύπτειν ἐκ τοῦ μετώπου κατερχόμενον, ὥστε βλέπειν μὴ βλεπόμενον, ὃ τῷ πρώτῳ θεῷ συμβέβηκεν. ὅπου δ' ἂν ἡ θήλεια τῆς χώρας ἀποτέκῃ, τοῦτο Νείλου πέρας ἐπίσταται τῆς αὐξήσεως γενόμενον. ἐν ὑγρῷ γὰρ οὐ δυνάμεναι, πόρρω δὲ φοβούμεναι τίκτειν, οὕτως ἀκριβῶς προαισθάνονται τὸ μέλλον, ὥστε τῷ ποταμῷ προσελθόντι χρῆσθαι λοχευόμεναι καὶ θάλπουσαι, τὰ δὲ ᾠὰ ξηρὰ καὶ ἄβρεκτα φυλάσσειν, ἑξήκοντα δὲ τίκτουσιν, καὶ τοσαύταις ἡμέραις ἐκλέπουσι, καὶ τοσούτους ζῶσιν ἐνιαυτούς, οἱ μακρότατον ζῶντες, ὃ τῶν μέτρων πρῶτόν ἐστι τοῖς περὶ τὰ οὐράνια πραγματευομένοις. ἀλλὰ μὴν τῶν δι' ἀμφότερα τιμωμένων, περὶ μὲν τοῦ κυνὸς εἴρηται πρόσθεν. ἡ δὲ ἶβις ἀποκτείνουσα μὲν τὰ θανατηφόρα τῶν ἑρπετῶν, ἐδίδαξε πρώτη κενώματος ἰατρικοῦ χρείαν κατιδόντας, οὕτω κλυζομένην καὶ καθαιρομένην ὑφ' ἑαυτῆς. οἱ δὲ νομιμώτατοι τῶν ἱερέων καθάρσιον ὕδωρ ἁγνιζόμενοι λαμβάνουσιν, ὅθεν ἶβις πέπωκεν. οὐ πίνει γὰρ ἢ νοσῶδες ἢ πεφαρμαγμένον οὐδὲ πρόσεισι. τῇ δὲ τῶν ποδῶν διαβάσει πρὸς ἀλλήλους καὶ τὸ ῥύγχος ἰσόπλευρον ποιεῖ τρίγωνον. ἔτι δὲ ἡ τῶν μελανῶν πτερῶν περὶ τὰ λευκὰ, ποικιλία καὶ μίξις, ἐμφαίνει σελήνην ἀμφίκυρτον. οὐ δεῖ δὲ θαυμάζειν εἰ γλίσχρας ὁμοιότητας οὕτως ἠγάπησαν Αἰγύπτιοι καὶ Ἕλληνες, ἔν τε γραπτοῖς ἔν τε πλαστοῖς εἰκάσμασι θεῶν ἐχρήσαντο πολλοῖς τοιούτοις. οἷον ἐν Κρήτῃ Διὸς ἦν ἄγαλμα μὴ ἔχον ὦτα. τῷ γὰρ ἄρχοντι καὶ κυρίῳ πάντων, οὐδενὸς ἀκούειν προσήκει. τῷ δὲ τῆς Ἀθηνᾶς, τὸν δράκοντα Φειδίας παρέθηκε. τῷ δὲ τῆς Ἀφροδίτης ἐν Ἤλιδι τὴν χελώνην, ὡς τὰς μὲν παρθένους φυλακῆς δεομένας, ταῖς δὲ γαμεταῖς οἰκουρίαν καὶ σιωπὴν πρέπουσαν. ἡ δὲ τοῦ Ποσειδῶνος τρίαινα, σύμβολόν ἐστι τῆς τρίτης χώρας ἣν θάλαττα κατέχει μετὰ τὸν οὐρανὸν καὶ τὸν ἀέρα τεταγμένην. διὸ καὶ τὴν Ἀμφιτρίτην καὶ τοὺς Τρίτωνας οὕτως ὠνόμασαν. οἱ δὲ Πυθαγόρειοι, καὶ ἀριθμοὺς καὶ σχήματα θεῶν ἐκόσμησαν προσηγορίαις. τὸ μὲν γὰρ ἰσόπλευρον τρίγωνον, ἐκάλουν Ἀθηνᾶν κορυφαγενῆ καὶ τριτογένειαν, ὅτι τρισὶ καθέτοις ἀπὸ τῶν τριῶν γωνιῶν ἀγομέναις διαιρεῖται. τὸ δὲ ἕν, Ἀπόλλωνα πείθουσα προφάσει καὶ δι' ἁπλότητα τῆς μονάδος. ἔριν δὲ τὴν δυάδα καὶ τόλμαν. δίκην δὲ τὴν τριάδα. τοῦ γὰρ ἀδικεῖν καὶ ἀδικεῖσθαι κατ' ἔλλειψιν καὶ ὑπερβολὴν ὄντος, ἰσότητι δίκαιον ἐν μέσῳ γέγονεν. ἡ δὲ καλουμένη τετρακτὺς τὰ ἓξ καὶ τριάκοντα, μέγιστος ἦν ὅρκος ὡς τεθρύλληται, καὶ κόσμος ὠνόμασται, τεσσάρων μὲν ἀρτίων τῶν πρώτων, τεσσάρων δὲ τῶν περισσῶν εἰς τὸ αὐτὸ συντιθεμένων ἀποτελούμενος. εἴπερ οὖν οἱ δοκιμώτατοι τῶν φιλοσόφων, οὐδὲ ἐν ἀψύχοις καὶ ἀσωμάτοις πράγμασιν, αἴνιγμα τοῦ θείου κατιδόντες ἠξίουν ἀμελεῖν οὐδέν, οὐδὲ ἀτιμάζειν. ἔτι μᾶλλον οἶμαι τὰς ἐν αἰσθανομέναις καὶ ψυχὴν ἐχούσαις καὶ πάθος καὶ ἦθος φύσεσιν ἰδιότητας κατὰ τὸ ἦθος. ἀγαπητέον οὖν οὐ ταῦτα τιμῶντας, ἀλλὰ διὰ τούτων τὸ θεῖον, ὡς ἐναργεστέρων ἐσόπτρων καὶ φύσει γεγονότων, ὡς ὄργανον ἢ τέχνην ἀεὶ τοῦ πάντα κοσμοῦντος θεοῦ νομίζειν καλῶς. ἄξιόν τε μηδὲν ἔμψυχον ἀψύχου, μηδὲ ἀναίσθη-

του

ὁ δὲ κανθάρων Ι.

τον αἰσθανομένου κρεῖττον εἶναι, μηδ' ἂν τὸν σύμπαντά τις χρυσὸν ὁμοῦ καὶ σμάραγδον εἰς ταὐτὸ συμφορήσῃ. οὐκ ἐν χροιαῖς γὰρ οὐδ' ἐν σχήμασιν οὐδ' ἐν λειότησιν ἐγγίνεται τὸ θεῖον, ἀλλ' ἀτιμοτέραν ἔχει νεκρῶν μοῖραν, ὅσα μὴ μετέσχε μηδὲ μετέχει τοῦ ζῆν πέφυκεν. ἡ δὲ ζῶσα καὶ βλέπουσα καὶ κινήσεως ἀρχὴν ἐξ αὑτῆς ἔχουσα καὶ γνῶσιν οἰκείων καὶ ἀλλοτρίων φύσις. ἄλλως τε ἔσπακεν ἀπορροὴν καὶ μοῖραν ἐκ τοῦ φρονοῦντος, ὅπως κυβερνᾶται τό, τε σύμπαν καθ' Ἡράκλειτον. ὅθεν οὐ χεῖρον ἐν τούτοις εἰκάζεται τὸ θεῖον, ἢ χαλκοῖς καὶ λιθίνοις δημιουργήμασι, ἃ φθορὰς μὲν ὁμοίως δέχεται καὶ ἐπιχρώσεις, αἰσθήσεως δὲ πάσης φύσει καὶ συνέσεως ἐστέρηται. περὶ μὲν οὖν τῶν τιμωμένων ζῴων ταῦτα δοκιμάζω μάλιστα τῶν λεγομένων. στολαὶ δὲ αἱ μὲν Ἴσιδος, ποικίλαι ταῖς βαφαῖς. περὶ γὰρ ὕλην ἡ δύναμις αὐτῆς, πάντα γινομένην καὶ δεχομένην, φῶς, σκότος, ἡμέραν, νύκτα, πῦρ, ὕδωρ, ζωήν, θάνατον, ἀρχήν, τελευτήν, ἡ δὲ Ὀσίριδος οὐκ ἔχει σκιάν, οὐδὲ ποικιλμόν. ἀλλὰ ἓν ἁπλοῦν τὸ φωτοειδές. ἄκρατον γὰρ ἡ ἀρχὴ καὶ ἀμιγὲς τὸ πρῶτον καὶ νοητόν, ὅθεν ἅπαξ ταύτην ἀναλαβόντες, ἀποτίθενται καὶ φυλάττουσιν ἀόρατον καὶ ἄψαυστον, ταῖς δὲ Ἰσιακαῖς χρῶνται πολλάκις. ἐν χρήσει γὰρ τὰ αἰσθητὰ καὶ πρόχειρα ὄντα, πολλὰς ἀναπτύξεις καὶ θέας αὐτῶν, ἄλλοτ' ἄλλως ἀμειβομένων δίδωσιν. ἡ δὲ τοῦ νοητοῦ καὶ εἰλικρινοῦς καὶ ἁγίου νόησις, ὥσπερ ἀστραπὴ διαλάμψασα τῆς ψυχῆς ἅπαξ ποτὲ θιγεῖν καὶ προσιδεῖν παρέσχε. διὸ καὶ Πλάτων καὶ Ἀριστοτέλης, ἐποπτικὸν τοῦτο τὸ μέρος τῆς φιλοσοφίας καλοῦσιν, ὡς οἱ τὰ δοξαστὰ καὶ μικτὰ καὶ παντοδαπὰ ταῦτα παραμειψάμενοι τῷ λόγῳ, πρὸς τὸ πρῶτον ἐκεῖνο καὶ ἁπλοῦν, καὶ ἄϋλον ἐξάλλονται, καὶ θιγόντες ἀληθῶς τῆς περὶ αὐτὸ καθαρᾶς ἀληθείας, οἷον ἐν τελετῇ, τέλος ἔχειν φιλοσοφίαν νομίζουσι. καὶ τοῦτό ἐστιν ὅπερ οἱ νῦν ἱερεῖς ἀφοσιούμενοι καὶ παρακαλυπτόμενοι μετ' εὐλαβείας ὑποδηλοῦσιν, ὡς ὁ θεὸς οὗτος ἄρχει καὶ βασιλεύει τῶν τεθνηκότων, οὐχ ἕτερος ὢν τοῦ καλουμένου παρ' Ἕλλησιν Ἅιδου καὶ Πλούτωνος ἀγνοούμενον, ὅπως ἀληθές ἐστι, διαταράττει τοὺς πολλοὺς ὑπονοοῦντας ἐν γῇ καὶ ὑπὸ γῆν τὸν ἱερὸν καὶ ὅσιον ὡς ἀληθῶς Ὄσιριν οἰκεῖν, ὅπου τὰ σώματα κρύπτεται τῶν τέλος ἔχειν δοκούντων. ὁ δ' ἔστι μὲν αὐτὸς ἀπωτάτω τῆς γῆς ἄχραντος καὶ ἀμίαντος καὶ καθαρὸς, οὐσίας ἁπάσης φθορὰν δεχομένης καὶ θάνατον. ἀνθρώπων δὲ ψυχαῖς ἐνταυθοῖ μὲν ὑπὸ σωμάτων καὶ παθῶν περιεχομέναις, οὐκ ἔστι μετουσία τοῦ θεοῦ, πλὴν ὅσον ὀνείρατος ἀμαυροῦ θιγεῖν νοήσει διὰ φιλοσοφίας. ὅταν δὲ ἀπολυθεῖσαι μεταστῶσιν, εἰς τὸ ἀειδὲς καὶ ἀόρατον καὶ ἀπαθὲς καὶ ἁγνόν, οὗτος αὐτὸς ἡγεμών ἐστι καὶ βασιλεὺς ὁ θεός, ἐξηρτημέναις ὡς ἂν ἀπ' αὐτοῦ καὶ θεωμέναις ἀπλήστως καὶ ποθούσαις τὸ μὴ φατὸν μηδὲ ῥητὸν ἀνθρώποις κάλλος, οὗ τὴν Ἶσιν ὁ παλαιὸς ἀποφαίνει λόγος, ἐρῶσαν ἀεὶ καὶ διώκουσαν καὶ συνοῦσαν ἀναπιμπλάναι τὰ ἐνταῦθα πάντων καλῶν καὶ ἀγαθῶν, ὅσα γενέσεως μετέσχηκε. ταῦτα μὲν οὖν οὕτως ἔχει τὸν μάλιστα θεοῖς πρέποντα λόγον. εἰ δὲ δεῖ καὶ περὶ τῶν θυμιωμένων ἡμέρας ἑκάστης εἰπεῖν, ὥσπερ ὑπεσχόμην, ἐκεῖνο διανοηθείη τις πρότερον, ὡς ἀεὶ μὲν οἱ ἄνδρες ἐν σπουδῇ μεγίστῃ τίθενται τὰ πρὸς ὑγείαν ἐπιτηδεύματα, μάλιστα δὲ ταῖς ἱερουργίαις καὶ ταῖς ἁγνείαις καὶ διαίταις οὐχ ἧττόν ἐστι τοῦτο τοῦ ὁσίου τὸ ὑγιεινόν. οὐ γὰρ ᾤοντο καλῶς ἔχειν οὔτε σώμασιν, οὔτε ψυχαῖς ὑπούλοις καὶ νοσώδεσι θεραπεύειν, τὸ καθαρὸν καὶ ἀβλαβὲς πάντῃ καὶ ἀμίαντον. ἐπεὶ τοίνυν ὁ ἀήρ ᾧ πλεῖστα χρώμεθα καὶ σύνεσμεν, οὐκ ἀεὶ τὴν αὐτὴν ἔχει διάθεσιν καὶ κρᾶσιν, ἀλλὰ νύκτωρ πυκνοῦται καὶ πιέζει τὸ σῶμα καὶ συνάγει τὴν ψυχὴν εἰς τὸ δύσθυμον καὶ πεφροντικός, οἷον ἀχλυώδη γινομένην καὶ βαρεῖαν, ἀναστάντες εὐθὺς ἐπιθυμιῶσι ῥητίνην θεραπεύοντες καὶ καθαίροντες τὸν ἀέρα τῇ διακρίσει καὶ τὸ σύμφυτον τῷ σώματι πνεῦμα μεμαρασμένον ἀναρριπίζοντες, ἐχούσης τι τῆς ὀσμῆς σφοδρὸν καὶ καταπληκτικόν. αὖθις δὲ μεσημβρίας αἰσθανόμενοι σφόδρα πολλὴν καὶ βαρεῖαν ἀνα-

τὸ τῶν νοητόν Ι. Δ.

ἀΐδιον Ι. Δ.

θυμιάσιν ἀπὸ γῆς ἕλκοντα βίᾳ τὸν ἥλιον, καὶ καταμιγνύοντας τῷ ἀέρι τὴν σμύρναν ἐπιθυμιῶσι· διαλύει γὰρ ἡ θερμότης καὶ σκίδνησι τὸ συνιστάμενον ἐν τῷ περιέχοντι θολερὸν καὶ ἰλυῶδες. καὶ γὰρ οἱ ἰατροὶ πρὸς τὰ λοιμικὰ πάθη βοηθεῖν δοκοῦσι φλόγα πολλὴν ποιοῦντες ὡς λεπτύνουσαν τὸν ἀέρα, λεπτύνει δὲ βέλτιον, ἂν εὐώδη ξύλα καίωσιν, οἷα κυπαρίττου καὶ ἀρκεύθου καὶ πεύκης. ἄκρωνα γοῦν τὸν ἰατρὸν ἐν ἀθήναις ὑπὸ τὸν μέγαν λοιμὸν εὐδοκιμῆσαι λέγουσι, πῦρ κελεύοντα παρακαίειν τοῖς νοσοῦσιν· ὤνησε γὰρ οὐκ ὀλίγους. ἀριστοτέλης δέ φησι καὶ μύρων καὶ ἀνθέων καὶ λειμώνων εὐώδεις ἀποπνοίας οὐκ ἔλαττον ἔχειν τοῦ πρὸς ἡδονὴν τὸ πρὸς ὑγείαν, ψυχρὸν ὄντα φύσει καὶ παγετώδη τὸν ἐγκέφαλον ἠρέμα τῇ θερμότητι καὶ λειότητι διαχεούσας. εἰ δὲ καὶ τὴν σμύρναν παρ' αἰγυπτίοις βὰλ καλοῦσιν· ἐξερμηνευθὲν δὲ τοῦτο μάλιστα φράζει τῆς ληρήσεως ἐκσκορπισμόν, ἔστιν ἣν καὶ τοῦτο μαρτυρίαν τῷ λόγῳ τῆς αἰτίας δίδωσιν. τὸ δὲ κῦφι, μίγμα μὲν ἑκκαίδεκα μερῶν συντιθεμένων ἐστὶ, μέλιτος καὶ οἴνου καὶ σταφίδος καὶ κυπέρου, ῥητίνης τε καὶ σμύρνης καὶ ἀσπαλάθου καὶ σεσέλεως, ἔτι δὲ σχοίνου τε καὶ ἀσφάλτου καὶ θρύου, καὶ λαπάθου, πρὸς δὲ τούτοις ἀρκευθίδων ἀμφοῖν, ὧν τὴν μὲν μείζονα τὴν δὲ ἐλάττονα καλοῦσι, καὶ καρδαμώμου καὶ καλάμου. συντίθενται δὲ, οὐχ ὅπως ἔτυχεν, ἀλλὰ γραμμάτων ἱερῶν τοῖς μυρεψοῖς, ὅταν ταῦτα μιγνύωσιν ἀναγινωσκομένων. τὸν δὲ ἀριθμὸν εἰ καὶ πάνυ δοκεῖ τετράγωνος ἀπὸ τετραγώνου καὶ μόνος ἔχων τὸ ἴσον ἰσάκις ἀριθμὸν τῷ χωρίῳ τὴν περίμετρον ἴσην ἀγαγεῖν προσηκόντως, ἐλάχιστα ῥητέον. εἴς γε τοῦτο συνεργεῖν, ἅμα πλεῖστα τῶν συλλαμβανομένων, ἀρωματικὰς ἔχοντα δυνάμεις· γλυκὺ πνεῦμα καὶ χρηστὴν μεθίησιν ἀναθυμίασιν, ὑφ' ἧς ὅ τε ἀὴρ τρεπόμενος καὶ τὸ σῶμα διὰ τῆς πνοῆς κινούμενον λείως καὶ προσηνῶς ὑπνώδη τε κρᾶσιν ἐπαγωγὸν ἴσχει, καὶ τὰ λυπηρὰ καὶ σύντονα τῶν μεθημερινῶν φροντίδων ἄνευ μέθης· οἷον ἅμματα χαλᾷ καὶ διαλύει, καὶ τὸ φανταστικὸν καὶ δεκτικὸν ὀνείρων, ὥσπερ κάτοπτρον ἀπολεαίνει, καὶ ποιεῖ καθαρώτερον οὐδὲν ἧττον, ἢ τὰ κρούματα τῆς λύρας, οἷς ἐχρῶντο πρὸ τῶν ὕπνων οἱ πυθαγόρειοι, τὸ ἐμπαθὲς καὶ ἄλογον τῆς ψυχῆς ἐξεπᾴδοντες οὕτω, καὶ θεραπεύοντες. τὰ γὰρ ὀσφραντὰ, πολλάκις μὲν τὴν αἴσθησιν ἀπολείπουσαν ἀνακαλεῖται, πολλάκις δὲ πάλιν ἀμβλύνει καὶ κατηρεμίζει διαχεομένων ἐν τῷ σώματι τῶν ἀναλωμάτων ὑπὸ λειότητος, ὥσπερ ἔνιοι τῶν ἰατρῶν τὸν ὕπνον ἐγγίνεσθαι λέγουσιν, ὅταν ἡ τῆς τροφῆς ἀναθυμίασις, οἷον ἕρπουσα λείως περὶ τὰ σπλάγχνα καὶ ψηλαφῶσα ποιεῖν τινα γαργαλισμόν. τῷ δὲ κῦφι χρῶνται καὶ πόματι καὶ κράματι· πινόμενον γὰρ δοκεῖ τὰ ἐντὸς καθαίρειν· χρὴ μαλακτικόν. ἄνευ δὲ τούτων, ῥητίνη μέν ἐστιν ἔργον ἡλίου καὶ σμύρνα, πρὸς τὴν σελήνην τῶν φυτῶν ἐκδακρυόντων, τῶν δὲ τὸ κῦφι συντιθέντων, ἔστιν ἃ νυκτὶ χαίρει μᾶλλον, ὥσπερ ὅσα πνεύμασι ψυχροῖς καὶ σκιαῖς καὶ δρόσοις καὶ ὑγρότησι τρέφεσθαι πέφυκεν· ἐπεὶ τὸ τῆς ἡμέρας φῶς, ἓν μέν ἐστι καὶ ἁπλοῦν. καὶ τὸν ἥλιον ὁ πίνδαρος ὁρᾶσθαι φησὶν ἐρήμας δι' αἰθέρος. ὁ δὲ νυκτερινὸς ἀὴρ κρᾶμα καὶ σύμμιγμα πολλῶν γέγονε φώτων καὶ δυνάμεων, οἷον σπερμάτων εἰς
ἓν ἀπὸ παντὸς ἄστρου καταρρεόντων. εἰκότως οὖν ἐκεῖνα μὲν
ὡς ἁπλᾶ καὶ ἀφ' ἡλίου τὴν γένεσιν ἔχοντα δι' ἡμέρας,
ταῦτα δὲ ὡς μικτὰ καὶ παντοδαπὰ
ταῖς ποιότησιν, ἀρχομένης νυκτὸς ἐπιθυ-
μιῶσιν.

ΠΕΡΙ ΤΩΝ ΥΠΟ ΤΟΥ ΘΕΙΟΥ ΒΡΑΔΕΩΣ ΤΙΜΩΡΟΥΜΕΝΩΝ.

Τοιαῦτα μὲν ὁ ἐπίκουρος εἰπὼν ὦ κύνιε, καὶ πρὶν ἀποκρίνασθαί τινα, πρὸς τῷ πέρατι τῆς στοᾶς γενομένων ἡμῶν, ᾤχετο ἀπιών. ἡμεῖς δὲ ὅσον τι θαυμάσαι τοῦ ἀνθρώπου τὴν ἀτοπίαν, ἐπιστάντες σιωπῇ, καὶ πρὸς ἀλλήλους διαβλέψαντες, ἀνεστρέφομεν πάλιν ὥσπερ ἐτυγχάνομεν περιπατοῦντες. εἶτα πρῶτος ὁ πατροκλέας, τί οὖν εἶπεν, ἐὰν δοκῇ τὴν ζήτησιν, ἢ τῷ λόγῳ καθάπερ παρόντος καὶ μὴ παρόντος, ἀποκρινώμεθα τοῦ εἰπόντος. ὑπολαβὼν δὲ ὁ τίμων, ἀλλ' οὐδ' εἰ βαλὼν εἶπεν ἀπηλλάγη καλῶς εἶχε περιορᾶν τὸ βέλος ἐγκείμενον. ὁ μὲν γὰρ βρασίδας, ὡς ἔοικεν ἐξελκύσας τὸ δόρυ τοῦ σώματος, αὐτῷ τούτῳ τὸν βαλόντα πατάξας ἀνεῖλεν. ἡμῶν δὲ ἀμύνασθαι μὲν οὐδὲν ἔργον ἐστὶ δή που τοὺς ἄτοπον ἢ ψευδῆ λόγον εἰς ἡμᾶς ἀφέντας. ἀρκεῖ δὲ αὐτοῖς πρὶν ἅψασθαι τὴν δόξαν, ἂν ἐκβάλλωμεν. τί οὖν ἔφην ἐγὼ μάλιστα κεκίνηκεν ὑμᾶς τῶν εἰρημένων. ἀθρόα γὰρ πολλὰ καὶ κατὰ τάξιν οὐδέν. ἄλλο δὲ ἀλλαχόθεν ἄνθρωπος ὥσπερ ὀργῇ τινι καὶ λοιδορίᾳ σπαράττων ἅμα κατεφόρει τῆς προνοίας. καὶ ὁ πατροκλέας, ἡ περὶ τὰς τιμωρίας εἶπε τῶν πονηρῶν βραδυτὴς τοῦ δαιμονίου καὶ μέλλησις, ἐμοὶ δοκεῖ καὶ μάλιστα δεινὸν εἶναι. καὶ νῦν ὑπὸ τῶν λόγων τούτων, ὥσπερ πρόσφατος γέγονα τῇ δόξῃ καὶ καινός. ἔκπαλαι δὲ ἠγανάκτουν ἀκούων εὐριπίδου λέγοντος. μέλλει, τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει. καίτοι πρὸς οὐδὲν, ἥκιστα δὲ πρέπει πρὸς τοὺς πονηρούς, ῥᾴθυμον εἶναι τὸν θεόν, οὐ ῥαθύμους ὄντας αὐτούς, οὐδὲ ἀμβολιεργοὺς τοῦ κακῶς ποιεῖν, ἀλλ' ὀξυτάταις ὁρμαῖς ὑπὸ τῶν παθῶν φερομένους πρὸς τὰς ἀδικίας. καὶ μὴν τὸ ἀμύνασθαι τῷ παθεῖν ὡς θουκυδίδης φησὶν ὅτι ἐγγυτάτω κείμενον, εὐθὺς ἀντιφράττει τὴν ὁδὸν τοῖς ἐπὶ πλεῖστον εὐρούσῃ τῇ κακίᾳ χρωμένοις. οὐθὲν γὰρ οὕτω χρέος ὡς τὸ τῆς δίκης ὑπερήμερον γινόμενον, ἀσθενῆ μὲν ταῖς ἐλπίσι ποιεῖ καὶ ταπεινὸν τὸν ἀδικούμενον, αὔξει δὲ θρασύτητι καὶ τόλμῃ τὸν μοχθηρόν. αἱ δ' ὑπὸ χεῖρα τοῖς τολμωμένοις ἀπαντῶσαι τιμωρίαι, καὶ τῶν μελλόντων εἰσὶν ἐπισχέσεις ἀδικημάτων, καὶ μάλιστα τὸ παρηγοροῦν τοὺς πεπονθότας ἔνεστιν αὐταῖς. ὡς ἔμοιγε καὶ τὸ τοῦ βίαντος ἐνοχλεῖ πολλάκις ἀναλαμβάνοντι τὸν λόγον. ἔφη γὰρ ὡς ἔοικε πρός τινα πονηρόν, ὡς οὐ δέδιε μὴ οὐ δῷ δίκην, ἀλλὰ μὴ οὐκ αὐτὸς ἐπίδῃ. τί γὰρ μεσσηνίοις ὄφελος τοῖς προαναιρεθεῖσι τῆς ἀριστοκράτους τιμωρίας, ὃς προδοὺς τὴν ἐπὶ κύπρῳ μάχην, καὶ λαθὼν ὑπὲρ εἴκοσιν ἔτη, καὶ πάντα ταῦτα βασιλεύσας ἀρκάδων, ὕστερον ἔδωκε δίκην φωραθείς. οἱ δὲ οὐκέτ' ἦσαν. ἢ τίνα ὀρχομενίων τοῖς ἀποβαλοῦσι παῖδας καὶ φίλους καὶ οἰκείους ὑπὸ λυκίσκου προδοθέντας, ἤνεγκε παραμυθίαν, ἡ χρόνοις ὕστερον πολλοῖς ἁψαμένη νόσος καὶ κατανεμηθεῖσα τοῦ σώματος, ὃς ἀεὶ βάπτων καὶ βρέχων τὼ πόδε εἰς τὸν ποταμόν, ὤμοσε καὶ κατηράσατο σαπῆναι, προδόντος αὐτοῦ καὶ ἀδικήσαντος. τὰς μὲν γὰρ ἀθήνησι τῶν ἐναγῶν σωμάτων ῥίψεις, καὶ νεκρῶν ὑπερορισμούς, οὐδὲ παίδων που σὺν ἰδεῖν ὑπῆρξε τῶν ἀποσφαγέντων ἐκείνων. ὅθεν εὐριπίδης ἄτοπος εἰς ἀποτροπὴν κακίας τούτοις χρώμενος. οὔτοι προσελθοῦσ' ἡ δίκη σε, μὴ τρέσῃς, παίσει πρὸς ἧπαρ, οὐδὲ τῶν ἄλλων βροτῶν τὸν ἄδικον, ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ στείχουσα, μάρψει τοὺς κακοὺς ὅταν τύχῃ. οὐ γὰρ ἄλλα δή που, ταῦτα δὲ αὐτὰ τοὺς κακοὺς εἰκός ἐστιν ἑαυτοῖς διακελευομένους καὶ παρεγγυῶντας, ἐπιχειρεῖν τοῖς παρανομήμασιν, ὡς τῆς ἀδικίας τὸν μὲν καρπὸν εὐθὺς ὡραῖον καὶ προὖπτον ἀποδιδούσης, τὴν δὲ τιμωρίαν

ὀψὲ καὶ πολὺ τῆς ἀπολαύσεως καθυστεροῦσαν. ταῦτα τοῦ Πατροκλέους διελθόντος, ἐπιβαλὼν ὁ Ὀλυμπιακός, ἐκεῖνο δὲ εἶπεν ὦ Πατροκλέα, πηλίκον αἱ περὶ ταῦτα τοῦ θείου διατριβαὶ καὶ μελλήσεις ἄτοπον ἔχουσιν. ὅτι τὴν πίστιν ἡ βραδυτὴς ἀφαιρεῖ τῆς προνοίας, καὶ τὸ μὴ παρ' ἕκαστον ἀδίκημα τοῖς πονηροῖς ἐπακολουθοῦν κακόν, ἀλλ' ὕστερον, εἰς ἀτυχήματος χώραν τιθέμενοι, καὶ συμφορὰν οὐ τιμωρίαν ὀνομάζοντες, οὐθὲν ὠφελοῦνται· τοῖς μὲν συμβαίνουσιν ἀχθόμενοι, τοῖς δὲ πεπραγμένοις μὴ μεταμελόμενοι. καθάπερ γὰρ ἵππον ἡ παραχρῆμα τὸ πταῖσμα καὶ τὴν ἁμαρτίαν διώκουσα πληγὴ καὶ νύξις ἐπανορθοῖ καὶ μετάγει πρὸς τὸ δέον, οἱ δὲ ὕστερον καὶ μετὰ χρόνον σπαραγμοὶ καὶ ἀνακρούσεις καὶ περιψοφήσεις, ἑτέρου τινὸς ἕνεκα μᾶλλον δοκοῦσι γίνεσθαι, ἢ διδασκαλίας, διὸ τὸ λυποῦν ἄνευ τοῦ παιδεύειν ἔχουσιν, οὕτως ἡ καθ' ἕκαστον ὧν πταίει καὶ προσπίπτει ῥαπιζομένη καὶ ἀνακρουομένη τῷ κολάζεσθαι κακία, μόλις ἂν γένοιτο σύννους καὶ ταπεινὴ καὶ κατάφοβος πρὸς τὸν θεόν, ὡς ἐφεστῶτα τοῖς ἀνθρωπίνοις πράγμασι καὶ πάθεσιν, οὐχ ὑπερήμερον δικαστήν. ἡ δὲ ἀτρέμα καὶ βραδεῖ ποδὶ κατ' Εὐριπίδην, καὶ ὡς ἔτυχεν ἐπιπίπτουσα δίκη τοῖς πονηροῖς, τῷ αὐτομάτῳ μᾶλλον, ἢ τῷ κατὰ πρόνοιαν ὅμοιον ἔχει τὸ πεπλανημένον καὶ ὑστερήμερον καὶ ἄτακτον. ὥστε οὐχ ὁρῶ τί χρήσιμον ἔνεστι τοῖς ὀψὲ δὴ τούτοις ἀλεῖν λεγομένοις μύλοις τῶν θεῶν, καὶ ποιοῦσι τὴν δίκην ἀμαυράν, καὶ τὸν φόβον ἐξίτηλον τῆς κακίας. ῥηθέντων οὖν τούτων κἀμοῦ πρὸς αὐτὸν ὄντος, ὁ Τίμων πότερον εἶπεν ἐπιθῶ καὶ αὐτὸς ἤδη τῷ λογισμῷ τὸν κολοφῶνα τῆς ἀπορίας, ἢ πρὸς ταῦτα ἐάσω πρότερον αὐτὸν διαγωνίσασθαι. τί γὰρ ἔφην ἐγὼ δεῖ τὸ τρίτον ἐπενεγκεῖν κῦμα καὶ προσκατακλύσαι τὸν λόγον, εἰ τὰ πρῶτα μὴ δυνατὸς ἔσται διώσασθαι μηδὲ ἀποφυγεῖν ἐγκλήματα. πρῶτον οὖν ὥσπερ ἀφ' ἑστίας ἀρχόμενοι, πατρώας τῆς πρὸς τὸ θεῖον εὐλαβείας τῶν ἐν Ἀκαδημίᾳ φιλοσόφων τὸ μὲν ὡς εἰδότες τι λέγειν περὶ τούτων, ἀφοσιωσόμεθα· πλέον γάρ ἐστι τοῦ περὶ μουσικῶν ἀμούσους, καὶ πολεμικῶν ἀστρατεύτους διαλέγεσθαι, τὸ τὰ θεῖα καὶ δαιμόνια πράγματα διασκοπεῖν, ἀνθρώπους ὄντας, οἷον ἀτέχνους τεχνιτῶν διάνοιαν ἀπὸ δόξης καὶ διανοίας κατὰ τὸ εἰκὸς μετιόντας. οὐ γὰρ ἰατροῦ μὲν ἰδιώτην ὄντα συμβαλεῖν λογισμόν, ὡς πρότερον οὐκ ἔτεμεν, ἀλλ' ὕστερον, οὐδὲ χθὲς ἔλουσεν ἀλλὰ σήμερον, ἔργον ἐστί, περὶ θεοῦ δὲ θνητὸν ῥᾴδιον ἢ βέβαιον εἰπεῖν ἄλλο, πλὴν ὅτι τὸν καιρὸν εἰδὼς ἄριστα τῆς περὶ τὴν κακίαν ἰατρείας, ὡς φάρμακον ἑκάστῳ προσφέρει τὴν κόλασιν, οὔτε μεγέθους μέτρον κοινόν, οὔτε χρόνον ἕνα καὶ τὸν αὐτὸν ἐπὶ πάντων ἔχουσαν. ὅτι γὰρ ἡ περὶ τὴν ψυχὴν ἰατρεία, δίκη δὲ καὶ δικαιοσύνη προσαγορευομένη, πασῶν ἐστι τεχνῶν μεγίστη, πρὸς μυρίοις ἑτέροις καὶ Πίνδαρος ἐμαρτύρησεν, ἀριστοτέχναν ἀνακαλούμενος τὸν ἄρχοντα καὶ κύριον ἁπάντων θεόν, ὡς δὴ δίκης ὄντα δημιουργόν, ᾗ προσήκει, τὸ πότε καὶ πῶς καὶ μέχρι πόσου κολαστέον ἕκαστον τῶν πονηρῶν ὁρίζειν. καὶ ταύτης φησὶ τῆς τέχνης ὁ Πλάτων υἱὸν ὄντα τοῦ Διὸς γεγονέναι τὸν Μίνω μαθητήν, ὡς οὐ δυνατὸν ἐν τοῖς δικαίοις κατορθοῦν, οὐδ' αἰσθάνεσθαι τοῦ κατορθοῦντος, τὸν μὴ μαθόντα μηδὲ κτησάμενον τὴν ἐπιστήμην. οὐδὲ γὰρ οὓς ἄνθρωποι νόμους τιθέντες, τὸ εὔλογον ἁπλῶς ἔχουσι καὶ πάντοτε φαινόμενον, ἀλλ' ἔνια καὶ δοκεῖ κομιδῇ γελοῖα τῶν προσταγμάτων· οἷον ἐν Λακεδαίμονι κηρύττουσιν οἱ ἔφοροι παριόντες εὐθὺς εἰς τὴν ἀρχήν, μὴ τρέφειν μύστακα, καὶ πείθεσθαι τοῖς νόμοις, ὡς μὴ χαλεποὶ ὦσιν αὐτοῖς. Ῥωμαῖοι δέ, οὓς ἂν εἰς ἐλευθερίαν ἀφαιρῶνται, κάρφος αὐτῶν λεπτὸν ἐπιβάλλουσι τοῖς σώμασιν· ὅταν δὲ διαθήκας γράφωσιν, ἑτέρους μὲν ἀπολείπουσι κληρονόμους, ἑτέροις δὲ πωλοῦσι τὰς οὐσίας, ὃ δοκεῖ παράλογον εἶναι, παραλογώτατον

δὲ τὸ τοῦ Σόλωνος, ἄτιμον εἶναι τὸν ἐν στάσει πόλεως μηδετέρᾳ μερίδι προσθέμενον, μηδὲ συστασιάσαντα, καὶ ὅλως πολλὰς ἄν τις ἐξείποι νόμων ἀτοπίας, μήτε τὸν λόγον ἔχων τοῦ νομοθέτου, μήτε τὴν αἰτίαν συνιεὶς ἑκάστου τῶν γραφομένων. τί δὴ θαυμαστόν, εἰ τῶν ἀνθρωπίνων οὕτως ἡμῖν ὄντων δυσθεωρήτων οὐκ εὔπορόν ἐστι τὸ περὶ τῶν θεῶν εἰπεῖν, ᾧ τινι λόγῳ τοὺς μὲν ὕστερον, τοὺς δὲ πρότερον τῶν ἁμαρτανόντων κολάζουσι. ταῦτα δὲ οὐκ ἀποδράσεως πρόφασίς ἐστιν, ἀλλὰ συγγνώμης αἴτησις, ὅπως ὁ λόγος οἷον εἰς λιμένα καὶ καταφυγὴν ἀποβλέπων, εὐθαρσέστερον ἐξαναφέρῃ τῷ πιθανῷ πρὸς τὴν ἀπορίαν. ἀλλὰ σκοπεῖτε πρῶτον, ὅτι κατὰ Πλάτωνα πάντων καλῶν ὁ θεὸς ἑαυτὸν ἐν μέσῳ παράδειγμα θέμενος, τὴν ἀνθρωπίνην ἀρετὴν ἐξομοίωσιν οὖσαν ἁμωσγέπως, πρὸς αὐτὸν ἐνδίδωσι τοῖς ἕπεσθαι θεῷ δυναμένοις. καὶ γὰρ ἡ πάντων φύσις ἄτακτος οὖσα, ταύτην ἔσχε τὴν ἀρχήν, τοῦ μεταβαλεῖν καὶ γενέσθαι κόσμος, ὁμοιότητι καὶ μεθέξει τινὶ τῆς περὶ τὸ θεῖον ἰδέας καὶ ἀρετῆς. καὶ τὴν ὄψιν αὐτὸς οὗτος ἀνήρ, ἀνάψαι φησὶ τὴν φύσιν ἐν ἡμῖν, ὅπως ὑπὸ θέας τῶν ἐν οὐρανῷ φερομένων καὶ θαύματος ἀσπάζηται καὶ ἀγαπᾶν ἐθιζομένη τὸ εὔσχημον ἡ ψυχὴ καὶ τεταγμένον, ἀπεχθάνηται τοῖς ἀναρμόστοις καὶ πλανητοῖς πάθεσι, καὶ φεύγῃ τὸ εἰκῆ καὶ ὡς ἔτυχεν, ὡς κακίας καὶ πλημμελείας ἁπάσης γένεσιν. οὐ γάρ ἐστιν ὅτι μεῖζον ἄνθρωπος ἀπολαύειν θεοῦ πέφυκεν, ἢ τὸ μιμήσει καὶ διώξει τῶν ἐν ἐκείνῳ καλῶν καὶ ἀγαθῶν, εἰς ἀρετὴν καθίστασθαι.

διὸ καὶ τοῖς πονηροῖς ἐν χρόνῳ καὶ σχολαίως τὴν δίκην ἐπιτίθησιν, οὐκ αὐτός τινα τοῦ ταχὺ κολάζειν ἁμαρτίαν δεδιὼς ἢ μετάνοιαν, ἀλλ' ἡμῶν τὸ περὶ τὰς τιμωρίας θηριῶδες καὶ λάβρον ἀφαιρῶν, καὶ διδάσκων μὴ σὺν ὀργῇ, μηδ' ὅτε μάλιστα φλέγεται καὶ σφαδάζει πηδῶν ὁ θυμὸς τῶν φρενῶν ἀνωτέρω, καθάπερ δίψαν ἢ πεῖναν ἀποπιμπλάντας, ἐπιπηδᾶν τοῖς λελυπηκόσιν, ἀλλὰ μιμουμένους τὴν ἐκείνου πρᾳότητα καὶ τὴν μέλλησιν, ἐν τάξει καὶ μετὰ μελείᾳ τὸν ἥκιστα μετανοίᾳ προσοισόμενον χρόνον ἔχοντας σύμβουλον, ἅπτεσθαι τῆς δίκης. ὕδατι γὰρ τεταραγμένῳ προσπεσόντα χρῆσθαι δι' ἀκρασίαν ἧττόν ἐστι κακόν, ὡς Σωκράτης ἔλεγεν, ἢ θολερὸν ὄντα καὶ διάπλεων τὸν λογισμὸν ὀργῆς καὶ μανίας, πρὶν ἢ καταστῆναι καὶ γενέσθαι καθαρόν, ἐμφορεῖσθαι τιμωρίας συγγενοῦς καὶ ὁμοφύλου σώματος. οὐ γὰρ ἔγγιστα τῷ ἀμύνασθαι τὸ παθεῖν ὡς Θουκυδίδης ἔλεγεν, ἀλλὰ μᾶλλον ἀποτάτω κείμενον, ἀπολαμβάνει τὸ προσῆκον. ὡς γὰρ ὁ θυμὸς κατὰ τὸν Μελάνθιον, τὰ δεινὰ πράττει τὰς φρένας μετοικίσας, οὕτω καὶ ὁ λογισμός, τὰ δίκαια πράττει καὶ μέτρια, τὴν ὀργὴν καὶ τὸν θυμὸν ἐκποδὼν θέμενος. ὅθεν ἡμεροῦνται καὶ τοῖς ἀνθρωπίνοις παραδείγμασιν ἀκούοντες, ὡς Πλάτων τε τὴν βακτηρίαν ἀνατεινάμενος τῷ παιδί, πολὺν ἔστη χρόνον ὡς αὐτὸς ἔφη τὸν θυμὸν κολάζων· καὶ Ἀρχύτας οἰκετῶν τινα πλημμέλειαν ἐν ἀγρῷ καὶ ἀταξίαν καταμαθών, εἶτα ἑαυτοῦ συναισθανόμενος ἐμπαθέστερον ἔχοντος καὶ τραχύτερον πρὸς αὐτούς, οὐδὲν ἐποίησεν, ἀλλ' ἢ τοσοῦτον ἀπιών, εὐτυχεῖτε εἶπεν, ὅτι ὀργίζομαι ὑμῖν. εἴπερ οὖν ἀνδρῶν λόγοι μνημονευόμενοι καὶ πράξεις λεγόμεναι, τὸ τραχὺ καὶ σφοδρὸν ἀπαρύτουσι τῆς ὀργῆς, πολὺ μᾶλλον εἰκὸς ἡμᾶς τὸν θεὸν ὁρῶντας, ᾧ δέος οὐδὲν οὐδὲ μετάνοια πράγματος οὐδενός, ὅμως ἐν τῷ μέλλοντι τὴν τιμωρίαν κατατιθέμενον καὶ περιμένοντα τὸν χρόνον, εὐλαβεῖς περὶ τὰ τοιαῦτα γίνεσθαι, καὶ θεῖον ἡγεῖσθαι μόριον ἀρετῆς, τὴν πρᾳότητα καὶ τὴν μεγαλοπάθειαν, ἣν ὁ θεὸς ἐνδείκνυται, τῷ μὲν κολάζειν ὀλίγους ἐπανορθοῦσαν, τῷ δὲ βραδέως πολλοὺς ὠφελοῦσαν καὶ νουθετοῦσαν. δεύτερον τοίνυν ἐκεῖνο διανοηθῶμεν, ὡς αἱ μὲν δικαιώσεις αἱ παρὰ ἀνθρώπων, νόμον ἔχουσι

τὸ αὐτὸ λυποῦν, καὶ ἐν τῷ κακῶς τὸν δεδρακότα παθεῖν ἵστανται, περαιτέρω δὲ οὐκ ἐξικνοῦνται. διὸ τοῖς ἁμαρτήμασι κυνὸς δίκην ἐφυλακτοῦσαι κατακολουθοῦσι, καὶ τὰς πράξεις ἐκ ποδὸς ἐπιδιώκουσι. τὸν θεὸν δὲ, εἰκὸς ἧς ἂν ἐφάπτηται τῇ δίκῃ ψυχῆς νοσούσης, τά τε πάθη διορᾶν εἴ πῃ τι κάμπτοιτο πρὸς μετάνοιαν, ἐνδίδωσι καὶ χρόνον γε πρὸς ἐπανόρθωσιν, οἷς οὐκ ἄκρατος αὐδ᾽ ἄτρεπτος ἡ κακία πέφυκε προσιζάνειν. ἅτε γὰρ εἰδὼς ὅσην μοῖραν ἀρετῆς ἀπ᾽ αὐτοῦ φερόμεναι, πρὸς γένεσιν αἱ ψυχαὶ βαδίζουσι, καὶ τὸ γενναῖον ὡς ἰσχυρὸν αὐταῖς καὶ οὐκ ἐξίτηλον ἐμπέφυκεν. ἐξανθεῖ δὲ παρὰ φύσιν τὴν κακίαν ὑπὸ τροφῆς καὶ ὁμιλίας φαύλης φθειρόμενον, εἶτα θεραπευθὲν ἐνίοις καλῶς, ἀπολαμβάνει τὴν προσήκουσαν ἕξιν, οὐ πᾶσι κατατείνει τὴν τιμωρίαν ὁμοίως. ἀλλὰ τὸ μὲν ἀνήκεστον εὐθὺς ἐξεῖλε τοῦ βίου καὶ ἀπέκοψεν, ὡς ἑτέροις γε πάντως βλαβερὸν, αὐτῷ τε βλαβερώτατον, ἀεὶ συνεῖναι μετὰ πονηρίας. οἷς δὲ ὑπ᾽ ἀγνοίας τοῦ καλοῦ μᾶλλον ἢ προαιρέσει τοῦ αἰσχροῦ, τὸ ἁμαρτητικὸν εἰκὸς ἐγγεγονέναι, δίδωσι μεταβαλέσθαι χρόνον. ἐὰν δὲ ἐπιμένωσι, καὶ τούτοις ἀπέδωκε τὴν δίκην. οὐ γάρ που δέδιε μὴ διαφύγωσιν. σκόπει δὲ ὅσαι μεταβολαὶ γεγόνασιν εἰς ἦθος ἀνδρῶν καὶ βίον. ἣ καὶ τρόπος ὠνομάσθη τὸ μεταβάλλον αὐτοῦ καὶ ἦθος, ὡς πλεῖστον αὐτοῦ ἐνδύεται τὸ ἔθος, καὶ κρατεῖ μάλιστα καθαπτόμενον. οἶμαι μὲν οὖν καὶ τὸν Κέκροπα διφυᾶ προσαγορευθῆναι τοὺς παλαιοὺς, οὐχ ὡς ἔνιοι λέγουσιν ἐκ χρηστοῦ βασιλέως, ἄγριον καὶ δρακοντώδη γενόμενον τύραννον, ἀλλὰ τοὐναντίον ἐν ἀρχῇ σκολιὸν ὄντα καὶ φοβερὸν, εἶθ᾽ ὕστερον ἄρξαντα πράως καὶ φιλανθρώπως. εἰ δὲ τοῦτ᾽ ἄδηλον, ἀλλὰ Γέλωνά γε ἴσμεν καὶ Ἱέρωνα τοὺς Σικελιώτας καὶ Πεισίστρατον τὸν Ἱπποκράτους, ὅτι πονηρίᾳ κτησάμενοι τυραννίδας, ἐχρήσαντο πρὸς ἀρετὴν αὐταῖς, καὶ παρανόμως ἐπὶ τὸ ἄρχειν ἐλθόντες, ἐγένοντο μέτριοι καὶ δημωφελεῖς ἄρχοντες. οἱ μὲν εὐνομίαν τε πολλὴν καὶ γῆς ἐπιμέλειαν παρασχόντες, αὐτούς τε σώφρονας, τοὺς πολίτας καὶ φιλεργοὺς, ἐκ πολυγέλων καὶ λάλων κατασκευάσαντες. Γέλων δὲ καὶ προσπολεμήσας ἄριστα καὶ κρατήσας μάχῃ μεγάλῃ Καρχηδονίων, οὐ πρότερον εἰρήνην ἐποιήσατο πρὸς αὐτοὺς δεομένους, ἢ καὶ τοῦτο ταῖς συνθήκαις περιλαβεῖν, ὅτι παύσονται τὰ τέκνα τῷ Κρόνῳ καταθύοντες. ἐν δὲ Μεγάλῃ πόλει Λυδιάδας ἦν τύραννος, εἶτ᾽ ἐν αὐτῷ τῷ τυραννεῖν μεταβαλλόμενος, καὶ δυσχεράνας τὴν ἀδικίαν, ἀπέδωκε μὲν τοὺς νόμους τοῖς πολίταις, μαχόμενος δὲ πρὸς τοὺς πολεμίους ὑπὲρ τῆς πατρίδος, ἐπιφανῶς ἔπεσεν. εἰ δέ τις ἢ τύραννον ἀπέκτεινε Μιλτιάδην ἐν Χερρονήσῳ πρότερον, ἢ Κίμωνα συνόντα τῇ ἀδελφῇ διώξας εἷλεν, ἢ Θεμιστοκλέους ἐφ᾽ οἷς ἀσελγαίνων ἐκώμαζε καὶ ὕβριζε δι᾽ ἀγορᾶς, ἀφείλετο τὴν πόλιν, ὡς ὕστερον Ἀλκιβιάδου γραψάμενος, ἆρ᾽ οὐκ ἂν ἀπωλέσαμεν ἡμῖν, οἱ Μαραθῶνες, οἱ Εὐρυμέδοντες, τὸ καλὸν Ἀρτεμίσιον, ὅθι παῖδες Ἀθηναίων ἐβάλοντο φαεννὰν κρηπῖδ᾽ ἐλευθερίας; οὐδὲν γὰρ αἱ μεγάλαι φύσεις μικρὸν ἐκφέρουσι, οὐδ᾽ ἀργεῖ δι᾽ ὀξύτητα τὸ σφοδρὸν ἐν αὐταῖς καὶ δραστήριον, ἀλλ᾽ ἐν σάλῳ διαφέρονται, πρὶν εἰς τὸ μόνιμον καὶ καθεστηκὸς ἦθος ἐλθεῖν. ὥσπερ οὖν ὁ γεωργίας ἄπειρος, οὐκ ἂν ἀσπάσαιτο χώραν ἰδὼν λόχμης ἔμπλεων δασείας καὶ φυτῶν ἀγρίων καὶ θηρία πολλὰ καὶ ῥεύματα καὶ πολὺν ἔχουσαν πηλὸν, ἀλλὰ τῷ μεμαθηκότι διαισθάνεσθαι καὶ κρίνειν, αὐτὰ ταῦτα τὴν ἰσχὺν καὶ πάνυ ὅσα ὑποδείκνυσι καὶ τὴν μαλακότητα τῆς γῆς, οὕτως ἄτοπα πολλὰ καὶ φαῦλα προεξανθοῦσιν αἱ μεγάλαι φύσεις, ὧν ἡμεῖς μὲν εὐθὺς τὸ τραχὺ καὶ νύττον οὐ φέροντες, ἀποκόπτειν οἰόμεθα δεῖν καὶ κολούειν. ὁ δὲ βελτίων κριτὴς, καὶ ἀπὸ τούτων ἐνορῶν τὸ χρηστὸν καὶ γενναῖον, περιμένει λόγου καὶ ἀρετῆς συνεργὸν ἡλικίαν καὶ ὥραν, ἧ τὸ οἰκεῖον ἡ φύσις καρπὸν ἀποδίδωσι. ταῦτα μὲν οὖν ταύτῃ. τὸν δ᾽ ἐν Αἰγύπτῳ νόμον, ἆρ᾽ οὐκ εἰκότως ὑμῖν ἀπογράψασθαι δοκοῦσιν ἔνιοι τῶν Ἑλλήνων, ὃς κελεύει τὴν ἔγκυον ἁλοῦσαν θανάτου, μέχρι τέκῃ φυλάττεσθαι; πάνυ μὲν οὖν ἔφασαν. εἶπον οὖν ἐγὼ, εἰ δὲ παιδία μὴ κύοι τις, ἀλλὰ πρᾶξιν ἢ βουλὴν ἀπόρρητον εἰς φῶς ἡλίου δυνατὸς ᾖ προαγαγεῖν χρόνῳ, καὶ ἀναδεῖξαι κακόν τι μηνύσας λανθάνον, ἢ σωτηρίου γνώμης γενόμενος σύμβουλος, ἢ χρείας εὑρετὴς ἀναγκαίας, οὐκ ἀμείνων ὁ περιμένας τῆς τιμωρίας τὸ χρήσιμον τοῦ προανελόντος; ἐμοὶ μὲν γοῦν ἔφη δοκεῖ. καὶ ὑμῖν ὁ Πατροκλέας εἶπεν, ὀρθῶς ἔφη. σκόπει γοῦν εἰ Διονύσιος ἐν ἀρχῇ τῆς τυραννίδος ἔδωκε δίκην, ὡς οὐδεὶς ἂν Ἑλλήνων ᾤκει Σικελίαν ἀνάστατον ὑπὸ Καρχηδονίων γενομένην, ὥσπερ οὐδ᾽ Ἀπολλωνίαν, οὐδ᾽ Ἀνακτόριον, οὐδὲ τὴν Λευκαδίων χερρόνησον ᾤκουν Ἕλληνες, εἰ Περίανδρος ἐκολάσθη μὴ μετὰ πολὺν χρόνον. οἶμαι δὲ καὶ Κασάνδρῳ γενέσθαι τῆς δίκης ἀναβολὴν, ὅπως αἱ Θῆβαι συνοικῶνται πάλιν. τῶν δὲ τουτὶ τὸ ἱερὸν συγκαταλαβόντων ξένων, οἱ πολλοὶ Τιμολέοντι συνδιαβάντες εἰς Σικελίαν, ὅτε Καρχηδονίους ἐνίκησαν καὶ κατέλυσαν τὰς τυραννίδας, ἐξώλοντο κακοὶ κακῶς ὕστερον. ἐνίοις γὰρ ἀμέλει καὶ κολασταῖς ἑτέρων πονηρῶν, οἷον δημοκοίνοις ἀπεχρήσατο τὸ δαιμόνιον, εἶτ᾽ ἐπέτριψε, καθάπερ οἶμαι τοὺς πλείστους τυράννους.

ὥσπερ γὰρ ὑαίνης χολὴ, καὶ φώκης πυτία, θηρίων τ᾽ ἄλλα μιαρῶν, ἔχουσί τι πρὸς τὰς νόσους χρήσιμον, οὕτως ἐνίοις δηγμοῦ δεομένοις, καὶ κολάσεως, ἐμβαλὼν ὁ θεὸς πικρίαν τινὰ τυράννου δυσμείλικτον, καὶ τραχύτητα χαλεπὴν ἄρχοντος, οὐ πρότερον ἐξεῖλε τὸ λυποῦν καὶ ταράττον, ἢ τὸ νοσοῦν ἀπαλλάξαι καὶ καθᾶραι. τοιοῦτο καὶ Φάλαρις ἦν Ἀκραγαντίνοις φάρμακον, καὶ Ῥωμαίοις Μάριος. Σικυωνίοις δὲ, καὶ διαρρήδην ὁ θεὸς προεῖπε μαστιγονόμων δεῖσθαι τὴν πόλιν, ὅτε Τελεσίαν παῖδα στεφανούμενον ἐν Πυθίοις ἀφαιρούμενοι Κλεωναίων, ὡς ἴδιον πολίτην διέσπασαν. ἀλλὰ Σικυωνίοις μὲν Ὀρθαγόρας γενόμενος τύραννος, καὶ μετ᾽ ἐκεῖνον οἱ περὶ Μύρωνα καὶ Κλεισθένην, τὴν ἀκολασίαν ἔπαυσαν, Κλεωναῖοι δὲ τῆς αὐτῆς οὐ τυχόντες ἰατρείας, εἰς τὸ μηδὲν ἥκουσι. καὶ Ὁμήρου δέ που λέγοντος ἀκούετε. τοῦ γένετ᾽ ἐκ πατρὸς πολὺ χείρονος, υἱὸς ἀμείνων παντοίην ἀρετὴν. καί τοι λαμπρὸν οὐδὲν οὐδ᾽ εὐπρεπὲς ἔργον ἐκεῖνος ὁ τοῦ Κοπρέως παρέχων. ἀλλὰ τὸ Σισύφου καὶ τὸ Αὐτολύκου καὶ Φλεγύου γένος, ἐνήνθησεν ἐν δόξαις καὶ ἀρεταῖς μεγάλων βασιλέων. γέγονε δὲ καὶ Περικλῆς Ἀθήνησιν, ἐναγοῦς οἰκίας. καὶ Πομπήιος Μάγνος ἐν Ῥώμῃ, Στράβωνος υἱὸς, οὗ τὸν νεκρὸν ὁ Ῥωμαίων δῆμος ὑπὸ μίσους ἐξέβαλε καὶ κατεπάτησε. τί οὖν ἄτοπον, εἰ καθάπερ γεωργὸς οὐκ ἐκκόπτει τὴν ἄκανθαν, ἂν μὴ λάβῃ τὸν ἀσπάραγον, οὐδ᾽ οἱ Λίβυες τὸ φρύγανον ἐπικαίουσι πρότερον ἢ τὸ λήδανον ἀπ᾽ αὐτοῦ συναγαγεῖν, οὕτως ὁ θεὸς ἐνδόξου καὶ βασιλικοῦ γένους ῥίζαν πονηρὰν καὶ τραχεῖαν οὐκ ἀναιρεῖ πρότερον, ἢ φῦσαι τὸν προσήκοντα καρπὸν ἀπ᾽ αὐτῆς. μυρίας γοῦν Ἰφίτου βοῦς καὶ ἵππους ἀπολέσθαι κρεῖττον ἦν Φωκεῦσι, καὶ πλείονα χρυσὸν ἐκ Δελφῶν οἴχεσθαι καὶ ἄργυρον, ἢ μὴ τὸν Ὀδυσσέα μήτε τὸν Ἀσκληπιὸν φῦναι, μήτε τοὺς ἄλλους ἐκ κακῶν καὶ πονηρῶν, ἄνδρας ἀγαθοὺς καὶ μεγαλωφελεῖς γενομένους. τὸ δὲ ἐν καιρῷ καὶ τρόπῳ προσήκοντι γίνεσθαι τὰς τιμωρίας, οὐ βέλτιον ἐστὶ τοῦ ταχὺ καὶ παραχρῆμα νομίζειν; οἷον οὗτοι τὸν κατὰ Κάλλιππον, ὃς ξιφιδίῳ φίλος εἶναι δοκῶν ἀπέκτεινε Δίωνα, τούτῳ πάλιν αὐτὸν ὑπὸ τῶν φίλων ἀποθανεῖν. καὶ τὸ Μιτύου τοῦ Ἀργείου κατὰ στάσιν ἀναιρεθέντος, ἀνδριάντα χαλκοῦν ἐν ἀγορᾷ θέας οὔσης, ἐμπεσεῖν τῷ κτείναντι τὸν Μίτυον καὶ ἀνελεῖν. καὶ τὰ περὶ τὸν Βέσσον τὸν Παίονα καὶ Ἀρίστωνα τὸν Οἰταῖον ξεναγὸν, οἶσθα δήπουθεν ὦ Πα-

ξοκλέα· μὰ δί' εἶπεν, ἀλλὰ δέομαι μαθεῖν. ὁ μὲν ἀρίστων ἔφη, τὸν ἐριφύλης κόσμον ἐν ταῦθα κείμενον καθελὼν τῶν τυράννων διδόντων, ἐκόμισε τῇ γυναικὶ δῶρον· ὁ δ' υἱὸς αὐτοῦ πρὸς τὴν μητέρα διοργισθεὶς ἔκ τινος αἰτίας, ὑφῆψε τὴν οἰκίαν, καὶ πάντας ἐν τῷ αὐτῷ κατέκαυσεν· ὁ δὲ βέσσος ὡς ἔοικεν ἀποκτονὼς τὸν πατέρα τὸν ἑαυτοῦ, πολὺν χρόνον ἐλάνθανεν, ὕστερον δὲ πρὸς ξένους ἐπὶ δεῖπνον ἐλθὼν, χελιδόνων τινὰ νεοσσιὰν τῇ λόγχῃ νύξας κατέβαλε, καὶ τοὺς νεοσσοὺς διέφθειρε. λεγόντων δὲ οἷον εἰκὸς τῶν παρόντων, ἄνθρωπε τί παθὼν ἔργον οὕτως ἀλλόκοτον ἔπραξας· οὐ γάρ ἔφη μου πάλαι καταμαρτυροῦσιν αὗται ψευδῶς καὶ καταβοῶσιν, ὡς ἀπεκτονότος τὸν πατέρα; θαυμάσαντες δὲ οἱ παρόντες τὸν λόγον, ἐμήνυσαν τῷ βασιλεῖ καὶ τοῦ πράγματος ἐξελεγχθέντος, ἔτισεν ὁ βέσσος τὴν δίκην. ἀλλὰ ταῦτα μὲν ἔφην ἡμεῖς λέγομεν, ὥσπερ ἠξίωται, γίγνεσθαί τινα τῆς τιμωρίας ἀναβολὴν, ὑποθέμενοι τοῖς πονηροῖς· τὰ λοιπὰ δὲ ἡσιόδου χρὴ νομίζειν ἀκροᾶσθαι, λέγοντος, οὐχ ἣ πλάτων ἀκόλουθον εἶναι τιμωρίαν ἀδικίας παθεῖν, ἀλλ' ἡλικιῶτιν ἐκ τῆς αὐτῆς ὁμόθεν χώρας καὶ ῥίζης συμπεφυκυῖαν· ἡ γὰρ κακή φησι βουλὴ, τῷ βουλεύσαντι κακίστη· καὶ ὅς δ' ἄλλῳ κακὰ τεύχει, ἑῷ κακὸν ἥπατι τεύχει. ἡ μὲν γὰρ κανθαρὶς ἐν αὐτῇ λέγεται τὸ βοηθητικὸν ἔκ τινος ἀντιπαθείας ἔχειν συγκεκραμένον, ἡ δὲ πονηρία συγγεννῶσα τὸ λυποῦν ἑαυτῇ καὶ κολάζον, οὐχ ὕστερον, ἀλλ' ἐν αὐτῇ τῇ ὕβρει τὴν δίκην τοῦ ἀδικεῖν δίδωσι, καὶ τῷ μὲν σώματι τῶν κολαζομένων ἕκαστος τῶν κακούργων ἐκφέρει τὸν αὐτοῦ σταυρόν· ἡ δὲ κακία τῶν κολαστηρίων ἐφ' ἑαυτὴν ἕκαστον ἐξ αὐτῆς τεκταίνεται, δεινή τις οὖσα βίου δημιουργὸς οἰκτροῦ καὶ σὺν αἰσχύνῃ φόβους τε πολλοὺς καὶ πάθη χαλεπὰ, καὶ μεταμελείας καὶ ταραχὰς ἀπαύστους ἔχοντος. ἀλλ' οὐδὲν ἔνιοι διαφέρουσι παιδαρίων, ἃ τοὺς κακούργους ἐν τοῖς θεάτροις θεώμενα πολλάκις ἐν χιτῶσι διαχρύσοις καὶ χλαμυδίοις ἁλουργοῖς ἐστεφανωμένους καὶ πυρριχίζοντας, ἄγαται καὶ τέθηπεν ὡς μακαρίους· ἄχρις οὗ κεντούμενοι καὶ μαστιγούμενοι καὶ πῦρ ἀνιέντες ἐκ τῆς ἀνθινῆς ἐκείνης καὶ πολυτελοῦς ἐσθῆτος ὀφθῶσιν· οἱ γὰρ πολλοὶ τῶν πονηρῶν οἰκίας περιβεβλημένοι μεγάλας, καὶ ἀρχὰς καὶ δυνάμεις περιφανεῖς, λανθάνουσιν ὅτι κολάζονται, πρὶν ἀναφθῶσιν ἀποσφαγέντες ἢ κατακρημνισθέντες, ἅπερ οὐ τις οὐ τιμωρίαν εἴποι, πέρας δὲ τιμωρίας καὶ συντέλειαν. ὥσπερ γὰρ ἡρόδικον τὸν σηλυμβριανὸν εἰς φθίσιν ἀνήκεστον πάθος ἐμπεσόντα, καὶ μίξαντα πρῶτον ἀνθρώπων γυμναστικὴν ἰατρικῇ, ὥς φησιν ὁ πλάτων, μακρὸν ποιῆσαι τὸν θάνατον αὐτῷ καὶ τοῖς ὁμοίως νοσοῦσιν, οὕτω καὶ τῶν πονηρῶν, ὅσοι τὴν παραυτίκα πληγὴν ἐκφυγεῖν ἔδοξαν, οὐ μετὰ πλείονα χρόνον, ἀλλ' ἐν πλείονι χρόνῳ τιμωρίαν μακροτέραν οὐ βραδυτέραν τίνουσιν, οὐδὲ γηράσαντες ἐκολάσθησαν, ἀλλ' ἐγήρασαν κολαζόμενοι. λέγω δὲ πρὸς ἡμᾶς τὸν πολὺν χρόνον· ἐπεὶ τοῖς γε θεοῖς πᾶν ἀνθρωπίνου βίου διάστημα, τὸ μηδέν ἐστι καὶ τὸ νῦν, ἀλλὰ μὴ πρὸ ἐτῶν τριάκοντα, τοιοῦτόν ἐστιν, οἷον τὸ δείλης ἀλλὰ μὴ πρωῒ στρεβλοῦν ἢ κρεμαννύαι τὸν πονηρόν. ἄλλως τε καὶ φρουρούμενον ἐν τῷ βίῳ καθάπερ εἱρκτῇ μηδεμίαν μετανάστασιν ἐχούσῃ μὴ δὲ διάφευξιν, εὐωχίας δὲ πολλὰς διὰ μέσου καὶ πραγματείας καὶ δόσεις καὶ χάριτας, ἀμέλει καὶ παιδιὰς ὥσπερ ἐν δεσμωτηρίῳ κυβευόντων ἢ πεττευόντων, ὑπὲρ κεφαλῆς τοῦ χοινίου κρεμαμένου. καί τοι τί κωλύει μὴ δὲ τοὺς ἐπὶ θανάτῳ καθειργνυμένους φάναι κολάζεσθαι, μέχρις οὗ τις ἀποκόψῃ τὸν τράχηλον· μὴ δὲ τὸν πεπωκότα τὸ κώνειον, εἶτα περιϊόντα καὶ προσμένοντα βάρος ἐγγενέσθαι τοῖς σκέλεσιν αὐτοῦ, πρὶν ἢ τὴν συνάπτουσαν ἀναισθησίᾳ σβέσιν καὶ πῆξιν καταλαβεῖν, εἰ τὸν ἔσχατον τῆς

τιμωρίας καιρὸν ἡγούμεθα τιμωρίαν· τὰ δ' ἐν μέσῳ παθήματα καὶ φόβους καὶ προσδοκίας καὶ μεταμελείας, οἷς ἀδικήσας ἕκαστος ἐνέχεται τῶν πονηρῶν, παραλείπομεν, ὥσπερ ἰχθὺν καταπεπωκότα τὸ ἄγκιστρον οὐ φάσκοντες ἑαλωκέναι, πρὶν ὑπὸ τῶν μαγείρων ὀπτώμενον ἴδωμεν ἢ κατατεμνόμενον. ἔχεται γὰρ ἕκαστος ἀδικήσας τῇ δίκῃ· καὶ τὸ γλυκὺ τῆς ἀδικίας ὥσπερ δέλεαρ εὐθὺς ἐξεδήδοκε, τὸ δὲ συνειδὸς ἐγκείμενον ἔχων καὶ ἀποτίνων, θύννος βολαῖος πέλαγος ὣς διαστροβεῖ. ἡ γὰρ ἰταμότης ἐκείνη καὶ τὸ θρασὺ τῆς κακίας ἄχρι τῶν ἀδικημάτων ἰσχυρόν ἐστι καὶ πρόχειρον· εἶτα τοῦ πάθους ὥσπερ πνεύματος ὑπολείποντος, ἀσθενὲς καὶ ταπεινὸν ὑποπίπτει τοῖς φόβοις καὶ ταῖς δεισιδαιμονίαις. ὥστε πρὸς τὰ γινόμενα καὶ πρὸς τὴν ἀλήθειαν ἀποπλάττεσθαι τὸ τῆς κλυταιμνήστρας ἐνύπνιον τὸν στησίχορον, οὕτωσί πως λέγοντα τάδε· δράκων δ' ἐδόκησε μολεῖν κάρα βεβροτωμένος ἄκρον, ἐκ δ' ἄρα τοῦ, βασιλεὺς πλεισθενίδας ἐφάνη, καὶ γὰρ ὄψεις ἐνυπνίων καὶ φάσματα μεθημερινὰ καὶ χρησμοὶ καὶ καταιβασίαι, καὶ ὅτι δόξαν ἔχων αἰτίᾳ θεοῦ περαίνεσθαι, χειμῶνας ἐπάγει καὶ φόβους τοῖς οὕτω διακειμένοις. οἷον φασὶν ἀπολλόδωρόν ποτε κατὰ τοὺς ὕπνους ὁρᾶν ἐκδερόμενον ἑαυτὸν ὑπὸ σκυθῶν, εἶτα καθεψόμενον, τὴν δὲ καρδίαν ἐκ τοῦ λέβητος ὑποφθεγγομένην καὶ λέγουσαν, ἐγώ σοι τούτων αἰτία. καὶ πάλιν τὰς θυγατέρας διαπύρους καὶ φλεγομένας τοῖς σώμασι κύκλῳ περὶ αὐτὸν περιτρεχούσας. ἵππαρχον δὲ τὸν πεισιστράτου μικρὸν ἔμπροσθεν τῆς τελευτῆς, αἷμα προσβαλοῦσαν αὐτῷ τὴν ἀφροδίτην ἔκ τινος φιάλης πρὸς τὸ πρόσωπον. οἱ δὲ πτολεμαίου τοῦ κεραυνοῦ φίλοι καλούμενον αὐτὸν ἑώρων ἐπὶ δίκην ὑπὸ σελεύκου, γυπῶν καὶ λύκων δικαζόντων, καὶ κρέα πολλὰ τοῖς πολεμίοις διανέμοντα. παυσανίας δὲ κλεονίκην ἐν βυζαντίῳ παρθένον ἐλευθέραν ὕβρει μεταπεμψάμενος ὡς ἕξων διὰ νυκτὸς, εἶτα προσιοῦσαν ἔκ τινος ταραχῆς καὶ ὑποψίας ἀνελὼν, ἑώρα πολλάκις ἐν τοῖς ὕπνοις λέγουσαν αὐτῷ· βαῖνε δίκης ἆσσον, μάλα τοι κακὸν ἀνδράσιν ὕβρις· οὐ παυομένου δὲ τοῦ φάσματος ὡς ἔοικε, πλεύσας εἰς τὸ ψυχοπομπεῖον εἰς ἡράκλειαν, ἱλασμοῖς τισὶ καὶ χοαῖς ἀνεκαλεῖτο τὴν ψυχὴν τῆς κόρης, ἐλθοῦσα δὲ εἰς ὄψιν, εἶπεν, ὅτι παύσεται τῶν κακῶν, ὅταν ἐν λακεδαίμονι γένηται, γενόμενος δὲ, εὐθὺς ἐτελεύτησεν. ὥστε εἰ μηθέν ἐστι τῇ ψυχῇ μετὰ τὴν τελευτὴν, ἀλλὰ καὶ χάριτος πέρας ἁπάσης καὶ τιμωρίας ὁ θάνατος· μᾶλλον ἄν τις εἴποι τοῖς ταχὺ κολαζομένοις τῶν πονηρῶν καὶ ἀποθνήσκουσι, μαλακῶς καὶ ῥαθύμως χρῆσθαι τὸ δαιμόνιον. καὶ γὰρ εἰ μηδὲν ἄλλο φαίη τις ἐν τῷ βίῳ καὶ τῷ χρόνῳ τῶν πονηρῶν παρέχειν κακὸν, ἀλλ' ἐξελεγχομένης τῆς ἀδικίας πράγματος ἀκάρπου καὶ ἀχαρίστου, καὶ χρηστὸν οὐδὲν, οὐδὲ ἄξιον σπουδῆς ἀναφέροντος ἐκ πολλῶν καὶ μεγάλων ἀγώνων, ἡ αἴσθησις αὐτῶν ἀναστρέπει τὴν ψυχήν· οἷον ἱστοροῦσι δή που λυσίμαχον ὑπὸ δίψης ἐκβιασθέντα, καὶ παραδόντα τοῖς γέταις τὸ σῶμα καὶ τὴν δύναμιν, ὡς εἶπεν ὑποχείριος γενόμενος, εἰπεῖν, φεῦ τῆς ἐμῆς κακίας, ὃς δι' ἡδονὴν οὕτω βραχεῖαν, ἐστέρημαι βασιλείας τηλικαύτης. καί τοι γε πρὸς φυσικὴν πάθους ἀνάγκην ἀντιβῆναι, παγχάλεπόν ἐστιν· ὅταν δὲ ἄνθρωπος, ἢ χρημάτων ἕνεκεν πλεονεξίας, ἢ φθόνῳ πολιτικῆς δόξης καὶ δυνάμεως, ἢ δι' ἡδονήν τινα συνουσίας ἀθέμιτον ἔργον ἐργασάμενος καὶ δεινὸν, εἶτα τοῦ πάθους ἀφελεῖς τὸ διψῶδες καὶ μανικὸν, ἐν χρόνῳ καθορᾷ τὰ αἰσχρὰ καὶ φοβερὰ τῆς ἀδικίας πάθη παραμένοντα, χρήσιμον δὲ μηδὲν μηδὲ ἀναγκαῖον μηδὲ ὀνησιφόρον, ἆρ' οὐκ εἰκὸς ἐμπίπτειν αὐτῷ πολλάκις λογισμὸν, ὡς ὑπὸ κενῆς δόξης ἢ δι' ἡδονὴν ἀνελεύθερον καὶ ἄχαριστον, ἀνατρέψας τὰ κάλλιστα καὶ μέγιστα τῶν ἐν ἀνθρώποις δικαίων, ἐμπέπληκε

αἰσχύνης καὶ ταραχῆς τὸν βίον; ὥσπερ γὰρ ὁ Σιμωνίδης ἔλεγε παίζων, τὴν
τοῦ ἀργυρίου κιβωτὸν εὑρίσκειν ἀεὶ πλήρη, τὴν δὲ τῶν χαρίτων κενήν, οὕτως οἱ
πονηροὶ τὴν κακίαν ἐν ἑαυτοῖς διορῶντες, δι' ἡδονῆς μὲν εὐθὺς κενὴν χάριν ἐχού-
σης, ἐλπίδος ἔρημον εὑρίσκουσι, φόβων δὲ καὶ λυπῶν καὶ μνήμης ἀτερποῦς καὶ
πρὸς τὸ μέλλον ὑποψίας, ἀπιστίας δὲ πρὸς τὸ παρὸν ἀεὶ γέμουσαν. ὥσπερ τῆς
Ἰνοῦς ἐν τοῖς θεάτροις λεγούσης ἀκούομεν, ἐφ' οἷς ἔδρασε μεταμελομένης· φίλαι
γυναῖκες, πῶς ἂν ἐξ ἀρχῆς δόμους ἀθάμαντος οἰκήσαιμι, τῶν πεπραγμένων δρά-
σασα μηδέν. ταῦτα ἑκάστου τῶν πονηρῶν τὴν ψυχὴν ἀναπολεῖν ἐν αὐτῇ καὶ δια-
λογίζεσθαι, πῶς ἂν ἐκβᾶσα τῆς μνήμης τῶν ἀδικημάτων, καὶ τὸ συνειδὸς ἐξ
ἑαυτῆς ἐκβαλοῦσα, καὶ καθαρὰ γενομένη, βίον ἄλλον ἐξ ἀρχῆς βιώσειεν.
οὐ γάρ ἐστι θαῤῥαλέον οὐδὲ ἄτυφον οὐδὲ μόνιμον καὶ βέβαιον, ἐν οἷς προαιρεῖται
τὸ πονηρόν, εἰ μὴ νὴ Δία σοφούς τινας εἶναι φήσομεν τοὺς ἀδικοῦντας. ἀλλ' ὅπου
φιλοπλουτία καὶ φιληδονία περιμάχητος καὶ φθόνος ἄκρατος ἐνοικίζεται
μετὰ δυσμενείας ἢ κακοηθείας, ἐνταῦθα καὶ δεισιδαιμονίαν σκοπῶν ἂν εὑρή-
σεις ὑποκαθημένην, καὶ μαλακίαν πρὸς πόνον, καὶ δειλίαν πρὸς θάνατον, καὶ
μετάπτωσιν ὀξεῖαν ὁρμῶν, καὶ χαυνότητα πρὸς δόξαν ὑπὸ ἀλαζονείας, καὶ τοὺς
ψέγοντας φοβοῦνται, καὶ τοὺς ἐπαινοῦντας δεδίασιν, ὡς ἀδικουμένους τῇ ἀ-
πάτῃ, καὶ μάλιστα τοῖς κακοῖς πολεμοῦντας, ὅτι τοὺς δοκοῦντας ἀγαθοὺς ἐ-
παινοῦσι προθύμως. τὸ γὰρ σκληρὸν ἐν κακίᾳ, καθάπερ ἐν φαύλῳ σιδήρῳ σα-
θρόν ἐστι, καὶ τὸ ἀντίτυπον εὔθραυστον. ὅθεν ἐν χρόνῳ πολλῷ μᾶλλον ὡς ἔχου-
σιν αὑτοὺς καταμανθάνοντες, ἄχθονται καὶ δυσκολαίνουσι, καὶ προβάλλονται
τὸν ἑαυτῶν βίον. οὐ γὰρ δή που παρακαταθήκην μὲν ἀποδοὺς, καὶ γνώριμον ἐγγυη-
σάμενος, καὶ πατρίδι μετὰ δόξης καὶ φιλοτιμίας ἐπιδοὺς καὶ συνεισενεγκὼν
ὁ φαῦλος, εὐθύς ἐστιν ἐν μεταμελείᾳ, καὶ τοῖς πεπραγμένοις ἀνιᾶται, διὰ τὸ πά-
ντη εὐμετάπτωτον αὐτοῦ καὶ πλανώμενον τῆς γνώμης, καὶ κροτούμενοί τινες ἐν
τοῖς θεάτροις, εὐθὺς στένουσιν ὑπονοσούσης τῆς φιλοδοξίας εἰς τὴν φιλαργυ-
ρίαν. οἱ δὲ καταθύοντες ἀνθρώπους ἐπὶ τυραννίσι καὶ συνωμοσίαις, ὡς Ἀπολ-
λόδωρος, καὶ χρήματα φίλων ἀποστεροῦντες, ὡς Γλαῦκος ὁ Ἐπικύδους, οὐ με-
τενόουν οὐδ' ἐμίσουν ἑαυτούς, οὐδὲ ἠνιῶντο τοῖς γεγενημένοις. ἐγὼ μὲν εἰ θέμις
ἐστὶν εἰπεῖν, οὔτε τινὸς θεῶν οὔτε ἀνθρώπου δεῖσθαι κολαστοῦ νομίζω τοὺς ἀνοσι-
ουργοῦντας, ἀλλὰ τὸν βίον αὐτῶν ἐξαρκεῖν ὑπὸ τῆς κακίας διεφθαρμένους
ὅλον καὶ συντεταραγμένον. ἀλλὰ σκοπεῖτε τὸν λόγον ἔφην, μὴ τοῦ καιροῦ
ποῤῥωτέρω πρόεισι. καὶ ὁ Τίμων, τυχὸν ἔφη πρὸς τὸ μέλλον καὶ τὸ λειπόμενον
αὐτῷ μῆκος, ἤδη γοῦν ὥσπερ ἔφεδρον ἀνίστημι τὴν τελευταίαν ἀπορίαν, ἐπεὶ
ταῖς πρώταις διηγώνισται μετρίως. ἃ γὰρ Εὐριπίδης ἐγκαλεῖ καὶ παῤῥησιάζεται
πρὸς τοὺς θεούς, τὰ τῶν τεκόντων σφάλματα εἰς τοὺς ἐκγόνους τρέποντας, αἰ-
τιᾶσθαι νόμιζε καὶ τοὺς σιωπῶντας ἡμῶν. εἴτε γὰρ οἱ δράσαντες αὐτοὶ δίκην ἔδω-
σαν, οὐθὲν ἔτι δεῖ κολάζειν τοὺς μὴ ἀδικήσαντας, ὅπου δὶς ἐπὶ τοῖς αὐτοῖς οὐ-
δὲ τοὺς δράσαντας δίκαιον. εἴτε ῥᾳθυμίᾳ καταπροέμενοι τὴν τιμωρίαν ἐν τοῖς
πονηροῖς, ὀψὲ παρὰ τῶν ἀναιτίων εἰσπράττουσιν, οὐκ εὖ τῷ ἀδίκως τὸ βραδέως τὸ ·Η·
ἀναλαμβάνουσιν. οἷον ἐνταῦθα δή που θεν λέγεται ἐλθεῖν Αἴσωπον, ἔχον-
τα παρὰ Κροίσου χρυσίον, ὅπως τε θύσηται τῷ θεῷ μεγαλοπρεπῶς, καὶ Δελ-
φῶν ἑκάστῳ διανείμῃ μνᾶς τέσσαρας, ὀργῆς δέ τινος ὡς ἔοικεν καὶ διαφορᾶς αὐ-
τῷ γενομένης πρὸς τοὺς αὐτόθι, τὴν μὲν θυσίαν ἐποιήσατο, τὰ δὲ χρήματα ἀνέ-
πεμψεν εἰς Σάρδεις, ὡς οὐκ ἀξίων ὄντων ὠφεληθῆναι τῶν ἀνθρώπων. οἱ δὲ συν-
θέντες αἰτίαν ἐπ' αὐτὸν ἱεροσυλίας, ἀπέκτειναν ὤσαντες ἀπὸ τῆς πέτρας ἐ-

κείνης, ἣν Ὑάμπειαν καλοῦσιν. ἐκ δὲ τούτου λέγεται μηνῖσαι τὸ θεῖον αὐτοῖς, ἀ-
φορίαν τε γῆς ἐπαγαγεῖν, καὶ νόσων ἀτόπων ἰδέαν πᾶσαν, ὥστε περιιόντας
ἐν ταῖς ἑλληνικαῖς πανηγύρεσι κηρύσσειν καὶ καλεῖν ἀεὶ τὸν βουλόμενον ὑπὲρ Αἰ-
σώπου δίκην λαβεῖν παρ' αὐτῶν. τρίτῃ δὲ γενεᾷ Σάμιος Ἴδμων ἀφίκετο, γέ-
νει μὲν, οὐδὲν Αἰσώπῳ προσήκων, ἀπόγονος δὲ τῶν πριαμένων αὐτὸν ἐν Σάμῳ γε-
γονώς. καὶ τούτῳ τινὰς δίκας δόντες οἱ Δελφοί, τῶν κακῶν ἀπηλλάγησαν. ἐξ ἐ-
κείνου δέ φασι καὶ τὴν τιμωρίαν τῶν ἱεροσύλων ἐπὶ τὴν Ναυπλίαν ἀπὸ τῆς Ὑαμ- ναύλιαν ·Η·
πείας μετατεθῆναι. καὶ τὸν Ἀλέξανδρον οὐδὲ οἱ πάνυ φιλοῦντες ὧν ἐσμὲν
καὶ ἡμεῖς ἐπαινοῦσι, τὸ Βραγχιδῶν ἄστυ συγχέαντα καὶ διαφθείραντα πᾶσαν
ἡλικίαν διὰ τὴν γενομένην τοῦ περὶ Μίλητον ἱεροῦ προδοσίαν ὑπὸ τῶν προ-
πάππων αὐτῶν. Ἀγαθοκλῆς δ' ὁ Συρακουσίων τύραννος, καὶ σὺν γέλωτι χλευά-
ζων Κερκυραίους ἐρωτῶντας διατί πορθοίη τὴν νῆσον αὐτῶν, ὅτι νὴ Δία εἶπεν οἱ
πατέρες ὑμῶν ὑπεδέξαντο τὸν Ὀδυσσέα. καὶ τῶν Ἰθακησίων ὁμοίως ἐγκαλούντων,
ὅτι πρόβατα λαμβάνουσιν αὐτῶν οἱ στρατιῶται, ὁ δὲ ὑμέτερος ἔφη βασιλεὺς
ἐλθὼν πρὸς ἡμᾶς, καὶ τὸν ποιμένα προσεξετύφλωσεν. ἆρ' οὖν, οὐκ ἀτοπώ-
τερος τούτων ὁ Ἀπόλλων, εἰ Φενεάτας ἀπόλλυσι νῦν, ἐμφράξας τὸ βάραθρον
καὶ κατακλύσας τὴν χώραν ἅπασαν αὐτῶν, ὅτι πρὸ χιλίων ἐτῶν ὥς φασιν, ὁ
Ἡρακλῆς ἀνασπάσας τὸν τρίποδα τὸν μαντικὸν εἰς Φενεὸν ἀπήνεγκε; Συβα-
ρίταις δὲ φράζων ἀπόλυσιν τῶν κακῶν ὅτ' ἂν τρισὶν ὀλέθροις ἱλάσωνται τὸ μή-
νιμα τῆς Λευκαδίας Ἥρας; καὶ μὴν οὐ πολὺς χρόνος ἀφ' οὗ Λοκροὶ πέμπον-
τες εἰς Τροίαν πέπαυνται τὰς παρθένους, αἳ καὶ ἀναμπέχονοι γυμνοῖς ποσὶν ἠΰτε
δοῦλαι ἠοῖαι σαίρεσκον Ἀθηναίης περὶ βωμὸν νόσφι κρηδέμνοιο, καὶ εἰ βαρὺ
γῆρας ἵκοιτο, διὰ τὴν Αἴαντος ἀκολασίαν. ποῦ δὴ ταῦτα τὸ εὔλογον ἔχει καὶ
δίκαιον. οὐδὲ γὰρ Θρᾷκας ἐπαινοῦμεν, ὅτι στίζουσιν ἄχρι νῦν τιμωροῦντες τῷ Ὀρ-
φεῖ τὰς αὐτῶν γυναῖκας, οὐδὲ τοὺς περὶ Ἠριδανὸν βαρβάρους μελανοφοροῦν-
τας ἐπὶ πένθει τοῦ Φαέθοντος, ὥσπερ λέγουσιν. ἔτι δ' ἂν οἶμαι γελοιότερον
ἦν, εἰ τῶν τότε ἀνθρώπων ὅτε διεφθάρη Φαέθων παραμελησάντων, οἱ πέντε γε-
νεαῖς ἢ δέκα τοῦ πάθους ὕστερον γεγονότες, ἤρξαντο τὴν ἐσθῆτα μεταβάλλειν ἐπ'
αὐτῷ καὶ πενθεῖν. καίτοι τοῦτο ἀβελτηρείαν μὲν ἔχει μόνον, οὐδὲν δὲ δεινὸν οὐδὲ
ἀνήκεστον. αἱ δὲ τῶν θεῶν ὀργαί, τίνι λόγῳ παραχρῆμα δυόμεναι καθάπερ ἔνιοι
τῶν ποταμῶν, εἶτα ὕστερον ἐπ' ἄλλους ἀναφερόμεναι, πρὸς ἐσχάτας συμφορὰς ἀ-
ποτελευτῶσιν. ὡς δὲ πρῶτον ἐπέσχε, δείσας ἐγώ, μὴ πάλιν ἐξ ὑπαρχῆς ἐπα-
γάγῃ πλείονας καὶ μείζονας ἀτοπίας, εὐθὺς ἠρόμην αὐτόν, εἶεν ἔφην, ταῦτα
γοῦν πάντα ἀληθινὰ ἡγῇ; κἀκεῖνος, εἰ δὲ μὴ πάντα εἶπεν, ἀλλ' ἔνια τὴν αὐτὴν
ἀπορίαν ἔχειν οὐ νομίζεις τὸν λόγον; ἴσως ἔφην ἐγώ, καὶ τοῖς σφόδρα πυρέτ-
τουσιν ἐάν τε ἓν ἱμάτιον ἐάν τε πολλὰ περιβεβλημένοι τυγχάνωσιν, ταὐτὸ καῦ-
μα καὶ παραπλήσιον, ὅμως δεῖ εἰς παραμυθίαν ἀφελεῖν τὸ πλῆθος, εἰ δὲ μὴ
βούλει, τοῦτο μὲν ἔασον, καίτοι τὰ πλεῖστα μύθοις ἔοικε καὶ πλάσμασιν. ἀνα-
μνήσθητι δὲ τῶν ἔναγχος τῶν Θεοξενίων καὶ τῆς καλῆς ἐκείνης μερίδος, ἣν ἀ-
φαιροῦντες, τοὺς Πινδάρου κηρύττουσι λαμβάνειν ἀπογόνους, ὥς σοι τὸ πρᾶγμα
σεμνὸν ἐφάνη καὶ ἡδύ. τίς δὲ οὐκ ἂν ἐπενησθείη τῇ χάριτι τῆς τιμῆς, οὕτως
ἑλληνικῶς καὶ ἀφελῶς ἀρχαϊζούσης, εἰ μὴ μέλαιναν καρδίαν κεχάλκευται
ψυχρᾷ φλογί κατ' αὐτὸν τὸν Πίνδαρον. ἐῶ τοίνυν ἔφην ὅμοιον ἐν παρέργῳ κή-
ρυγμα τούτῳ, τὸ μετὰ Λέσβιον ᾠδόν, ἐπὶ τιμῇ καὶ μνήμῃ Τερπάνδρου τοῦ
παλαιοῦ κηρυττόμενον, ὁ γοῦν αὐτός ἐστι λόγος. ἀλλ' ὑμεῖς γε δή που πλέον ἔχειν
ἑτέρων ἔν τε βιωτοῖς ὦ Φιλτιάδαι γένους ὄντες ἀξίου, καὶ παραφωνοῦσι διὰ-

δαίφατον, ἐμοὶ δὲ καὶ παρῆτε καὶ συνελαμβάνεσθε πρῴην, ὅτε Λυκόρμας καὶ Σατίλαιοι τὴν πάτριον ἡρακλειδῶν μετιοῦσι τιμήν, καὶ στεφανηφορίαν συναγωνιζόμενος ἔλεγον, ὅτι δεῖ μάλιστα τοῖς ἀφ' Ἡρακλέους γεγονόσι, τὰς τιμὰς ὑπάρχειν βεβαίους καὶ τὰς χάριτας, ὧν τοὺς Ἕλληνας εὐεργετήσας, οὐκ ἔτυχεν αὐτὸς ἀξίας χάριτος οὐδὲ ἀμοιβῆς. καλοῦ γ' εἶπεν ἡμᾶς ἀγῶνος καὶ φιλοσοφίας πρεπόντως μάλα ἀνέμνησας. ἄφες οὖν εἶπον ὦ τὰν τὸ σφοδρὸν ἐκεῖνο τῆς κατηγορίας, καὶ μὴ φέρε πικρῶς, εἰ κολάζονταί τινες ἐκ κακῶν γεγονότες ἢ πονηρῶν, ἢ μὴ χαῖρε μηδ' ἐπαίνει τιμωμένης εὐγενείας. δεῖ γὰρ εἰ τὴν χάριν ἐν τῷ γένει τῆς ἀρετῆς ἀνασώζομεν, εὐλόγως μηδὲ τὴν κόλασιν οἴεσθαι δεῖν ἀπαυδᾶν καὶ προαπολείπειν τοῖς ταῖς ἀδικίαις, ἀλλὰ συνεκφέρειν ἐκείνῃ τὸ κατ' ἀξίαν ἀντιστρόφως ἀποδιδοῦσαν. ὁ δὲ τοὺς ἀπὸ Κίμωνος ἡδέως ὁρῶν Ἀθήνησι τιμωμένους, τῶν δὲ Λαχάρους ἢ Ἀριστίωνος ἐκγόνων ἐλαυνομένων, ἀχθόμενος καὶ ἀγανακτῶν, ὑγρός ἐστι λίαν καὶ ῥάθυμος, μᾶλλον δὲ φιλαίτιος ὅλως καὶ δύσκολος πρὸς τὸ θεῖον, ἐγκαλῶν μὲν ἂν ἀδίκου καὶ πονηροῦ παῖδες ἐκ παίδων εὐτυχεῖν δοκῶσιν, ἐγκαλῶν δὲ πάλιν, ἂν τὰ γένη κολούηται καὶ ἀφανίζηται τῶν φαύλων, αἰτιώμενος δὲ τὸν θεόν, ὁμοίως μὲν ἂν χρηστοῦ πατρὸς τέκνα πράττῃ κακῶς, ὁμοίως δὲ ἂν πονηροῦ. καὶ ταῦτα μὲν ἔφην ὥσπερ ἀντιφράγματά σοι κείσθω πρὸς τοὺς ἄγαν πικροὺς καὶ κατηγορικοὺς ἐκείνους, αὖθις δὲ λαβόντες αὖθις ὥσπερ ἀρχὴν κλωστῆρος ἐν σκοτεινῷ καὶ πολλοὺς ἑλιγμοὺς καὶ πλάνας ἔχοντι τῷ περὶ τοῦ θεοῦ λόγῳ, καθοδηγῶμεν αὐτοὺς μετ' εὐλαβείας ἀξίωμα πρὸς τὸ εἰκὸς καὶ πιθανόν, ὡς τό γε σαφὲς καὶ τὴν ἀλήθειαν, οὐδ' ἐν οἷς αὐτοὶ πράττομεν ἀσφαλῶς εἰπεῖν ἔχομεν. οἷον διὰ τί τῶν ἀπὸ φθίσεως ἢ ὕδερου διαφθαρέντων τοὺς παῖδας, εἰς ὕδωρ τῷ ποδὶ βρέχοντας καθίζεσθαι κελεύομεν, ἕως ἂν ὁ νεκρὸς καταπαγῇ· δοκεῖ γὰρ οὕτω τὸ νόσημα μὴ μεθίστασθαι, μηδὲ προσπελάζειν αὐτοῖς. πάλιν δι' ἣν αἰτίαν αἰγὸς ἠρυγγίτην λαβούσης εἰς τὸ στόμα, ὅλον ἐφίσταται τὸ αἰπόλιον, ἄχρις ἂν ἐξέλῃ προσελθὼν ὁ αἰπόλος. ἄλλαι τε δυνάμεις ἀφὰς ἔχουσαι καὶ διαδόσεις ἀπίστους, ἐξ ὀξύτητι καὶ μηκέτι δι' ἑτέρων εἰς ἕτερα περαίνουσιν. ἀλλ' ἡμεῖς τὰ κατὰ τοὺς χρόνους διαλείμματα θαυμάζομεν, οὐ τὰ κατὰ τοὺς τόπους. καίτοι θαυμασιώτερον, εἰ πάθους ἐν Αἰθιοπίᾳ λαβόντος ἀρχήν, ἀνεπλήσθησαν αἱ Ἀθῆναι, καὶ Περικλῆς ἀπέθανε, καὶ Θουκυδίδης ἐνόσησεν, ἢ εἰ Δελφῶν καὶ Συβαριτῶν γενομένων πονηρῶν, ἡ δίκη φορουμένη περιῆλθεν εἰς τοὺς παῖδας. ἔχουσι γάρ τινας αἱ δυνάμεις ἀναφορὰς ἀπὸ τῶν ἐσχάτων αὖθις τὰ πρῶτα καὶ συνάψεις, ὧν ἡ αἰτία κἂν ὑφ' ἡμῶν ἀγνοῆται, σιωπῇ περαίνει τὸ οἰκεῖον. ἀμὴν ἀλλά τε τὰ δημοσίας τῶν πόλεων μηνίματα, τὸν τοῦ δικαίου λόγον ἔχει πρόχειρον. ἓν γάρ τι πρᾶγμα καὶ συνεχὲς ἡ πόλις ὥσπερ ζῷον, οὐκ ἐξιστάμενον αὐτῆς ταῖς καθ' ἡλικίαν μεταβολαῖς, οὐδ' ἕτερον ἐξ ἑτέρου τῷ χρόνῳ γινόμενον, ἀλλὰ συμπαθὲς ἀεὶ καὶ οἰκεῖον αὐτῷ, καὶ πᾶσαν ὧν πράττει κατὰ τὸ κοινὸν ἢ ἔπραξεν αἰτίαν καὶ χάριν ἀναδεχόμενον, μέχρις ἂν ἡ ποιοῦσα καὶ συνδέουσα ταῖς ἐπιπλοκαῖς κοινωνία, τὴν ἑνότητα διαφυλάττῃ. τὸ δὲ πολλὰς πόλεις διαιροῦντα τῷ χρόνῳ ποιεῖν, μᾶλλον δὲ ἀπείρους, ὅμοιόν ἐστι τῷ πολλοὺς τὸν ἕνα ποιεῖν ἄνθρωπον, ὅτι νῦν πρεσβύτερός ἐστι, πρότερον δὲ νεώτερος, ἀνωτέρω δὲ μειράκιον ἦν. μᾶλλον δὲ ὅλως ταῦτά γε τοῖς Ἐπιχαρμείοις ἔοικεν, ἐξ ὧν ὁ αὐξόμενος ἀνέφυ τοῖς σοφισταῖς λόγος, ὁ γὰρ λαβὼν πάλαι τὸ χρέος, νῦν οὐκ ὀφείλει γεγονὼς ἕτερος· ὁ δὲ κληθεὶς ἐπὶ δεῖπνον ἐχθὲς, ἄκλητος ἥκει τήμερον, ἄλλος γάρ ἐστι. καίτοι μείζονάς τε παραλλαγὰς αἱ ἡλικίαι περὶ ἕκαστον ἡμῶν ποιοῦσιν, ἢ κοινῇ περὶ τὰς πόλεις. γνοίη

ἠρυγγίτην. Η.

τὰ δημόσια τῶν. Η.

προ^

γὰρ ἄν τις ἰδὼν τὰς Ἀθήνας ἔτει τριακοσιοστῷ, καὶ τὰ νῦν ἤθη καὶ κινήματα παιδιαί τε καὶ σπουδαὶ καὶ χάριτες καὶ ὀργαὶ τοῦ δήμου, πάνυ γε τοῖς παλαιοῖς ἐοίκασι· ἀνθρώπου δὲ μόλις ἄν τις οἰκεῖος ἢ φίλος ἐντυχὼν διὰ χρόνου μορφὴν γνωρίσειεν· αἱ δὲ τῶν ἠθῶν μεταβολαὶ παντὶ λόγῳ καὶ πόνῳ καὶ πάθει καὶ νόμῳ ῥᾳδίως τρεπόμεναι, καὶ πρὸς τὸν ἀεὶ συνόντα τὴν ἀτοπίαν καὶ τὴν καινότητα θαυμαστὴν ἔχουσιν. ἀλλ' ἄνθρωπός τε λέγεται μέχρι τέλους εἷς ἀπὸ γενέσεως, πόλιν τε τὴν αὐτὴν ὡσαύτως διαμένουσαν, ἐνέχεσθαι τοῖς ὀνείδεσι τῶν προγόνων ἀξιοῦμεν, ᾧ δικαίῳ μέτεστιν αὐτῇ δόξης τε τῆς ἐκείνων καὶ δυνάμεως, ἢ λήσομεν εἰς τὸν Ἡρακλείτειον ἅπαντα πράγματα ποταμὸν ἐμβαλόντες, εἰς ὅν φησι δὶς ἐμβῆναι, τῷ πάντα κινεῖν καὶ ἑτεροιοῦν τὴν φύσιν μεταβάλλουσαν. εἰ δ' ἔστι τι πόλις ἓν πρᾶγμα καὶ συνεχές, ἔστι δήπου καὶ γένος ἐξηρτημένον ἀρχῆς μιᾶς, καὶ δύναμίν τινα καὶ κοινωνίαν διαπεφυκυῖαν ἀναφερούσης, καὶ τὸ γεννηθὲν οὐχ ὥς τι δημιούργημα πεποιημένον ἀπήλλακται τοῦ γεννήσαντος· ἐξ αὐτοῦ γὰρ οὐχ ὑπ' αὐτοῦ γέγονεν, ὥστ' ἔχει τι καὶ φέρεται τῶν ἐκείνου μέρος ἐν ἑαυτῷ, καὶ κολαζόμενον προσηκόντως καὶ τιμώμενον. εἰ δὲ μὴ δόξαιμι παίζειν, ἐγὼ φαίην ἂν ἀνδριάντα Κασσάνδρου καταχαλκευόμενον ὑπ' Ἀθηναίων πάσχειν ἀδικώτατα· καὶ τὸ Διονυσίου σῶμα μετὰ τὴν τελευτὴν ἐξοριζόμενον ἀπὸ Συρακουσίων, ἢ τοὺς ἐκγόνους αὐτῶν δίκην τίνοντας· τῷ μὲν γὰρ ἀνδριάντι τῆς Κασσάνδρου φύσεως οὐδέν ἐστι, καὶ τὸν νεκρὸν ἡ Διονυσίου ψυχὴ προλέλοιπε. Νυσαίῳ δὲ καὶ Ἀπολλοκράτει καὶ Ἀντιπάτρῳ καὶ Φιλίππῳ καὶ τοῖς ἄλλοις ὁμοίως πᾶσι τῶν πονηρῶν, τὸ κυριώτατον ἐμπέφυκε καὶ πάρεστι μέρος, οὐχ ἡσυχάζον οὐδ' ἀργόν, ἀλλὰ ζῶσιν αὐτῷ καὶ τρέφονται, καὶ διοικοῦνται καὶ φρονοῦσι, καὶ οὐδὲν δεινὸν οὐδ' ἄτοπον, εἰ ἐκείνων ὄντες ἔχουσι τὰ ἐκείνων. καθόλου δ' εἶπον ὥσπερ ἐν ἰατρικῇ τὸ χρήσιμον καὶ δίκαιόν ἐστι, καὶ γελοῖος ὁ φάσκων ἄδικον εἶναι τῶν ἰσχίον πονούντων καίειν τὸν ἀντίχειρα, καὶ τοῦ ἥπατος ὑπούλου γεγονότος, ἀμύσσειν τὸ ἐπιγάστριον, καὶ τῶν βοῶν ἂν εἰς τὰς χηλὰς μαλακώσι, προσαλείφειν τὰ ἄκρα τῶν κεράτων, οὕτως ὁ περὶ τὰς κολάσεις ἄλλο τι δίκαιον, ἢ τὸ θεραπεύειν τὴν κακίαν ἡγούμενος καὶ ἀγανακτῶν, ἐάν τις δι' ἑτέρων ἐφ' ἕτερα ἄγῃ τὴν ἰατρείαν, ὥσπερ οἱ τὴν φλέβα διαιροῦντες ἵνα τὴν ὀφθαλμίαν κουφίσωσιν, οὐδὲν ἔοικε περαιτέρω τῆς αἰσθήσεως ἐφορᾶν, οὐδὲ μνημονεύει ὅτι καὶ διδάσκαλος παῖδα δοὺς καθικόμενος, ἑτέρους ἐνουθέτησε, καὶ στρατηγὸς ἐκ δεκάδος ἀνελὼν ἅπαντας ἀνέστρεψε. καὶ οὕτως οὐ μέρει διὰ μέρους ἑτέρου μόνον, ἀλλὰ καὶ ψυχῇ διὰ ψυχῆς γίνονταί τινες διαθέσεις καὶ κακώσεις καὶ ἐπανορθώσεις, μᾶλλον ἢ σώματι διὰ σώματος. ἐκεῖ μὲν γὰρ ὡς ἔοικε τὸ αὐτὸ δεῖ πάθος ἐγγίνεσθαι καὶ τὴν αὐτὴν μεταβολήν, ἐνταῦθα δ' ἡ ψυχὴ ταῖς φαντασίαις ἀγομένη κατὰ τὸ θαρρεῖν καὶ δεδιέναι, χεῖρον ἢ βέλτιον διαγίνεσθαι πέφυκεν. ἔτι δέ μου λέγοντος, ὑπολαβὼν ὁ Ὀλυμπιακὸς ἔοικας ἔφη τῷ λόγῳ μεγάλην ὑπόθεσιν ὑποτίθεσθαι, τὴν ἐπιμονὴν τῆς ψυχῆς. καὶ ὑμῶν γε εἶπον ἐπιδιδόντων, μᾶλλον δὲ δεδωκότων, ἐγὼ γοῦν ἐπὶ τὸ κατ' ἀξίαν νέμοντος ἡμῖν ὁ λόγος ἐξ ἀρχῆς δεῦρο προελήλυθε. κἀκεῖνος, εἶτα δ' ἔφη νομίζεις ἐπ' αὐτῷ τοὺς θεοὺς ἐπιβλέπειν καὶ νέμειν ἕκαστα τῶν καθ' ἡμᾶς, τὰς ψυχὰς ὑπάρχειν, ἢ πάμπαν ἀφθάρτους, ἢ χρόνον τινὰ μετὰ τὴν τελευτὴν ἐπιμενούσας; οὐκ ὦ γαθὲ εἶπον, ἀλλὰ μικρὸς οὕτω καὶ κενόσπουδος ὁ θεός ἐστιν, ὥστε μηδὲν ἡμῶν ἐχόντων θεῖον ἐν αὑτοῖς, μηδὲ προσόμοιον ἀμωσγέπως ἐκείνῳ καὶ διαρκὲς καὶ βέβαιον, ἀλλὰ φύλλοις ὡς Ὅμηρος ἔφη παραπλησίως ἀπομαραινομένων παντάπασι καὶ φθινόντων ἐν ὀλίγῳ, ποιεῖσθαι λόγον τοσοῦτον, ὥσπερ αἱ

πᾶσι. Λ.

τῷ Λ

ὑποβαχών. Λ.

τοὺς Ἀδώνιδος κήπους ἐπ' ὀστράκοις τισὶ τιθηνούμεναι καὶ θεραπεύουσαι γυναῖκες ἐφημέρους ψυχὰς ἐν σαρκὶ τρυφερᾷ, καὶ βίου ῥίζαν ἰσχυρὰν οὐ δεχομένῃ βλαστανούσας, εἶτα ἀποσβεννυμένας ἀεὶ ἀπὸ τῆς τυχούσης προφάσεως. εἰ δὲ βούλει τοὺς ἄλλους θεοὺς ἐάσας, σκόπει τουτονὶ τὸν ἐνταῦθα τὸν ἡμέτερον εἴ σοι δοκεῖ, τὰς ψυχὰς τῶν τελευτώντων ἀπολλυμένας ἐπιστάμενος εὐθύς, ὥσπερ ὁμίχλας ἢ καπνοὺς ἀποπνεούσας τῶν σωμάτων, ἱλασμούς τε πολλοὺς προσφέρειν τῶν κατοιχομένων, καὶ γέρα μεγάλα καὶ τιμὰς ἀπαιτεῖν τοῖς τεθνηκόσιν, ἐξαπατῶν καὶ φενακίζων τοὺς πιστεύοντας. ἐγὼ μὲν γάρ, οὐκ ἂν προείμην τὴν τῆς ψυχῆς διαμονήν, εἰ μή τις ὥσπερ ὁ Ἡρακλῆς ὑφελὼν τὸν τρίποδα τῆς Πυθίας ἀναιρήσῃ καὶ διαφθείρῃ τὸ χρηστήριον, ἄχρι τοῦ πολλὰ τοιαῦτα προθεσπίζεσθαι καὶ καθ' ἡμᾶς. οἷα καὶ Κόρακι τῷ Ναξίῳ χρησθῆναι λέγουσιν, οὐχ ὅσιόν ἐστι τῆς ψυχῆς καταγνῶναι θάνατον. καὶ ὁ Πατροκλέας, τί δ' ἦν ἔφη τὸ χρησθέν, ἢ τίς ὁ Κόραξ οὗτος, ὡς ἐμοὶ καὶ τὸ πρᾶγμα καὶ τὸ ὀνομαζόμενον ξένον. οὐδαμῶς εἶπον, ἀλλ' αἴτιος ἐγώ, παρωνύμῳ χρησάμενος ἀντὶ τοῦ ὀνόματος. ὁ γὰρ ἀποκτείνας ἐν τῇ μάχῃ τὸν Ἀρχίλοχον, ἐκαλεῖτο Καλλώνδης ὡς ἔοικεν, ἦν δ' αὐτῷ Κόραξ ἐπωνύμιον. ἐκβληθεὶς δὲ τὸ πρῶτον ἀπὸ τῆς Πυθίας, ὡς ἱερὸν ἄνδρα τῶν Μουσῶν ἀνῃρηκώς, εἶτα χρησάμενος λιταῖς τισὶ καὶ προστροπαῖς μετὰ δικαιολογίας, ἐκελεύσθη πορευθεὶς ἐπὶ τὴν τοῦ Τέττιγος οἴκησιν, ἱλάσασθαι τὴν τοῦ Ἀρχιλόχου ψυχήν. τοῦτο δ' ἦν ὁ Ταίναρος. ἐκεῖ γάρ φασιν ἐλθόντα μετὰ στόλου Τέττιγα τὸν Κρῆτα, πόλιν κτίσαι, καὶ κατοικῆσαι παρὰ τὸ ψυχοπομπεῖον. ὁμοίως δὲ καὶ Σπαρτιάταις χρησθὲν ἱλάσασθαι τὴν Παυσανίου ψυχήν, ἐξ Ἰταλίας μεταπεμφθέντες οἱ ψυχαγωγοὶ καὶ θύσαντες, ἀπεσπάσαντο τοῦ ἱεροῦ τὸ εἴδωλον. εἷς οὖν ἐστιν ἔφην λόγος ὁ τοῦ θεοῦ τὴν πρόνοιαν ἅμα καὶ τὴν διαμονὴν τῆς ἀνθρωπίνης ψυχῆς βεβαιῶν, καὶ θάτερον οὐκ ἔστιν ἀπολιπεῖν, ἀναιροῦντα θάτερον. οὔσῃ δὲ τῇ ψυχῇ μετὰ τὴν τελευτήν, μᾶλλον εἰκός ἐστι καὶ τιμὰς ἀποδίδοσθαι καὶ τιμωρίας. ἀγωνίζεται γὰρ ὥσπερ ἀθλητὴς τὸν βίον, ὅταν δὲ διαγωνίσηται, τότε τυγχάνει τῶν προσηκόντων. ἀλλὰ ἃς μὲν ἐκεῖ καθ' ἑαυτὴν οὖσα κομίζεται τῶν προβεβιωμένων χάριτας ἢ τινὰς κολάσεις, οὐδέν ἐστι πρὸς ἡμᾶς τοὺς ζῶντας, ἀλλ' ἀπιστοῦνται καὶ λανθάνουσιν. αἱ δὲ διὰ τῶν παίδων ἰοῦσαι καὶ διὰ γένους, ἐμφανεῖς τοῖς δεῦρο γενόμεναι, πολλοὺς ἀποτρέπουσι καὶ συστέλλουσι τῶν πονηρῶν. ὅτι δ' οὐκ ἔστιν αἰσχίων οὐδὲ λυποῦσα μᾶλλον ἑτέρα κόλασις, ἢ τοὺς ἐξ ἑαυτῶν κακὰ πάσχοντας δι' αὐτοὺς ὁρᾶν, καὶ ὅτι ψυχὴν ἀνδρὸς ἀσεβοῦς καὶ παρανόμου μετὰ θάνατον ἐφορῶσαν, οὐκ ἀνδριάντας οὐδὲ τιμάς τινας ἀνατρεπομένας, ἀλλὰ παῖδας ἢ φίλους ἢ γένος οἰκεῖον αὐτῆς ἀτυχήμασι χρωμένους μεγάλοις δι' αὐτὴν καὶ δίκην τίνοντας, οὐδεὶς ἂν ἀναπείσειεν αὖθις ἐπὶ ταῖς τοῦ Διὸς τιμαῖς, ἄδικον γενέσθαι καὶ ἀκόλαστον. ἔχω μέν τινα καὶ λόγον εἰπεῖν ἔναγχος ἀκηκοώς, ὀκνῶ δὲ μὴ φανῇ μῦθος ὑμῖν. μόνῳ οὖν χρῶμαι τῷ εἰκότι. μηδαμῶς εἶπεν ὁ Ὀλυμπικός, ἀλλὰ δίελθε κἀκεῖνον. ταὐτὰ δὲ καὶ τῶν ἄλλων δεομένων, ἐάσατε εἶπον ἀποδοῦναί με τῷ λόγῳ τὸ εἰκός, ὕστερον δὲ τὸν μῦθον ἐὰν δόξῃ, κινήσωμεν, εἴ γε δὴ μῦθός ἐστιν. ὁ γὰρ Βίων, τὸν θεὸν κολάζοντα τοὺς παῖδας τῶν πονηρῶν, γελοιότερον εἶναί φησιν ἰατροῦ, διὰ νόσον πάππου καὶ πατρός, ἔκγονον ἢ παῖδα φαρμακεύοντος. ἔστι δὲ πῆ μὲν ἀνόμοια τὰ πράγματα, πῆ δὲ ἐοικότα καὶ ὅμοια. νόσου μὲν γὰρ ἄλλος ἄλλον οὐ παύει θεραπευόμενος, οὐδὲ βέλτιόν τις ἔσχε τῶν ὀφθαλμιώντων ἢ πυρεττόντων, ἰδὼν ἄλλον ὑπαλειφόμενον ἢ καταπλαττόμενον, αἱ δὲ τιμωρίαι τῶν πονηρῶν διὰ τοῦτο δείκνυνται πᾶσιν, ὅτι δίκης κατὰ λόγον περαι-

νομένης ἔργον ἐστίν, ἑτέρους δι' ἑτέρων κολαζομένων ἐπισχεῖν. ᾗ δὲ προσέοικε τῷ ζητουμένῳ τὸ παραβαλλόμενον ὑπὸ τοῦ Βίωνος ἔλαθεν αὐτόν, ἤδη γὰρ ἀνδρὸς εἰς νόσημα μοχθηρὸν οὐ μὴν ἀνίατον ἐμπεσόντος, εἶτ' ἀκρασίᾳ καὶ μαλακίᾳ προεμένου τῷ πάθει τὸ σῶμα καὶ διαφθαρέντος, υἱὸν οὐ δοκοῦντα νοσεῖν, ἀλλὰ μόνον ἐπιτηδείως ἔχοντα πρὸς τὴν αὐτὴν νόσον, ἰατρός, ἢ οἰκεῖος, ἢ ἀλείπτης καταμαθών, ἢ δεσπότης χρηστός, ἐμβαλὼν εἰς δίαιταν αὐστηράν, καὶ ἀφελὼν ὄψα καὶ πέμματα καὶ πότους καὶ γύναια, φαρμακείαις δὲ χρησάμενος ἐνδελεχέσι καὶ διαπονήσας τὸ σῶμα γυμνασίοις, ἐσκέδασε καὶ ἀπέπεμψε, μεγάλου πάθους σπέρμα μικρόν, οὐκ ἐάσας εἰς μέγεθος προελθεῖν. ἢ γὰρ οὐχ οὕτω παρακελευόμεθα προσέχειν ἀξιοῦντες ἑαυτοὺς καὶ παραφυλάττεσθαι, καὶ μὴ παραμελεῖν ὅσοι γεγόνασιν ἐκ πατέρων ἢ μητέρων νοσηματικῶν, ἀλλ' εὐθὺς ἐξωθεῖν τὴν ἐγκεκραμένην ἀρχὴν εὐκίνητον οὖσαν καὶ ἀκροσφαλῆ προκαταλαμβάνοντας. πάνυ μὲν οὖν ἔφασαν. οὐ τοίνυν ἄτοπον εἶπον, ἀλλ' ἀναγκαῖον, οὐδὲ γελοῖον, ἀλλ' ὠφέλιμον πρᾶγμα ποιοῦμεν, ἐπιληπτικῶν παισὶ καὶ μελαγχολικῶν καὶ ποδαγρικῶν γυμνάσια καὶ διαίτας καὶ φάρμακα προσάγοντες, οὐ νοσοῦσιν, ἀλλ' ἕνεκα τοῦ μὴ νοσῆσαι. τὸ γὰρ ἐκ πονηροῦ σώματος γινόμενον σῶμα τιμωρίας μὲν οὐδὲ μιᾶς, ἰατρείας δὲ καὶ φυλακῆς ἄξιόν ἐστιν, ἣν εἴ τις ὅτι τὰς ἡδονὰς ἀφαιρεῖ καὶ δηγμὸν ἐπάγει καὶ πόνον, τιμωρίαν ὑπὸ δειλίας καὶ μαλακίας ἀποκαλεῖ, χαιρέτω ἐατέον. ἆρ' οὖν σῶμα μὲν ἔκγονον φαύλου σώματος ἄξιόν ἐστι θεραπεύειν καὶ φυλάττειν, κακίας δὲ ὁμοιότητα συγγενικὴν ἐν νέῳ βλαστάνουσαν ἤθει καὶ ἀναφυομένην, ἐᾶν δεῖ καὶ περιμένειν καὶ μέλλειν ἄχρις ἂν ἐκχυθεῖσα τοῖς πάθεσιν ἐμφανὴς γένηται, κακόφρονα τ' ἀμφανῇ πραπίδων καρπὸν ὥς φησι Πίνδαρος. ἢ κατὰ τοῦτο μὲν ὁ θεὸς οὐδὲν τοῦ Ἡσιόδου σοφώτερος, διακελευομένου καὶ παρεγγυῶντος, μηδ' ἀπὸ δυσφήμοιο τάφου ἀπονοστήσαντα σπερμαίνειν γενεήν, ἀλλ' ἀθανάτων ἀπὸ δαιτός, ὡς οὐ κακίαν μόνον οὐδ' ἀρετήν, ἀλλὰ καὶ λύπην καὶ χαρὰν καὶ πάνθ' ὅσα ἀναδεχομένης τῆς γενέσεως, ἱλαροὺς καὶ ἡδεῖς καὶ διακεχυμένους ἄγειν πρὸς τὴν τέκνωσιν. ἐκεῖνο δὲ οὐκ ἔστι καθ' Ἡσίοδον, οὐδὲ ἀνθρωπίνης ἔργον σοφίας, ἀλλὰ θεοῦ, τὸ διορᾶν καὶ διαισθάνεσθαι τὰς ὁμοιοπαθείας καὶ τὰς διαφοράς, πρὶν εἰς μεγάλα τοῖς πάθεσιν ἐμπεσούσας ἀδικήματα, γενέσθαι καταφανεῖς. ἄρκτων μὲν γὰρ ἔτι νήπια, καὶ λύκων τέκνα καὶ πιθήκων, εὐθὺς ἐμφαίνει τὸ συγγενὲς ἦθος, ὑπὸ μηδενὸς ὑπαμπεχόμενον μηδὲ καταπλαττόμενον, ἡ δ' ἀνθρώπου φύσις, εἰς ἔθη καὶ δόγματα καὶ νόμους ἑαυτὴν ἐμβαλοῦσα, κρύπτει τὰ φαῦλα καὶ τὰ καλὰ μιμεῖται πολλάκις, ὥστε ἢ παντάπασιν ἐξαλεῖψαι καὶ διαφυγεῖν ἐγγενῆ κηλῖδα τῆς κακίας, ἢ διαλαθεῖν πολὺν χρόνον, οἷον ἔλυτρόν τι ἑαυτῇ τὴν πανουργίαν περιβαλοῦσαν, διαλαθεῖν δὲ ἡμᾶς, τοὺς ὥσπερ ὑπὸ πληγῆς ἢ δήγματος ἑκάστου τῶν ἀδικημάτων μόλις αἰσθανομένους τῆς κακίας, μᾶλλον δὲ ὅλως τότε γίγνεσθαι νομίζοντας ἀδίκους, ὅτε ἀδικοῦσιν, ἀκολάστους, ὅτε ὑβρίζουσιν, καὶ ἀνάνδρους, ὅτε φεύγουσιν, ὥσπερ εἴ τις οἴοιτο, τοῖς σκορπίοις ἐμφύεσθαι τὸ κέντρον ὅτε τύπτουσιν, καὶ ταῖς ἐχίδναις τὸν ἰόν, ὅτε δάκνουσιν, εὐήθως οἰόμενος. οὐ γὰρ ἅμα γίγνεται καὶ φαίνεται τῶν πονηρῶν ἕκαστος. ἀλλ' ἔχει μὲν ἐξ ἀρχῆς τὴν κακίαν, χρῆται δὲ καιροῦ καὶ δυνάμεως ἐπιλαβόμενος, τῷ κλέπτειν, ὁ κλέπτης, καὶ τῷ παρανομεῖν ὁ τυραννικός. ἀλλ' ὁ θεός, οὔτε ἀγνοεῖ δή που τὴν ἑκάστου διάθεσιν καὶ φύσιν, ἅτε δὴ ψυχῆς μᾶλλον ἢ σώματος αἰσθάνεσθαι πεφυκώς, οὔτ' ἀναμένει τὴν βίαν ἐν χερσὶ γενομένην, καὶ τὴν ἀναίδειαν ἐν φωνῇ, καὶ τὴν ἀκολασίαν ἐν αἰδοίοις κολάζειν. οὐ γὰρ ἀμύνεται τὸν ἀδικήσαντα κακῶς παθών, οὐδὲ ὀργίζεται τῷ ἁρπάσαν-

τι βιασθείς, οὐδὲ μισεῖ τὸν μοιχὸν ὑβρισθείς, ἀλλ' ἰάσεως ἕνεκα τὸν μοιχικὸν καὶ πλεονεκτικὸν καὶ ἀδικητικὸν κολάζει πολλάκις, ὥσπερ ἐπιληψίαν τὴν κακίαν, πρὶν ἢ καταλαβεῖν ἀναιρῶν. ἡμεῖς δὲ ἀρτίως μὲν ἠγανακτοῦμεν, ὡς ὀψὲ καὶ βραδέως τῶν πονηρῶν δίκην διδόντων, νῦν δὲ ὅτι καὶ πρὶν ἀδικεῖν ἐνίων τὴν ἕξιν αὐτῶν κολούει καὶ τὴν διάθεσιν, ἐγκαλοῦμεν, ἀγνοοῦντες ὅτι τοῦ γενομένου πολλάκις τὸ μέλλον, καὶ τὸ λανθάνον τοῦ προδήλου, χεῖρόν ἐστι καὶ φοβερώτερον· οὐ δυνάμενοι δὲ συλλογίζεσθαι τὰς αἰτίας, δι' ἃς ἐνίους μὲν καὶ ἀδικήσαντας, ἐᾶν βέλτιόν ἐστιν, ἐνίους δὲ καὶ διανοουμένους προκαταλαμβάνειν· ὥσπερ ἀμέλει καὶ φάρμακα, ἐνίοις μὲν οὐχ ἁρμόζει νοσοῦσιν· ἐνίοις δὲ λυσιτελεῖ καὶ μὴ νοσοῦσιν, ἐπισφαλέστερον ἐκείνων ἔχουσιν. ὅθεν οὐ δὲ πάντα τὰ τῶν τεκόντων σφάλματα, εἰς τοὺς ἐκγόνους οἱ θεοὶ τρέπουσιν· ἀλλ' ἐὰν μὲν ἐκ φαύλου γένηται χρηστός, ὥσπερ εὐεκτικὸς ἐκ νοσώδους, ἀφεῖται τῆς τοῦ γένους ποινῆς, οἷον ἐκ ποιότητος τῆς κακίας ἐκλυόμενος, νόσῳ δὲ εἰς ὁμοιότητα μοχθηροῦ γένους ἀναφερομένῳ προσήκει δή πουθεν ὡς χρέα κληρονομίας διαδέχεσθαι τῆς πονηρίας τὴν κόλασιν. οὐ γὰρ ἀντίγονός γε διὰ δημήτριον, οὐδὲ τῶν παλαιῶν φυλεὺς, δι' αὐγέαν, οὐδὲ νέστωρ διὰ νηλέα δίκας ἔδωκαν· ἐκ κακῶν μὲν γὰρ, ἀγαθοὶ δὲ ἦσαν· ἀλλ' ὅσων ἡ φύσις ἔστερξε καὶ προσήκατο τὸ συγγενὲς, τούτων ἡ δίκη διώκουσα τὴν ὁμοιότητα τῆς κακίας διεξῆλθεν. ὡς γὰρ ἀκροχορδόνες καὶ μελάσματα καὶ φακοὶ πατέρων ἐν παισὶν ἀφανισθέντες, ἀνέκυψαν ὕστερον ἐν υἱωνοῖς καὶ θυγατριδοῖς· καὶ γυνή τις ἑλληνὶς τεκοῦσα βρέφος μέλαν, εἶτα κρινομένη μοιχείας ἐξανεῦρεν αὐτὴν αἰθίοπος οὖσαν γενεὰν τετάρτην· τῶν δὲ πύθωνος τοῦ νισιβέως παίδων ὃς ἔναγχος τέθνηκε λεγομένου τοῖς σπαρτοῖς προσήκειν, ἐξανήνεγκε λόγχης τύπον ἐν τῷ σώματι, διὰ τοσούτων χρόνων ἀνακρούσης καὶ ἀναδύσης, ὥσπερ ἐκ βυθοῦ τῆς πρὸς τὸ γένος ὁμοιότητος, οὕτω πολλάκις ἤθη καὶ πάθη ψυχῆς αἱ πρῶται κρύπτουσι γενέσεις καὶ καταδύουσιν, ὕστερον δέ ποτε, καὶ δι' ἑτέρων ἐξήνθησε καὶ ἀπέδωκε, τὸ οἰκεῖον εἰς κακίαν καὶ ἀρετὴν ἡ φύσις. ἐπεὶ δὲ ταῦτα εἰπὼν ἐσιώπησα, διαμειδιάσας ὁ ὀλυμπικὸς, οὐκ ἐπαινοῦμέν σε εἶπεν, ὅπως μὴ δόξωμεν ἀφιέναι τὸν μῦθον, ὡς τοῦ λόγου πρὸς ἀπόδειξιν ἱκανῶς ἔχοντος, ἀλλὰ τότε δώσομεν τὴν ἀπόφασιν, ὅταν κἀκεῖνα ἀκούσωμεν. οὕτως οὖν ἔφην, ὅτι σολεὺς ὁ θεσπέσιος ἀνὴρ ἐκείνου τοῦ γενομένου μεθ' ἡμᾶς, ἐνταῦθα πρωτογένους οἰκεῖος καὶ φίλος ἐν πολλῇ βιώσας ἀκολασίᾳ τὸν πρῶτον χρόνον εἶτα ταχὺ τὴν οὐσίαν ἀπολέσας, ἤδη χρόνον τινὰ καὶ διὰ τὴν ἀνάγκην ἐγένετο πονηρὸς, καὶ τὸν πλοῦτον ἐκ μετανοίας διώκων, ταὐτὸ τοῖς ἀκολάστοις ἔπαθε πάθος, οἱ τὰς γυναῖκας ἔχοντες μὲν οὐ φυλάττουσι, προέμενοι δὲ πειρῶσιν αὖθις ἀδίκως ἑτέροις συνούσας διαφθείρειν, οὐδενὸς οὖν ἀπεχόμενος αἰσχροῦ φέροντος εἰς ἀπόλαυσιν ἢ κέρδος, οὐσίαν μὲν οὐ πολλὴν, δόξαν δὲ πονηρίας ἐν ὀλίγῳ πλείστην συνήγαγε, μάλιστα δὲ αὐτὸν διέβαλεν, ἀνενεχθεῖσά τις ἐξ ἀμφιλόχου μαντεία, πέμψας γὰρ ὡς ἔοικεν ἠρώτα τὸν θεὸν εἰ βέλτιον βιώσεται τὸν ἐπίλοιπον βίον, ὁ δὲ ἀνεῖλεν, ὅτι πράξει βέλτιον ὅτ' ἂν ἀποθάνῃ. καὶ δὴ τρόπον τινὰ τοῦτο μετ' οὐ πολὺν χρόνον αὐτῷ συνέπεσε· κατενεχθεὶς γὰρ ἐξ ὕψους τινὸς εἰς τράχηλον, οὐ γενομένου τραύματος, ἀλλὰ πληγῆς μόνον, ἐξέθανε. καὶ τριταῖος ἤδη περὶ τὰς ταφὰς αὐτὰς ἀνήνεγκε, ταχὺ δὲ ῥωσθεὶς καὶ παρ' αὑτῷ γενόμενος, ἄπιστόν τινα τοῦ βίου τὴν μεταβολὴν ἐποίησεν, οὔτε γὰρ δικαιότερον περὶ τὰ συμβόλαια γινώσκουσιν ἕτερον κίλικες ἐν τοῖς τότε χρόνοις γινόμενον, οὔτε πρὸς τὸ θεῖον ὁσιώτερον, οὔτε λυπηρότερον ἐχθροῖς, ἢ βε-

βαιότερον

βαιότερον φίλοις, ὥστε καὶ ποθεῖν τοὺς ἐντυγχάνοντας αὐτῷ τὴν αἰτίαν ἀκοῦσαι τῆς διαφορᾶς, οὐκ ἀπὸ τοῦ τυχόντος οἰομένους γεγονέναι, τῆς διαφορᾶς διακόσμησιν εἰς ἦθος τοσαύτην, ὅπερ ἦν ἀληθὲς, ὡς αὐτὸς διηγεῖτο, τῷ τε πρωτογένει καὶ τοῖς ὁμοίοις ἐπιεικέσι τῶν φίλων. ἐπεὶ γὰρ ἐξέπεσε τὸ φρονοῦν τοῦ σώματος οἷον, ἂν τις ἐκ πλοίου κυβερνήτης εἰς βυθὸν ἀπορριφεὶς πάθοι τὸ πρῶτον, οὕτως ὑπὸ τῆς μεταβολῆς ἔχων, εἶτα μικρὸν ἐξαρθεὶς, ἔδοξεν ἀναπνεῖν ὅλος καὶ περιορᾶν πανταχόθεν, ὥσπερ ἑνὸς ὄμματος ἀνοιχθείσης τῆς ψυχῆς· ἑώρα δὲ τῶν προτέρων οὐθὲν, ἀλλ' ἢ τὰ ἄστρα παμμεγέθη, καὶ ἀπέχοντα πλῆθος ἀλλήλων ἄπλετον αὐγήν τε τῇ χροιᾷ θαυμαστὴν ἀφιέντα καὶ τόνον ἔχουσαν, ὥστε τὴν ψυχὴν ἐποχουμένην, λείως οἷον, ὥσπερ ἐν γαλήνῃ τῷ φωτὶ ῥᾳδίως πάντῃ καὶ ταχὺ διαφέρεσθαι τὰ δὲ πλεῖστα τῶν θεαμάτων παραλιπὼν, ἔφη τὰς ψυχὰς τῶν τελευτώντων κάτωθεν ἀνιούσας πομφόλυγα φλογοειδῆ, ποιεῖν ἐξισταμένου τοῦ ἀέρος, εἶτα ῥηγνυμένης ἀτρέμα τῆς πομφόλυγος ἐκβαίνειν τύπον ἐχούσας ἀνθρωποειδῆ, τὸν δὲ ὄγκον εὐσταλεῖς, κινουμένας δὲ οὐχ ὁμοίως, ἀλλὰ τὰς μὲν, ἐκπηδᾶν ἐλαφρότητι θαυμαστῇ, καὶ διάττειν ἐπ' εὐθείας ἄνω, τὰς δὲ ὥσπερ οἱ ἄτρακτοι περιστρεφομένας ἅμα κύκλῳ, καὶ ποτὲ μὲν, κάτω, ποτὲ δὲ, ἄνω ῥεπούσας, μικτήν τινα φέρεσθαι καὶ τεταραγμένην κίνησιν καὶ πολλῷ πάνυ χρόνῳ καὶ μόλις ἀποκαθισταμένην. τὰς μὲν οὖν πολλὰς, ἠγνόει τίνες εἰσὶ, δύο δὲ ἢ τρεῖς ἰδὼν γνωρίμους ἐπειρᾶτο προσμῖξαι καὶ προσειπεῖν, αἱ δὲ οὔτε ἤκουον, οὔτε ἦσαν παρ' ἑαυταῖς, ἀλλ' ἔκφρονες καὶ διεπτοημέναι πᾶσαν ὄψιν ἀποφεύγουσαι καὶ ψαῦσιν, ἔρεμβον τὸ πρῶτον αὐταὶ καθ' ἑαυτὰς, εἶτα πολλαῖς ὁμοίως διακειμέναις ἐντυγχάνουσαι καὶ περιπλεκόμεναι, φοράς τε πάσας πρὸς οὐδὲν ἀκρίτως ἐφέροντο, καὶ φωνὰς ἵεσαν ἀσήμους οἷον ἀλαλαγμοὺς θρήνου καὶ φόβου μεμιγμένας, ἄλλαι δὲ ἄνωθεν ἐν ἄκρῳ τοῦ περιέχοντος ὀφθῆναί τε φαιδραὶ, καὶ πρὸς ἀλλήλας ὑπ' εὐμενείας θαμὰ πλάζουσαι, τὰς δὲ θορυβώδεις ἐκείνας ἐκτρεπόμεναι, διεσήμαινον ὡς ἔοικεν, συστολῇ μὲν εἰς ἑαυτὰς τὸ δυσχεραῖνον, ἐκπετάσει δὲ καὶ διαλύσει τὸ χαῖρον καὶ προσιέμενον. ἐνταῦθα μίαν ἔφη συγγενοῦς τινος, οὐ μέντοι σαφῶς, ἀποθανεῖν γὰρ, ἔτι παιδὸς ὄντος, ἀλλ' ἐκείνην προσαναγαγοῦσαν ἐγγὺς, εἰπεῖν· χαῖρε θεσπέσιε· θαυμάσαντος δὲ αὐτοῦ, καὶ φήσαντος ὡς οὐ θεσπέσιος ἀλλ' ἀριδαῖός ἐστι, πρότερόν γε φάναι, τὸ δὲ ἀπὸ τοῦδε, θεσπέσιος, οὐδὲ γάρ τοι τέθνηκας, ἀλλὰ μοίρᾳ τινὶ θεῶν ἥκεις δεῦρο τῷ φρονοῦντι, τὴν δὲ ἄλλην ψυχὴν, ὥσπερ ἄγκυραν ἐν τῷ σώματι καταλέλοιπας, σύμβολον δέ σοι καὶ νῦν αὖθις ἔστω τὸ τὰς ψυχὰς τῶν τεθνηκότων, μήτε σκιὰν ποιεῖν, μήτε σκαρδαμύττειν. ταῦτα ἀκούσας ὁ θεσπέσιος, ἤδη τε μᾶλλον ἑαυτὸν τῷ λογίζεσθαι συνήγαγε, καὶ διαβλέψας, εἶδεν ἑαυτῷ μέν τινα συναιωρουμένην ἀμυδράν τινα καὶ σκιώδη γραμμὴν, ἐκείνους δὲ περιλαμπομένους κύκλῳ καὶ διαφανεῖς ἔνδον, οὐ μὴν ὁμοίως ἅπαντας, ἀλλὰ τοὺς μὲν ὥσπερ ἡ καθαρωτάτη πανσέληνος ἓν χρῶμα λεῖον, καὶ συνεχὲς καὶ ὁμαλῶς ἱέντας· ἑτέρων δὲ, φολίδας τινὰς διατρεχούσας ἢ μώλωπας ἀραιούς· ἄλλους δὲ κομιδῇ ποικίλους καὶ ἀτόπους τὴν ὄψιν, ὥσπερ οἱ ἔχεις μελάσμασι κατεστιγμένους, ἄλλους δέ τινας, ἀμβλείας ἀμυχὰς ἔχοντας.

ἔλεγεν οὖν ἕκαστα φράζων ὁ τοῦ θεσπεσίου συγγενὴς, οὐδὲν γὰρ οὕτω κωλύει τὰς ψυχὰς ὀνόματι τῶν ἀνθρώπων προσαγορεύειν, ὡς ἀδράστεια μὲν ἀνάγκης καὶ διὸς θυγάτηρ ἐπὶ πᾶσι τιμωρὸς ἀνωτάτω τέτακται τοῖς ἀδικήμασι· καὶ τῶν πονηρῶν οὔτε μέγας οὐδεὶς οὔτε μικρὸς γέγονεν· ὥστε ἢ λαθὼν διαφυγεῖν ἢ βιασάμενος, ἄλλη δὲ ἄλλη τιμωρεία τριῶν οὐσῶν φύλακι καὶ χειρουργῷ

προσήκει, τοὺς μὲν γὰρ εὐθὺς ἐν σώματι, καὶ διὰ σωμάτων κολαζομένους μετα-
χειρίζεται ποινὴ ταχεῖα, πράῳ τινὶ τρόπῳ καὶ παραλείποντι πολλὰ τῶν κα-
θαρμοῦ δεομένων, ὧν δὲ μεῖζόν ἐστι ἔργον ἡ περὶ τὴν κακίαν ἰατρεία, τούτοις δίκη
μετὰ τὴν τελευτὴν ὁ δαίμων παραδίδωσι. τοὺς δὲ πάμπαν ἀνιάτους ἀπω-
σαμένης τῆς δίκης, ἡ τρίτη καὶ ἀγριωτάτη τῶν ἀδραστείας ὑπουργῶν ἐρινὺς,
μεταθέουσα πλανωμένους καὶ περιφεύγοντας ἄλλον ἄλλως, οἰκτρῶς τε καὶ
χαλεπῶς ἅπαντας ἠφάνισε καὶ κατέδυσεν εἰς τὸ ἄρρητον καὶ ἀόρατον.
τῶν δ' ἄλλων ἔφη δικαιώσεων, ἡ μὲν ἀπὸ τῆς ποινῆς ἐν τῷ βίῳ, ταῖς βαρβα-
ρικαῖς ἔοικεν· ὡς γὰρ ἐν πέρσαις τῶν κολαζομένων τὰ ἱμάτια καὶ τὰς τιά-
ρας ἀποτίλλουσι καὶ μαστιγοῦσιν, οἱ δὲ παύσασθαι δακρύοντες ἀντιβολοῦσιν,
οὕτως αἱ διὰ χρημάτων καὶ διὰ σωμάτων κολάσεις, ἁφὴν οὐκ ἔχουσι δριμεῖαν,
οὐδὲ αὐτῆς ἐπιλαμβάνονται τῆς κακίας, ἀλλὰ πρὸς δόξαν αἱ πολλαὶ καὶ
πρὸς αἴσθησιν αὐτῶν εἰσιν. ὃς δ' ἂν ἐκεῖθεν ἀκόλαστος ἐνταῦθα καὶ ἀκά-
θαρτος ἀφίκηται, τοῦτον ἡ δίκη διαλαβοῦσα τῇ ψυχῇ καταφανῆ γυμνὸν, εἰς οὐ-
δὲν ἔχοντα, καταδῦναι καὶ ἀποκρύψασθαι καὶ περιστεῖλαι τὴν μοχθηρίαν,
ἀλλὰ πανταχόθεν καὶ ὑπὸ πάντων καὶ πάντα καθορώμενον, ἔδειξε πρῶ-
τον ἀγαθοῖς γονεῦσι, ἂν ὦσι, προγόνοις αὐτοῦ πρὸς πτυστὸν ὄντα καὶ ἀνά-
ξιον· ἐὰν δὲ φαῦλοι, κολαζομένους ἐπιδὼν ἐκείνους καὶ ὀφθεὶς, δικαιοῦται πο-
λὺν χρόνον ἐξαιρούμενος ἕκαστον τῶν παθῶν ἀλγηδόσι καὶ πόνοις, οἳ τοσούτῳ
μεγέθει καὶ σφοδρότητι τοὺς διὰ σαρκὸς ὑπερβάλλουσιν, ὅσῳ τὸ ὕπαρ ἂν εἴη
τοῦ ὀνείρατος ἐναργέστερον. οὐλαὶ δὲ καὶ μώλωπες ἐπὶ τῶν παθῶν ἑκάστου
τοῖς μὲν μᾶλλον ἐμμένουσι, τοῖς δὲ ἧττον. ὅρα δὲ εἶπε τὰ ποικίλα ταῦτα καὶ
παντοδαπὰ χρώματα τῶν ψυχῶν· τὸ μὲν ὄρφνιον καὶ ῥυπαρὸν, ἀνελευθερί-
ας ἀλοιφὴν καὶ πλεονεξίας, τὸ δὲ αἱματωπὸν καὶ διάπυρον, ὠμότητος καὶ
πικρίας, ὅπου δὲ τὸ γλαυκινόν ἐστιν, ἐντεῦθεν ἀκρασία τις περὶ ἡδονὰς ἐκτέτρι-
πται μόλις, κακόνοια δὲ ἐνοῦσα μετὰ φθόνου τουτὶ, τὸ ἰῶδες καὶ ὕπουλον ὡσ-
περ αἱ σηπίαι τὸ μέλαν ἀφίησιν, ἐκεῖ γὰρ ἥ τε κακία τῆς ψυχῆς τρεπομένης ὑπὸ
τῶν παθῶν καὶ τρεπούσης τὸ σῶμα τὰς χρόας ἀναδίδωσιν, ἐνταῦθα δὲ καθαρ-
μοῦ καὶ κολάσεως πέρας ἐστί. τούτων ἐκλεανθέντων παντάπασι, τὴν ψυ-
χὴν αὐγοειδῆ καὶ σύγχρουν γίνεσθαι, μέχρι δὲ οὗ ταῦτα ἔνεστι γίνονταί τινες
ὑποτροπαὶ τῶν παθῶν, σφυγμοὺς ἔχουσαι καὶ πήδησιν, ἐνίαις μὲν ἀμυδρὰν
καὶ ταχὺ κατασβεννυμένην, ἐνίαις δὲ νεανικῶς ἐντείνουσαν, ὧν αἱ μὲν πά-
λιν καὶ πάλιν κολασθεῖσαι, τὴν προσήκουσαν ἕξιν καὶ διάθεσιν ἀναλαμβά-
νουσιν, τὰς δὲ αὖθις εἰς σώματα ζῴων ἐξήνεγκεν βιαιότης ἀμαθίας καὶ φι-
ληδονίας εἶδος, ἡ μὲν γὰρ ἀσθενεία λόγου καὶ δι' ἀργίαν τοῦ θεωρεῖν, ἔρρεψε
τῷ πρακτικῷ πρὸς γένεσιν, ἡ δὲ ὀργάνου τοῦ ἀκολάστου δεομένη, ποθεῖ τὰς ἐπι-
θυμίας συρράψαι ταῖς ἀπολαύσεσι, καὶ συνεπαίρεσθαι διὰ σώματος· ἐν-
ταῦθα γὰρ οὐδέν ἐστιν ἢ σκιά τις ἀτελὴς καὶ ὄναρ ἡδονῆς πλήρωσιν οὐκ ἐχούσης
πάρεστι. ταῦτα δὲ εἰπὼν, ἦγεν αὐτὸν ταχὺ μὲν, ἄπλετον δέ τινα τόπον ὡς
ἐφαίνετο διεξιόντα ῥαδίως καὶ ἀπαλῶς, οἷον ὑπὸ πτερῶν τῶν τοῦ φωτὸς
αὐγῶν ἀναφερόμενον, μέχρις οὗ πρός τι χάσμα μέγα καὶ κάτω διῆκον ἀφικόμε-
νος, ὑπὸ τῆς ἐχούσης ἀπελείφθη δυνάμεως, καὶ τὰς ἄλλας ψυχὰς ἑώρα ταὐτὸ πα-
σχούσας ἐκεῖ· συστελλόμεναι γὰρ ὥσπερ αἱ ὄρνιθες καὶ καταφερόμεναι, κύκλῳ τοῦ χάσ-
ματος περιῄεσαν, ἄντικρυς δὲ περαιοῦσθαι οὐκ ἐτόλμων, εἴσω μὲν ὀφθῆναι τοῖς βακχικοῖς ἄντροις
ὁμοίως ὕλῃ καὶ χλωρότητι καὶ χλόαις ἀνθέων ἁπάσαις διαπεποικιλμένον· ἐξέ-
πνει δὲ μαλακὴν καὶ πραεῖαν αὔραν, ὀσμὰς ἀναφέρουσαν ἡδονῆς τε θαυμασίας, καὶ

καὶ κρᾶσιν, οἷον ὁ οἶνος τοῖς μεθυσκομένοις ἐμποιοῦσαν· εὐωχούμεναι γοῦν αἱ ψυ-
χαὶ ταῖς εὐωδίαις, διεχέοντό τε καὶ πρὸς ἀλλήλας ἐφιλοφρονοῦντο, καὶ τὸν
τόπον ἐν κύκλῳ κατεῖχε βακχεία καὶ γέλως, καὶ πᾶσα μοῦσα παιζόντων καὶ
τερπομένων. ἔλεγε δὲ ταύτῃ τὸν διόνυσον εἰς θεοὺς ἀνελθεῖν, καὶ τὴν σεμέλην ἀνάγειν
ὕστερον, καλεῖσθαι δὲ λήθης τὸν τόπον· ὅθεν οὐδὲ διατρίβειν βουλόμενον εἴα τὸν θε-
σπέσιον, ἀλλ' ἀφεῖλκε βίᾳ, διδάσκων ἅμα καὶ λέγων, ὡς ἐκτήκεται καὶ ἀνυγραίνε-
ται τὸ φρονοῦν ὑπὸ τῆς ἡδονῆς, τὸ δὲ ἄλογον καὶ σωματοειδὲς ἀρδόμενον καὶ σαρκού-
μενον, ἐμποιεῖ τοῦ σώματος μνήμην· ἐκ δὲ τῆς μνήμης, ἵμερον καὶ πόθον ἕλκοντα
πρὸς γένεσιν ἣν οὕτως ὠνομάσθαι νεῦσιν ἐπὶ γῆν οὖσαν, ὑγρότητι βαρυνομένης τῆς
ψυχῆς. ἄλλην οὖν τοσαύτην διελθὼν ὁδὸν, ἔδοξεν ἀφορᾶν κρατῆρα μέγαν, εἰς
δὲ τοῦτον ἐμβάλλοντα ῥεύματα, τὸ μὲν ἀφροῦ θαλάσσης ἢ χιόνος λευκότερον, τὸ
δὲ ὁποῖον ἶρις ἐξανθεῖ τὸ ἁλουργὸν, ἄλλα δ' ἄλλαις βαφαῖς κεχρωσμένα πρόσω-
θεν ἴδιον ἐχούσαις φέγγος, ὡς δὲ πλησίον ἦλθον, ὁ κρατὴρ ἐκεῖνος ἀφανισθέντος
μᾶλλον τοῦ περιέχοντος τῶν τε χρωμάτων ἀμαυρουμένων, τὸ ἀνθηρότερον ἀπέλιπε
πλὴν τῆς λευκότητος. ἑώρα δὲ τρεῖς δαίμονας ὁμοῦ καθημένους ἐν σχήματι τριγώ-
νου, πρὸς ἀλλήλους τὰ ῥεύματα μέτροις τισὶν ἀνακεραννύντας. ἔλεγεν οὖν
ὁ τοῦ θεσπεσίου ψυχοπομπὸς, ἄχρι τούτου τὸν ὀρφέα προσελθεῖν, ὅτε τὴν ψυ-
χὴν τῆς γυναικὸς μετῄει, καὶ μὴ καλῶς διαμνημονεύσαντα λόγον εἰς ἀνθρώπους κίβ-
δηλον ἐξενεγκεῖν, ὡς κοινὸν εἴη μαντεῖον ἐν δελφοῖς ἀπόλλωνος καὶ νυκτός. οὐδε-
νὸς γὰρ ἀπόλλωνι νύκτα κοινωνεῖν, ἀλλὰ τοῦτο μὲν ἔφη νυκτός ἐστι καὶ σελήνης μαν-
τεῖον κοινὸν, οὐδαμοῦ τῆς γῆς περαῖνον μαντεῖον, οὐδ' ἔχον ἕδραν μίαν, ἀλλὰ πάν-
τῃ πλανητὸν ἐπὶ τοὺς ἀνθρώπους ἐνυπνίοις καὶ εἰδώλοις, ἐκ τούτου γὰρ οἱ ὄνειροι μι-
γνύμενοι, ὡς ὁρᾷς τῷ ἀπατηλῷ καὶ ποικίλῳ, τὸ ἁπλοῦν καὶ ἀληθὲς παρα-
λαμβάνοντες, διασπείρουσι, τὸ δὲ ἀπόλλωνος οὐ κατεῖδες εἶπεν, οὐδὲ κατιδεῖν
ἔσῃ δυνατός· ἀνωτέρω γὰρ οὐκ ἐπιδίδωσιν, οὐδὲ χαλᾷ τὸ τῆς ψυχῆς ἐπίγειον, ἀλλὰ
κατατείνει τῷ σώματι προσηρτημένον. ἅμα δ' ἐπειρᾶτο προσάγων ἐπιδεικνύ-
ειν αὐτῷ τὸ φῶς ἐκ τοῦ τρίποδος ὡς ἔλεγε διὰ τῶν κόλπων τῆς θέμιδος ἀπερειδόμε-
νον εἰς τὸν παρνασὸν, καὶ προθυμούμενος ἰδεῖν, οὐκ εἶδεν ὑπὸ λαμπρότητος, ἀλλ' ἤκουε
παριὼν φωνὴν ὀξεῖαν γυναικὸς ἐν μέτρῳ φράζουσαν ἄλλα τέ τινα, καὶ χρόνον ὡς ἔοικε
τῆς ἐκείνου τελευτῆς. ἔλεγε δὲ ὁ δαίμων τὴν φωνὴν εἶναι σιβύλλης, ᾄδειν γοῦν αὐτὴν περὶ
τῶν μελλόντων ἐν τῷ προσώπῳ τῆς σελήνης περιφερομένην. βουλόμενος οὖν ἀκροᾶ-
σθαι πλείονα, τῇ ῥύμῃ τῆς σελήνης εἰς τοὐναντίον, ὥσπερ ἐν ταῖς δίναις ἐξεώ-
σθη καὶ βραχέα κατήκουσεν, ὧν ἦν καὶ τὸ περὶ τὸ λέσβιον ὄρος καὶ τὴν δικαιαρχίαν ὑπὸ
πυρὸς φορᾷ γενησομένην, καί τι κομμάτιον περὶ τοῦ τότε ἡγεμόνος, ὡς ἐσθλὸς
ἐὼν, νόσῳ τυραννίδα λείψει. μετὰ δὲ ταῦτα, πρὸς τὴν θέαν τῶν κολαζομένων ἐ-
τράποντο. καὶ τὰ μὲν πρῶτα, δυσχερεῖς καὶ οἰκτρὰς εἶχον ὄψεις μόνον· ἐπεὶ δὲ καὶ φί-
λοις καὶ οἰκείοις καὶ συνήθεσιν ὁ θεσπέσιος οὐκ ἂν προσδοκήσας, κολαζομένοις ἐνετύγ-
χανε, οἳ καὶ δεινὰ παθήματα καὶ τιμωρίας ἀσχήμονας καὶ ἀλγεινὰς ὑπομένοντες,
ᾠκτίζοντο πρὸς ἐκεῖνον καὶ ἀνεκλαίοντο, τέλος δὲ τὸν πατέρα τὸν ἑαυτοῦ κατεῖδεν
ἔκ τινος βαράθρου, στιγμάτων καὶ οὐλῶν μεστὸν ἀναδυόμενον, ὀρέγοντα τὰς χεῖρας
αὐτῷ καὶ σιωπᾶν οὐκ ἐώμενον, ἀλλ' ὁμολογεῖν ἀναγκαζόμενον ὑπὸ τῶν ἐφεστώτων ταῖς
τιμωρίαις, ὅτι περὶ ξένους τινὰς μιαρὸς γενόμενος χρυσίον ἔχοντας φαρμάκοις
διαφθείρας, καὶ ἐκεῖ διαλαθὼν ἅπαντας ἐνταῦθ' ἐξελεγχθεὶς, τὰ μὲν ἤδη πέπον-
θε, τὰ δὲ ἄγεται πεισόμενος. ἱκετεύειν μὲν οὖν ἢ παραιτεῖσθαι περὶ τοῦ πατρὸς οὐκ ἐτόλ-
μα, δι' ἔκπληξιν καὶ δέος, ὑποστρέψαι δὲ καὶ φυγεῖν βουλόμενος, οὐκ ἔτι τὸν πρᾶον ἐκεῖ-
νον ἑώρα, καὶ οἰκεῖον ξεναγὸν, ἀλλ' ὑφ' ἑτέρων τινῶν φοβερῶν τὴν ὄψιν εἰς τὸ πρό-

θεν ὠθούμενος, ὡς ἀνάγκην οὖσαν οὔπω διεξελθεῖν, ἐθεᾶτο τῶν μὲν γνωρίμων πονηρῶν γενομένων καὶ κολασθέντων αὐτόθι τὴν σκιὰν οὐκ ἔτ' ἔχειν χαλεπῶς, ἀλλ' ὁμοίως ζυγομένην ἀτελῆ περὶ τὸ ἄλογον καὶ παθητικὸν, ἐπίπονον οὖσαν. ὅσοι δὲ πρόσχημα καὶ δόξαν ἀρετῆς περιβαλόμενοι διεβίωσαν ἐν κακίᾳ λανθανούσῃ, τούτους ἐπιπόνως καὶ ὀδυνηρῶς ἠνάγκαζον ἕτεροι περιεστῶτες, ἐκτρέπεσθαι τὰ ἐντὸς ἔξω τῆς ψυχῆς ἰλυσπωμένους παρὰ φύσιν καὶ ἀνακαμπτομένους, ὥσπερ αἱ θαλάττιαι σκολόπενδραι καταπιοῦσαι τὸ ἄγκιστρον, ἐκτρέπουσιν ἑαυτάς. ἐνίους δὲ ἀναδέροντες αὐτοὺς καὶ ἀναπτύσσοντες, ἀπεδείκνυσαν ὑπούλους καὶ ποικίλους ἐν τῷ λογιστικῷ καὶ κυρίῳ τὴν μοχθηρίαν ἔχοντας. ἄλλας δ' ἔφη ψυχὰς ἰδεῖν, ὥσπερ τὰς ἐχίδνας περιπεπλεγμένας σύνδυο καὶ σύντρεις καὶ πλείονας, ἀλλήλας ἐσθιούσας ὑπὸ μνησικακίας καὶ κακοθυμίας ὧν ἔπαθον ἐν τῷ ζῆν ἢ ἔδρασαν. εἶναι δὲ καὶ λίμνας παρ' ἀλλήλας, τὴν μὲν χρυσοῦ περιζέουσαν, τὴν δὲ μολίβδου ψυχροτάτην, ἄλλην δὲ τραχεῖαν σιδήρου· καί τινας ἐφεστάναι δαίμονας, ὥσπερ οἱ χαλκεῖς ὀργάνοις ἀναλαμβάνοντας καὶ καθιέντας ἐν μέρει τὰς ψυχὰς τῶν δι' ἀπληστίαν καὶ πλεονεξίαν πονηρῶν. ἐν μὲν γὰρ τῷ χρυσῷ διαπύρους καὶ διαφανεῖς ὑπὸ τοῦ φλέγεσθαι γενομένας, ἐνέβαλλον εἰς τὴν τοῦ μολίβδου βάπτοντες· ἐκ παγείσας δ' αὐτόθι καὶ γενομένας σκληρὰς, ὥσπερ αἱ χάλαζαι, πάλιν εἰς τὴν τοῦ σιδήρου μεθίστασαν. ἐν ταύτῃ δὲ μέλαιναί τε δεινῶς ἐγίνοντο καὶ περικλώμεναι διὰ σκληρότητα, καὶ συντριβόμεναι, τὰ εἴδη μετέβαλλον, εἶθ' οὕτω πάλιν εἰς τὸν χρυσὸν ἐκομίζοντο, πάντων δὲ παλαιὰς, ὡς ἔλεγεν, ἐν ταῖς μεταβολαῖς ἀλγηδόνας ὑπομένουσαι. πάντων δὲ συμπαθεῖν ἔλεγεν οἰκτρότατα, τὰς ἤδη δοκούσας ἀφεῖσθαι τῆς δίκης, εἶτ' αὖθις συλλαμβανομένας, αὗται δ' ἦσαν, ὧν εἰς τινας ἐκγόνους ἢ παῖδας ἡ ποινὴ περιῆλθεν. ὁπότε γάρ τις ἐκείνων ἀφίκοιτο καὶ περιτύχοι, προσέπιπτεν ὀργῇ καὶ κατεβόα, καὶ τὰ σημεῖα τῶν παθῶν ἐδείκνυεν, ὀνειδίζουσα καὶ δεικνύουσα, φεύγειν καὶ ἀποκρύπτεσθαι βουλομένην, ἡ δ' ἀναμένουσα, ταχὺ μετέθεον οἱ κολασταὶ πρὸς τὴν δίκην, καὶ διὰ ἀπορούσας ἅμα τῷ προγινώσκειν τὴν τιμωρίαν. ἐνίας δὲ καὶ πολλὰς ἅμα ἐκ ψυχῆς ἐχομένας ἐκγόνων ἔλεγε συνηρτῆσθαι, καθάπερ μελίττας ἢ νυκτερίδας ἀτεχνῶς ἐχομένας, καὶ τετριγυίας ὑπὸ μνήμης καὶ ὀργῆς ὧν ἔπαθον δι' αὐτάς. ἔσχατα δὲ ἐθεᾶτο τὰς τῶν ἐπὶ δευτέραν γένεσιν τρεπομένας ψυχὰς, εἴς τε ζῷα παντοδαπὰ καμπτομένας βίᾳ καὶ μετασχηματιζομένας ὑπὸ τῶν ταῦτα δημιουργούντων, ὀργάνοις τισὶ καὶ πληγαῖς, τῶν μὲν ὅλα τὰ μόρια συνελαυνόντων, τὰ δὲ ἀποστρεφόντων, ἔνια δ' ἐκλεαινόντων καὶ ἀφανιζόντων παντάπασιν, ὅπως ἐφαρμόσειεν ἑτέροις ἤθεσι καὶ βίοις, ἐν ταύταις φανῆναι τὴν Νέρωνος ψυχὴν τά τε ἄλλα κακῶς ἔχουσαν ἤδη, καὶ διαπεπαρμένην ἥλοις διαπύροις. προκεχειρισμένων δ' αὐτῇ τῶν δημιουργῶν Πινδαρικῆς ἐχίδνης εἶδος, ἐν ᾧ κυηθεῖσα καὶ διαφαγοῦσα τὴν μητέρα βιώσεσθαι, φῶς ἔφασκεν ἐξαίφνης διαλάμψαι μέγα, καὶ φωνὴν ἐκ τοῦ φωτὸς γενέσθαι, προστάττουσαν εἰς ἄλλο γένος ἡμερώτερον μεταβαλεῖν, ᾠδικόν τι μηχανησαμένους περὶ ἕλη καὶ λίμνας ζῷον· ὧν μὲν γὰρ ἠδίκησε, δεδωκέναι δίκας, ὀφείλεσθαι δέ τι καὶ χρηστὸν αὐτῷ παρὰ θεῶν, ὅτι τῶν ὑπηκόων τὸ βέλτιστον καὶ θεοφιλέστατον γένος ἠλευθέρωσε τὴν Ἑλλάδα. μέχρι μὲν οὖν τούτων θεατὴς, ὡς δὲ ἀναστρέφειν ἔμελλεν, ἐν παντὶ γενέσθαι κακῷ διὰ φόβον. γυναῖκα γάρ τινα λαβομένην αὐτοῦ θαυμαστὴν τὸ εἶδος καὶ τὸ μέγεθος, δεῦρο δὴ εἰπεῖν οὗτος, ὅπως ἕκαστα μᾶλλον μνημονεύσῃς· καί τι ῥαβδίον ὥσπερ οἱ ζωγράφοι διάπυρον προσάγειν, ἑτέραν δὲ κωλύειν, αὐτὸν δὲ ὥσπερ ὑπὸ σύριγγος ἐξαίφνης ἀοράτῳ πνεύματι κατασπασθέντα, σφόδρα καὶ βιαίῳ τῷ σώματι προσπεσεῖν, καὶ ἀναβλέψαι σχεδὸν ἀπ' αὐτοῦ τοῦ μνήματος.

ΟΤΙ ΔΙΔΑΚΤΟΝ Η ΑΡΕΤΗ.

Περὶ τῆς ἀρετῆς βουλευόμεθα καὶ διαποροῦμεν, εἰ διδακτὸν ἐστὶ τὸ φρονεῖν, τὸ δικαιοπραγεῖν, τὸ εὖ ζῆν, εἶτα θαυμάζομεν εἰ ῥητόρων μὲν ἔργα καὶ κυβερνητῶν καὶ οἰκοδόμων καὶ γεωργῶν, μυρία δ' ἐστίν, ἀγαθοὶ δὲ ἄνδρες ὀνομάζοντες καὶ λέγοντες μόνον ὡς ἱπποκένταυροι καὶ γίγαντες καὶ κύκλωπες, ἔργον δὲ ἀμεμφὲς εἰς ἀρετὴν καὶ ἀκέραιον οὐκ ἔστιν εὑρεῖν, οὐδὲ πάθεσιν ἀκέραιον ἦθος καὶ ἄθικτον. ἀλλ' εἰ καί τι καλὸν ἡ φύσις αὐτομάτως ἐκφέρει, τοῦτο ἀμαυροῦται ἀλλοτρίῳ καθάπερ ὕλῃ καρποῦ ἀγρίᾳ καὶ ἀκαθάρτῳ μιγνύμενον, ἐξαμαυροῦται. ψάλλειν μανθάνουσιν ἄνθρωποι, καὶ ὀρχεῖσθαι, καὶ ἀναγινώσκειν γράμματα, καὶ γεωργεῖν καὶ ἱππεύειν, ὑποδεῖσθαι μανθάνουσι, περιβάλλεσθαι, οἰνοχοεῖν διδάσκονται, ὀψοποιεῖν, ταῦτα οὐκ ἔστι ἄνευ τοῦ μαθεῖν χρησίμως ποιεῖν. δι' ὃ δὲ ταῦτα πάντα, τὸ εὖ βιῶναι, ἀδίδακτον καὶ ἄλογον καὶ ἄτεχνον καὶ αὐτόματον ἐστί; τί τὴν ἀρετὴν λέγοντες ἀδίδακτον εἶναι, ἀναιροῦμεν αὐτήν· εἰ γὰρ ἡ μάθησις γένεσίς ἐστιν, ἡ τοῦ μαθεῖν κώλυσις, ἀναίρεσις. καίτοι γε ὥς φησιν ὁ Πλάτων, διὰ τὴν τοῦ ποδὸς πρὸς τὴν λύραν ἀμετρίαν καὶ ἀναρμοστίαν, οὔτε ἀδελφὸς ἀδελφῷ πολεμεῖ, οὔτε φίλος φίλῳ διαφέρεται, οὔτε πόλεις πόλεσιν ἀπεχθεῖς γενόμεναι, τὰ ἔσχατα κακὰ δρῶσί τε καὶ πάσχουσιν ὑπ' ἀλλήλων· οὐδὲ περὶ προσῳδίας ἔχει τις εἰπεῖν στάσιν ἐν πόλει γενομένην, πότερον τελχῖνας ἀναγνωστέον, οὐδ' ἐν οἰκίᾳ διαφορὰν ἀνδρὸς καὶ γυναικὸς ὑπὲρ κρόκης ἢ στήμονος. ἀλλ' ὅμως οὔτ' ἂν ἱστὸν οὔτε βιβλίον ἢ λύραν ὁ μὴ μαθὼν μεταχειρίσαιτο· καίπερ εἰς οὐδὲν μέγα βλαβησόμενος, ἀλλ' αἰδεῖται γενέσθαι καταγέλαστος. ἀμαθίην γὰρ Ἡράκλειτός φησι κρύπτειν ἄμεινον. οἶκον δὲ καὶ γάμον καὶ πολιτείαν καὶ ἀρχὴν οἴεται καλῶς μεταχειρίζεσθαι. παιδὸς ὀψοφαγοῦντος ὁ Διογένης τῷ παιδαγωγῷ κόνδυλον ἔδωκεν, ὀρθῶς, οὐ τοῦ μὴ μανθάνοντος, ἀλλὰ τοῦ μὴ διδάξαντος τὸ ἁμάρτημα ποιήσας. εἶτα παροψίδος μὲν ἢ κύλικος οὐκ ἔστι κοινωνεῖν ἐπιδεξίως, ἂν μὴ μάθῃ τις εὐθὺς ἐκ παίδων ἀρξάμενος, ὡς Ἀριστοφάνης, μὴ κιχλίζειν, μὴ δὲ ὀψοφαγεῖν, μὴ δ' ἴσχειν τὼ πόδ' ἐπαλλάξ. οἰκίας δὲ καὶ πόλεως καὶ γάμου καὶ βίου καὶ ἀρχῆς κοινωνίαν ἀνεπιλήπτως ἐνδέχεται γενέσθαι μὴ μαθόντα ὅν τινα χρὴ τρόπον ἀλλήλοις συμφέρεσθαι; ὁ Ἀρίστιππος ἐρωτηθεὶς ὑπό τινος, πανταχοῦ σὺ ἄρα εἶ; γελάσας, οὐκοῦν ἔφη παραπόλλυμι τὸ ναῦλον, εἴγε πανταχοῦ εἰμί. τί οὖν οὐκ ἂν εἴποις καὶ αὐτὸς, εἰ μὴ γίνονται μαθήσει βελτίονες οὗτοι, παραπόλλυται ὁ μισθὸς τῶν παιδαγωγῶν; πρῶτον οὗτοι λαμβάνοντες ἐκ γάλακτος, ὥσπερ αἱ τίτθαι ταῖς χερσὶ τὸ σῶμα πλάττουσιν, οὕτως ῥυθμίζουσι τοῖς ἔθεσιν εἰς ἴχνος τι πρῶτον ἀρετῆς καταστάντες. καὶ ὁ Λάκων ἐρωτηθεὶς τί παρέχει παιδαγωγῶν, τὰ καλὰ ἔφη τοῖς παισὶν ἡδέα ποιῶν. καὶ αὐτοὶ διδάσκουσιν οἱ παιδαγωγοὶ, κεκυφότας ἐν ταῖς ὁδοῖς περιπατεῖν, ἑνὶ δακτύλῳ τὸ τάριχος ἅψασθαι, δυσὶ τὸν ἰχθύν, ἄρτον, κρέας, οὕτω κνᾶσθαι, τὸ ἱμάτιον οὕτως ἀναλαβεῖν. τί οὖν ὁ λέγων ἀρχῖνος ἰατρικὴν εἶναι καὶ παρωνυχίας, πλευρίτιδος δὲ καὶ πυρετοῦ καὶ φρενίτιδος μὴ εἶναι· τί διαφέρει τοῦ λέγοντος ὅτι τῶν μικρῶν καὶ παιδικῶν καθηκόντων εἰσὶ διδασκαλεῖα καὶ λόγοι καὶ ὑποθῆκαι, τῶν δὲ μεγάλων καὶ τελείων, ἄλογος τριβὴ καὶ περίπτωσίς ἐστιν; ὡς γὰρ ὁ λέγων δεῖν κώπην ἐλαύνειν μαθόντα, γελοῖός ἐστιν, οὕτως ὁ μὲν τῶν ἄλλων ἀπολείπων τεχνῶν μάθησιν, ἀρετῆς δὲ ἀναιρῶν, τοὐναντίον ἔοικε τοῖς Σκύθαις ποιεῖν. ἐκεῖνοι μὲν γὰρ, ὥς φησιν Ἡρόδοτος, τοὺς οἰκέτας ἐκτυφλοῦσιν, ὅπως παραδῶσιν αὐτοῖς, οὗτος δὲ ταῖς ἄλλαις καὶ ὑπηρετούσαις τέχναις, ὥσπερ ὄμμα τοῦ λόγου ἐντιθεὶς, τὴν ἀρετὴν ἀφαιρεῖ. καίτοι γε ὁ στρατηγὸς Ἰφικράτης πρὸς τὸν χαβρίαν καλ

λίαν ὁρῶντα καὶ λέγοντα, τίς εἶ, τοξότης, πελταστὴς, ἱππεὺς, ὁπλίτης; οὐδεὶς ἔφη τούτων, ἀλλ' ὁ τούτοις πᾶσιν ἐπιτάττων. γελοῖος οὖν ὁ λέγων ὅτι τοξικὴ καὶ ὁπλιτικὴ καὶ τὸ σφενδονᾶν καὶ τὸ ἱππεύειν διδακτόν ἐστι, στρατηγία δὲ καὶ τὸ στρατηγεῖν, ὡς ἔτυχε παραγίνεται· οὐκοῦν ἔτι γελοιότερος ὁ μόνην τὴν φρόνησιν μὴ διδακτὴν ἀποφαίνων, ἧς ἄνευ τῶν ἄλλων τεχνῶν ὄφελος οὐδὲν οὔτε ὄνησίς ἐστιν. εἰ δὲ ἡγεμὼν αὕτη, καὶ κόσμος οὖσα πασῶν καὶ τάξις, εἰς τὸ χρήσιμον ἕκαστον καθίστησιν, αὐτίκα τις δείπνου χάρις, ἠσκημένων καὶ μεμαθηκότων παίδων δαιτρεῦσαι καὶ ὀπτῆσαι καὶ οἰνοχοῆσαι, εἰ μὴ διάθεσις μηδὲ διάταξις εἴη πρὸς τοὺς διακονοῦντας.

ΠΕΡΙ ΤΟΥ ΕΑΥΤΟΝ ΕΠΑΙΝΕΙΝ ΑΝΕΠΙΦΘΟΝΩΣ.

Ο περὶ ἑαυτοῦ λέγειν ὥς τι ὄντος ἢ δυναμένου πρὸς ἑτέρους ὦ ἥρκλανε, λόγῳ μὲν, ἐπαχθὲς ἀποφαίνουσι πάντες καὶ ἀνελεύθερον, ἔργῳ δὲ, οὐ πολλοὶ τὴν ἀηδίαν αὐτοῦ διαπεφεύγασιν, οὐδὲ τῶν ψεγόντων. ὁ γοῦν εὐριπίδης εἰπὼν, εἰ δ' ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι, οὐδεὶς ἂν αὑτὸν εὖ λέγειν ἐβούλετο. νῦν δ', ἐκ βαθείας τ' πάρεστιν αἰθέρος λαβεῖν ἀμισθὶ, πᾶς τις ἥδεται λέγων τά τ' ὄντα καὶ μή. ζημίαν γὰρ οὐκ ἔχει, φορτικωτάτῃ κέχρηται μεγαλαυχίᾳ. καὶ τῷ συγκαταπλέκειν τοῖς τραγῳδουμένοις πάθεσι καὶ πράγμασιν μηδὲν προσήκοντα τὸν περὶ αὐτοῦ λόγον. ὁμοίως ὁ πίνδαρος φήσας· καὶ τὸ καυχᾶσθαι παρὰ καιρὸν μανίαις ὑποκρέκειν, οὐ παύεται μεγαληγορῶν περὶ τῆς ἑαυτοῦ δυνάμεως, ἀξίας μὲν ἐγκωμίων οὔσης· τίς γὰρ οὔ φησιν. ἀλλὰ καὶ τοὺς στεφανουμένους ἐν τοῖς ἀγῶσιν, ἕτεροι νικῶντας ἀναγορεύουσι, τὴν ἀηδίαν τῆς περιαυτολογίας ἀφαιροῦντες. ᾗ καὶ τὸν τιμόθεον ἐπὶ τῇ κατὰ φρύνιδος νίκῃ γράφοντα, μακάριος ἦσθα τιμόθεε ὅτε κᾶρυξ εἶπε, νικᾷ τιμόθεος ὁ μιλήσιος τὸν κάρβωνος τὸν ἰωνοκάμπταν. εἰκότως δυσχεραίνομεν ὡς ἀμούσως καὶ παρανόμως ἀνακηρύττοντα τὴν ἑαυτοῦ νίκην· αὐτῷ μὲν γὰρ ὁ παρ' ἄλλων ἔπαινος, ἥδιστον ἀκουσμάτων ἐστὶν, ὥσπερ ὁ ξενοφῶν εἴρηκεν, ἑτέροις δὲ ὁ περὶ αὑτοῦ, λυπηρότατον. πρῶτον μὲν γὰρ ἀναισχύντους ἡγούμεθα τοὺς ἑαυτοὺς ἐπαινοῦντας, αἰδεῖσθαι προσῆκον αὐτοῖς κἂν ὑπ' ἄλλων ἐπαινῶνται. δεύτερον δὲ, ἀδίκους, ἃ λαμβάνειν ἔδει παρ' ἑτέρων αὐτοῖς διδόντας. τρίτον, ἢ σιωπῶντες ἄχθεσθαι καὶ φθονεῖν δοκοῦμεν, ἢ τοῦτο δεδιότες, ἀναγκαζόμεθα συνεφάπτεσθαι παρὰ γνώμην τῶν ἐπαίνων, καὶ συνεπιμαρτυρεῖν πρᾶγμα, κολακείᾳ μᾶλλον ἀνελευθέρῳ προσῆκον, ἢ τιμῇ τὸ ἐπαινεῖν παρόντας ὑπομένοντες. οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, ἔστιν ἣ παρακινδυνεύσειεν ἂν ὁ πολιτικὸς ἀνὴρ ἅψασθαι τῆς καλουμένης περιαυτολογίας πρὸς οὐδεμίαν αὐτοῦ δόξαν ἢ χάριν, ἀλλὰ καιροῦ καὶ πράξεως ἀπαιτούσης, ὥσπερ ἄλλο τι καὶ περὶ αὑτοῦ λεχθῆναι τῶν ἀληθινῶν, μάλιστα δὲ ὅταν ᾖ τὰ πεπραγμένα καὶ προσόντα χρηστὰ, τὸ μὴ φεισάμενον εἰπεῖν, ἢ διαπράξασθαί τι τῶν ὁμοίων· καλὸν γὰρ ὁ τοιοῦτος ἔπαινος ἐκφέρει καρπὸν, ὥσπερ ἀπὸ σπέρματος πλειόνων ἑτέρων ἀπ' αὐτοῦ καὶ κρειττόνων φυομένων ἐπαίνων. καὶ γὰρ τὴν δόξαν ὁ πολιτικὸς ἀνὴρ, οὐχ ὥς τινα μισθὸν ἢ παραμυθίαν τῆς ἀρετῆς ἀπαιτεῖ, καὶ ἀγαπᾷ ταῖς πράξεσι παροῦσαν, ἀλλ' ὅτι τὸ πιστεύεσθαι καὶ δοκεῖν χρηστὸν εἶναι, πλειόνων καὶ καλλιόνων πράξεων ἀφορμὰς δίδωσι· πειθομένους γὰρ ἅμα καὶ φιλοῦντας, ἡδὺ καὶ ῥᾴδιον ὠφελεῖν, πρὸς δὲ ὑποψίαν καὶ διαβολὴν, οὐκ ἔστι χρήσασθαι τῇ

τῇ ἀρετῇ φεύγοντας εὖ παθεῖν προσβιαζόμενον. εἰ δὲ καὶ δι' ἑτέρας τινὰς ὁ πολιτικὸς ἂν αὑτὸν ἐπαινέσειε, σκεπτέον τίνες εἰσὶν αὗται, ὅπως ἐξευλαβούμενοι τὸ κενὸν καὶ δυσχεραινόμενον, εἴ τι χρήσιμον ἔχει, μὴ παραλίπωμεν. ἔστιν οὖν κενὸς ἔπαινος, ὁ τῶν ἑαυτοὺς ἐπαινεῖν ὅπως ἐπαινεθῶσι δοκούντων, καὶ καταφρονεῖται μάλιστα, φιλοτιμίας ἕνεκα γίνεσθαι καὶ δόξης ἀκαίρου φαινόμενος. ὡς γὰρ οἱ τροφῆς ἀποροῦντες ἐξ αὐτοῦ τοῦ σώματος ἀναγκάζονται παρὰ φύσιν τρέφεσθαι, καὶ τοῦτο τοῦ λιμοῦ τέλος ἐστὶν, οὕτως οἱ πεινῶντες ἐπαίνων, ἂν μὴ τύχωσιν ἑτέρων ἐπαινούντων, αὐτοὶ τῇ φιλοδοξίᾳ παρ' αὑτῶν ἐπαρκεῖν τι βούλεσθαι καὶ συνεισφέρειν δοκοῦντες, ἀσχημονοῦσιν. ὅταν δὲ μηδὲ ἁπλῶς καὶ καθ' ἑαυτοὺς ἐπαινεῖσθαι ζητῶσιν, ἀλλ' ἁμιλλώμενοι πρὸς ἀλλοτρίους ἐπαίνους ἔργα καὶ πράξεις ἀντιπαραβάλλωσιν αὑτῶν, ὡς ἀμαυρώσοντες ἑτέρους, πρὸς τῷ κενῷ βάσκανον πρᾶγμα καὶ κακόηθες ποιοῦσι. τὸν μὲν γὰρ ἐν ἀλλοτρίῳ χορῷ πόδα τιθέντα, περίεργον ἡ παροιμία καὶ γελοῖον ἀποδείκνυσι. τὴν δὲ ἐν ἀλλοτρίοις ἐπαίνοις εἰς μέσον ὑπὸ φθόνου καὶ ζηλοτυπίας ἐξωθουμένην περιαυτολογίαν, εὖ μάλα δεῖ φυλάττεσθαι καὶ μηδ' ἑτέρων ὑπομένειν ἐπαινούντων αὐτὸν, ἀλλὰ παραχωρεῖν τοῖς τιμωμένοις ἀξίοις οὖσιν, ἂν δ' ἀνάξιοι καὶ φαῦλοι δόξωσιν εἶναι, μὴ τοῖς ἰδίοις ἐπαίνοις ἀφαιρώμεθα τοὺς ἐκείνων, ἀλλ' ἄντικρυς ἐλέγχοντες καὶ δεικνύντες, οὐ προσηκόντως εὐδοκιμοῦντας. ταῦτα μὲν οὖν δῆλον, ὅτι φυλακτέον. αὑτὸν δὲ ἐπαινεῖν ἀμέμπτως ἐστί· πρῶτον μὲν, ἂν ἀπολογούμενος τοῦτο ποιῇς, πρὸς διαβολὴν ἢ κατηγορίαν, ὡς περικλῆς· καίτοι ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε, ὃς οὐδενὸς ἥσσων οἴομαι εἶναι, γνῶναί τε τὰ δέοντα, καὶ ἑρμηνεῦσαι ταῦτα, φιλόπολίς τε καὶ χρημάτων κρείσσων. οὐ γὰρ μόνον ἀλαζονείαν καὶ κενότητα καὶ φιλοτιμίαν ἐκπέφευγε τῷ λέγειν τηνικαῦτα περὶ αὐτοῦ σεμνὸν, ἀλλὰ καὶ φρόνημα καὶ μέγεθος ἀρετῆς διαδείκνυσι τῷ μὴ ταπεινοῦσθαι, ταπεινούσης καὶ χειρουμένης τὸν φθόνον. οὐδὲ γὰρ κρίνειν ἔτι τοὺς τοιούτους ἀξιοῦσιν, ἀλλ' ἐπαίρονται καὶ γάννυνται καὶ συνενθουσιῶσι ταῖς μεγαλαυχίαις, ἄνπερ ὦσι βέβαιοι καὶ ἀληθεῖς, ὡς ἐπιμαρτυρεῖ τὰ γινόμενα. θηβαῖοι γοῦν, ἐγκαλουμένων τῶν στρατηγῶν, ὅτι τοῦ χρόνου τῆς βοιωταρχίας ἐξήκοντος αὐτοῖς, οὐκ εὐθὺς ἐπανῆλθον, ἀλλ' εἰς τὴν λακωνικὴν ἐνέβαλον· καὶ τὰ περὶ μεσσήνην διῴκησαν· πελοπίδαν μὲν ὑποπίπτοντα καὶ δεόμενον, μόλις ἀπέλυσαν. ἐπαμινώνδου δὲ πολλὰ περὶ τῶν πεπραγμένων μεγαληγορήσαντος, τέλος δὲ φήσαντος ὡς ἕτοιμός ἐστιν ἀποθνήσκειν, ἂν ὁμολογήσωσιν ὅτι τὴν λακωνικὴν διεπόρθησε, καὶ τὴν μεσσήνην ᾤκισε, καὶ συνέστησεν ἀρκαδίαν ἀκόντων ἐκείνων, οὐδὲ τὰς ψήφους ἀναλαβεῖν ἐπ' αὐτὸν ὑπέμειναν, ἀλλὰ θαυμάζοντες τὸν ἄνδρα καὶ χαίροντες ἅμα καὶ γελῶντες, ἀπηλλάγησαν. ὅθεν οὐδὲ τοῦ ὁμηρικοῦ σθενέλου παντάπασιν αἰτιατέον, τὸ, ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι. μεμνημένους τοῦ, ὤμοι τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο, τί πτώσσεις, τί δ' ὀπιπτεύεις πολέμοιο γεφύρας. οὐδὲ γὰρ αὐτὸς ἀκούσας κακῶς, ἀλλ' ὑπὲρ τοῦ φίλου λοιδορηθέντος ἠμύνατο, τῇ περιαυτολογίᾳ παρρησίαν συγγνώμονα τῆς αἰτίας διδούσης. ἀλλὰ μὴν καὶ ῥωμαῖοι κικέρωνι μὲν ἐδυσχέραινον ἐγκωμιάζοντι πολλάκις ἑαυτοῦ τὰς περὶ κατιλίναν πράξεις. σκιπίωνι δὲ εἰπόντι μὴ πρέπειν αὐτοῖς κρίνειν περὶ σκιπίωνος, δι' ὃν ἔχουσι τὸ κρίνειν πᾶσιν ἀνθρώποις, στεφανωσάμενοι συνανέβησαν εἰς τὸ καπιτώλιον καὶ συνέθυσαν. ὁ μὲν γὰρ οὐκ ἀναγκαίως, ἀλλ' ὑπὲρ δόξης ἐχρῆτο τοῖς ἐπαίνοις, τὸν δὲ ἀφῄρει τὸν φθόνον ὁ κίνδυνος. οὐ μόνον δὲ κρινομένοις καὶ κινδυνεύουσιν, ἀλλὰ καὶ δυστυχοῦσι μᾶλλον ἁρμόζει μεγαλαυχία καὶ κόμπος, ἢ εὐτυχοῦσι. οἱ μὲν γὰρ οἷον ἐπιδράττεσθαι τῆς δόξης

καὶ ἀπολαύειν χαριζόμενοι τῷ φιλοτίμῳ δοκοῦσιν. οἱ δὲ πόῤῥω φιλοτιμίας διὰ τὸν καιρὸν ὄντες, ἐξαναφέρειν πρὸς τὴν τύχην καὶ ὑπερείδειν τὸ φρόνημα· καὶ φεύγειν ὅλως τὸ ἐλεεινὸν καὶ συνεπιθρηνοῦν τοῖς ἀβουλήτοις καὶ ταπεινούμενον. ὥσπερ οὖν τοὺς ἐν τῷ περιπατεῖν ἐπαιρομένους καὶ ὑψαυχενοῦντας ἀνοήτους ἡγούμεθα καὶ κενούς, ἂν δὲ πυκτεύοντες ἢ μαχόμενοι διεγείρωσι καὶ ἀνάγωσιν ἑαυτοὺς ἐπαινοῦμεν, οὕτως ἀνὴρ ὑπὸ τύχης σφαλλόμενος ἑαυτὸν εἰς ὀρθὸν καθιστὰς καὶ ἀντίπαλον, πύκτης ὅπως εἰς χεῖρας ἐκ τοῦ ταπεινοῦ καὶ οἰκτροῦ τῇ μεγαλαυχίᾳ μεταφέρων εἰς τὸ γαῦρον καὶ ὑψηλὸν, οὐκ ἐπαχθὴς οὐδὲ θρασύς, ἀλλὰ μέγας εἶναι δοκεῖ καὶ ἀήττητος. ὥς που καὶ τὸν Πάτροκλον ὁ ποιητὴς μέτριον καὶ ἀνεπίφθονον ἐν τῷ κατορθοῦν, ἐν δὲ τῷ τελευτᾶν μεγαλήγορον πεποίηκε λέγοντα· τοιοῦτοι δ' εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν. καὶ Φωκίων τἆλλα μὲν πρᾶος ἦν, μετὰ δὲ τὴν καταδίκην, ἄλλοις τε πολλοῖς διεδείκνυε τὴν μεγαλοφροσύνην, καὶ πρός τινα τῶν συναποθνησκόντων ὀδυρόμενον καὶ δυσανασχετοῦντα, τί λέγεις εἶπεν οὗτος, οὐκ ἀγαπᾷς ἀποθνήσκων μετὰ Φωκίωνος; ἔτι τοίνυν οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἀδικουμένῳ τῷ πολιτικῷ, δίδοται τὸ λέγειν τι περὶ αὑτοῦ πρὸς τοὺς ἀγνωμονοῦντας, ὥσπερ ὁ Ἀχιλλεὺς, ἄλλως μὲν ὑφίετο τῷ θείῳ τῆς δόξης, καὶ μέτριος ἦν λέγων· αἴ κέ ποθι Ζεὺς δῷσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι. ὑβρισθεὶς δὲ παρ' ἀξίαν καὶ προπηλακισθεὶς, ἐφίησι τὴν μεγαλαυχίαν τῇ ὀργῇ· δώδεκα γὰρ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων. καὶ οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον ἐγγύθι λαμπομένης. δέχεται γὰρ ἡ παῤῥησία μέρος οὖσα τῆς δικαιολογίας, τὴν μεγαληγορίαν. ἀμέλει δὲ καὶ Θεμιστοκλῆς οὐδὲν οὔτε τῶν πράξεων εἰπὼν οὐδὲ ποιήσας ἐπαχθὲς, ὁπηνίκα τοὺς Ἀθηναίους ἑώρα μεστοὺς ὄντας αὐτοῦ καὶ περιορῶντας, οὐκ ἐφείσατο λέγειν· τί ὦ μακάριοι κοπιᾶτε πολλάκις ὑπὸ τῶν αὐτῶν εὖ πάσχοντες, καὶ ὅτι χειμαζόμενοι μὲν ὥσπερ ὑπὸ δένδρον ὑποφεύγετε, γενομένης δὲ εὐδίας, τίλλετε παρεξιόντες. οὗτοι μὲν οὖν ἄλλως ἀδικούμενοι, τῶν κατορθουμένων ἐμέμνηντο πρὸς τοὺς ἀγνωμονοῦντας. ὁ δ' ἐπ' αὐτοῖς ψεγόμενος οἷς κατόρθωκε, καὶ παντάπασιν συγγνωστός ἐστι καὶ ἄμεμπτος, ἐγκωμιάζων τὰ πεπραγμένα· δοκεῖ γὰρ οὐκ ὀνειδίζειν, ἀλλ' ἀπολογεῖσθαι. τοῦτο γοῦν λαμπρὰν τῷ Δημοσθένει παῤῥησίαν ἐδίδου, καὶ τὸν κόρον ἀφῄρει τῶν ἐπαίνων, οἷς παρὰ πάντα τὸν λόγον ὁμοῦ τι τὸν ὑπὲρ τοῦ στεφάνου κέχρηται, σεμνυνόμενος οἷς ἐνεκαλεῖτο περὶ τοῦ πολέμου πρεσβεύμασι καὶ ψηφίσμασιν. οὐ πόῤῥω δὲ τούτων τεταγμένον, ἔχει τινὰ χάριν τὸ τῆς ἀντιθέσεως, ὅταν ἐφ' ᾧ τις ἐγκαλεῖται, τούτου τοὐναντίον αἰσχρὸν ἀποδεικνύῃ καὶ φαῦλον, ὡς ὁ Λυκοῦργος ἐν Ἀθήναις ἐπὶ τῷ πεπεικέναι τὸν συκοφάντην ἀργυρίου λοιδορούμενος, εἶτα ἔφη, ποῖός τις ὑμῖν δοκῶ εἶναι πολίτης, ὃς τοσοῦτον χρόνον τὰ δημόσια πράττων παρ' ὑμῖν, διδοὺς μᾶλλον ἀδίκως ἢ λαμβάνων εἴλημμαι. καὶ ὁ Κικέρων τοῦ Μετέλλου πρὸς αὐτὸν εἰπόντος, ὅτι πλείονας ἀνῄρηκε καταμαρτυρήσας ἢ συνηγορήσας σέσωκε, τίς δ' εἶπεν, οὐ φησὶν ἐν ἐμοὶ πλέον εἶναι πίστεως ἢ δεινότητος. καὶ τὰ Δημοσθένους τοιαῦτα· τίς δ' οὐκ ἂν ἀπέκτεινέ με δικαίως, εἴ τι τῶν τῇ πόλει καλῶν ὑπαρχόντων, λόγῳ μόνον αἰσχύνειν ἐπεχείρησα. καὶ τί ἂν οἴεσθε λέξειν τοὺς μιαροὺς τούτους ἀνθρώπους, εἰ τότε μου περὶ τούτων ἀκριβολογουμένου, ἀπῆλθον αἱ πόλεις. καὶ ὅλως ὁ περὶ τοῦ στεφάνου λόγος, εὐφυέστατα ταῖς ἀντιθέσεσι καὶ λύσεσι τῶν αἰτιῶν ἐπεισάγει τοὺς ἐπαίνους. οὐ μὴν ἀλλὰ καὶ τοῦτο χρήσιμόν ἐστιν ἐν ἐκείνῳ τῷ λόγῳ καταμαθεῖν, ὅτι μιγνύων ἐμμελέστατα τῷ περὶ αὑτοῦ λόγῳ τὸν παρὰ τῶν ἀκουόντων ἔπαινον, ἀνεπίφθονον ἐποίει καὶ ἀφίλαυτον. οἵους

μὲν Εὐβοεῦσιν οἱ Ἀθηναῖοι αὑτοὺς παρέσχον, οἵους δὲ Θηβαίοις, ὅσα δὲ Βυζαντίοις ἀγαθὰ καὶ Χεῤῥονησίταις ἐποίησαν, αὐτῷ δὲ τῆς διακονίας μετεῖναι φάσκων. λανθάνει γὰρ οὕτω τὸν ἀκροατὴν τοῖς ἰδίοις ἐπαίνοις συνεπιδυόμενον, τὸ τοῦ λέγοντος ἡδέως προσδεχόμενον· καὶ χαίρει μὲν ἐφ' οἷς κατώρθωσε λεγομένοις· τῷ δὲ χαίρειν εὐθὺς ἕπεται, τὸ θαυμάζειν καὶ ἀγαπᾶν, δι' ὧν κατώρθωσεν. ὅθεν καὶ Ἐπαμινώνδας, Μενεκλείδου ποτὲ χλευάζοντος αὐτὸν, ὡς μεῖζον τοῦ Ἀγαμέμνονος φρονοῦντα, δι' ὑμᾶς γε εἶπεν ὦ ἄνδρες Θηβαῖοι, μεθ' ὧν μόνων ἐν ἡμέρᾳ μιᾷ κατέλυσα τὴν Λακεδαιμονίων ἀρχήν. ἐπεὶ δὲ τῷ μὲν ἑαυτὸν ἐπαινοῦντι πολεμοῦσιν οἱ πολλοὶ καὶ ἄχθονται σφόδρα, τῷ δὲ ἕτερον οὐχ ὁμοίως, ἀλλὰ καὶ χαίρουσι πολλάκις καὶ συνεπιμαρτυροῦσι προθύμως· εἰώθασιν ἔνιοι τοὺς ταὐτὰ προαιρουμένους καὶ πράττοντας αὐτοῖς, καὶ ὅλως ὁμοιοτρόπους ἐπαινοῦντες ἐν καιρῷ συνοικειοῦν καὶ συνεπιστρέφειν πρὸς ἑαυτοὺς τὸν ἀκροατήν· ἐπιγινώσκει γὰρ εὐθὺς ἐν τῷ λέγοντι κἂν περὶ ἄλλου λέγηται δι' ὁμοιότητα ἀρετῆς, τῶν αὐτῶν ἀξίαν ἐπαίνων οὖσαν. ὡς γὰρ ὁ λοιδορῶν ἕτερον οἷς αὐτὸς ἔνοχός ἐστιν οὐ λανθάνει λοιδορῶν μᾶλλον ἑαυτὸν ἢ ἐκεῖνον, οὕτως οἱ ἀγαθοὶ τοὺς ἀγαθοὺς τιμῶντες, ἀναμιμνήσκουσιν αὑτῶν τοὺς συνειδότας· ὥστε εὐθὺς ἐπιφωνεῖν· σὺ γὰρ οὐ τοιοῦτος; Ἀλέξανδρος μὲν οὖν Ἡρακλέα τιμῶν, καὶ πάλιν Ἀλέξανδρον Ἀνδρόκοττος, ἑαυτοὺς εἰς τὸ τιμᾶσθαι προῆγον ἀπὸ τῶν ὁμοίων. Διονύσιος δὲ τὸν Γέλωνα διασύρων, καὶ γέλωτα τῆς Σικελίας ἀποκαλῶν, ἐλάνθανεν ὑπὸ φθόνου καθαιρῶν τὸ μέγεθος καὶ τὸ ἀξίωμα τῆς περὶ αὑτὸν δυνάμεως. ταῦτα μὲν οὖν καὶ ἄλλως ἐπίστασθαι καὶ παραφυλάττειν τῷ πολιτικῷ προσήκει. τοὺς δὲ ἀναγκασθέντας ἐπαινεῖν αὑτοὺς, ἐλαφροτέρους παρέχει καὶ τὸ μὴ πάντα προσποιεῖν ἑαυτοῖς, ἀλλ' ὥσπερ φορτικοῦ τῆς δόξης, τὸ μὲν εἰς τὴν τύχην, τὸ δὲ εἰς τὸν θεὸν ἀποτίθεσθαι. διὸ καλῶς μὲν ὁ Ἀχιλλεὺς, ἐπειδὴ τὸν ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν, καλῶς δὲ Τιμολέων ἐν Συρακούσαις Αὐτοματίας βωμὸν ἱδρυσάμενος ἐπὶ ταῖς πράξεσι, καὶ τὴν οἰκίαν Ἀγαθῷ δαίμονι καθιερώσας, ἄριστα δὲ Πύθων ὁ Αἴνιος, ἐπειδὴ Κότυν ἀποκτείνας ἧκεν εἰς Ἀθήνας, καὶ τῶν δημαγωγῶν διαμιλλωμένων τοῖς ἐγκωμίοις αὐτοῦ πρὸς τὸν δῆμον, ᾔσθετο βασκαίνοντας ἐνίους καὶ βαρυνομένους, παρελθὼν, ταῦτα εἶπεν, ἄνδρες Ἀθηναῖοι, θεῶν τις ἔπραξεν, ἡμεῖς δὲ τὰς χεῖρας ἐχρήσαμεν. ἀφῄρει δὲ καὶ Σύλλας τὸν φθόνον ἀεὶ τὴν τύχην ἐπαινῶν, καὶ τέλος, Ἐπαφρόδιτον ἑαυτὸν ἀνηγόρευσε. μᾶλλον γὰρ εὐτυχίας ἢ ἀρετῆς ἡττᾶσθαι βούλονται· τὸ μὲν ἀλλότριον ἀγαθὸν ἡγούμενοι, τὸ δὲ οἰκεῖον ἔλλειμμα καὶ παρ' αὐτοῖς γενόμενον. οὐχ ἥκιστα γοῦν λέγουσιν ἀρέσαι Λοκροῖς τὴν Ζαλεύκου νομοθεσίαν, ὅτι τὴν Ἀθηνᾶν ἔφασκεν αὐτῷ φοιτῶσαν εἰς ὄψιν ἑκάστοτε, τοὺς νόμους ὑφηγεῖσθαι καὶ διδάσκειν, αὐτοῦ δὲ μηδὲν εἶναι διανόημα μηδὲ βούλευμα τῶν εἰσφερομένων. ἀλλὰ ταῦτα μὲν ἴσως πρὸς τοὺς παντάπασι χαλεποὺς καὶ βασκάνους, ἀνάγκη τὰ φάρμακα καὶ τὰ παρηγορήματα μηχανᾶσθαι. πρὸς δὲ τοὺς μετρίους, οὐκ ἄτοπόν ἐστι χρῆσθαι καὶ ταῖς ἐπανορθώσεσι τῶν ἐπαίνων· εἴ τις ὡς λόγιον ἢ πλούσιον ἢ δυνατὸν ἐπαινοίη, κελεύοντα μὴ ταῦτα περὶ αὐτοῦ λέγειν, ἀλλὰ μᾶλλον, εἰ χρηστὸς καὶ ἀβλαβὴς καὶ ὠφέλιμος. οὐ γὰρ εἰσφέρει τὸν ἔπαινον ὁ τοῦτο ποιῶν, ἀλλὰ μετατίθησιν. οὐδὲ χαίρειν δοκεῖ τοῖς ἐγκωμιάζουσιν αὐτὸν, ἀλλὰ μᾶλλον ὅτι μὴ προσηκόντως, μηδ' ἐφ' οἷς δεῖ, δυσχεραίνειν καὶ ἀποκρύπτειν τὰ φαυλότερα τοῖς βελτίοσιν, οὐκ ἐπαινεῖσθαι βουλόμενος, ἀλλ' ἐπαινεῖν ὡς χρὴ διδάσκων. τὸ γὰρ οὐ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγὼ, ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλει σκοπεῖν, εὑρήσεις καὶ ὅπλα καὶ ἵππους καὶ συμμάχους. τοιούτου τινὸς ἔοικεν ἅ-

πτεσθαι· καὶ τὸ τοῦ Περικλέους ἔτι μᾶλλον· ὀλοφυρόμενοι γὰρ ὡς ἔοικεν ἤδη κα-
ταστρέφοντος αὐτοῦ καὶ δυσφοροῦντος, οἱ ἐπιτήδειοι τῶν στρατηγιῶν ἐμέμνη-
το καὶ τῆς δυνάμεως, καὶ ὅσα δὴ τρόπαια καὶ νίκας καὶ πόλεις Ἀθηναίοις κτησά-
μενος ἀπολέλοιπεν· ὁ δὲ μικρὸν ἐπαναστὰς, ἐμέμψατο αὐτοὺς ὡς κοινὰ πολλῶν,
καὶ τῆς τύχης ἔνια μᾶλλον, ἢ τῆς ἀρετῆς ἐγκώμια λέγοντας· τὸ δὲ κάλλιστον καὶ
μέγιστον καὶ ἴδιον αὐτοῦ παραλιπόντας, ὅτι δι' αὐτὸν οὐδεὶς Ἀθηναίων μέλαν ἱμά-
τιον ἀνείληφε. τοῦτο δὴ τὸ παράδειγμα, καὶ ῥήτορι δίδωσιν ἄν περ ᾖ χρηστὸς
ἐπαινουμένῳ περὶ λόγου δεινότητα, μεταθεῖναι τὸν ἔπαινον ἐπὶ τὸν βίον καὶ
τὸ ἦθος. καὶ στρατηγῷ θαυμαζομένῳ δι' ἐμπειρίαν πολεμικὴν ἢ δι' εὐτυχίαν, περὶ
πραότητός τε καὶ δικαιοσύνης αὐτοῦ παῤῥησιάσασθαι. καὶ τοὐναντίον αὖ πά-
λιν, ὑπερφυῶν τινων λεγομένων ἐπαίνων, οἷα πολλοὶ κολακεύοντες ἐπίφθονα λέ-
» γουσιν, εἰπεῖν· οὔ τις τοι θεός εἰμι, τί μ' ἀθανάτοισιν ἐΐσκεις; ἀλλ' εἴ με γινώσκεις ἀλη-
θῶς, ἐπαίνει τὸ ἀδωροδόκητον, ἢ τὸ σῶφρον, ἢ τὸ εὔγνωμον, ἢ τὸ φιλάνθρωπον. ὁ
γὰρ φθόνος οὐκ ἀηδῶς τῷ τὰ μείζονα παραιτουμένῳ τὰ μετριώτερα δίδωσι,
καὶ τὸ ἀληθὲς ἐγκώμιον οὐκ ἀφαιρεῖται, τῶν τὰ ψευδῆ καὶ κενὰ μὴ προσδεχο-
μένων. διὸ καὶ τῶν βασιλέων τοὺς μὴ θεοὺς μηδὲ παῖδας θεῶν ἀναγορεύεσθαι
μέλλοντας, ἀλλὰ φιλαδέλφους ἢ φιλομήτορας, ἢ εὐεργέτας, ἢ θεοφιλεῖς, οὐκ
ἤχθοντο ταῖς καλαῖς μὲν, ἀνθρωπικαῖς δὲ ταύταις προσηγορίαις τιμῶντες.
ὥσπερ αὖ καὶ τῶν γραφόντων καὶ λεγόντων βαρυνόμενοι τοὺς τῆς σοφίας ἐ-
πιγραφομένους ὄνομα, χαίρουσι τοῖς φιλοσοφεῖν, ἢ προκόπτειν, ἤ τι τοιοῦτο περὶ
αὐτῶν ἀνεπίφθονον καὶ μέτριον λέγουσιν· οἱ δὲ ῥητορικοὶ σοφισταὶ, τὸ θείως καὶ
τὸ δαιμονίως ἐν ταῖς ἐπιδείξεσι προσδεχόμενοι, καὶ τὸ μετρίως καὶ τὸ ἀνθρωπίνως
προσαπολλύουσι. καὶ μὴν ὥσπερ οἱ τοὺς ὀφθαλμιῶντας ἐνοχλεῖν φυλαττόμε-
νοι τοῖς ἄγαν λαμπροῖς σκιάν τινα παραμιγνύουσιν, οὕτως ἔνιοι τοὺς αὑτῶν ἐπαί-
νους μὴ παντελῶς λαμπροὺς μηδὲ ἀκράτους προσφέροντες, ἀλλά τινας ἐλλεί-
ψεις ἢ ἀποτεύξεις ἢ ἁμαρτίας ἐλαφρὰς ἐμβάλλοντες, ἀφαιροῦσι τὸ ἐπαχθὲς
αὐτῶν καὶ νεμεσητόν. ὥσπερ ὁ Ἐπειὸς, οὐ μέτρια περὶ τῆς πυκτικῆς εἰπὼν καὶ θρα-
» συνόμενος, ὡς αὐτικρὺ χρόα τε ῥήξει· ἢ οὐχ ἅλις φησὶν ὅτι μάχης ἐπιδεύομαι.
ἀλλ' οὗτος μὲν ἴσως γελοῖος, ἀθλητικὴν ἀλαζονείαν δειλίας καὶ ἀνανδρίας ἐξο-
μολογήσει παραμυθούμενος· ἐμμελὴς δὲ καὶ χαρίεις ὁ λήθην τινὰ καθ' αὑτοῦ
λέγων, ἢ ἄγνοιαν, ἢ φιλοτιμίαν, ἢ πρός τινα μαθήματα καὶ λόγου ἀκρόασιν,
» ὡς Ὀδυσσεὺς, αὐτὰρ ἐμὸν κῆρ ἤθελ' ἀκουέμεναι, λῦσαι δ' ἐκέλευον ἑταίρους ὀ-
» φρύσι νευστάζων· καὶ πάλιν ἀλλ' ἐγὼ οὐ πιθόμην, ἦ τ' ἂν πολὺ κέρδιον ἦεν, ὄφρ' αὐ-
» τόν τε ἴδοιμι, καὶ εἴ μοι ξείνια δοίη· καὶ ὅλως ὅσαι μὴ παντάπασιν αἰσχραὶ μηδ' ἀ-
γεννεῖς ἁμαρτίαι παρατιθέμεναι τοῖς ἐπαίνοις, τὸν φθόνον ἀφαιροῦσι. πολλοὶ
δὲ καὶ πενίας καὶ ἀπειρίας καὶ νὴ Δία δυσγενείας ἐξομολόγησιν ἔστιν ὅτε τοῖς
ἐγκωμίοις παρεμβάλλοντες, ἀμβλυτέρῳ τῷ φθόνῳ χρῶνται· καθάπερ Ἀγαθο-
κλῆς χρυσᾶ ποτήρια καὶ ῥυτὰ τοῖς νέοις προπίνων, ἐκέλευσε καὶ κεραμεᾶ
κομισθῆναι· καὶ τοιοῦτόν ἐστιν ἔφη τὸ ἐνδελεχὲς καὶ φιλόπονον καὶ ἀνδρεῖον, ἡμεῖς
πάλαι ταῦτα, νῦν δὲ ἐκεῖνα ποιοῦμεν· ἐδόκει γὰρ ἐν κεραμείῳ τετράφθαι διὰ δυσ-
γένειαν καὶ πενίαν ὁ Ἀγαθοκλῆς, εἶτα συμπάσης ὀλίγου δεῖν ἐβασίλευσε Σικελί-
ας. καὶ ταῦτα μὲν ἔξωθέν ἐστιν ἐπεισάγεσθαι φάρμακα τῆς περιαυτολογί-
ας. ἕτερα δὲ αὐτοῖς τρόπον τινὰ τοῖς ἐπαινουμένοις ἔνεστιν, οἷς καὶ Κάτων ἐχρῆ-
το, φθονεῖσθαι λέγων, ὅτι τῶν ἰδίων ἀμελεῖ, καὶ τὰς νύκτας ἀγρυπνεῖ διὰ τὴν
» πατρίδα, καὶ τὸ πῶς δ' ἂν φρονοίην ᾧ παρῆν ἀπραγμόνως ἐν τοῖσι πολλοῖς ἠριθ-
» μημένῳ στρατοῦ, ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης, καὶ τὸ ὀκνῶ δὲ μόχθων τῶν

» πρὶν ἐκχέαι χάριν, καὶ τοὺς πίπτοντας οὐκ ἀπωθοῦμαι πόνους. ὡς γὰρ οἰκίαν
καὶ χωρίον, οὕτω καὶ δόξαν οἱ πολλοὶ καὶ ἀρετὴν, τοῖς προῖκα καὶ ῥαδίως ἔ-
χειν δοκοῦσιν, οὐ τοῖς πριαμένοις πόνων πολλῶν καὶ κινδύνων φθονοῦσιν. ἐπεὶ δὲ
οὐ μόνον ἀλύπως καὶ ἀνεπιφθόνως, ἀλλὰ καὶ χρησίμως καὶ ὠφελίμως προ-
οιστέον ἐστὶ τοὺς ἐπαίνους, ἵνα μὴ τοῦτο πράττειν, ἀλλ' ἕτερόν τι διὰ τούτου δοκῶμεν,
ὅρα πρῶτον εἰ προτροπῆς ἕνεκα καὶ ζήλου καὶ φιλοτιμίας τῶν ἀκουόντων, αὐ-
τὸν ἄν τις ἐπαινέσειεν· ὥσπερ ὁ Νέστωρ τὰς ἑαυτοῦ διηγούμενος ἀριστείας καὶ μάχας,
τόν τε Πάτροκλον παρώρμησε, καὶ τοὺς ἐννέα πρὸς τὴν μονομαχίαν ἀνέστησεν.
ἡ γὰρ ἔργον ὁμοῦ καὶ λόγον ἔχουσα προτροπὴ, καὶ παράδειγμα καὶ ζῆλον οἰκεῖ-
ον, ἔμψυχός ἐστι καὶ κινεῖ καὶ παροξύνει, καὶ μεθ' ὁρμῆς καὶ προαιρέσεως ἐλπί-
δας, ὡς ἐφικτῶν καὶ οὐκ ἀδυνάτων παρίστησι· διὸ καὶ τῶν ἐν Λακεδαίμονι χο-
» ρῶν ᾄδουσιν οἱ μὲν τῶν γερόντων, ἄμες πότ' ἦμεν ἄλκιμοι νεανίαι· οἱ δὲ τῶν παί-
» δων, ἄμμες δέ γ' ἐσσόμεθα πολλῷ κάῤῥονες· οἱ δὲ τῶν νεανίσκων, ἄμες δέ γ' εἰμὲν,
αἰ δὲ λῇς αὐγάσδεο. καλῶς καὶ πολιτικῶς τοῦ νομοθέτου, τὰ πλησίον καὶ οἰ-
κεῖα παραδείγματα τοῖς νέοις δι' αὐτῶν τῶν εἰργασμένων ἐκτιθέντος. οὐ μὴν ἀλ-
λὰ καὶ καταπλήξεως ἐνιαχοῦ καὶ συστολῆς ἕνεκα καὶ τοῦ ταπεινῶσαι καὶ λα-
βεῖν ὑποχείριον τὸν αὐθάδη καὶ ἰταμὸν, οὐ χεῖρόν ἐστι κομπάσαι τι περὶ αὑτοῦ καὶ
» μεγαληγορῆσαι· καθάπερ αὖ πάλιν ὁ Νέστωρ· ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέπερ
» ὑμῖν ἀνδράσιν ὡμίλησα, καὶ οὔ ποτέ μ' οἵγ' ἀθέριζον. οὕτω δὲ καὶ πρὸς Ἀλέξαν-
δρον ὁ Ἀριστοτέλης· οὐ μόνον ἔφη τοῖς πολλῶν κρατοῦσιν ἐξεῖναι μέγα φρονεῖν, ἀλ-
λὰ καὶ τοῖς περὶ θεῶν δόξας ἀληθεῖς ἔχουσι. χρήσιμα δὲ καὶ πρὸς πολεμί-
» ους καὶ πρὸς ἐχθροὺς τὰ τοιαῦτα· δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι· καὶ
» περὶ τοῦ Περσῶν βασιλέως, μεγάλου δὲ καλουμένου, ὁ Ἀγησίλαος, τί δ' ἐμοῦ γε
» μείζων ἐκεῖνος, εἰ μὴ καὶ δικαιότερος. καὶ πρὸς τοὺς Λακεδαιμονίους τῶν Θηβαίων
κατηγοροῦντας ὁ Ἐπαμινώνδας· ἡμεῖς μέντοι ὑμᾶς βραχυλογοῦντας ἐπαύσα-
μεν. ἀλλὰ ταῦτα μὲν πρὸς ἐχθροὺς καὶ πολεμίους· τῶν δὲ φίλων καὶ πολι-
τῶν, οὐ μόνον ἐστὶ τοὺς θρασυνομένους καταστορέσαι καὶ ποιῆσαι ταπεινοτέρους,
ἀλλὰ καὶ τοὺς περιφόβους καὶ καταπλῆγας, ἐξᾶραι πάλιν καὶ παρορμῆσαι,
χρησάμενον ἐν δέοντι μεγαλαυχίᾳ· καὶ γὰρ ὁ Κῦρος παρὰ τὰ δεινὰ καὶ τὰς μά-
χας, ἐμεγαληγόρει· ἄλλοτε δὲ, οὔ· καὶ Ἀντίγονος ὁ δεύτερος, τἆλλα μὲν ἦν ἄτυ-
φος καὶ μέτριος, ἐν δὲ τῇ περὶ Κῶν ναυμαχίᾳ, τῶν φίλων τινὸς εἰπόντος, οὐχ
ὁρᾷς ὅσῳ πλείους εἰσὶν αἱ πολέμιαι νῆες; ἐμὲ δέ γε αὐτὸν εἶπε, πρὸς πόσας ἀντι-
τάττεις. καὶ τοῦτο δὲ ἔοικε συνιδεῖν Ὅμηρος· τὸν γὰρ Ὀδυσσέα πεποίηκεν ἀποδει-
λιώντων τῶν ἑταίρων πρὸς τὸν ψόφον καὶ τὸν κλύδωνα τὸν περὶ τὴν Χάρυβδιν,
» ἀναμιμνήσκοντα τῆς αὐτοῦ δεινότητος καὶ ἀνδρείας, οὐ μὲν τόδε μεῖζον ἔπι κακὸν
» ἢ ὅτε Κύκλωψ εἴλει ἐνὶ σπῆϊ γλαφυρῷ κρατερῆφι βίηφι, ἀλλὰ καὶ ἔνθεν ἐμῇ
» ἀρετῇ βουλῇ τε νόῳ τε ἐκφύγομεν. οὐ γάρ ἐστι δημαγωγοῦντος, οὐδὲ σοφιστεύοντος
ὁ τοιοῦτος ἔπαινος, οὐδὲ κρότον οὐδὲ ποππυσμὸν αἰτοῦντος, ἀλλὰ τὴν ἀρετὴν καὶ τὴν
ἐπιστήμην ἐνέχυρον τοῦ θαῤῥεῖν τοῖς φίλοις διδόντος· μέγα γὰρ ἐν καιροῖς ἐπισφα-
λέσι πρὸς σωτηρίαν, δόξα καὶ πίστις ἀνδρὸς, ἡγεμονικὴν ἐμπειρίαν καὶ δύναμιν
ἔχοντος. ὅτι μὲν οὖν τὸ πρὸς ἔπαινον ἀλλότριον καὶ δόξαν ἀντιπαραβάλ-
λειν ἑαυτὸν ἥκιστα πολιτικὸν, εἴρηται πρότερον. οὐ μὴν ἀλλ' ὅπου βλάπτει καὶ
διαφθείρει ζῆλον ἐμποιῶν πρὸς τὰ φαῦλα καὶ προαίρεσιν πονηρὰν ἐν πράγμα-
σιν μεγάλοις ἡμαρτημένος ἔπαινος, οὐκ ἄχρηστόν ἐστιν ἐκκροῦσαι, μᾶλλον δὲ ἀπο-
στρέψαι τὸν ἀκροατὴν ἐπὶ τὰ κρείττω τὴν διαφορὰν ἐνδεικνύμενον· ἀγαπήσει
γὰρ ἄν τις οἶμαι λοιδορουμένης κακίας καὶ ψεγομένης ἐθέλοντας ἀπέχεσθαι

τοὺς πολλοὺς ὁρῶν. εἰ δὲ προσλάβοι δόξαν ἡ κακία, καὶ τῷ καθ' ἡδονὰς αὐτῆς ἢ πλεονεξίας ἄγοντι προσγένοιτο τιμὴ καὶ τὸ εὐδοκιμεῖν, οὐκ ἔστιν εὐτυχὴς οὕτως οὐδὲ ἰσχυρὰ φύσις, ἧς οὐκ ἂν κρατήσειε. διὸ δεῖ μὴ τοῖς τῶν ἀνθρώπων ἐπαίνοις, ἀλλὰ τοῖς τῶν πραγμάτων, ἅπερ ᾖ φαῦλα, πολεμεῖν τὸν πολιτικόν. οὗτοι γὰρ διαστρέφουσι, καὶ τούτοις τὸ μιμεῖσθαι τὰ αἰσχρὰ καὶ ζηλοῦν, ὡς καλὰ συνεισέρχεται, μάλιστα δὲ ἐξελέγχονται, τοῖς ἀληθινοῖς παρατιθεμένοις, οἷον ὁ τῶν τραγῳδιῶν ὑποκριτὴς Θεόδωρος, εἰπεῖν ποτὲ πρὸς τὸν κωμικὸν λέγεται Σάτυρον, ὡς οὐ θαυμαστόν ἐστι τὸ γελᾶν ποιεῖν τοὺς θεατάς, ἀλλὰ τὸ δακρύειν καὶ κλαίειν. ἂν δέ γε οἶμαι πρὸς τοῦτον αὐτὸν εἴπῃ φιλόσοφος ἀνήρ, ἀλλ' οὐ τὸ ποιεῖν ὦ βέλτιστε κλαίειν καὶ δακρύειν, τὸ δὲ παύειν λυπουμένους καὶ κλαίοντας σεμνόν ἐστιν. ἐπαινῶν γὰρ ἑαυτόν, ὠφελεῖ τὸν ἀκούοντα, καὶ μετατίθησι τὴν κρίσιν. οὕτω καὶ ὁ Ζήνων πρὸς τὸ πλῆθος τῶν Θεοφράστου μαθητῶν, ὁ ἐκείνου χορὸς ἔφη μείζων, ὁ ἐμὸς δὲ, συμφωνότερος. καὶ ὁ Φωκίων ἔτι τοῦ Λεωσθένους εὐημεροῦντος ὑπὸ τῶν ῥητόρων ἐρωτώμενος, τί τὴν πόλιν αὐτὸς ἀγαθὸν πεποίηκεν, οὐδὲν εἶπεν, ἀλλ' ἢ τοῦτο, τὸ, ὑμᾶς ἐμοῦ στρατηγοῦντος, ἐπιτάφιον λόγον μὴ εἰπεῖν, ἀλλὰ πάντας ἐν τοῖς πατρῴοις μνήμασι θάπτεσθαι τοὺς ἀποθνήσκοντας. πάνυ δὲ χαριέντως καὶ ὁ Κράτης πρὸς τὸ, ταῦτ' ἔχω, ὅσ' ἔφαγον καὶ ἐφύβρισα καὶ μετ' ἔρωτος τέρπν' ἔπαθον. ἀντέγραψε, τὸ ταῦτ' ἔχω, ὅσ' ἔμαθον καὶ ἐφρόντισα καὶ μετὰ Μουσῶν σέμν' ἐδάην. καλὸς γὰρ ὁ τοιοῦτος ἔπαινος καὶ ὠφέλιμος καὶ διδάσκων τὰ χρήσιμα καὶ τὰ συμφέροντα θαυμάζειν καὶ ἀγαπᾶν, ἀντὶ τῶν κενῶν καὶ περιττῶν. διὸ τοῦτο μὲν συγκατετάχθω τοῖς εἰρημένοις εἰς τὸ πρόβλημα.

λείπεται δὲ ὑμῖν τοῦ λόγου τὸ ἐφεξῆς ἀπαιτοῦντος καὶ παρακαλοῦντος εἰπεῖν, ὅπως ἂν ἕκαστος ἐκφύγοι τὸ ἐπαινεῖν ἀκαίρως ἑαυτόν. μέγα γὰρ ἡ περιαυτολογία τὴν φιλαυτίαν ὁρμητήριον ἔχουσα, καὶ τοῖς πάνυ δοκοῦσι μετρίως ἔχειν πρὸς δόξαν ἐμφαίνεται πολλάκις ἐπιτιθεμένη. καθάπερ γὰρ τῶν ὑγιεινῶν ἕν ἐστι παραγγελμάτων τὸ τὰ νοσώδη χωρία φυλάττεσθαι παντάπασιν, ἢ προσέχειν μᾶλλον αὑτῷ γινόμενον ἐν αὐτοῖς, οὕτως ἔχει τινὰς ἡ περιαυτολογία καιροὺς καὶ λόγους ὀλισθηροὺς καὶ περιφέροντας εἰς αὐτὴν ἐκ πάσης προφάσεως. πρῶτον μὲν γὰρ ἐν τοῖς ἀλλοτρίοις ἐπαίνοις ὥσπερ εἴρηται, τὸ φιλότιμον ἐξανθεῖ τὴν περιαυτολογίαν. καί τις αὐτὸ καταλαμβάνει δακνόμενον καὶ γαργαλιζόμενον, οἷον ὑπὸ κνησμοῦ, δυσκαρτέρητος ἐπιθυμία καὶ ὁρμὴ πρὸς δόξαν. ἄλλως τε κἂν αὐτοῖς τοῖς ἴσοις ἕτερος ἢ τοῖς ἐλάττοσιν ἐπαινῆται. καθάπερ γὰρ οἱ πεινῶντες ἑτέρων ἐσθιόντων ἐν ὄψει μᾶλλον ἐρεθίζονται καὶ παροξύνονται τὴν ὄρεξιν, οὕτως ὁ τοῦ πλησίον ἔπαινος, ἐκκαίει τῇ ζηλοτυπίᾳ τοὺς πρὸς δόξαν ἀκρατῶς ἔχοντας. δεύτερον, αἱ τῶν εὐτυχῶς καὶ κατὰ νοῦν πεπραγμένων διηγήσεις, λαμβάνουσι πολλοὺς εἰς μεγαλαυχίαν ὑπὸ χαρᾶς ἐκφέρουσαι καὶ κόμπου. ἐμπεσόντες γὰρ εἰς τὸ λέγειν νίκας τινὰς ἑαυτῶν ἢ κατορθώσεις ἐν πολιτεύμασιν, ἢ παρ' ἡγεμόσι πράξεις, καὶ λόγους εὐδοκιμήσαντας, οὐ κρατοῦσιν οὐδὲ μετριάζουσιν, ᾧ γένει μάλιστα τῆς περιαυτολογίας, τὸ ναυτικὸν ἰδεῖν ἐστι, καὶ στρατιωτικὸν ἁλισκόμενον. συμβαίνει δὲ καὶ τοῖς ἐκ τόπων ἡγεμονικῶν καὶ πραγμάτων μεγάλων ἐπανήκουσι, τοῦτο πάσχειν ἐπιεικῶς. μεμνημένοι γὰρ ἀνδρῶν ἐπιφανῶν καὶ βασιλικῶν, συγκαταπλέκουσι περὶ αὐτῶν εὐφημίας τινὰς ὑπ' ἐκείνων εἰρημένας, καὶ νομίζουσιν οὐχ αὑτοὺς ἐπαινεῖν, ἀλλ' ἑτέρων ἐπαίνους διηγεῖσθαι περὶ αὐτῶν γενομένους. οἱ δὲ, ὅλως οἴονται λανθάνειν τοὺς ἀκούοντας, ὅταν βασιλέων καὶ αὐτοκρατόρων δεξιώσεις καὶ προσαγορεύσεις καὶ φιλοφροσύνας ἀπαγγέλλωσιν, ὡς οὐχ αὑτῶν ἐπαίνους, ἀποδείξεις δὲ τῆς ἐκείνων ἐπιει-

κείας καὶ φιλανθρωπίας διεξιόντες. ὅθεν εὖ μάλα δεῖ προσέχειν ἑαυτοῖς περὶ τοὺς ἑτέρων ἐπαίνους, ὅπως καθαροὶ καὶ ἀνύποπτοι φιλαυτίας καὶ περιαυτολογίας ὦσι. καὶ μὴ δοκῶμεν πάρεργον πρόφασιν, σφᾶς δι' αὐτοὺς δι' ἐκείνων ἐπαινεῖν. ἀλλὰ μὴν καὶ τὸ περὶ τοὺς ψόγους καὶ τὰς καταιτιάσεις γένος ἐπισφαλές ἐστι καὶ παρέχον ἐκτροπὰς τοῖς περὶ δόξαν νοσοῦσιν, ᾧ μάλιστα περιπίπτουσιν οἱ γέροντες, ὅταν εἰς τὸ νουθετεῖν ἑτέρους καὶ κακίζειν ἤθη φαῦλα καὶ πράξεις ἡμαρτημένας προαχθῶσι, μεγαλύνοντες αὑτούς, ὡς περὶ ταῦτα θαυμασίους δή τινας γενομένους. τούτοις μὲν οὖν ἂν μὴ μόνον ἔχωσιν ἡλικίαν, ἀλλὰ καὶ δόξαν καὶ ἀρετὴν δοτέον, οὐ γὰρ ἀνωφελές, ἀλλὰ μέγαν ζῆλον ἐμποιοῦν ἅμα καὶ φιλοτιμίαν τινὰ τοῖς οὕτω κολαζομένοις. οἱ δὲ ἄλλοι σφόδρα φυλάττεσθαι καὶ δεδιέναι τὴν ἐκτροπὴν ταύτην ὀφείλομεν. ἀνιαροῦ γὰρ ὄντος ἄλλως καὶ μόλις ἀνεκτοῦ, τοῦ τῶν πλησίον ἐλέγχου καὶ δεομένου πολλῆς εὐλαβείας, ὁ μιγνύων ἔπαινον ἴδιον ἀλλοτρίῳ ψόγῳ, καὶ δι' ἀδοξίας ἑτέρου δόξαν αὑτῷ θηρώμενος, ἐπαχθὴς παντάπασι καὶ φορτικός ἐστιν, ὡς ἐν εὐδοκιμεῖν ἀσχημονοῦσιν ἄλλοις βουλόμενος. ἔτι τοίνυν τοῖς μὲν πρὸς τοὺς γέλωτας εὐκαταφόροις φύσει καὶ προχείροις, μάλιστα φεύγειν προσήκει, καὶ φυλάττεσθαι τοὺς γαργαλισμοὺς καὶ τὰς ψηλαφήσεις, ἐν αἷς τὰ λειότατα τοῦ σώματος ὀλισθαίνοντα καὶ συρρέοντα, κινεῖ καὶ συνεξορμᾷ τὸ πάθος. ὅσοι δὲ πρὸς δόξαν ἐμπαθέστερον ἐρρυήκασι, τούτοις ἄν τις οὐχ ἥκιστα παραινέσειεν ἀπέχεσθαι τοῦ σφᾶς αὐτοὺς ἐπαινεῖν, ὅταν ὑπ' ἄλλων ἐπαινῶνται. δεῖ γὰρ ἐρυθριᾶν ἐπαινούμενον, οὐκ ἀπερυθριᾶν, καὶ καταστέλλειν τοὺς μέγα τι περὶ αὐτῶν λέγοντας, οὐκ ἐλέγχειν, ὡς ἐνδεέστερον ἐπαινοῦντας, ὅπερ οἱ πολλοὶ ποιοῦσιν, ὑπομιμνήσκοντες αὐτοὶ καὶ προσεμφοροῦντες ἄλλας τινὰς πράξεις καὶ ἀνδραγαθίας, ἄχρις οὗ τὸν περὶ αὐτῶν καὶ τὸν παρ' ἑτέρων ἔπαινον διαφθείρωσιν. ἔνιοι μὲν οὖν κολακεύοντες αὐτούς, ὥσπερ γαργαλίζουσι καὶ φυσῶσιν. ἔνιοι δὲ κακοήθως οἷόν τι δέλεαρ μικρὸν εὐλογίας ὑποβάλλοντες, ἐκκαλοῦνται τὴν περιαυτολογίαν. οἱ δὲ προσπυνθάνονται καὶ διερωτῶσιν ὡς παρὰ τῷ Μενάνδρῳ τὸν στρατιώτην ἵνα γελάσωσι, πῶς τὸ τραῦμα τοῦτ' ἔχεις μεσαγκύλῳ, πῶς πρὸς θεῶν. ἐπὶ κλίμακα πρὸς τεῖχος ἀναβαίνων, ἐγὼ μὲν δεικνύω ἐσπουδακώς, οἱ δὲ πάλιν ἐπεμυκτήρισαν. ἐν ἅπασιν οὖν τούτοις εὐλαβητέον ὡς ἔνι μάλιστα, μήτε συνεκπίπτοντα τοῖς ἐπαίνοις, μήτε ταῖς ἐρωτήσεσιν ἑαυτὸν προϊέμενον. ἐν τελεωτάτη δὲ τούτων εὐλάβεια καὶ φυλακή, τὸ προσέχειν ἑτέροις ἑαυτοὺς ἐπαινοῦσι, καὶ μνημονεύειν ὡς ἀηδὲς τὸ πρᾶγμα καὶ λυπηρὸν ἅπασι, καὶ λόγος ἄλλος οὐδεὶς οὕτως ἐπαχθὴς οὐδὲ βαρύς. οὐδὲ γὰρ ἔχοντες εἰπεῖν ὅτι πάσχομεν ἄλλο κακὸν ὑπὸ τῶν αὑτοὺς ἐπαινούντων, ὥσπερ φύσει βαρυνόμενοι τὸ πρᾶγμα καὶ φεύγοντες, ἀπαλλαγῆναι καὶ ἀναπνεῦσαι σπεύδομεν, ὅπου κόλακι καὶ παρασίτῳ καὶ δεομένῳ δύσοιστον ἐν χρείᾳ καὶ δυσκαρτέρητον ἑαυτὸν ἐγκωμιάζων πλούσιός τις ἢ σατράπης ἢ βασιλεύς, καὶ συμβολὰς ταύτας ἀποτίνειν μεγίστας λέγουσιν, ὡς ὁ παρὰ Μενάνδρῳ, σφάττει με λεπτὸς γίνομ' εὐωχούμενος, τὰ σκώμμαθ' οἷα τὰ σοφά τε καὶ στρατηγικά, οἷος δ' ἀλαζών ἐστιν ἀλιτήριος. ταῦτα γὰρ οὐ πρὸς στρατιώτας, οὐδὲ νεοπλούτους μόνον εὐπάρυφα καὶ σοβαρὰ διηγήματα περαίνοντας, ἀλλὰ καὶ πρὸς σοφιστὰς καὶ φιλοσόφους καὶ στρατηγοὺς ὀγκουμένους ἐφ' ἑαυτοῖς καὶ μεγαληγοροῦντας, εἰωθότες φάσκειν καὶ λέγειν, ἂν μνημονεύωμεν ὅτι τοῖς ἰδίοις ἐπαίνοις, ἀλλότριος ἕπεται ψόγος ἀεί, καὶ γίνεται τέλος ἀδοξία τῆς κενοδοξίας ταύτης, καὶ τὸ λυπεῖν τοὺς ἀκούοντας, ὡς ὁ Δημοσθένης φησὶ περίεστιν οὐ τὸ δοκεῖν εἶναι τοιούτους, ἀφεξόμεθα τοῦ λέγειν περὶ αὐτῶν, ἂν μή τι μεγάλα μέλλωμεν ὠφελεῖν ἑαυτοὺς ἢ τοὺς ἀκούοντας.

Αλῶς μοι δοκοῦσιν ὦ Φουνδάνε ποιεῖν οἱ ζωγράφοι, διὰ χρόνου τὰ ἔργα πρὶν ἢ συντελεῖν ἐπισκοποῦντες, ὅτι τὴν ὄψιν αὐτῶν ἀφιστάντες, τῇ πολλάκις κρίσει ποιοῦσι καὶ νῦν καὶ μᾶλλον ἁπτομένην τῆς παρὰ μικρὸν διαφορᾶς, ἣν ἀποκρύπτει τὸ συνεχὲς καὶ τὸ σύνηθες. ἐπεὶ τοίνυν οὐκ ἔστιν αὐτὸν αὐτῷ διὰ χρόνου προσελθεῖν χωρὶς γενόμενον, καὶ διαστήσαντα τῆς συνεχείας τὴν αἴσθησιν, ἀλλὰ τοῦτό ἐστι τὸ μάλιστα ποιοῦν ἕκαστον αὐτοῦ φαυλότερον κριτὴν ἢ ἑτέρων· δεύτερον ἂν εἴη τὸ τοὺς φίλους ἐφορᾶν διὰ χρόνου, καὶ παρέχειν ὁμοίως ἐκείνοις ἑαυτόν, οὐκ εἰ γέρων γέγονε ταχὺ καὶ τὸ σῶμα βέλτιον ἢ χεῖρον ἔσχηκεν, ἀλλὰ καὶ τὸν τρόπον καὶ τὸ ἦθος ἐπισκοπεῖν, εἴ τι χρηστὸν ὁ χρόνος προστέθεικεν, ἢ τῶν φαύλων ἀφῄρηκεν. ἐγὼ γοῦν ἐνιαυτῷ μὲν ἀφιγμένος εἰς Ῥώμην δευτέρῳ, συνὼν δέ σοι μῆνα τουτονὶ πέμπτον, τὸ μὲν ἐξ ὑπαρχόντων δι' εὐφυΐαν ἀγαθῶν ἐπίδοσιν γεγονέναι τοσαύτην καὶ αὔξησιν, οὐ πάνυ θαυμαστὸν ἡγοῦμαι· τὸ δὲ σφοδρὸν ἐκεῖνο καὶ διάπυρον πρὸς ὀργὴν ὁρῶν τι μοι πρᾶον οὕτω καὶ χειροήθες τῷ λογισμῷ γεγενημένον, ἐπέρχεταί μοι πρὸς τὸν θυμὸν εἰπεῖν· ὦ πόποι, ἦ μάλα δὴ μαλακώτερος. αὕτη δ' ἡ μαλακότης οὐκ ἀργίαν, οὐδὲ ἔκλυσιν, ἀλλ' ὥσπερ ἡ κατειργασμένη γῆ λειότητα καὶ βάθος ἐνεργὸν αὐτῇ ταῖς πράξεσιν ἔσχηκεν ἀντὶ τῆς φορᾶς ἐκείνης καὶ τῆς ὀξύτητος. διὸ καὶ δῆλόν ἐστιν οὐ παρακμῇ τινι δι' ἡλικίαν τὸ θυμοειδές, οὐδὲ αὐτομάτως ἀπομαραινόμενον, ἀλλ' ἀπὸ λόγων τινῶν χρηστῶν θεραπευόμενον. καίτοι τὸ γὰρ ἀληθὲς εἰρήσεται πρὸς σέ, ταῦτα ἡμῖν Ἔρως ὁ ἑταῖρος ἀπαγγέλλων, ὕποπτος ἦν, τὰ μὴ προσόντα, πρέποντα δὲ προσεῖναι τοῖς καλοῖς κἀγαθοῖς δι' εὔνοιαν ἐπιμαρτυρεῖν· καίτοι ὡς οἶσθα οὐδαμῇ πιθανὸς ὢν τὸ πρὸς χάριν ὑφίεσθαι τοῦ δοκοῦντος, ἀλλὰ νῦν ἐκεῖνός τε τῶν ψευδομαρτυριῶν ἀφεῖται, καὶ σὺ τῆς ὁδοιπορίας σχολὴν διδούσης, ὥσπερ ἰατρείαν τινὰ σαυτοῦ διελθὲ ἡμῖν, ᾗ χρησάμενος, οὕτως εὐήνιον καὶ ἁπαλὸν καὶ τῷ λόγῳ πρᾶον καὶ ὑπήκοον ἐποιήσω τὸν θυμόν. εἶτα οὐ σκοπεῖς ὦ προθυμότατε Σύλλα, μὴ καὶ αὐτὸς εὐνοίᾳ καὶ φιλίᾳ τῇ πρὸς ἡμᾶς παρορᾷς τι τῶν ἡμετέρων; Ἔρωτι μέν γε οὐδὲ αὐτῷ πολλάκις ἔχοντι κατὰ χώραν, ἐν τῇ ὁμηρικῇ πείσει μένοντα τὸν θυμόν, ἀλλὰ τραχύτερον ἀπὸ μισοπονηρίας, εἰκός ἐστι πραοτέρους ἡμᾶς φανῆναι, καθάπερ ἐν διαγραμμάτων μεταβολαῖς νῆταί τινες πρὸς ἑτέρας νήτας, τάξιν ὑπάτων λαμβάνουσι. οὐδέτερα τούτων γέγονεν ὦ Φουνδάνε, πείθου δὲ ὡς λέγω χαριζόμενος ἡμῖν. καὶ μὴν ὧν γε μεμνήμεθα Μουσωνίου καλῶν, ἕν ἐστιν ὦ Σύλλα, τὸ δεῖν ἀεὶ θεραπευομένους βιοῦν τοὺς σώζεσθαι μέλλοντας. οὐ γὰρ ὡς ἐλλέβορον οἶμαι δεῖ θεραπεύσαντα συνεκφορεῖν τῷ νοσήματι τὸν λόγον, ἀλλ' ἐμμένοντα τῇ ψυχῇ, συνέχειν τὰς κρίσεις καὶ φυλάσσειν. φαρμάκοις γὰρ οὐκ ἔοικεν, ἀλλὰ σιτίοις ὑγιεινοῖς ἡ δύναμις αὐτοῦ μετ' εὐγενείας ἕξιν ἐμποιοῦσα χρηστήν, οἷς ἂν γένηται συνήθης. αἱ δὲ πρὸς ἀκμάζοντα τὰ πάθη καὶ οἰδοῦντα παραινέσεις καὶ νουθεσίαι, χολῇ μὲν ἀνύουσι καὶ μόλις, οὐδενὶ δὲ τῶν ὀσφραντῶν διαφέρουσιν, ἃ τοὺς ἐπιληπτικοὺς ἐγείροντα καταπίπτοντας, οὐκ ἀπαλλάττει τοῦ νοσήματος. ὅμως δὲ τὰ μὲν ἄλλα καὶ παρ' ὃν ἀκμάζει καιρόν, ἁμωσγέπως ὑπείκει, καὶ παρίησι βοηθοῦντα λόγον ἔξωθεν εἰς τὴν ψυχήν. ὁ δὲ θυμὸς οὐχ ἥ φησιν ὁ Μελάνθιος τὰ δεινὰ πράσσει τὰς φρένας μετοικίσας· ἀλλ' ἐξοικίσας τελέως καὶ ἀποκλείσας, ὥσπερ οἱ συνεμπιπράντες ἑαυτοὺς ταῖς οἰκίαις, πάντα ταραχῆς καὶ καπνοῦ καὶ ψόφου μεστὰ ποιεῖ τὰ ἐντός· ὥστε μήτ' ἰδεῖν μήτ' ἀκοῦσαι

μήτ' ἀκοῦσαι τῶν ὠφελούντων. διὸ μᾶλλον ἐν χειμῶνι καὶ πελάγει ναῦς ἔρημος ἀναλήψεται κυβερνήτην ἔξωθεν, ἢ προσδέξεται λόγον ἀλλότριον ἄνθρωπος ἐν θυμῷ καὶ ὀργῇ σαλεύων, ἂν μὴ παρεσκευασμένον ἔχῃ τὸν οἰκεῖον λογισμόν. ἀλλ' ὥσπερ οἱ πολιορκίαν προσδεχόμενοι συνάγουσι καὶ παρατίθενται τὰ χρήσιμα ταῖς ἔξωθεν ἐλπίσιν ἀπεγνωκότες, οὕτω μάλιστα δεῖ τὰ πρὸς τὸν θυμὸν βοηθήματα πόρρωθεν λαμβάνοντας ἐκ φιλοσοφίας, κατακομίζειν εἰς τὴν ψυχήν. ὡς ὅταν ὁ τῆς χρείας ἀφίκηται καιρός, μὴ ῥᾳδίως παρεισάγειν δυνησομένους. οὐδὲ γὰρ ἀκούει τῶν ἐκτὸς ἡ ψυχὴ διὰ τὸν θόρυβον, ἂν μὴ καθάπερ κελευστὴν ἔνδοθεν ἔχῃ τὸν αὐτῆς λόγον ὀξέως δεχόμενον, καὶ συνιέντα τῶν παραγγελλομένων ἕκαστον. ἀκούσασα δέ, τῶν μὲν ἠρέμα καὶ πράως λεγομένων καταφρονεῖ, πρὸς δὲ τοὺς ἐνισταμένους τραχύτερον ἐρεθίζεται. καὶ γὰρ ὑπερήφανος καὶ αὐθάδης καὶ ὅλως ὑφ' ἑτέρου ὁ θυμὸς δυσκίνητος ὤν, ὥσπερ ὀχυρὰ τυραννίς, ἐξ ἑαυτῆς ἔχειν ὀφείλει σύνοικον καὶ συγγενὲς τὸ καταλῦον. ἡ μὲν οὖν συνέχεια τῆς ὀργῆς, καὶ τὸ προσκρούειν πολλάκις, ἕξιν ἐμποιεῖ πονηρὰν τῇ ψυχῇ, ἣν ὀργιλότητα καλοῦσιν, εἰς ἀκροχολίαν καὶ πικρίαν καὶ δυσκολίαν τελευτῶσαν, ὅταν ἑλκώδης καὶ μικρόλυπος ὁ θυμὸς γένηται καὶ φιλαίτιος ἀπὸ τῶν τυχόντων, ὡς σίδηρος λεπτὸς καὶ ἀσθενὴς ἀναχαρασσόμενος. ἡ δὲ παραχρῆμα ταῖς ὀργαῖς ἐνισταμένη καὶ πιέζουσα κρίσις, οὐ τὸ παρὸν ἰᾶται μόνον, ἀλλὰ καὶ πρὸς τὸ λοιπὸν εὔτονον ποιεῖ καὶ δυσπαθῆ τὴν ψυχήν. ἐμοὶ γοῦν συνέβη δὶς ἢ τρὶς ἐνστάντι πρὸς ὀργήν, τὸ τῶν Θηβαίων παθεῖν, οἳ τὸ πρῶτον ὠσάμενοι Λακεδαιμονίους ἀηττήτους εἶναι δοκοῦντας, οὐδὲ μίαν ὕστερον ἡττήθησαν ὑπ' αὐτῶν μάχην. φρόνημα γὰρ ἔσχον, ὡς κρατεῖν ἐστι τῷ λογισμῷ. ἑώρων δὲ οὐ μόνον ψυχροῦ κατασκεδαννυμένου λήγουσαν ὀργὴν ὡς Ἀριστοτέλης ἱστόρησεν, ἀλλὰ καὶ φόβου προσπεσόντος ἀποσβεννυμένην, καὶ νὴ Δία χαρᾶς ἐπιγενομένης ἄφνω, καθ' Ὅμηρον ἰάνθη καὶ διεχύθη πολλοῖς ὁ θυμός. ὥστε μοι παρίστατο μὴ παντελῶς ἀβοήθητον εἶναι τοῖς γε βουλομένοις τὸ πάθος. οὐδὲ γὰρ ἀρχὰς ἔχει μεγάλας ἀεὶ καὶ ἰσχυράς, ἀλλὰ καὶ σκῶμμα καὶ παιδιά, καὶ τὸ γελάσαι τινὰ καὶ τὸ διανεῦσαι καὶ πολλὰ τοιαῦτα, πολλοὺς εἰς ὀργὴν καθίστησιν. ὥσπερ ἡ Ἑλένη τὴν ἀδελφιδῆν προσαγορεύσασα, παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου, παρώξυνεν εἰπεῖν· ὀψέ γε φρονεῖς εὖ, τότε λιποῦσ' αἰσχρῶς δόμους. καὶ τὸν Ἀλέξανδρον ὁ Καλλισθένης, εἰπών· τῆς μεγάλης κύλικος περιφερομένης, οὐ βούλομαι πιὼν Ἀλεξάνδρου Ἀσκληπιοῦ δεῖσθαι. καθάπερ οὖν τὴν φλόγα θριξὶ λαγῴαις ἀναπτομένην καὶ θρυαλλίσι καὶ συρφετῷ, ῥᾴδιόν ἐστιν ἐπισχεῖν, ἐὰν δ' ἐπιλάβηται τῶν στερεῶν καὶ βάθος ἐχόντων ταχὺ διέφθειρε καὶ συνεῖλεν, ὑψηλὸν ἡ βάσασα τεκτόνων πόνον, ὥς φησιν Αἰσχύλος, οὕτως ὁ τῷ θυμῷ προσέχων ἐν ἀρχῇ καὶ κατὰ μικρὸν ἔκ τινος λαλιᾶς καὶ βωμολοχίας συρφετώδους ὁρῶν καπνιῶντα καὶ διακαιόμενον οὐ μεγάλης δεῖται πραγματείας· ἀλλὰ πολλάκις αὐτὸ τῷ σιωπῆσαι καὶ καταμελῆσαι, κατέπαυσε. καὶ γὰρ τὸ πῦρ ὁ μὴ παρασχὼν ὕλην, ἔσβεσε· καὶ ὀργὴν ὁ μὴ θρέψας ἐν ἀρχῇ καὶ μὴ φυσήσας ἑαυτόν, ἐφυλάξατο καὶ καθεῖλεν. οὐκ ἤρεσεν οὖν μοι καίπερ ἄλλα χρήσιμα λέγων καὶ παραινῶν ὁ Ἱερώνυμος, ἐν οἷς οὔ φησι γενομένης ἀλλὰ γεγενημένης καὶ οὔσης, αἴσθησιν ὀργῆς εἶναι διὰ τὸ τάχος. οὐδὲν γὰρ οὕτω τῶν παθῶν συλλεγόμενον καὶ διακινούμενον ἔχει τὴν γένεσιν ἐμφανῆ καὶ τὴν αὔξησιν, ὡς δὴ καὶ Ὅμηρος ἐμπείρως διδάσκει· λυπηθέντα μὲν εὐθὺς ἐξαίφνης ποιῶν τὸν Ἀχιλλέα τοῦ λόγου προσπεσόντος, ἐν οἷς λέγει· ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα, θυμούμενον δὲ βραδέως τὸν Ἀγαμέμνονα· καὶ διὰ λόγων πολλῶν ἐκκαιόμενον· οὓς εἴ τις ὑφεῖλεν αὐτῶν ἐν ἀρχῇ καὶ διεκώλυσεν, οὐκ ἂν ἔσχεν

αὔξησιν ἡ διαφορὰ τηλικαύτην καὶ μέγεθος. ὅθεν ὁ Σωκράτης ὁσάκις αἴσθοι-
το κινουμένου τραχύτερον αὐτοῦ πρός τινα τῶν φίλων, πρὸ κύματος ὥς τινα πον-
τίαν ἄκραν στελλόμενος, ἐνεδίδου τε τῇ φωνῇ, καὶ διεμειδία τῷ προσώπῳ, καὶ τὸ
βλέμμα πρᾳότερον παρεῖχε, τῷ ῥέπειν ἐπὶ θάτερα καὶ πρὸς τοὐναντίον ἀντι-
κινεῖσθαι τῷ πάθει, διαφυλάττων ἑαυτὸν ἀπτῶτα καὶ ἀήττητον. ἔστι γάρ τις
ὦ ἑταῖρε πρώτη καθάπερ τυράννου κατάλυσις τοῦ θυμοῦ, μὴ πείθεσθαι, μὴ
δ' ὑπακούειν προστάττοντος αὐτοῦ, μέγα βοᾶν καὶ δεινὸν βλέπειν, καὶ κόπτειν
ἑαυτὸν, ἀλλ' ἡσυχάζειν καὶ μὴ συνεπιτείνειν ὥσπερ νόσημα, ῥιπτασμῷ καὶ δια-
βοήσει τὸ πάθος. αἱ μὲν γὰρ ἐρωτικαὶ πράξεις, οἷον ἐπικωμάσαι καὶ ᾆσαι καὶ στε-
φανῶσαι θύραν, ἔχουσιν ἀμωσγέπως κουφισμὸν οὐκ ἄχαριν, οὐδ' ἄμουσον. ἐλ-
θὼν δ' οὐκ ἐβόησα τίς ἢ τίνος, ἀλλ' ἐφίλησα τὴν φλιήν. εἰ τοῦτ' ἔστιν ἀδίκημ' ἀδι-
κῶ. αἵ τε τοῖς πενθοῦσιν ἐφέσεις τοῦ ἀποκλαῦσαι καὶ ἀποδύρασθαι, πολύ τι τῆς
λύπης ἅμα τῷ δακρύῳ συνεξάγουσιν. ὁ δὲ θυμὸς, ἐκριπίζεται μᾶλλον οἷς πράτ-
τουσι καὶ λέγουσιν οἱ ἐν αὐτῷ καθεστῶτες. ἀτρεμεῖν οὖν κράτιστον ἢ φεύγειν καὶ
ἀποκρύπτειν καὶ καθορμίζειν ἑαυτὸν εἰς ἡσυχίαν, ὥσπερ ἐπιληψίας ἀρχομέ-
νης συναισθανομένους, ἵνα μὴ πέσωμεν μᾶλλον δὲ ἐπιπέσωμεν, ἐπιπίπτομεν δὲ
τοῖς φίλοις, μάλιστά γε καὶ πλειστάκις. οὐ γὰρ πάντων ἐρῶμεν, οὐδὲ πᾶσι φθο-
νοῦμεν, οὐδὲ πάντας φοβούμεθα. θυμῷ δὲ ἄθικτον οὐδὲν οὐδ' ἀνεπιχείρητον. ἀλλ'
ὀργιζόμεθα καὶ πολεμίοις καὶ φίλοις, καὶ τέκνοις καὶ γονεῦσι, καὶ θεοῖς νὴ Δία,
καὶ θηρίοις, καὶ ἀψύχοις σκεύεσιν, ὡς ὁ Θάμυρις ῥηγνὺς χρυσόδετον κέρας, ῥη-
γνὺς ἁρμονίαν χορδοτόνου λύρας. καὶ ὁ Πάνδαρος αὐτῷ καταρώμενος εἰ μὴ
τὰ τόξα κατὰ πρήσειε χερσὶ διακλάσας. ὁ δὲ Ξέρξης, καὶ τῇ θαλάττῃ στίγματα
καὶ πληγὰς ἐνέβαλε, καὶ πρὸς τὸ ὄρος ἐξέπεμπεν ἐπιστολὰς, Ἄθω δαιμόνιε οὐ-
ρανομήκη, μὴ ποιεῖν ἐμοῖς ἔργοις λίθους μεγάλους καὶ δυσκατεργάστους. εἰ δὲ μὴ
τεμὼν ῥίψω σε αὐτὸν εἰς τὴν θάλασσαν. πολλὰ γάρ ἐστι τοῦ θυμοῦ φοβερὰ, πολ-
λὰ δὲ καὶ γελοῖα. διὸ καὶ μισεῖται καὶ καταφρονεῖται μάλιστα τῶν παθῶν. ἀμ-
φότερα δὲ ἐσκέφθαι χρήσιμον. ἐγὼ γοῦν εἰ μὲν ὀρθῶς οὐκ οἶδα, ταύτην δὲ
τὴν ἰατρείαν ἀρχὴν ποιησάμενος ὥσπερ οἱ Λάκωνες ἐν τοῖς εἵλωσι τὸ μεθύειν οἷόν
ἐστι κατεμάνθανον τὴν ὀργὴν ἐν ἑτέροις. καὶ πρῶτον μὲν ἣν φησιν Ἱπποκράτης χα-
λεπωτάτην εἶναι νόσον ἐν ᾗ τοῦ νοσοῦντος ἀνομοιότατον αὐτῷ γίνεται τὸ πρό-
σωπον. οὕτως ὁρῶν ὑπ' ὀργῆς ἐξισταμένους μάλιστα καὶ μεταβάλλοντας ὄψιν, χρό-
αν, βάδισμα, φωνὴν, οἷον εἰκόνα τοῦ πάθους ἀπεματτόμην ἐμαυτῷ πάνυ δυσχεραί-
νων. εἰ φοβερὸς οὕτω καὶ παρακεκινηκὼς ὁρῶμαι ποτὲ τοῖς φίλοις καὶ τῇ γυ-
ναικὶ, καὶ τοῖς θυγατρίοις, οὐ μόνον ἰδεῖν ἄγριος, καὶ ἀσυνήθης, ἀλλὰ καὶ φω-
νὴν ἀπηνῆ καὶ τραχεῖαν ἀφιεὶς, ὥσπερ ἑτέροις τῶν συνήθων ἐνετύγχανον, οὐκ ἦ-
θος, οὐ μορφὴν, οὐ λόγου χάριν, οὐ τὸ πιθανὸν καὶ προσηνὲς ἐν ὁμιλίᾳ δυναμέ-
νοις ὑπ' ὀργῆς διαφυλάττειν. Γαΐῳ μὲν οὖν Γράκχῳ τῷ ῥήτορι καὶ τὸν τρόπον
ὄντι χαλεπῷ καὶ περιπαθέστερον λέγοντι, διηρμοσμένον ἦν συρίγγιον, ᾧ τὴν φω-
νὴν οἱ ἁρμονικοὶ σχολῇ ἐπ' ἀμφότερα διὰ τῶν τόνων ἄγουσι. καὶ τοῦτο ἔχων οἰκέ-
της αὐτοῦ λέγοντος ὄπισθεν ἑστὼς, ἐνεδίδου τόνον ἐπιεικῆ καὶ πρᾷον, ᾧ τὴν κραυγὴν
ἀνεκαλεῖτο, καὶ τὸ τραχὺ καὶ τὸ θυμικὸν ἀφῄρει τῆς φωνῆς. ὥσπερ ὁ τῶν βουκόλων
κηρόπλαστος ὀτοβεῖ δόναξ ἀχέτας ὑπνοδόταν νόμον ἐπιθέλγων, καὶ καθιστὰς
τὴν ὀργὴν τοῦ ῥήτορος, ἐμοὶ δὲ εἴ τις ἐμμελὴς καὶ κομψὸς ἀκόλουθος ἦν, οὐκ ἂν
ἠχθόμην αὐτοῦ προφέροντος τοῦ ταῖς ὀργαῖς ἔσοπτρον, ὥσπερ ἐνίοις προσφέρουσι
λουσαμένοις ἐπ' οὐδενὶ χρησίμῳ. τὸ δὲ αὑτὸν ἰδεῖν παρὰ φύσιν ἔχοντα καὶ συντετα-
ραγμένον, οὐ μικρόν ἐστιν εἰς διαβολὴν τοῦ πάθους. καί τοι καὶ τὴν Ἀθηνᾶν λέγουσιν
οἱ παίζοντες

οἱ παίζοντες αὐλοῦσαν, ὑπὸ τοῦ σατύρου νουθετεῖσθαι καὶ μὴ προσέχειν. οὔτοι πρέπει
τὸ σχῆμα τοῦ αὐλοὺς μέθες. καὶ θ' ὅπλα λάζευ, καὶ γνάθους εὐθημόνει. θεασαμένην
δὲ τοῦ προσώπου τὴν ὄψιν ἐν ποταμῷ τινι δυσχερᾶναι καὶ προέσθαι τοὺς αὐλούς. καί τοι
παραμυθίαν ἡ τέχνη τῆς ἀμορφίας ἔχει τὴν εὐμέλειαν. καὶ ὁ Μαρσύας ὡς ἔοικε
φορβειᾷ τινι καὶ περιστομίοις βίᾳ τοῦ πνεύματος τὸ ῥαγδαῖον ἐνεκαθεῖρξε, καὶ τοῦ προ-
σώπου κατεκόσμησε, καὶ ἀπέκρυψε τὴν ἀνωμαλίαν. χρυσῷ δ' αἰγλήεντι συνήρμο-
σεν ἀμφιδασεῖς κόρσας, καὶ στόμα λάβρον ὀπισθοδέτοισιν ἱμᾶσιν. ἡ δὲ ὀργὴ φυσῶ-
σα καὶ διατείνουσα τὸ πρόσωπον ἀπρεπῶς, ἔτι μᾶλλον αἰσχρὰν ἀφίησι καὶ ἀτερπῆ φω-
νὴν, κινοῦσα χορδὰς τὰς ἀκινήτους φρενῶν. τὴν μὲν γὰρ θάλασσαν ὅταν ἐκταραχθεῖ-
σα τοῖς πνεύμασι τὰ βρύα καὶ τὸ φῦκος ἀναβάλλῃ, καθαίρεσθαι λέγουσιν. ἃ δὲ ὁ θυμὸς
ἐκ βράσει τῆς ψυχῆς περιτρεπομένης ἀκόλαστα καὶ πικρὰ καὶ σπερμολόγα ῥήμα-
τα, τοὺς λέγοντας πρώτους καταρρυπαίνει. καὶ καταπίμπλησιν ἀδοξίας. ὡς ἀεὶ
μὲν ἔχοντας ἐν αὐτοῖς ταῦτα καὶ πλήρεις ὄντας, ἀπὸ δὲ τῆς ὀργῆς ἀνακαλυ-
πτομένους. διὸ κουφοτάτου πράγματος ὥς φησιν ὁ Πλάτων λόγου, βαρυτάτην
ζημίαν τίνουσιν ἐχθροὶ καὶ κακολόγοι καὶ κακοήθεις δοκοῦντες εἶναι. ταῦτα
οὖν ὁρῶντί μοι καὶ παραφυλάττοντι, συμβαίνει τίθεσθαι καὶ διαμνημονεύειν ἐπιει-
κῶς πρὸς ἐμαυτὸν, ὡς ἀγαθὸν μέν ἐστιν ἐν πυρετῷ, κρεῖττον δὲ ἐν ὀργῇ, τὴν γλῶτ-
ταν ἁπαλὴν ἔχειν καὶ λείαν. ἡ μὲν γὰρ τῶν πυρεττόντων ἐὰν μὴ κατὰ φύσιν σχῇ,
σημεῖόν ἐστι πονηρὸν, οὐκ αἴτιον. ἡ δὲ τῶν θυμουμένων τραχεῖα καὶ ῥυπαρὰ γενομέ-
νη καὶ ῥυεῖσα πρὸς λόγους ἀτόπους, ἔχθρας ἀνηκέστου, δημιουργὸν ὕβριν ἐκφέρει,
καὶ δυσμενείας ὑπούλου κατήγορον. οὐδὲν γὰρ ὁ ἄκρατος ἀκόλαστον οὕτω καὶ δυ-
σχερὲς, ὡς ὁ θυμὸς ἀναδίδωσι. κἀκεῖνα μὲν γέλωτι καὶ παιδιᾷ μέλει, ταῦτα δὲ χο-
λῇ κέκραται, καὶ παρὰ πότον μὲν ὁ σιωπῶν, ἐπαχθὴς τοῖς συνοῦσι καὶ φορτικός.
ἐν ὀργῇ δὲ σεμνότερον οὐδὲν ἡσυχίας οὔσης οὐκ ἄμφω παραινεῖν δυναμένης, ἐν στή-
θεσιν ὀργῆς πεφυλάχθαι γλῶσσαν μαψυλάκταν. οὐ ταῦτα δὲ μόνον ἐπιλογίζε-
σθαι δίδωσι τὸ προσέχειν ἀεὶ τοῖς ἁλισκομένοις ὑπὸ ὀργῆς, ἀλλὰ καὶ τὴν ἄλλην
τοῦ θυμοῦ κατανοεῖν φύσιν, ὡς οὐκ εὐγενὴς οὐδὲ ἀνδρώδης, οὐδὲ ἔχουσα φρόνημα
καὶ μέγεθός ἐστιν, ἀλλὰ δοκεῖ τοῖς πολλοῖς τὸ ταρακτικὸν αὐτοῦ, πρακτικὸν, καὶ
τὸ ἀπειλητικὸν, εὐθαρσὲς εἶναι, καὶ τὸ ἀπειθὲς, ἰσχυρόν. ἔνιοι δὲ καὶ τὴν ὠμότητα,
μεγαλουργίαν. καὶ τὸ δυσπαραίτητον, εὐτονίαν. καὶ μισοπονηρίαν τὸ δύσκολον,
οὐκ ὀρθῶς τίθενται. τὰ γὰρ ἔργα καὶ τὰ κινήματα καὶ τὰ σχήματα, μικρότη-
τα πολλὴν καὶ ἀσθένειαν κατηγορεῖ. οὐ μόνον ἐν οἷς παιδάρια σπαράττουσι καὶ πρὸς
γύναια διαπικραίνονται, καὶ κύνας καὶ ἵππους καὶ ἡμιόνους οἴονται δεῖν κο-
λάζειν, ὡς Κτησιφῶν ὁ παγκρατιαστὴς ἀντιλακτίσαι τὴν ἡμίονον ἀξιῶν, ἀλλὰ καὶ
περὶ τὰς τυραννικὰς μιαιφονίας, τῷ πικρῷ τὸ μικρόψυχον αὐτῶν, καὶ τῷ
δρῶντι τὸ πεπονθὸς ἐνορώμενον, ἔοικε τοῖς δήγμασι τῶν ἑρπετῶν, ὅταν διακαῇ καὶ
περιώδυνα γένηται τὴν φλεγμονὴν ἀπερειδομένων σφόδρα τοῖς λελυπηκό-
σιν. ὡς γὰρ οἴδημα μεγάλης ἐστὶν ἐν σαρκὶ πληγῆς πάθος, οὕτως ἐν ταῖς μα-
λακωτάταις ψυχαῖς, ἡ πρὸς τὸ λυπῆσαι ἐνδόσις ἐκφέρει μείζονα θυμὸν ἀπὸ
μείζονος ἀσθενείας. διὸ καὶ γυναῖκες ἀνδρῶν ὀργιλώτεραι, καὶ νοσοῦντες, ὑγιαι-
νόντων. καὶ γέροντες, ἀκμαζόντων. καὶ κακῶς πράττοντες, εὐτυχούντων. ὀργιλώ-
τατος γὰρ ὁ φιλάργυρος, πρὸς τὸν οἰκονόμον. ὁ γαστρίμαργος, πρὸς τὸν ὀψοποι-
όν. ὁ ζηλότυπος, πρὸς τὸ γύναιον. ὁ κενόδοξος, κακῶς ἀκούσας. χαλεπώτατοι
δὲ ἄγαν, φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν ἄνδρες ἢ στάσιν, ἄλγος ἐμφανὲς κατὰ
Πίνδαρον. οὕτως ἐκ τοῦ λυπουμένου μάλιστα τῆς ψυχῆς καὶ πάσχοντος, ἀνίστα-
ται μάλιστα δι' ἀσθένειαν ὁ θυμὸς, οὐχὶ νεύροις ὥς τις εἶπε τῆς ψυχῆς ἐοικώς.

ἀλλὰ ἐπιτάγμασι καὶ ἀποφθέγμασιν ἐν ταῖς ἀμυντικαῖς ὁρμαῖς, σφοδρότερον ἤδη κινησαμένης. τὰ μὲν οὖν φαῦλα παραδείγματα, τὴν θέαν οὐκ εὔχαριν, ἀλλ᾽ ἀναγκαίαν μόνην εἶχε. τοὺς δ᾽ ἠπίως καὶ λείως ὁμιλοῦντας ὀργαῖς, κάλλιστα μὲν ἀκούσματα, κάλλιστα δὲ θεάματα ποιούμενος, ἄρχομαι καταφρονεῖν τῶν λεγόντων· ἄνδρα ἠδίκησας, ἀνδρὶ δ᾽ ἀνεκτέον· τὸ δὲ καὶ βαῖνε λὰξ ἐπὶ τραχήλου, βαῖνε καὶ πέλα χθονί, καὶ τἄλλα παροξυντικά, δι᾽ ὧν ἔνιοι τὸν θυμὸν ἐκ τῆς γυναικωνίτιδος εἰς τὴν ἀνδρωνῖτιν οὐκ εὖ μετοικίζουσιν. ἡ μὲν ἀνδρία κατὰ τἄλλα τῇ δικαιοσύνῃ συμφερομένη περὶ μόνης μοι δοκεῖ διαμάχεσθαι τῆς πραότητος, ὡς αὐτῇ μᾶλλον προσηκούσης. ἀνθρώπων μὲν γὰρ κρατῆσαι, καὶ χείροσι βελτιόνων διὰ πόνων ὑπῆρξε. τὸ δ᾽ ἐν ψυχῇ στῆσαι κατὰ θυμοῦ τρόπαιον, ᾧ χαλεπὸν εἶναι διαμάχεσθαί φησιν Ἡράκλειτος· ὅτι γὰρ ἂν θέλῃ, ψυχῆς ὠνεῖται, μεγάλης ἐστὶ καὶ νικητικῆς ἰσχύος, ὥσπερ νεῦρα καὶ τόνους ἀληθῶς ἐπὶ τὰ πάθη τὰς κρίσεις ἐχούσης. διὸ καὶ συνάγειν ἀεὶ πειρῶμαι καὶ ἀναγινώσκειν οὐ ταῦτα δὴ μόνον τὰ τῶν φιλοσόφων, οὕς φασι χολὴν οὐκ ἔχειν οἱ νοῦν ἔχοντες, ἀλλὰ μᾶλλον τὰ τῶν βασιλέων καὶ τυράννων, οἷον Ἀντιγόνου τὸ πρὸς τοὺς στρατιώτας, ὅτι τοὺς παρὰ τὴν σκηνὴν λοιδοροῦντας αὐτὸν ὡς οὐκ ἀκούοντα, τὴν βακτηρίαν ὑποβαλὼν ἔξω, παπαί εἶπεν, οὐ πορρωτέρω ποι στραπόμενοι κακῶς ἐρεῖτε ἡμᾶς; Ἀρκαδίωνος δὲ τοῦ Ἀχαιοῦ τὸν Φίλιππον ἀεὶ κακῶς λέγοντος καὶ φεύγειν παραινοῦντος εἰς ὅκε τοὺς ἀφίκηται οἳ οὐκ ἴσασι Φίλιππον. εἶτά πως ἐν Μακεδονίᾳ φανέντος, ᾤοντο δεῖν οἱ φίλοι κολάσαι καὶ μὴ περιιδεῖν, ὁ δὲ Φίλιππος ἐντυχὼν αὐτῷ φιλανθρώπως καὶ ξένια καὶ δῶρα πέμψας, ἐκέλευσεν ὕστερον πυνθάνεσθαι τίνας λόγους ἀπαγγέλλοι πρὸς τοὺς Ἕλληνας. ὡς δὲ πάντες ἐμαρτύρουν ἐπαινέτην αὐτοῦ γεγονέναι τὸν ἄνδρα θαυμάσιον, ἐγὼ τοίνυν ἔφη βελτίων ἰατρὸς ὑμῶν. ἐν Ὀλυμπίοις δὲ βλασφημίας περὶ αὐτοῦ γενομένης, καί τινων λεγόντων ὡς οἰμῶξαι προσήκει τοὺς Ἕλληνας, ὅτι εὖ πάσχοντες ὑπὸ τοῦ Φιλίππου κακῶς αὐτὸν λέγουσι, τί οὖν ἔφη ποιήσουσιν ἂν κακῶς πάσχωσι. καλὰ δὲ καὶ Πεισιστράτου τὰ πρὸς Θρασύβουλον, καὶ Πορσίνα τὰ πρὸς Μούκιον, καὶ Μάγα, τὰ πρὸς Φιλήμονα· δημοσίᾳ γὰρ ὑπ᾽ αὐτοῦ κωμῳδηθεὶς ἐν θεάτρῳ, γράμματα παρὰ τοῦ βασιλέως γράμματα ἥκει σοι Μάγα· Μάγα κακόδαιμον γράμματα μὲν ἐπίστασαι, λαβὼν ἀπὸ χειμῶνος εἰς Παραιτόνιον ἐξενεχθέντα, στρατιώτῃ μὲν ἐκέλευσε γυμνῇ τῇ μαχαίρᾳ θιγεῖν τοῦ τραχήλου μόνον, εἶτα κοσμίως ἀπελθεῖν, ἀστραγάλους δὲ καὶ σφαῖραν ὡς παιδαρίῳ νοῦν οὐκ ἔχοντι προσπέμψας ἀφῆκε. Πτολεμαῖος δὲ γραμματικὸν εἰς ἀμαθίαν ἐπισκώπτων, ἠρώτησε τίς ὁ τοῦ Πηλέως πατὴρ ἦν· κἀκεῖνος, ἂν σὺ πρότερον εἴπῃς ἔφη τίς ὁ τοῦ Λάγου. τὸ δὲ σκῶμμα τῆς δυσγενείας ἥπτετο τοῦ βασιλέως, καὶ πάντες ἠγανάκτησαν ὡς οὐκ ἐπιτήδειον ὄντα φέρειν. καὶ ὁ Πτολεμαῖος, εἰ μὴ τὸ φέρειν ἔφη σκωπτόμενον, οὐδὲ τὸ σκώπτειν βασιλικόν ἐστιν. Ἀλέξανδρος δὲ πικρότερος αὐτοῦ γέγονεν ἐν τοῖς περὶ Καλλισθένην καὶ Κλεῖτον, ἢ καὶ Πῶρος ἁλοὺς, παρεκάλει χρήσασθαι βασιλικῶς αὐτῷ· καὶ πυνθανομένου μή τι πλέον, ἐν τῷ βασιλικῶς ἔφη πάντα ἔνεστι. διὸ καὶ τῶν θεῶν τὸν βασιλέα Μειλίχιον, Ἀθηναῖοι δὲ, Μαιμάκτην οἶμαι καλοῦσι. τὸ δὲ κολαστικὸν, ἐριννυῶδες, καὶ δαιμονικόν, οὐ θεῖον δὲ, οὐδὲ Ὀλύμπιον. ὥσπερ οὖν τῷ Φιλίππου τις εἶπε κατασκάψαντος Ὄλυνθον, ἀλλ᾽ οὐκ ἂν οἰκίσαι γε πόλιν ἐκεῖνος δύναιτο τηλικαύτην, οὕτως ἐστὶν εἰπεῖν πρὸς τὸν θυμόν· ἀνατρέψαι μὲν δύνασαι, καὶ διαφθεῖραι καὶ καταβαλεῖν, ἀναστῆσαι δὲ καὶ σῶσαι, καὶ φείσασθαι καὶ καρτερῆσαι, πραότητός ἐστι καὶ συγγνώμης καὶ μετριοπαθείας, καὶ Καμίλλου καὶ Μετέλλου, καὶ Ἀριστείδου, καὶ Σωκράτους· τὸ δ᾽ ἐμφῦναι καὶ δακεῖν, μυρμηκῶδες

κῶδες καὶ μυῶδες. οὐ μὴν ἀλλὰ καὶ πρὸς ἄμυναν ἅμα σκοπῶν, τὸν δι᾽ ὀργῆς τρόπον ἄπρακτον εὑρίσκω τὰ πολλά, δήγμασι χειλῶν καὶ πρίσεσιν ὀδόντων καὶ κεναῖς ἐπιδρομαῖς καὶ βλασφημίαις ἀπειλὰς ἀνοήτους ἐχούσαις καταναλισκόμενον. εἶτα ὥσπερ ἐν τοῖς δρόμοις τὰ παιδία τῷ μὴ κρατεῖν ἑαυτῶν προκαταπίπτοντα τοῦ τέλους ἐφ᾽ ᾧ σπεύδει γελοίως. ὅθεν οὐ φαύλως ὁ Ῥόδιος πρὸς ὑπηρέτην τοῦ Ῥωμαίων στρατηγοῦ βοῶντα καὶ θρασυνόμενον, οὐ μέλει μοι τί σὺ λέγεις, ἀλλὰ τί τῆνος σιγῇ. καὶ τὸν Νεοπτόλεμον ὁ Σοφοκλῆς, καὶ τὸν Εὐρύπυλον ὁπλίσας, ἐκόμπασ᾽ ἀλοιδόρητά φησιν ἐρρηξάτην, ἐς κύκλα χαλκέων ὅπλων. τὸν μὲν γὰρ σίδηρον ἔνιοι τῶν βαρβάρων φαρμάττουσιν· ἡ δὲ ἀνδρία χολῆς οὐ δεῖται. βέβαπται γὰρ ὑπὸ τοῦ λόγου. τὸ δὲ θυμικὸν καὶ μανικόν, εὐπερίθραυστόν ἐστι καὶ σαθρόν, ἀφαιροῦσι γοῦν αὐλοῖς τὸν θυμὸν οἱ Λακεδαιμόνιοι τῶν μαχομένων, καὶ Μούσαις πρὸ πολέμου θύουσιν, ὅπως ὁ λόγος ἐμμένῃ, καὶ τρεψάμενοι τοὺς πολεμίους, οὐ διώκουσιν, ἀλλ᾽ ἀνακαλοῦνται τὸν θυμόν, ὥσπερ τὰ σύμμετρα τῶν ἐγχειριδίων εὐανακόμιστον ὄντα καὶ ῥᾴδιον. ὀργὴ δὲ, μυρίους προανεῖλε τῆς ἀμύνης, ὡς Κῦρον, καὶ Πελοπίδαν τὸν Θηβαῖον. Ἀγαθοκλῆς δὲ πρᾴως ἔφερε λοιδορούμενος ὑπὸ τῶν πολιορκουμένων, καί τινος εἰπόντος κεραμεῦ πόθεν ἀποδώσεις τοῖς ξένοις τὸν μισθόν, ἐπιγελάσας, αἴ κε ταύταν ἐξέλω. καὶ τὸν Ἀντίγονον ἀπὸ τοῦ τείχους τινὲς εἰς ἀμορφίαν ἔσκωπτον. ὁ δὲ πρὸς αὐτούς, ὦ μὴν ἐδόκουν εὐπρόσωπος εἶναι, λαβὼν δὲ τὴν πόλιν, ἐπίπρασκε τοὺς σκώπτοντας, μαρτυρόμενος ὅτι πρὸς τοὺς δεσπότας ἕξει τὸν λόγον, ἂν πάλιν αὐτὸν λοιδορῶσιν. ὁρῶ δὲ καὶ κυνηγοὺς σφαλλομένους ὑπ᾽ ὀργῆς μεγάλα καὶ ῥήτορας. Ἀριστοτέλης δὲ ἱστορεῖ Σατύρου τοὺς φίλους ἐμφράξαι τὰ ὦτα κηρῷ δίκην ἔχοντος, ὅπως μὴ συγχέῃ τὸ πρᾶγμα διὰ θυμὸν ὑπὸ τῶν ἐχθρῶν λοιδορούμενος. αὐτοὺς δὲ ἡμᾶς οὐ πολλάκις ἐκφεύγει τὸ κολάσαι πλημμελήσαντα δοῦλον; ἀποδιδράσκουσι γὰρ τὰς ἀπειλὰς καὶ τοὺς λόγους δείσαντες. ὅπερ οὖν αἱ τίτθαι πρὸς τὰ παιδία λέγουσι, μὴ κλαῖε καὶ λήψῃ, τοῦτο πρὸς τὸν θυμὸν οὐκ ἀχρήστως λεκτέον, μὴ σπεῦδε, μὴ δὲ βόα, μὴ δὲ ἐπείγου, καὶ μᾶλλον ἃ θέλεις γενήσεται καὶ βέλτιον. καὶ γὰρ παῖδα πατὴρ ἰδὼν ἐπιχειροῦντά τι σιδηρίῳ διελεῖν ἢ τεμεῖν, αὐτὸς λαβὼν τὸ σιδήριον ἐποίησε· καὶ τοῦ θυμοῦ τὴν τιμωρίαν παρελόμενος, αὐτὸς ἀσφαλῶς καὶ ἀβλαβῶς καὶ ὠφελίμως ἐκόλασε τὸν ἄξιον, οὐχ ἑαυτὸν ὥσπερ ὁ θυμὸς ἀντ᾽ ἐκείνου πολλάκις. πάντων δὲ τῶν παθῶν ἐθισμοῦ δεομένων οἷον δαμάζοντος καὶ καταθλοῦντος ἀσκήσει τὸ ἄλογον καὶ δυσπειθές, οὐ πρὸς ἄλλο μᾶλλον ἐστὶν ἐγγυμνάσασθαι τοῖς οἰκέταις, ἢ πρὸς τὸν θυμόν. οὔτε γὰρ φθόνος οὔτε φόβος οὔτε φιλοτιμία τις ἐγγίνεται πρὸς αὐτούς. ὀργαὶ δὲ καὶ συνεχεῖς πολλὰ ποιοῦσι προσκρούσματα καὶ σφάλματα διὰ τὴν ἐξουσίαν ὥσπερ ἐν ὀλισθηρῷ χωρίῳ μηδενὸς ἐνισταμένου μηδὲ κωλύοντος, ὑποφέρουσαι. οὐ γάρ ἐστιν ἀναμάρτητον ἐν πάθει τὸ ἀνυπεύθυνον κατασχεῖν, μὴ πολλὴν τὴν ἐξουσίαν ἐμπεριλαβόντα πραότητι, μὴ δὲ πολλὰς ὑπομείναντα φωνὰς γυναικός, καὶ φίλων ἐγκαλούντων ἀτονίαν καὶ ῥᾳθυμίαν. οἷς μάλιστα παροξυνόμην καὶ αὐτὸς ἐπὶ τοὺς οἰκέτας, ὡς τῷ μὴ κολάζεσθαι διαφθειρομένους. ὀψὲ μέντοι συνεῖδον, ὅτι πρῶτον μὲν ἐκείνους ἀνεξικακίᾳ χείρονας ποιεῖν βέλτιόν ἐστιν ἢ πικρίᾳ καὶ θυμῷ διαστρέφειν ἑαυτὸν εἰς ἑτέρων ἐπανόρθωσιν. ἔπειτα πολλοὺς ὁρῶν αὐτῷ τῷ μὴ κολάζεσθαι πολλάκις αἰδουμένους κακοὺς εἶναι, καὶ μεταβολῆς ἀρχὴν, τὴν συγγνώμην μᾶλλον ἢ τὴν τιμωρίαν λαμβάνοντας, καὶ νὴ Δία δουλεύοντας ἑτέροις ἀπὸ νεύματος σιωπῇ καὶ προθυμότερον, ἢ μετὰ πληγῶν καὶ μαστιγμάτων ἑτέροις, ἐπειθόμην ἡγεμονικώτερον εἶναι τοῦ θυμοῦ τὸν λογισμόν, οὐ γὰρ ὡς ὁ ποιητὴς εἶπεν, ἵνα γὰρ δέος, ἔνθα καὶ

αἰδὼς· ἀλλὰ τοὐναντίον αἰδουμένοις ὁ σωφρονίζων ἐπιγίνεται φόβος. ἡ δὲ συνεχὴς πληγὴ καὶ ἀπαραίτητος, οὐ μετάνοιαν ἐμποιεῖ τοῦ κακουργεῖν, ἀλλὰ τοῦ λανθάνειν πρόνοιαν μᾶλλον. τρίτον, ἀεὶ μνημονεύων καὶ διανοούμενος πρὸς ἐμαυτὸν, ὡς οὔτε ὁ τοξεύειν ἡμᾶς διδάξας ἐκώλυσε βάλλειν, ἀλλὰ μὴ διαμαρτάνειν, οὔτε τῷ κολάζειν ἐμποδὼν ἔσται, τὸ διδάσκειν εὐκαίρως τοῦτο ποιεῖν, καὶ μετρίως καὶ ὠφελίμως καὶ πρεπόντως. πειρῶμαι τὴν ὀργὴν ἀφαιρεῖν μάλιστα τῷ μὴ παραιρεῖσθαι τῶν κολαζομένων τὴν δικαιολογίαν, ἀλλ᾽ ἀκούειν. ὅ τε γὰρ χρόνος ἐμποιεῖ τῷ πάθει διατριβὴν, καὶ μέλλησιν ἐκλύουσαν, ἥ τε κρίσις εὑρίσκει καὶ τρόπον πρέποντα, καὶ μέγεθος ἁρμόττον κολάσεως. ἔτι δὲ, οὐχ ὑπολείπεται πρόφασις τῷ διδόντι δίκην ἀντιτείνειν πρὸς τὴν ἐπανόρθωσιν, ἂν μὴ κατ᾽ ὀργὴν, ἀλλ᾽ ἐξελεγχθεὶς κολάζηται, τὸ δὲ αἴσχιον, οὐ πρόσεστι φαίνεσθαι δικαιότερα τοῦ δεσπότου λέγοντα τὸν οἰκέτην. ὥσπερ οὖν ὁ Φωκίων μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν οὐκ ἐῶν προεξανίστασθαι τοὺς Ἀθηναίους, οὐδὲ ταχὺ πιστεύειν, εἰ σήμερον εἶπεν ἄνδρες Ἀθηναῖοι τέθνηκε, καὶ αὔριον ἔσται καὶ εἰς τρίτην τεθνηκώς, οὕτως οἶμαι δεῖν ὑποβάλλειν ἑαυτῷ τὸν σπεύδοντα δι᾽ ὀργὴν ἐπὶ τὴν τιμωρίαν, εἰ σήμερον οὗτος ἠδίκησε, καὶ αὔριον ἔσται εἰς τρίτην ἠδικηκώς, καὶ δεινὸν οὐδὲν εἰ δώσει δίκην βράδιον· ἀλλ᾽ εἰ ταχὺ παθὼν, ἀεὶ φανεῖται μὴ ἀδικῶν, ὅπερ ἤδη συμβέβηκε πολλάκις. τίς γὰρ ἡμῶν οὕτω δεινός ἐστιν, ὥστε κολάζειν καὶ μαστιγοῦν δοῦλον, ὅτι πέμπτην ἢ δεκάτην ἡμέραν προσέκαυσε τοὖψον, ἢ κατέβαλε τὴν τράπεζαν, ἢ βράδιον ὑπήκουσε. καὶ μὴν ταῦτ᾽ ἐστὶν ἐφ᾽ οἷς εὐθὺς γενομένοις καὶ προσφάτοις οὖσι, ταραττόμεθα, καὶ πικρῶς καὶ ἀπαραιτήτως ἔχομεν· ὡς γὰρ δι᾽ ὁμίχλης τὰ σώματα, καὶ δι᾽ ὀργῆς τὰ πράγματα μείζονα φαίνεται. διὸ δεῖ ταχὺ συμμνημονεύειν τῶν ὁμοίων, καὶ τοῦ πάθους ἔξωθεν ὄντα, ἂν ὑπόπτως ἂν καθαρῷ τῷ λογισμῷ καὶ καθεστῶτι φαίνηται μοχθηρὸν, ἐπιστραφῆναι, καὶ μὴ προέσθαι τότε, μηδὲ ἀφεῖναι τὴν κόλασιν, ὥσπερ σιτίον, ἀνορέκτους γεγονότας. οὐδὲν γὰρ οὕτως αἴτιόν ἐστι τοῦ παρούσης ὀργῆς κολάζειν, ὡς τὸ παυσαμένης μὴ κολάζειν, ἀλλ᾽ ἐκλελύσθαι, καὶ ταὐτὸν πεπονθέναι τοῖς ἀργοῖς κωπηλάταις, οἳ γαλήνης ὁρμῶσιν, εἶτα κινδυνεύουσιν ἀνέμῳ πλέοντες. καὶ γὰρ ἡμεῖς τοῦ λογισμοῦ κατεγνωκότες ἀτονίαν καὶ μαλακίαν ἐν τῷ κολάζειν, σπεύδομεν παρόντι τῷ θυμῷ, καθάπερ πνεύματι παραβόλῳ. τροφῇ μὲν γὰρ ὁ πεινῶν κατὰ φύσιν χρῆται, τιμωρίᾳ δὲ ὁ μὴ πεινῶν μηδὲ διψῶν αὐτῆς. μὴ δὲ ὥσπερ ὄψου πρὸς τὸ κολάσαι τοῦ θυμοῦ δεόμενος· ἀλλ᾽ ὅταν πορρωτάτω τοῦ ὀρέγεσθαι γένηται, προσάγων τὸν λογισμὸν ἀναγκαίως. οὐ γὰρ ὡς Ἀριστοτέλης ἱστορεῖ κατ᾽ αὐτὸν ἐν Τυρρηνίᾳ μαστιγοῦσθαι τοὺς οἰκέτας πρὸς αὐλὸν, οὕτω πρὸς ἡδονὴν δεῖ καθάπερ ἀπολαύσματος ὀρέξει τῆς τιμωρίας ἐμφορεῖσθαι καὶ χαίρειν, κολάζοντας δὲ, μετανοεῖν, ὧν τὸ μὲν θηριῶδες, τὸ δὲ γυναικῶδες, ἀλλὰ καὶ λύπης καὶ ἡδονῆς χωρὶς, ἐν τῷ τοῦ λογισμοῦ χρόνῳ τὴν δίκην κολάζεσθαι, μὴ ὑπολείποντα τῷ θυμῷ πρόφασιν. αὕτη μὲν οὖν ἴσως, οὐκ ὀργῆς ἰατρεία φανεῖται· διάκρουσις δὲ καὶ φυλακὴ, τῶν ἐν ὀργῇ τινὸς ἁμαρτημάτων. καίτοι καὶ σπληνὸς οἴδημα, σύμπτωμα μέν ἐστι πυρετοῦ· πραϋνόμενον δὲ, κουφίζει τὸν πυρετὸν, ὥς φησιν Ἱερώνυμος. ἀλλ᾽ αὐτῆς γε τῆς ὀργῆς ἀναθεωρῶν τὴν γένεσιν, ἄλλους ὑπ᾽ ἄλλων αἰτιῶν ἐμπίπτοντας εἰς αὐτὴν ἑώρων, οἷς ἐπιεικῶς ἅπασι δόξα τοῦ καταφρονεῖσθαι καὶ ἀμελεῖσθαι παραγίνεται. διὸ καὶ τοῖς παραιτουμένοις ὀργὴν, δεῖ βοηθεῖν πορρωτάτω τὴν πρᾶξιν ὀλιγωρίας ἀπάγοντας καὶ θρασύτητος, εἰς ἄνοιαν ἢ ἀνάγκην ἢ πάθος ἢ δυστυχίαν τιθεμένους, ὡς Σοφοκλῆς· ἀλλ᾽ οὐ γὰρ ὦναξ οὐδ᾽ ὃς ἂν βλαστῇ μένει νοῦς τοῖς κακῶς πράξασιν, ἀλλ᾽ ἐξίσταται, καὶ τῆς Βρισηΐδος τὴν ἀφαίρεσιν εἰς τὴν ἄτην ἀναφέρων ὁ Ἀγαμέμνων· ὅμως ἂψ ἐθέλει ἀρέσαι, δόμεναί τ᾽ ἀπε-

ρείσι᾽ ἄποινα. καὶ γὰρ τὸ δεῖσθαι, τοῦ μὴ καταφρονοῦντός ἐστι· καὶ ταπεινὸς φανεὶς ὁ ἀδικήσας, ἔλυσε τὴν τῆς ὀλιγωρίας δόξαν. οὐ δεῖ δὲ ταῦτα περιμένειν τὸν ὀργιζόμενον, ἀλλὰ τὸ τοῦ Διογένους· οὗτοί σου καταγελῶσιν ὦ Διόγενες· ἐγὼ δὲ, οὐ καταγελῶμαι λαμβάνειν ἑαυτῷ, καὶ καταφρονεῖσθαι μὴ νομίζειν, ἀλλὰ μᾶλλον ἐκείνου καταφρονεῖν, ὡς δι᾽ ἀσθένειαν ἢ πλημμέλειαν, ἢ προπέτειαν, ἢ ῥᾳθυμίαν, ἢ ἀνελευθερίαν, ἢ γῆρας, ἢ νεότητα πλημμελοῦντος. οἰκέταις δὲ καὶ φίλοις ἀφετέον τὸ τοιοῦτο παντάπασιν· οὐ γὰρ ὡς ἀδυνάτων, οὐδ᾽ ὡς ἀπράκτων· ἀλλὰ δι᾽ ἐπιείκειαν ἢ δι᾽ εὔνοιαν, οἱ μὲν ὡς χρηστῶν, οἱ δὲ ὡς φιλούντων καταφρονοῦσι. νυνὶ δὲ οὐ μόνον πρὸς γυναῖκας καὶ δούλους καὶ φίλους ὡς καταφρονούμενοι τραχέως ἔχομεν, ἀλλὰ καὶ πανδοκεῦσι καὶ ναύταις καὶ ὀρεωκόμοις μεθύουσι, πολλάκις ὑπ᾽ ὀργῆς συμπίπτομεν, οἰόμενοι καταφρονεῖσθαι, καὶ κυσὶν ὑλακτοῦσι, καὶ ὄνοις ἐμβάλλουσι χαλεπαίνομεν, ὡς ἐκεῖνος ὁ βουλόμενος τύπτειν τὸν ὀνηλάτην, εἶτ᾽ ἀνακραγόντος ὅτι Ἀθηναῖός εἰμι, σὺ μὲν, οὐκ εἶ Ἀθηναῖος, τὸν ὄνον λέγων ἔτυπτε, καὶ πολλὰς ἐνεφόρει πληγάς. καὶ μήν τάς γε συνεχεῖς καὶ πυκνὰς καὶ κατὰ μικρὸν ἐν τῇ ψυχῇ συλλεγομένας ὀργὰς, μάλιστα φιλαυτία καὶ δυσκολία μετὰ τρυφῆς καὶ μαλακίας, οἷον σμῆνος ἢ σφηκιὰν ἡμῖν ἐντίκτουσι. διὸ μεῖζον οὐδὲν εὐκολίας καὶ ἀφελείας ἐφόδιον, εἰς πρᾳότητα, πρὸς οἰκέτας καὶ γυναῖκα καὶ φίλους τῷ δυναμένῳ συμφέρεσθαι τοῖς παροῦσι, καὶ μὴ δεομένῳ πολλῶν καὶ περιττῶν. ὁ δ᾽ οὔτ᾽ ἄγαν ὀπτοῖσιν, οὔτε ἑφθοῖς ἄγαν, οὔτε ἧττον, οὔτε μᾶλλον, οὔτε διὰ μέσου ἠρτυμένοισι χαίρων, ὥστε ἐπαινέσαι· χιόνος δὲ μὴ παρούσης, οὐκ ἂν πιὼν, οὔτε ἄρτον ἐξ ἀγορᾶς φαγὼν, οὔτ᾽ ὄψου γευσάμενος ἐν λιτοῖς, ἢ κεραμεοῖς σκεύεσιν, οὐδὲ κοιμηθεὶς ἐπὶ στρωμνῆς μὴ οἰδούσης, ὥσπερ θαλάττης διὰ βάθους κεκινημένης, ῥάβδοις δὲ καὶ πληγαῖς τοὺς περὶ τράπεζαν ὑπηρέτας ἐπιταχύνων μετὰ δρόμου καὶ βοῆς καὶ ἱδρῶτος, ὥσπερ φλεγμονῶν καταπλάσματα κομίζοντας, ἀσθενεῖ καὶ φιλαιτίῳ καὶ μεμψιμοίρῳ δουλεύων διαίτῃ· καθάπερ ὑπὸ βηχὸς ἐνδελεχοῦς ἢ προσκρουσμάτων πολλῶν, ἔλαθεν ἑλκώδη καὶ καταρροϊκὴν διάθεσιν περὶ τὸ θυμοειδὲς ἀπεργασάμενος. ἐθιστέον οὖν τὸ σῶμα δι᾽ εὐτελείας πρὸς εὐκολίαν αὔταρκες ἑαυτῷ γινόμενον· οἱ γὰρ ὀλίγων δεόμενοι, πολλῶν οὐκ ἀποτυγχάνουσι, καὶ δεινὸν οὐδὲν ἀρξάμενον ἀπὸ τῆς τροφῆς, σιωπῇ χρήσασθαι τοῖς παρατυγχάνουσι· καὶ μὴ πολλὰ χολουμένους καὶ δυσκολαίνοντας ἀτερπέστατον ὄψον ἐμβαλεῖν ἑαυτοῖς καὶ φίλοις τὴν ὀργὴν, δόρπου δ᾽ οὐκ ἄν πως ἀχαρίστερον ἄλλο γένοιτο, διὰ πρόσκαυσιν ἢ καπνὸν ἢ ἁλῶν ἔνδειαν, ἢ ψυχρότερον ἄρτον, οἰκετῶν τυπτομένων, καὶ λοιδορουμένης γυναικός. Ἀρκεσιλάου δὲ μετὰ ξένων τινῶν ἑστιῶντος τοὺς φίλους, παρετέθη τὸ δεῖπνον, ἄρτοι δὲ οὐκ ἦσαν, ἀμελησάντων πρίασθαι τῶν παίδων, ἐφ᾽ ᾧ τίς οὐκ ἂν ἡμῶν διέστησε τοὺς τοίχους κεκραγώς· ὁ δὲ μειδιάσας, οἷόν ἐστιν ἔφη τὸ συμποτικὸν εἶναι τὸν σοφόν. τοῦ δὲ Σωκράτους ἐκ παλαίστρας παραλαβόντος τὸν Εὐθύδημον, ἡ Ξανθίππη μετ᾽ ὀργῆς ἐπιστᾶσα καὶ λοιδορήσασα, τέλος ἀνέτρεψε τὴν τράπεζαν· ὁ δὲ Εὐθύδημος ἐξαναστὰς ἀπῄει περίλυπος γενόμενος· καὶ ὁ Σωκράτης, παρὰ σοὶ δὲ εἶπεν οὐ πρώην ὄρνις τις εἰσπτᾶσα ταὐτὸ τοῦτο ἐποίησεν; ἡμεῖς δ᾽ οὐκ ἠγανακτήσαμεν. δεῖ γὰρ σὺν εὐκολίᾳ καὶ γέλωτι καὶ φιλοφροσύνῃ τοὺς φίλους δέχεσθαι, μὴ τὰς ὀφρῦς συνάγοντας, μηδὲ φρίκην καὶ τρόμον ἐμβάλλοντας τοῖς ὑπηρετοῦσιν.

ἐθιστέον δὲ καὶ σκεύεσιν εὐκόλως ὁμιλεῖν ἅπασι, καὶ μὴ τῷδε μᾶλλον ἢ τῷδε χρῆσθαι· καθάπερ ἔνιοι πολλῶν παρόντων, ἓν ἐκλεγόμενοι κανθάριον ὡς Μάριον ἱστοροῦσι νήρυτον, οὐκ ἂν ἑτέρῳ πίοιεν· οὕτω δὲ καὶ πρὸς ληκύθους ἔχουσι, καὶ πρὸς στλεγγίδας, ἀγαπῶντες ἐκ πασῶν μίαν, εἶτα ὅταν συντριβῇ τι τούτων, ἢ ἀπόληται, βαρέως

φέρουσι καὶ κολάζουσι. ἀφεκτέον οὖν τῷ πρὸς ὀργὴν φαύλως ἔχοντι, καὶ τῶν περιττῶν, οἷον ἐκπωμάτων καὶ σφραγίδων καὶ λίθων πολυτελῶν· ἐξίστησι γὰρ ἀπολλύμενα μᾶλλον τῶν εὐπορίστων καὶ συνήθων. διὸ καὶ τοῦ Νέρωνος ὀκτάγωνόν τινα σκηνὴν ὑπερφυῆ κάλλει καὶ πολυτελείᾳ θέαμα κατασκευάσαντος, ἤλεγξας ἔφη ὁ Σενέκας πένητα σεαυτόν· ἐὰν γὰρ ταύτην ἀπολέσῃς, ἑτέραν οὐ κτήσῃ τοιαύτην. καὶ μέντοι καὶ συνέπεσε, τοῦ πλοίου καταδύντος, ἀπολέσθαι τὴν σκηνήν· ὁ δὲ Νέρων ἀναμνησθεὶς τοῦ Σενέκα, μετριώτερον ἤνεγκεν. ἡ δὲ πρὸς τὰ πράγματα εὐκολία, καὶ πρὸς οἰκέτας εὔκολον ποιεῖ καὶ πρᾶον· εἰ δὲ πρὸς οἰκέτας, δῆλον ὅτι καὶ πρὸς φίλους καὶ πρὸς ἀρχομένους. ὁρῶμεν δὲ καὶ δούλους νεωνήτους περὶ τοῦ πριαμένου πυνθανομένους· οὐκ εἰ δεισιδαίμων οὐδ᾽ εἰ φθονερὸς, ἀλλ᾽ εἰ θυμώδης, καὶ ὅλως σὺν ὀργῇ, μὴ δὲ σωφροσύνην ἄνδρας γυναικῶν, μὴ δὲ ἔρωτα γυναῖκας ἀνδρῶν ὑπομένειν δυναμένας, μὴ δὲ συνήθειαν ἀλλήλων φίλους, οὕτως οὔτε γάμος οὔτε φιλία μετ᾽ ὀργῆς ἀνεκτόν. ἀλλὰ χωρὶς ὀργῆς, καὶ μέθη κοῦφόν ἐστιν· ὁ γὰρ τοῦ θεοῦ νάρθηξ, ἱκανὸς κολαστὴς τοῦ μεθύοντος, ἂν μὴ προσγενόμενος ὁ θυμὸς, ὠμηστὴν καὶ μαινόλην ἀντὶ λυαίου καὶ χορείου ποιήσῃ τὸν ἄκρατον. καὶ τὴν μανίαν αὐτὴ καθ᾽ αὑτὴν ἡ Ἀντίκυρα θεραπεύει, μιχθεῖσα δὲ ὀργῇ, τραγῳδίας ποιεῖ καὶ μύθους. δεῖ δὲ μήτε παίζοντας αὐτῇ διδόναι τόπον, ἔχθραν γὰρ ἐπάγει τῇ φιλοφροσύνῃ, μήτε κοινολογουμένους· φιλονεικίαν γὰρ ἐκ φιλολογίας ἀπεργάζεται· μήτε δικάζοντας, ὕβριν γὰρ τῇ ἐξουσίᾳ προστίθησι· μήτε παιδεύοντας, ἀθυμίαν γὰρ ἐμποιεῖ καὶ μισολογίαν· μήτε εὐτυχοῦντας, αὔξει γὰρ τὸν φθόνον· μήτε δυστυχοῦντας, ἀφαιρεῖ γὰρ τὸν ἔλεον, ὅταν δυσκολαίνωσι καὶ μάχωνται τοῖς συναχθομένοις· ὡς ὁ Πρίαμος, ἔῤῥετε λωβητῆρες ἐλεγχέες, οὔνυ καὶ ὑμῖν ἐστὶ γόος ὅτι μ᾽ ἤλθετε κηδήσοντες; ἡ δ᾽ εὐκολία τοῖς μὲν βοηθεῖ, τὰ δ᾽ ἐπικοσμεῖ, τὰ δὲ συνηδύνει, περιγίνεται δὲ τῇ πρᾳότητι, καὶ θυμοῦ καὶ δυσκολίας ἁπάσης, ὥσπερ Εὐκλείδης, τοῦ ἀδελφοῦ πρὸς αὐτὸν ἐκ διαφορᾶς εἰπόντος, ἀπολοίμην εἰ μή σε τιμωρησαίμην, ἐγὼ δὲ φήσας, ἀπολοίμην εἰ μή σε πείσαιμι, διέτρεψε παραχρῆμα, καὶ μετέθηκε. Πολέμων δὲ λοιδοροῦντος αὐτὸν ἀνθρώπου φιλολίθου καὶ περὶ σφραγίδια πολυτελῆ νοσοῦντος, ἀπεκρίνατο μὲν οὐδὲν, τῶν σφραγιδίων δὲ ἑνὶ προσεῖχε τὸν νοῦν, καὶ κατεμάνθανεν· ἡσθεὶς οὖν ὁ ἄνθρωπος, μὴ οὕτως εἶπεν ὦ Πολέμων, ἀλλ᾽ ὑπ᾽ αὐγὰς θεῶ καὶ πολύ σοι βέλτιον φανεῖται. ὁ δ᾽ Ἀρίστιππος ὀργῆς αὐτῷ πρὸς Αἰσχίνην γενομένης, καί τινος εἰπόντος ὦ Ἀρίστιππε ποῦ ὑμῶν ἡ φιλία, καθεύδει φησίν, ἐγὼ δὲ αὐτὴν ἐγερῶ· καὶ τῷ Αἰσχίνῃ προσελθὼν εἶπεν, οὕτως σοι δοκῶ παντάπασιν ἀτυχής τις εἶναι καὶ ἀνήκεστος, ὥστε μὴ νουθεσίας τυχεῖν; ὁ δ᾽ Αἰσχίνης, οὐδὲν ἔφη θαυμαστὸν, εἰ πρὸς πάντα τῇ φύσει μου διαφέρων, κἀνταῦθα τὸ δέον πρότερος συνεῖδες. καὶ γὰρ κάπρον φριξαύχενα, οὐ μόνον γυνὴ, παῖς δ᾽ ἂν νεογνὸς χειρὶ προσκνήθων νέα, κλίναι παλαιστοῦ παντὸς εὐμαρέστερον. ἀλλ᾽ ἡμεῖς ἀγριαίνοντα τιθασεύομεν ζῶα, καὶ πραΰνομεν λυκιδεῖς, καὶ σκύμνους λεόντων ἐν ταῖς ἀγκάλαις περιφέροντες, εἶτα καὶ τέκνα καὶ φίλους καὶ συνήθεις ἐκβάλλομεν ὑπ᾽ ὀργῆς, οἰκέταις δὲ καὶ πολίταις τὸν θυμὸν ὥσπερ θηρίον ἀφίεμεν, οὐ καλῶς ὑποκοριζόμενοι μισοπονηρίαν, ἀλλ᾽ ὥσπερ οἶμαι τῶν ἄλλων παθῶν ψυχῆς καὶ νοσημάτων, τὸ μὲν πρόνοιαν, τὸ δὲ ἐλευθεριότητα, τὸ δὲ εὐσέβειαν καλοῦντες, οὐδενὸς ἀπαλλαγῆναι δυνάμεθα. καί τοι καθάπερ ὁ Ζήνων ἔλεγε, τὸ σπέρμα σύμμιγμα καὶ κέρασμα τῶν τῆς ψυχῆς δυνάμεων ὑπάρχειν ἀπεσπασμένον, οὕτως ἔοικε τῶν παθῶν πανσπερμία τις ὁ θυμὸς εἶναι·

εἶναι· καὶ γὰρ λύπης ἀπέσπασται, καὶ ἡδονῆς καὶ ὕβρεως, καὶ φθόνου μὲν ἔχει τὴν ἐπιχαιρεκακίαν, φόνου δὲ καὶ χεῖρόν ἐστιν, ἀγωνίζεται γὰρ οὐχὶ μὴ παθεῖν αὐτὸς, ἀλλὰ παθεῖν κακῶς ἐπιτρίψας ἕτερον, ἐπιθυμίας δὲ αὐτῷ τὸ ἀτερπέστερον ἐμπέφυκεν, εἴγε δὴ τοῦ λυπεῖν ἕτερον ὄρεξίς ἐστι. διὸ τῶν μὲν ἀσώτων ταῖς οἰκίαις προσιόντες, αὐλητρίδος ἀκούομεν ἑωθινῆς, καὶ πηλὸν ὥς τις εἶπεν οἴνου, καὶ σπαράγματα στεφάνων, καὶ κραιπαλῶντας ὁρῶμεν ἐπὶ θύραις ἀκολούθους, τὰ δὲ τῶν πικρῶν ἐγκαλύμματα καὶ δυσκόλων, ἐν τοῖς προσώποις τῶν οἰκετῶν ὄψει, καὶ τοῖς στίγμασι καὶ ταῖς πέδαις, αἰεὶ δὲ ἀοιδῶν μοῦνος ἐν στέγαις ὀργίλου ἀνδρὸς κωκυτὸς ἐμπέπτωκε, μαστιγουμένων ἔνδον οἰκονόμων, καὶ στρεβλουμένων θεραπαινίδων, ὥστε τοῦ θυμοῦ τὰς λύπας ἐν ταῖς ἐπιθυμίαις καὶ ταῖς ἡδοναῖς οἰκτείρειν ὁρῶντας. οὐ μὴν ἀλλ᾽ ὅσοις γε συμβαίνει διὰ μισοπονηρίαν ἀληθῶς ἁλίσκεσθαι πολλάκις ὑπὸ ὀργῆς, τὸ ἄγαν ἀφαιρετέον αὐτῆς καὶ τὸ ἄκρατον ἅμα τῇ σφοδρᾷ πίστει περὶ τῶν συνόντων, αὕτη γὰρ αὔξει μάλιστα τῶν αἰτιῶν τὸν θυμὸν, ὅταν ἢ χρηστὸς ὑποληφθεὶς ἀναφανῇ μοχθηρὸς, ἢ φιλεῖν δόξας, ἐν διαφορᾷ τινὶ καὶ μέμψει γένηται. τὸ δὲ ἐμὸν ἦθος, εἶδας δήπουθεν ἡλίκαις ῥοπαῖς φέρεται πρὸς εὔνοιαν ἀνθρώπων καὶ πίστιν, ὥσπερ οὖν οἱ κατὰ κενοῦ βαίνοντες, ὅπου μᾶλλον ἐπερείδω τῷ φιλεῖν ἐμαυτὸν, ἁμαρτάνω μᾶλλον, καὶ σφαλλόμενος ἀνιῶμαι, καὶ τοῦ μὲν φιλεῖν ἀπαρύσαι τὸ ἐμπαθὲς ἄγαν καὶ πρόθυμον, οὐκ ἂν ἔτι δυνηθείην· τοῦ δὲ πιστεύειν σφόδρα, χρησαίμην ἂν ἴσως χαλινῷ, τῇ Πλάτωνος εὐλαβείᾳ· καὶ γὰρ Ἑλίκωνα τὸν μαθηματικὸν, οὕτως ἐπαινεῖν φησιν, ὡς φύσει εὐμετάβολον ζῶον, καὶ τοὺς τεθραμμένους ἐν τῇ πόλει καλῶς, δεδιέναι, μὴ ἄνθρωποι καὶ σπέρματα ἀνθρώπων ὄντες, ἐκφήνωσί που τῆς φύσεως τὴν ἀσθένειαν. ὁ δὲ Σοφοκλῆς λέγων ὅτι τὰ πλεῖστα φωρῶν αἰσχρὰ φωράσεις βροτῶν, ἄγαν ἔοικεν ἡμῖν ἐπεμβαίνειν καὶ κολούειν. οὐ μὴν ἀλλὰ τὸ δύσκολον τοῦτο τῆς κρίσεως καὶ φιλαίτιον, εὐκολωτέρους ποιεῖ ταῖς ὀργαῖς· ἐκστατικὸν γάρ ἐστι τὸ ἄφνω καὶ τὸ ἀπροσδόκητον, δεῖ δὲ ὥς που καὶ Παναίτιος ἔφη, χρῆσθαι τῷ Ἀναξαγόρᾳ, καὶ καθάπερ ἐκεῖνος ἐπὶ τῇ τελευτῇ τοῦ παιδὸς εἶπεν, ᾔδειν ὅτι θνητὸν ἐγέννησα, τοῦτο τοῖς παροξύνουσιν ἕκαστον ἐπιφωνεῖν ἁμαρτήμασιν, ᾔδειν ὅτι σοφὸν οὐκ ἐπριάμην δοῦλον, ᾔδειν ὅτι ἀπαθῆ τὸν φίλον οὐκ ἐκτησάμην, ᾔδειν ὅτι τὴν γυναῖκα, γυναῖκα εἶχον. ἂν δὲ κἀκεῖνό τις ἐπιφθεγγόμενος ἀεὶ τὸ τοῦ Πλάτωνος, ἦ που ἆρ᾽ ἐγὼ τοιοῦτος; ἔξωθεν εἴσω τὸν λογισμὸν ἀναστρέφῃ καὶ παρεμβάλλῃ ταῖς μέμψεσι τὴν εὐλάβειαν, οὐ πολλῇ χρήσεται μισοπονηρίᾳ πρὸς ἑτέρους, πολλῆς ὁρῶν ἑαυτὸν συγγνώμης δεόμενον, νῦν δὲ ἕκαστος ἡμῶν ὀργιζόμενος καὶ κολάζων, Ἀριστείδου φωνὰς ἐπιφέρει καὶ Κάτωνος, μὴ κλέπτε, μὴ ψεῦδου, διατί ῥᾳθυμεῖς. καὶ ὃ δὴ πάντων αἴσχιστόν ἐστιν, ὀργιζομένοις ἐπιτιμῶμεν μετ᾽ ὀργῆς, καὶ τὰ διὰ θυμὸν ἡμαρτημένα, θυμῷ κολάζομεν, οὐχ ὥσπερ οἱ ἰατροὶ πικρῷ πικρὰν κλύζουσι φαρμάκῳ χολὴν, ἀλλὰ μᾶλλον ἐπιτείνοντες καὶ προσεκταράττοντες. ὅταν οὖν ἐν τούτοις γένωμαι τοῖς ἐπιλογισμοῖς, ἅμα τι πειρῶμαι καὶ τοῦ πολυπράγμονος ἀφαιρεῖν· τὸ γὰρ ἐξακριβοῦν ἅπαντα καὶ φωρᾶν, καὶ πᾶσαν ἕλκειν εἰς μέσον ἀσχολίαν οἰκέτου, καὶ πρᾶξιν φίλου, καὶ διατριβὴν υἱοῦ, καὶ ψιθυρισμὸν γυναικὸς, ὀργὰς φέρει πολλὰς καὶ συνεχεῖς, καὶ καθημερινὰς, ὧν δυσκολία τρόπου καὶ χαλεπότης τὸ κεφάλαιόν ἐστι. ὁ μὲν οὖν θεὸς ὥς Εὐριπίδης φησὶ, τῶν ἄγαν ἅπτεται, τὰ μικρὰ δὲ εἰς τύχην ἀφεὶς ἐᾷ, ἐγὼ δὲ τῇ τύχῃ μὲν οὐδὲν οἶμαι δεῖν ἐπιτρέπειν, οὐδὲ παρορᾶν τὸν νοῦν ἔχοντα, πιστεύειν δὲ καὶ χρῆσθαι τὰ μὲν γυναικὶ, τὰ δὲ οἰκέταις, τὰ δὲ φίλοις, ὥσπερ ἄρχουσιν ἀρχόντων ἐπιτρόποις τισὶ καὶ λογισταῖς καὶ διοικηταῖς, αὐτὸν δὲ

τῶν κυριωτάτων ὄντα τῷ λογισμῷ καὶ μεγίστων. ὡς γὰρ τὰ λεπτὰ γράμματα
τὴν ὄψιν, οὕτω τὰ μικρὰ πράγματα μᾶλλον ἐντείνοντα, νύττει καὶ ταράττει
τὴν ὀργήν, ἔθος πονηρὸν ἐπὶ τὰ μείζονα λαμβάνουσαν. ἐπὶ πᾶσι τούτοις τὸ
μὲν τοῦ Ἐμπεδοκλέους, μέγα καὶ θεῖον ἡγούμην τὸ νηστεῦσαι κακότητος. ἐπῄνουν δὲ
κἀκείνας, ὡς οὐκ ἀχαρίστους οὐδὲ ἀφιλοσόφους ἐν εὐχαῖς ὁμολογίας ἐνιαυτὸν ἀφρο-
δισίων ἁγνεῦσαι καὶ οἴνου, τιμῶντας ἐγκρατείᾳ τὸν θεόν, ἢ ψευδολογίας πά-
λιν ἀπέχεσθαι χρόνον ὡρισμένον, αὑτοῖς προσέχοντας πῶς ἀληθεύσομεν ἔν γε
παιδιᾷ καὶ μετὰ σπουδῆς ἁπάσης. εἶτα ταύταις τὴν ἐμαυτοῦ παρέβαλλον ψυ-
χήν, ὡς οὐχ ἧττον θεοφιλῆ καὶ ἱερὰς ἡμέρας πρῶτον ἀοργήτους ὀλίγας, οἷον
ἀμεθύστους καὶ ἀοίνους διαγαγεῖν, ὥσπερ νηφάλια καὶ μελίσπονδα θύοντα,
εἶτα μῆνα καὶ δύο πειρώμενος ἐμαυτοῦ κατὰ μικρόν, οὕτω τῷ χρόνῳ προὔβαι-
νον εἰς τὸ πρόσθεν τῆς ἀνεξικακίας ἐγκρατῶς προσέχων καὶ διαφυλάττων μετ'
εὐφημίας ἵλεω καὶ ἀμήνιτον ἐμαυτὸν ἁγνεύοντα καὶ λόγων πονηρῶν, καὶ πρά-
ξεων ἀτόπων, καὶ πάθους, ἐφ' ἡδονῇ μικρᾷ καὶ ἀχαρίστῳ, ταραχάς τε μεγάλας
καὶ μεταμέλειαν αἰσχίστην φέροντος. ὅθεν οἶμαι καὶ θεοῦ τι συλλαμβάνοντος,
ἐσαφήνιζεν ἡ πεῖρα τὴν κρίσιν ἐκείνην, ὅτι τὸ ἵλεων τοῦτο καὶ πρᾶον καὶ φιλάν-
θρωπον, οὐδενὶ τῶν συνόντων εὐμενὲς ἐστὶν οὕτω καὶ φίλον καὶ ἄλυπον, ὡς αὐ-
τοῖς τοῖς ἔχουσιν.

ΠΕΡΙ ΠΟΛΥΠΡΑΓΜΟΣΥΝΗΣ.

ἀ

Πνουν ἢ σκοτεινὴν ἢ δυσχείμερον οἰκίαν ἢ νοσώδη, φυγεῖν μὲν ἴσως
ἄριστον, ἂν δὲ φιλοχωρῇ τις ὑπὸ συνηθείας, ἔστι καὶ φῶτα μετα-
θέντα, καὶ κλίμακα μεταβαλόντα, καὶ θύρας τινὰς ἀνοίξαν-
τα, τὰς δὲ κλείσαντα, λαμπροτέραν, εὐπνουστέραν, ὑγιεινοτέραν
ἐργάσασθαι. καὶ πόλεις τινὲς οὕτω μεταθέντες, ὠφέλησαν,
ὥσπερ τὴν ἐμὴν πατρίδα πρὸς ζέφυρον ἄνεμον κεκλιμένην,
καὶ τὸν ἥλιον ἐρείδοντα δείλης ἀπὸ τοῦ Παρνασσοῦ δεχομένην, ἐπὶ τὰς ἀνατο-
λὰς στραφῆναι λέγουσιν ὑπὸ τοῦ Χαίρωνος. ὁ δὲ φυσικὸς Ἐμπεδοκλῆς ὄρους τι-
νὰ διασφάγα βαρὺν καὶ νοσώδη κατὰ τῶν πεδίων τὸν νότον ἐμπνέουσαν ἐμφρά-
ξας, λοιμὸν ἔδοξεν ἐκκλεῖσαι τῆς χώρας. ἐπεὶ τοίνυν ἐστί τινα πάθη νοσώ-
δη καὶ βλαβερὰ καὶ χειμῶνα παρέχοντα τῇ ψυχῇ καὶ σκότος, ἄριστον μὲν ἐξω-
θεῖν ταῦτα καὶ καταλύειν εἰς ἔδαφος, αἰθρίαν καὶ φῶς καὶ πνεῦμα καθαρὸν δι-
δόντας ἑαυτοῖς. εἰ δὲ μή, μεταλαμβάνειν γε καὶ μεθαρμόττειν ἄλλως γέ πως πε-
ριάγοντας ἢ στρέφοντας. οἷον εὐθὺς ἡ πολυπραγμοσύνη, φιλομάθειά τίς ἐστιν
ἀλλοτρίων κακῶν, οὔτε φθόνου δοκοῦσα καθαρεύειν νόσος, οὔτε κακοηθείας.
τί τἀλλότριον ἄνθρωπε βασκανώτατε κακὸν ὀξυδερκεῖς, τὸ δ' ἴδιον παραβλέ-
πεις, μετάθες ἔξωθεν, καὶ μετάστρεψον εἴσω τὴν πολυπραγμοσύνην, εἰ χαί-
ρεις κακῶν μεταχειριζόμενος ἱστορίαν, ἔχεις οἴκοι πολλὴν διατριβήν, ὅσσον ὕδωρ
κατ' Ἀλιζόνος, ἢ δρυὸς ἀμφὶ πέτηλα, τοσοῦτον πλῆθος εὑρήσεις ἁμαρτημάτων
ἐν τῷ βίῳ, καὶ παθῶν ἐν τῇ ψυχῇ, καὶ παροραμάτων ἐν τοῖς καθήκουσιν.
ὡς γὰρ ὁ Ξενοφῶν λέγει τοῖς οἰκονομικοῖς ἴδιον εἶναι τῶν ἀμφὶ θυσίαν σκευῶν,
ἴδιον τῶν ἀμφὶ δεῖπνα τόπον, ἀλλαχοῦ κεῖσθαι τὰ γεωργικά, χωρὶς τὰ πρὸς πό-
λεμον, οὕτω σοι τὰ μὲν ἐστὶν ἀπὸ φθόνου κακὰ κείμενα, τὰ δ' ἀπὸ ζηλοτυπίας,
τὰ δ' ἀπὸ δειλίας, τὰ δ' ἀπὸ μικρολογίας. ταῦτα ἔπελθε, ταῦτα ἀναθεώ-
ρησον, τὰς εἰς γειτόνων θυρίδας, καὶ τὰς παρόδους τῆς πολυπραγμοσύνης

ἔμφραξον, ἑτέρας δ' ἄνοιξον εἰς τὴν ἀνδρωνῖτιν τὴν σεαυτοῦ φέρουσας, εἰς τὴν
γυναικωνῖτιν, εἰς τὰς τῶν θεραπόντων διαίτας, ἐνταῦθα ἔχει διατριβὰς οὐκ ἀ-
χρήστους, οὐδὲ κακοήθεις, ἀλλ' ὠφελίμους καὶ σωτηρίους, τὸ φιλοπευθὲς τοῦτο
καὶ φιλοπράγμον, ἑκάστου πρὸς ἑαυτὸν λέγοντος, πῇ παρέβην, τί δ' ἔρεξα, τί
μοι δέον οὐκ ἐτελέσθη; νῦν δὲ ὥσπερ ἐν τῷ μύθῳ τὴν Λάμιαν λέγουσιν οἴκοι
μὲν εὕδειν, τυφλὴν ἐν ἀγγείῳ τινὶ τοὺς ὀφθαλμοὺς ἔχουσαν ἀποκειμένους, ἔξω
δὲ προϊοῦσαν ἀποτίθεσθαι καὶ βλέπειν, οὕτως ἡμῶν ἕκαστος ἔξω καὶ πρὸς ἑτέ-
ρους τῇ κακονοίᾳ τὴν περιεργίαν ὥσπερ ὀφθαλμὸν ἐντίθησι, τοῖς δὲ ἑαυτῶν
ἁμαρτήμασι καὶ κακοῖς πολλάκις περιπταίομεν ὑπὸ ἀγνοίας, ὄψιν ἐπ' αὐτὰ
καὶ φῶς οὐ πορίζόμενοι. διὸ καὶ τοῖς ἐχθροῖς ὠφελιμώτερός ἐστιν ὁ πολυπράγ-
μων. τὰ γὰρ ἐκείνων ἐλέγχει καὶ προφέρεται, καὶ δείκνυσιν αὐτοῖς ἃ δεῖ φυ-
λάξασθαι καὶ διορθῶσαι, τῶν δὲ οἴκοι τὰ πλεῖστα παρορᾷ διὰ τὴν περὶ τὰ ἔξω
πτόησιν. ὁ μὲν γὰρ Ὀδυσσεύς, οὐδὲ τῇ μητρὶ διαλεχθῆναι πρότερον ὑπέμεινεν, ἢ πυ-
θέσθαι παρὰ τοῦ μάντεως, ὧν ἕνεκα ἦλθεν εἰς ᾅδου. πυθόμενος δὲ τοῦτο, πρός
τε ταύτην ἔστρεψεν αὑτόν, καὶ τὰς ἄλλας γυναῖκας ἀνέκρινε, τίς ἡ Τυρώ, καὶ
τίς ἡ καλὴ Χλωρίς, καὶ διὰ τί ἡ Ἐπικάστη ἀπέθανεν, ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑ-
ψηλοῖο δόμοιο. ἡμεῖς δὲ τὰ καθ' ἑαυτοὺς ἐν πολλῇ ῥαθυμίᾳ καὶ ἀγνοίᾳ θέμενοι καὶ
ἀμελήσαντες, ἑτέρους γενεαλογοῦμεν, ὅτι τοῦ γείτονος ὁ πάππος ἦν Σύρος, Θρᾷτ-
τα δὲ ἡ τίτθη, ὁ δεῖνα δὲ ὀφείλει τάλαντα τρία, καὶ τοὺς τόκους οὐκ ἀποδέδω-
κεν. ἐξετάζομεν δὲ καὶ τὰ τοιαῦτα, πόθεν ἡ γυνὴ τοῦ δεῖνος ἐπανήρχετο, τί δὲ
ὁ δεῖνα καὶ ὁ δεῖνα καθ' ἑαυτοὺς ἐν τῇ γωνίᾳ διελέγοντο. Σωκράτης δὲ περιῄει
διαπορῶν, τί Πυθαγόρας λέγων ἔπειθε, καὶ Ἀρίστιππος Ὀλυμπίασιν Ἰσχομάχῳ
συμβαλὼν ἠρώτα, τί Σωκράτης διαλεγόμενος, οὕτω τοὺς νέους διατίθησι, καὶ
μικρὰ ἄττα τῶν λόγων αὐτοῦ σπέρματα καὶ δείγματα λαβών, οὕτως ἐμπα-
θῶς ἔσχεν, ὥστε τῷ σώματι συμπεσεῖν, καὶ γενέσθαι παντάπασιν ὠχρὸς καὶ
ἰσχνός, ἄχρις οὗ πλεύσας Ἀθήναζε διψῶν καὶ διακεκαυμένος, ἠρύσατο τῆς πη-
γῆς, καὶ τὸν ἄνδρα καὶ τοὺς λόγους αὐτοῦ καὶ τὴν φιλοσοφίαν ἱστόρησεν, ἧς ἦν
τέλος, ἐπιγνῶναι τὰ ἑαυτοῦ κακὰ καὶ ἀπαλλαγῆναι. ἀλλ' ἔνιοι τὸν ἴδιον βίον
ὡς ἀτερπέστατον θέαμα, προσιδεῖν οὐχ ὑπομένουσιν, οὐδ' ἀνακλάσαι τὸν λογισμόν,
ὡς φῶς ἐφ' ἑαυτοὺς καὶ περιαγαγεῖν, ἀλλ' ἡ ψυχὴ γέμουσα κακῶν παντοδα-
πῶν καὶ φρίττουσα καὶ φοβουμένη τὰ ἔνδον, ἐκπηδᾷ θύραζε καὶ πλανᾶται,
περὶ τἀλλότρια, βόσκουσα καὶ πιαίνουσα τὸ κακόηθες. ὡς γὰρ ὄρνις ἐν οἰ-
κίᾳ πολλάκις τροφῆς παρακειμένης εἰς γωνίαν καταδῦσα σκαλεύει ἔνθα δὲ καὶ
διαφαίνεθ' ἅτ' ἐν κοπρίᾳ μία κριθή. παραπλησίως οἱ πολυπράγμονες, ὑπερ-
βάντες τοὺς ἐν μέσῳ λόγους καὶ ἱστορίας καὶ ἃ μηδεὶς κωλύει πυνθάνεσθαι,
μηδὲ ἄχθεται πυνθανομένοις, τὰ κρυπτόμενα καὶ λανθάνοντα κακά, πάσης οἰ-
κίας ἐκλέγουσι. καίτοι γε τὸ τοῦ Αἰγυπτίου χάριεν, πρὸς τὸν ἐρωτῶντα τί
φέρει συγκεκαλυμμένον, διὰ τοῦτο συγκεκάλυπται. καὶ σὺ δὴ τί πολυπραγμονεῖς
τὸ ἀποκρυπτόμενον, εἰ μή τι κακὸν ἦν, οὐκ ἂν ἀπεκρύπτετο. καίτοι μὴ κόψαν-
τά γε θύραν εἰς οἰκίαν ἀλλοτρίαν οὐ νομίζεται παρελθεῖν, ἀλλὰ νῦν μὲν εἰσὶ θυ-
ρωροί, πάλαι δὲ ῥόπτρα κρουόμενα πρὸς ταῖς θύραις, αἴσθησιν παρεῖχεν, ἵνα
μὴ τὴν οἰκοδέσποιναν ἐν μέσῳ καταλάβῃ ὁ ἀλλότριος, ἢ τὴν παρθένον, ἢ κολαζό-
μενον οἰκέτην, ἢ κεκραγυίας τὰς θεραπαινίδας. ὁ δὲ πολυπράγμων, ἐπ' αὐ-
τὰ ταῦτα παραδύεται, σώφρονος μὲν οἰκίας καὶ καθεστώσης, οὐδ' ἂν παρα-
καλῇ τις ἡδέως γενόμενος θεατής. ὧν δὲ ἕνεκα κλεὶς καὶ μοχλὸς καὶ αὔλειος,
ταῦτα ἀνακαλύπτων καὶ φέρων εἰς τὸ μέσον ἑτέροις. καίτοι καὶ τῶν ἀνέμων

μάλιστα δυσχεραίνομεν, ὥς ἀρίστων φησὶν, ὅσοι τὰς περιβολὰς ἀνασείουσιν ἡμῶν· ὁ δὲ πολυπράγμων, οὐ τὰ ἱμάτια τῶν πέλας, οὐδὲ τοὺς χιτῶνας, ἀλλὰ τοὺς τοίχους ἀπαμφιέννυσι, τὰς θύρας ἀναπεταννύει, καὶ διὰ παρθενικῆς ἁπαλόχροος, ὡς πνεῦμα διαδύεται καὶ διέρπει, βακχεῖα καὶ χορεῖα καὶ παννυχίδας ἐξετάζων, καὶ συκοφαντῶν. καὶ καθάπερ τοῦ κωμῳδουμένου κλέωνος τὼ χεῖρ' ἐν αἰτωλοῖς, ὁ δὲ νοῦς ἐν κλωπιδῶν· οὕτω τοῦ πολυπράγμονος ὁ νοῦς, ἅμα ἐν πλουσίων οἴκοις ἐστὶν, ἐν δωματίοις πενήτων, ἐν αὐλαῖς βασιλέων, ἐν θαλάμοις νεογάμων, πάντα πράγματα ζητεῖ, τὰ ξένων, τὰ ἡγεμόνων, οὐδὲ ἀκινδύνως ταῦτα ζητῶν, ἀλλ' οἷον εἴ τις ἀκονίτου γεύοιτο, πολυπραγμονῶν τὴν ποιότητα, φθάσει τῆς αἰσθήσεως προανελὼν τὸν προαισθόμενον, οὕτως οἱ τὰ τῶν μειζόνων κακὰ ζητοῦντες, προαναλίσκουσι τῆς γνώσεως ἑαυτούς. καὶ γὰρ οἱ τοῦ ἡλίου τὴν ἄφθονόν γε ταύτην, καὶ καταχεχυμένην ἅπασιν ἀκτῖνα παρορῶντες, αὐτὸν δὲ τὸν κύκλον ἀναιδῶς καταβλέπειν καὶ διασχίζειν τὸ φῶς εἴσω βιαζόμενοι, καὶ τολμῶντες ἀποτυφλοῦνται. διὸ καλῶς φιλιππίδης ὁ κωμῳδοποιὸς, ἐρῶντος αὐτῷ ποτε λυσιμάχου τοῦ βασιλέως, τίνος σοι τῶν ἐμῶν μεταδῶ, μόνον εἶπεν ὦ βασιλεῦ μὴ τῶν ἀπορρήτων. τὰ γὰρ ἥδιστα καὶ κάλλιστα τῶν βασιλέων ἔξω πρόκειται, τὰ δεῖπνα, οἱ πλοῦτοι, αἱ πανηγύρεις, αἱ χάριτες, εἰ δέ τι ἀπόρρητόν ἐστι, μὴ προσέλθῃς, μηδὲ κινήσεις. οὐ κρύπτεται χαρὰ βασιλέως εὐτυχοῦντος, οὐδὲ γέλως παίζοντος, οὐδὲ φιλανθρωπίας παρασκευὴ καὶ χάριτος· φοβερόν ἐστι τὸ κρυπτόμενον, σκυθρωπὸν, ἀγέλαστον, δυσπρόσιτον, ὀργῆς τινος ὑπούλου θησαυρὸς, ἢ τιμωρίας βαρυθύμου σκέψις, ἢ ζηλοτυπία γυναικὸς, ἢ πρὸς υἱὸν ὑποψία τις, ἢ πρὸς φίλον ἀπιστία· φεῦγε τὸ μελανὸν τοῦτο καὶ συνιστάμενον νέφος, οὐ λήσεταί σε βροντῆσαν, οὐδὲ ἀστράψαν, ὅταν ἐκραγῇ τὸ νῦν κρυπτόμενον. τίς οὖν ἡ φυγή; περισπασμὸς ὡς εἴρηται καὶ μεθολκὴ τῆς πολυπραγμοσύνης, μάλιστα μὲν ἐπὶ τὰ βελτίω καὶ τὰ ἡδίω τρέψαι τὴν ψυχὴν, τὰ ἐν οὐρανῷ πολυπραγμόνει, τὰ ἐν γῇ, τὰ ἐν ἀέρι, τὰ ἐν θαλάττῃ. μικρῶν πέφυκας ἢ μεγάλων θεάμων· εἰ μεγάλων, ἥλιον πολυπραγμόνει, ποῦ κάτεισι, καὶ πόθεν ἄνεισι, ζήτει τὰς ἐν σελήνῃ καθάπερ ἐν ἀνθρώπῳ μεταβολὰς, ποῦ τοσοῦτον κατηνάλωσε φῶς, πόθεν αὖθις ἐκτήσατο, πῶς ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα πρόσωπα καλλύνουσα καὶ πληρουμένη· χ' ὥταν περ αὐτῆς εὐγενεστάτη φανῇ, πάλιν διαρρεῖ, κἀπὶ μηδὲν ἔρχεται καὶ ταῦτα ἀπόρρητά ἐστι φύσεως, ἀλλ' οὐκ ἄχθεται τοῖς ἐλέγχουσιν. ἀλλὰ τῶν μεγάλων ἀπέγνωκας; πολυπραγμόνει τὰ μικρότερα, πῶς τῶν φυτῶν τὰ μὲν ἀεὶ τέθηλε καὶ χλοάζει καὶ ἀγάλλεται παντὶ καιρῷ, τὸν ἑαυτῶν ἐπιδεικνύμενα πλοῦτον, τὰ δὲ νῦν μὲν ἐστὶν ὅμοια τούτοις, νῦν δὲ ὥσπερ ἀνοικονόμητος ἄνθρωπος ἀθρόως ἐκχέαντα τὴν περιουσίαν, γυμνὰ καὶ πτωχὰ καταλείπεται. διατί δὲ τὰ μὲν, προμήκεις, τὰ δὲ γωνιώδεις, τὰ δὲ στρογγύλους καὶ περιφερεῖς ἐκδίδωσι καρπούς. ἴσως δὲ ταῦτα οὐ πολυπραγμονήσεις, ὅτι τούτοις οὐδὲν κακόν ἐστιν, ἀλλ' εἰ δεῖ πάντως τὸ περίεργον ἐν φαύλοις τισὶν ὥσπερ ἑρπετὸν ἐν θανασίμοις ὕλαις ἀεὶ νέμεσθαι καὶ διατρίβειν, ἐπὶ τὰς ἱστορίας ἄγωμεν αὐτὸ, καὶ παραβάλωμεν ἀφθονίαν κακῶν καὶ περιουσίαν. ἐνταῦθα γὰρ ἔνεισι πτώματα ἀνδρῶν καὶ ἀποπλακτισμοὶ βίων, φθοραὶ γυναικῶν, ἐπιθέσεις οἰκετῶν, διαβολαὶ φίλων, παρασκευαὶ φαρμάκων, φθόνοι, ζηλοτυπίαι, ναυάγια οἴκων, ἐκπτώσεις ἡγεμόνων, ἐμπίπλασο καὶ τέρπε σαυτὸν, ἐνοχλῶν μηδενὶ τῶν συνόντων, μηδὲ λυπῶν. ἀλλ' ἔοικεν ἡ πολυπραγμοσύνη, μὴ χαίρειν ἑώλοις κακοῖς, ἀλλὰ θερμοῖς καὶ προσφάτοις, καὶ καινὰς τραγῳδίας ἡδέως θεᾶσθαι· τοῖς δὲ κωμικοῖς καὶ ἱλα-

ρωτέροις πράγμασιν, οὐ μάλα προθύμως ὁμιλεῖν. διὸ γάμον μέν τινος ἢ θυσίαν, ἢ προπομπὴν διεξιόντος, ἀμελὴς ὁ πολυπράγμων καὶ ῥάθυμος ἀκροατής ἐστι, καὶ προακηκοέναι τὰ πλεῖστά φησι, καὶ κελεύει ταῦτα συντεμεῖν, καὶ παρέρχεσθαι τὸν διηγούμενον. ἂν δ' ἢ φθοράν τις παρθένου παρακαθήμενος, ἢ μοιχείαν γυναικὸς, ἢ δίκης παρασκευὴν, ἢ στάσιν ἀδελφῶν διηγεῖται, οὔτε νυστάζει, οὔτε ἀσχολεῖται, ἀλλά τε δίζηται ἐπέων, παρά τ' οὔατα βάλλει, καὶ τὸ οἴμοι τὸ κακὸν τῆς εὐτυχίας, ὡς μᾶλλον ἐς οὖς φέρεται θνητῶν, ἐπὶ τῶν πολυπραγμόνων εἰρημένον ἐστὶν ἀληθῶς. ὡς γὰρ αἱ σικύαι τὸ χεῖριστον ἐκ τῆς σαρκὸς ἕλκουσιν, οὕτω τὰ τῶν πολυπραγμόνων ὦτα τοὺς φαυλοτάτους λόγους ἐπισπᾶται. μᾶλλον δὲ ὥσπερ αἱ πόλεις ἔχουσί τινας πύλας ἀποφράδας καὶ σκυθρωπὰς δι' ὧν ἐξάγουσι τοὺς θανατουμένους, καὶ τὰ λύματα καὶ τοὺς καθαρμοὺς ἐκβάλλουσιν, εὐαγὲς δὲ οὐδὲν οὐδὲ ἱερὸν εἴσεισιν καὶ διέξεισι δι' αὐτῶν, οὕτω καὶ τὰ τῶν πολυπραγμόνων ὦτα, χρηστὸν οὐδὲν οὐδὲ ἀστεῖον, ἀλλ' οἱ φονικοὶ λόγοι διέρχονται καὶ τρίβουσιν, ἐκθύσιμα καὶ μιαρὰ διηγήματα παρακομίζοντες, ἀεὶ δὲ ἀείδων μοῦνος ἐν στέγαις ἐμαῖς κωκυτὸς ἐμπέπτωκεν. αὕτη τοῖς πολυπράγμοσι μοῦσα καὶ σειρὴν μία, τοῦτο ἥδιστον ἀκουσμάτων αὐτοῖς. ἔστι γὰρ ἡ πολυπραγμοσύνη, φιλοπευστία τῶν ἐν ἀποκρύψει καὶ λανθανόντων, οὐδεὶς δὲ ἀγαθὸν ἀποκρύπτει κεκτημένος, ὅπου καὶ τὰ μὴ ὄντα προσποιοῦνται. κακῶν οὖν ἱστορίας ὁ πολυπράγμων ὀρεγόμενος, ἐπιχαιρεκακίας συνέχεται πάθει φθόνου καὶ βασκανίας ἀδελφῷ. φθόνος μὲν γάρ ἐστι, λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς. ἐπιχαιρεκακία δὲ, ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς. ἀμφότερα δὲ ἐκ πάθους ἀνημέρου καὶ θηριώδους γεγένηται τῆς κακοηθείας. οὕτω δὲ ἑκάστῳ λυπηρόν ἐστιν, ἡ τῶν περὶ αὐτὸν κακῶν ἀνακάλυψις, ὥστε πολλοὺς ἀποθανεῖν πρότερον ἢ δεῖξαί τι τῶν ἀπορρήτων νοσημάτων ἰατροῖς. φέρε γὰρ ἡρόφιλον ἢ ἐρασίστρατον, ἢ τὸν ἀσκληπιὸν αὐτὸν, ὅτε ἦν ἄνθρωπος, ἔχοντα τὰ φάρμακα καὶ τὰ ὄργανα κατ' οἰκίαν παριστάμενον ἀνακρίνειν, μή τις ἔχει σύριγγα παρὰ δακτύλιον, ἢ γυνὴ καρκίνον ἐν ὑστέρᾳ; καίτοι σωτήριόν ἐστι τῆς τέχνης ταύτης τὸ πολύπραγμον, ἀλλὰ πᾶς ἄν τις οἶμαι τὸν τοιοῦτον ἀπήλασεν, ὅτι τὴν χρείαν οὐ περιμένων, ἄκλητος ἐπ' ἀλλοτρίων κακῶν ἔρχεται κατανόησιν. οἱ δὲ πολυπράγμονες αὐτὰ ταῦτα καὶ τὰ τούτων ἔτι χείρονα ζητοῦσιν, οὐ θεραπεύοντες, ἀλλὰ μόνον ἀνακαλύπτοντες· ὅθεν μισοῦνται δικαίως. καὶ γὰρ τοὺς τελώνας βαρυνόμεθα καὶ δυσχεραίνομεν· οὐχ ὅταν τὰ ἐμφανῆ τῶν εἰσαγομένων ἐκλέγωσιν, ἀλλ' ὅταν τὰ κεκρυμμένα ζητοῦντες, ἐν ἀλλοτρίοις σκεύεσι καὶ φορτίοις ἀναστρέφωνται. καίτοι τοῦτο ποιεῖν ὁ νόμος δίδωσιν αὐτοῖς, καὶ βλάπτονται, μὴ ποιοῦντες. οἱ δὲ πολυπράγμονες, ἀπολλύουσι καὶ προΐενται τὰ αὑτῶν, ἀσχολούμενοι περὶ τὰ ἀλλότρια. καὶ σπανίως μὲν εἰς ἀγρὸν βαδίζουσι, τὸ ἥσυχον καὶ σιωπηρὸν τῆς ἐρημίας οὐ φέροντες. ἐὰν δὲ καὶ παραβάλωσι διὰ χρόνου, ταῖς τῶν γειτόνων ἀμπέλοις ἐμβλέπουσι μᾶλλον, ἢ ταῖς ἰδίαις, καὶ πυνθάνονται πόσοι βόες τοῦ γείτονος ἀποτεθνήκασιν, ἢ πόσος οἶνος ὀξίνης γέγονε, ταχὺ δὲ τούτων ἐμπλησθέντες, ἀποτρέχουσιν. ὁ μὲν γὰρ ἀληθινὸς ἐκεῖνος γεωργὸς, οὐδὲ τὸν αὐτομάτως ἐρχόμενον ἐκ πόλεως λόγον, ἡδέως προσδέχεται λέγων, εἶτα μοι σκάπτων ἐρεῖ, ἐφ' οἷς γεγόνασιν αἱ διαλύσεις; ταῦτα γὰρ νῦν πολυπραγμονῶν ὁ κατάρατος, περιπατεῖ. οἱ δὲ πολυπράγμονες, ὡς ἕωλόν τι πρᾶγμα καὶ ψυχρὸν καὶ ἀτράγῳδον φεύγοντες τὴν ἀγροικίαν, εἰς τὸ βῆμα καὶ τὴν ἀγορὰν καὶ τοὺς λιμένας ὠθοῦνται, μή τι καινόν; οὐ γὰρ ἦς πρωῒ κατ' ἀγοράν; τί οὖν ἐν ὥραις τρισὶν οἴει τὴν πόλιν μετακεκομίσθαι; οὐ μὴν ἀλλ' ἂν μέν τις ἔχῃ τι τοιοῦτον εἰπεῖν, καταβὰς ἀπὸ τοῦ

ἵππου, δεξιωσάμενος καὶ καταφιλήσας, ἕστηκεν ἀκροώμενος· ἐὰν δὲ ἀπαντήσας εἴπῃ τις ὅτι οὐθὲν καινόν, ὥσπερ ἀχθόμενος, τί λέγεις φησίν, οὐ γέγονας κατ' ἀγορὰν; οὐ παρελήλυθας τὸ στρατήγιον; οὐδὲ τοῖς ἐξ Ἰταλίας ἥκουσιν ἐντετύχηκας; διὸ καλῶς οἱ τῶν Λοκρῶν ἄρχοντες, ἐπεί γάρ τις ἐξ ἀποδημίας προσιὼν ἠρώτησε μή τι καινόν, ἐζημίωσαν αὐτόν. ὡς γὰρ οἱ μάγειροι φορὰν εὔχονται βοσκημάτων, οἱ δὲ ἁλιεῖς ἰχθύων, οὕτως οἱ πολυπράγμονες εὔχονται φορὰν κακῶν, καὶ πλῆθος πραγμάτων, καὶ καινότητας καὶ μεταβολάς, ἵνα ἀεί τι θηρεύειν καὶ κατακόπτειν ἔχωσιν. εὖ δὲ καὶ ὁ τῶν Θουρίων νομοθέτης, κωμῳδεῖσθαι γὰρ ἐκώλυσε τοὺς πολίτας, πλὴν μοιχοὺς καὶ πολυπράγμονας. ἔοικε γὰρ ἥ τε μοιχεία πολυπραγμοσύνη τις ἀλλοτρίας ἡδονῆς εἶναι, καὶ ζήτησις καὶ ἔρευνα τῶν φυλαττομένων καὶ λανθανόντων τοὺς πολλούς, ἥ τε πολυπραγμοσύνη, παράλυσίς ἐστι καὶ φθορὰ καὶ ἀπογύμνωσις τῶν ἀπορρήτων. τῇ μὲν οὖν πολυμαθείᾳ, τὴν πολυλογίαν ἕπεσθαι συμβαίνει· διὸ καὶ Πυθαγόρας ἔταξε τοῖς νέοις πενταετῆ σιωπήν, ἐχεμυθίαν προσαγορεύσας, τῇ δὲ περιεργίᾳ, τὴν κακολογίαν ἀνάγκη συνακολουθεῖν, ἃ γὰρ ἡδέως ἀκούουσιν, ἡδέως λαλοῦσι, καὶ ἃ παρ' ἄλλων σπουδῇ συλλέγουσι, πρὸς ἑτέρους μετὰ χαρᾶς ἐκφέρουσιν.
ὅθεν αὐτοῖς μετὰ τῶν ἄλλων κακῶν τὸ νόσημα καὶ πρὸς τὴν ἐπιθυμίαν ἐμπόδιόν ἐστι, πάντες γὰρ αὐτοὺς φυλάττονται καὶ ἀποκρύπτονται, καὶ οὔτε πρᾶξαί τι πολυπράγμονος ὁρῶντος, οὔτε εἰπεῖν ἀκούοντος ἡδέως ἔχουσιν, ἀλλὰ καὶ βουλὰς ἀνατίθενται, καὶ σκέψεις πραγμάτων ὑπερβάλλονται, μέχρις ἂν ἐκποδὼν ὁ τοιοῦτος γένηται, κἂν ἢ λόγου τινὸς ἀπορρήτου παρόντος ἢ πράξεως σπουδαίας περαινομένης ἀνὴρ πολυπράγμων ἐπιφανῇ, καθάπερ ὄψον γαλῆς παραδραμούσης, αἴρουσιν ἐκ μέσου καὶ ἀποκρύπτουσιν, ὥστε πολλάκις τὰ τοῖς ἄλλοις ῥητὰ καὶ θεατά, τούτοις μόνοις ἄρρητα καὶ ἀθέατα γίνεσθαι. διὸ καὶ πίστεως ἁπάσης ἔρημος ὁ πολυπράγμων ἐστί· οἰκέταις γοῦν καὶ ξένοις πιστεύομεν μᾶλλον ἐπιστολὰς καὶ γράμματα καὶ σφραγῖδας, ἢ φίλοις καὶ οἰκείοις πολυπράγμοσιν. ὁ δὲ Βελλεροφόντης ἐκεῖνος, οὐδὲ καθ' ἑαυτοῦ γράμματα κομίζων ἔλυσεν, ἀλλ' ἀπέσχετο τῆς ἐπιστολῆς τοῦ βασιλέως, ὡς τῆς γυναικὸς διὰ τὴν αὐτὴν ἐγκράτειαν, ἀκρασίας γὰρ τὸ πολυπραγμονεῖν, ὡς καὶ τὸ μοιχεύειν, καὶ πρὸς τῇ ἀκρασίᾳ δεινῆς ἀνοίας καὶ ἀφροσύνης. τὸ γὰρ τοσαύτας παρελθόντα κοινὰς καὶ δεδημοσιωμένας γυναῖκας ἐπὶ τὴν κατάκλειστον ὠθεῖσθαι καὶ πολυτελῆ, πολλάκις δ' αὖ οὕτω τύχῃ καὶ ἄμορφον οὖσαν, ὑπερβολὴ μανίας καὶ παραφροσύνης, ταυτὸν δὲ οἱ πολυπράγμονες ποιοῦσι, πολλὰ καὶ καλὰ θεάματα καὶ ἀκούσματα καὶ σχολὰς καὶ διατριβὰς παρελθόντες, ἐπιστολεῖα διορύττουσιν ἀλλότρια, καὶ παραβάλλουσι γειτόνων τοίχοις τὰ ὦτα, καὶ συμψιθυρίζουσιν οἰκέταις καὶ γυναίοις, πολλάκις μὲν οὐδὲ ἀκινδύνως, ἀεὶ δὲ ἀδόξως. διὸ καὶ χρήσιμον ὡς ἔνι μάλιστα πρὸς τὴν ἀποτροπὴν τοῖς πολυπράγμοσιν, ἡ τῶν προεγνωσμένων ἀνάμνησις· ἂν γὰρ ὥσπερ ὁ Σιμωνίδης ἔλεγε τὰς κιβωτοὺς ἀνοίγων διὰ χρόνου, τὴν μὲν τῶν μισθῶν ἀεὶ μεστήν, τὴν δὲ τῶν χαρίτων εὑρίσκειν κενήν, οὕτως ἂν τῆς πολυπραγμοσύνης τὴν ἀποθήκην ἀνοίγῃ διὰ χρόνου καὶ κατασκέπτηται, πολλῶν ἀχρήστων καὶ ματαίων καὶ ἀτερπῶν γέμουσαν, ἴσως ἂν αὐτῷ τὸ πρᾶγμα προσσταίη, φανὲν ἀηδὲς παντάπασι καὶ φλυαρῶδες.
φέρε γὰρ εἴ τις ἐπιὼν τὰ συγγράμματα τῶν παλαιῶν ἐκλαμβάνοι τὰ κάκιστα τῶν ἐν αὐτοῖς, καὶ βιβλίον ἔχοι συντεταγμένον, οἷον Ὁμηρικῶν στίχων ἀκεφάλων, καὶ τραγικῶν σολοικισμῶν καὶ τῶν ὑπ' Ἀρχιλόχου πρὸς τὰς γυναῖκας ἀπρεπῶς καὶ ἀκολάστως εἰρημένων ἑαυτὸν παραδειγματίζοντος· ἆρ' οὐκ ἔστι

τῆς τραγικῆς κατάρας ἄξιος; ὄλοιο θνητῶν ἐκλέγων τὰς συμφοράς, καὶ αὖθις τῆς κατάρας, ἀπρεπὴς καὶ ἀνωφελὴς ὁ θησαυρισμὸς αὐτοῦ τῶν ἀλλοτρίων ἁμαρτημάτων. ὥσπερ ἡ πόλις ἣν ἐκ τῶν κακίστων καὶ ἀναγωγοτάτων κτίσας ὁ Φίλιππος, Πονηρόπολιν προσηγόρευσεν. οἱ τοίνυν πολυπράγμονες, οὐ στίχων, οὐδὲ ποιημάτων, ἀλλὰ βίων ἀστοχήματα καὶ πλημμελήματα καὶ σολοικισμοὺς ἀναλεγόμενοι καὶ συνάγοντες, ἀμουσότατον καὶ ἀτερπέστατον κακῶν γραμματοφυλακεῖον τὴν ἑαυτῶν μνήμην περιφέρουσιν. ὥσπερ οὖν ἐν Ῥώμῃ τινὲς τὰς γραφὰς καὶ τοὺς ἀνδριάντας καὶ νὴ Δία τὰ κάλλη τῶν ὠνίων παίδων καὶ γυναικῶν ἐν μηδενὶ λόγῳ τιθέμενοι, περὶ τὴν τῶν τεράτων ἀγορὰν ἀναστρέφονται, τοὺς ἀκνήμους καὶ τοὺς γαλεάγκωνας καὶ τοὺς τριοφθάλμους καὶ τοὺς στρουθοκεφάλους καταμανθάνοντες καὶ ζητοῦντες, εἴ τι γεγένηται σύμμικτον εἶδος καὶ ἀποφώλιον τέρας, ἀλλ' ἐὰν συνεχῶς τις ἐπάγῃ τοῖς τοιούτοις αὐτοὺς θεάμασι, ταχὺ πλησμονὴν καὶ ναυτίαν τὸ πρᾶγμα παρέξει, οὕτως οἱ τὰ περὶ τὸν βίον ἀστοχήματα καὶ γενῶν αἴσχη καὶ διαστροφάς τινας ἐν οἴκοις ἀλλοτρίοις καὶ πλημμελείας πολυπραγμονοῦντες, τῶν πρώτων ἀναμιμνησκέτωσαν αὐτούς, ὅτι χάριν καὶ ὄνησιν οὐδὲ μίαν ἤνεγκε. μέγιστον μέντοι πρὸς τοῦ πάθους ἀποτροπὴν ὁ ἐθισμός, ἐὰν πόρρωθεν ἀρξάμενοι γυμνάζωμεν ἑαυτοὺς καὶ διδάσκωμεν ἐπὶ ταύτην τὴν ἐγκράτειαν· καὶ γὰρ ἡ αὔξησις ἔθει γέγονε, τοῦ νοσήματος κατὰ μικρὸν εἰς τὸ πρόσω χωροῦντος· ὃν δὲ τρόπον, εἰσόμεθα περὶ τῆς ἀσκήσεως ὁμοῦ διαλεγόμενοι. πρῶτον μὲν οὖν ἀπὸ τῶν βραχυτάτων καὶ φαυλοτάτων ἀρξώμεθα· τί γὰρ χαλεπόν ἐστιν ἐν ταῖς ὁδοῖς τὰς ἐπὶ τῶν τάφων ἐπιγραφὰς μὴ ἀναγινώσκειν, ἢ τί δυσχερὲς ἐν τοῖς περιπάτοις τὰ κατὰ τῶν τοίχων γράμματα τῇ ὄψει παρατρέχειν· ὑποβάλλοντας αὑτοῖς ὅτι χρήσιμον οὐθὲν οὐδ' ἐπιτερπὲς ἐν τούτοις γέγραπται· ἀλλ' ἐμνήσθη ὁ δεῖνα τοῦ δεῖνος ἐπ' ἀγαθῷ, καὶ φίλων ἄριστος ὅδε τις, καὶ πολλὰ τοιαύτης γέμοντα φλυαρίας, ἃ δοκεῖ μὲν οὐ βλάπτειν ἀναγινωσκόμενα, βλάπτει δὲ λεληθότως, τὴν μελέτην παρεμποιεῖν τοῦ ζητεῖν τὰ μὴ προσήκοντα. καὶ καθάπερ οἱ κυνηγοὶ τοὺς σκύλακας οὐκ ἐῶσιν ἐκτρέπεσθαι καὶ διώκειν πᾶσαν ὀδμὴν, ἀλλὰ τοῖς ῥυτῆρσιν ἕλκουσι καὶ ἀνακρούουσι, καθαρὸν αὐτῶν καὶ ἄκρατον φυλάττοντες τὸ αἰσθητήριον ἐπὶ τὸ οἰκεῖον ἔργον, ἵνα εὐτονώτερον ἐμφύηται τοῖς ἴχνεσι, πράγματα θηρίων μελέων μυκτῆρσιν ἐρευνῶν, οὕτω δεῖ τὰς ἐπὶ πᾶν θέαμα καὶ πᾶν ἄκουσμα τοῦ πολυπράγμονος ἐκδρομὰς καὶ περιπλανήσεις ἀφαιρεῖν καὶ ἀντισπᾶν ἐπὶ τὰ χρήσιμα φυλάττοντας. ὥσπερ γὰρ οἱ ἀετοὶ καὶ οἱ λέοντες ἐν τῷ περιπατεῖν συστρέφουσιν εἴσω τοὺς ὄνυχας, ἵνα μὴ τὴν ἀκμὴν αὐτῶν καὶ τὴν ὀξύτητα κατατρίβωσιν, οὕτω τὸ πολύπραγμον τοῦ φιλομαθοῦς ἀκμήν τινα καὶ στόμωμα νομίζοντες ἔχειν, μὴ καταναλίσκωμεν μηδ' ἀπαμβλύνωμεν ἐν τοῖς χείροσι. δεύτερον τοίνυν ἐθιζώμεθα θύραν παριόντες ἀλλοτρίαν μὴ βλέπειν εἴσω, μηδὲ τῶν ἔνδον ἐπιδράττεσθαι τῇ ὄψει, καθάπερ χειρὶ τῇ περιεργίᾳ, ἀλλὰ τὸ τοῦ Ξενοκράτους ἔχωμεν πρόχειρον, ὃς ἔφη μηδὲν διαφέρειν ἢ τοὺς πόδας ἢ τοὺς ὀφθαλμοὺς εἰς ἀλλοτρίαν οἰκίαν τιθέναι· οὔτε γὰρ δίκαιον οὔτε καλόν, ἀλλ' οὐδὲ ἡδὺ τὸ θέαμα, δύσμορφα μέντοι τἄνδον εἰσιδεῖν ξένε· τὰ γὰρ πολλὰ τοιαῦτα τῶν ἐν ταῖς οἰκίαις σκευάρια κείμενα, καὶ θεραπαινίδια καθεζόμενα, καὶ σπουδαῖον οὐδὲν οὐδὲ ἐπιτερπές· ἡ δὲ συνδιαστρέφουσα τὴν ψυχὴν παραβλέψις αὐτὴ καὶ παρατόξευσις, αἰσχρά, καὶ τὸ ἔθος μοχθηρόν. ὁ μὲν γὰρ Διογένης θεασάμενος εἰσελαύνοντα τὸν ὀλυμπιονίκην Διόξιππον ἐφ' ἅρματος, καὶ γυναικὸς εὐμόρφου θεωμένης τὴν πομπήν, ἀπο-

ἀποσπᾶσαι τὰς ὄψεις μὴ δυνάμενον, ἀλλ' ἀποβλέποντα καὶ παρεπιστρεφόμενον, ὁρᾷ τε ἐπὶ τὸν ἀθλητὴν ἀπὸ παιδισκείου τραχηλιζόμενον; τοὺς δὲ πολυπράγμονας ἴδοις ἂν ἀπὸ παντὸς ὁμοίως θεάματος τραχηλιζομένους καὶ περιαγομένους, ὅταν ἔθος καὶ μελέτη γίνηται τῆς ὄψεως αὐτοῖς πανταχοῦ διαφορουμένης. δεῖ δὲ ὡς οἶμαι, μὴ καθάπερ θεράπαιναν ἀνάγωγον ἔξω ῥέμβεσθαι τὴν αἴσθησιν, ἀλλ' ἀποπεμπομένην ἀπὸ τῆς ψυχῆς ἐπὶ τὰ πράγματα, συντυγχάνειν αὐτοῖς ταχὺ καὶ διαγγέλλειν· εἶτα πάλιν κοσμίως εἴσω τοῦ λογισμοῦ καὶ προσέχειν αὐτῷ. νῦν δὲ συμβαίνει τὸ τοῦ Σοφοκλέους· ἔπειτα δ' αἰνιᾶνος ἀνδρὸς ἄστομοι πῶλοι βίᾳ φέρουσιν, αἱ μὴ τυχοῦσαι παιδαγωγίας, ὥσπερ λέγομεν, ὀρθῆς μηδ' ἀσκήσεως αἰσθήσεις, προεκθέουσαι καὶ συνεφελκόμεναι πολλάκις, εἰς ἃ μὴ δεῖ καταβάλλουσι τὴν διάνοιαν. ὅθεν ἐκεῖνο μὲν ψεῦδός ἐστι τὸ Δημόκριτον ἑκουσίως σβέσαι τὰς ὄψεις ἀπερεισάμενον εἰς ἔσοπτρα πυρωθέντα καὶ τὴν ἀπ' αὐτῶν ἀνάκλασιν δεξάμενον, ὅπως μὴ παρέχωσι θόρυβον, τὴν διάνοιαν ἔξω καλοῦσαι πολλάκις· ἀλλ' ἐῶσιν ἔνδον οἰκουρεῖν καὶ διατρίβειν πρὸς τοῖς νοητοῖς, ὥσπερ παρόδιοι θυρίδες ἐμφραχθεῖσαι. τοῦτο μέντοι παντὸς μᾶλλον ἀληθές ἐστιν, ὅτι τὴν αἴσθησιν ὀλίγα κινοῦσιν οἱ πλεῖστα τῇ διανοίᾳ χρώμενοι, καὶ γὰρ τὰ μουσεῖα πορρωτάτω τῶν πόλεων ἱδρύσαντο, καὶ τὴν νύκτα προσεῖπον εὐφρόνην, μέγα πρὸς εὕρεσιν τῶν ζητουμένων καὶ σκέψιν ἡγούμενοι τὴν ἡσυχίαν καὶ τὸ ἀπερίσπαστον. ἀλλὰ μὴν οὐδ' ἐκεῖνο χαλεπὸν καὶ δύσκολον, ἀνθρώπων λοιδορουμένων ἐν ἀγορᾷ καὶ κακῶς λεγόντων ἀλλήλους, μὴ προσελθεῖν, ἢ συνδρομῆς ἐπί τι πλειόνων γενομένης, μεῖναι καθήμενον, ἐὰν δ' ἀκρατῶς ἔχῃς, ἀπελθεῖν ἀναστάντα. χρηστοῦ μὲν γὰρ οὐδενὸς τοῖς πολυπραγμονοῦσιν ἀναμίξας σεαυτὸν ἀπολαύσεις, μεγάλα δ' ὠφεληθήσῃ τὸ πολύπραγμον ἀποστρέψας βίᾳ καὶ κολούσας, ὑπακούειν τῷ λογισμῷ συνεθιζόμενον. ἐκ δὲ τούτου μᾶλλον ἐπιτείνοντα τὴν ἄσκησιν ὀρθῶς ἔχει καὶ θέατρον ἀκροάματος εὐημεροῦντος παρελθεῖν, καὶ φίλους ἐπ' ὀρχηστοῦ τινος ἢ κωμῳδοῦ θέαν παραλαμβάνοντας διώσασθαι, καὶ βοῆς ἐν σταδίῳ γενομένης ἢ ἱπποδρόμῳ, μὴ ἐπιστραφῆναι. καθάπερ γὰρ ὁ Σωκράτης παρῄνει φυλάττεσθαι τῶν βρωμάτων, ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν πομάτων, ὅσα πίνειν μὴ διψῶντας, οὕτω χρὴ καὶ ἡμᾶς τῶν θεαμάτων καὶ ἀκουσμάτων φυλάττεσθαι καὶ φεύγειν, ὅσα κρατεῖ καὶ προσάγεται τοὺς μηδὲν δεομένους. ὁ δὲ Κῦρος οὐκ ἐβούλετο τὴν Πάνθειαν ἰδεῖν, ἀλλὰ τοῦ Ἀράσπου λέγοντος, ὡς ἀξία θέας εἴη τὸ τῆς γυναικὸς εἶδος, οὐκοῦν ἔφη διὰ τοῦτο μᾶλλον αὐτῆς ἀφεκτέον, εἰ γὰρ ὑπὸ σοῦ πεισθεὶς ἀφικόμην πρὸς αὐτήν, ἴσως ἄν με πάλιν ἀναπείσειεν αὐτὴ καὶ μὴ σχολάζοντα φοιτᾶν, θεᾶσθαί τε καὶ παρακαθῆσθαι, προέμενον πολλὰ τῶν σπουδῆς ἀξίων. ὁμοίως οὐδ' Ἀλέξανδρος εἰς ὄψιν ἦλθε τῆς Δαρείου γυναικός, εὐπρεπεστάτης εἶναι λεγομένης, ἀλλὰ πρὸς τὴν μητέρα φοιτῶν αὐτῆς πρεσβῦτιν οὖσαν, οὐχ ὑπέμεινε τὴν νέαν καὶ καλὴν ἰδεῖν, ἡμεῖς δὲ τοῖς φορείοις τῶν γυναικῶν ὑποβάλλοντες τὰ ὄμματα, καὶ τῶν θυρίδων ἐκκρεμαννύντες, οὐδὲν ἁμαρτάνειν δοκοῦμεν, οὕτως ὀλισθηρὰν καὶ ῥευστὴν εἰς ἅπαντα τὴν πολυπραγμοσύνην ποιοῦντες. ἔστι τοίνυν καὶ πρὸς δικαιοσύνης ἄσκησιν ὑπερβῆναί ποτε λῆμμα δίκαιον, ἵνα πόρρω τῶν ἀδίκων ἐθίσῃς σεαυτὸν εἶναι, καὶ πρὸς σωφροσύνην ὁμοίως ἀποσχέσθαι ποτὲ γυναικὸς ἰδίας, ἵνα μηδέποτε κινηθῇς ὑπ' ἀλλοτρίας. τοῦτο δὴ τὸ ἔθος ἐπάγων τῇ πολυπραγμοσύνῃ, πειρῶ καὶ τῶν ἰδίων ἔνια παρακοῦσαί ποτε καὶ παριδεῖν, καὶ βουλομένου τινὸς ἀπαγγεῖλαί τι τῶν ἔνδον τῆς οἰκίας ὑπερβαλέσθαι, καὶ λόγους περὶ σοῦ λελέχθαι δοκοῦντας, ἀπώσασθαι.

σασθαι.

φέρουσιν

ἔσοπτρον l. αὐτῷ l.

σασθαι. καὶ γὰρ τὸν Οἰδίπουν τοῖς μεγίστοις κακοῖς ἡ περιεργία περιέβαλε. ζητῶν γὰρ ἑαυτὸν ὡς οὐκ ὄντα Κορίνθιον ἀλλὰ ξένον, ἀπήντησε τῷ Λαΐῳ, καὶ τοῦτον ἀνελὼν καὶ τὴν μητέρα λαβὼν αὐτῇ τῇ βασιλείᾳ γυναῖκα, καὶ δοκῶν εὐδαίμων εἶναι, πάλιν ἑαυτὸν ἐζήτει, καὶ τῆς γυναικὸς οὐκ ἐώσης, ἔτι μᾶλλον ἤλεγχε τὸν συνειδότα γέροντα πᾶσαν προσφέρων ἀνάγκην, τέλος δὲ τοῦ πράγματος ἤδη περιφέροντος αὐτὸν τῇ ὑπονοίᾳ, καὶ τοῦ γέροντος ἀναβοήσαντος, οἴμοι πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν· ὅμως ὑπὸ τοῦ πάθους καὶ σφαδάζων ἀποκρίνεται· κἄγωγ' ἀκούειν· ἀλλ' ὅμως ἀκουστέον. οὕτω τις ἐστὶ γλυκύπικρος καὶ ἀκατάσχετος ὁ τῆς πολυπραγμοσύνης γαργαλισμός, ὥσπερ ἕλκος αἱμάσσων ἑαυτὸν ὅταν ἀμύσσηται, ὁ δ' ἀπηλλαγμένος τῆς νόσου ταύτης καὶ φύσει πρᾶος, ἀγνοήσας τι τῶν δυσχερῶν, εἴποι ἄν, ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφή. διὸ καὶ πρὸς ταῦτα συνεθιστέον αὐτοὺς, ἐπιστολὴν κομισθεῖσαν μὴ ταχὺ μηδὲ κατεσπευσμένως λῦσαι, καθάπερ οἱ πολλοὶ ποιοῦσιν, ἂν αἱ χεῖρες βραδύνωσι, τοῖς ὀδοῦσι τοὺς δεσμοὺς διαβιβρώσκοντες· ἀγγέλου ποθὲν ἥκοντος, μὴ προσδραμεῖν, μηδ' ἐξαναστῆναι, φίλου τινὸς εἰπόντος ἔχω σοί τι καινὸν εἰπεῖν πρᾶγμα, μᾶλλον εἴ τι χρήσιμον ἔχεις ἢ ὠφέλιμον. ἐμοῦ ποτε ἐν Ῥώμῃ διαλεγομένου, Ῥούστικος ἐκεῖνος ὃν ὕστερον ἀπέκτεινε Δομετιανὸς τῇ δόξῃ φθονήσας, ἠκροᾶτο, καὶ διὰ μέσου στρατιώτης παρελθὼν, ἐπιστολὴν αὐτῷ Καίσαρος ἐπέδωκε, γενομένης δὲ σιωπῆς, καὶ μου διαλιπόντος ὅπως ἀναγνῷ τὴν ἐπιστολήν, οὐκ ἠθέλησεν, οὐδ' ἔλυσε πρότερον, ἢ διεξελθεῖν ἐμὲ τὸν λόγον, καὶ διαλυθῆναι τὸ ἀκροατήριον· ἐφ' ᾧ πάντες ἐθαύμασαν τὸ βάρος τοῦ ἀνδρός. ὅταν δέ τις οἷς ἔξεστι τρέφων τὸ πολύπραγμον ἰσχυρὸν ἀπεργάσηται καὶ βίαιον, οὐκέτι ῥᾳδίως πρὸς ἃ κεκώλυται φερομένου διὰ συνήθειαν κρατεῖν δυνατός ἐστιν. ἀλλ' ἐπιστόλια παραλύουσι φίλων, συνεδρίοις ἀπορρήτοις ἑαυτοὺς παραβάλλουσιν, ἱερῶν ἃ μὴ θέμις ὁρᾶν γίνονται θεαταί, τόπους ἀβάτους πατοῦσι, πράγματα καὶ λόγους βασιλικοὺς ἀνερευνῶσι. καίτοι τούς γε τυράννους οἷς ἀνάγκη πάντα γινώσκειν, ἐπαχθεστάτους ποιεῖ τὸ τῶν λεγομένων ὤτων καὶ προσαγωγέων γένος. ὠτακουστὰς μὲν οὖν πρῶτος ἔσχεν ὁ νέος Δαρεῖος, ἀπιστῶν ἑαυτῷ καὶ πάντας ὑφορώμενος καὶ δεδιώς· τοὺς δὲ προσαγωγίδας οἱ Διονύσιοι τοῖς Συρακουσίοις κατέμιξαν. ὅθεν ἐν τῇ μεταβολῇ τῶν πραγμάτων, τούτους πρώτους οἱ Συρακούσιοι συλλαμβάνοντες, ἀπετυμπάνιζον. καὶ γὰρ τὸ τῶν συκοφαντῶν γένος, ἐκ τῆς τῶν πολυπραγμόνων φρατρίας καὶ ἑστίας ἐστίν. ἀλλ' οἱ μὲν συκοφάνται ζητοῦσιν, εἴ τις ἐβούλευται κακόν, ἢ πεποίηκεν, οἱ δὲ πολυπράγμονες καὶ τὰς ἀβουλήτους ἀτυχίας τῶν πέλας ἐλέγχοντες, εἰς μέσον ἐκφέρουσι. λέγεται καὶ τὸν ἀλιτήριον ἐκ φιλοπραγμοσύνης κατονομασθῆναι τὸ πρῶτον. λιμοῦ γὰρ ὡς ἔοικεν Ἀθηναίοις ἰσχυροῦ γενομένου, καὶ τῶν ἐχόντων πυρὸν εἰς μέσον οὐ φερόντων, ἀλλὰ κρύφα καὶ νύκτωρ ἐν ταῖς οἰκίαις ἀλούντων, περιϊόντες ἐτήρουν τῶν μύλων τὸν ψόφον, εἶτα ἀλιτήριοι προσηγορεύθησαν. ὁμοίως δὲ καὶ τῷ συκοφάντῃ τοὔνομα γεγενῆσθαι· κεκωλυμένου γὰρ ἐκφέρειν τὰ σῦκα, μηνύοντες καὶ φαίνοντες τοὺς ἐξάγοντας, ἐκλήθησαν συκοφάνται. καὶ τοῦτ' οὖν οὐκ ἄχρηστον ἐστὶν ἐννοεῖν τοὺς πολυπράγμονας, ὅπως αἰσχύνωνται τὴν πρὸς τοὺς μισουμένους μάλιστα καὶ δυσχεραινομένους ὁμοιότητα καὶ συγγένειαν τοῦ ἐπιτηδεύματος.

ff

ΠΕΡΙ ΕΥΘΥΜΙΑΣ.

λούταρχος πακκίῳ εὖ πράττειν. ὀψέ σου τὴν ἐπιστολὴν ἐκομισάμην, ἐν ᾗ παρεκάλεις περὶ εὐθυμίας σοί τι γραφῆναι, καὶ περὶ τῶν ἐν τιμαίῳ δεομένων ἐπιμελεστέρας ἐξηγήσεως, ἅμα δέ πως τὸν ἑταῖρον ἡμῶν ἔρωτα κατελάμβανεν αἰτία τοῦ πλεῖν εὐθὺς εἰς ῥώμην, παρὰ φουνδάνου τοῦ κρατίστου γράμματα δεδεγμένον, οἷος ἐκεῖνος ἐπιταχύνοντα. μήτε δὲ χρόνον ἔχων, ὡς προηρούμην γενέσθαι πρὸς ἃ ἐβούλου, μήτε ὑπομένων κεναῖς παντάπασι τὸν ἄνδρα χερσὶν ὀφθῆναί σοι παρ' ἡμῶν ἀφιγμένον, ἀνελεξάμην περὶ εὐθυμίας, ἐκ τῶν ὑπομνημάτων ὧν ἐμαυτῷ πεποιημένος ἐτύγχανον, ἡγούμενος καὶ σὲ τὸν λόγον τοῦτον, οὐκ ἀκροάσεως ἕνεκα θηρωμένης καλλιγραφίαν, ἀλλὰ χρείας βοηθητικῆς ἐπιζητεῖν, καὶ συνηδόμενος ὅτι καὶ φιλίας ἔχων ἡγεμονικάς, καὶ δόξαν οὐδενὸς ἐλάττονα τῶν ἐν ἀγορᾷ λεγόντων, τὸ τοῦ τραγικοῦ μέροπος οὐ πέπονθας, οὐδ' ὡς ἐκεῖνον εὐδαιμονίζων ὁ ὄχλος ἐξέπληξε τῶν φυσικῶν παθῶν, ἀλλὰ πολλάκις ἀκηκοὼς μνημονεύεις, ὡς οὔτε ποδάγρας ἀπαλλάττει καλτίκιος, οὔτε δακτύλιος πολυτελὴς παρωνυχίας, οὐδὲ διάδημα κεφαλαλγίας, πόθεν γε δὴ πρὸς ἀλυπίαν ψυχῆς καὶ βίον ἀκύμονα χρημάτων ὄφελος, ἢ δόξης ἢ δυνάμεως ἐν αὐλαῖς, ἂν μὴ τὸ χρώμενον εὐχάριστον τοῖς ἔχουσι, καὶ τὸ τῶν ἀπόντων μὴ δεόμενον ἀεὶ παρακολουθῇ. τί δὲ τοῦτ' ἐστὶν ἄλλο, ἢ λόγος εἰθισμένος καὶ μεμελετηκὼς τοῦ παθητικοῦ καὶ ἀλόγου τῆς ψυχῆς ἐξισταμένου πολλάκις, ἐπιλαμβάνεσθαι ταχὺ, καὶ μὴ περιορᾶν ἀποῤῥέον καὶ καταφερόμενον ὑπὸ τῶν παρόντων. ὥσπερ οὖν ὁ ξενοφῶν παρῄνει τῶν θεῶν εὐτυχοῦντας μάλιστα μεμνῆσθαι καὶ τιμᾶν, ὅπως ὅταν ἐν χρείᾳ γενώμεθα θαῤῥοῦντες αὐτοὺς παρακαλῶμεν ὡς εὐμενεῖς ὄντας ἤδη καὶ φίλους, οὕτω καὶ τῶν λόγων ὅσοι πρὸς τὰ πάθη βοηθοῦσι, δεῖ πρὸ τῶν παθῶν ἐπιμελεῖσθαι τοὺς νοῦν ἔχοντας, ἵν' ἐκ πολλοῦ παρεσκευασμένοι μᾶλλον ὠφελῶσιν. ὡς γὰρ οἱ χαλεποὶ κύνες πρὸς πᾶσαν ἐκταραττόμενοι βοὴν ὑπὸ μόνης καταπραΰνονται τῆς συνήθους, οὕτω καὶ τὰ πάθη τῆς ψυχῆς διαγριαινόμενα καταπαῦσαι ῥᾳδίως οὐκ ἔστιν, ἂν μὴ λόγοι παρόντες οἰκεῖοι καὶ συνήθεις ἐπιλαμβάνωνται τῶν ταραττομένων. ὁ μὲν οὖν εἰπὼν ὅτι δεῖ τὸν εὐθυμεῖν μέλλοντα μήτε πολλὰ πρήσσειν μήτε ἰδίῃ μήτε ξυνῇ, πρῶτον μὲν ἡμῖν πολυτελῆ τὴν εὐθυμίαν καθίστησι γινομένην ὤνιον ἀπραξίας. οἷον ἀῤῥώστῳ παραινῶν ἑκάστῳ, μένε ὦ ταλαίπωρε ἀτρέμας ἐν τοῖς ἐνδεμνίοις. καίτοι κακὸν μὲν ἀναισθησίας σώματι φάρμακον ἀπονία. οὐδὲν δὲ βελτίων ψυχῆς ἰατρὸς, ῥαθυμίᾳ καὶ μαλακίᾳ καὶ προδοσίᾳ φίλων καὶ οἰκείων καὶ πατρίδος, ἐξαιρῶν τὸ ταραχῶδες αὐτῆς καὶ λυπηρόν. ἔπειτα καὶ ψεῦδός ἐστι τὸ εὐθυμεῖν τοὺς μὴ πολλὰ πράσσοντας. ἔδει γὰρ εὐθυμοτέρας εἶναι γυναῖκας ἀνδρῶν, οἰκουρίᾳ τὰ πολλὰ συνούσας. νυνὶ δὲ ὁ μὲν βορέας, διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν ὥς φησιν ἡσίοδος. λῦπαι δὲ καὶ ταραχαὶ καὶ κακοθυμίαι διὰ ζηλοτυπίας καὶ δεισιδαιμονίας καὶ φιλοτιμίας καὶ κενῶν δοξῶν, ὅσας οὐκ ἂν εἴποι τις, εἰς τὴν γυναικωνῖτιν ὑποῤῥέουσιν. ὁ δὲ λαέρτης εἴκοσιν ἔτη καθ' ἑαυτὸν ἐν ἀγρῷ διαιτώμενος γρηῒ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε παρετίθει. τὴν μὲν πατρίδα καὶ τὸν οἶκον καὶ τὴν βασιλείαν ἔφυγε, τὴν δὲ λύπην μετ' ἀπραξίας καὶ κατηφείας ἀεὶ συνοικοῦσαν εἶχεν. ἐνίους δὲ καὶ τὸ μὴ πράσσειν αὐτὸ πολλάκις εἰς ἀθυμίαν καθίστησιν, ὡς τοῦτον. αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι διογενὴς πηλέως υἱὸς πόδας ὠκὺς ἀχιλλεύς, οὔτε ποτ' εἰς ἀγορὴν πωλέσκετο

σκετο κυδιάνειραν, οὔτε ποτ' ἐς πόλεμον, ἀλλὰ φθινύθεσκε φίλον κῆρ αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πόλεμόν τε. καὶ λέγει περὶ παθῶν αὐτὸς οὕτω καὶ ἀσχάλλων αὐτός. ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης. ὅθεν οὐδὲ ἐπίκουρος οἴεται δεῖν ἡσυχάζειν, ἀλλὰ τῇ φύσει χρῆσθαι πολιτευομένους καὶ πράσσοντας τὰ κοινὰ τοὺς φιλοτίμους καὶ φιλοδόξους, ὡς μᾶλλον ὑπ' ἀπραγμοσύνης ταράττεσθαι καὶ κακοῦσθαι πεφυκότας, ἂν ὧν ὀρέγωνται μὴ τυγχάνωσιν. ἀλλ' ἐκεῖνος μὲν ἄτοπος, οὐ τοὺς δυναμένους τὰ κοινὰ πράσσειν προτρεπόμενος, ἀλλὰ τοὺς ἡσυχίαν ἄγειν μὴ δυναμένους. δεῖ δὲ μὴ πλήθει μηδ' ὀλιγότητι πραγμάτων, ἀλλὰ τῷ καλῷ καὶ τῷ αἰσχρῷ, τὸ εὔθυμον ὁρίζειν καὶ τὸ δύσθυμον. τῶν γὰρ καλῶν ἡ παράλειψις οὐχ ἧττον, ἢ τῶν φαύλων ἡ πρᾶξις ἀνιαρόν ἐστι καὶ ταραχῶδες, ὡς εἴρηται. τοὺς μὲν γὰρ ἀφωρισμένως ἕνα βίον ἄλυπον νομίζοντας, ὡς ἔνιοι τὸν τῶν γεωργῶν ἢ τὸν τῶν ἠϊθέων, ἢ τὸν τῶν βασιλέων, ἱκανῶς ὁ μένανδρος ὑπομιμνήσκει λέγων, ᾤμην ἐγὼ τοὺς πλουσίους ὦ φανία, οἷς μὴ τὸ δανείζεσθαι πρόσεστιν, οὐ στένειν τὰς νύκτας, οὐδὲ στρεφομένους ἄνω κάτω οἴμοι λέγειν. ἡδὺν δὲ καὶ πρᾶόν τινα ὕπνον καθεύδειν. εἶτα προσελθὼν ὡς καὶ τοὺς πλουσίους ἑώρα ταὐτὰ πάσχοντας τοῖς πένησιν, ἆρ' ἐστί φησι συγγενές τι λύπη καὶ βίος; τρυφερῷ βίῳ σύνεστιν, ἐνδόξῳ βίῳ πάρεστιν, ἀπόρῳ συγκαταγηράσκει βίῳ. ἀλλ' ὥσπερ οἱ δειλοὶ καὶ ναυτιῶντες ἐν τῷ πλεῖν, εἶτα ῥᾷον οἰόμενοι διάξειν, ἐὰν εἰς γαυλὸν ἐξ ἀκάτου καὶ πάλιν ἐὰν εἰς τριήρη μεταβῶσιν, οὐδὲν περαίνουσι τὴν χολὴν καὶ τὴν δειλίαν συμμεταφέροντες ἑαυτοῖς, οὕτως αἱ τῶν βίων ἀντιμεταλήψεις, οὐκ ἐξαίρουσι τῆς ψυχῆς τὰ λυποῦντα καὶ ταράττοντα, ταῦτα δ' ἐστὶν ἀπειρία πραγμάτων, ἀλογιστία, τὸ μὴ δύνασθαι μηδ' ἐπίστασθαι χρῆσθαι τοῖς παροῦσιν ὀρθῶς. ταῦτα καὶ πλουσίους χειμάζει καὶ πένητας, ταῦτα καὶ γεγαμηκότας ἀνιᾷ καὶ ἀγάμους, διὰ ταῦτα φεύγουσι τὴν ἀγορὰν, εἶτα τὴν ἡσυχίαν οὐ φέρουσι, διὰ ταῦτα προαγωγὰς ἐν αὐλαῖς διώκουσι, καὶ παρελθόντες, εὐθὺς βαρύνονται. δυσάρεστον οἱ νοσοῦντες ἀπορίας ὕπο, καὶ γὰρ ἡ γυνὴ λυπεῖ, καὶ τὸν ἰατρὸν αἰτιῶνται, καὶ δυσχεραίνουσι τὸ κλινίδιον, φίλων δ' ὅ,τ' ἐλθὼν, λυπηρὸς, ὅ,τ' ἀπιὼν βαρὺς, ὡς ὁ ἴων φησίν. εἶτα τῆς νόσου διαλυθείσης, καὶ κράσεως ἑτέρας γενομένης, ἦλθεν ἡ ὑγεία φίλα πάντα ποιοῦσα, καὶ προσηνῆ. ὁ γὰρ χθὲς ᾠὰ καὶ ἀμύλια, καὶ σητάνειον ἄρτον διαπτύων, τήμερον αὐτόπυρον ἐπ' ἐλαίαις ἢ καρδαμίδι σιτεῖται, καὶ προθύμως, τοιαύτην ὁ λογισμὸς εὐκολίαν καὶ μεταβολὴν ἐγγενόμενος μεταποιεῖ πρὸς ἕκαστον βίον. ἀλέξανδρος ἀναξάρχου περὶ κόσμων ἀπειρίας ἀκούων, ἐδάκρυε, καὶ τῶν φίλων ἐρωτώντων ὅ,τι πέπονθεν, οὐκ ἄξιον ἔφη δακρύειν εἰ κόσμων ὄντων ἀπείρων, ἑνὸς οὐδέ πω κύριοι γεγόναμεν; κράτης δὲ πήραν ἔχων καὶ τρίβωνα, παίζων καὶ γελῶν ὥσπερ ἐν ἑορτῇ τὸν βίον διετέλεσε. καὶ μὴν καὶ τὸν ἀγαμέμνονα, τὸ πολλῶν βασιλεύειν ἐλύπει. γνώσεαι ἀτρείδην ἀγαμέμνονα, τὸν περὶ πάντων ζεὺς ἐνέηκε πόνοισι διαμπερές. διογένης δὲ πωλούμενος ἔσκωπτε τὸν κήρυκα κατακείμενος, ἀναστῆναι δὲ οὐκ ἐβούλετο κελεύοντος, ἀλλὰ παίζων καὶ καταγελῶν ἔλεγεν, εἰ δὲ ἰχθὺν ἐπιπράσκες; καὶ σωκράτης μὲν ἐν δεσμωτηρίῳ φιλοσοφῶν, διελέγετο τοῖς ἑταίροις. ὁ δὲ φαέθων ἀναβὰς εἰς τὸν οὐρανὸν, ἔκλαιεν, εἰ μηδεὶς αὐτῷ τοὺς τοῦ πατρὸς ἵππους καὶ τὰ ἅρματα παραδίδωσιν. ὥσπερ οὖν τὸ ὑπόδημα τῷ ποδὶ συνδιαστρέφεται καὶ οὐ τοὐναντίον, οὕτω τοὺς βίους αἱ διαθέσεις συνεξομοιοῦσιν αὐταῖς. οὐ γὰρ ἡ συνήθεια ποιεῖ τοῖς ἑλομένοις τὸν ἄριστον βίον ἡδὺν ὥς τις εἶπεν, ἀλλὰ τὸ φρονεῖν ἅμα τὸν αὐτὸν βίον ποιεῖ καὶ ἄριστον καὶ ἥδιστον. διὸ τὴν πηγὴν τῆς εὐθυμίας ἐν αὐτοῖς οὖσαν ἡμῖν, ἐκκαθαίρωμεν, ἵνα καὶ τὰ ἐκτὸς, ὡς οἰκεῖα καὶ φίλια

μὴ χαλεπῶς χρωμένοις συμφέρηται. τοῖς πράγμασι γὰρ οὐχὶ θυμοῦσθαι χρεών, μέλει γὰρ αὐτοῖς οὐδέν, ἀλλ' ὁ τυγχάνων τὰ πράγματ' ὀρθῶς ἂν τιθῇ, πράξει καλῶς. κυβείᾳ γὰρ ὁ Πλάτων τὸν βίον ἀπείκασεν, ἐν ᾧ καὶ βαλεῖν δεῖ τὰ πρόσφορα, καὶ βαλόντα, χρῆσθαι καλῶς τοῖς πεσοῦσι. τούτων δὲ τὸ μὲν βαλεῖν, οὐκ ἐφ' ἡμῖν, τὸ δὲ προσηκόντως δέχεσθαι τὰ γινόμενα παρὰ τῆς τύχης καὶ νέμειν ἑκάστῳ τόπον, ἐν ᾧ καὶ τὸ οἰκεῖον ὠφελήσει μάλιστα, καὶ τὸ ἀβούλητον, ἥκιστα λυπήσει τοὺς ἐπιτυγχάνοντας, ἡμέτερον ἔργον ἐστίν, ἂν εὖ φρονῶμεν.

τοὺς μὲν γὰρ ἀτέχνους καὶ ἀνοήτους περὶ τὸν βίον, ὥσπερ τοὺς νοσώδεις τοῖς σώμασι, μήτε καῦμα φέρειν μήτε κρύος δυναμένους, ἐξίστησι μὲν εὐτυχία, συστέλλει δὲ δυστυχία, ταράττονται δὲ ὑπ' ἀμφοτέρων, μᾶλλον δὲ ὑφ' αὑτῶν ἐν ἀμφοτέροις, καὶ οὐχ ἧττον ἐν τοῖς λεγομένοις ἀγαθοῖς. Θεόδωρος μὲν γὰρ ὁ κληθεὶς ἄθεος, ἔλεγε τῇ δεξιᾷ τοὺς λόγους ὀρέγοντος αὐτοῦ, τῇ ἀριστερᾷ δέχεσθαι τοὺς ἀκροωμένους. οἱ δ' ἀπαίδευτοι πολλάκις τὴν τύχην δεξιὰν παρισταμένην, ἐπαριστέρως μεταλαμβάνοντες, ἀσχημονοῦσιν. οἱ δὲ φρόνιμοι καθάπερ ταῖς μελίτταις φέρει μέλι τὸ δριμύτατον καὶ ξηρότατον ὁ θύμος, οὕτως ἀπὸ τῶν δυσχερεστάτων πραγμάτων πολλάκις οἰκεῖόν τι καὶ χρήσιμον αὑτοῖς λαμβάνουσι.

τοῦτο οὖν δεῖ πρῶτον ἀσκεῖν καὶ μελετᾶν, ὥσπερ ὁ τῆς κυνὸς ἁμαρτὼν τῷ λίθῳ καὶ τὴν μητρυιὰν πατάξας, οὐδ' οὕτως ἔφη κακῶς. ἔξεστι γὰρ μεθιστάναι τὴν τύχην ἐκ τῶν ἀβουλήτων. ἐφυγαδεύθη Διογένης, οὐδ' οὕτως κακῶς, ἤρξατο γὰρ φιλοσοφεῖν μετὰ τὴν φυγήν. Ζήνωνι τῷ Κιττιεῖ, μία ναῦς περιῆν φορτηγός, πυθόμενος δὲ ταύτην αὐτόφορτον ἀπολωλέναι συγκλυσθεῖσαν, εὖ γε εἶπεν ὦ τύχη ποιεῖς, εἰς τὸν τρίβωνα καὶ τὴν στοὰν συνελαύνουσα ἡμᾶς. τί οὖν κωλύει μιμεῖσθαι τούτους· ἀρχήν τινα τελῶν διήμαρτες; ἐν ἀγρῷ διάξεις ἐπιμελόμενος τῶν ἰδίων. ἀλλὰ φιλίαν μνώμενος ἡγεμόνος ἀπώσθης; ἀκινδύνως καὶ ἀπραγμόνως βιώσῃ. πάλιν ἐν πράγμασιν ἀσχολίας ἔχουσι καὶ φροντίδας γέγονας; οὐδὲ θερμὸν ὕδωρ τόσον γε τέγξει μαλθακὰ γυῖα κατὰ Πίνδαρον, ὡς δόξα ποιεῖ καὶ τὸ τιμᾶσθαι μετά τινος δυνάμεως πόνον ἡδύν, κάματόν τ' εὐκάματον. ἀλλά τις ἀπήντηκεν ἐκ διαβολῆς ἢ φθόνου δυσημερία καὶ σκορακισμός; οὔριον ἐπὶ τὰς μούσας ἐστὶ τὸ πνεῦμα καὶ τὴν ἀκαδημίαν, ὥσπερ Πλάτωνι χειμασθέντι περὶ τὴν Διονυσίου φιλίαν. διὸ καὶ τοῦτο πρὸς εὐθυμίαν μέγα, τὸ τοὺς ἐνδόξους ἀποθεωρεῖν, εἰ μηδὲν ὑπὸ τῶν αὐτῶν πεπόνθασιν, οἷον ἀπαιδία τὸ λυποῦν ἐστί; τοὺς Ῥωμαίων ὅρα βασιλεῖς, ὧν οὐδεὶς υἱῷ τὴν ἀρχὴν ἀπέλιπε. πενίᾳ δυσφορεῖς παρούσῃ; καὶ τίς ἂν ἐβούλου εἶναι μᾶλλον Βοιωτῶν, ἢ Ἐπαμινώνδας, τίς δὲ Ῥωμαίων ἢ Φαβρίκιος. ἀλλὰ διέφθαρταί σου τὸ γύναιον; οὐκ ἀνέγνωκας οὖν τὸ ἐπίγραμμα τὸ ἐν Δελφοῖς, ὑγρᾶς καὶ ξυφόρας βασιλεὺς Ἆγις μ' ἀνέθηκεν. οὐδὲ ἀκήκοας ὅτι τούτου τὴν γυναῖκα Τιμαίαν Ἀλκιβιάδης διέφθειρε, καὶ τὸ γεννηθὲν, Ἀλκιβιάδην ἐκάλει ψιθυρίζουσα πρὸς τὰς θεραπαινίδας; ἀλλὰ τοῦτο Ἆγιν οὐκ ἐκώλυεν ἐνδοξότατον Ἑλλήνων εἶναι καὶ μέγιστον. ὥσπερ οὐδὲ Στίλπωνα τῶν κατ' αὐτὸν φιλοσόφων ἱλαρώτατα ζῆν ἀκόλαστος οὖσα ἡ θυγάτηρ. ἀλλὰ καὶ Μητροκλέους ὀνειδίσαντος, ἐμὸν οὖν ἔφη ἁμάρτημα τοῦτό ἐστιν, ἢ ἐκείνης· εἰπόντος δὲ τοῦ Μητροκλέους, ἐκείνης μὲν ἁμάρτημα, σὸν δὲ ἀτύχημα, πῶς λέγεις εἶπεν. οὐχὶ τὰ ἁμαρτήματα καὶ διαπτώματά ἐστι; πάνυ μὲν οὖν ἔφη, τὰ δὲ διαπτώματα, οὐχ ὧν διαπτώματα καὶ ἀποτεύγματα; συνωμολόγησεν ὁ Μητροκλῆς. τὰ δὲ ἀποτεύγματα, οὐχ ὧν ἀποτεύγματα ἀτυχήματα; πρᾴῳ λόγῳ καὶ φιλοσόφῳ κενὸν ἀποδείξας ὕλαγμα τὴν τοῦ κυνικοῦ βλασφημίαν. τοὺς δὲ πολλοὺς οὐ μόνον τὰ τῶν φίλων καὶ οἰκείων, ἀλλὰ καὶ τὰ τῶν ἐχθρῶν ἀνιᾷ καὶ παροξύνει κακά. βλασφημίαι γὰρ

καὶ

καὶ ὀργαὶ καὶ φθόνοι καὶ κακοήθειαι καὶ ζηλοτυπίαι μετὰ δυσμενείας, αὐτῶν μέν εἰσι τῶν ἐχόντων κῆρες, ἐνοχλοῦσι δὲ καὶ παροξύνουσι τοὺς ἀνοήτους. ὥσπερ ἀμέλει καὶ γειτόνων ἀκροχολίαι, καὶ συνήθων δυσκολίαι, καὶ τῶν περὶ τὰς πράξεις ὑπουργῶν μοχθηρίαι τινές, ὑφ' ὧν οὐχ ἥκιστά μοι δοκεῖς καὶ αὐτὸς ἐπιταραττόμενος, ὥσπερ οἱ Σοφοκλέους ἰατροί, πικρὰν χολὴν κλύζουσι φαρμάκῳ πικρῷ, οὕτως ἀντιχαλεπαίνειν καὶ συνεκπικραίνεσθαι τοῖς ἐκείνων πάθεσι καὶ νοσήμασιν οὐκ εὐλόγως. ἃ γὰρ πράττεις πράγματα πεπιστευμένος, οὐχ ἁπλοῖς ἤθεσιν οὐδὲ χρηστοῖς, ὥσπερ εὐφυέσιν ὀργάνοις, ἀλλὰ καρχάροις τὰ πολλὰ καὶ σκολιοῖς διακονεῖται. τὸ μὲν οὖν ἀπευθύνειν ταῦτα μὴ νόμιζε σὸν ἔργον εἶναι, μηδὲ ἄλλως ῥάδιον, ἂν δ' ὡς τοιούτοις αὐτοῖς πεφυκόσι χρώμενος, ὥσπερ ἰατρὸς ὀδοντάγραις καὶ ἀγκτῆρσιν ἤπιος φαίνῃ, καὶ μέτριος ἐκ τῶν ἐνδεχομένων, εὐφρανῇ τῇ σῇ διαθέσει μᾶλλον, ἢ λυπήσῃ ταῖς ἑτέρων ἀηδίαις καὶ μοχθηρίαις, ὥσπερ κύνες ἂν ὑλακτῶσι τὸ προσῆκον αὐτοῖς ἐκείνοις οἰόμενος περαίνειν, ἐπιλήσῃ πολλὰ λυπηρὰ συνάγων, ὥσπερ εἰς χωρίον κοῖλον καὶ ταπεινὸν ἐπιρρέοντα, τὴν μικροψυχίαν ταύτην καὶ τὴν ἀσθένειαν, ἀλλοτρίων ἀναπιμπλαμένην κακῶν. ὅπου γὰρ ἔνιοι τῶν φιλοσόφων καὶ τὸν ἔλεον ψέγουσι πρὸς ἀτυχοῦντας ἀνθρώπους γιγνόμενον, ὡς καλοῦ τοῦ βοηθεῖν, οὐ τοῦ συναλγεῖν καὶ συνενδιδόναι τοῖς πλησίον ὄντος. ὃ δὲ μεῖζόν ἐστιν, οὐδὲ αὐτῶν ἁμαρτανόντων καὶ διακειμένων φαύλως τὸ ἦθος, ἐπαισθανομένους ἀθυμεῖν καὶ δυσφορεῖν ἐῶσιν, ἀλλὰ θεραπεύειν ἄνευ λύπης τὴν κακίαν ἤδη. σκόπει πῶς οὐκ ἄλογόν ἐστι περιορᾶν αὐτούς, ὅτι μὴ πάντες εἰσὶν οἱ χρώμενοι καὶ προσιόντες ἡμῖν ἐπιεικεῖς καὶ χαρίεντες ἀχθομένους καὶ δυσκολαίνοντας. ἀλλ' ὅρα φίλε Πάκκιε μὴ λανθάνωμεν ἑαυτούς, οὐ τὸ καθόλου τῆς μοχθηρίας τῶν ἐντυγχανόντων, ἀλλὰ τὸ πρὸς ἡμᾶς ὑπὸ φιλαυτίας τινὸς οὐ μισοπονηρίας προβαλλόμενοι καὶ δεδιότες. αἱ γὰρ σφοδραὶ περὶ τὰ πράγματα πτοῖαι καὶ παρ' ἀξίαν ἐφέσεις καὶ διώξεις, ἢ πάλιν ἀποστροφαὶ καὶ διαβολαί, τὰς πρὸς ἀνθρώπους ἐνδιδῶσιν ὑποψίας καὶ δυσκολίας, ὑφ' ὧν τὰ μὲν ἀποστερεῖσθαι, τοῖς δὲ περιπίπτειν δοκοῦμεν. ὁ δὲ τοῖς πράγμασιν ἐθισθεὶς ἐλαφρῶς συμπεριφέρεσθαι καὶ μετρίως, εὐκολώτατος αὐτοῖς ὁμιλεῖν γίγνεται καὶ πρᾳότατος. ὅθεν ἐκεῖνον αὖθις τὸν περὶ τῶν πραγμάτων λόγον ἀναλάβωμεν. ὡς γὰρ ἐν τῷ πυρέττειν πικρὰ πάντα καὶ ἀηδῆ φαίνεται γευομένοις, ἀλλ' ὅταν ἴδωμεν ἑτέρους τὰ αὐτὰ προσφερομένους καὶ μὴ δυσχεραίνοντας, οὐκέτι τὸ σιτίον οὐδὲ τὸ ποτόν, ἀλλ' αὑτοὺς αἰτιώμεθα καὶ τὴν νόσον, οὕτω καὶ τοῖς πράγμασι παυσόμεθα μεμφόμενοι καὶ δυσχεραίνοντες, ἂν ἑτέρους τὰ αὐτὰ προσδεχομένους ἀλύπως καὶ ἱλαρῶς ὁρῶμεν. ἀγαθὸν τοίνυν ἐν τοῖς ἀβουλήτοις συμπτώμασι πρὸς εὐθυμίαν, καὶ τὸ μὴ παρορᾶν ὅσα προσφιλῆ καὶ ἀστεῖα πάρεστιν ἡμῖν, ἀλλὰ μιγνύντας, ἐξαμαυροῦν τὰ χείρονα τοῖς βελτίοσι, νῦν δὲ τὰς μὲν ὄψεις ἀπὸ τῶν ἄγαν λαμπρῶν τιτρωσκομένας ἀποστρέφοντες, ταῖς ἀνθηραῖς καὶ ποώδεσι χροιαῖς παρηγοροῦμεν. τὴν δὲ διάνοιαν ἐντείνομεν εἰς τὰ λυπηρά, καὶ προσβιαζόμεθα τοῖς τῶν ἀνιαρῶν ἐνδιατρίβειν ἀναλογισμοῖς, μονονουχὶ βίᾳ τῶν βελτιόνων ἀποσπάσαντες. καίτοι τό γε πρὸς τὸν πολυπράγμονα λελεγμένον οὐκ ἀηδῶς, δεῦρ' ἐστὶ μετενεγκεῖν. τί τἀλλότριον ἄνθρωπε βασκανώτατε κακὸν ὀξυδορκεῖς, τὸ δ' ἴδιον παραβλέπεις. τί τὸ σεαυτοῦ κακὸν ὦ μακάριε λίαν καταβλέπεις, καὶ ποιεῖς ἐναργὲς ἀεὶ καὶ πρόσφατον, ἀγαθοῖς δὲ παροῦσιν, οὐ προσάγεις τὴν διάνοιαν, ἀλλ' ὥσπερ αἱ σικύαι τὸ χεῖριστον ἐκ τῆς σαρκὸς ἕλκουσιν, οὕτω τὰ κάκιστα τῶν ἰδίων συνάγεις ἐπὶ σαυτόν, οὐδέν τι τοῦ Χίου βελτίων γενόμενος, ὃς πολὺν καὶ χρηστὸν οἶνον ἑτέροις πι-

προάστιον, ἑαυτῷ πρὸς τὸν ἄριστον ὀξίνην ἐζήτει διαγινόμενος. οἰκέτης δέ τις ἐρωτηθεὶς ὑφ' ἑτέρου τί ποιοῦντα τὸν δεσπότην καταλέλοιπεν, ἀγαθῶν ἔφη παρόντων, κακὸν ζητοῦντα. καὶ γὰρ οἱ πολλοὶ τὰ χρηστὰ καὶ πότιμα τῶν ἰδίων ὑπερβαίνοντες, ἐπὶ τὰ δυσχερῆ καὶ μοχθηρὰ τρέχουσιν. ὁ δὲ Ἀρίστιππος, οὐ τοιοῦτος, ἀλλ' ἀγαθὸς, ὥσπερ ἐπὶ ζυγοῦ πρὸς τὰ βελτίονα τῶν ὑποκειμένων ἐξαναφέρειν καὶ ἀνακουφίζειν αὑτόν. χωρίον οὖν ἀπολέσας καλὸν, ἠρώτησεν ἕνα τῶν πάνυ προσποιουμένων συνάχθεσθαι καὶ συναγανακτεῖν· οὐχὶ σοὶ μὲν χωρίδιον ἕν ἐστιν, ἐμοὶ δὲ τρεῖς ἀγροὶ καταλείπονται; συνομολογήσαντος δ' ἐκείνου, τί οὖν εἶπεν οὐ σοὶ μᾶλλον ἡμεῖς συναχθόμεθα. μανικὸν γάρ ἐστι τοῖς ἀπολλυμένοις ἀνιᾶσθαι, μὴ χαίρειν δὲ τοῖς σωζομένοις. ἀλλ' ὥσπερ τὰ μικρὰ παιδία ἀπὸ πολλῶν παιγνίων ἂν ἕν τις ἀφέληταί τι καὶ τὰ λοιπὰ πάντα προσρίψαντα κλαίει καὶ βοᾷ, τὸν αὐτὸν τρόπον ἡμᾶς περὶ ἓν ὀχληθέντας ὑπὸ τῆς τύχης, καὶ τἄλλα πάντα ποιεῖν ἀνόνητα ἑαυτοῖς, ὀδυρομένους καὶ δυσφοροῦντας. καὶ τί φήσαι τις ἂν ἔχομεν, τί δὲ οὐκ ἔχομεν, ὁ μὲν δόξαν, ὁ δὲ οἶκον, ὁ δὲ γάμον, τῷ δὲ φίλος ἀγαθός ἐστι. Ἀντίπατρος δὲ ὁ Ταρσεὺς, πρὸς τῷ τελευτᾶν ὧν ἔτυχεν ἀγαθῶν ἀναλογιζόμενος, οὐδὲ τὴν εὔπλοιαν παρέλιπε τὴν ἐκ Κιλικίας αὐτῷ γενομένην εἰς Ἀθήνας. δεῖ δὲ καὶ τὰ κοινὰ μὴ παρορᾶν, ἀλλ' ἐν τινι λόγῳ τίθεσθαι, καὶ χαίρειν ὅτι ζῶμεν, ὑγιαίνομεν, τὸν ἥλιον ὁρῶμεν, οὔτε πόλεμος, οὔτε στάσις ἐστὶν, ἀλλὰ καὶ ἡ γῆ παρέχει γεωργεῖν, καὶ θάλασσα πλεῖν ἀδεῶς τοῖς βουλομένοις, καὶ λέγειν ἔξεστι σιωπᾶν καὶ πράττειν καὶ σχολάζειν. εὐθυμήσομεν δὲ τούτοις μᾶλλον παροῦσιν, ἂν μὴ παρόντων αὐτῶν φαντασίαν λαμβάνωμεν, ἀναμιμνήσκοντες αὑτοὺς πολλάκις, ὡς ποθεινόν ἐστιν ὑγεία νοσοῦσι, καὶ πολεμουμένοις εἰρήνη, καὶ κτήσασθαι δόξαν ἐν πόλει τηλικαύτῃ καὶ φίλους, ἀγνῶτι καὶ ξένῳ, καὶ τὸ στέρεσθαι γενομένων, ὡς ἀνιαρόν. οὐ γὰρ τότε γίνεται μέγα καὶ τίμιον ἕκαστον ἡμῖν ὅταν ἀπόληται· σωζόμενον δὲ, τὸ μηθέν ἐστιν. οὐδενὶ γὰρ ἀξίαν τὸ μὴ εἶναι προστίθησιν. οὐδὲ δεῖ κτᾶσθαι μὲν ὡς μεγάλα καὶ τρέμειν ἀεὶ δεδιότας, ὡς ὑπὲρ μεγάλων μὴ στερηθῶμεν, ἔχοντας δὲ παρορᾶν καὶ καταφρονεῖν, ὡς μηδενὸς ἀξίων, ἀλλὰ χρῆσθαι μάλιστα ἐπὶ τῷ χαίρειν καὶ ἀπολαύειν αὐτῶν, ἵνα καὶ τὰς ἀποβολὰς ἂν συντυγχάνωσι, πρᾳότερον φέρωμεν. οἱ δὲ πολλοὶ ποιήματα μὲν ὡς ἔλεγεν Ἀρκεσίλαος, ἀλλότρια καὶ γραφὰς καὶ ἀνδριάντας, οἴονται δεῖν ἀκριβῶς καὶ κατὰ μέρος ἕκαστον ἐπιπορευόμενοι τῇ διανοίᾳ καὶ τῇ ὄψει θεωρεῖν. τὸν δ' αὐτῶν βίον ἔχοντα πολλὰς οὐκ ἀτερπεῖς ἀναθεωρήσεις ἐῶσιν, ἔξω βλέποντες ἀεὶ καὶ θαυμάζοντες ἀλλοτρίας δόξας καὶ τύχας, ὥσπερ μοιχοὶ τὰς ἑτέρων γυναῖκας, αὐτῶν δὲ καὶ τῶν ἰδίων καταφρονοῦντες. καίτοι καὶ τοῦτο μέγα πρὸς εὐθυμίαν ἐστὶ, τὸ μάλιστα μὲν αὑτὸν ἐπισκοπεῖν καὶ τὰ καθ' ἑαυτὸν, εἰ δὲ μὴ, τοὺς ὑποδεεστέρους ἀποθεωρεῖν, καὶ μὴ καθάπερ οἱ πολλοὶ πρὸς τοὺς ὑπερέχοντας, ἀντιπαρεξάγουσιν. οἷον εὐθὺς οἱ δεδεμένοι εὐδαιμονίζουσι τοὺς λελυμένους· ἐκεῖνοι δὲ τοὺς ἐλευθέρους· οἱ δὲ ἐλεύθεροι, τοὺς πολίτας· οὗτοι δὲ πάλιν αὖ, τοὺς πλουσίους· οἱ δὲ πλούσιοι, τοὺς σατράπας· οἱ δὲ σατράπαι, τοὺς βασιλεῖς· οἱ δὲ βασιλεῖς τοὺς θεοὺς, μονονουχὶ βροντᾶν καὶ ἀστράπτειν ἐθέλοντες· εἶτα οὕτως ἀεὶ τῶν ὑπὲρ ἑαυτοὺς ἐνδεεῖς ὄντες, οὐδέποτε τοῖς καθ' ἑαυτοὺς χάριν ἔχουσιν.

„ οὔ μοι τὰ γύγεω τοῦ πολυχρύσου μέλει, καὶ οὐδ' εἷλέ πω με ζῆλος, οὐδ' ἀγαίομαι θεῶν ἔργα,
„ μεγάλης δ' οὐκ ἐρῶ τυραννίδος, ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.

Θάσιος γὰρ ἦν ἐκεῖνος, ἄλλος δέ τις Χῖος, ἄλλος δὲ Γαλάτης ἢ Βιθυνὸς, οὐκ ἀγαπῶν εἴ τινος μερίδος ἢ δόξαν ἢ δύναμιν ἐν τοῖς ἑαυτοῦ πολίταις εἴληχεν, ἀλλὰ κλαίων ὅτι

οὐ φορεῖ πατρικίους· ἐὰν δὲ καὶ φορῶν, ὅτι μηδέπω στρατηγεῖ Ῥωμαίων· ἐὰν δὲ καὶ στρατηγῶν, ὅτι μὴ ὑπατεύει· καὶ ὑπατεύων, ὅτι μὴ πρῶτος, ἀλλ' ὕστερος ἀνηγορεύθη. τοῦτο δὲ τί ἐστι, τί ἄλλο, ἢ συλλέγοντα προφάσεις ἀχαριστίας ἐπὶ τὴν τύχην, αὐτὸν ὑφ' αὑτοῦ κολάζεσθαι καὶ διδόναι δίκην. ἀλλ' ὅγε νοῦν ἔχων σωτήρια φρονοῦντα, τοῦ ἡλίου μυριάδας ἀνθρώπων ἀπείρους ἐφορῶντος,

„ εὐρυόδους ὅσοι καρπὸν αἰνύμεθα χθονὸς·

οὐκ εἴ τινων ἧττον ἔνδοξός ἐστι καὶ πλούσιος, ὀδυρόμενος κάθηται καὶ ταπεινούμενος, ἀλλ' ὅτι μυρίων μυριάκις ἐν τοσούτοις εὐσχημονέστερον ζῇ καὶ βέλτιον, ὑμνῶν τὸν ἑαυτοῦ δαίμονα καὶ τὸν βίον, ἐν ὁδῷ πρόεισιν. ἐν Ὀλυμπίᾳ μὲν γὰρ, οὐκ ἔστι νικᾶν ἐκλεγόμενον ἀντιπάλους. ἐν τῷ βίῳ δὲ τὰ πράγματα δίδωσι περιόντα πολλῶν μέγα φρονεῖν, καὶ ζηλωτὸν μᾶλλον εἶναι, ἢ ζηλοῦν ἑτέρους· ἄν γε δὴ μὴ τοῦ Βριάρεω μὴ δὲ τοῦ Ἡρακλέους ποιήσῃς σεαυτὸν ἀνταγωνιστήν. ὅταν οὖν πάνυ θαυμάσῃς ὡς κρείττονα τὸν ἐν τῷ φορείῳ κομιζόμενον, ὑποκύψας, θέασαι καὶ τοὺς βαστάζοντας. καὶ ὅταν διαβαίνοντα τὴν σχεδίαν, μακαρίσῃς τὸν Ξέρξην ἐκεῖνον, ὡς ὁ Ἑλλησπόντιος, ἴδε καὶ τοὺς ὑπὸ μάστιξι διορύττοντας τὸν Ἄθω, καὶ τοὺς περικοπτομένους ὦτα καὶ ῥῖνας, διὰ τὸ διαλυθῆναι τὴν γέφυραν ὑπὸ τοῦ κλύδωνος, ἅμα καὶ τὴν ἐκείνων ἀποθεωρῶν διάνοιαν, ὅτι τὸν σὸν βίον καὶ τὰ σὰ πράγματα μακαρίζουσιν. ὁ Σωκράτης ἀκούσας τινὸς τῶν φίλων λέγοντος, ὡς πολυτελὴς ἡ πόλις, μνᾶς ὁ Χῖος οἶνος, ἡ πορφύρα τριῶν μνῶν, τοῦ μέλιτος ἡ κοτύλη πέντε δραχμῶν, λαβὼν αὐτὸν προσήγαγε τοῖς ἀλφίτοις, ὀβολοῦ τὸ ἡμίεκτον. εὐτελὴς ἡ πόλις, εἶτα ταῖς ἐλαίαις, δυοῖν χαλκοῖν ἡ χοῖνιξ, εἶτα ταῖς ἐξωμίσι, δέκα δραχμῶν, εὐτελὴς ἡ πόλις. οὐκοῦν καὶ ἡμεῖς, ὅταν ἀκούσωμεν ἑτέρου λέγοντος, ὡς μικρὰ τὰ καθ' ἡμᾶς πράγματα καὶ λυπρὰ δεινῶς, μὴ ὑπατευόντων μηδὲ ἐπιτροπευόντων ἔξεστιν εἰπεῖν λαμπρὰ τὰ καθ' ἡμᾶς πράγματα, καὶ ζηλωτὸς ἡμῶν ὁ βίος, οὐ προσαιτοῦμεν, οὐκ ἀχθοφοροῦμεν, οὐ κολακεύομεν. οὐ μὴν, ἀλλ' ἐπεὶ πρὸς ἑτέρους μᾶλλον ἢ πρὸς αὑτοὺς ὑπ' ἀβελτηρίας εἰθίσμεθα ζῆν καὶ πολὺ τὸ δύσζηλον ἡ φύσις ἔχουσα καὶ τὸ βάσκανον οὐ χαίρει τοσοῦτον τοῖς ἰδίοις, ὅσον ἀνιᾶται τοῖς ἀλλοτρίοις ἀγαθοῖς, μὴ μόνον ὅρα τὰ λαμπρὰ καὶ τὰ περιβόητα τῶν ζηλουμένων ὑπὸ σοῦ καὶ θαυμαζομένων, ἀλλ' ἀνακαλύψας καὶ διαστείλας, ὥσπερ ἀνθηρὸν παραπέτασμα τὴν δόξαν αὐτῶν καὶ τὴν ἐπιφάνειαν, ἐντὸς γενοῦ, καὶ κατόψει πολλὰ δυσχερῆ, καὶ πολλὰς ἀηδίας ἐνούσας αὐτοῖς. ὁ γοῦν Πιττακὸς ἐκεῖνος οὗ μέγα μὲν ἀνδρίας, μέγα δὲ σοφίας καὶ δικαιοσύνης κλέος, εἱστία ξένους· ἐπελθοῦσα δὲ ἡ γυνὴ μετ' ὀργῆς, ἀνέτρεψε τὴν τράπεζαν· τῶν δὲ ξένων διατραπέντων, ἑκάστῳ τι ἔφη ἡμῶν κακόν ἐστιν.

„ ᾧ δὲ τοὐμὸν ἄριστα πράττει, οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται,
„ ὅταν δὲ ἀνοίξῃ τὴν θύραν, τρισάθλιος, γυνὴ κρατεῖ πάντων, ἐπιτάττει, μάχεται
„ ἀεὶ, ἀπὸ πλειόνων ὀδυνᾶτ', ἐγὼ δ' ἀπ' οὐδενός.

τοιαῦτα πολλὰ καὶ πλούτῳ καὶ δόξῃ καὶ βασιλείᾳ πρόσεστιν ἄδηλα τοῖς πολλοῖς. ἐπιπροσθεῖ γὰρ ὁ τῦφος,

„ ὦ μάκαρ Ἀτρείδη μοιρηγενὲς ὀλβιόδαιμον.

ἔξωθεν οὗτος ὁ μακαρισμὸς, ὅπλων καὶ ἵππων καὶ στρατείας περικεχυμένης. αἱ δὲ τῶν παθῶν φωναὶ, πρὸς τὴν κενὴν δόξαν ἔνδοθεν ἀντιμαρτυροῦσι·

„ Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ,
„ καὶ ζηλῶ σε γέρον, ζηλῶ δ' ἀνδρῶν ὃς ἀκίνδυνον βίον ἐξεπέρασεν, ἀγνὼς, ἀκλεής.

ἔξεστιν οὖν καὶ τούτοις τοῖς ἐπιλογισμοῖς, ἀπαρύτειν τοῦ πρὸς τὴν τύχην μεμψιμοίρου. καὶ διὰ τὸ θαυμάζειν τὰ τῶν πλησίον, ἐκταπεινοῦντος τὰ οἰκεῖα καὶ καταβάλλοντος. οὐχ ἥκιστα τοίνυν εὐθυμίαν κωλύει τὸ μὴ συμμέτροις χρῆσθαι, πρὸς τὴν ὑποκειμένην δύναμιν ὁρμαῖς ὥσπερ ἱστίοις, ἀλλὰ μειζόνων ἐφιεμένους

τοῖς ἐλπίσιν, εἶτ' ἀποτυγχάνοντας, αἰτιᾶσθαι δαίμονα καὶ τύχην, ἀλλὰ μὴ τὴν αὑτῶν ἀβελτηρίαν. οὐδὲ γὰρ ὁ τοξεύειν τῷ ἀρότρῳ βουλόμενος, καὶ τῷ βοῒ τὸν λαγὼ κυνηγετεῖν, δυστυχής ἐστιν, οὐδὲ τῷ γρίφοις καὶ σαγήναις ἐλάφους μὴ λαμβάνοντι, μηδὲ εἷς δαίμων ἐναντιοῦται μοχθηρὸς, ἀλλ' ἀβελτηρία καὶ μοχθηρία τοῖς ἀδυνάτοις ἐπιχειροῦσιν. αἴτιον δὲ ἡ φιλαυτία μάλιστα, φιλοπρώτους ποιοῦσα καὶ φιλονείκους ἐν πᾶσι, καὶ πάντων ἐπιδραττομένους ἀπλήστως. οὐ γὰρ πλούσιοι μόνον ὁμοῦ καὶ λόγιοι καὶ ἰσχυροὶ καὶ συμποτικοὶ, καὶ ἡδεῖς εἶναι καὶ φίλοι βασιλέων καὶ πόλεων ἄρχοντες ἀξιοῦσιν, ἀλλ' εἰ μὴ καὶ κύνας ἕξουσι πρωτεύοντας ἀρετῇ καὶ ἵππους καὶ ὄρτυγας καὶ ἀλεκτρυόνας, ἀθυμοῦσι. Διονύσιος ὁ πρεσβύτερος, οὐκ ἠγάπα μέγιστος ὢν τῶν τότε τυράννων, ἀλλ' ὅτι Φιλοξένου τοῦ ποιητοῦ μὴ βέλτιον ᾖδει μηδὲν, μηδὲ περιῆν ἐν τῷ διαλέγεσθαι Πλάτωνος, ὀργισθεὶς καὶ παροξυνθεὶς, τὸν μὲν εἰς τὰς λατομίας ἐνέβαλε, τὸν δὲ ἀπέδοτο πέμψας εἰς Αἴγιναν. οὐ τοιοῦτος Ἀλέξανδρος, ἀλλ' ἐπεὶ Κρίσων ὁ σταδιοδρόμος ἁμιλλώμενος αὐτῷ περὶ τάχους ἔδοξεν ἑκὼν παρεῖναι, σφόδρα ἠγανάκτησεν. εὖ δὲ καὶ ὁ ποιητικὸς Ἀχιλλεὺς ὑπειπών· τοῖος ἐὼν οἷος οὔτις ἀχαιῶν χαλκοχιτώνων ἐπήνεγκεν ἐν πολέμῳ· ἀγορῇ δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι. Μεγάβυζον δὲ τὸν Πέρσην εἰς τὸ ζωγραφεῖον ἀναβάντα τοῦ Ἀπελλοῦ, καὶ λαλεῖν ἐπιχειρήσαντα περὶ τῆς τέχνης, ἐπεστόμισεν ὁ Ἀπελλῆς εἰπών, ἕως μὲν ἡσυχίαν ἦγες, ἐδόκεις τις εἶναι διὰ τὰ χρυσία καὶ τὴν πορφύραν, νυνὶ δὲ καὶ ταυτὶ τὰ τρίβοντα τὴν ὤχραν παιδάρια, καταγελᾷ σου φλυαροῦντος. ἀλλ' ἔνιοι τοὺς μὲν Στωικοὺς οἴονται παίζειν, ὅταν ἀκούσωσι τὸν σοφὸν παρ' αὐτοῖς μὴ μόνον φρόνιμον καὶ δίκαιον καὶ ἀνδρεῖον, ἀλλὰ καὶ ῥήτορα καὶ στρατηγὸν καὶ ποιητὴν καὶ πλούσιον καὶ βασιλέα προσαγορευόμενον, αὐτοὺς δὲ πάντων ἀξιοῦσι τούτων, κἂν μὴ τυγχάνωσιν, ἀνιῶνται. καίτοι καὶ τῶν θεῶν ἄλλος ἄλλην ἔχων δύναμιν, ὁ μὲν ἐνυάλιος, ὁ δὲ μαντῷος, ὁ δὲ κερδῷος ἐπονομάζεται, καὶ τὴν Ἀφροδίτην ὁ Ζεὺς ὡς οὐ μέτον αὐτῇ πολεμικῶν ἔργων, ἐπὶ γάμους ἀποστέλλει καὶ θαλάμους. τινὰ δ' οὐδὲ συνυπάρχειν, ἀλλὰ μᾶλλον ὑπεναντιοῦσθαι πέφυκεν ἀλλήλοις τῶν σπουδαζομένων, οἷον ἄσκησις λόγων, καὶ μαθημάτων ἀνάληψις, ἀπραγμοσύνης δεῖται καὶ σχολῆς· δυνάμεις δὲ πολιτικαὶ, καὶ φιλίαι βασιλέων, οὐκ ἄνευ πραγμάτων, οὐδὲ ἀσχολιῶν περιγίνονται. καὶ μὴν οἶνός τε καὶ σαρκῶν ἐμφόρησις, σῶμα μὲν ἰσχυρὸν ποιοῦσι καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀσθενῆ· καὶ χρημάτων ἐπιμέλεια μὲν καὶ τήρησις συνεχὴς, αὔξει πλοῦτον, ὑπεροψία δὲ καὶ περιφρόνησις μέγα πρὸς φιλοσοφίαν ἐφόδιον. ὅθεν οὐ πάντα πάντων ἐστὶν, ἀλλὰ δεῖ τῷ Πυθικῷ γράμματι πειθόμενον, αὑτὸν καταμαθεῖν. εἶτα χρῆσθαι πρὸς ἓν ὃ πέφυκε, καὶ μὴ πρὸς ἄλλον ἄλλοτε βίου ζῆλον ἕλκειν, καὶ παραβιάζεσθαι τὴν φύσιν, ἐν ἅρμασιν ἵππος, ἐν δ' ἀρότρῳ βοῦς, παρὰ ναῦν δ' ἰθύει τάχιστα δελφὶς, κάπρῳ δὲ βουλεύοντι φόνον, κύνα χρὴ τλάθυμον ἐξευρεῖν. ὁ δ' ἀσχάλλων καὶ λυπούμενος ὅτι μὴ καὶ λέων ἐστὶν ὀρεσίτροφος ἀλκὶ πεποιθὼς ἅμα, καὶ κυνίδιον Μελιταῖον ἐν κόλπῳ χήρας γυναικὸς τιθηνούμενον, ἀπόπληκτός ἐστι. τούτου δ' οὐδὲν βέλτιον ὁ βουλόμενος ἅμα μετ' Ἐμπεδοκλῆς ἢ Πλάτων ἢ Δημόκριτος εἶναι περὶ κόσμου γράφων καὶ τῆς τῶν ὄντων ἀληθείας, ἅμα δὲ πλουσίᾳ γραῒ συγκαθεύδειν, ὡς Εὐφορίων, ἢ τοῖς ἐπὶ κῶμον Ἀλεξάνδρῳ συμπίνειν, ὡς Μήδιος· ἀγανακτῶν δὲ καὶ λυπούμενος, εἰ μὴ θαυμάζεται διὰ πλοῦτον ὡς Ἰσμηνίας, καὶ δι' ἀρετὴν ὡς Ἐπαμινώνδας. οὐδὲ γὰρ οἱ δρομεῖς ὅτι μὴ τοὺς τῶν παλαιστῶν φέρονται στεφάνους ἀθυμοῦσιν, ἀλλὰ τοῖς αὑτῶν ἀγάλλονται καὶ χαίρουσι, Σπάρταν ἔλαχες, ταύτην κόσμει· καὶ γὰρ ὁ Σόλων· ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδόν ἐστι, χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος

ἄλλος ἔχει. καὶ Στράτων ὁ φυσικὸς ἀκούσας ὅτι πολλαπλασίους ἔχει Μενέδημος μαθητὰς, τί οὖν ἔφη θαυμαστὸν εἰ πλείονές εἰσιν οἱ λούεσθαι θέλοντες, τῶν ἀλείφεσθαι βουλομένων. Ἀριστοτέλης δὲ πρὸς Ἀντίπατρον γράφων, οὐκ Ἀλεξάνδρῳ μόνον ἔφη προσήκει μέγα φρονεῖν, ὅτι κρατεῖ πολλῶν ἀνθρώπων, ἀλλ' οὐχ ἧττον οἷς ὑπάρχει περὶ θεῶν ἃ δεῖ δοξάζειν. τοὺς γὰρ οὕτω τὰ οἰκεῖα σεμνύνοντας, οὐκ ἐνοχλήσει τὰ τῶν πλησίον. νῦν δὲ τὴν ἄμπελον σῦκα φέρειν οὐκ ἀξιοῦμεν, οὐδὲ τὴν ἐλαίαν βότρυς· αὐτοὶ δὲ ἑαυτοὺς ἐὰν μὴ καὶ τὰ τῶν πλουσίων ἅμα καὶ τὰ τῶν λογίων καὶ τὰ τῶν στρατευομένων, καὶ τὰ τῶν φιλοσοφούντων, καὶ τὰ τῶν κολακευόντων, καὶ τὰ τῶν παρρησιαζομένων, καὶ τὰ τῶν φειδομένων, καὶ τὰ τῶν δαπανώντων ἔχωμεν προτερήματα, συκοφαντοῦμεν καὶ ἀχαριστοῦμεν ἑαυτοῖς, καὶ καταφρονοῦμεν, ὡς ἐνδεῶς καὶ ἀπελῶς βιούντων. πρὸς δὲ τούτῳ, καὶ τὴν φύσιν ὁρῶμεν ὑπομιμνήσκουσαν ἡμᾶς· ὡς γὰρ τῶν θηρίων ἑτέροις ἀφ' ἑτέρων παρεσκεύασε τὴν τροφὴν εἶναι, καὶ οὐ πάντα σαρκοφαγεῖν ἢ σπερμολογεῖν ἢ ῥιζωρυχεῖν ἐποίησεν, οὕτω τοῖς ἀνθρώποις ποικίλας πρὸς τὸν βίον ἀφορμὰς ἔδωκε· μηλοβοτᾷ τ' ὀρότᾳ τ' ὀρνιθολόχῳ τε, καὶ ὃν πόντος τρέφει. δεῖ δὴ τὸ πρόσφορον ἑαυτοῖς ἑλομένους καὶ διαπονοῦντας, ἐᾶν τὰ τῶν ἄλλων, καὶ μὴ τὸν Ἡσίοδον ἐλέγχειν ἐνδεέστερον εἰπόντα, καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων. οὐ γὰρ μόνον τοὺς ὁμοτέχνους καὶ τοὺς ὁμοβίους ζηλοτυποῦντες, ἀλλὰ καὶ λογίους πλούσιοι, καὶ πλουσίους ἔνδοξοι, καὶ δικολόγοι σοφιστὰς, καὶ ναὶ μὰ Δία κωμῳδοὺς εὐημεροῦντας ἐν θεάτροις, καὶ ὀρχηστὰς καὶ θεράποντας, ἐν αὐλαῖς βασιλέων ἐλεύθεροι καὶ εὐπατρίδαι κατατεθαμβημένοι καὶ μακαρίζοντες, οὐ μετρίως λυποῦσιν αὑτοὺς καὶ ταράττουσιν. ὅτι δὲ ἕκαστος ἐν ἑαυτῷ τὰ τῆς εὐθυμίας καὶ τῆς δυσθυμίας ἔχει ταμεῖα, καὶ τοὺς τῶν ἀγαθῶν καὶ κακῶν πίθους, οὐκ ἐν Διὸς οὔδει κατακειμένους, ἀλλ' ἐν τῇ ψυχῇ κειμένους, αἱ διαφοραὶ τῶν παθῶν δηλοῦσιν. οἱ μὲν γὰρ ἀνόητοι, καὶ παρόντα τὰ χρηστὰ, παρορῶσι καὶ ἀμελοῦσιν, ὑπὸ τοῦ συντετάσθαι πρὸς τὸ μέλλον ἀεὶ ταῖς φροντίσιν· οἱ δὲ φρόνιμοι, καὶ τὰ μηκέτ' ἐόντα, τῷ μνημονεύειν ἐναργῶς, ὄντα ποιοῦσιν ἑαυτοῖς. τὸ γὰρ παρὸν τῷ ἐλαχίστῳ τοῦ χρόνου μορίῳ θιγεῖν παρασχὸν, εἶτα τὴν αἴσθησιν ἐκφυγὸν, οὐκέτι δοκεῖ πρὸς ἡμᾶς, οὐδὲ ἡμέτερον εἶναι τοῖς ἀνοήτοις, ἀλλ' ὥσπερ ὁ ἐν ᾅδου ζωγραφούμενος σχοινοστρόφος ὄνῳ τινὶ παρίησιν ἐπιβοσκομένῳ καταναλίσκειν τὸ πλεκόμενον, οὕτω τῶν πολλῶν ἀναίσθητος καὶ ἀχάριστος ὑπολαμβάνουσα λήθη καὶ κατανεμομένη, πρᾶξίν τε πᾶσαν ἀφανίζουσα καὶ κατόρθωμα καὶ σχολὴν ἐπίχαριν, καὶ συμπεριφορὰν, καὶ ἀπόλαυσιν, οὐκ ἐᾷ τὸν βίον ἕνα γενέσθαι, συμπλεκομένων τοῖς παροῦσι τῶν παρῳχημένων· ἀλλ' ὥσπερ ἕτερον τὸν ἐχθὲς ὄντα, τοῦ σήμερον, καὶ τὸν αὔριον ὁμοίως, οὐ τὸν αὐτὸν τῷ σήμερον διαιροῦσα, πᾶν τὸ γινόμενον εὐθὺς εἰς τὸ ἀγένητον τῷ ἀμνημονεύτῳ καθίστησιν. οἱ μὲν γὰρ ἐν ταῖς σχολαῖς τὰς αὐξήσεις ἀναιροῦντες ὡς τῆς οὐσίας ἐνδελεχῶς ῥεούσης, λόγῳ ποιοῦσιν ἡμῶν ἕκαστον ἄλλον ἑαυτοῦ καὶ ἄλλον· οἱ δὲ τῇ μνήμῃ τὰ πρότερον μὴ στέγοντες, μηδὲ ἀναλαμβάνοντες ἀλλ' ὑπεκρεῖν ἐῶντες, ἔργῳ ποιοῦσιν ἑαυτοὺς καθ' ἡμέραν ἀποδεεῖς καὶ κενοὺς, καὶ τῆς αὔριον ἐκκρεμαμένους. ὡς τὸ πέρυσι καὶ τὸ πρώην καὶ χθὲς, οὐ πρὸς αὐτοὺς ὄντων, οὐδὲ ὅλως αὐτοῖς γινομένων. καὶ τοῦτο τὴν εὐθυμίαν ἐπιταράσσει, κἀκεῖνο μᾶλλον, ὅταν ὥσπερ αἱ μυῖαι τῶν λείων τόπων ἐν τοῖς κατόπτροις ἀπολισθαίνουσι, ταῖς δὲ τραχύτησι προσέχονται καὶ ταῖς ἀμυχαῖς, οὕτως ἄνθρωποι τῶν ἱλαρῶν καὶ προσηνῶν ἀπορρέοντες, ἐμπλέκονται ταῖς τῶν ἀηδῶν ἀναμνήσεσι. μᾶλλον δὲ ὥσπερ ἐν Ὀλύνθῳ τοὺς κανθάρους λέγουσιν εἴς τι χωρίον ἐμβάλλοντας ὃ καλεῖται κανθαρώλεθρον, ἐκβῆναι μὴ δυναμένους ἀλλ' ἐκεῖ στρε-

φομένους καὶ κυλινδοῦντας ἐναποθνήσκειν, οὕτως εἰς τὴν τῶν κακῶν μνήμην ὑπορρυέντες αἰνεῖν μὴ θέλοντες μηδ' ἀναπνεῦσαι. δεῖ δὲ ὥσπερ ἐν πινακίῳ χρώματα ἐν τῇ ψυχῇ τῶν πραγμάτων τὰ φαιδρὰ καὶ λαμπρὰ προβάλλοντας, ἀποκρύπτειν τὰ σκυθρωπὰ καὶ πιέζειν. ἐξαλεῖψαι γὰρ οὐκ ἔστι παντάπασιν οὐδ' ἀπαλλαγῆναι, παλίντροπος γοῦν ἁρμονίη κόσμου, ὥσπερ λύρης καὶ τόξου καὶ τῶν ἀνθρωπίνων καθαρὸν οὐδὲν οὐδὲ ἀμιγές. ἀλλ' ὥσπερ ἐν μουσικῇ βαρεῖς φθόγγοι καὶ ὀξεῖς, ἐν δὲ γραμματικῇ φωνήεντα καὶ ἄφωνα γράμματα. μουσικὸς δὲ καὶ γραμματικὸς, οὐχ ὁ θάτερα δυσχεραίνων καὶ ὑποφεύγων, ἀλλ' ὁ πᾶσι χρῆσθαι καὶ μιγνύειν πρὸς τὸ οἰκεῖον ἐπιστάμενος, οὕτω καὶ τῶν πραγμάτων ἀντιστοιχίας ἐχόντων, ἐπεὶ κατὰ τὸν εὐριπίδην, οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά, ἀλλ' ἔστι τις σύγκρασις, ὥστε ἔχειν καλῶς, οὐ δεῖ τοῖς ἑτέροις ἐξαθυμεῖν, οὐδ' ἀπαγορεύειν. ἀλλ' ὥσπερ ἁρμονικοὺς ἀμβλύνοντας ἀεὶ τοῖς κρείττοσι τὰ χείρονα, καὶ τὰ φαῦλα τοῖς χρηστοῖς ἐμπεριλαμβάνοντας, ἐμμελὲς τὸ τοῦ βίου μῖγμα ποιεῖν καὶ οἰκεῖον αὑτοῖς. οὐ γὰρ ὡς ὁ μένανδρός φησιν ἅπαντι δαίμων ἀνδρὶ συμπαραστατεῖ εὐθὺς γενομένῳ, μυσταγωγὸς τοῦ βίου ἀγαθός, ἀλλὰ μᾶλλον ὡς ἐμπεδοκλῆς διτταί τινες ἕκαστον ἡμῶν γενόμενον παραλαμβάνουσι καὶ κατάρχονται μοῖραι καὶ δαίμονες, ἔνθ' ἦσαν, χθονίη τε καὶ ἡλιόπη ταναῶπις, δῆρίς θ' αἱματόεσσα, καὶ ἁρμονίη θεμερῶπις, καλλιστώ τ' αἰσχρή τε, θόωσά τε δειναίη τε, νημερτής τ' ἐρόεσσα, μελάγκαρπός τ' ἀσάφεια. ὥστε τούτων ἑκάστου σπέρματα τῶν παθῶν ἀνακεκραμένα δεδεγμένης ἡμῶν τῆς γενέσεως καὶ διὰ τοῦτο πολλὴν ἀνωμαλίαν ἐχούσης, εὔχεται μὲν ὁ νοῦν ἔχων τὰ βελτίονα, προσδοκᾷ δὲ καὶ θάτερα, χρῆται δὲ ἀμφοτέροις, τὸ ἄγαν ἀφαιρῶν. οὐ γὰρ μόνον ὁ τῆς αὔριον ἥκιστα δεόμενος ὥς φησιν ἐπίκουρος, ἥδιστα πρόσεισι πρὸς τὴν αὔριον, ἀλλὰ καὶ πλοῦτος εὐφραίνει, καὶ δόξα καὶ δύναμις καὶ ἀρχή, καὶ μάλιστα τοὺς ἥκιστα τἀναντία ταρβοῦντας. ἡ γὰρ σφοδρὰ περὶ ἕκαστον ἐπιθυμία, σφοδρότατον φόβον ἐμποιοῦσα τοῦ μὴ παραμένειν, ἀσθενῆ τὴν χάριν ποιεῖ καὶ ἀβέβαιον, ὥσπερ φλόγα καταπνεομένην. ᾧ δὲ δίδωσι πρὸς τὴν τύχην ἀδεῶς καὶ ἀτρόμως εἰπεῖν ὁ λογισμός, ἡδὺ μὲν ἄν τι φέρῃς, ὀλίγον δ' ἄχος ἢν ἀπολείπῃς, τοῦτον ἥδιστα ποιεῖ χρῆσθαι τοῖς παροῦσι τὸ θαρραλέον καὶ μὴ δεδιὸς αὐτῶν τὴν ἀποβολὴν ὡς ἀφόρητον. ἔξεστι γοῦν τὴν ἀναξαγόρου διάθεσιν ἀφ' ἧς ἐπὶ τῇ τελευτῇ τοῦ παιδὸς ἀνεφώνησεν, ᾔδειν θνητὸν γεννήσας, μὴ θαυμάζοντας μόνον, ἀλλὰ καὶ μιμουμένους ἐπιλέγειν ἑκάστῳ τῶν τυχηρῶν. οἶδα τὸν πλοῦτον ἐφήμερον ἔχων καὶ οὐ βέβαιον. οἶδα τὴν ἀρχὴν ἀφελέσθαι δυναμένους τοὺς δεδωκότας. οἶδα τὴν γυναῖκα χρηστήν, γυναῖκα δὲ οὖσαν. καὶ τὸν φίλον ἄνθρωπον ὄντα, φύσει εὐμετάβολον ζῶον, ὡς ὁ πλάτων εἶπεν. αἱ γὰρ τοιαῦται παρασκευαὶ καὶ διαθέσεις, ἐάν τι συμβῇ τῶν ἀβουλήτων μέν, οὐκ ἀπροσδοκήτων δέ, μὴ δεχόμεναι τὸ, οὐκ ἂν ᾤμην, καὶ τὸ ἄλλα ἤλπιζον, καὶ τὸ, ταῦτα οὐ προσεδόκων. οἷον πηδήματα καρδίας καὶ σφυγμοὺς ἀφαιροῦσι, καὶ ταχὺ πάλιν τὸ μανιῶδες καὶ ταραττόμενον ἱδρύουσιν. ὁ μὲν οὖν καρνεάδης ἐπὶ πραγμάτων μεγάλων ὑπεμίμνησκεν, ὅτι πᾶν καὶ ὅλον ἐστὶν εἰς λύπην καὶ ἀθυμίαν τὸ ἀπροσδόκητον. ἡ γοῦν μακεδόνων βασιλεία, τῆς ῥωμαίων ἡγεμονίας πολλοστημόριον ἦν. ἀλλὰ περσεὺς μὲν ἀποβαλὼν μακεδονίαν, αὐτός τε κατεθρήνει τὸν ἑαυτοῦ δαίμονα, καὶ πᾶσιν ἐδόκει δυστυχέστατος ἀνθρώπων γεγονέναι καὶ βαρυποτμότατος, ὁ δὲ τοῦτον κρατήσας αἰμίλιος ἑτέρῳ παραδιδοὺς τὴν ὁμοῦ τε γῆς καὶ θαλάττης ἄρχουσαν δύναμιν, ἐστεφανοῦτο καὶ ἔθυεν, εὐδαιμονιζόμενος εἰκότως. οὗτος μὲν γοῦν ᾔδει λαμβάνων ἀρχὴν ἀποδοθησομένην. ἐκεῖνος δὲ ἀπέβαλε μὴ προσδοκήσας. εὖ δὲ καὶ ὁ ποιητὴς οἷόν ἐστι τὸ παρὰ προσδοκίαν ἐδίδα-

ξεν. ὁ γοῦν ὀδυσσεὺς τοῦ μὲν κυνὸς θανόντος ἐξεδάκρυσε, τῇ δὲ γυναικὶ κλαιούσῃ παρακαθήμενος οὐδὲν ἔπαθε τοιοῦτον. ἐνταῦθα μὲν γὰρ ἀφίκτο, τῷ λογισμῷ τὸ πάθος ὑποχείριον ἔχων, καὶ προκατειλημμένον. εἰς δὲ ἐκεῖνον, μὴ προσδοκήσας ἀλλ' ἐξαίφνης, διὰ τὸ παράδοξον ἐνέπεσε. καθόλου δὲ ἐπὶ τῶν ἀβουλήτων, τὰ μὲν φύσει τὸ λυποῦν καὶ βαρῦνον ἐπιφέρει, τὰ δὲ πλεῖστα δόξῃ δυσχεραίνειν ἐθιζόμεθα, καὶ μανθάνομεν, καὶ οὐκ ἄχρηστόν ἐστι πρὸς ταῦτα μὲν ἔχειν ἀεὶ τὸ τοῦ μενάνδρου πρόχειρον. οὐδὲν πέπονθας δεινὸν ἂν μὴ προσποιῇ. τί γὰρ πρὸς σέ ἐστί φησιν, ἂν μή τε σαρκὸς ἅπτηται μή τε ψυχῆς, οἷόν ἐστι δυσγένεια πατρὸς, ἢ μοιχεία γυναικός, ἢ στεφάνου τινὸς ἢ προεδρίας ἀφαίρεσις, ὧν οὐ κωλύεται παρόντων ἄνθρωπος, καὶ τὸ σῶμα βέλτιστα διακείμενον ἔχειν, καὶ τὴν ψυχήν. πρὸς δὲ τὰ φύσει δοκοῦντα λυπεῖν οἷα νόσοι καὶ πόνοι καὶ θάνατοι φίλων καὶ τέκνων ἐκεῖνο τὸ εὐριπίδειον. οἴμοι, τί δ' οἴμοι, θνητά τοι πεπόνθαμεν. οὐδεὶς γὰρ οὕτω τοῦ παθητικοῦ καταφερομένου καὶ ὀλισθαίνοντος ἀντιλαμβάνεται λόγος, ὡς ὁ τῆς κοινῆς καὶ φυσικῆς ἀνάγκης ἀνάμνησιν ποιῶν, ᾗ διὰ τὸ σῶμα μεμιγμένος ὁ ἄνθρωπος, μόνην ταύτην τῇ τύχῃ λαβὴν δίδωσιν. ἐν δὲ τοῖς κυριωτάτοις καὶ μεγίστοις, ἀσφαλὴς ἕστηκεν. ὁ δημήτριος τὴν μεγαρέων πόλιν καταλαβών, ἠρώτησε τὸν στίλπωνα, μή τι τῶν ἐκείνου διήρπασται; καὶ ὁ στίλπων ἔφη, μηδένα ἰδεῖν τὰ ἐμὰ φέροντα. καὶ τοίνυν τῆς τύχης πάντα τἄλλα λεηλατούσης καὶ περιαιρουμένης, ἔχομέν τι τοιοῦτον ἐν ἑαυτοῖς, οἷον κ' οὔτε φέροιεν ἀχαιοί, οὔτ' ἂν ἄγοιεν. ὅθεν οὐ δεῖ παντάπασιν ἐκταπεινοῦν, οὐδὲ καταβάλλειν τὴν φύσιν, ὡς μηδὲν ἰσχυρὸν μηδὲ μόνιμον μηδὲ ὑπὲρ τὴν τύχην ἔχουσαν, ἀλλὰ τοὐναντίον εἰδότας ὅτι μικρόν ἐστι μέρος τοῦ ἀνθρώπου, τὸ σαθρὸν καὶ τὸ ἐπίκηρον ᾧ δέχεται τὴν τύχην, τῆς δὲ βελτίονος μερίδος αὐτοὶ κρατοῦμεν, ἐν ᾗ τὰ μέγιστα τῶν ἀγαθῶν ἱδρυνθέντα, δόξαι τε χρησταὶ καὶ μαθήματα, καὶ λόγοι τελευτῶντες εἰς ἀρετήν, ἀναφαίρετον ἔχουσι τὴν οὐσίαν καὶ ἀδιάφθορον, ἀηττήτους πρὸς τὸ μέλλον εἶναι καὶ θαρραλέους, καὶ πρὸς τὴν τύχην λέγοντας, ἃ σωκράτης δοκῶν πρὸς τοὺς κατηγόρους ἄνυτον καὶ μέλιτον λέγειν, πρὸς τοὺς δικαστὰς ἔλεγεν, ὡς ἀποκτεῖναι μὲν ἄνυτος καὶ μέλιτος δύνανται, βλάψαι δὲ οὐ δύνανται. καὶ γοῦν ἡ τύχη δύναται νόσῳ περιβαλεῖν, ἀφελέσθαι χρήματα, διαβαλεῖν πρὸς δῆμον ἢ τύραννον, κακὸν δὲ καὶ δειλὸν καὶ ταπεινόφρονα, καὶ ἀγεννῆ καὶ φθονερόν, οὐ δύναται ποιῆσαι τὸν ἀγαθὸν καὶ ἀνδρώδη καὶ μεγαλόψυχον, οὐδὲ παρελέσθαι τὴν διάθεσιν, ἧς ἀεὶ παρούσης, πλέον ἢ κυβερνήτου πρὸς θάλατταν ὄφελός ἐστι πρὸς τὸν βίον. κυβερνήτῃ γὰρ οὔτε κῦμα πραῧναι τραχὺ καὶ πνεῦμα δυνατόν ἐστιν, οὔτε ὅπῃ βούλεται δεομένῳ λιμένος τυχεῖν, οὔτε θαρραλέως καὶ ἀτρόμως ὑπομεῖναι τὸ συμβαῖνον. ἀλλ' ἕως οὐκ ἀπέγνωκε τῇ τέχνῃ χρώμενος, φεύγει, μάλα λέφος ὑποστολίσας ἕως ἐνέρτερον ἱστὸν ἐρεβώδεος ἐκ θαλάττης ὑπερέχῃ, τρέμων, κάθηται καὶ παλλόμενος. ἡ δὲ τοῦ φρονίμου διάθεσις, τοῖς τε σωματικοῖς παρέχει γαλήνην ἐπιπλεῖστον ἐκλύουσα τὰς τῶν νόσων κατασκευάς, ἐγκρατείᾳ καὶ διαίτῃ σώφρονι καὶ μετρίοις πόνοις. κἄν τις ἔξωθεν ἀρχὴ πάθους ὥσπερ διαδρομὴ γένηται σπιλάδος, εὐσταλεῖ καὶ κούφῃ κεραίᾳ παρήνεγκεν ὥς φησιν ἀσκληπιάδης. παραλόγου δέ τινος καὶ μεγάλου καταλαβόντος καὶ κρατήσαντος, ἐγγὺς ὁ λιμήν, καὶ πάρεστιν ἀπονήξασθαι τοῦ σώματος, ὥσπερ ἐφολκίου μὴ στέγοντος. τὸν μὲν γὰρ ἀνόητον, ὁ τοῦ θανάτου φόβος, οὐχ ὁ τοῦ ζῆν πόθος ἐκκρέμασθαι τοῦ σώματος ποιεῖ, περιπεπλεγμένον ὥσπερ τὸν ὀδυσσέα τῷ ἐρινεῷ δεδοικότα τὴν χάρυβδιν ὑποκειμένην. ἔνθ' οὔτε μίμνειν ἄνεμος, οὔτε πλεῖν ἐᾷ, καὶ πρὸς ταῦτα δυσαρέστως, καὶ πρὸς ἐκεῖνα περιδεῶς ἔχοντα. ὁ δὲ τὴν τῆς

ψυχῆς φύσιν ἁμωσγέπως ὑπονοῶν, καὶ τὴν εἰς τὸ βέλτιον αὐτῆς, ἢ μηδὲν ἧκιον ἐν τῇ τελευτῇ μεταβολὴν ἐπιλογιζόμενος, οὐ μικρὸν ἔχει τῆς πρὸς τὸν βίον εὐθυμίας ἐφόδιον, τὴν πρὸς τὸν θάνατον ἀφοβίαν. ᾧ γὰρ ἔξεστι τῆς μὲν ἀρεστῆς καὶ οἰκείας μερίδος ἐπικρατούσης, ἡδέως ζῆν, τῶν δὲ ἀλλοτρίων καὶ παρὰ φύσιν ὑπερβαλλόντων ἀδεῶς ἀπελθεῖν, εἰπόντα, λύσει με ὁ δαίμων αὐτὸς, ὅταν ἐγὼ θέλω, τί ἂν τούτῳ χαλεπὸν ἢ δύσκολον ἢ ταραχῶδες ἐμπίπτον ἐπινοήσειμεν. ὁ γὰρ εἰπὼν προκατείλημμαί σε ὦ τύχη καὶ πᾶσαν τὴν σὴν ἀφῄρημαι παρείσδυσιν, οὐ μοχλοῖς, οὐδὲ κλεισὶν, οὐδὲ τείχεσιν ἐθάρρυνεν ἑαυτὸν, ἀλλὰ δόγμασι καὶ λόγοις, ὧν πᾶσι μέτεστι τοῖς βουλομένοις. καὶ δεῖ μηδὲν ἀπογινώσκειν, μηδ' ἀπιστεῖν τῶν οὕτω λεγομένων, ἀλλὰ θαυμάζοντα καὶ ζηλοῦντα καὶ συνενθουσιῶντα, πεῖραν ἅμα λαμβάνειν ἑαυτοῦ καὶ κατανόησιν ἐν τοῖς ἐλάττοσι πρὸς τὰ μείζονα, μὴ φεύγοντα, μηδὲ ἀπωθοῦντα τῆς ψυχῆς τὴν ἐπιμέλειαν αὐτοῦ, μηδ' ἀποδιδράσκοντα, τάχα δὲ οὐδὲν ἔσται δυσχερέστερον. ἀργίαν γὰρ ἐμποιεῖ καὶ μαλακίαν ἀγύμναστον, ἡ περὶ τὸ ῥᾷστον ἀεὶ διατρίβουσα καὶ πρὸς τὸ ἥδιστον ἐκ τῶν ἀβουλήτων ἀναχωροῦσα γλυκυθυμία τῆς ψυχῆς. εἰ δὲ καὶ νόσου καὶ πόνου καὶ φυγῆς μελετῶσα φαντασίαν ὑφίστασθαι καὶ προσβιαζομένη τῷ λογισμῷ πρὸς ἕκαστον, εὑρήσει πολὺ κατεψευσμένον καὶ διάκενον καὶ σαθρὸν ἐν τοῖς δοκοῦσι χαλεποῖς καὶ φοβεροῖς, ὡς ὁ καθ' ἕκαστον ἀποδείκνυσι λόγος. καίτοι πολλοὶ καὶ τὸ τοῦ μενάνδρου πεφρίκασιν· οὐκ ἔστιν εἰπεῖν ζῶντα, τοῦτ' οὐ πείσομαι. ἀγνοοῦντες ὅσον ἐστὶ πρὸς ἀλυπίαν ἀγαθὸν, τὸ μελετᾶν καὶ δύνασθαι πρὸς τὴν τύχην ἀνεῳγόσι τοῖς ὄμμασιν ἀντιβλέπειν· καὶ μὴ ποιεῖν ἐν αὑτῷ τὰς φαντασίας ἀτειπεῖς καὶ ἁπαλὰς, ὥσπερ ἐνσκιατραφόμενον πολλαῖς ἐλπίσιν ὑπεικούσαις ἀεὶ καὶ πρὸς μηδὲν ἀντιτεινούσαις. ἐκεῖνο μέντοι καὶ πρὸς τὸν μένανδρον ἔστιν εἰπεῖν· οὐκ ἔστιν εἰπεῖν ζῶντα, τοῦτ' οὐ πείσομαι, ἀλλ' ἔστιν εἰπεῖν ζῶντα, τοῦτ' οὐ ποιήσω· οὐ ψεύσομαι, οὐ ῥᾳδιουργήσω, οὐκ ἀποστερήσω, οὐκ ἐπιβουλεύσω, τοῦτο γὰρ ἐφ' ἡμῖν κείμενον οὐ μικρὸν, ἀλλὰ μέγα πρὸς εὐθυμίαν πάρεστιν. ὥσπερ αὖ τοὐναντίον ἡ συνείδησις, ὅτι συνοίδε δεινὰ εἰργασμένος οἷον ἕλκος ἐν σαρκὶ, τῇ ψυχῇ μεταμέλειαν, αἱμάσσουσαν ἀεὶ καὶ νύσσουσαν, ἐναπολείπει. τὰς μὲν γὰρ ἄλλας ἀναιρεῖ λύπας ὁ λόγος, τὴν δὲ μετάνοιαν, αὐτὸς ἐργάζεται, δακνομένης σὺν αἰσχύνῃ τῆς ψυχῆς καὶ κολαζομένης ὑφ' αὑτῆς. ὡς γὰρ οἱ ῥιγοῦντες ἢ ἠπιάλοις καὶ πυρετοῖς αἰθόμενοι τῶν ταὐτὰ πασχόντων ἔξωθεν ὑπὸ καυμάτων ἢ κρύους μᾶλλον ἐνοχλοῦνται καὶ κάκιον ἔχουσιν, οὕτως ἐλαφροτέρας ἔχει τὰς τυχηρὰς λύπας, ἀλλ' ὥσπερ ἔξωθεν ἐπιφερομένας. τὸ δὲ οὔτις ἐμοὶ τῶν ἄλλων ἐπαίτιος, ἀλλ' ἐγὼ αὐτὸς, ἐπιθρηνούμενον τοῖς ἁμαρτανομένοις ἔνδοθεν ἐξ αὐτοῦ, βαρύτερον ποιεῖ τῷ αἰσχρῷ, τὸ ἀλγεινόν. ὅθεν οὔτε οἰκία πολυτελὴς, οὔτε χρυσίου πλῆθος, οὔτε ἀξίωμα γένους, οὔτε μέγεθος ἀρχῆς, οὐ λόγου χάρις, οὐ δεινότης εὐδίαν παρέχει βίῳ καὶ γαλήνην τοσαύτην, ὅσην ψυχὴ καθαρεύουσα πραγμάτων καὶ βουλευμάτων πονηρῶν, καὶ τὴν τοῦ βίου πηγὴν τὸ ἦθος ἀτάραχον ἔχουσα καὶ ἀμίαντον, ἀφ' ἧς αἱ καλαὶ πράξεις ῥέουσι, καὶ τὴν ἐνέργειαν ἐνθουσιώδη καὶ ἱλαρὰν μετὰ τοῦ μέγα φρονεῖν ἔχουσι, καὶ τὴν μνήμην ἡδίονα καὶ βεβαιοτέραν τῆς πινδαρικῆς γηροτρόφου ἐλπίδος. οὐ γὰρ αἱ μὲν λιβανωτίδες ὡς ἔλεγε καρνεάδης, κἂν ἀποκενωθῶσι, τὴν εὐωδίαν ἐπὶ πολὺν χρόνον ἀναφέρουσιν, ἐν δὲ τῇ ψυχῇ τοῦ νοῦν ἔχοντος αἱ καλαὶ πράξεις, οὐκ ἀεὶ κεχαρισμένην καὶ πρόσφατον ἐναπολείπουσι τὴν ἐπίνοιαν, ὑφ' ἧς τὸ χαῖρον ἄρδεται καὶ τέθηλε καὶ καταφρονεῖ τῶν ὀδυρομένων καὶ λοιδορούντων τὸν βίον, ὥς τινα κακῶν χώραν, ἢ φυγαδικὸν τόπον, ἐνταῦθα ταῖς ψυχαῖς ἀποδεδειγμένον. ἄγαμαι δὲ τοῦ διο-

γένους, ὃς τὸν ἐν λακεδαίμονι ξένον ὁρῶν παρασκευαζόμενον εἰς ἑορτήν τινα καὶ φιλοτιμούμενον, ἀνὴρ δὲ εἶπεν ἀγαθὸς οὐ πᾶσαν ἡμέραν ἑορτὴν ἡγεῖται; καὶ πάνυ γε λαμπρὰν εἰ σωφρονοῦμεν. ἱερὸν μὲν γὰρ ἁγιώτατον, ὁ κόσμος ἐστὶ καὶ θεοπρεπέστατον. εἰς δὲ τοῦτον ὁ ἄνθρωπος εἰσάγεται διὰ τῆς γενέσεως, οὐ χειροκμήτων, οὐδὲ ἀκινήτων ἀγαλμάτων θεατὴς, ἀλλ' οἷα νοῦς θεῖος, αἰσθητὰ νοητῶν μιμητά φησιν ὁ πλάτων, ἔμφυτον ἀρχὴν ζωῆς ἔχοντα καὶ κινήσεως ἔφηνεν, ἥλιον καὶ σελήνην καὶ ἄστρα καὶ ποταμοὺς νέον ὕδωρ ἐξιέντας ἀεὶ, καὶ γῆν φυτοῖς τε καὶ ζώοις τροφὰς ἀναπέμπουσαν, ὧν τὸν βίον μύησιν ὄντα καὶ τελετὴν τελειοτάτην, εὐθυμίας δεῖ μεστὸν εἶναι καὶ γήθους· οὐχ ὥσπερ οἱ πολλοὶ κρόνια καὶ διονύσια καὶ παναθήναια καὶ τοιαύτας ἄλλας ἡμέρας περιμένουσιν, ἵν' ἡσθῶσι καὶ ἀναπνεύσωσιν ὠνητὸν γέλωτα, μίμοις καὶ ὀρχησταῖς μισθοὺς τελέσαντες. εἶτα ἐκεῖ μὲν εὔφημοι καθήμεθα κοσμίως· οὐδεὶς γὰρ ὀδύρεται μυούμενος, οὐδὲ θρηνεῖ πύθια θεώμενος, ἢ πίνων ἐν κρονίοις. ἃς δὲ ὁ θεὸς ἑορτὰς ἡμῖν χορηγεῖ καὶ μυσταγωγεῖ, καταισχύνουσιν ἐν ὀδυρμοῖς τὰ πολλὰ καὶ βαρυθυμίαις καὶ μερίμναις ἐπιπόνοις διατρίβοντες. καὶ τῶν μὲν ὀργάνων χαίρουσι τοῖς ἐπιτερπὲς ἠχοῦσι, καὶ τῶν ὀρνέων τοῖς ᾄδουσι· καὶ τὰ παίζοντα καὶ σκιρτῶντα τῶν ζώων, ἡδέως ὁρῶσι· καὶ τοὐναντίον ὠρυομένοις καὶ βρυχωμένοις καὶ σκυθρωπάζουσιν ἀνιῶνται. τὸν δὲ ἑαυτῶν βίον, ἀμειδῆ καὶ κατηφῆ καὶ τοῖς ἀτερπεστάτοις πάθεσι καὶ πράγμασι καὶ φροντίσι μηδὲν πέρας ἐχούσαις, πιεζόμενον αἰεὶ καὶ συνθλιβόμενον ὁρῶντες, αὐτοὶ μὲν αὑτοῖς ἀναπνοήν τινα καὶ ῥᾳστώνην πορίζειν ποθὲν, ἀλλ' οὐδὲ ἑταίρων παρακαλούντων προσδέχονται λόγον, ᾧ χρώμενοι, καὶ τοῖς παροῦσιν ἀμέμπτως συνοίσουσι, καὶ τῶν γεγονότων εὐχαρίστως μνημονεύσουσι, καὶ πρὸς τὸ λοιπὸν ἵλεω τὴν ἐλπίδα καὶ φαιδρὰν ἔχοντες, ἀδεῶς καὶ ἀνυπόπτως προσάξουσιν.

ΠΕΡΙ ΔΥΣΩΠΙΑΣ.

ΝΙΑ τῶν ἐκ τῆς γῆς φυομένων, αὐτὰ μὲν ἐστὶν ἄγρια τῇ φύσει καὶ ἄκαρπα καὶ βλαβερὰ τοῖς ἡμέροις σπέρμασι καὶ φυτοῖς τὴν αὔξησιν ἔχοντα, σημεῖα δὲ αὐτὰ ποιοῦνται χώρας οἱ γεωργοῦντες, οὐ πονηρᾶς ἀλλὰ γενναίας καὶ πίονος. οὕτω δὴ καὶ πάθη ψυχῆς ἐστὶν οὐ χρηστὰ, χρηστῆς δὲ φύσεως, οἷον ἐξανθήματα, καὶ λόγῳ παρασχεῖν ἐργάσιμον ἑαυτὴν ἐπιεικῶς δυναμένης. ἐν τούτοις τίθεμαι καὶ τὴν λεγομένην δυσωπίαν· σημεῖον μὲν οὐ φαῦλον, αἰτίαν δὲ μοχθηρίας οὖσαν. τὰ γὰρ αὐτὰ τοῖς ἀναισχύντοις οἱ αἰσχυνόμενοι πολλάκις ἁμαρτάνουσι· πλὴν ὅτι τὸ λυπεῖσθαι καὶ ἀλγεῖν ἐφ' οἷς διαμαρτάνουσι, τούτοις πρόσεστιν· οὐχ ὡς ἐκείνοις τὸ ἥδεσθαι. ἀναλγὴς μὲν γὰρ ὁ ἀναιδὴς πρὸς τὸ αἰσχρόν· εὐπαθὴς δὲ καὶ πρὸς τὸ φαινόμενον αἰσχρὸν ὁ εὐδυσώπητος. ὑπερβολὴ γὰρ τοῦ αἰσχύνεσθαι, τὸ δυσωπεῖσθαι. διὸ καὶ οὕτω κέκληται, τρόπον τινὰ τοῦ προσώπου τῇ ψυχῇ συνδιατρεπομένου καὶ συνεξατονοῦντος. ὡς γὰρ τὴν κατήφειαν ὁρίζονται λύπην κάτω βλέπειν ποιοῦσαν, οὕτω τὴν αἰσχυντηλίαν μέχρι τοῦ μηδὲ ἀντιβλέπειν τοῖς δεομένοις ὑπείκουσαν, δυσωπίαν ὠνόμασαν. ὅθεν ὁ μὲν ῥήτωρ τὸν ἀναίσχυντον, οὐκ ἔφη κόρας ἐν τοῖς ὄμμασιν ἔχειν, ἀλλὰ πόρνας· ὁ δὲ εὐδυσώπητος αὖ πάλιν, ἄγαν τὸ θῆλυ τῆς ψυχῆς καὶ τρυφερὸν ἐμφαίνει διὰ τῆς ὄψεως, τὴν ὑπὸ τῶν ἀναισχύντων ἧτταν, αἰσχύνην ὑποκοριζόμενος. ὁ μὲν οὖν κάτων ἔλεγε τῶν νέων μᾶλλον ἀγαπᾶν τοὺς ἐρυθριῶντας, ἢ τοὺς ὠχριῶντας, ὀρθῶς ἐθίζων καὶ διδάσκων, τὸν ψόγον μᾶλλον,

ἢ τὸν ἔλεγχον δεδιέναι, καὶ τὴν ὑποψίαν μᾶλλον, ἢ τὸν κίνδυνον. οὐ μὴν ἀλλὰ
καὶ τοῦ πρὸς τὸν ψόγον ὑπόπτου καὶ ψοφοδεοῦς, τὸ ἄγαν ἀφαιρετέον ὡς οὐχ ἧτ-
τον ἔνιοι πολλάκις ἀκοῦσαι κακῶς, ἢ παθεῖν δείσαντες, ἀπεδειλίασαν, καὶ προή-
καντο τὸ καλόν, οὐ δυνηθέντες ὑπομεῖναι τὸ ἄδοξον. οὔτε δὴ τούτους περιοπτέον
οὕτως ἀσθενῶς ἔχοντας, οὔτ᾽ αὖ πάλιν ἐκείνην ἐπαινετέον τὴν ἄτρεπτον καὶ ἀτε-
νῆ διάθεσιν. ἐν δὲ τό, θαρραλέον τε καὶ ἐμμενὲς ὅπῃ ὁροῦσαι φαίνετ᾽ ἀναξάρχου
κυνέον μένος. ἀλλ᾽ ἐμμελῆ τινα μηχανητέον σύγκρασιν ἀμφοῖν. τοῦ μὲν ἀτενοῦς
ἄγαν, τὴν ἀναίδειαν. τοῦ δὲ ἐπιεικοῦς σφόδρα, τὴν ἀσθένειαν ἀφαιροῦσαν. ἣ καὶ
τὸ θεράπευμα δυσχερές, καὶ οὐκ ἀκίνδυνος ἡ τῶν τοιούτων πλεονασμῶν κώλυ-
σις. ὡς γὰρ ὁ γεωργὸς ἄγριον μὲν ἐκκόπτων βλάστημα καὶ ἀγεννὲς αὐτόθεν
ἀφειδῶς ἐμβάλλων τὸ σκαφεῖον ἀνέτρεψε τὴν ῥίζαν, ἢ πῦρ προσάγων ἐπέκαυ-
σεν. ἀμπέλῳ δὲ προσιὼν τομῆς δεομένῃ, καὶ μηλέας ἤ τινος ἐλαίας ἁπτόμενος,
εὐλαβῶς ἐπιφέρει τὴν χεῖρα, δεδιὼς μή τι τοῦ ὑγιαίνοντος ἀποτυφλώσῃ, οὕτως ὁ
φιλόσοφος, φθόνον μὲν ἐξαιρῶν νέου ψυχῆς ἀγεννὲς βλάστημα καὶ δυστιθάσευ-
τον, ἢ φιλαργυρίαν ἄωρον, ἢ φιληδονίαν ἐπικόπτων ἀκόλαστον αἱμάσσει καὶ πιέ-
ζει καὶ τομὴν ποιεῖ, καὶ οὐλὴν βαθεῖαν. ὅταν δὲ τρυφερῷ μέρει ψυχῆς καὶ ἀπα-
λῷ κολούοντα προσάγῃ λόγον, οἷόν ἐστι τὸ δυσωπούμενον καὶ διατρεπόμενον,
εὐλαβεῖται μὴ λάθῃ τούτοις συναποκόψας τὸ αἰδούμενον. καὶ γὰρ αἱ τίτθαι
τῶν βρεφῶν ἐκτρίβουσαι πολλάκις τὸν ῥύπον, ἕλκουσιν ἐνίοτε τὴν σάρκα καὶ
βασανίζουσιν. ὅθεν οὐ δεῖ τῶν νέων παντάπασιν ἐν χρῷ τὴν δυσωπίαν ἐκτρί-
βοντας, ὀλιγώρους ποιεῖν καὶ λίαν ἀτρέπτους. ἀλλ᾽ ὥσπερ οἱ καταλύοντες οἰκίας
ἱεροῖς γειτνιώσας, τά γε συνεχῆ, καὶ πλησίον ἐῶσι καὶ διερείδουσιν, οὕτω δεῖ
τὴν δυσωπίαν κινεῖν δεδιότας συνεφελκύσασθαι τὰ ὁμοροῦντα τῆς αἰδοῦς καὶ
τῆς ἐπιεικείας καὶ τῆς ἡμερότητος, οἷς ὑποδέδυκε καὶ προσπέπλεκται κολα-
κεύουσα τὸν εὐδυσώπητον ὡς φιλάνθρωπον καὶ πολιτικὸν καὶ κοινὸν ἔχοντα νοῦν,
καὶ οὐκ ἄτεγκτον οὐδὲ αὐθέκαστον. ὅθεν εὐθὺς οἱ στωϊκοὶ καὶ τῷ ῥήματι τὸ αἰ-
σχύνεσθαι καὶ δυσωπεῖσθαι τοῦ αἰδεῖσθαι διέστησαν. ἵνα μὴ δὲ τὴν ὁμωνυμίαν
τῷ πάθει πρόφασιν τοῦ βλάπτειν ἀπολίπωσιν. ἀλλ᾽ ἡμῖν χρῆσθαι τοῖς ὀνόμασιν
ἀσυκοφαντήτως διδότωσαν, μᾶλλον δὲ ὁμηρικῶς. καὶ γὰρ ἐκεῖνος εἶπεν. αἰδὼς ἥ τ᾽
ἄνδρας μέγα σίνεται, ἠδ᾽ ὀνίνησι. καὶ οὐ κακῶς τὸ βλάπτειν αὐτῆς πρότερον
εἶπε. γίνεται γὰρ ὠφέλιμος ἀπὸ τοῦ λόγου, τὸ πλεονάζον ἀφελόντος, καὶ τὸ
μέτριον ἀπολιπόντος. πρῶτον οὖν δεῖ τοῦτο πείθεσθαι τὸν ὑπὸ τῆς πολλῆς δυσω-
πίας βιαζόμενον. ὅτι πάθει βλαβερῷ συνέχεται. καλὸν δὲ τῶν βλαβερῶν οὐ-
δέν. οὐδὲ δεῖ τοῖς ἐπαίνοις κηλούμενον ἥδεσθαι, κομψὸν καὶ ἱλαρὸν ἀντὶ σεμνοῦ
καὶ μεγάλου καὶ δικαίου προσαγορευόμενον. μὴ δ᾽ ὥσπερ ὁ εὐριπίδου πήγασος ἔ-
πτηξ᾽ ὑπείκων μᾶλλον ἢ θέλοι τῷ βελλεροφόντῃ, τοῖς δεομένοις ἑαυτὸν ἐκδι-
δόναι καὶ συνεκταπεινοῦν, φοβούμενον ἀκοῦσαι τό, σκληρός γε καὶ ἀπηνής.
τῷ μὲν γὰρ αἰγυπτίῳ βοκχόριδι φύσει χαλεπῷ γενομένῳ, τὴν ἀσπίδα λέγου-
σιν ὑπὸ τῆς ἴσιδος ἐπιπεμφθεῖσαν, καὶ τῇ κεφαλῇ περιελιχθεῖσαν, ἄνωθεν ἐπι-
σκιάζειν ἵνα κρίνῃ δικαίως. ἡ δέ τοι δυσωπία τοῖς ἀτόνοις καὶ ἀνάνδροις ἐπικειμέ-
νη καὶ πρὸς μηδὲν ἀνανεῦσαι μὴ δὲ ἀντειπεῖν ἰσχύουσα, καὶ δικάζοντας ἀποτρέ-
πει τοῦ δικαίου, καὶ συμβουλεύοντας, ἐπιστομίζει, καὶ λέγειν πολλὰ καὶ πράτ-
τειν ἀναγκάζει τῶν ἀβουλήτων. ὁ δὲ ἀγνωμονέστατος ἀεὶ τοῦ τοιούτου δεσπότης ἐστί, καὶ
κρατεῖ τῷ μὴ αἰδεῖσθαι τὸ αἰδούμενον ἐκβιαζόμενος. ὅθεν ὥσπερ χωρίον ὕπτιον
καὶ μαλακὸν ἡ δυσωπία μηδεμίαν ἔντευξιν ἐξῶσαι, μὴ δὲ ἀποστρέψαι δυναμένη,
τοῖς αἰσχίστοις βάσιμός ἐστι πράγμασι καὶ πάθεσι. κακὴ μὲν γὰρ αὕτη, παιδικῆς φυ-

ρὸς ἡλικίας ὡς ἔλεγε βροῦτος. οὐ δοκεῖν αὐτῷ καλῶς τὴν ὥραν διατεθεῖσθαι τὸν
πρὸς μηδὲν ἀρνούμενον. κακὴ δὲ θαλάμου καὶ γυναικωνίτιδος ἐπίτροπος, ὥς φησιν
ἡ παρὰ τῷ σοφοκλεῖ μετανοοῦσα πρὸς τὸν μοιχόν. ἔπεισας, ἐξέθωψας. ὥς-
θ᾽ ἡ δυσωπία προδιαφθείρασα τὸ ἀκόλαστον, ἀνόχυρα πάντα καὶ ἄκλειστα καὶ
καταντὴ προδίδωσι τοῖς ἐπιτιθεμένοις. καὶ διδόντες μὲν αἱροῦσι τὰς βδελυρω-
τάτας τῶν φύσεων, τῷ δὲ πείθειν καὶ δυσωπεῖν, πολλάκις κατεργάζονται, καὶ
τὰς ἐπιεικεῖς. ἐῶ δὴ τὰς εἰς τὰ χρήσιμα βλάβας ἀπὸ τῆς δυσωπείας. δα-
νειζόντων οἷς ἀπιστοῦσιν. ἐγγυωμένων οἷς οὐ θέλουσιν, ἐπαινούντων μὲν, τὸ ἐγγύα
πάρα δ᾽ ἄτα, χρῆσθαι δ᾽ αὐτῷ περὶ τὰ πράγματα μὴ δυναμένων. ὅσους δ᾽
ἀνήρηκε τοῦτο τὸ πάθος, οὐκ ἄν τις ἐξαριθμήσαιτο ῥαδίως. καὶ γὰρ ὁ κρέων πρὸς
τὴν μήδειαν εἰπών, κρεῖσσον δέ μοι νῦν πρός σ᾽ ἀπέχθεσθαι γύναι, ἢ μαλθακισθέν-
θ᾽ ὕστερον μέγα στένειν, ἄλλοις ἐγνωμολόγησεν. αὐτὸς δὲ τῆς δυσωπίας ἥττων
γενόμενος καὶ μίαν ἡμέραν αἰτουμένῃ δούς, ἀπώλεσε τὸν οἶκον. ἔνιοι δὲ καὶ σφα-
γὰς ὑφορώμενοι καὶ φαρμακείας, διετράπησαν. οὕτω παραπώλετο δίων οὐκ ἀ-
γνοήσας ἐπιβουλεύοντα κάλλιππον, ἀλλ᾽ αἰσχυνθεὶς φυλάττεσθαι φίλον ὄντα
καὶ ξένον. οὕτως ἀντίπατρος ὁ κασάνδρου δημήτριον καλέσας ἐπὶ δεῖπνον, εἶ-
τα κληθεὶς τῇ ὑστεραίᾳ πρὸς αὐτόν, ἠδέσθη πεπιστευμένος ἀπιστεῖν, καὶ πορευθείς,
ἐσφάγη μετὰ τὸ δεῖπνον. ἡρακλέα δὲ τὸν ἀλεξάνδρῳ γενόμενον ἐκ βαρσίνης,
ὡμολογήσας μὲν κασάνδρῳ πολυπέρχων ἀναιρήσειν ἐπὶ ταλάντοις ἑκατόν,
εἶτ᾽ ἐπὶ δεῖπνον ἐκάλει. τοῦ δὲ μειρακίου τὴν κλῆσιν ὑφορωμένου καὶ δεδοικότος,
ἄλλως δὲ προφασιζομένου μαλακώτερον ἔχειν, ἐλθὼν ὁ πολυπέρχων, πρῶτον
εἶπεν, ὦ παῖ, μιμοῦ τοῦ πατρὸς τὸ εὔκολον, καὶ φιλέταιρον, εἰ μὴ νὴ δία δέδοι-
κας ἡμᾶς ὡς ἐπιβουλεύοντας. αἰδεσθεὶς, ἠκολούθησεν ὁ νεανίσκος. οἱ δὲ δειπνή-
σαντες, αὐτὸν ἐστραγγάλισαν. οὐ γελοῖον οὖν ὥς φασί τινες, οὐδὲ ἀβέλτερον.
ἀλλὰ σοφὸν τὸ τοῦ ἡσιόδου. τὸν φιλέοντ᾽ ἐπὶ δαῖτα καλεῖν, τὸν δ᾽ ἐχθρὸν ἐᾶσαι.
μὴ δυσωποῦ τὸν μισοῦντα, μὴ δ᾽ ὑπέκβαλε πιστεύειν δοκοῦντα. κληθήσῃ γὰρ κα-
λέσας, καὶ δειπνήσεις ἂν δειπνίσῃς. ὥσπερ βαφὴν τὴν φυλάττουσαν ἀπιστίαν μα-
λαχθεῖσαν αἰσχύνῃ προέμενος. ὡς οὖν πολλῶν κακῶν αἴτιον τὸ νόσημα ὄν, τοῦ-
το πειρατέον ἀποβιάζεσθαι τῇ ἀσκήσει πρῶτον ἀρξαμένους. ὥσπερ οἱ τ᾽ ἄλλα
μελετῶντες ἀπὸ τῶν μικρῶν καὶ μὴ σφόδρα δυσαντιβλέπτων, οἷον ἐν δείπνῳ
προπίνει τις ἄδην ἔχοντι, μὴ δυσωπηθῇς, μὴ δὲ προσβιάσῃ σαυτόν, ἀλλὰ κατά-
θου τὸ ποτήριον. αὖθις ἕτερος παρακαλεῖ κυβεύειν παρὰ πότον, μὴ δυσωπηθῇς
μὴ δὲ δείσῃς σκωπτόμενος. ἀλλ᾽ ὥσπερ ξενοφάνης λάσου τοῦ ἑρμιονέως μὴ βουλό-
μενον αὐτῷ συγκυβεύειν δειλὸν ἀποκαλοῦντος, ὡμολόγει καὶ πάνυ δειλὸς εἶναι
πρὸς τὰ αἰσχρὰ καὶ ἄτολμος. πάλιν ἀδολέσχῃ συνήντηκας ἐπιλαμβανομένῳ
καὶ περιπλεκομένῳ; μὴ δυσωπηθῇς, ἀλλὰ διακόψας, ἐπείγου καὶ πέραινε τὸ
προκείμενον. αἱ γὰρ τοιαῦται φυγαὶ καὶ διακρούσεις, ἐν ἐλαφραῖς μέμψεσι τὴν
μελέτην ἔχουσαι τοῦ ἀδυσωπήτου, προσεθίζουσιν ἡμᾶς ἐπὶ τὰ μείζονα. καὶ
τὸ τοῦ δημοσθένους ἐνταῦθα καλῶς ἔχει διαμνημονεύειν. τῶν γὰρ ἀθηναίων ὡρμη-
μένων ἁρπάλῳ βοηθεῖν καὶ κορυσσομένων ἐπὶ τὸν ἀλέξανδρον, ἐξαίφνης ἐπε-
φάνη φιλόξενος, ὁ τῶν ἐπὶ θαλάττῃ πραγμάτων ἀλεξάνδρου στρατηγός. ἐκπλα-
γέντος δὲ τοῦ δήμου καὶ σιωπῶντος διὰ τὸν φόβον, ὁ δημοσθένης, τί ποιήσουσιν ἔ-
φη τὸν ἥλιον ἰδόντες, οἱ μὴ δυνάμενοι πρὸς τὸν λύχνον ἀντιβλέπειν. τί γὰρ ποι-
ήσεις ἐν πράγμασι μεγάλοις βασιλέως ἐντυγχάνοντος, ἢ δήμου δυσωποῦντος,
εἰ ποτήριον ἀπώσασθαι μὴ δύνασαι προπίνοντος συνήθους μὴ δὲ ἀδολέσχου λα-
βὴν διαφυγεῖν. ἀλλὰ παρέχεις ἐμπεριπατεῖν φλυάρῳ σαυτόν, οὐκ εὐτόνως

εἰπεῖν, ὄψομαί σε αὔριον, νῦν δ' οὐ σχολάζω. Καὶ μὴν οὐδὲ ἡ πρὸς τοὺς ἐπαίνους τοῦ ἀδυσωπήτου μελέτη καὶ ἄσκησις, ἐν μικροῖς καὶ ἐλαφροῖς ἄχρηστός ἐστιν, οἷον ἐν συμποσίῳ φίλου κιθαρῳδὸς ᾄδει κακῶς, ἢ πολλοῦ κωμῳδὸς ἐωνημένος ἐπιτρίβει Μένανδρον· οἱ δὲ πολλοὶ κροτοῦσι καὶ θαυμάζουσιν· οὐδὲν οἶμαι χαλεπὸν οὐδὲ δύσκολον ἀκούειν σιωπῇ, καὶ μὴ παρὰ τὸ φαινόμενον ἀνελευθέρως ἐπαινεῖν. ἐὰν γὰρ ἐν τούτοις μὴ κρατῇς σεαυτοῦ, τί ποιήσεις φίλου ποίημα φαῦλον ἀναγινώσκοντος, ἢ λόγον ἐπιδεικνυμένου γεγραμμένον ἀβελτέρως καὶ γελοίως; ἐπαινέσεις δηλονότι καὶ συνεπιθορυβήσεις τοῖς κολακεύουσι. πῶς οὖν ἐν πράγμασιν ἁμαρτάνοντος ἐπιλήψῃ; πῶς δὲ περὶ ἀρχὴν ἢ γάμον ἢ πολιτείαν ἀγνωμονοῦντα νουθετήσεις; ἐγὼ μὲν γὰρ, οὐδὲ τὸ τοῦ Περικλέους ἀποδέχομαι πρὸς τὸν ἀξιοῦντα μαρτυρεῖν ψευδῆ μαρτυρῆσαι φίλον, ᾗ προσῆν καὶ ὅρκος, εἰπόντος μέχρι τοῦ βωμοῦ φίλος εἰμί· λίαν γὰρ ἐγγὺς ἦλθεν. ὁ δὲ πόρρωθεν ἑαυτὸν ἐθίσας μήτε λέγοντος ἐπαινεῖν παρὰ γνώμην, μήτε ᾄδοντος κροτεῖν, μήτε σκώπτοντος ἀφυῶς ἐπιγελᾶν, οὐκ ἐάσει μέχρι τούτου προελθεῖν, οὐδ' εἰπεῖν πρὸς τὸν ἐν ἐκείνοις ἀδυσώπητον, ὄμοσον ὑπὲρ ἐμοῦ καὶ τὰ ψευδῆ μαρτύρησον, καὶ ἀπόφηνε παρὰ τὸ δίκαιον. οὕτω δὲ δεῖ καὶ πρὸς τοὺς αἰτοῦντας ἀργύριον ἀντιταίρειν προεθιζόμενον ἐν τοῖς μήτε μεγάλοις, μήτε δυσπαραιτήτοις. Ἀρχέλαος μὲν γοῦν ὁ τῶν Μακεδόνων βασιλεὺς παρὰ δεῖπνον αἰτηθεὶς ἔκπωμα χρυσοῦν ὑπ' ἀνθρώπου μηδὲν ἡγουμένου καλὸν ἢ τὸ λαμβάνειν, ἐκέλευσεν Εὐριπίδῃ τὸν παῖδα δοῦναι, καὶ πρὸς τὸν ἄνθρωπον ἐκεῖνον ἀποβλέψας, σὺ μὲν εἶπεν αἰτεῖν ἐπιτήδειος εἶ, καὶ μὴ λαμβάνειν, οὗτος δὲ, λαμβάνειν καὶ μὴ αἰτῶν. ἄριστα τοῦ διδόναι καὶ χαρίζεσθαι κύριον ποιῶν τὸ κρῖνον, ἀλλὰ μὴ τὸ δυσωπούμενον. ἡμεῖς δὲ πολλάκις ἀνθρώπους ἐπιεικεῖς καὶ οἰκείους καὶ δεομένους περιορῶντες, ἑτέροις αἰτοῦσιν ἐνδελεχῶς καὶ ἰταμῶς ἐδώκαμεν, οὐ δοῦναι θελήσαντες, ἀλλ' ἀρνήσασθαι μὴ δυνηθέντες. ὥσπερ Ἀντίγονος ὁ γέρων ὑπὸ Βίαντος ἐνοχληθεὶς πολλάκις, δότε εἶπε Βίαντι τάλαντον, καὶ ἀνάγκῃ. καίτοι τῶν βασιλέων μάλιστα ἐμμελὴς ἦν καὶ πιθανὸς ἀποτρίβεσθαι τὰ τοιαῦτα· κυνικοῦ γάρ ποτε δραχμὴν αἰτήσαντος αὐτὸν, οὐ βασιλικὸν ἔφη τὸ δόμα, τοῦ δὲ ὑποτυχόντος, δὸς οὖν μοι τάλαντον, ἀπήντησεν, ἀλλ' οὐ κυνικὸν τὸ λῆμμα. Διογένης μὲν οὖν τοὺς ἀνδριάντας ᾔτει περιιὼν ἐν Κεραμεικῷ, καὶ πρὸς τοὺς θαυμάζοντας ἔλεγεν, ἀποτυγχάνειν μελετᾶν. ἡμῖν δὲ πρῶτον ἐμμελετητέον ἐστὶ τοῖς φαύλοις, καὶ γυμναστέον περὶ τὰ μικρὰ, πρὸς τὸ ἀρνεῖσθαι τοῖς αἰτοῦσιν οὐ προσηκόντως ληψομένοις, ὡς ἂν μείζοσιν ἀποτεύξεσιν ἐπικουρεῖν ἔχωμεν. οὐδεὶς γὰρ ὡς ὁ Δημοσθένης φησὶν, εἰς ἃ μὴ δεῖ καταναλώσας τὰ παρόντα, τῶν μὴ παρόντων εὐπορήσει πρὸς ἃ δεῖ. γίγνεται δὲ ἡμῖν πολλαπλάσιον τὸ αἰσχρὸν, ὅταν ἐλλίπωμεν εἰς τὰ καλὰ, πλεονάσαντες τοῖς περιττοῖς. ἐπεὶ δὲ οὐ χρημάτων μόνον ἡ δυσωπία κακὴ καὶ ἀγνώμων ἐστὶν οἰκονόμος, ἀλλὰ καὶ περὶ τὰ μείζονα παραιτεῖται τὸ συμφέρον τοῦ λογισμοῦ· καὶ γὰρ ἰατρὸν νοσοῦντες οὐ παρακαλοῦμεν τὸν ἔμπειρον, αἰσχυνόμενοι τὸν συνήθη· καὶ παισὶ διδασκάλους ἀντὶ τῶν χρηστῶν, τοὺς παρακαλοῦντας αἱρούμεθα· καὶ δίκην ἔχοντες πολλάκις, οὐκ ἐῶμεν εἰπεῖν τὸν ὠφέλιμον καὶ ἀγοραῖον, ἀλλ' οἰκείου τινὸς ἢ συγγενοῦς υἱῷ χαριζόμενοι, παρεδώκαμεν ἐμπανηγυρίσαι. τέλος δὲ πολλούς ἐστιν ἰδεῖν καὶ τῶν φιλοσοφεῖν λεγομένων Ἐπικουρείους καὶ Στωϊκοὺς ὄντας, οὐχ ἑλομένους οὐδὲ κρίναντας, ἀλλὰ προσθεμένους δυσωποῦσιν οἰκείοις καὶ φίλοις. φέρε δὴ καὶ πρὸς ταῦτα πόρρωθεν ἐν τοῖς ἐπιτυχοῦσι καὶ μικροῖς, γυμνάζωμεν ἑαυτοὺς, ἐθίζοντες μήτε κουρεῖ, μήτε γναφεῖ κατὰ δυσωπίαν χρῆσθαι, μήτε καταλύειν ἐν φαύλῳ πανδοκείῳ, βελτίονος παρόντος· ὅτι πολλάκις ὁ πανδοκεὺς

ἠσπάσατο

ἠσπάσατο ἡμᾶς· ἀλλ' ἔθους ἕνεκα, κἂν ᾖ παρὰ μικρὸν αἱρεῖσθαι τὸ βέλτιον, ὥσπερ οἱ Πυθαγορικοὶ παρεφύλαττον ἀεὶ μηδέποτε τῷ δεξιῷ μηρῷ τὸν εὐώνυμον ἐπιτιθέναι, μηδὲ τὸν ἄρτιον ἀντὶ τοῦ περιττοῦ λαβεῖν, τῶν ἄλλων ἐπίσης ἐχόντων. ἐθιστέον δὲ καὶ θυσίαν ποιούμενον ἢ γάμον, ἤ τινα ἄλλην τοιαύτην ὑποδοχὴν, μὴ τὸν ἀσπασάμενον καλεῖν, ἢ προσδραμόντα μᾶλλον, ἢ τὸν εὔνουν καὶ χρηστόν. ὁ γὰρ οὕτως ἐθισθεὶς καὶ ἀσκήσας, δυσάλωτος ἔσται, μᾶλλον δὲ ὅλως ἀνεπιχείρητος ἐν τοῖς μείζοσι. περὶ μὲν οὖν ἀσκήσεως, ἱκανὰ καὶ ταῦτα. τῶν δὲ χρησίμων ἐπιλογισμῶν, πρῶτός ἐστιν ὁ διδάσκων καὶ ὑπομιμνήσκων, ὅτι πᾶσι μὲν τοῖς πάθεσιν ἀκολουθεῖ καὶ τοῖς νοσήμασιν, ἃ φεύγειν δι' αὐτῶν δοκοῦμεν· ἀδοξίαι, φιλοδοξίαις· καὶ λῦπαι, φιληδονίαις· καὶ πόνοι, μαλακίαις· καὶ φιλονεικίαις, ἧτται καὶ καταδίκαι. τῇ δὲ δυσωπίᾳ συμβέβηκεν ἀτεχνῶς φευγούσῃ καπνὸν ἀδοξίας, εἰς πῦρ ἐμβάλλειν ἑαυτήν. αἰσχυνόμενοι γὰρ ἀντιλέγειν τοῖς ἀγνωμόνως δυσωποῦσιν, ὕστερον δυσωποῦνται τοὺς δικαίως ἐγκαλοῦντας, καὶ δεδιότες μέμψιν ἐλαφρὰν, πολλάκις αἰσχύνην ὁμολογουμένην ὑπομένουσι. καὶ γὰρ αἰτοῦντος ἀργύριον φίλου δυσωπηθέντες ἀντειπεῖν οὐκ ἔχοντες, ἀσχημονοῦσι μετ' ὀλίγον ἐξελεγχόμενοι· καὶ βοηθήσειν ὁμολογήσαντες ἐνίοις, δίκην ἔχουσιν, εἶτα τοὺς ἑτέρους διατραπέντες, ἀποκρύπτονται καὶ δραπετεύουσι. πολλοὺς δὲ καὶ περὶ γάμου ἢ περὶ θυγατρὸς ἢ ἀδελφῆς εἰς ὁμολογίαν ἀλυσιτελῆ κατακλείσασα δυσωπία, ψεύδεσθαι πάλιν ἀναγκάζει μετατιθεμένους. ὁ μὲν γὰρ εἰπὼν ὅτι πάντες οἱ τὴν Ἀσίαν κατοικοῦντες ἑνὶ δουλεύουσιν ἀνθρώπῳ διὰ τὸ μὴ δύνασθαι μίαν εἰπεῖν τὴν οὐ συλλαβὴν, οὐκ ἐσπούδασεν, ἀλλ' ἔσκωψε· τοῖς δὲ δυσωπουμένοις κἂν μηδὲν εἴπωσιν, ἔξεστιν ὀφρὺν ἐπάρασι μόνον ἢ κάτω κύψασι, πολλὰς ἀβουλήτους καὶ ἀτόπους ὑπουργίας διαφεύγειν. τὴν γὰρ σιωπὴν ὁ μὲν Εὐριπίδης φησὶ, τοῖς σοφοῖς ἀπόκρισιν εἶναι· κινδυνεύομεν δὲ μᾶλλον αὐτῆς δεῖσθαι πρὸς τοὺς ἀγνώμονας· ἐπεὶ τοὺς χαρίεντας ἔστι καὶ παρηγορῆσαι. καὶ πρόχειρά γε δεῖ καὶ συχνὰ τῶν ἐπιφανῶν καὶ ἀγαθῶν ἀνδρῶν ἔχειν ἀποφθέγματα, καὶ μνημονεύειν πρὸς τοὺς δυσωποῦντας, οἷον τὸ Φωκίωνος πρὸς Ἀντίπατρον· οὐ δύνασαί μοι καὶ φίλῳ χρῆσθαι καὶ κόλακι. καὶ πρὸς τοὺς Ἀθηναίους ἐπιδοῦναι κελεύοντας αὐτὸν ἐν ἑορτῇ καὶ κροτοῦντας, αἰσχύνομαι εἶπεν ὑμῖν μὲν ἐπιδιδοὺς, τούτῳ δὲ μὴ ἀποδιδοὺς, Καλλικλέα δείξας τὸν δανειστὴν αὐτοῦ. πενίαν γὰρ, οὐχ ὁμολογεῖν αἰσχρὸν, ὡς ὁ Θουκυδίδης φησὶν, ἀλλ' ἔργῳ μὴ διαφεύγειν αἴσχιον. ὁ δὲ ἀβελτηρίᾳ καὶ μαλακίᾳ πρὸς τὸν αἰτοῦντα δυσωπούμενος εἰπεῖν,

» οὐκ ἔστ' ἐν ἄντροις λευκὸς ὦ ξεῖν' ἄργυρος·

εἶτα ὥσπερ ἐνέχυρον προέμενος τὴν ἐπαγγελίαν,

» αἰδοῦς ἀχαλκεύτοισιν ἐζεύχθη πέδαις.

ὁ δὲ Περσαῖος ἀργύριον τινὶ τῶν γνωρίμων δανείζων, δι' ἀγορᾶς καὶ τραπέζης ἐποιεῖτο τὸ συμβόλαιον, μεμνημένος δηλονότι τοῦ Ἡσιόδου λέγοντος·

» καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.

θαυμάσαντος δὲ ἐκείνου καὶ εἰπόντος, οὕτως ὦ Περσαῖε νομικῶς; ναὶ εἶπεν, ἵνα φιλικῶς ἀπολάβω, καὶ μὴ νομικῶς ἀπαιτήσω. πολλοὶ γοῦν ἐν ἀρχῇ διὰ δυσωπίαν προέμενοι τὸ πιστὸν, ὕστερον ἐχρήσαντο τοῖς νομίμοις μετ' ἔχθρας. πάλιν ὁ Πλάτων Ἑλίκωνι τῷ Κυζικηνῷ διδοὺς πρὸς Διονύσιον ἐπιστολὴν, ἐπῄνεσεν αὐτὸν ὡς ἐπιεικῆ καὶ μέτριον. εἶτα προσέγραψε τῇ ἐπιστολῇ τελευτώσῃ, γράφω δέ σοι ταῦτα περὶ ἀνθρώπου, ζῴου φύσει εὐμεταβόλου. Ξενοκράτης δὲ, καίπερ αὐστηρὸς ὢν τὸν τρόπον, ὅμως ὑπὸ δυσωπίας ἐκάμφθη, καὶ συνέστησε Πολυπέρχοντι δι' ἐπιστολῆς ἄνθρωπον οὐ χρηστὸν, ὡς τὸ ἔργον ἔδειξε. δεξιωσαμένου δὲ αὐτὸν τοῦ Μακεδόνος καὶ πυθομένου μή τινος ἔχοι χρείαν, ᾔτησε τάλαντον. ὁ δὲ ἐκείνῳ μὲν ἔδωκε, Ξενοκράτει δὲ ἔγραψε παραινῶν, ἐπιμελέστερον τὸ λοιπὸν ἐξετάζειν οὓς συνίστησιν. ὁ μὲν οὖν Ξενοκρά

τῆς ἠγνόησεν. ἡμεῖς δὲ καὶ πάνυ πολλάκις ἐπιστάμενοι τοὺς πονηροὺς, καὶ γράμματα προϊέμεθα, καὶ χρήματα βλάπτοντες ἑαυτοὺς, οὐ μεθ' ἡδονῆς, ὥσπερ οἱ ταῖς ἑταίραις χαριζόμενοι καὶ τοῖς κόλαξιν· ἀλλὰ δυσχεραίνοντες καὶ βαρυνόμενοι τὴν ἀναίδειαν ἀνατρέπουσαν ὑμῶν καὶ καταβιαζομένην τὸν λογισμόν. εἰ δέ τι πρὸς ἄλλο τι καὶ πρὸς τοὺς δυσωποῦντας ἔξεστιν εἰπεῖν, τὸ μανθάνω μὲν οἷα δρᾶν μέλλω νῦν ἐγώ, τὰ ψευδῆ μαρτυρῶν, ἢ τὰ μὴ δίκαια κρίνων, ἢ τὰ μὴ συμφέροντα χειροτονῶν, ἢ δανειζόμενος ὑπὲρ τοῦ μὴ ἀποδώσοντος. διὸ τῶν παθῶν μάλιστα τῷ δυσωπεῖσθαι τὸ μετανοεῖν οὐχ ὕστερον, ἀλλ' εὐθὺς ἐν οἷς πράττει πάρεστι. καὶ γὰρ διδόντες ἀχθόμεθα· καὶ μαρτυροῦντες, αἰσχυνόμεθα· καὶ συνεργοῦντες, ἀδοξοῦμεν· καὶ μὴ παρέχοντες, ἐλεγχόμεθα. πολλὰ γοῦν ὑπ' ἀσθενείας τοῦ ἀντιλέγειν, καὶ τῶν ἀδυνάτων ἡμῖν ὑπισχνούμεθα τοῖς ἀεὶ παροῦσιν, ὡς συστάσεις ἐν αὐλαῖς καὶ πρὸς ἡγεμόνας ἐντεύξεις, μὴ βουλόμενοι μηδὲ ὑπομένοντες εἰπεῖν, οὐκ οἶδεν ἡμᾶς ὁ βασιλεὺς, ἀλλ' ἑτέρους ὁρᾷ μᾶλλον. ὡς Λύσανδρος Ἀγησιλάῳ προσκεκρουκὼς, ἀξιούμενος δὲ μέγιστον δύνασθαι παρ' αὐτῷ διὰ τὴν δόξαν, οὐκ ᾐσχύνετο παραιτεῖσθαι τοὺς ἐντυγχάνοντας, ἀπιέναι πρὸς ἑτέρους κελεύων, καὶ πειρᾶσθαι τῶν μᾶλλον αὐτοῦ παρὰ τῷ βασιλεῖ δυναμένων. οὐ γὰρ αἰσχρὸν τὸ μὴ πάντα δύνασθαι, τὸ δὲ μὴ δυναμένους ἢ μὴ πεφυκότας ἀναδέχεσθαι τὰ τοιαῦτα καὶ παραβιάζεσθαι, πρὸς τῷ αἰσχρῷ λυπηρότατόν ἐστιν. ἀπ' ἄλλης δὲ ἀρχῆς τὰ μὲν μέτρια καὶ πρέποντα, δεῖ προθύμως ὑπουργεῖν τοῖς ἀξιοῦσι μὴ δυσωπουμένους, ἀλλ' ἑκόντας, ἐν δὲ τοῖς βλαβεροῖς καὶ ἀτόποις, τὸ τοῦ Ζήνωνος ἀεὶ πρόχειρον ἔχειν, ὃς ἀπαντήσας τινὶ νεανίσκῳ τῶν συνήθων παρὰ τὸ τεῖχος ἡσυχῇ βαδίζοντι, καὶ πυθόμενος ὅτι φεύγει φίλον ἀξιοῦντα μαρτυρεῖν αὐτῷ τὰ ψευδῆ· τί λέγεις φησὶν ἀβέλτερε· σὲ μὲν ἐκεῖνος ἀγνωμονῶν καὶ ἀδικῶν οὐ δέδιεν, οὐδὲ αἰσχύνεται· σὺ δὲ ἐκεῖνον ὑπὲρ τῶν δικαίων οὐ θαρρεῖς ὑποστῆναι; ὁ μὲν γοῦν εἰπὼν ποτὶ πονηρὸν οὐκ ἄχρηστον ὅπλον ἁ πονηρία, κακῶς ἐθίζει μιμούμενον ἀμύνεσθαι τὴν κακίαν. τὸ δὲ τοὺς ἀναιδῶς καὶ ἀδυσωπήτως ἐνοχλοῦντας ἀποτρίβεσθαι τῷ ἀδυσωπήτῳ καὶ μὴ χαρίζεσθαι τὰ αἰσχρὰ τοῖς ἀναισχύντοις αἰσχυνόμενον, ὀρθῶς καὶ δικαίως γινόμενόν ἐστιν ὑπὸ τῶν νοῦν ἐχόντων. ἔτι τοίνυν τῶν δυσωπούντων τοῖς μὲν ἀδόξοις καὶ ταπεινοῖς καὶ μηδενὸς ἀξίοις, οὐ μέγα ἔργον ἀντισχεῖν· ἀλλὰ καὶ μετὰ γέλωτος ἔνιοι καὶ μετὰ σκώμματος ἐκκλίνουσι τοὺς τοιούτους, ὡς Θεόκριτος δυεῖν αὐτῷ ἐν βαλανείῳ στλεγγίδα κεχρημένων, τοῦ μὲν ξένου, τοῦ δὲ γνωρίμου κλέπτου, μετὰ παιδιᾶς ἀμφοτέρους διεκρούσατο, εἰπὼν σὲ μὲν οὐκ οἶδα, σὲ δὲ οἶδα. Λυσιμάχη δὲ Ἀθήνησιν ἡ τῆς Πολιάδος ἱέρεια τῶν τὰ ἱερὰ προσαγαγόντων ὀρεωκόμων ἐγχέαι κελευόντων, ἀλλ' ὀκνῶ εἶπε μὴ καὶ τοῦτο πάτριον γένηται. καὶ Ἀντίγονος πρός τινα νεανίσκον γεγονότα μὲν ἐκ λοχαγοῦ χαρίεντος, αὐτὸν δὲ ἄτολμον ὄντα καὶ μαλακὸν, ἀξιοῦντα δὲ προαχθῆναι, παρ' ἐμοί φησιν ὦ μειράκιον ἀνδραγαθίας εἰσὶν, οὐ πατραγαθίας τιμαί. καὶ μὴν ἐάνπερ ὁ δυσωπῶν ἔνδοξος ᾖ καὶ δυνατὸς, οἳ δὴ μάλιστα καὶ δυσπαραίτητοι καὶ δυσαπότρεπτοι περὶ τὰς κρίσεις καὶ τὰς χειροτονίας ἐντυγχάνοντές εἰσιν· ὃ μὲν ἔπραξεν ὁ Κάτων νέος ἔτι ὢν πρὸς Κάτλον, οὐκ ἂν τινι φανείη ῥᾴδιον ἴσως, οὐδ' ἀναγκαῖον. ὁ γοῦν Κάτλος ἦν μὲν ἐν ἀξιώματι τῶν Ῥωμαίων μεγίστῳ· καὶ τότε τὴν τιμητικὴν ἀρχὴν εἶχεν, ἀνέβη δὲ πρὸς τὸν Κάτωνα τεταγμένον ἐπὶ τοῦ δημοσίου ταμιείου παραιτησόμενός τινα τῶν ἐζημιωμένων ὑπ' αὐτοῦ, καὶ λιπαρὴς ἐγίνετο ταῖς δεήσεσι προσβιαζόμενος, ἄχρις οὗ δυσανασχετήσας ἐκεῖνος, αἰσχρόν ἐστιν ἔφη Κάτλε σὲ τὸν τιμητὴν ἀπαλλαγῆναι μὴ βουλόμενον ἐντεῦθεν ὑπὸ τῶν ἐμῶν ὑπηρετῶν ἕλκεσθαι. καὶ ὁ Κάτλος αἰσχυνθεὶς, πρὸς ὀργὴν ἀπῆλθε. σκόπει δὲ καὶ τὸ τοῦ Ἀγησιλάου καὶ

καὶ τὸ τοῦ Θεμιστοκλέους ἐπιεικέστερον ἔτι καὶ μετριώτερον. ὁ μὲν γὰρ Ἀγησίλαος ὑπὸ τοῦ πατρὸς κελευόμενος κρῖναι τινὰ δίκην παρὰ τὸν νόμον, ἀλλ' ὑπὸ σοῦ ἔφη πάτερ πείθεσθαι τοῖς νόμοις ἐδιδασκόμην ἀπ' ἀρχῆς· διὸ καὶ νῦν σοι πείθομαι μηδὲν ποιεῖν παράνομον. ὁ δὲ Θεμιστοκλῆς πρὸς τὸν Σιμωνίδην ἀξιοῦντά τι τῶν μὴ δικαίων, οὔτ' ἂν σὺ ποιητὴς ἀγαθὸς εἴης ἔφη παρὰ μέλος ᾄδων, οὔτ' ἂν ἐγὼ χρηστὸς ἄρχων παρὰ νόμον κρίνων. καίτοι οὐ διὰ τὴν τοῦ ποδὸς πρὸς τὴν λύραν ἀμετρίαν ὡς Πλάτων ἔλεγε, καὶ πόλεις πόλεσι καὶ φίλοι φίλοις διαφερόμενοι τὰ ἔσχατα δρῶσί τε καὶ πάσχουσιν, ἀλλὰ διὰ τὴν περὶ τὰ νόμιμα καὶ δίκαια πλημμέλειαν. ἀλλ' ὅμως ἔνιοι τὴν ἐν μέλεσι καὶ γράμμασι καὶ μέτροις ἀκρίβειαν αὐτοὶ φυλάττοντες, ἑτέρους ἐν ἀρχαῖς καὶ κρίσεσι καὶ πράξεσιν, ἀξιοῦσιν ὀλιγωρεῖν τοῦ καλῶς ἔχοντος. διὸ καὶ τούτῳ μάλιστα χρηστέον πρὸς αὐτούς. ἐντυγχάνει σοι δικάζοντι ῥήτωρ, ἢ βουλευομένῳ δημαγωγός; ὁμολόγησον ἐὰν ἐκεῖνος σολοικίσῃ προοιμιαζόμενος, ἢ βαρβαρίσῃ διηγούμενος. οὐ γὰρ ἐθελήσει διὰ τὸ φαινόμενον αἰσχρόν· ἐνίους γοῦν ὁρῶμεν οὐδὲ συγκροῦσαι φωνῆεν φωνήεντι ἐν τῷ λέγειν ὑπομένοντας. ἕτερον πάλιν δυσωποῦντα τῶν ἐπιφανῶν καὶ ἐνδόξων, κέλευσον ὀρχούμενον δι' ἀγορᾶς ἐξελθεῖν, ἢ διαστρέψαντα τὸ πρόσωπον. ἐὰν δὲ ἀρνῆται, σὸς ἐστὶν ὁ καιρὸς εἰπεῖν καὶ πυθέσθαι τί αἴσχιόν ἐστι τὸ σολοικίσαι καὶ διαστρέψαι τὸ πρόσωπον, ἢ τὸ λῦσαι τὸν νόμον, καὶ παραβῆναι τὸν ὅρκον, καὶ πλέον νεῖμαι τῷ πονηρῷ τοῦ ἀγαθοῦ παρὰ τὸ δίκαιον. ἔτι τοίνυν ὥσπερ Νικόστρατος ὁ Ἀργεῖος, Ἀρχιδάμου παρακαλοῦντος αὐτὸν ἐπὶ χρήμασι πολλοῖς καὶ γάμῳ γυναικὸς ἧς βούλεται Λακαίνης παραδοῦναι Κρῶμνον, οὐκ ἔφη γεγονέναι τὸν Ἀρχίδαμον ἀφ' Ἡρακλέους· ἐκεῖνον μὲν γὰρ ἀποκτιννύναι περιιόντα τοὺς πονηρούς· τοῦτον δὲ, τοὺς χρηστοὺς ποιεῖν πονηρούς. οὕτω καὶ ἡμῖν πρὸς ἄνθρωπον ἀξιοῦντα καλὸν κἀγαθὸν λέγεσθαι, ῥητέον ἂν βιάζηται καὶ δυσωπῇ, μὴ πρέποντα ποιεῖν μηδὲ ἄξια τῆς πρὸς αὐτὸν εὐγενείας τε καὶ ἀρετῆς. ἐπὶ δὲ τῶν φαύλων ὁρᾶν δεῖ καὶ διανοεῖσθαι τὸν φιλάργυρον, εἰ δυσωπήσεις ἄνευ συμβολαίου δανεῖσαι τάλαντον, ἢ τὸν φιλότιμον πείσεις ἐκστῆναι τῆς προεδρίας, ἢ τὸν φίλαρχον τῆς παραγγελίας, ἐπίδοξον ὄντα κρατήσειν. δεινὸν γὰρ ἂν ἀληθῶς φανείη τούτους μὲν ἐν νοσήμασι καὶ παθήμασιν ἀκάμπτους διαμένειν καὶ ἐχυροὺς καὶ δυσμεταθέτους, ἡμᾶς δὲ βουλομένους καὶ φάσκοντας εἶναι φιλοκάλους καὶ φιλοδικαίους μὴ κρατεῖν ἑαυτῶν, ἀλλ' ἀνατρέπεσθαι καὶ προΐεσθαι τὴν ἀρετήν. καὶ γὰρ εἰ μὲν οἱ δυσωποῦντες ἐπὶ δόξῃ καὶ δυνάμει τοῦτο ποιοῦσιν, ἄτοπόν ἐστι κοσμοῦντας ἑτέρους καὶ αὔξοντας, ἀσχημονεῖν ἑαυτοὺς καὶ κακῶς ἀκούειν, ὥσπερ οἱ παραβραβεύοντες ἐν τοῖς ἀγῶσι, καὶ χαριζόμενοι περὶ τὰς χειροτονίας, ἐξ οὐ προσηκόντων ἀρχεῖα καὶ στεφάνους ἄλλοις καὶ δόξαν, ἀφαιροῦνται τὸ ἔνδοξον αὐτῶν καὶ τὸ καλόν. εἰ δὲ χρημάτων ἕνεκα προσκείμενον ὁρῶμεν τὸν δυσωποῦντα, πῶς οὐ παρίσταται δεινὸν εἶναι τὸ τῆς ἰδίας δόξης καὶ ἀρετῆς ἀφειδεῖν, ἵνα τὸ τοῦ δεῖνος βαλάντιον βαρύτερον γένηται. καίτοι παρίσταταί γε τοῖς πολλοῖς τὰ τοιαῦτα, καὶ οὐ λανθάνουσιν ἑαυτοὺς ἐξαμαρτάνοντες· ὥσπερ οἱ τὰς μεγάλας κύλικας ἐκπίνειν ἀναγκαζόμενοι μόλις καὶ στένοντες, καὶ τὰ πρόσωπα διαστρέφοντες, ἐκτελοῦσι τὸ προσταττόμενον. ἀλλ' ἔοικεν ἡ τῆς ψυχῆς ἀτονία, σώματος κράσει, καὶ πρὸς ἀλέαν κακῶς πεφυκυίᾳ καὶ πρὸς κρύος· ἐπαινούμενοί τε γὰρ ὑπὸ τῶν δυσωπούντων, παντάπασι θρύπτονται καὶ χαλῶνται, πρός τε τὰς μέμψεις καὶ ὑφοράσεις τῶν ἀποτυγχανόντων ψοφοδεῶς καὶ δειλῶς ἔχουσι. δεῖ δὲ ἀντισχυρίζεσθαι πρὸς ἀμφότερα· μήτε τοῖς δεδιττομένοις, μήτε τοῖς κολακεύουσιν ἐνδιδόντας. ὁ μὲν οὖν Θουκυδίδης ὡς ἀναγ

καίως ἑπομένου τῷ δύνασθαι τοῦ φθονεῖσθαι, καλῶς φησι βουλεύεσθαι, τὸν ἐπὶ μεγίστοις λαμβάνοντα τὸ ἐπίφθονον· ἡμεῖς δὲ τὸν μὲν φθόνον διαφεύγειν οὐ χαλεπὸν ἡγούμενοι, τὸ δὲ μέμψει μὴ περιπεσεῖν μηδὲ λυπηρόν τινι γενέσθαι τῶν χρωμένων ἀδύνατον παντάπασιν ὁρῶντες, ὀρθῶς βουλευσόμεθα, τὰς τῶν ἀγνωμόνων ἀπεχθείας ἐκδεχόμενοι μᾶλλον, ἢ τὰς τῶν δικαίως ἐγκαλούντων, ἐὰν ἐκείνοις μὴ δικαίως ὑπουργῶμεν. καὶ μὴν ἔπαινόν γε τὸν παρὰ τῶν δυσωπούντων κίβδηλον ὄντα παντάπασι, δεῖ φυλάττεσθαι, καὶ μὴ πάσχειν ὑῶδες ἀπὸ κνησμοῦ καὶ γαργαλισμοῦ παρέχοντα χρῆσθαι ῥᾷστα τῷ δεομένῳ, καὶ καταβάλλειν ἑαυτὸν ὑποκατακλινόμενον· οὐδὲν γὰρ διαφέρουσι τῶν τὰ σκέλη τοῖς ὑποσπῶσι παρεχόντων, οἱ τὰ ὦτα τοῖς κολακεύουσι παραδιδόντες· ἀλλ᾽ αἴσχιον ἀνατρέπονται καὶ πίπτουσιν, οἱ μὲν ἔχθρας καὶ κολάσεις ἀνιέντες ἀνθρώποις πονηροῖς, ἵν᾽ ἐλεήμονες καὶ φιλάνθρωποι καὶ συμπαθεῖς κληθῶσιν, οἱ δὲ τοὐναντίον ἀπεχθείας καὶ κατηγορίας οὐκ ἀναγκαίας οὐδ᾽ ἀκινδύνους ἀναδέξασθαι πεισθέντες ἀπὸ τῶν ἐπαινούντων, ὡς μόνους ἄνδρας καὶ μόνους ἀκολακεύτους, καὶ νὴ δία στόματα καὶ φωνὰς προσαγορευόντων. διὸ καὶ βίων ἀπείκαζε τοὺς τοιούτους ἀμφορεῦσιν ὑπὸ τῶν ὤτων ῥᾳδίως μεταφερομένους· ὥσπερ ἀλεξῖνον ἱστοροῦσι τὸν σοφιστὴν πολλὰ φαῦλα λέγειν ἐν τῷ περιπάτῳ περὶ στίλπωνος τοῦ μεγαρέως· εἰπόντος δέ τινος τῶν παρόντων, ἀλλὰ μὴν ἐκεῖνός σε πρώην ἐπῄνει, νὴ δία φάναι· βέλτιστος γὰρ ἀνδρῶν ἐστι καὶ γενναιότατος. ἀλλὰ μενέδημος τοὐναντίον ἀκούσας ὡς ἀλεξῖνος αὐτὸν ἐπαινεῖ πολλάκις, ἐγὼ δὲ εἶπεν ἀεὶ ψέγω ἀλεξῖνον· ὥστε κακός ἐστιν ἄνθρωπος, ἢ κακὸν ἐπαινῶν, ἢ ὑπὸ χρηστοῦ ψεγόμενος. οὕτως ἄτρεπτος ἦν καὶ ἀνάλωτος ἀπὸ τῶν τοιούτων, καὶ κρατῶν ἐκείνης τῆς παραινέσεως, ἣν ὁ ἀντισθένειος ἡρακλῆς παρῄνει τοῖς παισὶ διακελευόμενος, μηδενὶ χάριν ἔχειν ἐπαινοῦντι αὐτούς· τοῦτο δὲ ἦν οὐδὲν ἄλλο, ἢ μὴ δυσωπεῖσθαι μηδὲ ἀντικολακεύειν τοὺς ἐπαινοῦντας. ἀρκεῖ γ᾽ οἶμαι τὸ τοῦ πινδάρου πρὸς τὸν λέγοντα πανταχοῦ καὶ πρὸς πάντας ἐπαινεῖν αὐτὸν, εἰπόντος, κἀγώ σοι χάριν ἀποδίδωμι· ποιῶ γάρ σε ἀληθεύειν. ὃ τοίνυν πρὸς πάντα τὰ πάθη χρήσιμόν ἐστι, τοῦτο δεῖ μάλιστα τοῖς εὐδυσωπήτοις, ὅταν ἐκβιασθέντες ἀπὸ τοῦ πάθους, παρὰ γνώμην ἁμάρτωσι καὶ διατραπῶσιν ἰσχυρῶς μνημονεύειν καὶ τὰ σημεῖα τοῦ δηγμοῦ καὶ τῆς μεταμελείας θεμένους ἐν ἑαυτοῖς, ἀναλαμβάνειν καὶ φυλάττειν ἐπὶ πλεῖστον χρόνον. ὡς γὰρ οἱ λίθῳ προσπταίσαντες ὁδοιπόροι, ἢ περὶ ἄκραν ἀνατραπέντες κυβερνῆται, ἂν μνημονεύωσιν, οὐκ ἐκεῖνα μόνον, ἀλλὰ καὶ τὰ προσόμοια φρίττοντες καὶ φυλαττόμενοι διατελοῦσιν, οὕτως οἱ τὰ τῆς δυσωπίας αἰσχρὰ καὶ βλαβερὰ συνεχῶς τῷ μετανοοῦντι καὶ δακνομένῳ προσβάλλοντες, ἀντιλήψονται πάλιν ἑαυτῶν ἐν τοῖς ὁμοίοις, καὶ οὐ προήσονται ῥᾳδίως ὑποφερομένους.

ΠΕΡΙ ΦΙΛΑΔΕΛΦΙΑΣ.

Τὰ παλαιὰ τῶν διοσκούρων ἀφιδρύματα, σπαρτιᾶται δόκανα καλοῦσι· ἔστι δὲ δύο ξύλα παράλληλα δυσὶ πλαγίοις ἐπεζευγμένα, καὶ δοκεῖ τῷ φιλαδέλφῳ τῶν θεῶν, οἰκεῖον εἶναι τοῦ ἀναθήματος τὸ κοινὸν καὶ ἀδιαίρετον· οὕτω δὴ καὶ αὐτὸς ὑμῖν ὦ νιγρῖνε καὶ κυῖντε, τὸ σύγγραμμα τοῦτο περὶ φιλαδελφίας ἀνατίθημι, κοινὸν ἀξίοις οὖσι δῶρον. ἐφ᾽ ἃ γὰρ προτρέπεται ταῦτα πράττοντες ἤδη, μαρτυρεῖσθαι μᾶλλον ἢ παρακαλεῖσθαι δόξετε· καὶ τὸ χαῖρον ὑμῶν ἐφ᾽ οἷς κατορθοῦτε, ποιήσει τῇ κρίσει τὴν ἐπιμονὴν βεβαιοτέραν, ὥσπερ ἐν χρηστοῖς καὶ φιλοκάλοις θεαταῖς εὐημεροούντων. ἀρίσταρχος μὲν οὖν ὁ θεοδέκτου πατὴρ, ἐπισκώπτων τὸ πλῆθος τῶν σοφιστῶν, ἔλεγε, πάλαι μὲν ἑπτὰ σοφιστὰς μόλις γενέσθαι· τότε δὲ, μὴ ῥᾳδίως ἂν ἰδιώτας τοσούτους εὑρεθῆναι. ἐγὼ δὲ ὁρῶ καθ᾽ ἡμᾶς τὴν φιλαδελφίαν οὕτω σπάνιον οὖσαν, ὡς τὴν μισαδελφίαν ἐπὶ τῶν παλαιῶν, ἧς γε τὰ φανέντα παραδείγματα, τραγῳδίαις καὶ θεάτροις ὁ βίος ἐξέδωκε, διὰ τὸ παράδοξον· οἱ δὲ νῦν ἄνθρωποι πάντες ὅταν ἐντυγχάνωσι χρηστοῖς ἀδελφοῖς, θαυμάζουσιν οὐδὲν ἧττον ἢ τοὺς μολιονίδας ἐκείνους, συμφυεῖς τοῖς σώμασι γεγονέναι δοκοῦντας· καὶ τὸ χρῆσθαι κοινῶς τοῖς πατρῴοις χρήμασι καὶ φίλοις καὶ δούλοις, οὕτως ἄπιστον ἡγοῦνται καὶ τερατῶδες, ὡς τὸ χρῆσθαι μίαν ψυχὴν δυεῖν σωμάτων χερσὶ καὶ ποσὶ καὶ ὀφθαλμοῖς. καίτοι τὸ παράδειγμα τῆς χρήσεως τῶν ἀδελφῶν, ἡ φύσις οὐ μακρὰν ἔθηκεν, ἀλλ᾽ ἐν αὐτῷ τῷ σώματι τὰ πλεῖστα τῶν ἀναγκαίων διττὰ καὶ ἀδελφὰ καὶ δίδυμα μηχανησαμένη, χεῖρας, πόδας, ὄμματα, ὦτα, ῥῖνας, ἐδίδαξεν, ὅτι ταῦτα πάντα σωτηρίας ἕνεκα καὶ συμπράξεως κοινῆς, οὐ διαφορᾶς καὶ μάχης, οὕτω διέστησε· αὐτάς τε τὰς χεῖρας εἰς πολλοὺς καὶ ἀνίσους δακτύλους σχίσασα, πάντων ὀργάνων ἐμμελέστατα καὶ τεχνικώτατα παρέσχεν· ὥστε ἀναξαγόραν τὸν παλαιὸν, ἐν ταῖς χερσὶ τὴν αἰτίαν τίθεσθαι τῆς ἀνθρωπίνης σοφίας καὶ συνέσεως. ἀλλὰ τούτου μὲν ἔοικεν ἀληθὲς εἶναι τοὐναντίον· οὐ γὰρ ὅτι χεῖρας ἔσχεν ἄνθρωπος σοφώτατον, ἀλλ᾽ ὅτι φύσει λογικὸν ἦν καὶ τεχνικὸν, ὀργάνων φύσει τοιούτων ἔτυχεν· ἐκεῖνο δὲ παντὶ δῆλον, ὡς ἀπὸ σπέρματος ἑνὸς καὶ μιᾶς ἀρχῆς ἡ φύσις, ἀδελφοὺς δύο καὶ τρεῖς καὶ πλείονας ἐποίησεν, οὐ πρὸς διαφορὰν καὶ ἀντίταξιν, ἀλλ᾽ ὅπως χωρὶς ὄντες, ἀλλήλοις μᾶλλον συνεργῶσιν. οἱ γὰρ δὴ τρισώματοι καὶ ἑκατοντάχειρες εἴπερ ἐγένοντο, συμφυεῖς ὄντες πᾶσι τοῖς μέρεσιν, οὐδὲν ἐκτὸς αὐτῶν οὐδὲ χωρὶς ἐδύναντο ποιεῖν, ὃ τοῖς ἀδελφοῖς ὑπάρχει, καὶ μένειν καὶ ἀποδημεῖν ἅμα, καὶ πολιτεύεσθαι, καὶ γεωργεῖν δυναμένοις δι᾽ ἀλλήλων· ἄνπερ ἣν ἡ φύσις ἔδωκεν εὐνοίας καὶ συμφωνίας ἀρχὴν φυλάττωσιν· εἰ δὲ μὴ, ποδῶν οὐδὲν οἶμαι διοίσουσιν ἀλλήλους ὑποσκελιζόντων, καὶ δακτύλων ἐμπλεκομένων καὶ διαστρεφομένων παρὰ φύσιν ὑπ᾽ ἀλλήλων. μᾶλλον δὲ ὥσπερ ἐν ταὐτῷ σώματι μιᾶς κοινωνοῦντα φύσεως καὶ τροφῆς τὰ ὑγρὰ καὶ ξηρὰ καὶ ψυχρὰ καὶ θερμὰ τῇ ὁμονοίᾳ καὶ συμφωνίᾳ τὴν ἀρίστην καὶ ἡδίστην κρᾶσιν ἐμποιεῖ καὶ ἁρμονίαν, ἧς χωρὶς οὔτε πλούτου φασὶν οὔτε τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς εἶναί τινα χάριν καὶ ὄνησιν· ἂν δὲ πλεονεξία καὶ στάσις αὐτοῖς ἐγγένηται, διέφθειρεν αἴσχιστα καὶ συνέχεε τὸ ζῶον, οὕτως ἀδελφῶν ὁμοφροσύνῃ καὶ γένος καὶ οἶκος ὑγιαίνει καὶ τέθηλε, καὶ φίλοι καὶ συνήθεις, ὥσπερ ἐμμελὴς χορὸς οὐθὲν οὔτε πράσσουσιν ἐναντίον, οὔτε λέγουσιν ἢ φρονοῦσιν· ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς· οἰκέτης διάβολος ἢ κόλαξ παρενδὺς θυραῖος, ἢ πολίτης βάσκανος. ὡς γὰρ αἱ νόσοι

τοῖς σώμασι μὴ προσιεμένοις τὸ οἰκεῖον, πολλῶν ἐμποιοῦσιν ἀτόπων καὶ βλαβερῶν ὀρέξεις, οὕτως ἡ πρὸς τὸ συγγενὲς διαβολὴ καὶ ὑφόρασις, ὁμιλίας ἐπάγεται φαύλας καὶ πονηρὰς εἰς τὸ ἐκλιπὲς ἔξωθεν ἐπιρρεούσας. ὁ μὲν οὖν ἀρκαδικὸς μάντις, ἀναγκαίως πόδα ξύλινον προσεποιήσατο καθ' ἡρόδοτον, τοῦ οἰκείου στερηθείς· ἀδελφὸς δὲ πολεμῶν ἀδελφῷ, καὶ κτώμενος ὀθνεῖον ἐξ ἀγορᾶς ἢ παλαίστρας ἑταῖρον, οὐδὲν ἔοικεν ἄλλο ποιεῖν, ἢ σάρκινον καὶ συμφυὲς ἑκουσίως ἀποκόψας μέλος, ἀλλότριον προστίθεσθαι καὶ προσαρμόττειν. αὐτὴ γὰρ ἡ προσδεχομένη καὶ ζητοῦσα φιλίαν καὶ ὁμιλίαν χρεία, διδάσκει τὸ συγγενὲς τιμᾶν καὶ περιέπειν καὶ διαφυλάττειν, ὡς ἀφίλους καὶ ἀμίκτους καὶ μονοτρόπους ζῆν μὴ δυναμένους, μηδὲ πεφυκότας. ὅθεν ὁ μένανδρος ὀρθῶς, οὐκ ἐκ πότων καὶ τῆς καθ' ἡμέραν τρυφῆς ζητοῦμεν ᾧ πιστεύσομεν τὰ τοῦ βίου φησὶ πάτερ; οὐ περιττὸν οἴεσθ' ἐξευρηκέναι ἀγαθὸν ἕκαστος ἐὰν ἔχῃ φίλου σκιάν. σκιαὶ γάρ εἰσιν ὄντως, αἱ πολλαὶ φιλίαι, καὶ μιμήματα καὶ εἴδωλα τῆς πρώτης ἐκείνης, ἣν παισί τε πρὸς γονεῖς ἡ φύσις, ἀδελφοῖς τε πρὸς ἀδελφοὺς ἐμπεποίηκε, κἀκείνην ὁ μὴ σεβόμενος μηδὲ τιμῶν, ἆρά τινι πίστιν εὐνοίας τοῖς ἀλλοτρίοις δίδωσιν. ἢ ποῖός τίς ἐστι τὸν ἑταῖρον ἐν φιλοφροσύναις καὶ γράμμασιν ἀδελφὸν προσαγορεύων· τῷ δ' ἀδελφῷ μηδὲ τὴν αὐτὴν ὁδὸν οἰόμενος δεῖν βαδίζειν. ὡς γὰρ εἰκόνα κοσμεῖν ἀδελφοῦ, τὸ δὲ σῶμα τύπτειν καὶ ἀκρωτηριάζειν μανικόν, οὕτως τοὔνομα σέβεσθαι καὶ τιμᾶν ἐν ἑτέροις, αὐτὸν δὲ μισεῖν καὶ φεύγειν, οὐχ ὑγιαίνοντός ἐστιν, οὐδ' ἐννῷ πώποτε τὴν φύσιν ὡς ἁγιώτατον καὶ μέγιστον ἱερὸν λαβόντος. οἶδα γοῦν ἐμαυτὸν ἐν ῥώμῃ δυεῖν ἀδελφῶν ἀναδεξάμενον δίαιταν, ὧν ἅτερος ἐδόκει φιλοσοφεῖν. ἦν δὲ ὡς ἔοικεν οὐ μόνον ἀδελφὸς, ἀλλὰ καὶ φιλόσοφος ψευδεπίγραφος καὶ ψευδώνυμος. ἐμοῦ γὰρ ἀξιοῦντος αὐτὸν ὡς ἀδελφῷ καὶ ἰδιώτῃ φιλόσοφον προσφέρεσθαι, ταῦτα εἶπεν ὡς πρὸς ἰδιώτην ἀληθῶς. ἐγὼ δὲ οὐ σεμνὸν οὐδὲ μέγα ποιοῦμαι τὸ ἐκ τῶν αὐτῶν μορίων γεγονέναι. σὺ μὲν ἔφην ἐγὼ πανδῆλος εἶ, μηδὲ τὸ ἐκ μορίων γεγονέναι, μέγα καὶ σεμνὸν ἡγούμενος. ἀλλ' οἵ γε πάντες ἄλλοι, εἰ καὶ μὴ φρονοῦσιν οὕτως, λέγουσι γοῦν καὶ ᾄδουσιν, ὡς γονεῦσι τιμὴν μετὰ θεοὺς πρώτην καὶ μεγίστην ἥ τε φύσις, ὅ, τε τὴν φύσιν σώζων νόμος ἀπέδωκε, καὶ οὐκ ἔστιν ὅ τι μᾶλλον ἄνθρωποι κεχαρισμένον θεοῖς δρῶσιν, ἢ τοκεῦσιν αὐτῶν καὶ τροφεῦσι, παλαιὰς καὶ νέας δανεισθείσας χάριτας εὐμενῶς καὶ προθύμως ἐκτίνοντες. οὐδ' αὖ πάλιν μείζων ἐπίδειξις ἀθέου γένοιτο τῆς περὶ γονεῖς ὀλιγωρίας καὶ πλημμελείας. διὸ τοὺς μὲν ἄλλους κακῶς ποιεῖν ἀπείρηται, μητρὶ δ' αὐτοῦ καὶ πατρὶ τὸ μὴ παρέχειν ἑαυτοὺς δρῶντας ἀεὶ καὶ λέγοντας ἀφ' ὧν εὐφρανοῦνται, κἂν μὴ προσῇ τὸ λυποῦν, ἀνόσιον ἡγοῦνται καὶ ἄθεσμον. τίς οὖν ἐστι παρὰ παίδων γονεῦσιν ἢ πρᾶξις ἢ χάρις ἢ διάθεσις μᾶλλον εὐφραίνειν δυναμένη, τῆς πρὸς ἀδελφὸν εὐνοίας βεβαίου καὶ φιλίας. ἢ τοῦτό γε ῥᾴδιόν ἐστιν ἀπὸ τῶν ἐναντίων καταμαθεῖν. ὅπου γὰρ οἰκότριβα τιμώμενον ὑπὸ πατρὸς ἢ μητρὸς υἱοὶ προπηλακίζοντες καὶ φυτῶν καὶ χωρίων οἷς ἔχαιρον ἀμελοῦντες ἀνιῶσιν αὐτούς. καὶ κύων τις οἰκογενὴς παρορώμενος καὶ ἵππος ἅπτεται φιλοστόργων καὶ φιλοτίμων γερόντων. ἄχθονται δὲ τοῖς παισὶν ἀκροάματα καὶ θεάματα καὶ ἀθλητὰς οὓς ἐθαύμαζον αὐτοὶ, διασύρουσι καὶ καταφρονοῦσιν. ἦ που μετρίως ἔχουσιν υἱοῖς διαφερομένοις καὶ μισοῦσιν ἀλλήλους καὶ κακῶς λέγουσι, καὶ πρὸς ἔργα καὶ πράξεις ἀντιταττομένοις ἀεὶ καὶ καταλαμβανομένοις ὑπ' ἀλλήλων, οὐκ ἂν εἴποι τις. οὐκοῦν τοὐναντίον ἐρῶντες ἀλλήλων, καὶ φιλοῦντες ἀδελφοὶ, καὶ ὅσον ἡ φύσις τοῖς σώμασι διέστησεν, ἐπὶ ταὐτὸ τοῖς πάθεσι καὶ τοῖς πράγμασιν ἀποδιδόντες, καὶ λόγους κοινοὺς καὶ διατριβὰς ἅμα καὶ παιδιὰς μετ' ἀλλήλων

ἀλλήλων ἔχοντες, ἡδεῖαν καὶ μακαρίαν παρεσκευάκασι γηροτροφίαν τοῖς γονεῦσι τὴν φιλαδελφίαν. οὔτε γὰρ φιλόλογος πατὴρ οὕτως, οὔτε φιλότιμος, οὔτε φιλοχρήματος γέγονεν, ὡς φιλότεκνος. διὸ τοὺς υἱοὺς οὔτε λέγοντας οὔτε πλουτοῦντας οὔτε ἄρχοντας ἡδέως οὕτως ὡς φιλοῦντας ἀλλήλους ὁρῶσιν. ἀπολλωνίδα γοῦν τὴν κυζικηνὴν, εὐμενοῦς δὲ τοῦ βασιλέως μητέρα καὶ τριῶν ἄλλων, ἀττάλου καὶ φιλεταίρου καὶ ἀθηναίου, λέγουσι μακαρίζειν ἑαυτὴν ἀεὶ καὶ τοῖς θεοῖς χάριν ἔχειν, οὐ διὰ τὸν πλοῦτον, οὐδὲ διὰ τὴν ἡγεμονίαν, ἀλλ' ὅτι τοὺς τρεῖς υἱοὺς ἑώρα τὸν πρεσβύτατον δορυφοροῦντας, κἀκεῖνον ἐν μέσοις αὐτοῖς δόρατα καὶ ξίφη φοροῦσιν, ἀδεῶς διαιτώμενον. ὥσπερ αὖ τοὐναντίον· ξέρξης αἰσθόμενος ὦχον τὸν υἱὸν ἐπιβεβουλευκότα τοῖς ἀδελφοῖς, ἀθυμήσας, ἀπέθανε. χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν ὡς εὐριπίδης εἴρηκεν ὄντες, χαλεπώτατοι τοῖς γονεῦσιν αὐτοῖς εἰσιν. ὁ γοῦν μισῶν τὸν ἀδελφὸν αὐτοῦ καὶ βαρυνόμενος, οὐ δύναται μὴ τὸν γεννήσαντα μέμφεσθαι καὶ τὴν τεκοῦσαν. ὁ μὲν οὖν πεισίστρατος πάλιν γαμῶν ἐν ἡλικίᾳ οὖσι τοῖς υἱοῖς ἔφη, καλοὺς καὶ ἀγαθοὺς ἐκείνους ὄντας, ἡγούμενος ἔτι πλειόνων ἐθέλειν τοιούτων πατὴρ γενέσθαι. χρηστοὶ δὲ καὶ δίκαιοι παῖδες, οὐ μόνον διὰ τοὺς γονεῖς ἀγαπήσουσι μᾶλλον ἀλλήλους, ἀλλὰ καὶ τοὺς γονεῖς δι' ἀλλήλους, οὕτως ἀεὶ καὶ φρονοῦντες καὶ λέγοντες, ὅτι τοῖς γονεῦσιν αὐτοὶ πολλῶν χάριν ὀφείλοντες, μάλιστα διὰ τοὺς ἀδελφοὺς ὀφείλουσιν, ὡς τοῦτο δὴ κτημάτων ἁπάντων τιμιώτατον καὶ ἥδιστον ἔχοντες παρ' αὐτῶν. εὖ γέ τοι καὶ ὅμηρος πεποίηκε τηλέμαχον ἐν συμφορᾷ τὸν ἀνάδελφον τιθέμενον· ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε κρονίων. ὁ δ' ἡσίοδος οὐκ εὖ παραινεῖ μουνογενῆ παῖδα τῶν πατρώων ἐπίκληρον εἶναι, καὶ ταῦτα τῶν μουσῶν γεγονὼς μαθητὴς, ἃς ὁμοῦ δι' εὔνοιαν ἀεὶ καὶ φιλαδελφίαν οὔσας, οὕτως ὠνόμαζον μούσας. πρὸς μὲν οὖν γονεῖς, ἡ φιλαδελφία τοιοῦτόν ἐστιν· ὥστε τὸ φιλεῖν ἀδελφὸν, εὐθὺς ἀπόδειξιν εἶναι τοῦ καὶ τὸν πατέρα φιλεῖν καὶ τὴν μητέρα. πρὸς δὲ παῖδας αὐτῶν, δίδαγμα καὶ παράδειγμα φιλαδελφίας, οἷον οὐδὲν ἄλλο. καὶ τοὐναντίον αὖ πάλιν πονηρὸν, ὥσπερ ἐξ ἀντιγράφου πατρώου, τὴν μισαδελφίαν ἀναλαμβάνουσιν. ὁ γὰρ ἐν δίκαις καὶ στάσεσι καὶ ἀγῶσι πρὸς ἀδελφοὺς ἐγγεγηρακὼς, εἶτα τοὺς υἱοὺς ὁμονοεῖν παρακαλῶν, ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων, ἀσθενῆ ποιεῖ τοῖς ἔργοις τὸν λόγον. εἰ γοῦν ὁ θηβαῖος ἐτεοκλῆς πρὸς τὸν ἀδελφὸν εἰρηκὼς, ἄστρων ἂν ἔλθοιμ' ἡλίου πρὸς ἀντολὰς, καὶ γῆς ἔνερθεν δυνατὸς ὢν δρᾶσαι τάδε, τὴν τῶν θεῶν μεγίστην ὥστ' ἔχειν τυραννίδα, τοῖς αὐτοῦ πάλιν παρεκελεύετο τέκνοις, ἰσότητα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις, πόλεις τε πόλεσι, συμμάχους τε συμμάχοις συνδεῖ· τὸ γὰρ ἴσον μόνιμον ἀνθρώποις ἔφυ, τίς οὐκ ἂν αὐτοῦ κατεφρόνησε. ποῖος δ' ἂν ἦν ὁ ἀτρεὺς, εἰ τοιαῦτα δειπνίσας τὸν ἀδελφὸν, ἐγνωμολόγει πρὸς τοὺς παῖδας· φίλων γε μέντοι χρῆσις ἡ πρὸς αἵματος, μόνη κακοῦ ῥέοντος ὠφελεῖν φιλεῖ. διὸ καὶ γονέων κακὴν γηροτρόφον οὖσαν, καὶ κακίονα παιδοτρόφον τέκνων, ἐκκαθαίρειν προσήκει τὴν μισαδελφίαν. ἔστι δὲ καὶ πρὸς πολίτας διάβολος καὶ κατήγορος· οἴονται γὰρ οὐκ ἂν ἐκ τοσῆσδε συντροφίας καὶ συνηθείας καὶ οἰκειότητος, ἐχθροὺς καὶ πολεμίους γενέσθαι, μὴ πολλὰ καὶ πονηρὰ συνειδότας ἀλλήλοις. μεγάλαι γὰρ αἰτίαι, μεγάλην διαλύουσιν εὔνοιαν, καὶ φιλίαν. ὅθεν οὐδὲ ῥᾳδίως αὖθις ἐνδέχονται διαλύσεις. ὥσπερ γὰρ τὰ συμπαγέντα, κἂν χαλάσῃ τὸ ἐχέκολλον, ἐνδέχεται πάλιν δεθῆναι καὶ συνελθεῖν, συμφυοῦς δὲ σώματος ῥαγέντος ἢ σχισθέντος, ἔργον ἐστὶ κόλλησιν εὑρεῖν καὶ σύμφυσιν, οὕτως αἱ μὲν ὑπὸ χρείας συνημμέναι φιλίαι κἂν διαστῶσιν, οὐ χαλεπῶς αὖθις ἀναλαμβάνουσιν· ἀδελφοὶ δὲ τοῦ κατὰ φύσιν ἐκπεσόντες, οὔτοι ῥᾳδίως συνέρχονται, κἂν συνέλθωσι, ῥυπαρὰν καὶ ὕποπτον οὐλὴν αἱ διαλύσεις ἐφέλκονται. πᾶσα μὲν οὖν

ἔχθρα πρὸς ἄνθρωπον ἀνθρώπῳ μετὰ τῶν μάλιστα λυπούντων ἐνδυομένη παθῶν φιλονεικίας, ὀργῆς, φθόνου, μνησικακίας, ὀδυνηρόν ἐστι καὶ ταραχῶδες· ἡ δὲ πρὸς ἀδελφὸν ᾧ θυσιῶν τε κοινωνεῖν ἀνάγκη, καὶ ἱερῶν πατρῴων, ὁμόταφόν τε γενέσθαι, καὶ που σύνοικον ἢ γείτονα χωρίων, ἐν ὄμμασιν ἔχει τὸ λυπηρὸν, ὑπομιμνήσκουσα καθ' ἡμέραν τῆς ἀνοίας καὶ παραφροσύνης, δι' ἣν τὸ ἥδιστον πρόσωπον καὶ συγγενέστατον ἰδεῖν σκυθρωπότατον· ἥ τε προσφιλὴς ἐκ νέων φωνὴ καὶ συνήθης ἀκοῦσαι φοβερωτάτη γέγονε. πολλοὺς δὲ τῶν ἄλλων ἀδελφῶν ὁρῶντες οἰκίᾳ μιᾷ τε χρωμένους καὶ τραπέζῃ καὶ χωρίοις ἀνεμήτοις καὶ ἀνδραπόδοις, αὐτοὶ καὶ φίλους διῄρηνται καὶ ξένους, ἐχθρὰ πάντα τὰ προσφιλῆ τοῖς ἀδελφοῖς νέμοντες. καίτοι ταῦτα πᾶσιν ἐν μέσῳ λογίζεσθαι παρόντος, ὅτι ληϊστοὶ μέν τε φίλοι καὶ συμπόται, κτητοὶ δὲ κηδεσταὶ καὶ συνήθεις, τῶν πρώτων ὥσπερ ὅπλων ἢ ἐργάνων διαφθαρέντων· ἀδελφοῦ δὲ ἀντίκτησις οὐκ ἔστιν· ὥσπερ οὐδὲ χειρὸς ἀφαιρεθείσης, οὐδὲ ὄψεως ἐκκοπείσης. ἀλλ' ὀρθῶς ἡ περσὶς εἶπεν, ἀντὶ τῶν τέκνων ἑλομένη σῶσαι τὸν ἀδελφόν· ὅτι παῖδας μὲν ἑτέρους κτήσασθαι δύναιτ' ἄν· ἀδελφὸς δὲ ἄλλος αὐτῇ γονέων μὴ ὄντων, οὐκ ἂν γένοιτο. τί δὴ τὰ χρὴ ποιεῖν φαίη τις ἄν, ὅτῳ φαῦλος ἀδελφὸς γένοιτο, πρῶτον ἐκεῖνο μνημονεύειν, ὅτι παντὸς ἅπτεται γένους φιλίας ἡ φαυλότης, καὶ κατὰ τὸν σοφοκλέα, τὰ πλεῖστα φωρῶν, αἰσχρὰ φωράσεις βροτῶν· οὔτε γὰρ τὸ συγγενικὸν, οὔτε τὸ ἑταιρικὸν, οὔτε τὸ ἐρωτικὸν εἰλικρινὲς καὶ ἀπαθὲς καὶ καθαρόν ἐστιν εὑρεῖν κακίας. ὁ μὲν οὖν λάκων μικρὰν γυναῖκα γήμας, ἔφη, τὰ ἐλάχιστα δεῖν αἱρεῖσθαι τῶν κακῶν· ἀδελφοῖς δὲ σωφρόνως παραινέσειεν ἄν τις, τὰ οἰκειότατα τῶν κακῶν ὑπομένειν μᾶλλον, ἢ πειρᾶσθαι τῶν ἀλλοτρίων· τοῦτο μὲν γὰρ ἀνέγκλητον ὡς ἀναγκαῖον, ἐκεῖνο δὲ ψεκτὸν ὡς αὐθαίρετον. οὐ γὰρ ὁ συμπότης, οὐδὲ ὁ συνέφηβος, οὐδὲ ὁ ξένος αἰδοῦς ἀχαλκέοισιν ἔζευκται πέδαις, ἀλλ' ὁ σύναιμος καὶ σύντροφος, καὶ ὁμοπάτωρ καὶ ὁμομήτωρ, ᾧ καὶ τὴν ἀρετὴν εἰκός ἐστιν ἐπιχωρεῖν ἔνια, καὶ παρείκειν λέγοντι πρὸς ἀδελφὸν ἐξαμαρτάνοντα· τοῦ ἕνεκά σ' οὐ δύναμαι προλιπεῖν δύστηνον ἐόντα καὶ φαῦλον καὶ ἀσύνετον, μὴ καὶ λάθω τι πατρῷον ἢ μητρῷον ἐνεσταγμένον ἀπὸ σπέρματος νόσημα χαλεπῶς καὶ πικρῶς τῷ μισεῖν ἐν σοὶ κολάζων. τοὺς μὲν γὰρ ἀλλοτρίους ὡς ἔλεγε θεόφραστος οὐ φιλοῦντα δεῖ κρίνειν, ἀλλὰ κρίναντα, φιλεῖν· ὅπου δὲ ἡ φύσις ἡγεμονίαν τῇ κρίσει πρὸς εὔνοιαν οὐ δίδωσιν, οὐδὲ ἀναμένει τὸν θρυλλούμενον τῶν ἁλῶν μέδιμνον· ἀλλὰ συνεγέννησε τὴν ἀρχὴν τῆς φιλίας, ἐνταῦθα δεῖ μὴ πικροὺς εἶναι, μηδὲ ἀκριβεῖς τῶν ἁμαρτημάτων ἐξεταστάς. νυνὶ δὲ τί ἂν λέγοις εἰ ξένων ἀνθρώπων καὶ ἀλλοτρίων ἐκ πότου τινὸς ἢ παιδιᾶς ἢ παλαίστρας προσφθαρέντων, ἁμαρτήματα ῥᾳδίως ἔνιοι φέροντες καὶ ἡδόμενοι, δύσκολοι καὶ ἀπαραίτητοι πρὸς τοὺς ἀδελφούς εἰσιν· ὅπου καὶ κύνας χαλεποὺς καὶ ἵππους, πολλοὶ δὲ λύγκας, αἰλούρους, πιθήκους, λέοντας, τρέφοντες καὶ ἀγαπῶντες, ἀδελφῶν οὐχ ὑπομένουσιν ὀργὰς, ἢ ἀγνοίας, ἢ φιλοτιμίας. ἕτεροι δὲ, παλλακίσι καὶ πόρναις, οἰκίας καὶ ἀγροὺς καταγράφοντες, ὑπὲρ οἰκοπέδου καὶ γωνίας πρὸς ἀδελφοὺς διαμονομαχοῦσιν· εἶτα τῷ μισαδέλφῳ μισοπονηρίαν ὄνομα θέμενοι, περινοσοῦσιν ἐν τοῖς ἀδελφοῖς τὴν κακίαν προβαλλόμενοι καὶ λοιδοροῦντες· ἐν δὲ τοῖς ἄλλοις μὴ δυσχεραίνοντες, ἀλλὰ χρώμενοι πολλῇ καὶ συνόντες. ταυτὶ μὲν οὖν ἔστω προοίμια τοῦ λόγου παντὸς, ἀρχὴν δὲ τῆς διδασκαλίας, μὴ τὴν νέμησιν τῶν πατρῴων ὥσπερ ἕτεροι λάβωμεν, ἀλλὰ τὴν ἔτι ζώντων ἁμαρτανομένην τῶν γονέων ἅμιλλαν καὶ ζηλοτυπίαν. οἱ μὲν γὰρ ἔφοροι τοῦ ἀγησιλάου τῶν ἀποδεικνυμένων ἀεὶ γερόντων ἑκάστῳ βοῦν ἀριστεῖον πέμποντος, ἐζημίωσαν αὐτόν, αἰτίαν

αἰτίαν ὑπειπόντες, ὅτι τοὺς κοινοὺς ἰδίους κτᾶται δημαγωγῶν καὶ χαριζόμενος· υἱῷ δὲ ἄν τις παραινέσειε θεραπεύειν γονεῖς, μὴ κτώμενον ἑαυτῷ μόνῳ, μηδ' εἰς ἑαυτὸν ἀποστρέφοντα τὴν εὔνοιαν, ᾧ τρόπῳ πολλοὶ καταδημαγωγοῦσι τοὺς ἀδελφοὺς, εὐπρεπῆ πρόφασιν, οὐ δικαίαν δὲ, τῆς πλεονεξίας ταύτης ἔχοντες· τὸ γὰρ μέγιστον τῶν πατρῴων καὶ κάλλιστον, ἀποστεροῦσιν αὐτοὺς τὴν εὔνοιαν, ἀνελευθέρως καὶ πανούργως ὑποτρέχοντες, ἐν καιρῷ ταῖς ἐκείνων ἀσχολίαις καὶ ἀγνοίαις ἐπιτιθέμενοι, καὶ μάλιστα παρέχοντες εὐτάκτους καὶ κατηκόους αὐτοὺς καὶ σώφρονας, ἐν οἷς ἐκείνους ἁμαρτάνοντας ἢ δοκοῦντας ὁρῶσι. δεῖ δὲ τοὐναντίον, ὅπου μὲν ὀργὴ συνεκδέχεσθαι καὶ συνυποδύεσθαι, καθάπερ τῷ συνδρεῖν ποιοῦντα κουφότερον, ὑπουργίαις δὲ καὶ χάρισι συνεισποιεῖν ἁμωσγέπως τὸν ἀδελφὸν, ἐλλείποντος δέ που καιρὸν ἢ πρᾶξιν ἑτέραν, τὴν φύσιν αἰτιᾶσθαι, ὡς μᾶλλον πρὸς ἄλλα χρησιμωτέραν καὶ σεμνοτέραν οὖσαν. εὖ δὲ ἔχει καὶ τὸ τοῦ ἀγαμέμνονος, ὡς οὔτ' ὄκνῳ εἴκων, οὔτ' ἀφραδίῃσι νόοιο, ἀλλ' ἐμέ τ' εἰσορόων, καὶ ἐμὴν ποτιδέγμενος ὁρμήν, κἀμοὶ τοῦτο παραδοὺς τὸ καθῆκον. ἡδέως δὲ καὶ τῶν ὀνομάτων τὰς μεταθέσεις οἱ πατέρες προσδέχονται καὶ πιστεύουσι τοῖς υἱοῖς, ἁπλότητα μὲν τὴν ῥαθυμίαν τῶν ἀδελφῶν ὀνομάζουσιν, ὀρθότητα δὲ τὴν σκαιότητα, τὸ δὲ φιλόνεικον, ἀκαταφρόνητον· ὥστε τῷ διαλλάσσοντι περίεστι τὴν πρὸς τὸν ἀδελφὸν ὀργὴν ἐλαττοῦν ἅμα, καὶ τὴν πρὸς ἑαυτὸν εὔνοιαν αὔξειν τοῦ πατρός. οὕτω δὲ ἀπολογησάμενον, ἤδη πρὸς ἐκεῖνον δεῖ τρέπεσθαι, καὶ καθάπτεσθαι σφοδρότερον τὸ ἁμάρτημα, καὶ τὸ ἔλλειμμα μετὰ παρρησίας ἐνδεικνύμενον· οὔτε γὰρ ἐφιέναι δεῖ τοῖς ἀδελφοῖς, οὔτε αὖ πάλιν ἐπεμβαίνειν ἁμαρτάνουσιν αὐτοῖς· τὸ μὲν γὰρ ἐπιχαίροντός ἐστιν, ἐκεῖνο δὲ συνεξαμαρτάνοντος. ἀλλὰ κηδομένῳ καὶ συναχθομένῳ χρῆσθαι τῷ νουθετοῦντι, γίνεται γὰρ κατήγορος ἀδελφοῦ σφοδρότατος πρὸς αὐτὸν, ὁ προθυμότατος ὑπὲρ αὐτοῦ συνήγορος πρὸς τοὺς γονεῖς γενόμενος. ἂν δὲ μηδὲν ἁμαρτάνων ἀδελφὸς ἐν αἰτίᾳ γένηται, τἄλλα μὲν ὑπουργεῖν γονεῦσι καὶ φέρειν ὀργήν τε πᾶσαν αὐτῶν καὶ δυσχέρειαν, ἐπιεικές· αἱ δὲ ὑπὲρ ἀδελφοῦ παρ' ἀξίαν κακῶς ἀκούοντος, ἢ πάσχοντος ἀντιδικίαι καὶ δικαιολογίαι πρὸς αὐτοὺς, ἄμεμπτοι καὶ καλαί, καὶ οὐ φοβητέον ἀκοῦσαι τὸ σοφόκλειον· ὦ παῖ κάκιστε διὰ δίκης ἰὼν πατρί, παρρησιαζόμενον ὑπὲρ ἀδελφοῦ δοκοῦντος ἀγνωμονεῖσθαι· καὶ γὰρ αὐτοῖς ἡ τοιαύτη δίκη τοῖς ἐλεγχομένοις ποιεῖ τὴν ἧτταν ἡδίω τῆς νίκης. ἀποθανόντος γε μὴν πατρὸς ἐμφύεσθαι μᾶλλον, ἢ πρότερον ὀρθῶς ἔχει τῇ εὐνοίᾳ τῶν ἀδελφῶν· εὐθὺς μὲν ἐν τῷ συνδακρύειν καὶ συνάχθεσθαι κοινούμενον τὸ φιλόστοργον, ὑπονοίας δὲ θεραπόντων, καὶ διαβολὰς ἑτέρων, ἑτέρως αὐτοῖς προσνεμόντων, ἀπωθούμενον, καὶ πιστεύοντα τοῖς τε ἄλλοις, ἃ μυθολογοῦσι περὶ τῆς τῶν διοσκούρων φιλαδελφίας, καὶ ὅτι ὁ πολυδεύκης τὸν καταψιθυρίζοντα τοῦ ἀδελφοῦ πρὸς αὐτὸν κονδύλῳ παίσας ἀπέκτεινεν. εἰς δὲ τὴν νέμησιν τῶν πατρῴων, μὴ καταγγείλαντες ἀλλήλοις πόλεμον ὥσπερ οἱ πολλοὶ, κλῦθ' ἀλαλὰ πολέμου θύγατερ, ἐκ παρασκευῆς ἀπαντᾶν, ἀλλὰ μάλιστα δεῖ τὴν ἡμέραν ἐκείνην φυλαττομένους, ὡς τοῖς μὲν, ἔχθρας ἀνηκέστου καὶ διαφορᾶς, τοῖς δὲ φιλίας καὶ ὁμονοίας οὖσαν ἀρχὴν, μάλιστα μὲν αὐτοὺς καθ' ἑαυτούς· εἰ δὲ μὴ, φίλου κοινοῦ παρόντος ἀμφοτέροις μάρτυρος, εὐγνωμόνως τοῖς τῆς δίκης κλήροις ἥ φησιν ὁ πλάτων, τὰ φίλα καὶ προσήκοντα λαμβάνοντας καὶ διδόντας, οἴεσθαι τὴν ἐπιμέλειαν νέμεσθαι καὶ τὴν οἰκονομίαν, χρῆσιν δὲ καὶ κτῆσιν ἐν μέσῳ κεῖσθαι κοινὴν καὶ ἀνέμητον ἁπάντων. οἱ δὲ καὶ τιτθὰς ἀποσπῶντες ἀλλήλων, καὶ συντρόφους καὶ συνήθεις παῖδας ὑπερβαλλόμενοι τοῖς διωγμοῖς, ἀπίασιν ἀνδράποδον τιμῇ πλεῖον ἔχοντες· τὸ δὲ μέγιστον καὶ τιμιώτατον τῶν

πατρῴων, φιλίαν ἀδελφοῦ καὶ πίστιν ἀποδεδωκότες. ἐνίους δὲ καὶ ἀκερδῶς φιλονεικίας ἕνεκα χρησαμένους τοῖς πατρῴοις οὐδὲν ἐπιεικέστερον ἢ λαφύροις ἴσμεν· ὧν καὶ Χαρικλῆς καὶ Ἀντίοχος ἦσαν οἱ Ὀπούντιοι· καὶ γὰρ ἔκπωμα διακόψαντες ἀργυροῦν, καὶ ἱμάτιον διατεμόντες, ἀπῄεσαν, ὥσπερ ἐκ τραγικῆς τινος κατάρας θηκτῷ σιδήρῳ δῶμα διαλαχόντες. οἱ δὲ, καὶ διηγοῦνται πρὸς ἑτέρους, γαυριῶντες, ὅτι τῶν ἀδελφῶν πανουργίᾳ καὶ δριμύτητι καὶ παραλογισμῷ πλέον ἔσχον ἐν τῷ νέμεσθαι, δέον ἀγάλλεσθαι καὶ μέγα φρονεῖν ἐπιεικείᾳ καὶ χάριτι, καὶ ὑπείξει περιγενομένους. ὅθεν ἄξιον Ἀθηνοδώρου μεμνῆσθαι, καὶ μέμνηνταί γε πάντες παρ' ἡμῖν· ἦν γὰρ ἀδελφὸς πρεσβύτερος αὐτῷ, ὄνομα Ξένων, καὶ πολλὰ τῆς οὐσίας ἐπιτροπεύων διεφόρησε· τέλος δὲ ἁρπάσας γυναῖκα καὶ καταδικασθεὶς, ἀπώλεσε τὴν οὐσίαν, εἰς τὸ Καίσαρος ταμιεῖον ἀναληφθεῖσαν. ὁ δὲ Ἀθηνόδωρος ἦν μὲν ἔτι μειράκιον, οὐδέπω γενειῶν, ἀποδοθέντος δὲ τοῦ μέρους αὐτῷ τῶν χρημάτων, οὐ περιεῖδε τὸν ἀδελφὸν, ἀλλ' εἰς μέσον ἅπαντα καταθεὶς, ἐνείματο, καὶ πολλὰ περὶ τὴν νέμησιν ἀγνωμονούμενος, οὐκ ἠγανάκτησεν, οὐδὲ μετενόησεν, ἀλλὰ πρᾴως καὶ ἱλαρῶς ἤνεγκε τοῦ ἀδελφοῦ τὴν ἄνοιαν, περιβόητον ἐν τῇ Ἑλλάδι γενομένην. ὁ μὲν οὖν Σόλων ἀποφηνάμενος περὶ πολιτείας, ὡς ἰσότης στάσιν οὐ ποιεῖ, λίαν ἔδοξεν ὀχλικῶς, ἀριθμητικὴν καὶ δημοκρατικὴν ἐπεισάγειν ἀναλογίαν, ἀντὶ τῆς καλῆς γεωμετρικῆς. ὁ δὲ ἐν οἰκίᾳ παραινῶν ἀδελφοῖς, μάλιστα μὲν ὡς ὁ Πλάτων παρῄνει τοῖς πολίταις, τὸ ἐμὸν ἐξαίρειν καὶ τὸ οὐκ ἐμόν, εἰ δὲ μὴ, τὴν ἴσην ἀγαπᾶν, καὶ τῆς ἴσης περιέχεσθαι, καλὴν κρηπῖδα καὶ μόνιμον ὁμονοίας καὶ εἰρήνης καταβαλλόμενος ἀεί. χρήσθω καὶ παραδείγμασιν ἐνδόξοις· οἷόν ἐστι καὶ τὸ τοῦ Πιττακοῦ πρὸς τὸν βασιλέα Λυδῶν πυνθανόμενον, εἰ χρήματά ἐστιν αὐτῷ· διπλάσια, εἶπεν, ἢ ἐβουλόμην, τοῦ ἀδελφοῦ τεθνηκότος. ἐπεὶ δὲ οὐ μόνον ἐν χρημάτων κτήσει καὶ μειώσει τὸ πλέονι πολέμιον καθίσταται τοὔλαττον, ἀλλ' ἁπλῶς ἣ φησιν ὁ Πλάτων ἐν μὲν ἀνωμαλίᾳ κίνησιν, ἐν δὲ ὁμαλότητι στάσιν ἐγγίνεσθαι, καὶ μονὴν, οὕτω πᾶσα μὲν ἀνισότης ἐπισφαλής ἐστι πρὸς διαφορὰν ἀδελφῶν· ἐν πᾶσι δὲ ἴσους γενέσθαι καὶ ὁμαλοὺς, ἀδύνατον. τὰ μὲν γὰρ αἱ φύσεις εὐθὺς ἀνίσως νέμουσι, τὰ δὲ ὕστερον αἱ τύχαι, φθόνους ἐμποιοῦσι, καὶ ζηλοτυπίας, αἴσχιστα νοσήματα καὶ κῆρας, οὐκ οἰκίαις μόνον, ἀλλὰ καὶ πόλεσιν ὀλεθρίους· δεῖ δὲ καὶ ταῦτα φυλάττεσθαι, καὶ θεραπεύειν ἂν ἐγγένηται. τῷ μὲν οὖν ὑπερέχοντι παραινέσειεν ἄν τις, πρῶτον μὲν οἷς δοκεῖ διαφέρειν, ταῦτα κοινὰ ποιεῖν τοῖς ἀδελφοῖς, συναπικοσμοῦντα τῇ δόξῃ καὶ συνεισποιοῦντα ταῖς φιλίαις· κἂν λέγειν δεινότερος ᾖ, χρῆσθαι παρέχοντα τὴν δύναμιν, ὡς ἐκείνου μηδὲν ἧττον οὖσαν. ἔπειτα μήτε ὄγκον ἐμφαίνειν τινὰ, μήτε ὑπεροψίαν, ἀλλὰ μᾶλλον ἐνδιδόντα καὶ συγκαθιέντα τῷ ἤθει, τὴν ὑπεροχὴν ἀνεπίφθονον ποιεῖν, καὶ τὴν τῆς τύχης ἀνωμαλίαν ἐπανισοῦν, ὡς ἀνυστόν ἐστι, τῇ μετριότητι τοῦ φρονήματος. ὁ μὲν οὖν Λεύκολλος οὐκ ἠξίωσε τοῦ ἀδελφοῦ πρότερος τὴν ἀρχὴν λαβεῖν πρεσβύτερος ὤν· ἀλλὰ τὸν αὑτοῦ παρεὶς καιρὸν, τὸν ἐκείνου περιέμεινεν. ὁ δὲ Πολυδεύκης, οὐδὲ θεὸς ἠθέλησε μόνος, ἀλλὰ μᾶλλον ἡμίθεος σὺν τῷ ἀδελφῷ γενέσθαι, καὶ τῆς θνητῆς μερίδος μετασχεῖν ἐπὶ τῷ μεταδοῦναι τῆς ἀθανασίας ἐκείνῳ. σοὶ δὲ φαίη τις ἄν, ὦ μακάριε, μηδὲν ἐλαττοῦντι τῶν προσόντων ἀγαθῶν, ὑπάρχει συνεξομοιοῦν καὶ συνεπικοσμεῖν, ὥσπερ αὐτῆς ἀπολαύοντα τῆς περὶ σὲ δόξης ἢ ἀρετῆς, ἢ συντυχίας, ὥσπερ Πλάτων τοὺς ἀδελφοὺς εἰς τὰ κάλλιστα τῶν αὑτοῦ συγγραμμάτων θέμενος, ὀνομαστοὺς ἐποίησε, Γλαύκωνα μὲν καὶ Ἀδείμαντον εἰς τὴν Πολιτείαν, Ἀντιφῶντα δὲ τὸν νεώτατον, εἰς τὸν Παρμενίδην. ἔτι τοίνυν ὥσπερ ἐγ-

γίνονται ταῖς φύσεσι καὶ ταῖς τύχαις τῶν ἀδελφῶν ἀνισότητες, οὕτως ἐν πᾶσι καὶ πάντως ὑπερέχειν τὸν ἕτερον ἀδύνατόν ἐστι. τὰ μὲν γὰρ στοιχεῖά φασιν ἐκ μιᾶς ὕλης γεγονέναι, τὰς ἐναντιωτάτας ἔχοντα δυνάμεις· δυεῖν δὲ ἀδελφῶν ἐκ μιᾶς μητρὸς καὶ πατρὸς ταὐτοῦ γεγονότων, οὐθεὶς ἑώρακε τὸν μὲν ἐκ τῆς στοᾶς, σοφὸν ὁμοῦ, καλὸν, εὔχαριν, ἐλευθέριον, ἔντιμον, πλούσιον, δεινὸν εἰπεῖν, φιλομαθῆ, φιλάνθρωπον, τὸν δὲ ἕτερον, αἰσχρὸν, ἄχαριν, ἄτιμον, ἀνελεύθερον, ἄπορον, ἀσθενῆ περὶ λόγον, ἀμαθῆ, μισάνθρωπον· ἀλλ' ἔνεστιν ἁμωσγέπως καὶ τοῖς ἀδοξοτέροις καὶ ταπεινοτέροις, μοῖρά τις χάριτος ἢ δυνάμεως, ἢ πρός τι καλὸν εὐφυΐας, ὡς ἂν ἐχινόποδες, καὶ ἀνὰ τρηχεῖαν ὁδὸν, ἵνα φύονται μαλακῶν ἄνθεα λευκοΐων. ταῦτα τοίνυν ὁ δοκῶν πλέον ἔχειν ἐν ἄλλοις, ἂν μὴ κολούῃ μηδ' ἐπικρύπτῃ, μηδὲ πάντων ὥσπερ ἐν ἀγῶνι τὸν ἀδελφὸν ἐξωθῇ τῶν πρωτείων, ἀλλ' ἀνθυπείκῃ καὶ ἀποφαίνῃ πρὸς πολλὰ βελτίω καὶ χρησιμώτερον ἐκεῖνον, ὑφαιρῶν ἀεὶ τοῦ φθόνου τὴν πρόφασιν, ὥσπερ ὕλην τοῦ πυρὸς ἀποσβέσει, μᾶλλον δὲ ὅλως οὐκ ἐάσει λαβεῖν γένεσιν οὐδὲ σύστασιν. ὁ δὲ καὶ συνεργῶν ἐν οἷς δοκεῖ κρείττων αὐτὸς εἶναι ποιούμενος, τὸν ἀδελφὸν ἀεὶ καὶ σύμβουλον, οἷον ἐν δίκαις ῥητορικὸς ὤν, ἐν ἀρχαῖς πολιτευόμενος, ἐν πράξεσι φιλικαῖς, συνελόντι δὲ εἰπεῖν μηδενὸς ἀξιολόγου καὶ τιμὴν φέροντος ἔργου περιορῶν ἀπολειπόμενον, ἀλλὰ τῶν καλῶν πάντων κοινωνὸν ἀποφαίνων, καὶ χρώμενος παρόντι, καὶ περιμένων ἀπόντα, καὶ ὅλως συνεμφαίνων ὅτι πρακτικὸς μὲν, οὐχ ἧττον αὐτοῦ, παραχωρητικὸς δὲ μᾶλλόν ἐστι δόξης καὶ δυνάμεως, οὐθὲν ἑαυτοῦ παραιρούμενος, ἐκείνῳ μεγάλα προστίθησι. τῷ μὲν οὖν ὑπερέχοντι, τοιαῦτά τις ἂν παραινέσειε· τῷ δὲ λειπομένῳ πάλιν ἐνθυμητέον, ὡς οὐχ εἷς οὐδὲ μόνος αὐτοῦ πλουσιώτερος ἢ λογιώτερος ἢ λαμπρότερος εἰς δόξαν ὁ ἀδελφός ἐστιν, ἀλλὰ πολλάκις πολλῶν ἀπολείπεται, καὶ μυριάκις μυρίων, εὐρυόδου ὅσοι καρπὸν αἰνύμεθα χθονός. εἴτε δὲ πᾶσι περινοστεῖ φθονῶν, εἴτε μόνος αὐτὸν ἐν τοσούτοις εὐτυχοῦσιν ὁ φίλτατος ἀνιᾷ ὁ συγγενέστατος, ὑπερβολὴν ἑτέρῳ κακοδαιμονίας οὐ λέλοιπεν. ὥσπερ οὖν Μέτελλος ᾤετο δεῖν Ῥωμαίους τοῖς θεοῖς χάριν ἔχειν, ὅτι Σκιπίων ἐν ἑτέρᾳ πόλει τοιοῦτος ὢν οὐκ ἐγεννήθη, οὕτως ἕκαστος εὐχέσθω μάλιστα μὲν αὐτὸς εὐπραξίᾳ διαφέρειν, εἰ δὲ μὴ, τὸν ἀδελφὸν αὐτοῦ τὴν ζηλουμένην ἔχειν ὑπεροχὴν καὶ δύναμιν. οἱ δὲ οὕτω πεφύκασιν ἀτυχεῖς πρὸς τὸ καλὸν, ὥστε φίλοις μὲν ἐνδόξοις ἀγάλλεσθαι καὶ μέγα φρονεῖν, ἂν ξένους ἡγεμονικοὺς καὶ πλουσίους ἔχωσι, τὰς δὲ τῶν ἀδελφῶν λαμπρότητας, αὑτῶν ἀμαυρώσεις νομίζειν· καὶ πατέρων μὲν εὐτυχίαις ἐπαίρεσθαι, καὶ στρατηγίαις προπάππων λεγομέναις, ὧν οὐδὲν ἀπέλαυσαν οὐδὲ μετέσχον, ἀδελφῶν δὲ καὶ κληρονομίαις καὶ ἀρχαῖς καὶ γάμοις ἐνδόξοις, ἀθυμεῖν καὶ ταπεινοῦσθαι. καίτοι μάλιστα μὲν ἔδει, μηδ' ἄλλῳ φθονεῖν, εἰ δὲ μὴ, τρέπειν ἔξω, καὶ πρὸς ἑτέρους ἀποχετεύειν τὸ βάσκανον, ὥσπερ οἱ τὰς στάσεις θύραζε τοῖς πολεμίοις περιϊστῶντες.

πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες, κλειτοί τ' ἐπίκουροι· πολλοὶ δ' αὖ σοὶ Ἀχαιοὶ

φθονεῖν πεφύκασι καὶ ζηλοτυπεῖν. ἀδελφῷ δὲ χρὴ μὴ καθάπερ πλάστιγγα ῥέπειν ἐπὶ τοὐναντίον, ὑψουμένου, ταπεινούμενον αὐτὸν, ἀλλ' ὥσπερ τῶν ἀριθμῶν οἱ ἐλάττονες τοὺς μείζονας πολλαπλασιάζοντα, καὶ πολλαπλασιαζόμενον συναύξειν ἅμα καὶ συναύξεσθαι τοῖς ἀγαθοῖς. οὐδὲ γὰρ τῶν δακτύλων ἔλαττον ἔχει τοῦ γράφοντος ἢ ψάλλοντος ὁ μὴ δυνάμενος τοῦτο ποιεῖν μηδὲ πεφυκώς, ἀλλὰ συγκινοῦνται, καὶ συνεργοῦσιν ἅπαντες ἁμωσγέπως ἀλλήλοις, ὥσπερ ἐπίτηδες ἄνισοι γεγονότες, καὶ τὸ συλληπτικὸν ἐξ ἀντιθέσεως πρὸς τὸν μέγιστον καὶ ῥωμαλεώτερον ἔχοντες. οὕτω καὶ Κρατερὸς Ἀντιγόνου βασιλεύοντος ἀδελφὸς ὤν, καὶ

κασσάνδρου περίλαος, ὥστε τὸ στρατηγεῖν, καὶ οἰκουρεῖν ἔλαττον αὐτοὺς. ἀντίοχοι δὲ καὶ σέλευκοι, καὶ πάλιν γρυποὶ καὶ κυζικηνοὶ τὰ δεύτερα λέγεσθαι οὐ μαθόντες ἀδελφοῖς, ἀλλὰ πορφύρας καὶ διαδήματος ὀρεγόμενοι, πολλῶν μὲν αὐτοὺς κακῶν καὶ ἀλλήλους, πολλῶν δὲ τὴν ἀσίαν ἐνέπλησαν. ἐπεὶ δὲ τοῖς φιλοτίμοις μάλιστα τῶν ἠθῶν ἐμφύονται φθόνοι καὶ ζηλοτυπίαι πρὸς τοὺς πλέον ἔχοντας ἐν δόξῃ καὶ τιμῇ, χρησιμώτατόν ἐστι πρὸς τοῦτο τοῖς ἀδελφοῖς τὸ μὴ κτᾶσθαι μήτε τὰς τιμὰς, μήτε τὰς δυνάμεις, ἀπὸ τῶν αὐτῶν, ἀλλ' ἕτερον ἀφ' ἑτέρου. καὶ γὰρ τῶν θηρίων πόλεμός ἐστι πρὸς ἄλληλα τοῖς ἀπὸ τῶν αὐτῶν τρεφομένοις. καὶ τῶν ἀθλητῶν οἱ πρὸς ἓν ἄθλημα κάμνοντες, ἀνταγωνισταί. πύκται δὲ παγκρατιασταῖς, καὶ δολιχοδρόμοι παλαισταῖς εὐμενεῖς εἰσι, καὶ συναγωνιῶσι καὶ σπουδάζουσιν ὑπὲρ ἀλλήλων. διὸ καὶ τῶν τυνδαριδῶν, πὺξ μὲν ὁ πολυδεύκης ἐνίκα, δρόμον δὲ ὁ κάστωρ. εὖ δὲ καὶ τὸν τεῦκρον ὅμηρος πεποίηκεν ἀπὸ τῆς τοξικῆς εὐδοκιμοῦντα, τοῦ ἀδελφοῦ πρωτεύοντος ἐν τοῖς ὁπλίταις. ὁ δέ μιν σάκεϊ κρύπτασκε φαεινῷ. καὶ τῶν πολιτευομένων οἱ στρατηγοῦντες τοῖς δημαγωγοῦσιν, οὐ πάνυ φθονοῦσιν, οὐδέ γε τῶν ῥητόρων οἱ δικολόγοι τοῖς σοφιστεύουσιν, οὐδὲ τῶν ἰατρῶν οἱ περὶ δίαιταν, τοῖς χειρουργοῖς, ἀλλὰ καὶ συμπαραλαμβάνουσι καὶ συνεπιμαρτυροῦσι. τὸ δὲ ἀπὸ τῆς αὐτῆς τέχνης ἢ δυνάμεως ζητεῖν ἔνδοξον εἶναι καὶ περίβλεπτον, οὐδὲν ἐν φαύλοις διαφέρει, τοῦ μιᾶς ἐρῶντας ἀμφοτέρους, βούλεσθαι πλέον ἔχειν, καὶ μᾶλλον εὐδοκιμεῖν τοῦ ἑτέρου τὸν ἕτερον. οἱ μὲν οὖν καθ' ἑτέρας ὁδοὺς βαδίζοντες, οὐθὲν ἀλλήλους ὠφελοῦσιν. οἱ δὲ βίοις χρώμενοι διαφόροις, τόν τε φθόνον ἐκτρέπονται, καὶ συνεργοῦσιν ἀλλήλοις μᾶλλον, ὡς δημοσθένης καὶ χάρης, καὶ πάλιν αἰσχίνης καὶ εὔβουλος καὶ ὑπερείδης καὶ λεωσθένης, οἱ μὲν λέγοντες ἐν τῷ δήμῳ καὶ γράφοντες, οἱ δὲ στρατηγοῦντες καὶ πράττοντες. ὅθεν ἀπωτάτω δεῖ ταῖς ἐπιθυμίαις τρέπεσθαι καὶ ταῖς φιλοτιμίαις τῶν ἀδελφῶν, τοὺς ἀφθόνως δόξης καὶ δυνάμεως κοινωνεῖν μὴ πεφυκότας ὅπως εὐφραίνωσιν εὐημεροῦντες ἀλλήλους, ἀλλὰ μὴ λυπῶσι. παρὰ πάντα δὲ ταῦτα, φυλακτέον ἐστὶ κηδεστῶν, καὶ οἰκείων, καὶ γυναικῶν, ἔστιν ὅτε τῇ φιλιδοξίᾳ συνεπιτιθεμένων λόγους πονηρούς, ὁ ἀδελφὸς ἄγει καὶ φέρει πάντα, καὶ θαυμάζεται καὶ θεραπεύεται, σοὶ δὲ οὐδεὶς πρόσεισιν, οὐδὲ ἔχεις σεμνὸν οὐδέν. ἔχω μὲν οὖν φαίη τις εὖ φρονῶν, ἀδελφὸν εὐδοκιμοῦντα, καὶ μέτεστί μοι τῆς ἐκείνου δυνάμεως τὸ πλεῖστον. ὁ μὲν γὰρ σωκράτης ἔλεγε, βούλεσθαι δαρεῖον ἔχειν μᾶλλον φίλον, ἢ δαρεικόν. ἀδελφῷ δὲ νοῦν ἔχοντι καὶ πλούτου καὶ ἀρχῆς καὶ λογιότητος, οὐκ ἔλαττον ἀγαθόν ἐστιν ἄρχων ἀδελφὸς, ἢ πλοῦτος, ἢ λόγου δυνάμει προήκων εἰς δόξαν. ἀλλὰ ταύτας μὲν οὕτω μάλιστα τὰς ἀνωμαλίας παρηγορητέον. ἕτεραι δὲ εὐθὺς ἐγγίνονται διαφοραὶ περὶ τὰς ἡλικίας, ἀπαιδεύτοις ἀδελφοῖς. ἐπιεικῶς γὰρ οἵ τε πρεσβύτεροι τῶν νεωτέρων ἄρχειν ἀξιοῦντες ἀεὶ καὶ προΐστασθαι καὶ πλέον ἔχειν ἐν παντὶ δόξης καὶ δυνάμεως, βαρεῖς εἰσι καὶ ἀηδεῖς. οἵ τε νεώτεροι πάλιν ἀφηνιάζοντες καὶ θρασυνόμενοι, καταφρονεῖν καὶ ὀλιγωρεῖν ἀσκοῦσιν. ἐκ δὲ τούτων, οἱ μὲν ὡς φθονούμενοι καὶ κολουόμενοι φεύγουσι, καὶ δυσχεραίνουσι τὰς νουθεσίας. οἱ δ' ἀεὶ τῆς ὑπεροχῆς γλιχόμενοι, φοβοῦνται τὴν ἐκείνων αὔξησιν ὡς αὑτῶν κατάλυσιν. ὥσπερ οὖν ἐπὶ τῆς χάριτος ἀξιοῦσι μείζονα τοὺς λαμβάνοντας ἡγεῖσθαι, μικροτέραν δὲ τοὺς διδόντας, οὕτως ἄν τις τὸν χρόνον παραινῶν, τῷ μὲν πρεσβυτέρῳ, μὴ μέγα νομίζειν, τῷ δὲ νεωτέρῳ μὴ μικρὸν ὑπεροψίας καὶ ἀμελίας καὶ τοῦ καταφρονεῖσθαι καὶ καταφρονεῖν ἀμφοτέρους ἀπαλλάξειεν. ἐπεὶ δὲ τῷ μὲν πρεσβυτέρῳ τὸ κήδεσθαι καὶ καθηγεῖσθαι καὶ νουθετεῖν προσῆκόν ἐστι. τῷ δὲ νεω-

τέρῳ τὸ τιμᾶν καὶ ζηλοῦν καὶ ἀκολουθεῖν, ἡ μὲν ἐκείνου κηδεμονία τὸ ἑταιρικὸν μᾶλλον ἢ τὸ πατρικὸν ἐχέτω, καὶ τὸ πεῖθον ἢ τὸ ἐπιτάττον, καὶ τὸ χαῖρον ἐπὶ τοῖς κατορθώμασι καὶ κατευφημοῦν, τοῦ ψέγοντος ἂν ἁμαρτῇ καὶ κολούοντος, μὴ μόνον προθυμότερον, ἀλλὰ καὶ φιλανθρωπότερον, τῷ δὲ τοῦ νεωτέρου ζήλῳ, τὸ μιμούμενον ἐνέστω μὴ τὸ ἁμιλλώμενον. θαυμάζοντος γὰρ ἡ μίμησις, ἡ δὲ ἅμιλλα φθονοῦντός ἐστι. διὸ τοὺς μὲν ἐξομοιοῦσθαι βουλομένους, ἀγαπῶσι, τοὺς δὲ ἐξισοῦσθαι, πιέζουσι καὶ χαλεπαίνουσιν. ἐν πολλαῖς δὲ τιμαῖς ἃς πρέπει παρὰ τῶν νέων ἀποδίδοσθαι τοῖς πρεσβυτέροις, τὸ πειθαρχεῖν εὐδοκιμεῖ μάλιστα, καὶ κατεργάζεται μετὰ αἰδοῦς, εὔνοιαν ἰσχυρὰν καὶ χάριν ἀνθυπείκουσαν. ἣ καὶ κάτων τὸν καπίωνα πρεσβύτερον ὄντα θεραπεύων εὐθὺς ἐκ παίδων εὐπειθείᾳ καὶ πρᾳότητι καὶ σιωπῇ, τέλος οὕτως ἐπ' ἀνδράσιν ἐχειρώσατο καὶ τοσαύτης ἐνέπλησεν αἰδοῦς πρὸς ἑαυτὸν, ὡς μήτε πρᾶξαί τι, μήτε εἰπεῖν ἀγνοοῦντος ἐκείνου. μνημονεύεται γοῦν ὅτι μαρτυρείας ποτὲ γραμματεῖον ἐπισφραγισαμένου τοῦ καπίωνος, ὁ κάτων ὕστερος ἐπελθὼν, οὐκ ἠθέλησεν ἐπισφραγίσασθαι, καὶ ὁ καπίων ἀπαιτήσας τὸ γραμματεῖον ἀφεῖλε τὴν αὐτοῦ σφραγῖδα, πρὶν ἢ πυθέσθαι τί παθὼν ὁ ἀδελφὸς οὐκ ἐπίστευσεν, ἀλλ' ὑπείδετο τὴν μαρτυρείαν. φαίνεται δὲ πολλὴ καὶ πρὸς ἐπίκουρον ἡ αἰδὼς τῶν ἀδελφῶν δι' εὔνοιαν αὐτοῦ καὶ κηδεμονίαν, εἴς τε τὰ ἄλλα, καὶ φιλοσοφίαν τὴν ἐκείνου συνενθουσιώντων. καὶ γὰρ εἰ διήμαρτον δόξης εὐθὺς ἐκ παίδων πεπεισμένοι καὶ λέγοντες, ὡς οὐδεὶς γέγονεν ἐπικούρου σοφώτερος, ἄξιόν ἐστι θαυμάζειν καὶ τοῦ διατιθέντος οὕτως, καὶ τῶν διατιθεμένων. οὐ μὴν, ἀλλὰ καὶ τῶν νεωτέρων φιλοσόφων ἀπολλώνιος ὁ περιπατητικὸς ἤλεγξε τὸν εἰπόντα δόξαν ἀκοινώνητον εἶναι, σωτίωνα νεώτερον ἀδελφὸν αὐτοῦ ποιήσας ἐνδοξότερον. ἐμοὶ μὲν γὰρ ὅτι πολλῶν ἀξίων χάριτος παρὰ τῆς τύχης γεγονότων ἡ τίμωνος εὔνοια τοῦ ἀδελφοῦ πρὸς ἅπαντα τἄλλα γέγονε καὶ ἔστιν, οὐδεὶς ἀγνοεῖ τῶν ὁπωσοῦν ἐντετυχηκότων ἡμῖν, ἥκιστα δὲ οἱ συνήθεις ὑμεῖς. ἑτέρα τοίνυν ταῖς παραλλήλοις καὶ συνέγγυς ἡλικίαις ἀδελφῶν, φυλακτέον ἐστὶ πάθη μικρὰ μὲν, συνεχῆ δὲ καὶ πολλὰ, καὶ πονηρὰν ποιοῦντα τοῦ λυπεῖν καὶ παροξύνεσθαι ἑαυτοὺς ἐπὶ πᾶσι μελέτην, τελευτῶσαν εἰς ἀνήκεστα μίση καὶ κακοθυμίας. ἀρξάμενοι γὰρ ἐπὶ παιδιαῖς διαφέρεσθαι, περὶ τροφὰς ζώων καὶ ἀγῶνας, οἷον ὀρτύγων ἢ ἀλεκτρυόνων, εἶτα παίδων ἐν παλαίστραις καὶ κυνῶν ἐν θήραις, καὶ ἵππων ἁμίλλαις, οὐκέτι κρατεῖν ἐν τοῖς μείζοσιν, οὐδὲ καταπαύειν τὸ φιλόνεικον δύνανται καὶ φιλότιμον. ὥσπερ ἑλλήνων οἱ καθ' ἡμᾶς δυνατώτατοι, περὶ σπουδὰς ὀρχηστῶν, εἶτα κιθαρῳδῶν διαστάντες, ἐκ τούτου τὰς ἐν αἰδήψῳ κολυμβήθρας καὶ παστάδας καὶ ἀνδρῶνας ἀντιπαραβάλλοντες ἀεὶ καὶ τοπομαχοῦντες, καὶ ἀποκόπτοντες ὀχετοὺς, καὶ ἀποστρέφοντες, οὕτως ἐξηγριώθησαν καὶ διεφθάρησαν, ὥστε πάντων ἀφαιρεθέντες ὑπὸ τοῦ τυράννου, καὶ φυγάδες καὶ πένητες, καὶ ὀλίγου δέω λέγειν ἕτεροι τῶν πρότερον γενόμενοι, μόνῳ διέμειναν οἱ αὐτοὶ τῷ μισεῖν ἀλλήλους. ὅθεν οὐχ ἥκιστα δεῖ περὶ τὰ μικρὰ καὶ πρῶτα παραδυομένῃ τῇ πρὸς τοὺς ἀδελφοὺς φιλονεικίᾳ καὶ ζηλοτυπίᾳ διαμάχεσθαι, μελετῶντας ἀνθυπείκειν καὶ ἡττᾶσθαι, καὶ χαίρειν τῷ χαρίζεσθαι μᾶλλον αὐτοῖς, ἢ τῷ νικᾶν. οὐ γὰρ ἑτέραν οἱ παλαιοὶ καδμείαν νίκην, ἀλλὰ τὴν περὶ θήβας τῶν ἀδελφῶν, ὡς αἰσχίστην καὶ κακίστην προσηγόρευσαν. τί οὖν οὐχὶ πολλὰς τὰ πράγματα τοῖς ἐπιεικῶς ἔχειν δοκοῦσι καὶ πράως, φέρει προφάσεις ἀντιλογιῶν καὶ διαφορῶν; καὶ μάλα, ἀλλὰ κἀκεῖ φυλακτέον, ὅπως τὰ πράγματα μάχηται καθ' ἑαυτὰ, μηδὲν ἐκ φιλονεικίας μηδὲ ὀργῆς πάθος, οἷον ἄγκιστρον προσθέντας, ἀλλ' ὥσπερ ἐπὶ ζυ-

γου τοῦ δικαίου τὴν ῥοπὴν κοινῶς ἀποθεωροῦντας, καὶ τάχιστα ταῖς κρίσεσι καὶ
ταῖς διαίταις τὴν ἀμφιλογίαν παραδιδόντας, ἀποκαθῆραι, πρὶν ἐνδῦσαν,
ὥσπερ βαφὴν ἢ κηλῖδα, δυσεκπλυτον γενέσθαι καὶ δυσέκπλυτον. εἶτα μιμεῖ-
σθαι τοὺς πυθαγορικοὺς, οἳ γένει μηδὲν προσήκοντες, ἀλλὰ κοινοῦ λόγου μετέχοντες
εἴ ποτε προαχθεῖεν εἰς λοιδορίας ὑπ᾽ ὀργῆς, πρὶν ἢ τὸν ἥλιον δῦναι, τὰς δεξι-
ὰς ἐμβάλλοντες ἀλλήλοις καὶ ἀσπασάμενοι, διελύοντο. καθάπερ γὰρ ἐπὶ
βουβῶνι, πυρετοῦ γενομένου δεινὸν οὐθέν ἐστιν, ἂν δὲ παυσαμένου παραμένῃ, νό-
σος εἶναι δοκεῖ καὶ βαθυτέραν ἔχειν ἀρχήν. οὕτως ἀδελφῶν ἡ μετὰ τὸ πρᾶγμα
παυομένη διαφορὰ, τοῦ πράγματός ἐστι, τῆς δ᾽ ἐπιμενούσης, πρόφασις ἦν τὸ
πρᾶγμα, μοχθηράν τε καὶ ὕπουλον αἰτίαν ἔχον. ἄξιον δὲ πυθέσθαι βαρ-
βάρων ἀδελφῶν διαδικασίαν, οὐ περὶ γηδίου μερίδος, οὐδ᾽ ἐπ᾽ ἀνδραπόδοις ἢ
προβατίοις γινομένην, ἀλλὰ περὶ τῆς περσῶν ἡγεμονίας. δαρείου γὰρ ἀποθαν-
όντος, οἱ μὲν ἠξίουν ἀριαμένην βασιλεύειν πρεσβύτατον ὄντα τῆς γενεᾶς. οἱ δὲ,
ξέρξην. ἀτόσσης τε μητρὸς ὄντα τῆς κύρου θυγατρὸς ἔκ τε δαρείου βασιλεύοντος,
ἤδη γεγεννημένον. ἀριαμένης μὲν οὖν κατέβαινεν ἐκ μήδων, οὐ πολεμικῶς,
ἀλλ᾽ ἐπὶ δίκην ἡσύχως. ξέρξης δὲ παρὼν, ἔπραττεν ἅπερ ἦν βασιλεῖ προσήκον-
τα. ἐλθόντος δὲ τοῦ ἀδελφοῦ, θεὶς τὸ διάδημα καὶ καταβαλὼν τὴν τιάραν ἣν
φοροῦσιν ὀρθὴν οἱ βασιλεύοντες, ἀπήντησεν αὐτῷ καὶ ἠσπάσατο, καὶ δῶρα πέμ-
πων, ἐκέλευσεν εἰπεῖν τοὺς κομίζοντας, τούτοις σε νῦν τιμᾷ ξέρξης ὁ ἀδελ-
φὸς, ἂν δὲ βασιλεὺς κρίσει καὶ ψήφῳ περσῶν ἀναγορευθῇ, δίδωσί σοι δευτέρῳ
μεθ᾽ ἑαυτὸν εἶναι. καὶ ὁ ἀριαμένης, ἐγὼ δὲ ἔφη τὰ μὲν δῶρα δέχομαι, βασι-
λείαν δὲ τὴν περσῶν ἐμαυτῷ νομίζω προσήκειν, τιμὴν δὲ τὴν μετ᾽ ἐμὲ τοῖς ἀδελ-
φοῖς φυλάξω, ξέρξῃ δὲ πρώτῳ τῶν ἀδελφῶν. ἐπεὶ δὲ ἡ κρίσις ἐνέστη, πέρσαι
μὲν ἀρτάβανον ἀδελφὸν ὄντα δαρείου, δικαστὴν ἀπέφηναν δόξαν αὐτοῖς, ξέρ-
ξης δὲ ἔφευγεν ἐπ᾽ ἐκείνου κριθῆναι, τῷ πλήθει πεποιθώς. ἄτοσσα δ᾽ ἡ μήτηρ,
ἐπέπληξεν αὐτῷ, τί φεύγεις ἀρτάβανον ὦ παῖ θεῖον ὄντα καὶ περσῶν ἄριστον,
τί δὲ οὕτως τὸν ἀγῶνα δέδοικας, ἐν ᾧ καλὰ καὶ τὰ δευτερεῖα περσῶν βασιλέως
ἀδελφόν κληθῆναι. πεισθέντος οὖν ξέρξου, καὶ γενομένων λόγων, ἀρτάβα-
νος μὲν ἀπεφήνατο ξέρξῃ τὴν βασιλείαν προσήκειν, ἀριαμένης δὲ εὐθὺς ἀναπη-
δήσας, προσεκύνησε τὸν ἀδελφὸν, καὶ λαβόμενος τῆς δεξιᾶς, εἰς τὸν θρόνον ἐκά-
θισε τὸν βασιλέιον, ἐκ τούτου μέγιστος ἦν παρ᾽ αὐτῷ καὶ παρεῖχεν εὔνουν ἑαυτὸν,
ὥστε ἀριστεύων ἐν τῇ περὶ σαλαμῖνα ναυμαχίᾳ, πεσεῖν ὑπὲρ τῆς ἐκείνου δό-
ξης. τοῦτο μὲν οὖν ὥσπερ ἀρχέτυπον ἐκκείσθω καθαρὸν καὶ ἀμώμητον, εὐ-
μενείας καὶ μεγαλοφροσύνης. ἀντιόχου δὲ τὴν μὲν φιλαρχίαν ψέξειεν ἄν τις,
ὅτι δὲ οὐ παντάπασιν αὐτῇ τὸ φιλάδελφον ἐνηφανίσθη, θαυμάσειεν. ἐπολέ-
μει γὰρ ὑπὲρ τῆς βασιλείας σελεύκῳ νεώτερος ὢν ἀδελφὸς, καὶ τὴν μητέρα
συλλαμβάνουσαν εἶχεν. ἀκμάζοντος δὲ τοῦ πολέμου, μάχην ὁ σέλευκος γαλά-
ταις συνάψας καὶ ἡττηθεὶς, οὐδαμοῦ φανερὸς ἦν, ἀλλ᾽ ἔδοξε τεθνάναι πάσης
ὁμοῦ τῆς στρατιᾶς ὑπὸ τῶν βαρβάρων κατακοπείσης. πυθόμενος οὖν ἀντίο-
χος, τὴν πορφύραν ἔθηκε, καὶ φαιὸν ἱμάτιον ἔλαβε, καὶ τὰ βασίλεια κλείσας,
ἐπένθει τὸν ἀδελφόν. ὀλίγῳ δὲ ὕστερον ἀκούσας ὅτι σώζεται, καὶ δύναμιν αὖ-
θις ἑτέραν ἀθροίζει, τοῖς τε θεοῖς ἔθυσε προελθὼν, καὶ ταῖς πόλεσιν ὧν ἦρχε
θύειν καὶ στεφανηφορεῖν ἐπήγγειλεν. ἀθηναῖοι δὲ τὸν περὶ τῆς ἔριδος τῶν θεῶν
μῦθον ἀτόπως πλάσαντες, ἐπανόρθωμα τῆς ἀτοπίας οὐ φαῦλον ἐνέμιξαν
αὐτῷ. τὴν γὰρ δευτέραν ἐξαιροῦσιν ἀεὶ τοῦ βοηδρομιῶνος, ὡς ἐν ἐκείνῃ τῷ ποσει-
δῶνι πρὸς τὴν ἀθηνᾶν γενομένης τῆς διαφορᾶς. τί οὖν κωλύει καὶ ἡμᾶς ἐν

διαφορᾷ ποτε πρὸς οἰκείους καὶ συγγενεῖς γινομένους, ἐν ἀμνηστίᾳ τὴν ἡμέραν ἐ-
κείνην τίθεσθαι, καὶ μίαν τῶν ἀποφράδων νομίζειν, ἀλλὰ μὴ πολλῶν καὶ ἀγα-
θῶν, ἐν αἷς συνετράφημεν καὶ συνεβιώσαμεν ἡμερῶν διὰ μίαν ἐπιλανθάνεσθαι.
ἢ γὰρ μάτην καὶ πρὸς οὐθὲν ἡ φύσις ἡμῖν ἔδωκε πραότητα καὶ μετριοπαθείας
ἔκγονον ἀνεξικακίαν, ἢ μάλιστα χρηστέον τούτοις πρὸς συγγενεῖς καὶ οἰκείους.
οὐχ ἧττον δὲ τοῦ διδόναι συγγνώμην ἁμαρτοῦσι τὸ αἰτεῖσθαι καὶ λαμβάνειν αὐ-
τοὺς ἁμαρτόντας, εὔνοιαν ἐμφαίνει καὶ φιλοστοργίαν. ὅθεν ὀργιζομένων τε
δεῖ μὴ ἀμελεῖν, καὶ παραιτουμένοις, μὴ ἀντιτείνειν. ἀλλὰ καὶ φθάνειν πολλάκις
ἁμαρτόντας αὐτοὺς τῇ παραιτήσει τὴν ὀργὴν, ἀδικηθέντας τε πάλιν αὐ-
τῇ συγγνώμῃ τὴν παραίτησιν. ὁ μὲν οὖν σωκρατικὸς εὐκλείδης ἐν ταῖς σχο-
λαῖς περιβόητός ἐστιν, ὅτι φωνὴν ἀκούσας ἀγνώμονα καὶ θηριώδη τοῦ ἀδελφοῦ
πρὸς αὐτὸν εἰπόντος, ἀπολοίμην εἰ μή σε τιμωρησαίμην, ἐγὼ δ᾽ εἶπεν, εἰ μή σε πεί-
σαιμι παύσασθαι τῆς ὀργῆς, καὶ φιλεῖν ἡμᾶς ὡς πρότερον ἐφίλεις. τὸ δὲ
εὐμενοῦς τοῦ βασιλέως ἔργον οὐ λόγος, ὑπερβολὴν οὐδεν᾽ οὐδὲ πραότητος ἀπολέ-
λοιπε. περσεὺς γὰρ ὁ τῶν μακεδόνων βασιλεὺς ἐχθρὸς ὢν αὐτῷ, παρεσκεύασε
τοὺς ἀποκτενοῦντας. οἱ δὲ περὶ δελφοὺς ἐνήδρευον, αἰσθόμενοι βαδίζοντα πρὸς
τὸν θεὸν ἀπὸ θαλάσσης, γενόμενοι δὲ ὄπισθεν αὐτοῦ, λίθους μεγάλους ἐμβάλλου-
σιν εἴς τε τὴν κεφαλὴν καὶ τὸν τράχηλον, ὑφ᾽ ὧν σκοτωθεὶς καὶ πεσὼν, ἔδοξε τε-
θνάναι. καὶ περιῆλθε φήμη πανταχόσε, καὶ φίλοι τινὲς ἀφίκοντο καὶ θερά-
ποντες εἰς πέργαμον, αὐτάγγελοι τοῦ πάθους ἥκειν δοκοῦντες. ἄτταλος οὖν
ὁ πρεσβύτατος μετὰ τοῦ τῶν ἀδελφῶν, ἀνὴρ ἐπιεικὴς καὶ περὶ τὸν εὐμενῆ πάντων
ἄριστος, οὐ μόνον βασιλεὺς ἀνηγορεύθη διαδησάμενος, ἀλλὰ καὶ τὴν γυναῖκα τοῦ
ἀδελφοῦ στρατονίκην ἔγημε καὶ συνῆλθεν. ἐπεὶ δὲ ἀπηγγέλη ζῶν ὁ εὐμενὴς, καὶ
προσῄει, θεὶς τὸ διάδημα καὶ λαβὼν, ὥσπερ εἰώθει τὰ δοράτια, μετὰ τῶν ἄλλων
ἀπήντησεν αὐτῷ δορυφόρων. ὁ δὲ, κἀκεῖνον εὐμενῶς ἐδεξιώσατο, καὶ τὴν βα-
σίλισσαν ἠσπάσατο μετὰ τιμῆς καὶ μεγαλοφροσύνης, καὶ χρόνον οὐκ ὀλίγον ἐ-
πιβιώσας, ἀμέμπτως καὶ ἀνυπόπτως ἀπέθανε, τῷ ἀττάλῳ τήν τε βασιλείαν καὶ
τὴν γυναῖκα παρεγγυήσας. τί οὖν ἐκεῖνος, ἀποθανόντος αὐτοῦ, παιδίον οὐ-
δὲν ἐν ἐκ τῆς γυναικὸς ἀνελέσθαι ἠθέλησε, τεκούσης πολλάκις, ἀλλὰ τὸν ἐκείνου
παῖδα θρέψας καὶ ἀνδρώσας, ἔτι ζῶν, ἐπέθηκε τὸ διάδημα, καὶ βασιλέα προ-
σηγόρευσεν. ἀλλὰ καμβύσης ἐξ ἐνυπνίου φοβηθεὶς, ὡς βασιλεύσοντα τῆς ἀ-
σίας τὸν ἀδελφὸν, οὐδὲ μίαν ἀπόδειξιν, οὐδὲ ἔλεγχον ἀναμείνας, ἀπέκτεινεν.
ὅθεν ἐξέπεσε τῆς κύρου διαδοχῆς ἡ ἀρχὴ, τελευτήσαντος αὐτοῦ, καὶ τὸ δαρείου
γένος ἐβασίλευσεν, ἀνδρὸς οὐ μόνον ἀδελφοῖς, ἀλλὰ καὶ φίλοις ἐπισταμένου κοι-
νωνεῖν πραγμάτων καὶ δυνάμεως. ἔτι τοίνυν ἐκεῖνο δεῖ μνημονεύειν, ἐν ταῖς
πρὸς τοὺς ἀδελφοὺς διαφοραῖς καὶ φυλάττειν τὸ τοῖς φίλοις αὐτῶν ὁμιλεῖν καὶ
πλησιάζειν τότε μάλιστα. φεύγειν δὲ τοὺς ἐχθροὺς, καὶ μὴ προσδέχεσθαι, μι-
μούμενον αὐτὸ γοῦν τοῦτο τὸ κρητῶν, οἳ πολλάκις στασιάζοντες ἀλλήλοις καὶ πο-
λεμοῦντες, ἔξωθεν ἐπιόντων πολεμίων, διελύοντο καὶ συνίσταντο, καὶ τοῦτο
ἦν ὁ καλούμενος ὑπ᾽ αὐτῶν συγκρητισμός. ἔνιοι γὰρ ὥσπερ ὕδωρ τοῖς χαλῶ-
σι καὶ διισταμένοις ὑπορρέοντες, ἀνατρέπουσιν οἰκειότητας καὶ φιλίας, μισοῦν-
τες μὲν ἀμφοτέρους, ἐπιτιθέμενοι δὲ τῷ μᾶλλον ὑπ᾽ ἀσθενείας ἐνδιδόντι. τῷ μὲν
γὰρ ἐρῶντι, συνερῶσιν οἱ νεαροὶ καὶ ἄκακοι τῶν φίλων, τῷ δὲ ὀργιζομένῳ καὶ
διαφερομένῳ πρὸς ἀδελφὸν, οἱ κακοηθέστατοι τῶν ἐχθρῶν συναγανακτεῖν καὶ συ-
νοργίζεσθαι δοκοῦσι. καθάπερ οὖν ἡ αἰσώπειος ἀλεκτορὶς πρὸς τὸν αἴλου-
ρον ὡς δὴ κατ᾽ εὔνοιαν αὐτῆς νοσούσης ὅπως ἔχει πυνθανομένην, καλῶς εἶπεν,

αὖ συναποστῆναι, οὕτω πρὸς τοιοῦτον ἄνθρωπον ἐμβάλλοντα λόγον περὶ τῆς δια-
φορᾶς καὶ πυνθανόμενον καὶ ὑπορύττοντα τῶν ἀπορρήτων ἔνια χρὴ λέγειν· ἀλ-
λ' ἔμοιγε πρᾶγμα πρὸς τὸν ἀδελφὸν οὐδέν ἐστιν, ἂν μήτε ἐγὼ τοῖς διαβάλλουσι
προσέχω, μήτε ἐκεῖνος. νυνὶ δὲ οὐκ οἶδα ὅπως ὀφθαλμιῶντες μὲν οἰόμεθα
δεῖν ἀποστρέφειν ἐπὶ τὰ μὴ ποιοῦντα πληγὴν, μηδὲ ἀντιτυπίαν χρώματα καὶ σώ-
ματα τὴν ὄψιν, ἐν δὲ μέμψεσι καὶ ὀργαῖς καὶ ὑπονοίαις πρὸς ἀδελφοὺς γενόμενοι,
χαίρομεν καὶ προσαναχρωννύμεθα τοῖς ἐκταράττουσιν, ὅτε καλῶς εἶχε τοὺς μὲν
ἐχθροὺς καὶ δυσμενεῖς ἀποδιδράσκειν καὶ λανθάνειν, συνεῖναι δὲ καὶ συνδιημερεύειν
μάλιστα κηδεσταῖς ἐκείνων καὶ οἰκείοις καὶ φίλοις, καὶ πρὸς γυναῖκας αὐτῶν εἰ-
σιόντας, αἰτιᾶσθαι καὶ παρρησιάζεσθαι. καίτοι λίθον οὔ φασι χρῆναι μέσον
ἀδελφοὺς λαμβάνειν ὁδὸν βαδίζοντας· ἄχθονται δὲ καὶ κυνὸς διεκδραμόν-
τος, καὶ πολλὰ τοιαῦτα δεδίασιν, ὧν ὁμόνοιαν οὐδὲν ἀδελφῶν διέστησεν· ἀνθρώπους
δὲ κυνικοὺς καὶ διαβόλους ἐν μέσῳ λαμβάνοντες αὐτῶν καὶ περιπταίοντες, οὐ
συνορῶσι. διὸ τοῦ λόγου τὸ συνεχὲς ὑπαγορεύοντος, εὖ μὲν εἶπε θεόφραστος,
ὡς εἰ κοινὰ τὰ φίλων ἐστὶ, μάλιστα δεῖ κοινοὺς τῶν φίλων εἶναι τοὺς φίλους, οὐχ ἥκι-
στα δ' ἄν τις ἀδελφοῖς τοῦτο παραινέσειεν· αἱ γὰρ ἰδίᾳ καὶ χωρὶς ὁμιλίαι καὶ συ-
νήθειαι πρὸς ἀλλήλους, ἀποστρέφουσι καὶ ἀποσπῶσιν ἀπ' ἀλλήλων· τῷ γὰρ φιλεῖν
ἑτέρους, εὐθὺς ἕπεται τὸ χαίρειν ἑτέροις, καὶ ζηλοῦν ἑτέρους, καὶ ἄγεσθαι ὑφ'
ἑτέρων· ἠθοποιοῦσι γὰρ αἱ φιλίαι, καὶ μεῖζον οὐδέν ἐστι διαφορᾶς ἠθῶν σημεῖον, ἢ
φίλων αἱρέσεις διαφερόντων. ὅθεν οὔτε τὸ συνεσθίειν ἀδελφῷ καὶ συμπί-
νειν, οὔτε τὸ συμπαίζειν καὶ συνδιημερεύειν οὕτως συνεκτικόν ἐστιν ὁμονοίας, ὡς
τὸ συμφιλεῖν καὶ συνεχθραίνειν, ἥδεσθαί τε τοῖς αὐτοῖς συνόντα, καὶ πάλιν
βδελύττεσθαι καὶ φεύγειν· οὐ γὰρ διαβολὰς αἱ κοιναὶ φιλίαι φέρουσιν, οὐδὲ συγ-
κρούσεις· ἀλλὰ κἂν γένηταί τις ὀργὴ καὶ μέμψις, ἐκλύεται διὰ μέσου τῶν φί-
λων, ἐκδεχομένων καὶ διασκεδαννύντων, ἄνπερ ἀμφοτέροις οἰκείως ἔχωσι, καὶ
πρὸς ἀμφοτέρους ὁμοῦ τῇ εὐνοίᾳ συννεύωσιν. ὡς γὰρ ὁ καττίτερος ῥαγέντα τὸν
χαλκὸν συναρμόττει καὶ συγκεραννύει τῷ ψαύειν ἑκατέρου πέρατος οἰκείως
ὁμοπαθὴς γενόμενος, οὕτως δεῖ τὸν φίλον εὐάρμοστον ὄντα καὶ κοινὸν ἀμφο-
τέροις τοῖς ἀδελφοῖς, προσκατατυκνοῦν τὴν εὔνοιαν· οἱ δὲ ἄνισοι καὶ ἄμικτοι κα-
θάπερ ἐν διαγράμματι μουσικῷ φθόγγοι, διάζευξιν οὐ συναφὴν ποιοῦσιν. ἔστιν
οὖν διαπορῆσαι, πότερον ὀρθῶς, ἢ τοὐναντίον ὁ ἡσίοδος εἶπε, μὴ δὲ κασιγνήτῳ
ἶσον ποιεῖσθαι ἑταῖρον. ὁ μὲν γὰρ εὐγνώμων καὶ κοινὸς, ὥσπερ εἴρηται μᾶλλον
ἐγκραθεὶς δι' ἀμφοτέρων, σύνδεσμος ἔσται τῆς φιλαδελφίας. ὁ δὲ ἡσίοδος, ὡς ἔοι-
κεν, ἐφοβήθη τοὺς πολλοὺς καὶ φαύλους διὰ τὸ δύσζηλον, καὶ φίλαυτον, ὃ δὴ
καλῶς ἔχει φυλαττομένους, κἂν εὔνοιαν ἴσην φίλῳ νέμηταί τις, ἀεὶ τὰ πρωτεῖα
τῷ ἀδελφῷ φυλάττειν ἐν ἀρχαῖς καὶ πολιτείαις, ἔν τε κλήσεσι καὶ γνωρίσεσιν
ἡγεμόνων, καὶ ὅσα τοῖς πολλοῖς ἐπιφανῆ καὶ πρὸς δόξαν ἐστὶ, τὸ προσῆκον ἀξίω-
μα τῇ φύσει, καὶ γέρας ἀποδιδόντας· οὐ γὰρ οὕτω τῷ φίλῳ τὸ πλέον ἐν τού-
τοις σεμνὸν, ὡς ἀδελφῷ τοὔλαττον αἰσχρὸν γίνεται καὶ ἄδοξον. ἀλλὰ περὶ ταύ-
της μὲν ἑτέρωθι τῆς γνώμης γέγραπται τὰ δοκοῦντα διὰ πλειόνων· τὸ δὲ με-
νάνδρειον ὀρθῶς ἔχον, ὡς οὐδεὶς ἀγαπῶν αὐτὸν ἀμελεῖθ' ἡδέως, ὑπομιμνήσκει καὶ
διδάσκει τῶν ἀδελφῶν ἐπιμελεῖσθαι, καὶ μὴ τῇ φύσει πιστεύοντας ὀλιγωρεῖν.
καὶ γὰρ ἵππος τῇ φύσει φιλάνθρωπον, καὶ κύων φιλοδέσποτον, ἀλλὰ μὴ τυγ-
χάνοντα θεραπείας μηδ' ἐπιμελείας, ἀπόστοργα γίνεται καὶ ἀλλότρια· καὶ τὸ
σῶμα τῆς ψυχῆς συγγενέστατόν ἐστιν, ἀμελούμενον δὲ καὶ παρορώμενον ὑπ' αὐτῆς,
οὐκ ἐθέλει συνεργεῖν ἀλλὰ λυμαίνεται καὶ προλείπει τὰς πράξεις. ἐπι-
μέλεια

μέλεια δὲ καλὴ μὲν αὐτοῖς τοῖς ἀδελφοῖς, ἔτι δὲ κάλλιον πενθεροῖς καὶ γαμ-
βροῖς τοῖς ἐκείνων, εὔνουν ἀεὶ παρέχειν εἰς ἅπαντα καὶ πρόθυμον ἑαυτὸν, οἰκέ-
τας τε φιλοδεσπότους ἀσπάζεσθαι καὶ φιλοφρονεῖσθαι, καὶ χάριν ἔχειν ἰα-
τροῖς θεραπεύσασιν αὐτοὺς καὶ φίλους πιστοῖς, καὶ προθύμως συνδιενεγκοῦσιν
ἀποδημίαν ἢ στρατείαν, γυναῖκα δὲ ἀδελφοῦ γαμετὴν, ὡς ἁπάντων ἱερῶν ἁγιώ-
τατον προσορῶντα καὶ σεβόμενον, τιμᾶν τὸν ἄνδρα καὶ εὐφημεῖν, ἀμελουμένῃ
δὲ συναγανακτεῖν, χαλεπαίνουσαν δὲ πραΰνειν· ἂν δ' ἁμάρτῃ τι τῶν μετρίων,
συνδιαλλάττειν καὶ συμπαρακαλεῖν τὸν ἄνδρα, κἂν αὐτῷ τις ἰδία γένηται δια-
φορὰ πρὸς τὸν ἀδελφὸν, αἰτιᾶσθαι παρ' ἐκείνῃ καὶ διαλύεσθαι τὴν μέμψιν, ἀ-
γαμίαν δὲ ἀδελφοῦ καὶ ἀπαιδίαν, μάλιστα δυσχεραίνειν, καὶ παρακαλοῦντα
καὶ λοιδοροῦντα, συνελαύνειν πανταχόθεν εἰς γάμον, καὶ συνειργνύναι νομί-
μοις κηδεύμασι, κτησαμένου δὲ παῖδας, ἐμφανέστερον χρῆσθαι, τῇ τε πρὸς αὐ-
τὸν εὐνοίᾳ, καὶ τῇ πρὸς τὴν γυναῖκα τιμῇ· τοῖς δὲ παισὶν, εὔνουν μὲν ὥσπερ ἰδί-
οις, ἤπιον δὲ μᾶλλον εἶναι καὶ μειλίχιον· ὅπως ἁμαρτόντες οἷα νέοι, μὴ δραπε-
τεύωσι, μὴ δὲ καταδύωνται διὰ φόβον πατρὸς ἢ μητρὸς, εἰς ὁμιλίας φαύλας
καὶ ὀλιγώρους, ἀλλ' ἀποστροφὴν καὶ καταφυγὴν ἅμα νουθετοῦσαν εὐνοίᾳ καὶ πα-
ραιτουμένην ἔχωσιν. οὕτω καὶ πλάτων ἀδελφιδοῦν ὄντα σπεύσιππον, ἐκ πολ-
λῆς ἀνέσεως καὶ ἀκολασίας ἐπέστρεψεν, οὐδὲν οὔτε εἰπὼν ἀνιαρὸν, οὔτε ποιή-
σας πρὸς αὐτὸν, ἀλλὰ φεύγοντι τοὺς γονεῖς ἐλέγχοντας αὐτὸν ἀεὶ καὶ λοιδο-
ροῦντας, ἐνδιδοὺς ἑαυτὸν εὐμενῆ καὶ ἀμήνιτον, αἰδῶ τε πολλὴν ἐνειργάσατο, καὶ
ζῆλον ἑαυτοῦ καὶ φιλοσοφίας· καίτοι πολλοὶ τῶν φίλων, ἐνεκάλουν ὡς μὴ
νουθετοῦντι τὸ μειράκιον· ὁ δὲ καὶ πάνυ νουθετεῖν ἔλεγε, τῷ βίῳ καὶ τῇ διαί-
τῃ τῆς πρὸς τὰ αἰσχρὰ τῶν καλῶν διαφορᾶς παρέχων κατανόησιν. ἀλεύαν δὲ
τὸν θετταλὸν, ὁ μὲν πατὴρ ἀγέρωχον ὄντα καὶ ὑβριστὴν, ἐκόλουε καὶ χαλεπὸς
ἦν, ὁ δὲ θεῖος ἀνελάμβανε καὶ προσήγετο· πεμπόντων δὲ τῶν θετταλῶν φρυκτοὺς
περὶ βασιλέως πρὸς τὸν θεὸν εἰς δελφοὺς, ἐνέβαλε κρύφα τοῦ πατρὸς ὁ θεῖος,
ὑπὲρ τοῦ ἀλεύα· καὶ τῆς πυθίας τοῦτον ἀνελούσης, ὅ τε πατὴρ ἀπέφησεν ἐμ-
βεβληκέναι τὸν φρυκτὸν ὑπὲρ αὐτοῦ, καὶ πᾶσιν ἐδόκει πλάνη τις ἐν ταῖς κα-
ταγραφαῖς τῶν ὀνομάτων γεγονέναι· διὸ καὶ πέμψαντες αὖθις ἐπηρώτων τὸν
θεὸν, ἡ δὲ πυθία καθάπερ ἐκβεβαιουμένη τὴν προτέραν ἀναγόρευσιν, εἶπε τὸν
πυρρόν τοι φημὶ, τὸν ἀρχεδίκη τέκε παῖδα, καὶ τοῦτον τὸν τρόπον ὁ ἀλεύας ὑπὸ
τοῦ θεοῦ βασιλεὺς διὰ τὸν τοῦ πατρὸς ἀδελφὸν ἀποδειχθεὶς, αὐτός τε πολὺ πάν-
των ἐπρώτευσε τῶν πρὸ αὐτοῦ, καὶ τὸ ἔθνος εἰς δόξαν προήγαγε μεγάλην καὶ
δύναμιν. ἀλλὰ μὴν εὐπραξίαις τε καὶ τιμαῖς καὶ ἀρχαῖς παίδων ἀδελφοῦ
χαίροντα καὶ σεμνυνόμενον, αὔξειν προσήκει καὶ συνεξορμᾶν πρὸς τὰ καλὰ, καὶ
κατορθοῦντας ἀφειδῶς ἐπαινεῖν· αὐτοῦ γὰρ υἱὸν ἐπαχθὲς ἴσως ἐγκωμιάζειν, ἀ-
δελφοῦ δὲ σεμνὸν καὶ οὐ φίλαυτον, ἀλλὰ φιλόκαλον καὶ θεῖον ὡς ἀληθῶς· ἐδόκει
γάρ μοι καὶ τοὔνομα καλῶς ἀφηγεῖσθαι πρὸς εὔνοιαν ἀδελφῶν καὶ ἀγάπησιν.
δεῖ δὲ καὶ τὰ τῶν κρειττόνων ζηλοῦν· ἡρακλῆς τε γὰρ δυεῖν δέοντας ἑβδομήκοντα
γεννήσας παῖδας, οὐδενὸς ἧττον αὐτῶν τὸν ἀδελφιδοῦν ἠγάπησεν, ἀλλὰ καὶ νῦν
πολλαχοῦ σύμβωμός ἐστιν ἰόλαος αὐτῷ, καὶ συγκατεύχονται παραστάτην ἡρα-
κλέους ὀνομάζοντες. ἰφικλέους δὲ τοῦ ἀδελφοῦ πεσόντος ἐν τῇ περὶ λακεδαί-
μονα μάχῃ, περίλυπος γενόμενος, πᾶσαν ἐξέλιπε πελοπόννησον. ἡ δὲ λευκο-
θέα τῆς ἀδελφῆς ἀποθανούσης, ἔθρεψε τὸ βρέφος καὶ συνεξεθείασεν· ὅθεν αἱ ῥω-
μαίων γυναῖκες ἐν ταῖς τῆς λευκοθέας ἑορταῖς ἣν ματοῦταν ὀνομάζουσιν, οὐ
τοὺς ἑαυτῶν παῖδας, ἀλλὰ τοὺς τῶν ἀδελφῶν ἐναγκαλίζονται καὶ τιμῶσιν.

ΠΕΡΙ ΑΔΟΛΕΣΧΙΑΣ·

Δύσκολον μὲν ἀναλαμβάνει θεράπευμα καὶ χαλεπὸν ἡ φιλοσοφία τὴν ἀδολεσχίαν. τὸ γὰρ φάρμακον αὐτῆς ὁ λόγος, ἀκουόντων ἐστίν· οἱ δ᾽ ἀδόλεσχοι, οὐδενὸς ἀκούουσιν· ἀεὶ γὰρ λαλοῦσι, καὶ τοῦτο ἔχει πρῶτον κακὸν ἡ ἀσιγησία, τὴν ἀνηκοΐαν. κωφότης γὰρ αὐθαίρετός ἐστιν, ἀνθρώπων οἶμαι μεμφομένων τὴν φύσιν, ὅτι μίαν μὲν γλῶτταν, δύο δ᾽ ὦτα ἔχουσιν. εἴπερ οὖν ὁ Εὐριπίδης καλῶς εἶπε πρὸς τὸν ἀσύνετον ἀκροατὴν, οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι, σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους. δικαιότερον ἄν τις εἴποι πρὸς τὸν ἀδόλεσχον, μᾶλλον δὲ περὶ τοῦ ἀδολέσχου, οὐκ ἂν δυναίμην μὴ δεχόμενον πιμπλάναι, σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους. μᾶλλον δὲ περιαντλῶν λόγοις ἀνθρώπῳ, λαλοῦντι μὲν πρὸς τοὺς οὐκ ἀκούοντας, μὴ ἀκούοντι δὲ τῶν λαλούντων. καὶ γὰρ ἂν ἀκούσῃ τι βραχὺ, τῆς ἀδολεσχίας ὥσπερ ἄμπωτιν λαβούσης τοῦτο, παραχρῆμα πολλαπλάσιον ἀνταποδίδωσι. τὴν μὲν γὰρ ἐν Ὀλυμπίᾳ στοὰν ἀφ᾽ μιᾶς φωνῆς πολλὰς ἀντανακλάσεις ποιοῦσαν, ἑπτάφωνον καλοῦσι, τῆς δ᾽ ἀδολεσχίας ἂν ἐλάχιστος ἅψηται λόγος, εὐθὺς ἀντιπεριηχεῖ, κινοῦσα χορδὰς τὰς ἀκινήτους φρενῶν. μή ποτε οὖν αὐτοῖς οὐκ εἰς τὴν ψυχὴν, ἀλλ᾽ εἰς τὴν γλῶτταν ἡ ἀκοὴ συντέτρηται. διὸ τοῖς μὲν ἄλλοις, ἐμμένουσιν οἱ λόγοι· τῶν δὲ ἀδολέσχων, διαρρέουσιν· εἶθ᾽ ὥσπερ ἀγγεῖα κενοὶ φρενῶν, ἤχου δὲ μεστοὶ περιίασιν. εἰ δ᾽ οὖν δοκεῖ πείρας μηδὲν ἐλλελεῖφθαι, εἴπωμεν πρὸς τὸν ἀδόλεσχον, ὦ παῖ, σιώπα· πόλλ᾽ ἔχ᾽ ἡ σιγὴ καλά. δύο δὲ τὰ πρῶτα καὶ μέγιστα τὸ ἀκοῦσαι καὶ ἀκουσθῆναι· ὧν οὐδ᾽ ἑτέρου τυχεῖν ἐγγίνεται τοῖς ἀδολέσχοις, ἀλλὰ καὶ περὶ αὐτὴν τὴν ἐπιθυμίαν ἀποδυστυχοῦσι. τοῖς μὲν γὰρ ἄλλοις νοσήμασι τῆς ψυχῆς, οἷον φιλαργυρίᾳ, φιλοδοξίᾳ, φιληδονίᾳ, τὸ γοῦν τυγχάνειν ὧν ἐφίενται, πάρεστι, τοῖς δ᾽ ἀδολέσχοις τοῦτο συμβαίνει χαλεπώτατον· ἐπιθυμοῦντες γὰρ ἀκροατῶν, οὐ τυγχάνουσιν· ἀλλὰ πᾶς φεύγει προτροπάδην, κἂν ἐν ἡμικυκλίῳ τινὶ καθεζόμενοι, κἂν περιπατοῦντες ἐν ταὐτῷ θεάσωνται προσφοιτῶντα, ταχέως ἀνάζευξιν αὐτοῖς παρεγγυῶσι. καὶ καθάπερ ὅταν ἐν συλλόγῳ τινὶ γένηται σιωπὴ, τὸν Ἑρμῆν ἐπεισεληλυθέναι λέγουσιν, οὕτως ὅταν εἰς συμπόσιον ἢ συνέδριον γνώριμος λάλος εἰσέλθῃ, πάντες ἀποσιωπῶσι, μὴ βουλόμενοι λαβὴν παρασχεῖν· ἂν δ᾽ αὐτὸς ἄρξηται διαίρειν τὸ στόμα, πρὸ χείματος ὥστ᾽ ἀνὰ ποντίαν ἄκραν βορέου ζέοντος ὑφορώμενοι σάλον καὶ ναυτίαν, ἐξανέστησαν. ὅθεν αὐτοῖς συμβαίνει μήτε παρὰ δεῖπνον συγκλίτων, μήτε συσκήνων τυγχάνειν προθύμων, ὅταν ὁδοιπορῶσιν ἢ πλέωσιν, ἀλλ᾽ ἀναγκαστῶν· πρόσκειται γὰρ ἁπανταχοῦ τῶν ἱματίων, ἀντιλαμβανόμενος, τοῦ γενείου, τὴν πλευρὰν θυροκοπῶν τῇ χειρὶ, πόδες δὴ κεῖθι τιμιώτατοι κατὰ τὸν Ἀρχίλοχον, καὶ νὴ Δία κατὰ τὸν σοφὸν Ἀριστοτέλην. καὶ γὰρ αὐτὸς ἐνοχλούμενος ὑπὸ ἀδολέσχου καὶ σκωπτόμενος ἀτόποις τισὶ διηγήμασι, πολλάκις αὐτοῦ λέγοντος, οὐ θαυμαστὸν Ἀριστότελες; οὐ τοῦτο φησὶ θαυμαστὸν, ἀλλ᾽ εἴ τις πόδας ἔχων σὲ ὑπομένει. ἑτέρῳ δέ τινι ὁμοίῳ μετὰ πολλοὺς λόγους εἰπόντι, κατηδολέσχηκά σου φιλόσοφε, μὰ Δί᾽ εἶπεν, οὐ γὰρ προσεῖχον. καὶ γὰρ ἂν βιάσωνται λαλεῖν οἱ ἀδόλεσχοι, παρέδωκεν αὐτοῖς ἡ ψυχὴ τὰ ὦτα περιαντλεῖν ἔξωθεν, αὐτὴ δὲ ἔνδον ἑτέρας τινὰς ἀναπτύσσει καὶ διέξεισι πρὸς αὑτὴν φροντίδας· ὅθεν οὔτε προσεχόντων, οὔτε πιστευόντων ἀκροατῶν εὐποροῦσι. τῶν μὲν γὰρ πρὸς τὰς συνουσίας ἐπικαταφόρων, ἄγονον εἶναι τὸ σπέρμα λέγουσι.

τῶν

τῶν δ᾽ ἀδολέσχων ὁ λόγος, ἀτελὴς καὶ ἄκαρπός ἐστι. καίτοι γε οὐδὲν οὕτως ἡ φύσις εὐερκῶς κεχαράκωκε τῶν παρ᾽ ἡμῖν, ὡς τὴν γλῶτταν, βαλλομένη φρουρὰν πρὸ αὐτῆς τοὺς ὀδόντας, ἵν᾽ ἐὰν ἐντὸς κατατείνοντος ἡνίας ιγαλόεντα τοῦ λογισμοῦ, μὴ ὑπακούῃ· μὴ δὲ ἀνιλλῆται, δήγμασιν αὐτῆς κατέχωμεν τὴν ἀκρασίαν αἱμάττοντες. ἀχαλίνων γὰρ οὐ ταμιείων, οὐδ᾽ οἰκημάτων, ἀλλὰ στομάτων τὸ τέλος δυστυχίαν, ὁ Εὐριπίδης φησίν. οἱ δ᾽ οἰκημάτων μὲν ἀθύρων καὶ βαλαντίων ἀδέσμων μηδὲν ὄφελος οἰόμενοι τοῖς κεκτημένοις εἶναι, στόμασι δ᾽ ἀκλείστοις καὶ ἀθύροις, ὥσπερ τὸ τοῦ Πόντου διαπαντὸς, ἔξω ῥέουσι χρώμενοι, πάντων ἀτιμότατον ἡγεῖσθαι τὸν λόγον ἐοίκασιν. ὅθεν οὐδὲ πίστιν ἔχουσιν, ἧς πᾶς λόγος ἐφίεται. τὸ γὰρ οἰκεῖον αὐτοῦ τέλος, τοῦτ᾽ ἐστὶ, πίστιν ἐνεργάσασθαι τοῖς ἀκούουσιν. ἀπιστοῦνται δ᾽ οἱ λάλοι, κἂν ἀληθεύωσιν. ὥσπερ γὰρ ὁ πυρὸς εἰς ἀγγεῖον κατακλεισθεὶς, τῷ μὲν μέτρῳ πλείων εὑρίσκεται, τῇ δὲ χρείᾳ μοχθηρότερος, οὕτω λόγος εἰς ἀδόλεσχον ἐμπεσὼν ἄνθρωπον, πολὺ ποιεῖ τὸ ψεῦδος ἐπίμετρον, ᾧ διαφθείρει τὴν πίστιν. ἔτι τοίνυν τὸ μεθύειν πᾶς ἄνθρωπος αἰδήμων καὶ κόσμιος φυλάξαιτ᾽ ἄν. μανία γὰρ ὁμότοιχος μὲν ἡ ὀργὴ κατ᾽ ἐνίους, ἡ δὲ μέθη σύνοικος, μᾶλλον δὲ μανία, τῷ μὲν χρόνῳ ἧττον, τῷ δ᾽ ἑκουσίῳ μεῖζον, ὅτι τὸ αὐθαίρετον αὐτῇ πρόσεστι. τῆς δὲ μέθης οὐθὲν οὕτω κατηγοροῦσιν, ὡς τὸ περὶ τοὺς λόγους ἀκρατὲς καὶ ἀόριστον. οἶνος γὰρ ἐφέηκε πολύφρονά περ μάλ᾽ ἀεῖσαι, καί θ᾽ ἁπαλὸν γελάσαι, καί τ᾽ ὀρχήσασθαι ἀνῆκε. καί τι τὸ δεινότατον, ὡς δὴ καὶ γέλως καὶ ὄρχησις οὐδὲν ἄχρι τούτων, καί τι ἔπος προέηκεν, ὅπερ τ᾽ ἄρρητον ἄμεινον, τοῦτο ἤδη δεινὸν καὶ ἐπικίνδυνον. καὶ μή ποτε τὸ ζητούμενον παρὰ τοῖς φιλοσόφοις λύων ὁ ποιητὴς, οἰνώσεως καὶ μέθης διαφορὰν εἴρηκεν. οἰνώσεως μὲν, ἄνεσιν, μέθης δὲ, φλυαρίαν. τὸ γὰρ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος, ἐπὶ τῆς γλώττης ἐστὶ τοῦ μεθύοντος, ὡς οἱ παροιμιαζόμενοί φασιν. ὅθεν ὁ μὲν Βίας ἔν τινι πότῳ σιωπῶν, καὶ σκωπτόμενος εἰς ἀβελτηρίαν ὑπό τινος ἀδολέσχου, καὶ τίς ἂν ἔφη δύναιτο μωρὸς ὢν ἐν οἴνῳ σιωπᾶν. Ἀθήνησι δέ τις ἑστιῶν πρέσβεις βασιλικοὺς, ἐφιλοτιμήθη σπουδάζουσιν αὐτοῖς, συναγαγεῖν εἰς ταὐτὸ τοὺς φιλοσόφους. χρωμένων δὲ τῶν ἄλλων κοινολογίᾳ καὶ τὰς συμβολὰς ἀποδιδόντων, τοῦ δὲ Ζήνωνος ἡσυχίαν ἄγοντος, φιλοφρονησάμενοι καὶ προπιόντες οἱ ξένοι, περὶ σοῦ δὲ, τί χρὴ λέγειν ἔφασαν ὦ Ζήνων τῷ βασιλεῖ· κἀκεῖνος, ἄλλο μηδὲν εἶπεν, ἢ ὅτι πρεσβύτης ἐστὶν ἐν Ἀθήναις, παρὰ πότον σιωπᾶν δυνάμενος. οὕτω τι βαθὺ καὶ μυστηριῶδες ἡ σιγὴ, καὶ νηφάλιον, ἡ δὲ μέθη λάλον, ἄνουν γὰρ καὶ ὀλιγόφρον διὰ τοῦτο, καὶ πολύφωνον. οἱ δὲ φιλόσοφοι καὶ ὁριζόμενοι τὴν μέθην λέγουσιν εἶναι λήρησιν πάροινον, οὕτως οὐ ψέγεται τὸ πίνειν, εἰ προσείη τῷ πίνειν τὸ σιωπᾶν. ἀλλ᾽ ἡ μωρολογία μέθην ποιεῖ τὴν οἴνωσιν. ὁ μὲν οὖν μεθύων ληρεῖ παρ᾽ οἶνον. ὁ δ᾽ ἀδόλεσχος πανταχοῦ ληρεῖ, ἐν ἀγορᾷ, ἐν θεάτρῳ, ἐν περιπάτῳ, μεθ᾽ ἡμέραν, νύκτωρ. ἔστι δὲ θεραπεύων, τῆς νόσου βαρύτερος, συμπλέων, τῆς ναυτίας ἀηδέστερος, ἐπαινῶν τοῦ ψέγοντος ἐπαχθέστερος. ἥδιον γέ τοι πονηροῖς ὁμιλοῦσιν ἐπιδεξίοις, ἢ χρηστοῖς ἀδολέσχαις. ὁ μὲν γὰρ Σοφοκλέους Νέστωρ, τὸν Αἴαντα τραχυνόμενον τῷ λόγῳ πραΰνων, ἠθικῶς τοῦτο εἴρηκεν, οὐ μέμφομαί σε, δρῶν γὰρ εὖ κακῶς λέγεις. πρὸς δὲ τὸν ἀδολέσχην, οὐχ οὕτως ἔχομεν· ἀλλὰ πᾶσαν ἔργου χάριν, ἡ τῶν λόγων ἀκαιρία διαφθείρει καὶ ἀπόλλυσι. Λυσίας τινὶ δίκην ἔχοντι, λόγον συγγράψας ἔδωκεν, ὁ δὲ πολλάκις ἀναγνοὺς, ἧκε πρὸς τὸν Λυσίαν ἀθυμῶν καὶ λέγων, τὸ μὲν πρῶτον αὐτῷ διεξιόντι, θαυμαστὸν φανῆναι τὸν λόγον, αὖθις δὲ καὶ τρίτον ἀναλαμβάνοντι, παντελῶς ἀμ-

βλὺν καὶ ἄπρακτον. ὁ δὲ Λυσίας γελάσας, τί οὖν εἶπεν, οὐχ ἅπαξ μέλλεις λέγειν αὐτὸν ἐπὶ τῶν δικαστῶν; καὶ σκόπει τὴν Λυσίου πειθὼ καὶ χάριν. κἀκεῖνον γὰρ ἐγώ φημι ἰοπλοκάμων Μουσᾶν εὖ λαχεῖν. τῶν δὲ περὶ τοῦ ποιητοῦ λεγομένων ἀληθέστατόν ἐστιν, ὅτι μόνος Ὅμηρος τῆς τῶν ἀνθρώπων ἀψικορίας περιγέγονεν, ἀεὶ καινὸς ὢν καὶ πρὸς χάριν ἀκμάζων, ἀλλ' ὅμως εἰπὼν καὶ ἀποφωνήσας ἐκεῖνο περὶ αὐτοῦ τὸ ἐχθρὸν δέ μοι ἐστὶν αὖθις ἀριζήλως εἰρημένα μυθολογεύειν, φεύγει καὶ φοβεῖται τὸν ἐφεδρεύοντα παντὶ λόγῳ κόρον, ἄλλα δ' ἐξ ἄλλων διηγήματα τὴν ἀκοὴν ἄγων, καὶ τῇ καινότητι τὴν πλησμονὴν αὐτῆς παραμυθούμενος. οἱ δὲ ἀποκναίουσι δή που τὰ ὦτα ταῖς ταυτολογίαις, ὥσπερ παλίμψηστα διαμολύνοντες. πρῶτον οὖν ὑπομιμνήσκωμεν αὐτοὺς, ὅτι τὸν οἶνον καθάπερ ἡδονῆς ἕνεκα καὶ φιλοφροσύνης εὑρημένον, οἱ προσβιαζόμενοι πολὺν πίνειν καὶ ἄκρατον, εἰς ἀηδίαν καὶ παροινίαν τρέπουσιν, οὕτω τὸν λόγον ἥδιστον ὄντα καὶ φιλανθρωπότατον συμβόλαιον, οἱ χρώμενοι κακῶς καὶ προχείρως, ἀπάνθρωπον ποιοῦσι καὶ ἄμικτον, οἷς οἴονται χαρίζεσθαι, λυποῦντες, καὶ ἀφ' ὧν θαυμάζεσθαι, καταγελώμενοι, καὶ δι' ὧν φιλεῖσθαι, δυσχεραινόμενοι. ὥσπερ οὖν ὁ τῷ κεστῷ τοὺς ὁμιλοῦντας ἀποστρέφων καὶ ἀπελαύνων ἀναφρόδιτος, οὕτως ὁ τῷ λόγῳ λυπῶν καὶ ἀπεχθανόμενος, ἄμουσός τις καὶ ἄτεχνός ἐστι. τῶν δὲ ἄλλων παθῶν καὶ νοσημάτων, τὰ μέν ἐστιν ἐπικίνδυνα, τὰ δὲ μισητὰ, τὰ δὲ καταγέλαστα, τῇ δὲ ἀδολεσχίᾳ πάντα συμβέβηκε. χλευάζονται μὲν γὰρ ἐν ταῖς κοιναῖς διηγήσεσι, μισοῦνται δὲ διὰ τὰς τῶν κακῶν προσαγγελίας, κινδυνεύουσι δὲ τῶν ἀπορρήτων μὴ κρατοῦντες. ὅθεν Ἀνάχαρσις ἑστιαθεὶς παρὰ Σόλωνι, καὶ κοιμώμενος ὤφθη, τὴν μὲν ἀριστερὰν χεῖρα τοῖς μορίοις, τὴν δὲ δεξιὰν τῷ στόματι προσκειμένην ἔχων. ἐγκρατεστέρου γὰρ ᾤετο χαλινοῦ δεῖσθαι τὴν γλῶτταν, ὀρθῶς οἰόμενος. οὐ γὰρ ἄν τις ἐξαριθμήσαιτο ῥᾳδίως ἄνδρας τοσούτους ἀφροδισίων ἀκρασίᾳ πεπτωκότας, ὅσας πόλεις καὶ ἡγεμονίας λόγος ἐξενεχθεὶς ἀπόρρητος ἀνάστατον ἐποίησε. Σύλλας ἐπολιόρκει τὰς Ἀθήνας, οὐκ ἔχων σχολὴν ἐνδιατρῖψαι χρόνον πολὺν, ἐπεὶ πόνος ἄλλος ἔπειγεν, ἡ ἐπ' [illegible] μὲν Ἀσίαν Μιθριδάτου, τῶν δὲ περὶ Μάριον αὖθις ἐν Ῥώμῃ κρατούντων. ἀλλὰ πρεσβυτῶν τινῶν ἐπὶ κουρείῳ διαλεγομένων ὡς οὐ φυλάττεται τὸ Ἑπτάχαλκον, καὶ κινδυνεύει τὸ ἄστυ κατ' ἐκεῖνο ληφθῆναι τὸ μέρος, ἀκούσαντες οἱ κατάσκοποι, πρὸς τὸν Σύλλαν ἐξήγγειλαν. ὁ δὲ εὐθὺς τὴν δύναμιν προσαγαγὼν, περὶ μέσας νύκτας εἰσήγαγε τὸ στράτευμα, καὶ μικροῦ μὲν κατέσκαψεν, ἐνέπλησε δὲ φόνου καὶ νεκρῶν, ὥστε τὸν Κεραμεικὸν αἵματι ῥυῆναι. χαλεπῶς δὲ πρὸς τοὺς Ἀθηναίους εἶχε διὰ τοὺς λόγους μᾶλλον, ἢ διὰ τὰ ἔργα. κακῶς γὰρ αὐτὸν ἔλεγον, καὶ τὴν Μετέλλαν, ἀναπηδῶντες ἐπὶ τὰ τείχη καὶ σκώπτοντες, συκάμινόν ἐσθ' ὁ Σύλλας, ἀλφίτῳ πεπασμένον, καὶ τοιαῦτα πολλὰ φλυαροῦντες, ἐπεσπάσαντο κουφοτάτου πράγματος λόγων, ὥς φησιν ὁ Πλάτων, βαρυτάτην ζημίαν.

τὴν δὲ Ῥωμαίων πόλιν ἐκώλυσεν ἐλευθέραν γενέσθαι Νέρωνος ἀπαλλαγεῖσαν, ἑνὸς ἀνδρὸς ἀδολεσχία. μία γοῦν ἦν νὺξ, μεθ' ἣν ἔδει τὸν τύραννον ἀπολωλέναι, παρεσκευασμένων ἁπάντων. ὁ δὲ μέλλων αὐτὸν ἀποκτιννύναι, πορευόμενος εἰς θέατρον, ἰδών τινα τῶν δεδεμένων ἐπὶ θύραις μέλλοντα προσάγεσθαι Νέρωνι, καὶ τὴν αὑτοῦ τύχην ἀποδυρόμενον, ἐγγὺς προσῆλθεν αὐτῷ, καὶ προσψιθυρίσας, εὔχου φησὶν ὦ ἄνθρωπε τὴν σήμερον ἡμέραν παρελθεῖν μόνον, αὔριον δέ μοι εὐχαριστήσεις. ἁρπάσας οὖν τὸ αἰνιχθὲν ἐκεῖνος, καὶ νοήσας οἶμαι, ὅτι νήπιος,

ὃς

ὃς τὰ ἑτοῖμα λιπὼν, ἀνέτοιμα διώκει, τὴν βεβαιοτέραν εἵλετο σωτηρίαν, πρὸ τῆς δικαιοτέρας. ἐμήνυσε γὰρ τῷ Νέρωνι τὴν φωνὴν τοῦ ἀνθρώπου, κἀκεῖνος εὐθὺς ἀνήρπαστο, καὶ βάσανοι, καὶ πῦρ, καὶ μάστιγες, ἐπ' αὐτὸν, ἀρνούμενον πρὸς τὴν ἀνάγκην, ἃ χωρὶς ἀνάγκης ἐμήνυσε. Ζήνων δὲ ὁ φιλόσοφος, ἵνα μὴ δὲ ἄκοντος αὐτοῦ προῆταί τι τῶν ἀπορρήτων, ἐκβιαζόμενον τὸ σῶμα ταῖς ἀνάγκαις, διαφαγὼν τὴν γλῶτταν, προσέπτυσε τῷ τυράννῳ. καλὸν δὲ καὶ Λέαινα τῆς ἐγκρατείας ἔχει γέρας. ἑταίρα τῶν περὶ Ἁρμόδιον ἦν, καὶ Ἀριστογείτονα, καὶ τῆς ἐπὶ τοὺς τυράννους συνωμοσίας ἐκοινώνει ταῖς ἐλπίσιν, ὡς γυνή. καὶ γὰρ αὕτη περὶ τὸν καλὸν ἐκεῖνον ἐβάκχευσε κρατῆρα τοῦ ἔρωτος, καὶ κατωργίαστο διὰ τοῦ θεοῦ τοῖς ἀπορρήτοις. ὡς οὖν ἐκεῖνοι πταίσαντες ἀνῃρέθησαν, ἀνακρινομένη καὶ κελευομένη φράσαι τοὺς ἔτι λανθάνοντας, οὐκ ἔφρασεν, ἀλλ' ἐνεκαρτέρησεν, ἐπιδείξασα τοὺς ἄνδρας, οὐδὲν ἀνάξιον ἑαυτῶν παθόντας, εἰ τοιαύτην ἠγάπησαν. Ἀθηναῖοι δὲ χαλκὴν ποιησάμενοι λέαιναν ἄγλωσσον, ἐν πύλαις τῆς ἀκροπόλεως ἀνέθηκαν, τῷ μὲν θυμοειδεῖ τοῦ ζῴου, τὸ ἀήττητον αὐτῆς, τῷ δὲ ἀγλώσσῳ, τὸ σιωπηρὸν καὶ μυστηριῶδες ἐμφαίνοντες. οὐδεὶς γοῦν οὕτω λόγος ὠφέλησε ῥηθεὶς, ὡς πολλοὶ σιωπηθέντες. ἔστι γὰρ εἰπεῖν ποτε τὸ σιγηθὲν, οὐ μὴν σιωπῆσαί γε τὸ λεχθὲν, ἀλλ' ἐκκέχυται καὶ διαπεφοίτηκεν. ὅθεν οἶμαι, τοῦ μὲν λέγειν, ἀνθρώπους, τοῦ δὲ σιωπᾶν, θεοὺς διδασκάλους ἔχομεν, ἐν τελεταῖς καὶ μυστηρίοις σιωπὴν παραλαμβάνοντες. ὁ δὲ ποιητὴς τὸν λογιώτατον Ὀδυσσέα, σιωπηλότατον πεποίηκε, καὶ τὸν υἱὸν ἑαυτοῦ καὶ τὴν γυναῖκα, καὶ τὴν τροφόν. ἀκούεις γὰρ λεγούσης, ἕξω δ' ὥς ὅτε περ κρατερὴ δρῦς ἠὲ σίδηρος. αὐτὸς δὲ τῇ Πηνελόπῃ παρακαθήμενος, θυμῷ μὲν γοόωσαν ἑὴν ἐλέαιρε γυναῖκα, ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν, ἠὲ σίδηρος, ἀτρέμας ἐν βλεφάροισιν. οὕτω τὸ σῶμα μεστὸν ἦν αὐτοῦ πανταχόθεν ἐγκρατείας, καὶ πάντα ἔχων ὁ λόγος εὐπειθῆ καὶ ὑποχείρια, προσέταττε τοῖς ὄμμασι μὴ δακρύειν, τῇ γλώττῃ μὴ φθέγγεσθαι, τῇ καρδίᾳ μὴ τρέμειν, μὴ δ' ὑλακτεῖν. τῷ δ' αὖτ' ἐν πείσῃ κραδίη μένε τετληυῖα, μέχρι τῶν ἀλόγων κινημάτων διήκοντος τοῦ λογισμοῦ, καὶ τὸ πνεῦμα, καὶ τὸ αἷμα πεποιημένου, κατήκοον ἑαυτῷ καὶ χειρόηθες. τοιοῦτοι δὲ καὶ οἱ πολλοὶ τῶν ἑταίρων. τὸ γὰρ ἑλκομένους, καὶ προσουδιζομένους ὑπὸ τοῦ Κύκλωπος μὴ κατειπεῖν τοῦ Ὀδυσσέως, μὴ δὲ δεῖξαι τὸ πεπυρακτωμένον ἐκεῖνο, καὶ παρεσκευασμένον ὄργανον ἐπὶ τὸν ὀφθαλμὸν, ἀλλ' ὠμοὺς ἐσθίεσθαι μᾶλλον, ἢ φράσαι τι τῶν ἀπορρήτων, ὑπερβολὴν ἐγκρατείας καὶ πίστεως οὐκ ἐκλέλοιπεν. ὅθεν ὁ Πιττακὸς, οὐ κακῶς τοῦ Αἰγυπτίων βασιλέως πέμψαντος ἱερεῖον αὐτῷ, καὶ κελεύσαντος τὸ κάλλιστον καὶ τὸ χείριστον ἐξελεῖν κρέας, ἔπεμψεν ἐξελὼν τὴν γλῶτταν, ὡς ὄργανον μὲν ἀγαθῶν, ὄργανον δὲ τῶν κακῶν τῶν μεγίστων οὖσαν. ἡ δ' Εὐριπίδειος Ἰνὼ, παρρησίαν ἄγουσα, περὶ αὑτῆς εἰδέναι φησὶ, σιγᾶν θ' ὅπου δεῖ, καὶ λέγειν ἵν' ἀσφαλές. οἱ γὰρ εὐγενοῦς καὶ βασιλικῆς τῷ ὄντι παιδείας τυχόντες, πρῶτον σιγᾶν, εἶτα λαλεῖν μανθάνουσιν. Ἀντίγονος οὖν ὁ βασιλεὺς ἐκεῖνος, ἐρωτήσαντος αὐτὸν τοῦ υἱοῦ, πηνίκα μέλλουσιν ἀναζευγνύειν, τί δέδοικας εἶπε, μὴ μόνος οὐκ ἀκούσῃς τῆς σάλπιγγος; οὐκ ἄρα φωνὴν ἐπίστευεν ἀπόρρητον, ᾧ τὴν βασιλείαν ἀπολείπειν ἔμελλεν. ἐδίδασκε μὲν οὖν αὐτὸν ἐγκρατῶς ἔχειν πρὸς τὰ τοιαῦτα καὶ πεφυλαγμένως. Μέτελλος δὲ ὁ γέρων, ἕτερόν τι τοιοῦτον ἐρωτώμενος ἐπὶ στρατείας, εἰ φησὶν ᾤμην τὸν χιτῶνα μοι συνειδέναι τοῦτο τὸ ἀπόρρητον, ἀποδυσάμενος ἂν αὐτὸν, ἐπὶ πῦρ ἔθηκα. Εὐμένης δὲ ἀκούσας ἐπέρχεσθαι Κρατερὸν, οὐδενὶ τῶν φίλων ἔφρασεν, ἀλλ' ἐψεύσατο Νεοπτόλεμον εἶναι. τοῦτον γὰρ οἱ στρατιῶται κατεφρόνουν, ἐκείνου δὲ καὶ τὴν δόξαν ἐθαύμαζον, καὶ

τὴν ἀρετὴν ἠγάπων, ἔγνω δὲ οὐδεὶς ἄλλος, ἀλλὰ συμβαλόντες, ἐκράτησαν καὶ ἀπέκτειναν αὐτὸν, ἀγνοοῦντες, καὶ νεκρὸν ἐπέγνωσαν. οὕτως ἐστρατήγησεν ἡ σιωπὴ τὴν αἰτίαν· καὶ τηλικοῦτον ἀνταγωνιστὴν ἀπέκρυψεν. ὥστε τοὺς φίλους αὐτὸν μὴ προειπόντα, θαυμάζειν μᾶλλον, ἢ μέμφεσθαι. κἂν μέμφηται δέ τις ἐγκαλεῖσθαι, βέλτιόν ἐστι σωθέντα δι' ἀπιστίαν, ἢ κατηγορεῖν ἀπολλύμενον διὰ τὸ πιστεῦσαι. τίς δὲ ἄλλος ἑαυτῷ παῤῥησίαν ἀπολέλοιπε κατὰ τοῦ μὴ σιωπήσαντος; εἰ γὰρ ἀγνοεῖσθαι τὸν λόγον ἔδει, κακῶς ἐλέχθη πρὸς ἄλλον. εἰ δ' ἀφεὶς ἐκ σαυτοῦ κατέχεις ἐν ἑτέρῳ τὸ ἀπόῤῥητον, εἰς ἀλλοτρίαν πίστιν καταπέφευγας, τὴν σαυτοῦ προέμενος. κἂν μὲν ὅμοιός σοι γένηται, δικαίως ἀπόλωλας. ἂν δὲ βελτίων, σώζῃ παραλόγως, ἕτερον εὑρὼν ἑαυτοῦ πιστότερον. ἀλλὰ φίλος οὗτός ἐστιν ἐμοί. τούτῳ δὲ ἕτερος, ᾧ πιστεύσει οὗτος, ὡς ἐγὼ τούτῳ. κἀκεῖνος ἄλλῳ πάλιν. εἶτα οὕτως ἐπιγονὴν λαμβάνει καὶ πολλαπλασιασμόν, εἱρομένης τῆς ἀκρασίας ὁ λόγος. ὥσπερ γὰρ ἡ μονὰς οὐκ ἐκβαίνει τὸν ἑαυτῆς ὅρον, ἀλλ' ἅπαξ τὸ ἓν μένει· διὸ κέκληται μονάς· ἡ δὲ δυὰς ἀρχὴ διαφορᾶς ἀορίστου· εὐθὺς γὰρ ἑαυτὴν ἐξίστησι τῷ διπλασιασμῷ εἰς τὸ πλῆθος φερομένη, οὕτω λόγος ἐν τῷ πρώτῳ καταμένων, ἀπόῤῥητος ὡς ἀληθῶς ἐστιν· ἂν δ' εἰς ἕτερον ἐκβῇ, φήμης ἔσχε τάξιν. ἔπεα γὰρ πτερόεντά φησιν ὁ ποιητής. οὔτε τὸ πτηνὸν ἐκ τῶν χειρῶν ἀφέντα ῥᾴδιόν ἐστιν αὖθις καταχεῖν, οὔτε λόγον ἐκ τοῦ στόματος προέμενον, κρατῆσαι καὶ συλλαβεῖν δυνατὸν, ἀλλὰ φέρεται λαιψηρὰ κυκλώσας πτερὰ, δι' ἄλλων ἐπ' ἄλλους σκιδνάμενος. νεὼς μὲν γὰρ ἁρπαγείσης ὑπὸ πνεύματος, ἐπιλαμβάνονται σπείραις καὶ ἀγκύραις τὸ τάχος ἀμβλύνοντες· τοῦ λόγου δὲ, ὥσπερ ἐκ λιμένων ἐκδραμόντος, οὐκ ἔστιν ὅρμος, οὐδ' ἀγκυροβόλιον· ἀλλὰ ψόφῳ πολλῷ καὶ ἤχῳ φερόμενος, προσέῤῥηξε καὶ κατέδυσεν εἰς μέγαν καὶ δεινόν τινα τὸν φθεγξάμενον κίνδυνον. μικροῦ γ' ἐκ λαμπτῆρος Ἰδαῖον λέπας πρήσειεν ἄν τις, καὶ πρὸς ἀνδρὸς ἓν εἰπόντ' ἂν πύθοιντ' ἂν ἀστοὶ πάντες. ἡ ῥωμαίων σύγκλητος, ἀπόῤῥητόν τινα βουλὴν ἐβουλεύετο καθ' αὐτὴν ἐπὶ πολλὰς ἡμέρας. ἀσάφειαν δὲ πολλὴν καὶ ὑπόνοιαν ἔχοντος τοῦ πράγματος, γυνὴ τἄλλα σώφρων, γυνὴ δὲ, προσέκειτο τῷ ἑαυτῆς ἀνδρὶ, λιπαρῶς δεομένη πυθέσθαι τὸ ἀπόῤῥητον, ὅρκοι δὲ καὶ κατάραι περὶ σιωπῆς ἐγίγνοντο καὶ δάκρυα ποτνιωμένης αὐτῆς, ὡς πίστιν οὐκ ἐχούσης. ὁ δὲ ῥωμαῖος ἐξελέγξαι βουλόμενος αὐτῆς τὴν ἀβελτηρίαν, νικᾷς ὦ γύναι εἶπεν, ἀλλ' ἄκουε φοβερὸν πρᾶγμα καὶ τεράστιον. προσήγγελται γὰρ ἡμῖν ὑπὸ τῶν ἱερέων, κόρυδον ὦφθαι πετόμενον, κράνος ἔχοντα χρυσοῦν καὶ δόρυ, σκεπτόμεθα δὴ τὸ τέρας, εἴτε χρηστὸν, εἴτε φαῦλόν ἐστι, καὶ συνδιαπορούμεθα τοῖς μάντεσιν, ἀλλὰ σιώπα. ταῦτα εἰπὼν, ᾤχετο εἰς τὴν ἀγοράν. ἡ δὲ τῶν θεραπαινίδων εὐθὺς ἐφελκυσαμένη τὴν πρώτην εἰσελθοῦσαν, ἔτυπτε τὸ στῆθος αὐτῆς, καὶ τὰς τρίχας ἐσπάραττεν, οἴμοι λέγουσα τοῦ ἀνδρὸς καὶ τῆς πατρίδος, τί πεισόμεθα, βουλομένη καὶ διδάσκουσα τὴν θεράπαιναν εἰπεῖν, τί γὰρ γέγονεν. ὡς δ' οὖν πυθομένης διηγήσατο, καὶ προσέθηκε τὸ κοινὸν ἁπάσης ἀδολεσχίας ἐπῳδὸν, τὸ, ταῦτα μηδενὶ φράσῃς, ἀλλὰ σιώπα, οὐ φθάνει τὸ θεραπαινίδιον ἀποχωρῆσαν αὐτῆς, καὶ τῶν ὁμοδούλων εὐθὺς ἣν μάλιστα εἶδε σχολάζουσαν, ἐμβάλλει τὸν λόγον. ἐκείνη δὲ τῷ ἐραστῇ παραγενομένῳ πρὸς αὐτὴν, ἔφρασεν. οὕτω δ' εἰς ἀγορὰν τοῦ διηγήματος ἐκκυλισθέντος, ὥστε προσδραμεῖν τὸν πλασάμενον τὴν φήμην. ἀπαντήσας τις αὐτῷ τῶν γνωρίμων, ἀρτίως εἶπεν οἴκοθεν εἰς ἀγορὰν καταβαίνεις; ἀρτίως ἔφη ἐκεῖνος. οὐκοῦν οὐδὲν ἀκήκοας; γέγονε γάρ τι καινὸν ἄλλο; κόρυδος ὦπται πετόμενος, κράνος ἔχων χρυσοῦν καὶ δόρυ, καὶ μέλλουσι περὶ τούτου σύγκλητον ἔχειν οἱ ἄρ-

χοντες

χοντες. κἀκεῖνος γελάσας, εὖ τοῦ τάχους εἶπεν ὦ γύναι, τὸ καὶ φθάσαι με τὸν λόγον εἰς ἀγορὰν προϊόντα. τοῖς μὲν οὖν ἄρχουσιν ἐντυχὼν, ἀπήλλαξε τῆς ταραχῆς. τὴν δὲ γυναῖκα τιμωρούμενος, ὡς οἴκαδε εἰσῆλθεν, ἀπώλεσάς με εἶπεν ὦ γύναι· τὸ γὰρ ἀπόῤῥητον ἐκ τῆς ἐμῆς οἰκίας πεφωραται δεδημοσιευμένον, ὥστε μοι φευκτέον ἐστὶ τὴν πατρίδα, διὰ τὴν σὴν ἀκρασίαν. ἐξαρνουμένης δὲ πρὸς ἄρνησιν αὐτῆς, καὶ λεγούσης, οὐ γὰρ ταῦτα μετὰ τριακοσίων ἤκουσας; ποίων ἔφη τριακοσίων, σοῦ βιαζομένης, ἐπλασάμην ἀποπειρώμενος. οὗτος μὲν οὖν ἀσφαλῶς πάνυ καὶ μετ' εὐλαβείας, ὥσπερ εἰς ἀγγεῖον σαθρὸν, οὐκ οἶνον, οὐκ ἔλαιον, ἀλλ' ὕδωρ ἐγχέας, ἐπείρασε τὴν γυναῖκα. φούλβιος δὲ ὁ καίσαρος ἑταῖρος τοῦ σεβαστοῦ γέροντος ἤδη γεγονότος, ἀκούσας ὀδυρομένου τὴν περὶ τὸν οἶκον ἐρημίαν, καὶ ὅτι τῶν μὲν δυεῖν θυγατριδῶν αὐτοῦ ἀπολωλότων, ποστουμίου δὲ ὃς ἔτι λοιπός ἐστιν, ἐκ διαβολῆς τινος ἐν φυγῇ ὄντος, ἀναγκάζεται τὸν τῆς γυναικὸς υἱὸν ἐπεισάγειν τῇ διαδοχῇ τῆς ἡγεμονίας· καίπερ οἰκτείρων καὶ βουλευόμενος ἐκ τῆς ὑπερορίας ἀνακαλεῖσθαι τὸν θυγατριδοῦν. ταῦτα ὁ φούλβιος ἀκούσας, ἐξήνεγκε πρὸς τὴν ἑαυτοῦ γυναῖκα, πρὸς δὲ λιβίαν ἐκείνη. λιβία δὲ, καθήψατο πικρῶς καίσαρος, εἰ πάλαι ταῦτα ἐγνωκὼς, οὐ μεταπέμπεται τὸν θυγατριδοῦν, ἀλλ' εἰς ἔχθραν καὶ πόλεμον αὐτὴν τῷ διαδόχῳ τῆς ἀρχῆς καθίστησιν. ἐλθόντος οὖν ἕωθεν, ὡς εἰώθει τοῦ φουλβίου πρὸς αὐτὸν, καὶ εἰπόντος χαῖρε καῖσαρ, ὑγίαινε, εἶπε φούλβιε. κἀκεῖνος νοήσας, ᾤχετο εὐθὺς ἀπιὼν οἴκαδε, καὶ τὴν γυναῖκα μεταπεμψάμενος, ἔγνωκεν ἔφη καῖσαρ, ὅτι τὸ ἀπόῤῥητον οὐκ ἐσιώπησα, καὶ διὰ τοῦτο, μέλλω ἀναιρεῖν ἐμαυτόν. ἡ δὲ γυνὴ, δικαίως εἶπεν, ὅτι μοι τοσοῦτον συνοικῶν χρόνον, οὐκ ἔγνως, οὐδ' ἐφυλάξω τὴν ἀκρασίαν, ἀλλ' ἔασον ἐμὲ προτέραν, καὶ λαβοῦσα τὸ ξίφος, ἑαυτὴν προανεῖλε τοῦ ἀνδρός. ὀρθῶς οὖν φιλιππίδης ὁ κωμῳδοποιὸς φιλοφρονουμένου τοῦ βασιλέως αὐτὸν λυσιμάχου πρὸς ἑαυτὸν καὶ λέγοντος, τίνος σοι μεταδῶ τῶν ἐμῶν, οὗ βούλει φησὶ βασιλεῦ, πλὴν τῶν ἀποῤῥήτων. τῇ δὲ ἀδολεσχίᾳ, καὶ ἡ περιεργία κακὸν οὐκ ἔλαττον πρόσεστι. πολλὰ γὰρ ἀκούειν θέλουσιν, ἵνα πολλὰ λέγωσι. καὶ μάλιστα τοὺς ἀποῤῥήτους καὶ κεκρυμμένους τῶν λόγων περιιόντες, ἐξιχνεύουσι καὶ ἀνερευνῶσιν, ὥσπερ ὕλην παλαιάν τινα φορτίων τῇ φλυαρίᾳ παρατιθέμενοι. εἶτα ὥσπερ οἱ παῖδες τὸν κρύσταλλον οὔτε κατέχειν οὔτε ἀφεῖναι θέλουσι. μᾶλλον δὲ ὥσπερ ἑρπετὰ τοὺς ἀποῤῥήτους λόγους ἐγκολπισάμενοι καὶ συλλαβόντες, οὐ συγκρατοῦσιν, ἀλλὰ διαβιβρώσκονται ὑπ' αὐτῶν. τὰς μὲν γὰρ βελόνας φασὶ, ῥήγνυσθαι τικτούσας καὶ τὰς ἐχίδνας, οἱ δ' ἀπόῤῥητοι λόγοι τοὺς μὴ στέγοντας, ἐκπίπτοντες ἀπολλύουσι καὶ διαφθείρουσι. σέλευκος ὁ καλλίνικος, ἐν τῇ πρὸς γαλάτας μάχῃ πᾶν ἀποβαλὼν τὸ στράτευμα καὶ τὴν δύναμιν, αὐτοῦ δὲ περισπάσας τὸ διάδημα καὶ φυγὼν ἵππῳ μετὰ τριῶν ἢ τεττάρων ἀνοδίαις καὶ πλάναις πολὺν δρόμον, ἤδη δι' ἔνδειαν ἀπαγορεύων, ἐπαυλίῳ τινὶ προσῆλθε, καὶ τὸν δεσπότην αὐτὸν εὑρὼν κατὰ τύχην, ἄρτον καὶ ὕδωρ ᾔτησεν. ὁ δὲ καὶ ταῦτα καὶ τῶν ἄλλων ὅσα παρῆν ἐν τῷ ἀγρῷ δαψιλῶς ἐπιδιδοὺς καὶ φιλοφρονούμενος, ἐγνώρισε τὸ πρόσωπον τοῦ βασιλέως, καὶ περιχαρὴς γενόμενος τῇ συντυχίᾳ τῆς χρείας, οὐ κατέσχεν, οὐδὲ συνεψεύσατο βουλομένῳ λανθάνειν, ἀλλ' ἄχρι τῆς ὁδοῦ προπέμψας καὶ ἀπολυόμενος, ὑγίαινε εἶπεν ὦ βασιλεῦ σέλευκε. κἀκεῖνος ἐκτείνας τὴν δεξιὰν αὐτῷ καὶ προσελκόμενος ὡς φιλήσων, ἔνευσεν ἑνὶ τῶν μετ' αὐτοῦ, ξίφει τὸν τράχηλον ἀποκόψαι τοῦ ἀνθρώπου. φθεγξαμένου δ' ἄρα τοῦ γε, κάρη κονίῃσιν ἐμίχθη. εἰ δὲ ἐσίγησε τότε καρτερήσας ὀλίγον χρόνον, εὐτυχήσαντος ὕστερον τοῦ βασιλέως, καὶ μεγάλου γενομένου, μείζονας ἂν οἶμαι χάριτας ἐκομίσατο τῆς σιωπῆς, ἢ τῆς

φιλοξενίας. οὗτος μὲν οὖν ἁμωσγέπως ἔχει πρόφασιν τῆς ἀκρασίας, τὴν ἐλπίδα καὶ τὴν φιλοφροσύνην. οἱ δὲ πλεῖστοι τῶν ἀδολέσχων, οὐδὲ αἰτίαν ἔχοντες, ἀπολλύουσιν αὑτούς, οἷον ἐν κουρείῳ τινὶ λόγων γινομένων περὶ τῆς Διονυσίου τυραννίδος, ὡς ἀδαμαντίνη καὶ ἄρρηκτός ἐστι, γελάσας ὁ κουρεύς, ταῦτα ὑμᾶς ἔφη περὶ Διονυσίου λέγειν, οὗ ἐγὼ παρ' ἡμέρας ὀλίγας ἐπάνω τοῦ τραχήλου τὸ ξυρὸν ἔχω; ταῦτα ἀκούσας ὁ Διονύσιος, ἀνεσταύρωσεν αὐτόν. εἰκότως δὲ λάλον ἐστὶ τὸ τῶν κουρέων γένος. οἱ γὰρ ἀδολεσχότατοι προσρέουσι καὶ προσκαθίζουσιν, ὥστε αὐτοὺς ἀναπίμπλασθαι τῆς συνηθείας. χαριέντως γοῦν ὁ βασιλεὺς Ἀρχέλαος ἀδολέσχου κουρέως περιβαλόντος αὐτῷ τὸ ὠμόλινον, καὶ πυθομένου πῶς σε κείρω βασιλεῦ, σιωπῶν ἔφη. κουρεὺς δὲ καὶ τὴν ἐν Σικελίᾳ τῶν Ἀθηναίων μεγάλην κακοπραγίαν ἀπήγγειλε, πρῶτος ἐν Πειραιεῖ πυθόμενος οἰκέτου τινὸς τῶν ἀποδεδρακότων ἐκεῖθεν, εἶτα ἀφεὶς τὸ ἐργαστήριον, εἰς ἄστυ συνέτεινε δρόμῳ, μή τις κῦδος ἄροιτο, τὸν λόγον εἰς τὴν πόλιν ἐμβαλών, ὁ δὲ δεύτερος ἔλθοι. γενομένης δὲ ταραχῆς, ὡς εἰκός, εἰς ἐκκλησίαν ἀθροισθεὶς ὁ δῆμος, τὴν ἀρχὴν ἐβασάνιζε τῆς φήμης, ἤγετο οὖν ὁ κουρεὺς καὶ ἀνεκρίνετο, μὴ δὲ τοὔνομα τοῦ φράσαντος εἰδώς, ἀλλ' εἰς ἀνώνυμον καὶ ἄγνωστον ἀναφέρων τὴν ἀρχὴν πρόσωπον, ὀργὴ καὶ βοὴ τοῦ θεάτρου, βασάνιζε καὶ στρέβλου τὸν ἀλάστορα. πέπλασται ταῦτα καὶ συντέθειται, τίς δὲ ἄλλος ἤκουσε. τίς δὲ ἐπίστευσεν, ἐκομίσθη τροχός, κατετάθη ὁ ἄνθρωπος. ἐν τούτῳ παρῆσαν οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες, ἐξ αὐτοῦ τοῦ ἔργου διαπεφευγότες, ἐσκεδάσθησαν οὖν πάντες, ἐπὶ τὰ οἰκεῖα πένθη, καταλιπόντες ἐν τῷ τροχῷ τὸν ἄθλιον ἐνδεδεμένον. ὀψὲ δὲ λυθεὶς ἤδη πρὸς ἑσπέραν, ἠρώτα τὸν δημόσιον, εἰ καὶ περὶ Νικίου τοῦ στρατηγοῦ ὃν τρόπον ἀπόλωλεν ἀκηκόασιν. οὕτως ἄμαχόν τι κακὸν καὶ ἀνουθέτητον ἡ συνήθεια ποιεῖ τὴν ἀδολεσχίαν. καίτοι γε ὥσπερ οἱ τὰ πικρὰ καὶ δυσώδη φάρμακα πιόντες δυσχεραίνουσι καὶ τὰς κύλικας, οὕτως οἱ τὰ κακὰ προσαγγέλλοντες, ὑπὸ τῶν ἀκουόντων δυσχεραίνονται καὶ μισοῦνται. καίτοι γε χαριέντως ὁ Σοφοκλῆς διηπόρηκεν.

» ἐν τοῖσιν ὠσίν, ἢ 'πὶ τῇ ψυχῇ δάκνῃ, τί δὲ ῥυθμί-
» ζεις τὴν ἐμὴν λύπην, ὅπη; ὁ δρῶν σ' ἀνιᾷ τὰς φρένας, τὰ δ' ὦτ' ἐγώ.

λυποῦσι δ' οὖν ὥσπερ οἱ δρῶντες, καὶ οἱ λέγοντες, ἀλλ' ὅμως οὐκ ἔστι γλώσσης ῥεούσης ἐπίσχεσις, οὐδὲ κολασμός. ἐν Λακεδαίμονι τῆς Χαλκιοίκου τὸ ἱερὸν ὤφθη σεσυλημένον. καὶ κειμένη ἔνδον κενὴ λάγυνος. ἦν οὖν ἀπορία πολλῶν συνδεδραμηκότων, καί τις τῶν παρόντων, εἰ βούλεσθε εἶπεν ἐγὼ φράσω ὑμῖν, ὅ μοι παρίσταται περὶ τῆς λαγύνου. νομίζω γὰρ ἔφη τοὺς ἱεροσύλους, ἐπὶ τηλικοῦτον ἐλθεῖν κίνδυνον, κώνειον ἐμπιόντας, καὶ κομίζοντας οἶνον. ἵνα εἰ μὲν αὐτοῖς λαθεῖν ἐγγένοιτο, τῷ ἀκράτῳ ποθέντι σβέσαντες καὶ διαλύσαντες τὸ φάρμακον, ἀπέλθοιεν ἀσφαλῶς, εἰ δ' ἁλίσκοιντο, πρὸ τῶν βασάνων ὑπὸ τοῦ φαρμάκου ῥᾳδίως καὶ ἀνωδύνως ἀποθάνοιεν. ταῦτα εἰπόντος αὐτοῦ, τὸ πρᾶγμα πλοκὴν ἔχον καὶ περινόησιν τοσαύτην, οὐχ ὑπονοοῦντος, ἀλλ' εἰδότος ἐφαίνετο, καὶ περιστάντες αὐτόν, ἀνέκριναν ἀλλαχόθεν ἄλλος. τίς εἶ καὶ τίς σε οἶδε, καὶ πόθεν ἐπίστασαι ταῦτα. καὶ τὸ πέρας ἐλεγχόμενος οὕτως, ὡμολόγησεν εἷς εἶναι τῶν ἱεροσύλων. οἱ δὲ Ἴβυκον ἀποκτείναντες οὐχ οὕτως ἑάλωσαν ἐν θεάτρῳ καθήμενοι; καὶ γεράνων παραφανεισῶν, ἅμα γέλωτι πρὸς ἀλλήλους ψιθυρίζοντες, ὡς αἱ Ἰβύκου ἔκδικοι πάρεισιν. ἀκούσαντες οἱ καθεζόμενοι πλησίον, ἤδη πολὺν χρόνον τοῦ Ἰβύκου ὄντος ἀφανοῦς καὶ ζητουμένου, ἐπελάβοντο τῆς φωνῆς, καὶ προσήγγειλαν τοῖς ἄρχουσιν. ἐλεγχθέντες δέ, οὕτως ἀπήχθησαν, οὐχ ὑπὸ τῶν γεράνων κολασθέντες, ἀλλ' ὑπὸ τῆς αὐτῶν γλωσσαλγίας, ὥσπερ Ἐρινύος

ἢ ποινῆς

ἢ ποινῆς βιασθέντες ἐξαγορεῦσαι τὸν φόνον. ὡς γὰρ ἐν τῷ σώματι πρὸς τὰ πεπονθότα μέρη καὶ ἀλγοῦντα, γίνεται φορὰ καὶ ὁλκὴ τῶν πλησίον, οὕτως ἡ γλῶττα τῶν ἀδολέσχων, ἀεὶ φλεγμονὴν ἔχουσα καὶ σφυγμόν, ἕλκει τι καὶ συνάγει τῶν ἀπορρήτων καὶ κεκρυμμένων ἐφ' ἑαυτήν. διὸ δεῖ πεφράχθαι καὶ τὸν λογισμὸν ὡς πρόβολον, ἐμποδὼν ἀεὶ τῇ γλώττῃ κείμενον, ἐπισχεῖν τὸ ῥεῦμα, καὶ τὸν ὄλισθον αὐτῆς. ἵνα μὴ τῶν χηνῶν ἀφρονέστεροι εἶναι δοκῶμεν, οὕς φασιν ὅταν ὑπερβάλλωσιν ἐκ Κιλικίας τὸν Ταῦρον ἀετῶν ὄντα μεστόν, εἰς τὸ στόμα λαμβάνειν εὐμεγέθη λίθον. ὥσπερ κλεῖθρον ἢ χαλινὸν ἐμβαλόντας τῇ φωνῇ, καὶ νυκτὸς οὕτως ὑπερφέρεσθαι λανθάνοντας. εἰ τοίνυν ἔροιτό τις τὸν κάκιστον ὅστις ἐστὶ καὶ τὸν ἐξωλέστατον, οὐδεὶς ἂν ἄλλον εἴποι, ἢ τὸν προδότην παρελθών. Εὐθυκράτης μὲν οὖν, ἤρεψε τὴν οἰκίαν τοῖς ἐκ Μακεδονίας ξύλοις, ὥς φησι Δημοσθένης. Φιλοκράτης δὲ χρυσίον πολὺ λαβών, πόρνας καὶ ἰχθῦς ἠγόραζεν. Εὐφόρβῳ δὲ καὶ Φιλάγρῳ τοῖς Ἐρέτριαν προδοῦσι, χώραν ὁ βασιλεὺς ἔδωκεν. ὁ δὲ ἀδόλεσχος ἄμισθός ἐστι προδότης, καὶ αὐτεπάγγελτος, οὐχ ἵππους οὐδὲ τείχη προδιδούς, ἀλλὰ λόγους ἐκφέρων ἀπορρήτους, ἐν δίκαις, ἐν στάσεσιν, ἐν διαπολιτείαις μηδενὸς αὐτῷ χάριν ἔχοντος. ἀλλ' ἂν αὐτὸς ἀκούηται προσοφείλων χάριν. ὥστε τὸ λελεγμένον πρὸς τὸν εἰκῇ καὶ ἀφειδῶς ἐκχέοντα τὰ ἑαυτοῦ καὶ καταχαριζόμενον,

» οὐ φιλάνθρωπος σύ γ' ἐσσί, ἔχεις νόσον, χαίρεις διδούς, ἐναρμόττει καὶ
» πρὸς τὸν φλύαρον. οὐ φίλος εἶ σὺ ταῦτα μηνύων, οὐδ' εὔνους, ἔχεις νόσον, χαίρεις
» λαλῶν καὶ φλυαρῶν.

ταῦτα δὲ οὐ κατηγορίαν ἡγητέον, ἀλλ' ἰατρείαν τῆς ἀδολεσχίας. τῶν γὰρ παθῶν κρίσει καὶ ἀσκήσει περιγινόμεθα. πρότερον δέ, ἡ κρίσις ἐστίν. οὐδεὶς γοῦν ἐθίζεται φεύγειν καὶ ἀποτρίβεσθαι τῆς ψυχῆς, ὃ μὴ δυσχεραίνει. δυσχεραίνομεν δὲ τὰ πάθη, ὅταν τὰς βλάβας καὶ τὰς αἰσχύνας τὰς ἀπ' αὐτῶν τῷ λόγῳ κατανοήσωμεν. ὥσπερ νῦν κατανοοῦμεν ἐπὶ τῶν ἀδολέσχων. ὅτι φιλεῖσθαι βουλόμενοι, μισοῦνται. χαρίζεσθαι θέλοντες, ἐνοχλοῦσι. θαυμάζεσθαι δοκοῦντες, καταγελῶνται. κερδαίνοντες, οὐδὲν ἀναλίσκουσιν. ἀδικοῦσι τοὺς φίλους, ὠφελοῦσι τοὺς ἐχθρούς, ἑαυτοὺς ἀπολλύουσιν. ὥστε τοῦτο πρῶτον ἴαμα καὶ φάρμακόν ἐστι τοῦ πάθους, ὁ τῶν ἀπ' αὐτοῦ γινομένων αἰσχρῶν καὶ ὀδυνηρῶν ἐπιλογισμός. δευτέρῳ δὲ χρηστέον ἐπιλογισμῷ, τῷ τῶν ἐναντίων, ἀκούοντας ἀεὶ καὶ μεμνημένους, καὶ πρόχειρα ἔχοντας τὰ τῆς ἐχεμυθίας ἐγκώμια, καὶ τὸ σεμνόν, καὶ τὸ ἅγιον, καὶ τὸ μυστηριῶδες τῆς σιωπῆς, καὶ ὅτι θαυμάζονται μᾶλλον καὶ ἀγαπῶνται, καὶ σοφώτεροι δοκοῦσι τῶν ἐξηνίων τούτων καὶ φερομένων, οἱ στρογγύλοι καὶ βραχυλόγοι, καὶ ὧν πολὺς νοῦς ἐν ὀλίγῃ λέξει συνέσταλται. καὶ γοῦν Πλάτων τοὺς τοιούτους ἐπαινεῖ, δεινοῖς ἀκοντισταῖς ἐοικέναι λέγων, οὖλα καὶ πυκνὰ καὶ συνεστραμμένα φθεγγομένους. καὶ ὁ Λυκοῦργος εἰς ταύτην τὴν δεινότητα τοὺς πολίτας εὐθὺς ἐκ παίδων τῇ σιωπῇ πιέζων, συνῆγε καὶ κατεπύκνου. καθάπερ γὰρ οἱ Κελτίβηρες ἐκ τοῦ σιδήρου τὸ στόμωμα ποιοῦσιν, ὅταν κατορύξαντες εἰς τὴν γῆν τὸ πολὺ καὶ τὸ γεῶδες ἀποκαθάρωσιν, οὕτως ὁ Λακωνικὸς λόγος οὐκ ἔχει φλοιόν. ἀλλ' εἰς αὐτὸ τὸ δραστήριον ἀφαιρέσει τοῦ περιττοῦ διωκόμενος στομοῦται. τὸ γὰρ ἀποφθεγματικὸν αὐτοῖς τοῦτο, καὶ τὸ μετ' εὐστροφίας ὀξὺ πρὸς τὰς ἀπαντήσεις, ἐκ τῆς πολλῆς περιγίνεται σιωπῆς. καὶ δεῖ τὰ τοιαῦτα μάλιστα τοῖς ἀδολέσχοις προσβάλλειν, ὅσην χάριν ἔχει καὶ δύναμιν. οἷόν ἐστι τὸ Λακεδαιμόνιοι Φιλίππῳ. Διονύσιος ἐν Κορίνθῳ. καὶ πάλιν γράψαντος αὐτοῖς τοῦ Φιλίππου, ἂν ἐμβάλλω εἰς τὴν Λακωνικὴν ἀναστάτους ὑμᾶς ποιήσω, ἀντέγραψαν, αἴκα. Δημητρίου δὲ τοῦ βασιλέως ἀγανακτοῦντος καὶ βοῶντος. ἕνα πρὸς ἐμὲ Λακεδαιμόνιοι πρεσβευτὴν ἔπεμψαν, οὐ καταπλαγεὶς

ὁ πρεσβύτης, ἀλλ' εἶπε, ποτὶ τίνα. θαυμάζονται δὲ καὶ τῶν παλαιῶν οἱ βραχυλόγοι· καὶ τῷ ἱερῷ τοῦ πυθίου ἀπόλλωνος, οὐ τὴν ἰλιάδα καὶ τὴν ὀδύσσειαν, οὐδὲ τοὺς πινδάρου παιᾶνας ἐπέγραψαν, οἱ ἀμφικτύονες· ἀλλὰ τὸ γνῶθι σαυτὸν· καὶ τὸ μηδὲν ἄγαν· καὶ τὸ ἐγγύα πάρα δ' ἄτα· θαυμάσαντες τῆς λέξεως τὸ εὐσταλὲς καὶ τὸ λιτὸν, ἐν βραχεῖ σφυρήλατον νοῦν περιεχούσης. αὐτὸς δὲ ὁ θεὸς οὐ φιλοσύντομός ἐστι καὶ βραχυλόγος ἐν τοῖς χρησμοῖς; καὶ λοξίας καλεῖται διὰ τὸ φεύγειν τὴν ἀδολεσχίαν μᾶλλον, ἢ τὴν ἀσάφειαν. οἱ δὲ συμβολικῶς ἄνευ φωνῆς ἃ δεῖ φράζοντες οὐκ ἐπαινοῦνται, καὶ θαυμάζονται διαφερόντως; ὡς ἡράκλειτος, ἀξιούντων αὐτὸν τῶν πολιτῶν γνώμην τινὰ εἰπεῖν περὶ ὁμονοίας, ἀναβὰς ἐπὶ τὸ βῆμα, καὶ λαβὼν ψυχροῦ κύλικα, καὶ τῶν ἀλφίτων ἐπιπάσας, καὶ τῷ γλήχωνι κινήσας, ἐκπιὼν ἀπῆλθεν, ἐνδειξάμενος αὐτοῖς, ὅτι τὸ τοῖς τυχοῦσιν ἀρκεῖσθαι, καὶ μὴ δεῖσθαι τῶν πολυτελῶν, ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατηρεῖ τὰς πόλεις. σκίλουρος δὲ καταλιπὼν ὀγδοήκοντα παῖδας ὁ σκυθῶν βασιλεὺς, ἤτησε δέσμην ἀκοντίων ὅτ' ἀπέθνησκε· καὶ λαβόντας, ἐκέλευσε κατακλάσαι καὶ κατάξαι συνδεδεμένην καὶ ἀθρόαν· ὡς δ' ἀπεῖπον, αὐτὸς ἕλκων ἓν καθ' ἓν, πάντα ῥᾳδίως διέκλασε, τὴν συμφωνίαν αὐτῶν καὶ τὴν ὁμόνοιαν ἰσχυρὸν ἀποφαίνων, καὶ δυσκαθαίρετον, ἀσθενὲς δὲ τὴν διάλυσιν καὶ οὐ μόνιμον.

εἰ δὴ ταῦτα καὶ τὰ τοιαῦτα συνεχῶς τις ἐπίοι καὶ ἀναλαμβάνοι, παύσαιτ' ἂν ἴσως, ἡδόμενος τῷ φλυαρεῖν. ἐμὲ δὲ κἀκεῖνος ὁ οἰκέτης, οὐ μάλα δυσωπεῖ, τὸ προσέχειν τῷ λόγῳ, καὶ κρατεῖν προαιρέσεως, ἡλίκον ἐστὶν ἐνθυμούμενον. πούπιος πείσων ὁ ῥήτωρ, μὴ βουλόμενος ἐνοχλεῖσθαι, προσέταξε τοῖς οἰκέταις πρὸς τὰ ἐρωτώμενα λαλεῖν, καὶ μηδὲν πλέον. εἶτα κλώδιον ἄρχοντα δεξιώσασθαι βουλόμενος, ἐκέλευσε κληθῆναι, καὶ παρεσκευάσατο λαμπρὰν ὡς εἰκὸς ἑστίασιν. ἐνστάσης δὲ τῆς ὥρας, οἱ μὲν ἄλλοι παρῆσαν· ὁ δὲ κλώδιος προσεδοκᾶτο· καὶ πολλάκις ἔπεμψε τὸν εἰωθότα καλεῖν οἰκέτην, ἐπισκεψόμενον εἰ πρόσεισιν. ὡς δ' ἦν ἑσπέρα καὶ ἀπέγνωστο, τί δὲ ἔφη πρὸς τὸν οἰκέτην, ἐκάλεσας αὐτόν; ἔγωγε εἶπε. διατί οὖν οὐκ ἀφῖκται; κἀκεῖνος, ὅτι ἠρνήσατο. πῶς οὖν οὐκ εὐθὺς ἔφρασας; ὅτι τοῦτό με οὐκ ἠρώτησας. οὗτος μὲν ῥωμαϊκὸς οἰκέτης· ὁ δ' ἀττικὸς ἐρεῖ τῷ δεσπότῃ σκάπτων, ἐφ' οἷς γεγόνασιν αἱ διαλύσεις. οὕτω μέγα πρὸς πάντα ὁ ἐθισμός ἐστι, καὶ περὶ τούτου γε ἤδη λέγωμεν. οὐ γάρ ἐστιν ὡς χαλινῶν ἐφαπτομένους, ἐπισχεῖν τὸν ἀδολέσχην, ἀλλ' ἔθει δεῖ κρατῆσαι τοῦ νοσήματος. πρῶτον μὲν οὖν ἐν ταῖς τῶν πέλας ἐρωτήσεσιν, αὐτὸν ἐθιζέτω σιωπᾶν, μέχρις οὗ πάντες ἀπείπωνται τὴν ἀπόκρισιν. οὐ γάρ τι βουλῆς ταὐτὸ καὶ δρόμου τέλος, ὥς φησιν ὁ σοφοκλῆς· οὐδέ γε φωνῆς καὶ ἀποκρίσεως, ἀλλ' ἐκεῖ μὲν, ἡ νίκη τοῦ φθάσαντός ἐστιν· ἐνταῦθα δὲ, ἐὰν μὲν ἱκανῶς ἕτερος ἀποκρίνηται, καλῶς ἔχει συνεπαινέσαντα καὶ συνεπιψηφίσαντα, δόξαν εὐμενοῦς ἀνθρώπου λαβεῖν· ἐὰν δὲ μὴ, τότε καὶ διδάξαι τὸ ἠγνοημένον, καὶ ἀναπληρῶσαι τὸ ἐλλεῖπον, ἀνεπίφθονον καὶ οὐκ ἄκαιρόν ἐστι. μάλιστα δὲ, φυλαττώμεθα ἑαυτοὺς, ὅπως μὴ ἑτέρου τινὸς ἐρωτηθέντος, αὐτοὶ προλαμβάνωμεν, ὑποφθάνοντες τὴν ἀπόκρισιν. ἴσως μὲν γὰρ, οὐδὲ ἄλλο τι καλῶς ἔχον ἐστὶν, αἰτηθέντος ἑτέρου, παρωσαμένους ἐκεῖνον, αὐτοὺς ἐπαγγέλλεσθαι. δόξομεν γὰρ ἅμα, καὶ τὸν ὡς παρασχεῖν ὃ αἰτεῖται μὴ δυνάμενον, κἀκεῖνον ὡς αἰτεῖν παρ' ὧν δύναται λαβεῖν, οὐκ ἐπιστάμενον ὀνειδίζειν. μάλιστα δὲ, ὕβριν φέρει περὶ τὰς ἀποκρίσεις ἡ τοιαύτη προπέτεια καὶ θρασύτης. συνεμφαίνει γὰρ ὁ φθάνων ἐν τῷ ἀποκρίνασθαι τὸν ἐρωτώμενον, τί τούτου δέῃ. καὶ τί οὗτος οἶδε, καὶ ἐμοῦ παρόντος, περὶ τούτων οὐδένα δεῖ ἄλλον ἐρωτᾶν. καίτοι πολλάκις τινὰς ἐρωτῶμεν, οὐ τοῦ λόγου δεόμενοι· φωνὴν δέ τινα καὶ φιλοφροσύ-

πλιου

ἴσως Λ. Δ.

συνεπιψηφίζοντα.

νην ἐκκαλούμενοι παρ' αὐτῶν, καὶ προσαγαγεῖν εἰς ὁμιλίαν ἐθέλοντες, ὡς σωκράτης θεαίτητον καὶ χαρμίδην. ὅμοιον οὖν τῷ τὸν ὑφ' ἑτέρου βουλόμενον φιληθῆναι, καὶ προσδραμόντα φιλεῖν αὐτὸν, ἢ τὸν ἑτέρῳ προσβλέποντα, μεταστρέφειν εἰς ἑαυτὸν, τὸ προλαμβάνειν τὰς ἀποκρίσεις, καὶ τὰ ὦτα μετάγειν, καὶ τὴν διάνοιαν ἕλκειν, καὶ ἀποστρέφειν πρὸς ἑαυτὸν· ὅπου κἂν ἀπείπηται τὸν λόγον ὁ αἰτηθεὶς, ἐπισχόντα καλῶς ἔχει, καὶ πρὸς τὸ βουλόμενον τοῦ ἐρωτῶντος, ἁρμοσάμενον ὡς ἐπίκλησιν ἀλλοτρίαν τὴν ἀπόκρισιν, αἰδημόνως καὶ κοσμίως ἀπαντᾶν. καὶ γὰρ οἱ μὲν ἐρωτηθέντες ἂν σφαλῶσιν ἐν τῷ ἀποκρίνασθαι, συγγνώμης δικαίας τυγχάνουσιν· ὁ δὲ αὐθαιρέτως ὑφιστάμενος καὶ προλαμβάνων τὸν λόγον, ἀηδὴς μὲν ἐστὶ καὶ κατορθῶν, διαμαρτάνων δὲ, παντάπασιν ἐπίχαρτος γίνεται καὶ καταγέλαστος.

δεύτερον τοίνυν ἄσκημα, πρὸς τὰς ἰδίας ἀποκρίσεις ἐστὶν, αἷς οὐχ ἥκιστα δεῖ προσέχειν τὸν ἀδολέσχην. πρῶτον μὲν, ἵνα μὴ λάθῃ τοῖς ἐπὶ γέλωτι καὶ ὕβρει προκαλουμένοις εἰς λόγους αὐτὸν, ἀποκρινόμενος μετὰ σπουδῆς. ἔνιοι γὰρ οὐδὲν δεόμενοι, διατριβῆς δὲ καὶ παιδιᾶς ἕνεκα συνθέντες τινὰς ἐρωτήσεις, προσβάλλουσι τοῖς τοιούτοις, καὶ ἀνακινοῦσιν αὐτοῖς τὸν λῆρον, ὃ δεῖ φυλάττεσθαι, καὶ μὴ ταχὺ τῷ λόγῳ, μηδ' ὡς προσχάρειν ἔχοντας ἐπιπηδᾶν, ἀλλὰ καὶ τὸν τρόπον τοῦ πυνθανομένου σκοπεῖν, καὶ τὴν χρείαν. ὅταν δὲ φαίνηται τῷ ὄντι βουλόμενος μαθεῖν, ἐθιστέον ἐφιστάναι, καὶ ποιεῖν τι διάλειμμα μεταξὺ τῆς ἐρωτήσεως καὶ τῆς ἀποκρίσεως, ἐν ᾧ προσθεῖναι μὲν ὁ ἐρωτῶν εἴ τι βούλεται δύναται· σκέψασθαι δὲ αὐτὸς, περὶ ὧν ἀποκρινεῖται, καὶ μὴ καταφέρειν, μηδὲ καταχωννύναι τὴν ἐρώτησιν, ἔτι πυνθανομένοις πολλάκις ὑπὸ σπουδῆς, ἄλλας ἀντ' ἄλλων ἀποκρίσεις διδόντας. ἡ μὲν γὰρ πυθία καὶ πρὸ ἐρωτήσεως αὐτόθεν χρησμούς εἴωθέ τινας ἐκφέρειν· ὁ γὰρ θεὸς ᾧ λατρεύει, καὶ κωφοῦ ξυνίησι, καὶ οὐ λαλεῦντος ἀκούει. τὸν δὲ βουλόμενον ἐμμελῶς ἀποκρίνασθαι, δεῖ τὴν διάνοιαν ἀναμεῖναι, καὶ τὴν προαίρεσιν ἀκριβῶς καταμαθεῖν τοῦ πυνθανομένου, μὴ γένηται τὸ κατὰ τὴν παροιμίαν. ἄμας αἰτοῦν, οἱ δὲ ἀπηρνοῦντο σκάφας. ἄλλως δὲ τὸ λάβρον τοῦτο καὶ πρὸς τοὺς λόγους ὀξύπεινον ἀνακρουστέον, ἵνα μὴ δοκῇ καθάπερ ῥεῦμα τῇ γλώττῃ πάλαι προσιστάμενον ἀσμένως ὑπὸ τῆς ἐρωτήσεως ἐξαιρεῖσθαι. καὶ γὰρ ὁ σωκράτης οὕτως ἐκόλουε τὴν δίψαν, οὐκ ἐφιεὶς ἑαυτῷ πιεῖν μετὰ γυμνάσιον, εἰ μὴ τὸν πρῶτον ἐκχέαι κάδον ἀνιμήσας, ὅπως ἐθίζηται τὸν τοῦ λόγου καιρὸν ἀναμένειν τὸ ἄλογον. ἔστι τοίνυν τρία γένη τῶν πρὸς τὰς ἐρωτήσεις ἀποκρίσεων, τὸ μὲν ἀναγκαῖον· τὸ δὲ φιλάνθρωπον· τὸ δὲ περισσόν. οἷον πυνθανομένου τινὸς, εἰ σωκράτης ἔνδον, ὁ μὲν ὥσπερ ἄκων καὶ ἀπροθύμως, ἀποκρίνεται τὸ οὐκ ἔνδον. ἐὰν δὲ βούληται λακωνίζειν, καὶ τὸ ἔνδον ἀφελὼν, αὐτὴν μόνην φθέγξεται τὴν ἀπόφασιν, ὡς ἐκεῖνοι, φιλίππου γράψαντος εἰ δέξονται τῇ πόλει αὐτὸν, εἰς χάρτην οὐ μέγα γράψαντες, ἀπέστειλαν. ὁ δὲ φιλανθρωπότερον ἀποκρίνεται· οὐκ ἔνδον, ἀλλ' ἐπὶ ταῖς τραπέζαις, κἂν βούληται προσεπιμετρῆσαι, ξένους τινὰς ἐκεῖ περιμένων. ὁ δὲ περιττὸς καὶ ἀδολέσχης, ἄν γε δὴ τύχῃ καὶ τὸν κολοφώνιον ἀνεγνωκὼς ἀντίμαχον, οὐκ ἔνδον φησὶν, ἀλλ' ἐπὶ ταῖς τραπέζαις, ξένους ἀναμένων ἴωνας, ὑπὲρ ὧν αὐτῷ γέγραφεν ἀλκιβιάδης περὶ μίλητον ὢν, καὶ παρὰ τισσαφέρνῃ διατρίβων, τῷ τοῦ μεγάλου σατράπῃ βασιλέως, ὃς πάλαι μὲν ἐβοήθει λακεδαιμονίοις, νῦν δὲ προστίθεται δι' ἀλκιβιάδην ἀθηναίοις. ὁ γὰρ ἀλκιβιάδης ἐπιθυμῶν κατελθεῖν εἰς τὴν πατρίδα, τὸν τισσαφέρνην μετατίθησι. καὶ ὅλως τὴν ὀγδόην θουκυδίδου κατατεινόμενος ἐρεῖ, καὶ κατακλύσει τὸν ἄνθρωπον, ἕως φθάσῃ καὶ μίλητος ἐκ πολεμωθεῖσα, καὶ φυγαδευθεὶς τὸ δεύτερον ἀλκιβιάδης. μάλιστα

δὲ περὶ τούτων δεῖ τὴν ἀδολεσχίαν συνέχειν, ὥσπερ εἰς ἴχνος ἐμβιβάζοντα τὴν
ἐρώτησιν, καὶ κέντρῳ καὶ διαστήματι τῇ χρείᾳ τοῦ πυνθανομένου περιγράψαντα
τὴν ἀπόκρισιν. Καρνεάδην μὲν γὰρ οὔπω μεγάλην ἔχοντα τὴν δόξαν ἐν τῷ γυ-
μνασίῳ διαλεγόμενον, πέμψας ὁ γυμνασίαρχος, ἐκέλευσεν ἀφεῖναι τὸ μέγεθος
τῆς φωνῆς· ἦν γὰρ μεγαλοφωνότατος· εἰπόντος δὲ ἐκείνου δός μοι μέτρον φωνῆς, οὐ
φαύλως ἐπέτυχε· δίδωμι τὸν προσδιαλεγόμενον. τῷ δὲ ἀποκρινομένῳ, μέ-
τρον ἔστω ἡ τοῦ ἐρωτῶντος βούλησις. καὶ μὴν ὥσπερ ὁ Σωκράτης ἐκέλευε φυ-
λάττεσθαι τῶν σιτίων, ὅσα μὴ πεινῶντας ἀναπείθει ἐσθίειν, καὶ τῶν πομάτων ὅ-
σα πίνειν μὴ διψῶντας, οὕτω χρὴ καὶ τῶν λόγων τὸν ἀδολέσχην, οἷς ἥδεται μάλι-
στα καὶ κέχρηται κατακόρως, τούτους φοβεῖσθαι, καὶ πρὸς τούτους ἐπιρρέοντας
ἀντιβαίνειν. οἷον οἱ στρατιωτικοὶ πολέμων εἰσὶ διηγηματικοί. καὶ τὸν Νέστορα ὁ
ποιητὴς τοιοῦτον εἰσάγει, τὰς αὐτοῦ πολλάκις ἀριστείας καὶ πράξεις διηγούμε-
νον. ἐπιεικῶς δὲ καὶ τοῖς περὶ δίκας εὐτυχήσασιν, ἢ παρ' ἡγεμόσι καὶ βασι-
λεῦσιν ἀπροσδοκήτως εὐημερήσασιν, ὥσπερ νόσημά τι προσπίπτει, καὶ παρακο-
λουθεῖ, τὸ μεμνῆσθαι καὶ διηγεῖσθαι πολλάκις, ὃν τρόπον εἰσῆλθον, προσήχθησαν,
ἠγωνίσαντο, διελέχθησαν, ἐξήλεγξαν ἀντιδίκους τινὰς ἢ κατηγόρους, ἐπῃνέθη-
σαν· πολλῷ γάρ ἐστιν ἡ χαρὰ τῆς κωμικῆς ἐκείνης ἀγρυπνίας λαλιστέρα, ἀναρ-
ριπίζουσα πολλάκις ἑαυτὴν, καὶ πρόσφατον ποιοῦσα τοῖς διηγήμασιν. ὅθεν ὀλι-
σθηροὶ πρὸς τοὺς τοιούτους τῶν λόγων εἰσὶν, ἐκ πάσης προφάσεως. οὐ γὰρ μόνον ὅ-
που τις ἀλγεῖ, κεῖθι καὶ τὴν χεῖρ' ἔχει, ἀλλὰ καὶ τὸ ἡδόμενον ἔχει τὴν φωνὴν ἐν
ἑαυτῷ, καὶ περιάγει τὴν γλῶτταν, ἐπερείδειν ἀεὶ τῇ μνήμῃ βουλόμενον. οὕτω
καὶ τοῖς ἐρωτικοῖς ἡ πλείστη διατριβὴ, περὶ λόγους μνήμην τινὰ τῶν ἐρωμέ-
νων ἀναδιδόντας. οἵ γε κἂν μὴ πρὸς ἀνθρώπους, πρὸς ἄψυχα περὶ αὐτῶν δια-
λέγονται· ὦ φιλτάτη κλίνη, καὶ Βακχὶς θεὸν σ' ἐνόμισεν εὐδαίμονα λύχνε· καὶ
τῶν θεῶν μέγιστος, ἢ ταύτῃ δοκεῖς. ἔστι μὲν οὖν ἀτεχνῶς, ἡ λευκὴ στάθμη πρὸς
τοὺς λόγους ἀδόλεσχος. οὐ μὴν ἀλλὰ μᾶλλον ἑτέρων ἑτέροις προσπεπονθώς, ὀφεί-
λει τούτους φυλάττεσθαι, καὶ ἀνέχειν ἑαυτὸν ἀπὸ τούτων καὶ ἀνακρούειν, ὡς
πορρωτάτω προαγαγεῖν καὶ ἀπομηκῦναι ἀεὶ δι' ἡδονὴν δυναμένων. τὸ δ' αὐτὸ
τοῦτο, καὶ πρὸς τοὺς λόγους ἐκείνους πεπόνθασιν ἐν οἷς κατ' ἐμπειρίαν ἢ ἕξιν τινὰ
τῶν ἄλλων διαφέρειν νομίζουσι. φίλαυτος γὰρ ὢν καὶ φιλόδοξος ὁ τοιοῦτος, νέ-
μει τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος, ἵν' αὐτὸς αὐτοῦ τυγχάνῃ κράτιστος ὤν· ἐν ἱ-
στορίαις, ὁ ἀναγνωστικός· ἐν τεχνολογίαις, ὁ γραμματικός· ἐν διηγήμασι ξενικοῖς,
ὁ πολλὴν χώραν ἐπεληλυθὼς καὶ πεπλανημένος. ὥστε καὶ ταῦτα δεῖ φυλάττε-
σθαι· δελεαζομένη γὰρ ὑπ' αὐτῶν ἡ ἀδολεσχία, καθάπερ ζῷον εἰς τὰς νομὰς συνήθεις
πρόεισι. θαυμαστὸς δὲ ὁ Κῦρος, ὅτι καὶ τὰς ἁμίλλας ἐποιεῖτο πρὸς τοὺς ἥλι-
κας, οὐκ ἐν οἷς κρείττων, ἀλλ' ἐν οἷς ἀπειρότερος ἦν ἐκείνων, εἰς ταῦτα προκαλού-
μενος, ἵνα μήτε λυπῇ παρευδοκιμῶν, καὶ μανθάνων ὠφελῆται. ὁ δὲ ἀδολέσχης
τοὐναντίον· ἂν μέν τις ἐμπέσῃ λόγος ἐξ οὗ μαθεῖν τι δύναται καὶ πυθέσθαι τῶν
ἀγνοουμένων, τοῦτον ἐξωθεῖ καὶ ἐκκρούει, μισθὸν αὐτὸ δοῦναι μικρὸν τὸ σιωπῆσαι
μὴ δυνάμενος. εἰς δὲ τοὺς ἑώλους καὶ πολυπατήτους κύκλῳ περιιὼν, ἐξελαύνει
ῥαψῳδίας τὸν λόγον, ὡς τὸν παρ' ἡμῖν τις κατὰ τύχην ἀνεγνωκὼς, δύο τῶν Ἐ-
φόρου βιβλία ἢ τρία, πάντας ἀνθρώπους κατέτριβε, καὶ πᾶν ἀνάστατον ἐποίει
συμπόσιον, ἀεὶ τὴν ἐν Λεύκτροις μάχην, καὶ τὰ συνεχῆ διηγούμενος. ὅθεν Ἐπαμει-
νώνδας παρωνύμιον ἔσχεν. οὐ μὴν ἀλλὰ τοῦτό γε τῶν κακῶν ἐλάχιστόν ἐστι, καὶ δεῖ
παρατρέπειν εἰς ταῦτα τὴν ἀδολεσχίαν· ἧττον γὰρ ἀηδὴς ἔσται τὸ λάλον ἐν τῷ
φιλολόγῳ πλεονάζον. ἐθιστέον δὲ καὶ γράφειν τι τοὺς τοιούτους, καὶ διαλέγεσθαι

κατ' ἰδίαν. ὁ μὲν γὰρ Στωϊκὸς Ἀντίπατρος ὡς ἔοικε μὴ δυνάμενος μηδὲ βουλό-
μενος ὁμόσε χωρεῖν, τῷ Καρνεάδῃ μετὰ πολλοῦ ῥεύματος εἰς τὴν Στοὰν φερομέ-
νῳ, γράφων δὲ καὶ πληρῶν τὰ βιβλία τῶν πρὸς αὐτὸν ἀντιλογιῶν, καλαμοβό-
ας ἐπεκλήθη. τὸν δὲ ἀδολέσχην, ἴσως ἂν ἡ πρὸς τὸ γράφειν σκιαμαχία καὶ βοὴ
τοῦ πλήθους ἀπερύκουσα καθ' ἡμέραν, ἐλαφρότερον παρασκευάσειε τοῖς συ-
νοῦσιν. ὥσπερ οἱ κύνες εἰς λίθους καὶ ξύλα τὸν θυμὸν ἀφέντες, ἧττον εἰσὶ χαλε-
ποὶ τοῖς ἀνθρώποις. ἁρμόσει δ' αὐτοῖς σφόδρα, καὶ τὸ μετὰ κρειττόνων ἀεὶ καὶ
πρεσβυτέρων ὁμιλεῖν· αἰσχυνόμενοι γὰρ αὐτῶν τὴν δόξαν, ἐν ἔθει γενήσονται τοῦ
σιωπᾶν. τούτοις δὲ ἀεὶ καὶ συμμεμίχθαι καὶ συμπεπλέχθαι τοῖς ἐθισμοῖς,
τὴν προσοχὴν ἐκείνην καὶ τὸν ἐπιλογισμὸν, ὅταν τι μέλλωμεν λαλεῖν, καὶ τὰ ῥή-
ματα τῷ στόματι προστρέχῃ, τίς οὗτος ὁ λόγος ὁ ἐφεστὼς καὶ καταβιαζόμενος,
ἐπὶ τί δὲ ἡ γλῶσσα ἀπαίρει, τί δ' εἰπόντι περιγίνεται καλὸν, ἢ τί σιωπήσαντι δυ-
σχερές· οὐ γὰρ ὡς βάρος τι δεῖ πιέζοντα ἀποθέσθαι τὸν λόγον, ἐπεὶ παραμένει
γε καὶ ῥηθεὶς ὁμοίως, ἀλλ' ἢ δι' αὐτοὺς ἄνθρωποι δεόμενοί τινος λαλοῦσιν, ἢ τοὺς
ἀκούοντας ὠφελοῦντες, ἢ χάριν τινὰ παρασκευάζοντες ἀλλήλοις, ὥσπερ ἁλσὶ
τοῖς λόγοις ἐφηδύνουσι τὴν διατριβὴν καὶ τὴν πρᾶξιν ἐν ᾗ τυγχάνουσιν ὄντες. εἰ δὲ
μήτε τῷ λέγοντι χρήσιμον, οὔτε ἀναγκαῖον τοῖς ἀκούουσι τὸ λεγόμενον, ἡδονή τε
καὶ χάρις οὐ πρόσεστι, διατί λέγεται; τὸ γὰρ μάτην καὶ διακενῆς, οὐχ ἧττον ἐν
τοῖς λόγοις, ἢ τοῖς ἔργοις ἐστίν. ἐπὶ πᾶσι δὲ καὶ παρὰ ταῦτα πάντα, δεῖ πρό-
χειρον ἔχειν καὶ μνημονεύειν τὸ Σιμωνίδειον· ὅτι λαλήσας μὲν, πολλάκις μετε-
νόησε, σιωπήσας δὲ, οὐδέποτε. καὶ τὴν ἄσκησιν ὅτι πάντων ἐπικρατεῖ καὶ ἰσχυ-
ρόν ἐστιν. ὅπου καὶ λυγμὸν καὶ βῆχα ἄνθρωποι τῷ προσέχειν ἀπαζόμενοι, μετὰ
πόνου καὶ ἀλγηδόνος ἐξεκρούσαντο. σιγὴ δὲ οὐ μόνον ἄδιψον ὥς φησιν Ἱπποκρά-
της, ἀλλὰ καὶ ἄλυπον καὶ ἀνώδυνον.

ΠΕΡΙ ΦΙΛΟΠΛΟΥΤΙΑΣ

Ἱππόμαχος ὁ ἀλείπτης, ἐπαινούντων τινῶν ἄνθρωπον εὐμήκη καὶ
μακρὰς ἔχοντα χεῖρας ὡς πυκτικὸν, εἴπερ ἔφη καθελεῖν ἔδει τὸν
στέφανον κρεμάμενον. τοῦτ' ἔστιν εἰπεῖν πρὸς τοὺς τὰ καλὰ χωρία
καὶ τὰς μεγάλας οἰκίας καὶ τὸ πολὺ ἀργύριον ὑπερεκπεπληγ-
μένους καὶ μακαρίζοντας, εἴγε ἔδει πωλουμένην πρίασθαι
τὴν εὐδαιμονίαν. καίτοι πολλοὺς ἂν ἴδοι τις, οἳ μᾶλλον ἐθέλουσι πλουτεῖν
καὶ κακοδαιμονοῦντες, ἢ μακάριοι γενέσθαι δόντες ἀργύριον. ἀλλ' οὐκ ἔστι γε χρη-
μάτων ὤνιον ἀλυπία, μεγαλοφροσύνη, εὐστάθεια, θαρραλεότης, αὐτάρκεια, τὸ
πλουτεῖν, οὐκ ἔστι τὸ πλούτου καταφρονεῖν, οὐδὲ τὸ τὰ περιττὰ κεκτῆσθαι, τὸ
μὴ δεῖσθαι τῶν περιττῶν. τίνος οὖν ἀπαλλάττει τῶν ἄλλων κακῶν ὁ πλοῦτος,
εἰ μηδὲ φιλοπλουτίας. ἀλλὰ ποτῷ μὲν, ἔσβεσαν τὴν ποτοῦ ὄρεξιν. καὶ τρο-
φῇ τὴν τροφῆς ἐπιθυμίαν ἠκέσαντο. κἀκεῖνος ὁ λέγων, δὸς χλαῖναν Ἱππώνακτι.
κάρτα γὰρ ῥιγῶ. πλειόνων ἐπιφερομένων, δυσανασχετεῖ καὶ διωθεῖται. φιλαρ-
γυρίαν δὲ, οὐ σβέννυσιν ἀργύριον οὐδὲ χρυσίον, οὐδὲ πλεονεξία παύεται, κτωμέ-
νη τὸ πλέον. ἀλλ' ἔστιν εἰπεῖν πρὸς τὸν πλούσιον, ὥσπερ ἰατρὸν ἀλαζόνα· τὸ φάρ-
μακόν σου τὴν νόσον μείζω ποιεῖ. ἄρτου δεομένους καὶ οἴκου καὶ σκέπης μετρίας,
καὶ τοῦ τυχόντος ὄψου παραλαβὼν, ἐμπέπληκεν ἐπιθυμίας χρυσοῦ καὶ ἀρ-
γύρου καὶ ἐλεφάντων, καὶ σμαράγδων καὶ κυνῶν, καὶ ἵππων εἰς χαλεπὰ καὶ
δαπανηρὰ καὶ δυσπόριστα καὶ ἄχρηστα, μεταθεὶς ἐκ τῶν ἀναγκαίων τὴν ὄρεξιν. ἐπεὶ

τῶν γε ἀρκούντων πλεῖστος πένης ἐστίν, οὐδὲ δανείσαι πώποτε ἀργύριον ἀνθρώποις, ἵνα ἄλφιτα πρίωνται, ἢ τυρόν, ἢ ἄρτον, ἢ ἐλαίας· ἀλλὰ τὸν μὲν οἰκία πολυτελὴς χρεωφειλέτην πεποίηκεν· τὸν δὲ ὅμορος ἐλαιόφυτον· τὸν δὲ σιτῶνες, ἀμπελῶνες, ἄλλον ἡμίονοι Γαλατικαί, ἄλλον ἵπποι ζυγοφόροι κενὸν ὄχημα κροτοῦντες ἐνσεσείκασιν εἰς βάραθρα συμβολαίων καὶ τόκων καὶ ὑποθηκῶν· εἶτα ὥσπερ οἱ πίνοντες μετὰ τὸ μὴ διψῆν, ἢ ἐσθίοντες μετὰ τὸ μὴ πεινῆν, καὶ ὅσα διψῶντες ἢ πεινῶντες ἔλαβον προσεξεμοῦσιν, οὕτως οἱ τῶν ἀχρήστων ἐφιέμενοι καὶ περιττῶν, οὐδὲ τῶν ἀναγκαίων κρατοῦσιν. οὗτοι μὲν οὖν τοιοῦτοι· τοὺς δὲ μηδὲν ἀποβάλλοντας, ἔχοντας δὲ πολλά, πλειόνων δ' ἀεὶ δεομένους, ἔτι μᾶλλον θαυμάσειεν ἄν τις τοῦ Ἀριστίππου μεμνημένος· ἐκεῖνος γὰρ εἰώθει λέγειν· ὅτι πολλά μέν τις ἐσθίων, πολλὰ δὲ πίνων, πληρούμενος καὶ μηδέποτε πρὸς τοὺς ἰατροὺς βαδίζει καὶ πυνθάνεται τί τὸ πάθος, καὶ τίς ἡ διάθεσις, καὶ πῶς ἂν ἀπαλλαγείη· εἰ δέ τις ἔχων πέντε κλίνας, δέκα ζητεῖ, καὶ κεκτημένος δέκα τραπέζας, ἑτέρας συνωνεῖται τοσαύτας, καὶ χωρίων πολλῶν παρόντων καὶ ἀργυρίου, οὐ γίνεται μεστός, ἀλλ' ἐπ' ἄλλα συντέταται καὶ ἀγρυπνεῖ καὶ ἀπλήρωτός ἐστι πάντων, οὗτος οὐκ οἴεται δεῖσθαι τοῦ θεραπεύσοντος καὶ δείξοντος ὑφ' ἧς αἰτίας πέπονθεν· καίτοι τῶν διψώντων τὸν μὲν οὐ πεπωκότα, προσδοκήσειεν ἄν τις ἀπαλλαγήσεσθαι πιόντα· τὸν δὲ πίνοντα συνεχῶς καὶ μὴ παυόμενον, οὐ πληρώσεως, ἀλλὰ καθάρσεως οἰόμεθα δεῖσθαι· καὶ κελεύομεν ἐμεῖν, ὡς οὐχ ὑπ' ἐνδείας ὀχλούμενον, ἀλλὰ τινος δριμύτητος ἢ θερμότητος αὐτῷ παρὰ φύσιν ἐνούσης. ὁμοίως καὶ τῶν πορίζοντων ὁ μὲν ἐνδεὴς καὶ ἄπορος, παύσεται ἴσως ἑστίαν κτησάμενος, ἢ θησαυρὸν εὑρών, ἢ φίλου βοηθήσαντος, ἐκτίσας καὶ ἀπαλλαγεὶς τοῦ δανειστοῦ· τὸν δὲ πλείω τῶν ἱκανῶν ἔχοντα καὶ πλειόνων ὀρεγόμενον, οὐ χρυσίον ἐστὶν οὐδ' ἀργύριον τὸ θεραπεῦσον, οὐδ' ἵπποι καὶ πρόβατα καὶ βόες, ἀλλ' ἐκβολῆς δεῖται καὶ καθαρμοῦ· πενία γὰρ οὐκ ἔστιν, ἀλλ' ἀπληστία τὸ πάθος αὐτοῦ καὶ φιλοπλουτία, διὰ κρίσιν φαύλην καὶ ἀλόγιστον ἐνοῦσαν, ἣν ἂν μή τις ἐξέλῃ τῆς ψυχῆς ὥσπερ ἕλιγμα πλάγιον, οὐ παύσονται δεόμενοι τῶν περιττῶν, τουτέστιν ἐπιθυμοῦντες ὧν οὐ δέονται. ὅταν ἰατρὸς εἰσελθὼν πρὸς ἄνθρωπον ἐρριμμένον ἐν κλινιδίῳ, καὶ στένοντα καὶ μὴ βουλόμενον τροφὴν λαβεῖν, ἅψηται καὶ ἀνακρίνῃ καὶ εὕρῃ μὴ πυρέττοντα, ψυχικὴ νόσος ἔφη καὶ ἀπῆλθεν· ὁμοίως καὶ ἡμεῖς ὅταν ἴδωμεν ἄνδρα τῷ πορισμῷ προστετηκότα καὶ τοῖς ἀναλώμασιν ἐπιστένοντα, καὶ μηδενὸς εἰς χρηματισμὸν συντελοῦντος αἰσχροῦ, μὴ δ' ἀνιαροῦ φειδόμενον, οἰκίας δὲ ἔχοντα καὶ χώρας καὶ ἀγέλας καὶ ἀνδράποδα σὺν ἱματίοις, τί φήσομεν τὸ πάθος εἶναι τοῦ ἀνθρώπου, ἢ πενίαν ψυχικήν· ἐπεὶ τήν γε χρηματικὴν ὥς φησιν ὁ Μένανδρος, εἷς ἂν φίλος ἀπαλλάξειεν εὐεργετήσας· τὴν δὲ ψυχικὴν ἐκείνην, οὐκ ἂν ἐμπλήσειαν ἅπαντες, οὐδ' οἱ ζῶντες οὔτε ἀποθανόντες. ὅθεν εὖ πρὸς τούτους λέλεκται τὸ τοῦ Σόλωνος· πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν. ἐπεὶ τοῖς γε νοῦν ἔχουσιν ὁ τῆς φύσεως πλοῦτος ὥρισται, καὶ τὸ τέρμα πάρεστι τῆς χρείας καθάπερ κέντρῳ καὶ διαστήματι περιγραφόμενον. ἀλλὰ καὶ τοῦτο τῆς φιλαργυρίας ἴδιον· ἐπιθυμία γάρ ἐστι μαχομένη πρὸς τὴν αὐτῆς πλήρωσιν· αἱ δὲ ἄλλαι καὶ συνεργοῦσιν· οὐδεὶς γὰρ ἀπέχεται χρηστοῦ ὄψου διὰ φιλοψίαν, οὐδ' οἴνου διὰ οἰνοφλυγίαν, ὡς χρημάτων ἀπέχονται διὰ φιλοχρηματίαν. καίτοι πῶς οὐ μανικὸν οὐδ' οἰκτρὸν τὸ πάθος, εἴ τις ἱματίῳ μὴ χρῆται διὰ τὸ ῥιγοῦν, μὴ δὲ ἄρτῳ διὰ τὸ πεινῆν, μὴ δὲ πλούτῳ διὰ τὸ φιλοπλουτεῖν, ἀλλ' ἐν τοῖς Θρασωνίδου κακοῖς ἐστιν· παρ' ἐμοὶ γάρ ἐστιν ἔνδον, ἔξεστί μοι καὶ βούλομαι τοῦτο ὡς ἂν ἐμμανέστατα δρῶντες, οὐ ποιῶ δέ· κατακλείσας δὲ πάντα καὶ κατασφρα-

δὲ · Ι · ωτ · καὶ μηδέ-
τε πληρούμενος · Δ ·

ὡσ ^

γισάμενος καὶ ἀπαριθμήσας τοῖς τοκισταῖς καὶ πραγματευταῖς, ἀλλὰ συνάγω καὶ διώκω καὶ ζυγομαχῶ πρὸς τοὺς οἰκέτας, πρὸς τοὺς γεωργούς, πρὸς τοὺς χρεώστας. ἄλλον ἀνθρώπων τινὰ ἀθλιώτερον ἑώρακας, ἄρα ἐρῶντα δυσποτμότερον; ὁ Σοφοκλῆς ἐρωτηθεὶς εἰ δύναται γυναικὶ πλησιάζειν, εὐφήμει ἄνθρωπε εἶπεν, ἐλεύθερος γέγονα, λυττῶντας καὶ ἀγρίους δεσπότας διὰ τὸ γῆρας ἀποφυγών· χάριεν γὰρ ἅμα ταῖς ἡδοναῖς συνεκλιπεῖν τὰς ἐπιθυμίας, ἅς μήτε ἄνδρα φησὶν Ἀλκαῖος διαφυγεῖν, μήτε γυναῖκα. τοῦτο δὲ οὐκ ἔστιν ἐπὶ τῆς φιλοπλουτίας· ἀλλ' ὥσπερ βαρεῖα καὶ πικρὰ δέσποινα, κτᾶσθαι μὲν ἀναγκάζει, χρῆσθαι δὲ κωλύει, καὶ τὴν μὲν ἐπιθυμίαν ἐγείρει, τὴν δὲ ἡδονὴν ἀφαιρεῖται. τοὺς μὲν οὖν Ῥοδίους ὁ Στρατόνικος ἐπέσκωπτεν εἰς πολυτέλειαν, οἰκοδομεῖν μὲν ὡς ἀθανάτους λέγων, ὀψωνεῖν δὲ ὡς ὀλιγοχρονίους· οἱ δὲ φιλάργυροι κτῶνται μὲν ὡς πολυτελεῖς, χρῶνται δὲ ὡς ἀνελεύθεροι, καὶ τοὺς μὲν πόνους ὑπομένουσι, τὰς δὲ ἡδονὰς οὐκ ἔχουσι. ὁ γοῦν Δημάδης ἐπιστὰς ἀριστῶντί ποτε Φωκίωνι, καὶ θεασάμενος αὐτοῦ τὴν τράπεζαν αὐστηρὰν καὶ λιτήν, θαυμάζω σε ὦ Φωκίων εἶπεν, ὅτι οὕτως ἀριστᾶν δυνάμενος πολιτεύῃ· αὐτὸς γὰρ εἰς τὴν γαστέρα ἐδημαγώγει, καὶ τὰς Ἀθήνας μικρὸν ἡγούμενος τῆς ἀσωτίας ἐφόδιον, ἐκ τῆς Μακεδονίας ἐπεσιτίζετο· ἢ διὰ τοῦτο ὁ Ἀντίπατρος εἶπε θεασάμενος αὐτὸν γέροντα, καθάπερ ἱερεῖα διαπεπραγμένον, μηδὲν ἔτι λοιπόν, ἢ τὴν γλῶτταν εἶναι καὶ τὴν κοιλίαν. σὲ δὲ οὐκ ἄν τις ὦ κακόδαιμον θαυμάσειεν, εἰ δυνάμενος οὕτω ζῆν ἀνελευθέρως καὶ ἀπανθρώπως καὶ ἀμεταδότως, καὶ πρὸς φίλους ἀπηνῶς, καὶ πρὸς πόλιν ἀφιλοτίμως, κακοπαθεῖς καὶ ἀγρυπνεῖς, καὶ ἐργολαβεῖς καὶ κληρονομεῖς, καὶ ὑποπίπτεις, τηλικοῦτον ἔχων τῆς ἀπραγμοσύνης ἐφόδιον, τὴν ἀνελευθερίαν. Βυζάντιόν τινα λέγουσιν ἐπὶ δυσμόρφῳ γυναικὶ μοιχὸν εὑρόντα εἰπεῖν· ὦ ταλαίπωρε, τίς ἀνάγκη; σαπρὰ γὰρ ἡ προίξ. ἄγε σύ, κύνας ὑφάπτεις ὦ πόνηρε. τοὺς βασιλεῖς ποριζέσθαι, τοὺς ἐπιτρόπους τῶν βασιλέων, τοὺς ἐν ταῖς πόλεσι πρωτεύειν καὶ ἄρχειν ἐθέλοντας, ἐκείνοις ἀνάγκη διὰ τὴν φιλοτιμίαν καὶ τὴν ἀλαζονείαν καὶ τὴν κενὴν δόξαν ἑστιῶσι, χαριζομένοις, δορυφοροῦσι, δῶρα πέμπουσι, στρατεύματα τρέφουσι, μονομάχους ὠνουμένοις· σὺ δὲ τοσαῦτα πράγματα συνέχεις καὶ ταράττεις καὶ στρέφεις σεαυτὸν κοχλίου βίον ζῶν διὰ τὴν μικρολογίαν, καὶ τὰ δυσχερῆ πάντα ὑπομένεις, οὐδὲν εὖ πάσχων, ὥσπερ ὄνος βαλανέως ξύλα καὶ φρύγανα καταπομίζων, ἀεὶ καπνοῦ καὶ τέφρας ἀναπιπλάμενος, λουτροῦ δὲ μὴ μετέχων μὴ δὲ ἀλέας μὴ δὲ καθαρειότητος. καὶ ταῦτα πρὸς τὴν ὀνώδη καὶ μυρμηκώδη λέγω ταύτην φιλοπλουτίαν· ἑτέρα δέ ἐστιν ἡ θηριώδης, συκοφαντοῦσα καὶ κληρονομοῦσα καὶ παραλογιζομένη, καὶ πολυπραγμονοῦσα καὶ φροντίζουσα καὶ ἀριθμοῦσα τῶν φίλων ἔτι πόσοι ζῶσιν, εἶτα πρὸς μηδὲν ἀπολαύουσα τῶν πανταχόθεν προσπεποριζομένων. ὥσπερ οὖν ἐχίδνας καὶ κανθαρίδας καὶ φαλάγγια μᾶλλον προβαλλόμεθα καὶ δυσχεραίνομεν ἄρκτων καὶ λεόντων, ὅτι κτείνει καὶ ἀπόλλυσιν ἀνθρώπους μηδὲν χρώμενα τοῖς ἀπολλυμένοις, οὕτως αὐτῶν οὐ δεῖ μᾶλλον δυσχεραίνειν τοὺς δι' ἀσωτίαν, ἢ τοὺς διὰ μικρολογίαν καὶ ἀνελευθερίαν πονηρούς· ἀφαιροῦνται γὰρ ἄλλων οἷς αὐτοὶ χρῆσθαι μὴ δύνανται μὴ δὲ πεφύκασιν. ὅθεν ἐκεῖνοι μὲν ἐκεχειρίαν ἄγουσιν, ἐν εὐθηνίαις γενόμενοι καὶ χορηγίαν ἔχοντες, ὥσπερ ὁ Δημοσθένης ἔλεγε πρὸς τοὺς νομίζοντας τῆς πονηρίας τὸν Δημάδην πεπαῦσθαι, νῦν γὰρ ἔφη μεστὸν ὁρᾶτε καθάπερ τοὺς λέοντας· τοῖς δὲ εἰς μηδὲν ἡδὺ μηδὲ χρήσιμον πολιτευομένοις, οὐκ ἔστιν ἀνοκωχὴ τοῦ πλεονεκτεῖν, οὐδ' ἀσχολία, κενοῖς οὖσιν ἀεὶ καὶ προσδεομένοις ἁπάντων. ἀλλὰ νὴ Δία φήσει τις ὅτι παισὶν οὗτοι καὶ κληρονόμοις φυλάττουσι καὶ

Λ. ἀθλιώ-
τερον

ἢ ἐρῶντα · Δ ·

θησαυρίζουσιν· οἷς ζῶντες οὐδὲν μεταδιδόασιν· ἀλλ' ὥσπερ τῶν μυῶν τῶν ἐν τοῖς μετάλλοις τὴν χρυσῖτιν ἐσθιόντων οὐκ ἔστι τοῦ χρυσίου μεταλαβεῖν, εἰ μὴ νεκρῶν γενομένων καὶ ἀνατμηθέντων· παισὶ δὲ καὶ κληρονόμοις διὰ τί βούλονται χρήματα καὶ μεγάλην οὐσίαν ἀπολιπεῖν, ἵνα δηλονότι καὶ οὗτοι φυλάττωσιν ἑτέροις, κἀκεῖνοι παισίν, ὥσπερ οἱ κεραμεοῖ σωλῆνες οὐδὲν ἀναλαμβάνοντες εἰς ἑαυτούς, ἀλλ' ἕκαστος εἰς ἕτερον ἐξ ἑαυτοῦ μεθιείς, ἄχρις ἄν ποθεν ἔξωθεν ἢ συκοφάντης ἢ τύραννος ἐκκόψας τὸν φυλάττοντα καὶ κατάξας ἀλλαχόσε παρατρέψῃ καὶ προοχετεύσῃ τὸν πλοῦτον, ἤ, καθάπερ λέγουσιν, ὁ πονηρότατος ἐν τῷ γένει γενόμενος καταφάγῃ τὰ πάντα. οὐ μόνον γὰρ κατὰ τὸν Εὐριπίδην ἀκόλαστα δούλων γίνεται τέκνα, ἀλλὰ καὶ μικρολόγων, ὡς καὶ Διογένης ἐπέσκωψεν εἰπών, Μεγαρέως ἀνδρὸς βέλτιόν ἐστι κριὸν ἢ υἱὸν γενέσθαι. καὶ γὰρ οἷς δοκοῦσι παιδεύειν, ἀπολλύουσι καὶ προσδιαστρέφουσιν ἐμφυτεύοντες τὴν αὐτῶν φιλαργυρίαν καὶ μικρολογίαν, ὥσπερ φρούριον τῆς κληρονομίας οἰκοδομοῦντες τοῖς κληρονόμοις. ταῦτα γάρ ἐστιν ἃ παραινοῦσι καὶ διδάσκουσι, κέρδαινε καὶ φείδου, καὶ τοσούτου νόμιζε σεαυτὸν ἄξιον, ὅσον ἂν ἔχῃς. τοῦτο δ' οὐκ ἔστι παιδεύειν, ἀλλὰ συστέλλειν καὶ ἀπορράπτειν ὥσπερ βαλλάντιον, ἵνα στέγειν καὶ φυλάττειν τὸ εἰσβληθὲν δύνηται. καίτοι τὸ μὲν βαλλάντιον ἐμβληθέντος τοῦ ἀργυρίου γίνεται ῥυπαρὸν καὶ δυσῶδες· οἱ δὲ τῶν φιλαργύρων παῖδες πρὶν ἢ παραλαμβάνειν τὸν πλοῦτον, ἀναπίμπλανται τῆς φιλοπλουτίας ἀπ' αὐτῶν τῶν πατέρων· καὶ μέντοι τῆς διδασκαλίας καὶ μισθοὺς ἀξίους ἀποτίνουσιν αὐτοῖς, οὐ φιλοῦντες, ὅτι πολλὰ λήψονται, ἀλλὰ μισοῦντες, ὅτι μήπω λαμβάνουσι. μηδὲν γὰρ ἄλλο θαυμάζειν ἢ τὸν πλοῦτον μαθόντες, μηδ' ἑτέρῳ τινὶ ζῆν ἢ τῷ πολλὰ κεκτῆσθαι, κώλυσιν βίου τὸν ἐκείνων ποιοῦνται, καὶ νομίζουσιν αὑτῶν ἀφαιρεῖσθαι τὸν χρόνον ὅσον ἐκείνοις προστίθησιν. διὸ καὶ ζώντων μὲν ἔτι τῶν πατέρων, λανθάνοντες ἁμωσγέπως παρακλέπτουσι τῆς ἡδονῆς καὶ ἀπολαύουσιν, ὥσπερ ἀλλοτρίων μεταδιδόντες φίλοις, ἀναλίσκοντες εἰς ἐπιθυμίας ὅτι ἀκούοντές τι μανθάνουσι· ὅταν δὲ ἀποθανόντων τὰς κλεῖς παραλάβωσι καὶ τὰς σφραγῖδας, ἕτερον βίου σχῆμα αὐτοῖς ἐστι, καὶ πρόσωπον ἀγέλαστον, αὐστηρὸν, ἀνέντευκτον, οὐ κολοφών, οὐ σφαῖρα, οὐ τραχηλισμός, οὐκ ἀκαδημία, οὐ Λύκειον, ἀλλ' οἰκετῶν ἀνακρίσεις καὶ γραμματείων ἐπισκέψεις, καὶ πρὸς οἰκονόμους ἢ χρεώστας διαλογισμὸς καὶ ἀσχολία καὶ φροντὶς ἀφαιροῦσα μὲν τὸ ἄριστον, συνελαύνουσα νυκτὸς εἰς τὸ βαλανεῖον· γυμνάσια δ' οἷς ἐνετράφη, καὶ Δίρκης τὸ ὕδωρ παρέρχεται· κἂν εἴπῃ τις, οὐκ ἀκούσῃ τοῦ φιλοσόφου; πόθεν ἐμοί, φησὶν, σχολάζω τοῦ πατρὸς τεθνηκότος; ὦ ταλαίπωρε, τί σοι τοιοῦτον καταλέλοιπεν, οἷον ἀφῄρηται, τὴν σχολὴν καὶ τὴν ἐλευθερίαν; μᾶλλον δὲ οὐδ' ἐκεῖνος, ἀλλ' ὁ πλοῦτος περιχυθεὶς καὶ περικρατήσας, ὥσπερ ἡ παρ' Ἡσιόδῳ γυνὴ εὕδει ἄτερ δαλοῦ καὶ ἐν ὠμῷ γήραϊ θῆκεν, ὥσπερ ῥυτίδας ἀώρους ἢ πολιὰς ἐπάγων τῆς ψυχῆς τὰς φροντίδας ἐκ τῆς φιλαργυρίας καὶ τῆς ἀσχολίας, ὑφ' ὧν μαραίνεται τὸ γαῦρον καὶ τὸ φιλότιμον καὶ τὸ φιλάνθρωπον. τί οὖν; φησί τις, οὐχ ὁρᾷς καὶ χρωμένους ἐνίους δαψιλῶς τοῖς χρήμασι; σὺ δὲ οὐκ ἀκούεις, φήσομεν, Ἀριστοτέλους λέγοντος, ὅτι οἱ μὲν οὐ χρῶνται, οἱ δὲ παραχρῶνται, καθάπερ οὐδ' ἕτεροι προσήκοντος, ἀλλ' ἐκείνους μὲν οὐκ ὠφελεῖ τὸ οἰκεῖον οὐδὲ κοσμεῖ· τούτους δὲ καὶ βλάπτει καὶ καταισχύνει. φέρε δὴ σκεψώμεθα τὸ πρῶτον· ἡ χρῆσις αὕτη δι' ἣν θαυμάζεται ὁ πλοῦτος, τίς, πότερον τῶν ἀρκούντων; οὐδὲν πλέον ἔχουσιν οἱ πλούσιοι τῶν μέτρια κεκτημένων· ἀλλὰ πλοῦτός ἐστιν, ὥς φησι Θεόφραστος, καὶ ἄζηλος ἀληθῶς, εἰ Καλλίας ὁ πλουσιώτατος Ἀθηναίων καὶ Ἰσμηνίας ὁ εὐπορώτατος Θηβαίων ἐχρῶντο τοῖς, οἷς Σωκράτης καὶ Ἐπαμεινώνδας. ὡς γὰρ Ἀγάθων τὸν

αὐλὸν

αὐλὸν ἐξέπεμψεν ἐκ τοῦ συμποσίου πρὸς τὰς γυναῖκας, οἰόμενος ἀρκεῖν τοὺς λόγους τῶν παρόντων, οὕτως ἀποπέμψειας καὶ στρωμνὰς ἁλουργοὺς, καὶ τραπέζας πολυτελεῖς, καὶ τὰ περιττὰ πάντα, τοὺς πλουσίους ὁρῶν χρωμένους οἷς οἱ πένητες. οὐκ αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο, ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν· ἀλλὰ χρυσοχόων καὶ τορευτῶν καὶ μυρεψῶν, καὶ μαγείρων καλῆς καὶ σώφρονος γενομένης ἐξεληλασίας τῶν ἀχρήστων. εἰ δὲ τὰ μὲν ἀρκοῦντα κοινὰ καὶ τῶν πλουσίων ἐστίν, σεμνύνεται δὲ ὁ πλοῦτος ἐπὶ τοῖς περιττοῖς, καὶ Σκόπαν τὸν Θεσσαλὸν ἐπαινέσαις, ὃς αἰτηθείς τι τῶν κατὰ τὴν οἰκίαν ὡς περιττὸν, οὕτω καὶ ἄχρηστον, ἀλλὰ μὴν, ἔφη, τούτοις ἐσμὲν ἡμεῖς εὐδαίμονες καὶ μακάριοι τοῖς περιττοῖς, ἀλλ' οὐκ ἐκείνοις τοῖς ἀναγκαίοις. ὅρα μὴ πομπὴν ἐπαινοῦντι καὶ πανήγυριν μᾶλλον ἢ βίον ἔοικας. ἡ πάτριος τῶν Διονυσίων ἑορτὴ τοπαλαιὸν ἐπέμπετο δημοτικῶς καὶ ἱλαρῶς, ἀμφορεὺς οἴνου καὶ κληματίς, εἶτα τράγον τις εἷλκεν, ἄλλος ἰσχάδων ἄρριχον ἠκολούθει κομίζων· ἐπὶ πᾶσι δὲ ὁ φαλλός· ἀλλὰ νῦν ταῦτα παρεωρᾶται καὶ ἠφάνισται, χρυσωμάτων παραφερομένων καὶ ἱματίων πολυτελῶν, καὶ ζευγῶν ἐλαυνομένων καὶ προσωπείων, οὕτως τὰ ἀναγκαῖα τοῦ πλούτου καὶ χρήσιμα, τοῖς ἀχρήστοις κατακέχωσται καὶ τοῖς περιττοῖς. οἱ δὲ πολλοὶ τὸ τοῦ Τηλεμάχου πάσχομεν· καὶ γὰρ ἐκεῖνος ὑπὸ ἀπειρίας, μᾶλλον δὲ ἀπειροκαλίας, τὴν μὲν Νέστορος ἰδὼν οἰκίαν κλίνας ἔχουσαν, τραπέζας, ἱμάτια, στρώματα, οἶνον ἡδὺν, οὐκ ἐμακάριζε τὸν εὐποροῦντα τῶν ἀναγκαίων ἢ καὶ χρησίμων· παρὰ δὲ τῷ Μενελάῳ θεασάμενος ἐλέφαντα καὶ χρυσὸν καὶ ἤλεκτρον, ἐξεπλάγη· καὶ εἶπε, Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή· ὅσσα τάδ' ἄσπετα πολλά· σέβας μ' ἔχει εἰσορόωντα. Σωκράτης δ' ἂν εἶπεν ἢ καὶ Διογένης· ὅσσα τάδ' ἄθλια πολλὰ καὶ ἄχρηστα καὶ μάταια, γέλως μ' ἔχει εἰσορόωντα. τί λέγεις ἀβέλτερε; τῆς γυναικὸς ὀφείλων περιελεῖν τὴν πορφύραν καὶ τὸν κόσμον, ἵνα παύσηται τρυφῶσα καὶ ξενομανοῦσα, τὴν οἰκίαν πάλιν καλλωπίζεις ὡς θέατρον ἢ θυμέλην τοῖς εἰσιοῦσι; τοιαύτην ὁ πλοῦτος εὐδαιμονίαν ἔχει θεατῶν καὶ μαρτύρων, ἢ τὸ μηδὲν ὄντα ὅμοιόν γε τὸ σωφρονεῖν, τὸ φιλοσοφεῖν, τὸ γινώσκειν ἃ δεῖ περὶ θεῶν, κἂν λανθάνῃ πάντας ἀνθρώπους· ἴδιον δὲ σέλας ἔχει καὶ φέγγος ἐν τῇ ψυχῇ μέγα, καὶ χαρὰν ποιεῖ σύνοικον αὐτὴν ἑαυτῆς ἀντιλαμβανομένην τἀγαθόν, ἄν τε ἴδῃ τις ἄν τε λανθάνῃ καὶ θεοὺς καὶ ἀνθρώπους ἅπαντας. τοιοῦτόν ἐστιν ἀρετή, ἀλήθεια, μαθημάτων κάλλος, τε γεωμετρικῶν, ἀστρολογικῶν, ᾧ τίνι τὰ τοῦ πλούτου φάλαρα ταῦτα καὶ περιδέραια καὶ θεάματα κορασιώδη παραβαλεῖν ἄξιον; μηδενὸς ὁρῶντος μηδὲ προσβλέποντος, ὄντως τυφλὸς γίνεται καὶ ἀφεγγὴς ὁ πλοῦτος. μόνος γὰρ ὁ πλούσιος δειπνῶν μετὰ γυναικὸς ἢ τῶν συνήθων, οὔτε ταῖς κιθοῖναις παρέχει πράγματα τραπέζαις, οὔτε τοῖς χρυσοῖς ἐκπώμασιν, ἀλλὰ χρῆται τοῖς προστυχοῦσι· καὶ ἡ γυνὴ ἄχρυσος καὶ ἀπόρφυρος καὶ ἀφελὴς πάρεστιν. ὅταν δὲ σύνδειπνον, τουτέστι πομπὴ καὶ θέατρον, συγκροτῆται, καὶ δρᾶμα πλουσιακὸν εἰσάγεται· νηῶν δ' ἔκφερε λέβητάς τε τρίποδάς τε, τῶν τε λύχνων ἔχονται καὶ περιϊστῶνται τὰς κύλικας, ἀλλάσσουσι τοὺς οἰνοχόους· μεταμφιεννύουσι πάντα, πάντα κινοῦσι, χρυσὸν, ἄργυρον, λιθοκόλλητον, ἁπλῶς πλουτεῖν ὁμολογοῦντες· ἀλλὰ σωφροσύνης γε καὶ μόνος δεῖπνον δεῖται καὶ εὐωχίας.

ΠΟΤΕΡΟΝ ΤΑ ΤΗΣ ΨΥΧΗΣ Η ΤΑ ΤΟΥ ΣΩΜΑΤΟΣ ΠΑΘΗ ΧΕΙΡΟΝΑ.

μηρος μὲν ἐπιβλέψας τὰ θνητὰ τῶν ζώων γένη, καὶ πρὸς ἄλληλα συγκρίνας κατὰ τοὺς βίους καὶ τὰς διαιτήσεις, ἐξεφώνησεν, ὡς οὐδὲν ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς, πάντων ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει· πρωτεῖον οὐκ εὐτυχὲς, εἰς κακῶν ὑπεροχὴν ἀποδιδοὺς τῷ ἀνθρώπῳ. ἡμεῖς δὲ ὥσπερ ἤδη νικῶντα κακοδαιμονίᾳ τὸν ἄνθρωπον, καὶ τῶν ἄλλων ἀθλιώτατον ζώων ἀναγορευμένον, αὐτὸν αὑτῷ συγκρίνομεν εἰς ἰδίων κακῶν ἀγῶνα, σῶμα καὶ ψυχὴν διαιροῦντες οὐκ ἀχρήστως, ἀλλὰ καὶ πάνυ δεόντως· ἵνα μάθωμεν πότερον διὰ τὴν ψυχὴν, ἢ δι' ἑαυτοὺς ἀθλιώτερον ζῶμεν. νόσος μὲν γὰρ ἐν σώματι φύεται διὰ φύσιν· κακία δὲ καὶ μοχθηρία παρὰ ψυχὴν, ἔργον ἐστὶ πρῶτον, εἶτα πάθος αὐτῆς, οὐ μικρὸν δὲ πρὸς εὐθυμίαν ὄφελος, ἐὰν ἰάσιμον ᾖ τὸ χεῖρον καὶ κουφότερον καὶ ἄφυκτον. ἡ μὲν οὖν αἰσώπιος ἀλώπηξ περὶ ποικιλίας δικαζομένη πρὸς τὴν πάρδαλιν, ὡς ἐκείνη τὸ σῶμα καὶ τὴν ἐπιφάνειαν εὐανθῆ καὶ κατάστικτον ἐπεδείξατο· τῆς δὲ ἦν τὸ ξανθὸν αὐχμηρὸν καὶ οὐχ ἡδὺ προσιδεῖν· ἀλλ' ἐμοῦ τοι τὸ ἐντὸς ἔφη σκοπῶν ὦ δικαστὰ ποικιλωτέραν με ταύτης ὄψει, δηλοῦσα τὴν περὶ τὸ ἦθος εὐτροπίαν ἐπὶ πολλὰ ταῖς χρείαις ἀμειβομένην. λέγομεν οὖν ἐν ἡμῖν ὅτι πολλὰ μὲν, ὦ ἄνθρωπε, σου καὶ τὸ σῶμα νοσήματα καὶ πάθη φύσει τε ἀνίησιν ἐξ ἑαυτοῦ καὶ προσπίπτοντα δέχεται θύραθεν· ἂν δὲ σαυτὸν ἔνδοθεν ἀνοίξῃς, ποικίλον τι καὶ πολυπαθὲς κακῶν ταμεῖον εὑρήσεις, καὶ θησαύρισμα ὥς φησι Δημόκριτος, οὐκ ἔξωθεν ἐπιρρεόντων· ἀλλ' ὥσπερ ἐγγείους καὶ αὐτόχθονας πηγὰς ἐχόντων, ἃς ἀνίησιν ἡ κακία πολύχυτος καὶ δαψιλὴς οὖσα τοῖς πάθεσιν. εἰ δὲ τὰ μὲν ἐν σαρκὶ νοσήματα σφυγμοῖς καὶ χροιαῖς ἐρυθραινόμενα φωρᾶται, καὶ θερμότητες αὐτὰ καὶ πόνοι προπετεῖς ἐλέγχουσι· τὰ δὲ ἐν ψυχῇ λανθάνει τοὺς πολλοὺς κακὰ ὄντα· διὰ τοῦτο ἐστὶ κακίω προσαφαιρούμενα τὴν ἐπ' αὐτοῖς τοῦ πάσχοντος αἴσθησιν. τῶν μὲν γὰρ περὶ τὸ σῶμα νοσημάτων, ἐρρωμένος ὁ λογισμὸς αἰσθάνεται· τοῖς δὲ τῆς ψυχῆς συννοσῶν αὐτὸς, οὐκ ἔχει κρίσιν ἐν οἷς πάσχει· πάσχει γὰρ ᾧ κρίνει, καὶ δεῖ τῶν ψυχικῶν πρῶτον καὶ μέγιστον ἀριθμεῖν τὴν ἄνοιαν, δι' ἣν ἀνήκεστος ἡ κακία τοῖς πολλοῖς συνοικεῖ καὶ συγκαταβιοῖ καὶ συναποθνήσκει. ἀρχὴ γὰρ ἀπαλλαγῆς νόσου μὲν αἴσθησις εἰς χρείαν ἄγουσα τοῦ βοηθοῦντος τὸν πάσχοντα· ὁ δὲ ἀπιστίᾳ τοῦ νοσεῖν, οὐκ εἰδὼς ὧν δεῖται, κἂν παρῇ τὸ θεραπεῦον ἀρνεῖται. καὶ γὰρ τῶν περὶ τὸ σῶμα νοσημάτων, τὰ μετὰ ἀναισθησίας χείρονα, λήθαργοι, κεφαλαλγίαι, ἐπιληψίαι, πυρετοί· αὐτοί τε πυρετοὶ συντείνοντες εἰς παρακοπὴν τὸ φλεγμαῖνον, καὶ τὴν αἴσθησιν ὥσπερ ἐν ὀργάνῳ διαταράξαντες, κινοῦσι χορδὰς τὰς ἀκινήτους φρενῶν. διὸ παῖδες ἰατρῶν βούλονται μὲν, μὴ νοσεῖν τὸν ἄνθρωπον, νοσοῦντα δὲ, μὴ ἀγνοεῖν ὅτι νοσεῖ, ὃ τοῖς ψυχικοῖς πάθεσι πᾶσι συμβέβηκεν· οὔτε γὰρ ἀφραίνοντες οὔτε ἀσελγαίνοντες οὔτε ἀδικοπραγοῦντες ἁμαρτάνειν δοκοῦσιν, ἀλλ' ἔνιοι καὶ κατορθοῦν. πυρετὸν μὲν γὰρ οὐδεὶς ὑγείαν ὠνόμασεν, οὐδὲ φθίσιν εὐεξίαν, οὐδὲ ποδάγραν ποδώκειαν, οὐδὲ ὠχρίασιν ἐρύθημα. θυμὸν δὲ πολλοὶ καλοῦσιν ἀνδρείαν· καὶ ἔρωτα, φιλίαν· καὶ φθόνον, ἅμιλλαν· καὶ δειλίαν, ἀσφάλειαν. εἶθ' οἱ μὲν καλοῦσι τοὺς ἰατροὺς, αἰσθάνονται γὰρ ὧν δέονται πρὸς ἃ νοσοῦσιν· οἱ δὲ φεύγουσι τοὺς φιλοσόφους· οἴονται γὰρ ἀποτυγχάνειν ἐν οἷς διαμαρτάνουσιν.

ἐπεὶ τούτῳ γε τῷ λόγῳ χρώμενοι λέγομεν· ὅτι κουφότερόν ἐστιν ὀφθαλμία μανίας, καὶ ποδάγρα φρενίτιδος· ὁ μὲν αἰσθάνεται καὶ καλεῖ τὸν ἰατρὸν κεκραγώς·

καὶ παρόντι τὴν ὄψιν ἀλεῖψαι, τὴν φλέβα τεμεῖν, τὴν κεφαλὴν παραδίδωσιν. τῆς δὲ μαινομένης ἀγαύης ἀκούεις ὑπὸ τοῦ πάθους τὰ φίλτατα ἠγνοηκυίας, ἄγομεν ἐξ ὄρεος ἕλικα νεότομον ἐπὶ μέλαθρα, μακάριον θήραμα. καὶ ὁ μὲν τῷ σώματι νοσῶν εὐθὺς ἐνδοὺς καὶ καθεὶς ἑαυτὸν εἰς τὸ κλινίδιον, ἡσυχίαν ἄγει θεραπευόμενος· ἂν δέ που μικρὸν ἐξάξῃ καὶ διασκιρτήσῃ τὸ σῶμα φλεγμονῆς προσπεπούσης, εἰπών τις τῶν παρακαθημένων, πράως μένε ὦ τάλαν ἔμπεδ' ἀτρέμας σοῖς ἐνδεμνίοις, ἐπέστησε καὶ κατέσχεν. οἱ δὲ ἐν τοῖς ψυχικοῖς πάθεσιν ὄντες, τότε μάλιστα πράττουσι, τότε ἥκιστα ἡσυχάζουσιν. αἱ γὰρ ὁρμαὶ τῶν πράξεων ἀρχὴ, τὰ δὲ πάθη σφοδρότητες ὁρμῶν. διὸ τὴν ψυχὴν ἠρεμεῖν οὐκ ἐῶσιν. ἀλλ' ὅτε μάλιστα δεῖται ὑπομονῆς καὶ σιωπῆς καὶ ὑποστολῆς ὁ ἄνθρωπος, τότε αὐτὸν εἰς ὕπαιθρον ἕλκουσι, τότε ἀποκαλύπτουσιν οἱ θυμοὶ, αἱ φιλονεικίαι, οἱ ἔρωτες, αἱ λῦπαι, πολλὰ καὶ δρᾶν ἄνομα, καὶ λαλεῖν ἀνάρμοστα τοῖς καιροῖς ἀναγκαζόμενον. ὥσπερ οὖν ἐπισφαλέστερος χειμὼν τοῦ πλεῖν οὐκ ἐῶντος ὁ κωλύων καθορμίσασθαι, οὕτως οἱ κατὰ ψυχὴν χειμῶνες βαρύτεροι, στείλασθαι τὸν ἄνθρωπον οὐκ ἐῶντες, οὐδὲ ἐπιστῆσαι τεταραγμένον τὸν λογισμὸν, ἀλλ' ἀκυβέρνητος καὶ ἀνερμάτιστος ἐν ταραχῇ καὶ πλάνῃ δρόμοις ὀλεθρίοις καὶ παραφόροις διασφαλιζόμενος εἴς τι ναυάγιον φοβερὸν ἐξέπεσε, καὶ συνέτριψε τὸν ἑαυτοῦ βίον. ὥστε καὶ τούτοις χεῖρον νοσεῖν ταῖς ψυχαῖς ἢ τοῖς σώμασιν. τοῖς μὲν γὰρ πάσχειν μόνον· τοῖς δὲ καὶ πάσχειν καὶ ποιεῖν κακῶς συμβέβηκε. καὶ τί δεῖ τὰ πολλὰ λέγειν τῶν παθῶν· αὐτὸς ὁ καιρὸς ὑπόμνησίς ἐστιν. ὁρᾶτε γὰρ πολὺν καὶ παμμιγῆ τὸν ὄχλον ἐνταῦθα συνηραγμένον καὶ κυκώμενον ὄχλον περὶ τὸ βῆμα καὶ τὴν ἀγοράν; οὐ θύσοντες οὗτοι συνεληλύθασι πατρίοις θεοῖς. οὐδὲ ὁμογνίων μεθέξοντες ἱερῶν ἀλλήλοις, οὐκ ἀσκραίῳ διῒ λυδίων καρπῶν ἀπαρχὰς φέροντες. οὐδὲ διονύσῳ βεβακχευμένον θύαθλον ἱεραῖς νυξὶ καὶ κοινοῖς ὀργιάζοντες κώμοις, ἀλλ' ὥσπερ ἐτησίοις περιόδοις ἀκμὴ νοσήματος ἐκταράττουσα τὴν ἀσίαν ἐπιδίκας καὶ ἀγῶνας ἐμπροθέσμους ἥκουσιν ἐνταῦθα συμβαλεῖν. τὸ δὲ τῶν πραγμάτων πλῆθος ὥσπερ ῥευμάτων ἀθρόων, εἰς μίαν ἐμπέπτωκεν ἀγοράν, καὶ φλεγμαίνει καὶ συνέρρωγεν. ὀλλύντων τε καὶ ὀλλυμένων. ποίων ταῦτα πυρετῶν ἔργα, ποίων ἠπιάλων, τίνες ἐνστάσεις ἢ παρεμπτώσεις ἢ δυσκρασία θερμῶν, ἢ ὑπέρχυσις ὑγρῶν. ἂν ἑκάστην δίκην ὥσπερ ἄνθρωπον ἀνακρίνῃς, πόθεν πέφυκε, πόθεν ἥκει· τὴν μὲν θυμὸς αὐθάδης τέτοκε· τὴν δὲ μανιώδης φιλονεικία· τὴν δὲ ἄδικος ἐπιθυμία.

Αἱ πολλοὺς πολλάκις ἠγωνισμέναι καὶ μεγάλους ἀγῶνας ἀρετὴ καὶ τύχη πρὸς ἀλλήλας μέγιστον ἀγωνίζονται τὸν παρόντα, περὶ τῆς ῥωμαίων ἡγεμονίας διαδικαζόμεναι, ποτέρας λέγοιτο ἔργον, καὶ ποτέρα τὴν τηλικαύτην δύναμιν γεγέννηκεν. οὐ γὰρ μικρὸν ἔσται τῇ περιγενομένῃ τοῦτο μαρτύριον, μᾶλλον δ' ἀπολόγημα πρὸς κατηγορίαν. κατηγορεῖται δὲ ἀρετὴ μὲν, ὡς καλὸν, ἀνωφελὲς δὲ· τύχη δὲ, ὡς ἀβέβαιον μὲν ἀγαθὸν δέ. καὶ τὴν μὲν ἄκαρπα πονεῖν λέγουσι, τὴν δὲ ἄπιστα δωρεῖσθαι. τίς οὖν οὐχὶ λέξει τῇ ἑτέρᾳ τὴν ῥώμης προστεθείσης, ἢ λυσιτελέστατον ἀρετὴν, εἰ τηλικαῦτα τοὺς ἀγαθοὺς δέδρακεν ἀγαθά, ἢ βεβαιότατον εὐτυχίαν, χρόνον ἤδη τοσοῦτον ἃ δέδωκε τηροῦσαν. ἴων μὲν οὖν ὁ ποιητὴς ἐν τοῖς ἄλλαις καταλογάδην αὐτῷ γεγραμμένοις φησὶν, ἀνομοιότατον πρᾶγμα τῇ σοφίᾳ τὴν τύχην οὖσαν, ὁμοιοτάτων πραγμάτων γίνεσθαι δημιουργόν. αὔξουσιν ἀμφότεραι, προσκοσμοῦσιν ἄνδρα, εἰς δόξαν ἀνάγουσιν, εἰς δύναμιν, εἰς ἡγεμονίαν. τί δεῖ τὰ πολλὰ μηκύνειν ἐξαριθμουμένους; αὐτὴν τὴν γεννῶσαν ἡμῖν καὶ φέρουσαν πάντα φύσιν, οἱ μὲν τύχην εἶναι νομίζουσιν, οἱ δὲ σοφίαν. διὸ καλόν τι τῇ ῥώμῃ καὶ ζηλωτὸν ὁ λόγος ἀξίωμα προστίθησιν, εἰ διαποροῦμεν περὶ αὐτῆς, ὡς περὶ γῆς καὶ θαλάττης καὶ οὐρανοῦ καὶ ἄστρων, πότερον κατὰ τύχην συνέστηκεν ἢ κατὰ πρόνοιαν. ἐγὼ δὲ ὅτι μὲν εἰ καὶ πάνυ πρὸς ἀλλήλας ἀεὶ πολεμοῦσι καὶ διαφέρονται τύχη καὶ ἀρετὴ, πρός γε τηλικαύτην σύμπηξιν ἀρχῆς καὶ δυνάμεως, εἰκός ἐστιν αὐτὰς σπεισαμένας συνελθεῖν, καὶ συνελθούσας, ἐπιτελέσαι καὶ συναπεργάσασθαι τῶν ἀνθρωπίνων ἔργων τὸ κάλλιστον, ὀρθῶς ὑπονοεῖν οἴομαι, καὶ νομίζω καθάπερ πλάτων φησὶν, ἐκ πυρὸς καὶ γῆς ὡς ἀναγκαίων τε καὶ πρώτων γεγονέναι τὸν σύμπαντα κόσμον, ἵνα καὶ ὁρατὸς γένηται καὶ ἁπτὸς, γῆς μὲν ἐμβριθὲς καὶ στάσιμον αὐτῷ συμβαλομένης, πυρὸς δὲ χρῶμα καὶ μορφὴν καὶ κίνησιν. αἱ δὲ ἐν μέσῳ φύσεις ὕδωρ καὶ ἀὴρ μαλάξασαι καὶ σβέσασαι, τὴν ἑκατέρου τῶν ἄκρων ἀνομοιότητα συνήγαγον, καὶ ἀνέμιξαν διὰ θεὸς τὴν ὕλην δι' αὐτῶν. οὕτως ἄρα καὶ ὁ τὴν ῥώμην ὑποβαλλόμενος χρόνος μετὰ θεοῦ, τύχην καὶ ἀρετὴν ἐκέρασε καὶ συνέζευξεν, ἵνα ἑκατέρας λαβὼν τὸ οἰκεῖον, ἀπεργάσηται πᾶσιν ἀνθρώποις ἑστίαν ἱερὰν ὡς ἀληθῶς καὶ ὀλυμπίαν, καὶ πεῖσμα μόνιμον, καὶ στοιχεῖον ἀΐδιον, ὑποφερομένοις τοῖς πράγμασιν ἀγκυρητήριον σάλου καὶ πλάνης ὥς φησι δημόκριτος. ὡς γὰρ οἱ φυσικοὶ τὸν κόσμον λέγουσιν οὐκ εἶναι κόσμον, οὐδὲ θέλειν τὰ σώματα συνελθόντα καὶ συμμιγέντα κοινὸν ἐκ πάντων εἶδος τῇ φύσει παρασχεῖν. ἀλλὰ τῶν μὲν ἔτι μικρῶν καὶ σποράδην φερομένων καὶ διολισθανόντων καὶ ὑποφευγόντων τὰς ἐπιλήψεις καὶ περιπλοκὰς, τῶν δὲ ἁδροτέρων καὶ συνεστηκότων ἤδη δεινὰς ἀγῶνας πρὸς ἄλληλα καὶ διαταραχὰς λαμβανόντων, κλύδωνα καὶ βρασμὸν εἶναι, καὶ φθόρου καὶ πλάνης καὶ ναυαγίων μεστὰ πάντα, πρίν γε τὴν γῆν μέγεθος λαβοῦσαν ἐκ τῶν συνισταμένων καὶ φερομένων ἱδρυθῆναί πως αὐτὴν, καὶ τοῖς ἄλλοις ἵδρυσιν ἐν αὑτῇ καὶ περὶ αὑτὴν παρασχεῖν, οὕτω τῶν μεγίστων ἐν ἀνθρώποις δυνάμεων καὶ ἡγεμονιῶν κατὰ τύχας ἐλαυνομένων καὶ συμφερομένων ὑπὸ τοῦ μηδένα κρατεῖν, βούλεσθαι δὲ πάντας, ἀμήχανος ἡ φθορὰ καὶ πλάνη, καὶ μεταβολὴ πᾶσα πάντη, μέχρις οὗ τῆς ῥώμης ἰσχὺν καὶ αὔξησιν λαβούσης καὶ ἀναδησαμένης, τοῦτο μὲν ἔθνη καὶ δήμους ἐν αὐτῇ, τοῦτο δὲ ἀλλοφύλους καὶ διαποντίους βασιλέων ἡγεμονίας, ἕδραν ἔσχε τὰ μέγιστα καὶ ἀσφάλειαν, εἰρήνης

εἰρήνης καὶ μιᾶς κύκλον τῆς ἡγεμονίας ἄπταιστον περιφερομένης. πάσης μὲν ἀρετῆς ἐγγενομένης τοῖς ταῦτα μηχανησαμένοις, πολλῆς δὲ καὶ τύχης συνελθούσης, ὡς ἐν τοῖς ἑξῆς τοῦ λόγου προϊόντος, ἐπιδείξασθαι. νυνὶ δέ μοι δοκῶ τοῦ προσλήματος ὥσπερ ἀπὸ σκοπιᾶς καθορᾶν ἤδη τὴν σύγκρισιν, καὶ τὸν ἀγῶνα τήν τε τύχην καὶ τὴν ἀρετὴν βαδιζούσας. ἀλλὰ τῆς μὲν ἀρετῆς πρᾶόν τι τὸ βάδισμα, καὶ τὸ βλέμμα καθεστηκὸς. παρέχει δέ τι καὶ τῷ προσώπῳ πρὸς τὴν ἅμιλλαν ἐρύθημα τῆς φιλοτιμίας, καὶ πολὺ μὲν ὑστερεῖ σπευδούσης τῆς τύχης. ἄγουσι δὲ αὐτὴν καὶ δορυφοροῦσι κατὰ πλῆθος ἄνδρες ἀρηΐφατοι, βεβροτωμένα τεύχε' ἔχοντες, ἐναντίων τραυμάτων ἀνάπλεω, αἷμα συμμεμιγμένον ἱδρῶτι στάζοντες, ἡμικλάστοις ἐπιβεβηκότες λαφύροις. βούλεσθαι δὲ πυθώμεθα τίνες ποτὲ εἰσίν; φαβρίκιοι φασὶν εἶναι, καὶ κάμιλλοι, καὶ λούκιοι, καὶ κιννινάτοι, καὶ μάξιμοι φάβιοι, καὶ κλαύδιοι μάρκελλοι, καὶ σκιπίωνες. ὁρῶ δὲ καὶ κλαύδιον μάριον ὀργιζόμενον τῇ τύχῃ, καὶ μούκιος ἐκεῖ σκαιόλας τὴν φλεγομένην χεῖρα δεικνύει, βοῶν, μὴ καὶ ταύτην τῇ τύχῃ χαρίζῃ; καὶ πάκιος, καὶ μάρκος ὁράτιος ὁ ἀριστεὺς παραποτάμιος, τυρρηνικοῖς βέλεσι βαρυνόμενος, καὶ σκάζοντα μηρὸν παρέχων, ἐκ βαθείας ὑποφθέγγεται δίνης, ἐγὼ οὖν καὶ κατὰ τύχην πεπήρωμαι; τοιοῦτος ὁ τῆς ἀρετῆς χορὸς, πρόσεισιν ἤδη τὴν σύγκρισιν, βριθὺς ὁπλιτοπάλας δάϊος ἀντιπάλοις. τῆς δὲ τύχης ὀξὺ μὲν τὸ κίνημα, καὶ θρασὺ τὸ φρόνημα, καὶ μεγάλαυχος ἡ ἐλπίς, φθάνουσα δὲ τὴν ἀρετὴν ἐγγύς ἐστιν, οὐ πτεροῖς ἐλαφρίζουσα κούφοις ἑαυτὴν, οὐδὲ ἀκρώνυχον ὑπὲρ σφαίρας τινὸς ἴχνος καθεῖσα, περισφαλὴς καὶ ἀμφίβολος πρόσεισιν, εἶτ' ἄπεισιν ἀειδής. ἀλλ' ὥσπερ οἱ σπαρτιᾶται τὴν ἀφροδίτην λέγουσι διαβαίνουσαν τὸν εὐρώταν, τὰ μὲν ἔσοπτρα καὶ τοὺς χλιδῶνας, καὶ τὸν κεστὸν ἀποθέσθαι, δόρυ δὲ καὶ ἀσπίδα λαβεῖν κοσμουμένην τῷ λυκούργῳ, οὕτως ἡ τύχη καταλιποῦσα πέρσας καὶ ἀσσυρίους, μακεδονίαν μὲν ἐλαφρὰ διέπτη, καὶ ἀπεσείσατο ταχέως ἀλέξανδρον, καὶ δι' αἰγύπτου καὶ συρίας περιφέρουσα βασιλείας διώλισθε, καὶ καρχηδονίους στρεφομένη πολλάκις ἐβάστασε, τῷ δὲ παλατίῳ προσερχομένη, καὶ διαβαίνουσα τὸν θύμβριν, ὡς ἔοικεν, ἔθηκε τὰς πτέρυγας, ἐξέβη τῶν πεδίλων, ἀπέλιπε τὴν ἄπιστον καὶ παλίμβολον σφαῖραν. οὕτως εἰσῆλθεν εἰς ῥώμην, ὡς μενοῦσα, καὶ τοιαύτη πάρεστιν ὡς ἐπὶ τὴν δίκην. οὐ μὲν γὰρ ἀπειθὴς κατὰ πίνδαρον, οὐδὲ δίδυμον στρέφουσα πηδάλιον, ἀλλὰ μᾶλλον εὐνομίας καὶ πειθοῦς ἀδελφὴ, καὶ προμηθείας θυγάτηρ, ὡς γενεαλογεῖ ἀλκμάν. τὸ δὲ ὑμνούμενον ἐκεῖνο τοῦ πλούτου κέρας ἔχει διὰ χειρὸς, οὐχ ὀπώρας ἀεὶ θαλλούσης μεστὸν, ἀλλ' ὅσα φέρει πᾶσα γῆ, πᾶσα δὲ θάλαττα, καὶ ποταμοὶ, καὶ μέταλλα, καὶ λιμένες, ἄφθονα καὶ ῥύδην ἐπιχεαμένη. λαμπροὶ δὲ καὶ διαπρεπεῖς ἄνδρες οὐκ ὀλίγοι μετ' αὐτῆς ὁρῶνται. πομπήλιος νουμᾶς ἐκ σαβίνων, καὶ πρίσκος ἐκ ταρκυνίων, οὓς ἐπήλυδας βασιλεῖς καὶ ξένους ἐνιδρύσατο τοῖς ῥωμύλου θρόνοις. καὶ παῦλος αἰμίλιος ἀπὸ περσέως καὶ μακεδόνων ἄγων στρατὸν ἄτρωτον, καὶ νίκην ἀδάκρυν θριαμβεύων, μεγαλύνει τὴν τύχην. μεγαλύνει δὲ καὶ καικίλιος μέτελλος ὁ μακεδονικὸς γέρων, ὑπὸ τεσσάρων παίδων ὑπατικῶν ἐκκομιζόμενος, κοΐντου βαλιαρικοῦ, καὶ λευκίου διαδήματος, καὶ μάρκου μετέλλου, καὶ γαΐου καπραρίου, καὶ δυεῖν γαμβρῶν ὑπατικῶν, καὶ θυγατριδῶν κοσμουμένων ἐπιφανέσιν ἀριστείαις καὶ πολιτείαις. αἰμίλιος δὲ σκαῦρος ἐκ ταπεινοῦ βίου καὶ ταπεινοτέρου γένους, καινὸς ἄνθρωπος ἀρθεὶς ὑπ' αὐτῆς, προγράφεται τοῦ μεγάλου συνεδρίου. κορνήλιον δὲ σύλλαν ἐκ τῶν νικοπόλεως τῆς ἑταίρας ἀναλαβοῦσα καὶ βαστάσασα κόλπων, ὑψηλότερον τῶν κιμβρικῶν μαρίου θριάμβων καὶ τῶν ἑπτὰ ὑπατειῶν ἐπιτίθησι μοναρχίαις καὶ δικτατωρείαις. αὐτίκα γε

οὗτος τῇ τύχῃ μετὰ τῶν πράξεων ἑαυτὸν εἰσεποίει βοῶν κατὰ τὸν οἰδίποδα τὸν σοφοκλέους· ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς τύχης νέμω. καὶ ῥωμαϊστὶ μὲν φῆλιξ ὠνομάζετο, τοῖς δὲ ἕλλησιν οὕτως ἔγραφε· λούκιος κορνήλιος σύλλας ἐπαφρόδιτος. καὶ τὰ παρ' ἡμῖν ἐν χαιρωνείᾳ τρόπαια, καὶ τὰ τῶν μιθριδατικῶν οὕτως ἐπιγέγραπται, καὶ εἰκότως· πλεῖστον γὰρ ἀφροδίτης ἡ νὺξ κατὰ μένανδρον ἀλλὰ τύχη μετέσχηκεν. ἆρ' οὖν ταύτην τις ἀρχὴν ὁρισάμενος οἰκείαν ὑπὲρ τῆς τύχης, ἐπάγοιτο μάρτυρας αὐτοὺς ῥωμαίους, ὡς τῇ τύχῃ πλέον ἢ τῇ ἀρετῇ νέμοντας; ἀρετῆς μέν γε παρ' αὐτοῖς ὀψὲ καὶ μετὰ πολλοὺς χρόνους ἱερὸν ἱδρύσατο σκιπίων ὀνομαντῖνος, εἶτα μάρκελλος τὸ οὐιρτούτις τε καὶ ὄνωρις προσαγορευόμενον. καὶ τὸ τῆς μέντις καλουμένης γνώμης ἂν νομίζοιτο σκαῦρος αἰμίλιος περὶ τὰ κιμβρικὰ τοῖς χρόνοις γεγονὼς ἤδη τότε λόγων καὶ σοφιστῶν καὶ στωμυλίας παραρρυείσης εἰς τὴν πόλιν ἤρξατο σεμνύνειν τὰ τοιαῦτα. σοφίας δὲ μέχρι καὶ νῦν ἱερὸν οὐκ ἔστιν, οὐδὲ σωφροσύνης, ἢ καρτερίας, ἢ μεγαλοψυχίας, ἢ ἐγκρατείας· ἀλλὰ τά γε τῆς τύχης ἱερὰ λαμπρὰ καὶ παλαιά, καὶ ὁμοίως τι τοῖς πρώτοις καταμεμιγμένα τῆς πόλεως θεμελίοις γέγονε. πρῶτος μὲν γὰρ ἱδρύσατο τύχης ἱερὸν, μάρκιος ἄγκος, ὄνομα θυγατριδοῦς, καὶ τέταρτος ἀπὸ ῥωμύλου γενόμενος βασιλεύς. καὶ τάχα που τὴν τύχην τῇ ἀνδρίᾳ παρωνόμασεν, ἣ πλεῖστον εἰς τὸ νικᾶν τύχης μέτεστι. τὸ δὲ τῆς γυναικείας τύχης κατεσκευάσαντο πρὸ καμίλλου, ὅτε μάρκιον κοριολανὸν ἐπάγοντα τῇ πόλει οὐολούσκους ἀπετρέψαντο διὰ τῶν γυναικῶν. πρεσβευσάμεναι γὰρ αὗται πρὸς τὸν ἄνδρα μετὰ τῆς γυναικὸς καὶ τῆς μητρὸς αὐτοῦ ἐξελιπάρησαν καὶ κατειργάσαντο φείσασθαι τῆς πόλεως, καὶ τὴν στρατιὰν τῶν βαρβάρων ἀπαγαγεῖν. τότε λέγεται τὸ ἄγαλμα τῆς τύχης ἅμα τῷ καθιδρωθῆναι, φωνὴν ἀφεῖναι καὶ εἰπεῖν· ὁσίως με πόλεως νόμῳ γυναῖκες ἀσταὶ καθιδρύσασθε. καὶ μὴν καὶ φούριος κάμιλλος, ὅτε τὸ κελτικὸν ἔσβεσε πῦρ, καὶ τὴν ῥώμην ἀντίρροπον χρυσῷ κεκλιμένην ἀπὸ ζυγοῦ καὶ τῆς πλάστιγγος καθεῖλεν, οὐτ' εὐβουλίας οὔτε ἀνδρίας, ἀλλὰ φήμης ἱδρύσατο καὶ κληδόνος ἐκεῖ παρὰ τὴν καινὴν ὁδόν, ὅπου φασὶ πρὸ τοῦ πολέμου μάρκῳ καιδικίῳ βαδίζοντι, νύκτωρ φωνὴν γενέσθαι κελεύουσαν ὀλίγῳ χρόνῳ γαλατικὸν πόλεμον προσδέχεσθαι. τὴν δὲ πρὸς τῷ ποταμῷ τύχην ἣν φόρτιν καλοῦσιν, ὅπερ ἐστὶν ἰσχυρὰν ἢ ἀριστευτικὴν ἢ ἀνδρείαν, ὡς τὸ νικητικὸν ἁπάντων κράτος ἔχουσαν, καὶ τὸ γενναῖον αὐτῆς ἐν τοῖς ὑπὸ καίσαρος τῷ δήμῳ καταλειφθεῖσι κήποις ᾠκοδόμησαν· ἡγούμενοι κἀκεῖνον εὐτυχίᾳ γενέσθαι μέγιστον ὡς αὐτὸς ἐμαρτύρησε. περὶ δὲ γαΐου καίσαρος ᾐδέσθησαν εἰπεῖν, ὡς ὑπ' εὐτυχίας ἤρθη μέγιστος, εἰ μὴ τοῦτ' αὐτὸς ἐμαρτύρησεν. ἐπεὶ γὰρ ἀπὸ βρεντεσίου πομπήϊον διώκων ἀνήχθη πρὸ μιᾶς ἡμέρας νωνῶν ἰανουαρίων, χειμῶνος ἐν τροπαῖς ὄντος, τὸ μὲν πέλαγος ἀσφαλῶς διεπέρασε, τῆς τύχης τὸν καιρὸν ὑπερθεμένης, εὑρὼν δὲ τὸν πομπήϊον ἀθρόον, καὶ πολὺν μὲν ἐν γῇ, πολὺν δ' ἐν θαλάσσῃ, μετὰ πασῶν ἅμα τῶν δυνάμεων καθεζόμενον, αὐτὸς ὀλιγοστὸς ὤν, τῆς μετὰ ἀντωνίου καὶ σαβίνου στρατιᾶς αὐτῷ βραδυνούσης, ἐτόλμησεν εἰς ἀκάτιον μικρὸν ἐμβάς, καὶ λαθών τόν τε ναύκληρον καὶ τὸν κυβερνήτην, ὥς τινος θεράποντος ἀναχθῆναι, σκληρᾶς δὲ πρὸς τὸ ῥεῦμα τοῦ ποταμοῦ γενομένης ἀντιμεταβάσεως καὶ κλύδωνος ἰσχυροῦ μεταβαλλόμενον ὁρῶν τὸν κυβερνήτην, ἀφεῖλεν ἀπὸ τῆς κεφαλῆς τὸ ἱμάτιον, καὶ ἀναδείξας ἑαυτόν, ἴθι ἔφη γενναῖε, τόλμα, καὶ δέδιθι μηδέν, ἀλλὰ ἐπιδίδου τῇ τύχῃ τὰ ἱστία, καὶ δέχου τὸ πνεῦμα, πιστεύων, ὅτι καίσαρα φέρεις καὶ τὴν καίσαρος τύχην. οὕτως ἐπέπειστο τὴν τύχην αὐτῷ συμπλεῖν, συναποδημεῖν, συστρατεύεσθαι, συστρατηγεῖν· ἧς ἔργον ἦν γαλήνην μὲν ἐπιτάξαι θαλάσσῃ, θέρος δὲ χειμῶνι, τάχος δὲ τοῖς βραδυτάτοις, ἀλκὴν δὲ τοῖς ἀθυ-

μοτάτοις.

μοτάτοις. τὸ δὲ τούτων ἀπιστότερον, φυγὴν πομπηΐῳ καὶ πτολεμαίῳ ξενοκτονίαν, ἵνα καὶ πομπήϊος πέσῃ καὶ καῖσαρ μὴ μιανθῇ. τί δὲ ὁ τούτου μὲν υἱός, πρῶτος δὲ ἀναγορευθεὶς σεβαστός, ἄρξας τέσσαρα καὶ πεντήκοντα ἔτη, οὐκ αὐτὸς ἐκπέμπων τὸν θυγατριδοῦν ἐπὶ στρατείαν ηὔξατο τοῖς θεοῖς, ἀνδρίαν μὲν αὐτῷ δοῦναι τὴν σκιπίωνος, εὔνοιαν δὲ τὴν πομπηΐου, τύχην δὲ τὴν αὐτοῦ, καθάπερ ἔργῳ μεγάλῳ δημιουργὸν ἐπιγράψας ἑαυτῷ τὴν τύχην, ἥτις αὐτὸν ἐπιθεῖσα κικέρωνι, καὶ λεπίδῳ, καὶ πάνσᾳ, καὶ ἱρτίῳ, καὶ ἀντωνίῳ, καὶ μάρκῳ, ταῖς ἐκείνων ἀριστείαις καὶ χερσὶ καὶ νίκαις, καὶ στόλοις, καὶ πολέμοις, καὶ στρατοπέδοις γενόμενον πρῶτον εἰς ὕψος ἄρασα καὶ καταβαλοῦσα τούτους ἀναβῆναι μόνον, δι' ὧν ἀνέβη μόνον κατέλιπεν. ἐκείνῳ γὰρ ἐπολιτεύετο κικέρων, καὶ λέπιδος ἐστρατήγει, καὶ πάνσας ἐνίκα, καὶ ἵρτιος ἔπιπτε, καὶ ἀντώνιος ὕβριζεν. ἐγὼ γὰρ καὶ κλεοπάτραν τῇ τύχῃ καίσαρος τίθημι, περὶ ἣν ὡς ἕρμα κατέδυ, καὶ συνετρίβη τηλικοῦτος αὐτοκράτωρ, ἵνα ᾖ μόνος καῖσαρ. λέγεται δ' οὖν πολλῆς οἰκειότητος αὐτοῖς καὶ συνηθείας ὑπαρχούσης, πολλάκις σχολαζόντων εἰς παιδιὰν σφαίρας ἢ κύβων ἢ νὴ δία θρεμμάτων ἁμίλλης, οἷον ὀρτύγων ἀλεκτρυόνων ἀεὶ νικώμενον ἀντώνιον ἀπαλλάττεσθαι, καί τινα τῶν περὶ αὐτὸν ἐπὶ μαντείαις σεμνυνόμενον πολλάκις παρρησιάζεσθαι καὶ νουθετεῖν· ὦ ἄνθρωπε τί σοι πρᾶγμα πρὸς τοῦτον ἐστὶ τὸν νεανίσκον, φεῦγε αὐτόν, ἐνδοξότερος εἶ, πρεσβύτερος εἶ, ἄρχεις πλειόνων, ἐνήθληκας πολέμοις, ἐμπειρίᾳ διαφέρεις· ἀλλ' ὁ σὸς δαίμων τὸν τούτου φοβεῖται, καὶ ἡ τύχη σου καθ' ἑαυτήν ἐστι μεγάλη, κολακεύει δὲ τὴν τούτου, ἐὰν μὴ μακρὰν ᾖς, οἰχήσεται μεταβᾶσα πρὸς αὐτόν. ἀλλὰ γὰρ αἱ μὲν ἀπὸ τῶν μαρτύρων πίστεις τοσαῦται τῇ τύχῃ πάρεισι. δεῖ δὲ καὶ τὰς ἀπὸ τῶν πραγμάτων αὐτῶν εἰσάγειν, ἀρχὴν τοῦ λόγου τὴν ἀρχὴν τῆς πόλεως λαβόντας. εὐθὺς οὖν τίς οὐκ ἂν εἴποι πρὸς τὴν ῥωμύλου γένεσιν καὶ σωτηρίαν καὶ τροφὴν καὶ αὔξησιν, ἀρετῆς μὲν ὑπερβολὰς κατατεθεῖσθαι· τὴν δὲ τύχην ἐξῳκοδομηκέναι. πρῶτον μὲν οὖν τὸ περὶ τὴν γένεσιν καὶ τὴν τέκνωσιν αὐτῶν τῶν ἐνιδρυσαμένων καὶ κτισάντων τὴν πόλιν, εὐτυχίας ἔοικε θαυμαστῆς γενέσθαι. θεῷ γὰρ ἡ τεκοῦσα μιχθῆναι λέγεται, καὶ καθάπερ τὸν ἡρακλέα σπαρῆναι φασὶν ἐν μακρᾷ νυκτί, τῆς ἡμέρας ἐπισχεθείσης παρὰ φύσιν, καὶ τοῦ ἡλίου βραδύναντος, οὕτως περὶ τὴν ῥωμύλου σπορὰν καὶ καταβολήν, τὸν ἥλιον ἐκλιπεῖν ἱστοροῦσι, ποιησάμενον ἀτρεκῆ σύνοδον πρὸς σελήνην· ὥσπερ ὁ ἄρης θεὸς ὢν τῇ σιλβίᾳ θνητῇ συνῆλθε. τοῦτο δὲ συντυχεῖν τῷ ῥωμύλῳ, καὶ περὶ τὴν μετάστασιν αὐτὴν τοῦ βίου. λέγουσι γὰρ ἐκλείποντος τοῦ ἡλίου ἠφανίσθαι, νώναις καπρατίναις· ἣν ἄχρι νῦν ἡμέραν ἐπιφανῶς ἑορτάζουσιν. ἔπειτα γεννηθέντας αὐτοὺς τοῦ τυράννου αἰτοῦντος ἀνελεῖν, παρέλαβε κατὰ τύχην οὐ βάρβαρος οὐδὲ ἄγριος ὑπηρέτης, ἐλεήμων δέ τις καὶ φιλάνθρωπος· ὥστε μὴ κτεῖναι, ἀλλὰ τοῦ ποταμοῦ τις ἦν ὄχθη χλοερῷ λειμῶνι προσκλυζομένη καὶ περισκιαζομένη χθαμαλοῖς δένδρεσιν, ἐνταῦθα κατέθηκε τὰ βρέφη πλησίον ἐρινεοῦ τινος, ὃν ῥουμινάλιν ὠνόμαζον. εἶτα λύκαινα μὲν νεοτόκος σπαργῶσα καὶ πλημμυροῦσα τοὺς μαστοὺς γάλακτι, τῶν σκύμνων ἀπολωλότων, αὐτὴ χρῄζουσα κουφισμοῦ, περιέπτυξε τὰ βρέφη καὶ θηλὴν ἐπέσχεν, ὥσπερ ὠδῖνα δευτέραν ἀποτιθεμένη τὴν τοῦ γάλακτος. ἱερὸς δὲ ὄρνις ἄρεος, ὃν δρυοκολάπτην καλοῦσιν, ἐπιφοιτῶν καὶ προσκαθίζων ἀκρώνυχος ἐν μέρει τῶν νηπίων ἑκατέρου στόμα τῇ χηλῇ διοίγων ἐνετίθει ψώμισμα τῆς αὐτοῦ τροφῆς ἀπομερίζων. τὸν μὲν οὖν ἐρινεὸν ῥουμινάλιν ὠνόμασαν ἀπὸ τῆς θηλῆς, ἣν ἡ λύκαινα παρ' αὐτὸν ὀκλάσασα τοῖς βρέφεσι παρέσχε. μέχρι δὲ πολλοῦ διεφύλαττον οἱ περὶ τὸν τόπον ἐκεῖνον κατοικοῦντες, μηδὲν ἐκτιθέναι τῶν γεννωμένων, ἀλλ' ἀναιρεῖσθαι πάντα καὶ τρέφειν, τὸ ῥωμύλου πάθος καὶ τὴν ὁμοι-

ὅτητα τιμῶντες. καὶ μὴν τότε λαθεῖν αὐτοὺς ἐκφερομένους καὶ παιδευομέ-
νους ἐν γαβίοις, ἀγνοηθῆναι σιλβίας ὄντας υἱοὺς, καὶ θυγατριδοῦς νομήτορος
καὶ τοῦ βασιλέως παρὰ τύχης κλέμμα καὶ σόφισμα φαίνεται γεγενημέ-
νον, ὅπως μὴ ἀπόλωνται πρὸ τῶν ἔργων διὰ τὸ γένος, ἀλλ' ἐν αὐτοῖς φανῶσι
τοῖς κατορθώμασι, γνώρισμα τῆς εὐγενείας τὴν ἀρετὴν παρέχοντες. ἐνταῦ-
θά μοι μεγάλου καὶ φρονίμου στρατηγοῦ λόγος ἔπεισι θεμιστοκλέους, ῥηθεὶς πρός
τινας τῶν ὕστερον εὐημερησάντων ἀθήνησι στρατηγῶν, καὶ προτιμᾶσθαι τοῦ θεμι-
στοκλέους ἀξιούντων· ἔφη γὰρ τὴν ὑστεραίαν ἐρίσαι πρὸς τὴν ἑορτὴν λέγουσαν, ὡς
ἐκείνη μὲν ἔστι κομπώδης καὶ ἄσχολος, ἐν αὐτῇ δὲ τῶν παρεσκευασμένων ἀπο-
λαύουσι μεθ' ἡσυχίας· τὴν οὖν ἑορτὴν εἰπεῖν ἀληθῆ λέγεις, ἀλλ' ἐμοῦ μὴ γενομέ-
νης, ποῦ ἂν σὺ ἦσθα· κἀμοῦ τοίνυν ἔφη μὴ γενομένου περὶ τὰ μηδικὰ, τίς ἂν ὑ-
μῶν ἦν νῦν ὄνησις· τοῦτό μοι δοκεῖ πρὸς τὴν ῥωμύλου ἀρετὴν ἡ τύχη λέγειν· λαμ-
πρὰ μὲν τὰ σὰ ἔργα καὶ μεγάλα, καὶ θεῖον ὡς ἀληθῶς ἐξέφηνας αἷμα καὶ γέ-
νος οὖσαν σεαυτὴν, ἀλλ' ὁρᾷς πόσον ὑστερεῖς μου; εἰ γοῦν ἐγὼ τότε μὴ παρηκολού-
θησα χρηστὴ καὶ φιλάνθρωπος, ἀλλ' ἀπέλιπον καὶ προηκάμην τὰ νήπια, σὺ πῶς
ἂν ἐγένου καὶ πόθεν ἐξέλαμψας· εἰ τότε μὴ θῆλυ θηρίον ἐπῆλθε φλεγμαῖνον
ὑπὸ πλήθους καὶ φορᾶς γάλακτος, καὶ ἀφησομένου δεόμενον μᾶλλον ἢ θρέ-
ψοντος, ἀλλ' ἀνήμερόν τι τελέως καὶ λιμῶττον, οὐκ ἂν ἔτι νῦν τὰ καλὰ ταῦ-
τα βασίλεια καὶ ναοὶ, καὶ θέατρα, καὶ περίπατοι, καὶ ἀγορὰ, καὶ ἀρχεῖα, βοτῆ-
ρες καὶ καλύβαι καὶ σταθμοὶ νομέων ἦσαν, ἀλβανὸν, ἢ τυρρηνὸν, ἢ λατῖνον ἄνδρα
δεσπότην προσκυνούντων; ἀρχὴ μὲν δὴ τὸ μέγιστον ἐν παντὶ, μάλιστα δ' ἐν
ἱδρύσει καὶ κτίσει πόλεως· ταύτην δὲ ἡ τύχη παρέσχε, σώσασα καὶ φυλάξα-
σα τὸν κτίστην· ἡ μὲν γὰρ ἀρετὴ μέγαν ἐποίησε ῥωμύλον, ἡ τύχη δὲ ἄχρι τοῦ γε-
νέσθαι μέγαν ἐτήρησε. καὶ μὴν τήν γε νουμᾶ βασιλείαν πολυχρονιωτάτην γε-
νομένην ὁμολογουμένως εὐτυχία διεκυβέρνησε θαυμαστή. τὸ μὲν γὰρ ἐγερίαν
τινὰ νυμφῶν μίαν δρυάδων δαίμονα σοφὴν ἐρῶσάν τ' ἀνδρὸς ἐν συνουσίᾳ γενομέ-
νην παραπαιδαγωγεῖν καὶ συσχηματίζειν τὴν πολιτείαν, ἴσως μυθωδέστερόν ἐστι·
καὶ γὰρ ἄλλοι λεχθέντες ἅψασθαι γάμων θείων, καὶ θεοῖς ἐράσμιοι γενέσθαι, πη-
λεῖς καὶ ἀγχῖσαι καὶ ὠρίωνες καὶ ἠμαθίωνες, οὐ πάντως ἀγαπητῶς οὐδ' ἀλύ-
πως διεβίωσαν. ἀλλὰ νουμᾶς ἔοικε τὴν ἀγαθὴν τύχην ἔχειν, ὡς ἀληθῶς σύνοι-
κον καὶ σύνεδρον καὶ συνάρχουσαν· ἣ καθάπερ ἐν κλύδωνι θολερῷ καὶ τετα-
ραγμένῳ πελάγει, τῇ τῶν προσοίκων καὶ γειτόνων ἔχθρᾳ καὶ χαλεπότητι, τὴν
πόλιν φερομένην καὶ φλεγμαίνουσαν ὑπὸ μυρίων πόνων καὶ διχοστασιῶν παραλα-
βοῦσα, τοὺς μὲν ἀντιτεταγμένους θυμοὺς καὶ φθόνους ὥσπερ πνεύματα κατέ-
σβεσεν. οἵαν δέ φασι τὰς ἀλκυόνων λοχείας παραδεξαμένην τὴν θάλατταν ἐν χει-
μῶνι σώζειν καὶ συνεκτιθηνεῖσθαι, τοιαύτην ἀναχεαμένη καὶ περιστήσασα πραγ-
μάτων γαλήνην, καὶ ἀπόλεμον καὶ ἄνοσον καὶ ἀκίνδυνον καὶ ἄφοβον, νεοσταθεῖ
δήμῳ καὶ κραδαινομένῳ, παρέσχε ῥιζῶσαι καὶ καταστῆσαι τὴν πόλιν αὐξανο-
μένην ἐν ἡσυχίᾳ βεβαίως καὶ ἀνεμποδίστως. ὥσπερ γοῦν ὁλκὰς ἢ τριήρης, ναυ-
πηγεῖται μὲν ὑπὸ πληγῶν καὶ βίας πολλῆς, σφύραις καὶ ἥλοις ἀρασσομέ-
νη καὶ γομφώμασι καὶ πρίοσι καὶ πελέκεσι· γενομένην δὲ στῆναι δεῖ καὶ παγῆναι
σύμμετρον χρόνον, ἕως οἵ τε δεσμοὶ κάτοχοι γένωνται, καὶ συνήθειαν οἱ γόμφοι λά-
βωσιν· ἐὰν δὲ ὑγροῖς ἔτι καὶ περιολισθαίνουσι τοῖς ἁρμοῖς καταστασθῇ, πάν-
τα χαλάσει διατιναχθέντα καὶ δέξεται τὴν θάλατταν, οὕτω τὴν ῥώμην ὁ μὲν
πρῶτος ἄρχων καὶ δημιουργὸς, ἐξ ἀγρίων καὶ βοτήρων, ὥσπερ ἐκ δρυάδων κρα-
ταιῶν συνιστάμενος, οὐκ ὀλίγοις πόνοις ἔσχεν, οὐδὲ μικροῖς ἀντήρεισε πολέμοις
καὶ

καὶ κινδύνοις, ἐξ ἀνάγκης ἀμυνόμενος τοὺς ἀνθισταμένους πρὸς τὴν γένεσιν καὶ
ἵδρυσιν αὐτῆς· ὁ δὲ δεύτερος παραλαβὼν χρόνον, ἐπέσχε πῆξαι καὶ βεβαιῶ-
σαι τὴν αὔξησιν τῇ εὐτυχίᾳ, ἐπιλαβόμενος πολλῆς μὲν εἰρήνης, πολλῆς δὲ
ἡσυχίας. εἰ δὲ τότε πορσίνας τις ἐπέβρισε τυρρηνικὸν χάρακα καὶ στρα-
τόπεδον παραστήσας, τείχεσιν ὑγροῖς ἔτι καὶ κραδαινομένοις, ἤ τις ἐκ μαρσῶν
ἀποστὰς ἀρειμάνιος δυνάστης ἢ λευκανὸς ὑπὸ φθόνου καὶ φιλονεικίας, ἀνὴρ
δύσερις καὶ πολεμοποιὸς, οἷος ὕστερον μούτιλος, ἢ σίλων ὁ θρασὺς, ἢ τὸ ἔσχατον σύλ-
λα πάλαισμα, ἢ τελεσῖνος, ὃς ἐφ' ἑνὸς συνθήματος ὅλην ἐξοπλίζων τὴν ἰτα-
λίαν, τὸν φιλόσοφον νουμᾶν περιεσάλπιζε θύοντα καὶ προσευχόμενον, οὐκ ἂν
ἀντέσχον αἱ πρῶται τῆς πόλεως ἀρχαὶ πρὸς σάλον καὶ κλύδωνα τοσοῦτον, οὐ-
δὲ εἰς εὐανδρίαν καὶ πλῆθος ἐπέδωκαν· νῦν δὲ ὡς ἔοικε, τῆς πρὸς τοὺς ὕστερον
πολέμους παρασκευῆς ἐφόδιον ῥωμαίοις ἡ τότε εἰρήνη γενέσθαι. καὶ καθά-
περ ἀθλητὴς ὁ δῆμος ἐκ τῶν κατὰ ῥωμύλον ἀγώνων ἐν ἡσυχίᾳ χρόνον ἐτῶν τρι-
ῶν καὶ τετταράκοντα συμμαχήσας τὴν δύναμιν, ἀξιόμαχον καταστῆσαι τοῖς ὕστε-
ρον ἀντιταττομένοις. οὐδὲ γοῦν λιμὸν, οὐδὲ λοιμὸν, οὐδὲ ἀφορίαν γῆς, οὐδ' ἀωρίαν
τινὰ θέρους ἢ χειμῶνος ἐν τῷ τότε χρόνῳ παραλυπῆσαι τὴν ῥώμην λέγουσιν, ὡς οὐκ
ἀνθρωπίνης εὐβουλίας, ἀλλὰ θείας τύχης ἐπιτροπευούσης τῶν καιρῶν ἐκείνων.
ἐκλείσθη δ' οὖν τότε καὶ τὸ τοῦ ἰανοῦ δίπυλον, ὃ πολέμου πύλην καλοῦσιν· ἀνέῳ-
γε μὲν γὰρ ὅταν ᾖ πόλεμος, κλείεται δὲ εἰρήνης γενομένης· νουμᾶ δ' ἀποθανόν-
τος ἀνεῴχθη, τοῦ πρὸς ἀλβανοὺς πολέμου συρραγέντος. εἶτα μυρίων ἄλλων
συνεχῶς ὑπολαμβανόντων, πάλιν δι' ἐτῶν ὀγδοήκοντα καὶ τετρακοσίων ἐκ-
λείσθη κατὰ τὸν πρὸς καρχηδονίους πόλεμον, εἰρήνης γενομένης· γαΐου ἀτιλίου καὶ
τίτου ὑπάτων. μετὰ δὲ τοῦτον τὸν ἐνιαυτὸν, αὖθις ἀνεῴχθη καὶ διέμειναν οἱ πό-
λεμοι, ἄχρι τῆς ἐν ἀκτίῳ νίκης καίσαρος· τότε δὲ ἤργησε τὰ ῥωμαίων ὅπλα χρό-
νον οὐ πολύν· αἱ γὰρ ἀπὸ κανταύρων ταραχαὶ καὶ γαλατίας συρραγεῖσαι γερ-
μανοῖς, συνετάραξαν τὴν εἰρήνην. ἀλλὰ ταῦτα μὲν εὐτυχίας τῆς νουμᾶ
προσιστόρηται μαρτύρια· τὴν δὲ τύχην καὶ οἱ μετ' ἐκεῖνον ἐθαύμασαν βασιλεῖς,
ὡς πρωτόπολιν καὶ τιθηνὸν, καὶ φερέπολιν τῆς ῥώμης ἀληθῶς κατὰ πίνδα-
ρον. ἔξεστι δ' οὕτω θεωρεῖν. ἱερὸν ἔστιν ἀρετῆς ἐν ῥώμῃ τιμώμενον, ὃ οὐιρτοῦτις
αὐτοὶ καλοῦσιν, ἀλλ' ὀψὲ καὶ μετὰ πολλοὺς χρόνους ἱδρυθὲν ὑπὸ μαρκέλλου τοῦ
συρακούσας ἑλόντος. ἔστι δὲ καὶ γνώμης ἤτοι διὰ εὐβουλίας νεὼς, ἣν μέντεμ κα-
λοῦσιν, ἀλλὰ καὶ τοῦτο σκαῦρος αἰμίλιος περὶ τὰ κιμβρικὰ τοῖς χρόνοις γε-
γονὼς, καθιέρωσεν ἤδη τότε λόγων καὶ σοφισμάτων, καὶ στωμυλίας ἑλληνικῆς
εἰς τὴν πόλιν παρεισρυείσης. σοφίας δὲ ἔτι μέχρι καὶ νῦν ἱερὸν οὐκ ἔχουσιν,
οὐδὲ σωφροσύνης, οὐδὲ καρτερίας, οὐδὲ μεγαλοψυχίας, ἀλλὰ τά γε τῆς τύχης
ἱερὰ πάμπολλα καὶ παλαιὰ καὶ λαμπρὰ τιμαῖς πᾶσιν ὡς ἔπος εἰπεῖν ἐνί-
δρυται καὶ καταμέμικται τοῖς ἐπιφανεστάτοις μέρεσι καὶ τόποις τῆς πόλεως.
καὶ τὸ μὲν τῆς ἀνδρείας τύχης ἱερὸν, ἀπὸ μαρκίου αὐγούστου τετάρτου βασι-
λέως ἱδρυθὲν καὶ ὀνομασθὲν οὕτως, ὅτι πλεῖστον ἀνδρείας ἡ τύχης εἰς τὸ νικᾶν
μετέσχηκε· τὸ δὲ τῆς γυναικείας αὖθις ἀπὸ τῶν γυναικῶν, αἳ μάρκιον κοριολά-
νον ἀπέστρεψαν ἐπάγοντα τῇ ῥώμῃ πολεμίους καθοσιωθὲν οὐδεὶς ἀγνοεῖ.
σέρβιος δὲ τύλλιος ἀνὴρ τῶν βασιλέων μάλιστα καὶ τὴν δύναμιν αὐξήσας τοῦ δή-
μου, καὶ τὸ πολίτευμα κοσμήσας, καὶ τάξιν μὲν ἐπιθεὶς ταῖς ψηφοφορίαις,
τάξιν δὲ ταῖς στρατιαῖς, τιμητὴς δὲ πρῶτος καὶ βίων ἐπίσκοπος καὶ σωφροσύ-
νης γενόμενος, καὶ δοκῶν ἀνδρειότατος εἶναι καὶ φρονιμώτατος, αὐτὸς ἑαυ-
τὸν εἰς τὴν τύχην ἀνῆπτε, καὶ ἀνεδεῖτο τὴν ἡγεμονίαν ἐξ ἐκείνης, ὥς τε καὶ συνεῖ-

ναι δοκεῖν αὐτῷ τὴν τύχην, διά τινος θυρίδος καταβαίνουσαν εἰς τὸ δωμάτιον, ὃ νῦν φενεστέλλαν πύλην καλοῦσιν, ἱδρύσατο δ' οὖν τύχης ἱερόν· ἐν μὲν καπιτωλίῳ τὸ τῆς πριμιγενείας λεγομένης, ὃ πρωτογόνου τις ἂν ἑρμηνεύσειε, καὶ τὸ τῆς ὀψεκουέντης, ἣν οἱ μὲν πειθήνιον, οἱ δὲ μειλίχιον εἶναι νομίζουσι. μᾶλλον δὲ τὰς ῥωμαϊκὰς ἐάσας ὀνομασίας, ἑλληνιστὶ τὰς δυνάμεις τῶν ἱδρυμάτων πειράσομαι καταριθμήσασθαι. καὶ γὰρ ἰδίας τύχης ἱερόν ἐστιν ἐν παλατίῳ, καὶ τὸ τῆς ἰξευτρίας, εἰ καὶ γελοῖον, ἀλλ' ἔχον ἐκ μεταφορᾶς ἀναθεώρησιν, οἷον ἑλκούσης τὰ πόρρω καὶ κρατούσης συμπροσισχόμενα. παρὰ δὲ τὴν μουσκῶσαν καλουμένην κρήνην, ἔτι παρθένου τύχης ἱερόν ἐστιν· ἐν αἰσκυλίαις ἐπιστρεφομένης, ἐν δὲ τῷ μακρῷ στενωπῷ, τύχης βωμὸς εὐέλπιδος ἢ οὖ ἐλπίδος. ἔστι δὲ καὶ παρὰ τὸν τῆς ἀφροδίτης ἐπιταλαρίου βωμὸν ἄρρενος τύχης ἕδος. ἄλλαι τε μυρίαι τύχης τιμαὶ καὶ ἐπικλήσεις, ὧν τὰς πλείστας σερούιος κατέστησεν, εἰδὼς ὅτι μεγάλη ῥοπή, μᾶλλον δὲ ὅλον ἡ τύχη παρὰ πάντα ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα, καὶ μάλιστά γε αὐτοῦ δι' εὐτυχίαν, ἐξ αἰχμαλώτου καὶ πολεμίου γένους, εἰς βασιλείαν προαχθέντος. τοῦ γὰρ κορνικολάνων ἄστεος ἁλόντος ὑπὸ ῥωμαίων, ὀκρησία παρθένος αἰχμάλωτος, ἧς οὐδὲ τὴν ὄψιν οὐδὲ τὸν τρόπον ἠμαύρωσεν ἡ τύχη, δοθεῖσα ταρκυλλίδι τῇ ταρκυνίου γυναικὶ τοῦ βασιλέως, ἐδούλευε· καὶ πελάτης τις εἶχεν αὐτήν, οὓς κλιέντης ῥωμαῖοι καλοῦσιν· ἐκ τούτων ἐγεγόνει σερούιος. οἱ δὲ οὔ φασιν, ἀλλὰ παρθένον τὴν ὀκρησίαν ἀπαρχὰς ἑκάστοτε καὶ λοιβὴν ἑκάστοτε λαμβάνουσαν ἀπὸ τῆς βασιλικῆς τραπέζης, ἐπὶ τὴν ἑστίαν κομίζειν, καί ποτε τυχεῖν μὲν αὐτὴν ὥσπερ εἰώθει τῷ πυρὶ τὰς ἀπαρχὰς ἐπιβάλλουσαν, αἰφνίδιον δὲ τῆς φλογὸς μαρανθείσης, μόριον ἀνδρὸς ἀνατεῖναι γόνιμον ἐκ τῆς ἑστίας, καὶ τοῦτο τὴν κόρην τῇ ταρκυλλίδι φράσαι μόνῃ περίφοβον γενομένην, τὴν δὲ συνετὴν οὖσαν καὶ φρενήρη, κοσμῆσαί τε τὴν κόρην ὅσα νύμφαις πρέπει, καὶ συγκαθεῖρξαι τῷ φάσματι θεῖον ἡγουμένην. οἱ μὲν ἥρωος οἰκουροῦ λέγουσιν, οἱ δὲ ἡφαίστου τὸν ἔρωτα τοῦτον γενέσθαι. τίκτεται δ' οὖν σερούιος, καὶ βρέφους ὄντος ἡ κεφαλὴ, σέλας ἀστραπῇ παραπλήσιον ἀπέστραψεν. οἱ δὲ περὶ ἀντίαν οὐχ οὕτω λέγουσιν, ἀλλὰ τυχεῖν μὲν τῷ σερουίῳ τὴν γυναῖκα γεγανίαν θνήσκουσαν, αὐτὸν δὲ τῆς μητρὸς παρούσης, εἰς ὕπνον ἐκ δυσθυμίας καὶ λύπης ἀποκλιθῆναι, καὶ καθεύδοντος αὐτοῦ ταῖς γυναιξὶν ὀφθῆναι τὸ πρόσωπον αὐτοῦ πυρὶ περιλαμπόμενον, ὅπερ ἦν μαρτύριον αὐτῷ τῆς ἐκ πυρὸς γενέσεως, σημεῖον δὲ χρηστὸν ἐπὶ τὴν ἀπροσδόκητον ἡγεμονίαν, ἣν ἔτυχε μετὰ τὴν ταρκυνίου τελευτὴν ταρκυλλίδος σπουδασάσης. ἐπεὶ πάντων γε τῶν βασιλέων πρὸς μοναρχίαν οὗτος ἀφυέστατος δοκεῖ γενέσθαι καὶ ἀπροθυμότατος, ὅς γε τὴν βασιλείαν ἀποθέσθαι διανοηθεὶς, ἐκωλύθη. τελευτῶσα γὰρ ὡς ἔοικεν, ἐξώρκωσε τοῦτον ἐμμένειν τῇ ἀρχῇ, καὶ προσέσθαι τὴν πάτριον ῥωμαίων πολιτείαν. οὕτως ἡ σερουίου βασιλεία παντάπασι τῆς τύχης, ἣν ἔλαβέ τε μὴ προσδοκήσας καὶ μὴ βουλόμενος διεφύλαξεν.

ἀλλ' ἵνα μὴ δοκῶμεν ὥσπερ εἰς τόπον ἀμαυρὸν τὸν παλαιὸν χρόνον ἐκ τῶν λαμπρῶν καὶ ἐναργῶν τεκμηρίων φεύγειν καὶ ὑποχωρεῖν, φέρε τοὺς βασιλεῖς ἐάσαντες, ἐπὶ τὰς γνωριμωτάτας πράξεις καὶ τοὺς ἐπιφανεστάτους πολέμους τὸν λόγον μεταγάγωμεν. ἐν οἷς πολλὴν τόλμαν καὶ ἀνδρείαν πρὸς συνεργὸν ἀρετᾶς δεῖ μάχης, ὥς φησι τιμόθεος, τίς οὐκ ἂν ὁμολογήσειεν· ἡ δὲ εὔροια τῶν πραγμάτων καὶ τὸ ῥόθιον τῆς εἰς τοσοῦτον δύναμιν καὶ αὔξησιν ὁρμῆς, οὐ χερσὶν ἀνθρώπων οὐδ' ὁρμαῖς προχωροῦσαν ἡγεμονίαν, θείᾳ δὲ πομπῇ καὶ πνεύματι τύχης ἐπιταχυνομένης, ἐπιδείκνυται τοῖς ὀρθῶς λογιζομένοις. τρόπαια τροπαίοις ἐπανίσταται, καὶ θρίαμβοι θριάμβοις

ἀπαντῶσι, καὶ τὸ πρῶτον αἷμα τῶν ὅπλων ἔτι θερμὸν ἀποκλύζεται τῷ δευτέρῳ καταλαμβανόμενον. τὰς δὲ νίκας ἀριθμοῦσιν οὐ νεκρῶν πλήθει καὶ λαφύρων, ἀλλὰ βασιλείαις αἰχμαλώτοις, καὶ δεδουλωμένοις ἔθνεσι καὶ νήσοις καὶ ἠπείροις προσοριζομέναις τῷ μεγέθει τῆς ἡγεμονίας. μιᾷ μάχῃ φίλιππος ἀπέβαλε μακεδονίας, μιᾷ πληγῇ παρεχώρησεν ἀντίοχος ἀσίας. ἅπαξ καρχηδόνιοι σφαλέντες, ἀπώλεσαν λιβύην. εἷς ἀνὴρ μιᾶς ὁρμῇ στρατείας ἀρμενίαν προσεκτήσατο, πόντον, εὔξεινον, συρίαν, ἀραβίαν, ἀλβανούς, ἴβηρας, τὰ μέχρι καυκάσου καὶ ὑρκανῶν, καὶ τρὶς αὐτὸν ὁ περιρρέων τὴν οἰκουμένην ὠκεανὸς εἶδε νικῶντα. νομάδας μὲν ἐν λιβύῃ μέχρι τῶν μεσημβρινῶν ἀπεκόψεν ἠιόνων. ἰβηρίαν δὲ σερτωρίῳ συννοσήσασαν ἄχρι τῆς ἀτλαντικῆς κατεστρέψατο θαλάσσης. τοὺς δ' ἀλβανῶν βασιλεῖς διωκομένους περὶ τὸ κάσπιον πέλαγος ἔστησε. ταῦτα πάντα κατώρθωσε δημοσίᾳ τύχῃ χρώμενος. εἶτα ὑπὸ τῆς ἰδίας ἀνετράπη μοίρας. ὁ δὲ ῥωμαίων μέγας δαίμων οὐκ ἐφήμερος πνεύσας, οὐδὲ καιρὸν ἀκμάσας βραχὺν ὡς ὁ μακεδόνων, οὐδὲ χερσαῖος μόνον ὡς ὁ λακώνων, οὐδὲ ἐνάλιος ὡς ὁ ἀθηναίων, οὐδὲ ὀψὲ κινηθεὶς ὡς ὁ περσῶν, οὐδὲ ταχὺ παυσάμενος ὡς ὁ κολοφωνίων, ἀλλ' ἄνωθεν ἐκ πρώτων γενέσεων τῇ πόλει συνηβήσας, καὶ συναυξηθεὶς καὶ συμπολιτευσάμενος, καὶ παραμείνας βέβαιος ἐν γῇ καὶ θαλάττῃ, καὶ πολέμοις καὶ εἰρήνῃ, καὶ πρὸς βαρβάρους καὶ πρὸς ἕλληνας. οὗτος ἀννίβαν τὸν καρχηδόνιον φθόνῳ καὶ ταῖς πολιτικαῖς δυσμενείαις μηδενὸς οἴκοθεν ἐπιρρέοντος, ὥσπερ χείμαρρον ἐξέχεε καὶ κατηνάλωσε περὶ τὴν ἰταλίαν. οὗτος τὸ κίμβρων καὶ τὸ τευτόνων στράτευμα μεγάλοις διαστήμασι τόπων καὶ χρόνων ἐχώρισε, καὶ διέσπασεν, ἵν' ἀρκέσῃ μάριος ἑκατέροις ἀνὰ μέρος μαχόμενος, καὶ μὴ συμπεσοῦσαι τριάκοντα μυριάδες ἀνδρῶν ἀηττήτων καὶ ἀμάχων ὅπλων ὁμοῦ κατακλύσωσι τὴν ἰταλίαν. διὰ τοῦτον ἀντίοχος μὲν ἠσχολεῖτο πολεμουμένου φιλίππου, φίλιππος δὲ κινδυνεύοντος ἀντιόχου, προηττημένος ἔπιπτε. μιθριδάτην δὲ τοῦ μαρσικοῦ πολέμου τὴν ῥώμην ἐπιφλέγοντος, οἱ σαρματικοὶ καὶ βασταρνικοὶ πόλεμοι κατεῖχον. τιγράνην δὲ μιθριδάτου λαμπροῦ μὲν ὄντος, ὑπόνοια καὶ φθόνος ἐχώριζεν, ἡττωμένῳ δὲ συνέμιξεν ἑαυτὸν συναπολέσθαι. τί δ' οὐχὶ καὶ περὶ τὰς μεγίστας συμφορὰς ὤρθου τὴν πόλιν ἡ τύχη; κελτῶν μὲν, περὶ τὸ καπιτώλιον στρατοπεδευόντων καὶ πολιορκούντων τὴν ἀκρόπολιν, νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί. τὴν δὲ νυκτερινὴν ἔφοδον αὐτῶν λεληθότων πάντας ἀνθρώπους ἡ τύχη καὶ τὸ αὐτόματον ἔκπυστον ἐποίησε γενέσθαι, περὶ ἧς καὶ βραχέα πλείω διελθεῖν, ἴσως οὐκ ἄκαιρόν ἐστι. μετὰ τὴν ἐν ἀλλίᾳ τροπὴν ῥωμαίων μεγάλην ἧτταν, οἱ μὲν εἰς ῥώμην κατάραντες ἀπὸ τῆς φυγῆς καὶ ταραχῆς συναναπλήσαντες τὸν δῆμον, ἐξεπτόησαν καὶ διεσκέδασαν, ὀλίγων εἰς τὸ καπιτώλιον ἀνασκευασαμένων καὶ διακαρτερούντων, οἱ δὲ εὐθὺς ἀπὸ τῆς τροπῆς εἰς βηίους συναθροισθέντες, ἥρουν δικτάτορα φούριον κάμιλλον, ὃν εὐτυχῶν μὲν καὶ ὑψαυχενῶν ὁ δῆμος, ἀπεσείσατο καὶ κατέβαλε, δίκῃ περιπεσόντα δημοσίων κλοπῶν, πτήξας δὲ καὶ ταπεινωθεὶς ἀνεκάλει μετὰ τὴν ἧτταν, ἐγχειρίζων καὶ παραδιδοὺς ἀνυπεύθυνον ἡγεμονίαν. ἵνα οὖν μὴ καιρῷ δοκῇ, νόμῳ δὲ λαμβάνειν ὁ ἀνήρ, μηδ' ὡς ἀπεγνωκὼς τὴν πόλιν, ὅπλοις ἀρχαιρεσιάζῃ τὰ τοῦ στρατοῦ σποράδος καὶ πλανήτης, ἔδει τοὺς ἐν καπιτωλίῳ βουλευτὰς ἐπιψηφίσασθαι τὴν τῶν στρατιωτῶν γνώμην μαθόντας. ἦν οὖν γάιος πόντιος ἀνὴρ ἀγαθός, καὶ τῶν δεδογμένων αὐτάγγελος ὑποστὰς ἔσεσθαι τοῖς ἐν καπιτωλίῳ, μέγαν ἀνεδέξατο κίνδυνον. ἡ γὰρ ὁδὸς ἦν διὰ τῶν πολεμίων κύκλῳ φυλακαῖς καὶ χάραξι τὴν ἄκραν περιεχόντων.

ὡς οὖν ἦλθε τὸν ποταμὸν νύκτωρ, φελλοὺς πλατεῖς ὑποζωνισάμενος, καὶ τὸ σῶμα τῇ κουφότητι τοῦ ἐρείσματος παραθέμενος, ἀφῆκε τῷ ῥεύματι. τυχὼν δὲ πράου καὶ σχολαίως ὑποφέροντος, ἥψατο τῆς ἀντιπέρας ὄχθης ἀσφαλῶς, καὶ ἀποβὰς ἐχώρει πρὸς τὸ τῶν φώτων διάκενον. τῷ τε σκότῳ καὶ τῇ σιωπῇ τὴν ἐρημίαν τεκμαιρόμενος, ἐμφὺς δὲ τῷ κρημνῷ καὶ ταῖς δεχομέναις τὴν ἐπίβασιν καὶ παρεχούσαις ἀντίληψιν ἐγκλίσεσι καὶ περιαγωγαῖς καὶ τραχύτησι τῆς πέτρας παραδιδοὺς ἑαυτὸν καὶ ἐπερεισάμενος, ἐξίκετο πρὸς τὸ ἀντιπέρας, καὶ ἀναληφθεὶς ὑπὸ τῶν προφυλάκων, ἐδήλωσε τοῖς ἔσω τὰ δεδογμένα, καὶ λαβὼν τὸ ψήφισμα, πάλιν ᾤχετο πρὸς τὸν Κάμιλλον. ἡμέρας δὲ τῶν βαρβάρων τις ἄλλως τὸν τόπον περιιών, ὡς εἶδε τοῦτο μὲν ἴχνη ποδῶν ἀκρώνυχα καὶ περιολισθήσεις, τοῦτο δὲ ἀποτριβὰς καὶ περικλάσεις τῆς ἐπιβλαστανούσης τοῖς γεώδεσι πόας, ὁλκούς τε σώματος καὶ πλαγίους ἀπερείσεις, ἔφραζε τοῖς ἄλλοις. οἱ δὲ δείκνυσθαι τὴν ὁδὸν αὐτοῖς ὑπὸ τῶν πολεμίων νομίζοντες, ἐπεχείρουν ἁμιλλᾶσθαι, καὶ τῆς νυκτὸς τὸ ἐρημότατον διαφυλάξαντες, ἀνέβησαν λαθόντες οὐ μόνον τοὺς φύλακας, ἀλλὰ καὶ τοὺς συνέργους καὶ προπόλους τῆς φρουρᾶς κύνας ὕπνῳ κρατηθέντας. οὐ μὴν ἠπόρησε φωνῆς ἡ τῆς Ῥώμης τύχη κακὸν τοσοῦτον μηνῦσαι καὶ φράσαι δυναμένης. χῆνες ἱεροὶ περὶ τὸν νεὼν τῆς Ἥρας ἐτρέφοντο θεραπεύοντες τὴν θεόν. φύσει μὲν οὖν τὸ ζῷον εὐθορύβητόν ἐστι καὶ ψοφοδεές. τότε δὲ συντόνου περὶ τοὺς ἔνδον οὔσης ἀπορίας ἀμελουμένων αὐτῶν, λεπτὸς ἦν καὶ λιμώδης ὁ ὕπνος, ὥστε εὐθὺς ᾔσθοντο τῶν πολεμίων ὑπερφανέντων τῆς στεφάνης, καὶ καταβοῶντες ἰταμῶς προσεφέροντο, καὶ τῇ τῶν ὅπλων ὄψει μᾶλλον ἐκταραττόμενοι, κλαγγῆς διατόνου καὶ τραχείας ἐνεπεπλήκεσαν τὸν τόπον, ὑφ' ἧς ἀναστάντες οἱ Ῥωμαῖοι καὶ συμφρονήσαντες τὸ γινόμενον ἐώσαντο καὶ κατεκρήμνισαν τοὺς πολεμίους. πομπεύει δὲ μέχρι νῦν ἐπὶ μνήμῃ τῶν τότε συμπτωμάτων ἡ τύχη, κύων μὲν ἀνεσταυρωμένος, χὴν δὲ μάλα σεμνῶς ἐπὶ στρωμνῆς πολυτελοῦς καὶ φορείου καθήμενος. ἡ δὲ ὄψις ἐπιδείκνυται τύχης ἰσχύν, καὶ πρὸς ἅπαν εὐπορίαν ἐκ τῶν παραλόγων ὅταν τι πραγματεύηται καὶ στρατηγῇ, νοῦν μὲν ἀλόγοις καὶ ἄφροσιν, ἀλκὴν δὲ καὶ θάρσος δειλοῖς ἐντιθείσης. τίς γὰρ οὐκ ἂν ὡς ἀληθῶς ἐκ πλατείας καὶ τὴν θαυμάσειεν ἐμπαθὴς γενόμενος, καὶ λογισμῷ τινι τὴν τότε κατήφειαν καὶ τὴν ὑπάρχουσαν εὐδαιμονίαν τῆς πόλ. περιλαβὼν καὶ ἀποβλέψας αὐτῆς λαμπρότητα καὶ πλοῦτον ἀναθημάτων, καὶ τεχνῶν ἁμίλλας, καὶ φιλοτιμίας πόλεων, καὶ στεφάνους βασιλέων, καὶ ὅσα γῆ φέρει καὶ θάλαττα, καὶ νῆσοι, καὶ ἤπειροι, καὶ ποταμοί, καὶ δένδρα, καὶ ζῷα, καὶ πεδία, καὶ ὄρη, καὶ μέταλλα, πάντων ἀπαρχὰς ὡραϊζούσας εἰς κάλλος ὄψει, καὶ χάριτι κοσμούσης τὸν τόπον, ὡς ταῦτα παρὰ μικρὸν ἦλθε μὴ γενέσθαι μηδὲ εἶναι, πυρὶ δὲ καὶ σκότει φοβερῷ, καὶ ὄρφνῃ καὶ ξίφεσι βαρβαρικοῖς, καὶ μιαιφόνοις θυμοῖς κρατουμένων πάντων, εὐτελῆ καὶ ἄλογα καὶ ἄτολμα θρέμματα σωτηρίας ἀρχὴν παρέσχε, καὶ τοὺς μεγάλους ἐκείνους ἀριστεῖς καὶ ἡγεμόνας Μαλλίους, καὶ Σερβιλίους, καὶ Ποστουμίους, καὶ Παπιρίους, τοὺς αὖθις οἴκων γενάρχας, παρ' οὐδὲν ἥκοντας ἀπολέσθαι, χῆνες ἀνέστησαν ὑπὲρ τοῦ πατρίου θεοῦ καὶ τῆς πατρίδος ἀμυνουμένους. εἰ δ' ὥσπερ Πολύβιος ἐν τῇ δευτέρᾳ βίβλῳ περὶ τῶν τότε τὴν Ῥωμαίων πόλιν καταλαβόντων ἱστόρηκε Κελτῶν ἀληθές ἐστιν, ὅτι προσπεσούσης αὐτοῖς ἀγγελίας φθείρεσθαι τὰ οἴκοι ὑπὸ τῶν προσοίκων βαρβάρων, ἐμβεβληκότων εἰς τὴν χώραν καὶ κρατούντων, ἀνεχώρησαν εἰρήνην θέμενοι πρὸς τὸν Κάμιλλον, οὐδὲ ἀμφισβήτησίς ἐστι πρὸς τὴν τύχην, ὡς οὐχὶ τῆς σωτηρίας αἰτία κατέστη, περισπάσασα τοὺς πο-

λεμίους, μᾶλλον δὲ ἀποσπάσασα τῆς Ῥώμης ἀπροσδοκήτως. ἀλλὰ τί δεῖ περὶ ταῦτα διατρίβειν ἀσαφὲς οὐδὲν οὐδὲ ὡρισμένον ἔχει, ὅτι καὶ τὰ πράγματα διαφθαρῆναι τῶν Ῥωμαίων καὶ συγχυθῆναι τοὺς ὑπ' αὐτῶν ὑπομνηματισμούς, ὡς Λίβιος ἱστόρηκε, τὰ γὰρ ὕστερον μᾶλλον ὄντα δῆλα καὶ καταφανῆ, δεικνύει τὴν τύχης εὐμένειαν. ἐγὼ δὲ τίθημι καὶ τὴν Ἀλεξάνδρου τελευτήν, ἀνδρὸς εὐτυχήμασι μεγάλοις καὶ κατορθώμασι λαμπροῖς ὑπὸ θάρσους ἀμάχου καὶ φρονήματος, ὥσπερ ἄστρου φερομένου καὶ διάττοντος ἐπὶ δυσμὰς ἐξανατέλλων, καὶ βάλλοντος ἤδη τὰς τῶν ὅπλων αὐγὰς εἰς τὴν Ἰταλίαν, ὡς πρόφασις μὲν ἦν αὐτῷ τῆς στρατείας ὁ Μολοττὸς Ἀλέξανδρος, ὑπὸ Βρεττίων καὶ Λευκανῶν περὶ Πανδοσίαν κατακεκομμένος. ὁ δὲ ἄγων αὐτὸν ἔρως ἀληθῶς, ὡς καὶ πάντας ἀνθρώπους, δόξης ἔρως καὶ ἡγεμονίας ζῆλον ἔχων καὶ ἅμιλλαν, ὑπερβαλέσθαι τὰ Διονύσου καὶ Ἡρακλέους πέρατα τῆς στρατηλασίας. τῆς δὲ Ἰταλίας ἐπυνθάνετο τὴν Ῥώμην δύναμιν καὶ ἀλκὴν ὥσπερ στόμωμα προτεταγμένην. ὄνομα γὰρ καὶ δόξα λαμπροτάτη διεπέμπετο πρὸς αὐτὸν ὥσπερ ἀθλητῶν μυρίοις ἐγγεγυμνασμένων πολέμοις. ἐγὼ δ' ἀναιμωτί γε διακεκρίσθαι εἴω, συμπεσόντων ὅπλοις ἀνικήτοις φρονημάτων ἀδουλώτων. πλῆθος μὲν γὰρ ἦσαν οὐ μεῖον τρισκαίδεκα μυριάδων οὐκ ἐλάττους, πολεμικοὶ δὲ καὶ ἀνδρώδεις ἅπαντες, ἐπιστάμενοι μὲν ἀφ' ἵππων ἀνδράσι μάρνασθαι, καὶ ὅθι χρὴ πεζὸν ἐόντα.

ΠΕΡΙ ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΥΧΗΣ Η ΑΡΕΤΗΣ ΛΟΓΟΣ Α.

Υτος ὁ τῆς τύχης λόγος ἐστίν, ἴδιον καὶ μόνης αὐτῆς ἔργον ἀποφαινομένης Ἀλέξανδρον. δεῖ δὲ ἀντειπεῖν ὑπὲρ φιλοσοφίας, μᾶλλον δὲ ὑπὲρ Ἀλεξάνδρου δυσχεραίνοντος καὶ ἀγανακτοῦντος, εἰ προῖκα δόξει καὶ παρὰ τῆς τύχης λαβεῖν τὴν ἡγεμονίαν, ἣν ὤνιον αἵματος πολλοῦ καὶ τραυμάτων ἐπαλλήλων κτώμενος, πολλὰς μὲν ἀύπνους νύκτας ἴαυον, ἤματα δ' αἱματόεντα διέπρησσε πολεμίζων, πρὸς ἀμάχους δυνάμεις καὶ ἄπειρα φῦλα, καὶ ποταμοὺς ἀπεράτους, καὶ πέτρας ἀτοξεύτους, εὐβουλίᾳ, καὶ καρτερίᾳ, καὶ ἀνδρείᾳ, καὶ σωφροσύνῃ παραπεμπόμενος. οἶμαι δ' ἂν αὐτὸν εἰπεῖν πρὸς τὴν τύχην τοῖς κατορθώμασιν αὐτὴν ἐπιγραφομένην. μή μου διάβαλλε τὴν ἀρετήν, μηδὲ ἀφαιροῦ περισπῶσα τὴν δόξαν. Δαρεῖος ἦν σὸν ἔργον, ὃν ἐκ δούλου καὶ ἀστάνδου βασιλέως κύριον Περσῶν ἐποίησας. καὶ Σαρδανάπαλος, ᾧ τὸ διάδημα τῆς βασιλείας πορφύραν ξαίνοντι περιέθηκας. ἐγὼ δὲ εἰς Σοῦσαν νικῶν δι' Ἀρβήλων ἀναβέβηκα, καὶ Κιλικία μοι πλατεῖαν ἀνέῳξεν Αἴγυπτον, Κιλικίαν δὲ Γρανικός, ὃν Μιθριδάτῃ καὶ Σπιθριδάτῃ νεκροῖς ἐπιβὰς διεπέρασα. κόσμει σεαυτὴν καὶ σεμνύνου βασιλεῦσιν ἀτρώτοις καὶ ἀναιμάκτοις. ἐκεῖνοι γὰρ εὐτυχεῖς ἦσαν, Ὦχοι καὶ Ἀρταξέρξαι, οὓς εὐθὺς ἐκ γενετῆς ἐπὶ τὸν Κύρου θρόνον ὑπὸ σοῦ ἱδρύσας. τοὐμὸν δὲ σῶμα πολλὰ σύμβολα φέρει τύχης ἀνταγωνιζομένης, οὐ συμμαχούσης. πρῶτον ἐν Ἰλλυριοῖς λίθῳ τὴν κεφαλήν, ὑπέρῳ δὲ τὸν τράχηλον ἠλοήθην. ἔπειτα περὶ Γρανικὸν τὴν κεφαλὴν βαρβαρικῇ μαχαίρᾳ διεκόπην, ἐν δὲ Ἰσσῷ ξίφει τὸν μηρόν, πρὸς δὲ Γάζῃ τὸν μὲν σφυρὸν ἐτοξεύθην, τὸν δὲ ὦμον ἐκπεσὼν ἐξ ἕδρας βαρὺς περιεδινήθην. πρὸς δὲ Μαρακανδεῖς τοξεύματι τῆς κνήμης τὸ ὀστέον διεσχίσθην. τὰ λοιπὰ δὲ Ἰνδῶν πληγαί, καὶ βίαι θυμῶν. ἐν Ἀσπασίοις ὦμον ἐτοξεύθην, ἐν δὲ Γανδρίδαις τὸ σκέλος. ἐν δὲ Μαλλοῖς βέλει μὲν ἀπὸ τόξου τὸ στέρνον ἐνερεισθέν τι καὶ καταδῦσαν τὴ

τὸν σίδηρον, ὕστερον δὲ πληγῇ παρὰ τὸν τράχηλον, ὅτε προστεθεῖσαι τοῖς τείχε-
σιν αἱ κλίμακες ἐκλάσθησαν, ἐμὲ δὲ ἡ τύχη μόνον συνεῖρξεν, οὐδὲ λαμπροῖς ἀν-
ταγωνισταῖς, ἀλλὰ βαρβάροις ἀσήμοις χαριζομένη τηλικοῦτον ἔργον. εἰ δὲ μὴ
Πτολεμαῖος ὑπερέσχε τὴν πέλτην, Λιμναῖος δὲ πρὸ ἐμοῦ μυρίοις ἀπαντή-
σας βέλεσιν ἔπεσεν, ἤρειψαν δὲ θυμῷ καὶ βίᾳ Μακεδόνες τὸ τεῖχος, ἔδει τάφον
Ἀλεξάνδρου τὴν βάρβαρον ἐκείνην καὶ ἀνώνυμον κώμην γενέσθαι. Καὶ μὴν
τὰ μὲν αὐτῆς τῆς στρατείας, χειμῶνες, αὐχμοί, βάθη ποταμῶν, ἄορνα ὕψη,
θηρίων ὑπερφυεῖς ὄψεις, ἄγριοι δίαιται, μεταβολαὶ δυναστῶν, πάλιν προδο-
σίαι. τὰ δὲ πρὸ τῆς στρατείας, ἐπὶ τοῖς φιλιππικοῖς πολέμοις ἐπέσπαιρεν ἡ
Ἑλλάς, ἀπεσείοντο δὲ αἱ Θῆβαι τῶν ὅπλων τὴν χαιρωνικὴν κόνιν, ἐκ τοῦ πτώμα-
τος ἀνιστάμεναι, καὶ συνῆπτον αἱ Ἀθῆναι τὰς χεῖρας ὀρέγουσαι, πᾶσα δὲ ὕπου-
λος ἡ Μακεδονία πρὸς Ἀμύνταν ἀναποβλέπουσα καὶ τοὺς Ἀερόπου παῖδας, ἀνέρ-
ρηγνυντο δὲ Ἰλλυριοί, καὶ τὰ Σκυθῶν ἐπῃωρεῖτο τοῖς προσοίκοις νεωτερίζουσι. τὸ δὲ
περσικὸν χρυσίον διὰ τῶν ἑκασταχοῦ δημαγωγῶν ῥέον, ἐκίνει τὴν Πελοπόννησον. κε-
νοὶ δὲ οἱ Φιλίππου θησαυροὶ χρημάτων καὶ προσῆν ἔτι δάνειον, ὡς Ὀνησίκριτος
ἱστορεῖ, διακοσίων ταλάντων. Ἐν τοσαύτῃ πενίᾳ καὶ πράγμασι ταραχὰς ἔχου-
σι, μειράκιον ἄρτι τὴν παιδικὴν παραλλάττον ἡλικίαν, ἐθάρρησεν ἐλπίσαι Βα-
βυλῶνα καὶ Σοῦσα, μᾶλλον δὲ τὴν πάντων ἀνθρώπων ἀρχὴν εἰς νοῦν ἐμβαλέσθαι, τοῖς
τρισμυρίοις οἴεσθε πεζοῖς καὶ τετρακισχιλίοις ἱππεῦσι πιστεύσας; τοσοῦτοι γὰρ ἦ-
σαν, ὡς Ἀριστόβουλός φησιν. ὡς δὲ Πτολεμαῖος ὁ βασιλεύς, τρισμύριοι πεζοί, πεν-
τακισχίλιοι δὲ ἱππεῖς. ὡς δὲ Ἀναξιμένης, τετρακισμύριοι πεζοὶ καὶ τρισχίλιοι, πεντα-
κισχίλιοι δὲ καὶ πεντακόσιοι ἱππεῖς. Τὸ δὲ λαμπρὸν αὐτῷ καὶ μέγα παρασκευασθὲν ὑπὸ
τῆς τύχης ἐφόδιον, ἑβδομήκοντα τάλαντα ἦν, ὥς φησιν Ἀριστόβουλος. ὡς δὲ Δοῦ-
ρις, τριάκοντα μόνων ἡμερῶν ἐπισιτισμός. Ἄβουλος οὖν καὶ προπετὴς Ἀλέξαν-
δρος ἐξ εὐτελῶν οὕτως ἐπὶ τηλικαύτην δύναμιν ὁρμώμενος; οὐ μὲν οὖν. τίς γὰρ
ἀπὸ μειζόνων ἢ καλλιόνων ἀφορμῶν ἀνήγετο, μεγαλοψυχίας, συνέσεως, σω-
φροσύνης, ἀνδραγαθίας, οἷς αὐτὸν ἐφωδίαζε φιλοσοφία πρὸς τὴν στρατείαν,
καὶ πλείονας παρὰ Ἀριστοτέλους τοῦ καθηγητοῦ ἢ παρὰ Φιλίππου τοῦ πα-
τρὸς ἀφορμὰς ἔχων, διέβαινεν ἐπὶ Πέρσας. Ἀλλὰ τοῖς μὲν γράφουσιν ὡς Ἀλέ-
ξανδρος ἔφη ποτὲ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν ἀκολουθεῖν αὐτῷ τῆς στρατεί-
ας ἐφόδιον, πιστεύομεν Ὅμηρον σεμνύνοντες. ἂν δέ τις φῇ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσ-
σειαν παραμύθιον πόνου καὶ διατριβῆς ἕπεσθαι καὶ σχολῆς γλυκείας, ἐφό-
διον δὲ ἀληθῶς γεγονέναι τὸν ἐκ φιλοσοφίας λόγον, καὶ τοὺς περὶ ἀφοβί-
ας καὶ ἀνδρίας, ἔτι δὲ σωφροσύνης καὶ μεγαλοψυχίας ὑπομνηματισμούς,
καταφρονοῦμεν. ὅτι δηλαδὴ περὶ συλλογισμῶν οὐδὲν οὐδὲ περὶ ἀξιωμάτων ἔγρα-
ψεν, οὐδ' ἐν Λυκείῳ περίπατον συνέχων, οὐδ' ἐν Ἀκαδημίᾳ θέσεις εἶπεν. τούτοις
γὰρ ὁρίζουσι φιλοσοφίαν, οἱ λόγον αὐτὴν οὐκ ἔργον νομίζοντες. καίτοι γε
οὐδὲ Πυθαγόρας ἔγραψεν οὐδέν, οὐδὲ Σωκράτης, οὐδὲ Ἀρκεσίλαος, οὐδὲ Καρνεά-
δης, οἱ δοκιμώτατοι τῶν φιλοσόφων, καὶ οὐκ ἠσχολοῦντο πολέμοις ἐκεῖνοι τη-
λικούτοις, οὐδὲ βασιλεῖς βαρβάρους ἡμεροῦντες, οὐδὲ πόλεις ἑλληνίδας ἐπι-
κτίζοντες ἀγρίοις ἔθνεσιν, οὐδὲ ἄθεσμα καὶ ἀνήκοα φῦλα νόμους διδάσκοντες
καὶ εἰρήνην ἐπῄεσαν. ἀλλὰ καὶ σχολάζοντες, τὸ γράφειν παρίεσαν τοῖς σοφισταῖς.
πόθεν οὖν ἐπιστεύθησαν ἐκεῖνοι φιλοσοφεῖν; ἀφ' ὧν εἶπον, ἢ ἀφ' ὧν ἐβίωσαν, ἢ ἀφ'
ὧν ἐδίδαξαν, ἀπὸ τούτων κρινέσθω καὶ Ἀλέξανδρος. ὀφθήσεται γὰρ οἷς εἶπεν,
οἷς ἔπραξεν, οἷς ἐπαίδευσε φιλόσοφος. καὶ πρῶτον, εἰ βούλει, τὸ παραδοξότατον ἀντιπαρά-
σκοπει τοὺς Ἀλεξάνδρου μαθητάς, τοῖς Πλάτωνος, τοῖς Σωκράτους

βάλλων. Εὐφυεῖς οὗτοι καὶ ὁμογλώσσους ἐπαίδευον, εἰ μηδὲν ἄλλο, φωνῆς
ἑλληνίδος συνιέντας, καὶ πολλοὺς οὐκ ἔπεισαν, ἀλλὰ Κριτίαι καὶ Ἀλκιβιάδαι
καὶ Κλειτοφῶντες, ὥσπερ χαλινὸν τὸν λόγον ἐκπτύσαντες, ἄλλῃ παρεξετράπησαν.
Τὴν δὲ Ἀλεξάνδρου παιδείαν ἂν ἐπιβλέπῃς, Ὑρκανοὺς γαμεῖν ἐπαίδευσε, καὶ
γεωργεῖν ἐδίδαξεν Ἀραχωσίους, καὶ Σογδιανοὺς ἔπεισε πατέρας τρέφειν καὶ μὴ
φονεύειν, καὶ Πέρσας σέβεσθαι μητέρας, ἀλλὰ μὴ γαμεῖν. Ὢ θαυμαστῆς φι-
λοσοφίας, δι' ἣν Ἰνδοὶ θεοὺς ἑλληνικοὺς προσκυνοῦσι, Σκύθαι θάπτουσι τοὺς ἀπο-
θανόντας, οὐ κατεσθίουσι. Θαυμάζομεν τὴν Καρνεάδου δύναμιν, εἰ Κλειτόμα-
χον, Ἀσδρούβαν καλούμενον πρότερον, καὶ Καρχηδόνιον τὸ γένος ἑλληνίζειν ἐποί-
ησε. θαυμάζομεν τὴν διάθεσιν Ζήνωνος, εἰ Διογένη τὸν Βαβυλώνιον ἔπεισε φιλο-
σοφεῖν. ἀλλ' Ἀλεξάνδρου τὴν Ἀσίαν ἐξημεροῦντος, Ὅμηρος ἦν ἀνάγνωσμα, καὶ Περσῶν
καὶ Σουσιανῶν καὶ Γεδρωσίων παῖδες, τὰς Εὐριπίδου καὶ Σοφοκλέους τραγῳδί-
ας ᾖδον. Καὶ Σωκράτης μὲν ξένα παρεισάγων δαιμόνια, δίκην τοῖς Ἀθήνησιν
ὠφλίσκανε συκοφάνταις. διὰ δὲ Ἀλέξανδρον, τοὺς Ἑλλήνων θεοὺς Βάκτρα καὶ
Καύκασος προσεκύνησε. Πλάτων μὲν μίαν γράψας πολιτείαν, οὐδένα
πέπεικεν αὐτῇ χρῆσθαι διὰ τὸ αὐστηρόν. Ἀλέξανδρος δὲ ὑπὲρ ἑβδομήκοντα πό-
λεις βαρβάροις ἔθνεσιν ἐγκτίσας, καὶ κατασπείρας τὴν Ἀσίαν ἑλληνικοῖς τέ-
λεσι, τῆς ἀνημέρου καὶ θηριώδους ἐκράτησε διαίτης. Καὶ τοὺς μὲν Πλάτωνος
ὀλίγοι νόμους ἀναγινώσκομεν. τοῖς δὲ Ἀλεξάνδρου, μυριάδες ἀνθρώπων ἐχρή-
σαντο καὶ χρῶνται. μακαριώτεροι τῶν διαφυγόντων Ἀλέξανδρον οἱ κρατηθέν-
τες γενόμενοι. τοὺς μὲν γὰρ οὐδεὶς ἔπαυσεν ἀθλίως ζῶντας. τοὺς δὲ ἠνάγκασεν
εὐδαιμονεῖν ὁ νικήσας. Ὥστε ὅπερ εἶπε Θεμιστοκλῆς, ὁ ἡνίκα φυγὼν ἔτυ-
χε δωρεῶν μεγάλων παρὰ βασιλέως, καὶ τρεῖς πόλεις ὑποφόρους ἔλαβε, τὴν
μὲν εἰς σῖτον, τὴν δ' εἰς οἶνον, τὴν δ' εἰς ὄψον. ὦ παῖδες ἀπωλόμεθα ἄν, εἰ μὴ ἀπω-
λόμεθα, τοῦτο περὶ τῶν ἁλόντων ὑπ' Ἀλεξάνδρου δικαιότερόν ἐστιν εἰπεῖν. Οὐκ
ἂν ἡμερώθησαν εἰ μὴ ἐκρατήθησαν. οὐκ ἂν εἶχεν Ἀλεξάνδρειαν Αἴγυπτος, οὐδὲ
Μεσοποταμία Σελεύκειαν, οὐδὲ Προφθασίαν Σογδιανοί, οὐδ' Ἰνδία Βουκεφαλί-
αν, οὐδὲ πόλιν ἑλλάδα Καύκασος περιοικοῦσαν. αἷς ἐμπολισθείσαις ἐσβέσθη τὸ
ἄγριον, καὶ μετέβαλε τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος ἐθιζόμενον. Εἰ τοίνυν μέ-
γιστον μὲν οἱ φιλόσοφοι φρονοῦσιν ἐπὶ τῷ τὰ σκληρὰ καὶ ἀπαίδευτα τῶν ἠθῶν
ἐξημεροῦν καὶ μεθαρμόζειν, μυρία δὲ φαίνεται γένη καὶ φύσεις θηριώδεις μετα-
βαλὼν Ἀλέξανδρος, εἰκότως ἂν φιλοσοφώτατος νομίζοιτο. Καὶ μὴν ἡ πολὺ
θαυμαζομένη πολιτεία τοῦ τὴν Στωϊκῶν αἵρεσιν καταβαλλομένου Ζήνωνος, εἰς ἓν τοῦ-
το συντείνει κεφάλαιον. ἵνα μὴ κατὰ πόλεις μηδὲ δήμους οἰκῶμεν, ἰδίοις ἕκα-
στοι διωρισμένοι δικαίοις, ἀλλὰ πάντας ἀνθρώπους ἡγώμεθα δημότας καὶ πο-
λίτας. εἷς δὲ βίος ᾖ καὶ κόσμος, ὥσπερ ἀγέλης συννόμου νόμῳ κοινῷ συντρεφο-
μένης. τοῦτο Ζήνων μὲν ἔγραψεν ὥσπερ ὄναρ ἢ εἴδωλον εὐνομίας φιλοσόφου καὶ πο-
λιτείας ἀνατυπωσάμενος. Ἀλέξανδρος δὲ τῷ λόγῳ τὸ ἔργον παρέσχεν. οὐ γὰρ
ὡς Ἀριστοτέλης συνεβούλευεν αὐτῷ, τοῖς μὲν Ἕλλησιν ἡγεμονικῶς, τοῖς δὲ βαρβά-
ροις δεσποτικῶς χρώμενος, καὶ τῶν μὲν ὡς φίλων καὶ οἰκείων ἐπιμελούμενος, τοῖς
δὲ ὡς ζώοις ἢ φυτοῖς προσφερόμενος, πολεμοποιῶν φυγῶν ἐνέπλησε καὶ στάσε-
ων ὑπούλων τὴν ἡγεμονίαν. ἀλλὰ κοινὸς ἥκειν θεόθεν ἁρμοστὴς καὶ διαλλακτὴς τῶν
ὅλων νομίζων, οὓς τῷ λόγῳ μὴ συνῆγε, τοῖς ὅπλοις βιαζόμενος, εἰς τὸ αὐτὸ συνε-
νεγκὼν τὰ πανταχόθεν, ὥσπερ ἐν κρατῆρι φιλοτησίῳ, μίξας τοὺς βίους καὶ τὰ ἤ-
θη, καὶ τοὺς γάμους καὶ διαίτας. πατρίδα μὲν τὴν οἰκουμένην προσέταξεν ἡγεῖσθαι πάν-
τας, ἀκρόπολιν δὲ καὶ φρουρὰν τὸ στρατόπεδον. συγγενεῖς δὲ τοὺς ἀγαθούς. ἀλλο-

φύλους ἢ τοὺς πονηρούς. τὸ δὲ ἑλληνικὸν καὶ βαρβαρικὸν, μὴ χλαμύδι, μὴ πέλτῃ, μὴ δὲ ἀκινάκῃ, μὴ δὲ κάνδυϊ διορίζειν· ἀλλὰ τὸ μὲν ἑλληνικὸν ἀρετῇ, τὸ δὲ βαρβαρικὸν κακίᾳ τεκμαίρεσθαι· κοινὰς δὲ τὰς ἐσθῆτας ἡγεῖσθαι καὶ τραπέζας, καὶ γάμους καὶ διαίτας, δι' αἵματος καὶ τέκνων ἀνακεραννυμένους. Δημάρατος μὲν οὖν ὁ κορίνθιος εἷς ὢν τῶν φιλίππου ξένων καὶ φίλων, ὅτε ἀλέξανδρον εἶδεν ἐν σούσοις περιχαρὴς γενόμενος καὶ δακρύσας, μεγάλης ἔφη χαρᾶς ἐστερῆσθαι τοὺς ἔμπροσθεν τεθνηκότας ἕλληνας, ὅτι ἀλέξανδρον οὐκ εἶδον ἐν τῷ δαρείου θρόνῳ καθήμενον. ἐγὼ δὲ οὐ τοῦτον μὰ δία τοῦ θεάματος ζηλῶ τοὺς ἰδόντας, ὃ καὶ τῆς τύχης ἦν καὶ κοινοτέρων βασιλέων, ἀλλ' ἐκείνης ἡδέως ἄν μοι δοκῶ γενέσθαι τῆς καλῆς καὶ ἱερᾶς νυμφαγωγίας θεατὴς, ὅτε μιᾷ σκηνῇ χρυσορόφῳ περιλαβὼν ἐφέστιον κοινῆς καὶ τραπέζης, ἑκατὸν περσίδας νύμφας, ἑκατὸν νυμφίοις μακεδόνας καὶ ἕλληνας, αὐτὸς ἐστεφανωμένος πρῶτος ἀναμέλπων τὸν ὑμέναιον, ὥσπερ φιλοτήσιον ἐπᾴδων μέλος, εἰς κοινωνίαν συνιοῦσι τοῖς μεγίστοις καὶ δυνατωτάτοις γένεσι, μιᾶς νυμφίος, πασῶν δὲ νυμφαγωγὸς ἅμα καὶ πατὴρ καὶ ἁρμοστὴς κατὰ ζυγὰ συνῆπτεν, ἡδέως γ' ἂν εἶπεν. ὦ βάρβαρε ξέρξη καὶ ἀνόητε καὶ μάτην πολλὰ περὶ τὴν ἑλλησποντίαν πονηθεὶς γέφυραν· οὕτως ἔμφρονες βασιλεῖς ἀσίαν εὐρώπῃ συνάπτουσι, οὐ ξύλοις, οὐδὲ σχεδίαις, οὐδὲ ἀψύχοις καὶ ἀσυμπαθέσι δεσμοῖς, ἀλλ' ἔρωτι νομίμῳ καὶ γάμοις σώφροσι· καὶ κοινωνίαις παίδων τὰ γένη συνάπτοντες. πρὸς τοῦτο ἀποβλέπων τὸν κόσμον ἀλέξανδρος οὐ τὴν ἐσθῆτα προσήκατο τὴν περσικὴν πολλῷ τῆς μηδικῆς εὐτελεστέραν οὖσαν. τὰ γὰρ ἔξαλλα καὶ τραγικὰ τοῦ βαρβαρικοῦ κόσμου παραιτησάμενος, οἷον τιάραν καὶ κάνδυν καὶ ἀναξυρίδας, ἐκ τοῦ μακεδονικοῦ καὶ περσικοῦ τρόπου μεμιγμένην τινὰ στολὴν ἐφόρει, καθάπερ ἐρατοσθένης ἱστόρηκεν· ὡς μὲν φιλόσοφος, τοῖς ἀδιαφόροις χρώμενος, ὡς δὲ ἡγεμὼν, κοινὸς καὶ βασιλεὺς φιλάνθρωπος, τῇ περὶ τὴν ἐσθῆτα τιμῇ τὴν τῶν κεκρατημένων ἀνακτώμενος εὔνοιαν· ἵνα βεβαίως παραμένωσιν ἀγαπῶντες ὡς ἄρχοντας μακεδόνας, μὴ μισοῦντες ὡς πολεμίους. τοὐναντίον γὰρ ἦν ἀσόφου καὶ τετυφωμένης ψυχῆς, τὴν μὲν αὐτόχροον χλαμύδα θαυμάζειν, τὸν δὲ περιπόρφυρον χιτῶνα δυσχεραίνειν· ἢ πάλιν ἐκεῖνα μὲν ἀτιμάζειν, τούτοις δὲ ἐκπεπλῆχθαι, δίκην νηπίου παιδὸς, φυλάττοντα τὴν περιβολὴν, ἣν ἡ πάτριος αὐτῷ συνήθεια, καθάπερ τιθηνὸς, περιέθηκε. ζῶα θηρεύοντες ἄνθρωποι, δορὰς ἐλάφων περιτίθενται, καὶ πτερωτοῖς ἀμπέχονται χιτωνίσκοις, ἄγραις ἐπιχειροῦντες ὀρνίθων, καὶ φυλάττονται ταύροις ὀφθῆναι φοινικίδας ἔχοντες, ἐλέφασι δὲ λευκοὺς χιτῶνας· ἐξερεθίζεται γὰρ ὑπὸ τῶν χρωμάτων τὰ ζῶα τούτων καὶ διαθηριοῦται. εἰ δὲ βασιλεὺς μέγας ἔθνη δυσκάθεκτα καὶ μαχόμενα καθάπερ ζῶα τιθασεύων καὶ μειλισσόμενος, ἐσθῆσιν οἰκείαις, καὶ συνήθεσιν ἐξεπράυνε διαίταις καὶ κατέστελλεν, οἰκειούμενος αὐτῶν τὸ δύσθυμον, καὶ παρηγορῶν τὸ σκυθρωπὸν ἐγκαλοῦσιν, οὐχὶ θαυμάζουσι τῆς μὲν τὴν σοφίαν, ὅτι τῷ τυχόντι μετασχηματισμῷ, τὴν ἀσίαν ἐδημαγώγησε; τοῖς μὲν ὅπλοις τῶν σωμάτων ἐπικρατήσας, τῇ δὲ ἐσθῆτι τὰς ψυχὰς προσαγόμενος. καίτοιγε ἀρίστιππον θαυμάζουσι τὸν σωκρατικὸν, ὅτι καὶ τρίβωνι λιτῷ καὶ μιλησίᾳ χλαμύδι χρώμενος, δι' ἀμφοτέρων ἐτήρει τὸ εὔσχημον· ἀλεξάνδρῳ δὲ ἐγκαλοῦσιν, ὅτι τὴν πάτριον ἐσθῆτα κοσμῶν, οὐδὲ τὴν δορύκτητον ὑπερεῖδε, μεγάλων πραγμάτων καταβαλλόμενος ἀρχάς. οὐ γὰρ λῃστρικῶς τὴν ἀσίαν καταδραμὼν, οὐδὲ ὥσπερ ἅρπαγμα καὶ λάφυρον εὐτυχίας ἀνελπίστου, σπαράξαι καὶ ἀνασύρασθαι διανοηθεὶς, καθάπερ ὕστερον μὲν ἀννίβας ἰταλίαν· πρότερον δὲ τρῆρες ἰωνίαν, καὶ σκύθαι μηδίαν ἐπῆλθον· ἀλλ' ἑνὸς ὑπήκοα λόγου τὰ

ἐπὶ

Δ. Η. α.

ἐσθῆτα ... τὴν μηδικὴν καὶ τὴν περσικὴν

ἐπὶ γῆς, καὶ μιᾶς πολιτείας, ἕνα δῆμον ἀνθρώπους ἅπαντας ἀποφῆναι βουλόμενος, οὕτως ἑαυτὸν ἐσχημάτιζεν· εἰ δὲ μὴ ταχέως ὁ δεῦρο καταπέμψας τὴν ἀλεξάνδρου ψυχὴν, ἀνεκαλέσατο δαίμων, εἷς ἂν νόμος ἅπαντας ἀνθρώπους ἐπέβλεπε, καὶ πρὸς ἓν δίκαιον ὡς πρὸς κοινὸν διῳκεῖτο φῶς, νῦν δὲ τῆς γῆς ἀνήλιον μέρος ἔμεινεν, ὅσον ἀλέξανδρον οὐκ εἶδεν. οὐκοῦν πρώτη μὲν ἡ τῆς στρατείας ὑπόθεσις, φιλόσοφον τὸν ἄνδρα συνίστησιν, οὐχ ἑαυτῷ τρυφὴν καὶ πολυτέλειαν, ἀλλὰ πᾶσιν ἀνθρώποις ὁμόνοιαν καὶ εἰρήνην καὶ κοινωνίαν πρὸς ἀλλήλους παρασκευάσαι διανοηθέντα. δεύτερον δὲ αὐτοῦ καὶ τὰς φωνὰς ἴδωμεν· ἐπεὶ καὶ τὰ τῶν ἄλλων ἤθη βασιλέων καὶ δυναστῶν, μάλιστα ταῖς φωναῖς αἱ ψυχαὶ προβάλλουσιν. ἀντίγονος ὁ γέρων, σοφιστοῦ τινος αὐτῷ συγγράμματα προσφέροντος περὶ δικαιοσύνης, ἀβέλτερος εἶ εἶπεν, ὃς ὁρῶν με τὰς ἀλλοτρίας πόλεις τύπτοντα, λέγεις περὶ δικαιοσύνης. διονύσιος δὲ ὁ τύραννος ἐκέλευε, τοὺς μὲν παῖδας, ἀστραγάλοις, τοὺς δ' ἄνδρας, ὅρκοις ἐξαπατᾶν. τοῖς δὲ σαρδαναπάλου μνημείοις ἐπιγέγραπται· ταῦτ' ἔχω ὅσ' ἔφαγον καὶ ἐφύβρισα. τίς οὐκ ἂν εἴποι τῶν ἀποφθεγμάτων τούτων, τῷ μὲν, ἀποφαίνεσθαι φιληδονίαν, τῷ δ' ἀθεότητα, τῷ δὲ ἀδικίαν καὶ πλεονεξίαν· τῶν δ' ἀλεξάνδρου φωνῶν ἂν ἀφέλῃς τὸ διάδημα καὶ τὸν ἄμμωνα, καὶ τὴν εὐγένειαν, σωκράτους ἢ πλάτωνος, ἢ πυθαγόρου σοι φανοῦνται. μὴ γὰρ ἃς οἱ ποιηταὶ ταῖς εἰκόσιν αὐτοῦ καὶ τοῖς ἀνδριᾶσι μεγαληγορίας ἐπεχάραττον, οὐ τῆς μετριότητος, ἀλλὰ τῆς δυνάμεως τῆς ἀλεξάνδρου στοχαζόμενοι, σκοπῶμεν· αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος ἐς δία λεύσσων· γᾶν ὑπ' ἐμοὶ τίθεμαι ζεῦ· σὺ δ' ὄλυμπον ἔχε. καὶ ἀλέξανδρος, ἐγὼ διὸς μὲν υἱός. ταῦτα μὲν οὖν ὡς ἔφην οἱ ποιηταὶ κολακεύοντες αὐτοῦ τὴν τύχην προσεῖπον. τῶν δὲ ἀληθινῶν ἀποφθεγμάτων ἀλεξάνδρου, πρῶτον ἄν τις τὰ παιδικὰ διέλθοι. ποδωκέστατος γὰρ τῶν ἐφ' ἡλικίας γενόμενος νέων, καὶ τῶν ἑταίρων αὐτὸν ἐπὶ ὀλύμπια παρορμώντων, ἠρώτησεν εἰ βασιλεῖς ἀγωνίζονται· τῶν δὲ, οὐ φαμένων, ἄδικον εἰπεῖν εἶναι τὴν ἅμιλλαν, ἐν ᾗ νικήσει μὲν ἰδιώτας, νικηθήσεται δὲ βασιλεύς. τοῦ δὲ πατρὸς φιλίππου λόγχῃ τὸν μηρὸν ἐν τριβαλλοῖς διαπαρέντος, καὶ τὸν μὲν κίνδυνον διαφυγόντος, ἀχθομένου δὲ τῇ χωλότητι, θάρρει πάτερ ἔφη, καὶ πρόϊθι φανερῶς· ἵνα τῆς ἀρετῆς κατὰ βῆμα μνημονεύῃς. ταῦτα οὐκ ἔστι διανοίας φιλοσόφου καὶ διὰ τὸν πρὸς τοῖς καλοῖς ἐνθουσιασμὸν ἤδη τῶν τοῦ σώματος ἐλαττωμάτων κατεξανισταμένης; πῶς γὰρ αὐτὸν οἴει τοῖς ἰδίοις ἀγάλλεσθαι τραύμασι καθ' ἕκαστον μέρος, ἔθνους μνημονεύοντα καὶ νίκης· καὶ πόλεων ἁλισκομένων, καὶ βασιλέων παραδιδόντων, οὐκ ἐγκαλυπτόμενον, οὐδὲ κατακρύπτοντα τὰς οὐλάς· ἀλλ' ὥσπερ εἰκόνας ἐγκεχαραγμένας, ἀρετῆς καὶ ἀνδραγαθίας περιφέροντα. καὶ μὴν εἴ ποτε γένοιτο τῶν ὁμήρου σύγκρισις ἐπῶν ἐν ταῖς διατριβαῖς, ἢ παρὰ τὰ συμπόσια· ἄλλον ἄλλου στίχον προκρίνοντος, αὐτὸς ὡς διαφέροντα πάντων ἐνέκρινε τοῦτον· ἀμφότερον βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής. ὃν ἄλλος ἔπαινον τῷ χρόνῳ προέλαβε, τοῦτον αὐτῷ νόμον κεῖσθαι λογιζόμενος, ὥστε εἰπεῖν ὅμηρον· ὅτι τῷ αὐτῷ μέτρῳ, τὴν μὲν ἀγαμέμνονος ἀνδραγαθίαν κεκόσμηκε, τὴν δ' ἀλεξάνδρου μεμάντευται. διαβὰς τοίνυν τὸν ἑλλήσποντον, ἐθεᾶτο τὴν τροίαν, ἀνατυπούμενος τὰς ἡρωϊκὰς πράξεις· καί τινος αὐτῷ τῶν ἐγχωρίων ὑπισχνουμένου τὴν πάριδος λύραν εἰ βούλοιτο δώσειν, οὐδὲν ἔφη τῆς ἐκείνου δέομαι· τὴν γὰρ ἀχιλλέως κέκτημαι, πρὸς ἣν ἐκεῖνος ἀνεπαύετο· ἄειδε δ' ἄρα κλέα ἀνδρῶν· ἡ δὲ πάριδος πάντως μαλακήν τινα καὶ θήλειαν ἁρμονίαν ἐρωτικοῖς ἔψαλλε μέλεσι. φιλοσόφου τοίνυν ἐστὶ ψυχῆς σοφίας ἐρᾶν, καὶ σοφοὺς ἄνδρας θαυμάζειν μάλιστα, τοῦτο δὲ ἀλεξάνδρῳ προσῆν, ὡς οὐδενὶ τῶν βασιλέων· καὶ πῶς μὲν εἶχε πρὸς ἀριστοτέλην, εἴρηται, καὶ ὅτι

καὶ ἡ

τὸ εἶδε-

παρέλαβε

τὸν δ' ἁρμονικὸν Ἀνάξαρχον, ἐντιμότατον τῶν φίλων ἐνόμιζε. Πύρρωνι δὲ τῷ Ἠλείῳ πρῶτον ἐντυχόντι, μυρίους χρυσοῦς ἔδωκε. Ξενοκράτει δὲ τῷ Πλάτωνος συνήθει, πεντήκοντα τάλαντα δωρεὰν ἔπεμψεν. Ὀνησίκριτον δὲ τὸν Διογένους τοῦ κυνὸς μαθητὴν ὅτι ἄρχοντα τῶν κυβερνητῶν κατέστησεν, ὑπὸ πλειόνων ἱστόρηται. Διογένει δὲ αὐτῷ περὶ Κόρινθον εἰς λόγους ἐλθὼν, οὕτως ἔφριξε καὶ κατεπλάγη τὸν βίον καὶ τὸ ἀξίωμα τοῦ ἀνδρὸς, ὥστε πολλάκις αὐτοῦ μνημονεύων λέγειν· εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην, τουτέστιν, ἠσχολούμην ἂν περὶ λόγους, εἰ μὴ δι' ἔργων ἐφιλοσόφουν. οὐκ εἶπεν, εἰ μὴ βασιλεὺς ἤμην Διογένης ἂν ἤμην, οὐδ' εἰ μὴ πορφύραν πλούσιος καὶ Ἀργεάδης· οὐ γὰρ προέκρινε τὴν τύχην τῆς σοφίας, οὐδὲ τὴν πορφύραν καὶ τὸ διάδημα τῆς πήρας καὶ τοῦ τρίβωνος. ἀλλ' εἶπεν, εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην, τουτέστιν εἰ μὴ τὰ βαρβαρικὰ τοῖς Ἑλληνικοῖς κεράσαι διενοούμην, καὶ πᾶσαν ἤπειρον ἐπιὼν ἐξημερῶσαι, καὶ πέρατα γῆς ἀνευρὼν, καὶ θαλάττης Ὠκεανῷ προσερεῖσαι Μακεδονίαν, καὶ τὴν Ἑλλάδα σπεῖραι, καὶ καταχέαι γένους παντὸς εὐδικίαν καὶ εἰρήνην, οὐκ ἂν ἐν ἀπράκτῳ τρυφῶν ἐξουσίᾳ καθήμην, ἀλλ' ἐζήλουν ἂν τὴν Διογένους εὐτέλειαν. νῦν δὲ σύγγνωθι Διόγενες, Ἡρακλέα μιμοῦμαι, καὶ Περσέα ζηλῶ, καὶ τὰ Διονύσου μετιὼν ἴχνη θεοῦ γενάρχου καὶ προπάτορος, βούλομαι πάλιν ἐν Ἰνδίᾳ νικῶντας Ἕλληνας ἐγχορεῦσαι, καὶ τοὺς ὑπὲρ Καύκασον ὀρείους, καὶ ἀγρίους τῶν βακχικῶν ἀναμνῆσαι κώμων. κἀκεῖ τινὰς εἶναι λέγονται σεμνῆς καὶ γυμνήτιδος σοφίας ἐθάδες, ἄνδρες ἱεροὶ καὶ αὐτόνομοι, θεῷ σχολάζοντες, εὐτελέστεροι Διογένους, οὐδὲν πήρας δεόμενοι. τροφὴν γὰρ οὐκ ἀποτίθενται, πρόσφατον ἀεὶ καὶ νέαν ἀπὸ γῆς ἔχοντες· ποτὸν δὲ, ποταμοὶ ῥέουσι· φύλα δὲ αὐτοῖς δένδρων ἀποχυθέντων, καὶ πόα γῆς ἐστιν ἐγκατακλιθῆναι. δι' ἐμὲ κἀκεῖνοι, Διογένη γνώσονται, καὶ Διογένης ἐκείνους. δεῖ κἀμὲ νόμισμα παρακόψαι, καὶ παραχαράξαι τὸ βαρβαρικὸν θέσει κατεσκευασμένον Ἑλληνικῇ πολιτείᾳ. εἶεν, αἱ δὴ πράξεις αὐτοῦ πότερον αὐτοματισμὸν ἐπιφαίνουσι τύχης, καὶ βίαν πολεμικὴν καὶ χειροκρασίαν, ἢ πολλὴν μὲν ἀνδρείαν καὶ δικαιοσύνην, πολλὴν δὲ σωφροσύνην καὶ πρᾳότητα μετὰ κόσμου καὶ συνέσεως, νήφοντι καὶ πεπνυμένῳ τῷ λογισμῷ πάντα πράττοντος. οὐ γάρ ἐστιν εἰπεῖν διακρίναντα με μὰ τοὺς θεοὺς, ὅτι τοῦτο μὲν ἀνδρείας, τοῦτο δὲ φιλανθρωπίας, τοῦτο δὲ ἐγκρατείας, ἀλλὰ πᾶν ἔργον ἐκ πασῶν ἔοικε τῶν ἀρετῶν μεμῖχθαι· βεβαιοῦντος αὐτοῦ τὸν στωικὸν ἐκεῖνον λόγον, ὅτι πᾶν ὃ ἂν δρᾷ σοφὸς, κατὰ πᾶσαν ἀρετὴν ἐνεργεῖ, καὶ μία μὲν ὡς ἔοικεν ἀρετὴ πρωταγωνιστεῖ πράξεως ἑκάστης, παρακαλεῖ δὲ τὰς ἄλλας, καὶ συντείνει πρὸς τὸ τέλος. ἰδεῖν γοῦν ἐστιν ἐν Ἀλεξάνδρῳ τὸ μὲν πολεμικὸν, φιλάνθρωπον· τὸ δὲ πρᾷον, ἀνδρῶδες· τὸ δὲ χαριστικὸν, οἰκονομικόν· τὸ δὲ θυμικὸν, εὐδιάλλακτον· τὸ δὲ ἐρωτικὸν, σῶφρον· τὸ δ' ἀνειμένον, οὐκ ἀργόν· τὸ δ' ἐπίπονον οὐκ ἀπαραμύθητον. τίς ἔμιξε πολέμοις ἑορτὰς, τίς δὲ κώμοις στρατείας, τίς δὲ πολιορκίαις καὶ παρατάξεσι βακχείας καὶ γάμους καὶ ὑμεναίους, τίς ἀδικοῦσιν ἐχθρότερος, ἢ δυστυχοῦσιν ἡμερώτερος, τίς μαχομένοις βαρύτερος, ἢ δεομένοις εὐγνωμονέστερος. ἔπεισί μοι τὸ τοῦ Πώρου δεῦρο μετενεγκεῖν. ἐκεῖνος γὰρ ὡς ἤχθη πρὸς Ἀλέξανδρον αἰχμάλωτος, πυθομένου πῶς αὐτῷ χρήσεται, βασιλικῶς εἶπεν ὦ Ἀλέξανδρε, πάλιν δ' ἐπερομένου μή τι ἄλλο; οὐδὲν εἶπε· πάντα γάρ ἐστιν ἐν τῷ βασιλικῶς. κἀμοὶ δὴ ταῖς Ἀλεξάνδρου πράξεσιν, ἔπεισιν ἐπιφωνεῖν ἀεὶ φιλοσόφως· ἐν τούτῳ γὰρ πάντα ἔνεστι. Ῥωξάνης ἐρασθεὶς τῆς Ὀξυάρτου θυγατρὸς ἐν ταῖς αἰχμαλώτισι χορευούσης, οὐχ ὕβρισεν, ἀλλ' ἔγημε φιλοσόφως. Δαρεῖον ἰδὼν κατηκοντισμένον, οὐκ ἔθυσεν, οὐδ' ἐπαιάνισεν, ὡς τοῦ μακροῦ πολέμου τέλος ἔχοντος· ἀλλὰ τὴν χλαμύδα τὴν ἑαυτοῦ περιελὼν, ἐπέρριψε τῷ νεκρῷ, καθάπερ τινὰ νέμεσιν τύχης βασι-

λικῆς συγκαλύπτων φιλοσόφως. ἐπιστολὴν δέ ποτε τῆς μητρὸς ἀπόρρητον διερχόμενος, Ἡφαιστίωνος ὡς ἔτυχε παρακαθημένου, καὶ ἁπλῶς συναναγινώσκοντος, οὐκ ἐκώλυσεν, ἀλλὰ τὸν δακτύλιον αὐτοῦ τῷ στόματι προσέθηκεν αὐτοῦ, κατασφραγισάμενος φιλικῇ πίστει τὴν σιωπὴν φιλοσόφως. εἰ γὰρ ταῦτα οὐκ ἔστι φιλοσόφως, τίνα ἐστὶν ἄλλα, παραθῶμεν τὰ τῶν ὁμολογουμένων φιλοσόφων. Σωκράτης ἠνέσχετο συγκοιμηθέντος Ἀλκιβιάδου. Ἀλέξανδρος δὲ Φιλοξένου τοῦ τῆς παραλίας ὑπάρχου γράψαντος, ὅτι παῖς ἐν Ἰωνίᾳ γέγονεν, οἷος οὐκ ἄλλος ὥραν καὶ εἶδος, καὶ πυνθανομένου διὰ τῶν γραμμάτων εἰ ἀναπέμψοι, πικρῶς ἀντέγραψεν, ὦ κάκιστε ἀνθρώπων τί μοι πώποτε τοιοῦτο συνέγνως, ἵνα τοιαύταις με κολακεύσῃς ἡδοναῖς. Ξενοκράτην πεντήκοντα τάλαντα δωρεὰν Ἀλεξάνδρου πέμψαντος, ὅτι οὐκ ἔλαβε, θαυμάζομεν, τὸ δὲ δοῦναι, οὔ; ἢ οὐχ ὁμοίως καταφρονεῖν χρημάτων δοκοῦμεν, τὸν μὴ προσιέμενον καὶ τὸν χαριζόμενον. οὐκ ἐδεῖτο πλούτου Ξενοκράτης διὰ φιλοσοφίαν· Ἀλέξανδρος δ' ἐδεῖτο διὰ φιλοσοφίαν, ἵνα τοιούτοις χαρίζηται, τοῦτο ποσάκις Ἀλέξανδρος εἶπε βαλλόμενος, ἐκβιαζόμενος. καίτοι κρίσεις μὲν ὀρθὰς πᾶσιν ἐνυπάρχειν ἀνθρώποις νομίζομεν, ἡ γὰρ φύσις ἀγωγός ἐστιν ἀφ' ἑαυτῆς πρὸς τὸ καλόν. οἱ δὲ φιλόσοφοι τῶν πολλῶν διαφέρουσι, τῷ τὰς κρίσεις ἔχειν ἐρρωμένας παρὰ τὰ δεινὰ καὶ πεπηγίας. ἐπεὶ οὐ μετὰ τοιούτων προλήψεων· εἷς οἰωνὸς ἄριστος. καὶ πέρας μέν ἐστιν ἅπασιν ἀνθρώποις ὁ θάνατος· ἀλλὰ θραύουσιν οἱ καιροὶ παρὰ τὰ δεινὰ τοὺς λογισμοὺς, καὶ τὰς κρίσεις ἐκκρούουσιν αἱ φαντασίαι, τῶν κινδύνων ἐγγὺς γενομένων. φόβος γὰρ οὐ μόνον μνήμην ἐκπλήττει κατὰ τὸν Θουκυδίδην, ἀλλὰ καὶ προαίρεσιν πᾶσαν καὶ φιλοτιμίαν καὶ ὁρμὴν, μὴ ἐκνεύρους φιλοσοφία περιτέθεικεν.

ΠΕΡΙ ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΥΧΗΣ Η ΑΡΕΤΗΣ·ΛΟΓΟΣ· β΄.

Ἐξέφυγεν ἡμᾶς ὡς ἔοικε χθὲς εἰπεῖν ὅτι καὶ τέχνας πολλὰς καὶ φύσεις μεγάλας, ὁ κατὰ Ἀλέξανδρον χρόνος ἐνεγκεῖν εὐτύχησεν, ἢ τοῦτο μὲν οὐ τῆς Ἀλεξάνδρου τύχης γέγονεν, ἀλλὰ τῆς ἐκείνων μάρτυρα λαβεῖν καὶ θεατὴν, τὸν ἄριστα κρῖναι τὸ κατορθούμενον, καὶ μάλιστα ἀμείψασθαι δυνάμενον. λέγεται γοῦν ὅτι χρόνοις ὕστερον, Ἀρχεστράτου γενομένου ποιητοῦ χαρίεντος, ἐν δὲ πενίᾳ καὶ ἀδοξίᾳ διάγοντος, εἶπέ τις πρὸς αὐτὸν, ἀλλ' εἰ κατ' Ἀλέξανδρον ἐγένου, κατὰ στίχον ἄν σοι Κύπρον ἢ Φοινίκην ἔδωκεν. οἶμαι δὲ καὶ τῶν τότε τεχνιτῶν οὐ κατ' Ἀλέξανδρον, ἀλλὰ δι' Ἀλέξανδρον τοὺς πρώτους γενέσθαι. καρπῶν μὲν γὰρ εὐφορίαν εὐκρασία ποιεῖ καὶ λεπτότης τοῦ περιέχοντος ἀέρος, τεχνῶν δὲ καὶ φύσεων ἀγαθῶν αὔξησιν, εὐμένεια καὶ τιμὴ καὶ φιλανθρωπία βασιλέως ἐκκαλεῖται. καὶ τοὐναντίον ὑπὸ φθόνου καὶ σμικρολογίας ἢ φιλονεικίας τῶν κρατούντων, σβέννυται καὶ φθίνει πᾶν τὸ τοιοῦτον. Διονύσιος γοῦν ὁ τύραννος, ὥς φασι κιθαρῳδοῦ τινος εὐδοκιμοῦντος ἀκούων, ἐπηγγείλατο δωρεὰν αὐτῷ τάλαντον. τῇ δ' ὑστεραίᾳ τοῦ ἀνθρώπου τὴν ὑπόσχεσιν ἀπαιτοῦντος, χθὲς εἶπεν εὐφραινόμενος ὑπὸ σοῦ παρ' ὃν ᾖδες χρόνον, εὔφραινα κἀγώ σε ταῖς ἐλπίσιν· ὥστε τὸν μισθὸν ὧν ἔτερπες ἀπελάμβανες εὐθὺς ἀντιτερπόμενος. Ἀλέξανδρος δὲ ὁ Φεραίων τύραννος, ἔδει δὲ τοῦτο μόνον αὐτὸν καλεῖσθαι, καὶ μὴ καταισχύνειν τὴν ἐπωνυμίαν, θεώμενος τραγῳδὸν, ἐμπαθέστερον ὑφ' ἡδονῆς διετέθη πρὸς τὸν οἶκτον, ἀναπηδήσας οὖν

ἐκ τοῦ θεάτρου, θᾶττον ἢ βάδην ἀπῄει, δεινὸν εἶναι λέγων, εἰ τοὺς τοσούτους ἀποσφάττων πολίτας, ὀφθήσεται τοῖς ἑκάβης καὶ πολυξένης πάθεσιν ἐπιδακρύων. οὗτος μὲν οὖν μικροῦ καὶ δίκην ἐπράξατο τὸν θεόδωρον, ὅτι τὴν ψυχὴν αὐτοῦ καθάπερ σίδηρον ἐμάλαξεν. ἀρχελάῳ δὲ δοκοῦντί τι γλισχροτέρῳ περὶ τὰς δωρεὰς εἶναι, τιμόθεος ᾄδων, ἐσήμαινε πολλάκις τουτὶ τὸ σκωμμάτιον· σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰνεῖς. ὁ δὲ ἀρχέλαος οὐκ ἀμούσως ἀντεφώνησε· σὺ δέ γε αἰτεῖς. ὁ δὲ τῶν σκυθῶν βασιλεὺς ἀτέας, ἰσμηνίαν τὸν αὐλητὴν λαβὼν αἰχμάλωτον, ἐκέλευσε παρὰ πότον αὐλῆσαι· θαυμαζόντων δὲ τῶν ἄλλων καὶ κροτούντων, αὐτὸς ὤμοσεν ἀκροᾶσθαι τοῦ ἵππου χρεμετίζοντος ἥδιον. οὕτω μακρὰν ἀπῴκιζε τὰ ὦτα τῶν μουσῶν, καὶ τὴν ψυχὴν ἐν ταῖς φάτναις εἶχεν, οὐχ ἵππων, ἀλλ' ὄνων ἐπιτηδειοτέραν ἀκούειν. τίς ἂν οὖν παρὰ τοιούτοις βασιλεῦσιν αὔξησις ἢ τιμὴ τέχνης γένοιτο καὶ μούσης; ἀλλ' οὐδὲ παρὰ τοῖς καταντέχνοις ἐθέλουσιν εἶναι, καὶ διὰ τοῦτο βασκανίᾳ καὶ δυσμενείᾳ τοὺς ἀληθῶς τεχνίτας καταθραύουσιν. οἷος ἦν πάλιν αὖ διονύσιος ὁ τὸν ποιητὴν φιλόξενον εἰς τὰς λατομίας ἐμβαλών, ὅτι τραγῳδίαν αὐτοῦ διορθῶσαι κελευσθείς, εὐθὺς ἀπὸ τῆς ἀρχῆς ὅλην μέχρι τῆς κορωνίδος περιέγραψεν. ἦν δὲ καὶ φίλιππος ἐν τούτοις ὑπὸ ὀψιμαθείας ἑαυτοῦ μικρότερος καὶ νεοπρεπέστερος. ὅθεν καί φασι πρός τινα ψάλτην τὸν φίλιππον περὶ κρουμάτων αὐτοῦ διαφερομένου καὶ δοκοῦντος ἐξελέγχειν, ἀτρέμα μειδιάσαντα τὸν ἄνθρωπον εἰπεῖν, μὴ γένοιτό σοι βασιλεῦ ἀθλίως οὕτως, ἵνα ταῦτα ἐμοῦ βέλτιον εἰδῇς. ἀλλ' ἀλέξανδρος εἰδὼς τίνων δεῖ θεατὴν εἶναι καὶ ἀκροατήν, καὶ τίνων ἀγωνιστὴν καὶ αὐτουργόν, ἤσκει μὲν ἀεὶ διὰ τῶν ὅπλων δεινὸς εἶναι, καὶ κατὰ τὸν αἰσχύλον, βριθὺς ὁπλιτοπάλας, δάιος ἀντιπάλοισι· ταύτην ἔχων τέχνην προγονικὴν ἀπ' αἰακιδῶν, ἀφ' ἡρακλέους, ταῖς δ' ἄλλαις τέχναις τὴν τιμὴν ἄνευ τοῦ ζηλοῦν ἀπεδίδου, καὶ τὸ ἔνδοξον αὐτῶν καὶ χάριεν, τὸ τέρπειν δὲ οὐκ ἦν εὐάλωτος εἰς τὸ μιμεῖσθαι. γεγόνασι δὲ κατ' αὐτὸν τραγῳδοὶ μὲν οἱ περὶ θετταλὸν καὶ ἀθηνόδωρον, ὧν ἀνταγωνιζομένων ἀλλήλοις, ἐχορήγουν μὲν οἱ κύπριοι βασιλεῖς, ἔκρινον δὲ οἱ δοκιμώτατοι τῶν στρατηγῶν. ἐπεὶ δὲ ἐνίκησεν ἀθηνόδωρος, ἐβουλόμην ἄν, ἔφη, μᾶλλον ἀπολωλέναι μέρος τῆς βασιλείας, ἢ θετταλὸν ἐπιδεῖν ἡττημένον. ἀλλ' οὔτε ἐνέτυχε τοῖς κριταῖς, οὔτε τὴν κρίσιν ἐμέμψατο, πάντων οἰόμενος δεῖν περιεῖναι, τοῦ δικαίου δὲ ἡττᾶσθαι. κωμῳδοὶ δὲ ἦσαν οἱ περὶ λύκωνα τὸν σκαρφέα, τούτῳ δὲ εἴς τινα κωμῳδίαν ἐμβαλόντι στίχον αἰτητικόν, γελάσας ἔδωκε δέκα τάλαντα. κιθαρῳδοὶ δὲ ἄλλοι, καὶ ἀριστόνικος, ὃς ἐν μάχῃ τινὶ προσβοηθήσας, ἔπεσε λαμπρῶς ἀγωνισάμενος· ἐκέλευσεν οὖν αὐτοῦ γενέσθαι καὶ σταθῆναι χαλκοῦν ἀνδριάντα πυθοῖ, κιθάραν ἔχοντα καὶ δόρυ προβεβλημένον, οὐ τὸν ἄνδρα τιμῶν μόνον, ἀλλὰ καὶ μουσικὴν κοσμῶν, ὡς ἀνδροποιόν, καὶ μάλιστα δὴ πληροῦσαν ἐνθουσιασμοῦ καὶ ὁρμῆς τοὺς γνησίως ἐντρεφομένους. καὶ γὰρ αὐτός ποτε ἀντιγενίδου τὸν ἁρμάτειον αὐλοῦντος νόμον, οὕτω παρέστη καὶ διεφλέχθη τὸν θυμὸν ὑπὸ τῶν μελῶν, ὥστε τοῖς ὅπλοις ἀΐξας, ἐπιβαλεῖν τὰς χεῖρας ἐγγὺς παρακειμένοις, καὶ μαρτυρῆσαι τοῖς σπαρτιάταις ᾄδουσιν· ἕρπει γὰρ ἄντα τῶ σιδάρω τὸ καλῶς κιθαρίσδεν. ἦν δὲ καὶ ἀπελλῆς ὁ ζωγράφος, καὶ λύσιππος ὁ πλάστης κατ' ἀλέξανδρον, ὧν ὁ μὲν ἔγραψε τὸν κεραυνοφόρον οὕτως ἐναργῶς καὶ κεκραμένως, ὥστε λέγειν ὅτι δυοῖν ἀλεξάνδρων, ὁ μὲν φιλίππου γέγονεν ἀνίκητος, ὁ δὲ ἀπελλοῦ ἀμίμητος. λυσίππου δὲ τὸν πρῶτον ἀλέξανδρον πλάσαντος,

ἄνω βλέποντα τῷ προσώπῳ πρὸς τὸν οὐρανόν, ὥσπερ αὐτὸς εἰώθει βλέπειν ἀλέξανδρος, ἡσυχῆ παρεγκλίνων τὸν τράχηλον, ἐπέγραψέ τις οὐκ ἀπιθάνως· αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος εἰς δία λεύσσων· γᾶν ὑπ' ἐμοὶ τίθεμαι, ζεῦ, σὺ δ' ὄλυμπον ἔχε. διὸ καὶ μόνον ἀλέξανδρος ἐκέλευε λύσιππον εἰκόνας αὐτοῦ δημιουργεῖν. μόνος γὰρ οὗτος, ὡς ἔοικε, κατεμήνυε τῷ χαλκῷ τὸ ἦθος αὐτοῦ, καὶ συνεξέφερε τῇ μορφῇ τὴν ἀρετήν· οἱ δὲ ἄλλοι τὴν ἀποστροφὴν τοῦ τραχήλου, καὶ τῶν ὀμμάτων τὴν διάχυσιν καὶ ὑγρότητα μιμεῖσθαι θέλοντες, οὐ διεφύλαττον αὐτοῦ τὸ ἀρρενωπὸν καὶ λεοντῶδες. ἐν δὲ τοῖς ἄλλοις τεχνίταις, καὶ στασικράτης ἦν ἀρχιτέκτων, οὐδὲν ἀνθηρὸν οὐδὲ ἡδὺ καὶ πιθανὸν τῇ ὄψει διώκων, ἀλλὰ καὶ χειρὶ μεγαλουργῷ καὶ διαθέσει χορηγίας βασιλικῆς οὐκ ἀποδεούσῃ χρώμενος. οὗτος ἀναβὰς πρὸς ἀλέξανδρον, ἐμέμφετο τὰς γραφομένας εἰκόνας αὐτοῦ καὶ γλυφομένας καὶ πλαττομένας, ὡς ἔργα δειλῶν καὶ τεχνῶν ἀγεννῶν. ἐγὼ δὲ εἶπεν εἰς ἄφθαρτον ὦ βασιλεῦ καὶ ζῶσαν ὕλην καὶ ῥίζας ἔχουσαν ἀϊδίους, καὶ βάρος ἀκίνητον καὶ ἀσάλευτον, ἔγνωκά σου τὴν ὁμοιότητα καταθέσθαι τοῦ σώματος. ὁ γὰρ θρᾴκιος ἄθως, ᾗ μέγιστος αὐτοῦ καὶ περιφανέστατος ἐξανέστηκεν, ἔχων ἑαυτῷ σύμμετρα πλάτη καὶ ὕψη, καὶ μέλη καὶ ἄρθρα καὶ διαστήματα μορφοειδῆ, δύναται κατεργασθεὶς καὶ σχηματισθεὶς, εἰκὼν ἀλεξάνδρου καλεῖσθαι, καὶ εἶναι, ταῖς μὲν βάσεσιν ἁπτομένου τῆς θαλάσσης· τῶν δὲ χειρῶν τῇ μὲν ἐναγκαλιζομένου καὶ φέροντος πόλιν ἐνοικουμένην μυρίανδρον, τῇ δὲ δεξιᾷ ποταμὸν ἀέναον ἐκ φιάλης σπένδοντα εἰς τὴν θάλασσαν ἐκχεόμενον. χρυσὸν δὲ καὶ χαλκὸν καὶ ἐλέφαντα, καὶ ξύλα καὶ βαφὰς, ἐκμαγεῖα μικρὰ καὶ ὠνητὰ καὶ κλεπτόμενα, καὶ συγχεόμενα καταβάλωμεν. ταῦτα ἀκούσας ἀλέξανδρος, τὸ μὲν φρόνημα τοῦ τεχνίτου καὶ τὸ θάρσος ἀγασθεὶς, ἐπῄνεσεν, ἔα δὲ μένειν εἶπε τὸν ἄθω κατὰ χώραν· ἀρκεῖ γὰρ ἑνὸς βασιλέως ἐνυβρίσαντος, εἶναι μνημεῖον. ἐμὲ δὲ ὁ καύκασος δείξει, καὶ τὰ ἠμωδὰ καὶ τάναϊς, καὶ τὸ κάσπιον πέλαγος, αὗται τῶν ἐμῶν ἔργων εἰκόνες. ἀλλὰ φέρε πρὸς θεῶν ἐκτελεσθῆναι καὶ φανῆναι τοιοῦτον ἔργον, ἔσθ' ὅστις ἂν ἰδών, ὑπέλαβε κατὰ τύχην γεγονέναι, καὶ αὐτομάτως τὸ σχῆμα καὶ τὴν διάθεσιν καὶ τὸ εἶδος; οὐδεὶς ἂν οἶμαι. τί δὲ τὸν κεραυνοφόρον; τί δὲ τὸν ἐπὶ τῆς αἰχμῆς προσαγορευόμενον; εἶτα ἀνδριάντος μὲν μέγεθος, οὐκ ἂν ἄνευ τέχνης ὑπὸ τῆς τύχης γένοιτο χρυσὸν καὶ χαλκὸν καὶ ἐλέφαντα, καὶ πολλὴν καὶ πλουσίαν ὕλην καταχεαμένης καὶ παραβαλούσης· ἄνδρα δὲ μέγαν, μᾶλλον δὲ τῶν γεγονότων ἁπάντων μέγιστον, ἐνδέχεται χωρὶς ἀρετῆς ἀποτελεσθῆναι διὰ τύχην; ὅπλα καὶ χρήματα καὶ πόλεις καὶ ἵππους παρασκευάσασαν, ἃ τῷ μὴ μαθόντι χρῆσθαι, κίνδυνός ἐστιν, οὐ δύναμις οὐδὲ κόσμος, ἀλλ' ἔλεγχος τῆς ἀσθενείας καὶ μικρότητος. ὀρθῶς γὰρ ἀντισθένης ἔλεγεν· ὅτι πάντα δεῖ τοῖς πολεμίοις εὔχεσθαι τἀγαθά, πλὴν ἀνδρείας· γίνεται γὰρ οὕτως οὐ τῶν ἐχόντων, ἀλλὰ τῶν κρατούντων. διὰ τοῦτό φασι καὶ τὴν φύσιν ἀγεννεστάτῳ ζῴῳ τῷ ἐλάφῳ κέρατα θαυμαστὰ τῷ μεγέθει καὶ τραχύτητι πρὸς ἄμυναν ἐμφῦσαι, διδάσκουσαν ἡμᾶς ὡς οὐδὲν ὠφελεῖ τὸ ἰσχύειν καὶ ὡπλίσθαι, τοὺς μένειν καὶ θαρρεῖν μὴ δυναμένους. οὕτω καὶ ἡ τύχη πολλάκις ἀτόλμοις καὶ ἀνοήτοις περιτιθεῖσα δυνάμεις καὶ ἀρχάς, αἷς ἐνασχημονοῦσι, κοσμεῖ καὶ συνίστησι τὴν ἀρετήν, ὡς μόνην μέγεθος ἀνδρὸς καὶ κάλλος οὖσαν. εἰ μὲν γὰρ ὥς φησιν ἐπίχαρμος, νοῦς ὁρῇ, καὶ νοῦς ἀκούει, τἆλλα δὲ τυφλὰ καὶ κωφὰ τυγχάνει λόγου δεόμενα· αἱ γὰρ αἰσθήσεις ἰδίας ἔχειν ἀφορμὰς δοκοῦσιν· ὅτι δὲ νοῦς ὠφελεῖ, καὶ νοῦς κοσμεῖ, καὶ νοῦς ὁ νικῶν καὶ κρατῶν καὶ βασιλεύων, τὰ δ' ἄλλα τυφλὰ καὶ κωφὰ καὶ ἄψυχα παρέλκει, καὶ βα-

ῥύνει καὶ καταισχύνει χωρὶς ἀρετῆς τοὺς ἔχοντας, ἀπὸ τῶν πραγμάτων λαβεῖν
ἐστι. τῆς γὰρ αὐτῆς δυνάμεως ὑποκειμένης, καὶ ἡγεμονίας, σεμίραμις μὲν
οὖσα γυνὴ, στόλους ἐπλήρου, καὶ φάλαγγας ὥπλιζε, καὶ βαβυλῶνας ἔκτι-
ζε, καὶ περιέπλει τὴν ἐρυθρὰν θάλασσαν, αἰθίοπας καταστρεφομένη καὶ ἄρα-
βας· σαρδανάπαλος δὲ ἀνὴρ πεφυκὼς, ἔξαινεν οἴκοι πορφύραν, ἀναβάδην ἐν
ταῖς παλλακαῖς καθήμενος· ἀποθανόντος δ' αὐτοῦ, λιθίνην εἰκόνα κατασκευά-
σαντος ἐπορχουμένην ἑαυτῇ βαρβαριστὶ, καὶ τοῖς δακτύλοις ὑπὲρ κεφαλῆς,
οἷον ὑποψοφοῦσαν, ἐπέγραψαν, ἔσθιε· πῖνε· ἀφροδισίαζε· τἄλλα δὲ οὐδέν.
ὁ μὲν οὖν κράτης ἰδὼν χρυσῆν εἰκόνα φρύνης τῆς ἑταίρας ἑστῶσαν ἐν δελφοῖς,
ἀνέκραγεν· ὅτι τοῦτο τῆς τῶν ἑλλήνων ἀκρασίας τρόπαιον ἕστηκε, τὸν δὲ σαρδα-
ναπάλλου βίον ἄν τις, ἢ τάφον, οὐδὲν γὰρ οἶμαι διαφέρειν, θεασάμενος εἴποι
τοῦτο τῶν τῆς τύχης ἀγαθῶν τρόπαιον εἶναι. τί οὖν ἐάσωμεν τὴν τύχην ἀλε-
ξάνδρου μετὰ σαρδανάπαλλον ἅψασθαι, καὶ τοῦ μεγέθους ἐκείνου καὶ τῆς δυ-
νάμεως ἀντιποιεῖσθαι; τί γὰρ αὐτῷ πλέον ἔδωκεν ὧν οἱ λοιποὶ βασιλεῖς ἔλαβον
παρ' αὐτῆς, ὅπλων, ἵππων, βελῶν, χρημάτων, δορυφόρων, ποιησάτω τούτοις
ἡ τύχη μέγαν ἀριδαῖον, εἰ δύναται, ποιησάτω τούτοις, μέγαν ἄμασιν, ἢ ὦχον,
ἢ ὀάρσην, ἢ τιγράνην τὸν ἀρμένιον, ἢ τὸν βιθυνὸν νικομήδην, ὧν ὁ μὲν τὸ διάδημα
τοῖς πομπηΐου ποσὶν ὑπορρίψας, αἰσχρῶς τὴν βασιλείαν ἀπέβαλε, λάφυρον γενο-
μένην· ὁ δὲ νικομήδης τὴν κεφαλὴν ξυράμενος, καὶ πιλίον ἐπιθέμενος, ἀπελεύθε-
ρον ἑαυτὸν ῥωμαίων ἀνηγόρευσεν. εἴπωμεν οὖν ὅτι μικροὺς ἡ τύχη καὶ περιδεεῖς
ποιεῖ, καὶ ταπεινόφρονας, ἀλλ' οὐ δίκαιον, οὔτε κακίαν εἰς ἀτυχίαν, οὔτε ἀν-
δρίαν καὶ φρόνησιν, εἰς εὐτυχίαν τινὰ τίθεσθαι, μέγα δὲ τὸ ἄρχειν ἀλέξανδρ(ου)
ἡ τύχη· καὶ γὰρ ἔνδοξος ἐν ἐκείνῳ, καὶ ἀήττητος, καὶ μεγαλόφρων, καὶ ἀνύβρι-
στος, καὶ φιλάνθρωπος· εἶτα ἐκλείποντος εὐθὺς, ὁ λεωσθένης ἔλεγε τὴν δύναμιν
ἐμπλανωμένην ἑαυτῇ, καὶ περιπίπτουσαν, ἐοικέναι τῷ κύκλωπι μετὰ τὴν τύφλωσιν
ἐκτείνοντι πανταχοῦ τὰς χεῖρας, ἐπ' οὐδένα σκοπὸν φερομένας, οὕτως ῥέμβε-
το κενεμβατοῦσα καὶ σφαλλόμενος ὑπὸ ἀναρχίας τὸ μέγεθος αὐτῆς. μᾶλλον δὲ
ὥσπερ τὰ νεκρὰ σώματα τῆς ψυχῆς ἐκλειπούσης, οὐκέτι συνέστηκεν· οὐδὲ συμ-
πέφυκεν ἀλλ' ἐξίσταται καὶ διαλύεται ἀπ' ἀλλήλων, καὶ ἄπεισι καὶ φοιτᾷ, οὕ-
τως ἀφεῖσα τὸν ἀλέξανδρον ἡ δύναμις, ἤσπαιρεν, ἔπαλλε τε, ἐφλέγμαινε,
περδίκκαις καὶ μελεάγροις, καὶ σελεύκοις, καὶ ἀντιγόνοις ὥσπερ πνεύμασι θερ-
μοῖς ἔτι καὶ σφυγμοῖς διάττουσι καὶ διαφερομένοις, τέλος δὲ ἀπομαραινομέ-
νη καὶ φθίνουσα, περὶ αὐτὴν οἷον εὐλάς τινας ἀνέζεσεν ἀγεννῶν βασιλέων καὶ
ἡγεμόνων ψυχορραγούντων. αὐτὸς μὲν οὖν ταῦθ' ὡς ἔοικεν ἡφαιστίωνι διενε-
χθέντι πρὸς κρατερὸν ἐπιτιμῶν, τίς δὲ εἶπεν ἡ σὴ δύναμις ἢ πρᾶξις, ἄν σου τις ἀ-
φέλῃ τὸν ἀλέξανδρον· ἐγὼ δὲ τοῦτο εἰπεῖν πρὸς τὴν τότε τύχην οὐκ ὀκνήσω, τί
σου τὸ μέγεθος, τίς δὲ ἡ δόξα, ποῦ δὲ ἡ δύναμις, ποῦ δὲ τὸ ἀνίκητον, ἄν σου τις
ἀφέλῃ τὸν ἀλέξανδρον, τουτέστιν ἄν σου τις ἀφέλῃ τῶν ὅπλων τὴν ἐμπειρίαν, τοῦ
πλούτου τὴν φιλοτιμίαν, τῆς πολυτελείας τὴν ἐγκράτειαν, ὧν ἀγωνίζῃ τὸ θάρ-
σος, ἐν οἷς κρατεῖς τὴν πρᾳότητα. ποίησον ἄλλον εἰ δύνασαι μέγαν τοῖς χρή-
μασι μὴ χαριζόμενον, τοῖς στρατεύμασι μὴ προκινδυνεύοντα, τοὺς φίλους μὴ τι-
μῶντα, τοὺς αἰχμαλώτους μὴ ἐλεοῦντα, ταῖς ἡδοναῖς μὴ σωφρονοῦντα, τοῖς
καιροῖς μὴ ἀγρυπνοῦντα, ταῖς νίκαις μὴ εὐδιάλλακτον, τοῖς κατορθώμασι μὴ
φιλάνθρωπον· τίς μέγας ἐν ἐξουσίαις μετὰ ἀβελτηρίας καὶ μοχθηρίας, ἀφε-
λε τὴν ἀρετὴν τοῦ εὐτυχοῦντος, καὶ πανταχοῦ μικρός ἐστιν· ἐν χάρισι διὰ σμι-
κρολογίαν, ἐν πόνοις διὰ μαλακίαν, παρὰ θεοῖς διὰ δεισιδαιμονίαν, πρὸς ἀγα-
θούς

θοὺς διὰ φθόνον, ἐν ἀνδράσι διὰ φόβον, ἐν γυναιξὶ διὰ φιληδονίαν. ὥσπερ γὰρ
οἱ φαῦλοι τεχνῖται, καὶ βάσεις μεγάλας μικροῖς ὑφιστάντες ἀναθήμασιν, ἐλέγ-
χουσιν αὐτῶν καὶ τὰς μικρότητας, οὕτως ἡ τύχη ὅταν μικρὸν ἦθος ἐξαίρῃ πράγ-
μασιν ἔχουσιν ὄγκον τινὰ καὶ περιφάνειαν, ἐπιδείκνυσι μᾶλλον καὶ καταισχύνει
σφαλλόμενον καὶ σαλευόμενον ὑπὸ κουφότητος· ὅθεν οὐκ ἐν τῇ κτήσει τὸ ἀ-
γαθὸν, ἀλλ' ἐν τῇ χρήσει τὸ μέγα ἐστίν· ἐπεὶ καὶ νήπια βρέφη κληρονομεῖ βασιλεί-
ας πατρῴας καὶ ἀρχὰς, ὡς χάριλλος, ὃν λυκοῦργος ἅμα τῷ σπαργάνῳ κομί-
σας εἰς τὸ φιλίτιον, ἀνθ' ἑαυτοῦ βασιλέα τῆς σπάρτης ἀνηγόρευσε, καὶ οὐκ ἦν μέ-
γας ὁ νήπιος, ἀλλ' ὁ τῷ νηπίῳ τὸ πατρῷον ἀποδοὺς γέρας καὶ μὴ σφετερισάμενος
μηδὲ ἀποστερήσας. ἀριδαῖον δέ τις ἂν ἐποίησε μέγαν, ὃν οὐδὲ νηπίου διαφέ-
ροντα, μόνον δὲ σπαργανώσας τῇ πορφύρᾳ μελέαγρος, εἰς τὸν ἀλεξάνδρου θρό-
νον ἔθηκεν, εὖ γε ποιῶν, ἵνα ὀφθῇ παρ' ἡμέρας ὀλίγας, πῶς ἀρετῇ, βασιλεύου-
σιν ἄνθρωποι, καὶ πῶς τύχῃ· ἀγωνιστὴν γὰρ ἡγεμονίας ὑποκριτὴν ἐπεισήγαγε. μᾶλλον
δὲ ὡς ἐπὶ σκηνῆς τὸ διάδημα κωφὸν διεξῆλθε τῆς οἰκουμένης· κἂν γυνὴ φόρει
ἄχθος ἐπεί κεν ἀνὴρ ἀναθείη. τοὐναντίον μὲν οὖν εἴποι τις ἄν, ὅτι λαβεῖν καὶ ἀνα-
θέσθαι δύναμιν, καὶ πλοῦτον καὶ ἀρχὴν, καὶ γυναικός ἐστι καὶ παιδός· ὀάρ-
σῃ, καὶ δαρείῳ, βαγώας ὁ εὐνοῦχος ἀράμενος, ἐπέθηκε τὴν περσῶν βασιλείαν,
τὸ δὲ λαβόντα μεγάλην ἐξουσίαν ἐνεγκεῖν καὶ μεταχειρίσασθαι καὶ μὴ συντριβῆναι μη-
δὲ διαστραφῆναι τῷ βάρει καὶ μεγέθει τῶν πραγμάτων, ἀνδρὸς ἀρετὴν καὶ νοῦν καὶ φρό-
νημα ἔχοντος, ἣν ἀλέξανδρος ἔσχεν, ᾧ μέθην τινὲς ἐγκαλοῦσι καὶ οἴνωσιν· ὁ δὲ ἦν μέ-
γας ἐν τοῖς πράγμασι νήφων, καὶ μὴ μεθυσθεὶς μηδὲ βακχευθεὶς ὑπὸ ἐξουσίας καὶ
δυνάμεως, ἧς μικρὸν ἕτεροι μεταλαβόντες καὶ ἀπογευσάμενοι, κρατεῖν ἑαυτῶν
οὐ δύνανται, κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος, ἢ πόλεως ἐμπεσόντες εἰς τι-
μάς τινας, σκιρτῶσιν· ἀδόκητα εὐτυχησάντων δόμων. κλεῖτος ἐν ἀμοργῷ, τρεῖς
ἢ τέτταρας ἑλληνικὰς ἀναρρήξας τριήρεις, ποσειδῶν ἀνηγορεύθη καὶ τρίαιναν ἐφόρει.
δημήτριος δὲ, ᾧ τοῦ ἀλεξάνδρου δυνάμεως ἡ τύχη σμικρὸν ἀποσπάσασα προσέ-
θηκε, καταιβάτης καλούμενος ἐπήκουε, καὶ πρέσβεις πρὸς αὐτὸν οὐκ ἔπεμπον, ἀλ-
λὰ θεωροὺς αἱ πόλεις, καὶ τὰς ἀποκρίσεις, χρησμοὺς προσηγόρευον. λυσίμαχος
τὰ περὶ θρᾴκην, ὥσπερ ἐσχατιάς τινας τῆς βασιλείας κατασχὼν, εἰς τοσοῦτον ὑπερο-
ψίας ἔφθασε καὶ θρασύτητος, ὥστε εἰπεῖν, νῦν βυζάντιοι πρὸς ἐμὲ ἥκουσιν, ὅτε τῇ λόγ-
χῃ τοῦ οὐρανοῦ ἅπτομαι· παρὼν δὲ πασιάδης ὁ βυζάντιος, ὑπάγωμεν ἔφη, μὴ τῇ ἐ-
πιδορατίδι τὸν οὐρανὸν τρυπήσῃ. καὶ τί ἄν περὶ τούτων λέγει τις, οἷς ἐξῆν δι' ἀλέ-
ξανδρον μέγα φρονεῖν, ὅπου καὶ κλέαρχος ἡρακλείας τύραννος γενόμενος, σκῆ-
πτρον ἐφόρει, καὶ τῶν υἱῶν ἕνα κεραυνὸν ὠνόμασε. διονύσιος δὲ ὁ νεώτερος ἀπόλ-
λωνος υἱὸν ἑαυτὸν ἀνηγόρευσεν, ἐπιγράψας δωρίδος ἐκ ματρὸς φοίβου κοινώμασι
βλαστών. ὁ δὲ πατὴρ αὐτοῦ τῶν πολιτῶν μυρίους ἢ καὶ πλείους ἀνελὼν, προδοὺς δὲ
τὸν ἀδελφὸν ὑπὸ φθόνου τοῖς πολεμίοις, οὐ καταμείνας δὲ τὴν μητέρα, γραῦν οὖσαν
ὀλίγαις ἡμέραις ἀποθανεῖν ὕστερον, ἀλλ' ἀποπνίξας, ἐν δὲ τραγῳδίᾳ γράψας αὐ-
τός· ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ· ὅμως τῶν θυγατέρων τὴν μὲν ἀρετὴν, τὴν δὲ σω-
φροσύνην ὠνόμασεν, τὴν δὲ δικαιοσύνην· οἱ δὲ εὐεργέτας, οἱ δὲ καλλινίκους, οἱ δὲ σωτῆ-
ρας, οἱ δὲ μεγάλους ἀνηγόρευσαν ἑαυτούς. γάμους δὲ αὐτῶν ἐπαλλήλους, ὥσπερ ἵππων
ἐν ἀγέλαις γυναικῶν ἀνέδην διημερευόντων, καὶ φθορὰς παίδων, καὶ τυμπανισμοὺς
ἐν ἀνδρογύνοις, καὶ κύβους μεθ' ἡμερινὰς, καὶ αὐλήσεις ἐν θεάτροις, καὶ νύκτα μὲν ἐν δεί-
πνοις, ἡμέραν δὲ ἐν ἀρίστοις ἐπιλείπουσαν, οὐδεὶς ἂν ἐφίκοιτο τῷ λόγῳ διελθεῖν.
ἀλλ' ἀλέξανδρος ἠρίστα μὲν, ὄρθρου καθεζόμενος, ἐδείπνει δὲ πρὸς ἑσπέραν βαθεῖαν, ἔ-
πινε δὲ θύσας τοῖς θεοῖς, ἐκύβευε δὲ πρὸς μήδιον πυρέττων, ἔπαιζε δὲ ὁδοιπορῶν

ἅμα καὶ μανθάνων τρέχειν, καὶ ἀποβαίνειν ἁρμάτων, ἔγημε δὲ ῥωξάνην ἑαυτοῦ μόνην ἐρασθείς· τὴν δὲ δαρείου στάτειραν, τῇ βασιλείᾳ καὶ τοῖς πράγμασι. συνέφερε γὰρ ἡ τῶν γενεῶν ἀνάμιξις. τῶν δὲ ἄλλων περσίδων ἐκράτησε τοσοῦτον σωφροσύνῃ, ὅσον ἀνδρείᾳ περσῶν· ἀκουσὰν μὲν γὰρ οὐδεμίαν εἶδεν· ἃς δὲ εἶδε μᾶλλον, ἢ ἃς οὐκ εἶδε παρῆλθε. καὶ πᾶσιν ὢν τοῖς ἄλλοις φιλάνθρωπος, μόνοις ὑπερηφάνως τοῖς καλοῖς ἐχρῆτο. τῆς δὲ τῆς δαρείου γυναικὸς εὐπρεπεστάτης γενομένης, οὐδὲ φωνὴν ἐπαινοῦσαν τὸ κάλλος ἤκουσεν. ἀποθανοῦσαν δὲ, οὕτω βασιλικῶς ἐκόσμησε καὶ συμπαθῶς ἐδάκρυσεν, ὥστε ἄπιστον αὐτοῦ τὸ σῶφρον ἐν τῷ φιλανθρώπῳ γενέσθαι, καὶ λαβεῖν ἀδικίας ἔγκλημα τὴν χρηστότητα. δαρεῖος γὰρ οὕτως ἐκινήθη πρὸς τὴν ἐξουσίαν αὐτοῦ καὶ τὴν ἡλικίαν. εἷς γὰρ ἦν καὶ αὐτὸς ἔτι τῶν νομιζόντων διὰ τύχην κρατεῖν ἀλέξανδρον. ἐπεὶ δὲ τὸ ἀληθὲς ἔγνω βασανίσας πανταχόθεν, οὐ πάντα εἶπεν, ἀρ' οὐ φαύλως ἔχει τὰ περσῶν· οὐδέ τις ἐρεῖ παντάπασι κακοὺς ἡμᾶς, οὐδὲ ἀνάνδρους ὑπὸ τοιούτου κρατηθέντας. ἐγὼ δὲ, εὐτυχίαν μὲν εὔχομαι, καὶ κράτος πολέμου παρὰ θεῶν, ἵνα εὖ ποιῶν ἀλέξανδρον ὑπερβάλωμαι. καί με τις ἔχει φιλοτιμία καὶ ζῆλος, ἡμερώτερον αὐτοῦ φανῆναι. εἰ δὲ οἴχεται τὰ ἐμὰ, ζεῦ πατρῷε περσῶν καὶ βασίλειοι θεοὶ, μηδεὶς εἰς τὸν κύρου θρόνον ἄλλος, ἢ ἀλέξανδρος καθίσειε. τοῦτο εἰσποίησις ἦν ἀλεξάνδρου διὰ θεῶν μαρτύρων· οὕτω νικῶσιν ἀρετῇ. πρόσγραψον εἰ βούλει τῇ τύχῃ τὰ ἄρβηλα, καὶ τὴν κιλικίαν, καὶ τἄλλα, ἃ γέγονε βίας ἔργα. καὶ πολέμου τύχῃ τὴν τύρον ἔσεισεν αὐτῷ, καὶ τύχῃ τὴν αἴγυπτον ἀνέῳξε. διὰ τύχην ἁλικαρνασσὸς ἔπεσε, καὶ μίλητος ἑάλω, καὶ μαζαῖος εὐφράτην ἔρημον ἀπέλιπε, καὶ νεκρῶν τὸ βαβυλώνιον ἐπλήσθη πεδίον. ἀλλ' οὔτι γε σωφρόνων ἀπὸ τύχης, οὔτε ἐγκρατὴς διὰ τύχην, οὔτε ἀνάλωτον ὑφ' ἡδονῆς ἡ τύχη καὶ ἄτρωτον ἐπιθυμίαις κατακλείσασα τὴν ψυχὴν ἐφρούρει. καὶ μὴν ταῦτα ἦν οἷς αὐτὸς ἐνίκα δαρεῖον. τἄλλα δὲ, ὅπλων ἦσαν ἧτται καὶ ἵππων, καὶ μάχαι καὶ φόνοι, καὶ φυγαὶ ἀνδρῶν. τὴν δὲ μεγάλην καὶ ἀναντίρρητον ἧτταν ἡττήθη δαρεῖος. καὶ ἐνέκλινεν ἀρετῇ καὶ μεγαλοφροσύνῃ καὶ ἀνδρείᾳ, καὶ δικαιοσύνῃ, θαυμάσας τὸ ἐν ἡδονῇ, καὶ πόνοις καὶ χάρισιν ἀνίκητον. ἐπεὶ ἔν γε πέλταις καὶ σαρίσσαις, καὶ ἀλαλαγμοῖς καὶ συρράξεσιν ὅπλων, ἀνίκητος ἦν, καὶ ταρρίας ὁ δεινομένους, καὶ ἀντιγένης ὁ πελληναῖος, καὶ φιλώτας ὁ παρμενίωνος· ἀλλὰ πρὸς ἡδονὰς καὶ γυναῖκας καὶ χρυσίον καὶ ἀργύριον, οὐδὲν τι βελτίους τῶν αἰχμαλώτων. ἀλλὰ ταρρίας μὲν, ὅτε τῶν χρεῶν ἠλευθέρου μακεδόνας ἀλέξανδρος, καὶ διελύετο τοῖς δανείσασιν ὑπὲρ πάντων, ψευσάμενος ὀφείλειν, καὶ δανειστήν τινα φάσκοντα εἶναι τῇ τραπέζῃ προσαγαγών, εἶτα φωραθεὶς, ὀλίγου διέφθειρεν αὐτὸς ἑαυτὸν, εἰ μὴ γνοὺς ἀλέξανδρος ἀφῆκε τῆς αἰτίας αὐτόν. καὶ συνεχώρησεν ἔχειν τὸ ἀργύριον, ἀναμνησθεὶς ὅτι φιλίππου προσμαχομένου περίνθῳ, βέλει πληγεὶς εἰς τὸν ὀφθαλμὸν, οὐ παρέχων, οὐδ' ὑπέμεινεν ἐξαιρεθῆναι τὸ βέλος αὐτοῦ, πρὶν ἢ τρέψασθαι τοὺς πολεμίους. ἀντιγένης δὲ τοῖς ἀποπεμφθεῖσιν εἰς μακεδονίαν, διὰ νόσον καὶ πήρωσιν ἀναμίξας ἑαυτὸν καὶ ἀπογραψάμενος, ὡς ἐλήφθη μηδὲν κακὸν ἔχων, ἀλλὰ προσποιούμενος ἀρρωστίαν τινὰ ἀνὴρ πολεμικὸς καὶ τραυμάτων τὸ σῶμα μεστὸν ὀφθεὶς, ἠνίασεν ἀλέξανδρον. πυνθανομένου δὲ τὴν αἰτίαν, ὡμολόγησε τελεσίππης ἐρᾶν, καὶ συνακολουθεῖν ἐπὶ θάλασσαν ἀπιούσῃ, μὴ δυνάμενος ἀπολειφθῆναι. καὶ τίνος ἔφη τὸ γύναιόν ἐστιν ὁ ἀλέξανδρος, καὶ πρὸς τίνα δεῖ διαλέγεσθαι. τοῦ δὲ ἀντιγένους εἰπόντος ὡς ἐλευθέρα ἐστίν. οὐκοῦν εἶπε πείθομεν αὐτὴν καταμένειν, ἐπαγγελλόμενοι καὶ διδόντες, οὕτω παντὶ μᾶλλον ἐρῶντι συγγνώμην ἔχων ἢ ἑαυτῷ. καὶ μὴν καὶ φιλώτας ὁ παρμενίωνος τρόπῳ τινὶ τῶν κακῶν ἔσχε τὴν ἀκρασίαν. ἀντιγόνα γὰρ ἦν πελλαῖον γύναιον ἐν τοῖς περὶ δαμασκὸν αἰχμαλώτοις, ἑάλωκε

ἑάλωκε δὲ ὑπὸ αὐτοφραδάτου πρότερον εἰς σαμοθράκην διαπλεύσασα, τὴν δὲ ὄψιν ἦν ἱκανὴ, καὶ τοῦ φιλώτα ἁψάμενον αὐτοῦ, εἶχε μάλα. καὶ δὴ ὁ σιδήρεος ἔκ τινος πεπαινόμενος, οὐκ ἐκράτει τῶν λογισμῶν ἐν ταῖς ἡδοναῖς, ἀλλ' ἀνοιγόμενος, ἐξέφερε πολλὰ τῶν ἀπορρήτων πρὸς αὐτήν. τί γὰρ ἦν ἐκεῖνος ὁ φίλιππος, εἰ μὴ παρμενίων. τί δὲ ἀλέξανδρος οὗτος, εἰ μὴ φιλώτας. ποῦ δὲ ὁ ἄμμων, ποῦ δὲ οἱ δράκοντες, ἂν ἡμεῖς μὴ θέλωμεν. τούτους τοὺς λόγους ἡ ἀντιγόνα ἐξήνεγκε πρός τινα τῶν συνήθων γυναικῶν. ἐκείνη δὲ πρὸς κρατερόν. κρατερὸς δὲ πρὸς ἀλέξανδρον αὐτὴν εἰσήγαγε τὴν ἀντιγόναν κρύφα, καὶ τοῦ μὲν σώματος οὐκ ἔθιγεν, ἀλλ' ἀπείχετο. τὸν δὲ φιλώταν ὑποικουρῶν δι' αὐτῆς, ὅλον ἐφώρασε, καὶ πλέον ἢ ἑπτὰ ἔτη τῶν διαγενομένων, οὐκ ἐν οἴνῳ ποτὲ τὴν ὑπόνοιαν ταύτην ἐξέφηνεν ὁ μεθύων, οὐ δι' ὀργὴν ὁ θυμοειδὴς, οὐ πρὸς φίλον ὁ πάντα πιστεύων ἡφαιστίωνι, καὶ πάντων μεταδιδούς. λέγεται γὰρ ὅτι καὶ τῆς μητρὸς ἀπόρρητον ἐπιστολὴν λύσαντος αὐτοῦ, καὶ σιωπῇ πρὸς ἑαυτὸν ἀναγινώσκοντος, ἡφαιστίων ἀτρέμα παραβάλλων τὴν κεφαλὴν, συνανεγίνωσκεν. ὁ δὲ κωλῦσαι μὲν οὐχ ὑπέμεινεν, ἐξελὼν δὲ τὸν δακτύλιον, προσέθηκε τὴν σφραγῖδα τῷ στόματι τοῦ ἡφαιστίωνος. ἀλλὰ ταῦτα μὲν ἄν τις ἄπειρα λέγων, οἷς ἀποδείκνυται κάλλιστα καὶ βασιλικώτατα, τὴν ἐξουσίαν διατιθέμενος. καὶ γὰρ εἰ διὰ τύχην μέγας γέγονε, μείζων ἐστὶν, ὅτι τῇ τύχῃ καλῶς κέχρηται, καὶ ὅσῳ τις ἂν μᾶλλον αὐτοῦ τὴν τύχην ἐπαινεῖ, τοσούτῳ μᾶλλον αὔξει τὴν ἀρετὴν, δι' ἣν ἄξιος τῆς τύχης ἐγένετο. οὐ μὴν ἀλλ' ἤδη πρὸς τὰ πρῶτα τῆς αὐξήσεως αὐτοῦ καὶ τὰς ἀρχὰς τῆς δυνάμεως βαδίζω, καὶ σκοπῶ τί τὸ τῆς τύχης ἔργον ἐν ἐκείνοις γέγονε, δι' ὅ φασιν ἀλέξανδρον ἀπὸ τῆς τύχης μέγαν γεγονέναι. πῶς γὰρ οὐχὶ τὸν ἄτρωτον ὦ ζεῦ, τὸν ἀναίμακτον, τὸν ἀστράτευτον, ὃν χρεμετίσας ἵππος εἰς τὸν κύρου θρόνον ἐκάθισεν. ὡς δαρεῖον τὸν ὑστάσπου πρότερον; ἢ κολακευθεὶς ἀνὴρ ὑπὸ γυναικὸς, ὡς ξέρξην δαρεῖος ὑπὸ ἀτόσσης; ἐπὶ θύρας αὐτῷ τὸ διάδημα τῆς βασιλείας ἦλθεν. ὡς παρύσατίς διὰ βαγώαν, καὶ στολὴν ἐνδυσάμενος ἀστάνδου περιέθετο τὴν βασιλικὴν καὶ ὀρθοπαγῆ κίταριν; ἐξαίφνης καὶ ἀπροσδοκήτως κλήρῳ λαχὼν τῆς οἰκουμένης ἐβασίλευσεν, ὡς ἀθήνησι κληροῦνται θεσμοθέται καὶ ἄρχοντες; βούλει μαθεῖν πῶς βασιλεύουσιν ἄνθρωποι διὰ τύχην; ἐξέλιπεν ἀργείοις ποτὲ τὸ ἡρακλειδῶν γένος, ἐξ οὗ βασιλεύεσθαι πάτριον ἦν αὐτοῖς. ζητοῦσι δὲ καὶ διαπυνθανομένοις, ὁ θεὸς ἔχρησεν ἀετὸν δείξειν. καὶ μεθ' ἡμέρας ὀλίγας ἀετὸς ὑπερφανεὶς, καὶ καταίρας εὐθὺ τὴν αἴγωνος οἰκίαν ἐκάθισε, καὶ βασιλεὺς ᾑρέθη αἴγων. πάλιν ἐν πάφῳ τοῦ βασιλεύοντος ἀδίκου καὶ πονηροῦ φανέντος, ἐκβαλὼν τοῦτον ἀλέξανδρος, ἕτερον ἐζήτει, τοῦ κινυραδῶν γένους ἤδη φθίνειν καὶ ἀπολείπειν δοκοῦντος. ἕνα δ' οὖν ἔφασαν περιεῖναι πένητα καὶ ἄδοξον ἄνθρωπον ἐν κήπῳ τινὶ παρημελημένως διατρεφόμενον. ἐπὶ τοῦτον οἱ πεμφθέντες ἧκον. εὑρέθη δὲ πρασιαῖς ὕδωρ ἐπαντλῶν, καὶ διεταράχθη τῶν στρατιωτῶν ἐπιλαμβανομένων αὐτοῦ καὶ βαδίζειν κελευόντων, ἀχθεὶς δὲ πρὸς ἀλέξανδρον ἐν εὐτελεῖ σινδονίσκῃ, βασιλεὺς ἀνηγορεύθη καὶ πορφύραν ἔλαβε, καὶ εἷς ἦν τῶν ἑταίρων προσαγορευομένων. ἐκαλεῖτο δὲ ἀραλύνομος. οὕτως αἱ τύχαι ποιοῦσι βασιλεῖς, μεταμφιέζουσι, μεταγράφουσι ταχὺ ῥᾳδίως, μὴ προσδεχομένους μηδὲ ἐλπίζοντας. ἀλεξάνδρῳ δὲ τί παρ' ἀξίαν, τί ἀνιδρωτὶ, τί ἀναιμωτὶ, τί προῖκα, τί μὴ πονήσαντι τῶν μεγάλων, αἵματι κεκραμένους ποταμοὺς ἔπιε, καὶ νεκροῖς γεγεφυρωμένους διέβη, καὶ πόαν ἔφαγε διὰ λιμὸν, ἣν πρῶτον εἶδε, καὶ βάθεσι χιόνων κατακεχωσμένα ἔθνη, καὶ πόλεις ὑπὸ γῆν ἐν δεδυκυίας διώρυξε, καὶ θάλατταν μαχομένην ἔπλευσε, καὶ θῖνας ἀνύδρους τὰς γεδρουσίων καὶ ἀραχωσίων ὁδεύων, ἐν θαλάσσῃ πρότερον ἢ ἐν γῇ φυτὸν εἶδεν. εἰ γοῦν ἦν ὡς πρὸς ἄνθρω

που ἀγαγεῖν παῤῥησίαν ὑπὲρ Ἀλεξάνδρου πρὸς τὴν τύχην, οὐκ ἂν εἴπε, ποῦ σοῦ
καὶ πότε ταῖς Ἀλεξάνδρου πράξεσιν ἐνδέδωκας, ποίαν πέτραν ἀναιμωτὶ διὰ
σὲ εἷλε, ποίαν πόλιν ἀφρούρητον αὐτῷ παρέδωκας, ἢ ποίαν ἄνοπλον φάλαγ-
γα· τίς εὑρέθη βασιλεὺς ῥάθυμος, ἢ στρατηγὸς ἀμελής, ἢ κοιμώμενος πυλω-
ρός· ἀλλ' οὐδὲ εὔβατος ποταμός, οὐδὲ χειμὼν μέτριος, οὐδὲ θέρος ἄλυπον. ἄ-
πιθι πρὸς Ἀντίοχον τὸν Σελεύκου, πρὸς Ἀρταξέρξην τὸν Κύρου ἀδελφόν· ἄπι-
θι πρὸς Πτολεμαῖον τὸν Φιλάδελφον· ἐκείνους ζῶντες οἱ πατέρες βασιλεῖς ἀνη-
γόρευσαν· ἐκεῖνοι μάχας ἀδακρύτους ἐνίκων· ἐκεῖνοι πανηγυρίζοντες ἐν πομπαῖς
καὶ θεάτροις διετέλεσαν· ἐκείνων ἕκαστος δι' εὐτυχίαν βασιλεύων ἐγήρασεν. Ἀλε-
ξάνδρου δὲ εἰ μηδὲν ἄλλο, τὸ σῶμα ἰδοὺ κατατετρωμένον ἐξ ἄκρας κεφαλῆς,
ἄχρι ποδῶν διακέκοπται καὶ περιτέθλασται τυπτόμενον ὑπὸ τῶν πολεμίων·
ἔγχεΐ τ' ἄορί τε μεγάλοισί τε χερμαδίοισι. ἐπὶ Γρανίκου ξίφει διακοπεὶς τὸ κρά-
νος ἄχρι τῶν τριχῶν· ἐν Γάζῃ βέλει πληγεὶς τὸν ὦμον· ἐν Μαρακάνδοις τοξεύμα-
τι τὴν κνήμην· ὥστε τῆς κερκίδος τὸ ὀστέον ἀποκλασθὲν, ὑπὸ τῆς πληγῆς ἐξα-
λέσθαι· περὶ τὴν Ὑρκανίαν λίθῳ τὸν τράχηλον· ἐξ οὗ καὶ τὰς ὄψεις ἀμαυρωθεὶς,
ἐφ' ἡμέρας πολλὰς ἐν φόβῳ πηρώσεως ἐγένετο. πρὸς Ἀσσακανοῖς Ἰνδικῷ βέλει
τὸ σφυρόν, ὅτε καὶ πρὸς τοὺς κόλακας εἶπεν ἐπιμειδιάσας· τουτὶ μὲν αἷμα, οὐκ
ἰχώρ, οἷός πέρ τε ῥέει μακάρεσσιν. ἐν Ἰσσῷ ξίφει τὸν μηρὸν ὡς Χάρης φησὶν ὑπὸ
Δαρείου τοῦ βασιλέως εἰς χεῖρας αὐτῷ συνδραμόντος. αὐτὸς δὲ Ἀλέξανδρος
ἁπλῶς γράφων καὶ μετὰ πάσης ἀληθείας πρὸς Ἀντίπατρον, συνέβη δέ μοι
φησὶ καὶ αὐτῷ ἐγχειριδίῳ πληγῆναι εἰς τὸν μηρόν· ἀλλ' οὐδὲν ἄτοπον οὔτε πα-
ραχρῆμα οὔτε ὕστερον ἐκ τῆς πληγῆς ἀπήντησεν. ἐν Μαλλοῖς τοξεύματι διπήχει
διὰ τοῦ θώρακος εἰς τὸ στῆθος ὑπελάσας, ἔλαβε κατὰ τοῦ αὐχένος ὡς Ἀριστόβου-
λος ἱστόρηκε. διαβὰς δὲ τὸν Τάναϊν ἐπὶ τοὺς Σκύθας καὶ τρεψάμενος, ἐδίωξεν
ἵππῳ πεντήκοντα καὶ ἑκατὸν σταδίους ὑπὸ διαῤῥοίας ἐνοχλούμενος. Εὖ γε
ὦ τύχη τὸν Ἀλέξανδρον αὔξεις καὶ μέγαν ποιεῖς, διορύττουσα πανταχόθεν ὑπε-
ρείδουσα, πᾶν μέρος ἀνοίγουσα τοῦ σώματος, οὐχ ὥσπερ ἡ Ἀθηνᾶ πρὸ τοῦ Μενε-
λάου τὸ βέλος εἰς τὰ καρτερώτατα τῶν ὅπλων ὑπάγουσα, θώρακι καὶ μίτρᾳ
καὶ ζωστῆρι, τῆς πληγῆς τὸν τόνον ἀφεῖλε, θιγούσης τοῦ σώματος, ὅσον αἵματι πρό-
φασιν ῥυῆναι, ἀλλὰ γυμνὰ παρέχουσα τοῖς βέλεσι τὰ καίρια, καὶ δι' ὀστέων ἐλαύ-
νουσα τὰς πληγάς, καὶ περιτρέχουσα κύκλῳ τὸ σῶμα, καὶ πολιορκοῦσα τὰς ὄψεις
τὰς βάσεις ἐμποδίζουσα, τὰς διώξεις, περισπῶσα τὰς νίκας, ἀνατρέπουσα
τὰς ἐλπίδας, ἐμοὶ μὲν οὐδεὶς βαρυτέρα δοκεῖ κεχρῆσθαι τύχῃ τῶν βασιλέων.
καί τοι πολλοῖς ἐνέπεσε σκληρὰ καὶ βάσκανος· ἀλλ' ὡς σκηπτὸς ἀπέκοψε τοὺς ἄλλους
καὶ διέφθειρε. πρὸς δὲ Ἀλέξανδρον αὐτῆς τὸ δυσμενὲς, γέγονε φιλόνεικον καὶ δύσε-
ρι καὶ δυσεκβίαστον· ὥσπερ πρὸς τὸν Ἡρακλέα. ποίους γὰρ Τυφῶνας ἢ πελωρίους
γίγαντας οὐκ ἀνέστησεν ἀνταγωνιστὰς ἐπ' αὐτόν· ἢ τίνας οὐκ ὠχύρωσε τῶν πολεμίων
πλήθεσιν ὅπλων, ἢ βάθεσι ποταμῶν, ἢ τραχύτησι κρημνῶν, ἢ θηρίων ἀλκαῖς
ἀλλοφύλων. εἰ δὲ μὴ μέγα ἦν τὸ Ἀλεξάνδρου φρόνημα, μηδὲ ἀπ' ἀρετῆς ὁρμώ-
μενον μεγάλης ἐξανέφερε, καὶ δὴ διηρείδετο πρὸς τὴν τύχην, οὐκ ἂν ἔκαμε καὶ ἀπη-
γόρευσε παρατατόμενος, ἐξοπλιζόμενος, πολιορκῶν, διώκων, ἀποστάσεσι μυ-
ρίαις ἀποτροπαῖς, σκιρτήσεσιν ἐθνῶν, βασιλέων ἀφηνιασμοῖς, Βάκτρα, Μαράκαν-
δα, Σογδιανούς, ἐν ἔθνεσιν ἀπίστοις καὶ ἐπιβούλοις, ὕδραν τέμνων ἀεὶ πάλιν πο-
λέμοις ἐπιβλαστάνουσαν. ἄτοπόν τι δόξω λέγειν· ὁρῶ δὲ ἀληθές. παρ' ὀλίγον γὰρ
κροῦ διὰ τὴν τύχην Ἀλέξανδρος ἀπώλεσε τὸ δοκεῖν Ἄμμωνος εἶναι. τίς γὰρ ἐξ ἐμό-
ἂν ἐκ θεῶν γεγονὼς ἐπισφαλεῖς οὕτω καὶ πολυπόνους καὶ πλήμονας ἐξεμό-

χθησεν ἄθλους, πλὴν ὁ Διὸς Ἡρακλῆς. ἀλλ' ἐκείνῳ μὲν εἷς ἀνὴρ ὑβριστὴς ἐπι-
τάττε, λέοντας αἱρεῖν, καὶ κάπρους διώκειν, καὶ σοβεῖν ὄρνιθας, ἵνα μὴ σχολάζῃ
τοῖς μείζοσι περιϊὼν Ἀνταίους κολάζειν, καὶ Βουσίριδας παύειν μιαιφονοῦντας.
Ἀλεξάνδρῳ δὲ ἐπέταττε μὲν ἡ ἀρετὴ τὸν βασιλικὸν καὶ θεῖον ἆθλον, οὗ τέλος
ἦν, οὐ χρυσὸς ὑπὸ μυρίων καμήλων περικομιζόμενος, οὐδὲ τρυφαὶ Μηδικαὶ καὶ
τράπεζαι καὶ γυναῖκες, οὐδὲ Χαλυβώνιος οἶνος, οὐδὲ Ὑρκανικοὶ ἰχθύες, ἀλλ' ἐνὶ κόσ-
μῳ κοσμήσαντα πάντας ἀνθρώπους, μιᾶς ὑπηκόους ἡγεμονίας, καὶ μιᾶς ἐ-
θάδας διαίτης καταστῆσαι. τοῦτον ἐκ παιδὸς ἔμφυτον ἔχων ἔρωτα συντρε-
φόμενον καὶ συναυξανόμενον, ὡς ἀφίκοντο πρέσβεις παρὰ τοῦ Περσῶν βασι-
λέως πρὸς Φίλιππον· ὁ δὲ οὐκ ἔνδημος ἦν· φιλοφρονούμενος καὶ ξενίζων αὐτοὺς
Ἀλέξανδρος, οὐδὲν ἠρώτα παιδικὸν, οἷον ἄλλοι, περὶ τῆς χρυσῆς ἀναδενδράδος,
ἢ τῶν κρεμαστῶν κήπων, ἢ πῶς ὁ βασιλεὺς κεκόσμηται· ἀλλ' ὅλος ἐν τοῖς κυριω-
τάτοις ἦν τῆς ἡγεμονίας, διαπυνθανόμενος, πῶς ἡ δύναμις ἡ Περσῶν,
ποῦ τεταγμένος ὁ βασιλεὺς ἐν ταῖς μάχαις ἀγωνίζεται· καθάπερ Ὀδυσσεὺς
ἐκεῖνος, ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήϊα, ποῦ δὲ οἱ ἵπποι, τίνες ὁδοὶ βραχύταται
τοῖς ἄνω πορευομένοις ἀπὸ θαλάττης· ὥστε τοὺς ξένους ἐκπεπλῆχθαι καὶ λέγειν·
ὡς ὁ παῖς οὗτος βασιλεὺς μέγας· ὁ δ' ἡμέτερος πλούσιος. ἐπεὶ δὲ Φιλίππου
τελευτήσαντος ὥρμητο διαβαλεῖν καὶ ταῖς ἐλπίσιν ἤδη καὶ ταῖς παρασκευαῖς
ἐμπεφυκὼς, ἔσπευδεν ἅψασθαι τῆς Ἀσίας· ἐνίστατο δὲ ἡ τύχη καὶ ἀπέστρεφε καὶ
ἀνθεῖλκεν ὀπίσω· καὶ μυρίας περιέβαλλεν ἀσχολίας καὶ διατριβὰς ἐπιλαμ-
βανομένη, πρῶτον αὐτῷ τὰ βαρβαρικὰ τῶν προσοίκων διετάραξεν· Ἰλλυρι-
κοὺς καὶ Τριβαλλικοὺς μηχανωμένη πολέμους· ὑφ' ὧν μέχρι Σκυθίας τῆς παρ' Ἴ-
στρον ἀποσπασθεὶς ἀπὸ τῶν ἄνω πράξεων, καὶ περιδραμὼν καὶ κατεργασάμε-
νος πάντα κινδύνοις καὶ ἀγῶσι μεγάλοις, αὖθις ὥρμητο καὶ ἔσπευδε πρὸς τὴν
διάβασιν πάλιν· ἡ δὲ πάλιν αὐτῷ τὰς Θήβας ἐνέσεισε, καὶ πόλεμον Ἑλληνι-
κὸν ἐμποδὼν κατέβαλε, καὶ δεινὴν πρὸς ἄνδρας ὁμοφύλους καὶ συγγενεῖς διὰ
φόνου καὶ σιδήρου καὶ πυρὸς ἀνάγκην ἀμύνης ἀτερπέστατον τέλος ἔχουσαν.
ἐκ τούτου διέβαινεν ὡς μὲν Φύλαρχός φησιν, ἡμερῶν τριάκοντα ἔχων ἐφόδιον.
ὡς δὲ Ἀριστόβουλος, ἑβδομήκοντα τάλαντα· τῶν δὲ οἴκοι κτημάτων καὶ προσό-
δων βασιλικῶν διένειμε τὰς πλείστας τοῖς ἑταίροις· μόνος δὲ Περδίκκας οὐδὲν
ἔλαβε διδόντος, ἀλλ' ἠρώτησε· σαυτῷ δὲ τί καταλείπεις Ἀλέξανδρε· τοῦ δ' εἰπόν-
τος ὅτι τὰς ἐλπίδας, οὐκοῦν ἔφη καὶ ἡμεῖς τούτων μεθέξομεν· οὐ γὰρ δίκαιον τὰ σὰ
λαμβάνειν, ἀλλὰ τὰ Δαρείου περιμένειν. τίνες οὖν ἦσαν ἐλπίδες ἐφ' αἷς διέ-
βαινεν εἰς Ἀσίαν Ἀλέξανδρος; οὐ τείχεσι πόλεων μυριάνδρων ἐκπεπτωμένη δύνα-
μις, οὐδὲ στόλοι δι' ὀρῶν πλέοντες, οὐδὲ μάστιγες οὐδὲ πέδαι, μανικὰ καὶ βάρβα-
ρα κολαστήρια θαλάσσης· ἀλλὰ τὰ μὲν ἐκτὸς ἐν ὀλίγοις ὅπλοις φιλοτιμία πολ-
λὴ, καὶ ζῆλος ἡλικίας παράλληλος, καὶ ἅμιλλα περὶ δόξης καὶ ἀρετῆς ἑταί-
ρων· αὐτὸς δ' εἶχεν ἐν ἑαυτῷ τὰς μεγάλας ἐλπίδας, εὐσέβειαν περὶ θεούς,
πίστιν πρὸς φίλους, εὐτέλειαν, ἐγκράτειαν, ἐμπειρίαν, ἀφοβίαν πρὸς θάνατον,
εὐψυχίαν, φιλανθρωπίαν, ὁμιλίαν εὐάρμοστον, ἀψευδὲς ἦθος, εὐστάθειαν ἐν βου-
λαῖς, τάχος ἐν πράξεσι, πρῶτα δόξης, προαίρεσιν ἐν τῷ καλῷ τελεσιουργόν.
Ὅμηρος μὲν γὰρ οὐ πρεπόντως οὐδὲ πιθανῶς τὸ Ἀγαμέμνονος κάλλος ἐκ τριῶν συ-
νήρμοσεν εἰκόνων, ὁμοιώσας, ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ,
Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι. τὴν δὲ Ἀλεξάνδρου φύσιν, εἴπερ ἐκ πολ-
λῶν συνήρμοσε καὶ συνέθηκεν ἀρετῶν ὁ γεννήσας θεὸς, ἆρα οὐκ ἂν εἴποιμεν
ἔχειν φρόνημα μὲν τὸ Κύρου· σωφροσύνην δὲ τὴν Ἀγησιλάου· σύνεσιν δὲ τὴν Θεμι-

ὑ μαλλοῖς

ἀκαρεαντι θεοῖσι.

L. A

δίσ ἡ· α.

οἰκημάτων

στοκλέους, ἐμπειρίαν δὲ τὴν Φιλίππου, τόλμαν δὲ τὴν Βρασίδου, δεινότητα δὲ καὶ πολιτείαν τὴν Περικλέους; τῶν δὲ ἔτι παλαιοτέρων, σωφρονέστερος μὲν Ἀγαμέμνονος· ὁ μὲν γὰρ προέκρινε τῆς νομίμου κουριδίης τὴν αἰχμάλωτον· ὁ δὲ καὶ πρὶν ἢ γῆμαι τῶν ἁλισκομένων ἀπείχετο. μεγαλοψυχότερος δὲ Ἀχιλλέως· ὁ μὲν γὰρ χρημάτων ὀλίγων τὸν Ἕκτορος νεκρὸν ἀπελύτρωσεν· ὁ δὲ πολλοῖς χρήμασι Δαρεῖον ἔθαψε, καὶ ὁ μὲν παρὰ τῶν φίλων δῶρα καὶ μισθὸν ἀντὶ τῆς ὀργῆς διαλλαγεὶς ἔλαβεν· ὁ δὲ τοὺς πολεμίους κρατῶν ἐπλούτιζεν. εὐσεβέστερος δὲ Διομήδους· ὁ μὲν γὰρ θεοῖς μάχεσθαι ἦν ἕτοιμος· ὁ δὲ πάντα τοὺς θεοὺς ἐνόμιζε κατορθοῦν. ποθεινότερος δὲ τοῖς προσήκουσιν Ὀδυσσέως· ἐκείνου μὲν γὰρ ἡ τεκοῦσα διὰ λύπην ἀπέθανε· τούτῳ δὲ ἡ τοῦ πολεμίου μήτηρ ὑπ' εὐνοίας συναπέθανε. τὸ δ' ὅλον εἰ μὲν καὶ Σόλων διὰ τύχην ἐπολιτεύσατο, καὶ Μιλτιάδης διὰ τύχην ἐστρατήγησε, καὶ Ἀριστείδης ἀπὸ τύχης ἦν δίκαιος, οὐδὲν ἄρα τῆς ἀρετῆς ἔργον ἐστίν· ἀλλ' ὄνομα ἄλλως καὶ λόγος ἔχων δόξαν ἄλλως διέξεισι τοῦ βίου πλαττόμενος ὑπὸ τῶν σοφιστῶν καὶ τῶν νομοθετῶν. εἰ δὲ τούτων καὶ τῶν ὁμοίων ἀνδρῶν ἕκαστος πένης μὲν ἢ πλούσιος, ἢ ἀσθενὴς ἢ ἰσχυρός, ἢ ἄμορφος ἢ καλός, ἢ εὔγηρως ἢ ὠκύμορος διὰ τύχην γέγονε, μέγαν δὲ στρατηγὸν καὶ μέγαν νομοθέτην, καὶ μέγαν ἐν ἀρχαῖς καὶ πολιτείαις ἕκαστος ἑαυτὸν ἀρετῇ καὶ λόγῳ παρέσχηκε, φέρε θεῶ τὸν Ἀλέξανδρον ἅπασι παραβάλλων. Σόλων χρεῶν ἀποκοπὴν ἐν Ἀθήναις ἐποίησε σεισάχθειαν προσαγορεύσας· Ἀλέξανδρος δὲ τοῖς τὰ χρέα δανείσασιν, ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς ἐξέτισε. Περικλῆς φορολογήσας τοὺς Ἕλληνας, ἐκ τῶν χρημάτων ἐκόσμησεν ἱεροῖς τὴν ἀκρόπολιν. Ἀλέξανδρος δὲ τὰ τῶν βαρβάρων χρήματα λαβών, ἔπεμψεν εἰς τὴν Ἑλλάδα ναοὺς τοῖς θεοῖς ἀπὸ μυρίων ταλάντων οἰκοδομῆσαι κελεύσας. Βρασίδαν ἐν τῇ Ἑλλάδι περιβόητον ἐποίησε, τὸ πρὸς Μεθώνην διαδραμεῖν τὸ στρατόπεδον τῶν πολεμίων, βαλλόμενον παρὰ τὴν θάλατταν. Ἀλεξάνδρου δὲ ἐν Ὀξυδράκαις τὸ δεινὸν ἐκεῖνο πήδημα καὶ ἄπιστον ἀκούουσι καὶ θεωμένοις φοβερόν, ἐκ τειχῶν ἀφέντος ἑαυτὸν εἰς τοὺς πολεμίους, δόρασι καὶ βέλεσι καὶ ξίφεσι γυμνοῖς ἐκδεχομένοις, τίνι ἄν τις εἰκάσειεν· ἢ πυρὶ κεραυνίῳ ῥαγέντι, καὶ φερομένῳ μετὰ πνεύματος. οἷον ἐπὶ γῆν κατέσκηψε φάσμα φλογοειδέσιν ὅπλοις περιλαμπόμενον. οἱ δὲ τὸ πρῶτον ἐκπλαγέντες ἅμα φρίκῃ διέτρεσαν καὶ ἀνεχώρησαν. εἶτα ὡς ἑώρων ἄνθρωπον ἕνα πολλοῖς ἐπιφερόμενον, ἀντέστησαν. ἐνταῦθα ἄρα ἡ τύχη μεγάλα καὶ λαμπρὰ διέφηνεν ἔργα τῆς πρὸς Ἀλέξανδρον εὐμενείας· ὅτε αὐτὸν εἰς χωρίον ἄσημον καὶ βάρβαρον ἐμβαλοῦσα, κατέκλεισε καὶ περιετείχισε, τοὺς δ' ἀπὸ σπουδῆς ἐπιβοηθοῦντας ἔξωθεν καὶ τῶν τειχῶν ἐφιεμένους, κλάσασα καὶ συντρίψασα τὰς κλίμακας ὑπεσκέλισε καὶ κατεκρήμνισε. τριῶν δὲ οἳ ὑπὲρ ἔφθησαν μόνοι τοῦ τείχους λαβέσθαι καὶ καταθέντες ἑαυτοὺς περιστῆναι τῷ βασιλεῖ, τὸν μὲν εὐθὺς ἀνήρπασε καὶ προανεῖλεν· ὁ δὲ τοξεύμασι πολλοῖς διαπεπαρμένος, ὅσον ὁρᾶν καὶ συναισθάνεσθαι μόνον ἀπεῖχε τοῦ τεθνάναι. κεναὶ δὲ ἔξωθεν προσδρομαὶ καὶ ἀλαλαγμοὶ Μακεδόνων, οὐ μηχανῆς τινὸς οὐκ ὀργάνων παρόντων· ἀλλ' ὑπὸ σπουδῆς ξίφεσι τυπτόντων τὰ τείχη, καὶ χερσὶ γυμναῖς παραρρῆξαι καὶ μονονοὺ διαφαγεῖν βιαζομένων. ὁ δ' εὐτυχὴς βασιλεὺς καὶ ὑπὸ τῆς τύχης φυλαττόμενος ἀεὶ καὶ δορυφορούμενος, ὥσπερ θηρίον ἄρκυσιν ἐνσχεθείς, ἔρημος καὶ ἀβοήθητος, οὐχ ὑπὲρ Σούσων οὐδὲ Βαβυλῶνος, οὐδὲ Βάκτρα λαβεῖν, οὐδὲ τὸν μέγαν τοῦ Πώρου κρατῆσαι· τοῖς γὰρ ἐνδόξοις καὶ μεγάλοις ἀγῶσι κἂν δυστυχῶσι, τὸ γοῦν αἰσχρὸν οὐ πρόσεστιν· ἀλλ' οὕτω δύσερις ἦν καὶ βάσκανος ἡ τύχη καὶ φιλοβάρβαρος καὶ μισαλέξανδρος, ὥστε μὴ τὸ σῶμα μόνον

αὐτοῦ μηδὲ τὸν βίον ἀλλὰ καὶ τὴν δόξαν ἀνελεῖν ὅσον ἐφ' ἑαυτῇ, καὶ διαφθεῖραι τὴν εὔκλειαν. οὐ γὰρ παρ' Εὐφράτην Ἀλέξανδρον ἢ Ὑδάσπην πεσόντα κεῖσθαι δεινὸν ἦν, οὐδ' ἀγεννὲς ἐν χερσὶ Δαρείου γενόμενον καὶ ἵπποις καὶ ξίφεσι καὶ κοπίσι περσῶν ἀμυνομένων ὑπὲρ τοῦ βασιλέως ἀποθανεῖν· οὐδὲ τῶν Βαβυλῶνος ἐπιβαίνοντα τειχῶν σφαλῆναι, καὶ πεσεῖν ἀπ' ἐλπίδος μεγάλης. οὕτως Πελοπίδας καὶ Ἐπαμεινώνδας ἀρετῆς ὁ τούτων θάνατος ἦν, οὐ δυστυχίας ἐπὶ τηλικούτοις. τῆς δὲ νῦν ἐξεταζομένης τύχης, οἷον τὸ ἔργον, ἐσχατιὰ βαρβάρου παραποταμίας, καὶ τείχεσιν ἀδόξου πολίχνης περιβαλλούσης καὶ ἀποκρυψάσης τὸν τῆς οἰκουμένης βασιλέα καὶ κύριον, ὅπλοις ἀτίμοις καὶ σκεύεσι τοῖς παρατυχοῦσι τυπτόμενον καὶ βαλλόμενον ἀπολέσθαι. καὶ γὰρ κοπίδι τὴν κεφαλὴν διὰ τοῦ κράνους ἐπλήγη, καὶ βέλος τις ἀπὸ τόξου τὸν θώρακα διέκοψεν, οὗ τοῖς περὶ τὸν μαστὸν ἐνερεισθέντος ὀστέοις καὶ καταπαγέντος, ὁ μὲν καυλὸς ἐξεῖχε βαρύνων, τῆς δὲ ἀκίδος ὁ σίδηρος τεσσάρων δακτύλων εὖρος εἶχε, καὶ πέντε μῆκος. ἔσχατον δὲ τῶν δεινῶν, ὁ μὲν ἠμύνετο τοὺς κατὰ στόμα, καὶ τὸν βαλόντα καὶ πελάσαι τολμήσαντα μετὰ ξίφους, αὐτὸς τῷ ἐγχειριδίῳ φθάσας κατέβαλε καὶ ἀπέκτεινεν. ἐν τούτῳ δέ τις δραμὼν ἐκ μύλωνος, ὑπέρῳ κατὰ τοῦ αὐχένος ὄπισθεν πληγὴν κατήνεγκεν, ἣ συνέχεε τὴν αἴσθησιν αὐτοῦ σκοτωθέντος. ἡ δ' ἀρετὴ παρῆν, θάρσος μὲν αὐτῷ, ῥώμην δὲ καὶ σπουδὴν τοῖς περὶ αὐτὸν ἐμποιοῦσα. Λιμναῖοι γὰρ καὶ Πτολεμαῖοι, καὶ Λεοννάτοι, καὶ ὅσοι τὸ τεῖχος ὑπερκαταβάντες ἢ ῥήξαντες ἔστησαν πρὸ αὐτοῦ, τεῖχος ἀρετῆς ἦσαν, εὐνοίᾳ καὶ φιλίᾳ τοῦ βασιλέως τὰ σώματα καὶ τὰ πρόσωπα καὶ τὰς ψυχὰς προβαλλόμενοι. οὐ γὰρ διὰ τύχην ἀγαθῶν βασιλέων ἑταῖροι προαποθνήσκουσιν ἑκουσίως καὶ προκινδυνεύουσιν· ἀλλ' ἔρωτι τῆς ἀρετῆς, ὥσπερ ὑπὸ φίλτρων μέλιτται, τῷ ἄρχοντι προσέρχονται καὶ προσπεφύκασι. τίς οὖν οὐκ ἂν εἴποι τότε παρὼν ἀκίνδυνος θεατής, ὅτι τύχης μέγαν ἀγῶνα κατ' ἀρετῆς θεᾶται, καὶ τὸ μὲν βάρβαρον παρ' ἀξίαν ἐπικρατεῖ διὰ τύχην· τὸ δ' Ἑλληνικὸν ἀντέχει παρὰ δύναμιν δι' ἀρετήν. κἂν μὲν ἐκεῖνοι περιγένωνται, τύχης καὶ δαίμονος φθονεροῦ καὶ νεμέσεως ἔσται τὸ ἔργον· ἂν δὲ οὗτοι κρατήσωσιν, ἀρετή, καὶ τόλμα, καὶ φιλία, καὶ πίστις, ἐξοίσεται τὸ νικητήριον. ταῦτα γὰρ μόνα παρῆν Ἀλεξάνδρῳ· τῆς δ' ἄλλης δυνάμεως καὶ παρασκευῆς, καὶ στόλων, καὶ ἵππων, καὶ στρατοπέδων, μέσον ἔθηκεν ἡ τύχη τὸ τεῖχος. ἐτρέψαντο μὲν οὖν τοὺς βαρβάρους οἱ Μακεδόνες, καὶ πεσοῦσιν αὐτοῖς ἐπικατέσκαψαν τὴν πόλιν· Ἀλεξάνδρῳ δὲ οὐδὲν ἦν ὄφελος· ἥρπαστο γὰρ μετὰ τοῦ βέλους, καὶ τὸν πόλεμον ἐν τοῖς σπλάγχνοις εἶχε, καὶ δεσμὸς ἦν αὐτῷ καὶ ἧλος τὸ τόξευμα τοῦ θώρακος πρὸς τὸ σῶμα, καὶ σπάσαι μὲν ὥσπερ ἐκ ῥίζης τοῦ τραύματος βιαζομένοις, οὐχ ὑπήκουεν ὁ σίδηρος, ἕδραν ἔχων τὰ πρὸ τῆς καρδίας στερεὰ τοῦ στήθους. ἐκπρῖσαι δὲ τοῦ δόνακος οὐκ ἐθάρρουν τὸ προῦχον· ἀλλ' ἐφοβοῦντο μή πως σπαραγμῷ σχιζόμενον τὸ ὀστέον, ὑπερβολὰς ἀλγηδόνων παράσχῃ, καὶ ῥῆξις αἵματος ἐκ βάθους γένηται. πολλὴν δὲ ἀπορίαν καὶ διατριβὴν ὁρῶν αὐτός, ἐπεχείρησεν ἐν χρῷ τοῦ θώρακος ἀποτέμνειν τῷ ξιφιδίῳ τὸν οἰστόν· ἠτόνει δὲ ἡ χεὶρ καὶ βάρος εἶχε ναρκῶδες ὑπὸ φλεγμονῆς τοῦ τραύματος. ἐκέλευεν οὖν ἅπτεσθαι καὶ μὴ δεδιέναι τοὺς ἀτρώτους θαρρῶν, καὶ τοῖς μὲν ἐλοιδορεῖτο κλαίουσι καὶ περιπαθοῦσι, τοὺς δὲ λειποτάκτας ἀπεκάλει, μὴ τολμῶντας αὐτῷ βοηθεῖν, ἐβόα δὲ πρὸς τοὺς ἑταίρους, μηδεὶς ἔστω μηδὲ ὑπὲρ ἐμοῦ δειλός· ἀπιστοῦμαι μὴ φοβεῖσθαι θάνατον, εἰ τὸν ἐμὸν φοβεῖσθε ὑμεῖς.

α

Ἀλλὰ σὺ μὲν ἐρωτᾷς, τίνι λόγῳ Πυθαγόρας ἀπείχετο σαρκοφαγίας· ἐγὼ δὲ θαυμάζω καὶ τίνι πάθει καὶ ποίᾳ ψυχῇ ἢ λόγῳ ὁ πρῶτος ἄνθρωπος ἥψατο φόνου στόματι, καὶ τεθνηκότος ζῴου χείλεσι προσήψατο σαρκός, καὶ νεκρῶν σωμάτων καὶ εἰδώλων προθέμενος τραπέζας, ὄψα καὶ τροφὴν καὶ προσέτι εἰπεῖν τὰ μικρὸν ἔμπροσθεν βρυχώμενα μέρη καὶ φθεγγόμενα καὶ κινούμενα καὶ βλέποντα· πῶς ἡ ὄψις ὑπέμεινε τὸν φόνον, σφαζομένων, δερομένων, διαμελιζομένων· πῶς ἡ ὄσφρησις ἤνεγκε τὴν ἀποφοράν· πῶς τὴν γεῦσιν οὐκ ἀπέστρεψεν ὁ μολυσμός, ἑλκῶν ψαύουσαν ἀλλοτρίων, καὶ τραυμάτων θανασίμων χυμοὺς καὶ ἰχῶρας ἀπολαμβάνουσαν·

ἕρπον μὲν ῥινοί, κρέα δ' ἀμφ' ὀβελοῖσιν ἐμεμύκει ὀπταλέα τε καὶ ὠμά· βοῶν δ' ὡς γίνετο φωνή·

τοῦτο πλάσμα καὶ μῦθός ἐστι, τὸ δέ γε δεῖπνον ἀληθῶς τερατῶδες, πεινῆν τινα τῶν μυκωμένων ἔτι, καὶ διδάσκοντα ἀφ' ὧν δεῖ τρέφεσθαι ζώντων ἔτι καὶ λαλούντων, διατιθέμενον ἀρτύσεις τινὰς καὶ ὀπτήσεις καὶ προθέσεις· τούτων ἔδει ζητεῖν τὸν πρῶτον ἀρξάμενον, οὐ τὸν ὀψὲ παυσάμενον. Ἢ τοῖς μὲν πρώτοις ἐκείνοις ἐπιχειρήσασι σαρκοφαγεῖν, τὴν αἰτίαν ἂν εἴποι πᾶσαν καὶ τὴν ἀπορίαν· οὐ γὰρ ἐπιθυμίαις ἀνόμοις συνδιάγοντες, οὐδὲ ἐν περιουσίᾳ τινὶ ἀναγκαίων ὑβρίσαντες, εἰς ἡδονὰς παρὰ φύσιν ἀσυμφύλους ἐπὶ ταῦτα ἦλθον· ἀλλ' εἴποιεν ἂν αἴσθησιν ἐν τῷ παρόντι καὶ φωνὴν λαβόντες· ὦ μακάριοι καὶ θεοφιλεῖς οἱ νῦν ὄντες ὑμεῖς, οἷον βίου λαχόντες αἰῶνα καρποῦσθε καὶ νέμεσθε κλῆρον ἀγαθῶν ἄφθονον, ὅσα φύεται ὑμῖν, ὅσα τρυγᾶται, ὅσον πλοῦτον ἐκ πεδίων, ὅσας ἀπὸ φυτῶν ἡδονάς, ἃς δρέπεσθαι πάρεστιν· ἔξεστιν ὑμῖν καὶ τρυφᾶν μὴ μιαινομένοις· ἡμᾶς δὲ σκυθρωπότατον καὶ φοβερώτατον ἐδέξατο βίου καὶ χρόνου μέρος, εἰς πολλὴν καὶ ἀμήχανον ἐκπεσόντας ἀπὸ τῆς πρώτης γενέσεως ἀπορίαν· ἔτι μὲν οὐρανὸν ἔκρυπτεν ἀήρ, καὶ ἄστρα θολερῷ καὶ δυσδιαστάτῳ πεφυρμένα ὑγρῷ καὶ πυρί, καὶ ζάλαις ἀνέμων· οὐδέ πω δ' ὁ ἥλιος ἵδρυτο ἀπλανῆ καὶ βέβαιον ἔχων δρόμον· ἠῶ καὶ δύσιν ἔκρινε τοῦδέ σε. ἤγαγεν αὖθις ὀπίσω καρποφόροισιν περιστέψας καλυκοστεφάνοισιν ὥραις· γῆ δὲ ὕβριστο ποταμῶν ἐκβολαῖς ἀτάκτοις, καὶ ὕλαις ἐπὶ πολλὰ λίμναισιν ἄμορφα, καὶ πηλοῖς βαθέσι καὶ λόχμαις ἀφόροις καὶ ὕλαις ἐξηγρίωτο· φορὰ δὲ ἡμέρων καρπῶν, καὶ τέχνης ὄργανον οὐδέν, οὐδὲ μηχανὴ σοφίας· ὁ δὲ λιμὸς οὐκ ἐδίδου χρόνον, οὐδ' ὥρας ἐτησίους σπόρος ὤν τότ' ἀνέμενε. τί θαυμαστὸν εἰ ζῴων ἐχρησάμεθα σαρξὶ παρὰ φύσιν, ὅτε ἰλὺς ἠσθίετο καὶ φλοιὸς ἐβρώθη ξύλου, καὶ ἄγρωστιν εὑρεῖν βλαστάνουσαν ἢ φλοιοῦ τινὰ ῥίζαν εὐτυχὲς ἦν· βαλάνου δὲ γευσάμενοι καὶ φαγόντες, ἐχόρευσαν ὑφ' ἡδονῆς ἐκείνην, ὑπὸ τότε δρῦν καὶ φηγόν· ζείδωρον δὲ καὶ μητέρα καὶ τροφὸν ἀποκαλοῦντες ἐκείνην, ἑορτὴν ἔγνω, τὰ δ' ἄλλα φλεγμονῆς ἦν ἅπαντα μεστὰ καὶ συγνότητος. ὑμᾶς δὲ τοὺς νῦν τίς λύσσα καὶ τίς οἶστρος ἄγει πρὸς μιαιφονίαν, οἷς τοσαῦτα περίεστι τῶν ἀναγκαίων; τί καταψεύδεσθε τῆς γῆς ὡς τρέφειν μὴ δυναμένης; τί τὴν θεσμοφόρον ἀσεβεῖτε Δήμητραν, καὶ τὸν ἡμερίδην καὶ μειλίχιον αἰσχύνετε Διόνυσον, ὡς οὐχ ἱκανὰ παρὰ τούτων λαμβάνοντες; οὐκ αἰδεῖσθε τοὺς ἡμέρους καρποὺς αἵματι καὶ φόνῳ μιγνύοντες; ἀλλὰ δράκοντας ἀγρίους καλεῖτε καὶ παρδάλεις καὶ λέοντας, αὐτοὶ δὲ μιαιφονεῖτε εἰς ὠμότητα καταλιπόντες ἐκείνοις οὐδέν. ἐκείνοις μὲν γὰρ ὁ φόνος τροφή, ὑμῖν δὲ ὄψον ἐστίν. οὐ γὰρ δὴ λέοντάς γε ἀμυνόμενοι καὶ λύκους ἐσθίομεν· ἀλλὰ ταῦτα μὲν ἐῶμεν, τὰ δ' ἀβλαβῆ καὶ χειροήθη, καὶ ἄκεντρα, καὶ νωδὰ πρὸς τὸ δακεῖν συλλαμβάνοντες, ἀποκτιννύομεν, ἃ

νὴ Δία καὶ κάλλους ἕνεκα καὶ χάριτος ἡ φύσις ἔοικεν ἐξενεγκεῖν. ὅμοιον ὡς εἴ τις τὸν Νεῖλον ὁρῶν πλημμυροῦντα, καὶ τὴν χώραν ἐμπιπλῶντα γονίμου καὶ καρποφόρου ῥεύματος, μὴ τοῦτο θαυμάζοι τοῦ φερομένου τὸ φυτάλμιον καὶ εὔκαρπον τῶν ἡμερωτάτων καὶ βιωφελεστάτων καρπῶν· ἀλλ' ἰδών που καὶ κροκόδειλον ἐννηχόμενον, καὶ ἀσπίδα κατασυρομένην, καὶ μύας ἄγρια ζῷα καὶ μιαρά, ταύτας λέγοι τὰς αἰτίας τῆς μέμψεως καὶ τῆς τοῦ πράγματος ἀνάγκης· ἢ νὴ Δία τὴν γῆν ταύτην καὶ τὴν ἄρουραν ἀποβλέψας ἐμπεπλησμένην ἡμέρων καρπῶν καὶ βρίθουσαν ἀσταχύων, ἔπειτα ὑποβλέψας που τοῖς ληΐοις τούτοις, καί που τινὸς αἴρας στάχυν ἰδὼν καὶ ὀροβάτην, εἶτα ἀφεὶς ἐκεῖνα καρποῦσθαι καὶ ληΐζεσθαι, μέμφοιτο περὶ τούτων. τοιοῦτόν τι καὶ λόγον ῥήτορος ὁρῶν ἐν δίκῃ τινὶ καὶ συνηγορίᾳ πληθύοντα καὶ φερόμενον ἐπὶ βοήθειαν κινδύνων· ἢ νὴ Δία ἐλέγχῳ καὶ κατηγορίᾳ τολμημάτων καὶ ἀποδείξεων, ῥέοντα δὲ καὶ φερόμενον οὐχ ἁπλῶς οὐδὲ λιτῶς, ἀλλ' ὁμοῦ πάθεσι πολλοῖς, μᾶλλον δὲ παντοδαποῖς εἰς ψυχὰς ὁμοίως πολλὰς καὶ ποικίλας καὶ διαφόρους τῶν ἀκροωμένων ἢ τῶν δικαζόντων, ἃς δεῖ στρέψαι καὶ μεταβαλεῖν, ἢ νὴ Δία πραΰναι καὶ ἡμερῶσαι καὶ καταστῆσαι· εἶτα παρεὶς τοῦτο τὸ πρᾶγμα, ὁρᾶν καὶ μετιέναι τὸ φύλλον καὶ ἀγώνισμα, παραρρήσεις ἐκλέγων, ἃς κατὰ πῶς ὁ λόγος συγκατήνεγκε τῇ ῥύμῃ τῆς φορᾶς συνεμπεσούσας καὶ παρολισθούσας τῷ λοιπῷ τοῦ λόγου καὶ δημηγόρου τινὸς ὁρῶν· ἀλλ' οὐδὲν ἡμᾶς δυσωπεῖ, οὐ χρόας ἀνθηρὸν εἶδος, οὐ φωνῆς ἐμμελοῦς πιθανότης, οὐ πανουργία ψυχῆς, οὐ τὸ καθάριον ἐν διαίτῃ καὶ περιττὸν ἐν συνέσει τῶν ἀθλίων, ἀλλὰ σαρκιδίου μικροῦ χάριν, ἀφαιρούμεθα ψυχῆς ἥλιον, φῶς, τὸν τοῦ βίου χρόνον, ἐφ' ᾧ γέγονε καὶ πέφυκεν. εἶτα ἃς φθέγγεται καὶ λέγεσι φωνὰς ἀνάρθρους εἶναι δοκοῦμεν, οὐ παραιτήσεις καὶ δεήσεις καὶ δικαιολογίας ἑκάστου λέγοντος, οὐ παραιτοῦμαί σου τὴν ἀνάγκην, ἀλλὰ τὴν ὕβριν, ἵνα φάγῃς, ἀπόκτεινον, ἵνα δὲ ἥδιον φάγῃς, μή με ἀναίρει. ὢ τῆς ὠμότητος· δεινὸν μέν ἐστι καὶ τιθεμένην ἰδεῖν τράπεζαν ἀνθρώπων πλουσίων, νεκροκόσμοις χρωμένων μαγείροις καὶ ὀψοποιοῖς. δεινότερον δ' ἀποκομιζομένοις· πλείονα γὰρ τὰ λειπόμενα τῶν βεβρωμένων ἐστίν. οὐκοῦν ταῦτα μάτην ἀπέθανεν. ἕτεροι δὲ φειδόμενοι τῶν παρατεθέντων, οὐκ ἐῶσι τέμνειν οὐδὲ κατακόπτειν παραιτούμενα κρέα· ζῶντ' δὲ οὐκ ἐφείσαντο. ἀλλ' ἄγε παρειλήφαμεν ἐκείνους λέγειν τοὺς ἄνδρας, ἀρχὴν ἔχειν τὴν φύσιν. ὅτι γ' οὐκ ἔστιν ἀνθρώπῳ κατὰ φύσιν τὸ σαρκοφαγεῖν, πρῶτον μὲν ἀπὸ τῶν σωμάτων δηλοῦται τῆς κατασκευῆς. οὐδενὶ γὰρ ἔοικε τὸ ἀνθρώπου σῶμα, τῶν ἐπὶ σαρκοφαγίᾳ γεγονότων, οὐ γρυπότης χείλους, οὐκ ὀξύτης ὄνυχος, οὐ τραχύτης ὀδόντων πρόσεστιν, οὐ κοιλίας εὐτονία καὶ πνεύματος θερμότης, τρέψαι καὶ κατεργάσασθαι δυνατὴ τὸ βαρὺ καὶ κρεῶδες· ἀλλ' αὐτόθεν ἡ φύσις τῇ λειότητι τῶν ὀδόντων, καὶ τῇ σμικρότητι τοῦ στόματος, καὶ τῇ μαλακότητι τῆς γλώσσης, καὶ τῇ πρὸς πέψιν ἀμβλύτητι τοῦ πνεύματος, ἐξόμνυται τὴν σαρκοφαγίαν. εἰ δὲ λέγεις πεφυκέναι σεαυτὸν ἐπὶ τοιαύτην ἐδωδήν, ὃ βούλει φαγεῖν, πρῶτον αὐτὸς ἀπόκτεινον· ἀλλ' αὐτὸς διὰ σεαυτοῦ, μὴ χρησάμενος κοπίδι, μηδὲ τυμπάνῳ τινὶ μηδὲ πελέκει· ἀλλὰ ὡς λύκοι καὶ ἄρκτοι καὶ λέοντες αὐτοὶ ὅσα ἐσθίουσι φονεύουσιν. ἄνελε δήγματι βοῦν, ἢ στόματι σῦν, ἢ ἄρνα ἢ λαγωὸν διάρρηξον, καὶ φάγε προσπεσὼν ἔτι ζῶντος ὡς ἐκεῖνα. εἰ δὲ ἀναμένεις νεκρὸν γενέσθαι τὸ ἐσθιόμενον, καὶ δυσωπεῖ σε παροῦσα ψυχὴ ἀπολαύειν τῆς σαρκός, τί παρὰ φύσιν ἐσθίεις τὸ ἔμψυχον; ἀλλ' οὐδ' ἄψυχον ἄν τις φάγοι καὶ νεκρὸν οἷόν ἐστιν, ἀλλὰ ἕψουσιν, ὀπτῶσι, μεταβάλλουσι διὰ πυρὸς καὶ φαρμάκων, ἀλλοιοῦντες καὶ τρέποντες καὶ σβεννύοντες ἡδύσμασι μυρίοις τὸν φόνον,

ἵνα ἡ γεῦσις ἐξαπατηθεῖσα, προσδέξηται τὸ ἀλλότριον. καίτοι χάριέν γε τὸ τοῦ Λάκωνος, ὃς ἰχθύδιον ἐν πανδοκείῳ πριάμενος, τῷ πανδοκεῖ σκευάσαι παρέδωκεν· αἰτοῦντος δὲ ἐκείνου τυρὸν καὶ ὄξος καὶ ἔλαιον, ἀλλ᾽ εἰ ταῦτα εἶχον εἶπεν, οὐκ ἂν ἰχθὺν ἐπριάμην. ἡμεῖς δ᾽ οὕτως ἐν τῷ μιαιφόνῳ τρυφῶμεν, ὥστε ὄψον τὸ κρέα προσαγορεύομεν· εἶτα ὄψων πρὸς αὐτὸ τὸ κρέας δεόμεθα, ἀναμιγνύντες ἔλαιον, οἶνον, μέλι, γάρον, ὄξος, ἡδύσμασι συριακοῖς ἀῤῥαβικοῖς, ὥσπερ ὄντως νεκρὸν ἐνταφιάζοντες. καὶ γὰρ οὕτως αὐτῶν διαλυθέντων καὶ μαλαχθέντων καὶ τρόπον τινὰ κρεοσαπέντων, ἔργον ἐστὶ τὴν πέψιν κρατῆσαι· καὶ διακρατηθείσης, δεινὰς βαρύτητας ἐμποιεῖ, καὶ νοσώδεις ἀπεψίας. Διογένης δὲ ὠμὸν φαγεῖν πολύποδα ἐτόλμησεν, ἵνα τὴν διὰ τοῦ πυρὸς ἐκβάλῃ κατεργασίαν. τῶν δ᾽ ἱερέων καὶ ἄλλων περιεστώτων αὐτὸν ἀνθρώπων, ἐγκαλυψάμενος τῷ τρίβωνι καὶ τῷ στόματι προσφέρων τὸ κρέας, ὑπὲρ ὑμῶν φησὶν ἐγὼ παραβάλλομαι καὶ προκινδυνεύω καλὸν ὦ Ζεῦ κίνδυνον. οὐ γὰρ ὡς Πελοπίδας ὑπὲρ τῆς Θηβῶν ἐλευθερίας, ἢ ὡς Ἁρμόδιος καὶ Ἀριστογείτων ὑπὲρ Ἀθηναίων προεκινδύνευσεν ὁ φιλόσοφος, ὠμῷ πολύποδι διαμαχόμενος, ἵνα τὸν βίον ἀποθηριώσῃ. οὐ τοίνυν μόνον αἱ κρεωφαγίαι τοῖς σώμασι γίνονται παρὰ φύσιν, ἀλλὰ, καὶ τὰς ψυχὰς ὑπὸ πλησμονῆς καὶ κόρου παχύνουσιν· οἶνος γὰρ καὶ σαρκῶν ἐμφορήσεις, σῶμα μὲν ἰσχυρὸν ποιοῦσι καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀσθενέα. καὶ ἵνα μὴ τοῖς ἀθληταῖς ἀπεχθάνωμαι συγγενέσι χρῶμαι παραδείγμασι· τοὺς γὰρ Βοιωτοὺς ἡμᾶς οἱ Ἀττικοὶ καὶ παχεῖς καὶ ἀναισθήτους καὶ ἠλιθίους μάλιστα διὰ τὰς ἀδηφαγίας προσηγόρευον· οὗτοι δὲ αὖ σῦς· καὶ ὁ Μένανδρος, οἳ γνάθους ἔχουσι· καὶ ὁ Πίνδαρος, γνῶναι τ᾽ ἔπειτα. αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη κατὰ τὸν Ἡράκλειτον ἔοικεν. γνῶναι τ᾽ ἔπειτα, οἱ πίθοι κρουσθέντες ἠχοῦσι, γενόμενοι δὲ πλήρεις, οὐχ ὑπακούουσι ταῖς πληγαῖς· τῶν χαλκωμάτων τὰ λεπτὰ τοὺς ψόφους ἐν κύκλῳ διαδίδωσιν, ἄχρις οὗ ἐμφράξῃ καὶ τυφλώσῃ τῇ χειρὶ τῆς πληγῆς περιφερομένης. ἐπιλαμβανόμενος ὀφθαλμὸς ὑγροῦ πλεονάσαντος ἀναπλησθεὶς, μαραυγεῖ καὶ ἀτονεῖ πρὸς τὸ οἰκεῖον ἔργον. τὸν ἥλιον δι᾽ ἀέρος ὑγροῦ καὶ πλήθους ἀναθυμιάσεων, ἀπέπτων ἀθροίσαντες οὐ καθαρὸν οὐδὲ λαμπρὸν, ἀλλὰ βύθιον καὶ ἀχλυώδη καὶ ὀλισθαίνοντα ταῖς αὐγαῖς ὁρῶμεν, οὕτω δὴ καὶ διὰ σώματος θολεροῦ καὶ διὰ κόρου, καὶ τὸ βαρυνομένου τροφαῖς ἀσυμφύλοις, πᾶσα ἀνάγκη τὸ γάνωμα τῆς ψυχῆς καὶ τὸ φέγγος, ἀμβλύτητα καὶ σύγχυσιν ἔχειν, καὶ πλανᾶσθαι καὶ φέρεσθαι πρὸς τὰ λεπτὰ καὶ δυσθεώρητα τέλη τῶν πραγμάτων αὐγὴν καὶ τόνον οὐκ ἐχούσης. χωρὶς δὲ τούτων ὁ πρὸς φιλανθρωπίαν ἐθισμὸς, οὐ δοκεῖ θαυμαστὸν εἶναι; τίς γὰρ ἂν ἀδικήσειεν ἄνθρωπον, οὕτω πρὸς ἀλλότρια κακὰ καὶ ἀσύμφυλα διακείμενον καὶ πράως καὶ φιλανθρώπως. ἐμνήσθην δὲ τρίτην ἡμέραν διαλεγόμενος, ἐπὶ τὸ τοῦ Ξενοκράτους· καὶ ὅτι Ἀθηναῖοι τῷ ζῶντα τὸν κριὸν ἐκδείραντι δίκην ἐπέθηκαν· οὐκ ἔστι δὲ οἶμαι χείρων ὁ ζῶντα βασανίζων τοῦ παραιρουμένου τὸ ζῆν καὶ φονεύοντος· ἀλλὰ μᾶλλον ὡς ἔοικε, τῶν παρὰ συνήθειαν ἢ τῶν παρὰ φύσιν αἰσθανόμεθα. καὶ ταῦτα μὲν ἐκεῖ κοινότερον ἔλεγον· τὴν δὲ μεγάλην καὶ μυστηριώδη ἀρχὴν τοῦ δόγματος καὶ ἄπιστον ἀνδράσι δειλοῖς ἤ φησιν ὁ Πλάτων καὶ θνητὰ φρονοῦσιν, ὀκνῶ μὲν ἔτι τῷ λόγῳ κινεῖν· ὥσπερ ναῦν ἐν χειμῶνι ναύκληρος, ἢ μηχανὴν αἴρειν ποιητικὸς ἀνὴρ ἐν θεάτρῳ σκηνῆς περιφερομένης. οὐ χεῖρον δ᾽ ἴσως καὶ προσανακρούσασθαι καὶ προαναφωνῆσαι τὰ τοῦ Ἐμπεδοκλέους· ἀλληγορεῖ γὰρ ἐνταῦθα τὰς ψυχάς. ὅτι φόνων καὶ βρώσεως σαρκῶν καὶ ἀλληλοφαγίας δίκην τίνουσαι, σώμασι θνητοῖς ἐνδέδενται. καίτοι δοκεῖ παλαιότερος οὗτος ὁ λόγος εἶναι. τὰ γὰρ δὴ περὶ τὸν Διόνυσον μεμυθευμένα πάθη τοῦ διαμελισμοῦ, καὶ τὰ Τιτάνων

τὰ Τιτάνων ἐπ᾽ αὐτὸν τολμήματα, γευσαμένων τε τοῦ φόνου κολάσεις τε τούτων καὶ κεραυνώσεις, ᾐνιγμένος ἐστὶ μῦθος εἰς τὴν παλιγγενεσίαν. τὸ γὰρ ἐν ἡμῖν ἄλογον καὶ ἄτακτον καὶ βίαιον, οὐ θεῖον ἀλλὰ δαιμονικὸν, οἱ παλαιοὶ Τιτᾶνας ὠνόμασαν, καὶ τοῦτό ἐστι κολαζομένου καὶ δίκην διδόντος.

ΠΕΡΙ ΣΑΡΚΟΦΑΓΙΑΣ ΛΟΓΟΣ· β′.

Πὶ τὰ ἕωλα τῆς σαρκοφαγίας, προσφάτους ἡμᾶς ὁ λόγος παρακαλεῖ ταῖς τε διανοίαις καὶ προθυμίαις γενέσθαι. χαλεπὸν μὲν γὰρ ὥσπερ Κάτων ἔφησε λέγειν πρὸς γαστέρας ὦτα μὴ ἐχούσας. καὶ πέποται ὁ τῆς συνηθείας κυκεὼν, ὥσπερ ὁ τῆς Κίρκης ὠδίνας ὀδύνας κυκεὼν ἀπάτας τε γόους τε, καὶ τὸ ἄγκιστρον ἐκβάλλειν τῆς σαρκοφαγίας ὡς ἐμπεπλησμένων τῇ φιληδονίᾳ, καὶ διαπεπαρμένων οὐ ῥᾴδιόν ἐστιν. ἐπεὶ καλῶς εἶχεν ὥσπερ Αἰγύπτιοι τῶν νεκρῶν τὴν κοιλίαν ἐξελόντες, καὶ πρὸς τὸν ἥλιον ἀνασχίζοντες ἐμβάλλουσιν ὡς αἰτίαν ἁπάντων ὧν ὁ ἄνθρωπος ἥμαρτεν, οὕτως ἡμᾶς ἑαυτοὺς τὴν γαστριμαργίαν καὶ μιαιφονίαν ἐκτέμνοντες, ἁγνεῦσαι τὸν λοιπὸν βίον· ἐπεὶ ἥ τε γαστὴρ οὐ μιαιφόνον ἐστὶν, ἀλλὰ μιαινόμενον ἀπὸ τῆς ἀκρασίας. οὐ μὴν ἀλλ᾽ εἰ καὶ ἀδύνατον, ἢ διὰ τὴν συνήθειαν τὸ ἀναμάρτητον αἰσχυνόμενοι, τῷ ἁμαρτάνοντι χρησόμεθα διὰ τὸν λόγον, ἐδώμεθα σάρκας, ἀλλὰ πεινῶντες οὐ τρυφῶντες ἀναιρήσομεν ζῶον. ἀλλ᾽ οἰκτείροντες καὶ ἀλγοῦντες, οὐχ ὑβρίζοντες οὐδὲ βασανίζοντες, οἷα νῦν πολλὰ δρῶσιν. οἱ μὲν εἰς σφαγὴν ὑῶν ὠθοῦντες ὀβελοὺς διαπύρους, ἵνα τῇ βαφῇ τοῦ σιδήρου περισβεννύμενον τὸ αἷμα καὶ διαχεόμενον, τὴν σάρκα θρύψῃ καὶ μαλάξῃ. οἱ δὲ οὔθασι συῶν ἐπιτόκων ἐναλλόμενοι καὶ λακτίζοντες, ἵνα αἷμα καὶ γάλα καὶ λύθρον ἐμβρύων ὁμοῦ συμφθαρέντων ἐν ὠδῖσιν ἀναδεύσαντες, ὦ Ζεῦ καθάρσιε φάγωσι τοῦ ζώου τὸ μάλιστα φλεγμαῖνον. ἄλλοι γεράνων ὄμματα καὶ κύκνων ἀποῤῥάψαντες καὶ ἀποκλείσαντες ἐν σκότει πιαίνουσιν, ἀλλοκότοις μίγμασι καὶ καρυκείαις τισὶν αὐτῶν τὴν σάρκα ἡδυποιοῦντες, ἐξ ὧν καὶ μάλιστα δῆλόν ἐστιν, ὡς οὐ διὰ τροφὴν οὐδὲ χρείαν οὐδὲ ἀναγκαίως, ἀλλ᾽ ὑπὸ κόρου καὶ ὕβρεως καὶ πολυτελείας, ἡδονὴν πεποίηνται τὴν ἀνομίαν. εἶτα ὥσπερ ἐν γυναιξὶ ἡδονῆς κόρον οὐκ ἐχούσης ἀποπειρώμενος πάντα καὶ πλανώμενος ἀκολασταίνων ἐξέπεσεν εἰς τὰ ἄῤῥητα. οὕτως αἱ περὶ τὴν ἐδωδὴν ἀκρασίαι τὸ φυσικὸν παρελθοῦσαι καὶ ἀναγκαῖον τέλος ἐν ὠμότητι καὶ παρανομίᾳ ποικίλλουσι τὴν ὄρεξιν. συννοσεῖ γὰρ ἀλλήλοις τὰ αἰσθητήρια καὶ συναναπείθεται καὶ συνακολασταίνει μὴ κρατοῦντα τῶν φυσικῶν μέτρων. οὕτως ἀκοὴ νοσήσασα μουσικὴν διέφθειρεν, ἀφ᾽ ἧς τὸ θρυπτόμενον καὶ θηλυνόμενον, αἰσχρὰς τίθει ψηλαφήσεις καὶ γυναικώδεις γαργαλισμούς. ταῦτα τὴν ὄψιν ἐδίδαξε μὴ πυῤῥίχαις χαίρειν μηδὲ χειρονομίαις, μηδὲ ὀρχήμασι γλαφυροῖς, μηδὲ ἀγάλμασι καὶ γραφαῖς, ἀλλὰ φόνον καὶ θάνατον ἀνθρώπων καὶ τραύματα καὶ μάχας, θέαμα ποιεῖσθαι πολυτελέστατον. οὕτως ἕπονται παρανόμοις τραπέζαις συνουσίαι ἀκρατεῖς, ἀφροδισίοις αἰσχροῖς, ἀκροάσεις ἄμουσοι, μέλεσι καὶ ἀκούσμασιν ἀναισχύντοις, θεάματα ἔκφυλα θεάμασιν ἀνημέροις, ἀπάθεια πρὸς ἀνθρώπους καὶ ὠμότης. διὰ τοῦτο ὁ θεῖος Λυκοῦργος ἐν ταῖς τρισὶ ῥήτραις τὸ ἀπὸ πρίονος καὶ πελέκεως γίνεσθαι τὰ θυρώματα τῶν οἰκιῶν καὶ τὰς ὀροφὰς, ἄλλο δὲ ὄργανον μὴ δὲ προσφέρεσθαι, οὐ πολεμῶν δήπου τορέτροις καὶ σκεπάρνοις, καὶ ὅσα λεπτουργεῖν πέφυκεν, ἀλλ᾽ εἰδὼς ὅτι διὰ τοι-

οὕτως ἐχόντων, οὐκ εἰσοίσεις κλινίδιον ἐπίχρυσον, οὐδὲ τολμήσεις εἰς οἰκίαν λιτὴν ἀργυρᾶς εἰσενεγκεῖν τραπέζας, καὶ τάπιδας ἁλουργοῦς, καὶ λίθους πολυτελεῖς, ἀλλ' ἕπεται οἰκίᾳ καὶ κλίνῃ καὶ τραπέζῃ καὶ κύλικι τοιαύτῃ δεῖπνον ἀφελὲς, ἄριστον δημοτικόν· ἀρχῇ δὲ μοχθηρᾶς διαίτης, ἄθηλος ἵππῳ πῶλος, ὡς ἅμα τρέχει πᾶσα τρυφὴ καὶ πολυτέλεια. ποῖον οὖν οὐ πολυτελὲς δεῖπνον εἰς ὃ οὐ θανατοῦταί τι ἔμψυχον, μικρὸν ἀνάλωμα ἡγούμεθα ψυχήν; οὔπω λέγω τάχα μητρὸς ἢ πατρὸς ἢ φίλου τινὸς ἢ παιδὸς ὡς ἔλεγεν Ἐμπεδοκλῆς, ἀλλ' αἰσθήσεώς τε μετέχουσαν, ὄψεως, ἀκοῆς, φαντασίας, συνέσεως, ἣν ἐπὶ κτήσει τοῦ οἰκείου καὶ φυγῇ τοῦ ἀλλοτρίου παρὰ τῆς φύσεως ἕκαστον εἴληχε. σκόπει δὲ ἡμᾶς πότερον βέλτιον ἐξημεροῦσι τῶν φιλοσόφων, οἱ καὶ τέκνα καὶ φίλους καὶ πατέρας καὶ γυναῖκας ἐσθίειν κελεύοντες, ὡς ἀποθανόντας, ἢ Πυθαγόρας καὶ Ἐμπεδοκλῆς ἐθίζοντες εἶναι καὶ πρὸς τὰ ἄλλα γένη δικαίους. σὺ μὲν καταγελᾷς τοῦ τὸ πρόβατον μὴ ἐσθίοντος· ἀλλ' ὑμᾶς γε φήσουσι θεασάμενοι τοῦ πατρὸς τεθνηκότος ἢ τῆς μητρὸς ἀποτεμόντα μερίδας, καὶ τῶν φίλων ἀποπεμπόμενον τοῖς μὴ παροῦσι, τοὺς δὲ παρόντας καλοῦντα, καὶ παρατιθέντα τῶν σαρκῶν ἀφειδῶς, μή τι γελάσαιμεν; ἀλλὰ καὶ νῦν ἴσως ἁμαρτάνομεν ὅτε ἁψώμεθα τῶν βιβλίων τούτων, μὴ καθαιρόμενοι χεῖρας καὶ ὄψεις καὶ πόδας καὶ ἀκοάς, εἰ μὴ νὴ Δία ἐκείνων καθαρμός ἐστι, τὸ περὶ τούτων διαλέγεσθαι ποτίμῳ λόγῳ ὥς φησι Πλάτων, ἁλμυρὰν ἀκοὴν ἀποκλυζομένους. εἰ δὲ θείη τις τὰ βιβλία παράλληλα καὶ τοὺς λόγους, ἐκεῖνα μὲν Σκύθαις φιλοσοφεῖσθαι καὶ Σογδιανοῖς καὶ Μελαγχλαίνοις, περὶ ὧν Ἡρόδοτος ἱστορῶν ἀπιστεῖται· τὰ δὲ Πυθαγόρου καὶ Ἐμπεδοκλέους δόγματα, νόμοι τῶν παλαιῶν ἦσαν Ἑλλήνων, καὶ πυρεῖαι καὶ δίαιται, ὅτι πρὸς τὰ ἄλογα ζῷα δίκαιον ἡμῖν οὐδέν ἐστιν. τίνες οὖν ὕστερον ἔγνωσαν; οἱ πρῶτοι κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων. οὕτω τοι καὶ οἱ τυραννοῦντες ἄρχουσι μιαιφονίας, ὥσπερ ἀπὸ τῶν πρώτων ἀπέκτειναν Ἀθήνησι τὸν κάκιστον τῶν συκοφαντῶν, ὃς ἐπιτήδειος προσηγορεύθη, καὶ δεύτερον ὁμοίως καὶ τρίτον. εἶτα ἐκ τούτου συνήθεις γενόμενοι, Νικήρατον ἑώρων ἀπολλύμενον τὸν Νικίου, καὶ Θηραμένην τὸν στρατηγόν, καὶ Πολέμαρχον τὸν φιλόσοφον. οὕτω τὸ πρῶτον ἄγριόν τι ζῷον ἐβρώθη καὶ κακοῦργον, εἶτα ὄρνις τις ἢ ἰχθὺς εἵλκυστο, καὶ γευόμενον οὕτω καὶ προμελετῆσαν ἐν ἐκείνοις τὸ φονικὸν, ἐπὶ βοῦν ἐργάτην ἦλθε, καὶ τὸ κόσμιον πρόβατον, καὶ τὸν οἰκουρὸν ἀλεκτρυόνα, καὶ κατὰ μικρὸν οὕτω τὴν ἀπληστίαν στομώσαντες, ἐπὶ σφαγὰς ἀνθρώπων καὶ φόνους καὶ πολέμους προῆλθον. ἀλλ' ἐὰν μὴ προσαποδείξῃ τις ὅτι χρῶνται ἄλλοις αἱ ψυχαὶ σώμασιν ἐν ταῖς παλιγγενεσίαις, καὶ τὸ νῦν λογικὸν αὖθις γίνεται ἄλογον, καὶ πάλιν ἥμερον τὸ νῦν ἄγριον· ἀλλάσσει δὲ ἡ φύσις ἅπαντα καὶ μετοικίζει σαρκῶν ἀλλογνῶτι περιστέλλουσα χιτῶνι. ταῦτα οὐκ ἀποτρέπει τὸ ἀνῃρημένον τὸ ἀκόλαστον, ὃ καὶ σώμασι νόσους καὶ βαρύτητας ἐμποιοῦν, καὶ ψυχὴν ἐπὶ πόλεμον ἀνομωτέρων τρεπομένην διαφθείρειν. ὅταν ἐθισθῶμεν μὴ αἵματος ἄνευ καὶ φόνου μὴ ξένον ἑστιᾶν, μὴ γάμον ἑορτάζειν, μὴ φίλοις συγγενέσθαι. καίτοι τῆς λεγομένης ταῖς ψυχαῖς εἰς σώματα πάλιν μεταβολῆς, εἰ μὴ πίστεως ἄξιον τὸ ἀποδεικνύμενον, ἀλλ' εὐλαβείας γε μεγάλης καὶ δέους τὸ ἀμφίβολον. οἷον εἴ τις ἐν νυκτομαχίαις στρατοπέδων ἀνδρὶ πεπτωκότι καὶ τὸ σῶμα κρυπτομένῳ τοῖς ὅπλοις ἐπιφέρων ξίφος, ἀκούσει τινὸς λέγοντος, οὐ πάνυ μὲν εἰδέναι βεβαίως, οἴεσθαι δὲ καὶ δοκεῖν υἱὸν αὐτοῦ τὸν κείμενον, ἢ ἀδελφὸν αὐτοῦ ἢ πατέρα ἢ σύσκηνον ἐστι· τί βέλτιον ὑπονοίᾳ προσθέμενον οὐκ ἀληθεῖ προέσθαι τὸν ἐχθρὸν ὡς φίλον, ἢ καταφρονήσαντα τοῦ μὴ βεβαίου πρὸς πίστιν, ἀνελεῖν τὸ οἰκεῖον ὡς πολέμιον, ἐκεῖνο δεινὸν

δεινὸν φήσετε πάντες. σκόπει δὲ καὶ τὴν ἐν τῇ τραγῳδίᾳ Μερόπην, ἐπὶ τὸν υἱὸν αὐτὸν ὡς φονέα τοῦ υἱοῦ πέλεκυν ἀραμένην καὶ λέγουσαν· ὠνητοτέραν δὴ τήνδ' ἐγὼ δίδωμί σοι πληγήν, ὅσον ἐν τῷ θεάτρῳ κίνημα ποιεῖ, συνεξορθιάζουσα φόβῳ, καὶ δέος μὴ φθάσῃ τὸν ἐπιλαμβανόμενον γέροντα, καὶ τρώσῃ τὸ μειράκιον. εἰ δὲ ἕτερος λέγων παρεστήκει γέρων· παῖσον πολέμιός ἐστιν· ἕτερος δὲ μὴ παίσῃς υἱός ἐστι, πότερον ἀδίκημα μεῖζον, ἐχθροῦ κόλασιν ἐκλιπεῖν διὰ τὸν υἱὸν, ἢ τεκνοκτονίᾳ περιπεσεῖν ὑπὸ τῆς πρὸς τὸν ἐχθρὸν ὀργῆς. ὁπότε τοίνυν οὐ μῖσος ἐστὶν οὐδὲ θυμὸς ὁ πρὸς τὸν φόνον ἐξάγων ἡμᾶς, οὐδὲ ἄμυνά τις, οὐδὲ φόβος ὑπὲρ αὐτῶν, ἀλλ' εἰς ἡδονῆς μέρος ἕστηκεν ἱερεῖον ἀνακεκλασμένῳ τραχήλῳ ὑποκείμενον, εἶτα λέγει τῶν φιλοσόφων ὁ μὲν κατάκοψον, ἄλογόν ἐστι τὸ ζῷον· ὁ δὲ ἀνάσχου· τί γὰρ εἰ συγγενοῦς ἢ θεοῦ τινὸς ἐνταῦθα ψυχὴ κεχώρηκεν. ἴσος γε ὦ θεοὶ καὶ ὅμοιος ὁ κίνδυνος ἔχει, ἂν ἀπειθῶ φαγεῖν κρέας, ἂν ἀπιστῶ φονεύσαι τέκνον ἢ ἕτερον οἰκεῖον. οὐκ ἴσος δέ γε ὁ ἀγὼν οὗτος τοῖς Στωικοῖς ὑπὲρ τῆς σαρκοφαγίας, τίς ὁ πολὺς τόνος εἰς τὴν γαστέρα καὶ τὰ ὀπτανεῖα, τί τὴν ἡδονὴν θηλύνοντες καὶ διαβάλλοντες, ὡς οὔτε ἀγαθὸν οὔτε προηγούμενον οὔτε οἰκεῖον, οὕτως πρὸς τὰ περὶ τῶν ἡδονῶν ἐσπουδάκασι. καὶ μὴν ἀκόλουθον ἦν αὐτοῖς εἰ μύρον ἐξελαύνουσι καὶ πέμμα τῶν συμποσίων μᾶλλον αἷμα καὶ σάρκα δυσχεραίνειν. νῦν δ' ὥσπερ εἰς τὰς ἐφημερίδας φιλοσοφοῦντες, δαπάνην ἀφαιροῦσι τῶν δείπνων ἐν τοῖς ἀχρήστοις καὶ περιττοῖς· τὸ δὲ ἀνήμερον τῆς πολυτελείας καὶ φονικὸν οὐ παραιτοῦνται. ναί φησιν, οὐδὲν γὰρ ἡμῖν πρὸς τὰ ἄλογα οἰκεῖόν ἐστιν, οὐδὲ γὰρ πρὸς τὸ μύρον φαίη τις ἄν, οὐδὲ πρὸς τὰ ξενικὰ τῶν ἡδυσμάτων, ἀλλὰ καὶ τούτων ἀποτρέπεσθε τὸ μὴ χρήσιμον μηδὲ ἀναγκαῖον ἐν ἡδονῇ πανταχόθεν ἐξελαύνοντες. οὐ μὴν ἀλλὰ καὶ τοῦτο ἤδη σκεψώμεθα, τὸ μηδὲν εἶναι πρὸς τὰ ζῷα δίκαιον ἡμῖν, μὴ δὲ τεχνικῶς, μὴ δὲ σοφιστικῶς, ἀλλὰ τοῖς πάθεσιν ἐμβλέψαντες τοῖς ἑαυτῶν καὶ πρὸς ἑαυτοὺς ἀνθρωπικῶς λαλήσαντες καὶ ἀνακρίναντες.

* *

ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΜΑΛΙΣΤΑ ΤΟΙΣ ΗΓΕΜΟΣΙ ΔΕΙ ΤΟΝ ΦΙΛΟΣΟΦΟΝ ΔΙΑΛΕΓΕΣΘΑΙ.

Σωρκανὸν ἐγκολπίσασθαι καὶ φιλίαν τοι μετιέναι καὶ προσδέχεσθαι καὶ γεωργεῖν, πολλοῖς μὲν ἰδίᾳ, πολλοῖς δὲ καὶ δημοσίᾳ χρήσιμον καὶ ἔγκαρπον γενησομένην, φιλοκάλων ἐστὶ καὶ πολιτικῶν καὶ φιλανθρώπων, οὐχ ὡς ἔνιοι νομίζουσι φιλοδόξων, ἀλλὰ καὶ τοὐναντίον, φιλόδοξός ἐστι καὶ ψοφοδεής, ὁ φεύγων καὶ φοβούμενος ἀκοῦσαι λιπαρὴς τῶν ἐν ἐξουσίᾳ καὶ θεραπευτικός. ἐπεὶ τί φησιν ἀνὴρ θεραπευτικὸς, καὶ φιλοσοφίας δεόμενος, Σίμων εἰ γένωμαι ὁ σκυτοτόμος, ἢ Διονύσιος ὁ γραμματιστὴς ἐκ Περικλέους ἢ Κάτωνος, ἵνα μοι προσδιαλέγηται, καὶ προσκαθίζῃ ὡς ὁ Σωκράτης ἐκείνοις. καὶ Ἀρίστων μὲν ὁ Χῖος ἐπὶ τῷ πᾶσι διαλέγεσθαι τοῖς βουλομένοις ὑπὸ τῶν σοφιστῶν κακῶς ἀκούων, ὤφελεν εἰπεῖν καὶ τὰ θηρία λόγων συνιέναι κινητικῶν πρὸς ἀρετήν, ἡμεῖς δὲ φευξούμεθα τοῖς δυνατοῖς καὶ ἡγεμονικοῖς ὥσπερ ἀγρίοις καὶ ἀνημέροις γίνεσθαι συνήθεις; οὐκ ἀνδριαντοποιός ἐστιν ὁ τῆς φιλοσοφίας λόγος, ὥστε ἐλιννύοντα ποιεῖν ἀγάλματα ἐπ' αὐτᾶς βαθμίδος ἑστῶτα κατὰ Πίνδαρον, ἀλλ' ἐνεργὰ βούλεται ποιεῖν ὧν ἂν ἅψηται καὶ πρακτικὰ καὶ ἔμψυχα, καὶ κινητικὰς ὁρμὰς ἐπιτίθησι καὶ κρί-

σεις ἀγωγοὺς ἐπὶ τὰ ὠφέλιμα, καὶ προαιρέσεις φιλοκάλους, καὶ φρόνημα καὶ
μέγεθος μετὰ πραότητος καὶ ἀσφαλείας, δι' ὧν τοῖς ὑπερέχουσι καὶ δυνατοῖς
ὁμιλοῦσιν οἱ πολιτικοὶ προθυμότερον. καὶ γὰρ αὖ ἰατρὸς ὁ φιλόκαλος, ἥδιον
ὀφθαλμὸν ἰάσεται τὸν ὑπὲρ πολλῶν βλέποντα καὶ πολλοὺς φυλάσσοντα. καὶ
φιλόσοφος ψυχῆς ἐπιμελήσεται προθυμότερον, ἣν ὑπὲρ πολλῶν φροντίζου-
σαν ὁρᾷ, καὶ πολλοῖς φρονεῖν καὶ φιλοσοφεῖν καὶ δικαιοπραγεῖν ὀφείλουσαν.
καὶ γὰρ εἰ δεινὸς ἦν περὶ ζήτησιν ὑδάτων καὶ συναγωγὴν ὥσπερ ἱστοροῦσι τὸν ἡρα-
κλέα καὶ πολλοὺς τῶν πάλαι, οὐκ ἂν ἔχαιρε φρεωρυχῶν ἐν ἐσχατιᾷ παρὰ κόρα-
κος πέτρῃ τὴν συβωτικὴν ἐκείνην ἀρέθουσαν, ἀλλὰ ποταμοῦ τινος ἀεννάους πηγὰς
ἀνακαλύπτων πόλεσί τε καὶ στρατοπέδοις καὶ φυτείαις βασιλέων καὶ ἄλσεσιν.
ἀκούομεν δὲ ὁμήρου τὸν μίνω θεοῦ ὀαριστὴν ἀποκαλοῦντος, τοῦτο δ' ἔστιν ὥς
φησιν ὁ πλάτων, ὁμιλητὴν καὶ μαθητήν. οὐδὲ γὰρ ἰδιώτας οὐδὲ οἰκουροὺς οὐ-
δὲ ἀπράκτους ἠξίουν εἶναι θεῶν μαθητάς, ἀλλὰ βασιλεῖς, οἷς εὐβουλίας γε-
νομένης καὶ δικαιοσύνης καὶ χρηστότητος καὶ μεγαλοφροσύνης, πάντες ἔμελ-
λον ὠφεληθήσεσθαι καὶ ἀπολαύειν οἱ χρώμενοι. τὸ δ' ἠρύγγιον τὸ βοτάνιον λέ-
γουσι, μιᾶς αἰγὸς εἰς τὸ στόμα λαβούσης, αὐτήν τε πρῶτον ἐκείνην, καὶ τὸ λοιπὸν
αἰπόλιον ἵστασθαι, μέχρις ἂν ὁ αἰπόλος ἐξέλῃ προσελθών. τοιαύτην ἔχουσιν
αἱ ἀπόρροιαι τῆς δυνάμεως ὀξύτητα, πυρὸς δίκην ἐπινεμομένην τὰ γειτνιῶντα
καὶ κατασκιδναμένην. καὶ μὴν ὁ τοῦ φιλοσόφου λόγος, ἐὰν μὲν ἰδιώτην ἕνα λά-
βῃ χαίροντα ἀπραγμοσύνῃ καὶ περιγράφοντα ἑαυτόν, ὡς κέντρῳ καὶ διαστήμα-
τι γεωμετρικῷ, ταῖς περὶ τὸ σῶμα χρείαις, οὐ διαδίδωσιν εἰς ἑτέρους, ἀλλ' ἐν ἑνὶ
ποιήσας ἐκείνῳ γαλήνην καὶ ἡσυχίαν, ἀπεμαράνθη καὶ συνεξέλιπεν. ἂν δὲ ἄρχον-
τος ἀνδρὸς καὶ πολιτικοῦ καὶ πρακτικοῦ καθάψηται καὶ τοῦτον ἀναπλήσῃ καλο-
καγαθίας, πολλοὺς δι' ἑνὸς ὠφέλησεν, ὡς ἀναξαγόρας περικλεῖ συγγενόμενος, καὶ
δίωνι πλάτων, καὶ πυθαγόρας τοῖς πρωτεύουσιν ἰταλιωτῶν. κάτων δὲ αὐτὸς
ἔπλευσεν ἀπὸ στρατείας ἐπ' ἀθηνόδωρον, καὶ σκιπίων μετεπέμψατο παναίτι-
ον, ὅτε αὐτὸν ἡ σύγκλητος ἐξέπεμψεν, ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφο-
ρώμενον ὥς φησι ποσειδώνιος. τί οὖν ἔδει λέγειν τὸν παναίτιον; εἰ μὲν ἦς ἢ βά-
των ἢ πολυδεύκης, ἢ τίς ἄλλος ἰδιώτης, τὰ μέσα τῶν πόλεων ἀποδιδράσκειν
βουλόμενος, ἐν γωνίᾳ τινὶ καθ' ἡσυχίαν ἀναλύων συλλογισμοὺς καὶ περιέλκων
φιλοσόφων; ἄσμενος ἄν σε προσεδεξάμην καὶ συνῆν. ἐπεὶ δὲ υἱὸς αἰμιλίου παύ-
λου τοῦ δισυπάτου γέγονας, υἱωνὸς δὲ σκιπίωνος τοῦ ἀφρικανοῦ τοῦ νικήσαντος
ἀννίβαν τὸν καρχηδόνιον, οὐκ ἄν σοι προσδιαλέξωμαι. τὸ δὲ λέγειν ὅτι δύο λό-
γοι εἰσίν, ὁ μὲν ἐνδιάθετος ἡγεμόνος ἑρμοῦ δῶρον, ὁ δ' ἐν προφορᾷ διάκτορος καὶ
ὀργανικός, ἕωλόν ἐστι καὶ ὑποπιπτέτω τῷ φυτὶ μὲν ἤδειν πρὶν θέογνιν γεγονέ-
ναι. ἐκεῖνο δ' οὐκ ἐνοχλήσειεν, ὅτι καὶ τοῦ ἐνδιαθέτου λόγου καὶ τοῦ προφορικοῦ,
φιλία τέλος ἐστί, τοῦ μὲν πρὸς ἑαυτόν, τοῦ δὲ πρὸς ἕτερον. ὁ μὲν γὰρ εἰς ἀρετὴν
διὰ φιλοσοφίας τελευτῶν, σύμφωνον ἑαυτῷ καὶ ἄμεμπτον ὑφ' ἑαυτοῦ, καὶ
μεστὸν εἰρήνης καὶ φιλοφροσύνης τῆς πρὸς ἑαυτὸν ἀεὶ παρέχεται τὸν ἄνθρωπον. οὐ
στάσις, οὐ δῆρις ἐναίσιμος ἐν μελέεσσιν, οὐ πάθος λόγῳ δυσπειθές, οὐχ ὁρμῆς μά-
χη πρὸς ὁρμήν, οὐ λογισμοῦ πρὸς λογισμὸν ἀντίβασις, οὐχ ὥσπερ ἐν μεθορίῳ τοῦ
ἐπιθυμοῦντος καὶ τοῦ μετανοοῦντος τὸ τραχὺ καὶ ταραχῶδες καὶ τὸ ἡδόμενον), ἀλλ' εὐμενῆ τὰ
πάντα καὶ φίλα, καὶ ποιοῦντα πλείστων τυγχάνειν ἀγαθῶν ἑαυτῷ χαίρειν ἕκαστον, τῆς δ'
προφορικοῦ τὴν μοῦσαν ὁ πίνδαρος, οὐ φιλοκερδῆ φησιν οὐδ' ἐργάτιν ἦν πρότερον,
οἶμαι δὲ μηδὲ νῦν, ἀλλ' ἀμουσίᾳ καὶ ἀπειροκαλίᾳ τὸν κοινὸν ἑρμῆν, ἐμπολαί-
ον καὶ ἔμμισθον γενέσθαι. οὐ γὰρ ἡ μὲν ἀφροδίτη ταῖς τοῦ προσπόλου θυγα-

τράσιν

τράσιν ἐμήνιεν, ὅτι πρῶται μήσεα μηχανήσαντο καταχέειν νεανίσκων. ἡ δ' οὐρα-
νία καὶ καλλιόπη καὶ ἡ κλειώ, χαίρουσι τοῖς ἐν ἀργυρείῳ διαλεγομένοις τὸν λό-
γον. ἀλλ' ἔμοιγε δοκεῖ τὰ τῶν μουσῶν ἔργα καὶ δῶρα μᾶλλον ἢ τὰ τῆς ἀφροδί-
της φιλοτήσια εἶναι. καὶ γὰρ τὸ ἔνδοξον οἵ τινες τοῦ λόγου ποιοῦνται τέλος, ὡς
ἀρχὴ καὶ σπέρμα φιλίας ἠγαπήθη. μᾶλλον δ' ὅλως οἵγε πολλοὶ κατ' εὔνοιαν τὴν
δόξαν τίθενται, νομίζοντες ἡμᾶς μὴ μόνον ἐπαινεῖν οὓς φιλοῦμεν, ἀλλ' οὗτοι
μὲν ὡς ὁ ἰξίων διώκων τὴν ἥραν ὤλισθεν εἰς τὴν νεφέλην, οὕτως ἀντὶ τῆς φιλίας
εἴδωλον ἀπατηλὸν καὶ πανηγυρικὸν καὶ περιφερόμενον ὑπολαμβάνουσι. ὁ δὲ
νοῦν ἔχων ἂν πολιτείαις καὶ πράξεσιν ἀναστρέφηται, δεήσεται δόξης τοσαύτης,
ὅση δύναμιν περὶ τὰς πράξεις ἐκ τοῦ πιστεύεσθαι δίδωσιν. οὔτε γὰρ ἡδὺ μὴ βου-
λομένοις, οὔτε ῥᾴδιον ὠφελεῖν, βούλεσθαι δὲ ποιεῖ τὸ πιστεύειν. ὥσπερ τὸ φῶς μᾶλ-
λον ἐστὶν ἀγαθὸν τοῖς βλέπουσιν ἢ τοῖς βλεπομένοις, οὕτως ἡ δόξα τοῖς αἰσθανο-
μένοις ἢ τοῖς μὴ παρορωμένοις. ὁ δὲ ἀπηλλαγμένος τοῦ τὰ κοινὰ πράττειν καὶ
συνὼν ἑαυτῷ καὶ τἀγαθὸν ἐν ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ τιθέμενος, τὴν μὲν ἐν
ὄχλοις καὶ θεάτροις πάνδημον καὶ ἀναπεπταμένην δόξαν, οὕτως ὡς τὴν ἀφροδί-
την ὁ ἱππόλυτος ἄπωθεν ἁγνὸς ὢν ἀσπάζεται. τῆς δέ γε τῶν ἐπιεικῶν καὶ ἐλλο-
γίμων, οὐδὲ αὐτὸς καταφρονεῖ. πλοῦτον δὲ καὶ δόξαν ἡγεμονικὴν καὶ δύναμιν
ἐν φιλίαις οὐ διώκειν, οὐ μὴν οὐδὲ φεύγειν ταῦτα προσόντα μετρίῳ ἤθει. οὐδέ γε
τοὺς καλοὺς τῶν νέων διώκει καὶ ὡραίους, ἀλλὰ τοὺς εὐαγώγους καὶ κοσμίους καὶ
φιλομαθεῖς. οὐδὲ οἷς ὥρα καὶ χάρις συνέπεται καὶ ἄνθος δεδίττεται τὸν φιλόσο-
φον. οὐδὲ ἀποσοβεῖ καὶ ἀπελαύνει τῶν ἀξίων ἐπιμελείας τὸ κάλλος. οὕτως οὖν
ἀξίας ἡγεμονικῆς καὶ δυνάμεως, ἀνδρὶ μετρίῳ καὶ ἀστείῳ προσούσης, οὐκ ἀφέξε-
ται τοῦ φιλεῖν καὶ ἀγαπᾶν. οὐδὲ φοβηθήσεται τὸ αὐλικὸς ἀκοῦσαι καὶ θεραπευ-
τικός. οἱ γὰρ κύπριν φεύγοντες ἀνθρώπων ἄγαν νοσοῦσιν. ὁμοίως τοῖς ἀγαθὰ ἠρη-
μένοις. καὶ οἱ πρὸς ἔνδοξον οὕτως καὶ ἡγεμονικὴν φιλίαν ἔχοντες. ὁ μὲν οὖν
ἀπράγμων φιλόσοφος, οὐ φεύξεται τοὺς τοιούτους. ὁ δὲ πολιτικὸς καὶ περιέξε-
ται αὐτῶν ἀκούειν, οὐκ ἐνοχλῶν, οὐδ' ἐπισταθμεύων τὰ ὦτα διαλέξεσιν ἀκαίροις
καὶ σοφιστικαῖς. βουλομένοις δὲ χαίρων καὶ διαλεγόμενος, καὶ σχολάζων καὶ συ-
νὼν προθύμως. σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδὸν βερέκυντα χῶρον. οὗτος
εἰ μὴ μόνον φιλογεωργός, ἀλλὰ καὶ φιλάνθρωπος, ἥδιον ἂν ἔσπειρε τὴν τοσού-
τους τρέφειν δυναμένην, ἢ τὸ ἀντισθένους ἐκεῖνο χωρίδιον, ἣν μόλις αὐτῷ αὐ πά-
λιν ἀπήρκεσε. εἰ δὲ ἠρόμην τὴν οἰκουμένην ἅπασαν ἐπιστρέφειν ἐπαρκοῦμαι. καί-
τοι ἐπίκουρος τἀγαθὸν ἐν τῷ βαθυτάτῳ τῆς ἡσυχίας, ὥσπερ ἐν ἀκλύστῳ λιμένι
καὶ κωφῷ τιθέμενος τοῦ εὖ πάσχειν τὸ εὖ ποιεῖν οὐ μόνον κάλλιον, ἀλλὰ καὶ ἥδι-
ον εἶναί φησι. χαρᾶς γὰρ οὐδὲν οὕτως γόνιμόν ἐστιν, ὡς χάρις. ἀλλὰ σοφὸς ἦν ὁ ταῖς
χάρισι τὰ ὀνόματα θέμενος, ἀγλαΐην καὶ εὐφροσύνην καὶ θάλειαν. τὸ γὰρ ἀγαλλό-
μενον καὶ τὸ χαῖρον ἐν τῷ διδόντι τὴν χάριν, πλεῖόν ἐστι καὶ καθαρώτερον. διὸ τὸ
πάσχειν εὖ, αἰσχύνονται πολλάκις. ἀεὶ δὲ ἀγάλλονται τῷ εὖ ποιεῖν. εὖ δὲ ποιοῦσι
πολλούς, οἱ ποιοῦντες ἀγαθοὺς ὧν πολλοὶ δέονται, καὶ τοὐναντίον, οἱ ἀεὶ διαφθείροντες
ἡγεμόνας ἢ βασιλεῖς ἢ τυράννους, διάβολοι καὶ συκοφάνται καὶ κόλακες ὑπὸ
πάντων ἐλαύνονται καὶ κολάζονται. καθάπερ οὐκ εἰς μίαν κύλικα φάρμακον
ἐμβάλλοντες θανάσιμον, ἀλλ' εἰς πηγὴν δημοσίᾳ ῥέουσαν, ᾗ χρωμένους πάντας
ὁρῶσιν. ὥσπερ οὖν τοὺς καλλίου κωμῳδουμένους κόλακας λέγουσιν, οὐ πῦρ
οὐ σίδηρος οὐδὲ χαλκὸς εἴργει μὴ φοιτᾶν ἐπὶ δεῖπνον κατὰ τὸν εὔπολιν. τοὺς δ' ἀ-
πολλοδώρου τοῦ τυράννου καὶ φαλάριδος καὶ διονυσίου φίλους καὶ συνήθεις,
ἀπετυμπάνιζον, ἐστρέβλουν, καὶ ἐνεπίμπρασαν, ἐναγεῖς ἐποιοῦντο καταράτους,

ὡς ἐκείνων μὲν ἀδικούντων ἕνα, τούτων δὲ πολλοὺς δι' ἕνα τοῦ ἄρχοντος, οὕτως οἱ μὲν ἰδιώταις συνόντες, αὐτοὺς ἐκείνους ποιοῦσιν ἑαυτοῖς ἀλύπους, καὶ ἀβλαβεῖς καὶ προσηνεῖς, ὁ δὲ ἄρχοντος ἦθος ἀφαιρῶν μοχθηρὸν ἢ γνώμην, ἐφ' ὃ δεῖ συγκατευθύνων, τρόπον τινὰ δημοσίᾳ φιλοσοφεῖ καὶ τὸ κοινὸν ἐπανορθοῦται ᾧ πάντες διοικοῦνται. τοῖς ἱερεῦσιν αἰδῶ καὶ τιμὴν αἱ πόλεις νέμουσιν, ὅτι τἀγαθὰ παρὰ τῶν θεῶν οὐ μόνον αὐτοῖς καὶ φίλοις καὶ οἰκείοις, ἀλλὰ κοινῇ πᾶσιν αἰτοῦνται τοῖς πολίταις, καίτοι τοὺς θεοὺς οἱ ἱερεῖς οὐ ποιοῦσιν ἀγαθῶν δοτῆρας, ἀλλὰ τοιούτους ὄντας παρακαλοῦσι· τοὺς δ' ἄρχοντας οἱ συνόντες τῶν φιλοσόφων, δικαιοτέρους ποιοῦσι καὶ μετριωτέρους καὶ προθυμοτέρους εἰς τὸ εὖ ποιεῖν· ὥστε καὶ χαίρειν εἰκός ἐστι μᾶλλον. ἐμοὶ δὲ δοκεῖ καὶ λυροποιὸς ἀνὴρ ἥδιον λύραν ἐργάσασθαι καὶ προθυμότερον, μαθὼν ὡς ὁ ταύτην κτησόμενος τὴν λύραν, μέλλει τὸ Θηβαίων ἄστυ τειχίζειν ὡς ὁ Ἀμφίων, ἢ τὴν Λακεδαιμονίων στάσιν παύειν ἐπᾴδων καὶ παραμυθούμενος ὡς Θαλῆς· καὶ τέκτων ὁμοίως, πηδάλιον δημιουργῶν ἡσθῆναι πυθόμενος, ὅτι τοῦτο τὴν Θεμιστοκλέους ναυαρχίδα κυβερνήσει προπολεμοῦσαν τῆς Ἑλλάδος, ἢ τὴν Πομπηίου τὰ πειρατικὰ καταναυμαχοῦντος. τί οὖν οἴει περὶ τοῦ λόγου τὸν φιλόσοφον διανοούμενον, ὡς ὁ τοῦτον παραλαβὼν πολιτικὸς ἀνὴρ καὶ ἡγεμονικὸς, κοινὸν ὄφελος ἔσται, δικαιοδοτῶν, νομοθετῶν, κολάζων τοὺς πονηροὺς, αὔξων τοὺς ἐπιεικεῖς καὶ ἀγαθούς. ἐμοὶ δὲ δοκεῖ καὶ ναυπηγὸς ἀστεῖος ἥδιον ἐργάσασθαι πηδάλιον, πυθόμενος, ὅτι τοῦτο τὴν Ἀργὼ κυβερνήσει πᾶσι μέλουσαν· καὶ τεκτονικὸς οὐκ ἂν οὕτω κατασκευάσαι ἄροτρον προθύμως ἢ ἅμαξαν, ὡς τοὺς ἄξονας οἷς ἔμελλε Σόλων τοὺς νόμους ἐγχαράξειν. καὶ μὴν οἱ λόγοι τῶν φιλοσόφων, ἐὰν ψυχαῖς ἡγεμονικῶν καὶ πολιτικῶν ἀνδρῶν ἐγγραφῶσι βεβαίως καὶ κρατήσωσι, νόμων δύναμιν λαμβάνουσιν· ᾗ καὶ Πλάτων εἰς Σικελίαν ἔπλευσεν, ἐλπίζων τὰ δόγματα νόμους καὶ ἔργα ποιήσειν ἐν τοῖς Διονυσίου πράγμασιν, ἀλλ' εὗρε Διονύσιον ὥσπερ βιβλίον παλίμψηστον, ἤδη μολυσμῶν ἀνάπλεων, καὶ τὴν βαφὴν οὐκ ἀνιέντα τῆς τυραννίδος, ἐν πολλῷ χρόνῳ δευσοποιὸν οὖσαν καὶ δυσέκπλυτον, ὁρμαίους δὲ ὄντας ἔτι δεῖ τῶν χρηστῶν ἀντιλαμβάνεσθαι λόγων.

ΠΡΟΣ ΗΓΕΜΟΝΑ ΑΠΑΙΔΕΥΤΟΝ.

Πλάτωνα Κυρηναῖοι παρεκάλουν νόμους τε γραψάμενον αὐτοῖς ἀπολιπεῖν, καὶ διακοσμῆσαι τὴν πολιτείαν· ὁ δὲ παρῃτήσατο, φήσας χαλεπὸν εἶναι Κυρηναίοις νομοθετεῖν οὕτως εὐτυχοῦσιν. οὐδὲν γὰρ οὕτω γαῦρον καὶ τραχὺ καὶ δυσάρεκτον, ὡς ἀνὴρ ἔφυ εὐπραγίας δοκούσης ἐπιλαμβανόμενος. διὸ τοῖς ἄρχουσι χαλεπόν ἐστι σύμβουλον περὶ ἀρχῆς γενέσθαι. τὸν γὰρ λόγον ὥσπερ ἄρχοντα παραδέξασθαι φοβοῦνται, μὴ τῆς ἐξουσίας αὐτῶν τὸ ἀγαθὸν κολούσῃ τῷ καθήκοντι δουλούμενος. οὐ γὰρ ἴσασι τὰ Θεοπόμπου τοῦ Σπαρτιατῶν βασιλέως, ὃς πρῶτος ἐν Σπάρτῃ τοῖς βασιλεύουσι καταμίξας τοὺς ἐφόρους, εἶτα ὀνειδιζόμενος ὑπὸ τῆς γυναικὸς, εἰ τοῖς παισὶν ἐλάττονα παραδώσει τὴν ἀρχὴν ἧς παρέλαβε, μείζονα μὲν οὖν εἶπεν ὅσῳ καὶ βεβαιοτέραν. τὸ γὰρ σφοδρὸν ἀνεὶς καὶ ἄκρατον αὐτῆς, ἅμα τῷ φθόνῳ διέφυγε τὸν κίνδυνον. καίτοι Θεόπομπος μὲν εἰς ἑτέρους τὸ τῆς ἀρχῆς ὥσπερ ῥεύματος μεγάλου παροχετευσάμενος, ὅσον ἄλλοις ἔδωκεν, αὑτοῦ περιέκοψεν· ὁ δὲ ἐκ φιλοσοφίας τῷ ἄρχοντι πάρεδρος καὶ φύλαξ ἐγκατοικισθεὶς λόγος, ὥσπερ εὐεξίας τῆς δυνάμεως τὸ ἐπισφαλὲς ἀφαιρῶν, ἀπολείπει τὸ ὑγιαῖνον. ἀλλὰ νοῦν οὐκ ἔχοντες οἱ πολλοὶ τῶν βασιλέων καὶ ἀρχόντων, μιμοῦνται τοὺς ἀτέχνους

ἀνδριαντοποιοὺς, οἳ νομίζουσι μεγάλους καὶ ἁδροὺς φαίνεσθαι τοὺς κολοσσοὺς, ἂν διαβεβηκότας σφόδρα καὶ διατεταμένους καὶ κεχηνότας πλάσωσι· καὶ γὰρ οὗτοι βαρύτητι φωνῆς καὶ βλέμματος τραχύτητι καὶ δυσκολίᾳ τρόπων καὶ ἀμιξίᾳ διαίτης, ὄγκον ἡγεμονίας καὶ σεμνότητα μιμεῖσθαι δοκοῦσιν, οὐδ' ὁτιοῦν τῶν κολοσσικῶν διαφέροντες ἀνδριάντων, οἳ τὴν ἔξωθεν ἡρωικὴν καὶ θεοπρεπῆ μορφὴν ἔχοντες, ἐντός εἰσι γῆς μεστοὶ καὶ λίθου καὶ μολύβδου. πλὴν ὅτι τῶν μὲν ἀνδριάντων ταῦτα τὰ βάρη τὴν ὀρθότητα μόνιμον καὶ ἀκλινῆ διαφυλάττει· οἱ δὲ ἀπαίδευτοι στρατηγοὶ καὶ ἡγεμόνες, ὑπὸ τῆς ἐντὸς ἀγνωμοσύνης πολλάκις σαλεύονται καὶ περιτρέπονται· βάσει γὰρ οὐ κειμένῃ πρὸς ὀρθὰς ἐξουσίαν ἐποικοδομοῦντες ὑψηλὴν, συναπονεύουσι. δεῖ δὲ ὥσπερ ὁ κανὼν αὐτὸς ἀστραβὴς γενόμενος καὶ ἀδιάστροφος, οὕτως ἀπευθύνει τὰ λοιπὰ τῇ πρὸς αὐτὸν ἐφαρμογῇ καὶ παραθέσει συνεξομοιῶν, παραπλησίως τὸν ἄρχοντα πρῶτον αὐτὴν κτησάμενον ἐν αὑτῷ, καὶ κατευθύναντα τὴν ἀρχὴν καὶ καταστησάμενον τὸ ἦθος, οὕτω συναρμόττειν τὸ ὑπήκοον. οὔτε γὰρ πίπτοντός ἐστιν ὀρθοῦν, οὔτε διδάσκειν ἀγνοοῦντος, οὔτε κοσμεῖν ἀκοσμοῦντος, ἢ τάττειν ἀτακτοῦντος, ἢ ἄρχειν μὴ ἀρχομένου. ἀλλ' οἱ πολλοὶ κακῶς φρονοῦντες, οἴονται πρῶτον ἐν τῷ ἄρχειν ἀγαθὸν εἶναι τὸ μὴ ἄρχεσθαι. καὶ ὅ γε Περσῶν βασιλεὺς πάντας ἡγεῖτο δούλους, πλὴν τῆς αὑτοῦ γυναικὸς, ἧς μάλιστα δεσπότης ὤφειλεν εἶναι. τίς οὖν ἄρξει τοῦ ἄρχοντος; ὁ νόμος, ὁ πάντων βασιλεὺς θνητῶν τε καὶ ἀθανάτων ὥς φησι Πίνδαρος, οὐκ ἐν βιβλίοις ἔξω γεγραμμένος, οὐδέ τισι ξύλοις, ἀλλ' ἔμψυχος ὢν ἐν αὑτῷ λόγος, ἀεὶ συνοικῶν καὶ παραφυλάττων, καὶ μηδέποτε τὴν ψυχὴν ἐῶν ἔρημον ἡγεμονίας. ὁ μὲν γὰρ Περσῶν βασιλεὺς, ἕνα τῶν κατευναστῶν εἶχε πρὸς τοῦτο τεταγμένον, ὥστε ἕωθεν εἰσιόντα λέγειν πρὸς αὐτὸν, ἀνάστα ὦ βασιλεῦ, καὶ φρόντιζε πραγμάτων ὧν σε φροντίζειν ὁ μεσορομάσδης ἠθέλησε. τοῦ δὲ πεπαιδευμένου καὶ σωφρονοῦντος ἄρχοντος, ἐντός ἐστιν ὁ τοῦτο φθεγγόμενος ἀεὶ καὶ παρακελευόμενος. Πολέμων γὰρ ἔλεγε τὸν ἔρωτα εἶναι θεῶν ὑπηρεσίαν εἰς νέων ἐπιμέλειαν· ἀληθέστερον δ' ἄν τις εἴποι τοὺς ἄρχοντας ὑπηρετεῖν θεῷ πρὸς ἀνθρώπων ἐπιμέλειαν καὶ σωτηρίαν· ὅπως ὧν θεὸς δίδωσιν ἀνθρώποις καλῶν καὶ ἀγαθῶν, τὰ μὲν νέμωσι, τὰ δὲ φυλάττωσιν. ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα καὶ γῆν πέριξ ἔχοντα ὑγραῖς ἀγκάλαις; ὁ μὲν καθίησιν ἀρχὰς σπερμάτων προσηκόντων, γῆ δὲ ἀναδίδωσιν· αὔξεται δὲ τὰ μὲν ὄμβροις, τὰ δὲ ἀνέμοις, τὰ δὲ ἄστροις ἐπιθαλπόμενα καὶ σελήνῃ· κοσμεῖ δὲ ἥλιος ἅπαντα, καὶ πᾶσι τοῦτο δὴ τὸ παρ' αὐτοῦ φίλτρον ἐγκεράννυσιν. ἀλλὰ τῶν τοσούτων καὶ τηλικούτων ἃ θεοὶ χαρίζονται δώρων καὶ ἀγαθῶν, οὐκ ἔστιν ἀπόλαυσις οὐδὲ χρῆσις ὀρθὴ δίχα νόμου καὶ δίκης καὶ ἄρχοντος. δίκη μὲν οὖν νόμου τέλος ἐστί· νόμος δὲ, ἄρχοντος ἔργον· ἄρχων δὲ, εἰκὼν θεοῦ τοῦ πάντα κοσμοῦντος, οὐ Φειδίου δεόμενος πλάττοντος οὐδὲ Πολυκλείτου καὶ Μύρωνος, ἀλλ' αὐτὸς αὑτὸν εἰς ὁμοιότητα θεῷ δι' ἀρετῆς καθιστὰς καὶ δημιουργῶν ἀγαλμάτων τὸ ἥδιστον ὀφθῆναι καὶ θεοπρεπέστατον. οἷον δὲ ἥλιον ἐν οὐρανῷ περικαλλὲς εἴδωλον ἑαυτοῦ καὶ σελήνην ὁ θεὸς ἐνίδρυσε, τοιοῦτον ἐν πόλεσι μίμημα καὶ φέγγος ἄρχων, ὅς τε θεουδὴς εὐδικίας ἀνέχῃσι, τουτέστι θεοῦ λόγον ἔχων διάνοιαν, οὐ σκῆπτρον οὐδὲ κεραυνὸν οὐδὲ τρίαιναν, ὡς ἔνιοι πλάττουσιν ἑαυτοὺς καὶ γράφουσι, τῷ ἀνεφίκτῳ ποιοῦντες ἐπίφθονον τὸ ἀνόητον· νεμεσᾷ γὰρ ὁ θεὸς τοῖς ἀπομιμουμένοις βροντὰς καὶ κεραυνοὺς καὶ ἀκτινοβολίας· τοὺς δὲ τὴν ἀρετὴν ζηλοῦντας αὐτοῦ, καὶ πρὸς τὸ καλὸν καὶ φιλάνθρωπον ἀφομοιοῦντας ἑαυτοὺς, ἡδόμενος, αὔξει καὶ μεταδίδωσι τῆς περὶ αὐ-

τὴν εὐνομίας καὶ δίκης καὶ ἀληθείας καὶ πρᾳότητος· ὧν θειότερον, οὐ πῦρ ἐστιν, οὐ φῶς, οὐχ ἡλίου δρόμος, οὐκ ἀνατολαὶ καὶ δύσεις ἄστρων, οὐ τὸ ἀΐδιον καὶ ἀθάνατον. οὐ γὰρ χρόνῳ ζωῆς ὁ θεὸς εὐδαίμων, ἀλλὰ τῆς ἀρετῆς τῷ ἄρχοντι· τοῦτο γὰρ θεῖόν ἐστι. καλὸν δὲ αὐτῆς καὶ τὸ ἀρχόμενον. Ἀνάξαρχος μὲν οὖν ἐπὶ τῷ Κλείτου φόνῳ δεινοπαθοῦντα παραμυθούμενος Ἀλέξανδρον, ἔφη· καὶ τῷ Διὶ τὴν Δίκην εἶναι καὶ τὴν Θέμιν πάρεδρον· ἵνα πᾶν πραττόμενον ὑπὸ βασιλέως θεμιτὸν δοκῇ καὶ δίκαιον, οὐκ ὀρθῶς οὐδ' ὠφελίμως τὴν ἐφ' οἷς ἥμαρτε μετάνοιαν αὐτοῦ, τῷ πρὸς τὰ ὅμοια θαρρύνειν οἰόμενος. εἰ δὲ δεῖ ταῦτα εἰκάζειν, ὁ μὲν Ζεὺς οὐκ ἔχει τὴν Δίκην πάρεδρον, ἀλλ' αὐτὸς Δίκη καὶ Θέμις ἐστὶ καὶ νόμων ὁ πρεσβύτατος καὶ τελειότατος. οἱ παλαιοὶ οὕτω λέγουσι καὶ γράφουσι καὶ διδάσκουσιν· ὡς ἄνευ Δίκης ἄρχειν μηδὲ τὸν Δία καλῶς δυνάμενον. ἡ δέ γε παρθένος ἐστὶ καθ' Ἡσίοδον, ἀδιάφθορος, αἰδοῦς καὶ σωφροσύνης καὶ ὠφελείας σύνοικος· ὅθεν αἰδοίους προσαγορεύουσι τοὺς βασιλεῖς· μάλιστα γὰρ αἰδεῖσθαι προσήκει τοῖς ἥκιστα φοβουμένοις. φοβεῖσθαι δὲ δεῖ τὸν ἄρχοντα τοῦ παθεῖν κακῶς μᾶλλον, τὸ ποιῆσαι· τοῦτο γὰρ αἴτιόν ἐστιν ἐκείνου. καὶ οὗτός ἐστιν ὁ φόβος τοῦ ἄρχοντος φιλάνθρωπος καὶ οὐκ ἀγεννὴς ὑπὲρ τῶν ἀρχομένων δεδιέναι, μὴ λάθωσι βλαβέντες. ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσονται ἐν αὐλῇ, θηρὸς ἀκούσαντες κρατερόφρονος, οὐχ ὑπὲρ αὑτῶν ἀλλ' ὑπὲρ τῶν φυλαττομένων. ὁ δὲ Ἐπαμινώνδας εἰς ἑορτήν τινα, καὶ πότον ἀνειμένως τῶν Θηβαίων ῥυέντων, μόνος ἐφώδευε τὰ ὅπλα καὶ τὰ τείχη, νήφειν λέγων καὶ ἀγρυπνεῖν, ὅπως ἐξῇ τοῖς ἄλλοις μεθύειν καὶ καθεύδειν. καὶ Κάτων ἐν Ἰτύκῃ τοὺς ἄλλους ἅπαντας ἀπὸ τῆς ἥττης ἐκήρυττε πέμπειν ἐπὶ θάλατταν, καὶ ἐμβιβάσας, εὔπλοιαν εὐξάμενος ὑπὲρ αὐτῶν, εἰς οἶκον ἐπανελθὼν, ἑαυτὸν ἀπέσφαξε, διδάξας ὑπὲρ τίνων δεῖ τὸν ἄρχοντα τῷ φόβῳ χρῆσθαι, καὶ τίνων δεῖ τὸν ἄρχοντα καταφρονεῖν. Κλέαρχος δὲ ὁ Ποντικὸς τύραννος εἰς κιβωτὸν ἐνδυόμενος, ὥσπερ ὄφις ἐκάθευδε· καὶ Ἀριστόδημος ὁ Ἀργεῖος εἰς ὑπερῷον οἴκημα θύραν ἔχον ἐπιρρακτὴν, ἧς ἐπάνω τιθεὶς τὸ κλινίδιον ἐκάθευδε μετὰ τῆς ἑταίρας· ἡ δὲ μήτηρ ἐκείνης ὑφεῖλκε κάτωθεν τὸ κλιμάκιον· εἶτα ἡμέρας πάλιν προσετίθει φέρουσα, πῶς οὗτος οἴεσθε τὸ θέατρον ἐπεφρίκει, καὶ τὸ ἀρχεῖον, τὸ βουλευτήριον, τὸ συμπόσιον, ὁ τὸν θάλαμον ἑαυτῷ δεσμωτήριον πεποιηκώς. τῷ γὰρ ὄντι, δεδίασιν οἱ βασιλεῖς ὑπὲρ τῶν ἀρχομένων, οἱ δὲ τύραννοι τοὺς ἀρχομένους· διὸ τῇ δυνάμει τὸ δέος συναύξουσι· πλειόνων γὰρ ἄρχοντες, πλείονας φοβοῦνται. οὐ γὰρ εἰκὸς οὐδὲ πρέπον, ὥσπερ ἔνιοι φιλόσοφοι λέγουσι τὸν θεὸν ἐν ὕλῃ πάντα πασχούσῃ καὶ πράγμασι μυρίας δεχομένοις ἀνάγκας καὶ τύχας καὶ μεταβολὰς, ὑπάρχειν ἀναμεμιγμένον· ἀλλ' ὁ μὲν ἄνω που περὶ τὴν ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως φύσιν ἔχουσαν ἱδρυμένος ἐν βάθροις ἁγίοις, ἥ φησι Πλάτων, εὐθεῖα περαίνει κατὰ φύσιν περιπορευόμενος· οἷον δὲ ἥλιος ἐν οὐρανῷ μίμημα τὸ περικαλλὲς αὐτοῦ δι' ἐσόπτρου εἴδωλον ἀναφαίνεται τοῖς ἐκεῖνον ἐνορᾶν δι' αὐτοῦ δυνατοῖς, οὕτω τὸ ἐν πόλεσι φέγγος εὐδικίας καὶ λόγου τοῦ περὶ αὐτὸν ὥσπερ εἰκόνα κατέστησεν, ἣν οἱ μακάριοι καὶ σώφρονες ἐκ φιλοσοφίας ἀπογράφονται πρὸς τὸ κάλλιστον τῶν πραγμάτων πλάττοντες ἑαυτούς. ταύτην δὲ οὐδὲν ἐμποιεῖ τὴν διάθεσιν, ἢ λόγος ἐκ φιλοσοφίας παραγινόμενος· ἵνα μὴ πάσχωμεν τὸ τοῦ Ἀλεξάνδρου, ὃς ἐν Κορίνθῳ Διογένην θεασάμενος, καὶ δι' εὐφυΐαν ἀγαπήσας καὶ θαυμάσας τὸ φρόνημα καὶ τὸ μέγεθος τοῦ ἀνδρὸς, εἶπεν· εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην. ὀλίγου δέων εἰπεῖν, τὴν περὶ αὐτὸν εὐτυχίαν καὶ λαμπρότητα καὶ δύναμιν, ὡς κώλυσιν ἀρετῆς καὶ ἀσχολίαν βαρυνόμενος, καὶ ζηλοτυπῶν τὸν τρίβωνα καὶ τὴν πήραν,

ἐχομένῳ .Ι. Δ

οἴκημα .Ι. Δ.

πήραν, ὅτι τούτοις ἦν ἀνίκητος καὶ ἀνάλωτος Διογένης, οὐχ ὡς ἐκεῖνος ὅπλοις καὶ ἵπποις καὶ σαρίσαις. ἐξῆν οὖν φιλοσοφοῦντα καὶ τῇ διαθέσει γίνεσθαι Διογένην, καὶ τῇ τύχῃ μένειν Ἀλέξανδρον, καὶ διὰ τοῦτο γενέσθαι Διογένην μᾶλλον, ὅτι ἦν Ἀλέξανδρος, ὡς πρὸς τύχην μεγάλην πολὺ πνεῦμα καὶ σάλον ἔχουσαν, ἕρματος πολλοῦ καὶ κυβερνήτου μεγάλου δεόμενον. ἐν μὲν γὰρ τοῖς ἀσθενέσι καὶ τοῖς ταπεινοῖς καὶ ἰδιώταις, τῷ ἀδυνάτῳ μιγνύμενον τὸ ἀνόητον εἰς τὸ ἀναμάρτητον, ὥσπερ ὀνείρασι φαύλοις τις ἀνία τὴν ψυχὴν διαταράττει, συνεξαναστῆναι ταῖς ἐπιθυμίαις μὴ δυναμένην· ἡ δὲ ἐξουσία παραλαβοῦσα τὴν κακίαν, νεῦρα τοῖς πάθεσι προστίθησι. καὶ τὸ τοῦ Διονυσίου ἀληθές ἐστιν, ἔφη γὰρ ἀπολαύειν μάλιστα τῆς ἀρχῆς, ὅταν ταχέως ἃ βούλεται ποιῇ. μέγας οὖν ὁ κίνδυνος βούλεσθαι ἃ μὴ δεῖ, τὸν ἃ βούλεται ποιεῖν δυνάμενον, αὐτίκ' ἔπειτά γε μῦθος ἔην, τετέλεστο δὲ ἔργον. ὀξὺν ἡ κακία διὰ τῆς ἐξουσίας δρόμον ἔχουσα, πᾶν πάθος ἐξωθεῖ, ποιοῦσα τὴν ὀργὴν, φόνον· τὸν ἔρωτα, μοιχείαν· πλεονεξίαν, δήμευσιν. αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, καὶ ἀπόλωλεν ὁ προσκρούσας· ὑπόνοια, καὶ τέθνηκεν ὁ διαβληθείς. ἀλλ' ὥσπερ οἱ φυσικοὶ λέγουσι τὴν ἀστραπὴν τῆς βροντῆς ὑστέραν μὲν ἐκπίπτειν, ὡς αἷμα τραύματος, προτέραν δὲ φαίνεσθαι· τὸν μὲν ψόφον ἐκδεχομένης τῆς ἀκοῆς, τῷ δὲ φωτὶ τῆς ὄψεως ἀπαντώσης· οὕτως ἐν ταῖς ἀρχαῖς φθάνουσιν αἱ κολάσεις τὰς κατηγορίας, καὶ προεκπίπτουσιν αἱ καταδίκαι τῶν ἀποδείξεων. εἴκει γὰρ ἤδη θυμὸς οὐκ ἔτ' ἀντέχει· θινώδης ὡς ἄγκιστρον ἀγκύρας σάλον, ἂν μὴ βάρος ἔχων λογισμὸς ἐπιθλίβῃ καὶ πιέζῃ τὴν ἐξουσίαν· μιμουμένου τὸν ἥλιον τοῦ ἄρχοντος, ὃς ὅταν ὕψωμα λάβῃ μέγιστον ἐξαρθεὶς ἐν τοῖς βορείοις, ἐλάχιστα κινεῖται, τῷ σχολαιοτέρῳ τὸν δρόμον εἰς ἀσφαλὲς καθιστάμενος. οὐδὲ γὰρ λαθεῖν οἷόν τε τὰς κακίας ἐν ταῖς ἐξουσίαις. ἀλλὰ τοὺς μὲν ἐπιληπτικοὺς ἂν ἐν ὕψει τινὶ γένωνται καὶ περιενεχθῶσιν, ἴλιγγος ἴσχει καὶ σάλος ἐξελέγχων τὸ πάθος αὐτῶν, τοὺς δὲ ἀπαιδεύτους καὶ ἀμαθεῖς ἡ τύχη μικρὸν ἐκκουφίσασα πλούτοις τισὶν ἢ δόξαις ἢ ἀρχαῖς μετεώρους γενομένους, εὐθὺς ἐπιδείκνυσι πίπτοντας. μᾶλλον δὲ ὥσπερ τῶν κενῶν ἀγγείων οὐκ ἂν διαγνοίης τὸ ἀκέραιον καὶ πεπονηκὸς, ἀλλ' ὅταν ἐγχέῃς, φαίνεται τὸ ῥέον, οὕτως αἱ σαθραὶ ψυχαὶ τὰς ἐξουσίας μὴ στέγουσαι, ῥέουσιν ἔξω ταῖς ἐπιθυμίαις, ταῖς ὀργαῖς, ταῖς ἀλαζονείαις, ταῖς ἀπειροκαλίαις. καὶ τί δεῖ ταῦτα λέγειν· ὅπου καὶ τὰ σμικρότατα τῶν ἐλλειμμάτων περὶ τοὺς ἐπιφανεῖς καὶ ἐνδόξους συκοφαντεῖται. Κίμωνος ἦν ὁ οἶνος διαβολή· Σκιπίωνος ὁ ὕπνος· Λούκολλος ἐπὶ τῷ δειπνεῖν πολυτελέστερον, ἤκουε κακῶς.

π

[Π]ερὶ τῆς ἠθικῆς λεγομένης ἀρετῆς καὶ δοκούσης τῷ δὴ μάλιστα τῆς θεωρητικῆς διαφέρειν, τῷ τὸ μὲν πάθος ὕλην ἔχειν, τὸν δὲ λόγον εἶδος, εἰπεῖν πρόκειται· τίνα τε οὐσίαν ἔχει καὶ πῶς ὑφίστασθαι πέφυκε· καὶ πότερον οἰκείῳ λόγῳ κεκόσμηται τὸ δεχόμενον μόριον αὐτὴν τῆς ψυχῆς, ἢ μετέσχηκεν ἀλλοτρίου· καὶ εἰ μετέσχηκε, πότερον ὡς τὰ μεμιγμένα πρὸς τὸ βέλτιον, ἢ μᾶλλον ὡς ἐπιστασίᾳ τινὶ χρώμενον καὶ ἀρχῇ, μετέχειν λέγεται τῆς τοῦ ἄρχοντος δυνάμεως, ὅτι μὲν γὰρ δύναται καὶ ἀρετὴν γεγονέναι, καὶ μένειν παντάπασιν ἄϋλον καὶ ἄκρατον, οἶμαι δῆλον εἶναι· βέλτιον δὲ βραχέως ἐπιδραμεῖν καὶ τὰ τῶν ἑτέρων, οὐχ ἱστορίας ἕνεκα μᾶλλον ἢ τοῦ σαφέστερα γενέσθαι τὰ οἰκεῖα καὶ βεβαιότερα, προεκτεθέντων ἐκείνων. Μενέδημος μὲν ὁ ἐξ Ἐρετρίας, ἀνῄρει τῶν ἀρετῶν καὶ τὸ πλῆθος καὶ τὰς διαφοράς, ὡς μιᾶς οὔσης καὶ χρωμένης πολλοῖς ὀνόμασι· τὸ γὰρ αὐτὸ σωφροσύνην καὶ ἀνδρείαν καὶ δικαιοσύνην λέγεσθαι, καθάπερ βροτὸν καὶ ἄνθρωπον. Ἀρίστων δὲ ὁ Χῖος, τῇ μὲν οὐσίᾳ μίαν καὶ αὐτὸς ἀρετὴν ἐποίει, καὶ ὑγίειαν ὠνόμαζε· τῷ δὲ πρός τί πως, διαφόρους καὶ πλείονας, ὡς εἴ τις ἐθέλοι τὴν ὅρασιν ἡμῶν λευκῶν μὲν ἀντιλαμβανομένην, λευκοθέαν καλεῖν· μελάνων δέ, μελανθέαν, ἢ τι τοιοῦτον ἕτερον. καὶ γὰρ ἡ ἀρετὴ ποιητέα μὲν ἐπισκοποῦσα καὶ μὴ ποιητέα, κέκληται φρόνησις· ἐπιθυμίαν δὲ κοσμοῦσα καὶ τὸ μέτριον καὶ τὸ εὔκαιρον ἐν ἡδοναῖς ὁρίζουσα, σωφροσύνη· κοινωνήμασι δὲ καὶ συμβολαίοις ὁμιλοῦσα τοῖς πρὸς ἑτέρους, δικαιοσύνη· καθάπερ τὸ μαχαίριον ἓν μέν ἐστιν, ἄλλο τε δὲ ἄλλο διαιρεῖ· καὶ τὸ πῦρ ἐνεργεῖ περὶ ὕλας διαφόρους μιᾷ φύσει χρώμενον. ἔοικε δὲ καὶ Ζήνων εἰς τοῦτό πως ὑποφέρεσθαι ὁ Κιτιεύς, ὁριζόμενος τὴν φρόνησιν ἐν μὲν ἀπονεμητέοις, δικαιοσύνην· ἐν δὲ αἱρετέοις, σωφροσύνην· ἐν δὲ ὑπομενετέοις, ἀνδρείαν· ἀπολογούμενοι δέ, ἀξιοῦσιν ἐν τούτοις τὴν ἐπιστήμην φρόνησιν ὑπὸ τοῦ Ζήνωνος ὠνομάσθαι. Χρύσιππος δὲ κατὰ τὸ ποιὸν ἀρετὴν ἰδίᾳ ποιότητι συνίστασθαι νομίζων, ἔλαθεν ἑαυτὸν κατὰ τὸν Πλάτωνα σμῆνος ἀρετῶν οὐ σύνηθες οὐδὲ γνώριμον ἀγείρας· ὡς γὰρ παρὰ τὸν ἀνδρεῖον ἀνδρείαν, καὶ παρὰ τὸν πρᾶον πραότητα, καὶ δικαιοσύνην παρὰ τὸν δίκαιον, οὕτως παρὰ τὸν χαρίεντα χαριεντότητα, καὶ παρὰ τὸν ἐσθλὸν ἐσθλότητα, καὶ παρὰ τὸν μέγαν μεγαλότητα, καὶ παρὰ τὸν καλὸν καλότητα, ἑτέρας τε τοιαύτας ἐπιδεξιότητας, εὐαπαντησίας, εὐτραπελίας, ἀρετὰς τιθέμενος, πολλῶν καὶ ἀτόπων ὀνομάτων οὐδὲν δεομένην ἐμπέπληκε τὴν φιλοσοφίαν. κοινῶς δὲ ἅπαντες οὗτοι τὴν ἀρετὴν τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς διάθεσίν τινα καὶ δύναμιν γεγενημένην ὑπὸ λόγου, μᾶλλον δὲ λόγον οὖσαν αὐτὴν ὁμολογούμενον καὶ βέβαιον καὶ ἀμετάπτωτον ὑποτίθενται, καὶ νομίζουσιν οὐκ εἶναι τὸ παθητικὸν καὶ ἄλογον, διαφορᾷ τινι καὶ φύσει ψυχῆς τοῦ λογικοῦ διακεκριμένον, ἀλλὰ τὸ αὐτὸ τῆς ψυχῆς μέρος, ὃ δὴ καλοῦσι διάνοιαν καὶ ἡγεμονικόν, διόλου τρεπόμενον καὶ μεταβάλλον ἔν τε τοῖς πάθεσι καὶ ταῖς κατὰ ἕξιν ἢ διάθεσιν μεταβολαῖς, κακίαν τε γίνεσθαι καὶ ἀρετήν, καὶ μηδὲν ἔχειν ἄλογον ἐν ἑαυτῷ· λέγεσθαι δὲ ἄλογον, ὅταν τῷ πλεονάζοντι τῆς ὁρμῆς ἰσχυρῷ γενομένῳ καὶ κρατήσαντι, πρός τι τῶν ἀτόπων παρὰ τὸν αἱροῦντα λόγον ἐκφέρηται. καὶ γὰρ τὸ πάθος εἶναι λόγον πονηρὸν καὶ ἀκόλαστον, ἐκ φαύλης καὶ διημαρτημένης κρίσεως σφοδρότητα καὶ ῥώμην προσλαβόντα. ἔοικε δὲ λαθεῖν τούτους ἅπαντας ᾗ διττὸς ἡμῶν ὡς ἀληθῶς ἕκαστός ἐστι καὶ σύνθετος, τὴν δ' ἑτέραν διπλόην οὐ κατεῖ-

δον, ἀλλὰ τὴν ψυχῆς καὶ σώματος μίξιν ἐμφανεστέραν οὖσαν. ὅτι δὲ αὐτὸ ἐστὶ τὸ τῆς ψυχῆς ἐν ἑαυτῇ σύνθετόν τι καὶ διφυὲς καὶ ἀνόμοιον, ὥσπερ ἑτέρου σώματος τοῦ ἀλόγου πρὸς τὸν λόγον ἀνάγκῃ τινὶ καὶ φύσει συμμιγέντος καὶ συναρμοσθέντος, εἰκὸς μέν ἐστι μηδὲ Πυθαγόραν ἀγνοῆσαι, τεκμαιρομένους τῇ περὶ τὴν μουσικὴν σπουδῇ τοῦ ἀνδρός, ἣν ἐπήγαγε τῇ ψυχῇ κηλήσεως ἕνεκα καὶ παραμυθίας, ὡς οὐ πᾶν ἐχούσῃ διδασκαλίᾳ καὶ μαθήμασιν ὑπήκοον, οὐδὲ λόγῳ μεταβλητὸν ἐκ κακίας, ἀλλά τινος ἑτέρας πειθοῦς συνεργοῦ καὶ πλάσεως καὶ τιθασεύσεως δεόμενον, εἰ μὴ παντάπασι μέλλοι φιλοσοφίᾳ δυσμεταχείριστον εἶναι καὶ ἀπειθές. ἐμφανῶς μέντοι καὶ βεβαίως καὶ ἀναμφιδόξως Πλάτων συνεῖδεν, ὅτι τούτου γε τοῦ κόσμου τὸ ἔμψυχον, οὐχ ἁπλοῦν οὐδὲ ἀσύνθετον οὐδὲ μονοειδές ἐστιν· ἀλλ' ἐκ τῆς ταὐτοῦ καὶ τοῦ ἑτέρου μεμιγμένον δυνάμεως, πῇ μὲν ἀεὶ κατὰ ταυτὰ κοσμεῖται καὶ περιπολεῖ, μιᾷ τάξει κράτος ἐχούσῃ χρώμενον· πῇ δὲ εἴς τε κινήσεις καὶ κύκλους σχιζόμενον ὑπεναντίους καὶ πλανητούς, ἀρχὴν διαφορᾶς καὶ γένεσιν. ἥ τε ἀνθρώπου ψυχὴ μέρος ἢ τμῆμα τῆς τοῦ παντὸς οὖσα καὶ συνηρμοσμένη κατὰ λόγους καὶ ἀριθμοὺς ἐοικότας ἐκείνοις, οὐχ ἁπλῆ τίς ἐστιν οὐδὲ ὁμοιοπαθής, ἀλλ' ἕτερον μὲν ἔχει τὸ νοερὸν καὶ λογιστικόν, ᾧ κρατεῖν τοῦ ἀνθρώπου κατὰ φύσιν καὶ ἄρχειν προσῆκόν ἐστιν· ἕτερον δὲ τὸ παθητικὸν καὶ ἄλογον καὶ πολυπλανὲς καὶ ἄτακτον ἐξ ἑαυτοῦ δεόμενον ‸ οὗ πάλιν διχῆ μεριζομένου, τὸ μὲν ἀεὶ σωματικὸν κέκληται ‸, τὸ δὲ ἔστι μὲν ἢ τούτῳ προστιθέμενον, ἔστι δὲ ἢ τῷ λογισμῷ παρέχον ἰσχὺν ἐπὶ τοῦτο καὶ δύναμιν θυμοειδές, ἀποδείκνυσι δὲ τὴν διαφορὰν μάλιστα τῇ τοῦ λογιζομένου καὶ φρονοῦντος ἀντιβάσει, πρὸς τὸ ἐπιθυμοῦν καὶ θυμούμενον· ὥστε ἕτερα εἶναι πολλάκις ἀπειθοῦντα καὶ δυσμαχοῦντα πρὸς τὸ βέλτιστον. τούτοις ἐχρήσατο ταῖς ἀρχαῖς ἐπὶ πλέον Ἀριστοτέλης, ὡς δῆλόν ἐστιν ἐξ ὧν ἔγραψεν. ὕστερον δὲ τὸ μὲν θυμοειδὲς, τῷ ἐπιθυμητικῷ προσένειμεν, ὡς ἐπιθυμίαν τινὰ τὸν θυμὸν ὄντα καὶ ὄρεξιν ἀντιλυπήσεως, τῷ μέντοι παθητικῷ καὶ ἀλόγῳ, μέχρι παντὸς ὡς διαφόρῳ τινὶ τοῦ λογιστικοῦ, χρώμενος διετέλεσεν· οὐχ ὅτι παντελῶς ἄλογόν ἐστιν ὥσπερ τὸ αἰσθητικὸν ἢ τὸ θρεπτικὸν καὶ φυτικὸν τῆς ψυχῆς μέρος· ἀλλὰ ταῦτα μὲν ὅλως ἀνήκοα λόγου καὶ κωφὰ ζόφον τινὰ τῆς σαρκὸς ἐκβεβλάστηκε, καὶ περὶ τὸ σῶμα παντελῶς καταπέφυκε· τὸ δὲ παθητικὸν οἰκείου λόγου στέρεται καὶ ἄμοιρόν ἐστιν· ἄλλως δὲ τοῦ λογιζομένου καὶ φρονοῦντος ἐπακούειν καὶ στρέφεσθαι πρὸς ἐκεῖνο καὶ ὑπείκειν καὶ κατασχηματίζεσθαι πέφυκεν, ἐὰν μὴ τέλεον ᾖ διεφθαρμένον ὑφ' ἡδονῆς ἀμαθοῦς καὶ ἀκολάστου διαίτης. οἱ δὲ θαυμάζοντες ὅπως ἄλογον μέν ἐστι, λόγῳ δὲ ὑπήκοον, οὔ μοι δοκοῦσι τοῦ λόγου περινοεῖν τὴν δύναμιν, ὅση πέφυκε καὶ ἐφ' ὅσον διέρχεται τῷ κρατεῖν καὶ ἄγειν, οὐ σκληραῖς οὐδὲ ἀντιτύποις ἀγωγαῖς ἀλλὰ τυπικαῖς, καὶ τὸ ἐνδόσιμον καὶ πειθήνιον ἁπάσης ἀνάγκης καὶ βίας ἐχούσαις ἀνυσιμώτερον, ἐπεὶ καὶ πνεῦμα δή που καὶ νεῦρα καὶ ὀστᾶ καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος, ἄλογά ἐστιν· ἀλλ' ὅταν ὁρμὴ γένηται σείσαντος ὥσπερ ἡνίας τοῦ λογισμοῦ, πάντα τέταται καὶ συνῆκται καὶ ὑπακούει· καὶ πόδες τε θεῖν διανοηθέντος, εὔτονοι· καὶ χεῖρες εἰς ἔργον καθίστανται, βαλεῖν ἢ λαβεῖν ὁρμήσαντος. ἄριστα δὲ ὁ ποιητὴς τὸ συμπαθοῦν καὶ συγκατασχηματιζόμενον τῷ λόγῳ τοῦ ἀλόγου παρίστησι διὰ τούτων·

» ὣς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης κλαιούσης ἑὸν ἄνδρα παρήμενον.
» αὐτὰρ Ὀδυσσεὺς θυμῷ μὲν γοόωσαν ἑὴν ἐλέαιρε γυναῖκα· ὀφθαλμοὶ
» δ' ὡσεὶ κέρα ἕστασαν ἢ σίδηρος ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δέ γε δάκρυα
» κεῦθεν.

οὕτως κατήκοον εἶχε τῆς κρίσεως καὶ τὸ πνεῦμα καὶ τὸ αἷμα καὶ τὸ δάκ-

[Marginal notes: ·l. ἐπιστασίας (left margin); γο ἐπιθυμοῦν (right margin)]

κηρὸν. δηλοῦσι δὲ καὶ παρὰ καλαῖς καὶ καλοῖς, ὧν οὐκ ἔστι λόγος οὐδὲ νόμος θιγεῖν, αἰδοίων φυγαὶ καὶ ἀναχωρήσεις ἡσυχίαν ἀγόντων καὶ ἀτρεμούντων. ὃ μάλιστα συμβαίνει τοῖς ἐρῶσιν, εἶτα ἀκούσασιν ὡς ἀδελφῆς ἐρῶντες ἢ θυγατρὸς ἐγνώκασιν· ἀλλὰ γοῦν ἔπτηξε τὸ ἐπιθυμοῦν ἁψαμένου τοῦ λόγου, καὶ τὸ σῶμα τὰ μέρη συνευσχημονοῦντα τῇ κρίσει παρέσχε. σιτίοις γε μὴν πολλάκις καὶ ὄψοις μάλα ἡδέως προσενεχθέντος, ἂν αἴσθωνται καὶ μάθωσιν αὐτοὺς τῶν μὴ καθαρῶν τι μηδὲ νομίμων ἐδηδοκότας, οὐ τῇ κρίσει μόνον ἐπιτίθενται τὸ λυπηρὸν καὶ δάκνον· ἀλλὰ καὶ τὸ σῶμα τῇ δόξῃ συνδιαταραττόμενον καὶ ἀναπιμπλάμενον, ἔμετοι καὶ διαταραχαὶ ναυτιώδεις ἔχουσι. δέδοικα δὲ μὴ δόξαιμι παντάπασιν ἐπαγωγὰ καὶ νεαρὰ τῷ λόγῳ περαίνειν, ψαλτήρια διεξιὼν καὶ λύρας, καὶ πηκτίδας καὶ αὐλούς, καὶ ὅσα μουσικῆς προσῳδὰ καὶ προσήγορα μηχανησαμένης ἀνθρωπίνοις πάθεσιν, ἄψυχα συνήλθε καὶ συνεπιθρηνεῖ, καὶ συνᾴδει καὶ συνακολασταίνει τὰς κρίσεις ἀναφέροντα καὶ τὰ πάθη καὶ τὰ ἤθη τῶν χρωμένων. καί τοι καὶ Ζήνωνά φασιν εἰς θέατρον ἀνιόντα κιθαρῳδοῦντος Ἀμοιβέως, πρὸς τοὺς μαθητὰς ἴωμεν εἰπεῖν· ὅπως καταμάθωμεν οἵαν ἔντερα καὶ νεῦρα καὶ ξύλα καὶ ὀστᾶ λόγου καὶ ἀριθμοῦ μετασχόντα καὶ τάξεως, ἐμμέλειαν καὶ φωνὴν ἀφίησιν. ἀλλὰ ταῦτα ἐάσας, ἡδέως ἂν αὐτῶν πυθοίμην εἰ κύνας καὶ ἵππους καὶ ὄρνιθας οἰκουροὺς ὁρῶντες, ἔθει καὶ τροφῇ καὶ διδασκαλίᾳ, φωνάς τε συνετὰς καὶ πρὸς λόγον ὑπηκόους κινήσεις καὶ σχέσεις ἀποδιδόντας καὶ πράξεις τὸ μέτριον καὶ τὸ χρήσιμον ἡμῖν ἐχούσας· Ὁμήρου δ' ἀκούοντες τὸν Ἀχιλλέα λέγοντος ὀτρύνειν ἵππους τε καὶ ἄνδρας ἐπὶ τὴν μάχην, ἔτι θαυμάζουσι καὶ διαποροῦσιν εἰ τὸ θυμούμενον ἐν ἡμῖν καὶ ἐπιθυμοῦν καὶ λυπούμενον καὶ ἡδόμενον, ὑπακούειν τε τῷ φρονοῦντι καὶ πάσχειν ὑπ' αὐτοῦ καὶ συνδιατίθεσθαι πέφυκεν, οὐκ ἀποικοῦν οὐδὲ ἀποκεχωρισμένον οὐδὲ πλαττόμενον ἔξωθεν, οὐδὲ τυπούμενον ἀνάγκαις τισὶν ἢ πληγαῖς, ἀλλὰ φύσει μὲν ἐξηρτημένον, ἀεὶ δὲ ὁμιλοῦν καὶ συντρεφόμενον καὶ ἀναπιμπλάμενον ἀπὸ συνηθείας. διὸ καὶ καλῶς ὠνόμασται τὸ ἦθος. ἔστι μὲν γὰρ ὡς τύπῳ εἰπεῖν, ποιότης τοῦ ἀλόγου τὸ ἦθος. ὠνόμασται δέ, ὅτι τὴν ποιότητα ταύτην καὶ τὴν διαφορὰν ἔθει λαμβάνει τὸ ἄλογον ὑπὸ τοῦ λόγου πλαττόμενον, οὐ βουλομένου τὸ πάθος ἐξαιρεῖν παντάπασιν· οὔτε γὰρ δυνατὸν οὔτε ἄμεινον, ἀλλὰ ὅρον τινὰ καὶ τάξιν ἐπιτιθέντος αὐτῷ καὶ τὰς ἠθικὰς ἀρετὰς οὐκ ἀπαθείας οὔσας, ἀλλὰ συμμετρίας παθῶν καὶ μεσότητας ἐμποιοῦντος· ἐμποιεῖ δὲ τῇ φρονήσει τὴν τοῦ παθητικοῦ δύναμιν εἰς ἕξιν ἀστείαν καθιστάς. τρία γὰρ δὴ ταῦτά φασι περὶ τὴν ψυχὴν ὑπάρχειν, δύναμιν, πάθος, ἕξιν. ἡ μὲν οὖν δύναμις, ἀρχὴ καὶ ὕλη τοῦ πάθους, οἷον ὀργιλότης, αἰσχυντηλία, θαρραλεότης. τὸ δὲ πάθος, κίνησίς τις ἤδη τῆς δυνάμεως, οἷον ὀργή, θάρσος, αἰδώς, θράσος. ἡ δὲ ἕξις, ἰσχὺς καὶ κατασκευὴ τῆς περὶ τὸ ἄλογον δυνάμεως ἐξ ἔθους ἐγγινομένη· κακία μὲν, ἂν φαύλως, ἀρετὴ δέ, ἂν καλῶς ὑπὸ τοῦ λόγου παιδαγωγηθῇ τὸ πάθος. ἐπεὶ δὲ οὐ πᾶσαν ἀρετὴν μεσότητα ποιοῦσιν οὐδὲ ἠθικὴν καλοῦσι, λεκτέον ἂν εἴη περὶ τῆς διαφορᾶς ἀρξαμένοις ἄνωθεν. ἔστι τοίνυν τῶν πραγμάτων, τὰ μὲν ὅπως ἔχοντα, τὰ δὲ πῶς ἔχοντα πρὸς ἡμᾶς. ὅπως μὲν οὖν ἔχοντα, γῆ, οὐρανός, ἄστρα, θάλασσα· πῶς δὲ ἔχοντα πρὸς ἡμᾶς, ἀγαθόν, κακόν, αἱρετόν, φευκτόν, ἡδύ, ἀλγεινόν. ἀμφοῖν δὲ τοῦ λόγου θεωρητικοῦ ὄντος, ὁ μὲν περὶ τὰ ὅπως ἔχοντα μόνον, ἐπιστημονικὸν καὶ θεωρητικόν ἐστι· τὸ δ' ἐν τοῖς πῶς ἔχουσι πρὸς ἡμᾶς, βουλευτικὸν καὶ πρακτικόν. ἀρετὴ δὲ τούτου μὲν ἡ φρόνησις, ἐκείνου δὲ ἡ σοφία. διαφέρει δὲ σοφίας φρόνησις, ἡ τοῦ θεωρητικοῦ πρὸς τὸ πρακτικὸν καὶ παθητικὸν

ἐπιστροφῆς καὶ κινήσεώς τινος γενομένης ὑφίσταται κατὰ τὸν λόγον ἡ φρόνησις. διὸ φρόνησις μὲν, τύχης δεῖται· σοφία δὲ οὐ δεῖται πρὸς τὸ οἰκεῖον τέλος οὐδὲ βουλῆς. ἔστι γὰρ περὶ τὰ ἀεὶ καὶ τὰ αὐτὰ ὡσαύτως ἔχοντα. καὶ καθάπερ ὁ γεωμέτρης οὐ βουλεύεται περὶ τοῦ τριγώνου εἰ δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς ἐντὸς γωνίας, ἀλλ' οἶδεν· αἱ γὰρ βουλαὶ περὶ τῶν ἄλλοτε ἄλλως ἐχόντων, οὐ περὶ τῶν βεβαίων καὶ ἀμεταπτώτων· οὕτως ὁ θεωρητικὸς νοῦς περὶ τὰ πρῶτα καὶ μόνιμα, καὶ μίαν ἀεὶ φύσιν ἔχοντα μὴ δεχομένην μεταβολὰς ἐνεργῶν, ἀπήλλακται τοῦ βουλεύεσθαι. τὴν δὲ φρόνησιν εἰς πράγματα πλάνης μεστὰ καὶ ταραχῆς καθεῖσαν ἐπιμίγνυσθαι τοῖς τυχηροῖς πολλάκις, ἀναγκαῖόν ἐστι καὶ τῷ βουλευτικῷ χρῆσθαι περὶ τῶν ἀδηλοτέρων· τῷ δὲ πρακτικῷ τὸ βουλευτικὸν ἐκδεχομένην ἐνεργεῖν ἤδη καὶ τοῦ ἀλόγου συμπαρόντος καὶ συνεφελκομένου ταῖς κρίσεσιν. ὁρμῆς γὰρ δέονται. τὴν δὲ ὁρμὴν τῷ πάθει ποιεῖ τὸ ἦθος, λόγου δεομένην ὁρίζοντος ὅπως μετρία παρῇ, καὶ μήτε ὑπερβάλλῃ, μήτε ἐγκαταλίπῃ τὸν καιρόν. τὸ γὰρ δὴ παθητικὸν καὶ ἄλογον κινήσεσι χρῆται, ταῖς μὲν ἄγαν σφοδραῖς καὶ ὀξείαις, ταῖς δὲ μαλακωτέραις ἢ προσήκει καὶ ἀργοτέραις. ὅθεν ἕκαστον ὧν πράττομεν ἀεί, μοναχῶς μὲν κατορθοῦται, πλεοναχῶς δὲ ἁμαρτάνει. τὸ γὰρ βαλεῖν τὸν σκοπόν, ἕν ἐστι καὶ ἁπλοῦν· ἀστοχοῦσι δὲ ἄλλοτε ἄλλως ὑπερβάλλοντες τὸ μέτριον ἢ προαπολείποντες. ἔργον οὖν τοῦ πρακτικοῦ λόγου κατὰ φύσιν ἐστί, τὸ ἐξαιρεῖν τὰς ἀμετρίας τῶν παθῶν καὶ πλημμελείας. ὅπου μὲν γὰρ ὑπὸ ἀρρωστίας καὶ μαλακίας ἢ δέους καὶ ὄκνου προσενδίδωσιν ἡ ὁρμὴ καὶ προαπολείπει τὸ καλόν, ἐνταῦθα πάρεστιν ἐξεγείρων καὶ ἀναρριπίζων· ὅπου δὲ πάλιν ἐκφέρεται ῥυεῖσα πολλὴ καὶ ἄτακτος, ἐκεῖ τὸ σφοδρὸν ἀφαιρεῖ καὶ ἵστησιν. οὕτως δὲ ὁρίζων τὴν παθητικὴν κίνησιν, ἐμποιεῖ τὰς ἠθικὰς ἀρετὰς περὶ τὸ ἄλογον, ἐλλείψεως καὶ ὑπερβολῆς μεσότητας οὔσας. οὐ γὰρ ἅπασαν ἀρετὴν μεσότητι γίνεσθαι ῥητέον. ἀλλ' ἡ μὲν ἀπροσδεὴς τοῦ ἀλόγου καὶ περὶ τὸν εἰλικρινῆ καὶ ἀπαθῆ νοῦν συνισταμένη σοφία καὶ φρόνησις, αὐτοτελής τίς ἐστιν ἀκρότης τοῦ λόγου καὶ δύναμις, ᾗ τὸ θειότατον ἐγγίνεται τῆς ἐπιστήμης καὶ μακαριώτατον. ἡ δὲ ἀναγκαία διὰ τὸ σῶμα, καὶ δεομένη διὰ τῆς παθητικῆς ὥσπερ ὀργανικῆς ὑπηρεσίας ἐπὶ τὸ πρακτικόν, οὐκ οὖσα φθορὰ τοῦ ἀλόγου τῆς ψυχῆς οὐδὲ ἀναίρεσις, ἀλλὰ τάξις καὶ διακόσμησις, ἀκρότης μέν ἐστι τῇ δυνάμει καὶ τῇ ποιότητι, τῷ ποσῷ δὲ μεσότης γίνεται τὸ ὑπερβάλλον ἐξαιροῦσα καὶ τὸ ἐλλεῖπον. ἐπεὶ δὲ πολλαχῶς τὸ μέσον· καὶ γὰρ τὸ κεκραμένον τῶν ἀκράτων μέσον, ὡς λευκοῦ καὶ μέλανος τὸ φαιόν, καὶ τὸ περιέχον καὶ περιεχόμενον τοῦ περιεχομένου καὶ περιέχοντος, ὡς τῶν δώδεκα καὶ τεττάρων τὰ ὀκτώ, καὶ τὸ μηδετέρου τῶν ἄκρων μετέχον, ὡς ἀγαθοῦ καὶ κακοῦ τὸ ἀδιάφορον· τούτων μὲν οὐδενὶ τῶν τρόπων ἡ ἀρετὴ εἴη ἂν μεσότης. οὔτε γὰρ μῖγμα τῶν κακιῶν ἐστιν, οὔτ' ἐμπεριέχουσα τὸ ἔλαττον ἐμπεριέχεται τῷ πλεονάζοντι τοῦ προσήκοντος, οὔτε ἀπήλλακται παντάπασι τῶν παθητικῶν ὁρμῶν, ἐν αἷς τὸ μᾶλλον καὶ τὸ ἧττόν ἐστι. γίνεται δὲ μεσότης καὶ λέγεται μάλιστα τῇ περὶ φθόγγους καὶ ἁρμονίας ὁμοίως. ἐκείνη τε γὰρ ἐμμελὴς οὖσα φωνὴ καθάπερ ἡ νήτη καὶ ὑπάτη, τῆς μὲν τὴν ὀξύτητα, τῆς δὲ τὴν βαρύτητα τὴν ἄγαν διαπέφευγεν. αὕτη τε κίνησις οὖσα καὶ δύναμις περὶ τὸ ἄλογον, τὰς ἐκλύσεις καὶ τὰς ἐπιτάσεις καὶ ὅλως τὸ μᾶλλον καὶ ἧττον ἐξαιρεῖ τῆς ὁρμῆς, εἰς τὸ μέτριον καὶ ἀναμάρτητον καθιστᾶσα τῶν παθῶν ἕκαστον. αὐτίκα τὴν μὲν ἀνδρίαν, μεσότητά φασιν εἶναι δειλίας καὶ θρασύτητος, ὧν ἡ μὲν ἔλλειψις, ἡ δὲ ὑπερβολὴ τοῦ θυμοειδοῦς ἐστι· τὴν δὲ ἐλευθεριότητα, μικρολογίας καὶ ἀσωτίας· πρᾳότητα δέ, ἀναλγησίας καὶ

ὠμότητος. αὐτήν τε σωφροσύνην καὶ δικαιοσύνην, τὴν μὲν περὶ τὰ συμβόλαια, μήτε πλέον νέμουσαν αὑτῇ τοῦ προσήκοντος, μήτε ἔλαττον. τὴν δὲ εἰς τὸ μέσον ἀπαθείας ἀναισθησίας καὶ ἀκολασίας, ἀεὶ τὰς ἐπιθυμίας καθιστᾶσαν. ἐν ᾧ δὴ καὶ μάλιστα δοκεῖ τὸ ἄλογον τῆς πρὸς τὸ λογικὸν διαφορᾶς αὐτοῦ παρέχειν κατανόησιν, καὶ δεικνύειν τὸ πάθος, ὡς ἕτερόν τι κομιδῆ τοῦ λόγου ἐστίν. οὐ γὰρ ἂν διέφερε σωφροσύνης ἐγκράτεια, καὶ ἀκολασίας ἀκρασία περὶ τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας, εἰ ταὐτὸν ἦν τῆς ψυχῆς ὃ ἐπιθυμεῖν ᾧ τε κρίνειν πέφυκε. νῦν δὲ σωφροσύνη μέν ἐστιν, οὗ τὸ παθητικὸν ὥσπερ εὐήνιον θρέμμα καὶ πρᾶον, ὁ λογισμὸς ἡνιοχεῖ καὶ μεταχειρίζεται, περὶ τὰς ἐπιθυμίας χρώμενος ὑπείκοντι. ἐγκράτεια δέ ἐστι καὶ δεχομένῳ τῷ λογισμῷ καὶ κρατοῦντι τὴν ἐπιθυμίαν, ἄγει δὲ οὐκ ἀλύπως οὐδὲ πειθομένην, ἀλλὰ πλαγίαν καὶ ἀντιτείνουσαν, οἷον ὑπὸ πληγῆς καὶ χαλινοῦ καταβιαζόμενος καὶ ἀνακρούων, ἀγῶνος ὢν ἐν ἑαυτῷ καὶ θορύβου μεστός. οἷον ὁ Πλάτων ἐξεικονίζει περὶ τὰ τῆς ψυχῆς ὑποζύγια, τοῦ χείρονος πρὸς τὸ βέλτιον ζυγομαχοῦντος ἅμα καὶ τὸν ἡνίοχον διαταράττοντος, ἀντέχειν ὀπίσω καὶ κατατείνειν ὑπὸ σπουδῆς ἀναγκαζόμενον ἀεὶ μὴ βάλῃ φοινικᾶς ἐκ χειρῶν ἱμάντας κατὰ Σιμωνίδην. ὅθεν οὐδὲ ἀρετὴν αὐτοτελῆ ἀξιοῦσι τὴν ἐγκράτειαν, ἀλλ' ἔλαττον ἀρετῆς εἶναι. μεσότης γὰρ οὐ γέγονεν ἐκ συμφωνίας τοῦ χείρονος πρὸς τὸ βέλτιον, οὐδὲ ἀνῄρηται τοῦ πάθους τὸ ὑπερβάλλον, οὐδὲ πειθόμενον οὐδὲ ὁμολογοῦν τῷ φρονοῦντι τῆς ψυχῆς τὸ ἐπιθυμοῦν, ἀλλὰ λυποῦν καὶ λυπούμενον καὶ κατειργόμενον ὑπ' ἀνάγκης, ὥσπερ ἐν στάσει δυσμενὲς καὶ πολέμιον συνοικεῖ. πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων. ἡ τοῦ ἐγκρατοῦς ψυχὴ διὰ τὴν ἀνωμαλίαν καὶ τὴν διαφοράν. κατὰ ταῦτα δὲ οἴονται καὶ τὴν ἀκρασίαν, ἔλαττόν τι κακίας εἶναι, παντελῆ δὲ κακίαν τὴν ἀκολασίαν. αὕτη μὲν γὰρ ἔχουσα καὶ πάθος φαῦλον καὶ λόγον, ὑφ' οὗ μὲν ἐξάγεται τὸ ἐπιθυμεῖν πρὸς τὸ αἰσχρόν, ὑφ' οὗ δὲ τῷ κακῶς κρίνειν προστιθεμένου ταῖς ἐπιθυμίαις, καὶ τὴν αἴσθησιν ἀποβάλλει τῶν ἁμαρτανομένων. ἡ δὲ ἀκρασία τῷ μὲν λόγῳ, σῴζει τὴν κρίσιν ὀρθὴν οὖσαν, τῷ δὲ πάθει φέρεται παρὰ τὴν κρίσιν ἰσχύοντι τοῦ λόγου μᾶλλον. ὅθεν διαφέρει τῆς ἀκολασίας. ὅπου μὲν γὰρ ἡττᾶται τοῦ πάθους ὁ λογισμός. ὅπου δὲ, οὐδὲ μάχεται. καὶ ὅπου μὲν, ἀντιλέγων ἕπεται ταῖς ἐπιθυμίαις. ὅπου δὲ, ὑφηγεῖται συναγορεύων. καὶ ὅπου μὲν, ἡδομένῳ κοινωνεῖν ὑπάρχει τῶν ἁμαρτανομένων. ὅπου δὲ προδιδοὺς ἀχθομένῳ. καὶ ὅπου μὲν ἑκὼν φέρεται πρὸς τὸ αἰσχρόν. ὅπου δὲ προδιδοὺς ἄκων τὸ καλόν, ὡς τοῖς πραττομένοις ὑπ' αὐτῶν οὐχ ἧττον δὲ καὶ τοῖς λεγομένοις ἔνεστιν ἡ διαφορὰ καταδῆλος. ἀκολάστων μὲν γὰρ αἵδε φωναί, τίς δὲ χάρις, τί δὲ τερπνὸν ἄνευ χρυσῆς ἀφροδίτης. τεθναίην ὅτε μοι μηκέτι ταῦτα μέλει. καὶ ἕτερος, τὸ φαγεῖν, τὸ πιεῖν, τὸ τῆς ἀφροδίτης τυγχάνειν. τὰ δ' ἄλλα προσθήκας ἅπαντ' ἐγὼ καλῶ φησιν, ὥσπερ ἐξ ὅλης τῆς ψυχῆς συνεπινεύων ταῖς ἡδοναῖς καὶ ὑπερειπόμενος. οὐχ ἧττον δὲ τούτων ὁ εἰπὼν ἔα μ' ἀπολέσθαι, τοῦτο γάρ μοι συμφέρει, τὴν κρίσιν ἔχει τῷ πάθει συννοσοῦσαν. αἱ δὲ τῆς ἀκρασίας ἕτεραι καὶ διαφέρουσαι. γνώμην ἔχοντά μ' ἡ φύσις βιάζεται. καὶ αἶ αἶ. τὸ δὴ θεῖον ἀνθρώποις κακόν, ὅταν τις εἰδῇ τἀγαθόν, χρῆται δὲ μή. καὶ ἕλκει μὲν γὰρ ἤδη θυμὸς οὐδὲ κάρτ' ἀντέχει. θινῶδες ὡς ἄγκιστρον ἀγκύρας σάλῳ. θινῶδες ἄγκιστρον οὐ φαύλως λέγων τὸ μὴ κάτοχον τοῦ λογισμοῦ μηδὲ ἀραρός. ἀλλὰ μανότητι τῆς ψυχῆς καὶ μαλακίᾳ προϊέμενον τὴν κρίσιν. οὐ πόρρω δὲ τῆς εἰκόνος ταύτης κἀκεῖνα εἴρηται. ναῦς ὥς τις ἐκ μὲν γῆς ἀνῆπται βρόχοις, πνεῖ δ' οὖρος, ἡμῖν δ' οὐ κρατεῖ τὰ πείσματα. πείσματα γὰρ λέγει, τὰς ἀντεχούσας κρίσεις πρὸς τὸ αἰσχρόν. εἶτα ὥσ-

περ ὑπὸ πνεύματος πολλοῦ ῥηγνυμένας τοῦ πάθους. τῷ γὰρ ὄντι πλησίστιος μὲν ἐπὶ τὰς ἡδονὰς ὁ ἀκόλαστος ὑπὸ τῶν ἐπιθυμιῶν φέρεται, καὶ δίδωσιν ἑαυτὸν καὶ συγκατευθύνει. πλάγιος δὲ ὁ ἀκρατής, οἷον ἐξαναφέρειν γλιχόμενος καὶ διωθεῖσθαι τὸ πάθος, ὑποσύρει καὶ περιπίπτει περὶ τὸ αἰσχρόν, ὡς ἀναξάρχον ἐσίλλαινε Τίμων, ἐν δὲ τὸ θαρσαλέον τε καὶ ἐμμανὲς ὅπῃ ὀροῖσαι φαίνετ' ἀναξάρχου κύνεον μένος. ὅρα καὶ εἰδὼς ὡς φάσαν ἄθλιος ἔσκε. φύσις δέ μιν ἔμπαλιν ἦγεν ἡδονοπλήξ. ἣν πλεῖστοι ὑποδείουσι σοφιστῶν. οὔτε γὰρ ὁ σοφὸς ἀκρατής, ἀλλὰ σώφρων. οὔτε ὁ ἀμαθὴς ἀκρατής, ἀλλ' ἀκόλαστος. ὁ μὲν γὰρ ἥδεται τοῖς καλοῖς. ὁ δὲ οὐκ ἄχθεται τοῖς αἰσχροῖς. σοφιστικῆς οὖν ψυχῆς ἡ ἀκρασία λόγον ἐχούσης οἷς ἔγνωκεν ὀρθῶς ἐμμένειν μὴ δυνάμενον. ἡ μὲν οὖν ἀκρασία ταύτας ἔχει διαφορὰς πρὸς τὴν ἀκολασίαν. ἡ δὲ ἐγκράτεια πρὸς τὴν σωφροσύνην αὖθις αὖ τὰς ἀντιστρόφους ἀναλόγως. τὸ γὰρ δάκνον καὶ τὸ λυποῦν καὶ τὸ ἀγανακτοῦν, οὔπω τὴν ἐγκράτειαν ἀπολέλοιπε. τῆς δὲ σώφρονος ψυχῆς, τὸ πανταχόθεν ὁμαλὲς καὶ ἄφυκτον καὶ ὑγιαῖνον ᾧ συνήρμοσται καὶ συγκέκραται τὸ ἄλογον πρὸς τὸν λογισμὸν εὐπειθείᾳ καὶ πρᾳότητι θαυμαστῇ κεκοσμημένον, εἴποις ἂν ἐπιβλέψας. δὴ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἡ δὲ γαλήνη ἔπλετο νηνεμίη, κοίμησε δὲ κύματα δαίμων. τὰ σφοδρὰ καὶ περιμανῆ καὶ οἰστρώδη κινήματα τῶν ἐπιθυμιῶν, τοῦ λόγου κατασβέσαντος. ὧν δὲ ἡ φύσις ἀναγκαίως δεῖται, ταῦτα ὁμοιοπαθῆ καὶ ὑπήκοα καὶ φίλα καὶ συνεργὰ πεποιημένου ταῖς πρακτικαῖς προαιρέσεσιν. ὥστε μὴ προεκθεῖν τοῦ λογισμοῦ μηδὲ ὑπενδιδόναι μηδὲ ἀτακτεῖν μηδὲ ἀπειθεῖν. ἀλλὰ πᾶσαν ὁρμὴν εὐάγωγον οὖσαν, ἅθηλον ἵππῳ πῶλον ὡς ἅμα τρέχειν, ἐπιβεβαιοῦσαν τὸν Ξενοκράτους λόγον, ὃν ἐκεῖνος εἶπε περὶ τῶν ἀληθῶς φιλοσοφούντων, ὅτι μόνον ποιοῦσιν ἑκουσίως, ἃ ποιοῦσιν ἄκοντες οἱ λοιποὶ διὰ τὸν νόμον, ὥσπερ ὑπὸ πληγῆς κυνὸς ἢ γαλεοῦ ψόφῳ τῶν ἡδονῶν ἀποτρεπόμενοι καὶ πρὸς τὸ δεινὸν ἀποβλέποντες. ὅτι μὲν οὖν γίνεταί τις ἐν τῇ ψυχῇ τοιαύτης στερρότητος αἴσθησις καὶ διαφορὰ περὶ τὰς ἐπιθυμίας. ὥς τινος μαχομένου καὶ τἀναντία λέγοντος αὐταῖς, οὐκ ἄδηλόν ἐστιν. ἔνιοι δέ φασιν οὐχ ἕτερον εἶναι τοῦ λόγου τὸ πάθος, οὐδὲ δυοῖν διαφορὰν καὶ στάσιν, ἀλλ' ἑνὸς λόγου τροπὴν ἐπ' ἀμφότερα, λανθάνουσαν ἡμᾶς ὀξύτητι καὶ τάχει μεταβολῆς, οὐ συνορῶντες ὅτι ταὐτόν ἐστι τῆς ψυχῆς ὃ πέφυκεν ἐπιθυμεῖν καὶ μετανοεῖν, ὀργίζεσθαι καὶ δεδιέναι, φέρεσθαι πρὸς τὸ αἰσχρὸν ὑφ' ἡδονῆς, καὶ φερομένης πάλιν αὐτῆς ἐπιλαμβάνεσθαι. καὶ γὰρ ἐπιθυμίαν καὶ ὀργὴν καὶ φόβον καὶ τὰ τοιαῦτα πάντα, δόξας εἶναι καὶ κρίσεις πονηράς, οὐ περὶ ἕν τι γινομένας τῆς ψυχῆς μέρος. ἀλλ' ὅλου τοῦ ἡγεμονικοῦ ῥοπὰς καὶ εἴξεις, καὶ συγκαταθέσεις καὶ ὁρμάς, καὶ ὅλως ἐνεργείας τινὰς οὔσας ἐν ὀλίγῳ μεταπτωτάς, ὥσπερ αἱ τῶν παίδων ἐπιδρομαὶ τὸ ῥαγδαῖον καὶ τὸ σφοδρὸν ἐπισφαλὲς ὑπὸ ἀσθενείας καὶ ἀβέβαιον ἔχουσι. ταῦτα δὲ πρῶτον μὲν παρὰ τὴν ἐνάργειάν ἐστι καὶ τὴν αἴσθησιν. οὐδεὶς γὰρ ἐν ἑαυτῷ τοῦ ἐπιθυμοῦντος αἰσθάνεται μεταβολὴν εἰς τὸ κρῖνον, οὐδὲ τοῦ κρίνοντος αὖ πάλιν εἰς τὸ ἐπιθυμοῦν. οὐδὲ παύεται μὲν ἐρῶν ὁπότε λογίζεται καθεκτέον εἶναι τὸν ἔρωτα, καὶ διαμαχετέον πρὸς αὐτόν, ἐξίσταται δὲ πάλιν τοῦ λογίζεσθαι καὶ κρίνειν ὅταν ἐνδιδῷ μαλασσόμενος ὑπὸ τῆς ἐπιθυμίας. ἀλλὰ καὶ τῷ λόγῳ πρὸς τὸ πάθος ἀντιβαίνων, ἐν τῷ πάθει ἐστὶν ἔτι. καὶ πάλιν κρατούμενος ὑπὸ τοῦ πάθους, διορᾷ τῷ λογισμῷ τὸ ἁμαρτανόμενον, καὶ οὔτε τὸ πάθη τὸν ἀνῄρηκεν, οὔτε τῷ λογίζεσθαι τοῦ πάθους ἀπήλλακται. φερόμενος δὲ ἑκατέρωσε, μέσος ἀμφοῖν καὶ κοινός ἐστιν. οἱ δὲ νῦν μὲν ἐπιθυμίαν γίνεσθαι τὸ ἡγεμονικόν, νῦν δὲ τὸν ἀντιτατ

τόμενον τῇ ἐπιθυμίᾳ λογισμὸν ὑπολαμβάνοντες, οὐδὲν ἀπέχουσι τῶν μὴ δύο
τὸν κυνηγὸν εἶναι καὶ τὸ θηρίον ὑπολαμβανόντων. ἀλλὰ ταὐτὸ σῶμα χρώ-
μενον μεταβολῇ, νῦν μὲν εἶναι θηρίον, νῦν δὲ γίνεσθαι κυνηγόν. ἐκεῖνοί τε γὰρ ἐμ-
φανές τι παρορῶσιν, οὗτοί τε πρὸς τὴν αἴσθησιν ἀντιμαρτυροῦσιν. οὐχ ἑνός τινος
μεταβολῆς ἀλλὰ δυεῖν ἅμα· μάχης καὶ διαφορᾶς ἐν ἑαυτοῖς αἰσθανόμενοι.
τί οὖν φασιν οὐ καὶ τὸ βουλευόμενον τοῦ ἀνθρώπου πολλάκις διαφορεῖ, καὶ πρὸς
ἐναντίας ἀνθέλκεται δόξας περὶ τοῦ συμφέροντος, ἀλλὰ ἕν ἐστι; πάνυ μὲν
οὖν φήσομεν, ἀλλὰ τὸ συμβαῖνον οὐχ ὅμοιον. οὐ γὰρ μάχεται πρὸς ἑαυτὸ τῆς ψυχῆς
τὸ φρονοῦν· ἀλλὰ μιᾷ χρώμενον δυνάμει, διαφόρων ἐφάπτεται λογισμῶν. μᾶλ-
λον δὲ εἷς λογισμός ἐστιν ἐν πράγμασι γινόμενος ἑτέροις, ὥσπερ ὕλαις διαφερού-
σαις. ὅθεν οὔτε λύπη τοῖς ἄνευ πάθους λογισμοῖς ἔνεστιν, οὔτε ὥσπερ ἐκ βιαζό-
μενοι παρὰ γνώμην αἱροῦνται θάτερον, ἂν μὴ νὴ Δία λανθάνῃ πάθος τι προσηρ-
τημένον ὥσπερ ἐπὶ ζυγοῦ. καὶ γὰρ τοῦτο συμβαίνει πολλάκις, οὐ λογισμοῦ τινος
πρὸς λογισμόν, ἀλλὰ φιλοτιμίας ἢ φιλονεικίας ἢ χάριτος ἢ ζηλοτυπίας ἢ
δέους ἀντιβαίνοντος, οἴεσθαι διὰ λόγων εἶναι δυεῖν διαφορὰν ὥσπερ ἐν τούτοις·
αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι. καὶ τὸ μὲν σφαγῆναι δεινόν, εὔκλει-
αν δ' ἔχει· τὸ μὴ θανεῖν δὲ δειλόν, ἡδονὴ δ' ἔνι. καὶ περὶ τὰς κρίσεις δὲ τῶν συμβο-
λαίων ὑπεισερχόμενα τὰ πάθη, τὴν πλείστην ἐμποιεῖ διατριβήν, καὶ περὶ τὰ συμ-
βούλια τῶν βασιλέων οἱ πρὸς χάριν λέγοντες, οὐ δυεῖν κρίσεων τῇ ἑτέρᾳ συναγο-
ρεύουσιν· ἀλλὰ πάθει τινὶ προστίθενται παρὰ τὸν τοῦ συμφέροντος λογισμόν.
διὸ τοὺς ῥήτορας ἐν ταῖς ἀριστοκρατίαις οἱ ἄρχοντες, οὐκ ἐῶσι παθαίνεσθαι.
ῥέπει γὰρ εὐθεῖαν ῥοπὴν ὁ ἀπαθὴς λογισμὸς ἐπὶ τὸ δίκαιον· ἂν δὲ πάθος ἐπεισέλθῃ,
μάχην ποιεῖ καὶ διαφορὰν τὸ ἡδόμενον καὶ τὸ ἀλγοῦν πρὸς τὸ κρῖνον καὶ τὸ βου-
λευόμενον. ἐπεὶ διατί τοῖς ἐν φιλοσοφίᾳ σκέμμασιν οὐ πρόσεστι τὸ μετὰ λύ-
πης ὑπὸ τῶν ἑτέρων ἄγεσθαι καὶ μετατίθεσθαι πολλάκις, ἀλλ' αὐτός τε ἀ-
ριστοτέλης δημόκριτός τε καὶ χρύσιππος ἔνια τῶν πρόσθεν αὐτοῖς ἀρεσκόντων
ἀθορύβως καὶ ἀδήκτως καὶ μεθ' ἡδονῆς ἀφεῖσαν, ὅτι τῷ θεωρητικῷ καὶ μαθη-
ματικῷ τῆς ψυχῆς, πάθος οὐδὲν ἀνθέστηκεν· ἀλλ' ἀτρεμεῖ καὶ οὐ πολυπραγμο-
νεῖ τὸ ἄλογον ἐν τούτοις. διὸ πρὸς τὸ ἀληθὲς ὁ λογισμὸς ὅταν φανῇ προσέμε-
νος τὸ ψεῦδος ἀσμένως ἀπέκλινεν· ἐν αὐτῷ γάρ ἐστιν οὐκ ἐν ἑτέρῳ τὸ πειθόμενον
καὶ μεταπειθόμενον. αἱ δὲ πραγματικαὶ βουλαὶ καὶ κρίσεις καὶ δίαιται τῶν
πολλῶν ἐμπαθεῖς οὖσαι, δυσοδίαν τῷ λόγῳ παρέχουσι καὶ δυσκολίαν. ἐνισχο-
μένῳ καὶ ταραττομένῳ περὶ τὸ ἄλογον, ἀντεῖρον αὐτῷ μεθ' ἡδονῆς τινος ἢ δέ-
ους, ἢ λύπης, ἢ ἐπιθυμίας, καὶ τούτων κριτήριον ἡ αἴσθησίς ἐστιν ἀμφοτέρων ἐ-
φαπτομένη. καὶ γὰρ ἂν περιγένηται θάτερον, οὐκ ἀνῄρηκε θάτερον· ἀλλ' ἐφέλ-
κεται καταβιαζόμενον καὶ ἀντιτεῖνον. ὁ γὰρ νουθετῶν αὐτὸν ἐρῶντα, χρῆται
τῷ λογισμῷ πρὸς τὸ πάθος, ὡς ἀμφοτέρων ἐνόντων ἅμα τῇ ψυχῇ, καθάπερ χει-
ρὶ φλεγμαῖνον ἕτερον μόριον πιέζων, καὶ δυεῖν ὄντων καὶ διαφερόντων ἐπαι-
σθανόμενος. ἐν μέντοι ταῖς ἀπαθέσι βουλαῖς καὶ σκέψεσιν, οἵας ἔχει μά-
λιστα τὸ θεωρητικόν, ἂν μὲν ἴσαι μένωσιν, οὐ γέγονε κρίσις· ἀλλὰ ἀπορία, στάσις
οὖσα καὶ μονὴ διανοίας ὑπὸ ἐναντίων παθῶν· ἂν δὲ ῥοπὴ γένηται πρὸς θάτε-
ρον, ἡ κρατήσασα τὴν ἑτέραν λέλυκεν, ὥστε μὴ λυπεῖν μηδὲ ὑπεναντιοῦσθαι
πρὸς τὴν δόξαν. ὅλως δὲ λογισμοῦ μὲν ἀντικεῖσθαι λογισμῷ δοκοῦντος, οὐ φαί-
νεται δυεῖν καὶ ἑτέρων αἴσθησις· ἀλλὰ ἑνός τινος ἐν διαφόροις γινομένου φαντα-
σίαις. ὅταν δὲ τὸ ἄλογον μάχηται πρὸς τὸν λογισμὸν μήτε κρατεῖν ἀλύπως μήτε κρα-
τεῖσθαι πεφυκός, εὐθὺς ὡς δύο διΐστησι τῇ μάχῃ τὴν ψυχὴν καὶ ποιεῖ τὴν διαφο-
ρὰν

ρὰν πρόδηλον. οὐ μόνον τοίνυν ἀπὸ τῆς μάχης, ἀλλ' οὐδὲν ἧττον ἀπὸ τῆς ἀκο-
λουθίας κατίδοι τις ἂν τὴν παθητικὴν ἀρχὴν τῆς λογικῆς οὖσαν ἑτέραν. ἐπεὶ
γάρ ἐστι μὲν ἐρᾶν εὐφυοῦς πρὸς ἀρετὴν καὶ γενναίου παιδός, ἔστι δὲ φαύλου καὶ
ἀκολάστου, συμβαίνει δὲ θυμῷ χρῆσθαι μὲν ἀλόγως πρὸς παῖδας αὐτοῦ καὶ γο-
νεῖς, χρῆσθαι δὲ ὑπὲρ γονέων καὶ παίδων δικαίως πρὸς πολεμίους καὶ τυράν-
νους, ὥσπερ ἐκεῖ μάχης καὶ διαφορᾶς τοῦ πάθους πρὸς τὸν λογισμὸν αἴσθησίς
ἐστιν, οὕτως ἐνταῦθα πειθοῦς καὶ ἀκολουθίας, οἷον ἐπιρρέοντος καὶ συνεπιδι-
δόντος. ἐπεὶ τοίνυν καὶ γυναῖκα γήμας κατὰ νόμους ἀνὴρ ἐπιεικὴς διανοεῖ-
ται περιέπειν καὶ συνεῖναι δικαίως καὶ σωφρόνως, χρόνῳ δὲ τῆς συνηθείας
ἐντεκούσης πάθος αἰσθάνεται τῷ λογισμῷ τὸ φιλεῖν καὶ τὸ ἀγαπᾶν ἐπι-
τεινόμενον, ὥσπερ αὖ καὶ νέοι διδασκάλοις ἐντυχόντες ἀστείοις, ἀπὸ χρεί-
ας τὸ πρῶτον ἕπονται καὶ ζηλοῦσιν, ὕστερον δὲ καὶ φιλοῦσιν, ἀντὶ γνωρί-
μων καὶ μαθητῶν ἐρασταὶ καλούμενοι καὶ ὄντες, τὸ δ' αὐτὸ συμβαίνει καὶ πρὸς
ἄρχοντας ἐν πόλεσι χρηστοὺς καὶ γείτονας καὶ κηδεστάς. ἀρξάμενοι γὰρ ὑπὸ
χρείας τινὸς καθηκόντως ἀλλήλοις ὁμιλεῖν, ἔπειτα λανθάνουσιν εἰς τὸ φιλεῖν
ὑποφερόμενοι· συνεπισπασαμένου τοῦ λογισμοῦ καὶ συναναπείσαντος τὸ πα-
θητικόν. ὁ δ' εἰπὼν αἰδώς τε δοιαί δ' εἰσὶν ἡ μὲν οὐ κακή, ἡ δ' ἄχθος εἰκῶν· ἆρ'
οὐ δῆλός ἐστι συνῃσθημένος ἐν ἑαυτῷ τοῦτο τὸ πάθος πολλάκις, παρὰ τὸν λόγον
ὄκνοις καὶ μελλήσεσι καιροὺς καὶ πράγματα λυμαινόμενον; οἳ καὶ αὐτοὶ τρό-
πον τινὰ διὰ τὴν ἐνάργειαν ὑπείκοντες, αἰδεῖσθαι τὸ αἰσχύνεσθαι καλοῦσι, καὶ
τὸ ἥδεσθαι, χαίρειν, καὶ τοὺς φόβους, εὐλαβείας. ταύτην μὲν οὐδενὸς αἰτιασα-
μένου τὴν εὐφημίαν. εἶτα αὐτὰ πάθη προστιθέμενα μὲν τῷ λογισμῷ τούτοις
καλοῦσι τοῖς ὀνόμασι· μαχόμενα δὲ καὶ βιαζόμενα τὸν λογισμὸν ἐκείνοις. ὅταν
δὲ δακρύοις ἐλεγχόμενοι καὶ τρόμοις καὶ χρόας μεταβολαῖς, ἀντὶ λύπης καὶ φό-
βου δηγμούς τινας καὶ συνεόρσεις λέγωσι, καὶ προθυμίας τὰς ἐπιθυμίας ὑπο-
κορίζωνται, σοφιστικὰς δοκοῦσιν οὐ φιλοσόφους διακαύσεις καὶ ἀποδράσεις ἐκ τῶν
πραγμάτων μηχανᾶσθαι διὰ τῶν ὀνομάτων. καίτοι πάλιν αὐτοὶ τάς τε χαρὰς
ἐκείνας καὶ τὰς βουλήσεις καὶ τὰς εὐλαβείας, εὐπαθείας καλοῦσιν οὐκ ἀπαθείας.
ὀρθῶς ἐνταῦθα χρώμενοι τοῖς ὀνόμασι· γίνεται γὰρ εὐπάθεια τοῦ λογισμοῦ τὸ πάθος
οὐκ ἀναιροῦντος, ἀλλὰ κοσμοῦντος καὶ τάττοντος ἐν τοῖς σωφρονοῦσιν. οἱ δὲ φαῦ-
λοι καὶ ἀκρατεῖς τί πάσχουσιν; ὅταν τὸν πατέρα καὶ τὴν μητέρα κρίναντες φι-
λεῖν, ἀντὶ τοῦ ἐρωμένου καὶ τῆς ἐρωμένης μὴ δύνωνται· τὴν δὲ ἑταίραν καὶ τὸν
κόλακα κρίναντες, εὐθὺς καὶ φιλῶσιν. εἰ γὰρ τὸ πάθος ἦν κρίσις, ἔδει τῇ τοῦ φι-
λεῖν χρῆναι καὶ μισεῖν κρίσει, τὸ φιλεῖν ἕπεσθαι καὶ τὸ μισεῖν, νυνὶ δὲ συμβαί-
νει τἀναντία· ταῖς μὲν προστιθεμένου τοῦ πάθους κρίσεσι, ταῖς δὲ ἀπειθοῦν-
τος. ᾗ καὶ φασὶν αὐτοὶ τῶν πραγμάτων ἐκβιαζομένων, οὐ πᾶσαν εἶναι κρί-
σιν πάθος, ἀλλὰ τὴν κινητικὴν ὁρμῆς βιαίου καὶ πλεοναζούσης, ὁμολογοῦντες
ἕτερον εἶναι τὸ κρῖνον καὶ τὸ πάσχον ἐν ἡμῖν, ὥσπερ τὸ κινοῦν καὶ τὸ κινούμενον.
αὐτός τε χρύσιππος ἐν πολλοῖς ὁριζόμενος τὴν καρτερίαν καὶ τὴν ἐγκράτειαν
ἕξεις ἀκολουθητικὰς τῷ αἱροῦντι λόγῳ, δῆλός ἐστιν ὑπὸ τῶν πραγμάτων ὁμο-
λογεῖν ἀναγκαζόμενος, ὡς ἕτερόν ἐστι τὸ ἀκολουθοῦν ἐν ἡμῖν τοῦ ᾧ ἀκολουθεῖ πει-
θόμενον, ἢ πάλιν μάχεται μὴ πειθόμενον. ἴσα τοίνυν τὰ ἁμαρτήματα
πάντα καὶ πάσας τιθέμενοι τὰς ἁμαρτίας· εἰ μὲν ἄλλῃ πῃ παρορῶσι τὸ ἀλη-
θές, οὐκ ἔστι καιρὸς ἐν τῷ παρόντι διελέγχειν· ἐν δὲ τοῖς πλείοσι φαίνονται κο-
μιδῇ παρὰ τὴν ἐνάργειαν ἐνιστάμενοι τῷ λόγῳ. πᾶν μὲν γὰρ πάθος ἁμαρτία,
κατ' αὐτούς ἐστι. καὶ πᾶς ὁ λυπούμενος ἢ φοβούμενος, ἢ ἐπιθυμῶν, ἁμαρτά-

οἴκων ·l· A.

δικαιώσεσι ·l· A.

νει. μεγάλαι δὲ τῶν παθῶν διαφοραὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον ὁρῶνται. τίς γὰρ
ἂν φαίη τὸν δόλωνος φόβον ἴσον εἶναι τῷ αἴαντος, ἐντροπαλιζομένου καὶ βά-
δην ἀπιόντος ἐκ τῶν πολεμίων. ὀλίγον γόνυ γουνὸς ἀμείβοντος, ἢ τῇ πλάτωνος
ἐπὶ σωκράτει τελευτήσαντι λύπῃ, τὴν ἀλεξάνδρου διὰ κλεῖτον ἑαυτὸν ἀνελεῖν
ὁρμήσαντος. ἐπιτείνονται γὰρ οὐ μετρίως καὶ τῷ παρὰ λόγον αἱ λῦπαι· καὶ τὸ
παρ' ἐλπίδα σύμπτωμα, τοῦ κατὰ λόγον ὀδυνηρότερον, εἰ προσδοκῶν εὐημεροῦν-
τα καὶ θαυμαζόμενον ὄψεσθαι, πύθοιτο κατεστρεβλωμένον, ὡς φιλώταν παρ-
μενίων. θυμῷ δέ τις ἂν εἴποι πρὸς ἀνάξαρχον ἴσῳ κεχρῆσθαι νικοκρέοντα
καὶ πρὸς φιλήμονα μάγαν ἀμφοτέρους λοιδορηθέντας ὑπ' αὐτῶν. ὁ μὲν γὰρ
ὑπέροις σιδηροῖς κατέπτισε καὶ κατέκοψεν ἐκεῖνον. ὁ δὲ τῷ φιλήμονι τὸν δήμιον
ἐκέλευσεν εὐθὺ τὸν τράχηλον ἐπιθεῖναι γυμνὴν τὴν μάχαιραν, εἶτα ἀφεῖναι. διὸ
καὶ νεῦρα τῆς ψυχῆς τὸν θυμὸν ὁ πλάτων προσεῖπεν. ὡς ἐπιτεινόμενόν τε πι-
κρίᾳ καὶ πρᾳότητι χαλώμενον. ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα διακρουό-
μενοι, τὰς ἐπιτάσεις τῶν παθῶν καὶ τὰς σφοδρότητας οὔ φασι γίνεσθαι κατὰ
τὴν κρίσιν, ἐν ᾗ τὸ ἁμαρτητικόν, ἀλλὰ τὰς λήξεις καὶ τὰς συστολὰς καὶ διαχύ-
σεις εἶναι, τὰς τὸ μᾶλλον καὶ τὸ ἧττον τῷ λόγῳ δεχομένας. καίτοι καὶ
περὶ τὰς κρίσεις φαίνονται γινόμεναι διαφοραί. τήν τε γὰρ πενίαν, οἱ μὲν οὐ
κακὸν, οἱ δὲ, καὶ μέγα κρίνουσι κακὸν, οἱ δέ γε, καὶ μέγιστον. ὥς τε καὶ κατὰ τῶν
πετρῶν καὶ κατὰ τῆς θαλάττης ὠθεῖν ἑαυτοὺς, τόν τε θάνατον οἱ μὲν ἀγαθῶν στε-
ρήσει μόνον. οἱ δὲ, καὶ τιμωρίαις αἰωνίοις ὑπὸ γῆν, καὶ κολασμοῖς φρικώδεσι,
κακὸν εἶναι νομίζουσιν. ἥ τε τοῦ σώματος ὑγεία τοῖς μὲν ὡς κατὰ φύσιν καὶ χρή-
σιμον ἀγαπᾶται. τοῖς δὲ τῶν ὄντων δοκεῖ μέγιστον ἀγαθόν, οὔτε γὰρ πλούτου χά-
ριν ἢ τεκέων. οὔτε τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς, τελευτῶν-
τες δὲ καὶ τὴν ἀρετὴν ἀνωφελῆ καὶ ἀνόνητον ἡγοῦνται, τοῦ ὑγιαίνειν μὴ πα-
ρόντος, ὥς τε φαίνεσθαι καὶ περὶ τὰς κρίσεις αὐτὰς, τοὺς μὲν μᾶλλον, τοὺς δ'
ἧττον ἁμαρτάνοντας. ἀλλὰ οὐ τοῦτο νῦν διαλεκτέον, ἐκεῖνο δὲ ἐκ τούτου λη-
πτέον, ὅτι συγχωροῦσι καὶ αὐτοὶ τῆς κρίσεως ἕτερον εἶναι τὸ ἄλογον, καθ' ὃ
φασὶ γίνεσθαι τὸ πάθος σφοδρότερον καὶ μεῖζον, ἐρίζοντες πρὸς τοὔνομα καὶ
τὸ ῥῆμα, τὰ δὲ πράγματα διδόντες τοῖς διαφέρειν τὸ παθητικὸν καὶ ἄλογον
τοῦ λογιζομένου καὶ κρίνοντος ἀποφαινομένοις. ἐν δὲ τοῖς περὶ ἀνομολογί-
ας, ὁ χρύσιππος εἰπὼν ὅτι τυφλόν ἐστιν ἡ ὀργὴ, καὶ πολλάκις μὲν οὐκ ἐᾷ ὁρᾶν
τὰ ἐκφανῆ, πολλάκις δὲ τοῖς καταλαμβανομένοις ἐπιπροσθεῖ μικρὸν προελ-
θών. τὰ γὰρ ἐπιγινόμενά φησι πάθη, ἐκκρούει τοὺς λογισμοὺς, καὶ τὰ ὡς ἑτέ-
ρως φαινόμενα βιαίως προωθοῦντα εὐθὺ τὰς ἐναντίας πράξεις. εἶτα χρῆται
μάρτυρι τῷ μενάνδρῳ λέγοντι. οἴμοι τάλας ἔγωγε ποῦ ποτε φρένες ἡμῶν
ἐκεῖνον ἦσαν ἐν τῷ σώματι τὸν χρόνον, οὐ ταῦτ' ἀλλ' ἐκεῖνα αἱρούμεθα. καὶ πά-
λιν ὁ χρύσιππος προελθὼν τοῦ λογικοῦ φησὶ ζώου φύσιν ἔχοντος προσχρῆσθαι
εἰς ἕκαστα τῷ λόγῳ καὶ ὑπὸ τούτου κυβερνᾶσθαι, πολλάκις ἀποστρέφεσθαι
αὐτὸν ἡμᾶς ἄλλῃ βιαιοτέρᾳ φορᾷ χρωμένους, ὁμολογῶν τὸ συμβαῖνον ἐκ τῆς πρὸς
τὸν λόγον τοῦ πάθους διαφορᾶς. ἐπεὶ καὶ γελοῖόν ἐστιν ἥ φησι πλάτων αὐ-
τόν τινα λέγειν αὐτοῦ κρείττονα καὶ πάλιν χείρονα, καὶ τὸν μὲν κρατοῦντα ἑαυ-
τοῦ, τὸν δὲ μὴ κρατοῦντα. πῶς γὰρ οἷόν τε τὸν αὐτὸν αὐτοῦ κρείττονα εἶναι καὶ
χείρονα, ἢ κρατεῖν ἅμα καὶ κρατεῖσθαι, μὴ τρόπον τινὰ διττοῦ πεφυκότος ἑκάστου.
καὶ τὸ μὲν χεῖρον ἐν ἑαυτῷ τὸ δὲ βέλτιον ἔχοντος. οὕτω γὰρ ὁ μὲν τοῦ βελτίονος
ὑπηκόῳ τῷ χείρονι χρώμενος, ἐγκρατὴς ἑαυτοῦ καὶ κρείττων ἐστὶν, ὁ δὲ τῷ ἀκολά-
στῳ καὶ ἀλόγῳ τῆς ψυχῆς ἑπόμενον περιορῶν καὶ ὑπηρετοῦν τὸ κρεῖττον, ἥττων
ἑαυτοῦ

ἑαυτοῦ καὶ ἀκρατὴς λέγεται, καὶ παρὰ φύσιν διακείμενος. φύσει γὰρ προσήκει
θεῖον ὄντα τὸν λογισμὸν, ἡγεῖσθαι καὶ ἄρχειν τοῦ ἀλόγου, καὶ τὴν γένεσιν αὐτό-
θεν ἔχοντος ἐκ τοῦ σώματος, ὃ καὶ συνεξομοιοῦσθαι καὶ κοινωνεῖν παθῶν καὶ
ἀναπίμπλασθαι πέφυκεν, ἐνδεδυκὸς αὐτῷ καὶ καταμεμιγμένον, ὡς δηλοῦσιν αἱ
ὁρμαὶ πρὸς τὰ σωματικὰ κινούμεναι, καὶ σφοδρότητας ἐν ταῖς τοῦ σώματος
μεταβολαῖς καὶ ἀνέσεις λαμβάνουσαι. διὸ νέοι μὲν καὶ ὀξεῖς καὶ ἰταμοὶ περί
τε τὰς ὀρέξεις διάπυροι καὶ οἰστρώδεις αἵματος πλήθει καὶ θερμότητι. τῶν δὲ
πρεσβυτῶν ἡ περὶ τὸ ἧπαρ ἀρχὴ τοῦ ἐπιθυμητικοῦ κατασβέννυται, καὶ γί-
νεται μικρὰ καὶ ἀσθενὴς, ἰσχύει δὲ μᾶλλον ὁ λόγος τοῦ παθητικοῦ τῷ σώματι συ-
ναπομαραινομένου. τοῦτο δὲ ἀμέλει καὶ τὰς τῶν θηρίων ἠθοποιεῖ πρὸς τὰ
πάθη φύσεις. οὐ γὰρ ὀρθότητι δοξῶν, οὐδὲ φαυλότητι, δή που, τοῖς μὲν ἀλ-
καὶ καὶ ὁρμαὶ πρὸς τὰ φαινόμενα δεινὰ παρείσανται, τοῖς δὲ ἀμήχανοι πτοῖαι
καὶ φόβοι τῆς ψυχῆς, ἀλλ' αἱ περὶ τὸ αἷμα καὶ τὸ πνεῦμα καὶ τὸ σῶμα δυνά-
μεις τὰς τῶν παθῶν διαφορὰς ποιοῦσιν, ὥσπερ ἐκ ῥίζης τοῦ παθητικοῦ τῆς
σαρκὸς, ἀναβλαστάνοντος καὶ συναναφέροντος τὴν ποιότητα καὶ τὴν κρᾶσιν.
τοῦ δὲ ἀνθρώπου ταῖς μὲν παθητικαῖς ὁρμαῖς τὸ σῶμα συμπαθοῦν καὶ συγκι-
νούμενον ἐλέγχουσιν, ὠχρότητες, ἐρυθήματα, τρόμοι, πηδήσεις καρδίας, δια-
χύσεις αὖ πάλιν ἐν ἐλπίσιν ἡδονῶν καὶ προσδοκίαις. ὅταν δὲ μὴ μετὰ πάθους
ἀλλ' αὐτὸ καθ' αὑτὸ κινῆται τὸ διανοητικὸν, ἡσυχίαν ἄγει τὸ σῶμα καὶ καθέστηκεν,
οὔτε κοινωνοῦν, οὔτε μετὸν αὐτῷ τῆς ἐνεργείας τοῦ φρονοῦντος, ἢ τοῦ μαθηματι-
κοῦ συνεφάπτοιτο, μὴ δὲ συμπαραλαμβάνοι τὸ ἄλογον, ὥς τε καὶ τοῦτο δύο ὄν-
τα δηλοῦσθαι καὶ διαφέροντα ταῖς δυνάμεσιν ἀλλήλων. καθόλου δὲ τῶν
ὄντων αὐτοί τέ φασι καὶ δῆλόν ἐστιν, ὅτι τὰ μὲν ἕξει διοικεῖται, τὰ δὲ φύσει, τὰ
δὲ ἀλόγῳ ψυχῇ, τὰ δὲ καὶ λόγον ἐχούσῃ καὶ διάνοιαν, ὧν ὁμοῦ τι πάντων ὁ ἄν-
θρωπος μετέσχηκε, καὶ γέγονεν ἐν πάσαις ταῖς εἰρημέναις διαφοραῖς. καὶ γὰρ
ἕξει συνέχεται, καὶ φύσει τρέφεται, καὶ λόγῳ χρῆται καὶ διανοίᾳ. μέτεστιν
οὖν αὐτῷ καὶ τοῦ ἀλόγου, καὶ σύμφυτον ἔχει τὴν τοῦ πάθους ἀρχὴν οὐκ ἐπει-
σόδιον ἀλλ' ἀναγκαίαν οὖσαν, οὐδὲ ἀναιρετέαν παντάπασιν, ἀλλὰ θεραπείας
καὶ παιδαγωγίας δεομένην. ὅθεν οὐ θρᾴκιον οὐδὲ λυκούργειον τοῦ λόγου τὸ
ἔργον ἐστὶ, συνεκκόπτειν καὶ συνδιαφθείρειν τὰ ὠφέλιμα τοῖς βλαβεροῖς τοῦ πά-
θους, ἀλλ' ἥπερ ὁ φυτάλμιος θεὸς καὶ ἡμερίδης τὸ ἄγριον κολοῦσαι καὶ ἀ-
φελεῖν τὴν ἀμετρίαν. εἶτα τιθασεύειν καὶ περιΐστασθαι τὸ χρήσιμον. οὔτε γὰρ οἶνον
οἱ φοβούμενοι τὸ μεθύειν ἐκχέουσιν, οὔτε πάθος οἱ δεδιότες τὸ ταρακτικὸν ἀναι-
ροῦσιν, ἀλλὰ κεραννύουσι. καὶ γὰρ καὶ βοῶν καὶ ἵππων τὰ πηδήματα καὶ
τοὺς ἀφηνιασμοὺς οὐ τὰς κινήσεις οὐδὲ τὰς ἐνεργείας ἀφαιροῦσι, καὶ τοῖς πά-
θεσι δεδαμασμένοις χρῆται καὶ χειροήθεσιν ὁ λογισμὸς, οὐκ ἐκνευρίσας οὐδὲ
ἐκτεμὼν παντάπασι τῆς ψυχῆς τὸ ὑπηρετικόν. ὑφ' ἅρμασι γὰρ ἵππος ὥς φη-
σι πίνδαρος, ἐν δ' ἀρότρῳ βοῦς, κάπρῳ δὲ βουλεύοντι φόνον κύνα χρὴ τλάθυμον
ἐξευρεῖν. ὧν πολὺ χρησιμώτερα τὰ τῶν παθῶν θρέμματα τῷ λογισμῷ συμπα-
ρόντα καὶ συνεπιτείνοντα ταῖς ἀρεταῖς. ὁ θυμὸς τῇ ἀνδρείᾳ μέτριος ὤν, ἡ μι-
σοπονηρία τῇ δικαιοσύνῃ, καὶ ἡ νέμεσις εὐθὺ τοὺς παρ' ἀξίαν εὐτυχοῦντας. ὅταν
ἅμα ἀνοίᾳ καὶ ὕβρει φλεγόμενοι τὴν ψυχὴν ἐπισχέσεως δέωνται. φιλίας δὲ φι-
λοστοργίαν, ἢ φιλανθρωπίας ἔλεον, ἢ τὸ συγχαίρειν καὶ συναλγεῖν εὐνοίας ἀ-
ληθινῆς, οὐδὲ βουλόμενος ἄν τις ἀποσπάσειεν οὐδὲ ἀποτήξειεν. εἰ δὲ οἱ τὸν ἔρω-
τα τῇ ἐρωτομανίᾳ συνεκβάλλοντες ἁμαρτάνουσιν. οὐδὲ οἱ τὴν ἐπιθυμίαν διὰ
τὴν φιλαργυρίαν ψέγοντες κατορθοῦσιν. ἀλλ' ὅμοιόν τι πράττουσι, τοῖς τὸ τρέ-

χειν δεῖ τὸ προσπταίειν, καὶ τὸ βάλλειν δεῖ τὸ ὑπερβάλλειν ἀναιροῦσι· καὶ πρὸς τὸ ἅλλειν τὸ παράπαν δεῖ τὸ ἀπάλλειν ἀπεχθῶς ἔχουσιν. οἷον γὰρ ἐν φθόγγοις μουσικὴ τὸ ἐμμελὲς οὐκ ἀναιρέσει βαρύτητος καὶ ὀξύτητος· ἐν δὲ σώμασιν ἰατρικὴ τὸ ὑγιεινὸν, οὐ φθορᾷ θερμότητος καὶ ψυχρότητος· ἀλλὰ συμμετρίαις καὶ ποσότησι κραθεισῶν ἀπεργάζεται, τοιοῦτον ἐν ψυχῇ τὸ νικῶν. ἐγγενομένης ὑπὸ λόγου ταῖς παθητικαῖς δυνάμεσι καὶ κινήσεσιν ἐπιεικείας καὶ μετριότητος. ὀδυνῶντι γὰρ ἔοικε καὶ φλεγμαίνοντι σώματι τὸ περιαλγοῦν καὶ περιχαρὲς καὶ περίλυπον τῆς ψυχῆς, οὐ τὸ χαῖρον οὐδὲ τὸ λυπούμενον οὐδὲ τὸ φοβούμενον. καὶ καλῶς Ὅμηρος εἰπὼν τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρὼς οὐδέ τι λίην ταρβεῖ, τὸν φόβον οὐκ ἀφεῖλεν, ἀλλὰ τὸν ἄγαν φόβον· ὅπως ἀνδρεία μὴ ἀπόνοια, καὶ θαρραλεότης μὴ θρασύτης γένηται. διὸ καὶ περὶ τὰς ἡδονάς, τὴν ἄγαν ἀφαιρετέον ἐπιθυμίαν, καὶ περὶ τὰς ἀμύνας, τὴν ἄγαν μισοπονηρίαν. οὕτω γὰρ ὁ μὲν οὐκ ἀνάλγητος ἀλλὰ σώφρων· ὁ δὲ δίκαιος οὐκ ὠμὸς οὐδὲ πικρὸς ἔσται. τῶν δὲ παθῶν παντάπασιν ἀναιρεθέντων, εἰ καὶ δυνατόν, ἐν πολλοῖς ἀργότερος ὁ λόγος καὶ ἀμβλύτερος, ὥσπερ κυβερνήτης πνεύματος ἐπιλιπόντος. ταῦτα δὲ ἀμέλει καὶ οἱ νομοθέται συνιδόντες, ἐμβάλλουσιν εἰς τὰς πολιτείας καὶ φιλοτιμίαν καὶ ζῆλον πρὸς ἀλλήλους· πρὸς δὲ τοὺς πολεμίους καὶ σάλπιγξι καὶ αὐλοῖς ἐπεγείρουσι καὶ αὔξουσι τὸ θυμοειδὲς καὶ μάχιμον. οὐ γὰρ μόνον ἐν ποιήμασιν ἥ φησιν ὁ Πλάτων τὸν τεχνίτην καὶ διηκριβωμένον ὁ μουσόληπτος καὶ κάτοχος ἀποδείκνυσι γελοῖον, ἀλλὰ καὶ περὶ τὰς μάχας τὸ παθητικὸν καὶ ἐνθουσιῶδες, ἀνυπόστατόν ἐστι καὶ ἀήττητον, ὃ καὶ τοὺς θεοὺς Ὅμηρος ἐμποιεῖν φησι τοῖς ἀνθρώποις, ὡς εἰπὼν, ἔμπνευσε μένος μέγα ποιμένι λαῶν. καὶ οὐχ ὅ γ' ἄνευ θεοῦ τάδε μαίνεται· καθάπερ ὅρμημα τῷ λογισμῷ καὶ ὄχημα τὸ πάθος προστιθέντας. αὐτούς γε μὴν τούτους ὁρᾶν ἔστι, πολλάκις μὲν ἐπαίνοις τοὺς νέους παρορμῶντας, πολλάκις δὲ νουθεσίαις κολάζοντας· ὧν τῷ μὲν ἕπεται τὸ ἥδεσθαι, τῷ δὲ τὸ λυπεῖσθαι. καὶ γὰρ ἡ νουθεσία καὶ ὁ ψόγος ἐμποιεῖ μετάνοιαν καὶ αἰσχύνην· ὧν τὸ μὲν λύπη τῷ γένει, τὸ δὲ φόβος ἐστί, καὶ τούτοις μάλιστα χρῶνται πρὸς τὰς ἐπανορθώσεις. ὅθεν ὁ Διογένης ἐπαινουμένου Πλάτωνος, τί δὲ ἐκεῖνος εἶπεν ἔχει σεμνὸν, ὃς τοσοῦτον χρόνον φιλοσοφῶν, οὐδένα λελύπηκεν. οὐ γὰρ οὕτως τὰ μαθήματα φαίη τις ἂν ὡς ἔλεγε Ξενοκράτης λαβὰς εἶναι φιλοσοφίας, ὡς τὰ πάθη τῶν νέων, αἰσχύνην, ἐπιθυμίαν, μετάνοιαν, ἡδονήν, λύπην, φιλοτιμίαν, ὧν ἐμμελῆ καὶ σωτήριον ἀφὴν ἁπτόμενος ὁ λόγος καὶ ὁ νόμος, εἰς τὴν προσήκουσαν ὁδὸν ἀνυσίμως καθίστησι τὸν νέον, ὥστε μὴ κακῶς εἰπεῖν τὸν Λάκωνα παιδαγωγὸν, ὅτι ποιήσει τὸν παῖδα τοῖς καλοῖς ἥδεσθαι καὶ ἄχθεσθαι τοῖς αἰσχροῖς, οὗ μεῖζον οὐθέν ἐστιν οὐδὲ κάλλιον ἀποφῆναι τέλος ἐλευθέρῳ προσηκούσης παιδείας.

ΕΙ ΠΡΕΣΒΥΤΕΡΩ ΠΟΛΙΤΕΥΤΕΟΝ.

τι μὲν ὦ Εὔφανες ἐπαινέτης ὢν Πινδάρου πολλάκις ἔχεις διὰ στόματος ὡς εἰρημένον εὖ καὶ πιθανῶς ἐπ' αὐτῷ τιθεμένων ἀγώνων πρόφασις ἀρετὰν εἰς αἰπὺν ἔβαλε σκότον, οὐκ ἀγνοοῦμεν. ἐπεὶ δὴ δὲ πλείστας αἱ πρὸς τοὺς πολιτικοὺς ἀγῶνας ἀποκνήσεις καὶ μαλακίαι προφάσεις ἔχουσαι, τελευταίαν ὥσπερ τὴν ἀφ' ἱερᾶς ἐπάγουσιν ἡμῖν τὸ γῆρας· καὶ μάλιστα δὴ τούτῳ τὸ φιλότιμον ἀμβλύνειν καὶ δυσωπεῖν δοκοῦσαι, πείθουσιν εἶναί τινα πρέπουσαν, οὐκ ἀθλητικῆς μόνον, ἀλλὰ καὶ πολιτικῆς περιόδου κατάλυσιν, οἴομαι δεῖν ἃ πρὸς ἑαυτὸν ἑκάστοτε λογίζομαι καὶ πρὸς σὲ διελθεῖν περὶ τῆς πρεσβυτικῆς πολιτείας· ὅπως μηδέτερος ἀπολείψει τὴν μακρὰν συνοδίαν μέχρι δεῦρο κοινὴν προερχομένην, μηδὲ τὸν πολιτικὸν βίον ὥσπερ ἡλικιώτην καὶ συνήθη φίλον ἀπορρίψας μεταβάληται πρὸς ἄλλον ἀσυνήθη καὶ χρόνον οὐκ ἔχοντα συνήθη γενέσθαι καὶ οἰκεῖον· ἀλλ' ἐμμενοῦμεν οἷς ἀπ' ἀρχῆς προειλόμεθα, ταὐτὸ τοῦ ζῆν καὶ τοῦ καλῶς ζῆν ποιησάμενοι πέρας· εἴγε δὴ μὴ μέλλοιμεν ἐν βραχεῖ τῷ λειπομένῳ τὸν πολὺν ἐλέγχειν χρόνον, ὡς ἐπ' οὐδενὶ καλῷ μάτην ἀνηλωμένον. οὐ γὰρ ἡ τυραννὶς ὥς τις εἶπε Διονυσίῳ καλὸν ἐντάφιον· ἀλλ' ἐκείνῳ γε τὴν μοναρχίαν μετὰ τῆς ἀδικίας τό γε μὴ παύσασθαι συμφορὰν τελεωτέραν ἐποίησε. καὶ καλῶς Διογένης ὕστερον ἐν Κορίνθῳ τὸν υἱὸν αὐτοῦ θεασάμενος ἰδιώτην ἐκ τυράννου γεγενημένον, ὡς ἀναξίως ἔφη Διονύσιε σεαυτοῦ πράττεις· οὐ γὰρ ἐνταῦθά σε μεθ' ἡμῶν ἔδει ζῆν ἐλευθέρως καὶ ἀδεῶς, ἀλλ' ἐκεῖ τοῖς τυράννοις ἐγκατῳκοδομημένον ὥσπερ ὁ πατὴρ ἄχρι γήρως ἐγκαταβιώσας, πολιτεία δὲ δημοκρατικὴ καὶ νόμιμος ἀνδρὸς εἰθισμένου παρέχειν αὑτὸν οὐχ ἧττον ἀρχόμενον ὠφελίμως ἢ ἄρχοντα, καλὸν ἐντάφιον ὡς ἀληθῶς τὴν ἀπὸ τοῦ βίου δόξαν τῷ θανάτῳ προστίθησι. τοῦτο γὰρ ἔσχατον δύεται κατὰ γᾶς ὥς φησι Σιμωνίδης. πλὴν ὧν προαποθνήσκει τὸ φιλάνθρωπον καὶ φιλόκαλον, καὶ προαπαυδᾷ τῆς τῶν ἀναγκαίων ἐπιθυμίας ὁ τῶν καλῶν ζῆλος, ὡς τὰ πρακτικὰ μόρια καὶ θεῖα τῆς ψυχῆς, ἐξιτηλότερα τῶν παθητικῶν καὶ σωματικῶν ἐχούσης, ὅπερ οὐδὲ λέγειν καλὸν οὐδὲ ἀποδέχεσθαι τῶν λεγόντων, ὡς κερδαίνοντες μόνον οὐ κοπιῶμεν. ἀλλὰ καὶ τὸ τοῦ Θουκυδίδου παράγειν ἐστὶ τὸ βέλτιον μὴ τὸ φιλότιμον ἀγήρω μόνον ἡγουμένου· ἀλλὰ μᾶλλον τὸ κοινωνικὸν καὶ πολιτικόν, ὃ καὶ μύρμηξιν ἄχρι τέλους παραμένει καὶ μελίτταις· οὐδεὶς γὰρ οἶδεν ὑπὸ γήρως κηφῆνα γενομένην μέλιτταν, ὥσπερ ἔνιοι τοὺς πολιτικοὺς ἀξιοῦσιν, ὅταν παρακμάσωσιν οἴκοι σιτουμένους καθῆσθαι καὶ ἀποκεῖσθαι, καθάπερ ἰῷ σίδηρον ὑπ' ἀργείας τὴν πρακτικὴν ἀρετὴν σβεννυμένην περιορῶντας. ὁ γὰρ Κάτων ἔλεγεν ὅτι πολλὰς ἰδίας ἔχοντι τῷ γήρᾳ κῆρας, οὐ δεῖ τὴν ἀπὸ κακίας ἑκόντας ἐπάγειν αἰσχύνην, πολλῶν δὲ κακιῶν οὐδὲ μιᾶς ἧττον ἀπραξία καὶ δειλία καὶ μαλακία, καταισχύνουσιν ἄνδρα πρεσβύτην, ἐκ πολιτικῶν ἀρχείων καταδυόμενον εἰς οἰκουρίαν γυναικῶν, ἢ κατ' ἀγρὸν ἐφορῶντα καλαμητρίας καὶ θεριστάς. ὁ δ' Οἰδίπους ποῦ καὶ τὰ κλείν' αἰνίγματα. τὸ μὲν γὰρ ἐν γήρᾳ πολιτείας ἄρχεσθαι καὶ μὴ πρότερον ὥσπερ Ἐπιμενίδην λέγουσι κατακοιμηθέντα νεανίαν ἐξεγρέσθαι γέροντα μετὰ πεντήκοντα ἔτη, εἶτ' αὖ οὕτω μακρὰν καὶ συμβεβηκυῖαν ἡσυχίαν ἀποθέμενον, ἐμβαλεῖν ἑαυτὸν εἰς ἀγῶνας καὶ ἀσχολίας, ἀήθη καὶ ἀγύμναστον ὄντα, καὶ μήτε πράγμασιν ἐνωμιληκότα πολιτικοῖς, μήτε αὐτοῖς. ἴσως ἂν αἰτιωμένῳ τινὶ παράσχοι, τὸ τῆς Πυθίας εἰπεῖν· ὀψὲ μ' ἦλθες ἀρχὴν καὶ δημαγωγίαν διζήμενος, καὶ παρ' ὥραν στρατηγίου κόπτεις θύραν, ὥσπερ

τις ἀτεχνότερος ὢν νύκτωρ ἐπίκωμος ἀφιγμένος ἢ ξένος, οὐ τόπον οὐδὲ χώραν, ἀλλὰ βίον, οὗ μὴ πεπείρασαι, μεταλλάττειν. τὸ γὰρ πόλις ἄνδρα διδάσκει κατὰ τὸν σιμωνίδην, ἀληθές ἐστιν ἐπὶ τῶν ἔτι χρόνον ἐχόντων μεταδιδαχθῆναι καὶ μεταμαθεῖν μάθημα, διὰ πολλῶν ἀγώνων καὶ πραγμάτων μόλις ἐκπονούμενον, ἄν περ ἐν καιρῷ φύσεως ἐπιλάβηται, καὶ πόνον ἐνεγκεῖν καὶ δυσημερίαν εὐκόλως δυναμένης. καὶ ταῦτα δόξει τις μὴ καλῶς λέγεσθαι πρὸς τὸν ἀρχόμενον ἐν γήρᾳ πολιτείας. καὶ τοὐναντίον ὁρῶμεν ὑπὸ τῶν νοῦν ἐχόντων, τὰ μειράκια καὶ τοὺς νέους ἀποτρεπομένους τὰ κοινὰ πράττειν. καὶ μαρτυροῦσιν οἱ νόμοι διὰ τοῦ κήρυκος ἐν ταῖς ἐκκλησίαις, οὐκ ἀλκιβιάδας οὐδὲ πυθέας ἀνιστάντες ἐπὶ τὸ βῆμα πρώτους, ἀλλὰ τοὺς ὑπὲρ πεντήκοντα ἔτη γεγονότας, λέγειν καὶ συμβουλεύειν παρακαλοῦντες. οὐ γὰρ τοσοῦτον ἀήθεια τόλμης καὶ τριβῆς ἔνδεια καὶ προσ... ἑκάστῳ στρατιωτῶν. ὁ δὲ κάτων μετὰ ὀγδοήκοντα ἔτη δίκην ἀπολογούμενος, ἔφη χαλεπὸν εἶναι βεβιωκότα μετ' ἄλλων, ἐν ἄλλοις ἀπολογεῖσθαι. καίσαρος δὲ τοῦ καταλύσαντος ἀντώνιον, οὔτι μικρῷ βασιλικώτερα καὶ δημωφελέστερα γενέσθαι πολιτεύματα πρὸς τῇ τελευτῇ πάντες ὁμολογοῦσιν. αὐτὸς δὲ τοὺς νέους ἔθεσι καὶ νόμοις αὐστηρῶς σωφρονίζων, ὡς ἐθορυβήθησαν, ἀκούσατε εἶπε νέοι γέροντος, οὗ νέου γέροντες ἤκουον. ἡ δὲ περικλέους πολιτεία, τὸ μέγιστον ἐν γήρᾳ κράτος ἔσχεν, ὅτε καὶ τὸν πόλεμον ἄρασθαι τοὺς ἀθηναίους ἔπεισε. καὶ προθυμουμένων οὐ κατὰ καιρὸν μάχεσθαι πρὸς ἑξακισμυρίους ὁπλίτας, ἐνέστη καὶ διεκώλυσε, μόνον οὐ τὰ ὅπλα τοῦ δήμου καὶ τὰς κλεῖς τῶν πυλῶν ἀποσφραγισάμενος. ἀλλὰ μὴν ἅ γε ξενοφῶν περὶ ἀγησιλάου γέγραφεν, αὐτοῖς ὀνόμασιν ἄξιόν ἐστι παραθέσθαι. ποίας γάρ φησι νεότητος, οὐ κρεῖττον τὸ ἐκείνου γῆρας ἐφάνη. τίς μὲν γὰρ τοῖς ἐχθροῖς ἀκμάζων οὕτως φοβερὸς ἦν, ὡς ἀγησίλαος τὸ μήκιστον τοῦ αἰῶνος ἔχων. τίνος δ' ἐκποδὼν γενομένου μᾶλλον ἥσθησαν οἱ πολέμιοι, ἢ ἀγησιλάου, καίπερ γηραιοῦ τελευτήσαντος. τίς δὲ συμμάχοις θάρσος παρέσχεν, ἢ ἀγησίλαος, καίπερ ἤδη πρὸς τὸ τέρμα τοῦ βίου ὤν. τίνα δὲ νέον οἱ φίλοι πλέον ἐπόθησαν, ἢ ἀγησίλαον γηραιὸν ἀποθανόντα. εἶτα ἐκεῖνον μὲν τηλικαῦτα πράττειν ὁ χρόνος οὐκ ἐκώλυεν, ἡμεῖς δὲ οἱ νῦν τρυφῶντες ἐν ἀπολέμοις πολιτείαις, μὴ τυραννίδα μὴ πόλεμόν τινα μὴ πολιορκίαν ἐχούσαις, ἀπολέμους δὲ ἁμίλλας καὶ φιλοτιμίας νόμῳ τὰ πολλὰ καὶ λόγῳ μετὰ δίκης περαινομένας, ἀποδειλιῶμεν οὐ μόνον στρατηγῶν τῶν τότε καὶ δημαγωγῶν, ἀλλὰ καὶ ποιητῶν καὶ σοφιστῶν καὶ ὑποκριτῶν ὁμολογοῦντες εἶναι κακίους. εἴ γε σιμωνίδης μὲν ἐν γήρᾳ χοροῖς ἐνίκα, καὶ τοὐπίγραμμα δηλοῖ τοῖς τελευταίοις ἔπεσιν, ἀμφὶ διδασκαλίῃσι δὲ σιμωνίδῃ ἕσπετο κῦδος ὀγδωκονταέτει παιδὶ λεωπρέπεος. σοφοκλῆς δὲ λέγεται μὲν ὑπὸ τῶν παίδων παρανοίας δίκην φεύγων, ἀναγνῶναι τὴν ἐν οἰδίποδι τῷ ἐπὶ κολωνῷ πάροδον, ἥ ἐστιν ἀρχή. εὐΐππου ξένε τᾶσδε χώρας ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα, τὸν ἀργῆτα κολωνόν, ἔνθα λίγεια μινύρεται θαμίζουσα μάλιστ' ἀηδὼν χλωραῖς ὑπὸ βάσσαις. θαυμαστοῦ δὲ τοῦ μέλους φανέντος, ὥσπερ ἐκ θεάτρου τοῦ δικαστηρίου προπεμφθῆναι μετὰ κρότου καὶ βοῆς τῶν παρόντων. τουτὶ δὲ ὁμολογουμένως σοφοκλέους ἐστὶ τὸ γραμμάτιον. ᾠδὴν ἡροδότῳ τεῦξε σοφοκλῆς ἐτῶν ὢν πέντε καὶ πεντήκοντα. φιλήμονα δὲ τὸν κωμικὸν καὶ ἄλεξιν ἐπὶ τῆς σκηνῆς ἀγωνιζομένους καὶ στεφανουμένους ὁ θάνατος κατέλαβε. πῶλον δὲ τὸν τραγῳδὸν ἐρατοσθένης καὶ φιλόχορος ἱστοροῦσιν ἑβδομήκοντα ἔτη γεγενημένον, ὀκτὼ τραγῳδίας ἐν τέτταρσιν ἡμέραις διαγωνίσασθαι μικρὸν ἔμπροσθεν τῆς τελευτῆς. ἆρ' οὖν οὐκ αἰσχρόν ἐστι τῶν ἀπὸ σκηνῆς γερόντων τοὺς ἀπὸ τοῦ βήματος ἀγεννεστέρους ὁρᾶσθαι, καὶ τῶν ἱερῶν ὡς ἀληθῶς ἐξισταμένους ἀγώνων, ἀποτίθεσθαι τὸ πολιτικὸν πρόσωπον, οὐκ οἶδα ὁποῖον ἀντιμεταλαμβάνοντας. καὶ γὰρ τὸ τῆς γεωργίας ἐκ βασιλικοῦ ταπεινόν.

ὅπου γὰρ ὁ δημοσθένης φησὶν ἀνάξια πάσχειν τὴν πάραλον ἱερὰν οὖσαν τριήρη ξύλα καὶ χάρακας καὶ βοσκήματα τῷ μειδίᾳ παρακομίζουσαν, ἦ που πολιτικὸς ἀνὴρ ἀγωνοθεσίας καὶ βοιωταρχίας καὶ τὰς ἐν ἀμφικτύοσι προεδρίας ἀπολιπών, εἶτα ὁρώμενος ἐν ἀλφίτων καὶ στεμφύλων διαμετρήσει καὶ πόκοις προβάτων, οὐ παντάπασι δόξει τοῦτο δὴ τὸ καλούμενον ἵππου γῆρας ἐπάγεσθαι μηδενὸς ἀναγκάζοντος. ἐργασίας γε μὴν βαναύσου καὶ ἀγοραίου ἅπτεσθαι μετὰ πολιτείας, ὅμοιόν ἐστι τῷ γυναικὸς ἐλευθέρας καὶ σώφρονος ἔνδυμα περισπάσαντα καὶ περίζωμα δόντα, συνέχειν ἐπὶ καπηλείου. καὶ γὰρ τῆς πολιτικῆς ἀρετῆς οὕτως ἀπόλλυται τὸ ἀξίωμα καὶ τὸ μέγεθος πρός τινας οἰκονομίας καὶ χρηματισμοὺς ἀγομένης. ἂν δὲ ὅπερ λοιπόν ἐστι ῥᾳστώνας καὶ ἀπολαύσεις τὰς ἡδυπαθείας καὶ τὰς τρυφὰς ὀνομάζοντες, ἐν ταύταις μαραινόμενον ἡσυχῇ παρακαλῶσι γηράσκειν τὸν πολιτικόν, οὐκ οἶδα ποτέρᾳ δυεῖν εἰκόνων αἰσχρῶν πρέπειν δόξει μᾶλλον ὁ βίος αὐτοῦ. πότερον *ἀφροδισίαν αὐτῆς ἄγουσι πάντα τὸν λοιπὸν ἤδη χρόνον οὐκ ἐν λιμένι τὴν ναῦν ἔχουσιν, ἀλλ' ἔτι πλέουσαν ἀπολείπουσιν. ἢ καθάπερ ἔνιοι τὸν ἡρακλέα παίζοντες οὐκ εὖ γράφουσιν ἐν ὀμφάλης κροκωτοφόρον ἐνδιδόντα λυδαῖς θεραπαινίσι ῥιπίζειν καὶ παραπλέκειν ἑαυτόν. οὕτως τὸν πολιτικὸν ἐκδύσαντες τὴν λεοντῆν καὶ κατακλίναντες, εὐωχήσομεν ἀεὶ καταψαλλόμενον καὶ καταυλούμενον. οὐδὲ τῇ τοῦ πομπηίου μάγνου φωνῇ διατραπέντες τῇ πρὸς λούκολλον ἣν εἶπεν αὐτὸν μὲν εἰς λουτρὰ καὶ δεῖπνα καὶ συνουσίας μεθημερινάς, καὶ πολλὴν ἄλλην καὶ κατασκευὰς οἰκοδομημάτων νεοπρεπεῖς μετὰ τὰς στρατείας καὶ πολιτείας ἀφεικότα, τῷ δὲ πομπηίῳ φιλαρχίαν ἐγκαλοῦντα καὶ φιλοτιμίαν παρ' ἡλικίαν. ἔφη γὰρ ὁ πομπήιος ἀωρότερον εἶναι γέροντι τὸ τρυφᾶν ἢ τὸ ἄρχειν. ἐπεὶ δὲ νοσοῦντι συνέταξε κίχλην ὁ ἰατρός, ἦν δὲ δυσπόριστον καὶ παρ' ὥραν, ἔφη δέ τις εἶναι παρὰ λουκόλλῳ πολλὰς τρεφομένας, οὐκ ἔπεμψεν οὐδὲ ἔλαβεν εἰπών, οὐκοῦν εἰ μὴ λούκολλος ἐτρύφα πομπήιος οὐκ ἂν ἔζησε; καὶ γὰρ εἰ ζητεῖ πάντως ἡ φύσις τὸ ἡδὺ καὶ τὸ χαίρειν, τὸ μὲν σῶμα τῶν γερόντων ἀπείρηκε πρὸς πάσας πλὴν ὀλίγων τῶν ἀναγκαίων τὰς ἡδονάς. καὶ οὐχ ἡ ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται μόνον, ὡς εὐριπίδης φησίν, ἀλλὰ καὶ τὰς περὶ πόσιν καὶ βρῶσιν ἐπιθυμίας ἀπημβλυμμένας τὰ πολλὰ καὶ νωδὰς κατέχοντες, μόλις οἷον ἐπιθήγουσι καὶ χαράττουσιν. ἐν δὲ τῇ ψυχῇ παρασκευαστέον ἡδονὰς οὐκ ἀγεννεῖς οὐδὲ ἀνελευθέρους, ὡς σιμωνίδης ἔλεγε πρὸς τοὺς ἐγκαλοῦντας αὐτῷ φιλαργυρίαν, ὅτι τῶν ἄλλων ἀπεστερημένος διὰ τὸ γῆρας ἡδονῶν, ὑπὸ μιᾶς ἔτι γηροβοσκεῖται τῆς ἀπὸ τοῦ κερδαίνειν. ἀλλ' ἡ πολιτεία καλλίστας μὲν ἡδονὰς ἔχει καὶ μεγίστας, αἷς καὶ τοὺς θεοὺς εἰκός ἐστιν ἢ μόναις ἢ μάλιστα χαίρειν. αὗται δέ εἰσιν, ἃς τὸ εὖ ποιεῖν καὶ καλόν τι πράττειν ἀναδίδωσιν. εἰ γοῦν νικίας ὁ ζωγράφος οὕτως ἔχαιρε τοῖς τῆς τέχνης ἔργοις, ὥστε τοὺς οἰκέτας ἐρωτᾶν πολλάκις εἰ λέλουται καὶ ἠρίστηκεν. ἀρχιμήδην δὲ τῇ σανίδι προσκείμενον ἀποσπῶντες βίᾳ καὶ ἀποδύοντες ἤλειφον οἱ θεράποντες, ὁ δὲ ἐπὶ τοῦ σώματος ἀληλιμμένου διέγραφε τὰ σχήματα, κανὸς δὲ ὁ αὐλητής, ὃν καὶ σὺ γινώσκεις, ἔλεγεν ἀγνοεῖν τοὺς ἄλλους, ὅσῳ μᾶλλον αὐτὸν αὐλῶν ἢ ἑτέρους εὐφραίνειν. λαμβάνειν γοῦν ἂν μισθὸν οὐ διδόναι τοὺς ἀκούειν ἐθέλοντας. ἆρα οὐκ ἐπινοοῦμεν ἡλίκας ἡδονὰς αἱ ἀρεταὶ τοῖς χρωμένοις ἀπὸ τῶν καλῶν πράξεων καὶ τῶν κοινωνικῶν ἔργων καὶ φιλανθρώπων παρασκευάζουσιν; οὐ κνῶσαι οὐδὲ θρύπτουσαι, ὥσπερ αἱ εἰς σάρκα λεῖαι καὶ προσηνεῖς γινόμεναι κινήσεις. ἀλλ' αὗται μὲν οἰστρῶδες καὶ ἀβέβαιον καὶ μεμιγμένον σφυγμῷ τὸ γαργαλίζον ἔχουσιν. αἱ δὲ ἐπὶ τοῖς καλοῖς ἔργοις, οἷον δημιουργὸς ὁ πολιτευόμενος ὀρθῶς ἐστιν, οὐ ταῖς εὐριπίδου χρυσαῖς πτέρυξιν, ἀλλὰ τοῖς πλατωνικοῖς ἐκείνοις καὶ οὐρανίοις

περὶ οἷς ὅμοια τὴν ψυχὴν μέγεθος καὶ φρόνημα μετὰ γήθους λαμβάνουσιν ἀναφέρουσιν. ὑπομίμνησκε δὲ σεαυτὸν ὧν πολλάκις ἀκήκοας. ὁ μὲν γὰρ Ἐπαμινώνδας ἐρωτηθεὶς τί ἥδιστον αὐτῷ γέγονεν, ἀπεκρίνατο, τὸ τοῦ πατρὸς ἔτι ζῶντος καὶ τῆς μητρὸς νικῆσαι τὴν ἐν Λεύκτροις μάχην. ὁ δὲ Σύλλας ὅτε τῶν ἐμφυλίων πολέμων τὴν Ἰταλίαν καθήρας προσέμιξε τῇ Ῥώμῃ πρῶτον, οὐδὲ μικρὸν ἐν τῇ νυκτὶ κατέδαρθεν, ὑπὸ γήθους καὶ χαρᾶς μεγάλης, ὥσπερ πνεύματος ἀναφερόμενος τὴν ψυχὴν, καὶ ταῦτα περὶ αὑτοῦ ἔγραφεν ἐν τοῖς ὑπομνήμασιν. ἄκουσμα μὲν γὰρ ἔστω μηδὲν ἥδιον ἐπαίνου κατὰ τὸν Ξενοφῶντα. θέαμα δὲ καὶ μνημόνευμα καὶ διανόημα τοῦ ὄντος, οὐδέν ἐστιν ὃ τοσαύτην φέρει χάριν, ὅσην πράξεων ἰδίων ἐν ἀρχαῖς καὶ πολιτείαις, ὥσπερ ἐν τόποις λαμπροῖς καὶ δημοσίοις ἀναθεώρησις. οὐ μὴν ἀλλὰ καὶ χάρις εὐμενὴς ἡ μαρτυροῦσα τοῖς ἔργοις, καὶ συναμιλλώμενος ἔπαινος εὐνοίας δικαίας ἡγεμὼν, οἷόν τι φῶς καὶ γάνωμα τῷ χαίροντι τῆς ἀρετῆς προστίθησι, καὶ δεῖ μὴ περιορᾶν, ὥσπερ ἀθλητικὸν στέφανον ἐν γήρᾳ ξηρὰν γενομένην τὴν δόξαν, ἀλλὰ καινὸν ἀεί τι καὶ πρόσφατον ἐπιφέροντα, τὴν τῶν παλαιῶν χάριν ἐγείρειν, καὶ ποιεῖν ἀμείνω καὶ μόνιμον. ὥσπερ γὰρ οἱ τὸ Δηλιακὸν πλοῖον ἀντὶ τῶν πονούντων ἐμβάλλοντες ἄλλα καὶ συμπηγνύντες, ἀΐδιον ἐκ τῶν τότε χρόνων καὶ ἄφθαρτον ἐδόκουν διαφυλάττειν. ἔστι δὲ καὶ δόξης καὶ φλογὸς, οὐ χαλεπὴ σωτηρία καὶ τήρησις, ἀλλὰ μικρῶν ὑπεκκαυμάτων δεομένη· κατασβεσθὲν δὲ καὶ ὑποψυχθὲν, οὐδέτερον ἄν τις ἀπραγμόνως πάλιν ἐξάψειεν. ὡς δὲ Λάμπις ὁ ναύκληρος ἐρωτηθεὶς πῶς ἐκτήσατο τὸν πλοῦτον, οὐ χαλεπῶς ἔφη τὸν μέγαν, τὸν δὲ βραχὺν ἐπιπόνως καὶ βραδέως. οὕτω τῆς πολιτικῆς δόξης καὶ δυνάμεως ἐν ἀρχῇ τυχεῖν, οὐ ῥᾴδιόν ἐστι· τὸ δὲ συναυξῆσαι καὶ φυλάξαι μεγάλην ἀπὸ τοῦ τυχόντος γενομένην, ἕτοιμον. οὔτε γὰρ φίλος ὅταν γένηται πολλὰς λειτουργίας ἐπιζητεῖ καὶ μεγάλας, ἵνα μένῃ φίλος, μικροῖς δὲ σημείοις τὸ ἐνδελεχὲς ἀεὶ διαφυλάττει τὴν εὔνοιαν. ἥ τε δήμου φιλία καὶ πίστις οὐκ ἀεὶ δεομένη χορηγοῦντος οὐδὲ προσδικοῦντος, οὐδ' ἄρχοντος αὐτῇ τῇ προθυμίᾳ συνέχεται, καὶ τῷ μὴ προαπολείποντι μηδὲ ἀπαγορεύοντι τῆς ἐπιμελείας καὶ φροντίδος. οὐδὲ γὰρ αἱ στρατεῖαι παρατάξεις ἀεὶ καὶ μάχας καὶ πολιορκίας ἔχουσιν. ἀλλὰ καὶ θυσίας ἔστιν ὅτε καὶ συνουσίας διὰ μέσου, καὶ σχολὴν ἄφθονον ἐν ταῖς παιδιαῖς καὶ φλυαρίαις δέχονται. πόθεν γε δὴ τὴν πολιτείαν φοβητέον, ὡς ἀπαραμύθητον καὶ πολύπονον καὶ βαρεῖαν· ὅπου καὶ θέατρα καὶ πομπαὶ καὶ νεμήσεις καὶ χοροὶ καὶ μοῦσα καὶ ἀγλαΐα, καὶ θεοῦ τινος ἀεὶ τιμὴ τὰς ὀφρῦς λύουσα, παντὸς ἀρχείου καὶ συνεδρίου, πολλαπλάσιον τὸ ἐπιτερπὲς καὶ κεχαρισμένον ἀποδίδωσιν. πρὸς δὲ τὸ μέγιστον κακὸν ὧν ἔχουσιν αἱ πολιτεῖαι τὸν φθόνον, ἥκιστα διερείδεται πρὸς τὸ γῆρας. κύνες γὰρ καὶ βαΰζουσιν ὃν ἂν μὴ γινώσκωσι καθ' Ἡράκλειτον. καὶ πρὸς τὸν ἀρχόμενον ὥσπερ ἐν θύραις τοῦ βήματος, μάχεται καὶ πάροδον οὐ δίδωσι. τὴν δὲ σύντροφον καὶ συνήθη δόξαν οὐκ ἀγρίως οὐδὲ χαλεπῶς, ἀλλὰ πράως ἀνέχεται. διὸ τὸν φθόνον ἔνιοι τῷ καπνῷ παρεικάζουσι· πολὺς γὰρ ἐν τοῖς ἀρχομένοις διὰ τὸ φλέγεσθαι προεκπίπτων, ὅταν ἐκλάμψωσιν ἀφανίζεται. καὶ ταῖς μὲν ἄλλαις ὑπεροχαῖς, προσμάχονται καὶ διαμφισβητοῦσιν ἀρετῆς καὶ γένους καὶ φιλοτιμίας, ὡς ἀφαιροῦντες αὑτῶν ὅσον ἄλλοις ὑφίενται. τὸ δὲ ἀπὸ τοῦ χρόνου πρωτεῖον ὃ καλεῖται κυρίως πρεσβεῖον, ἀζηλοτύπητόν ἐστι καὶ παραχωρούμενον. οὐδεμιᾷ γὰρ οὕτω τιμῇ συμβέβηκε τὸν τιμῶντα μᾶλλον ἢ τὸν τιμώμενον κοσμεῖν, ὡς τῇ τῶν γερόντων. ἔτι τὴν μὲν ἀπὸ τοῦ πλούτου δύναμιν, ἢ λόγου δεινότητος ἢ σοφίας, οὐ πάντες αὐτοῖς γενήσεσθαι προσδοκῶσιν· ἐφ' ἣν δὲ προάγει τὸ γῆρας αἰδῶ καὶ δόξαν, οὐδεὶς ἀπελπίζει τῶν πολιτευομένων. οὐδὲν οὖν διαφέρει κυβερνήτου πρὸς ἐναντίον κῦμα καὶ πνεῦμα πλεύσαντος ἐπισφαλῶς,

ἐπισφαλῶς, εὐδίας δὲ καὶ εὐαερίας γενομένης ὁρμίσασθαι ζητοῦντος, ὁ τῷ φθόνῳ διαναυμαχήσας πολὺν χρόνον, εἶτα παυσαμένου καὶ στορεσθέντος ἀνακρουόμενος ἐκ τῆς πολιτείας, καὶ προϊέμενος ἅμα ταῖς πράξεσι τὰς κοινωνίας καὶ τὰς ἑταιρείας. ὅσῳ γὰρ χρόνῳ γέγονε πλείων, καὶ φίλους πλείονας καὶ συναγωνιστὰς πεποίηκεν, οὓς οὔτε συνεξάγειν ἑαυτῷ πάντας ἐνδέχεται καθάπερ διδασκάλῳ χορὸν, οὔτε ἐγκαταλιπεῖν δίκαιον· ἀλλ' ὥσπερ τὰ παλαιὰ δένδρα, τὴν μακρὰν πολιτείαν οὐ ῥᾴδιόν ἐστιν ἀνασπάσαι, πολύρριζον οὖσαν καὶ πράγμασιν ἐμπεπλεγμένην, ἃ πλείονας παρέχει ταραχὰς καὶ σπαραγμοὺς ἀπερχομένοις ἢ μένουσιν. εἰ δέ τι καὶ περίεστι φθόνου λείψανον ἢ φιλονεικίας πρὸς τοὺς γέροντας ἐκ τῶν πολιτικῶν ἀγώνων, κατασβεστέον τοῦτο τῇ δυνάμει μᾶλλον ἢ δοτέον τὰ νῶτα, γυμνοὺς καὶ ἀνόπλους ἀπιόντας· οὐ γὰρ οὕτως ἀγωνιζομένοις φθονοῦντες ὡς ἀπειπαμένοις καταφρονήσαντες ἐπιτίθενται. μαρτυρεῖ δὲ καὶ τὸ λεχθὲν ὑπὸ Ἐπαμινώνδου τοῦ μεγάλου πρὸς τοὺς Θηβαίους, ὅτε χειμῶνος ὄντος οἱ Ἀρκάδες παρεκάλουν αὐτοὺς, ἐν ταῖς οἰκίαις διαιτᾶσθαι παρελθόντας εἰς τὴν πόλιν. οὐ γὰρ εἴασεν, ἀλλὰ νῦν μὲν ἔφη θαυμάζουσιν ὑμᾶς καὶ θεῶνται πρὸς τὰ ὅπλα γυμναζομένους καὶ παλαίοντας· ἂν δὲ πρὸς τῷ πυρὶ καθημένους ὁρῶσι τὸν κύαμον κόπτοντας, οὐδὲν αὐτῶν ἡγήσονται διαφέρειν. οὕτω δὴ σεμνόν ἐστι θέαμα, πρεσβύτης λέγων τι καὶ πράττων καὶ τιμώμενος· ὁ δ' ἐν κλίνῃ διημερεύων ἢ καθήμενος ἐν γωνίᾳ στοᾶς φλυαρῶν καὶ ἀπομυττόμενος, εὐκαταφρόνητος. τοῦτο δὲ ἀμέλει καὶ Ὅμηρος διδάσκει τοὺς ὀρθῶς ἀκούοντας. ὁ μὲν γὰρ Νέστωρ στρατευόμενος ἐν Τροίᾳ, σεμνὸς ἦν καὶ πολυτίμητος· ὁ δὲ Πηλεὺς καὶ ὁ Λαέρτης οἰκουροῦντες, ἀπερρίφησαν καὶ κατεφρονήθησαν. οὐδὲ γὰρ ἡ τοῦ φρονεῖν ἕξις ὁμοίως παραμένει τοῖς μεθεῖσιν αὑτούς· ἀλλ' ὑπ' ἀργίας ἐξανιεμένη καὶ ἀναλυομένη κατὰ μικρὸν, ἀεί τινα ποθεῖ φροντίδος μελέτην, τὸ λογιστικὸν καὶ πρακτικὸν ἐγειρούσης καὶ διακαθαιρούσης· λάμπει γὰρ ἐν χρείαισιν ὥσπερ εὐπρεπὴς χαλκὸς. σώματος ἀσθένεια. κακὸν πρόσεστι ταῖς πολιτείαις τῶν παρ' ἡλικίαν ἐπὶ τὸ βῆμα καὶ τὸ στρατήγιον βαδιζόντων, ὅσον ἔχουσιν ἀγαθὸν τὴν εὐλάβειαν καὶ τὴν φρόνησιν, καὶ τὸ μὴ φαινόμενον, ἀλλὰ τὰ μὲν ἐσφαλμένα, τὰ δὲ ὑπὸ δόξης κενῆς προσπίπτειν πρὸς τὰ κοινὰ, καὶ συνεφέλκεσθαι τὸν ὄχλον, ὥσπερ θάλατταν ὑπὸ πνευμάτων ἐκταραττόμενον, ἀλλὰ πράως κεχρῆσθαι καὶ μετρίως τοῖς ἐντυγχάνουσιν. ὅθεν αἱ πόλεις ὅταν πταίσωσιν ἢ φοβηθῶσι, πρεσβυτέρων ποθοῦσιν ἀρχὴν ἀνθρώπων· καὶ πολλάκις ἐξ ἀγροῦ κατάγουσαι γέροντα, μὴ δεόμενον μηδὲ βουλόμενον ἠνάγκασαν, ὥσπερ οἰάκων ἐφαψάμενον, εἰς ἀσφαλὲς καταστῆσαι τὰ πράγματα, παρωσάμεναί τε στρατηγοὺς, καὶ δημαγωγοὺς, βοᾶν μέγα καὶ λέγειν ἀπνευστὶ, καὶ νὴ Δία τοὺς πολεμίους διαβάντας εὖ μάχεσθαι δυναμένους, οἷον οἱ ῥήτορες Ἀθήνησι Τιμοθέῳ καὶ Ἰφικράτει Χάρητα τὸν Θεοχάρους ἐπαποδύοντες ἀκμάζοντα τῷ σώματι καὶ ῥωμαλέον, ἠξίουν τοιοῦτον εἶναι τὸν Ἀθηναίων στρατηγόν. ὁ δὲ Τιμόθεος, οὐ μὰ τοὺς θεοὺς εἶπεν, ἀλλὰ τοιοῦτον μὲν εἶναι τὸν μέλλοντα τῷ στρατηγῷ τὰ στρώματα κομίζειν, τὸν δὲ στρατηγὸν ἅμα πρόσω καὶ ὀπίσω τῶν πραγμάτων ὁρῶντα, καὶ μηδενὶ πάθει τοὺς περὶ τῶν συμφερόντων λογισμοὺς ἐπιταραττόμενον. ὁ γὰρ Σοφοκλῆς ἄσμενος ἔφη τὰ ἀφροδίσια γεγηρακὼς ἀποπεφευγέναι καθάπερ ἄγριον καὶ λυττῶντα δεσπότην, ἐν δὲ ταῖς πολιτείαις, οὐχ ἕνα δεῖ δεσπότην ἔρωτα παίδων ἢ γυναικῶν ἀποφεύγειν, ἀλλὰ πολλοὺς μανικωτέρους τούτου, φιλονεικίαν, φιλοδοξίαν, τὴν τοῦ πρῶτον εἶναι καὶ μέγιστον ἐπιθυμίαν, γονιμώτατον φθόνου νόσημα καὶ ζηλοτυπίας καὶ διχοστασίας, ὧν τὰ μὲν ἀνίησι καὶ παραμβλύνει, τὰ

δὲ ὅλως ἀποσβέννυσι καὶ καταψύχει τὸ γῆρας, ὃ τοσοῦτον τῆς πρακτικῆς ὁρμῆς παραιρούμενον, ὅσον τῶν ἀκράτων καὶ διαπύρων ἀπερύκει παθῶν, ὥστε νήφοντα καὶ καθεστηκότα τὸν λογισμὸν ἐπάγειν ταῖς φροντίσιν. οὐ μὴν ἀλλ᾽ ἔστω καὶ δοκείτω διαζεπτικὸς εἶναι λόγος, πρὸς τὸν ἀρχόμενον ἐν πολιαῖς νεανιεύεσθαι λεγόμενος, καὶ καθαπτόμενος ἐκ μακρᾶς οἰκουρίας ὥσπερ νοσηλείας, ἐξανισταμένου καὶ κινουμένου γέροντος ἐπὶ στρατηγίαν ἢ πραγματείαν, μέν᾽ ὦ τάλαιπωρ᾽ ἀτρέμας σοῖς ἐν δεμνίοις. ὁ δὲ τὸν ἐμβεβιωκότα πολιτικαῖς πράξεσι καὶ διηγωνισμένον, οὐκ ἐῶν αὐτὴν τὴν δᾷδα καὶ τὴν κορωνίδα τοῦ βίου προελθεῖν, ἀλλ᾽ ἀνακαλούμενος καὶ κελεύων, ὥσπερ ἐξ ὁδοῦ μακρᾶς μεταβαλέσθαι, παντάπασιν ἀγνώμων καὶ μηδὲν ἐκείνῳ προσεοικώς ἐστιν. ὥσπερ γὰρ ὁ γαμεῖν παρασκευαζόμενον γέροντα ἐστεφανωμένον καὶ μυριζόμενον ἀποτρέπων, καὶ λέγων τὰ πρὸς τὸν φιλοκτήτην, τίς δ᾽ ἄν σε νύμφη τίς δὲ παρθένος νέα δέξαιτ᾽ ἄν, εὖ γ᾽ οὖν ὡς γαμεῖν ἔχεις τάλας. οὐκ ἄτοπός ἐστι, καὶ γὰρ αὐτοὶ πολλὰ τοιαῦτα παίζουσιν εἰς ἑαυτούς· γαμῶ γέρων εὖ οἶδα καὶ τοῖς γείτοσιν. ὁ δὲ τὸν πάλαι συνοικοῦντα καὶ συμβιοῦντα πολὺν χρόνον ἀμέμπτως, οἰόμενος δεῖν ἀφεῖναι διὰ τὸ γῆρας τὴν γυναῖκα, καὶ ζῆν καθ᾽ ἑαυτὸν ἢ παλλακίδιον ἀντὶ τῆς γαμετῆς ἐπισπάσασθαι, σκαιότητος ὑπερβολὴν οὐκ ἀπολέλοιπεν, οὕτως ἔχει τινὰ λόγον τὸ προσιόντα δήμῳ πρεσβύτην, καὶ χλίδωνα τὸν γεωργόν, ἢ λάμπωνα τὸν ναύκληρον, ἢ τινα τῶν ἐκ τοῦ κήπου φιλοσόφων, νουθετῆσαι καὶ κατασχεῖν αὐτὴν τῆς συνήθους ἀπραγμοσύνης. ὁ δὲ φωκίωνος, ἢ κάτωνος, ἢ περικλέους ἐπιλαβόμενος, καὶ λέγων ὦ ξένε ἀθηναῖε ἢ ῥωμαῖε, ἀζαλέῳ γήρᾳ κατανθισθεὶς κήδη γραψάμενος ἀπολείψειν τὴν πολιτείαν καὶ τὰς περὶ τὸ βῆμα καὶ τὸ στρατήγιον ἀφεὶς διατριβὰς καὶ τὰς φροντίδας, εἰς ἀγρὸν ἐπείγου σὺν ἀμφιπόλῳ τῇ γεωργίᾳ συνεσόμενος, ἢ πρὸς οἰκονομίᾳ τινὶ καὶ λογισμοῖς διαθησόμενος τὸν λοιπὸν χρόνον, ἄδικα πείθει καὶ ἀχάριστα πράττει τὸν πολιτικόν. τί οὖν φήσαι τις ἄν, οὐκ ἀκούομεν ἐν κωμῳδίᾳ στρατιώτου λέγοντος· λευκή με θρὶξ ἀπόμισθον ἐντεῦθεν ποιεῖ; πάνυ μὲν οὖν ὦ ἑταῖρε, τοὺς γὰρ ἄρεος θεράποντας, ἡβᾶν πρέπει καὶ ἀκμάζειν· οἷα δὴ πόλεμον πολέμοιό τε μέρμερα ἔργα διέποντας. ἐν οἷς τοῦ γέροντος κἂν τὸ κράνος ἀποκρύψῃ τὰς πολιάς, ἀλλά τε λάθρη γυῖα βαρύνεται καὶ προαπολείπει τῆς προθυμίας ἡ δύναμις, τοὺς δὲ τοῦ βουλαίου καὶ ἀγοραίου καὶ πολιέως διὸς ὑπηρέτας, οὐ ποδῶν ἔργα καὶ χειρῶν ἀπαιτοῦμεν· ἀλλὰ βουλῆς καὶ προνοίας καὶ λόγου, μὴ ῥαχίαν ποιοῦντες ἐν δήμῳ καὶ ψόφον, ἀλλὰ νοῦν ἔχοντος καὶ φροντίδα πεπνυμένην καὶ ἀσφάλειαν· οἷς ἡ γελωμένη πολιὰ καὶ ῥυτίς, ἐμπειρίας μάρτυς ἐπιφαίνεται, καὶ πειθοῦς συνεργὸν αὐτῷ καὶ δόξαν ἤθους προστίθησι. πειθαρχικὸν γὰρ ἡ νεότης, ἡγεμονικὸν δὲ τὸ γῆρας, καὶ μάλιστα σῴζεται πόλις ἔνθα βουλαὶ γερόντων, καὶ νέων ἀνδρῶν ἀριστεύουσιν αἰχμαί. καὶ τό βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων νεστορέῃ παρὰ νηΐ, θαυμαστῶς ἐπαινεῖται. διὸ τὴν μὲν ἐν λακεδαίμονι παραζευχθεῖσαν ἀριστοκρατίαν τοῖς βασιλεῦσιν, ὁ πύθιος πρεσβυγενέας· ὁ δὲ λυκοῦργος ἄντικρυς γέροντας ὠνόμασεν· ἡ δὲ ῥωμαίων σύγκλητος ἄχρι νῦν γερουσία καλεῖται· καὶ καθάπερ ὁ νόμος τὸ διάδημα καὶ τὸν στέφανον, οὕτω τὴν πολιὰν ἡ φύσις ἔντιμον ἡγεμονικοῦ σύμβολον ἀξιώματος ἐπιτίθησι. καὶ τὸ γέρας οἶμαι καὶ τὸ γεραίρειν ὄνομα, σεμνὸν ἀπὸ τῶν γερόντων γενόμενον διαμένει. οὐχ ὅτι θερμολουτοῦσι καὶ καθεύδουσι μαλακώτερον, ἀλλ᾽ ὡς βασιλικὴν ἐχόντων τάξιν ἐν ταῖς πόλεσι κατὰ τὴν φρόνησιν· ἧς καθάπερ ὀψικάρπου φυτοῦ τὸ οἰκεῖον ἀγαθὸν καὶ τέλειον ἐν γήρᾳ μόλις ἡ φύσις ἀποδίδωσι. τὸν γοῦν βασιλέα τῶν βασιλέων εὐχόμενον τοῖς θεοῖς· τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν ἀχαιῶν, οἷος ἦν ὁ νέστωρ, οὐδεὶς ἐμέμψατο τῶν ἀρηΐων

καὶ μένεα πνειόντων ἀχαιῶν· ἀλλὰ συνεχώρουν ἅπαντες, οὐκ ἐν πολιτείᾳ μόνον, ἀλλὰ καὶ ἐν πολέμῳ μεγάλην ἔχειν ῥοπὴν τὸ γῆρας· σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας νικᾷ, καὶ μία γνώμη λόγον ἔχουσα μετὰ πειθοῦς, τὰ κάλλιστα καὶ μέγιστα διαπράττεται τῶν κοινῶν. ἀλλὰ μὴν ἥ τε βασιλεία τελειοτάτη πασῶν οὖσα καὶ μεγίστη τῶν πολιτειῶν, πλείστας φροντίδας ἔχει καὶ πόνους καὶ ἀσχολίας. τὸν γοῦν σέλευκον ἑκάστοτε λέγειν ἔφασαν· εἰ γνοῖεν οἱ πολλοὶ τὸ γράφειν μόνον ἐπιστολὰς τοσαύτας καὶ ἀναγινώσκειν ὅσον ἐργῶδές ἐστιν, ἐρριμμένον οὐκ ἂν ἀνελέσθαι διάδημα. τὸν δὲ φίλιππον ἐν καλῷ χωρίῳ μέλλοντα καταστρατοπεδεύειν ὡς ἤκουσεν ὅτι χόρτος οὐκ ἔστι τοῖς ὑποζυγίοις, ὦ ἡράκλεις εἶπεν, οἷος ἡμῶν ὁ βίος, εἰ καὶ πρὸς τὸν τῶν ὄνων καιρὸν ὀφείλομεν ζῆν. ὥρα τοίνυν καὶ βασιλεῖ παραινεῖν πρεσβύτῃ γενομένῳ, τὸ μὲν διάδημα καταθέσθαι καὶ τὴν πορφύραν, ἱμάτιον δὲ ἀναλαβόντα καὶ καμπύλην ἐν ἀγρῷ διατρίβειν, μὴ δοκῇ περίεργα καὶ ἄωρα πράττειν, ἐν πολιαῖς βασιλεύων. εἰ δ᾽ οὐκ ἄξιον ταῦτα λέγειν περὶ ἀγησιλάου καὶ νουμᾶ καὶ δαρείου, μηδὲ τῆς ἐξ ἀρείου πάγου βουλῆς σόλωνα, μηδὲ τῆς συγκλήτου κάτωνα, διὰ τὸ γῆρας ἐξάγωμεν, οὐκοῦν μηδὲ περικλεῖ συμβουλεύωμεν ἐγκαταλιπεῖν τὴν δημοκρατίαν, οὐδὲ γὰρ ἄλλως λόγον ἔχει νέον ὄντα κατασκιρτῆσαι τοῦ βήματος· εἶτα ἐκχέαντα τὰς μανικὰς ἐκείνας φιλοτιμίας καὶ ὁρμὰς εἰς τὸ δημόσιον, ὅταν ἡ τὸ φρονεῖν ἐπιφέρουσα δι᾽ ἐμπειρίαν ἡλικία παραγένηται, προέσθαι καὶ καταλιπεῖν ὥσπερ γυναῖκα τὴν πολιτείαν καταχρησάμενον. ἡ μὲν γὰρ αἰσώπειος ἀλώπηξ, τὸν ἐχῖνον οὐκ εἴα τοὺς κρότωνας αὐτῆς ἀφαιρεῖν βουλόμενον· ἂν γὰρ τούτους ἔφη μεστοὺς ἀπαλλάξῃς, ἕτεροι προσίασι πεινῶντες· τὴν δὲ πολιτείαν ἀεὶ τοὺς γέροντας ἀποβάλλουσαν, ἀναπίμπλασθαι νέων ἀνάγκη διψώντων δόξης καὶ δυνάμεως, νοῦν δὲ πολιτικὸν οὐκ ἐχόντων· πόθεν γὰρ εἰ μηδενὸς ἔσονται μαθηταὶ μηδὲ θεαταὶ πολιτευομένου γέροντος. ἢ πλοίων μὲν ἄρχοντας οὐ ποιεῖ γράμματα κυβερνητικά, μὴ πολλάκις γενομένους ἐν πρύμνῃ θεατὰς τῶν πρὸς κῦμα καὶ πνεῦμα καὶ νύκτα χειμερίων ἀγώνων, ὅτε τυνδαριδᾶν ἀδελφῶν ἁλίον ναύταν πόθος βάλλει. πόλιν δὲ μεταχειρίσασθαι, καὶ πεῖσαι δῆμον ἢ βουλὴν δύναιτ᾽ ἂν ὀρθῶς νέος ἀναγνοὺς βίβλον, ἢ σχολὴν περὶ πολιτείας ἐν λυκείῳ γραψάμενος, ἂν μὴ παρ᾽ ἡνίαν καὶ παρ᾽ οἴακα πολλάκις στάς, δημαγωγῶν καὶ στρατηγῶν ἀγωνιζομένων ἐμπειρίαις ἅμα καὶ τύχαις συναποκλίνων ἐπ᾽ ἀμφότερα μετὰ κινδύνων καὶ πραγμάτων λάβῃ τὴν μάθησιν, οὐκ ἔστιν εἰπεῖν. ἀλλ᾽ εἰ διὰ μηδὲν ἄλλο τῷ γέροντι, παιδείας ἕνεκα τῶν νέων καὶ διδασκαλίας πολιτευτέον ἐστίν. ὡς γὰρ οἱ γράμματα καὶ μουσικὴν διδάσκοντες, αὐτοὶ προανακρούονται καὶ προαναγινώσκουσιν ὑφηγούμενοι τοῖς μανθάνουσιν, οὕτως ὁ πολιτικὸς οὐ λέγων μόνον οὐδὲ ὑπαγορεύων ἔξωθεν, ἀλλὰ πράττων τὰ κοινὰ καὶ διοικῶν, ἐπευθύνει τὸν νέον, ἔργοις ἅμα καὶ λόγοις πλαττόμενον ἐμψύχως καὶ κατασχηματιζόμενον. ὁ γὰρ οὕτω ἀσκηθεὶς τὸν τρόπον, οὐκ ἐν παλαίστραις καὶ κηρώμασιν ἀκινδύνως εὐρύθμων σοφιστῶν, ἀλλ᾽ ὡς ἀληθῶς ἐν ὀλυμπιακοῖς καὶ πυθικοῖς ἀγῶσιν, ἅθ᾽ ἵππῳ πῶλος ὡς ἅμα τρέχει κατὰ σιμωνίδην. ὡς ἀριστείδης κλεισθένει καὶ κίμων ἀριστείδῃ καὶ φωκίων χαβρίᾳ, καὶ κάτων μαξίμῳ φωκίῳ καὶ σύλλᾳ πομπήϊος καὶ φιλοποίμενι πολύβιος· νέοι γὰρ ὄντες πρεσβυτέροις ἐπιβάλλοντες, εἶτα οἷον παραβλαστάνοντες καὶ συνεξανιστάμενοι ταῖς ἐκείνων πολιτείαις καὶ πράξεσιν, ἐμπειρίαν καὶ συνήθειαν ἐκτῶντο πρὸς τὰ κοινὰ μετὰ δόξης καὶ δυνάμεως. ὁ μὲν οὖν ἀκαδημαϊκὸς αἰσχίνης, σοφιστῶν τινῶν λεγόντων ὅτι προσποιεῖται γεγονέναι καρνεάδου μὴ γεγονὼς μαθητής, ἀλλὰ τότε γε εἶπεν ἐγὼ καρνεά-

ἐξάγομεν

φαβίῳ .Ι. Α.
οὗτος .Α.

σθαι διήκουσιν, ὅτε τὴν ῥαχίαν καὶ τὸν ψόφον ἀφεικὼς ὁ λόγος αὐτοῦ διὰ τὸ γῆρας, εἰς τὸ χρήσιμον συνῆκται καὶ κοινωνικόν. τῆς δὲ πρεσβυτικῆς πολιτείας οὐ τῷ λόγῳ μόνον ἀλλὰ καὶ ταῖς πράξεσιν ἀπηλλαγμένης πανηγυρισμοῦ καὶ δοξοκοπίας, ὥσπερ τὴν ἶριν λέγουσιν, ὅταν παλαιὰ γενομένη, τὸ βρομῶδες ἀποπνεύσῃ καὶ θολερὸν, εὐωδέστερον τὸ ἀρωματικὸν ἴσχειν, οὕτως οὐδέν ἐστι δόγμα γεροντικὸν οὐδὲ βούλευμα τεταραγμένον, ἀλλ᾽ ἐμβριθῆ πάντα καὶ καθεστῶτα. διὸ καὶ τῶν νέων ἕνεκα δεῖ καθάπερ εἴρηται πολιτεύεσθαι τὸν πρεσβύτην, ἵνα ὃν τρόπον φησὶ Πλάτων ἐπὶ τοῦ μιγνυμένου πρὸς ὕδωρ ἀκράτου, μαινόμενον θεὸν ἑτέρῳ θεῷ νήφοντι σωφρονίζεσθαι κολαζόμενον, οὕτως εὐλάβεια γεροντικὴ κεραννυμένη πρὸς ζέουσαν ἐν δήμῳ νεότητα, βακχεύουσαν ὑπὸ δόξης καὶ φιλοτιμίας, ἀφαιρῇ τὸ μανικὸν καὶ λίαν ἄκρατον. ἄνευ δὲ τούτων ἁμαρτάνουσιν οἱ τὸ πλεῦσαι καὶ τὸ στρατεύσασθαι, τοιοῦτον ἡγούμενοι καὶ τὸ πολιτεύσασθαι πρὸς ἄλλα πραττόμενον, εἶτα καταλῆγον ἐν τῷ τυχεῖν ἐκείνου. λειτουργία γὰρ οὐκ ἔστιν ἡ πολιτεία τὴν χρείαν ἔχουσα πέρας, ἀλλὰ βίος ἡμέρου καὶ πολιτικοῦ καὶ κοινωνικοῦ ζώου, καὶ πεφυκὼς ὅσον χρὴ χρόνον πολιτικῶς καὶ φιλοκάλως καὶ φιλανθρώπως ζῆν. διὸ πολιτεύεσθαι καθῆκόν ἐστιν, οὐ πεπολιτεῦσθαι, καθάπερ ἀληθεύειν οὐκ ἀληθεῦσαι, καὶ δικαιοπραγεῖν οὐ δικαιοπραγῆσαι, καὶ φιλεῖν οὐ φιλῆσαι τὴν πατρίδα καὶ τοὺς πολίτας. ἐπὶ ταῦτα γὰρ ἡ φύσις ἄγει, καὶ ταύτας ὑπαγορεύει τὰς φωνὰς τοῖς μὴ διεφθορόσι τελείως ὑπὸ ἀργίας καὶ μαλακίας, πολλοῦ σε θνητοῖς ἄξιον τίκτει πατὴρ, καὶ μή τε παυσώμεσθα δρῶντες εὖ βροτούς. οἱ δὲ τὰς ἀρρωστίας προβαλλόμενοι καὶ τὰς ἀδυναμίας, νόσου καὶ πηρώσεως μᾶλλον ἢ γήρως κατηγοροῦσι. καὶ γὰρ νέοι πολλοὶ νοσώδεις καὶ ῥωμαλέοι γέροντες, ὥστε δεῖ μὴ τοὺς γέροντας ἀλλὰ τοὺς ἀδυνάτους ἀποτρέπειν, μὴ δὲ τοὺς νέους παρακαλεῖν ἀλλὰ τοὺς δυναμένους. καὶ γὰρ καὶ Ἀριδαῖος ἦν νέος, γέρων δὲ Ἀντίγονος, ἀλλ᾽ ὁ μὲν ἅπασαν ὀλίγου δεῖν κατεκτήσατο τὴν Ἀσίαν. ὁ δὲ ὥσπερ ἐπὶ σκηνῆς δορυφόρημα κωφὸν ἦν ὄνομα βασιλέως, καὶ πρόσωπον ὑπὸ τῶν ἀεὶ κρατούντων παροινούμενον. ὥσπερ οὖν ὁ Πρόδικον τὸν σοφιστὴν ἢ Φιλήταν τὸν ποιητὴν ἀξιῶν πολιτεύεσθαι, νέους μὲν, ἰσχνοὺς δὲ καὶ νοσώδεις, καὶ τὰ πολλὰ κλινοπετεῖς δι᾽ ἀρρωστίαν ὄντας, ἀβέλτερός ἐστιν, οὕτως ὁ κωλύων ἄρχειν καὶ στρατηγεῖν τοιούτους γέροντας, οἷος ἦν Φωκίων, οἷος ἦν Μασανάσσης ὁ Λίβυς, οἷος Κάτων ὁ Ῥωμαῖος. ὁ μὲν γὰρ Φωκίων ὡρμημένων πολεμεῖν ἀκαίρως τῶν Ἀθηναίων, παρήγγελλε τοὺς ἄχρι ἑξήκοντα ἐτῶν ἀκολουθεῖν ὅπλα λαβόντας. ὡς δὲ ἠγανάκτουν, οὐδὲν ἔφη δεινὸν, ἐγὼ γὰρ ἔσομαι μεθ᾽ ὑμῶν ὁ στρατηγὸς ὑπὲρ ὀγδοήκοντα ἔτη γεγονώς. Μασανάσσην δ᾽ ἱστορεῖ Πολύβιος, ἐνενήκοντα μὲν ἐτῶν ἀποθανεῖν, τετραέτες καταλιπόντα παιδάριον ἐξ αὐτοῦ γεγεννημένον, ὀλίγῳ δὲ ἔμπροσθεν τῆς τελευτῆς, μάχῃ νικήσαντα Καρχηδονίους, ὀφθῆναι τῇ ὑστεραίᾳ πρὸ τῆς σκηνῆς ῥυπαρὸν ἄρτον ἐσθίοντα, καὶ πρὸς τοὺς θαυμάζοντας εἰπεῖν ὅτι τοῦτο ποιεῖ, λάμπει γὰρ ἐν χρείαισιν ὥσπερ εὐπρεπὴς χαλκός, χρόνῳ δ᾽ ἀργῆσαν ἤμυσε στέγος, ὥς φησι Σοφοκλῆς. ὡς δὲ ἡμεῖς φαμὲν ἐκεῖνο τῆς ψυχῆς τὸ γάνωμα, καὶ τὸ φέγγος, ᾧ λογιζόμεθα καὶ μνημονεύομεν καὶ φρονοῦμεν. διὸ καὶ τοὺς βασιλεῖς φασὶ γίνεσθαι βελτίονας ἐν τοῖς πολέμοις καὶ ταῖς στρατείαις ἢ σχολὴν ἄγοντας. Ἄτταλον γοῦν τὸν Εὐμενοῦς ἀδελφὸν ὑπὸ ἀργίας μακρᾶς καὶ εἰρήνης ἐκλυθέντα κομιδῆ, Φιλοποίμην εἷς τῶν ἑταίρων, ἐπιμαίνεσθαι ἀτεχνῶς παινόμενον, ὥστε καὶ τοὺς Ῥωμαίους παίζοντας ἑκάστοτε διαπυνθάνεσθαι παρὰ τῶν ἐξ Ἀσίας πλεόντων, εἰ δύναται παρὰ τῷ Φιλοποίμενι βασιλεύς. Λευκόλλου δὲ Ῥωμαίων οὐ πολλοὺς ἄν τις εὕροι δεινοτέρους στρατηγούς,

ὅτε τῷ πράττειν τὸ φρονεῖν συνεῖχεν. ἐπεὶ δὲ μεθῆκεν ἑαυτὸν εἰς βίον ἄπρακτον καὶ δίαιταν οἰκουρὸν καὶ ἄφροντιν, ὥσπερ οἱ σπόγγοι ταῖς γαλήναις ἐνεκρωθεὶς καὶ καταμαρανθεὶς, εἶτα Καλλισθένει τινὶ τῶν ἀπελευθέρων βόσκειν καὶ τιθασεύειν παρέχων τὸ γῆρας, ἐδόκει καταφαρμακεύεσθαι φίλτροις ὑπὸ αὐτοῦ καὶ γοητεύμασιν, ἄχρις οὗ Μάρκος ὁ ἀδελφὸς ἀπελάσας τὸν ἄνθρωπον, αὐτὸς ᾠκονόμει καὶ ἐπαιδαγώγει τὸν λοιπὸν αὐτοῦ βίον, οὐ πολὺν γενόμενον. ἀλλὰ Δαρεῖος ὁ Ξέρξου πατὴρ ἔλεγεν, αὐτὸς αὑτοῦ παρὰ τὰ δεινὰ γίνεσθαι φρονιμώτερος. ὁ δὲ Σκύθης Ἀτμὰς, μηδὲν οἴεσθαι τῶν ἱπποκόμων διαφέρειν ἑαυτὸν, ὅτε σχολάζοι. Διονύσιος δὲ ὁ πρεσβύτερος, πρὸς τὸν πυθόμενον εἰ σχολάζει, μηδέ ποτε εἶπεν ἐμοὶ τοῦτο συμβαίη. τόξον μὲν γὰρ ὥς φασιν ἐπιτεινόμενον, ῥήγνυται, ψυχὴ δὲ ἀνιεμένη. καὶ γὰρ ἁρμονικοὶ τὸ κατακούειν ἡρμοσμένου, καὶ γεωμέτραι τὸ ἀναλύειν, καὶ ἀριθμητικοὶ τὴν ἐν τῷ λογίζεσθαι συνέχειαν ἐκλιπόντες, ἅμα ταῖς ἐνεργείαις ἀμαυροῦσι ταῖς ἡλικίαις τὰς ἕξεις, καίπερ οὐ πρακτικὰς ἀλλὰ θεωρητικὰς τέχνας ἔχοντες. ἡ δὲ τῶν πολιτικῶν ἕξις, εὐβουλία καὶ φρόνησις καὶ δικαιοσύνη, πρὸς δὲ τούτοις ἐμπειρία στοχαστικὴ καιρῶν καὶ λόγων πειθοῦς δημιουργὸς δύναμις οὖσα, τῷ λέγειν ἀεί τι καὶ πράττειν καὶ λογίζεσθαι καὶ δικάζειν συνέχεται. καὶ δεινὸν εἰ τούτων ἀποδρᾶσα, περιόψεται τηλικαύτας ἀρετὰς καὶ τοσαύτας ἐκρυείσας τῆς ψυχῆς. καὶ γὰρ τὸ φιλάνθρωπον εἰκός ἐστιν ἀπομαραίνεσθαι, καὶ τὸ κοινωνικὸν καὶ τὸ εὐχάριστον, ὧν οὐδὲ μίαν εἶναι δεῖ τελευτὴν οὐδὲ πέρας. εἰ γοῦν πατέρα τὸν Τιθωνὸν εἶχες, ἀθάνατον μὲν ὄντα, χρείαν δὲ ἔχοντα διὰ γῆρας ἀεὶ πολλῆς ἐπιμελείας, οὐκ ἂν οἶμαί σε φυγεῖν οὐδ᾽ ἀπειπεῖν ἂν θέλειν, τὸ θεραπεύειν καὶ προσαγορεύειν καὶ βοηθεῖν ὡς λελειτουργηκότα πολὺν χρόνον. ἡ δὲ πατρὶς καὶ μητρὶς ὡς Κρῆτες καλοῦσι πρεσβύτερα καὶ μείζονα δίκαια γονέων ἔχουσα, πολυχρόνιος μέν ἐστιν, οὐ μὴν ἀγήρως οὐδὲ αὐτάρκης, ἀλλ᾽ ἀεὶ πολυωρίας δεομένη καὶ βοηθείας καὶ φροντίδος, ἐπισπᾶται καὶ κατέχει τὸν πολιτικόν, ἑανοῦ ἁπτομένη καί τ᾽ ἐσσυμένην κατερύκει. καὶ μὴν οἶσθά με τῷ Πυθίῳ λειτουργοῦντα πολλὰς Πυθιάδας. ἀλλ᾽ οὐκ ἂν εἴποις, ἱκανά σοι ὦ Πλούταρχε τέθυται καὶ πεπόμπευται καὶ κεχόρευται, νῦν δὲ ὥρα πρεσβύτερον ὄντα τὸν στέφανον ἀποθέσθαι καὶ τὸ χρηστήριον ἀπολιπεῖν διὰ τὸ γῆρας. οὐκοῦν μηδὲ σεαυτὸν οἴου δεῖν τῶν πολιτικῶν ἱερῶν ἔξαρχον ὄντα καὶ προφήτην, ἀφεῖναι τὰς τοῦ Πολιαίως καὶ Ἀγοραίου τιμὰς Διὸς ἐκ πάλαι κατωργιασμένον αὐταῖς. ἀλλ᾽ ἀφέντες εἰ βούλει τὸν ἀποσπῶντα τῆς πολιτείας λόγον, ἐκεῖνο σκοπῶμεν ἤδη καὶ φιλοσοφῶμεν. ὅπως μηδὲν ἀπρεπὲς μηδὲ βαρὺ τῷ γήρᾳ προστάξωμεν ἀγώνισμα, πολλὰ μέρη τῆς πολιτείας ἐχούσης ἁρμόδια καὶ πρόσφορα τοῖς τηλικούτοις. ὥσπερ γὰρ εἰ καθῆκον ἦν ᾄδοντας διατελεῖν, ἔδει πολλῶν τόνων καὶ τρόπων ὑποκειμένων φωνῆς, οὓς ἁρμονίας οἱ μουσικοὶ καλοῦσι, μὴ τὸν ὀξὺν ἅμα καὶ σύντονον διώκειν γέροντας γενομένους, ἀλλ᾽ ἐν ᾧ τὸ ῥᾴδιον ἔπεστι μετὰ τοῦ πρέποντος ἤθους, οὕτως ἐπεὶ τὸ πράττειν καὶ λέγειν μᾶλλον ἀνθρώποις, ἢ κύκνοις τὸ ᾄδειν μέχρι τελευτῆς κατὰ φύσιν ἐστὶν, οὐκ ἀφετέον τὴν πρᾶξιν ὥσπερ τινὰ λύραν σύντονον, ἀλλ᾽ ἀνετέον ἐπὶ τὰ κοῦφα καὶ μέτρια καὶ προσῳδὰ πρεσβύταις πολιτεύματα μεθαρμοττομένους. οὐδὲ γὰρ τὰ σώματα παντελῶς ἀκίνητα καὶ ἀγύμναστα περιορῶμεν ὅτι μὴ δυνάμεθα σκαφείοις μηδὲ ἁλτῆρσι χρῆσθαι, μηδὲ δισκεύειν μηδὲ ὁπλομαχεῖν ὡς καὶ πρότερον, ἀλλ᾽ αἰώραις καὶ περιπάτοις. ἔνιοι δὲ καὶ σφαίρᾳ προσπαλαίοντες ἐλαφρῶς καὶ διαλεγόμενοι, κινοῦσι τὸ πνεῦμα, καὶ τὸ θερμὸν ἀναρριπίζουσι. μή τε δὴ τελέως ἐκπαγέντας ἑαυτοὺς καὶ καταψυχθέντας ἀπραξίᾳ περιίδοιμεν, μή τε αὖ

ἀφαιρῆ ς Ι. Α

τῷ Ι. Α

πεφυκότος Ι. Α

η Ι. Α

στέπαι Δ.

ἀπολελαύσαι Ι. Α

ἐσσύμενον Ι. Α.

πάλιν πᾶσαν ἀρχὴν ἐπαιρόμενοι καὶ παντὸς ἐπιδραττόμενοι πολιτεύματος, ἀναγκάζωμεν τὸ γῆρας ἐξελεγχόμενον ἐπὶ τοιαύτας φωνὰς καταφέρεσθαι· ὦ δεξιὰ χεὶρ ὡς ποθεῖς λαβεῖν δόρυ· ἐν δ' ἀσθενείᾳ τὸν πόθον διώλεσας. οὐδὲ γὰρ ἀκμάζων καὶ δυνάμενος ἀνὴρ ἐπαινεῖται, πάντα συλλήβδην ἀνατιθεὶς ἑαυτῷ τὰ κοινὰ πράγματα, καὶ μηδὲν ἑτέρῳ παριέναι βουλόμενος, ὥσπερ οἱ στωϊκοὶ τὸν δία λέγουσιν, εἰς πάντα παρενείρων, καὶ πάντα καταμιγνὺς ἑαυτὸν ἀπληστίᾳ δόξης, ἢ φθόνῳ τῶν μεταλαμβανόντων ἁμωσγέπως τιμῆς τινὸς ἐν τῇ πόλει καὶ δυνάμεως. πρεσβύτῃ δὲ κομιδῇ κἂν τὸ ἄδοξον ἀφέλῃς, ἐπίπονος καὶ ταλαίπωρος ἡ πρὸς πᾶν μὲν ἀεὶ κληρωτήριον ἀπαντῶσα φιλαρχία, παντὶ δὲ ἐφεδρεύουσα δικαστηρίου καιρῷ, καὶ συνεδρίου πολυπραγμοσύνη, πᾶσαν δὲ πρεσβείαν καὶ προδικίαν ὑφαρπάζουσα φιλοτιμία· καὶ γὰρ ταῦτα πράττειν καὶ μετ' εὐνοίας, βαρὺ παρ' ἡλικίαν· συμβαίνει δέ γε τἀναντία. μισοῦνται μὲν γὰρ ὑπὸ τῶν νέων, ὡς μὴ προϊέμενοι πράξεων αὐτοῖς ἀφορμάς, μὴ δὲ εἰς μέσον ἐῶντες προελθεῖν· ἀδοξεῖ δὲ παρὰ τοῖς ἄλλοις, τὸ φιλόπρωτον αὐτῶν καὶ φίλαρχον οὐχ ἧττον, ἢ τὸ φιλόπλουτον ἑτέρων γερόντων καὶ φιλήδονον. ὥσπερ οὖν τὸν βουκέφαλον ὁ ἀλέξανδρος πρεσβύτερον ὄντα μὴ βουλόμενος πιέζειν, ἑτέροις ἐπωχεῖτο πρὸ τῆς μάχης ἵπποις, ἐφοδεύων τὴν φάλαγγα καὶ καθιστὰς τὴν τάξιν· εἶτα δοὺς τὸ σύνθημα καὶ μεταβὰς ἐπ' ἐκεῖνον, εὐθὺς ἐπῆγε τοῖς πολεμίοις καὶ διεκινδύνευεν, οὕτως ὁ πολιτικὸς ἂν ἔχῃ νοῦν αὐτὸς αὑτὸν ἡνιοχῶν πρεσβύτην γενόμενον, ἀφέξεται τῶν οὐκ ἀναγκαίων, καὶ παρήσει τοῖς ἀκμάζουσι χρῆσθαι πρὸς τὰ μικρότερα τὴν πόλιν, ἐν δὲ τοῖς μεγάλοις αὐτὸς ἀγωνιεῖται προθύμως. οἱ μὲν γὰρ ἀθληταὶ τὰ σώματα τῶν ἀναγκαίων πόνων ἄθικτα τηροῦσι καὶ ἀκέραια πρὸς τοὺς ἀχρήστους· ἡμεῖς δὲ τοὐναντίον ἐῶντες τὰ μικρὰ καὶ φαῦλα, τοῖς ἀξίοις σπουδῆς φυλάξομεν ἑαυτούς. νέῳ μὲν γὰρ ἴσως ἐπέοικε καθ' ὅμηρον πάντα, καὶ ἔχονται καὶ ἀγαπῶσι· τὰ μὲν μικρὰ καὶ πολλὰ πράγματα, δημοτικὸν καὶ φιλόπονον· τὰ δὲ λαμπρὰ καὶ σεμνά, γενναῖον καὶ μεγαλόφρονα καλοῦντες. ἔστι δ' ὅπου καὶ τὸ φιλόνεικον καὶ παράβολον, ὥραν ἔχει τινὰ καὶ χάριν ἐπιπρέπουσαν τοῖς τηλικούτοις· ὁ πρεσβύτης δὲ ἀνὴρ ἐν πολιτείᾳ διακονικὰς λειτουργίας ὑπομένων, οἷα τελῶν πράσεις καὶ λιμένων ἐπιμελείας καὶ ἀγορᾶς, ἔτι δὲ πρεσβείας καὶ ἀποδημίας πρὸς ἡγεμόνας καὶ δυνάστας ὑποτρέχων ἐν αἷς ἀναγκαῖον οὐδὲν οὐδὲ σεμνὸν ἔνεστιν, ἀλλὰ θεραπεία, καὶ τὸ πρὸς χάριν ἐμοὶ μὲν οἰκτρὸν ὦ φίλε φαίνεται καὶ ἄζηλον· ἑτέροις δ' ἴσως, καὶ ἐπαχθὲς φαίνεται καὶ φορτικόν. οὐδὲ γὰρ ἐν ἀρχαῖς τὸν τηλικοῦτον ὥρα φέρεσθαι, πλὴν ὅσαι γε μέγεθός τε κέκτηνται καὶ ἀξίωμα· καθάπερ ἣν σὺ νῦν ἀθήνησι μεταχειρίζῃ, τῆς ἐξ ἀρείου πάγου βουλῆς ἐπιστασίαν, καὶ νὴ δία τὸ πρόσχημα τῆς ἀμφικτυονίας, ἥν σοι διὰ τοῦ βίου παντὸς ἡ πατρὶς ἀνατέθεικε, πόνον ἡδὺν καὶ κάματον τ' εὐκάματον ἔχουσαν. δεῖ καὶ ταύτας μὴ διώκειν τὰς τιμάς, ἀλλὰ φεύγοντας ἄρχειν, μὴ δ' αἰτουμένους, ἀλλὰ παραιτουμένους, μὴ δὲ ὡς αὑτοῖς τὸ ἄρχειν λαμβάνοντας, ἀλλ' ὡς αὑτοὺς τῷ ἄρχειν ἐπιδιδόντας. οὐ γὰρ ὡς τιβέριος ὁ καῖσαρ ἔλεγε, τὸ τὴν χεῖρα τῷ ἰατρῷ προτείνειν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότας αἰσχρόν ἐστιν, ἀλλὰ μᾶλλον τὸ τὴν χεῖρα τῷ δήμῳ προτείνειν, ψῆφον αἰτοῦντας ἢ φωνὴν ἀρχαιρεσιάζουσαν· ἀγεννὲς γὰρ τοῦτο καὶ ταπεινόν, ὡς τοὐναντίον ἔχει τινὰ σεμνότητα καὶ κόσμον, αἱρουμένης τῆς πατρίδος καὶ καλούσης, καὶ περιμενούσης κατιόντα μετὰ τιμῆς καὶ φιλοφροσύνης, γεραρὸν ὡς ἀληθῶς καὶ περίβλεπτον ἀσπάσασθαι καὶ δεξιώσασθαι τὸ γῆρας. οὕτω δέ πως καὶ λόγῳ χρηστέον ἐν ἐκκλησίᾳ πρεσβύτην γενόμενον, μὴ ἐπιπηδῶν-

τα συνεχῶς τῷ βήματι, μὴ δὲ ἀεὶ δίκην ἀλεκτρυόνος ἀντᾴδοντα τοῖς φθεγγομένοις, μὴ δὲ τῷ συμπλέκεσθαι καὶ διερεθίζειν ἀποχαλινοῦντα τὴν πρὸς αὐτὸν αἰδῶ τῶν νέων, μὴ δὲ μελέτην ἐμποιοῦντα καὶ συνήθειαν ἀπειθείας καὶ δυσηκοΐας, ἀλλὰ καὶ παριέντα ποτὲ καὶ διδόντα πρὸς δόξαν, ἀναχαιτίσαι καὶ θρασύνεσθαι, μὴ δὲ παρόντα μὴ δὲ πολυπραγμονοῦντα· ὅπου μὴ μέγα τὸ κινδυνευόμενόν ἐστι πρὸς σωτηρίαν κοινὴν ἢ τὸ καλὸν καὶ πρέπον, ἐκεῖ δὲ χρὴ καὶ μηδενὸς καλοῦντος, ὠθεῖσθαι δρόμῳ παρὰ δύναμιν, ἀναθέντα χειραγωγοῖς αὑτὸν ἢ φοράδην κομιζόμενον· ὥσπερ ἱστοροῦσιν κλαύδιον ἄππιον. ἡττημένων γὰρ ὑπὸ πύρρου μάχῃ μεγάλῃ πυθόμενος τὴν σύγκλητον ἐνδέχεσθαι λόγους περὶ σπονδῶν καὶ εἰρήνης, οὐκ ἀνασχετὸν ἐποιήσατο, καίπερ ἀμφοτέρας ἀποβεβληκὼς τὰς ὄψεις, ἀλλ' ἧκε δι' ἀγορᾶς φερόμενος πρὸς τὸ βουλευτήριον· εἰσελθὼν δὲ καὶ καταστὰς εἰς μέσον, ἔφη, πρότερον μὲν ἄχθεσθαι τὸ τῶν ὀμμάτων στέρεσθαι, νῦν δ' ἂν εὔξασθαι μὴ δ' ἀκούειν οὕτως αἰσχρὰ καὶ ἀγεννῆ βουλευομένους καὶ πράττοντας ἐκείνους. ἐκ δὲ τούτου τὰ μὲν καθαψάμενος αὐτῶν, τὰ δὲ διδάξας καὶ παρορμήσας, ἔπεισεν εὐθὺς ἐπὶ τὰ ὅπλα χωρεῖν, καὶ διαγωνίζεσθαι περὶ τῆς ἰταλίας πρὸς τὸν πύρρον. ὁ δὲ σόλων τῆς πεισιστράτου δημαγωγίας, ὅτι τυραννίδος ἦν μηχάνημα φανερᾶς γενομένης μηδενὸς ἀμύνεσθαι μὴ δὲ κωλύειν τολμῶντος, αὐτὸς ἐξενεγκάμενος τὰ ὅπλα καὶ πρὸ τῆς οἰκίας θέμενος, ἠξίου βοηθεῖν τοὺς πολίτας· πέμψαντος δὲ πεισιστράτου πρὸς αὐτόν, καὶ πυνθανομένου τίνι πεποιθὼς ταῦτα πράττει, τῷ γήρᾳ εἶπεν. ἀλλὰ τὰ μὲν οὕτως ἀναγκαῖα καὶ τοὺς ἀπεσβηκότας κομιδῇ γέροντας ἂν μόνον ἐμπνέωσιν, ἐξάπτει καὶ διανίστησιν, ἐν δὲ τοῖς ἄλλοις ποτὲ μὲν ὥσπερ εἴρηται παραιτούμενος ἐμμελὴς ἔσται, τὰ γλίσχρα καὶ διακονικὰ καὶ μείζονας ἔχοντα τοῖς πράττουσιν ἀσχολίας, ἢ δι' ὃς πράττεται χρείας καὶ ὠφελείας· ἔστι δὲ ὅπου περιμένων καλέσαι, καὶ ποθῆσαι καὶ μετελθεῖν οἴκοθεν τοὺς πολίτας ἀξιοπιστότερος δεομένοις κάτεισι· τὰ δὲ πλεῖστα καὶ παρὼν σιωπῇ τοῖς νεωτέροις λέγειν παρίησιν, οἷον βραβεύων φιλοτιμίας πολιτικῆς ἅμιλλαν· ἐὰν δὲ ὑπερβάλλῃ τὸ μέτριον, καθαπτόμενος ἠπίως, καὶ μετ' εὐμενείας ἀφαιρῶν φιλονεικίας καὶ βλασφημίας καὶ ὀργάς, ἐν δὲ ταῖς γνώμαις τὸν ἁμαρτάνοντα παραμυθούμενος ἄνευ ψόγου καὶ διδάσκων, ἐπαινῶν δὲ ἀφόβως τὸν κατορθοῦντα, καὶ νικώμενος ἑκουσίως καὶ προϊέμενος τὸ πεῖσαι καὶ περιγενέσθαι πολλάκις, ὅπως αὐξάνωνται καὶ θαρσῶσιν, ἐνίοις δὲ καὶ συναναπληρῶν μετ' εὐφημίας τὸ ἐλλεῖπον, ὡς ὁ νέστωρ, οὔ τις τοι τὸν μῦθον ὀνόσσεται ὅσσοι ἀχαιῶν, οὐδὲ πάλιν ἐρέει, ἀτὰρ οὐ τέλος ἵκεο μύθων, ἦ μὴν καὶ νέος ἐσσί, ἐμὸς δέ κε παῖς εἴης. τούτου δὲ πολιτικώτερον μὴ μόνον ἐμφανῶς μὴ δὲ δημοσίᾳ ὀνειδίζειν ἄνευ δηγμοῦ σφόδρα κολούοντος καὶ ταπεινοῦντος, ἀλλὰ μᾶλλον ἰδίᾳ τοῖς εὖ πεφυκόσι πρὸς πολιτείαν, ὑποτιθέμενος καὶ συνεισηγούμενος εὐμενῶς λόγους τε χρηστοὺς καὶ πολιτεύματα συνεξορμῶν πρὸς τὰ καλὰ καὶ συνεπιλαμπρύνων τὸ φρόνημα καὶ παρέχων ὥσπερ οἱ διδάσκοντες ἱππεύειν ἐν ἀρχῇ χειροήθη καὶ πρᾶον ἐπιβῆναι τὸν δῆμον· εἰ δέ τις σφαλείη, μὴ περιορῶν ἐξαθυμοῦντα τὸν νέον, ἀλλ' ἀνιστὰς καὶ παραμυθούμενος ὡς ἀριστείδης κίμωνα, καὶ μνησίφιλος θεμιστοκλέα δυσχεραινομένους, καὶ κακῶς ἀκούοντας ἐν τῇ πόλει τὸ πρῶτον, ὡς ἰταμοὺς καὶ ἀκολάστους, ἐπῆραν καὶ ἀνεθάρρυναν. λέγεται δὲ καὶ δημοσθένους ἐκπεσόντος ἐν τῷ δήμῳ καὶ βαρέως φέροντος, ἅψασθαι παλαιόν τινα γέροντα τῶν ἀκηκοότων περικλέους καὶ εἰπεῖν, ὡς ἐκείνῳ τἀνδρὶ προσεοικὼς τὴν φύσιν, οὐ δικαίως αὑτοῦ κατέγνωκεν. οὕτω δὲ καὶ τιμόθεον εὐριπίδης συριττόμενον ἐπὶ τῇ καινοτομίᾳ, καὶ παρανο-

μένειν εἰς τὴν μουσικὴν ἀκούοντα, θαρρεῖν ἐκέλευσεν, ὡς ὀλίγου χρόνου τῶν θεάτρων ὑπ' αὐτῷ γενησομένων. καθόλου δὲ ὥσπερ ἐν ῥώμῃ ταῖς ἑστιάσι παρθένοις τοῦ χρόνου διώρισται, τὸ μὲν μανθάνειν, τὸ δὲ δρᾶν τὰ νενομισμένα, τὸ δὲ τρίτον ἤδη διδάσκειν· καὶ τῶν ἐν ἐφέσῳ περὶ τὴν ἄρτεμιν ὁμοίως ἑκάστην μελλιέρην τὸ πρῶτον, εἶτ' ἱέρην, τὸ δὲ τρίτον παριέρην καλοῦσιν, οὕτως ὁ τελέως πολιτικὸς ἀνὴρ τὰ μὲν πρῶτα μανθάνων ἔτι πολιτεύεσθαι καὶ μυούμενος, τὰ δ' ἔσχατα, διδάσκων καὶ μυσταγωγῶν. τὸ μὲν γὰρ ἐπιστατεῖν ἀθλοῦσιν ἑτέροις, ἔξω τὸν αὐτὸν ἀθλεῖν· ὁ δὲ παιδοτριβῶν νέον ἐν πράγμασι κοινοῖς καὶ δημοσίοις ἀγῶσι, καὶ παρασκευάζων τῇ πατρίδι· μύθων τε ῥητῆρ' ἔμμεναι πρηκτῆρά τε ἔργων, ἐν οὐ μικρῷ μέρει πολιτείας οὐδὲ φαύλῳ χρήσιμός ἐστιν, ἀλλ' εἰς ὃ μάλιστα καὶ πρῶτον ὁ λυκοῦργος ἐντείνας ἑαυτόν, ἐθίσαι τοὺς νέους παντὶ πρεσβύτῃ καθάπερ νομοθέτῃ πειθομένους διατελεῖν. ἐπεὶ πρὸς τί βλέψας ὁ λύσανδρος εἶπεν ὡς ἐν λακεδαίμονι κάλλιστα γηρῶσιν; ἆρ' ὅτι γεωργεῖν ἔξεστι μάλιστα τοῖς πρεσβυτέροις ἐκεῖ καὶ δανείζειν καὶ κυβεύειν συγκαθεζομένους, ἢ πίνειν ἐν ὥρᾳ κυβεύοντας; οὐκ ἂν εἴποις· ἀλλ' ὅτι τρόπον τινὰ πάντες οἱ τηλικοῦτοι τάξιν ἀρχόντων ἢ τῶν παιδονόμων ἢ παιδαγωγῶν ἔχοντες, οὐ τὰ κοινὰ μόνον ἐπισκοποῦσιν, ἀλλὰ καὶ τῶν νέων ἕκαστα, περί τε τὰ γυμνάσια καὶ παιδιὰς καὶ διαίτας καταμανθάνουσιν οὐ παρέργως, φοβεροὶ μὲν ὄντες τοῖς ἁμαρτάνουσιν, αἰδεσιμοι δὲ τοῖς ἀγαθοῖς καὶ ποθεινοί. θεραπεύουσι γὰρ ἀεὶ καὶ διώκουσιν αὐτοὺς οἱ νέοι, τὸ κόσμιον καὶ τὸ γεννικὸν αὔξοντας καὶ συνεπιγαυροῦντας ἄνευ φθόνου. οὐδενὶ γὰρ τὸ πάθος οὐδενὶ χρόνῳ πρέπον ἡλικίας, ὅμως ἐν νέοις εὐπορεῖ χρηστῶν ὀνομάτων, ἅμιλλα καὶ ζῆλος καὶ φιλοτιμία προσαγορευόμενον· ἐν δὲ πρεσβύταις παντελῶς ἄωρόν ἐστι καὶ ἄγριον καὶ ἀγεννές. διὸ δεῖ πορρωτάτω τοῦ φθονεῖν ὄντα τὸν πολιτικὸν γέροντα, μὴ καθάπερ τὰ βάσκανα γεράνδρυα τῶν παραβλαστανόντων καὶ ὑποφυομένων σαφῶς ἀφαιρεῖσθαι καὶ κολούειν τὴν βλάστην καὶ τὴν αὔξησιν, ἀλλ' εὐμενῶς προσδέχεσθαι καὶ παρέχειν τοῖς ἀντιλαμβανομένοις καὶ προσπελαζομένοις ἑαυτόν, ὀρθοῦντα καὶ χειραγωγοῦντα καὶ τρέφοντα, μὴ μόνον ὑφηγήσεσι καὶ συμβουλίαις ἀγαθαῖς, ἀλλὰ καὶ παραχωρήσει πολιτευμάτων τιμὴν ἐχόντων καὶ δόξαν, ἢ τινὰς ὑπουργίας ἀβλαβεῖς μὲν, ἡδείας δὲ τοῖς πολλοῖς καὶ πρὸς χάριν ἐσομένας. ὅσα δ' ἐστὶν ἀντίτυπα καὶ προσάντη, καὶ καθάπερ τὰ φάρμακα δάκνει παραχρῆμα καὶ λυπεῖ, τὸ δὲ καλὸν καὶ λυσιτελὲς ὕστερον ἀποδίδωσι, μὴ τοὺς νέους ἐπὶ ταῦτα προσάγοντα, μηδ' ὑποβάλλοντα θορύβοις, ὄχλων ἀγνωμονούντων ἀήθεις ὄντας, αὐτὸν ἐκδεχόμενον τὰς ὑπὲρ τῶν συμφερόντων ἀπεχθείας. οὕτω γὰρ εὐνουστέρους τε ποιήσει τοὺς νέους, καὶ προθυμοτέρους ἐν ταῖς ἄλλαις ὑπηρεσίαις. παρὰ πάντα δὲ ταῦτα χρὴ μνημονεύειν, ὡς οὐκ ἔτι πολιτεύεσθαι μόνον τὸ ἄρχειν καὶ πρεσβεύειν καὶ μέγα βοᾶν ἐν ἐκκλησίᾳ, καὶ περὶ τὸ βῆμα βακχεύειν, λέγοντας ἢ γράφοντας, ἃ οἱ πολλοὶ διαλεπολιτεύεσθαι νομίζουσιν· ὥσπερ ἀμέλει καὶ φιλοσοφεῖν τοὺς ἀπὸ τοῦ δίφρου διαλεγομένους, καὶ σχολὰς ἐπὶ βιβλίοις περαίνοντας· ἡ δὲ συνεχὴς ἐν ἔργοις καὶ συνορωμένη καθ' ἡμέραν ὁμαλῶς πολιτεία καὶ φιλοσοφία λέληθεν αὐτούς. καὶ γὰρ τοὺς ἐν ταῖς στοαῖς ἀνακάμπτοντας περιπατεῖν φασιν, ὡς ἔλεγε δικαίαρχος, οὐκέτι δὲ τοὺς εἰς ἀγρὸν ἢ πρὸς φίλον βαδίζοντας. ὅμοιον δ' ἐστὶ τῷ φιλοσοφεῖν τὸ πολιτεύεσθαι. σωκράτης γοῦν οὔτε βάθρα θεὶς, οὔτ' εἰς θρόνον καθίσας, οὔτ' ὥραν διατριβῆς ἢ περιπάτου τοῖς γνωρίμοις τεταγμένην φυλάττων, ἀλλὰ καὶ παίζων ὅτε τύχοι, καὶ συμπίνων καὶ συστρατευόμενος ἐνίοις, καὶ συναγοράζων, τέλος δὲ καὶ συνδεδεμένος καὶ πίνων τὸ φάρμακον, ἐφιλοσόφει· πρῶτος ἀπέδειξε τὸν βίον ἅπαντι χρόνῳ καὶ μέρει καὶ πάθεσι καὶ πράγμασιν ἁπλῶς ἅπασι φιλοσοφίαν δεχόμενον. οὕτω δὴ διανοητέον καὶ περὶ πολιτείας, ὡς τοὺς μὲν ἀνοήτους, οὐδ' ὅταν στρατηγῶσιν ἢ

σιν ἢ

ὑποβάλλοντα. λ. α.

α'. λ. α.

γραμματεύωσιν ἢ δημηγορῶσι πολιτευομένους, ἀλλ' ὀχλοκοποῦντας ἢ πανηγυρίζοντας ἢ στασιάζοντας ἢ λειτουργοῦντας ἀναγκαίως, τὸν δὲ κοινωνικὸν καὶ φιλάνθρωπον καὶ φιλόπολιν, καὶ κηδεμονικὸν καὶ πολιτικὸν ἀληθῶς, κἂν μηδέποτε τὴν χλαμύδα περιθῆται, πολιτευόμενον ἀεὶ τῷ παρορμᾶν τοὺς δυναμένους, ὑφηγεῖσθαι τοῖς δεομένοις, συμπαρεῖναι τοῖς βουλομένοις, διατρέπειν τοὺς κακοπραγμονοῦντας, ἐπιρρωννύναι τοὺς εὐγνώμονας, φανερὸν ὄντα μὴ παρέργως προσέχοντα τοῖς κοινοῖς, μηδ' ὅπου σπουδή τις ἢ παράκλησις διὰ τὸ πρωτεύειν εἰς τὸ θέατρον βαδίζοντα καὶ τὸ βουλευτήριον, ἄλλως δὲ διαγωγῆς χάριν ὡς ἐπὶ θέαν ἢ ἀκρόασιν, ὅταν ἐπέλθῃ, παραγινόμενον· ἀλλὰ κἂν μὴ παραγένηται τῷ σώματι, παρόντα τῇ γνώμῃ, καὶ τῷ πυνθάνεσθαι τὰ μὲν ἀποδεχόμενον, τοῖς δὲ δυσκολαίνοντα τῶν πραττομένων. οὐδὲ γὰρ ἀθηναίων ἀριστείδης, οὐδὲ ῥωμαίων κάτων ἦρξε πολλάκις, ἀλλὰ πάντα τὸν αὑτῶν βίον ἐνεργὸν ἀεὶ ταῖς πατρίσι παρέσχον. ἐπαμινώνδας δὲ πολλὰ μὲν καὶ μεγάλα κατώρθωσε στρατηγῶν, οὐκ ἔλαττον δὲ αὐτοῦ μνημονεύεται μηδὲ στρατηγοῦντος, μηδ' ἄρχοντος ἔργον περὶ θετταλίαν, ὅτε τῶν στρατηγῶν εἰς τόπους χαλεποὺς ἐμβαλόντων τὴν φάλαγγα καὶ θορυβουμένων, ἐπέκειντο γὰρ οἱ πολέμιοι βάλλοντες, ἀνακληθεὶς ἐκ τῶν ὁπλιτῶν, πρῶτον μὲν ἔπαυσε θαρρύνας τοῦ στρατεύματος τὸν τάραχον καὶ φόβον, ἔπειτα διατάξας καὶ διαρμοσάμενος τὴν φάλαγγα συγκεχυμένην, ἐξήγαγε ῥᾳδίως, καὶ κατέστησεν ἐναντίαν τοῖς πολεμίοις, ὥστε ἀπελθεῖν ἐκείνους μεταβαλομένους. ἄγιδος δὲ τοῦ βασιλέως ἐν ἀρκαδίᾳ τοῖς πολεμίοις ἐπάγοντος ἤδη τὸ στράτευμα συντεταγμένον εἰς μάχην, τῶν πρεσβυτέρων τις σπαρτιατῶν ἐπεβόησεν, ὅτι διανοεῖται κακὸν κακῷ ἰᾶσθαι, δηλῶν τὴν ἐξ ἄργους ἄκαιρον ἀναχώρησιν, τὴν πρόσω ἄκαιρον προθυμίαν ἀναλαμβάνειν βουλόμενον, ὡς ὁ θουκυδίδης φησίν. ὁ δ' ἆγις ἀκούσας, ἐπείσθη καὶ ἀνεχώρησε. μενεκράτει δὲ καὶ δίφρος ἔκειτο καθ' ἡμέραν πρὸ τῶν θυρῶν τοῦ ἀρχείου, καὶ πολλάκις ἀνιστάμενοι πρὸς αὐτὸν οἱ ἔφοροι διεπυνθάνοντο καὶ συνεβουλεύοντο περὶ τῶν μεγίστων. ἐδόκει γὰρ ἔμφρων ἀνὴρ εἶναι καὶ συνετὸς ἱστορεῖσθαι. διὸ καὶ παντάπασιν ἤδη τὴν τοῦ σώματος ἐξημαυρωμένος δύναμιν, καὶ τὰ πολλὰ κλινήρης διημερεύων, μεταπεμπομένων εἰς ἀγορὰν τῶν ἐφόρων, ὥρμησε μὲν ἐξαναστὰς βαδίζειν, μόλις δὲ καὶ χαλεπῶς προερχόμενος, εἶτα παιδαρίοις ἐντυχὼν καθ' ὁδόν, ἠρώτησεν εἴ τι γινώσκουσιν ἀναγκαιότερον ὂν τοῦ πείθεσθαι δεσπότῃ· τῶν δὲ φησάντων τὸ μὴ δύνασθαι, τοῦτο τῆς ὑπουργίας λογισάμενος πέρας, ἀνέστρεψεν οἴκαδε. δεῖ γὰρ μὴ προαπολιπεῖν τὴν προθυμίαν τῆς δυνάμεως, ἐγκαταλειφθεῖσαν δὲ μὴ βιάζεσθαι. καὶ μὴν γαΐῳ λαιλίῳ συνὼν ἐχρῆτο σκιπίων συμβούλῳ, στρατηγῶν ἀεὶ καὶ πολιτευόμενος, ὥστε καὶ λέγειν ἐνίους ὑποκριτὴν τῶν πράξεων σκιπίωνα, ποιητὴν δὲ τὸν γάϊον. κικέρων δὲ αὐτὸς ὁμολογεῖ τὰ κάλλιστα καὶ μέγιστα τῶν συμβουλευμάτων, οἷς ὀρθώσας ἐν ὑπατείᾳ τὴν πατρίδα διέσωσε, μετὰ ποπλίου νιγιδίου τοῦ φιλοσόφου συνθεῖναι. οὕτως οὐδὲν ἀπὸ πολλῶν τρόπων τῆς πολιτείας ἐστὶν ἀποκωλύει τοὺς γέροντας ὠφελεῖν τὸ κοινόν, ἀπὸ τῶν βελτίστων, λόγου καὶ γνώμης καὶ παρρησίας καὶ φροντίδος πινυτῆς, ὥς φασιν οἱ ποιηταὶ λέγουσιν. οὐ γὰρ αἱ χεῖρες ἡμῶν οὐδ' οἱ πόδες, οὐδ' ἡ τοῦ σώματος ῥώμη, κτῆμα καὶ μέρος ἐστὶ τῆς πόλεως μόνον, ἀλλὰ πρῶτον ἡ ψυχὴ καὶ τὰ τῆς ψυχῆς κάλλη, δικαιοσύνη καὶ σωφροσύνη καὶ φρόνησις· ὧν ὀψὲ καὶ βραδέως τὸ οἰκεῖον ἀπολαμβανόντων, ἄτοπόν ἐστι τὴν μὲν οἰκίαν καὶ τὸν ἀγρὸν ἀπολαύειν καὶ τὰ λοιπὰ χρήματα καὶ κτήματα, κοινὴν δὲ τῇ πατρίδι καὶ τοῖς πολίταις μηκέτι χρησίμους εἶναι διὰ τὸν χρόνον, οὐ τοσοῦτον τῶν ὑπηρετικῶν παραιρούμενον δυνάμεων, ὅσον ταῖς ἡγεμονικαῖς καὶ πολιτικαῖς προστίθησι. διὸ καὶ τοὺς ἑρμᾶς τοὺς πρεσβυτέρους, ἄχειρας καὶ ἄποδας, ἐντεταμένους δὲ τοῖς μορίοις δημιουργοῦσιν, αἰνιττόμενοι τῶν γερόντων ἐλάχιστα δεῖσθαι τοῦ σώματος ἐνεργοῦ, ἐὰν τὸν λόγον ἐνεργὸν ὡς προσήκει καὶ γόνιμον ἔχωσιν.

δὲ. α.

μενεκράτει δὲ καὶ

εἶναι. α.

Εἰ πρὸς ἄλλο τι χρήσασθαι καλῶς ἐστιν, ὦ Μενέμαχε, τῷ, οὔ τίς τοι τὸν μῦθον ὀνόσσεται ὅσσοι Ἀχαιοί, οὐδὲ πάλιν ἐρέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων, καὶ πρὸς τοὺς προτρεπομένους τῶν φιλοσόφων, διδάσκοντας δὲ μηδὲν μηδὲ ὑποτιθεμένους, ὅμοιοι γάρ εἰσι τοῖς τοὺς λύχνους προμύττουσιν, ἔλαιον δὲ μὴ ἐγχέουσιν. ὁρῶν οὖν σε παρωρμημένον ἀπὸ τοῦ λόγου πρὸς πολιτείαν, καὶ βουλόμενον ἀξίως τῆς εὐγενείας ἐν τῇ πατρίδι, μύθων τε ῥητῆρ' ἔμμεναι πρηκτῆρά τε ἔργων· ἐπεὶ δὴ χρόνον οὐκ ἔχεις ἀνδρὸς φιλοσόφου βίον ὕπαιθρον ἐν πράξεσι πολιτικαῖς καὶ δημοσίοις ἀγῶσι κατανοῆσαι, καὶ γενέσθαι παραδειγμάτων ἔργῳ μὴ λόγῳ περαινομένων θεατής, ἀξιοῖς δὲ παραγγέλματα λαβεῖν πολιτικά, τὴν μὲν ἄρνησιν οὐδαμῶς ἐμαυτῷ προσήκουσαν εἶναι νομίζω· τὸ δὲ ἔργον εὔχομαι καὶ τῆς σῆς ἄξιον σπουδῆς καὶ τῆς ἐμῆς προθυμίας γενέσθαι. τοῖς δὲ παραδείγμασι ποικιλωτέροις ὥσπερ ἠξίωσας ἐχρησάμην. πρῶτον μὲν οὖν ὑποκείσθω πολιτείᾳ καθάπερ ἔδαφος βέβαιον καὶ ἰσχυρὸν ἡ προαίρεσις, ἀρχὴν ἔχουσα κρίσιν καὶ λόγον· ἀλλὰ μὴ πτοίαν ὑπὸ δόξης κενῆς, ἢ φιλονεικίας τινός, ἢ πράξεων ἑτέρων ἀπορίας. ὥσπερ γὰρ οἷς οὐδέν ἐστιν οἴκοι χρηστὸν, ἐν ἀγορᾷ διατρίβουσι, κἂν μὴ δέωνται, τὸν πλεῖστον χρόνον, οὕτως ἔνιοι τῷ μηδὲν ἔχειν ἴδιον πράττειν ἄξιον σπουδῆς, ἐμβάλλουσιν ἑαυτοὺς εἰς δημόσια πράγματα τῇ πολιτείᾳ διαγωγῇ χρώμενοι. πολλοὶ δὲ ἀπὸ τύχης ἁψάμενοι τῶν κοινῶν καὶ ἀναπλησθέντες, οὐκέτι ῥᾳδίως ἀπελθεῖν δύνανται, ταὐτὸ τοῖς ἐμβᾶσιν εἰς πλοῖον αἰώρας χάριν, εἶτα ἀποσπασθεῖσιν εἰς πέλαγος πεπονθότες· ἔξω βλέπουσι ναυτιῶντες καὶ ταραττόμενοι· μένειν δὲ καὶ χρῆσθαι τοῖς παροῦσιν ἀνάγκην ἔχοντες. λευκαῖς καθύπερθε γαλάνας εὐπρόσωποι σφᾶς παρήισαν ἔρωτες ναΐας κληῖδος χαραξιπόντου δαιμονίαν ἐς ὕβριν. οὗτοι καὶ μάλιστα διαβάλλουσι τὸ πρᾶγμα τῷ μετανοεῖν καὶ ἀσχάλλειν. ὅταν ἢ δόξαν ἐλπίσαντες, ἀδοξίᾳ περιπέσωσιν· ἢ φοβεροὶ προσδοκήσαντες ἑτέροις ἔσεσθαι διὰ δύναμιν, εἰς πράγματα κινδύνους ἔχοντα καὶ ταραχὰς, ἄγωνται. ὁ δὲ ὡς μάλιστα προσῆκον ἑαυτῷ καὶ κάλλιστον ἔργον ἀπὸ γνώμης λογισμῷ τὰ κοινὰ πράσσειν ἀρξάμενος, ὑπ' οὐδενὸς ἐκπλήττεται τούτων, οὐδὲ ἀναστρέφεται τὴν γνώμην. οὐδὲ γὰρ ἐπ' ἐργασίᾳ καὶ χρηματισμῷ προσιτέον τοῖς κοινοῖς, ὡς οἱ περὶ Στρατοκλέα καὶ Δρομοκλείδην ἐπὶ τὸ χρυσοῦν θέρος, τὸ βῆμα μετὰ παιδιᾶς οὕτως ὀνομάζοντες, ἀλλήλους παρεκάλουν, οὔτε οἷον ἐπιληπτους ὑπὸ πάθους ἄφνω γενομένους, ὡς Γάϊος Γράκχος ἐπὶ θερμοῖς τοῖς περὶ τὸν ἀδελφὸν ἀτυχήμασιν ἀπωτάτω τῶν κοινῶν τὸν βίον θέμενος, εἶτα ὕβρει τινῶν καὶ λοιδορίᾳ πρὸς αὐτὸν ἀναφλεχθεὶς ὑπ' ὀργῆς, ἐνέπεσε τοῖς κοινοῖς, καὶ ταχὺ μὲν ἐπλήσθη πραγμάτων καὶ δόξης, ζητῶν δὲ παύσασθαι καὶ δεόμενος μεταβολῆς καὶ ἡσυχίας, οὐχ εὗρε καταθέσθαι τὴν δύναμιν αὐτοῦ διὰ μέγεθος, ἀλλὰ προαπώλετο. τούς τε πρὸς ἅμιλλαν ἢ δόξαν ὥσπερ ὑποκριτὰς εἰς θέατρον ἀναπλάττοντας ἑαυτοὺς, ἀνάγκη μετανοεῖν, ἢ δουλεύοντας ὧν ἄρχειν ἀξιοῦσιν, ἢ προσκρούοντας οἷς ἀρέσκειν ἐθέλουσιν. ἀλλ' ὥσπερ εἰς φρέαρ οἶμαι τὴν πολιτείαν τοὺς μὲν ἐμπίπτοντας αὐτομάτως καὶ παραλόγως, ταράττεσθαι καὶ μετανοεῖν, τοὺς δὲ καταβαίνοντας ἐκ παρασκευῆς καὶ λογισμοῦ καθ' ἡσυχίαν χρῆσθαί τε τοῖς πράγμασι μετρίως καὶ πρὸς μηδὲν δυσκολαίνειν, ἅτε δὴ τὸ καλὸν αὐτὸ καὶ μηδὲν ἄλλο τῶν πράξεων ἔχοντας τέλος. οὕτω δὴ τὴν προαίρεσιν ἀπερείσαντας ἐν ἑαυτοῖς καὶ ποιήσαντας ἄτρεπτον καὶ δυσμετάθετον, τρέπε-

θαι

θαι χρὴ πρὸς κατανόησιν τοῦ ἤθους τῶν πολιτῶν, ὃ μάλιστα συγκραθὲν ἐκ πάντων ἐπιφαίνεται καὶ ἰσχύει. τὸ μὲν γὰρ εὐθὺς αὐτὸν ἐπιχειρεῖν ἠθοποιεῖν καὶ μεθαρμόττειν τοῦ δήμου τὴν φύσιν, οὐ ῥᾴδιον οὐδὲ ἀσφαλὲς, ἀλλὰ καὶ χρόνου δεόμενον πολλοῦ καὶ μεγάλης δυνάμεως. δεῖ δὲ ὥσπερ οἶνος ἐν ἀρχῇ μὲν ὑπὸ τῶν ἠθῶν κρατεῖται τοῦ πίνοντος, ἡσυχῇ δὲ διαθάλπων καὶ κατακεραννύμενος αὐτὸς ἠθοποιεῖ τὸν πίνοντα καὶ μεθίστησιν, οὕτω τὸν πολιτικὸν ἕως ἂν ἰσχὺν ἀγωγὸν ἐκ δόξης καὶ πίστεως κατασκευάσηται, τοῖς ὑποκειμένοις ἤθεσιν εὐάρμοστον εἶναι καὶ κατανοεῖν καὶ στοχάζεσθαι τούτων, ἐπιστάμενον οἷς χαίρειν ὁ δῆμος, καὶ ὑφ' ὧν ἄγεσθαι πέφυκεν. οἷον ὁ Ἀθηναίων εὐκίνητός ἐστι πρὸς ὀργὴν, εὐμετάθετος πρὸς ἔλεον, μᾶλλον ὀξέως ὑπονοεῖν ἢ διδάσκεσθαι καθ' ἡσυχίαν βουλόμενος, ὥσπερ τῶν ἀνδρῶν τοῖς ἀδόξοις καὶ ταπεινοῖς βοηθεῖν προθυμότερος, οὕτω τῶν λόγων τοὺς παιγνιώδεις καὶ γελοίους ἀσπάζεται καὶ προτιμᾷ, τοῖς μὲν ἐπαινοῦσιν αὐτὸν μάλιστα χαίρει, τοῖς δὲ σκώπτουσιν, ἥκιστα δυσχεραίνει, φοβερός ἐστιν ἄχρι τῶν ἀρχόντων, εἶτα φιλάνθρωπος ἄχρι τῶν πολεμίων. ἕτερον ἦθος τοῦ Καρχηδονίων δήμου πικρὸν, σκυθρωπὸν, ὑπήκοον τοῖς ἄρχουσι, βαρὺ τοῖς ὑπηκόοις, ἀγεννέστατον ἐν φόβοις, ἀγριώτατον ἐν ὀργαῖς, ἐπίμονον τοῖς γνωσθεῖσι, πρὸς παιδιὰν καὶ χάριν ἀνήδυντον καὶ σκληρόν. οὐκ ἂν οὗτοι Κλέωνος ἀξιοῦντος αὐτοὺς ἐπεὶ τέθυκε καὶ ξένους ἑστιᾶν μέλλει, τὴν ἐκκλησίαν ὑπερθέσθαι, γελάσαντες ἂν καὶ κροτήσαντες ἀνέστησαν. οὐδὲ Ἀλκιβιάδη ὄρτυγος ἐν τῷ λέγειν διαφυγόντος ἐκ τοῦ ἱματίου φιλοτίμως συνθηρεύσαντες ἀπέδωκαν, ἀλλὰ καὶ ἀπέκτειναν ἂν ὡς ὑβρίζοντας καὶ τρυφῶντας. ὅπου καὶ Ἄννωνα λέοντι χρώμενον σκευοφόρῳ παρὰ τὰς στρατείας αἰτιασάμενοι τυραννικὰ φρονεῖν, ἐξήλασαν. οἶμαι δὲ ἂν ἔγωγε, μηδὲ Θηβαίους ἀποσχέσθαι γραμμάτων πολεμίων κυρίους γενομένους, ὡς Ἀθηναῖοι Φιλίππου γραμματοφόρους λαβόντες, ἐπιστολὴν ἐπιγεγραμμένην Ὀλυμπιάδι κομίζοντας, οὐκ ἔλυσαν οὐδὲ ἀπεκάλυψαν ἀπόρρητον ἀνδρὸς ἀποδήμου πρὸς γυναῖκα φιλοφροσύνην. οὐδέ γε αὖ πάλιν Ἀθηναίους Ἐπαμινώνδου πρὸς τὴν κατηγορίαν ἀπολογεῖσθαι μὴ θέλοντος, ἀλλ' ἀναστάντος ἐκ τοῦ θεάτρου καὶ διὰ τῆς ἐκκλησίας εἰς τὸ γυμνάσιον ἀπιόντος, εὐκόλως ἐνεγκεῖν τὴν ὑπεροψίαν καὶ τὸ φρόνημα τοῦ ἀνδρός. πολλοῦ δὲ ἂν ἔτι καὶ Σπαρτιάτας δεῆσαι τὴν Στρατοκλέους ὕβριν ὑπομεῖναι καὶ βωμολοχίαν, πείσαντος μὲν αὐτοὺς εὐαγγέλια θύειν ὡς νενικηκότας. ἐπεὶ δὲ τῆς ἥττης ἀληθῶς ἀπαγγελθείσης ἠγανάκτουν, ἐρωτῶντος τὸν δῆμον τί ἠδίκηται, τρεῖς ἡμέρας δι' αὐτὸν ἡδέως γεγονώς. οἱ μὲν οὖν αὐλικοὶ κόλακες ὥσπερ ὀρνιθοθῆραι μιμούμενοι τῇ φωνῇ καὶ συνεξομοιοῦντες ἑαυτοὺς ὑποδύονται μάλιστα καὶ προσάγουσι δι' ἀπάτης τοῖς βασιλεῦσι· τῷ δὲ πολιτικῷ μιμεῖσθαι μὲν οὐ προσήκει τοῦ δήμου τὸν τρόπον, ἐπίστασθαι δὲ καὶ χρῆσθαι πρὸς ἕκαστον, οἷς ἁλώσιμός ἐστιν. ἡ γὰρ ἄγνοια τῶν ἠθῶν ἀστοχίας φέρει καὶ διαπτώσεις, οὐχ ἥττονας ἐν ταῖς πολιτείαις ἢ ταῖς φιλίαις τῶν βασιλέων. τὸ μὲν οὖν τῶν πολιτῶν ἦθος ἰσχύοντα δεῖ καὶ πιστευόμενον ἤδη πειρᾶσθαι ῥυθμίζειν ἀτρέμα πρὸς τὸ βέλτιον ὑπάγοντα καὶ πράως μεταχειριζόμενον. ἐργώδης γὰρ ἡ μετάθεσις τῶν πολλῶν. αὐτὸς δὲ ὥσπερ ἐν θεάτρῳ λοιπὸν ἀναπεπταμένῳ βιωσόμενος, ἐξάσκει καὶ κατακόσμει τὸν τρόπον. εἰ δὲ μὴ ῥᾴδιον ἀπαλλάξαι παντάπασι τῆς ψυχῆς τὴν κακίαν, ὅσα τοῖς ἐπανθεῖ μάλιστα καὶ προσπίπτει τῶν ἁμαρτημάτων ἀφαιρῶν καὶ κολούων. ἀκούεις γὰρ ὅτι καὶ Θεμιστοκλῆς ἅπτεσθαι τῆς πολιτείας διανοούμενος, ἀπέστησε τῶν πότων καὶ τῶν κώμων ἑαυτὸν, ἀγρυπνῶν δὲ καὶ νήφων καὶ πεφροντικὼς, ἔλεγε πρὸς τοὺς συνήθεις ὡς οὐκ ἐᾷ καθεύδειν αὐτὸν τὸ Μιλτιάδου τρόπαιον. Περικλῆς δὲ καὶ περὶ τὸ σῶμα καὶ τὴν δίαιταν ἐξήλλαξεν ἑαυτὸν ἠρέμα βαδίζειν καὶ πράως διαλέγεσθαι, καὶ τὸ πρόσωπον ἀεὶ συνε-

στηθὸς ἐπιδεικνύναι, καὶ τὴν χεῖρα συνέχειν ἐντὸς τῆς περιβολῆς, καὶ μίαν ὁδὸν φέρου-
σαν τὴν ἐπὶ τὸ βῆμα καὶ τὸ βουλευτήριον. οὐ γὰρ εὐμεταχείριστον οὐδὲ ῥᾴδιον ἁλῶναι τὴν
σωτήριον ἅλωσιν ὑπὸ τοῦ τυχόντος, ὄχλον, ἀλλ' ἀγαπητὸν, εἰ μή τι ὄψει μήτε φωνῇ
πτυρόμενος ὥσπερ θηρίον ὕποπτον καὶ ποικίλον ἐνδέχοιτο τὴν ἐπιστασίαν. οὐ τοίνυν
οὐδὲ τούτων ἐπιμελητέον δεῖ παρέργως, ἤπου τῶν περὶ τὸν βίον καὶ τὸ ἦθος ἀμελητέον, ὅπως
ᾖ ψόγου καθαρὰ καὶ διαβολῆς ἁπάσης. οὐ γὰρ ὧν λέγουσιν ἐν κοινῷ καὶ πράττουσιν οἱ
πολιτευόμενοι μόνον εὐθύνας διδόασιν, ἀλλὰ καὶ δεῖπνον αὐτῶν πολυπραγμονεῖ-
ται, καὶ κοίτη, καὶ γάμος, καὶ παιδιὰ, καὶ σπουδὴ πᾶσα. τί γὰρ δεῖ λέγειν Ἀλκιβιάδην,
ὃν περὶ τὰ κοινὰ πάντων ἐνεργέστατον ὄντα καὶ στρατηγὸν ἀήττητον, ἀπώλεσεν ἡ περὶ τὴν
δίαιταν ἀναγωγία καὶ θρασύτης, καὶ τῶν ἄλλων ἀγαθῶν αὐτοῦ τὴν πόλιν ἀνόνητον ἐ-
ποίησε διὰ τὴν πολυτέλειαν καὶ τὴν ἀκολασίαν. ὅπου καὶ Κίμωνος οὗτοι τὸν οἶνον, καὶ
Ῥωμαῖοι Σκιπίωνος οὐδὲν ἄλλο ἔχοντες λέγειν, τὸν ὕπνον ᾐτιῶντο. Πομπήιον δὲ Μά-
γνον ἐλοιδόρουν οἱ ἐχθροὶ παραφυλάξαντες, ἑνὶ δακτύλῳ τὴν κεφαλὴν κνώμε-
νον. ὥσπερ γὰρ ἐν προσώπῳ φακὸς καὶ ἀκροχορδὼν δυσχεραίνεται μᾶλλον, ἢ στίγματα
καὶ κολοβότητες καὶ οὐλαὶ τοῦ λοιποῦ σώματος, οὕτω τὰ μικρὰ φαίνεται μεγάλα τῶν
ἁμαρτημάτων, ἐν ἡγεμονικοῖς καὶ πολιτικοῖς ὁρώμενα βίοις, διὰ δόξαν ἣν οἱ πολλοὶ περὶ
ἀρχῆς καὶ πολιτείας ἔχουσιν, ὡς πράγματος μεγάλου καὶ καθαρεύειν ἀξίου πάσης ἀτο-
πίας καὶ πλημμελείας. εἰκότως οὖν Ἰούλιος Δροῦσος ὁ δημαγωγὸς εὐδοκίμησεν,
ὅτι τῆς οἰκίας αὐτοῦ πολλὰ μέρη κάτοπτα τοῖς γείτοσιν ἐχούσης, καὶ τῶν τεχνιτῶν τι-
νὸς ὑπισχνουμένου ταῦτα ἀποστρέψειν καὶ μεταθήσειν, ἀπὸ πέντε μόνων ταλάντων,
δέκα ἔφη λαβὼν, ὅλην μου ποίησον τὴν οἰκίαν καταφανῆ, ἵνα πάντες ὁρῶσιν οἱ
πολῖται πῶς διαιτῶμαι. καὶ γὰρ ἦν ἀνὴρ σώφρων καὶ κόσμιος. ἴσως δὲ ταύτης οὐδὲν
ἔδει τῆς καταφανείας αὐτῷ. διορῶσι γὰρ οἱ πολλοὶ καὶ τὰ πάνυ βαθέως περιαμπέχε-
σθαι δοκοῦντα τῶν πολιτευομένων ἤθη καὶ βουλεύματα καὶ πράξεις καὶ βίους, οὐχ ἧττον
ἀπὸ τῶν ἰδίων ἢ τῶν δημοσίων ἐπιτηδευμάτων, τοὺς μὲν φιλοῦντες καὶ θαυμάζοντες, τοὺς δὲ
δυσχεραίνοντες καὶ καταφρονοῦντες. τί οὖν δή; οὐχὶ καὶ τοῖς ἀσελγῶς καὶ τεθρυμ-
μένως ζῶσιν, αἱ πόλεις χρῶνται; καὶ γὰρ αἱ κιττῶσαι λίθους, καὶ οἱ ναυτιῶντες ἁλ-
μυρίδας, καὶ τοιαῦτα βρώματα διώκουσι πολλάκις, εἶτα ὀλίγον ὕστερον διέπτυ-
σαν καὶ ἀπεστράφησαν, οὕτω δὴ καὶ οἱ δῆμοι διὰ τρυφὴν καὶ ὕβριν ἢ βελτιόνων
ἀπορίᾳ δημαγωγῶν, χρῶνται τοῖς ἐπιτυχοῦσι, βδελυττόμενοι καὶ καταφρονοῦν-
τες, εἶτα χαίρουσι τοιούτων εἰς αὐτοὺς λεγομένων, οἷα Πλάτων ὁ κωμικὸς τὸν Δῆ-
μον αὐτὸν λέγοντα ποιεῖ· λαβοῦ λαβοῦ τῆς χειρὸς ὡς τάχιστά μου, μέλλω στρατη-
γὸν χειροτονεῖν Ἀγύρριον, καὶ πάλιν αἰτοῦντα λεκάνην καὶ πτερὸν ὅπως ἐμέσῃ λέ-
γοντα, προσίσταταί μου πρὸς τὸ βῆμα Μαντίλη, καὶ βόσκει δυσώδη κεφαλὴν αἰσχί-
στην νόσον. ὁ δὲ Ῥωμαίων δῆμος ὑπισχνουμένου τι Κάρβωνος καὶ προστιθέντος ὅρ-
κον δή τινα καὶ ἀρὰν, ἀντώμοσεν ὁμοῦ μὴ πιστεύειν. ἐν δὲ Λακεδαίμονι τινὸς
Δημοσθένους ἀνδρὸς ἀκολάστου γνώμην εἰπόντος ἁρμόζουσαν, ἀπέρριψεν ὁ δῆ-
μος. οἱ δὲ ἔφοροι κληρώσαντες ἕνα τῶν γερόντων, ἐκέλευσαν εἰπεῖν τοῦτον
αὐτὸν τὸν λόγον ἐκεῖνον, ὥσπερ εἰς καθαρὸν ἀγγεῖον ἐκ ῥυπαροῦ μετακεράσαντες,
ὅπως εὐπρόσδεκτος γένηται τοῖς πολλοῖς. οὕτω μεγάλην ἔχει ῥοπὴν ἐν πολι-
τείᾳ πίστις ἤθους, καὶ τοὐναντίον. οὐ μὴν ἀμελητέον γε διὰ τοῦτο τῆς περὶ τὸν λό-
γον χάριτος καὶ δυνάμεως, ἐν ἀρετῇ θεμένους τὸ σύμπαν. ἀλλὰ τὴν ῥητορικὴν
νομίσαντες μὴ δημιουργὸν, ἀλλά τι συνεργὸν εἶναι πειθοῦς, ἐπανορθωτέον τὸ τοῦ Με-
νάνδρου. τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος οὐ λόγος. καὶ γὰρ ὁ τρόπος καὶ ὁ λό-
γος, εἰ μὴ νὴ Δία φήσει τις ὡς τὸν κυβερνήτην ἄγειν τὸ πλοῖον, οὐ τὸ πηδάλι-
ον, καὶ τὸν ἱππέα στρέφειν τὸν ἵππον οὐ τὸν χαλινὸν, οὕτω πόλιν πείθειν,
οὐ λόγῳ,

θυρόμενος ·Ν.

...ου ·Η.

οὐ λόγῳ, ἀλλὰ τρόπῳ χρωμένην, ὥσπερ οἴακι καὶ χαλινῷ τὴν πολιτικὴν ἀρετήν,
ὅπερ εὐστροφώτατον ζῴων ὥς φησι Πλάτων οἷον ἐκ πρύμνης ἁπτομένην καὶ κατευ-
θύνουσαν. ὅπου γὰρ οἱ μεγάλοι βασιλεῖς ἐκεῖνοι καὶ διογενεῖς ὡς Ὅμηρός φησιν
ἁλουργίσι καὶ σκήπτροις καὶ δορυφόροις καὶ θεῶν χρησμοῖς ἐξογκοῦσιν ἑαυτοὺς, καὶ
δουλούμενοι τῇ σεμνότητι τοὺς πολλοὺς ὡς κρείττονες, ὅμως ἐβούλοντο μύθων τε
ῥητῆρες εἶναι, καὶ οὐκ ἠμέλουν τῆς τοῦ λέγειν χάριτος, οὐδ' ἀγορέων ἵνα τ' ἄνδρες
ἀριπρεπέες τελέθουσιν, οὐδὲ Διὸς βουλέου μόνον ἔχρῃζον, οὐδ' Ἄρεως ἐνυαλίου
καὶ στρατίας Ἀθηνᾶς, ἀλλὰ καὶ τὴν Καλλιόπην παρεκάλουν, ἣ δὴ βασιλεῦσιν ἅμ'
αἰδοίοισιν ὀπηδεῖ. πραΰνουσα πειθοῖ καὶ κατᾴδουσα τῶν δήμων τὸ αὔθαδες
καὶ βίαιον, ἢ πού δυνατὸν ἄνθρωπον ἰδιώτην ἐξ ἱματίου καὶ σχήματος δημοτικοῦ
πόλιν ἄγειν βουλόμενον, ἐξισχῦσαι καὶ κρατῆσαι τῶν πολλῶν, εἰ μὴ λόγον ἔχει συμ-
πείθοντα καὶ προσαγόμενον. οἱ μὲν οὖν τὰ πλοῖα κυβερνῶντες, ἑτέροις χρῶν-
ται κελευσταῖς. ὁ δὲ πολιτικὸς ἐν ἑαυτῷ μὲν ὀφείλει τὸν κυβερνῶντα νοῦν ἔχειν,
ἐν ἑαυτῷ δὲ τὸν ἐγκελευόμενον λόγον, ὅπως μὴ δέηται φωνῆς ἀλλοτρίας. μὴ
δ' ὥσπερ Ἰφικράτης ὑπὸ τῶν περὶ Ἀριστοφῶντα καταρρητορευόμενος λέγῃ,
βελτίων μὲν ὁ τῶν ἀντιδίκων ὑποκριτής, δρᾶμα δὲ τοὐμὸν ἄμεινον. μὴ δὲ πολλά-
κις δέηται τῶν Εὐριπιδείων ἐκείνων· εἴθ' ἦν ἄφωνον σπέρμα δυστήνων βροτῶν, καὶ φεῦ
φεῦ τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν φωνήν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν.
ταῦτα μὲν γὰρ ἴσως Ἀλκαμένει, καὶ Νησιώτῃ, καὶ Ἰκτίνῳ, καὶ πᾶσι τοῖς βαναύσοις
καὶ χειρώναξι τὸ δύνασθαι λέγειν ἀπομνυμένοις, δοτέον ἀποδιδράσκειν, ὥσπερ
Ἀθήνησιν ἀρχιτεκτόνων ποτὲ δυεῖν ἐξεταζομένων πρὸς δημόσιον ἔργον. ὁ μὲν αἱ-
μύλος καὶ κομψὸς εἰπεῖν, λόγον τινὰ διελθὼν περὶ τῆς κατασκευῆς μεμελετημέ-
νον ἐκίνησε τὸν δῆμον. ὁ δὲ βελτίων τῇ τέχνῃ, λέγειν δὲ ἀδύνατος παρελθὼν εἰς μέ-
σον, ἄνδρες εἶπεν Ἀθηναῖοι, ὡς οὗτος εἴρηκεν ἐγὼ ποιήσω. τὴν γὰρ Ἐργάνην οὗτοι μό-
νον θεραπεύουσιν ὥς φησι Σοφοκλῆς, οἱ πάρ' ἄκμονι τυπάδι βαρείᾳ καὶ πληγαῖς
ὑπακουούσαν ὕλην ἄψυχον δημιουργοῦντες. ὁ δὲ τῆς Πολιάδος Ἀθηνᾶς καὶ τῆς Βου-
λαίας Θέμιδος, ἥτ' ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει προφήτης, ἑνὶ χρώμε-
νος ὀργάνῳ τῷ λόγῳ, τὰ μὲν πλάττων καὶ συναρμόττων, τὰ δὲ ἀντιστατοῦντα
πρὸς τὸ ἔργον ὥσπερ ὄζους τινὰς ἐν ξύλῳ, καὶ διπλόας ἐν σιδήρῳ μαλάσσων καὶ
καταλεαίνων κοσμεῖ τὴν πόλιν. διὰ τοῦτο ἡ κατὰ Περικλέα πολιτεία, λόγῳ
μὲν ὥς φησι Θουκυδίδης δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχὴ
διὰ τὴν τοῦ λόγου δύναμιν. ἐπεὶ καὶ Κίμων ἀγαθὸς ἦν, καὶ Ἐφιάλτης, καὶ Θουκυ-
δίδης. ἀλλὰ ἐρωτηθεὶς οὗτος ὑπὸ Ἀρχιδάμου βασιλέως τῶν Σπαρτιατῶν, πό-
τερον αὐτὸς ἢ Περικλῆς παλαίει βέλτιον, οὐκ ἂν εἰδείη τις εἰπεῖν· ὅταν γὰρ ἐγὼ κα-
ταβάλω παλαίων, ἐκεῖνος λέγων μὴ πεπτωκέναι, νικᾷ καὶ πείθει τοὺς θεωμένους.
τοῦτο δὲ οὐκ αὐτῷ μόνῳ ἐκείνῳ δόξαν, ἀλλὰ καὶ τῇ πόλει σωτηρίαν ἔφερε. πει-
θομένη γὰρ αὐτῷ τὴν ὑπάρχουσαν εὐδαιμονίαν ἔσωζε, τῶν δὲ ἐκτὸς ἀπείχετο.
Νικίας δὲ τὴν αὐτὴν προαίρεσιν ἔχων, πειθοῦς δὲ τοιαύτης ἐνδεὴς ὢν, καὶ καθάπερ
ἀμβλεῖ χαλινῷ τῷ λόγῳ πειρώμενος ἀποστρέφειν τὸν δῆμον, οὐ κατέσχεν οὐδὲ ἐκρά-
τησεν, ἀλλ' ᾤχετο βίᾳ φερόμενος εἰς Σικελίαν καὶ συνεκτραχηλιζόμενος. τὸν μὲν
οὖν λύκον, οὔ φασι τῶν ὤτων κρατεῖν· δῆμον δὲ καὶ πόλιν ἐκ τῶν ὤτων ἄγειν δεῖ μά-
λιστα, μὴ καθάπερ ἔνιοι τῶν ἀγυμνάστων περὶ λόγων λαβὰς ἀμούσους καὶ ἀτέ-
χνους ζητοῦντες ἐν τοῖς πολλοῖς τῆς γαστρὸς ἕλκουσιν εὐωχοῦντες, ἢ τοῦ βαλαν-
τίου διδόντες, ἢ πυρρίχας τινὰς ἢ μονομάχων θεάματα παρασκευάζοντες ἀεὶ
δημαγωγοῦσι, μᾶλλον δὲ δημοκοποῦσι. δημαγωγία γὰρ ἡ διὰ λόγου πειθομένων
ἐστίν, αἱ δὲ τοιαῦται τιθασεύσεις τῶν ὄχλων, οὐδὲν ἀλόγων ζῴων ἄγρας καὶ βου-

-ῦς· βουλέως ℞ βασιλ...

ἀθάνατον ·Ι. Δ.

σύστηνον ·Η.

ἀπωσαμένοισ ·Η.

ὤπασεν

λόγων

κωλύσεως διαφθείρουσιν. ὁ μέν τοι λόγος ἔστω τοῦ πολιτικοῦ μή τε νεαρὸς καὶ θεα-
τρικὸς, ὥσπερ πανηγυρίζοντος καὶ στεφανηπλοκοῦντος ἐξ ἁπαλῶν καὶ ἀνθη-
ρῶν ὀνομάτων, μή τε αὖ πάλιν ὡς ὁ πυθέας τὸν δημοσθένους ἔλεγεν, ἐλλυχνί-
ων ὄζειν καὶ σοφιστικῆς περιεργίας, ἐνθυμήμασι πικροῖς καὶ περιόδοις πρὸς κανόνα
καὶ διαβήτην ἀπηκριβωμέναις. ἀλλ' ὥσπερ οἱ μουσικοὶ τὴν θίξιν ἀξιοῦσι τῶν χορ-
δῶν ἠθικὴν καταφαίνεσθαι, μὴ κρουστικὴν, οὕτω τῷ λόγῳ τοῦ πολιτευομένου καὶ συμ-
βουλεύοντος καὶ ἄρχοντος ἐπιφαινέσθω, μὴ δεινότης, μὴ δὲ πανουργία, μὴ δὲ εἰς
ἔπαινον αὐτοῦ τιθέσθω τὸ ἑκτικῶς, ἢ τεχνικῶς, ἢ διαιρετικῶς, ἀλλὰ ἤθους ἀπλά-
στου καὶ φρονήματος ἀληθινοῦ, καὶ παρρησίας πατρικῆς, καὶ προνοίας, καὶ συνέ-
σεως κηδομένης, ὁ λόγος ἔστω μεστὸς ἐπὶ τῷ καλῷ τὸ κεχαρισμένον ἔχων καὶ ἀγω-
γὸν, ἔκ τε σεμνῶν ὀνομάτων καὶ νοημάτων ἰδίων καὶ πιθανῶν. δέχεται δὲ ὁ πο-
λιτικὸς λόγος δικανικοῦ μᾶλλον, καὶ γνωμολογίας, καὶ ἱστορίας, καὶ μύθους,
καὶ μεταφορὰς, αἷς μάλιστα κινοῦσιν οἱ χρώμενοι μετρίως καὶ κατὰ καιρὸν,
ὡς ὁ εἰπὼν μὴ ποιήσητε ἑτερόφθαλμον τὴν ἑλλάδα. καὶ δημάδης τὰ ναυάγια λέ-
γων πολιτεύεσθαι τῆς πόλεως. καὶ ὁ ἀρχίλοχος μὴ δὲ ὁ ταντάλου λίθος τῆσδ'
ὑπὲρ νήσου κρεμάσθω, καὶ περικλῆς τὴν λήμην τοῦ πειραιῶς ἀφελεῖν κελεύων.
καὶ φωκίων ἐπὶ τῆς λεωσθένους νίκης καλὸν τὸ στάδιον εἶναι. δεδιέναι δὲ τοῦ πο-
λέμου τὸν δόλιχον. καθόλου δὲ ὁ μὲν ὄγκος καὶ τὸ μέγεθος τῷ πολιτικῷ μᾶλ-
λον ἁρμόττει. παράδειγμα δὲ οἵ τε φιλιππικοὶ καὶ τῶν θουκυδίδου δημηγοριῶν,
ἡ σθενελαΐδα τοῦ ἐφόρου, καὶ ἀρχιδάμου τοῦ βασιλέως ἐν πλαταιαῖς, καὶ πε-
ρικλέους ἡ μετὰ τὸν λοιμόν. ἐπὶ δὲ τῶν ἐφόρου καὶ θεοπόμπου καὶ ἀναξιμένους
ῥητορειῶν καὶ περιόδων, ἃς περαίνουσιν ἐξοπλίσαντες τὰ στρατεύματα καὶ πα-
ρατάξαντες, ἔστιν εἰπεῖν. οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας. οὐ μὴν ἀλλὰ
καὶ σκῶμμα καὶ γελοῖον, ἔστιν ὅτε γίνεται πολιτικοῦ λόγου μέρος. εἰ μὴ πρὸς ὕβριν
ἢ βωμολοχίαν ἀλλὰ χρησίμως ἐπιπλήττοντος ἢ διασύροντος λέγοιτο. μάλι-
στα δὲ εὐδοκιμεῖ τὰ τοιαῦτα περὶ τὰς ἀμείψεις καὶ τὰς ἀπαντήσεις. τὸ γὰρ ἐκ
παρασκευῆς καὶ κατάρχοντα, γελωτοποιοῦντός ἐστιν, καὶ δόξα κακοηθείας πρό-
σεστιν. ὡς πρόσεστι τοῖς κικέρωνος σκώμμασι καὶ τοῖς κάτωνος τοῦ πρεσβυτέρου, καὶ
εὐξιθέου τοῦ ἀριστοτέλους συνήθους. οὗτοι γὰρ ἔσκωπτον πολλάκις ἀρχόμενοι. ἀ-
μυνομένῳ δὲ συγγνώμην ἅμα καὶ χάριν ὁ καιρὸς δίδωσι. καθάπερ δημοσθένει πρὸς
τὸν αἰτίαν ἔχοντα κλέπτειν, χλευάζοντα δὲ αὐτοῦ τὰς νυκτογραφίας. οἶδα ὅ-
τι σε λυπῶ λύχνον καίων, καὶ πρὸς δημάδην βοῶντα. δημοσθένης ἐμὲ βούλεται
διορθοῦν. ἡ ὗς τὴν ἀθηνᾶν. αὕτη μέν τοι πρώην ἡ ἀθηνᾶ μοιχεύουσα ἐλήφθη.
χάριεν δὲ καὶ τὸ ξεναινέτου πρὸς τοὺς πολίτας λοιδοροῦντας αὐτὸν, ὅτι στρα-
τηγὸς ὢν πέφευγε, μεθ' ὑμῶν γε ὦ φίλαι κεφαλαί. τὸ δὲ ἄγαν φυλακτέον ἐν
τῷ γελοίῳ, καὶ τὸ λυποῦν ἀκαίρως τοὺς ἀκούοντας, ἢ τὸν λέγοντα ποιοῦν ἀγεννῆ
καὶ ταπεινόν, ὥσπερ τὰ δημοκράτους. ἀναβαίνων μὲν γὰρ εἰς τὴν ἐκκλησίαν, ἔ-
φη. καθάπερ ἡ πόλις μικρὸν ἰσχύειν καὶ μέγα φυσᾶν, ἐν δὲ τοῖς χαιρωνικοῖς πα-
ρελθὼν εἰς τὸν δῆμον, οὐκ ἂν ἐβουλόμην κακῶς οὕτω πεπραχέναι τὴν πόλιν, ὥστε
κἀμοῦ συμβουλεύοντος ὑμᾶς ἀκούειν. καὶ γὰρ καὶ τοῦτο μικροῦ, κἀκεῖνο μανικοῦ. πολι-
τικῷ δὲ οὐδέτερον ἁρμόττον. φωκίωνος δὲ καὶ τὴν βραχυλογίαν ἐθαύμαζον.
ὁ γοῦν πολύευκτος ἀπεφαίνετο ῥήτορα μέγιστον εἶναι δημοσθένην, δεινότατον δὲ
εἰπεῖν, φωκίωνα. πλεῖστον γὰρ αὐτοῦ τὸν λόγον λέξει βραχυτάτῃ νοῦν περιέχειν.
καὶ ὁ δημοσθένης τῶν ἄλλων καταφρονῶν, εἰώθει λέγειν ἀνισταμένου φωκίωνος, ἡ τῶν
ἐμῶν λόγων κοπὶς ἀνίσταται. μάλιστα μὲν οὖν ἐσκεμμένῳ πειρῶ καὶ μὴ δια-
κένῳ τῷ λόγῳ χρῆσθαι πρὸς τοὺς πολλοὺς, μετ' ἀσφαλείας εἰδὼς ὅτι καὶ περι-
κλῆς

κλῆς ἐκεῖνος ηὔχετο πρὸ τοῦ δημηγορεῖν μὴ δὲ ῥῆμα μηδὲν ἀλλότριον τῶν πραγ-
μάτων ἐπελθεῖν αὐτῷ. δεῖ δὲ ὅμως καὶ πρὸς τὰς ἀπαντήσεις τὸν λόγον εὔστρο-
φον ἔχειν καὶ γεγυμνασμένον. ὀξεῖς γὰρ οἱ καιροὶ, καὶ πολλὰ φέροντες ἐν ταῖς
πολιτείαις αἰφνίδια. διὸ καὶ δημοσθένης ἠλαττοῦτο πολλῶν ὥς φασι, παρὰ τὸν
καιρὸν ἀναδυόμενος καὶ κατοκνῶν. ἀλκιβιάδην δὲ θεόφραστος ἱστορεῖ, μὴ μόνον
ἃ δεῖ λέγειν, ἀλλὰ καὶ ὡς δεῖ βουλόμενον, πολλάκις ἐν αὐτῷ τῷ λέγειν ζητοῦν-
τα καὶ συντιθέντα τὰς λέξεις, ἐνίσχεσθαι καὶ διαπίπτειν. ὁ δὲ ἀπὸ τῶν πραγ-
μάτων αὐτῶν ἀνιστάμενος καὶ ὑπὸ τῶν καιρῶν, ἐκπλήττει μάλιστα καὶ προσά-
γεται τοὺς πολλοὺς καὶ μετατίθησιν. οἷον ὁ βυζάντιος λέων ἧκε δή ποτε τοῖς ἀ-
θηναίοις στασιάζουσι διαλεξόμενος. ὀφθεὶς δὲ μικρὸς καὶ γελασθεὶς, τί δ' εἶπεν εἰ τὴν
γυναῖκά μου θεάσασθε μόλις ἐξικνουμένην πρὸς τὸ γόνυ, πλείων οὖν ἐγένετο γέ-
λως, ἀλλ' ἡμᾶς ἔφη μικροὺς οὕτως ὄντας, ὅταν διαφερώμεθα πρὸς ἀλλήλους, ἡ
βυζαντίων πόλις οὐ χωρεῖ. πυθέας δὲ ὁ ῥήτωρ, ὅτε πρὸς τὰς ἀλεξάνδρου τιμὰς
ἀντέλεγεν εἰπόντος τινὸς, οὕτω σὺ νέος ὢν περὶ πραγμάτων τολμᾷς λέγειν
τηλικούτων; καὶ μὴν ἀλέξανδρος εἶπεν ἐμοῦ νεώτερός ἐστιν ὃν ψηφίζεσθε θεὸν
εἶναι. δεῖ δὲ καὶ φωνῆς εὐεξίᾳ καὶ πνεύματος ῥώμῃ πρὸς οὐ φαῦλον ἀλλὰ
παμμάχον ἀγῶνα τὸν τῆς πολιτείας ἠθληκότα κομίζειν τὸν λόγον. ὡς μὴ πολλά-
κις ἀπαγορεύοντα καὶ σβεννύμενον ὑπερβάλλοι τις αὐτὸν ἅρπαξ καὶ κράκτης,
κυκλοβόρου φωνὴν ἔχων. κάτων δὲ περὶ ὧν οὐκ ἤλπιζε πείσειν τῷ προκατέ-
χεσθαι χάρισι καὶ σπουδαῖς τὸν δῆμον ἢ τὴν βουλὴν, ἔλεγε τὴν ἡμέραν ὅλην ἀναστὰς
καὶ τὸν καιρὸν οὕτως ἐξέκρουε. περὶ μὲν οὖν τῆς τοῦ λόγου παρασκευῆς καὶ χρεί-
ας ἱκανὰ ταῦτα τῷ δυναμένῳ τὸ ἀκόλουθον προσεξευρίσκειν. εἰσβολαὶ δὲ
καὶ ὁδοὶ, δύο τῆς πολιτείας εἰσὶν, ἡ μὲν ταχεῖα καὶ λαμπρὰ πρὸς δόξαν, οὐ μὴν ἀ-
κίνδυνος, ἡ δὲ πεζοτέρα καὶ βραδυτέρα, τὸ δὲ ἀσφαλὲς ἔχουσα μᾶλλον. οἱ μὲν
γὰρ εὐθὺς ὥσπερ ἐξ ἄκρας πελαγίου πράξεως ἐπιφανοῦς καὶ μεγάλης, ἐχούσης
δὲ τόλμαν ἄραντες, ἀφῆκαν ἐπὶ τὴν πολιτείαν, ἡγούμενοι λέγεσθαι ὀρθῶς τὸ πινδά-
ρου. ὡς ἀρχομένου ἔργου, πρόσωπον χρὴ θέμεν τηλαυγές. καὶ γὰρ δέχονται προ-
θυμότερον οἱ πολλοὶ κόρῳ τινὶ καὶ πλησμονῇ τῶν συνήθων τὸν ἀρχόμενον, ὥσπερ
ἀγωνιστὴν θεαταὶ, καὶ τὸν φθόνον ἐκπλήττουσιν αἱ λαμπρὰν ἔχουσαι καὶ ταχεῖαν
αὔξησιν ἀρχαὶ καὶ δυνάμεις. οὔτε γὰρ πῦρ φησὶν ὁ ἀρίστων καπνὸν ποιεῖν, οὔτε δό-
ξαν, φθόνον, ἢν εὐθὺς ἐκλάμψῃ καὶ ταχέως, ἀλλὰ τῶν κατὰ μικρὸν αὐξανομένων
καὶ σχολαίως, ἄλλον ἀλλαχόθεν ἐπιλαμβάνεσθαι. διὸ πολλοὶ πρὶν ἀνθῆσαι περὶ
τὸ βῆμα κατεμαράνθησαν. ὅπου δὲ ὥσπερ ἐπὶ τοῦ λάδα λέγουσιν ὁ ψόφος
ἦν ὕσπληγος ἐν οὔασιν ἔνθα καὶ ἐστεφανοῦτο πρεσβεύων ἢ θριαμβεύων ἢ στρατηγῶν
ἐπιφανῶς, οὔτε οἱ φθονοῦντες, οὔτε οἱ καταφρονοῦντες ὁμοίως ἐπὶ τούτων ἰσχύουσιν.
οὕτω παρῆλθεν εἰς δόξαν ἄρατος, ἀρχὴν ποιησάμενος πολιτείας τὴν νικοκλέ-
ους τοῦ τυράννου κατάλυσιν. οὕτως ἀλκιβιάδης τὰ μαντινικὰ συστήσας ἐπὶ λακε-
δαιμονίους. πομπήιος δὲ καὶ θριαμβεύειν ἠξίου μή πω παριὼν εἰς σύγκλητον, οὐκ
ἐῶντος δὲ σύλλα, πλείονες ἔφη τὸν ἥλιον ἀνατέλλοντα προσκυνοῦσιν ἢ δυόμενον,
καὶ σύλλας ὑπεῖξε τοῦτο ἀκούσας. καὶ σκιπίωνα δὲ κορνήλιον, οὐκ ἀφ' ἧς ἔτυχεν
ἀρχῆς ὁ ῥωμαίων δῆμος ἀγορανομίαν μετερχόμενον, ἐξαίφνης ὕπατον ἀπέδει-
ξε παρὰ τὸν νόμον, ἀλλὰ θαυμάσας αὐτοῦ μειρακίου μὲν ὄντος, τὴν ἐν ἰβηρίᾳ μο-
νομαχίαν καὶ νίκην, μικρὸν δὲ ὕστερον τὰ πρὸς καρχηδόνι χιλιαρχοῦντος ἔρ-
γα. περὶ ὧν καὶ κάτων ὁ πρεσβύτατος ἀνεφώνησεν. οἷος πέπνυται, τοὶ δὲ, σκιαὶ ἀΐσ-
σουσιν. νῦν οὖν ὅτε τὰ πράγματα τῶν πόλεων οὐκ ἔχει πολέμων ἡγεμο-
νίας, οὐδὲ τυραννίδων καταλύσεις, οὐδὲ συμμαχικὰς πράξεις, τίνα ἄν τις ἀρ-

χὴν ἐπιφανοῦς λάβοι καὶ λαμπρᾶς πολιτείας. αἱ δίκαι γε λείπονται αἱ δημόσιαι
καὶ πρεσβεῖαι πρὸς αὐτοκράτορα, ἀνδρὸς διαπύρου καὶ θάρσος ἅμα καὶ νοῦν ἔχον-
τος δεόμεναι. πολλὰ δέ ἐστι καὶ τῶν παρειμένων ἐν ταῖς πόλεσι καλῶν ἀναλαμβάνον-
τα, καὶ τῶν ἐξ ἔθους φαύλου παραδυομένων ἐπ' αἰσχύνῃ τινὶ τῆς πόλεως, ἢ βλάβῃ
μεθιστάντα πρὸς αὐτὸν ἐπιστρέφειν. ἤδη δὲ καὶ δίκη μεγάλη καλῶς δικασθεῖσα, καὶ
πίστις ἐν συνηγορίᾳ πρὸς ἀντίδικον ἰσχυρὸν ὑπὲρ ἀσθενοῦς καὶ παρρησία πρὸς ἡγε-
μόνα μοχθηρὸν ὑπὲρ τοῦ δικαίου, κατέστησεν ἐνίους εἰς ἀρχὴν πολιτείας ἔνδοξον.
οὐκ ὀλίγοι δὲ καὶ δι' ἔχθρας ηὐξήθησαν, ἐπιχειρήσαντες ἀνδράσιν ἐπίφθονον ἔχουσιν ἀξί-
ωμα καὶ φοβερόν. εὐθὺς γὰρ ἡ τοῦ καταλυθέντος ἰσχὺς, τῷ κρατήσαντι μετὰ βελτίονος
δόξης ὑπάρχει. τὸ μὲν γὰρ ἀνδρὶ χρηστῷ καὶ δι' ἀρετὴν πρωτεύοντι προσμάχεσθαι κα-
τὰ φθόνον, ὡς Περικλεῖ Σιμμίας, Ἀλκμαίων δὲ Θεμιστοκλεῖ, Πομπηΐῳ δὲ Κλώδιος,
Ἐπαμινώνδᾳ δὲ Μενεκλείδης ὁ ῥήτωρ, οὔτε πρὸς δόξαν καλὸν, οὔτε ἄλλως συμφέ-
ρον. ὅταν γὰρ ἐξαμαρτόντες οἱ πολλοὶ πρὸς ἄνδρα χρηστὸν, εἶτα ὃ γίνεται ταχέως
ἐπὶ ὀργῇ μετανοήσωσι, τὴν ῥάστην ἀπολογίαν δικαιοτάτην νομίζουσιν, ἐπιτρίψαι
τὸν ἀναπείσαντα καὶ κατάρξαμενον. τὸ μέντοι φαῦλον ἄνθρωπον, ἀπονοίᾳ δὲ καὶ δει-
νότητί τινι πεποιημένον ὑφ' αὑτῷ τὴν πόλιν, οἷος ἦν Κλέων Ἀθήνησι καὶ Κλεοφῶν, ἐ-
παναστάντα ταπεινῶσαι καὶ καθελεῖν, λαμπρὰν ποιεῖται τὴν πάροδον, ὥσπερ δρά-
ματος τῆς πολιτείας. οὐκ ἀγνοῶ δὲ ὅτι καὶ βουλὴν τινὲς ἐπαχθῆ καὶ ὀλιγαρχικὴν κολού-
σαντες, ὥσπερ Ἐφιάλτης Ἀθήνησι καὶ Φορμίων παρ' Ἠλείοις, δύναμιν ἅμα καὶ δόξαν
ἔσχον. ἀλλὰ μέγας ἀρχομένῳ πολιτείας οὗτος ὁ κίνδυνός ἐστι. διὸ βελτίονα Σόλων ἔ-
λαβεν ἀρχὴν, διεστώσης εἰς τρία μέρη τῆς πόλεως, τὸ τῶν Διακρίων λεγομένων, καὶ τὸ
τῶν Πεδιέων, καὶ τὸ τῶν Παραλίων. οὐδενὶ γὰρ ἐμμίξας ἑαυτὸν, ἀλλὰ κοινὸς ὢν πᾶ-
σι, καὶ πάντα λέγων καὶ πράττων πρὸς ὁμόνοιαν, ᾑρέθη νομοθέτης ἐπὶ τὰς διαλύσεις,
καὶ κατέστησεν οὕτω τὴν ἀρχήν. ἡ μὲν οὖν ἐπιφανεστέρα πάροδος εἰς τὴν πολιτείαν,
τοσαύτας ἔχει καὶ τοιαύτας ἀρχάς. τὴν δὲ ἀσφαλῆ καὶ σχολαίαν, εἵλοντο πολλοὶ
τῶν ἐνδόξων, Ἀριστείδης, Φωκίων, Παμμένης ὁ Θηβαῖος, Λεύκολλος ἐν Ῥώμῃ, Κά-
των, Ἀγησίλαος ὁ Λακεδαιμόνιος. τούτων γὰρ ἕκαστος ὥσπερ οἱ κιττοὶ τοῖς ἰσχύουσι
τῶν δένδρων περιπλεκόμενοι, συνεξανίστανται. προσδραμὼν ἀνδρὶ πρεσβυτέρῳ,
ἔτι νέος καὶ ἄδοξος ἐνδόξῳ, κατὰ μικρὸν αἰρόμενος ὑπὸ τῆς περὶ ἐκεῖνον δυνά-
μεως καὶ συναυξανόμενος, ἤρεισε καὶ κατερρίζωσεν ἑαυτὸν εἰς τὴν πολιτεί-
αν. Ἀριστείδην μὲν γὰρ ηὔξησε Κλεισθένης, καὶ Φωκίωνα Χαβρίας, Λεύκολ-
λον δὲ Σύλλας, Κάτωνα δὲ Μάξιμος, Ἐπαμινώνδαν δὲ Παμμένης, καὶ Λύσαν-
δρος Ἀγησίλαον. ἀλλ' οὗτος μὲν φιλοτιμίας ἀκαίρου καὶ ζηλοτυπίας δό-
ξαν ὑβρίσας, ἀπέρριψε ταχὺ τὸν καθηγεμόνα τῶν πρακτέων. οἱ δὲ ἄλλοι κα-
λῶς καὶ πολιτικῶς καὶ ἄχρι τέλους ἐθεράπευσαν καὶ συνεπεκόσμησαν. ὥσ-
περ τὰ πρὸς ἥλιον ὑφιστάμενα σώματα τὸ λαμπρῦνον αὐτοὺς πάλιν ἀφ' ἑαυ-
τῶν αὔξοντες καὶ συνεκφωτίζοντες. οἱ γοῦν Σκιπίωνι βασκαίνοντες,
ὑποκριτὴν αὐτὸν ἀπέφαινον τῶν πράξεων, ποιητὴν δὲ Λαίλιον τὸν ἑταῖρον. ὁ
δὲ Λαίλιος, ὑπ' οὐδενὸς ἐπήρθη τούτων, ἀλλ' ἀεὶ διετέλεσε τῇ Σκιπίωνος ἀρετῇ
καὶ δόξῃ συμφιλοτιμούμενος. Ἀφράνιος δὲ Πομπηΐου φίλος εἰ καὶ
πάνυ ταπεινὸς ἦν, ὅμως ἐπίδοξος ὢν ὕπατος αἱρεθήσεσθαι, Πομπηΐου σπου-
δάζοντος ἑτέροις, ἀπέστη τῆς φιλοτιμίας εἰπὼν, οὐκ ἂν οὕτω λαμπρὸν αὐτῷ
γενέσθαι τὸ τυχεῖν ὑπατείας, ὡς ἀνιαρὸν ἅμα καὶ δυσχερὲς, εἰ Πομπηΐου μὴ
θέλοντος μηδὲ συμπράττοντος. ἐνιαυτὸν οὖν ἀνασχόμενος μόνον, οὔτε τῆς
ἀρχῆς ἀπέτυχε καὶ τὴν φιλίαν διετήρησε. τοῖς δὲ οὕτω χειραγωγουμένοις ὑφ'
ἑτέρων εἰς δόξαν, ἅμα συμβαίνει ἐν ἑνὶ χαρίζεσθαί τε πολλοῖς, κἄν τι συμβαί-

νῃ δύσκολον ἧττον ἀπεχθάνεσθαι. διὸ καὶ Φίλιππος Ἀλεξάνδρῳ παρῄνει κτᾶ-
σθαι φίλους ἕως ἔξεστι βασιλεύοντος ἑτέρου πρὸς χάριν ὁμιλοῦντα καὶ φιλοφρο-
νούμενον. αἱρεῖσθαι δὲ δεῖ τὸν ἀρχόμενον πολιτείας ἡγεμόνα, μὴ ἁπλῶς τὸν
ἔνδοξον καὶ δυνατὸν, ἀλλὰ καὶ τὸν δι' ἀρετὴν τοιοῦτον. ὡς γὰρ οὐ πᾶν δένδρον ἐ-
θέλει προσίεσθαι καὶ φέρειν περιπλεκομένην τὴν ἄμπελον ἀλλ' ἔνια καταπνί-
γει καὶ διαφθείρει τὴν αὔξησιν αὐτῆς, οὕτως ἐν ταῖς πόλεσιν οἱ μὴ φιλόκαλοι,
φιλότιμοι δὲ καὶ φίλαρχοι μόνον, οὐ προΐενται τοῖς νέοις πράξεων ἀφορμὰς,
ἀλλ' ὥσπερ τροφὴν ἑαυτῶν τὴν δόξαν ἀφαιρουμένους, πιέζουσιν ὑπὸ φθόνου καὶ
καταμαραίνουσιν, ὡς Μάριος ἐν Λιβύῃ, καὶ πάλιν ἐν Γαλατίᾳ, πολλὰ διὰ Σύλ-
λα κατορθώσας, ἐπαύσατο χρώμενος. ἀχθεσθεὶς μὲν αὐτοῦ τῇ αὐξήσει, πρόφα-
σιν δὲ τὴν σφραγῖδα ποιησάμενος, ἀπέρριψεν. ὁ γὰρ Σύλλας ὅτε τῷ Μαρίῳ
στρατηγοῦντι συνῆν ταμιεύων ἐν Λιβύῃ πεμφθεὶς ὑπ' αὐτοῦ πρὸς Βόκχον, ἤγα-
γεν Ἰουγόρθαν αἰχμάλωτον. οἷα δὲ νέος φιλότιμος ἄρτι δόξης γεγευμένος, οὐκ
ἤνεγκε μετρίως τὸ εὐτύχημα. γλυψάμενος δὲ εἰκόνα τῆς πράξεως ἐν σφραγῖδι τὸν
Ἰουγόρθαν αὐτῷ παραδιδόμενον, ἐφόρει, καὶ τοῦτο ἐγκαλῶν Μάριος, ἀπέρριψεν
αὐτόν. ὁ δὲ πρὸς Κάτουλλον καὶ Μέτελλον ἄνδρας ἀγαθοὺς καὶ Μαρίῳ διαφό-
ρους μεταστὰς, ταχὺ τὸν Μάριον ἐξήλασε καὶ κατέλυσε τῷ ἐμφυλίῳ πολέμῳ
μικροῦ δεήσαντα τὴν Ῥώμην ἀνατρέψαι. Σύλλας μέντοι καὶ Πομπήϊον, ἐκ νέου
μὲν ἦρεν ὑπεξανιστάμενος αὐτῷ, καὶ τὴν κεφαλὴν ἀποκαλυπτόμενος ἐπιόντι,
καὶ τοῖς ἄλλοις νέοις, πράξεων ἡγεμονικῶν μεταδιδοὺς ἀφορμὰς, ἐνίους δὲ καὶ
παροξύνων ἄκοντας, ἐνέπλησε φιλοτιμίας καὶ ζήλου τὰ στρατεύματα, καὶ
πάντων ἐκράτησε βουλόμενος εἶναι μὴ μόνος, ἀλλὰ πρῶτος καὶ μέγιστος ἐν πολ-
λοῖς καὶ μεγάλοις. τούτων οὖν ἔχεσθαι δεῖ τῶν ἀνδρῶν, καὶ τούτοις ἐμφύε-
σθαι, μὴ καθάπερ ὁ Αἰσώπου βασιλίσκος, ἐπὶ τῶν ὤμων τοῦ ἀετοῦ κομισθεὶς, αἰ-
φνίδιον ἐξέπτη καὶ προέφθασεν, οὕτως τὴν ἐκείνων δόξαν ὑφαρπάζοντας αὐ-
τοὺς, ἀλλὰ παρ' ἐκείνων ἅμα μετ' εὐνοίας καὶ φιλίας λαμβάνοντας ὡς οὐδὲ
ἄρξαι καλῶς τοὺς μὴ πρότερον ὀρθῶς δουλεύσαντας ᾗ φησιν ὁ Πλάτων, δυνα-
μένους. ἕπεται δὲ τούτοις, ἡ περὶ φίλων κρίσις μήτε τὴν Θεμιστοκλέους ἐ-
παινοῦσα, μήτε τὴν Κλέωνος διάνοιαν. ὁ μὲν γὰρ Κλέων ὅτε πρῶτον ἔγνω τῆς πο-
λιτείας ἅπτεσθαι, τοὺς φίλους συναγαγὼν εἰς ταὐτὸ, διελύσατο τὴν φιλίαν
πρὸς αὐτοὺς, ὡς πολλὰ τῆς ὀρθῆς καὶ δικαίας προαιρέσεως μαλάττουσαν ἐν
τῇ πολιτείᾳ καὶ παράγουσαν. ἄμεινον δ' ἂν ἐποίησε τὴν φιλοπλουτίαν ἐκβα-
λὼν τῆς ψυχῆς καὶ τὴν φιλονεικίαν, καὶ φθόνου καὶ κακοηθείας καθήρας αὐ-
τὸν, οὐ γὰρ ἀφίλων αἱ πόλεις ἀνδρῶν καὶ ἀνεταίρων, ἀλλὰ χρηστῶν καὶ σωφρό-
νων δέονται. νυνὶ δὲ τοὺς μὲν φίλους ἀπήλασεν, ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων
οἰμωζομένων ἐλιχμῶντο περὶ αὐτὸν, ὡς οἱ κωμικοὶ λέγουσι, καὶ τραχὺς ὢν πρὸς
τοὺς ἐπιεικεῖς καὶ βαρὺς, αὖθις ὑπέβαλε τοῖς πολλοῖς πρὸς χάριν ἑαυτὸν γε-
ρονταγωγῶν, καὶ ἀναμισθαρνεῖν διδοὺς, καὶ τὸ φαυλότατον καὶ τὸ νοσοῦν μά-
λιστα τοῦ δήμου προσεταιριζόμενος ἐπὶ τοὺς ἀρίστους. ὁ δὲ Θεμιστοκλῆς πά-
λιν πρὸς τὸν ἀποφηνάμενον, ὡς ἄρξει καλῶς ἴσον ἅπασι παρέχων ἑαυτὸν, μη-
δέποτε εἶπεν εἰς τοιοῦτον ἐγὼ καθίσαιμι θρόνον, ἐν ᾧ πλέον οὐχ ἕξουσιν οἱ φίλοι
παρ' ἐμοὶ τῶν μὴ φίλων, οὐδὲ οὗτος ὀρθῶς τῇ φιλίᾳ κατεπαγγελλόμενος τὴν πο-
λιτείαν, καὶ τὰ κοινὰ καὶ δημόσια ταῖς ἰδίαις χάρισι καὶ σπουδαῖς ὑφιέμε-
νος. καίτοι γε πρὸς Σιμωνίδην ἀξιοῦντά τι τῶν μὴ δικαίων οὔτε ποιητὴς ἔφη
σπουδαῖός ἐστιν ᾄδων παρὰ μέλος, οὔτε ἄρχων ἐπιεικὴς παρὰ τὸν νόμον χαρι-
ζόμενος. δεινὸν γὰρ ὡς ἀληθῶς καὶ σχέτλιον, εἰ ναύτας μὲν ἐκλέγεται κυ-

κυβερνήτης, καὶ κυβερνήτην ναύκληρος· ὁ μὲν ἐνὶ πρύμνῃ οἰήιον, ὁ δὲ κεραίης εἰδότας ἐντείνασθαι ἐπορνυμένου ἀνέμοιο· καί τις ἀρχιτέκτων ὑπουργοὺς καὶ χειροτέχνας, οἳ μὴ διαφθεροῦσιν αὐτοῦ τὸ ἔργον, ἀλλ' ἄριστα συνεκπονήσουσιν, ὁ δὲ πολιτικὸς ἀριστοτέχνας τις ὢν κατὰ Πίνδαρον, καὶ δημιουργὸς εὐνομίας καὶ δίκης οὐκ εὐθὺς αἱρήσεται φίλους ὁμοιοπαθεῖς, καὶ ὑπηρέτας καὶ συνενθουσιῶντας αὐτῷ πρὸς τὸ καλόν, ἀλλ' ἄλλους ἄλλῃ πρὸς ἄλλην ἀεὶ χρείαν κάμπτοντας αὐτὸν ἀδίκως καὶ βιαίως· οὐδὲν γὰρ ὀφθήσεται διαφέρων οἰκοδόμου τινὸς ἢ τέκτονος ἀπειρίᾳ καὶ πλημμελείᾳ γωνίαις χρωμένου καὶ κανόσι καὶ στάθμαις, ὑφ' ὧν διαστρέφεσθαι τὸ ἔργον ἔμελλεν· ὄργανα γάρ οἱ φίλοι ζῶντα καὶ φρονοῦντα τῶν πολιτικῶν ἀνδρῶν εἰσί· καὶ οὐ δεῖ συνολισθαίνειν αὐτοῖς παραβαίνουσιν, ἀλλὰ προσέχειν ὅπως μὴ δὲ ἀγνοούντων αὐτῶν ἐξαμαρτάνωσι. Τοῦτο γὰρ καὶ Σόλωνα κατῄσχυνε καὶ διέβαλε πρὸς τοὺς πολίτας. ἐπεὶ γὰρ ἐν νῷ λαβὼν τὰ ὀφλήματα κουφίσαι καὶ τὴν σεισάχθειαν, τοῦτο δὲ ἦν ὑποκόρισμα χρεῶν ἀποκοπῆς εἰσενεγκεῖν, ἐκοινώσατο τοῖς φίλοις· οἱ δὲ ἔργον ἀδικώτατον ἔπραξαν· ἐδανείσαντο γὰρ ὑποφθάσαντες ἀργύριον πολύ, καὶ μετ' ὀλίγον χρόνον εἰς φῶς τοῦ νόμου προαχθέντος, οἱ μὲν ἐφάνησαν οἰκίας τε λαμπρὰς καὶ γῆν συνεωνημένοι πολλήν, ἐξ ὧν ἐδανείσαντο χρημάτων· ὁ δὲ Σόλων αἰτίαν ἔσχε συναδικεῖν ἠδικημένος. Ἀγησίλαος δὲ περὶ τὰς τῶν φίλων σπουδάς, αὐτὸς αὑτοῦ γινόμενος ἀσθενέστατος καὶ ταπεινότατος, ὥσπερ ὁ Εὐριπίδου Πήγασος, ἔπτηξ' ὑπείκων μᾶλλον ἢ μᾶλλον θέλοι· καὶ ταῖς ἀτυχίαις προθυμότερον βοηθῶν τῶν δεόντων, ἐδόκει συνεξομοιοῦσθαι ταῖς ἀδικίαις· καὶ γάρ τοι Φοιβίδαν κρινόμενον ἔσωσεν, ἐπὶ τῷ τὴν Καδμείαν καταλαβεῖν ἄνευ προστάγματος· φήσας τοιαῦτα δεῖν αὐτοματίζειν, καὶ Σφοδρίαν ἐπ' ἔργῳ παρανόμῳ καὶ δεινῷ φεύγοντα δίκην· ἐνέβαλε γὰρ εἰς τὴν Ἀττικὴν φίλων ὄντων καὶ συμμάχων, ἀφεθῆναι διεπράξατο δεήσεσιν ἐρωτικαῖς τοῦ παιδὸς μαλαχθείς, καὶ πρός τινα δυνάστην ἐπιστόλιον αὐτοῦ τοιοῦτον φέρεται. Νικίαν, εἰ μὲν οὐκ ἀδικεῖ, ἄφες, εἰ δ' ἀδικεῖ, ἐμοὶ ἄφες, πάντως δὲ ἄφες. Ἀλλὰ Φωκίων οὐδὲ τῷ γαμβρῷ Χαρίκλῳ δίκην ἔχοντι περὶ τῶν Ἁρπαλείων συνεισῆλθεν, ἀλλ' ἐγώ σε φήσας ἐπὶ πᾶσι τοῖς δικαίοις ἐποιησάμην κηδεστήν, ᾤχετο ἀπιών. Καὶ Τιμολέων ὁ Κορίνθιος τὸν ἀδελφὸν ἐπεὶ διδάσκων καὶ δεόμενος οὐκ ἀπέστησε τῆς τυραννίδος, συνέπραξε τοῖς ἀνελοῦσι. δεῖ γὰρ οὐκ ἄχρι τοῦ βωμοῦ φίλον εἶναι τῷ μὴ συνεπιορκεῖν, ὥς ποτε Περικλῆς εἶπεν, ἀλλ' ἄχρι παντὸς νόμου καὶ δικαίου καὶ συμφέροντος· ὃ παροφθέν, εἰς μεγάλην βλάβην ἀναφέρει καὶ κοινήν, ὡς ἀνέφερε τὸ μὴ δοῦναι δίκην Σφοδρίαν μηδὲ Φοιβίδαν. οὗτοι γὰρ οὐχ ἥκιστα τὴν Σπάρτην ἐνέβαλον εἰς τὸν Λευκτρικὸν πόλεμον. ἐπεὶ τοῖς γε μετρίοις ἁμαρτήμασι τῶν φίλων ἐπεμβαίνειν βαρύν, ὁ πολιτικὸς οὐκ ἀναγκάζει λόγος, ἀλλὰ καὶ δίδωσιν εἰς ἀσφαλὲς θεμένους τὰ μέγιστα τῶν κοινῶν ἐκ περιουσίας βοηθεῖν τοῖς φίλοις, καὶ παρίστασθαι καὶ συνεκπονεῖν ὑπὲρ αὐτῶν. εἰσὶ δὲ καὶ χάριτες ἀνεπίφθονοι συλλαβέσθαι πρὸς ἀρχὴν τῷ φίλῳ· μᾶλλον ἐγχειρίσαι τινὰ διοίκησιν ἔνδοξον ἢ πρεσβείαν φιλάνθρωπον, οἷον ἡγεμόνος τιμὰς ἔχουσαν, ἢ πρὸς πόλιν ὑπὲρ φιλίας καὶ ὁμονοίας ἔντευξιν· ἂν δὲ ᾖ τις ἐργώδης, ἐπιφανὴς δὲ καὶ μεγάλη πρᾶξις αὑτὸν ἐπὶ ταύτῃ τάξαντα πρῶτον, εἶτα προσελέσθαι τὸν φίλον ὡς ὁ Διομήδης· εἰ μὲν δὴ ἕταρόν γε κελεύετ' ἐμαυτὸν ἑλέσθαι, πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην· καὶ ἐκεῖνος αὖ πάλιν ἀνταποδίδωσιν οἰκείως τὸν ἔπαινον· ἵπποι δὲ γεραιὲ νεήλυδες οὓς ἐρεείνεις, Θρηίκιοι τὸν δέ σφιν ἄνακτ' ἀγαθὸς Διομήδης, ἔκτανε πὰρ δ' ἑτάρους δυοκαίδεκα πάντας ἀρίστους. αὕτη γὰρ

ἡ πρὸς τοὺς φίλους ὕφεσις, οὐχ ἧττον ἐπικοσμεῖ τῶν ἐπαινουμένων τοὺς ἐπαινοῦντας· ἡ δὲ αὐθάδεια φησὶν ὁ Πλάτων, ἐρημίᾳ σύνοικος. ἔτι τοίνυν τὰς καλὰς καὶ φιλανθρώπους χάριτας, δεῖ τοὺς φίλους συνεισποιεῖν, καὶ κελεύειν τοὺς εὖ παθόντας ἐκείνους ἐπαινεῖν καὶ ἀγαπᾶν, ὡς αἰτίους ἅμα καὶ συμβούλους γεγενημένους, τὰς δὲ φαύλας καὶ ἀτόπους ἀξιώσεις, ἀποτρίβεσθαι, μὴ πικρῶς, ἀλλὰ πράως διδάσκοντα καὶ παραμυθούμενον, ὡς οὐκ ἄξιαι τῆς ἐκείνων ἀρετῆς εἰσι καὶ δόξης. ἄριστα δ' αὖ ὁ Ἐπαμινώνδας, ἀρνησάμενος δεηθέντι τῷ Πελοπίδᾳ τὸν κάπηλον ἐκ τῆς εἱρκτῆς ἀφεῖναι, καὶ μετ' ὀλίγον τῆς ἐρωμένης δεηθείσης ἀφείς, τοιαύτας ἔφη χάριτας ὦ Πελοπίδα λαμβάνειν ἑταιριδίοις οὐ στρατηγοῖς πρέπον ἐστίν. ὁ δὲ Κάτων βαρέως καὶ αὐθαδῶς, ἐπεὶ Κάτλος ὁ τιμητὴς φίλος ὢν ἐν τοῖς μάλιστα καὶ συνήθης ἐξῃτεῖτό τινα τῶν κρινομένων ὑπ' αὐτοῦ ταμιεύοντος, αἰσχρόν ἐστιν ἔφη, σὲ τὸν ὀφείλοντα τοὺς νέους ἡμᾶς σωφρονίζειν, ὑπὸ τῶν ἡμετέρων ὑπηρετῶν ἐκβάλλεσθαι. τῷ γὰρ ἔργῳ τὴν χάριν ἐξῆν ἀπειπάμενον, ἀφελεῖν τοῦ λόγου τὴν τραχύτητα καὶ πικρίαν, ὡς μὴ δὲ τῇ πράξει τὸ λυπηρὸν ἑκουσίως ἀλλ' ἀναγκαίως ἐπιφέροντα διὰ τὸν νόμον καὶ τὸ δίκαιον. εἰσὶ δὲ καὶ πρὸς χρηματισμὸν οὐκ ἀγεννεῖς ἐν πολιτείᾳ τοῖς δεομένοις τῶν φίλων αἱ συλλήψεις, οἷον ὁ Θεμιστοκλῆς μετὰ τὴν μάχην ἰδὼν νεκρὸν στρεπτὰ χρυσᾶ καὶ μανιάκην περικείμενον, αὐτὸς μὲν παρῆλθεν, ἐπιστραφεὶς δὲ πρὸς τὸν φίλον, ἀνελοῦ ταῦτα εἶπεν, οὐ γὰρ καὶ σὺ Θεμιστοκλῆς γέγονας. δίδωσι γὰρ καὶ τοῦτο πολλάκις τῷ πολιτικῷ τὰ πράγματα πρὸς τοὺς φίλους, οὐ γὰρ δὴ Μενέμαχοι πάντες εἰσί, τῷ μὲν ἐγχείρισον συνηγορίαν ἔμμισθον ὑπὲρ τοῦ δικαίου, τῷ δὲ σύστησον πλούσιον ἐπιμελείας καὶ προστασίας δεόμενον, ἄλλῳ δὲ εἰς ἐργολαβίαν τινὰ σύμπραξον, ἢ μίσθωσιν ὠφελείας ἔχουσαν. Ἐπαμινώνδας δὲ καὶ πλουσίῳ τινὶ προσελθόντα φίλον, αἰτεῖν ἐκέλευσεν ἓν τάλαντον, ὡς αὐτοῦ δοῦναι κελεύσαντος. ἐπεὶ δὲ ὁ αἰτηθεὶς ἐλθὼν ἐπυνθάνετο τὴν αἰτίαν. ὅτι χρηστὸς εἶπεν οὗτος ὤν, πένης ἐστί. σὺ δὲ πλουτεῖς πολλὰ τῆς πόλεως νενοσφισμένος. καὶ τὸν Ἀγησίλαον ὁ Ξενοφῶν, ἀγάλλεσθαί φησι πλουτίζοντα τοὺς φίλους αὐτὸν ὄντα κρείττονα χρημάτων. ἐπεὶ δὲ πάσαις κορυδαλλίσι κατὰ Σιμωνίδην χρὴ λόφον ἐγγενέσθαι, καὶ πᾶσα πολιτεία φέρει τινὰς ἔχθρας καὶ διαφοράς, οὐχ ἥκιστα προσήκει καὶ περὶ τούτων ἐσκέφθαι τὸν πολιτικόν. οἱ μὲν οὖν πολλοὶ τὸν Θεμιστοκλέα καὶ τὸν Ἀριστείδην ἐπαινοῦσιν, ἐπὶ τῶν ὅρων τὴν ἔχθραν ἀποτιθεμένους, ὁσάκις ἐπὶ πρεσβείαν ἢ στρατηγίαν ἐξίοιεν· εἶτα πάλιν ἀναλαμβάνοντας. ἐνίοις δὲ καὶ τὸ Κρητίνου τοῦ Μάγνητος ὑπερφυῶς ἀρέσκει· Ἑρμείᾳ γὰρ ἀντιπολιτευόμενος ἀνδρὶ οὐ δυνατῷ, φιλοτίμῳ δὲ καὶ λαμπρῷ τὴν ψυχήν, ἐπεὶ κατέσχεν ὁ Μιθριδατικὸς πόλεμος τὴν πόλιν ὁρῶν κινδυνεύουσαν, ἐκέλευσε τὸν Ἑρμείαν τὴν ἀρχὴν παραλαβόντα, χρῆσθαι τοῖς πράγμασιν αὐτοῦ μεταστάντος· εἰ δὲ βούλεται στρατηγεῖν ἐκεῖνον, αὐτὸν ἐκποδὼν ἀπελθεῖν, μὴ φιλοτιμούμενοι πρὸς ἀλλήλους, ἀπολέσειαν τὴν πόλιν. ἤρεσεν ἡ πρόκλησις τῷ Ἑρμείᾳ, καὶ φήσας ἑαυτοῦ πολεμικώτερον εἶναι τὸν Κρητίναν, ὑπεξῆλθε μετὰ παίδων καὶ γυναικός. ὁ δὲ Κρητίνας ἐκεῖνόν τε προὔπεμψε, τῶν ἰδίων χρημάτων ἐπιδούς, ὅσα φεύγουσιν ἦν ἢ πολιορκουμένοις χρησιμώτερα, καὶ τὴν πόλιν ἄριστα στρατηγήσας παρ' οὐδὲν ἐλθοῦσαν ἀπολέσθαι περιεποίησεν ἀνελπίστως. εἰ γὰρ εὐγενὲς καὶ φρονήματος μεγάλου τὸ ἀναφωνῆσαι, φιλῶ τέκν', ἀλλὰ πατρίδ' ἐμὴν μᾶλλον φιλῶ, πῶς οὐκ ἐκείνοις προχειρότερον εἰπεῖν ἑκάστῳ, μισῶ τὸν δεῖνα καὶ βούλομαι ποιῆσαι κακῶς, ἀλλὰ πατρίδ' ἐμὴν μᾶλλον φιλῶ. τῷ γὰρ μὴ θέλειν διαλυθῆναι πρὸς ἐχθρόν, ὧν ἕνεκα δεῖ φίλον προέσθαι, δεινῶς ἄγριον καὶ θηριῶδες. οὐ μὴν ἀλ

λὰ βέλτιον οἱ περὶ Φωκίωνα καὶ Κάτωνα μὴ δὲ ὅλως ἔχθραν τινὰ πρὸς πολιτικὰς τιθέμενοι διαφοράς· ἀλλὰ δεινοὶ καὶ ἀπαραίτητοι μόνον ἐν τοῖς δημοσίοις ἀγῶσιν ὄντες μὴ προέσθαι τὸ συμφέρον· ἐν δὲ τοῖς ἰδίοις ἀμηνίτως καὶ φιλανθρώπως χρώμενοι τοῖς ἐκεῖ διαφερομένοις. δεῖ γὰρ ἐχθρὸν μηδένα νομίζειν πολίτην, ἂν μή τις οἷος Ἀριστίων, ἢ Νάβις, ἢ Κατιλίνας, νόσημα καὶ ἀπόστημα πόλεως ἐγγένηται, τοὺς δὲ ἄλλως ἀπᾴδοντας, ὥσπερ ἁρμονικὸν ἐπιτείνοντα, καὶ χαλῶντα πράως εἰς τὸ ἐμμελὲς ἄγειν, μὴ τοῖς ἁμαρτάνουσι σὺν ὀργῇ καὶ πρὸς ὕβριν ἐπιφυόμενος· ἀλλ' ὡς Ὅμηρος ἠθικώτερον· ὦ πέπον ἦ τ' ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων· καὶ οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι. ἄν τε τι χρηστὸν εἴπωσιν ἢ πράξωσι, μὴ τιμαῖς ἀχθόμενον αὐτῶν, μὴ δὲ λόγων εὐφήμων ἐπὶ καλοῖς φειδόμενον· οὕτω γὰρ ὅ τε ψόγος ὅπου δεῖ πίστιν ἕξει, καὶ πρὸς τὴν κακίαν διαβαλοῦμεν αὐτούς, αὔξοντες τὴν ἀρετήν, καὶ ταῦτα παραβάλλοντες ἐκείνοις, ὡς ἄξια καὶ πρέποντα μᾶλλον. ἐγὼ δὲ καὶ μαρτυρεῖν ἀξιῶ τὰ δίκαια τοῖς διαφόροις τὸν πολιτικὸν ἄνδρα, καὶ βοηθεῖν κρινομένοις πρὸς τοὺς συκοφάντας, καὶ ταῖς διαβολαῖς ἀπιστεῖν, ἂν ὦσιν ἀλλότριαι τῆς προαιρέσεως αὐτῶν, ὥσπερ ὁ Νέρων ἐκεῖνος ὀλίγον ἔμπροσθεν ἢ κτεῖναι τὸν Θρασέαν μάλιστα μισῶν καὶ φοβούμενος· ὅμως ἐγκαλοῦντός τινος ὡς κακῶς κεκριμένου καὶ ἀδίκως, ἐβουλόμην ἄν, ἔφη, Θρασέαν οὕτως ἐμὲ φιλεῖν, ὡς δικαστής ἄριστός ἐστιν. οὐ χεῖρον δὲ καὶ πρὸς ἐπίπληξιν ἑτέρων φύσει πονηρῶν μᾶλλον ἁμαρτανόντων, ἐχθροῦ μνησθέντα κομψοτέρου τὸ ἦθος εἰπεῖν· ἀλλ' ἐκεῖνος οὐκ ἂν τοῦτο εἶπεν οὐδ' ἐποίησεν. ὑπομνηστέον δὲ καὶ πατέρων ἀγαθῶν ἐνίους ὅταν ἐξαμαρτάνωσιν· Ὅμηρος· ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς, καὶ πρὸς Σκιπίωνα τὸν Ἀφρικανὸν Ἄππιος ἐν ἀρχαιρεσίαις διαγωνιζόμενος, ἡλίκον ἂν εἶπεν ὦ Παῦλε στενάξειας ὑπὸ γῆς αἰσθόμενος, ὅτι σου τὸν υἱὸν ἐπὶ τιμητικὴν ἀρχὴν καταβαίνοντα Φιλόνεικος ὁ τελώνης δορυφορεῖ. τὰ γὰρ τοιαῦτα νουθετεῖ τοὺς ἁμαρτάνοντας ἅμα καὶ κοσμεῖ τοὺς νουθετοῦντας. πολιτικῶς δὲ καὶ ὁ Νέστωρ ὁ τοῦ Σοφοκλέους ἀποκρίνεται λοιδορούμενος ὑπὸ τοῦ Αἴαντος· οὐ μέμφομαί σε, δρῶν γὰρ εὖ κακῶς λέγεις. καὶ Κάτων διενεχθεὶς πρὸς τὸν Πομπήιον, ἐν οἷς ἐβιάζετο τὴν πόλιν μετὰ Καίσαρος, ἐπεὶ κατέστησαν εἰς πόλεμον, ἐκέλευσε Πομπηίῳ παραδοῦναι τὴν ἡγεμονίαν, ἐπειπών, ὅτι τῶν αὐτῶν ἐστι καὶ ποιεῖν τὰ μεγάλα κακὰ καὶ παύειν. ὁ γὰρ μεμιγμένος ἐπαίνῳ ψόγος οὐκ ἔχων ὕβριν ἀλλὰ παρρησίαν, οὐδὲ θυμόν, ἀλλὰ δηγμὸν ἐμποιῶν καὶ μετάνοιαν, εὐμενὴς φαίνεται καὶ θεραπευτικός, αἱ δὲ λοιδορίαι τοῖς πολιτικοῖς ἥκιστα πρέπουσιν. ὅρα δὲ τὰ πρὸς Αἰσχίνην ὑπὸ Δημοσθένους εἰρημένα καὶ τὰ πρὸς τοῦτον ὑπ' Αἰσχίνου, καὶ πάλιν ἃ πρὸς Δημάδην γέγραφεν Ὑπερείδης· εἰ Σόλων ἂν εἶπεν ἢ Περικλῆς ἢ Λυκοῦργος ὁ Λακεδαιμόνιος ἢ Πιττακὸς ὁ Λέσβιος. καίτοι γε καὶ Δημοσθένης ἐν τῷ δικανικῷ τὸ λοίδορον ἔχει μόνῳ· οἱ δὲ Φιλιππικοὶ καθαρεύουσι καὶ σκώμματος καὶ βωμολοχίας ἁπάσης. τὰ γὰρ τοιαῦτα τῶν ἀκουόντων μᾶλλον αἰσχύνει τοὺς λέγοντας, ἔτι καὶ σύγχυσιν ἀπεργάζεται τῶν πραγμάτων καὶ διαταράττει τὰ βουλευτήρια καὶ τὰς ἐκκλησίας. ὅθεν ἄριστα ὁ Φωκίων ὑπεκστὰς τῷ λοιδοροῦντι καὶ παυσάμενος τοῦ λέγειν, ἐπεὶ μόλις ἐσιώπησεν ὁ ἄνθρωπος, αὖθις παρελθών, οὐκοῦν ἔφη περὶ μὲν τῶν ἱππέων καὶ τῶν ὁπλιτῶν, ἀκηκόατε· λείπεται δέ μοι, περὶ τῶν ψιλῶν καὶ πελταστῶν διελθεῖν. ἀλλ' ἐπεὶ πολλοῖς δυσκάθεκτόν ἐστι τὸ πρᾶγμα, καὶ πολλάκις οὐκ ἀχρήστως οἱ λοιδοροῦντες ἐπιστομίζονται ταῖς ἀπαντήσεσιν, ἔστω βραχεῖα τῇ λέξει καὶ μὴ θυμὸν ἐμφαίνουσα μὴ δὲ ἀκροχολίαν, ἀλλὰ πρᾳότητα μετὰ παιδιᾶς καὶ χάριτος ἅμως γέ πως δάκνουσαν. αἱ

δὲ ἀντεπιστρέφουσαι μάλιστα τοιαῦται. καθάπερ γὰρ τῶν βελῶν ὅσα πρὸς τὸν βαλόντα φέρεται πάλιν, ῥώμῃ τινὶ δοκεῖ καὶ στερεότητι τοῦ πληγέντος ἀνακρουόμενα τοῦτο πάσχειν, οὕτω τὸ λεχθὲν ὑπὸ ῥώμης καὶ συνέσεως τοῦ λοιδορηθέντος, ἐπὶ τοὺς λοιδορήσαντας ἀναστρέφειν ἔοικεν, ὡς τὸ Ἐπαμινώνδου πρὸς Καλλίστρατον ὀνειδίζοντα Θηβαίοις καὶ Ἀργείοις τὴν Οἰδίποδος πατροκτονίαν, καὶ τὴν Ὀρέστου μητροκτονίαν, ὅτι τοὺς ταῦτα ποιήσαντας ἡμῶν ἐκβαλόντων, ὑμεῖς ἐδέξασθε. καὶ τὸ Ἀνταλκίδου τοῦ Σπαρτιάτου πρὸς τὸν Ἀθηναῖον τὸν φήσαντα, πολλάκις ὑμᾶς ἀπὸ τοῦ Κηφισοῦ ἐδιώξαμεν, ἀλλ' ἡμεῖς γε ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα οὐδέποτε. χαριέντως δὲ καὶ ὁ Φωκίων τοῦ δήμου κεκραγότος, Ἀθηναῖοί σε ἀποκτενοῦσιν, ἄν γε μανῶσιν, ἔφη, σὲ δὲ ἂν σωφρονῶσι. καὶ Κράσσος ὁ ῥήτωρ Δομιτίου πρὸς αὐτὸν εἰπόντος, οὐ σὺ μυραίνης ἐν κολυμβήθρᾳ σοι τρεφομένης εἶτα ἀποθανούσης ἔκλαυσας; ἀντηρώτησεν, οὐ σὺ τρεῖς γυναῖκας θάψας οὐκ ἐδάκρυσας; ταῦτα μὲν οὖν ἔχει χρείαν τινὰ καὶ πρὸς τὸν ἄλλον βίον. πολιτείας δὲ οἱ μὲν εἰς ἅπαν ἐνδύονται μέρος, ὥσπερ ὁ Κάτων, οὐδεμιᾶς ἀξιοῦντες εἰς δύναμιν ἀπολείπεσθαι φροντίδος οὐδ' ἐπιμελείας τὸν ἀγαθὸν πολίτην. καὶ τὸν Ἐπαμινώνδαν ἐπαινοῦσιν, ὅτι φθόνῳ καὶ πρὸς ὕβριν ἀποδειχθεὶς τελέαρχος ὑπὸ τῶν Θηβαίων, οὐκ ἠμέλησεν· ἀλλ' εἰπὼν ὡς οὐ μόνον ἀρχὴ ἄνδρα δείκνυσιν, ἀλλὰ καὶ ἀρχὴν ἀνήρ, εἰς μέγα καὶ σεμνὸν ἀξίωμα προήγαγε τὴν τελεαρχίαν, οὐδὲν οὖσαν πρότερον· ἀλλ' ἢ περὶ τοὺς στενωποὺς ἐκβολῆς κοπρίων καὶ ῥευμάτων ἀποτροπῆς ἐπιμέλειάν τινα. κἀγὼ δὲ ἀμέλει παρέχω γέλωτα τοῖς παρεπιδημοῦσιν ὁρώμενος ἐν δημοσίῳ περὶ τὰ τοιαῦτα πολλάκις. ἀλλὰ βοηθεῖ μοι τὸ τοῦ Ἀντισθένους μνημονευόμενον· θαυμάσαντος γάρ τινος εἰ δι' ἀγορᾶς αὐτὸς φέρει τάριχον, ἐμαυτῷ γε εἶπεν. ἐγὼ δὲ ἀνάπαλιν πρὸς τοὺς ἐγκαλοῦντας εἰ κεράμῳ παρέστηκα διαμετρουμένῳ, καὶ φυράμασι καὶ λίθοις παρακομιζομένοις, οὐκ ἐμαυτῷ γέ φημι ταῦτα οἰκοδομεῖν, ἀλλὰ τῇ πατρίδι. εἰς τἄλλα πολλὰ μικρὸς ἄν τις εἴη καὶ γλίσχρος αὑτῷ διοικῶν, καὶ δι' αὑτὸν πραγματευόμενος· εἰ δὲ δημοσίᾳ καὶ διὰ τὴν πόλιν οὐκ ἀγεννής, ἀλλὰ μεῖζον τὸ μέχρι μικρῶν ἐπιμελὲς καὶ πρόθυμον. ἕτεροι δὲ σεμνότερον οἴονται καὶ μεγαλοπρεπέστερον εἶναι τὸ τοῦ Περικλέους, ὧν καὶ Κριτόλαός ἐστιν ὁ περιπατητικός, ἀξιῶν, ὥσπερ ἡ Σαλαμινία ναῦς Ἀθήνησι καὶ ἡ Πάραλος οὐκ ἐπὶ πᾶν ἔργον ἀλλ' ἐπὶ τὰς ἀναγκαίας καὶ μεγάλας κατεσπῶντο πράξεις, οὕτως ἑαυτῷ πρὸς τὰ κυριώτατα καὶ μέγιστα χρῆσθαι, ὡς ὁ τοῦ κόσμου βασιλεύς· τῶν ἄγαν γὰρ ἅπτεται θεός, τὰ μικρὰ δ' εἰς τύχην ἀνεὶς ἐᾷ, κατὰ τὸν Εὐριπίδην. οὐδὲ γὰρ τοῦ Θεαγένους τὸ φιλότιμον ἄγαν καὶ φιλόνεικον ἐπαινοῦμεν, ὃς οὐ μόνον τὴν περίοδον νενικηκώς, ἀλλὰ καὶ πολλοὺς ἀγῶνας, οὐ παγκρατίῳ μόνον ἀλλὰ καὶ πυγμῇ καὶ δολιχῷ, τέλος ἡρῷά τινος δειπνῶν ἐπιταφίου, ὥσπερ εἰώθει προτεθείσης ἅπασι τῆς μερίδος ἀναπηδήσας, διεπαγκρατίασεν, ὡς οὐδένα νικᾶν δέον αὐτοῦ παρόντος· ὅθεν ἤθροισε χιλίους καὶ διακοσίους στεφάνους· ὧν συρφετὸν ἄν τις ἡγήσαιτο τοὺς πλείστους. οὐδὲν οὖν τούτου διαφέρουσιν οἱ πρὸς πᾶσαν ἀποδυόμενοι πολιτικὴν πρᾶξιν, ἀλλὰ ποιοῦσι μεμπτοὺς ἑαυτοὺς τοῖς πολλοῖς ἐπαχθεῖς τε γίνονται καὶ κατορθοῦντες ἐπίφθονοι· κἂν σφαλῶσιν ἐπίχαροι· καὶ τὸ θαυμαζόμενον αὐτῶν ἐν ἀρχῇ τῆς ἐπιμελείας εἰς χλευασμὸν ὑπονοστεῖ καὶ γέλωτα. τοιοῦτον Μητίοχος μὲν στρατηγεῖ, Μητίοχος δὲ τὰς ὁδούς, Μητίοχος δὲ ἄρτους ἐποπτᾷ, Μητίοχος δὲ τὰ ἄλφιτα, Μητίοχος δὲ πάντα κεῖται, Μητίοχος δ' οἰμώξεται. τῶν Περικλέους ἑταίρων εἷς ἦν ἐκεῖνος· τῇ δ' ἐκείνου ὡς ἔοικε δυνάμει χρώμενος ἐπιφθόνως καὶ κατακόρως. δεῖ δὲ ὥς φασιν ἐρῶντι τῷ δήμῳ τὸν πολιτικὸν προσφέρεσθαι, καὶ

μὴ παρόντος ἑαυτοῦ, πόθον ἐναπολείπειν. ὃ καὶ Σκιπίων ὁ Ἀφρικανὸς ἐποίει, πολὺν χρόνον ἐν ἀγρῷ διαιτώμενος, ἅμα καὶ τοῦ φθόνου τὸ βάρος ἀφαιρῶν, καὶ διδοὺς ἀναπνοὴν τοῖς πιέζεσθαι δοκοῦσιν ὑπὸ τῆς ἐκείνου δόξης. Τιμησίας δὲ ὁ Κλαζομένιος τὰ μὲν ἄλλα ἦν περὶ τὴν πόλιν ἀνὴρ ἀγαθὸς, τῷ δὲ πάντα πράσσειν δι' ἑαυτοῦ, φθονούμενος ἠγνόει καὶ μισούμενος, ἕως αὐτῷ συνέβη τι τοιοῦτον. ἔτυχον ἐν ὁδῷ παῖδες ἐκ λάκκου τινὸς ἀστράγαλον ἐκκόπτοντες, ἐκείνου παριόντος, ὧν οἱ μὲν ἔφασκον μένειν, ὁ δὲ πατάξας, οὕτως εἶπεν ἐκκόψαι με Τιμησίου τὸν ἐγκέφαλον, ὡς οὗτος ἐκκέκοπται. τοῦτο ὁ Τιμησίας ἀκούσας, καὶ συνεὶς τὸν διήκοντα διὰ πάντων αὐτοῦ φθόνον, ἀναστρέψας ἔφρασε τὸ πρᾶγμα τῇ γυναικὶ, καὶ κελεύσας ἕπεσθαι συνεσκευασμένην, εὐθὺς ἀπὸ τῶν θυρῶν ᾤχετο ἀπιὼν ἐκ τῆς πόλεως. ἔοικε δὲ καὶ Θεμιστοκλῆς τοιούτου τινὸς ἀπαντῶντος αὐτῷ παρὰ τῶν Ἀθηναίων εἰπεῖν· τί ὦ μακάριοι κοπιᾶτε πολλάκις εὖ πάσχοντες. αὐτῶν δὲ τούτων τὰ μὲν ὀρθῶς, τὰ δὲ οὐκ εὖ λέλεκται. τῇ μὲν γὰρ εὐνοίᾳ καὶ κηδεμονίᾳ, δεῖ μηδενὸς ἀφεστάναι τῶν κοινῶν, ἀλλὰ πᾶσι προσέχειν καὶ γινώσκειν ἕκαστα. μηδὲ ὥσπερ ἐν πλοίῳ σκεῦος ἱερὸν ἀποκεῖσθαι τὰς ἐσχάτας περιμένοντα χρείας τῆς πόλεως καὶ τύχας, ἀλλ' ὡς οἱ κυβερνῆται τὰ μὲν ταῖς χερσὶ δι' αὑτῶν πράττουσι, τὰ δὲ ὀργάνοις ἑτέροις δι' ἑτέρων ἄπωθεν καθήμενοι, περιάγουσι καὶ στρέφουσι, χρῶνται δὲ καὶ ναύταις καὶ πρωρεῦσι καὶ κελευσταῖς, καὶ τούτων ἐνίους ἀνακαλούμενοι πολλάκις εἰς πρύμναν ἐγχειρίζουσι τὸ πηδάλιον, οὕτω τῷ πολιτικῷ προσήκει παραχωρεῖν μὲν ἑτέροις ἄρχειν καὶ προκαλεῖσθαι πρὸς τὸ βῆμα μετ' εὐνοίας καὶ φιλανθρωπίας, κινεῖν δὲ μὴ πάντα τὰ τῆς πόλεως τοῖς αὐτοῦ λόγοις καὶ ψηφίσμασιν ἢ πράξεσιν, ἀλλ' ἔχοντα πιστοὺς καὶ ἀγαθοὺς ἄνδρας ἕκαστον ἑκάστῃ χρείᾳ κατὰ τὸ οἰκεῖον προσαρμόττειν, ὡς Περικλῆς Μενίππῳ μὲν ἐχρῆτο πρὸς τὰς στρατηγίας, δι' Ἐφιάλτου δὲ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐταπείνωσε, διὰ δὲ Χαρίνου τὸ κατὰ Μεγαρέων ἐκύρωσε ψήφισμα, Λάμπωνα δὲ Θουρίων οἰκιστὴν ἐξέπεμψεν. οὐ γὰρ μόνον τῆς δυνάμεως εἰς πολλοὺς διανέμεσθαι δοκούσης ἧττον ἐνοχλεῖ τὸ φθόνον τὸ μέγεθος, ἀλλὰ καὶ τὰ τῶν χρειῶν ἐπιτελεῖται μᾶλλον. ὡς γὰρ ὁ τῆς χειρὸς εἰς τοὺς δακτύλους μερισμὸς οὐκ ἀσθενῆ πεποίηκεν, ἀλλὰ τεχνικὴν καὶ ὀργανικὴν αὐτῆς τὴν χρῆσιν, οὕτως ὁ πραγμάτων ἑτέροις ἐν πολιτείᾳ μεταδιδοὺς, ἐνεργοτέραν ποιεῖ τῇ κοινωνίᾳ τὴν πρᾶξιν. ὁ δὲ ἀπληστίᾳ δόξης ἢ δυνάμεως πᾶσαν ἑαυτῷ τὴν πόλιν ἀνατιθεὶς καὶ πρὸς ἃ μὴ πέφυκε μηδὲ ἤσκηται προσάγων αὑτὸν, ὡς Κλέων πρὸς τὸ στρατηγεῖν, Φιλοποίμην δὲ πρὸς τὸν ναυαρχεῖν, Ἀννίβας δὲ πρὸς τὸ δημηγορεῖν, οὐκ ἔχει παραίτησιν ἁμαρτάνων. ἀλλὰ προσακούει τὸ τοῦ Εὐριπίδου· τέκτων γὰρ ὢν ἔπραττες οὐ ξυλουργικά. λέγειν ἀπίθανος ὢν ἐπρέσβευες, ἢ ῥάθυμος ὢν ᾠκονόμεις, ψήφων ἄπειρος ἐταμίευες, ἢ γέρων καὶ ἀσθενὴς ἐστρατήγεις. Περικλῆς δὲ καὶ πρὸς Κίμωνα διενείματο τὴν δύναμιν, αὐτὸν μὲν ἄρχειν ἐν ἄστει, τὸν δὲ πληρώσαντα τὰς ναῦς, τοῖς βαρβάροις πολεμεῖν. ἦν γὰρ ὁ μὲν πρὸς πολιτείαν, ὁ δὲ πρὸς πόλεμον εὐφυέστερος. ἐπαινοῦσι δὲ καὶ τὸν Ἀναφλύστιον Εὔβουλον· ὅτι πίστιν ἔχων ἐν τοῖς μάλιστα καὶ δύναμιν, οὐδὲν τῶν Ἑλληνικῶν ἔπραξεν, οὐδ' ἐπὶ στρατηγίαν ἦλθεν, ἀλλ' ἐνταῦθα τὰ χρήματα τάξας ἑαυτὸν, ηὔξησε τὰς κοινὰς προσόδους, καὶ μεγάλα τὴν πόλιν ὠφέλησεν. Ἰφικράτης δὲ καὶ μελέτας λόγων ποιούμενος, ἐν οἴκῳ πολλῶν παρόντων ἐχλευάζετο. καὶ γὰρ εἰ λογεὺς ἀγαθὸς ἀλλὰ μὴ φαῦλος ἦν, ἔδει τὴν ἐν τοῖς ὅπλοις δόξαν ἀγαπῶντα, τῆς σχολῆς ἐξίστασθαι τοῖς σοφισταῖς. ἐπεὶ δὲ παντὶ δήμῳ τὸ κακόηθες καὶ φιλαίτιον ἔνεστι πρὸς τοὺς πολιτευομένους, καὶ πολ-

λὰ τῶν χρησίμων ἂν μὴ στάσιν ἔχῃ, μηδὲ ἀντιλογίαν ὑπονοοῦσι πράττεσθαι συνωμοτικῶς· καὶ τοῦτο διαβάλλει μάλιστα τὰς ἑταιρείας καὶ φιλίας, ἀληθινὴν μὲν ἔχθραν ἢ διαφορὰν, οὐδεμίαν ἑαυτοῖς ὑπολειπτέον. ὡς ὁ τῶν Χίων δημαγωγὸς Ὀνομάδημος οὐκ εἴα τῇ στάσει κρατήσας πάντας ἐκβάλλειν τοὺς ὑπεναντίους, ὅπως ἔφη μὴ πρὸς τοὺς φίλους ἀρξώμεθα διαφέρεσθαι, τῶν ἐχθρῶν παντάπασιν ἀπαλλαγέντες. τοῦτο μὲν γὰρ εὔηθες. ἀλλ' ὅταν ὑφόπτως ἔχωσιν οἱ πολλοὶ πρός τι πρᾶγμα καὶ μέγα καὶ σωτήριον, οὐ δεῖ πάντας ὥσπερ ἀπὸ συντάξεως ἥκοντας, τὴν αὐτὴν λέγειν γνώμην. ἀλλὰ δύο καὶ τρεῖς διαστάντας, ἀντιλέγειν ἠρέμα τῷ φίλῳ, εἶτα ὥσπερ ἐξελεγχομένους μετατίθεσθαι. συνεφέλκονται γὰρ οὕτω τὸν δῆμον ὑπὸ τοῦ συμφέροντος ἄγεσθαι δόξαντες. ἐν μέντοι τοῖς ἐλάττοσι καὶ πρὸς μέγα μηδὲν διήκουσιν, οὐ χεῖρόν ἐστι καὶ ἀληθῶς ἐᾶν διαφέρεσθαι τοὺς φίλους, ἕκαστον ἰδίῳ λογισμῷ χρώμενον, ὅπως περὶ τὰ κυριώτατα καὶ μέγιστα φαίνωνται πρὸς τὸ βέλτιστον οὐκ ἐκ παρασκευῆς ὁμοφρονοῦντες. Φύσει μὲν οὖν ἄρχων ἀεὶ πόλεως ὁ πολιτικὸς, ὥσπερ ἡγεμὼν ἐν μελίτταις. καὶ τοῦτο χρὴ διανοούμενον, ἔχειν τὰ δημόσια διὰ χειρός· ἃς δὲ ὀνομάζουσιν ἐξουσίας καὶ χειροτονοῦσιν ἀρχὰς, μήτε ἄγαν διώκειν καὶ πολλάκις· οὐ γὰρ σεμνὸν οὐδὲ δημοτικὸν ἡ φιλαρχία, μήτε ἀπωθεῖσθαι τοῦ δήμου κατὰ νόμον διδόντος καὶ καλοῦντος. ἀλλὰ κἂν ταπεινότεραι τῆς δόξης ὦσι, δέχεσθαι καὶ συμφιλοτιμεῖσθαι. δίκαιον γὰρ ὑπὸ τῶν μειζόνων κοσμουμένους ἀρχῶν, ἀντικοσμεῖν τὰς ἐλάττονας· καὶ τῶν μὲν βαρυτέρων, οἷον στρατηγίας Ἀθήνησι, καὶ πρυτανείας ἐν Ῥόδῳ, καὶ βοιωταρχίας παρ' ἡμῖν, ὑφίεσθαί τι καὶ παρενδιδόναι μετριάζοντα. ταῖς δὲ μικροτέραις ἀξίωμα προστιθέναι καὶ ὄγκον· ὅπως μήτε περὶ ταύτας εὐκαταφρόνητοι, μήτ' ἐπίφθονοι περὶ ἐκείνας ὦμεν. εἰσιόντα δὲ εἰς ἅπασαν ἀρχὴν, οὐ μόνον ἐκείνους δεῖ προχειρίζεσθαι τοὺς λογισμοὺς, οὓς ὁ Περικλῆς αὐτὸν ὑπεμίμνησκεν ἀναλαμβάνων τὴν χλαμύδα, πρόσεχε Περίκλεις, ἐλευθέρων ἄρχεις, Ἑλλήνων ἄρχεις, πολιτῶν Ἀθηναίων, ἀλλὰ κἀκεῖνο λέγειν πρὸς ἑαυτὸν ἀρχόμενος ἄρχεις, ὑποτεταγμένης πόλεως ἀνθυπάτοις, ἐπιτρόποις Καίσαρος, οὐ ταῦτα λόγχης πεδία, οὐδὲ αἱ παλαιαὶ Σάρδεις, οὐδὲ ἡ Λυδῶν ἐκείνη δύναμις. εὐσταλεστέραν δεῖ τὴν χλαμύδα ποιεῖν, καὶ βλέπειν ἀπὸ τοῦ στρατηγίου πρὸς τὸ βῆμα, καὶ τῷ στεφάνῳ μὴ πολὺ φρόνημα, πιστεύειν, ὁρῶντα τοὺς καλτίους ἐπάνω τῆς κεφαλῆς, ἀλλὰ μιμεῖσθαι τοὺς ὑποκριτὰς, πάθος μὲν ἴδιον καὶ ἦθος καὶ ἀξίωμα τῷ ἀγῶνι προστιθέντας, τοῦ δὲ ὑποβολέως ἀκούοντας καὶ μὴ παρεκβαίνοντας τοὺς ῥυθμοὺς καὶ τὰ μέτρα τῆς διδομένης ἐξουσίας ὑπὸ τῶν κρατούντων. ἡ γὰρ ἔκπτωσις οὐ φέρει συριγμὸν οὐδὲ χλευασμὸν, ἀλλὰ πολλοῖς μὲν ἐπέβη δεινὸς κολαστὴς πέλεκυς αὐχένος τομεύς. ὡς τοῖς περὶ Παρδάλαν τὸν ὑμέτερον ἐκλαθομένοις τῶν ὅρων. ὁ δέ τις ἐκριφεὶς εἰς νῆσον, γέγονε κατὰ τὸν Σόλωνα Φελεγάνδριος ἢ Σικινίτης ἀντ' Ἀθηναίου πατρίδ' ἀμειψάμενος. τὰ μὲν γὰρ μικρὰ παιδία τῶν πατέρων ὁρῶντες ἐπιχειροῦντα τὰς κρηπῖδας ὑποδεῖσθαι καὶ τοὺς στεφάνους περιτίθεσθαι μετὰ παιδιᾶς γελῶμεν. οἱ δὲ ἄρχοντες ἐν ταῖς πόλεσιν ἀνοήτως τὰ τῶν προγόνων ἔργα καὶ φρονήματα καὶ πράξεις ἀσυμμέτρους τοῖς παροῦσι καιροῖς καὶ πράγμασιν οὔσας μιμεῖσθαι κελεύοντες, ἐξαίρουσι τὰ πλήθη, γελοῖά τε ποιοῦντες, οὐκέτι γέλωτος ἄξια πάσχουσιν, ἂν μὴ πάνυ καταφρονηθῶσι. πολλὰ γάρ ἐστιν, ἀλλὰ τῶν πρότερον Ἑλλήνων διεξιόντα τοῖς νῦν, ἠθοποιεῖν καὶ σωφρονίζειν, ὡς Ἀθήνησιν ὑπομιμνήσκοντα, μὴ τῶν πολεμικῶν ἀλλ' οἷόν ἐστι τὸ ψήφισμα τὸ τῆς ἀμνηστίας ἐπὶ τοῖς τριάκοντα, καὶ τὸ ζημιῶσαι Φρύνιχον τραγῳδίᾳ διδάξαν-

τὴν Μιλήτου ἅλωσιν. καὶ ὅτι Θήβας Κασσάνδρου κτίζοντος, ἐστεφανηφόρη-
σαν. τὸν δὲ ἐν Ἄργει πυθόμενοι σκυταλισμόν, ἐν ᾧ πεντακοσίους καὶ χιλίους
ἀνῃρήκεσαν ἐξ αὐτῶν οἱ Ἀργεῖοι, περιενεγκεῖν καθάρσιον περὶ τὴν ἐκκλησίαν
ἐκέλευσαν. ἐν δὲ τοῖς Ἁρπαλείοις τὰς οἰκίας ἐρευνῶντες, μόνην τὴν τοῦ γεγα-
μηκότος νεωστὶ παρῆλθον. ταῦτα γὰρ ἔξεστι καὶ νῦν ζηλοῦντας, ἐξομοιοῦ-
σθαι τοῖς προγόνοις. τὸν δὲ Μαραθῶνα καὶ τὸν Εὐρυμέδοντα καὶ τὰς Πλαταιὰς
καὶ ὅσα τῶν παραδειγμάτων οἰδεῖν ποιεῖ καὶ φρυάττεσθαι διακενῆς τοὺς πολ-
λούς, ἀπολιπόντας ἐν ταῖς σχολαῖς τῶν σοφιστῶν. οὐ μόνον δὲ δεῖ παρέχειν
αὑτόν τε καὶ τὴν πατρίδα πρὸς τοὺς ἡγεμόνας ἀναίτιον, ἀλλὰ καὶ φίλον ἔχειν
ἀεί τινα τῶν ἄνω δυνατωτάτων, ὥσπερ ἔρυμα τῆς πολιτείας βέβαιον. τοιοῦ-
τοι γάρ εἰσι Ῥωμαῖοι πρὸς τὰς πολιτικὰς σπουδὰς προθυμότατοι τοῖς φίλοις,
καὶ καρπὸν οὐκ ἐκ φιλίας ἡγεμονικῆς λαμβάνοντες, οἷον ἔλαβε Πολύβιος καὶ
Παναίτιος, τῇ Σκιπίωνος εὐνοίᾳ πρὸς αὐτοὺς μεγάλα τὰς πατρίδας ὠφελή-
σαντες, εἰς εὐδαιμονίαν ἐξενέγκασθαι καλόν. Ἄρειόν τε Καῖσαρ, ὅτε τὴν Ἀλεξάν-
δρειαν εἷλε διὰ χειρὸς ἔχων, καὶ μόνῳ προσομιλῶν τῶν συνήθων συνεισήλασεν,
εἶτα τοῖς Ἀλεξανδρεῦσι τὰ ἔσχατα προσδοκῶσι καὶ δεομένοις, ὁ Αὔγουστος ἔφη
διαλλάττεσθαι, διά τε τὸ μέγεθος τῆς πόλεως, καὶ διὰ τὸν οἰκιστὴν Ἀλέξανδρον,
καὶ τρίτον ἔφη τῷ φίλῳ μου τούτῳ χαριζόμενος. ἆρά γε ἄξιον τῇ χάριτι
ταύτῃ παραβαλεῖν τὰς πολυταλάντους ἐπιτροπὰς καὶ διοικήσεις τῶν ἐπαρ-
χιῶν, ἃς διώκοντες οἱ πολλοὶ γηράσκουσι πρὸς ἀλλοτρίαις θύραις τὰ οἴκοι προ-
λιπόντες; ἢ τὸν Εὐριπίδην ἐπανορθωτέον ᾄδοντα καὶ λέγοντα, ὡς εἴπερ ἀγρυ-
πνεῖν χρή, καὶ φοιτᾶν ἐπ' αὐλὴν ἑτέρου, καὶ ὑποβάλλειν ἑαυτὸν ἡγεμονικῇ συ-
νηθείᾳ, πατρίδος πέρι κάλλιστον ἐνθάδε ταῦτα χωρεῖν, τὰ δὲ ἄλλα τὰς ἐπὶ τοῖς ἴ-
σοις καὶ δικαίοις φιλίας ἀσπάζεσθαι καὶ διώκειν. ποιοῦντα μέντοι καὶ πα-
ρέχοντα τοῖς κρατοῦσιν εὐπειθῆ τὴν πατρίδα, δεῖ μὴ προσεκταπεινοῦν, μηδὲ
τοῦ σκέλους δεδεμένου προσυποβάλλειν καὶ τὸν τράχηλον, ὥσπερ ἔνιοι καὶ μι-
κρὰ καὶ μείζω φέροντες ἐπὶ τοὺς ἡγεμόνας, ἐξονειδίζουσι τὴν δουλείαν. μᾶλ-
λον δὲ ὅλως τὴν πολιτείαν ἀναιροῦσι, καταπλῆγα καὶ περιδεῆ καὶ πάντων ἄ-
κυρον ποιοῦντες. ὥσπερ γὰρ οἱ χωρὶς ἰατροῦ μήτε δειπνεῖν μήτε λούεσθαι συ-
νεθισθέντες, οὐδ' ὅσον ἡ φύσις δίδωσι χρῶνται τῷ ὑγιαίνειν, οὕτως οἱ παντὶ δόγ-
ματι καὶ συνεδρίῳ καὶ χάριτι καὶ διοικήσει προσάγοντες ἡγεμονικὴν κρίσιν,
ἀναγκάζουσιν ἑαυτῶν μᾶλλον ἢ βούλονται δεσπότας εἶναι τοὺς ἡγουμένους.
αἰτία δὲ τούτου μάλιστα πλεονεξία καὶ φιλονεικία τῶν πρώτων. ἢ γὰρ ἐν οἷς
βλάπτουσι τοὺς ἐλάττονας ἐκβιάζονται φεύγειν τὴν πόλιν, ἢ περὶ ὧν διαφέ-
ρονται πρὸς ἀλλήλους, οὐκ ἀξιοῦντες ἐν τοῖς πολίταις ἔχειν ἔλαττον, ἐπάγον-
ται τοὺς κρείττονας. ἐκ τούτου δὲ καὶ βουλὴ καὶ δῆμος καὶ δικαστήρια καὶ ἀρ-
χὴ πᾶσα τὴν ἐξουσίαν ἀπόλλυσι. δεῖ δὲ τοὺς μὲν ἰδιώτας, ἰσότητι. τοὺς δὲ δυ-
νατούς, ἀνθυπείξει πραΰνοντα, κατέχειν ἐν τῇ πολιτείᾳ καὶ διαλύειν τὰ πράγ-
ματα, πολιτικήν τινα ποιούμενον αὐτῶν, ὥσπερ νοσημάτων ἀπορρήτων ἰατρείαν,
αὐτόν τε μᾶλλον ἡττᾶσθαι βουλόμενον ἐν τοῖς πολίταις, ἢ νικᾶν ὕβρει καὶ κα-
ταλύσει τῶν οἴκοι δικαίων, τῶν τε ἄλλων ἑκάστου δεόμενον καὶ διδάσκοντα τὴν
φιλονεικίαν ὅσον ἐστὶ κακόν, νῦν δὲ ὅπως μὴ πολίταις καὶ φυλέταις οἴκοι, καὶ
γείτοσι καὶ συνάρχουσιν ἀνθυπείξωσι μετὰ τιμῆς καὶ χάριτος, ἐπὶ ῥητόρων θύ-
ρας καὶ πραγματικῶν χεῖρας ἐκφέρουσι σὺν πολλῇ βλάβῃ καὶ αἰσχύνῃ τὰς
διαφοράς. οἱ μὲν γὰρ ἰατροὶ τῶν νοσημάτων ὅσα μὴ δύνανται παντάπα-
σιν ἀνελεῖν ἔξω τρέπουσιν εἰς τὴν ἐπιφάνειαν τοῦ σώματος, ὁ δὲ πολιτικὸς ἂν μὴ
δύνηται

δύνηται πόλιν ἀπράγμονα τὴν παντελῶς διαφυλάττειν, ἐν αὐτῇ γε πειρά-
σεται τὸ ταρασσόμενον αὐτῆς καὶ στασιάζον, ἀποκρύπτων ἰᾶσθαι καὶ διοικεῖν,
ὡς ἂν ἥκιστα τῶν ἐκτὸς ἰατρῶν καὶ φαρμάκων δέοιτο. ἡ μὲν γὰρ προαίρεσις ἔ-
στω τοῦ πολιτικοῦ τῆς ἀσφαλείας ἐχομένη, καὶ φευγούση τὸ ταρακτικὸν τῆς
κενῆς δόξης καὶ μανικόν, ὡς εἴρηται, τῇ μέντοι διαθέσει φρόνημα καὶ μένος πο-
λυθαρσὲς ἐνέστω ἄτρομον, οἷόν τ' ἀνδρὰς ἐπέρχεται οἳ περὶ πάτρης ἀνδράσι δυσ-
μενέεσσι καὶ πράγμασι δυσκόλοις καὶ καιροῖς ἀντερείδουσι καὶ διαμάχονται.
δεῖ γὰρ οὐ ποιεῖν χειμῶνας αὐτόν, ἀλλὰ μὴ προλιπεῖν ἐπιπεσόντων, οὐδὲ κινεῖν
τὴν πόλιν ἐπισφαλῶς, σφαλλομένῃ δὲ καὶ κινδυνευούσῃ βοηθεῖν, ὥσπερ ἄγκυ-
ραν ἱερὰν αἰράμενον ἐξ αὐτοῦ τὴν παρρησίαν ἐπὶ τοῖς μεγίστοις, οἷα Περγαμηνοὺς
ἐπὶ Νέρωνος κατέλαβε πράγματα, καὶ Ῥοδίους ἔναγχος ἐπὶ Δομετιανοῦ, καὶ Θεσ-
σαλοὺς πρότερον ἐπὶ τοῦ Σεβαστοῦ, Πετραῖον ζῶντα κατακαύσαντας. ἔνθ' οὐκ
ἂν βρίζοντα ἴδοις οὐδὲ καταπτώσσοντα τὸν ἀληθῶς πολιτικόν, οὐδὲ αἰτιώμε-
νον ἑτέρους, αὐτὸν δὲ τῶν δεινῶν ἔξω τιθέμενον, ἀλλὰ καὶ πρεσβεύοντα καὶ
πλέοντα καὶ λέγοντα πρῶτον. οὐ μόνον ἥκομεν οἱ κτείναντες, ἀπότρεπε λοι-
γὸν Ἄπολλον. ἀλλὰ κἂν τῆς ἁμαρτίας μὴ μετάσχῃ τοῖς πολλοῖς τοὺς κινδύνους
ὑπὲρ αὐτῶν ἀναδεχόμενον. καὶ γὰρ καλὸν τοῦτο καὶ πρὸς τῷ καλῷ πολ-
λάκις ἑνὸς ἀνδρὸς ἀρετὴ καὶ φρόνημα θαυμασθέν, ἠμαύρωσε τὴν πρὸς πάν-
τας ὀργήν, καὶ διεσκέδασε τὸ φοβερὸν καὶ πικρὸν τῆς ἀπειλῆς, οἷα καὶ πρὸς
Βοῦλιν ἔοικε καὶ Σπέρχιν τοὺς Σπαρτιάτας παθεῖν ὁ Πέρσης, καὶ πρὸς Σθέ-
νωνα Πομπήιος ἔπαθεν. ὅτε Μαμερτίνους μέλλοντος αὐτοῦ κολάζειν διὰ τὴν ἀ-
πόστασιν, οὐκ ἔφη δίκαια πράξειν αὐτὸν ὁ Σθένων, εἰ πολλοὺς ἀναιτίους ἀπολεῖ δι'
ἕνα τὸν αἴτιον. ὁ γὰρ ἀποστήσας τὴν πόλιν, αὐτὸς εἶναι, τοὺς μὲν φίλους πείσας
τοὺς δὲ ἐχθροὺς βιασάμενος. οὕτω ταῦτα διέθηκε τὸν Πομπήιον, ὥς τε καὶ τὴν
πόλιν ἀφεῖναι καὶ τῷ Σθένωνι χρήσασθαι φιλανθρώπως. ὁ δὲ Σύλλα ξένος
ὁμοίᾳ μὲν ἀρετῇ πρὸς οὐχ ὅμοιον δὲ χρησάμενος, εὐγενῶς ἐτελεύτησεν. ἐπεὶ
γὰρ ἑλὼν Πραινεστὸν ὁ Σύλλας ἔμελλε τοὺς ἄλλους ἅπαντας ἀποσφάττειν, ἕνα δ'
ἐκεῖνον ἠφίει διὰ τὴν ξενίαν, εἰπών, ὡς οὐ βούλεται σωτηρίας χάριν εἰδέναι τῷ
φονεῖ τῆς πατρίδος, ἀνέμιξεν ἑαυτὸν καὶ συγκατεκόπη τοῖς πολίταις.
τοιούτους μὲν οὖν καιροὺς ἀπεύχεσθαι χρὴ καὶ τὰ βελτίονα προσδοκᾶν. ἱερὸν
δὲ χρῆμα καὶ μέγα πᾶσαν ἀρχὴν οὖσαν καὶ ἄρχοντα, δεῖ μάλιστα τιμᾶν. τιμὴ
δὲ ἀρχῆς ὁμοφροσύνη καὶ φιλία πρὸς συνάρχοντας. πολλῷ μᾶλλον ἢ στέφα-
νοι καὶ χλαμὺς περιπόρφυρος. οἱ δὲ τὸ συστρατεύσασθαι καὶ συνεφηβεῦσαι
φιλίας ἀρχὴν τιθέμενοι. τὸ δὲ συστρατηγεῖν καὶ συνάρχειν ἔχθρας αἴτιον λαμ-
βάνοντες, ἓν τῶν τριῶν κακῶν οὐ διαπεφεύγασιν. ἢ γὰρ ἴσους ἡγούμενοι τοὺς
συνάρχοντας αὐτοὶ στασιάζουσιν, ἢ κρείττονας φθονοῦσιν, ἢ ταπεινοτέρους κα-
ταφρονοῦσι. δεῖ δὲ καὶ θεραπεύειν τὸν κρείττονα, καὶ κοσμεῖν τὸν ἥττονα, καὶ τι-
μᾶν τὸν ὅμοιον. ἀσπάζεσθαι δὲ καὶ φιλεῖν ἅπαντας, ὡς οὐ διὰ τραπέζης ἢ κώ-
θωνος οὐδὲ ἐφεστίας, ἀλλὰ κοινῇ καὶ δημοσίᾳ φίλους γεγονότας καὶ τρόπον τι-
νὰ πατρῴαν τὴν ἀπὸ τῆς πατρίδος εὔνοιαν ἔχοντας. ὁ γοῦν Σκιπίων ἤκου-
σεν ἐν Ῥώμῃ κακῶς, ὅτι φίλους ἑστιῶν ἐπὶ τῇ καθιερώσει τοῦ Ἡρακλείου, τὸν συ-
νάρχοντα Μόμμιον οὐ παρέλαβε. καὶ γὰρ εἰ τἆλλα μὴ φίλους ἐνόμιζον ἑαυ-
τοὺς ἐν τοῖς γε τοιούτοις ἠξίουν τιμᾶν καὶ φιλοφρονεῖσθαι διὰ τὴν ἀρχήν.
ὅπου τοίνυν ἀνδρὶ τἆλλα θαυμασίῳ τῷ Σκιπίωνι, μικρὸν οὕτω φιλανθρώπευ-
μα παραλειφθέν, ὑπεροψίας ἤνεγκε δόξαν, ἦ πού κολούων ἄν τις ἀξίωμα συ-
νάρχοντος, ἢ πράξεσιν ἐχούσαις φιλοτιμίαν ἐπηρεάζων, ἢ πάντα συλλήβδην

ἀναπιθεὶς ἅμα καὶ περιιάπτων ὑπ᾽ αὐθαδείας εἰς ἑαυτόν, ἐκείνου δὲ ἀφαιρούμενος, ἐπιεικὴς ἂν φανείη καὶ μέτριος. Μέμνημαι νέον ἐμαυτὸν ἔτι πρεσβευτὴν μεθ᾽ ἑτέρου πεμφθέντα πρὸς ἀνθύπατον, ἀπολειφθέντος δέ πως ἐκείνου, μόνον ἐντυχόντα καὶ διαπραξάμενον· ὡς οὖν ἔμελλον ἐπανελθὼν ἀπαπρεσβεύειν, ἀναστὰς ὁ πατὴρ κατ᾽ ἰδίαν, ἐκέλευσε μὴ λέγειν, ᾠχόμην, ἀλλ᾽ ᾠχόμεθα, μηδὲ εἶπον, ἀλλ᾽ εἴπομεν, καὶ τἆλλα συνεφαπτόμενον οὕτω καὶ κοινούμενον ἀπαγγέλλειν. οὐ γὰρ μόνον ἐπιεικὲς τὸ τοιοῦτον καὶ φιλάνθρωπόν ἐστιν, ἀλλὰ καὶ τὸ λυποῦν τὸν φθόνον ἀφαιρεῖ τῆς δόξης. Ὅθεν οἱ μεγάλοι καὶ δαίμονα καὶ τύχην τοῖς κατορθώμασι συνεπιγράφουσιν, ὡς Τιμολέων ὁ τὰς ἐν Σικελίᾳ καταλύσας τυραννίδας Αὐτοματίας ἱερὸν ἱδρύσατο· καὶ Πύθων ἐπὶ τῷ Κότυν ἀποκτεῖναι θαυμαζόμενος καὶ τιμώμενος ὑπὸ τῶν Ἀθηναίων, ὁ θεὸς ἔφη ταῦτα ἔπραξε, τὴν χεῖρα παρ᾽ ἐμοῦ χρησάμενος. Θεόπομπος δὲ ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, πρὸς τὸν εἰπόντα σώζεσθαι τὴν Σπάρτην διὰ τοὺς βασιλεῖς ἀρχικοὺς ὄντας, μᾶλλον ἔφη διὰ τοὺς πολίτας πειθαρχικοὺς ὄντας. Γίνεται μὲν οὖν δι᾽ ἀλλήλων ἀμφότερα ταῦτα· λέγουσι δὲ οἱ πλεῖστοι καὶ νομίζουσι πολιτικῆς παιδείας ἔργον εἶναι τὸ καλῶς ἀρχομένους παρέχειν. καὶ γὰρ πλέον ἐστὶ τοῦ ἄρχοντος ἐν ἑκάστῃ πόλει τὸ ἀρχόμενον, καὶ χρόνον ἕκαστος ἄρχει βραχύν, ἄρχεται δὲ τὸν ἅπαντα χρόνον ἐν δημοκρατίᾳ πολιτευόμενος· ὥστε κάλλιστον εἶναι μάθημα καὶ χρησιμώτατον τὸ πειθαρχεῖν τοῖς ἡγουμένοις, κἂν ὑποδεέστεροι δυνάμει καὶ δόξῃ τυγχάνωσιν ὄντες. Ἄτοπον γάρ ἐστι τὸν μὲν ἐν τραγῳδίᾳ πρωταγωνιστὴν Θεόδωρον ἢ Πῶλον ὄντα, μισθωτῷ τῷ τὰ τρίτα λέγοντι πολλάκις ἕπεσθαι καὶ προσδιαλέγεσθαι ταπεινῶς, ἂν ἐκεῖνος ἔχῃ τὸ διάδημα καὶ τὸ σκῆπτρον, ἐν δὲ πράξεσιν ἀληθιναῖς καὶ πολιτείᾳ τὸν πλούσιον καὶ ἔνδοξον ὀλιγωρεῖν καὶ καταφρονεῖν ἄρχοντος ἰδιώτου καὶ πένητος, ἐνυβρίζοντα καὶ καθαιροῦντα τῷ περὶ αὐτὸν ἀξιώματι τὸ τῆς πόλεως· ἀλλὰ μὴ μᾶλλον αὔξοντα καὶ προστιθέντα τὴν ἀπ᾽ αὐτοῦ δόξαν καὶ δύναμιν τῇ ἀρχῇ· καθάπερ ἐν Σπάρτῃ τοῖς ἐφόροις οἵ τε βασιλεῖς ὑπεξανίσταντο. καὶ τῶν ἄλλων ὁ κληθείς, οὐ βάδην ὑπήκουεν, ἀλλὰ δρόμῳ καὶ σπουδῇ δι᾽ ἀγορᾶς θέοντες, ἐπεδείκνυντο τὴν εὐπείθειαν τοῖς πολίταις, ἀγαλλόμενοι τῷ τιμᾶν τοὺς ἄρχοντας. Οὐχ ὥσπερ ἔνιοι τῶν ἀπειροκάλων καὶ σολοίκων, οἷον ἰσχύος ἑαυτῶν καλλωπιζόμενοι περιουσίᾳ βραβευταῖς ἐν ἀγῶσι προπηλακίζουσι. καὶ χορηγοὺς ἐν Διονυσίοις λοιδοροῦσι, καὶ στρατηγῶν καὶ γυμνασιαρχῶν καταγελῶσιν, οὐκ εἰδότες οὐδὲ μανθάνοντες ὅτι τοῦ τιμᾶσθαι, τὸ τιμᾶν πολλάκις ἐστὶν ἐνδοξότερον. Ἀνδρὶ γὰρ ἐν πόλει δυναμένῳ μέγα, μείζονα φέρει κόσμον ἄρχων δορυφορούμενος ὑπ᾽ αὐτοῦ καὶ προπεμπόμενος, ἢ δορυφορῶν καὶ προπέμπων· μᾶλλον δὲ τοῦτο μὲν ἀηδίαν καὶ φθόνον, ἐκεῖνο δὲ τὴν ἀληθινὴν φέρει καὶ τὴν ἀπ᾽ εὐνοίας δόξαν· ὀφθεὶς δὲ ἐπὶ θύραις ποτὲ καὶ πρότερος ἀσπασάμενος, καὶ λαβὼν ἐν περιπάτῳ μέσον, οὐδὲν ἀφαιρούμενος ἑαυτοῦ, τῇ πόλει κόσμον περιτίθησι. Δημοτικὸν δὲ καὶ βλασφημίαν ἐνεγκεῖν καὶ ὀργὴν ἄρχοντος, ἢ τὸ τοῦ Διομήδους ὑπειπόντα, τούτῳ μὲν γὰρ κῦδος ἅμ᾽ ἕψεται, ἢ τὸ τοῦ Δημοσθένους, ὅτι νῦν οὐκ ἔστι Δημοσθένης μόνον, ἀλλὰ καὶ θεσμοθέτης ἢ χορηγὸς ἢ στεφανηφόρος. Ἀναθετέον οὖν τὴν ἄμυναν εἰς τὸν χρόνον, ἢ γὰρ ἐπέξιμεν ἀπαλλαγέντι τῆς ἀρχῆς, ἢ κερδανοῦμεν ἐν τῷ περιμένειν, τὸ παύσασθαι τῆς ὀργῆς. Σπουδῇ μέντοι καὶ προνοίᾳ περὶ τὰ κοινὰ καὶ φροντίδι πρὸς ἅπασαν ἀρχὴν ἀεὶ διαμιλλητέον· ἂν μὲν ὦσι χαρίεντες, αὐτῶν ὑφηγούμενον ἃ δεῖ καὶ φράζοντα καὶ διδόντα χρῆσθαι τοῖς βεβουλευμένοις ὀρθῶς, καὶ τὸ κοινὸν εὐδοκιμεῖν ὠφελοῦντα. Ἐὰν δὲ

ἐνῇ

ἐνῇ τις ἐκείνοις ὄκνος ἢ μέλλησις ἢ κακοήθεια πρὸς τὴν πρᾶξιν, οὕτω χρὴ παρεῖναι καὶ λέγειν αὐτὸν εἰς τοὺς πολλούς, καὶ μὴ παραμελεῖν μηδὲ ὑφίεσθαι τῶν κοινῶν, ὡς οὐ προσῆκον ἄρχοντος ἑτέρου πολυπραγμονεῖν καὶ παραδιοικεῖν. ὁ γὰρ νόμος ἀεὶ τῷ τὰ δίκαια πράσσοντι καὶ γινώσκοντι τὰ συμφέροντα, τὴν πρώτην τάξιν ἐν τῇ πολιτείᾳ δίδωσιν. Ἦν δέ τις φησὶν ἐν τῷ στρατεύματι Ξενοφῶν, οὔτε στρατηγὸς οὔτε λοχαγός, ἀλλὰ τὸ φρονεῖν τὰ δέοντα καὶ τολμᾶν αὐτὸν εἰς τὸ ἄρχειν καταστήσας, διέσωσε τοὺς Ἕλληνας. Καὶ τῶν Φιλοποίμενος ἔργων ἐπιφανέστατόν ἐστι, τὸ Ἄγιδος Μεσσήνην καταλαβόντος, οὐκ ἐθέλοντος δὲ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν βοηθεῖν, ἀλλ᾽ ἀποδειλιῶντος, αὐτὸν ὁρμήσαντα μετὰ τῶν προθυμοτάτων ἄνευ δόγματος, ἐξελέσθαι τὴν πόλιν. Οὐ μὴν διὰ μικρὰ δεῖ καὶ τὰ τυχόντα καινοτομεῖν, ἀλλ᾽ ἐπὶ τοῖς ἀναγκαίοις ὡς ὁ Φιλοποίμην, ἢ τοῖς καλοῖς ὡς Ἐπαμινώνδας, ἐπιβαλὼν τέτταρας μῆνας τῇ βοιωταρχίᾳ παρὰ τὸν νόμον· ἐν οἷς εἰς τὴν Λακωνικὴν ἐνέβαλε καὶ τὰ περὶ Μεσσήνην ἔπραξεν· ὅπως κἂν ἀπαντᾷ τις ἐπὶ τούτῳ κατηγορία καὶ μέμψις, ἀπολογίαν τῆς κατηγορίας τὴν ἀνάγκην ἔχωμεν, ἢ παραμυθίαν τοῦ κινδύνου τὸ μέγεθος τῆς πράξεως καὶ τὸ κάλλος. Ἰάσονος τοῦ Θετταλῶν μονάρχου γνώμην ἀπομνημονεύουσιν, ἐφ᾽ οἷς ἐβιάζετο καὶ παρηνώχλει τινὰς ἀεὶ λεγομένην, ὡς ἀναγκαῖον ἀδικεῖν τὰ μικρὰ τοὺς βουλομένους τὰ μεγάλα δικαιοπραγεῖν. Τοῦτον μὲν οὖν ἄν τις εὐθὺς καταμάθοι τὸν λόγον, ὡς ἔστι δυναστευτικός· ἐκεῖνο δὲ πολιτικώτερον παράγγελμα, τὸ τὰ μικρὰ τοῖς πολλοῖς προΐεσθαι χαριζόμενον, ἐπὶ τῷ τοῖς μείζοσιν ἐνίστασθαι καὶ κωλύειν ἐξαμαρτάνοντας. ὁ γὰρ περὶ πάντα λίαν ἀκριβὴς καὶ σφοδρὸς, οὐδὲν ὑποχωρῶν οὐδὲ ὑπείκων, ἀλλὰ τραχὺς ἀεὶ καὶ ἀπαραίτητος, ἀντιφιλονεικεῖν τὸν δῆμον αὐτῷ καὶ προσδυσκολαίνειν ἐθίζει. μικρὸν δὲ ποδὸς χαλάσαι μεγάλῃ κύματος ἀλκῇ· τὰ μὲν αὐτὸν ἐνδιδόντα καὶ συμπαίζοντα κεχαρισμένως, οἷον ἐν θυσίαις καὶ ἀγῶσι καὶ θεάτροις· τὰ δὲ ὥσπερ ἐν οἰκίᾳ νέων ἁμαρτήματα προσποιούμενον παρορᾶν καὶ παρακούειν, ὅπως ἡ τοῦ νουθετεῖν καὶ παρρησιάζεσθαι δύναμις, ὥσπερ φαρμάκου, μὴ κατακεχρημένη μηδὲ ἕωλος, ἀλλ᾽ ἀκμὴν ἔχουσα καὶ πίστιν, ἐν τοῖς μείζοσι μᾶλλον καθάπτηται καὶ δάκνῃ τοὺς πολλούς. Ἀλέξανδρος μὲν γὰρ ἀκούσας τὴν ἀδελφὴν ἐγνωκέναι τινὰ τῶν καλῶν καὶ νέων, οὐκ ἠγανάκτησεν, εἰπὼν, ὅτι κἀκείνῃ τι δοτέον ἀπολαῦσαι τῆς βασιλείας, οὐκ ὀρθῶς τὰ τοιαῦτα συγχωρῶν οὐδὲ ἀξίως ἑαυτοῦ. δεῖ γὰρ τῆς ἀρχῆς τὴν κατάλυσιν καὶ ὕβριν ἀπόλαυσιν μὴ νομίζειν. Δήμῳ δὲ ὕβριν μὲν οὐδεμίαν εἰς πολίτας, οὐδὲ δήμευσιν ἀλλοτρίων οὐδὲ κοινῶν διανέμησιν ὁ πολιτικὸς ἐφήσει κατὰ δύναμιν, ἀλλὰ πείθων καὶ διδάσκων καὶ δεδιττόμενος, διαμαχεῖται ταῖς τοιαύταις ἐπιθυμίαις· οἵας οἱ περὶ Κλέωνα βόσκοντες καὶ αὔξοντες, πολλούς ὥς φησιν ὁ Πλάτων κηφῆνας τῇ πόλει κεκεντρωμένους ἐνεποίησαν. Ἐὰν δὲ ἑορτὴν πάτριον οἱ πολλοὶ καὶ θεοῦ τιμὴν πρόφασιν λαβόντες ὁρμήσωσι πρός τινα θέαν, ἢ νέμησιν ἐλαφράν, ἢ χάριν τινὰ φιλάνθρωπον ἢ φιλοτιμίαν, ἔστω πρὸς τὰ τοιαῦτα ἡ τῆς ἐλευθερίας ἅμα καὶ τῆς εὐπορίας ἀπόλαυσις αὐτοῖς. καὶ γὰρ τοῖς Περικλέους πολιτεύμασι καὶ τοῖς Δημητρίου, πολλὰ τοιαῦτα ἔνεστι· καὶ Κίμων ἐκόσμησε τὴν ἀγορὰν πλατάνων φυτείαις καὶ περιπάτοις. Κάτων δὲ τὸν δῆμον ὑπὸ Καίσαρος ὁρῶν ἐν τοῖς περὶ Κατιλίναν διαταρασσόμενον, καὶ πρὸς μεταβολὴν τῆς πολιτείας ἐπισφαλῶς ἔχοντα, συνέπεισε τὴν βουλὴν ψηφίσασθαι νεμήσεις τοῖς πένησι, καὶ τοῦτο δοθὲν ἔστησε τὸν θόρυβον, καὶ κατέπαυσε τὴν ἐπανάστασιν. Ὡς γὰρ ἰατρὸς ἀφελὼν πολὺ τοῦ διεφθορότος αἵματος,

ὀλίγον ἀβλαβοῦς τροφῆς προσήνεγκεν, οὕτως ὁ πολιτικὸς ἀνὴρ μέγα τι τῶν ἀδόξων ἢ βλαβερῶν παρελόμενος, ἐλαφρᾷ πάλιν χάριτι καὶ φιλανθρώπῳ τὸ δυσκολαῖνον καὶ μεμψιμοιροῦν παρηγόρησεν. οὐ χεῖρον δὲ καὶ μετάγειν ἐπ' ἄλλα χρειώδη τὸ σπουδαζόμενον, ὡς ἐποίησε Δημάδης, ὅτε τὰς προσόδους εἶχεν ὑφ' ἑαυτῷ τῆς πόλεως· ὡρμημένων γὰρ ἐκπέμπειν τριήρεις βοηθοὺς τοῖς ἀφισταμένοις Ἀλεξάνδρου καὶ χρήματα κελευόντων παρέχειν ἐκεῖνον, ἔστιν ὑμῖν ἔφη χρήματα· παρεσκευασάμην γὰρ εἰς τοὺς Χόας, ὥσθ' ἕκαστον ὑμῶν λαβεῖν ἡμιμναῖον· εἰ δὲ εἰς ταῦτα βούλεσθε μᾶλλον, αὐτοὶ καταχρῆσθε τοῖς ἰδίοις, καὶ τοῦτον τὸν τρόπον ὅπως μὴ στεροῖντο τῆς διανομῆς, ἀφέντων τὸν ἀπόστολον, ἔλυσε τὸ πρὸς Ἀλέξανδρον ἔγκλημα τοῦ δήμου. πολλὰ γὰρ ἀπ' εὐθείας οὐκ ἔστιν ἐξῶσαι τῶν ἀλυσιτελῶν, ἀλλὰ δεῖ τινος ἁμωσγέπως καμπῆς καὶ περιαγωγῆς, οἵᾳ καὶ Φωκίων ἐχρῆτο, κελευόμενος εἰς Βοιωτίαν ἐμβαλεῖν παρὰ καιρόν· ἐκήρυξε γὰρ εὐθὺς ἀκολουθεῖν ἀφ' ἥβης τοὺς μέχρι ἐτῶν ἑξήκοντα, καὶ θορύβου τῶν πρεσβυτέρων γενομένου, τί δεινὸν εἶπεν, ἐγὼ γὰρ ὁ στρατηγὸς ὀγδοήκοντα γεγονὼς ἔτη, μεθ' ὑμῶν ἔσομαι. τούτῳ δὴ τῷ τρόπῳ καὶ πρεσβείας διακωλυτέον ἀκαίρους, συγκαταλέγοντα πολλοὺς τῶν ἀνεπιτηδείως ἐχόντων, καὶ κατασκευὰς ἀχρήστους κελεύοντα συνεισφέρειν, καὶ δίκας ἀπρεπεῖς ἀξιοῦντα συμπαρεῖναι καὶ συναποδημεῖν. πρώτους δὲ τοὺς γράφοντας τὰ τοιαῦτα καὶ παροξύνοντας, ἕλκειν δεῖ καὶ παραλαμβάνειν· ἢ γὰρ ἀναδυόμενοι αὐτοὶ τὴν πρᾶξιν διαλύειν δόξουσιν, ἢ μεθέξουσι τῶν δυσχερῶν παρόντες. ὅπου μέντοι μέγα δεῖ περανθῆναί τι καὶ χρήσιμον, ἀγῶνος δὲ πολλοῦ καὶ σπουδῆς δεόμενον, ἐνταῦθα πειρῶ τῶν φίλων αἱρεῖσθαι τοὺς κρατίστους, ἢ τῶν κρατίστων τοὺς πρᾳοτάτους· ἥκιστα γὰρ ἀντιπράξουσιν οὗτοι, καὶ μάλιστα συνεργήσουσι τὸ φρονεῖν ἄνευ τοῦ φιλονεικεῖν ἔχοντες. οὐ μὴν ἀλλὰ καὶ τῆς ἑαυτοῦ φύσεως ἔμπειρον ὄντα, δεῖ πρὸς ὃ χεῖρον ἑτέρου πέφυκας, αἱρεῖσθαι τοὺς μᾶλλον δυναμένους ἀντὶ τῶν ὁμοίων, ὡς ὁ Διομήδης ἐπὶ τὴν κατασκοπὴν μεθ' ἑαυτοῦ τὸν φρόνιμον εἵλετο, τοὺς ἀνδρείους παρελθών· καὶ γὰρ αἱ πράξεις μᾶλλον ἰσοροποῦσι, καὶ τὸ φιλόνεικον οὐκ ἐγγίνεται πρὸς ἀλλήλους, τοῖς ἀφ' ἑτέρων ἀρετῶν καὶ δυνάμεων φιλοτιμουμένοις. λάμβανε δὴ καὶ δίκης συνεργὸν, καὶ πρεσβείας κοινωνὸν, ἂν λέγειν μὴ δυνατὸς ᾖς, τὸν ῥητορικὸν, ὡς Πελοπίδας Ἐπαμεινώνδαν· κἂν ἀπίθανος πρὸς ὁμιλίαν πλήθους καὶ ὑψηλὸς, ὡς Καλλικρατίδας, τὸν εὐχαρῆ καὶ θεραπευτικόν· κἂν ἀσθενὴς τὸ σῶμα καὶ δύσεργος, τὸν φιλόπονον καὶ ῥωμαλέον ὡς Νικίας Λάμαχον· οὕτω γὰρ ἂν ὁ Γηρυόνης ζηλωτὸς, ἔχων σκέλη πολλὰ καὶ χεῖρας καὶ ὀφθαλμοὺς, εἰ πάντα μιᾷ ψυχῇ διῴκει. τοῖς δὲ πολιτικοῖς ἔξεστι μὴ σώματα μηδὲ χρήματα μόνον, ἀλλὰ καὶ τύχας καὶ δυνάμεις καὶ ἀρετὰς ἂν ὁμονοῶσιν εἰς μίαν χρείαν συντιθέντας, μᾶλλον εὐδοκιμεῖν ἄλλος περὶ τὴν αὐτὴν πρᾶξιν· οὐχ ὥσπερ οἱ Ἀργοναῦται τὸν Ἡρακλέα καταλιπόντες ἠναγκάζοντο διὰ τῆς γυναικωνίτιδος καταδυόμενοι καὶ καταφαρμακευόμενοι, σώζειν ἑαυτοὺς καὶ κλέπτειν τὸ νάκος. χρυσὸν μὲν εἰς ἔνια τῶν ἱερῶν εἰσιόντες, ἔξω καταλείπουσι· σίδηρον δὲ ὡς ἁπλῶς εἰπεῖν, ὡς οὐδὲν συνεισφέρουσιν. ἐπεὶ δὲ κοινόν ἐστιν ἱερὸν τὸ βῆμα, βουλαίου τε Διὸς καὶ πολιέως, καὶ Θέμιδος καὶ Δίκης· αὐτόθεν μὲν ἤδη φιλοπλουτίαν καὶ φιλοχρηματίαν ὥσπερ σίδηρον, καὶ μεστὸν ἰοῦ νόσημα τῆς ψυχῆς ἀπολυσάμενος, εἰς ἀγορὰς καπήλων ἢ δανειστῶν ἀπόρριψον· αὐτὸς δ' ἀπονόσφι στρέφεσθαι τὸν ἀπὸ δημοσίων χρηματιζόμενον, ἡγούμενος ἀφ' ἱερῶν κλέπτειν, ἀπὸ τάφων, ἀπὸ φίλων, ἐκ προδοσίας, ἀπὸ ψευδομαρτυρίας, σύμβουλον ἄπιστον εἶναι, δικα-

στὴν

στὴν, ἐπίορκον, ἄρχοντα, δωροδόκον, οὐδὲ μιᾶς ἁπλῶς καθαρὸν ἀδικίας· ὅθεν οὐ δεῖ πολλὰ περὶ τούτων λέγειν. ἡ δὲ φιλοτιμία καίπερ οὖσα σοβαρωτέρα τῆς φιλοκερδείας, οὐκ ἐλάττονας ἔχει κῆρας ἐν πολιτείᾳ· καὶ γὰρ τὸ τολμᾶν αὐτῇ πρόσεστι μᾶλλον· ἐμφύεται γὰρ οὐκ ἀργαῖς οὐδὲ ταπειναῖς, ἀλλὰ ἐρρωμέναις μάλιστα καὶ νεανικαῖς προαιρέσεσι· καὶ τὸ παρὰ τῶν ὄχλων ῥόθιον πολλάκις συνεξαῖρον αὐτὴν καὶ συνεξωθοῦν τοῖς ἐπαίνοις, ἀκατάσχετον ποιεῖ καὶ δυσμεταχείριστον. ὥσπερ οὖν ὁ Πλάτων ἀκουστέον εἶναι τοῖς νέοις ἔλεγεν ἐκ παίδων εὐθὺς, ὡς οὔτε περικεῖσθαι χρυσὸν αὐτοῖς ἔξωθεν, οὔτε κεκτῆσθαι θέμις, οἰκεῖον ἐν τῇ ψυχῇ συμμεμιγμένον ἔχοντας, αἰνιττόμενος οἶμαι τὴν ἐκ γένους διατείνουσαν εἰς τὰς φύσεις αὐτῶν ἀρετὴν, οὕτω παραμυθώμεθα τὴν φιλοτιμίαν, λέγοντες ἐν ἑαυτοῖς χρυσὸν ἔχειν ἀδιάφθορον καὶ ἀκήρατον καὶ ἄχραντον ὑπὸ φθόνου καὶ μώμου τιμὴν, ἅμα λογισμῷ καὶ παραθεωρήσει τῶν πεπραγμένων ἡμῖν καὶ πεπολιτευμένων αὐξανόμενον· διὸ μὴ δεῖσθαι γραφομένων τιμῶν ἢ πλαττομένων ἢ χαλκοτυπουμένων, ἐν αἷς καὶ τὸ εὐδοκιμοῦν ἀλλότριόν ἐστιν· ἐπαινεῖται γὰρ οὐχ ᾧ γέγονεν, ἀλλ' ὑφ' οὗ γέγονεν ὁ σαλπικτὴς καὶ ὁ δορυφόρος. ὁ δὲ Κάτων ἤδη τότε τῆς Ῥώμης ἀναπιμπλαμένης ἀνδριάντων, οὐκ ἐῶν αὐτοῦ γενέσθαι, μᾶλλον ἔφη βούλομαι πυνθάνεσθαί τινας διὰ τί μου ἀνδριὰς οὐ κεῖται, ἢ διὰ τί κεῖται· καὶ γὰρ φθόνον ἔχει τὰ τοιαῦτα καὶ νομίζουσιν οἱ πολλοὶ, τοῖς μὴ λαβοῦσιν αὐτοὶ χάριν ὀφείλειν, τοὺς δὲ λαβόντας αὐτοῖς καὶ βαρεῖς εἶναι, οἷον ἐπὶ μισθῷ τὰς χρείας ἀπαιτοῦντες. ὥσπερ οὖν ὁ παραπλεύσας τὴν σύρτιν, εἶτα ἀνατραπεὶς περὶ τὸν πορθμὸν, οὐδὲν μέγα πεποίηκεν οὐδὲ σεμνὸν, οὕτως ὁ τὸ ταμεῖον φυλαξάμενος καὶ τὸ δημοσιώνιον, ἁλοὺς δὲ περὶ τὴν προεδρίαν ἢ τὸ πρυτανεῖον, ὑψηλῷ προσέπταικεν ἀκρωτηρίῳ, βαπτίζεται δὲ ὁμοίως. ἄριστος μὲν οὖν ὁ μηδενὸς δεόμενος τῶν τοιούτων, ἀλλὰ φεύγων καὶ παραιτούμενος· ἂν δ' ᾖ μὴ ῥᾴδιον δήμου τινὰ χάριν ἀπώσασθαι καὶ φιλοφροσύνην πρὸς τοῦτο ῥυέντος, ὥσπερ οὐκ ἀργυρίτην οὐδὲ δωρίτην ἀγῶνα πολιτείας ἀγωνιζομένοις, ἀλλὰ ἱερὸν ὡς ἀληθῶς καὶ στεφανίτην, ἐπιγραφή τις ἀρκεῖ, καὶ πινάκιον, καὶ ψήφισμα, καὶ θαλλὸς, ὡς Ἐπιμενίδης ἔλαβεν ἐξ ἀκροπόλεως, καθήρας τὴν πόλιν. Ἀναξαγόρας δὲ τὰς διδομένας ἀφεὶς τιμὰς, ᾐτήσατο τὴν ἡμέραν ἐκείνην καθ' ἣν ἂν τελευτήσῃ, τοὺς παῖδας ἀφιέναι παίζειν καὶ σχολάζειν ἀπὸ τῶν μαθημάτων. τοῖς δὲ τοὺς μάγους ἀνελοῦσιν ἑπτὰ Πέρσαις, ἔδωκαν αὐτοῖς καὶ τοῖς ἀπ' αὐτῶν γενομένοις εἰς τοὔμπροσθεν τῆς κεφαλῆς τὴν τιάραν φορεῖν· τοῦτο γὰρ ἐποιήσαντο σύμβολον ὡς ἔοικε χωροῦντες ἐπὶ τὴν πρᾶξιν. ἔχει δέ τι καὶ ἡ τοῦ Πιττακοῦ τιμὴ πολιτικόν· ἧς γὰρ ἐκτήσατο χώρας τοῖς πολίταις, γῆν ὅσην ἂν ἐθέλει λαβεῖν κελευσθεὶς, ἔλαβε τοσαύτην ὅσην ἐπῆλθε τὸ ἀκόντιον αὐτοῦ βαλόντος. ὁ δὲ Ῥωμαῖος Πόπλιος, ἣν ἡμέρᾳ μιᾷ χωλὸς ὢν περιήροσεν· οὐ γὰρ μισθὸν εἶναι δεῖ τῆς πράξεως, ἀλλὰ σύμβολον τὴν τιμὴν, ἵνα καὶ διαμένῃ πολὺν χρόνον, ὥσπερ ἐκεῖναι διέμειναν. τῶν δὲ Δημητρίου τοῦ Φαληρέως τριακοσίων ἀνδριάντων, οὐδεὶς ἔσχεν ἰὸν οὐδὲ πίνον, ἀλλὰ πάντες ἔτι ζῶντος προανῃρέθησαν. τοὺς δὲ Δημάδου κατεχώνευσαν εἰς ἀμίδας· καὶ πολλαὶ τοιαῦτα τιμαὶ πεπόνθασιν, οὐ μοχθηρίᾳ τοῦ λαβόντος μόνον, ἀλλὰ καὶ μεγέθει τοῦ δοθέντος δυσχερανθεῖσαι. διὸ κάλλιστον καὶ βεβαιότατον εὐτέλεια τιμῆς φυλακτήριον· αἱ δὲ μεγάλαι καὶ ὑπέρογκοι καὶ βάρος ἔχουσαι, παραπλησίως τοῖς ἀσυμμέτροις ἀνδριᾶσι ταχὺ περιτρέπονται. ὀνομάζω δὲ νῦν τιμὰς, ἃς οἱ πολλοὶ κατ' Ἐμπεδοκλέα ἢ θέμις καλοῦσιν· ὅμως ἐπίφημι καὶ αὐτὸς ἐπεὶ τήν γε ἀληθινὴν τιμὴν καὶ χά-

ειν ἱδρυμένην ἐν εὐνοίᾳ καὶ διαθέσει τῶν μεμνημένων, οὐχ ὑφορᾶται πολιτικὸς ἀνήρ, οὐδέ γε δόξαν ἀτιμάσει φεύγων τὸ τοῖς πέλας ἀνδάνειν, ὡς ἠξίου Δημόκριτος. οὐδὲ γὰρ κυνῶν ἀσπασμὸς, οὐδὲ ἵππων εὔνοια, θηραταῖς καὶ ἱπποτρόφοις ἀπόβλητον, ἀλλὰ καὶ χρήσιμον καὶ ἡδὺ συντρόφοις καὶ συνήθεσι ζώοις τοιαύτην ἐνεργάσασθαι διάθεσιν πρὸς αὐτὸν, οἵαν ὁ Λυσιμάχου κύων ἐπεδείκνυτο, καὶ τῶν Ἀχιλλέως ἵππων ὁ ποιητὴς διηγεῖται περὶ τὸν Πάτροκλον. οἶμαι δ' ἂν καὶ τὰς μελίττας ἀπαλλάττειν βέλτιον, εἰ τοὺς τρέφοντας καὶ θεραπεύοντας ἀσπάζεσθαι καὶ προσίεσθαι μᾶλλον, ἢ κεντεῖν καὶ χαλεπαίνειν ἐβούλοντο. νυνὶ δὲ ταύτας μὲν καπνῷ κολάζουσιν. ἵππους δὲ ὑβριστὰς καὶ κύνας ἀποστάτας, κλοιοῖς καὶ χαλινοῖς ἄγουσιν ἠναγκασμένους. ἄνθρωπον δὲ ἀνθρώπῳ χειροήθη καὶ πρᾶον ἑκουσίως, οὐδὲν ἀλλ' ἢ πίστις εὐνοίας, καὶ καλοκαγαθίας δόξα καὶ δικαιοσύνης παρίστησιν. ἣν καὶ Δημοσθένης ὀρθῶς μέγιστον ἀποφαίνεται πρὸς τοὺς τυράννους φυλακτήριον, ἀπιστίαν ταῖς πόλεσι. ἐκεῖνο γὰρ μάλιστα τῆς ψυχῆς τὸ μέρος ᾧ πιστεύομεν ἁλώσιμόν ἐστιν. ὥσπερ οὖν τῆς Κασσάνδρας ἀδοξούσης ἀνόνητος ἦν ἡ μαντικὴ τοῖς πολίταις. ἄκραντον γάρ με φησὶν ἔθηκε θεσπίζειν θεὸς, καὶ πρὸς παθόντων κἀν κακοῖσι κειμένων, σοφὴ κέκλημαι· πρὶν παθεῖν δὲ μαίνομαι, οὕτως ἡ πρὸς Ἀρχύταν πίστις καὶ πρὸς Βάττον εὔνοια τῶν πολιτῶν, μεγάλα τοὺς χρωμένους αὐτοῖς διὰ τὴν δόξαν ὠφέλησε. καὶ τοῦτο μὲν πρῶτον καὶ μέγιστον ἔνεστι τῇ δόξῃ τῇ τῶν πολιτικῶν ἀγαθὸν, ἡ πάροδον ἐπὶ τὰς πράξεις διδοῦσα πίστις. δεύτερον δὲ ἔτι πρὸς τοὺς βασκάνους καὶ πονηροὺς ὅπλον ἡ παρὰ τῶν πολλῶν εὔνοια τοῖς ἀγαθοῖς ἐστιν. ὡς ὅτε μήτηρ παιδὸς ἐέργει μυῖαν ὅθ' ἡδέϊ λέξεται ὕπνῳ, ἀπερύκουσα τὸν φθόνον καὶ πρὸς τὰς δυνάμεις ἐπανισοῦσα, τὸν ἀγεννῆ τοῖς εὐπατρίδαις, καὶ τὸν πένητα τοῖς πλουσίοις καὶ τὸν ἰδιώτην τοῖς ἄρχουσι, καὶ ὅλως ὅταν ἀλήθεια καὶ ἀρετὴ προσγένηται, φορόν ἐστι πνεῦμα καὶ βέβαιον ἐπὶ τὴν πολιτείαν. σκόπει δὲ τὴν ἐναντίαν καταμανθάνων διάθεσιν ἐν τοῖς παραδείγμασι. τοὺς μὲν γὰρ Διονυσίου παῖδας καὶ τὴν γυναῖκα καταπορνεύσαντες οἱ περὶ τὴν Ἰταλίαν ἀνεῖλον, εἶτα καύσαντες τὰ σώματα, τὴν τέφραν κατέσπειραν ἐκ πλοίου κατὰ τῆς θαλάττης. Μενάνδρου δέ τινος ἐν Βάκτροις ἐπιεικῶς βασιλεύσαντος, εἶτα ἀποθανόντος ἐπὶ στρατοπέδου, τὴν μὲν ἄλλην ἐποιήσαντο κηδείαν κατὰ τὸ κοινὸν αἱ πόλεις. περὶ δὲ τῶν λειψάνων αὐτοῦ καταστάντες εἰς ἀγῶνα, μόλις συνέβησαν, ὥστε νειμάμενοι μέρος ἴσον τῆς τέφρας ἀπελθεῖν, καὶ γενέσθαι μνημεῖα παρὰ πᾶσι τοῦ ἀνδρός. αὖθις Ἀκραγαντῖνοι μὲν ἀπαλλαγέντες Φαλάριδος, ἐψηφίσαντο μηδένα φορεῖν ἱμάτιον γλαυκινόν, οἱ γὰρ ὑπηρέται τοῦ τυράννου, γλαυκινοῖς ἐχρῶντο περιζώμασι. Πέρσαι δ' ὅτι γρυπὸς ἦν Κῦρος, ἔτι καὶ νῦν ἐρῶσι τῶν γρυπῶν, καὶ καλλίστους ὑπολαμβάνουσιν. οὕτως ἁπάντων ἐρώτων ἰσχυρότατος ἅμα καὶ θειότατός ἐστιν, ὁ πόλεσι καὶ δήμοις πρὸς ἕνα δι' ἀρετὴν ἐγγινόμενος. αἱ δὲ ἀπὸ θεάτρων ἢ νεμήσεων ἢ μονομάχων ψευδώνυμοι τιμαὶ καὶ ψευδομάρτυρες, ἑταιρικαῖς ἐοίκασι κολακείαις ὄχλων, ἀεὶ τῷ διδόντι καὶ χαριζομένῳ προσμειδιώντων ἐφήμερόν τινα καὶ ἀβέβαιον δόξαν. εὖ μὲν οὖν ὁ πρῶτος εἰπὼν καταλυθῆναι δῆμον ὑπὸ τοῦ πρώτου δεκάσαντος, συνεῖδεν ὅτι τὴν ἰσχὺν ἀποβάλλουσιν οἱ πολλοὶ, τοῦ λαμβάνειν ἥττονες γινόμενοι. δεῖ δὲ καὶ τοὺς δεκάζοντας οἴεσθαι καταλύειν ἑαυτοὺς, ὅταν ἀναλωμάτων μεγάλων ὠνούμενοι τὴν δόξαν, ἰσχυροὺς ποιῶσι καὶ θρασεῖς τοὺς πολλοὺς, ὡς μέγα τι καὶ ἀφελέσθαι καὶ δοῦναι κυρίους ὄντας. οὐ μὴν διὰ τοῦτο μικρολογητέον ἐν τοῖς νενομισμένοις φιλοτιμήμασι, τῶν πραγμάτων εὐπορίαν παρεχόντων,

ὡς μᾶλλον οἱ πολλοὶ μὴ μεταδιδόντα τῶν ἰδίων πλούσιον, ἢ πένητα τῶν δημοσίων κλέπτοντα δι' ἔχθρας ἔχουσι, ὑπερηφανίαν τοῦτο καὶ περιφρόνησιν αὐτῶν, ἐκεῖνο δὲ ἀνάγκην ἡγούμενοι. γιγνέσθωσαν οὖν αἱ μεταδόσεις πρῶτον μὲν ἀντὶ μηδενός. οὕτω γὰρ ἐκπλήττουσι καὶ χειροῦνται μᾶλλον τοὺς λαμβάνοντας, ἔπειτα σὺν καιρῷ πρόφασιν ἀστείαν καὶ καλὴν ἔχοντι, μετὰ τιμῆς θεοῦ πάντως ἀγούσης πρὸς εὐσέβειαν. ἐγγίνεται γὰρ ἅμα τοῖς πολλοῖς ἰσχυρὰ διάθεσις καὶ δόξα, τοῦ τὸ δαιμόνιον εἶναι μέγα καὶ σεμνὸν, ὅταν οὓς αὐτοὶ τιμῶσι καὶ μεγάλους νομίζωσιν, οὕτως ἀφειδῶς καὶ προθύμως περὶ τὸ θεῖον ὁρῶσι φιλοτιμουμένους. ὥσπερ οὖν ὁ Πλάτων ἀφεῖλε τῶν παιδευομένων νέων τὴν ἁρμονίαν τὴν Λύδιον καὶ τὴν Φρύγιον, τὴν μὲν τὸ θρηνῶδες καὶ φιλοπενθὲς ἡμῶν ἐγείρουσαν τῆς ψυχῆς, τὴν δὲ τὸ πρὸς ἡδονὰς ὀλισθηρὸν καὶ ἀκόλαστον αὔξουσαν, οὕτω σὺ τῶν φιλοτιμιῶν, ὅσαι τὸ φονικὸν καὶ θηριῶδες ἢ τὸ βωμολόχον καὶ ἀκόλαστον ἐρεθίζουσι καὶ τρέφουσι, μάλιστα μὲν ἐξέλαυνε τῆς πόλεως, εἰ δὲ μὴ, φεῦγε καὶ διαμάχου τοῖς πολλοῖς, αἰτουμένοις τὰ τοιαῦτα θεάματα. χρηστὰς δὲ καὶ σώφρονας ἀεὶ ποιοῦ τῶν ἀναλωμάτων ὑποθέσεις, τὸ καλὸν ἢ τὸ ἀναγκαῖον ἐχούσας τέλος, ἢ τὸ γοῦν ἡδὺ καὶ κεχαρισμένον ἄνευ βλάβης καὶ ὕβρεως προσούσης. ἂν δὲ ᾖ τὰ τῆς οὐσίας μέτρια, καὶ κέντρῳ καὶ διαστήματι περιγραφόμενα πρὸς τὴν χρείαν, οὔτε ἀγεννὲς οὔτε ταπεινὸν οὐδέν ἐστι, πενίαν ὁμολογοῦντα ταῖς τῶν ἐχόντων ἐξίστασθαι φιλοτιμίαις, καὶ μὴ δανειζόμενον οἰκτρὸν ἅμα καὶ καταγέλαστον εἶναι περὶ τὰς λειτουργίας. οὐ γὰρ λανθάνουσιν ἐξασθενοῦντες, ἢ φίλοις ἐνοχλοῦντες ἢ θωπεύοντες δανειστὰς, ὥστε μὴ δόξαν αὐτοῖς μηδὲ ἰσχὺν, ἀλλὰ μᾶλλον αἰσχύνην καὶ καταφρόνησιν ἀπὸ τῶν τοιούτων ἀναλωμάτων ὑπάρχειν. διὸ χρήσιμον ἀεὶ πρὸς τὰ τοιαῦτα μεμνῆσθαι τοῦ Λαμάχου καὶ τοῦ Φωκίωνος. οὗτος μὲν γὰρ ἀξιούντων αὐτὸν ἐν θυσίᾳ τῶν Ἀθηναίων ἐπιδοῦναι, καὶ κροτούντων πολλάκις, αἰσχυνοίμην ἂν εἶπεν, ὑμῖν μὲν ἐπιδιδοὺς, Καλλικλεῖ δὲ τούτῳ μὴ ἀποδιδοὺς, δείξας τὸν δανειστήν. Λάμαχος δὲ ἐν τοῖς τῆς στρατηγίας ἀεὶ προσέγραφεν ἀπολογισμοῖς, ἀργύριον εἰς κρηπῖδας αὐτῷ καὶ ἱμάτιον. Ἕρμωνι δὲ Θετταλοὶ φεύγοντι τὴν ἀρχὴν ὑπὸ πενίας, ἐψηφίσαντο λάγυνον οἴνου κατὰ μῆνα διδόναι, καὶ μέδιμνον ἀλφίτων ἀφ' ἑκάστης τετράδος. οὕτως οὔτε ἀγεννές ἐστι πενίαν ὁμολογεῖν, οὔτε λείπονται πρὸς δύναμιν ἐν πόλεσι τῶν ἑστιώντων καὶ χορηγούντων οἱ πένητες, ἂν παρρησίαν ἀπ' ἀρετῆς καὶ πίστιν ἔχωσι. δεῖ δὴ μάλιστα κρατεῖν ἑαυτὸν ἐν τοῖς τοιούτοις, καὶ μήτε εἰς πεδία καταβαίνειν πεζὸν ἱππεῦσι μαχούμενον, μήτε ἐπὶ στάδια καὶ θυμέλας καὶ τραπέζας πένητα πλουσίοις ὑπὲρ δόξης καὶ δυναστείας διαγωνιζόμενον, ἀλλ' ἀπ' ἀρετῆς καὶ φρονήματος ἀεὶ μετὰ λόγου πειρωμένοις ἄγειν τὴν πόλιν, οἷς οὐ μόνον τὸ καλὸν καὶ τὸ σεμνὸν, ἀλλὰ καὶ τὸ κεχαρισμένον καὶ ἀγωγὸν ἔνεστι, κροισίων ἐρασμιώτερον στατήρων. οὐ γὰρ αὐθάδης οὐδὲ ἐπαχθὴς ὁ χρηστὸς, οὐδὲ αὐθέκαστός ἐστιν ὁ σώφρων ἀνήρ, καὶ στείχει πολίταις ὄμμ' ἔχων ἰδεῖν πικρόν. ἀλλὰ πρῶτον μὲν εὐπροσήγορος καὶ κοινὸς ὢν πελάσαι καὶ προσελθεῖν ἅπασιν, οἰκίαν τε παρέχων ἄκλειστον, ὡς λιμένα φύξιμον ἀεὶ τοῖς χρῄζουσι, καὶ τὸ κηδεμονικὸν καὶ φιλάνθρωπον, οὐ χρείαις οὐδὲ πράξεσι μόνον, ἀλλὰ καὶ τῷ συναλγεῖν πταίουσι καὶ κατορθοῦσι συγχαίρειν ἐπιδεικνύμενος, οὐδαμῇ δὲ λυπηρὸς οὐδὲ ἐνοχλῶν οἰκετῶν πλήθει περὶ λουτρὸν, ἢ καταλήψεσι τόπων ἐν θεάτροις, οὐδὲ τοῖς εἰς τρυφὴν καὶ πολυτέλειαν ἐπιφθόνοις παράσημος, ἀλλ' ἴσος καὶ ὁμαλὸς ἐσθῆτι καὶ διαίτῃ καὶ τροφαῖς παίδων, καὶ θεραπείᾳ γυναικὸς, οἷον ὁμοδημεῖν καὶ συνανθρωπεῖν τοῖς πολλοῖς

βουλόμενος. ἔπειτα σύμβουλον εὔνουν καὶ συνήγορον ἄμισθον καὶ διαλ-
λακτὴν εὐμενῆ πρὸς γυναῖκας ἀνδρῶν, καὶ φίλων πρὸς ἀλλήλους παρέχων
ἑαυτὸν, οὐ μικρὸν ἡμέρας μέρος τὸ τοῦ βήματος ἢ τοῦ λογίου πολιτευόμενος,
ἢ τὰ μὴ παρὰ τῶν ἄλλων· εἶτα ἤδη πάντα τὸν ἄλλον βίον ἕλκων ἐφ' ἑαυτὸν ὥσ-
περ καικίας νέφη τὰς χρείας καὶ τὰς οἰκονομίας πανταχόθεν, ἀλλὰ δημοσι-
εύων ἀεὶ ταῖς φροντίσι καὶ τὴν πολιτείαν, βίον καὶ πρᾶξιν οὐκ ἀσχολίαν, ὥσπερ
οἱ πολλοὶ καὶ λειτουργίαν ἡγούμενος, πᾶσι τούτοις καὶ τοῖς τοιούτοις ἐπιστρέφει
καὶ προσάγεται τοὺς πολλοὺς, νόθα καὶ κίβδηλα τὰ τῶν ἄλλων θωπεύματα
καὶ δελεάσματα πρὸς τὴν τούτου κηδεμονίαν καὶ φρόνησιν ὁρῶντας. οἱ μὲν
γὰρ Δημητρίου κόλακες οὐκ ἠξίουν βασιλεῖς τοὺς ἄλλους προσαγορεύειν. ἀλλὰ
τὸν μὲν Σέλευκον, ἐλεφαντάρχην· τὸν δὲ Λυσίμαχον, γαζοφύλακα· τὸν δὲ Πτολε-
μαῖον, ναύαρχον ἐκάλουν· τὸν δὲ Ἀγαθοκλέα, νησιάρχην· οἱ δὲ πολλοὶ, κἂν ἐν ἀρ-
χῇ τὸν ἀγαθὸν καὶ φρόνιμον ἀπορρίψωσιν, ὕστερον καταμανθάνοντες αὐτοῦ τὴν
ἀλήθειαν καὶ τὸ ἦθος, τοῦτον ἡγοῦνται μόνον πολιτικὸν καὶ δημοτικὸν καὶ ἄρ-
χοντα, τῶν δὲ ἄλλων τὸν μὲν χορηγὸν, τὸν δὲ ἑστιάτορα, τὸν δὲ γυμνασίαρχον, καὶ
νομίζουσι καὶ καλοῦσιν. εἶτα ὥσπερ ἐν τοῖς συμποσίοις Καλλίου δαπανῶντος
ἢ Ἀλκιβιάδου, Σωκράτης ἀκούεται, καὶ πρὸς Σωκράτην πάντες ἀποβλέπου-
σιν, οὕτως ἐν ταῖς ὑγιαινούσαις πόλεσιν Ἰσμηνίας μὲν ἐπιδίδωσι, καὶ δειπνί-
ζει Λίχας, καὶ χορηγεῖ Νικήρατος· Ἐπαμινώνδας δὲ καὶ Ἀριστείδης, καὶ Λύσαν-
δρος, καὶ ἄρχουσι καὶ πολιτεύονται καὶ στρατηγοῦσι. πρὸς ἃ χρὴ βλέ-
ποντα μὴ ταπεινοῦσθαι, μὴ δὲ ἐκπεπλῆχθαι τὴν ἐκ θεάτρων καὶ ὀπτανείων καὶ
πολυανδρίων προσισταμένην τοῖς ὄχλοις δόξαν, ὡς ὀλίγον χρόνον ἐπιζῶσαν καὶ
τοῖς μονομάχοις καὶ ταῖς σκηναῖς ὁμοῦ συνδιαλυομένην, ἄτιμον δὲ μηδὲν μηδὲ
σεμνὸν ἔχουσαν. οἱ μὲν οὖν ἔμπειροι θεραπείας καὶ τροφῆς μελιττῶν, τὸ
μάλιστα βομβοῦντα τῶν σίμβλων καὶ θορύβου μεστὸν, τοῦτον εὐθηνεῖν καὶ ὑγιαί-
νειν νομίζουσιν, ᾧ δὲ τοῦ λογικοῦ καὶ πολιτικοῦ σμήνους ἐπιμέλειαν ἔχειν, ὁ θεὸς
ἔδωκεν, ἡσυχίᾳ μάλιστα καὶ πρᾳότητι δήμου τεκμαιρόμενος εὐδαιμονίαν, τὰ
μὲν ἄλλα τοῦ Σόλωνος ἀποδέξεται, καὶ μιμήσεται κατὰ δύναμιν, ἀπορήσει
δὲ καὶ θαυμάσει τί παθὼν ἐκεῖνος ὁ ἀνὴρ ἔγραψεν ἄτιμον εἶναι τὸν ἐν στάσει πό-
λεως μηδετέροις προσθέμενον. οὔτε γὰρ ἐν σώματι τὸ νοσοῦν γίνεται μεταβο-
λῆς ἀρχὴ πρὸς τὸ ὑγιαίνειν ἀπὸ τῶν συννοσούντων μερῶν, ἀλλ' ὅταν ἡ παρὰ
τοῖς ἐρρωμένοις ἰσχύσασα κρᾶσις ἐκστήσῃ τὸ παρὰ φύσιν, ἔν τε δήμῳ στασιάσαντι,
μὴ δεινὴν μὴ δὲ ὀλέθριον στάσιν, ἀλλὰ παυομένην, τότε δεῖ τὸ ἀπαθὲς καὶ τὸ ὑ-
γιαῖνον ἐγκεκρᾶσθαι πολὺ, καὶ παραμένειν καὶ συνοικεῖν· ἐπιρρεῖ γὰρ τούτῳ τὸ
οἰκεῖον ἐκ τῶν σωφρονούντων, καὶ δίεισι διὰ τοῦ νενοσηκότος· αἱ δὲ δι' ὅλων ἀνα-
ταραχθεῖσαι πόλεις, κομιδῇ διεφθάρησαν. ἂν μή τινος ἀνάγκης ἔξωθεν τυχοῦ-
σαι καὶ κολάσεως ὑπὸ κακῶν βίᾳ σωφρονήσωσιν, οὐ μὴν ἀναίσθητον, οὐδ' ἀνάλ-
γητον ἐν στάσει καθῆσθαι προσήκει, τὴν περὶ αὑτὸν ἀταραξίαν ὑμνοῦντα, καὶ
τὸν ἀπράγμονα βίον καὶ μακάριον, ἐν ἑτέροις ἐπιτερπόμενον ἀγνωμονοῦσιν·
ἀλλ' ἐνταῦθα δεῖ μάλιστα τὸν Θηραμένους κόθορνον ὑποδούμενον, ἀμφοτέροις ὁ-
μιλεῖν, καὶ μηδετέροις προστίθεσθαι, δόξεις γὰρ οὐχὶ τῷ μὴ συναδικεῖν ἀλ-
λότριος, ἀλλὰ τῷ βοηθεῖν κοινὸς εἶναι πάντων. καὶ τὸ μὴ συνατυχεῖν, οὐχ
ἕξει φθόνον ἂν πᾶσι φαίνῃ συναλγῶν ὁμοίως. κράτιστον δὲ προνοεῖν, ὅπως
μηδέποτε στασιάζωσι, καὶ τοῦτο τῆς πολιτικῆς ὥσπερ τέχνης, μέγιστον ἡγεῖσθαι
καὶ κάλλιστον. ὅρα γὰρ ὅτι τῶν μεγίστων ἀγαθῶν ταῖς πόλεσιν, εἰρήνης, ἐλευθερίας,
εὐετηρίας, εὐανδρίας, ὁμονοίας. πρὸς μὲν εἰρήνην οὐδὲν οἱ δῆμοι τῶν πολιτι-
κῶν

κῶν ἔν γε τῷ παρόντι χρόνῳ δέονται· πέφευγε γὰρ ἐξ ἡμῶν καὶ ἠφάνισται πᾶς
μὲν Ἑλλην πᾶς δὲ βάρβαρος πόλεμος· ἐλευθερίας δὲ ὅσον οἱ κρατοῦντες νέμου-
σι τοῖς δήμοις μέτεστι, καὶ τὸ πλέον ἴσως οὐκ ἄμεινον· εὐφορίαν δὲ γῆς ἄφθονον
εὐμενῆ τε κρᾶσιν ὡρῶν, καὶ τίκτειν γυναῖκας ἐοικότα τέκνα γονεῦσι, σωτηρίαν τε
γεννωμένοις εὐχόμενος ὅ γε σώφρων αἰτήσεται παρὰ θεῶν τοῖς αὐτοῦ πολί-
ταις. λείπεται δὴ τῷ πολιτικῷ μόνον ἐκ τῶν ὑποκειμένων ἔργων, ὃ μηδενὸς
ἔλαττόν ἐστι τῶν ἀγαθῶν ὁμόνοιαν ἐμποιεῖν καὶ φιλίαν πρὸς ἀλλήλους ἀεὶ τοῖς συ-
νοικοῦσιν· ἔριδας δὲ καὶ διχοφροσύνας καὶ δυσμένειαν ἐξαίρειν ἅπασαν, ὥσ-
περ ἐν φίλων διαφοραῖς τὸν μᾶλλον οἰόμενον ἀδικεῖσθαι μέρος ἐξομιλοῦντα
πρότερον, καὶ συναδικεῖσθαι δοκοῦντα καὶ συναγανακτεῖν, εἶτα οὕτως ἐπι-
χειροῦντα πραΰνειν καὶ διδάσκειν, ὅτι τῶν βιάζεσθαι καὶ νικᾶν ἐριζόντων οἱ πα-
ρέντες, οὐκ ἐπιεικείᾳ καὶ ἤθει μόνον, ἀλλὰ καὶ φρονήματι καὶ μεγέθει ψυχῆς δι-
αφέρουσι, καὶ μικρὸν ὑφιέμενοι, νικῶσιν ἐν τοῖς καλλίστοις καὶ μεγίστοις. ἔπει-
τα καὶ καθ' ἕνα καὶ κοινῇ διδάσκοντα καὶ φράζοντα τὴν τῶν Ἑλληνικῶν πραγ-
μάτων ἀσθένειαν, ἧς ἐναπολαῦσαι ἄμεινόν ἐστι τοῖς εὖ φρονοῦσι, καὶ μεθ' ἡσυχίας
καὶ ὁμονοίας καταβιῶναι, μηθὲν ἐν μέσῳ τῆς τύχης ἆθλον ὑπολελοιπυίας.
τίς γὰρ ἡγεμονία, τίς δόξα τοῖς περιγενομένοις, ποία δύναμις, ἣν μικρὸν ἀνθυ-
πάτου διάταγμα κατέλυσεν ἢ μετέστησεν εἰς ἄλλο· οὐθὲν οὐδ' ἂν παραμένῃ σπου-
δῆς ἄξιον ἔχουσαν. ἐπεὶ δ' ὥσπερ ἐμπρησμὸς οὐ πολλάκις ἐκ τόπων ἱερῶν ἄρχε-
ται καὶ δημοσίων, ἀλλὰ λύχνος τις ἐν οἰκίᾳ παραμεληθεὶς, ἢ συρφετὸς διακαυ-
θεὶς ἀνῆκε φλόγα πολλὴν, καὶ δημοσίαν φθορὰν ἀπεργάζεται, οὕτως οὐκ ἀεὶ στά-
σιν πόλεως αἱ περὶ τὰ κοινὰ φιλονεικίαι διακαίουσιν· ἀλλὰ πολλάκις ἐκ πραγ-
μάτων καὶ προσκρουσμάτων ἰδίων εἰς δημόσιον αἱ διαφοραὶ προελθοῦσαι, συ-
νετάραξαν ἅπασαν τὴν πόλιν· οὐδενὸς ἧττον τῷ πολιτικῷ προσήκει ταῦτα ἰᾶ-
σθαι καὶ προκαταλαμβάνειν· ὅπως τὰ μὲν οὐδὲ ὅλως ἔσται, τὰ δὲ παύσεται
ταχέως, τὰ δὲ οὐ λήψεται μέγεθος, οὐδὲ ἅψεται τῶν δημοσίων, ἀλλ' ἐν αὐτοῖς
μενεῖ τοῖς διαφερομένοις, αὐτόν τε προσέχοντα καὶ φράζοντα τοῖς ἄλλοις ὡς ἰ-
δια κοινῶν, μικρὰ μεγάλων αἴτια καθίσταται, παροφθέντα καὶ μὴ τυχόντα θε-
ραπείας ἐν ἀρχῇ, μὴ δὲ παρηγορίας· οἷον ἐν Δελφοῖς ὁ μέγιστος λέγεται γενέσθαι
νεωτερισμὸς ὑπὸ Κράτητος, οὗ μέλλων θυγατέρα γαμεῖν Ὀργίλαος ὁ Φάλι-
δος· εἶτα τοῦ κρατῆρος αὐτομάτως ἐπὶ ταῖς σπονδαῖς μέσου ῥαγέντος, οἰωνισά-
μενος καὶ καταλιπὼν τὴν νύμφην, ἀπῆλθε μετὰ τοῦ πατρός· ὁ δὲ Κράτης ὀλίγον
ὕστερον, θύουσιν αὐτοῖς ὑποβαλὼν χρυσίον τι τῶν ἱερῶν, κατεκρήμνισε τὸν Ὀργίλα-
ον, καὶ τὸν ἀδελφὸν ἀκρίτους, καὶ πάλιν τῶν φίλων τινὰς οἰκείων ἱκετεύοντας
ἐν τῷ ἱερῷ τῆς Προνοίας ἀνεῖλε. πολλῶν δὲ τοιούτων γενομένων, ἀποκτεί-
ναντες οἱ Δελφοὶ τὸν Κράτητα καὶ τοὺς στασιάσαντας, ἐκ τῶν χρημάτων ἐνα-
γικῶν προσαγορευθέντων, τοὺς κάτω ναοὺς ἐνῳκοδόμησαν. ἐν δὲ Συρακού-
σαις δυοῖν νεανίσκων συνήθων, ὁ μὲν τὸν ἐρώμενον τοῦ ἑταίρου λαβὼν φυλάττειν,
διέφθειρεν ἀποδημοῦντος· ὁ δὲ ἐκείνῳ πάλιν ὥσπερ ἀνταποδιδοὺς ὕβριν, ἐμοί-
χευσε τὴν γυναῖκα· τῶν δὲ πρεσβυτέρων τις εἰς βουλὴν παρελθὼν, ἐκέλευσεν ἀμ-
φοτέρους ἐλαύνειν πρὶν ἀπολέσαι καὶ ἀναπλησθῆναι τὴν πόλιν ἀπ' αὐτῶν τῆς
ἔχθρας, οὐ μὴν ἔπεισεν, ἀλλ' ἐκ τούτου στασιάσαντες, ἐπὶ συμφοραῖς μεγάλαις
τὴν ἀρίστην πολιτείαν ἀνέτρεψαν. ἔχεις δὲ δή που καὶ αὐτὸς οἰκεῖα παραδείγ-
ματα, τὴν Παρδάλου πρὸς Τυρρηνὸν ἔχθραν, ὡς ὀλίγου ἐδέησεν ἀνελεῖν τὰς
Σάρδεις ἐξ αἰτιῶν μικρῶν καὶ ἰδίων εἰς ἀπόστασιν καὶ πόλεμον ἐμβαλοῦσα.
διὸ χρὴ μὴ καταφρονεῖν τῶν πολιτικῶν, ὥσπερ ἐν σώματι προσκρουσμάτων δια-

τὸν πολιτικὸν

δρομὰς ὀξείας ἐχόντων, ἀλλὰ ἐπιλαμβάνεσθαι καὶ πιέζειν καὶ βοηθεῖν· πρόσω χωρεῖ γὰρ ὥς φησιν ὁ Κάτων καὶ τὸ μέγα γίνεται μικρὸν, καὶ τὸ μικρὸν εἰς τὸ μηδὲν ἄγεται. μηχανὴ δὲ ἐνταῦθα πειθοῦς οὐκ ἔστι μείζων, ἢ τὸ παρέχειν ἑαυτὸν ἐν ταῖς ἰδίαις διαφοραῖς ἥμερον διαλλακτὴν, ἀμήνιτον ἐπὶ τῶν πρώτων αἰτιῶν μένοντα, καὶ μηδενὶ προστιθέντα φιλονεικίαν μὴ δὲ ὀργὴν, μὴ δὲ ἄλλο πάθος ἐμποιοῦν τραχύτητα καὶ πικρίαν τοῖς ἀναγκαίοις ἀμφισβητήμασι. τῶν μὲν γὰρ ἐν ταῖς παλαίστραις διαμαχομένων ἐπισφαίροις περιδέουσι τὰς χεῖρας, ὅπως εἰς ἀνήκεστον ἡ ἅμιλλα μηθὲν ἐκπίπτῃ μαλακὴν ἔχουσα τὴν πληγὴν καὶ ἄλυπον, ἐν δὲ ταῖς κρίσεσι καὶ ταῖς δίκαις πρὸς τοὺς πολίτας ἀμφοῖν ἐστι καθαραῖς καὶ ψιλαῖς ταῖς αἰτίαις χρώμενον ἀγωνίζεσθαι, καὶ μὴ καθάπερ βέλη τὰ πράγματα χαράσσοντα καὶ φαρμάσσοντα ταῖς βλασφημίαις, καὶ ταῖς κακοηθείαις καὶ ταῖς ἀπειλαῖς, ἀνήκεστα καὶ μεγάλα καὶ δημόσια ποιεῖν. ὁ γὰρ οὕτω προσφερόμενος τοῖς καθ' αὑτὸν, ὑπηκόους ἕξει καὶ τοὺς ἄλλους. αἱ δὲ περὶ τὰ δημόσια φιλοτιμίαι τῶν ἰδίων ὑφαιρουμένων ἀπεχθειῶν, εὐτελεῖς γίνονται, καὶ δυσχερὲς οὐδὲν οὐδὲ ἀνήκεστον ἐπιφέρουσιν.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΔΑΝΕΙΖΕΣΘΑΙ.

Ο Πλάτων ἐν τοῖς νόμοις οὐκ ἐᾷ μεταλαμβάνειν ὕδατος ἀλλοτρίου τοὺς γείτονας, ἂν μὴ παρ' αὐτοῖς ὀρύξαντες ἄχρι τῆς κεραμίτιδος καλουμένης γῆς, ἄγονον εὕρωσι νάματος τὸ χωρίον. ἡ γὰρ κεραμῖτις φύσιν ἔχουσα λιπαρὰν καὶ πυκνὴν, στέγει παραλαβοῦσα τὸ ὑγρὸν καὶ οὐ διίησι. δεῖ δὲ μεταλαμβάνειν τοῦ ἀλλοτρίου τοὺς ἴδιον κτήσασθαι μὴ δυναμένους, ἀπορίᾳ γὰρ βοηθεῖν τὸν νόμον. ἆρ' οὖν οὐκ ἔδει καὶ περὶ χρημάτων εἶναι νόμον, ὅπως μὴ δανείζωνται παρ' ἑτέρων, μὴ δὲ ἐπ' ἀλλοτρίας πηγὰς βαδίζωσι, μὴ πρότερον οἴκοι τὰς αὑτῶν ἀφορμὰς ἐξελέγξαντες καὶ συναγαγόντες ὥσπερ ἐκ λιβάδων τὸ χρήσιμον καὶ ἀναγκαῖον αὑτοῖς. νυνὶ δὲ ὑπὸ τρυφῆς καὶ μαλακίας ἢ πολυτελείας, οὐ χρῶνται τοῖς ἑαυτῶν ἔχοντες, ἀλλὰ λαμβάνουσιν ἐπὶ πολλῷ παρ' ἑτέρων μὴ δεόμενοι. τεκμήριον δὲ μέγα. τοῖς γὰρ ἀπόροις οὐ δανείζουσιν, ἀλλὰ βουλομένοις εὐπορίαν τινὰ ἑαυτοῖς κτᾶσθαι. καὶ μάρτυρα δίδωσι, καὶ βεβαιωτὴν ἄξιον, ὅτι ἔχει πιστεύεσθαι, δέον ἔχοντα μὴ δανείζεσθαι. τί θεραπεύεις τὸν τραπεζίτην ἢ πραγματευτήν; ἀπὸ τῆς ἰδίας δάνεισαι τραπέζης. ἐκπώματα ἔχεις, παροψίδας ἀργυρᾶς, λεκανίδας, ὑπόθου ταῦτα τῇ χρείᾳ. τὴν δὲ τράπεζαν ἡ καλὴ Αὐλὶς ἢ Τένεδος ἀντικοσμήσει τοῖς κεραμεοῖς, καθαρωτέροις οὖσι τῶν ἀργυρῶν. οὐκ ὄζει τόκου βαρὺ καὶ δυσχερὲς, ὥσπερ ἰοῦ καθ' ἡμέραν ἐπιρρυπαίνοντος τὴν πολυτέλειαν, οὐδὲ ἀναμνήσει τῶν καλανδῶν καὶ τῆς νεομηνίας, ἣν ἱερωτάτην ἡμερῶν οὖσαν, ἀποφράδα ποιοῦσιν οἱ δανεισταὶ καὶ στύγιον. τοὺς μὲν γὰρ ἀντὶ τοῦ πωλεῖν τιθέντας ἐνέχυρα τὰ αὑτῶν, οὐδ' ἂν ὁ θεὸς σώσειεν ὁ κτήσιος. αἰσχύνονται τιμὴν λαμβάνοντες, οὐκ αἰσχύνονται τόκον τῶν ἰδίων διδόντες. καί τοι ὅ γε Περικλῆς ἐκεῖνος τὸν τῆς θεᾶς κόσμον ἄγοντα τάλαντα τεσσαράκοντα χρυσίου ἀπέφθου περιαιρετὸν ἐποίησεν, ὅπως ἔφη χρησάμενοι πρὸς τὸν πόλεμον, αὖθις ἀποδῶμεν μὴ ἔλαττον. οὐκοῦν καὶ ἡμεῖς ὥσπερ ἐν πολιορκίᾳ ταῖς χρείαις μὴ παραδεχώμεθα φρουρὰν δανειστοῦ πολεμίου, μὴ δὲ ὁρᾶν τὰ αὑτῶν ἐπὶ δουλείᾳ διδόμενα, ἀλλὰ τῆς τραπέζης περιελόντες τὰ μὴ χρήσιμα, τῆς κοίτης, τῶν ὀχημάτων, τῆς διαίτης, ἐλευθέρους διαφυλάττωμεν ἑαυτοὺς, ὡς ἀποδώσοντες αὖθις ἐὰν εὐ-

τυχήσωμεν. αἱ μὲν οὖν Ῥωμαίων γυναῖκες εἰς ἀπαρχὴν τῷ Πυθίῳ Ἀπόλλωνι τὸν κόσμον ἐπέδωκαν, ὅθεν ὁ χρυσοῦς κρατὴρ εἰς Δελφοὺς ἐπέμφθη. αἱ δὲ Καρχηδονίων γυναῖκες ἐκείραντο τὰς κεφαλὰς, καὶ ταῖς θριξὶν ἐντείνειν τὰς μηχανὰς καὶ τὰ ὄργανα παρέσχον ὑπὲρ τῆς πατρίδος. ἡμεῖς δὲ τὴν αὐτάρκειαν αἰσχυνόμενοι καταδουλοῦμεν ἑαυτοὺς ὑποθήκαις καὶ συμβολαίοις, δέον εἰς αὐτὰ τὰ χρήσιμα συσταλέντας καὶ συμπεραθέντας ἐκ τῶν ἀχρήστων καὶ περιττῶν κατακοπέντων ἢ πραθέντων, ἐλευθερίας αὐτοῖς ἱερὸν ἱδρύσασθαι, καὶ τέκνοις καὶ γυναιξίν. ἡ μὲν γὰρ Ἄρτεμις ἡ ἐν Ἐφέσῳ τοῖς χρεώσταις ὅταν καταφύγωσιν εἰς τὸ ἱερὸν αὐτῆς, ἀσυλίαν παρέχει καὶ ἄδειαν ἀπὸ τῶν δανείων. τὸ δὲ τῆς εὐτελείας καὶ ἄσυλον καὶ ἄβατον, πανταχοῦ τοῖς σώφροσιν ἀναπέπταται, πολλῆς σχολῆς εὐρυχωρίαν παρέχον ἱλαρὰν καὶ ἔντιμον. ὡς γὰρ ἡ Πυθία τοῖς Ἀθηναίοις περὶ τὰ Μηδικὰ τεῖχος ξύλινον διδόναι τὸν θεὸν ἔφη, κἀκεῖνοι τὴν χώραν καὶ τὴν πόλιν καὶ τὰ κτήματα καὶ τὰς οἰκίας ἀφέντες, εἰς τὰς ναῦς κατέφυγον ὑπὲρ τῆς ἐλευθερίας, οὕτως ἡμῖν ὁ θεὸς δίδωσι ξυλίνην τράπεζαν, καὶ κεραμεᾶν λεκάνην, καὶ τραχὺ ἱμάτιον, ἐὰν ἐλεύθεροι ζῆν θέλωμεν. μὴ δέ σοί γε ἵππου σωκάς τε μέλλειν. μὴ δὲ ὀχήματα ζευκτὰ κερασφόρα καὶ κατάργυρα, ἃ τόκοι ταχεῖς καταλαμβάνουσι καὶ παραθέουσιν, ἀλλ' ὄνῳ τινὶ τῷ τυχόντι καὶ καβάλλῃ χρώμενος, φεῦγε πολέμιον καὶ τύραννον δανειστὴν, οὐ πῦρ αἰτοῦντα καὶ ὕδωρ ὡς ὁ Μῆδος, ἀλλὰ τῆς ἐλευθερίας ἁπτόμενον καὶ προσγράφοντα τὴν ἐπιτιμίαν, κἂν ἔχῃς μὴ λαμβάνοντα, κἂν δίδως ὀχλοῦντα, κἂν πωλῇς ἐπευωνίζοντα, κἂν μὴ πωλῇς ἀναγκάζοντα, κἂν δικάζῃς ἐντυγχάνοντα, κἂν ὀμόσῃς ἐπιτάττοντα, κἂν βαδίζῃς ἐπὶ θύρας ἀποκλείοντα, κἂν οἴκοι μένῃς ἐπισταθμεύοντα καὶ θυροκοποῦντα. τί γὰρ ὤνησε Σόλων Ἀθηναίους ἀπαλλάξας τοῦ ἐπὶ τοῖς σώμασιν ὀφείλειν; δουλεύουσι γὰρ ἅπασι τοῖς ἀφανισταῖς, μᾶλλον δὲ αὐτοῖς. τί γὰρ ἦν τὸ δεινόν, ἀλλὰ δούλοις ὑβρισταῖς, καὶ βαρβάροις καὶ ἀγρίοις, ὥσπερ οὓς ὁ Πλάτων φησὶ καθ' ᾅδου διαπύρους κολαστὰς καὶ δημοκοίνους ἐφεστάναι τοῖς ἠσεβηκόσι. καὶ γὰρ οὗτοι τὴν ἀγορὰν ἀσεβῶν χῶρον ἀποδείξαντες τοῖς ἀθλίοις χρεώσταις, γυπῶν δίκην ἐσθίουσι καὶ ὑποκείρουσιν αὐτοὺς ὑπὲρ ἔσω δύνοντες. τοὺς δὲ ὥσπερ Ταντάλους ἐφεστῶτες, εἴργουσι γεύσασθαι τῶν ἰδίων φυτῶντας καὶ συγκομίζοντας. ὡς δὲ Δαρεῖος ἐπὶ τὰς Ἀθήνας ἔπεμψε Δάτιν καὶ Ἀρταφέρνην, ἐν ταῖς χερσὶν ἁλύσεις ἔχοντας καὶ δεσμὰ κατὰ τῶν αἰχμαλώτων, παραπλησίως οὗτοι τῶν χειρογράφων καὶ συμβολαίων ὥσπερ πεδῶν ἐπὶ τὴν Ἑλλάδα κομίζοντες ἀγγεῖα μεστὰ, τὰς πόλεις ἐπιπορεύονται καὶ διελαύνουσιν, οὐχ ὥσπερ ἥμερον καρπὸν ὡς Τριπτόλεμος, ἀλλ' ὀφλημάτων ῥίζας πολυπόνους καὶ πολυτόκους καὶ δυσεκλείπτους ἐμφυτεύσαντες, αἳ κύκλῳ νεμόμεναι καὶ περιβλαστάνουσαι, κάμπτουσι καὶ ἄγχουσι τὰς πόλεις. τοὺς μὲν γὰρ λαγὼς λέγουσι τίκτειν ἅμα καὶ τρέφειν ἕτερα καὶ ἐπικυΐσκεσθαι πάλιν, τῶν δὲ τῶν μαστιγιῶν τούτων καὶ βαρβάρων χρέα, πρὶν ἢ συλλαβεῖν τίκτει, διδόντες γὰρ εὐθὺς ἀπαιτοῦσι, καὶ τιθέντες αἴρουσι, καὶ δανείζουσιν ὃ λαμβάνουσιν ὑπὲρ τοῦ δανεῖσαι. λέγεται μὲν τοῖς Μεσσηνίοις, ἔστι Πύλος πρὸ Πύλοιο, Πύλος γε μέν ἐστι καὶ ἄλλος. λεχθήσεται δὲ πρὸς τοὺς δανειστάς, ἔστι τόκος προτόκοιο τόκος γε μέν ἐστι καὶ ἄλλος. εἶτα τῶν φυσικῶν δήπου καταγελῶσι, λεγόντων μηδὲν ἐκ τοῦ μὴ ὄντος γενέσθαι. παρὰ τούτοις γὰρ ἐκ τοῦ μηδέπω ὄντος μὴ δὲ ὑφεστῶτος, γεννᾶται τόκος. καὶ τὸ τελωνεῖν ὄνειδος ἡγοῦνται, τοῦ νόμου διδόντος, αὐτοὶ παρανόμως δανείζουσι τελωνοῦντες. μᾶλλον δ' εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐν τῷ δανείζειν χρεωκοποῦντες. ὁ γὰρ οὐ γράφει λαμβάνων ἔλαττον, χρεωκοπεῖ.

ται. καί τοι Πέρσαι γε τὸ ψεύδεσθαι, δεύτερον ἡγοῦνται τῶν ἁμαρτημά-
των· πρῶτον δὲ, τὸ ὀφείλειν, ὅτι καὶ τὸ ψεύδεσθαι τοῖς ὀφείλουσι συμβαίνει πολλά-
κις· ψεύδονται δὲ μᾶλλον οἱ δανείζοντες, καὶ ῥᾳδιουργοῦσιν ἐν ταῖς ἑαυτῶν ἐ-
φημερίσι, γράφοντες ὅτι τῷ δεῖνι τοσοῦτον διδόασιν ἔλαττον διδόντες. καὶ τὸ ψεῦ-
δος αἰτίαν ἔχει πλεονεξίας· οὐκ ἀνάγκην, οὐδ' ἀπορίαν, ἀλλ' ἀπληστίαν, ἧς ἀν-
απόλαυστόν ἐστιν αὐτοῖς τὸ τέλος καὶ ἀνωφελές. ὀλέθριον δὲ τοῖς ἀδικουμένοις·
οὔτε γὰρ ἀγροὺς οὓς ἀφαιροῦνται τῶν χρεωστῶν γεωργοῦσιν, οὔτε οἰκίας αὐτῶν ἐκ-
βάλλοντες ἐκείνους οἰκοῦσιν, οὔτε τραπέζας παρατίθενται, οὔτε ἐσθῆτας ἐκεί-
νων, ἀλλὰ πρῶτός τις ἀπόλωλε, καὶ δεύτερος κυνηγεῖται ὑπ' ἐκείνου δελεαζό-
μενος. νέμεται γὰρ ὡς πῦρ τὸ ἄγριον αὐξόμενον, ὀλέθρῳ καὶ φθορᾷ τῶν ἐμ-
πεσόντων, ἄλλον ἐξ ἄλλου καταναλίσκον. ὁ δὲ τοῦτο ῥιπίζων καὶ τρέφων ἐπ' ὀλ-
λοὺς δανειστὴς, οὐδὲν ἔχει πλέον ἢ διὰ χρόνου λαβὼν ἀναγνῶναι, πόσους πέπρακε
καὶ πόσους ἐκβέβληκε, καὶ πόθεν ποῦ κυλινδούμενον καὶ σωρευόμενον διαβέβηκε τὸ
ἀργύριον. καὶ ταῦτα μή με οἴεσθε λέγειν πόλεμον ἐξενηνοχότα πρὸς τοὺς δα-
νειστάς· οὐ γάρ πώ ποτ' ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους, ἀλλ' ἐνδεικνύμενον τοῖς
προχείρως δανειζομένοις ὅσην ἔχει τὸ πρᾶγμα αἰσχύνην καὶ ἀνελευθερίαν, καὶ
ὅτι τὸ δανείζεσθαι τῆς ἐσχάτης ἀφροσύνης καὶ μαλακίας ἐστίν. ἔχεις; μὴ δανεί-
σῃ· οὐ γὰρ ἀπορεῖς. οὐκ ἔχεις; μὴ δανείσῃ· οὐ γὰρ ἐκτίσεις. κατ' ἰδίαν δὲ οὕτως ἑ-
κάτερα σκοπῶμεν. ὁ Κάτων πρός τινα πρεσβύτην πονηρευόμενον, ὦ ἄνθρωπε
τί τῷ γήρᾳ ἔφη πολλὰ κακὰ ἔχοντι, τὴν ἐκ τῆς πονηρίας αἰσχύνην προστίθης·
οὐκοῦν καὶ σὺ τῇ πενίᾳ πολλῶν κακῶν προσόντων, μὴ ἐπισώρευε τὰς ἐκ τοῦ δα-
νείζεσθαι καὶ ὀφείλειν ἀμηχανίας, μὴ δὲ ἀφαιροῦ τῆς πενίας, ᾧ μόνῳ τοῦ πλού-
του διαφέρει, τὴν ἀμεριμνίαν. ἐπεὶ τὸ τῆς παροιμίας ἔσται γελοῖον· οὐ δύναμαι
τὴν αἶγα φέρειν· ἐπίθετέ μοι τὸν βοῦν. πενίαν φέρειν μὴ δυνάμενος, δανειστὴν ἐπι-
τίθης σεαυτῷ φορτίον, καὶ πλουτοῦντι δύσοιστον. πῶς οὖν διατραφῶ; τοῦτο ἐ-
ρωτᾷς, ἔχων χεῖρας, ἔχων πόδας, ἔχων φωνὴν, ἄνθρωπος ὢν, ᾧ τὸ φιλεῖν ἐστι
καὶ φιλεῖσθαι, καὶ τὸ χαρίζεσθαι καὶ τὸ εὐχαριστεῖν; γράμματα διδάσκων, καὶ
παιδαγωγῶν, καὶ θυρωρῶν, πλέων, παραπλέων; οὐδέν ἐστι τούτων αἴσχιον οὐδὲ
δυσχερέστερον, τοῦ ἀκοῦσαι ἀπόδος. ὁ Ῥουτίλιος ἐκεῖνος ἐν Ῥώμῃ τῷ Μουσωνίῳ
προσελθὼν, Μουσώνιε εἶπεν, ὁ Ζεὺς ὁ σωτὴρ ὃν σὺ μιμῇ καὶ ζηλοῖς, οὐ δανείζε-
ται. καὶ ὁ Μουσώνιος μειδιάσας, εἶπεν, οὐδὲ δανείζει. ὁ γὰρ Ῥουτίλιος δανείζων αὐ-
τὸς, ὠνείδιζεν ἐκείνῳ δανειζομένῳ, ὡς στωϊκή τις αὕτη τυφομανία. τί γάρ σε δεῖ
τὸν Δία τὸν σωτῆρα κινεῖν αὐτόθεν ὑπομνῆσαι τοῖς φαινομένοις ἐνόν; οὐ δανείζον-
ται χελιδόνες, οὐ δανείζονται μύρμηκες, οἷς ἡ φύσις οὐ χεῖρας οὐ λόγον οὐ τέ-
χνην δέδωκεν· ἄνθρωποι δὲ περιουσίᾳ συνέσεως διὰ τὸ εὐμήχανον, ἵππους παρα-
τρέφουσι, κύνας, πέρδικας, λαγωούς, κολοιούς, τί οὖν γε σαυτοῦ κατέγνωκας,
ἀπιθανώτερος ὢν κολοιοῦ, καὶ ἀφωνότερος πέρδικος, καὶ κυνὸς ἀγεννέστερος·
ὥστε ἀπ' ἀνθρώπου μηδενὸς ὠφελεῖσθαι, θεραπεύων, ψυχαγωγῶν, φυλάττων, προ-
μαχόμενος. οὐχ ὁρᾷς ὡς πολλὰ μὲν γῆ παρέχει, πολλὰ δὲ θάλαττα. καὶ μὴν Μί-
κυλον εἰσεῖδον φησὶν ὁ Κράτης, τὰ ἔρια ξαίνοντα, γυναῖκά τε συξαίνουσαν, τὸν λι-
μὸν φεύγοντας ἐν αἰνῇ δηϊότητι. Κλεάνθην δὲ ὁ βασιλεὺς Ἀντίγονος ἠρώτα, διὰ
χρόνου θεασάμενος ἐν ταῖς Ἀθήναις, ἀλεῖς ἔτι Κλεάνθες; ἀλῶ φησὶν ὦ βασιλεῦ, τοῦ
ὃ ποιῶ ἕνεκα τοῦ ζῆν. μόνος δὲ ἀποστῆναι μὴ δὲ φιλοσοφίας, ὅσον τὸ φρόνημα τοῦ
ἀνδρὸς, ἀπὸ τοῦ μύλου καὶ τῆς μάκτρας πεττούσῃ χειρὶ καὶ ἀλούσῃ, γράφειν περὶ
θεῶν καὶ σελήνης καὶ ἄστρων καὶ ἡλίου. ἡμῖν δὲ δουλικὰ δοκεῖ ταῦτα ἔργα. τοι-
γαροῦν ἵνα ἐλεύθεροι ὦμεν δανεισάμενοι, κολακεύομεν οἰκότριβας ἀνθρώπους.

καὶ δορυφοροῦμεν καὶ δειπνίζομεν, καὶ δῶρα καὶ φόρους ὑποτελοῦμεν, οὐ διὰ
τὴν πενίαν· οὐδεὶς γὰρ δανείζει πένητι, ἀλλὰ διὰ τὴν πολυτέλειαν. εἰ γὰρ ἠρκού-
μεθα τοῖς ἀναγκαίοις πρὸς τὸν βίον, οὐκ ἂν ἦν γένος δανειστῶν, ὥσπερ οὐδὲ κεν-
ταύρων ἐστὶν, οὐδὲ γοργόνων. ἀλλ' ἡ τρυφὴ δανειστὰς ἐποίησεν. οὐχ ἧττον ἢ χρυσοχό-
ους καὶ ἀργυροκόπους καὶ μυρεψοὺς καὶ ἀνθοβάφους. οὐ γὰρ ἄρτων οὐδὲ οἴνου τι-
μὴν ὀφείλομεν, ἀλλὰ χωρίων καὶ ἀνδραπόδων καὶ ἡμιόνων καὶ τρικλίνων καὶ
τραπεζῶν, καὶ χορηγοῦντες ἐκλελυμένως πόλεσι, φιλοτιμούμενοι φιλοτιμίας ἀκάρ-
πους καὶ ἀχαρίστους. ὁ δὲ ἅπαξ ἐνειληθεὶς, μένει χρεώστης διαπαντὸς, ἄλλον ἐξ ἄλ-
λου μεταλαμβάνων ἀναβάτην, ὥσπερ ἵππος ἐγχαλινωθείς. ἀποφυγὴ δὲ οὐκ
ἔστιν αὖθι τὰς νομὰς ἐκείνας καὶ τοὺς λειμῶνας· ἀλλὰ πλάζονται καθάπερ
οἱ θεήλατοι καὶ οὐρανοπετεῖς ἐκεῖνοι τοῦ Ἐμπεδοκλέους δαίμονες. αἰθέριον γὰρ
σφε μένος πόντονδε διώκει· πόντος δὲ χθονὸς οὖδας ἀνέπτυσε· γαῖα δ' εἰς αὐγὰς ἠε-
λίου ἀκάμαντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις. ἄλλος δ' ἐξ ἄλλου δέχεται τοκιστὴς
ἢ πραγματευτὴς Κορίνθιος, εἶτα Πατρεὺς, εἶτα Ἀθηναῖος, ἄχρις ἂν ὑπὸ πάν-
των περικρουόμενος εἰς τόκους διαλυθῇ καὶ κατακερματισθῇ. καθάπερ γὰρ ἀνα-
στῆναι δεῖ τὸν πεπηλωμένον ἢ μένειν, ὁ δὲ στρεφόμενος καὶ κυλινδούμενος ὑγρῷ τῷ
σώματι καὶ διαβρόχῳ προσπεριβάλλεται πλείονα μολυσμὸν, οὕτως ἐν ταῖς
μεταγραφαῖς καὶ μεταπτώσεσι τῶν δανείων τοὺς τόκους προσαναλαμβάνον-
τες αὐτοῖς καὶ προσπλάττοντες, ἀεὶ βαρύτεροι γίνονται, καὶ τῶν χολερικῶν οὐ-
δὲν διαφέρουσιν, οἳ θεραπείαν μὲν οὐ προσδέχονται, τὸ δὲ προστεταγμένον ἐξαι-
ροῦντες, εἶτα πλέον αὖθις συλλέγοντες ἀεὶ διατελοῦσι. καὶ γὰρ οὗτοι καθαρ-
θῆναι μὲν οὐ θέλουσιν, ἀεὶ δ' ὅσαι τοῦ ἔτους ὧραι, μετ' ὀδύνης καὶ σπαραγμῶν
τὸν τόκον ἀναφέροντες, ἐπιρρέοντος εὐθὺς ἑτέρου καὶ προσισταμένου, πάλιν ναυ-
τιῶσι καὶ καρηβαροῦσι. δέον ἀπαλλαγέντας, εἰλικρινεῖς καὶ ἐλευθέρους γίνε-
σθαι.

ἤδη γάρ μοι πρὸς τοὺς εὐπορωτέρους καὶ μαλακωτέρους ὁ λόγος ἐστὶ
τοὺς λέγοντας ἄδουλος οὖν γένωμαι καὶ ἀνέστιος καὶ ἄοικος; ὥσπερ εἰ λέγοι
πρὸς ἰατρὸν, ἄρρωστος ὑδρωπιῶν καὶ ᾠδηκώς· ἰσχνὸς οὖν γένωμαι καὶ κενός;
τί δὲ οὐ μέλλεις, ἵνα ὑγιαίνῃς. καὶ σὺ γενοῦ ἄδουλος, ἵνα μὴ δοῦλος ἧς. καὶ ἀκ-
τήμων, ἵνα μὴ κτῆμα ἧς ἄλλου. καὶ τὸν τῶν γυπῶν λόγον ἄκουσον. ἐμοῦντος
τοῦ ἑτέρου, καὶ λέγοντος τὰ σπλάγχνα ἐκβάλλειν· ἕτερος παρὼν, καὶ τί δει-
νὸν εἶπεν· οὐ γὰρ τὰ σεαυτοῦ σπλάγχνα ἐκβάλλεις, ἀλλὰ τοῦ νεκροῦ, ὃν ἄρτι ἐ-
σπαράττομεν. καὶ τῶν χρεωστῶν οὐ πωλεῖ ἕκαστος τὸ ἑαυτοῦ χωρίον, οὐδὲ τὴν ἰ-
δίαν οἰκίαν, ἀλλὰ τὴν τοῦ δανείσαντος, ὃν τῷ νόμῳ κύριον αὐτῶν πεποίηκεν. νὴ
Δία φησὶν ἀλλ' ὁ πατήρ μου τὸν ἀγρὸν τοῦτον κατέλιπε, καὶ γὰρ καὶ τὴν ἐλευθερίαν
καὶ τὴν ἐπιτιμίαν ὁ πατὴρ ἔδωκεν, ὧν σε δεῖ λόγον ἔχειν πλείονα, καὶ τὸν πό-
δα καὶ τὴν χεῖρα, ὁ γεννήσας ἐποίησεν, ἀλλ' ὅταν σαπῇ, μισθὸν δίδωσι τῷ ἀπο-
κόπτοντι. τῷ δὲ Ὀδυσσεῖ τὴν ἐσθῆτα ἡ Καλυψὼ περιέθηκεν· εἵματ' ἀμφιέσασα
θυώδεα χρωτὸς ἀθανάτου πνέοντα. δῶρα καὶ μνημόσυνα τῆς φιλίας ὄντα τῆς
ἐκείνης. ἀλλ' ἐπεὶ περιτραπεὶς καὶ βυθισθεὶς μόλις ἀνέσχε τῆς ἐσθῆτος γενομένης
διαβρόχου καὶ βαρείας, ἐκείνην μὲν ἔρριψεν ἀποδυσάμενος. κρηδέμνῳ δέ τινι γυ-
μνὸν ὑποζώσας τὸ στέρνον, νῆχε παρὲξ ἐς γαῖαν· ἐρώμενος δὲ καὶ διασωθεὶς, οὔτε
ἐσθῆτος οὔτε τροφῆς ἠπόρησε. τί οὖν οὐ γίνεται χειμὼν περὶ τοὺς χρεώστας,
ὅταν ἐπιστῇ διὰ χρόνου δανειστὴς λέγων ἀπόδος; ὣς εἰπὼν, σύναγεν νεφέλας ἐ-
τάραξε δὲ πόντον· σὺν δ' εὖρός τε νότος τ' ἔπεσε ζέφυρός τε δυσαὴς τόκων τόκοις
ἐπικυλισθέντων. ὁ δὲ συγκλυζόμενος, ἀντέχεται τῶν βαρυνόντων· ἀπονήξασθαι
καὶ φυγεῖν μὴ δυνάμενος, ἀλλ' ὠθεῖται κατὰ βυθοῦ, μετὰ τῶν ἐγγυησαμένων

φίλων ἀφανιζόμενος. Κράτης δὲ ὁ Θηβαῖος ὑπ' οὐδενὸς ἀπαιτούμενος οὐδ' ὀφείλων, αὐτὰς δὲ τὰς οἰκονομίας καὶ φροντίδας καὶ περισπασμοὺς δυσχεραίνων, ἀφῆκεν οὐσίαν ὀκτὼ ταλάντων· καὶ τρίβωνα καὶ πήραν ἀναλαβὼν, εἰς φιλοσοφίαν καὶ πενίαν κατέφυγεν. ἀναξαγόρας δὲ τὴν χώραν κατέλιπε μηλόβοτον. καὶ τί δεῖ τούτους λέγειν· ὅπου φιλόξενος ὁ μελοποιὸς ἐν ἀποικίᾳ σικελικῇ, κλήρου μεταλαχὼν καὶ βίου καὶ οἴκου, πολλὴν εὐπορίαν ἔχοντος, ὁρῶν δὲ τρυφὴν καὶ ἡδυπάθειαν καὶ ἀμουσίαν ἐπιχωριάζουσαν, μὰ τοὺς θεοὺς εἶπεν, ἐμὲ ταῦτα τὰ ἀγαθὰ οὐκ ἀπολεῖ, ἀλλ' ἐγὼ ταῦτα· καὶ καταλιπὼν ἑτέροις τὸν κλῆρον, ἐξέπλευσεν. οἱ δ' ὀφείλοντες ἀπαιτούμενοι, δασμολογούμενοι, δουλεύοντες, ὑπαργυρεύοντες, ἀνέχονται, καρποῦσιν, ὡς ὁ φινεὺς ἁρπυίας τινὰς ὑποπτέρους βόσκοντες, αἳ φέρουσι τὴν τροφὴν καὶ διαρπάζουσιν, οὐ καθ' ὥραν, ἀλλὰ πρὶν θερισθῆναι τὸν σῖτον ὠνούμενοι, καὶ πρὶν ἢ πεσεῖν τὴν ἐλαίαν, ἀγοράζοντες τοὔλαιον, καὶ τὸν οἶνον ἔχω φησὶ τοσούτου, καὶ προσγράφει τὴν τιμήν· ὁ δὲ βότρυς κρέμαται, καὶ προσπέφυκεν ἔτι τὸν ἀρκτοῦρον ἐκδεχόμενος.

ΠΛΑΤΩΝΙΚΑ ΖΗΤΗΜΑΤΑ.

Τί δή ποτε τὸν σωκράτην ὁ θεὸς μαιοῦσθαι μὲν ἐκέλευσεν ἑτέρους, αὐτὸν δὲ γεννᾶν ἀπεκώλυσεν, ὡς ἐν θεαιτήτῳ λέγεται· οὐ γὰρ εἰρωνευόμενός γε καὶ παίζων προσεχρήσατο τῷ τοῦ θεοῦ ὀνόματι. καὶ ἄλλως ἐν τῷ θεαιτήτῳ, πολλὰ μεγάλαυχα καὶ σοβαρὰ σωκράτει περιτέθεικεν, ὧν καὶ ταῦτά ἐστι. πολλοὶ γὰρ δὴ ὦ θαυμάσιε οὕτω πρός με διατεθήκασιν, ὥστε ἀτεχνῶς δάκνειν, ἐπειδάν τινα λῆρον αὐτῶν ἀφαιρῶμαι, καὶ οὐκ οἴονταί με εὐνοίᾳ τοῦτο ποιεῖν, πόρρω ὄντες τοῦ εἰδέναι ὅτι οὐδεὶς θεὸς δύσνους ἀνθρώποις· οὐδ' ἐγὼ δυσνοίᾳ τοιοῦτον οὐδὲν δρῶ. ἀλλά μοι ψεῦδός τε συγχωρῆσαι, καὶ ἀληθὲς ἀφανίσαι, οὐδαμῶς θέμις. πότερον οὖν τὴν ἑαυτοῦ φύσιν ὡς κριτικωτέραν καὶ γονιμωτέραν οὖσαν, θεὸν προσεῖπε, καθάπερ μένανδρος· ὁ νοῦς γὰρ ἡμῶν ὁ θεός· καὶ ἡράκλειτος, ἦθος ἀνθρώπου δαίμων· ἢ θεῖόν τι καὶ δαιμόνιον ὡς ἀληθῶς αἴτιον ὑφηγήσατο σωκράτει τοῦτον τὸν τρόπον τῆς φιλοσοφίας τὸ γένος, ᾧ τοὺς ἄλλους ἐξετάζων ἀεὶ, τύφου καὶ πλάνης καὶ ἀλαζονείας καὶ τοῦ βαρεῖς εἶναι πρῶτον μὲν αὐτοῖς, εἶτα καὶ τοῖς συνοῦσιν ἀπήλλαττε. καὶ γὰρ ὥσπερ ἐκ τύχης τότε φορὰν γενέσθαι συνέβη σοφιστῶν ἐν τῇ ἑλλάδι, καὶ τούτοις οἱ νέοι πολυτελοῦντες ἀργύριον, οἰήματος ἐπληροῦντο, καὶ δοξοσοφίας καὶ λόγων ζῆλον, σχολὴν καὶ διατριβὰς ἀπράκτους ἐν ἔρισι καὶ φιλοτιμίαις, καλὸν δὲ καὶ χρήσιμον οὐδὲ ποιοῦ. τὸν οὖν ἐλεγκτικὸν λόγον ὥσπερ καθαρτικὸν ἔχων φάρμακον ὁ σωκράτης, ἀξιόπιστος ἦν ἑτέρους ἐλέγχων, τῷ μηδὲν ἀποφαίνεσθαι, καὶ μᾶλλον ἥπτετο δοκῶν ζητεῖν κοινῇ τὴν ἀλήθειαν, οὐκ αὐτὸς ἰδίᾳ δόξῃ βοηθεῖν. ἔπειτα τὸ κρίνειν ὄντως ὠφέλιμον, τὸ γεννᾶν ἐμπόδιον. τυφλοῦται γὰρ τὸ φιλοῦν περὶ τὸ φιλούμενον. φιλεῖται δὲ τῶν ἰδίων οὐδὲν οὕτως, ὡς δόξα καὶ λόγος ὑπὸ τοῦ τεκόντος. ἡ γὰρ λεγομένη τέκνων δικαιοτάτη διανομὴ, πρὸς λόγους ἐστὶν ἀδικωτάτη. δεῖ γὰρ ἐκεῖ λαβεῖν μὲν τὸ ἴδιον, ἐνταῦθα δὲ καὶ ἀλλότριον ᾖ, τὸ βέλτιστον. ὅθεν ὁ γεννῶν ἴδια, γίνεται φαῦλος ἑτέρων κριτής. καὶ καθάπερ ἠλείους τῶν σοφιστῶν τις ἔφη βελτίους ἂν εἶναι τῶν ὀλυμπίων ἀγωνοθέτας, εἰ μηδεὶς ἦν ἠλείων ἀγωνιστής, οὕτως ὁ μέλλων ἐν λόγοις βραβεύειν ὀρθῶς ἐπιστατήσειν, οὐ δίκαιός ἐστιν αὐτὸς φιλοστεφανεῖν, οὐδὲ ἀνταγωνίζεσθαι τοῖς κρινομένοις. καὶ γὰρ οἱ τῶν ἑλλήνων στρατηγοὶ τὴν περὶ τῶν ἀριστείων ψῆφον φέ-

ροντες, αὑτοὺς ἀρίστους ἔκριναν ἅπαντας, καὶ τῶν φιλοσόφων οὐδείς ἐστιν ὃς οὐ τοῦτο πέπονθε, δίχα τῶν ὥσπερ σωκράτης ὁμολογούντων μηδὲν ἴδιον λέγειν. οὗτοι δὲ καθαροὺς μόνοι καὶ ἀδεκάστους τῆς ἀληθείας παρέχουσιν ἑαυτοὺς δικαστάς. ὥσπερ γὰρ ὁ ἐν τοῖς ὠσὶν ἀὴρ ἂν μὴ σταθερὸς ᾖ, μηδὲ φωνῆς ἰδίας ἔρημος, ἀλλ' ἤχου καὶ ῥοίζου μεστὸς, οὐκ ἀκριβῶς ἀντιλαμβάνεται τῶν φθεγγομένων, οὕτω τὸ τοὺς λόγους ἐν φιλοσοφίᾳ κρῖνον, ἂν ἔνδοθεν ἀντιπαταγῇ καὶ ἀντηχῇ, δυσξύνετον ἔσται τῶν λεγομένων ἔξωθεν· ἡ γὰρ οἰκεία δόξα καὶ σύνοικος, ὧν ἂν ἄριστα πράττῃ, φιλοσοφίαν ἔχει κατορθοῦσαν, οἰομένας δὲ τὰς ἄλλας ἁπάσας πρὸς τὴν ἀλήθειαν. ἔτι τοίνυν εἰ μὲν οὐδέν ἐστι καταληπτὸν ἀνθρώπῳ καὶ γνωστὸν, εἰκότως ὁ θεὸς ἀπεκώλυσεν αὐτὸν ὑπηνέμια καὶ ψευδῆ καὶ ἀβέβαια γεννᾶν. ἐλέγχειν δὲ τοὺς ἄλλους ἠνάγκαζε τοιαῦτα δοξάζοντας. οὐ γὰρ μικρὸν ἦν ὄφελος, ἀλλὰ μέγιστον ὁ τοῦ μεγίστου τῶν κακῶν ἀπάτης καὶ κενοφροσύνης ἀπαλλάττων λόγος. οὐδ' ἀσκληπιάδαις τοῦτο γ' ἔδωκε θεός. οὐ γὰρ σώματος ἡ σωκράτους ἰατρεία. ψυχῆς δὲ ἠνυπούλου καὶ διεφθαρμένης καθαρμός. εἰ δὲ ἔστιν ἐπιστήμη τοῦ ἀληθοῦς, ἓν δὲ τὸ ἀληθὲς, οὐκ ἔλαττον ἔχει τοῦ εὑρόντος ὁ μαθὼν παρὰ τοῦ μὴ εὑρόντος. λαμβάνει δὲ μᾶλλον ὁ μὴ πεπεισμένος ἔχειν, καὶ λαμβάνει τὸ βέλτιστον ἐξ ἁπάντων. ὥσπερ ὁ μὴ τεκὼν παιδοποιεῖται τὸν ἄριστον. ὅρα δὲ μὴ τἄλλα μὲν οὐδὲ μιᾶς ἦν ἄξια σπουδῆς ποιήματα καὶ μαθήματα, καὶ λόγοι ῥητόρων, καὶ δόγματα σοφιστῶν, ἃ σωκράτην γεννᾶν τὸ δαιμόνιον ἀπεκώλυσεν, ἣν δὲ μόνην ἡγεῖτο σωκράτης σοφίαν περὶ τὸ θεῖον καὶ νοητὸν, ἐρωτικὴν ὑπ' αὐτοῦ προσαγορευομένην, ταύτης οὐ γένεσίς ἐστιν ἀνθρώποις οὐδὲ εὕρεσις, ἀλλὰ ἀνάμνησις. ὅθεν οὐδὲν ἐδίδασκε σωκράτης, ἀλλὰ ἐνδιδοὺς ἀρχὰς ἀποριῶν ὥσπερ ὠδίνων τοῖς νέοις, ἐπήγειρε καὶ ἀνεκίνει καὶ συνεξῆγε τὰς ἐμφύτους νοήσεις. καὶ τοῦτο μαιωτικὴν τέχνην ὠνόμαζεν, οὐκ ἐντιθεῖσαν ἔξωθεν, ὥσπερ ἕτεροι προσεποιοῦντο νοῦν τοῖς ἐντυγχάνουσιν, ἀλλ' ἔχοντας οἰκεῖον ἐν ἑαυτοῖς, ἀτελῆ δὲ καὶ συγκεχυμένον τοῦ τρέφοντος ἐπιδεικνύουσαν.

Τί δή ποτε τὸν ἀνωτάτω θεὸν πατέρα πάντων καὶ ποιητὴν προσεῖπεν, τῶν μὲν θεῶν τῶν γεννητῶν καὶ τῶν ἀνθρώπων πατήρ ἐστιν, ὡς ὅμηρος ἐπονομάζει, ποιητὴς δὲ τῶν ἀλόγων καὶ ἀψύχων. οὐ γὰρ χωρίου φησὶ χρύσιππος πατέρα καλεῖσθαι τὸν παρασχόντα τὸ σπέρμα, καίπερ ἐκ τοῦ σπέρματος γεγονότος τῇ μεταφορᾷ χρώμενος, ὥσπερ εἴωθε τὸν αἴτιον πατέρα τοῦ κόσμου κέκληκεν, ὡς τῶν ἐρωτικῶν λόγων πατέρα φαῖδρον ἐν συμποσίῳ προσεῖπεν εἰσηγητὴν αὐτὸν γενόμενον, ἐν δὲ τῷ ὁμωνύμῳ διαλόγῳ καλλίπαιδα· πολλοὺς γὰρ ἦν καὶ καλοὺς λόγους ἐν φιλοσοφίᾳ γενέσθαι, τὴν ἀρχὴν ἐκείνου παρασχόντος. ἢ διαφέρει πατήρ τε ποιητοῦ, καὶ γεννήσεως γέννησις. ὡς γὰρ τὸ γεγεννημένον καὶ γέγονεν, οὐ μὴν ἀνάπαλιν, οὕτως ὁ γεννήσας καὶ πεποίηκεν. ἐμψύχου γὰρ γένεσις ἡ γέννησίς ἐστι, καὶ ποιητοῦ μὲν οἷος οἰκοδόμος, ἢ ὑφάντης, ἢ λύρας δημιουργὸς, ἢ ἀνδριάντα τε ἀπήλλακται τὸ γενόμενον ἔργον. ἡ δὲ ἀπὸ τοῦ γεννήσαντος ἀρχὴ καὶ δύναμις, ἐγκέκραται τῷ τεκνωθέντι καὶ συνέχει τὴν φύσιν, ἀπόσπασμα καὶ μόριον οὖσαν τοῦ τεκνώσαντος. ἐπεὶ τοίνυν οὐ πεπλασμένοις ὁ κόσμος, οὐδὲ συνηρμοσμένοις ποιήμασιν ἔοικεν, ἀλλ' ἔστιν αὐτῷ μοῖρα πολλὴ ζωότητος καὶ θειότητος, ἣν ὁ θεὸς ἐγκατέσπειρεν ἐφ' ἑαυτοῦ τῇ ὕλῃ καὶ κατέμιξεν, εἰκότως ἅμα πατήρ τε τοῦ κόσμου ζώου γεγονότος, καὶ ποιητὴς ἐπονομάζεται. τούτων δὲ μάλιστα τῆς πλάτωνος ἁπτομένων δόξης, ἐπίσκεψαι εἰ κἀκεῖνο λεχθήσεται πιθανῶς. ὅτι δυοῖν ὄντων ἐξ ὧν ὁ κόσμος συνέστηκε, σώματος καὶ ψυχῆς· τὸ μὲν οὐκ ἐγέννησε θεὸς, ἀλλὰ τῆς ὕλης παρασχομένης, ἐμόρφωσε καὶ συνήρμοσε, πέρασιν οἰκείοις καὶ σχήμασι δήσας καὶ ὁρίσας τὸ ἄπειρον, ἡ δὲ ψυχὴ νοῦ μετασχοῦσα καὶ λογισμοῦ καὶ ἁρμονίας,

οὐκ ἔργον ἐστὶ τοῦ θεοῦ μόνον, ἀλλὰ καὶ μέρος. οὐδ' ὑπ' αὐτοῦ ἀλλ' ἀπ' αὐτοῦ καὶ ἐξ αὐτοῦ γέγονεν. ἐν τῇ πολιτείᾳ γοῦν τοῦ παντὸς ὥσπερ μιᾶς γραμμῆς τετμημένης ἄνισα τμήματα, πάλιν τέμνων ἑκάτερον τμῆμα εἰς δύο ἀνὰ τὸν αὐτὸν λόγον, τό τε τοῦ ὁρωμένου γένος καὶ τὸ τοῦ νοουμένου περὶ τὰ πάντα ποιήσας. τοῦ μὲν νοητοῦ πρῶτον ἀποφαίνει, τὸ περὶ τὰ πρῶτα εἴδη, δεύτερον τὸ μαθηματικόν. τοῦ δὲ αἰσθητοῦ πρῶτον μὲν τὰ στερέμνια σώματα. δεύτερον δὲ τὰς εἰκόνας καὶ τὰ εἴδωλα τούτων; καὶ κριτήριον ἑκάστῳ τῶν τεττάρων ἀποδίδωσιν ἴδιον. νοῦν μὲν τῷ πρώτῳ, διάνοιαν δὲ τῷ μαθηματικῷ, τοῖς δὲ αἰσθητοῖς πίστιν. εἰκασίαν δὲ τῆς περὶ τὰ εἴδωλα καὶ τὰς εἰκόνας. τί οὖν διανοηθεὶς ἄνισα τὰ τμήματα τὸ πᾶν ἔτεμνε. καὶ πότερον τῶν τμημάτων τὸ νοητὸν ἢ τὸ αἰσθητὸν μεῖζόν ἐστιν. αὐτὸς γὰρ οὐ δεδήλωκε. δόξει δὲ αὐτόθεν μὲν εἶναι μεῖζον τὸ αἰσθητόν. ἡ γὰρ ἀμέριστος οὐσία καὶ κατὰ ταυτὸν ὡσαύτως ἔχουσα τῶν νοητῶν ἐστιν εἰς βραχὺ συνηγμένη καὶ καθαρόν. ἡ δὲ σκεδαστὴ περὶ τὰ σώματα καὶ περιπλανὴς τὸ αἰσθητὸν παρέσχεν. ἔτι τὸ μὲν ἀσώματον, πέρατος οἰκεῖον. τὸ δὲ σῶμα τῇ μὲν ὕλῃ, ἄπειρον καὶ ἀόριστον. αἰσθητὸν δὲ γινόμενον, ὅταν ὁρισθῇ μετοχῇ τοῦ νοητοῦ. ἔτι καθάπερ αὐτῶν τῶν αἰσθητῶν ἕκαστον εἰκόνας ἔχει πλείους καὶ σκιὰς καὶ εἴδωλα, καὶ ὅλως ἀφ' ἑνὸς παραδείγματος πάμπολλα μιμήματα γίνεσθαι καὶ φύσει καὶ τέχνῃ δυνατόν ἐστιν, οὕτως ἀνάγκη τὰ ἐνταῦθα τῶν ἐκεῖ πλήθει διαφέρειν κατὰ τὸν Πλάτωνα, παραδείγματα καὶ ἰδέας τὰ νοήματα τῶν αἰσθητῶν, ὥσπερ εἰκόνων ἢ ἐμφάσεων ὑποτιθεμένου. ἔτι τῶν εἰδῶν ἡ νόησις ἐξ ἀφαιρέσεως καὶ περικοπῆς σώματος ἐπάγει τῇ τῶν μαθητῶν τάξει, καταβιβάζων ἀπὸ τῆς ἀριθμητικῆς ἐπὶ γεωμετρίαν, εἶτα μετὰ ταύτην ἐπ' ἀστρολογίας, ἐπὶ πάσαις δὲ τὴν ἁρμονικὴν τιθείς. γίνεται μὲν γὰρ τὰ γεωμετρούμενα, τοῦ ποσοῦ μέγεθος προσλαβόντος. τὰ δὲ στερεὰ τοῦ μεγέθους, βάθος. τὰ δὲ ἀστρολογούμενα τοῦ στερεοῦ κίνησιν. τὰ δὲ ἁρμονικὰ τῷ κινουμένῳ σώματι φωνῆς προσγενομένης. ὅθεν ἀφαιροῦντες φωνὴν μὲν τῶν κινουμένων, κίνησιν δὲ τῶν στερεῶν, βάθος δὲ τῶν ἐπιπέδων, μέγεθος δὲ τῶν ποσῶν, ἐν αὐταῖς γενησόμεθα ταῖς νοηταῖς ἰδέαις, οὐδεμίαν διαφορὰν ἐχούσαις πρὸς ἀλλήλας κατὰ τὸ ἓν καὶ μόνον. οὐ γὰρ ποιεῖ μονὰς ἀριθμόν, ἂν μὴ τῆς ἀπείρου δυάδος ἅψηται. ποιήσασα δὲ οὕτως ἀριθμὸν εἰς στιγμάς, εἶτα γραμμάς, ἐκ δὲ τούτων εἰς ἐπιφανείας καὶ βάθη καὶ σώματα πρόεισι καὶ σωμάτων ποιότητας ἐν πάθεσι γινομένων. ἔτι τῶν μὲν νοητῶν ἓν κριτήριον ὁ νοῦς, καὶ γὰρ ἡ διάνοια, νοῦς ἐστιν ἐν τοῖς μαθηματικοῖς, ὥσπερ ἐν κατόπτροις ἐκφαινομένων τῶν νοητῶν. ἐπὶ δὲ τὴν τῶν σωμάτων γνῶσιν ὑπὸ πλήθους πέντε δυνάμεις καὶ διαφορὰς αἰσθητηρίων ἡ φύσις ἔδωκεν ἡμῖν. καὶ οὐ πάντα φωρᾶται ταύταις. ἀλλὰ ἐκφεύγει πολλὰ εἰς μακρότητα τὴν αἴσθησιν. ἐν ᾧ καίπερ ἡμῶν ἑκάστου συνεστῶτος ἔκ τε τῆς ψυχῆς καὶ τοῦ σώματος μικρόν ἐστι τὸ ἡγεμονικὸν καὶ νοερὸν ἐν πολλῷ τῷ τῆς σαρκὸς ὄγκῳ κεκρυμμένον. οὕτως εἰκὸς ἔχειν ἐν τῷ παντὶ τὸ αἰσθητὸν καὶ νοητόν, καὶ γὰρ ἀρχὴ τὰ νοητὰ τῶν σωματικῶν. ἀρχῆς δὲ πάσης πλέον τὸ ἐξ αὐτῆς καὶ μεῖζον. πρὸς δὲ τοὐναντίον εἴποι τις ἀεί, πρῶτον συγκρίνοντες αἰσθητὰ τοῖς νοητοῖς, τρόπον τινὰ τὰ θνητὰ τοῖς θεοῖς ἐξισοῦμεν. ὁ γὰρ θεὸς ἐν τοῖς νοητοῖς, ἔπειτα πανταχοῦ δή που τὸ περιεχόμενον, ἔλαττόν ἐστι τοῦ περιέχοντος. ἡ δὲ τοῦ παντὸς φύσις τῷ νοητῷ περιέχει τὸ αἰσθητόν. ὁ γὰρ θεὸς τὴν ψυχὴν εἰς τὸ μέσον θείς, διαπαντός τε ἔτεινε, καὶ ἔξωθεν τὰ σώματα αὐτῇ περιεκάλυψεν. ἔστι δὲ ἀόρατος ἡ ψυχὴ καὶ πάσαις ταῖς αἰσθήσεσιν ἀναίσθητος, ὡς ἐν τοῖς νόμοις εἴρηται. διὸ καὶ φθαρτὸς ἡμῶν εἷς ἕκαστός ἐστιν. ὁ δὲ κόσμος οὐ φθαρησόμενος. ἡμῶν μὲν γὰρ ἕκαστος τὴν ζωτικὴν δύναμιν

ἐντὸς

ἐντὸς περιέχει, τὸ θνητοειδὲς καὶ διάλυτον. ἐν δὲ τῷ κόσμῳ τοὐναντίον ὑπὸ τῆς κυριωτέρας, καὶ κατὰ τὰ αὐτὰ ὡσαύτως ἐχούσης, ἀεὶ σώζεται τὸ σωματικὸν ἐν μέσῳ περιεχόμενον, καὶ μὴ ἀμερές τε λέγεται καὶ ἀμέριστον, τὸ μὲν σῶμα μικρότητι, τὸ δὲ ἀσώματον καὶ νοητὸν ὡς ἁπλοῦν καὶ εἰλικρινὲς καὶ καθαρὸν ἁπάσης στερεότητος καὶ διαφορᾶς. καὶ ἄλλως εὔηθές ἐστι τοῖς σωματικοῖς τεκμαίρεσθαι περὶ τῶν ἀσωμάτων. τὸ γοῦν νῦν, ἀμερὲς μὲν καλεῖται καὶ ἀμέριστον, ἅμα δὲ πανταχοῦ ἐνέστηκε, καὶ οὐδὲν τι τῆς οἰκουμένης μέρος ἔρημόν ἐστιν, ἀλλὰ καὶ πάθη πάντα καὶ πράξεις, φθοραί τε πᾶσαι καὶ γενέσεις καὶ ὑπὸ τοῦ κόσμου ἐν τῷ νῦν περιέχονται. κριτήριον δὲ τοῦ νοητοῦ μόνου ἐστὶν ὁ νοῦς ὡς φωτὸς ὄψις δι' ἁπλότητα καὶ ὁμοιότητα. τὰ δὲ σώματα πολλὰς διαφορὰς ἔχοντα καὶ ἀνομοιότητας, ἄλλοις ἄλλα κριτηρίοις ὥσπερ ὀργάνοις ἁλίσκεσθαι πέφυκεν. ἀλλὰ μὴν οὐδὲ τῆς ἐν ἡμῖν νοητῆς καὶ νοερᾶς δυνάμεως καταφρονοῦσιν ὀρθῶς. πολλὴ γὰρ οὖσα καὶ μεγάλη, περίεστιν παντὸς τοῦ αἰσθητοῦ, καὶ μέχρι τῶν θείων ἐξικνεῖται. τὸ δὲ μέγιστον αὐτὸς ἐν συμποσίῳ διδάσκων πῶς δεῖ τοῖς ἐρωτικοῖς χρῆσθαι, μετάγοντα τὴν ψυχὴν ἀπὸ τῶν αἰσθητῶν καλῶν ἐπὶ τὰ νοητά, παρεγγυᾷ μήτε σώματός τινος μήτ' ἐπιτηδεύματος μήτ' ἐπιστήμης κάλλει μιᾶς ὑποτετάχθαι καὶ δουλεύειν, ἀλλ' ἀποστάντα τῆς περὶ ταῦτα μικρολογίας, ἐπὶ τὸ πολὺ τοῦ καλοῦ πέλαγος τρέπεσθαι.

Τί δή ποτε τὴν ψυχὴν ἀεὶ πρεσβυτέραν ἀποφαίνων τοῦ σώματος αἰτίαν τε τῆς ἐκείνου γενέσεως καὶ ἀρχήν, πάλιν φησὶν οὐκ ἂν γενέσθαι ψυχὴν ἄνευ σώματος, οὐδὲ νοῦν ἄνευ ψυχῆς, ἀλλὰ ψυχὴν μὲν ἐν σώματι, νοῦν δὲ ἐν τῇ ψυχῇ. δόξει γὰρ τὸ σῶμα καὶ εἶναι καὶ μὴ εἶναι, συνυπάρχον ἅμα τῇ ψυχῇ καὶ γεννώμενον ὑπὸ τῆς ψυχῆς. ἢ τὸ πολλάκις ὑφ' ἡμῶν λεγόμενον ἀληθές ἐστιν. ἡ μὲν γὰρ ἄνους ψυχὴ καὶ τὸ ἄμορφον σῶμα, συνυπῆρχον ἀλλήλοις ἀεί, καὶ οὐδέτερον αὐτῶν γένεσιν ἔσχεν οὐδὲ ἀρχήν. ἐπεὶ δὲ ἡ ψυχὴ νοῦ μετέλαβε καὶ ἁρμονίας, καὶ γενομένη διὰ συμφωνίας ἔμφρων μεταβολῆς αἰτία γέγονε τῇ ὕλῃ, καὶ κρατήσασα ταῖς αὐτῆς κινήσεσι τὰς ἐκείνης ἐπεσπάσατο καὶ ἐπέστρεψεν, οὕτω τὸ σῶμα τοῦ κόσμου γένεσιν ἔσχεν ὑπὸ τῆς ψυχῆς, καὶ καταχηματιζόμενον καὶ συνομοιούμενον. οὐ γὰρ ἐξ αὐτῆς ἡ ψυχὴ τὴν τοῦ σώματος ἐδημιούργει φύσιν, οὐδ' ἐκ τοῦ μὴ ὄντος, ἀλλ' ἐκ σώματος ἀτάκτου καὶ ἀσχηματίστου σῶμα τεταγμένον ἀπειργάσατο καὶ πειθήνιον. ὥσπερ οὖν εἰ φαίη τις ἀεὶ τὴν τοῦ σπέρματος δύναμιν εἶναι μετὰ σώματος, γεγονέναι μέντοι τὸ σῶμα τῆς συκῆς, ἢ τῆς ἐλαίας ὑπὸ σπέρματος, οὐδὲν ἐρεῖ διάφωνον. αὐτὸ γὰρ τὸ σῶμα κινήσεως αὐτῷ καὶ μεταβολῆς ὑπὸ τοῦ σπέρματος ἐγγενομένης, ἔφυ τοιοῦτο καὶ διεβλάστησεν, οὕτως ἡ ἄμορφος ὕλη καὶ ἀόριστος ὑπὸ τῆς ψυχῆς ἐνούσης σχηματισθεῖσα, μορφὴν ἔσχε τοιαύτην καὶ διάθεσιν.

Διατί τῶν μὲν εὐθυγράμμων τῶν δὲ κυκλικῶν σωμάτων καὶ σχημάτων ὄντων τὰς τῶν εὐθυγράμμων ἀρχὰς ἔλαβε τὸ ἰσοσκελὲς τρίγωνον καὶ τὸ σκαληνόν. ὧν τὸ μέν, τὸν κύβον συνέστησε γῆς στοιχεῖον ὄντα, τὸ δὲ σκαληνὸν τήν τε πυραμίδα καὶ τὸ ὀκτάεδρον, καὶ τὸ εἰκοσάεδρον, τὸ μὲν πυρὸς σπέρμα, τὸ δὲ ἀέρος, τὸ δὲ ὕδατος γενόμενον, τὸ δὲ τῶν κυκλικῶν ὅλως παρῆκε. καίτοι μνησθεὶς τοῦ σφαιροειδοῦς, ἐν οἷς φησι τῶν κατηριθμημένων σχημάτων ἕκαστον σώματος περιφεροῦς εἰς ἴσα διανεμητικὸν εἶναι. πότερον ὡς ὑπονοοῦσιν ἔνιοι τὸ δωδεκάεδρον τῷ σφαιροειδεῖ προσνείμεν εἰπών, ὅτι τούτῳ πρὸς τὴν τοῦ παντὸς ὁ θεὸς κατεχρήσατο φύσιν ἐκεῖνο, διαζωγραφῶν, καὶ γὰρ μάλιστα τῷ πλήθει τῶν στοιχείων, ἀμβλύτητι δὲ τῶν γωνιῶν τὴν εὐθύτητα διαφυγόν, εὐκαμπές ἐστι καὶ τῇ περιτάσει, καθάπερ αἱ δωδεκάσκυτοι σφαῖραι κυκλοτερὲς γίνεται καὶ περιληπτικόν. ἔχει γὰρ εἴκοσι γωνίας στερεάς, ὧν

ἑκάστην ἐπιπέδοι περιέχουσιν ἀμβλεῖαι τρεῖς, ἑκάστη δ' ὀρθῆς ἐστι καὶ πέμπτου μορίου. συνήρμοσται δὲ καὶ συμπέπηγεν ἐκ δώδεκα πενταγώνων ἰσογωνίων καὶ ἰσοπλεύρων· ὧν ἕκαστον ἐκ τριάκοντα τῶν πρώτων σκαληνῶν τριγώνων συνέστηκε. διὸ καὶ δοκεῖ τὸν ζωδιακὸν ἅμα καὶ τὸν ἐνιαυτὸν ἀπομιμεῖσθαι ταῖς διανομαῖς τῶν μοιρῶν ἰσαρίθμοις οὔσαις. Ἢ πρότερόν ἐστι κατὰ φύσιν τὸ εὐθὺ τῆς περιφερείας. μᾶλλον δὲ ὅλως πάθος τι τῆς εὐθείας ἡ περιφέρεια. κάμπτεσθαι γὰρ λέγεται τὸ ὀρθὸν, καὶ ὁ κύκλος γράφεται κέντρῳ καὶ διαστήματι, τοῦτο δ' ἐστιν εὐθείας τόπος, ὑφ' ἧς καὶ μετρεῖται. τὸ γὰρ περιέχον ἐκ τοῦ μέσου πανταχόθεν ἴσον ἀφέστηκε. γεννᾶται δὲ καὶ κῶνος καὶ κύλινδρος ἀπ' εὐθυγράμμων. ὁ μὲν τριγώνου περὶ μίαν πλευρὰν μενοῦσαν τῇ ἑτέρᾳ πλευρᾷ καὶ τῇ βάσει περιενεχθέντος. ὁ δὲ κύλινδρος παραλληλογράμμου ταὐτὸ τοῦτο παθόντος. ἔπει τῆς μὲν ἀρχῆς ἐγγυτέρω τὸ ἔλαττον. ἐλαχίστη δὲ πασῶν ἡ εὐθεῖα. τῆς γὰρ περιφερείας, τὸ μέν ἐστι κοῖλον, κυρτὸν δὲ τὸ ἐκτός. ἔτι τῶν σχημάτων οἱ ἀριθμοὶ πρότεροι. καὶ γὰρ ἡ μονὰς τῆς στιγμῆς. ἔστι γὰρ ἡ στιγμὴ μονὰς ἐν θέσει, καὶ μὴν ἡ μονὰς, τριγωνός ἐστι. πᾶς γὰρ τρίγωνος ἀριθμὸς ὀκτάκις γενόμενος, καὶ μονάδα προσλαβὼν, γίνεται τετράγωνος. τοῦτο δὲ καὶ τῇ μονάδι συμβέβηκε. πρότερον οὖν τοῦ κύκλου τὸ τρίγωνον. εἰ δὲ τοῦτο καὶ εὐθεῖα τῆς περιφερείας. ἔτι τὸ στοιχεῖον ὡς οὐδὲν διαιρεῖται τῶν συνισταμένων ἐξ αὐτοῦ. τοῖς δὲ ἄλλοις εἰς τὸ στοιχεῖον ἡ διάλυσις. εἰ τοίνυν τὸ μὲν τρίγωνον, εἰς οὐδὲν περιφερὲς διαλύεται. τὸν δὲ κύκλον εἰς τέτταρα τρίγωνα τέμνουσιν αἱ δύο διάμετροι. πρότερον ἂν τῇ φύσει καὶ στοιχειωδέστερον εἴη τοῦ κυκλικοῦ τὸ εὐθύγραμμον. Ὅτι τοίνυν προηγούμενον μέν ἐστι τὸ εὐθύγραμμον, τὸ δὲ κυκλικὸν ἐπιγινόμενον καὶ συμβεβηκὸς, αὐτὸς ὁ Πλάτων ἐνεδείξατο, τὴν γὰρ γῆν ἐκ κύβων συστησάμενος, ὧν ἕκαστον εὐθύγραμμον περιέχουσιν ἐπιφάνειαι σφαιροειδὲς αὐτῆς γεγονέναι τὸ σχῆμά φησι καὶ στρογγύλον, ὥστε οὐδὲν ἔδει ποιεῖν τῶν περιφερῶν ἴδιον στοιχεῖον. εἰ καὶ τοῖς εὐθυγράμμοις πρὸς ἄλληλά πως συναρμοττομένοις ὁ σχηματισμὸς οὗτος ἐπιγίνεσθαι πέφυκεν. Ἔτι εὐθεῖα μὲν, ἥτε μείζων ἥτε μικροτέρα τὴν αὐτὴν εὐθύτητα διατηρεῖ. τὰς δὲ τῶν κύκλων περιφερείας ἂν ὦσι μικρότεραι, καμπυλωτέρας καὶ σφιγγομένας τῇ κυρτότητι μᾶλλον ὁρῶμεν. ἂν δὲ μείζους ἀνειμένας. ἱστάμενοι γοῦν κατὰ τὴν κυρτὴν περιφέρειαν. οἱ μὲν κατὰ σημεῖον, οἱ δὲ κατὰ γραμμὴν, ἅπτονται τῶν ὑποκειμένων ἐπιπέδων. ὥστε ὑπονοήσειεν ἄν τις εὐθείας κατὰ μικρὰ πολλὰς συντιθεμένας, τὴν περιφερῆ γραμμὴν ἀποτελεῖν. Ὅρα δὲ μὴ τῶν ἐνταῦθα κυκλικῶν καὶ σφαιροειδῶν, οὐδέν ἐστιν ἀπηκριβωμένον, ἀλλ' ἐν τάσει καὶ περιτάσει τῶν εὐθυγράμμων, ἢ μικρότητι τῶν μορίων τῆς διαφορᾶς λανθανούσης, ἐπιφαίνεται τὸ στρογγύλον καὶ κυκλοειδές. ὅθεν οὐδὲ κινεῖται φύσει τῶν ἐνταῦθα σωμάτων ἐγκυκλίως οὐδὲν, ἀλλ' ἐπ' εὐθείας ἅπαντα. τὸ δὲ ὄντως σφαιροειδὲς, οὐκ ἔστιν αἰσθητοῦ σώματος, ἀλλὰ τῆς ψυχῆς καὶ τοῦ νοῦ στοιχεῖον, οἷς καὶ τὴν κυκλοφορητικὴν κίνησιν ὡς προσήκουσαν κατὰ φύσιν ἀποδίδωσιν.

Γ Πῶς ποτε ἐν τῷ Φαίδρῳ λέγεται τὸ τὴν τοῦ πτεροῦ φύσιν, ὑφ' ἧς ἄνω τὸ ἐμβριθὲς ἀνάγεται, κεκοινωνηκέναι μάλιστα τῶν περὶ τὸ σῶμα τοῦ θεοῦ. Πότερον ὅτι περὶ ἔρωτος ὁ λόγος ἐστί. κάλλους δὲ τοῦ περὶ τὸ σῶμα ὁ ἔρως. τὸ δὲ κάλλος ὁμοιότητι τῇ πρὸς τὰ θεῖα κινεῖ καὶ ἀναμιμνήσκει τὴν ψυχήν. Ἢ μᾶλλον οὐθὲν περιεργαστέον, ἀλλ' ἁπλῶς ἀκουστέον. ὅτι τῶν περὶ τὸ σῶμα τῆς ψυχῆς δυνάμεων πλειόνων οὐσῶν, ἡ διαλογιστικὴ καὶ διανοητικὴ μάλιστα τοῦ θείου κεκοινώνηκεν, ἣν τῶν θείων καὶ οὐρανίων ἔφησεν, ἣν οὐκ ἀπὸ τρόπου πτερὸν προσηγόρευσεν, ὡς τὴν ψυχὴν ἀπὸ τῶν ταπεινῶν καὶ θνητῶν ἀναφέρουσαν.

Γ Πῶς ποτε φησὶν ὁ Πλάτων τὴν ἀντιπερίστασιν τῆς κινήσεως διὰ τὸ μηδαμοῦ κενὸν ὑπάρχειν, αἰτίαν εἶναι τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων καὶ τῶν περὶ

τὴν

τὴν κατάποσιν καὶ τὰ ῥιπτούμενα βάρη, καὶ τὰ τῶν ὑδάτων ῥεύματα καὶ κεραυνοὺς, τήν τε φαινομένην πρὸς ἤλεκτρα καὶ τὴν λίθον τὴν ἡράκλειον ὁλκὴν, τάς τε τῶν φθόγγων συμφωνίας. δόξει γὰρ ἀτόπως αἰτίαν παμπόλλων καὶ ἀνομοίων γένεσιν ὑπάγειν παθῶν. τὴν μὲν γὰρ περὶ τὴν ἀναπνοὴν ὡς γίνεται τῇ ἀντιπεριστάσει τοῦ ἀέρος αὐτὸς ἱκανῶς ἀποδέδειχε. τὰ δὲ λοιπὰ πάντα φήσας θαυματουργεῖσθαί τε καὶ εἶναι μηδὲν, περιωθεῖν τε αὐτὰ ταῦτα εἰς ἄλληλα, καὶ διαμείβεσθαι πρὸς τὰς αὐτῶν ἕδρας ἰόντα, τὴν καθέκαστον ἐξεργασίαν ἡμῖν ἀφῆκε. Πρῶτον μὲν οὖν τὸ περὶ τὴν σικύαν τοιοῦτόν ἐστιν. ὁ περιληφθεὶς ὑπ' αὐτῆς πρὸς τῇ σαρκὶ μετὰ θερμότητος ἀὴρ ἐκπυρωθεὶς καὶ γενόμενος τῶν τοῦ χαλκοῦ πόρων ἀραιότερος, ἐξέπεσεν οὐκ εἰς κενὴν χώραν, οὐ γάρ ἐστιν, εἰς δὲ τὸν περιεστῶτα τὴν σικύαν ἔξωθεν ἀέρα κἀκεῖνον ἀπέωσεν. ὁ δὲ τὸν πρὸ αὐτοῦ, καὶ τοῦτο πάσχων ἀεὶ καὶ δρῶν ὁ ἔμπροσθεν ὑποχωρεῖ, τῆς κενουμένης γλιχόμενος χώρας, ἣν ὁ πρῶτος ἐξέλιπεν. οὕτω δὲ τῇ σαρκὶ περιπίπτων ἧς ἡ σικύα δέδρακται, καὶ ἀναζέων ἅμα συνεκθλίβει τὸ ὑγρὸν εἰς τὴν σικύαν. Ἡ δὲ κατάποσις γίνεται τὸν αὐτὸν τρόπον. αἱ γὰρ περὶ τὸ στόμα καὶ τὸν στόμαχον κοιλότητες, ἀέρος ἀεὶ πλήρεις εἰσίν. ὅταν οὖν ἐμπιεσθῇ τὸ σιτίον ὑπὸ τῆς γλώττης ἅμα, καὶ τῶν παρισθμίων ἐνταθέντων, ἐκθλιβόμενος ὁ ἀὴρ πρὸς τὸ εἶκον, ἔχεται τοῦ ὑποχωροῦντος, καὶ συνεπωθεῖ τὸ σιτίον. Τὰ δὲ ῥιπτούμενα βάρη τὸν ἀέρα σχίζει μετὰ πληγῆς ἐκπεσόντα, καὶ διΐστησιν. ὁ δὲ περιρρέων ὀπίσω τῷ φύσιν ἔχειν ἀεὶ τὴν ἐρημουμένην χώραν διώκειν καὶ ἀναπληροῦν, συνέπεται τῷ ἀφιεμένῳ, τὴν κίνησιν συνεπιταχύνων. Αἱ δὲ τῶν κεραυνῶν πτώσεις, καὶ αὐταὶ ῥίψεσιν ἐοίκασιν. ἐκπηδᾷ γὰρ ὑπὸ πληγῆς ἐν τῷ νέφει γενομένης, τὸ πυρῶδες εἰς τὸν ἀέρα, κἀκεῖνος ἀντιρραγεὶς ὑποχωρεῖ, καὶ πάλιν εἰς ταυτὸ συμπίπτων ἄνωθεν ἐξωθεῖ κάτω παρὰ φύσιν ἀποβιαζόμενος τὸν κεραυνόν. Τὸ δὲ ἤλεκτρον οὐδὲν ἕλκει τῶν παρακειμένων, ὥσπερ οὐδ' ἡ σιδηρῖτις λίθος, οὐδὲ προσπηδᾷ τι τούτοις ἀφ' ἑαυτοῦ τῶν πλησίον, ἀλλ' ἡ μὲν λίθος τινὰς ἀπορροίας ἐξίησιν ἐμβριθεῖς καὶ πνευματώδεις, αἷς ὁ συνεχὴς ἀναστελλόμενος ἀὴρ, ὠθεῖ τὸν πρὸ αὐτοῦ. κἀκεῖνος ἐν κύκλῳ περιιὼν, καὶ ὑπονοστῶν αὖθις ἐπὶ τὴν κενουμένην χώραν, ἀποβιάζεται καὶ συνεφέλκεται τὸν σίδηρον. Τὸ δὲ ἤλεκτρον, ἔχει μέν τι φλογοειδὲς ἢ πνευματικόν. ἐκβάλλει δὲ τοῦτο τρίψει τῆς ἐπιφανείας, τῶν πόρων ἀναστομωθέντων, τὸ δὲ ταὐτὸ μὲν ἐκπεσὸν ποιεῖ τῷ τῆς σιδηρίτιδος, ἐφέλκεται δὲ τῶν πλησίον τὰ κουφότατα καὶ ξηρότατα διὰ λεπτότητα καὶ ἀσθένειαν. οὐ γάρ ἐστιν ἰσχυρὸν, οὐδ' ἔχει βάρος, οὐδὲ ῥύμην πλῆθος ἀέρος ἐξῶσαι δυναμένην, ᾧ τῶν μειζόνων ὥσπερ ἡ σιδηρῖτις ἐπικρατήσει. Πῶς οὖν οὔτε λίθον οὔτε ξύλον ὁ ἀὴρ, ἀλλὰ τὸν σίδηρον μόνον ὠθεῖ καὶ προστέλλει πρὸς τὴν λίθον. αὕτη δ' ἔστι μὲν ἀπορία κοινὴ, πρός τε τοὺς ὁλκῇ τοῦ λίθου, καὶ τοὺς φορᾷ τοῦ σιδήρου τὴν σύμπηξιν οἰομένους γίνεσθαι τῶν σωμάτων. ὁ σίδηρος οὔτε ἄγαν ἀραιός ἐστιν ὡς ξύλον, οὔτε ἄγαν πυκνὸς ὡς χρυσὸς ἢ λίθος, ἀλλ' ἔχει πόρους καὶ οἴμους καὶ τραχύτητας διὰ τὰς ἀνωμαλίας τῷ ἀέρι συμμέτρους. ὥστε μή τε ἀπολισθαίνειν, ἀλλ' ἕδραις τισὶν ἐνισχόμενον καὶ ἀντερείσεσι περιπλοκὴν σύμμετρον ἐχούσαις, ὡς ἂν ἐμπέσῃ πρὸς τὴν λίθον φερόμενος ἀποβιάζεσθαι καὶ προωθεῖν τὸν σίδηρον. Τούτων μὲν οὖν τοιοῦτός τις ἂν εἴη λόγος. ἡ δὲ τῶν ἐπὶ γῆς ὑδάτων ῥύσις, οὐχ ὁμοίως εὐσυνόπτον ἔχει τὸν τῆς ἀντιπεριώσεως τρόπον, ἀλλὰ χρὴ καταμανθάνειν τὰ λιμναῖα τῶν ὑδάτων, ἀτρεμοῦντα καὶ μένοντα, τῷ περικεχύσθαι καὶ συνάγειν πανταχόθεν αὐτοῖς ἀκίνητον ἀέρα. μηδαμοῦ κενὴν ποιοῦντα χώραν. τὸ γοῦν ἐπιπολῆς ὕδωρ ἔν τε ταῖς λίμναις καὶ ἐν τοῖς πελάγεσι, δονεῖται καὶ κυμαίνεται τοῦ ἀέρος σάλον λαμβάνοντος, ἕπεται γὰρ εὐθὺς μεθισταμένῳ καὶ συναπορρεῖ διὰ τὴν ἀνωμαλίαν. ἡ γὰρ κάτω πληγὴ, τὴν κοιλότητα ποιεῖ τοῦ κύματος. ἡ δὲ ἄνω

τὸν ὄγκον, ἄχρις οὗ καταστῇ καὶ παύσηται τῆς περιεχούσης τὰ ὑγρὰ χώρας ἰσαμένης. αἱ ῥύσεις οὖν τῶν φερομένων ἀεὶ τὰ ὑποχωροῦντα τοῦ ἀέρος διώκουσαι, τοῖς δὲ ἀντιπεριωθουμένοις ἐλαυνόμεναι, τὸ ἐνδελεχὲς καὶ ἀλώφητον ἔχουσι. διὸ καὶ φέρονται θᾶττον οἱ ποταμοὶ πληθύνοντες. ὅταν δὲ ὀλίγον ᾖ καὶ κοῖλον, ἵεται τὸ ὑγρὸν ὑπὸ ἀσθενείας, οὐχ ὑπείκοντος τοῦ ἀέρος, οὐδὲ πολλὴν ἀντιπερίστασιν λαμβάνοντος. οὕτω δὲ καὶ τὰ πηγαῖα τῶν ὑδάτων ἀναγκαῖόν ἐστιν ἀναφέρεσθαι τοῦ θύραθεν ἀέρος, εἰς τὰς κενουμένας ἐν βάθει χώρας ὑποφερομένου, καὶ πάλιν θύραζε τὸ ὕδωρ ἐκπέμποντος. οἴκου δὲ βαθυσκίου καὶ περιέχοντος ἀέρα νήνεμον ὕδατι ῥανθὲν ἔδαφος πνεῦμα ποιεῖ καὶ ἄνεμον, μεθισταμένου τοῦ ἀέρος ἐξ ἕδρας παρεμπίπτοντι τῷ ὑγρῷ καὶ πληγὰς λαμβάνοντος. οὕτως ἐξωθεῖσθαί τε ὑπ' ἀλλήλων καὶ ἀνθυπείκειν ἀλλήλοις πέφυκεν οὐκ οὔσης κενότητος, ἐν ᾗ θάτερον ἱδρυθέν, οὐ μεθέξει τῆς θατέρου μεταβολῆς. καὶ μὴν τὰ περὶ τῆς συμφωνίας αὐτὸς εἴρηκεν ὃν τρόπον ὁμοιοῦσι τοὺς φθόγγους. ὀξὺς μὲν γὰρ ὁ ταχὺς γίνεται, βαρὺς δὲ ὁ βραδύς. διὸ καὶ πρότερον κινοῦσι τὴν αἴσθησιν οἱ ὀξεῖς. ὅταν δὲ τούτοις ἤδη μαραινομένοις καὶ ἀπολήγουσιν οἱ βραδεῖς ἐπιβάλλωσιν ἀρχόμενοι, τὸ κραθὲν αὐτῶν δι' ὁμοιοπάθειαν, ἡδονὴν τῇ ἀκοῇ παρέχον, ἣν συμφωνίαν καλοῦσιν. ὅτι δὲ τούτων ὄργανον ὁ ἀήρ ἐστι, ῥᾴδιον συνιδεῖν ἐκ τῶν προειρημένων. ἔστι γὰρ ἡ φωνὴ πληγὴ τοῦ αἰσθανομένου δι' ὤτων ὑπὸ ἀέρος. πλήττει γὰρ πληγεὶς ὁ ἀὴρ ὑπὸ τοῦ κινήσαντος, ἂν μὲν ᾖ σφοδρόν, ὀξέως· ἂν δὲ ἀμβλύ, μαλακώτερον. ὁ δὴ σφόδρα καὶ συντόνως πληγεὶς προσμίγνυσι τῇ ἀκοῇ πρότερος· εἶτα περιιὼν πάλιν καὶ καταλαμβάνων τὸν βραδύτερον, συνέπεται καὶ συμπαραπέμπει τὴν αἴσθησιν.

Πῶς λέγει τὰς ψυχὰς ὁ τίμαιος εἴς τε γῆν καὶ σελήνην, καὶ τὰ ἄλλα ὅσα ὄργανα χρόνου σπαρῆναι. πότερον οὕτως ἐκίνει τὴν γῆν, ὥσπερ ἥλιον καὶ σελήνην, καὶ τοὺς πέντε πλανήτας οὓς ὄργανα χρόνου διὰ τὰς τροπὰς προσηγόρευε, καὶ ἔδει τὴν γῆν ἰλλομένην περὶ τὸν διὰ πάντων πόλον τεταγμένον μὴ μεμηχανῆσθαι συνεχομένην καὶ μένουσαν, ἀλλὰ στρεφομένην καὶ ἀνειλουμένην νοεῖν, ὡς ὕστερον ἀρίσταρχος καὶ σέλευκος ἀπεδείκνυσαν· ὁ μὲν ὑποτιθέμενος μόνον, ὁ δὲ σέλευκος καὶ ἀποφαινόμενος. θεόφραστος δὲ καὶ προσιστορεῖ τῷ πλάτωνι πρεσβυτέρῳ γενομένῳ μεταμελεῖν, ὡς οὐ προσήκουσαν ἀποδόντι τῇ γῇ τὴν μέσην χώραν τοῦ παντός. ἢ τούτοις μὲν ἀντίκειται πολλὰ τῶν ὁμολογουμένως ἀρεσκόντων τῷ ἀνδρί. μεταγραπτέον δὲ τὸ χρόνου χρόνῳ λαμβάνοντα ἀντὶ τῆς γενικῆς τὴν δοτικήν, καὶ δεκτέον ὄργανα μὴ τοὺς ἀστέρας, ἀλλὰ τὰ σώματα τῶν ζῴων λέγεσθαι, καθάπερ ἀριστοτέλης ὡρίσατο τὴν ψυχὴν ἐντελέχειαν σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. ὥστε τοιοῦτον εἶναι τὸν λόγον· αἱ ψυχαὶ εἰς τὰ προσήκοντα ὀργανικὰ σώματα ἐν χρόνῳ κατεσπάρησαν. ἀλλὰ καὶ τοῦτο παρὰ τὴν δόξαν ἐστίν. οὐ γὰρ ἅπαξ, ἀλλὰ πολλάκις ὄργανα χρόνου τοὺς ἀστέρας εἴρηκεν, ὅπου καὶ τὸν ἥλιον αὐτὸν εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν χρόνῳ γεγονέναι φησὶ μετὰ τῶν ἄλλων πλανητῶν. ἄριστον οὖν τὴν γῆν ὄργανον ἀκούειν χρόνου μὴ κινουμένην, ὥσπερ τοὺς ἀστέρας, ἀλλὰ τῷ περὶ αὐτὴν μένουσαν ἀεὶ παρέχειν ἐκείνοις φερομένοις ἀνατολὰς καὶ δύσεις, αἷς τὰ πρῶτα μέτρα τῶν χρόνων ἡμέραι καὶ νύκτες ὁρίζονται. διὸ καὶ φύλακα καὶ δημιουργὸν αὐτὴν ἀτρεκῆ νυκτὸς καὶ ἡμέρας προσεῖπε. καὶ γὰρ οἱ τῶν ὡρολογίων γνώμονες οὐ συμμεθιστάμενοι ταῖς σκιαῖς, ἀλλὰ ἑστῶτες ὄργανα καὶ χρόνου μέτρα γεγόνασι, μιμούμενοι τῆς γῆς τὸ ἐπιπροσθοῦν τῷ ἡλίῳ περὶ αὐτὴν ὑποφερομένῳ, καθάπερ εἶπεν ἐμπεδοκλῆς· νύκτα δὲ γαῖα τίθησιν ὑφισταμένη φαέεσσι. τοῦτο μὲν οὖν τοιαύτην ἔχει τὴν

τὴν ἐξήγησιν. ἐκεῖνο δὲ μᾶλλον ἄν τις ὑπίδοιτο μὴ παρὰ τὸ εἰκὸς ὁ ἥλιος καὶ ἀτόπως λέγηται μετὰ τῆς σελήνης καὶ τῶν πλανήτων εἰς διορισμὸν χρόνου γεγονέναι, καὶ γὰρ ἄλλως μέγα τοῦ ἡλίου τὸ ἀξίωμα. καὶ ὑπ' αὐτοῦ πλάτωνος ἐν πολιτείᾳ βασιλεὺς ἀνηγόρευται παντὸς τοῦ αἰσθητοῦ καὶ κύριος, ὥσπερ τοῦ νοητοῦ τὸ ἀγαθόν. ἐκείνου γὰρ ἔκγονος λέγεται, παρέχων τοῖς ὁρατοῖς μετὰ τοῦ φαίνεσθαι τὸ γίνεσθαι, καθάπερ ἀπ' ἐκείνου τὸ εἶναι καὶ τὸ γινώσκεσθαι τοῖς νοητοῖς ὑπάρχει. τὸν δὴ τοιαύτην φύσιν ἔχοντα καὶ δύναμιν τηλικαύτην, θεὸν ὄργανον χρόνου γεγονέναι καὶ μέτρον ἐναργὲς τῆς πρὸς ἀλλήλας βραδυτῆτι καὶ τάχει τῶν ὀκτὼ σφαιρῶν διαφορᾶς, οὐ πάνυ δοκεῖ πρεπῶδες οὐδὲ ἄλλως εὔλογον. ῥητέον οὖν τοὺς ὑπὸ τούτων ταραττομένους δι' ἄγνοιαν οἴεσθαι τῶν χρόνων μέτρον εἶναι κινήσεως καὶ ἀριθμὸν κατὰ πρότερον καὶ ὕστερον, ὡς ἀριστοτέλης εἶπεν· ἢ τὸ ἐν κινήσει ποσόν, ὡς σπεύσιππος· ἢ διάστημα κινήσεως, ἄλλο δὲ οὐδέν, ὡς ἔνιοι τῶν στωϊκῶν ἀπὸ συμβεβηκότος ὁριζόμενοι, τὴν δὲ οὐσίαν αὐτοῦ καὶ τὴν δύναμιν οὐ συνορῶντες, ἥν γε πίνδαρος ἔοικεν οὐ φαύλως ὑπονοῶν εἰπεῖν· ἄνακτα τὸν πάντων ὑπερβάλλοντα χρόνον μακάρων. ὅ τε πυθαγόρας ἐρωτηθεὶς τί χρόνος ἐστί, τὴν τούτου ψυχὴν εἰπεῖν. οὐ γὰρ πάθος οὐδὲ συμβεβηκὸς ἧς ἔτυχε κινήσεως ὁ χρόνος ἐστίν. αἰτία δὲ καὶ δύναμις καὶ ἀρχὴ τῆς πάντα συνεχούσης τὰ γινόμενα, συμμετρίας καὶ τάξεως, ἣν ἡ τοῦ ὅλου φύσις ἔμψυχος οὖσα, κινεῖται. μᾶλλον δὲ κίνησις οὖσα καὶ τάξις αὕτη καὶ συμμετρία, χρόνος καλεῖται. πάντα γὰρ δι' ἀψόφου βαίνων κελεύθου κατὰ δίκην τὰ θνητὰ ἄγει. καὶ γὰρ ἡ ψυχῆς οὐσία κατὰ τοὺς παλαιούς, ἀριθμὸς ἦν αὐτὸς ἑαυτὸν κινῶν. διὸ δὴ καὶ πλάτων ἔφη χρόνον ἅμα μετ' οὐρανοῦ γεγονέναι. κίνησιν δὲ καὶ πρὸ τῆς τοῦ οὐρανοῦ γενέσεως. χρόνος δὲ οὐκ ἦν. οὐδὲ γὰρ τάξις, οὐδὲ μέτρον οὐδέν, οὐδὲ διορισμός, ἀλλὰ κίνησις ἀόριστος· ὥσπερ ἄμορφος ὕλη χρόνου καὶ ἀσχημάτιστος. ἐπικλύσασα δ' ἐν χρόᾳ καὶ καταβαλοῦσα, τὴν μὲν ὕλην σχήμασι, τὴν δὲ κίνησιν περιόδοις, τὴν μὲν κόσμον ἅμα, τὴν δὲ χρόνον ἐποίησεν. εἰκόνες δέ εἰσιν ἄμφω τοῦ θεοῦ· τῆς μὲν οὐσίας ὁ κόσμος· τῆς δὲ ἀϊδιότητος, χρόνος ἐν κινήσει, καθάπερ ἐν γενέσει θεὸς ὁ κόσμος. ὅθεν ὁμοῦ γεγονότας, φησὶν ὁμοῦ καὶ λυθήσεσθαι πάλιν· ἄν τις αὐτοὺς καταλαμβάνῃ λύσις. οὐ γὰρ οἷόν τε χωρὶς χρόνου τὸ γεννητόν, ὥσπερ οὐδὲ τὸ νοητὸν αἰῶνος, εἰ μέλλει τὸ ἀεὶ μένειν, τὸ δὲ μηδέποτε διαλύεσθαι γινόμενον. οὕτως οὖν ἀναγκαίαν πρὸς οὐρανὸν ἔχων συμπλοκὴν καὶ συναρμογὴν ὁ χρόνος, οὐχ ἁπλῶς κίνησις, ἀλλ' ὥσπερ εἴρηται, κίνησις ἐν τάξει μέτρον ἐχούσῃ καὶ πέρατα καὶ περιόδους. ὧν ὁ ἥλιος ἐπιστάτης ὢν καὶ σκοπός, ὁρίζειν καὶ βραβεύειν καὶ ἀναδεικνύναι καὶ ἀναφαίνειν μεταβολὰς καὶ ὥρας, αἳ πάντα φέρουσι καθ' ἡράκλειτον, οὐδὲ φαύλων οὐδὲ μικρῶν, ἀλλὰ τῶν μεγίστων καὶ κυριωτάτων τῷ ἡγεμόνι καὶ πρώτῳ θεῷ γίνεται συνεργός.

Περὶ τῶν τῆς ψυχῆς δυνάμεων ἐν πολιτείᾳ πλάτωνος τὴν τοῦ λογικοῦ καὶ θυμοειδοῦς καὶ ἐπιθυμητικοῦ συμφωνίαν ἁρμονίᾳ μέσης καὶ ὑπάτης καὶ νήτης εἰκάσαντος ἄριστα, διαπορήσειεν ἄν τις· πότερον κατὰ τὸ μέσον τὸ θυμοειδὲς ἢ τὸ λογιστικὸν ἔταξεν. οὗτος γὰρ ἔν γε τούτοις οὐ δεδήλωκεν. ἡ μὲν οὖν κατὰ τόπον τῶν μερῶν τάξις, εἰς τὴν τῆς μέσης χώραν τίθεται τὸ θυμοειδές· τὸ δὲ λογιστικὸν εἰς τὴν τῆς ὑπάτης. τὸ γὰρ ἄνω καὶ πρῶτον, ὕπατον οἱ παλαιοὶ προσηγόρευον. ᾗ καὶ ξενοκράτης, δία, τὸν ἐν μὲν τοῖς κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσιν, ὕπατον καλεῖ· νέατον δὲ τὸν ὑπὸ σελήνην. πρότερον δὲ ὅμηρος τὸν τῶν ἀρχόντων ἄρχοντα θεόν, ὕπατον κρειόντων προσεῖπε· καὶ δικαίως τῷ κρατίστῳ ἀποδέδωκε τὴν ἄνω χώραν ἡ φύσις, ὥσπερ κυβερνήτην ἐνιδρύσασα τῇ κεφαλῇ τὸν λογι-

σμὸν, ἔσχατον δὲ καὶ νέατον ἀποικίσασα πόρρω τὸ ἐπιθυμητικόν. ἡ γὰρ κάτω καὶ ἐσχάτη προσαγορεύεται τάξις, ὡς δηλοῦσιν αἱ τῶν νεκρῶν κλήσεις, νερτέρων καὶ ἐνέρων προσαγορευομένων· ἔνιοι δὲ καὶ τῶν ἀνέμων φασὶ τὸν κάτωθεν ἐκ τοῦ ἀφανοῦς πνέοντα, νότον ὠνομάσθαι. ἣν οὖν τὸ ἔσχατον ἔχει πρὸς τὸ πρῶτον ἀντίθεσιν, καὶ τὸ νέατον πρὸς τὸ ὕπατον, ταύτην τοῦ ἐπιθυμητικοῦ πρὸς τὸ λογιστικὸν ἔχοντος, οὐκ ἔστιν ἀνωτάτω μὲν εἶναι καὶ πρῶτον, ὕπατον δὲ μὴ εἶναι τὸ λογιστικόν, ἀλλ᾽ ἕτερον. οἱ γὰρ ὡς κυρίαν δύναμιν αὐτῷ τὴν τῆς μέσης ἀποδιδόντες, ἀγνοοῦσιν ὅτι τὴν κυριωτέραν ἀφαιροῦσι τὴν τῆς ὑπάτης, μήτε τῷ θυμῷ μήτε τῇ ἐπιθυμίᾳ προσήκουσαν. ἑκάτερον γὰρ ἄρχεσθαι καὶ ἀκολουθεῖν, οὐδέτερον δ᾽ ἄρχειν ἢ ἡγεῖσθαι τοῦ λογιστικοῦ πέφυκεν. ἔτι δὲ μᾶλλον τῇ φύσει φαίνεται τὸ θυμοειδὲς τῷ τόπῳ τὴν μέσην ἔχον ἐκείνων τάξιν. εἴ γε δὴ φύσει μὲν λογιστικῷ τὸ ἄρχειν, τῷ δὲ θυμοειδεῖ τὸ ἄρχεσθαι καὶ τὸ ἄρχειν κατὰ φύσιν ἐστίν, ὑπηκόῳ μὲν ὄντι τοῦ λογισμοῦ, κρατοῦντι δὲ καὶ κολάζοντι τὴν ἐπιθυμίαν, ὅταν ἀπειθῇ τῷ λογισμῷ. καὶ καθάπερ ἐν τοῖς γράμμασι τὰ ἡμίφωνα μέσα τῶν ἀφώνων ἐστὶ καὶ τῶν φωνηέντων, τῷ πλέον ἐκείνων ἔχειν, ἔλαττον δὲ τούτων, οὕτως ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου τὸ θυμοειδὲς οὐκ ἀκράτως παθητικόν ἐστιν, ἀλλὰ φαντασίαν καλοῦ πολλάκις ἔχει μεμιγμένην ἀλόγως τῇ τῆς τιμωρίας ὀρέξει. καὶ Πλάτων αὐτὸς εἰκάσας συμφύτῳ ζεύγει καὶ ἡνιόχῳ τὸ τῆς ψυχῆς εἶδος, ἡνίοχον μὲν ὡς παντὶ δῆλον, ἀπέφηνε τὸ λογιστικόν, τῶν δ᾽ ἵππων τὸ μὲν περὶ τὰς ἐπιθυμίας, ἀπειθὲς καὶ ἀνάγωγον παντάπασι· περὶ ὦτα λάσιον, κωφόν, μάστιγι μετὰ κέντρων μόγις ὑπεῖκον, τὸ δὲ θυμοειδὲς εὐήνιον τὰ πολλὰ τῷ λογισμῷ καὶ σύμμαχον. ὥσπερ οὖν συνωρίδος, οὐχ ὁ ἡνίοχός ἐστιν ἀρετῇ καὶ δυνάμει μέσος, ἀλλὰ τῶν ἵππων ὁ φαυλότερος μὲν τοῦ ἡνιόχου, βελτίων δὲ τοῦ ὁμοζύγου, οὕτω τῆς ψυχῆς οὐ τῷ κρατοῦντι τὴν μέσην ἀπένειμε τάξιν, ἀλλ᾽ ᾧ πάθους μὲν ἧττον ἢ τῷ πρώτῳ, λόγου δὲ μᾶλλον ἢ τῷ τρίτῳ μέτεστιν. αὕτη γὰρ ἡ τάξις καὶ τὴν τῶν συμφωνιῶν ἀναλογίαν φυλάττει, τοῦ μὲν θυμοειδοῦς πρὸς τὸ λογικὸν, ὡς ὑπάτην τὸ διὰ τεσσάρων, πρὸς δὲ τὸ ἐπιθυμητικὸν, ὡς νήτην τὸ διὰ πέντε· τοῦ δὲ λογιστικοῦ πρὸς τὸ ἐπιθυμητικὸν, ὡς ὑπάτη πρὸς νήτην τὸ διὰ πασῶν. ἐὰν δὲ τὸν λογισμὸν εἰς τὸ μέσον ἕλκωμεν, ἔσται πλέον ὁ θυμὸς ἀπέχων τῆς ἐπιθυμίας, ὃν ἔνιοι τῶν φιλοσόφων ἐπιθυμίᾳ ταὐτὸν εἶναι δι᾽ ὁμοιότητα νομίζουσιν. ἢ τὸ μὲν τοῖς τόποις ἀπονέμειν τὰ πρῶτα καὶ τὰ μέσα καὶ τὰ τελευταῖα, γελοῖόν ἐστιν, αὐτὴν τὴν ὑπάτην ὁρῶντας ἐν μὲν λύρᾳ τὸν ἀνωτάτω καὶ πρῶτον, ἐν δὲ αὐλοῖς τὸν κάτω καὶ τὸν τελευταῖον ἐπέχουσαν. ἔτι τὴν μέσην ἐν ᾧ τις ἂν χωρίῳ τῆς λύρας θέμενος, ὡσαύτως ἁρμόσηται, φθεγγομένην ὀξύτερον μὲν ὑπάτης, βαρύτερον δὲ νήτης. καὶ γὰρ ὀφθαλμὸς οὐκ ἐν παντὶ ζῴῳ τὴν αὐτὴν ἔχει τάξιν· ἐν παντὶ δὲ καὶ πανταχοῦ κείμενος κατὰ φύσιν ὁρᾶν ὁμοίως λέγεται(?). ὥσπερ οὖν ὁ παιδαγωγὸς, οὐ πρόσθεν ἀλλ᾽ ὄπισθεν βαδίζων ἄγειν λέγεται, καὶ ὁ τῶν Τρώων στρατηγὸς ὅτε μὲν τε μετὰ πρώτοισι φάνεσκεν, ἄλλοτε δ᾽ ἐν πυμάτοισι κελεύων· ἑκατέρωθι δὲ ἦν πρῶτος καὶ τὴν πρώτην εἶχε δύναμιν, οὕτω τὰ τῆς ψυχῆς μόρια δεῖ μὴ τοῖς τόποις καταβιάζεσθαι, μηδὲ τοῖς ὀνόμασιν, ἀλλὰ τὴν δύναμιν καὶ τὴν ἀναλογίαν ἐξετάζειν. τὸ γὰρ τῇ θέσει πρῶτον ἱδρῦσθαι τὸ λογιστικὸν ἐν τῷ σώματι τοῦ ἀνθρώπου, κατὰ συμβεβηκός ἐστι· τὴν δὲ πρώτην ἔχει καὶ κυριωτάτην δύναμιν, ὡς μέση πρὸς ὑπάτην μὲν τὸ ἐπιθυμητικόν, νήτην δὲ τὸ θυμοειδές, τῷ χαλᾶν καὶ ἐπιτείνειν, καὶ ὅλως συνῳδὰ καὶ σύμφωνα ποιεῖν ἑκατέρου τὴν ὑπερβολὴν ἀφαιρῶν· καὶ πάλιν οὐκ ἐῶν ἀνίεσθαι παντάπασιν οὐδὲ καταδαρθάνειν. τὸ γὰρ μέτριον καὶ τὸ σύμμετρον ὁρί-

ζεται μεσότητι. μᾶλλον δὲ τοῦτο τέλος ἐστὶ τῆς τοῦ λόγου δυνάμεως, μεσότητας ἐν τοῖς πάθεσι ποιεῖν, ἃς ἱερὰς καλοῦσιν οὐσίας, ἐχούσας τὴν τῶν ἄκρων πρὸς τὸν λόγον καὶ πρὸς ἄλληλα διὰ τοῦ λόγου σύγκρασιν. οὐ γὰρ ἡ συνωρὶς μέσον ἔχει τῶν ὑποζυγίων τὸ κρεῖττον· οὐδὲ τὴν ἡνιοχείαν ἀκρότητα θετέον, ἀλλὰ μεσότητα τῆς ἐν ὀξύτητι καὶ βραδύτητι τῶν ἵππων ἀμετρίας. ὥσπερ ἡ τοῦ λόγου δύναμις ἀντιλαμβανομένη, κινουμένων ἀλόγως τῶν παθῶν, καὶ συναρμόττουσα περὶ αὐτὴν εἰς τὸ μέτριον, ἐλλείψεως καὶ ὑπερβολῆς μεσότητα καθίστησι.

Διὰ τί Πλάτων εἶπε τὸν λόγον ἐξ ὀνομάτων καὶ ῥημάτων κεράννυσθαι; δοκεῖ γὰρ πάντα πλὴν δυεῖν τούτων τὰ μέρη τοῦ λόγου μηθέν. Ὅμηρον δὲ καὶ νεανιευσάμενον εἰς ἕνα στίχον ἐμβαλεῖν ἅπαντα τοῦτον· αὐτὸς ἰὼν κλισίηνδε τὸ σὸν γέρας ὄφρ᾽ εὖ εἰδῇς. καὶ γὰρ ἀντωνυμία, καὶ μετοχὴ, καὶ ὄνομα, καὶ ῥῆμα, καὶ πρόθεσις, καὶ ἄρθρον, καὶ σύνδεσμος, καὶ ἐπίρρημα ἔνεστι. τὸ γὰρ δε μόριον, νῦν ἀντὶ τῆς εἰς προθέσεως τέτακται, τὸ γὰρ κλισίηνδε, τοιοῦτόν ἐστιν· οἷον τὸ Ἀθήναζε. τί δὴ ῥητέον ὑπὲρ τοῦ Πλάτωνος; ἢ ὅτι πρῶτον λόγον οἱ παλαιοὶ, τὴν τότε καλουμένην πρότασιν, νῦν δὲ ἀξίωμα προσηγόρευον, ὃ πρῶτον λέγοντες, ἀληθεύουσιν ἢ ψεύδονται. τοῦτο δὲ ἐξ ὀνόματος καὶ ῥήματος συνέστηκεν· ὧν τὸ μὲν πτῶσιν οἱ διαλεκτικοὶ, τὸ δὲ κατηγόρημα καλοῦσιν. ἀκούσαντες γὰρ ὅτι Σωκράτης φιλοσοφεῖ, καὶ πάλιν, ὅτι Σωκράτης πέτεται, τὸν μὲν ἀληθῆ λόγον εἶναι, τὸν δὲ ψευδῆ φήσομεν, οὐδενὸς ἄλλου προσδεηθέντες. καὶ γὰρ εἰκὸς ἀνθρώπους ἐν χρείᾳ λόγου τὸ πρῶτον καὶ φωνῆς ἐνάρθρου γενέσθαι, τάς τε πράξεις καὶ τοὺς πράττοντας αὐτὰς καὶ τὰ πάθη καὶ τοὺς πάσχοντας ἀλλήλοις διασαφεῖν καὶ ἀποσημαίνειν βουλομένους. ἐπεὶ τοίνυν τῷ μὲν ῥήματι τὰ πράγματα καὶ τὰ πάθη, τῷ δὲ ὀνόματι τοὺς πράττοντας αὐτὰ καὶ πάσχοντας ἀποχρώντως δηλοῦμεν, ὡς αὐτὸς εἴρηκε, ταῦτα σημαίνειν ἔδοξε. τὰ δὲ ἄλλα φαίη τις ἂν οὐ σημαίνειν· οἷον οἱ στεναγμοὶ καὶ ὀλολυγμοὶ τῶν ὑποκριτῶν, καὶ νὴ Δία πολλάκις ἐπιμειδίασις καὶ ἀποσιώπησις, ἐμφαντικώτερον ποιεῖ τὸν λόγον. ἃ μὴν ἀναγκαίαν ἔχειν πρὸς τὸ σημαίνειν ὡς τὸ ῥῆμα καὶ τοὔνομα δύναμιν, ἀλλ᾽ ἐπίθετόν τινα ποικίλλουσαν τὸν λόγον. ὥσπερ τὰ στοιχεῖα ποικίλλουσιν, οἱ τὰ πνεύματα καὶ τὰς δασύτητας αὐτῶν, ἐκτάσεις τε καὶ συστολὰς ἐνίων αὐτὰ καθ᾽ αὑτὰ τὰ στοιχεῖα τιθέμενοι, πάθη μᾶλλον ὄντα καὶ συμβεβηκότα καὶ διαφορὰς στοιχείων, ὡς ἐδήλωσαν οἱ παλαιοὶ διὰ τῶν ἑκκαίδεκα φράζοντες ἀποχρώντως καὶ γράφοντες. ἔπειτα σκόπει μὴ παρακούωμεν τοῦ Πλάτωνος ἐκ τούτων κεράννυσθαι τὸν λόγον, οὐ διὰ τούτων εἰρηκότος· εἶτα ὥσπερ ὁ τὸν λέγοντα τὸ φάρμακον ἐκ κηροῦ μεμῖχθαι καὶ χαλβάνης συκοφαντῶν, ἐπεὶ τὸ πῦρ παρέλιπε καὶ τὸ ἀγγεῖον, ὧν χωρὶς οὐκ ἂν μεμῖχθαι· καὶ ἡμεῖς ὁμοίως ἐγκαλῶμεν, ὅτι συνδέσμους καὶ προθέσεις καὶ τὰ τοιαῦτα παρῆκεν· οὐ γὰρ ἐκ τούτων ὁ λόγος, ἀλλ᾽ εἴπερ ἄρα διὰ τούτων καὶ οὐκ ἄνευ τούτων κεράννυσθαι πέφυκεν. οὐ γὰρ ὥσπερ ὁ τὸ τύπτει φθεγξάμενος ἢ τὸ τύπτεται, καὶ πάλιν τὸ Σωκράτης ἢ τὸ Πυθαγόρας, ἁμωσγέπως νοῆσαί τι καὶ διανοηθῆναι παρέσχηκεν, οὕτω τοῦ μὲν ἢ γὰρ ἢ περὶ καθ᾽ αὑτὸ ἐκφωνηθέντος, ἔστιν ἔννοιάν τινα λαβεῖν ἢ πράγματος ἢ σώματος, ἀλλ᾽ ἐὰν μὴ περὶ ἐκεῖνα καὶ μετ᾽ ἐκείνων ἐκφέρηται, ψόφοις κενοῖς καὶ ἤχοις ἔοικεν· ὅτι ταῦτα μὲν οὔτε καθ᾽ αὑτὰ σημαίνειν, οὔτε μετ᾽ ἀλλήλων οὐδὲν πέφυκεν, ἀλλ᾽ ὅπως ἂν συμπλέκωμεν, ἢ μιγνύωμεν εἰς ταὐτὸ συνδέσμους καὶ ἄρθρα καὶ προθέσεις, ἕν τι πειρώμενοι κοινὸν ἐξ αὐτῶν ποιεῖν, τερετίζειν μᾶλλον ἢ διαλέγεσθαι δόξομεν. ῥήματος δὲ ὀνόματι συμπλεκομένου, τὸ γινόμενον εὐθὺς διάλεκτός ἐστι καὶ λόγος. ὅθεν εἰκότως ἔνιοι μόνα ταῦτα μέρη τοῦ λόγου τίθενται· καὶ Ὅμηρος

ἴσως δὲ καὶ βούλεται δηλοῦν ἑκάστοτε λέγων· ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν. ἔπος γὰρ τὸ ῥῆμα καλεῖν εἴωθεν, ὥσπερ ἐν τούτοις· ὦ γύναι, ἦ μάλα δὴ τοῦτο ἔπος θυμαλγὲς ἔειπες, καὶ χαῖρε πάτερ ὦ ξεῖνε, ἔπος δ' εἴπερ τι λέλεκται δεινόν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι. οὔτε γὰρ σύνδεσμον, οὔτε ἄρθρον, οὔτε πρόθεσιν δεινόν ἐστι καὶ θυμαλγὲς εἰπεῖν, ἀλλὰ ῥῆμα πράξεως ἐμφαντικὸν αἰσχρᾶς, ἢ πάθους τινὸς ἀνεπιτηδείου. διὸ καὶ ποιητὰς καὶ συγγραφεῖς εἰώθαμεν ἐπαινεῖν ἢ ψέγειν, οὕτω πως λέγοντες· Ἀττικοῖς ὀνόμασιν ὁ δεῖνα κέχρηται καὶ καλοῖς ῥήμασιν, ἢ πάλιν πεζοῖς. οὐδὲ δὲ πεζοῖς ἢ καλοῖς πάλιν, καὶ Ἀττικοῖς ἄρθροις οὐκ ἂν εἴποι τις Εὐριπίδην ἢ Θουκυδίδην διειλέχθαι. τί οὖν φήσαι τις ἄν, οὐδὲν ταῦτα συμβάλλεται πρὸς λόγον; ἔγωγε φήσαιμ' ἂν ὥσπερ ἅλας συμβάλλεσθαι πρὸς ὄψον, ὕδωρ δὲ πρὸς μᾶζαν, Εὔηνος δὲ καὶ τὸ πῦρ ἔφασκεν ἡδυσμάτων εἶναι. λέγομεν, οὔτε πῦρ οὔτε ἅλας ἑψήματος ἢ βρώματος ὧν ἀεὶ τυγχάνομεν δεόμενοι, οὐχ ὥσπερ ὁ λόγος πολλάκις ἐκείνων ἀπροσδεής ἐστιν. ὡς δοκεῖ μοι περὶ Ῥωμαίων λέγειν ἐρρωμένως νῦν ὁμοῦ τι πάντες ἄνθρωποι χρῶνται. προθέσεις τε γὰρ ἀφῄρηκε, πλὴν ὀλίγων ἁπάσας, τῶν τε καλουμένων ἄρθρων, οὐδὲν προσδέχεται τὸ παράπαν, ἀλλ' ὥσπερ κρασπέδοις χρῆται τοῖς ὀνόμασι, καὶ οὐ θαυμαστόν ἐστιν· ὅπου καὶ Ὅμηρος ἐπέων κόσμῳ περιγενόμενος ὀλίγοις τῶν ὀνομάτων ἄρθρα, ὥσπερ λαβὰς ἐκπώμασι δεομένοις ἢ λόφους κράνεσιν ἐπιτίθησι. διὸ καὶ παράσημα τῶν ἐπῶν ἐν οἷς ταῦτα ποιεῖ γέγονεν, ὡς τό· Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε, τῷ Τελαμωνιάδῃ, καὶ τό· ποίεεν ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέοιτο, καὶ βραχέα πρὸς τούτοις ἕτερα. τοῖς δὲ ἄλλοις μυρίοις οὖσιν, ἄρθρου μὴ προσόντος, οὐδὲν εἰς σαφήνειαν οὐδὲ κάλλος ἡ φράσις βλάπτεται. καὶ μήν, οὔτε ζῷον οὔτε ὄργανον οὔτε ὅπλον οὔτε ἄλλο τῶν ὄντων οὐδὲν οἰκείου μέρους ἀφαιρέσει καὶ στερήσει πέφυκε γίνεσθαι κάλλιον, οὐδὲ ἐνεργέστερον, οὐδὲ ἥδιον. λόγος δὲ συνδέσμων ἐξαιρεθέντων, πολλάκις ἐμπαθεστέραν καὶ κινητικωτέραν ἔχει δύναμιν, ὡς ὁ τοιοῦτος· ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον, ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν. καὶ τὰ τοῦ Δημοσθένους ταυτί· πολλὰ γὰρ ἂν ποιήσειεν ὁ τύπτων, ὧν ὁ παθὼν ἔνια, οὐδ' ἂν ἀπαγγεῖλαι δύναιτο ἑτέρῳ, τῷ σχήματι, τῷ βλέμματι, τῇ φωνῇ, ὅταν ὑβρίζων, ὅταν ἐχθρὸς ὑπάρχων, ὅταν κονδύλοις, ὅταν ἐπὶ κόρρης, ταῦτα κινεῖ, ταῦτα ἐξίστησιν αὑτῶν ἀνθρώπους ἀήθεις τοῦ προπηλακίζεσθαι. καὶ πάλιν· ἀλλ' οὐ Μειδίας, ἀλλ' ἀπὸ ταύτης τῆς ἡμέρας λέγει, λοιδορεῖται, βοᾷ, χειροτονεῖταί τι, Μειδίας Ἀναγυράσιος προβέβληται, Πλουτάρχῳ προξενεῖ, τὰ ἀπόρρητα οἶδεν, ἡ πόλις αὐτὸν οὐ χωρεῖ. διὸ καὶ σφόδρα τὸ ἀσύνδετον σχῆμα παρὰ τοῖς τέχνας γράφουσιν εὐδοκιμεῖ. τοὺς δὲ ἄγαν νομίμους ἐκείνους καὶ μηδένα σύνδεσμον ἐκ τῆς συνηθείας ἀφιέντας, ὡς ἀργὴν καὶ ἀπαθῆ καὶ κοπώδη τῷ ἀμεταβλήτῳ τὴν φράσιν ποιοῦντας αἰτιῶνται. τὸ δὲ τοὺς διαλεκτικοὺς μάλιστα συνδέσμων δεῖσθαι πρὸς τὰς τῶν ἀξιωμάτων συναφὰς καὶ συμπλοκὰς καὶ διαζεύξεις, ὥσπερ ἡνιόχους ζυγῶν· καὶ τὸν Κύκλωπος Ὀδυσσέα λυγῶν πρὸς τὴν τῶν προβάτων, οὐ μέρος λόγου, οὐ σύνδεσμον, ἀλλὰ ὄργανόν τι συνδετικὸν ἀποφαίνει καθάπερ ὠνόμασθαι, καὶ συνεκτικὸν οὐ πάντων, ἀλλὰ τῶν οὐχ ἁπλῶς λεγομένων· εἰ μὴ καὶ τοῦ φορτίου τὸν ἱμάντα, καὶ τοῦ βιβλίου τὴν κόλλαν ἀξιοῦσι μέρος εἶναι, καὶ τὰς διανομὰς τοῦ πολιτεύματος, ὡς ἔλεγε Δημάδης, κόλλαν ὀνομάζων τὰ θεωρικὰ τῆς δημοκρατίας. ποῖος δὲ σύνδεσμος οὕτως ἓν ἐκ πολλῶν ἀξίωμα ποιεῖ συμπλέκων καὶ συνάπτων, ὡς ἡ μάρμαρος τὸν συλλιπαινόμενον διὰ τοῦ πυρὸς σίδηρον, ἀλλ' οὐκ ἔστιν οὐδὲ λέγεται τοῦ σιδή-

ρου μέρος, καίτοι ταῦτά γε τοῖς κεραννυμένοις ἐνδυόμενα καὶ συντηκόμενα, ποιεῖ τι καὶ πάσχει κοινὸν ἐκ πλειόνων, τοὺς δὲ συνδέσμους εἰσὶν οἱ μὴ νομίζοντες ἕν τι ποιεῖν, ἀλλ' ἐξαρίθμησιν εἶναι τὴν διάλεκτον, ὥσπερ ἀρχόντων ἐφεξῆς ἢ ἡμερῶν καταλεγομένων. καὶ μὴν τῶν γε λοιπῶν ἡ μὲν ἀντωνυμία περιφανῶς γένος ὀνόματός ἐστιν· οὐχ ᾗ πτώσεων μετέχει μόνον, ἀλλὰ καὶ τῷ κυριωτάτην ἅμα τῇ φύσει ποιεῖν δεῖξιν ἐνίας εὐθὺ τῶν ὡρισμένων ἐκφερομένας· καὶ οὐκ οἶδ' ὅτι μᾶλλον ὁ Σωκράτην φθεγξάμενος ἢ ὁ τοῦτον εἰπὼν ὀνομαστὶ πρόσωπον δεδήλωκεν. ἡ δὲ καλουμένη μετοχὴ μίγμα ῥήματος οὖσα καὶ ὀνόματος, καθ' ἑαυτὴν μὲν οὐκ ἔστιν, ὥσπερ οὐδὲ τὰ κοινὰ θηλυκῶν καὶ ἀρρενικῶν ὀνόματα, συντάττεται δὲ ἐκείνοις, ἐφαπτομένη τοῖς μὲν χρόνοις τῶν ῥημάτων, ταῖς δὲ πτώσεσι τῶν ὀνομάτων. οἱ δὲ διαλεκτικοὶ τὰ τοιαῦτα καλοῦσιν ἀνακλάστους, οἷον ὁ φρονῶν ἀπὸ τοῦ φρονίμου, καὶ ὁ σώφρων ἀπὸ τοῦ σωφρονός ἐστιν, ὡς ὀνομάτων καὶ προσηγοριῶν δύναμιν ἔχοντα. τάς γε μὴν προθέσεις ἔστιν ἐπικράνοις καὶ βάσεσι καὶ ὑποθέμασιν, ὡς οὐ λόγους ἀλλὰ περὶ τοὺς λόγους μᾶλλον οὔσας ὁμοιοῦν. ὅρα δὲ μὴ κόμμασι καὶ θραύσμασιν ὀνομάτων ἐοίκασιν, ὥσπερ γραμμάτων παράγμασι καὶ κεραίαις οἱ σπεύδοντες γράφουσι. τὸ γὰρ ἐμβῆναι καὶ ἐκβῆναι, συγκοπὴ προφανής ἐστι τοῦ ἐντὸς βῆναι καὶ τοῦ ἐκτὸς βῆναι, καὶ τὸ προγενέσθαι τοῦ πρότερον γενέσθαι, καὶ τὸ καθίζειν, τοῦ κατὰ ἵζειν, ὥσπερ ἀμέλει τὸ λίθους βάλλειν καὶ τοίχους ὀρύσσειν, λιθοβολεῖν καὶ τοιχωρυχεῖν ἐπιταχύνοντες, καὶ σφίγγοντες τὴν φράσιν λέγουσι. διὸ χρείαν μέν τινα τῷ λόγῳ παρέχεται τούτων ἕκαστον, μέρος δὲ λόγου καὶ στοιχεῖον οὐδέν ἐστι, πλὴν ὥσπερ εἴρηται τὸ ῥῆμα καὶ τοὔνομα ποιοῦντα τὴν πρώτην τό τε ἀληθὲς καὶ τὸ ψεῦδος δεχομένην σύνθεσιν, ἣν οἱ μὲν πρότασιν, οἱ δὲ ἀξίωμα, Πλάτων δὲ λόγον προσηγόρευκεν.

ΠΕΡΙ ΤΟΥ ΠΡΩΤΟΥ ΨΥΧΡΟΥ.

Ἔστι τις ἄρα τοῦ ψυχροῦ δύναμις ὦ Φαβωρῖνε πρώτη καὶ οὐσία, καθάπερ τοῦ θερμοῦ τὸ πῦρ, ἧς παρουσίᾳ τινὶ καὶ μετοχῇ γίνεται τῶν ἄλλων ἕκαστον ψυχρόν, ἢ μᾶλλον ἡ ψυχρότης στέρησίς ἐστι θερμότητος, ὥσπερ τοῦ φωτὸς τὸ σκότος λέγουσι, καὶ τῆς κινήσεως τὴν στάσιν· ἐπεὶ καὶ τὸ ψυχρόν, ἔοικε στάσιμον εἶναι, κινητικὸν δὲ τὸ θερμόν· αἵ τε τῶν θερμῶν καταψύξεις οὐδὲ μιᾶς παρουσίᾳ γίνονται δυνάμεως, ἀλλ' ἐκστάσει θερμότητος· ἅμα γὰρ ἀπιοῦσα πολλὴ φαίνεται καὶ ψύχεται τὸ ὑπολειπόμενον· ὁ γὰρ ἀτμὸς ὃν τὰ ζέοντα τῶν ὑδάτων μεθίησιν, ἀπιόντι τῷ θερμῷ συνεκπίπτει· διὸ καὶ μειοῖ τὸ πλῆθος ἡ περίψυξις ἐκκρίνουσα τὸ θερμόν, ἑτέρου μηδενὸς ἐπιόντος. ἢ πρῶτον μὲν ἄν τις ὑπίδοιτο τοῦ λόγου τούτου, τὸ πολλὰς τῶν ἐμφανῶν ἀναιρεῖν δυνάμεων, ὡς οὐ ποιότητας οὐδὲ ἕξεις, ἕξεων δὲ καὶ ποιοτήτων στερήσεις· βαρύτητα μὲν κουφότητος καὶ σκληρότητα μαλακότητος, τὸ μέλαν δὲ τοῦ λευκοῦ, καὶ τὸ πικρὸν τοῦ γλυκέος, καὶ ὧν ἕκαστον ἑκάστῳ πέφυκεν ἀντικεῖσθαι κατὰ δύναμιν, οὐχ ὡς ἕξει στέρησις. ἔπειθ' ὅτι πᾶσα στέρησις ἀργόν ἐστι καὶ ἄπρακτον, ὡς τυφλότης καὶ κωφότης καὶ σιωπὴ καὶ θάνατος· ἐκστάσεις γάρ εἰσιν εἰδῶν καὶ ἀναιρέσεις οὐσιῶν, οὐ φύσεις τινὲς οὐδὲ οὐσίαι καθ' ἑαυτάς, ἡ δὲ ψυχρότης οὐκ ἐλάττονα τῆς θερμότητος ἐγγινομένη τοῖς σώμασι πάθη καὶ μεταβολὰς ἐνεργάζεσθαι πέφυκε· καὶ γὰρ πήγνυται πολλὰ τῷ ψυχρῷ καὶ ἐκκρίνεται καὶ πυκνοῦται, καὶ τὸ στάσιμον αὐτῷ

καὶ δυσκίνητον οὐκ ἀργόν ἐστιν, ἀλλ' ἐμβριθὲς καὶ βέβαιον ἀπὸ ῥώμης, συνε-
ρειστικὸν καὶ συνεκτικὸν ἐχούσης τόνον. ὅθεν ἡ μὲν στέρησις ἔκλειψις γίνεται καὶ
ὑποχώρησις τῆς ἀντικειμένης δυνάμεως. ψύχεται δὲ πολλὰ πολλῆς αὐτοῖς θερ-
μότητος ἐνυπαρχούσης. ἔνια δὲ καὶ μᾶλλον ἡ ψυχρότης ἂν λάβῃ θερμότερα,
πήγνυσι καὶ συνάγει καθάπερ τὸν βαπτόμενον σίδηρον. οἱ δὲ στωϊκοὶ καὶ τὸ
πνεῦμα λέγουσιν ἐν τοῖς σώμασι τῶν βρεφῶν τῇ περιψύξει στομοῦσθαι. καὶ με-
ταβάλλον ἐκ φύσεως γίνεσθαι ψυχήν, ἀλλὰ τοῦτο ἀμφισβητήσιμον. ἑτέ-
ρων δὲ πολλῶν τὴν ψυχρότητα φαινομένην δημιουργόν, οὐκ ἄξιον ἡγεῖσθαι στέ-
ρησιν. ἔτι στέρησις μὲν οὐδεμία δέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, οὐδ' ἂν εἴποι
τις ἕτερον ἑτέρου μᾶλλον πεπηρῶσθαι τῶν μὴ βλεπόντων, ἢ σιωπᾶν τῶν μὴ φθεγ-
γομένων, ἢ τεθνάναι τῶν μὴ ζώντων. ἐν δὲ τοῖς ψυχροῖς πολὺ τὸ μᾶλλον καὶ τὸ
ἧττον ἔνεστι, καὶ τὸ λίαν καὶ τὸ μὴ λίαν, καὶ ὅλως ἐπιτάσεις καὶ ἀνέσεις ὥσπερ
ἐν τοῖς θερμοῖς. διὸ τὴν ὕλην πῇ μὲν σφόδρα, πῇ δὲ ἠρέμα πάσχουσαν ὑπὸ τῶν
ἐναντίων δυνάμεων, ἕτερα μᾶλλον ἑτέρων καὶ θερμότερα καὶ ψυχρότερα πα-
ρέχειν ἐξ ἑαυτῆς. καὶ γὰρ ἕξεως μὲν οὐκ ἔστι μίξις πρὸς στέρησιν, οὐδὲ ἀναδέ-
χεται δύναμις οὐδεμία τὴν ἀντικειμένην αὐτῇ στέρησιν ἐμποιοῦσαν, οὐδὲ ποιεῖ-
ται κοινωνὸν ἀλλ' ἀντεξίσταται. θερμὰ δέ ἐστιν ἄχρις οὗ κεραννύμενα ψυχροῖς ὑπομέ-
νει, καθάπερ μέλανα λευκοῖς, καὶ βαρέσιν ὀξέα, καὶ γλυκέσιν αὐστηρά, παρέ-
χοντα τῇ κοινωνίᾳ ταύτῃ, καὶ ἁρμονίᾳ χρωμάτων τε καὶ φθόγγων καὶ φαρ-
μάκων καὶ ὄψων, προσφιλεῖς πολλὰς καὶ φιλανθρώπους γενέσεις. ἡ μὲν γὰρ
κατὰ στέρησιν καὶ ἕξιν ἀντίθεσις, πολεμικὴ καὶ ἀσύμβατός ἐστιν, οὐσίαν θατέρου
τὴν θατέρου φθορὰν ἔχοντος. τῇ δὲ κατὰ τὰς ἐναντίας δυνάμεις καιροῦ τυχού-
σῃ πολλὰ μὲν αἱ τέχναι χρῶνται, πλεῖστα δὲ ἡ φύσις ἔν τε ταῖς ἄλλαις γενέσε-
σι καὶ ταῖς περὶ τὸν ἀέρα τροπαῖς, καὶ ὅσα διακοσμῶν καὶ βραβεύων ὁ θεὸς
ἁρμονικὸς καλεῖται καὶ μουσικός, οὐ βαρύτητας συναρμόττων καὶ ὀξύτητας,
οὐδὲ λευκὰ καὶ μέλανα συμφώνως ὁμιλοῦντα παρέχων ἀλλήλοις. ἀλλὰ τὴν τῆς
θερμότητος καὶ ψυχρότητος ἐν κόσμῳ κοινωνίαν καὶ διαφοράν, ὅπως συνοί-
σονταί τε μετρίως καὶ διοίσονται πάλιν, ἐπιστατῶν καὶ τὸ ἄγαν ἑκατέρας
ἀφαιρῶν, εἰς τὸ δέον ἀμφοτέρας καθίστησι. καὶ μὴν ψυχροῦ μὲν αἴσθησίς ἐστιν,
ὥσπερ καὶ θερμοῦ. στέρησις δὲ οὔτε ὁρατόν, οὔτε ἀκουστόν, οὔτε ἁπτόν, οὔτε ταῖς
ἄλλαις αἰσθήσεσι γνωστόν. οὐσίας γάρ τινος αἴσθησις ἦν. ὅπου δὲ οὐσία μὴ φαίνεται,
νοεῖται στέρησις. οὐσίας ἀπόφασις οὖσα καθάπερ ὄψεως τυφλότης καὶ φωνῆς σιω-
πή, καὶ σώματος ἐρημία καὶ κενόν. οὔτε γὰρ κενοῦ δι' ἀφῆς αἴσθησίς ἐστιν, ἀλλ'
ὅπου μὴ γίνεται σώματος ἀφή, κενοῦ γίνεται νόησις, οὔτε σιγῆς ἀκούομεν. ἀλλὰ
κἂν μηδενὸς ἀκούωμεν, σιγὴν νοοῦμεν. ὡς δ' αὔτως καὶ τυφλῶν καὶ γυμνῶν καὶ
ἀνόπλων, οὐκ αἴσθησίς ἐστιν, ἀλλ' αἰσθήσεως ἀπόφασις, νόησις. ἔδει τοίνυν μὴ γίνε-
σθαι ψυχροῦ αἴσθησιν, ἀλλ' ὅπου τὸ θερμὸν ἐπιλείπει, νοεῖσθαι τὸ ψυχρόν, εἴ-
περ ἦν θερμοῦ στέρησις. εἰ δ' ὥσπερ τὸ θερμὸν ἀλέᾳ καὶ διακρίσει τῆς σαρκός, οὕτω
συγκρίσει καὶ πυκνώσει τὸ ψυχρὸν αἰσθητόν ἐστι, δῆλον ὅτι καὶ ψυχρότητος ἰδία
τίς ἐστιν ἀρχὴ καὶ πηγὴ καθάπερ θερμότητος. ἔτι τοίνυν ἕν τι καὶ ἁπλοῦν
ἡ περὶ ἕκαστον εἶδος στέρησις. αἱ δὲ οὐσίαι, πλείονας διαφορὰς καὶ δυνάμεις ἔ-
χουσι. μονοειδὲς γὰρ ἡ σιωπή, ποικίλον δὲ ἡ φωνή, νῦν μὲν ἐνοχλοῦσα, νῦν δὲ τέρπου-
σα τὴν αἴσθησιν. ἔχει δὲ τοιαύτας καὶ τὰ χρώματα καὶ τὰ σχήματα διαφοράς,
ἐν αἷς ἄλλο τε ἄλλως τὸν προστυγχάνοντα διατίθησι, τὸ δὲ ἀναφὲς καὶ ἄχρωστον
καὶ ὅλως ἄποιον, οὐκ ἔχει διαφοράν, ἀλλ' ὅμοιόν ἐστιν. ἆρα οὖν ἔοικε τοῖς στερητι-
κοῖς τούτοις τὸ ψυχρόν, ὥστε μὴ ποιεῖν ἐν τοῖς πάθεσι διαφοράν, ἢ τοὐναντίον ἡ-

δοναί τε μεγάλαι καὶ ὠφέλιμοι τοῖς σώμασιν ἀπὸ ψυχρῶν ὑπάρχουσι, καὶ βλά-
βαι πάλιν νεανικαὶ καὶ πόνοι καὶ βαρύτητες, ὑφ' ὧν οὐκ ἀεὶ φεύγει καὶ ἀπολείπει τὸ
θερμόν, ἀλλὰ πολλάκις ἐγκαταλαμβανόμενον, ἀνθίσταται καὶ μάχεται. τῇ
μάχῃ δὲ αὐτῶν ὄνομα φρίκη καὶ τρόμος. ἡττωμένῳ δὲ τῷ θερμῷ τὸ πήγνυσθαι
καὶ ναρκᾶν ἐπιγίγνεται, κρατοῦν δὲ τοῦ ψυχροῦ, διάχυσιν παρέχει καὶ ἀλέαν
τῷ σώματι μεθ' ἡδονῆς, ὅπερ Ὅμηρος ἰαίνεσθαι κέκληκεν. ἀλλὰ ταῦτά γε
παντὶ δῆλα καὶ τούτοις οὐχ ἥκιστα τοῖς πάθεσιν ἐνδείκνυται τὸ ψυχρὸν ὅτι
πρὸς τὸ θερμὸν ὡς οὐσία πρὸς οὐσίαν ἢ πάθος πρὸς πάθος, οὐχ ὡς ἀπόφασις
ἀντίκειται καὶ στέρησις, οὐδὲ φθορά τίς ἐστι τοῦ θερμοῦ καὶ ἀναίρεσις ἀλλὰ φθαρ-
τικὴ φύσις καὶ δύναμις, ἢ καὶ τὸν χειμῶνα τῶν ὡρῶν, καὶ τὰ βόρεια τῶν πνευ-
μάτων ἐξέλωμεν, ὡς στερήσεις ὄντα τῶν θερμῶν καὶ νοτίων. ἰδίαν δὲ ἀρχὴν οὐκ
ἔχοντα. καὶ μὴν τεττάρων γε τῶν πρώτων ὄντων ἐν τῷ παντὶ σωμάτων, ἃ διὰ
πλῆθος καὶ ἁπλότητα καὶ δύναμιν οἱ πλεῖστοι στοιχεῖα τῶν ἄλλων ὑποτίθεν-
ται καὶ ἀρχάς, πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς. ἀναγκαῖόν ἐστι καὶ ποιό-
τητας εἶναι τὰς πρώτας καὶ ἁπλᾶς τοσαύτας. τίνες οὖν εἰσιν αὗται πλὴν
θερμότης καὶ ψυχρότης καὶ ξηρότης καὶ ὑγρότης αἷς τὰ στοιχεῖα πάσχειν
ἅπαντα καὶ ποιεῖν πέφυκεν. ὡς δὲ τῶν ἐν γραμματικῇ στοιχείων βραχύτη-
τές εἰσι καὶ μακρότητες, τῶν δὲ ἐν μουσικῇ βαρύτητες καὶ ὀξύτητες, οὐ θάτερα
τῶν ἑτέρων στέρησις, οὕτως ἐν τοῖς φυσικοῖς σώμασιν ἀντὶ στοιχείων ἀπολειπτέων
ὑγρῶν πρὸς ξηρὰ καὶ ψυχρῶν πρὸς θερμά, τὸ κατὰ λόγον ἅμα καὶ τὰ φαινό-
μενα διαφυλάττοντας. ἢ καθάπερ Ἀναξιμένης ὁ παλαιὸς ᾤετο μήτε τὸ ψυ-
χρὸν ἐν οὐσίᾳ μήτε τὸ θερμὸν ἀπολείπομεν, ἀλλὰ πάθη κοινὰ τῆς ὕλης ἐπιγι-
νόμενα ταῖς μεταβολαῖς. τὸ γὰρ συστελλόμενον αὐτῆς καὶ πυκνούμενον, ψυχρὸν
εἶναί φησι. τὸ δὲ ἀραιὸν καὶ τὸ χαλαρὸν οὕτω πως ὀνομάσας καὶ τῷ ῥήματι, θερμόν.
ὅθεν οὐκ ἀπεικότως λέγεσθαι τὸ καὶ θερμὰ τὸν ἄνθρωπον ἐκ τοῦ στόματος καὶ ψυχρὰ
μεθιέναι. ψύχεται γὰρ ἡ πνοὴ πιεσθεῖσα καὶ πυκνωθεῖσα τοῖς χείλεσιν, ἀνειμένου
δὲ τοῦ στόματος ἐκπίπτουσα, γίνεται θερμὸν ὑπὸ μανότητος. τοῦτο μὲν οὖν ἀ-
γνόημα ποιεῖται τοῦ ἀνδρὸς ὁ Ἀριστοτέλης. ἀνειμένου γὰρ τοῦ στόματος ἐκπνεῖσθαι
τὸ θερμὸν ἐξ ἡμῶν αὐτῶν, ὅταν δὲ συστρέψαντες τὰ χείλη φυσήσωμεν, οὐ τὸν ἐξ
ἡμῶν ἀλλὰ τὸν ἀέρα τὸν πρὸ τοῦ στόματος ὠθεῖσθαι, ψυχρὸν ὄντα καὶ προσεμπί-
πτειν. εἰ δ' ἀπολειπτέον οὐσίαν ψυχροῦ καὶ θερμοῦ, προσάγωμεν ἐφεξῆς τὸν
λόγον. ἥ τις ἐστὶν οὐσία καὶ ἀρχὴ καὶ φύσις ψυχρότητος ζητοῦντες. οἱ μὲν οὖν
τῶν σκαληνῶν καὶ τριγωνοειδῶν σχηματισμῶν ἐν τοῖς σώμασι κειμένων, τὸ ῥιγοῦν
καὶ τρέμειν καὶ φρίττειν, καὶ ὅσα συγγενῆ τοῖς πάθεσι τούτοις, ἀπὸ τραχύτητος
ἐγγίνεσθαι λέγοντες, εἰ καὶ τοῖς κατὰ μέρος διαμαρτάνουσι, τὴν ἀρχὴν ὅθεν
δεῖ λαμβάνουσι. δεῖ γὰρ ὥσπερ ἀφ' ἑστίας τῆς τῶν ὅλων οὐσίας, ἄρχεσθαι τὴν
ζήτησιν, ᾧ καὶ μάλιστα δόξειεν ἂν ἰατροῦ καὶ γεωργοῦ καὶ αὐλητοῦ διαφέρειν ὁ
φιλόσοφος. ἐκείνοις μὲν γὰρ ἐξαρκεῖ τὰ ἔσχατα τῶν αἰτίων θεωρῆσαι. τὸ γὰρ
ἐγγύτατα τοῦ πάθους αἴτιον ἂν συνοφθῇ, πυρετοῦ μὲν ἔντασις ἢ παρέμπτωσις.
ἐρυσίβης δὲ, ἥλιοι πυριφλεγεῖς ἐπ' ὄμβρῳ, βαρύτητος δὲ κλίσις αὐλῶν καὶ συ-
ναγωγὴ πρὸς ἀλλήλους ἱκανόν ἐστι τῷ τεχνίτῃ πρὸς τὸ οἰκεῖον ἔργον. τῷ δὲ φυ-
σικῷ θεωρίας ἕνεκα μετιόντι τἀληθές, ἡ τῶν ἐσχάτων γνῶσις, οὐ τέλος ἐστίν, ἀλ-
λ' ἀρχὴ τῆς ἐπὶ τὰ πρῶτα καὶ ἀνωτάτω πορείας. διὸ καὶ Πλάτων ὀρθῶς
καὶ Δημόκριτος αἰτίαν θερμότητος καὶ βαρύτητος ζητοῦντες, οὐ κατέπαυ-
σαν ἐν γῇ καὶ πυρὶ τὸν λόγον, ἀλλ' ἐπὶ τὰς νοητὰς ἀναφέροντες ἀρχὰς τὰ αἰ-
σθητὰ μέχρι τῶν ἐλαχίστων, ὥσπερ σπερμάτων προῆλθον. οὐ μὴν ἀλλὰ καὶ τὰ

ὑπολειπτέον

λέγεσθαι

γόνου .l. Δ.

αἰσθητὰ ταυτὶ προανακινῆσαι βέλτιόν ἐστιν. ἐν οἷς Ἐμπεδοκλῆς τε καὶ Στράτων καὶ οἱ Στωϊκοὶ, τὰς οὐσίας τίθενται τῶν δυνάμεων· οἱ μὲν Στωϊκοὶ, τῷ ἀέρι τὸ πρώτως ψυχρὸν ἀποδιδόντες· Ἐμπεδοκλῆς δὲ καὶ Στράτων τῷ ὕδατι· τὴν δὲ γῆν ἴσως ἂν ἕτερος φανείη ψυχρότητος οὐσίαν ὑποτιθέμενος. πρότερον δὲ τὰ ἐκείνων σκοπῶμεν. ἐπεὶ τὸ πῦρ θερμὸν ἅμα καὶ λαμπρόν ἐστι, δεῖ τὴν ἀντικειμένην τῷ πυρὶ φύσιν ψυχράν τε εἶναι καὶ σκοτεινήν. ἀντίκειται γὰρ ὡς τῷ λαμπρῷ τὸ ζοφερὸν, οὕτω τῷ θερμῷ τὸ ψυχρόν. ἔστι γὰρ ὡς ὄψεως τὸ σκοτεινὸν, οὕτω τὸ ψυχρὸν ἁφῆς συγχυτικὸν, ἡ δὲ θερμότης διαχεῖ τὴν αἴσθησιν τοῦ ἁπτομένου καθάπερ ἡ λαμπρότης τοῦ ὁρῶντος. τὸ ἄρα πρώτως σκοτεινὸν ἐν τῇ φύσει πρώτως καὶ ψυχρόν ἐστιν. ὅτι δὲ ἀὴρ τὸ πρώτως σκοτεινόν ἐστιν, οὐδὲ τοὺς ποιητὰς λέληθεν· ἀέρα γὰρ τὸ σκότος καλοῦσιν.

» ἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖ' ἦν, οὐδὲ σελήνη
» οὐρανόθεν προὔφαινε.

καὶ πάλιν·

» αὐτίκα δ' ἠέρα μὲν σκέδασεν καὶ ἀπῶσεν ὁμίχλην.
» ἠέλιος δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶσα φαάνθη.

καὶ γὰρ κνέφας τὸν ἀφώτιστον ἀέρα καλοῦσι, κενὸν ὡς ἔοικε φάους ὄντα, καὶ νέφος ὁ συμπεσὼν καὶ πυκνωθεὶς ἀὴρ ἀποφάσει φωτὸς κέκληται. καλεῖται δὲ καὶ ἀχλὺς καὶ ὁμίχλη· καὶ ὅσα τοῦ φωτὸς οὐ παρέχει τῇ αἰσθήσει δίοψιν, ἀέρος εἰσὶ διαφοραί· καὶ τὸ ἀειδὲς αὐτοῦ καὶ ἄχρωστον, ᾅδης καὶ Ἀχέρων ἐπίκλησιν ἔχων. ὥσπερ οὖν αὐγῆς ἐπιλιπούσης σκοτεινὸς ἀὴρ, οὕτω θερμοῦ μεταστάντος τὸ ἀπολειπόμενον ἀὴρ ψυχρὸς, ἄλλο δὲ οὐδέν ἐστι. διὸ καὶ τάρταρος οὗτος ὑπὸ ψυχρότητος κέκληται. δηλοῖ δὲ καὶ Ἡσίοδος εἰπὼν τάρταρον ἠερόεντα, καὶ τὸ ῥιγοῦντα πάλλεσθαι καὶ τρέμειν, ταρταρίζειν. ταῦτα μὲν οὖν τοιοῦτον ἔχει λόγον. ἐπεὶ δὲ ἡ φθορὰ μεταβολή τίς ἐστι τῶν φθειρομένων εἰς τοὐναντίον ἑκάστῳ, σκοπῶμεν εἰ καλῶς εἴρηται, τὸ πυρὸς θάνατος ἀέρος γένεσις. θνήσκει γὰρ καὶ πῦρ ὥσπερ ζῷον, ἢ βίᾳ σβεννύμενον, ἢ δι' αὑτοῦ μαραινόμενον. ἡ μὲν οὖν σβέσις ἐμφανεστέραν ποιεῖ τὴν εἰς ἀέρα μεταβολὴν αὐτοῦ· καὶ γὰρ ὁ καπνὸς ἀέρος ἐστὶν εἶδος, καὶ ἡ κατὰ Πίνδαρον ἀέρος κνίσσ' ἀντιλακτίζουσα καπνῷ. οὐ μὴν ἀλλὰ καὶ φθινούσης ἀτροφίᾳ φλογὸς ἰδεῖν ἐστιν ὥσπερ ἐπὶ τῶν λύχνων τὸ ἄκρον εἰς ἀέρα καὶ γνοφώδη καὶ ζοφερὸν ἀποχεόμενον. ἱκανῶς δὲ καὶ ὁ τῶν μετὰ λουτρὸν ἢ πυρίαν περιχεαμένων ψυχρὸν, ἀνιὼν ἀτμὸς ἐνδείκνυται τὴν εἰς ἀέρα τοῦ θερμοῦ φθειρομένου μεταβολὴν, ὡς φύσει πρὸς τὸ πῦρ ἀντικείμενον, ᾧ τὸ πρώτως τὸν ἀέρα σκοτεινὸν εἶναι καὶ ψυχρὸν ἠκολούθει. καὶ μὴν, ἁπάντων γε τῶν γινομένων ὑπὸ ψυχρότητος τοῖς σώμασι σφοδρότατον καὶ βιαιότατον ἡ πῆξις οὖσα, πάθος μέν ἐστιν ὕδατος, ἔργον δὲ ἀέρος. αὐτὸ μὲν γὰρ καθ' ἑαυτὸ τὸ ὕδωρ, εὐδιάχυτον καὶ ἀπαγὲς καὶ ἀσύστατόν ἐστιν, ἐντείνεται δὲ καὶ συνάγεται τῷ ἀέρι σφιγγόμενον ὑπὸ ψυχρότητος. διὸ καὶ λέλεκται,

» εἰ δὲ νότος βορέην προκαλέσσεται, αὐτίκα νείψει.

τοῦ γὰρ νότου καθάπερ ὕλην τὴν ὑγρότητα παρασκευάσαντος, ὁ βορέας ἀὴρ ὑπολαβὼν ἔπηξε, καὶ δῆλόν ἐστι μάλιστα περὶ τὰς χιόνας· ἀέρα γὰρ μεθεῖσαι καὶ προαναπνεύσασαι λεπτὸν καὶ ψυχρὸν οὕτω ῥέουσιν. Ἀριστοτέλης δὲ καὶ τὰς ἀκόνας τοῦ μολίβδου τήκεσθαί φησι καὶ ῥεῖν ὑπὸ κρύους καὶ χειμῶνος, ὕδατος μόνου πλησιάζοντος αὐταῖς· ὁ δὲ ἀὴρ ὡς ἔοικε συνελαύνων τὰ σώματα τῇ ψυχρότητι, καταθραύει καὶ ῥήγνυσιν. ἔτι τοίνυν τὰ μὲν ἀποσπασθέντα τῆς πηγῆς ὕδατα, μᾶλλον πήγνυται· μᾶλλον γὰρ ὁ ἀὴρ ἐπικρατεῖ τοῦ ἐλάττονος. ἂν δέ τις ψυχρὸν ἐκ φρέατος ὕδωρ λαβὼν ἐν ἀγγείῳ καὶ καθεὶς αὖθις εἰς τὸ φρέαρ ὥστε μὴ ψαύειν τοῦ ὕδατος τὸ ἀγγεῖον, ἀλλ' ἐν τῷ ἀέρι κρέμασθαι περιμείνῃ χρόνον οὐ πολὺν, ἔσται ψυχρότερον τὸ ὕδωρ· ᾧ μάλιστα δηλοῦται, τὸ μὴ τοῦ ὕδατος εἶναι τὴν πρώτην αἰτίαν τῆς ψυχρότητος ἀλλὰ τοῦ ἀέ-

ρος. τῶν γε μὴν μεγάλων ποταμῶν οὐδεὶς πήγνυται διὰ βάθους, οὐ γὰρ καθίησιν εἰς ὅλον ὁ ἀὴρ, ἀλλ' ὅσα τῇ ψυχρότητι περιλαμβάνει ψαύων καὶ πλησιάζων, ταῦτα ἵστησιν. ὅθεν οἱ βάρβαροι διαβαίνουσι πεζῇ, προβαλόντες ἀλώπεκας· ἂν γὰρ μὴ πολὺς ἀλλ' ἐπιπόλαιος ὁ πάγος ᾖ, αἰσθανόμεναι τῷ ψόφῳ τοῦ ὑπορρέοντος, ἀναστρέφουσιν. ἔνιοι δὲ καὶ θηρεύουσιν ἰχθῦς, ὕδατι θερμῷ τοῦ πάγου περιλύοντες καὶ χαλῶντες, εἶτα τὴν ὁρμιὰν δεξαμένων, οὕτως οὐδὲν ὑπὸ τοῦ ψυχροῦ τὸ ἐν βάθει πέπονθε. καίτοι τῶν ἄνω τοσαύτη γίνεται μεταβολὴ διὰ τὴν πῆξιν, ὥστε συντρίβειν τὰ πλοῖα τὸ ὕδωρ ἀποβιαζόμενον εἰς ἑαυτὸ καὶ συνθλιβόμενον, ὡς ἱστοροῦσιν οἱ νῦν μετὰ τοῦ Καίσαρος ἐπὶ τοῦ Ἴστρου διαχειμάσαντες. οὐ μὴν ἀλλὰ καὶ τὸ περὶ ὑμᾶς συμβαῖνον, ἱκανὴν μαρτυρίαν δίδωσι. μετὰ γὰρ τὰ λουτρὰ καὶ τὰς ἐξιδρώσεις, περιψυχόμεθα μᾶλλον τοῖς σώμασιν ἀνειμένοις καὶ διακεχυμένοις πολλὴν ψυχρότητα μετὰ τοῦ ἀέρος καταδεχόμενοι. τὸ δ' αὐτὸ πάσχει καὶ τὸ ὕδωρ. ψύχεται γοῦν ἂν προθερμανθῇ, μᾶλλον εὐπαθέστερον τῷ ἀέρι γενόμενον. ὁπότε τὰ ζέοντα τῶν ὑδάτων ἀναρύττοντες καὶ μετεωρίζοντες, οὐδὲν ἄλλο δή που ποιοῦσιν, ἢ πρὸς ἀέρα πολὺν ἀνακεραννύουσιν. ὁ μὲν οὖν τῷ ἀέρι τὴν πρώτην ἀποδιδοὺς τῆς ψυχρότητος δύναμιν, ὦ Φαβωρῖνε, λόγος, ἐν τοιαύταις ἐστὶ πιθανότησιν. ὁ δὲ τῷ ὕδατι, λαμβάνει μὲν καὶ αὐτὸς ἀρχὰς ὁμοίως οὕτω πως τοῦ Ἐμπεδοκλέους λέγοντος·

» ἠέλιον μὲν λαμπρὸν ὅρα καὶ θερμὸν ἁπάντῃ.
» ὄμβρον δ' ἐν πᾶσι δνοφόεντά τε ῥιγαλέον τε.

τῷ γὰρ θερμῷ τὸ ψυχρὸν ὡς τῷ λαμπρῷ τὸ μέλαν ἀντιτάξας, συλλογίσασθαι δέδωκεν, ὅτι τῆς αὐτῆς οὐσίας ἐστὶ τὸ μέλαν καὶ τὸ ψυχρὸν, ὡς τῆς αὐτῆς, τὸ λαμπρὸν καὶ τὸ θερμόν. ὅτι δὲ οὐ τοῦ ἀέρος τὸ μέλαν ἀλλὰ τοῦ ὕδατός ἐστιν, ἡ αἴσθησις ἐπιμαρτυρεῖ, τῷ μὲν ἀέρι μηδενὸς ὡς ἁπλῶς εἰπεῖν μελαινομένου· τῷ δὲ ὕδατι, πάντων. ἂν γὰρ τὸ λευκότατον ἐμβάλῃς ἔριον εἰς ὕδωρ ἢ ἱμάτιον, ἀναφαίνεται μέλαν καὶ διαμένει, μέχρις ἂν ὑπὸ θερμότητος ἐξικμασθῇ τὸ ὑγρὸν ἢ τισὶ στρέβλαις καὶ βάρεσιν ἐκπιεσθῇ. τῆς τε γῆς ὕδατι ῥαινομένης, διαμελαίνουσιν οἱ καταλαμβανόμενοι ταῖς σταγόσι τόποι, τῶν ἄλλων ὁμοίων μενόντων. αὐτοῦ μὲν οὖν τοῦ ὕδατος σκοτεινότατον ὑπὸ πλήθους φαίνεται τὸ βαθύτατον· οἷς δὲ ἀὴρ πλησιάζει, ταῦτα περιλάμπεται καὶ διαγελᾷ, τῶν δὲ ἄλλων ὑγρῶν, διαφανὲς μάλιστα τοὔλαιόν ἐστι, πλείστῳ χρώμενον ἀέρι, τούτου δὲ τεκμήριον, ἡ κουφότης· δι' ἣν ἐπιπολάζει πᾶσιν, ὑπὸ τοῦ ἀέρος ἀναφερόμενον, ποιεῖ δὲ καὶ τὴν γαλήνην, ἐν τῇ θαλάττῃ τοῖς κύμασιν ἐπιρραινόμενον· οὐ διὰ τὴν λειότητα τῶν ἀνέμων ἀπολισθαινόντων, ὡς Ἀριστοτέλης ἔλεγεν· ἀλλὰ παντὶ μὲν ὑγρῷ τὸ κῦμα διαχεῖται πληττόμενον. ἰδίως δὲ τοὔλαιον αὐγὴν καὶ καταφάνειαν ἐν βυθῷ παρέχει, διαστελλομένων τῷ ἀέρι τῶν ὑγρῶν· οὐ γὰρ μόνον ἐπιπολῆς διανυκτερεύουσιν, ἀλλὰ καὶ κάτω τοῖς σπογγοθήραις διαφυσώμενον ἐκ τοῦ στόματος ἐν τῇ θαλάττῃ φέγγος ἐνδίδωσιν. οὐ μᾶλλον οὖν τῷ ἀέρι τοῦ μέλανος ἢ τῷ ὕδατι μέτεστιν· ἧττον δὲ τοῦ ψυχροῦ. τὸ γοῦν ἔλαιον ἀέρος πλεῖστον τῶν ὑγρῶν μετέχον, ἥκιστα ψυχρόν ἐστι. καὶ πήγνυται μαλακῶς· ὁ γοῦν ἀὴρ ἐγκεκραμένος οὐκ ἐᾷ σκληρὰν γενέσθαι τὴν πῆξιν. βελόνας δὲ καὶ πόρπας σιδηρᾶς καὶ τὰ λοιπὰ τῶν ἔργων οὐχ ὕδατι βάπτουσιν ἀλλ' ἐλαίῳ, τὴν ἄγαν ψυχρότητα φοβούμενοι τοῦ ὕδατος, ὡς διαστρέφουσαν. ἀπὸ τούτων γὰρ δικαιότερόν ἐστιν ἐξετάζεσθαι τὸν λόγον, οὐκ ἀπὸ τῶν χρωμάτων. ἐπεὶ καὶ χιὼν καὶ χάλαζα καὶ κρύσταλλος, ἅμα λαμπρότατα γίνεται καὶ ψυχρότατα, καὶ πάλιν πίττα θερμότερόν ἐστι μέλιτος καὶ σκοτωδέστερον. ὅμως δὲ θαυμάζω τῶν ἀξιούντων τὸν ἀέρα ψυχρὸν εἶναι διὰ τὸ καὶ σκοτεινὸν, εἰ μὴ συνορῶσιν ἑτέρους ἀξιοῦντας θερμὸν εἶναι διὰ τὸ κοῦφον. οὐ γὰρ οὕτω τῷ ψυχρῷ τὸ σκοτεινὸν, ὡς τὸ

βαρὺ καὶ στάσιμον οἰκεῖόν ἐστι καὶ συγγενές, πολλὰ γοῦν ἄμοιρα θερμότητος ὄντα,
μετέχει λαμπηδόνος. ἐλαφρὸν δὲ καὶ κοῦφον καὶ ἀνωφερές, οὐδέν ἐστι τῶν ψυ-
χρῶν. ἀλλὰ καὶ τὰ νέφη μέχρι μὲν ἀέρος οὐσίᾳ μᾶλλον προσήκει, μετεωρίζεται.
μεταβαλόντα δὲ εἰς ὑγρὸν, εὐθὺς ὀλισθαίνει, καὶ τὸ κοῦφον οὐχ ἥττον, ἢ τὸ θερ-
μὸν ἀποβάλλει ψυχρότητος ἐγγινομένης, καὶ τοὐναντίον ὅταν θερμότης ἐπέλ-
θῃ, πάλιν ἀναστρέφει τὴν κίνησιν, ἅμα τῷ μεταβαλεῖν εἰς ἀέρα, τῆς οὐσίας ἄνω
φερομένης. καὶ μὴν οὐδὲ τὸ τῆς φθορᾶς ἀληθές ἐστιν. οὐ γὰρ εἰς τοὐναντίον,
ἀλλ' ὑπὸ τοὐναντίου φθείρεται τῶν ἀπολλυμένων ἕκαστον, ὥσπερ τὸ πῦρ ὑπὸ
τοῦ ὕδατος εἰς τὸν ἀέρα, τὸ γοῦν ὕδωρ ὁ μὲν αἰσχύλος, εἰ καὶ τραγικῶς, ἀλλ' ἀλη-
θῶς εἶπε, παῦε ὕδωρ, δίκην πυρός. ὅμηρος δὲ τὸ ποταμῷ τὸν ἥφαιστον, καὶ τῷ πο
σειδῶνι τὸν ἀπόλλωνα κατὰ τὴν μάχην φυσικῶς μᾶλλον ἢ μυθικῶς ἀντέταξεν.
ὅ δὲ ἀρχίλοχος, οὐ τῆς τἀναντία φρονούσης οὐ κακῶς εἶπε. τῇ μὲν ὕδωρ ἐφό-
ρει δολοφρονέουσα χειρὶ, τῇ ἑτέρῃ δὲ πῦρ. ἐν δὲ πέρσαις τῶν ἱκετευμάτων
μέγιστον ἦν καὶ ἀπαραίτητον, εἰ πῦρ λαβὼν ὁ ἱκετεύων, καὶ ἐν ποταμῷ βεβηκὼς
ἀπειλοίη μὴ τυχὼν τὸ πῦρ ἐς τὸ ὕδωρ ἀφήσειν, ἐτύγχανε μὲν γὰρ ὧν ἐδεῖτο,
τυχὼν δὲ ἐκολάζετο διὰ τὴν ἀπειλὴν, ὡς παράνομον καὶ κατὰ τῆς φύσεως γε-
νομένην. καὶ τοῦτο δὴ τὸ πρόχειρον ἅπασι πῦρ ὕδατι μιγνύναι, τὸ παρα-
βιαζόμενον ἐν τοῖς ἀδυνάτοις, μαρτυρεῖν ἔοικεν. ὅτι τῷ πυρὶ τὸ ὕδωρ πολέμιόν
ἐστι, καὶ ὑπὸ τούτου φθείρεται καὶ κολάζεται σβεννύμενον. οὐχ ὑπὸ τοῦ
ἀέρος τεῖον ὡς ὑπολαμβάνει τὴν οὐσίαν αὐτοῦ, καὶ δέχεται μεταβάλλοντος. εἰ
γὰρ αἰτία εἰς ὃ μεταβάλλει τὸ φθειρόμενον ἐναντίον ἐστὶ μᾶλλον τῷ ἀέρι τὸ πῦρ,
ἢ τὸ ὕδωρ ἐναντίον φανεῖται. μεταβάλλει γοῦν εἰς ὕδωρ συνιστάμενος. εἰς δὲ πῦρ
διακρινόμενος. ὥσπερ αὖ πάλιν τὸ ὕδωρ διακρίσει μὲν, εἰς ἀέρα φθείρεται. συγ
κρίσει δὲ εἰς γῆν, ὡς μὲν ἐγὼ νομίζω, δι' οἰκειότητα τὴν πρὸς ἀμφότερα καὶ συγ-
γένειαν, οὐχ ὡς ἐναντίον ἑκατέρῳ καὶ πολέμιον, ἐκεῖνοι δὲ ὁποτέρως ἂν εἴπω-
σι, τὸ ἐπιχείρημα διαφθείρουσι. πήγνυσθαι γε μὴν ὑπὸ τοῦ ἀέρος φάναι ὕδωρ,
ἀλογώτατόν ἐστιν, αὐτὸν τὸν ἀέρα μηδαμοῦ πηγνύμενον ὁρῶντας. νέφη γοῦν καὶ
ὁμίχλαι καὶ κνηκίδες, οὐ πήξεις εἰσὶν, ἀλλὰ συστάσεις καὶ παχύτητες ἀέρος δι-
ύγρου καὶ ἀτμώδους, οὐδὲ ἄνικμος καὶ ξηρὸς, οὐδὲ ἄχρι ταύτης τὴν κατάψυξιν
ἐνδέχεται τῆς μεταβολῆς. ἔστι γοῦν ἃ τῶν ὀρῶν, οὐ λαμβάνει νέφος, οὐδὲ δρόσον,
οὐδὲ ὁμίχλην, εἰς καθαρὸν ἀέρα καὶ ἄμοιρον ὑγρότητος ἐξικνούμενα τοῖς ἄκροις.
ᾧ μάλιστα δῆλόν ἐστιν ὡς ἡ κάτω πύκνωσις καὶ σύστασις τῷ ἀέρι συμμεμιγμένον
ὑγρὸν καὶ ψυχρὸν ἐνδίδωσι. τὰ δὲ κάτω τῶν μεγάλων ποταμῶν οὐ πήγνυ-
ται κατὰ λόγον. τὰ γὰρ ἄνω παγέντα, τὴν ἀναθυμίασιν οὐ διΐησιν. ἀλλ' ἐγκα-
θειργνυμένη καὶ ἀποστρεφομένη, θερμότητα παρέχει τοῖς διὰ βάθους ὑγροῖς.
ἀπόδειξις δὲ τούτου τὸ λυομένου τοῦ πάγου πάλιν, ἀτμὸν πολὺν ἐκ τῶν ὑγρῶν
ἀναφέρεσθαι, διὸ καὶ τὰ τῶν ζώων σώματα χειμῶνός ἐστι θερμότερα, τῷ συνέ-
χειν τὸ θερμὸν ἐν ἑαυτοῖς, ὑπὸ τῆς ἔξωθεν ψυχρότητος εἴσω συνελαυνόμε-
νον. αἱ δὲ ἀναρρύσεις καὶ μετεωρίσεις, οὐ μόνον τὸ θερμὸν ἐξαιροῦσι τῶν ὑδάτων,
ἀλλὰ καὶ τὸ ψυχρόν, ὅθεν ἥκιστα τὰς χιόνας καὶ τὸ συνθλιβόμενον ὑγρὸν ἀπ-
αυτῶν οἱ σφόδρα ψυχροῦ δεόμενοι κινοῦσιν. ἐκστατικὴ γὰρ ἀμφοῖν ἡ κίνησις. ὅτι δὲ οὐκ
ἀέρος ἐστὶν ἀλλ' ὕδατος ἡ τοιαύτη δύναμις, οὕτως ἄν τις ἐξ ὑπαρχῆς ἐπέλθοι.
πρῶτον μὲν οὐκ εἰκός ἐστιν ἀέρα τὸν αἰθέρι γειτνιῶντα καὶ ψαύοντα τῆς περιφο-
ρᾶς καὶ ψαυόμενον οὔσης πυρώδους, τὴν ἐναντίαν ἔχειν δύναμιν. οὔτε γὰρ ἄλλως
δυνατὸν ἁπτόμενον καὶ συνεχῆ τοῖς πέρασιν ὄντα, οὔτε τὴν φύσιν ἔχει λόγον ἐφε-
ξῆς τῷ φθείροντι τάξαι τὸ φθειρόμενον, ὥσπερ οὐ κοινωνίας οὖσαν οὐδὲ ἁρμο-

νίας, ἀλλὰ πολέμου καὶ μάχης δημιουργόν, χρῆται δὲ οὐκ ἀκράτοις, οὐδὲ ἀν-
τιτύποις. ἀλλ' ἐναλλάξ τινα θέσιν καὶ τάξιν οὐκ ἀναιρετικὴν, ἀλλὰ κοινωνικὴν δι'
ἑτέρων καὶ συνεργὸν ἐν μέσῳ παραπλεκομένην ἔχουσι, καὶ ταύτην εἴληφεν ὁ
ἀὴρ, ὑποκεχυμένος τῷ πυρὶ πρὸ τοῦ ὕδατος, καὶ διαδιδοὺς ἐπ' ἀμφότερα καὶ συ
νάπτων. οὔτε θερμὸς ὢν αὐτὸς, οὔτε ψυχρὸς, ἀλλὰ ψυχροῦ καὶ θερμοῦ μετακέ-
ρασμα καὶ κοινώνημα, μιγνυμένων ἐν αὐτῷ μῖξιν ἀβλαβῆ καὶ μαλακῶς ἀνιεῖ-
σαν καὶ δεχομένην τὰς ἐναντίας ἀκρότητας. ἔπειτα πανταχοῦ μέν ἐστιν ἀὴρ
ἴσος, οὐ πανταχοῦ δὲ χειμὼν ὅμοιος, οὐδὲ ψυχρὸς, ἀλλὰ ταῦτα μὲν τὰ μόρια
ψυχρὰ καὶ κάθυγρα. ταῦτα δὲ ξηρὰ καὶ θερμὰ τῆς οἰκουμένης, οὐ κατὰ τύ-
χην, ἀλλὰ τῷ μίαν οὐσίαν ψυχρότητος καὶ ὑγρότητος εἶναι. λιβύης μὲν γοῦν ἡ
θερμὸς ἡ πολλὴ καὶ ἄνυδρος. σκυθίαν δὲ καὶ θράκην καὶ πόντον οἱ πεπλανημέ-
νοι, λίμνας τε μεγάλας ἔχειν καὶ ποταμοῖς διαρρεῖσθαι βαθέσι καὶ πολλοῖς
ἱστοροῦσιν, αὐτῶν τε τῶν ἐν μέσῳ τόπων τὰ παράλιμνα καὶ ἑλώδη, ψύχος ἔχει
μάλιστα, διὰ τὰς ἀπὸ τῶν ὑγρῶν ἀναθυμιάσεις. ποσειδώνιος δὲ τῆς ψυχρό-
τητος αἰτίαν εἰπὼν τὸ πρόσφατον εἶναι τὸν ἕλειον ἀέρα καὶ νοτερὸν, οὐκ ἔλυσε
τὸ πιθανὸν, ἀλλ' ἀπιθανώτερον ἐποίησεν. οὐ γὰρ ἂν ἐφαίνετο τοῦ ἀέρος ὁ πρόσ-
φατος ἀεὶ ψυχρότερος, εἰ μὴ τὸ ψυχρὸν ἐν τοῖς ὑγροῖς τὴν γένεσιν εἶχε. βέλτιον
οὖν ὅμηρος. αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πρὸς τὴν πηγὴν τῆς ψυχρότητος ἔδει-
ξεν. ἔτι τοίνυν ἡ μὲν αἴσθησις πολλάκις ἡμᾶς ἐξαπατᾷ, ὅταν ἱματίων ἢ ἐ-
ρίων ψυχρῶν θιγγάνωμεν οἰομένους ὑγρῶν θιγγάνειν. διὰ τὸ κοινὴν ἀμφοτέροις οὐ-
σίαν ὑπάρχειν, καὶ τὰς φύσεις σύνεγγυς εἶναι καὶ οἰκείας. ἐν δὲ τοῖς δυσχειμέ-
ροις κλίμασι, πολλὰ ῥηγνύει τὸ ψύχος ἀγγεῖα καὶ χαλκᾶ καὶ κεραμεᾶ. κενὸν δὲ
οὐδὲν, ἀλλὰ πάντα πλήρη βιαζομένου τῇ ψυχρότητι τοῦ ὕδατος. καί τοι
φησὶ θεόφραστος τὸν ἀέρα ῥηγνύναι τὰ ἀγγεῖα τῷ ὑγρῷ καθάπερ ἥλῳ χρώμενον,
ὅρα δὲ μὴ τοῦτο κομψῶς μᾶλλον ἢ ἀληθῶς εἰρημένον εἴη. ἔδει γὰρ τὰ πίττης γέ-
μοντα μᾶλλον ῥήγνυσθαι ὑπὸ τοῦ ἀέρος, καὶ τὰ γάλακτος. ἀλλ' ἔοικε τὸ ὕδωρ
ἐξ ἑαυτοῦ ψυχρὸν εἶναι καὶ πρώτως, ἀντίκειται γὰρ τῇ ψυχρότητι πρὸς τὴν
θερμότητα τοῦ πυρὸς, ὥσπερ τῇ ὑγρότητι πρὸς τὴν ξηρότητα, καὶ τῇ βαρύ-
τητι πρὸς τὴν κουφότητα, καὶ ὅλως τὸ μὲν πῦρ, διαστατικόν ἐστι καὶ διαιρετι-
κόν, τὸ δὲ ὕδωρ κολλητικὸν καὶ σχετικὸν τῇ ὑγρότητι συνέχον καὶ πῆττον, ἢ ἐ-
παρέχων ἐμπεδοκλῆς ὑπόνοιαν, ὡς τὸ μὲν πῦρ νεῖκος οὐλόμενον. σχεδλιώνην δὲ φι-
λότητα τὸ ὑγρὸν ἑκάστοτε προσαγορεύων. ἐπεὶ τροφὴ μὲν πυρὸς τὸ μεταβάλλ[ον]
εἰς πῦρ. μεταβάλλει δὲ τὸ συγγενὲς καὶ οἰκεῖον, τὸ δὲ ἐναντίον δυσμετάβλητον, ὡς
τὸ ὕδωρ, καὶ αὐτὸ μὲν ὡς ἔπος εἰπεῖν, ἄκαυστόν ἐστιν, ὕλην δὲ καὶ πόαν νοτερὰν
καὶ ξύλα βεβρεγμένα δυσκαῆ παρέχει, καὶ φλόγα ζοφερὰν καὶ ἀμβλεῖαν
ὑπὸ χλωρότητος ἀναδίδωσι τῷ ψυχρῷ μαχόμενον πρὸς τὸ θερμὸν, ὡς φύσει
πολέμιον. σκόπει δὴ καὶ ταῦτα παραβάλλων ἐκείνοις. ἐπεὶ δὲ καὶ χρύσιπ-
πος οἰόμενος τὸν ἀέρα πρώτως ψυχρὸν εἶναι διό τι καὶ σκοτεινὸν, ἐμνήσθη μόνο[ν]
τῶν πλέον ἀφεστάναι τὸ ὕδωρ τοῦ αἰθέρος ἢ τὸν ἀέρα λεγόντων, καὶ πρὸς αὐτούς
τι βουλόμενος εἰπεῖν. οὕτω μὲν ἂν ἔφη καὶ τὴν γῆν ψυχρὰν εἶναι πρώτως λέ-
γοιμεν. ὅτι τοῦ ἀέρος ἀφέστηκε πλεῖστον, ὡς ἀδόκιμόν τινα παντελῶς τοῦτον καὶ
ἄτοπον ἀπορρίψας τὸν λόγον, ἐγώ μοι δοκῶ, μὴ δὲ τὴν γῆν ἄμοιρον εἰκότων καὶ
πιθανῶν ἀποφαίνειν, ποιησάμενος ἀρχὴν, ᾧ μάλιστα χρύσιππος, ὑπὲρ τοῦ ἀέ-
ρος κέχρηται. τί δὲ τοῦτό ἐστι; τὸ σκοτεινὸν ὄντα πρώτως. εἰ γοῦν δύο λαβὼν οὗτος
ἀντιθέσεις δυνάμεων οἴεται τῇ ἑτέρᾳ καὶ τὴν ἑτέραν ἐξ ἀνάγκης ἕπεσθαι, μυ-
ρίαι δή που θέλειν εἰσὶν ἀντιτάξεις καὶ ἀντιπάθειαι πρὸς τὸν ἀέρα τῆς γῆς, αἷς καὶ

ἀφοινιαζόμενον Ι. Δ. — ενον Ι. ὅς Δ. — τὰ Ι. Δ. — θερμότητος Ι. Δ. — ἢ — αἰθέρος Ι. Δ. — αἰθέρα Ι. Δ.

ταύτην ἄν τις ἀκολουθεῖν ἀξιώσειεν. οὐ γὰρ ὡς βαρεῖα πρὸς κοῦφον, καὶ καταφ-
ερὴς πρὸς ἀνωφερὲς ἀντίκειται μόνον, οὐδὲ ὡς πυκνὴ πρὸς ἀραιὸν, οὐδὲ ὡς
βραδεῖα καὶ στάσιμος πρὸς ὀξύῤῥοπον καὶ κινητικὸν, ἀλλ' ὡς βαρυτάτη πρὸς
κουφότατον, καὶ πυκνοτάτη πρὸς ἀραιότατον, καὶ τέλος, ὡς ἀκίνητος ἐξ ἑαυ-
τῆς πρὸς αὐτοκίνητον, καὶ τὴν μέσην χώραν ἐπέχουσα πρὸς ἀεὶ κυκλοφορούμε-
νον. οὐκ ἄτοπον οὖν τηλικαύταις καὶ τοσαύταις ἀντιτάξεσι καὶ τὴν τῆς
ψυχρότητος καὶ θερμότητος ἕπεσθαι; ναί, ἀλλὰ τὸ πῦρ λαμπρόν ἐστιν οὔτι τὴν
σκοτεινὸν ἡ γῆ σκοτεινότατον μὲν οὖν ἁπάντων καὶ ἀφεγγέστατον, ἀεὶ μέν γε
μετοχῇ φωτός ἐστι πρώτῳ καὶ τάχιστα τρέπεται, καὶ ἀναπλησθεὶς διανέμει παν-
ταχοῦ τὴν λαμπρότητα, σῶμα παρέχων τῆς αὐγῆς ἑαυτὸν, ὁ γὰρ ἥλιος ἀνίσχων
ὥς τις εἶπε τῶν διθυραμβοποιῶν, εὐθὺς ἀνέπλησεν ἀεροβάταν μέγα οἶκον ἀνέ-
μων. ἐκ τούτου δὲ καὶ λίμνῃ καὶ θαλάττῃ μοῖραν αὐγῆς κατιὼν ἐνίησι, καὶ βυ-
θοὶ ποταμῶν διαγελῶσιν, ὅσον ἀέρος ἐξικνεῖται πρὸς αὐτούς. μόνη δὲ ἡ γῆ
τῶν σωμάτων ἀεὶ ἀφώτιστός ἐστι καὶ ἄζωτος, ὑφ' ἡλίου καὶ σελήνης τῷ φωτίζοντι.
θάλπεται δὲ ὑπ' αὐτῶν καὶ παρέχει, χλιαίνειν ἐπ' ὀλίγον κατὰ βάθος ἐνδυομένῳ τῷ
θερμῷ, τὸ δὲ λαμπρὸν οὐ παρίησιν ὑπὸ στερεότητος. ἀλλ' ἐπιπολῆς περιφωτί-
ζεται. τὰ δ' ἐντὸς ὄρφνη καὶ χάος καὶ ᾅδης ὀνομάζεται, καὶ τὸ ἔρεβος τοῦτο
ἦν ἄρα τὸ χθόνιον καὶ ἔγγαιον σκότος. τὴν δὲ νύκτα ποιηταὶ μὲν ἐκ γῆς γεγο-
νέναι μυθολογοῦσι. μαθηματικοὶ δὲ σκιὰν γῆς οὖσαν ἀποδεικνύουσιν ἀντιφράτ-
τούσης πρὸς τὸν ἥλιον. ὁ γοῦν ἀὴρ ἀναπίμπλαται σκότους ὑπὸ γῆς ὡς φωτὸς
ὑφ' ἡλίου καὶ τὸ ἀφώτιστον αὐτοῦ, μῆκός ἐστι νυκτὸς ὅσον ἡ σκιὰ τῆς γῆς ἐπινέμε-
ται. διὸ τῷ μὲν ἐκτὸς ἀέρι καὶ νυκτὸς οὔσης, ἄνθρωποί τε χρῶνται καὶ θηρία,
πολλὰ νομὰς ποιούμενα διὰ σκότους, ἀμωσγέπως ἴχνη φωτὸς καὶ ἀποῤῥοὰς αὐ-
γῆς ἐν διεσπαρμένας ἔχοντος. ὁ δὲ οἰκουρὸς καὶ ὑπωρόφιος ἅτε δὴ τῆς γῆς παν-
ταχόθεν περιεχούσης κομιδῇ τυφλός ἐστι καὶ ἀφώτιστος. ἀλλὰ μὴν καὶ δέρ-
ματα καὶ κέρατα ζώων ὅλα μὲν αὐγὴν οὐ διΐησιν ὑπὸ στερεότητος. ὅταν δὲ πρισθῇ
καὶ καταξεσθῇ, γίνεται διαφανῆ παραμιχθέντος αὐτοῖς τοῦ ἀέρος, οἶμαι δὲ καὶ
μέλαιναν ἑκάστοτε τὴν γῆν ὑπὸ τῶν ποιητῶν καλεῖσθαι, διὰ τὸ σκοτῶδες καὶ τὸ
ἀφώτιστον, ὥστε καὶ τὴν πολυτίμητον ἀντίθεσιν τοῦ σκοτεινοῦ, πρὸς τὸ λαμπρὸν,
εὐθὺ τῆς γῆς μᾶλλον ἢ τοῦ ἀέρος ὑπάρχειν. ἀλλ' αὕτη μὲν ἀπήρτηται τοῦ ζη-
τουμένου. πολλὰ γοῦν δέδεικται ψυχρὰ τῶν λαμπρῶν ὄντα, καὶ θερμὰ τῶν ἀ-
μαυρῶν καὶ σκοτεινῶν. ἐκεῖναι δὲ συγγενέστεραι δυνάμεις ψυχρότητός εἰσι, τὸ ἐμ-
βριθὲς, τὸ μόνιμον, τὸ πυκνὸν, τὸ ἀμετάβλητον, ὧν ἀέρι μὲν οὐδὲ μιᾶς, γῇ δὲ
μᾶλλον ἢ ὕδατι πασῶν μέτεστι. καὶ μὴν ἐν τοῖς μάλιστα τὸ ψυχρὸν αἰσθητῶς
σκληρόν ἐστι καὶ σκληροποιὸν καὶ ἀντίτυπον. ἰχθῦς μὲν γὰρ ἱστορεῖ Θεόφραστος
ὑπὸ ῥίγους πεπηγότας, ἂν ἀφεθῶσιν εὐθὺ τὴν γῆν καταγνύσθαι καὶ συντρίβε-
σθαι, δίκην ὑέλων ἢ κεραμέων σωμάτων. ἐν δὲ Δελφοῖς αὐτὸς ἤκουες ὅτι τῶν εἰς
τὸν Παρνασὸν ἀναβάντων βοηθῆσαι ταῖς θυιάσιν ἀπειλημμέναις ὑπὸ πνεύμα-
τος χαλεποῦ καὶ χιόνος, οὕτως ἐγένοντο διὰ τὸ πάγον σκληραὶ καὶ ξυλώδεις αἱ
χλαμύδες, ὥστε καὶ θραύεσθαι διατεινομένας καὶ ῥήγνυσθαι. ποιεῖ δὲ καὶ
νεῦρα δυσκαμπῆ, καὶ γλῶτταν ἄναυδον, ἀκινησίᾳ καὶ σκληρότητι τὸ ἄγαν ψῦ-
χος ἐκπηγνύον καὶ ὑγρὰ καὶ μαλακὰ τοῦ σώματος. ὧν βλεπομένων, σκόπει τὸ
γινόμενον οὕτω. πᾶσα δή που δύναμις ἂν περιγένηται, πέφυκε μεταβάλ-
λειν καὶ τρέπειν εἰς ἑαυτὴν τὸ νικώμενον. τὸ μὲν γὰρ ὑπὸ θερμοῦ κρατηθὲν ἐκ-
πυροῦται, τὸ δ' ὑπὸ πνεύματος ἐξαεροῦται, τὸ δ' εἰς ὕδωρ ἐμπεσὸν ἂν μὴ δια-
φύγῃ, καθυγραίνεται συνδιαχεόμενον. ἀνάγκη δὴ καὶ τὰ ψυχόμενα κομιδῇ
μεταβάλλειν

μεταβάλλειν εἰς τὸ πρώτως ψυχρόν. ἔστι δὲ ὑπερβολὴ ψύξεως, πῆξις. πῆξις δὲ εἰς
ἀλλοίωσιν τελευτᾷ καὶ λίθωσιν. ὅταν παντάπασι τοῦ ψυχροῦ κρατήσαντος, ἐκ-
παγῇ μὲν τὸ ὑγρὸν, ἐκθλιβῇ δὲ τὸ θερμόν. ὅθεν ἡ μὲν ἐν βάθει γῆ πάγος ἐστὶν
ὡς εἰπεῖν καὶ κρύσταλλος ἅπασα. τὸ γοῦν ψυχρὸν ἄκρατον οἰκουρεῖ καὶ ἀμάλακτον ἀ-
πεωσμένον ἐκεῖ τοῦ αἰθέρος ἀπωτάτω. ταυτὶ δὲ τὰ ἐμφανῆ κρημνοὺς καὶ σκοπέ-
λους καὶ πέτρας, Ἐμπεδοκλῆς μὲν ὑπὸ τοῦ πυρὸς οἴεται τοῦ ἐν βάθει τῆς γῆς ἑστά-
ναι καὶ ἀνέχεσθαι διερειδόμενα φλεγμαίνοντος. ἐμφαίνεται δὲ μᾶλλον ὅσων τὸ
θερμὸν ἐξεθλίβη καὶ διέπτατο πάντα ταῦτα παντάπασιν ὑπὸ τῆς ψυχρό-
τητος παγῆναι. διὸ καὶ πάγοι καλοῦνται. καὶ τὰ ἄκρα πολλῶν ἐπιμελανθέν-
των ἢ τὸ θερμὸν ἐξέπεσε, πυρικαύστοις ἰδεῖν προσέοικε. πήγνυσι γὰρ τὸ ψυχρὸν
τὰ μὲν, μᾶλλον. τὰ δὲ, ἧττον. μάλιστα δὲ οἷς πρώτως ἐνυπάρχειν πέφυκεν.
ὥσπερ γὰρ εἰ θερμοῦ τὸ κουφίζειν, θερμότατόν ἐστι τὸ κουφότατον. εἰ δὲ ὑγροῦ τὸ
μαλάσσειν, ὑγρότατον τὸ μαλακώτατον, οὕτως εἰ καὶ ψυχροῦ τὸ πηγνύειν, ἀνάγκη
καὶ ψυχρότατον εἶναι τὸ μάλιστα πεπηγὸς, οἷον ἡ γῆ. τὸ δὲ ψυχρότατον φύσει δή-
που καὶ πρώτως ψυχρὸν, ὥστε πρώτως καὶ φύσει ψυχρὸν ἡ γῆ. τοῦτο δὲ ἀμέλει
καὶ τῇ αἰσθήσει δῆλόν ἐστιν, καὶ γὰρ πηλὸς ὕδατος ψυχρότερον καὶ τὸ πῦρ γῆν ἐπιφο-
ροῦντες ἀφανίζουσιν. οἱ δὲ χαλκεῖς τῷ πυρουμένῳ καὶ ἀνατηκομένῳ σιδήρῳ μάρ-
μαρον καὶ λατύπην παραπάσσουσι τὴν πολλὴν ῥύσιν ἐφιστάντες καὶ καταψύχον-
τες. ψύχει δὲ καὶ τὰ τῶν ἀθλητῶν ἡ κόνις σώματα καὶ κατασβέννυσι τοὺς ἱδρῶτας.
ἡ δὲ καθ' ἕκαστον ἐνιαυτὸν ἡμᾶς μετάγουσα καὶ μετοικίζουσα χρεία, τί βούλεται, χει-
μῶνος μὲν ἀπωτάτω φεύγουσα τῆς γῆς εἰς μετέωρα καὶ ἀπόγεια. θέρους δὲ
πάλιν ἀντεχομένη τῶν κάτω καὶ ὑποδυομένη, καὶ διώκουσα προσφόρους κατα-
φυγὰς τιθεμένη δίαιταν ἐν ἀγκάλαις γῆς ἀγαπητῶς. ἆρα οὐχὶ ταῦτα ποιοῦ-
μεν τὴν γῆν ὑπὸ ψυχρότητος ὁδηγούμενοι τῇ αἰσθήσει, καὶ τὸ πρώτως φύσει
ψυχρὸν ἐπιγινώσκοντες; αἱ γοῦν παράλιοι χειμῶνος δίαιται, τρόπον τινὰ γῆς
φυγαί εἰσιν. ὡς ἀνυστὸν ἀπολιπόντων διὰ κρύος αὐτὴν, τὸν δὲ ἅλα καὶ ἀέρα καὶ πε-
λάγιον θερμὸν ὄντα περιβαλλόμενοι. εἶτα αὖθις ἐν θέρει τὸν γήϊνον καὶ χερσαῖον
ὑπὸ καύματος ποθοῦμεν οὐκ αὐτὸν ὄντα ψυχρὸν, ἀλλὰ τοῦ φύσει ψυχροῦ καὶ πρώ-
τως ἀποβλαστάνοντα καὶ βεβαμμένον ὑπὸ τῆς ἐν γῇ δυνάμεως, ὥσπερ βαφῇ σίδη-
ρον. καὶ γοῦν τῶν ῥυτῶν ὑδάτων τὰ πετραῖα καὶ ὀρεινὰ ψυχρότατα καὶ τῶν
φρεατιαίων τὰ κοιλότατα. τούτοις μὲν γὰρ οὐκέτι μίγνυται διὰ βάθους ἔξωθεν
ὁ ἀήρ, ἐκεῖνα δὲ ἐκπίπτει διὰ τῆς γῆς ἀμίκτου καὶ καθαρᾶς ὡς περὶ τὸ Ταίναρον.
ὃ δὴ Στυγὸς ὕδωρ καλοῦσιν, ἐκ πέτρας γλίσχρως συλλειβόμενον, οὕτως ψυχρὸν,
ὥστε μηδὲν ἀγγεῖον ἄλλο, μόνην δὲ ὁπλὴν ὄνου στέγειν. τὰ δὲ ἄλλα διακόπτει καὶ
ῥήγνυσιν. ἔτι γε μὴν τῶν ἰατρῶν ἀκούομεν ὡς πᾶσα γῆ τῷ γένει στύφειν καὶ
ψύχειν πέφυκε, καὶ πολλὰ τῶν μεταλλευομένων καταριθμοῦσι, στυπτικὴν αὐτοῖς
παρέχοντα καὶ ψυκτικὴν εἰς τὰς φαρμακείας δύναμιν. καὶ γὰρ τὸ στοιχεῖον αὐτῆς
οὐ τμητικὸν οὐδὲ κινητικὸν, οὐδὲ λεῖον, οὐδὲ ἔχον ὀξύτητας οὐδὲ μαλθακὸν, οὐδὲ
εὐπερίχυτον γέγονεν. ἀλλ' ἑδραῖον, ὡς ὁ κύβος καὶ συνερειστικόν. ὅθεν αὐτή τε
βρῖθος ἔχει, καὶ τὸ ψυχρὸν εἴπερ ἦν δύναμις αὐτῆς τὸ πυκνοῦν καὶ συνωθεῖν καὶ ἀπο-
θλίβειν τὰ ὑγρά. φρίκας καὶ τρόμους διὰ τὴν ἀνωμαλίαν ἐνεργάζεται τοῖς σώ-
μασιν. ἂν δὲ ἐπικρατήσῃ παντάπασι τοῦ θερμοῦ φυγόντος ἢ σβεσθέντος, ἕστηκε
τὴν ἕξιν ἐκπαγεῖσαν καὶ νεκρωθεῖσαν. ὅθεν οὐδὲ καίεται γῆ τὸ παράπαν, ἢ
καίεται γλίσχρως καὶ μόγις. ἀὴρ μὲν γοῦν ἐξ ἑαυτοῦ πολλάκις φλόγα ἀναδίδωσι
καὶ ῥεῖ καὶ ἀστράπτει πυρούμενος, τῷ δὲ ὑγρῷ τροφῇ χρῆται τὸ θερμόν. οὐ γὰρ τὸ στε-
ρεὸν ἀλλὰ τὸ νοτερὸν τοῦ ξύλου καυστόν ἐστιν. ἰκμασθέντος δὲ τούτου, τὸ στερεὸν καὶ

ξηρὸν ἀπολείπεται τέφρα γενόμενον. οἱ δὲ καὶ τοῦτο φιλοτιμούμενοι μεταβάλλειν ἀποδεῖξαι καὶ καταναλισκόμενον, ἀναλύοντες πολλάκις ἐλαίῳ καὶ στέατι φύροντες, οὐδὲν περαίνουσιν. ἀλλ' ὅταν ἐκκαῇ τὸ λιπαρὸν, ὥσπερ ἐστὶ πάντως καὶ διαμένει τὸ γεῶδες. ὅθεν οὐ κατὰ χώραν μόνον ἐξ ἕδρας ἀκίνητον οὖσαν αὐτὴν, ἀλλὰ καὶ κατ' οὐσίαν ἀμετάβλητον. ἑστίαν τε διὰ μένουσαν ἐν θεῶν οἴκῳ, κλεῖθρα προσηγόρευσαν οἱ παλαιοὶ διὰ τὴν στάσιν καὶ πῆξιν, ἧς ἡ ψυχρότης δεσμός ἐστιν, ὡς ἀρχέλαος ὁ φυσικὸς εἶπεν. οὐδενὸς χαλῶντος αὐτὴν οὐδὲ μαλάττοντος, ὅτι θερμαινομένην καὶ ἀλεαινομένην οὖσαν. οἱ δὲ πνεύματος μὲν αἰσθάνεσθαι ψυχροῦ καὶ ὕδατος, γῆς δὲ ἧττον οἰόμενοι, τὴν ἔγγιστα γῆν ὁρῶσιν ἀέρων καὶ ὑδάτων καὶ ἡλίου καὶ θερμότητος ἀνάπλεων σύμμιγμα καὶ συμφόρημα γεγενημένην. καὶ οὐδὲν διαφέρουσι τῶν μὴ τὸν αἰθέρα φύσει καὶ πρώτως θερμὸν. ἀλλὰ τὸ ζέον ὕδωρ ἢ τὸν διάπυρον σίδηρον ἀποφαινομένων, ὅτι τούτων μὲν ἅπτονται καὶ προστυγχάνουσι, τοῦ δὲ πρώτου καθαροῦ καὶ οὐρανίου πυρὸς αἴσθησιν δι' ἁφῆς οὐ λαμβάνουσιν, ὥσπερ οὐδὲ οὕτοι τῆς ἐν βάθει γῆς, ἣν μάλιστα γῆν ἄν τις νοήσειεν αὐτὴν καθ' αὑτὴν ἀποκεκριμένην τῶν ἄλλων. δεῖγμα δὲ αὐτῆς ἐστι κἀνταῦθα περὶ τὰς πέτρας. πολὺ γὰρ ἐκ βάθους καὶ οὐ ῥάδιον ἀναχεῖσθαι προβάλλουσι κρύος. οἱ δὲ ψυχροτέρου ποτοῦ δεόμενοι, χάλικας ἐμβάλλουσιν εἰς τὸ ὕδωρ. γίνεται γὰρ οὐλότερον, καὶ στομοῦται περὶ τὴν ἀπὸ τῶν λίθων ψυχρότητα, πρόσφατον καὶ ἄκρατον ἀναφερομένην. τοὺς οὖν πάλαι σοφοὺς καὶ λογίους ἄμικτα θέσθαι τὰ ἐπίγεια καὶ τὰ οὐράνια χρὴ νομίζειν. οὐ τοῖς τόποις ὥσπερ ἐπὶ ζυγοῦ πρὸς τὰ κάτω καὶ ἄνω βλέποντας, ἀλλὰ τῇ διαφορᾷ τῶν δυνάμεων. τὰ μὲν θερμὰ καὶ λαμπρὰ, καὶ ταχέα καὶ κοῦφα, τῇ ἀθανάτῳ καὶ ἀϊδίῳ φύσει προσνέμοντας. τὰ δὲ σκοτεινὰ καὶ ψυχρὰ καὶ βραδέα, φθιτῶν καὶ ἐνέρων οὐκ εὐδαίμονα κλῆρον ἀποφήναντας. ἐπεὶ καὶ τὸ σῶμα τοῦ ζώου μέχρι μὲν ἔμπνουν ἐστι, καὶ θαλερὸν. ὥς οἱ ποιηταὶ λέγουσι, θερμότητι χρῆται καὶ ζωῇ. γενόμενον δὲ τούτων ἔρημον καὶ ἀπολειφθὲν ἐν μόνῃ τῇ τῆς γῆς μοίρᾳ, ψυχρότης εὐθὺς ἴσχει καὶ κρύος, ὡς ἐν παντὶ μᾶλλον ἢ τῷ γεώδει κατὰ φύσιν θερμότητος ἐνυπαρχούσης.
ταῦτα ὦ φαβωρῖνε τοῖς εἰρημένοις
ὑφ' ἑτέρων παράβαλλε. κἂν
μήτε λείπηται τῇ πι-
θανότητα μήτε
ὑπερέχῃ
πο-
λὺ, χαίρειν ἔα τὰς δόξας· τὸ ἐπέχειν
ἐν τοῖς ἀδήλοις τοῦ συγκατατί-
θεσθαι φιλοσοφώτερον
ἡγούμενος.

φιλοτιμούμενοι .Α.

ὕδα

ὅτῳ .λ. Α.
κρᾷ

θανότητι .λ. Α.

ΠΟΤΕΡΟΝ ΑΘΗΝΑΙΟΙ ΚΑΤΑ ΠΟΛΕΜΟΝ, Η ΚΑΤΑ ΣΟΦΙΑΝ ΕΝΔΟΞΟΤΕΡΟΙ.

τ

Ταῦτα ὀρθῶς μὲν ἐκεῖνος εἶπε πρὸς τοὺς μεθ' ἑαυτοῦ στρατηγοὺς, οἷς πάροδον ἐπὶ τὰς ὕστερον πράξεις ἔδωκεν ἐξελάσας τὸν βάρβαρον, καὶ τὴν ἑλλάδα ἐλευθερώσας. ὀρθῶς δὲ εἰρήσεται καὶ πρὸς τοὺς ἐπὶ τοῖς λόγοις μέγα φρονοῦντας. ἂν γὰρ ἀνέλῃς τοὺς πράττοντας, οὐχ ἕξεις τοὺς γράφοντας. ἄνελε τὴν περικλέους πολιτείαν, καὶ τὰ ναύμαχα πρὸς ῥίῳ φορμίωνος τρόπαια, καὶ τὰς περὶ κύθηρα, καὶ μέγαρα καὶ κόρινθον ἀνδραγαθίας νικίου, καὶ τὴν δημοσθένους πύλον, καὶ τοὺς κλέωνος τετρακοσίους αἰχμαλώτους, καὶ τολμίδαν πελοπόννησον περιπλέοντα, καὶ μυρωνίδην νικῶντα βοιωτοὺς ἐν οἰνοφύτοις, καὶ θουκυδίδης σοι διαγέγραπται. ἄνελε τὰ περὶ ἑλλήσποντον ἀλκιβιάδου νεανιεύματα, καὶ τὰ πρὸς λέσβον θρασύλλου, καὶ τὴν ὑπὸ θηραμένους τῆς ὀλιγαρχίας κατάλυσιν, καὶ θρασύβουλον καὶ ἀρχῖνον, καὶ τοὺς ἀπὸ φυλῆς ἑβδομήκοντα κατὰ τῆς σπαρτιατῶν ἡγεμονίας ἀνισταμένους, καὶ κόνωνα πάλιν ἐμβιβάζοντα τὰς ἀθήνας εἰς τὴν θάλατταν, καὶ κράτιππος ἀνῄρηται. ξενοφῶν μὲν γὰρ αὐτὸς ἑαυτοῦ γέγονεν ἱστορία, γράψας ἃ ἐστρατήγησε καὶ κατώρθωσε, καὶ θεμιστογένη περὶ τούτων συντετάχθαι τὸν συρακούσιον. ἵνα πιστότερος ᾖ διηγούμενος, ἑαυτὸν ὡς ἄλλον ἑτέρῳ τὴν τῶν λόγων δόξαν χαριζόμενος. οἱ δὲ ἄλλοι πάντες ἱστορικοὶ κλειτόδημοι, δίυλοι, φιλόχορος, φύλαρχος, ἀλλοτρίων γεγόνασιν ἔργων, ὥσπερ δραμάτων ὑποκριταὶ τὰς τῶν στρατηγῶν καὶ βασιλέων πράξεις διατιθέμενοι καὶ ταῖς ἐκείνων ὑποδυόμενοι μνήμαις. ἵνα ὡς αὐγῆς τινος καὶ φωτὸς μετάσχωσιν. ἀνακλᾶται γὰρ ἀπὸ τῶν πραττόντων ἐπὶ τοὺς γράφοντας, καὶ ἀναλάμπει δόξης εἴδωλον, ἀλλοτρίας ἐμφαινομένης διὰ τῶν λόγων τῆς πράξεως, ὡς ἐν ἐσόπτρῳ. πολλῶν μὲν δὴ καὶ ἄλλων ἡ πόλις ἥδε μήτηρ καὶ τροφὸς εὐμενὴς τεχνῶν γέγονε, τὰς μὲν εὑραμένη καὶ ἀναφήνασα πρώτη. ταῖς δὲ δύναμιν προσθεῖσα καὶ τιμὴν καὶ αὔξησιν. οὐχ ἥκιστα δὲ ὑπ' αὐτῆς ζωγραφία προῆκται καὶ κεκόσμηται. καὶ γὰρ ἀπολλόδωρος ὁ ζωγράφος ἀνθρώπων πρῶτος ἐξευρὼν φθορὰν καὶ ἀπόχρωσιν σκιᾶς, ἀθηναῖος ἦν. οὗ τοῖς ἔργοις ἐπιγέγραπται, μωμήσεταί τις μᾶλλον ἢ μιμήσεται. καὶ εὐφράνωρ καὶ νικίας καὶ ἀσκληπιόδωρος, καὶ πλείσταινετος φειδίου ἀδελφὸς, οἱ μὲν στρατηγοὺς ἔγραψαν νικῶντας, οἱ δὲ μάχας, οἱ δὲ ἥρωας, ὥσπερ εὐφράνωρ τὸν θησέα τὸν ἑαυτοῦ, τῷ παρρασίου παρέβαλε, λέγων τὸν μὲν ἐκείνου ῥόδα βεβρωκέναι, τὸν δὲ ἑαυτοῦ κρέα βόεια. τῷ γὰρ ὄντι γλαφυρῶς ὁ παρρασίου γέγραπται, καὶ πεποίηται, καί τι προσέοικε. τὸν δὲ εὐφράνορος ἰδών τις εἶπεν, οὐκ ἀφυῶς, δῆμον ἐρεχθῆος μεγαλήτορος. ὅν ποτ' ἀθήνη θρέψε διὸς θυγάτηρ. γέγραφε δὲ καὶ τὴν ἐν μαντινείᾳ πρὸς ἐπαμεινώνδαν ἱππομαχίαν οὐκ ἀνενθουσιάστως εὐφράνωρ. τὸ δὲ ἔργον ἔσχεν οὕτως. ἐπαμεινώνδας θηβαῖος ἀπὸ τῆς ἐν λεύκτροις μάχης ἀρθεὶς μέγας ἐπιβῆναι τῇ σπάρτῃ πεσούσῃ καὶ πατῆσαι τὸ φρόνημα, καὶ τὸ ἀξίωμα τῆς πόλεως ἠθέλησε. καὶ πρῶτα μὲν ἐμβαλὼν ἑπτὰ μυριάσι στρατοῦ, διεπόρθησε τὴν χώραν, καὶ τοὺς περιοίκους ἀπέστησεν αὐτῶν. ἔπειτα τοὺς ἐν μαντινείᾳ ἀντιτεταγμένους εἰς μάχην προυκαλεῖτο. μὴ βουλομένων δὲ μηδὲ τολμώντων, ἀλλὰ τὴν ἀθήνηθεν ἐπικουρίαν ἐκδεχομένων, νυκτὸς ἄρας καὶ λαθὼν ἅπαντας εἰς τὴν λακωνικὴν κατέβη. καὶ μικροῦ ἔφθη τὴν πόλιν ἔρημον ἐξ ἐφόδου λαβεῖν καὶ κατασχεῖν. αἰσθομένων δὲ τῶν συμμάχων καὶ βοηθείας τάχος πρὸς τὴν πόλιν γενομένης, ὑπέδειξε μὲν ὡς αὖθις ἐπὶ λεηλασίαν καὶ φθορὰν τῆς χώρας τρεψόμενος. ἐξαπατήσας δὲ καὶ κατακοιμίσας οὕτω τοὺς πολεμίους, ἀνέζευξε νυκτὸς ἐκ τῆς λακωνικῆς. καὶ διαδραμὼν εἰς τὴν μεταξὺ χώραν, ἐπεφαίνετο τοῖς μαντινεῦσιν ἀπρος-

ἔργων .Α.

δόκητος, καὶ διαβουλευόμενος αὐτοῖς ἀκμὴν τοῦ πέμπειν τὴν εἰς Λακεδαίμονα βοήθειαν, εὐθέως ὁπλίζεσθαι προσέταξε τοῖς Θηβαίοις. οἱ μὲν οὖν Θηβαῖοι μέγα φρονοῦντες ἐν τοῖς ὅπλοις, ἐπεφέροντο καὶ περιελάμβανον κύκλῳ τὰ τείχη· τῶν δὲ Μαντινέων, ἔκπληξις ἦν καὶ ἀλαλαγμὸς καὶ διαδρομή, ὡς ῥεῦμα τὴν δύναμιν ἀθρόαν ἐμπίπτουσαν ὤσασθαι, μὴ δυναμένων μηδ' ἐπινοοῦντων βοήθειαν. ἐν τούτῳ δὲ καιροῦ καὶ τύχης Ἀθηναῖοι κατέβαινον, ἀπὸ τῶν ἄκρων εἰς τὴν Μαντινικήν, οὐκ εἰδότες τὴν ῥοπὴν οὐδὲ τὴν ὀξύτητα τοῦ ἀγῶνος, ἀλλ' ὁδῷ πορευόμενοι καθ' ἡσυχίαν, ὡς δέ τις αὐτῶν ἐκδραμὼν ἀπήγγειλε τὸν κίνδυνον, ὀλίγοι μὲν ὄντες, ὡς πρὸς τὸ πλῆθος τῶν πολεμίων, ἐξ ὁδοῦ δὲ κεκμηκότες, οὐδενὸς δὲ τῶν ἄλλων συμμάχων παρόντος, ὅμως εὐθὺς εἰς τάξιν καθίσαντο τοῖς πλείοσι· οἱ δ' ἱππεῖς διασκευασάμενοι καὶ προσεξελάσαντες, ὑπὸ τὰς πύλας αὐτὰς καὶ τὸ τεῖχος ἔθεντο καρτερὰν ἱππομαχίαν, καὶ κρατήσαντες ἐκ τῶν χειρῶν τοῦ Ἐπαμινώνδα, ἀφείλοντο τὴν Μαντίνειαν. τοῦτο τὸ ἔργον Εὐφράνωρ ἔγραψε καὶ πάρεστιν ὁρᾶν ἐν εἰκόνι τῆς μάχης τὸ σύγγραμμα καὶ τὴν ἀντέρεισιν ἀλκῆς καὶ θυμοῦ καὶ πνεύματος γέμουσαν. ἀλλ' οὐκ ἂν οἶμαι τὴν ζωγράφου κρίσιν προθείητε πρὸς τὸν στρατηγόν· οὐδὲ ἀνάσχοισθε τῶν προτιμώντων τοῦ τροπαίου τὸν πίνακα, καὶ τὸ μίμημα τῆς ἀληθείας. πλὴν ὁ Σιμωνίδης, τὴν μὲν ζωγραφίαν ποίησιν σιωπῶσαν προσαγορεύει, τὴν δὲ ποίησιν ζωγραφίαν λαλοῦσαν. ἃς γὰρ οἱ ζωγράφοι πράξεις ὡς γινομένας δεικνύουσι, ταύτας οἱ λόγοι γεγενημένας διηγοῦνται καὶ συγγράφουσιν. εἰ δὲ οἱ μὲν χρώμασι καὶ σχήμασιν, οἱ δὲ ὀνόμασι καὶ λέξεσι ταῦτα δηλοῦσιν, ὕλῃ καὶ τρόποις μιμήσεως διαφέρουσι· τέλος δὲ ἀμφοτέροις ἓν ὑπόκειται, καὶ τῶν ἱστορικῶν κράτιστος, ὁ τὴν διήγησιν ὥσπερ γραφὴν πάθεσι καὶ προσώποις εἰδωλοποιήσας. ὁ γοῦν Θουκυδίδης ἀεὶ τῷ λόγῳ πρὸς ταύτην ἁμιλλᾶται τὴν ἐνάργειαν, οἷον θεατὴν ποιῆσαι τὸν ἀκροατήν, καὶ τὰ γινόμενα περὶ τοὺς ὁρῶντας ἐκπληκτικὰ καὶ ταρακτικὰ πάθη τοῖς ἀναγινώσκουσιν ἐνεργάσασθαι λιχνευόμενος. ὁ γὰρ παρὰ τὴν ῥαχίαν αὐτὴν τῆς Πύλου παρατάττων, τοὺς Ἀθηναίους Δημοσθένης, καὶ ὁ τὸν κυβερνήτην ἐπισπέρχων Βρασίδας ἐξοκέλλειν, καὶ χωρῶν ἐπὶ τὴν ἀποβάθραν, καὶ τραυματιζόμενος καὶ λειποψυχῶν καὶ ἀποκλίνων εἰς τὴν παρεξειρεσίαν καὶ οἱ πεζομαχοῦντες μὲν ἐκ θαλάττης Λακεδαιμόνιοι, ναυμαχοῦντες δὲ ἀπὸ γῆς Ἀθηναῖοι, καὶ πάλιν ὁ ἐν τοῖς Σικελικοῖς ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων ἰσορρόπου τῆς ναυμαχίας καθεστηκυίας, ἄλαστον ἀγῶνα καὶ σύνταξιν τῆς γνώμης ἔχων διὰ τὰς συντάξεις, ὡς συνεχὲς διὰ τῆς ἁμίλλης καὶ τοῖς σώμασιν αὐτοῖς, ἴσα τῇ δόξῃ περιδεῶς συμπνέων, τῇ διαθέσει καὶ τῇ διατυπώσει τῶν γινομένων γραφικῆς ἐναργείας, ὥστε εἰ τοὺς ζωγράφους οὐκ ἄξιον παραβάλλειν τοῖς στρατηγοῖς, μηδὲ τοὺς ἱστοροῦντας παραβάλωμεν. τὴν τοίνυν ἐν Μαραθῶνι μάχην ἀπήγγειλεν, ὡς μὲν Ἡρακλείδης ὁ Ποντικὸς ἱστορεῖ, Θέρσιππος ὁ Ἐροιάδης· οἱ δὲ πλεῖστοι λέγουσιν Εὐκλέα, δραμόντα σὺν τοῖς ὅπλοις θερμὸν ἀπὸ τῆς μάχης, καὶ ταῖς θύραις ἐμπεσόντα τῶν πρώτων, τοσοῦτον μόνον εἰπεῖν, χαίρετε, καὶ χαίρομεν. εἶτα εὐθὺς ἐκπνεῦσαι. πλὴν οὗτος μὲν αὐτάγγελος ἧκε τῆς μάχης ἀγωνιστὴς γενόμενος. φέρε δὲ εἴ τις ὑπὲρ λόφου τινὸς ἢ σκοπῆς αἰπόλων ἢ βοτήρων τὸν ἀγῶνα ἄπωθεν γενόμενος θεατής, καὶ καθιδὼν τὸ μέγα καὶ παντὸς λόγου μεῖζον ἐκεῖνο ἔργον, ἥκειν εἰς τὴν πόλιν ἄτρωτος ἄγγελος καὶ ἀναίμακτος, εἶτα ἠξίου τιμὰς ἔχειν ἃς Κυναίγειρος ἔχων, ἃς Καλλίμαχος, ἃς Πολύζηλος, ὅτι τὰς τούτων ἀριστείας καὶ τραύματα καὶ θανάτους ἀπήγγειλεν, ἆρα οὐκ ἂν ἐδόκει πᾶσαν ὑπερβάλλειν ἀναίδειαν; ὅπου γε Λακεδαιμονίους φασὶ τῷ τὴν ἐν Μαντινείᾳ φράσαντι νίκην

νίκην ἣν Θουκυδίδης ἱστόρηκεν, εὐαγγέλιον ἐκ φιδιτίου κρέας ἀποστεῖλαι. καὶ μὴν οἱ συγγράφοντες, ἐξάγγελοί τινές εἰσι τῶν πράξεων εὔφωνοι καὶ τῷ λέγειν διὰ τὸ κάλλος καὶ τὴν δύναμιν ἐξικνούμενοι, οἷς εὐαγγέλιον ὀφείλουσιν οἱ πρώτως ἐντυγχάνοντες καὶ ἱστοροῦντες. ἀμέλει δὲ καὶ ἐγκωμιάζονται μνημονευόμενοι, καὶ ἀναγινωσκόμενοι διὰ τοὺς κατορθώσαντας. οὐ γὰρ οἱ λόγοι ποιοῦσι τὰς πράξεις, καὶ ἀκοῆς ἀξιοῦνται. καὶ γὰρ ἡ ποιητικὴ χάριν ἔσχε καὶ τιμὴν τοῖς πεπραγμένοις ἐοικότα λέγειν, ὡς Ὅμηρος ἔφη, ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα. λέγεται δὲ καὶ Μενάνδρῳ τῶν συνήθων τις εἰπεῖν· ἐγγὺς οὖν Μένανδρε τὰ Διονύσια, καὶ σὺ τὴν κωμῳδίαν οὐ πεποίηκας; τὸν δὲ ἀποκρίνασθαι· νὴ τοὺς θεοὺς ἔγωγε πεποίηκα τὴν κωμῳδίαν. ᾠκονόμηται γὰρ ἡ διάθεσις, δεῖ δ' αὐτῇ τὰ στιχίδια ἐπᾷσαι. ἔτι καὶ αὐτοὶ τὰ πράγματα τῶν λόγων ἀναγκαιότερα καὶ κυριώτερα νομίζουσιν. ἡ δὲ Κόριννα τὸν Πίνδαρον ὄντα νέον ἔτι καὶ τῇ λογιότητι σοβαρῶς χρώμενον, ἐνουθέτησεν ὡς ἄμουσον ὄντα καὶ μὴ ποιοῦντα μύθους, ὃ τῆς ποιητικῆς ἔργον εἶναι συμβέβηκε· γλώσσας δὲ καὶ καταχρήσεις καὶ μεταφράσεις καὶ μέλη καὶ ῥυθμοὺς ἡδύσματα τοῖς πράγμασιν ὑποτίθεσθαι. σφόδρα οὖν ὁ Πίνδαρος ἐπιστήσας τοῖς λεγομένοις, ἐποίησεν ἐκεῖνο τὸ μέλος· Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν, ἢ Κάδμον ἢ Σπαρτῶν ἱερὸν γένος ἀνδρῶν, ἢ τὸ πάνυ σθένος Ἡρακλέους ἢ τὰν. δειξαμένου δὲ τῇ Κορίννῃ, γελάσασα ἐκείνη, τῇ χειρὶ δεῖν ἔφη σπείρειν ἀλλὰ μὴ ὅλῳ τῷ θυλάκῳ. τῷ γὰρ ὄντι συγκεράσας καὶ συμφορήσας πανσπερμίαν τινὰ μύθων ὁ Πίνδαρος, εἰς τὸ μέλος ἐξέχεεν. ἀλλ' ὅτι μὲν ἡ ποιητικὴ περὶ μυθοποιίαν ἐστί, καὶ Πλάτων εἴρηκεν. ὁ δὲ μῦθος εἶναι βούλεται λόγος ψευδὴς ἐοικὼς ἀληθινῷ. διὸ καὶ πολὺ τῶν ἔργων ἀφέστηκεν. εἰ λόγος μὲν ἔργου, καὶ λόγου δὲ μῦθος εἰκὼν καὶ εἴδωλόν ἐστι, καὶ τοσούτων τῶν ἱστορούντων οἱ πλάττοντες τὰς πράξεις ὑστεροῦσιν, ὅσον ἀπολείπονται τῶν πραττόντων οἱ λέγοντες. τῆς μὲν οὖν ποιήσεως ἡ πόλις οὐκ ἔσχηκεν ἔνδοξον δημιουργόν, οὐδὲ μελικῆς. ὁ γὰρ Κινησίας, ἀργαλέος ἔοικε ποιητὴς γεγονέναι διθυράμβων, καὶ αὐτὸς μὲν ἄγονος καὶ ἀκλεὴς γέγονε. σκωπτόμενος δὲ καὶ χλευαζόμενος ὑπὸ τῶν κωμῳδοποιῶν, οὐκ εὐτυχοῦς δόξης μετέσχηκε. τῶν δὲ δραματοποιῶν, τὴν μὲν κωμῳδοποιίαν οὕτως ἄσεμνον ἡγοῦντο καὶ φορτικόν, ὥστε νόμος ἦν μηδένα ποιεῖν κωμῳδίας Ἀρεοπαγίτην. ἤνθησε δὲ ἡ τραγῳδία καὶ διεβοήθη θαυμαστὸν ἀκρόαμα καὶ θέαμα τῶν τότε ἀνθρώπων γενομένη, καὶ παρασχοῦσα τοῖς μύθοις καὶ τοῖς πάθεσιν ἀπάτην, ὡς Γοργίας φησίν, ἣν ὅ τε ἀπατήσας δικαιότερος τοῦ μὴ ἀπατήσαντος, καὶ ὁ ἀπατηθεὶς, σοφώτερος τοῦ μὴ ἀπατηθέντος. ὁ μὲν γὰρ ἀπατήσας δικαιότερος, ὅτι τοῦτο ὑποσχόμενος πεποίηκεν. ὁ δὲ ἀπατηθεὶς σοφώτερος. εὐάλωτον γὰρ ὑφ' ἡδονῆς λόγων τὸ μὴ ἀναίσθητον. τίνα οὖν αἱ καλαὶ τραγῳδίαι ταῖς Ἀθήναις ὄνησιν ἤνεγκαν, ὡς ἡ Θεμιστοκλέους δεινότης, ἐτείχισε τὴν πόλιν, ὡς ἡ Περικλέους ἐπιμέλεια τὴν ἄκραν ἐκόσμησεν, ὡς Μιλτιάδης ἠλευθέρωσεν, ὡς Κίμων προήγαγεν εἰς τὴν ἡγεμονίαν. εἰ οὕτως ἡ Εὐριπίδου σοφία καὶ ἡ Σοφοκλέους λογιότης, καὶ τὸ Αἰσχύλου στόμα τι τῶν δυσχερῶν ἀπήλλαξεν ἢ τι τῶν λαμπρῶν περιεποίησεν, ἄξιόν γε τὰ δράματα τοῖς τροπαίοις ἀντιπαραθεῖναι, καὶ τῷ στρατηγίῳ τὸ θέατρον ἀντανάστῆσαι, καὶ ταῖς ἀριστείαις τὰς διδασκαλίας ἀντιπαραβαλεῖν. βούλεσθε τοὺς ἄνδρας εἰσάγωμεν αὐτοὺς τὰ σύμβολα καὶ τὰ παράσημα τῶν ἔργων κομίζοντας, ἰδίαν ἑκατέρῳ πάροδον ἀποδιδόντες; ἔνθεν μὲν δὴ προσίτωσαν ὑπ' αὐλοῖς καὶ λύραις ποιηταὶ λέγοντες καὶ ᾄδοντες, εὐφημεῖν χρὴ κἀξίστασθαι τοῖς ἡμετέροισιν ὅστις ἄπειρος τοιῶνδε λόγων ἢ γλῶσσαν μὴ καθαρεύει, ἢ γενναίων ὄργια μουσῶν, μήτε εἶδε μήτε ἐχόρευσε, μηδὲ Κρατίνου τοῦ

ταυροφάγου, γλώσσης βακχεῖ᾽ ἐτελέσθη, καὶ σκευὰς καὶ προσωπεῖα καὶ βω-
μοὺς καὶ μηχανὰς ἀπὸ σκηνῆς περιάκτους, καὶ τρίποδας ἐπινικίους κομίζον-
τας. τραγῳδοὶ δ᾽ αὐτοῖς ὑποκριταὶ καὶ νικόστρατοι, καὶ καλλιππίδαι, καὶ μυνίσκοι
καὶ θεόδωροι καὶ πῶλοι συνίτωσαν ὥσπερ γυναικὸς πολυτελοῦς τῆς τραγῳ-
δίας κομμωταὶ καὶ διφροφόροι, μᾶλλον δὲ ὡς ἀγαλμάτων ἐγκαυσταὶ καὶ χρυ-
σωταὶ καὶ βαφεῖς παρακολουθοῦντες. σκευῶν δὲ καὶ προσώπων καὶ ξυστίδων
ἁλουργῶν καὶ μηχανῶν, ἀπὸ σκηνῆς καὶ χοροποιῶν καὶ δορυφόρων δυσπραγμά-
τευτος ὄχλος, καὶ χορηγία πολυτελὴς παρασκευαζέσθω, πρὸς ἃ λάκων ἀνὴρ ἀ-
ποβλέψας, οὐ κακῶς εἶπεν, ὡς ἁμαρτάνουσιν ἀθηναῖοι μεγάλα τὴν σπουδὴν
εἰς τὴν παιδιὰν καταναλίσκοντες, τουτέστι μεγάλων ἀποστόλων δαπάνας καὶ
στρατευμάτων ἐφόδια καταχορηγοῦντες εἰς τὸ θέατρον. ἂν γὰρ ἐκλογισθῇ τῶν
δραμάτων ἕκαστον, ὅσου κατέστη, πλέον ἀνηλωκὼς φανεῖται ὁ δῆμος, εἰς βάκχας
καὶ φοινίσσας καὶ οἰδίποδας καὶ ἀντιγόνην, καὶ τὰ μηδείας κακὰ καὶ ἠλέκτρας,
ὧν ὑπὲρ τῆς ἡγεμονίας καὶ τῆς ἐλευθερίας, πολεμῶν τοὺς βαρβάρους ἀνάλω-
σεν. οἱ μὲν στρατηγοὶ πολλάκις παραγγείλαντες ἄπυρα σιτία κομίζειν, ἐξῆγον ἐπὶ
τὰς μάχας τοὺς ἄνδρας. καὶ νὴ δία οἱ τριήραρχοι τοῖς ἐλαύνουσιν ἄλφιτα πα-
ρασκευάσαντες, ὄψον δὲ κρόμυα, τυρὸν ἐνεβίβαζον εἰς τὰς τριήρεις. οἱ δὲ χορη-
γοὶ τοῖς χορευταῖς ἐγχέλια καὶ θριδάκια καὶ σκελίδας καὶ μυελὸν παρατι-
θέντες, εὐωχοῦν ἐπὶ πολὺν χρόνον, φωνασκουμένους καὶ τρυφῶντας, καὶ τούτων
τοῖς μὲν ἡττηθεῖσι προσῆν προσυβρίσθαι καὶ γεγονέναι καταγελάστους. τοῖς δὲ νι-
κήσασιν, ὁ τρίπους ὑπῆρχεν, οὐκ ἀνάθημα τῆς νίκης, ὥς δημήτριός φησιν. ἀλλ᾽
ἐπὶ πεισμάτων ἐκκεχυμένον βίον, καὶ τῶν ἐκλελοιπότων κενοτάφιον οἴκων.
τοιαῦτα γοῦν τὰ ποιητικῆς τέλη, καὶ λαμπρότερον οὐδὲν ἐξ αὐτῶν.   τοὺς δὲ στρα-
τηγοὺς αὖ πάλιν ἐνθένδε παριόντας σκοπῶμεν, ὧν παρερχομένων, ὡς ἀλη-
θῶς, εὐφημεῖν χρὴ καὶ ἐξίστασθαι τοὺς ἀπράκτους καὶ ἀπολιτεύτους, καὶ ἀστρατεύτους
ὅς τις ἀτόλμως πρὸς ἔργα τοιαῦτα καὶ γνώμῃ μὴ καθαρεύει. μηδὲ μιλτιάδου
τοῦ μηδοφόνου. μηδὲ τοῦ περσοκτόνου θεμιστοκλέους, χειρὸς βακχεῖ᾽ ἐτελέσθη. ἀρήϊ-
ος ὁ κῶμος οὗτος. ἐκ γῆς ἅμα φάλαγξι, καὶ στόλοις ἐκ θαλάττης, καὶ μεμιγμένοις
σκύλοις καὶ τροπαίοις βεβριθώς. κλῦθ᾽ ἀλαλὰ ἐγὼ πολέμου θύγατερ. ἐγχέων προ-
οίμιον. ἀμφύετε ἄνδρες τὸν ἱρόθυτον θάνατον, ὡς ὁ θηβαῖος ἐπαμινώνδας εἶ-
πεν ὑπὲρ πατρίδος καὶ τάφων καὶ ἱερῶν ἐπιδιδόντες ἑαυτοὺς τοῖς καλλίστοις καὶ
λαμπροτάτοις ἀγῶσιν, ὧν τὰς νίκας ὁρᾶν μοι δοκῶ προσερχομένας, οὐ βοῦν ἆ-
θλον ἑλκούσας ἢ τράγον. οὐδὲ ἀνεστεμμένας κιττῷ καὶ διονυσιακῆς τρυγὸς ὀδωδυίας.
ἀλλ᾽ ὅλαι μὲν πόλεις αὐτῶν εἰσὶ καὶ νῆσοι καὶ ἤπειροι, καὶ ναοὶ χιλιοτάλαντοι, καὶ δήμων ἀποι-
κισμοὶ μυρίανδροι, τροπαίοις δὲ παντοδαποῖς ἀναστρέφονται καὶ λαφύροις. ὧν ἀ-
γάλματα καὶ σύμβολα παρθενὼν ἑκατόμπεδος, νότια τείχη, νεῶν οἶκοι, προπύ-
λαια, χερρόνησος, ἀμφίπολις. μαραθὼν τὴν μιλτιάδου νίκην προπέμπει, καὶ σα-
λαμὶς τὴν θεμιστοκλέους, χιλίων σκαφῶν ναυαγίοις ἐπιβεβηκυῖαν.   φέρει δ᾽
ἡ μὲν κίμωνος, τριήρεις ἑκατὸν φοινίσσας ἀπ᾽ εὐρυμέδοντος. ἡ δὲ δημοσθένους καὶ
κλέωνος, ἀπὸ σφακτηρίας τὴν βρασίδου ἀσπίδα αἰχμάλωτον, καὶ δεδεμένους τοὺς
στρατιώτας. τειχίζει δὲ τὴν πόλιν ἡ κόνωνος. ἡ δὲ θρασυβούλου, κατάγει τὸν δῆ-
μον ἀπὸ φυλῆς ἐλεύθερον, ἡ δὲ ἀλκιβιάδου περὶ σικελίαν ὀλισθοῦσαν τὴν πό-
λιν ἐγείρουσιν. ἐκ δὲ τῶν νειλέως καὶ ἀνδρόκλου περὶ λυδίαν καὶ καρίαν ἀγώνων, ἰωνίαν
ἀνισταμένην, ἐπεῖδεν ἡ ἑλλάς, τῶν δ᾽ ἄλλων ἑκάστης ἂν πύθῃ τί τῇ πόλει γέγονεν ἐξ
αὐτῆς ἀγαθόν, ἡ μὲν ἐρεῖ λέσβον, ἡ δὲ σάμον, ἡ δὲ κύπρον, ἡ δὲ πόντον εὔξεινον, ἡ
δὲ πεντακοσίας τριήρεις, ἡ δὲ μυρία τάλαντα προῖκα τῆς δόξης καὶ τροπαίων.
ταῦτα

ταῦτα ἡ πόλις ἑορτάζει, καὶ ὑπὲρ τούτων θύει τοῖς θεοῖς. οὐκ ἐπὶ ταῖς αἰσχύλου νί-
καις ἢ σοφοκλέους. οὐδ᾽ ὅτε καρκίνος ἀερόπῃ συνῆν, ἢ ἕκτορι ἀστυδάμας, ἀλλὰ
ἕκτῃ μὲν ἱσταμένου βοηδρομιῶνος, ἔτι νῦν τὴν ἐν μαραθῶνι νίκην ἡ πόλις ἑορτά-
ζει. ἕκτῃ δὲ μηνὸς οἰνοχοεῖται τῇ χαβρίου περὶ νάξον ἐπινίκια ναυμαχίας. τῇ δὲ δω-
δεκάτῃ χαριστήρια ἔθυον ἐλευθερίας. ἐν ἐκείνῃ γὰρ οἱ ἀπὸ φυλῆς κατῆλθον. τρίτῃ
δ᾽ ἱσταμένου μὲν ἐν πλαταιαῖς μάχην ἐνίκων. τὴν δὲ ἕκτην ἐπὶ δέκα τοῦ μουνυ-
χιῶνος, ἀρτέμιδι καθιέρωσαν, ἐν ᾗ τοῖς ἕλλησι περὶ σαλαμῖνα νικῶσιν, ἐπέλαμ-
ψεν ἡ θεὸς πανσέληνος. τὴν δὲ δωδεκάτην τοῦ σκιρροφοριῶνος, ἱερωτέραν ἐποίη-
σεν ὁ μαντινιακὸς ἀγών, ἐν ᾧ τῶν ἄλλων συμμάχων ἐκβιασθέντων καὶ τραπέντων,
μόνοι τὸ καθ᾽ ἑαυτοὺς νικήσαντες ἔστησαν τρόπαιον ἀπὸ τῶν νικώντων πολεμίων.
ταῦτα τὴν πόλιν ἤγειρεν εἰς δόξαν, ταῦτα εἰς μέγεθος. ἐν τούτοις πίνδαρος,
ἔρεισμα τῆς ἑλλάδος προσεῖπε τὰς ἀθήνας. οὐχ ὅτι ταῖς φρυνίχου τραγῳδί-
αις καὶ θέσπιδος ὤρθου τοὺς ἕλληνας, ἀλλ᾽ ὅτι πρῶτον ὥς φησιν αὐτὸς ἐπ᾽ ἀρ-
τεμισίῳ παῖδες ἀθηναίων ἐβάλοντο φαεννὴν κρηπῖδ᾽ ἐλευθερίας. ἐπί τε σαλα-
μῖνι καὶ μυκάλῃ καὶ πλαταιαῖς, ὥσπερ ἀδαμαντίνοις στηρίξαντες τὴν ἐλευθερίαν
τῆς ἑλλάδος, παρέδοσαν τοῖς ἄλλοις ἀνθρώποις.   ἀλλὰ νὴ δία παιδιὰ τὰ τῶν ποιητῶν,
οἱ δὲ ῥήτορες ἔχουσί τι παραβαλλόμενοι πρὸς τοὺς στρατηγούς. ἐξ ὧν εἰκός, ὡς αἰ-
σχίνης σκώπτων τὸν δημοσθένην λέγειν φησίν, ὅτι γράφεται τῷ βήματι διαδικασίαν
πρὸς τὴν στρατηγίαν. ἆρα οὖν ἄξιον προκρῖναι τὸν ὑπερείδου πλαταϊκὸν τῆς ἀρι-
στείδου παραγγελίας νίκης, ἢ τὸν λυσίου κατὰ τῶν τριάκοντα τῆς θρασυβούλου καὶ ἀρ-
χίου τυραννοκτονίας; ἢ τὸν αἰσχίνου κατὰ τιμάρχου ἑταιρήσεως, τῆς φωκίωνος εἰς
βυζάντιον βοηθείας; δι᾽ ἧς ἐκώλυσε τοὺς τῶν συμμάχων υἱοὺς ἐνύβρισμά τε καὶ παροίνη-
μα γενέσθαι μακεδόνων; ἢ τοῖς κοινοῖς στεφάνοις οὓς τὴν ἑλλάδα ἐλευθερώσας ἔλα-
βε; τὸν δημοσθένους περὶ τοῦ στεφάνου παραβάλωμεν. ἐν ᾧ τοῦτο λαμπρότατον καὶ λο-
γιώτατον ὁ ῥήτωρ πεποίηκεν ὀμόσας τοὺς ἐν μαραθῶνι προκινδυνεύσαντας τῶν προ-
γόνων, ἢ τοὺς ἐν τοῖς σχολαῖς τὰ μειράκια προδιδάσκοντας. ἐφ᾽ οἷς οὐ τοὺς ἰσοκράτεις
καὶ ἀντιφῶντας καὶ ἰσαίους, ἀλλὰ τούτους ἡ πόλις δημοσίαις ταφαῖς ἔθαψεν ὑπο-
δεξαμένη τὰ λείψανα τῶν σωμάτων καὶ τούτους ἀπεθέωσε, τοὺς ὅρκους ὁ ῥήτωρ ὀμνύων
οὓς οὐκ ἐμιμεῖτο.   ἰσοκράτης δὲ τοὺς ἐν μαραθῶνι προκινδυνεύσαντας ὥσπερ
ἀλλοτρίαις ψυχαῖς φήσας ἐναγωνίσασθαι, καὶ καθυμνήσας τὴν τόλμαν αὐτῶν καὶ τὴν ὑ-
περοψίαν τοῦ ζῆν, αὐτὸς ὥς φασιν ἤδη γέρων γεγονὼς πρὸς τὸν πυθόμενόν πως διά-
γει, οὕτως εἶπεν ὡς ἀνὴρ ὑπὲρ ἐνενήκοντα ἔτη γεγονώς, καὶ μέγιστον ἡγούμενος τῶν
κακῶν τὸν θάνατον. οὐ γὰρ ἀκονῶν ξίφος, οὐδὲ λόγχην χαράττων, οὐδὲ λαμπρύνων
κράνος, οὐδὲ στρατευόμενος, οὐδὲ ἐρέσσων, ἀλλ᾽ ἀντίθετα καὶ πάρισα καὶ ὁμοιόπτω-
τα κολλῶν καὶ συντιθείς, μονονουχὶ κολαπτῆρσι καὶ ξυστῆρσι τὰς περιόδους ἀπολεαί-
νων καὶ ῥυθμίζων ἐγήρασε. πῶς οὖν οὐκ ἔμελλεν ἄνθρωπος ψόφον ὅπλων φοβεῖσθαι καὶ σύρ-
ρηγμα φάλαγγος, ὁ φοβούμενος φωνῆεν φωνήεντι συγκροῦσαι, καὶ συλλαβῇ τὸ ἰσόκω-
λον ἐνδεὲς ἐξενεγκεῖν.   μιλτιάδης μὲν γὰρ αὐτὸς εἰς μαραθῶνα τῇ ὑστεραίᾳ τὴν
μάχην συνάψας ἧκεν εἰς ἄστυ μετὰ τῆς στρατιᾶς νενικηκώς, καὶ περικλῆς ἐννέα
μησὶ σαμίους καταστρεψάμενος, ἐφρόνει τοῦ ἀγαμέμνονος μεῖζον, ἔτει δεκάτῳ
τὴν τροίαν ἑλόντος. ἰσοκράτης δὲ μικροῦ τρεῖς ὀλυμπιάδας ἀνήλωσεν ἵνα γράψῃ
τὸν πανηγυρικὸν λόγον, οὐ στρατευσάμενος ἐν τούτοις τοῖς χρόνοις οὐδὲ πρεσβεύ-
σας, οὐδὲ πόλιν κτίσας, οὐδὲ ναύαρχος ἐκπεμφθείς. καίτοι μυρίους τοῦ τότε χρό-
νου πολέμους ἐνεγκόντος. ἀλλ᾽ ἐν ᾧ τιμόθεος εὔβοιαν ἠλευθέρου, καὶ χαβρίας περὶ
νάξον ἐναυμάχει, καὶ περὶ λέχαιον ἰφικράτης κατέκοπτε τὴν λακεδαιμονίων
μόραν, καὶ πᾶσαν ἐλευθερώσας πόλιν ὁ δῆμος, ἰσόψηφον αὐτοῖς τὴν ἑλλάδα

κατέστησεν, οἴκοι καθῆσο, βιβλίον ἀναπλάττων τοῖς ὀνόμασι, ὅσῳ χρόνῳ τὰ προπύλαια περικλῆς ἀνέστησε καὶ τοὺς ἑκατομπέδους, καίτοι καὶ σφόδρα νωθρῶς βραδέως ἀνύοντα τοῖς ἔργοις ἐπισκώπτων κρατῖνος, οὕτω πως λέγει, περὶ τοῦ διὰ μέσου τείχους· λόγοισι γ' αὐτὸν προάγει περικλέης, ἔργοισι δ' οὐδὲ κινεῖ. σκόπει δὲ σοφιστικὴν μικροφροσύνην τὸ ἔνατον μέρος τοῦ βίου, εἰς ἕνα λόγον καταναλίσκουσαν, ἀλλὰ δὴ μετὰ τοὺς δημοσθένους τοῦ ῥήτορος λόγους, ἄξιόν ἐστι τοῖς στρατηγοῖς παραβάλλειν τὴν κατὰ κόνωνος αἰκίας, τοῖς περὶ πύλον τροπαίοις ἔχειν. πρὸς ἀμαθούσιον περὶ ἀνδραπόδων, τοῖς ἐξανδραποδισθεῖσιν ὑπ' ἐκείνου σπαρτιάταις. ἢ ὅτι τοὺς ἐποίησεν ἔγραψεν, ταύτην ἀλκιβιάδης ἔχων μαντινεῖς καὶ ἠλείους ἐπὶ τὴν λακεδαίμονα συνέστησε. καὶ μὴν οἵ τε δημόσιοι λόγοι τοῦτο ἔχουσι θαυμαστόν, ὅτι τοῖς φιλιππικοῖς ἐπὶ πράξεις προτρέπεται, καὶ τὴν λεπτίνου πρᾶξιν ἐπαινεῖ.

ΠΕΡΙ ΦΥΓΗΣ.

Τῶν λόγων ἀρίστους καὶ βεβαιοτάτους, ὥσπερ τῶν φίλων φασὶν εἶναι τοὺς ἐν ταῖς συμφοραῖς παρόντας ὠφελίμως καὶ βοηθοῦντας. ἐπεὶ πάρεισί γε πολλοὶ καὶ προσδιαλέγονται τοῖς ἐπταικόσιν, ἀλλ' ἀχρήστως, μᾶλλον δὲ βλαβερῶς· καθάπερ ἀπειρολεκόμενοι κόλυμβοι πνιγομένοις ἐπιχειροῦντες βοηθεῖν, περιπλεκόμενοι καὶ συγκαταδύνοντες. δεῖ δὲ τὸν παρὰ τῶν φίλων καὶ τῶν βοηθούντων λόγον παρηγορίαν εἶναι, μὴ συνηγορίαν τοῦ λυποῦντος· οὐ γὰρ συνδακρυόντων καὶ συνεπιθρηνούντων ὥσπερ χορῶν τραγικῶν ἐν τοῖς ἀβουλήτοις χρείαν ἔχομεν, ἀλλὰ παῤῥησιαζομένων καὶ διδασκόντων· ὅτι τὸ λυπεῖσθαι καὶ τὸ ταπεινοῦν ἑαυτὸν ἐπὶ παντὶ μὲν ἄχρηστόν ἐστι καὶ γινόμενον κενῶς καὶ ἀνοήτως· ὅπου δ' αὐτὰ τὰ πράγματα δίδωσιν ὑπὸ τοῦ λόγου ψηλαφηθέντα καὶ ἀνακαλυφθέντα πρὸς ἑαυτὸν εἰπεῖν· οὐδὲν πέπονθας δεινὸν ἂν μὴ προσποιῇ, κομιδῇ γελοῖόν ἐστι, μὴ τῆς σαρκὸς πυνθάνεσθαι τί πέπονθε, μὴ δὲ τῆς ψυχῆς, εἰ διὰ τὸ σύμπτωμα τοῦτο χείρων γέγονεν, ἀλλὰ τοῖς ἔξωθεν συναχθομένοις καὶ συναγανακτοῦσι διδασκάλοις χρῆσθαι τῆς λύπης. ὅθεν αὐτοὶ καθ' αὑτοὺς γινόμενοι τῶν συμπτωμάτων ὥσπερ φορτίων ἑκάστου τὸν θυμὸν ἐξετάζομεν. τὸ μὲν γὰρ σῶμα πιέζεται τῷ τοῦ βαρύνοντος ἄχθει· ἡ δὲ ψυχὴ τοῖς πράγμασι πολλάκις τὸ βάρος ἐξ αὑτῆς προστίθησιν. ὁ λίθος φύσει σκληρός, ὁ κρύσταλλος φύσει ψυχρός ἐστιν, οὐκ ἔξωθεν εἰκῇ ταύτας τὰς ἀντιτυπίας ἐπιφέροντες καὶ τὰς πήξεις. φυγὰς δὲ καὶ ἀδοξίας καὶ τιμῶν ἀποβολάς, ὥσπερ αὖ τἀναντία, στεφάνους καὶ ἀρχὰς καὶ προεδρίας, οὐ τὴν αὐτῶν φύσιν, ἀλλὰ τὴν ἡμετέραν κρίσιν μέτρον ἔχοντα τοῦ λυπεῖν καὶ εὐφραίνειν, ἕκαστος ἑαυτῷ κοῦφα καὶ βαρέα καὶ ῥᾴδια φέρειν ποιεῖ, καὶ τοὐναντίον. ἔξεστι δ' ἀκούειν τοῦ μὲν πολυνείκους ἀποκρινομένου πρὸς τὸ ἐρώτημα τοῦτο· τί τὸ στέρεσθαι πατρίδος, ἦ κακὸν μέγα; μέγιστον, ἔργῳ δ' ἐστὶ μεῖζον ἢ λόγῳ. τοῦ δὲ ἀλκμᾶνος ὡς ὁ γράψας τὸ ἐπιγραμμάτιον πεποίηκε· σάρδιες ἀρχαῖος πατέρων νόμος εἰ μὲν ἐν ὑμῖν ἐτρεφόμην κέλσας ἢ τίς ἀνὴρ μακέλας χρυσοφόρος, ῥήσσων καλὰ τύμπανα, νῦν δέ μοι ἀλκμὰν οὔνομα, καὶ σπάρτας εἰμὶ πολίτης, καὶ μούσας ἐδάην ἑλληνίδας, αἵ με τυράννων θῆκαν δυσκύλεω κρείσσονα καὶ γύγεω. τὸ γὰρ αὐτὸ πρᾶγμα τὸν μὲν εὔχρηστον ἡ δόξα καθάπερ νόμισμα δόκιμον, τὸν δὲ δύσχρηστον καὶ βλαβερὸν ἐποίησεν. ἔστω δὲ δεινὸν ὥσπερ οἱ πολλοὶ λέγουσι καὶ ᾄδουσιν ἡ φυγή· καὶ γὰρ τῶν βρωμάτων πικρὰ πολλὰ καὶ

δριμέα, καὶ δάκνοντα τὴν αἴσθησίν ἐστιν· ἀλλὰ μιγνύντες αὐτοῖς ἔνια τῶν γλυκέων καὶ προσηνῶν, τὴν ἀηδίαν ἀφαιροῦμεν. ἔστι δὲ καὶ χρώματα λυπηρὰ τῇ ὄψει, πρὸς ἃ γίνεται τὸ συγχεῖσθαι καὶ μαραυγεῖν διὰ σκληρότητα καὶ βίαν ἀνιαρόν. εἰ τοίνυν ἴαμα τῆς δυσχρηστίας ἐκείνης ἐμίξαμεν τὴν σκιὰν αὐτοῖς ἢ τὴν ὄψιν ἀπεστρέψαμεν ἐπί τι τῶν χλοερῶν καὶ προσηνῶν, τοῦτο ἔξεστι ποιεῖν καὶ πρὸς τὰ συμπτώματα κεραννύντας αὐτοῖς τὰ χρήσιμα καὶ φιλάνα τῶν νυνί σοι παρόντων, εὐπορίαν, φίλους, ἀπραγμοσύνην, τὸ μηθὲν ἐνδεῖν τῶν ἀναγκαίων πρὸς τὸν βίον. οὐ γὰρ οἶμαι πολλοὺς εἶναι σαρδιανῶν οἳ μὴ τὰ σὰ πράγματα καὶ μετὰ φυγῆς μᾶλλον ἐθελήσουσιν αὐτοῖς ὑπάρχειν, καὶ ἀγαπήσουσιν ἐπὶ ξένης οὕτω διάγοντες, ἢ καθάπερ οἱ κοχλίαι τοῖς ὀστράκοις συμφυεῖς ὄντες, ἄλλο δὲ μηδὲν ἀγαθὸν ἔχοντες, τῶν οἴκοι μετέχειν ἀλύπως. ὥσπερ οὖν ἐν κωμῳδίᾳ τις ἠτυχηκότα φίλον θαῤῥεῖν καὶ τὴν τύχην ἀμύνεσθαι παρακαλῶν, ἐρομένου τίνα τρόπον, ἀποκρίνεται φιλοσόφως, οὕτω καὶ ἡμεῖς αὐτὴν ἀμυνώμεθα φιλοσοφοῦντες ἀξίως. τὸν δία δέ πως ὕοντα, τὸν βορέαν δὲ πῶς, πῦρ ζητοῦμεν, βαλανεῖον, ἱμάτιον, στέγην· καὶ γὰρ οὐχ ὑόμενοι καθήμεθα, οὐδὲ κλαίομεν. καὶ σοὶ τοίνυν παρ' ὁντινοῦν ἔστι τὸ κατεψυγμένον τοῦτο τοῦ βίου μέρος ἀναζωπυρεῖν καὶ ἀναθάλπειν· ἑτέρων βοηθημάτων μὴ δεόμενον, ἀλλὰ χρώμενον εὐλογίστως τοῖς παροῦσιν. αἱ μὲν γὰρ ἰατρεῖαι καὶ σικύαι τὸ φαυλότατον ἐκ τοῦ σώματος ἀναλαμβάνουσαι, κουφίζουσι καὶ σώζουσι τὸ λοιπόν, οἱ δὲ φιλόλυποι καὶ φιλαίτιοι τῷ τὰ χείριστα τῶν ἰδίων συνάγειν ἀεὶ καὶ διαλογίζεσθαι καὶ πρὸς τετηκέναι τοῖς ἀνιαροῖς ἄχρηστα καὶ τὰ χρήσιμα ποιοῦσιν ἑαυτοῖς, ἐν ᾧ μάλιστα καιρῷ βοηθεῖν πέφυκε. τὸ γὰρ δοιοὺς πίθους ὦ φίλε οὓς ὅμηρος ἔφη κηρῶν ἐμπλείους ἐν οὐρανῷ κεῖσθαι· τὸν μὲν, ἀγαθῶν· τὸν δὲ, φαύλων· οὐχ ὁ ζεὺς ταμιεύων κάθηται, καὶ μεθιεὶς τοῖς μὲν, ἤπια καὶ μεμιγμένα, τοῖς δὲ, ἄκρατα ῥεύματα τῶν κακῶν. ἀλλ' ἡμῶν αὐτῶν οἱ μὲν νοῦν ἔχοντες ἐκ τῶν ἀγαθῶν τοῖς κακοῖς ἐπαρυτόμενοι τὸν βίον ποιοῦσιν ἡδίω καὶ ποτιμώτερον· τοῖς δὲ πολλοῖς ὥσπερ ἠθμοῖς ἐμμένει καὶ προσίσχεται τὰ φαυλότατα· τῶν βελτιόνων ὑπεκρεόντων. διὸ κἂν ἀληθῶς κακῷ τινι καὶ λυπηρῷ περιπέσωμεν, ἐπάγεσθαι δεῖ τὸ ἱλαρὸν καὶ τὸ εὔθυμον ἐκ τῶν ὑπαρχόντων καὶ ὑπολειπομένων ἀγαθῶν τῷ οἰκείῳ τὸ ἀλλότριον ἐκλεαίνοντας· ὧν δὲ ἡ φύσις οὐδὲν ἔχει κακόν, ἀλλ' ὅλον καὶ πᾶν τὸ λυποῦν ἐκ κενῆς δόξης ἀναπέπλασται, ταῦτα δεῖ καθάπερ τοῖς δεδοικόσι τὰ προσωπεῖα παιδίοις, ἐγγὺς καὶ ὑπὸ χεῖρα ποιοῦντες καὶ ἀναστρέφοντες ἐθίζομεν καταφρονεῖν, οὕτως ἐγγὺς ἁπτομένους καὶ συνερείδοντας τὸν λογισμόν, τὸ σαθρὸν καὶ τὸ κενὸν καὶ τετραγῳδημένον ἀποκαλύπτειν οἷόν ἐστιν ἡ νῦν σοι παροῦσα κατάστασις ἐκ τῆς νομιζομένης πατρίδος. φύσει γὰρ οὐκ ἔστι πατρίς, ὥσπερ οὐδὲ οἶκος, οὐδὲ ἀγρός, οὐδὲ χαλκεῖον, ὡς ἀρίστων ἔλεγεν, οὐδὲ ἰατρεῖον, ἀλλὰ γίνεται, μᾶλλον δὲ ὀνομάζεται, καὶ καλεῖται τούτων ἕκαστον ἀεὶ πρὸς τὸν οἰκοῦντα καὶ χρώμενον. ὁ γὰρ ἄνθρωπος ἥ φησιν ὁ πλάτων φυτὸν οὐκ ἔγγειον οὐδὲ ἀκίνητον, ἀλλ' οὐράνιόν ἐστιν, ὥσπερ ἐκ ῥίζης τὸ σῶμα τῆς κεφαλῆς ὀρθὸν ἱστώσης, πρὸς τὸν οὐρανὸν ἀνεστραμμένον. ὅθεν ὁ μὲν ἡρακλῆς εἶπεν ἀργεῖος, ἢ θηβαῖος· οὐ γὰρ εὔχομαι μιᾶς, ἅπας μοι πύργος ἑλλήνων πατρίς. ὁ δὲ σωκράτης βέλτιον οὐκ ἀθηναῖος, οὐδὲ ἕλλην, ἀλλὰ κόσμιος εἶναι φήσας, ὡς ἄν τις ῥόδιος εἶπεν, ἢ κορίνθιος. ὅτι μὴ δὲ σουνίῳ μὴ δὲ ταινάρῳ μὴ δὲ τοῖς κεραυνίοις ἐνέκλεισεν ἑαυτόν. ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα καὶ γῆν πέριξ ἔχοντα ὑγραῖς ἀγκάλαις· οὗτοι τῆς πατρίδος ἡμῶν ὅροι εἰσί, καὶ οὐδεὶς οὔτε φυγὰς ἐν τούτοις, οὔτε ξένος· οὔτε ἀλλοδαπός, ὅπου τὸ αὐτὸ πῦρ, ὕδωρ, ἀήρ, ἄρχοντες οἱ αὐτοὶ καὶ διοικη-

ταὶ καὶ πρυτάνεις, ἥλιος, σελήνη, φωσφόρος, οἱ αὐτοὶ νόμοι πᾶσι, ὑφ' ἑνὸς προστάγματος καὶ μιᾶς ἡγεμονίας, τροπαὶ βόρειοι, τροπαὶ νότιοι, ἰσημερία, πλειάς, ἀρκτοῦρος, ὧραι σπόρων, ὧραι φυτειῶν, εἷς δὲ βασιλεὺς καὶ ἄρχων θεός, ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν ἔχων τοῦ παντὸς, εὐθεία περαίνει κατὰ φύσιν περιπορευόμενος· τῷ δ' ἕπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός· ᾗ χρώμεθα πάντες ἄνθρωποι φύσει πρὸς πάντας ἀνθρώπους, ὥσπερ πολίτας. τὸ δέ σε μὴ κατοικεῖν σάρδεις οὐθέν ἐστιν· οὐδὲ γὰρ ἀθηναῖοι πάντες κατοικοῦσι κολυττόν, οὐδὲ κορίνθιοι κράνειον, οὐδὲ πιτάνην λάκωνες. ἆρα οὖν ξένοι καὶ ἀπόλιδές εἰσιν ἀθηναίων οἱ μεταστάντες ἐκ μελίτης εἰς διωμίδα, ὅπου καὶ μῆνα μεταγειτνιῶνα καὶ θυσίαν ἐπώνυμον ἄγουσι τοῦ μετοικισμοῦ, τὰ μεταγείτνια, τὴν πρὸς ἑτέρους γειτνίασιν εὐκόλως καὶ ἱλαρῶς ἐνδεχόμενοι καὶ στέργοντες; οὐκ ἂν εἴποις. τί οὖν τῆς οἰκουμένης μέρος ἢ τῆς γῆς ἁπάσης ἕτερον ἑτέρου μακρὰν ἐστιν, ἣν ὑποδεικνύουσιν οἱ μαθηματικοὶ σημείου λόγον ἔχουσαν ἀδιάστατον πρὸς τὸν οὐρανόν. ἀλλ' ἡμεῖς ὥσπερ μύρμηκες ἢ μέλιτται μυρμηκιᾶς μιᾶς ἢ κυψέλης ἐκπεσόντες, ἀδημονοῦμεν καὶ ξενοπαθοῦμεν, οὐκ εἰδότες οἰκεῖα πάντα ποιεῖσθαι καὶ νομίζειν ὥσπερ ἐστί. καίτοι γελῶμεν τὴν ἀβελτηρίαν τοῦ φάσκοντος ἐν ἀθήναις ἀμβελτίονα σελήνην εἶναι τῆς ἐν κορίνθῳ· τρόπον τινὰ τὸ αὐτὸ πάσχοντες, ὅταν ἀγνοῶμεν αὐτοὶ ξένης γενόμενοι τὴν γῆν, τὴν θάλατταν, τὸν ἀέρα, τὸν οὐρανόν, ὡς ἕτερα καὶ διαφέροντα τῶν συνήθων. ἡ μὲν γὰρ φύσις ἐλευθέρους ἡμᾶς καὶ λελυμένους ἀφίησιν· ἡμεῖς δὲ αὐτοὶ συνδέομεν ἑαυτούς, συστενοχωροῦμεν, ἐγκατοικοδομοῦμεν, εἰς μικρὰ καὶ γλίσχρα συνελαύνομεν. εἶτα τῶν μὲν περσῶν βασιλέων καταγελῶμεν, εἴ γε δὴ ἀληθὲς τὸ τοῦ χοάσπου μόνον ὕδωρ πίνοντας ἄνυδρον αὐτοῖς τὴν ἄλλην ποιοῦσιν οἰκουμένην· ὅταν δὲ μεταστῶμεν εἰς ἕτερα χωρία τοῦ κηφισσοῦ γλιχόμενοι καὶ τὸν εὐρώταν ἢ τὸν ταΰγετον ἢ τὸν παρνασσὸν ἐπιποθοῦντες, ἄπολιν καὶ ἀοίκητον αὐτοῖς τὴν οἰκουμένην ποιοῦμεν. αἰγυπτίων μὲν οὖν οἱ δι' ὀργήν τινα καὶ χαλεπότητα τοῦ βασιλέως εἰς αἰθιοπίαν μετοικιζόμενοι πρὸς τοὺς δεομένους ἐπανελθεῖν ἐπὶ τέκνα καὶ γυναῖκας ἐπιδεικνύμενοι τὰ αἰδοῖα κυνικώτερον, οὔτε γάμων ἔφασαν, οὔτε παίδων ἀπορήσειν, ἄχρις οὗ ταῦτα μεθ' ἑαυτῶν ἔχουσιν. εὐπρεπέστερον δέ ἐστι καὶ σεμνότερον εἰπεῖν, ὡς ὅπου καὶ ὅτῳ μετρίων πρὸς τὸν βίον εὐπορεῖν συμβέβηκεν, ἐνταῦθα οὗτος οὔτ' ἄπολις οὔτ' ἀνέστιος οὔτε ξένος ἐστί, μόνον ἔχειν δεῖ πρὸς τούτοις νοῦν καὶ λογισμόν, ὥσπερ ἄγκυραν κυβερνήτην, ἵνα παντὶ χρῆσθαι λιμένι προσορμισθεὶς δύνηται. πλοῦτον μὲν γὰρ ἀποβαλόντα ῥᾷον οὐκ ἔστι καὶ ταχέως συναγαγεῖν· πατρὶς δὲ γίνεται πᾶσα πόλις εὐθὺς ἀνθρώπῳ χρῆσθαι μεμαθηκότι, καὶ ῥίζας ἔχοντι πανταχοῦ ζῆν τε καὶ τρέφεσθαι, καὶ παντὶ τόπῳ προσφύεσθαι δυναμένας, οἵας εἶχε θεμιστοκλῆς, οἵας δημήτριος ὁ φαληρεύς. οὗτος μὲν γὰρ ἐν ἀλεξανδρείᾳ μετὰ τὴν φυγήν, πρῶτος ὢν τῶν πτολεμαίου φίλων, οὐ μόνον αὐτὸς ἐν ἀφθόνοις διῆγεν, ἀλλὰ καὶ τοῖς ἀθηναίοις δωρεὰς ἔπεμπε. θεμιστοκλῆς δὲ χορηγίᾳ βασιλικῇ πρυτανευόμενος εἰπεῖν λέγεται πρὸς τὴν γυναῖκα καὶ τοὺς παῖδας· ἀπωλόμεθα ἄν, εἰ μὴ ἀπωλόμεθα. διὸ καὶ διογένης ὁ κύων πρὸς τὸν εἰπόντα, σινωπεῖς σου φυγὴν ἐκ πόντου κατέγνωσαν, ἐγὼ δὲ εἶπεν ἐκείνων ἐν πόντῳ μονήν, ἄκραις ἐπὶ ῥηγμῖσιν εὐξείνου πόντου. στρατόνικος δὲ τὸν ἐν σερίφῳ ξένον ἠρώτησεν ἐφ' ὅτῳ τῶν ἀδικημάτων φυγὴ τέτακται παρ' αὐτοῖς ἐπιτίμιον· ἀκούσας δ' ὅτι τοὺς ῥᾳδιουργοὺς φυγαδεύουσι, τί οὖν εἶπεν οὐκ ἐρραδιούργησας, ὅπως ἐκ τῆς στενοχωρίας ταύτης μεταστῇς· ὅπου φησὶν ὁ κωμικὸς τὰ σῦκα ταῖς σφενδόναις τρυγᾶσθαι, καὶ πάντα ἔχειν ὅσων δεῖ τὴν νῆσον. ἂν γὰρ σκοπῇς αὐ-

κενῆς δόξης τὴν ἀλήθειαν, ὁ μίαν πόλιν ἔχων, ξένος ἐστὶ τῶν ἄλλων ἁπασῶν καὶ ἀλλότριος. οὐ γὰρ δοκεῖ καλὸν οὐδὲ δίκαιον εἶναι καταλιπόντα τὴν ἑαυτοῦ νέμειν ἑτέραν· σπάρταν ἔλαχες, ταύτην κόσμει, κἂν ἄδοξος ᾖ, κἂν νοσώδης, κἂν ταραττομένη στάσεσιν ὑφ' ἑαυτῆς καὶ πράγμασι μὴ ὑγιαίνουσιν. ὃν δὲ ἡ τύχη τὴν ἰδίαν ἀφῄρηται, τούτῳ δίδωσιν ἔχειν τὴν ἀρέσασαν. τὸ γὰρ καλὸν ἐκεῖνο παράγγελμα τῶν πυθαγορείων, ἑλοῦ βίον ἄριστον, ἡδὺν δὲ αὐτὸν ἡ συνήθεια ποιήσει, κἀνταῦθα σοφόν ἐστι καὶ χρήσιμον· ἑλοῦ πόλιν τὴν ἀρίστην καὶ ἡδίστην, πατρίδα δὲ αὐτὴν ὁ χρόνος ποιήσει, καὶ πατρίδα μὴ περισπῶσαν, μὴ ἐνοχλοῦσαν, μὴ προστάττουσαν, εἰσένεγκαι, πρέσβευσον εἰς ῥώμην, ὑπόδεξαι τὸν ἡγεμόνα, λειτούργησον. ἂν γὰρ τούτων τις μνημονεύῃ φρένας ἔχων καὶ μὴ παντάπασι τετυφωμένος, αἱρήσεται καὶ νῆσον οἰκεῖν φυγὰς γενόμενος γύαρον, ἢ κίναρον σκληρὰν, ἄκαρπον, καὶ φυτεύεσθαι κακήν, οὐκ ἀθυμῶν, οὐδ' ὀδυρόμενος, οὐδὲ λέγων ἐκεῖνα τὰ τῶν παρὰ σιμωνίδῃ γυναικῶν· ἴσχει δέ με πορφυρέας ἁλὸς ἀμφιταρασσομένας ὀρυγμαδός, ἀλλὰ μᾶλλον τὸ τοῦ φιλίππου λογιζόμενος· πεσὼν γὰρ ἐν παλαίστρᾳ καὶ μεταστραφεὶς, ὡς εἶδε τοῦ σώματος τὸν τύπον, ὦ ἡράκλεις εἶπεν, ὡς μικροῦ μέρους τῆς γῆς φύσει μετέχοντες, ὅλης ἐφιέμεθα τῆς οἰκουμένης. οἶμαί σε τῆς νάξου γεγονέναι θεατήν, εἰ δὲ μή, τῆς θυρέας ἐνταῦθα πλησίον οὔσης, ἀλλ' ἐκείνη μὲν ἐχώρει τὸν ἐφιάλτην καὶ τὸν ὦτον, αὕτη δὲ τοῦ ὠρίωνος ἦν οἰκητήριον. ὁ δὲ ἀλκμαίων ἰλὺν νεοπαγῆ τοῦ ἀχελῴου προσχωννύντος ἐπῴκησεν ὑποφεύγων τὰς εὐμενίδας, ὡς οἱ ποιηταὶ λέγουσιν· ἐγὼ δὲ κἀκεῖνον εἰκάζω φεύγοντα πολιτικὰς ἀρχὰς καὶ στάσεις καὶ συκοφαντίας ἐριννυώδεις ἑλέσθαι βραχὺ χωρίον ἀπραγμόνως ἐν ἡσυχίᾳ κατοικεῖν. τιβέριος δὲ καῖσαρ ἐν καπρίαις ἑπτὰ ἔτη διητήθη μέχρι τῆς τελευτῆς, καὶ τὸ τῆς οἰκουμένης ἡγεμονικὸν ἱερὸν, ὥσπερ εἰς καρδίαν συνηγμένον, οὐδαμοῦ μετέστη τοσοῦτον χρόνον, ἀλλ' ἐκείνῳ μὲν αἱ τῆς ἡγεμονίας φροντίδες ἐπιχεόμεναι καὶ προσφερόμεναι πανταχόθεν, οὐ καθαρὰν παρεῖχον οὐδὲ ἀκύμονα τὴν νησιῶτιν ἡσυχίαν· ᾧ δὲ ἔξεστιν εἰς μικρὰν ἀποβάντι νῆσον, οὐ μικρῶν ἀπηλλάχθαι κακῶν, οὗτος ἄθλιός ἐστι μὴ προσλαλῶν ἑαυτῷ τὰ πινδαρικά, μηδὲ ἐπᾴδων πολλάκις· ἐλαφρὰν κυπάρισσον φιλέειν, ἐᾶν δὲ νομὸν κρήτας περιδαίων· ἐμοὶ δ' ὀλίγον μὲν γᾶς δέδοται, ὅθεν ἄδρυς, πενθέων δὲ οὐκ ἔλαχον στασίων, οὐδὲ προσταγμάτων ἡγεμονικῶν, οὐδὲ ὑπουργιῶν ἐν πολιτικαῖς χρείαις, καὶ λειτουργιῶν δυσπαραιτήτων. ὅπου γὰρ οὐ φαύλως δοκεῖ λέγεσθαι ὁ καλλίμαχος· τὸ μὴ σχοίνῳ περσίδι τὴν σοφίην, ἦ που τὴν εὐδαιμονίαν σχοίνοις καὶ παρασάγγαις μετροῦντες, ἐὰν νῆσον οἰκῶμεν διακοσίων σταδίων, ἀλλὰ μὴ τεσσάρων ἡμερῶν, ὥσπερ ἡ σικελία περίπλουν ἔχουσαν, ὀδυνᾶν ἑαυτοὺς καὶ θρηνεῖν ὀφείλομεν ὡς κακοδαιμονοῦντες· τί γὰρ ἡ πλατεῖα χώρα πρὸς τὸν ἄλυπον βίον. οὐκ ἀκούεις τοῦ ταντάλου λέγοντος ἐν τῇ τραγῳδίᾳ· σπείρω δ' ἄρουραν δώδεκα ἡμερῶν ὁδόν, βερεκύνθια χῶρον· εἶτα μετ' ὀλίγον λέγοντος· θυμὸς δὲ ποθ' ἁμὸς οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει, καί με προσφωνεῖ τάδε· γίνωσκε τἀνθρώπεια μὴ σέβειν ἄγαν. ὁ δὲ ναυσίθοος τὴν εὐρύχωρον ὑπέρειαν καταλιπὼν διὰ τὸ γειτνιᾶν τοὺς κύκλωπας αὐτῇ, καὶ μεταστὰς εἰς νῆσον ἑκὰς ἄλλων ἀλφηστάων, καὶ κατοικῶν ἀνεπίμικτος ἀνθρώπων, ἀπάνευθε πολυκλύστῳ ἐνὶ πόντῳ, τὸν ἥδιστον παρεσκεύασε βίον τοῖς ἑαυτοῦ πολίταις. τὰς δὲ κυκλάδας πρότερον μὲν οἱ μίνω παῖδες, ὕστερον δὲ οἱ κόδρου καὶ νείλεω κατῴκησαν· ἐν αἷς τανῦν οἱ ἀνόητοι φυγάδες οἴονται κολάζεσθαι. καίτοι ποία φυγαδικὴ νῆσος οὐκ ἔστι πλατυτέρα τῆς σκιλλουντίας χώρας, ἐν ᾗ ξενοφῶν μετὰ τὴν στρατείαν τὸ λιπαρὸν εἶδε γῆρας· ἡ δ' ἀκαδημία τρισχιλίων δραχμῶν χωρίδιον ἐωνημένον, οἰκητήριον ἦν πλάτωνος καὶ ξενοκράτους, καὶ πολέμωνος,

αὐτόθι σχολαζόντων καὶ καταβιούντων τὸν ἅπαντα χρόνον· πλὴν μίαν ἡμέραν
ἐν ᾗ ξενοκράτης καθ' ἕκαστον ἔτος εἰς ἄστυ κατῄει διονυσίων καινοῖς τραγῳδοῖς ἐπι-
κοσμῶν, ὥς ἔφασαν τὴν ἑορτήν. ἀριστοτέλει δὲ καὶ λελοιδόρηκε θεόκριτος ὁ
χῖος, ὅτι τὴν παρὰ φιλίππῳ καὶ ἀλεξάνδρῳ δίαιταν ἀγαπήσας, εἵλετο ναίειν
ἀντ' ἀκαδημίας βορβόρου ἐν προχοαῖς· ἔστι γὰρ ποταμὸς περὶ πέλλην, ὃν μα-
κεδόνες βόρβορον καλοῦσι. τὰς δὲ νήσους ὥσπερ ἐπίτηδες ὑμνῶν καὶ συνιστὰς
ἡμῖν ὁ ποιητής, λῆμνον δ' εἰσαφίκανε πόλιν θείοιο θόαντος, καὶ ὅσα λέσβος ἄνω
μακάρων ἕδος ἐντὸς ἐέργει, καὶ σκῦρον ἑλὼν αἰπεῖαν ἐνυῆος πτολίεθρον, καὶ οἳ
δ' ἐκ δουλιχίοιο ἐχινάων θ' ἱεράων νήσων, αἳ ναίουσι πέρην ἁλὸς ἤλιδος ἄντα· καὶ
τῶν ἐπιφανῶν ἀνδρῶν νῆσον οἰκεῖν φασὶ τὸν θεοφιλέστατον αἴολον, τὸν σοφώτα-
τον ὀδυσσέα, τὸν ἀνδρειότατον αἴαντα, τὸν φιλοξενώτατον ἀλκίνουν. ὁ μὲν οὖν
ζήνων πυθόμενος ἣν ἔτι λοιπὴν εἶχε ναῦν μετὰ τῶν φορτίων καταπεποντῶσθαι ὑ-
πὸ τῆς θαλάσσης, εὖ γε εἶπεν ὦ τύχη ποιεῖς, εἰς τρίβωνα καὶ βίον φιλόσοφον συνε-
λαύνουσα ἡμᾶς· ἀνὴρ δὲ μὴ τετυφωμένος παντάπασι μηδὲ ὀχλομανῶν, οὐκ
ἂν οἶμαι τὴν τύχην μέμψαιτο συνελαυνόμενος εἰς νῆσον ἀλλ' ἐπαινέσειεν ὅτι τὸν
πολὺν ἄλυν καὶ ῥέμβον ἑαυτοῦ καὶ πλάνας ἐν ἀποδημίαις, καὶ κινδύνους
ἐν θαλάσσῃ καὶ θορύβους ἐν ἀγορᾷ περιελοῦσα, μόνιμον καὶ σχολαῖον, καὶ ἀπε-
ρίσπαστον καὶ ἴδιον βίον ὡς ἀληθῶς δίδωσι κέντρῳ καὶ διαστήματι περιγράψα-
σα τὴν τῶν ἀναγκαίων χρείαν. ποία γὰρ νῆσος οἰκίαν οὐκ ἔχει, περίπατον, λου-
τρόν, ἰχθῦς, λαγωούς, ἄγρᾳ καὶ παιδιᾷ χρῆσθαι βουλομένοις· τὸ μέγιστον ἡσυχίας
ἣς διψῶσιν ἕτεροι, σοὶ πολλάκις τυχεῖν ἔνεστιν, ἀλλὰ πεττεύοντας καὶ ἀποκρυπτο-
μένους οἴκοι, συκοφάνται καὶ πολυπράγμονες ἐξιχνεύοντες καὶ διώκοντες ἐκ
τῶν προαστείων καὶ τῶν κήπων, εἰς ἀγορὰν καὶ εἰς αὐλὴν βίᾳ κατάγουσιν. εἰς δὲ
νῆσον οὐκ ἐνοχλῶν τις, οὐκ αἰτῶν, οὐ δανειζόμενος, οὐκ ἐγγυήσασθαι παρακαλῶν,
οὐ συναρχαιρεσιάσαι, δι' εὔνοιαν δὲ καὶ πόθον οἱ βέλτιστοι τῶν ἀναγκαίων καὶ οἰ-
κείων πλέουσιν· ὁ δὲ ἄλλος βίος ἄσυλος καὶ ἱερὸς ἀνεῖται τῷ βουλομένῳ καὶ πλεῖστον
μεμαθηκότι σχολάζειν. ὁ δὲ τοὺς περιτρέχοντας ἔξω, καὶ τοῦ βίου τὸ πλεῖστον
ἐν πανδοκείοις καὶ πορθμείοις ἀναλίσκοντας εὐδαιμονίζων, ὅμοιός ἐστι τῷ τοὺς πλανήτας
πλάνητας οἰομένῳ τῶν ἀπλανῶν ἀστέρων πράττειν ἄμεινον, καίτοι τῶν πλανήτων
ἕκαστος ἐν μιᾷ σφαίρᾳ καθάπερ ἐν νήσῳ περιπολῶν, διαφυλάττει τὴν τάξιν. ἥ-
λιος γὰρ οὐχ ὑπερβήσεται μέτρα φησὶν ὁ ἡράκλειτος, εἰ δὲ μή, ἐρινύες μιν δίκης ἐπί-
κουροι ἐξευρήσουσιν. ἀλλὰ ταῦτα μὲν ὦ φίλε καὶ τὰ τοιαῦτα, πρὸς ἐκείνους
λέγωμεν κἀκείνοις ἐπᾴδωμεν, οἷς εἰς νῆσον ἀπῳκισμένοις, ἀνεπίμικτα περιεῖ τὰ
ἄλλα, πόντος ἁλὸς, ὃ πολλοὺς ἀέκοντας ἐρύκει· σοὶ δὲ οὐχ ἑνὸς διδομένου μόνον,
ἀλλὰ ἀπειρημένου τόπου, πασῶν ἐστιν ἐξουσία πλὴν μιᾶς ἡ κώλυσις. ἀλ-
λὰ μὴν τῷ οὐκ ἄρχομεν, οὐδὲ βουλεύομεν, οὐδὲ ἀγωνοθετοῦμεν, ἀντιθὲς τὸ οὐ στα-
σιάζομεν, οὐκ ἀναλίσκομεν, οὐδὲ προσηρτήμεθα θύραις ἡγεμόνος, οὐδὲ νῦν μέλλει
ἡμῖν ὅστις ὁ κεκληρωμένος τὴν ἐπαρχίαν ἐστίν, εἰ ἀκρόχολος, εἰ ἐπαχθής, ἀλλ'
ὡς ἡμεῖς καθάπερ ἀρχίλοχος τῆς θάσου τὰ καρποφόρα καὶ οἰνόπεδα παρο-
ρῶν διὰ τὸ τραχὺ καὶ ἀνώμαλον, διέβαλε τὴν νῆσον εἰπών, ἥδε δέ, ὥστ' ὄνου ῥάχις
ἕστηκεν ὕλης ἀγρίας ἐπιστεφής, οὕτω τῆς φυγῆς πρὸς ἓν μέρος τὸ ἄδοξον ἐντει-
νόμενοι, παρορῶμεν τὴν ἀπραγμοσύνην καὶ τὴν σχολὴν καὶ τὴν ἐλευθερίαν.
καίτοι τούς γε περσῶν βασιλέας ἐμακάριζον ἐν βαβυλῶνι τὸν χειμῶνα διάγον-
τας, ἐν δὲ μηδίᾳ τὸ θέρος, ἐν δὲ σούσοις τὸ ἥδιστον τοῦ ἔαρος· ἔξεστι δή που καὶ τῷ
φυγάδι, μυστηρίοις, ἐν ἐλευσῖνι διατρίβειν, διονυσίοις ἐν ἄργει πανηγυρίζειν, πυ-
θίων ἀγομένων, εἰς δελφοὺς παρελθεῖν· ἰσθμίων, εἰς κόρινθον· ἄνπερ ᾖ φιλοθεά-

μων· εἰ δὲ μή, σχολή, περίπατος, ἀνάγνωσις, ὕπνος ἀθορύβητος, τὸ τοῦ διογένους,
ἀριστοτέλης ἀριστᾷ, ὅταν δοκῇ φιλίππῳ, διογένης ὅταν διογένει, μήτε πραγ-
ματείας, μήτε ἄρχοντος, μήτε ἡγεμόνος τὴν συνήθη δίαιταν περισπῶντος.
διὰ τοῦτο τῶν φρονιμωτάτων καὶ σοφωτάτων, ὀλίγους ἂν εὕροις ἐν ταῖς ἑαυτῶν
πατρίσι κεκηδευμένους· οἱ δὲ πλεῖστοι μηδενὸς ἀναγκάζοντος, αὐτοὶ τὸ ἀγκύριον
ἀράμενοι μεθωρμίσαντο τοὺς βίους, καὶ μετέστησαν, οἱ μὲν εἰς ἀθήνας, οἱ δὲ ἐξ
ἀθηνῶν. τίς γὰρ εἴρηκε τῆς ἑαυτοῦ πατρίδος ἐγκώμιον τοιοῦτον, οἷον εὐριπίδης· ἧ
πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν αὐτόχθονος δ' ἔφυμεν, αἱ δ' ἄλλαι πόλεις πεσ-
σῶν ὁμοίως διαφορηθεῖσαι βολαῖς, ἄλλαι παρ' ἄλλων εἰσὶν ἀγώγιμοι. εἰ δὲ πάρεργον
χρή τι κομπάσαι γυναῖκες, οὐρανὸν ὑπὲρ γῆς ἔχομεν εὖ συγκεκραμένον. ἵν' οὔτ' ἄγαν
πῦρ, οὔτε χεῖμα συμπίτνει. ἃ δ' ἑλλὰς ἀσία τε τρέφει κάλλιστα, τοῦτο δέλεαρ ἔχοντες
συνθηρεύομεν. ἀλλ' ὁ ταῦτα γράψας εἰς μακεδονίαν ᾤχετο καὶ παρ' ἀρχελάῳ κα-
τεβίωσεν. ἀκήκοας δ' ἐπῶν καὶ τουτὶ τὸ ἐπιγραμμάτιον, αἰσχύλον εὐφορίωνος
ἀθηναῖον τόδε κεύθει μνῆμα, καταφθίμενον πυροφόροιο γέλας. καὶ γὰρ καὶ οὗτος εἰς
σικελίαν ἀπῆρε, καὶ σιμωνίδης πρότερον. τὸ δὲ ἡροδότου ἁλικαρνασσέως ἱστορίης
ἀπόδειξις τόδε, πολλοὶ μεταγράφουσιν ἡροδότου θουρίου. μετῴκησε γὰρ εἰς θουρίους καὶ
τῆς ἀποικίας ἐκείνης μετέσχε. τὸ δὲ ἱερὸν καὶ δαιμόνιον ἐν μούσαις πνεῦμα, φρυγίας
κοσμήτορα μάχας ὅμηρον, οὐ διὰ τοῦτο πεποίηκε πολλαῖς ἀμφισβητήσιμον πόλεσιν,
ὅτι μὴ μιᾶς ἐστιν ἐγκωμιαστής, καὶ ξενίου διὸς πολλαὶ τιμαὶ καὶ μεγάλαι. εἰ δὲ φήσει
τις ὅτι δόξαν οὗτοι καὶ τιμὰς ἐθήρευον, ἴθι τοὺς σοφοὺς ἐλθὲ, καὶ τὰς σοφὰς ἀθήνῃσι
σχολὰς καὶ διατριβάς. ἀναπέμπασαι τὰς ἐν λυκείῳ, τὰς ἐν ἀκαδημίᾳ, τὴν στοάν,
τὸ παλλάδιον, τὸ ᾠδεῖον. εἰ τὴν περιπατητικὴν ἀσπάζῃ μάλιστα καὶ τεθαύμα-
κας. ἀριστοτέλης ἦν ἐκ σταγείρων. θεόφραστος, ἐξ ἐφέσου. στράτων, ἐκ λαμψάκου. λύ-
κων, ἐκ τρωάδος. ἀρίστων, ἐκ κέω. κριτόλαος φασηλίτης. εἰς τὴν στωικήν, ζήνων, κιτι-
εύς. κλεάνθης, λύσιος. χρύσιππος, σολεύς. διογένης, βαβυλώνιος. ἀντίπατρος, ταρ-
σεύς. ὁ δὲ ἀθηναῖος ἀρχέδημος εἰς τὴν πάρθων μεταστάς, ἐν βαβυλῶνι στωικὴν
διαδοχὴν ἀπέλιπε. τίς οὖν τούτους ἐδίωξεν, οὐδείς. ἀλλ' αὐτοὶ διώκοντες ἡσυχί-
αν, ἧς οὐ πάνυ μέτεστιν οἴκοι τοῖς ἥντιναοῦν δόξαν ἢ δύναμιν ἔχουσι. τὰ μὲν ἄλλα λό-
γοις, ἔργοις δ' οὗτοι ἡμᾶς διδάσκουσι. καὶ γὰρ νῦν οἱ δοκιμώτατοι καὶ κράτιστοι ζῶ-
σιν ἐπὶ ξένοις, οὐ μετασταθέντες, ἀλλὰ μεταστάντες. οὐδὲ φυγαδευθέντες, ἀλλὰ
φυγόντες αὐτοὶ πράγματα καὶ περισπασμοὺς καὶ ἀσχολίας ἃς αἱ πατρίδες φέ-
ρουσι. καὶ γὰρ τοῖς παλαιοῖς ὡς ἔοικεν αἱ μοῦσαι τὰ κάλλιστα τῶν συνταγμάτων
καὶ δοκιμώτατα φυγὴν λαβοῦσαι συνεργὸν ἐπετέλεσαν. θουκυδίδης ἀθηναῖ-
ος συνέγραψε τὸν πόλεμον τῶν πελοποννησίων καὶ ἀθηναίων ἐν θρᾴκῃ περὶ τὴν
σκαπτὴν ὕλην. ξενοφῶν ἐν σκιλλοῦντι τῆς ἠλείας. φίλιστος ἐν ἠπείρῳ. τί-
μαιος ὁ ταυρομενίτης, ἐν ἀθήναις. ἀνδροτίων ἀθηναῖος ἐν μεγάροις. βακχυ-
λίδης ὁ ποιητὴς ἐν πελοποννήσῳ. πάντες οὗτοι καὶ πλείονες ἄλλοι τῶν πατρί-
δων ἐκπεσόντες, οὐκ ἀπέγνωσαν, οὐδὲ ἔρριψαν ἑαυτούς, ἀλλ' ἐχρήσαντο ταῖς εὐ-
φυΐαις ἐφόδιον παρὰ τῆς τύχης μὲν φυγὴν λαβόντες, δι' ἣν πανταχοῦ καὶ τε-
θνηκότες μνημονεύονται. τῶν δὲ ἐκβαλόντων καὶ στασιασάντων, οὐδὲ εἷς λόγος οὐ-
δενὸς ἀπολέλειπται. διὸ καὶ γελοῖός ἐστιν ὁ νομίζων ἀδοξίαν τῇ φυγῇ προσεῖ-
ναι. τί λέγεις· ἄδοξός ἐστι διογένης ὃν ἰδὼν ἀλέξανδρος ἐν ἡλίῳ καθήμενον ἐπι-
στὰς ἠρώτησεν εἴ τινος δεῖται; τοῦ δὲ μηδέν, ἀλλ' ἢ σμικρὸν ἀποσκοτίσαι κελεύ-
σαντος. ἐκπλαγεὶς τὸ φρόνημα πρὸς τοὺς φίλους εἶπεν, εἰ μὴ ἀλέξανδρος ἤμην,
διογένης ἂν ἤμην. ἠδόξει δὲ κάμιλλος ἐκ τῆς ῥώμης ἐλαυνόμενος, ἧς δεύτερος κτί-
στης νῦν ἀναγορεύεται; καὶ μὴν θεμιστοκλῆς οὐ τὴν ἐν τοῖς ἕλλησι δόξαν φυγὼν ἀπέβα-

λον, ἀλλὰ τὴν ἐν τοῖς βαρβάροις προσέλαβε, καὶ οὐδεὶς ἐστὶν οὕτως ἀφιλότιμος οὐδ᾽ ἀγεννής, ὃς μᾶλλον ἂν ἐβούλετο Λεωβάτης ὁ γραψάμενος, ἢ Θεμιστοκλῆς ὁ φυγαδευθεὶς εἶναι· καὶ Κλώδιος ὁ ἐκβαλών, ἢ Κικέρων ὁ ἐκβληθείς· καὶ Ἀριστοφῶν ὁ κατηγορήσας, ἢ Τιμόθεος ὁ μεταστὰς ἐκ τῆς πατρίδος. ἀλλ᾽ ἐπεὶ πολλοὺς τὰ τοῦ Εὐριπίδου κινεῖ δυνατῶς τῆς φυγῆς κατηγορεῖν δοκοῦντος, σκοπῶμεν ἃ λέγει καθ᾽ ἕκαστον ἐρωτῶν καὶ ἀποκρινόμενος. τί τὸ στέρεσθαι πατρίδος, ἦ κακὸν μέγα; μέγιστον. ἔργῳ δ᾽ ἐστὶ μεῖζον ἢ λόγῳ. τίς ὁ τρόπος αὐτοῦ, τί φυγάσι τὸ δυστυχές; ἓν μὲν μέγιστον οὐκ ἔχει παρρησίαν. δούλου τόδ᾽ εἶπας, μὴ λέγειν ἅ τις φρονεῖ. τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών. ταῦτα πρῶτον οὐκ ὀρθῶς οὐδ᾽ ἀληθῶς ἀξιοῦται. πρῶτον μὲν γὰρ οὐ δούλου τὸ μὴ λέγειν ἅ τις φρονεῖ, ἀλλὰ νοῦν ἔχοντος ἀνδρὸς ἐν καιροῖς καὶ πράγμασιν ἐχεμυθίας, καὶ σιωπῆς δεομένοις, ὥσπερ αὐτὸς ἀλλαχόθι βέλτιον εἴρηκε. σιγᾶν θ᾽ ὅπου δεῖ, καὶ λέγειν ἵν᾽ ἀσφαλές. ἔπειτα τὴν τῶν κρατούντων ἀμαθίαν οὐχ ἧττον οἴκοι μένοντας ἢ φεύγοντας ἀνάγκη φέρειν, ἀλλὰ καὶ μᾶλλον πολλάκις οἱ μένοντες τῶν ἀπαλλαγέντων τοὺς ἰσχύοντας ἐν πόλεσιν ἀδίκως τῷ συκοφαντεῖν ἢ βιάζεσθαι δεδίασι. τὸ δὲ μέγιστον καὶ ἀτοπώτατον, εἰ παρρησίαν τῶν φυγάδων ἀφαιρεῖται, θαυμαστὸν γὰρ εἰ Θεόδωρος ἀπαρρησίαστος ἦν, ὃ Λυσιμάχου τοῦ βασιλέως εἰπόντος, πρὸς τὴν πατρίδα σε τοιοῦτον ὄντα ἐξέβαλε; ναί εἶπε, μὴ δυναμένη φέρειν, ὥσπερ ἡ Σεμέλη τὸν Διόνυσον. ἐπιδείξαντος δ᾽ αὐτῷ Τελεσφόρον ἐν γαλεάγρᾳ τοὺς ὀφθαλμοὺς ἐξορωρυγμένον καὶ περικεκομμένον τὴν ῥῖνα καὶ τὰ ὦτα καὶ τὴν γλῶτταν ἐκτετμημένον καὶ εἰπόντος, οὕτως ἐγὼ διατίθημι τοὺς κακῶς με ποιοῦντας. τί δὲ Διογένης οὐκ εἶχε παρρησίαν, ὃς εἰς τὸ τοῦ Φιλίππου στρατόπεδον παρελθὼν ὁπηνίκα μαχούμενος ἐχώρει τοῖς Ἕλλησι, καὶ πρὸς αὐτὸν ἀναχθεὶς ὡς κατάσκοπος, ναὶ κατάσκοπος ἔφη τῆς ἀπληστίας ἀφῖχθαι αὐτοῦ καὶ τῆς ἀφροσύνης ἥκοντος ἐν βραχεῖ καιρῷ διακυβεύσοντος περὶ τῆς ἡγεμονίας ἅμα καὶ τοῦ σώματος. τί δὲ Ἀννίβας ὁ Καρχηδόνιος, οὐκ ἐχρῆτο παρρησίᾳ πρὸς Ἀντίοχον, βασιλέα ὄντα, φυγὰς ὤν; ὁπηνίκα καιροῦ διδόντος ἐκέλευεν αὐτὸν ἐπιχειρεῖν τοῖς πολεμίοις· τοῦ δὲ θυσαμένου καὶ τὰ σπλάγχνα κωλύειν φάσκοντος, ἐπετίμησεν εἰπών, σὺ τὰ κρέας λέγει ποιεῖς, οὐ τὰ νοῦν ἔχων ἄνθρωπος. ἀλλ᾽ οὐδὲ γεωμετρῶν φυγὴ παρρησίαν, οὐδὲ γραμματικῶν ἀφαιρεῖται, περὶ ὧν ἴσασι καὶ μεμαθήκασι διαλεγομένων. πόθεν γε δὴ καλῶν κἀγαθῶν ἀνθρώπων; ἀλλὰ τὸ ἀγεννὲς πανταχοῦ τὴν φωνὴν ἐμφράττει, τὴν γλῶτταν ἀποστρέφει, ἄγχει, σιωπᾶν ποιεῖ. τὰ δ᾽ ἑξῆς τοῦ Εὐριπίδου ποῖά τινά ἐστιν; αἱ δ᾽ ἐλπίδες βόσκουσι φυγάδας ὡς λόγος. καλοῖς βλέπουσί γ᾽ ὄμμασι, μέλλουσι δέ. καὶ τοῦτο τῆς ἀβελτηρίας ἔγκλημα μᾶλλον ἢ τῆς φυγῆς ἐστιν. οὐ γὰρ οἱ μαθόντες οὐδ᾽ ἐπιστάμενοι χρῆσθαι τοῖς παροῦσιν, ἀλλ᾽ οἱ ἀεὶ τοῦ μέλλοντος ἐκκρεμάμενοι, καὶ γλιχόμενοι τῶν ἀπόντων, ὡς ἐπὶ σχεδίας διαφέρονται τῆς ἐλπίδος, κἂν μηδέποτε τοῦ τείχους ἔξω προέλθωσι. φίλοι δὲ πατρὸς καὶ ξένοι σ᾽ οὐκ ὠφέλουν; εὖ πρᾶσσε· τὰ φίλων δ᾽ οὐδέν, ἤν τις δυστυχῇ. οὐδ᾽ ηὐγένειά σ᾽ ἦρεν εἰς ὕψος μέγα; κακὸν τὸ μὴ ἔχειν, τὸ γένος δ᾽ οὐκ ἐβόσκε με. ταῦτα ἤδη καὶ ἀχάριστα τοῦ Πολυνείκους, δυσγένειαν μὲν εὐγενείας, ἀφιλίαν δὲ τῆς φυγῆς κατηγοροῦντος, ὅς γε διὰ τὴν εὐγένειαν ἠξιώθη μὲν φυγὰς ὢν γάμων βασιλικῶν· φίλων δὲ συμμαχίᾳ καὶ δυνάμει τοσαύτῃ πεφραγμένος, ἐστράτευσεν, ὡς αὐτὸς μετὰ μικρὸν ὁμολογεῖ. πολλοὶ Δαναῶν καὶ Μυκηναίων ἄκροι πάρεισι, λυπρὰν χάριν, ἀναγκαίαν δέ μοι διδόντες. καὶ τὰ τῆς μητρὸς ὀλοφυρομένης. ἐγὼ δέ σοι οὔτε πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις, ἀνυμέναια δ᾽ Ἰσμηνὸς ἐκηδεύθη λουτροφόρου χλιδᾶς. ταῦτ᾽ ἔδει χαίρειν καὶ

ἀγαπᾶν πυνθανομένην ναίοντα βασίλεια τηλικαῦτα τὸν υἱόν, ἡ δὲ θρηνοῦσα τὴν οὐκ ἀναφθεῖσαν λαμπάδα, καὶ τὸν οὐ παρασχόντα λουτρὸν Ἰσμηνόν, ὡς ἐν Ἄργει μήτε ὕδωρ τῶν γαμούντων μήτε πῦρ ἐχόντων, τὰ τοῦ τύφου κακὰ καὶ τῆς ἀβελτηρίας τῇ φυγῇ περιτίθησιν. ἀλλ᾽ ἐπονείδιστον ὁ φυγάς ἐστι; παρά γε τοῖς ἄφροσιν, οἳ καὶ τὸν πτωχὸν λοιδόρημα ποιοῦνται, καὶ τὸν φαλακρὸν καὶ τὸν μικρὸν καὶ νὴ Δία τὸν ξένον καὶ τὸν μέτοικον. ἀλλὰ μὴν οἱ μὴ τούτοις ὑποφερόμενοι θαυμάζουσι τοὺς ἀγαθούς, κἂν πένητες ὦσι, κἂν ξένοι, κἂν φυγάδες. ἀλλ᾽ οὐχ ὁρῶμεν ὥσπερ τὸν Παρθενῶνα καὶ τὸ Ἐλευσίνιον, οὕτω καὶ τὸ Θησεῖον ἅπαντας προσκυνοῦντας; καὶ μὴν ἔφυγε Θησεὺς ἐξ Ἀθηνῶν, δι᾽ ὃν οἰκοῦσι νῦν αἱ Ἀθῆναι ἄνθρωποι, καὶ πόλιν ἀπέβαλεν ἣν οὐκ εἶχεν, ἀλλ᾽ αὐτὸς ἔκτισε. τῇ δὲ Ἐλευσῖνι τί λείπεται καλὸν, ἂν αἰσχυνόμεθα τὸν Εὔμολπον, ὃς ἐκ Θρᾴκης μεταστὰς ἐμύησε καὶ μυεῖ τοὺς Ἕλληνας; Κόδρος δὲ τίνος ὢν ἐβασίλευσεν; οὐ Μελάνθου φυγάδος ἐκ Μεσσήνης; τὸ δὲ τοῦ Ἀντισθένους οὐκ ἐπαινεῖς, πρὸς τὸν εἰπόντα ὅτι Φρυγία σου ἐστὶν ἡ μήτηρ· καὶ γὰρ ἡ τῶν θεῶν; τί οὖν οὐ καὶ σὺ λοιδορούμενος φυγάς, ἀποκρίνῃ· καὶ γὰρ ὁ τοῦ Ἡρακλέους τοῦ καλλινίκου πατὴρ φυγὰς ἦν, καὶ ὁ τοῦ Διονύσου πάππος, ὃς ἐκπεμφθεὶς τὴν Εὐρώπην ἀνευρεῖν οὐκ αὐτὸς ἐπανῆλθε. φοῖνιξ πεφυκώς, ἐκ δ᾽ ὁρίζεται γένος, ἐς τὰς Θήβας παραγενόμενος, οὐχ ἣν ὀρσιγύναικα Διόνυσον μαινομέναις θύοντα τιμαῖς. καὶ τάδε μὲν ὧν Αἰσχύλος ᾔνιξατο καὶ ὑπεδήλωσεν εἰπών, ἁγνόν τ᾽ Ἀπόλλων᾽ φυγάδ᾽ ἀπ᾽ οὐρανοῦ θεόν, εὔστομά μοι κείσθω καθ᾽ Ἡρόδοτον. ὁ δ᾽ Ἐμπεδοκλῆς ἐν ἀρχῇ τῆς φιλοσοφίας προαναφωνήσας, ἔστι τι Ἀνάγκης χρῆμα θεῶν ψήφισμα παλαιόν, εὖτέ τις ἀμπλακίῃσι φόνῳ φίλα γυῖα μιήνῃ, δαίμονες οἵτε μακραίωνες λελόγχασι βίοιο. τρίς μιν μυρίας ὥρας ἀπὸ μακάρων ἀλάλησθαι. τὴν καὶ ἐγὼ νῦν εἶμι, φυγὰς θεόθεν καὶ ἀλήτης. οὐχ ἑαυτὸν ἀλλ᾽ ἀφ᾽ ἑαυτοῦ πάντας ἀποδείκνυσι μετανάστας ἐνταῦθα καὶ ξένους καὶ φυγάδας ἡμᾶς ὄντας. οὐ γὰρ αἷμα φησὶν ἡμῖν οὐδὲ πνεῦμα συγκραθὲν ὦ ἄνθρωποι ψυχῆς οὐσίαν καὶ ἀρχὴν παρέσχεν, ἀλλ᾽ ἐκ τούτων τὸ σῶμα συμπέπλασται, γηγενὲς καὶ θνητόν. τῆς δὲ ψυχῆς ἀλλαχόθεν ἡκούσης δεῦρο τὴν γένεσιν ἀποδημίαν ὑποκορίζεται τῷ πρᾳοτάτῳ τῶν ὀνομάτων. τὸ δ᾽ ἀληθέστατον, φεύγει καὶ πλανᾶται θείοις ἐλαυνομένη δόγμασι καὶ νόμοις. εἶτα ὥσπερ ἐν νήσῳ σάλον ἐχούσῃ πολὺν καθάπερ φησὶν ὁ Πλάτων ὀστρέου τρόπον ἐνδεδεμένη τῷ σώματι, διὰ τὸ μὴ μνημονεύειν μὴ δ᾽ ἀναφέρειν ἐξ οἵας τιμῆς τε καὶ ὅσου μήκους ὄλβου μεθέστηκεν, οὐ Σάρδεων Ἀθήνας, οὐδὲ Κορίνθου Λῆμνον ἢ Σκῦρον, ἀλλ᾽ οὐρανοῦ καὶ σελήνης γῆν ἀμειψαμένη καὶ τὸν ἐπὶ γῆς βίον, ἵνα μικρὸν ἐνταῦθα τόπον ἐκ τόπου παραλλάξῃ, δυσανασχετεῖ καὶ ξενοπαθεῖ καθάπερ φυτὸν ἀγεννὲς ἀπομαραινομένη. καίτοι φυτῷ μὲν ἐστί τις χώρα μᾶλλον ἑτέρας ἑτέρα πρόσφορος, ἐν ᾗ τρέφεται καὶ βλαστάνει βέλτιον, ἀνθρώπου δ᾽ οὐδεὶς ἀφαιρεῖται τόπος εὐδαιμονίαν, ὥσπερ οὐδ᾽ ἀρετὴν οὐδὲ φρόνησιν. ἀλλ᾽ Ἀναξαγόρας μὲν ἐν τῷ δεσμωτηρίῳ τὸν τοῦ κύκλου τετραγωνισμὸν ἔγραφε, Σωκράτης δὲ φάρμακον πίνων ἐφιλοσόφει, καὶ παρεκάλει φιλοσοφεῖν τοὺς συνήθεις, εὐδαιμονιζόμενος ὑπ᾽ αὐτῶν. τὸν δὲ Φαέθοντα καὶ τὸν Τάνταλον εἰς τὸν οὐρανὸν ἀναβάντας, οἱ ποιηταὶ λέγουσι ταῖς μεγίσταις συμφοραῖς περιπεσεῖν διὰ τὴν ἀφροσύνην.

Υτω δὴ καὶ δοκεῖ μηθὲν τοῦ μίσους διαφέρειν ὁ φθόνος, ἀλλ' ὁ αὐτὸς εἶναι. καθόλου μὲν γὰρ ὥσπερ πολυάγκιστρον ἡ κακία τοῖς ἐξηρτημένοις αὐτῆς πάθεσι κινουμένη δεῦρο κἀκεῖσε πολλὰς πρὸς ἄλληλα συναφὰς καὶ περιπλοκὰς ἐνδίδωσι. ταῦτα δὲ ὥσπερ νοσήματα συμπαθεῖ ταῖς ἀλλήλων φλεγμοναῖς. ὁ γὰρ εὐτυχῶν, ὁμοίως καὶ τὸν μισοῦντα λυπεῖ καὶ τὸν φθονοῦντα. διὸ καὶ τὴν εὔνοιαν ἀμφοτέροις νομίζομεν ἀντικεῖσθαι, βούλησιν οὖσαν ἀγαθῶν τοῖς πλησίον, καὶ τῷ μισεῖν τὸ φθονεῖν ταυτὸν εἶναι, ὅτι τὴν ἐναντίαν τῷ φιλεῖν ἔχει προαίρεσιν. ἐπεὶ δὲ οὐχ οὕτω ταυτὸν αἱ ὁμοιότητες ὡς ἕτερον αἱ διαφοραὶ ποιοῦσι, κατὰ ταύτας ζητοῦμεν ἐὰν μεταδιώξωμεν, ἀπὸ τῆς γενέσεως ἀρξάμενοι τῶν παθῶν. γεννᾶται τοίνυν τὸ μῖσος ἐκ φαντασίας τοῦ ὅτι πονηρὸς, ἢ κοινῶς, ἢ πρὸς αὐτόν ἐστιν ὁ μισούμενος. καὶ γὰρ ἀδικεῖσθαι προσδόξαντες, αὐτοὶ πεφύκασι μισεῖν, καὶ τοὺς ἄλλως ἀδικητικοὺς ἢ πονηροὺς, προβάλλονται καὶ δυσχεραίνουσι. φθονοῦσι δὲ ἁπλῶς τοῖς εὖ πράττειν δοκοῦσιν. ὅθεν ἔοικεν ὁ μὲν φθόνος ἀόριστος εἶναι, καθάπερ ὀφθαλμία πρὸς ἅπαν τὸ λαμπρὸν ἐκταρασσόμενος. τὸ δὲ μῖσος ὥρισται καθ' ὑποκειμένων ἀεί τινων ἀπερειδόμενον πρὸς αὐτόν. δεύτερον δὲ τὸ μισεῖν γίνεται καὶ πρὸς ἄλογα ζῶα. καὶ γὰρ γαλᾶς καὶ κανθαρίδας ἔνιοι μισοῦσι, καὶ φρύνους, καὶ ὄφεις. γερμανικὸς δὲ, ἀλεκτρυόνος οὔτε φωνὴν οὔτε ὄψιν ὑπέμεινεν. οἱ δὲ περσῶν μάγοι τοὺς μῦς ἀπεκτίννυσαν, ὡς αὐτοί τε μισοῦντες καὶ τοῦ θεοῦ δυσχεραίνοντος τὸ ζῶον. ὁμοῦ τε γὰρ πάντες ἄραβες καὶ αἰθίοπες μυσάττονται. τὸ μέντοι φθονεῖν πρὸς μόνον ἄνθρωπον ἀνθρώπῳ γίνεται. κἂν τοῖς θηρίοις δὲ φθόνον μὲν οὐκ εἰκὸς ἐγγίνεσθαι πρὸς ἄλληλα. τοῦ γὰρ εὖ πράττειν ἢ κακῶς ἑτέρου, φαντασίαν οὐ λαμβάνουσι. οὐδὲ ἅπτεται τὸ ἔνδοξον ἢ ἄδοξον αὐτῶν, οἷς ὁ φθόνος ἐκτραχύνεται μάλιστα. μισοῦσι δὲ ἄλληλα καὶ ἀπεχθάνονται καὶ πολεμοῦσιν ὥσπερ αἰγιθαλλοὶ ἀπίστους τινάς. πολεμοῦσι δὲ ἀετοὶ καὶ δράκοντες, κορῶναι καὶ γλαῦκες, ἀλλὰ καὶ ἀκανθυλλίδες. ὥστε τούτων γε φασὶ μηδὲ τὸ αἷμα κίρνασθαι σφαττομένων. ἀλλὰ κἂν μίξῃς ἰδίᾳ πάλιν ἀπορρεῖ διακρινόμενον. εἰκότως δὲ καὶ τῷ λέοντι πρὸς τὸν ἀλεκτρυόνα, καὶ τῷ ἐλέφαντι πρὸς τὴν ὗν μῖσος ἰσχυρὸν γεγεννηκέναι τὸν φόβον. ὃ γὰρ δεδίασι, καὶ μισεῖν πεφύκασιν, ὥστε καὶ ταύτῃ φαίνεσθαι διαφέροντα τοῦ μίσους τὸν φθόνον, τὸ μὲν δεχομένης τῆς τῶν θηρίων φύσεως, τὸν δὲ μὴ δεχομένης. ἔτι τοίνυν τὸ μὲν φθονεῖν, πρὸς οὐδένα γίνεται δικαίως. οὐδεὶς γὰρ ἀδικεῖ τῷ εὐτυχεῖν, ἐπὶ τούτῳ δὲ φθονοῦνται. μισοῦνται δὲ πολλοὶ δικαίως, ὡς οὓς ἀξιομισήτους καλοῦμεν, κἂν μὴ φεύγωσι τοὺς τοιούτους μηδὲ βδελύττωνται καὶ δυσχεραίνωσι. μέγα δὲ τούτου τεκμήριον. ὅτι μισεῖν μὲν πολλοὺς ὁμολογοῦσιν ἔνιοι, φθονεῖν δὲ οὐδενὶ λέγουσι. καὶ γὰρ ἡ μισοπονηρία τῶν ἐπαινουμένων ἐστὶ, καὶ τὸν ἀδελφιδοῦν τοῦ Λυκούργου Χάριλλον βασιλεύοντα τῆς σπάρτης, ἐπιεικῆ δὲ ὄντα καὶ πρᾶον, ἐπαινούντων τινῶν, ὁ συνάρχων καὶ πῶς ἔφη χρηστός ἐστι Χάριλλος, ὃς οὐδὲ τοῖς πονηροῖς χαλεπός ἐστι. καὶ τοῦ θερσίτου ὁ ποιητὴς τὴν μὲν τοῦ σώματος κακίαν, πολυμερῶς καὶ περιωδευμένως ἐξεμόρφωσε. τὴν δὲ τοῦ ἤθους μοχθηρίαν συντομώτατα, καὶ δι' ἑνὸς ἔφρασεν. ἔχθιστος δ' ἀχιλῆϊ μάλιστ' ἦν ἠδ' ὀδυσῆϊ. ὑπερβολὴ γάρ τις φαυλότητος, τὸ τοῖς κρατίστοις ἐχθρὸν εἶναι, καὶ φθονεῖν δὲ ἀρνοῦνται, κἂν ἐλέγχωνται, μυρίας σκήψεις προΐσχονται. ὀργίζεσθαι λέγοντες ἢ φοβεῖσθαι τὸν ἄνθρωπον ἢ μισεῖν. ὅτι ἂν τύχωσιν ἄλλο τῷ φθόνῳ τοῦ πάθους ὄνομα περιβάλλοντες καὶ καλύπτοντες, ὡς μόνον τοῦτο τοῖς αὐτοῖς τῶν τῆς ψυχῆς νοσημάτων ἀπόρρητον. ἀνάγκη τοίνυν τὰ πάθη ταῦτα τοῖς αὐτοῖς, ὥσπερ τὰ φυτὰ καὶ τρέφεσθαι καὶ αὔξεσθαι καὶ ἐπιγίνεσθαι πέφυκεν ἀλλήλοις. μι-

σοῦ μέν γε

σοῦ μέν γε μᾶλλον τοὺς μᾶλλον εἰς πονηρίαν ἐπιδιδόντας. φθονοῦσι δὲ μᾶλλον, τοὺς μᾶλλον ἐπ' ἀρετῇ προϊέναι δοκοῦσι. διὸ καὶ θεμιστοκλῆς ἔτι μειράκιον ὤν, οὐδὲν ἔφη πράττειν λαμπρὸν, οὔπω γὰρ φθονεῖσθαι. καθάπερ γὰρ αἱ κανθαρίδες ἐμφύονται μάλιστα τῷ ἀκμάζοντι σίτῳ, καὶ τοῖς εὐθαλέσι ῥόδοις, οὕτως ὁ φθόνος ἅπτεται μάλιστα τῶν χρηστῶν καὶ αὐξομένων πρὸς ἀρετὴν καὶ δόξαν ἠθῶν καὶ προσώπων. καὶ τοὐναντίον αὖ πάλιν αἱ μὲν ἄκρατοι πονηρίαι, συνεπιτείνουσι τὸ μῖσος. τοὺς γοῦν σωκράτη συκοφαντήσαντας, ὡς εἰς ἔσχατον κακίας ἐληλακότας, οὕτως ἐμίσησαν οἱ πολῖται καὶ ἀπεστράφησαν, ὡς μήτε πῦρ αὔειν, μήτε ἀποκρίνεσθαι πυνθανομένοις, μὴ λουομένοις κοινωνεῖν ὕδατος. ἀλλ' ἀναγκάζειν ἐκχεῖν ἐκεῖνο τοὺς παραχύτας ὡς μεμιασμένον, ἕως ἀπήγξαντο μὴ φέροντες τὸ μῖσος. αἱ δὲ τῶν εὐτυχημάτων ὑπεροχαὶ καὶ λαμπρότητες, πολλάκις τὸν φθόνον κατασβεννύουσιν. οὐ γὰρ εἰκὸς ἀλεξάνδρῳ τινὰ φθονεῖν, οὐδὲ κύρῳ, κρατήσασι καὶ γενομένοις κυρίοις ἁπάντων, ἀλλ' ὥσπερ ὁ ἥλιος ὧν ἂν ὑπὲρ κορυφῆς γένηται καταχεόμενος τὸ φῶς ἢ παντάπασι τὴν σκιὰν ἀνεῖλεν, ἢ μικρὰν ἐποίησεν, οὕτω πολὺ τῶν εὐτυχημάτων ὕψος λαβόντων καὶ γενομένων κατὰ κεφαλῆς τοῦ φθόνου, συστέλλεται καὶ ἀναχωρεῖ καταλαμπόμενος. τὸ μέντοι μῖσος οὐκ ἀνίησιν ἡ τῶν ἐχθρῶν ὑπεροχὴ καὶ δύναμις. ὁ γοῦν ἀλέξανδρος, φθονοῦντα μὲν, οὐδένα εἶχε. μισοῦντας δὲ, πολλοὺς ὑφ' ὧν τέλος ἐπιβουλευθεὶς, ἀπέθανεν. ὁμοίως τοίνυν καὶ τὰ δυστυχήματα τοὺς μὲν φθονοῦντας παύει, τὰς δ' αὖ ἔχθρας οὐκ ἀναιρεῖ. μισοῦσι γὰρ καὶ ταπεινοὺς τοὺς ἐχθροὺς γενομένους, φθονεῖ δὲ οὐδεὶς τῷ δυστυχοῦντι. ἀλλὰ καὶ τὸ ῥηθὲν ὑπό τινος τῶν καθ' ἡμᾶς σοφιστῶν, ὅτι ἥδιστα οἱ φθονοῦντες ἐλεοῦσιν ἀληθές ἐστιν, ὥστε καὶ ταύτην μεγάλην εἶναι τῶν παθῶν διαφοράν, ὡς τὸ μὲν μῖσος, οὔτε εὐτυχούντων οὔτε δυστυχούντων ἀφίστασθαι πέφυκεν. ὁ δὲ φθόνος πρὸς τὴν ἀμφοῖν ὑπερβολὴν ἀπαγορεύει. ἔτι τοίνυν καὶ μᾶλλον οὕτως ἀπὸ τῶν ἐναντίων τὸ αὐτὸ σκοπῶμεν. λύουσι γὰρ ἔχθρας καὶ μῖσος, ἢ πεισθέντες μηδὲν ἀδικεῖσθαι, ἢ δόξαν ὡς χρηστῶν οὓς ἐμίσουν ὡς πονηροὺς λαβόντες, ἢ τρίτον εὖ παθόντες. ἡ γὰρ τελευταία χάρις, ὡς θουκυδίδης φησὶ, κἂν ἐλάττων ᾖ, καιρὸν ἔχουσα, δύναται μεῖζον ἔγκλημα λῦσαι. τούτων δὲ τὸ μὲν πρῶτον, οὐ λύει τὸν φθόνον, πεπεισμένοι γὰρ ἐξ ἀρχῆς μηδὲν ἀδικεῖσθαι, φθονοῦσι. τὰ δὲ λοιπὰ, καὶ παροξύνει. τοῖς τε γὰρ δοκοῦσι χρηστοῖς, βασκαίνουσι μᾶλλον, ὡς δὴ τὸ μέγιστον ἀγαθὸν τὴν ἀρετὴν ἔχουσι, κἂν εὖ πάσχωσιν ὑπὸ τῶν εὐτυχούντων, ἀνιῶνται φθονοῦντες αὐτοῖς καὶ τῆς προαιρέσεως καὶ τῆς δυνάμεως. ἡ μὲν γὰρ, ἀρετῆς ἐστι. τὸ δὲ, εὐτυχίας. ἀγαθὰ δὲ ἀμφότερα. διὸ παντελῶς ἕτερόν ἐστι τοῦ μίσους πάθος ὁ φθόνος. εἰ δι' ὧν ἐκεῖνο πραΰνεται, τοῦτο λυπεῖται καὶ παροξύνεται. ἤδη τοίνυν καὶ τὴν προαίρεσιν αὐτὴν ἑκατέρου πάθους σκοπῶμεν. ἔστι δὲ μισοῦντος μὲν προαίρεσις, κακῶς ποιῆσαι. καὶ τὴν δύναμιν οὕτως ὁρίζονται διάθεσίν τινα καὶ προαίρεσιν ἐπιτηρητικὴν τοῦ κακῶς ποιῆσαι. τῷ φθόνῳ δὲ, τοῦτο γοῦν ἄπεστι. πολλοὺς οἱ φθονοῦντες τῶν συνήθων καὶ οἰκείων, ἀπολέσθαι μὲν οὐκ ἂν ἐθέλοιεν, οὐδὲ δυστυχῆσαι, βαρύνονται δὲ εὐτυχοῦντας, καὶ κωλύουσι μὲν εἰ δύνανται τὴν δόξαν αὐτῶν καὶ λαμπρότητα, συμφορὰς δὲ ἀνηκέστους οὐκ ἂν προσβάλοιεν, ἀλλ' ὥσπερ οἰκίας ὑπερεχούσης, τὸ ἐπισκοτοῦν αὐτῆς καθελόντες, ἀρκοῦνται.

ΠΑΡΑΜΥΘΗΤΙΚΟΣ ΠΡΟΣ ΤΗΝ ΙΔΙΑΝ ΓΥΝΑΙΚΑ.

Πλούταρχος τῇ γυναικὶ εὖ πράττειν. ὃν ἔπεμψας ἀπαγγελοῦντα
περὶ τῆς τοῦ παιδίου τελευτῆς, ἔοικε διημαρτηκέναι καθ' ὁδὸν
εἰς ἀθήνας πορευόμενος· ἐγὼ δὲ εἰς τάναγραν ἐλθὼν ἐπυθόμην παρὰ
τῆς θυγατριδῆς. τὰ μὲν οὖν περὶ τὴν ταφὴν, ἤδη νομίζω γε-
γονέναι· γεγονότα δὲ ἐχέτω ὡς σοὶ μέλλει καὶ νῦν ἀλυπότατα καὶ
πρὸς τὸ λοιπὸν ἕξειν, εἰ δέ τι βουλομένη μὴ πεποίηκας, ἀλλὰ μένεις τὴν ἐμὴν γνώ-
μην, οἴει δὲ κουφότερον οἴσειν γενομένου, καὶ τοῦτ' ἔσται δίχα πάσης περιεργίας
καὶ δεισιδαιμονίας, ὧν ἥκιστά σοι μέτεστι· μόνον ὦ γύναι τήρει κἀμὲ τῷ πάθει,
καὶ σεαυτὴν ἐν τῷ καθεστῶτι. ἐγὼ γὰρ αὐτὸ μὲν οἶδα, καὶ ὁρίζω τὸ συμβεβηκὸς,
ἡλίκον ἐστὶν, ἂν δὲ σὲ τῷ δυσφορεῖν ὑπερβάλλουσαν εὕρω, τοῦτό μοι μᾶλλον ἐνο-
χλήσει τοῦ γεγονότος. καίτοι οὐδὲ αὐτὸς ἀπὸ δρυὸς, οὐδ' ἀπὸ πέτρης ἐγενόμην,
οἶσθα δὲ καὶ αὐτὴ, τοσούτων μοι τέκνων ἀνατροφῆς κοινωνήσασα, πάντων ἐκτεθραμμέ-
νων οἴκοι δι' αὐτῶν ἡμῶν, ταύτην δὲ ὅτι καὶ σοὶ ποθούσῃ, θυγάτηρ μετὰ τέσσαρας
υἱοὺς ἐγεννήθη, κἀμοὶ τὸ σὸν ὄνομα θέσθαι παρέσχεν ἀφορμὴν, οἶδα ἀγαπητὸν δι-
αφερόντως γενόμενον. πρόσεστι δὲ καὶ δριμύτης ἰδία τις τῷ πρὸς τὰ τηλικαῦ-
τα φιλοστόργῳ, τὸ εὐφραῖνον αὐτῆς καθαρὸν ὂν ἀτεχνῶς, καὶ πάσης ἀμιγὲς
ὀργῆς καὶ μέμψεως. αὐτὴ δὲ καὶ φύσει θαυμαστὴν ἔσχεν εὐκολίαν καὶ πρᾳότητα,
καὶ τὸ ἀντιφιλοῦν καὶ χαριζόμενον αὐτῆς, ἡδονὴν ἅμα καὶ κατανόησιν τοῦ φιλαν-
θρώπου παρεῖχεν. οὐ γὰρ μόνον βρέφεσιν ἄλλοις, ἀλλὰ καὶ σκεύεσιν οἷς ἐτέρπετο
καὶ παιγνίοις, τὴν τιτθὴν διδόναι καὶ προσφέρειν τὸν μαστὸν προσεκαλεῖτο, καλῶν, ὧν
καθάπερ πρὸς τράπεζαν ἰδίαν ὑπὸ φιλανθρωπίας μεταδιδοῦσα ἀλλ' οὐχ ὁρῶ γύναι διὰ
εἶχε, καὶ τὰ ἥδιστα κοινουμένη τοῖς εὐφραίνουσιν αὐτήν.
τί ταῦτα καὶ τὰ τοιαῦτα, ζώσης μὲν ἔτερπεν ἡμᾶς, νυνὶ δὲ ἀνιάσει καὶ συντα-
ράξει, λαμβάνοντας ἐπίνοιαν αὐτῶν. ἀλλὰ δέδια πάλιν μὴ συνεκβάλωμεν τῷ
λυποῦντι τὴν μνήμην, ὥσπερ ἡ κλυμένη λέγουσα, μισῶ δ' ἀγκύλον τόξον κρα-
νείας, γυμνάσιά τ' οἴχοιτο, ἀεὶ φεύγουσα καὶ τρέμουσα τὴν ὑπόμνησιν τοῦ παιδὸς, διὰ
τὸ συμπαροῦσαν αὐτὴν ἔχειν· πᾶν γὰρ ἡ φύσις φεύγει τὸ δυσχεραινόμενον. δεῖ
δὲ ὥσπερ αὐτὴ πάντων ἥδιστον ἡμῖν ἄσπασμα καὶ θέαμα, καὶ ἄκουσμα παρεῖ-
χεν ἑαυτὴν, οὕτω καὶ τὴν ἐπίνοιαν αὐτῆς ἐν διαιτᾶσθαι καὶ συμβιοῦν ἡμῖν πλέ-
ον ἔχουσαν μᾶλλον δὲ πολυπλάσιον τὸ εὐφραῖνον ἢ τὸ λυποῦν. εἴπερ ἄρα τι τῶν
λόγων, οὓς πολλάκις εἰρήκαμεν πρὸς ἑτέρους, εἰκός ἐστιν καὶ ἡμῖν ὄφελος ἐν και-
ρῷ γενέσθαι, καὶ μὴ καθῆσθαι, μηδ' ἐγκαλεῖσθαι πολυπλασίας ταῖς ἡδοναῖς
ἐκείναις λύπας ἀνταποδιδόντας. καὶ τοῦτο λέγουσιν οἱ παραγενόμενοι, καὶ θαυμά-
ζουσιν ὡς οὐδὲ ἱμάτιον ἀνείληφας πένθιμον, οὐδὲ σαυτῇ τινὰ προσήγαγες, ἢ θερα-
παινίσιν ἀμορφίαν καὶ αἰκίαν, οὐδὲ ἦν παρασκευὴ πολυτελείας πανηγυρικῆς
περὶ τὴν ταφὴν, ἀλλ' ἐπράττετο κοσμίως πάντα καὶ σιωπῇ μετὰ τῶν ἀναγ-
καίων. ἐγὼ δὲ τοῦτο μὲν οὐκ ἐθαύμαζον, εἰ μηδέποτε καλλωπισαμένη περὶ θέα-
τρον ἢ πομπὴν, ἀλλὰ καὶ πρὸς ἡδονὰς ἄχρηστον ἡγησαμένη τὴν πολυτέλειαν, ἐν τοῖς
σκυθρωποῖς διεφύλαξας τὸ ἀσφαλὲς καὶ λιτόν. οὐ γὰρ ἐν βακχεύμασι δεῖ
μόνον τὴν σώφρονα μένειν ἀδιάφθορον, ἀλλὰ μηδὲν οἴεσθαι ἧττον ἐν πένθεσι τὸν σά-
λον, καὶ τὸ κίνημα τοῦ πάθους ἐγκρατείας δεῖσθαι διαμαχομένης οὐ πρὸς τὸ φι-
λόστοργον, ὡς οἱ πολλοὶ νομίζουσιν, ἀλλὰ πρὸς τὸ ἀκόλαστον τῆς ψυχῆς. τῷ μὲν γὰρ φι-
λοστόργῳ χαριζόμεθα τὸ ποθεῖν καὶ τὸ τιμᾶν καὶ τὸ μεμνῆσθαι τῶν ἀπογενομένων, ἡ δὲ
θρήνων ἄπληστος ἐπιθυμία καὶ πρὸς ὀλοφύρσεις ἐξάγουσα καὶ κοπετοὺς, αἰσχρὰ
μὲν

λαπλάσιον .l.

μὲν οὐχ ἧττον τῆς περὶ τὰς ἡδονὰς ἀκρασίας, λόγῳ δὲ συγγνώμης ἔτυχεν, ὅτι
τὸ λυπηρὸν αὐτῆς καὶ πικρὸν ἀντὶ τοῦ τερπνοῦ τῷ αἰσχρῷ πρόσεστι. τί γὰρ ἀλο-
γώτερον, ἢ τὸ γέλωτος μὲν ὑπερβολὰς καὶ περιχαρείας ἀφαιρεῖν, τοῖς δὲ κλαυ-
θμῶν καὶ ὀδυρμῶν ῥεύμασιν ἐκ μιᾶς πηγῆς φερομένοις εἰς ἅπαν ἐφιέναι· καὶ
περὶ μύρου μὲν ἐνίους καὶ πορφύρας διαμάχεσθαι ταῖς γυναιξὶν, κουρὰς δὲ συγ-
χωρεῖν πενθίμους, καὶ βαφὰς ἐσθῆτος μελαίνης, καὶ καθίσεις ἀμόρφους, καὶ
κατακλίσεις ἐπιπόνους, καὶ ὃ δὴ πάντων ἐστὶ χαλεπώτατον, ἂν οἰκέτας ἢ θε-
ραπαινίδας κολάζωσιν ἀμέτρως καὶ ἀδίκως, ἐνίστασθαι καὶ κωλύειν αὐτὰς, ὑ-
φ' ἑαυτῶν δὲ ὠμῶς κολαζομένας καὶ πικρῶς, περιορᾶν ἐν πάθεσι καὶ τύχαις
ἐσχάτως καὶ φιλανθρωπίας δεομένας. ἀλλὰ ἡμῖν γε γύναι πρὸς ἀλλήλους, οὔτ'
ἐκείνης ἐδέησε τῆς μάχης, οὔτε ταύτης οἶμαι δεήσειν. εὐτελείᾳ μὲν γὰρ τῇ περὶ
τὸ σῶμα καὶ ἀθρυψίᾳ τῇ περὶ δίαιταν, οὐδεὶς ἐστὶ τῶν φιλοσόφων, ὃν οὐκ ἐξέ-
πληξας, ἐν ὁμιλίᾳ καὶ συνηθείᾳ γενόμενον ἡμῖν, οὔτε τῶν πολιτῶν, ᾧ μὴ θέα-
μα παρέχεις ἐν ἱεροῖς καὶ θυσίαις καὶ θεάτροις, τὴν σεαυτῆς ἀφέλειαν. ἤδη δὲ
καὶ περὶ τὰ τοιαῦτα, πολλὴν εὐστάθειαν ἐπεδείξω, τὸν πρεσβύτατον τῶν τέκνων
ἀποβαλοῦσα, καὶ πάλιν ἐκεῖνον τοῦ καλοῦ χαίρωνος ἡμᾶς προλιπόντος. μέμνη-
μαι γὰρ ἀπὸ θαλάσσης ξένους μοι συγκατελθόντας, ἀπηγγελμένης τῆς τοῦ παιδί-
ου τελευτῆς, καὶ συνελθόντας ἅμα τοῖς ἄλλοις ἐς τὴν οἰκίαν. ἐπεὶ δὲ πολλὴν κα-
τάστασιν ἑώρων καὶ ἡσυχίαν, ὡς ὕστερον διηγοῦντο καὶ πρὸς ἑτέρους, ᾤοντο μηδὲν
εἶναι δεινὸν, ἀλλὰ κενὸν ἄλλως ἐξενηνέχθαι λόγον, οὕτω σωφρόνως κατεκόσμη-
σας τὸν οἶκον, ἐν καιρῷ πολλὴν ἀκοσμίας ἐξουσίαν διδόντι. καίτοι τὸν σεαυ-
τῆς ἐκεῖνο μαστῷ ἐξέθρεψας, καὶ τομῆς ἠνέσχου τῆς θηλῆς περὶ θλάσιν λαβού-
σης. γενναῖα γὰρ ταῦτα καὶ φιλόστοργα. τὰς δὲ πολλὰς ὁρῶμεν μητέρας ὅταν
ὑφ' ἄλλων τὰ παιδία καθαρθῇ, καὶ γανωθῇ, καθάπερ παίγνια λαμβανούσας
εἰς χεῖρας, εἶτ' ἀποθανόντων ἐκχεομένας εἰς κενὸν καὶ ἀχάριστον πένθος, οὐχ ὑ-
π' εὐνοίας· εὐλόγιστον γὰρ εὔνοια καὶ καλὸν, ἀλλὰ μικρῷ τῷ φυσικῷ πάθει πο-
λὺ συγκεραννυμένην τὸ πρὸς κενὴν δόξαν, ἄγρια ποιεῖ καὶ μανικὰ καὶ δυσεξί-
λαστα πένθη. καὶ τοῦτο φαίνεται μὴ λαθεῖν αἴσωπον. ἔφη γὰρ οὗτος, ὅτι τοῦ διὸς
τὰς τιμὰς διανέμοντος τοῖς θεοῖς, ᾔτει καὶ τὸ πένθος. ἔδωκεν οὖν αὐτῷ παρὰ
τοῖς αἱρουμένοις δὲ μόνοις καὶ θέλουσι. ἐν ἀρχῇ μὲν οὖν οὕτω τοῦτο γινόμενόν ἐστιν·
αὐτὸς γὰρ ἕκαστος εἰσάγει τὸ πένθος ἐφ' ἑαυτόν. ὅταν δὲ ἱδρυνθῇ χρόνῳ, καὶ γένηται
σύντροφον καὶ σύνοικον, οὐδὲ πάνυ βουλομένων ἀπαλλάττεται. διὸ δεῖ μάχεσθαι
πρὸς τὰς θύρας αὐτῷ, καὶ μὴ προσίεσθαι φρουρὰν δι' ἐσθῆτος ἢ κουρᾶς, ἢ τινὸς ἄλλου
τῶν τοιούτων. ἃ καθ' ἡμέραν ἀπαντῶντα καὶ δυσωποῦντα, μικρὰν καὶ στενὴν καὶ ἀ-
νέξοδον καὶ ἀμείλικτον καὶ ψοφοδεῆ ποιεῖ τὴν διάνοιαν, ὡς οὔτε γέλωτος αὐτῇ
μετὸν, οὔτε φωτὸς, οὔτε φιλανθρώπου τραπέζης, τοιαῦτα περικειμένῃ καὶ μετα-
χειριζομένῃ διὰ τὸ πένθος. ἀμέλειαι δὲ σώματος, ἕπονται τῷ κακῷ τούτῳ,
καὶ διαβολαὶ πρὸς ἄλειμμα καὶ λουτρὸν καὶ τὴν ἄλλην δίαιταν. ὧν πᾶν τοὐναν-
τίον ἔδει τὴν ψυχὴν πονοῦσαν αὐτὴν βοηθεῖσθαι διὰ τοῦ σώματος ἐρρωμένου. πο-
λὺ γὰρ ἀμβλύνεται καὶ χαλᾶται τῆς λύπης, ὥσπερ ἐν εὐδίᾳ κῦμα τῇ γαλή-
νῃ τοῦ σώματος διαχεομένου. ἐὰν δ' αὐχμὸς ἐγγένηται καὶ τραχύτης ἐκ φαύλης
διαίτης, καὶ μηδὲν εὐμενὲς μηδὲ χρηστὸν ἀναπέμπῃ τὸ σῶμα τῇ ψυχῇ, πλὴν ὀδύ-
νας καὶ λύπας, ὥσπερ τινὰς πικρὰς καὶ δυσχερεῖς ἀναθυμιάσεις, οὐδὲ βου-
λομένοις ἔτι ῥᾳδίως ἀναλαβεῖν ἐστι. τοιαῦτα λαμβάνει πάθη τὴν ψυχὴν, οὕτω
κακωθεῖσαν. ἡ μὲν οὖν γε μέγιστον ἐν τούτῳ καὶ φοβερώτατόν ἐστιν, οὐκ ἂν φοβη-
θείην κακῶν γυναικῶν εἰσόδους καὶ φωνὰς καὶ συνεπιθρηνήσεις, αἷς ἐκτρίβουσι

καὶ προσαθήγουσι τὴν λύπην, οὔθ' ὑπ' ἄλλων οὔτ' αὐτὴν ἐφ' ἑαυτῆς ἐῶσαι μα-
ρανθῆναι, γινώσκω γὰρ ποίους ἀγῶνας ἠγωνίσω, τῇ Θέωνος ἀδελφῇ
βοηθοῦσα καὶ μαχομένη ταῖς μετὰ ὀλοφυρμῶν καὶ ἀλαλαγμῶν ἔξωθεν ἐ-
πιούσαις, ὥσπερ ἀτεχνῶς πῦρ ἐπὶ πῦρ φορούσαις· τὰς μὲν γὰρ οἰκίας τῶν
φίλων ὅταν καιομένας ἴδωσι, σβεννύουσιν ὡς ἔχει τάχους ἕκαστος ἢ δυνάμε-
ως· τὰς δὲ ψυχὰς φλεγομένας αὐτοὶ προσφέρουσιν ὑπεκκαύματα.
καὶ τῷ μὲν ὀφθαλμιῶντι τὰς χεῖρας οὐκ ἐῶσι προσάγειν τὸν βουλόμενον,
οὐδὲ ἅπτονται τοῦ φλεγμαίνοντος· ὁ δὲ πενθῶν κάθηται παντὶ τῷ προστυ-
χόντι παρέχων, ὥσπερ ῥεῦμα κινεῖν καὶ διαγριαίνειν τὸ πάθος ἐκ μικροῦ τοῦ
γαργαλίζοντος καὶ κνῶντος, εἰς πολλὴν καὶ δυσχερῆ κάκωσιν ἀναξηραινόμε-
νον. ταῦτα μὲν οὖν οἶδ' ὅτι φυλάξῃ, πειρῶ δὲ τῇ ἐπινοίᾳ μεταφέρου-
σα σεαυτὴν ἀποκαθιστάναι πολλάκις εἰς ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ μηδέπω τοῦ παι-
δίου τούτου γεγονότος, μηδὲν ἔγκλημα πρὸς τὴν τύχην εἴχομεν· εἶτα τὸν νῦν και-
ρὸν τοῦτον ἐκείνῳ συνάπτειν, ὡς ὁμοίων πάλιν τῶν περὶ ἡμᾶς γεγονότων. ἐπεὶ τὴν
γένεσιν ὦ γύναι τοῦ τέκνου δυσχεραίνειν δόξομεν ἀμεμπτότερα ποιοῦντες αὐτοῖς
τὰ πρὶν ἐκείνην γενέσθαι πράγματα· τὴν δὲ ἐν μέσῳ διετίαν, ἐξαιρεῖν μὲν οὐ
δεῖ τῆς μνήμης, ὡς δὲ χάριν καὶ ἀπόλαυσιν παρασχοῦσαν ἐν ἡδονῇ τίθεσθαι,
καὶ μὴ τὸ μικρὸν ἀγαθὸν μέγα νομίζειν κακόν, μηδὲ ὅτι τὸ ἐλπιζόμενον οὐ προ-
σέθηκεν ἡ τύχη, καὶ περὶ τοῦ δοθέντος ἀχαριστεῖν. ἀεὶ μὲν γὰρ ἡ περὶ τὸ
θεῖον εὐφημία καὶ τὸ πρὸς τὴν τύχην ἵλεων καὶ ἀμεμφές, καλὸν καὶ ἡδὺν ἀ-
ποδίδωσι καρπόν· ἐν δὲ τοῖς τοιούτοις, ὁ μάλιστα τῆς μνήμης τῶν ἀγαθῶν ἀπα-
ρυτόμενος, καὶ τοῦ βίου πρὸς τὰ φωτεινὰ καὶ λαμπρὰ μεταστρέφων καὶ με-
ταφέρων, ἐκ τῶν σκοτεινῶν καὶ ταρακτικῶν τὴν διάνοιαν, ἢ παντάπασιν
ἔσβεσε τὸ λυποῦν, ἢ τῇ πρὸς τοὐναντίον μίξει μικρὸν καὶ ἀμαυρὸν ἐποίη-
σεν. ὥσπερ γὰρ τὸ μύρον αἰεὶ μὲν εὐφραίνει τὴν ὄσφρησιν, πρὸς δὲ τὰ
δυσώδη φάρμακόν ἐστιν, οὕτως ἡ ἐπίνοια τῶν ἀγαθῶν ἐν τοῖς κακοῖς καὶ βοη-
θήματος ἀναγκαίου παρέχεται χρείαν, τοῖς μὴ φεύγουσι τὸ μεμνῆσθαι τῶν χρη-
στῶν, μηδὲ πάντα καὶ πάντως μεμφομένοις τὴν τύχην, ὅπερ ἡμῖν παθεῖν
οὐ προσήκει συκοφαντοῦσι τὸν ἑαυτῶν βίον, εἰ μίαν ἔχει καθάπερ βιβλίον ἀ-
λοιφὴν ἐν πᾶσι καθαροῖς καὶ ἀκεραίοις τοῖς ἄλλοις. ὅτι μὲν γὰρ ἐξ ὀρθῶν
ἐπιλογισμῶν εἰς εὐσταθῆ διάθεσιν τελευτώντων ἤρτηται τὸ μακάριον. αἱ δὲ
ἀπὸ τῆς τύχης τροπαὶ, μεγάλας ἀποκλίσεις οὐ ποιοῦσιν, οὐδὲ ἐπιφέρουσι συν-
τυχικὰς ὀλισθήσεις τοῦ βίου πολλάκις ἀκήκοας. εἰ δὲ δεῖ καὶ ἡμᾶς καθάπερ οἱ
πολλοὶ τοῖς ἔξωθεν κυβερνᾶσθαι πράγμασι καὶ τὰ περὶ τῆς τύχης ἀπαρι-
θμεῖν, καὶ κριταῖς χρῆσθαι πρὸς εὐδαιμονίαν τοῖς ἐπιτυχοῦσιν ἀνθρώποις· μὴ
σκόπει τὰ νῦν δάκρυα καὶ τὰς ἐπιθρηνήσεις τῶν εἰσιόντων, ἔθει τινὶ φαύλῳ πε-
ραινομένας πρὸς ἕκαστον, ἀλλ' ἐννόει μᾶλλον ὡς ζηλουμένη διατελεῖς ὑπὸ τούτων, ἐπὶ
τέκνοις, καὶ οἴκῳ καὶ βίῳ· καὶ δεινόν ἐστιν ἑτέρους μὲν ἡδέως ἂν ἑλέσθαι τὴν σὴν τύχην, καὶ
τούτου προσόντος, ἐφ' ᾧ νῦν ἀνιώμεθα, σὲ δὲ ἐγκαλεῖν καὶ δυσφορεῖν παρούσης,
καὶ μηδὲ ἀπ' αὐτοῦ τοῦ δάκνοντος αἰσθάνεσθαι, ἡλίκας ἔχει τὰ σωζόμενα
χάριτας ἡμῖν, ἀλλ' ὥσπερ οἱ τοὺς ἀκεφάλους καὶ μειούρους Ὁμήρου στίχους
ἐκλέγοντες, τὰ δὲ πολλὰ καὶ μεγάλα τῶν πεποιημένων ὑπερορῶντες,
οὕτως ἐξακριβοῦν καὶ συκοφαντεῖν τοῦ βίου τὰ φαῦλα· τοῖς δὲ χρηστοῖς ἀνάρ-
θρως καὶ συγκεχυμένως ἐπιβάλλουσιν, ὅμοιόν τι τοῖς ἀνελευθέροις καὶ φιλαρ-
γύροις πάσχειν, οἳ πολλὰ συνάγοντες οὐ χρῶνται παροῦσιν, ἀλλὰ θρηνοῦσι καὶ δυσ-
φοροῦσιν ἀπολομένων. εἰ δὲ ἐκείνης ἔχεις οἶκτον, ἀγάμου καὶ ἄπαιδος οἰ-
χομένης

χομένης, αὖθις ἔχεις ἐπ' ἄλλοις, ἡδίω σεαυτὴν ποιεῖν, μηδενὸς τούτων ἀτελῆ μηδὲ
ἄμοιρον γενομένην· οὐ γάρ ἐστι ταῦτα μεγάλα μὲν τοῖς στερομένοις ἀγαθά, μικρὰ
δὲ τοῖς ἔχουσιν. ἐκείνη δ' εἰς τὸ ἄλυπον ἥκουσα, λυπεῖν ἡμᾶς οὐ δεῖται· τί γὰρ
ἡμῖν ἀπ' ἐκείνης κακόν, εἰ μηδὲν ἐκείνῃ νῦν ἐστι λυπηρόν; καὶ γὰρ αἱ τῶν μεγάλων
στερήσεις, ἀποβάλλουσι τὸ λυποῦν εἰς τὸ μὴ δεῖσθαι παραγενόμεναι. ἡ Τιμοξένα δὲ
σου μικρῶν μὲν ἐστέρηται· μικρὰ γὰρ ἔγνω, καὶ μικροῖς ἔχαιρεν· ὧν δὲ οὔτε αἴ-
σθησιν ἔσχεν, οὔτε εἰς ἐπίνοιαν ἦλθεν, οὔτ' ἔλαβεν ἐπίνοιαν, πῶς ἂν στέρεσθαι λέ-
γοιτο. καὶ μὴν ἃ τῶν ἄλλων ἀκούεις οἳ πείθουσι πολλοὺς λέγοντες, ὡς οὐδὲν οὐ-
δαμῇ τῷ διαλυθέντι κακὸν, οὐδὲ λυπηρόν ἐστιν, οἶδα ὅτι κωλύει σε πιστεύειν ὁ πά-
τριος λόγος καὶ τὰ μυστικὰ σύμβολα τῶν περὶ τὸν Διόνυσον ὀργιασμῶν, ἃ σύνι-
σμεν ἀλλήλοις οἱ κοινωνοῦντες, ὡς οὖν ἄφθαρτον οὖσαν τὴν ψυχὴν διανοοῦ ταὐ-
τὸ ταῖς ἁλισκομέναις ὄρνισι πάσχειν· ἂν μὲν γὰρ πολὺν ἐν τροφῇ τῷ σώματι χρό-
νον, καὶ γένηται τῷ βίῳ τούτῳ τιθασὸς ὑπὸ πραγμάτων πολλῶν, καὶ μακρᾶς
συνηθείας, αὖθις καταίρουσα πάλιν ἐνδύεται καὶ οὐκ ἀνίησιν οὐδὲ λήγει τοῖς
ἐνταῦθα συμπλεκομένη πάθεσι καὶ τύχαις διὰ τῶν γενέσεων. μὴ γὰρ οἴου
λοιδορεῖσθαι, καὶ κακῶς ἀκούειν τὸ γῆρας, διὰ τὴν ῥυσότητα καὶ τὴν πολιάν,
καὶ τὴν ἀσθένειαν τοῦ σώματος· ἀλλὰ τοῦτ' αὐτοῦ τὸ χαλεπώτατόν ἐστιν, ὅτι τὴν
ψυχὴν ἕωλόν τε ποιεῖ ταῖς μνήμαις τῶν ἐκεῖ, καὶ λιπαρῆ περὶ ταῦτα· καὶ κάμ-
πτει καὶ πιέζει τὸν σχηματισμόν, ὃν ἔσχεν ὑπὸ τοῦ σώματος ἐν τῷ πεπονθέναι δια-
φυλάττουσα. ἡ δὲ ληφθεῖσα μὲν

ὑπὸ κρειττόνων ἔχεται καθάπερ ἐκ καμπῆς ὑγρᾶς, καὶ μαλθακῆς ἀναχαίτι-
σμα πρὸς ὃ πέφυκεν, ὥσπερ γὰρ τὸ πῦρ ἄν τις ἀποσβέσας εὐθὺς ἐξάπτῃ, πά-
λιν ἀναρριπίζεται, καὶ ἀναλαμβάνει ταχέως,

ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι, πλὴν ἔρωτα πολλὴν ἐγγενέσθαι τῶν αὐτό-
θι πραγμάτων, καὶ μαλαχθῆναι πρὸς τὸ σῶμα, καὶ συντακῆναι καθάπερ
ὑπὸ φαρμάκων. τοῖς δὲ πατρίοις καὶ παλαιοῖς ἔθεσι καὶ νόμοις, ἐμφαίνε-
ται μᾶλλον ἡ περὶ τούτων ἀλήθεια. τοῖς γὰρ αὐτῶν νηπίοις ἀποθανοῦσιν οὔτε
χοὰς ἐπιφέρουσιν, οὔτ' ἄλλα δρῶσι περὶ αὐτὰ οἷα εἰκὸς ὑπὲρ θανόντων ποιεῖν
τοὺς ἄλλους· οὐ γὰρ μέτεστι γῆς οὐδέν, οὔτε τῶν περὶ γῆν αὐτοῖς. οὐδ' αὐτοῦ περὶ
ταφὰς καὶ μνήματα, καὶ προθέσεις νεκρῶν φιλοχωροῦσι καὶ παρακάθηνται
τοῖς σώμασιν. οὐ γὰρ ἐῶσιν οἱ νόμοι τοὺς τηλικούτους, ὡς οὐχ ὅσιον εἰς βελτίονα καὶ
θειοτέραν μοῖραν ἅμα καὶ χώραν μεθεστηκότας.

ἐπεὶ δὲ τὸ ἀπιστεῖν χαλεπώτερόν ἐστιν αὐτοῖς, ἢ τὸ πιστεύειν, τὰ μὲν ἐκτὸς οὕτως ὡς
οἱ νόμοι προστάττουσιν ἔχωμεν· τὰ δὲ ἐντός, ἔτι μᾶλλον ἀμίαντα καὶ καθαρὰ
καὶ σώφρονα.

λείπει.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ

Τὰ περὶ τῆς εἱμαρμένης δοκοῦντα ἡμῖν ὡς οἷόν τε σαφῶς καὶ συντόμως πειράσομαι ἐπιστεῖλαί σοι φίλτατε Πείσων. ἐπειδὴ σὺ τοῦτ' ἠξίωσας, οὐκ ἀγνοῶν ἣν ἔχω πρὸς τὸ γράφειν εὐλάβειαν. πρῶτον τοίνυν ἴσθι ὅτι εἱμαρμένη διχῶς καὶ λέγεται καὶ νοεῖται. ἡ μὲν γάρ ἐστιν ἐνέργεια, ἡ δὲ οὐσία. πρῶτον μὲν οὖν ἐνέργειαν τύπῳ ὑπέγραψεν ὁ Πλάτων, ἔν τε τῷ Φαίδρῳ λέγων, θεσμός τε Ἀδραστείας ὅδε, ἥτις ἂν θεῷ ξυνοπαδὸς γενομένη. ἐν δὲ τῷ Τιμαίῳ, νόμους οὓς ἐπὶ τῇ τοῦ παντὸς φύσει ὁ θεὸς εἶπε ταῖς ἀθανάτοις ψυχαῖς. ἐν δὲ τῇ Πολιτείᾳ, ἀνάγκης θυγατρὸς κόρης Λαχέσεως λόγον φησὶν εἶναι τὴν εἱμαρμένην, οὐ τραγικῶς, ἀλλὰ θεολογικῶς τὸ ἀρέσκον αὐτῷ ἀποφαινόμενος. εἰ δὲ κοινότερον ἐθέλοι τις ταῦτα μεταλαβὼν ὑπογράψαι, ὡς μὲν ἐν Φαίδρῳ λέγοιτ' ἂν ἡ εἱμαρμένη, λόγος θεῖος ἀπαράβατος δι' αἰτίαν ἀνεμπόδιστον, ὡς δὲ ἐν τῷ Τιμαίῳ, νόμος ἀκόλουθος τῇ τοῦ παντὸς φύσει, καθ' ὃν διεξάγεται τὰ γινόμενα. τοῦτο γὰρ ἡ Λάχεσις ἐργάζεται, ἡ τῆς ἀνάγκης ἀληθῶς θυγάτηρ, ὡς καὶ πρότερον παρελάβομεν, καὶ ὕστερον ἔτι μᾶλλον εἰσόμεθα ἐν τοῖς κατὰ σχολὴν λόγοις. ἥδη μὲν οὖν ἡ κατ' ἐνέργειαν εἱμαρμένη τῇ κατ' οὐσίαν ἔοικεν εἶναι σύμπασα ἡ τοῦ κόσμου ψυχὴ τριχῆ διανεμηθεῖσα, εἴς τε τὴν ἀπλανῆ μοῖραν, καὶ εἰς τὴν πλανᾶσθαι νομιζομένην, καὶ τρίτην εἰς τὴν ὑπουράνιον τὴν περὶ γῆν ὑπάρχουσαν, ὧν ἡ μὲν ἀνωτάτω, Κλωθὼ προσαγορεύεται. ἡ δὲ μετ' αὐτήν, Ἄτροπος. ἡ κατωτάτω δ' αὖ Λάχεσις, δεχομένη μὲν τὰς οὐρανίους τῶν ἀδελφῶν ἐνεργείας, συμπλέκουσα δὲ καὶ διδοῦσα ταύτας εἰς τὰ ἐπ' αὐτῆς τεταγμένα τὰ ἐπίγεια. δυνάμει μὲν οὖν εἴρηται, ὃ ποίαν χρὴ λέγεσθαι περὶ τῆς κατ' οὐσίαν εἱμαρμένης, καὶ γὰρ ἥ τις ἐστὶ, καὶ πόση τις, καὶ ὁποία, καὶ ὅπως τέτακται, καὶ ὅπως ἔχει αὐτή τε πρὸς ἑαυτήν, καὶ δὴ καὶ πρὸς ἡμᾶς, ὡς ἐν ἐπιτομῇ εἴρηται. τὰ δὲ καθέκαστα περὶ τούτων, ὁ ἕτερος μῦθος ὁ ἐν τῇ Πολιτείᾳ μετρίως αἰνίττεται. καὶ ἡμεῖς εἰς δύναμίν σοι ταῦτα ἐπειράθημεν ἐξηγήσασθαι. πάλιν γε μὴν τὴν κατ' ἐνέργειαν εἱμαρμένην ἀναλαβόντες λέγομεν. περὶ γὰρ ταύτην τὰ πολλὰ ζητήματα, φυσικά τε καὶ ἠθικὰ καὶ διαλεκτικὰ τυγχάνει ὄντα. τίς μὲν οὖν ἐστιν ἐπιεικῶς ἀφώρισται. ὁποία δέ ἐστιν, ἐφεξῆς ῥητέον, εἰ καὶ πολλοῖς ἄτοπον φαίνεται. ἀπείρων γὰρ ἐξ ἀπείρου, καὶ εἰς ἄπειρον τῶν γινομένων τὰ πάντα περιβαλοῦσα ἐν κύκλῳ ἡ εἱμαρμένη, οὐκ ἄπειρος, ἀλλὰ πεπερασμένη ἐστίν. οὔτε γὰρ νόμος, οὔτε λόγος, οὔτε τι θεῖον ἄπειρον ἂν εἴη. ἔτι δ' ἂν μάθοις τὸ λεγόμενον νοήσας τήν τε ὅλην περίοδον, καὶ τὸν σύμπαντα χρόνον, ὅταν τῶν ὀκτὼ περιόδων, ὥς φησιν ὁ Τίμαιος, τὰ πρὸς ἄλληλα συμπερανθέντα τάχη σχῇ κεφαλήν, τῷ ταὐτοῦ καὶ ὁμοίως ἰόντος ἀναμετρηθέντα κύκλῳ. ἐν γὰρ τούτῳ τῷ λόγῳ ὡρισμένῳ τε ὄντι καὶ θεωρουμένῳ πάντα ὅσα τε κατ' οὐρανὸν, ἅτ' ἐπὶ τὴν γῆν ἐξ ἀνάγκης ἄνωθεν συνίσταται. πάλιν μὲν εἰς τὸ αὐτὸ κεῖται, στήσεται. πάλιν δ' ἐξ ἀρχῆς κεῖται. τὰ αὐτὰ ὡσαύτως ἀποδοθήσεται. μόνη γοῦν ἡ κατ' οὐρανὸν σχέσις, αὐτή τε πρὸς ἑαυτὴν κεῖται πάντα τεταγμένη πρός τε τὴν γῆν, καὶ πρὸς τὰ ἐπίγεια πάντα, διὰ μακρῶν περιόδων πάλιν ἐπανήξει ποτέ. ἥ τε μετ' αὐτὴν ἐφεξῆς καὶ ἐχόμεναι ἄλληλα ἐχομένως παρέξονται, ἑκάστη τὰ αὐτῆς ἐξ ἀνάγκης φέρουσαι. ἔστω δὲ πρὸς τὸ σαφὲς τῶν περὶ ἡμᾶς νῦν ὄντων, ὅτι ὃ συμβαίνει ἀπὸ τῶν οὐρανίων, ὡς πάντως αἰτίων ὄντων, καὶ τὸ ἐμὲ γράφειν νυνὶ τάδε, καὶ ὡδὶ σέ τε πράττειν ἅπερ καὶ ὅπως τυγχάνεις πράττων. πάλιν τοίνυν ἐπειδὰν ἡ αὐτὴ ἀφίκηται αἰτία, τὰ αὐτὰ καὶ ὡσαύτως, οἱ

αὐτοὶ γενόμενοι πράξομεν. οὕτω δὲ καὶ πάντες ἄνθρωποι, καὶ τά γε ἐξῆς κατὰ τὴν ἑξῆς αἰτίαι γενήσεται καὶ πραχθήσεται, καὶ πάνθ' ὅσα κεῖται μίαν τὴν ὅλην περίοδον καὶ καθ' ἑκάστην τῶν ὅλων ὡσαύτως ἀποδοθήσεται. φανερὸν τοίνυν ἤδη, ὅτι ἔφαμεν τὴν εἱμαρμένην ἄπειρον τρόπον τινὰ οὖσαν, μὴ ἄπειρον εἶναι, καὶ τό γε ῥηθὲν ὅτι κύκλος τίς ἐστι, μετρίως που κατῶπται. ὥσπερ γὰρ καὶ ἡ τοῦ κύκλου κίνησις, ὅ τε ταύτην παραμετρῶν χρόνος κύκλος τίς ἐστιν, οὕτω καὶ τῶν κατὰ κύκλον γινομένων ὁ λόγος, κύκλος ἂν νομισθείη. σχεδὸν μὲν οὖν καὶ τοῦτο δηλοῖ, ὃ προϊόντι τυγχάνει καὶ ἡ εἱμαρμένη. πλὴν οὐχ ᾗ γε κεῖται μόρος, οὐδ' ἡ καθέκαστα, ποία τίς οὖν καὶ ἥδε κατ' αὐτὸ δὲ τὸ εἶδος τοῦ λόγου. ἔστι τοίνυν ὡς ἄν τις εἰκάσαι, οἷος ὁ πολιτικὸς νόμος. πρῶτον μὲν τὰ πλεῖστα εἰ καὶ μὴ πάντα, ἐξ ὑποθέσεως προστάττοι. ἔπειτα μὴν καθόλου τὰ πόλει προσήκοντα εἰς δύναμιν περιλαμβάνει. πάλιν δὴ τούτων ἑκάτερον ὁ προϊόντι ἐστὶ σκεπτέον. ἀκολούθως τοίνυν ὁ πολιτικὸς νόμος περί τε ἀριστέως καὶ λειποτάκτου διαλέγεται, καὶ περὶ τῶν ἄλλων ὡσαύτως. ἀλλ' οὐ περὶ τοῦδε, ἢ τοῦδε νόμιμόν ἐστιν, ἀλλὰ τὰ μὲν, καθόλου προηγουμένως. τὰ δ', ὑποπίπτοντα τούτων ἑπομένως. καὶ γὰρ τὸ τιμῆσαι τόνδε τινὰ ἠριστευκότα, καὶ τὸ κολάσαι τόνδε τινὰ λειποτακτήσαντα, νόμιμον ἂν φήσομεν, ὡς δυνάμει καὶ τοῦ τούτων διατεταγμένου τοῦ νόμου. ὃν τρόπον ὁ ἰατρικὸς καὶ ὁ γυμναστικὸς ὡς εἰπεῖν νόμος, δυνάμει τὰ καθέκαστα τοῖς ὅλοις συμπεριλαμβάνει, οὕτω δὲ καὶ ὁ τῆς φύσεως νόμος, τὰ μὲν καθόλου προηγουμένως, τὰ δὲ καθέκαστα ἑπομένως, ἔστι τε εἱμαρμένα τρόπον τινὰ, καὶ ταῦτα πάντα ἐκείνοις συνειμαρμένα. τάχα δ' ἄν τις τῶν ἄγαν ἀκριβολογουμένων τὰ τοιαῦτα, καὶ τοὐναντίον φαίη προηγούμενα συντετάχθαι, τὰ καθέκαστα ἕν τε τούτων ἕνεκα, καὶ τὸ καθόλου, προηγεῖται δὲ τῶν ἕνεκά του τὸ οὗ ἕνεκα. ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις σκεπτέον. ὅτι δὲ οὐ πάντα καθαρῶς, οὐδὲ διαῤῥήδην ἡ εἱμαρμένη περιέχει, ἀλλ' ὅσα καθόλου. τοῦτο δὲ ἐν τῷ παρόντι ῥηθὲν πρός τε τὸν ἑξῆς λόγον, καὶ τὸν ὀλίγον ἔμπροσθεν χώραν ἔχει. τὸ μὲν γὰρ ὡρισμένον οἰκεῖον τῇ θείᾳ φρονήσει, ἐν ᾧ καθόλου μᾶλλον θεωρεῖται, τοιοῦτος καὶ ὁ θεῖος νόμος. ὁ μέντοι γε πολιτικὸς, τὸ δ' ἄπειρον ἐν τῷ καθέκαστα. μετὰ δὴ ταῦτα, οἷον μέν ἐστιν ἐξ ὑποθέσεως. ὅτι δὲ τοιοῦτον καὶ ἡ εἱμαρμένη, οἰέσθω. ἐξ ὑποθέσεως δὴ ἔφαμεν τὸ μὴ καθ' ἑαυτὸ τιθέμενον, ἀλλὰ πρὸς ἑτέρῳ τινὶ ὡς ἀληθῶς ὑποτεθὲν, ὅπερ ἀκολουθίαν σημαίνει. θεσμός τε Ἀδραστείας ὅδε. ἥτις ἂν ψυχὴ συνοπαδὸς γενομένη, κατίδῃ τι τῶν ἀληθῶς μέχρι τῆς ἑτέρας περιόδου, εἶναι ἀπήμονα, κἂν ἀεὶ δύνηται τοῦτο ποιεῖν, ἀβλαβῆ εἶναι. τοιοῦτον μὲν δὴ τὸ ἐξ ὑποθέσεως ἅμα καὶ καθόλου. ὅτι δὲ καὶ ἡ εἱμαρμένη τοιοῦτον τυγχάνει ὂν, ἔκ τε τῆς οὐσίας αὐτῆς, καὶ ἐκ τῆς προσηγορίας δῆλον. εἱμαρμένη τε γὰρ προσαγορεύεται, ὡς ἂν εἱρομένη τίς, θεσμὸς δὲ καὶ νόμος ὑπάρχει, τῷ τὰ ἀκόλουθα τοῖς γινομένοις πολιτικῶς διατετάχθαι. ἑξῆς δὲ σκεπτέον, καὶ τὰ κατὰ τὸ πρός τι. πῶς μὲν πρὸς τὴν πρόνοιαν ἡ εἱμαρμένη ἔχει, πῶς δὲ πρὸς τὴν τύχην, καὶ τό γε ἐφ' ἡμῖν, καὶ τὸ ἐπιδεχόμενον, καὶ ὅσα τοιαῦτα. πρὸς δὲ τούτῳ διωρίσθω, πῇ μὲν ἀληθὲς, πῇ δὲ ψεῦδος τὸ πάντα καθ' εἱμαρμένην. εἰ μὲν οὖν τὸ ἐν τῇ εἱμαρμένῃ πάντα περιέχεσθαι δηλοῖ, συγχωρητέον εἶναι ἀληθὲς, εἴτε ὅσα περὶ ἀνθρώπους, εἴτε περὶ γῆν ἅπαντα, εἴτε κατ' οὐρανὸν γινόμενα βούλεταί τις ἐν τῇ εἱμαρμένῃ τίθεσθαι, καὶ ταῦτα ὡς πρὸς τὸ παρὸν συγκεχωρήσθω. εἰ δ' ὅπερ καὶ μᾶλλον ἐμφαίνει, τὸ καθ' εἱμαρμένην οὐχ ἅπαντα. ἀλλ' αὐτὸ μόνον τὸ ἑπόμενον αὐτῷ σημαίνει, οὐ πάντα ῥητέον καθ' εἱμαρμένην, οὐδ' εἰ καθ' εἱμαρμένην πάντα. οὐδὲ γὰρ νόμιμα, οὐδὲ κατὰ νόμον πάντα. ὁπόσα περιείληφεν ὁ νόμος. καὶ γὰρ προδοσίαν, καὶ λειποταξίαν, καὶ μοιχείαν, καὶ πολλὰ

ἕτερα τοιαῦτα περιλαμβάνει, ὧν οὐδὲν ἄν τις εἴποι νόμιμον, ὥστε οὐδὲ τὸ ἀριστεῦσαι, ἢ τυραννοκτονῆσαι, ἤ τι ἄλλο κατορθῶσαι, φαίην ἂν ἔγωγε νόμιμον. τὸ μὲν γὰρ δὴ νόμιμον πρόσταγμα νόμου ἐστὶ, τὸ δ' εἴπερ ὁ νόμος προστάττει, πῶς ἂν ἀπειθοῖεν καὶ παρανομοῖεν, οἵ γε μὴ ἀριστεύοντες, καὶ τυραννοκτονοῦντες, καὶ ὅσοι τὰ τοιαῦτα μὴ κατορθοῦσι, ἢ πῶς εἰ παράνομοι οἵδε, οὐ δίκαιον κολάζειν τοὺς τοιούτους, εἴ γε μὴν ταῦτα λόγον οὐκ ἔχει μόνα ῥητέον νόμιμά τε καὶ κατὰ νόμον τὰ ὑπὸ τοῦ νόμου ὁρισθέντα ἐπὶ τοῖς ὁπωσοῦν πραττομένοις, μόνα δὲ εἱμαρμένα καὶ καθ' εἱμαρμένην, τὰ ἀκόλουθα τοῖς ἐν τῇ θείᾳ διατάξει προηγησαμένοις· ὥστε πάντα μὲν τὰ γινόμενα ἡ εἱμαρμένη περιλαμβάνει· πολλὰ δὲ τῶν ἐν αὐτῇ καὶ σχεδὸν ὅσα προαιρεῖται, οὐκ ὀρθὸν λέγειν καθ' εἱμαρμένην. τούτων δὲ οὕτως ἐχόντων, ἑξῆς ῥητέον συν- ὡς τό γ' ἐφ' ἡμῖν καὶ ἡ τύχη, τό τε δυνατὸν, καὶ τὸ ἐνδεχόμενον, καὶ τὰ τούτων συγγενῆ ταχθέντα ἐν τοῖς προηγουμένοις, ταῦτά τε σώζοιτ' ἂν, καὶ τὴν εἱμαρμένην σώζοι· ἡ μὲν γὰρ εἱμαρμένη πάντα περιέχει, καθάπερ καὶ δοκεῖ· τὰ δ' οὐκ ἐξ ἀνάγκης γενήσεται, ἀλλ' ἕκαστον αὐτῶν, οἷον καὶ πέφυκεν εἶναι, πέφυκε δὲ τὸ δυνατὸν, ὡς γένος προϋφεστάναι τοῦ ἐνδεχομένου τὸ ἐνδεχόμενον, ὡς ὕλη τοῦ ἐφ' ἡμῖν προϋποκεῖσθαι, τὸ δὲ ἐφ' ἡμῖν ὡς κύριον χρῆσθαι τῷ ἐνδεχομένῳ· ἡ δὲ τύχη παρεμπίπτει τῷ ἐφ' ἡμῖν διὰ τὴν ἐφ' ἑκάτερα ῥοπὴν τοῦ ἐνδεχομένου· μάθοις δ' ἂν τὸ λεγόμενον σαφῶς, ἐννοήσας, ὡς τὸ γινόμενον ἅπαν καὶ ἡ γένεσις αὐτῇ, οὐ δίχα δυνάμεως· ἡ δὲ δύναμις, οὐκ ἄνευ οὐσίας· οἷον ^ εἴτε γένεσις, εἴτε γεννητὸν, οὐκ ἄνευ τῆς δυνάμεως· αὕτη δὲ περὶ ἄνθρωπον, οὐσία δὲ ὁ ἄνθρωπος, ἀπὸ δὲ τῆς δυνάμεως μεταξὺ οὔσης, ἡ μὲν οὐσία δυνάμενον, ἡ δὲ γένεσις καὶ τὸ γινόμενον ἄμφω δυνατά. Ἰδίων τοίνυν τούτων δυνάμεως καὶ δυναμένου, καὶ δυνατοῦ· δυνάμεως μὲν, ὡς τὸ εἶναι προϋπόκειται τὸ δυνάμενον· δυνατοῦ δὲ ἡ δύναμις προϋφίσταται· σαφὲς μὲν οὖν καὶ οὕτω τὸ δυνατόν· τύπῳ δ' ἂν ἀφορισθείη· κοινότερον μὲν, τὸ κατὰ δύναμιν πεφυκὸς γίνεσθαι, κυριώτερον δὲ τῶν δυνατῶν τὸ τότε, ὁπόταν μηδὲν ἔξωθεν ἔχῃ πρὸς τὸ γίνεσθαι ἐμποδών, τῶν δὲ δυνατῶν τὰ μὲν οὐκ ἂν κωλυθείη ποτὲ, ὥσπερ τὰ κατ' οὐρανὸν ἀνατολαὶ καὶ δύσεις καὶ τὰ τούτοις παραπλήσια· τὰ δὲ, οἷά τε κωλυθῆναι ἐστὶν, ὡς πολλὰ μὲν τῶν ἀνθρωπίνων, πολλὰ δὲ καὶ τῶν μεταρσίων· τὰ μὲν οὖν πρότερα ὡς ἐξ ἀνάγκης γινόμενα, ἀναγκαῖα προσαγορεύεται, τὰ δὲ πρὸς τοὐναντίον ἐπιδέχεται, ἐνδεχόμενα· ἀφορίζοιτο δ' ἂν καὶ ταῦτα· τὸ μὲν ἀναγκαῖον δυνατὸν, τὸ ἀντικείμενον ἀδυνάτῳ· τὸ δὲ ἐνδεχόμενον δυνατὸν, οὗ καὶ τὸ ἀντικείμενον ἀδύνατον· τὸ μὲν γὰρ καταδῦναι τὸν ἥλιον, ἀναγκαῖον τε ἅμα καὶ δυνατόν, ἀντίκειται ἀδύνατον τὸ μὴ καταδῦναι. τὸ δὲ καταδύντος ἡλίου ὄμβρον γενέσθαι, ^ ἀμφότερα δυνατὰ καὶ ἐνδεχόμενα· πάλιν δὲ καὶ ἐπὶ τοῦ ἐνδεχομένου· τὸ μὲν ὡς ἐπὶ τὸ πολύ, τὸ δὲ ὡς ἐπὶ τὸ ἔλαττον, τὸ δὲ ὡς ἐπίσης, καὶ ὁπότερον ἔτυχεν· τοῦτο μὲν φανερόν, ὡς αὐτὸ αὐτῷ ἀντιτέτακται· τὸ δὲ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐπ' ἔλαττον ἀλλήλοις, καὶ ταῦτα μὲν ἐπὶ τῇ φύσει τὸ πλεῖστον, ἐφ' ἡμῖν τε τὸ ἐπίσης· τὸ μὲν γὰρ ὑπὸ κύνα καύματα ἢ ψύχεσθαι ^ ὡς ἐπὶ τὸ πολύ, τὸ δ' ὡς ἐπὶ τὸ ἔλαττον, τῇ φύσει ἄμφω ὑποτέτακται· τὸ δὲ περιπατεῖν καὶ μή, καὶ ὅσα τοιαῦτα, ὧν ἑκάτερον ἐπὶ τῇ ἀνθρωπίνῃ ὁρμῇ ὑποτέτακται, ὃ δὴ ἐφ' ἡμῖν καὶ κατὰ προαίρεσιν λέγεται· γενικώτερον δὲ μᾶλλον τὸ ἐφ' ἡμῖν· δύο γὰρ εἶναι εἴδη· τό, τε ἐκ πάθους καὶ θυμοῦ, ἢ ἐπιθυμίας, τό, τε ἐξ ἐπιλογισμοῦ ἢ διανοίας, ὅπερ ἤδη κατὰ προαίρεσιν τις εἴποι καὶ ἐφ' ᾧ· ἔχει δὲ λόγον, μὴ τὸ δυνατὸν καὶ ἐνδεχόμενον τοῦτο· ὅπερ καθ' ὁρμὴν καὶ ἐφ' ἡμῖν εἴρηται μὴ τὸ αὐτὸ κατ' ἄλλο λέγεσθαι· κατὰ μὲν γὰρ τὸ μέλλον, δυνατόν τε καὶ ἐνδεχόμενον, κατὰ δὲ τὸ παρὸν, ἐφ' ἡμῖν τε καὶ καθ' ὁρμήν· ἀφορίζοιτο δ' ἂν ὧδε· τὸ μὲν ἐνδεχόμενον, ὅπερ αὐτό τε καὶ τὸ ἀντικείμενον· τὸ δὲ ἐφ' ἡμῖν, θάτερον μέρος

κ. l.

ὀλιγωρήσῃ

αὐστον. l.

μὴ γενέσθαι, l.

μαν. l.

ῥος τοῦ ἐνδεχομένου τὸ κατὰ τὴν ἡμετέραν ὁρμὴν ἤδη γινόμενον. ὅτι μὲν οὖν τὸ δυνατὸν τοῦ ἐνδεχομένου πρότερον τῇ φύσει, τὸ δὲ ἐνδεχόμενον τοῦ ἐφ' ἡμῖν προϋφίσταται, καὶ οἷον αὐτῶν τυγχάνει ὂν ἕκαστον καὶ πόθεν ὀνομάζεται καὶ τά γε παρακείμενα αὐτοῖς, σχεδὸν εἴρηται· περὶ δὲ τῆς τύχης καὶ τοῦ αὐτομάτου, καὶ εἴ τι παρὰ ταῦτα θεωρεῖται, νῦν ἡμῖν λεκτέον· αἴτιον μὲν δή τι ἡ τύχη· τῶν δὲ αἰτίων, τὰ μὲν καθ' αὑτά, τὰ δὲ κατὰ συμβεβηκός· οἷον, οἰκίας, ἢ νεώς, καθ' αὑτὸ μὲν αἴτιον τὸ οἰκοδομικόν, καὶ τὸ ναυπηγικόν, κατὰ συμβεβηκὸς δέ, τὸ μουσικόν, ἢ γεωμετρικόν, καὶ πᾶν ὅ τι ἄν, τῷ οἰκοδομικῷ, ἢ ναυπηγικῷ εἶναι συμβεβήκει, εἴτε κατὰ σῶμα, εἴτε κατὰ ψυχήν, εἴτε κατὰ τὰ ἐκτός· ὅθεν καὶ δῆλον, ὡς τὸ καθ' αὑτὸ ὡρισμένον καὶ ἕν· τὸ δὲ κατὰ συμβεβηκὸς οὐχ οὕτω, καὶ ἀόριστον· πολλὰ γὰρ καὶ ἄπειρα περὶ ἓν ὑπάρχει παντάπασι, ἀλλήλων διαφέροντα, τὸ μέντοι κατὰ συμβεβηκός, ὅταν μὴ μόνον ἐν τοῖς ἕνεκά του γίνηται, ἀλλὰ καὶ ἐν οἷς ἡ προαίρεσις· τότε δὴ καὶ τὸ ἀπὸ τύχης προσαγορεύεται, οἷον τὸ εὑρεῖν χρυσίον σκάπτοντα ἵνα φυτεύσῃ, ἢ παθεῖν τι ἢ δρᾶσαι τῶν παρὰ τὸ ἔθος φεύγοντα, ἢ διώκοντα, ἢ ἄλλως βαδίζοντα, ἢ αὐτὸ μόνον ἐπιστραφέντα, οὐ τούτου ἕνεκα, ὅπερ συνέπεσεν, ἀλλ' ἑτέρου τινὸς χάριν· διὸ καὶ ἀπροανόητον αἰτίαν καὶ ἄδηλον ἀνθρωπίνῳ λογισμῷ τὴν τύχην ἀπέδοσαν τῶν παλαιῶν ἔνιοι· κατὰ δὲ τοὺς ἀπὸ Πλάτωνος ἐγγίον ἔτι προσιόντας αὐτῆς τῷ λόγῳ οὕτως ἀφώρισται ἡ τύχη, αἰτία κατὰ συμβεβηκὸς τῶν ἕνεκά του ἐν τοῖς κατὰ προαίρεσιν, ἔπειτα ἤδη καὶ τὸ ἀπροανόητον, καὶ τὸ ἄδηλον ἀνθρωπίνῳ λογισμῷ προστιθέασιν. καίτοι γε κατὰ τὰ αὐτὰ καὶ τὸ σπάνιον καὶ παράλογον, ἐμφαίνεται τῷ κατὰ συμβεβηκός, οἷον δὲ ἐστὶ τοῦτο, ἢ καὶ μὴ ἐκ τῶν αὐτίκα ῥηθέντων, ἀλλ' ἔκ τε τῶν ἐν τῷ Φαίδωνι γεγραμμένων σαφέστατα προσπίπτει· γέγραπται δὲ ὧδε· οὐδὲ τὰ περὶ τῆς δίκης ἄρα ἐπύθου τὸν τρόπον ἐγένετο; ναί· ταῦτα μὲν ἡμῖν ἤγγειλέ τις καὶ ἐθαυμάζομέν γε, ὅτι πάλαι αὐτῆς γενομένης ὕστερον φαίνεται ἀποθανών, τί ἦν τοῦτο ὦ Φαίδων; τύχη τις αὐτῷ ὦ Ἐχέκρατες συνέβη· ἔτυχε γὰρ τῇ προτεραίᾳ τῆς δίκης, ἡ πρύμνα ἐστεμμένη τοῦ πλοίου, ὃ εἰς Δῆλον Ἀθηναῖοι πέμπουσιν· ἐν γὰρ τούτοις τὸ συνέβη, οὐκ αὐτὶ τοῦ γέγονεν ἀκουστέον, ἀλλὰ πολὺ μᾶλλον ἐκ συνδρομῆς τινος αἰτιῶν ἀπέβη, ἄλλου πρὸς ἄλλο γεγονότος· ὁ μὲν γὰρ ἱερεὺς ἔστεφε τὸ πλοῖον, ἄλλου χάριν, ἀλλ' οὐ Σωκράτους· οἱ δὲ δι' ἑτέρου κατεψηφίσαντο αὐτοῦ· αὐτὸ δὲ τὸ ἀποβάν, παράλογον καὶ τοιοῦτο ἀπέβη, οἷον κἂν εἰ ἐκ προνοίας ἐγεγόνει, ἤτοι ἀνθρωπίνου τινός, ἢ τῶν ἔτι κρειττόνων. καὶ περὶ μὲν τῆς τύχης, ταῦτα ἱκανά. ὡς συνυφίστασθαι ἀνάγκη, τὸ μὲν ἀπὸ αὐτοῦ παρωνύμως καὶ τοῦ ἐφ' ἡμῖν προϋποκεῖσθαι ἐλέχθη, τὸ δὲ αὐτόματον, ἐπὶ πλεῖον τῆς τύχης· εἰ γὰρ καὶ αὐτὴν περιλαβὸν ἔχει, καὶ πολλὰ τῶν ἄλλοτε ἄλλως συμπίπτειν πεφυκότων· ἔστι δὲ κατ' ὄνομα, ὅπερ αὐτόματον λέγεται τὸ πεφυκὸς ἄλλου ἕνεκα· ὅταν μὴ ἐκείνου παρ' ἐπεφύκει· οἷον δοκεῖ τὸ ὑπὸ κύνα ψύχεσθαι· ποτὲ γὰρ ψύχεσθαι· οὐ μάτην οὐδὲ τὸ δὲ ὅλον, ὡς τὸ ἐφ' ἡμῖν μέρος τοῦ ἐνδεχομένου, οὕτως ἡ τύχη τοῦ αὐτομάτου· ἔστι δὲ ἑκατέρου ἑκάτερον σύμπτωμα· τὸ μὲν αὐτόματον τοῦ ἐνδεχομένου· ἡ δὲ τύχη τοῦ ἐφ' ἡμῖν καὶ τούτου οὐχ ἅπαντος, ἀλλ' ὅπερ ἂν καὶ κατὰ προαίρεσιν ᾖ, ὡς προείρηται· διὸ καὶ τὸ μὲν αὐτόματον, κοινὸν ἐμψύχων τε, καὶ ἀψύχων· ἡ δὲ τύχη ἴδιον ἀνθρώπων, ἤδη πράττειν δυναμένων· τεκμήριον δέ, ὅτι τὸ εὐτυχεῖν καὶ εὐδαιμονεῖν, ταυτὰ εἶναι δοξάζεται· ἡ δὲ εὐδαιμονία, εὐπραξία τις· ἡ δὲ εὐπραξία, περὶ μόνον καὶ τέλειον ἄνθρωπον. καὶ τὰ μὲν ἐκτὸς τῆς εἱμαρμένης, τοιαῦτα· τό, τε ἐνδεχόμενον καὶ δυνατόν, ἥ τε προαίρεσις, καὶ τὸ ἐφ' ἡμῖν· ἥ τε τύχη, καὶ τὸ αὐτόματον, τά τε παρακείμενα αὐτοῖς,

αὐτόν. l.

ὧν καὶ τὸ τάχα καὶ τὸ ἴσως. ἃ δὴ πάντα περιέχει μὲν ἡ εἱμαρμένη, οὐδὲν δ' αὐτῶν ἐστὶ καθ' εἱμαρμένην. λοιπὸν δ' ἂν εἴη καὶ περὶ προνοίας εἰπεῖν, ὡς αὐτή γε περιείληφε τὴν εἱμαρμένην. ἔστιν οὖν πρόνοια, ἡ μὲν ἀνωτάτω καὶ πρώτη, τοῦ πρώτου θεοῦ νόησις, εἴτε καὶ βούλησις οὖσα, εὐεργέτις ἁπάντων, καθ' ἣν πρώτως ἕκαστα τῶν θείων διαπαντὸς ἄριστά τε καὶ κάλλιστα κεκόσμηται. ἡ δὲ δευτέρα, δευτέρων θεῶν τῶν κατ' οὐρανὸν ἰόντων, καθ' ἣν τά τε θνητὰ γίνεται τεταγμένως, καὶ ὅσα πρὸς διαμονὴν καὶ σωτηρίαν ἑκάστων τῶν γενῶν. τρίτη δ' ἂν εἰκότως ῥηθείη πρόνοιά τε καὶ προμήθεια τῶν ὅσοι περὶ γῆν δαίμονες τεταγμένοι τῶν ἀνθρωπίνων πράξεων φύλακές τε καὶ ἐπίσκοποί εἰσιν. τριττῆς δὲ οὔσης τῆς προνοίας θεωρουμένης, κυριώτατα δὲ καὶ μάλιστα τῆς πρώτης λεγομένης, οὐκ ἂν ὀκνήσαιμεν εἰπεῖν, εἰ καὶ φιλοσόφοις ἀνδράσι τἀναντία λέγειν δόξαιμεν, ὡς ἔστι μὲν πάντα καθ' εἱμαρμένην καὶ κατὰ πρόνοιαν, οὐ μὴν καὶ κατὰ φύσιν. ἀλλ' ἔνια μὲν κατὰ πρόνοιαν, καὶ ἄλλα γε κατ' ἄλλην, ἔνια δὲ καθ' εἱμαρμένην. καὶ ἡ μὲν εἱμαρμένη πάντως κατὰ πρόνοιαν, ἡ δὲ πρόνοια οὐδαμῶς καθ' εἱμαρμένην. ἔστω δὲ ὁ λόγος τανῦν περὶ τῆς πρώτης καὶ ἀνωτάτω. τὸ μὲν κατά τι ὕστερον ἐκείνου, καθ' ὅτι ἂν καὶ λέγηται, οἷον τὸ κατὰ νόμον τοῦ νόμου, καὶ τὸ κατὰ φύσιν τῆς φύσεως, οὕτω δὲ καὶ τὸ καθ' εἱμαρμένην τῆς εἱμαρμένης, νεώτερον ἂν εἴη. ἡ δὲ ἀνωτάτω πρόνοια πρεσβύτατον ἁπάντων, πλὴν οὗπερ ἐστὶν, εἴτε βούλησις, εἴτε νόησις, εἴτε καὶ ἑκάτερον. ἔστι δ' ὡς πρότερον εἴρηται τοῦ πάντων πατρός τε καὶ δημιουργοῦ. λέγωμεν γὰρ δή φησιν ὁ Τίμαιος, δι' ἥν τινα αἰτίαν γένεσιν καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς συνέστησεν. ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς οὐδέποτε περὶ οὐδενὸς ἐγγίνεται φθόνος, τούτου δὲ ἐκτὸς ὤν, πάντα ὅτι μάλιστα ἐβουλήθη γενέσθαι παραπλήσια ἑαυτῷ. ταύτην δὴ γενέσεως καὶ κόσμου μάλιστα ἄν τις ἀρχὴν κυριωτάτην παρ' ἀνδρῶν φρονίμων ἀποδεχόμενος, ὀρθότατα ἀποδέχοιτ' ἄν. βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φαῦλον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν παραλαβὼν, οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν αὐτὸ ἤγαγεν, ἐκ τῆς ἀταξίας, ἡγησάμενος ἐκεῖνο τούτου πάντως ἄμεινον, θέμις δὲ οὔτ' ἦν οὔτε ἐστὶ, τῷ ἀρίστῳ δρᾶν ἄλλο, πλὴν τὸ κάλλιστον. ταῦτα μὲν οὖν καὶ τὰ τούτων ἐχόμενα μέχρι ψυχῶν ἀνθρωπίνων κατὰ πρόνοιαν νομιστέον, τήν τε πρώτην συνεστηκέναι. τὰ δὲ ἐντεῦθεν, οὕτω λεγόμενα. συστήσας δὲ τὸ πᾶν ἰσαρίθμους τοῖς ἄστροις ἔταξεν

διεῖλέ τε ψυχὰς ἑκάστην πρὸς ἕκαστον, καὶ ἐμβιβάσας,

ὡς εἰς ὄχημα τὴν τοῦ παντὸς φύσιν, ἔδειξε νόμους τε τοὺς εἱμαρμένους.

ταῦτα δὲ τίς οὐκ ἂν διαρρήδην καὶ σαφέστατα οἰηθείη τὴν εἱμαρμένην δηλοῦν, ὥσπερ τινὰ βάσιν, καὶ πολιτικὴν νομοθεσίαν, ταῖς ἀνθρωπίναις ψυχαῖς προσήκουσαν. ἧς δὴ καὶ τὴν αἰτίαν ἑξῆς ἐπιφέρει. τὴν δὲ δευτέραν πρόνοιαν ὧδέ πως ἐπισημαίνεται λέγων, διαθεσμοθετήσας πάντα αὐτοῖς, ἵνα τῆς ἔπειτα εἴη κακίας ἑκάστων ἀναίτιος, ἔσπειρε τοὺς μὲν εἰς τὴν γῆν, τοὺς δὲ εἰς τὴν σελήνην, τοὺς δὲ εἰς τὰ ἄλλα ὄργανα χρόνου, τὸ δὲ μετὰ τὸν σπόρον τοῖς νέοις παρέδωκε θεοῖς σώματα πλάττειν θνητά. τό, τε ἐπίλοιπον ὅσον ἐστὶ ψυχῆς ἀνθρωπίνης δέον προσγενέσθαι τοῦτο, καὶ πάντα ὅσα ἀκόλουθα ἐκείνοις ἀπεργασαμένους ἄρχειν καὶ κατὰ δύναμιν, ὅτι κάλλιστα καὶ ἄριστα τὸ θνητὸν διακυβερνᾶν ζῶον, ὅ τι μὴ κακῶν αὐτὸ αὑτῷ γίνοιτο αἴτιον. ἐν γὰρ τούτοις τὸ μὲν, ἵνα τῆς ἔπειτα εἴη κακίας ἀναίτιος, ἑκάστῳ σαφεστάτην αἰτίαν σημαίνει τῆς εἱμαρμένης. ἡ δὲ τῶν νέων θεῶν τάξις καὶ δημιουργία, τὴν δευτέραν πρόνοιαν δηλοῖ, καὶ πως καὶ τρίτης παρεφάπτεσθαι ἔοικεν, εἴ γε δὴ τούτου

χάριν ἡ θεσμοθεσία, ἵνα τῆς ἔπειτα εἴη κακίας ἑκάστῳ ἀναίτιος. θεὸς δὲ κακίας ἄμοιρος, οὔτε νόμων οὔτε εἱμαρμένης ἐπιδέοιτ' ἄν, ἀλλὰ τῇ προνοίᾳ τοῦ γεννήσαντος συνεπισπώμενος ἕκαστος αὐτῶν, πράττει τὰ αὑτοῦ. ταῦτα δὲ ἀληθῆ καὶ ἀρέσκοντα τῷ Πλάτωνι φανερά μοι δοκεῖ μαρτύρια εἶναι, τὰ πρὸς τοῦ νομοθέτου ἐν τοῖς νόμοις οὕτω λεγόμενα ἔπη, εἰ γάρ ποτέ τις ἀνθρώπων φύσει ἱκανὸς θείᾳ μοίρᾳ γεννηθεὶς, παραλαβεῖν δυνατὸς εἴη, νόμων οὐδὲν ἂν δέοιτο αὐτοῦ ἀρξόντων. ἐπιστήμης γὰρ οὔτε νόμων οὔτε τάξις οὐδεμία κρείττων, οὐδὲ θέμις ἐστὶν οὐδενὸς ὑπήκοον οὐδὲ δοῦλον, ἀλλὰ πάντα ἄρχοντα εἶναι, ἐάνπερ ἀληθινὸς ἐλεύθερός τε ὄντως ᾖ κατὰ φύσιν. ἐγὼ μὲν οὖν τὰ πρὸς τοῦ Πλάτωνος ταύτῃ τῇ προοιμίᾳ λαμβάνω. τριττῆς γὰρ οὔσης τῆς προνοίας, ἡ μὲν ἅτε γεννήσασα τὴν εἱμαρμένην, τρόπον τινὰ αὐτὴν περιλαμβάνει, ἡ δὲ συγγεννηθεῖσα τῇ εἱμαρμένῃ πάντως αὐτῇ συμπεριλαμβάνεται, ἡ δὲ ὡς ὕστερον τὴν εἱμαρμένην γεγενημένη κατὰ τὰ αὐτὰ δὴ ἐμπεριέχεται ὑπ' αὐτῆς, καθὰ καὶ τὸ ἐφ' ἡμῖν, καὶ ἡ τύχη εἴρηται. οἷς γὰρ ἂν συλλάβηται ἡ τῆς οὐσίας τοῦ δαιμονίου δύναμις, ὥς φησι Σωκράτης, μονονουχὶ θεσμόν τινα καὶ τοιοῦτον Ἀδραστείας διεξιὼν πρὸς τὸν Θεάγην, οὗτοί εἰσιν, ὧν καὶ σὺ ᾔσθησαι. ταχὺ γὰρ παραχρῆμα ἐπιδιδόασιν. οὐκοῦν ἐν τούτῳ, τὸ μὲν συλλαμβάνειν τισὶ τὸ δαιμόνιον, κατὰ τὴν τρίτην πρόνοιαν ἀναθετέον. τὸ δὲ ταχὺ παραχρῆμα ἐπιδιδόναι, καθ' εἱμαρμένην. τὸ δὲ ὅλον οὐκ ἄδηλον, ὡς αὐτὸ τοῦτο εἱμαρμένη τίς ἐστιν. τάχα δ' ἂν οὕτω πολὺ πιθανώτερον δόξειεν, καὶ τὴν δευτέραν πρόνοιαν ὑπὸ τῆς εἱμαρμένης περιέχεσθαι, καὶ πάντα ἁπλῶς τὰ γινόμενα, εἴ γε καὶ ἡ κατ' οὐσίαν εἱμαρμένη, ὀρθῶς ἡμῖν εἰς τὰς τρεῖς μοίρας διανενέμηται, καὶ ὁ τῆς ἀλύσεως λόγος, τὰς περὶ οὐρανὸν περιόδους, τοῖς ἐξ ὑποθέσεως ἀποβαίνουσι συγκαταλέγει. ἀλλὰ περὶ μὲν τούτων, οὐκ ἔγωγε ἐπὶ πλέον διενεχθείην, πότερον ἐξ ὑποθέσεως λεγόμενα, ἢ ὡς μᾶλλον τὴν εἱμαρμένην προκατάρχοντος αὐτῆς τῆς εἱμαρμένης εἱμαρμένου. ὁ οὖν ἡμέτερος λόγος, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, τοιοῦτός τις ἂν εἴη. ὁ δὲ τούτων ἐναντίος οὐ μόνον ἐν εἱμαρμένῃ, ἀλλὰ καὶ καθ' εἱμαρμένην πάντα τίθεται. πάντα δὲ θατέρῳ συνᾴδει, τὰ δὲ τῷ ἑτέρῳ συνῳδὰ, δῆλον ὅτι καὶ θάτερον. κατὰ μὲν οὖν τόνδε τὸν λόγον, τὸ ἐνδεχόμενον εἴρηται, καὶ τό γε ἐφ' ἡμῖν δεύτερον καὶ τρίτον, ἥ τε τύχη καὶ τὸ αὐτόματον, καὶ ὅσα καθ' αὐτά. ἔπαινος δὲ καὶ ψόγος καὶ τὰ τούτων συγγενῆ, τέταρτα. πέμπτον δὲ καὶ ὡς ἐν πᾶσιν, εὐχαὶ θεῶν καὶ θεραπεῖαι λεγέσθω, ἀργοὶ δὲ καὶ θερίζοντες λόγοι, καὶ ὁ παρὰ τὴν εἱμαρμένην ὀνομαζόμενος σοφίσματα, ὡς ἀληθῶς κατὰ τοῦτον τὸν λόγον τυγχάνει ὄντα. κατὰ δὲ τὸν ἐναντίον, μάλιστα μὲν καὶ πρῶτον εἶναι δόξειεν, τὸ μηδὲν ἀναιτίως γίνεσθαι, ἀλλὰ κατὰ προηγουμένας αἰτίας. δεύτερον δὲ τὸ φύσει διοικεῖσθαι τόνδε τὸν κόσμον, σύμπνουν καὶ συμπαθῆ αὐτὸν αὑτῷ ὄντα. τρίτον δὲ τὰ πρὸς τούτοις μαρτύρια μᾶλλον ἔοικεν εἶναι. μαντικὴ μὲν ἅπασιν ἀνθρώποις εὐδόκιμος ὡς ἀληθῶς θεῷ ὑπάρχουσα, ἡ δὲ τῶν σοφῶν πρὸς τὰ συμβαίνοντα εὐαρέστησις, ὡς πάντα κατὰ μοῖραν γιγνόμενα δεύτερα. τρίτον δὲ τὸ πολυθρύλλητον τοῦτο, ὅτι πᾶν ἀξίωμα, ἢ ἀληθές ἐστι, ἢ ψευδές. τούτων γε μὴν ὡς ἐν τοσοῦτον ἐμνήσθημεν, ἵνα ὡς ἐπὶ βραχὺ τὰ τῆς εἱμαρμένης.

ἃ χρὴ διερευνήσασθαι, κατὰ τὴν ἀκριβῆ βάσανον ἑκατέρου τῶν λόγων, τὰ δὲ καθέκαστα τούτων ἐσαῦθις μέτιμεν.

λείπει.

ΤΑ ΤΟΥ διαλόγου πρόσωπα. ὀνησικράτης. σωτήριχος. λυσίας.

Ἡ μὲν φωκίωνος τοῦ χρηστοῦ γυνὴ, κόσμον αὐτῆς ἔλεγεν εἶναι, τὰ φωκίωνος στρατηγήματα. ἐγὼ δὲ κόσμον ἐμὸν οὐ μόνον ἴδιον, ἀλλὰ γοῦν καὶ κοινὸν τῶν οἰκείων πάντων ἡγοῦμαι τὴν τοῦ ἐμοῦ διδασκάλου περὶ λόγους σπουδήν. τῶν μὲν γὰρ στρατηγῶν τὰ ἐπιφανέστατα κατορθώματα, σωτηρίας μόνον οἴδαμεν τῆς ἐκ τῶν παραχρῆμα κινδύνων, αἴτια γιγνόμενα στρατιώταις ὀλίγοις, ἢ πόλει μιᾷ, ἢ κἂν ἔθνει τινὶ ἑνί. βελτίους δ' οὐδαμῶς ποιοῦντα οὔτε τοὺς στρατιώτας, οὔτε τοὺς πολίτας, ἀλλ' οὐδὲ τοὺς ὁμοεθνεῖς. τὴν δὲ παιδείαν οὐσίαν εὐδαιμονίας οὖσαν, αἰτίαν τ' εὐβουλίας, οὐ μόνον ἐστὶν εὑρεῖν ἢ οἴκῳ, ἢ πόλει, ἢ ἔθνει χρησίμην, ἀλλὰ παντὶ τῷ τῶν ἀνθρώπων γένει. ὅσῳ οὖν ἡ ἐκ παιδείας ὠφέλεια μείζων πάντων στρατηγημάτων, τοσούτῳ καὶ ἡ περὶ αὐτῆς μνήμη ἀξία σπουδῆς. τῇ γοῦν δευτέρᾳ τῶν κρονίων ἡμέρᾳ ὁ καλὸς ὀνησικράτης ἐπὶ τὴν ἑστίασιν ἄνδρας μουσικῆς ἐπιστήμονας παρακεκλήκει. ἦσαν δὲ σωτήριχος ἀλεξανδρεὺς, καὶ λυσίας εἷς τις τῶν σύνταξιν παρ' αὐτοῦ λαμβανόντων. ἐπεὶ δὲ τὰ νομιζόμενα συντετέλεστο, τὸ μὲν αἴτιον τῆς ἀνθρώπου φωνῆς ἔφη, ὅτι ποτ' ἐστὶν ὦ ἑταῖροι, νῦν ἐπιζητεῖν οὐ συμποτικόν. σχολῆς γὰρ νηφαλιωτέρας δεῖται τὸ θεώρημα. ἐπεὶ δ' ὁρίζονται τὴν φωνὴν οἱ ἄριστοι γραμματικοὶ, ἀέρα πεπληγμένον αἰσθητὸν ἀκοῇ, τυγχάνομέν τε χθὲς ἐζητηκότες περὶ γραμματικῆς ὡς τέχνης ἐπιτηδείου γράμμασι τὰς φωνὰς δημιουργεῖν, καὶ ταμιεύειν τῇ ἀναμνήσει, ἴδωμεν τίς μετὰ ταύτην δευτέρα πρέπουσα φωνῇ ἐπιστήμη. οἶμαι δὲ ὅτι μουσική. ὑμνεῖν γὰρ εὐσεβὲς καὶ προηγούμενον ἀνθρώποις, τοὺς χαρισαμένους αὐτοῖς μόνοις τὴν ἔναρθρον φωνὴν θεούς. ἐπεσημήνατο δὲ καὶ ὅμηρος, ἐν οἷς λέγει, οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο, καλὸν ἀείδοντες παιήονα κοῦροι ἀχαιῶν, μέλποντες ἑκάεργον, ὁ δὲ φρένα τέρπετ' ἀκούων. ἄγε δὴ ὦ μουσικῆς θιασῶται, τίς πρῶτος ἐχρήσατο μουσικῇ ἀναμνήσατε τοὺς ἑταίρους. καὶ τί εὗρε πρὸς αὔξησιν ταύτης ὁ χρόνος, καὶ τίνες εὐδόκιμοι γεγόνασι τῶν τὴν μουσικὴν ἐπιστήμην μεταχειρισαμένων. ἀλλὰ μὴν καὶ εἰς πόσα καὶ εἰς τίνα χρήσιμον τὸ ἐπιτήδευμα. ταῦτα μὲν εἶπεν ὁ διδάσκαλος. ὁ δὲ λυσίας ὑπολαβὼν, παρὰ πολλοῖς ἔφη ἐζητημένον πρόβλημα ἐπιζητεῖς, ἀγαθὲ ὀνησίκρατες. τῶν τε γοῦν πλατωνικῶν οἱ πλεῖστοι, καὶ τῶν ἀπὸ τοῦ περιπάτου φιλοσόφων οἱ ἄριστοι, περί τε τῆς ἀρχαίας μουσικῆς συντάξαι ἐσπούδασαν, καὶ περὶ τῆς αὐτοῖς γεγενημένης παραφθορᾶς. ἀλλὰ γὰρ καὶ γραμματικῶν καὶ ἁρμονικῶν οἱ ἐπ' ἄκρον παιδείας ἐληλακότες, πολλὴν σπουδὴν τὴν περὶ τοῦτο πεποίηνται. πολλὴ γοῦν ἡ τῶν συντεταχότων διαφωνία. ἡρακλείδης δ' ἐν τῇ συναγωγῇ, τῶν ἐν μουσικῇ, τὴν κιθαρῳδίαν καὶ τὴν κιθαρῳδικὴν ποίησιν πρῶτόν φησιν ἀμφίονα ἐπινοῆσαι, τὸν διὸς καὶ ἀντιόπης, τοῦ πατρὸς δηλονότι διδάξαντος αὐτόν. πιστοῦται δὲ τοῦτο ἐκ τῆς ἀναγραφῆς τῆς ἐν σικυῶνι ἀποκειμένης. δι' ἧς τάς τε ἱερείας τὰς ἐν ἄργει καὶ τοὺς ποιητὰς καὶ τοὺς μουσικοὺς ὀνομάζει. κατὰ δὲ τὴν αὐτὴν ἡλικίαν καὶ λίνον τὸν ἐξ εὐβοίας θρήνους πεποιηκέναι λέγει, καὶ ἄνθην τὸν ἐξ ἀνθηδόνος τῆς βοιωτίας ὕμνους καὶ πίερον τὸν ἐκ πιερίας τὰ περὶ τὰς μούσας ποιήματα. ἀλλὰ καὶ φιλάμμωνα τὸν δελφὸν, λητοῦς τε καὶ ἀρτέμιδος, καὶ ἀπόλλωνος γένεσιν δηλῶσαι ἐν μέλεσι, καὶ χοροὺς πρῶτον περὶ τὸ ἐν δελφοῖς ἱερὸν στῆσαι. θάμυριν δὲ τὸ γένος θρᾷκα, εὐφωνότερον καὶ ἐμμελέ-

στερον πάντων τῶν τότε ᾆσαι, ὡς ταῖς μούσαις κατὰ τοὺς ποιητὰς εἰς ἀγῶνα καταστῆναι. πεποιηκέναι δὲ τοῦτον ἱστορεῖται, τιτάνων πρὸς τοὺς θεοὺς πόλεμον. γεγονέναι δὲ καὶ δημόδοκον κερκυραῖον παλαιὸν μουσικὸν, ὃν πεποιηκέναι ἰλίου τε πόρθησιν, καὶ ἀφροδίτης καὶ ἡφαίστου γάμον. ἀλλὰ μὴν καὶ φήμιον ἰθακήσιον, νόστον τῶν ἀπὸ τροίας μετ' ἀγαμέμνονος ἀνακομισθέντων ποιῆσαι. οὐ λελυμένην δ' εἶναι τῶν προειρημένων τὴν τῶν ποιημάτων λέξιν, καὶ μέτρον οὐκ ἔχουσαν, ἀλλὰ καθάπερ στησιχόρου τε καὶ τῶν ἀρχαίων μελοποιῶν, οἳ ποιοῦντες ἔπη τούτοις μέλη περιετίθεσαν. καὶ γοῦν τὸν τέρπανδρον ἔφη κιθαρῳδικῶν ποιητὴν ὄντα νόμων, κατὰ νόμον ἕκαστον τοῖς ἔπεσι τοῖς ἑαυτοῦ καὶ τοῖς ὁμήρου μέλη περιτιθέντα, ᾄδειν ἐν τοῖς ἀγῶσιν, ἀποφῆναι δὲ τοῦτον λέγει ὀνόματα πρῶτον τοῖς κιθαρῳδικοῖς νόμοις. ὁμοίως δὲ τερπάνδρῳ κλονᾶν τὸν πρῶτον συστησάμενον τοὺς αὐλῳδικοὺς νόμους καὶ τὰ προσόδια ἐλεγείων τε καὶ ἐπῶν ποιητὴν γεγονέναι, καὶ πολύμνηστον τὸν κολοφώνιον τὸν μετὰ τοῦτον γενόμενον, τοῖς αὐτοῖς χρήσασθαι ποιήμασιν. οἱ δὲ νόμοι οἱ κατὰ τούτους ἀγαθὲ ὀνησίκρατες αὐλῳδικοὶ ἦσαν ἀπόθετος, ἔλεγοι, κωμάρχιος, σχοινίων, κηπίων τε καὶ δεῖος, καὶ τριμελής. ὑστέρῳ δὲ χρόνῳ καὶ τὰ πολυμνάστια καλούμενα ἐξευρέθη. οἱ δὲ τῆς κιθαρῳδίας νόμοι, πρότερον πολλῷ χρόνῳ τῶν αὐλῳδικῶν κατεστάθησαν ἐπὶ τερπάνδρου. ἐκεῖνος γοῦν τοὺς κιθαρῳδικοὺς πρότερος ὠνόμασε, βοιώτιόν τινα καὶ αἰόλιον, τροχαῖόν τε καὶ ὀξὺν, κηπίωνά τε καὶ τερπάνδρειον καλῶν, ἀλλὰ μὴν καὶ τετραοίδιον. πεποίηται δὲ τῷ τερπάνδρῳ καὶ προοίμια κιθαρῳδικὰ ἐν ἔπεσιν. ὅτι δὲ οἱ κιθαρῳδικοὶ νόμοι οἱ πάλαι ἐξ ἐπῶν συνίσταντο, τιμόθεος ἐδήλωσε. τοὺς γοῦν πρώτους νόμους ἐν ἔπεσι διαμιγνύων διθυραμβικὴν λέξιν ᾖδεν, ὅπως μὴ εὐθὺς φανῇ παρανομῶν, εἰς τὴν ἀρχαίαν μουσικήν. ἔοικε δὲ κατὰ τὴν τέχνην τὴν κιθαρῳδικὴν ὁ τέρπανδρος διενηνοχέναι. τὰ πύθια γὰρ τετράκις ἑξῆς νενικηκὼς ἀναγέγραπται. καὶ τοῖς χρόνοις δὲ σφόδρα παλαιός ἐστιν. πρεσβύτερον γοῦν αὐτὸν ἀρχιλόχου ἀποφαίνει γλαῦκος ὁ ἐξ ἰταλίας, ἐν συγγράμματί τινι τῷ περὶ τῶν ἀρχαίων ποιητῶν τε καὶ μουσικῶν. φησὶ γοῦν αὐτὸν δεύτερον γενέσθαι μετὰ τοὺς πρώτους ποιήσαντας αὐλῳδίαν. ἀλέξανδρος δ' ἐν τῇ συναγωγῇ τῶν περὶ φρυγίας, κρούματα ὄλυμπον ἔφη πρῶτον εἰς τοὺς ἕλληνας κομίσαι. ἔτι δὲ καὶ τοὺς ἰδαίους δακτύλους. ὕαγνιν δὲ πρῶτον αὐλῆσαι. εἶτα τὸν τούτου υἱὸν μαρσύαν, εἶτα ὄλυμπον, ἐζηλωκέναι δὲ τὸν τέρπανδρον, ὁμήρου μὲν τὰ ἔπη, ὀρφέως δὲ τὰ μέλη. ὁ δὲ ὀρφεὺς, οὐδένα φαίνεται μεμιμημένος. οὐδεὶς γάρ πω γεγένητο. εἰ μὴ οἱ τῶν αὐλῳδικῶν ποιηταὶ, τούτοις δὲ κατ' οὐθὲν τὸ ὀρφικὸν ἔργον ἔοικεν. κλονᾶς δὲ ὁ τῶν αὐλῳδικῶν νόμων ποιητὴς, ὁ ὀλίγῳ ὕστερον τερπάνδρου γενόμενος, ὡς μὲν ἀρκάδες λέγουσι τεγεάτης ἦν, ὡς δὲ βοιωτοὶ, θηβαῖος. μετὰ δὲ τέρπανδρον καὶ κλονᾶν, ἀρχίλοχος παραδίδοται γενέσθαι. ἄλλοι δέ τινες τῶν συγγραφέων, ἄρδαλόν φασι τροιζήνιον πρότερον κλονᾶ τὴν αὐλῳδικὴν συστήσασθαι μοῦσαν. γεγονέναι δὲ καὶ πολύμνηστον ποιητὴν μέλητος τοῦ κολοφωνίου υἱὸν, ὃν πολύμνηστόν τε καὶ πολυμνήστην νόμους ποιῆσαι. περὶ δὲ κλονᾶ ὅτι τὸν ἀπόθετον νόμον καὶ σχοινίωνα πεποιηκὼς εἴη, μνημονεύουσιν οἱ ἀναγεγραφότες. τοῦ δὲ πολυμνήστου καὶ πίνδαρος καὶ ἀλκμὰν οἱ τῶν μελῶν ποιηταὶ ἐμνημόνευσαν. τινὰς δὲ τῶν νόμων τῶν κιθαρῳδικῶν τῶν ὑπὸ τερπάνδρου πεποιημένων, φιλάμμωνά φασι τὸν ἀρχαῖον τὸν δελφὸν συστήσασθαι.

Τὸ δ' ὅλον ἡ μὲν κατὰ τέρπανδρον κιθαρῳδία, καὶ μέχρι τῆς φρύνιδος ἡλικίας παντελῶς ἁπλῆ τις οὖσα διετέλει. οὐ γοῦν ἐξῆν τὸ παλαιὸν οὕτω ποιεῖσθαι τὰς κιθαρῳδίας ὡς νῦν, οὐδὲ μεταφέρειν τὰς ἁρμονίας καὶ τοὺς ῥυθμούς.

δημόδοκος. — φήμιος. — τέρπανδρος. — κλονᾶς. — πολύμνηστος. — νόμοι αὐλῳδικοί — πολυμνάστια. — νόμοι κιθαρῳδικοί — ὄλυμπος. — ὕαγνις. — μαρσύας. — κλονᾶς. — ἀρχίλοχος. — ἄρδαλος. — πολύμνηστος — πολυμνήστης

ἀπόθετος, ἔλεγοι, κωμάρχιος, σχοινίων, κηπίων, δεῖος — νόμοι αὐλῳδικοί

βοιώτιος, αἰόλιος, τροχαῖος, ὀξύς, κηπίων, τερπάνδρειος — νόμοι κιθαρῳδικοί

ἐν γὰρ τοῖς νόμοις ἑκάστῳ διετήρουν τὴν οἰκείαν τάσιν, διὸ καὶ ταύτην ἐπωνυμίαν εἶχον· νόμοι γὰρ προσηγορεύθησαν, ἐπειδὴ οὐκ ἐξῆν παραβῆναι καθ᾽ ἕκαστον νενομισμένον εἶδος τῆς τάσεως. τὰ γὰρ πρὸς τοὺς θεοὺς ὡς βούλονται ἀφοσιωσάμενοι, ἐξέβαινον εὐθὺς ἐπί τε τὴν Ὁμήρου καὶ τῶν ἄλλων ποίησιν. δῆλον δὲ τοῦτ᾽ ἐστὶ διὰ τῶν Τερπάνδρου προοιμίων. ἐποιήθη δὲ καὶ τὸ σχῆμα τῆς κιθάρας πρῶτον κατὰ Κηπίωνα τὸν Τερπάνδρου μαθητήν, ἐκλήθη δὲ Ἀσιὰς διὰ τὸ κεχρῆσθαι τοὺς Λεσβίους αὐτῇ κιθαρῳδοὺς πρὸς τῇ Ἀσίᾳ κατοικοῦντας. τελευταῖον δὲ Περίκλειτόν φασι κιθαρῳδὸν νικῆσαι ἐν Λακεδαίμονι Κάρνεια, τὸ γένος ὄντα Λέσβιον, τούτου δὲ τελευτήσαντος, τέλος λαβεῖν Λεσβίοις τὸ συνεχὲς τῆς κατὰ τὴν κιθαρῳδίαν διαδοχῆς. ἔνιοι δὲ πλανώμενοι νομίζουσι κατὰ τὸν χρόνον Τερπάνδρῳ Ἱππώνακτα γεγονέναι, φαίνεται δὲ Ἱππώνακτος καὶ Περίκλειτος ὢν πρεσβύτερος. ἐπεὶ δὲ τοὺς αὐλῳδικοὺς νόμους καὶ κιθαρῳδικοὺς ὁμοῦ τοὺς ἀρχαίους ἐμπεφανίκαμεν, μεταβησόμεθα ἐπὶ νόμους τοὺς αὐλῳδικούς. λέγεται γὰρ τὸν προειρημένον Ὄλυμπον αὐλητὴν ὄντα τῶν ἐκ Φρυγίας, ποιῆσαι νόμον αὐλητικὸν εἰς Ἀπόλλωνα τὸν καλούμενον πολυκέφαλον. εἶναι δὲ τὸν Ὄλυμπον τοῦτόν φασιν ἕνα τῶν ἀπὸ τοῦ πρώτου Ὀλύμπου τοῦ Μαρσύου πεποιηκότος εἰς τοὺς θεοὺς τοὺς νόμους. οὗτος γὰρ παιδικὰ γενόμενος Μαρσύου καὶ τὴν αὔλησιν μαθὼν παρ᾽ αὐτοῦ τοὺς νόμους τοὺς ἁρμονικοὺς ἐξήνεγκεν εἰς τὴν Ἑλλάδα, οἷς νῦν χρῶνται οἱ Ἕλληνες ἐν ταῖς ἑορταῖς τῶν θεῶν. ἄλλοι δὲ Κράτητος εἶναί φασι τὸν πολυκέφαλον νόμον, γενομένου μαθητοῦ Ὀλύμπου. ὁ δὲ Πρατίνας Ὀλύμπου φησὶν εἶναι τοῦ νεωτέρου τὸν νόμον τοῦτον. τὸν δὲ καλούμενον Ἁρμάτιον νόμον, λέγεται ποιῆσαι ὁ πρῶτος Ὄλυμπος ὁ Μαρσύου μαθητής. τὸν δὲ Μαρσύαν φασί τινες, Μάσσην καλεῖσθαι, οἱ δ᾽ οὔ, ἀλλὰ Μαρσύαν, εἶναι δ᾽ αὐτὸν Ὑάγνιδος υἱὸν τοῦ πρώτου εὑρόντος τὴν αὐλητικὴν τέχνην. ὅτι δ᾽ ἐστὶν Ὀλύμπου ὁ Ἁρμάτιος νόμος ἐκ τῆς Γλαύκου ἀναγραφῆς τῆς ὑπὲρ τῶν ἀρχαίων ποιητῶν, μάθοι ἄν τις, καὶ ἔτι γνοίη, ὅτι Στησίχορος ὁ Ἱμεραῖος οὔτε Ὀρφέα, οὔτε Τέρπανδρον, οὔτε Ἀρχίλοχον, οὔτε Θαλήταν ἐμιμήσατο, ἀλλ᾽ Ὄλυμπον, χρησάμενος τῷ ἁρματίῳ νόμῳ καὶ τῷ κατὰ δάκτυλον εἴδει, ὅ τινες ἐξ ὀρθίου νόμου φασὶν εἶναι. ἄλλοι δέ τινες ὑπὸ Μυσῶν εὑρῆσθαι τοῦτον τὸν νόμον. γεγονέναι γάρ τινας ἀρχαίους αὐλητὰς Μυσούς. καὶ ἄλλος δ᾽ ἐστὶν ἀρχαῖος νόμος, καλούμενος Κραδίας, ὅν φησιν Ἱππῶναξ Μίμνερμον αὐλῆσαι. ἐν ἀρχῇ γὰρ ἐλεγεῖα μεμελοποιημένα οἱ αὐλῳδοὶ ᾖδον. τοῦτο δὲ δηλοῖ ἡ τῶν Παναθηναίων γραφὴ ἡ περὶ τοῦ μουσικοῦ ἀγῶνος. γέγονε δὲ καὶ Σακάδας Ἀργεῖος, ποιητὴς μελῶν τε καὶ ἐλεγείων μεμελοποιημένων. ὁ δ᾽ αὐτὸς καὶ ποιητὴς ἀγαθός, καὶ τὰ Πύθια τρὶς νενικηκὼς ἀναγέγραπται. τούτου καὶ Πίνδαρος μνημονεύει. τόνων γοῦν τριῶν ὄντων κατὰ Πολύμνηστον καὶ Σακάδαν, τοῦ τε Δωρίου καὶ Φρυγίου καὶ Λυδίου, ἐν ἑκάστῳ τῶν εἰρημένων τόνων στροφὴν ποιήσαντά φασι τὸν Σακάδαν, διδάξαι ᾄδειν τὸν χορόν, Δωριστὶ μὲν τὴν πρώτην, Φρυγιστὶ δὲ τὴν δευτέραν, Λυδιστὶ δὲ τὴν τρίτην. καλεῖσθαι δὲ τριμερῆ τὸν νόμον τοῦτον διὰ τὴν μεταβολήν, ἐν δὲ τῇ ἐν Σικυῶνι ἀναγραφῇ τῇ περὶ τῶν ποιητῶν Κλονᾶς εὑρετὴς ἀναγέγραπται τοῦ τριμεροῦς νόμου. ἡ μὲν οὖν πρώτη κατάστασις τῶν περὶ τὴν μουσικὴν ἐν τῇ Σπάρτῃ, Τερπάνδρου καταστήσαντος γεγένηται; τῆς δευτέρας δὲ Θαλήτας τε ὁ Γορτύνιος, καὶ Ξενόδαμος ὁ Κυθήριος, καὶ Ξενόκριτος ὁ Λοκρός, καὶ Πολύμνηστος ὁ Κολοφώνιος, καὶ Σακάδας ὁ Ἀργεῖος μάλιστα αἰτίαν ἔχουσιν ἡγεμόνες γενέσθαι. τούτων γὰρ εἰσηγησαμένων τὰ περὶ τὰς Γυμνοπαιδίας τὰς ἐν Λακεδαίμονι λέγεται κατασταθῆναι τὰ περὶ τὰς Ἀποδείξεις τὰς ἐν Ἀρκαδίᾳ, τῶν τε ἐν Ἄργει τὰ Ἐνδυμάτια

καλούμενα. ἦσαν δὲ οἱ περὶ Θαλήταν τε καὶ Ξενόδαμον, καὶ Ξενόκριτον ποιηταὶ παιάνων. οἱ δὲ περὶ Πολύμνηστον τῶν ὀρθίων καλουμένων. οἱ δὲ περὶ Σακάδαν ἐλεγείων. ἄλλοι δὲ Ξενόδαμον ὑπορχημάτων ποιητὴν γεγονέναι φασὶ καὶ οὐ παιάνων, καθάπερ Πρατίνας, καὶ αὐτοῦ δὲ τοῦ Ξενοδάμου ἀπομνημονεύεται ᾆσμα ὅ ἐστι φανερῶς ὑπόρχημα. κέχρηται δὲ τῷ γένει τῆς ποιήσεως ταύτης καὶ Πίνδαρος. ὁ δὲ παιὰν ὅτι διαφορὰν ἔχει πρὸς τὰ ὑπορχήματα, τὰ Πινδάρου ποιήματα δηλώσει. γέγραφε γὰρ καὶ παιᾶνας, καὶ ὑπορχήματα. καὶ Πολύμνηστος δὲ αὐλῳδικοὺς νόμους ἐποίησεν. ἐν δὲ τῷ ὀρθίῳ τῇ μελοποιίᾳ κέχρηται, καθάπερ οἱ ἁρμονικοί φασιν, οὐκ ἔχομεν δ᾽ ἀκριβῶς εἰπεῖν, οὐ γὰρ εἰρήκασιν οἱ ἀρχαῖοί τι περὶ τούτου. καὶ περὶ Θαλήτα δὲ τοῦ Κρητός, εἰ παιάνων γεγένηται ποιητής, ἀμφισβητεῖται. Γλαῦκος γὰρ μετ᾽ Ἀρχίλοχον φάσκων γεγενῆσθαι Θαλήταν μεμιμῆσθαι μὲν αὐτόν φησι τὰ Ἀρχιλόχου μέλη, ἐπὶ δὲ τὸ μακρότερον ἐκτεῖναι, καὶ Μάρωνα καὶ Κρητικὸν ῥυθμὸν εἰς τὴν μελοποιίαν ἐνθεῖναι, οἷς Ἀρχίλοχον μὴ κεχρῆσθαι, ἀλλ᾽ οὐδὲ Ὀρφέα, οὐδὲ Τέρπανδρον. ἐκ γὰρ τῆς Ὀλύμπου αὐλήσεως, Θαλήταν φασὶν ἐξειργάσθαι ταῦτα, καὶ δόξαι ποιητὴν ἀγαθὸν γεγονέναι. περὶ δὲ Ξενοκράτου ὃς ἦν τὸ γένος ἐκ Λοκρῶν τῶν ἐν Ἰταλίᾳ, ἀμφισβητεῖται εἰ παιάνων ποιητὴς γέγονεν. ἡρωικῶν γὰρ ὑποθέσεων πράγματα ἐχουσῶν, ποιητὴν γεγονέναι φασὶν αὐτόν. διὸ καί τινας διθυράμβους καλεῖν αὐτοῦ τὰς ὑποθέσεις. πρεσβύτερον δὲ τῇ ἡλικίᾳ φησὶν ὁ Γλαῦκος, Θαλήταν Ξενοκράτου γεγονέναι. Ὄλυμπος δὲ ὡς Ἀριστόξενός φησιν ὑπολαμβάνεται ὑπὸ τῶν μουσικῶν, τοῦ ἐναρμονίου γένους εὑρετὴς γεγενῆσθαι. τὰ γὰρ πρὸ ἐκείνου πάντα, διάτονα καὶ χρωματικὰ ἦν. ὑπονοοῦσι δὲ τὴν εὕρεσιν τοιαύτην τινὰ γενέσθαι, ἀναστρεφόμενον τὸν Ὄλυμπον ἐν τῷ διατόνῳ, καὶ διαβιβάζοντα τὸ μέλος πολλάκις ἐπὶ τὴν διάτονον παρυπάτην, ποτὲ μὲν ἀπὸ τῆς παραμέσης, ποτὲ δὲ ἀπὸ τῆς μέσης, καὶ παραβαίνοντα τὴν διάτονον λιχανὸν καταμαθεῖν τὸ κάλλος τοῦ ἤθους, καὶ οὕτω τὸ ἐκ τῆς ἀναλογίας συνεστηκὸς σύστημα θαυμάσαντα καὶ ἀποδεξάμενον ἐν τούτῳ ποιεῖν ἐπὶ τοῦ Δωρίου τόνου. οὔτε γὰρ τῶν τοῦ διατόνου ἰδίων, οὔτε τῶν τοῦ χρώματος ἅπτεσθαι, ἀλλὰ οὐδὲ τῶν τῆς ἁρμονίας, εἶναι δ᾽ αὐτῷ τὰ πρῶτα τῶν ἐναρμονίων τοιαῦτα. τιθέασι γὰρ τούτων πρῶτον τὸ σπονδεῖον, ἐν ᾧ οὐδεμία τῶν διαιρέσεων τὸ ἴδιον ἐμφαίνει, εἰ μή τις εἰς τὸν συντονώτερον σπονδειασμὸν βλέπων αὐτὸ τοῦτο διάτονον εἶναι ἀπεικάσῃ. δῆλον δ᾽ ὅτι καὶ ψεῦδος καὶ ἐκμελὲς θήσει, ὁ τοιοῦτο τιθείς. ψεῦδος μὲν ὅτι διέσει ἔλαττόν ἐστι τόνου τοῦ περὶ τὸν ἡγεμόνα κειμένου. ἐκμελὲς δέ, ὅτι καὶ εἴ τις ἐν τῇ τοῦ τονιαίου δυνάμει τιθείη τὸ τοῦ συντονωτέρου σπονδειασμοῦ ἴδιον, συμβαίνοι ἂν δύο ἑξῆς τίθεσθαι διάτονα, τὸ μὲν ἀσύνθετον, τὸ δὲ σύνθετον. τὸ γὰρ ἐν ταῖς μέσαις ἐναρμόνιον πυκνόν, ᾧ νῦν χρῶνται, οὐ δοκεῖ τοῦ ποιητοῦ εἶναι. ῥᾴδιον δ᾽ ἐστὶ συνιδεῖν ἐάν τις ἀρχαϊκῶς τινος αὐλοῦντος ἀκούσῃ, ἀσύνθετον γὰρ βούλεται εἶναι, καὶ τὸ ἐν ταῖς μέσαις ἡμιτόνιον. τὰ μὲν οὖν πρῶτα τῶν ἐναρμονίων, τοιαῦτα, ὕστερον δὲ τὸ ἡμιτόνιον διῃρέθη, ἔν τε τοῖς Λυδίοις καὶ ἐν τοῖς Φρυγίοις. φαίνεται δ᾽ Ὄλυμπον αὐξήσας μουσικήν, τῷ ἀγένητόν τε καὶ ἀγνοούμενον ὑπὸ τῶν ἔμπροσθεν εἰσαγαγεῖν, καὶ ἀρχηγὸς γενέσθαι τῆς Ἑλληνικῆς καὶ καλῆς μουσικῆς. ἔστι δέ τις καὶ περὶ τῶν ῥυθμῶν λόγος. γένη γάρ τινα καὶ εἴδη ῥυθμῶν προσεξευρέθη, ἀλλὰ μὴν καὶ μελοποιιῶν τε καὶ ῥυθμοποιιῶν. προτέρα μὲν γὰρ ἡ Τερπάνδρου καινοτομία, καλόν τινα τρόπον εἰς τὴν μουσικὴν εἰσήγαγεν. Πολύμνηστος δὲ μετὰ τὸν Τερπάνδρειον τρόπον καινῷ ἐχρήσατο, καὶ αὐτὸς μέντοι ἐχόμενος τοῦ καλοῦ τύπου, ὡσαύτως δὲ καὶ Θαλήτας, καὶ Σακάδας. καὶ γὰρ

οὔτοι κατά γε τὰς ῥυθμοποιίας ἱκανοὶ, οὐκ ἐκβαίνοντες μὲν τοῦ καλοῦ τύπου·
ἔστι δέ τις ἀλκμανικὴ καινοτομία, στησιχόρειος, καὶ αὗται οὐκ ἀφεστῶσαι τοῦ κα-
λοῦ. κρέξος δὲ καὶ τιμόθεος, καὶ φιλόξενος, καὶ οἱ κατ' αὐτὴν τὴν ἡλικίαν
γεγονότες ποιηταὶ φορτικώτεροι καὶ φιλόκαινοι γεγόνασι. τὸ νῦν φιλάνθρωπον
καὶ θεματικὸν νῦν ὀνομαζόμενον, διώξαντες. τὴν γὰρ ὀλιγοχορδίαν καὶ τὴν ἁπλό-
τητα καὶ σεμνότητα τῆς μουσικῆς, παντελῶς ἀρχαϊκὴν εἶναι συμβέβηκεν.
εἰρηκὼς κατὰ δύναμιν περί τε τῆς πρώτης μουσικῆς, καὶ τῶν πρώτων εὑρόντων
αὐτὴν, καὶ ὑπὸ τίνων κατὰ χρόνους ταῖς προσεξευρέσεσιν ηὔξηται, κατα-
παύσω τὸν λόγον καὶ παραδώσω τῷ ἑταίρῳ σωτηρίχῳ ἐσπουδακότι οὐ μόνον
περὶ μουσικὴν, ἀλλὰ καὶ περὶ τὴν ἄλλην ἐγκύκλιον παιδείαν. ἡμεῖς γὰρ μᾶλλον
χειρουργικῷ μέρει τῆς μουσικῆς ἐγγεγυμνάσμεθα. ὁ μὲν λυσίας ταῦτ' εἰπὼν,
κατέπαυσε τὸν λόγον. σωτήριχος δὲ μετὰ τοῦτον, ὧδέ πως ἔφη. ὑπὲρ σεμνοῦ
ἐπιτηδεύματος καὶ θεοῖς μάλιστα ἀρέσκοντος ὦ 'γαθὲ ὀνησίκρατες, τοὺς λόγους
ἡμᾶς προετρέψω ποιήσασθαι. ἀποδέχομαι μὲν οὖν τῆς συνέσεως τὸν διδάσκα-
λον λυσίαν, ἀλλὰ μὴν καὶ τῆς μνήμης ἣν ἐπεδείξατο περί τε τοὺς εὑρετὰς τῆς
πρώτης μουσικῆς, καὶ περὶ τοὺς τὰ τοιαῦτα συγγεγραφότας. ὑπομνήσω δὲ τοῦ-
θ' ὅτι τοῖς ἀναγεγραμμένοις μόνοις κατακολουθήσας, πεποίηται τὴν δεῖξιν.
ἡμεῖς δ' οὐκ ἄνθρωπόν τινα παρελάβομεν εὑρετὴν τῶν τῆς μουσικῆς ἀγαθῶν ἀλ-
λὰ τὸν πάσαις ταῖς ἀρεταῖς κεκοσμημένον θεὸν, ἀπόλλωνα. οὐ γὰρ μαρσύου
ἢ ὀλύμπου ἢ ὑάγνιδος, ὥς τινες οἴονται εὕρημα ὁ αὐλός, οὐ μόνη δὲ κιθάρα ἀπόλ-
λωνος, ἀλλὰ καὶ αὐλητικῆς καὶ κιθαριστικῆς εὑρετὴς ὁ θεός. δῆλον δὲ ἐκ τῶν χο-
ρῶν καὶ τῶν θυσιῶν ἃς προσῆγον μετ' αὐλῶν τῷ θεῷ. καθάπερ ἄλλοι τε καὶ ἀλ-
καῖος ἔν τινι τῶν ὕμνων ἱστορεῖ. καὶ ἡ ἐν δήλῳ δὲ τοῦ ἀγάλματος αὐτοῦ ἀφίδρυ-
σις, ἔχει ἐν μὲν τῇ δεξιᾷ τόξον, ἐν δὲ τῇ ἀριστερᾷ χάριτας, τῶν τῆς μουσικῆς ὀργά-
νων ἑκάστην τι ἔχουσαν, ἡ μὲν γὰρ λύραν κρατεῖ ἡ δὲ αὐλοὺς, ἡ δ' ἐν μέσῳ, προκει-
μένην ἔχει τῷ στόματι σύριγγα. ὅτι δ' οὗτος οὐκ ἐμὸς ὁ λόγος ἀντικλῆς καὶ ἴ-
στρος ἐν ταῖς ἐπιφανείαις περὶ τούτων ἀφηγήσαντο, οὕτω δὲ παλαιόν ἐστι τὸ ἀ-
φίδρυμα τοῦτο, ὥστε τοὺς ἐργασαμένους αὐτὸ, τῶν καθ' ἡρακλέα μερόπων φα-
σὶν εἶναι. ἀλλὰ μὴν καὶ τῷ κατακομίζοντι παιδὶ τὴν τεμπικὴν δάφνην εἰς
δελφοὺς παρομαρτεῖ αὐλητής, καὶ τὰ ἐξ ὑπερβορέων δὲ ἱερὰ μετὰ αὐλῶν
καὶ συρίγγων καὶ κιθάρας εἰς τὴν δῆλόν φασι τὸ παλαιὸν στέλλεσθαι. ἄλλοι δὲ
καὶ αὐτὸν τὸν θεόν φασιν αὐλῆσαι, καθάπερ ἱστορεῖ ὁ ἄριστος μελῶν ποιητὴς ἀλ-
κμάν. ἡ δὲ κόριννα καὶ διδαχθῆναί φησι τὸν ἀπόλλω ὑπ' ἀθηνᾶς αὐλεῖν. σεμνὴ δὲ
κατὰ πάντα ἡ μουσικὴ, θεῶν εὕρημα οὖσα. ἐχρήσαντο δ' αὐτῇ οἱ παλαιοὶ
κατὰ τὴν ἀξίαν, ὥσπερ καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασι πᾶσιν. οἱ δὲ νῦν τὰ σεμνὰ
αὐτῆς παραιτησάμενοι, ἀντὶ τῆς ἀνδρώδους ἐκείνης καὶ θεσπεσίας, καὶ θεοῖς
φίλης, κατεαγυῖαν καὶ κωτίλην εἰς τὰ θέατρα εἰσάγουσι. τοιγάρτοι πλάτων ἐν
τῷ τρίτῳ τῆς πολιτείας δυσχεραίνει τῇ τοιαύτῃ μουσικῇ. τὴν γοῦν λύδιον ἁρ-
μονίαν παραιτεῖται, ἐπειδὴ ὀξεῖα καὶ ἐπιτήδειος πρὸς θρῆνον, ἡ καὶ τὴν πρώ-
την σύστασιν αὐτῆς φασι θρηνώδη τινὰ γενέσθαι. ὄλυμπον γὰρ πρῶτον ἀριστόξε-
νος, ἐν τῷ πρώτῳ περὶ μουσικῆς ἐπὶ τῷ πύθωνί φησιν ἐπικήδειον αὐλῆσαι λυδιστί.
εἰσὶ δ' οἳ μελανιππίδην τούτου τοῦ μέλους ἄρξασθαί φασι. πίνδαρος δ' ἐν παιᾶ-
σιν ἐπὶ τοῖς νιόβης γάμοις φησὶ λύδιον ἁρμονίαν πρῶτον διδαχθῆναι. ἄλλοι δὲ
τόρηβον πρῶτον ἐν τῇ ἁρμονίᾳ χρήσασθαι, καθάπερ διονύσιος ὁ ἴαμβος ἱστορεῖ.
καὶ ἡ μιξολύδιος δὲ παθητική τίς ἐστι τραγῳδίαις ἁρμόζουσα. ἀριστόξενος δέ
φησι σαπφὼ πρώτην εὕρασθαι τὴν μιξολυδιστὶ, παρ' ἧς τοὺς τραγῳδοποιοὺς μα-

θεῖν,

θεῖν. λαβόντας γοῦν αὐτοὺς συζεῦξαι τῇ δωριστὶ, ἐπεὶ ἡ μὲν τὸ μεγαλοπρεπὲς καὶ
ἀξιωματικὸν ἀποδίδωσιν, ἡ δὲ τὸ παθητικόν. μέμικται δὲ διὰ τούτων τραγῳδία.
ἐν δὲ τοῖς ἱστορικοῖς τοῖς ἁρμονικοῖς πυθοκλείδην φασὶ τὸν αὐλητὴν, εὑρετὴν αὐ-
τῆς γεγονέναι. λῦσις δὲ λαμπροκλέα τὸν ἀθηναῖον συνιδόντα ὅτι οὐκ ἐν ταύ-
τῃ ἔχει τὴν διάζευξιν ὅπου σχεδὸν ἅπαντες ᾤοντο, ἀλλ' ἐπὶ τὸ ὀξὺ τοιοῦτον αὐτῆς
ἀπεργάσασθαι τὸ σχῆμα, οἷον τὸ ἀπὸ παραμέσης ἐπὶ ὑπάτην ὑπατῶν. ἀλλὰ
μὴν καὶ τὴν ἐπανειμένην λυδιστὶ, ἥπερ ἐναντία τῇ μιξολυδιστὶ παραπλησίαν
οὖσαν τῇ ἰάδι ὑπὸ δάμωνος, εὑρῆσθαί φασι τοῦ ἀθηναίου. τούτων δὲ τῶν ἁρμο-
νιῶν, τῆς μὲν θρηνῳδικῆς τινος οὔσης, τῆς δ' ἐκλελυμένης, εἰκότως ὁ πλάτων πα-
ραιτησάμενος αὐτὰς, τὴν δωριστὶ ὡς πολεμικοῖς ἀνδράσι καὶ σώφροσιν ἁρμό-
ζουσαν εἵλετο, οὐ μὰ δία ἀγνοήσας, ὡς ἀριστόξενός φησιν ἐν τῷ δευτέρῳ τῶν μου-
σικῶν, ὅτι καὶ ἐν ἐκείναις τι χρήσιμον ἦν πρὸς πολιτείαν φυλακικήν. πάνυ γὰρ
προσέσχε τῇ μουσικῇ ἐπιστήμῃ πλάτων, ἀκουστὴς γενόμενος δράκοντος τοῦ ἀθη-
ναίου, καὶ μετέλλου τοῦ ἀκραγαντίνου. ἀλλ' ἐπεὶ ὡς προείπομεν πολὺ τὸ σεμνόν
ἐστιν ἐν τῇ δωριστὶ, ταύτην προετίμησεν. οὐκ ἠγνόει δὲ ὅτι πολλὰ δώρια παρθένεια
ἄλλα ἀλκμᾶνι, καὶ πινδάρῳ, καὶ σιμωνίδῃ, καὶ βακχυλίδῃ πεποίηται. ἀλλὰ
μὴν καὶ ὅτι προσόδια καὶ παιᾶνες καὶ μέντοι ὅτι καὶ τραγικοὶ οἶκτοί ποτε ἐπὶ
τοῦ δωρίου τρόπου ἐμελῳδήθησαν, καί τινα ἐρωτικά. ἐξήρκει δ' αὐτῷ τὰ εἰς
τὸν ἄρην καὶ ἀθηνᾶν καὶ τὰ σπονδεῖα. ἐπιρρῶσαι γὰρ ταῦτα ἱκανὰ ἀνδρὸς σώ-
φρονος ψυχήν. καὶ περὶ τοῦ λυδίου δὲ οὐκ ἠγνόει καὶ περὶ τῆς ἰάδος. ἠπίστα-
το γοῦν ὅτι ἡ τραγῳδία ταύτῃ τῇ μελοποιίᾳ κέχρηται. καὶ οἱ παλαιοὶ δὲ πάντες
οὐκ ἀπείρως ἔχοντες πασῶν τῶν ἁρμονιῶν, ἐνίαις ἐχρήσαντο. οὐ γοῦν ἡ ἄγνοια τῆς
τοιαύτης στενοχωρίας καὶ ὀλιγοχορδίας αὐτοῖς αἰτία γεγένηται. οὐδὲ δι' ἄ-
γνοιαν οἱ περὶ ὄλυμπον καὶ τέρπανδρον, καὶ οἱ ἀκολουθήσαντες τῇ τούτων
προαιρέσει, περιεῖλον τὴν πολυχορδίαν τε καὶ ποικιλίαν. μαρτυρεῖ γοῦν τὰ
ὀλύμπου τε καὶ τερπάνδρου ποιήματα, καὶ τῶν τούτοις ὁμοιοτρόπων πάντων. τρίχορ-
δα γὰρ ὄντα καὶ ἁπλᾶ διαφέρει τῶν ποικίλων καὶ πολυχόρδων, ὡς μηδένα δύνα-
σθαι μιμήσασθαι τὸν ὀλύμπου τρόπον, ὑστερίζειν δὲ τούτου ἐν τῷ πολυχόρδῳ τε
καὶ πολυτρόπῳ καταγινομένους. ὅτι δὲ οἱ παλαιοὶ οὐ δι' ἄγνοιαν ἀπείχοντο τῆς
τρίτης ἐν τῷ σπονδειάζοντι τρόπῳ φανερὸν ποιεῖ, ἡ ἐν τῇ κρούσει γινομένη χρῆσις.
οὐ γὰρ ἄν ποτε αὐτῇ πρὸς τὴν παρυπάτην κεχρῆσθαι, συμφώνως μὴ γνωρί-
ζοντας τὴν χρῆσιν. ἀλλὰ δῆλον ὅτι τὸ τοῦ καλλίους ἦθος ὃ γίνεται ἐν τῷ σπον-
δειακῷ τρόπῳ διὰ τὴν τῆς τρίτης ἐξαίρεσιν, τοῦτ' ἦν τὸ τὴν αἴσθησιν αὐτῶν ἐπά-
γον ἐπὶ τὸ διαβιβάζειν τὸ μέλος ἐπὶ τὴν παρανήτην, ὁ αὐτὸς δὲ λόγος καὶ περὶ
τῆς νήτης. καὶ γοῦν ταύτῃ πρὸς μὲν τὴν κροῦσιν ἐχρῶντο, καὶ πρὸς παρανήτην
διαφώνων καὶ πρὸς μέσην συμφώνων, κατὰ δὲ τὸ μέλος οὐκ ἐφαίνετο αὐτοῖς οἰ-
κεία εἶναι τῷ σπονδειακῷ τρόπῳ. οὐ μόνον δὲ τούτοις, ἀλλὰ καὶ τῇ συνημμένου
νήτῃ οὕτω κέχρηνται πάντες. κατὰ μὲν γοῦν τὴν κροῦσιν αὐτὴν, διεφώνουν πρός
τε παρανήτην, καὶ πρὸς παραμέσην, καὶ πρὸς λιχανὸν, κατὰ δὲ τὸ μέλος κἂν
αἰσχυνθῆναι τῷ χρησαμένῳ, ἐπὶ τῷ γινομένῳ δι' αὐτὴν ἤθει. δῆλον δ' εἶναι καὶ
ἐκ τῶν φρυγίων, ὅτι οὐκ ἠγνόει τοῦ ὀλύμπου τε καὶ τῶν ἀκολουθησάντων ἐκεί-
νων. ἐχρῶντο γοῦν αὐτῇ οὐ μόνον κατὰ τὴν κροῦσιν, ἀλλὰ καὶ κατὰ τὸ μέλος ἐν τοῖς
μητρῴοις καὶ ἐν τισὶ τῶν φρυγίων. δῆλον δὲ καὶ τὸ περὶ ὑπατῶν, ὅτι οὐ δι' ἄγνοι-
αν ἀπείχοντο ἐν τοῖς δωρίοις τοῦ τετραχόρδου τούτου, αὐτίκα ἐπὶ τῶν λοιπῶν
τόνων ἐχρῶντο, δῆλον ὅτι εἰδότες. διὰ δὲ τὴν τοῦ ἤθους φυλακὴν ἀφῄρουν ἐπὶ τοῦ
δωρίου τόνου τιμῶντες τὸ καλὸν αὐτοῦ, οἷόν τι καὶ ἐπὶ τῆς τραγῳδίας ποιη-

αὐτῇ γὰρ ἀφεστῶσα

αὐλοῖς.

τῶν. τῷ γὰρ χρωματικῷ γένει καὶ τῷ ῥυθμῷ τραγῳδία μὲν οὐδέπω καὶ τήμερον κέχρηται· κιθάρα δὲ πολλαῖς γενεαῖς πρεσβυτέρα τραγῳδίας οὖσα ἐξ ἀρχῆς ἐχρήσατο. τὸ δὲ χρῶμα ὅτι πρεσβύτερόν ἐστι τῆς ἁρμονίας, σαφές. δεῖ γὰρ δηλονότι κατὰ τὴν τῆς ἀνθρωπίνης φύσεως ἔντευξιν καὶ χρῆσιν, τὸ πρεσβύτερον λέγειν· κατὰ γὰρ αὐτὴν τὴν τῶν γενῶν φύσιν οὐκ ἔστιν ἕτερον ἑτέρου πρεσβύτερον. εἰ οὖν τις Αἰσχύλον ἢ Φρύνιχον φαίη δι᾽ ἄγνοιαν ἀπεσχῆσθαι τοῦ χρώματος, ἆρά γε οὐκ ἂν ἄτοπος εἴη; ὁ γὰρ αὐτὸς καὶ Παγκράτην ἂν εἴποι ἀγνοεῖν τὸ χρωματικὸν γένος· ἀπείχετο γὰρ καὶ οὗτος ὡς ἐπὶ τὸ πολὺ τούτου, ἐχρήσατο δ᾽ ἔν τισιν. οὐ δι᾽ ἄγνοιαν οὖν δηλονότι, ἀλλὰ διὰ τὴν προαίρεσιν ἀπείχετο. ἐζήλου γοῦν, ὡς αὐτὸς ἔφη, τὸν Πινδάρειόν τε καὶ Σιμωνίδειον τρόπον, καὶ καθόλου τὸ ἀρχαῖον καλούμενον ὑπὸ τῶν νῦν. ὁ αὐτὸς δὲ λόγος, καὶ περὶ Τυρταίου τε τοῦ Μαντινέως, καὶ Ἀνδρέα τοῦ Κορινθίου, καὶ Θρασύλλου τοῦ Φλιασίου, καὶ ἑτέρων πολλῶν, οὓς πάντας ἴσμεν διὰ προαίρεσιν ἀπεσχημένους χρώματός τε καὶ μεταβολῆς καὶ πολυχορδίας καὶ ἄλλων πολλῶν ἐν μέσῳ ὄντων ῥυθμῶν τε καὶ ἁρμονιῶν καὶ λέξεων καὶ μελοποιίας καὶ ἑρμηνείας. αὐτίκα Τηλεφάνης ὁ Μεγαρικός, οὕτως ἐπολέμησε ταῖς σύριγξιν, ὥστε τοὺς αὐλοποιοὺς οὐδ᾽ ἐπιθεῖναι πώποτε εἴασεν ἐπὶ τοὺς αὐλούς, ἀλλὰ καὶ τοῦ Πυθικοῦ ἀγῶνος μάλιστα διὰ ταῦτ᾽ ἀπέστη. καθόλου δ᾽ εἴ τις τῷ μὴ χρῆσθαι τεκμαιρόμενος, καταγνώσεται τῶν μὴ χρωμένων ἄγνοιαν, πολλῶν ἄν τι φθάνοι καὶ τῶν νῦν καταγινώσκων, οἷον τῶν μὲν Δωριωνείων τοῦ Ἀντιγενιδείου τρόπου καταφρονούντων, ἐπειδήπερ οὐ χρῶνται αὐτῷ· τῶν δ᾽ Ἀντιγενιδείων τοῦ Δωριωνείου διὰ τὴν αὐτὴν αἰτίαν· τῶν δὲ κιθαρῳδῶν τοῦ Τιμοθείου τρόπου· σχεδὸν γὰρ ἀποπεφοιτήκασιν εἴς τε τὰ καττύματα, καὶ εἰς τὰ Πολυείδου ποιήματα. πάλιν δ᾽ αὖ εἴ τις καὶ περὶ τῆς ποικιλίας, ὀρθῶς τε καὶ ἐμπείρως ἐπισκοποίη τὰ τότε καὶ τὰ νῦν συγκρίνων, εὕροι ἂν ἐν χρήσει οὖσαν καὶ τότε τὴν ποικιλίαν. τῇ γὰρ περὶ τὰς ῥυθμοποιίας ποικιλίᾳ οὔσῃ ποικιλωτέρᾳ ἐχρήσαντο οἱ παλαιοί. ἐτίμων γοῦν τὴν ῥυθμικὴν ποικιλίαν, καὶ τὰ περὶ τὰς κρουματικὰς δὲ διαλέκτους τότε ποικιλώτερα ἦν. οἱ μὲν γὰρ νῦν φιλομαθεῖς, οἱ δὲ τότε φιλόρρυθμοι. δῆλον οὖν ὅτι οἱ παλαιοί, οὐ δι᾽ ἄγνοιαν, ἀλλὰ διὰ προαίρεσιν, ἀπείχοντο τῶν κεκλασμένων μελῶν. καὶ τί θαυμαστόν; πολλὰ γὰρ καὶ ἄλλα τῶν κατὰ τὸν βίον ἐπιτηδευμάτων οὐκ ἀγνοεῖται μὲν ὑπὸ τῶν χρωμένων, ἀπηλλοτρίωται δ᾽ αὐτῶν, τῆς χρείας ἀφαιρεθείσης, διὰ τὸ εἰς ἔνια ἀπρεπὲς δεδειγμένον. ὅτι δὲ ὁ Πλάτων οὔτε ἀγνοίᾳ οὔτε ἀπειρίᾳ τὰ ἄλλα παρῃτήσατο, ἀλλ᾽ ὡς οὐ πρέποντα τοιαύτῃ πολιτείᾳ, δείξομεν ἑξῆς, ὅτι ἔμπειρος ἁρμονίας ἦν. ἐν γοῦν τῇ ψυχογονίᾳ τῇ ἐν τῷ Τιμαίῳ, τήν τε περὶ τὰ μαθήματα καὶ μουσικὴν σπουδὴν ἐπεδείξατο, οὕτω δέ πως· καὶ μετὰ ταῦτα συνεπλήρου τά τε διπλάσια καὶ τὰ τριπλάσια διαστήματα, μοίρας τε ἐκεῖθεν ἀποτέμνων καὶ τιθεὶς εἰς τὸ μεταξὺ τούτων, ὥστε ἐν ἑκάστῳ διαστήματι δύο εἶναι μεσότητας. ἁρμονικῆς γὰρ ἦν ἐμπειρίας τοῦτο τὸ προοίμιον, ὡς αὐτίκα δείξομεν. τρεῖς εἰσι μεσότητες αἱ πρῶται, ἀφ᾽ ὧν λαμβάνεται πᾶσα μεσότης, ἀριθμητική, ἁρμονική, γεωμετρική. τούτων ἡ μέν, ἴσῳ ἀριθμῷ ὑπερέχει καὶ ὑπερέχεται, ἡ δὲ ἴσῳ λόγῳ, ἡ δὲ οὔτε λόγῳ οὔτε ἀριθμῷ. ὁ τοίνυν Πλάτων τὴν ψυχικὴν ἁρμονίαν τῶν τεσσάρων στοιχείων, καὶ τὴν αἰτίαν τῆς πρὸς ἄλληλα τῶν ἀνομοίων συμφωνίας δεῖξαι ἁρμονικῶς βουληθείς, ἐν ἑκάστῳ διαστήματι δύο μεσότητας ψυχικὰς ἀπέφηνε κατὰ τὸν μουσικὸν λόγον. τῆς γὰρ διὰ πασῶν ἐν μουσικῇ συμφωνίας δύο διαστήματα μέσα εἶναι συμβέβηκεν, ὧν τὴν ἀναλογίαν δείξομεν. ἡ μὲν γὰρ διὰ πασῶν ἐν διπλασίονι λόγῳ θεωρεῖται. ποιήσει δ᾽ εἰκόνος χάριν τὸν διπλάσιον λόγον κατ᾽ ἀριθμὸν τὰ ἓξ καὶ τὰ δώδε-

κα.

κα. ἔστι δὲ τοῦτο τὸ διάστημα ἀπὸ ὑπάτης μέσων ἐπὶ νήτην διεζευγμένων. ὄντων οὖν τῶν ἓξ καὶ δώδεκα ἄκρων, ἔχει ἡ μὲν ὑπάτη μέσων, τὸν τῶν ἓξ ἀριθμόν, ἡ δὲ νήτη διεζευγμένων τὸν τῶν δώδεκα. λαβεῖν δὴ λοιπὸν χρὴ πρὸς τούτοις ἀριθμοὺς τοὺς μεταξὺ πίπτοντας, ὧν οἱ ἄκροι, ὁ μέν, ἐπίτριτος· ὁ δέ, ἡμιόλιος φανήσεται. εἰσὶ δὲ ὁ τῶν ὀκτὼ καὶ τῶν ἐννέα· τῶν γὰρ ἓξ τὰ μὲν ὀκτὼ ἐπίτριτα· τὰ δὲ ἐννέα, ἡμιόλια. τὸ μὲν ἓν ἄκρον, τοιοῦτο· τὸ δ᾽ ἄλλο τὸ τῶν δώδεκα· τῶν μὲν ἐννέα ἐπίτριτα· τῶν δ᾽ ὀκτὼ ἡμιόλια. τούτων οὖν τῶν ἀριθμῶν ὄντων μεταξὺ τῶν ἓξ καὶ τῶν δώδεκα, καὶ τοῦ διὰ πασῶν διαστήματος, ἐκ τοῦ διὰ τεσσάρων καὶ τοῦ διὰ πέντε συνεστῶτος, δῆλον ὅτι ἕξει ἡ μὲν μέση, τὸν τῶν ὀκτὼ ἀριθμόν, ἡ δὲ παραμέση τὸν τῶν ἐννέα. τούτου γενομένου, ἕξει ἡ ὑπάτη πρὸς μέσην, ὡς παραμέση πρὸς νήτην διεζευγμένων· ἀπὸ γὰρ ὑπάτης μέσων διὰ τεττάρων ἐπὶ μέσην, ἀπὸ δὲ παραμέσης ἐπὶ νήτην διεζευγμένων διὰ πασῶν. ἡ αὐτὴ δὲ ἀναλογία καὶ ἐπὶ τῶν ἀριθμῶν εὑρίσκεται· ὡς γὰρ ἔχει τὰ ἓξ πρὸς τὰ ὀκτώ, οὕτω τὰ ἐννέα πρὸς τὰ δώδεκα, καὶ ὡς ἔχει τὰ ἓξ πρὸς τὰ ἐννέα, οὕτω τὰ ὀκτὼ πρὸς τὰ δώδεκα· ἐπίτριτα γὰρ τὰ μὲν ὀκτὼ τῶν ἕξ· τὰ δὲ δώδεκα τῶν ἐννέα· ἡμιόλια δὲ τὰ μὲν ἐννέα, τῶν ἕξ· τὰ δὲ δώδεκα τῶν ὀκτώ. ἀρκέσει τὰ εἰρημένα εἰς τὸ ἐπιδεδειχέναι ἣν εἶχε περὶ τὰ μαθήματα σπουδὴν καὶ ἐμπειρίαν Πλάτων. ὅτι δὲ σεμνὴ ἡ ἁρμονία καὶ θεῖόν τι καὶ μέγα, Ἀριστοτέλης ὁ Πλάτωνος ταυτὶ λέγει· ἡ δὲ ἁρμονία ἐστὶν οὐρανία, τὴν φύσιν ἔχουσα θείαν καὶ καλὴν καὶ δαιμονίαν, τετραμερὴς δὲ τῇ δυνάμει πεφυκυῖα δύο μεσότητας ἔχει, ἀριθμητικήν τε καὶ ἁρμονικήν, φαίνεταί τε τὰ μέρη αὐτῆς, καὶ τὰ μεγέθη καὶ αἱ ὑπεροχαί; κατ᾽ ἀριθμὸν καὶ ἰσομετρίαν· ἐν γὰρ δυσὶ τετραχόρδοις ῥυθμίζεται τὰ μέλη. ταῦτα μὲν τὰ ῥητά. συνεστάναι δὲ αὐτῆς τὸ σῶμα ἔλεγεν ἐκ μερῶν ἀνομοίων, συμφωνούντων μέντοι πρὸς ἄλληλα. ἀλλὰ μὴν καὶ τὰς μεσότητας αὐτῆς κατὰ τὸν ἀριθμητικὸν λόγον συμφωνεῖν. τὴν γὰρ νεάτην, πρὸς τὴν ὑπάτην ἐκ διπλασίου λόγου ἡρμοσμένην, τὴν διὰ πασῶν συμφωνίαν ἀποτελεῖν· ἔχει γὰρ ὡς προείπομεν τὴν νεάτην, δώδεκα μονάδων· τὴν δὲ ὑπάτην ἕξ. τὴν δὲ παραμέσην συμσυμφωνοῦσαν πρὸς ὑπάτην πρὸς κατὰ ἡμιόλιον λόγον, ἐννέα μονάδων. τῆς δὲ μέσης, ὀκτὼ εἶναι μονάδας ἐλέγομεν. συγκεῖσθαι δὲ διὰ τούτων τῆς μουσικῆς τὰ κυριώτατα διαστήματα συμβαίνει· τό τε διὰ τεσσάρων, ὅ ἐστι κατὰ τὸν ἐπίτριτον λόγον· καὶ τὸ διὰ πέντε, ὃ δὲ κατὰ τὸν ἡμιόλιον λόγον, καὶ τὸ διὰ πασῶν, ὅ ἐστι κατὰ τὸ διπλάσιον. ἀλλά γε καὶ τὸν ἐπόγδοον σῴζεσθαι, ὅς ἐστι κατὰ τὸν τονιαῖον λόγον, ταῖς αὐταῖς ὑπεροχαῖς ὑπερέχειν καὶ ὑπερέχεσθαι τῆς ἁρμονίας τὰ μέρη ὑπὸ τῶν μερῶν, καὶ τὰς μεσότητας ὑπὸ τῶν μεσοτήτων, κατά τε τὴν ἐν ἀριθμοῖς ὑπεροχήν, καὶ κατὰ τὴν γεωμετρικὴν δύναμιν συμβαίνειν. ἀποφαίνει γοῦν αὐτὰς Ἀριστοτέλης, τὰς δυνάμεις ἐχούσας τοιαύτας· τὴν μὲν νεάτην, τῆς μέσης, τῷ τρίτῳ μέρει τῷ αὐτῆς ὑπερέχουσαν· τὴν δὲ ὑπάτην ὑπὸ τῆς παραμέσης, ὑπερεχομένην ὁμοίως· ὥς γίνεσθαι τὰς ὑπεροχὰς τῶν πρός τι· τοῖς γὰρ αὐτοῖς μέρεσιν ὑπερέχουσι καὶ ὑπερέχονται. τοῖς γοῦν αὐτοῖς λόγοις ἄκροι τῆς μέσης καὶ παραμέσης ὑπερέχουσι καὶ ὑπερέχονται, ἐπιτρίτῳ καὶ ἡμιολίῳ. τοιαύτη δὴ ὑπεροχή ἐστιν ἡ ἁρμονική. ἡ δὲ τῆς νεάτης ὑπεροχὴ καὶ τῆς μέσης κατ᾽ ἀριθμητικὸν λόγον ἴσῳ μέρει τὰς ὑπεροχὰς ἐμφαίνουσιν, ὡσαύτως καὶ ἡ παραμέση τῆς ὑπάτης· τῆς γὰρ μέσης ἡ παραμέση κατὰ τὸν ἐπόγδοον λόγον ὑπερέχει. πάλιν ἡ νεάτη τῆς ὑπάτης διπλασία ἐστίν, ἡ δὲ παραμέση τῆς ὑπάτης ἡμιόλιος· ἡ δὲ μέση ἐπίτριτος πρὸς ὑπάτην ἥρμοσται. καὶ τοῖς μὲν μέρεσι καὶ τοῖς πλήθεσι, καὶ κατὰ Ἀριστοτέλην ἡ ἁρμονία, οὕτως ἔχουσα πέφυκε. συνέστηκε δὲ φυσικώτατα, ἔκ τε τῆς ἀπείρου καὶ περαινούσης,

καὶ ἐκ τῆς ἀρτιοπερίσσου φύσεως, καὶ αὐτὴν καὶ τὰ μέρη αὐτῆς πάντα. αὐτὴ μὲν γὰρ ὅλη ἀρτία ἐστὶ, τετραμερὴς οὖσα τοῖς ὅροις· τὰ δὲ μέρη αὐτῆς καὶ οἱ λόγοι, ἄρτιοι καὶ περισσοὶ καὶ ἀρτιοπέρισσοι· τὴν μὲν γὰρ νεάτην ἔχει ἀρτίαν, ἐκ δώδεκα μονάδων, τὴν δὲ παραμέσην περισσὴν ἐξ ἐννέα μονάδων· τὴν δὲ μέσην ἀρτίαν, ἐξ ὀκτὼ μονάδων· τὴν δὲ ὑπάτην ἀρτιοπέρισσον, ἓξ μονάδων οὖσαν. οὕτω δὲ πεφυκυῖα αὐτή τε καὶ τὰ μέρη αὐτῆς πρὸς ἄλληλα ταῖς ὑπεροχαῖς τε καὶ τοῖς λόγοις, ὅλη τε ὅλῃ καὶ τοῖς μέρεσι συμφωνεῖ. ἀλλὰ μὴν καὶ αἱ αἰσθήσεις αἱ τοῖς σώμασιν ἐγγινόμεναι διὰ τὴν ἁρμονίαν, αἱ μὲν οὐράνιαι θεῖαι οὖσαι, μετὰ θεοῦ τὴν αἴσθησιν παρεχόμεναι τοῖς ἀνθρώποις, ὄψις τε καὶ ἀκοὴ, μετὰ φωνῆς καὶ φωτὸς τὴν ἁρμονίαν ἐπιφαίνουσι, καὶ ἄλλαι δὲ αὐταῖς ἀκόλουθοι, ᾗ αἰσθήσεις καθ' ἁρμονίαν συνεστᾶσι· πάντα δ' καὶ αὗται ἐπιτελοῦσιν, οὐκ ἄνευ ἁρμονίας, ἐλάττους μὲν ἐκείνων οὖσαι, οὐκ ἄποδ' ἐκείνων· ἐκεῖναι γὰρ ἅμα θεοῦ παρουσίᾳ παραγινόμεναι τοῖς σώμασι κατὰ λογισμὸν, ἰσχυράν τε καὶ καλὴν φύσιν ἔχουσι. φανερὸν οὖν ἐκ τούτων ὅτι τοῖς παλαιοῖς τῶν Ἑλλήνων, εἰκότως μάλιστα πάντων ἐμέλησε πεπαιδεῦσθαι μουσικὴν, τῶν γὰρ νέων τὰς ψυχὰς, ᾤοντο δεῖν διὰ μουσικῆς, πλάττειν τε καὶ ῥυθμίζειν ἐπὶ τὸ εὔσχημον, χρησίμης δηλονότι τῆς μουσικῆς ὑπαρχούσης πρὸς πάντα καὶ πᾶσαν ἐσπουδασμένην πρᾶξιν· προηγουμένως δὲ πρὸς τοὺς πολεμικοὺς κινδύνους, πρὸς οὓς οἱ μὲν αὐλοῖς ἐχρῶντο, καθάπερ Λακεδαιμόνιοι, παρ' οἷς τὸ καλούμενον καστόρειον ηὐλεῖτο μέλος, ὁπότε τοῖς πολεμίοις ἐν κόσμῳ προσῄεσαν μαχεσόμενοι. οἱ δὲ καὶ πρὸς λύραν ἐποίουν τὴν πρόσοδον τὴν πρὸς τοὺς ἐναντίους· καθάπερ ἱστοροῦνται μέχρι πολλοῦ χρήσασθαι τῷ τρόπῳ τούτῳ τῆς ἐπὶ τοὺς πολεμικοὺς κινδύνους ἐξόδου Κρῆτες. οἱ δ' ἔτι καὶ καθ' ἡμᾶς σάλπιγξι διατελοῦσι χρώμενοι. Ἀργεῖοι δὲ πρὸς τὴν τῶν σθενείων τῶν καλουμένων παρ' αὐτοῖς πάλην ἐχρῶντο τῷ αὐλῷ· τὸν δὲ ἀγῶνα τοῦτον ἐπὶ Δαναῷ μὲν τὴν ἀρχὴν τεθεῖναί φασιν· ὕστερον δὲ ἀνατεθεῖναι Διὶ Σθενίῳ. οὐ μὴν ἀλλὰ ἔτι καὶ νῦν, τοῖς πεντάθλοις νενόμισται προσαυλεῖσθαι, οὐδὲν μὲν κεκριμένον, οὐδ' ἀρχαῖον οὐδ' οἷον ἐνόμιζον παρὰ τοῖς ἀνδράσιν ἐκείνοις, ὥσπερ τὸ ὑπὸ Ἱέρακος πεποιημένον πρὸς τὴν ἀγωνίαν ταύτην, ὃ ἐκαλεῖτο ἐνδρομή· ὅμως δὲ καὶ εἰ ἀσθενές τι καὶ οὐ κεκριμένον, ἀλλ' οὖν προσαυλεῖται. ἐπὶ μέντοι τῶν ἔτι ἀρχαιοτέρων, οὐδὲ εἰδέναι φασὶ τοὺς Ἕλληνας τὴν θεατρικὴν μοῦσαν· ὅλην δὲ αὐτῆς τὴν ἐπιστήμην πρός τε θεῶν τιμὴν, καὶ τὴν τῶν νέων παίδευσιν παραλαμβάνεσθαι· μὴ δὲ τὸ παράπαν ἤδη θεάτρου παρὰ τοῖς ἀνδράσιν ἐκείνοις κατεσκευασμένου· ἀλλὰ ἔτι τῆς μουσικῆς ἐν τοῖς ἱεροῖς ἀναστρεφομένης, ἐν οἷς τιμήν τε τοῦ θείου διὰ ταύτης ἐποιοῦντο, καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἐπαίνους. εἰκὸς δὲ ὅτι εἶναι τὸ θέατρον ὕστερον καὶ τὸ θεωρεῖν πολὺ πρότερον ἀπὸ τοῦ θεοῦ τὴν προσηγορίαν ἔλαβεν. ἐπὶ μέντοι τῶν καθ' ἡμᾶς χρόνων τοσοῦτον ἐπιδέδωκε τὸ τῆς διαφορᾶς εἶδος, ὥστε τοῦ μὲν παιδευτικοῦ τρόπου μηδεμίαν μνείαν, μηδ' ἀντίληψιν εἶναι· πάντας δὲ τοὺς μουσικῆς ἁπτομένους πρὸς τὴν θεατρικὴν προσκεχωρηκέναι μοῦσαν. εἴποι τις ὦ τάν· οὐδὲν οὖν ὑπὸ τῶν ἀρχαίων προσεξεύρηται καὶ κεκαινοτόμηται· φημὶ καὶ αὐτὸς ὅτι προσεξεύρηται, ἀλλὰ μετὰ τοῦ σεμνοῦ καὶ πρέποντος. οἱ γὰρ ἱστορήσαντες τὰ τοιαῦτα Τερπάνδρῳ μὲν τήν τε δώριον νήτην προσετίθεσαν, οὐ χρησαμένων αὐτῇ τῶν ἔμπροσθεν κατὰ τὸ μέλος. καὶ τὸν μιξολύδιον δὲ τόνον ὅλον προσεξευρῆσθαι λέγεται, καὶ τὸν τῆς ὀρθίου μελῳδίας τρόπον τὸν κατὰ τοὺς ὀρθίους πρὸς τὸν ὄρθιον σημαντὸν τροχαῖον. εἰ δὲ καθάπερ Πίνδαρός φησι, καὶ τῶν σκολιῶν μελῶν Τέρπανδρος εὑρετὴς ἦν. ἀλλὰ μὴν καὶ Ἀρχίλοχος τὴν τῶν τριμέτρων ῥυθμοποιίαν προσεξεῦρε, καὶ τὴν εἰς

εἰς τοὺς οὐχ ὁμογενεῖς ῥυθμοὺς ἔντασιν, καὶ τὴν παρακαταλογὴν, καὶ τὴν περὶ ταῦτα κροῦσιν, πρώτῳ δὲ αὐτῷ τά τε ἐπῳδὰ καὶ τὰ τετράμετρα, καὶ τὸ προκειπικὸν, καὶ τὸ προσοδιακὸν ἀποδέδοται, καὶ ἡ τοῦ πρώτου αὔξησις, ὑπ' ἐνίων δὲ καὶ τὸ ἐλεγεῖον, πρὸς δὲ τούτοις ἥ τε τοῦ ἰαμβείου πρὸς τὸν ἐπιβατὸν παίωνα ἔντασις, καὶ ἡ τοῦ ηὐξημένου ἡρῴου, εἴς τε τὸ προσοδιακὸν, καὶ τὸ κρητικὸν, ἔτι δὲ τῶν ἰαμβείων, τὸ τὰ μὲν, λέγεσθαι παρὰ τὴν κροῦσιν, τὰ δὲ, ᾄδεσθαι, Ἀρχίλοχόν φασι καταδεῖξαι, εἶθ' οὕτω χρήσασθαι τοὺς τραγικοὺς ποιητάς. Κρέξον δὲ λαβόντα εἰς διθύραμβον χρήσασθαι ἀγαγεῖν. οἴονται δὲ καὶ τὴν κροῦσιν τὴν ὑπὸ τὴν ᾠδὴν, τοῦτον πρῶτον εὑρεῖν· τοὺς δὲ ἀρχαίους πάντας πρόσχορδα κρούειν. Πολυμνάστῳ δὲ τόν θ' ὑπολύδιον νῦν ὀνομαζόμενον τόνον, ἀνατιθέασι, καὶ τὴν ἔκλυσιν καὶ τὴν ἐκβολὴν πολὺ μείζω πεποιηκέναι φασὶν αὐτὸν, καὶ αὐτὸν δὲ τὸν Ὄλυμπον ἐκεῖνον, ᾧ δὴ τὴν ἀρχὴν τῆς Ἑλληνικῆς τε καὶ νομικῆς μούσης ἀποδιδόασι, τό τε τῆς ἁρμονίας γένος ἐξευρεῖν φασὶ, καὶ τῶν ῥυθμῶν τόν τε προσοδιακὸν, ἐν ᾧ ὁ τοῦ Ἄρεως νόμος, καὶ τὸν χορεῖον ᾧ πολλῷ κέχρηται ἐν τοῖς μητρῴοις. ἔνιοι δὲ καὶ τὸν βακχεῖον Ὄλυμπον οἴονται εὑρηκέναι, δῆλον δ' ἕκαστον τῶν ἀρχαίων μελῶν ὅτι ταῦτα οὕτως ἔχει. Λάσος δὲ ὁ Ἑρμιονεὺς εἰς τὴν διθυραμβικὴν ἀγωγὴν μεταστήσας τοὺς ῥυθμοὺς καὶ τῇ τῶν αὐλῶν πολυφωνίᾳ κατακολουθήσας, πλείοσί τε φθόγγοις καὶ διερριμμένοις χρησάμενος εἰς μετάθεσιν τὴν προϋπάρχουσαν ἤγαγε μουσικὴν, ὁμοίως δὲ καὶ Μελανιππίδης ὁ μελοποιὸς ἐπιγενόμενος, οὐκ ἐνέμεινε τῇ προϋπαρχούσῃ μουσικῇ, ἀλλ' οὐδὲ Φιλόξενος. ὁ δὲ Τιμόθεος, ὄντος γὰρ ἑπταφθόγγου τῆς λύρας ὑπαρχούσης, ἕως εἰς Τέρπανδρον τὸν Ἀντισσαῖον, διέρριψεν εἰς πλείονας φθόγγους. ἀλλὰ γὰρ καὶ αὐλητικὴ ἀπὸ ἁπλουστέρας εἰς ποικιλωτέραν μεταβέβηκε μουσικήν. τὸ γὰρ παλαιὸν ἕως εἰς Μελανιππίδην, τὸν τῶν διθυράμβων ποιητὴν, συμβεβήκει τοὺς αὐλητὰς, παρὰ τῶν ποιητῶν λαμβάνειν τοὺς μισθοὺς, πρωταγωνιστούσης δηλονότι τῆς ποιήσεως, τῶν δ' αὐλητῶν ὑπηρετούντων τοῖς διδασκάλοις. ὕστερον δὲ καὶ τοῦτο διεφθάρη, ὡς καὶ Φερεκράτην τὸν κωμικὸν εἰσαγαγεῖν τὴν μουσικὴν ἐν γυναικείῳ σχήματι. ὅλην κατῃκισμένην τὸ σῶμα· ποιεῖ δὲ τὴν Δικαιοσύνην διαπυνθανομένην τὴν αἰτίαν τῆς λώβης, καὶ τὴν ποίησιν λέγουσαν. λέξω μὲν οὐκ ἄκουσα· σοί τε γὰρ κλύειν, ἐμοί τε λέξαι θυμὸς ἡδονὴν ἔχει. ἐμοὶ γὰρ ἦρξε τῶν κακῶν Μελανιππίδης ἐν τοῖσι πρῶτος, ὃς λαβὼν ἀνῆκέ με, χαλαρωτέραν τ' ἐποίησε χορδαῖς δώδεκα. ἀλλ' οὖν ὅμως οὗτος μὲν ἦν ἀποχρῶν, ἀνὴρ ἔμοιγε πρὸς τὰ νῦν κακά. Κινησίας δὲ ὁ κατάρατος Ἀττικὸς ἐξαρμονίους καμπὰς ποιῶν ἐν ταῖς στροφαῖς, ἀπολώλεκέ μ' οὕτως, ὥστε τῆς ποιήσεως τῶν διθυράμβων, καθάπερ ἐν ταῖς ἀσπίσιν ἀριστερ' αὐτοῦ φαίνεται τὰ δεξιά, ἀλλ' οὐκ ἂν εἴποις οὕτως ἦν ὅμως ὅμως, Φρῦνις δ' ἴδιον στρόβιλον ἐμβαλών τινα, κάμπτων με καὶ στρέφων, ὅλην διέφθορεν ἐν πέντε χορδαῖς δώδεκα ἁρμονίας ἔχων, ἀλλ' οὖν ἔμοιγε χ' οὗτος ἦν ἀποχρῶν ἀνήρ· εἰ γάρ τι κἀξήμαρτεν, αὖθις ἀνέλαβεν. ὁ δὲ Τιμόθεός με ὦ φιλτάτη κατορώρυχε, καὶ διακέκναικ' αἴσχιστα. ποῖος οὑτοσὶ Τιμόθεος· Μιλήσιός τις πυῤῥίας κακά μοι παρέσχεν, οὗτος ἅπαντας οὓς λέγω παρελήλυθε, παρελήλυθ' ἄγων ἐκτραπέλους μυρμηκιάς, κἂν ἐντύχῃ πού μοι βαδιζούσῃ μόνῃ, ἀπέλυσε κἀνέλυσε χορδαῖς δώδεκα. καὶ Ἀριστοφάνης ὁ κωμικὸς μνημονεύει Φιλοξένου, καί φησιν, ὅτι εἰς τοὺς κυκλίους χοροὺς μέλη εἰσηνέγκατο. ἡ δὲ μουσικὴ λέγει ταῦτα. ἐξαρμονίους ὑπερβολαίους τε ἀνοσίους καὶ νιγλάρους, ὥσπερ τε τὰς ῥαφάνους ὅλην κάμπτων με κατεμέστωσε. καὶ ἄλλοι δὲ κωμῳδοποιοὶ ἔδειξαν τὴν ἀτοπίαν τῶν μετὰ ταῦτα τὴν μουσικὴν κατακεκερματικότων. ὅτι δὲ παρὰ τὰς ἀγωγὰς καὶ τὰς μαθήσεις διόρθωσις

ἡ διαστροφὴ γίνεται, δῆλον Ἀριστόξενος ἐποίησε. τῶν γὰρ κατὰ τὴν αὐτοῦ ἡλικίαν φησὶ Τελεσίᾳ τῷ Θηβαίῳ συμβῆναι, νέῳ μὲν ὄντι τραφῆναι ἐν τῇ καλλίστῃ μουσικῇ, καὶ μαθεῖν ἄλλα τε τῶν εὐδοκιμούντων, καὶ δὴ καὶ τὰ Πινδάρου, τά τε Διονυσίου τοῦ Θηβαίου, καὶ τὰ Λάμπρου, καὶ τὰ Πρατίνου, καὶ τῶν λοιπῶν ὅσοι τῶν λυρικῶν ἄνδρες ἐγένοντο, ποιηταὶ κρουμάτων ἀγαθοὶ, καὶ αὐλῆσαι δὲ καλῶς, καὶ περὶ τὰ λοιπὰ μέρη τῆς συμπάσης παιδείας, ἱκανῶς διαπονηθῆναι· παραλλάξαντα δὲ τὴν τῆς ἀκμῆς ἡλικίαν, οὕτω σφόδρα ἐξαπατηθῆναι ὑπὸ τῆς σκηνικῆς τε καὶ ποικίλης μουσικῆς, ὡς καταφρονῆσαι τῶν καλῶν ἐκείνων, ἐν οἷς ἀνετράφη· τὰ Φιλοξένου δὲ καὶ Τιμοθέου ἐκμανθάνειν, καὶ τούτων αὐτῶν τὰ ποικιλώτατα καὶ πλείστην ἐν αὐτοῖς ἔχοντα καινοτομίαν, ὁρμήσαντά τε ἐπὶ τὸ ποιεῖν μέλη, καὶ διαπειρώμενον ἀμφοτέρων τῶν τρόπων τοῦ τε Πινδαρείου καὶ Φιλοξενείου, μὴ δύνασθαι κατορθοῦν ἐν τῷ Φιλοξενείῳ γένει· γεγενῆσθαι δ' αἰτίαν τὴν ἐκ παιδὸς καλλίστην ἀγωγήν. εἰ οὖν τις βούλεται μουσικῇ καλῶς καὶ κεκριμένως χρῆσθαι, τὸν ἀρχαῖον ἀπομιμείσθω τρόπον· ἀλλὰ μὴν καὶ τοῖς ἄλλοις αὐτὴν μαθήμασιν ἀναπληρούτω, καὶ φιλοσοφίαν ἐπιστησάτω παιδαγωγόν· αὕτη γὰρ ἱκανὴ κρῖναι τὸ μουσικῇ πρέπον μέτρον καὶ τὸ χρήσιμον. τριῶν γὰρ ὄντων μερῶν εἰς ἃ διήρηται τὴν καθόλου διαίρεσιν ἡ πᾶσα μουσικὴ, διατόνου, χρώματος, ἁρμονίας· ἐπιστήμονα χρὴ εἶναι τῆς τούτοις χρωμένης ποιήσεως τὸν μουσικῇ προσιόντα, καὶ τῆς ἑρμηνείας τῆς τὰ πεποιημένα παραδιδούσης, ἐπήβολον. πρῶτον μὲν οὖν κατανοητέον ὅτι πᾶσα μάθησις τῶν περὶ τὴν μουσικὴν, ἐθισμός ἐστιν οὐδέπω προσειληφὼς τὸ τίνος ἕνεκα τῶν διδασκομένων ἕκαστον τῷ μανθάνοντι μαθητέον ἐστί. μετὰ δὲ τοῦτο ἐνθυμητέον ὅτι πρὸς τὴν τοιαύτην ἀγωγήν τε καὶ μάθησιν, οὐδέπω προσάγεται τρόπων ἐξαρίθμησις. ἀλλὰ οἱ μὲν πολλοὶ, εἰκῆ μανθάνουσιν ὃ ἂν τῷ διδάσκοντι ἢ τῷ μανθάνοντι ἀρέσει. οἱ δὲ συνετοὶ τὸ εἰκῆ ἀποδοκιμάζουσιν, ὥσπερ Λακεδαιμόνιοι τὸ παλαιὸν, καὶ Μαντινεῖς καὶ Πελληνεῖς· ἕνα γάρ τινα τρόπον ἢ παντελῶς ὀλίγους ἐκλεξάμενοι, οὓς ᾤοντο πρὸς τὴν τῶν ἠθῶν ἐπανόρθωσιν ἁρμόττειν, αὐτῇ τῇ μουσικῇ ἐχρῶντο. φανερὸν δ' ἂν γένοιτο, εἴ τις ἑκάστην ἐξετάζοιτο τῶν ἐπιστημῶν, τίνος ἐστὶ θεωρητική· δῆλον γὰρ ὅτι ἡ μὲν ἁρμονικὴ γενῶν τε τῶν τοῦ ἡρμοσμένου, καὶ διαστημάτων καὶ συστημάτων καὶ φθόγγων καὶ τόνων καὶ μεταβολῶν συστηματικῶν ἐστι γνωστική, πορρωτέρω δὲ, οὐκέτι ταύτῃ προσελθεῖν οἷόν τε, ὥστ' οὐδὲ ζητεῖν παρὰ ταύτης τὸ διαγνῶναι δύνασθαι, πότερον οἰκείως εἴληφεν ὁ ποιητὴς ὅμοιον εἰπεῖν ἐν Μυσοῖς τὸν ὑποδώριον τόνον ἐπὶ τὴν ἀρχὴν, ἢ τὸν μιξολύδιόν τε καὶ δώριον ἐπὶ τὴν ἔκβασιν, ἢ τὸν ὑποφρύγιόν τε καὶ φρύγιον ἐπὶ τὴν μέσην· οὐ γὰρ διατείνει ἡ ἁρμονικὴ πραγματεία πρὸς τὰ τοιαῦτα, προσδεῖται δὲ πολλῶν ἑτέρων· τὴν γὰρ τῆς οἰκειότητος δύναμιν ἀγνοεῖ. οὔτε γὰρ τὸ χρωματικὸν γένος, οὔτε τὸ ἐναρμόνιον, ἥξει ποτὲ ἔχον τὴν τῆς οἰκειότητος δύναμιν τελείαν, καθ' ἣν τὸ τοῦ πεποιημένου μέλος, ἦθος ἐπιφαίνεται, ἀλλὰ τοῦτο τοῦ τεχνίτου ἔργον. φανερὸν δὲ ὅτι ἑτέρα τοῦ συστήματος ἡ φωνὴ, τῆς ἐν τῷ συστήματι κατασκευασθείσης μελοποιίας, περὶ ἧς οὐκ ἔστι θεωρῆσαι τῆς ἁρμονικῆς πραγματείας. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῶν ῥυθμῶν, οὐθεὶς γὰρ ῥυθμὸς τὴν τῆς τελείας οἰκειότητος δύναμιν ἥξει ἔχων ἐν αὑτῷ· τὸ γὰρ οἰκείως ἀεὶ λεγόμενον, πρὸς ἦθός τι βλέποντες λέγομεν. τούτου δέ φαμεν αἰτίαν σύνθεσίν τινα ἢ μῖξιν ἢ ἀμφότερα, οἷον Ὀλύμπῳ τὸ ἐναρμόνιον γένος ἐπὶ Φρυγίου τόνου τεθὲν, παίωνι ἐπιβατῷ μιχθέν· τοῦτο γὰρ τῆς ἀρχῆς τὸ ἦθος ἐγέννησεν, ἐπὶ τῷ τῆς Ἀθηνᾶς νόμῳ· προσληφθείσης γὰρ μελοποιίας καὶ ῥυθμοποιίας τεχνικῶς τε μεταληφθέντος τοῦ ῥυθμοῦ μόνον αὐτοῦ, καὶ γενομένου

τροχαίου

τροχαίου ἀντὶ παίωνος, συνέστη τὸ Ὀλύμπου ἐναρμόνιον γένος. ἀλλὰ μὴν καὶ τοῦ ἐναρμονίου γένους καὶ τοῦ Φρυγίου τόνου διαμενόντων, καὶ πρὸς τούτοις τοῦ συστήματος παντὸς, μεγάλην ἀλλοίωσιν ἔσχηκε τὸ ἦθος· ἡ γὰρ καλουμένη ἁρμονία ἐν τῷ τῆς Ἀθηνᾶς νόμῳ, πολὺ διέστηκε τὸ ἦθος τῆς ἀναπείρας. εἰ οὖν προσγένοιτο τῷ τῆς μουσικῆς ἐμπείρῳ τὸ κριτικὸν, δῆλον ὅτι οὗτος ἂν εἴη ὁ ἀκριβὴς ἐν μουσικῇ· ὁ γὰρ εἰδὼς τὸ δώριον ἄνευ τοῦ κρίνειν ἐπίστασθαι τὴν τῆς κρίσεως αὐτοῦ οἰκειότητα, οὐκ εἴσεται ὃ ποιεῖ, ἀλλ' οὐδὲ τὸ ἦθος σώσει· ἐπεὶ καὶ περὶ αὐτῶν τῶν δωρίων μελοποιιῶν ἀπορεῖται πότερόν ἐστι διαγνωστικὴ ἡ ἁρμονικὴ πραγματεία καθάπερ τινὲς οἴονται τῶν δωρίων, ἢ οὔ. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῆς ῥυθμικῆς ἐπιστήμης πάσης· ὁ γὰρ εἰδὼς τὸν παίωνα, τὴν τῆς χρήσεως αὐτοῦ οἰκειότητα οὐκ εἴσεται, διὰ τὸ αὐτὴν μόνην εἰδέναι τὴν τοῦ παίωνος ξυώοισιν· ἐπεὶ καὶ περὶ αὐτῶν τῶν παιωνικῶν ῥυθμοποιιῶν ἀπορεῖται, πότερόν ἐστι διαγνωστικὴ, ἢ ῥυθμικὴ πραγματεία τούτων, καθάπερ τινές φασιν, οὐ διατείνει μέχρι τούτου. ἀναγκαῖον οὖν δύο τοὐλάχιστον γνώσεις ὑπάρχειν τῷ μέλλοντι διαγνώσεσθαι, τό, τε οἰκεῖον καὶ τὸ ἀλλότριον· πρῶτον μὲν τοῦ ἤθους οὗ ἕνεκα ἡ σύνθεσις γεγένηται, ἔπειτα τούτων ἐξ ὧν ἡ σύνθεσις. ὅτι μὲν οὖν οὔθ' ἡ ἁρμονικὴ, οὔθ' ἡ ῥυθμικὴ, οὔτε ἄλλη οὐδεμία τῶν καθ' ἓν μέρος λεγομένων, αὐτάρκης αὐτὴ καθ' αὑτὴν τοῦ ἤθους τε καὶ γνωστικὴ καὶ τῶν ἄλλων κριτικὴ, ἀρκέσει τὰ εἰρημένα. τριῶν δ' ὄντων γενῶν εἰς ἃ διαιρεῖται τὸ ἡρμοσμένον ἴσων τοῖς τε τῶν συστημάτων μεγέθεσι καὶ τοῖς τῶν φθόγγων δυνάμεσιν, ὁμοίως δὲ καὶ ταῖς τῶν τετραχόρδων, περὶ ἑνὸς μόνου οἱ παλαιοὶ ἐπραγματεύσαντο, ἐπειδήπερ οὔτε περὶ χρώματος, οὔτε περὶ διατόνου οἱ πρὸ ἡμῶν ἐπεσκόπουν, ἀλλὰ περὶ μόνου τοῦ ἐναρμονίου, καὶ αὖ τούτου περὶ ἕν τι μέγεθος συστήματος, τοῦ καλουμένου διὰ πασῶν· περὶ μὲν τῆς χρόας διεφέροντο· περὶ δὲ τοῦ μίαν εἶναι αὐτὴν τὴν ἁρμονίαν σχεδὸν πάντες συνεφώνουν. οὐκ ἂν οὖν ποτε συνίδοι τὰ περὶ τὴν ἁρμονικὴν πραγματείαν, ὁ μέχρι αὐτῆς τῆς γνώσεως ταύτης προεληλυθὼς, ἀλλὰ δῆλον ὅτι παρακολουθῶν ταῖς τε κατὰ μέρος ἐπιστήμαις, καὶ τῷ συνόλῳ σώματι τῆς μουσικῆς, καὶ ταῖς τῶν μερῶν μίξεσί τε καὶ συνθέσεσιν· ὁ γὰρ μόνον ἁρμονικὸς περιγέγραπται τρόπῳ τινί. καθόλου μὲν οὖν εἰπεῖν ὁμοδρομεῖν δεῖ τήν τε αἴσθησιν καὶ τὴν διάνοιαν, ἐν τῇ κρίσει τῶν τῆς μουσικῆς μερῶν, καὶ μήτε προάγειν ὃ ποιοῦσιν αἱ προπετεῖς τε καὶ φερόμεναι τῶν αἰσθήσεων, μήτε ὑστερίζειν ὃ ποιοῦσιν αἱ βραδεῖαί τε καὶ δυσκίνητοι. γίνεται δέ ποτε ἐπί τινων αἰσθήσεων καὶ τὸ συγκείμενον ἐκ τοῦ συναμφοτέρου, καὶ ὑστεροῦσιν αἱ αὐταὶ καὶ προτεροῦσι διά τινα φυσικὴν ἀνωμαλίαν· περιαιρετέον οὖν τῆς μελλούσης ὁμοδρομεῖν αἰσθήσεως ταῦτα. ἀεὶ γὰρ ἀναγκαῖον, τρία ἐλάχιστα εἶναι τὰ πίπτοντα ἅμα εἰς τὴν ἀκοὴν, φθόγγον τε καὶ χρόνον καὶ συλλαβὴν ἢ γράμμα. συμβήσεται δὲ ἐκ τῆς μὲν κατὰ τὸν φθόγγον πορείας τὸ ἡρμοσμένον γνωρίζεσθαι, ἐκ δὲ τῆς κατὰ χρόνον τὸν ῥυθμὸν, ἐκ δὲ τῆς κατὰ γράμμα ἢ συλλαβὴν, τὸ λεγόμενον. ὁμοῦ δὲ προβαινόντων ἅμα τὴν τῆς αἰσθήσεως ἐπιφορὰν, ἀναγκαῖον ποιεῖσθαι. ἀλλὰ μὴν κἀκεῖνο φανερὸν, ὅτι οὐκ ἐνδέχεται μὴ δυναμένης τῆς αἰσθήσεως, χωρίζειν ἕκαστον τῶν εἰρημένων, παρακολουθεῖν τε δύνασθαι τοῖς καθ' ἕκαστα, καὶ συνορᾶν τό θ' ἁμαρτανόμενον ἐν ἑκάστῳ αὐτῶν καὶ τὸ μή. πρῶτον οὖν περὶ συνεχείας γνωστέον. ἀναγκαῖον γάρ ἐστιν ὑπάρχειν τῇ κριτικῇ δυνάμει συνέχειαν. τὸ γὰρ εὖ καὶ τὸ ἐναντίως, οὐκ ἐν ἀφωρισμένοις τοῖς δέ ποσι γίνεται φθόγγοις, ἢ χρόνοις, ἢ γράμμασιν, ἀλλ' ἐν συνεχέσιν, ἐπειδὴ μῖξίς τίς ἐστι τῶν κατὰ τὴν χρῆσιν ἀσυνθέτων μερῶν. περὶ μὲν οὖν τῆς παρακολουθήσεως τοσαῦτα. τὸ δὲ μετὰ τοῦτο ἐπι-

σκεπτέον, ὅτι οἱ μουσικῆς ἐπιστήμονες πρὸς τὴν κριτικὴν πραγματείαν, οὐκ εἰσὶν
αὐτάρκεις· οὐ γὰρ οἷόν τε τέλεον γενέσθαι, μουσικόν τε καὶ κριτικὸν, ἐξ αὐτῶν τῶν
δοκούντων εἶναι μερῶν, τῆς ὅλης μουσικῆς, οἷον ἔκ τε τῆς τῶν ὀργάνων ἐμπειρί-
ας καὶ τῆς περὶ τὴν ᾠδὴν, ἔτι δὲ τῆς περὶ τὴν αἴσθησιν συνασκήσεως, λέγω δὲ
τῆς συντεινούσης, εἰς τὴν τοῦ ἡρμοσμένου ξύνεσιν, καὶ ἔτι τὴν τοῦ ῥυθμοῦ· πρὸς
δὲ τούτοις ἔκ τε τῆς ῥυθμικῆς καὶ τῆς ἁρμονικῆς πραγματείας, καὶ τῆς περὶ τὴν
κροῦσιν τε καὶ λέξιν θεωρίας, καὶ εἴ τινες ἄλλαι τυγχάνουσι λοιπαὶ οὖσαι.
δι' ἃς δ' αἰτίας, οὐχ οἷόν τ' ἐξ αὐτῶν τούτων γενέσθαι κριτικὸν, πειρατέον κατα-
μαθεῖν· πρῶτον ἐκ τοῦ ἡμῖν ὑποκεῖσθαι. τὰ μὲν τῶν κρινομένων τέλεια, τὰ δ' ἀτε-
λῆ· τέλεια μὲν αὐτό τε τῶν ποιημάτων ἕκαστον, οἷον τὸ ᾀδόμενον ἢ αὐλούμενον, ἢ
κιθαριζόμενον, ἢ ἡ ἑκάστου αὐτοῦ ἑρμηνεία, οἷον ἥ τε αὔλησις καὶ ἡ ᾠδὴ καὶ τὰ λοι-
πὰ τῶν τοιούτων, ἀτελῆ δὲ τὰ πρὸς ταῦτα συντείνοντα, καὶ τὰ τούτων ἕνεκα
γινόμενα· τοιαῦτα δὲ τὰ μέρη τῆς ἑρμηνείας. δεύτερον ἐκ τῆς ποιήσεως, ὡσαύ-
τως γοῦν καὶ αὐτῆ, ὑποκρίνειεν γὰρ ἄν τις ἀκούων αὐλητοῦ· πότερόν ποτε συμ-
φωνοῦσιν οἱ αὐλοὶ, ἢ οὔ, καὶ πότερον ἡ διάλεκτος σαφὴς, ἢ τοὐναντίον. τούτων
δ' ἕκαστον μέρος ἐστὶ τῆς αὐλητικῆς ἑρμηνείας, οὐ μέντοι τέλος, ἀλλ' ἕνεκα τοῦ τέ-
λους γινόμενον. παρὰ ταῦτα γὰρ αὖ καὶ τὰ τοιαῦτα πάντα κριθήσεται, τὸ τῆς
ἑρμηνείας ἦθος, εἰ οἰκεῖον ἀποδίδοται τῷ παραποιηθέντι ποιήματι. ὃ μεταχει-
ρίσασθαι καὶ ἑρμηνεῦσαι ὁ ἐνεργῶν βεβούληται. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ
τῶν παθῶν, τῶν ἀπὸ τῆς ποιητικῆς σημαινομένων ἐν τοῖς ποιήμασιν, ἅτε οὖν ἠ-
θῶν μάλιστα φροντίσαντες πεποιημένοι οἱ παλαιοὶ, τὸ σεμνὸν καὶ ἀπερίεργον τῆς ἀρ-
χαίας μουσικῆς προετίμων. ἀργείους μὲν γοῦν καὶ κόλασιν ἐπιθεῖναί ποτέ φα-
σι, τῇ εἰς τὴν μουσικὴν παρανομίᾳ, ζημιῶσαί τε τὸν ἐπιχειρήσαντα πρῶτον τοῖς
πλείοσι τῶν ἑπτὰ χρήσασθαι παρ' αὐτοῖς χορδῶν, καὶ παραμιξολυδιάζειν ἐ-
πιχειρήσαντα. πυθαγόρας δ' ὁ σεμνὸς ἀπεδοκίμαζε τὴν κρίσιν τῆς μουσικῆς, τὴν
διὰ τῆς αἰσθήσεως· νῷ γὰρ λεπτὴν τὴν ταύτης ἀρετὴν ἔφασκεν εἶναι. τοιγάρτοι
τῇ μὲν ἀκοῇ, οὐκ ἔκρινεν αὐτὴν, τῇ δὲ ἀναλογικῇ ἁρμονίᾳ, αὐτάρκες τ' ἐνόμι-
ζεν, μέχρι τοῦ διὰ πασῶν στῆσαι τὴν τῆς μουσικῆς ἐπιγνῶσιν. οἱ δὲ νῦν, τὸ
μὲν κάλλιστον τῶν γενῶν, ὅπερ μάλιστα διὰ σεμνότητα παρὰ τοῖς ἀρχαίοις ἐσ-
πουδάζετο, παντελῶς παρῃτήσαντο, ὥστε μὴ δὲ τὴν τυχοῦσαν ἀντίληψιν τῶν
ἐναρμονίων διαστημάτων, τοῖς πολλοῖς ὑπάρχειν. οὕτω δὲ ἀργῶς διάκεινται καὶ
ῥαθύμως, ὥστε μὴ δ' ἔμφασιν νομίζειν παρέχειν καθόλου τῶν ὑπὸ τὴν αἴ-
σθησιν πιπτόντων τὴν ἐναρμόνιον δίεσιν. ἐξορίζειν δ' αὐτὴν ἐκ τῶν μελῳδη-
μάτων, πεφλυαρηκέναι τε τοὺς δόξαν τάς τι περὶ τούτου, καὶ τῷ γένει τούτῳ
κεχρημένους, ἀπόδειξιν δ' ἰσχυροτάτην τοῦ τἀληθῆ λέγειν φέρειν οἴονται. μά-
λιστα μὲν τὴν αὐτῶν ἀναισθησίαν, ὡς πᾶν ὅτι περ ἂν αὐτοὺς ἐκφύγῃ, τοῦτο καὶ δὴ
πάντως ἀνύπαρκτον ὂν παντελῶς καὶ ἄχρηστον· εἶτα καὶ τὸ μὴ δύνασθαι λη-
φθῆναι διὰ συμφωνίας τὸ μέγεθος· καθάπερ τό τε ἡμιτόνιον, καὶ τὸν τόνον, καὶ
τὰ λοιπὰ δὲ τῶν τοιούτων διαστημάτων. ἠγνοήκασι δ' ὅτι καὶ τὸ τρίτον μέγε-
θος οὕτως ἂν καὶ τὸ πέμπτον ἐκβάλλοιτο καὶ τὸ ἕβδομον, ὧν τὸ μὲν, τριῶν, τὸ δὲ,
πέντε· τὸ δὲ, ἑπτὰ διέσεών ἐστι. καὶ καθόλου πάνθ' ὅσα περιττὰ φαίνεται τῶν
διαστημάτων, ἀποδοκιμάζοιτ' ἂν ὡς ἄχρηστα, παρ' ὅσον οὐδὲν αὐτῶν διὰ συμφω-
νίας λαβεῖν ἐστι. ταῦτα δ' ἂν εἴη, ὅσα ὑπὸ τῆς ἐλαχίστης διέσεως μετρεῖται
περισσάκις, οἷς ἀκολουθεῖν ἀνάγκη, καὶ τὸ μηδεμίαν τῶν τετραχορδικῶν διαιρέσεων
χρησίμην εἶναι, πλὴν μόνην ταύτην, δι' ἧς πᾶσιν ἀρτίοις χρῆσθαι διαστήμασι συμ-
βέβηκεν. αὕτη δ' ἂν εἴη, ἥ τε τοῦ συντόνου καὶ διατόνου, καὶ ἡ τοῦ τονιαίου χρώματος.
τὸ δὲ

τὸ δὲ τὰ τοιαῦτα λέγειν τε καὶ ὑπολαμβάνειν, οὐ μόνον τοῖς φαινομένοις ἐναν-
τιουμένων ἐστὶν, ἀλλὰ καὶ αὑτοῖς μαχομένων. χρώμενοι γὰρ αὐτοὶ τοιαύταις τε-
τραχόρδων μάλιστα φαίνονται διαιρέσεσιν, ἐν αἷς τὰ πολλὰ τῶν διαστημάτων, ἤτοι
περιττά ἐστιν ἢ ἄλογα. μαλάττουσι γοῦν αἰεὶ, τάς τε λιχανοὺς καὶ τὰς παρανή-
τας, ἤδη δὲ καὶ τῶν ἑστώτων τινὰς παρανιᾶσι φθόγγων, ἀλόγῳ τινὶ διαστήματι προ-
σανιέντες αὐτοῖς, τάς τε τρίτας καὶ τὰς παρανήτας, καὶ τὴν τοιαύτην εὐδο-
κιμεῖν μάλιστά πως οἴονται τῶν συστημάτων χρῆσιν, ἐν ᾗ τὰ πολλὰ τῶν διαστημά-
των ἐστὶν ἄλογα, οὐ μόνον τῶν κινεῖσθαι πεφυκότων φθόγγων, ἀλλὰ καί τινων ἀ-
κινήτων ἀνιεμένων, ὡς ἔστι δῆλον τοῖς αἰσθάνεσθαι τῶν τοιούτων δυναμένοις. χρῆ-
σιν δὲ μουσικῆς προσήκουσαν ἀνδρὶ ὁ καλὸς ὅμηρος ἐδίδαξε· δηλῶν γὰρ ὅτι ἡ μου-
σικὴ πολλαχοῦ χρησίμη, τὸν ἀχιλλέα πεποίηκε τὴν ὀργὴν πέττοντα τὴν πρὸς τὸν
ἀγαμέμνονα, διὰ μουσικῆς, ἣς ἔμαθε παρὰ τοῦ σοφωτάτου χείρωνος. τὸν
» δ' εὗρόν φησι φρένα τερπόμενον φόρμιγγι λιγείῃ καλῇ δαιδαλέῃ. περὶ δ' ἀργύρε-
» ον ζυγὸν ἦεν, τὴν ἄρετ' ἐξ ἐνάρων πόλιν ἠετίωνος ὀλέσσας· τῇ ὅγε θυμὸν ἔτερπεν
» ἄειδε δ' ἄρα κλέα ἀνδρῶν. μάθε φησὶν ὅμηρος πῶς δεῖ μουσικῇ χρῆσθαι· κλέ-
α γὰρ ἀνδρῶν ᾄδειν καὶ πράξεις ἡμιθέων· ἔπρεπεν ἀχιλλεῖ τῷ πηλέως τοῦ δικαι-
οτάτου, ἔτι δὲ καὶ τὸν καιρὸν τῆς χρήσεως τὸν ἁρμόττοντα διδάσκων ὅμηρος,
ἀργοῦντι γυμνάσιον ἐξεῦρεν ὠφέλιμον καὶ ἡδύ. πολεμικὸς γὰρ ὢν καὶ πρακτι-
κὸς ὁ ἀχιλλεὺς, διὰ τὴν γενομένην αὐτῷ πρὸς τὸν ἀγαμέμνονα μῆνιν, οὐ μετεῖχε
τῶν κατὰ τὸν πόλεμον κινδύνων· ᾠήθη οὖν ὅμηρος πρέπον εἶναι τὴν ψυχὴν
τοῖς καλλίστοις τῶν μελῶν παραθήγειν τὸν ἥρωα· ἵν' ἐπὶ τὴν μετὰ μικρὸν αὐτῷ γε-
νησομένην ἔξοδον παρεσκευασμένος ᾖ. τοῦτο δὲ ἐποίει δηλονότι μνημονεύων τῶν
πάλαι πράξεων, τοιαύτη ἦν ἡ ἀρχαία μουσικὴ καὶ εἰς ταῦτα χρησίμη. ἡρα-
κλέα τε γὰρ ἀκούομεν κεχρημένον μουσικῇ, καὶ ἀχιλλέα, καὶ πολλοὺς ἄλλους, ὧν
παιδευτὴς ὁ σοφώτατος χείρων παραδέδοται, μουσικῆς τε ἅμα ὢν καὶ δικαιο-
σύνης καὶ ἰατρικῆς διδάσκαλος. καθόλου δὲ ὅγε νοῦν ἔχων, οὐ τῶν ἐπιστημῶν
ἔγκλημα δή που θείη, εἴ τις αὐτὸς μὴ κατὰ τρόπον χρῷτο, ἀλλὰ τῆς τῶν χρωμένων
κακίας ἴδιον εἶναι τοῦτο νομίσειεν. εἴτ' οὖν τις τὸν παιδευτικὸν τῆς μουσικῆς τρό-
πον ἐκπονήσας, τύχοι ἐπιμελείας τῆς προσηκούσης ἐν τῇ τοῦ παιδὸς ἡλικίᾳ, τὸ
μὲν καλὸν ἐπαινέσει τε καὶ ἀποδέξεται, ψέξει δὲ τὸ ἐναντίον ἔν τε τοῖς ἄλλοις
καὶ ἐν τοῖς κατὰ μουσικὴν, καὶ ἔσται ὁ τοιοῦτος καθαρὸς πάσης ἀγεννοῦς πράξε-
ως διὰ μουσικῆς τε τὴν μεγίστην ὠφέλειαν καρπωσάμενος, ὄφελος ἂν μέγα γένοι-
το αὑτῷ τε καὶ πόλει, μηδενὶ μήτε ἔργῳ μήτε λόγῳ χρώμενος ἀναρμόστῳ, σώ-
ζων αἰεὶ καὶ πανταχοῦ τὸ πρέπον καὶ σῶφρον καὶ κόσμιον. ἔτι δὲ καὶ ταῖς εὐνο-
μωτάταις τῶν πόλεων ἐπιμελὲς γεγένηται φροντίδα ποιεῖσθαι τῆς γενναίας
μουσικῆς, πολλὰ μὲν καὶ ἄλλα μαρτύρια παραθέσθαι ἐστί. τέρπανδρον δ' ἄν
τις παραλάβοι, τὸν τὴν γενομένην ποτὲ παρὰ λακεδαιμονίοις στάσιν καταλύ-
σαντα. καὶ θαλήταν τὸν κρῆτα, ὅν φασι κατά τι πυθόχρηστον λακεδαιμονί-
ους παραγενόμενον, διὰ μουσικῆς ἰάσασθαι· ἀπαλλάξαι τε τοῦ κατασχόντος λοι-
μοῦ τὴν σπάρτην καθάπερ φησὶ πρατίνας. ἀλλὰ γοῦν καὶ ὅμηρος τὸν κατασχόντα
λοιμὸν τοὺς ἕλληνας παύσασθαι λέγει, διὰ μουσικῆς ἐφησοῦν. οἱ δὲ πανημέριοι
» μολπῇ θεὸν ἱλάσκοντο, καλὸν ἀείδοντες παιήονα κοῦροι ἀχαιῶν, μέλποντες ἑ-
» κάεργον· ὁ δὲ, φρένα τέρπετ' ἀκούων. τούτους τοὺς στίχους ἀγαθὲ διδάσκαλε
κολοφῶνα τῶν περὶ τῆς μουσικῆς λόγων πεποίημαι, ἐπεὶ φθάσας σὺ τὴν μουσικὴν
δύναμιν, διὰ τούτων προαπέφηνας ἡμῖν. τῷ γοῦν ὄντι τὸ πρῶτον αὐτῆς καὶ κάλ-
λιστον ἔργον, ἡ εἰς τοὺς θεοὺς εὐχάριστός ἐστιν ἀμοιβή· ἑπόμενον δὲ τούτῳ καὶ δεύτε-

ρον τὸ τῆς ψυχῆς καθάρσιον καὶ ἐμμελὲς καὶ ἐναρμόνιον σύστημα. ταῦτ' εἰπὼν ὁ σωτήριχος, ἔχεις ἔφη τοὺς ἐπικυκλίους περὶ μουσικῆς λόγους ἀγαθὲ διδάσκαλε. ἐθαυμάσθη μὲν οὖν ὁ σωτήριχος ἐπὶ τοῖς λεχθεῖσι, καὶ γὰρ ἐνέφαινε διὰ τοῦ προσώπου καὶ τῆς φωνῆς τὴν περὶ μουσικὴν σπουδήν. ὁ δ' ἐμὸς διδάσκαλος, μετὰ τῶν ἄλλων ἔφη καὶ τοῦτο ἀποδέχομαι, ἑκατέρου ὑμῶν, ὅτι τὴν τάξιν ἑκάτερος, τὴν αὐτὸς αὐτοῦ ἐφύλαξεν. ὁ μὲν γὰρ λυσίας ὅσα μόνον χειρουργοῦντι κιθαρῳδῷ προσῆκεν εἰδέναι, τούτοις ἡμᾶς εἱστίασεν. ὁ δὲ σωτήριχος ὅσα καὶ πρὸς ὠφέλειαν καὶ πρὸς θεωρίαν, ἀλλὰ γὰρ καὶ δύναμιν καὶ χρῆσιν μουσικῆς συντείνει, διδάσκων ἡμᾶς ἐπεδαψιλεύσατο. ἐκεῖνο δ' οἶμαι ἑκόντας αὐτοὺς ἐμοὶ καταλελοιπέναι. οὐ γὰρ καταγνώσομαι αὐτῶν δειλίαν ὡς αἰσχυνθέντων κατασπᾶν μουσικὴν εἰς τὰ συμπόσια. εἰ γάρ που καὶ χρήσιμος καὶ παρὰ πότον, ὡς ὁ καλὸς ὅμηρος, ἀπέφηνε. μολπὴ γάρ πού φησιν ὀρχηστύς τε. τὰ γὰρ ἀναθήματα δαιτός. καί μοι μηδεὶς ὑπολαβέτω ὅτι πρὸς τέρψιν μόνον χρησίμην ᾠήθη μουσικὴν ὅμηρος διὰ τούτων. ἀλλὰ γὰρ βαθύτερος ἐστὶ νοῦς ἐγκεκρυμμένος τοῖς ἔπεσι. εἰς γὰρ ὠφέλειαν καὶ βοήθειαν τὴν μεγίστην αὐτοῖς καιροῖς παρέλαβε μουσικήν, λέγω δὲ εἰς τὰ δεῖπνα καὶ τὰς συνουσίας τῶν ἀρχαίων. συνέβαινε γὰρ εἰσάγεσθαι μουσικήν, ὡς ἱκανὴν ἀποστρέφειν καὶ πραΰνειν τὴν τοῦ οἴνου ὑπόθερμον δύναμιν, καθάπερ πού φησι καὶ ὁ ἡμέτερος ἀριστόξενος. ἐκεῖνος γὰρ ἔλεγεν εἰσάγεσθαι μουσικήν, παρόσον ὁ μὲν οἶνος σφάλλειν πέφυκε τῶν ἅδην αὐτῷ χρησαμένων τά τε σώματα καὶ τὰς διανοίας. ἡ δὲ μουσικὴ τῇ περὶ αὐτὴν τάξει τε καὶ συμμετρίᾳ, εἰς τὴν ἐναντίαν κατάστασιν ἄγει τε καὶ πραΰνει. παρὰ τοῦτον οὖν τὸν καιρὸν ὡς βοηθήματι τῇ μουσικῇ τοὺς ἀρχαίους φησὶ κεχρῆσθαι ὅμηρος. ἀλλὰ δὴ καὶ τὸ μέγιστον ὑμῖν ὦ ἑταῖροι καὶ μάλιστα σεμνοτάτην ἀποφαῖνον μουσικήν, παραλέλειπται. τὴν γὰρ τῶν ὄντων φορὰν καὶ τὴν τῶν ἀστέρων κίνησιν οἱ περὶ πυθαγόραν καὶ ἀρχύταν καὶ πλάτωνα, καὶ οἱ λοιποὶ τῶν ἀρχαίων φιλοσόφων, οὐκ ἄνευ μουσικῆς γίνεσθαι, καὶ συνεστάναι ἔφασκον. πάντα γὰρ καθ' ἁρμονίαν ὑπὸ τοῦ θεοῦ κατεσκευάσθαι φασίν. ἄκαιρον δ' ἂν εἴη νῦν ἀποτείνειν τοὺς περὶ τούτων λόγους, ἀνώτατον δὲ καὶ μουσικώτατον, τὸ παντὶ τὸ προσῆκον μέτρον ἐπιτιθέναι. ταῦτ' εἰπὼν ἐπαιώνισε, καὶ σπείσας τῷ κρόνῳ καὶ τοῖς τούτου παισὶ θεοῖς πᾶσι καὶ μούσαις, ἀπέλυσε τοὺς ἑστιωμένους.

ΕΠΙΤΟΜΗ ΤΗΣ ΣΥΓΚΡΙΣΕΩΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΚΑΙ ΜΕΝΑΝΔΡΟΥ.

Σ μὲν κοινῶς καὶ καθόλου εἰπεῖν, πολλῷ προκρίνει τὸν μένανδρον, ὡς δὲ ἐπὶ μέρους καὶ ταῦτα προστίθησι, τὸ φορτικόν φησιν ἐν λόγοις καὶ θυμελικὸν καὶ βάναυσον, ὡς ἔστιν ἀριστοφάνει, μενάνδρῳ δὲ οὐδαμῶς. καὶ γὰρ ὁ μὲν ἀπαίδευτος καὶ ἰδιώτης, οἷς ἐκεῖνος λέγει ἁλίσκεται. ὁ δὲ πεπαιδευμένος δυσχερανεῖ. λέγω δὲ τὰ ἀντίθετα καὶ ὁμοιόπτωτα καὶ παρωνυμίας. τούτοις γὰρ ὁ μὲν μετὰ τοῦ προσήκοντος λόγου, καὶ ὀλιγάκις χρῆται, ἐπιμελείας αὐτὰ ἀξιῶν, ὁ δὲ καὶ πολλάκις καὶ οὐκ εὐκαίρως καὶ ψυχρῶς. ἐπαινεῖται γάρ φησιν ὅτι τοὺς ταμίας ἐβάπτισεν, οὐχὶ ταμίας, ἀλλὰ λαμίας ὄντας. καὶ οὗτος ἤτοι καικίας ἢ συκοφαντίας πνεῖ. καὶ γαστρὶ τῇ καὶ τοῖς ἐντέροις καὶ τοῖς κώλοις. καὶ ἀπὸ γέλωτος εἰς γέλαν ἀφίξομαι. καὶ τί σοι δράσω κακόδαιμον ἀμφορεῦ ἐξοστρακισθείς. καὶ ἄγρια γὰρ ἡμᾶς ὦ γυναῖκες ἄρα κακά, ἅτε ἐν ἀγρίοις τοῖς λαχάνοις αὐτὸς τραφείς. ἀλλ' αἱ τριχόβρωτες τὸν λόφον μου κατέφαγον. καὶ φέρε δεῦρο γοργόνωτον ἀσπίδος κύκλον. κἀμοὶ πλακοῦντος τυρόνωτον δὸς κύκλον. καὶ πολλὰ τοιαῦτα. ἔνεστι μὲν οὖν ἐν τῇ κατασκευῇ τῶν ὀνομάτων αὐτοῦ τὸ τραγικόν, τὸ κωμικόν, τὸ σοβαρόν, τὸ πεζόν, ἀσάφεια, κοινότης, ὄγκος καὶ διάρμα, σπερμολογία καὶ φλυαρία ναυτιώδης. καὶ τοσαύτας διαφορὰς ἔχουσα καὶ ἀνομοιότητας ἡ λέξις, οὐδὲ τὸ πρέπον ἑκάστῃ καὶ οἰκεῖον ἀποδίδωσιν, οἷον λέγω βασιλεῖ τὸν ὄγκον, ῥήτορι τὴν δεινότητα, γυναικὶ τὸ ἁπλοῦν, ἰδιώτῃ τὸ πεζόν, ἀγοραίῳ τὸ φορτικόν, ἀλλ' ὥσπερ ἀπὸ κλήρου ἀπονέμει τοῖς προσώποις τὰ προστυχόντα τῶν ὀνομάτων, καὶ οὐκ ἂν διαγνοίης εἴθ' υἱός ἐστιν, εἴτε πατήρ, εἴτε ἄγροικος, εἴτε θεός, εἴτε γραῦς, εἴτε ἥρως, ὁ διαλεγόμενος. ἡ δὲ μενάνδρου φράσις οὕτω συνέξεσται καὶ συμπέπνευκε κεκραμένη πρὸς ἑαυτήν, ὥστε διὰ πολλῶν ἀγομένη παθῶν καὶ ἠθῶν καὶ προσώποις ἐφαρμόττουσα παντοδαποῖς, μία τε φαίνεσθαι, καὶ τὴν ὁμοιότητα τηρεῖν ἐν τοῖς κοινοῖς καὶ συνήθεσι καὶ ὑπὸ τὴν χρείαν ὀνόμασιν. ἂν δέ τινος ἄρα τερατείας εἰς τὸ πρᾶγμα καὶ ψόφου δεήσῃ, καθάπερ αὐλοῦ πάντρητον ἀνασπάσας, ταχὺ πάλιν καὶ πιθανῶς ἐπέβαλε καὶ κατέστησε τὴν φωνὴν εἰς τὸ οἰκεῖον. πολλῶν δὲ γεγονότων εὐδοκίμων τεχνιτῶν, οὔτε ὑπόδημα δημιουργός, οὔτε πρόσωπον σκευοποιός, οὔτε τις ἱμάτιον ἅμα ταὐτὸν ἀνδρὶ καὶ γυναικὶ καὶ μειρακίῳ καὶ γέροντι καὶ οἰκότριβι πρέπον ἐποίησεν. ἀλλὰ μένανδρος οὕτως ἔμιξε τὴν λέξιν, ὥστε πάσῃ καὶ φύσει καὶ διαθέσει καὶ ἡλικίᾳ σύμμετρον εἶναι, καὶ ταῦτα νέος μὲν ἔτι τοῦ πράγματος ἁψάμενος, ἐν ἀκμῇ δὲ τοῦ ποιεῖν καὶ διδάσκειν τελευτήσας, ὅτε μάλιστα καὶ πλείστην ἐπίδοσιν, ὡς ἀριστοτέλης φησί, λαμβάνειν τοῖς γράφουσι τὰ περὶ τὴν λέξιν τοῖς γράφουσιν. εἰ οὖν πρὸς τὰ πρῶτα τῶν μενάνδρου δραμάτων τὰ μέσα καὶ τὰ τελευταῖα παραβάλοι τις, ἐξ αὐτῶν ἐπιγνώσεται ὅσα ἔμελλεν, εἰ ἐπεβίω, καὶ τούτοις ἕτερα προσθήσειν. ὅτι τῶν διδασκόντων οἱ μὲν πρὸς τὸν ὄχλον καὶ τὸν δῆμον γράφουσιν, οἱ δὲ τοῖς ὀλίγοις, τὸ δὲ ἐν ἀμφοῖν ἁρμόττον τοῖς γένεσιν, οὐ ῥᾴδιον ὅτῳ τῶν πάντων ὑπῆρξεν εἰπεῖν. ἀριστοφάνης μὲν οὖν, οὔτε τοῖς πολλοῖς ἀρεστός, οὔτε τοῖς φρονίμοις ἀνεκτός. ἀλλ' ὥσπερ ἑταίρας τῆς ποιήσεως παρηκμακυίας, εἶτα μιμουμένης γαμετήν, οὔτε οἱ πολλοὶ τὴν αὐθάδειαν ὑπομένουσιν, οἵ τε σεμνοὶ βδελύττονται τὸ ἀκόλαστον καὶ κακόηθες. ὁ δὲ μένανδρος μετὰ χαρίτων μάλιστα ἑαυτὸν αὐτάρκη παρέσχηκεν, ἐν θεάτροις, ἐν διατριβαῖς, ἐν συμποσίοις, ἀνάγνωσμα καὶ μάθημα

καὶ ἀγώνισμα κοινότατον. ὧν ἡ Ἑλλὰς ἐνήνοχε καλὸν παρέχων τὴν ποίησιν, δεικνὺς ὅτι δὴ καὶ ὁ ποῖον ἦν ἄρα δεξιότης λόγου ἐπῶν, ἁπανταχόσε μετὰ πειθοῦς ἀφύκτου, καὶ χειρούμενος ἅπασαν ἀκοὴν καὶ διάνοιαν ἑλληνικῆς φωνῆς. τίνος γὰρ ἄξιον ἀληθῶς εἰς θέατρον ἐλθεῖν ἄνδρα πεπαιδευμένον, ἢ μενάνδρου ἕνεκα. πότε δὲ θέατρα πίμπλαται ἀνδρῶν φιλολόγων, ἢ κωμικοῦ προσώπου δειχθέντος. ἐν δὲ συμποσίοις τίνι δικαιότερον ἡ τράπεζα παραχωρεῖ. καὶ τόπον ὁ διονύσιος δίδωσι. φιλοσόφοις δὲ καὶ φιλοπόνοις, ὥσπερ ὅταν οἱ γραφεῖς ἐκπονηθῶσι τὰς ὄψεις, καὶ τὰ ἀνθηρὰ καὶ ποώδη χρώματα τρέπουσιν, ἀνάπαυλα τῶν ἀκροατῶν καὶ συντόνων ἐκείνων, μένανδρός ἐστιν, οἷον εὐανθεῖ λειμῶνι καὶ σκιερῷ καὶ πνευμάτων μεστῷ δεχόμενος τὴν διάνοιαν. ὅτι κωμῳδίας ὑποκριτὰς τοῦ χρόνου τούτου πολλοὺς καὶ ἀγαθοὺς τῆς πόλεως ἐνεγκούσης, αἱ μενάνδρου κωμῳδίαι, ἀφθόνων ἁλῶν καὶ ἱδρῶν μετέχουσιν, ὥσπερ ἐξ ἐκείνης γεγονότων τῆς θαλάττης, ἐξ ὧν ἀφροδίτη γέγονεν. οἱ δὲ ἀριστοφάνους ἅλες, πικροὶ καὶ τραχεῖς ὄντες, ἑλκωτικὴν δριμύτητα καὶ δηκτικὴν ἔχουσιν, καὶ οὐκ οἶδα ἐν οἷς ἐστὶν ἡ θρυλουμένη δεξιότης ὑπ' αὐτοῦ, ἐν λόγοις ἢ προσώποις. ἀμέλει καὶ τὰ μεμιμημένα πρὸς τὸ χεῖρον μεμίμηται. τὸ γὰρ πανοῦργον, οὐ πολιτικόν, ἀλλὰ κακόηθες. καὶ τὸ ἄγροικον, οὐκ ἀσφαλές, ἀλλ' ἠλίθιον. καὶ τὸ γελοῖον, οὐ παιγνιῶδες, ἀλλὰ καταγέλαστον. καὶ τὸ ἐρωτικόν, οὐχ ἱλαρόν, ἀλλ' ἀκόλαστον. οὐδὲν γὰρ ὁ ἄνθρωπος ἔοικε μετρίως τὴν ποίησιν γεγραφέναι. ἀλλὰ τὰ μὲν αἰσχρὰ καὶ ἀσελγῆ τοῖς ἀληθεστέροις, τὰ βλάσφημα δὲ καὶ πικρά, τοῖς βασκάνοις καὶ κακοήθεσι.

ΒΙΟΙ ΤΩΝ ΔΕΚΑ ΡΗΤΟΡΩΝ. ΑΝΤΙΦΩΝ. α'.

α

Ἀντιφῶν σοφίλου μὲν ἦν πατρός, τῶν δὲ δήμων ῥαμνούσιος, μαθητεύσας δὲ τῷ πατρί, ἦν γὰρ σοφιστής, ᾧ καὶ ἀλκιβιάδην φασὶν ἔτι παῖδα ὄντα φοιτῆσαι, καὶ δύναμιν λόγων κτησάμενος, ὥς τινες νομίζουσιν ἀπὸ οἰκείας φύσεως, ὥρμησε μὲν πολιτεύεσθαι, διατριβὴν δὲ συνέστησε, καὶ σωκράτει τῷ φιλοσόφῳ διεφέρετο τὴν ὑπὲρ τῶν λόγων διαφοράν, οὐ φιλονείκως, ἀλλ' ἐλεγκτικῶς, ὡς ξενοφῶν ἱστόρηκεν ἐν τοῖς ἀπομνημονεύμασιν, καὶ τινὰς λόγους τοῖς δεομένοις τῶν πολιτῶν συνέγραφεν, εἰς τοὺς ἐν τοῖς δικαστηρίοις ἀγῶνας. πρῶτον γὰρ τοῦτο φέρεται τραπεὶς ὥσπερ τινές φασιν. τῶν γοῦν πρὸ αὐτοῦ γενομένων, οὐδενὸς φέρεται δικανικὸς λόγος, ἀλλ' οὐδὲ τῶν κατ' αὐτόν, διὰ τὸ μηδέπω ἐν ἔθει τοῦ συγγράφειν εἶναι, οὐ θεμιστοκλέους, οὐκ ἀριστείδου, οὐ περικλέους, καίτοι πολλὰς ἀφορμὰς καὶ ἀνάγκας παρασχόντων αὐτοῖς τῶν καιρῶν. καὶ γὰρ οὐδὲ ἀσθένειαν ἀπελείποντο τοῦ συγγράφειν, ὡς δῆλον ἐκ τῶν εἰρημένων παρὰ τοῖς συγγραφεῦσι περὶ ἑνὸς ἑκάστου τῶν προειρημένων ἀνδρῶν. ὅσους μέντοι ἔχομεν γὰρ τὸ παλαιότατον ἀναφέροντες ἀπομνημονεῦσαι τὴν ἰδέαν τῶν λόγων ταύτην μετακεχειρισμένους, τούτους εὕροι τις ἂν ἐπιβεβληκότας ἀντιφῶντι πρεσβύτῃ ἤδη ὄντι, οἷον, ἀλκιβιάδην, κριτίαν, λυσίαν, ἀρχῖνον. πρῶτος δὲ καὶ ῥητορικὰς τέχνας ἐξήνεγκε γενόμενος ἀγχίνους. διὸ καὶ νέστωρ ἐπεκαλεῖτο. κεκίλιος δ' ἐν τῷ περὶ αὐτοῦ συντάγματι, θουκυδίδου τοῦ συγγραφέως μαθητὴν τεκμαίρεται γεγονέναι, ἐξ ὧν ἐπαινεῖται παρ' αὐτῷ ὁ ἀντιφῶν. ἔστι δὲ ἐν τοῖς λόγοις ἀκριβής, καὶ πιθανός, καὶ δεινὸς περὶ τὴν εὕρεσιν, καὶ ἐν τοῖς ἀπόροις τεχνικός, καὶ ἐπιχειρῶν ἐξ ἀδήλου, καὶ ἐπὶ τοὺς νόμους καὶ τὰ πάθη τρέπων τοὺς λόγους, τοῦ εὐπρεποῦς μάλιστα στοχαζόμενος. γέγονε δὲ κατὰ τὰ περσικά, καὶ γοργίαν τὸν

σοφιστήν, ὀλίγῳ νεώτερος αὐτοῦ, καὶ παρατέτακεν ἕως καταλύσεως τῆς δημοκρατίας ὑπὸ τῶν τετρακοσίων γενομένης, ἣν αὐτὸς δοκεῖ συγκατασκευάσαι, ὅτε μὲν δυσὶ τριηραρχῶν ναυσίν, ὅτε δὲ στρατηγῶν, καὶ πολλαῖς μάχαις νικῶν, καὶ συμμαχίας μεγάλας αὐτοῖς προσαγόμενος, καὶ τοὺς ἀκμάζοντας ὁπλίζων, καὶ τριήρεις πληρῶν ἑξήκοντα, καὶ πρεσβεύων δὲ ἑκάστοτε ὑπὲρ αὐτῶν εἰς λακεδαίμονα, ἡνίκα ἐτετείχιστο ἡ ἐτιωνία. μετὰ δὲ τὴν κατάλυσιν τῶν τετρακοσίων εἰσαγγελθεὶς σὺν ἀρχεπτολέμῳ ἑνὶ τῶν τετρακοσίων ἑάλω, καὶ τοῖς περὶ τῶν προδοτῶν ἐπιτιμίοις ὑπαχθείς, ἄταφος ἐρρίφη, καὶ σὺν τοῖς ἐκγόνοις ἄτιμος ἐνεγράφη. οἱ δὲ ὑπὸ τῶν τριάκοντα ἀνῃρῆσθαι αὐτὸν ἱστοροῦσιν, ὥσπερ λυσίας ἐν τῷ ὑπὲρ τῆς ἀντιφῶντος θυγατρὸς λόγῳ. ἐγένετο γὰρ αὐτῷ θυγάτριον, οὗ κάλλαισχρος ἐπεδικάσατο. ὅτι δὲ ὑπὸ τῶν τριάκοντα ἀπέθανεν ἱστορεῖ καὶ θεόπομπος ἐν τῇ πεντεκαιδεκάτῃ τῶν φιλιππικῶν. ἀλλ' οὗτός τε ἂν ἡμερώτερος λυσιδωνίδου παιδός, καὶ κρατῖνος ἐν πιτύνῃ ὡς πονηροῦ μνημονεύει. πῶς ἂν ὁ προτεθνεὼς ἀναιρεθεὶς ὑπὸ τῶν τετρακοσίων, πάλιν ὑπὸ τῶν τριάκοντα εἴη. ἔστι δὲ καὶ ἄλλος λόγος περὶ τῆς τελευτῆς αὐτοῦ, πρεσβευτὴν γὰρ ὄντα αὐτόν, εἰς συρακούσας πλεῦσαι, ἡνίκα ἤκμαζεν ἡ τοῦ προτέρου διονυσίου τυραννίς. γενομένης δὲ παρὰ πότον ζητήσεως, τίς ἄριστός ἐστι χαλκός, καὶ τῶν πολλῶν διαφερομένων, αὐτὸν εἰπεῖν ἄριστον εἶναι, ἐξ οὗ ἁρμόδιος καὶ ἀριστογείτων πεποίηνται. τοῦτο δὲ ἀκούσαντα τὸν διονύσιον καὶ ὑπονοήσαντα προτροπὴν εἰς ἐπίθεσιν αὐτοῦ εἶναι τὸ ῥηθέν, προστάξαι ἀναιρεθῆναι αὐτόν. οἱ δέ, ὅτι τὰς τραγῳδίας αὐτοῦ διέσυρε χαλεπήναντα. φέρονται δὲ τοῦ ῥήτορος λόγοι ἑξήκοντα, ὧν κατεψευσμένους φησὶ κεκίλιος εἶναι τοὺς εἴκοσι πέντε. κεκωμῴδηται δὲ εἰς φιλαργυρίαν ὑπὸ πλάτωνος ἐν πεισάνδρῳ. λέγεται δὲ τραγῳδίας συνθεῖναι καὶ ἰδίᾳ καὶ σὺν διονυσίῳ τῷ τυράννῳ. ἔτι δὲ ὢν πρὸς τῇ ποιήσει, τέχνην ἀλυπίας συνεστήσατο, ὥσπερ τοῖς νοσοῦσιν ἡ παρὰ τῶν ἰατρῶν θεραπεία ὑπάρχει. ἐν κορίνθῳ τε κατεσκευασμένος οἴκημά τι παρὰ τὴν ἀγοράν, προέγραψεν, ὅτι δύναται τοὺς λυπουμένους διὰ λόγων θεραπεύειν. καὶ πυνθανόμενος τὰς αἰτίας, παρεμυθεῖτο τοὺς κάμνοντας, νομίζων δὲ τὴν τέχνην ἐλάττω ἢ καθ' αὑτὸν εἶναι, ἐπὶ ῥητορικὴν ἀπετράπη. εἰσὶ δ' οἳ καὶ τὸ γλαύκου τοῦ ῥηγίνου περὶ ποιητῶν βιβλίον εἰς ἀντιφῶντα ἀναφέρουσιν. ἐπαινεῖται δὲ αὐτοῦ μάλιστα ὁ περὶ ἡρώδου καὶ πρὸς ἐρασίστρατον περὶ τῶν ἰδεῶν, καὶ ὁ περὶ τῆς ἀγγελίας ὃν ὑπὲρ ἑαυτοῦ γέγραφε, καὶ ὁ πρὸς δημοσθένην τὸν στρατηγὸν παρανόμων. ἔγραψε δὲ καὶ κατὰ ἱπποκράτους τοῦ ἰατροῦ στρατηγοῦ λόγον. καὶ εἷλεν αὐτὸν ἐξ ἐρήμου. ψήφισμα ἐπὶ θεοπόμπου ἄρχοντος, ἐφ' οὗ οἱ τετρακόσιοι κατελύθησαν. ψήφισμα καθ' ὃ ἔδοξαν ἀντιφῶντα κριθῆναι, ὃ κεκίλιος παρατέθειται, ἔδοξε τῇ βουλῇ μιᾷ καὶ εἰκοστῇ τῆς πρυτανείας, δημόνικος ἀλωπεκῆθεν ἐγραμμάτευε. φιλόστρατος πελληνεὺς ἐπεστάτει. ἄνδρων εἶπε, περὶ τῶν ἀνδρῶν, οὓς ἀποφαίνουσιν οἱ στρατηγοὶ πρεσβευομένους εἰς λακεδαίμονα ἐπὶ κακῷ τῆς πόλεως τῆς ἀθηναίων, καὶ ἐκ τοῦ στρατοπέδου πλεῖν ἐπὶ πολεμίας νεὼς καὶ πεζεῦσαι διὰ δεκελείας, ἀρχεπτόλεμον, καὶ ὀνομαλέα, καὶ ἀρχιφῶντα, συλλαβεῖν καὶ ἀποδοῦναι εἰς τὸ δικαστήριον, ὅπως δῶσι δίκην. παρασχόντων δ' αὐτοὺς οἱ στρατηγοί, καὶ ἐκ τῆς βουλῆς οὕς τινας ἂν δοκῇ τοῖς στρατηγοῖς προσελομένους μέχρι δέκα, ὅπως ἂν περὶ παρόντων γένηται ἡ κρίσις. προσκαλεσάσθωσαν δ' αὐτοὺς οἱ θεσμοθέται ἐν τῇ αὔριον ἡμέρᾳ, καὶ εἰσαγόντων, ἐπειδὰν αἱ κλήσεις ἐξήκωσιν εἰς τὸ δικαστήριον, περὶ προδοσίας κατηγορεῖν τοὺς ᾑρημένους συνηγόρους καὶ τοὺς στρατηγούς, καὶ ἄλλος, ἄν τις βούληται. ὅτου δ' ἂν καταψηφίσηται τὸ δικαστήριον, περὶ αὐτοῦ ποιεῖν κατὰ τὸν νόμον, ὃς κεῖται περὶ τῶν προδό-

πότῳ l.

ἀντιφῶντα l.

ὦφλον .I.

τὰς οἰκίας .I.

των. τοῦτο ὑπογέγραπται τῷ δόγματι ἡ κατάκρισις προδοσίας ὦφλον Ἀρχεπτόλεμος Ἱπποδάμου Ἀγρυλῆθεν παρὼν, Ἀντιφῶν Σοφίλου Ῥαμνούσιος παρών. τούτοιν ἐτιμήθη τοῖς ἕνδεκα παραδοθῆναι, καὶ τὰ χρήματα δημόσια εἶναι, καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον, καὶ τὼ οἰκία κατασκάψαι αὐτῶν, καὶ ὅρους θεῖναι τοῖν οἰκοπέδοιν, ἐπιγράψαντας· Ἀρχεπτολέμου καὶ Ἀντιφῶντος τοῖν προδόταιν. τὼ δὲ δημάρχω ἀποφῆναι τὴν οἰκίαν ἐς τὴν καὶ μὴ ἐξεῖναι θάψαι Ἀρχεπτόλεμον καὶ Ἀντιφῶντα Ἀθήνησι, μηδ᾽ ὅσης Ἀθηναῖοι κρατοῦσι, καὶ ἄτιμον εἶναι Ἀρχεπτόλεμον καὶ Ἀντιφῶντα, καὶ γένος τὸ ἐκ τούτοιν καὶ νόθους καὶ γνησίους. καὶ ἐάν τις ποιήσηταί τινα τῶν ἐξ Ἀρχεπτολέμου καὶ Ἀντιφῶντος, ἄτιμος ἔστω ὁ ποιησάμενος. ταῦτα δὲ γράψαι ἐν στήλῃ χαλκῇ· ᾗπερ ἂν καὶ τὰ ψηφίσματα τὰ περὶ Φρυνίχου, καὶ τοῦτο θέσθαι.

ΑΝΔΟΚΙΔΗΣ. β′.

Ἀνδοκίδης Λεωγόρου μὲν ἦν πατρὸς, τοῦ θεμένου ποτὲ πρὸς Λακεδαιμονίους εἰρήνην Ἀθηναίοις, τὸν δῆμον δὲ Κυδαθηναιεὺς, ἢ Θουριεὺς, γένους εὐπατριδῶν, ὡς δὲ Ἑλλάνικος, καὶ ἀπὸ Ἑρμοῦ, καθήκει γὰρ εἰς αὐτὸν τὸ κηρύκων γένος. διὸ καὶ προεχειρίσθη ποτὲ μετὰ Γλαύκωνος σὺν ναυσὶν εἴκοσι Κερκυραίοις βοηθήσων, διαφερομένοις πρὸς Κορινθίους. μετὰ δὲ ταῦτα αἰτιαθεὶς ἀσεβεῖν, ὡς καὶ αὐτὸς τοὺς Ἑρμᾶς περικόψας, καὶ εἰς τὰ τῆς Δήμητρος ἁμαρτὼν μυστήρια, διὰ τὸ πρότερον ἀκόλαστον ὄντα, νύκτωρ κωμάσαντα, θραῦσαί τι τῶν ἀγαλμάτων τοῦ θεοῦ, καὶ εἰσαγγελθέντα, ἐπειδὴ οὐκ ἐβουλήθη ὃν ἐζήτουν οἱ κατήγοροι ἐκδοῦναι, διαβληθῆναι. καὶ πρὸς τὴν αἰτίαν τῆς δευτέρας γραφῆς ὕποπτον γενέσθαι. ἣν μετ᾽ οὐ πολὺν χρόνον τοῦ περὶ Σικελίαν στόλου συνέβη γενέσθαι, Κορινθίων εἰσπεμψάντων Λεοντίνους τε καὶ Αἰγεσταίους ἄνδρας ἰδίᾳ μελλόντων βοηθεῖν αὐτοῖς τῶν Ἀθηναίων, νύκτωρ τοὺς περὶ τὴν ἀγορὰν Ἑρμᾶς περικόψαι, ὡς Κράτιππός φησι. προσαμαρτὼν μυστήρια, κριθείς τε περὶ τούτοις, ἀπέφυγεν ἐπὶ τῷ μηνύσειν τοὺς ἀδικοῦντας, σπουδὴν δὲ πᾶσαν εἰσενεγκάμενος ἐξεῦρε τοὺς περὶ τὰ ἱερὰ ἁμαρτάνοντας, ἐν οἷς καὶ τὸν αὐτοῦ πατέρα. καὶ τοὺς μὲν ἄλλους πάντας ἐλέγξας ἐποίησεν ἀπολέσθαι, τὸν δὲ πατέρα ἐρρύσατο, καίτοι δεδεμένον ἤδη, ὑποσχόμενος πολλὰ λυσιτελήσειν αὐτὸν τῇ πόλει, καὶ οὐκ ἐψεύσατο. ἤλεγξε γὰρ ὁ Λεωγόρας πολλοὺς δημόσια χρήματα σφετεριζομένους, καὶ ἄλλα τινὰ ἀδικοῦντας, καὶ διὰ μὲν ταῦτα ἀφείθη τῆς αἰτίας. εὐδοκιμῶν δὲ ὁ Ἀνδοκίδης ἐπὶ τοῖς πολιτευομένοις, ἐπέθετο ναυκληρίᾳ, καὶ τοῖς τε Κυπρίων βασιλεῦσι καὶ πολλοῖς ἄλλοις δοκίμοις ἐπεξενώθη. ὅτε καὶ μίαν τῶν πολιτίδων Ἀριστείδου θυγατέρα ἀνεψιὰν οὖσαν αὐτῷ, λάθρα τῶν οἰκείων ἐξαγαγὼν, ἔπεμψε δῶρον τῷ Κυπρίων βασιλεῖ. μέλλων δὲ περὶ τούτοις εἰς δικαστήριον εἰσάγεσθαι, πάλιν αὐτὴν ἐξέκλεψεν ἀπὸ τῆς Κύπρου, καὶ ληφθεὶς ὑπὸ τοῦ βασιλέως ἐδέθη, διαδρὰς δὲ ἧκεν εἰς τὴν πόλιν, καθ᾽ ὃν χρόνον οἱ τετρακόσιοι διεῖπον τὰ πράγματα. δεθεὶς δὲ ὑπὸ τούτων καὶ διαφυγὼν αὖθις ὁπότε κατελύθη ἡ ὀλιγαρχία, ἐξέπεσε τῆς πόλεως τῶν τριάκοντα τὴν ἀρχὴν παραλαβόντων. οἰκήσας δὲ τὸν τῆς φυγῆς χρόνον ἐν Ἤλιδι, κατελθόντων τῶν περὶ Θρασύβουλον, καὶ αὐτὸς ἧκεν εἰς τὴν πόλιν. πεμφθεὶς δὲ περὶ τῆς εἰρήνης εἰς Λακεδαίμονα καὶ δόξας ἀδικεῖν ἔφυγε. δηλοῖ δὲ περὶ πάντων ἐν τοῖς λόγοις οἷς συνέγραψεν. οἱ μὲν γὰρ ἀπολογουμένου περὶ τῶν μυστηρίων εἰσίν· οἱ δὲ, καθόδου δεομένου. σώζεται δὲ αὐτοῦ καὶ ὁ περὶ τῆς ἐνδείξεως λόγος, καὶ ἀπολογία πρὸς Φαίακα καὶ περὶ τῆς εἰρήνης, καὶ ἤκμαζε μὲν κατὰ τοῦτον τὸν χρόνον ἅμα Σωκράτει τῷ φιλοσόφῳ, ἀρχὴ δὲ αὐτῷ τῆς γενέσεως ὀλυμπιὰς μὲν ἑβδομηκοστὴ ὀγδόη, ἄρχων δὲ Ἀθήνησι Θεογενίδης, ὥς τε εἶναι πρεσβύτερον αὐτὸν

ελαριϊσμάνοισ .H.

Λυσίου ἔτεσί που ἑκατὸν, τούτου δὲ ἐπώνυμος ἐστὶ καὶ Ἑρμῆς ὁ Ἀνδοκίδου καλούμενος, ἀνάθημα μὲν ὢν φυλῆς Αἰγηΐδος, ἐπικληθεὶς δὲ Ἀνδοκίδου διὰ τὸ πλησίον παροικῆσαι τὸν Ἀνδοκίδην, καὶ αὐτὸς δὲ ἐχορήγησε κυκλίῳ χορῷ τῇ αὐτοῦ φυλῇ ἀγωνιζομένῳ διθυράμβῳ, καὶ νικήσας ἀνέθηκε τρίποδα ἐφ᾽ ὑψηλοῦ, ἀντικρὺ τοῦ πωρίνου σιληνοῦ. ἔστι δὲ ἁπλοῦς καὶ ἀκατάσκευος ἐν τοῖς λόγοις, ἀφελής τε καὶ ἀσχημάτιστος.

ΛΥΣΙΑΣ. γ′.

Λυσίας υἱὸς ἦν Κεφάλου τοῦ Λυσανίου τοῦ Κεφάλου, Συρακουσίου μὲν γένος. μεταναστάντος δὲ εἰς Ἀθήνας ἐπιθυμίᾳ τε τῆς πόλεως καὶ Περικλέους τοῦ Ξανθίππου πείσαντος αὐτὸν φίλον ὄντα καὶ ξένον, πλούτῳ διαφέρων, ὡς δέ τινες ἐκπεσόντα τῶν Συρακουσῶν, ἡνίκα ὑπὸ Γέλωνος ἐτυραννοῦντο, γενόμενος Ἀθήνησιν ἐπὶ Φιλοκλέους ἄρχοντος τοῦ μετὰ Φρασικλῆ, κατὰ τὸ δεύτερον ἔτος τῆς ὀγδοηκοστῆς καὶ δευτέρας ὀλυμπιάδος, τὸ μὲν πρῶτον συνεπαιδεύετο τοῖς ἐπιφανεστάτοις Ἀθηναίων. ἐπεὶ δὲ τὴν εἰς Σύβαριν ἀποικίαν τὴν ὕστερον Θουρίους μετονομασθεῖσαν ἔστελλεν ἡ πόλις, ᾤχετο σὺν τῷ πρεσβυτάτῳ ἀδελφῷ Πολεμάρχῳ. ἦσαν γὰρ αὐτῷ καὶ ἄλλοι δύο, Εὐθύδημος καὶ Βράχυλλος, τοῦ πατρὸς ἤδη τετελευτηκότος, ὡς κοινωνήσων τοῦ κλήρου, ἔτη γεγονὼς πεντεκαίδεκα, ἐπὶ Πραξιτέλους ἄρχοντος, κἀκεῖ διέμεινε παιδευόμενος παρὰ Τισίᾳ καὶ Νικίᾳ τοῖς Συρακουσίοις, κτησάμενός τε οἰκίαν, καὶ κλήρου λαχὼν ἐπολιτεύσατο, ἕως Κλεάρχου τοῦ Ἀθήνησιν ἄρχοντος, ἔτη ἑξήκοντα τρία. τῷ δὲ ἑξῆς Καλλίᾳ ὀλυμπιάδι ἤδη ἐνενήκοντα δύο, τῶν κατὰ Σικελίαν συμβάντων Ἀθηναίοις, καὶ κινήσεως γενομένης, τῶν τε ἄλλων συμμάχων, καὶ μάλιστα τῶν τὴν Ἰταλίαν οἰκούντων, αἰτιαθεὶς ἀττικίζειν, ἐξέπεσε μετ᾽ ἄλλων τριῶν. παραγενόμενος δὲ Ἀθήνησι τῷ Καλλίου τοῦ μετὰ Κλεόκριτον ἄρχοντος, ἤδη τῶν τετρακοσίων κατεχόντων τὴν πόλιν, διέτριβεν αὐτόθι. τοῖς δὲ ἐν Αἰγὸς ποταμοῖς ναυμαχίας γενομένης, καὶ τῶν τριάκοντα παραλαβόντων τὴν πόλιν, ἐξέπεσεν ἑπτὰ ἔτη ἀφαιρεθεὶς τὴν οὐσίαν, καὶ τὸν ἀδελφὸν Πολέμαρχον. αὐτὸς δὲ διαδρὰς ἐκ τῆς οἰκίας ἀμφιθύρου οὔσης, ἐν ᾗ ἐφυλάσσετο, ὡς ἀπολούμενος, διῆγεν ἐν Μεγάροις. ἐπιθεμένων δὲ τῶν ἀπὸ Φυλῆς τῇ καθόδῳ, ἐπεὶ χρησιμώτατος ἁπάντων ὤφθη, χρήματά τε παρασχὼν δραχμὰς δισχιλίας καὶ ἀσπίδας διακοσίας, πεμφθείς τε σὺν Ἑρμᾷ, ἐπικούρους ἐμισθώσατο τριακοσίους, δύο τ᾽ ἔπεισε τάλαντα δοῦναι Θρασυδαῖον τὸν Ἠλεῖον, ξένον αὐτῷ γεγονότα. ἐφ᾽ οἷς γράψαντος αὐτῷ Θρασυβούλου πολιτείαν μετὰ τὴν κάθοδον, ἐπὶ ἀναρχίας τῆς πρὸ Εὐκλείδου, ὁ μὲν δῆμος ἐκύρωσε τὴν δωρεάν, ἀπενεγκαμένου δὲ Ἀρχίνου γραφὴν παρανόμων διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι, ἑάλω τὸ ψήφισμα, καὶ οὕτως ἀπελαθεὶς τῆς πολιτείας, τὸν λοιπὸν ᾤκησε χρόνον, ἰσοτελὴς ὤν, καὶ ἐτελεύτησεν αὐτόθι ὀγδοήκοντα τρία ἔτη βιούς, ἢ ὥς τινες ἓξ καὶ ἑβδομήκοντα, ἢ ὥς τινες ὑπὲρ ὀγδοήκοντα, ἰδὼν Δημοσθένην μειράκιον ὄντα. γεννηθῆναι δέ φασιν ἐπὶ Φιλοκλέους ἄρχοντος. φέρονται δ᾽ αὐτοῦ λόγοι τετρακόσιοι εἰκοσιπέντε, τούτων γνησίους φασὶν οἱ περὶ Διονύσιον καὶ Καικίλιον εἶναι διακοσίους τριάκοντα, ἐν οἷς δὶς μόνον ἡττῆσθαι λέγεται. ἔστι δ᾽ αὐτοῦ καὶ ὃν ὑπὲρ τοῦ ψηφίσματος ἐγράψατο Ἀρχῖνος, τὴν πολιτείαν αὐτῷ περιελών, καὶ κατὰ τῶν τριάκοντα ἕτερος. ἐγένετο δὲ πιθανώτατος καὶ βραχύτατος τοῖς ἰδιώταις τοὺς πολλοὺς λόγους ἐκδούς. εἰσὶ δ᾽ αὐτῷ καὶ τέχναι ῥητορικαὶ πεποιημέναι, καὶ δημηγορίαι, ἐπιστολαί τε, καὶ ἐγκώμια, καὶ ἐπιτάφιοι, καὶ ἐρωτικοί, Σωκράτους ἀπολογία ἐστοχασμένη τῶν δικαστῶν. δοκεῖ δὲ κατὰ τὴν λέξιν εὔκολος εἶναι, δυσμίμητος ὤν, Δημοσθένης δ᾽ ἐν τῷ κατὰ Νεαίρας λόγῳ, ἐραστὴν αὐτόν φησι γεγονέναι Μετανείρας ὁμοδούλου

τοῦ .I.
μηνὸς .H.

μελανθέρας .I.

τῇ νεαίρᾳ. ὕστερον δὲ ἔγημε βραγχύλου τοῦ ἀδελφοῦ θυγατέρα. μνημονεύει δὲ
αὐτοῦ καὶ πλάτων ἐν τῷ φαίδρῳ ὡς δεινοτάτου εἰπεῖν, καὶ ἰσοκράτους πρεσ-
βυτέρου. ἐποίησε δὲ καὶ εἰς αὐτὸν ἐπίγραμμα φιλίσκος, ὁ ἰσοκράτους μὲν γνώ-
ριμος, ἑταῖρος δὲ λυσίου, δι' οὗ φανερὸν ὡς προέλαβε τοῖς ἔτεσιν καὶ ἐκ τῶν ὑπὸ
» πλάτωνος εἰρημένων, ἀποδείκνυται. ἔχει δὲ οὕτως, ὦ καλλιόπης θύγατερ, πο-
» λυήγορε φροντί, δείξεις εἴ τι φρονεῖς, καὶ τὶ περιττὸν ἔχεις. τὸν γὰρ ἐς ἄλλο σχῆ-
» μα μεθαρμοσθέντα, καὶ ἄλλοις ἐν κόσμοισι βίου σῶμα λαβόνθ' ἕτερον, δεῖ σ' ἀρε-
» τῆς κήρυκα τεκεῖν τινὰ λυσίδι ὕμνον, δόντα κατὰ φθιμένων καὶ σοφὸν ἀθάνατον.
» ὅς τό τ' ἐμῆς ψυχῆς δεῖξαι φιλέταιρον ἅπασι καὶ τὴν τοῦ φθιμένου πᾶσι βρο-
τοῖς ἀρετήν. συνέγραψε δὲ λόγον καὶ ἰφικράτει, τὸν μὲν πρὸς ἁρμόδιον, τὸν
δὲ, προδοσίας κρίνων τιμόθεον, καὶ ἀμφοτέρους ἐνίκα. ἀναδεξάμενος δὲ ἰφι-
κράτους τὰς τοῦ τιμοθέου πράξεις ταῖς εὐθύναις ἀναλαβὼν, τὴν τῆς προδοσί-
ας αἰτίαν, ἀπολογεῖται διὰ τοῦ λυσίου λόγου, καὶ αὐτὸς μὲν ἀπελύθη. ὁ δὲ τι-
μόθεος ἐζημιώθη πλείστοις χρήμασι. ἀνέγνω δὲ καὶ ἐν τῇ ὀλυμπιακῇ πανηγύ-
ρει λόγον μέγιστον διαλλαγέντας τοὺς ἕλληνας καταλῦσαι διονύσιον.

ΙΣΩΚΡΑΤΗΣ. δ'.

Ἰσοκράτης θεοδώρου μὲν ἦν παῖς τοῦ ἀρχιερέως τῶν μετρίων πολιτῶν, θερά-
ποντας αὐλοποιοὺς κεκτημένου, καὶ εὐπορήσαντος ἀπὸ τούτων, ὡς καὶ χορη-
γῆσαι καὶ παιδεῦσαι τοὺς υἱοὺς, ἦσαν γὰρ αὐτῷ καὶ ἄλλοι, τελέσιππος καὶ διό-
μνηστος, ἦν δὲ καὶ θυγάτριον. ὅθεν εἰς τοὺς αὐλοὺς κεκωμώδηται ὑπὸ ἀριστοφά-
νους καὶ στράττιδος. γενόμενος δὲ κατὰ τὴν ὀγδοηκοστὴν ἕκτην ὀλυμπιάδα λυ-
σιμάχου μυρρινουσίου δύο καὶ εἴκοσιν ἔτεσιν, πρεσβύτερος δὲ πλάτωνος ἑπτὰ,
παῖς μὲν ὢν ἐπαιδεύετο, οὐδενὸς ἧττον ἀθηναίων, ἀκροώμενος προδίκου τε τοῦ κεί-
ου, καὶ γοργίου τοῦ λεοντίνου, καὶ τισίου τοῦ συρακουσίου, καὶ θηραμένους τοῦ ῥή-
τορος, οὗ καὶ συλλαμβανομένου ὑπὸ τῶν τριάκοντα, καὶ φυγόντος ἐπὶ τὴν βου-
λαίαν ἑστίαν, ἁπάντων καταπεπληγμένων, μόνος ἀνέστη βοηθήσων, καὶ πολὺν
χρόνον ἐσίγησε κατ' ἀρχάς. ἔπειτα ὑπ' αὐτοῦ παρῃτήθη εἰπόντος, ὀδυνηρότε-
ρον αὐτῷ συμβήσεσθαι, εἴ τις τῶν φίλων ἀπολαύσει τῆς συμφορᾶς, καὶ ἐκεί-
νου τινὰς οὔσας τέχνας αὐτὸν φασὶ συμπραγματεύσασθαι, ἡνίκα ἐν τοῖς δικα-
στηρίοις ἐσυκοφαντεῖτο, αἳ εἰσὶν ἐπιγεγραμμέναι βότωνος. ἐπεὶ δὲ ἠνδρώθη,
τῶν μὲν πολιτικῶν πραγμάτων ἀπέσχετο ἰσχνόφωνός τε ὢν, καὶ εὐλαβὴς τὸν
τρόπον, καὶ τὰ πατρῷα ἀποβεβληκὼς ἐν τῷ πρὸς λακεδαιμονίους πολέμῳ, ἄλ-
λοις δὲ μεμαρτυρηκὼς φαίνεται. ἕνα δὲ μόνον εἰπὼν λόγον τὸν περὶ τῆς ἀντι-
δόσεως, διατριβὴν δὲ συστησάμενος, ἐπὶ τὸ φιλοσοφεῖν καὶ γράφειν διανοηθεὶς, ἐ-
τράπετο, καὶ τόν τε πανηγυρικὸν λόγον καὶ τινὰς ἄλλους τῶν συμβουλευτικῶν,
οὓς μὲν αὐτὸς γράφων, ἀνεγίνωσκεν, οὓς δὲ ἑτέροις παρεσκεύαζεν, ἡγούμενος οὕ-
τως ἐπὶ τὸ τὰ δέοντα φρονεῖν τοὺς ἕλληνας προτρέψασθαι, διαμαρτάνων δὲ τῆς
προαιρέσεως, τούτων μὲν ἀπέστη, σχολῆς δὲ ἡγεῖτο ὥς τινές φασι πρῶτον ἐπὶ χί-
ου, μαθητὰς ἔχων ἐννέα, ὅτε καὶ ἰδὼν τὸν μισθὸν ἀριθμούμενον, εἶπε δακρύσας, ὡς
ἐπέγνων ἐμαυτὸν νῦν τούτοις πεπραμένον, ὡμίλει δὲ τοῖς βουλομένοις χωρίσας
πρῶτος τοὺς ἐριστικοὺς λόγους τῶν πολιτικῶν, περὶ οὓς ἐσπούδασε, καὶ ἀρχὰς δὲ καὶ τὴν
περὶ χίον κατέστησε, καὶ τὴν αὐτὴν τῇ πατρίδι πολιτείαν, ἀργύριόν τε ὅσον οὐ-
δεὶς σοφιστῶν εὐπόρησεν, ὡς καὶ τριηραρχῆσαι. ἀκροαταὶ δ' αὐτοῦ ἐγένοντο εἰς
ἑκατὸν, ἄλλοι τε πολλοὶ, καὶ τιμόθεος ὁ κόνωνος, σὺν ᾧ καὶ πολλὰς πόλεις ἐπῆλ-
θε συντιθεὶς τὰς πρὸς ἀθηναίους ὑπὸ τιμοθέου πεμπομένας ἐπιστολὰς, ὅθεν
ἐδωρήσατο αὐτὸν τάλαντον τῶν ἀπὸ σάμου περιγενομένων. ἐμαθήτευσε δ' αὐτῷ
καὶ

καὶ θεόπομπος ὁ χῖος, καὶ ἔφορος ὁ κυμαῖος, καὶ ἀσκληπιάδης ὁ τὰ τραγῳδού-
μενα συντάξας, καὶ θεοδέκτης ὁ φασηλίτης ὁ τὰς τραγῳδίας ὕστερον γράψας,
οὗ ἐστι τὸ μνῆμα ἐπὶ τὴν κυαμῖτιν πορευομένοις κατὰ τὴν ἱερὰν ὁδὸν τὴν ἐπ' ἐ-
λευσῖνα, τανῦν κατηρηριμμένον, ἔνθα καὶ τοὺς ἐνδόξους τῶν ποιητῶν ἀνέστησε σὺν
αὐτῷ, ὧν ὅμηρος ὁ ποιητὴς σώζεται μόνος, λεωδάμας τε ἀθηναῖος, καὶ λάκρι-
τος ὁ νομοθέτης ἀθηναίοις. ὡς δέ τινές φασι καὶ ὑπερείδης, καὶ ἰσαῖος, καὶ δη-
μοσθένης τε ἔτι ῥητορεύοντά φασι μετὰ σπουδῆς προσελθεῖν αὐτῷ, καὶ χιλίας
μὲν, ἃς μόνας εἰσέπραττε, οὐκ ἔχειν φάναι παρασχεῖν, διακοσίας δὲ δώσειν, ἐφ'
ᾧ τε τὸ πέμπτον μέρος ἐκμάθῃ. τὸν δὲ, ἀποκρίνασθαι, ὡς οὐ τεμαχίζομεν ὦ δη-
μοσθένες τὴν πραγματείαν, ὥσπερ δὲ τοὺς καλοὺς ἰχθῦς ὅλους πωλοῦμεν, οὕ-
τω κἀγώ σοι, εἰ βούλοιο μαθητεύειν, ὁλόκληρον ἀποδώσομαι τὴν τέχνην. ἐτελεύ-
τα δὲ ἐπὶ χαιρωνίδου ἄρχοντος. ἀπαγγελθέντων τῶν περὶ χαιρώνειαν ἐν τῇ ἱπ-
ποκράτους παλαίστρᾳ πυθόμενος. ἐξαγαγὼν αὑτὸν τοῦ βίου τέτρασιν ἡμέραις διὰ
τοῦ σιτίων ἀποσχέσθαι, προειπὼν τρεῖς ἀρχὰς δραμάτων εὐριπίδου. δαναὸς ὁ πεν-
τήκοντα θυγατέρων πατὴρ, πέλοψ ὁ ταντάλειος εἰς πῖσαν μολὼν, σιδώνιον ποτὲ
ἄστυ κάδμος ἐκλιπὼν, ὀκτὼ καὶ ἐνενήκοντα ἔτη βιοὺς, ἢ ὥς τινες ἑκατὸν, οὐχ
ὑπομείνας τετράκις ἰδεῖν τὴν ἑλλάδα καταδουλουμένην πρὸ ἐνιαυτοῦ, ἢ ὥς τι-
νες πρὸ τεσσάρων τῶν τῆς τελευτῆς, συγγράψας τὸν παναθηναϊκὸν, τὸν δὲ πα-
νηγυρικὸν ἔτεσι δέκα συνέθηκεν. οἱ δὲ δεκαπέντε λέγουσιν, ὃν μετενηνοχέναι ἐκ τοῦ
γοργίου τοῦ λεοντίνου καὶ λυσίου, τὸν δὲ περὶ τῆς ἀντιδόσεως δύο καὶ ὀγδοήκον-
τα ἔτη γεγονὼς, τοὺς δὲ πρὸς φίλιππον, ὀλίγῳ πρότερον τοῦ θανάτου. ἐγέ-
νετο δὲ αὐτῷ καὶ παῖς ἀφαρεὺς, πρεσβύτῃ ὄντι ἐκ πλαθάνης τῆς ἱππίου τοῦ
ῥήτορος ποιητός. τῶν δὲ τῆς γυναικὸς τριῶν παίδων ὁ νεώτατος εὐπόρησεν ἱκα-
νῶς, οὐ μόνον ἀργύριον, εἰσπράττων τοὺς γνωρίμους, ἀλλὰ καὶ τὰ παρὰ νικοκλέ-
ους τοῦ κυπρίων βασιλέως, ὃς ἦν υἱὸς εὐαγόρου, εἴκοσι τάλαντα λαβὼν ὑπὲρ τοῦ
πρὸς αὐτὸν γραφέντος λόγου, ἐφ' οἷς φθονηθεὶς τρὶς προεβλήθη τριήραρχος,
καὶ τὸ δὶς μὲν ἀσθένειαν σκηψάμενος, διὰ τοῦ παιδὸς παρῃτήσατο. τὸ δὲ τρίτον
ἀναστὰς, ἀνήλωσεν οὐκ ὀλίγα. πρὸς δὲ τὸν εἰπόντα πατέρα ὡς οὐδὲν, ἀλλ' ἢ ἀν-
δράποδον συνέπεμψε τῷ παιδίῳ. τοιγαροῦν ἔφη ἄπιθι. δύο γὰρ ἀνθ' ἑνὸς ἕ-
ξεις ἀνδράποδα. ἠγωνίσατο δὲ καὶ τὸν ἐπὶ μαυσώλῳ τεθέντα ὑπὸ ἀρτεμισί-
ας ἀγῶνα, τὸ δὲ ἐγκώμιον οὐ σώζεται. ἐποίησε δὲ καὶ εἰς ἑλένην ἐγκώμιον καὶ
ἀρεοπαγιτικὸν, ἐξελθεῖν δὲ τοῦ βίου. οἱ μὲν ἐναταῖόν φασι σίτων ἀπεχόμενον.
οἱ δὲ τεταρταῖον ἅμα ταῖς ταφαῖς τῶν ἐν χαιρωνείᾳ πεσόντων. συνέγραψε
δ' αὐτοῦ καὶ ὁ παῖς ἀφαρεὺς λόγους. ἐτάφη δὲ μετὰ τῆς συγγενείας, πλησίον δὲ
κυνοσάργους ἐπὶ τοῦ λόφου ἀριστερᾷ ὁ υἱός τε καὶ ὁ πατὴρ αὐτοῦ θεόδωρος, καὶ
ἡ μήτηρ αὐτοῦ ταύτης τε ἀδελφὴ τιθὴ τοῦ ῥήτορος ἀνακὼ, καὶ ὁ ποιητὸς υἱὸς
ἀφαρεὺς, καὶ ὁ ἀνεψιὸς αὐτοῦ σωκράτης μητρὸς ἰσοκράτους ἀδελφῆς ἀνακούσιος
ὢν, ὅ τε ἀδελφὸς αὐτῷ ὁμώνυμος τοῦ πατρὸς θεόδωρος, καὶ οἱ υἱωνοὶ τοῦ, ποιηθέν-
τος αὐτῷ παιδὸς ἀφαρέως ἀφαρεὺς, καὶ ὁ τούτου πατὴρ θεόδωρος, ἥ τε γυνὴ
πλαθάνη, μήτηρ δὲ τοῦ ποιητοῦ ἀφαρέως. ἐπὶ μὲν οὖν τούτων, τράπεζαι ἐπῆ-
σαν ἕξ, αἳ νῦν οὐ σώζονται, αὐτῷ δὲ ἰσοκράτει ἐπὶ τοῦ μνήματος ἐπῆν κριὸς τριά-
κοντα πηχῶν. ἐφ' οὗ σειρὴν πηχῶν ἑπτὰ συμβολικῶς, ἣ νῦν οὐ σώζεται. ἦν δὲ
καὶ αὐτοῦ τράπεζα πλησίον ἔχουσα ποιητάς τε καὶ τοὺς διδασκάλους αὐτοῦ, ἐν οἷς
καὶ γοργίαν εἰς σφαῖραν ἀστρολογικὴν βλέποντα, αὐτόν τε τὸν ἰσοκράτην παρε-
στῶτα. ἀνάκειται δὲ αὐτοῦ καὶ ἐν ἐλευσῖνι εἰκὼν χαλκῆ, ἔμπροσθεν τοῦ προ-

στώου ἀπὸ Τιμοθέου τοῦ Κόνωνος, καὶ ἐπιγέγραπται,

Τιμόθεος φιλίας τε χάριν, ξενίην τε προτιμῶν Ἰσοκράτους εἰκὼ τήνδ' ἀνέθηκε θεαῖς,

Λεωχάρους ἔργον. φέρονται δ' αὐτοῦ λόγοι ἑξήκοντα, ὧν εἰσι γνήσιοι, κατὰ μὲν Διονύσιον, εἴκοσι πέντε, κατὰ δὲ Κεκίλιον εἰκοσιοκτὼ, οἱ δ' ἄλλοι κατεψευσμένοι. εἶχε δ' ἀλλοτρίως πρὸς ἐπίδειξιν, ὡς ἀφικομένων ποτὲ πρὸς αὐτὸν τριῶν ἐπὶ τὴν ἀκρόασιν, τοὺς μὲν δύο κατασχεῖν, τὸν δὲ τρίτον ἀπολῦσαι, φάμενος εἰς τὴν ἐπιοῦσαν ἥκειν· νῦν γὰρ αὐτῷ τὸ θέατρον εἶναι ἐν ἀκροατηρίῳ. εἰώθει δὲ καὶ πρός τινας γνωρίμους αὐτοῦ λέγειν, ὡς αὐτὸς μὲν δέκα μνῶν διδάσκοι, τῷ δὲ αὐτὸν διδάξαντι τόλμαν καὶ εὐφωνίαν, δώσειν δεκακισχιλίας. καὶ πρὸς τὸν ἐρόμενον διὰ τί οὐκ ὢν αὐτὸς ἱκανὸς ἄλλους ποιεῖν, εἶπεν, ὅτι καὶ αἱ ἀκόναι αὗται μὲν τεμεῖν οὐ δύνανται, τὸν δὲ σίδηρον τμητικὸν ποιοῦσιν. εἰσὶ δ' οἳ καὶ τέχνας αὐτὸν λέγουσι συγγεγραφέναι, οἱ δὲ οὐ μεθόδῳ, ἀλλ' ἀσκήσει χρήσασθαι. πολίτην δὲ οὐδέποτε εἰσέπραξε μισθόν. προσέταττε δὲ τοῖς γνωρίμοις εἰς τὰς ἐκκλησίας ἀπαντῶσιν, ἀναφέρειν αὐτῷ τὰ εἰρημένα. ἐλυπήθη δὲ καὶ οὐ μετρίως ἐπὶ τῷ Σωκράτους θανάτῳ, καὶ μελανειμονῶν τῇ ὑστεραίᾳ προῆλθε. πάλιν δὲ ἐρομένου τινὸς αὐτὸν, τί ῥητορική, εἰπεῖν τὰ μὲν μικρὰ μεγάλα, τὰ δὲ μεγάλα μικρὰ ποιεῖν. ἑστιώμενος δέ ποτε παρὰ Νικοκρέοντι τῷ Κύπρου τυράννῳ, προτρεπομένων αὐτὸν τῶν παρόντων διαλεχθῆναι, ἔφη οἷς μὲν ἐγὼ δεινὸς, οὐχ ὁ νῦν καιρὸς, οἷς δὲ ὁ νῦν καιρὸς, οὐκ ἐγὼ δεινός. Σοφοκλέα δὲ τὸν τραγικὸν θεασάμενος ἑπόμενον ἐρωτικῶς παιδὶ, εἰπεῖν οὐ μόνον δεῖ Σοφόκλεις τὰς χεῖρας ἔχειν παρ' αὐτῷ, ἀλλὰ καὶ τοὺς ὀφθαλμούς. τοῦ δὲ Κυμαίου Ἐφόρου ἀπράκτου τῆς σχολῆς ἐξελθόντος, καὶ πάλιν ὑπὸ τοῦ πατρὸς Δημοφίλου πεμφθέντος ἐπὶ δευτέρῳ μισθῷ, παίζων, Δίφορον αὐτὸν ἐκάλει. ἐσπούδασε μέντοι ἱκανῶς περὶ τὸν ἄνδρα καὶ τὴν ὑπόθεσιν τῆς χρείας αὐτὸς ὑπετίθετο. ἐχρῆτο δὲ καὶ πρὸς τὰ ἀφροδίσια καταφορῇς, ὡς ὑποπάστῳ παρελκυσμένῳ ἐν τῇ κοίτῃ χρῆσθαι, κρόκῳ διάβροχον ἔχοντα τὸ προσκεφάλαιον. καὶ νέον μὲν ὄντα, μὴ γῆμαι· γηράσαντα δὲ ἑταίρᾳ προσσυνεῖναι, ᾗ ὄνομα ἦν Λαγίσκη, ἐξ ἧς ἔσχε θυγάτριον, ὃ γενόμενον ἐτῶν δώδεκα, πρὸ γάμων ἐτελεύτησεν. ἔπειτα Πλαθάνην τὴν Ἱππίου τοῦ ῥήτορος γυναῖκα ἠγάγετο, ᾗ τρεῖς παῖδες ἦσαν, ὧν τὸν Ἀφαρέα, ὡς προείρηται, ἐποιήσατο, ὃς καὶ εἰκόνα αὐτοῦ χαλκῆν ἀνέθηκε πρὸς τῷ Ὀλυμπιείῳ, ὡς ἐπὶ κίονος, καὶ ἐπέγραψεν·

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκε Ζηνὶ, θεούς τε σέβων καὶ γονέων ἀρετήν.

λέγεται δὲ καὶ κελητίσαι ἔτι παῖς ὤν, ἀνάκειται γὰρ ἐν ἀκροπόλει χαλκοῦς ἐν τῇ σφαιρίστρᾳ τῶν ἀρρηφόρων κελητίζων ἔτι παῖς ὤν, ὡς εἶπόν τινες. δύο δὲ ἐν ἅπαντι τῷ βίῳ συνέστησαν αὐτῷ ἀγῶνες, πρότερος μὲν εἰς ἀντίδοσιν προκαλεσαμένου αὐτὸν Μεγακλείδου, πρὸς ὃν οὐκ ἀπήντησε διὰ νόσον, τὸν δὲ υἱὸν πέμψας Ἀφαρέα ἐνίκησε. δεύτερος δὲ Λυσιμάχου αὐτὸν προκαλεσαμένου περὶ τριηραρχίας εἰς ἀντίδοσιν. ἡττηθεὶς δὲ τὴν τριηραρχίαν ὑπέστη. ἦν δὲ αὐτοῦ καὶ γραπτὴ εἰκὼν ἐν τῷ Πομπείῳ. ὁ δὲ Ἀφαρεὺς, συνέγραψε μὲν λόγους, οὐ πολλοὺς δὲ δικανικούς τε καὶ συμβουλευτικούς. ἐποίησε δὲ καὶ τραγῳδίας, περὶ ἑπτὰ καὶ τριάκοντα, ὧν ἀντιλέγονται δύο. ἀρξάμενος δὲ ἀπὸ Λυσιστράτου διδάσκειν ἄχρι Σωσιγένους ἐν ἔτεσιν εἰκοσιοκτὼ διδασκαλίας ἀστικὰς καθῆκεν ἕξ, καὶ δὶς ἐνίκησε διὰ Διονυσίου καθείς, καὶ δι' ἑτέρων ἑτέρας δύο Ληναϊκάς. τῆς δὲ μητρὸς αὐτῶν Ἰσοκράτους καὶ Θεοδώρου, καὶ τῆς ταύτης ἀδελφῆς Ναυκοῦς εἰκόνες ἀνέκειντο ἐν ἀκροπόλει· ὧν ἡ τῆς μητρὸς παρὰ τὴν Ὑγίαν νῦν κεῖται μετεπιγεγραμμένη. ἡ δὲ Ναυκοῦς οὐ σώζεται. ἔσχε δὲ υἱοὺς Ἀλέξανδρον μὲν ἐκ Κοινοῦς, Σωσικλέα δὲ ἐκ Λυσίου.

ΙΣΑΙΟΣ. ε.

Ἰσαῖος Χαλκιδεὺς μὲν ἦν τὸ γένος, παραγενόμενος δὲ εἰς Ἀθήνας καὶ σχολάσας Λυσίᾳ, κατά τε τὴν τῶν ὀνομάτων ἁρμονίαν, καὶ τὴν ἐν τοῖς πράγμασι δεινότητα. ὥστ' εἰ μή τις ἔμπειρος πάνυ τοῦ χαρακτῆρος τῶν ἀνδρῶν εἴη, οὐκ ἂν διαγνοίη πολλοὺς τῶν λόγων ῥᾳδίως ὁποτέρου τῶν ῥητόρων εἰσίν. ἤκμασε δὲ μετὰ τὸν Πελοποννησιακὸν πόλεμον, ὡς ἔστι τεκμήρασθαι ἐκ λόγων αὐτοῦ, καὶ μέχρι τῆς Φιλίππου ἀρχῆς παρέτεινε. καθηγήσατο δὲ Δημοσθένους ἀποστὰς τῆς σχολῆς ἐπὶ δραχμαῖς μυρίαις. διὸ καὶ μάλιστα ἐπιφανὴς ἐγένετο, αὐτὸς δὲ καὶ τοὺς ἐπιτροπικοὺς λόγους συνέταττε τῷ Δημοσθένει, ὥς τινες εἶπον. καταλέλοιπε δὲ λόγους ἑξήκοντα τέσσαρας, ὧν εἰσι γνήσιοι πεντήκοντα. καὶ ἰδίας τέχνας. πρῶτος δὲ καὶ σχηματίζειν ἤρξατο, καὶ τρέπειν ἐπὶ τὸ πολιτικὸν τὴν διάνοιαν. ὃ μάλιστα μεμίμηται Δημοσθένης. μνημονεύει δὲ αὐτοῦ Θεόπομπος ὁ κωμικὸς ἐν τῷ Θησεῖ.

ΑΙΣΧΙΝΗΣ. ς.

Αἰσχίνης Ἀτρομήτου, φυγόντος μὲν ἐπὶ τῶν τριάκοντα, συγκαταγαγόντος δὲ τὸν δῆμον, καὶ Γλαυκοθέας, τῶν δὲ δήμων Κοθωκίδης, οὔτε κατὰ γένος τῶν ἐπιφανῶν, οὔτε κατὰ περιουσίαν χρημάτων, νέος δὲ ὢν καὶ ἐρρωμένος τῷ σώματι, περὶ τὰ γυμνάσια ἐπόνει, λαμπρόφωνος δὲ ὤν, μετὰ ταῦτα τραγῳδίαν ἤσκησεν. ὡς δὲ Δημοσθένης φησὶν ὑπογραμματεύων καὶ τριταγωνιστῶν Ἀριστοδήμῳ ἐν τοῖς Διονυσίοις διετέλει, ἀναλαμβάνων ἐπὶ σχολῆς τὰς παλαιὰς τραγῳδίας, καὶ ἔτι παῖς ὢν ἐδίδασκε γράμματα σὺν τῷ πατρὶ, καὶ μειράκιον ὢν ἐστρατεύετο ἐν τοῖς πολλοῖς. ἀκροατὴς δὲ γενόμενος, ὡς μέν τινες λέγουσιν Ἰσοκράτους καὶ Πλάτωνος, ὡς δὲ Κεκίλιος Λεωδάμαντος, καὶ πολιτευόμενος οὐκ ἀφανῶς ἐκ τῆς ἐναντίας μερίδος τοῖς περὶ Δημοσθένην ἐπρέσβευσεν. ἄλλας τε πρεσβείας πολλὰς, καὶ πρὸς Φίλιππον ὑπὲρ τῆς εἰρήνης, ἐφ' ᾗ κατηγορηθεὶς ὑπὸ Δημοσθένους, ἀνῃρημένου τοῦ Φωκέων ἔθνους, ἔτι δὲ ὡς πόλεμον ἐξάψας, ἡνίκα Πυλαγόρας ᾑρέθη Ἀμφικτύοσι πρὸς Ἀμφισσεῖς, καὶ τὸν λιμένα ἐργαζομένοις, ἐξ οὗ συνέβη τοὺς Ἀμφικτύονας Φιλίππῳ προσφυγεῖν, τὸν δὲ ὑπὸ τοῦ Αἰσχίνου συνεργούμενον ἐπιθέσθαι τοῖς πράγμασι, καὶ τὴν Φωκίδα λαβεῖν, ἀλλὰ συνειπόντος αὐτῷ Εὐβούλου τοῦ Σπινθάρου, Προβαλλουσίου δημαγωγοῦντος, τριάκοντα ψήφοις ἀπέφυγεν. εἰσὶ δ' οἵ φασι συγγράψαι μὲν τοὺς ῥήτορας τοὺς λόγους, ἐμποδὼν δὲ γενομένων τῶν περὶ Χαιρώνειαν, μηκέτι τὴν δίκην εἰσελθεῖν. χρόνῳ δ' ὕστερον Φιλίππου μὲν τετελευτηκότος, Ἀλεξάνδρου δὲ διαβαίνοντος εἰς τὴν Ἀσίαν, ἐγράψατο Κτησιφῶντα παρανόμων, ἐπὶ ταῖς Δημοσθένους τιμαῖς. οὐ μεταλαβὼν δὲ τὸ πέμπτον μέρος τῶν ψήφων, ἔφυγεν εἰς τὴν Ῥόδον, χιλίας δραχμὰς ὑπὲρ τῆς ἥττης οὐ βουληθεὶς καταθέσθαι. οἱ δὲ ἀτιμίαν αὐτῷ προστιμηθῆναι λέγουσιν οὐ θέλοντι ἐξελθεῖν τῆς πόλεως, καὶ ἐλθεῖν εἰς Ἔφεσον ὡς Ἀλέξανδρον. τοῦ δὲ τελευτήσαντος ταραχῆς οὔσης, ἀπάρας εἰς τὴν Ῥόδον, ἐνταῦθα σχολὴν καταστησάμενος, ἐδίδασκεν. ἀνέγνω τε τοῖς Ῥοδίοις τὸν κατὰ Κτησιφῶντος λόγον ἐπιδεικνύμενος. θαυμαζόντων δὲ πάντων εἰ ταῦτα εἰπὼν ἡττήθη, οὐκ ἂν ἔφη ἐθαυμάζετε Ῥόδιοι εἰ πρὸς ταῦτα Δημοσθένους λέγοντος ἠκούσατε. σχολήν τε ἐκεῖ προσκατέλιπε, τὸ Ῥοδιακὸν διδασκαλεῖον κληθέν. ἔπειτα πλεύσας εἰς Σάμον καὶ διατρίβων ἐπὶ τῆς νήσου ὀλίγον ὕστερον ἐτελεύτησεν. ἐγένετο δὲ εὔφωνος, ὡς δῆλον ἔκ τε ὧν φησι Δημοσθένης καὶ ἐκ τοῦ Δημοχάρους λόγου. φέρονται δ' αὐτοῦ λόγοι τέσσαρες. ὅ, τε κατὰ Τιμάρχου, καὶ ὁ τῆς παραπρεσβείας, καὶ ὁ κατὰ Κτησιφῶντος, οἳ καὶ μόνοι εἰσὶ γνήσιοι. ὁ γὰρ ἐπιγραφόμενος Δηλιακὸς, οὐκ ἔστιν Αἰσχίνου. ἀπεδείχθη μὲν γὰρ ἐπὶ τὴν κρίσιν τὴν περὶ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ συσταθεὶς συνήγορος. οὐ μὴν εἶπε τὸν λόγον. ἐχειροτονήθη γὰρ Ὑπερείδης ἀντ'

αὐτοῦ, ὥς φησι Δημοσθένης, ἔσχε δὲ καὶ ἀδελφοὺς ὥς φησιν αὐτὸς, Ἄφοβον, καὶ
Δημοχάρη. ἀπήγγειλε δὲ καὶ τὴν ἐν Ταμύναις νίκην πρῶτος Ἀθηναίοις τὸ δεύτε-
ρον, ἐφ᾽ ᾧ καὶ ἐστεφανώθη. οἱ δὲ εἶπον μὴ δὲ μαθητεῦσαι τισὶ τὸν Αἰσχίνην, ἀλλ᾽
ἐκ τῆς ὑπογραμματείας ἀρθῆναι ἐν τοῖς δικαστηρίοις τό τε διάγοντα, πρῶτον δὲ
εἰπεῖν ἐν τῷ δήμῳ κατὰ Φιλίππου, εὐδοκιμήσαντά τε, πρεσβευτὴν χειροτονηθῆ-
ναι πρὸς Ἀρκάδας, πρὸς οὓς ἀφικόμενος, συστῆσαι τοὺς μυρίους ἐπὶ Φίλιππον.
ἐγράψατο δὲ καὶ Τίμαρχον ἑταιρήσεως. ὁ δὲ, ἐκλιπὼν τὸν ἀγῶνα, αὐτὸν ἀνήρ-
τησεν, ὥς που φησὶ Δημοσθένης, ἐχειροτονήθη πρεσβευτὴς, ὡς Φίλιππον κατα-
Κτησιφῶντος καὶ Δημοσθένους περὶ τῆς εἰρήνης, ἐν ᾗ ἄμεινον τοῦ Δημοσθένους ἠ-
νέχθη. τὸ δεύτερον δέκατος ὢν, κυρώσας ὅρκοις τὴν εἰρήνην, κριθεὶς, ἀπέφυγεν, ὡς
προείρηται.

ΛΥΚΟΥΡΓΟΣ. ζ΄.

Λυκοῦργος, παῖς μὲν ἦν Λυκόφρονος τοῦ Λυκούργου, ὃν οἱ τριάκοντα τύραννοι
ἀπέκτειναν, αἰτίου αὐτῷ τῆς ἀναιρέσεως γενομένου, Ἀριστοδήμου Βατῆθεν, ὃς καὶ
ἑλληνοταμίας γενόμενος, ἔφυγεν ἐν τῇ δημοκρατίᾳ. τῶν δήμων δὲ Βουτάδης,
γένους τοῦ τῶν Ἐτεοβουταδῶν, ἀκροατὴς δὲ γενόμενος Πλάτωνος τοῦ φιλοσό-
φου, τὰ πρῶτα ἐφιλοσόφησεν. εἶτα καὶ Ἰσοκράτους τοῦ ῥήτορος γνώριμος γενό-
μενος, ἐπολιτεύσατο ἐπιφανῶς, καὶ λέγων καὶ πράττων, καὶ δὴ πιστευσάμενος τὴν
διοίκησιν τῶν χρημάτων. ταμίας γὰρ ἐγένετο ἐπὶ τρεῖς πενταετηρίδας, ταλάντων
μυρίων τετρακισχιλίων, ἢ ὥς τινες μυρίων ὀκτακισχιλίων ἑξακοσίων πεντήκοντα.
καὶ ὁ τὰς τιμὰς αὐτῷ ψηφιζόμενος Στρατοκλῆς ὁ ῥήτωρ, τὸ μὲν πρῶτον αἱρε-
θεὶς αὐτὸς, ἔπειτα τῶν φίλων ἐπιγραψάμενός τινα, αὐτὸς ἐποιεῖτο τὴν διοίκη-
σιν διὰ τὸ φθάσαι νόμον εἰσενεγκεῖν, μὴ πλείω πέντε ἐτῶν διέπειν τὸν χειροτονη-
θέντα ἐπὶ τὰ δημόσια χρήματα, ἀεί τε ἐφεστὼς τοῖς ἔργοις διετέλεσε, καὶ θέρους
καὶ χειμῶνος, καὶ ἐπὶ τὴν τοῦ πολέμου παρασκευὴν χειροτονηθεὶς, πολλὰ τῆς πό-
λεως ἐπηνώρθωσε, καὶ τριήρεις παρεσκεύασε τῷ δήμῳ τετρακοσίας, καὶ τὸ ἐν Λυ-
κείῳ γυμνάσιον ἐποίησε καὶ ἐφύτευσε, καὶ τὴν παλαίστραν ᾠκοδόμησεν, καὶ τὸ ἐν
Διονύσου θέατρον ἐπιστατῶν ἐτελεύτησε. πιστευσάμενος δὲ ἐν παρακαταθήκῃ
παρὰ τῶν ἰδιωτῶν, διακόσια πεντήκοντα τάλαντα ἐφύλαξε, πομπεῖά τε χρυ-
σᾶ καὶ ἀργυρᾶ τῇ πόλει κατεσκεύασεν, καὶ νίκας χρυσᾶς, πολλὰ δὲ ἡμίεργα πα-
ραλαβὼν ἐξετέλεσε, καὶ νεωσοίκους, καὶ τὴν σκευοθήκην, καὶ τῷ σταδίῳ τῷ πα-
ναθηναϊκῷ τὴν κρηπῖδα περιέθηκεν, ἐξεργασάμενος τοῦτό τε, καὶ τὴν χαρά-
δραν ὁμαλὴν ποιήσας, Δεινίου τινὸς, ὃς ἐκέκτητο τοῦτο τὸ χωρίον ἀνέντος τῇ πό-
λει περὶ παντὸς αὐτοῦ χαρίσασθαι Λυκούργῳ. ἔσχε δὲ καὶ τοῦ ἄστεος τὴν φυ-
λακὴν, καὶ τῶν κακούργων τὴν σύλληψιν, οὓς ἐξήλασεν ἅπαντας, ὡς καὶ τῶν σο-
φιστῶν ἐνίους λέγειν, Λυκοῦργον οὐ μέλανι ἀλλὰ θανάτῳ χρίοντα τὸν κάλαμον
κατὰ τῶν πονηρῶν, οὕτω συγγράφειν. ὅθεν ἐξαιτηθέντα αὐτὸν ὑπὸ Ἀλεξάν-
δρου τοῦ βασιλέως, ὁ δῆμος οὐ προήκατο. καθ᾽ ὃν δὲ χρόνον ἐπολέμει Φίλιππος
πρὸς Ἀθηναίους τὸν δεύτερον πόλεμον, ἐπρέσβευε μετὰ Πολυεύκτου καὶ Δημο-
σθένους, εἴς τε Πελοπόννησον, καί τινας ἑτέρας πόλεις. διετέλεσέ τε τὸν ἅπαν-
τα χρόνον εὐδοκιμῶν παρὰ τοῖς Ἀθηναίοις, καὶ δίκαιος εἶναι νομιζόμενος, ὥς
τε καὶ ἐν τοῖς δικαστηρίοις τὸ φῆσαι Λυκοῦργον ἐδόκει βοήθημα εἶναι τῷ συναγο-
ρευομένῳ. εἰσήνεγκε δὲ καὶ νόμους, τὸν περὶ τῶν κωμῳδῶν ἀγῶνα τοῖς Χύτροις
ἐπιτελεῖν ἐφάμιλλον ἐν τῷ θεάτρῳ, καὶ τὸν νικήσαντα εἰς ἄστυ καταλέγεσθαι, πρό-
τερον οὐκ ἐξὸν, ἀναλαμβάνων τὸν ἀγῶνα ἐκλελοιπότα. τὸν δὲ, ὡς χαλκᾶς εἰκό-
νας ἀναθεῖναι τῶν ποιητῶν, Αἰσχύλου, Σοφοκλέους, Εὐριπίδου, καὶ τὰς τραγῳδί-
ας αὐτῶν ἐν κοινῷ γραψαμένους φυλάττειν, καὶ τὸν τῆς πόλεως γραμματέα
παραναγινώσκειν

παραναγινώσκειν τοῖς ὑποκρινομένοις, οὐκ ἐξεῖναι γὰρ αὐτοὺς ὑποκρίνεσθαι, καὶ
τρίτον μηδενὶ ἐξεῖναι Ἀθηναίων, μὴ δὲ τῶν οἰκούντων Ἀθήνησιν ἐλεύθερον σῶμα
πρίασθαι ἐπὶ δουλείᾳ ἐκ τῶν ἁλισκομένων, ἄνευ τῆς τοῦ προτέρου δεσπότου γνώ-
μης. ἔτι δὲ ὡς τῷ Ποσειδῶνος ἀγῶνα ποιεῖν ἐν Πειραιεῖ, κυκλίων χορῶν οὐκ ἔλαττον
τριῶν. δίδοσθαι μὲν τοῖς νικῶσιν οὐκ ἔλαττον δέκα μνᾶς. τοῖς δὲ δευτέροις, ὀκτώ.
ἓξ δὲ τοῖς τρίτοις κριθεῖσιν. ἐπὶ ζεύγους μὴ ἀπιέναι γυναῖκα Ἐλευσινάδε, ὅπως
μὴ ἐλαττῶνται ὑπὸ τῶν πλουσίων, εἰ δέ τις φωραθείη, ἀποτίνειν δραχμὰς ἑξα-
κισχιλίας, τῆς δὲ γυναικὸς αὐτοῦ μὴ πεισθείσης, τῶν συκοφαντῶν φωρασάντων
τάλαντον αὐτοῖς ἔδωκε. κατηγορούμενος δ᾽ ἐν ὑστέρῳ ἐν τῷ δήμῳ ἔφη, ἀλλ᾽ οὖν
ἐγὼ μὲν διδοὺς, οὐ λαμβάνων ἑώραμαι. τελώνου δέ ποτε ἐπιβαλόντος Ξενοκρά-
τει τῷ φιλοσόφῳ τὰς χεῖρας, καὶ πρὸς τὸ μετοίκιον αὐτὸν ἀπαγαγόντος, ἀ-
παντήσας ῥάβδῳ τε κατὰ τῆς κεφαλῆς τοῦ τελώνου κατήνεγκε, καὶ τὸν μὲν Ξε-
νοκράτην ἀπέλυσε. τὸν δὲ, ὡς οὐ τὰ πρέποντα δράσαντα εἰς τὸ δεσμωτήριον κα-
τέκλεισεν. ἐπαινουμένου δὲ ἐπὶ τῇ πράξει, μεθ᾽ ἡμέρας τινὰς συντυχὼν ὁ Ξε-
νοκράτης τοῖς παισὶ τοῦ Λυκούργου, ἔφη, ταχέως γε τῷ πατρὶ ὑμῶν ἀπέδωκα
ὦ παῖδες τὴν χάριν. ἐπαινεῖται γὰρ ὑπὸ πολλῶν ἐπὶ τῷ βοηθῆσαι μόγις.
ἤνεγκε δὲ καὶ ψηφίσματα Εὐκλείδῃ τινὶ Ὀλυνθίῳ χρώμενος ἱκανωτάτῳ περὶ
τὰ ψηφίσματα. εὔπορος δὲ ὢν, ἱμάτιον ἐν καθ᾽ αὑτὸ ἐφόρει τοῦ χειμῶνος καὶ
τοῦ θέρους, καὶ ὑπεδέδετο ταῖς ἀναγκαίαις ἡμέραις. ἐμελέτα δὲ καὶ νύκτας καὶ
ἡμέρας οὐκ εὖ πρὸς τὰ αὐτοσχέδια πεφυκώς. κλινιδίου δὲ αὐτῷ ὑποκειμένου, ἐφ᾽
ᾧ μόνον ἦν κῴδιον καὶ προσκεφάλαιον, ὅπως ἐγείροιτο ῥᾳδίως καὶ μελετῴη. ἐγ-
καλοῦντος δὲ αὐτῷ τινὸς ὅτι μισθοὺς σοφισταῖς δίδωσι περὶ λόγους διατρίβων,
ἀλλ᾽ εἴ τις γε ἐπαγγέλλοιτο ἔφη τοὺς υἱοὺς ἀμείνους αὐτῷ ποιήσειν οὐ χιλίας, ἀλλὰ
τὰ ἡμίση τῆς οὐσίας προΐεσθαι. ἦν δὲ καὶ παρρησιαστὴς διὰ τὴν εὐγένειαν. ἀ-
θηναίων γέ τοι ποτὲ οὐκ ἀνεχομένων αὐτοῦ δημηγοροῦντος, ἀνέκραγεν ἐκβαλλό-
μενος, ὦ Κερκυραία μάστιξ, ὡς πολλῶν ταλάντων εἶ ἀξία. πάλιν δὲ θεὸν ἀναγο-
ρευόντων Ἀλέξανδρον, καὶ ποδαπὸς ἂν εἴη ὁ θεὸς, οὗ τὸ ἱερὸν ἐξιόντας δεήσει
περιρράνασθαι. ἀποθανόντος δὲ αὐτοῦ, παρέδωκαν τοὺς παῖδας τοῖς ἕνδεκα.
Μενεσαίχμου μὲν κατηγορήσαντος, γραψαμένου δὲ Θρασυκλέους, Δημοσθένους δὲ καθ᾽
ὃν ἔφυγε χρόνον ἐπιστείλαντος τοῖς Ἀθηναίοις, ὡς κακῶς ἀκούοιεν ἐπὶ τοῖς Λυκούρ-
γου παισὶ, μετενόησαν, καὶ ἀφῆκαν αὐτοὺς, Δημοκλέους τοῦ Θεοφράστου μα-
θητοῦ ὑπὲρ αὐτῶν ἀπολογησαμένου. ἐτάφη δὲ αὐτὸς καὶ τῶν ἐκγόνων τινὲς
δημοσίᾳ, καὶ ἔστιν αὐτῶν τὰ μνήματα ἄντικρυς τῆς Παιωνίας Ἀθηνᾶς ἐν τῷ Με-
λανθίου τοῦ φιλοσόφου κήπῳ, τράπεζαι πεποιημέναι, αὐταί τε τοῦ Λυκούργου
καὶ τῶν παίδων αὐτοῦ ἐπιγεγραμμέναι, καὶ εἰς ἡμᾶς ἔτι σωζόμεναι. τὸ μέγιστον
χίλια διακόσια τάλαντα προσόδου τῇ πόλει κατέστησε, πρότερον ἑξήκοντα προ-
σιόντων. μέλλων δὲ τελευτήσειν εἰς τὸ Μητρῷον καὶ τὸ βουλευτήριον ἐκέλευσεν αὐ-
τὸν κομισθῆναι, βουλόμενος εὐθύνας δοῦναι τῶν πεπολιτευμένων, οὐδενὸς δὲ κατη-
γορῆσαι τολμήσαντος, πλὴν Μενεσαίχμου, τὰς διαβολὰς ἀπολυσάμενος, εἰς
τὴν οἰκίαν ἀπεκομίσθη καὶ ἐτελεύτησεν, ἐπιεικὴς νομισθεὶς παρὰ πάντα τὸν
βίου χρόνον. καὶ ἐν λόγοις ἐπαινεθεὶς, καὶ μηδένα ἀγῶνα ἁλοὺς, καίτοι πολλῶν
κατηγορησάντων. ἔσχε δὲ τρεῖς παῖδας ἐκ Καλλιστοῦς τῆς Ἅβρωνος μὲν θυγα-
τρὸς, Καλλαίου δὲ τοῦ Ἅβρωνος κατηθεν ἀδελφῆς, τοῦ ταμιεύσαντος στρατιωτι-
κῶν ἐπὶ Χαιρώνδου ἄρχοντος. περὶ δὲ τῆς κηδείας ταύτης λέγει ὁ Δείναρ-
χος ἐν τῷ κατὰ Πασίου. κατέλιπε δὲ παῖδας Ἅβρωνα, Λυκοῦργον, Λυκόφρονα, ὧν
ὁ Ἅβρων, καὶ ὁ Λυκοῦργος ἄπαιδες μετήλλαξαν, ἀλλ᾽ ὅ γε Ἅβρων καὶ πολιτευσά-

μενος ἐπιφανῶς μετήλλαξε. λυκόφρων δὲ γήμας καλλιστομάχην φιλίππου αἰξωνέως ἐγέννησε καλλιστώ, ταύτην δὲ γήμας κλεόμβροτος δεινοκράτους ἀχαρνεὺς, ἐγέννησε λυκόφρονα. τοῦτον δὲ ὁ πάππος εἰσεποιήσατο λυκόφρων, οὗτος δὲ ἐτελεύτησεν ἄπαις. μετὰ δὲ τὴν λυκόφρονος τελευτὴν, ἔγημε τὴν καλλιστὼ σωκράτης, καὶ ἔσχεν υἱὸν σύμμαχον, τοῦ δὲ ἐγένετο ἀριστώνυμος, τοῦ δὲ χαρμίδης, τοῦ δὲ φιλίππη. ταύτης δὲ καὶ λυσάνδρου μήδειος ὁ καὶ ἐξηγητὴς ἐξ εὐμολπιδῶν γενόμενος, τούτου δὲ καὶ τιμοθέας τῆς γλαύκου παῖδες, λαοδάμεια καὶ μήδειος, ὃς τὴν ἱερωσύνην ποσειδῶνος ἐρεχθέως εἶχε, καὶ φιλίππη, ἥτις ἱεράσατο τῆς ἀθηνᾶς ὕστερον. πρότερον δ' αὐτὴν γήμας διοκλῆς ὁ μελιτεὺς, ἐγέννησε διοκλέα τὸν ἐπὶ τοὺς ὁπλίτας στρατηγήσαντα. γήμας δ' οὗτος ἡδίστην ἄβρωνος, φιλίππην καὶ νικοστράτην ἐγέννησε. γήμας δὲ τὴν νικοστράτην θεμιστοκλῆς ὁ θεοφράστου ὁ δᾳδοῦχος, ἐγέννησε θεόφραστον καὶ διοκλέα. διετάξατο δὲ καὶ τὴν ἱερωσύνην τοῦ ποσειδῶνος ἐρεχθέως. φέρονται δὲ τοῦ ῥήτορος λόγοι δεκαπέντε. ἐστεφανώθη δὲ ὑπὸ τοῦ δήμου πολλάκις, καὶ εἰκόνων ἔτυχεν. ἀνάκειται δὲ αὐτοῦ χαλκῆ εἰκὼν ἐν κεραμεικῷ κατὰ ψήφισμα, ἐπὶ ἀναξικράτους ἄρχοντος. ἐφ' οὗ ἔλαβε καὶ σίτησιν ἐν πρυτανείῳ αὐτός τε καὶ ὁ λυκοῦργος, καὶ ὁ πρεσβύτατος αὐτοῦ τῶν ἐκγόνων κατὰ τὸ αὐτὸ ψήφισμα. ἀποθανόντος τε λυκούργου ὁ πρεσβύτατος τῶν παίδων λυκόφρων ἠμφισβήτησε τῆς δωρεᾶς. εἶπε δὲ καὶ περὶ ἱερῶν πολλάκις γραψάμενος αὐτόλυκον τὸν ἀρεοπαγίτην, καὶ λυσικλέα τὸν στρατηγὸν, καὶ δημάδη τὸν δημέου, καὶ μενεσαίχμον, ἄλλους τε πολλοὺς καὶ πάντας εἷλεν. ἔκρινε δὲ καὶ δίφιλον ἐκ τῶν ἀργυρείων μετάλλων τοὺς μεσοκρανεῖς, οἳ ἐβάσταζον τὰ ὑπερκείμενα βάρη ὑφελόντα καὶ ἐξ αὐτῶν πεπλουτηκότα, παρὰ τοὺς νόμους, καὶ θανάτου ὄντος ἐπιτιμίου, ἁλῶναι ἐποίησε, καὶ πεντήκοντα δραχμὰς ἐκ τῆς οὐσίας αὐτοῦ ἑκάστῳ τῶν πολιτῶν διένειμε, τῶν πάντων συναχθέντων ταλάντων ἑκατὸν ἑξήκοντα, ἢ ὥς τινες μνᾶς. ὁ δὲ εὐθύνας ἀριστογείτονα καὶ κλεωκράτην καὶ αὐτόλυκον δουλείας, ἐπεκαλεῖτο δὲ ὁ λυκοῦργος, ἐρεχθεῒς ἶβις λυκούργῳ ξενοφῶντι νυκτερὶς, κατῆγον δὲ τὸ γένος ἀπὸ τούτων, καὶ ἐρεχθέως τοῦ γῆς καὶ ἡφαίστου. τὰ δ' ἔγγυτάτω ἀπὸ λυκομήδους, καὶ λυκούργου, οὓς ὁ δῆμος ταφαῖς ἐτίμησε δημοσίᾳ, καὶ ἔστιν αὕτη ἡ καταγωγὴ τοῦ γένους, τῶν ἱερασαμένων τοῦ ποσειδῶνος, ἐν πίνακι τελείῳ, ὃς ἀνάκειται ἐν ἐρεχθείῳ, γεγραμμένος ὑπὸ ἰσμηνίου τοῦ χαλκιδέως, καὶ εἰκόνες ξύλιναι τοῦ τε λυκούργου, καὶ τῶν υἱῶν αὐτοῦ, ἄβρωνος, λυκούργου, λυκόφρονος, ἃς εἰργάσαντο τίμαρχος καὶ κηφισόδοτος, οἱ πραξιτέλους υἱεῖς. τὸν δὲ πίνακα ἀνέθηκεν ἄβρων ὁ παῖς αὐτοῦ λαχὼν ἐκ τοῦ γένους τὴν ἱερωσύνην, καὶ παραχωρήσας τῷ ἀδελφῷ λυκόφρονι, καὶ διὰ τοῦτο πεποίηται ὁ ἄβρων, προσδιδοὺς αὐτῷ τὴν τρίαιναν. πάντων δ' ὧν διῴκησεν ἀναγραφὴν ποιησάμενος, ἀνέθηκεν ἐν στήλῃ πρὸ τῆς ὑπ' αὐτοῦ κατασκευασθείσης παλαίστρας σκοπεῖν τοῖς βουλομένοις. οὐδεὶς μέντοι ἐδυνήθη ἐλέγξαι τὸν ἄνδρα νοσφισμοῦ. ἔγραψε δὲ καὶ νεοπτόλεμον ἀντικλέους στεφανῶσαι, καὶ εἰκόνα ἀναθεῖναι, ὅτι ἐπηγγείλατο χρυσώσειν τὸν βωμὸν τοῦ ἀπόλλωνος ἐν ἀγορᾷ κατὰ τὴν μαντείαν τοῦ θεοῦ. ἐψηφίσατο δὲ καὶ διοτίμου διοπείθους εὐωνυμεῖ τιμὰς ἐπὶ κτησικλέους ἄρχοντος.

ΔΗΜΟΣΘΕΝΗΣ.

Δημοσθένης δημοσθένους καὶ κλεοβούλης τῆς γυναικὸς τῆς θυγατρὸς, τῶν δὲ δήμων παιανιεὺς καταλειφθεὶς ὑπὸ τοῦ πατρὸς ἐτῶν ἑπτὰ, μετ' ἀδελφῆς πενταετίδος, τὸν μὲν τῆς ὀρφανίας χρόνον παρὰ τῇ μητρὶ διῆγε. σχολάζων ἰσοκράτει, ὥς τινες ἔφασαν, ὡς δὲ οἱ πλεῖστοι ἰσαίῳ τῷ χαλκιδεῖ, ὃς ἦν ἰσοκράτους μαθητὴς, διατρίβοντι ἐν ἀθήναις, ζηλῶν θουκυδίδην καὶ πλάτωνα τὸν φιλόσοφον, ὃν τινὲς εἶπον προηγουμένως αὐτῷ σχολάσαι. ὡς δὲ ἡγησίας ὁ μάγνης φησὶν, ἐδεήθη τοῦ παιδαγωγοῦ, ἵνα καλλιστράτου ἐμπαίδου ἀφιδναίου ῥήτορος δοκίμου καὶ ἱππαρχήσαντος καὶ ἀναθέντος τὸν βωμὸν τῷ ἑρμῇ τῷ ἀγοραίῳ, μέλλοντος ἐν τῷ δήμῳ λέγειν, ἀκούσῃ. ἀκούσας δὲ, ἐραστὴς ἐγένετο τῶν λόγων, καὶ τούτου μὲν ἐπ' ὀλίγον ἤκουσεν ἕως ἐπεδήμει. ἐπειδὴ δὲ ὁ μὲν ἔφυγεν εἰς θρᾴκην, ὁ δ' ἐγεγόνει ἐξ ἐφήβων, τηνικαῦτα παρέβαλλεν ἰσοκράτει καὶ πλάτωνι. εἶτα καὶ ἰσαῖον ἀναλαβὼν εἰς τὴν οἰκίαν τετραετῆ χρόνον αὐτὸν διεπόνησε, μιμούμενος αὐτοῦ τοὺς λόγους. ὡς δὲ κτησίβιος φησὶν ἐν τῷ περὶ φιλοσοφίας, διὰ καλλίου τοῦ συρακουσίου πορίσας τοὺς ζήθου τοῦ ἀμφιπολίτου λόγους, διὰ δὲ χαρικλέους τοῦ καρυστίου τοὺς ἀλκιδάμαντος ἀνέλαβεν αὐτούς. τελειωθεὶς δὲ ἐλάττω παρὰ τῶν ἐπιτρόπων παραλαβὼν, ἐκείνων αὐτοὺς ἐπιτροπῆς ἐπὶ τιμοκράτους ἄρχοντος, τρεῖς ὄντας ἄφοβον, θηριππίδην, δημοφῶντα ἢ δημέαν, καὶ μάλιστα τούτου κατηγόρησεν, ἀδελφοῦ τῆς μητρὸς ὄντος, δέκα τάλαντα τίμημα ἑκάστῃ τῶν δικῶν ἐπιγραψάμενος, καὶ εἷλεν αὐτοὺς, τῆς δὲ καταδίκης οὐδὲν ἐπράξατο, τοὺς μὲν ἀργυρίου, τοὺς δὲ, καὶ χάριτος. ἀριστοφῶντος δὲ ἤδη τὴν προστασίαν διὰ γῆρας καταλιπόντος, καὶ χορηγὸς ἐγένετο. μειδίαν δὲ τὸν ἀναγυράσιον πλήξαντα αὐτὸν ἐν τῷ θεάτρῳ χορηγοῦντα, εἰς κρίσιν καταστήσας, λαβὼν τρισχιλίας ἀφῆκε τῆς δίκης. λέγουσι δὲ αὐτὸν ἔτι νέον ὄντα, εἰς σπήλαιον ἀπιέναι, κἀκεῖ φιλολογεῖν τὸ ἥμισυ τῆς κεφαλῆς ξυράμενον, ἵνα μὴ προέρχοιτο καὶ ἐπὶ στενῆς κλίνης κοιμᾶσθαι, ἵνα διὰ ταχέων ἀνίστηται, τότε ῥώμη δυνάμενον λέξειν ἐκποιῆσαι, καὶ τὸν ὦμον ἐν τῷ μελετᾶν κινοῦντα ἀπρεπῶς καταπαῦσαι παραρτήσαντα ὀβελίσκον, ἢ ὥς τινες ξιφίδιον ἐκ τῆς ὀροφῆς, ἵνα φοβούμενος ἠρεμοίη. προβαίνοντα δὴ κατὰ τὴν τῶν λόγων ἰσχὺν, ἔσοπτρον ἰσομέγεθες αὐτῷ κατασκευάσαι, καὶ πρὸς τοῦτο ἀφορῶντα μελετᾶν, ἵνα ἐπανορθώσηται τὰ ἐλλείποντα, καὶ κατιόντα ἐπὶ τὸ φαληρικὸν, πρὸς τὰς τῶν κυμάτων ἐμβολὰς τὰς σκέψεις ποιεῖσθαι, ἵν' εἴποτε θορυβοίη ὁ δῆμος μὴ ἐκσταίη. τοῦ δὲ πνεύματος αὐτῷ ἐνδέοντος, νεοπτολέμῳ τῷ ὑποκριτῇ μυρίας δοῦναι, ἵνα ὅλας περιόδους ἀπνεύστως λέγῃ. ἐπεὶ δὲ τῷ πολιτεύεσθαι προσῆλθεν, εἰς δύο διῃρημένων τῶν ἐν τῇ πόλει, καὶ τῶν μὲν φιλιππιζόντων, τῶν δὲ ὑπὲρ τῆς ἐλευθερίας δημηγορούντων, τὴν τῶν ἀντιπολιτευομένων φιλίππῳ τάξιν εἵλετο, καὶ παντὸς τοῦ χρόνου διετέλεσε συμβουλεύων τοῖς κινδυνεύουσιν ὑπὸ φιλίππῳ γενέσθαι βοηθεῖν, συμπολιτευόμενος ὑπερείδῃ, ναυσικλεῖ, πολυεύκτῳ, διοτίμῳ. διὸ καὶ συμμάχους τοῖς ἀθηναίοις ἐποίησε, θηβαίους, εὐβοεῖς, κερκυραίους, κορινθίους, βοιωτοὺς, καὶ πολλοὺς ἄλλους πρὸς τούτοις. ἐκπεσὼν δέ ποτε ἐπὶ τῆς ἐκκλησίας καὶ ἀθυμῶν, ἐβάδιζεν οἴκοι. συντυχὼν δὲ αὐτῷ εὔνομος ὁ θριάσιος πρεσβύτης ἤδη ὢν, προετρέψατο τὸν δημοσθένην. μάλιστα δὲ ὑποκριτὴς ἀνδρόνικος εἰπὼν, ὡς οἱ μὲν λόγοι καλῶς ἔχοιεν, λείπει δὲ αὐτῷ τὰ τῆς ὑποκρίσεως, ἀπεμνημόνευσέ τε τῶν ὑπὸ τῆς ἐκκλησίας αὐτοῦ λελεγμένων, καὶ δὴ πιστεύσαντα τὸν δημοσθένην, παραδοῦναι αὐτὸν τῷ ἀνδρονίκῳ. ὅθεν ἐρομένου αὐτόν τινος τί πρῶτον ἐν ῥητορικῇ, εἶπεν ὑπόκρισις, καὶ τί δεύτερον ὑπόκρισις, καὶ τί τρίτον ὑπόκρισις. προελθὼν δὲ πάλιν εἰς τὰς ἐκκλησίας νεωτερικῶς τινα λέγων, διεσύρετο, ὡς κωμῳδηθῆναι αὐτὸν ὑπὸ ἀντιφάνους, καὶ τιμοκλέους, μὰ γῆν, μὰ κρήνας, μὰ ποταμοὺς, μὰ νάματα. ὀμόσας δὲ τοῦτον τὸν ὅρκον ἐν τῷ δήμῳ, θόρυβον ἐκίνησεν. ὤμνυε δὲ καὶ τὸν ἀσκληπιὸν προπαροξύνων ἀσκλήπιον, καὶ παρεδείκνυεν αὐτὸν ὀρθῶς λέγοντα. εἶναι γὰρ τὸν θεὸν ἤπιον, καὶ ἐπὶ τούτῳ πολλάκις ἐθορυβήθη. σχολάσας δὲ εὐβουλίδῃ τῷ διαλεκτικῷ μιλησίῳ, ἐπηνωρθώσατο πάντα.

ἐκπονῆσαι .l.

γενόμενος δὲ καὶ ἐν τῇ ὀλυμπιακῇ πανηγύρει, καὶ ἀκούσας λαμάχου τοῦ περιναίου, φιλίππου καὶ ἀλεξάνδρου ἐγκώμιον ἀναγινώσκοντος, θηβαίων δὲ καὶ ὀλυνθίων καταδέχοντος, παραναστὰς ἀρχαίων ποιητῶν μαρτυρίας προηνέγκατο περὶ τῶν θηβαίοις καὶ ὀλυνθίοις καλῶς πραχθέντων, ὥς παύσασθαί τε τὸ λοιπὸν τὸν λάμαχον, καὶ φυγεῖν ἐκ τῆς πανηγύρεως. φίλιππον δὲ πρὸς τοὺς ἀναφέροντας αὐτῷ τὰς κατ' αὐτοῦ δημηγορίας, εἰπεῖν, ὅτι καὶ αὐτὸς ἂν ἀκούων λέγοντος δημοσθένους, ἐχειροτόνησα τὸν ἄνδρα πρὸς τὸν κατ' ἐμοῦ πόλεμον. ἐκάλει δὲ τοὺς μὲν αὐτοῦ λόγους ὁμοίως τοῖς στρατιώταις διὰ τὴν πομπικὴν δύναμιν, τοὺς δὲ ἰσοκράτους τοῖς ἀθληταῖς· τέρψιν γὰρ παρέχειν αὐτοὺς θεατρικήν. ἑπτὰ δὲ καὶ τριάκοντα ἔτη γεγονὼς λογιζομένοις ἀπὸ δεξιθέου εἰς καλλίμαχον, ἐφ' οὗ παρ' ὀλυνθίων ἧκε πρεσβεία περὶ τῆς βοηθείας, ἐπεὶ ἐπιέζοντο ὑπὸ φιλίππου τῷ πολέμῳ, ἔπεισεν ἐκπέμψαι τὴν βοήθειαν, τῷ δὲ ἑξῆς ἐφ' οὗ πλάτων ἐτελεύτησεν, φίλιππος ὀλυνθίους κατεστρέψατο. ἔγνω δὲ αὐτὸν καὶ ξενοφῶν ὁ σωκρατικὸς, ἢ ἀρχόμενον, ἢ ἀκμάζοντα. τῷ μὲν γὰρ τὰ ἑλληνικὰ ἐτελέσθη πρότερον τοῦτο, τὰ περὶ τὴν ἐν μαντινείᾳ μάχην. ἄρχοντα δὲ χαρικλείδην· ὁ δὲ πρότερον ἐπὶ τιμοκράτους εἷλε τοὺς ἐπιτρόπους. φεύγοντος δὲ αἰσχίνου μετὰ τὴν καταδίκην, ἵππῳ κατεδίωξεν αὐτόν, τοῦ δὲ οἰηθέντος αὐτὸν συλλαμβάνεσθαι, καὶ προσπεσόντος καὶ συγκαλυψαμένου, ἀναστήσας αὐτὸν παρεμυθήσατο, καὶ τάλαντον ἔπεμψεν ἀργυρίου. καὶ συνεβούλευσε δὲ τῷ δήμῳ ξενικὸν ἐν θάσῳ τρέφειν, καὶ ἐπὶ τούτῳ τριηραρχῆς ἐξέπλευσε. σιτώνης δὲ γενόμενος, καὶ κατηγορηθεὶς κλοπῆς, ἀφείθη. φιλίππου δὲ ἐλάτειαν καταλαμβανομένου καὶ αὐτὸς τοῖς ἐν χαιρωνίᾳ μαχεσαμένοις συνεξῆλθεν, ὅθεν καὶ δοκεῖ τὴν τάξιν λιπεῖν. φεύγοντος δὲ αὐτοῦ, βάτον ἐπιλαβέσθαι τῆς χλαμύδος, τὸν δὲ, ἐπιστραφέντα εἰπεῖν, ζώγρει. εἶχε δὲ καὶ ἐπίσημον ἐπὶ τῆς ἀσπίδος ἀγαθῇ τύχῃ. εἶπε μέντοι τὸν ἐπιτάφιον ἐπὶ τοῖς πεσοῦσιν. μετὰ δὲ ταῦτα πρὸς τὴν ἐπισκευὴν τῆς πόλεως τῇ ἐπιμελείᾳ προσελθὼν, καὶ τῶν τειχῶν ἐπιμελητὴς χειροτονηθεὶς, ἀπὸ τῆς ἰδίας οὐσίας εἰσήνεγκε τὸ ἀναλωθὲν ἀργύριον, μνᾶς ἑκατόν. ἐπέδωκε δὲ καὶ θεωροῖς μυρίας, τριήρους τε ἐπιβὰς, περιέπλευσε τοὺς συμμάχους ἀργυρολογῶν, ἐφ' οἷς πολλάκις ἐστεφανώθη. πρότερον μὲν ὑπὸ δημομέλους, ἀριστονίκου, ὑπερείδου χρυσῷ στεφάνῳ, τελευταῖον δὲ ὑπὸ κτησιφῶντος, καὶ γραφέντος τοῦ ψηφίσματος παρανόμων ὑπὸ διοδότου, καὶ αἰσχίνου ἀπολογούμενος ἐνίκησεν, ὥς τε τὸ πέμπτον μέρος τῶν ψήφων, τὸν διώκοντα μὴ μεταλαβεῖν. ὕστερον δὲ ἀλεξάνδρου ἐπὶ τὴν ἀσίαν στρατευομένου, καὶ φυγόντος ἁρπάλου μετὰ χρημάτων εἰς ἀθήνας, τὸ μὲν πρῶτον ἐκώλυσεν αὐτὸν εἰσδεχθῆναι· ἐπειδὴ δὲ εἰσέπλευσε, λαβὼν δαρεικοὺς χιλίους μετετάξατο. βουλομένων τε ἀθηναίων ἀντιπάτρῳ παραδοῦναι τὸν ἄνθρωπον, ἀντεῖπεν, ἔγραψέ τε ἀποθέσθαι τὰ χρήματα εἰς ἀκρόπολιν, ἤδη τῷ δήμῳ τὸν ἀριθμὸν εἰπόντα, φήσαντος δὲ ἁρπάλου ἑπτακόσια ἢ πεντήκοντα, ἢ ὀλίγῳ πλείονα, ὥς φησι φιλόχορος. μετὰ δὲ ταῦτα φυγόντος ἁρπάλου, ἐκ τοῦ δεσμωτηρίου, ἐν ᾧ ἐφυλάσσετο, μέχρις ἂν ἀφίκηταί τις παρ' ἀλεξάνδρου, καὶ περαιωθέντος εἰς τὴν κρήτην, ἢ ὥς ἔνιοι ἐπὶ ταίναρον τῆς λακωνικῆς, αἰτίαν ἔχων ὁ δημοσθένης δωροδοκίας, καὶ διὰ τοῦτο μήτε τὸν ἀριθμὸν τῶν ἀνακομισθέντων μεμηνυκὼς, μήτε τὴν τῶν φυλασσόντων ἀμέλειαν, εἰσαχθεὶς δὲ εἰς δικαστήριον ὑπὸ ὑπερείδου, πυθαίου, μενεσαίχμου, ἱμεραίου, πατροκλέους, οἳ ἐποίησαν καταγνῶναι αὐτοῦ τὴν ἐξ ἀρείου πάγου βουλὴν, καὶ ἁλοὺς ἔφυγε, πενταπλάσιονα ἀποτίσαι μὴ δυνάμενος, εἶχε δὲ αἰτίαν τριάκοντα τάλαντα λαβεῖν, ἢ ὥς ἔνιοι οὐχ ὑπομείνας τὴν κρίσιν. μετὰ δὲ τοῦτον τὸν χρόνον τῶν ἀθηναίων πολύευκτον πεμψάντων

πρεσβευτὴν πρὸς τὸ κοινὸν τῶν ἀρκάδων, ὥς τε ἀποστῆναι αὐτοὺς τῆς τῶν μακεδόνων συμμαχίας, καὶ τοῦ πολυεύκτου πεῖσαι μὴ δυναμένου, ἐπιφανεὶς δημοσθένης, καὶ συνειπὼν, ἔπεισεν. ἐφ' ᾧ θαυμασθεὶς μετὰ χρόνον τινὰ κάθοδον εὕρατο, ψηφίσματος γραφέντος, τριήρους ἀποσταλείσης. τῶν δὲ ἀθηναίων ψηφισαμένων εἰς ἃ ὤφειλε τριάκοντα κοσμῆσαι αὐτὸν τὸν βωμὸν τοῦ σωτῆρος διὸς ἐν πειραιεῖ καὶ ἀφεῖσθαι· τοῦτο γράψαντος τὸ ψήφισμα δήμωνος παιανιέως, ὃς ἦν ἀνεψιὸς αὐτῷ, πάλιν ἐν τούτοις ἦν πολιτευόμενος. ἀντιπάτρου δὲ εἰς λάμειαν ὑπὸ τῶν ἑλλήνων συγκλεισθέντος, τῶν ἀθηναίων εὐαγγέλια θυόντων, πρός τινα τῶν ἑταίρων ἀγησίστρατον ἔφη, οὐ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις περὶ τῶν πραγμάτων. ἐπίσταμαι γὰρ εἰπεῖν τοὺς ἕλληνας, στάδιον μὲν πολεμεῖν, καὶ εἰδότας καὶ δυναμένους, δόλιχον δὲ οὐκέτι. φάρσαλον δὲ ἑλόντος ἀντιπάτρου, καὶ πολιορκήσειν ἀπειλοῦντος ἀθηναίους, εἰ μὴ τοὺς ῥήτορας ἐκδοίησαν, καταλιπὼν δὲ ὁ δημοσθένης τὴν πόλιν ἔφυγεν, πρῶτον μὲν εἰς αἴγιναν, ὡς τὸ αἰάκειον καθεδούμενος, φοβηθεὶς δὲ εἰς καλαβρείαν μετέστη, ἐκδιδόναι δὲ τοὺς ῥήτορας τῶν ἀθηναίων ψηφισαμένων, κἀκεῖνον, καθέζετο ἱκέτης ἐν τῷ τοῦ ποσειδῶνος ἱερῷ. ἐλθόντος ἐπ' αὐτὸν ἀρχίου τοῦ φυγαδοθήρου ἐπικαλουμένου, ὃς παρέβαλεν ἀναξιμένους τῷ ῥήτορι, πείθοντος αὐτὸν ἀναστῆναι, ὡς φίλον ἀντιπάτρῳ γενησόμενον, εἶπεν, ὅτι οὔτε ὅτε ἐτραγῴδεις ἔπειθές με, οὔτε νῦν πείσεις συμβουλεύων. τοῦ δὲ ἐπιχειροῦντος βιάζεσθαι, ἐκώλυσαν αὐτὸν οἱ κατὰ τὴν πόλιν, καὶ δημοσθένης ἔφη, οὐ σωτηρίας δεόμενος κατέφυγον εἰς καλαβρείαν, ἀλλ' ὡς ἐλέγξων μακεδόνας, καὶ κατὰ τῶν θεῶν βιασαμένους. αἰτήσας τε γραμματεῖον, ἔγραψεν, ὡς μὲν δημήτριος ὁ μάγνης φησὶ τὸ ἐπὶ τῆς εἰκόνος αὐτοῦ ἐλεγεῖον, ἐπιγεγραμμένον ὑπὸ τῶν ἀθηναίων ὕστερον,

εἴπερ ἴσην ῥώμην γνώμῃ δημόσθενες εἶχες,
οὔποτ' ἂν ἑλλήνων ἦρξεν ἄρης μακεδών.

κεῖται δὲ ἡ εἰκὼν πλησίον τοῦ περισχοινίσματος καὶ τοῦ βωμοῦ τῶν δώδεκα θεῶν, ὑπὸ πολυεύκτου πεποιημένη, ὡς δ' ἔνιοί φασι τοῦτο εὑρέθη γεγραμμένον· δημοσθένης ἀντιπάτρῳ χαίρειν. ἀποθανεῖν δὲ αὐτὸν, φιλόχορος μέν φησι φάρμακον πιόντα· σάτυρος δὲ ὁ συγγραφεὺς τὸν κάλαμον πεφαρμάχθαι, ᾧ γράφειν ἤρξατο τὴν ἐπιστολὴν, οὗ γευσάμενον ἀποθανεῖν. ἐρατοσθένης δὲ ἐκ πολλοῦ δεδοικότα μακεδόνας, περὶ τῷ βραχίονι κρίκον περικεῖσθαι πεφαρμαγμένον. εἰσὶ δ' οἳ φασι, συσχόντα αὐτὸν τὸ πνεῦμα ἀποθανεῖν. οἱ δὲ, εἶπον, τοῦ κατὰ τὴν σφραγῖδα φαρμάκου γευσάμενον

δὲ δύο καὶ εἴκοσιν, ἡνίκα δὲ φίλιππος ἐτεθνήκει, λαμπρὰν ἐσθῆτα προῆλθεν ἔχων, καίτοι τῆς θυγατρὸς αὐτοῦ νεωστὶ τετελευτηκυίας, ἐφηδόμενος τῷ τοῦ μακεδόνος θανάτῳ. συνήργησε δὲ καὶ θηβαίοις πρὸς ἀλέξανδρον πολεμοῦσι, καὶ τοὺς ἄλλους ἕλληνας ἐπέρρωσεν ἀεὶ, διό περ θήβας κατασκάψας, ἐζήτει παρ' ἀθηναίων, ἀλέξανδρος αὐτὸν, ἀπειλῶν εἰ μὴ δοίησαν. στρατευομένῳ δὲ αὐτῷ ἐπὶ πέρσας, καὶ αἰτοῦντι ναυτικὸν παρ' ἀθηναίων, ἀντεῖπεν, ἄδηλον εἰπὼν εἰ οὐ κατὰ τῶν παρασχόντων χρήσεται. κατέλιπε δύο παῖδας ἐκ μιᾶς γυναικὸς τῶν εὐδοκίμων ἡλιοδώρου τινὸς θυγατρός. θυγατέρα μίαν ἔχων, ἣ παῖς ἔτι οὖσα, πρὸ γάμου ἐτελεύτησεν. εἶχε δὲ καὶ ἀδελφὴν, ἐξ ἧς καὶ λάχου λευκονέως ἀδελφιδοῦς αὐτῷ δημοχάρης ἐγένετο ἀνὴρ καὶ κατὰ πόλεμον ἀγαθὸς, καὶ κατὰ τοὺς πολιτικοὺς λόγους οὐδενὸς χείρων. ἔστι δὲ αὐτοῦ εἰκὼν ἐν τῷ πρυτανείῳ εἰσιόντων πρὸς τὴν ἑστίαν δεξιᾶ, ὁ πρῶτος περιεζωσμένος ἅμα τῷ ἱματίῳ καὶ ξίφος· οὕτω γὰρ δημηγορῆσαι λέγεται, ἡνίκα ἀντίπατρος ἐζήτει τοὺς ῥήτορας. χρόνῳ δὲ ὕστερον ἀθηναῖοι σίτησίν τε ἐν πρυτανείῳ τοῖς συγγενέσι τοῦ δημοσθένους ἔδοσαν καὶ αὐτῷ τετε-

λευτηκότι· καὶ τὴν εἰκόνα ἀνέθεσαν ἐν ἀγορᾷ ἐπὶ Γοργίου ἄρχοντος αἰτησαμένου αὐτῷ τὰς δωρεὰς τοῦ ἀδελφιδοῦ Δημοχάρους, οὗ καὶ αὐτοῦ πάλιν ὁ υἱὸς Λάχης Δημοχάρους Λευκονοεὺς ᾔτησε δωρεάς, ἐπὶ Πυθαράτου ἄρχοντος δεκάτῳ ὕστερον ἔτει τῆς εἰκόνος πᾶσιν ἐν ἀγορᾷ, καὶ σίτησιν ἐν πρυτανείῳ αὐτῷ τε καὶ ἐκγόνων ἀεὶ τῷ πρεσβυτάτῳ, καὶ προεδρίαν ἐν ἅπασι τοῖς ἀγῶσι, καὶ ἔστι τὰ ψηφίσματα ὑπὲρ ἀμφοτέρων ἀναγεγραμμένα. ἡ δὲ εἰκὼν τοῦ Δημοχάρους εἰς τὸ πρυτανεῖον μετετέθη, περὶ ἧς προείρηται. φέρονται δὲ αὐτοῦ λόγοι γνήσιοι ἑξήκοντα πέντε. φασὶ δέ τινες καὶ ἀσώτως αὐτὸν βιῶναι, γυναικείαις τε ἐσθῆσι χρώμενον, καὶ κωμάζοντα ἑκάστοτε, ὅθεν Βάταλον ἐπικληθῆναι. οἱ δὲ ὑποκοριστικῶς ἀπὸ τοῦ ὀνόματος τῆς τροφοῦ λέγουσιν αὐτὸν οὕτω λελοιδορῆσθαι. Διογένης δὲ ὁ κύων θεασάμενος αὐτόν ποτε ἐν καπηλείῳ αἰσχυνόμενον καὶ ὑποχωροῦντα, εἶπεν, ὅσῳ μᾶλλον ὑποχωρεῖς, τοσούτῳ μᾶλλον ἐν τῷ καπηλείῳ ἔσῃ. ἔλεγε δὲ αὐτὸν παρασκώπτων ἐν μὲν τοῖς λόγοις Σκύθην εἶναι, ἐν δὲ ταῖς μάχαις ἀστικόν. ἔλαβε καὶ παρὰ Ἐφιάλτου χρυσίον, ἑνὸς τῶν δημαγωγῶν, ὃς πρεσβεύσας πρὸς βασιλέα χρήματα φέρων ἧκε λάθρα, ὅπως διανέμας τοῖς δημαγωγοῖς, τὸν πρὸς Φίλιππον ἐξάψῃ πόλεμον, καὶ ἰδίᾳ αὐτὸν δωροδοκῆσαι παρὰ βασιλέως φασὶ δαρεικοὺς τρισχιλίους. Ἀναξίλαν δέ τινα Ὠρείτην, ξένον αὐτοῦ γενόμενον συλλαβών, ἐβασάνιζεν ὡς κατάσκοπον. οὐδὲν δὲ ἐξειπόντα, ἐψηφίσατο τοῖς ἕνδεκα παραδοῦναι. λέγειν δέ ποτε κωλυόμενος ὑπὸ Ἀθηναίων ἐν ἐκκλησίᾳ, βραχὺ ἔφη βούλεσθαι πρὸς αὐτοὺς εἰπεῖν. τῶν δὲ σιωπησάντων, νεανίας εἶπε θέρους ὥρᾳ ἐμισθώσατο ἐξ ἄστεος ὄνον Μεγαράδε, μεσούσης δὲ τῆς ἡμέρας, καὶ σφοδρῶς φλέγοντος τοῦ ἡλίου, ἑκάτερος αὐτῶν ἐβούλετο ὑποδύεσθαι ὑπὸ τὴν σκιάν, εἶργον δὲ ἀλλήλους, ὁ μὲν μεμισθωκέναι τὸν ὄνον, οὐ τὴν σκιὰν λέγων, ὁ δὲ μεμισθωμένος, τὴν πᾶσαν ἔχειν ἐξουσίαν. καὶ ταῦτα εἰπὼν ἀπῄει. τῶν δὲ Ἀθηναίων ἐπισχόντων καὶ δεομένων πέρας ἐπιθεῖναι τῷ λόγῳ, εἶθ' ὑπὲρ μὲν ὄνου σκιᾶς ἔφη βούλεσθε ἀκούειν, λέγοντος δὲ ὑπὲρ σπουδαίων πραγμάτων οὐ βούλεσθε; Πώλου δέ ποτε τοῦ ὑποκριτοῦ πρὸς αὐτὸν εἰπόντος, ὅτι δυσὶν ἡμέραις ἀγωνισάμενος τάλαντον λάβοι μισθόν, ἐγὼ δὲ εἶπε πέντε τάλαντα μίαν ἡμέραν σιωπήσας. παραφθαρεὶς δὲ τὴν φωνὴν ἐν ἐκκλησίᾳ, καὶ θορυβηθείς, τοὺς ὑποκριτὰς ἔφη δεῖν κρίνειν ἐκ τῆς φωνῆς, τοὺς δὲ ῥήτορας ἐκ τῆς γνώμης. ὀνειδίσαντος δὲ αὐτὸν Ἐπικλέους, ὅτι ἀεὶ σκέπτοιτο, αἰσχυνοίμην γὰρ εἶπεν, εἰ τηλικούτῳ δήμῳ συμβουλεύων αὐτοσχεδιάζοιμι. ἱστοροῦσι δὲ ὡς οὐδὲ λύχνον ἔσβεσεν, ἄχρι πεντήκοντα ἐτῶν ἐγένετο, διακρινῶν τοὺς λόγους. αὐτὸς δέ φησιν ὑδροποσίᾳ χρήσασθαι. ἔγνω δὲ αὐτὸν καὶ Λυσίας ὁ ῥήτωρ, καὶ Ἰσοκράτης εἶδε πολιτευόμενον, ἄχρι τῆς ἐν Χαιρωνείᾳ μάχης, καί τινες τῶν Σωκρατικῶν φιλοσόφων. τοὺς δὲ πλείστους λόγους εἶπεν αὐτοσχεδιάσας, εὖ πρὸς αὐτὸ πεφυκώς. πρῶτος δὲ ἔγραψε στεφανωθῆναι αὐτὸν χρυσῷ στεφάνῳ, Ἀριστόνικος Νικοφάνους Ἀναγυράσιος, ὑπωμόσατο δὲ Διώνδας.

ΥΠΕΡΙΔΗΣ.

θ.

Υ

Ὑπερείδης Γλαυκίππου μὲν ἦν πατρὸς τοῦ Διονυσίου, τῶν δὲ δήμων Κολλυτεύς, ἔσχε δὲ υἱὸν ὁμώνυμον τῷ πατρὶ Γλαύκιππον ῥήτορα, καὶ λόγους συγγράψαντα, οὗ πάλιν Ἀλφινοῦς ἐγένετο. ἀκροατὴς δὲ Πλάτωνος γενόμενος τοῦ φιλοσόφου, ἅμα Λυκούργου καὶ Ἰσοκράτους τοῦ ῥήτορος, ἐπολιτεύσατο Ἀθήνησι, καθ' ὃν χρόνον Ἀλέξανδρος τῶν Ἑλληνικῶν ἥπτετο πραγμάτων, καὶ περὶ τῶν στρατηγῶν ὧν ἐπῄτει παρ' Ἀθηναίων ἀντεῖπε, καὶ περὶ τῶν τριήρων. συνεβούλευσε καὶ τὸ ἐπὶ Ταινάρῳ ξενικὸν μὴ διαλῦσαι, οὗ Χάρης ἡγεῖτο, εὔνως πρὸς τὸν στρατηγὸν διακείμενος. τὸ δὲ πρῶτον μισθοῦ δίκας ἔλεγε, δόξας δὲ κεκοινωνηκέναι τῶν περὶ

κῶν χρημάτων Ἐφιάλτῃ, τειήραρχός τε αἱρεθείς, ὅτε Βυζάντιον ἐπολιόρκει Φίλιππος, βοηθὸς Βυζαντίοις ἐκπεμφθεὶς κατὰ τὸν ἐνιαυτὸν τοῦτον, ὑπέστη χορηγῆσαι, τῶν ἄλλων λειτουργίας πάσης ἀφειμένων. ἔγραψε καὶ Δημοσθένους τιμάς, καὶ τοῦ ψηφίσματος ὑπὸ Διώνδα παρανόμων γραφέντος, ἀπέφυγε. φίλος δὲ ὢν τοῖς περὶ Δημοσθένην, καὶ Λυσικλέα, καὶ Λυκοῦργον, οὐ κατέμεινε μέχρι τέλους. ἀλλ' ἐπεὶ Λυσικλῆς μὲν καὶ Λυκοῦργος ἐτεθνήκεσαν, Δημοσθένης δὲ ὡς παρὰ Ἁρπάλου δωροδοκήσας ἐκρίνετο, προχειρισθεὶς ἐξ ἁπάντων, μόνος γὰρ ἔμεινεν ἀδωροδόκητος, κατηγόρησεν αὐτοῦ. κριθεὶς δὲ ὑπὸ τοῦ Ἀριστογείτονος παρανόμων ἐπὶ τῷ γράψαι μετὰ Χαιρώνειαν τοὺς μετοίκους πολίτας ποιήσασθαι, τοὺς δὲ δούλους ἐλευθέρους, ἱερὰ δὲ καὶ παῖδας καὶ γυναῖκας εἰς τὸν Πειραιᾶ ἀποθέσθαι, ἀπέφυγεν. αἰτιωμένων δέ τινων αὐτόν, ὡς παριδόντα πολλοὺς νόμους ἐν τῷ ψηφίσματι, ἐπεσκότει ἔφη μοι τὰ Μακεδόνων ὅπλα. οὐκ ἐγὼ τὸ ψήφισμα ἔγραψα, ἡ δ' ἐν Χαιρωνείᾳ μάχη. μετὰ μέντοι τοῦτο νεκρῶν ἔδωκεν ἀναίρεσιν ὁ Φίλιππος φοβηθείς, πρότερον δοὺς τοῖς ἐλθοῦσιν ἐκ Λεβαδείας κήρυξιν. ὕστερον δὲ μετὰ τὰ περὶ Κραννῶνα συμβάντα ἐξαιτηθεὶς ὑπ' Ἀντιπάτρου, καὶ μέλλων ἐκδίδοσθαι ὑπὸ τοῦ δήμου, ἔφυγεν ἐκ τῆς πόλεως εἰς Αἴγιναν, ἅμα τοῖς καταψηφισθεῖσι, καὶ συμβαλὼν Δημοσθένει περὶ τῆς διαφορᾶς ἀπολογησάμενος, ἀπαλλαγεὶς ἐκεῖθεν ὑπ' Ἀρχίου τοῦ φυγαδοθήρου ἐπικληθέντος, Θουρίου μὲν τὸ γένος, ὑποκριτοῦ δὲ τὰ πρῶτα, τότε δὲ τῷ Ἀντιπάτρῳ βοηθοῦντος, ἐλήφθη πρὸς βίαν ἐν τῷ ἱερῷ τοῦ Ποσειδῶνος ἐχόμενος τοῦ ἀγάλματος, καὶ ἀχθεὶς πρὸς Ἀντίπατρον εἰς Κόρινθον, ἔπειτα βασανιζόμενος διέφαγε τὴν γλῶτταν, ὥστε μηδὲν ἐξειπεῖν τῶν τῆς πόλεως ἀπορρήτων διαγνωσθῆναι, καὶ οὕτως ἐτελεύτησε, Πυανεψιῶνος ἐνάτῃ ἱσταμένου. Ἕρμιππος δέ φησιν αὐτὸν γλωττοτομηθῆναι εἰς Μακεδονίαν ἐλθόντα, καὶ ῥιφῆναι ἄταφον, Ἀλφίνουν δὲ ἀνεψιὸν ὄντα αὐτῷ, ἢ ὥς τινες Γλαυκίππου τινὸς τὸν υἱόν, διὰ Φιλοπείθους τινὸς ἰατροῦ λαβόντα ἐξουσίαν τοῦ σώματος, καῦσαι αὐτόν, καὶ τὰ ὀστᾶ κομίσαι εἰς Ἀθήνας τοῖς προσήκουσι, παρὰ τὰ Ἀθηναίων καὶ Μακεδόνων δόγματα. οὐ μόνον γὰρ κελεῦσαι αὐτοὺς φυγεῖν, ἀλλὰ μηδὲ ἐν τῇ οἰκείᾳ ταφῆναι. οἱ δὲ ἐν Κλεωναῖς ἀποθανεῖν αὐτὸν λέγουσιν ἀπαχθέντα μετὰ τῶν ἄλλων, ὅπου γλωττοτομηθῆναι καὶ διαφθαρῆναι ὃν προείρηται τρόπον. τοὺς δὲ οἰκείους τὰ ὀστᾶ λαβόντας, θάψαι τε ἅμα τοῖς γονεῦσι πρὸ τῶν Ἱππάδων πυλῶν, ὥς φησιν Ἡλιόδωρος ἐν τῷ τρίτῳ περὶ μνημάτων. νῦν δὲ κατερήριπται τὸ μνῆμα, καὶ ἔστιν ἄδηλον. πάντων δὲ κατὰ τὴν δημηγορίαν διενεγκεῖν λέγεται. τέτακται δὲ ὑπ' ἐνίων πρὸ Δημοσθένους. φέρονται δὲ αὐτοῦ λόγοι ἑβδομήκοντα ἑπτά, ὧν γνήσιοί εἰσι πεντήκοντα δύο. ἐγένετο δὲ καὶ πρὸς τὰ ἀφροδίσια καταφερής, ὡς ἐκβαλεῖν μὲν τὸν υἱόν, εἰσαγαγεῖν δὲ Μυρρίνην τὴν πολυτελεστάτην ἑταίραν, ἐν Πειραιεῖ δὲ ἔχειν Ἀρισταγόραν, ἐν Ἐλευσῖνι δὲ ἐν τοῖς ἰδίοις κτήμασι Φίλτην Θηβαίαν, εἴκοσι μνῶν λυτρωσάμενος. ἐποιεῖτό τε τὸν περίπατον ἐν τῇ ἰχθυοπώλιδι ὁσημέραι. ὡς εἰκὸς δὲ καὶ Φρύνῃ τῇ ἑταίρᾳ ἀσεβεῖν κρινομένῃ συνεξητάσθη. αὐτὸς γὰρ τοῦτο ἐν ἀρχῇ τοῦ λόγου δηλοῖ. μελλούσης δὲ αὐτῆς ἁλίσκεσθαι, παραγαγὼν εἰς μέσον, καὶ περιρρήξας τὴν ἐσθῆτα, ἐπέδειξε τὰ στέρνα τῆς γυναικός, καὶ τῶν δικαστῶν εἰς τὸ κάλλος ἀποβλεψάντων, ἀφείθη. συνετίθει δὲ ἡσυχῇ κατὰ τοῦ Δημοσθένους ἐγκλήματα, ὡς καὶ φωραθῆναι. νοσοῦντος γὰρ τοῦ Ὑπερείδου, ἧκοντα εἰς τὴν οἰκίαν τὸν Δημοσθένην, ὡς ἐπισκεψόμενον, καταλαβεῖν ἔχοντα τὸ καθ' αὐτοῦ βιβλίον. τοῦ δὲ ἀγανακτοῦντος εἶπε. φίλον μὲν ὄντα οὐδὲν λυπήσει, ἐχθρὸν δὲ γενόμενον, κωλύσει τι κατ' ἐμοῦ πρᾶξαι. ἐψηφί-

σαν δὲ καὶ τιμὰς ἰόλᾳ τῷ δόντι ἀλεξάνδρῳ τὸ φάρμακον δοῦναι. ἐκοινώνησε
δὲ καὶ δημοσθένει τοῦ λαμιακοῦ πολέμου, καὶ ἐπὶ τοῖς πεσοῦσιν εἶπε τὸν ἐπιτά-
φιον θαυμασίως. φιλίππου δὲ πλεῖν ἐπ' εὔβοιαν παρεσκευασμένου, καὶ τῶν
ἀθηναίων εὐλαβῶς ἐχόντων, τεσσαράκοντα τριήρεις ἤθροισεν ἐξ ἐπιδόσεως, καὶ
πρῶτος ὑπὲρ αὐτοῦ καὶ τοῦ παιδὸς ἐπέδωκε δύο τριήρεις. συστάντος δὲ πρὸς
δηλίους ἀμφισβητήματος προτέρους δεῖ προΐστασθαι τοῦ ἱεροῦ, αἱρεθέντος
αἰσχίνου συνειπεῖν, ἡ ἐξ ἀρείου πάγου βουλὴ ὑπερείδην ἐχειροτόνησεν, καὶ ἔστιν ὁ
λόγος δηλιακὸς ἐπιγεγραμμένος. ἐπρέσβευσε δὲ καὶ πρὸς ῥοδίους. ἡκόντων
δὲ καὶ παρὰ ἀντιπάτρου πρέσβεων, ἐπαινούντων τὸν ἀντίπατρον, ὡς χρηστόν, ἀ-
παντήσας αὐτοῖς εἶπεν, οἶδα μὲν ὅτι χρηστὸς ὑπάρχει, ἀλλ' ἡμεῖς γε οὐδὲν δεόμεθα
χρηστοῦ δεσπότου. λέγεται δὲ ἄνευ ὑποκρίσεως δημηγορῆσαι, καὶ μόνον διηγεῖσθαι
τὰ πραχθέντα, καὶ τούτοις οὐκ ἐνοχλεῖν τοὺς δικαστάς. ἐπέμφθη δὲ καὶ πρὸς
ἠλείους ἀπολογησόμενος, ὑπὲρ καλλίππου τοῦ ἀθλητοῦ, ἔχοντος αἰτίαν φθεῖραι
τὸν ἀγῶνα, καὶ ἐνίκησε. γραψάμενος δὲ καὶ τὴν φωκίωνος δωρεάν, ἣν εἶπε μειδί-
ας μειδίου ἀναγυράσιος ἐπὶ ξενίου ἄρχοντος γαμηλιῶνος ἑβδόμῃ φθίνοντος
ἡττήθη.

ΔΕΙΝΑΡΧΟΣ.

Δείναρχος σωκράτους ἢ σωστράτου, ὡς μέν τινες ἐγχώριος, ὡς δέ τισι δοκεῖ κορίν-
θιος, ἀφικόμενος εἰς ἀθήνας ἔτι νέος, καθ' ὃν χρόνον ἀλέξανδρος ἐπὶ τὴν ἀ-
σίαν κατοικήσας αὐτόθι, ἀκροατὴς μὲν ἐγένετο θεοφράστου τοῦ διαδεξαμένου τὴν
ἀριστοτέλους διατριβήν, ὡμίλησε δὲ καὶ δημητρίῳ τῷ φαληρεῖ. μάλιστα δὲ τῷ πο-
λιτεύεσθαι μετὰ τὴν ἀντιπάτρου τελευτήν, τῶν μὲν ἀνῃρημένων ῥητόρων, τῶν δὲ
πεφευγότων. φίλος δὲ κασσάνδρῳ γενόμενος, ὡς ἐπὶ πλεῖστον προέκοψε χρήματα
τῶν λόγων εἰσπραττόμενος, οὓς τοῖς δεομένοις συνέγραφεν. ἀντετάξατο δὲ
πρὸς τοὺς ἐπιφανεστάτους τῶν ῥητόρων, οὐκ εἰς δῆμον παριών. οὐ γὰρ οἷός τε ἦν,
ἀλλὰ τοῖς ἐναντιουμένοις λόγοις συγγράφων. καὶ ἐπεὶ ἅρπαλος διέδρα, πλεί-
ους λόγους συνέγραψε κατὰ τῶν αἰτίαν λαβόντων δωροδοκῆσαι. καὶ τούτους τοῖς κα-
τηγόροις ἐξέδωκεν. χρόνῳ δὲ ὕστερον αἰτιαθεὶς εἰς λόγους παραγίνεσθαι ἀν-
τιπάτρῳ καὶ κασσάνδρῳ περὶ τὴν κατάληψιν τῆς μουνυχίας, ἡνίκα ὑπὸ ἀν-
τιγόνου καὶ δημητρίου ἐφρουρήθη ἐπὶ ἀναξικράτους ἄρχοντος, ἐξαργυρισά-
μενος τὰ πλεῖστα τῆς οὐσίας, ἔφυγεν εἰς χαλκίδα. διατρίψας δὲ ἐπὶ τῆς φυ-
γῆς, ὡς πεντεκαίδεκα ἔτη, καὶ πολλὴν οὐσίαν κτησάμενος, κατῆλθε, πραξαν-
των αὐτῷ τὴν κάθοδον, τῶν περὶ θεόφραστον ἅμα τοῖς ἄλλοις φυγάσιν. κατα-
λύσας δὲ παρὰ προξένῳ ἑταίρῳ αὐτοῦ καὶ τὸ χρυσίον ἀπολέσας, ἤδη γηραιὸς
ὢν καὶ τὰς ὁράσεις ἀσθενής, βουλομένου τοῦ προξένου ἀναζητεῖν, λαγχάνει αὐ-
τῷ δίκην, καὶ τότε πρῶτον εἶπεν ἐν δικαστηρίῳ. σώζεται δὲ αὐτοῦ καὶ ὁ λόγος.
φέρονται δὲ αὐτοῦ καὶ λόγοι γνήσιοι ἑξήκοντα τέσσαρες. τούτων ἔνιοι παρα-
λαμβάνονται, ὡς ἀριστογείτονος. ζηλωτὴς δὲ ἐγένετο ὑπερείδου, ἢ ὥς τινες διὰ
τὸ παθητικὸν δημοσθένους, καὶ τὸ σφοδρόν, τῶν σχημάτων δι' αὐτοῦ μιμητὴς
ὑπάρχει.

ΨΗΦΙΣΜΑΤΑ.

Τιμοχάρης λάχητος λευκονοεὺς αἰτεῖ δημοσθένει τῷ δημοσθένους παιανιεῖ δω-
ρεὰν εἰκόνα χαλκῆν ἐν ἀγορᾷ, καὶ σίτησιν ἐν πρυτανείῳ, καὶ προεδρίαν αὐτῷ,
καὶ ἐκγόνων ἀεὶ τῷ πρεσβυτάτῳ εὐεργέτῃ καὶ συμβούλῳ γεγονότι πολλῶν καὶ
καλῶν τῷ δήμῳ τῶν ἀθηναίων, καὶ τήν τε οὐσίαν εἰς τὸ κοινὸν καθεικότι τὴν ἑαυ-
τοῦ, καὶ ἐπιδόντι τάλαντα ὀκτὼ καὶ τριήρη, ὅτε ὁ δῆμος ἠλευθέρωσεν εὔβοιαν,
καὶ ἑτέραν, ὅτε εἰς ἑλλήσποντον κηφισόδωρος ἐξέπλευσε, καὶ ἑτέραν, ὅτε χά-
ρης καὶ φωκίων στρατηγοὶ ἐξεπέμφθησαν εἰς βυζάντιον ὑπὸ τοῦ δήμου, καὶ λυ-

τρωσαμένῳ πολλοὺς τῶν ἁλόντων ἐν πύδνῃ, καὶ μεθώνῃ, καὶ ὀλύνθῳ ὑπὸ φι-
λίππου, καὶ χορηγίαν ἀνδράσιν ἐπιδόντι, ὅτε ἐκλειπόντων τῶν πανδιονιδῶν
τοῦ χορηγεῖν ἐπιδέδωκεν καὶ καθώπλισε τοὺς πολίτας τῶν ἐλλειπόντων, καὶ εἰς
τὴν τειχοποιίαν ἀνάλωσε χειροτονηθεὶς ὑπὸ τοῦ δήμου ἐπιδόντος αὐτοῦ τρία
τάλαντα, καὶ ἃς ἐπέδωκε δύο τάφρους περὶ τὸν πειραιᾶ ταφρεύσας, καὶ
μετὰ τὴν ἐν χαιρωνείᾳ μάχην ἐπέδωκε τάλαντον. καὶ εἰς τὴν σιτωνίαν ἐπιδέδω-
κεν ἐν τῇ σιτοδείᾳ τάλαντον, καὶ ὅτε εἰς συμμαχίαν τῷ δήμῳ προσηγάγετο πεί-
σας καὶ εὐεργέτης γενόμενος καὶ σύμβουλος, δι' ὧν ἔπεισεν, θηβαίους, εὐβοεῖς,
κορινθίους, μεγαρεῖς, ἀχαιούς, λοκρούς, βυζαντίους, μεσσηνίους, καὶ δυνάμεις,
ἃς συνεστήσατο τῷ δήμῳ καὶ τοῖς συμμάχοις, πεζοὺς μὲν μυρίους, ἱππέας δὲ
χιλίους, καὶ συντάξεις χρημάτων ἣν ἔπεισε πρεσβεύσας διδόναι, τοὺς μὲν συμ-
μάχους εἰς τὸν πόλεμον πλείω πεντακοσίων ταλάντων, καὶ ὡς ἐκώλυσε πελο-
ποννησίους ἐπὶ θήβας ἀλεξάνδρῳ βοηθῆσαι, χρήματα δοὺς, καὶ αὐτοὺς πρεσ-
βεύσας, καὶ ἄλλων πολλῶν καὶ καλῶν τῷ δήμῳ συμβούλῳ γεγονότι καὶ πεπολι-
τευμένῳ, τῶν καθ' ἑαυτὸν πρὸς ἐλευθερίαν καὶ δημοκρατίαν ἄριστα. φυγόντι δὲ
δι' ὀλιγαρχίαν καταλυθέντος τοῦ δήμου, καὶ τελευτήσαντος αὐτοῦ ἐν καλαυ-
ρείᾳ, διὰ τὴν πρὸς τὸν δῆμον εὔνοιαν, πεμφθέντων στρατιωτῶν ἐπ' αὐτὸν ὑπὸ ἀν-
τιπάτρου, διαμείναντι ἐν τῇ πρὸς τὸ πλῆθος εὐνοίᾳ καὶ οἰκειότητι, καὶ ὅτε ὑποχει-
ρίῳ γενομένῳ τοῖς ἐχθροῖς, οὔτε ἀνάξιον ἐν τῷ κινδύνῳ πράξαντι τοῦ δήμου.

Ἄρχων πυθάρατος λάχης δημοχάρους λευκονοεὺς, αἰτεῖ δωρεὰν τὴν βουλὴν καὶ
τὸν δῆμον τῶν ἀθηναίων. δημοχάρει λάχητος λευκονοεῖ, εἰκόνα χαλκῆν ἐν ἀγορᾷ, καὶ
σίτησιν ἐν πρυτανείῳ καὶ τῶν ἐκγόνων ἀεὶ τῷ πρεσβυτάτῳ, καὶ προεδρίαν ἐν πᾶ-
σι τοῖς ἀγῶσιν, εὐεργέτῃ καὶ συμβούλῳ γεγονότι ἀγαθῷ τῷ δήμῳ τῶν ἀθηναί-
ων, καὶ εὐεργετηκότι τὸν δῆμον τάδε, πρεσβεύοντι καὶ γράφοντι καὶ πολιτευο-
μένῳ, οἰκοδομὴν τειχῶν, παρασκευὴν ὅπλων καὶ βελῶν καὶ μηχανημάτων, καὶ
ὀχυρωσαμένῳ τὴν πόλιν ἐπὶ τοῦ τετραετοῦς πολέμου, καὶ εἰρήνην καὶ ἀνοχὰς καὶ
συμμαχίαν ποιησαμένῳ πρὸς βοιωτούς, ἀνθ' ὧν ἐξέπεσεν ὑπὸ τῶν καταλυσάντων
τὸν δῆμον, καὶ ὡς κατῆλθεν ἐπὶ διοκλέους ἄρχοντος ὑπὸ τοῦ δήμου συστείλαντι
τὴν διοίκησιν πρώτῳ καὶ φεισαμένῳ τῶν ὑπαρχόντων, καὶ πρεσβεύοντι πρὸς
λυσίμαχον, καὶ λαβόντι τῷ δήμῳ τριάκοντα τάλαντα ἀργυρίου, καὶ πάλιν ἕτε-
ρα ἑκατὸν, καὶ γράψαντι πρεσβείαν πρὸς πτολεμαῖον εἰς αἴγυπτον, καθ' ἣν ἐκ-
πλεύσαντες πεντήκοντα ἐκόμισαν τάλαντα ἀργυρίου τῷ δήμῳ, καὶ πρὸς ἀν-
τίπατρον πρεσβεύσαντι καὶ λαβόντι εἴκοσι τάλαντα ἀργυρίου, καὶ ἐλευσίνια κο-
μισαμένῳ τῷ δήμῳ, καὶ ταῦτα πείσαντι ἑλέσθαι τὸν δῆμον καὶ πράξαντι, καὶ
φυγόντι μὲν ὑπὲρ δημοκρατίας, μετεσχηκότι δὲ οὐδεμιᾶς ὀλιγαρχίας οὐδὲ ἀρ-
χὴν οὐδεμίαν ἠρχότι καταλελυκότι τοῦ δήμου, καὶ μόνῳ ἀθηναίων τῶν κατὰ τὴν
αὐτὴν ἡλικίαν πολιτευσαμένων, μὴ μεμελετηκότι τὴν πατρίδα κινεῖν ἑτέρῳ
πολιτεύματι, ἢ δημοκρατίᾳ, καὶ τὰς κρίσεις, καὶ τοὺς νόμους, καὶ τὰ δικαστήρια,
καὶ τὰς οὐσίας πᾶσιν ἀθηναίοις ἐν ἀσφαλεῖ ποιήσαντι διὰ τῆς αὐτοῦ πολιτεί-
ας, καὶ μηδὲν ὑπεναντίον τῇ δημοκρατίᾳ πεπραχότι, μήτε λόγῳ, μήτε ἔργῳ.

Λυκόφρων λυκούργου βουτάδης ἀπεγράψατο αὐτῷ εἶναι σίτησιν ἐν πρυτανείῳ
κατὰ τὴν δοθεῖσαν δωρεὰν ὑπὸ τοῦ δήμου λυκούργῳ βουτάδῃ ἐπὶ ἀναξικράτους
ἄρχοντος ἐπὶ τῆς ἀντιοχίδος ἐν τῇ πρυτανείᾳ, στρατοκλῆς εὐθυδήμου διομει-
εὺς εἶπεν, ἐπειδὴ λυκοῦργος λυκόφρονος βουτάδης παραλαβὼν παρὰ τῶν ἑαυ-
τοῦ προγόνων οἰκείαν ἐκ παλαιοῦ τὴν πρὸς τὸν δῆμον εὔνοιαν, καὶ οἱ πρόγονοι οἱ
λυκούργου, διομήδης τε καὶ λυκοῦργος, καὶ ζῶντες ἐτιμῶντο ὑπὸ τοῦ δήμου, καὶ

τετελευτηκόσιν αὐτοῖς δι᾽ ἀνδραγαθίαν, ἔδωκεν ὁ δῆμος δημοσίας ταφὰς ἐν
Κεραμεικῷ· καὶ Λυκοῦργος αὐτὸς πολιτευόμενος, νόμους τε πολλοὺς καὶ κα-
λοὺς ἔθηκε τῇ πατρίδι, καὶ γενόμενος τῆς κοινῆς προσόδου ταμίας τῇ πό-
λει, ἐπὶ τρεῖς πενταετηρίδας, καὶ διανείμας ἐκ τῆς κοινῆς προσόδου μύρια καὶ
ὀκτακισχίλια καὶ ἐνακόσια τάλαντα, πολλὰ δὲ τῶν ἰδιωτῶν διὰ πίστεως λαβὼν
καὶ προδανείσας, καὶ εἰς τοὺς τῆς πόλεως καιροὺς καὶ τοῦ δήμου, τὰ πάντα ἑ-
ξακόσια καὶ πεντήκοντα τάλαντα, δόξας δὲ ἅπαντα ταῦτα δικαίως διῳκη-
κέναι, πολλάκις ἐστεφανώθη ὑπὸ τῆς πόλεως· ἔτι δὲ αἱρεθεὶς ὑπὸ τοῦ δήμου
χρήματα πολλὰ συνήγαγεν εἰς τὴν ἀκρόπολιν, καὶ παρασκευάσας τῇ θεῷ κό-
σμον, νίκας τε ὁλοχρύσους, πομπεῖά τε χρυσᾶ καὶ ἀργύρεα, καὶ κόσμον χρυ-
σοῦν εἰς ἑκατὸν κανηφόρους· χειροτονηθεὶς δὲ ἐπὶ τῆς τοῦ πολέμου παρασκευῆς,
ὅπλα μὲν πολλὰ καὶ βελῶν μυριάδας πέντε ἀνήνεγκεν εἰς τὴν ἀκρόπολιν, τετρα-
κοσίους δὲ τριήρεις πλωΐμους κατεσκεύασε, τὰς μὲν ἐπισκευάσας, τὰς δὲ ἐξ ἀρχῆς
ναυπηγησάμενος· πρὸς δὲ τούτοις ἡμίεργα παραλαβὼν, τούς τε νεωσοίκους καὶ
τὴν σκευοθήκην, καὶ τὸ θέατρον τὸ Διονυσιακὸν ἐξειργάσατο, καὶ ἐπετέλεσε· τό τε
στάδιον τὸ Παναθηναϊκὸν, καὶ τὸ γυμνάσιον, καὶ τὸ Λύκειον κατεσκεύασεν, καὶ ἄλ-
λαις πολλαῖς κατασκευαῖς ἐκόσμησε τὴν πόλιν· Ἀλεξάνδρου τε τοῦ βασιλέως,
ἅπασαν μὲν τὴν Ἀσίαν κατεστραμμένου, κοινῇ δὲ πᾶσι τοῖς Ἕλλησιν ἐπιτάττειν ἀ-
ξιοῦντος ἐξαιτήσαντος Λυκοῦργον, ὡς ἐναντία πράττοντα αὐτοῦ, οὐκ ἐξέδωκεν ὁ
δῆμος παρ᾽ Ἀλεξάνδρου φόβον, καὶ διδοὺς εὐθύνας πολλάκις τῶν πεπολιτευ-
μένων ἐν ἐλευθέρᾳ καὶ δημοκρατουμένῃ τῇ πόλει, διετέλεσεν ἀνεξέλεγκτος καὶ
ἀδωροδόκητος τὸν ἅπαντα χρόνον, ὅπως ἂν εἰδῶσι πάντες διότι τοὺς προαιρου-
μένους ὑπὲρ τῆς δημοκρατίας καὶ τῆς ἐλευθερίας δικαίως πολιτεύεσθαι, καὶ
ζῶντας μὲν περὶ πλείστου ποιεῖται, καὶ τελευτήσασι δὲ, ἀποδίδωσι χάριτας
ἀειμνήστους, ἀγαθῇ τύχῃ δεδόχθαι τῷ δήμῳ· ἐπαινέσαι μὲν Λυκοῦργον Λυκόφρο-
νος Βουτάδην ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης, καὶ στῆσαι αὐτοῦ τὸν δῆμον
χαλκῆν εἰκόνα ἐν ἀγορᾷ, πλὴν εἴ που ὁ νόμος ἀπαγορεύει μὴ ἱστάναι.
δοῦναι δὲ σίτησιν ἐν πρυτανείῳ τῶν ἐγγόνων ἀεὶ τῷ Λυκούργου
τῷ πρεσβυτάτῳ εἰς ἅπαντα τὸν χρόνον, ἀναθεῖναι δ᾽
αὐτοῦ καὶ εἶναι κύρια πάντα τὰ ψηφίσμα-
τα· τὸν γραμματέα τοῦ δήμου ἐν στήλαις λι-
θίναις, καὶ στῆσαι ἐν ἀκροπόλει πλη-
σίον τῶν ἀναθημάτων, εἰς δὲ τὴν
ἀναγραφὴν τῶν στηλῶν
δοῦναι τὸν ταμί-
αν τοῦ δή-
μου
πεντήκον-
τα δραχμὰς ἐκ
τῶν εἰς τὰ ψηφίσματα
ἀναλισκομένων τῷ δήμῳ.

ΣΤΩΙΚΩΝ ΕΝΑΝΤΙΩΜΑΤΩΝ.

ρῶτον ἀξιῶ τῶν δογμάτων ὁμολογίαν ἐν τοῖς βίοις θεωρεῖσθαι·
δεῖ γὰρ οὐχ οὕτω τὸν ῥήτορα κατ᾽ Αἰσχίνην τὸ αὐτὸ φθέγγεσθαι,
καὶ τὸν νόμον, ὡς τὸν βίον τοῦ φιλοσόφου τῷ λόγῳ σύμφωνον
εἶναι. ὁ γὰρ λόγος τοῦ φιλοσόφου, νόμος αὐθαίρετος καὶ ἴδιός
ἐστιν· εἴ γε δὴ μὴ παιδιὰν καὶ εὑρησιλογίαν ἕνεκα δόξης, ἀλλ᾽ ἔρ-
γον ἄξιον σπουδῆς τῆς μεγίστης, ὥσπερ ἐστὶν ἡγοῦνται φιλοσοφί-
αν. ἐπεὶ τοίνυν πολλὰ μὲν ὡς ἐν λόγοις αὐτῷ Ζήνωνι, πολλὰ δὲ Κλεάνθει, πλεῖ-
στα δὲ Χρυσίππῳ γεγραμμένα τυγχάνει περὶ πολιτείας καὶ τοῦ ἄρχεσθαι καὶ
ἄρχειν, καὶ δικάζειν καὶ ῥητορεύειν, ἐν δὲ τοῖς βίοις οὐδενός ἐστιν εὑρεῖν, οὐ στρατη-
γίαν, οὐ νομοθεσίαν, οὐ πάροδον εἰς βουλὴν, οὐ συνηγορίαν ἐπὶ δικαστῶν, οὐ στρα-
τείαν ὑπὲρ πατρίδος, οὐ πρεσβείαν, οὐκ ἐπίδοσιν· ἀλλ᾽ ἐπὶ ξένης, ὥσπερ τι-
νὸς λωτοῦ γευσάμενοι σχολῆς τὸν πάντα βίον, οὐ βραχὺν, ἀλλὰ παμμήκη γενό-
μενον, διήγαγον ἐν λόγοις καὶ βιβλίοις καὶ περιπάτοις· οὐκ ἄδηλον ὅτι τοῖς
ὑφ᾽ ἑτέρων γραφομένοις, καὶ λεγομένοις μᾶλλον, ἢ τοῖς ὑφ᾽ αὑτῶν ὁμολογουμέ-
νοις ἔζησαν, ἣν Ἐπίκουρος ἡσυχίαν ἐπαινεῖ καὶ Ἱερώνυμος, ἐν ταύτῃ τὸ παράπαν
καταβιώσαντες. αὐτὸς γοῦν Χρύσιππος ἐν τῷ τετάρτῳ περὶ βίων, οὐδὲν οἴε-
ται τὸν σχολαστικὸν βίον τοῦ ἡδονικοῦ διαφέρειν. αὐτὰς δὲ παραθήσομαι τὰς
λέξεις· ὅσοι δὲ ὑπολαμβάνουσι φιλοσόφοις ἐπιβάλλειν μάλιστα τὸν σχολαστικὸν
βίον ἀπ᾽ ἀρχῆς, οὗτοί μοι δοκοῦσι διαμαρτάνειν, ὑπονοοῦντες διαγωγῆς τινος ἕνε-
κεν δεῖν τοῦτο ποιεῖν, ἢ ἄλλου τινὸς τούτῳ παραπλησίου, καὶ τὸν ὅλον βίον οὕ-
τω διελκύσαι. τοῦτο δ᾽ ἔστιν ἂν σαφῶς θεωρηθῇ, ἡδέως· οὐ γὰρ δεῖ λανθάνειν τὴν
ὑπόνοιαν αὐτῶν, πολλῶν μὲν σαφῶς τοῦτο λεγόντων, οὐκ ὀλίγων δὲ ἀδηλότερον.
τίς οὖν μᾶλλον ἐν τῷ σχολαστικῷ βίῳ τούτῳ κατεγήρασεν, ἢ Χρύσιππος, καὶ Κλε-
άνθης, καὶ Διογένης, καὶ Ζήνων, καὶ Ἀντίπατρος, οἵ γε καὶ τὰς αὑτῶν κατέλι-
πον πατρίδας, οὐθὲν ἐγκαλοῦντες, ἀλλ᾽ ὅπως καθ᾽ ἡσυχίαν ἐν τῷ ὠδίονι, καὶ ἐπὶ
Ζωστῆρος σχολάζοντες, καὶ φιλολογοῦντες διάγωσιν. Ἀριστοκρέων γοῦν ὁ Χρυ-
σίππου μαθητὴς καὶ οἰκεῖος, εἰκόνα χαλκῆν ἀναστηλώσας ἐπέγραψε τόδε τὸ ἐλε-
γεῖον· τόνδε νέον Χρύσιππον Ἀριστοκρέων ἀνέθηκε τῶν ἀκαδημιακῶν στραγγαλί-
δων κοπίδα. τοῦτο οὖν ὁ Χρύσιππος ὁ γέρων ὁ φιλόσοφος ὁ τὸν βασιλικὸν καὶ πο-
λιτικὸν ἐπαινῶν βίον, τὸν δὲ σχολαστικὸν οὐθὲν οἰόμενος τοῦ ἡδονικοῦ διαφέρειν.
ὅσοι δὲ ἄλλοι αὐτῶν πολιτείᾳ προσίασιν, ἔτι μᾶλλον ἐναντιοῦνται τοῖς αὑτῶν
δόγμασι· καὶ γὰρ ἄρχουσι, καὶ δικάζουσι, καὶ συμβουλεύουσι, καὶ νομοθετοῦ-
σι, καὶ κολάζουσι, καὶ τιμῶσιν, ὡς πόλεων οὐσῶν ἐν αἷς πολιτεύονται, βουλευτῶν
δὲ καὶ δικαστῶν ἀεὶ τῶν λαγχανόντων, στρατηγῶν δὲ τῶν χειροτονουμένων, νόμων
δὲ τῶν Κλεισθένους καὶ Λυκούργου καὶ Σόλωνος, οὓς φαύλους καὶ ἀνοήτους γε-
γονέναι λέγουσιν, ὥστε καὶ πολιτευόμενοι μάχονται. καὶ μὴν Ἀντίπατρος ἐν
τῷ περὶ τῆς Κλεάνθους καὶ Χρυσίππου διαφορᾶς ἱστόρηκεν, ὅτι Ζήνων καὶ Κλε-
άνθης οὐκ ἠθέλησαν Ἀθηναῖοι γενέσθαι, μὴ δόξωσι τὰς αὑτῶν πατρίδας ἀδι-
κεῖν· ὅτι μὲν εἰ καλῶς οὗτοι, Χρύσιππος οὐκ ὀρθῶς ἐποίησεν ἐγγραφεὶς εἰς τὴν πο-
λιτείαν. παρείσθω· πολλὴν δὲ μάχην καὶ παράλογον ἔχει, τὸ τὰ σώματα καὶ
τοὺς βίους οὕτω μακρὰν ἀποξενώσαντας, τὰ ὀνόματα ταῖς πατρίσι τηρεῖν, ὥσ-
περ εἴ τις τὴν γαμετὴν ἀπολιπὼν, ἑτέρᾳ δὲ συζῶν καὶ συναναπαυόμενος καὶ παι-
δοποιούμενος ἐξ ἑτέρας, μὴ συγγράφοιτο γάμον, ὅπως ἀδικεῖν μὴ δοκῇ τὴν προ-
τέραν. Χρύσιππος δὲ πάλιν ἐν τῷ περὶ ῥητορικῆς γράφων, οὕτω ῥητορεύσειν

καὶ πολιτεύεσθαι, τὸν σοφὸν, ὡς καὶ τοῦ πλούτου ὄντος ἀγαθοῦ, καὶ τῆς δόξης καὶ τῆς ὑγείας, ὁμολογεῖ τοὺς λόγους αὐτοῦ ἀνεξόδους εἶναι καὶ ἀπολιτεύτους, καὶ τὰ δόγματα ταῖς χρείαις ἀνάρμοστα καὶ ταῖς πράξεσιν. ἔτι δόγμα Ζήνωνός ἐστιν, ἱερὰ θεῶν μὴ οἰκοδομεῖν. ἱερὸν γὰρ μὴ πολλοῦ ἄξιον καὶ ἅγιον οὐκ ἔστιν. οἰκοδόμων δὲ ἔργον καὶ βαναύσων, οὐδέν ἐστι πολλοῦ ἄξιον. οἱ δὲ ταῦτ' ἐπαινοῦντες, ὡς εὖ ἔχοντα, μυοῦνται μὲν ἐν ἱεροῖς, ἀναβαίνουσι δ' εἰς ἀκρόπολιν, προσκυνοῦσι δὲ τὰ ἕδη, καὶ στεφανοῦσι τοὺς ναοὺς, οἰκοδόμων ὄντας ἔργα, καὶ βαναύσων ἀνθρώπων, εἶτα τοὺς Ἐπικουρείους ἐλέγχεσθαι δοκοῦσι θύοντας θεοῖς. αὐτοὶ δὲ μᾶλλον ἐλέγχονται θύοντες ἐπὶ τῶν βωμῶν καὶ τῶν ἱερῶν, ἃ μήτ' εἶναι, μήτ' οἰκοδομεῖσθαι δεῖν ἀξιοῦσιν. ἀρετὰς ὁ Ζήνων ἀπολείπει πλείονας κατὰ διαφορὰς, ὥσπερ ὁ Πλάτων, οἷον φρόνησιν, ἀνδρείαν, σωφροσύνην, δικαιοσύνην, ὡς ἀχωρίστους μὲν οὔσας, ἑτέρας δὲ καὶ διαφερούσας ἀλλήλων. πάλιν δὲ ὁριζόμενος αὐτῶν ἑκάστην, τὴν μὲν ἀνδρείαν φησὶ φρόνησιν εἶναι ἐν ἐνεργητέοις· τὴν δὲ δικαιοσύνην φρόνησιν ἐν ἀπονεμητέοις, ὡς μίαν οὖσαν ἀρετὴν, ταῖς δὲ πρὸς τὰ πράγματα σχέσεσι κατὰ τὰς ἐνεργείας διαφέρειν δοκοῦσαν. οὐ μόνον δὲ ὁ Ζήνων περὶ ταῦτα φαίνεται αὑτῷ μαχόμενος, ἀλλὰ καὶ Χρύσιππος, Ἀρίστωνι μὲν ἐγκαλῶν, ὅτι μιᾶς ἀρετῆς σχέσεις ἔλεγε τὰς ἄλλας εἶναι, Ζήνωνι δὲ συνηγορῶν οὕτως ὁριζομένῳ τῶν ἀρετῶν ἑκάστην. ὁ δὲ Κλεάνθης ἐν ὑπομνήμασι φυσικοῖς εἰπὼν, ὅτι πληγὴ πυρὸς ὁ τόνος ἐστὶ, κἂν ἱκανὸς ἐν τῇ ψυχῇ γένηται πρὸς τὸ ἐπιτελεῖν τὰ ἐπιβάλλοντα, ἰσχὺς καλεῖται καὶ κράτος, ἐπιφέρει κατὰ λέξιν, ἡ δὲ ἰσχὺς αὕτη καὶ τὸ κράτος, ὅταν μὲν ἐπὶ τοῖς ἐπιφανέσιν ἐμμενετέοις ἐγγένηται, ἐγκράτειά ἐστιν. ὅταν δ' ἐν τοῖς ὑπομενετέοις, ἀνδρεία. περὶ τὰς ἀξίας δὲ δικαιοσύνη. περὶ τὰς αἱρέσεις καὶ ἐκκλίσεις σωφροσύνη. πρὸς τὸν εἰπόντα· μηδὲ δίκην δικάσῃς, πρὶν ἄμφω μῦθον ἀκούσῃς, ἀντέλεγεν ὁ Ζήνων, τοιούτῳ τινὶ λόγῳ χρώμενος· εἴτ' ἀπέδειξεν ὁ πρότερος εἰπὼν, οὐκ ἀκουστέον τοῦ δευτέρου λέγοντος, πέρας γὰρ ἔχει τὸ ζητούμενον, εἴτ' οὐκ ἀπέδειξεν. ὅμοιον γὰρ ὡς εἰ μηδὲ ὑπήκουσε κληθεὶς, ἢ ὑπακούσας ἐτερέτισεν, ἤτοι δὲ ἀπέδειξεν, ἢ οὐκ ἀπέδειξεν. οὐκ ἀκουστέον ἄρα τοῦ δευτέρου λέγοντος. τοῦτον δὲ τὸν λόγον ἐρωτήσας αὐτὸς, ἀντέγραφε μὲν πρὸς τὴν Πλάτωνος πολιτείαν. ἔλυε δὲ σοφίσματα, καὶ τοῖς μαθηταῖς τὴν διαλεκτικὴν, ὡς τοῦτο ποιεῖν δυναμένην, ἐκέλευε παραλαμβάνειν· καίτοι ἢ ἀπέδειξε Πλάτων, ἢ οὐκ ἀπέδειξε τὰ ἐν τῇ πολιτείᾳ· κατ' οὐδέτερον δ' ἦν ἀναγκαῖον ἀντιγράφειν. ἀλλὰ πάντως περιττὸν καὶ μάταιον. τὸ δ' αὐτὸ καὶ περὶ τῶν σοφισμάτων ἐστὶν εἰπεῖν. ὁ Χρύσιππος οἴεται δεῖν τῶν λογικῶν πρῶτον ἀκροᾶσθαι τοὺς νέους· δεύτερον δὲ τῶν ἠθικῶν, μετὰ δὲ ταῦτα τῶν φυσικῶν· ὡσαύτως δὲ τούτοις τὸν περὶ θεῶν λόγον ἔσχατον παραλαμβάνειν. πολλαχοῦ δὲ τούτων ὑπ' αὐτοῦ λεγομένων, ἀρκέσει παραθέσθαι τὰ ἐν τῷ τετάρτῳ περὶ βίων ἔχοντα κατὰ λέξιν οὕτω· πρῶτον μὲν οὖν δοκεῖ μοι κατὰ τὰ ὀρθῶς ὑπὸ τῶν ἀρχαίων εἰρημένα, τρία γένη τῶν τοῦ φιλοσόφου θεωρημάτων εἶναι. τὰ μὲν, λογικά· τὰ δὲ, ἠθικά· τὰ δὲ, φυσικά. εἶτα τούτων δεῖ προτάττεσθαι, πρῶτα μὲν τὰ λογικά· δεύτερα δὲ, τὰ ἠθικά· τρίτα δὲ, τὰ φυσικά· τῶν δὲ φυσικῶν ἔσχατος εἶναι ὁ περὶ τῶν θεῶν λόγος· διὸ καὶ τελετὰς ἠγόρευσαν τὰς τούτων παραδόσεις. ἀλλὰ τοῦτόν γε τὸν λόγον ὃν ἔσχατόν φησι δεῖν τάττεσθαι περὶ θεῶν, ἔθει προτάττει καὶ προεκτίθησι παντὸς ἠθικοῦ ζητήματος. οὔτε γὰρ περὶ τελῶν, οὔτε περὶ δικαιοσύνης, οὔτε περὶ ἀγαθῶν καὶ κακῶν, οὔτε περὶ γάμου καὶ παιδοτροφίας, οὔτε περὶ νόμου καὶ πολιτείας φαίνεται τὸ παράπαν φθεγγόμενος, εἰ μὴ καθάπερ οἱ τὰ ψηφίσματα ταῖς πόλεσιν εἰσφέροντες προγράφουσιν

ἔξιν .l.

ἀγαθὴν τύχην, οὕτω καὶ αὐτὸς προγράψειε τὸν Δία, τὴν εἱμαρμένην, τὴν πρόνοιαν, τὸ συνέχεσθαι μιᾷ δυνάμει τὸν κόσμον ἕνα ὄντα, καὶ πεπερασμένον· ὧν οὐδὲν ἔστι πεισθῆναι, μὴ διὰ βάθους ἐγκραθέντα τοῖς φυσικοῖς λόγοις. ἄκουε δὲ, ἃ λέγει περὶ τούτων ἐν τῷ τρίτῳ περὶ θεῶν. οὐ γάρ ἐστιν εὑρεῖν τῆς δικαιοσύνης ἄλλην ἀρχὴν, οὐδὲ ἄλλην γένεσιν, ἢ τὴν ἐκ τοῦ Διὸς, καὶ τὴν ἐκ τῆς κοινῆς φύσεως. ἐντεῦθεν γὰρ δεῖ πᾶν τὸ τοιοῦτον τὴν ἀρχὴν ἔχειν, εἰ μέλλομεν ἐρεῖν τι περὶ ἀγαθῶν καὶ κακῶν. πάλιν ἐν ταῖς φυσικαῖς θέσεσιν. οὐ γάρ ἐστιν ἄλλως, οὐδὲ οἰκειότερον ἐπελθεῖν ἐπὶ τὸν τῶν ἀγαθῶν καὶ κακῶν λόγον, οὐδ' ἐπὶ τὰς ἀρετὰς, οὐδ' ἐπὶ εὐδαιμονίαν, ἀλλὰ ἐπὶ τῆς κοινῆς φύσεως, καὶ ἀπὸ τῆς τοῦ κόσμου διοικήσεως.

ἀλλ' ἢ ἀπὸ .l.

προελθὼν δὲ αὖθις, δεῖ γὰρ τούτοις συνάψαι τὸν περὶ ἀγαθῶν καὶ κακῶν λόγον, οὐκ οὔσης ἄλλης ἀρχῆς αὐτῶν ἀμείνονος, οὐδὲ ἀναφορᾶς, οὐδ' ἄλλου τινὸς ἕνεκεν τῆς φυσικῆς θεωρίας παραληπτῆς οὔσης, ἢ πρὸς τὴν περὶ ἀγαθῶν, ἢ κακῶν διάστασιν. γίνεται τοίνυν ἅμα πρόσω καὶ ὀπίσω τῶν ἠθικῶν ὁ φυσικὸς λόγος κατὰ Χρύσιππον. μᾶλλον δὲ ὅλως ἄπορος ἡ περιτροπὴ τῆς τάξεως, εἰ μετὰ ταῦτα τακτέον ἐκεῖνον, ὧν καταλαβεῖν οὐδὲν ἐκείνου χωρίς ἐστιν, καὶ πρόδηλος ἡ μάχη τοῦ τὸν φυσικὸν λόγον, ἀρχὴν μὲν εἶναι τοῦ περὶ ἀγαθῶν καὶ κακῶν τιθεμένου, κελεύοντος δὲ μὴ πρότερον, ἀλλ' ὕστερον ἐκείνων παραδίδοσθαι. εἰ δέ τις ἐρεῖ γεγραφέναι τὸν Χρύσιππον, ἐν τῷ περὶ λόγου χρήσεως, ὡς οὐ καθάπαξ ἀφεκτέον ἐστὶ τῶν ἄλλων τῷ τὴν λογικὴν ἀναλαμβάνοντι πρώτην, ἀλλὰ κἀκείνων μεταληπτέον κατὰ τὸ διδόμενον, ἀληθῆ μὲν ἐρεῖ, βεβαιώσει τὴν αἰτίαν. μάχεται γὰρ πρὸς ἑαυτὸν, ὅπου μὲν ἔσχατον τὸν περὶ θεοῦ λόγον ἀναλαμβάνειν κελεύων καὶ τελευταῖον, ὡς διὰ τοῦτο καὶ τελετὴν προσαγορευόμενον. ὅπου δὲ πάλιν ἐν πρώτοις ἅμα καὶ τούτου μεταληπτέον εἶναι λέγων. οἴχεται γὰρ ἡ τάξις, εἰ πάντων ἐν πᾶσι μεταλαμβάνειν δεήσει. τὸ δὲ μεῖζον ὅτι τοῦ περὶ ἀγαθῶν καὶ κακῶν λόγου, περὶ θεῶν ἀρχὴν πεποιημένος, οὐκ ἀπὸ τούτου κελεύει τῶν ἠθικῶν ἀρξαμένους ἀναλαμβάνειν. ἀλλ' ἐκεῖνον ἀναλαμβάνοντας τούτου μεταλαμβάνειν κατὰ τὸ διδόμενον, εἶτα μεταβαίνειν ἐπὶ τοῦτον ἀπ' ἐκείνων, οὗ χωρὶς, οὐδεμίαν ἀρχὴν ἀπ' ἐκείνων οὐδ' ἔφοδον εἶναί φησι. τὸ πρὸς τὰ ἐναντία διαλέγεσθαι καθόλου μὲν οὔ φησιν ἀποδοκιμάζειν. χρῆσθαι δὲ οὕτω παραινεῖ μετὰ εὐλαβείας, ὥσπερ ἐν τοῖς δικαστηρίοις μὴ μετὰ συνηγορίας, ἀλλὰ διαλύοντας αὐτῶν τὸ πιθανόν. τοῖς μὲν γὰρ ἐποχὴν ἄγουσι περὶ πάντων, ἐπιβάλλει φησὶ τοῦτο ποιεῖν, καὶ συνεργόν ἐστι πρὸς ὃ βούλονται. τοῖς δ' ἐπιστήμην ἐνεργαζομένοις καθ' ἣν ὁμολογουμένως βιωσόμεθα, τὰ ἐναντία στοιχειοῦν, καὶ καταστοιχίζειν τοὺς εἰσαγομένους ἀπ' ἀρχῆς μέχρι τέλους. ἐφ' ὧν καιρός ἐστι μνησθῆναι καὶ τῶν ἐναντίων λόγων, διαλύοντας αὐτῶν τὸ πιθανὸν, καθάπερ καὶ ἐν τοῖς δικαστηρίοις. ταυτὶ γὰρ αὐταῖς λέξεσιν εἴρηκεν. ὅτι μὲν οὖν ἄτοπόν ἐστι τοὺς φιλοσόφους τὸν ἐναντίον λόγον οἰομένους δεῖν τιθέναι, μὴ μετὰ συνηγορίας, ἀλλ' ὁμοίως τοῖς δικολόγοις κακουργοῦντα, ὥσπερ οὐ πρὸς τὴν ἀλήθειαν, ἀλλὰ περὶ νίκης ἀγωνιζομένους, εἴρηται πρὸς αὐτὸν δι' ἑτέρων. ὅτι δὲ αὐτὸς οὐκ ἐν ὀλίγοις, ἀλλὰ πολλαχοῦ τοὺς ἐναντίους, οἷς δοκιμάζει λόγους κατεσκεύακεν, ἐρρωμένως καὶ μετὰ σπουδῆς καὶ φιλοτιμίας τοσαύτης, ὥστε μὴ παντὸς εἶναι καταμαθεῖν τὸ ἀρέσκον· αὐτοί δή που λέγουσι τὴν δεινότητα θαυμάζοντες τοῦ ἀνδρὸς, καὶ τὸν Καρνεάδην οὐθὲν οἰόμενοι λέγειν ἴδιον, ἀλλ' ἐξ ὧν ἐπιχειρεῖ Χρύσιππος εἰς τοὐναντίον ὁρμώμενον ἐπιτίθεσθαι τοῖς λόγοις αὐτοῦ, καὶ πολλάκις παραφθέγγεσθαι, δαιμόνιε φθίσει σε τὸ σὸν μένος, ὡς μεγάλας ἀφορμὰς καθ' ἑαυτοῦ διδόντα τοῖς κινεῖν τὰ δόγματα καὶ διαβάλλειν βουλομένοις.

ἐπὶ δὲ τοῖς κατὰ συνήθειαν ἐκδοθεῖσιν, οὕτω κομῶσιν καὶ μεγαληγοροῦσιν, ὥσ-
τε τοὺς πάντων ὁμοῦ τῶν ἀκαδημαϊκῶν λόγους εἰς ταυτὸ συμφορηθέντας, οὐκ
ἀξίους εἶναι παραβαλεῖν, οἷς Χρύσιππος ἔγραψεν εἰς διαβολὴν τῶν αἰσθήσεων·
καὶ τοῦτο μὲν ἀπειρίας τῶν λεγόντων, ἢ φιλαυτίας σημεῖόν ἐστιν· ἐκεῖνο δὲ ἀλη-
θὲς, ὅτι βουληθεὶς αὖθις συνειπεῖν τῇ συνηθείᾳ καὶ ταῖς αἰσθήσεσι, ἐνδεέστερος
γέγονεν αὑτοῦ, καὶ τὸ σύνταγμα τοῦ συντάγματος μαλακώτερον. ὥστε αὐ-
τὸν ἑαυτῷ μάχεσθαι, κελεύοντα μὲν ἀεὶ τὰ ἐναντία, μὴ μετὰ συνηγορίας, ἀλ-
λὰ μετὰ ἐνδείξεως, τοῦ ὅτι ψευδής ἐστι παρατίθεσθαι· τῶν δὲ αὑτοῦ δογμάτων
κατήγορον ὄντα δεινότερον ἢ συνήγορον, καὶ φυλάττεσθαι μὲν ἑτέροις παραι-
νοῦντα τοὺς ἐναντίους λόγους, ὡς περισπῶντας τὴν κατάληψιν, αὐτὸν δὲ τῶν
βεβαιούντων τὴν κατάληψιν λόγων, φιλοτιμότερον συντιθέντα τοὺς ἀναιροῦν-
τας. καὶ τοι ὅτι τοῦτο αὐτὸ φοβεῖται, σαφῶς ὑποδείκνυσιν ἐν τῷ τετάρτῳ
περὶ βίων ταῦτα γράφων, οὐχ ὡς ἔτυχε δὲ, οὐδὲ τοὺς ἐναντίους ὑποδεικτέον
λόγους, οὐδὲ πρὸς τὰ ἐναντία πιθανὰ, ἀλλ' εὐλαβουμένους μὴ καὶ περισπασθέν-
τας ὑπ' αὐτῶν, τὰς καταλήψεις ἀφῶσιν· οὐδὲ τῶν λύσεων ἱκανῶς ἂν ἀκοῦσαι
δυνάμενοι, καταλαμβάνοντές τε εὐαποσείστως, ἐπεὶ καὶ οἱ κατὰ συνήθειαν κα-
ταλαμβάνοντες, καὶ τὰ αἰσθητὰ, καὶ τὰ ἄλλα ἐκ τῶν αἰσθήσεων ῥᾳδίως προΐ-
ενται ταῦτα, καὶ ὑπὸ τῶν μεγαρικῶν ἐρωτημάτων περισπώμενοι, καὶ ὑπ' ἄλ-
λων πλειόνων καὶ δυναμικωτέρων ἐρωτημάτων. ἡδέως ἂν οὖν πυθοίμην τῶν
στωϊκῶν, εἰ τὰ μεγαρικὰ ἐρωτήματα δυναμικώτερα νομίζουσιν εἶναι τῶν ὑπὸ
Χρυσίππου κατὰ τῆς συνηθείας ἐν ἓξ βιβλίοις γεγραμμένων, ἢ τοῦτο παρ' αὐ-
τοῦ Χρυσίππου δεῖ πυνθάνεσθαι· σκόπει γὰρ οἷα περὶ τοῦ μεγαρικοῦ λόγου γέγρα-
φεν, ἐν τῷ περὶ λόγου χρήσεως οὕτως, οἷόν τι συμβέβηκε καὶ ἐπὶ τοῦ Στίλπω-
νος λόγου, καὶ Μενεδήμου· σφόδρα γοῦν ἐπὶ σοφίᾳ γενομένων αὐτῶν ἐνδόξων,
νῦν εἰς ὄνειδος αὐτῶν ὁ λόγος περιτέτραπται, ὡς τῶν μὲν παχύτερον, τῶν δὲ ἐκ-
φανῶς σοφιζομένων ἔργα. τούτους μὲν ὦ βέλτιστε τοὺς λόγους ὧν καταγε-
λᾷς, καὶ καλεῖς ὀνείδη τῶν ἐρωτώντων ὡς ἐμφανῆ τὴν κακίαν ἔχοντας, ὅμως
δέδιας, μή τινας περισπάσωσιν ἀπὸ τῆς καταλήψεως· αὐτὸς δὲ τοσαῦτα βι-
βλία γράφων κατὰ τῆς συνηθείας, οἷς τι ἂν εὗρες προσέθηκας, ὑπερβαλέ-
σθαι φιλοτιμούμενος τὸν Ἀρκεσίλαον, οὐδένα τῶν ἐντυγχανόντων ἐπιταράξειν
προσεδόκησας· οὐδὲ γὰρ ψιλοῖς χρῆται τοῖς κατὰ συνηθείας ἐπιχειρήμασιν,
ἀλλ' ὥσπερ ἐν δίκῃ μετὰ πάθους τινὸς συνεπιπάσχων, μωρολογεῖν τε πολλά-
κις λέγει, καὶ κενοκοπεῖν· ἵνα τοίνυν μηδ' ἀντίρρησιν ἀπολίπῃ τοῦ τὰ ἐναντία
λέγειν, ἐν μὲν ταῖς φυσικαῖς θέσεσι ταῦτα γέγραφεν· ἔσται δὲ καὶ καταλαμ-
βάνοντάς τι πρὸς τὰ ἐναντία ἐπιχειρεῖν, τὴν ἐνοῦσαν συνηγορίαν ποιουμένους· πο-
τὲ δὲ οὐδέτερον καταλαμβάνοντας εἰς ἑκάτερον τὰ ὄντα λέγειν. ἐν δὲ τῷ περὶ
τῆς τοῦ λόγου χρήσεως εἰπὼν, ὡς οὐ δεῖ τῇ τοῦ λόγου δυνάμει πρὸς τὰ μὴ ἐπιβάλ-
λοντα χρῆσθαι, καθάπερ οὐδὲ ὅπλοις, ταῦτα ἐπείρηκε· πρὸς μὲν γὰρ τὴν τῶν
ἀληθῶν εὕρεσιν, δεῖ χρῆσθαι αὐτοῖς, καὶ πρὸς τὴν τούτων συγγυμνασίαν, εἰς τἀναν-
τία δ' οὔ, πολλῶν ποιούντων τοῦτο, πολλοὺς δὲ λέγων ἴσως τοὺς ἐπέχοντας· ἀλλ' ἐκεῖ-
νοι μὲν οὐδέτερον καταλαμβάνοντες εἰς ἑκάτερον ἐπιχειροῦσιν, ὡς εἴ τι καταληπτόν
ἐστιν οὕτως, ἂν μόνως ἢ μάλιστα κατάληψιν ἑαυτῆς τὴν ἀλήθειαν παρέχουσαν·
σὺ δ' ὁ κατηγορῶν ἐκείνων, αὐτός τε τἀναντία γράφων, οἷς καταλαμβάνεις περὶ
τῆς συνηθείας, ἑτέρους τε τοῦτο ποιεῖν μετὰ συνηγορίας, προτρεπόμενος ἐν ἀχρή-
στοις καὶ βλαβεροῖς, ὁμολογεῖς τῇ τοῦ λόγου δυνάμει χρώμενος, ὑπὸ φιλοτιμίας νε-
ανιεύεσθαι. τὸ κατόρθωμά φασιν νόμου πρόσταγμα εἶναι, τὸ δ' ἁμάρτημα, νόμου
ἀπα-

ἀπαγόρευμα· διὸ τὸν νόμον πολλὰ τοῖς φαύλοις ἀπαγορεύειν, προστάττειν δὲ μη-
δέν· οὐ γὰρ δύνανται κατορθοῦν. καὶ τίς οὐκ οἶδεν ὅτι τῷ μὴ δυναμένῳ κατορθοῦν
ἀδύνατόν ἐστι μὴ ἁμαρτάνειν· αὐτὸν οὖν αὑτῷ μαχόμενον ποιοῦσι τὸν νόμον, προσ-
τάττοντα μὲν, ἃ ποιεῖν ἀδυνατοῦσιν, ἀπαγορεύοντα δὲ ὧν ἀπέχεσθαι μὴ δύναν-
ται. ὁ γὰρ μὴ δυνάμενος σωφρονεῖν ἄνθρωπος, οὐ δύναται μὴ ἀκολασταίνειν, καὶ ὁ
μὴ δυνάμενος φρονεῖν, οὐ δύναται μὴ ἀφραίνειν. αὐτοί γε μὴν λέγουσι τοὺς ἀ-
παγορεύοντας, ἄλλο μὲν λέγειν, ἄλλο δὲ ἀπαγορεύειν, ἄλλο δὲ προστάσσειν· ὁ γὰρ
λέγων μὴ κλέψῃς, λέγει μὲν αὐτὸ τοῦτο μὴ κλέψῃς, ἀπαγορεύει δὲ μὴ κλέπτειν·
οὐδὲν οὖν ἀπαγορεύσει τοῖς φαύλοις ὁ νόμος. εἰ δὲ μὴ προστάξειέ τι· καὶ τὸν ἰατρὸν
τῷ μαθητῇ προστάττειν λέγουσι τεμεῖν καὶ καῦσαι, κατὰ παράλειψιν, τοῦ εὐ-
καίρως καὶ μετρίως· καὶ τὸν μουσικὸν λυρίσαι καὶ ᾆσαι κατὰ παράλειψιν τοῦ ἐμ-
μελῶς καὶ συμφώνως· διὸ τοὺς ταῦτα ποιήσαντας ἀτέχνως καὶ κακῶς κολάζου-
σιν, ὡς προσετάχθη γὰρ ὀρθῶς, οἱ δὲ, οὐκ ὀρθῶς ἐποίησαν. οὐκοῦν καὶ ὁ σοφὸς τῷ
θεράποντι προστάττων εἰπεῖν τι καὶ πρᾶξαι, κἂν μὴ εὐκαίρως τοῦτο πράξῃ, μὴ
δὲ ὡς δεῖ κολάζων, δῆλός ἐστι κατόρθωμα προστάττων, οὐ μέσον. εἰ δὲ μέγα προστάτ-
τουσιν οἱ σοφοὶ τοῖς φαύλοις, τί κωλύει καὶ τὰ τοῦ νόμου προστάγματα τοιαῦ-
τα εἶναι, καὶ μὴν ἡ ὁρμὴ κατά γε αὐτὸν τοῦ ἀνθρώπου λόγος ἐστὶ προστακτικὸς
αὐτῷ τοῦ ποιεῖν ὡς ἐν τῷ περὶ νόμου γέγραφεν. οὐκοῦν καὶ ἡ ἀφορμὴ λόγος ἀ-
παγορευτικὸς, καὶ ἡ ἔκκλισις, καὶ εὔλογος ἔκκλισις. καὶ ἡ εὐλάβεια τοίνυν
λόγος ἐστὶ ἀπαγορευτικὸς τῷ σοφῷ· τὸ γὰρ εὐλαβεῖσθαι σοφῶν ἴδιον, οὐ φαύλων
ἐστίν. εἰ μὲν οὖν ἕτερόν ἐστιν ὁ τοῦ σοφοῦ λόγος, καὶ ἕτερον ὁ νόμος· μαχόμενον τῷ νό-
μῳ λόγον οἱ σοφοὶ τὴν εὐλάβειαν ἔχουσιν. εἰ δ' οὐκ ἄλλο τι νόμος ἐστὶν, ἢ ὁ τοῦ σοφοῦ
λόγος, εὕρηται νόμος ἀπαγορεύων τοῖς σοφοῖς ποιεῖν ἃ εὐλαβοῦνται. τοῖς φαύ-
λοις οὐδὲν εἶναι χρήσιμον ὁ Χρύσιππός φησιν, οὐδ' ἔχειν χρείαν τῶν φαύλων οὐ-
δενὸς, οὐδὲ δεῖσθαι. ταῦτα δ' εἰπὼν, ἐν τῷ πρώτῳ τῶν κατορθωμάτων, αὖθις λέ-
γει, καὶ τὴν εὐχρηστίαν καὶ τὴν χάριν, εἰς τὰ μέσα διατείνειν, ὧν οὐδέν ἐστι χρήσι-
μον κατ' αὐτούς, καὶ μὴν οὐδ' οἰκεῖον, οὐδ' ἁρμόττον, οὐδὲν εἶναι τῷ φαύλῳ φησὶν
ἐν τούτοις. κατ' αὐτὰ δὲ, τῷ μὲν ἀστείῳ ἀλλότριον οὐδὲν, τῷ δὲ φαύλῳ, οὐδὲν οἰκεῖ-
όν ἐστιν. ἐπειδὴ τὸ μὲν, ἀγαθόν· τὸ δὲ, κακόν ἐστιν αὐτῶν. πῶς οὖν ἀποκναίει πάλιν
ἐν παντὶ βιβλίῳ φυσικῷ ἰδίᾳ καὶ ἠθικῷ γράφων, ὡς οἰκειούμεθα πρὸς αὐτοὺς
εὐθὺς γενόμενοι, καὶ τὰ μέρη καὶ τὰ ἔκγονα τὰ ἑαυτῶν. ἐν δὲ τῷ πρώτῳ περὶ δι-
καιοσύνης καὶ τὰ θηρία φησὶ συμμέτρως τῇ χρείᾳ τῶν ἐκγόνων ᾠκειῶσθαι πρὸς
αὐτὰ, πλὴν τῶν ἰχθύων, αὐτὰ γὰρ τὰ κύματα τρέφεται δι' αὐτῶν. ἀλλ' οὔτε αἴ-
σθησίς ἐστιν, οἷς μηδὲν αἰσθητὸν, οὔτε οἰκείωσις, οἷς μηδὲν οἰκεῖον. ἡ γὰρ οἰκείωσις αἴ-
σθησις ἔοικε τοῦ οἰκείου καὶ ἀντίληψις εἶναι, καὶ τὸ δόγμα τοῦτο τοῖς κυριωτάτοις
ἑπόμενόν ἐστι. καὶ Χρύσιππος, εἰ καὶ πολλὰ πρὸς τοὐναντίον γέγραφε, δῆλός
ἐστι προστιθέμενος τῷ μήτε κακίαν κακίας, ἢ ἁμαρτίαν ἁμαρτίας ὑπερέχου-
σαν εἶναι, μήτε ἀρετὴν ἀρετῆς, ἢ κατόρθωσιν κατορθώσεως, ὥς γέ φησιν ἐν τῷ τρίτῳ περὶ
φύσεως, ὥσπερ τῷ Διὶ προσήκει σεμνύνεσθαι ἐπ' αὐτῷ τε καὶ τῷ βίῳ καὶ μέ-
γα φρονεῖν· καὶ εἰ δεῖ οὕτως εἰπεῖν ὑψαυχεῖν καὶ κομᾶν, καὶ μεγαληγορεῖν ἀξίως βι-
οῦντι μεγαληγορίας, οὕτω τοῖς ἀγαθοῖς πᾶσι ταῦτα προσήκει κατ' οὐθὲν προεχο-
μένοις ὑπὸ τοῦ Διός. ἀλλ' αὐτός γε πάλιν ἐν τῷ τρίτῳ περὶ δικαιοσύνης φησὶν, ὅτι
δικαιοσύνην ἀναιροῦσιν, οἱ τέλος ὑποτιθέμενοι τὴν ἡδονήν· οἱ δὲ μόνον ἀγαθὸν εἶναι λέ-
γοντες, οὐκ ἀναιροῦσιν. ἔστι δὲ ταυτὶ κατὰ λέξιν· τάχα γὰρ ἀγαθοῦ αὐτῆς ἀπολειπομένης,
τέλους δὲ μή· τοῦ δὲ δι' αὑτὸ αἱρετῶν ὄντων καὶ τοῦ καλοῦ σώζοιμεν ἂν τὴν δικαιοσύνην,
μεῖζον ἀγαθὸν ἀπολιπόντες τὸ καλὸν καὶ τὸ δίκαιον τῆς ἡδονῆς. ἀλλ' εἴπερ μόνου

κυήματα .l.

τὸ καλὸν ἀγαθόν ἐστιν· ἁμαρτάνει μὲν ὁ τὴν ἡδονὴν ἀγαθὸν ἀποφαίνων, ἧττον δ' ἁμαρτάνει, τοῦ καὶ τέλος αὐτὴν ποιοῦντος· ἀναιρεῖ γοῦν οὗτος τὴν δικαιοσύνην, ἐκεῖνος σώζει· καὶ κατὰ τοῦτον ἡ κοινωνία φροῦδός ἐστι, καὶ ἀπόλωλεν, ᾧ δὴ χρηστότητι καὶ φιλανθρωπίᾳ χώραν δίδωσιν. ἔτι τὸ μὲν λέγειν αὐτὸν ἐν τῷ περὶ τοῦ Διὸς αὔξεσθαι τὰς ἀρετὰς, καὶ διαβαίνειν ἀφίημι, μὴ δόξω τῶν ὀνομάτων ἐπιλαμβάνεσθαι· καίτοι πικρῶς ἐν τῷ γένει τούτῳ, καὶ Πλάτωνα, καὶ τοὺς ἄλλους τοῦ Χρυσίππου δάκνοντος, ἐπαινεῖν δὲ μὴ πᾶν τὸ πραττόμενον κατ' ἀρετὴν κελεύων, ἐμφαίνει τινὰ τῶν κατορθωμάτων διαφοράν, λέγει δὲ οὕτως, ἐν τῷ περὶ τοῦ Διός· ἔργων γὰρ κατὰ τὰς ἀρετὰς ὄντων, οἰκεῖόν ἐστι τὰ προενεχθέντα καὶ τούτων, οἷον ἀνδρείως τὸν δάκτυλον ἐκτεῖναι, καὶ ἐγκρατῶς ἀποσχέσθαι, δυσθανατώσης γραὸς, καὶ ἀπροπτώτως ἀκοῦσαι, τοῦ τὰ τρία τέσσαρα μὴ εἶναι τελέως, τινὰ ἐμφαίνει ψυχρίαν, ὁ διὰ τῶν τοιούτων ἐπαινεῖν τινας ἐγχειρῶν καὶ ἐγκωμιάζων. ὅμοια δ' εἴρηται τούτοις ἐν τῷ τρίτῳ περὶ θεῶν· ἔτι γὰρ οἶμαι ἀπό φησι τοὺς ἐπαίνους ἀλλοτριώσεσθαι κατὰ τὰ τοιαῦτα τῶν συμβαινόντων ἀπὸ ἀρετῆς, οἷον δυσθανατώσης γραὸς ἀποσχέσθαι, καὶ καρτερῆσαι μυίας δηγμόν. τίνα οὖν οὗτος ἄλλον κατήγορον, περιμένει τῶν αὐτοῦ δογμάτων; εἰ γὰρ ψυχρός ἐστιν ὁ ταῦτα ἐπαινῶν, πολλῷ δήπου ψυχρότερος, ὁ τούτων ἕκαστον κατόρθωμα καὶ μέγα καὶ μέγιστον εἶναι τιθέμενος. εἰ γὰρ ἴσον ἐστὶ τῷ ἀνδρείῳ, δῆγμα μυίας ἐνεγκεῖν, καὶ τὸ σωφρόνως ἀποσχέσθαι τῆς γραὸς, οὐδὲν οἶμαι διαφέρει τὸν σπουδαῖον ἀπὸ τούτων, ἢ ἀπ' ἐκείνων ἐπαινεῖσθαι. ἔτι τοίνυν ἐν τῷ δευτέρῳ περὶ φιλίας διδάσκων, ὡς οὐκ ἐπὶ πᾶσι δεῖ τοῖς ἁμαρτήμασι τὰς φιλίας διαλύεσθαι, ταύταις κέχρηται ταῖς λέξεσιν· προσήκει γὰρ τὰ μὲν ὅλως παραπέμπεσθαι, τὰ δὲ μικρᾶς ἐπιστροφῆς τυγχάνειν, τὰ δὲ καὶ ἐπὶ μεῖζον, τὰ δ' ὅλως διαλύσεως ἀξιοῦσθαι. ὃ δὲ τούτου μεῖζόν ἐστιν, ἐν τῷ αὐτῷ φησιν, ὅτι τοῖς μὲν ἐπὶ πλεῖον, τοῖς δ' ἐπ' ἔλαττον συμβαλοῦμεν· ὥστε τοὺς μὲν μᾶλλον, τοὺς δ' ἧττον φίλους εἶναι· ἐπὶ πολὺ δὲ τῆς τοιαύτης παραλλαγῆς γινομένης· οἱ μὲν γὰρ τοιαύτης, οἱ δὲ τοσαύτης γίνονται φιλίας ἄξιοι, καὶ οἱ μὲν ἐπὶ τοσοῦτον πίστεως καὶ τῶν ὁμοίων καταξιωθήσονται. τί γὰρ ἄλλο πεποίηκεν ἐν τούτοις, ἢ καὶ τούτων μεγάλας διαφορὰς ἀπολέλοιπε. καὶ μὴν ἐν τῷ περὶ καλοῦ πρὸς ἀπόδειξιν τοῦ μόνον τὸ καλὸν ἀγαθὸν εἶναι, τοιούτοις λόγοις κέχρηται· τὸ ἀγαθὸν, αἱρετόν· τὸ δ' αἱρετὸν, ἀρεστόν· τὸ δ' ἀρεστὸν, ἐπαινετόν· τὸ δ' ἐπαινετὸν, καλόν. καὶ πάλιν τὸ ἀγαθὸν, χαρτόν· τὸ δὲ χαρτὸν, σεμνόν· τὸ δὲ σεμνὸν, καλόν. οὗτοι δ' οἱ λόγοι μάχονται πρὸς ἐκεῖνον· εἴτε γὰρ πᾶν ἀγαθὸν ἐπαινετέον ἐστὶ, καὶ τὸ σωφρόνως ἀπέχεσθαι τῆς γραὸς ἐπαινετὸν ἂν εἴη· πᾶν ἀγαθὸν, οὔτε σεμνὸν, οὔτε χαρτὸν, ἀλλ' οἴχεται ὁ λόγος· ἴσως γὰρ οἷόν τε τὸ μὲν ἄλλους ἀπὸ τῶν τοιούτων ἐπαινεῖν, ψυχρὸν εἶναι· τὸ δ' αὐτὸν ἐπὶ τοῖς τοιούτοις χαίρειν καὶ σεμνύνεσθαι, μὴ καταγέλαστον. πολλαχοῦ μὲν τοιοῦτός ἐστιν· ἐν δὲ ταῖς πρὸς ἑτέρους ἀντιλογίαις, ἥκιστα φροντίζει τοῦ μηδὲν εἰπεῖν ἐναντίον ἑαυτῷ καὶ διάφωνον. ἐν γοῦν τοῖς περὶ τοῦ προτρέπεσθαι τοῦ Πλάτωνος ἐπιλαμβανόμενος λέγοντος, ὅτι τῷ μηδὲ μαθόντι μηδ' ἐπισταμένῳ ζῆν, λυσιτελεῖ μὴ ζῆν, ταῦτ' εἴρηκε κατὰ λέξιν· ὁ γὰρ τοιοῦτος λόγος, καὶ ἑαυτῷ μάχεται, καὶ ἥκιστά ἐστι προτρεπτικός. πρῶτον γοῦν παραδεικνύων ὅτι κράτιστον ἡμῖν ἐστι τὸ μὴ ζῆν, καὶ τρόπον τινὰ ἀποθνήσκειν ἀξιῶν, πρὸς ἕτερά τινα μᾶλλον ἡμᾶς προτρέψεται, ἢ τὸ φιλοσοφεῖν· οὐ γάρ ἐστι μὴ ζῶντα φιλοσοφεῖν, οὐδὲ μὴν πολλὺν χρόνον ἐπιζήσαντα κακῶς καὶ ἀπείρως, φρόνιμον γενέσθαι. καὶ προελθὼν δέ φησιν, ὅτι καὶ τοῖς φαύλοις καθήκει μένειν ἐν τῷ ζῆν, εἶτα κατὰ λέξιν· πρῶτον γοῦν ἡ ἀρετὴ ψιλῶς οὐδέν ἐστι πρὸς τὸ ζῆν ἡμᾶς· οὕτω δ' οὐδ' ἡ κακία οὐδέν

ἐστι

ἐστι πρὸς τὸ δεῖν ἡμᾶς ἀπιέναι. καὶ μὴν οὐχ ἕτερα δεῖ βιβλία διελίξαι, τὴν Χρυσίππου πρὸς αὑτὸν ἐνδεικνυμένους μάχην· ἀλλ' ἐν ἑαυτοῖς τούτοις ποτὲ μὲν τοῦ Ἀντισθένους ἐπαινῶν προφέρεται, τὸ δεῖν κτᾶσθαι νοῦν ἢ βρόχον, καὶ τοῦ Τυρταίου τό, πρὶν ἀρετῆς πελάσαι τέρμασιν, ἢ θανάτου. καίτοι τί ταῦτα βούλεται δηλοῦν ἄλλο, πλὴν ὅτι τὸ μὴ ζῆν, λυσιτελέστερόν ἐστι τοῦ ζῆν τοῖς κακοῖς καὶ ἀνοήτοις; ποτὲ δὲ τὸν Θέογνιν ἐπανορθούμενος, οὐκ ἔδει φησὶν εἰπεῖν, χρὴ πενίην φεύγοντα, μᾶλλον δὲ χρὴ κακίαν φεύγοντα, καὶ ἐς βαθυκήτεα πόντον ῥιπτεῖν, καὶ πετρῶν Κύρνε κατ' ἠλιβάτων. τί οὖν ἄλλο δόξειεν ἂν ποιεῖν, ἢ ταῦτα τὰ πράγματα καὶ δόγματα προσγράφειν αὐτός, ἑτέρων δὲ γραφόντων ἐξαλείφειν· Πλάτωνι μὲν ἐγκαλῶν, ὅτι τοῦ κακῶς ζῆν καὶ ἀμαθῶς τὸ μὴ ζῆν ἀποδείκνυσι λυσιτελέστερον· Θεόγνιδι δὲ συμβουλεύων κατακρημνίζειν καὶ καταποντίζειν ἑαυτὸν ὑπὲρ τοῦ φυγεῖν τὴν κακίαν. Ἀντισθένη μὲν γὰρ ἐπαινῶν, ὅτι τοὺς μὴ νοῦν ἔχοντας, εἰς βρόχον συνήλαυνεν· αὐτὸς ἔψεγεν εἰπόντα μηδὲν εἶναι τὴν κακίαν, πρὸς τὸ ἐκ τοῦ ζῆν ἡμᾶς ἀπαλλάττειν. ἐν δὲ τοῖς πρὸς αὐτὸν Πλάτωνα περὶ δικαιοσύνης εὐθὺς ἐξ ἀρχῆς ἐνάλλεται τῷ περὶ θεῶν λόγῳ, καὶ φησὶν, οὐκ ὀρθῶς ἀποτρέπειν τῷ ἀπὸ τῶν θεῶν φόβῳ τῆς ἀδικίας τὸν Κέφαλον, εὐδιάβλητόν τ' εἶναι, καὶ πρὸς τοὐναντίον ἐξάγοντα πολλοὺς περισπασμοὺς, καὶ πιθανότητας ἀντιπίπτουσας τὸν περὶ τῶν ὑπὸ θεοῦ κολάσεων λόγον, ὡς οὐδὲν διαφέροντα τῆς Ἀκκοῦς καὶ τῆς Ἀλφιτοῦς, δι' ὧν τὰ παιδάρια τοῦ κακοσχολεῖν αἱ γυναῖκες ἀνείργουσιν. οὕτω δὲ διασύρας τοῦ Πλάτωνος, ἐπαινεῖ πάλιν ἐν ἄλλοις καὶ προφέρεται τὰ τοῦ Εὐριπίδου ταυτὶ πολλάκις, ἀλλ' ἔστιν, εἴ τις ἐγγελᾷ λόγῳ, Ζεὺς, καὶ θεοὶ βρότεια λεύσσοντες πάθη. καὶ ὁμοίως ἐν τῷ πρώτῳ περὶ δικαιοσύνης, τὰ Ἡσιόδεια ταυτὶ προσενεγκάμενος, τοῖσι δ' οὐρανόθεν μέγ' ἐπήλασε πῆμα Κρονίων, λιμὸν ὁμοῦ καὶ λοιμὸν, ἀποφθινύθουσι δὲ λαοί· ταῦτά φησι τοὺς θεοὺς ποιεῖν, ὅπως τῶν πονηρῶν κολαζομένων, οἱ λοιποὶ παραδείγμασι τούτοις χρώμενοι, ἧττον ἐπιχειρῶσι τοιοῦτόν τι ποιεῖν. πάλιν ἐν μὲν τοῖς περὶ δικαιοσύνης ὑπειπὼν, ὅτι τοὺς τἀγαθὸν, ἀλλὰ μὴ τέλος τιθεμένους τὴν ἡδονὴν, ἐνδέχεται σώζειν καὶ τὴν δικαιοσύνην, θεὶς ὑπὲρ καὶ τὰ λέξιν εἴρηκε· τάχα γοῦν ἀγαθοὺς αὐτῆς ἀπολειπομένους, τέλους δὲ μὴ, τῶν δὲ δι' αὑτῶν αἱρετῶν ὄντως καὶ τοῦ καλοῦ, σώζοιμεν ἂν τὴν δικαιοσύνην, μεῖζον ἀγαθὸν ἀπολιπόντες τὸ καλὸν, καὶ τὸ δίκαιον τῆς ἡδονῆς. ταῦτα μὲν ἐν τούτοις περί τε τῆς ἡδονῆς· ἐν δὲ τοῖς περὶ Πλάτωνα κατηγορῶν αὐτοῦ δοκοῦντος ἀγαθὸν ἀπολιπεῖν τὴν ὑγίειαν, οὐ μόνον τὴν δικαιοσύνην φησὶν, ἀλλὰ καὶ τὴν μεγαλοψυχίαν ἀναιρεῖσθαι, καὶ τὴν σωφροσύνην, καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας, ἂν τὴν ἡδονὴν, ἢ τὴν ὑγίειαν, ἤ τι τῶν ἄλλων ὃ μὴ καλόν ἐστιν ἀγαθὸν ἀπολείπωμεν. ἃ μὲν οὖν ῥητέον ὑπὲρ Πλάτωνος, ἐν ἄλλοις γέγραπται πρὸς αὐτόν. ἐνταῦθα δ' ἡ μάχη καταφανής ἐστιν· ὅπου μὲν ἂν μετὰ τοῦ καλοῦ τις ὑποθῆται, καὶ τὴν ἡδονὴν ἀγαθὸν εἶναι, σώζεσθαι δικαιοσύνην λέγοντος· ὅπου δὲ πάλιν τοὺς μὴ μόνον τὸ καλὸν ἀπολιπόντας, αἰτιωμένου τὰς ἀρετὰς ἁπάσας ἀναιρεῖν. ἵνα δὲ μὴ δ' ἀπολογίαν ὑπολίπῃ τοῖς ἐναντιώμασιν, Ἀριστοτέλει περὶ δικαιοσύνης ἀντιγράφων, οὔ φησιν αὐτὸν ὀρθῶς λέγειν, ὅτι τῆς ἡδονῆς οὔσης τέλους, ἀναιρεῖται μὲν ἡ δικαιοσύνη, συναναιρεῖται δὲ τῇ δικαιοσύνῃ, καὶ τῶν ἄλλων ἀρετῶν ἑκάστη· τὴν μὲν γὰρ δικαιοσύνην ὑπ' αὐτῶν, ὡς ἀληθῶς ἀναιρεῖσθαι, τὰς δ' ἄλλας ἀρετὰς, οὐδὲν κωλύει ὑπάρχειν, εἰ καὶ μὴ δι' αὑτὰς αἱρετὰς, ἀλλ' ἀγαθὰς γοῦν καὶ ἀρετὰς ἐσομένας· εἶτα ἑκάστην ἐξ ὀνόματος προσαγορεύει. βέλτιον δὲ τὰς ἐκείνου λέξεις ἀναλαβεῖν· τῆς γὰρ ἡδονῆς φησιν ἐμφαινομένης τέλους κατὰ τὸν τοιοῦτον λόγον, τὸ μὲν τοιοῦτο πᾶν μοι δοκεῖ οὐκ ἐμπεριλαμβά-

νεσθαι. διὸ ῥητέον, μήτε τῶν ἀρετῶν τινα δι' αὑτὴν αἱρετὴν εἶναι, μήτε τῶν κακιῶν φευκτήν, ἀλλὰ πάντα ταῦτα δεῖν ἀναφαίνεσθαι πρὸς τὸν ὑποκείμενον σκοπόν, οὐδὲν μήν τοι κωλύσει κατ' αὐτούς, τὴν ἀνδρείαν μὲν καὶ τὴν φρόνησιν καὶ τὴν ἐγκράτειαν καὶ τὴν καρτερίαν καὶ τὰς ὁμοίας ταύτας ἀρετὰς εἶναι τῶν ἀγαθῶν, τὰς δ' ἐναντίας ὑπάρχειν φευκτάς. τίς οὖν τούτου πρὸς λόγους ἰταμώτερος γέγονεν, ὃς δυεῖν τῶν ἀρίστων φιλοσόφων ἐγκέκληκε, τῷ μὲν, ὅτι πᾶσαν ἀρετὴν ἀναιρεῖ, μὴ μόνον τὸ καλὸν ἀγαθὸν ἀπολιπών, τῷ δ' ὅτι τῆς ἡδονῆς τέλους οὔσης, οὐ πᾶσαν ἀρετὴν, ἀλλὰ τῆς δικαιοσύνης, σώζεσθαι νομίζει. θαυμαστὴ γὰρ ἡ ἐξουσία περὶ τῶν αὐτῶν πραγμάτων διαλεγόμενον, ἃ τίθησιν αὐτὸς, ἐγκαλῶν Ἀριστοτέλει, ταῦτ' ἀναιρεῖν πάλιν Πλάτωνος κατηγορεῖται. καὶ μὴν ἐν ταῖς περὶ δικαιοσύνης ἀποδείξεσι λέγει ῥητῶς, ὅτι πᾶν κατόρθωμα καὶ εὐνόμημα καὶ δικαιοπράγημά ἐστι. τὸ δέ γε κατ' ἐγκράτειαν, ἢ καρτερίαν, ἢ φρόνησιν, ἢ ἀνδρείαν πραττόμενον, κατόρθωμά ἐστιν, ὥστε καὶ δικαιοπράγημα. πῶς οὖν οἷς ἀπολείπει φρόνησιν καὶ ἀνδρείαν καὶ ἐγκράτειαν, οὐκ ἀπολείπει δικαιοσύνην, εὐθὺς ἅπαντα ὅσα κατορθοῦσιν ἐν ταῖς εἰρημέναις ἀρεταῖς καὶ δικαιοπραγούντων. τοῦ δὲ Πλάτωνος εἰπόντος τὴν ἀδικίαν, ὡς διαφθορὰ ψυχῆς οὖσα καὶ στάσις, οὐδὲ ἐν αὐτοῖς τοῖς ἔχουσιν ἀποβάλλει τὴν δύναμιν, ἀλλ' αὐτὸν ἑαυτῷ συμβάλλει καὶ κρούει, καὶ ταράττει τὸν πονηρόν. ἐγκαλῶν Χρύσιππος ἀτόπως φησὶ λέγεσθαι τὸ ἀδικεῖν ἑαυτόν. εἶναι γὰρ πρὸς ἕτερον, οὐ πρὸς ἑαυτὸν τὴν ἀδικίαν. ἐπιλαθόμενος γοῦν τούτων, αὖθις ἐν ταῖς περὶ δικαιοσύνης ἀποδείξεσιν, ἀδικεῖσθαί φησιν ὑφ' ἑαυτοῦ τὸν ἀδικοῦντα, καὶ αὐτὸν ἀδικεῖν, ὅταν ἄλλον ἀδικῇ γινόμενον ἑαυτῷ τοῦ παρανομεῖν αἴτιον, καὶ βλάπτοντα παρ' ἀξίαν ἑαυτόν, ἐν μὲν τοῖς πρὸς Πλάτωνα ταῦτ' εἴρηκε περὶ τοῦ τὴν ἀδικίαν λέγεσθαι μὴ πρὸς ἑαυτὸν, ἀλλὰ πρὸς ἕτερον. οἱ γὰρ κατ' ἰδίαν ἄδικοι, συνεστήκασιν ἐκ πλειόνων τοιούτων τἀναντία λεγόντων. καὶ ἄλλως τῆς ἀδικίας λαμβανομένης, ὡς ἂν ἐν πλείοσι πρὸς ἑαυτοὺς, οὕτως ἔχουσιν. εἰς δὲ τὸν ἕνα μηδενὸς διατείνοντος τοιούτου, καθόσον δὲ πρὸς τοὺς πλησίον ἔχει οὕτως. ἐν δὲ ταῖς ἀποδείξεσι τοιούτοις ἠρώτηκε λόγοις, περὶ τοῦ τὸν ἄδικον, καὶ ἑαυτὸν ἀδικεῖν. τὸ ἀδικεῖν παραίτιον γενέσθαι παρανομήματος, ἀπαγορεύει ὁ νόμος. καὶ τὸ ἀδικεῖν ἔσται παρανόμημα. ὁ τοίνυν παραίτιος γενόμενος αὐτῷ τοῦ ἀδικεῖν, παρανομεῖ εἰς ἑαυτόν. ὁ δὲ παρανομῶν εἰς ἕνα, καὶ ἀδικεῖ ἐκεῖνον. ὃν ἄρα καὶ ὁντινοῦν ἀδικῶν, καὶ ἑαυτὸν ἀδικεῖ. πάλιν τὸ ἁμάρτημα τῶν βλαμμάτων ἐστὶ, καὶ πᾶς ἁμαρτάνων παρ' ἑαυτὸν ἁμαρτάνει. πᾶς ἄρα ὁ ἁμαρτάνων, βλάπτει ἑαυτὸν παρὰ τὴν ἀξίαν. εἰ δὲ τοῦτο, καὶ ἀδικεῖ ἑαυτόν. ἔτι καὶ οὕτως. ὁ βλαπτόμενος ὑφ' ἑτέρου, ἑαυτὸν βλάπτει, καὶ παρὰ τὴν ἀξίαν ἑαυτὸν βλάπτει. τοῦτο δ' ἦν τὸ ἀδικεῖν. ὁ ἄρα δικαιούμενος καὶ ὑφ' ὁτουοῦν πᾶς ἑαυτὸν ἀδικεῖ. τὸν περὶ ἀγαθῶν καὶ κακῶν λόγον, ὃν αὐτὸς εἰσάγει καὶ δοκιμάζει, συμφωνότατον εἶναί φησι τῷ βίῳ, καὶ μάλιστα τῶν ἐμφύτων ἅπτεσθαι προλήψεων. ταυτὶ γὰρ ἐν τῷ τρίτῳ τῶν προτρεπτικῶν εἴρηκεν. ἐν δὲ τῷ πρώτῳ τοῦτον τὸν λόγον φησὶν ἀπὸ τῶν ἄλλων ἁπάντων ἀφέλκειν τὸν ἄνθρωπον, ὡς οὐδὲν ὄντων πρὸς ἡμᾶς, οὐδὲ συνεργούντων πρὸς εὐδαιμονίαν οὐδέν. ὅρα τοίνυν πῶς αὐτῷ σύμφωνός ἐστι τὸν ἀφέλκοντα τοῦ ζῆν, καὶ τῆς ὑγείας, καὶ τῆς ἀπονίας, καὶ τῆς τῶν αἰσθητηρίων ὁλοκληρίας, καὶ μηδὲν εἶναι ταῦτα φάσκοντα πρὸς ἡμᾶς, ἃ παρὰ τῶν θεῶν αἰτούμεθα, μάλιστα συμφονεῖν τῷ βίῳ καὶ ταῖς κοιναῖς προλήψεσιν ἀποφαινόμενος. ἀλλ' ἵνα μὴ ἄρνησις ᾖ τοῦ τἀναντία λέγειν, ἐν τῷ τρίτῳ περὶ δικαιοσύνης ταῦτ' εἴρηκεν. διὸ καὶ διὰ τὴν ὑπερβολὴν τοῦ τε μεγέ-

θους

Marginalia: τἀν ·Η· c ·Ι·

θους, καὶ τοῦ κάλλους, πλάσμασι δοκοῦμεν ὅμοια λέγειν, καὶ οὐ κατὰ τὸν ἄνθρωπον, καὶ τὴν ἀνθρωπίνην φύσιν. ἔστιν οὖν ὅπως ἄν τις ἐξομολογήσαιτο σαφέστερον τἀναντία λέγειν αὐτὸς πρὸς ἑαυτόν, ἢ οὗτος, ἃ δι' ὑπερβολὴν φησὶ πλάσματα δοκεῖν εἶναι καὶ ὑπὲρ τὸν ἄνθρωπον, καὶ ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν λέγεσθαι ταῦτα συμφωνεῖν τῷ βίῳ φάσκων, καὶ μάλιστα τῶν ἐμφύτων ἅπτεσθαι προλήψεων. οὐσίαν κακοδαιμονίας ἀποφαίνει τὴν κακίαν ἐν παντὶ βιβλίῳ φυσικῷ καὶ ἠθικῷ γράφων καὶ διατεινόμενος, ὅτι τὸ κατὰ κακίαν ζῆν, τῷ κακοδαιμόνως ζῆν ταὐτόν ἐστιν. ἐν δὲ τῷ τρίτῳ περὶ φύσεως ὑπειπών, ὅτι λυσιτελεῖ ζῆν ἄφρονα μᾶλλον ἢ βιοῦν, κἂν μηδέποτε μέλλῃ φρονήσειν ἐπιλέγει. τοιαῦτα γὰρ τἀγαθά ἐστι τοῖς ἀνθρώποις, ὥστε τρόπον τινὰ τὰ κακὰ ἀνὰ μέσον προτερεῖν. ὅτι μὲν οὖν εἰρηκὼς ἐν ἑτέροις μηδὲν εἶναι τοῖς ἄφροσι λυσιτελές, ἐνταῦθά φησι λυσιτελεῖν τὸ ἀφρόνως ζῆν, ἀφίημι. τῶν δ' ἀνὰ μέσον λεγομένων παρὰ τοῖς μήτε κακῶν ὄντων, μήτ' ἀγαθῶν, τὰ κακὰ προτερεῖν λέγων, οὐδὲν ἄλλο λέγει, πλὴν τῶν μὴ κακῶν τὰ κακὰ προτερεῖν, καὶ τὸ κακοδαιμονεῖν λυσιτελέστερον εἶναι τοῦ μὴ κακοδαιμονεῖν, ἀλυσιτελέστερον ἡγεῖται τὸ μὴ κακοδαιμονεῖν. εἰ δὲ ἀλυσιτελέστερον καὶ βλαβερώτερον, καὶ κακοδαιμονεῖν. βουλόμενος οὖν ταύτην ἐπιλεαίνειν τὴν ἀτοπίαν, ἐπιλέγει περὶ τῶν κακῶν. ἔστι δὲ, οὐ ταῦτα προτεροῦντα, ἀλλ' ὁ λόγος μεθ' οὗ βιοῦν ἐπιβάλλει μᾶλλον, καὶ εἰ ἄφρονες ἐσόμεθα. πρῶτον μὲν οὖν τὰ κακὰ κακίαν λέγει, καὶ τὰ μετέχοντα κακίας, ἄλλο δὲ οὐθέν. ἡ δὲ κακία, λογικόν ἐστι, μᾶλλον δὲ λόγος ἡμαρτημένος. οὐδὲν οὖν ἕτερόν ἐστι τὸ μετὰ λόγου βιοῦν ἄφρονας ὄντας, ἢ τὸ μετὰ κακίας βιοῦν, ἔπειτα τὸ βιοῦν ἄφρονας ὄντας, βιοῦν ἐστι κακοδαίμονας ὄντας. πρὸς τί οὖν προτερεῖ τοῦτο τῶν ἀνὰ μέσον. οὐ γοῦν πρός γε τὸ εὐδαιμονεῖν φησι προτερεῖν τοῦ κακοδαιμονεῖν. ἀλλ' οὐδὲ ὅλως φασὶν οἴεσθαι δεῖν Χρύσιππος, οὔτε μονὴν ἐν τῷ βίῳ τοῖς ἀγαθοῖς, οὔτ' ἐξαγωγὴν τοῖς κακοῖς παραμετρεῖν, ἀλλὰ τοῖς μέσοις κατὰ φύσιν. διὸ καὶ τοῖς εὐδαιμονοῦσι, γίνεται ποτὲ καθῆκον ἐξάγειν ἑαυτούς, καὶ μένειν αὖθις ἐν τῷ ζῆν τοῖς κακοδαιμονοῦσιν. εἶτα τί τούτου μεῖζόν ἐστιν ὑπεναντίωμα πρὸς αἵρεσιν καὶ φυγήν, εἰ τοῖς ἐπ' ἄκρον εὐδαιμονοῦσιν ἀπουσία τοῦ ἀδιαφόρως ἐπίστασθαι τῶν ἀγαθῶν παρόντων καθήκει, καὶ τὸ τῶν ἀδιαφόρων οὐδὲν αἱρετόν, οὐδὲ φευκτόν, ἀλλὰ μόνον ἀγαθὸν τὸ αἱρετόν, καὶ μόνον φευκτὸν ἡγοῦνται τὸ κακόν. ὥστε συμβαίνειν κατ' αὐτοὺς μὴ πρὸς τὰ αἱρετά, μηδὲ πρὸς τὰ φευκτὰ τοὺς τῶν πράξεων τίθεσθαι λογισμούς, ἀλλ' ἑτέρων στοχαζομένους ἃ μήτε φεύγουσι, μήτε αἱροῦνται, πρὸς ταῦτα καὶ ζῆν καὶ ἀποθνήσκειν.

τἀγαθὰ πρὸς τὰ κακά, τὴν πᾶσαν ἔχειν διαφορὰν ὁμολογεῖ Χρύσιππος, καὶ ἀναγκαῖόν ἐστιν, εἰ μὲν τὰ μὲν ἐσχάτως ποιεῖ κακοδαίμονας εὐθὺς οἷς ἂν παρῇ, τὰ δ' ἐπ' ἄκρον εὐδαίμονας, αἰσθητὰ δ' εἶναι τἀγαθὰ καὶ τὰ κακά φησιν ἐν τῷ προτέρῳ περὶ τέλους ταῦτα γράφων. ὅτι μὲν γὰρ αἰσθητά ἐστι τἀγαθὰ καὶ τὰ κακά, καὶ τούτοις ἐκποιεῖ λέγειν. οὐ γὰρ μόνον ὄντα πάθη ἐστὶν αἰσθητὰ σὺν τοῖς εἴδεσιν, οἷον λύπη καὶ φόβος, καὶ τὰ παραπλήσια, ἀλλὰ καὶ κλοπῆς καὶ μοιχείας καὶ τῶν ὁμοίων ἐστὶν αἰσθέσθαι. καὶ γοῦν ὅλον ἀφροσύνης καὶ δειλίας καὶ ἄλλων οὐκ ὀλίγων κακιῶν, οὐδὲ μόνον χαρᾶς καὶ εὐεργεσιῶν καὶ ἄλλων πολλῶν κατορθώσεως, ἀλλὰ φρονήσεως καὶ ἀνδρείας καὶ τῶν λοιπῶν ἀρετῶν. τούτων τὴν μὲν ἄλλην ἀτοπίαν ἀφῶμεν. ὅτι δὲ μάχεται τοῖς περὶ τὸν διαλεληθότα σοφόν, τίς οὐκ ἂν ὁμολογήσειεν, αἰσθητοῦ παρόντος τοῦ ἀγαθοῦ, καὶ μεγάλην πρὸς τὸ κακὸν διαφορὰν ἔχοντος, τὸν ἐκ φαύλου γινόμενον σπουδαῖον ἀγνοεῖν τοῦτο, καὶ τῆς ἀρετῆς μὴ αἰσθάνεσθαι παρούσης, ἀλλ' οἴεσθαι τὴν κακίαν αὐ-

Marginalia: οὕτως ·Ι· τοῦ ·Ι· λέγειν ·Η· ἐκποιεῖ ·Η·

τῷ παρεῖναι, πῶς οὐκ ἔστιν ἀτοπώτατον; εἰ γὰρ οὐδεὶς ἀγνοεῖν, ἢ ἀπιστεῖν δύναται τὰς ἀρετὰς ἔχων ἁπάσας, ἢ μικρά τις ἐστὶν, καὶ παντάπασι δυσθεώρητος ἡ διαφορὰ τῆς ἀρετῆς πρὸς τὴν κακίαν, καὶ τῆς εὐδαιμονίας πρὸς τὴν κακοδαιμονίαν, καὶ τοῦ καλλίστου βίου πρὸς τὸν αἴσχιστον, εἰ ταῦτά τις ἀντ' ἐκείνων κτησάμενος, ἑαυτὸν λέληθε. Μία σύνταξις ἡ περὶ βίων, τέτταρα βιβλία, τούτων ἐν τῷ τετάρτῳ λέγει τὸν σοφὸν ἀπράγμονά τε εἶναι καὶ ἰδιοπράγμονα, καὶ τὰ αὑτοῦ πράττειν. ἔστι δὲ ἡ λέξις αὕτη· οἶμαι γὰρ ἔγωγε τὸν φρόνιμον, καὶ ἀπράγμονα εἶναι καὶ ὀλιγοπράγμονα, καὶ τὰ αὑτοῦ πράττειν· ὁμοίως τῆς τε αὐτοπραγίας καὶ τῆς ὀλιγοπραγμοσύνης ἀστείων ὄντων. τὰ δὲ ὅμοια σχεδὸν ἐν τῷ περὶ τῶν δι' αὑτὰ αἱρετῶν εἴρηκε ταύταις ταῖς λέξεσι· τῷ γὰρ ὄντι φαίνεται, ὁ κατὰ τὴν ἡσυχίαν βίος, ἀκίνδυνόν τι καὶ ἀσφαλὲς ἔχειν, οὐ πάνυ τῶν πολλῶν δυναμένων τοῦτο συνιδεῖν. ὅτι μὲν τῷ Ἐπικούρῳ τὴν πρόνοιαν ἀναιροῦντι διὰ τῆς ἀπραγμοσύνης τῆς περὶ τὸν θεὸν οὐκ ἀποδεῖ, δῆλόν ἐστιν. ἀλλ' αὐτὸς ὁ Χρύσιππος ἐν τῷ πρώτῳ περὶ βίων, βασιλείαν τε τὸν σοφὸν ἑκουσίως ἀναδέχεσθαι λέγει, χρηματιζόμενον ἀπ' αὐτῆς, κἂν αὐτὸς βασιλεύειν μὴ δύνηται, συμβιώσεται βασιλεῖ, καὶ στρατεύσεται μετὰ βασιλέως, οἷος ἦν Ἰδάνθυρσος ὁ Σκύθης, ἢ Λεύκων ὁ Ποντικός. παραθήσομαι καὶ ταύτην αὐτοῦ τὴν διάλεκτον, ὅπως εἰδῶμεν εἰ καθάπερ ἐκ νήτης καὶ ὑπάτης γίνεται σύμφωνον, οὕτως ὁμολογεῖ βίος ἀνδρὸς, καὶ ἀπραγμοσύνην αἱρουμένου, καὶ ὀλιγοπραγμοσύνην, εἶτα συνιππαζομένου Σκύθαις, καὶ τὰ τῶν ἐν Βοσπόρῳ τυράννων πράττοντος ἐξ οἵας δή τινος ἀνάγκης. ὅτι γάρ φησι καὶ στρατεύσεται μετὰ δυναστῶν καὶ βιώσεται, πάλιν ἐπισκεψώμεθα τούτων ἐχόμενοι, τινῶν μὲν οὐδὲ ταῦτα ὑπονοούντων, διὰ τοὺς ὁμοίους ὑπολογισμοὺς, ἡμῶν δὲ καὶ ταῦτα ἀπολιπόντων, διὰ τοὺς παραπλησίους λόγους. καὶ μετὰ μικρὸν· οὐ μόνον μετὰ τῶν προκεκοφότων ἤδη ποσὸν, καὶ ἐν ἀγωγαῖς, καὶ ἐν ἔθεσι ποιοῖς γεγονότων, οἷον παρὰ Λεύκωνι καὶ Ἰδανθύρσῳ. Καλλισθένει τινὲς ἐγκαλοῦσιν, ὅτι πρὸς Ἀλέξανδρον ἔπλευσεν, ἐλπίζων ἀναστήσειν Ὄλυνθον, ὡς Σταγείρα Ἀριστοτέλης. Ἔφορον δὲ καὶ Ξενοκράτην, καὶ Μενέδημον, ἐπαινοῦσι παραιτησαμένους τὸν Ἀλέξανδρον. ὁ δὲ Χρύσιππος ἕνεκα χρηματισμοῦ τὸν σοφὸν ἐπὶ κεφαλὴν ἐς Παντικάπαιον ὠθεῖ, καὶ τὴν Σκυθῶν ἐρημίαν, ὅτι παρρησίας ἕνεκα καὶ χρηματισμοῦ ταῦτα ποιεῖ, καὶ προδεδήλωκε τρεῖς ὑποθέμενος ἁρμόζοντας μάλιστα τῷ σοφῷ χρηματισμοὺς, τὸν ἀπὸ βασιλείας, καὶ τὸν ἀπὸ φίλων, καὶ τρίτον ἐπὶ τούτοις τὸν ἀπὸ σοφιστείας. καί τοι πολλαχοῦ μὲν ἀποκναίει ταῦτα ἐπαινῶν, ἐπεί τι βροτοῖσι, πλὴν δυοῖν μόνον· ἐν δὲ τοῖς περὶ φύσεως λέγει τὸν σοφὸν, εἰ τὴν μεγίστην οὐσίαν ἀποβάλοι, δραχμὴν μίαν ἐκβεβληκέναι δόξειν. ἐνταῦθα δ' αὐτὸν ἄρας ἐκεῖ καὶ ὀγκώσας, ἐνταῦθα πάλιν εἰς μισθαρνίαν καταβάλλει, καὶ σοφιστείαν, καὶ γὰρ αἰτήσειν καὶ προλήψεσθαι, τὸ μὲν εὐθὺς ἀρχομένου, τὸ δὲ χρόνου τῷ μαθητῇ διελθόντος, ὅπερ εὐγνωμονέστερον εἶναί φησιν, ἀσφαλέστερον δὲ τὸ προλαμβάνειν, ὡς ἀδικήματα τοῦ τόπου ἐπιδεχομένου. λέγει δὲ, οὕτως· εἰσπράττονται δὲ τὸν μισθὸν, οὐ πάντες οἱ νοῦν ἔχοντες ὡσαύτως, ἀλλ' ἄλλως πλῆθος, ὡς ἂν ὁ καιρὸς φέρῃ, οὐκ ἐπαγγελλομένων ποιήσειν ἀγαθοὺς, καὶ ταῦτα ἐν ἐνιαυτῷ. ὅσον δὲ πρὸς ἑαυτοὺς ταῦτα ποιήσειν πρὸς τὸν συμφωνηθέντα χρόνον. καὶ πάλιν προελθὼν· τόν τε καιρὸν εἴσεται πρότερον εὐθὺς λαβεῖν τὸν μισθὸν ἅμα τῇ προσόδῳ, καθάπερ πλείους πεποιήκασιν, ἢ καὶ χρόνον αὐτοῖς διδόναι, τοῦ τόπου τούτου μᾶλλον καὶ ἀδικήματα ἐπιδεχομένου, δόξαντος δ' ἂν εἶναι εὐγνωμονεστέρου. καὶ πῶς, ἢ χρημάτων καταφρονητὴς ὁ σοφὸς, ὑπὸ

σ·Η
ᾳ·Η
γοκνίσσου·Η
τ. ι.
ἱερον. Α

ἀπὸ συγγραφῆς ἐπ' ἀργυρίῳ τὴν ἀρετὴν παραδιδοὺς, κἂν μὴ παραδῷ, τὸν μισθὸν εἰσπράττων, ὡς πεποιηκὼς τὰ περὶ αὐτόν· ἢ βλάβης κρείττων φυλαττόμενος, μὴ ἀδικηθῇ περὶ τὸν μισθόν; ἀδικεῖται γὰρ οὐδεὶς μὴ βλαπτόμενος· ὅθεν μὴ ἀδικεῖσθαι τὸν σοφὸν ἐν ἄλλοις ἀποφηνάμενος, ἐνταῦθά φησιν ἀδίκημά τι τὸν τόπον ἐπιδέχεσθαι. ἐν δὲ τῷ περὶ πολιτείας οὐδὲν ἡδονῆς ἕνεκα πράξειν, οὐδὲ παρασκευάσεσθαί φησι τοὺς πολίτας· καὶ τὸν Εὐριπίδην ἐπαινεῖ ταῦτα προφερόμενος· ἐπεὶ τί βροτοῖσι, πλὴν δυοῖν μόνον Δήμητρος ἀκτῆς· εἶτα μικρὸν ἀπὸ τούτων προελθὼν, ἐπαινεῖ τὸν Διογένην τὸ αἰδοῖον ἀποτριβόμενον ἐν φανερῷ, καὶ λέγοντα πρὸς τοὺς παρόντας, εἴθε καὶ τὸν λιμὸν οὕτως ἀποτρίψασθαι τῆς γαστρὸς ἠδυνάμην. τίνα οὖν ἔχει λόγον ἐν τοῖς αὐτοῖς ἐπαινεῖν τὸν ἐκβάλλοντα τὴν ἡδονὴν, ἅμα καὶ τὸν ἡδονῆς ἕνεκα τοιαῦτα πράττοντα, καὶ τοιαύτης ἁπτόμενον αἰσχρουργίας. γράψας τοίνυν ἐν τοῖς περὶ φύσεως, ὅτι πολλὰ τῶν ζῴων ἕνεκα κάλλους ἡ φύσις ἐνήνοχε, φιλοκαλοῦσα καὶ χαίρουσα τῇ ποικιλίᾳ, καὶ λόγον εἰπὼν παραλογώτατον, ὡς ὁ ταὼς ἕνεκα τῆς οὐρᾶς γέγονε διὰ τὸ κάλλος αὐτῆς· αὖθις ἐν τῷ περὶ πολιτείας νεανικῶς ἐπιτετίμηκε τοῖς ταὼς τρέφουσι καὶ ἀηδόνας, ὥσπερ ἀντινομοθετῶν τῷ τοῦ κόσμου νομοθέτῃ καὶ τῆς φύσεως καταγελῶν φιλοκαλούσης περὶ τὰ τοιαῦτα τῶν ζῴων, οἷς ὁ σοφὸς ἐν τῇ πόλει τόπον οὐ δίδωσι. πῶς γὰρ οὐκ ἄτοπον ἐγκαλεῖν τοῖς τρέφουσιν ἃ γεννῶσ', ἀλλ' ἐπαινεῖν τὴν πρόνοιαν. ἐν μὲν οὖν τῷ πέμπτῳ περὶ φύσεως εἰπὼν, ὅτι οἱ κόρεις εὐχρήστως ἐξυπνίζουσιν ἡμᾶς, καὶ οἱ μύες ἐπιστρέφουσιν ἡμᾶς, μὴ ἀμελῶς ἕκαστα τιθέναι, φιλοκαλεῖν δὲ τὴν φύσιν, τῇ ποικιλίᾳ χαίρουσαν εἰκὸς ἐστι. ταῦτα κατὰ λέξιν εἴρηκε· γένοιτο δ' ἂν μάλιστα τούτου ἔμφασις ἐπὶ τῆς κέρκου τοῦ ταὼ. ἐνταῦθα γὰρ ἐπιφαίνει τὸ ζῷον γεγονέναι ἕνεκα τῆς κέρκου, καὶ οὐκ ἀνάπαλιν· τῷ δ' ἄρρενι γινομένῳ οὕτως, ἡ θήλεια συνηκολούθηκεν. ἐν δὲ τῷ περὶ πολιτείας εἰπὼν, ὅτι ἐγγύς ἐσμεν τοῦ καὶ τοὺς κοπρῶνας ζωγραφεῖν, μετ' ὀλίγον τὰ γεωργικά φησι καλλωπίζειν τινὰς ἀναδενδράσι, καὶ μυρρίναις, καὶ ταὼς καὶ περιστερὰς τρέφουσι, καὶ πέρδικας, ἵνα κακκαβίζωσιν αὐτοῖς καὶ ἀηδόνας. ἡδέως δ' ἂν αὐτοῦ πυθοίμην, τί φρονεῖ περὶ μελιττῶν, καὶ μέλιτος. ἦν μὲν γὰρ ἀκόλουθον τῷ τοὺς κόρεις εὐχρήστως, τὰς μελίττας ἀχρήστως φάναι γεγονέναι. εἰ δὲ ταύταις τόπον ἐν πόλει δίδωσι, διατί τῶν πρὸς ἀκοὴν καὶ τέρψιν ἐπιτερπῶν ἀπείργει τοὺς πολίτας. καθόλου δὲ ὥσπερ ὁ τοὺς συνδείπνους μεμφόμενος, ὅτι χρῶνται τραγήμασι, καὶ οἴνῳ, καὶ ὄψοις, τὸν δὲ ἐπὶ ταῦτα κεκληκότα, καὶ ταῦτα παρεσκευασμένον ἐπαινῶν, ἄτοπός ἐστιν, οὕτως ὁ τὴν μὲν πρόνοιαν ἐγκωμιάζων ἰχθῦς, καὶ ὄρνιθας, καὶ μέλι, καὶ οἶνον παρασκευάσασαν, ἐγκαλῶν δὲ τοῖς μὴ παραπέμπουσι ταῦτα, μηδ' ἀρκουμένοις Δήμητρος ἀκτῇ, πόμασί τε ὑδρηχόοις, ἃ πάρεστι καὶ πέφυκεν ἡμᾶς τρέφειν, οὐθένα ποιεῖσθαι λόγον· ἔοικε τἀναντία λέγειν ἑαυτῷ. καὶ μὴν ἐν τῷ τῶν προτρεπτικῶν εἰπὼν, ὅτι καὶ τὸ μητράσιν ἢ θυγατράσιν ἢ ἀδελφαῖς συγγενέσθαι, καὶ τὸ φαγεῖν τι καὶ προελθεῖν ἀπὸ λεχοῦς ἢ θανάτου πρὸς ἱερὸν, ἀλόγως διαβέβληται, καὶ τὰ θηρία φησὶ δεῖν ἀποβλέπειν, καὶ τοῖς ὑπ' ἐκείνων γινομένοις τεκμαίρεσθαι, τὸ μηδὲν ἄτοπον μηδὲ παρὰ φύσιν εἶναι τῶν τοιούτων. εὐκαίρως γὰρ πρὸς ταῦτα γίνεσθαι τὰς τῶν ἄλλων ζῴων παραθέσεις, εἰς τὸ μήτε συγγινόμενα, μήτε γεννῶντα, μήτ' ἐναποθνήσκοντα ἐν τοῖς ἱεροῖς μιαίνειν τὸ θεῖον. ἐν δὲ τῷ πέμπτῳ πάλιν περὶ φύσεως λέγει, καλῶς μὲν ἀπαγορεύεσθαι τὸν Ἡσίοδον, εἰς ποταμοὺς καὶ κρήνας οὐρεῖν· ἔτι δὲ μᾶλλον ἀνεκτέον εἶναι τοῦ πρὸς βωμὸν οὐρεῖν, ἢ ἀφίδρυμα θεοῦ· μὴ παρεῖναι πρὸς λόγον, εἰ κύνες καὶ ὄνοι τοῦτο ποιοῦσι, καὶ παιδάρια νήπια, μηδεμίαν ἐπιστροφὴν, μηδ' ἐπιλογι-

δὲ ι.

σμὸν ἔχοντα περὶ τῶν τοιούτων. ἄτοπον μὲν οὖν τὸ ἐκεῖ μὲν εὔκαιρον εἰπεῖν
τὴν τῶν ἀλόγων ζώων ἀποθηρίωσιν· ἐνταῦθα δ᾽ ἀπόλογον τοῦ κατηναγκάσθαι
δοκοῦντος ὑπὸ τῶν ἔξωθεν αἰτιῶν ταῖς ὁρμαῖς ἀπόλυσιν ποιεῖν. ἔνιοι τῶν
φιλοσόφων ἐπελευστικήν τινα κίνησιν ἐν τῷ ἡγεμονικῷ κατασκευάζουσιν, ἐπὶ
τῶν παραλλακτῶν μάλιστα γινομένην ἔκδηλον. ὅταν γὰρ δυεῖν ἴσον δυναμένων, καὶ
ὁμοίως ἐχόντων, θάτερον ᾖ λαβεῖν, ἀνάγκη μηδεμιᾶς αἰτίας ἐπὶ θάτερον ἀγού-
σης, τῷ μηδενὶ τοῦ ἑτέρου διαφέρειν, ἡ ἐπελευστικὴ δύναμις αὕτη τῆς ψυχῆς ἐπί-
κλισιν ἐξ αὑτῆς λαβοῦσα διέκοψε τὴν ἀπορίαν. πρὸς τούτους ὁ Χρύσιππος
ἀντιλέγων ὡς βιαζομένους τῷ ἀναιτίῳ τὴν φύσιν, ἐν πολλοῖς παρατίθησι τὸν
ἀστράγαλον καὶ τὸν ζυγόν, καὶ πολλὰ τῶν μὴ δυναμένων, ἄλλοτε ἄλλας λαμ-
βάνειν πτώσεις καὶ ῥοπάς, ἄνευ τινὸς αἰτίας καὶ διαφορᾶς, ἢ περὶ αὐτὰ πάν-
τως, ἢ περὶ τὰ ἔξωθεν γινομένης. τὸ γὰρ ἀναίτιον, ὅλως ἀνύπαρκτον εἶναι καὶ
τὸ αὐτόματον. ἐν δὲ ταῖς πλαττομέναις ὑπ᾽ ἐνίων καὶ λεγομέναις ταύταις ἐπε-
λεύσεσιν αἰτίας ἀδήλους ὑποτρέχειν, καὶ λανθάνειν ἡμᾶς ἐπὶ θάτερα τὴν ὁρμὴν
ἀγούσας. ταῦτα μὲν οὖν ἐν τοῖς γνωριμωτάτοις ἐστὶ τῶν ὑπ᾽ αὐτοῦ πολλάκις
εἰρημένων. ἃ δὲ τούτοις πάλιν αὐτὸς ἐξ ἐναντίας εἴρηκεν, οὐχ ὁμοίως οὕτως ἐν
μέσῳ κείμενα, δι᾽ αὐτῶν παραθήσομαι τῶν ἐκείνου λέξεων. ἐν μὲν γὰρ τῷ περὶ τοῦ
δικάζειν ὑποθέμενος δύο δρομεῖς ὁμοῦ συνεκπίπτειν ἀλλήλοις, διαπορεῖ, τί τῷ
βραβευτῇ καθήκει ποιῆσαι. πότερόν φησιν ἔξεστι τὸν βραβευτὴν τὸν φοίνικα ὁπο-
τέρῳ βούλεται ἀποδοῦναι, κἂν τύχωσιν αὐτῷ συνηθέστεροι ὄντες, ὡς ἂν ἐνταῦ-
θα τῶν αὐτοῦ τι χαρισόμενον τρόπον τινὰ μᾶλλον ὡς κοινοῦ τοῦ φοίνικος γεγονότος
ἀμφοτέρων, οἱονεί τινος κλήρου γινομένου ἑνὶ ἄλλως κατὰ τὴν ἐπίκλισιν, ὡς ἔτυχε
δοῦναι αὐτόν. λέγω δὲ ἣν ἔτυχεν ἐπίκλισιν, οἵα γίνεται, ὅταν δυεῖν προκειμένων
δραχμῶν ὁμοίων κατὰ τὰ λοιπὰ ἐπὶ τὴν ἑτέραν ἐπικλίναντες λαμβάνωμεν
αὐτήν. ἐν δὲ τῷ ἑκάστῳ περὶ καθήκοντος, εἶναί τινα φήσας πράγματα, μὴ πά-
νυ πολλῆς ἄξια εἶναι πραγματείας, μὴ δὲ προσοχῆς ἀφιέναι περὶ ταῦτα τὴν
ὡς ἔτυχεν ἐπικλίσει τῆς διανοίας, οἴεται δεῖν τὴν αἵρεσιν ἀποκληρώσαντας
οἷόν φησιν ἢ τῶν δοκιμαζόντων τάσδε τινὰς δραχμὰς δύο, ἐπὶ τοσόνδε· οἱ μὲν, τήν-
δε· οἱ δὲ, τήνδε φαῖεν εἶναι. καλὴν δὲ οὐδεμίαν αὐτῶν λαβεῖν, τηνικαῦτα ἀφέν-
τα τὸ ἐπὶ πλεῖον ἐπιζητεῖν, ἣν ἔτυχε ληψόμεθα κατ᾽ ἄλλον τινά, ἀποκληρώσαν-
τες αὐτὰ ἔλεγε, καὶ ἔτι μάλιστα τὴν μοχθηρὰν ληψόμεθα αὐτῶν. ἐν τούτοις γὰρ
ἡ ἀποκλήρωσις καὶ ὡς ἔτυχεν ἐπικλῖνον τῆς διανοίας, τὸ ἄνευ πάσης αἰτίας εἰ-
σάγει τῶν διαφόρων λῆψιν. ἐν τῷ τρίτῳ περὶ τῆς διαλεκτικῆς ὑπειπών, ὅτι
Πλάτων ἐσπούδασε περὶ τὴν διαλεκτικήν, καὶ Ἀριστοτέλης, καὶ ἀπὸ τούτων ἄ-
χρι Πολέμωνος καὶ Στράτωνος· μάλιστα δὲ Σωκράτης, καὶ ἐπιφωνήσας ὅτι καὶ
συνεξαμαρτάνειν ἄν τις θελήσειε τούτοις τοσούτοις καὶ τοιούτοις οὖσιν, ἐπιφέρει
κατὰ λέξιν. εἰ μὲν γὰρ ἐκ παρέργου περὶ αὐτῶν εἰρήκεισαν, τάχ᾽ ἄν τις διέσυρε τὸν
τόπον τοῦτον. οὕτω δὲ αὐτῶν ἐπιμελῶς εἰρηκότων, ὡς ἐν ταῖς μεγίσταις δυνάμεσι
καὶ ἀναγκαιοτάταις αὐτῆς οὔσης· οὐ πιθανὸν ἐπὶ τοσοῦτον διαμαρτάνειν αὐτοὺς
ἐν τοῖς ὅλοις ὄντας, οἵους ὑπονοοῦμεν. τί οὖν σὺ φήσαι τις ἂν αὐτὸς ἀνδράσι
τοιούτοις καὶ τοσούτοις, οὐδέποτε παύσῃ μαχόμενος οὐδ᾽ ἐλέγχων, ὡς νομίζεις
ἐν τοῖς κυριωτάτοις καὶ μεγίστοις διαμαρτάνοντας. οὐ γὰρ δήπου περὶ διαλεκτι-
κῆς ἐσπουδασμένως ἔγραψαν· περὶ δὲ ἀρχῆς καὶ τέλους καὶ θεῶν καὶ δικαιο-
σύνης ἐκ παρέργου, καὶ παίζοντες ἐν οἷς τυφλὸν αὐτῶν ἀποκαλεῖς τὸν λόγον
καὶ μαχόμενον αὐτῷ, καὶ μυρίας ἄλλας ἁμαρτίας ἔχοντα. τὴν ἐπιχαι-
ρεκακίαν, ὅπου μὲν ἀνύπαρκτον εἶναί φησιν. ἐπεὶ τῶν μὲν ἀστείων οὐδεὶς ἐπ᾽ ἀλλο-

βραβευτῇ Η

ἄλλῳ. ἔχετω Η

·Η·

τρίοις κακοῖς χαίρειν τὸ παράπαν. ἐν δὲ τῷ δευτέρῳ περὶ ἀγαθοῦ, τὸν φθόνον ἐ-
ξηγησάμενος, ὅτι λύπη ἐστὶν ἐπ᾽ ἀλλοτρίοις ἀγαθοῖς, ὡς δή ποτε βουλομένων τα-
πεινοῦν τοὺς πλησίον, ὅπως ὑπερέχωσιν αὐτοί, συνάπτει τὴν ἐπιχαιρεκακίαν.
ταύτης δὲ συνεχὴς ἡ ἐπιχαιρεκακία γίνεται, ταπεινοὺς βουλομένων εἶναι τοὺς
πλησίον διὰ τὰς ὁμοίας αἰτίας. καθ᾽ ἑτέρας δὲ φυσικὰς φορὰς ἐκτρεπομένων,
ὁ ἔλεος γίνεται. δῆλος γάρ ἐστιν ἐνταῦθα, τὴν ἐπιχαιρεκακίαν ὑπαρκτὴν ὥς-
περ φθόνον καὶ τὸν ἔλεον ἀπολιπών, ἣν ἐν ἑτέροις ἀνύπαρκτον εἶναί φησιν.
ὥσπερ τὴν μισοπονηρίαν, καὶ τὴν αἰσχροκέρδειαν ἐν πολλοῖς εἰρηκώς. ὅτι παρὰ
τὸν πλείονα χρόνον, οὐδὲν μᾶλλον εὐδαιμονοῦσιν· ἀλλ᾽ ὁμοίως καὶ ἐπίσης τοῖς τὸν
ἀμερῆ χρόνον εὐδαιμονίας μετασχοῦσιν ἐν πολλοῖς πάλιν εἴρηκεν, ὡς οὐδὲν τὸν δά-
κτυλον καθήκει προτεῖναι χάριν ἀμεραίας φρονήσεως, καθάπερ ἀστραπῆς διε-
πταμένης. ἀρκέσει δὲ παραθεῖναι τὰ ἐν τῷ ἕκτῳ τῶν ἠθικῶν ζητημάτων ὑπ᾽ αὐτοῦ
γεγραμμένα περὶ τούτων. ὑπειπὼν γὰρ ὡς οὔτε πᾶν ἀγαθὸν ἐπίσης εἰς χαρὰν
πίπτει, οὔτε πᾶν κατόρθωμα εἰς σεμνολογίαν, ἐπενήνοχε ταῦτα. καὶ γὰρ εἰ μόνον
μέλλοι ἀμερῆ χρόνον, ἢ τὸν ἔσχατον ἕξειν φρόνησιν· οὐδ᾽ ἂν τὸν δάκτυλον καθήκει ἐκ-
τεῖναι, ἕνεκα τῆς οὕτω παρεσομένης φρονήσεως, καίπερ παρὰ τὸν πλείονα χρό-
νον, οὐδὲν μᾶλλον εὐδαιμονούντων, οὐδὲ τῆς ἀϊδίου εὐδαιμονίας αἱρετωτέρας γε-
νομένης παρὰ τὴν ἀμεραίαν. εἰ μὲν οὖν τὴν φρόνησιν ἡγεῖτο ποιητικὸν εἶναι
τῆς εὐδαιμονίας τὸ ἀγαθόν, ὥσπερ ὁ Ἐπίκουρος, αὐτῆς ἔδει μόνον τῆς ἀτοπί-
ας, καὶ παραδοξολογίας ἐπιλαμβάνεσθαι τοῦ δόγματος. ἐπεὶ δὲ ἡ φρόνησις
οὐχ ἕτερόν ἐστι τῆς εὐδαιμονίας καθ᾽ αὑτό, ἀλλ᾽ εὐδαιμονία, πῶς οὐ μάχεται τὸ λέ-
γειν. ἐπίσης μὲν αἱρετὴν εἶναι τὴν ἀμεραίαν εὐδαιμονίαν, καὶ τὴν ἀΐδιον, μηδενὸς δὲ ἀξί-
αν τὴν ἀμεραίαν. τὰς ἀρετάς φησιν ἀντακολουθεῖν ἀλλήλαις, οὐ μόνον τῷ τὴν μί-
αν ἔχοντι πάσας ἔχειν, ἀλλὰ καὶ τῷ τὸν κατὰ μίαν ὁτιοῦν ἐνεργοῦντα κατὰ πάσας
ἐνεργεῖν, οὔτε ἄνδρα φασὶ τέλειον εἶναι, τὸν μὴ πάσας ἔχοντα τὰς ἀρετάς, οὔτε
πρᾶξιν τελείαν, ἥτις οὐ κατὰ πάσας πράττεται τὰς ἀρετάς. ἀλλὰ μὴν ἐν τῷ
ἕκτῳ τῶν ἠθικῶν ζητημάτων ὁ Χρύσιππος, οὐκ ἀεί φησιν ἀνδρίζεσθαι τὸν ἀστεῖον
οὐδὲ δειλαίνειν τὸν φαῦλον, ὡς δέον ἐν φαντασίαις ἐπιφερομένων τινῶν, τὸν μὲν
ἐμμένειν τοῖς κρίμασι· τὸν δὲ, ἀφίστασθαι, πιθανὸν δέ φησι μὴ δὲ ἀκολασταίνειν ἀεὶ
τὸν φαῦλον. εἴπερ οὖν τὸ ἀνδρίζεσθαι τοιοῦτόν ἐστιν, οἷον ἀνδρείᾳ χρῆσθαι καὶ
τὸ δειλαίνειν οἷον δειλίᾳ χρῆσθαι, μαχόμενα λέγουσι, λέγοντες κατὰ πάσας μὲν
ἅμα τὰς ἀρετὰς καὶ τὰς κακίας ἐνεργεῖν τὸν ἔχοντα, μὴ ἀεὶ δὲ τὸν ἀνδρεῖον ἀν-
δρίζεσθαι, μὴ δὲ δειλαίνειν τὸν φαῦλον. τὴν ῥητορικὴν ὁρίζεται τέχνην περὶ
κόσμου καὶ εἰρημένου λόγου τάξιν. ἔτι δὲ ἐν τῷ πρώτῳ ταῦτα γέγραφεν. οὐ μό-
νον δὲ τοῦ ἐλευθερίου καὶ ἀφελοῦς κόσμου δεῖν οἴομαι ἐπιστρέφεσθαι κἀπὶ τῶν λό-
γων, ὧν, καὶ τῶν οἰκείων ὑποκρίσεων, κατὰ τὰς ἐπιβαλλούσας τάσεις τῆς φωνῆς καὶ
σχηματισμούς, τοῦ τε προσώπου καὶ τῶν χειρῶν, οὕτω δέ τις φιλότιμος ἐνταῦθα
καὶ περιττὸν γενόμενος. πάλιν ἐν τῷ αὐτῷ βιβλίῳ περὶ τῆς τῶν φωνηέντων
συγκρούσεως ὑπειπών, οὐ μόνον φησὶ ταῦτα παρετέον τοῦ βελτίονος ἐχομένους,
ἀλλὰ καὶ ποιὰς ἀσαφείας καὶ ἐλλείψεις, καὶ νὴ Δία σολοικισμούς, ἐφ᾽ οἷς ἄλλοι
ἂν αἰσχυνθείησαν οὐκ ὀλίγοι. τὸ δή ποτε μὲν ἄχρι χειρῶν καὶ στόματος εὐπρεπεί-
ας ἐπιχωρεῖν τοῖς λέγουσιν ἐν κόσμῳ, τὸν λόγον διατίθεσθαι. ποτὲ δέ, μήτ᾽ ἐλλεί-
ψεων ἐπιστρέφεσθαι καὶ ἀσαφειῶν, μήτε σολοικίζοντας αἰσχύνεσθαι τελέως,
ὅτι ἂν ἐπίῃ λέγοντός ἐστιν. ἐν δὲ ταῖς φυσικαῖς θέσεσι περὶ τῶν ἐμπειρίας
καὶ ἱστορίας δεομένων διακελευσάμενος τὴν ἡσυχίαν ἔχειν, φησί, μήτε Πλά-
τωνι παραπλησίως ὑπονοήσωμεν, τὴν μὲν ὑγρὰν τροφὴν, εἰς τὸν πνεύμονα φέρε-

χαίρειν ·Η·

οὐδὲ ·Η·

τῶν ·Η·

ἀστεῖον ·Η·

[illegible] χειλῶν ·Η·

σθαι, τὴν δὲ ξηρὰν εἰς τὴν κοιλίαν, μήτε ἕτερα παραπλήσια γεγονότα τούτοις
διαπτώματα. δοκῶ δὴ τὸ ἐγκαλεῖν ἑτέροις, εἶτα περιπίπτειν αὐτὸν οἷς ἐγκα-
λεῖ καὶ μὴ φυλάττεσθαι, τῶν ἐναντιωμάτων μέγιστον εἶναι, καὶ τῶν διαπτωμάτων
αἴσχιστον. ἀλλὰ μὴν αὐτὸς τὰς διὰ δέκα ἀξιωμάτων συμπλοκὰς, πλήθει φησὶν ὑ-
περβάλλειν ἑκατὸν μυριάδας, οὔτε δι' αὐτοῦ ζητήσας ἐπιμελῶς, οὔτε διὰ τῶν
ἐμπείρων τὸ ἀληθὲς ἱστορήσας. καίτοι Πλάτων μὲν ἔχει τῶν ἰατρῶν τοὺς ἐνδοξο-
τάτους μαρτυροῦντας, Ἱπποκράτην, Φιλιστίωνα, Διώξιππον τὸν Ἱπποκράτειον,
καὶ τῶν ποιητῶν Εὐριπίδην, Ἀλκαῖον, Εὔπολιν, Ἐρατοσθένην, λέγοντας, ὅτι τὸ πο-
τὸν διὰ τοῦ πνεύμονος διέξεισι. Χρύσιππον δὲ πάντες ἐλέγχουσιν οἱ ἀριθμητικοὶ,
ὧν καὶ Ἵππαρχός ἐστιν ἀποδεικνύων τὸ διάπτωμα τοῦ λογισμοῦ παμμέγεθες αὐ-
τῷ γεγονὸς. εἴγε τὸ μὲν καταφατικὸν ποιεῖ συμπεπλεγμένων ἀξιωμάτων μυ-
ριάδας δέκα, καὶ πρὸς ταύταις, τρισχίλια τεσσαρακονταεννέα. τὸ δ' ἀποφατι-
κὸν, ἐννακόσια πεντηκονταδύο πρὸς τριάκοντα καὶ μίᾳ μυριάσι. τῶν πρεσβυ-
τέρων τινὲς ἃ τῷ τὸ ὀξίνην ἔχοντι συνέβαινε, μήτε ὡς ὄξος ἀποδόσθαι δυναμέ-
νῳ, μήτε ὡς οἶνον ἔφασαν τῷ Ζήνωνι συμβαίνειν. τὸ γοῦν προηγμένον αὐτῷ, μήτε πρά-
ως ἀγαθὸν, μήτε ὡς ἀδιάφορον ἔχειν διάθεσιν, ἀλλ' ὁ Χρύσιππος ἔτι μᾶλλον πρᾶγ-
μα δυσδιάθετον πεποίηκεν. ὅτε μὲν γάρ φασι μαίνεσθαι τοὺς τὸν πλοῦτον καὶ τὴν ὑγίειαν,
καὶ τὴν ἀπονίαν, καὶ τὴν ὁλοκληρίαν τοῦ σώματος μηδενὶ ποιουμένους, μηδ' ἀντεχομέ-
νους τῶν τοιούτων, καὶ παραθέμενος τὰ τοῦ Ἡσιόδου. ἐργάζευ Πέρση δῖον γένος
ἐπιπεφώνηκεν, ὅτι τἀναντία παραινεῖν, μανικόν ἐστι. τὸ μὴ ἐργάζευ Πέρση δῖον
γένος. καὶ τὸν μὲν σοφὸν ἐν τοῖς περὶ βίων, καὶ βασιλεῦσι συνέσεσθαι φησὶν, ἕνεκα
χρηματισμοῦ, καὶ σοφιστεύσειν ἐπ' ἀργυρίῳ, παρ' ὧν μὲν προλαμβάνοντα, πρὸς
οὓς δὲ συντιθέμενον τῶν μαθητῶν. ἐν δὲ τῷ ἑβδόμῳ τοῦ καθήκοντος καὶ κυβι-
στήσειν τρὶς ἐπὶ τούτῳ λαβόντα τάλαντον. ἐν δὲ τῷ πρώτῳ τῶν ἀγαθῶν τρόπον τι-
νὰ συγχωρεῖ, καὶ δίδωσι τοῖς βουλομένοις τὰ προηγμένα καλεῖν ἀγαθὰ, καὶ
κακὰ τἀναντία. ταύταις ταῖς λέξεσιν, εἴ τις βούλεται κατὰ τὰς τοιαύτας
παραλλαγὰς τὸ μὲν, ἀγαθὸν αὐτῶν λέγειν, τὸ δὲ, κακὸν. τὸ δὲ κακὸν τοῦ ταῦτα φερό-
μενος τὰ πράγματα καὶ μὴ ἄλλως ἀποπλανώμενος, ἐν μὲν τοῖς σημαινομένοις οὐ
διαπίπτοντα αὐτοῦ. τὰ δ' ἄλλως στοχαζομένου τοῦ κατὰ τὰς ὀνομασίας συνηθείας.
οὕτω δὲ τὸ προηγμένον τῷ ἀγαθῷ συναγαγὼν εὐθὺς ἐνταῦθα καὶ συμμίξας ἐν ἑτέ-
ροις, πάλιν οὐδὲν εἶναί φησι τούτων καθόλου πρὸς ἡμᾶς, ἀλλ' ἀποσπᾶν τὸν λόγον ἡμᾶς
καὶ ἀποστρέφειν ἀπάντων τῶν τοιούτων. ταῦτα γοῦν ἐν τῷ πρώτῳ περὶ τοῦ προ-
τρέπεσθαι γέγραφεν. ἐν δὲ τῷ τρίτῳ περὶ φύσεως μακαρίζεσθαί φησιν, ἐνί-
ους βασιλεύοντας, καὶ πλουτοῦντας, ὅμοιον εἰ χρυσαῖς ἀμίσι χρώμενοι καὶ
χρυσοῖς κρασπέδοις ἐμακαρίζοντο. τῷ δ' ἀγαθῷ τὸ τὴν οὐσίαν ἀποβαλεῖν, οἱονεὶ
δραχμὴν ἀποβαλεῖν, καὶ τὸ νοσῆσαι οἷον προσκόψαι. διὸ τῶν ἐναντιωμάτων τού-
των, οὐ μόνον τὴν ἀρετὴν καὶ τὴν πρόνοιαν ἀναπέπληκεν. ἡ μὲν γὰρ ἀρετὴ μι-
κρολόγος ἐσχάτως φανεῖται καὶ ἀνόητος περὶ ταῦτα πραγματευομένη, καὶ
τούτων ἕνεκα πλεῖν εἰς Βόσπορον κελεύουσα καὶ κυβιστᾶν τὸν σοφὸν. ὁ δὲ Ζεὺς
γελοῖος εἰ κτήσιος χαίρει καὶ ἐπικάρπιος καὶ χαριδότης προσαγορευόμενος, ὅ-
τι δηλαδὴ χρυσᾶς ἀμίδας, καὶ χρυσᾶ κράσπεδα χαρίζεται τοῖς φαύλοις, τοῖς δ'
ἀγαθοῖς ἄξια δραχμῆς ὅταν πλούσιοι γένωνται κατὰ τὴν τοῦ Διὸς πρόνοιαν. ἔτι
δὲ γελοιότερος ὁ Ἀπόλλων, εἰ περὶ χρυσῶν κρασπέδων καὶ ἀμίδων κάθηται θε-
μιστεύων, καὶ περὶ προσκομμάτων ἀπολύσεως. ἔτι δὲ μᾶλλον τῇ ἀποδείξει τοῦτο
τὸ ἐναντίωμα ποιοῦσι φανερώτερον. ᾧ γάρ ἐστιν εὖ χρήσασθαι καὶ κακῶς, τοῦτό
φασι μήτ' ἀγαθὸν εἶναι, μήτε κακὸν. πλούτῳ δὲ καὶ ὑγιείᾳ καὶ ῥώμῃ σώματος, κα-

κῶς χρῶνται πάντες οἱ ἀνόητοι. διόπερ οὐδέν ἐστι τούτων ἀγαθόν. εἴπερ οὖν ὁ
θεὸς ἀρετὴν μὲν οὐ δίδωσιν ἀνθρώποις, ἀλλὰ τὸ καλὸν αὐθαίρετόν ἐστι, πλοῦ-
τον δὲ καὶ ὑγίειαν, χωρὶς ἀρετῆς δίδωσιν, οὐκ εὖ χρησομένοις δίδωσιν, ἀλλὰ κα-
κῶς, τουτέστι βλαβερῶς καὶ αἰσχρῶς καὶ ὀλεθρίως. καίτοι εἰ μὲν δύνανται τὴν
ἀρετὴν παρέχειν οἱ θεοὶ, οὐκ εἰσὶ χρηστοὶ μὴ παρέχοντες, εἰ δὲ μὴ δύνανται ποιεῖν
ἀγαθοὺς, οὐδ' ὠφελεῖν δύνανται. μηδενός τε τῶν ἄλλων ὄντος ἀγαθοῦ, μὴ δὲ ὠφε-
λίμου. τὸ δὲ τοὺς ἄλλως γενομένους ἀγαθοὺς κρίνειν κατ' ἀρετὴν ἢ ἰσχὺν, οὐδέν ἐστι.
καὶ γὰρ τοὺς θεοὺς οἱ ἀγαθοὶ κρίνουσι κατ' ἀρετὴν καὶ ἰσχὺν, ὥστε μηδὲν μᾶλλον
ὠφελεῖν ἢ ὠφελεῖσθαι αὐτοὺς ὑπὸ τῶν ἀνθρώπων. καὶ μὴν, οὔτε αὑτὸν ὁ
Χρύσιππος ἀποφαίνει σπουδαῖον, οὔτε τινὰ τῶν αὐτοῦ γνωρίμων, ἢ καθηγε-
μόνων. τί οὖν περὶ τῶν ἄλλων φρονοῦσιν, ἢ ταῦτα ἅπερ λέγουσι, μαίνεσθαι
πάντας, ἀφραίνειν, ἀνοσίους εἶναι, παρανόμους, ἐπ' ἄκρον ἥκειν δυστυχίας,
κακοδαιμονίας ἁπάσης, εἶτα προνοίᾳ θεῶν διοικεῖσθαι τὰ καθ' ἡμᾶς οὕτως ἀ-
θλίως πράττοντας. εἰ γοῦν οἱ θεοὶ μεταβαλλόμενοι βλάπτειν ἐθέλοιεν ἡμᾶς
καὶ κακοῦν, καὶ διαστρέφειν καὶ προσεπιτρίβειν, οὐκ ἂν δύναιντο διαθεῖναι χεῖ-
ρον ἢ νῦν ἔχομεν, ὡς Χρύσιππος ἀποφαίνει, μήτε κακίας ὑπερβολὴν ἀπολεί-
πειν, μήτε κακοδαιμονίας τὸν βίον. ὥστ' εἰ λάβοι φωνὴν εἰπεῖν ἂν αὐτὸν τὰ τοῦ
Ἡρακλέους. γέμω κακῶν δὴ, καὶ οὐκ ἔσθ' ὅπου τεθῇ. τίνας οὖν ἄν τις εὕ-
ροι μαχομένας μᾶλλον ἀλλήλαις ἀποφάσεις τῆς περὶ θεῶν Χρυσίππου, καὶ
τῆς περὶ ἀνθρώπων, τοὺς μὲν, ὡς ἔνι βέλτιστα προνοεῖν. τοὺς δὲ, ὡς ἔνι χείριστα
πράττειν λέγοντος. ἐγκαλοῦσιν αὐτῷ τινες τῶν Πυθαγορικῶν ἐν τοῖς περὶ δι-
καιοσύνης γράφοντι περὶ τῶν ἀλεκτρυόνων, ὅτι χρησίμως γεγόνασι. ἐπεγείρου-
σι γὰρ ἡμᾶς καὶ τοὺς σκορπίους ἐκλέγουσι, καὶ κατὰ τὰς μάχας ἐπιστρέφουσι,
ζῆλόν τινα πρὸς ἀλκὴν ἐμποιοῦντες, ὅμως δὲ δεῖ κατεσθίειν καὶ τούτους, ἵνα
μὴ τὴν χρείαν ὑπερβάλλῃ τὸ πλῆθος τῶν νεοττῶν. ὁ δὲ, οὕτω καταγελᾷ τῶν ἐπὶ
τούτοις ἐγκαλούντων, ὥστε περὶ τοῦ Διὸς τοῦ σωτῆρος καὶ γενέτορος καὶ πατρὸς
δίκης καὶ εὐνομίας καὶ εἰρήνης, ταῦτα γράφειν ἐν τῷ τρίτῳ περὶ θεῶν, ὡς
δὲ αἱ πόλεις πλεονάσασαι εἰς ἀποικίας ἀπαίρουσι τὰ πλήθη, καὶ πολέμους
ἐνίστανται πρός τινας, οὕτως ὁ θεὸς φθορᾶς ἀρχὰς δίδωσιν. καὶ τὸν Εὐριπί-
δην μάρτυρα καὶ τοὺς ἄλλους προσάγεται τοὺς λέγοντας, ὡς ὁ Τρωϊκὸς πόλε-
μος ὑπὸ τῶν θεῶν ἀπαντλήσεως ἕνεκα τοῦ πλήθους τῶν ἀνθρώπων γένοιτο.
τούτων δὲ, τὰς μὲν ἄλλας ἀτοπίας ἄφες, οὐ γὰρ ἔτι μὴ καλῶς, ἀλλ' ὅσα πρὸς
ἑαυτοὺς διαφόρως λέγουσιν, ἐξετάσαι μόνον πρόκειται. σκόπει δὲ, ὅτι τῷ θεῷ
καλὰς μὲν ἐπικλήσεις καὶ φιλανθρώπους ἀεὶ, ἄγρια δὲ ἔργα καὶ βάρβαρα καὶ
Γαλατικὰ προστίθησιν. οὐ γὰρ ἀποικίαις ἐοίκασιν αἱ τοσαῦται φθοραὶ καὶ πα-
νωλεθρίαι τῶν ἀνθρώπων, οἵας ὁ Τρωϊκὸς εἰργάσατο πόλεμος, καὶ πάλιν ὁ Μη-
δικὸς καὶ Πελοποννησιακὸς, εἰ μή τινας ἐν ᾅδου καὶ ὑπὸ γῆς ἴσασιν οἰκι-
ζομένας πόλεις, ἀλλὰ τῷ Γαλάτῃ Δηϊοτάρῳ ποιεῖν Χρύσιππος ὅμοιον τὸν θεὸν,
ὃς πλειόνων αὐτῷ παίδων γεγονότων, ἑνὶ βουλόμενος τὴν ἀρχὴν ἀπολιπεῖν καὶ
τὸν οἶκον. ἅπαντας ἐκείνους ἀπέσφαξεν, ὥσπερ ἀμπέλου βλαστοὺς ἀποτε-
μὼν καὶ κολούσας, ἵνα εἷς ὁ λειφθεὶς ἰσχυρὸς γένηται καὶ μέγας.
καίτοι γε ὁ μὲν ἀμπελουργὸς, ἔτι μικρῶν ὄντων καὶ ἀσθενῶν, τοῦτο ποιεῖ
τῶν κλημάτων. καὶ ἡμεῖς νεογνῶν καὶ τυφλῶν ὄντων τῶν σκυλακίων, ὑφαιροῦ-
μεν τὰ πολλὰ φειδόμενοι τῆς κυνὸς. ὁ δὲ Ζεὺς, οὐ μόνον ἐάσας καὶ περιϊδὼν
ἐν ἡλικίᾳ γενομένους, ἀλλὰ καὶ φύσας αὐτὸς καὶ αὐξήσας ἀποτυμπανίζει
φθορᾶς καὶ ὀλέθρου μηχανώμενος προφάσεις δι' ὃν αἰτίας καὶ ἀρχὰς γενέσεως

μὴ παρασχεῖν. τοῦτο μὲν οὖν ἔλαττόν ἐστι, κἀκεῖνο μεῖζον. οὐδεὶς γὰρ φύεται ἀνθρώ-
ποις πόλεμος, ἄνευ κακίας· ἀλλὰ τὸν μὲν φιληδονία, τὸν δὲ πλεονεξία, τὸν δὲ φι-
λοδοξία τις ἢ φιλαρχία συῤῥήγνυσιν. οὐκοῦν εἰ πολέμους ὁ θεὸς ἐνεργάζεται, καὶ
κακίας, παροξύνων καὶ διαστρέφων τοὺς ἀνθρώπους. καίτοι λέγει δι' αὐτὸς ἐν
τῷ περὶ τοῦ δικάζειν, καὶ πάλιν ἐν τῷ δευτέρῳ περὶ θεῶν, ὡς τῶν αἰσχρῶν τὸ
θεῖον παραίτιον γίνεσθαι, οὐκ εὔλογόν ἐστιν. ὃν τρόπον γὰρ οὔτε νόμος τοῦ παρανο-
μεῖν παραίτιος ἂν γένοιτο, οὔτε οἱ θεοὶ τοῦ ἀσεβεῖν, οὕτως εὔλογον, μηδ' αἰσχροῦ
μηδενὸς εἶναι παραιτίους. τί οὖν αἴσχιον ἀνθρώποις, φθορᾶς ὑπ' ἀλλήλων γινο-
μένης. ἥν φησι Χρύσιππος ἐνδιδόναι τὰς ἀρχὰς τὸν θεόν. ἀλλὰ νὴ Δία φησί
τις ἐπαινεῖν πάλιν τοῦ Εὐριπίδου λέγοντος· εἰ θεοί τι δρῶσιν αἰσχρόν, οὐκ εἰσὶ θεοί.
καὶ τὸ ῥᾷστον εἶπας αἰτιάσασθαι θεούς, ὥσπερ ἡμῶν ἄλλο τι νῦν πραττόντων,
ἢ τὰς ἐναντίας αὐτοῦ φωνὰς καὶ ὑπολήψεις παρατιθεμένων. οὐ μὴν ἀλλ' αὐ-
τό γε τοῦτο τὸ νῦν ἐπαινούμενον οὐχ ἅπαξ, οὐδὲ δίς, οὐδὲ τρίς, ἀλλὰ μυριάκις
ἔσται πρὸς Χρύσιππον εἰπεῖν, τὸ ῥᾷστον εἶπας αἰτιάσασθαι θεούς. πρῶτον γὰρ
ἐν τῷ περὶ φύσεως τὸ ἀΐδιον τῆς κινήσεως, κυκεῶνι παρεικάσας, ἄλλα ἄλ-
λως στρέφοντι καὶ ταράσσοντι τῶν γινομένων ταῦτ' εἴρηκεν, οὕτω δὲ τῆς τῶν ὅ-
λων οἰκονομίας προαγούσης, ἀναγκαῖον κατὰ ταύτην, ὡς ἄν ποτ' ἔχωμεν, ἔχειν
ἡμᾶς, εἴτε παρὰ φύσιν τὴν ἰδίαν νοσοῦντες, εἴτε πεπηρωμένοι, εἴτε γραμματι-
κοὶ γεγονότες, ἢ μουσικοί. καὶ πάλιν μετ' ὀλίγον, κατὰ τοῦτον δὲ τὸν λόγον τὰ ὅμοια καὶ
τὰ παραπλήσια ἐροῦμεν, καὶ περὶ τῆς ἀρετῆς ἡμῶν καὶ κακίας, καὶ τὸ ὅλον τῶν
τεχνῶν καὶ τῶν ἀτεχνιῶν, ὡς ἔφην, καὶ μετ' ὀλίγον ἅπασαν ἀναιρῶν ἀμφιβολίαν,
οὐθὲν γάρ ἐστιν ἄλλως τῶν κατὰ μέρος γενέσθαι, οὐδὲ τοὐλάχιστον, ἢ κατὰ τὴν κοινὴν φύ-
σιν καὶ κατὰ τὸν ἐκείνης λόγον. ὅτι δ' ἡ κοινὴ φύσις καὶ ὁ κοινὸς τῆς φύσεως λόγος εἱ-
μαρμένη καὶ πρόνοια καὶ Ζεύς ἐστιν, οὐδὲ τοὺς ἀντίποδας λέληθε. πανταχοῦ γὰρ ταῦ-
τα θρυλεῖται ὑπ' αὐτῶν. καὶ Διὸς δ' ἐτελείετο βουλή, τὸν Ὅμηρον εἰρηκέναι φησίν,
ὀρθῶς ἐπὶ τὴν εἱμαρμένην ἀναφέροντα, καὶ τὴν τῶν ὅλων φύσιν, καθ' ἣν πάν-
τα διοικεῖται. πῶς οὖν ἅμα μὲν οὐδενὸς αἰσχροῦ παραίτιος ὁ θεός, ἅμα δὲ οὐ-
δὲ τοὐλάχιστον ἐνδέχεται γίνεσθαι ἄλλως, ἢ κατὰ τὴν κοινὴν φύσιν, καὶ τὸν ἐκεί-
νης λόγον. ἐν γὰρ πᾶσι τοῖς γινομένοις, καὶ τὰ αἰσχρὰ δή που θεῶν ἐστιν. καί-
τοι ὁ μὲν Ἐπίκουρος ἀμωσγέπως στρέφεται καὶ φιλοτεχνεῖ, τῆς ἀϊδίου κινή-
σεως μηχανώμενος ἐλευθερῶσαι, καὶ ἀπολῦσαι τὸ ἑκούσιον, ὑπὲρ τοῦ μὴ κα-
ταλιπεῖν ἀνέγκλητον τὴν κακίαν, ἀναπεπταμένην παῤῥησίαν αὐτῇ δίδωσιν,
ὡς οὐ μόνον ἐξ ἀνάγκης, οὐδὲ καθ' εἱμαρμένην, ἀλλὰ καὶ κατὰ λόγον θεοῦ καὶ κατὰ φύσιν
πεποιημένην τὴν ἀρίστην. ἔτι δὲ καὶ ταῦτα ὁρᾶται κατὰ λέξιν οὕτως ἔχοντα. τῆς γὰρ
κοινῆς φύσεως εἰς πάντα διατεινούσης, δεήσει πᾶν τὸ ὁπωσοῦν γινόμενον ἐν τῷ λό-
γῳ, καὶ τῶν μορίων ὁτῳοῦν κατ' ἐκείνην γενέσθαι, καὶ τὸν ἐκείνης λόγον, κατὰ τὸ
ἑξῆς ἀκωλύτως, διὰ τὸ μήτ' ἔξωθεν εἶναι τὸ ἐνστησόμενον τῇ οἰκονομίᾳ, μήτε τῶν
μερῶν μηδὲν ἔχειν, ὅπως κινηθήσεται ἢ σχήσει ἄλλως κατὰ τὴν κοινὴν φύσιν.
τίνες οὖν αἱ τῶν μερῶν σχέσεις εἰσὶ κινήσεις· δῆλον μὲν ὅτι σχέσεις αἱ κακίαι καὶ
τὰ νοσήματα, φιλαργυρίαι, φιληδονίαι, φιλοδοξίαι, δειλίαι, ἀδικίαι, κινή-
σεις δέ, μοιχεῖαι, κλοπαί, προδοσίαι, ἀνδροφονίαι, πατροκτονίαι. τούτων οἴεται
Χρύσιππος οὔτε μικρὸν οὔτε μέγα παρὰ τὸν τοῦ Διὸς λόγον εἶναι, καὶ νόμον, καὶ
δίκην, καὶ πρόνοιαν. ὥστε μὴ γίνεσθαι παρὰ τὸν νόμον τὸ παρανομεῖν, μηδὲ παρὰ
τὴν δίκην τὸ ἀδικεῖν, μήτε παρὰ τὴν πρόνοιαν τὸ κακοποιεῖν. ἀλλὰ μὴν τὸν θεὸν
κολάζειν φησὶ τὴν κακίαν, καὶ πολλὰ ποιεῖν ἐπὶ κολάσει τῶν πονηρῶν, ὥσπερ
ἐν τῷ δευτέρῳ περὶ θεῶν, ποτὲ μὲν τὰ δύσχρηστα συμβαίνειν φησὶ τοῖς ἀγα-

θοῖς, οὐχ ὥσπερ τοῖς φαύλοις κολάσεως χάριν, ἀλλὰ κατ' ἄλλην οἰκονομίαν,
ὥσπερ ἐν ταῖς πόλεσιν. καὶ πάλιν ἐν τούτοις, πρῶτον δὲ τῶν κακῶν παραπλη-
σίως ἐστὶν ἀκουστέον τοῖς προειρημένοις. εἶτα ὅτι ταῦτα ἀπονέμεται κατὰ τὸν Διὸς
λόγον, ἤτοι ἐπὶ κολάσει, ἢ κατ' ἄλλην ἔχουσάν πως πρὸς τὰ ὅλα οἰκονομίαν.
ἔστι μὲν οὖν τοῦτο δεινόν, τὸ καὶ γίνεσθαι τὴν κακίαν καὶ κολάζεσθαι κατὰ τὸν
τοῦ Διὸς λόγον. ἐπιτείνει δὲ τὴν ὑπεναντίωσιν ἐν τῷ δευτέρῳ περὶ φύσεως γρά-
φων τάδε. ἡ δὲ κακία πρὸς τὰ δεινὰ συμπτώματα, ἴδιόν τινα ἔχει λόγον. γίνεται
μὲν γὰρ αὐτή πως κατὰ τὸν τῆς φύσεως λόγον, καὶ ἵν' οὕτως εἴπω, οὐκ ἀχρήστως
γίνεται πρὸς τὰ ὅλα. οὐδὲ γὰρ ἂν τἀγαθὰ ἦν, καὶ οὕτως ἐπιτιμᾷ τοῖς ἐπίσης πρὸς
τὰ ἐναντία διαλεγομένοις, ὃς ὑπὸ τοῦ πάντως τι βούλεσθαι καὶ περὶ παντὸς εἰπεῖν
ἴδιον καὶ περιττόν, οὐκ ἀχρήστως λέγει βαλαντιοτομεῖν, συκοφαντεῖν, καὶ ἀ-
φραίνειν, οὐκ ἀχρήστως ἀχρήστους εἶναι, βλαβεροὺς κακοδαίμονας. εἶτα ποῖός
τις ὁ Ζεύς, λέγω δὲ τὸν Χρυσίππου κολάζων πρᾶγμα, μήτε ἀφ' αὐτοῦ, μήτε ἀ-
χρήστως γινόμενον. ἡ μὲν γὰρ κακία πάντως, ἀνέγκλητός ἐστι κατὰ τὸν Χρυσίππου
λόγον, ὁ δὲ Ζεὺς ἐγκλητέος, εἴτε ἄχρηστον οὖσαν τὴν κακίαν πεποίηκεν, εἴτε ποιή-
σας, οὐκ ἀχρήστως κολάζει. πάλιν ἐν τῷ πρώτῳ περὶ δικαιοσύνης εἰπὼν
περὶ τῶν θεῶν, ὡς ἐνισταμένοις ἐνίων ἀδικήμασι κακίαν δέ φησι καθόλου ἆραι,
οὔτε δυνατόν ἐστιν, οὔτ' ἔχει καλῶς ἀρθῆναι, τὴν ἀνομίαν, τὴν ἀδικίαν, τὴν ἀ-
βελτηρίαν, οὐ τοῦ παρόντος ἐστὶ λόγου τὸ ζητεῖν, αὐτὸς δὲ τὴν κακίαν, ὅσον ἐφ'
ἑαυτῷ διὰ τοῦ φιλοσοφεῖν ἀναιρῶν, ἣν οὐκ ἔχει καλῶς ἀναιρεῖν μαχόμενόν τι ποιεῖ,
καὶ τῷ λόγῳ καὶ τῷ θεῷ. πρὸς δὲ τούτοις λέγων ἐνίοις ἀδικήμασιν ἐνίστασθαι
τὸν θεόν, ἔμφασιν πάλιν τῶν ἁμαρτημάτων δίδωσιν ἀνοσιότητος. ὅτι περὶ τοῦ
μηδὲν ἐγκλητὸν εἶναι μηδὲ μεμπτὸν κόσμῳ κατὰ τὴν ἀρίστην φύσιν, ἁπάντων πε-
ραινομένων πολλάκις γεγραφώς. ἔστιν ὅπου πάλιν ἐγκλητάς τινας, ἀμελείας οὐ περὶ
μικρὰ καὶ φαῦλα καταλείπει. ἐν γοῦν τῷ τρίτῳ περὶ οὐσίας μνησθείς, ὅτι συμ-
βαίνοι τινὰ τοῖς καλοῖς καὶ ἀγαθοῖς τοιαῦτα. πότερόν φησιν ἀμελουμένων τινῶν
καθάπερ ἐν οἰκίαις μείζοσι παραπίπτει τινὰ πίτυρα, καὶ ποσοὶ πυροί τινες, τῶν
ὅλων εὖ οἰκονομουμένων, ἢ διὰ τὸ καθίστασθαι ἐπὶ τῶν τοιούτων δαιμόνια φαῦ-
λα, ἐν οἷς τῷ ὄντι γίνονται καὶ ἐγκλητέαι ἀμέλειαι. φησὶ δὲ πολὺ καὶ τὸ τῆς ἀνάγ-
κης μεμῖχθαι. τὸ μὲν οὖν τὰ τοιαῦτα συμπτώματα τῶν καλῶν κἀγαθῶν ἀν-
δρῶν, οἷον ἡ Σωκράτους καταδίκη, καὶ ὁ Πυθαγόρου ζῶντος ἐμπρησμὸς ὑπὸ τῶν
Κυλωνείων, καὶ Ζήνωνος ὑπὸ Δημύλου τοῦ τυράννου, καὶ τυφῶνος ὑπὸ Διονυ-
σίου στρεβλουμένων ἀναιρέσεις, ἐπὶ πιτύροις παραπίπτουσιν ἀπεικάζειν, ὅσης
ἐστὶν εὐχερείας ἐῶ. τὸ δὲ φαύλους δαίμονας ἐκ προνοίας ἐπὶ τὰς τοιαύτας ἐ-
πιστασίας καθίστασθαι, πῶς οὐκ ἔστιν ἔγκλημα τοῦ θεοῦ, καθάπερ βασιλέως κα-
κοῖς καὶ ἐμπλήκτοις σατράπαις, καὶ στρατηγοῖς διοικήσεις ἐπιτρέποντος, καὶ
περιορῶντος ὑπὸ τούτων ἀμελουμένους, καὶ παροινουμένους τοὺς ἀρίστους.
καὶ μὴν εἰ πολὺ τὸ τῆς ἀνάγκης μέμικται τοῖς πράγμασιν, οὔτε κρατεῖ πάντων
ὁ θεός, οὔτε πάντα κατὰ τὸν ἐκείνου λόγον διοικεῖται. πρὸς τὸν Ἐπίκουρον μά-
λιστα μάχεται, καὶ πρὸς τοὺς ἀναιροῦντας τὴν πρόνοιαν, ἐκ τῶν ἐννοιῶν, ἃς ἔχομεν
περὶ θεῶν εὐεργετικοὺς καὶ φιλανθρώπους ἐπινοοῦντες. καὶ τούτων πολλαχοῦ λεγο-
μένων παρ' αὐτοῖς, οὐδὲν ἔδει λέξεις παρατίθεσθαι. καί τοι χρηστοὺς οὐ πάντας
εἶναι τοὺς θεοὺς προλαμβάνειν. ὅρα γοῦν οἷα Ἰουδαῖοι καὶ Σύροι περὶ θεῶν φρονοῦ-
σιν. ὅρα τὰ τῶν ποιητῶν, πόσης ἐμπέπλησται δεισιδαιμονίας. φθαρτὸν δὲ καὶ
γεννητόν, οὐδεὶς ὡς ἔπος εἰπεῖν διανοεῖται θεόν. ὧν ἵνα τοὺς ἄλλους ἀφῶ πάν-
τας, Ἀντίπατρος ὁ Ταρσεύς, ἐν τῷ περὶ θεῶν γράφει ταῦτα κατὰ λέξιν. πρὸς

δὲ τοῦ σύμπαντος λόγου τὴν ἐνάργειαν, ἣν ἔχομεν περὶ θεοῦ, διὰ βραχέων ἐπιλογούμεθα. θεὸν τοίνυν νοοῦμεν ζῷον μακάριον, καὶ ἄφθαρτον, καὶ εὐποιητικὸν ἀνθρώπων. εἶτα τούτων ἕκαστον ἀφηγούμενός φησιν οὕτω, καὶ μὴν ἀφθάρτους αὐτοὺς ἡγοῦνται πάντες. οὐδεὶς οὖν ἐστι τῶν πάντων ὁ Χρύσιππος κατ' αὐτὸ τὸ παρόν. οὐδένα γὰρ οἴεται πλὴν τοῦ πυρὸς, ἄφθαρτον εἶναι τῶν θεῶν, ἀλλὰ πάντας ὁμαλῶς καὶ γεγονότας, καὶ φθαρησομένους. ταῦτα δὲ πανταχοῦ, ὡς ἔπος εἰπεῖν, ὑπ' αὐτοῦ λέγεται. παραθήσομαι δὲ λέξιν ἐκ τοῦ τρίτου περὶ θεῶν, καθ' ἕτερον λόγον. οἱ μὲν γὰρ γεννητοί εἰσι καὶ φθαρτοὶ, οἱ δὲ ἀγέννητοι, καὶ ταῦτα ἀπ' ἀρχῆς ὑποδείκνυσθαι φυσικώτερον. ἥλιος μὲν γὰρ καὶ σελήνη, καὶ οἱ ἄλλοι θεοὶ παραπλήσιον ἔχοντες λόγον, γεννητοί εἰσιν. ὁ δὲ Ζεὺς, ἀΐδιός ἐστιν. καὶ πάλιν προελθών, ὅμοια δὲ καὶ περὶ τοῦ φθονεῖν, καὶ περὶ τοῦ γενέσθαι ῥηθήσεται, περί τε τῶν ἄλλων θεῶν καὶ τοῦ Διός. οἱ μὲν γὰρ φθαρτοί εἰσι, τοῦ δὲ τὰ μέρη ἄφθαρτα. τούτοις ἔτι βούλομαι παραβαλεῖν μικρὰ τῶν ὑπὸ τοῦ Ἀντιπάτρου λεγομένων. ὅσοι δὲ περιαιροῦνται τὸ εὐποιητικὸν ἐκ τῶν θεῶν ἀπὸ μέρους προσβάλλουσι τῇ τούτων προλήψει κατὰ τὸν αὐτὸν λόγον, καὶ οἱ νομίζοντες αὐτοὺς γενέσεώς τε καὶ φθορᾶς κοινωνεῖν. εἴπερ οὖν ἐπίσης ἄτοπος ὁ φθαρτοὺς ἡγούμενος τοὺς θεοὺς τῷ μὴ νομίζοντι προνοητικοὺς εἶναι καὶ φιλανθρώπους, ἐπίσης διαπέπτωκεν Ἐπικούρῳ Χρύσιππος. ὁ μὲν γὰρ τὸ εὐποιητικὸν, ὁ δὲ τὸ ἄφθαρτον ἀφαιρεῖται τῶν θεῶν. καὶ μὴν ἐν τῷ τρίτῳ περὶ θεῶν ὁ Χρύσιππος περὶ τοῦ τρέφεσθαι τοὺς ἄλλους θεοὺς, τάδε λέγει. τροφῇ τε οἱ μὲν ἄλλοι θεοὶ χρῶνται, παραπλησίως συνεχόμενοι δι' αὐτήν. ὁ δὲ Ζεὺς καὶ ὁ κόσμος καθ' ἕτερον τρόπον ἀναλισκομένων καὶ ἐκ πυρὸς γενομένων. ἐνταῦθα μὲν ἀποφαίνεται πάντας τοὺς ἄλλους θεοὺς τρέφεσθαι, πλὴν τοῦ κόσμου καὶ τοῦ Διός. ἐν δὲ τῷ πρώτῳ περὶ προνοίας, τὸν Δία φησὶν αὔξεσθαι, μέχρις ἂν εἰς αὐτὸν ἅπαντα καταναλώσῃ. ἐπεὶ γὰρ ὁ θάνατος μέν ἐστι ψυχῆς χωρισμὸς ἀπὸ τοῦ σώματος. ἡ δὲ τοῦ κόσμου ψυχὴ, οὐ χωρίζεται μὲν, αὔξεται δὲ συνεχῶς, μέχρις ἂν εἰς αὐτὴν ἐξαναλώσῃ τὴν ὕλην, οὐ ῥητέον ἀποθνήσκειν τὸν κόσμον. τίς ἂν οὖν ἐναντιώτερα λέγων ἑαυτῷ φανείη τοῦ τὸν αὐτὸν θεὸν, καὶ τοῦτ' οὐ δεῖ συλλογίζεσθαι. σαφῶς γὰρ αὐτὸς ἐν αὐτῷ γέγραφεν. αὐτάρκης δὲ εἶναι λέγεται μόνος ὁ κόσμος, διὰ τὸ μόνος ἐν αὐτῷ πάντα ἔχειν, ὧν δεῖται καὶ τρέφεται ἐξ αὐτοῦ καὶ αὔξεται, τῶν ἄλλων μορίων εἰς ἄλληλα καταλλαττομένων. οὐ μόνον οὖν ἐν ἐκείνοις τοὺς ἄλλους θεοὺς ἀποφαίνων τρεφομένους, πλὴν τοῦ κόσμου καὶ τοῦ Διός. ἐν τούτοις δὲ καὶ τὸν κόσμον αὔξεσθαι λέγων τρέφεσθαι, μάχεται πρὸς αὐτὸν, ἀλλ' ἔτι μᾶλλον ὅτι τὸν κόσμον αὔξεσθαι φησὶν ἐξ αὐτοῦ τρεφόμενον. τοὐναντίον δὲ εἰκὸς ἦν τοῦτον μόνον μὴ αὔξεσθαι τὴν αὐτοῦ φθίσιν ἔχοντα τροφήν. τοῖς δ' ἄλλοις θεοῖς ἔξωθεν τρεφομένοις, ἐπίδοσιν γίνεσθαι καὶ αὔξησιν, καὶ μᾶλλον εἰς τούτους καταναλίσκεσθαι τὸν κόσμον, εἴγε ἐκείνῳ μὲν ἐξ αὐτοῦ, τούτοις δὲ ἀπ' ἐκείνου λαμβάνειν ἀεί τι καὶ τρέφεσθαι συμβέβηκε. δεύτερον τοίνυν ἡ τῶν θεῶν ἔννοια περιέχει τὸ εὔδαιμον καὶ μακάριον, καὶ αὐτοτελές. διὸ καὶ τὸν Εὐριπίδην ἐπαινοῦσιν εἰπόντα. δεῖται γὰρ ὁ θεὸς, εἴπερ ἔστ' ὀρθῶς θεὸς, οὐδενὸς αὐτῶν. οἱ δὲ δύστηνοι λόγοι. ἀλλ' ὅγε Χρύσιππος ἐν οἷς παρεθέμην, αὐτάρκη μόνον εἶναι τὸν κόσμον φησὶ, διὰ τὸ μόνον ἐν αὐτῷ πάντα ἔχειν, ὧν δεῖται. τί οὖν ἕπεται τῷ μόνον αὐτάρκη τὸν κόσμον εἶναι, τὸ μήτε τὸν ἥλιον αὐτάρκη, μήτε τὴν σελήνην εἶναι, μήτ' ἄλλον τινὰ τῶν θεῶν. αὐτάρκεις δὲ μὴ ὄντες, οὐκ ἂν εἶεν εὐδαίμονες οὐδὲ μακάριοι. τὸ βρέφος ἐν τῇ γαστρὶ φύσει τρέφεσθαι νομίζει, καθάπερ φυτόν. ὅταν δὲ τεχθῇ ψυχόμενον ὑπὸ τοῦ ἀέρος καὶ στομούμενον, τὸ πνεῦμα μεταβάλλειν καὶ γίνεσθαι ζῷον. ὅθεν οὐκ ἀπὸ τρόπου τὴν ψυχὴν ὀνομάσθαι παρὰ τὴν ψύξιν. αὐτὸς δὲ πάλιν τὴν ψυχὴν, ἀραιότερον πνεῦμα τῆς φύσεως

τῆς φύσεως καὶ λεπτομερέστερον ἡγεῖται μαχόμενος αὐτῷ. πῶς γὰρ οἷόν τε λεπτομερὲς ἐκ παχυμεροῦς καὶ ἀραιὸν γενέσθαι κατὰ περίψυξιν καὶ πύκνωσιν. ὃ δὲ μεῖζόν ἐστι, πῶς περιψύξει γίνεσθαι τὸ ἔμψυχον ἀποφαινόμενος, ἔμψυχον ἡγεῖται τὸν ἥλιον πύρινον ὄντα καὶ γεγενημένον ἐκ τῆς ἀναθυμιάσεως εἰς πῦρ μεταβαλούσης. λέγει γὰρ ἐν τῷ τρίτῳ περὶ φύσεως. ἡ δὲ πυρὸς μεταβολή ἐστι τοιαύτη, δι' ἀέρος εἰς ὕδωρ τρέπεται. κἀκ τούτου γῆς ὑφισταμένης, ἀὴρ ἀναθυμιᾶται. λεπτυνομένου δὲ τοῦ ἀέρος, ὁ αἰθὴρ περιχεῖται κύκλῳ. οἱ δ' ἀστέρες ἐκ θαλάσσης μετὰ τοῦ ἡλίου ἀνάπτονται. τί οὖν ἀνάψει περιψύξεως ἐναντιώτερον, ἢ διαχύσει πυκνώσεως. τὰ μὲν, ὕδωρ, καὶ γῆν, ἐκ πυρὸς καὶ ἀέρος ποιεῖ. τὰ δ' εἰς πῦρ καὶ ἀέρα τρέπει τὸ ὑγρὸν καὶ γεῶδες. ἀλλ' ὅμως ὅπου μὲν τὴν ἄναψιν, ὅπου δὲ τὴν περίψυξιν, ἀρχὴν ἐμψυχίας ποιεῖ. καὶ μὴν ὅταν ἐκπύρωσις γένηται δι' ὅλου ζῆν, καὶ ζῷον εἶναί φησι. σβεννύμενον δ' αὖθις καὶ παχυνόμενον, εἰς ὕδωρ καὶ γῆν, καὶ τὸ σωματοειδὲς τρέπεσθαι. λέγει δὲ ἐν τῷ πρώτῳ περὶ προνοίας. δι' ὅλου μὲν γὰρ ὢν ὁ κόσμος πυρώδης, εὐθὺς καὶ ψυχή ἐστιν ἑαυτοῦ καὶ ἡγεμονικόν. ὅτε δὲ μεταβαλὼν εἴς τε τὸ ὑγρὸν καὶ τὴν ἐναπολειφθεῖσαν ψυχὴν, τρόπον τινὰ εἰς σῶμα καὶ ψυχὴν μεταβάλλων, ὥστε συνεστάναι ἐκ τούτων, ἄλλον τινὰ ἔσχε λόγον. ἐνταῦθα δή που σαφῶς τῇ μὲν ἐκπυρώσει καὶ τὰ ἄψυχα τοῦ κόσμου φησὶν, εἰς τὸ ἔμψυχον τρέπεσθαι. τῇ δὲ σβέσει πάλιν καὶ τὴν ψυχὴν ἀνίεσθαι καὶ ἀνυγραίνεσθαι, μεταβάλλουσαν εἰς τὸ σωματοειδές. ἄτοπος οὖν φαίνεται τῇ περιψύξει, νῦν μὲν ἐξ ἀναισθήτων ποιῶν ἔμψυχα νῦν δ' εἰς ἀναίσθητα καὶ ἄψυχα μεταβάλλων, τὸ πλεῖστον μέρος τῆς τοῦ κόσμου ψυχῆς. ἄνευ δὲ τούτου ὁ περὶ ψυχῆς γενέσεως αὐτῷ λόγος μαχομένην ἔχει πρὸς τὸ δόγμα τὴν ἀπόδειξιν. γίνεσθαι μὲν γάρ φησι τὴν ψυχὴν, ὅταν τὸ βρέφος ἀποτεχθῇ, καθάπερ στομώσει τῇ περιψύξει τοῦ πνεύματος μεταβαλόντος. ἀποδείξει δὲ χρῆται τοῦ γεγονέναι τὴν ψυχὴν, καὶ μεταγενεστέραν εἶναι μάλιστα τῷ καὶ τὸν τρόπον καὶ τὸ ἦθος ἐξομοιοῦσθαι τὰ τέκνα τοῖς γονεῦσι. βλέπεται δ' ἡ τούτων ἐναντίωσις. οὐ γὰρ οἷόν τε τὴν ψυχὴν πρὸ τῆς ἀποκυήσεως ἠθοποιεῖσθαι γεννωμένην μετὰ τὴν ἀποκύησιν, ἢ συμβήσεται πρὶν ἢ γενέσθαι ψυχὴν, ὁμοίαν εἶναι ψυχῇ, τουτέστι καὶ εἶναι τῇ ὁμοιότητι καὶ μὴ εἶναι διὰ τὸ μή πω γεγονέναι. εἰ δέ φησί τις, ὅτι ταῖς κράσεσι τῶν σωμάτων ἐγγινομένης τῆς ὁμοιότητος, αἱ ψυχαὶ γενόμεναι μεταβάλλουσι, διαφθείρει τὸ τεκμήριον τοῦ γεγονέναι τὴν ψυχήν. ἐνδέχεται γὰρ οὕτω καὶ ἀγέννητον οὖσαν, ὅταν ἐπεισέλθῃ μεταβάλλειν τῇ κράσει τῆς ὁμοιότητος. τὸν ἀέρα ποτὲ μὲν ἀνωφερῆ καὶ κοῦφον εἶναί φησι, ποτὲ δὲ μήτε βαρὺν μήτε κοῦφον. ἐν μὲν οὖν τῷ δευτέρῳ περὶ κινήσεως, τότε πῦρ ἀβαρὲς ὂν, ἀνωφερὲς εἶναι λέγει, καὶ τούτῳ παραπλησίως τὸν ἀέρα. τοῦ μὲν ὕδατος τῇ γῇ μᾶλλον προσνεμομένου, τοῦ δ' ἀέρος τῷ πυρί. ἐν δὲ ταῖς φυσικαῖς τέχναις, ἐπὶ τὴν ἑτέραν ῥέπει δόξαν, ὡς μήτε βάρος ἐξ αὐτοῦ, μήτε κουφότητα τοῦ ἀέρος ἔχοντος. τὸν ἀέρα φύσει ζοφερὸν εἶναι λέγει, καὶ τούτῳ τεκμηρίῳ χρῆται τοῦ καὶ ψυχρὸν εἶναι πρώτως. ἀντικεῖσθαι γὰρ αὐτοῦ τὸ μὲν ζοφερὸν, πρὸς τὴν λαμπρότητα. τὸ δὲ ψυχρὸν, πρὸς τὴν θερμότητα τοῦ πυρός. ταῦτα κινῶν ἐν τῷ πρώτῳ τῶν φυσικῶν ζητημάτων. πάλιν ἐν τοῖς περὶ ἕξεων οὐδὲν ἄλλο τὰς ἕξεις, πλὴν ἀέρας εἶναί φησιν. ὑπὸ τούτων γὰρ συνέχεται τὰ σώματα, καὶ τοῦ ποιὸν ἕκαστον εἶναι τοῖς ἕξει συνεχομένων, αἴτιος ὁ συνέχων ἀήρ ἐστιν, ὃς σκληρότητα μὲν ἐν σιδήρῳ, πυκνότητα δ' ἐν λίθῳ, λευκότητα δ' ἐν ἀργύρῳ καλοῦσι, πολλὴν ἀτοπίαν καὶ μάχην τούτων ἐχόντων. εἰ μὲν γὰρ μένει ὁποῖός τ' ἐστὶ φύσει, πῶς τὸ μέλαν ἐν τῷ μὴ λευκῷ λευκότης γίνεται, καὶ τὸ μαλθακὸν ἐν τῷ μὴ σκληρῷ σκληρότης, καὶ τὸ μανὸν ἐν μὴ πυκνῷ, πυκνότης. εἰ δὲ μιγνύμενος ἐν τούτοις ἐξίσταται καὶ συνομοι-

οὗται, πῶς ἕξις ἐστὶν ἢ δύναμις ἢ αἰτία τούτων, ὑφ' ὧν κρατεῖται; πάσχοντος γάρ ἐστιν, οὐ δρῶντος οὐδὲ συνέχοντος, ἀλλ' ἐξασθενοῦντος ἡ τοιαύτη μεταβολὴ καθ' ἣν ἀπόλλυσι τὰς αὑτοῦ ποιότητας. Καίτοι πανταχοῦ τὴν ὕλην ἀργὸν ἐξ ἑαυτῆς καὶ ἀκίνητον ὑποκεῖσθαι ταῖς ποιότησιν ἀποφαίνουσι· τὰς δὲ ποιότητας πνεύματα, οὔσας καὶ τόνους ἀερώδεις, οἷς ἂν ἐγγένωνται μέρεσι τῆς ὕλης, εἰδοποιεῖν ἕκαστα καὶ σχηματίζειν. Ταῦτ' οὐκ ἔνεστι λέγειν αὐτοῖς τὸν ἀέρα φύσει τοιοῦτον ὑποτιθεμένοις· ἕξις γὰρ ὢν καὶ τόνος, αὐτῷ συνεξομοιώσει τῶν σωμάτων ἕκαστον, ὥστε μαλακὸν εἶναι καὶ μαλθακόν· εἰ δὲ τῇ πρὸς ἐκεῖνα κράσει τὰς ἐναντίας λαμβάνει μορφὰς ἃς ἔχειν πέφυκεν ὕλη, τρόπον τινὰ τῆς ὕλης, οὐκ αἴτιον οὐδὲ δύναμίς ἐστιν. Ὅτι τοῦ κόσμου κενὸν ἐκτὸς ἄπειρόν ἐστι, τὸ δ' ἄπειρον οὔτ' ἀρχὴν οὔτε μέσον, οὔτε τελευταῖον ἔχει, πολλάκις ὑπ' αὐτοῦ λέγεται, καὶ τούτῳ μάλιστα τὴν λεγομένην ὑπὸ Ἐπικούρου τῆς ἀτόμου κάτω φορὰν ἐξ αὑτῆς ἀναιροῦσιν, οὐκ οὔσης ἐν ἀπείρῳ διαφορᾶς, καθ' ἣν τὸ μὲν ἄνω τὸ δὲ κάτω νοεῖται γινόμενον. Ἀλλ' ἔν γε τῷ τετάρτῳ περὶ δυνατῶν μέσον τινὰ τόπον καὶ μέσην χώραν ὑποθέμενος, ἐνταυθά φησιν ἱδρύσθαι τὸν κόσμον. ἔστι δ' ἡ λέξις αὕτη· διὸ καὶ ἐπὶ τοῦ κόσμου ῥητέον, αὐτὸν φθαρτὸν εἶναι, λόγου οἰόμενον δεῖσθαι· οὐ μὴν ἀλλὰ μᾶλλον ἐμοὶ φαίνεται οὕτως ἔχειν· οἱονεὶ δὲ εἰς τὴν ὥσπερ ἀφθαρσίαν πολύ τι αὐτῷ συνεργεῖ, καὶ ἡ τῆς χώρας κατάληψις, οἷον διὰ τὸ ἐν μέσῳ εἶναι· ἐπεὶ εἰ ἀλλαχῆ νοηθείη ὤν, καὶ παντελῶς ἂν αὐτῷ συνάπτοι ἡ φθορά. καὶ μετὰ μικρὸν αὖθις· οὕτω γάρ πως καὶ ἡ οὐσία συντέτευχεν ἀιδίως τὸ μέσον κατειληφυῖα τόπον, εὐθὺς τοιάδε τις οὖσα, ὥστε καθ' ἕτερον τρόπον, ἀλλὰ καὶ διὰ τὴν συντυχίαν μὴ ἐπιδέχεσθαι τὴν φθορὰν, κατὰ τοῦτ' εἶναι ἀΐδιον. Ταῦτα μίαν μὲν ἔχει καταφανῆ καὶ βλεπομένην ἐναντίωσιν, ἐν ἀπείρῳ μέσον τινὰ τόπον, καὶ μέσην χώραν ἀπολείπων· ἑτέραν δὲ ἀδηλοτέραν μὲν, ἀλογωτέραν δὲ ταύτης. οἰόμενος γὰρ οὐκ ἂν ἄφθαρτον διαμένειν τὸν κόσμον, εἰ κατ' ἄλλο μέρος αὐτῷ τοῦ κενοῦ συνέτυχε γενέσθαι τὴν ἵδρυσιν, δῆλός ἐστι δεδιὼς, μὴ τῶν μερῶν τῆς οὐσίας ἐπὶ τὸ μέσον φερομένων, διάλυσις καὶ φθορὰ τοῦ κόσμου γένοιτο. ταῦτα δ' οὐκ ἂν ἐφοβεῖτο, μὴ τῆς οὐσίας φύσει τὰ σώματα φέρεσθαι πανταχόθεν ἐπὶ τὸ μέσον ἡγούμενος, οὐ τῆς οὐσίας, ἀλλὰ τῆς περιεχούσης τὴν αἰτίαν χώρας· περὶ οὗ καὶ πολλάκις εἴρηκεν, ὡς ἀδυνάτου καὶ παρὰ φύσιν ὄντος. οὐ γὰρ ὑπάρχειν ἐν τῷ κενῷ διαφορὰν, ᾗ τὰ σώματα δεῦρο μᾶλλον ἢ δεῦρο προσάγεται, τὴν δὲ τοῦ κόσμου σύνταξιν, αἰτίαν εἶναι τῆς κινήσεως ἐπὶ τὸ κέντρον, καὶ τὸ μέσον αὐτοῦ, νευόντων καὶ φερομένων πανταχόθεν. Ἀρκεῖ δ' εἰς τοῦτο παραθέσθαι λέξιν ἐκ τοῦ δευτέρου περὶ κινήσεως. ἐπειπὼν γὰρ ὅτι τέλεον μὲν ὁ κόσμος σῶμά ἐστιν, οὐ τέλεα δὲ τὰ τοῦ κόσμου μέρη, τῷ πρὸς τὸ ὅλον πῶς ἔχειν, καὶ μὴ καθ' αὑτὰ εἶναι, καὶ περὶ τῆς κινήσεως αὐτοῦ διελθὼν, ὡς ἐπὶ τὴν συμμονὴν καὶ τὴν συνοχὴν τὴν ἑαυτοῦ κινεῖσθαι διὰ τῶν μερῶν πάντων πεφυκότος, οὐκ ἐπὶ τὴν διάλυσιν καὶ τὴν θρύψιν, ταῦτ' εἴρηκεν. οὕτω δὲ τοῦ ὅλου τεινομένου εἰς ταὐτὸ, καὶ κινουμένου, καὶ τῶν μορίων ταύτην τὴν κίνησιν ἐχόντων ἐκ τῆς τοῦ σώματος φύσεως, πιθανὸν πᾶσι τοῖς σώμασιν εἶναι τὴν πρώτην κατὰ φύσιν κίνησιν πρὸς τὸ τοῦ κόσμου μέσον, τῷ μὲν κόσμῳ οὑτωσὶ κινουμένου πρὸς αὐτὸν, τοῖς δὲ μέρεσιν, ὡς ἂν μέρεσιν οὖσιν. Εἶτα φήσαι τις ἂν, ὦ ἄνθρωπε τί παθὼν ἐπελάθου τῶν λόγων τούτων, ὥστε τὸν κόσμον εἰ μὴ τὴν μέσην χώραν ἐκ τύχης κατειλήφει, διαλυτὸν καὶ φθαρτὸν ἀποφαίνειν. εἰ γὰρ αὐτός γε νεύειν ἐπὶ τὸ αὐτοῦ μέσον ἀεὶ πέφυκεν, καὶ τὰ μέρη πρὸς τοῦτο κατατείνειν πανταχόθεν, ὅποι ποτ' ἂν τοῦ κενοῦ μετατεθῇ, συνέχων ἑαυτὸν οὕτω καὶ περιστέλλων, ἄφθαρτος καὶ ἄθρυπτος διαμενεῖ. τὰ γὰρ θρυπτόμενα καὶ σκεδαννύμενα τοῦτο πάσχει, διακρίσει τῶν

μερῶν

μερῶν ἑκάστου καὶ διαλύσει πρὸς τὸν οἰκεῖον τόπον, ἐκ τοῦ παρὰ φύσιν ἀποῤῥέοντος. ὁ δ' εἰ κατ' ἄλλο τοῦ κενοῦ τεθείη ὁ κόσμος, οἰόμενος οὕτω παντελῆ συνάπτεσθαι φθορὰν, καὶ λέγων οὕτω, καὶ διὰ τοῦτο μέσον ἐν τῷ μηδὲν ἔχειν πεφυκότι μέσον τῷ τοῦ ἀπείρῳ, τὰς μὲν τάσεις καὶ συνοχὰς, καὶ νεύσεις ἐκείνας, ὡς οὐδὲν ἐχέγγυον εἰς σωτηρίαν ἐχούσας, ἀφῆκας, τῇ δὲ καταλήψει τοῦ τόπου τὴν σύμπασαν αἰτίαν τῆς διαμονῆς, ἀνέθηκας. καὶ τοῖς προειρημένοις ταυτὶ συνάπτει, ὥσπερ αὐτὸς ἑαυτὸν ἐξελέγξαι φιλοτιμούμενος· ὃν τρόπον δὲ κινεῖται ἕκαστον τῶν μορίων, συμφυὲς ὂν τῷ λοιπῷ, εὔλογον οὕτω καὶ καθ' αὑτὸ κινεῖσθαι. καὶ εἰ λόγου χάριν νοήσαιμεν αὐτὸ, καὶ ὑποθοίμεθα εἶναι ἐν κενῷ τινι τοῦ κόσμου τούτου· ὥσπερ γὰρ ἂν συνεχόμενον πάντοθεν, ἐκινεῖτο ἐπὶ τὸ μέσον, μενεῖ ἐν τῇ κινήσει ταύτῃ κἂν λόγου χάριν ἐξαίφνης τὸ περὶ αὐτὸ γένηται κενόν. Εἶτα μέρος μὲν ὁτιοῦν ὑπὸ κενοῦ περιληφθὲν, οὐκ ἀποβάλλει τὴν ἐπὶ τὸ τοῦ κόσμου μέσην ἄγουσαν ῥοπήν· αὐτὸς δ' ὁ κόσμος ἂν μὴ τὴν μέσην παρασκευάσῃ χώραν αὐτῷ τὸ αὐτόματον, ἀπολεῖ τὸν συνεκτικὸν τόνον, ἄλλοις ἀλλαχόσε τῆς οὐσίας αὐτοῦ μέρεσι φερομένοις. Καὶ ταῦτα μὲν ἔχει μεγάλας ὑπεναντιώσεις πρὸς τὸν φυσικὸν λόγον. ἐκεῖνο δ' ἤδη καὶ πρὸς τὸν περὶ θεοῦ καὶ προνοίας, τὸ τὰ μικρότατα τῶν αἰτιῶν τούτοις ἀνατιθέντα, τὸ κυριώτατον ἀφαιρεῖσθαι καὶ μέγιστον. τί γάρ ἐστι κυριώτερον τῆς τοῦ κόσμου διαμονῆς, καὶ τὸ τὴν οὐσίαν ἡνωμένην τοῖς μέρεσι συνέχεσθαι πρὸς αὐτήν. Ἀλλὰ τοῦτό γε συμπέπτωκεν αὐτομάτως κατὰ Χρύσιππον. εἰ γὰρ ἡ τοῦ τόπου κατάληψις, αἰτία τῆς ἀφθαρσίας ἐστὶν, αὕτη δὲ συντυχίᾳ γέγονεν, δηλονότι συντυχίας ἔργον ἡ σωτηρία τῶν ὅλων ἐστὶν, οὐχ εἱμαρμένης καὶ προνοίας. ὁ δὲ τῶν δυνατῶν λόγος, πρὸς τὸν τῆς εἱμαρμένης λόγον, αὐτόθι πῶς οὐ μαχόμενός ἐστιν; εἰ γὰρ οὐκ ἔστι δυνατὸν ὅπερ ἢ ἐστὶν ἀληθὲς, ἢ ἔσται κατὰ Διόδωρον· ἀλλὰ πᾶν τὸ ἐπιδεκτικὸν τοῦ γενέσθαι, κἂν μὴ μέλλῃ γενήσεσθαι, δυνατόν ἐστιν· ἔσται δυνατὰ πολλὰ τῶν μὴ καθ' εἱμαρμένην ἀνίκητον καὶ ἀνεκβίαστον καὶ περιγενητικὴν ἁπάντων, ἢ εἱμαρμένη δύναμιν ἀπόλλυσιν ἡ ταύτης, οἷον ἀξιοῖ Χρύσιππος οὔσης. τὸ ἐπιδεκτικὸν τοῦ γενέσθαι πολλάκις εἰς τὸ ἀδύνατον ἐμπεσεῖται, καὶ πᾶν μὲν ἀληθὲς ἀναγκαῖον ἔσται τῇ κυριωτάτῃ πασῶν ἀνάγκῃ κατειλημμένον· πᾶν δὲ ψεῦδος ἀδύνατον, τὴν μεγίστην ἔχον αἰτίαν ἀντιπίπτουσαν αὐτῷ πρὸς τὸ ἀληθὲς γενέσθαι. ᾧ γὰρ ἐν θαλάσσῃ πεπρωμένον ἐστὶν ἀποθανεῖν, πῶς οἷόν τε τοῦτον ἐπιδεκτικὸν εἶναι τοῦ ἐν γῇ ἀποθανεῖν; τί δὲ τὸν Μεγαροῖ δυνατόν ἐστιν ἐλθεῖν εἰς Ἀθήνας ὑπὸ τῆς εἱμαρμένης κωλυόμενον. Ἀλλὰ μὴν καὶ τὰ περὶ τῶν φαντασιῶν λεγόμενα νεανικῶν πρὸς τὴν εἱμαρμένην ἐναντιοῦται. τὴν γὰρ φαντασίαν βουλόμενος οὐκ οὖσαν αὐτοτελῆ τῆς συγκαταθέσεως αἰτίαν ἀποδεικνύειν, εἴρηκεν, ὅτι βλάψουσιν οἱ σοφοὶ ψευδεῖς φαντασίας ἐμποιοῦντες, ἂν αἱ φαντασίαι ποιῶσιν αὐτοτελῶς τὰς συγκαταθέσεις. πολλάκις γὰρ οἱ σοφοὶ, ψεύδει χρῶνται πρὸς τοὺς φαύλους, καὶ φαντασίαν παριστᾶσι πιθανὴν, οὐ μὴν αἰτίαν τῆς συγκαταθέσεως, ἐπεὶ καὶ τῆς ὑπολήψεως αἰτία τῆς ψευδοῦς ἔσται καὶ τῆς ἀπάτης. Ταῦτ' οὖν ἄν τις ἀπὸ τοῦ σοφοῦ μεταφέρων ἐπὶ τὴν εἱμαρμένην λέγῃ, μὴ διὰ τὴν εἱμαρμένην γίνεσθαι τὰς συγκαταθέσεις· ἐπεὶ διὰ τὴν εἱμαρμένην ἔσονται καὶ ψευδεῖς συγκαταθέσεις καὶ ὑπολήψεις, καὶ ἀπάται, καὶ βλαβήσονται διὰ τὴν εἱμαρμένην. ὁ τοῦ βλάπτειν τὸν σοφὸν ἐξαιρούμενος λόγος, ἅμα καὶ τὸ μὴ πάντων αἰτίαν εἶναι τὴν εἱμαρμένην ἀποδείκνυσιν. εἰ γὰρ μήτε δοξάζουσι, μήτε βλάπτονται διὰ τὴν εἱμαρμένην, δηλονότι οὐδὲ κατορθοῦσιν, οὐδὲ φρονοῦσιν, οὐδ' ὑπολαμβάνουσι βεβαίως, οὐδ' ὠφελοῦνται διὰ τὴν εἱμαρμένην· ἀλλ' οἴχεται τὸ πάντων αἰτίαν εἶναι τὴν εἱμαρμένην. Ὁ δὲ λέγων ὅτι Χρύσιππος οὐκ αὐτοτελῆ τούτων αἰτίαν, ἀλλὰ προκαταρκτικὴν μόνον ἐποιεῖτο τὴν εἱμαρμένην, ἐκεῖ πάλιν αὐτὸν ἀποδείξει μαχόμε-

νον πρὸς αὐτόν· ὅπου τὸν μὲν Ὅμηρον ὑπερφυῶς ἐπαινεῖ περὶ τοῦ Διὸς λέγοντα· ὃ ἔχει ὅττι κεν ὔμμι κακὸν πέμπῃσιν ἑκάστῳ, ἢ ἀγαθόν. καὶ τὸν Εὐριπίδην· ὦ Ζεῦ, τί δῆτα τοὺς ταλαιπώρους βροτοὺς φρονεῖν λέγουσι; σοῦ γὰρ ἐξηρτήμεθα, δρῶμέν τε τοιαῦθ' ἃ σὺ τυγχάνεις φρονῶν. αὐτὸς δὲ πολλὰ τούτοις ὁμολογούμενα γράφει. τέλος δέ φησι, μηδὲν ἴσχεσθαι μηδὲ κινεῖσθαι μηδὲ τοὐλάχιστον ἄλλως, ἢ κατὰ τὸν τοῦ Διὸς λόγον, ὃν τῇ εἱμαρμένῃ τὸν αὐτὸν εἶναι. ἔτι τοίνυν τὸ μὲν καταρκτικὸν αἴτιον, ἀσθενέστερόν ἐστι τοῦ αὐτοτελοῦς καὶ οὐκ ἐξικνεῖται κρατούμενον, ὑπ' ἄλλων ἐξανισταμένων· τὴν δ' εἱμαρμένην αἰτίαν ἀνίκητον καὶ ἀκώλυτον καὶ ἄτρεπτον ἀποφαίνων, αὐτὸς Ἄτροπον καλεῖ καὶ Ἀδράστειαν καὶ Ἀνάγκην καὶ Πεπρωμένην, ὡς πέρας ἅπασιν ἐπιτιθεῖσαν. πότερον οὖν τὰς συγκαταθέσεις μὴ λέγομεν ἐφ' ἡμῖν εἶναι, μηδὲ τὰς ἀρετὰς, μηδὲ τὰς κακίας, μηδὲ τὸ κατορθοῦν, μηδὲ τὸ ἁμαρτάνειν, ἢ τὴν εἱμαρμένην λέγομεν ἐλλείπουσαν εἶναι, καὶ τὴν πεπρωμένην ἀπεράτωτον, καὶ τὰς τοῦ Διὸς κινήσεις καὶ σχέσεις ἀσυντελέστους. τούτων γὰρ ἐπὶ τὰ μὲν, ὧν αὐτὸ τελεῖν, τὰ δὲ, προκαταρκτικὴν μόνον αἰτίαν εἶναι τὴν εἱμαρμένην. αὐτοτελὴς μὲν αἰτία πάντων οὖσα, τὸ ἐφ' ἡμῖν καὶ τὸ ἑκούσιον ἀναιρεῖ. προκαταρκτικὴ δὲ, τὸ ἀκώλυτος εἶναι καὶ τελεσιουργὸς, ἀπόλλυσιν. οὐδὲ γὰρ ἅπαξ ἢ δὶς, ἀλλὰ πανταχοῦ, μάλιστα δὲ ἐν πᾶσι τοῖς Φυσικοῖς γέγραφεν· ταῖς μὲν κατὰ μέρος φύσεσι καὶ κινήσεσιν ἐνστήματα πολλὰ γίνεσθαι καὶ κωλύματα· τῇ δὲ τῶν ὅλων, μηδέν. καὶ πῶς εἰς τὰς κατὰ μέρος ἡ τῶν ὅλων διατείνουσα κίνησις ἐμποδιζομένων καὶ κωλυομένων ἐκείνων, ἀνεμπόδιστος αὕτη καὶ ἀκώλυτός ἐστιν. οὐδὲ γὰρ ἡ τοῦ ἀνθρώπου φύσις ἀνεμπόδιστος, εἰ μὴ δὲ ἡ τοῦ ποδὸς ἢ τῆς χειρός· οὐδ' ἡ τῆς νεὼς κίνησις ἀκώλυτος ἂν εἴη, εἰ τὰ περὶ τὸ ἱστίον, ἢ τὴν εἰρεσίας ἐνέργειαν κωλύσεις τινὰς ἔχωσιν. ἄνευ δὲ τούτων, εἰ μὲν αἱ φαντασίαι μὴ γίνονται καθ' εἱμαρμένην τῶν συγκαταθέσεων. εἰ δ' ὅτι ποιεῖ φαντασίας ἀγωγοὺς πρὸς τὴν συγκατάθεσιν καθ' εἱμαρμένην, αἱ συγκαταθέσεις γίνεσθαι λέγονται. πῶς οὐ μάχεται πρὸς ἑαυτὴν πολλάκις ἐν τοῖς μεγίστοις, διαφόρους ποιοῦσα φαντασίας, καὶ περισπῶσα ἐπὶ τἀναντία τὴν διάνοιαν, ὅτε τοὺς προστιθεμένους τῇ ἑτέρᾳ καὶ μὴ ἐπέχοντας, ἁμαρτάνειν λέγουσι, ἂν μὲν ἀδήλοις εἴκωσι, προσπίπτοντας, ἂν δὲ ψευδέσι, διαψευδομένους, ἂν δὲ κοινῶς, ἀκαταλήπτοις δοξάζοντας. καίτοι δεῖ τριῶν ὄντων, ἢ μὴ πᾶσαν εἶναι φαντασίας εἱμαρμένης ἔργον, ἢ πᾶσαν παραδοχὴν καὶ συγκατάθεσιν φαντασίας, ἀναμάρτητον· εἰ μὴ δὲ αὐτὴν τὴν εἱμαρμένην ἀνεπίληπτον. οὐκ οἶδα γὰρ ὅπως ἀνέγκλητός ἐστι, τοιαύτας ποιοῦσα φαντασίας, αἷς τὸ μὴ μάχεσθαι, μηδ' ἀντιβαίνειν, ἀλλ' ἕπεσθαι καὶ εἴκειν ἐγκλητόν ἐστιν. καὶ μὴν ἔν γε τοῖς πρὸς τοὺς Ἀκαδημιακοὺς ἀγῶσιν ὁ πλεῖστος αὐτῷ τε Χρυσίππῳ καὶ Ἀντιπάτρῳ πόνος γέγονε, περὶ τοῦ μήτε πράττειν μήτε ὁρμᾶν ἀσυγκαταθέτως, ἀλλὰ πλάσματα λέγειν, καὶ κενὰς ὑποθέσεις τοὺς ἀξιοῦντας οἰκείας φαντασίας γενομένης, εὐθὺς ὁρμᾶν, μὴ εἴξαντας μηδὲ συγκαταθεμένους. αὖθις δέ φησι Χρύσιππος καὶ τὸν θεὸν ψευδεῖς ἐμποιεῖν φαντασίας, καὶ τὸν σοφὸν, οὐ συγκατατιθεμένων, οὐδ' εἰκόντων δεομένου ἡμῶν, ἀλλὰ πραττόντων μόνον, καὶ ὁρμώντων πρὸς τὸ φαινόμενον· ἡμᾶς δὲ φαύλους ὄντας ὑπ' ἀσθενείας συγκατατίθεσθαι ταῖς τοιαύταις φαντασίαις. ἡ δὲ τούτων τῶν λόγων ταραχὴ καὶ διαφορὰ πρὸς αὐτοὺς, οὐ πάνυ δυσθεώρητός ἐστιν. ὁ γὰρ οὐ δεόμενος συγκατατιθεμένων, ἀλλὰ πραττόντων μόνον, οἷς ἐνδίδωσι τὰς φαντασίας, εἴτε θεὸς, εἴτε σοφὸς, οἶδεν ὅτι πρὸς τὸ πράττειν ἀρκοῦσιν αἱ φαντασίαι, καὶ περιέλκουσιν αἱ συγκαταθέσεις, ὡς εἴγε γινώσκων, ὅτι πρακτικὴν ὁρμὴν οὐ παρίστησι φαντασία, δίχα συγκαταθέσεως, ψευδεῖς ἐνεργάζεται καὶ πιθανὰς φαντασίας, ἑκὼν αἴτιός ἐστι τοῦ προσπίπτειν καὶ ἁμαρτάνειν ἀκαταλήπτοις συγκατατιθεμένους.

δὲ νεώτερος αὐτοκράτωρ ἅμα ἡμέρᾳ προελθὼν εἰς τὸ Καπιτώλιον, ἔθυσε, καὶ κελεύσας Μάριον Κέλσον ἀχθῆναι πρὸς αὐτὸν, ἠσπάσατο καὶ διελέχθη φιλανθρώπως, καὶ παρεκάλεσε τῆς αἰτίας ἐπιλαθέσθαι μᾶλλον, ἢ τῆς ἀφέσεως μνημονεύειν. τοῦ δὲ Κέλσου μήτ' ἀγεννῶς ἀποκριναμένου, μήτ' ἀναισθήτως, ἀλλὰ φήσαντος αὐτοῦ τοῦ τρόπου διδόναι τὸ ἔγκλημα πίστιν· ἐγκεκλῆσθαι γὰρ ὅτι Γάλβᾳ βέβαιον ἑαυτὸν παρέσχεν, ᾧ χάριν οὐδεμίαν ὤφειλεν· ἠγάσθησαν οἱ παρόντες ἀμφοτέρων, καὶ τὸ στρατιωτικὸν ἐπῄνεσεν. ἐν δὲ συγκλήτῳ πολλὰ δημοτικὰ καὶ φιλάνθρωπα διαλεχθεὶς, ὃν μὲν αὐτὸς ὑπατεύειν χρόνον ἔμελλε τούτου μέρος ἔνειμεν Οὐεργινίῳ Ῥούφῳ· τοῖς δὲ ἀποδεδειγμένοις ὑπὸ Νέρωνος ἢ Γάλβα, πᾶσιν ἐτήρησε τὰς ὑπατείας. ἱερωσύναις δὲ τοὺς καθ' ἡλικίαν προήκοντας, ἢ δόξαν, ἐκόσμησε. τοῖς δὲ ἐπὶ Νέρωνος φυγοῦσι καὶ κατελθοῦσιν ἐπὶ Γάλβα συγκλητικοῖς πᾶσιν ἀπέδωκεν, ὅσα μὴ πεπραμένα τῶν κτημάτων ἕκαστον ἐξεύρισκεν. ὅθεν οἱ πρῶτοι καὶ κράτιστοι πεφρικότες πρότερον, ὡς οὐκ ἀνδρὸς, ἀλλά τινος ἢ ποινῆς ἢ παλαμναίου δαίμονος ἄφνω τοῖς πράγμασιν ἐπιπεπτωκότος, ἡδίους ἐγένοντο ταῖς ἐλπίσι πρὸς τὴν ἡγεμονίαν ὥσπερ διαμειδιῶσαν. ὁμοῦ δὲ Ῥωμαίους πάντας, οὐδὲν εὔφρανεν οὕτως οὐδὲ ᾠκειώσατο πρὸς αὐτὸν, ὡς τὰ περὶ Τιγελλῖνον. ἐλελήθει μὲν γὰρ ἤδη κολαζόμενον αὐτῷ τῷ φόβῳ τῆς κολάσεως, ἣν ὡς χρέος ἀπῄτει δημόσιον ἡ πόλις, καὶ νοσήμασιν ἀνηκέστοις σώματος. αὐτοῦ τε τὰς ἀνοσίους καὶ ἀρρήτους ἐν γυναιξὶ πόρναις καὶ ἀκαθάρτοις ἐγκυλινδήσεις, αἷς ἔτι προσεπαίρε δυσθανατῶν τὸ ἀκόλαστον ἐπιδραττόμενον, ἐσχάτην τιμωρίαν ἐποιοῦντο καὶ πολλῶν ἀντάξια θανάτων, οἱ σωφρονοῦντες. ἠνία δὲ τοὺς πολλοὺς, ὅμως τὸν ἥλιον ὁρῶν μετὰ τοσούτους καὶ τοιούτους δι' αὐτὸν οὐχ ὁρῶντας. ἔπεμψεν οὖν ἐπ' αὐτὸν ὁ Ὄθων εἰς τοὺς περὶ Σινόεσσαν ἀγρούς· ἐκεῖ γὰρ διῃτᾶτο πλοίων παρορμούντων, ὡς φευξόμενος ἀπωτέρω, καὶ τόν γε πεμφθέντα χρυσίῳ πολλῷ πείθειν ἐπεχείρησε παρεῖναι· μὴ πεισθέντα δὲ, δῶρα μὲν ἔδωκεν οὐδὲν ἧττον. ἐδεήθη δὲ ὑπομεῖναι ἕως ἂν ἀποξύρηται τὸ γένειον, καὶ λαβὼν αὐτὸς ἑαυτὸν ἐλαιμοτόμησεν. οὕτω δὲ τῷ δήμῳ τὴν δικαιοτάτην ἡδονὴν ἀποδοὺς ὁ Καῖσαρ, αὐτὸς ἰδίας ἔχθρας οὐδενὶ τὸ παράπαν ἐμνησικάκησε, τοῖς δὲ πολλοῖς χαριζόμενος, οὐκ ἔφυγε τὸ πρῶτον ἐν τοῖς θεάτροις Νέρων προσαγορεύεσθαι, καί τινων εἰκόνας Νέρωνος εἰς τοὐμφανὲς προθεμένων, οὐ κεκώλυκε. Κλαύδιος δὲ Ῥοῦφος εἰς Ἰβηρίαν φησὶ κομισθῆναι διπλώματα, οἷς ἐκπέμπουσι τοὺς γραμματηφόρους τὸ τοῦ Νέρωνος, θεῖον ὄνομα προσγεγραμμένον ἔχοντα τῷ τοῦ Ὄθωνος. οὐ μὴν ἀλλὰ τοὺς πρώτους καὶ κρατίστους αἰσθόμενος, ἐπὶ τούτῳ δυσχεραίνοντας, ἐπαύσατο. τοιαύτην δὲ τῆς ἡγεμονίας κατάστασιν αὐτῷ λαμβανούσης, οἱ μισθοφόροι χαλεποὺς παρεῖχον ἑαυτοὺς, ἀπιστεῖν παρακελευόμενοι καὶ φυλάττεσθαι καὶ κωλύειν τοὺς ἀξιολόγους, εἴτε ἀληθῶς φοβούμενοι δι' εὔνοιαν, εἴτε προφάσει χρώμενοι ταύτῃ τοῦ ταράττειν καὶ πολεμοποιεῖν. Κρισπῖνον δὲ πέμψαντος αὐτοῦ τὴν ἑπτακαιδεκάτην σπεῖραν ὥς τινας ἄξοντα, κἀκείνου νυκτὸς ἔτι συσκευαζομένου, καὶ τὰ ὅπλα ταῖς ἁμάξαις ἐπιτιθέντο, οἱ θρασύτατοι πάντες ἐβόων, οὐδὲν ὑγιὲς τὸν Κρισπῖνον ἥκειν διανοούμενον· ἀλλὰ τὴν σύγκλητον ἐπιχειρεῖν πράγμασι νεωτέροις, καὶ τὰ ὅπλα κατὰ Καίσαρος οὐ Καίσαρι παρακομίζεσθαι. τοῦ δὲ λόγου πολλῶν ἁπτομένου καὶ παροξύνοντος· οἱ μὲν, ἐπελαμβάνοντο τῶν ἁμαξῶν· οἱ δὲ τοὺς ἐνισταμένους ἑκατοντάρχας δύο, καὶ τὸν Κρισπῖνον

αὐτὸν ἀπέκτειναν. πάντες δὲ διασκευασάμενοι καὶ παρακαλέσαντες ἀλλήλους
καίσαρι βοηθεῖν, ἤλαυνον εἰς τὴν ῥώμην, καὶ πυθόμενοι παρ' αὐτῷ δειπνεῖν ὀγ-
δοήκοντα συγκλητικούς, ἐφέροντο πρὸς τὰ βασίλεια, νῦν καιρὸν εἶναι λέγοντες
ἐν ταυτῷ πάντας ἀνελεῖν τοὺς καίσαρος πολεμίους. ἡ μὲν οὖν πόλις ὡς αὐ-
τίκα διαρπαγησομένη, θόρυβον εἶχε πολύν, ἐν δὲ τοῖς βασιλείοις ἦσαν διαδρο-
μαί, καὶ τὸν ὄθωνα δεινὴ κατελάμβανεν ἀπορία. φοβούμενος γὰρ ὑπὲρ τῶν ἀνδρῶν
αὐτὸς ἦν φοβερὸς ἐκείνοις. καὶ πρὸς αὐτὸν ἀνηρτημένους ἑώρα ταῖς ὄψεσιν ἀναύ-
δους καὶ περιδεεῖς, ἐνίους καὶ μετὰ γυναικῶν ἥκοντας ἐπὶ τὸ δεῖπνον. ἅμα δὲ
τοὺς ἐπάρχους ἀπέστελλε τοῖς στρατιώταις διαλέγεσθαι καὶ πραΰνειν κελεύσας,
ἅμα δὲ τοὺς κεκλημένους ἄνδρας ἀναστήσας, καθ' ἑτέρας θύρας ἀφῆκε, καὶ μι-
κρὸν ἔφθησαν ὑπεκφυγόντες διὰ τῶν μισθοφόρων ὠθουμένων εἰς τὸν ἀνδρῶνα, καὶ
πυνθανομένων τί γεγόνασιν οἱ καίσαρος πολέμιοι. τότε μὲν οὖν ὀρθὸς ἀπὸ τῆς
κλίνης πολλὰ παρηγορήσας, καὶ δεηθείς, καὶ μηδὲ δακρύων φεισάμενος μόλις
ὑπέπεμψεν αὐτούς. τῇ δ' ὑστεραίᾳ δωρησάμενος ἅπαντας κατ' ἄνδρα χιλίαις
καὶ διακοσίαις καὶ πεντήκοντα δραχμαῖς, εἰσῆλθεν εἰς τὸ στρατόπεδον, καὶ τὸ μὲν
πλῆθος ἐπῄνεσεν, ὡς πρὸς αὐτὸν εὔνουν καὶ πρόθυμον, ὀλίγους δέ τινας οὐκ ἐπ'
ἀγαθῷ φήσας ὑποικουρεῖν διαβάλλοντας αὐτοῦ τὴν μετριότητα, καὶ τὴν ἐκεί-
νων εὐπάθειαν, ἠξίου συναγανακτεῖν καὶ συγκολάζειν. ἐπαινούντων δὲ πάντων
καὶ κελευόντων, δύο μόνους παραβαλών, οἷς οὐδεὶς ἔμελλεν ἄχθεσθαι κολα-
σθεῖσιν, ἀπηλλάγη. ταῦτα οἱ μὲν ἀγαπῶντες ἤδη καὶ πιστεύοντες ἐθαύμαζον
τὴν μεταβολήν. οἱ δὲ ἀναγκαῖα πολιτεύματα πρὸς τὸν καιρὸν ἡγοῦντο, δημαγω-
γοῦντος αὐτοῦ διὰ τὸν πόλεμον. ἤδη γὰρ ἠγγέλλετο βεβαίως οὐϊτέλλιος ἀξίωμα
καὶ δύναμιν αὐτοκράτορος ἀνειληφώς, καὶ πτεροφόροι συνεχῶς ἐφοίτων, ἀεί τι
προσχωρεῖν ἐκείνῳ φράζοντες, ἕτεροι τὰ παννονικὰ καὶ τὰ δαλματικὰ καὶ τὰ
περὶ μυσίαν στρατεύματα δηλοῦντες ᾑρῆσθαι μετὰ τῶν ἡγεμόνων ὄθωνα. τα-
χὺ δὲ ἀφίκετο, καὶ παρὰ μουκιανοῦ γράμματα, καὶ παρὰ οὐεσπεσιανοῦ φιλικά,
τοῦ μὲν ἐν συρίᾳ, τοῦ δὲ ἐν ἰουδαίᾳ μεγάλας δυνάμεις ἐχόντων, ὑφ' ὧν ἐπαιρόμε-
νος, ἔγραψεν οὐϊτελλίῳ παραινῶν στρατιωτικὰ φρονεῖν, ὡς χρήματα πολλὰ δώ-
σοντος αὐτοῦ καὶ πόλιν, ἐν ᾗ βιώσεται ῥᾷστον καὶ ἥδιστον βίον μεθ' ἡσυχίας.
ἀντέγραφε δὲ κἀκεῖνος αὐτῷ κατειρωνευόμενος ἡσυχῇ πρῶτον. ἐκ δὲ τούτου διε-
ρεθιζόμενοι πολλὰ βλάσφημα καὶ ἀσελγῆ χλευάζοντες ἀλλήλοις ἔγραφον, οὐ
ψευδῶς μέν, ἀνοήτως δὲ καὶ γελοίως θατέρου τῷ ἑτέρῳ ἃ προσῆν ἀμφοτέροις ὀ-
νείδη λοιδοροῦντος. ἀσωτίας γὰρ καὶ μαλακίας καὶ ἀπειρίας πολέμων καὶ
τῶν πρόσθεν ἐπὶ πενίᾳ καὶ χρεῶν πλήθους ἔργον ἦν εἰπεῖν, ὁποτέρῳ μεῖον αὐτῶν
μέτεστι. σημείων δὲ καὶ φαντασμάτων πολλῶν λεγομένων, τὰ μὲν ἄλλα φή-
μας ἀδεσπότους καὶ ἀμφιβόλους εἶχεν, ἐν δὲ καπιτωλίῳ νίκης ἐφεστώσης ἅρμα-
τι, τὰς ἡνίας πάντες εἶδον ἀφειμένας ἐκ τῶν χειρῶν, ὥσπερ κρατεῖν μὴ δυνα-
μένης, καὶ τὸν ἐν μεσοποταμίᾳ νήσῳ γαΐου καίσαρος ἀνδριάντα, μήτε σεισμοῦ
γεγονότος μήτε πνεύματος ἀφ' ἑσπέρας μεταστραφέντα πρὸς τὰς ἀνατολάς, ὅ
φασι συμβῆναι περὶ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς οἱ περὶ οὐεσπεσιανὸν ἐμφα-
νῶς ἤδη τῶν πραγμάτων ἀντελαμβάνοντο. καὶ τὸ περὶ τὸν θύμβριν δὲ σύμ-
πτωμα, σημεῖον ἐποιοῦντο οἱ πολλοὶ μοχθηρόν. ἦν μὲν γὰρ ὥρα περὶ ἣν μάλιστα
οἱ ποταμοὶ πλήθουσιν, ἀλλ' οὔπω τοσοῦτος ἤρθη πρότερον, οὐδὲ ἀπώλεσε τοσαῦ-
τα καὶ διέφθειρεν ὑπερχυθεὶς καὶ κατακλύσας πολὺ μέρος τῆς πόλεως. πλεῖ-
στον δὲ ἐν ᾧ τὸν ἐπὶ πράσει διαπωλοῦσι σῖτον, ὡς δεινὴν ἀπορίαν ἡμερῶν συχνῶν
κατασχεῖν. ἐπεὶ δὲ τὰς ἄλπεις κατέχοντες ἤδη προσηγγέλλοντο, κεκίνας καὶ
οὐάλης

ἑτέρῳ .l.

οὐάλης οὐϊτελλίῳ στρατηγοῦντες, ἐν ῥώμῃ δολοβέλλας εὐπατρίδης ἀνήρ, ὑπο-
ψίαν παρεῖχε τοῖς μισθοφόροις νεώτερα φρονεῖν. ἐκεῖνον μὲν οὖν εἴτε αὐτὸν εἴτε
ἄλλον δεδοικώς, εἰς πόλιν ἀκυΐνιον παρέπεμψε παραθαρρύνας, καταλέγων δὲ
τῶν ἐν τέλει συνεκδήμους, ἔταξεν ἐν τούτοις καὶ λεύκιον τὸν οὐϊτελλίου ἀδελφόν,
οὔτε προσθεὶς οὐδέν, οὔτε ἀφελὼν ἧς εἶχε τιμῆς, ἰσχυρῶς δὲ καὶ τῆς μητρὸς ἐπεμε-
λήθη τοῦ οὐϊτελλίου καὶ τῆς γυναικός, ὅπως μηδὲν ἐμφοβήσονται περὶ αὐ-
τῶν. τῆς δὲ ῥώμης φύλακα φλαούϊον σαβῖνον ἀδελφὸν οὐεσπεσιανοῦ κατέστησεν,
εἴτε καὶ τοῦτο πράξας ἐπὶ τιμῇ νέρωνος. παρ' ἐκείνου γὰρ εἰλήφει τὴν ἀρχὴν ὁ
σαβῖνος. ἀφείλετο δὲ γάλβας αὐτὸν εἴτε μᾶλλον εὔνοιαν ἐνδεικνύμενος οὐεσπεσια-
νῷ καὶ πίστιν αὔξων σαβῖνον. αὐτὸς μὲν οὖν ἐν βριξίλῳ πόλει τῆς ἰταλίας
περὶ τὸν ἠριδανὸν ἀπελείφθη. στρατηγοὺς δὲ τῶν δυνάμεων ἐξέπεμψε μάριόν τε
κέλσον καὶ σουητώνιον παυλῖνον, ἔτι τε γάλλον καὶ σπουρίναν, ἄνδρας ἐνδό-
ξους, χρήσασθαι δὲ μὴ δυνηθέντας ἀπὸ τῶν πραγμάτων, ὡς προῃροῦντο τοῖς
ἑαυτῶν λογισμοῖς, ὡς προῃροῦντο δι' ἀταξίαν καὶ θρασύτητα τῶν στρατιωτῶν.
οὐ γὰρ ἠξίουν ἑτέρων ἀκούειν, ὡς παρ' αὐτῶν τοῦ αὐτοκράτορος τὸ ἄρχειν ἔχον-
τος. ἦν μὲν οὖν οὐδὲ τὰ τῶν πολεμίων ὑγιαίνοντα παντάπασιν, οὐδὲ χειροή-
θη τοῖς ἡγεμόσιν, ἀλλ' ἔμπληκτα καὶ σοβαρὰ διὰ τὴν αὐτὴν αἰτίαν. οὐ μὴν ἀλ-
λ' ἐκείνοις ἐμπειρία τε παρῆν τοῦ μάχεσθαι, καὶ τοῦ κάμνειν ἐθάδες ὄντες, οὐκ ἔ-
φευγον. οὗτοι δὲ μαλακοὶ μὲν ἦσαν ἀπὸ σχολῆς καὶ διαίτης ἀπολέμου, πλεῖ-
στον χρόνον ἐν θεάτροις καὶ πανηγύρεσι καὶ παρὰ σκηνὴν βεβιωκότες, ὕβρει δὲ καὶ
κόμπῳ ἐπαμπέχειν ἐβούλοντο προσποιήσασθαι τὰς λειτουργίας, ὡς κρείτ-
τονες ἀπαξιοῦντες, οὐχ ὡς ἀδύνατοι φέρειν. ὁ δὲ σπουρίνας προσβιαζόμενος αὐ-
τούς, ἐκινδύνευσε μικρὸν ἐλθόντας ἀνελεῖν αὐτόν. ὕβρεως δὲ καὶ βλασφημίας
οὐδεμιᾶς ἐφείσαντο, προδότην καὶ λυμεῶνα τῶν καίσαρος καιρῶν καὶ πραγ-
μάτων λέγοντες. ἔνιοι δὲ καὶ μεθυσθέντες ἤδη νυκτός, ἦλθον ἐπὶ τὴν σκηνὴν ἐφό-
διον αἰτοῦντες. εἶναι γὰρ αὐτοῖς πρὸς καίσαρα βαδιστέον, ὅπως ἐκείνου κατη-
γορήσωσιν. ὤνησε δὲ τὰ πράγματα καὶ σπουρίναν ἐν τῷ παραυτίκα λοιδορί-
α περὶ πλακεντίαν γενομένη τῶν στρατιωτῶν. οἱ γὰρ οὐϊτελλίου τοῖς τείχεσι προσ-
βάλλοντες, ἐχλεύαζον τοὺς ὄθωνος ἑστῶτας παρὰ τὰς ἐπάλξεις, σκηνικοὺς καὶ
πυρριχιστὰς καὶ πυθίων καὶ ὀλυμπίων θεωρούς. πολέμου δὲ καὶ στρατείας ἀ-
πείρους καὶ ἀθεάτους ἀποκαλοῦντες, καὶ μέγα φρονοῦντες ἐπὶ τῷ γέροντος ἀνό-
πλου κεφαλὴν ἀποτεμεῖν, τὸν γάλβαν λέγοντες. εἰς δὲ ἀγῶνα καὶ μάχην ἀνδρῶν
οὐκ ἂν ἐκφανῶς καταβάντας. οὕτω γὰρ ἐταράχθησαν ἀπὸ τούτων τῶν ὀνειδῶν
καὶ διεκάησαν, ὥστε προσπεσεῖν τῷ σπουρίνᾳ δεόμενοι χρῆσθαι καὶ προστάττειν
αὐτοῖς οὐδένα κίνδυνον οὐδὲ πόνον ἀπολεγομένοις. ἰσχυρᾶς δὲ συστάσης τειχο-
μαχίας, καὶ μηχανημάτων πολλῶν προσαχθέντων, ἐκράτησαν οἱ τοῦ σπουρίνα,
καὶ φόνῳ πολλῷ τοὺς ἐναντίους ἀποκρουσάμενοι, διετήρησαν ἔνδοξον πόλιν,
καὶ τῶν ἰταλῶν οὐδεμιᾶς ἧττον ἀνθοῦσαν. ἦσαν δὲ καὶ τὰ ἄλλα τῶν οὐϊτελλίου
στρατηγῶν οἱ ὄθωνος ἐντυχεῖν ἀλυπότεροι καὶ πόλεσι καὶ ἰδιώταις. ἐκείνων δὲ κεκί-
νας μὲν οὔτε φωνὴν οὔτε σχῆμα δημοτικός, ἀλλ' ἐπαχθὴς καὶ ἀλλόκοτος σώματος
μεγάλου γαλατικῶς ἀναξυρίσι καὶ χειρῖσιν ἐνεσκευασμένος σημείοις, καὶ ἄρχουσι
ῥωμαϊκοῖς διαλεγόμενος. καὶ τὴν γυναῖκα παρέπεμπον αὐτῷ, λογάδην ἱππεῖς
ὀχουμένην ἵππῳ, κεκοσμημένην ἐπιφανῶς. φάβιον δὲ οὐάλεντα τὸν ἕτερον
στρατηγόν, οὔτε ἁρπαγαὶ πολεμίων οὔτε κλοπαὶ καὶ δωροδοκίαι παρὰ συμ-
μάχων ἐνεπίμπλασαν χρηματιζόμενον. ἀλλὰ καὶ ἐδόκει διὰ τοῦτο βραδέως ὁ-
δεύων, ὑστερῆσαι τῆς προτέρας μάχης. οἱ δὲ τὸν κεκίναν αἰτιῶνται, σπεύδοντα

τὴν νίκην ἑαυτοῦ γενέσθαι πρὶν ἐκεῖνον ἐλθεῖν. ἄλλοις τε μικροτέροις περιπεσεῖν ἁμαρτήμασι καὶ μάχην οὐ κατὰ καιρὸν οὐδὲ γενναίως συνάψαι. μικροῦ πάντα τὰ πράγματα διαφθείρασαν αὐτοῖς. ἐπεὶ γὰρ ἀποκρουσθεὶς τῆς πλακεντίας ὁ κεκίνας ἐπὶ κρεμώνην ὥρμησεν ἑτέραν πόλιν εὐδαίμονα καὶ μεγάλην, πρῶτος μὲν ἄννιος γάλβας πρὸς πλακεντίαν συνεῖναι βοηθῶν, ὡς ἤκουσε καθ' ὁδὸν τοὺς πλακεντίνους περιγεγονέναι, κινδυνεύειν δὲ τοὺς ἐν κρεμώνῃ, μετήγαγεν ἐκεῖ τὸ στράτευμα, καὶ κατεστρατοπέδευσε πλησίον τῶν πολεμίων, ἔπειτα καὶ τῶν ἄλλων ἕκαστος ἐβοήθει τῷ στρατηγῷ. τοῦ δὲ κεκίνα λοχήσαντος εἰς λάσια χωρία καὶ ὑλώδη πολλοὺς ὁπλίτας, ἱππεῖς δὲ προεξελάσαι κελεύσαντος, κἂν συνάψωσιν οἱ πολέμιοι κατὰ μικρὸν ἀναχωρεῖν καὶ ἀναφεύγειν ἄχρις ἂν ὑπαγαγόντες οὕτως ἐμβάλωσιν αὐτοὺς εἰς τὴν ἐνέδραν, ἐξήγγειλαν αὐτόμολοι τῷ κέλσῳ. καὶ τοὺς μὲν, ἱππεῦσιν ἀγαθοῖς ἀντεξελάσας, πεφυλαγμένως δὲ χρώμενος τῇ διώξει, καὶ τὴν ἐνέδραν περισχὼν καὶ συνταράξας, ἐκάλει τοὺς ὁπλίτας ἐκ τοῦ στρατοπέδου. καὶ δοκοῦσιν ἂν ἐπελθόντες ἐν καιρῷ μηδένα λιπεῖν τῶν πολεμίων, ἀλλὰ πᾶν τὸ μετὰ κεκίνα στράτευμα, συντρίψαι καὶ ἀνελεῖν, ἐπισπώμενοι τοῖς ἱππεῦσι. νυνὶ δὲ ὁ παυλῖνος ὀψὲ καὶ σχολῇ προσβοηθήσας, αἰτίαν ἔσχεν ἐνδεέστερον τῆς δόξης στρατηγῆσαι δι' εὐλάβειαν. οἱ δὲ πολλοὶ τῶν στρατιωτῶν, καὶ προδοσίαν ἐνεκάλουν αὐτῷ, καὶ παρώξυνον τὸν ὄθωνα μεγαληγοροῦντες, ὡς νενικηκότων αὐτῶν. τῆς δὲ νίκης οὐκ ἐπὶ πᾶν προελθούσης κακίᾳ τῶν στρατηγῶν. ὁ δὲ ὄθων οὐχ οὕτως ἐπίστευεν αὐτοῖς, ὡς ἐβούλετο μὴ δοκεῖν ἀπιστεῖν. ἔπεμψεν οὖν τιτιανὸν ἐπὶ τὰ στρατεύματα τὸν ἀδελφόν, καὶ πρόκλον τὸν ἔπαρχον, ὃς εἶχεν ἔργῳ τὴν πᾶσαν ἀρχήν, πρόσχημα δὲ ἦν ὁ τιτιανός. οἱ δὲ περὶ τὸν κέλσον καὶ παυλῖνον ἄλλως ἐφείλκοντο συμβούλων ὄνομα καὶ φίλων, ἐξουσίαν καὶ δύναμιν ἐν τοῖς πράγμασι μηδεμίαν ἔχοντες. ἦν δὲ θορυβώδη καὶ τὰ παρὰ τοῖς πολεμίοις. μάλιστα δὲ τοῖς ὑπὸ τῷ οὐάλεντι καὶ τῆς περὶ τὴν ἐνέδραν μάχης ἀπαγγελθείσης ἐχαλέπαινον, ὅτι μὴ παρεγένοντο, μηδὲ ἤμυναν ἀνδρῶν τοσούτων ἀποθανόντων. μόλις δὲ πείσας καὶ παραιτησάμενος ὡρμημένους αὐτοὺς βάλλειν, ἀνέζευξε, καὶ συνῆψε τοῖς περὶ κεκίναν. ὁ δὲ ὄθων παραγενόμενος εἰς τὸ βητειακὸν εἰς τὸ στρατόπεδον, ἔστι δὲ πολίχνη πλησίον κρεμώνης τὸ βητειακόν, ἐβουλεύετο περὶ τῆς μάχης, καὶ πρόκλῳ μὲν ἐδόκει καὶ τιτιανῷ τῶν στρατευμάτων ὄντων προθύμων καὶ προσφάτου τῆς νίκης, διαγωνίσασθαι καὶ μὴ καθῆσθαι τὴν ἀκμὴν ἀμβλύνοντα τῆς δυνάμεως, καὶ περιμένοντα οὐιτέλλιον αὐτὸν ἐκ γαλατίας ἐπελθεῖν. παυλῖνος δὲ τοῖς μὲν πολεμίοις ἔφη πάντα μεθ' ὧν μαχοῦνται παρεῖναι, καὶ μηδὲν ἐνδεῖν. ὄθωνι δὲ, τὸ ἤδη παρὸν οὐκ ἐλάττονα προσδόκιμον ᾖ δύναμιν ἐκ μυσίας καὶ παννονίας, ἂν τὸν αὐτοῦ περιμένῃ καιρόν, ἀλλὰ μὴ τὸν τῶν πολεμίων. οὐ γὰρ ἀμβλυτέροις γε χρήσασθαι τότε τοῖς νῦν θαρροῦσιν ἀπὸ ἐλαττόνων, ἂν πλείονας τοὺς ἀγωνιζομένους προσλάβωσιν, ἀλλ' ἐκ περιουσίας ἀγωνιεῖσθαι, καὶ χωρὶς δὲ τούτου τὴν διατριβὴν εἶναι πρὸς αὐτῶν ἐν ἀφθόνῳ πᾶσιν ὄντων, ἐκείνοις δὲ τὸν χρόνον ἀπορίαν παρέξειν τῶν ἀναγκαίων, ἐν πολεμίᾳ καθεζομένοις. ταῦτα λέγοντι παύλῳ μάριος κέλσος ἐγένετο σύμψηφος. ἄννιος δὲ ὁ γάλλος οὐ παρῆν μὲν, ἀλλ' ἐθεραπεύετο πεπτωκὼς ἀφ' ἵππου. γράψαντος δὲ ὄθωνος αὐτῷ, συνεβούλευσε μὴ σπεύδειν, ἀλλὰ τὴν ἐκ μυσίας περιμένειν δύναμιν, ἤδη καθ' ὁδὸν οὖσαν. οὐ μὴν ἐπείθετο τούτοις, ἀλλὰ ἐκράτησαν οἱ πρὸς τὴν μάχην παρορμῶντες. αἰτίαι δὲ πλείονες ἄλλαι ὑπ' ἄλλων λέγονται. προδήλως δὲ οἱ στρατηγικοὶ προσαγορευόμενοι καὶ τάξιν ἔχοντες δορυφόρων, τότε μᾶλλον ἀληθινῆς γευόμενοι στρατείας, καὶ τὰς ἐν ῥώμῃ διατριβὰς καὶ διαίτας ἀπο-

λέμους

λέμους καὶ πανηγυρικὰς ποθοῦντες, οὐκ ἦσαν καθεκτοὶ σπεύδοντες ἐπὶ τὴν μάχην, ὡς εὐθὺς ἐξ ἐπιδρομῆς ἀναρπασόμενοι τοὺς ἐναντίους. δοκεῖ δὲ μηδὲ αὐτὸς ὄθων ἐξαναφέρειν ἔτι πρὸς τὴν ἀδηλότητα, μηδὲ ὑπομένειν ἀηθείᾳ καὶ μαλακότητι τοὺς περὶ τῶν δεινῶν ἐκλογισμούς. ἐκπονούμενος δὲ ταῖς φροντίσι σπεύδειν ἐγκαλυψάμενος, ὥσπερ ἀπὸ κρημνοῦ μεθεῖναι τὰ πράγματα πρὸς τὸ συντυχόν. καὶ τοῦτο μὲν διηγεῖτο σεκοῦνδος ὁ ῥήτωρ, ἐπὶ τῶν ἐπιστολῶν γενόμενος τοῦ ὄθωνος. ἑτέρων δὲ ἦν ἀκούειν, ὅτι τοῖς στρατεύμασιν ἀμφοτέροις παρέσταντο ὁρμαὶ πολλαὶ, ὡς εἰς ταὐτὸ συνελθεῖν, καὶ μάλιστα μὲν αὐτοὺς ὁμοφρονήσαντας ἐκ τῶν παρόντων ἡγεμονικῶν ἑλέσθαι τὸν ἄριστον. εἰ δὲ μή, τὴν σύγκλητον ὁμοῦ καθίσαντας, ἐφεῖναι τὴν αἵρεσιν ἐκείνῃ τοῦ αὐτοκράτορος, καὶ οὐκ ἀπεικὸς ἐστὶ μηδετέρου τότε τῶν προσαγορευομένων αὐτοκρατόρων εὐδοκιμοῦντος, ἐπιπίπτει τοιούτους διαλογισμοὺς γνησίοις καὶ διαπόνοις καὶ σωφρονοῦσι τῶν στρατιωτῶν. ὡς ἔχθιστον εἴη καὶ δεινὸν ἃ πάλαι διὰ σύλλαν καὶ μάριον, εἶτα καίσαρα καὶ πομπήιον ᾠκτείροντο δρῶντες ἀλλήλους καὶ πάσχοντες οἱ πολῖται, ταῦτα νῦν ὑπομένειν, ἢ οὐιτελλίῳ λαιμαργίας καὶ οἰνοφλυγίας, ἢ τρυφῆς καὶ ἀκολασίας ὄθωνι τὴν ἡγεμονίαν χορήγημα προθεμένους. ταῦτ' οὖν ὑπονοοῦσι τούς τε περὶ τὸν κέλσον αἰσθανομένους ἐμβάλλειν διατριβήν, ἐλπίζοντας ἄνευ μάχης καὶ πόνων κριθήσεσθαι τὰ πράγματα. καὶ τοὺς περὶ τὸν ὄθωνα φοβουμένους, ἐπιταχῦναι τὴν μάχην, αὐτὸς δὲ πάλιν εἰς βρίξιλλον ἀνεχώρησε, καὶ τοῦτο προσεξαμαρτών, οὐχ ὅτι τοῦτο μόνον τὴν ἐν ὀφθαλμοῖς αὐτοῦ παρόντος αἰδῶ καὶ φιλοτιμίαν ἀφεῖλε τῶν ἀγωνιζομένων. ἀλλὰ καὶ τοὺς ἐρρωμενεστάτους καὶ προθυμοτάτους δι' αὐτὸν ἱππεῖς καὶ πεζοὺς ἀπαγαγών, φυλακὴν τοῦ σώματος ὥσπερ τι στόμωμα τῆς δυνάμεως ἀπέκοψε. συνέβη δὲ ταῖς ἡμέραις ἐκείναις καὶ περὶ τὸν ἠριδανὸν ἀγῶνα γενέσθαι. τοῦ μὲν κεκίνα ζευγνύντος τὴν διάβασιν, τῶν δὲ ὄθωνος εἰργόντων καὶ προσμαχομένων. ὡς δὲ οὐδὲν ἐπέραινον, ἐνθεμένων εἰς τὰ ὅπλα δᾷδας, θείου καὶ πίττης ἀναπλέων, διὰ τοῦ πόρου πνεῦμα προσπεσὸν, ἄφνω τὴν παρεσκευασμένην ὕλην, ἐπὶ τοὺς πολεμίους ἐξερρίπιζε. καπνοῦ δὲ πρῶτον εἶτα λαμπρᾶς φλογὸς ἐκπεσούσης, ταραττόμενοι καὶ ἀποπηδῶντες εἰς τὸν ποταμὸν τάς τε ναῦς ἀνέτρεπον, καὶ τὰ σώματα τοῖς πολεμίοις μετὰ γέλωτος παρεῖχον. οἱ δὲ γερμανοὶ τοῖς ὄθωνος μονομάχοις περὶ νησίδιον τοῦ ποταμοῦ προσμίξαντες, ἐκράτησαν καὶ διέφθειραν αὐτῶν οὐκ ὀλίγους. γενομένων δὲ τούτων καὶ τῶν ἐν βηδριακῷ στρατιωτῶν τοῦ ὄθωνος ἐκφερομένων μετ' ὀργῆς ἐπὶ τὴν μάχην. προήγαγεν αὐτοὺς ὁ πρόκλος ἐκ τοῦ βηδριακοῦ, καὶ κατεστρατοπέδευσεν ἀπὸ πεντήκοντα σταδίων. οὕτως ἀπείρως καὶ καταγελάστως, ὥστε τῆς μὲν ὥρας ἐαρινῆς οὔσης, τῶν δὲ κύκλῳ πεδίων πολλὰ νάματα καὶ ποταμοὺς ἀενάους ἐχόντων, ὕδατος σπάνει πιέζεσθαι. τῇ δ' ὑστεραίᾳ βουλόμενον προάγειν ἐπὶ τοὺς πολεμίους, ὁδὸν οὐκ ἐλάττονα σταδίων ἑκατὸν, οἱ περὶ τὸν παυλῖνον οὐκ εἴων, ἀλλ' ᾤοντο δεῖν περιμένειν καὶ μὴ προπονεῖν ἑαυτοὺς μηδὲ εὐθὺς ἐκ πορείας μάχην τίθεσθαι πρὸς ἄνδρας ὡπλισμένους καὶ παρατεταγμένους καθ' ἡσυχίαν, ἐν ὅσῳ χρόνῳ πρόϊασιν αὐτοὶ τοσαύτην ὁδὸν ἀναμεμιγμένων ὑποζυγίων καὶ ἀκολούθων. οὔσης δὲ περὶ τούτων ἀντιλογίας ἐν τοῖς στρατηγοῖς, ἦλθε παρ' ὄθωνος ἱππεὺς τῶν καλουμένων νομάδων γράμματα κομίζων, κελεύοντα μὴ μένειν μηδὲ διατρίβειν, ἀλλ' ἄγειν εὐθὺς ἐπὶ τοὺς πολεμίους. ἐκεῖνοι μὲν οὖν ἄραντες, ἐχώρουν. ὁ δὲ κεκίνας πυθόμενος τὴν ἔφοδον αὐτῶν ἐθορυβήθη, καὶ κατὰ σπουδὴν ἀπολιπὼν τὰ ἔργα καὶ τὸν ποταμὸν, ἧκεν εἰς τὸ στρατόπεδον. ὡπλισμένων δὲ ἤδη τῶν πολλῶν καὶ τὸ σύνθη-

μα παραλαμβανόντων παρὰ τοῦ οὐάλεντος, ἐν ὅσῳ τὴν τάξιν διελάγχανε. τὰ προτετάγματα, τοὺς ἀρίστους τῶν ἱππέων προεξέπεμψαν. ἐμπίπτει δὲ τοῖς προτεταγμένοις τῶν ὄθωνος ἐκ δή τινος αἰτίας δόξα καὶ λόγος, ὡς μεταβαλουμένων τῶν οὐιτελλίου στρατηγῶν πρὸς αὐτούς. ὡς οὖν ἐγγὺς ἦσαν, ἠσπάσαντο φίλως συστρατιώτας προσαγορεύσαντες. ἐκείνων δὲ τὴν προσαγόρευσιν οὐκ εὐμενῶς, ἀλλὰ μετὰ θυμοῦ καὶ φωνῆς πολεμικῆς ἀμειψαμένων, τοῖς μὲν ἀσπασαμένοις ἀθυμία, τοῖς δὲ λοιποῖς ὑπόνοια κατὰ τῶν ἀσπασαμένων ὡς προδιδόντων παρέστη. καὶ τοῦτο πρῶτον αὐτοὺς ἐτάραξεν, ἤδη τῶν πολεμίων ἐν χερσὶν ὄντων. εἶτα τῶν ἄλλων οὐδὲν ἦν κόσμῳ γινόμενον. ἀλλὰ πολλὴν μὲν ἀταξίαν τὰ σκευοφόρα τοῖς μαχομένοις ἐμπλαζόμενα παρεῖχε, πολλοὺς δὲ τὰ χωρία διασπασμοὺς ἐποίει, τάφρων ὄντα μεστὰ καὶ ὀρυγμάτων, ἃ φοβούμενοι καὶ περιϊόντες ἠναγκάζοντο φύρδην καὶ κατὰ μέρη πολλὰ συμπλέκεσθαι τοῖς ἐναντίοις. μόναι δὲ δύο λεγεῶνες, οὕτω γὰρ τὰ τάγματα ῥωμαῖοι καλοῦσιν, ἐπιλέξασαι φισιν, ἡ μὲν οὐιτελλίου ἅρπαξ, ἡ δὲ ὄθωνος βοηθὸς, εἰς πεδίον ἐξελίξασαι ψιλὸν καὶ ἀναπεπταμένον, νόμιμόν τινα μάχην συμπεσοῦσαι, φαλαγγηδὸν ἐμάχοντο πολὺν χρόνον. οἱ μὲν οὖν ὄθωνος ἄνδρες ἦσαν εὔρωστοι καὶ ἀγαθοὶ, πολέμου δὲ καὶ μάχης τότε πρῶτον πεῖραν λαμβάνοντες. οἱ δὲ οὐιτελλίου πολλῶν ἀγώνων ἐθάδες ἤδη γηραιοὶ καὶ παρακμάζοντες. ὁρμήσαντες οὖν ἐπ' αὐτοὺς οἱ ὄθωνος, ἐώσαντο καὶ τὸν ἀετὸν ἀφείλοντο, πάντας ὁμοῦ τι τοὺς προμάχους ἀποκτείναντες. οἱ δὲ ὑπὸ αἰσχύνης καὶ ὀργῆς ἐμπεσόντες αὐτοῖς, τόν τε πρεσβευτὴν τοῦ τάγματος ὀρφίδιον ἔκτειναν, καὶ πολλὰ τῶν σημείων ἥρπασαν. τοῖς δὲ μονομάχοις ἐμπειρίαν τε καὶ θάρσος ἔχειν πρὸς τὰς συμπλοκὰς δοκοῦσιν, ἐπήγαγεν οὔαρος ἄλφηνος τοὺς καλουμένους βατάβους. εἰσὶ δὲ γερμανῶν ἱππεῖς ἄριστοι νῆσον οἰκοῦντες, ὑπὸ τοῦ ῥήνου περιῤῥεομένην. τούτοις ὀλίγοι μὲν τῶν μονομάχων ὑπέστησαν, οἱ δὲ πλεῖστοι φεύγοντες ὑπὸ τὸν ποταμὸν, ἐμπίπτουσιν εἰς σπείρας τῶν πολεμίων αὐτόθι τεταγμένας, ὑφ' ὧν ἀμυνόμενοι πάντες, ὁμαλῶς διεφθάρησαν. αἴσχιστα δὲ ἠγωνίσαντο πάντων οἱ στρατηγικοὶ, μηδὲ ὅσον ἐν χερσὶ γενέσθαι τοὺς ἐναντίους ὑπομείναντες. ἀλλὰ καὶ τοὺς ἀηττήτους ἔτι διὰ φόβου καὶ ταραχῆς ἀνεπίμπλασαν φεύγοντες δι' αὐτῶν. οὐ μὴν ἀλλὰ πολλοί γε τῶν ὄθωνος νενικηκότες τοὺς καθ' αὐτοὺς, ἐβιάσαντο καὶ διεξέπεσον διὰ τῶν πολεμίων, κρατούντων εἰς τὸ στρατόπεδον. τῶν δὲ στρατηγῶν, οὔτε πρόκλος οὔτε παυλῖνος συνεισελθεῖν ἐτόλμησαν, ἀλλ' ἐξέκλιναν φοβούμενοι τοὺς στρατιώτας ἤδη τὴν αἰτίαν ἐπὶ τοὺς στρατηγοὺς τρέποντας. ἄννιος δὲ γάλλος, ἀνελάμβανεν ἐν τῇ πόλει καὶ παρεμυθεῖτο τοὺς ἐκ τῆς μάχης συλλεγομένους ὡς ἀγχωμάλου γεγενημένης, καὶ πολλοῖς κεκρατηκότες μέρεσι τῶν πολεμίων. ὡς ἐπὶ μάριος δὲ κέλσος τοὺς ἐν τέλει συναγαγὼν, ἐκέλευσε σκοπεῖν τὸ κοινὸν, ὡς ἐπὶ συμφορᾷ τηλικαύτῃ καὶ φόνῳ τοσούτῳ πολιτῶν, μηδὲ ὄθωνος, εἴπερ ἀνὴρ ἀγαθός ἐστιν, ἐθελήσαντος ἔτι πειρᾶσθαι τῆς τύχης. ὅπου καὶ κάτων καὶ σκιπίων καίσαρι κρατοῦντι μετὰ φάρσαλον εἶξαι, μὴ θελήσαντες αἰτίαν ἔχουσιν ὡς καὶ πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας ἐν λιβύῃ παραναλώσαντες οὐκ ἀναγκαίως, καίτοι περὶ ἀγωνιζόμενοι τῆς ῥωμαίων ἐλευθερίας. τὰ γὰρ ἄλλα κοινὴν ἡ τύχη παρέχουσα πᾶσιν ἑαυτὴν, ἓν οὐκ ἀφαιρεῖται τῶν ἀγαθῶν τὸ κἂν πταίσωσιν εὐλογιστεῖν πρὸς τὰ συντυγχάνοντα. ταῦτα λέγων ἔπειθε τοὺς ἡγεμονικοὺς, ἐκέ. ἐπεὶ δὲ πειρώμενοι τοὺς στρατιώτας ἑώρων εἰρήνης δεομένους, καὶ τιτιανὸς ἐκέλευε πρεσβεύειν ὑπὲρ ὁμονοίας, ἔδοξε κέλσῳ καὶ γάλλῳ βαδίζειν καὶ διαλέγεσθαι τοῖς περὶ τὸν κεκίναν καὶ οὐάλεντα. βαδίζουσι δὲ αὐτοῖς ἀπήντησαν

ἑκατοντάρχαι, τὴν μὲν δύναμιν ἤδη κεκινημένην λέγοντες ἔρχεσθαι ἐπὶ τὸ βητριακὸν, αὐτοὶ δὲ ὑπὸ τῶν στρατηγῶν ἀπεστάλθαι περὶ ὁμονοίας. ἐπαινέσαντες οὖν οἱ περὶ τὸν κέλσον, ἐκέλευσαν αὐτοὺς ἀναστρέψαντας πάλιν, ἀπαντᾶν μετ' αὐτῶν τοῖς περὶ τὸν κεκίναν. ἐπεὶ δὲ ἐγγὺς ἦσαν, ἐκινδύνευσεν ὁ κέλσος. ἔτυχον γὰρ οἱ περὶ τὴν ἐνέδραν ἡττημένοι, πρότερον ἱππεῖς προεξελαύνοντες, ὡς οὖν προσιόντα τὸν κέλσον κατεῖδον, εὐθὺς βοήσαντες, ὥρμησαν ἐπ' αὐτόν. οἱ δὲ ἑκατοντάρχαι, προέστησαν ἀνείργοντες καὶ τῶν ἄλλων λοχαγῶν φείδεσθαι βοώντων. οἱ περὶ τὸν κεκίναν πυθόμενοι καὶ προσελάσαντες, τὴν ἀκοσμίαν ταχὺ τῶν ἱππέων ἔπαυσαν, τὸν δὲ κέλσον ἀσπασάμενοι φιλοφρόνως ἐβάδιζον μετ' αὐτῶν εἰς τὸ βητριακόν. ἐν δὲ τούτῳ μετάνοιά τις τιτιανὸν ἔσχεν ἐκπέμψαντα τοὺς πρέσβεις, καὶ τῶν στρατιωτῶν τοὺς θρασυνομένους, αὖθις ἀνεβίβαζεν ἐπὶ τὰ τείχη καὶ τοὺς ἄλλους παρεκάλει βοηθεῖν, τοῦ δὲ κεκίνα προσελάσαντος τῷ ἵππῳ καὶ τὴν δεξιὰν ὀρέγοντος, οὐδεὶς ἀντέσχεν. ἀλλ' οἱ μὲν ἀπὸ τῶν τειχῶν ἠσπάζοντο τοὺς στρατιώτας, οἱ δὲ τὰς πύλας ἀνοίξαντες, ἐξῄεσαν καὶ ἀνεμίγνυντο τοῖς προσήκουσιν. ἠδίκει δὲ οὐδεὶς, ἀλλὰ καὶ φιλοφροσύναι καὶ δεξιώσεις ἦσαν. ὤμοσαν δὲ πάντες περὶ τοῦ οὐιτελλίου, καὶ προσεχώρησαν. οὕτω μὲν οἱ πλεῖστοι τῶν παραγενομένων ἀπαγγέλλουσι γενέσθαι τὴν μάχην, οὐδὲ αὐτοὶ σαφῶς ὁμολογοῦντες εἰδέναι τὰ καθ' ἕκαστα διὰ τὴν ἀταξίαν καὶ τὴν ἀνωμαλίαν. ἐμοὶ δὲ ὕστερον ὁδεύοντι διὰ τοῦ πεδίου, μέστριος φλῶρος ἀνὴρ ὑπατικὸς τῶν τότε μὴ κατὰ γνώμην, ἀλλ' ἀνάγκῃ μετὰ τοῦ ὄθωνος γενομένων νέων, ὄντα παλαιὸν ἐπιδείξας, διηγεῖτο μετὰ τὴν μάχην ἐπελθὼν ἰδεῖν νεκρῶν σωρὸν τηλικοῦτον, ὥστε τοὺς ἐπιπολῆς ἅπτεσθαι τῶν ἀετῶν, καὶ τὴν αἰτίαν ἐπιζητῶν, οὔτε αὐτὸς εὑρεῖν, οὔτε παρ' ἄλλου πυθέσθαι. θνήσκειν μὲν γὰρ παρὰ τοῖς ἐμφυλίοις πολέμοις, ὅταν τροπὴ γένηται, πλείονας εἰκὸς ἐστὶ τῷ μηδένα ζωγρεῖν. χρῆσθαι γὰρ οὐκ ἔστι τοῖς ἁλισκομένοις. ἡ δὲ ἐπὶ τοσοῦτο σωρεία καὶ συμφόρησις οὐκ ἔχει τὴν αἰτίαν εὐσυλλόγιστον. τῷ δὲ ὄθωνι πρῶτον μὲν ἀσαφὴς ὥσπερ εἰώθει περὶ τῶν τηλικούτων, προσέπεσε λόγος. ἐπεὶ δὲ καὶ τετρωμένοι τινὲς ἧκον ἐκ τῆς μάχης ἀπαγγέλλοντες, τοὺς μὲν φίλους, ἧττον ἄν τις ἐθαύμασεν οὐκ ἐῶντας ἀπαγορεύειν, ἀλλὰ θαῤῥεῖν παρακελευομένους. τὸ δὲ τῶν στρατιωτῶν πάθος ἅπασαν ὑπερέβαλε πίστιν, ὡς οὐδὲ ἀπῆλθεν, οὐδὲ μετέστη πρὸς τοὺς κρατοῦντας, οὐκ ὤφθη τὸ καθ' αὑτὸ ζητῶν ἀπεγνωσμένου τοῦ ἡγεμόνος, πάντες δὲ ὁμαλῶς ἐπὶ θύρας ἦλθον. ἐκάλουν αὐτοκράτορα. προελθόντες ἐγίνοντο τρόπαια μετὰ βοῆς, ἱκεσίας χειρῶν ἥπτοντο, προσέπιπτον, ἐδάκρυον, ἐδέοντο μὴ σφᾶς ἐγκαταλιπεῖν, μὴ προδοῦναι τοῖς πολεμίοις, ἀλλὰ χρῆσθαι μέχρις ἂν ἐμπνέωσι καὶ ψυχαῖς καὶ σώμασιν ὑπὲρ αὐτοῦ. ταῦτα ὁμοῦ πάντες ἱκέτευον. εἷς δὲ τῶν ἀφανεστέρων ἀνατείνας τὸ ξίφος, καὶ εἰπὼν ἴσθι καῖσαρ οὕτως ὑπὲρ σοῦ παρατεταγμένους ἅπαντας, ἀπέσφαξεν ἑαυτόν. ἀλλὰ τούτων οὐδὲν ἐπέκλασε τὸν ὄθωνα. φαιδρῷ δὲ καὶ καθεστῶτι προσώπῳ πανταχόσε τὰς ὄψεις περιαγαγὼν, ταύτην εἶπεν ὦ συστρατιῶται τὴν ἡμέραν ἐκείνης, ἐν ᾗ με πρῶτον ἐποιήσατε αὐτοκράτορα, μακαριωτέραν ἡγοῦμαι, τοιούτους ὁρῶν ὑμᾶς καὶ τηλικούτων ἀξιούμενος. ἀλλὰ μὴ μείζονος ἀποστερεῖτε τοῦ καλῶς ἀποθανεῖν ὑπὲρ τοσούτων καὶ τοιούτων πολιτῶν, εἰ τῆς ῥωμαίων ἡγεμονίας ἄξιος γέγονα, δεῖ με τῆς ἐμῆς ψυχῆς ὑπὲρ τῆς πατρίδος ἀφειδεῖν. οἶδα τὴν νίκην τοῖς ἐναντίοις οὐδὲ βεβαίαν οὐδ' ἰσχυρὰν οὖσαν. ἀπαγγέλλουσι τὴν ἐκ μυσίας ἡμῶν δύναμιν οὐ πολλῶν ἡμερῶν ὁδὸν ἀπέχειν ἤδη καταβαίνουσαν ἐπὶ τὸν ἀδρίαν, ἀσία, καὶ συρία, καὶ αἴγυπτος, καὶ τὰ πολεμοῦντα ἰουδαίοις στρατεύματα μεθ' ἡμῶν, ἥ τε σύγκλη-

τος παρ' ἡμῖν καὶ τέκνα τῶν ἐναντίων καὶ γυναῖκες. ἀλλ' οὐκ ἔστι πρὸς Ἀννίβαν οὐδὲ Πύρρον οὐδὲ Κίμβρους ὁ πόλεμος ὑπὲρ τῆς Ἰταλίας, ἀλλὰ Ῥωμαίοις πολεμοῦντες, ἀμφότεροι τὴν πατρίδα καὶ νικῶντες ἀδικοῦμεν καὶ νικώμενοι. καὶ γὰρ τὸ ἀγαθὸν τοῦ κρατοῦντος, ἐκείνῃ κακόν ἐστιν. πιστεύσατε πολλάκις ὅτι δύναμαι, κάλλιον ἀποθανεῖν ἢ ἄρχειν. οὐ γὰρ ὁρῶ τι τηλικοῦτο Ῥωμαίοις ὄφελος ἔσομαι κρατήσας, ἡλίκον ἐπιδοὺς ἐμαυτὸν ὑπὲρ εἰρήνης καὶ ὁμονοίας καὶ τοῦ μὴ πάλιν ἡμέραν τοιαύτην ἐπιδεῖν τὴν Ἰταλίαν. τοιαῦτα διαλεχθείς, καὶ πρὸς τοὺς ἐνίστασθαι καὶ παρακαλεῖν ἐπιχειροῦντας ἀπισχυρισάμενος, τούς τε φίλους ἐκέλευεν ἀπαλλάττεσθαι καὶ τῶν συγκλητικῶν τοῖς παροῦσι. τοῖς δὲ μὴ παροῦσιν, ἐπέστελλε καὶ γράμματα πρὸς τὰς πόλεις, ὅπως παρακομισθῶσιν ἐντίμως καὶ μετὰ ἀσφαλείας. προσαγόμενος δὲ τὸν ἀδελφιδοῦν Κοκκήιον ἔτι μειράκιον ὄντα, θαρρεῖν παρεκάλει καὶ μὴ δεδιέναι Οὐιτέλλιον, οὗ καὶ μητέρα καὶ γενεὰν καὶ γυναῖκα αὐτὸς ὥσπερ οἰκείων κηδόμενος, διαφυλάξαι. διὰ τοῦτο γὰρ οὐδὲ θέσθαι παῖδα βουλόμενος αὐτόν, ἀλλ' ἀναβαλέσθαι μνημονεύειν, ὅτι Καῖσαρ ἀθετεῖ τὴν εἰσποίησιν, ὅπως συνάρχοι κρατήσαντος αὐτοῦ, μὴ προσαπόλοιτο πταίσαντος. ἐκεῖνο δὲ εἶπεν ὦ παῖ παρεγγυῶμαί σοι τελευταῖον, μήτ' ἐπιλαθέσθαι παντάπασι, μήτε ἄγαν μνημονεύειν, ὅτι Καίσαρα θεῖον ἔσχες. γενόμενος δὲ ἀπὸ τούτων μετὰ μικρὸν ἤκουσε θορύβου καὶ βοῆς ἐπὶ θύραις. οἱ γὰρ στρατιῶται τῶν συγκλητικῶν τοῖς ἀπιοῦσι διηπείλουν ἀποσφάξειν, εἰ μὴ παραμενοῦσιν, ἀλλ' οἰχήσονται τὸν αὐτοκράτορα καταλιπόντες. πάλιν οὖν προῆλθεν ὑπὲρ τῶν ἀνδρῶν φοβηθείς, καὶ τοὺς στρατιώτας οὐκέτι δεητικὸς οὐδὲ πρᾶος, ἀλλὰ τραχὺς ὀφθεὶς καὶ μετ' ὀργῆς εἰς τὸ θορυβοῦν μάλιστα διαβλέψας, ἀπελθεῖν ἐποίησεν εἴξαντας καὶ διατρέσαντας. ἤδη δὲ ἑσπέρας οὔσης, ἐδίψησε καὶ πιὼν ὀλίγον ὕδατος, δυεῖν ὄντων αὐτῷ ξιφῶν, ἑκατέρου κατεμάνθανε τὸ στόμα ἀναλαβών, πολὺν χρόνον. καὶ τὸ ἕτερον ἀπέδωκε. θάτερον δὲ εἰς τὰς ἀγκάλας ἀναλαβών, τοὺς οἰκέτας προσεκαλεῖτο. καὶ φιλοφρονούμενος διένεμε τῶν χρημάτων, τῷ μὲν πλέον, τῷ δὲ, ἔλαττον. οὐχ ὥσπερ ἀλλοτρίων ἀφειδῶν, ἀλλὰ τὸ κατ' ἀξίαν καὶ τὸ μέτριον ἐπιμελῶς φυλάττων. ἀποπέμψας δὲ τούτους, ἤδη τὸ λοιπὸν ἀνεπαύετο τῆς νυκτός. ὥς τε τοὺς κατευναστὰς αἰσθάνεσθαι βαρέως αὐτοῦ καθεύδοντος. ὄρθρου δὲ καλέσας ἀπελεύθερον, ᾧ συνδιῴκησε τὰ περὶ τοὺς συγκλητικούς, μαθεῖν προσέταξε, καὶ πυθόμενος γεγονέναι τοῖς ἀπερχομένοις ὧν ἕκαστος ἔχρῃζε, ἴθι τοίνυν ἔφη σὺ καὶ ποίει τοῖς στρατιώταις ἐμφανῆ σεαυτόν, εἰ μὴ θέλεις κακῶς ὑπ' αὐτῶν ἀποθανεῖν, ὡς ἐμοὶ συμπράξας τὸν θάνατον. ἐξελθόντος δὲ τοῦ ἀνθρώπου, τὸ ξίφος ὑποστήσας ὀρθὸν ἀμφοτέραις ταῖς χερσὶ καὶ περιπεσὼν ἄνωθεν, ὅσον ἅπαξ στενάξαι μόνον, ᾔσθετο τοῦ πόνου, καὶ τοῖς ἐκτὸς αἴσθησιν παρέσχεν. ἐξαραμένων δὲ τῶν παίδων οἰμωγὴν εὐθὺς ἅπαν τὸ στρατόπεδον καὶ τὴν πόλιν ἐπεῖχε κλαυθμός, καὶ μετὰ βοῆς οἱ στρατιῶται εἰσέπεσον εὐθὺ τὰς θύρας, καὶ ὠλοφύροντο, περιπαθοῦντες καὶ λοιδοροῦντες ἑαυτοὺς μὴ φυλάξαντας τὸν αὐτοκράτορα μηδὲ κωλύσαντας ἀποθανεῖν ὑπὲρ αὐτῶν. ἀπέστη δὲ οὐδεὶς τῶν καθ' ἑαυτὸν ἐγγὺς ὄντων τῶν πολεμίων, ἀλλὰ κοσμήσαντες τὸ σῶμα καὶ πυρὰν κατασκευάσαντες, ἐξεκόμιζον ἐν τοῖς ὅπλοις οἱ φθάσαντες ὑποδῦναι καὶ βαστάσαι τὸ λέχος ἐπιγαυρούμενοι. τῶν δὲ ἄλλων, οἱ μὲν τὸ τραῦμα τοῦ νεκροῦ κατεφίλουν προσπίπτοντες, οἱ δὲ ἥπτοντο τῶν χειρῶν, οἱ δὲ προσεκύνουν πόρρωθεν. ἔνιοι δὲ τῇ πυρᾷ λαμπάδας ὑφέντες, ἑαυτοὺς ἀπέσφαξαν, οὐδὲν ἐκδήλως οὔτε πεπονθότες χρηστὸν ὑπὸ τοῦ τεθνηκότος, οὔτε πείσεσθαι δεινὸν ὑπὸ τοῦ κρατοῦντος δεδιότες. ἀλλ' ἔοικε μηδενὶ τῶν πώποτε τυράννων ἢ βασιλέων δεινὸς οὕτως ἔρως

ἐγγενέσθαι καὶ περιμανὴς τοῦ ἄρχειν, ὡς ἐκεῖνοι τοῦ ἄρχεσθαι καὶ ὑπακούειν Ὄθωνος ἠράσθησαν. οὕς γε μηδ' ἀποθανόντος ὁ πόθος προὔλιπεν, ἀλλὰ παρέμεινεν εἰς ἀνήκεστον ἔχθος Οὐιτελλίῳ τελευτήσας. τὰ μὲν οὖν ἄλλα καιρὸν οἰκεῖον ἔχει λεχθῆναι. κρύψαντες δὲ τῇ γῇ τὰ λείψανα τοῦ Ὄθωνος, οὔτε μεγέθει σήματος οὔτ' ἐπιγραφῆς ὄγκῳ τὸν τάφον ἐποίησαν ἐπίφθονον. εἶδον δὲ ἐν Βριξίλλῳ γενόμενος, καὶ μνῆμα μέτριον, καὶ τὴν ἐπιγραφὴν οὕτως ἔχουσαν. εἰ μεταφρασθείη, δηλώσει Μάρκου Ὄθωνος. ἀπέθανε δὲ Ὄθων ἔτη μὲν ἑπτὰ καὶ τριάκοντα βιώσας, ἄρξας δὲ τρεῖς μῆνας, ἀπολιπὼν δὲ μὴ χείρονας μηδ' ἐλάττους τῶν τὸν βίον αὐτοῦ ψεγόντων, τοὺς ἐπαινοῦντας τὸν θάνατον. βιώσας γὰρ οὐδὲν ἐπιεικέστερον Νέρωνος, ἀπέθανεν εὐγενέστερον. οἱ δὲ στρατιῶται, Πολλίωνος τοῦ ἑτέρου τῶν ἐπάρχων, ὀμνύειν εὐθὺς εἰς τὸν Οὐιτέλλιον κελεύσαντος, ἐδυσχέραινον, καὶ πυθόμενοι τῶν συγκλητικῶν ἐνίους ἔτι παρεῖναι, τοὺς μὲν ἄλλους ἀφῆκαν. Οὐεργινίῳ δὲ Ῥούφῳ πράγματα παρεῖχον ἅμα τοῖς ὅπλοις ἐλθόντες ἐπὶ τὴν οἰκίαν, καὶ καλοῦντες αὖθις καὶ κατακελεύοντες ἄρχειν, ἢ πρεσβεύειν ὑπὲρ αὐτῶν. ὁ δὲ τὴν ἡγεμονίαν ἡττωμένων παραλαβεῖν νενικηκότων πρότερον μὴ θελήσας, μανικὸν ἡγεῖτο. πρεσβεύειν δὲ πρὸς Γερμανοὺς δεδιώς, τοὺς πολλὰ βεβιάσθαι παρὰ γνώμην ὑπ' αὐτοῦ δοκοῦντας, ἔλαθε δι' ἑτέρων θυρῶν ἐκποδὼν ποιήσας ἑαυτόν. ὡς δὲ τοῦτο ἔγνωσαν οἱ στρατιῶται, τούς τε ὅρκους ἐδέξαντο, καὶ τοῖς περὶ τὸν Κεκίναν προσέθεντο συγγνώμης τυχόντες.

ΠΟΤΕΡΑ ΤΩΝ ΖΩΩΝ ΦΡΟΝΙΜΩΤΕΡΑ, ΤΑ ΧΕΡΣΑΙΑ, Η ΤΑ ΕΝΥΔΡΑ.

Τὸν Τυρταῖον ὁ Λεωνίδας ἐρωτηθεὶς ποῖόν τινα νομίζοι ἀγαθὸν ποιητήν, ἔφη, νέων ψυχὰς καλλύνειν. ὡς τοῖς νέοις διὰ τῶν ἐπῶν ὁρμὴν ἐμποιοῦντα μετὰ θυμοῦ καὶ φιλοτιμίας ἐν ταῖς μάχαις, ἀφειδοῦσαν αὐτῶν. δέδια δὴ ὦ φίλοι μὴ καὶ τὸ τῆς κυνηγεσίας ἐγκώμιον ἐχθὲς ἀναγνωσθέν, ἐπάρῃ τοῦ μετρίου πέρα τοὺς φιλοθήρους ἡμῖν νεανίσκους, ὥστε τἆλλα πάρεργα, καὶ τὸ μηδὲν ἡγεῖσθαι, πρὸς τοῦτο παντάπασι ῥυέντας. ὅπου δοκῶ μοι καὶ αὐτὸς ἐκ νέας αὖθις ἀρχῆς παρ' ἡλικίαν ἐμπαθέστερος γεγονέναι, καὶ ποθεῖν ὥσπερ ἡ Εὐριπίδου Φαίδρα κυσὶ θωύξαι βαλίαις ἐλάφοις ἐγχριπτόμενος. οὕτως ἔθιγέ μου πυκνὰ καὶ πιθανὰ τῶν ἐπιχειρημάτων ἐπάγων ὁ λόγος. ἀληθῆ λέγεις ὦ Αὐτόβουλε. καὶ γὰρ ἐκεῖνος ἔδοξέ μοι τὸ ῥητορικὸν ἐγεῖραι διὰ χρόνου χαριζόμενος, καὶ συνεαρίζων τοῖς μειρακίοις. μάλιστα δὲ ᾔσθην τοὺς μονομάχους αὐτοῦ παραθέντος, ὡς οὐχ ἥκιστα τὴν θηρευτικὴν ἄξιον ἐπαινεῖν, ὅτι τοῦ πεφυκότος ἐν ἡμῖν ἢ μεμαθηκότος χαίρειν μάχαις, ἀνδρῶν πρὸς ἀλλήλους διὰ σιδήρου τὸ πολὺ δεῦρο τρέψασα, καθαρὰν παρέχει θέαν ἅμα τέχνης καὶ τόλμης νοῦν ἐχούσης πρὸς ἀνόητον ἰσχὺν καὶ βίαν ἀντιταττομένης, καὶ ἐπαινούσης τὸ Εὐριπίδειον, ἦ βραχύ τοι σθένος ἀνέρος. ἀλλὰ ποικιλίαις πραπίδων δαμᾷ φῦλα πόντου χθονίων τ' ἐανάτε παιδεύματα. καὶ μὴν ἐκεῖθεν ὦ φίλε Σώκλαρε φασὶν ἥκειν ἐπ' ἀνθρώπους τὴν ἀπάθειαν καὶ τὴν ἀγριότητα γευσαμένην φόνου, καὶ προσεθισθεῖσαν ἐν ταῖς ἄγραις καὶ τοῖς κυνηγεσίοις, αἷμα καὶ τραύματα ζώων μὴ δυσχεραίνειν. ἀλλὰ χαίρειν σφαττομένοις καὶ ἀποθνήσκουσιν. εἶθ' ὥσπερ ἐν Ἀθήναις πρῶτός τις ὑπὸ τῶν τριάκοντα συκοφάντης ἀποθανών, ἐπιτήδειος ἐλέχθη, καὶ δεύτερος ὁμοίως καὶ τρίτος. ἐκ τούτου δὲ κατὰ μικρὸν ἤδη προϊόντος, ἥπτοντο τῶν ἐπιει-

κῶν, καὶ τέλος οὐδὲ τῶν ἀρίστων ἀπεχόμενον πολιτῶν, οὕτως ὁ πρῶτος ἄρκτον ἀνελὼν ἢ λύκον εὐδοκίμησε, καὶ βοῦς τίς, ἢ σῦς, αἰτίαν ἔσχε προκειμένων ἱερῶν γευσάμενος, ἐπιτήδειος ἀποθανεῖν· ἔλαφοι δὲ τοὐντεῦθεν ἤδη καὶ λαγωοὶ καὶ δορκες ἐσθιόμενοι, προβάτων καὶ κυνῶν ἐνιαχοῦ καὶ ἵππων κρέα προυξένησαν· τιθασὸν δὲ χῆνα καὶ περιστερὰν ἐφέστιον οἰκέτην τε σοφοκλῆς· οὐχ ὡς γαλαῖ καὶ αἴλουροι τροφῆς ἕνεκα διὰ λιμόν, ἀλλ' ἐφ' ἡδονῇ, καὶ ὄψῳ διασπῶντες, καὶ κατακόπτοντες ὅσον ἐστὶ τῇ φύσει φονικὸν καὶ θηριῶδες, ἔρρωσαν, καὶ πρὸς οἶκτον ἀκαμπὲς ἀπειργάσαντο, τοῦ δὲ ἡμέρου τὸ πλεῖστον ἀπήμβλυναν. ὥσπερ αὖ πάλιν οἱ πυθαγορικοὶ τὴν πρὸς τὰ θηρία πρᾳότητα μελέτην ἐποιήσαντο πρὸς τὸ φιλάνθρωπον, καὶ φιλοικτίρμον· ἡ γὰρ συνήθεια δεινὴ τοῖς κατὰ μικρὸν ἐνοικειουμένοις πάθεσι πόρρω προαγαγεῖν τὸν ἄνθρωπον. ἀλλ' οὐκ οἶδ' ὅπως ἐν λόγοις γεγονότες, λελήθαμεν, οὔτε τῶν χθὲς ἡμῖν γεγονότων, οὔτε τῶν τάχα δὴ γενησομένων σήμερον ἀπηρτημένοι. καὶ γὰρ ἐχθές, ὡς οἶσθα, μετέχειν ἁμωσγέπως θέντα τὰ ζῷα διανοίας καὶ λογισμοῦ παρέσχομεν οὐκ ἄμουσον, οὐδὲ ἄχαρι τοῖς θηρατικοῖς νεανίσκοις περὶ συνέσεως θηρίων ἐναλίων τε καὶ πεζῶν ἅμιλλαν, ἣν τήμερον, ὡς ἔοικε, βραβεύσομεν· ἄν γε δὴ ταῖς προκλήσεσιν οἱ περὶ ἀριστότιμον καὶ φαίδιμον ἐμμείνωσιν· ἐκείνων γὰρ ὁ μὲν, τῆς γῆς ὡς διαφέροντα τῷ φρονεῖν ζῷα γεννώσης, ἐπεδίδου τοῖς ἑταίροις συνήγορον ἑαυτόν· ὁ δὲ, τῆς θαλάττης. ἐμμενοῦσιν ὦ αὐτόβουλε καὶ ὅσον οὔπω πάρεισι· συντασσομένους γὰρ αὐτοὺς ἕωθεν ἑώρων, ἀλλὰ εἰ βούλει πρὸ τοῦ ἀγῶνος ὅσα τοῖς ἐχθὲς λόγοις προσήκοντα λεχθῆναι, καιρὸν δὴ ἔχων, ἢ σὺν οἴνῳ καὶ παρὰ πότον οὐ μετὰ σπουδῆς ἐλέχθη, πρὸς αὐτούς, ἀναλάβωμεν· ἐδόκει γάρ τι πραγματικῶς οἷον ἀντηχεῖν ἐκ τῆς στοᾶς, ὡς τῷ θνητῷ τὸ ἀθάνατον ἀντίκειται, καὶ τῷ φθαρτῷ τὸ ἄφθαρτον, καὶ σώματί γε τὸ ἀσώματον· οὕτως ὑπάρχοντι τῷ λογικῷ χρῆναι τὸ ἄλογον ἀντικεῖσθαι καὶ ἀνθυπάρχειν, καὶ μὴ μόνην ἐν τοσαῖσδε συζυγίαις, ἀτελῆ τήνδε λείπεσθαι, καὶ πεπηρωμένην. τίς δὲ ὦ φίλε σώκλαρε εἶπεν ἠξίωσεν· ὄντως ἐν τοῖς πράγμασι τοῦ λογικοῦ μὴ εἶναι τὸ ἄλογον· πολὺ γάρ ἐστι καὶ ἄφθονον ἐν πᾶσι τοῖς ψυχῆς ἀμοιροῦσι, καὶ οὐδ' ἔτι ἑτέρας δεόμεθα πρὸς τὸ λογικὸν ἀντιθέσεως· ἀλλὰ πᾶν εὐθὺς τὸ ἄψυχον ὡς ἄλογον καὶ ἀνόητον ἀντίκειται τῷ μετὰ ψυχῆς λόγον ἔχοντι καὶ διάνοιαν· εἰ δέ τις ἀξιοῖ μὴ κολοβὸν εἶναι τὴν φύσιν, ἀλλὰ τὴν ἔμψυχον φύσιν ἔχειν· τὸ μὲν, λογικόν· τὸ δὲ, ἄλογον· ἕτερος ἀξιώσει τὴν ἔμψυχον φύσιν ἔχειν· τὸ μὲν, φανταστικόν· τὸ δὲ, ἀφαντασίωτον· καὶ τὸ μὲν, αἰσθητικόν· τὸ δὲ, ἀναίσθητον· ἵνα δὴ τὰς ἀντιζύγους ταύτας καὶ ἀντιθέτους ἕξεις, καὶ στερήσεις περὶ ταὐτὸν ἡ φύσις ἔχοι γένος, οἷον ἰσορροπούσας. εἰ δὲ ἄτοπος ὁ ζητῶν τοῦ ἐμψύχου· τὸ μὲν, αἰσθητικόν, τὸ δὲ ἀναίσθητον εἶναι· καὶ τὸ μὲν, φανταστικόν· τὸ δὲ, ἀφαντασίωτον· ὅτι πᾶν τὸ ἔμψυχον αἰσθητικὸν εὐθὺς εἶναι καὶ φανταστικὸν πέφυκεν· οὐδὲ οὕτως ἐπιεικῶς ἀπαιτήσει τὸ μὲν, λογικὸν εἶναι τοῦ ἐμψύχου· τὸ δὲ ἄλογον, πρὸς ἀνθρώπους διαλεγόμενος· μηδὲν οἰομένους αἰσθήσεως μετέχειν, ὃ μὴ καὶ συνέσεως· μηδὲ εἶναι ζῷον, ᾧ μὴ δόξα τις καὶ λογισμός, ὥσπερ αἴσθησις καὶ ὁρμὴ κατὰ φύσιν πάρεστιν· ἡ γὰρ φύσις ἣν ἕνεκά του καὶ πρός τι πάντα ποιεῖν, ὀρθῶς λέγουσιν, οὐκ ἐπὶ ψιλῷ τῷ πάσχοντι αἰσθάνεσθαι· τὸ ζῷον αἰσθητικὸν ἐποίησεν· ἀλλ' ὄντων μὲν οἰκείων πρὸς αὐτὸ πολλῶν, ὄντων δὲ ἀλλοτρίων· οὐδὲ ἀκαρὲς ἦν περιεῖναι, μὴ μαθόντι τὰ μὲν, φυλάττεσθαι· τοῖς δὲ, συμφέρεσθαι. τὴν μὲν οὖν γνῶσιν ἀμφοῖν ὁμοίως ἡ αἴσθησις ἑκάστῳ παρέχει· τὰς δὲ ἑπομένας τῇ αἰσθήσει, τῶν μὲν ὠφελίμων λήψεις καὶ διώξεις· διακρούσεις δὲ καὶ φυγὰς τῶν ὀλεθρίων καὶ λυπηρῶν, οὐδεμία μηχανὴ τῷ μὴ λογίζεσθαί τι καὶ κρίνειν καὶ μνημονεύειν

καὶ προσέχειν πεφυκόσιν· ἀλλ' ὧν ἀφέλῃς παντάπασι προσδοκίαν μνήμην, πρόθεσιν, παρασκευήν, τὸ ἐλπίζειν, τὸ δεδοικέναι, τὸ ἐπιθυμεῖν, τὸ ἀσχάλλειν, οὔτε ὀμμάτων ὄφελος οὐδὲν αὐτοῖς παρόντων, οὔτε ὤτων, αἰσθήσεώς τε πάσης καὶ φαντασίας, τὸ χρώμενον οὐκ ἐχούσης, ἀπηλλάχθαι βέλτιον ἢ πονεῖν καὶ λυπεῖσθαι καὶ ἀλγεῖν, ᾧ διακρούσεται ταῦτα, μὴ παρόντος. καίτοι στράτωνός γε τοῦ φυσικοῦ λόγος ἐστὶν, ἀποδεικνύων ὡς οὐδ' αἰσθάνεσθαι τὸ παράπαν, ἄνευ τοῦ νοεῖν ὑπάρχει· καὶ γὰρ γράμματα πολλάκις ἐπιπορευομένους τῇ ὄψει, καὶ λόγοι προσπίπτοντες τῇ ἀκοῇ διαλανθάνουσιν ἡμᾶς καὶ διαφεύγουσι πρὸς ἑτέροις τὸν νοῦν ἔχοντας· εἶτα αὖθις ἐπανῆλθε καὶ μεταθεῖ καὶ διώκει τῶν προϊεμένων ἕκαστον ἀναλεγόμενος, ᾗ καὶ λέλεκται, νοῦς ὁρῇ, καὶ νοῦς ἀκούει, τὰ δὲ ἄλλα κωφὰ καὶ τυφλά, ὡς τοῦ περὶ τὰ ὄμματα καὶ ὦτα πάθους ἂν μὴ παρῇ τὸ φρονοῦν, αἴσθησιν οὐ ποιοῦντος. διὸ καὶ κλεομένης ὁ βασιλεὺς παρὰ πότον εὐδοκιμοῦντος ἀκροάματος, ἐρωτηθεὶς, εἰ μὴ φαίνεται σπουδαῖον, ἐκέλευσεν ἐκείνους σκοπεῖν· αὐτὸν γὰρ ἐν πελοποννήσῳ τὸν νοῦν ἔχειν· ὅθεν ἀνάγκη πᾶσιν οἷς αἰσθάνεσθαι καὶ τὸ νοεῖν ὑπάρχειν, εἰ τῷ νοεῖν αἰσθάνεσθαι πεφύκαμεν. ἔστω δὲ μὴ δεῖσθαι τοῦ νοῦ τὴν αἴσθησιν πρὸς τὸ αὑτῆς ἔργον, ἀλλ' ὅταν γε τῷ ζῴῳ πρὸς τὸ οἰκεῖον καὶ τὸ ἀλλότριον ἡ αἴσθησις ἐνεργασαμένη διαφορὰν ἀπέλθῃ, τί τὸ μνημονεῦόν ἐστιν ἤδη, καὶ δεδιὸς τὰ λυποῦντα, καὶ ποθοῦν τὰ ὠφέλιμα, καὶ μὴ παρόντων, ὅπως παρέσται μηχανώμενον ἐν αὐτοῖς, καὶ παρασκευαζόμενον ὁρμητήρια καὶ καταφυγάς, καὶ θήρατρα· πάλιν αὖ τοῖς ἁλωσομένοις, καὶ ἀποδράσεις τῶν ἐπιτιθεμένων, καὶ ταυτί γε κἀκεῖνοι λέγοντες ἀποκναίουσιν ἐν ταῖς εἰσαγωγαῖς ἑκάστοτε, τὴν πρόθεσιν ὁριζόμενοι, σημείωσιν ἐπιτελειώσεως· τὴν δὲ ἐπιβολὴν ὁρμὴν πρὸ ὁρμῆς· παρασκευὴν δὲ, πρᾶξιν πρὸ πράξεως· μνήμην δὲ, κατάληψιν ἀξιώματος παρεληλυθότος· οὗ τὸ παρὸν ἐξ αἰσθήσεως κατελήφθη· τούτων γὰρ οὐδὲν ὅτι μὴ λογικόν ἐστι καὶ πάντα τοῖς ζῴοις ὑπάρχει πᾶσιν· ὥσπερ ἀμέλει καὶ τὰ περὶ τὰς νοήσεις, ἃς ἐναποκειμένας μὲν ἐννοίας καλοῦσι, κινουμένας δὲ διανοήσεις. τὰ δὲ πάθη σύμπαντα κοινῶς κρίσεις φαύλας, καὶ δόξας ὁμολογοῦντες εἶναι, θαυμαστὸν ὅτι δὴ παρορῶσιν ἐν τοῖς θηρίοις ἔργα καὶ κινήματα· πολλὰ μὲν θυμῶν, πολλὰ δὲ φόβων, καὶ ναὶ μὰ δία φθόνων καὶ ζηλοτυπιῶν· αὐτοὶ δὲ, καὶ κύνας ἁμαρτάνοντας καὶ ἵππους κολάζουσιν, οὐ διακενῆς, ἀλλ' ἐπὶ σωφρονισμῷ, λύπην δι' ἀλγηδόνος ἐμποιοῦντες αὐτοῖς, ἣν μετάνοιαν ὀνομάζομεν. ἡδονῆς δὲ τῆς μὲν δι' ὤτων ὄνομα, κήλησίς ἐστι· τῆς δὲ δι' ὀμμάτων γοητεία· χρῶνται δὲ ἑκατέροις, ἐπὶ τὰ θηρία· κηλοῦνται μὲν ἔλαφοι καὶ ἵπποι σύριγξι καὶ αὐλοῖς, καὶ τοὺς παγούρους ἐκ τῶν χηραμῶν ἀνακαλοῦνται, βιαζόμενοι ταῖς φώτιγξι, καὶ τὴν θρίσσαν ᾀδόντων καὶ κροτούντων ἀναδύεσθαι καὶ προϊέναι λέγουσιν. ὁ δὲ ὦτος αὖ πάλιν ἁλίσκεται γοητευόμενος, ὀρχουμένων ἐν ὄψει μεθ' ἡδονῆς ἅμα ῥυθμῷ ἐλιγχόμενος τοὺς ὤμους συνδιαστρέφειν. οἱ δὲ περὶ τούτων ἀβελτέρως λέγοντες, μήτε ἥδεσθαι, μήτε θυμοῦσθαι, μήτε φοβεῖσθαι, μήτε παρασκευάζεσθαι τὴν ἀηδόνα, μήτε μνημονεύειν τὴν μέλιτταν, καὶ ὡσανεὶ θυμοῦσθαι τὸν λέοντα, καὶ ὡσανεὶ φοβεῖσθαι τὴν ἔλαφον, οὐκ οἶδα τί χρήσονται τοῖς λέγουσι μηδὲ βλέπειν μηδὲ ἀκούειν· ἀλλ' ὡσανεὶ βλέπειν αὐτά, καὶ ὡσανεὶ ἀκούειν· μηδὲ φωνεῖν, ἀλλ' ὡσανεὶ φωνεῖν· μηδὲ ὅλως ζῆν, ἀλλ' ὡσανεὶ ζῆν· ταῦτα γὰρ οὐ μᾶλλον ἐκείνων ἐστὶν λεγόμενα παρὰ τὴν ἐνάργειαν, ὡς ἐγὼ πείθομαι. κἀμὲ τοίνυν τὸ αὐτὸ βάλε, ταῦτά τε τίθει πειθόμενον· τὸ δὲ τοῖς ἀνθρωπίνοις ἤθεσι καὶ βίοις καὶ πράξεσι καὶ διαίταις, τὰ τῶν ζῴων παρατιθέναι, ἄλλην τε πολλὴν ἐν ὅλῳ φλαυρότητα καὶ τῆς ἀρετῆς πρὸς ἣν ὁ λόγος γέγονε, μηδὲν ἐμφαίνειν στοχα-

σμὸν, αὐτῶν· μὴ δὲ προκοπὴν μηδὲ ὄρεξιν· ἀπορῶ πῶς ἡ φύσις ἔδωκε τὴν ἀρχὴν
αὐτοῖς, ὧν τὸ τέλος ἐξικέσθαι μὴ δυναμένοις. ἀλλὰ τοῦτο μὲν, οὐδὲ αὐτοῖς
ἐκείνοις ὦ σώκλαρε τοῖς ἀνδράσιν ἄτοπον εἶναι δοκεῖ· τὴν γοῦν πρὸς τὰ ἔκγονα
φιλοστοργίαν, ἀρχὴν μὲν ἡμῖν κοινωνίας καὶ δικαιοσύνης τιθέμενοι, πολλὴν δὲ
τοῖς ζώοις καὶ ἰσχυρὰν ὁρῶντες παροῦσαν, οὔ φασιν αὐτοῖς, οὐδὲ ἀξιοῦσι μετεῖ-
ναι δικαιοσύνης· ἡμιόνοις δὲ τῶν γεννητικῶν μορίων οὐδὲν ἐνδεῖ· καὶ γὰρ αἰδοῖα
καὶ μήτρας, καὶ τὸ χρῆσθαι μεθ᾽ ἡδονῆς τούτοις ἔχουσαι, πρὸς τὸ τέλος οὐκ ἐξι-
κνοῦνται τῆς γενέσεως. σκόπει δὲ ἄλλως, μὴ καταγέλαστόν ἐστι τοὺς σωκρά-
τεις καὶ τοὺς πλάτωνας, οὐδὲν ἐλαφροτέρα κακία τοῦ τυχόντος ἀνδραπόδου
συνεῖναι φάσκοντας· ἀλλ᾽ ὁμοίως ἄφρονας εἶναι καὶ ἀκολάστους καὶ ἀδίκους·
εἶτα τῶν θηρίων αἰτιᾶσθαι τὸ μὴ καθαρὸν, μηδὲ ἀπηκριβωμένον πρὸς ἀρετὴν,
ὥσπερ οὐχὶ φαυλότητα λόγου καὶ ἀσθένειαν, καὶ ταύτην κακίαν ὁμολογοῦν-
τας εἶναι λογικὴν, ἧς πᾶν θηρίον ἀναπέπλησται. καὶ γὰρ δειλίαν πολλοῖς καὶ
ἀκολασίαν, ἀδικίαν τε καὶ κακοήθειαν, ὁρῶμεν ὑπάρχουσαν. ὁ δὲ ἀξιῶν τὸ μὴ
πεφυκὸς ὀρθότητα λόγου δέχεσθαι, πρῶτον μὲν οὐδὲν διαφέρει τοῦ μήτε πίθηκον
αἴσχους φύσει μετέχειν μήτε χελώνην βραδυτῆτος ἀξιοῦντος, ὅτι μηδὲ κάλλους ἐπι-
δεκτικὰ μηδὲ τάχους ἐστίν· ἔπειτα τὴν διαφορὰν ἐμποδὼν οὖσαν, οὐ συνορᾷ·
λόγος μὲν γὰρ ἐγγίνεται φύσει· σπουδαῖος δὲ λόγος καὶ τέλειος, ἐξ ἐπιμελείας
καὶ διδασκαλείας διὸ τοῦ λογικοῦ, πᾶσι τοῖς ἐμψύχοις μέτεστιν· ἣν δὲ ζητοῦ-
σιν ὀρθότητα καὶ σοφίαν, οὐδὲ ἄνθρωπον εἰπεῖν κεκτημένον ἔχουσιν, ὥσπερ ὄ-
ψεώς ἐστι πρὸς ὄψιν διαφορὰ, καὶ πτήσεως πρὸς πτῆσιν· οὐ γὰρ ὁμοίως ἱέρακες
βλέπουσι καὶ τέττιγες, οὐδὲ ἀετοὶ πέτανται καὶ πέρδικες, οὕτως οὐδὲ παντὶ
λογικῷ μέτεστιν ὡσαύτως τῆς εὑρομένης τὸ ἄκρον εὐστροφίας καὶ ὀξύτητος, ἐπεὶ
δείγματά γε πολλὰ κοινωνίας καὶ ἀνδρείας καὶ τοῦ πανούργου περὶ τοὺς πο-
ρισμοὺς καὶ τὰς οἰκονομίας, ὥσπερ αὖ καὶ τῶν ἐναντίων ἀδικίας δειλίας
ἀβελτηρίας ἔνεστιν αὐτοῖς. καὶ μαρτυρεῖ τὸ νυνὶ πεποιηκὸς ἐν τοῖς νεανί-
σκοις τὴν ἅμιλλαν· ὡς γὰρ οὔσης τινὸς διαφορᾶς, οἱ μὲν τὰ χερσαῖά φασιν, οἱ δὲ
τὰ θαλάσσια μᾶλλον προῆχθαι φύσει πρὸς ἀρετὴν, ὃ δὴ καὶ δῆλόν ἐστι παρα-
βαλλομένων πελαργοῖς ἵππων ποταμίων· οἱ μὲν γὰρ τρέφουσι τοὺς πατέρας,
οἱ δὲ ἀποκτιννύουσιν, ἵνα τὰς μητέρας ὀχεύωσι. καὶ περιστεραῖς, περδίκων· οἱ μὲν
γὰρ ἀφανίζουσι τὰ ᾠὰ καὶ διαφθείρουσι τὰς θηλείας, ὅταν ἐπῳάζωσιν, οὐ προσ-
δεχομένας τὴν ὀχείαν· οἱ δὲ, καὶ διαδέχονται τὴν ἐπιμέλειαν ἐν μέρει θάλπον-
τες τὰ ᾠὰ, καὶ ψωμίζουσι πρότεροι τὰ νεόττια, καὶ τὴν θήλειαν, ἐὰν πλείονα
χρόνον ἀποπλανηθῇ, κόπτων ὁ ἄρρην εἰσελαύνει πρὸς τὰ ᾠὰ καὶ τοὺς νεοττούς.
ὄνοις δὲ καὶ προβάτοις ἀντίπατρος ἐγκαλῶν ὀλιγωρίαν καθαριότητος, οὐκ οἶ-
δ᾽ ὅπως παρῆλθε, τὰς λύγκας καὶ τὰς χελιδόνας, ὧν αἱ μὲν ἐκτοπίζουσι παν-
τάπασι κρύπτουσαι καὶ ἀφανίζουσαι τὸ λυγγούριον· αἱ δὲ χελιδόνες, ἔξω στρεφο-
μένους διδάσκουσι τοὺς νεοττοὺς ἀφιέναι τὸ περίττωμα. καίτοι διὰ τί δένδρον
δένδρου λέγομεν ἀμαθέστερον, ὡς κυνὸς πρόβατον, οὐδὲ λαχάνου λάχανον ἀναν-
δρότερον, ὡς ἔλαφον λέοντος, ἢ καθάπερ ἐν τοῖς ἀκινήτοις ἕτερον ἑτέρου βραδύ-
τερον οὐκ ἔστιν, οὐδὲ μικροφωνότερον ἐν τοῖς ἀναύδοις, οὕτως οὐδὲ δειλότερον,
οὐδὲ νωθρότερον, οὐδὲ ἀκρατέστερον, οἷς μὴ φύσει πᾶσιν ἡ τοῦ φρονεῖν δύναμις,
ἄλλοις δὲ ἄλλως κατὰ τὸ μᾶλλον καὶ ἧττον παροῦσα, τὰς ὁρωμένας διαφορὰς
πεποίηκεν. ἀλλὰ θαυμαστὸν ὅσον ἄνθρωπος εὐηθείᾳ καὶ ἀγχινοίᾳ, καὶ τοῖς
περὶ δικαιοσύνην καὶ κοινωνίαν διαφέρει τῶν ζώων. καὶ γὰρ ἐκείνων ὦ ἑταῖρε
πολλὰ τοῦτο μὲν μεγέθει καὶ ποδωκείᾳ, τοῦτο δὲ ὄψεως ῥώμῃ καὶ ἀκοῆς ἀκριβείᾳ
πάντας

πάντας ἀνθρώπους ἀπολέλοιπεν· ἀλλ᾽ οὐ διὰ τοῦτο τυφλὸς οὐδὲ ἀδύνατος, οὐδὲ
ἄωτος ὁ ἄνθρωπός ἐστιν, ἀλλὰ καὶ χειρῶν καὶ ὀμμάτων ἰσχύος τι καὶ μεγέθους
ἡ φύσις ἡμᾶς οὐκ ἀπεστέρησεν, καίτοι τὸ μηδὲν ἐν τούτοις πρὸς ἐλέφαντα καὶ κά-
μηλον ὄντας. οὐκοῦν ὁμοίως μηδὲ τὰ θηρία λέγωμεν, εἰ νωθρότερον φρονεῖ καὶ κά-
κιον διανοεῖται, μὴ διανοεῖσθαι μηδὲ φρονεῖν ὅλως, μηδὲ κεκτῆσθαι λόγον· ἀσθε-
νῆ δὲ καὶ θολερὸν κεκτῆσθαι, ὥσπερ ὀφθαλμὸν ἀμβλυώττοντα καὶ τεταραγ-
μένον. εἰ δὲ μὴ πολλὰ τοὺς νεανίσκους αὐτίκα δὴ μάλα προσεδόκων, τὸν μὲν,
ἐκ γῆς· τὸν δὲ, ἐκ θαλάττης ἐν ταυτῷ συνερανίσειν φιλολόγους καὶ φιλογράμ-
ματους ὄντας, οὐκ ἂν ἀπεσχόμην σου μυρία μετ᾽ εὐμαθείας, μυρία εὐφυΐας παραδείγ-
ματα θηρίων διηγούμενος, ὧν ἄμαις καὶ σκάφαις ἡμῖν ἐκ τῶν βασιλικῶν ἀρύ-
σασθαι θεάτρων ἡ καλὴ ῥώμη παρέσχηκε. ταῦτα μὲν οὖν ἐκείνοις νεαρὰ καὶ
ἄθικτα πρὸς τὸν λόγον ἐγκαλλωπίσασθαι καταλείπωμεν. βούλομαι δὲ μικρόν
τι μετὰ σοῦ σκέψασθαι καθ᾽ ἡσυχίαν. οἶμαι γὰρ ἰδίαν τινὰ μέρους ἑκάστου καὶ δυ-
νάμεως φαυλότητα καὶ πήρωσιν εἶναι καὶ νόσον, ὥσπερ ὀφθαλμοῦ τυφλότη-
τα, καὶ σκέλους χωλότητα, καὶ ψελλότητα γλώσσης, ἄλλου δὲ μηδενός. οὐ γάρ
ἐστι τυφλότης, μὴ πεφυκότος ὁρᾶν· οὐδὲ χωλότης, μὴ πεφυκότος βαδίζειν· ψελ-
λόν τε τῶν ἀγλώσσων ἢ τὸν ἀναύδων φύσει τραυλὸν οὐδὲν ἂν προσείποις· οὐκοῦν
οὐδὲ παραπαῖον, ἢ παραφρονοῦν ἢ μαινόμενον, ᾧ μὴ τὸ φρονεῖν, ἢ λογίζεσθαι καὶ
διανοεῖσθαι κατὰ φύσιν ὑπῆρχεν· οὐ γάρ ἐστιν ἐμπαθὲς γενέσθαι, μὴ κεκτημέ-
νον δύναμιν, ἧς τὸ πάθος, ἢ στέρησις ἢ πήρωσις, ἤ τις ἄλλη κάκωσις ἦν. ἀλλὰ
μὴν ἐντετύχηκάς γε λυττώσαις κυσὶν, ἐγὼ δὲ καὶ ἵπποις, ἔνιοι δέ φασι καὶ βοῦς
μαίνεσθαι καὶ ἀλώπεκας· ἀρκεῖ δὲ τὸ τῶν κυνῶν, ὃ ἀναμφισβήτητόν ἐστι καὶ μαρ-
τυρεῖ λόγον ἔχειν καὶ διάνοιαν, οὐ φαύλην τὸ ζῶον, ἧς ταραττομένης καὶ συγχεο-
μένης, ἡ λεγομένη λύττα καὶ μανία πάθος ἐστίν. οὔτε γὰρ ὄψιν ἀλλοιουμένην αὐ-
τῶν, οὔτε ἀκοὴν ὁρῶμεν· ἀλλὰ ὥσπερ ἀνθρώπου μελαγχολῶντος ἢ παρακόπτον-
τος, ὁ μὴ λέγων ἐξεστάναι καὶ διαφθορέναι τὸ φρονοῦν καὶ λογιζόμενον καὶ μνη-
μονεῦον, ἄτοπός ἐστι. καὶ γὰρ ἡ συνήθεια ταῦτά γε κατηγορεῖ τῶν παραφρο-
νούντων μὴ εἶναι παρ᾽ αὐτοῖς· ἀλλ᾽ ἐκπεπτωκέναι τῶν λογισμῶν, οὕτως ὁ τοὺς
λυττῶντας κύνας, ἄλλο τι πεπονθέναι νομίζων, ἀλλ᾽ οὐχὶ τῷ φρονεῖν πεφυκό-
τι, καὶ λογίζεσθαι καὶ μνημονεύειν ἀναπεπλησμένους ταραχῆς, καὶ παραπε-
παικότας, ἀγνοεῖν τὰ φίλτατα πρόσωπα, καὶ φεύγειν τὰς συντρόφους διαί-
τας, ἢ παρορᾶν τὸ φαινόμενον, ἔοικε μὴ συνορῶν τὸ γινόμενον ἐξ αὐτοῦ, φιλονει-
κεῖν πρὸς τὴν ἀλήθειαν. ὀρθῶς μοι δοκεῖς ὑπονοεῖν· οἱ γὰρ ἀπὸ τῆς στοᾶς καὶ τοῦ
περιπάτου, μάλιστα πρὸς τοὐναντίον ἐντείνονται τῷ λόγῳ τῆς δικαιοσύνης ἑτέ-
ραν γένεσιν οὐκ ἐχούσης, ἀλλὰ παντάπασιν ἀσυστάτου καὶ ἀνυπάρκτου γινομέ-
νης, εἰ πᾶσι τοῖς ζώοις λόγου μέτεστι· γίνεται γὰρ ἢ τὸ ἀδικεῖν ἀναγκαῖον ἡμῖν ἀ-
φειδοῦσιν αὐτῶν, ἢ μὴ χρωμένων αὐτοῖς, τὸ ζῆν ἀδύνατον, καὶ ἄπορον, καὶ τρό-
πον τινὰ θηρίων βίον βιωσόμεθα, τὰς ἀπὸ τῶν θηρίων προέμενοι χρείας. ἀφίη-
μι γὰρ νομάδων καὶ τρωγλοδυτῶν ἀνεξευρέτους ἀριθμῶν μυριάδας, οἳ τροφὴν σάρ-
κας, ἄλλο δὲ οὐδὲν ἴσασιν· ἀλλὰ ἡμῖν τοῖς ἡμέρως καὶ φιλανθρώπως ζῆν δοκοῦ-
σιν, ποῖον ἔργον ἀπολείπεται γῆς, ποῖον ἐν θαλάττῃ, τίς ἐν ὄρεσι τέχνη, τίς κό-
σμος διαίτης, ἂν ὡς προσήκει λογικοῖς καὶ ὁμοφύλοις πᾶσι τοῖς ζώοις οὖσιν, ἀ-
βλαβῶς καὶ μετὰ εὐλαβείας προσφέρεσθαι μάθωμεν, ἔργον ἐστὶν εἰπεῖν. οὐ-
δὲν οὖν φάρμακον οὐδὲ ἴαμα τῆς ἢ τὸν βίον ἀναιρούσης, ἢ τὴν δικαιοσύνην ἀπο-
ρίας οὐδὲν ἔχομεν, ἂν μὴ τὸν ἀρχαῖον ὅρον καὶ νόμον φυλάττωμεν· ᾧ καθ᾽ ἡσίο-
δον τὰς φύσεις διελὼν καὶ θέμενος ἰδίᾳ τῶν γενῶν ἑκάτερον, ἰχθύσι μὲν καὶ θηρσὶ

καὶ οἰωνοῖς πετεινοῖς. ἔσθειν ἀλλήλους ἐπεὶ οὐ δίκη ἐστὶ μετ' αὐτῶν, ἀνθρώποισι δ' ἔδωκε
δίκην πρὸς ἀλλήλους. οἷς οὐκ ἔστι τι δικαιοπραγεῖν πρὸς ἡμᾶς, οὐδ' ἡμῖν πρὸς ἐκεῖνα
γίνεται τὸ ἀδικεῖν, ὡς οἵ γε τοῦτον προέμενοι τὸν λόγον οὔτε χρείαν ἄλλην, οὔτε λιπῶ τῇ
δικαιοσύνῃ παρεισελθεῖν ὁδὸν ἀπολελοίπασι. ταῦτα μὲν οὖν φίλε τ' ἀπὸ καρ-
δίας τῶν ἀνδρῶν ἐξείρηκας. οὐ μὴν δοτέον, ὥσπερ δυστοκούσαις γυναιξί, πειρᾶσ-
θαι τοῖς φιλοσόφοις ὠκυτόκιον, ἵνα ῥαδίως καὶ ἀταλαιπώρως τὸ δίκαιον ἡ-
μῖν ἀποτέκωσιν. οὐδὲ γὰρ αὐτοὶ τῷ ἐπικούρῳ διδόασιν ὑπὲρ τῶν μεγίστων, σμι-
κρὸν οὕτω πρᾶγμα καὶ φαῦλον καὶ ἄτομον παρεγκλῖναι μίαν ἐπὶ τοὐλάχι-
στον, ὅπως ἄστρα καὶ ζῶα καὶ τύχη παρεισέλθῃ, καὶ τὸ ἐφ' ἡμῖν μὴ ἀπόληται,
δεικνύναι δὲ τὸ ἄδηλον ἢ λαμβάνειν τι τῶν προδήλων, καὶ προσήκει τὸ περὶ τῶν
ζώων ὑποτίθεσθαι πρὸς τὴν δικαιοσύνην, εἰ μήθ' ὁμολογεῖται μήτ' ἄλλως ἀποδει-
κνύουσιν. ἔχει γὰρ ἑτέραν ὁδὸν ἐκεῖ τὸ δίκαιον, οὐ σφαλερὰν καὶ παράκρημνον οὕ-
τω καὶ διὰ τῶν ἐναργῶν ἀνατρεπόμενον φέρουσαν. ἀλλ' ἣν πλάτωνος ὑφηγου-
μένου δεικνύει οὑμὸς υἱὸς ὦ σώκλαρε, σὸς δ' ἑταῖρος, τοῖς μὴ φιλομαχεῖν. ἕπε-
σθαι δὲ καὶ μανθάνειν βουλομένοις. ἐπεὶ τό γε μὴ παντάπασι καθαρεύειν ἀδι-
κίας, τὸν ἄνθρωπον οὕτω τὰ ζῶα μεταχειριζόμενον, ἐμπεδοκλῆς καὶ ἡράκλειτος, ὡς
ἀληθὲς προσδέχονται. πολλάκις ὀδυρόμενοι καὶ λοιδοροῦντες τὴν φύσιν, ὡς ἀ-
νάγκην καὶ πόλεμον οὖσαν. ἀμιγὲς δὲ μηδὲν μηδὲ εἰλικρινὲς ἔχουσαν. ἀλλὰ δι' ἀδικίας
πολλῶν καὶ δικαίων παθῶν περαινομένην, ὅπου καὶ τὴν γένεσιν αὐτῆς ἐξ
ἀδικίας συντυγχάνειν λέγουσι τῷ θνητῷ συνερχομένου τοῦ ἀθανάτου, καὶ τέρπεσθαι τὸ
γενόμενον παρὰ φύσιν μέλεσι τοῦ γεννήσαντος ἀποσπωμένοις. οὐ μὴν ἀλλὰ
ταῦτα μὲν, ἄκρατα καὶ πικρὰ φαίνεται κατακόρως. ἑτέρα δ' ἐστὶν ἐμμελὴς πα-
ρηγορία μήτε τῶν ζώων τὸν λόγον ἀφαιρουμένη καὶ σώζουσα χρωμένων αὐτοῖς
πῶς προσήκει τὸ δίκαιον. ἣν τῶν σοφῶν καὶ παλαιῶν εἰσαγόντων, συστᾶσα λαι-
μαργία μεθ' ἡδυπαθείας ἐξέβαλε, καὶ ἠφάνισεν. αὖθις δὲ πυθαγόρας ἀνε-
λάμβανε διδάσκων ὠφελεῖσθαι μὴ ἀδικοῦντας. οὐ γὰρ ἀδικοῦσιν οἱ τὰ μὲν ἄμι-
κτα καὶ βλαβερὰ κομιδῇ κολάζοντες καὶ ἀποκτιννύοντες. τὰ δὲ ἥμερα καὶ φι-
λάνθρωπα ποιούμενοι τιθασσὰ καὶ συνεργὰ χρείας. πρὸς ἣν ἕκαστον εὖ πέφυ-
κεν, ἵππων ὄνων τε ὀχείαν καὶ ταύρων γονάς. ὧν ὁ αἰσχύλου προμηθεὺς δοῦναι ἡ-
μῖν φησιν ἀντίδουλα, καὶ πόνων ἐκδέκτορα. κυσὶ δὲ χρώμενοι προφυλάττουσι αἶ-
γας τε καὶ οἶς ἀμελγόμενα καὶ κειρόμενα νέμοντες. οὐ γὰρ ἀναιρεῖται τὸ ζῆν οὐδὲ
βίος ἀπόλλυται τοῖς ἀνθρώποις, ἂν μὴ λοπάδας ἰχθύων, μηδὲ ἥπατα χηνῶν
ἔχωσι, μηδὲ βοῦς, μήτ' ἐρίφους κατακόπτωσιν ἐπ' εὐωχίᾳ, μηδ' ἀλύοντες ἐν θεά-
τροις, μηδὲ παίζοντες ἐν θήραις. τὰ μὲν, ἀναγκάζωσι τολμᾶν ἄκοντα καὶ μάχε-
σθαι. τὰ δὲ, μηδὲ ἀμύνεσθαι πεφυκότα, διαφθείρωσι. τὸ γὰρ παίζοντα καὶ τερ-
πόμενον οἶμαι συμπαίζουσι δεῖν χρῆσθαι καὶ ἱλαρεῖς. οὐχ ὥσπερ ὁ βίων ἔλεγε
τὰ παιδάρια παίζοντα τῶν βατράχων τοῖς λίθοις ἐφίεσθαι, τοὺς δὲ βατράχους,
μηκέτι παίζοντας ἀλλὰ ἀληθῶς ἀποθνήσκειν, οὕτως κυνηγεῖν καὶ ἁλιεύειν, ὀ-
δυνωμένοις τερπομένους καὶ ἀποθνήσκουσι. τοῖς δὲ, ἀπὸ σκύμνων καὶ νεοσσῶν ἐλε-
εινῶς ἀγομένοις. οὐ γὰρ οἱ χρώμενοι ζώοις, ἀδικοῦσιν, ἀλλ' οἱ χρώμενοι βλαβερῶς καὶ
ἀλιτώρως καὶ μετὰ ὠμότητος. ἐπίσχες ὦ αὐτόβουλε καὶ παραβαλοῦ τῆς κα-
τηγορίας. ἐγγὺς γὰρ οἵδε προσιόντες πολλοὶ καὶ θηρατικοὶ πάντες. οὓς οὔτε μετα-
θεῖναι ῥᾴδιον, οὔτε λυπεῖν ἀναγκαῖον. ὀρθῶς παραινεῖς, ἀλλὰ εὐβίωτον μὲν εὖ
οἶδα, καὶ τὸν ἐμὸν ἀνεψιὸν ἀρίστωνα. τούς τε διονυσίου παῖδας ἀπ' ἀδελφῶν αἰα-
κίδην, καὶ ἀριστότιμον τοῦτον. εἶτα νίκανδρον τὸν εὐθυδήμου χερσαίας δαήμονας
ἄγρας ὡς ὅμηρος ἔφη, καὶ διὰ τοῦτο ἀριστότιμον γενησομένους, ὥσπερ αὖ πά-

λιν

ἀδίκων

λιν τούσδε τοὺς νησιώτας, καὶ παραλίους, ἡρακλέωνα τὸν μεγαρόθεν, καὶ φιλό-
στρατον τὸν εὐβοέα, οἷσί τε θαλάσσια ἔργα μέμηλε. φαίδιμος ἔχων περὶ αὐτὸν
βαδίζει, τυδείδην δ' οὐκ ἂν γνοίης ποτέροισι μετείη, τουτονὶ τὸν ἡμέτερον ἡλικιώ-
την ὀπτάτον, ὃς πολλοῖς μὲν ἐνάλου ὀρείου πολλάκις ἄγρας ἀκροθινίοις ἀγλαΐ-
σας τὴν ἀγροτέραν ἅμα θεὸν καὶ δίκτυνναν, ἐνταῦθα δῆλός ἐστι πρὸς ἡμᾶς βα-
δίζων, ὡς μηδετέροις προσθήσων ἑαυτὸν, ἢ φαύλως εἰκάζομεν ὦ φίλον ὀπτάτε,
κοινόν σε καὶ μέσον ἔσεσθαι τῶν νεανίσκων βραβευτήν. πάνυ μὲν οὖν ὀρθῶς
ὑπονοεῖς ὦ αὐτόβουλε. πάλαι γὰρ ὁ σόλωνος ἐκλέλοιπε νόμος, τοὺς ἐν στάσει
μηδετέρῳ μερίδι προσγενομένους κολάζων. δεῦρο δὴ καθίζου πρὸς ἡμᾶς, ὅ-
πως εἰ δεήσει μάρτυρος μὴ τοῖς ἀριστοτέλους πράγματα βιβλίοις παρέχω-
μεν, ἀλλὰ σοὶ δι' ἐμπειρίαν ἑπόμενοι τοῖς λεγομένοις ἀληθῶς, τὴν ψῆφον ἐπιφέ-
ρωμεν. εἶεν, ὦ ἄνδρες νέοι γέγονέ τις ὑμῖν ὁμολογία περὶ τάξεως. γέγονεν
ὦ σώκλαρε, πολλὴν παρασχοῦσα φιλονεικίαν, εἶτα κατ' εὐριπίδην, ὁ τῆς τύχης
παῖς κλῆρος ἐπὶ τούτῳ ταχθεὶς, τὰ χερσαῖα προεισάγει δίκαια τῶν ἀνάλων. καὶ
ὥρα οὖν ὦ ἀριστότιμε σοὶ μὲν ἤδη λέγειν, ἡμῖν δὲ ἀκούειν. ἡ μὲν ἀγορὰ τοῖς δι-
καζομένοις. τὰ δὲ, τὸν γόνον ἀναλίσκει περὶ τὰς ἀποκυήσεις ἐπιτρέχοντα τοῖς
θήλεσι. κεστρέως δὲ γένος οὓς παρδαλίας καλοῦσιν ἀπὸ τῆς μίξεως τρέφονται τῶν
ἑαυτῶν. ὁ δὲ πολύπους, αὑτὸν ἐσθίων κάθηται χειμῶνος ἐν ἀπύρῳ οἴκῳ καὶ ἐν
ἤθεσι λευγαλέοισιν, οὕτως ἀργὸς, ἢ ἀναίσθητος, ἢ γαστρίμαργος, ἢ πᾶσι τούτοις
ἔνοχός ἐστι. διὸ καὶ πλάτων αὖ πάλιν ἀπεῖπε νομοθετῶν, μᾶλλον δὲ ἀπεύξα-
το τοὺς νέους θαλαττίου θήρας ἔρωτα λαβεῖν. οὐδὲν γὰρ ἀλκῆς γυμνάσιον, οὐδὲ με-
λέτημα σοφίας, οὐδ' ὅσα πρὸς ἰσχὺν, ἢ τάχος, ἢ κινήσεις διαπονοῦσι. τοῖς πρὸς
λάβρακας, ἢ γόγγρους, ἢ σκάρους ἀγῶσιν, ὥσπερ ἐνταῦθα. τὰ μὲν, θυμοειδῆ, τὸ
φιλοκίνδυνον καὶ τὸ ἀνδρεῖον, ἀσκεῖ τῶν μαχομένων. τὰ δὲ πανοῦργα, τὸ φροντιστι-
κὸν καὶ συνετὸν τῶν ἐπιτιθεμένων. τὰ δὲ ποδώκη, τὸ ῥωμαλέον καὶ φιλόπονον τῶν
διωκόντων, καὶ ταῦτα τὸ κυνηγεῖν καλὸν πεποίηκε. τὸ δὲ ἁλιεύειν ἀπ' οὐδενὸς ἔνδοξον.
οὐδέ γε θεῶν τις ἠξίωσεν ὦ ἑταῖρε γογγροκτόνος ὥσπερ ὁ ἀπόλλων λυκοκτόνος, οὐδὲ
τριγλοβόλος, ὡς ἐλαφηβόλος ἡ ἄρτεμις λέγεσθαι. καὶ τί θαυμαστὸν ὅπου καὶ ἀνθρώ-
πῳ σῦν μόνον καὶ ἔλαφον καὶ δόρκα καὶ λαγωὸν ἑλεῖν κάλλιον, ἢ πρίασθαι. θύννον
δὲ καὶ κάραβον καὶ ἀμίαν, σεμνότερόν ἐστιν αὐτὸν ὀψωνεῖν, ἢ ἁλιεύειν. τὸ γὰρ ἀγεννὲς
καὶ ἀμήχανον ὅλως καὶ ἀπάνουργον αὐτῶν, αἰσχρὸν καὶ ἄζηλον καὶ ἀνελεύθε-
ρον τὴν ἄγραν πεποίηκε. καθόλου δὲ ἐπεὶ δι' ὧν οἱ φιλόσοφοι δεικνύουσι, τό
τε μετέχειν λόγου τὰ ζῶα προθέσεις εἰσὶ καὶ παρασκευαὶ, καὶ μνῆμαι, καὶ πά-
θη, καὶ τέκνων ἐπιμέλειαι, καὶ χάριτες εὖ παθόντων, καὶ μνησικακίαι πρὸς τὸ λυ-
πῆσαν, ἔτι δ' εὑρέσεις τῶν ἀναγκαίων, ἔμφασις ἀρετῆς, οἷον ἀνδρείας, κοινω-
νίας, ἐγκρατείας, μεγαλοφροσύνης. σκοπῶμεν τὰ ἔναλα, εἰ τούτων ἐκεῖνα μὲν
οὐδὲν, εἴ που γε παντελῶς ἀμαυρὸν αἴθυγμα καὶ δυσθέατον ἐνιδεῖν μάλα μό-
λις τεκμαιρομένῳ, δίδωσιν. ἐν δὲ τοῖς πεζοῖς καὶ γηγενέσιν λαμπρὰ καὶ ἐναργῆ
καὶ βέβαια παραδείγματα τῶν εἰρημένων ἑκάστου λαμβάνειν ἐστὶ καὶ θεᾶ-
σθαι. πρῶτον οὖν ὅρα προθέσεις καὶ παρασκευὰς ταύρων ἐπὶ μάχῃ
κονιομένων, καὶ κάπρων θηγόντων ὀδόντας, ἐλέφαντες δὲ τῆς ὕλης ἣν ὀρύτ-
τοντες ἢ κείροντες ἐσθίουσιν, ἀμβλὺν τὸν ὀδόντα ποιούσης ἀποτριβόμενον, τῷ
ἑτέρῳ πρὸς ταῦτα χρῶνται, τὸν δ' ἕτερον ἔπακμον ἀεὶ καὶ ὀξὺν πρὸς τὰς ἀμύνας
φυλάττουσιν. ὁ δὲ λέων ἀεὶ βαδίζει συνεστραμμένοις τοῖς ποσὶν, ἐντὸς ἀποκρύ-
πτων τοὺς ὄνυχας, ἵνα μὴ τριβόμενοι τὴν ἀκμὴν ἀπαμβλύνωσιν. μήτε καταλί-
πωσιν εὐπορίαν τοῖς ἰχνεύουσιν. οὐ γὰρ ῥᾳδίως εὑρίσκεται ὄνυχος λεοντείου

δεῖ· Ν·

ἐνάλων· Ν·

μνησικακία· Ν·

σημεῖον, ἀλλὰ μικροῖς καὶ τυφλοῖς ἴχνεσιν ἐντυγχάνοντες, ἀποπλανῶνται καὶ διαμαρτάνουσιν. ὁ δὲ ἰχνεύμων, ἀκηκοὼς τέ δή που θεν, ὡς οὐδὲν ἀπολείπει θωρακιζομένου πρὸς μάχην ὁπλίτου, τοσούτῳ πηλοῦ περιβάλλεται, καὶ περιπηγνυσι τῷ σώματι χιτῶνα, μέλλων ἐπιτίθεσθαι τῷ κροκοδείλῳ. τὰς δὲ χελιδόνων πρὸ τῆς τεκνοποιίας παρασκευάς, ὁρῶμεν, ὡς τὰ στερεὰ κάρφη προϋποβάλλονται δίκην θεμελίων, εἶτα περιπλάττουσι τὰ κουφότερα, κἂν πηλοῦ τινος ἐγκόλλου δεομένην αἴσθωνται τὴν νεοττιάν, λίμνης ἢ θαλάττης ἐν χρῷ παραπετόμεναι ψαύουσι τοῖς πτίλοις ἐπιπολῆς, ὅσον νοτερὰ μὴ βαρεῖα γενέσθαι τῇ ὑγρότητι, συλλαβοῦσαι δὲ κονιορτὸν οὕτως ἐξαλείφουσι καὶ συνδέουσι τὰ χαλῶντα καὶ διολισθαίνοντα, τῷ δὲ σχήματι τὸ ἔργον οὐ γωνιῶδες, οὐδὲ πολύπλευρον, ἀλλ᾽ ὁμαλόν, ὡς ἔνεστι μάλιστα καὶ σφαιροειδὲς ἀποτελοῦσι· καὶ γὰρ μόνιμον καὶ χωρητικὸν τὸ τοιοῦτο, καὶ τοῖς ἐπιβουλεύουσι θηρίοις ἔξωθεν ἀντιλήψεις οὐ πάνυ δίδωσι. τὰ δὲ ἀράχνης ἔργα κοινὸν ἴσως γυναιξί, καὶ θήρας σαγηνευταῖς, ἀρχέτυπον, οὐ καθ᾽ ἓν ἄν τις θαυμάσειεν· καὶ γὰρ ἡ τοῦ νήματος ἀκρίβεια, καὶ τῆς ὑφῆς τὸ μὴ διεχὲς μηδὲ στημονῶδες, ἀλλὰ λείου συνεχείᾳ ὑμένος, καὶ κόλλησιν ὑπό τινος ἀδήλως παραμεμιγμένης γλισχρότητος ἀπειργασμένον, ἥ τε βαφὴ τῆς χρόας ἀέριον καὶ ἀχλυώδη ποιοῦσα τὴν ἐπιφάνειαν, ὑπὲρ τοῦ λαθεῖν, αὐτή τε μάλιστα πάντων ἡ τῆς μηχανῆς αὐτῆς ἡνιοχεία καὶ κυβέρνησις, ὅτ᾽ ἂν ἐνσχεθῇ τι τῶν ἁλωσίμων, ὥσπερ δεινοῦ σαγηνευτοῦ, ταχὺ συναισθέσθαι εἰς ταῦτα καὶ συνάγειν τὸ θήραμα, αἰσθανομένης καὶ φρονούσης τῇ καθ᾽ ἡμέραν ὄψει καὶ θέᾳ τοῦ γινομένου, πίστιν ἔχει τὸν λόγον· ἄλλως δ᾽ ἂν ἐδόκει μῦθος, ὥσπερ ἡμῖν ἐδόκει τὸ τῶν ἐν Λιβύῃ κοράκων, οἳ ποτοῦ δεόμενοι καὶ λίθους ἐμβάλλουσιν ἀναπληροῦντες καὶ ἀνάγοντες τὸ ὕδωρ, μέχρι ἂν ἐν ἐφικτῷ γένηται. εἶτα μέντοι κύνα θεασάμενος ἐν πλοίῳ τῶν ναυτῶν μὴ παρόντων εἰς ἔλαιον ἀμφορέως ἀποδέους ἐμβάλλοντα τῶν χαλίκων, ἐθαύμασα, πῶς νοεῖ καὶ συνίησι τὴν γινομένην ἔκθλιψιν ὑπὸ τῶν βαρυτέρων τοῖς κουφοτέροις ὑφισταμένων. ὅμοια δὲ καὶ τὰ τῶν κρητικῶν μελισσῶν, καὶ τὰ τῶν ἐν Κιλικίᾳ χηνῶν. ἐκεῖναι μὲν γὰρ ἀνεμῶδές τι μέλλουσαι κάμπτειν ἀκρωτήριον, ἑρματίζουσιν ἑαυτάς, ὑπὲρ τοῦ μὴ παραφέρεσθαι μικροῖς λιθιδίοις· οἱ δὲ χῆνες τοὺς ἀετοὺς δεδοικότες, ὅτ᾽ ἂν ὑπερβάλλωσι τὸν Ταῦρον, εἰς τὸ στόμα λίθον εὐμεγέθη λαμβάνουσιν, οἷον ἐπιστομίζοντες αὐτῶν καὶ χαλινοῦντες τὸ φιλόφωνον καὶ λάλον, ὅπως λάθωσι σιωπῇ παρελθόντες. τῶν δὲ γεράνων καὶ τὸ περὶ τὴν πτῆσιν εὐδοκιμεῖ. πέτανται γὰρ ὅτ᾽ ἂν ᾖ πνεῦμα πολὺ καὶ τραχὺς ἀήρ, οὐχ ὥσπερ εὐδίας οὔσης μετωπηδὸν ἢ κόλπῳ μηνοειδοῦς περιφερείας, ἀλλ᾽ εὐθὺς εἰς τρίγωνον συνάγουσαι σχίζουσι τῇ κορυφῇ τὸ πνεῦμα περιρρέον, ὥστε μὴ διασπᾶσθαι τὴν τάξιν. ὅτ᾽ ἂν δὲ καταίρωσιν ἐπὶ γῆν, αἱ προφυλακὴν ἔχουσαι νυκτὸς, ἐπὶ θατέρου σκέλους ὀχοῦνται τὸ σῶμα· τῷ δ᾽ ἑτέρῳ ποδὶ λίθον περιλαβοῦσαι κρατοῦσι· συνέχει γὰρ ὁ τῆς ἁφῆς τόνος ἐν τῷ μὴ καθεύδειν πολὺν χρόνον, ὅταν δὲ ἀνῶσιν, αὖ τοῦ ἐκπεσὼν ὁ λίθος ταχὺ διήγειρε τὴν προεμένην· ὥστε μὴ πάνυ θαυμάζειν τὸν Ἡρακλέα, εἰ τόξα μασχάλῃ ὑποθεὶς καὶ κραταιῷ περιβαλὼν βραχίονι, εὕδει πιέζων χειρὶ δεξιᾷ ξύλον. μηδὲ αὖ πάλιν τοῦ πρώτου ὑπονοήσαντος ὀστρέου μεμυκότος ἀνάπτυξιν, ἐντυγχάνοντα τοῖς ἐρῳδιῶν σοφίσμασιν. ὅταν γὰρ τὴν κόγχην καταπίῃ μεμυκυῖαν ἐνοχλούμενος, ἐγκαρτερεῖ, μέχρι ἂν αἴσθηται μαλασσομένην καὶ χαλῶσαν ὑπὸ τῆς θερμότητος· τότε δ᾽ ἐκβαλὼν κεχηνυῖαν καὶ παρασπασμένην, ἐξεῖλε τὸ ἐδώδιμον. τὰς δὲ μυρμήκων οἰκονομίας καὶ παρασκευάς, ἐκφράσαι μὲν ἀκριβῶς ἀμήχανον. ὑπερβῆναι δὲ παντελῶς ὀλίγωρον·

οἰῳ ·F. τῇ νοστῶν ·I.

ισομαλίζοντες

σέλ ·I.

ζον ·H.

τυχόντα ·F.·H.

λαιπωρον καὶ ·H.

οὐδὲν γὰρ οὕτω μικρὸν ἡ φύσις ἔχει μειζόνων καὶ καλλιόνων κάτοπτρον· ἀλλ᾽ ὥσπερ ἐν σταγόνι καθαρᾷ πάσης ἔνεστιν ἀρετῆς ἔμφασις. ἔνθ᾽ ἡ μὲν φιλότης, τὸ κοινωνικόν· ἔνι δ᾽ ἀνδρείας εἰκών, τὸ φιλόπονον· ἔνεστι δὲ πολλὰ μὲν ἐγκρατείας σπέρματα, πολλὰ δὲ φρονήσεως καὶ δικαιοσύνης. ὁ μὲν οὖν Κλεάνθης ἔλεγε, καίπερ οὐ φάσκων μετέχειν λόγου τὰ ζῷα, τοιαύτῃ θεωρίᾳ παρατυχεῖν· μύρμηκας ἐλθεῖν ἐπὶ μυρμηκιὰν ἑτέραν, μύρμηκα νεκρὸν φέροντας· ἀνιόντας οὖν ἐκ τῆς μυρμηκιᾶς ἑτέρους, οἷον ἐντυγχάνειν αὐτοῖς καὶ πάλιν κατέρχεσθαι, καὶ τοῦτο δὶς ἢ τρὶς γενέσθαι· τέλος δέ, τοὺς μὲν κάτωθεν ἀνενεγκεῖν, ὥσπερ λύτρα τοῦ νεκροῦ σκώληκα· τοὺς δέ, ἐκεῖνον ἀραμένους, ἀποδόντας δὲ τὸν νεκρὸν οἴχεσθαι. τῶν δὲ πᾶσιν ἐμφανῶν ἥ τε περὶ τὰς ἀπαντήσεις ἐστὶν εὐγνωμοσύνη τῶν μηδὲν φερόντων τοῖς φέρουσιν ἐξισταμένων ὁδοῦ, παρελθεῖν διδόντων· αἵ τε τῶν δυσφόρων καὶ δυσπαρακομίστων διαβρώσεις καὶ διαιρέσεις, ὅπως εὐβάστακτα πλείοσι γένηται. τὰς δὲ τῶν σπερμάτων διαθέσεις καὶ διαψύξεις ἐκτὸς, ὑετοῦ ποιεῖται σημεῖον ὁ Ἄρατος, ἢ κοίλης μύρμηκες ἔξω ὀχῆς ἐκ πάντα θᾶσσον ἀνήνεγκαν. καί τινες οὐκ ᾠὰ γράφουσιν, ἀλλ᾽ ἵνα τοὺς ἀποκειμένους καρποὺς ὅτ᾽ ἂν εὐρῶτα συνάγοντας αἴσθωνται, καὶ φοβηθῶσι φθορὰν καὶ σῆψιν ἀναφερόντων. ὑπερβάλλει δὲ πᾶσαν ἐπίνοιαν συνέσεως ἡ τοῦ πυροῦ τῆς βλαστήσεως προκατάληψις. οὐ γὰρ δὴ παραμένει ξηρὸς, οὐδ᾽ ἄσηπτος, ἀλλὰ διαχεῖται καὶ γαλακτοῦται μεταβάλλων εἰς τὸ φύειν· ἵνα οὖν μὴ γενόμενος σπέρμα τὴν σιτίου χρείαν διαφθείρῃ, παραμένῃ δ᾽ αὐτοῖς ἐδώδιμος, ἐξεσθίουσι τὴν ἀρχὴν ἀφ᾽ ἧς τὸ βλαστὸν ὁ πυρὸς ἀφίησιν. τοὺς δὲ τὰς μυρμηκιὰς αὐτῶν ἐπὶ τῷ καταμαθεῖν ὥσπερ ἐξ ἀνατομῆς ἱστοροῦντας, οὐ καταποδέχομαι. λέγουσι δ᾽ οὖν οὐκ εὐθεῖαν εἶναι τὴν ἀπὸ τῆς ὀπῆς κάθοδον, οὐδ᾽ εὔπορον ἄλλῳ θηρίῳ διεξελθεῖν· ἀλλὰ καμπαῖς καὶ σκολιότησι κεκλασμένας ὑπορύξεις καὶ ἀνατρήσεις ἐχούσας εἰς τρεῖς κοιλότητας ἀποτελευτῶσαν, ὧν τὴν μὲν ἐνδιαίτημα κοινὸν αὐτοῖς εἶναι, τὴν δὲ τῶν ἐδωδίμων ταμιεῖον, εἰς δὲ τὴν τρίτην ἀποτίθεσθαι τοὺς θνήσκοντας. οἶμαι δὲ μὴ ἄκαιρος ὑμῖν φανεῖσθαι τοῖς μύρμηξιν ἐπεισάγων τοὺς ἐλέφαντας, ἵνα τοῦ νοῦ τὴν φύσιν ἔν τε τοῖς μικροτάτοις ἅμα καὶ μεγίστοις σώμασι κατανοήσωμεν, μήτε τούτοις ἀφανιζομένην, μήτ᾽ ἐκείνοις ἐνδέουσαν. οἱ μὲν οὖν ἄλλοι θαυμάζουσι τοῦ ἐλέφαντος ὅσα μανθάνων καὶ διδασκόμενος, ἐν θεάτροις ἐπιδείκνυται σχημάτων εἴδη καὶ μεταβολάς, οὐδὲ ἀνθρωπίναις μελέταις τὸ ποικίλον καὶ περιττὸν ἐν μνήμῃ καὶ καθέξει γενέσθαι πάνυ ῥᾴδιόν ἐστιν. ἐγὼ δὲ μᾶλλον ἐν τοῖς ἀφ᾽ αὑτοῦ καὶ ἀδιδάκτοις τοῦ θηρίου πάθεσι καὶ κινήμασιν, ὡς ἀκράτοις καὶ ἀπαραχύτοις ἐμφαινομένην ὁρῶ τὴν σύνεσιν. ἐν Ῥώμῃ μὲν γὰρ οὐ πάλαι πολλῶν προδιδασκομένων στάσεις τινὰς ἵστασθαι παραβόλους καὶ κινήσεις δυσεξελίκτους ἀνακυκλεῖν, εἷς ὁ δυσμαθέστατος, ἀκούων κακῶς ἑκάστοτε, καὶ κολαζόμενος πολλάκις, ὤφθη νυκτὸς αὐτὸς ἀφ᾽ ἑαυτοῦ πρὸς τὴν σελήνην ἀναταττόμενος τὰ μαθήματα καὶ μελετῶν. ἐν δὲ Συρίᾳ πρότερον Ἅγνων ἱστορεῖ, τρεφομένου κατ᾽ οἰκίαν ἐλέφαντος, ἐπιστάτην λαμβάνοντα κριθῶν μέτρον, ὑφαιρεῖν καὶ κλέπτειν μέρος ἥμισυ καθ᾽ ἡμέραν. ἐπεὶ δὲ τοῦ δεσπότου παρόντος ποτὲ καὶ θεωμένου πᾶν τὸ μέτρον κατήρασεν, ἐμβλέψαντα καὶ διαγαγόντα τὴν προβοσκίδα, τῶν κριθῶν ἀποδιαστῆσαι, καὶ διαχωρίσαι τὸ μέρος, ὡς ἐνῆν λογιώτατα κατειπόντα τοῦ ἐπιστάτου τὴν ἀδικίαν. ἄλλον δὲ ταῖς κριθαῖς λίθους καὶ γῆν εἰς τὸ μέτρον τοῦ ἐπιστάτου καταμιγνύοντος, ἑψομένων κρεῶν, δραξάμενον τῆς τέφρας ἐμβαλεῖν εἰς τὴν χύτραν. ὁ δὲ ὑπὸ τῶν παιδαρίων προπηλακισθεὶς ἐν Ῥώμῃ τοῖς γραφείοις τὴν προβοσκίδα κεντούντων, ὃν

ἐνίοις

καὶ H. F.

κύνηματ | κόσμηματ

ἔξοδος· H.

συνέλαβε μετέωρον τὸ βάραθρον, ἐπίδοξος ἦν ἀποτυμπανίσειν. κραυγῆς δὲ τῶν παρόντων γενομένης, ἀτρέμα πρὸς τὴν γῆν πάλιν ἀπηρείσατο, καὶ παρῆλθεν, ἀρκοῦσαν ἡγούμενος δίκην τῷ τηλικούτῳ φοβηθῆναι. περὶ δὲ τῶν ἀγρίων καὶ αὐτονόμων, ἄλλα τε θαυμάσια καὶ τὰ περὶ τὰς διαβάσεις τῶν ποταμῶν ἱστοροῦσι, προδιαβαίνει γὰρ ἐπιδοὺς αὐτὸν ὁ νεώτατος καὶ μικρότατος. οἱ δὲ ἑστῶτες ἀποθεωροῦσιν, ὡς ἂν ἐκεῖνος ὑπεραίρῃ τῷ μεγέθει τὸ ῥεῦμα, πολλὴν τοῖς μείζοσι πρὸς τὸ θαρρεῖν περιουσίαν τῆς ἀσφαλείας οὖσαν. ἐνταῦθα τοῦ λόγου γεγονὼς, οὐ δοκῶ μοι παρήσειν δι᾽ ὁμοιότητα τῆς ἀλώπεκος. οἱ μὲν οὖν μυθολόγοι τῷ δευκαλίωνί φασι περιστερὰν ἐκ τῆς λάρνακος ἀφιεμένην, δήλωμα γενέσθαι, χειμῶνος μὲν εἴσω πάλιν ἐνδυομένην, εὐδίας δὲ ἀποπτᾶσαν. οἱ δὲ θρᾷκες ἔτι νῦν ὅταν παγέντα ποταμὸν διαβαίνειν ἐπιχειρῶσιν, ἀλώπεκα ποιοῦνται γνώμονα τῆς τοῦ πάγου στερρότητος. ἡσυχῆ γὰρ ὑπάγουσα παραβάλλει τὸ οὖς, κἂν μὲν αἴσθηται ψόφῳ τοῦ ῥεύματος ἐγγὺς ὑποφερομένου, τεκμαιρομένη μὴ γεγονέναι διὰ βάθους τὴν πῆξιν, ἀλλὰ λεπτὴν καὶ ἀβέβαιον ἵσταται, κἂν ἐᾷ τις, ἐπανέρχεται. τῷ δὲ μὴ ψοφεῖν θαρροῦσα διῆλθε, καὶ τοῦτο μὴ λέγωμεν αἰσθήσεως ἄλογον ἀκρίβειαν. ἀλλὰ ἐξ αἰσθήσεως συλλογισμὸν, ὅτι τὸ ψοφοῦν κινεῖται, τὸ δὲ κινούμενον οὐ πέπηγε. τὸ δὲ μὴ πεπηγὸς, ὑγρόν ἐστι, τὸ δὲ ὑγρὸν ἐνδίδωσιν. οἱ δὲ διαλεκτικοί φασι τὸν κύνα τῷ διὰ πλειόνων διεζευγμένῳ χρώμενον ἐν ταῖς πολυσχιδέσιν ἀτραποῖς, συλλογίζεσθαι πρὸς ἑαυτὸν, ἤτοι τήνδε τὸ θηρίον ὥρμηκεν, ἢ τήνδε, ἀλλὰ μὴν οὔτε τήνδε, οὔτε τήνδε, τήνδε λοιπὸν ἄρα. τῆς μὲν αἰσθήσεως οὐδὲν, ἢ τὴν πρόσληψιν δούσης. τοῦ δὲ λόγου τὰ λήμματα, καὶ τὸ συμπέρασμα τοῖς λήμμασιν ἐπιφέροντος. οὐ μὴν δεῖταί γε τοιαύτης μαρτυρίας ὁ κύων. ψευδὴς γάρ ἐστι καὶ κίβδηλος. ἡ γὰρ αἴσθησις αὐτὴ τοῖς ἴχνεσι καὶ τοῖς ῥεύμασι τοῦ θηρίου τὴν φυγὴν ἐπιδείκνυσι, χαίρειν λέγουσα διεζευγμένοις καὶ συνημμένοις ἀξιώμασι καὶ συμπεπλεγμένοις, δι᾽ ἄλλων δὲ πολλῶν ἔργων καὶ παθῶν καὶ καθηκόντων, οὔτε ὀσφραντῶν, οὔτε ὁρατῶν, ἀλλὰ διανοίᾳ καὶ λόγῳ μόνον πρακτῶν καὶ θεατῶν ὄντων, κατιδεῖν ἐστι τὴν κυνὸς φύσιν. ὧν τὰς μὲν ἐν ἄγραις ἐγκρατείας, καὶ πειθαρχίας, καὶ ἀγχινοίας, γελοῖος ἔσομαι λέγων πρὸς ὑμᾶς τοὺς ὁρῶντας αὐτὰ καθ᾽ ἡμέραν καὶ μεταχειριζομένους. οὐδὲ τοῦ ῥωμαίου σφαγέντος ἐν τοῖς ἐμφυλίοις πολέμοις, οὐδεὶς ἐδυνήθη τὴν κεφαλὴν ἀποτεμεῖν πρότερον, πρὶν ἢ τὸν κύνα τὸν φυλάττοντα καὶ προμαχόμενον αὐτοῦ κατακεντῆσαι περιστάντας. πύρρος δὲ ὁ βασιλεὺς ὁδεύων ἐνέτυχε κυνὶ φρουροῦντι σῶμα πεφονευμένου, καὶ πυθόμενος τρίτην ἡμέραν ἐκείνην ἄσιτον παραμένειν καὶ μὴ ἀπολιπεῖν, τὸν μὲν νεκρὸν ἐκέλευσε θάψαι, τὸν δὲ κύνα μεθ᾽ ἑαυτοῦ κομίζειν ἐπιμελουμένους. ὀλίγαις δὲ ὕστερον ἡμέραις ἐξέτασις ἦν τῶν στρατιωτῶν, καὶ πάροδος καθημένου τοῦ βασιλέως, καὶ παρῆν ὁ κύων ἡσυχίαν ἔχων, ἐπεὶ δὲ τοὺς φονέας τοῦ δεσπότου παριόντας εἶδεν, ἐξέδραμε μετὰ φωνῆς καὶ θυμοῦ ἐπ᾽ αὐτοὺς, καὶ καθυλάκτει πολλάκις μεταστρεφόμενος εἰς τὸν πύρρον, ὥστε μὴ μόνον ἐκείνῳ δι᾽ ὑποψίας, ἀλλὰ καὶ πᾶσι τοῖς παροῦσι τοὺς ἀνθρώπους γενέσθαι. διὸ συλληφθέντες εὐθὺς καὶ ἀνακρινόμενοι, μικρῶν τινων τεκμηρίων ἔξωθεν προσγενομένων, ὁμολογήσαντες τὸν φόνον, ἐκολάσθησαν. ταῦτα δὲ καὶ τὸν ἡσιόδου κύνα τοῦ σοφοῦ δρᾶσαι λέγουσι, τοὺς γανύκτορος ἐξελέγξαντα τοῦ ναυπακτίου παῖδας, ὑφ᾽ ὧν ὁ ἡσίοδος ἀπέθανεν. ὃ δὲ οἱ πατέρες ἡμῶν ἔγνωσαν αὐτοὶ σχολάζοντες ἀθήνησιν, ἐναργέστερόν ἐστι τῶν εἰρημένων. παραρρυεὶς γάρ τις ἄνθρωπος εἰς τὸν νεὼν τοῦ ἀσκληπιοῦ, τὰ εὔογκα τῶν ἀργυρῶν καὶ χρυσῶν ἔλαβεν ἀναθημάτων, καὶ λεληθέναι νομίζων, ὑπεξῆλθεν. ὁ δὲ φρουρὸς κύων ὄνομα κάππαρος, ἐπεὶ μηδεὶς ὑλακτοῦντι

κτοῦντι

Marginal notes: αὐτὸν .F. — τήνδε .I. — διδούσης .F. δίδούσης .H. — μασι .F. — .H. — παλίς .F.

κτοῦντι τῶν νεωκόρων ὑπήκουσεν αὐτῷ, φεύγοντα τὸν ἱερόσυλον, ἐπεδίωκε. καὶ πρῶτον μὲν βαλλόμενος λίθοις οὐκ ἀπέστη. γενομένης δὲ ἡμέρας ἐγγὺς οὐ προσιὼν, ἀλλ᾽ ἀπ᾽ ὀφθαλμοῦ παραφυλάττων, εἵπετο, καὶ τροφὴν προβάλλοντος, οὐκ ἐλάμβανεν. ἀναπαυομένῳ δὲ, παρενυκτέρευε, καὶ βαδίζοντος, πάλιν ἐπηκολούθει ἀναστάς. τοὺς δὲ ἀπαντῶντας ὁδοιπόρους, ἔσαινεν, ἐκείνῳ δὲ ἐφυλάκτει καὶ προσέκειτο. ταῦτα δὲ οἱ διώκοντες πυνθανόμενοι παρὰ τῶν ἀπαντώντων ἅμα καὶ τὸ χρῶμα φραζόντων καὶ μέγεθος τοῦ κυνὸς, προθυμότερον ἐχρήσαντο τῇ διώξει, καὶ καταλαβόντες τὸν ἄνθρωπον, ἀνήγαγον ἀπὸ κρομμυῶνος. ὁ δὲ κύων ἀναστρέψας προηγεῖτο γαῦρος καὶ περιχαρὴς, οἷον ἑαυτοῦ ποιούμενος ἄγραν, καὶ θήραμα τὸν ἱερόσυλον. ἐψηφίσαντο δὴ σῖτον αὐτῷ δημοσίᾳ μετρεῖσθαι καὶ παρεγγυᾶσθαι τοῖς ἱερεῦσιν εἰσαεὶ τὴν ἐπιμέλειαν, ἀπομιμησάμενοι τὸ πρὸς τὸν ἡμίονον φιλανθρώπευμα τῶν παλαιῶν ἀθηναίων. τὸν γὰρ ἑκατόμπεδον νεὼν περικλέους ἐν ἀκροπόλει κατασκευάζοντος, ὡς εἰκὸς λίθοι προσήγοντο πολλοῖς ζεύγεσι καθ᾽ ἡμέραν. τῶν οὖν συνειργασμένων μὲν προθύμως ἤδη δὲ διὰ γῆρας ἀφειμένων ὀρέων, εἷς κατερχόμενος εἰς κεραμεικὸν, καὶ τοῖς ἀνάγουσι ζεύγεσι τοὺς λίθους ὑπαντῶν, ἀεὶ συνανέστρεφε καὶ συμπαρεξέτρόχαζεν, οἷον ἐγκελευόμενος καὶ παρορμῶν. διὸ θαυμάσας αὐτοῦ τὴν φιλοτιμίαν ὁ δῆμος, ἐκέλευσε δημοσίᾳ τρέφεσθαι, καθάπερ ἀθλητῇ σίτησιν ὑπὸ γήρως ἀπειρηκότι ψηφισάμενος. διὸ τοὺς λέγοντας, ὡς ἡμῖν οὐδὲν πρὸς τὰ ζῶα δίκαιόν ἐστι, ῥητέον εὖ λέγειν ἄχρι τῶν ἐναλίων, καὶ βυθίων. ἄμικτα γὰρ ἐκεῖνα κομιδῇ πρὸς χάριν καὶ ἄστοργα, καὶ πάσης ἄμοιρα γλυκυθυμίας. καὶ καλῶς ὅμηρος εἶπε. γλαυκὴ δέ σ᾽ ἔτικτε θάλασσα, πρὸς τὸν ἀνήμερον εἶναι δοκοῦντα καὶ ἄμικτον, ὡς μηδὲν τῆς θαλάσσης εὔνοικὸν, μὴ δὲ πρᾶον φερούσης. ὁ δὲ καὶ πρὸς τὰ χερσαῖα τῷ λόγῳ τούτῳ χρώμενος, ἀπηνὴς καὶ θηριώδης. εἰ δὲ μὴ λυσιμάχῳ τι γεγονέναι φήσει πρὸς τὸν κύνα τὸν ὑρκανὸν δίκαιον, ὃς νεκρῷ τε μόνος παρέμεινεν αὐτῷ, καὶ καιομένου τοῦ σώματος, ἐνδραμὼν αὐτὸς ἑαυτὸν ἀπέρριψεν, τὰ δὲ αὐτὰ καὶ τὸν αὐτὸν δρᾶσαι λέγουσιν. ὃν πύρρος οὐχ ὁ βασιλεὺς, ἀλλὰ ἕτερός τις ἰδιώτης ἔθρεψεν. ἀποθανόντος γὰρ αὐτοῦ περὶ τὸ σῶμα διατρίβων καὶ περὶ τὸ κλινίδιον αἰωρούμενος ἐκ φερομένου, τέλος εἰς τὴν πυρὰν στειλάμενος, ἀφῆκεν ἑαυτὸν καὶ συγκατέκαυσε. πώρου δὲ τοῦ βασιλέως ὁ ἐλέφας ἐν τῇ πρὸς ἀλέξανδρον μάχῃ κατατετρωμένου, πολλὰ τῶν ἀκοντισμάτων ἀτρέμα καὶ φειδόμενος ἐξῄρει τῇ προβοσκίδι, καὶ κακῶς ἤδη διακείμενος αὐτὸς, οὐ πρότερον ἀνέδωκεν, ἢ τοῦ βασιλέως ἐξαίμου γενομένου καὶ περιρρέοντος αἰσθανόμενος, καὶ φοβηθεὶς μὴ πέσῃ πράως ὑφῆκε παρέχων ἐκείνῳ τὴν ἀπόκλισιν ἄλυπον. ὁ δὲ βουκεφάλας γυμνὸς μὲν ὢν παρεῖχεν ἀναβῆναι τῷ ἱπποκόμῳ, κοσμηθεὶς δὲ τοῖς βασιλικοῖς προκοσμίοις καὶ περιδεραίοις, οὐδένα προσίετο, πλὴν αὐτὸν ἀλέξανδρον. τοῖς δὲ ἄλλοις εἰ πειρώμενοι προσίοιεν, ἐναντίος ἐπιτρέχων ἐχρεμέτιζε μέγα καὶ συνήλλετο, καὶ κατεπάτει τοὺς μὴ πρόσω ἵεσθαι, μὴ δ᾽ ἀποφυγεῖν φθάσαντας. οὐκ ἀγνοῶ δὲ ὅτι τῶν παραδειγμάτων ὑμῖν φανῆναί τι ποικίλον. οὐκ ἔστι ῥᾳδίως τῶν εὐφυῶν ζώων, πρᾶξιν εὑρεῖν μιᾶς ἔμφασιν ἀρετῆς ἔχουσαν. ἀλλὰ ἐμφαίνεται καὶ τῷ φιλοστόργῳ τὸ φιλότιμον αὐτῶν, καὶ τῷ γενναίῳ τὸ θυμόσοφον. ἥ τε πανουργία καὶ τὸ συνετὸν, οὐκ ἀπήλλακται τοῦ θυμοειδοῦς καὶ ἀνδρώδους. οὐ μὴν ἀλλὰ βουλομένοις διαιρεῖν καὶ διορίζειν καθ᾽ ἕκαστον, ἡμέρου μὲν ἔμφασιν ὁμοῦ καὶ ὑψηλοῦ φρονήματος ποιοῦσιν οἱ κύνες, ἀποτρεπόμενοι τῶν συγκαθεζομένων, ὥς που καὶ ταῦτα εἴρηται. οἱ μὲν, κεκλήγοντες ἀπέδραμον αὐτὰρ ὀδυσσεὺς ἕζετο κερδοσύνῃ, σκῆπτρον

Marginal notes: ἐνέδωκεν .H.F. — ἄλυπον .H.F. — In F. videtur esse spatium tanquam aliquid desit.

δὲ οἱ ἔκπεσε χειρός. οὐκέτι γὰρ προσμάχονται τοῖς ὑποπεσοῦσι καὶ γεγονόσι ταπεινῷ τὰς ἕξεις ὁμοίοις. Φασὶ δὲ καὶ τὸν προτεύοντα κύνα τῶν ἰνδικῶν καὶ μαχεσθέντα πρὸς ἀλέξανδρον, ἐλάφου ἀφειμένου καὶ κάπρου καὶ ἄρκτου, ἡσυχίαν ἔχοντα κεῖσθαι καὶ περιορᾶν, ὀφθέντος δὲ λέοντος εὐθὺς ἐξαναστῆναι καὶ διακονίεσθαι καὶ φανερὸν εἶναι αὐτὸν ποιούμενον ἀνταγωνιστήν, τῶν δὲ ἄλλων ὑπερφρονοῦντα πάντων. οἱ δὲ τοὺς δασύποδας διώκοντες, ἐὰν μὲν αὐτοὶ κτείνωσιν, ἥδονται διασπῶντες, καὶ τὸ αἷμα λάπτουσι προθύμως. ἐὰν δὲ ἀπογνοὺς ἑαυτὸν ὁ λαγωὸς, ὃ γίνεται πολλάκις, ὅσον ἔχει πνεύματος εἰς τὸν ἔσχατον ἀναλώσας δρόμον ἐκλίπῃ, νεκρὸν καταλαβόντες, οὐχ ἅπτονται τὸ παράπαν, ἀλλ' ἵστανται τὰς οὐρὰς κινοῦντες, ὡς οὐ κρεῶν χάριν, ἀλλὰ νίκης καὶ φιλονεικίας ἀγωνιζόμενοι. Πανουργίας δὲ πολλῶν παραδειγμάτων ὄντων ἀφεὶς ἀλώπεκας καὶ λύκους καὶ τὰ γεράνων σοφίσματα καὶ κολοιῶν, ἔστι γὰρ δῆλα, μάρτυρι χρησόμεθα θαλῇ τῷ παλαιοτάτῳ τῶν σοφῶν, ὃν οὐχ ἥκιστα θαυμασθῆναι λέγουσιν ὀρθῶς τέχνῃ περιγενόμενον. τῶν γὰρ ἁλιγῶν ἡμιόνων εἷς ἐμβαλὼν εἰς ποταμόν, ὤλισθεν αὐτομάτως, καὶ τῶν ἁλῶν διατακέντων, ἀναστὰς ἐλαφρὸς, ᾔσθετο τὴν αἰτίαν καὶ κατεμνημόνευσεν, ὥστε διαβαίνων ἀεὶ τὸν ποταμόν, ἐπίτηδες ὑφιέναι καὶ βαπτίζειν τὰ ἀγγεῖα, συγκαθίζων καὶ ἀπονεύων εἰς ἑκάτερον μέρος. ἀκούσας οὖν ὁ θαλῆς, ἐκέλευσεν, ἀντὶ τῶν ἁλῶν, ἐρίων τὰ ἀγγεῖα καὶ σπόγγων ἐμπλήσαντας καὶ ἀναθέντας, ἐλαύνειν τὸν ἡμίονον. ποιήσας οὖν τὸ εἰωθὸς καὶ ἀναπλήσας ὕδατος τὰ φορτία, συνῆκεν ἀλυσιτελῆ σοφιζόμενος ἑαυτῷ, καὶ τὸ λοιπὸν οὕτω προσέχων καὶ φυλαττόμενος διέβαινε τὸν ποταμόν, ὥστε μηδὲ ἄκοντος αὐτοῦ τῶν φορτίων παραψαῦσαι τὸ ὑγρόν. Ἄλλην δὲ πανουργίαν ὁμοῦ μετὰ τοῦ φιλοστόργου πέρδικες ἐπιδεικνύοντες, τοὺς μὲν νεοττοὺς ἐθίζουσι μηδέπω φεύγειν δυναμένους, ὅταν διώκωνται, καταβάλλοντας ὑπτίους ἑαυτοὺς, βῶλόν τινα ἢ συρφετὸν ἄνω προΐσχεσθαι τοῦ σώματος, οἷον ἐπηλυγαζομένους, αὗται δὲ τοὺς διώκοντας ὑπάγουσιν ἄλλῃ, καὶ περισπῶσιν εἰς αὑτὰς ἐμποδὼν διαπετόμεναι καὶ κατὰ μικρὸν ἐξανιστάμεναι, μέχρις ἂν οὕτως ἁλισκομένων δόξαν ἐνδιδοῦσαι, μακρὰν ἀποσπάσωσι τῶν νεοττῶν. οἱ δὲ δασύποδες διὰ πρὸς εὐνὴν ἐπανιόντες ἄλλον ἀλλαχῇ κομίζουσι τῶν λαγιδέων, καὶ πλέθρου διάστημα πολλάκις ἀλλήλων ἀπέχοντας, ὅπως ἂν ἄνθρωπος ἢ κύων ἐπίῃ, μὴ πάντες ἅμα συγκινδυνεύσωσιν. αὐτοὶ δὲ πολλαχόθι ταῖς μεταδρομαῖς ἴχνη θέντες. τὸ δὲ ἔσχατον ἅλμα μέγα καὶ μακρὰν τῶν ἰχνῶν ἀποσπάσαντες, οὕτω καθεύδουσιν. ἡ δὲ ἄρκτος ἀπὸ τοῦ πάθους ὃ καλοῦσι φωλεία καταλαμβανομένη, πρὶν ἢ παντάπασι ναρκῆσαι καὶ γενέσθαι βαρεῖα καὶ δυσκίνητος, τόν τε τόπον ἀνακαθαίρει καὶ μέλλουσα καταδύεσθαι, τὴν μὲν ἄλλην πορείαν, ὡς ἐνδέχεται μάλιστα ποιεῖται μετέωρον καὶ ἐλαφρὰν ἄκροις ἐπιθιγγάνουσα τοῖς ἴχνεσι. τῷ νώτῳ δὲ τὸ σῶμα προσάγει, καὶ παρακομίζει πρὸς τὸν φωλεόν. τῶν ἐλάφων αἱ θήλειαι μάλιστα τίκτουσι παρὰ τὴν ὁδόν, ὅπου τὰ σαρκοβόρα θηρία μὴ πρόσεισιν, οἵ τε ἄρρενες ὅταν αἴσθωνται βαρεῖς ὑπὸ πιμελῆς καὶ πολυσαρκίας ὄντες, ἐκτοπίζουσι σώζοντες αὑτοὺς τῷ λανθάνειν, ὅτε τῷ φεύγειν οὐ πεποίθασιν. ἡ δὲ τῶν χερσαίων ἐχίνων, ἡ μὲν ὑπὲρ αὐτῶν ἄμυνα καὶ φυλακή, παροιμίαν πεποίηκε. πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα. προσιούσης γὰρ αὐτῆς ὥς φασιν. οἷον στρόβιλος ἀμφ' ἄκανθαν εἱλίξας δέμας, κεῖται, θιγεῖν τε καὶ δακεῖν ἀμήχανος. γλαφυρωτέρα δ' ἐστὶν ἡ τῶν σκυμνίων πρόνοια. μετοπώρου γὰρ ὑπὸ τὰς ἀμπέλους ὑποδυόμενος, καὶ τοῖς ποσὶ τὰς ῥᾶγας ἀποσείσας τοῦ βότρυος χαμάζε καὶ περικυλισθεὶς, ἀναλαμβάνει ταῖς ἀκάνθαις, καὶ παρέσχε ποτὲ πᾶσιν ἡμῖν ὁρῶσιν ὄψιν

ἑρπούσης

ισάκνυσθαι Ι.

ἑρπούσης ἢ βαδιζούσης σταφυλῆς. οὕτως ἀνάπλεως ἐχώρει τῆς ὀπώρας. εἶτα καταδὺς εἰς τὸν φωλεόν, τοῖς σκύμνοις χρῆσθαι καὶ λαμβάνειν ἀπ' αὐτοῦ ταμιευομένοις παραδίδωσι. τὸ δὲ κοιταῖον αὐτῶν ὀπὰς ἔχει δύο, τὴν μὲν, πρὸς νότον· τὴν δὲ, πρὸς βορέαν βλέπουσαν. ὅταν δὲ προαίσθωνται τὴν διαφορὰν τοῦ ἀέρος, ὥσπερ ἱστίον κυβερνῆται μεταλαμβάνοντες ἐμφράσσουσι τὴν κατ' ἄνεμον, τὴν δὲ ἑτέραν ἀνοίγουσι. καὶ τοῦτό τις ἐν κυζίκῳ καταμαθών, δόξαν ἔσχεν ὡς ἀφ' αὑτοῦ τὸν μέλλοντα πνεῖν ἄνεμον προαγορεύων. Τό γε μὴν κοινωνικὸν μετὰ τοῦ συνετοῦ, τοὺς ἐλέφαντας ἀποδείκνυσθαί φησιν ἰόβας. ὀρύγματα γὰρ αὐτοῖς οἱ θηρεύοντες, ὑπεργασάμενοι λεπτοῖς φρυγάνοις καὶ φόρτῳ κούφῳ κατερέφουσιν. ὅταν οὖν εἷς ὀλισθῇ, πολλῶν ὁμοῦ πορευομένων, οἱ λοιποὶ φοροῦντες ὕλην, καὶ λίθους ἐμβάλλουσιν, ἀναπληροῦντες τὴν κοιλότητα τοῦ ὀρύγματος, ὥσπερ ῥᾳδίαν ἐκείνῳ γενέσθαι τὴν ἔκβασιν. Ἱστορεῖ δὲ καὶ εὐχῇ χρῆσθαι θεῶν τοὺς ἐλέφαντας ἀδιδάκτως ἁγνιζομένους τε τῇ θαλάσσῃ, καὶ τὸν ἥλιον ἐκφανέντα προσκυνοῦντας, ὥσπερ χειρὸς ἀνατάσει τῆς προβοσκίδος. ὅθεν καὶ θεοφιλέστατόν ἐστι τὸ θηρίον, ὡς πτολεμαῖος ὁ φιλοπάτωρ ἐμαρτύρησε. κρατήσας γὰρ ἀντιόχου, καὶ βουλόμενος εὐπρεπῶς τιμῆσαι τὸ θεῖον, ἄλλα τε πάμπολλα κατέθυσεν ἐπινίκια τῆς μάχης, καὶ τέσσαρας ἐλέφαντας. εἶτα νύκτωρ ὀνείρασιν ἐντυχών, ὡς τοῦ θεοῦ μετ' ὀργῆς ἀπειλοῦντος αὐτῷ διὰ τὴν ἀλλόκοτον ἐκείνην θυσίαν, ἱλασμοῖς τε πολλοῖς ἐχρήσατο, καὶ χαλκοῦς ἐλέφαντας ἀντὶ τῶν σφαγέντων ἀνέστησε τέσσαρας. Οὐχ ἧττον δὲ κοινωνικὰ τὰ τῶν λεόντων. οἱ γὰρ νέοι τοὺς βραδεῖς καὶ γέροντας ἤδη συνεξάγουσιν ἐπὶ θήραν. ὅπου δ' ἂν ἀπαγορεύσωσιν. οἱ μὲν, κάθηνται περιμένοντες. οἱ δὲ, θηρεύουσι, κἂν λάβωσιν ὁτιοῦν, ἀνακαλοῦνται μόσχου μυκήματι τὸ βρύχημα ποιοῦντες ὅμοιον. οἱ δ' εὐθὺς αἰσθάνονται, καὶ παραγενόμενοι, κοινῇ τὴν ἄγραν ἀναλίσκουσιν. Ἔρωτες δὲ πολλῶν, οἱ μὲν ἄγριοι, καὶ περιμανεῖς γεγόνασιν. οἱ δὲ, ἔχοντες οὐκ ἀπάνθρωπον ὡραϊσμόν, οὐδὲ ἀναφρόδιτον ὁμιλίαν, οἷος ἦν ὁ τοῦ ἐλέφαντος ἐν ἀλεξανδρείᾳ τοῦ ἀντερῶντος ἀριστοφάνει τῷ γραμματικῷ. τῆς γὰρ αὐτῆς ἤρων στεφανοπώλιδος, καὶ οὐχ ἧττον ἦν ὁ ἐλέφας διάδηλος. ἔφερε γὰρ αὐτῇ τῆς ὀπώρας ἀεὶ πρατήρια παραπορευόμενος, καὶ χρόνον πολὺν ὑφίστατο, καὶ τὴν προβοσκίδα τῶν χιτωνίων ἐντὸς ὥσπερ χεῖρα παραβαλὼν, ἀτρέμα τῆς περὶ τὸ στῆθος ὥρας ἔψαυεν. Ὁ δὲ δράκων ὁ τῆς αἰτωλίδος ἐρασθεὶς, ἐφοίτα νύκτωρ πρὸς αὐτήν, καὶ τοῦ σώματος ὑποδυόμενος ἐν χρῷ καὶ περιπλεκόμενος οὐδὲν οὔτε ἑκὼν οὔτε ἄκων ἔβλαψεν, ἀλλὰ κοσμίως ἀεὶ περὶ τὸν ὄρθρον ἀπηλλάττετο. συνεχῶς δὲ τοῦτο ποιοῦντος αὐτοῦ, μετῴκησαν οἱ προσήκοντες ἀπωτέρω τὴν ἄνθρωπον. ὁ δὲ, τρεῖς μὲν ἢ τέτταρας οὐκ ἦλθεν, ἀλλ' ὡς ἔοικε περιῄει ζητῶν καὶ πλανώμενος. μόλις δέ πως ἐξανευρὼν καὶ περιπεσὼν οὐ πρᾴως ὥσπερ εἰώθει, ἀλλὰ τραχύτερος, τῷ μὲν ἄλλῳ σπειράματι τὰς χεῖρας αὐτῆς ἔδησε πρὸς τὸ σῶμα, τῷ δὲ ἀπολήγοντι τῆς οὐρᾶς, ἐμαστίγου τὰς κνήμας, ἐλαφράν τινα καὶ φιλόστοργον, καὶ πλέον ἔχουσαν τοῦ κολάζοντος τὸ φειδόμενον ὀργὴν ἀποδεικνύμενος. Τὸν δὲ ἐν αἰγύπτῳ παιδεραστοῦντα χῆνα, καὶ τὸν ἐπιθυμήσαντα γλαύκης τῆς κιθαρῳδοῦ κριόν, περιβόητοι γάρ εἰσι, καὶ πολλῶν οἶμαι διηγημάτων διακορεῖς ὑμᾶς εἶναι. διὸ ταῦτα μὲν ἀφίημι. Ψᾶρες δὲ καὶ κόρακες καὶ ψιττακοὶ μανθάνοντες διαλέγεσθαι, καὶ τὸ τῆς φωνῆς πνεῦμα τοῖς διδάσκουσιν εὔπλαστον οὕτω καὶ μιμηλὸν ἐξαριθμεῖν καὶ ῥυθμίζειν παρέχοντες, ἐμοὶ δοκοῦσι προδικεῖν καὶ συνηγορεῖν τοῖς ἄλλοις ζώοις ἐν τῷ μανθάνειν, τρόπον τινὰ διδάσκοντες ἡμᾶς. ὅτι καὶ προφορικοῦ λόγου καὶ φωνῆς ἐνάρθρου μέτεστιν αὐτοῖς, ἢ καὶ πολὺς καταγέλως τὸ πρὸς ταῦτα καταλιπεῖν

ἀπεργασάμενοι F.

ὥσπερ H. F. L.

ἀγωνιζομένοις F.

ἀνέστησε ρf.

ἐκείνοις σύγκεισιν· οἷς οὐδὲ ὅσον ὠρύσασθαι μέτεστιν, οὐδ᾽ ὅσον στενάξαι φωνῆς. τούτων δὲ καὶ τοῖς αὐτοφυέσι, καὶ τοῖς ἀδιδάκτοις γηρύμασιν, ὅση μοῦσα καὶ χάρις ἔπεστιν, οἱ λογιώτατοι καὶ καλλιφωνότατοι μαρτυροῦσι τὰ ἥδιστα ποιήματα καὶ μέλη, κύκνων καὶ ἀηδόνων ᾠδαῖς ἀπεικάζοντες. ἐπεὶ δὲ τοῦ μαθεῖν τὸ διδάξαι λογικώτερον, ἤδη πειστέον ἀριστοτέλει λέγοντι, καὶ τοῦτο τὰ ζῶα ποιεῖν· ὠφθῆναι γὰρ ἀηδόνα νεοσσὸν ᾄδειν προδιδάσκουσαν· μαρτυρεῖ δὲ αὐτῷ τὸ φαυλότερον ᾄδειν, ὅσαις συμβέβηκε μικραῖς ἁλούσαις ἀποτρόφοις τῶν μητέρων γενέσθαι· διδάσκονται γὰρ αἱ συντρεφόμεναι καὶ μανθάνουσιν, οὐ δι᾽ ἐπὶ μισθὸν οὐδὲ πρὸς δόξαν, ἀλλὰ τῷ χαίρειν διαμελιζόμεναι, καὶ τὸ καλὸν ἀγαπᾶν μᾶλλον, ἢ τὸ χρειῶδες τῆς φωνῆς. ἔχω δὲ περὶ τούτου καὶ λόγον εἰπεῖν πρὸς ὑμᾶς ἀκούσας ἑλλήνων τε πολλῶν καὶ ῥωμαίων παραγενομένων· κουρεὺς γάρ τις ἐργαστήριον ἔχων ἐν ῥώμῃ πρὸ τοῦ τεμένους, ὃ καλοῦσιν ἑλλήνων ἀγοράν, θαυμαστόν τι χρῆμα πολυφώνου καὶ πολυφθόγγου κίττης ἔτρεφε, καὶ ἀνθρώπου ῥήματα καὶ θηρίων φθόγγους ἀνταπεδίδου, καὶ ψόφους ὀργάνων, μηδενὸς ἀναγκάζοντος, ἀλλ᾽ αὐτὴν ἐθίζουσα καὶ φιλοτιμουμένη μηδὲν ἄρρητον ἀπολιπεῖν, μηδὲ ἀμίμητον. ἔτυχε δέ τις ἐκεῖ τῶν πλουσίων ἐκκομιζόμενος ὑπὸ σάλπιγξι πολλαῖς, καὶ γενομένης ὥσπερ εἴωθεν κατὰ τὸν τόπον ἐπιστάσεως, εὐδοκιμοῦντες οἱ σαλπικταὶ καὶ κελευόμενοι, πολὺν χρόνον ἐνδιέτριψαν· ἡ δὲ κίττα μετὰ τὴν ἡμέραν ἐκείνην ἄφθογγος ἦν καὶ ἄναυδος, οὐδὲ τὴν αὐτῆς ἐπὶ τοῖς ἀναγκαίοις πάθεσιν ἀφιεῖσα φωνήν· τοῖς οὖν πρότερον αὐτῆς θαυμάζουσι τὴν φωνήν, τότε θαῦμα μεῖζον ἡ σιωπὴ παρεῖχε κωφὸν ἀκρόαμα τοῖς συνήθως παροδεύουσι τὸν τόπον· ὑποψίαι δὲ φαρμάκων ἐπὶ τοὺς ὁμοτέχνους ἦσαν· οἱ δὲ πλεῖστοι τὰς σάλπιγγας εἴκαζον, ἐκπλῆξαι τὴν ἀκοήν· τῇ δ᾽ ἀκοῇ συγκατεσβέσθαι τὴν φωνήν· ἦν δ᾽ οὐδέτερα τούτων, ἀλλ᾽ ἄσκησις, ὡς ἔοικε καὶ ἀναχώρησις εἰς ἑαυτὸ τοῦ μιμητικοῦ, καὶ καθάπερ ὄργανον ἐξαρτυομένου τὴν φωνὴν καὶ παρασκευάζοντος· ἄφνω γὰρ αὖθις ἧκε καὶ ἀνέλαμψεν, οὐδὲν τῶν συνήθων καὶ παλαιῶν μιμημάτων ἐκείνων, ἀλλὰ τὰ μέλη τῶν σαλπίγγων αὐταῖς περιόδοις φθεγγομένη, καὶ μεταβολὰς πάσας καὶ κρουμάτων διεξιοῦσα πάντας ῥυθμούς, ὥστε ὥσπερ ἔφην τῆς εὐμαθείας λογικωτέραν εἶναι τὴν αὐτομάθειαν ἐν αὐτοῖς. πλὴν ἕν γέ τι μάθημα κυνός, οὐ δοκῶ μοι παρήσειν γενόμενος ἐν ῥώμῃ θεατής· παρὼν γὰρ ὁ κύων μίμῳ πλοκὴν ἔχοντι δραματικὴν καὶ πολυπρόσωπον, ἄλλας τε μιμήσεις ἀπεδίδου τοῖς ὑποκειμένοις πάθεσι καὶ πράγμασι προσφόρους, καὶ φαρμάκου πειρωμένων ἐν αὐτῷ πεῖραν ὑπνωτικοῦ μέν, ὑποκειμένου δὲ εἶναι θανασίμου, τόν τε ἄρτον ᾧ δῆθεν ἐμέμικτο τὸ φάρμακον ἐδέξατο, καὶ καταφαγὼν ὀλίγον ὕστερον ὅμοιος ἦν ὑποτρέμοντι καὶ σφαλλομένῳ καὶ καρηβαροῦντι, τέλος δὲ προτείνας ἑαυτὸν ὥσπερ νεκρὸς ἔκειτο, καὶ παρεῖχεν ἕλκειν, καὶ μεταφέρειν, ὡς ὁ τοῦ δράματος ὑπηγόρευε λόγος· ἐπεὶ δὲ τὸν καιρὸν ἐκ τῶν λεγομένων καὶ πραττομένων ἐνόησεν, ἡσυχῇ τὸ πρῶτον ἐκίνησεν ἑαυτόν, ὥσπερ ἐξ ὕπνου βαθέος ἀναφερόμενος, καὶ τὴν κεφαλὴν ἐπάρας διέβλεψεν· ἔπειτα θαυμασάντων, ἐξαναστὰς ἐβάδιζε πρὸς ὃν ἔδει, καὶ προσέσαινε μὲν χαίρων καὶ φιλοφρονούμενος, ὥστε πάντας ἀνθρώπους καὶ καίσαρα, παρῆν γὰρ ὁ γέρων οὐεσπεσιανὸς ἐν τῷ μαρκέλλου θεάτρῳ, συμπαθεῖς γενέσθαι. γελοῖοι δ᾽ ἴσως ἐσμὲν ἐπὶ τῷ μανθάνειν τὰ ζῶα σεμνύνοντες, ὧν ὁ δημόκριτος ἀποφαίνει μαθητὰς ἐν τοῖς μεγίστοις γεγονότας ἡμᾶς· ἀράχνης ἐν ὑφαντικῇ καὶ ἀκεστικῇ, χελιδόνος ἐν οἰκοδομίᾳ, καὶ τῶν λιγυρῶν κύκνου καὶ ἀηδόνος ἐν ᾠδῇ, κατὰ μίμησιν, ἰατρικῆς δὲ πολὺ τῶν τριῶν ἑκάστου καὶ γενναῖον ἐν αὐτοῖς μόριον ὁρῶμεν· οὐ γὰρ μόνῳ τῷ φαρμακευτι-

κῷ χρῶνται· χελῶναι μὲν ὀρίγανον, γαλαῖ δὲ πήγανον, ὅταν ὄφεως φάγωσιν ἐπεσθίουσαι· κύνες δὲ πόᾳ τινὶ καθαίροντες ἑαυτοὺς χολεριῶντας. ὁ δὲ δράκων ὁ τῷ μαράθῳ τὸν ὀφθαλμὸν ἀμβλυώττοντα λεπτύνων καὶ διαχαράττων· ἡ δὲ ἄρκτος ὅταν ἐκ τοῦ φωλεοῦ παρέλθῃ τὸ ἄρον ἐσθίουσα πρῶτον τὸ ἄγριον· ἡ γὰρ δριμύτης ἀνοίγει συμπεφυκὸς αὐτῆς τὸ ἔντερον· ἄλλως δὲ ἀσώδης γενομένη, πρὸς τὰς μυρμηκίας τρέπεται καὶ κάθηται προβάλλουσα λιπαρὰν καὶ μαλακὴν ἰκμάδι γλυκείᾳ τὴν γλῶσσαν· ἄχρις οὗ μυρμήκων ἀνάπλεως γένηται· καταπίνουσα γὰρ ὠφελεῖται. τῆς τε ἴβεως τὸν ὑποκλυσμὸν ἅλμῃ καθαιρομένης, αἰγύπτιοι συνιδεῖν καὶ μιμήσασθαι λέγουσιν· οἱ δὲ ἱερεῖς ὕδατι χρῶνται περιαγνίζοντες ἑαυτοὺς ὅθεν οὐ πέπωκεν ἶβις· ἂν γὰρ ᾖ φαρμακῶδες ἢ νοσερὸν ἄλλως τὸ ὕδωρ, οὐ πρόσεισιν, ἀλλὰ καὶ τροφῆς ἀποχῇ ἔνια θεραπεύονται· καθάπερ λύκοι καὶ λέοντες, ὅταν κρεῶν γένωνται διακορεῖς, ἡσυχίαν ἄγουσι κατακείμενοι, καὶ συνθάλποντες ἑαυτούς. τίγριν δέ φασιν ἐρίφου παραδοθέντος αὐτῇ χρωμένην διαίτῃ μὴ φαγεῖν ἐφ᾽ ἡμέρας δύο, τῇ δὲ τρίτῃ πεινῶσαν αἰτεῖν ἄλλο, καὶ τὴν γαλεάγραν σπαράσσειν, ἐκείνου δὲ φείσασθαι οἰομένην σύντροφον ἔχειν ἤδη καὶ σύνοικον. οὐ μὴν ἀλλὰ καὶ χειρουργίᾳ χρῆσθαι τοὺς ἐλέφαντας ἱστοροῦσι· καὶ γὰρ ξυστὰ καὶ λόγχας καὶ τοξεύματα παριστάμενοι, τοῖς τετρωμένοις, ἄνευ σπαραγμοῦ ῥᾳδίως καὶ ἀβλαβῶς ἐξέλκουσιν. αἱ δὲ κρητικαὶ αἶγες ὅταν τὸ δίκταμον φάγωσιν ἐκβάλλουσαι τὰ τοξεύματα ῥᾳδίως, καταμαθεῖν ταῖς ἐγκύοις τὴν βοτάνην παρέσχον ἐκτρωτικὴν δύναμιν ἔχουσαν· ἐπ᾽ οὐδὲν γὰρ ἄλλο τρωθεῖσαι φέρονται καὶ ζητοῦσι καὶ διώκουσι τὸ δίκταμον. ἧττον δὲ ταῦτα θαυμαστὰ καίπερ ὄντα θαυμάσια ποιοῦσι, καὶ νόησιν ἀριθμοῦ καὶ δύναμιν τοῦ ἀριθμεῖν ἔχουσαι φύσεις, ὥσπερ ἔχουσιν αἱ περὶ σοῦσα βόες· εἰσὶ γὰρ αὐτόθι τὸν βασιλικὸν παράδεισον ἄρδουσαι, περιάκτοις ἀντλήμασιν, ὧν ὥρισται τὸ πλῆθος· ἑκατὸν γὰρ ἑκάστη βοῦς ἀναφέρει καθ᾽ ἡμέραν ἑκάστην ἀντλήματα· πλείονα δὲ οὐκ ἔστιν, οὔτε λαβεῖν, οὔτε βιάσασθαι βουλόμενον, ἀλλὰ καὶ πείρας ἕνεκα πολλάκις προστιθέντων, ὑφίσταται· καὶ οὐ πρόσεισιν ἀποδοῦσα τὸ τεταγμένον, οὕτως ἀκριβῶς συντίθησι καὶ καταμνημονεύει τὸ κεφάλαιον, ὡς κτησίας ὁ κνίδιος ἱστόρηκε. λίβυες δὲ αἰγυπτίων καταγελῶσι μυθολογούντων περὶ τοῦ ὄρυγος, ὡς φωνὴν ἀφιέντος ἡμέρας ἐκείνης καὶ ὥρας, ᾗ ἐπιτέλλει τὸ ἄστρον ὃ σῶθιν αὐτοί, κύνα δὲ καὶ σείριον ἡμεῖς καλοῦμεν· τὰς γὰρ αὐτῶν ὁμοῦ πάσας αἶγας ὅταν ἀνάσχῃ μεθ᾽ ἡλίου τὸ ἄστρον ἀτρεκῶς, ἔχει στρεφομένας ἀποβλέπειν πρὸς τὴν ἀνατολήν, καὶ τεκμήριον τοῦτο τῆς περιόδου βεβαιότατον εἶναι, καὶ μάλιστα τοῖς μαθηματικοῖς κανόσιν ὁμολογούμενον. ἵνα δὲ κορυφὴν ὁ λόγος ἐπιθεὶς ἑαυτῷ παύσηται, φέρε κινήσαντες τὴν ἀφ᾽ ἱερᾶς βραχέα περὶ θειότητος αὐτῶν καὶ μαντικῆς εἴπωμεν· οὐ γάρ τι μικρὸν οὐδὲ ἄδοξον, ἀλλὰ πολὺ καὶ παμπάλαιον· μαντικῆς μόριον, οἰωνιστικὴ κέκληται· τὸ γὰρ ὀξὺ καὶ νοερὸν αὐτῶν καὶ δι᾽ εὐστροφίαν ὑπήκοον ἁπάσης φαντασίας, ὥσπερ ὀργάνῳ τῷ θεῷ παρέχει χρῆσθαι καὶ τρέπειν, ἐπί τε κινήσεις ἐπί τε φωνὰς καὶ γηρύματα καὶ σχήματα· νῦν μὲν, ἐνστατικά, νῦν δέ, φορὰ καθάπερ πνεύματα· τοῖς μὲν, ἐπικόπτοντα· τοῖς δέ, ἐπευθύνοντα πράξεις καὶ ὁρμὰς εἰς τὸ τέλος· διὸ κοινῇ μὲν ὁ εὐριπίδης θεῶν κήρυκας ὀνομάζει τοὺς ὄρνιθας· ἰδίᾳ δέ φησιν ὁ σωκράτης ὁμόδουλον ἑαυτὸν ποιεῖσθαι τῶν κύκνων, ὥσπερ αὖ καὶ τῶν βασιλέων· ἀετὸς μὲν ὁ πύρρος ἥδετο καλούμενος· ἱέραξ δὲ ὁ ἀντίοχος· ἰχθῦς δέ, τοὺς ἀμαθεῖς καὶ ἀνοήτους λοιδοροῦντες, ἢ σκώπτοντες ὀνομάζομεν. ἀλλὰ δὴ μυρίων μυριάκις εἰπεῖν παρόντων· ἃ προδεικνύουσιν ἡμῖν καὶ προσημαίνει τὰ πεζὰ καὶ πτηνὰ παρὰ τῶν θεῶν· ἐν οὐκ ἔστι τοσ-

τὸν ἀποφῆναι τῷ προδικοῦντι τῶν ἐνύδρων, ἀλλὰ κωφὰ πάντα καὶ τυφλὰ τῆς
προνοίας εἰς τὸν ἄθεον καὶ τιτανικὸν ἀπέρριπται τόπον, ὥσπερ ἀσεβῶν χῶρον,
οὗ τὸ λογικὸν καὶ νοερὸν ἐγκατέσβεται τῆς ψυχῆς, ἐσχάτῳ δέ τινι συμπεφυρμέ-
νης καὶ κατακεκλυσμένης αἰσθήσεως μορίῳ, σπαίρουσι μᾶλλον ἢ ζῶσιν ἐοίκεν·
ἄναγε τὰς ὀφρῦς ὦ φίλε Φαίδιμε καὶ διέγειρε σεαυτὸν ἡμῖν τοῖς ἐνάλοις καὶ νη-
σιώταις, οὐ παιδιὰ τὸ χρῆμα τοῦ λόγου γέγονεν, ἀλλ' ἐρρωμένος ἀγὼν καὶ ῥητο-
ρεία κιγκλίδων ἔτι δέουσα καὶ βήματος. ἐνέδρα μὲν οὖν ὦ Ἡρακλέων ζωὴ δό-
λῳ καταφανής· κραιπαλῶσι γὰρ ἔτι τὸ χθιζόν, καὶ βεβαπτισμένοις νήφων, ὡς
ὁρᾷς ὁ γενναῖος ἐκ παρασκευῆς ἐπιτέθειται, παραιτεῖσθαι δὲ οὐκ ἔστιν. ὃ γὰρ βού-
λομαι Πινδάρου ζηλωτὴς ὤν, ἀκοῦσαι τὸ τιθεμένων ἀγώνων, πρόφασις ἀρετὰν
ἐς αἰπὺν ἔβαλε σκότον, σχολὴ μὲν γὰρ πολλή ἐστιν ὑμῖν ἀργούντων, οὐχ ὁρῶν, ἀλ-
λὰ κυνῶν καὶ ἵππων, καὶ δικτύου καὶ πάσης σαγήνης διὰ τοὺς λόγους ἐκεχει-
ρίας κοινῇ πᾶσι τοῖς ζῴοις, κατά τε γῆν κατά τε θάλατταν δεδομένης τὸ σήμερον.
ἀλλὰ μὴ φοβηθῆτε· χρήσομαι γὰρ αὐτῇ μετρίως, οὔτε δόξας φιλοσόφων, οὔ-
τε Αἰγυπτίων μύθους, οὔτε ἀμαρτύρους Ἰνδῶν ἐπαγόμενος, ἢ Λιβύων διηγή-
σεις, ἃ δὲ πανταχοῦ μάρτυρας ἔχει τοὺς ἐργαζομένους τὴν θάλατταν ὁρώ-
μενα καὶ δίδωσι τῇ ὄψει πίστιν τούτων ὀλίγα παραθήσομαι. καίτοι τῶν
ἐν γῇ παραδειγμάτων ἐπίπροσθεν οὐδέν ἐστιν, ἀλλ' ἀνεῳγμένη παρέχει τῇ αἰσθή-
σει τὴν ἱστορίαν. ἡ δὲ θάλαττα μικρὰ κατιδεῖν καὶ γλίσχρα δίδωσι. τῶν δὲ πλεί-
στων κατακαλύπτει γενέσεις καὶ τροφάς, ἐπιθέσεις τε καὶ φυλακὰς ἀλλήλων, ἐν
αἷς οὐκ ὀλίγα καὶ συνέσεως ἔργα καὶ μνήμης καὶ κοινωνίας ἀγνοούμενα βλά-
πτει τὸν λόγον. ἔπειτα τὰ μὲν ἐν γῇ διὰ τὴν ὁμοφυλίαν, καὶ τὴν συνδιαίτησιν,
ἁμωσγέπως συναναχρωννύμενα τοῖς ἀνθρωπίνοις ἤθεσιν, ἀπολαύει καὶ τροφῆς
καὶ διδασκαλίας καὶ μιμήσεως. ἣ τὸ μὲν πικρὸν ἅπαν καὶ σκυθρωπόν, ὥσπερ
ἐπιμιξία ποτίμου θάλασσαν ἐφηδύνει, τὸ δὲ δυσξύνετον ἅπαν καὶ νωθρόν, ἐπε-
γείρει ταῖς μετ' ἀνθρώπων κινήσεσιν ἀναρριπιζόμενον. ὁ δὲ τῶν ἐνάλων βίος, ὅροις
μεγάλοις τῆς πρὸς ἀνθρώπους ἀπῳκισμένος ὁμιλίας, ἐπείσακτον οὐδὲν οὐδὲ συν-
νεθισμένον ἔχων, ἴδιός ἐστι καὶ αὐθιγενὴς καὶ ἄκρατος ἀλλοτρίοις ἤθεσι διὰ τὸν
τόπον, οὐ διὰ τὴν φύσιν. ἡ γὰρ φύσις ὅσον ἐξικνεῖται μαθήσεως ἐπ' αὐτὴν δεχομέ-
νη καὶ στέγουσα, παρέχει, πολλὰς μὲν ἐγχέλεις ἱερὰς λεγομένας ἀνθρώποις χει-
ροήθεις, ὥσπερ τὰς ἐν τῇ Ἀρεθούσῃ, πολλαχοῦ δ' ἰχθῦς ὑπακούοντας αὐτῶν ὀνό-
μασιν, ὥσπερ τὴν Κράσσου μύραιναν ἱστοροῦσιν, ἧς ἀποθανούσης ἔκλαυσεν ὁ Κρά-
σσος. καί ποτε Δομιτίου πρὸς αὐτὸν εἰπόντος, οὐ σὺ μυραίνης ἀποθανούσης ἔκλαυ-
σας, ἀπήντησεν οὔ σὺ τρεῖς θάψας γυναῖκας οὐκ ἐδάκρυσας. οἱ δὲ κροκόδειλοι
τῶν ἱερέων οὐ μόνον γνωρίζουσι τὴν φωνὴν καλούντων, καὶ τὴν ψαῦσιν ὑπομέ-
νουσιν, ἀλλὰ καὶ διαχανόντες παρέχουσι τοὺς ὀδόντας ἐκκαθαίρειν ταῖς χερσί,
καὶ περιμάττειν ὀθονίοις. ἔναγχος Φιλῖνος ὁ βέλτιστος ἥκων πεπλανημέ-
νος ἐν Αἰγύπτῳ παρ' ἡμῶν, διηγεῖτο, γραῦν ἰδεῖν ἐν Ἀνταίου πόλει κροκοδείλῳ
συγκαθεύδουσαν ἐπὶ σκίμποδος μαλακωτάτου κοσμίως παρεκτεταμένῳ.
πάλαι δὲ ἱστοροῦσι Πτολεμαίου τοῦ βασιλέως παρακαλουμένου τὸν ἱερὸν κροκό-
δειλον μὴ ὑπακούσαντα, μηδὲ πεισθέντα λιπαροῦσι καὶ δεομένοις τοῖς ἱερεῦσι, δό-
ξαι προσημαίνειν τοῦ μετ' οὐ πολὺ συμβᾶσαν αὐτῷ τοῦ βίου τελευτήν, ὥστε μη-
δὲ τῆς πολυτιμήτου μαντικῆς ἄμοιρον εἶναι τὸ τῶν ἐνύδρων γένος, μηδὲ ἀγέρα-
στον. ἐπεὶ καὶ περὶ Σοῦραν πυνθάνομαι κώμην ἐν τῇ Λυκίᾳ Φελλοῦ μεταξὺ καὶ
Μύρων, καθεζομένους ἐπ' ἰχθύσιν, ὥσπερ οἰωνοῖς διαμαντεύεσθαι τέχνῃ τινί, καὶ
λόγων λέξεις, καὶ φυγὰς καὶ διώξεις αὐτῶν ἐπισκοποῦντας. ἀλλὰ ταῦτα

μὲν ἔστω τοῦ μὴ παντάπασιν ἐκ φύλου μηδὲ ἀσυμπαθοῦς πρὸς ἡμᾶς ἱκανὰ
δείγματα. τῆς δὲ ἀκράτου καὶ φυσικῆς συνέσεως, μέγα δήλωμα τὸ κοινόν ἐστιν.
οὐδὲν γὰρ οὕτως εὐχείρωτον ἀνθρώποις νηκτόν, ἃ μὴ πέτραις προσέχεται καὶ προσπέφυ-
κεν, οὐδὲ ἁλώσιμον ἄνευ πραγματείας, ὡς λύκοις μέν, ὄνοι· καὶ μέροψι, μέλισ-
σαι· χελιδόσι δέ, τέττιγες· ἐλάφοις δέ, ὄφεις ἀγόμενοι ῥᾳδίως ὑπ' αὐτῶν. ἣ καὶ
τοὔνομα πεποίηται παρώνυμον, οὐ τῆς ἐλαφρότητος, ἀλλὰ τῆς ἕλξεως τοῦ ὄ-
φεως, καὶ τὸ πρόβατον προσκαλεῖται τῷ ποδὶ τὸν λύκον. τῇ δὲ παρδάλει τὰ
πλεῖστα προσχωρεῖν χαίροντα τῇ ὀσμῇ· μάλιστα δὲ τὸν πίθηκον λέγουσι, τῶν δὲ θα-
λαττίων ὁμοῦ τι πάντων ἡ προαίσθησις ὕποπτος οὖσα καὶ πεφυλαγμένη πρὸς
τὰς ἐπιθέσεις, ἀπὸ συνέσεως, οὐχ ἁπλοῦν τὸ τῆς ἄγρας ἔργον, οὐδὲ φαῦ-
λον, ἀλλ' ὀργάνων τε παντοδαπῶν καὶ σοφισμάτων ἐπ' αὐτὰ δεινῶν καὶ ἀπα-
τηλῶν δεόμενον ἀπείργασται, καὶ τοῦτο δῆλόν ἐστιν ἀπὸ τῶν πάνυ προχείρων. τὸν
μὲν γὰρ ἀσπαλιευτικὸν κάλαμον, οὐ βούλονται πάχος ἔχειν, καίπερ εὐτόνου δε-
όμενοι πρὸς τοὺς σπαραγμοὺς τῶν ἁλισκομένων· ἀλλὰ μᾶλλον ἐκλέγονται τὸν
λεπτόν, ὅπως μὴ πλατεῖαν ἐπιβάλλων σκιάν, ἐκταράττῃ τὸ ὕποπτον αὐτῶν. ἔ-
πειτα τὴν ὁρμιὰν οὐ ποιοῦσι πολύπλοκον τοῖς ἅμμασι τῶν βρόχων, οὐδὲ τραχεῖ-
αν. ἐπεὶ καὶ τοῦτο τοῦ δόλου γίνεται τεκμήριον αὐτοῖς, καὶ τῶν τριχῶν τὰ κα-
θήκοντα πρὸς τὸ ἄγκιστρον, ὡς ἔνι μάλιστα λευκὰ φαίνεσθαι μηχανῶνται. μᾶλ-
λον γὰρ οὕτως ἐν τῇ θαλάττῃ δι' ὁμοιότητα τῆς χρόας λανθάνουσι. τὸ δὲ ἀπὸ τοῦ
ποιητοῦ λεγόμενον· ἡ δὲ μολυβδίνῃ ἰκέλη ἐς βυσσὸν ὄρουσεν· ἥτε κατ' ἀγραύλοιο
βοὸς κέρας ἐμβεβαυῖα ἔρχεται ὠμηστῇσιν ἐπ' ἰχθύσι κῆρα φέρουσα. παρακούοντες
ἔνιοι βοείαις θριξὶν οἴονται πρὸς τὰς ὁρμιὰς χρῆσθαι τοὺς παλαιούς· κέρας γὰρ τὴν
τρίχα λέγεσθαι καὶ τὸ κείρασθαι διὰ τοῦτο, καὶ τὴν κουράν, καὶ τὸν παρ' Ἀρ-
χιλόχῳ κεροπλάστην, φιλόκοσμον εἶναι περὶ κόμην καὶ καλλωπιστήν. ἔστι δὲ οὐκ
ἀληθές, ἱππείαις γὰρ θριξὶ χρῶνται τὰς τῶν ἀρρένων λαμβάνοντες. αἱ γὰρ θή-
λειαι τῷ οὔρῳ τὴν τρίχα βεβρεγμένην ἀσθενῆ ποιοῦσιν. Ἀριστοτέλης δέ φησι
μηδὲν ἐν τούτοις λέγεσθαι σοφὸν ἢ περιττόν, ἀλλὰ τῷ ὄντι κεράτιον περιτίθεσθαι
πρὸ τοῦ ἀγκίστρου περὶ τὴν ὁρμιάν, ἔπειτα πρὸς ἄλλο ἐρχόμενοι διεσθίουσι.
τῶν δὲ ἀγκίστρων τοῖς μὲν στρογγύλοις ἐπὶ κεστρέας καὶ ἀμίας χρῶνται μικρο-
στόμους ὄντας. τὸ γὰρ εὐθύτερον εὐλαβοῦνται. πολλάκις δὲ καὶ τὸ στρογγύλον ὁ
κεστρεὺς ὑποπτεύων, ἐν κύκλῳ περινήχεται, τῇ οὐρᾷ περιρραπίζων τὸ ἐδώδιμον,
καὶ ἀνακάμπτων τὸ ἀποκρουόμενον· ἂν δὲ μὴ δύνηται, συνάγων τὸ στόμα καὶ περι-
στείλας τοῖς χείλεσιν ἄκροις ἐπιψαύων ἀποκνίζει τοῦ δελέατος. ὁ δὲ λάβραξ
ἀνδρικώτερον τοῦ ἐλέφαντος, οὐχ ἕτερον, ἀλλ' αὐτὸς ἑαυτὸν ὅταν περιπέσῃ τῷ
ἀγκίστρῳ βελουλκεῖ τῇ δορᾷ κἀκεῖ παραλλάξει τῆς κεφαλῆς ἀνευρύνων τὸ τραῦ-
μα, καὶ τὸν ἐκ τοῦ σπαραγμοῦ πόνον ὑπομένων, ἄχρις ἂν ἐκβάλῃ τὸ ἄγκιστρον.
ἡ δὲ ἀλώπηξ οὐ πολλάκις μὲν ἀγκίστρῳ πρόσεισιν, ἀλλὰ φεύγει τὸν δόλον, ἁλοῦ-
σα δὲ εὐθὺς ἐκστρέφεται. πέφυκε γὰρ δι' εὐτονίαν καὶ ὑγρότητα μεταβάλλειν τὸ
σῶμα καὶ στρέφειν, ὥστε τῶν ἐντός, ἐκτὸς γενομένων, ἀποπίπτειν τὸ ἄγκιστρον.
ταῦτα μὲν οὖν γνῶσιν ἐμφαίνει καὶ χρῆσιν ἐπὶ καιρῷ τοῦ συμφέροντος εὐμήχα-
νον καὶ περιττήν, ἀλλὰ δὲ ἐπιδείκνυται μετὰ τοῦ συνετοῦ τὸ κοινωνικὸν καὶ τὸ φιλάλληλον,
ὥσπερ ἀνθίαι καὶ σκάροι, σκάρου μὲν ἄγκιστρον καταπιόντος, οἱ παρόντες σκάροι προ-
σαλλόμενοι, τὴν ὁρμιὰν ἀποτρώγουσιν. οὗτοι δὲ καὶ τοῖς εἰς κύρτον ἐμπεσοῦσι τὰς οὐρὰς πα-
ρασχόντες ἔξωθεν ἕλκουσι δάκνοντες προθύμως καὶ συνεξάγουσιν. οἱ δὲ ἀνθίαι τῷ συμ-
φύλῳ βοηθοῦσιν ἰταμώτερον. τὴν γὰρ ὁρμιὰν ἀναθέμενοι κατὰ ῥάχιν καὶ στήσαντες ὀρθὴν
τὴν ἄκανθαν, ἐπιχειροῦσι διαπρίειν τῇ τραχύτητι καὶ διακόπτειν. καίτοι χερσαῖον οὐδὲν

ἴσμεν, ἑτέρῳ κινδυνεύοντι τολμᾷ ἀμύνειν, οὐκ ἄρκτον, οὐ σῦν, οὐδὲ λέαιναν, οὐδὲ πάρδαλιν, ἀλλὰ συγχωρεῖ μὲν εἰς ταυτὸν ἐν τοῖς θεάτροις τὰ ὁμόφυλα καὶ κύκλῳ μετ' ἀλλήλων περίεισιν, ἑτέρῳ δὲ ἕτερον οὐκ οἶδεν, οὐδὲ φρονεῖ βοηθεῖν, ἀλλὰ φεύγει καὶ ἀποπηδᾷ πορρωτάτω γινόμενα τοῦ τετρωμένου, καὶ θνήσκοντος. ἡ δὲ τῶν ἐλεφάντων ἱστορία φίλε τῶν εἰς τὰ ἐρύγματα φερόντων καὶ τὸν ὀλισθέντα διὰ χώματος ἀναβιβαζόντων ἔκτοπός ἐστι δεινῶς καὶ ἀλλοδαπὴ, καθάπερ ἐκ βασιλικοῦ διαγράμματος ἐπιτάττουσα πιστεύειν αὐτῇ τῶν ἰόβα βιβλίων. ἀληθὴς δ' οὖσα, πολλὰ δείκνυσι τῶν ἐνάλων μηδὲν ἀπολειπόμενα τοῦ κοινωνικοῦ καὶ συνετοῦ τοῦ σοφωτάτου τῶν χερσαίων. ἀλλὰ περὶ κοινωνίας αὐτῶν ἴδιος ἔσται τάχα λόγος. οἱ δὲ ἁλιεῖς συνορῶντες ὥσπερ ἀδοξήμασι παλαισμάτων τὰ πλεῖστα διακρουόμενα τὰς ἀπ' ἀγκίστρου βολὰς, εὐθὺ βίας ἐτράπησαν, καθάπερ οἱ πέρσαι σαγηνεύοντες, ὡς τοῖς ἐνσχεθεῖσιν οὐδεμίαν ἐκ λογισμοῦ καὶ σοφίας διάφυξιν οὖσαν. ἀμφιβλήστροις μὲν γὰρ καὶ ὑποχαῖς κεστρεῖς καὶ ἰουλίδες ἁλίσκονται, μόρμυροί τε καὶ σαργοὶ καὶ κωβιοὶ καὶ λάβρακες. τὰ δὲ βολιστικὰ καλούμενα τρίγλαν χρυσωπὸν, καὶ σκορπίον, γρίποις τε καὶ σαγήναις σύρουσι περιλαμβάνοντες, τῶν δικτύων τὸ γένος ὀρθῶς ὅμηρος πανάγραν προσεῖπεν. ἀλλὰ καὶ πρὸς ταῦτα μηχαναὶ ταῖς γαλαῖς ὥσπερ τῷ λάβρακι. συρομένην γὰρ αἰσθανόμενος βίᾳ διίστησι, καὶ τύπτει κοιλαίνων τοὔδαφος. ὅταν δὲ ποιήσῃ τῆς ἐπιδρομῆς τοῦ δικτύου χώραν ἔωσεν ἑαυτὸν, καὶ προσίσχει μέχρι ἂν παρέλθῃ. δελφὶς δὲ περιληφθεὶς, ὅταν συναίσθηται γεγονὼς ἐν ἀγκάλαις σαγήνης, ὑπομένει μὴ ταραττόμενος, ἀλλὰ χαίρων. εὐωχεῖται γὰρ ἄνευ πραγματείας ἀφθόνων ἰχθύων παρόντων, ὅταν δὲ πλησίον τῇ γῇ προσίῃ, φαγὼν τὸ δίκτυον ἄπεισιν. εἰ δὲ μὴ φθαίη διαφυγὼν τὸ πρῶτον, οὐδὲν ἔπαθε δεινόν. ἀλλὰ διαρράψαντες αὐτοῦ περὶ τὸν λόφον ὀλοσχοίνους ἀφῆκαν. αὖθις δὲ ληφθέντα, πληγαῖς κολάζουσιν, γνωρίσαντες ἐκ τοῦ διαρράμματος. σπανίως δὲ τοῦτο συμβαίνει. συγγνώμης γὰρ τυγχάνοντες τὸ πρῶτον εὐγνωμονοῦσιν οἱ πλεῖστοι, καὶ φυλάττονται λοιπὸν μὴ ἀδικεῖν. ἔτι δὲ πολλῶν τῶν πρὸς εὐλάβειαν, καὶ προφυλακὴν καὶ ἀπόδρασιν ὄντων παραδειγμάτων, οὐκ ἄξιόν ἐστι τὸ τῆς σηπίας παρελθεῖν, τὴν γὰρ καλουμένην μύτιν παρὰ τὸν τράχηλον ἔχουσα, πλήρη ζοφερᾶς ὑγρότητος, ἣν θολὸν καλοῦσιν, ὅταν καταλαμβάνηται, μεθίησιν ἔξω, τεχνωμένη τῆς θαλάττης διαθολωθείσης ποιήσασα περὶ αὐτὴν σκότος, ὑποδῦναι καὶ ἀποδρᾶναι τὴν τοῦ θηρεύοντος ὄψιν, ἀπομιμουμένη τοὺς ὁμήρου θεοὺς, κυανέῃ νεφέλῃ πολλάκις ὅταν σῶσαι θέλωσιν ὑφαιρουμένους καὶ διακλέπτοντας. ἀλλὰ τούτων μὲν ἅλις, τῆς δὲ ἐπιχειρητικῆς καὶ θηρευτικῆς δεινότητος αὐτῶν, ἐν πολλοῖς σοφίσματα κατιδεῖν ἐστιν. ὁ μὲν γὰρ ἀστὴρ ὧν ἂν ἅψηται, πάντα διαλυόμενα καὶ διατηκόμενα γινώσκων, ἐνδίδωσι τὸ σῶμα καὶ περιορᾷ ψαυόμενος ὑπὸ τῶν παριόντων ἢ προσπελαζόντων. τῆς δὲ νάρκης ἴστε δήπου τὴν δύναμιν, οὐ μόνον τοὺς θίγοντας αὐτῆς ἐκπηγνύουσαν, ἀλλὰ καὶ διὰ τῆς σαγήνης βαρύτητα ναρκώδη ταῖς χερσὶ τῶν ἀντιλαμβανομένων ἐμποιοῦσαν. ἔνιοι δὲ ἱστοροῦσι πεῖραν αὐτῆς ἐπιπλέον λαμβάνοντες, ἂν ἐκπέσῃ ζῶσα, κατασκεδαννύντες ὕδωρ ἄνωθεν, αἰσθάνεσθαι τοῦ πάθους ἀνατρέχοντος ἐπὶ τὴν χεῖρα καὶ τὴν ἁφὴν, ἀμβλύνοντος, ὡς ἔοικε διὰ τοῦ ὕδατος τρεπομένου καὶ προπεπονθότος. ταύτης οὖν ἔχουσα σύμφυτον αἴσθησιν, μάχεται μὲν ἐξ ἐναντίας πρὸς οὐδὲν, οὐδὲ διακινδυνεύει. κύκλῳ δὲ περιϊοῦσα τὸ θηρευόμενον, ὥσπερ βέλη διασπείρει τὰς ἀπορροὰς, φαρμάττουσα τὸ ὕδωρ πρῶτον, εἶτα τὸ ζῶον διὰ τοῦ ὕδατος, μήτε ἀμύνασθαι δυνάμενον, μήτε φυγεῖν, ἀλλὰ ἐνεχόμενον ὥσπερ

ὑπὸ δεσμῶν καὶ πηγνύμενον. ὁ δὲ καλούμενος ἁλιεὺς γνώριμός ἐστι πολλοῖς, καὶ διὰ τὸ ἔργον αὐτῷ γέγονε τοὔνομα, ᾧ σόφισμα τι καὶ τὴν σηπίαν χρῆσθαί φησιν ὁ ἀριστοτέλης. καθίησι γὰρ ὥσπερ ὁρμιὰν ἀπὸ τοῦ τραχήλου πλεκτάνην μηκύνεσθαί τε πόρρω χαλώσης, καὶ πάλιν συντρέχειν εἰς ἑαυτὴν ἀναλαμβανούσης ῥᾷστα πεφυκυῖαν. ὅταν οὖν τι τῶν μικρῶν ἰχθυδίων ἴδῃ πλησίον, ἐνδίδωσι δάκνειν καὶ κατὰ μικρὸν ἀναμηρύεται λανθάνουσα καὶ προσάγεται μέχρις ἂν ἐν ἐφικτῷ τοῦ στόματος γένηται τὸ προσεχόμενον. τῶν δὲ πολυπόδων τῆς χρόας τὴν ἄμειψιν ὅ τε πίνδαρος περιβόητον πεποίηκεν εἰπὼν ποντίου θηρὸς χρωτὶ μάλιστα νόον προσφέρων, πάσαις πολίεσσιν ὁμίλει. καὶ θέογνις ὁμοίως, πουλύποδος νόον ἴσχε πολυχρόου, ὃς ποτὶ πέτρῃ τῇ περ ὁμιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη. μεταβάλλει γὰρ ὁ μὲν χαμαιλέων οὐδέν τι μηχανώμενος, οὐδὲ καταχρύπτων ἑαυτὸν, ἀλλ' ὑπὸ δέους ἄλλως τρέπεται φύσει ψοφοδεὴς ὢν καὶ δειλὸς, συνέπεται δὲ καὶ πνεύματος πλῆθος, ὡς θεόφραστος. ὀλίγου γὰρ ἀπολείπει τὸ σῶμα τοῦ ζώου πλῆρες εἶναι πνεύμονος, ᾧ τεκμαίρεται τὸ πνευματικὸν αὐτοῦ. καὶ διὰ τοῦτο πρὸς τὰς μεταβολὰς εὔτρεπτον. τοῦτο δὲ πολύποδος ἔργον ἐστὶν, οὐ πάθους ἡ μεταβολή. μεταβάλλει δ' ἐκ προνοίας μηχανῇ χρώμενος τοῦ λανθάνειν ἃ δέδιε, καὶ λαμβάνειν οἷς τρέφεται. παρακρουόμενος γὰρ αἱρεῖ μὴ φεύγοντα. τὰ δ' ἐκφεύγει παρερχόμενα. τὸ μὲν γὰρ αὐτοῦ τὰς πλεκτάνας κατεσθίειν αὐτὸν, ψεῦδός ἐστιν, τὸ δὲ μύραιναν δεδιέναι καὶ γόγγρον ἀληθές ἐστιν. ὑπ' ἐκείνων γὰρ κακῶς πάσχει δρᾶν μὴ δυνάμενος ἐξολισθανόντων. ὥσπερ αὖ πάλιν ὁ κάραβος, ἐκείνων μὲν ἐν λαβαῖς γενομένων, περιγίνεται ῥᾳδίως. ἡ γὰρ λειότης οὐ βοηθεῖ πρὸς τὴν τραχύτητα, τοῦ δὲ πολύποδος εἴσω τὰς πλεκτάνας διωθοῦντος ἀπόλλυται. καὶ τὸν κύκλον τοῦτον καὶ τὴν περίοδον ταῖς κατ' ἀλλήλων διώξεσι καὶ φυγαῖς, γύμνασμα καὶ μελέτην ἡ φύσις αὐτοῖς ἐναγώνιον πεποίηκε δεινότητος καὶ συνέσεως. ἀλλὰ μὴν ἐχίνου γε τινὰ χερσαίου διηγήσατο πνευμάτων προαίσθησιν ἀριστότιμος, ὃς ἐθαύμαζε καὶ γεράνων τὴν ἐν τριγώνῳ πτῆσιν, ἐγὼ δὲ ἐχῖνον μὲν οὐδένα κυζικηνὸν ἢ βυζάντιον, ἀλλὰ πάντας ὁμοῦ παρέχομαι τοὺς θαλαττίους. ὅταν αἴσθωνται μέλλοντα χειμῶνα καὶ σάλον, ἑρματιζομένους λιθιδίοις, ὅπως μὴ περιτρέπωνται διὰ κουφότητα, μηδὲ ἀποσύρωνται γενομένου κλύδωνος, ἀλλ' ἐπιμένωσιν ἀραρότως τοῖς πετριδίοις. ἡ δὲ γεράνων μεταβολὴ τῆς πτήσεως πρὸς ἄνεμον, οὐχ ἑνὸς γένους ἐστὶν, ἀλλὰ τοῦτο κοινῇ πάντες ἰχθύες νοοῦντες, ἀεὶ πρὸς κῦμα καὶ ῥοῦν ἀντινήχονται καὶ παραφυλάττουσιν, ὅπως μὴ κατ' οὐρὰν προσφερομένου τοῦ πνεύματος, ἡ λεπὶς ἀναπτυσσομένη λυπῇ τὸ σῶμα γυμνούμενον καὶ διατραχυνόμενον. ὅθεν ἀεὶ συνέχουσιν ἑαυτοὺς ἀντιπρώρους. σχιζομένη γὰρ οὕτω κατὰ κορυφὴν ἡ θάλασσα τά τε βράγχια καταστέλλει, καὶ κατὰ τῆς ἐπιφανείας ῥέουσα λείως πιέζει καὶ οὐκ ἀνίστησι τὸ φρικῶδες. τοῦτο μὲν οὖν ὥσπερ ἔφην κοινόν ἐστι τῶν ἰχθύων, πλὴν τοῦ ἔλλοπος. τοῦτον δὲ φύσει κατὰ ἄνεμον, καὶ ῥοῦν νήχεσθαι, μὴ φοβούμενον τὴν ἀναχάραξιν τῆς λεπίδος, ἅτε δὴ μὴ πρὸς οὐρὰν τὰς ἐπιπτυχὰς ἐχούσης. ὁ δὲ θύννος οὕτως ἰσημερίας αἰσθάνεται καὶ τροπῆς, ὥστε καὶ τὸν ἄνθρωπον διδάσκειν, μηδὲν ἀστρολογικῶν κανόνων δεόμενον. ὅπου γὰρ ἂν αὐτὸν αἱ τροπαὶ χειμῶνος καταλάβωσιν ἀτρεμεῖ, καὶ διατρίβει περὶ τὸν αὐτὸν τόπον ἄχρι τῆς ἰσημερίας. ἀλλὰ τῆς γεράνου σοφὸν ἡ τῆς λίθου περίδραξις, ὅπως προϊεμένη πυκνὸν ἐξυπνίζεται; καὶ πόσῳ σοφώτερον ὦ φίλε τὸ τοῦ δελφῖνος, ᾧ στῆναι μὲν οὐ θέμις, οὐδὲ παύσασθαι φορᾶς. ἀεικίνητος γάρ ἐστιν ἡ φύσις αὐτοῦ καὶ ταυτὸν ἔχουσα τοῦ ζῆν καὶ τοῦ κινεῖσθαι πέρας, ὅταν δὲ ὕπνου δέηται μετεωρίσας ἄνω

τὸ σῶμα πρὸς τὴν ἐπιφάνειαν τῆς θαλάττης, ὕπτιον ἀφῆκε διὰ βάθους, ἀνώρας
τινὶ σάλῳ κομιζόμενος ἄχρι προσπεσεῖν καὶ ψαῦσαι τῆς γῆς· οὕτω δ' ἐξυπνι-
σθεὶς ἀναρροιζεῖ, καὶ πάλιν ἄνω γενόμενος ἐνδίδωσι καὶ φέρεται κινήσει τινὰ
μεμιγμένην ἀνάπαυσιν αὑτῷ μηχανώμενος. τὸ δ' αὐτὸ δρᾶν καὶ θύννους ἀπὸ τῆς
αὐτῆς αἰτίας λέγουσιν. ἐπεὶ δὲ ἄρτι τὴν μαθηματικὴν οὕτω τὴν τοῦ ἡλίου με-
ταβολὴν ἐτέλεσα πρόγνωσιν, ἧς μάρτυς ἀριστοτέλης ἐστίν. ἄκουσον ἤδη τὴν ἀ-
ριθμητικὴν ἐπιστήμην αὐτῶν, πρότερον δὲ ναὶ μὰ δία τὴν ὀπτικήν, ἣν ἔοικε μηδ' αἰ-
σχύλος ἀγνοῆσαι. λέγει γάρ που σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην. τῷ γὰρ
ἑτέρῳ δοκοῦσιν ἀμβλυώττειν, ὅθεν ἐμβάλλουσιν εἰς τὸν πόντον ἐν δεξιᾷ τῆς γῆς ἐ-
χόμενοι, καὶ τοὐναντίον, ὅταν ἐξίωσιν, ἐμφρόνως πάνυ καὶ νουνεχῶς ἀεὶ τὴν τοῦ σώ-
ματος φυλακὴν ἐπὶ τῷ κρείττονι ποιούμενοι τῶν ὀφθαλμῶν. ἀριθμητικῆς δὲ
διὰ τὴν κοινωνικὴν ὡς ἔοικε καὶ φιλάλληλον ἀγάπησιν αὐτῶν δεηθέντες, οὕτως
ἐπ' ἄκρον ἥκουσι τοῦ μαθήματος, ὥστε ἐπεὶ πάνυ χαίρουσι τῷ συντρέφεσθαι,
καὶ συναγελάζεσθαι μετ' ἀλλήλων, ἀεὶ τὸ πλῆθος τῷ σχήματι κυβίζουσι καὶ στε-
ρεὸν ἐκ πάντων ποιοῦσιν ἐξ ἴσοις ἐπιπέδοις περιεχόμενοι· εἶτα νήχονται τὴν τά-
ξιν οὕτω τὸ πλαίσιον ἀμφίστομον διαφυλάττοντες. ὁ γοῦν θυννοσκόπος ἂν ἀκρι-
βῶς λάβῃ τὸν ἀριθμὸν τῆς ἐπιφανείας, εὐθὺς ἀποφαίνεται πόσον ἐστὶ πᾶν τὸ πλῆ-
θος, εἰδὼς ὅτι καὶ τὸ βάθος αὐτῶν ἐν ἴσῳ τεταγμένον στοιχείῳ πρός τε τὸ πλά-
τος ἐστὶ καὶ τὸ μῆκος. ἀμίας δὲ καὶ τοὔνομα παρέσχηκεν ὁ συναγελασμός, οἶ-
μαι δὲ καὶ ταῖς πηλαμύσι. τῶν δὲ ἄλλων γενῶν ὅσα φαίνεται καὶ ζῇ κοινωνικῶς
μετ' ἀλλήλων ἀγεληδόν, οὐκ ἄν τις εἴποι τὸν ἀριθμόν, ἀλλὰ μᾶλλον περὶ τὰς κατ'
ἰδίαν κοινωνίας αὐτῶν καὶ συμβιώσεις ἰτέον, ὧν ἐστι καὶ ὁ τὸ πλεῖστον ἐξανα-
λώσας χρυσίππου μέλαν πιννοθήρας παντὶ καὶ φυσικῷ βιβλίῳ καὶ ἠθικῷ προ-
εδρίαν ἔχων. τὸν γὰρ σπογγοθήραν οὐχ ἱστόρηκεν· οὐ γὰρ ἂν παρέλιπεν. ὁ μὲν οὖν
πιννοθήρας ζῷόν ἐστι καρκινῶδες, ὥς φασι καὶ τῇ πίννῃ σύνεστι, καὶ πυλωρεῖ τὴν
κόγχην προκαθήμενος ἐῶν ἀνεῳγμένην καὶ διακεχηνυῖαν ἄχρι προσπέσῃ τι τῶν
ἁλωσίμων αὐτοῖς ἰχθυδίων, τότε δὲ τὴν σάρκα τῆς πίννης δακὼν παρεισῆλθεν,
ἡ δὲ συνέκλεισε τὴν κόγχην, καὶ κοινῶς τὴν ἄγραν ἐντὸς ἕρκους γενομένην κατε-
σθίουσι. τὸν δὲ σπόγγον ἡνιοχεῖ θηρίδιον, οὐ καρκινῶδες, ἀλλ' ἀράχνῃ παρα-
πλήσιον. οὐ γὰρ ἄψυχον, οὐδ' ἀναίσθητον, οὐδ' ἄναιμον ὁ σπόγγος ἐστίν, ἀλλὰ ταῖς
μὲν πέτραις ὡς ἄλλα πολλὰ προσπέφυκεν, ἔχει δὲ κίνησιν ἰδίαν οὐκ ἐξ ἑαυτοῦ καὶ εἰς
ἑαυτὸν, οἷον ὑπομνήσεως καὶ παιδαγωγίας δεομένην· μανὸς γὰρ ὢν ἄλλως καὶ τοῖς
ἀραιώμασιν ἀνειμένος ὑπ' ἀργίας καὶ ἀμβλύτητος, ὅταν ἐμβῇ τι τῶν ἐδωδί-
μων, ἐκείνου σημήναντος, ἔμυσε καὶ κατηνάλωσεν· ἔτι δὲ μᾶλλον ἀνθρώπου προ-
σιόντος ἢ θιγόντος, διδασκόμενος καὶ χαρασσόμενος, οἷον ἔφριξε καὶ συνέκλει-
σε τὸ σῶμα πήξας καὶ πυκνώσας, ὥστε μὴ ῥᾳδίαν, ἀλλὰ δύσεργον εἶναι τὴν ὑ-
ποτομὴν αὐτοῦ τοῖς θηρεύουσιν. αἱ δὲ πορφύραι συναγελαζόμεναι τὸ μὲν κηρί-
ον ὥσπερ αἱ μέλιτται κοινῇ ποιοῦσιν, ἐν ᾧ λέγονται γονεύειν. τὰ δὲ ἐδώδιμα τῶν περι-
βρύων καὶ τῶν φυκίων ἀναλαμβάνουσαι προϊσχόμενα τοῖς ὀστράκοις οἷον ἐν περιό-
δῳ κυκλουμένην ἑστίασιν ἀλλήλαις παρέχουσιν, ἑτέραν ἑτέρας ἔξωθεν ἐπινεμο-
μένης. καὶ τί ἄν τις ἐν τούτοις τὴν κοινωνίαν θαυμάσειεν, ὅπου τὸ πάντων ἀμι-
κτότατον καὶ τὸ θηριωδέστατον, ὧν τρέφουσι ποταμοὶ καὶ λίμναι καὶ θάλασσαι
ζῴων, ὁ κροκόδειλος θαυμαστὸν ἑαυτὸν ἐπιδείκνυται πρὸς κοινωνίαν καὶ χάριν
ἐν τοῖς πρὸς τὸν τροχίλον συμβολαίοις. ὁ γὰρ τροχίλος ἐστὶ μὲν ὄρνις τῶν ἑλείων καὶ
παραποταμίων, φρουρεῖ δὲ τὸν κροκόδειλον, οὐκ οἰκόσιτος, ἀλλὰ τοῖς ἐκείνου λει-
ψάνοις παρατρεφόμενος. ὅταν γὰρ αἴσθηται τοῦ κροκοδείλου καθεύδοντος ἐπιβου-
λεύοντα

λεύοντα τὸν ἰχνεύμονα πηλούμενον ἐπ' αὐτὸν ὥσπερ ἀθλητὴν κονιόμενον, ἐπε-
γείρει φθεγγόμενος καὶ κολάπτων. ὁ δὲ οὕτως ἐξημεροῦται πρὸς αὐτόν, ὥστε
τοῦ στόματος διαχανὼν, ἐντὸς παρίεσι· καὶ χαίρει τὰ λεπτὰ τῶν ἐνισχομένων τοῖς
ὀδοῦσι σαρκῶν ἐκλέγοντος ἀτρέμα τῷ ῥάμφει καὶ διασκαλεύοντος. ἂν δὲ μετεί-
ωρος ἔχων ἤδη βούληται συναγαγεῖν τὸ στόμα καὶ κλεῖσαι, προσκλίνει τὴν σιαγόνα
καὶ διασημαίνει, καὶ οὐ πρότερον καθίησιν, ἢ συναισθανόμενον ἐκπτῆναι τὸν τρο-
χίλον. ὁ δὲ καλούμενος ἡγεμὼν μεγέθει μέν ἐστι καὶ σχήματι κωβιώδης ἰχθύδι-
ον, τὴν δ' ἐπιφάνειαν ὄρνιθι φρίσσοντι διὰ τὴν τραχύτητα τῆς λεπίδος ἐοικέναι
λέγεται καὶ ἀεὶ σύνεστιν ἑνὶ τῶν μεγάλων κητῶν, καὶ προνήχεται τὸν δρόμον, ἐ-
πευθύνων, ὅπως οὐκ ἐνσχεθήσεται βράχεσιν, οὐδ' εἰς τέναγος, ἤ τινα πορθμὸν
ἐμπέσῃ δυσέξοδον. ἕπεται γὰρ αὐτῷ τὸ κῆτος ὥσπερ οἴακι ναῦς παραγόμενον
εὐπειθῶς. καὶ τῶν μὲν ἄλλων ὅτι ἂν παραλάβῃ τῷ χάσματι ζῷον ἢ σκάφος ἢ
λίθον, εὐθὺς διέφθαρται καὶ ἀπόλωλε πᾶν ἐμβεβυθισμένον. ἐκεῖνο δὲ γινώ-
σκον ἀναλαμβάνει τῷ στόματι καθάπερ ἄγκυραν ἐντός· ἐγκαθεύδει γὰρ αὐτῷ,
καὶ τὸ κῆτος ἕστηκεν ἀναπαυομένου καὶ ὁρμεῖ. προελθόντος δὲ αὖθις ἐπακολου-
θεῖ μήτε ἡμέρας μήτε νυκτὸς ἀπολειπόμενον· ἢ ῥέμβεται καὶ πλανᾶται, καὶ
πολλὰ διεφθάρη, καθάπερ ἀκυβέρνητα πρὸς γῆν ἐξενεχθέντα. καὶ γὰρ ἡμεῖς
περὶ ἀντίκυραν ἑωράκαμεν οὐ πάλαι καὶ πρότερον ἱστοροῦσιν οὐ πόρρω βουνῶν
ἐξοκείλαντος καὶ κατασαπέντος, λοιμὸν γενέσθαι. ἆρ' οὖν ἄξιόν ἐστι ταύ-
ταις ταῖς κοινωνίαις καὶ συμπεριφοραῖς παραβάλλειν; ὁ γὰρ ἀριστοτέλης ἱστο-
ρεῖ φιλίας ἀλωπέκων καὶ ὄφεων διὰ τὸ κοινὸν αὐτοῖς πολέμιον εἶναι τὸν ἀετὸν,
ἢ τὰς ὠτίδων πρὸς ἵππους, ὅτι χαίρουσαι προσπελάζουσαι καὶ διασκάλλου-
σαι τὸν ὄνθον, ἐγὼ μὲν γὰρ οὐδὲ ἐν μελίτταις ὁρῶ τοσαύτην, οὐδὲ ἐν μύρμηξιν ἐπιμέ-
λειαν ἀλλήλων. τὸ γὰρ κοινὸν αὔξουσι πᾶσαι καὶ πάντες ἔργον, ἑτέρῳ δὲ καθ' ἕ-
τερον ἑτέρου, στοχασμὸς οὐδεὶς οὐδὲ φροντίς ἐστιν. ἔτι δὲ μᾶλλον κατοψόμεθα τὴν
διαφορὰν, ἐπὶ τὰ πρεσβύτατα καὶ μέγιστα τῶν κοινωνικῶν ἔργων καθηκόντων
τὰ περὶ τὰς γενέσεις καὶ τεκνώσεις τὸν λόγον τρέψαντες. πρῶτον μὲν γὰρ οἱ λί-
μναις παροικοῦσαν ἢ ποταμοῖς ὑποδεχομένην νεμόμενοι θάλατταν ἰχθύες, ὅταν
μέλλωσι τίκτειν ἀναχωροῦσι τῶν ποτίμων ὑδάτων τὸ πρᾳότατον καὶ τὸ ἄσα-
λον διώκοντες· ἀγαθὴ γὰρ ἡ γαλήνη λοχευούσαις, καὶ τὸ ἄθηρον, ἅμα ταῖς λίμναις
ἔνεστι καὶ ποταμοῖς· ὥστε σώζεσθαι τὰ τικτόμενα. διὸ καὶ πλεῖστα καὶ μάλι-
στα γονεύεται περὶ τὸν εὔξεινον πόντον. οὐ γὰρ τρέφει κήτη, ἀλλ' ἢ φώκην ἀραιὰν
καὶ δελφῖνα μικρόν. ἔτι δὲ ἡ τῶν ποταμῶν ἐπιμιξία πλείστων καὶ μεγίστων ἐκ-
διδόντων εἰς τὸν πόντον ἤπιον παρέχει καὶ πρόσφορον τοῖς λοχευομένοις κρᾶσιν.
τὸ δὲ τοῦ ἀνθίου θαυμασιώτατόν ἐστι, ὃν ὅμηρος ἱερὸν ἰχθὺν εἴρηκεν. καίτοι μέγαν
τινὲς οἴονται τὸν ἱερὸν καθάπερ ὀστοῦν ἱερὸν τὸ μέγα, καὶ τὴν ἐπιληψίαν μεγά-
λην νόσον οὖσαν, ἱερὰν καλοῦσιν. ἔνιοι δὲ κοινῶς τὸν ἄφετον καὶ ἱέμενον. ἐρατο-
σθένης δὲ τὸν χρυσόφρυν ἔοικεν εὐδρόμην χρύσειον ἐπ' ὀφρύσιν ἱερὸν ἰχθὺν λέ-
γειν. πολλοὶ δὲ τὸν ἔλλοπα· σπάνιος γάρ ἐστι καὶ οὐ ῥᾳδίως ἁλώνει, φαίνεται δὲ
περὶ παμφυλίαν πολλάκις. ἂν οὖν ποτε λάβωσι, στεφανοῦνται μὲν αὐτοί, στε-
φανοῦσι δὲ τὰς ἁλιάδας, κρότῳ δὲ καὶ πατάγῳ κατὰ πλέοντας αὐτοὺς ὑπο-
δέχονται καὶ τιμῶσιν. οἱ δὲ πλεῖστοι τὸν ἀνθίαν ἱερὸν εἶναι καὶ λέγεσθαι νο-
μίζουσιν. ὅπου γὰρ ἂν ἀνθίας ὀφθῇ, θηρίον οὐκ ἔστιν, ἀλλὰ θαρροῦντες
μὲν οἱ σπογγοθῆραι κατακολυμβῶσι. θαρροῦντες δὲ τίκτουσιν οἱ ἰχθύες,
ὥσπερ ἐγγυητὴν ἀσυλίας ἔχοντες. ἡ δ' αἰτία δυσλόγιστος εἴτε φεύγει
τὰ θηρία τὸν ἀνθίαν, ὡς οὖν ἐλέφαντες· ἀλεκτρυόνα δὲ λέοντες εἴτ'

ἐστι σημεῖα τόπων ἀθήρων ἃ γινώσκει καὶ παραφυλάττει. συνετὸς ὤν, καὶ μνημονικὸς ὁ ἰχθύς. ἀλλὰ ἥ γε πρόνοια κοινὴ τοῖς τίκτουσι τῶν γενομένων, οἱ δὲ ἄρρενες οὐ τὸν αὐτῶν κατεσθίουσι γόνον. ἀλλὰ καὶ προσδιατρίβουσι τοῖς κυήμασιν ᾠοφυλακοῦντες, ὡς ἱστόρηκεν Ἀριστοτέλης. οἱ δὲ ἑπόμενοι ταῖς θηλείαις, καταρραίνουσι μικρὸν τὸν θορόν. ἄλλως γὰρ οὐ γίνεται μέγα τὸ τεχθέν, ἀλλὰ ἀτελὲς μένει καὶ ἄναυξον. ἰδίᾳ δὲ αἱ φυκίδες ἐκ τῶν φυκίων οἷον νεοττιὰν διαπλασάμεναι περιαμπέχουσι τὸν γόνον καὶ σκέπουσιν ἀπὸ τοῦ κλύδωνος. τοῦ δὲ γαλεοῦ τὸ φιλόστοργον, οὐδενὶ τῶν ἡμερωτάτων ζώων ὑπερβολὴν γλυκυθυμίας πρὸς τὰ ἔκγονα καὶ χρηστότητος ἀπολέλοιπε. τίκτουσι μὲν γὰρ ᾠόν, εἶτα ζῷον οὐκ ἐκτὸς, ἀλλὰ ἐντὸς ἐν ἑαυτοῖς. καὶ τρέφουσιν οὕτως καὶ φέρουσιν, ὥσπερ ἐκ δευτέρας γενέσεως. ὅταν δὲ μείζονα γένηται, μεθιᾶσι θύραζε καὶ διδάσκουσι νήχεσθαι πλησίον. εἶτα πάλιν εἰς ἑαυτοὺς διὰ τοῦ στόματος ἐπαναλαμβάνουσι καὶ παρέχουσιν ἐνδιαιτᾶσθαι τὸ σῶμα. χώραν ἅμα καὶ τροφὴν καὶ καταφυγήν, ἄχρις ἂν ἐν δυνάμει τοῦ βοηθεῖν αὐτοῖς γένηται. θαυμαστὴ δὲ καὶ ἡ τῆς χελώνης περὶ τὴν γένεσιν καὶ σωτηρίαν τῶν γεννωμένων ἐπιμέλεια. τίκτει μὲν γὰρ ἐκβαίνουσα τῆς θαλάττης πλησίον, ἐπωάζειν δὲ μὴ δυναμένη, μηδὲ χερσεύειν πολὺν χρόνον, ἐντίθησι τῇ ψάμμῳ τὰ ᾠά, καὶ τὸ λειότατον ἐπαμᾶται τῆς θινὸς αὐτοῖς καὶ μαλακώτατον, ὅταν δὲ καταχώσῃ καὶ ἀποκρύψῃ βεβαίως, οἱ μὲν λέγουσι τοῖς ποσὶν ἀμύττειν καὶ καταστίζειν τὸν τόπον, εὔσημον ἑαυτῇ ποιοῦσαν. οἱ δέ, τὴν θήλειαν ὑπὸ τοῦ ἄρρενος στρεφομένην, τύπους ἰδίους καὶ σφραγῖδας ἐναπολείπειν. ὃ δὲ τούτου θαυμασιώτερόν ἐστιν, ἡμέραν ἐκφυλάξασα τεσσαρακοστήν, ἐν τοσαύταις γὰρ ἐκπέττεται καὶ περιρρήγνυται τὰ ᾠά, πρόσεισι. καὶ γνωρίσασα τὸν ἑαυτῆς ἑκάστη θησαυρὸν ὡς οὐδεὶς χρυσίου θήκην ἄνθρωπος ἀσπασίως ἀνοίγει καὶ προθύμως. τῶν δὲ κροκοδείλων τὰ μὲν ἄλλα παραπλήσια, τῆς δὲ χώρας ὁ στοχασμός, ἐπίνοιαν ἀνθρώπῳ τῆς αἰτίας οὐ δίδωσιν οὐδὲ συλλογισμόν. ὅθεν οὐ φασὶ λογικήν, ἀλλὰ μαντικὴν εἶναι τὴν περὶ τοῦτο τοῦ θηρίου πρόγνωσιν. οὔτε γὰρ πλέον, οὔτε ἔλαττον ἐκβᾶσα, ἀλλὰ ὅσον εἰς ὥραν ἔτους ὁ Νεῖλος αὐξηθεὶς ἐπικλύσει καὶ ἀποκρύψει τῆς γῆς, ἐκεῖ τὰ ᾠὰ τίθησιν, ὥστε τὸν ἐντυχόντα τῶν γεωργῶν, αὐτὸν γινώσκειν, ἑτέροις τε φράζειν, ὁ πόσον αὐτοῖς ὁ ποταμὸς πρόεισιν. οὕτω συνεμετρήσατο μὴ βρεχομένου, αὐτὸς βρεχόμενος ἐπῳάζῃ. ἐκλιπόντων δὲ τῶν σκύμνων ὃς ἂν εὐθὺς ἀναδὺς μὴ λάβῃ τι τῶν προστυχόντων, ἢ μυῖαν ἢ σέρφον, ἢ γῆς ἔντερον, ἢ κάρφος ἢ βοτάνην τῷ στόματι, διασπαράξασα, τοῦτον ἡ μήτηρ ἀπέκτεινε δάκνουσα. τὰ δὲ θυμοειδῆ καὶ δραστήρια, στέργει καὶ περιέπει, καθάπερ οἱ σοφώτατοι τῶν ἀνθρώπων ἀξιοῦσι, κρίσει τὸ φιλεῖν οὐ πάθει νέμουσα. καὶ μὴν αἱ φῶκαι τίκτουσι μὲν ἐν τῷ ξηρῷ, κατὰ μικρὸν δὲ προάγουσαι τὰ σκυμνία, γεύουσι τῆς θαλάττης, καὶ ταχὺ πάλιν ἐξάγουσι. καὶ τοῦτο πολλάκις ποιοῦσιν ἐν μέρει, μέχρις ἂν οὕτως ἐθιζόμενα θαρρήσῃ, καὶ στέρξῃ τὴν ἔναλον δίαιταν. οἱ δὲ βάτραχοι περὶ τὰς ὀχείας, ἀνακλήσεσι χρῶνται τὴν λεγομένην ποιοῦντες ὀλολυγόνα φωνήν, ἐρωτικὴν καὶ γαμήλιον οὖσαν. ὅταν δὲ τὴν θήλειαν ὁ ἄρρην οὕτω προσαγάγηται, κοινὴν τὴν νύκτα περιμένουσιν. ἐν ὑγρῷ μὲν γὰρ οὐ δύνανται, μεθ᾽ ἡμέραν δὲ δεδίασιν ἐπὶ γῆς μίγνυσθαι. γενομένου δὲ σκότους, ἀδεῶς συμπλέκονται προϊόντες. ἄλλως δὲ λαμπρύνουσι τὴν φωνήν, ὑετὸν προσδεχόμενοι, καὶ τοῦτο σημεῖον ἐν τοῖς βεβαιοτάτοις ἐστίν. ἀλλ᾽ οἷον ὦ φίλε Πόσειδον ὀλίγου πάθος ὡς ἄτοπον πέπονθα καὶ καταγέλαστον. εἴ με διατρίβοντα περὶ φώκας καὶ βατράχους, τὸ σοφώτατον καὶ θεοφιλέστατον παρῆλθε καὶ ἐξέφυγε τῶν ἐνάλων, ποίας γὰρ ἀηδόνας ἄξιον τῷ φιλομούσῳ

τῆς ἀλκυόνος, ἢ τῷ φιλοτέχνῳ χελιδόνας, ἢ τῷ φιλανθρώπῳ πελειάδας, ἢ τῷ τεχνικῷ παραβάλλειν μελίττας. τίνος δὲ γενέσεις καὶ τόκους καὶ ὠδῖνας ὁ θεὸς οὕτως ἐτίμησεν. τὰς μὲν γὰρ Λητοῦς γονὰς μίαν ὑποδέξασθαι νῆσον ἐρασθεῖσαν ἱστοροῦσι. τῇ δὲ ἀλκυόνι τικτούσῃ περὶ τροπάς, πᾶσαν ἵστησι θάλασσαν ἀκύμονα καὶ ἀσάλακτον. ὅθεν οὐδέν ἐστι ζῷον ἄλλο, ὃ φιλοῦσιν ἄνθρωποι. δι᾽ ἣν ἑπτὰ μὲν ἡμέρας ἑπτὰ δὲ νύκτας ἐν ἀκμῇ χειμῶνος ἀδεῶς πλέουσι τῆς κατὰ γῆν πορείας τηνικαῦτα τὴν διὰ τῆς θαλάσσης ἀσφαλεστέραν ἔχοντες. εἰ δὲ δεῖ καὶ περὶ ἑκάστης τῶν ἀρετῶν, ἃς ἔχει βραχέα φάναι, φίλανδρος μὲν οὕτως ἐστίν, ὥστε μὴ καθ᾽ ἕνα καιρόν, ἀλλὰ δι᾽ ἔτους συνεῖναι καὶ προσδέχεσθαι τὴν τοῦ ἄρρενος ὁμιλίαν, οὐ διὰ τὸ ἀκόλαστον. ἄλλῳ γὰρ οὐ μίγνυται τοπαράπαν, ἀλλ᾽ ὑπ᾽ εὐνοίας, ὥσπερ γυνὴ γαμετὴ καὶ φιλοφροσύνης. ὅταν δὲ διὰ γῆρας ἀσθενὴς ὁ ἄρρην γένηται συνέπεσθαι καὶ βαρύς, ὑπολαβοῦσα γηροφορεῖ καὶ γηροτροφεῖ, μηδαμοῦ προϊεμένη μηδὲ καταλιποῦσα χωρίς. ἀλλὰ τοῖς ὤμοις ἐκεῖνον ἀναθεμένη, κομίζει πανταχόσε καὶ θεραπεύει, καὶ σύνεστιν ἄχρι τελευτῆς. τῷ δὲ φιλοτέκνῳ καὶ πεφροντικότι σωτηρίας τῶν γεννωμένων, συνεσθανομένη κύουσαν ἑαυτήν, τάχιστα τρέπεται πρὸς ἐργασίαν τῆς νεοττιᾶς, οὐ φυρῶσα πηλόν, οὐδὲ προσερείδουσα τοίχοις καὶ ὀρόφοις, ὥσπερ αἱ χελιδόνες, οὐδὲ χρωμένη πολλοῖς τοῦ σώματος ἐνεργοῖς μέρεσιν, ὥσπερ τῆς μελίττης ἐνδυομένης τῷ σώματι τὸ κηρίον ἀνοιγούσης, ὁμοῦ ψαύοντες εἰς ἀγῶνα τόπον ἀγγεῖα διαιροῦσιν. ἡ δὲ ἀλκυὼν ἓν ὄργανον ἁπλοῦν, ἓν ὅπλον, ἓν ἐργαλεῖον ἔχουσα τὸ στόμα, καὶ μηδὲν ἄλλο τοῦ φιλοπόνου καὶ φιλοτέκνου συνεργόν, οἷα μηχανᾶται καὶ δημιουργεῖ. χαλεπόν ἐστι μὴ καταμαθόντας πεισθῆναι ὄψει, τὸ πλαττόμενον ὑπ᾽ αὐτῆς, μᾶλλον δὲ ναυπηγούμενον, σχημάτων πολλῶν μόνον ἀπερίτρεπτον καὶ ἀβάπτιστον. συλλέξασα τὰς τῆς βελόνης ἀκάνθας, συντίθησι καὶ συνδεῖ πρὸς ἀλλήλας ἐγκαταπλέκουσα. τὰς μέν, εὐθείας. τὰς δέ, πλαγίας. ὥσπερ ἐπὶ στήμονι κρόκην ἐμβάλλουσα, προσχρωμένην καμπαῖς καὶ περιαγωγαῖς δι᾽ ἀλλήλων, ὥστε διαρμόσαι καὶ γενέσθαι στρογγύλον ἐνήρεμον, προμήκει τοῦ σχήματος, ἁλιευτικῷ κύρτῳ παραπλήσιον. ὅταν δὲ συντελέσῃ φέρουσα, παρέθηκε παρὰ τὸ κλύσμα τοῦ κύματος, ὅπου προσπίπτουσα μαλακῶς ἡ θάλασσα τὸ μὴ οὐ καλῶς ἀραρὸς, ἐδίδαξεν ἀκέσασθαι καὶ καταπυκνῶσαι χαλώμενον, ὁρῶσαν ὑπὸ τῆς πληγῆς, τὰ δὲ ἡρμοσμένα καταστφίγγει καὶ πήγνυσιν, ὥστε καὶ λίθῳ καὶ σιδήρῳ δυσδιάλυτον εἶναι καὶ δύσρωτον. οὐδενὸς δὲ ἧσσον ἀξιοθαύμαστόν ἐστιν, ἥ τε συμμετρία, τό τε σχῆμα τῆς τοῦ ἀγγείου κοιλότητος. πεποίηται γὰρ αὐτὴν ἐκείνην μόνην ἐνδυομένην δέχεσθαι, τοῖς δ᾽ ἄλλοις τυφλὸν εἶναι πάντη καὶ κρύφιον, ὥστε παρεισιέναι μηδὲν εἴσω μηδὲ τῆς θαλάττης. οἶμαι μὲν οὖν μηδένα ὑμῶν ἀθέατον εἶναι τῆς νεοττιᾶς. ἐμοὶ δὲ πολλάκις ἰδόντι καὶ θίγοντι, παρίσταται λέγειν καὶ ᾄδειν. Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ ναῷ. τὸν κεράτινον βωμὸν εἶδον ἐν τοῖς ἑπτὰ καλουμένοις θεάμασιν ὑμνούμενον, ὅτι μήτε κόλλης δεόμενος, μήτε τινὸς ἄλλου δεσμοῦ, διὰ μόνων τῶν δεξιῶν συμπέπηγε καὶ συνήρμοσται κεράτων, ἵλεως δὲ ὁ θεὸς εἴη* καὶ πρός τι μουσικὸν ὄντα καὶ νησιώτην ὑμνῆς τῆς πελαγίου σειρῆνος, εὐμενὴς καὶ καταγελᾷ τῶν ἐρωτημάτων ἐκείνων, ἃ σκώπτοντες ἐρωτῶσιν οὗτοι διατί Ἀπόλλων* συβ οὐδὲ τειγλοβιοδὴ γινώσκοντα Ἀφροδίτην ὁμοῦ κατὰ θάλατταν ποιουμένην. αὐτῆς ἱερὰ καὶ ἀδελφὰ καὶ μηδὲν ὀνδυομένῳ χαίρουσαν. ἐν δὲ Λέπτει τοὺς ἱερεῖς τοῦ Ποσειδῶνος οὐδὲν ἔναλον τοπαράπαν ἐσθίοντας. τρίγλαν δὲ τοὺς Ἐλευσῖνι μύστας σεβομένους ἴστε. καὶ τῆς Ἥρας ἐν Ἄργει τὴν ἱέρειαν ἀπεχομένην ἐπὶ τιμῇ τοῦ ζώου. τὸν γὰρ θαλάτ-

πευ λαιωδὸν ὅς ἐστιν ἀνθρώπῳ θανάσιμος, κτείνουσιν αἱ τρίγλαι μάλιστα καὶ κατα ναλίσκουσι. διὰ ταῦτα, ὡς φιλάνθρωπα καὶ σωτήρια ζῶα τὴν ἄγραν ἔχουσι. καὶ μὴν ἀρτέμιδός γε δικτύννης, δελφινίου τε ἀπόλλωνος ἱερὰ καὶ βωμοὶ παρὰ πολλοῖς ἑλλήνων εἰσίν. ὃν δὲ αὐτὸν ἑαυτῷ τόπον ἐξαίρετον ὁ θεὸς πεποίηται, κρητῶν ἀπογόνους οἰκοῦντας ἡγεμόνι δελφῖνι χρησαμένων. οὐ γὰρ θεὸς προενήχετο τὸ τοῦ στόλου μεταβαλὼν εἶδος, ὡς οἱ μυθογράφοι λέγουσιν, ἀλλὰ δελφῖνα πέμψαι τοῖς ἀνδράσιν ἰθύνοντα τὸν πλοῦν, καταγαγεῖν εἰς κίρραν. ἱστοροῦσι δὲ καὶ τοὺς πεμφθέντας εἰς σινώπην ὑπὸ πτολεμαίου τοῦ σωτῆρος ἐπὶ τὴν σαράπιδος κομιδήν, καὶ διονύσιον ἀπωσθέντα ἀνέμῳ βιαίῳ κομίζεσθαι παρὰ γνώμην ὑπὲρ μαλέαν ἐν δεξιᾷ πελοπόννησον ἔχοντας, εἶτα ῥεμβομένους καὶ δυσθυμοῦντας αὐτούς, προφανέντα δελφῖνα πρώραθεν ὥσπερ ἐκκαλεῖσθαι καθηγούμενον εἰς τὰ ναύλοχα, καὶ στόλους μαλακοὺς ἔχοντα τῆς χώρας εἶναι ἀσφαλεῖς, ἄχρις οὗ τοῦτον τὸν τρόπον ἄγων καὶ παραπέμπων τὸ πλοῖον εἰς κίρραν κατέστησεν. ὅθεν ἀναβατήρια θύσαντες, ἔγνωσαν ὅτι δεῖ τῆς κόδυοῖν ἀγαλμάτων. τὸ μὲν τοῦ πλούτωνος ἀνελέσθαι καὶ κομίζειν. τὸ δὲ, τῆς κόρης ἀπομάξασθαι καὶ καταλιπεῖν. εἰκὸς μὲν οὖν ἦν καὶ τὸ φιλόμουσον ἀγαπᾶν τοῦ θηρίου τὸν θεόν, ᾧ καὶ πίνδαρος ἀπεικάζων ἑαυτὸν ἐρεθίζεσθαί φησιν, οὐ δελφῖνος ἀπόκρισιν. τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει αὐλῶν ἐκίνησ᾽ ἐρατὸν μέλος, ἀλλὰ μᾶλλον ἔοικε τὸ φιλάνθρωπον αὐτοῦ θεοφιλὲς εἶναι. μόνος γὰρ ἄνθρωπον ἀσπάζεται καθὸ ἄνθρωπός ἐστι. τῶν δὲ χερσαίων, τὰ μὲν, οὐδένα. τὰ δὲ, ἡμερώτατα. μόνους περιέπει τοὺς τρέφοντας ἀπὸ χρείας, καὶ τοὺς συνήθεις, ὁ κύων, ὁ ἵππος, ὁ ἐλέφας. αἱ δὲ χελιδόνες ὅσον μὲν δέονται, τυγχάνουσιν εἰσοικισάμεναι σκιᾶς καὶ ἀναγκαίας ἀσφαλείας. φεύγουσι δὲ καὶ φοβοῦνται τὸν ἄνθρωπον, ὥσπερ θηρίον. τῷ δὲ δελφῖνι παρὰ πάντα καὶ μόνῳ τὸ φύσει ζητούμενον ὑπὸ τῶν ἀρίστων φιλοσόφων ἐκεῖνο τὸ φιλεῖν ἄνευ χρείας, πᾶσιν εὐμενὴς πρὸς ἀνθρώπους ὑπάρχει. μηδενὸς γοῦν εἰς μηδὲν ἀνθρώπου δεόμενος, πᾶσιν εὐμενής ἐστι φίλος καὶ βεβοήθηκε πολλοῖς. ὧν τὰ μὲν ἀρίονος οὐδεὶς ἀγνοεῖ. πολυθρύλητα γάρ ἐστιν. ἡσιόδου δὲ κατὰ καιρὸν αὐτὸς ἡμᾶς ὦ φίλε ἀνέμνησας. ἀτὰρ οὐ τέλος ἵκεο μύθων. ἔδει γὰρ τὸν κύνα αἰτιασάμενον, μὴ παραλιπεῖν τοὺς δελφῖνας. τυφλὸν γὰρ ἦν τὸ μήνυμα τοῦ κυνός, ὑλακτοῦντος καὶ μετὰ βοῆς ἐπιφερομένου τοῖς φονεῦσι. περὶ τὸ νέμειον θαλάσσῃ διαφερόμενον ἀράμενοι δελφῖνες, ἑτέροις παρ᾽ ἑτέρων ἐκδεχόμενοι προθύμως εἰς τὸ ῥίον ἐκθέντες ἔδειξαν ἐσφαγμένον. ἐνάλον δὲ τὸν αἰολέα μυρτίλος ὁ λέσβιος ἱστορεῖ τῆς φινέως ἐρῶντα θυγατρὸς, αὐτὸν ἐκριφείσης κατὰ χρησμὸν τῆς ἀμφιτρίτης, ὑπὸ τῶν πενθίλων καὶ αὐτὸν ἐκβαλλόμενον εἰς τὴν θάλασσαν, ὑπὸ δελφῖνος σῶον ἐξενεχθῆναι πρὸς τὴν λέσβον. ἡ δὲ πρὸς τὸν ἰασέα παῖδα τοῦ δελφῖνος εὔνοια καὶ φιλία δι᾽ ὑπερβολήν, ἔρως ἔδοξε. συνέπαιζε γοῦν αὐτῷ καὶ συνενήχετο καθ᾽ ἡμέραν, καὶ παρεῖχε ἐποχεῖσθαι καὶ ψαυόμενος οὐκ ἔφευγεν, ἀλλὰ ἔφερε χαίρων. ἔπειτα περιβαίνοντος, ἐφ᾽ ὃν ἐπὶ τὴν πρὸς ὃ ἔκαμπτε, κλίνων ὁμοῦ πάντων ἰασέων ἑκάστοτε συντρεχόντων ἐπὶ τὴν ἀποθάλατταν. ὄμβρου δὲ πολλοῦ ποτὲ μετὰ χαλάζης ἐπιπεσόντος, ὁ μὲν παῖς ἀπορρυεὶς ἐξέλιπεν. ὁ δὲ δελφὶν ὑπολαβὼν ἅμα τῷ νεκρῷ συνεξέωσεν αὐτὸς ἑαυτὸν ἐπὶ τὴν γῆν, καὶ οὐκ ἀπέστη τοῦ σώματος ἕως ἀπέθανεν, δικαιώσας μεταλαχεῖν ἧς ὡς συναίτιος ἔδοξε γεγονέναι τελευτῆς καὶ τοῦ πάθους. ἐπίσημον ἰασεῦσι τὸ χάραγμα τοῦ νομίσματός ἐστι, παῖς ὑπὲρ δελφῖνος ὀχούμενος. ἐκ δὲ τούτου καὶ τὰ περὶ κοίρανον ἔντα μυθώδη, πίστιν ἔσχε. πάριος γὰρ ὢν τὸ γένος ἐν βυζαντίῳ δελφίνων βόλῳ ἐνσχεθέντων σαγήνῃ, καὶ κινδυνευόντων κατακοπῆναι, πριάμενος μεθῆκε πάντας. ὀλίγῳ δὲ ὕστερον ἔπλει πεντηκόντορον ἔχων, ὥς φασι λῃστῶν ἄνδρας ἄγουσαν. ἐν δὲ τῷ μεταξὺ νάξου καὶ πάρου πορθμῷ τῆς νεὼς ἀναστραπείσης καὶ τῶν ἄλλων διαφθαρέντων, ἐκεῖνον λέγουσι δελφῖνος ὑποδραμόντος αὐτῷ καὶ ἀνακουφίζοντος ἐξενεχθῆναι τῆς σικύνθου κατὰ σπήλαιον, ὃ δείκνυται μέχρι νῦν, καὶ καλεῖται κοιράνειον. ἐπὶ τούτῳ δὲ λέγεται ποιῆσαι τὸν ἀρχίλοχον· πεντήκοντ᾽ ἀνδρῶν λίπε κοίρανον ἤπιος ποσειδῶν. ἐπεὶ δ᾽ ὕστερον ἀποθανόντος αὐτοῦ, τὸ σῶμα πλησίον τῆς θαλάττης οἱ προσήκοντες ἔκαιον. ἐπεφαίνοντο πολλοὶ δελφῖνες παρὰ τὸν αἰγιαλόν, ὥσπερ ἐπιδεικνύντες ἑαυτοὺς ἥκοντας ἐπὶ τὰς ταφάς, καὶ παραμείναντες ἄχρις οὗ συνετελέσθησαν.

ἡ δὲ ὀδυσσέως ἀσπὶς ὅτι μὲν ἐπίσημον εἶχε δελφῖνα, καὶ στησίχορος ἱστόρηκεν. ἐξ ἧς δὲ αἰτίας, ζακύνθιοι διαμνημονεύουσιν, ὡς κριθεὺς μαρτυρεῖ. νήπιος γὰρ ὢν ὁ τηλέμαχος ὥς φασιν, εἰς ἀγχιβαθὲς τῆς θαλάττης ὀλισθὼν ἐσώθη, δελφίνων ὑπολαβόντων καὶ ἀνανηξαμένων. ὅθεν ἐποιήσατο γλυφὴν τῇ σφραγίδι καὶ τῆς ἀσπίδος κόσμον ὁ πατὴρ ἀμειβόμενος τὸ ζῶον. ἀλλ᾽ ἐπεὶ προειπὼν ὡς οὐδὲ μῦθον ὑμῖν ἐρῶ, καὶ αὐτὸς οὐκ οἶδα ὅπως πρὸς τοῖς δελφῖσιν ἔλαθον πορρωτέρω τοῦ πιθανοῦ, συνεξοκείλας εἰς τὸν ὀδυσσέα καὶ κοίρανον, ἐπιτίθημι δίκην ἐμαυτῷ. παύομαι γὰρ ἤδη λέγων. ἔξεστιν οὖν ὑμῖν ὦ ἄνδρες δικασταὶ τὴν ψῆφον φέρειν, ἀλλὰ ἡμῖν γε πάλαι τὸ τοῦ σοφοκλέους δεδογμένον ἐστίν. οὐ γὰρ καὶ διχοστατῶν λόγος συγκολλᾶτ᾽ ἐς μέσον ἀμφοῖν τεκταίνεται. ταυτὶ γὰρ ἃ πρὸς ἀλλήλους εἰρήκαμεν συνθέντες εἰς ταυτὸν ἀμφότεροι καλῶς ἀγωνιεῖσθε κοινῇ, πρὸς τοὺς τὰ ζῶα λόγου καὶ συνέσεως ἀποστεροῦντας.

ΓΑΛΒΑΣ.

μὲν ἀθηναῖος ἰφικράτης τὸν μισθοφόρον ἠξίου στρατιώτην, καὶ φιλόπλουτον εἶναι καὶ φιλήδονον, ὅπως ταῖς ἐπιθυμίαις χορηγίαν ἐπιζητῶν, ἀγωνίζηται παραβολώτερον. οἱ δὲ πλεῖστοι καθάπερ ἐρρωμένον σῶμα τὸ στρατιωτικὸν ἀξιοῦσιν ἰδίᾳ μηδέποτε χρώμενον ὁρμῇ, συγκινεῖσθαι τῇ τοῦ στρατηγοῦ. διὸ καὶ παῦλον αἰμίλιον λέγουσι τὴν ἐν μακεδονίᾳ δύναμιν παραλαβόντα λαλιᾶς καὶ περιεργίας οἷον διαστρατηγοῦσαν ἀνάπλεων, παρεγγυῆσαι τὴν χεῖρα ποιεῖν ἑτοίμην καὶ τὴν μάχαιραν ὀξεῖαν ἕκαστον. αὐτῷ δὲ τῶν ἄλλων μελήσειν. ὁ δὲ πλάτων οὐδὲν ἔργον ὁρῶν ἄρχοντος ἀγαθοῦ καὶ στρατηγοῦ στρατιᾶς μὴ σωφρονούσης μηδὲ ὁμοπαθούσης, ἀλλὰ τὴν πειθαρχικὴν ἀρετὴν ὁμοίως τῇ βασιλικῇ νομίζων, φύσεως γενναίας καὶ τροφῆς φιλοσόφου δεῖσθαι, μάλιστα τῷ πράῳ καὶ φιλανθρώπῳ τὸ θυμοειδὲς καὶ δραστήριον ἐμμελῶς ἀνακεραννυμένης, ἄλλα τε πάθη πολλά, καὶ τὰ ῥωμαίοις συμπεσόντα μετὰ τὴν νέρωνος τελευτὴν ἔχει μαρτύρια καὶ παραδείγματα τοῦ μηδὲν εἶναι φοβερώτερον ἀπαιδεύτῳ χρωμένης καὶ ἀλόγοις ὁρμαῖς ἐν ἡγεμονίᾳ στρατιωτικῆς δυνάμεως. δημάδης μὲν γὰρ ἀλεξάνδρου τελευτήσαντος, εἴκαζε τὴν μακεδόνων στρατιὰν, ἐκτετυφλωμένῳ τῷ κύκλωπι, πολλὰς κινουμένην ὁρῶν κινήσεις ἀτάκτους καὶ παραφόρους. τὴν δὲ ῥωμαίων ἡγεμονίαν ὅμοια τοῖς λεγομένοις τιτανικοῖς πάθεσι καὶ κινήμασι κατελάμβανεν, εἰς πολλὰ διασπωμένην ἅμα καὶ πολλαχόθεν αὖθις ἑαυτῇ συμπίπτουσαν. οὐχ οὕτως ὑπὸ φιλαρχίας τῶν ἀναγορευομένων αὐτοκρατόρων, ὡς φιλοπλουτίας καὶ ἀκολασίας τοῦ στρατιωτικοῦ, δι᾽ ἀλλήλων ὥσπερ ἥλους τοὺς ἡγεμόνας ἐκκρούοντος. καίτοι διονύσιος φεραῖον ἄρξαντα θετταλῶν δέκα μῆνας, εἶτα εὐθὺς ἀναιρεθέν-

τα τὸν τραγικὸν ἀνεκάλει τύραννον ἐπισκώπτων τὸ τάχος τῆς μεταβολῆς. ἡ δὲ
τῶν καισάρων ἑστία τὸ παλάτιον ἐν ἐλάσσονι χρόνῳ, τέσσαρας αὐτοκράτορας ὑ-
πεδέξατο. τὸν μὲν εἰσαγόντων, ὥσπερ διὰ σκηνῆς, τὸν δ᾽ ἐξαγόντων. ἀλλ᾽ ἦν γε πα-
ραμυθία τοῖς κακῶς πάσχουσι μία, τὸ μὴ δεηθῆναι δίκης ἑτέρας, ἐπὶ τοὺς αἰ-
τίους, ἀλλ᾽ ὁρᾷν αὐτοὺς ὑφ᾽ ἑαυτῶν φονευομένους. πρῶτον δὲ καὶ δικαιότατα
πάντων τὸν δελεάσαντα καὶ διδάξαντα τοσοῦτον ἐλπίζειν ἐπὶ μεταβολῇ καί-
σαρος, ὅσον αὐτὸς ὑπέσχετο, κάλλιστον ἔργον διαβαλὼν τὸ, μισθῷ τὴν ἀπὸ νέ-
ρωνος ἀποστασίαν προδοσίαν γενομένην. νυμφίδιος γὰρ σαβῖνος ὢν ἔπαρ-
χος ὥσπερ εἴρηται, μετὰ τιγελλίνου τῆς αὐλῆς. ἐπεὶ τὰ νέρωνος ἀπέγνωστο
παντάπασι, καὶ δῆλος ἦν ἀποδρασόμενος εἰς αἴγυπτον, ἔπεισε τὸ στρατιωτι-
κὸν, ὡς μηκέτι παρόντος ἀλλ᾽ ἤδη πεφευγότος, αὐτοκράτορα γάλβαν ἀναγορεῦ-
σαι, καὶ δωρεὰν ὑπέσχετο κατ᾽ ἄνδρα τοῖς αὐλικοῖς καὶ στρατηγικοῖς προσαγο-
ρευομένοις, δραχμὰς ἑπτακισχιλίας πεντακοσίας. τοῖς δὲ ἐκτὸς στρατευομέ-
νοις, πεντήκοντα καὶ διακοσίας ἐπὶ χιλίαις, ὅσον ἀμήχανον ἦν συναγαγεῖν μὴ
πλείονα μυριάκις κακὰ παρασχόντα πᾶσιν ἀνθρώποις, ὧν νέρων παρέσχε. τοῦ-
το γὰρ εὐθὺς μὲν ἀπώλεσε νέρωνα, μετ᾽ ὀλίγον δὲ γάλβαν. τὸν μὲν γὰρ ὡς ληψό-
μενοι προήκαντο, τὸν δὲ μὴ λαμβάνοντες, ἀπέκτειναν. εἶτα τὸν τοσοῦτον δώσον-
τα ζητοῦντες, ἔφθησαν ἐν ταῖς ἀποστάσεσι, καὶ προδοσίαις, ἀναλώσαντες αὐ-
τοὺς, ἢ τυχόντες ὧν ἤλπισαν. τὰ μὲν οὖν καθέκαστα τῶν γενομένων ἀπαγ-
γέλλειν ἀκριβῶς τῆς πραγματικῆς ἱστορίας ἐστὶν, ὅσα δὲ ἄξια λόγου, τοῖς τῶν
καισάρων ἔργοις καὶ πάθεσι συμπέπτωκεν, οὐδὲ ἐμοὶ προσήκει παρελθεῖν.
γάλβας σουλπίκιος, ὅτι μὲν ἰδιώτης πλουσιώτατος ἁπάντων εἰς τὸν καισάρων
παρῆλθεν οἶκον, ὁμολογεῖται. μέγα δὲ ἔχων εὐγενείας ἀξίωμα, τὸν σερουίων οἴ-
κων, αὐτὸς ἐφρόνει μεῖζον ἐπὶ τῇ κάτλου συγγενείᾳ πρωτεύσαντος ἀνδρὸς ἀρε-
τῇ καὶ δόξῃ τῶν καθ᾽ ἑαυτὸν, εἰ καὶ τὸ δύνασθαι μᾶλλον ἑκὼν ἑτέροις παρῆκεν.
ἦν δέ τι καὶ λιβίᾳ τῇ καίσαρος γυναικὶ κατὰ γένος προσήκων ὁ γάλβας, καὶ
διὰ τοῦτο λιβίας παραγούσης ὕπατος ἐκ παλατίου προῆλθε. λέγεται δὲ καὶ
στρατεύματος ἐν γερμανίᾳ καλῶς ἄρξαι, καὶ λιβύης ἀνθύπατος γενόμενος, ἐνδό-
ξως ὀλίγοις ἐπαινεθῆναι. τὸ δὲ εὔκολον αὐτοῦ τῆς διαίτης καὶ φειδωλὸν ἐν δα-
πάναις καὶ ἀπέριττον αἰτίαν ἔχων αὐτοκράτορος γενομένου μικρολογίας. ἣ
ἑωλόν τινα δόξαν εὐταξίας ἔφερε καὶ σωφροσύνης. ἐπέμφθη δὲ ἀπὸ νέρω-
νος ἰβηρίας ἄρχων, οὔπω δεδιδαγμένου φοβεῖσθαι τοὺς ἐν ἀξιώμασι μεγάλους
τῶν πολιτῶν. ἐκείνῳ δὲ καὶ φύσει δοκοῦντι πρᾴῳ γεγονέναι προσετίθει πίστιν εὐ-
λαβείας τὸ γῆρας. ἐπεὶ δὲ τῶν ἀλιτηρίων ἐπίτροπος ὢν ὠμῶς καὶ ἀγρίως
τὰς ἐπαρχίας ἐκείνων διαφορούντων, ἄλλο μὲν εἶχεν οὐδὲν βοηθεῖν, αὐτὸ δὲ τὸ
φανερῶς εἶναι συναλγῶν καὶ συναδικούμενος, ἁμῶς γέ πως ἀναπνοήν τινα καὶ
παραμυθίαν τοῖς καταδικαζομένοις καὶ πωλουμένοις παρέσχε, καὶ ποιημά-
των εἰς νέρωνα γινομένων, καὶ πολλαχοῦ περιφερομένων καὶ ᾀδομένων, οὐκ ἐκώ-
λυεν οὐδὲ συνηγανάκτει τοῖς ἐπιτρόποις. ἐφ᾽ οἷς ἔτι μᾶλλον ἠγαπᾶτο ὑπὸ τῶν
ἀνθρώπων. καὶ γὰρ ἦν ἤδη συνήθης ἔτος ὄγδοον ἐκεῖνο τὴν ἀρχὴν ἔχων, ἐν ᾧ ἰούνι-
ος οὐίνδιος ἐπανέστη νέρωνι γαλατίας ὢν στρατηγός. λέγεται μὲν οὖν καὶ
πρὸ τῆς ἐμφανοῦς ἀποστάσεως, γράμματα πρὸς αὐτὸν ἀφικέσθαι παρὰ τοῦ
οὐίνδικος, οἷς μήτε πιστεῦσαι μήτε μηνῦσαι καὶ κατειπεῖν, ὡς ἕτεροι τῶν ἡγεμο-
νικῶν ἐπιστολὰς αὐτοῖς γραφείσας ἔπεμψαν πρὸς νέρωνα καὶ διέφθειραν, ὅσον
ἐπ᾽ αὐτοῖς τὴν πρᾶξιν, ἧς ὕστερον μετασχόντες ὡμολόγησαν αὐτῶν οὐδὲν ἧττον,
ἢ ἐκείνου προδόται γεγονέναι. ἀλλ᾽ ἐπειδὴ λαμπρῶς τὸν πόλεμον ἐκφή-
νας

νας ὁ οὐίνδιξ, ἔγραψε τῷ γάλβα παρακαλῶν ἀναδέξασθαι τὴν ἡγεμονίαν, καὶ
παρασχεῖν ἑαυτὸν ἰσχυρῷ σώματι ζητοῦντι κεφαλὴν ταῖς γαλατίαις, δέκα μυρι-
άδας ἀνδρῶν ὡπλισμένων ἐχούσαις, ἄλλας τε πλείονας ὁπλίσαι δυναμέ-
ναις, προὔθηκε βουλὴν τοῖς φίλοις, ὧν οἱ μὲν, ἠξίουν περιμένειν, καραδοκοῦν-
τα τίνα κίνησιν ἡ ῥώμη καὶ φορὰν ἕξει πρὸς τὸν νεωτερισμόν. τίτος δὲ ὁ βίνιος
ὁ τοῦ στρατιωτικοῦ τάγματος ἡγεμὼν, αὐτὸς εἶπεν, ὦ γάλβα τίνα τρόπον βου-
λεύεσθε. τὸ γὰρ ζητεῖν νέρωνι εἰ πιστοὶ μένοιμεν, ἤδη μενόντων ἐστὶν, ὡς οὖν ὑπάρ-
χοντος ἐχθροῦ νέρωνος, οὐ δεῖ προετέον τὴν τοῦ οὐίνδικος φιλίαν, ἢ καὶ κατη-
γορητέον εὐθὺς αὐτοῦ καὶ πολεμητέον. ὅτι σὲ βούλεται ῥωμαίους ἔχειν ἄρχον-
τα μᾶλλον ἢ νέρωνα τύραννον. ἐκ τούτου προγράμματι μὲν ἐδήλωσεν ὁ γάλ-
βας, ἡμέραν ἐν ᾗ τὰς κατὰ μέρος ἐλευθερώσεις ἀποδώσει τοῖς δεομένοις. λα-
λιὰ δὲ καὶ φήμη προεκπεσοῦσα πλῆθος ἀνθρώπων ἤθροισε προθύμων ἐπὶ τὸν
νεωτερισμόν. οὐκ ἔφθη γοῦν φανερῶς ἐπὶ τοῦ βήματος γενόμενος, καὶ πάντες
αὐτὸν ὁμοφώνως αὐτοκράτορα προσεῖπον. ὁ δὲ ταύτην μὲν εὐθὺς οὐ προσ-
εδέξατο τὴν προσηγορίαν. κατηγορήσας δὲ τοῦ νέρωνος, καὶ τῶν ἀνῃρημένων ἀν-
δρῶν ὑπ᾽ αὐτοῦ, τοὺς ἐπιφανεστάτους ὀλοφυράμενος, ὡμολόγησεν ἐπιδώσειν
τῇ πατρίδι τὴν ἑαυτοῦ πρόνοιαν, οὔτε καῖσαρ, οὔτε αὐτοκράτωρ, στρατηγὸς δὲ
συγκλήτου καὶ δήμου ῥωμαίων ὀνομαζόμενος. ὅτι δὲ ὀρθῶς ὁ οὐίνδιξ καὶ
λελογισμένος ἐξεκαλεῖτο τὸν γάλβαν ἐπὶ τὴν ἡγεμονίαν, ἐπιστώσατο μαρτυ-
ρι τῷ νέρωνι. προσποιούμενος γὰρ ἐκείνου καταφρονεῖν καὶ παρ᾽ οὐδὲν ἡγεῖσθαι
τὰ γαλατῶν, ἅμα τῷ πυθέσθαι τὰ περὶ γάλβαν. ἔτυχε δὲ λελουμένος καὶ ἀ-
ριστῶν, ἀνέτρεψε τὴν τράπεζαν. οὐ μὴν ἀλλὰ συγκλήτου ψηφισαμένης πο-
λέμιον τὸν γάλβαν, αὐτός τε παίζειν καὶ θρασύνεσθαι πρὸς τοὺς φίλους βου-
λόμενος, οὐ φαύλην ἔφη πρόῤῥησιν ἐμπεπτωκέναι λογισμοῦ δεομένων χρημά-
των αὐτῷ, καὶ τὰ μὲν γαλατῶν ὅταν ὑποχείριοι γένωνται, λαφυραγωγήσεσθαι
καὶ λίαν. ἡ δὲ γάλβα πάρεστιν οὐσία χρῆσθαι καὶ πωλεῖν ἤδη πολεμίου πεφη-
νότος. οὗτός τε δὴ τὰ γάλβα πιπράσκειν ἐκέλευε. καὶ γάλβας ἀκούσας ὅσα
νέρωνος ἦν ἐν ἰβηρίᾳ κηρύττων εὕρισκε πολλοὺς προθυμοτέρους ὄντας. ἀφι-
σταμένων δὲ πολλῶν τοῦ νέρωνος καὶ πάντων ἐπιεικῶς τῷ γάλβα προστιθεμέ-
νων, μόνος κλώδιος μάκρος ἐν λιβύῃ καὶ οὐεργίνιος ῥοῦφος ἐν γαλατίᾳ τοῦ γερ-
μανικοῦ στρατεύματος ἡγούμενος, αὐτοὶ καθ᾽ ἑαυτοὺς ἔπραττον οὐ τὴν αὐτὴν αἵ-
ρεσιν ἔχοντες, ἀλλ᾽ ὁ μὲν κλώδιος ἐν ἁρπαγαῖς πραγμάτων γεγονὼς καὶ φόνοις
ἀνδρῶν δι᾽ ὠμότητα καὶ πλεονεξίαν, δῆλος ἦν ἐν τῷ μήτε κατέχειν μήτε ἀφιέ-
ναι τὴν ἀρχὴν δύνασθαι περιφερόμενος. οὐεργίνιος δὲ ταγμάτων ἐπιστατῶν δυ-
νατωτάτων πολλάκις αὐτὸν ἀναγορευόντων αὐτοκράτορα καὶ βιαζομένων, οὔ-
τε αὐτὸς ἔφη λήψεσθαι τὴν ἡγεμονίαν, οὔτε ἄλλῳ περιόψεσθαι διδομένην,
ὃν ἂν μὴ ἡ σύγκλητος ἕληται. ταῦτα τὸν γάλβαν οὐ μετρίως ἐθορύβει
τὸ πρῶτον. ἐπεὶ δὲ τὰ οὐεργινίου καὶ οὐίνδικος στρατεύματα τρόπον τινὰ βίᾳ τοὺς
ἡγεμόνας ὥσπερ τοὺς ἡνιόχους κρατῆσαι χαλινῶν μὴ δυνηθέντας, εἰς μάχην
ἐξενεγκόντα μεγάλην συνέρραξαν, καὶ οὐίνδικος ἑαυτὸν ἀνελόντος ἐπὶ δισμυ-
ρίοις γαλατῶν πεσοῦσι, διῆλθε λόγος, ὡς βουλομένων πάντων ἐπὶ νίκῃ τοσαύτῃ
τὸν οὐεργίνιον ἀναδέξασθαι τὴν ἡγεμονίαν, ἢ πάλιν μεταβαλουμένων πρὸς νέ-
ρωνα, τότε δὴ παντάπασι περίφοβος γενόμενος ὁ γάλβας, ἔγραψε τῷ οὐεργι-
νίῳ παρακαλῶν κοινοπραγεῖν καὶ διαφυλάσσειν, ἅμα τὴν ἡγεμονίαν καὶ τὴν
ἐλευθερίαν ῥωμαίοις. αὖθις δὲ μετὰ τῶν φίλων εἰς κολουνίαν ἰβηρικὴν πόλιν
ἀναχωρήσας, ἐν τῷ μετανοεῖν περὶ τῶν γεγονότων καὶ ποθεῖν τὴν συνήθη καὶ

σώφρονα ἀπραγμοσύνην μᾶλλον ἢ πρᾶξαί τι τῶν ἀναγκαίων ἐλείπετο. ἦν δὲ θέρος ἤδη καὶ βραχὺ πρὸ δείλης, ἧκεν ἀπὸ ῥώμης σίκελος ἀνὴρ ἀπελεύθερος, ἑβδομαῖος, πυθόμενος δὲ τὸν γάλβαν ἀναπαύεσθαι καθ' ἑαυτόν, ἐβάδιζε συντόνως ἐπὶ τὸ δωμάτιον αὐτοῦ, καὶ βίᾳ τῶν θαλαμηπόλων ἀνοίξας καὶ παρελθών, ἀπήγγειλεν, ὅτι καὶ ζῶντος ἔτι τοῦ νέρωνος οὐκ ὄντος δὲ φανεροῦ, τὸ στράτευμα πρῶτον, εἶτα ὁ δῆμος καὶ ἡ σύγκλητος, αὐτοκράτορα τὸν γάλβαν ἀναγορεύσειεν· ὀλίγον δὲ ὕστερον ἀπαγγελθείη τεθνηκὼς ἐκεῖνος· οὐ μὴν αὐτός γε πιστεύσας ἔφη τοῖς ἀπαγγέλλουσιν, ἀλλὰ ἐπελθὼν τῷ νεκρῷ καὶ κείμενον θεασάμενος οὕτως ἐξελθεῖν. ταῦτα ἀπαγγελλόμενα λαμπρὸν ἦρε τὸν γάλβαν, καὶ συνέδραμε πλῆθος ἀνδρῶν ἐπὶ θύρας ἐκτεθαρρηκότων ὑπ' αὐτοῦ βεβαίως. καίτοι τὸ τάχος ἦν ἄπιστον, ἀλλὰ καὶ δυσὶν ἡμέραις οὔτιτος πολ* τῶν ἀπὸ στρατοπέδου μεθ' ἑτέρων ἀφίκετο, τὰ δόξαντα τῇ συγκλήτῳ καθ' ἕκαστον ἀπαγγέλλων. οὗτος μὲν οὖν εἰς τάξιν ἔντιμον προήχθη· τῷ δὲ ἀπελευθέρῳ δακτυλίους τε χρυσοῦς ἔδωκε, καὶ μαρκιανὸς οὐίκελλος ἤδη καλούμενος, εἶχε τὴν πρώτην ἐν τοῖς ἀπελευθέροις δύναμιν. ἐν δὲ ῥώμῃ νυμφίδιος σαβῖνος, οὐκ ἠρέμα καὶ κατὰ μικρόν, ἀλλὰ συλλήβδην ὁμοῦ πάντα πράγματα φέρων, εἰσήνεγκεν εἰς ἑαυτόν, ὡς γάλβαν μὲν ὄντα πρεσβύτην, καὶ μόλις εἰς ῥώμην ἐξαρκέσοντα φοράδην κομισθῆναι διὰ γῆρας· ἦν γὰρ ἐτῶν τριῶν καὶ ἑβδομήκοντα, τὰ δὲ αὐτόθι στρατεύματα καὶ πάλαι πρὸς αὐτὸν εὐνόως ἔχοντα καὶ νῦν ἐκείνου ἐξηρτημένα μόνου, διὰ τὸ τῆς δωρεᾶς μέγεθος εὐεργέτην ἐκεῖνον ἡγεῖσθαι, γάλβαν δὲ χρεωφειλέτην. εὐθὺς οὖν τιγελλίνῳ μὲν τῷ συνάρχοντι προσέταξεν ἀποθέσθαι τὸ ξίφος· ὑποδοχὰς δὲ ποιούμενος, ἐδείπνιζε τοὺς ὑπατικοὺς καὶ τοὺς ἡγεμονικούς· ἔτι τὸ γάλβα προστιθεὶς ὄνομα ταῖς κλήσεσιν· ἐν δὲ τῷ στρατοπέδῳ πολλοὺς παρεσκεύασε λέγειν, ὡς πεμπτέον ἐστὶ πρὸς γάλβαν αἰτουμένους ἔπαρχον ἐσαεὶ νυμφίδιον ἄνευ συνάρχοντος. ἃ δὲ ἡ σύγκλητος ἐς τιμὴν ἔπραττεν αὐτοῦ καὶ δύναμιν, ἀνακαλοῦσα εὐεργέτην καὶ συντρέχουσα καθ' ἡμέραν ἐπὶ θύρας, καὶ παντὸς ἐξάρχειν δόγματος ἀξιοῦσα καὶ βεβαιοῦν, ἔτι περαιτέρω τόλμης ἀνῆγεν ἑαυτόν, ὥστε ὀλίγου χρόνου τοῖς θεραπεύουσιν αὐτὸν μὴ μόνον ἐπίφθονον ἀλλὰ καὶ φοβερὸν εἶναι. τῶν δ' ὑπάτων οἰκέτας δημοσίους προχειρισαμένων τὰ δόγματα κομίζοντας τῷ αὐτοκράτορι, καὶ τὰ πόλιν καλούμενα διπλώματα σεσημασμένα δόντων, ἃ γνωρίζοντες οἱ κατὰ πόλιν ἄρχοντες ἐν ταῖς τῶν ὀχημάτων ἀμοιβαῖς ἐπιταχύνουσι τὰς προπομπὰς τῶν γραμματηφόρων, οὐ μετρίως ἠγανάκτησεν· ὅτι μὴ παρ' αὐτοῦ σφραγῖδα καὶ στρατιώτας λαβόντες ἀνέπεμψαν, ἀλλὰ λέγεται καὶ βουλεύσασθαι περὶ τῶν ὑπάτων· εἶτα τὴν ὀργὴν ἀπολογησαμένοις καὶ δεηθεῖσιν ἀνῆκε. τῷ δὲ δήμῳ χαριζόμενος, οὐκ ἐκώλυε τὸν παραπίπτοντα τῶν νέρωνος ἀποτυμπανίζειν. σπῖκλον μὲν οὖν τὸν μονομάχον ἀνδριᾶσι νέρωνος ἑλκομένοις ὑποβαλόντες ἐν ἀγορᾷ, διέφθειραν· ἀπόνιον δέ τινα τῶν κατηγορικῶν ἀνατρέψαντες, ἁμάξας λιθοφόρους ἐπήγαγον· ἄλλους δὲ διέσπασαν πολλοὺς ἐνίους, μηδὲν ἀδικοῦντας· ὥστε καὶ μαυρίσκον ἄνδρα τῶν ἀρίστων καὶ ὄντα καὶ δοκοῦντα πρὸς τὴν σύγκλητον εἰπεῖν· ὅτι φοβεῖται μὴ ταχὺ νέρωνα ζητήσωσιν. οὕτω δὲ προσάγων ὁ νυμφίδιος ἐγγυτέρω ταῖς ἐλπίσιν, οὐκ ἔφευγε γαΐου καίσαρος υἱὸς λέγεσθαι τοῦ μετὰ τιβέριον ἄρξαντος· ἐγνώκει δ' ὁ γάιος, ὡς ἔοικε, τὴν τεκοῦσαν αὐτόν, ἔτι μειράκιον ὤν, οὐκ ἀηδῆ τὴν ὄψιν οὖσαν· ἐκ δὲ ἀκεστρίας μισθωτῆς καλλίστῳ καίσαρος ἀπελευθέρῳ γεγενημένην· ἀλλ' ἦν ἡ πρὸς γάιον ὁμιλία ταύτης, ὡς ἔοικε, νεωτέρα τῆς νυμφιδίου γενέσεως· αἰτίαν δὲ ἔσχεν ἐκ μαρτιανοῦ τοῦ μονομάχου

βίννιος τίτος .f.

γεγονέναι τῆς νυμφιδίας ἐρασθείσης διὰ δόξαν αὐτοῦ, καὶ μᾶλλον ἐδόκει καθ' ὁμοιότητα τῆς ἰδέας ἐκείνῳ προσήκειν. ἀλλ' ὁμολογῶν γε νυμφιδίας εἶναι μητρός, ἔργον μὲν αὐτοῦ μόνου τὴν νέρωνος ἐποιεῖτο κατάλυσιν, ἆθλα δὲ αὐτῆς οὐ νομίζων ἱκανὰ καρποῦσθαι τὰς τιμὰς καὶ τὰ χρήματα, καὶ τῷ σπόρῳ τοῦ νέρωνος συγκαθεύδειν, ὃν εὐθὺς ἀπὸ τῆς πυρᾶς ἔτι καιομένου τοῦ νεκροῦ μεταπεμψάμενος ἐκεῖνος ἐν γαμετῆς εἶχε τάξει, καὶ ποππαίαν προσηγόρευεν· εἰς τὴν διαδοχὴν παρεδύετο τῆς ἡγεμονίας. καὶ τὰ μὲν αὐτὸς ἐν ῥώμῃ διὰ τῶν φίλων ὑπειργάζετο καὶ γυναικῶν τινων αὐτῷ καὶ συγκλητικῶν ἀνδρῶν κρύφα συλλαμβανομένων· ἕνα δὲ τῶν φίλων γελλιανὸν εἰς ἰβηρίαν ἔπεμψεν

καὶ παρέμενε κατασκεψόμενον· τῷ δὲ γάλβᾳ μετὰ τὴν νέρωνος τελευτὴν ἐχώρει πάντα. οὐεργίνιος δὲ ῥοῦφος ἀμφίβολος ὢν ἔτι, φροντίδα παρεῖχε μὴ τῷ δυνάμεως πολλῆς μαχιμωτάτης ἄρχειν προσειληφὼς τὸ νενικηκέναι οὐίνδικα, καὶ κεχειρῶσθαι μέγα μέρος τῆς ῥωμαίων ἡγεμονίας ἐν σάλῳ γενομένην ἀποστατικῶς γαλατίαν ἅπασαν ὑπακούσῃ τοῖς παρακαλοῦσιν αὐτὸν ἐπὶ τὴν ἀρχήν· οὐδενὸς γὰρ ἦν ὄνομα μεῖζον, οὐδὲ εἶχε δόξαν οὐδεὶς, ὅσην ὁ οὐεργίνιος· ὡς μεγίστη ῥοπὴ τοῖς ῥωμαίων πράγμασι τυραννίδος ὁμοῦ χαλεπῆς καὶ γαλατικῶν πολέμων ἀπαλλαγὴ γενόμενος, ἀλλ' ἐκεῖνος τότε τοῖς ἐξ ἀρχῆς ἐμμένων λογισμοῖς, ἐφύλαττε τῇ συγκλήτῳ τὴν αἵρεσιν τοῦ αὐτοκράτορος· καίτοι φανερᾶς γε τῆς νέρωνος τελευτῆς γενομένης, τό, τε πλῆθος ἐνέκειτο τῷ οὐεργινίῳ πάλιν, καὶ τῶν χιλιάρχων τις τῶν ἐν τῇ σκηνῇ, σπασάμενος τὸ ξίφος ἐκέλευε τὸν οὐεργίνιον δέχεσθαι τὴν ἡγεμονίαν, ἢ τὸν σίδηρον. ἐπεὶ δὲ φάβιος οὐάλης ἄρχων ἑνὸς τάγματος ὤρκωσε πρῶτος εἰς γάλβαν, καὶ γράμματα ἧκεν ἀπὸ ῥώμης περὶ ὧν ἡ σύγκλητος ἐψηφίσατο, χαλεπῶς μὲν καὶ μόλις, ἔπεισε δ' οὖν τοὺς στρατιώτας αὐτοκράτορα τὸν γάλβαν εἰπεῖν, καὶ πέμψαντος αὐτοῦ διάδοχον φλάκκον ὁρδεώνιον ἐδέξατο, καὶ παραδοὺς ἐκείνῳ τὴν δύναμιν, αὐτὸς ἀπήντησε τῷ γάλβᾳ πρόσω χωροῦντι, καὶ συνανέστρεφεν οὔτε ὀργῆς οὔτε τιμῆς ἐπιδήλου τυγχάνων. αἴτιος δὲ τοῦ μὲν, αὐτὸς ὁ γάλβας αἰδούμενος τὸν ἄνδρα, τοῦ δὲ οἱ φίλοι καὶ μάλιστα ὁ βίννιος τίτος, ὑπὸ φθόνου τοῦ οὐεργινίου οἰόμενος μὲν κωλύειν, ἠγνόει δὲ ἄρα τῷ οὐεργινίου χρηστῷ δαίμονι συνεργῶν ἤδη τὸν ἄνδρα πολέμων καὶ κακῶν, ὅσα τοὺς ἄλλους ἡγεμόνας κατέσχεν, ἐκτὸς εἰς βίον ἀκύμονα καὶ γῆρας εἰρήνης καὶ ἡσυχίας μεστὸν ὑπεκτιθεμένῳ. γάλβαν δὲ περὶ νάρβωνα πόλιν γαλατικὴν οἱ παρὰ τῆς συγκλήτου πρέσβεις ἐντυχόντες, ἠσπάζοντο καὶ παρεκάλουν ἐπιφανῆναι τῷ δήμῳ ποθοῦντι ταχέως, ὁ δὲ τάς τε ἄλλας παρεῖχεν ἐντεύξεις, καὶ συνουσίας αὐτοῖς φιλανθρώπους καὶ δημοτικὰς, πρός τε τὰς ἑστιάσεις πολλῆς κατασκευῆς καὶ θεραπείας ἡλίκης παρούσης, ἣν ἐκ τοῦ νέρωνος ὁ νυμφίδιος αὐτῷ προσέπεμψεν, οὐδενὶ χρώμενος ἐκείνων ἀλλὰ τοῖς ἑαυτοῦ πᾶσιν εὐδοκίμει, μεγαλόφρων ἀνὴρ καὶ κρείττων ἀπειροκαλίας, φαινόμενος. ταχὺ μέντοι τὰ γενναῖα ταῦτα καὶ ἄτυφα καὶ πολιτικὰ δημαγωγίαν ὁ βίννιος ἀποφαίνων καὶ κομψότητα μεγάλην ἀπαξιοῦσαν αὑτήν, ἔπεισε χρήμασί τε χρῆσθαι τοῖς νέρωνος, καὶ περὶ τὰς ὑποδοχὰς μὴ φείδεσθαι τῆς βασιλικῆς πολυτελείας· καὶ ὅλως αἴσθησιν αὐτοῦ κατὰ μικρὸν ὑπὸ τῷ βιννίῳ γενησομένου παρεῖχεν ὁ πρεσβύτης. ἦν δὲ ὁ βίννιος ἀργυρίου μὲν ἔσχατος καὶ παρ' ὁντινοῦν ἥττων, ἔνοχος δὲ καὶ τοῖς περὶ γυναῖκας ἁμαρτήμασιν· ἔτι γὰρ ὢν νέος καὶ στρατευόμενος ὑπὸ καλβισίῳ σαβίνῳ τὴν πρώτην στρατείαν, ἀκόλαστον οὖσαν τὴν γυναῖκα τοῦ ἡγεμόνος, παρεισήγαγε νύκτωρ εἰς τὸ στρατόπεδον ἐν ἐσθῆτι στρατιωτικῇ, καὶ διέφθειρεν ἐν τοῖς ἀρχείοις,

κόλονην .f.

τὸ πριγκίπια καλοῦσι ῥωμαῖοι· ἐπὶ τούτῳ δὲ γάϊος καῖσαρ ἔδησεν αὐτὸν, ἐκείνου δὲ ἀποθανόντος εὐτυχίᾳ χρησάμενος ἀπελύθη. δειπνῶν δὲ παρὰ κλαυδίῳ καίσαρι ποτήριον ἀργυροῦν ὑφείλετο· πυθόμενος δὲ ὁ καῖσαρ τῇ ὑστεραίᾳ πάλιν αὐτὸν ἐπὶ δεῖπνον ἐκάλεσεν. ἐλθόντι δὲ ἐκέλευσεν ἐκείνῳ μηδὲν ἀργυροῦν, ἀλλὰ κεράμια πάντα προσφέρειν καὶ παρατιθέναι τοὺς ὑπηρέτας. τοῦτο μὲν οὖν διὰ τὴν τοῦ καίσαρος μετριότητα κωμικωτέραν γενομένην, γέλωτος οὐκ ὀργῆς ἄξιον ἔδοξεν· ἃ δὲ οὖν γάλβαν ἔχων ὑπ' αὐτῷ καὶ δυνάμενος μέγιστον ἐπὶ χρήμασιν ἔπραττεν, τραγικῶν παθῶν καὶ συμφορῶν μεγάλων τοῖς μὲν αἰτίαν, τοῖς δὲ πρόφασιν παρέσχεν. ὁ γοῦν νυμφίδιος εὐθὺς ἐπανελθόντος τοῦ γελλιανοῦ πρὸς αὐτὸν, ὃν ἔπεμψε τοῦ γάλβα τρόπον τινὰ κατάσκοπον, ἀκούσας τὸν μὲν αὐλῆς καὶ τῶν δορυφόρων ἔπαρχον ἀποδεδεῖχθαι κορνήλιον λάκωνα· τὸ δὲ σύμπαν εἶναι τὸ τοῦ ὀβιννίου κράτος, αὐτῷ δὲ μηδέποτε τοῦ γάλβα στῆναι πλησίον ἐγγεγονέναι, μηδὲ ἐντυχεῖν ἰδίᾳ, πάντων αὐτοὺς ὑφορωμένων καὶ διαφυλαττόντων, ἐθορυβήθη, καὶ συναγαγὼν τοὺς ἡγεμόνας τοῦ στρατεύματος ἔφη· γάλβαν μὲν αὐτὸν εἶναι πρεσβύτην ἐπιεικῆ καὶ μέτριον, ἐλάχιστα δὲ τοῖς αὐτοῦ χρώμενον λογισμοῖς, ὑπὸ ὀβιννίου καὶ λάκωνος οὐκ εὖ διοικεῖσθαι. πρὶν οὖν λαθεῖν αὐτοὺς ἣν εἶχε τιγελλῖνος ἰσχὺν ἐν τοῖς πράγμασι κτησαμένους, πεμπτέον εἶναι δεῖν πρὸς τὸν ἡγεμόνα πρέσβεις ἀπὸ στρατοπέδου, τοὺς διδάξοντας ὅτι τῶν φίλων δύο μόνους τούτους ἀποσκευασάμενος, ἡδίων παρέσται πᾶσι καὶ ποθεινότερος. ἐπεὶ δὲ ταῦτα λέγων οὐκ ἔπειθεν, ἀλλ' ἄτοπον ἐδόκει καὶ ἀλλόκοτον ἡγεμόνα πρεσβύτην, ὥσπερ ἄρτι γευόμενον ἐξουσίας μειράκιον, οἷς χρήσεται φίλοις ἢ μὴ ῥυθμίζειν, ἑτέραν ὁδὸν τραπόμενος ἔγραφε τῷ γάλβᾳ δεδιττόμενος, νῦν μὲν ὡς ὕπουλα καὶ μετέωρα πολλὰ τῆς πόλεως ἐχούσης, νῦν δὲ κλώδιον μάκρον ἐν λιβύῃ τὰ σιτηγὰ κατέχειν. αὖθις δὲ τὰ γερμανικὰ τάγματα παρακινεῖν, καὶ περὶ τῶν ἐν συρίᾳ καὶ ἰουδαίᾳ δυνάμεων ὅμοια πυνθάνεσθαι. τοῦ δὲ γάλβα μὴ πάνυ τὸν νοῦν προσέχοντος αὐτῷ μηδὲ πιστεύοντος, ἔγνω προεπιχειρεῖν, καίτοι κλώδιος κέλσος ἀντιοχεὺς ἀνὴρ ἔμφρων, εὔνους δὲ ἐκείνῳ καὶ πιστὸς ἀπηγόρευε, λέγων, οὐκ ἂν οἴεσθαι μίαν ἐν ῥώμῃ συνοικίαν καίσαρα προσειπεῖν νυμφίδιον, ἀλλὰ πολλοὶ κατεγέλων καὶ μιθριδάτου ὁ ποντικὸς ἐπισκώπτων τὴν φαλακρότητα καὶ ῥυσότητα τοῦ γάλβα, νῦν ἔφη τινὰ δοκεῖν εἶναι ῥωμαίοις· ὀφθέντα δὲ φανεῖσθαι τῶν ἡμερῶν τούτων ἃς καλεῖται καῖσαρ, ὄνειδος. ἔδοξεν οὖν περὶ μέσας νύκτας εἰς τὴν παρεμβολὴν παραγαγόντας, ἀναδεικνύειν αὐτοκράτορα τὸν νυμφίδιον. πρῶτος δὲ τῶν χιλιάρχων ἀντώνιος ὁνωρᾶτος ἑσπέρας γενομένης τοὺς ὑφ' ἑαυτῷ στρατιώτας συναγαγὼν, ἐκάκιζε μὲν αὑτὸν, ἐκάκιζε δὲ ἐκείνους ἐν ὀλίγῳ χρόνῳ τροπὰς τοσαύτας τρεπομένους, κατ' οὐδένα λογισμὸν οὐδὲ αἵρεσιν ἀμεινόνων. ἀλλὰ δαίμονός τινος αὐτοὺς ἐκ προδοσίας εἰς προδοσίαν ἐλαύνοντος. καὶ τὰ μὲν πρῶτα προφάσεις ἔχει, τὰ νέρωνος ἐγκλήματα. νῦν δὲ γάλβαν προδιδόναι, τίνα φόνον μητρὸς ἐγκαλοῦντας, ἢ σφαγὴν γυναικὸς, ἢ ποίαν αἰδουμένους θυμέλην ἢ τραγῳδίαν τοῦ αὐτοκράτορος, ἀλλ' οὐδὲ ἐκεῖνον ἐπὶ τούτοις ὑπεμείναμεν ἐγκαταλιπεῖν, ἀλλὰ νυμφιδίῳ πεισθέντες ὅτι πρῶτος ἡμᾶς ἐγκατέλιπε, καὶ πέφευγεν εἰς αἴγυπτον. πότερον οὖν νέρωνι γάλβαν ἐπιθυσόμεθα καὶ τὸν ἐκ νυμφιδίας ἑλόμενοι καίσαρα, τὸν ἐκ λιβίας ἀνέλωμεν, ὡς τὸν ἐξ ἀγριππίνης ἀνείλομεν, ἢ τούτῳ δίκην ἐπιθέντες ὧν δέδρακε, τιμωροὶ μὲν νέρωνος, γάλβα δὲ φύλακες ἀγαθοὶ καὶ πιστοὶ φανῶμεν. ταῦτα λέγοντι τῷ χιλιάρχῳ, προσέθεντο πάντες οἱ στρατιῶται, καὶ τοὺς ἄλλους προσιόντες ἐμμένειν παρεκάλουν τῇ πρὸς τὸν αὐτοκράτορα πίστει καὶ τοὺς πλείους μετέστησαν. ἀρθείσης δὲ βοῆς, εἴτε

ἐ .l.

λθὼν .l.

μάκρον

ριδάτης .l.

πεισθεὶς ὁ νυμφίδιος, ὥς φασιν ἔνιοι, καλεῖν αὐτὸν ἤδη τοὺς στρατιώτας, εἴτε προλαβεῖν σπεύδων τὸ θορυβοῦν ἔτι καὶ διστάζον, ὑπὸ φωτὶ πολλῷ προῄει λόγον τινὰ κομίζων ἐν βιβλίῳ γεγραμμένον, ὑπὸ κιγγωνίου βάρρωνος, ὃν ἐκ μεμελετήκει πρὸς τοὺς στρατιώτας εἰπεῖν. ἰδὼν δὲ κεκλεισμένας τοῦ στρατοπέδου τὰς πύλας, καὶ περὶ τὰ τείχη πολλοὺς ὡπλισμένους ἔδεισε, καὶ προσιὼν ἠρώτα τί βούλονται, καὶ τίνος κελεύσαντος ἐν ὅπλοις γεγόνασιν. ἀπαντώσης δὲ αὐτῷ παρὰ πάντων μιᾶς φωνῆς, γάλβαν αὐτοκράτορα γινώσκειν, κἀκεῖνος ὁμόσε χωρῶν ἐπευφήμει, καὶ τοὺς ἑπομένους ἐκέλευε. τῶν δὲ παρὰ τὰς πύλας παρέντων αὐτὸν εἰσελθεῖν μετ' ὀλίγων, αὖθις ἀκοντίζεται λόγχῃ, καὶ αὐτὴν μὲν ἐδέξατο πρὸ αὐτοῦ θυρεῷ σεπτίμιος. ἄλλων δὲ γυμνοῖς ξίφεσιν ἐπιφερομένων, φυγὼν καὶ διωχθεὶς, ἐν οἰκήματι στρατιώτου σφάττεται, καὶ τὸν νεκρὸν εἰς μέσον ἑλκύσαντες, καὶ περιβαλόντες κιγκλίδα θέαμα τοῖς βουλομένοις μεθημέραν παρέσχον. οὕτω δὲ τοῦ νυμφιδίου καταστρέψαντος, ὁ γάλβας πυθόμενος καὶ τῶν συνωμοτῶν αὐτοῦ κελεύσας ἀποθανεῖν, ὅσοι μὴ δι' αὐτὸν εὐθὺς ἀπέθανον, ἐν οἷς ἦν καὶ κιγγώνιος ὁ τὸν λόγον γράψας, καὶ μιθριδάτης ὁ ποντικὸς, ἔδοξε μὴ νομίμως, εἰ καὶ δικαίως, μὴ δὲ δημοτικῶς ἀνῃρηκέναι πρὸ κρίσεως ἄνδρας οὐκ ἀσήμους. ἕτερον γὰρ ἡγεμονίας σχῆμα προσεδέχοντο πάντες, ἐξαπατώμενοι συνήθως ὑπὸ τῶν ἐν ἀρχῇ λεγομένων. ἔτι δὲ μᾶλλον ἠνίασεν αὐτοὺς ἀνὴρ ὑπατικὸς καὶ νέρωνι πιστὸς ἀποθανεῖν κελευσθεὶς, πετρώνιος τουρπουλιανός. μάκρωνα μὲν γὰρ ἐν λιβύῃ διὰ τρεβωνιανοῦ, καὶ φροντήιον ἐν γερμανίᾳ διὰ οὐάλεντος ἀνελὼν, πρόφασιν εἶχεν ἐν ὅπλοις καὶ στρατοπέδοις ὄντας φοβηθῆναι. τουρπουλιανὸν δὲ γέροντα γυμνὸν καὶ ἄνοπλον λόγου μεταλαβεῖν οὐδ' ἂν ἐκώλυεν, εἴ τις ἣν ἐπηγγέλλετο μετριότητα τοῖς πράγμασιν ἔργῳ φυλάξειν ἔμελλεν. ταῦτα μὲν οὖν τοιαύτας ἔχει μέμψεις. ἐπεὶ δὲ προσιὼν ἀπεῖχε τῆς πόλεως περὶ πέντε καὶ εἴκοσι σταδίους, ἐνετύγχανεν ἀκοσμίᾳ καὶ θορύβῳ τῶν ἐρετῶν τὴν ὁδὸν προκατεχόντων καὶ περικεχυμένων πανταχόθεν. οὗτοι δὲ ἦσαν εἰς ἓν τάγμα ὁ νέρων λο*χαγοὶ συλλοχίσας, ἀπέφηνε στρατιώτας, καὶ τότε παρόντες ἐκβεβαιώσασθαι τὴν στρατείαν, οὔτε ὀφθῆναι τοῖς ἀπαντῶσιν, οὔτε ἀκουσθῆναι παρείασαν ὑπὸ τοῦ αὐτοκράτορος, ἀλλ' ἐθορύβουν βοῇ σημεῖα τῷ τάγματι, καὶ χώραν αἰτοῦντες, ἐκείνου δὲ ὑπερτιθεμένου καὶ πάλιν εἰπεῖν κελεύσαντος ἀρνήσεως σχῆμα τὴν ἀναβολὴν εἶναι φάσκοντες, ἠγανάκτουν, καὶ παρείποντο μὴ φειδόμενοι βοῆς. ἐνίων δὲ καὶ τὰς μαχαίρας σπασαμένων, ἐκέλευσε τοὺς ἱππεῖς ἐμβαλεῖν αὐτοῖς ὁ γάλβας, ὑπέστη δὲ οὐδεὶς ἐκείνων. ἀλλ' οἱ μὲν, εὐθὺς ἀνατραπέντες, οἱ δὲ φεύγοντες, διεφθάρησαν· οὐ χρηστὸν οὐδὲ αἴσιον ποιοῦντες τῷ γάλβᾳ τὸν οἰωνὸν, εἰσιόντι διὰ πολλοῦ φόνου καὶ νεκρῶν τοσούτων εἰς τὴν πόλιν, ἀλλ' εἴ τις αὐτοῦ κατεφρόνει πρότερον ἀσθενοῦς καὶ γέροντος ὁρωμένου, τότε πᾶσι φρικώδης καὶ φοβερὸς ἐγένετο. βουλόμενος δὲ τῆς περὶ τὰς δωρεὰς ἀμετρίας καὶ πολυτελείας τοῦ νέρωνος ἀποδεικνύναι μεγάλην μεταβολὴν, ἀστοχεῖν ἐδόκει τοῦ πρέποντος. κάνου γὰρ αὐλήσαντος αὐλῷ παρὰ δεῖπνον, ἀκρόαμα δὲ ἦν ὁ κάνος εὐδοκιμούμενον, ἐπαινέσας καὶ ἀποδεξάμενος, ἐκέλευσεν αὐτῷ κομισθῆναι τὸ γλωσσόκομον, καὶ λαβὼν χρυσοῦς τινας, ἐπέδωκε τῷ κάνῳ, φήσας ἐκ τῶν ἰδίων, οὐκ ἐκ τῶν δημοσίων χαρίζεσθαι. τὰς δὲ δωρεὰς, ἃς νέρων ἔδωκε τοῖς περὶ σκηνὴν καὶ παλαίστραν ἀπαιτεῖσθαι συντόνως κελεύσας, πλὴν τοῦ δεκάτου μέρους, εἶτα μικρὰ καὶ γλίσχρα κομιζόμενος· ἀνηλώκεισαν γοῦν οἱ πλεῖστοι τῶν λαβόντων, ἐφήμεροι καὶ σατυρικοὶ τοῖς βίοις ἄνθρωποι, τοὺς πριαμένους παρ' αὐτῶν ἢ λαβόντας ὁτιοῦν ἀνεζήτει, καὶ παρ' ἐκείνων ἐξέπραττε. τοῦ δὲ

οὐδὲν .l.

οὓς .l.

τὸν αὐτοκράτορα

αὐλῷ .l.

πράγματος ὅρον οὐκ ἔχοντος, ἀλλὰ πόρρω νεμομένου καὶ προϊόντος ἐπὶ πολλούς,
αὐτὸς μὲν ἠδόξει, φθόνον δὲ καὶ μῖσος εἶχεν ὁ βίννιος, ὡς τοῖς μὲν ἄλλοις ἅπα-
σιν ἀνελεύθερον παρέχων τὸν ἡγεμόνα καὶ μικρολόγον, αὐτὸς δὲ χρώμενος ἀ-
σώτως, καὶ λαμβάνων πάντα καὶ πιπράσκων. ὁ μὲν γὰρ ἡσίοδος ἀρχομένου
τε πίθου καὶ λήγοντος, κορέσασθαί φησι δεῖν. ὁ δὲ ὀβίννιος ὁρῶν ἀσθενῆ καὶ γέ-
ροντα τὸν γάλβαν, ἐνεπίμπλα τῆς τύχης, ὡς ἅμα μὲν ἀρχομένης, ἅμα δὲ φθι-
νούσης. ὁ δὲ πρεσβύτης ἠδικεῖτο τὰ μὲν πρῶτα τοῦ ὀβιννίου κακῶς διοικοῦν-
τος· ἃ δὲ αὐτὸς ὀρθῶς προῃρεῖτο διαβάλλοντος, ἢ κωλύοντος, οἷον ἦν τὸ περὶ
τὰς κολάσεις τῶν νερωνιανῶν. ἀπέκτεινε γὰρ τοὺς πονηροὺς ἐν οἷς ἦν ὁ ἥλιος καὶ
πολύκλειτος καὶ πετῖνος, καὶ πατρόβιος. ὁ δὲ δῆμος ἐκρότει καὶ διὰ τῆς ἀγορᾶς αὐ-
τῶν ἀγομένων, ἐβόα καλὴν μὲν εἶναι καὶ θεοφιλῆ πομπήν, ἀπαιτεῖν δὲ καὶ θεοὺς
καὶ ἀνθρώπους τὸν διδάσκαλον καὶ παιδαγωγὸν τῆς τυραννίδος, τιγελλῖνον.
ἔφθακε δὲ ὁ γενναῖος προειληφὼς ἀραβῶσι μεγάλας τὸν ὀβίννιον. εἶτα πε-
πουλιανὸς μὲν ὅτι μὴ προεδίδου μηδὲ ἐμίσει τὸν ἡγεμόνα τοιοῦτον ὄντα, μισού-
μενος. ἄλλο δὲ μηδὲν μέγα συναδικήσας, ἀπέθανεν. ὁ δὲ καὶ ποιήσας ἄξιον θα-
νάτου νέρωνα, καὶ γενόμενον τοιοῦτον ἐγκαταλιπὼν καὶ προδιδούς, περιῆν μέγα
δίδαγμα τοῦ μηδὲν ἄπρακτον εἶναι παρὰ ὀβιννίῳ, μηδὲ ἀνέλπιστον τοῖς διδοῦσιν.
οὐδενὸς γὰρ οὕτω θεάματος ἐρασθεὶς ὁ ῥωμαίων δῆμος, ὡς τοῦ τιγελλῖνον ἰδεῖν
ἀπαγόμενον, οὐδὲ παυσάμενος ἐν πᾶσι θεάτροις, καὶ σταδίοις αἰτούμενος ἐκεῖ-
νον, ἐπεπλήχθη διαγράμματι τοῦ αὐτοκράτορος. τιγελλῖνον μὲν οὐ πολὺν ἔτι
βιώσεσθαι φάσκοντος χρόνον, ὑπὸ φθινάδος νόσου δαπανώμενον, ἐκείνους δὲ
παραιτουμένου μὴ διαγριαίνειν, μηδὲ τυραννικὴν ποιεῖν τὴν ἡγεμονίαν. ἀχθο-
μένου δὲ τοῦ δήμου καταγελῶντες, ὁ μὲν τιγελλῖνος ἔθυσε σωτήρια καὶ παρε-
σκεύασε λαμπρὰν ἑστίασιν. ὁ δὲ ὀβίννιος ἀναστὰς παρὰ τοῦ αὐτοκράτορος μετὰ δεῖ-
πνον, ἐκώμασεν ὡς ἐκεῖνον, ἄγων τὴν θυγατέρα χήραν οὖσαν, καὶ προὔπιεν ὁ τι-
γελλῖνος αὐτῇ πέντε καὶ εἴκοσι μυριάδας ἀργυρίου, καὶ τῶν παλλακίδων τὴν
ἀγελαρχοῦσαν ἐκέλευσε τὸν περιδέραιον κόσμον ἀφελομένην, ἐκείνῃ περιά-
ψαι πεντεκαίδεκα μυριάδων εἶναι λεγόμενον. ἐκ δὲ τούτου καὶ τὰ μετρίως
πραττόμενα διαβολὴν εἶχεν, ὡς τὰ πρὸς τοὺς γαλάτας οὐίνδικι συναραμένους.
ἐδόκουν γὰρ οὐ φιλανθρωπίᾳ τοῦ αὐτοκράτορος, ἀλλὰ ὠνούμενοι παρὰ ὀβιννίου
τυγχάνειν ἀνέσεως τε δασμῶν καὶ πολιτείας. οἱ μὲν οὖν πολλοὶ διὰ ταῦτα
πρὸς τὴν ἡγεμονίαν ἀπηχθάνοντο, τοὺς δὲ στρατιώτας τὴν δωρεὰν μὴ κομιζο-
μένους, ἐν ἀρχῇ μὲν ἐλπὶς παρῆγεν, ὡς εἰ καὶ μὴ τοσοῦτον, ἀλλ' ὅσον νέρων ἔδω-
κεν ἀποδώσοντος. ἐπεὶ δὲ μεμφομένους ἀκούσας, ἀφῆκε φωνὴν ἡγεμόνι μεγάλῳ
πρέπουσαν, εἰπὼν εἰωθέναι καταλέγειν στρατιώτας οὐκ ἀγοράζειν, πυθομένοις
τοῦτο δεινὸν εἰσῆλθε μῖσος καὶ ἄγριον πρὸς αὐτόν. ἐδόκει γὰρ οὐκ αὐτὸς ἀπο-
στερεῖν μόνος, ἀλλὰ νομοθετεῖν καὶ διδάσκειν τοὺς μεθ' αὐτὸν αὐτοκράτορας.
ἀλλὰ τὸ μὲν ἐν ῥώμῃ τυφλὸν ἦν ἔτι κίνημα, καί τις αἰδὼς ἅμα πρὸς παρόντα
τὸν γάλβαν, ἀμβλύτητα καὶ μέλλησιν ἐνεποίει τῶν νεωτερισμῶν, καὶ τὸ μηδε-
μίαν ἀρχὴν ἐμφανῆ μεταβολῆς ὁρᾶσθαι, συνέστελλε καὶ συνέκρυπτεν ἁμῶς
γέ πως τὴν δυσμένειαν αὐτῶν. οἱ δὲ πρότερον ὑπὸ οὐεργινίῳ γενόμενοι, τό-
τε δ' ὄντες ὑπὸ φλάκκῳ περὶ γερμανίαν, μεγάλων μὲν ἀξιοῦντες αὐτοὺς διὰ
τὴν μάχην, ἣν ἐμαχέσαντο πρὸς οὐίνδικα, μηδενὸς δὲ τυγχάνοντες, ἀπαρηγόρη-
τοι τοῖς ἄρχουσιν ἦσαν. αὐτὸν δὲ τὸν φλάκκον ὑπὸ συντόνου ποδάγρας ἀδύνατον
ὄντα τῷ σώματι καὶ πραγμάτων ἄπειρον, ἐν οὐδενὶ λόγῳ τὸ παράπαν ἐποιοῦντο.
καί ποτε θέας οὔσης καὶ τῶν χιλιάρχων καὶ λοχαγῶν τῷ ῥωμαίοις συνήθως εὐτυ-

χίαν ἐπευχομένων τῷ αὐτοκράτορι γάλβα διεθορύβησαν οἱ πολλοὶ τὸ πρῶτον
εἶτα ταῖς εὐχαῖς ἐπιμενόντων ἐκείνων, ἀντεφώνουν ἄξιος. τοιαῦτα δὲ ἕτερα

οὐκ ἄξιος .l.

καὶ τῶν ὑπὸ τιγελλίνῳ ταγμάτων ὑβριζόντων πολλάκις, ἐπέμπετο γράμμα-
τα τῷ γάλβα παρὰ τῶν ἐπιτρόπων. ὁ δὲ φοβηθεὶς ὡς μὴ μόνον διὰ τὸ γῆρας ἀλ-
λὰ καὶ διὰ τὴν ἀπαιδίαν καταφρονούμενος, ἐβουλεύετο παῖδα θέσθαι τῶν
ἐπιφανῶν τινα νεανίσκον, καὶ διάδοχον ἀποδεῖξαι τῆς ἀρχῆς. ἦν δὲ μάρκος ὄ-
θων ἀνήρ, γένει μὲν οὐκ ἀφανής, τρυφῇ δέ, καὶ φιληδονίαις εὐθὺς ἐκ παίδων ἐν ὀ-
λίγοις ῥωμαίων διεφθαρμένος. ὡς δὲ τὸν ἀλέξανδρον ὅμηρος ἑλένης πόσιν ἠϋ-
κόμοιο, μηδὲν ἔχοντα πρὸς δόξαν ἄλλο σεμνυνῶν, ἀπὸ τῆς γυναικὸς ὀνομάζει πολ-
λάκις, οὕτως γεγονὼς περιβόητος ἐν ῥώμῃ διὰ τὸν ποππαίας γάμον. ἧς ἤρα μὲν
ὁ νέρων, κρισπίνῳ συνούσης. ἔτι δὲ αἰδούμενος τὴν ἑαυτοῦ γυναῖκα, καὶ τὴν μητέ-
ρα φοβούμενος, ὑφῆκε τὸν ὄθωνα πειρῶντα τὴν ποππαίαν. φίλῳ δὲ τῷ ὄθωνι
καὶ συμβιωτῇ διὰ τὴν ἀσωτίαν ἐχρῆτο, καὶ σκωπτόμενος ὑπ' αὐτοῦ πολλάκις
εἰς μικρολογίαν καὶ ἀνελευθερίαν, ἔχαιρε. λέγεται δέ ποτε μύρῳ τῶν πο-
λυτελῶν χρισαμένου τοῦ νέρωνος, καὶ τὸν ὄθωνα καταβρέξαντος, ἐκεῖνος πάλιν
τῇ ὑστεραίᾳ δεχόμενος αὐτὸν ἅμα πολλαχόθεν ἀργυροῦς καὶ χρυσοῦς προβάλ-
λειν ἄφνω σωλῆνας, ὥσπερ ὕδωρ τὸ μύρον ἐκχέοντας καὶ κατακλύζοντας. ἀλ-
λά τήν γε ποππαίαν προμοιχεύσας τῷ νέρωνι, καὶ διαφθείρας ταῖς εἰς ἐκεῖ-
νου ἐλπίσιν ἔπεισεν ἀποστῆναι τοῦ ἀνδρός, ἐλθούσης δὲ παρ' αὐτὸν ὡς γαμετῆς,
οὐκ ἠγάπα μετέχων, ἀλλὰ ἤσχαλλε μεταδιδούς, οὐδὲ αὐτῆς ἀχθομένης ὥς φασι
τῇ ζηλοτυπίᾳ τῆς ποππαίας. καὶ γὰρ ἀποκλεῖσαι τὸν νέρωνα λέγεται, μὴ
παρόντος τοῦ ὄθωνος, εἴτε τῆς ἡδονῆς ἀφαιροῦσα τὸ πλήσμιον, εἴτε ὥς φασιν ἔνιοι

φεύγουσαν .l.

βαρυνομένη τὸν καίσαρος γάμον, ἐραστῇ δὲ μὴ φεύγοντα χρῆσθαι διὰ τὸ φιλακό-
λαστον. ἐκινδύνευσεν οὖν ὁ ὄθων ἀποθανεῖν, καὶ παράλογον ἦν ὅτι τὴν γυναῖ-
κα καὶ ἀδελφὴν ἀποκτείνας διὰ τὸν ποππαίας γάμον ἐφείσατο τοῦ ὄθωνος. σε-
νέκαν δὲ εἶχεν εὔνουν. κἀκείνου τὸν νέρωνα πείσαντος καὶ παραινέσαντος ἐξεπέμ-
φθη λυσιτανῶν στρατηγὸς ἐπὶ τὸν ὠκεανόν, καὶ παρέσχεν ἑαυτὸν οὐκ ἄχαριν οὐ-
δὲ ἐπαχθῆ τοῖς ὑπηκόοις, εἰδὼς φυγῆς ὑποκόρισμα καὶ παρακάλυμμα τὴν ἀρ-
χὴν αὐτῷ διδομένην. ἀποστάντος δὲ γάλβα πρῶτος αὐτὸς προσεχώρησε τῶν ἡ-
γεμόνων, καὶ φέρων ὅσον εἶχεν ἐν ἐκπώμασι καὶ τραπέζαις ἄργυρον καὶ χρυσόν,
ἔδωκε κατακόψαι ποιουμένῳ νόμισμα, καὶ τῶν οἰκετῶν ἐδωρήσατο τοὺς εἰθι-
σμένους περὶ δίαιταν ἡγεμόνι ἐμμελῶς ὑπουργεῖν. καὶ τὰ ἄλλα πιστὸς ἦν αὐτῷ,

βαδίζοντι .l.

καὶ διδοὺς πεῖραν οὐδενὸς ἧττον ἐδόκει πραγμάτων ἔμπειρος εἶναι, καὶ βαδίζοντι τὴν
ὁδὸν ἅπασαν ἐφ' ἡμέρας πολλὰς συνοχούμενος διετέλεσεν. ἐν δὲ τῇ συνο-
δίᾳ καὶ ἡ συνήθεια τὸν ὀβίννιον, ἐξεθεράπευσεν ὁμιλίᾳ καὶ δώροις. μάλιστα δὲ
τῶν πρωτείων ὑφιέμενος αὐτῷ, τὸ δὲ μετ' ἐκεῖνον δύνασθαι, δι' ἐκεῖνον εἶχε βε-
βαίως. τῷ δὲ ἀνεπιφθόνῳ περιῆν προῖκα συμπράττων πάντα τοῖς δεομένοις, καὶ
παρέχων ἑαυτὸν εὐπροσήγορον καὶ φιλάνθρωπον ἅπασι. πλεῖστα δὲ τοῖς στρα-
τιωτικοῖς συνελάμβανε καὶ προῆγε πολλοὺς ἐφ' ἡγεμονίας. τὰ μέν, αἰτούμε-
νος ἀπὸ τοῦ αὐτοκράτορος. τὰ δέ, τὸν ὀβίννιον καὶ τοὺς ἀπελευθέρους παρακα-
λῶν σικέλιον καὶ ἀσιατικόν. οὗτοι γὰρ ἦσαν ἐν δυνάμει μάλιστα τῶν περὶ τὴν
αὐλήν. ὁσάκις δὲ τὸν γάλβαν ἑστία τὴν παραφυλάττουσαν αἰεὶ σπεῖραν ἐδέ-
καζε χρυσοῦν ἑκάστῳ διανέμων, οἷς τιμᾶν αὐτὸν ἐδόκει καταπολιτευόμενος καὶ
δημαγωγῶν τὸ στρατιωτικόν. ἀλλ' οὖν βουλευομένου γε τοῦ γάλβα περὶ διαδόχου,
τὸν ὄθωνα παρεισῆγεν ὁ ὀβίννιος. οὐδὲ τοῦτο προῖκα πράττων, ἀλλ' ἐπὶ γάμῳ τῆς
θυγατρός. ὁμολογίας γενομένης γαμεῖν αὐτὴν τὸν ὄθωνα, παῖδα τοῦ γάλβα καὶ

διάδοχον ἀποδειχθέντα τῆς ἡγεμονίας. ὁ δὲ γάλβας ἀεὶ μὲν ἦν δῆλος πρὸ τοῦ ἰδίου τὸ κοινὸν τιθέμενος, καὶ ζητῶν οὐχ αὑτῷ θέσθαι τὸν ἥδιστον, ἀλλὰ ῥωμαίοις τὸν ὠφελιμώτατον. δοκεῖ δὲ μηδ᾽ ἂν ἐπὶ τοῖς ἰδίοις χρήμασι μόνον ἑλέσθαι τὸν ὄθωνα κληρονόμον ἀκόλαστον εἰδὼς καὶ πολυτελῆ καὶ πεντακισχιλίων μυριάδων ὀφλήμασι βεβαπτισμένον. ὅθεν ἀκούσας τοῦ οὐιννίου σιωπῇ καὶ πρᾴως ὑπερέθετο τὴν διάθεσιν. ἀποδείξας δ᾽ αὑτὸν ὕπατον καὶ συνάρχοντα τὸν οὐίννιον, ἐπίδοξος ἦν ἔτους ἀρχῇ τὸν διάδοχον ἀναγορεύσειν, καὶ τὸ στρατιωτικὸν ἡδέως εἶχε τὸν ὄθωνα παρ᾽ ὁντινοῦν ἄλλον, ἀναγορευθῆναι. καταλαμβάνει δ᾽ αὐτὸν ἔτι μέλλοντα καὶ βουλευόμενον, ἐκραγέντα τὰ γερμανικά, κοινῇ γὰρ ἅπαντες οἱ στρατευόμενοι τὸν γάλβαν ἐμίσουν οὐκ ἀποδιδόντα τὴν δωρεάν, ἰδίας δὲ ἐκεῖνοι προφάσεις ἐποιοῦντο. οὐεργίνιόν τε ῥοῦφον ἀπερριμμένον ἀτίμως, καὶ γαλατῶν τοὺς πολεμήσαντας αὐτοῖς δωρεῶν τυγχάνοντας. ὅσοι δὲ μὴ προσέθεντο οὐίνδικι, κολαζομένους, ᾧ μόνῳ τὸν γάλβαν χάριν εἰδέναι καὶ τιμᾶν τεθνηκότα καὶ γεραίρειν, δημοσίοις ἐναγισμοῖς ὡς ὑπ᾽ ἐκείνου ῥωμαίων ἀποδεδειγμένον αὐτοκράτορα. τοιούτων ἀναφανδὸν ἤδη λόγων ἐν τῷ στρατοπέδῳ περιφερομένων, ἐπῆλθεν ἡ νουμηνία τοῦ πρώτου μηνός, ἣν καλάνδας ἰανουαρίας καλοῦσι, τοῦ δὲ φλάκκου συναγαγόντος αὐτοὺς ἐπὶ τὸν ὅρκον, ὃν ἔθος ἐστὶν ὀμνύειν ὑπὲρ τοῦ αὐτοκράτορος, τὰς μὲν εἰκόνας τοῦ γάλβα προσελθόντες ἀνέτρεψαν καὶ κατέσπασαν. αὐτοὶ δὲ ὀμόσαντες ὑπὲρ συγκλήτου καὶ δήμου ῥωμαίων διελύθησαν. εἶτα τοῖς ἡγεμονικοῖς, παρεῖσαν δεδοικέναι τὴν ἀναρχίαν ὡς ἀπόστασιν. λέγει δέ τις ἐν αὐτοῖς· τί πάσχομεν ὦ συστρατιῶται, μήτ᾽ ἄλλον ἡγεμόνα αἱρούμενοι, μήτε τὸν νῦν ὄντα φυλάττοντες, ὥσπερ οὐ γάλβαν ἀλλ᾽ ὅλως ἄρχοντα καὶ τὸ ἄρχεσθαι φεύγοντες. φλάκκον μὲν οὖν ὁρδεώνιον οὐδὲν ἄλλο ἢ σκιὰν ὄντα γάλβα καὶ εἴδωλον, ἐατέον. ἡμέρας δὲ μιᾶς ὁδὸν ἀφέστηκεν ἡμῶν οὐιτέλλιος, ὁ τῆς ἑτέρας γερμανίας ἡγούμενος. πατρός τε τιμητοῦ καὶ τρὶς ὑπατεύσαντος γενομένου, καὶ κλαυδίῳ καίσαρι τρόπον τινὰ συνάρξαντος, αὐτός τε τὴν λοιδορουμένην ὑπ᾽ ἐνίων πενίαν δεῖγμα λαμπρὸν ἔχων χρηστότητος καὶ μεγαλοφροσύνης. φέρε τοῦτον ἑλόμενοι δείξωμεν ἀνθρώποις πᾶσιν, ὡς ἰβήρων καὶ λυσιτανῶν ἀμείνους ἐσμὲν αὐτοκράτορα αἱρεῖσθαι. ταῦτα τῶν μὲν ἤδη προσιεμένων, τῶν δ᾽ οὐ προσιεμένων, εἷς ὑπεξελθὼν σημαιαφόρος, ἀπήγγειλε τῷ οὐιτελλίῳ νυκτὸς ἑστιωμένων πολλῶν παρ᾽ αὐτῷ. τοῦ δὲ λόγου διαπεσόντος εἰς τὰ στρατεύματα, πρῶτος φάβιος οὐάλης ἡγεμὼν ἑνὸς τάγματος τῇ ὑστεραίᾳ μετὰ ἱππέων συχνῶν ἐλάσας, αὐτοκράτορα τὸν οὐιτέλλιον προσεῖπεν. ὁ δὲ τὰς μὲν ἔμπροσθεν ἡμέρας ἐδόκει διωθεῖσθαι καὶ ἀναδύεσθαι τὸ μέγεθος τῆς ἀρχῆς φοβούμενος. τότε δέ φασιν οἴνου διάπλεων καὶ τροφῆς ὄντα μεσημβρινῆς, προελθεῖν καὶ ὑπακοῦσαι γερμανικὸν ὄνομα θεμένων αὐτῷ, τὸ δὲ καίσαρος οὐ προσδεξάμενον. εὐθὺς δὲ καὶ τὸ μετὰ φλάκκου στράτευμα τοὺς καλοὺς ἐκείνους καὶ δημοκρατικοὺς εἰς σύγκλητον ὅρκους ἀφέντες, ὤμοσαν οὐιτελλίῳ τῷ αὐτοκράτορι ποιήσειν τὸ προστασσόμενον. οὕτω μὲν ἀνηγορεύθη οὐιτέλλιος αὐτοκράτωρ ἐν γερμανίᾳ. πυθόμενος δὲ τὸν ἐκεῖ νεωτερισμὸν ὁ γάλβας, οὐκέτι τὴν εἰσποίησιν ἀνεβάλλετο. γινώσκων δὲ τῶν φίλων ἐνίους μὲν ὑπὲρ δολαβέλλα, τοὺς δὲ πλείστους ὑπὲρ ὄθωνος ἀρχαιρεσιάζοντας, ὧν οὐδέτερον ἐδοκίμαζεν αὐτός, ἄφνω μηδὲν προειπὼν μετεπέμψατο πείσωνα κράσσου καὶ κριτίωνος ἔκγονον, οὓς νέρων ἀνῃρήκει, νεανίαν ἐν τῇ πρὸς πᾶσαν ἀρετὴν εὐφυΐᾳ τὸ κόσμιον καὶ αὐστηρὸν ἐμφανέστατα ἔχοντα, καὶ κατέβαινεν εἰς τὸ στρατόπεδον, ἐκεῖνον ἀποδείξων καίσαρα καὶ διάδοχον. καίτοι μεγάλαι μὲν εὐθὺς ἐξιόντι διοσημεῖαι παρηκολούθουν.

ἀρξαμένου δὲ τὰ μὲν, λέγειν ἐν τῷ στρατοπέδῳ· τὰ δὲ ἀναγινώσκειν, τοσαυτάκις ἐβρόντησε καὶ κατήστραψε, καὶ τοσοῦτος ὄμβρος καὶ ζόφος ἐξεχύθη εἰς τὸ στρατόπεδον καὶ τὴν πόλιν, ὡς κατάδηλον εἶναι μὴ προσιέμενον, μηδὲ ἐπαινοῦν τὸ δαιμόνιον, γινομένην οὐκ ἐπ᾽ ἀγαθῷ τὴν εἰσποίησιν. ἦν δὲ καὶ τὰ τῶν στρατιωτῶν ὕπουλα καὶ σκυθρωπά, μηδὲ τότε δωρεᾶς αὐτοῖς δοθείσης. τοῦ δὲ πείσωνος οἱ παρόντες ἐθαύμαζον, τῇ τε φωνῇ τεκμαιρόμενοι καὶ τῷ προσώπῳ τὸ τηλικαύτην χάριν ἀνεκπλήκτως, οὐ μὴν ἀναισθήτως δεχόμενον, ὥσπερ αὖ τοῦ ὄθωνος ἐπεφαίνετο πολλὰ σημεῖα τῇ μορφῇ πικρῶς καὶ σὺν ὀργῇ τῆς ἐλπίδος τὴν ἀποτυχίαν φέροντος, ἧς πρῶτος ἀξιωθεὶς καὶ τοῦ τυχεῖν ἐγγυτάτω γενόμενος, τὸ μὴ τυχεῖν ἐποιεῖτο σημεῖον ἔχθους ἅμα καὶ κακονοίας τοῦ γάλβα πρὸς αὐτόν. ὅθεν οὐδὲ ἄφοβος ἦν περὶ τοῦ μέλλοντος, ἀλλὰ καὶ τὸν πείσωνα δεδιὼς καὶ τὸν γάλβαν προβαλλόμενος καὶ τῷ οὐιννίῳ χαλεπαίνων, ἀπῄει πολλῶν παθῶν πλήρης. οὐδὲ γὰρ τὸ ἐλπίζων ἐκλιπεῖν οὐδὲ ἀπαγορεῦσαι παντάπασιν εἴων οἱ περὶ αὐτὸν ὄντες ἀεὶ μάντεις καὶ χαλδαῖοι, εἰς τὰ μάλιστα δὲ πτολεμαῖος, ἰσχυριζόμενος τῷ προειπεῖν πολλάκις, ὡς οὐκ ἀποκτενεῖ νέρων αὐτόν, ἀλλὰ τεθνήξεται πρότερος, αὐτὸς δὲ περιέσται καὶ ἄρξει ῥωμαίων. ἐκεῖνο γὰρ ἀληθὲς ἀποδείξας, ἠξίου μηδὲ ταῦτα ἀπελπίζειν. οὐχ ἥκιστα δὲ οἱ συναχθόμενοι κρύφα καὶ συνεπιστένοντες, ὡς ἀχάριστα πεπονθότι, πλεῖστοι δὲ τῶν περὶ τιγελλῖνον καὶ νυμφίδιον ἐν τιμῇ γεγονότων, ἀπερριμμένοι τότε καὶ ταπεινὰ πράττοντες, ἐφθείροντο πρὸς αὐτὸν καὶ συνηγανάκτουν καὶ παρώξυνον. ἐν δὲ τούτοις ἰτούριος καὶ βάρβιος. ὁ μέν, ὀπτίων· ὁ δέ, τεσσεράριος. οὕτω γὰρ καλοῦνται οἱ δι᾽ ἀγγέλων καὶ διοπτήρων ὑπηρεσίας τελοῦντες. μεθ᾽ ὧν ὄθωνος ἀπελεύθερος ὀνομαστὸς ἐπιφοιτῶν τοὺς μέν, ἀργυρίῳ· τοὺς δέ, ἐλπίσι διέφθειρον· ἤδη σαθροὺς ὄντας καὶ δεομένους προφάσεως. οὐ γὰρ ἦν ἡμερῶν τεσσάρων ἔργον ὑγιαίνοντος στρατοπέδου μεταστῆσαι πᾶσιν ὅσαι μεταξὺ τῆς εἰσποιήσεως ἐγένοντο καὶ τῆς σφαγῆς. ἕκτῃ γὰρ ἀνῃρέθησαν, ἣν ἄγουσι ῥωμαῖοι πρὸ δεκαοκτὼ καλανδῶν φεβρουαρίων. ἐκείνῃ γὰρ ἕωθεν εὐθὺς ὁ μὲν γάλβας ἔθυεν ἐν παλατίῳ τῶν φίλων παρόντων. ὁ δὲ θύτης ὀμβρίκιος ἅμα τῷ λαβεῖν εἰς τὰς χεῖρας τοῦ ἱερείου τὰ σπλάγχνα, καὶ προϊδὼν οὐδ᾽ αἰνιγμῶν, ἀλλ᾽ ἄντικρυς, ἔφη σημεῖα μεγάλης ταραχῆς, καὶ μετὰ δόλου κίνδυνον ἐκ κεφαλῆς ἐπικείμενον τῷ αὐτοκράτορι· μονονουχὶ τὸν ὄθωνα τοῦ θεοῦ, χειρὶ ληπτὸν παραδιδόντος. παρῆν γὰρ ὄπισθεν τοῦ γάλβα καὶ προσεῖχε τοῖς λεγομένοις καὶ δεικνυμένοις ὑπὸ τοῦ ὀμβρικίου. θορυβουμένῳ δὲ αὐτῷ καὶ χρόας ἀμείβοντι παντοδαπὰς ὑπὸ δέους παραστὰς ὀνομαστὸς ἀπελεύθερος ἥκειν ἔφη καὶ περιμένειν αὐτὸν οἴκοι τοὺς ἀρχιτέκτονας. ἦν δὲ σύμβολον καιροῦ, πρὸς ὃν ἔδει ἀπαντῆσαι τὸν ὄθωνα τοῖς στρατιώταις. εἰπὼν οὖν ὅτι παλαιὰν ἐωνημένος οἰκίαν, βούλεται τὰ ὕποπτα δεῖξαι τοῖς πολίταις, ἀπῆλθε, καὶ διὰ τῆς τιβερίου* καλουμένης οἰκίας, καταβάς, ἐβάδιζεν εἰς ἀγοράν, οὗ χρυσοῦς εἱστήκει κίων, εἰς ὃν αἱ τετμημέναι τῆς ἰταλίας ὁδοὶ πᾶσαι τελευτῶσιν. ἐνταῦθα τοὺς πρώτους ἐκδεξαμένους αὐτὸν καὶ προσειπόντας αὐτοκράτορα, φασὶ μὴ πλείους τριῶν καὶ εἴκοσι γενέσθαι. διὸ καίπερ οὐ κατὰ τὴν τοῦ σώματος μαλακίαν, καὶ θηλύτητα τῆς ψυχῆς διατεθρυμμένος, ἀλλὰ ἰταμὸς ὢν πρὸς τὰ δεινὰ καὶ ἄτρεπτος, ἀπεδειλίασεν. οἱ δὲ παρόντες οὐκ εἴων, ἀλλὰ τοῖς ξίφεσι γυμνοῖς περιιόντες αὐτοῦ τὸ φορεῖον, ἐκέλευον αἴρεσθαι, παραφθεγγομένου πολλάκις ἀπολωλέναι καὶ τοὺς φορεαφόρους ἐπιταχύνοντος. ἐξήκουον γὰρ ἔνιοι θαυμάζοντες μᾶλλον ἢ ταραττόμενοι διὰ τὴν ὀλιγότητα τῶν ἀποτετολμημένων. φερομένῳ δὲ οὕτω δι᾽ ἀγορᾶς, ἀπήντησαν ἕτεροι τοσοῦτοι, καὶ πάλιν κατὰ τρεῖς καὶ τέτταρας ἄλλοι προσεπέλαζον.

εἶτα συνανέστρεφον ἅπαντες ἀνακαλούμενοι καίσαρα, καὶ γυμνὰ τὰ ξίφη προϊσχόμενοι. τῶν δὲ χιλιάρχων ὁ τὴν φυλακὴν ἔχων τοῦ στρατοπέδου μαρτιάλιος, ὥς φασι, μὴ συνειδὼς, ἐκπλαγεὶς δὲ τῷ ἀπροσδοκήτῳ καὶ φοβηθεὶς, ἀφῆκεν εἰσελθεῖν. γενομένῳ δὲ ἐντὸς, οὐδεὶς ἀντέπεσεν. οἱ γὰρ ἀγνοοῦντες τὰ πραττόμενα τοῖς εἰδόσι καὶ συνεστῶσιν ἐκ παρασκευῆς ἐμπεριεχόμενοι καθ' ἕνα καὶ δύο σποράδες ὑποδέους τὸ πρῶτον, εἶτα πεισθέντες ἐπηκολούθησαν. εἰς δὲ τὸ παλάτιον εὐθὺς μὲν ἀπηγγέλη τῷ γάλβα παρόντος ἔτι τοῦ θύτου, καὶ τῶν ἱερῶν ἐν χερσὶν ὄντων· ὥστε καὶ τοὺς πάνυ πρὸς τὰ τοιαῦτα δυσπειθῶς καὶ ἀγνωμόνως ἔχοντας, ἐκπλήττεσθαι καὶ θαυμάζειν τὸ θεῖον. ὄχλου δὲ παντοδαποῦ συρρέοντος ἐξ ἀγορᾶς, αὐτῷ μὲν ὀβίννιος καὶ λάκων καὶ τῶν ἀπελευθέρων ἔνιοι γυμνὰ τὰ ξίφη προϊσχόμενοι, παρέστησαν, ὁ δὲ πείσων προελθὼν τοῖς φυλάττουσι τὴν αὐλὴν δορυφόροις ἐνετύγχανε. τοῦ δ' ἰλλυρικοῦ τάγματος ἐν τῇ καλουμένῃ παστάδι βαψανίᾳ στρατοπεδεύοντος ἀπεστάλη μάριος κέλσος ἀνὴρ ἀγαθὸς προκαταληψόμενος. βουλομένου δὲ τοῦ γάλβα προελθεῖν, καὶ ὀβιννίου μὲν οὐκ ἐῶντος, κέλσου δὲ καὶ λάκωνος παρορμώντων καὶ σφοδρότερον τὸν ὀβίννιον καθαπτομένων, θροῦς διῆλθε πολὺς ὡς ἀνῃρημένου τοῦ ὄθωνος ἐν τῷ στρατοπέδῳ, καὶ μετὰ μικρὸν ὤφθη ἰούλιος ἄττικος τῶν οὐκ ἀσήμων ἐν τοῖς δορυφόροις στρατευόμενος, γυμνῷ τῷ ξίφει προσφερόμενος, καὶ βοῶν ἀνῃρηκέναι τὸν καίσαρος πολέμιον, ὠσάμενος δὲ διὰ τῶν προεστώτων ἔδειξε τῷ γάλβα τὸ ξίφος ᾑμαγμένον. ὁ δὲ βλέψας πρὸς αὐτὸν τίς σε εἶπεν ἐκέλευσε; τοῦ δὲ ἀνθρώπου τὴν πίστιν εἰπόντος καὶ τὸν ὅρκον ὃν ὤμοσε, καὶ τοῦ πλήθους ἐπιβοῶντος ὡς εὖ, καὶ κροτοῦντος, ἐμβὰς εἰς τὸ φορεῖον ἐκομίζετο, τῷ τε διὶ θῦσαι καὶ φανῆναι τοῖς πολίταις βουλόμενος. ἐμβαλόντος δὲ εἰς τὴν ἀγορὰν ὥσπερ τρόπαια πνεύματος ἀπήντησε φήμη κρατεῖν τὸν ὄθωνα τοῦ στρατεύματος. οἷα δὲ ἐν πλήθει τοσούτῳ, τῶν μὲν ἀναστρέφειν, τῶν δὲ προϊέναι, τῶν δὲ θαρρεῖν, τῶν δὲ ἀπιστεῖν βοώντων, καὶ τοῦ φορείου καθάπερ ἐν κλύδωνι δεῦρο κἀκεῖ διαφερομένου, καὶ πυκνὸν ἀποσαλεύοντος, ἐφαίνοντο πρῶτον ἱππεῖς, εἶτα ὁπλῖται διὰ τῆς παύλου βασιλικῆς προσφερόμενοι μιᾷ φωνῇ μέγα βοῶντες, ἐκποδὼν ἵστασθαι τὸν ἰδιώτην. τῶν μὲν οὖν πολλῶν δρόμος ἦν οὐ φυγῇ σκιδναμένων, ἀλλ' ἐπὶ τὰς στοὰς καὶ τὰ μετέωρα τῆς ἀγορᾶς, ὥσπερ θέαν καταλαμβανόντων. ἀτιλλίου δὲ σερκέλλωνος εἰκόνα γάλβα προσουδίσαντος, ἀρχὴν τοῦ πολέμου ποιησάμενοι περιηκόντισαν τὸ φορεῖον, ὡς δ' οὐκ ἔτυχον αὐτοῦ, προσῆγον ἐσπασμένοι τοῖς ξίφεσιν. ἤμυνε δὲ οὐδεὶς οὐδὲ ὑπέστη, πλὴν ἑνὸς ἀνδρὸς, ὃν μόνον ἥλιος ἐπεῖδεν ἐν μυριάσι τοσαύταις ἄξιον τῆς ῥωμαίων ἡγεμονίας. σεμπρώνιος ἴνδιστρος ἑκατοντάρχης, οὐδὲν ἰδίᾳ χρηστὸν ὑπὸ γάλβα πεπονθὼς, τῷ δὲ καλῷ καὶ τῷ νόμῳ βοηθῶν, προέστη τοῦ φορείου. καὶ τὸ κλῆμα πρῶτον ᾧ κολάζουσιν ἑκατοντάρχαι τοὺς πληγῶν δεομένους ἐπαράμενος, τοῖς ἐπιφερομένοις ἐβόα, καὶ διεκελεύετο φείδεσθαι τοῦ αὐτοκράτορος. ἔπειτα συμπλεκομένων αὐτῷ, σπασάμενος τὸ ξίφος ἠμύνατο πολὺν χρόνον, ἕως ὑφεὶς τὰς ἰγνύας ἔπεσε. τὸν δὲ γάλβαν ἀποκλιθέντος τοῦ φορείου πρὸς τὸν κούρτιον καλούμενον λάκκον, ἐκκυλισθέντα τεθωρακισμένον ἔτυπτον ἐπιδραμόντες. ὁ δὲ, τὴν σφαγὴν προτείνας, δρᾶτε εἶπεν εἰ τοῦτο τῷ δήμῳ ῥωμαίων ἄμεινόν ἐστιν. πολλὰς μὲν οὖν ἔλαβε πληγὰς εἴς τε τὰ σκέλη καὶ τοὺς βραχίονας. ἀπέσφαξε δὲ αὐτὸν, ὡς οἱ πλεῖστοι λέγουσι, καμουρειός τις ἐκ τοῦ πεντεκαιδεκάτου τάγματος. ἔνιοι δὲ τερέντιον, οἱ δὲ ἀρκάδιον ἱστοροῦσιν. οἱ δὲ φάβιον φάβουλον, ὃν καὶ φασὶν ἀποκόψαντα τὴν κεφαλὴν, κομίζειν ἐν τῷ ἱματίῳ συλλαβόντα διὰ τὴν ψιλότητα δυσπερίληπτον οὖσαν. ἔπειτα τῶν σὺν αὐτῷ κρύπτειν

κρύπτειν οὐκ ἐώντων, ἀλλ' ἐκφανῆ πᾶσι ποιεῖν τὴν ἀνδραγαθίαν, περιπείραντα περὶ λόγχην καὶ ἀναπήλαντα, πρεσβύτου πρόσωπον ἄρχοντός τε κοσμίου καὶ ἀρχιερέως καὶ ὑπάτου, δρόμῳ χωρεῖν ὥσπερ αἱ βάκχαι πολλάκις μεταστρεφόμενον καὶ κραδαίνοντα τὴν λόγχην αἵματι καταρρεομένην. τὸν δὲ ὄθωνα τῆς κεφαλῆς κομισθείσης ἀνακραγεῖν λέγουσιν· οὐδέν ἐστι τοῦτο ὦ συστρατιῶται, τὴν πείσωνός μοι κεφαλὴν δείξατε. μετ' ὀλίγον δὲ ἧκε κομιζομένη. τρωθεὶς γὰρ ἔφυγεν ὁ νεανίσκος, καὶ καταδιωχθεὶς ὑπὸ μάρκου τινὸς ἀπεσφάγη πρὸς τῷ ἱερῷ τῆς ἑστίας. ἀπεσφάττετο δὲ καὶ ὀβίννιος ὁμολογῶν κοινωνὸς γεγονέναι τῆς ἐπὶ τὸν γάλβαν συνωμοσίας. ἐβόα γοῦν ἀποθνήσκειν παρὰ τὴν ὄθωνος γνώμην. ἀλλά γε καὶ τούτου τὴν κεφαλὴν ἀποτεμόντες καὶ λάκωνος ἐκόμισαν πρὸς τὸν ὄθωνα δωρεὰς αἰτοῦντες. ὥσπερ δέ φησιν ἀρχίλοχος, ἑπτὰ γὰρ νεκρῶν πεσόντων, οὓς ἐμάρψαμεν ποσί· χίλιοι φονῆές ἐσμεν, οὕτω τότε πολλοὶ τοῦ φόνου μὴ συνεφαψάμενοι, χεῖρας δὲ καὶ ξίφη καθαιμάξαντες, ἐπεδείκνυον τὰς δωρεὰς ᾔτουν, βιβλία διδόντες τῷ ὄθωνι. εἴκοσι γοῦν καὶ ἑκατὸν εὑρέθησαν ὕστερον ἐκ τῶν γραμματείων, οὓς ὁ οὐιτέλλιος ἀναζητήσας, ἅπαντας ἀπέκτεινεν. ἧκε δὲ καὶ μάριος κέλσος εἰς τὴν παρεμβολὴν, καὶ πολλῶν αὐτοῦ κατηγορούντων, ὅτι τοὺς στρατιώτας ἔπειθε τῷ γάλβα βοηθεῖν, καὶ τοῦ πλήθους ἀποκτιννύειν βοῶντος, ὄθων οὐκ ἐβούλετο. φοβούμενος δὲ ἀντιλέγειν, οὐχ οὕτως ἔφη ταχέως ἀποκτενεῖν αὐτὸν, εἶναι γὰρ ἃ δεῖ πρότερον ἐκπυθέσθαι παρὰ τοῦ ἀνδρός. ἐκέλευσεν οὖν δήσαντας φυλάττειν, καὶ παρέδωκε τοῖς μάλιστα πιστευομένοις. εὐθὺς δὲ βουλὴ συνεκαλεῖτο. καὶ καθάπερ ἄλλοι γεγονότες, ἢ θεῶν ἄλλων γεγονότων, συνελθόντες ὤμνυον ὅρκον ὑπὲρ τοῦ ὄθωνος, ὃν αὐτὸς ὀμόσας οὐκ ἐτήρησε. καὶ καίσαρα καὶ σεβαστὸν ἀνηγόρευον, ἔτι τῶν νεκρῶν ἀκεφάλων ἐν ταῖς ὑπατικαῖς ἐσθῆσιν ἐρριμμένων περὶ τὴν ἀγοράν. ταῖς δὲ κεφαλαῖς, ὡς οὐδὲν εἶχον ἔτι χρῆσθαι, τὴν μὲν ὀβιννίου τῇ θυγατρὶ δισχιλίων καὶ πεντακοσίων δραχμῶν ἀπέδοντο. τὴν δὲ πείσωνος, ἡ γυνὴ ἔλαβεν οὐκρανίου δεηθεῖσα. τὴν δὲ γάλβα τοῖς πατροβίου καὶ οὐιτελλίου δούλοις ἐδωρήσαντο. λαβόντες δὲ ἐκεῖνοι, καὶ πάντα τρόπον αἰκισάμενοι, καὶ καθυβρίσαντες, ἔρριψαν οὗ τοὺς ὑπὸ τῶν καισάρων κολαζομένους θανατοῦσιν. ὁ δὲ τόπος σηστέρτιον καλεῖται. τὸ δὲ σῶμα τοῦ γάλβα πρίσκος ἐλβίδιος ἀνείλετο, τοῦ ὄθωνος ἐπιτρέψαντος, ἔθαψε δὲ νυκτὸς ἀργεῖος ἀπελεύθερος. τοιαῦτα τὰ κατὰ τὸν γάλβαν ἄνδρα μήτε γένει μήτε πλούτῳ πολλῶν ἀπολειφθέντα ῥωμαίων, ὁμοῦ δὲ πλούτῳ καὶ γένει πρωτεύσαντα, πάντων τῶν καθ' αὑτὸν, πέντε αὐτοκρατόρων ἡγεμονίαις, ἐμβιώσαντα μετὰ τιμῆς καὶ δόξης, ὥστε τῇ δόξῃ μᾶλλον ἢ τῇ δυνάμει καθελεῖν νέρωνα, τῶν συνεπιτιθεμένων τότε. τοὺς μὲν, οὐδεὶς ἠξίωσε τῆς ἡγεμονίας. οἱ δ' ἑαυτοὺς ἠξίωσαν. γάλβας δὲ καὶ κληθεὶς καὶ ὑπακούσας αὐτοκράτωρ, καὶ τῇ οὐίνδικος ἐμπαρασχὼν ὄνομα τόλμῃ, κίνημα καὶ νεωτερισμὸν αὐτοῦ λεγομένην τὴν ἀπόστασιν, ἐποίησε πόλεμον ἐμφύλιον, ἀνδρὸς ἡγεμονικοῦ τυχοῦσαν. ὅθεν οὐχ ἑαυτῷ τὰ πράγματα λαμβάνειν, ἀλλὰ μᾶλλον ἑαυτὸν οἰόμενος διδόναι τοῖς πράγμασιν, ἄρχειν ἠξίου τῶν ὑπὸ τιγελλίνου καὶ νυμφιδίου τεθιασευμένων, ὡς σκιπίων ἦρχε καὶ φαβρίκιος, καὶ κάμιλλος, τῶν τότε ῥωμαίων, ὑπερειπόμενος δὲ τῷ γήρᾳ, ἄχρι τῶν ὅπλων καὶ τῶν στρατευμάτων, ἀκέραιος ἦν καὶ ἀρχαῖος αὐτοκράτωρ. ὀβιννίῳ δὲ καὶ λάκωνι καὶ τοῖς ἀπελευθέροις, πάντα τὰ πράγματα πωλοῦσι παρέχων ἑαυτὸν, οἷον νέρων παρεῖχε τοῖς ἀπληστοτάτοις, οὐδένα ποθοῦντα τὴν ἀρχὴν, οἰκτείραντας δὲ τοὺς πολλοὺς τὸν θάνατον ἀπέλιπεν.

ἢ ἐπεδείκνυσαν

Post Galbę vitam imprimenda erit vita Othonis. ita .n. incipit. ὁ δὲ νεώτερος αὐτοκράτωρ.

Ὁ πατὴρ, αὐτοβούλῳ καὶ πλουτάρχῳ, εὖ πράττειν.


Ἐπεὶ τὰ πολλάκις εἰρημένα καὶ γεγραμμένα σποράδην ἐν ἑτέροις ἕτερα, τὴν πλάτωνος ἐξηγουμένοις δόξαν ἣν εἶχεν ὑπὲρ ψυχῆς, ᾤεσθε δεῖν εἰς ἓν συναχθῆναι καὶ τυχεῖν ἰδίας ἀναγραφῆς, τὸν λόγον τοῦτον οὔτε ἄλλως εὐμεταχείριστον ὄντα, καὶ διὰ τὸ τοῖς πλείστοις τῶν ἀπὸ πλάτωνος ὑπεναντιοῦσθαι δεόμενον παραμυθίας, προεκθήσομαι τὴν λέξιν ὡς ἐν τιμαίῳ γέγραπται. τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας, καὶ τῆς αὖ περὶ τὰ σώματα γινομένης μεριστῆς, τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταὐτοῦ φύσεως αὖ πέρι καὶ τῆς θατέρου, καὶ κατὰ ταῦτα συνέστησεν ἐν μέσῳ τοῦ τε ἀμεροῦς αὐτῶν καὶ τοῦ κατὰ τὰ σώματα μεριστοῦ, καὶ τρία λαβὼν αὐτὰ ὄντα, συνεκεράσατο εἰς μίαν πάντα ἰδέαν, τὴν θατέρου φύσιν δύσμικτον οὖσαν, εἰς τὸ αὐτὸ συναρμόττων βίᾳ. μιγνὺς δὲ μετὰ τῆς οὐσίας, καὶ ἐκ τριῶν ποιησάμενος ἕν, πάλιν ὅλον τοῦτο μοίρας εἰς ἃς προσῆκε διένειμεν· ἑκάστην δὲ τούτων, ἔκ τε ταὐτοῦ καὶ θατέρου καὶ τῆς οὐσίας μεμιγμένην, ἤρχετο δὲ διαιρεῖν ὧδε. ταῦτα πρῶτον ὅσας παρέσχηκε τοῖς ἐξηγουμένοις διαφοράς, ἄπλετον ἔργον ἐστὶ διελθεῖν ἐν τῷ παρόντι· πρὸς δὲ ὑμᾶς ἐντετυχηκότας ὁμοῦ ταῖς πλείσταις, καὶ περιττόν. ἐπεὶ δὲ τῶν δοκιμωτάτων ἀνδρῶν, τοὺς μὲν, ξενοκράτης προσηγάγετο, τῆς ψυχῆς τὴν οὐσίαν ἀριθμὸν αὐτὸν ὑφ᾽ ἑαυτοῦ κινούμενον ἀποφηνάμενος, οἱ δὲ κράντορι τῷ σολεῖ προσέθεντο, μιγνύντι τὴν ψυχὴν, ἔκ τε τῆς νοητῆς καὶ τῆς περὶ τὰ αἰσθητὰ δοξαστῆς φύσεως, οἶμαί τι τὴν τούτων ἀνακαλυφθέντων σαφήνειαν, ὥσπερ ἐνδόσιμον ὑμῖν παρέξειν. ἔστι δὲ βραχὺς ὁ περὶ ἀμφοῖν ὁ λόγος. οἱ μὲν γὰρ οὐδὲν ἢ γένεσιν ἀριθμοῦ δηλοῦσθαι νομίζουσι τῇ μίξει τῆς ἀμερίστου καὶ μεριστῆς οὐσίας. ἀμέριστον μὲν γὰρ εἶναι τὸ ἕν, μεριστὸν δὲ τὸ πλῆθος. ἐκ δὲ τούτων γίνεσθαι τὸν ἀριθμὸν τοῦ ἑνὸς ὁρίζοντος τὸ πλῆθος, καὶ τῇ ἀπειρίᾳ πέρας ἐντιθέντος. ἣν καὶ δυάδα καλοῦσιν ἀόριστον. καὶ ζαράτας ὁ πυθαγόρου διδάσκαλος, ταύτην μὲν ἐκάλει τοῦ ἀριθμοῦ μητέρα. τὸ δὲ ἕν, πατέρα. διὸ καὶ βελτίονας εἶναι τῶν ἀριθμῶν, ὅσοι τῇ μονάδι προσεοίκασι. τοῦτον δὲ μήπω ψυχὴν τὸν ἀριθμὸν εἶναι. τὸ γὰρ κινητικὸν καὶ τὸ κινητὸν ἐνδεῖν αὐτῷ. τοῦ δὲ ταὐτοῦ καὶ τοῦ ἑτέρου συμμιγέντων. ὧν τὸ μέν ἐστι κινήσεως ἀρχὴ καὶ μεταβολῆς. τὸ δὲ, μονῆς, ψυχὴν γεγονέναι, μηδὲν ἧττον τοῦ ἱστάναι καὶ ἵστασθαι δύναμιν, ἢ τοῦ κινεῖσθαι καὶ κινεῖν οὖσαν, οἱ δὲ περὶ τὸν κράντορα, μάλιστα τῆς ψυχῆς ἴδιον ὑπολαμβάνοντες ἔργον εἶναι τοῦ κρίνειν τά τε νοητὰ καὶ τὰ αἰσθητά, τάς τε τούτων ἐν αὐτοῖς καὶ πρὸς ἄλληλα γινομένας διαφορὰς καὶ ὁμοιότητας, ἐκ πάντων φασίν, ἵνα πάντα γινώσκῃ, συγκεκρᾶσθαι τὴν ψυχήν. ταῦτα δὲ εἶναι τέτταρα. τὴν νοητὴν φύσιν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσαν, καὶ τὴν περὶ τὰ σώματα παθητικὴν καὶ μεταβλητήν. ἔτι δὲ τὴν ταὐτοῦ καὶ τοῦ ἑτέρου, διὰ τὸ κἀκείνων ἑκατέραν μετέχειν ἑτερότητος καὶ ταὐτότητος. ὁμαλῶς δὲ πάντες οὗτοι, χρόνῳ μὲν οἴονται τὴν ψυχὴν μὴ γεγονέναι. μηδ᾽ εἶναι γεννητήν, πλείονας δὲ δυνάμεις ἔχειν, εἰς ἃς ἀναλύοντα θεωρίας ἕνεκα τὴν οὐσίαν αὐτῆς, λόγῳ τὸν πλάτωνα γινομένην ὑποτίθεσθαι καὶ συγκεραννυμένην, τὰ δ᾽ αὐτὰ καὶ περὶ τοῦ κόσμου διανοούμενον. ἐπίστασθαι μὲν ἀΐδιον ὄντα καὶ ἀγέννητον. τὸ δὲ ᾧ τρόπῳ συντέτακται καὶ διοικεῖται καταμα-

θεῖν οὐ ῥᾴδιον, ὁρῶντα, τοῖς μήτε γένεσιν αὐτοῦ, μὴ δὲ τῶν γεννητικῶν σύνοδον ἐξ ἀρχῆς προϋποθεμένοις ταύτην τὴν ὁδὸν τραπέσθαι. τοιούτων δὲ τῶν καθόλου λεγομένων, ὁ μὲν εὔδωρος οὐδετέρους ἀμοιρεῖν οἴεται τοῦ εἰκότος. ἐμοὶ δὲ δοκοῦσι τῆς πλάτωνος ἀμφότεροι διαμαρτάνειν δόξης, εἰ κανόνι τῷ πιθανῷ χρηστέον, οὐκ ἴδια δόγματα περαίνοντας, ἀλλ᾽ ἐκείνῳ τι βουλομένους λέγειν ὁμολογούμενον. ἡ μὲν ἐκ τῆς νοητικῆς καὶ τῆς αἰσθητικῆς οὐσίας λεγομένη μίξις, οὐ διασαφεῖται πῶς ποτε ψυχῆς μᾶλλον, ἢ τῶν ἄλλων, ὅτι ἄν τις εἴπῃ γένεσίς ἐστιν. αὐτός τε γὰρ ὁ κόσμος οὗτος, καὶ τῶν μερῶν ἕκαστον αὐτοῦ, συνέστηκεν ἔκ τε σωματικῆς οὐσίας καὶ νοητῆς. ὧν ἡ μὲν, ὕλην καὶ ὑποκείμενον. ἡ δὲ, μορφὴν καὶ εἶδος τῷ γενομένῳ παρέσχε, καὶ τῆς μὲν ὕλης τὸ μετοχῇ καὶ εἰκασίᾳ τοῦ νοητοῦ μορφωθὲν εὐθὺς ἁπτὸν ὁρατόν ἐστιν. ἡ ψυχὴ δὲ πᾶσαν αἴσθησιν ἐκπέφευγεν. ἀριθμὸν γὰρ ὁ πλάτων οὐδέποτε τὴν ψυχὴν προσεῖπεν. ἀλλὰ κίνησιν αὐτοκίνητον ἀεὶ, καὶ κινήσεως πηγὴν καὶ ἀρχήν, ἀριθμῷ δὲ καὶ λόγῳ καὶ ἁρμονίᾳ διακεκόσμηκε τὴν οὐσίαν αὐτῆς, ὑποκειμένην καὶ δεχομένην τὸ κάλλιστον εἶδος ὑπὸ τούτων ἐγγινόμενον. οἶμαι δὲ μὴ ταὐτὸν εἶναι τῷ κατὰ ἀριθμὸν συνεστάναι τὴν ψυχήν, τὸ τὴν οὐσίαν αὐτῆς ἀριθμὸν ὑπάρχειν. ἐπεὶ καθ᾽ ἁρμονίαν συνέστηκεν. ἁρμονία δὲ οὐκ ἔστιν ὡς αὐτὸς ἐν τῷ περὶ ψυχῆς ἀπέδειξεν. ἐκφανῶς δὲ τούτοις ἠγνόηται τὸ περὶ ταὐτοῦ καὶ τοῦ ἑτέρου. λέγουσι γὰρ ὡς τὸ μὲν στάσεως, τὸ δὲ κινήσεως συμβάλλεται δύναμιν, εἰς τὴν τῆς ψυχῆς γένεσιν, αὐτοῦ πλάτωνος, ἐν τῷ σοφιστῇ, τὸ ὂν καὶ τὸ ταὐτὸν καὶ τὸ ἕτερον, πρὸς δὲ τούτοις, στάσιν καὶ κίνησιν, ὡς ἕκαστον ἑκάστου διάφορον. καὶ πέντε ὄντα, χωρὶς ἀλλήλων τιθεμένου καὶ διορίζοντος. ὅ γε μὴν οὗτοί τε κοινῇ καὶ οἱ πλεῖστοι τῶν χρωμένων πλάτωνι φοβούμενοι καὶ παραλυπούμενοι, πάντα μηχανῶνται, καὶ παραβιάζονται καὶ στρέφουσιν, ὥς τι δεινὸν καὶ ἄρρητον οἰόμενοι δεῖν περικαλύπτειν καὶ ἀρνεῖσθαι, τήν τε τοῦ κόσμου, τήν τε τῆς ψυχῆς αὐτοῦ γένεσιν καὶ σύστασιν. οὐκ ἐξ ἀϊδίου συνεστώτων, οὐδὲ τὸν ἄπειρον χρόνον οὕτως ἐχόντων, ἰδίᾳ τε λόγου τέτευχε. καὶ νῦν ἀρκέσει ῥηθέν. ὅτι τὸν περὶ θεῶν ἀγῶνα καὶ λόγον, ᾧ πλάτων ὁμολογεῖ φιλοτιμότατα καὶ παρ᾽ ἡλικίαν πρὸς τοὺς ἀθέους κεχρῆσθαι, συγχέουσι. μᾶλλον δὲ ὅλως ἀναιροῦσιν. εἰ γὰρ ἀγέννητος ὁ κόσμος ἐστίν, οἴχεται τῷ πλάτωνι τὸ πρεσβύτερον τοῦ σώματος τὴν ψυχὴν οὖσαν, ἐξάρχειν μεταβολῆς καὶ κινήσεως πάσης ἡγεμόνα καὶ πρωτουργόν, ὡς αὐτὸς εἴρηκεν ἐγκαθεστῶσαν. τίς δὲ οὖσα καὶ τίνος ὄντος ἡ ψυχὴ τοῦ σώματος προτέρα καὶ πρεσβυτέρα λέγεται γεγονέναι, προϊὼν, ὁ λόγος ἐνδείξεται. τοῦτο γὰρ ἀγνοούμενον ἔοικε τὴν πλείστην ἀπορίαν καὶ ἀπιστίαν παρέχειν τῆς ἀληθοῦς δόξης. πρῶτον οὖν ἣν ἔχω περὶ τούτων διάνοιαν ἐκθήσομαι, πιστούμενος τῷ εἰκότι, καὶ παραμυθούμενος ὡς ἔνεστι τὸ ἀληθὲς τοῦ λόγου καὶ παράδοξον. ἔπειτα ταῖς λέξεσιν ἐπάξω, συνοικειῶν ἅμα τὴν ἐξήγησιν καὶ τὴν ἀπόδειξιν. ἔχει δὲ οὕτω κατά γε τὴν ἐμὴν τὰ πράγματα δόξαν. κόσμον τόνδε φησὶν ἡράκλειτος, οὔτε τις θεῶν οὔτ᾽ ἀνθρώπων ἐποίησεν ὥσπερ φοβηθεὶς μὴ θεοῦ ἀπογνόντες, ἄνθρωπόν τινα γεγονέναι τοῦ κόσμου δημιουργὸν ὑπονοήσωμεν. βέλτιον οὖν πλάτωνι πειθομένους, τὸν μὲν κόσμον ὑπὸ θεοῦ γεγονέναι λέγειν καὶ ᾄδειν. ὁ μὲν γὰρ κάλλιστος, τῶν γεγονότων, ὁ δὲ ἄριστος, τῶν αἰτίων. τὴν δὲ οὐσίαν καὶ ὕλην, ἐξ ἧς γέγονεν, οὐ γενομένην, ἀλλὰ ὑποκειμένην ἀεὶ τῷ δημιουργῷ, εἰς διάθεσιν καὶ τάξιν αὐτῆς, καὶ πρὸς αὐτὸν ἐξομοίωσιν ὡς δυνατὸν ἦν παρασχεῖν. οὐ γὰρ ἐκ τοῦ μὴ ὄντος ἡ γένεσις, ἀλλ᾽ ἐκ τοῦ μὴ καλῶς μηδ᾽ ἱκανῶς ἔχοντος, ὡς οἰκίας καὶ ἱματίου καὶ ἀνδριάντος. ἀκοσμία γὰρ ἦν τὰ πρὸ τῆς τοῦ κόσμου γενέσεως. ἀκοσμία δὲ, οὐκ ἀσώματος, οὐδὲ ἀκίνητος, οὐ δὲ ἄψυχος, ἀλλὰ ἄμορφον μὲν καὶ ἀσύστατον τὸ σωματικόν, ἔμπληκτον δὲ καὶ ἄλογον τὸ κινητι-


ἣν ἔχουσα· τοῦτο δ' ἦν ἀναρμοστία ψυχῆς οὐκ ἐχούσης λόγον· ὁ γὰρ θεὸς οὔτε σῶμα τὸ ἀσώματον, οὔτε ψυχὴν τὸ ἄψυχον ἐποίησεν, ἀλλ' ὥσπερ ἁρμονικὸν ἄνδρα καὶ ῥυθμικὸν οὐ φωνὴν ποιεῖν οὐδὲ κίνησιν· ἐμμελῆ δὲ φωνήν, καὶ κίνησιν εὔρυθμον ἀξιοῦμεν· οὕτως ὁ θεός, οὔτε τοῦ σώματος τὸ ἁπτὸν καὶ ἀντίτυπον, οὔτε τῆς ψυχῆς τὸ φανταστικὸν καὶ κινητικὸν αὐτὸς ἐποίησεν· ἀμφοτέρας δὲ τὰς ἀρχὰς παραλαβών, τὴν μὲν ἀμυδρὰν καὶ σκοτεινήν, τὴν δέ, ταραχώδη καὶ ἀνόητον· ἀτελεῖς δὲ τοῦ προσήκοντος ἀμφοτέρας καὶ ἀορίστους, ἔταξε καὶ διεκόσμησε καὶ συνήρμοσε, τὸ κάλλιστον ἀπεργασάμενος καὶ τελειότατον ἐξ αὐτῶν ζῷον. ἡ μὲν οὖν σώματος οὐσία τῆς λεγομένης ὑπ' αὐτοῦ πανδεχοῦς φύσεως, ἕδρας τε καὶ τιθήνης τῶν γεννητῶν, οὐχ ἑτέρα τίς ἐστιν. τὴν δὲ τῆς ψυχῆς ἐν φιλίβῳ μέν, ἀπειρίαν κέκληκεν ἀριθμοῦ καὶ λόγου στέρησιν οὖσαν· ἐλλείψεώς τε καὶ ὑπερβολῆς καὶ διαφορᾶς καὶ ἀνομοιότητος, ἐν αὑτῇ πέρας οὐδὲν οὐδὲ μέτρον ἔχουσαν· ἐν δὲ τιμαίῳ, τὴν τῇ ἀμερίστῳ συγκεραννυμένην φύσει, καὶ περὶ τὰ σώματα γίνεσθαι λεγομένην μεριστήν, οὔτε πλῆθος ἐν μονάσι καὶ στιγμαῖς, οὔτε μήκη καὶ πλάτη λέγεσθαι νομιστέον, ἃ σώμασι προσήκει, καὶ σωμάτων μᾶλλον, ἢ τῆς ψυχῆς ἐστιν. ἀλλὰ τὴν ἄτακτον καὶ ἀόριστον, αὐτοκίνητον δὲ καὶ κινητικὴν ἀρχήν, ἐκείνην ἣν πολλαχοῦ μὲν ἀνάγκην· ἐν δὲ τοῖς νόμοις ἄντικρυς ψυχὴν ἄτακτον εἴρηκε καὶ κακοποιόν. αὕτη γὰρ ἦν ψυχὴ καθ' ἑαυτήν, νοῦ δὲ καὶ λογισμοῦ καὶ ἁρμονίας ἔμφρονος μετέσχεν, ἵνα κόσμου ψυχὴ γένηται. καὶ γὰρ τὸ πανδεχὲς καὶ ὑλικὸν ἐκεῖνο μέγεθος μὲν ἐκέκτητο καὶ διάστημα καὶ χώραν· κάλλους δὲ καὶ μορφῆς καὶ σχημάτων μετριότητος, ἐνδεῶς εἶχεν. ἔλαχε δὲ τούτων, ἵνα γῆς θαλάττης καὶ οὐρανοῦ καὶ ἀστέρων φυτῶν τε καὶ ζῴων παντοδαπὰ σώματα καὶ ὄργανα γένηται κοσμηθέν. οἱ δὲ τὴν ἐν τιμαίῳ λεγομένην ἀνάγκην, ἐν δὲ φιλίβῳ περὶ τὸ μᾶλλον καὶ ἧττον ἐλλείψεως καὶ ὑπερβολῆς ἀμετρίαν καὶ ἀπειρίαν τῇ ὕλῃ προστιθέντες, ἀλλὰ μὴ τῇ ψυχῇ * γε οὐ θήσοντι, τὸ τὴν ὕλην ἀεὶ μὲν ἄμορφον καὶ ἀσχημάτιστον ὑπ' αὐτοῦ λέγεσθαι, καὶ πάσης ποιότητος καὶ δυνάμεως οἰκείας ἔρημον· εἰκάζεσθαι δὲ ἀόδεσιν ἐλαίοις, ἃ πρὸς τὰς βαφὰς οἱ μυρεψοὶ λαμβάνουσιν. οὐ γὰρ οἷόν τε τὸ ἄποιον καὶ ἀργὸν ἐξ αὑτοῦ καὶ ἀρρεπὲς αἰτίαν κακοῦ καὶ ἀρχὴν ὑποτίθεσθαι τὸν πλάτωνα· καὶ καλεῖν ἀπειρίαν αἰσχρὰν καὶ κακοποιόν· αὖθις δὲ ἀνάγκην, πολλὰ τῷ θεῷ δυσμαχοῦσαν καὶ ἀφηνιάζουσαν. ἡ γὰρ ἀναστρέφουσα τὸν οὐρανόν, ὥσπερ ἐν πολιτικῷ λέγεται καὶ ἀνελίττουσα πρὸς τοὐναντίον, ἀνάγκη καὶ σύμφυτος ἐπιθυμία, καὶ τὸ τῆς πάλαι ποτὲ φύσεως σύντροφον πολλῆς μετέχον ἀταξίας, πρὶν εἰς τὸν νῦν κόσμον ἀφικέσθαι. πόθεν ἐπέγονε τοῖς πράγμασιν, εἰ τὸ μὲν ὑποκείμενον ἄποιον ἦν ὕλη καὶ ἄμοιρον αἰτίας ἁπάσης· ὁ δὲ δημιουργὸς ἀγαθὸς καὶ πάντα βουλόμενος αὐτῷ κατὰ δύναμιν ἐξομοιῶσαι. τρίτον δὲ παρὰ ταῦτα μηθέν. αἱ γὰρ στωικαὶ καταλαμβάνουσιν ἡμᾶς ἀπορίαι, τὸ κακὸν ἐκ τοῦ μὴ ὄντος ἀναιτίως καὶ ἀγεννήτως ἐπεισάγοντας· ἐπεὶ τῶν γε ὄντων, οὔτε τὸ ἀγαθὸν οὔτε τὸ ἄποιον εἰκός ἐστιν οὐσίαν κακοῦ καὶ γένεσιν παρασχεῖν. ἀλλὰ ταὐτὸ πλάτων οὐκ ἔπαθε τοῖς ὕστερον, οὐδὲ παριδών, ὡς ἐκεῖνοι τὴν μεταξὺ τῆς ὕλης καὶ τοῦ θεοῦ τρίτην ἀρχὴν καὶ δύναμιν, ὑπέμεινε τῶν λόγων τὸ ἀτοπώτατον, ἐπεισόδιον οὐκ οἶδα ὅπως ποιοῦντα τῶν κακῶν φύσιν ἀπ' αὐτομάτου κατὰ συμβεβηκός. ἐπικούρῳ μὲν γὰρ οὐδὲ ἀκαρὲς ἐγκλῖναι τὴν ἄτομον συγχωροῦσιν, ὡς ἀναίτιον ἐπεισάγοντι κίνησιν ἐκ τοῦ μὴ ὄντος. αὐτοὶ δὲ κακίαν καὶ κακοδαιμονίαν τοσαύτην, ἑτέρας τε περὶ σῶμα μυρίας ἀτοπίας καὶ δυσχερείας, αἰτίαν ἐν ταῖς ἀρχαῖς οὐκ ἐχούσας, κατ' ἐπακολούθησιν γεγονέναι λέγουσιν. ὁ δὲ πλάτων οὐχ οὕτως· ἀλλὰ τήν γε ὕλην διαφορᾶς ἁπάσης

ἁπάσης ἀπαλλάττων, καὶ τοῦ θεοῦ τὴν τῶν κακῶν αἰτίαν ἀπωτάτω τιθέμενος, ταῦτα περὶ τοῦ κόσμου γέγραφεν ἐν τῷ πολιτικῷ. παρὰ μὲν γὰρ τοῦ συνθέντος πάντα τὰ καλὰ κέκτηται· παρὰ δὲ τῆς ἔξωθεν ἕξεως ὅσα χαλεπὰ καὶ ἄδικα ἐν οὐρανῷ γίνεται, ταῦτα ἐξ ἐκείνης αὐτός τε ἔχει, καὶ τοῖς ζῴοις ἐναπεργάζεται. καὶ μικρὸν ἔτι προελθών· προϊόντος δέ φησι τοῦ χρόνου καὶ λήθης ἐγγινομένης ἐν αὐτῷ, μᾶλλον δυναστεύει τὸ τῆς παλαιᾶς ἀναρμοστίας πάθος, καὶ κινδυνεύει διαλυθεὶς εἰς τὸν τῆς ἀνομοιότητος ἄπειρον ὄντα τόπον δῦναι πάλιν. ἀνομοιότης δὲ περὶ τὴν ὕλην ἄποιον καὶ ἀδιάφορον οὖσαν, οὐκ ἔστιν. ἀλλὰ μετὰ πολλῶν ἄλλων, καὶ εὔδημος ἀγνοήσας, καταιρωνεύεται τοῦ πλάτωνος, ὡς οὐκ αὐτὴν πολλάκις ὑπ' αὐτοῦ μητέρα καὶ τιθήνην προσαγορευομένην, αἰτίαν κακῶν, ῥίζαν ἀρχὴν ἀποφαίνοντος. ὁ γὰρ πλάτων μητέρα μὲν καὶ τιθήνην καλεῖ τὴν ὕλην· αἰτίαν δὲ κακοῦ, τὴν κινητικὴν τῆς ὕλης, καὶ περὶ τὰ σώματα γινομένην μεριστήν, ἄτακτον καὶ ἄλογον, οὐκ ἄψυχον δὲ κίνησιν· ἣν ἐν νόμοις ὥσπερ εἴρηται, ψυχὴν ἐναντίαν καὶ ἀντίπαλον τῇ ἀγαθουργῷ προσεῖπε. ψυχὴ γὰρ αἰτία κινήσεως καὶ ἀρχή· νοῦς δὲ τάξεως καὶ συμφωνίας περὶ κίνησιν. ὁ γὰρ θεὸς οὐκ ἀνέστησε τὴν ὕλην ἀργοῦσαν, ἀλλ' ἔστησεν ὑπὸ τῆς ἀνοήτου ταραττομένην αἰτίας, οὐδὲ ἀρχὰς τῇ φύσει μεταβολῆς καὶ παθῶν παρέσχεν· ἀλλ' οὔσης ἐν πάθεσι παντοδαποῖς καὶ μεταβολαῖς ἀτάκτοις, ἐξεῖλε τὴν πολλὴν ἀοριστίαν καὶ πλημμέλειαν, ἁρμονίᾳ καὶ ἀναλογίᾳ, καὶ ἀριθμῷ χρώμενος ὀργάνοις· ὧν ἔργον ἐστίν, οὐ μεταβολῇ καὶ κινήσει, ἑτερότητος πάθη καὶ διαφορὰς παρέχειν τοῖς πράγμασιν· ἀλλὰ μᾶλλον ἀπλανῆ καὶ στάσιμα, καὶ τοῖς κατὰ ταὐτὰ ὡσαύτως ἔχουσιν ὅμοια ποιεῖν. ἡ μὲν οὖν διάνοια τοιαύτη κατά γε τὴν ἐμὴν δόξαν τοῦ πλάτωνος. ἀπόδειξις δὲ πρώτη μέν, ἡ τῆς λεγομένης καὶ δοκούσης αὐτοῦ πρὸς ἑαυτὸν ἀσυμφωνίας καὶ διαφορᾶς λύσις. οὐδὲ γὰρ σοφιστῇ κραιπαλῶντι· πόθεν γε δὴ πλάτωνι τοιαύτην ἄν τις ἀναθείη, περὶ οὓς ἐσπουδάκει μάλιστα τῶν λόγων, ταραχὴν καὶ ἀνωμαλείαν, ὥστε τὴν αὐτὴν φύσιν ὁμοῦ καὶ ἀγένητον ἀποφαίνειν καὶ γενομένην· ἀγένητον μὲν ἐν φαίδρῳ τὴν ψυχήν· ἐν δὲ τιμαίῳ γινομένην. ἡ μὲν οὖν ἐν φαίδρῳ διάλεκτος, ὀλίγου δεῖν ἅπασιν διὰ στόματός ἐστιν, τῷ ἀγεννήτῳ τὸ ἀνώλεθρον, τῷ δὲ αὐτοκινήτῳ πιστουμένη τὸ ἀγέννητον αὐτῆς. ἐν δὲ τιμαίῳ, τὴν δὲ ψυχήν φησιν οὐχ ὡς νῦν ὑστέραν ἐπιχειροῦμεν λέγειν· οὕτω ἐμηχανήσατο καὶ ὁ θεὸς νεωτέραν· οὐ γὰρ ἂν ἄρχεσθαι πρεσβύτερον ὑπὸ νεωτέρου συνῆρξεν, εἴασεν, ἀλλά πως, ἡμεῖς πολὺ μετέχοντες τοῦ προστυχόντος τε καὶ εἰκῇ, ταύτῃ πῃ καὶ λέγομεν· ὁ δὲ καὶ γενέσει καὶ ἀρετῇ προτέραν τὴν ψυχὴν σώματος ὡς δεσπότιν, καὶ ἄρξουσαν ἀρξομένου συνεστήσατο. καὶ πάλιν εἰπὼν ὡς αὐτὴ ἐν ἑαυτῇ στρεφομένη, θείαν ἀρχὴν ἤρξατο ἀπαύστου καὶ ἔμφρονος βίου. τὸ μὲν δὴ σῶμά φησιν ὁρατὸν οὐρανοῦ γέγονεν, αὐτὴ δὲ ἀόρατος μέν, λογισμοῦ δὲ μετέχουσα καὶ ἁρμονίας ψυχή, τῶν νοητῶν ἀεί τε ὄντων ὑπὸ τοῦ ἀρίστου ἀρίστη γενομένη τῶν γεννηθέντων. ἐνταῦθα γὰρ τὸν μὲν θεὸν ἄριστον εἰπὼν τῶν ἀεὶ ὄντων· τὴν δὲ ψυχήν, ἀρίστην τῶν γεννηθέντων· σαφεστάτῃ ταύτῃ τῇ διαφορᾷ καὶ ἀντιθέσει, τὸ ἀΐδιον αὐτῆς καὶ τὸ ἀγέννητον ἀφῄρηται. τίς τούτων ἐπανόρθωσις ἑτέρα πλὴν ἧς αὐτὸς δίδωσι τοῖς δέχεσθαι βουλομένοις· ἀγέννητον μὲν γὰρ ἀποφαίνει ψυχήν, τὴν πρὸ τῆς κόσμου γενέσεως πλημμελῶς πάντα καὶ ἀτάκτως κινοῦσαν· γενομένην δὲ καὶ γεννητὴν πάλιν, ἣν ὁ θεὸς ἔκ τε ταύτης καὶ τῆς μονίμου τε καὶ ἀρίστης οὐσίας ἐκείνης ἔμφρονα καὶ τεταγμένην ἀπεργασάμενος· καὶ καθάπερ εἶδος καὶ τῷ αἰσθητικῷ τὸ νοερόν, καὶ τῷ κινητικῷ τὸ τεταγμένον ἀπ' αὐτοῦ παρασχών, ἡγεμόνα τοῦ παντὸς ἐγκατέστησεν. οὐ-

του γοῦν καὶ τὸ σῶμα τοῦ κόσμου, πῆ μὲν ἀγένητον ἀποφαίνει. πῆ δὲ γεννητόν. ὅταν μὲν γὰρ εἴπῃ πᾶν ὅσον ἦν ὁρατὸν οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον ἀτάκτως τὸν θεὸν παραλαβόντα διακοσμεῖν. καὶ πάλιν τὰ τέτταρα γένη, πῦρ καὶ ὕδωρ, καὶ γῆν, καὶ ἀέρα, πρὶν ἢ τὸ πᾶν ὑπ' αὐτῶν διακοσμηθὲν γενέσθαι, σεισμὸν ἐμποιοῦν τῇ ὕλῃ, καὶ ὑπ' ἐκείνης τινάσσεσθαι διὰ τὴν ἀνωμαλίαν, ὄντα που ποιεῖ καὶ ὑποκείμενα τὰ σώματα πρὸ τῆς τοῦ κόσμου γενέσεως. ὅταν δὲ πάλιν λέγῃ τῆς ψυχῆς νεώτερον γεγονέναι τὸ σῶμα, καὶ τὸν κόσμον εἶναι γεννητὸν, ὅτι ὁρατός καὶ ἁπτὸς καὶ σῶμα ἔχων ἐστί. τὰ δὲ τοιαῦτα γιγνόμενα καὶ γεννητὰ ἐφάνη, παντὶ δῆλον, ὡς γένεσιν τῇ φύσει τοῦ σώματος ἀποδίδωσιν. ἀλλὰ πολλοῦ δεῖ τἀναντία λέγειν καὶ διαφέρεσθαι πρὸς αὑτὸν, οὕτως ἐκφανῶς ἐν τοῖς μεγίστοις. οὐ γὰρ ὡσαύτως οὐδὲ ταὐτὸ σῶμα γίνεσθαί τε φησὶν ὑπὸ τοῦ θεοῦ. καὶ εἶναι πρὶν ἢ γενέσθαι. ταῦτα γὰρ ἄντικρυς φαρμακῶντός ἐστιν. ἀλλὰ τί δεῖ νοεῖν γένεσιν, αὐτὸς διδάσκει. τὸ μὲν γὰρ πρὸ τοῦ, φησὶ ταῦτα πάντα εἶχεν ἀλόγως καὶ ἀμέτρως ὅτε δὲ ἐπεχειρεῖτο κοσμεῖσθαι τὸ πᾶν, πῦρ πρῶτον καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα, ἴχνη μὲν ἔχοντα αὐτῶν ἄττα, παντάπασί γε μὴν διακείμενα. ὥσπερ εἰκὸς ἔχειν ἅπαν, ὅταν ἀπῇ τινος θεός. οὕτω δὴ τότε πεφυκότα ταῦτα, πρῶτον διεσχηματίσατο εἴδεσι καὶ ἀριθμοῖς. ἔτι δὲ πρότερον εἰπὼν, ὡς οὐ μιᾶς ἔργον ἦν ἀναλογίας, ἀλλὰ δυεῖν, τὸ συνδῆσαι στερεὸν ὄντα, καὶ βάθος ἔχοντα τὸν τοῦ παντὸς ὄγκον, καὶ διελθὼν ὅτι πυρὸς καὶ γῆς ὕδωρ, ἀέρα τε ὁ θεὸς ἐν μέσῳ θεὶς, συνέδησε καὶ συνεστήσατο τὸν οὐρανὸν, ἔκ τε δὴ τούτων φησὶ τοιούτων καὶ τὸν ἀριθμὸν τεττάρων, τὸ τοῦ κόσμου σῶμα ἐγεννήθη, δι' ἀναλογίας ὁμολογῆσαν, φιλίαν τε ἔσχεν ἐκ τούτων. ὥς τε εἰς ταὐτὸ αὑτῷ συνελθὸν, ἄλυτον ὑπὸ τῶν ἄλλων, πλὴν ὑπὸ τοῦ συνδήσαντος γενέσθαι. σαφέστατα διδάσκων, ὡς οὐχὶ σώματος ἁπλῶς, οὐδὲ ὄγκου καὶ ὕλης, ἀλλὰ συμμετρίας περὶ σῶμα καὶ κάλλους καὶ ὁμοιότητος, ἦν ὁ θεὸς πατὴρ καὶ δημιουργός. ταῦτα δὴ διανοεῖσθαι καὶ περὶ ψυχῆς. ὡς τὴν μὲν, οὔτε ὑπὸ τοῦ θεοῦ γενομένην, οὔτε κόσμου ψυχὴν οὖσαν, ἀλλά τινα φανταστικῆς καὶ δοξαστικῆς, ἀλόγου δὲ καὶ ἀτάκτου φορᾶς καὶ ὁρμῆς δύναμιν αὐτοκίνητον καὶ ἀεικίνητον, τὴν δὲ αὐτὸς ὁ θεὸς διαρμοσάμενος τοῖς προσήκουσιν ἀριθμοῖς καὶ λόγοις ἐγκατέστησεν ἡγεμόνα τοῦ κόσμου γεγονότος γεννητὴν οὖσαν. ὅτι δὲ περὶ τούτων διενοεῖτο ταῦτα καὶ οὐ θεωρίας ἕνεκα, τοῦ τε κόσμου γενομένου καὶ τῆς ψυχῆς ὁμοίως ὑπετίθετο σύστασιν καὶ γένεσιν, ἐκεῖνο πρὸς πολλοῖς τεκμήριόν ἐστι. τὸ τὴν μὲν ψυχὴν, ὑπ' αὐτοῦ καὶ ἀγέννητον καὶ γεννητὴν ὡς προείρηται καὶ γεννητὴν λέγεσθαι. τὸν δὲ κόσμον ἀεὶ μὲν γεγονότα καὶ γεννητὸν, ἀγέννητον δὲ μηδέποτε, μὴ δὲ ἀΐδιον. τὰ μὲν οὖν ἐν Τιμαίῳ, τί δεῖ προφέρειν. ὅλον γοῦν καὶ πᾶν τὸ σύγγραμμα περὶ κόσμου γενέσεως ἄχρι τέλους ἀπ' ἀρχῆς ἐστι. τῶν δὲ ἄλλων, ἐν μὲν Ἀτλαντικῷ προσευχόμενος ὁ Τίμαιος, ὀνομάζει τὸν πάλαι μὲν ἔργῳ γεγονότα, νῦν δὲ λόγῳ θεὸν, ἐν Πολιτικῷ δὲ ὁ Παρμενίδειος ξένος, τὸν κόσμον ὑπὸ τοῦ θεοῦ συντεθέντα φησὶ πολλῶν ἀγαθῶν μεταλαβεῖν. εἰ δέ τι φλαῦρόν ἐστιν ἢ χαλεπὸν ἐκ τῆς προτέρας ἕξεως ἀναρμόστου καὶ ἀλόγου συμμεμιγμένον ἔχειν. ἐν δὲ τῇ Πολιτείᾳ περὶ τοῦ ἀριθμοῦ, ὃν γάμον ἔνιοι καλοῦσιν, ὁ Σωκράτης ἀρχόμενος λέγειν. ἔστι δέ φησι θείῳ μὲν γεννητῷ περίοδος, ἣν ἀριθμὸς περιλαμβάνει τέλειος, οὐκ ἄλλο καλῶν θεῖον γεννητὸν, ἢ τὸν κόσμον ἐνθάδε, ἡ τῶν τριῶν καὶ μιᾶς. τρίτη δὲ, ἡ τῶν ε̄ καὶ ϛ̄. ὧν οὐδεμία περιττὸν τετράγωνον, οὔτε αὐτὴ καθ' ἑαυτὴν, οὔτε μετὰ τῶν ἄλλων. τετάρτη μέν ἐστι, συντιθεμένη δὲ ταῖς πρώταις τριακονταέξ, τετράγωνον παρέχων. ἡ δὲ τῶν ὑπὸ Πλάτωνος ἐκκειμένων ἀριθμῶν, τετρακτὺς, ἐντελεστέραν ἔσχηκε τὴν γένεσιν.



κασιν. τῶν μὲν ἀρτίων, ἀρτίοις διαστήμασι. τῶν δὲ περιττῶν, περιττοῖς πολλαπλασιασθέντων. περιέχει δὲ τὴν μὲν μονάδα, κοινὴν οὖσαν ἀρχὴν ἀρτίων καὶ περιττῶν. τῶν δ' ὑπ' αὐτῇ τὰ μὲν δύο καὶ τρία, πρώτους ἐπιπέδους. τὰ δὲ τέτταρα καὶ ἐννέα, πρώτους τετραγώνους. τὰ δὲ ὀκτὼ καὶ εἰκοσιεπτὰ, πρώτους κύβους ἐν ἀριθμοῖς, ἔξω λόγου τῆς μονάδος τιθεμένης, ᾗ καὶ δῆλός ἐστι βουλόμενος οὐκ ἐπὶ μιᾶς εὐθείας ἅπαντας, ἀλλ' ἐναλλὰξ καὶ ἰδίᾳ τάττεσθαι τοὺς ἀρτίους μετ' ἀλλήλων, καὶ πάλιν τοὺς περιττοὺς, καὶ ὑπογέγραπται. οὕτως καὶ αἱ συζυγίαι τῶν ὁμοίων ἔσονται πρὸς τοὺς ὁμοίους. καὶ ποιήσουσιν ἀριθμοὺς ἐπιφανεῖς κατά τε σύνθεσιν καὶ πολλαπλασιασμὸν ἐξ ἀλλήλων, κατὰ σύνθεσιν οὕτως τὰ δύο καὶ τὰ τρία πέντε γίνεται. τὰ τέσσαρα καὶ ἐννέα, τρισκαίδεκα. τὰ δὲ ὀκτὼ καὶ εἰκοσιεπτὰ, πέντε καὶ τριάκοντα. τούτων γὰρ τῶν ἀριθμῶν οἱ Πυθαγορικοὶ, τὰ μὲν ε̄. τροφὸν. ὅπερ ἐστὶ φθόγγον ἐκάλουν, οἰόμενοι τῶν τοῦ τόνου διαστημάτων πρῶτον εἶναι φθεκτὸν, τὸ πέμπτον. τὰ δὲ τρισκαίδεκα λεῖμμα, καθάπερ Πλάτων, τὴν εἰς ἴσα τοῦ τόνου διανομὴν ἀπογινώσκοντες. τὰ δὲ πέντε καὶ τριάκοντα, ἁρμονίαν, ὅτι συνέστηκεν ἐκ δυεῖν κύβων πρώτων ἀπ' ἀρτίου καὶ περιττοῦ γεγονότων. ἐκ τεσσάρων δὲ ἀριθμῶν, τοῦ ϛ̄ καὶ τοῦ η̄ καὶ τοῦ θ̄ καὶ ιβ̄, τὴν ἀριθμητικὴν καὶ τὴν ἁρμονικὴν ἀναλογίαν περιεχόντων. ἔσται δὲ μᾶλλον ἡ δύναμις ἐκφανὴς ἐπὶ διαγράμματος. ἔστω τὸ ᾱ. β̄. γ̄. δ̄. παραλληλόγραμμον ὀρθογώνιον, ἔχον τῶν πλευρῶν τὴν ᾱ β̄. πέντε. τὴν δὲ ᾱ δ̄. ἑπτά. καὶ τμηθείσης τῆς μὲν ἐλάττονος, εἰς δύο καὶ τρία κατὰ τὸ κ̄. τῆς δὲ μείζονος, εἰς τρία καὶ τέτταρα κατὰ τὸ λ̄. διήχθωσαν ἀπὸ τῶν τομῶν εὐθεῖαι τέμνουσαι ἀλλήλας κατὰ τὸ κ̄ μ̄ ν̄. καὶ κατὰ τὸ λ̄ μ̄ ξ̄. ἐννέα. τὸ δὲ λ̄. μ̄. ν̄. δ̄, ὀκτὼ. τὸ δὲ. μ̄ ξ̄ γ̄ ν̄, δώδεκα. τὸ δὲ ὅλον παραλληλόγραμμον. τριάκοντα καὶ πέντε. τοὺς τῶν συμφωνιῶν τῶν πρώτων λόγους ἐν τοῖς τῶν χωρίων ἀριθμοῖς, εἰς ἃ διῄρηται περιέχον. τὰ μὲν οὖν ἓξ καὶ ὀκτὼ, τὸν ἐπίτριτον ἔχει λόγον. ἐν ᾧ τὸ διὰ τεσσάρων. τὰ δὲ ἓξ καὶ ἐννέα, τὸν ἡμιόλιον. ἐν ᾧ τὸ διὰ πέντε. τὰ δὲ ἓξ καὶ τὰ ιβ̄, τὸν διπλάσιον, ἐν ᾧ τὸ διὰ πασῶν. ἔνεστι δὲ καὶ ὁ τοῦ τόνου λόγος, ἐπόγδοος ὢν ἐν τοῖς ἐννέα καὶ ὀκτώ. διὰ τοῦτο καὶ ἁρμονίαν τὸν περιέχοντα τοὺς λόγους τούτους ἀριθμὸν ἐκάλεσαν. ἑξάκις δὲ γενόμενος τὸν τῶν δέκα ποιεῖ, καὶ διακοσίων ἀριθμὸν ἐν ὅσαις λέγεται μοίραις τὰ ἑπτάμηνα τῶν βρεφῶν τελεογονεῖσθαι. πάλιν δὲ ἐφ' ἑτέρας ἀρχῆς κατὰ πολλαπλασιασμὸν, ὁ μὲν δὶς γ̄, τὸν ϛ̄ ποιεῖ. ὁ δὲ τετράκις ἐννέα, τὸν τριακονταέξ. ὁ δὲ ὀκτάκις κζ̄, τὸν σιϛ̄. καὶ ἔστιν ὁ μὲν ϛ̄. τέλειος, ἴσος ὢν τοῖς ἑαυτοῦ μέρεσι, καὶ γάμος καλεῖται, διὰ τὴν τοῦ ἀρτίου καὶ περιττοῦ σύμμιξιν. ἔτι δὲ συνέστηκεν ἔκ τε τῆς ἀρχῆς καὶ τοῦ ἀρτίου, καὶ τοῦ πρώτου περιττοῦ. ὁ δὲ λϛ̄, πρῶτός ἐστι τετράγωνος ἅμα καὶ τρίγωνος. τετράγωνος μὲν ἀπὸ τῆς ἑξάδος. τρίγωνος δὲ ἀπὸ τῆς ὀγδοάδος, καὶ γέγονε πολλαπλασιασμῷ μὲν τετραγώνων δυεῖν, τοῦ τέτταρα τὸν ἐννέα πολλαπλασιάσαντος. συνθέσει δὲ τριῶν κύβων. τὸ γὰρ ἓν καὶ τὰ ὀκτὼ καὶ τὰ εἰκοσιεπτὰ συντεθέντα, ποιεῖ τὸν προγεγραμμένον ἀριθμόν. ἔτι δὲ ἑτερομήκης ἀπὸ δυεῖν πλευρῶν. τῶν μὲν δώδεκα τρὶς γινομένων, τῶν δὲ ἐννέα, τετράκις. ἂν οὖν ἐκτεθῶσιν αἱ τῶν σχημάτων πλευραὶ τοῦ τετραγώνου τὰ ϛ̄ καὶ τοῦ τριγώνου τὰ ὀκτὼ, καὶ παραλληλογράμμων, τοῦ μὲν ἑτέρου τὰ ἐννέα. τοῦ δὲ ἑτέρου τὰ ιβ̄. καὶ τοῦ τριγώνου τὰ ὀκτὼ, καὶ παραλληλογράμμων, τοὺς τῶν συμφωνιῶν ποιήσουσι λόγους. ἔσται γὰρ τὰ δώδεκα πρὸς μὲν τὰ ἐννέα, διὰ τεσσάρων, ὡς νήτη πρὸς μέσην. πρὸς δὲ τὰ ὀκτὼ, διὰ πέντε, ὡς νήτη πρὸς μέσην. πρὸς δὲ τὰ ϛ̄ διὰ πασῶν, ὡς νήτη πρὸς ὑπάτην. ὁ δὲ σιϛ̄, κύβος ἐστὶν, ἀπὸ ἑξάδος ἴσος τῇ ἑαυτοῦ περιμέτρῳ. τοιαύτας δὲ δυνάμεις τῶν ἐκ



κειμένων ἀριθμῶν ἐχόντων, ἴδιον τῷ τελευταίῳ συμβέβηκε τῷ κζ΄. τὸ τοῖς
πρὸ αὐτοῦ συντιθέμενον ἴσον εἶναι πᾶσιν. ἔστι δὲ καὶ περιοδικὸς σελήνης καὶ
τῶν ἐμμελῶν διαστημάτων οἱ πυθαγορικοὶ τὸν τόνον ἐν τούτῳ τῷ ἀριθμῷ τάττου-
σιν. διὸ καὶ τὰ τρεισκαίδεκα λεῖμμα καλοῦσιν. ἀπολείπει γὰρ μονάδι τοῦ ἡμίσε-
ως. ὅτι δὲ οὗτοι καὶ τοὺς τῶν συμφωνιῶν λόγους περιέχουσι, ῥᾴδιον καταμαθεῖν.
καὶ γὰρ διπλάσιος λόγος ἐστὶν, ὁ τῶν δύο πρὸς τὸ ἕν, ἐν ᾧ τὸ διὰ πασῶν, καὶ ἡμιό-
λιος ὁ πρὸς τὰ δύο τῶν τρία, ἐν ᾧ τὸ διὰ πέντε. καὶ ἐπίτριτος, ὁ πρὸς τὰ τρία
τῶν τέσσαρα, ἐν ᾧ τὸ διὰ τεσσάρων· καὶ τριπλάσιος ὁ πρὸς τὰ τρία τῶν ἐννέα,
ἐν ᾧ τὸ διὰ πασῶν καὶ διὰ πέντε. καὶ τετραπλάσιος ὁ πρὸς τὰ δύο τῶν η΄, ἐν ᾧ
τὸ δὶς διὰ πασῶν. ἔνεστι δὲ καὶ ἐπόγδοος τῶν ὀκτὼ πρὸς τὰ ἐννέα, ἐν ᾧ τὸ τονιαῖ-
ον. ἂν τοίνυν ἡ μονὰς ἐπίκοινος οὖσα καὶ τοῖς ἀρτίοις συναριθμεῖται, καὶ τοῖς
περιττοῖς, ὁ μὲν ἅπας ἀριθμὸς τὸ τῆς δεκάδος παρέχεται πλῆθος. οἱ γὰρ ἀπὸ
μονάδος μέχρι τῶν δέκα συντιθέμενοι πέντε καὶ δέκα, τρίγωνον ἀπὸ πεντάδος.
ὁ δὲ περιττὸς τὸν τεσσαράκοντα κατὰ σύνθεσιν μὲν, ἐκ τῶν δεκατριῶν καὶ τῶν
κζ΄ γεννώμενον, ᾧ τὰ μελῳδούμενα μετροῦσιν εὐσήμως οἱ μαθηματικοὶ δια-
στήματα· τὸ μὲν, δίεσιν· τὸ δὲ, τόνον καλοῦντες, κατὰ τὸν πολλαπλασιασμὸν δὲ,
τῇ τῆς τετρακτύος δυνάμει γινόμενον· τῶν γὰρ πρώτων τεσσάρων καθ' αὑτὸν ἑ-
κάστου τετράκις λαμβανομένου, γίνεται τέσσαρα, καὶ η΄, καὶ ιβ΄, καὶ ις΄. ταῦ-
τα τὸν μ΄ συντίθησι, περιέχοντα τοὺς τῶν συμφωνιῶν λόγους. τὰ μὲν γὰρ ις΄
ἐπίτριτα τῶν δεκαδύο ἐστίν· τῶν δὲ η΄, διπλάσια· τῶν δὲ τεσσάρων, τετραπλάσια.
τὰ ιβ΄, τῶν ὀκτὼ ἡμιόλια· τῶν δὲ τέσσαρα, τριπλάσια. οὗτοι δὲ οἱ λόγοι, τὸ
διὰ τεσσάρων, καὶ τὸ διὰ πέντε, καὶ τὸ διὰ πασῶν, καὶ τὸ δὶς διὰ πασῶν περιέ-
χουσιν. ἴσος γε μήν ἐστιν ὁ τῶν τεσσαράκοντα δυεῖν τετραγώνοις, καὶ δυσὶ κύβοις
ὁμοῦ λαμβανομένοις. τὸ γὰρ ἓν καὶ τὰ τέσσαρα καὶ τὰ ὀκτὼ καὶ τὰ κζ΄, κύ-
βοι καὶ τετράγωνοι γίνονται, συντιθέντες. ὥστε πολὺ τῆς πυθαγορικῆς τὴν πλα-
τωνικὴν τετρακτὺν ποικιλωτέραν εἶναι τῇ διαθέσει καὶ τελειοτέραν. ἀλλὰ τῶν
εἰσαγομέναις μεσότησι τῶν ὑποκειμένων ἀριθμῶν χώραν οὐ διδόντων, ἐδέησε
μείζονας ὅρους λαβεῖν ἐν τοῖς αὐτοῖς λόγοις. καὶ λεκτέον τίνες εἰσὶν οὗτοι. πρό-
τερον δὲ περὶ τῶν μεσοτήτων, ὧν τὴν μὲν ἴσῳ κατ' ἀριθμὸν ὑπερέχουσαν ἴσῳ
δὲ ὑπερεχομένην, ἀριθμητικὴν οἱ νῦν καλοῦσι· τὴν δὲ ταὐτῷ μέρει τῶν ἄκρων αὐ-
τῶν ὑπερέχουσαν καὶ ὑπερεχομένην, ὑπεναντίαν. ὅροι δέ εἰσι τῆς μὲν ἀριθ-
μητικῆς ς΄. καὶ θ΄. καὶ ιβ΄. τὰ γὰρ ἐννέα τῷ ἴσῳ, κατὰ ἀριθμὸν τῶν ἓξ ὑ-
περέχει, καὶ τῶν ιβ΄ λείπεται. τῆς δὲ ὑπεναντίας ς΄. η΄. ιβ΄. τὰ γὰρ ὀκτὼ
δυσὶ μὲν τῶν ς΄ ὑπερέχει, τέτταρσι δὲ τῶν ιβ΄ λείπεται· ὧν τὰ μὲν δύο, τῶν ἓξ·
τὰ δὲ τέτταρα τῶν δώδεκα τριτημόριόν ἐστι. συμβέβηκεν οὖν ἐν μὲν τῇ ἀριθμητικῇ
τῷ αὐτῷ μέρει τὸ μέσον ὑπερέχεσθαι καὶ ὑπερέχειν· ἐν δὲ τῇ ὑπεναντίᾳ, τῷ αὐτῷ μέρει
τῶν ἄκρων, τοῦ μὲν ἀπολείπειν, τὸν δὲ ὑπερβάλλειν. ἐκεῖ μὲν γὰρ τὰ τρία τοῦ μέσου τρί-
τον ἐστὶ μέρος· ἐνταῦθα δὲ τὰ δ΄ καὶ τὰ β΄, τῶν ἄκρων ἑκάτερον ἑκατέρου. ὅθεν
ὑπεναντία κέκληται. ταύτην δὲ ἁρμονικὴν ὀνομάζουσιν, ὅτι τοῖς ὅροις τὰ πρῶ-
τα σύμφωνα παρέχεται. τῷ μὲν μεγίστῳ πρὸς τὸν ἐλάχιστον, τὸ διὰ πασῶν. τῷ
δὲ μεγίστῳ πρὸς τὸν μέσον, τὸ διὰ πέντε. τῷ δὲ μέσῳ πρὸς τὸν ἐλάχιστον, τὸ διὰ τεσ-
σάρων, ὅτι τοῦ μεγίστου τῶν ὅρων κατὰ νήτην τιθεμένου, τοῦ δὲ ἐλαχίστου καθ' ὑ-
πάτην, ὁ μέσος γίνεται ὁ κατὰ μέσην, πρὸς μὲν τὸν μέγιστον τὸ διὰ πέντε ποιοῦ-
σα, πρὸς δὲ τὸν ἐλάχιστον διὰ τεσσάρων. ὥστε γίνεσθαι τὰ ὀκτὼ κατὰ τὴν μέσην.
τὰ δὲ δώδεκα κατὰ νήτην. τὰ δὲ ἕξ, καθ' ὑπάτην. ὃν δὲ τρόπον ᾧ λαμβάνουσιν
τὰς εἰρημένας μεσότητας ἁπλῶς καὶ σαφῶς Εὔδωρος ἀποδείκνυσιν. σκόπει δὲ
πρότερον

κύβοι

πρότερον ἐπὶ τῆς ἀριθμητικῆς. ἂν γὰρ ἐκθεὶς τοὺς ἄκρους λάβῃς ἑκατέρου τὸ ἥ-
μισυ μέρος, καὶ συνθῇς, ὁ συντεθεὶς ἔσται μέσος ἔν τε τοῖς διπλασίοις καὶ τοῖς
τριπλασίοις ὁμοίως. ἐπὶ δὲ τῆς ὑπεναντίας, ἐν μὲν τοῖς διπλασίοις ἂν τοὺς ἄ-
κρους ἐκθεὶς, τοῦ μὲν ἐλάττονος τὸ τρίτον, τοῦ δὲ μείζονος τὸ ἥμισυ λάβῃς, ὁ συν-
τεθεὶς γίνεται μέσος. ἐν δὲ τοῖς τριπλασίοις ἀνάπαλιν, τοῦ μὲν ἐλάττονος ἥμι-
συ δεῖ λαβεῖν, τοῦ δὲ μείζονος, τρίτον. ὁ γὰρ συντεθεὶς οὕτω, γίνεται μέσος. ἔστω
γὰρ ἐν τριπλασίῳ λόγῳ τὰ ς΄ ἐλάχιστος ὅρος. τὰ δὲ ιη΄ μέγιστος. ἂν οὖν τῶν ς΄ τὸ
ἥμισυ λαβὼν τὰ τρία, καὶ τῶν ὀκτωκαίδεκα, τὸ τρίτον τὰ ς΄ συνθῇς, ἕξεις τὰ
ἐννέα τῷ αὐτῷ μέρει τῶν ἄκρων ὑπερέχοντα καὶ ὑπερεχόμενα. οὕτως μὲν αἱ
μεσότητες λαμβάνονται. δεῖ δὲ αὐτὰς ἐκεῖ παρεντάξαι καὶ ἀναπληρῶσαι
τὰ διπλάσια καὶ τριπλάσια διαστήματα. τῶν δὲ ἐκκειμένων ἀριθμῶν, οἱ μὲν οὐ-
δὲ ὅλως μεταξὺ χώραν ἔχουσιν, οἱ δὲ οὐχ ἱκανήν. αὔξοντες οὖν αὐτοὺς τῶν αὐτῶν
λόγων διαμενόντων ὑποδοχὰς ποιοῦσιν ἀρκούσας ταῖς εἰρημέναις μεσότησι. καὶ
πρῶτον μὲν ἐλάχιστον ἀντὶ τοῦ ἑνὸς τὰ ἓξ θέντες, ἐπεὶ πρῶτος ἥμισύ τε καὶ τρί-
τον ἔχει μέρος, ἅπαντας ἑξαπλασίους τοὺς ὑποτεταγμένους ἐποίησαν, ὡς ὑπο-
γέγραπται. δεχομένους τὰς μεσότητας ἀμφοτέρας καὶ τοῖς διπλασίοις διαστή-
μασιν. εἰρηκότος δὲ τοῦ πλάτωνος· ἡμιολίων δὲ διαστάσεων καὶ ἐπιτρίτων καὶ ἐπογ-
δόων γενομένων, ἐκ τούτων τῶν δεσμῶν ἐν ταῖς πρόσθεν διαστάσεσι, τῷ τοῦ ἐπογ-
δόου διαστήματι τὰ ἐπίτριτα πάντα συνεπλήρου, τὸ λεῖπον αὐτῶν ἑκάστου μό-
ριον, τῆς τοῦ μορίου ταύτης διαστάσεως λειφθείσης ἀριθμοῦ πρὸς ἀριθμὸν ἐχού-
σης τοὺς ὅρους ς΄. καὶ ν΄. καὶ σ΄. πρὸς γ΄. καὶ μ΄. καὶ σ΄. διὰ ταύτην τὴν λέξιν ἠναγ-
κάζοντο πάλιν τοὺς ἀριθμοὺς ἐπανάγειν καὶ μείζονας ποιεῖν. ἔδει μὲν γὰρ ἐφε-
ξῆς ἐπόγδοα γίνεσθαι δύο, τῆς δὲ ἑξάδος, οὔτε αὐτόθεν ἐπόγδοον ἐχούσης, εἴτε
τέμνοιτο κερματιζομένων εἰς μόρια τῶν μονάδων, δυσθεωρήτου τῆς μαθήσεως
ἐσομένης, αὐτὸ τὸ πρᾶγμα τὸν πολυπλασιασμὸν ὑπηγόρευσεν, ὥσπερ ἐν ἁρμο-
νικῇ μεταβολῇ τοῦ διαγράμματος ὅλου συνεπιτεινομένου τῷ πρώτῳ τῶν ἀριθ-
μῶν. ὁ μὲν οὖν Εὔδωρος ἐπακολουθήσας Κράντορι, πρῶτον ἔλαβε τὸν τπδ΄.
ὃς γίνεται τοῦ ἓξ ἐπὶ τὰ ξδ΄ πολλαπλασιασθέντος. ἐπηγάγετο δὲ αὐτοὺς ὁ τῶν
ξδ΄. ἀριθμὸς ἐπόγδοον ἔχων τὸν η΄, καὶ ὁ πρὸς τὸν οβ΄. τοῖς δὲ ὑπὸ τοῦ πλάτω-
νος λεγομένοις, συμφωνότερόν ἐστιν ὑποθέσθαι τὸ ἥμισυ. τούτου γὰρ τὸ λεῖμμα τὸ
τῶν ἐπογδόων ἕξει λόγον ἐν ἀριθμοῖς, οὓς ὁ πλάτων εἴρηκεν ς΄. καὶ ν΄. καὶ σ΄. πρὸς
τρία καὶ μ΄ καὶ σ΄. τῶν ἑκατὸν ἐνενηκονταδύο πρώτων τιθεμένων, ἂν δὲ ὁ τούτου
διπλάσιος τεθῇ πρῶτος, ἔσται τὸ λεῖμμα, λόγον μὲν ἔχον τὸν αὐτὸν, ἀριθμὸν δὲ τὸν
διπλάσιον, ὃν ἔχει τὰ φιβ΄. πρὸς υπς΄. γίνεται γὰρ ἐπίτριτα. τῶν μὲν ἑκατὸν
ἐνενηκονταδύο τὰ σνς΄. τὰ δὲ τπδ΄, τὰ φιβ΄. καὶ οὐκ ἄλογος ἡ ἐπὶ τοῦτον ἀναγω-
γὴ τὸν ἀριθμὸν, ἀλλὰ καὶ τοῖς περὶ τὸν Κράντορα παρέχουσα τὸ εὔλογον. τὰ γὰρ
ξδ΄, καὶ κύβος ἐστὶν ἀπὸ πρώτου τετραγώνου, καὶ τετράγωνος ἀπὸ πρώτου κύβου.
γενόμενος δὲ ἐπὶ τὸν γ΄ πρῶτον ὄντα περισσὸν, καὶ πρῶτον τρίγωνον, καὶ πρῶτον
τέλειον ὄντα καὶ ἡμιόλιον. ἑκατὸν ἐνενηκονταδύο πεποίηκεν, ἔχοντα καὶ αὐτὸν
ἐπόγδοον, ὡς δείξομεν. πρότερον δὲ τί τὸ λεῖμμά ἐστι, καὶ τίς ἡ διάνοια τοῦ πλά-
τωνος μᾶλλον κατόψεσθε, τῶν εἰωθότων ἐν ταῖς πυθαγορικαῖς σχολαῖς λέγεσθαι
βραχέως ὑπομνησθέντες. ἔστι γὰρ διάστημα ἐν μελῳδίᾳ πᾶν τὸ περιεχόμενον ὑπὸ
δυοῖν φθόγγων ἀνομοίων τῇ τάσει. τῶν δὲ διαστημάτων ἓν ὁ καλούμενος τόνος. ᾧ
τὸ διὰ πέντε μεῖζόν ἐστι τοῦ διὰ τεσσάρων. τοῦτον οἱ μὲν ἁρμονικοὶ δίχα τεμνόμενον
οἴονται δύο διαστήματα ποιεῖν. ὧν ἑκάτερον, ἡμιτόνιον καλοῦσιν. οἱ δὲ πυθαγορι-
κοὶ, τὴν μὲν εἰς ἴσα τομὴν ἀπέγνωσαν αὐτοῦ. τῶν δὲ τμημάτων ἀνίσων ὄντων, λεῖμ-

μα τὸ ἔλαττον ὀνομάζουσιν, ὅτι τοῦ ἡμίσεος ἀπολείπει. διὸ καὶ τῶν συμφωνιῶν
τὴν διὰ τεσσάρων, οἱ μὲν δυοῖν τόνων καὶ ἡμιτονίου ποιοῦσιν· οἱ δέ, δυεῖν καὶ λείμ-
ματος. μαρτυρεῖν δὲ δοκεῖ τοῖς μὲν ἁρμονικοῖς ἡ αἴσθησις, τοῖς δὲ μαθηματικοῖς
ἡ ἀπόδειξις· ἧς τοιοῦτος ὁ τρόπος ἐστίν. ἐλήφθη διὰ τῶν ὀργάνων θεωρηθέν, ὅτι τὸ
μὲν διὰ πασῶν, τὸν διπλάσιον λόγον ἔχει· τὸ δὲ διὰ πέντε, τὸν ἡμιόλιον· τὸ δὲ διὰ
τεσσάρων, τὸν ἐπίτριτον· ὁ δὲ τόνος, τὸν ἐπόγδοον. ἔξεστι δὲ καὶ νῦν βασανίσαι τὸ
ἀληθές. ἢ βάρη δυοῖν ἄνισα χορδῶν ἐξαρτήσαντας, ἢ δυοῖν ἰσοκοίλων αὐλῶν
τὸν ἕτερον, μήκει διπλάσιον τοῦ ἑτέρου ποιήσαντας. τῶν μὲν γοῦν αὐλῶν ὁ μείζων,
βαρύτερον φθέγξεται, ὡς ὑπάτη πρὸς νήτην. τῶν δὲ χορδῶν, ἡ τῷ διπλασίῳ
κατατεινομένη βάρει, τῆς ἑτέρας ὀξύτερον, ὡς νήτη πρὸς ὑπάτην. τοῦτο δ' ἐστὶ
διὰ πασῶν. ὁμοίως δὲ καὶ τρία πρὸς δύο ληφθέντα μήκη καὶ βάρη. τὸ διὰ πέν-
τε ποιήσει· καὶ τέσσαρα πρὸς τρία, τὸ διὰ τεσσάρων· ὧν τοῦτο μὲν ἐπίτριτον ἔχει λό-
γον· ἐκεῖνο δὲ ἡμιόλιον. ἐὰν δὲ ὡς ἐννέα πρὸς ὀκτὼ γίνεται τῶν βαρῶν ἢ τῶν μη-
κῶν, ἡ ἀνισότης, ποιήσει διάστημα τονιαῖον οὐ σύμφωνον, ἀλλ' ἐμμελὲς ὡς εἰπεῖν
ἔμβραχυ· τὸ τοὺς φθόγγους ἀνὰ μέρος κρουσθῶσι, παρέχειν ἡδὺ φωνοῦντας καὶ
προσηνές, ἂν δὲ ὁμοῦ, τραχὺ καὶ λυπηρόν· ἐν δὲ ταῖς συμφωνίαις κἂν ὁμοῦ κρου-
ωνται, κἂν ἐναλλάξ, ἡδέως προσίεται τὴν συνήχησιν ἡ αἴσθησις· οὐ μὴν ἀλλὰ καὶ διὰ
λόγου τοῦτο δεικνύουσι. ἐν μὲν τῇ ἁρμονίᾳ τὸ διὰ πασῶν ἔκ τε τοῦ διὰ πέντε σύγ-
κειται καὶ τοῦ διὰ τεσσάρων· ἐν δὲ ἀριθμοῖς, τὸ διπλάσιον, ἔκ τε τοῦ ἡμιολίου
καὶ τοῦ ἐπιτρίτου. τὰ γοῦν δώδεκα, τῶν μὲν ἐννέα ἐστὶν ἐπίτριτα· τῶν δὲ ὀκτώ, ἡμιό-
λια· τῶν δὲ ς, διπλάσια. σύνθετος οὖν ὁ τοῦ διπλασίου λόγος ἐστίν, ἐκ τοῦ ἡμιο-
λίου καὶ τοῦ ἐπιτρίτου, καθάπερ ὁ τοῦ διὰ πασῶν, ἐκ τοῦ διὰ πέντε καὶ τοῦ διὰ τεσ-
σάρων, ἀλλὰ κἀκεῖ τὸ διὰ πέντε τοῦ διὰ τεσσάρων τόνῳ· κἀνταῦθα τὸ ἡμιόλιον
τοῦ ἐπιτρίτου, τῷ ἐπογδόῳ μεῖζόν ἐστι. φαίνεται τοίνυν ὅτι τὸ διὰ πασῶν, τὸν δι-
πλάσιον λόγον ἔχει, καὶ τὸ διὰ πέντε τὸν ἡμιόλιον, καὶ τὸ διὰ τεσσάρων τὸν ἐπί-
τριτον, καὶ ὁ τόνος τὸν ἐπόγδοον. ἀποδεδειγμένου δὲ τούτου, σκοπῶμεν εἰ δίχα τέ-
μνεσθαι πέφυκεν τὸ ἐπόγδοον· εἰ γὰρ μὴ πέφυκεν, οὐδὲ ὁ τόνος. ἐπειδὴ πρῶτοι τὸν
ἐπόγδοον λόγον, ὁ θ καὶ ὁ η ποιοῦντες, οὐθὲν διάστημα μέσον ἔχουσι· διπλασιασθέν-
των δὲ ἀμφοτέρων, ὁ παρεμπίπτων μεταξύ, δύο ποιεῖ διαστήματα. δῆλον ὅτι τού-
των μὲν ἴσων ὄντων, δίχα τέμνεται τὸ ἐπόγδοον, ἀλλὰ μὴν διπλάσια γίνεται· τῶν
μὲν θ τὰ ιη καὶ ι. τῶν δὲ ὀκτὼ τὰ ις καὶ δέκα. δέχονται δὲ οὗτοι μεταξὺ τὰ ιζ.
καὶ γίνεται τῶν διαστημάτων, τὸ μέν, μεῖζον· τὸ δέ, ἔλαττον. ἔστι γοῦν τὸ μὲν πρότε-
ρον ἐφ' ἑπτὰ καὶ δέκατον· τὸ δὲ δεύτερον, ἐφ' ἓξ καὶ δέκατον. εἰς ἄνισα τοίνυν τέ-
μνεται τὸ ἐπόγδοον. εἰ δὲ τοῦτο καὶ ὁ τόνος· οὐδέτερον ἄρα γίνεται διαιρεθέντος
αὐτοῦ τῶν τμημάτων ἡμιτόνιον, ἀλλὰ ὀρθῶς ὑπὸ τῶν μαθηματικῶν λεῖμμα προ-
σηγόρευται, καὶ τοῦτό ἐστιν ὅ φησιν ὁ Πλάτων τὰ τρίτα τοῖς ἐπογδόοις συμπλη-
ροῦντα τὸν θεόν, λείπειν ἑκάστου μόριον αὐτῶν· οὗ λόγος ἐστίν, ὃν ἔχει τὰ ς καὶ ν
καὶ σ, πρὸς τὰ γ καὶ μ καὶ σ. εἰλήφθω γὰρ τὸ διὰ τεσσάρων ἐν ἀριθμοῖς δυ-
σὶ τὸν ἐπίτριτον λόγον περιέχουσι, τοῖς σνς καὶ τοῖς ἑκατὸν ἐνενηκονταδύο· ὧν ὁ
μὲν ἐλάττων, τὰ ἑκατὸν ἐνενηκονταδύο κείσθω κατὰ τὸν βαρύτονον τοῦ τετραχόρ-
δου φθόγγον· ὁ δὲ μείζων, τὰ σνς, κατὰ τὸν ὀξύτατον. ἀποδεικτέον ὅτι τούτου
συμπληρουμένου δυσὶν ἐπογδόοις, λείπεται διάστημα τηλικοῦτον, ἡλίκον ὡς ἐν
ἀριθμοῖς, τὰ ς καὶ ν καὶ σ. τοῦ γὰρ βαρυτέρου τόνῳ ἐπιταθέντος ὅπερ ἐστὶν
ἐπόγδοον, γίνεται, σις. τούτου πάλιν τόνον ἄλλως ἐπιταθέντος, γίνεται σμγ.
ταῦτα μὲν γὰρ ὑπερέχει τῶν διακόσια ις, τοῖς κζ. τὰ δὲ ις τῶν ἑκατὸν ἐνενηκον-
ταδύο, τοῖς εἴκοσι καὶ τέσσαρσιν· ὧν τὰ μὲν κζ τῶν σις ἐπόγδοά ἐστι. τὰ δὲ κδ,

τῶν ἑκατὸν ἐνενηκονταδύο. διὸ γίνεται τῶν τριῶν τούτων ἀριθμῶν, ὅτι μέγιστος
ἐπόγδοος τοῦ μέσου, καὶ ὁ μέσος τοῦ ἐλαχίστου, τὸ δὲ ἀπὸ τοῦ ἐλαχίστου διάστημα μέχρι
τοῦ μεγίστου τουτέστι τὸ ἀπὸ τῶν ἑκατὸν ἐνενηκονταδύο μέχρι τῶν σμγ, δίτονον ἐκ δυοῖν
συμπληρούμενον ἐπογδόων. ἀφαιρουμένου δὲ τούτου, περίεστι τοῦ ὅλου διάστημα λοιπὸν
τὸ μεταξὺ τῶν σμγ, καὶ τῶν σνς, τὰ τρισκαίδεκα. διὸ καὶ λεῖμμα τοῦτον τὸν ἀριθ-
μὸν ὠνόμαζον. ἐγὼ μὲν οὖν εὐσημότατα δηλοῦσθαι τὴν Πλάτωνος οἶμαι γνώ-
μην ἐν τούτοις τοῖς ἀριθμοῖς. ἕτεροι δὲ τοὺς διὰ τεσσάρων ὅρους θέμενοι, τὸν μὲν ὀ-
ξὺν, ἐν σπη. τὸν δὲ βαρὺν ἐν τοῖς σις. ἀναλόγως τοίνυν τοῖς ἑξῆς περαίνουσιν· πλὴν
ὅτι τῶν λειμμάτων δυεῖν τὸ μεταξὺ λαμβάνουσιν. τοῦ γὰρ βαρυτέρου τόνῳ ἐπι-
ταθέντος γίνεται σμγ. τοῦ δὲ ὀξυτέρου τόνον ἀνατεθέντος, γίνεται σνς. ἔστι γὰρ
ἐπόγδοα τὰ μὲν σμγ, τῶν σις· τὰ δὲ σπη, τῶν σνς· ὥστε τονιαῖον εἶναι τῶν δια-
στημάτων ἑκάτερον. λείπεσθαι δὲ τὸν μεταξὺ τῶν σμγ καὶ τῶν σνς· ὅπερ οὐκ ἔστιν
ἡμιτόνιον, ἀλλ' ἔλαττον. τὰ μὲν γὰρ σπη, τῶν σνς ὑπερέχει τοῖς λ καὶ δυσί· τὰ
δὲ σμγ τῶν σις ὑπερέχει τοῖς κζ. τὰ δὲ σνς, τῶν σμγ ὑπερέχει τοῖς ιγ. ταῦτα
δὲ ἀμφότερα τῶν ὑπεροχῶν ἐλάττω ἢ ἡμίσεά ἐστι. διὸ δυεῖν τόνων καὶ λείμμα-
τος οὐ δυοῖν καὶ ἡμίσεως εὕρηται τὸ διὰ τεσσάρων. καὶ ταῦτα μὲν ἔχει τοιαύ-
την ἀπόδειξιν. ἐκεῖνο δὲ οὐ πάνυ χαλεπὸν ἐκ τῶν προειρημένων συνιδεῖν. τί δή
ποτε φήσας ὁ Πλάτων ἡμιολίους καὶ ἐπιτρίτους καὶ ἐπογδόους γίνεσθαι δια-
στάσεις ἐν τῷ συμπληροῦσθαι τὰς ἐπιτρίτους ταῖς ἐπογδόοις, οὐκ ἐμνήσθη τῶν ἡμιο-
λίων, ἀλλὰ παρέλιπε. τὸ γὰρ ἡμιόλιον τοῦ ἐπιτρίτου τῷ ἐπογδόῳ, τῷ ἐπιτρίτῳ προστι-
θεμένου, συμπληροῦσθαι καὶ τὸ ἡμιόλιον. ὑποδεδειγμένων δὲ τούτων τὸ μὲν
συμπληροῦν τὰ διαστήματα καὶ παρεντάττειν τὰς μεσότητας, εἰ καὶ μηδεὶς ἐ-
τύγχανε πεποιηκὼς πρότερον ἡμῖν ἂν αὐτοῖς ἕνεκα γυμνασίας παρῆκα· νῦν δὲ
πολλοῖς καὶ ἀγαθοῖς ἀνδράσιν ἐξειργασμένου τούτου, μάλιστα δὲ Κράντορι καὶ Κλεάρ-
χῳ καὶ Θεοδώρῳ τοῖς Σολεῦσι, μικρὰ περὶ τῆς τούτων διαφορᾶς εἰπεῖν, οὐκ ἄ-
χρηστόν ἐστιν. ὁ γὰρ Θεόδωρος, οὐχ ὡς ἐκεῖνοι δύο στίχους ποιῶν, ἀλλ' ἐπὶ μιᾶς εὐθεί-
ας ἐφεξῆς τούς τε διπλασίους ἐκτάττων καὶ τοὺς τριπλασίους, πρῶτον μὲν ἰσχυ-
ρίζεται τῇ λεγομένῃ κατὰ μῆκος σχίσει τῆς οὐσίας, δύο ποιήσῃ μοίρας ὡς ἐκ μι-
ᾶς, οὐ τέσσαρας ἐκ δυεῖν. ἔπειτά φησι τὰς τῶν μεσοτήτων παρενθέσεις, οὕτω
λαμβάνειν προσήκει χώραν· εἰ δὲ μή, ταραχὴν καὶ σύγχυσιν ἔσεσθαι, καὶ μετα-
στάσεις εἰς τὸ πρῶτον, εὐθὺς τριπλάσιον ἐκ τοῦ πρώτου διπλασίου τῶν συμπληρού-
των ἑκάτερον ὀφειλόντων. τοῖς δὲ περὶ τὸν Κράντορα βοηθοῦσιν αἵ τε θέσεις τῶν
ἀριθμῶν ἐπιπέδων ἐπιπέδοις, καὶ τετραγώνων τετραγώνοις, καὶ κύβων κύβοις,
ἀντιθέτως συζυγούντων· τῇ τε μὴ κατὰ τάξιν αὐτῶν λήψει, ἀλλ' ἐναλλὰξ ἀρ-
τίων καὶ περιττῶν* κατὰ τὰ αὐτὰ ἔχων ὡς μορφὴν καὶ εἶδος. τὸ δὲ περὶ τὰ
σώματα γινόμενον μεριστόν, ὡς ὑποδοχὴν καὶ ὕλην. τὸ δὲ μίγμα κοινὸν ἐξ ἀμ-
φοῖν ἀποτετελεσμένον. ἡ μὲν οὖν ἀμέριστος οὐσία καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ
ὡσαύτως ἔχουσα, μὴ μικρότητι καθάπερ τὰ ἐλάχιστα τῶν σωμάτων, νοείσθω
φεύγουσα τὸν μερισμόν. τὸ γοῦν ἁπλοῦν, καὶ ἀπαθὲς καὶ καθαρὸν αὐτῆς καὶ μο-
νοειδές, ἀμερὲς εἴρηται, καὶ ἀμέριστον· ᾧ καὶ τῶν συνθέτων καὶ μεριστῶν καὶ δι-
αφερομένων ἁμωσγέπως θιγοῦσα, παύει τὸ πλῆθος, καὶ καθίστησιν εἰς μίαν
δι' ὁμοιότητος ἕξιν. τὴν δὲ περὶ τὰ σώματα γενομένην μεριστήν, εἰ μέν τις ἐθέ-
λοι καλεῖν ὕλην ὡς καὶ ὑποκειμένην ἐκείνῃ καὶ μεταληπτικὴν ἐκείνης φύσιν, ὁμω-
νυμίᾳ χρώμενος, οὐ διαφέρει πρὸς τὸν λόγον. οἱ δὲ σωματικὴν ἀξιοῦντες ὕλην,
συμμίγνυσθαι τῇ ἀμερίστῳ, διαμαρτάνουσι. πρῶτον μὲν ὅτι τῶν ἐκείνης ὀνομά-
των, οὐδενὶ νῦν ὁ Πλάτων κέχρηται. δεξαμενὴν γὰρ εἴωθε καὶ πανδεχῆ καὶ τι-

θῆναι ἀεὶ καλεῖν ἐκείνην. οὐ περὶ τὰ σώματα μεριστὴν· μᾶλλον δὲ σῶμα μεριζόμενον εἰς τὸ καθέκαστον. ἔπειτα τί διοίσει τῆς τοῦ κόσμου γενέσεως, ἡ τῆς ψυχῆς, εἴπερ ἀμφοτέροις ἔκ τε τῆς ὕλης καὶ τῶν νοητῶν γέγονεν ἡ σύστασις. αὐτός γε μὴν ὁ πλάτων ὥσπερ ἀποθέμενος τῆς ψυχῆς τὴν ἐκ σώματος γένεσιν, ἐντὸς αὐτῆς φησιν ὑπὸ τοῦ θεοῦ τεθῆναι τὸ σωματικὸν, εἶτα ἔξωθεν ὑπ' ἐκείνης περικαλυφθῆναι, καὶ ὅλως ἀπεργασάμενος τῷ λόγῳ τὴν ψυχὴν, ὕστερον ἐπεισάγει τὴν περὶ τῆς ὕλης ὑπόθεσιν, μηδὲν αὐτῆς πρότερον, ὅτε τὴν ψυχὴν ἐγέννα, δεηθεὶς, ὡς χωρὶς ὕλης γενομένην. ὅμοια δὲ τούτοις ἐστὶν ἀντειπεῖν, καὶ τοῖς περὶ Ποσειδώνιον. οὐ γὰρ μακρὰν τῆς ὕλης ἀπέστησαν, ἀλλὰ δεξάμενοι τὴν τῶν περάτων οὐσίαν, περὶ τὰ σώματα λέγεσθαι μεριστὴν, καὶ ταῦτα τῷ νοητῷ μίξαντες, ἀπεφήναντο τὴν ψυχὴν ἰδέαν εἶναι τοῦ πάντη διαστατοῦ κατὰ ἀριθμὸν συνεστῶσαν, ἁρμονίαν περιέχοντα. τά τε γὰρ μαθηματικὰ τῶν πρώτων νοητῶν μεταξὺ καὶ τῶν αἰσθητῶν τετάχθαι. τῆς τε ψυχῆς τῶν νοητῶν, τὸ ἀΐδιον καὶ τῶν αἰσθητικῶν, τὸ παθητικὸν ἐχούσης, προσῆκον ἐν μέσῳ τὴν οὐσίαν ὑπάρχειν. ἔλαθε γὰρ καὶ τούτους ὁ θεὸς τοῖς τῶν σωμάτων πέρασιν ὕστερον ἀπειργασμένοις ἤδη τῆς ψυχῆς χρώμενος, ἐπὶ τὴν τῆς ὕλης διαμόρφωσιν, τὸ σκεδαστὸν αὐτῆς καὶ ἀσύνδετον ὁρίζων, καὶ περιλαμβάνων ταῖς ἐκ τῶν τριγώνων συναρμοττομένων ἐπιφανείαις. ἀτοπώτερον δὲ τὸ τὴν ψυχὴν ἰδέαν ποιεῖν. ἡ μὲν γὰρ ἀεικίνητος, ἡ δὲ ἀκίνητος· καὶ ἡ μὲν ἀμιγὴς πρὸς τὸ αἰσθητὸν, ἡ δὲ τῷ σώματι συνειργμένη. πρὸς δὲ τούτοις ὁ θεὸς, τῆς μὲν ἰδέας, ὡς παραδείγματος γέγονε μιμητής, τῆς δὲ ψυχῆς ὥσπερ ἀποτελέσματος, δημιουργός.

ὅτι δὲ οὐδὲ ἀριθμὸν ὁ πλάτων τὴν οὐσίαν τίθεται τῆς ψυχῆς, ἀλλὰ ταττομένην ὑπ' ἀριθμοῦ, προείρηται. πρὸς δὲ ἀμφοτέρους τούτους, κοινόν ἐστι, τὸ μήτε τοῖς πέρασι μήτε τοῖς ἀριθμοῖς μηδὲν ἴχνος ἐνυπάρχειν ἐκείνης τῆς δυνάμεως ᾗ τὸ αἰσθητὸν ἡ ψυχὴ πέφυκε κρίνειν. νοῦ μὲν γὰρ αὐτῇ καὶ νοητοῦ, ἡ τῆς νοητῆς μέθεξις ἀρχῆς ἐμπεποίηκε. δόξας δὲ καὶ πίστεις καὶ τὸ φανταστικὸν καὶ τὸ παθητικὸν ὑπὸ τῶν περὶ τὸ σῶμα ποιοτήτων, οὐκ ἄν τις ἐκ μονάδων, οὐδὲ γραμμῶν, οὐδὲ ἐπιφανειῶν ἁπλῶς νοήσειεν ἐγγινόμενον. καὶ μὴν οὐ μόνον αἱ τῶν θνητῶν ψυχαὶ γνωστικὴν τοῦ αἰσθητοῦ δύναμιν ἔχουσιν, ἀλλὰ καὶ τὴν τοῦ κόσμου φησὶν, ἀνακυκλουμένην αὐτὴν πρὸς ἑαυτὴν, ὅταν οὐσίαν σκεδαστὴν ἔχοντός τινος ἐφάπτηται, καὶ ὅταν ἀμέριστον λέγῃ κινουμένην διὰ πάσης ἑαυτῆς· ὅτῳ τ' ἄν τι ταυτὸν, ἢ καὶ ὅτῳ ἂν ἕτερον, πρὸς ὅτι τε μάλιστα καὶ ὅπη καὶ ὅπως συμβαίνει κατὰ τὰ γινόμενα πρὸς ἕκαστον εἶναι καὶ πάσχειν. ἐν τούτοις ἅμα καὶ τῶν δέκα κατηγοριῶν ποιούμενος ὑπογραφὴν, ἔτι μᾶλλον τοῖς ἐφεξῆς διασαφεῖ. λόγος γάρ φησιν ἀληθὴς, ὅταν μὲν περὶ τὸ αἰσθητὸν γίγνηται, καὶ ὁ τοῦ θατέρου κύκλος ὀρθὸς ἰὼν εἰς πᾶσαν αὐτοῦ τὴν ψυχὴν διαγγείλῃ, δόξαι καὶ πίστεις γίνονται βέβαιοι καὶ ἀληθεῖς. ὅταν δὲ αὖ περὶ τὸ λογιστικὸν ᾖ, καὶ ὁ τοῦ ταυτοῦ κύκλος εὔτροχος ὢν αὐτὰ μηνύσῃ, ἐπιστήμη ἐξ ἀνάγκης ἀποτελεῖται. τούτω δὲ ἐν ᾧ τῶν ὄντων ἐγγίνεσθον, ἐάν ποτέ τις αὐτὸ ἄλλο πλὴν ψυχὴν προσείπῃ, πᾶν μᾶλλον ἢ τὸ ἀληθὲς ἐρεῖ. πόθεν οὖν ἔσχεν ἡ ψυχὴ τὴν ἀντιληπτικὴν τοῦ αἰσθητοῦ καὶ δοξαστικὴν ταύτην κίνησιν ἑτέραν τῆς νοητικῆς ἐκείνης καὶ τελευτώσης εἰς ἐπιστήμην ἔργον εἰπεῖν, μὴ θεμένους βεβαίως, ὅτι νῦν δὴ ἁπλῶς ψυχὴν, ἀλλὰ κόσμου ψυχὴν συνίστησιν ἐξ ὑποκειμένων, τῆς τε κρείττονος οὐσίας καὶ ἀμερίστου καὶ χείρονος, ἣν περὶ τὰ σώματα μεριστὴν κέκληκεν, οὐχ ἑτέραν οὖσαν, ἢ τὴν δοξαστικὴν καὶ φανταστικὴν καὶ συμπαθῆ τῷ αἰσθητῷ κίνησιν, οὐ γενομένην, ἀλλ' ὑφεστῶσαν ἀΐδιον, ὥσπερ ἡ ἑτέρα. τὸ γοῦν νοερὸν ἡ φύσις ἔχουσα, καὶ τὸ δοξαστικὸν εἶχεν. ἀλλ' ἐκεῖνο μὲν ἀκίνητον ἀπαθὲς, καὶ περὶ τὴν ἀεὶ μέ-

νουσαν ἱδρυμένον. τοῦτο δὲ μεριστὸν καὶ πλανητὸν, ἅτε δὴ φερομένης καὶ σκεδαννυμένης ἐφαπτόμενον ὕλης. οὔτε γὰρ τὸ αἰσθητὸν εἰλήχει τάξεως, ἀλλ' ἦν ἄμορφον καὶ ἀόριστον, ἥ τε περὶ τοῦτο τεταγμένη δύναμις, οὔτε δόξας ἀνάρθρους, οὔτε κινήσεις ἁπάσας ἔχουσα τεταγμένας, ἀλλὰ τὰς πολλὰς ἐνυπνιώδεις καὶ παραφόρους καὶ ταραττούσας σωματοειδὲς, ὅσα μὴ κατὰ τύχην τῷ βελτίονι περιέπιπτεν. ἐν μέσῳ γὰρ ἦν ἀμφοῖν καὶ πρὸς ἀμφότερα συμπαθῆ, καὶ συγγενῆ φύσιν εἶχε. τῷ μὲν αἰσθητικῷ τῆς ὕλης ἀντεχομένη, τῷ δὲ κριτικῷ, τῶν νοητῶν. οὕτω δέ πως καὶ αὐτὸς διασαφεῖ τοῖς ὀνόμασιν. οὗτος γάρ φησι παρὰ τῆς ἐμῆς ψήφου λογισθεὶς ἐν κεφαλαίῳ δεδόσθω λόγος. ὄν τε καὶ χώραν καὶ γένεσιν εἶναι, τρία τριχῇ καὶ πρὶν οὐρανὸν γενέσθαι.

χώραν τε γὰρ καλεῖ τὴν ὕλην, ὥσπερ ἕδραν, ἔστιν ὅτε καὶ ὑποδοχήν. ὂν δὲ τὸ νοητὸν, γένεσιν δὲ τοῦ κόσμου μήπω γεγονότος, οὐδεμίαν ἄλλην ἢ τὴν ἐν μεταβολαῖς καὶ κινήσεσιν οὐσίαν, τοῦ τυποῦντος καὶ τοῦ τυπουμένου μεταξὺ τεταγμένην, διαδιδοῦσαν ἐνταῦθα τὰς ἐκεῖθεν εἰκόνας. διά τε δὴ ταῦτα, μεριστὴ προσηγορεύθη, καὶ ὅτι τῷ αἰσθητῷ τὸ αἰσθανόμενον, καὶ τῷ φανταστῷ τὸ φανταζόμενον, ἀνάγκη συνδιανέμεσθαι καὶ συμπαρήκειν. ἡ γὰρ αἰσθητικὴ κίνησις, ἰδία ψυχῆς οὖσα, κινεῖται πρὸς τὸ αἰσθητὸν ἐκτός. ὁ δὲ νοῦς αὐτὸς μὲν ἀφ' ἑαυτοῦ μόνιμος ἦν καὶ ἀκίνητος, ἐγγενόμενος δὲ τῇ ψυχῇ καὶ κρατήσας εἰς ἑαυτὸν ἐπιστρέφει, καὶ συμπεραίνει τὴν ἐγκύκλιον φορὰν περὶ τὸ μένον ἀεὶ μάλιστα ψαύουσαν τοῦ ὄντος. διὸ καὶ δυσανάκρατος ἡ κοινωνία γέγονεν αὐτῶν, τῷ ἀμερίστῳ τὸ μεριστὸν, καὶ τῷ μηδαμῇ κινητῷ, τὸ πάντη φορητὸν μιγνύουσα, καὶ καταβιαζομένη θάτερον εἰς ταυτὸν συνελθεῖν. ἦν δὲ, τὸ θάτερον ἡ κίνησις. ὥσπερ οὐδὲ ταυτὸν στάσιν. ἀλλ' ἀρχὴ διαφορᾶς καὶ ἀνομοιότητος. ἑκάτερον γὰρ ἀπὸ τῆς ἑτέρας ἀρχῆς κάτεισι. τὸ μὲν ταυτὸν ἀπὸ τοῦ ἑνὸς, τὸ δὲ θάτερον ἀπὸ τῆς δυάδος. καὶ μέμικται πρῶτον ἐνταῦθα περὶ τὴν ψυχὴν, ἀριθμοῖς καὶ λόγοις συνδεθέντα καὶ μεσότησιν ἐναρμονίοις, καὶ ποιεῖ θάτερον μὲν ἐγγενόμενον τῷ ταυτῷ διαφορὰν, τὸ δὲ ταυτὸν, ἐν τῷ ἑτέρῳ τάξιν, ὡς δῆλόν ἐστιν ἐν ταῖς πρώταις τῆς ψυχῆς δυνάμεσιν. εἰσὶ δὲ αὗται. τὸ κριτικὸν καὶ τὸ κινητικόν. ἡ μὲν οὖν κίνησις εὐθὺς ἐπιδείκνυται περὶ τὸν οὐρανὸν. ἐν δὲ τῇ ταυτότητι, τὴν ἑτερότητα τῇ περιφορᾷ τῶν ἀπλανῶν. ἐν δὲ τῇ ἑτερότητι τὴν ταυτότητα τῇ τάξει τῶν ἀπλανῶν. ἐπικρατεῖ γοῦν ἐν ἐκείνοις τὸ ταυτὸν. ἐν δὲ τοῖς περὶ γῆν, τοὐναντίον. ἡ δὲ κίνησις ἀρχὰς μὲν ἔχει δύο, τόν τε νοῦν ἀπὸ ταυτοῦ πρὸς τὰ καθόλου, καὶ τὴν αἴσθησιν ἀπὸ τοῦ ἑτέρου πρὸς τὰ καθέκαστα. μέμικται δὲ λόγος ἐξ ἀμφοῖν, νόησις ἐν τοῖς νοητοῖς, καὶ δόξα γινόμενος ἐν τοῖς αἰσθητοῖς. ὀργάνοις τε καὶ μεταξὺ φαντασίαις τε καὶ μνήμαις χρώμενος, ὧν τὰ μὲν ἐν τῷ ταυτῷ, τὸ ἕτερον. τὰ δὲ ἐν τῷ ἑτέρῳ, ποιεῖ τὸ ταυτόν. ἔστι γὰρ ἡ μὲν νόησις τοῦ νοοῦντος κίνησις περὶ τὸ μένον. ἡ δὲ δόξα μονὴ τοῦ αἰσθανομένου περὶ τὸ κινούμενον. φαντασίαν δὲ συμπλοκὴν δόξης πρὸς αἴσθησιν οὖσαν, ἵστησιν ἐν μνήμῃ τὸ ταυτόν. τὸ δὲ θάτερον κινεῖ πάλιν ἐν διαφορᾷ τοῦ πρόσθεν καὶ νῦν, ἑτερότητος ἅμα καὶ ταυτότητος ἐφαπτόμενον. δεῖ δὲ τὴν περὶ τὸ σῶμα τοῦ κόσμου γενομένην σύνταξιν, εἰκόνα λαβεῖν τῆς ἀναλογίας, ἐν ᾗ διηρμόσατο τὴν ψυχήν. ἐκεῖ μὲν γὰρ ἦν ἄκρατον πῦρ, καὶ ἡ γῆ χαλεπὴν πρὸς ἄλληλα κραθῆναι φύσιν ἔχοντα, μᾶλλον δὲ ὅλως ἄκρατον καὶ ἀσύστατον. ὅθεν ἐν μέσῳ θέμενος αὐτῶν, τὸν μὲν ἀέρα πρὸ τοῦ πυρὸς, τὸ δὲ ὕδωρ πρὸ τῆς γῆς. ταῦτα πρῶτον ἀλλήλοις ἐκέρασεν, εἶτα διὰ τούτων ἐκεῖνα, πρός τε ταῦτα καὶ πρὸς ἄλληλα συνέμιξε καὶ συνήρμοσεν. ἐνταῦθα δὲ πάλιν τὸ ταυτὸν καὶ τὸ θάτερον, ἐναντίας δυνάμεις καὶ ἀκρότητας ἀντιπάλους συνήγαγεν, οὐδὲ αὐτὰς, ἀλλὰ οὐσίας ἑτέρας μεταξύ, τὴν μὲν ἀμέριστον πρὸ τοῦ ταυτοῦ. πρὸ δὲ τοῦ θατέρου τὴν μεριστὴν, ἔστιν ᾗ προσήκουσαν ἑκατέραν ἑ-

κατέρᾳ τάξας· εἶτα μιχθείσαις ἐκείναις ἐπιγκεραννύμενος, οὕτως τὸ πᾶν συνύφηνεν τῆς ψυχῆς εἶδος, ὡς ἦν ἀνυστὸν ἐκ διαφόρων ὅμοιον, ἔκ τε πολλῶν ἓν ἀπειργασμένος. οὐκ εὖ δέ τινες εἰρῆσθαι λέγουσιν δύσμικτον ὑπὸ τοῦ πλάτωνος τὴν θατέρου φύσιν οὐκ ἄδεκτον οὖσαν, ἀλλὰ καὶ φίλην μεταβολῆς· μᾶλλον δὲ τὴν τῆς ταυτοῦ μόνιμον καὶ δυσμετάβλητον οὖσαν, οὐ ῥᾳδίως προσίεσθαι μίξιν, ἀλλὰ ἀπωθεῖσθαι καὶ φεύγειν· ὅπως ἁπλῆ διαμένῃ καὶ εἰλικρινὴς καὶ ἀναλλοίωτος. οἱ δὲ ταύτας ἐγκαλοῦντες, ἀγνοοῦσιν, ὅτι τὸ μὲν ταυτὸν ἰδέα τῶν ὡσαύτως ἐχόντων ἐστί· τὸ δὲ θάτερον τῶν διαφόρως. καὶ τούτου μὲν ἔργον, ὧν ἂν ἅψηται διιστάναι καὶ ἀλλοιοῦν, καὶ πολλὰ ποιεῖν· ἐκείνου δὲ συνάγειν καὶ συνιστάναι δι' ὁμοιότητος ἐκ πολλῶν μίαν ἀναλαμβάνοντα μορφὴν, καὶ δύναμιν. αὗται μὲν οὖν δυνάμεις τῆς τοῦ παντός εἰσι ψυχῆς· εἰς δὲ θνητὰ καὶ παθητὰ παρεισιοῦσαι ὄργανα ἄφθαρτα καὶ αὐτὰ σωμάτων, ἐν ταύταις τὸ τῆς δυαδικῆς καὶ ἀορίστου μερίδος ἐπιφαίνεται μᾶλλον· εἶδος δὲ τῆς ἁπλῆς καὶ μοναδικῆς ἀμυδρότερον ὑποδέδυκεν. οὐ μὴν ῥᾳδίως ἄν τις οὔτε πάθος ἀνθρώπου παντάπασιν ἀπηλλαγμένον λογισμοῦ κατανοήσειεν, οὔτε διανοίας κίνησιν, ᾗ μηδὲν ἐπιθυμίας ἢ φιλοτιμίας ἢ τοῦ χαίροντος ἢ λυπουμένου πρόσεστι. διὸ τῶν φιλοσόφων οἱ μὲν τὰ πάθη λόγους ποιοῦσιν, ὡς πᾶσαν ἐπιθυμίαν καὶ λύπην καὶ ὀργὴν κρίσεις οὔσας· οἱ δὲ τὰς ἀρετὰς ἀποφαίνουσιν παθητικάς· καὶ γὰρ ἀνδρεία τὸ φοβούμενον, καὶ σωφροσύνη τὸ ἡδόμενον, καὶ δικαιοσύνη τὸ κερδαλέον εἶναι. καὶ μὴν θεωρητικῆς γε τῆς ψυχῆς οὔσης ἅμα καὶ πρακτικῆς, καὶ θεωρούσης δὲ τὰ καθέκαστα, καὶ νοεῖν μὲν ἐκεῖνα, ταῦτα δὲ αἰσθάνεσθαι δοκούσης, ὁ κοινὸς λόγος ἀεὶ περί τε ταυτὸν ἐντυγχάνων τῷ θατέρῳ, καὶ ταυτὸν περὶ θάτερον ἐπιχειρεῖ μὲν ὅροις καὶ διαιρέσεσι χωρίζειν τὸ ἓν, καὶ τὰ πολλὰ καὶ τὸ ἀμερὲς καὶ μεριστὸν, οὐ δύναται δὲ καθαρῶς ἐν οὐδετέρῳ γενέσθαι, διὰ τὸ τὰς ἀρχὰς ἐναλλὰξ ἐμπεπλέχθαι καὶ καταμεμίχθαι δι' ἀλλήλων, καὶ διὰ τοῦτο τῆς οὐσίας τὴν ἐκ τῆς ἀμερίστου καὶ τῆς μεριστῆς ὁ θεὸς ὑποδοχὴν, τῷ ταυτῷ καὶ τῷ ἑτέρῳ συνέστησεν· ἵνα ἐν διαφορᾷ τάξις γένηται. τοῦτο γὰρ ἦν γενέσθαι· ἐπεὶ χωρὶς τούτων, τὸ μὲν ταυτὸν, οὐκ εἶχε διαφορὰν, ὥστε οὐδὲ κίνησιν, οὐδὲ γένεσιν· τὸ δὲ θάτερον δὲ τάξιν οὐκ εἶχεν, ὥστε οὐδὲ σύστασιν, οὐδὲ γένεσιν. καὶ γὰρ εἰ τῷ ταυτῷ συμβέβηκεν ἑτέρῳ εἶναι τοῦ ἑτέρου, καὶ τῷ ἑτέρῳ πάλιν αὐτῷ ταυτὸν, οὐδὲν ἡ τοιαύτη μέθεξις ἀλλήλων ποιεῖ γόνιμον, ἀλλὰ δεῖται τρίτης τινὸς οἷον ὕλης, ὑποδεχομένης καὶ διατιθεμένης ὑπ' ἀμφοτέρων. αὕτη δ' ἐστὶν, ἣν πρώτην συνέστησε, τῷ περὶ τὰ νοητὰ μονίμῳ τοῦ περὶ τὰ σώματα κινητικοῦ τὸ ἄπειρον ὁρίσας. ὡς δὲ φωνή τις ἐστὶν ἄλογος καὶ ἀσήμαντος· λόγος δὲ λέξις ἐν φωνῇ σημαντικῇ διανοίας· ἁρμονία δὲ τὸ ἐκ φθόγγων καὶ διαστημάτων, καὶ φθόγγος μὲν ἓν καὶ ταυτὸν, διάστημα δὲ φθόγγων ἑτερότης καὶ διαφορά· μιχθέντων δὲ τούτων ᾠδὴ γίνεται καὶ μέλος· οὕτω τὸ παθητικὸν τῆς ψυχῆς ἀόριστον ἦν καὶ ἀστάθμητον· εἶτα ὡρίσθη πέρατος ἐγγενομένου, καὶ εἴδους τῷ μεριστῷ καὶ παντοδαπῷ τῆς κινήσεως. συλλαβοῦσα δὲ τὸ ταυτὸν καὶ τὸ ἕτερον, ὁμοιότησι καὶ ἀνομοιότησιν ἀριθμῶν ἐκ διαφορᾶς ὁμολογίαν ἐπεργασαμένων, ζωή τε τοῦ παντός ἐστιν ἔμφρων καὶ ἁρμονία καὶ λόγος· ἄγων πειθοῖ μεμιγμένην ἀνάγκην· ἣν εἱμαρμένην οἱ πολλοὶ καλοῦσιν· ἐμπεδοκλῆς δὲ φιλίαν ὁμοῦ καὶ νεῖκος· ἡράκλειτος δὲ, παλίντροπον ἁρμονίην κόσμου, ὅκωσπερ λύρης καὶ τόξου· παρμενίδης δὲ, φῶς καὶ σκότος· ἀναξαγόρας δὲ, νοῦν καὶ ἀπειρίαν· ζωροάστρης δὲ, θεὸν καὶ δαίμονα· τὸν μὲν, ὠρομάσδην καλῶν· τὸν δὲ, ἀριμάνιον. εὐριπίδης δὲ οὐκ ὀρθῶς ἀντὶ τοῦ συμπλεκτικοῦ τῷ διαζευκτικῷ κέχρηται· ζεὺς εἴτε ἀνάγκη φύσεως, εἴτε νοῦς βρο-

τῶν· καὶ γὰρ ἀνάγκη καὶ νοῦς ἐστιν ἡ διήκουσα διὰ πάντων δύναμις. αἰγύπτιοι μὲν οὖν μυθολογοῦντες αἰνίττονται τοῦ ὥρου δίκην ὀφλόντος, τῷ μὲν πατρὶ, τὸ πνεῦμα καὶ τὸ αἷμα· τῇ δὲ μητρὶ, τὴν σάρκα καὶ τὴν πιμελὴν, προσνεμηθῆναι. τῆς δὲ ψυχῆς οὐδὲν μὲν εἰλικρινὲς οὐδὲ ἄκρατον, οὐδὲ χωρὶς ἀπολείπεται τῶν ἄλλων· ἁρμονίη γὰρ ἀφανὴς φανερῆς κρείττων καθ' ἡράκλειτον· ἐν ᾗ τὰς διαφορὰς καὶ τὰς ἑτερότητας ὁ μιγνύων θεὸς ἔκρυψε καὶ κατέδυσεν. ἐμφαίνεται δὲ ὅμως αὐτοῖς· τῷ μὲν ἀλόγῳ τὸ ταραχῶδες· τῷ δὲ λογικῷ τὸ εὔτακτον· ταῖς δὲ αἰσθήσεσι τὸ κατηναγκασμένον· τῷ δὲ νῷ τὸ αὐτοκρατές. ἡ δὲ ὁριστικὴ δύναμις, τὸ καθόλου καὶ τὸ ἀμερὲς διὰ συγγένειαν ἀγαπᾷ· καὶ τοὐναντίον ἡ διαιρετικὴ πρὸς τὰ καθέκαστα φέρεται τῷ μεριστῷ. χαίρει δὲ ὅλον τῇ διὰ τὸ ταυτὸν ἐφ' ἃ δεῖται μεταβολῇ διὰ τὸ θάτερον. οὐχ ἥκιστα δὲ ἥ τε πρὸς τὸ καλὸν διαφορὰ καὶ τὸ αἰσχρόν· ἥ τε πρὸς τὸ ἡδὺ καὶ τὸ ἀλγεινὸν αὖθις· οἵ τε τῶν ἐρώντων ἐνθουσιασμοὶ καὶ πτοήσεις καὶ διαμάχαι τοῦ φιλοκάλου πρὸς τὸ ἀκόλαστον ἐνδείκνυνται τὸ μικτὸν, ἔκ τε τῆς θείας καὶ ἀπαθοῦς, ἔκ τε τῆς θνητῆς, καὶ περὶ τὰ σώματα παθητῆς μερίδος· ὧν καὶ αὐτὸς ὀνομάζει τὸ μὲν ἐπιθυμίαν ἔμφυτον ἡδονῶν· τὸ δὲ ἐπείσακτον δόξαν, ἐφιεμένην τοῦ ἀρίστου. τὸ γὰρ παθητικὸν ἀναδίδωσιν ἐξ ἑαυτῆς ἡ ψυχή· τοῦ δὲ νοῦ μετέσχεν ἀπὸ τῆς κρείττονος ἀρχῆς ἐγγινομένου. τῆς δὲ διπλῆς κοινωνίας ταύτης, οὐδὲ ἡ περὶ τὸν οὐρανὸν ἀπήλλακται φύσις· ἀλλὰ ἑτερορρεποῦσα νῦν μὲν ὀρθοῦται τῇ ταυτοῦ περιόδῳ κράτος ἐχούσῃ καὶ διακυβερνᾷ τὸν κόσμον· ἔσται δέ τις χρόνου μοῖρα, καὶ γέγονεν ἤδη πολλάκις· ἐν ᾗ τὸ μὲν φρόνιμον, ἀμβλύνεται καὶ καταδαρθάνει λήθης ἐμπιπλάμενον τοῦ οἰκείου· τὸ δὲ σώματι σύνηθες ἐξ ἀρχῆς καὶ συμπαθὲς, ἐφέλκεται καὶ βαρύνει, καὶ ἀνελίσσει τὴν ἐν δεξιᾷ τοῦ παντὸς πορείαν. ἀναρρῆξαι δὲ οὐ δύναται παντάπασιν, ἀλλ' ἀνήνεγκεν αὖθις τὰ βελτίω καὶ ἀνέβλεψε πρὸς τὸ παράδειγμα θεοῦ συνεπιστρέφοντος καὶ συνεπευθύνοντος. οὕτως ἐνδείκνυται πολλαχόθεν ἡμῖν τὸ μὴ πᾶν ἔργον εἶναι θεοῦ τὴν ψυχήν· ἀλλὰ σύμφυτον ἔχουσαν ἐν ἑαυτῇ τὴν τοῦ κακοῦ μοῖραν ὑπ' ἐκείνου διακεκοσμῆσθαι· τῷ μὲν ἑνὶ τὴν ἀπειρίαν ὁρίσαντος· ἵνα οὐσία γένηται πέρατος μετασχοῦσα· τῇ δὲ ταυτοῦ καὶ τῇ ἑτέρου δυνάμει τάξιν καὶ μεταβολὴν καὶ διαφορὰν καὶ ὁμοιότητα συμμίξαντος· πᾶσι δὲ τούτοις, ὡς ἀνυστὸν ἦν κοινωνίαν πρὸς ἄλληλα καὶ φιλίαν ἐργασαμένου δι' ἀριθμῶν καὶ ἁρμονίας· περὶ ὧν εἰ καὶ πολλάκις ἀκηκόατε καὶ πολλοῖς ἐντετυχήκατε λόγοις καὶ γράμμασιν, οὐ χεῖρόν ἐστι κἀμὲ βραχέως διελθεῖν, προεκθέμενον τὸ τοῦ πλάτωνος· μίαν ἀφεῖλε τὸ πρῶτον ἀπὸ παντὸς μοῖραν. μετὰ δὲ ταύτην, ἀφῄρει διπλασίαν ταύτης· τὴν δὲ αὖ τρίτην, ἡμιολίαν μὲν τῆς δευτέρας· τριπλασίαν δὲ τῆς πρώτης· τετάρτην δὲ τῆς δευτέρας διπλῆν· πέμπτην δὲ τριπλῆν τῆς τρίτης· τὴν δὲ ἕκτην, τῆς πρώτης ὀκταπλασίαν· ἑβδόμην δὲ, ἑπτὰ καὶ εἰκοσαπλασίω τῆς πρώτης. μετὰ δὲ ταῦτα συνεπληροῦτο τά τε διπλάσια καὶ τριπλάσια διαστήματα· μοίρας ἔτι ἐκεῖθεν ἀποτέμνων, καὶ τιθεὶς εἰς τὸ μεταξὺ τούτων· ὥστε ἐν ἑκάστῳ διαστήματι δύο εἶναι μεσότητας· τὴν μὲν ταυτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχουσαν, ἴσῳ δὲ ὑπερεχομένην. ἡμιολίων δὲ διαστάσεων καὶ ἐπιτρίτων καὶ ἐπογδόων γενομένων, ἐκ τούτων τῶν δεσμῶν, ἐν ταῖς πρόσθεν διαστάσεσιν τῷ τοῦ ἐπογδόου διαστήματι, τὰ ἐπίτριτα πάντα συνεπλήρου τὸ λεῖπον αὐτῶν ἑκάστου μόριον, τῆς τοῦ μορίου ταύτης διαστάσεως λειφθείσης ἀριθμοῦ πρὸς ἀριθμὸν, ἐχούσης τοὺς ὅρους ἓξ καὶ πεντήκοντα καὶ διακοσίων, πρὸς τρία καὶ τετταράκοντα καὶ διακόσια. ἐν τούτοις ζητεῖται πρῶτον, περὶ τῆς ποσότητος τῶν ἀριθμῶν· δεύτερον, περὶ τῆς τάξεως· τρίτον, περὶ τῆς δυνάμεως· περὶ μὲν τῆς ποσότητος τίνες εἰσὶν οὓς ἐν τοῖς διπλασίοις, διαστήμασι λαμβάνει. περὶ δὲ τῆς

τάξεως, πότερον ἐφ' ἑνὸς στίχου πάντα ἐκθετέον ὡς Θεόδωρος, ἢ μᾶλλον ὡς Κράντωρ ἐν τῷ, Λ, σχήματι· τοῦ πρώτου κατὰ κορυφὴν τιθεμένου, καὶ χωρὶς μὲν τῶν διπλασίων, χωρὶς δὲ τῶν τριπλασίων ἐν δυσὶ στίχοις ὑποταττομένων. περὶ δὲ τῆς χρείας καὶ τῆς δυνάμεως τί ποιοῦσι παραλαμβανόμενοι πρὸς τὴν σύστασιν τῆς ψυχῆς. πρῶτον οὖν περὶ τοῦ πρώτου ἀπαρτησόμεθα τοὺς λέγοντας, ὡς ἔστι τῶν λόγων αὐτῶν ἀπόχρη θεωρεῖν, ἣν ἔχει τά, τε διαστήματα φύσιν. αἵ τε ταῦτα συμπληροῦσαι μεσότητες. ἐν οἷς ἄν τις ἀριθμοῖς ὑπόθηται χώρας ἔχουσι δεκτικὰς μεταξὺ τῶν εἰρημένων ἀναλογιῶν, ὁμοίως περαινομένης τῆς διδασκαλίας. καὶ γὰρ ἂν ἀληθὲς ᾖ τὸ λεγόμενον, ἀμυδρὰν ποιεῖ τὴν μάθησιν ἄνευ παραδειγμάτων. ἄλλης τε θεωρίας ἀπείργει, χάριν ἐχούσης οὐκ ἀφιλόσοφον. ἂν οὖν ἀπὸ τῆς μονάδος ἀρξάμενοι τοὺς διπλασίους καὶ τριπλασίους ἐν μέρει τιθῶμεν ὡς αὐτὸς ἀφηγεῖται, γενήσονται κατὰ τὸ ἑξῆς, ὅπου μὲν τὸ δεύτερον καὶ τὸ τέταρτον καὶ ὄγδοον. ὅπου δὲ τρία, καὶ ἐννέα καὶ εἰκοσέβδομον, συνάπαντες μὲν ἑπτά. κοινῆς δὲ λαμβανομένης τῆς μονάδος ἄχρι τεσσάρων τῷ πολλαπλασιασμῷ προϊόντων. οὐ γὰρ ἐνταῦθα μόνον, ἀλλὰ πολλαχόθι τῆς τετράδος ἡ πρὸς τὴν ἑβδομάδα συμπάθεια γίνεται καταδήλος. ἡ μὲν οὖν ὑπὸ τῶν Πυθαγορικῶν ὑμνουμένη τετρακτὺς τὰ ἓξ καὶ τριάκοντα, θαυμαστὸν ἔχειν δοκεῖ, τὸ συγκεῖσθαι μὲν, ἐκ πρώτων ἀρτίων τεσσάρων καὶ πρώτων περισσῶν τεσσάρων. γίνεται δὲ συζυγία τετάρτη τῶν ἐφεξῆς συντεθειμένων. πρώτη μὲν γάρ ἐστι συζυγία, ἡ τοῦ ἑνὸς καὶ τῶν δυεῖν. δευτέρα τῶν περιττῶν. τὴν γὰρ μονάδα κοινὴν οὖσαν, ἀμφοῖν προτάξας, λαμβάνει τὰ ὀκτώ, καὶ ἐφεξῆς τὰ κζ. μονονουχὶ οὖν δεικνύων ἣν μὲν ἐν ἑκατέρῳ γένει χώραν ἀποδίδωσι. ταῦτα μὲν οὖν ἑτέροις προσήκει μᾶλλον ἐξακριβοῦν. τὸ δὲ ἀπολειπόμενον, οἰκεῖόν ἐστι τῆς ὑποκειμένης ἡμῖν πραγματείας. οὐ γὰρ ἐπίδειξιν ὁ Πλάτων θεωρίας μαθηματικῆς ποιούμενος εἰς φυσικὴν ὑπόθεσιν μὴ δεομένην, μεσότητας ἀριθμητικὰς καὶ ἁρμονικὰς παρεισήγαγεν. ἀλλὰ ὡς μάλιστα δὴ τῇ συστάσει τῆς ψυχῆς τοῦ λόγου τούτου προσήκοντος, καίτοι τινὲς μὲν ἐν τοῖς τάχεσι τῶν πλανωμένων σφαιρῶν. τινὲς δὲ μᾶλλον ἐν τοῖς ἀποστήμασιν. ἔνιοι δέ, ἐν τοῖς μεγέθεσι τῶν ἀστέρων. οἱ δὲ ἄγαν ἀκριβοῦν δοκοῦντες ἐν ταῖς τῶν ἐπικύκλων διαμέτροις, ζητοῦσι τὰς εἰρημένας ἀναλογίας, ὡς τὴν ψυχὴν ἕνεκα τούτων τοῦ δημιουργοῦ τοῖς οὐρανίοις ἐναρμόσαντος, εἰς ἑπτὰ μοίρας νενεμημένην. πολλοὶ δὲ καὶ τὰ Πυθαγορικὰ δεῦρο μεταφέρουσιν, ἀπὸ τοῦ μέσου τὰς τῶν σωμάτων ἀποστάσεις τριπλασιάζοντες. γίνεται δὲ τοῦτο κατὰ μὲν τὸ πῦρ μονάδος τιθεμένης. κατὰ δὲ ἀντίχθονα τριῶν, κατὰ δὲ γῆν ἐννέα, καὶ κατὰ σελήνην εἰκοσιεπτά, καὶ κατὰ τὸν ἑρμῆν, μιᾶς καὶ ὀγδοήκοντα. κατὰ δὲ φωσφόρον, τριῶν καὶ μ̄ καὶ σ̄. κατ' αὐτὸν δὲ τὸν ἥλιον. θ̄ καὶ κ̄ καὶ ψ̄. ὅτι ἅμα τετράγωνός τε καὶ κύβος ἐστί. διὸ καὶ τὸν ἥλιον, ἔστιν ὅτε τετράγωνον καὶ κύβον προσαγορεύουσιν. οὕτως δὲ καὶ τοὺς ἄλλους ἐπανάγουσι τοῖς τριπλασιασμοῖς. πολὺ τοῦ κατὰ λόγον οὗτοι γε παραπαίοντες, εἴτε τῶν γεωμετρικῶν ὄφελός ἐστιν ἀποδείξεων, καὶ μακρῷ πιθανωτέρους παραβαλεῖν αὐτοῖς ἀποδεικνύοντες τοὺς ὁρμωμένους ἐκεῖθεν. οὐδὲ αὐτοὶ παντάπασιν ἐξακριβοῦντες, ἀλλ' ὡς ἔγγιστα λέγοντας, ὅτι τῆς μὲν ἡλίου διαμέτρου πρὸς τὴν διάμετρον τῆς γῆς, λόγος ἐστὶ δωδεκαπλάσιος. τῆς γῆς δ' αὖ πάλιν διαμέτρου πρὸς τὴν σελήνης διάμετρον, τριπλάσιος. ὁ δὲ φαινόμενος ἐλάχιστος τῶν ἀπλανῶν ἀστέρων, οὐκ ἐλάττονα τῆς διαμέτρου τῆς γῆς, ἢ τριτημόριον ἔχει τὴν διάμετρον. τῇ δὲ ὅλῃ σφαίρᾳ τῆς γῆς πρὸς τὴν ὅλην σφαῖραν τῆς σελήνης, ὡς ἑπτὰ καὶ εἴκοσι πρόσεισι. φωσφόρου δὲ καὶ γῆς αἱ μὲν διάμετροι, τὸν διπλάσιον αἱ δὲ σφαῖραι τὸν ὀκταπλάσιον ἔχουσι λόγον. τὸ δὲ

διάστημα

διάστημα τῆς ἐκλειπτικῆς καὶ σκιᾶς τῆς διαμέτρου τῆς σελήνης τριπλάσιον. ὃ δὲ ἐκτρέπεται πλάτος ἡ σελήνη τοῦ διαμέτρου τῶν ζῴων ἐφ' ἑκάτερα, δωδεκατημόριον. αἱ δὲ πρὸς ἥλιον σχέσεις αὐτῆς ἐν τριγώνοις καὶ τετραγώνοις ἀποστήμασι, διχοτόμους καὶ ἀμφικύρτους σχηματισμοὺς λαμβάνουσιν. ἓξ δὲ ζῴδια διελθοῦσα, τὴν πανσέληνον ὥσπερ τινὰ συμφωνίαν ἐν ἑξατόνῳ διὰ πασῶν ἀποδίδωσι. τοῦ δὲ ἡλίου περὶ τὰς τροπὰς ἐλάχιστα καὶ μέγιστα περὶ τῆς ἰσημερίας ἔχοντος κινήματα, δι' ὧν ἀφαιρεῖ τῆς ἡμέρας, καὶ τῇ νυκτὶ προστίθησιν. ἢ τοὐναντίον οὕτως ὁ λόγος ἐστὶν ἐν ταῖς πρώταις ἡμέραις λ̄. μετὰ γὰρ χειμερινὰς τροπὰς τῇ ἡμέρᾳ προστίθησι τὸ ἕκτον τῆς ὑπεροχῆς. ἣν ἡ μεγίστη νὺξ πρὸς τὴν βραχυτάτην ἡμέραν ἐποίει. ταῖς δὲ ἐφεξῆς τριάκοντα, τὸ τρίτον. τὸ δὲ ἥμισυ ταῖς λοιπαῖς ἄχρι τῆς ἰσημερίας ἐν ἑξαπλασίοις καὶ τριπλασίοις διαστήμασι τοῦ χρόνου τὴν ἀνωμαλίαν ἐπανισοῦντος. Χαλδαῖοι δὲ λέγουσι τὸ ἔαρ ἐν τῷ διὰ τεττάρων γίνεσθαι πρὸς τὸ μετόπωρον. ἐν δὲ τῷ διὰ πέντε, πρὸς τὸν χειμῶνα. πρὸς δὲ τὸ θέρος ἐν τῷ διὰ πασῶν. εἰ δὲ ὀρθῶς ὁ Εὐριπίδης διορίζεται, θέρους τέσσαρας μῆνας, καὶ χειμῶνος ἴσους, φίλης τε ὀπώρας διπτύχους, ἦρός τε ἴσους, ἐν τῷ διαπασῶν αἱ ὧραι μεταβάλλουσιν. ἔνιοι δὲ γῇ μὲν ἐν τῇ τοῦ προσλαμβανομένου χώραν ἀποδιδόντες. σελήνῃ δὲ τὴν ὑπάτην. στίλβωνα δὲ καὶ φωσφόρον, ἐν διατόνοις καὶ λιχανοῖς κινοῦντες, αὐτὸν τὸν ἥλιον ὡς μέσης συνέχειν τὸ διὰ πασῶν ἀξιοῦσιν, ἀπέχοντα τῆς μὲν γῆς, τὸ διὰ πέντε. τῆς δὲ τῶν ἀπλανῶν, τὸ διὰ τεσσάρων. ἀλλ' οὔτε τούτων τὸ κομψὸν ἅπτεταί τινος ἀληθείας, οὔτε ἐκεῖνοι παντάπασιν τοῦ ἀκριβοῦς ἔχονται. οἷς δ' οὖν οὐ δοκεῖ ταῦτα τῆς τοῦ Πλάτωνος ἀπηρτῆσθαι διανοίας, ἐκεῖνα κομιδῇ φανεῖται τῶν μουσικῶν λόγων ἔχεσθαι. τὸ ε̄ τετραχόρδων ὄντων τῶν ὑπάτων καὶ μέσων καὶ συνημμένων, καὶ διεζευγμένων, καὶ ὑπερβολαίων, ἐν πέντε διαστήμασι τετάχθαι τοὺς πλάνητας, ὧν τὸ μέν ἐστι τὸ ἀπὸ σελήνης ἐπὶ ἥλιον, καὶ τοὺς ὁμοδρόμους ἡλίῳ, στίλβωνα, καὶ φωσφόρον. ἕτερον τὸ ἀπὸ τούτων ἐπὶ τὸν ἄρεος πυρόεντα. τρίτον δὲ τὸ μεταξὺ τούτου καὶ φαέθοντος. εἶτα ἑξῆς, τὸ ἐπὶ φαίνωνα, καὶ πέμπτον ἤδη τὸ ἀπὸ τούτου, πρὸς τὴν ἀπλανῆ σφαῖραν ὥστε τοὺς ὁρίζοντας φθόγγους τὰ τετράχορδα, τὸν τῶν πλανωμένων λόγον ἔχειν ἀστέρων. ἔτι τοίνυν τοὺς παλαιοὺς ἴσμεν, ὑπάτας μὲν δύο, τρεῖς δὲ νήτας, μίαν δὲ μέσην, καὶ μίαν παραμέσην τιθεμένους, ὥστε τοῖς πλάνησιν ἰσαρίθμους εἶναι τοὺς ἑστῶτας. οἱ δὲ νεώτεροι τὸν προσλαμβανόμενον, τόνῳ διαφέροντα τῆς ὑπάτης ἐπὶ τὸ βαρὺ τάξαντες. τὸ μὲν ὅλον σύστημα, δὶς διὰ πασῶν ἐποίησαν, τῶν δὲ συμφωνιῶν τὴν κατὰ φύσιν οὐκ ἐτήρησαν τάξιν. τὸ γὰρ διὰ πέντε πρότερον γίνεται τοῦ διὰ τεσσάρων ἐπὶ τὸ βαρὺ τῇ ὑπάτῃ τοῦ τόνου προσληφθέντος. ὁ δὲ Πλάτων, δῆλός ἐστιν ἐπὶ τὸ ὀξὺ προσλαμβάνων. λέγει γὰρ ἐν τῇ πολιτείᾳ τῶν ὀκτὼ σφαιρῶν, ἑκάστην περιφέρειν. εἶτα ἐπ' αὐτῇ σειρῆνα βεβηκυῖαν. ᾄδειν δὲ πάσας ἕνα τόνον ἱείσας. ἐκ δὲ πασῶν κεράννυσθαι μίαν ἁρμονίαν, αὗται δὲ ἀνιέμεναι τὰ θεῖα εἴρουσαι καὶ καταᾴδουσαι τῆς ἱερᾶς περιόδου καὶ χορείας ὀκτάχορδον ἐμμέλειαν. ὀκτὼ γὰρ ἦσαν καὶ οἱ πρῶτοι τῶν διπλασίων καὶ τριπλασίων ὅροι λόγων, ἑκατέρᾳ προσαριθμουμένης μερίδι τῆς μονάδος. οἱ δὲ πρεσβύτεροι μούσας παρέδωκαν καὶ ἡμῖν ἐννέα. τὰς μὲν ὀκτώ, καθάπερ ὁ Πλάτων περὶ τὰ οὐράνια. τὴν δὲ ἐννάτην, τὰ περίγεια κηλεῖν ἀνακαλουμένην, καὶ καθιστᾶσαν ἐκ πλάνης καὶ διαφορᾶς ἀνωμαλίαν καὶ ταραχὴν ἐχούσας. σκοπεῖτε δὲ μὴ τὸν μὲν οὐρανὸν ἄγει καὶ τὰ οὐράνια ταῖς περὶ αὐτὴν ἐμμελείαις καὶ κινήσεσιν, ἡ ψυχὴ φρονιμωτάτη καὶ δικαιοτάτη γεγονυῖα. γέγονε δὲ τοιαύτη τοῖς καθ' ἁρμονίαν λόγοις. ὧν εἰκόνες μὲν ὑπάρχουσιν εἰς τὰ σώματα ἐν τοῖς ὁρατοῖς, καὶ ὁρωμένοις

μορίοις τοῦ κόσμου καὶ σώμασιν. ἡ δὲ πρώτη καὶ κυριωτάτη δύναμις, ἀρετῆς
ἐγκέκραται τῇ ψυχῇ, καὶ παρέχει σύμφωνον ἑαυτὴν καὶ πειθήνιον, ἀεὶ τῷ κρα-
τίστῳ καὶ θειοτάτῳ μορίῳ τῶν ἄλλων ἁπάντων ὁμονοούντων. παραλαβὼν γὰρ
ὁ δημιουργὸς κατ' ἀξίαν καὶ πλημμέλειαν ἐν ταῖς κινήσεσι τῆς ἀναρμόστου καὶ
ἀνοήτου ψυχῆς διαφερομένης πρὸς ἑαυτήν, τὰ μὲν διώρισε καὶ διέστησε, τὰ δὲ
συνήγαγε πρὸς ἄλληλα καὶ συνέταξεν ἁρμονίαις καὶ ἀριθμοῖς χρησάμενος.
οἷς καὶ τὰ κουφότατα σώματα, λίθοι, καὶ ξύλα, καὶ φλοιοὶ φυτῶν καὶ θηρί-
ων εἰσὶ καὶ πυτίαι, συγκεραννύμενα καὶ συναρμοττόμενα, θαυμαστὰς μὲν ἀγαλμά-
των ὄψεις, θαυμαστὰς δὲ παρέχει φαρμάκων καὶ ὀργάνων δυνάμεις, ᾗ καὶ Ζή-
νων ὁ Κιτιεὺς, ἐπὶ θέαν αὐλητῶν παρεκάλει τὰ μειράκια καταμανθάνειν. οἵαν
κέρατα καὶ ξύλα, καὶ κάλαμοι καὶ ὅσα λόγου μετέχοντα καὶ συμφωνίας φω-
νὴν ἀφίησι. τῷ μὲν γὰρ ἀριθμῷ, πάντα ἐπεοικέναι κατὰ τὴν Πυθαγορικὴν ἀπό-
φασιν, λόγου δεῖται, τὸ δὲ πᾶσι θεοῖς ἐκ διαφορᾶς καὶ ἀνομοιότητος ἐγγενο-
κοινωνία τις πρὸς ἄλληλα καὶ συμφωνία. ταύτης αἰτίαν εἶναι μετριότητα καὶ
τάξιν ἀριθμοῦ καὶ ἁρμονίας μεταχοῦσιν, οὐδὲ τοὺς ποιητὰς λέληθεν. ἀρθμια
μὲν τὰ φίλα καὶ προσηνῆ καλοῦντας. ἀναρτείους δὲ, τοὺς ἐχθροὺς, καὶ τοὺς πο-
λεμίους. ὡς ἀναρμοστίαν τὴν διαφορὰν οὖσαν. ὁ δὲ τῷ Πινδάρῳ ποιήσας τὸ ἐπι-
κήδειον ἄρμενος ἦν ξείνοισιν ἀνὴρ, ὅδε καὶ φίλος ἀστοῖς. εὐαρμοστίαν δῆλός ἐστι τὴν
ἀρετὴν ἡγούμενος. ὥς που καὶ αὐτὸς ὁ Πίνδαρος τοῦ θεοῦ φησιν ἐπακοῦσαι τοῦ
οὐκ ἀνορέαν ἐπιδεικνύμενος τὸν Κάδμον. οἵ τε πάλαι θεολόγοι πρεσβύτατοι
φιλοσόφων ὄντες, ὄργανα μουσικὰ θεῶν ἐνεχείριζον ἀγάλμασιν. οὐχ ὡς λύραν
που καὶ αὐλὸν, ἀλλὰ οὐθὲν ἔργον οἰόμενοι θεῶν οἷον ἁρμονίαν εἶναι καὶ συμ-
φωνίαν. ὥσπερ οὖν ὁ τοὺς ἐπιτρίτους καὶ ἡμιολίους καὶ διπλασίους λόγους ζη-
τῶν ἐν τῷ ζυγῷ τῆς λύρας, καὶ τῇ χελώνῃ καὶ τοῖς κολλάβοις γελοῖός ἐστι. δεῖ
μὲν γὰρ ἀμέλει καὶ ταῦτα συμμέτρως γεγονέναι. πρὸς ἄλληλα μήκεσι καὶ πάχε-
σι. τὴν δὲ ἁρμονίαν ἐκείνην ἐπὶ τῶν φθόγγων θεωρεῖν, οὕτως εἰκὸς μέν ἐστι καὶ τὰ
σώματα τῶν ἀστέρων, καὶ τὰ διαστήματα τῶν κύκλων, καὶ τὰ τάχη τῶν περιφο-
ρῶν, ὥσπερ ὄργανα ἐντεταγμένοις ἔχειν ἐμμέτρως πρὸς ἄλληλα καὶ πρὸς τὸ
ὅλον, εἰ καὶ τὸ ποσὸν ἡμᾶς τοῦ μετρίου διαπέφευγε. τῶν μέντοι λόγων ἐκείνων οἷς
ὁ δημιουργὸς ἐχρήσατο, καὶ τῶν ἀριθμῶν ἔργον ἡγεῖσθαι, τὴν αὐτῆς τῆς ψυ-
χῆς ἐπιμέλειαν καὶ ἁρμονίαν πρὸς αὐτήν, ἐφ' οἷς καὶ τὸν οὐρανὸν ἐγγενομένη,
μυρίων ἀγαθῶν ἐμπέπληκεν. καὶ τὰ περὶ γῆν ὥραις καὶ μεταβολαῖς μέτρον
ἐχούσαις, ἄριστα καὶ κάλλιστα πρός τε γένεσιν καὶ σωτηρίαν τῶν γινομένων, δια-
κεκόσμηκεν.

ΕΠΙΤΟΜΗ ΤΟΥ ΠΕΡΙ ΤΗΣ ΕΝ ΤΩ ΤΙΜΑΙΩ ΨΥΧΟΓΟΝΙΑΣ.

Περὶ τῆς ἐν τῷ Τιμαίῳ ψυχογονίας ἐπιγεγραμμένος λόγος, ὁ
σα Πλάτωνι καὶ τοῖς Πλατωνικοῖς πεφιλοτίμηται ἀπαγγέλ-
λει. εἰσάγει δὲ καὶ γεωμετρικάς τινας ἀναλογίας καὶ ὁμοιότη-
τας, πρὸς τὴν τῆς ψυχῆς, ὡς οἴεται θεωρίαν συντεινούσας αὐ-
τῷ, καὶ δὴ καὶ μουσικὰ καὶ ἀριθμητικὰ θεωρήματα. λέγει δὲ τὴν
ὕλην διαμορφωθῆναι ὑπὸ τῆς ψυχῆς, καὶ δίδωσι μὲν τῷ παν-
τὶ ψυχὴν, δίδωσι δὲ καὶ ἑκάστῳ ζώῳ τὴν διοικοῦσαν αὐτό, καὶ τῇ μὲν ἀγέννητον
εἰσάγοι ταύτην. τῇ δὲ γενέσει δουλεύουσαν, ἀΐδιον δὲ τὴν ὕλην καὶ ὑπὸ τοῦ θείου
δεῖ

δεῖ τῆς ψυχῆς μορφωθῆναι, καὶ τὴν κακίαν ἢ βλάστημα τῆς ὕλης γεγονέναι. ἵνα
μὴ φησὶ τὸ θεῖον αἴτιον τῶν κακῶν νομισθείη. ἔτι οἱ περὶ τὸν Ποσειδώνιον, οὐ μα-
κρὰν τῆς ὕλης ἀπέστησαν τὴν ψυχήν. ἀλλὰ δεξάμενοι τὴν τῶν περάτων οὐσίαν περὶ
τὰ σώματα λέγεσθαι μεριστήν, καὶ ταῦτα τῷ νοητῷ μίξαντες, ἀπεφήναντο
τὴν ψυχὴν ἰδέαν εἶναι τοῦ πάντῃ διαστατοῦ κατ' ἀριθμὸν συνεστῶσαν ἁρμονίαν
περιέχοντα. τά τε γὰρ μαθηματικὰ τῶν πρώτων νοητῶν μεταξὺ καὶ τῶν αἰσθη-
τῶν τετάχθαι. τῆς τε ψυχῆς τῷ νοητῷ τὸ ἀΐδιον, καὶ τῷ αἰσθητικῷ τὸ παθητι-
κὸν ἐχούσης. προσῆκον ἐν μέσῳ τὴν οὐσίαν ὑπάρχειν. ἔλαθε γὰρ καὶ τούτους ὁ
θεὸς τοῖς τῶν σωμάτων πέρασιν ὕστερον ἀπειργασμένης ἤδη τῆς ψυχῆς χρώμε-
νος ἐπὶ τὴν τῆς ὕλης διαμόρφωσιν, τὸ σκεδαστὸν αὐτῆς καὶ ἀσύνδετον ὁρίζων
καὶ περιλαμβάνων ταῖς ἐκ τῶν τριγώνων συναρμοττομένων ἐπιφανείαις. ἀτο-
πώτερον δὲ τὸ τὴν ψυχὴν ἰδέαν ποιεῖν, ἡ μὲν γὰρ ἀεικίνητος. ἡ δὲ, ἀκίνητος. καὶ ἡ
μὲν, ἀμιγὴς πρὸς τὸ αἰσθητόν. ἡ δὲ, τῷ σώματι συνειργμένη. πρὸς δὲ τούτοις ὁ
θεὸς, τῆς μὲν ἰδέας ὡς παραδείγματος γέγονε μιμητής, τῆς δὲ ψυχῆς ὥσπερ
ἀποτελέσματος δημιουργός. ὅτι δὲ οὐδὲ ἀριθμὸν ὁ Πλάτων τὴν οὐσίαν τίθε-
ται τῆς ψυχῆς, ἀλλὰ ταττομένην ὑπ' ἀριθμοῦ προείρηται. πρὸς δὲ ἀμφοτέροις
τούτοις κοινόν ἐστι τὸ μήτε τοῖς πέρασι μήτε τοῖς ἀριθμοῖς μηθὲν ἴχνος ἐνυπάρ-
χειν ἐκείνης τῆς δυνάμεως. ᾗ τὸ αἰσθητὸν ἡ ψυχὴ πέφυκε κρίνειν. νοῦ μὲν γὰρ αὐ-
τῇ καὶ νοητοῦ ἡ τῆς νοητῆς μέθεξις ἀρχῆς ἐμπεποίηκε, δόξας δὲ καὶ πίστεις καὶ
καὶ τὸ φανταστικὸν καὶ τὸ παθητικὸν ὑπὸ τῶν περὶ τὸ σῶμα ποιοτήτων. ὁ οὐκ
ἄν τις ἐκ μονάδων οὐδὲ γραμμῶν οὐδ' ἐπιφανειῶν ἁπλῶς νοήσειεν ἐγγινόμενον.
καὶ μὴν οὐ μόνον αἱ τῶν θνητῶν ψυχαὶ γνωστικὴν τοῦ αἰσθητοῦ δύναμιν ἔχουσιν.
ἀλλὰ καὶ τὴν τοῦ κύκλου φησὶν ἀνακυκλουμένην αὐτὴν πρὸς ἑαυτὴν, ὅταν οὐ-
σίαν σκεδαστὴν ἔχοντός τινος ἐφάπτηται, καὶ ὅταν ἀμέριστον λέγει κινουμένην
διὰ πάσης ἑαυτῆς. ὅτῳ ἄν τις ταὐτὸν, ᾗ καὶ ὅτῳ ἂν ἕτερον. πρὸς ὅτι τε μάλι-
στα καὶ ὅπῃ καὶ ὅπως συμβαίνει, καὶ τὰ γινόμενα πρὸς ἕκαστον ἕκαστα εἶναι καὶ
πάσχειν. ἐν τούτοις ἅμα καὶ τῶν δέκα κατηγοριῶν ποιούμενος ὑπογραφὴν,
ἔτι μᾶλλον τοῖς ἐφεξῆς διασαφεῖ. λόγος γάρ φησιν ἀληθὴς, ὅταν μὲν περὶ τὸ αἰ-
σθητὸν γένηται, καὶ ὁ τοῦ θατέρου κύκλος ὀρθὸς ἰὼν εἰς πᾶσαν αὐτοῦ τὴν ψυ-
χὴν διαγγείλῃ, δόξαι καὶ πίστεις γίνονται βέβαιοι καὶ ἀληθεῖς, ὅταν δὲ αὖ πά-
λιν περὶ τὸ λογιστικὸν ᾖ καὶ ὁ τοῦ ταὐτοῦ κύκλος εὔτροχος ὢν αὐτὰ μηνύσῃ, ἐπιστή-
μη ἐξ ἀνάγκης ἀποτελεῖται. τούτω δὲ, ἐν ᾧ τῶν ὄντων ἐγγίνεσθον, ἐάν ποτέ τις
αὐτὸ ἄλλο πλὴν ψυχὴν προσείπῃ, πᾶν μᾶλλον ἢ τὸ ἀληθὲς ἐρεῖ. πόθεν οὖν
ἔχουσα ἡ ψυχὴ τὴν ἀντιληπτικὴν τοῦ αἰσθητοῦ καὶ δοξαστικὴν ταύτην κίνησιν ἑτέραν
τῆς νοητῆς ἐκείνης καὶ τελευτώσης εἰς ἐπιστήμην ἔργον εἰπεῖν. μὴ θεμένους βεβαί-
ως, ὅτι νῦν οὐχ ἁπλῶς ψυχὴν, ἀλλὰ κόσμου ψυχὴν κίνησιν ἐξ ὑποκειμένης τῆς τε
κρείττονος οὐσίας καὶ ἀμερίστου καὶ τῆς χείρονος, ἣν περὶ τὰ σώματα μεριστὴν
κέκληκεν, οὐχ ἑτέραν οὖσαν, ἢ τὴν δοξαστικὴν καὶ φανταστικὴν, καὶ συμπαθῆ τῶν
αἰσθητῶν κίνησιν, οὐ γενομένην ἀλλ' ὑφεστῶσαν ἀΐδιον ὥσπερ ἡ ἑτέρα. τὸ γὰρ νο-
ερὸν ἡ φύσις ἔχουσα, καὶ τὸ δοξαστικὸν εἶχεν. ἀλλ' ἐκεῖνο μὲν ἀκίνητον καὶ ἀπαθὲς καὶ
περὶ τὴν ἀεὶ μένουσαν ἱδρυμένον οὐσίαν. τοῦτο δὲ μεριστὸν καὶ πλανητὸν, ἅτε δὴ
φερομένης καὶ σκεδαννυμένης ἐφαπτόμενον ὕλης. οὔτε γὰρ τὸ αἰσθητὸν εἰλήχει
τάξεως. ἀλλ' ἦν ἄμορφον καὶ ἀόριστον. ἥ τε περὶ τοῦτο τεταγμένη δύναμις,
οὔτε δόξας ἐνάρθρους, οὔτε κινήσεις ἁπάσας ἔχουσα τεταγμένας, ἀλλὰ
τὰς πολλὰς ἐνυπνιώδεις καὶ παραφόρους καὶ ταραττούσας τὸ σωματοειδὲς. ὅσα μὴ
κατὰ τύχην τῷ βελτίονι περιέπιπτεν. ἐν μέσῳ γὰρ ἦν ἀμφοῖν καὶ πρὸς ἀμφό-

πλαξίαν .l.

πλαγμένα .l.

1: κόσμου .l.

τέρα συμπαθῆ καὶ συγγενῆ φύσιν ἔχειν, τῷ μὲν αἰσθητικῷ τῆς ὕλης ἀντεχομένη, τῷ δὲ κριτικῷ τῶν νοητῶν· οὕτω δέ πως καὶ πλάτων διασαφεῖ τοῖς ὀνόμασιν. οὗτος γάρ φησιν παρὰ τῆς ἐμῆς ψήφου λογισθεὶς, ἐν κεφαλαίῳ δεδόσθω λόγος· ὄντος καὶ χώραν καὶ γένεσιν εἶναι τρία τριχῇ, καὶ πρὶν οὐρανὸν γενέσθαι, καὶ χώραν τε γὰρ καλεῖ τὴν ὕλην, ὥσπερ ἕδραν· ἔστιν ὅτε καὶ ὑποδοχὴν, ὂν δὲ τὸ νοητὸν· γένεσιν δὲ τοῦ κόσμου μήπω γεγονότος, οὐδεμίαν ἄλλην ἢ τὴν ἐν μεταβολαῖς καὶ κινήσεσιν οὐσίαν, τοῦ τυποῦντος καὶ τοῦ τυπουμένου μεταξὺ τεταγμένην, διαδιδοῦσαν ἐνταῦθα τὰς ἐκεῖθεν εἰκόνας. διά τε δὴ ταῦτα μεριστὴ προσηγορεύθη, καὶ ὅτι τῷ αἰσθητῷ τὸ αἰσθανόμενον, καὶ τῷ φανταστῷ τὸ φανταζόμενον ἀνάγκη συνδιανέμεσθαι καὶ συμπαρήκειν· ἡ γὰρ αἰσθητικὴ κίνησις ἰδία ψυχῆς οὖσα, κινεῖται πρὸς τὸ αἰσθητὸν ἐκτός. ὁ δὲ νοῦς αὐτὸς μὲν ἐφ᾽ ἑαυτοῦ μόνιμος ἦν καὶ ἀκίνητος. ἐγγενόμενος δὲ τῇ ψυχῇ καὶ κρατήσας εἰς ἑαυτὸν ἐπιστρέφει καὶ συμπεραίνει τὴν ἐγκύκλιον φορὰν περὶ τὸ μὲν ἀεὶ μάλιστα ψαύουσαν τοῦ ὄντος. διὸ καὶ δυσανάκρατος ἡ κοινωνία γέγονεν αὐτῶν· τῶν ἀμερίστων τὸ μεριστὸν, καὶ τῶν μηδαμῇ κινητῶν τὸ πάντη φορητὸν μιγνύουσα, καὶ καταβιαζομένη θάτερον εἰς ταὐτὸν συνελθεῖν. ἦν δὲ τὸ θάτερον οὐ κίνησις, ὥσπερ οὐδὲ ταὐτὸν στάσις, ἀλλ᾽ ἀρχὴ διαφορᾶς καὶ ἀνομοιότητος. ἑκάτερον γὰρ ἀπὸ τῆς ἑτέρας ἀρχῆς κάτεισι. τὸ μὲν ταὐτὸν, ἀπὸ τοῦ ἑνός. τὸ δὲ θάτερον, ἀπὸ τῆς δυάδος, καὶ μέμικται πρῶτον ἐνταῦθα περὶ τὴν ψυχὴν, ἀριθμοῖς καὶ λόγοις συνδεθέντα· καὶ μεσότησιν ἐναρμονίοις, καὶ ποιεῖ θάτερον μὲν ἐγγινόμενον τῷ αὐτῷ διαφορὰν, τὸ δὲ ταὐτὸν ἐν τῷ ἑτέρῳ τάξιν, ὡς δῆλόν ἐστιν ἐν ταῖς πρώταις τῆς ψυχῆς δυνάμεσιν. εἰσὶ δὲ αὗται τὸ κριτικὸν καὶ τὸ κινητικόν. ἡ μὲν οὖν κίνησις εὐθὺς ἐπιδείκνυται περὶ τὸν οὐρανόν. ἐν μὲν τῇ ταὐτότητι τὴν ἑτερότητα τῇ περιφορᾷ τῶν ἀπλανῶν· ἐν δὲ τῇ ἑτερότητι τὴν ταὐτότητα τῇ τάξει τῶν πλανήτων. ἐπικρατεῖ γὰρ ἐν ἐκείνοις τὸ ταὐτόν· ἐν δὲ τοῖς περὶ γῆν τοὐναντίον. ἡ δὲ κρίσις, ἀρχὰς μὲν ἔχει δύο, τόν τε νοῦν ἀπὸ τοῦ ταὐτοῦ πρὸς τὰ καθόλου, καὶ τὴν αἴσθησιν ἀπὸ τοῦ ἑτέρου, πρὸς τὰ καθέκαστα. μέμικται δὲ λόγος ἐξ ἀμφοῖν· νόησιν ἐν τοῖς νοητοῖς, καὶ δόξα γινόμενος ἐν τοῖς αἰσθητοῖς ὀργάνοις τε μεταξὺ φαντασίαις τε καὶ μνήμαις χρώμενος· ὧν τὰ μὲν, ἐν τῷ αὐτῷ τὸ ἕτερον· τὰ δὲ ἐν τῷ ἑτέρῳ ποιεῖ τὸ ταὐτόν. ἔστι γὰρ ἡ μὲν νόησις κίνησις τοῦ κινοῦντος περὶ τὸ μένον· ἡ δόξα μονὴ τοῦ αἰσθανομένου περὶ τὸ κινούμενον. φαντασίαν δὲ συμπλοκὴν δόξης πρὸς αἴσθησιν οὖσαν, ἵστησιν ἐν μνήμῃ τὸ ταὐτὸν, τὸ δὲ θάτερον κινεῖ πάλιν ἐν διαφορᾷ τοῦ πρόσθεν καὶ νῦν ἑτερότητος ἅμα καὶ ταὐτότητος ἐφαπτόμενον. δεῖ δὲ τὴν περὶ τὸ σῶμα τοῦ κόσμου γενομένην σύνταξιν εἰκόνα λαβεῖν τῆς ἀναλογίας, ἐν ᾗ διηρμόσατο τὴν ψυχήν. ἐκεῖ μὲν γὰρ ἦν ἄκρα, τὸ πῦρ καὶ ἡ γῆ, χαλεπὴν πρὸς ἄλληλα κραθῆναι φύσιν ἔχοντα. μᾶλλον δὲ ὅλως ἄκρατον καὶ ἀσύστατον. ὅθεν ἐν μέσῳ θέμενος αὐτῶν, τὸν μὲν ἀέρα πρὸ τοῦ πυρὸς, τὸ δὲ ὕδωρ πρὸ τῆς γῆς, ταῦτα πρῶτον ἀλλήλοις ἐκέρασεν· εἶτα διὰ τούτων ἐκεῖνα πρός τε ταῦτα καὶ ἄλληλα συνέμιξε καὶ συνήρμοσεν. ἐνταῦθα δὲ πάλιν τὸ ταὐτὸν καὶ τὸ θάτερον ἐναντίας δυνάμεις, καὶ ἀκρότητας ἀντιπάλους, συνήγαγεν· οὐδι᾽ αὐτῶν, ἀλλὰ οὐσίας ἑτέρας μεταξύ· τὴν μὲν ἀμέριστον πρὸ τοῦ ταὐτοῦ, πρὸ δὲ τοῦ θατέρου τὴν μεριστὴν ἔστιν, ᾗ προσήκουσαν ἑκατέραν ἑκατέρᾳ τάξας, εἶτα μιχθείσαις ἐκείναις ἐπεγκεραννύμενος, οὕτω τὸ πᾶν συνύφηνε τῆς ψυχῆς εἶδος, ὡς ἦν ἀνυστὸν ἐκ διαφόρων ὅμοιον ἔκ τε πολλῶν ἀπεργασάμενος.

οὗτος .l.

Ν ἁλιάρτῳ τῆς βοιωτίας, κόρη τις γίνεται, κάλλει διαπρέπουσα· ὄνομα ἀριστόκλεια· θυγάτηρ δὲ ἦν θεοφάνους. ταύτην μνῶνται στράτων ὀρχομένιος, καὶ καλλισθένης ἁλίαρτος. πλουσιώτερος δ᾽ ἦν στράτων, καὶ μᾶλλόν τι τῆς παρθένου ἡττημένος. ἐτύγχανε γὰρ ἰδὼν αὐτὴν ἐν λεβαδίᾳ λουομένην ἐπὶ τῇ κρήνῃ τῇ ὀρκυνῇ· ἔμελλε γὰρ τῷ διὶ τῷ βασιλεῖ κανηφορεῖν. ἀλλ᾽ ὁ καλλισθένης γε πλέον ἐφέρετο· ἦν γὰρ καὶ γένει προσήκων τῇ κόρῃ. ἀπορῶν δὲ τῷ πράγματι ὁ θεοφάνης, ἐδεδίει γὰρ τὸν στράτωνα, πλούτῳ τε καὶ γένει σχεδὸν ἁπάντων διαφέροντα τῶν βοιωτῶν, τὴν αἵρεσιν ἐβούλετο τῷ τροφωνίῳ ἐπιτρέψαι, καὶ ὁ στράτων, ἀναπέπειστο γὰρ ὑπὸ τῶν τῆς παρθένου οἰκετῶν, ὡς πρὸς αὐτὸν μᾶλλον ἐκείνη ῥέποι, ἠξίου ἐπ᾽ αὐτῇ ποιεῖσθαι τῇ γαμουμένῃ τὴν ἐκλογήν. ὡς δὲ τῆς παιδὸς ὁ θεοφάνης ἐπυνθάνετο ἐν ὄψει πάντων, ἡ δὲ τὸν καλλισθένην προὔκρινεν. εὐθὺς μὲν ὁ στράτων, δῆλος ἦν, βαρέως φέρων τὴν ἀτιμίαν. ἡμέρας δὲ διαλιπὼν δύο, προσῆλθε τῷ θεοφάνει καὶ τῷ καλλισθένει, ἀξιῶν τὴν φιλίαν αὐτῷ πρὸς αὐτοὺς διαφυλάττεσθαι, εἰ καὶ τοῦ γάμου ἐφθονήθη ὑπὸ δαιμονίου τινός. οἱ δὲ, ἐπῄνουν τὰ λεγόμενα· ὥστε καὶ ἐπὶ τὴν ἑστίασιν τῶν γάμων παρεκάλουν αὐτόν. ὁ δὲ, παρεσκευασμένος ἑταίρων ὄχλον, καὶ πλῆθος οὐκ ὀλίγον θεραπόντων διεσπαρμένους παρὰ τούτοις καὶ λανθάνοντας, ἕως ἡ κόρη κατὰ τὰ πάτρια ἐπὶ τὴν κισσόεσσαν καλουμένην κρήνην κατῄει ταῖς νύμφαις τὰ προτέλεια θύσουσα· τότε δὴ συνδραμόντες πάντες οἱ λοχῶντες ἐκείνῳ συνελάμβανον αὐτήν. καὶ ὁ στράτων γε εἴχετο τῆς παρθένου. ἀντελαμβάνετο δὲ ὡς εἰκὸς ὁ καλλισθένης ἐν μέρει, καὶ οἱ σὺν αὐτῷ, ἕως ἔλαθεν ἡ παῖς ἐν χερσὶ τῶν ἀνθελκόντων διαφθαρεῖσα. ὁ καλλισθένης μὲν οὖν παραχρῆμα ἀφανὴς ἐγένετο, εἴτε διαχρησάμενος ἑαυτὸν εἴτε φυγὰς ἀπελθὼν ἐκ τῆς βοιωτίας. οὐκ εἶχε δ᾽ οὖν τις εἰπεῖν. ὅτι καὶ ἐπεπόνθει. ὁ δὲ στράτων φανερῶς ἐπικατέσφαξεν ἑαυτὸν τῇ παρθένῳ.

ίλων τις τῶν πελοποννησίων, ἐπιτιθέμενος ἀρχῇ τὴν ἀργείων πόλιν τὴν πατρίδα τὴν ἑαυτοῦ ἡγεμονεύειν τῶν λοιπῶν βουλόμενος, πρῶτον ἐπεβούλευσε κορινθίοις. πέμψας γὰρ ᾔτει παρ᾽ αὐτῶν νεανίας χιλίους, τοὺς ἀκμῇ διαφέροντας καὶ ἀνδρείᾳ. οἱ δὲ πέμπουσι τοὺς χιλίους, στρατηγὸν αὐτῶν ἀποδείξαντες δέξανδρον. ἐν νῷ δ᾽ ἔχων ὁ φίλων, ἐπιθέσθαι τούτοις ἵν᾽ ἔχοι κόρινθον, ἀτονωτέραν καὶ τῇ πόλει χρήσαιτο. προτείχισμα γὰρ τοῦτο ἐπικαιρότατον ἔσεσθαι τῆς ὅλης πελοποννήσου τὴν πρᾶξιν ἀνέθετο τῶν ἑταίρων τισὶν, ἦν δὲ καὶ ἅβρων ἐν αὐτοῖς. οὗτος δὲ ξένος ὢν τοῦ δεξάνδρου, ἔφρασεν αὐτῷ τὴν ἐπιβουλήν. καὶ οὕτως οἱ μὲν φλιάσιοι πρὸ τῆς ἐπιθέσεως εἰς τὴν κόρινθον ἐσώθησαν. φίλων δὲ ἀνευρεῖν ἐπειρᾶτο, τὸν προδόντα, καὶ ἐπιμελῶς ἐζήτει. δείσας δ᾽ ὁ ἅβρων, φεύγει εἰς κόρινθον, ἀναλαβὼν τὴν γυναῖκα καὶ τοὺς οἰκέτας, ἐν μελισσῷ κώμῃ τινὶ τῆς κορινθίων χώρας. ἔνθα καὶ παῖδα γεννήσας, μέλισσον προσηγόρευσεν, ἀπὸ τοῦ τόπου θέμενος τοὔνομα αὐτῷ. τούτου δὴ τοῦ μελίσσου υἱὸς ἀκταίων γίνεται κάλλιστος καὶ σωφρονέστατος τῶν ὁμηλίκων· οὗ πλεῖστοι μὲν ἐγένοντο ἐρασταί· διαφερόντως δ᾽ ἀρχίας. γένους μὲν ὢν τοῦ τῶν ἡρακλειδῶν, πλούτῳ δὲ καὶ τῇ ἄλλῃ δυνάμει λαμπρότατος κορινθίων. ἐπεὶ δὲ πείθειν οὐκ ἠδύνατο τὸν παῖδα, ἔγνω βιάσασθαι, καὶ συναρπάσας τὸ μειράκιον, ἐπεκώμασεν ἐπὶ τὴν οἰκίαν τοῦ μελίσσου, πλῆθος ἐπαγόμενος καὶ φίλων καὶ οἰκετῶν, καὶ ἀπάγειν τὸν παῖδα ἐπειρᾶτο. ἀντιποιουμένου δὲ τοῦ πατρὸς καὶ τῶν φίλων, ἐπεκδραμόντων δὲ καὶ τῶν γειτόνων, καὶ

συναρπάσαι .Δ.

ἀνθελκόντων, ἀνθελκόμενος ὁ ἀκταίων διεφθάρη, καὶ οἱ μὲν οὕτως ἀπεχώρουν. μέλισσος δὲ τὸν νεκρὸν τοῦ παιδὸς εἰς τὴν ἀγορὰν τῶν κορινθίων παρακομίσας, ἐπεδείκνυε δίκην ἀπαιτῶν παρὰ τῶν ταῦτα πραξάντων· οἱ δὲ, πλέον οὐδὲν, ἢ τὸν ἄνδρα ἠλέουν. ἄπρακτος δὲ ἀναχωρήσας παρεφύλαξε τὴν πανήγυριν τῶν ἰσθμίων· ἀναβάς τε ἐπὶ τὸν τοῦ ποσειδῶνος νεὼν, κατεβόα τῶν βακχιαδῶν καὶ τὴν τοῦ πατρὸς ἄβρωνος εὐεργεσίαν ὑπεμίμνησκε τούς τε θεοὺς ἐπικαλεσάμενος, ἔῤῥιπτει ἑαυτὸν κατὰ τῶν πετρῶν. μετ' οὐ πολὺ δὲ αὐχμὸς καὶ λοιμὸς κατελάμβανε τὴν πόλιν· καὶ τῶν κορινθίων περὶ ἀπαλλαγῆς χρωμένων, ὁ θεὸς ἀνεῖλε, μῆνιν εἶναι ποσειδῶνος, οὐκ ἀνήσοντος, ἕως ἂν τὸν ἀκταίωνος θάνατον μετέλθοιεν. ταῦτα πυθόμενος ἀρχίας, αὐτὸς γὰρ θεωρὸς ἦν· εἰς μὲν τὴν κόρινθον ἑκὼν οὐκ ἐπανῆλθε, πλεύσας δ' εἰς τὴν σικελίαν συρακούσας ἔκτισεν. πατὴρ δὲ γενόμενος ἐνταῦθα θυγατέρων δυεῖν ὀρτυγίας τε καὶ συρακούσης ὑπὸ τηλέφου δολοφονεῖται, ὃς ἐγεγόνει μὲν αὐτοῦ παιδικά, νεὼς δὲ ἀφηγούμενος, συνέπλευσεν εἰς σικελίαν.

Ἀνὴρ πένης σκέδασος τοὔνομα, κατῴκει λεῦκτρα, ἔστι δὲ κώμιον τῆς τῶν θεσπιέων χώρας· τούτῳ θυγατέρες γίνονται δύο· ἐκαλοῦντο δὲ ἱππὼ καὶ μιλητία· ἢ ὥς τινες θεανὼ καὶ εὐξίππη· ἦν δὲ χρηστὸς ὁ σκέδασος, καὶ τοῖς ξένοις ἐπιτήδειος, καίπερ οὐ πολλὰ κεκτημένος. ἀφικομένους οὖν πρὸς αὐτὸν δύο σπαρτιάτας νεανίας, ὑπεδέξατο προθύμως· οἱ δὲ, τῶν παρθένων ἡττώμενοι, διεκωλύοντο πρὸς τὴν τόλμαν ὑπὸ τῆς τοῦ σκεδάσου χρηστότητος. τῇ δ' ὑστεραίᾳ πυθώδε ἀπῄεσαν· αὕτη γὰρ αὐτοῖς προὔκειτο ἡ ὁδὸς, καὶ τῷ θεῷ χρησάμενοι περὶ ὧν ἐδέοντο, πάλιν ἐπανῄεσαν οἴκαδε, καὶ χωροῦντες διὰ τῆς βοιωτίας, ἐπέστησαν πάλιν τῇ τοῦ σκεδάσου οἰκίᾳ· ὁ δὲ ἐτύγχανεν, οὐκ ἐπιδημῶν τοῖς λεύκτροις, ἀλλ' αἱ θυγατέρες αὐτοῦ ὑπὸ τῆς συνήθους ἀγωγῆς, τοὺς ξένους ὑπεδέξαντο· οἱ δ' καταλαβόντες ἐρήμους τὰς κόρας βιάζονται· ὁρῶντες δὲ αὐτὰς καθ' ὑπερβολὴν τῇ ὕβρει χαλεπαινούσας ἀπέκτειναν, καὶ ἐμβαλόντες ἔς τι φρέαρ ἀπηλλάγησαν· ἐπανελθὼν δὲ ὁ σκέδασος, τὰς μὲν κόρας, οὐχ ἑώρα· πάντα δὲ τὰ καταλειφθέντα εὑρίσκει σῶα, καὶ τῷ πράγματι ἠπόρει, ἕως τῆς κυνὸς κνυζομένης καὶ πολλάκις μὲν προστρεχούσης πρὸς αὐτὸν· ἀπὸ δὲ αὐτοῦ εἰς τὸ φρέαρ ἐπανιούσης, εἴκασεν ὅπερ ἦν, καὶ τῶν θυγατέρων τὰ νεκρὰ οὕτως ἀνιμήσατο. πυθόμενος δὲ παρὰ τῶν γειτόνων ὅτι ἴδοιεν τῇ χθὲς ἡμέρᾳ τοὺς καὶ πρώην καταχθέντας ἐπ' αὐτοὺς λακεδαιμονίους εἰσιόντας, συνεβάλετο τὴν πρᾶξιν ἐκείνων, ὅτι καὶ πρώην συνεχῶς ἐπῄνουν τὰς κόρας, μακαρίζοντες τοὺς γαμήσοντας, ἀπῄει εἰς λακεδαίμονα, τοῖς ἐφόροις ἐντευξόμενος. γενόμενος δὲ ἐν τῇ ἀργολικῇ· νυκτὸς καταλαμβανούσης, εἰς πανδοκεῖόν τι κατήχθη· κατὰ τὸ αὐτὸ δὲ καὶ πρεσβύτης τις ἕτερος, τὸ γένος ἐξ ὠρεοῦ πόλεως τῆς ἑστιαιάτιδος, οὗ στενάξαντος, καὶ λακεδαιμονίων ἀρὰς ποιουμένου, ἀκούσας ὁ σκέδασος, ἐπυνθάνετο τί κακὸν ὑπὸ λακεδαιμονίων πεπονθὼς εἴη. ὁ δὲ, διηγεῖτο, ὡς ὑπήκοος μὲν ἐστὶ τῆς σπάρτης· πεμφθεὶς δὲ εἰς ὠρεὸν ἀριστόδημος ἁρμοστὴς παρὰ λακεδαιμονίων, ὠμότητα καὶ παρανομίαν ἐπεδείξατο πολλήν, ἐρασθεὶς γὰρ ἔφη τοῦ ἐμοῦ παιδὸς, ἐπειδὴ πείθειν ἀδύνατος ἦν, ἐπεχείρει βιάσασθαι, καὶ ἀπάγειν αὐτὸν τῆς παλαίστρας, κωλύοντος δὲ τοῦ παιδοτρίβου, καὶ νεανίσκων πολλῶν ἐκβοηθούντων, παραχρῆμα ὁ ἀριστόδημος ἀπεχώρησε· τῇ δ' ὑστεραίᾳ πληρώσας τριήρη, συνήρπασε τὸ μειράκιον, καὶ ἐξ ὠρεοῦ διαπλεύσας εἰς τὴν περαίαν, ἐπεχείρει ὑβρίσαι· οὐ συγχωροῦντα δ' αὐτὸν ἀπέσφαξεν, ἐπανελθὼν δὲ εἰς τὴν ὠρεὸν εὐωχεῖτο· ἐγὼ δὲ ἔφην τὸ πραχθὲν πυθόμενος, καὶ τὸ σῶμα κηδεύσας, παραγενόμενος εἰς τὴν

σπάρτην, καὶ τοῖς ἐφόροις ἐνετύγχανον· οἱ δὲ, λόγον οὐκ ἐποιοῦντο. σκέδασος δὲ ταῦτα ἀκούων, ἀθύμως διέκειτο· ὑπολαμβάνων ὅτι οὐδ' αὐτοῦ λόγον τινὰ ποιήσονται οἱ σπαρτιᾶται, ἐν μέρει τε τὴν οἰκείαν διηγήσατο συμφορὰν τῷ ξένῳ· ὁ δὲ παρεκάλει αὐτὸν, μηδὲ ἐντυχεῖν τοῖς ἐφόροις, ἀλλ' ὑποστρέψαντα εἰς τὴν βοιωτίαν κτίσαι τῶν θυγατέρων τὸν τάφον. οὐκ ἐπείθετο δὲ ὅμως ὁ σκέδασος, ἀλλ' εἰς τὴν σπάρτην ἀφικόμενος, τοῖς ἐφόροις ἐντυγχάνει· ὧν μηδὲν προσεχόντων, ἐπὶ τοὺς βασιλέας ἵεται, καὶ ἀπὸ τούτων ἑκάστῳ τῶν δημοτῶν προσιὼν ὠδύρετο· μηδὲν δὲ πλέον ἀνύων, ἔθει διὰ μέσης τῆς πόλεως ἀνατείνων πρὸς ἥλιον τὼ χεῖρε, αὖθις δὲ τὴν γῆν τύπτων, ἀνεκαλεῖτο τὰς ἐριννύας, καὶ τέλος αὑτὸν τοῦ ζῆν μετέστησεν. ὑστέρῳ γε μὴν χρόνῳ δίκας ἔδοσαν οἱ λακεδαιμόνιοι· ἐπειδὴ γὰρ τῶν ἑλλήνων ἁπάντων ἦρχον, καὶ τὰς πόλεις φρουραῖς κατειλήφεσαν· ἐπαμινώνδας ὁ θηβαῖος, πρῶτον μὲν τὴν παρ' αὐτῷ φρουρὰν ἀπέσφαξε· λακεδαιμονίων δὲ ἐπὶ τοῦτο πόλεμον ἐξενεγκάντων, ἀπήντων οἱ θηβαῖοι ἐπὶ τὰ λεῦκτρα αἰσιούμενοι τὸ χωρίον, ὅτι καὶ πρότερον ἐνταῦθα ἠλευθερώθησαν· ὅτε ἀμφικτύων ὑπὸ σθενέλου φυγὰς ἐλαθεὶς εἰς τὴν θηβαίων ἀφίκετο πόλιν, καὶ χαλκιδεῖς ὑποφόρους λαβὼν, ἔπαυσε τὸν δασμὸν, χαλκώδοντα τὸν βασιλέα τῶν εὐβοέων ἀποκτείνας· συνέβη δὲ λακεδαιμονίων, ἧτταν παντελῆ γενέσθαι, περὶ αὐτὸ τὸ μνῆμα τῶν σκεδάσου θυγατέρων. φασὶ δὲ πρὸ τῆς μάχης, πελοπίδῃ ἑνὶ τῶν στρατηγῶν τοῦ θηβαϊκοῦ στρατεύματος, ἐπὶ σημείοις τισὶν οὐ καλῶς κρινομένοις θορυβουμένῳ, σκέδασον ἐπιστῆναι κατὰ τοὺς ὕπνους, θαῤῥεῖν κελεύοντα· παραγίνεσθαι γὰρ εἰς λεῦκτρα λακεδαιμονίους· αὐτῷ τε καὶ ταῖς θυγατράσι δώσοντας δίκας· πρὸ μιᾶς δ' ἡμέρας ἢ συμβαλεῖν τοῖς λακεδαιμονίοις, πῶλον ἐκέλευεν ἵππον λευκὸν ἕτοιμον παρὰ τῷ τάφῳ τῶν παρθένων σφαγιάσασθαι. τὸν δὲ πελοπίδην ἔτι τῶν λακεδαιμονίων στρατευομένων ἐν τεγέᾳ εἰς λεῦκτρα πέμψαι τοὺς ἐξετάσοντας περὶ τοῦ τάφου τούτου, καὶ πυθόμενον παρὰ τῶν ἐγχωρίων θαῤῥοῦντα τὴν στρατιὰν ἐξάγειν καὶ νικῆσαι.

Φῶκος βοιώτιος μὲν ἦν τῷ γένει· ἦν γὰρ ἐκ κλείσαντος· πατὴρ δὲ καλλιρόης, κάλλει τε καὶ σωφροσύνῃ διαφερούσης· ταύτην ἐμνήστευον νεανίαι τριάκοντα εὐδοκιμώτατοι ἐν βοιωτίᾳ· ὁ δὲ φῶκος ἄλλας ἐξ ἄλλων ἀναβολὰς τῶν γάμων ἐποιεῖτο φοβούμενος μὴ βιασθείη· τέλος δὲ λιπαρούντων ἐκείνων, ἠξίου ἐπὶ τῷ πυθίῳ ποιήσασθαι τὴν αἵρεσιν· οἱ δὲ πρὸς τὸν λόγον ἐχαλέπηναν, καὶ ὁρμήσαντες ἀπέκτειναν τὸν φῶκον· ἐν δὲ τῷ θορύβῳ ἡ κόρη φυγοῦσα, ἵετο διὰ τῆς χώρας· ἐδίωκον δὲ αὐτὴν οἱ νεανίαι· ἡ δὲ, ἐντυχοῦσα γεωργοῖς ἐν ἅλῳ σῖτον συντιθεῖσι, σωτηρίας ἔτυχε παρ' αὐτῶν· ἀπέκρυψαν γὰρ αὐτὴν οἱ γεωργοὶ ἐν τῷ σίτῳ, καὶ οὕτω παρῆξαν μὲν οἱ διώκοντες· ἡ δὲ διασωθεῖσα, ἐφύλαξε τὴν τῶν παμβοιωτίων ἑορτὴν, καὶ τότε εἰς κορώνειαν ἐλθοῦσα, ἱκέτις καθέζεται ἐπὶ τῷ βωμῷ τῆς ἰτωνίας ἀθηνᾶς, καὶ τῶν μνηστήρων τὴν παρανομίαν διηγεῖτο· τό, τε ἑκάστου ὄνομα καὶ τὴν πατρίδα σημαίνουσα. ἠλέουν οὖν οἱ βοιωτοὶ τὴν παῖδα, καὶ τοῖς νεανίαις ἠγανάκτουν· οἱ δὲ, ταῦτα πυθόμενοι, εἰς ὀρχομενὸν καταφεύγουσιν· οὐ δεξαμένων δὲ αὐτοὺς τῶν ὀρχομενίων, πρὸς ἱππότας εἰσώρμησαν· κώμη δὲ ἦν πρὸς τῷ ἑλικῶνι κειμένη μεταξὺ θήβης καὶ κορωνείας· οἱ δὲ ὑποδέχονται αὐτούς. εἶτα πέμπουσι θηβαῖοι ἐξαιτοῦντες τοὺς φώκου φονέας· τῶν δὲ, οὐ διδόντων, ἐστράτευσαν μὲν μετὰ τῶν ἄλλων βοιωτῶν στρατηγοῦντος φοίδου, ὃς τότε τὴν ἀρχὴν τῶν θηβαίων διεῖπε· πολιορκήσαντες δὲ τὴν κώμην ὀχυρὰν οὖσαν, δίψει δὲ τῶν ἔνδον κρατηθέντων, τοὺς μὲν φονεῖς ληφθέντας, κατέκαυσαν· τοὺς δ' ἐν τῇ κώμῃ ἐξηνδραποδίσαντο· κατασκάψαντες δὲ τὰ τείχη καὶ τὰς οἰκίας διένει-

μαν τὴν χώραν Θηβαῖοί τε καὶ Κορωνεῖς. φασὶ δὲ νυκτὸς, πρὸ τῆς ἁλώσεως τῶν ἱπποτῶν, φωνὴν ἐκ τοῦ Ἑλικῶνος πολλάκις ἀκουσθῆναι λέγοντός τινος, πάρειμι. τοὺς δὲ μνηστῆρας τοὺς τριάκοντα τόδε τὸ φώνημα γνωρίζειν ὅτι τοῦ Φώκου εἴη. ᾗ δὲ ἡμέρᾳ κατελεύσθησαν, τὸ ἐν Κλείσαντι μνῆμα τοῦ γέροντος, κρόκῳ φασὶ ῥεῦσαι. Φοίδῳ δὲ τῶν Θηβαίων ἄρχοντι καὶ στρατηγῷ, ἐκ τῆς μάχης ἐπανιόντι, ἀγγελθῆναι θυγατέρα γεγενημένην, αἰσιούμενον προσαγορεῦσαι Νικοστράτην.

Ἀλκίππος τὸ μὲν γένος Λακεδαιμόνιος ἦν· γήμας δὲ Δαμοκρίταν, πατὴρ θυγατέρων γίνεται δύο. συμβουλεύων δὲ τῇ πόλει κράτιστά τε, καὶ πράττων ὧν δέοιντο Λακεδαιμόνιοι, ἐφθονήθη ὑπὸ τῶν ἀντιπολιτευομένων· οἳ τοὺς ἐφόρους ψευδέσι λόγοις παράγοντες, ὡς Ἀλκίππου βουλομένου τοὺς νόμους καταλῦσαι, φυγῇ περιέβαλον τὸν ἄνδρα. καὶ ὁ μὲν, ὑπεξῆλθε τῆς Σπάρτης· Δαμοκρίταν δὲ τὴν γυναῖκα μετὰ τῶν θυγατέρων βουλομένην ἕπεσθαι τἀνδρὶ ἐκώλυον, ἀλλὰ καὶ τὴν οὐσίαν αὐτοῦ ἐδήμευσαν, ἵνα μὴ εὐπορῶσι προικὸς αἱ παρθένοι. ἐπεὶ δὲ καὶ ὡς ἐμνηστεύοντό τινες τὰς παῖδας διὰ τὴν τοῦ πατρὸς ἀρετὴν, ἐκώλυσαν οἱ ἐχθροὶ διὰ ψηφίσματος μὴ μνηστεύεσθαί τινας τὰς κόρας· λέγοντες ὡς ἡ μήτηρ αὐτῶν Δαμοκρίτα, πολλάκις εὔξατο τὰς θυγατέρας ταχέως γεννῆσαι παῖδας, τιμωροὺς τῷ πατρὶ γενησομένους. πανταχόθεν δὲ ἡ Δαμοκρίτα περιελαυνομένη· ἐτήρησέ τινα πάνδημον ἑορτὴν, ἐν ᾗ γυναῖκες ἅμα παρθένοις καὶ οἰκέταις καὶ νηπίοις ἑόρταζον· αἱ δὲ τῶν ἐν τέλει, καθ' ἑαυτὰς ἐν ἀνδρῶνι μεγάλῳ διεπαννύχιζον. ξίφος τε ὑποζωσαμένη, καὶ τὰς κόρας λαβοῦσα νυκτὸς ἦλθεν εἰς τὸ ἱερὸν, καιρὸν παραφυλάξασα ἐν ᾧ πᾶσαι τὰ μυστήρια ἐπετέλουν ἐν τῷ ἀνδρῶνι, καὶ κεκλεισμένων τῶν εἰσόδων ξύλα ταῖς θύραις πολλὰ προσνήσασα· ταῦτα δὲ ἦν εἰς τὴν τῆς ἑορτῆς θυσίαν ὑπ' ἐκείνων παρεσκευασμένα, πῦρ ἐνῆκε. συνθεόντων δὲ τῶν ἀνδρῶν ἐπὶ τὴν βοήθειαν ἡ Δαμοκρίτα τὰς θυγατέρας ἀπέσφαξε καὶ ἐπ' ἐκείναις ἑαυτήν. οὐκ ἔχοντες δὲ οἱ Λακεδαιμόνιοι ὅποι τὸν θυμὸν ἀπερείσονται, ἐκτὸς ὅρων ἔρριψαν τῆς τε Δαμοκρίτας καὶ τῶν θυγατέρων τὰ σώματα. ἐφ' ᾧ μηνίσαντος τοῦ θεοῦ, τὸν μέγαν ἱστοροῦσι Λακεδαιμονίοις σεισμὸν ἐπιγενέσθαι.

ΑΙΤΙΑΙ ΦΥΣΙΚΑΙ.

Διὰ τί τὸ θαλάττιον ὕδωρ οὐ τρέφει τὰ δένδρα. πότερον δι' ἣν αἰτίαν οὐδὲ τῶν ζώων τὰ χερσαῖα· ζῶον γὰρ ἔγγειον τὸ φυτὸν εἶναι, οἱ περὶ Πλάτωνα, καὶ Ἀναξαγόραν, καὶ Δημόκριτον οἴονται. οὐ γὰρ διότι τοῖς ἐναλίοις φυτοῖς τρόφιμόν ἐστι καὶ πότιμον, ὥσπερ τοῖς ἰχθύσιν, ἤδη καὶ τὰ ἐν τῇ χέρσῳ φυτά τε καὶ δένδρα τρέφει. οὐδὲ γὰρ ἐνδύεται ταῖς ῥίζαις ὑπὸ πάχους, οὔτε ἀναφέρεται ὑπὸ τοῦ βάρους. ὅτι δὲ ἐμβριθές ἐστι καὶ γεῶδες, ἄλλοις τε πολλοῖς ἀποδείκνυται, καὶ τῷ μᾶλλον ἀνέχειν καὶ ὑπερείδειν τὰ πλοῖα, καὶ τοὺς κολυμβῶντας. ἢ μάλιστα μὲν βλάπτεται ξηρότητι τὰ δένδρα· ξηραντικὸν δὲ τὸ τῆς θαλάσσης ὕδωρ. ὅθεν πρός γε τὰς σήψεις, οἱ ἅλες βοηθοῦσι, καὶ σώματα τῶν λουσαμένων ἐν θαλάττῃ ξηρὰν εὐθὺς ἴσχει, καὶ τραχεῖαν τὴν ἐπιφάνειαν. ἢ τὸ μὲν ἔλαιον τοῖς φυτοῖς, πολέμιον, καὶ φθείρει τὰ προσαλειφόμενα· μετέχει δὲ πολλῆς ἡ θάλαττα λιπαρότητος· διὸ συνεξάπτει· καὶ παραινοῦμεν εἰς τὰς φλόγας, μὴ ἐμβάλλειν θαλάττιον ὕδωρ. ἢ γέγονεν ἄποτον καὶ πικρὸν τὸ ὕδωρ, ὡς Ἀριστοτέλης φησὶν, ἀναμίξει κατακεκαυμένης γῆς· καὶ γὰρ ἡ κονία γίνεται γλυκέος ὕδατος εἰς τέφραν ἐμπεσόντος, ἡ δὲ διάλυσις ἐξίστησι, καὶ φθείρει τὸ χρηστὸν καὶ πότιμον, ὡς ἐν ἡμῖν οἱ πυρετοὶ τὸ ὑγρὸν εἰς χολὴν τρέπουσιν. ἃ δ' ἱστοροῦσιν ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ βλαστάνειν ὑλήματα καὶ φυτὰ, καρπὸν μὲν οὐδένα φέρει· τρέφεται δὲ τοῖς ποταμοῖς, πολλὴν ἐμβάλλουσιν ἰλύν, ὅθεν οὐ πρόσω τῆς γῆς· ἀλλὰ πλησίον ἔχει τὴν γένεσιν.

Διὰ τί μᾶλλον ὑπὸ τῶν ὑετίων, ἢ τῶν ἐπιρρύτων ὑδάτων τὰ δένδρα, καὶ τὰ σπέρματα πέφυκε τρέφεσθαι. πότερον ὡς Λαΐτος ἔλεγε τῇ πληγῇ τὰ ὄμβρια διιστάντα τὴν γῆν πόρους ποιεῖν, καὶ διαδύεται μᾶλλον εἰς τὴν ῥίζαν. ἢ τοῦτο μὲν οὐκ ἀληθὲς ἀλλὰ ἔλαθε τὸν Λαΐτον, ὅτι καὶ τὰ λιμναῖα φυτὰ τίφη καὶ φλέων, καὶ θρύον ἀναυξῆ καὶ ἀβλαστῆ μένει, μὴ γενομένων ὄμβρων καθ' ὥραν. τὸ δὲ τοῦ Ἀριστοτέλους ἀληθὲς, ὅτι πρόσφατόν ἐστι καὶ νέον ὕδωρ τὸ ὑόμενον, ἕωλον δὲ καὶ παλαιὸν τὸ λιμναῖον. ἢ καὶ τοῦτο πιθανὸν μᾶλλον ἢ ἀληθές ἐστι. τὰ γὰρ πηγαῖα καὶ ποτάμια νάματα πρόσφατα μέν ἐστι, καὶ νεογενῆ. ποταμοῖς γὰρ δὶς τοῖς αὐτοῖς οὐκ ἂν ἐμβαίης ὥς φησιν Ἡράκλειτος· ἕτερα γὰρ ἐπιρρεῖ ὕδατα. τρέφει δὲ καὶ ταῦτα τῶν ὀμβρίων χεῖρον. ἆρα οὖν κοῦφόν ἐστι τὸ ἐκ Διὸς ὕδωρ, καὶ ἀερῶδες, καὶ πνεύματι μεμιγμένον, ὁδηγεῖταί τε καὶ ἀναπέμπεται ταχέως εἰς τὸ φυτὸν ὑπὸ λεπτότητος. διὸ καὶ πομφόλυγας ποιεῖ τῇ ἀναμίξει τοῦ ἀέρος. ἢ τρέφει μὲν μάλιστα κρατούμενον ὑπὸ τοῦ τρεφομένου. τοῦτο γάρ ἐστι πέψις. ἀπεψία δὲ τοὐναντίον, ὅταν ἰσχυρότερα τοῦ παθεῖν, ἢ καὶ μεταβάλλει τὰ λεπτὰ καὶ ἁπλᾶ καὶ ἄχυμα μᾶλλον, οἷόν ἐστι τὸ ὄμβριον ὕδωρ· γεννώμενον γὰρ ἐν ἀέρι, καὶ πνεύματι, καθαρὸν καὶ ἀμιγὲς κάτεισι. τὰ δὲ πηγαῖα, καὶ τῇ γῇ, καὶ τοῖς τόποις ὁμοιούμενα δι' ὧν ἔξεισι, πολλῶν ἀναπίμπλαται ποιοτήτων, δι' ἃς ἧττόν ἐστι· ἄτρεπτα, καὶ βράδιον αὐτὰ παρέχει τῇ πέψει μεταβάλλον εἰς τὸ τρεφόμενον. τοῦ δὲ ὀμβρίου τὸ εὔτρεπτον, αἱ σήψεις κατηγοροῦσιν· εὔσηπτότερα γάρ ἐστι τῶν ποταμίων, καὶ φρεατιαίων. ἡ δὲ πέψις ἔοικεν εἶναι σῆψις, ὡς Ἐμπεδοκλῆς μαρτυρεῖ, λέγων· οἶνος ἀπὸ φλοιοῦ πέλεται, σαπὲν ἐν ξύλῳ ὕδωρ. ἢ πάντων ἑτοιμότατόν ἐστι καὶ ῥᾷστον αἰτιᾶσθαι τὸ γλυκὺ τῶν ὀμβρίων καὶ χρηστὸν, ἐκπεμπόμενον εὐθὺς ὑπὸ τοῦ πνεύματος. διὸ καὶ τὰ θρέμματα ταύτης ἀπολαύει προθυμότερον, καὶ οἱ βάτραχοι προσδοκῶντες ὄμβρων ἐπιλαμπρύνουσι τὴν φωνὴν ὑπὸ χαρᾶς, ὥσπερ ἥδυσμα τοῦ

εὔτρεπτα .f.

λιμναίου τὸ ὕετιον προσδεχόμενοι, καὶ σπέρμα τῆς ἐκείνων γλυκύτητος. ἐν γὰρ καὶ τοῦτο ποιεῖται σημεῖον ὑετοῦ μέλλοντος ἄρατος εἰπών· ἢ μάλα δειλαὶ γενεαὶ ὕδροισιν ὄνειαρ αὐτόθεν ἐκ λίμνης πατέρες βοόωσι γυρίνων.

Διὰ τί παραβάλλουσι τοῖς θρέμμασιν ἅλας οἱ νομεῖς· πότερον, ὡς οἱ πολλοὶ νομίζουσι πλήθους τροφῆς ἕνεκα, καὶ τοῦ παχῦναι· τήν τε γὰρ ὄρεξιν ἡ δριμύτης ἐκκαλεῖται, καὶ τοὺς πόρους ἀναστομοῦσα, μᾶλλον ἐδώδιμον ποιεῖ τὴν τροφὴν πρὸς τὴν ἀνάδοσιν· διὸ καὶ τοὺς ἰσχνούς, καὶ τοὺς ἀτρόφους ἀπολλώνιος ὁ ἡροφίλου, ἐκέλευε μὴ γλυκέσι, μηδὲ χονδρώδεσι τρέφειν· ἀλλὰ τοῖς ταριχευτοῖς, καὶ ὑφαλμυρίζουσιν· ὧν ἡ λεπτότης ὥσπερ ἐντρίχωμα γενομένη, τὰ σιτία τοῖς σώμασι διὰ τῶν πόρων προσίθησιν. ἢ μᾶλλον ὑγιείας ἕνεκα, καὶ συγκοπῆς πλήθους τὰ ἅλα λείχειν ἐθίζουσι τὰ βοσκήματα· νοσεῖ γὰρ ἄγαν πιαινόμενα· τὴν δὲ πιμελὴν τήκουσιν οἱ ἅλες, καὶ διαχέουσιν· ὅθεν εὐμαρῶς καὶ ῥᾳδίως ἀποδέρουσιν αὐτὰ φυλάξαντες· ἡ γὰρ κολλῶσα καὶ συνδέουσα τὸ δέρμα πιμελή, λεπτή, καὶ ἀσθενὴς γέγονεν ὑπὸ τῆς δριμύτητος· λεπτύνεται δὲ καὶ τὸ αἷμα τῶν τὸ ἅλας λειχόντων· οὐδὲ πήγνυται τὰ ἐντός, ἁλῶν μιγέντων. σκόπει δὲ μὴ καὶ γονιμώτερα, καὶ προθυμότερα πρὸς τὰς συνουσίας· καὶ γὰρ αἱ κύνες κύουσι ταχέως, τάριχος ἐσθίουσαι, καὶ τὰ ἅλητα τῶν πλοίων, πλείους τρέφει μῦς διὰ τὸ πολλάκις συμπλέκεσθαι.

Διὰ τί τῶν ὀμβρίων ὑδάτων εὐκαρδιέστερα τοῖς σπέρμασι τὰ μετὰ βροντῶν καὶ ἀστραπῶν· ἃ δὴ καὶ ἀστραπαῖα καλοῦσι· πότερον ὅτι πνευματώδη, διὰ τὴν τοῦ ἀέρος ταραχήν, καὶ ἀνάμιξιν· τὸ δὲ πνεῦμα τὴν ὑγρότητα κινοῦν μᾶλλον ἀναπέμπει καὶ ἀναδίδωσιν, ἢ βροντὰς μὲν καὶ ἀστραπὰς ποιεῖ τὸ θερμὸν ἐν τῷ ἀέρι πρὸς τὸ ψυχρὸν μαχόμενον· διὸ χειμῶνος, ἥκιστα βρονταί· μάλιστα δὲ ἔαρος, καὶ φθινοπώρου διὰ τὴν ἀνωμαλίαν τῆς κράσεως· ἡ δὲ θερμότης πέττουσα, τὸ ὑγρὸν προσφιλὲς ποιεῖ τοῖς βλαστάνουσι, καὶ ὠφέλιμον. ἢ μάλιστα μετ' ἔαρος βροντᾷ, καὶ ἀστράπτει, διὰ τὴν εἰρημένην αἰτίαν· τὰ δὲ ἐαρινὰ τῶν ὑδάτων ἀναγκαιότερα τοῖς σπέρμασι πρὸ τοῦ θέρους· ὅθεν ἡ πλεῖστον ὑομένη τοῦ ἔαρος χώρα, καθάπερ ἡ ἐν σικελίᾳ, πολλοὺς καὶ ἀγαθοὺς καρποὺς ἀναδίδωσιν.

Διὰ τί τῶν χυμῶν ὀκτὼ τῷ γένει ὄντων ἕνα μόνον τὸν ἁλμυρὸν ἀπ' οὐδενὸς καρποῦ γεννώμενον ὁρῶμεν· καίτοι καὶ τὸν πικρὸν ἡ ἐλαία φέρει πρῶτον, καὶ τὸν ὀξίνην ὁ βότρυς· εἶτα μεταβάλλων, ὁ μὲν γίνεται λιπαρός· ὁ δὲ οἰνώδης· μεταβάλλει δὲ καὶ ὁ στρυφνὸς ἐν ταῖς φοινικοβαλάνοις, καὶ ὁ αὐστηρὸς ἐν ταῖς ῥόαις εἰς τὸν γλυκύν· ἔνιαι δὲ ῥοιαὶ καὶ μῆλα τὸν ὀξίνην ἁπλῶς φέρουσιν· ὁ δὲ δριμὺς ἐν ταῖς ῥίζαις καὶ σπέρμασι πολύς ἐστι. πότερον οὖν οὐκ ἔστιν ἁλμυροῦ γένεσις, ἀλλὰ φθορὰ τῶν ἄλλων τὸ ἁλμυρόν· διὸ καὶ πᾶσιν ἄτροφον τοῖς ἀπὸ φυτῶν καὶ σπερμάτων τρεφομένοις· ἥδυσμα δ' ἐνίοις γίνεται τῷ τὸ πλήσμιον ἀφαιρεῖν τῶν τρεφόντων. ἢ καθάπερ τῆς θαλάττης ἕψοντες ἀφαιροῦσι τὸ ἁλυκὸν καὶ δηκτικόν, ἐν τοῖς θερμοῖς ἀπὸ θερμότητος ἐξαμαυροῦται τὸ ἁλμυρόν. ἢ χυμὸς μέν ἐστιν, ὡς πλάτων εἶπεν, ὕδωρ ἠθημένον διὰ φυτοῦ· διηθουμένη δὲ καὶ θάλαττα, τὸ ἁλμυρὸν ἀποβάλλει· γεῶδες γάρ, καὶ παχυμερές ἐστιν· ὅθεν ὀρύττοντες παρὰ τὸν αἰγιαλόν, ἐντυγχάνουσι ποτίμοις λιβαδίοις. πολλοὶ δὲ καὶ κηρίνοις ἀγγείοις ἀναλαμβάνουσιν ἐκ τῆς θαλάττης ὕδωρ γλυκὺ διηθούμενον, ἀποκρινομένου τοῦ ἁλυκοῦ καὶ γεώδους· ἡ δὲ καὶ ἀργία, καὶ προδιαγωγή, παντάπασι τὴν θάλατταν διηθουμένην, πότιμον ἀποδίδωσι, τῷ κατέχειν ἐν ἑαυτῇ καὶ μὴ διιέναι τὸ γεῶδες. οὕτω δὲ τούτων ἐχόντων, εἰκός ἐστι τὰ φυτὰ μήτε ἔξωθεν ἀναλαμβάνειν ἁλμυρίδα. μήτ' αὖ ἐν αὐτοῖς λάβῃ γένεσιν, ἐκκρίνειν εἰς τὸν καρπόν· οἱ γὰρ πόροι

διὰ λεπτότητα, τὸ γεῶδες, καὶ παχυμερὲς οὐ διηθοῦσιν. ἢ τῆς πικρότητος εἶδος τὴν ἁλμυρότητα θετέον, ὡς ὅμηρος· στόματος δ' ἐξέπτυσεν ἅλμην πικρήν, ἥ οἱ πολλὴ ἀπὸ κρατὸς ἐκελάρυζε. καὶ ὁ πλάτων φησίν. ἀμφοτέρους ῥύπτειν καὶ ἀποτήκειν τοὺς χυμούς, ἧττον δὲ ταῦτα ποιεῖν τὸν ἁλυκόν, καὶ οὐ τραχὺ ἦ. δόξει δὲ τὸ πικρὸν τοῦ ἁλυκοῦ, ξηρότητος ὑπερβολῇ διαφέρειν· ἐπεὶ ξηραντικόν τε καὶ τὸ ἁλυκόν.

Διὰ τί τοῖς συνεχῶς διὰ τῶν δεδροσισμένων δένδρων βαδίζουσι, λέπραν ἴσχει τὰ ψαύοντα τῆς ὕλης μόρια τοῦ σώματος· πότερον ὡς λαΐτος ἔλεγε, τῇ λεπτότητι τὸ δροσῶδες ὑγρὸν ἀποξύει τοῦ χρωτός, ἢ καθάπερ ἐρυσίβη τοῖς ὑγραινομένοις ἐγγίνεται σπέρμασιν, οὕτως ἀπὸ τῆς δρόσου τῶν ἐπιπολῆς χλωρῶν καὶ ἁπαλῶν ἀναχαρασσομένων, καὶ ἀποτηκομένων, ἄχνη τις ἀπιοῦσα τοῦ σίνους ἀναπίμπλησι προσχωομένη τοῖς ἀναιμοτάτοις μέρεσι τῆς σαρκός, οἷα κνῆμαι καὶ πόδες, ἀμύσσει, καὶ δάκνει τὴν ἐπιφάνειαν, ὅτι γὰρ φύσει τι δηκτικὸν ἔνεστι τῇ δρόσῳ μαρτυρεῖ τὸ τοὺς πίνοντας ἰσχνοτέρους ποιεῖν· αἱ γοῦν πίονες γυναῖκες, ἱματίοις ἢ ἐρίοις ἁπαλοῖς ἀναλαμβάνουσαι τῆς δρόσου, δοκοῦσι συντήκειν τὴν πολυσαρκίαν.

Διὰ τί τὰ πλοῖα χειμῶνος ἐν τοῖς ποταμοῖς πλεῖ βράδιον, ἐν δὲ τῇ θαλάττῃ οὐ παραπλησίως· πότερον ὁ ποτάμιος ἀὴρ ἀεὶ δυσκίνητος ὢν καὶ βαρύς, ἐν δὲ χειμῶνι μᾶλλον ἀπαλωόμενος διὰ τὴν περίψυξιν ἐμποδών ἐστι τοῖς πλέουσιν, ἢ τοῦτο μᾶλλον τοῦ ἀέρος πάσχουσιν οἱ ποταμοί· ἐλαύνουσα γὰρ ἡ ψυχρότης τὸ ὕδωρ, ποιεῖ βαρὺ καὶ σωματῶδες, ὡς ἔστιν ἐν ταῖς κλεψύδραις καταμαθεῖν· βράδιον γὰρ ἕλκουσι χειμῶνος, ἢ θέρους. ἐν δὲ θρᾴκῃ περὶ τὸ πάγγαιον ἱστορεῖ θεόφραστος, εἶναι κρήνην, ἐφ' ἧς ταὐτὸ γέμον ὕδατος ἱστάμενον χειμῶνος, ἕλκειν διπλάσιον σταθμόν, ἢ θέρους. ὅτι δὲ ἡ πυκνότης τοῦ ὕδατος τὴν βραδυτῆτα ποιεῖ τοῦ πλοῦ δῆλόν ἐστι τῷ πλείονα γόμον φέρειν τὰ ποτάμια πλοῖα τοῦ χειμῶνος· τὸ γὰρ ὕδωρ μᾶλλον ἀντερείδει πυκνότερον, καὶ βαρύτερον γινόμενον, τὴν δὲ θάλατταν ἡ θερμότης κωλύει πυκνοῦσθαι· δι' ἣν οὐδὲ πήγνυται, μαλακὴ γὰρ ἔοικεν εἶναι ἡ πύκνωσις.

Διὰ τί τῶν ἄλλων ὑγρῶν ἐν τῷ κινεῖσθαι, καὶ στρέφεσθαι ψυχομένων, τὴν θάλατταν ὁρῶμεν ἐν τῷ κυματοῦσθαι θερμοτέραν γινομένην, ἢ τῶν μὲν ἄλλων ὑγρῶν ἐπεισόδιον οὖσαν καὶ ἀλλοτρίαν, ἐξίστησιν ἡ κίνησις τὴν θερμότητα, καὶ διαφορεῖ· τὴν δὲ τῆς θαλάττης σύμφυτον οὖσαν ἐκριπίζουσι μᾶλλον οἱ ἄνεμοι καὶ τρέφουσι, μαρτυρεῖ δὲ τῆς θερμότητος, ἡ διαύγεια, καὶ τὸ μὴ πήγνυσθαι, καίπερ οὖσαν γεώδη καὶ βαρεῖαν.

Διὰ τί τοῦ χειμῶνος ἧττον πικρὰ γίνεται γευομένοις ἡ θάλαττα. τοῦτο γάρ φασι καὶ διονύσιον ἱστορεῖν τὸν ὑδραγωγόν, ὅτι παντελῶς μὲν ἔρημος οὐκ ἔστι γλυκύτητος, οὐδὲ ἄμοιρος ἡ πικρότης· ἅτε δὴ ποταμοὺς τοσούτους ὑποδεχομένης τῆς θαλάττης· τοῦ δὲ ἡλίου τὸ γλυκὺ καὶ πότιμον ἐξαιροῦντος ἀπὸ κουφότητος τὸ ἐπιπολάζον, καὶ μᾶλλον ἐν τῷ θέρει τοῦτο ποιοῦντος· ἐν δὲ τῷ χειμῶνι μαλακώτερον ἁπτομένου δι' ἀσθένειαν θερμότητος, ὑπολειπομένη μοῖρα πολλῆς γλυκύτητος ἀνίησι τὸ ἀκράτως πικρὸν καὶ φαρμακῶδες. τοῦτο δ' ἡσυχῇ καὶ τοῖς ποτίμοις συμβέβηκε· θέρους γὰρ πονηρότερα γίνεται τὸ κουφότατον καὶ γλυκύτατον, τοῦ θερμοῦ διαφοροῦντος, ἐν δὲ χειμῶνι, νέον αἴρει, καὶ πρόσφατον, οὗ μετέχειν ἀνάγκη καὶ τὴν θάλατταν σειομένην ἅμα καὶ τῶν ποταμῶν ἐπιδιδόντων.

Διὰ τί τῷ οἴνῳ θάλασσαν παραχέουσι, καὶ χρησμόν τινα λέγουσιν ἁλιεῖς κομισθῆναι προστάττοντα, βαπτίζειν τὸν διόνυσον πρὸς τὴν θάλατταν· οἱ δὲ πόρρω θαλάτ-

παν. οἱ δὲ πόῤῥω θαλάττης ἐμβάλλουσι γύψον, ζακυνθίαν ὀπτήσαντες. πότερον
ἡ θερμότης βοηθεῖ πρὸς τὴν περίψυξιν, ἢ αὐτῆς ἐξίστησι μάλιστα τὸν οἶνον ἀπο-
σβεννῦσα, καὶ φθείρουσα τὴν δύναμιν, ἢ τὸ ὑδατῶδες καὶ πνευματῶδες τοῦ οἴ-
νου πρὸς μεταβολὴν ἐπισφαλεστάτην ἔχοντος ἵστησι τὰ γεώδη πεφυκότα στύφειν,
καὶ κατισχναίνειν. οἱ δὲ ἅλας μετὰ τῆς θαλάττης λεπτύνοντες, καὶ ἀποτήκον-
τες τὸ ἀλλότριον καὶ περιττὸν οὐκ ἐῶσι δυσωδίαν οὐδὲ σῆψιν ἐγγίνεσθαι. πρὸς
δὲ τούτοις, ὅσον ἐστὶ παχὺ καὶ γεῶδες ἐμπλεκόμενον τοῖς βαρυτέροις, καὶ συγκα-
τασπώμενον, ὑπὸ στάθμην ποιεῖ, καὶ τρύγα, τὸν δὲ οἶνον ἀπολείπει καθαρόν.

Δ ιατί μᾶλλον ναυτιῶσι τὴν θάλατταν πλέοντες, ἢ τοὺς ποταμοὺς, κἂν ἐν γαλή-
νῃ πλέωσι. μάλιστα ναυτίαν κινεῖ τῶν αἰσθήσεων ἡ ὄσφρησις. τῶν δὲ παθῶν ὁ φό-
βος. καὶ γὰρ τρέμουσι, καὶ φρίττουσι, καὶ κοιλίας ἐξυγραίνονται, φαντασίαν
κινδύνου λαβόντες. τούτων δὲ οὐδέτερον ἐνοχλεῖ τοῖς διὰ ποταμοῦ πλέουσιν. ἡ
γὰρ ὄσφρησις παντὶ ποτίμῳ καὶ γλυκεῖ συνήθης ἐστὶν, ὁ δὲ πλοῦς ἀκίνδυνος.
ἐν δὲ τῇ θαλάττῃ τήν τε ὀσμὴν ἀηθείᾳ δυσχεραίνουσι, καὶ φοβοῦνται μὴ πιστεύον-
τες τῷ παρόντι περὶ τοῦ μέλλοντος. οὐδὲν οὖν ὄφελος τῆς ἔξω γαλήνης. ἀλλὰ
καὶ ψυχὴ σάλον ἔχουσα καὶ θορυβουμένη, συγκινεῖ καὶ ἀναπίμπλησι τὸ σῶμα
τῆς ταραχῆς.

Δ ιατί τῆς θαλάττης ἐλαίῳ καταῤῥαινομένης γίνεται καταφάνεια, καὶ γαλήνη. πό-
τερον, ὡς ἀριστοτέλης φησὶ, τὸ πνεῦμα τῆς λειότητος ἀπολισθαῖνον, οὐ ποιεῖ πλη-
γὴν οὐδὲ σάλον, ἢ τοῦτο μὲν πιθανῶς εἴρηται πρὸς τὰ ἐκτός. ἐπειδέ φασι καὶ τοὺς
κατακολυμβῶντας, ὅταν ἔλαιον εἰς τὸ στόμα λαβόντες ἐκφυσήσωσιν ἐν τῷ βυθῷ
φέγγος ἴσχειν καὶ δίοψιν, οὐκ ἔστιν ἐκεῖ πνεύματος ὄλισθον αἰτιάσασθαι. σκόπει
δὴ μὴ τὴν θάλατταν γεώδη, καὶ ἀνώμαλον οὖσαν, ἐξωθεῖ καὶ διαστέλλει τῇ πυκνό-
τητι τὸ ἔλαιον. εἶτα ἀναξεχύσης εἰς αὐτὴν καὶ συστελλομένης. ἀπολείπονται
πόροι μεταξὺ ταῖς ὄψεσι διαύγειαν καὶ καταφάνειαν διδόντες. ἢ φύσει μὲν
ἐστι φωτεινὸς ὑπὸ θερμότητος ὁ τῇ θαλάττῃ καταμεμιγμένος ἀήρ. γίνεται δὲ
ταραχθεὶς ἀνώμαλος καὶ σκιώδης. ὅταν οὖν τὴν ἀνωμαλίαν ἐπιλεάνῃ πυκνό-
τητι τὸ ἔλαιον, ἀπολαμβάνει τὴν ὁμαλότητα, καὶ τὴν διαύγειαν.

Δ ιατί χειμῶνος μᾶλλον ἢ θέρους τὰ τῶν ἁλιέων σήπεται δίκτυα. καίτοι τά γε
ἄλλα μᾶλλον ἐν τῷ θέρει τοῦτο πάσχει. πότερον ὡς θεόφραστος οἴεται τῷ ψυχρῷ
τὸ θερμὸν ὑποχωροῦν ἀντιπεριίσταται, καὶ θερμότερα ποιεῖ τὰ ἐν βάθει τῆς
θαλάττης, ὥσπερ τῆς γῆς. διὸ καὶ τὰ πηγαῖα τῶν ὑδάτων χλιαρώτερα τοῦ χει-
μῶνός ἐστι, καὶ μᾶλλον ἀτμίζουσιν αἱ λίμναι καὶ οἱ ποταμοί. κατακλείεται γὰρ
εἰς βάθος ἡ θερμότης ὑπὸ τοῦ ψυχροῦ κρατήσαντος. ἢ σῆψις μὲν, οὐκ ἔστι τῶν
δικτύων, ὅταν δὲ φρίξῃ καὶ παγῇ διὰ τὸ ψῦχος ἀναξηραινόμενα, καὶ θρυπτό-
μενα μᾶλλον ὑπὸ τοῦ κλύδωνος, σήψει τινὶ καὶ μυδήσει πάσχει παραπλήσιον. καὶ
γὰρ πονεῖ μᾶλλον ἐν κρύει καθάπερ τὰ νεῦρα συντεινόμενα παραῤῥήττεται, πλεο-
νάκις ἐκ ταραττομένης διὰ τὸν χειμῶνα τῆς θαλάττης. διὸ καὶ στύφουσιν αὐτὰ
ταῖς βαφαῖς καὶ πυκνοῦσι φοβούμενοι τὰς ἀναλύσεις. ἐπεὶ, μὴ βαφέντα, μηδὲ
χρισθέντα μᾶλλον ἂν ἐλάνθανε τοὺς ἰχθῦς. ἐναργὲς γὰρ τὸ τοῦ λίνου χρῶμα καὶ
ἀπατηλὸν ἐν θαλάττῃ.

Δ ιατί δωριεῖς εὔχονται κακὴν χόρτου συγκομιδὴν, ἢ κακῶς μὲν συγκομίζεται χόρ-
τος ὑόμενος. κόπτεται γὰρ οὐ ξηρὸς, ἀλλὰ χλωρὸς, ὥστε σήπεται ταχὺ διάβρο-
χος γενόμενος. ὑόμενος δὲ πρὸ τοῦ θέρους ὁ σῖτος, βοηθεῖται πρὸς τὰ θερμά, καὶ
νότια πνεύματα. ταῦτα γὰρ οὐκ ἐᾷ πυκνωθῆναι συνιστάμενον ἐν τῷ στάχυϊ τὸν
καρπὸν, ἀλλ' ἐξίστησι, καὶ διαχέει τῇ θερμότητι τὴν πῆξιν, ἂν μὴ βεβρεγμένης

τῆς γῆς, ὑγρότης παραμένῃ ψύχουσα, καὶ νοτίζουσα τὸν στάχυν.

Δ ιατί πυροφόρος ἡ πίων καὶ βαθεῖα χώρα, κριθοφόρος δὲ μᾶλλον ἡ λεπτόγεως. ἢ
ὅτι τῶν σπερμάτων τὰ ἰσχυρὰ, πλείονος τροφῆς δεῖται. τὰ δὲ ἀσθενῆ, λεπτῆς
καὶ ἐλαφρᾶς. ἀσθενέστερον δὲ ἡ κριθὴ καὶ μανώτερον. ὅθεν οὐ φέρει τὴν πολλὴν
τροφὴν, καὶ βαρεῖαν. μαρτυρεῖ δὲ τῷ λόγῳ τούτῳ πυροῦ τὸν τρίμηνον ἐν τοῖς ὑπο-
ξήροις φύεσθαι βέλτιον ἀοσότερον ὄντα καὶ τροφῆς ἐλάττονος δεόμενον. διὸ καὶ
συντελεῖται τάχιον.

Δ ιατί λέγεται, σῖτον ἐν πηλῷ φυτεύετε, τὴν δὲ κριθὴν ἐν κόνει. πότερον, ὡς εἰρή-
καμεν ὁ μὲν δύναται πλείονος τροφῆς κατακρατεῖν. ἡ δὲ οὐ φέρει τὸ πολὺ, καὶ
κατακλύζον, ἢ πυκνὸς ὢν ὁ πυρὸς, καὶ ξυλώδης φύεται βέλτιον ἐν ὑγρῷ μα-
λαττόμενος καὶ χαλώμενος. τῇ δὲ κριθῇ διὰ μανότητα σύμφορον ἐν ἀρχῇ τὸ ξη-
ρότερον, ἢ διὰ θερμότητα σύμμετρος, καὶ ἀβλαβὴς ἡ κρᾶσις. ψυχρότερον δὲ κρι-
θή. ἢ φοβοῦνται τὸν πυρὸν, ἐν ξηρῷ σπείρειν διὰ τοὺς μύρμηκας. εὐθὺς γὰρ ἐπιτί-
θενται. τὰς δὲ κριθὰς ἧττον φέρονται. δυσβάστακτοι γάρ εἰσι, καὶ δυσπαρα-
κόμιστοι διὰ μέγεθος.

Δ ιατί τὰς τῶν ἀῤῥένων ἵππων μᾶλλον ἢ τῶν θηλειῶν τρίχας εἰς τὴν ὁρμιὰν
λαμβάνουσι. πότερον ὡς τοῖς ἄλλοις τὸ ἄῤῥεν τοῦ θήλεος μέρεσι καὶ ταῖς θρι-
ξὶν εὐτονώτερόν ἐστιν, ἢ μᾶλλον διὰ τὸ οὖρον οἴονται τὰς τρίχας τῶν θηλειῶν
βρεχομένας γίνεσθαι χείρονας.

Δ ιατί τευθὶς φαινομένη, σημεῖόν ἐστι μεγάλου χειμῶνος. ἢ πάντα φύσει τὰ μαλά-
κια δύσριγα, διὰ γυμνότητα τῆς σαρκὸς καὶ ψιλότητα, μήτε ὀστράκῳ, μήτε δέρ-
ματι, μήτε λεπίδι σκεπομένης, ἀλλ' ἐντὸς ἐχούσης τὸ σκληρὸν καὶ ὀστεῶδες. διὸ καὶ
κέκληται μαλάκια. ταχὺ δὴ προαισθάνεται δι' εὐπάθειαν τοῦ χειμῶνος. ὅθεν
ὁ μὲν πολύπους εἰς γῆν ἀνατρέχει. καὶ τῶν πετριδίων ἀντιλαμβανόμενος, ση-
μεῖόν ἐστι πνεύματος ὅσον οὔπω παρόντος. ἡ δὲ τευθὶς, ἐξάλλεται φεύγουσα τὸ
ψῦχος, καὶ τὴν ἐν βάθει ταραχὴν τῆς θαλάττης. καὶ γὰρ ἔχει μάλιστα τῶν μαλα-
κίων εὔθρυπτον, καὶ ἁπαλὸν τὸ σαρκῶδες.

Δ ιατί τὴν χροιὰν ὁ πολύπους ἐξαλλάττει. πότερον ὡς θεόφραστος ᾤετο δειλόν ἐστι
φύσει ζῶον. ὅταν οὖν ταραχθῇ τρεπόμενον τῷ πνεύματι, συμμεταβάλλει τὸ χρῶ-
μα καθάπερ ἄνθρωπος. διὸ καὶ λέλεκται. τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρώς,
ἢ τοῦτο πρὸς τὴν μεταβολὴν πιθανῶς λέλεκται. πρὸς δὲ τὴν ἐξομοίωσιν, οὐχ
ἱκανῶς. μεταβάλλει γὰρ οὕτως, ὥστε τὴν χροιὰν, αἷς ἂν πλησιάζῃ πέτραις ὁμοι-
οῦν. πρὸς ὃ καὶ πίνδαρος ἐποίησε. ποντίου θηρὸς χρωτὶ μάλιστα νόον προσφέρων
πάσαις πολίεσσιν ὁμιλεῖ. καὶ θέογνις, πουλύποδος νόον ἴσχε πολυχρόου, ὃς
ποτὶ πέτρῃ τῇ προσομιλήσει, τοῖος ἰδεῖν ἐφάνη. τοῦτο δὴ καὶ τοὺς πανουργίᾳ καὶ
δεινότητι ὑπερφέροντας ἔχειν τὸ ἐπιτήδευμα λέγουσιν ὡς ὑπὲρ τοῦ λαθεῖν, καὶ
διαφυγεῖν τοὺς πλησίον, ἑαυτοὺς ἀεὶ ἀπεικάζειν πολύποδι, ἢ καθάπερ ἐσθῆτι
τῇ χροιᾷ νομίζουσι χρῆσθαι ῥᾳδίως οὕτως, ἣ βούλεται μετενδυόμενον. ἆρ' οὖν
τὴν μὲν ἀρχὴν αὐτὸς ἐνδίδωσι τοῦ πάθους δείσας. τὰ δὲ κύρια τῆς αἰτίας ἐν
ἄλλοις ἐστί. σκόπει δὴ κατ' ἐμπεδοκλέα. γνοὺς ὅτι πάντων εἰσὶν ἀπόῤῥοιαι ὅσσ'
ἐγένοντο. οὐ γὰρ ζώων μόνον οὐδὲ φυτῶν, οὐδὲ γῆς, καὶ θαλάττης, ἀλλὰ καὶ λίθων ἄ-
πεισιν ἐνδελεχῶς πολλὰ ῥεύματα, καὶ χαλκοῦ καὶ σιδήρου. καὶ γὰρ φθείρεται πάν-
τα, καὶ ὄζει, τῷ ῥεῖν ἀεί τι, καὶ φθείρεσθαι συνεχῶς. καὶ γὰρ ἕλξεις, ἢ ἐπιπηδήσεις
ποιοῦσι ταῖς ἀποῤῥοίαις. οἱ μὲν ἐμπλοκὰς αὐτῶν, οἱ δὲ πληγὰς, οἱ δὲ ὤσεις τινὰς,
καὶ περιελεύσεις ὑποτιθέμενοι. μάλιστα δὲ τῶν παράλων πετρῶν ἐπιῤῥαινομένων, καὶ
ψυχομένων ὑπὸ τῆς θαλάττης. ἀπιέναι μέρη καὶ θραύσματα πολλὰ, καὶ λεπτὰ

ὅτι .l.
τοῖο .B.
δῆλον .l.

συνεχῶς ἀλ   λοις οὐ προσ   σῶμα ἀλλὰ
λανθάνει περιολισθαίνοντα τῶν πυκνοτέρους ἐχόντων πόρους, ἢ διεκθέοντα τῶν μανο-
τέρους. ὁ δὲ πολύπους τήν τε σάρκα προσιδεῖν αὐτόθεν ἀνθρηνιώδης, καὶ πολύπο-
ρος, καὶ δεκτικὸς ἀπορροιῶν ἐστιν. ὅταν δὲ δείσῃ τῷ πνεύματι τρεπόμενος καὶ τρέ-
πων, οἷον ἔσφιγξε τὸ σῶμα, καὶ συνήγαγεν ὥστε προσδέχεσθαι, καὶ στέγειν ἐπι-
πολῆς τὰς τῶν ἐγγὺς ἀπορροίας. καὶ γὰρ ἡ τραχύτης μετὰ τῆς μαλακότητος ἐλλι-
πεῖς παρέχουσα τοῖς ἐπιφερομένοις μέρεσι μὴ συνελαυνομένοις, ἀλλ' ἀθροιζομέ-
νοις, καὶ προσμένουσι τὴν χρω-   τὴν ἐπιφα-
τητα   τεκμήριον δὲ τῆς αἰτίας μέγα, τὸ μήτε τοῦτον πάσχειν ἐξομοιοῦ-
σθαι τοῖς πλησίον μήτε τὸν χαμελαίοντα τοῖς λευκοῖς χρώμασιν, ἀλλὰ μόνοις ἑ-
κατέρων, ὧν ταῖς ἀπορροίαις πόρους συμμέτρους ἔχουσιν.

Δ ιὰ τίνα αἰτίαν τὸ τῶν ἀγρίων συῶν δάκρυον ἡδύ. τὸ δὲ τῶν ἐλάφων ἁλμυρόν ἐστι,
καὶ φαῦλον. αἰτία δὲ θερμότης, καὶ ψυχρότης τούτων. καὶ ψυχρὸν μὲν ὁ ἔλα-
φος. περίθερμον δὲ καὶ πυρῶδες ὁ σῦς. ὅθεν, ὃ μὲν φεύγει. ὃ δέ, ἀμύνεται τοὺς
ἐπιόντας. ὅτε καὶ μάλιστα διὰ τὸν θυμὸν ἐκβάλλει τὸ δάκρυον. πολλῆς γοῦν ἐπὶ
τὰ ὄμματα θερμότητος φερομένης ὡς εἴρηται, φρίξας εὖ λοφιὴν πῦρ ὀφθαλ-
μοῖσι δεδορκώς. γλυκὺ γίνεται τὸ ἀποτηκόμενον.   ἔνιοι δέ φασιν ὥσπερ γάλα-
κτος ὀρρὸν τοῦ αἵματος ταραχθέντος, ἐκκρούεσθαι τὸ δάκρυον ὡς ἐμπεδοκλῆς·
ἐπεὶ τοίνυν τραχὺ καὶ μέλαν τὸ τῶν κάπρων αἷμα διὰ θερμότητα, λεπτὸν δὲ καὶ
ὑδαρὲς τὸ τῶν ἐλάφων, εἰκότως, καὶ τὸ ἀποκρινόμενον ἐν τοῖς θυμοῖς, καὶ τοῖς
φόβοις ἑκατέρου, τοιοῦτον.

Δ ιὰ τί τῶν ὑῶν αἱ μὲν ἥμεροι πλεονάκις τίκτουσι, καὶ κατ' ἄλλον ἄλλαι χρόνον. αἱ
δὲ ἄγριαι, καὶ ἅπαξ, καὶ περὶ τὰς αὐτὰς ἅπασαι σχεδὸν ἡμέρας. αὗται δὲ
εἰσιν ἀρχομένου θέρους. διὸ καὶ λέλεκται μηκέτι νυκτὸς ὕειν. ἧκεν τέκῃ ἀγροτέρη
σῦς. ἡ διὰ πλῆθος τροφῆς ὄντως ἐν πλησμονῇ κύπρις. ἀφθονία γὰρ τροφῆς, τὸ
γόνιμον περίττωμα ποιεῖ καὶ φυτοῖς, καὶ ζώοις. αἱ μὲν οὖν ἄγριαι, δι' αὑτῶν καὶ
μετὰ φόβου τὴν τροφὴν ζητοῦσι. ταῖς δὲ ἡμέροις, ὑπάρχει διὰ παντός. ἡ μὲν αὐτο-
φυής. ἡ δὲ ἐκ παρασκευῆς, ἢ τὸ τῆς σχολῆς, καὶ ἀσχολίας ἅμα συμμένον. αἱ μὲν
γὰρ ἀργοῦσι, μὴ βουλόμεναι πόρρω πλανᾶσθαι τῶν συφορβῶν. αἱ δὲ, ὀρειβατοῦ-
σαι, καὶ περιθέουσαι, τὴν τροφὴν διαφοροῦσι, καὶ καταναλίσκουσιν εἰς τὸ σῶ-
μα πᾶσαν.   ὥστε ἢ διὰ τὸ ἀεὶ συνεῖναι, ἢ μὴ γίνεσθαι περίττωμα, ἢ διὰ τὸ συν-
τρέφεσθαι, καὶ συναγελάζεσθαι τὰ θήλεα τοῖς ἄρρεσιν, ἀνάμνησιν ποιεῖ τῶν ἀ-
φροδισίων, καὶ συνεκκαλεῖται τὴν ὄρεξιν, ὡς ἐπὶ ἀνθρώπων ἐμπεδοκλῆς ἐποίη-
σε. τῷ δέ τι καὶ πόθος εἶτε διὰ τέψεως ἀμμίστων. ἐν δὲ τοῖς ἀγρίοις ἀποτρόφοις
οὖσιν ἀλλήλων, τὸ ἄστοργον, καὶ δυσεπίμικτον ἀμβλύνει, καὶ ἀνασβεννύει τὰς
ὁρμάς. ἢ καὶ τὸ λεγόμενον ὑπὸ ἀριστοτέλους ἀληθές ἐστιν. ὅτι χλουνὴν ὅμηρος
ὠνόμασε σῦν τὸν μονόρχιν. τῶν γὰρ πλείστων φησὶ προσκνωμένων τοῖς στελέχεσι
θρύπτεσθαι τοὺς ὄρχεις.

Δ ιὰ τί τῆς ἄρκτου φασὶ τὴν χεῖρα γλυκυτάτην ἔχειν. σάρκα δὲ φαγεῖν ἡδίστην. ὅτι
τὰ πέττοντα τὴν τροφὴν μάλιστα τοῦ σώματος παρέχει τὸ κρέας ἥδιστον. πέττει
δὲ κάλλιστα τὸ διαπνέον. κινούμενον μάλιστα, καὶ συγγυμναζόμενον, ὥσπερ ἡ ἄρ-
κτος τῷ μέρει τούτῳ πλεῖστα κινεῖται. καὶ γὰρ ὡς ποσὶ τοῖς ἐμπροσθίοις βαδί-
ζουσα χρῆται καὶ τρέχουσα, καὶ ὡς χερσὶν ἀντιλαμβανομένη.

Δ ιὰ τί δυσίχνευτος ἡ τοῦ ἔαρος ὥρα. πότερον αἱ κύνες ὥς φησιν ἐμπεδοκλῆς, κέρ-
ματα θηρείων μελέων μυκτῆρσιν ἐρευνῶσαι τὰς ἀπορροίας ἀναλαμβάνουσιν,
ἃς ἐναπολείπει τὰ θηρία τῇ ὕλῃ. ταύτας δὲ τοῦ ἔαρος ἐξαμαυροῦσι καὶ συγ-

χέουσιν αἱ πλεῖσται τῶν φυτῶν, καὶ τῶν ὑλημάτων ὀσμαὶ ὑπὲρ τὴν αἴσθησιν ὑ-
περχεόμεναι, καὶ κεραννύμεναι περισπῶσι, καὶ διαπλανῶσι τὰς κύνας τῆς
τῶν θηρίων ὀσμῆς ἐπιλαβέσθαι. διὸ περὶ τὴν αἴτνην ἐν σικελίᾳ φασὶ, μηδένα
κυνηγεῖν. πολὺ γὰρ ἀναφύεσθαι καὶ τεθηλέναι δι' ἔτους, οἷον ὀρεινὸν ἐν τοῖς λει-
μῶσι, καὶ τὸν τόπον εὐωδίαν ἀεὶ κατέχουσαν. ἁρπάζειν τὰς τῶν θηρίων ἀναπνο-
άς. λέγεται δὲ μῦθος, ὡς τὴν κόρην ἐκεῖθεν ἀνθολογοῦσαν, ὁ πλούτων ἀφαρπά-
σειε, καὶ διὰ τοῦτο τιμῶντες, καὶ σεβόμενοι τὸ χωρίον ὡς ἄσυλον, οὐκ ἐπιτίθεν-
ται τοῖς ἐκεῖ νεμομένοις.

Δ ιὰ τί περὶ τὰς πανσελήνους ἥκιστα ταῖς ἰχνοσκοπίαις ἐπιτυγχάνουσιν, ἢ διὰ
τὴν εἰρημένην αἰτίαν. δροσοβόλοι γὰρ αἱ πανσέληνοι. διὸ καὶ τὴν δρόσον ὁ ἀλκ-
μὰν διὸς θυγατέρα, καὶ σελήνης προσεῖπε ποιήσας. διὸς θυγάτηρ ἔρσα τρέφει, καὶ
σελάνας δίας. ἡ γὰρ δρόσος ἀσθενής ἐστι, καὶ ἀδρανὴς ὄμβρος, ἀσθενὲς δὲ καὶ τὸ
τῆς σελήνης θερμόν. ὅθεν ἕλκει μὲν ἀπὸ γῆς ὥσπερ ὁ ἥλιος. ἄγειν δὲ εἰς ὕψος μὴ
δυναμένη, μηδὲ ἀναλαμβάνειν μεθίησιν.

Δ ιὰ τί τὸ δρόσιμον γενόμενον διὰ τὸ ψῦχος δυσίχνευτον. πότερον ὅτι τὰ θηρία πόρ-
ρω τῶν κοιτῶν ὀκνοῦντα προϊέναι διὰ τὸ κρύος, οὐ πολλὰ ποιεῖ σημεῖα. διὸ καὶ φα-
σὶν αὐτὰ φείδεσθαι τῶν πλησίον ὅπως μὴ κακοπαθῇ πλανώμενα μακρὰν τοῦ
χειμῶνος, ἀλλ' ἀεὶ ἐντεῦθεν ἔχῃ νέμεσθαι. ἢ δεῖ μὴ μόνον ἔχειν ἴχνη τὸν στιβευόμε-
νον τόπον, ἀλλὰ κινεῖν τὴν ὄσφρησιν. κινεῖν δὲ λυόμενα, καὶ χαλώμενα μαλακῶς
ὑπὸ θερμότητος. ἡ δὲ ἄγαν περίψυξις πηγνύουσα τὰς ὀσμάς, οὐκ ἐᾷ ῥεῖν, οὐδὲ
κινεῖν τὴν αἴσθησιν. ὅθεν καὶ τὰ μύρα, καὶ τὸν οἶνον, ἧττον ὄζειν ψύχους καὶ χει-
μῶνος λέγουσιν. ὁ γοῦν ἀὴρ πηγνύμενος, ἵστησι τὰς ὀσμὰς ἐν αὑτῷ, καὶ οὐκ ἐᾷ
ἀναδίδοσθαι.

Δ ιὰ τί τὰ ζῷα τὰς βοηθούσας δυνάμεις ὅταν ἐν πάθει γένηται, ζητεῖ καὶ διώκει,
καὶ χρώμενα πολλάκις ὠφελεῖται. καθάπερ αἱ κύνες ἐσθίουσαι, ἢ ὅταν καὶ χο-
λὴν ἐξεμῶσιν. αἱ δὲ ὕες ἐπὶ τοὺς ποταμίους καρκίνους φέρονται. βοηθοῦνται
γὰρ ἐσθίουσαι πρὸς κεφαλαλγίαν, ἡ δὲ χελώνη φαγοῦσα τὴν σάρκα τῆς ἔχεως,
ὀρίγανον ἐπεσθίει. τὴν δὲ ἄρκτον λέγουσιν ἀσωμένην τοὺς μύρμηκας, ἀναλαμ-
βάνειν τῇ γλώττῃ, καὶ καταπίνουσαν, ἀπαλλάττεσθαι. τούτων δὲ οὔτε πεῖρα καὶ
περίπτωσις γέγονεν αὐτοῖς. πότερον οὖν ὥσπερ τὰ κηρία τὴν μέλιτταν τῇ ὀ-
σμῇ, καὶ τὰ κενέβρεια τὸν γύπα κινεῖ, καὶ προσάγεται πόρρωθεν. οὕτως οὖν καὶ
τοὺς ὗς οἱ καρκῖνοι, καὶ τὴν χελώνην ἡ ὀρίγανος. αἱ δὲ μυρμηκίαι τὴν ἄρκτον ὀσμαῖς
καὶ ῥεύμασι προσφερέσι, καὶ οἰκείοις ἕλκουσιν, οὐ λογισμῷ τοῦ συμφέροντος ἀ-
γούσης τῆς αἰσθήσεως. ἢ τὰς ὀρέξεις ἐπιφέρουσι τοῖς ζώοις αἱ τῶν σωμάτων κρά-
σεις, αἳ νοσοποιοῦσι διαφόρους δριμύτητας, ἢ γλυκύτητας, ἢ τινας ἄλλας ἐντι-
κτοῦσαι ποιότητας ἀήθεις καὶ ἀτόπους τῶν ὑγρῶν τρεπομένων, ὡς δῆλόν ἐστιν
ἐπὶ τῶν γυναικῶν, ὅταν κύωσι, καὶ λίθους, καὶ γῆν προσφερομένων. διὸ καὶ τῶν
νοσούντων ταῖς ὀρέξεσιν οἱ χαρίεντες ἰατροὶ, προΐσασι τοὺς ἀσώτως ἢ σωτηρίως
ἔχοντας.   ἱστορεῖ οὖν μνησίθεος ἰατρὸς ἐν ἀρχῇ περιπνευμονίας τὸν ἐπιθυμήσαντα
κρομμύων, σώζεσθαι. τὸν δὲ, σύκων, ἀπόλλυσθαι, διὰ τὸ ταῖς κράσεσι τὰς ὀρέξεις,
τὰς δὲ κράσεις τοῖς πάθεσιν ἕπεσθαι. πιθανὸν οὖν ἐστι καὶ τῶν θηρίων τὰ μὴ παντε-
λῶς ὀλεθρίοις, μηδὲ ἀναιρετικοῖς περιπίπτοντα νοσήμασι ταύτην τὴν διάθεσιν, καὶ
κρᾶσιν ἴσχειν, ὑφ' ἧς ἐπὶ τὰ σώζοντα φέρεται καὶ ἄγεται ταῖς ὀρέξεσιν ἕκαστον αὐτῶν.

Δ ιὰ τί τὸ γλεῦκος ἂν ὑπὸ ψύχους περιέχηται τὸ ἀγγεῖον, γλυκὺ διαμένει πο-
λὺν χρόνον. πότερον ὅτι πέψις ἐστὶ τοῦ γλεύκους ἡ εἰς τὸ οἰνῶδες μεταβολή.
κωλύει δὲ τὴν πέψιν ἡ ψυχρότης. ὑπὸ θερμοῦ γὰρ ἡ πέψις, ἢ τοὐναν-

τίον οἰκεῖός ἐστι τῆς σταφυλῆς χυμὸς ὁ γλυκύς. διὸ καὶ πεπαίνεσθαι λέγεται τὸ γλυκὺ κιρνώμενον. ἡ δὲ ψυχρότης οὐκ ἐῶσα διαπνεῖν, ἀλλὰ συνέχουσα τὸ θερμὸν τὴν γλυκύτητα διατηρεῖ τοῦ γλεύκους. αὕτη δέ ἐστιν αἰτία καὶ τῶν ζυγομένων ὄμβρῳ τὸ γλεῦκος ἧττον ἀναζεῖν. ἡ γὰρ ζέσις ὑπὸ θερμότητος, τὴν δὲ θερμότητα κατέχει, καὶ συστέλλει τὸ ψυχρόν.

Διατί τῶν θηρίων ἡ ἄρκτος ἥκιστα διεσθίει τὰ δίκτυα, καίτοι καὶ λύκοι καὶ ἀλώπεκες διεσθίουσι. πότερον ἐνδοτάτω τοὺς ὀδόντας ἔχουσα τοῦ χάσματος ἥκιστα πρὸς τὰ λίνα ἐξικνεῖται. προεμπίπτει γὰρ τὰ χείλη διὰ πάχος καὶ μέγεθος. ἢ μᾶλλον ἰσχύουσα ταῖς χερσὶ ῥηγνύει, καὶ διασπᾷ τὸν βρόχον, ἢ καὶ ταῖς χερσὶν ἅμα χρῆται, καὶ τῷ σώματι. ταῖς μὲν διασπῶσα τὸ λίνον. τῷ δὲ, ἀμυνομένη τοὺς διώκοντας. οὐδενὸς δὲ ἧττον αὐτῇ βοηθοῦσιν, αἱ περικαλινδήσεις. διὸ μᾶλλον, ἢ διασπᾶν τὰ λίνα πραγματευομένη, πολλάκις ἐκκυβιστᾷ, καὶ σώζεται   αμὴ καὶ δέοι ἡ τῶν ὀδόντων

Τίς ἡ αἰτία δι' ἣν τὰ ψυχρὰ τῶν ὑδάτων οὐ θαυμάζομεν, ἀλλὰ τὰ θερμὰ, καίτοι δῆλον ὅτι θερμότης αἰτία τούτων, ὡς ψυχρότης ἐκείνων. οὐ γὰρ ὡς ἔνιοι νομίζουσιν, ἡ μὲν θερμότης δύναμίς ἐστιν, ἡ δὲ ψυχρότης στέρησις θερμότητος ὥστε πλέον ὧν αἴτιον φαίνεται τὸ μὴ ὂν τοῦ ὄντος. ἀλλὰ ἔοικε τῷ σπανίῳ τὸ θαυμάσιον ἡ φύσις νέμουσα, πῶς γίνεται ζητεῖν τὸ μὴ πολλάκις γινόμενον. ὁρᾷς τὸν ὑψοῦ τὸν δ' ἄπειρον αἰθέρα, καὶ τὴν πέριξ ἔχοντα θ' ὑγραῖς ἐν ἀγκάλαις. ὅσα μὲν ὀρχεται φόβων θεάματα νυκτὸς. ὅσον δὲ μεθ' ἡμέραν κάλλος ἀναδείκνυσιν, οἱ πολλοὶ τὴν τούτων φύσιν. ἴρειδες δὲ καὶ ποικίλματα νεφῶν ἡμέρα καὶ σέλα ῥηγνύμενα πομφόλυγος δίκην κεκόσμηται.   ἄστρα

Διατί τῶν ἀμπέλων τὰς ἀκάρπους   μωσι   νοῦτο
γαν   μὲν,   τῶν τράγων οἱ σφόδρα πίονες, ἧττον εἰσὶ γόνιμοι, καὶ μόλις ἀπὸ πιμελῆς ὀχεύουσι. τὸ γὰρ σπέρμα περίττωμα τῆς τροφῆς ἐστι, καὶ τῆς σώματι προστιθεμένης. ὅταν οὖν ἢ ζῷον, ἢ δένδρον εὐεκτῇ, καὶ παχύνηται, σημεῖόν ἐστι, τοῦ τὴν τροφὴν ἐν ἑαυτῷ καταναλισκομένην, μηδὲν, ἢ μικρόν τι καὶ ἀγενὲς, περίττωμα ποιεῖν.

Διατί ἄμπελος οἴνῳ ῥαινομένη μάλιστα τῷ ἐξ αὐτῆς ἀναξηραίνεται. πότερον ὡς τοῦ οἴνου ὑπὸ ἐν τοῖς πολυπόταις γίνεται φαλάκρωσις, ἀπὸ θερμότητος τὸ οἰνῶδές ἐστιν ὡς φυ-γρὸν ἐξατμίζοντος, ἢ φύ   ὅταν οὖν ἔξω
σιν ἐμπεδοκλῆς, οἶνον ἀπὸ φλοιοῦ πέλεσθαι σαπὲν ἐν ξύλῳ ὕδωρ. ὅταν οὖν ἔξωθεν οἴνῳ βρέχηται, γίνεται πῦρ ἀμπέλῳ, καὶ τοῦ τρέφοντος δυνάμιν ἐξίστησιν ἡ κρᾶσις ἢ στυπτικὴν φύσιν ἔχων ὁ ἄκρατος ἐνδύεται ταῖς ῥίζαις, καὶ τοὺς πόρους συνάγων, καὶ πυκνώσας οὐ δίησι τὸ ὕδωρ εἰς τὸ φυτὸν ᾗ εὐθαλῆ, καὶ βλαστάνειν πέφυκεν, ἢ καὶ ἔοικε μᾶλλον εἶναι τῇ ἀμπέλῳ παρὰ φύσιν τὸ ἐξ αὐτῆς ἀπιὸν εἰς αὐτὴν ἐπανιὸν πάλιν δέχεσθαι. τοῖς γὰρ ἐν τοῖς φυτοῖς ὑγρότητος ἤνθει, καί τι τρέφειν μὴ δὲ προστίθεσθαι, μὴ δὲ μόριον εἶναι τὸ φυ-

λείπει

ΕΙ ΔΕΙ ΦΙΛΟΣΟΦΕΙΝ ΠΑΡΑ ΠΟΤΟΝ.

Τὸ μισῶ μνάμονα συμπόταν ὦ σόσσιε σενεκίων ἔνιοι πρὸς τοὺς ἐπιστάθμους εἰρῆσθαι λέγουσι φορτικοὺς ἐπιεικῶς, καὶ ἀναγώγους ἐν τῷ πίνειν ὄντας. οἱ γὰρ ἐν σικελίᾳ δωριεῖς, ὡς ἔοικε τὸν ἐπίσταθμον μνάμονα προσηγόρευον. ἔνιοι δὲ τὴν παροιμίαν οἴονται τοῖς παρὰ πότον λεγομένοις, καὶ πραττομένοις ἀμνηστίαν ἐπάγειν. διὸ τήν τε λήθην οἱ πάτριοι λόγοι, καὶ τὸν νάρθηκα τῷ θεῷ συγκαθιεροῦσιν, ὡς ἢ μηδενὸς δέον μνημονεύειν τῶν ἐν οἴνῳ πλημμεληθέντων, ἢ παντελῶς ἐλαφρᾶς, καὶ παιδικῆς νουθεσίας δεομένων. ἐπεὶ δὲ καὶ σοὶ δοκεῖ τῶν μὲν ἀτόπων ἡ λήθη τῷ ὄντι σοφὴ κατ' εὐριπίδην εἶναι. τὸ δὲ ὅλως ἀμνημονεῖν τῶν ἐν οἴνῳ, μὴ μόνον τῷ φιλοποιῷ λεγομένῳ μάχεσθαι τῆς τραπέζης, ἀλλὰ καὶ τῶν φιλοσόφων τοὺς ἐλλογιμωτάτους ἀντιμαρτυροῦντας ἔχειν πλάτωνα καὶ ξενοφῶντα, καὶ ἀριστοτέλην, καὶ σπεύσιππον, ἐπίκουρόν τε καὶ πρύτανιν, καὶ ἱερώνυμον, καὶ δίωνα τὸν ἐξ ἀκαδημίας. ὡς ἄξιόν τινα σπουδῆς πεποιημένους ἔργον, ἀναγράψασθαι λόγους παρὰ πότον γενομένους ᾠήθησάν τε δεῖν ἡμᾶς τῶν σποράδην πολλάκις ἐν ἑτέρῳ μεθ' ἡμῶν, καὶ παρ' ἡμῖν ἐν τῇ ἑλλάδι παρούσης ἅμα τραπέζης, καὶ κύλικος φιλολογηθέντων συναγαγεῖν τὰ ἐπιτήδεια. πρὸς τούτῳ γενόμενος, τρία μὲν ἤδη σοὶ πέπομφα τῶν βιβλίων ἑκάστου δέκα προβλήματα περιέχοντος. πέμψω δὲ καὶ τὰ λοιπὰ ταχέως, ἂν ταῦτα δόξῃ μὴ παντελῶς ἄμουσα, μὴ δὲ ἀπροσδιόνυσα εἶναι. πρῶτον δὲ πάντων τέτακται τὸ περὶ τοῦ φιλοσοφεῖν παρὰ πότον. μέμνησαι γὰρ ὅτι ζητήσεως ἀθήνησι μετὰ δεῖπνον γενομένης, εἰ χρηστέον ἐν οἴνῳ φιλοσόφοις λόγοις, καὶ τί μέτρον ἐστὶ χρωμένοις. ἀρίστων παρὼν, εἰσὶ γὰρ ἔφησε πρὸς τῶν θεῶν οἱ φιλοσόφοις χώραν ἐπ' οἴνῳ μὴ διδόντες. ἐγὼ δὲ εἶπον, ἀλλ' οὐ γάρ εἰσιν ὦ ἑταῖρε, καὶ πάνυ γε σεμνῶς κατειρωνευόμενοι λέγουσι μὴ δεῖν ὥσπερ οἰκοδέσποιναν ἐν οἴνῳ φθέγγεσθαι φιλοσοφίαν, καὶ τοὺς πέρσας ὀρθῶς φασι μὴ ταῖς γαμεταῖς, ἀλλὰ ταῖς παλλακίσι συμμεθύσκεσθαι, καὶ συνορχεῖσθαι. ταυτὸ δὴ καὶ ἡμᾶς ἀξιοῦσι ποιεῖν εἰς τὰ συμπόσια τὴν μουσικὴν, καὶ τὴν ὑποκριτικὴν ἐπεισάγοντες, φιλοσοφίαν δὲ μὴ κινοῦντας, ὡς οὔτε συμπαίζειν ἐκείνην ἐπιτήδειον οὖσαν, οὔτε ἡμᾶς τηνικαῦτα σπουδαστικῶς ἔχοντας. οὐδὲ τὸν ἰσοκράτην τὸν σοφιστὴν ὑπομεῖναι δεομένων εἰπεῖν τι παρ' οἶνον, ἀλλ' ἢ τοσοῦτον.

ἐν οἷς μὲν ἐστὶ δεινὸς οὐχ ὁ νοῦ καιρός, ἐν οἷς δ' ὁ νοῦ καιρὸς οὐκ ἐστὶ δεινός. καὶ ὁ Κράτων ἀνακραγών, εὖ γε εἶπε νὴ τὸν Διόνυσον, ἐξώμνυτο τὸν λόγον, εἰ τοιαύτας ἔμελλε περαίνειν περιόδους, αἷς ἔμελλε χαρίτων ἀνάστατον γενέσθαι συμπόσιον. οὐχ ὅμοιον δὲ οἶμαι ἐπιεικὲς ἐξαίρειν συμποσίου λόγον, καὶ φιλόσοφον, ἀλλ' ἑτερόν ἐστι τῆς φιλοσοφίας, ἣν τέχνην περὶ βίον οὖσαν, οὔτε τινὸς παιδιᾶς, οὔτε τῆς ἡδονῆς διαγωγὴν ἐχούσης ἀποστατεῖν εἰκός, ἀλλὰ πᾶσι παρεῖναι τὸ μέτρον, καὶ τὸν καιρὸν ἐπιφέρουσαν, ἢ μηδὲ σωφροσύνην, μηδὲ δικαιοσύνην οἰόμεθα δεῖν, εἰς τοὺς πότους δέχεσθαι, κατειρωνευόμενοι τὸ σεμνὸν αὐτῶν. εἰ μὲν οὖν, ὥσπερ οἱ τὸν Ὀρέστην ἑστιῶντες ἐν θεσμοθετείῳ σιγῇ τρώγειν, καὶ πίνειν ἐμέλλομεν, ἦν τι τοῦτο τῆς ἀμαθίας οὐκ ἀτυχὲς παραμύθιον. εἰ δὲ πάντων μὲν ὁ Διόνυσος λύσιός ἐστι καὶ λύδιος, μάλιστα δὲ τῆς γλώττης ἀφαιρεῖται τὰ χαλινά, καὶ πλείστην ἐλευθερίαν τῇ φωνῇ δίδωσιν, ἀβέλτερον οἶμαι, καὶ ἀνόητον ἐν λόγοις πλεονάζον τὸ ἄκαιρον ἀποστερεῖν τῶν ἀρίστων λόγων, καὶ ζητεῖν μὲν ἐν ταῖς διατριβαῖς περὶ συμποτικῶν καθηκόντων, καὶ τίς ἀρετὴ συμπότου, καὶ πῶς οἴνῳ χρηστέον, ἐξ αὐτῶν δὲ τῶν συμποσίων ἀναιρεῖν φιλοσοφίαν, ὡς ἔργῳ βεβαιοῦν, ἃ διδάσκει λόγῳ μὴ δυναμένην. σοῦ δὲ εἰπόντος οὐκ ἄξιον εἶναι Κράτωνι περὶ τούτων ἀντιλέγειν, ὅρον δέ τινα, καὶ χαρακτῆρα τῶν παρὰ πότον φιλοσοφουμένων, ζητεῖν ἐκφεύγοντα τοῦτο δὴ τὸ παιζόμενον οὐκ ἀηδῶς πρὸς τοὺς ἐρίζοντας, καὶ σοφιστεύοντας. νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον ἵνα ξυνάγωμεν ἄρηα, καὶ παρακαλοῦντος ἡμᾶς ἐπὶ τὸν λόγον, ἔφην ἔστω πρῶτον. ὅτι μοι δοκεῖ σκεπτέον εἶναι τὸ τῶν παρόντων. ἂν μὲν γὰρ πλείονας ἔχῃ φιλολόγους τὸ συμπόσιον, ὡς τὸ Ἀγάθωνος Σωκράτης, Φαῖδρος, Παυσανίας, Ἐρυξίμαχος, καὶ τὸ Καλλίου, Χαρμίδας, Ἀντισθένης, Ἑρμογένης, ἑτέρους τούτοις παραπλησίους, ἀφήσομεν αὐτοὺς λόγῳ φιλοσοφεῖν, οὐχ ἧττον ταῖς μούσαις τὸν Διόνυσον, ἢ ταῖς νύμφαις κεραννύντες. ἐκεῖναι μὲν γὰρ αὐτὸν τοῖς σώμασιν ἵλεω καὶ πρᾶον, αὗται δὲ ταῖς ψυχαῖς μειλίχιον ὄντως, καὶ χαριδότην ἐπεισάγουσι. καὶ γὰρ ἂν ὀλίγοι τινὲς ἰδιῶται παρῶσιν, ὥσπερ ἄφωνα γράμματα φωνηέντων ἐν μέσῳ πολλῶν τῶν πεπαιδευμένων ἐμπεριλαμβανόμενοι φθογγῆς τινος, οὐ παντελῶς ἀνάρθρου, καὶ συνέσεως κοινωνήσουσιν. ἂν δὲ πλῆθος, ἢ τοιούτων ἀνθρώπων, οἳ παντὸς μὲν ὀρνέου, παντὸς δὲ νεύρου, καὶ ξύλου μᾶλλον, ἢ φιλοσόφου φωνὴν ὑπομένουσι, τὸ τοῦ Πεισιστράτου χρήσιμον. ἐκεῖνος γὰρ ἐν διαφορᾷ τινι πρὸς τοὺς υἱοὺς γενόμενος, ὡς ᾔσθετο τοὺς ἐχθροὺς χαίροντας, ἐκκλησίαν συναγαγὼν ἔφη, βούλεσθαι μὲν αὐτὸν πεῖσαι τοὺς παῖδας. ἐπεὶ δὲ δυσκόλως ἔχουσιν, αὐτὸν ἐκείνοις πείσεσθαι, καὶ ἀκολουθήσειν. οὕτω δὴ καὶ φιλόσοφος ἀνὴρ ἐν συμπόταις μὴ δεχομένοις τοὺς λόγους αὐτοῦ μεταθέμενος ἕψεται, καὶ ἀγαπήσει τὴν ἐκείνων διατριβήν, ἐφ' ὅσον μὴ ἐκβαίνῃ τὸ εὔσχημον, εἰδὼς ὅτι ῥητορεύουσι μὲν ἄνθρωποι διὰ λόγου, φιλοσοφοῦσι δὲ καὶ σιωπῶντες, καὶ παίζοντες, καὶ νὴ Δία σκωπτόμενοι, καὶ σκώπτοντες. οὐ γὰρ μόνον ἀδικίας ἐσχάτης ἐστίν, ὥς φησι Πλάτων, μὴ ὄντα δίκαιον εἶναι δοκεῖν, ἀλλὰ καὶ συνέσεως ἄκρας φιλοσοφοῦντα μὴ δοκεῖν φιλοσοφεῖν, καὶ παίζοντα διαπράττεσθαι τὰ τῶν σπουδαζόντων. ὡς γὰρ αἱ παρ' Εὐριπίδῃ μαινάδες ἄνοπλοι, καὶ ἀσίδηροι τοῖς θυρσαρίοις παίουσαι τοὺς ἐπιτιθεμένους τραυματίζουσιν. οὕτω τῶν ἀληθινῶν φιλοσόφων, καὶ τὰ σκώμματα, καὶ οἱ γέλωτες τοὺς μὴ παντελῶς ἀτρώτους κινοῦσιν ἁμωσγέπως, καὶ συνεπιστρέφουσιν. οἶμαι δὲ διηγήσεων εἶναί τι συμποτικὸν γένος, ὧν τὰς μὲν ἱστορία δίδωσι, τὰς δὲ ἐκ τῶν ἀνὰ χεῖρα πραγμάτων λαβεῖν ἐστιν. πολλὰ μὲν εἰς φιλοσοφίαν παραδείγματα, πολλὰ δὲ εἰς εὐσέβειαν ἐχούσας, ἀνδρικῶν τε πράξεων,

ότῃ .l.
ιὼν .l.
ωποτικῶν .l.

καὶ μεγαλοθύμων, ἐνίας δὲ χρηστῶν, καὶ φιλανθρώπων ζῆλον ἐπαγούσας, αἷς ἤν τις ἀνυπόπτως χρώμενος διαπαιδαγωγῇ τοὺς πίνοντας, οὐ τὰ ἐλάχιστα τῶν κακῶν ἀφαιρήσει τῆς μέθης. οἱ μὲν οὖν τὰ βούγλωσσα καταμιγνύντες εἰς τὸν οἶνον καὶ τοῖς ἀφεψήμασι τῶν περιστερεῶν, καὶ ἀδιάντων τὰ ἐδάφη ῥαίνοντες, ὡς τούτων τινὰ τοῖς ἑστιωμένοις εὐθυμίαν καὶ φιλοφροσύνην ἐνδιδόντων, ἀπομιμούμενοι τὴν ὁμηρικὴν Ἑλένην ὑποφαρμάττουσαν τὸν ἄκρατον, οὐ συνορῶσιν ὅτι κἀκεῖνος ὁ μῦθος ἐκ περιελθὼν ἀπ' Αἰγύπτου μακρὰν ὁδὸν εἰς λόγους ἐπιεικεῖς, καὶ πρέποντας ἐτελεύτησεν. ἡ γὰρ Ἑλένη πίνουσιν αὐτοῖς διηγεῖται περὶ τοῦ Ὀδυσσέως. οἷον ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας. τοῦτο γὰρ ἦν ὡς ἔοικε τὸ νηπενθές, φάρμακον, καὶ ἀνώδυνον. λόγος ἔχων καιρὸν ἁρμόζοντα τοῖς ὑποκειμένοις πάθεσι, καὶ πράγμασιν. οἱ δὲ χαρίεντες κἂν ἀπ' εὐθείας φιλοσοφῶσι, τηνικαῦτα διὰ τοῦ πιθανοῦ μᾶλλον, ἢ βιαστικοῦ τῶν ἀποδείξεων ἄγουσι τὸν λόγον. ὁρᾷς γὰρ ὅτι καὶ Πλάτων ἐν τῷ Συμποσίῳ περὶ τέλους διαλεγόμενος, καὶ τοῦ πρώτου ἀγαθοῦ, καὶ ὅλως θεολογῶν οὐκ ἐντείνει τὴν ἀπόδειξιν, οὐδ' ὑποκονίεται τὴν λαβήν, ὥσπερ εἴωθεν, εὔτονον ποιῶν, καὶ ἄφυκτον, ἀλλ' ὑγροτέροις λήμμασι, καὶ παραδείγμασι, καὶ μυθολογίαις προσάγεται τοὺς ἄνδρας. εἶναι δὲ δεῖ καὶ αὐτὰς τὰς ζητήσεις ὑγροτέρας, καὶ γνώριμα τὰ προβλήματα, καὶ τὰς πεύσεις ἐπιεικεῖς, καὶ μὴ γλίσχρας, ἵνα μὴ πνίγωσι τοὺς ἀσκητοτέρους, μηδὲ ἀποτρέπωσιν. ὥσπερ γὰρ τὰ συμπόσια πινόντων δι' ὀρχήσεως καὶ χορείας νενόμισται σαλεύειν, ἂν δὲ ὁπλομαχεῖν ἀναστάντας ἢ δισκεύειν ἀναγκάζωμεν αὐτούς, οὐ μόνον ἀτερπές, ἀλλὰ καὶ βλαβερὸν ἔσται τὸ συμπόσιον, οὕτω τὰς ψυχάς, αἱ μὲν ἐλαφραὶ ζητήσεις ἐμμελῶς καὶ ὠφελίμως κινοῦσι. ἐριδαντείων δὲ κατὰ Δημόκριτον, καὶ ἱμαντελικτείων λόγους ἀφετέον. οἳ αὐτούς τε κατατείνουσιν ἐν πράγμασι γλίσχροις, καὶ δυσθεωρήτοις, τούς τε παρατυγχάνοντας ἀνιῶσι. δεῖ γὰρ ὥσπερ τὸν οἶνον κοινόν, εἶναι καὶ τὸν λόγον, οὗ πάντες μεθέξουσιν. οἱ δὲ τοιαῦτα προβλήματα καθιέντες, οὐδὲν ἂν τῆς Αἰσωπείου γεράνου, καὶ ἀλώπεκος ἐπιεικέστεροι, πρὸς κοινωνίαν φανεῖεν. ὧν ἡ μὲν ἔτνος τι λιπαρὸν κατὰ λίθου πλατείας καταχεαμένη, ἀλλὰ γέλωτα πάσχουσαν. ἐξέφευγε γὰρ ὑγρότητι τὸ ἔτνος τὴν λεπτότητα τοῦ στόματος αὐτῆς. ἐν μέρει τοίνυν ἡ γέρανος αὐτῇ καταγγείλασα δεῖπνον, ἐν λαγυνίδι προύθηκε λεπτὸν ἐχούσῃ καὶ μακρὸν τράχηλον, ὥστε αὐτὴν μὲν καθιέναι τὸ στόμα ῥᾳδίως καὶ ἀπολαύειν, τὴν δὲ ἀλώπεκα μὴ δυναμένην κομίζεσθαι συμβολὰς πρεπούσας. οὕτω τοίνυν ὅταν οἱ φιλόσοφοι παρὰ πότον εἰς λεπτὰ, καὶ διαλεκτικὰ προβλήματα καταδύντες ἐνοχλῶσι, τοῖς πολλοῖς ἕπεσθαι μὴ δυναμένοις. ἐκεῖνοι δὲ πάλιν, ἐπὶ ᾠδάς τινας καὶ διηγήματα φλυαρώδη καὶ λόγους βαναύσους, καὶ ἀγοραίους ἐμβάλλωσιν ἑαυτούς, οἴχεται τῆς συμποτικῆς κοινωνίας τὸ τέλος, καὶ καθύβρισται ὁ Διόνυσος. ὥσπερ οὖν τὴν Φρυνίχου καὶ Αἰσχύλου τραγῳδίαν εἰς μύθους καὶ πάθη προαγόντων ἐλέγχθη, ὅτι ταῦτα πρὸς τὸν Διόνυσον, οὕτως ἔμοιγε πολλάκις εἰπεῖν παρέστη πρὸς τοὺς ἕλκοντας εἰς τὰ συμπόσια, τὸν κυριεύοντα, ὦ ἄνθρωπε, τί ταῦτα πρὸς τὸν Διόνυσον. ᾄδειν μὲν γὰρ ἴσως τὰ καλούμενα σκολιὰ κρατῆρος ἐν μέσῳ προκειμένου, καὶ στεφάνων διανεμομένων, οὓς ὁ θεὸς ἐλευθερῶν ἡμᾶς ἐπιτίθησιν, οὐ καλὸν δὲ οὐδὲ συμποτικόν. ἐπεί τοι καὶ τὰ σκολιά φασιν οὐ γένος ᾀσμάτων εἶναι πεποιημένων ἀσαφῶς, ἀλλ' ὅτι πρῶτον μὲν ᾖδον ᾠδὴν τοῦ θεοῦ κοινῶς ἅπαντες μιᾷ φωνῇ παιανίζοντες. δεύτερον δὲ ἐφεξῆς ἑκάστῳ μυρσίνης παραδιδομένης, ἣν ἄσαρον οἶμαι διὰ τὸ ᾄδειν τὸν δεξάμενον ἐκάλουν. ἐπὶ δὲ τούτῳ λύρας περιφερομένης, ὁ μὲν πεπαιδευμένος ἐλάμβανε, καὶ ᾖδεν ἁρμοζόμενος, τῶν δὲ ἀμού-

ἐλέχθη τι .l.
ἄσαρον .l.

σων οὐ προσιεμένων σκολιὸν ὠνομάσθη, τὸ μὴ κοινὸν αὐτοῦ, μηδὲ ῥᾴδιον· ἄλλοι δέ φασι τὴν μυρσίνην οὐ καθεξῆς βαδίζειν, ἀλλὰ καθ' ἕκαστον ἐπὶ κλίνης ἀπὸ κλίνης διαφέρεσθαι· τὸν γὰρ πρῶτον ᾄσαντα τῷ πρώτῳ τῆς δευτέρας κλίνης ἀποστέλλειν· ἐκεῖνον δὲ τῷ πρώτῳ τῆς τρίτης, εἶτα τὸν δεύτερον ὁμοίως τῷ δευτέρῳ· καὶ τὸ ποικίλον, καὶ πολυκαμπὲς, ὡς ἔοικε, τῆς περιόδου σκολιὸν ὠνομάσθη.

Πότερον αὐτὸν δεῖ κατακλίνειν τοὺς ἑστιωμένους τὸν ὑποδεχόμενον, ἢ ἐπ' αὐτοῖς ἐκείνοις ποιεῖσθαι. β'.

Τίμων ὁ ἀδελφὸς ἑστιῶν πλείονας, ἕκαστον ἐκέλευε τῶν εἰσιόντων ὅποι βούλεται παρεμβάλλειν, καὶ κατακλίνεσθαι, διὰ τὸ καὶ ξένους, καὶ πολίτας, καὶ συνήθεις, καὶ οἰκείους, καὶ ὅλως παντοδαποὺς τοὺς κεκλημένους εἶναι. πολλῶν οὖν ἤδη παρόντων, ξένος τις ὥσπερ εὐπάρυφος ἐκ κωμῳδίας, ἐσθῆτί τε περιττῇ καὶ ἀκολουθίᾳ παίδων ὑποσολοικότερος ἧκεν, ἄχρι τῶν θυρῶν τοῦ ἀνδρῶνος, καὶ κύκλῳ ταῖς ὄψεσιν ἐπελθὼν τοὺς κατακειμένους οὐκ ἠθέλησεν εἰσελθεῖν, ἀλλ' ᾤχετο ἀπιὼν, καὶ πολλῶν μεταθεόντων οὐκ ἔφη τὸν ἄξιον ἑαυτοῦ τόπον ὁρᾶν λειπόμενον. ἐκεῖνον μὲν οὖν πολλῷ γέλωτι χαίροντας, εὐφημοῦντας, ἐκπέμπειν δόμων ἐκέλευον οἱ κατακείμενοι· καὶ γὰρ ἦσαν πολλοὶ μετρίως ὑποπεπωκότες. ἐπεὶ δὲ τὰ περὶ τὸ δεῖπνον τέλος εἶχεν, ὁ πατὴρ ἐμὲ πορρωτέρω κατακείμενον προσειπών· Τίμων ἔφη κἀγὼ κριτήν σε πεποιήμεθα διαφερόμενοι· πάλαι γὰρ ἀκούει κακῶς ὑπ' ἐμοῦ διὰ τὸν ξένον· εἰ γὰρ διετάττετο ἀπ' ἀρχῆς, ὥσπερ ἐγὼ ἐκέλευον, ἐπὶ τὰς κλίσεις, οὐκ ἂν εὐθύνας ὑπείχομεν ἀταξίας ἀνδρὶ δεινῷ κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας. καὶ γὰρ δὴ Παῦλον Αἰμίλιον στρατηγὸν λέγουσιν, ὅτε Περσέα καταπολεμήσας ἐν Μακεδονίᾳ πότους συνεκρότει, τῷ τε κόσμῳ τε θαυμαστῷ περὶ πάντα, καὶ τῇ λοιπῇ τάξει χρώμενον εἰπεῖν, ὅτι τοῦ αὐτοῦ ἀνδρός ἐστι καὶ φάλαγγα συστῆσαι φοβερωτάτην, καὶ συμπόσιον ἥδιστον· ἀμφότερα γὰρ εὐταξίας εἶναι, καὶ τοὺς ἀρίστους, καὶ τοὺς βασιλικωτάτους ὑμεῖς που ὁ ποιητὴς εἴωθε κοσμήτορας λαῶν προσαγορεύειν, καὶ τὸν μέγαν θεὸν τῶν ὄντων φατὲ τὴν ἀκοσμίαν εὐταξίᾳ μεταβαλεῖν εἰς κόσμον, οὔτε ἀφελόντα τῶν ὄντων οὐδὲν, οὔτε προσθέντα· τὸ δὲ ἕκαστον ἐπὶ τὴν προσήκουσαν χώραν καταστῆσαι, τὸ κάλλιστον ἐξ ἀμορφοτάτου σχῆμα περὶ τὴν φύσιν ἀπεργασάμενον, ἀλλὰ ταῦτα μὲν τὰ σεμνότερα, καὶ μείζονα παρ' ὑμῶν μανθάνομεν· αὐτοὶ δὲ καὶ τὴν περὶ τὰ δεῖπνα δαπάνην ὁρῶμεν οὐδὲν ἔχουσαν ἐπιτερπὲς οὐδὲ ἐλευθέριον, εἰ μὴ τάξεως μετάσχοι. διὸ καὶ γελοῖόν ἐστι, τοῖς μὲν ὀψοποιοῖς, καὶ τραπεζοκόμοις σφόδρα μέλειν τί πρῶτον, ἢ τί δεύτερον, ἢ μέσον, ἢ τελευταῖον ἐπάξουσι, καὶ νὴ Δία μύρου τινὰ καὶ στεφάνων, καὶ ψαλτρίας ἂν τύχῃ παροῦσα χώραν καὶ τάξιν εἶναι, τοὺς δ' ἐπὶ ταῦτα καλουμένους εἰκῇ καὶ ὡς ἔτυχε, κατακλίναντα χορτάζειν, μήτε ἡλικίᾳ, μήτε ἀρχῇ, μήτε ἄλλῳ τινὶ τῶν ὁμοίων τὴν ἁρμόττουσαν ἀποδιδόντα τάξιν, ἐν ᾗ τιμᾶται μὲν ὁ προέχων, ἐθίζεται δὲ ὁ δευτερεύων, γυμνάζεται δὲ ὁ τάττων πρὸς διάκρισιν καὶ στοχασμὸν τοῦ πρέποντος. οὐ γὰρ ἕδρα μέν ἐστι καὶ στάσις τοῦ κρείττονος, κατάκλισις δὲ οὐκ ἔστιν, οὐδὲ προπίεται ἑτέρῳ προτέρου μᾶλλον ὁ ἑστιῶν· περὶ δὲ τὰς κατακλίσεις παρόψεται τὰς διαφορὰς εὐθὺς ἐν ἀρχῇ τὴν ἀγομένην μίαν μύκονον ἀποφήνας τὸ συμπόσιον. ἡ μὲν οὖν τοῦ πατρὸς δικαιολογία τοιαύτη τις ἦν, ὁ δὲ ἀδελφὸς εἶπεν, ὅτι τοῦ Βίαντος οὐκ εἴη σοφώτερος, ὥστε ἐκεῖνος δυεῖν φίλων ἀπείπατο μὲν δίαιταν αὐτὸς ὁμοῦ, τοσούτων δὲ οἰκείων, τοσούτων δὲ ἑτέρων γίνεσθαι κριτὴς, οὐ περὶ χρημάτων, ἀλλὰ περὶ πρωτείων ἀποφαινόμενος, ὥσπερ οὐ φιλοφρονήσασθαι παρακεκληκὼς, ἀλλ' ἀνιᾶσαι τοὺς ἐπιτηδείους, ἄτο-

πος μὲν οὖν ἔφη, καὶ παροιμιώδης Μενέλαος, εἴ γε σύμβουλος ἐγένετο μὴ παρακεκλημένος. ἀτοπώτερος δὲ ὁ ποιῶν ἑαυτὸν ἀνθ' ἑστιάτορος δικαστὴν, καὶ κριτὴν τῶν οὐκ ἐπιτρεπόντων, οὐδὲ κρινομένων, τίς ἐστι βελτίων, τίνος ἢ χείρων. οὐ γὰρ εἰς ἀγῶνα καθεῖκασιν, ἀλλ' ἐπὶ δεῖπνον ἥκουσιν, ἀλλ' οὐδὲ εὐχερὴς ἡ διάκρισίς ἐστι. τῶν μὲν ἡλικίᾳ, τῶν δὲ οἰκειότητι διαφερόντων. ἀλλὰ δεῖ καθάπερ ὑπόθεσιν μελετῶντα συγκριτικὴν τοὺς Ἀριστοτέλους τόπους, ἢ τοὺς Θρασυμάχου ὑπερβάλλοντας ἔχειν προχείρους, οὐδὲν τῶν χρησίμων διαπραττόμενον, ἀλλὰ τὴν κενὴν δόξαν ἐκ τῆς ἀγορᾶς, καὶ τῶν θεάτρων εἰς τὰ συμπόσια μετάγοντα, καὶ τὰ μὲν ἄλλα πάθη πειρώμενον ἅμα μὲν συνουσίᾳ, τὸ δὲ τύχῃ ἐπισκευάζοιτα

ον πολὺ μᾶλλον οἶμαι προσήκει τῆς ψυχῆς, ἢ τὸν πηλὸν ἀπονιψαμένους τῶν ποδῶν ἐλαφρῶς καὶ ἀφελῶς παρὰ πότον ἀλλήλοις συμφέρεσθαι. νῦν δὲ τὴν μὲν ἐξ ὀργῆς τινος, ἢ πραγμάτων ἔχθραν πειρώμεθα τῶν κεκλημένων ἀφαιρεῖν· τῇ δὲ φιλοτιμίᾳ, πάλιν ὑπεκκάομεν, καὶ ἀναζωπυροῦμεν, τοὺς μὲν ταπεινοῦντες, τοὺς δὲ ὀγκοῦντες. καίτοι γε, εἰ μὲν ἀκολουθήσουσι τῇ κατακλίσει, προπόσεις τε συνεχέστεραι, καὶ παραθέσεις· ἔτι δὲ ὁμιλίαι, καὶ προσαγορεύσεις, παντάπασι γενήσεται σατραπικὸν ἡμῖν, ἀντὶ φιλικοῦ τὸ συμπόσιον. εἰ δὲ περὶ τἆλλα τὴν ἰσότητα τοῖς ἀνδράσι φυλάξομεν· τί οὐκ ἐντεῦθεν ἀρξάμενοι πρῶτον ἐθίζομεν ἀτύφως καὶ ἀδελφῶς κατακλίνεσθαι μετ' ἀλλήλων εὐθὺς ἀπὸ τῶν θυρῶν ὁρῶντας, ὅτι δημοκρατικός ἐστι τὸ δεῖπνον, καὶ οὐκ

πόλιν ἐφ' οὗ κατακλιθεὶς ὁ πλούσιος ἐν τῇ κατακλίσει τοῖς εὐτε- ἐξαίρετον ὡς λεσταῖς. ἐπεὶ δὲ καὶ ταῦτα ἐρρήθη, καὶ τὴν κρίσιν ἀπῄτουν οἱ παρόντες, ἔφην ἐγὼ διαιτητὴς ᾑρημένος, οὐ κριτὴς βαδιεῖσθαι διὰ μέσου· νέους μὲν γὰρ εἶπον ἑστιῶντας, καὶ πολίτας, καὶ συνήθεις ἐθιστέον, ὥς φησι Τίμων ἀφελῶς καὶ ἀτύφως κατανέμειν αὐτοὺς, εἰς ἣν ἂν τύχωσι χώραν, καλὸν εἰς φιλίαν ἐφόδιον τὴν εὐκολίαν λαμβάνοντας· ἐν δὲ ξένοις, ἢ ἄρχουσιν, ἢ πρεσβυτέροις φιλοσοφοῦνταις δέδια μὴ δοκῶμεν τῇ αὐλείῳ τὸν τῦφον ἀποκλείοντες εἰσάγειν τῇ παραθύρῳ μετὰ πολλῆς ἀδιαφορίας, ἐν ᾧ καὶ συνηθείᾳ τινὶ καὶ νόμῳ δοτέον, ἢ καὶ προπόσεις καὶ προσαγορεύσεις ἀνέλωμεν· αἷς πρὸς τοὺς ἐπιτυγχάνοντας, οὐδ' ἀκρίτως, ἀλλ' ὡς ἐνδέχεται μάλιστα χρώμενοι τιμῶμεν ἕδρῃ τε κρέασί τε, ἠδὲ πλείοις δεπάεσσιν, ὥς φησιν ὁ τῶν Ἑλλήνων βασιλεὺς, τὴν τάξιν ἐν πρώτῃ τιμῇ τιθέμενος. ἐπαινοῦμεν δὲ καὶ τὴν Ἀλκίνουν, ὅτι τὸν ξένον ἱδρύει παρ' αὐτὸν, υἱὸν ἀναστήσας ἀγαπήνορα Λαομέδοντα, ὅς οἱ πλησίον, μάλιστα δέ μιν φιλέεσκεν. τὸ γὰρ εἰς τὴν τοῦ φιλουμένου χώραν καθίσαι τὸν οἰκέτην, ἐπιδέξιον ἐμμελῶς καὶ φιλάνθρωπον. ἔστι δὲ καὶ παρὰ τοῖς θεοῖς διάκρισις τῶν τοιούτων. ὁ μὲν γὰρ Ποσειδῶν, καίπερ ὕστατος εἰς τὴν ἐκκλησίαν παραγενόμενος ἷζεν ἄρ' ἐν μέσσοισιν, ὡς ταύτης αὐτῷ τῆς χώρας προσηκούσης. ἡ δὲ Ἀθηνᾶ φαίνεται τὸν πλησίον ἀεὶ τοῦ Διὸς τόπον ἐξαίρετον ἔχουσα, καὶ τοῦτο παρεμφαίνει μὲν ὁ ποιητὴς δι' ὧν περὶ τῆς Θέτιδος φησιν, ἡ δ' ἄρα πὰρ Διῒ πατρὶ καθέζετο, εἶξε δ' Ἀθήνη. διαρρήδην δὲ ὁ Πίνδαρος λέγει· πῦρ πνέοντος ἅ τε κεραυνοῦ ἄγχιστα ἡμένη. καίτοι φησὶ Τίμων οὐ δεῖν ἀφαιρεῖσθαι τῶν ἄλλων ἐν ᾧ ποιεῖν μᾶλλον, ἀφαιρεῖται γὰρ ὁ κοινὸν ποιῶν τὸ ἴδιον. ἴδιον δὲ τὸ κατ' ἀξίαν ἑκάστου, καὶ ποιεῖ δρόμου καὶ σπουδῆς τὸ πρωτεῖον, ἀρετῇ καὶ συγγενείᾳ, καὶ ἀρχῇ, καὶ τοῖς τοιούτοις ὀφειλόμενον, καὶ τὸ λυπηρὸν εἶναι τοῖς κεκλημένοις φεύγειν δοκῶν μᾶλλον ἐφέλκεται καθ' αὑτοῦ. λυπεῖ γὰρ ἀποστερῶν τῆς συνήθους τιμῆς ἕκαστον. ἐμοὶ δὲ οὐ λίαν χαλεπὸν εἶναι δοκεῖ, τὸ περὶ τὴν διάκρισιν. πρῶτον μὲν γὰρ ἐφάμιλλοι τοῖς ἀξιώμασι πολλοὶ πρὸς μίαν κλῆσιν, οὐ ῥᾳδίως ἀπαντῶσιν. ἔπειτα πλειόνων τόπων ἐν δόξῃ γενομένων, ἀφθο-

ἀφελῶς .f.
τὸν .f.
ἧφρο .f.

νία τῆς διανομῆς ἐστιν. ἄν τε εὐστοχεῖν δύνηται. τὸ μὲν ὅτι πρῶτος. τὸ δὲ ὅτι μέσος. τὸ δ' ὅτι παρ' αὐτόν, ἢ μετὰ φίλου τινός, ἢ συνήθους, ἢ καθηγητοῦ διδοὺς ἑκάστῳ τῶν ἀξιωματικῶν λεγομένων. τοῖς δὲ ἄλλοις δωρεάς. καὶ φιλοφροσύνην ἔλιπον ἀνέπαυλαν μᾶλλον τῆς τιμῆς. ἂν δ' [gap] τοι μὲν αἱ ἀξίαι, δύσκολοι δὲ οἱ ἄνδρες ὦσιν, ὅρα τινὰ μηχανὴν ἐπάγω. κατακλίνω γὰρ εἰς τὸν εὔδοξον μάλιστα τόπον, ἂν μὲν ᾖ πατήρ, τὸν υἱὸν ἀράμενος, εἰ δὲ μὴ πάππον, ἢ πενθερόν, ἢ πατρὸς ἀδελφόν, ἤ τινα τῶν ὁμοδούλων (?), καὶ ἰδίαν ἐχόντων παραδεχομένῳ τιμῆς ὑπεροχήν. ἐκ τῶν ὁμήρου τὸ θεώρημα τοῦτο λαμβάνων καθηκόντων. καὶ γὰρ ἐκεῖ δή που θεν ὁ ἀχιλλεὺς τὸν μενέλεων, καὶ τὸν ἀντίλοχον περὶ τῶν δευτερείων τῆς ἱπποδρομίας ὁρῶν διαφερομένους καὶ δεδοικὼς μὴ περαιτέρω προσέλθωσιν ὀργῆς, καὶ φιλονεικίας, ἑτέρῳ βούλεται τὸ ἔπαθλον ἀποδιδόναι, λόγῳ μὲν εὔμηλον οἰκτείρων καὶ τιμῶν, ἔργῳ δὲ τῆς ἐκείνων διαφορᾶς τὴν αἰτίαν ἀφαιρῶν. ἐμοῦ δὲ τοιαῦτα λέγοντος, ὁ λαμπρίας ἐκ παραβύστου καθείμενος καθάπερ εἰώθει μέγα φθεγξάμενος, ἠρώτα τοὺς παρόντας. εἰ δίδοασιν αὐτῷ νουθετῆσαι ληροῦντα δικαστήν. κελευόντων δὲ πάντων χρῆσθαι παρρησίᾳ, καὶ μὴ φείδεσθαι. τίς δ' ἂν ἔφη φείσαιτο φιλοσόφου γένεσιν, καὶ πλοῦτον, καὶ ἀρχάς, ὥσπερ θέαν ἐν συμποσίῳ κατανέμοντος, ἢ προεδρίας ψηφισμάτων ἀμφικτυονικῶν διδόντος. ὅπως μηδὲ ἐν οἴνῳ τὸν τῦφον ἀποφύγωμεν. οὔτε γὰρ πρὸς τὸ ἔνδοξον, ἀλλὰ πρὸς τὸ ἡδὺ δεῖ ποιεῖσθαι τὰς κατακλίσεις, οὔτε τὴν ἑνὸς ἑκάστου σκοπεῖν ἀξίαν, ἀλλὰ τὴν ἑτέρου πρὸς ἕτερον χρῆσιν, καὶ ἁρμονίαν, ὥσπερ ἄλλων τινῶν εἰς μίαν κοινωνίαν παραλαμβανομένων. οὐδὲ γὰρ ὁ οἰκοδόμος τὸν ἀττικὸν λίθον, ἢ τὸν λακωνικὸν πρὸ τοῦ βαρβαρικοῦ τὴν εὐγένειαν τίθησιν. οὐδὲ ὁ ζωγράφος τῷ πολυτελεστάτῳ χρώματι τὴν ἡγουμένην ἀποδίδωσι χώραν. οὐδὲ ὁ ναυπηγὸς προτάττει τὴν ἰσθμικὴν πίτυν, ἢ τὴν κρητικὴν κυπάριττον. ἀλλ' ὡς ἂν ἀλλήλοις ἕκαστα συντεθέντα καὶ συναρμοσθέντα μέλλῃ τὸ κοινὸν ἔργον ἰσχυρόν, καὶ καλόν, καὶ χρήσιμον παρέχειν, οὕτω κατανέμουσι, καὶ τὸν θεὸν ὁρᾷς, ὃν ἀριστοτέχναν ὁ πίνδαρος προσεῖπεν, οὐ πανταχοῦ τὸ πῦρ ἄνω τάττοντα, καὶ κάτω τὴν γῆν. ἀλλ' ὡς ἂν αἱ χρεῖαι τῶν σωμάτων ἀπαιτῶσι. τοῦτο μὲν ἐν κόγχαισι θαλασσονόμοις ἔνθ' ὄ- βαρυνώτοις, ναὶ μήν, κηρύκων τε λιθορρίνων χελύων τέ φησιν ἐμπεδοκλῆς, ἀλλ' ἢν ὄψει χθόνα χρωτὸς ὑπέρτατα ναιετάουσαν, οὐχ ἣν ἡ φύσις δίδωσι χώραν, ἀλλ' ἣν ἡ πρὸς τὸ κοινὸν ἔργον ποθεῖ σύνταξις ταύτην ἔχουσαν. πανταχοῦ μὲν οὖν ἀταξία πονηρόν, ἐν δὲ ἀνθρώποις, καὶ ταῦτα πίνουσιν ἐγγινομένη, μάλιστα τὴν αὑτῆς προΐεσθαι, καὶ ἀναδείκνυσι μοχθηρίαν ὕβρει καὶ κακοῖς ἄλλοις ἀμυθήτοις ἃ προϊδέσθαι, καὶ φυλάξασθαι τακτικοῦ καὶ ἁρμονικοῦ ἀνδρός ἐστιν. ὀρθῶς οὖν ἔφαμεν λέγειν αὐτὸν ἡμεῖς, καὶ τί δὴ φθονεῖς τῶν τακτικῶν ἡμῖν καὶ ἁρμονικῶν, ὧν ἐλέγομεν. οὐδεὶς ἔφη φθόνος ἂν μέλλητε πείθεσθαι μετακινοῦντί μοι, καὶ μετακοσμοῦντι τὸ συμπόσιον, ὥσπερ τῷ ἐπαμινώνδᾳ τὴν φάλαγγα. συνεχωροῦμεν οὖν οὕτω ποιεῖν ἅπαντες. ὁ δὲ τοὺς παῖδας ἐκ μέσου κελεύσας γενέσθαι, καταβλέψας ἕκαστον, ἀκούσατέ εἶπεν, ὡς μέλλω συντάττειν ὑμᾶς ἀλλήλοις. βούλομαι γὰρ προειπεῖν. δοκεῖ γάρ μοι, καὶ τὸν ὅμηρον οὐκ ἀδίκως ὁ θηβαῖος αἰτιάσασθαι παμμένης, ὡς τῶν ἐρωτικῶν ἄπειρον, ὅτι φῦλα φύλοις συνέταξε, καὶ φατρίας φατρίαις συνέμιξε. δέον ἐραστὴν μετὰ ἐρωμένου παρεμβάλλειν, ἵνα ἡ σύμπνους ᾖ φάλαγξ δι' ὅλης ἔμψυχον ἔχουσα δεσμόν. τοῦτο κἀγὼ βούλομαι ποιῆσαι τὸ συμπόσιον ἡμῶν. οὐ πλουσίῳ πλούσιον, οὐδὲ νέῳ νέον, οὐδὲ ἄρχοντι συγκατακλίνων ἄρχοντα, καὶ φίλῳ φίλον. ἀκίνητος γὰρ αὕτη καὶ ἀργὴ πρὸς εὐνοίας ἐπίδοσιν καὶ γένεσιν ἡ τάξις. ἀλλὰ τῷ δεομένῳ τὸ οἰκεῖον προσαρμόττων κελεύω φι-

λολόγῳ

λολόγῳ μὲν ὑποκατακλίνεσθαι φιλομαθῆ. δυσκόλῳ δέ, πρᾶον. ἀδολέσχῳ δὲ πρεσβύτῃ, φιλήκοον νεανίσκον. τῷ δὲ ἀλαζόνι, τὸν εἴρωνα. τῷ δὲ ὀργίλῳ, τὸν σιωπηλόν. ἐὰν δέ που κατίδω πλούσιον μεγαλόδωρον, ἄξω πρὸς αὐτὸν ἐκ γωνίας τινὰ πένητα χρηστόν. ἵν' ὥσπερ ἐκ πλήρους κύλικος εἰς κενὴν ἀπορροή τις γένηται. σοφιστὴν δὲ κωλύω συγκατακλίνεσθαι σοφιστῇ, καὶ ποιητὴν ποιητῇ. πτωχὸς γὰρ πτωχῷ, καὶ ἀοιδὸς ἀοιδῷ, καίπερ σωσικλῆς οὗτος καὶ μόδεστος ἐνταῦθα συνερείδοντες ἔπος παρὰ [gap] ζωπυρείων φλόγα μέν, ἀλλὰ κινδυνεύουσι τὰ κάλλιστα. διΐστημι δὲ καὶ στραγγαλιῶντας, καὶ φιλολοιδόρους, καὶ ὀξυθύμους [gap] τινα παρεντιθεὶς μέσον, ὥσπερ μάλαγμα τῆς ἀντιτυπίας. ἀλειπτικοὺς δὲ καὶ κυνηγετικούς, καὶ γεωργικοὺς συναγαγών. τῶν γὰρ ὁμοιοτήτων, ἡ μὲν μάχιμος, ὥσπερ ἀλεκτρυόνων. ἡ δὲ ἐπιεικής, ὥσπερ οἱ τῶν κολοιῶν. συνάγω δὲ καὶ ποτικοὺς εἰς ταὐτὸ καὶ ἐρωτικούς, οὐ μόνον ὅσοις ἔρωτος δῆγμα πρόσεστιν, ὥς φησι σοφοκλῆς, ἀλλὰ καὶ τοὺς ἐπὶ γυναιξί, καὶ τοὺς ἐπὶ παρθένοις δακνομένους. τῷ γὰρ αὐτῷ θαλπόμενοι πυρί, μᾶλλον ἀλλήλων ἀντιλήψονται, καθάπερ ὁ κολλώμενος σίδηρος, ἂν μὴ νὴ Δία τοῦ αὐτοῦ τύχωσιν, ἢ τῆς αὐτῆς ἐρῶντες.

Διὰ τί τῶν τόπων ὁ καλούμενος ὑπατικὸς ἔσχε τιμήν. γ'.

Τούτου περὶ τῶν τόπων ἐνέπεσε ζήτησις. ἄλλοι γὰρ ἄλλοις ἔντιμοι πέρσαις μὲν ὁ μεσαίτατος. ἐφ' οὗ κατακλίνεται ὁ βασιλεύς. ἕλλησι δὲ ὁ πρῶτος, ῥωμαίοις δὲ ὁ τῆς μέσης κλίνης, τελευταῖος, ὃν ὑπατικὸν προσαγορεύουσι. τῶν δὲ περὶ τὸν πόντον ἑλλήνων ἐνίοις ὥσπερ ἡρακλεώταις ἔμπαλιν ὁ τῆς μέσης πρῶτος. ἀλλὰ περὶ τοῦ γε ὑπατικοῦ λεγομένου, μάλιστα διηποροῦμεν. οὗτος γὰρ ἐπρώτευε τῇ τιμῇ καθ' ἡμᾶς, καὶ τὴν αἰτίαν, οὔτε ὡς πρῶτος, οὔτε ὡς μέσος εἶχε. νενομισμένην ἔτι καὶ τῶν συμβεβηκότων αὐτῷ. τὰ μὲν οὐκ ἦν ἴδια τούτου μόνου. τὰ δέ, οὐδὲ μιᾶς ἄξια σπουδῆς ἐφαίνετο. πλὴν τρία γε τῶν λεχθέντων ἐκίνει. πρῶτον μέν, ὅτι τοὺς βασιλεῖς καταλύσαντες οἱ ὕπατοι, καὶ πρὸς τὸ δημοτικώτερον ἅπαντα μετακοσμήσαντες, ἐκ τῆς μέσης καὶ βασιλικῆς χώρας. ὑπῆγον αὑτοὺς κάτω συγχωροῦντες, ὡς μηδὲ τοῦτο τῆς ἀρχῆς, καὶ αὐτῶν ἐξουσίας ἐπαχθὲς εἴη τοῖς συνοῦσι. δεύτερον δέ, ὅτι τῶν δυοῖν κλινῶν ἀποδεδομένων τοῖς παρακεκλημένοις ἡ τρίτη καὶ ταύτης ὁ πρῶτος τόπος μάλιστα τοῦ ἑστιῶντός ἐστιν. ἐνταῦθα γὰρ ὥσπερ ἡνίοχος, ἢ κυβερνήτης ἐπιδέξια πρὸς τὴν ἐπίβλεψιν ἐξικνεῖται τῆς ὑπηρεσίας, καὶ τοῦ φιλοφρονεῖσθαι, καὶ τοῦ διαλέγεσθαι τοῖς παροῦσιν οὐκ ἀπήρτηται τῶν συνεγγυτάτω τόπων. ὁ μὲν γὰρ ὑπ' αὐτόν, ἢ γυναικὸς ἢ παίδων ἐστίν. ὁ δὲ ὑπὲρ αὐτὸν εἰκότως τῷ μάλιστα τιμωμένῳ τῶν κεκλημένων ἀπεδόθη, ἵν' ἐγγὺς ᾖ τοῦ ἑστιῶντος. τρίτον δὲ ἔχειν ἴδιον οὗτος ὁ τόπος ἐδόκει, τὸ πρὸς τὴν πρᾶξιν εὐφυές. οὐ γάρ ἐστιν ὁ τῶν ῥωμαίων ὕπατος, οἷος ἀρχίας ὁ θηβαίων πολέμαρχος, ὥστε γραμμάτων ἢ λόγων αὐτῷ μεταξὺ δειπνοῦντος προσπεσόντων ἐπιφθεγξάμενος εἰς ἕω τὰ σπουδαῖα, τὴν μὲν ἐπιστολὴν παρῶσαι, λαβεῖν δὲ τὴν θηρίκλειον. ἀλλὰ μάλ' ἐμμεμαὼς καὶ περιεσκεμμένως ἐν τοῖς τοιούτοις καιροῖς. οὐ γὰρ μόνον ὠδῖνα τίκτει κυβ [gap] σοφῷ κατὰ τὸ [gap] ἀλλὰ καὶ πότου πᾶσα καὶ αἰ [gap] τῳ καὶ ἄρχοντι φροντίδος ἄξιόν ἐστιν, ἵνα ἀκοῦσαί τε ἃ δεῖ καὶ προστάξαι, καὶ ὑπογράψαι δύνηται, τοῦτον ἐξαίρετον ἔχει τὸν τόπον. ἐν ᾧ τῆς δευτέρας κλίνης τῇ πρώτῃ συναπτούσης ἡ γωνία διάλειμμα ποιοῦσα τῇ καμπῇ δίδωσι, καὶ γραμματεῖ, καὶ ὑπηρέτῃ, καὶ φύλακι σώμα-

τος καὶ ἀγγέλῳ τῶν ἀπὸ στρατηγίδων προσελθεῖν διαλεχθῆναι, πυθέσθαι, μήτε τινὸς ἐνοχλοῦντος αὐτῷ μήτε τινὸς ἐνοχλουμένου τῶν συμποτῶν. ἀλλὰ καὶ χεῖρα, καὶ φωνὴν ὑπερδέξιον ἔχοντι καὶ ἀκώλυτον.

δ.

Ποῖόν τινα δεῖ τὸν συμποσίαρχον εἶναι.

πότω ∫.

Κράτων ὁ γαμβρὸς ἡμῶν καὶ Θέων ὁ ἑταῖρος ἔν τινι πότῳ παροινίας ἀρχὴν λαβούσης, εἶτα παυσαμένης, λόγον ἐποιήσαντο περὶ τῆς συμποσιαρχίας, οἰόμενοί με δεῖν στεφανηφοροῦντα μὴ περιιδεῖν ἔθος ἐκλειφθὲν παντάπασιν, ἀλλὰ ἀνακαλεῖν καὶ καταστῆσαι πάλιν τῆς ἀρχῆς τὴν νενομισμένην ἐπιστασίαν περὶ τὰ συμπόσια, καὶ διακόσμησιν. ἐδόκει δὲ ταῦτα καὶ τοῖς ἄλλοις, ὥστε θόρυβον ἐκ πάντων καὶ παράκλησιν γενέσθαι. ἐπεὶ τοίνυν ἔφην ἐγὼ δοκεῖ ταῦτα πᾶσιν, ἐμαυτὸν αἱροῦμαι συμποσίαρχον ὑμῶν, καὶ κελεύω τοὺς μὲν ἄλλους, ὡς βούλονται πίνειν ἐν τῷ παρόντι, Κράτωνα δὲ καὶ Θέωνα τοὺς εἰσηγητὰς, καὶ νομοθέτας τοῦ δόγματος, ἔν τινι τύπῳ βραχέως διελθεῖν ὁποῖον ὄντα δεῖ τὸν συμποσίαρχον αἱρεῖσθαι. καί τι ποιούμενος τέλος ὁ αἱρεθεὶς ἄρξει, καὶ πῶς χρήσεται τοῖς κατὰ συμπόσιον. διελέσθαι δεῖ τὸν λόγον ἑαυτοῖς ἐπιτρέπων. μικρὰ μὲν οὖν ἠκκίσαντο παραιτούμενοι. κελευόντων δὲ πάντων πείθεσθαι τῷ ἄρχοντι, καὶ ποιεῖν τὸ προσταττόμενον, ἔφη πρότερος ὁ Κράτων, ὅτι δεῖ τὸν μὲν φυλάκων ἄρχοντα φυλακικώτατον, ὥς φησιν ὁ Πλάτων εἶναι, τὸν δὲ συμποτῶν συμποτικώτατον. ἔστι δὲ τοιοῦτος, ἂν μήτε τῷ μεθύειν εὐάλωτος ᾖ, μήτε πρὸς τὸ πίνειν ἀπρόθυμος. ἀλλ᾽ ὡς ὁ Κῦρος ἔλεγε Λακεδαιμονίοις γράφων, ὅτι τά τε ἄλλα τοῦ ἀδελφοῦ βασιλικώτερος εἴη, καὶ φέροι καλῶς πολὺν ἄκρατον, ὅ τε γὰρ παροινῶν ὑβριστὴς καὶ ἀσχήμων, ὅ τε αὖ παντάπασι νήφων ἀηδὴς, καὶ παιδαγωγεῖν μᾶλλον ἢ συμποσιαρχεῖν ἐπιτήδειος. ὁ μὲν οὖν Περικλῆς ὁσάκις ᾑρημένος στρατηγὸς ἀναλαμβάνει τὴν χλαμύδα πρῶτος εἰώθει διαλέγεσθαι πρὸς αὑτὸν, ὥσπερ ὑπομιμνήσκων, ὅρα Περίκλεις, ἐλευθέρων ἄρχεις, Ἑλλήνων ἄρχεις, Ἀθηναίων ἄρχεις. ὁ δὲ συμποσίαρχος ἡμῶν ἐκεῖνα λεγέτω πρὸς αὑτὸν, φίλων ἄρχεις, ἵνα μήτε ἀσχημονεῖν ἐπιτρέπῃ, μήτε τὰς ἡδονὰς ἀφαιρῇ. δεῖ δὲ καὶ σπουδῆς τὸν ἄρχοντα πινόντων οἰκεῖον εἶναι, καὶ παιδιᾶς μὴ ἀλλότριον, ἀλλ᾽ εὖ πως ἀνακεκραμμένον πρὸς ἀμφότερα. σμικρῷ δὲ μᾶλλον ὥσπερ οἶνον ἀστεῖον ἀπονεύοντα τῇ φύσει πρὸς τὸ αὐστηρόν. ὁ γὰρ οἶνος ἄξει τὸ ἦθος εἰς τὸ μέτριον, μαλακώτερον ποιῶν, καὶ ἀνυγραίνων. ὥσπερ γὰρ ὁ Ξενοφῶν ἔλεγε τοῦ Κλεάρχου τὸ σκυθρωπὸν καὶ ἄγροικον ἄλλως ἐν ταῖς μάχαις ἡδὺ καὶ φαιδρὸν ἐπιφαίνεσθαι διὰ τὸ θαρραλέον, οὕτως ὁ μὴ φύσει πικρὸς, ἀλλὰ σεμνὸς, καὶ αὐστηρὸς ἐν τῷ πίνειν ἀνιέμενος, ἡδίων γίνεται, καὶ προσφιλέστερος. ἔτι τοίνυν αὐτῷ δεῖ προσεῖναι τὸ μάλιστα μὲν ἑκάστου τῶν συμποτῶν ἐμπείρως ἔχειν, τίνα λαμβάνει μεταβολὴν ἐν οἴνῳ, καὶ πρὸς τί πάθος ἀκροσφαλής ἐστι, καὶ πῶς φέρει τὸν ἄκρατον. οὐ γὰρ οἴνου μέν ἐστι πρὸς ὕδωρ ἑτέρου ἑτέρα μίξις, ἣν οἱ βασιλικοὶ γινώσκοντες οἰνοχόοι νῦν μὲν πλέον, νῦν δὲ ἔλαττον ὑποχέουσιν. ἀνθρώπου δὲ πρὸς οἶνον οὐκ ἔστι διάκρασις, ἣν τῷ συμποσιάρχῃ γιγνώσκειν προσήκει, καὶ γινώσκοντι φυλάττειν. ἵν᾽ ὥσπερ ἁρμονικὸς, τὸν μὲν ἐπιτείνων τῇ δόσει, τὸν δὲ ἀνιεὶς καὶ ὑποφειδόμενος εἰς ὁμαλότητα καὶ συμφωνίαν ἐκ διαφορᾶς καταστήσῃ τὰς φύσεις, ὅπως μὴ κοτύλῃ μηδὲ κυάθοις τὸ ἴσον, ἀλλὰ καιρῷ τινι μέτρῳ καὶ σώματος δυνάμει τὸ οἰκεῖον ἑκάστῳ καὶ πρόσφορον ἀπονέμηται. εἰ δὲ τοῦτό γε δύσκολον, ἐκεῖνα δὲ πάντως ὑπάρχειν δεῖ τῷ συμποσιάρχῳ, προσήκει τὰ κοινὰ περὶ τὰς φύσεις, καὶ τὰς ἡλικίας, οἷον πρεσβῦται τάχιον μεθύσκονται νέων, σαλευόμενοι ἠρεμούντων, ἄλυποι δὲ καὶ πεφροντικότες, εὐθύμ

ἀνελάμβανε ∫.

ἔντως ∫.

καὶ

καὶ ἱλαρῶν ἀνέδην καὶ κατὰ ἀπάγοντες τῶν ἀσελγαινόντων, καὶ

τοιαῦτα γινώσκων μὲν τις μᾶλλον ἢ ἀγνοῶν αὐτοὺς εὐσχημοσύνην, καὶ ὁμόνοιαν συμποσίου πρυτανεύσειε. καὶ μὴν ὅτι γε δεῖ τὸν συμποσίαρχον οἰκείως ἔχειν, καὶ φιλικῶς πρὸς ἅπαντας, ὕπουλον δὲ μηδενὶ μηδὲ ἀπεχθῆ τῶν ἑστιωμένων εἶναι παντί που δῆλον. οὔτε γὰρ ἐπιτάττων ἀνεκτὸς, οὔτε ἀπονέμων ἴσος, οὔτε προσπαίζων ὅμως ἀνέγκλητος ἔσται. τοιοῦτον ἔφην σοι Θέων ἐγὼ τὸν ἄρχοντα συμποσίου πλάσας, ὥσπερ ἐκ κηροῦ τοῦ λόγου παραδίδωμι. καὶ ὁ Θέων, ἀλλὰ δέχομαι μὲν εἶπεν οὕτω μᾶλλον ἀπειργασμένον τὸν ἄνδρα, καὶ συμποτικόν. εἰ δὲ χρήσομαι κατὰ πᾶν αὐτῷ, καὶ μὴ καταισχύνω τὸ ἔργον οὐκ οἶδα.

οἰκείως ∫.

δοκεῖ τοι σων τὸ συμπόσιον ἄξιον ἡμῖν, καὶ μὴ ὁρᾶσθαι τὸν δέ μοι

νῦν μὲν ἐκκλησίαν δημοκρατικὴν, νῦν δὲ σχολὴν σοφιστοῦ γενομένην, αὖθις δὲ κυβευτήριον, εἶτά που σκηνὴν, καὶ θυμέλην. ἢ γὰρ οὐχ ὁρᾶτε, τοὺς μὲν δημαγωγοῦντας, καὶ δικαζομένους παρὰ δεῖπνον, τοὺς δὲ μελετῶντας, καὶ ἀναγινώσκοντας αὑτῶν τινα συγγράμματα, τοὺς δὲ μίμοις καὶ ὀρχησταῖς ἀγωνοθετοῦντας. Ἀλκιβιάδης δὲ, καὶ Θεόδωρος τελεστήριον ἐποίησαν τὸ Πολυτίωνος συμπόσιον, ἀπομιμούμενοι δᾳδουχίας, καὶ ἱεροφαντίας, ὧν οὐδὲν οἶμαι τῷ ἄρχοντι περιοπτέον, ἀλλὰ καὶ λόγοις, καὶ θεάμασι, καὶ παιδιαῖς δώσει τόπον ἐκείνοις μόνοις, ὅσα πρὸς τὸ συμποτικὸν τέλος ἐξικνεῖται. τοῦτο δὲ ἦν φιλίας ἐπίτασιν ἢ γένεσιν δι᾽ ἡδονῆς ἐνεργάσασθαι τοῖς παροῦσι. διαγωγὴ γάρ ἐστιν ἐν οἴνῳ τὸ συμπόσιον εἰς φιλίαν ὑπὸ χάριτος τελευτῶσα. ἐπεὶ δὲ πανταχοῦ πλήσμιον, καὶ πανταχοῦ βλαβερὸν τὸ ἄκρατον. ἡ δὲ μίξις οἷς ἂν ἐν καιρῷ, καὶ μετὰ μέτρου παραγένηται πράγμασιν ἀφαιρεῖται αὖ, καὶ βλάπτει τὰ ἡδέα καὶ λυπεῖ τὰ ὠφέλιμα δῆλον ὅτι καὶ τοῖς πίνουσιν ὁ ἐπιστάτης μεμιγμένην τινὰ παρέξει διαγωγήν. ἀκούων πολλῶν λεγόντων, ὅτι πλοῦς μὲν ὁ παρὰ γῆν, περίπατος δὲ ὁ παρὰ θάλατταν ἥδιστός ἐστιν. οὕτως παραβάλλει τῇ σπουδῇ τὴν παιδιὰν, ὅπως οἵ τε παίζοντες ἁμωσγέπως σπουδῆς τινος ἔχωνται, καὶ πάλιν οἱ σπουδάζοντες ἀναθαρρῶσιν, ὥσπερ οἱ ναυτιῶντες ἐγγύθεν εἰς τὴν παιδιὰν ἀποβλέποντες. ἔστι γὰρ καὶ γέλωτι χρῆσθαι πρὸς πολλὰ τῶν ὠφελίμων, καὶ σπουδὴν ἡδεῖαν παρασχεῖν, ὥσπερ αἱ ἐχινόποδες, καὶ ἀναζηχεῖαι ὄνωνιν φύονται μαλακῶν ἄνθεα λευκοΐνων. ὅσαι δὲ ἄνευ σπουδῆς ἐπεισκωμάζουσι τοῖς συμποσίοις παιδιαί. ταύτας ἐπιμελῶς διακελεύσεται τοῖς συμπόταις εὐλαβεῖσθαι μὴ λάθωσι ὕβριν καθάπερ ὑοσκύαμον λαβόντες οἴνῳ τοῖς λεγομένοις προστάγμασιν ἐξυβρίζουσι, προστάττοντες ᾄδειν ψελλοῖς, ἢ κτενίζεσθαι φαλακροῖς, ἢ σκωλιάζειν χωλοῖς. ὥσπερ Ἀγαπήστορι τῷ Ἀκαδημαϊκῷ λεπτὸν ἔχοντι καὶ κατεφθινηκὸς τὸ σκέλος, ἐπηρεάζοντες οἱ ξυμπόται, πάντας ἐκέλευσαν ἐφ᾽ ἑνὸς τοῦ δεξιοῦ ποδὸς ἑστῶτας, ἐκπιεῖν τὸ ποτήριον, ἢ ζημίαν καταβαλεῖν. τοῦ δὲ προστάσσειν περιελθόντος εἰς αὐτὸν ἐκέλευσε πάντας οὕτω πιεῖν, ὡς ἂν αὐτὸν ἴδωσι, καὶ κεραμίου κενοῦ κομισθέντος εἰς τοῦτο τὸν ἀσθενῆ πόδα καθεὶς ἐξέπιε τὸ ποτήριον, οἱ δ᾽ ἄλλοι πάντες, ὡς ἐφαίνετο πειρωμένοις ἀδύνατον ἀπέτισαν τὴν ζημίαν. χαρίεις οὖν ὁ Ἀγαπήστωρ, καὶ ποιητέον. εὐκόλους οὕτω καὶ ἱλαροὺς τὰς ἀμύνας

προ-

στάγμασιν ἐθιστέον, χρῆσθαι πρὸς ἡδονὴν καὶ ὠφέλειαν τὰ οἰκεῖα καὶ δυνατὰ, καὶ κοσμοῦντα τὸν δρῶντα προστάσσοντας ᾠδικοῖς ᾆσαι, ῥητορικοῖς εἰπεῖν. φιλοσόφοις λῦσαί τι τῶν ἀπορουμένων, ποιηταῖς προσενέγκασθαι στίχους. ἡδέως γὰρ εἰς τοῦτο ἕκαστος ἄγεται, καὶ προθύμως, ἵνα αὐτὸς αὑτοῦ τυγχάνοι κράτιστος ὤν. ὁ μὲν οὖν τῶν Ἀσσυρίων βασιλεὺς ἆθλον ὑπὸ κήρυκος κατήγγειλε τῷ καινὴν ἡδονὴν ἐξευρόντι. συμποσίου δὲ βασιλεὺς ἀστεῖον ἆθλον ἂν καὶ γέρας προθείη τῷ

παιδιὰν ἀνύβριστον εἰσηγησαμένῳ καὶ τέρψιν ὠφέλιμον καὶ γέλωτα μὴ μώμου μηδ' ὕβρεων, ἀλλὰ χάριτος, καὶ φιλοφροσύνης ἑταῖρον, ἐν οἷς τὰ πλεῖστα ναυαγεῖ συμπόσια· μὴ τυχόντα παιδαγωγίας ὀρθῆς· ἔστι δὲ σώφρονος ἀνδρὸς ἔχθραν φυλάττεσθαι καὶ ὀργὴν ἐν ἀγορᾷ τὴν ἐκ πλεονεξίας ἐν γυμνασίοις, καὶ παλαίστραις ἐκ φιλονεικίας· ἐν δὲ ἀρχαῖς, καὶ φιλοτιμίαις ἐκ φιλοδοξίας· ἐν δὲ δείπνῳ καὶ παρὰ πότον ἐκ παιδιᾶς ἐπιτιθεμένην.

Πῶς εἴρηται μουσικὴν δ' ἄρα ἔρως διδάσκει. ε'

Πῶς εἴρηται τὸ μουσικὴν δ' ἄρα ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τοπρίν· ἐζητεῖτο παρὰ Σοσσίῳ Σαπφικῶν τινῶν ᾀσθέντων, ὅπου καὶ τὸν Κύκλωπα μούσαις εὐφώνοις ἰᾶσθαί φησι τὸν ἔρωτα Φιλόξενος. ἐλέχθη μὲν οὖν ὅτι πρὸς πάντα τόλμαν ὁ ἔρως, καὶ καινοτομίαν συγχωρῆσαι δεινός ἐστιν, ὥσπερ καὶ Πλάτων τὸν αὐτὸν καὶ παντὸς ἐπιχειρητὴν ὠνόμασε· καὶ γὰρ λάλον ποιεῖ τὸν σιωπηλόν, καὶ θεραπευτικὸν τὸν αἰσχυντηλόν· ἐπιμελῆ δὲ καὶ φιλόπονον, τὸν ἀμελῆ, καὶ ῥάθυμον, ὃ δ' ἄν τις μάλιστα θαυμάσειεν, φειδωλὸς ἀνήρ τε καὶ μικρολόγος ἐμπεσὼν εἰς ἔρωτα· καθάπερ εἰς πῦρ σίδηρος ἀνεθεὶς καὶ μαλαχθεὶς ἁπαλός, καὶ ὑγρὸς καὶ ἡδίων· ὥστε τουτὶ τὸ παιζόμενον, μὴ πάνυ φαίνεσθαι γελοῖον· ὅτι πράσου φύλλῳ τὸ τῶν ἐρώντων δέδεται βαλάντιον. ἐλέχθη δὲ καὶ ὅτι τῷ μεθύειν, τὸ ἐρᾶν ὅμοιόν ἐστι· ποιεῖ γὰρ θερμούς, καὶ ἱλαρούς, καὶ διακεχυμένους· γενόμενοι δὲ τοιοῦτοι πρὸς τὰς ἐπῳδούς, καὶ συμμέτρους μάλιστα φωνὰς ἐκφέρονται, καὶ τὸν Αἰσχύλον φασὶ τὰς τραγῳδίας πίνοντα ποιεῖν, καὶ διαθερμαινόμενον· ἦν δὲ Λαμπρίας ὁ ἡμέτερος πάππος ἐν τῷ πίνειν εὑρετικώτατος αὐτὸς αὑτοῦ καὶ λογιώτατος· εἰώθει δὲ λέγειν ὅτι τῷ λιβανωτῷ παραπλησίως ὑπὸ θερμότητος ἀναθυμιᾶται, καὶ μὴν ἥδιστα τοὺς ἐρωμένους ὁρῶντες οὐχ ἧττον ἡδέως ἐγκωμιάζουσιν, ἢ ὁρῶσι καὶ πρὸς πάντα λάλος ὢν ἔρως, λαλίστατός ἐστιν ἐν τοῖς ἐπαίνοις. αὐτοί τε γοῦν οὕτω πεπεισμένοι τυγχάνουσι, καὶ βούλονται πεπεῖσθαι πάντας, ὡς καλῶν καὶ ἀγαθῶν ἐρῶντες. τοῦτο καὶ τὸν Λυδὸν ἐπῆρε τὴν τῆς ἑαυτοῦ γυναικὸς ἐπισπᾶσθαι θέαν εἰς τὸ δωμάτιον τὸν οὐ βούλονται γὰρ ὑπ' ἄλλων μαρτυρεῖσθαι, διὸ καὶ γράφοντες ἐγκώμια τῶν καλῶν ἐπικοσμοῦσιν αὐτὰ μέλεσι καὶ μέτροις καὶ ᾠδαῖς ὥσπερ εἰκόνας χρυσῷ καλλωπίζοντες, ὅπως ἀκούηταί τε μᾶλλον ὑπὸ πολλῶν, καὶ μνημονεύηται. καὶ γὰρ ἂν ἵππον, καὶ ἀλεκτρυόνα, κἂν ἄλλο τι τοῖς ἐρωμένοις δίδωσι, καλὸν εἶναι καὶ κεκοσμημένον ἐκπρεπῶς βούλονται, καὶ περιττῶς τὸ δῶρον· μάλιστα δὲ λόγον κόλακα προσφέροντες ἡδὺν ἐθέλουσι φέρεσθαι καὶ γαῦρον καὶ περιττὸν οἷος ὁ ποιητικός ἐστιν. ὁ μέντοι Σόσσιος ἐπαινέσας ἐκείνους εἶπεν, ὡς οὐ χεῖρον ἄν τις ἐπιχειρήσειεν ὁρμηθεὶς, ἀφ' ὧν Θεόφραστος εἴρηκε περὶ μουσικῆς· καὶ γὰρ ἐνάγχος ἔφη τὸ βιβλίον ἀνέγνων. λέγει δὲ Θεόφραστος, μουσικῆς ἀρχὰς τρεῖς εἶναι, λύπην, ἡδονήν, ἐνθουσιασμόν, ὡς ἑκάστου τῶν αὐτῶν, παρατρε ἐκ τοῦ συνήθους ἐγκλίναντος τὴν φωνήν· αἵ τε γὰρ λῦπαι τὸ γοερὸν, καὶ θρηνητικὸν ὀλισθηρὸν εἰς ᾠδὴν ἔχουσι· διὸ καὶ τοὺς ῥήτορας ἐν τοῖς ἐπιλόγοις, καὶ τοὺς ὑποκριτὰς ἐν τοῖς ὀδυρμοῖς ἀτρέμα τῷ μελῳδεῖν προσάγοντας ὁρῶμεν, καὶ παρεντείνοντας τὴν φωνήν, ἅτε σφοδραὶ περιχαρεῖαι τῆς ψυχῆς, τῶν μὲν ἐλαφροτέρων τῷ ἤθει, καὶ τὸ σῶμα συνεπαίρουσι, καὶ παρακαλοῦσιν εἰς ἔνρυθμον κίνησιν ἐξαλλομένων, καὶ κροτούντων, εἴπερ ὀρχεῖσθαι μὴ δύνωνται· μανίαι τε ἄλλαι τε ὀρινομένων ἐριαύχενι συγκλόνῳ κατὰ Πίνδαρον· οἱ δὲ χαρίεντες ἐν τῷ πάθει τούτῳ γενόμενοι τὴν φωνὴν μόνην εἰς τὸ ᾄδειν καὶ φθέγγεσθαι μέγα, καὶ

μέλη προΐενται. μάλιστα δὲ ὁ ἐνθουσιασμός, ἐξίστησι, καὶ παρατρέπει, τό τε σῶμα, καὶ τὴν φωνὴν τοῦ συνήθους καὶ καθεστηκότος· ὅθεν αἵ τε βακχεῖαι ῥυθμοῖς χρῶνται, καὶ τὸ χρησμῳδεῖν ἐμμέτρως παρέχεται τοῖς ἐνθεαζομένοις, τῶν τε μαινομένων ὀλίγους ἰδεῖν ἐστιν ἄνευ μέτρου καὶ ᾠδῆς ληροῦντας. οὕτω δὲ τούτων ἐχόντων εἰ βούλοιο καθαρὰν ὑπ' αὐγὰς διαπτύξας τὸν ἔρωτα, καὶ καταμανθάνειν, οὐκ ἂν ἄλλο πάθος εὕροις, οὔτε λύπας δριμυτέρας ἔχον, οὔτε σφοδροτέρας περιχαρείας, οὔτε μείζονας ἐκστάσεις καὶ παραφροσύνας. ἀλλ' ὥσπερ τὴν Σοφοκλέα πόλιν ἀνδρὸς ἐρωτικοῦ ψυχὴν, ὁμοῦ μὲν θυμιαμάτων γέμουσαν, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων. οὐδὲν οὖν ἄτοπον, οὐδὲ θαυμαστὸν, εἰ πάσας ὅσαι μουσικῆς εἰσιν ἀρχαί, περιέχων ὁ ἔρως ἐν αὐτῷ καὶ συνειληφὼς λύπην, ἡδονήν, ἐνθουσιασμόν· τά τε ἄλλα φιλόπονός ἐστι καὶ λάλος· εἴς τε ποίησιν μελῶν, καὶ μέτρων, ὡς οὐδὲν ἄλλο πάθος ἐπίφορος, καὶ κατάντης.

Περὶ τῆς Ἀλεξάνδρου πολυποσίας. ς'

Λόγος ἦν περὶ Ἀλεξάνδρου τοῦ βασιλέως, ὡς οὐ πολὺ πίνοντος, ἀλλὰ πολὺν χρόνον ἐν τῷ πίνειν διαλέγεσθαι τοῖς φίλοις ἕλκοντος. ἀπεδείκνυε δ' αὐτοὺς φλυαροῦντας Φιλῖνος ἐκ τῶν βασιλικῶν ἐφημερίδων, ἐν αἷς συνεχέστατα γέγραπται καὶ πλειστάκις· ὅτι τήνδε τὴν ἡμέραν ἐκ τοῦ πότου καθεύδων· ἔστι δ' ὅτε καὶ τὴν ἐφεξῆς· διὸ καὶ πρὸς τὰς συνουσίας ἀργότερος ἦν, ὀξὺς δὲ, καὶ θυμοειδής, ἅπερ σωματικῆς ἐστι θερμότητος. λέγεται δὲ καὶ τοῦ χρωτὸς ἥδιστον ἀποπνεῖν, ὥστε καταπιμπλάναι τοὺς χιτωνίσκους εὐωδίας ἀρωματιζούσης, ὃ δοκεῖ καὶ αὐτὸ θερμότητος εἶναι· διὸ καὶ τῆς οἰκουμένης, οἱ ξηρότατοι καὶ θερμότατοι τόποι, τήν τε κασίαν, καὶ τὸν λιβανωτὸν ἐκφέρουσι· πέψει γάρ τινι τῶν ὑγρῶν ὁ Θεόφραστός φησιν ἐπιγίνεσθαι τὴν εὐωδίαν, ὅταν ἐξαιρεθῇ τὸ βλαβερὸν, περισσὸν ὑπὸ θερμότητος· δοκεῖ δὲ καὶ κα ἐν διαβολῇ τὸν ὡς δυσχεράναι δειπνεῖν διὰ τὸν ἐπεὶ καὶ κύλικα λεγομένην Ἀλεξάνδρου μεγάλην ἐλθοῦσαν ἐπ' αὐτὸν, ἀπεώσατο, φήσας οὐκ ἐθέλειν Ἀλεξάνδρου πιὼν Ἀσκληπιοῦ δεῖσθαι. ταῦτα μὲν οὖν περὶ τῆς Ἀλεξάνδρου πολυποσίας. Μιθριδάτην δὲ, τὸν πολεμήσαντα Ῥωμαίοις ἐν τοῖς ἀγῶσιν οὓς ἐπετέλει, καὶ πολυφαγίας ἆθλα θεῖναι, καὶ πολυποσίας φασὶ, νικῆσαι δ' αὐτὸν ἀμφότερα, καὶ ὅλως πιεῖν πλεῖστον καθ' αὑτὸν ἀνθρώπων· διὸ καὶ Διόνυσον ἐπικληθῆναι. τοῦτο ἡμεῖς εἴπομεν ἕν τι τῶν εἰκῇ πεπιστευμένων εἶναι. τὸ περὶ τὴν αἰτίαν τῆς ἐπικλήσεως· νηπίου γὰρ ὄντος αὐτοῦ, κεραυνὸς ἐπέφλεξε τὰ σπάργανα, τοῦ δὲ σώματος οὐχ ἥψατο, πλὴν ὅσον ἴχνος τι τοῦ πυρὸς ἐν τῷ μετώπῳ κρυπτόμενον ὑπὸ τῆς κόμης ει αὐτῷ παι ἀνδρὸς ἤδη πάλιν ἐπὶ τὸ δωμάτιον ἐμπεσὼν κεραυνὸς αὐτῷ μὲν κατέπεσε καθεύδοντος· τῆς δὲ φαρέτρας ὑποκρεμαμένης διεξῆλθε τὰ βέλη πυρακτώσας. οἱ μὲν οὖν μάντεις ἀπεφήναντο πλεῖστον αὐτὸν ἰσχύσειν ἀπὸ τῆς τοξικῆς, καὶ κούφης στρατιᾶς· οἱ δὲ πολλοὶ Διόνυσον αὐτὸν ἀπὸ τῶν κεραυνοβολιῶν ὁμοιότητι τοῦ πάθους προσηγόρευσαν. ἐκ τούτου περὶ τῶν πολὺ πινόντων ἦν ὁ λόγος. ἐν οἷς καὶ τὸν πύκτην Ἡρακλείδην ἐτίθεσαν· ὃν Ἡρακλῶν Ἀλεξανδρεῖς ὑποκορίζοντες κατὰ τοὺς πατέρας ἡμῶν γενόμενον· οὗτος ἀπορῶν συμποτῶν παραμενόντων ἐκάλει, τοὺς μὲν ἐπὶ πρόπομα· τοὺς δ' ἐπ' ἄριστον· ἄλλους δ' ἐπὶ δεῖπνον· ἐσχάτους δέ τινας ἐπὶ κῶμον. ἀπαλλαττομένων δὲ τῶν πρώτων, δεύτεροι συνέπινον εἶτ' ἐφεξῆς οἱ τρίτοι, καὶ τέταρτοι· κἀκεῖνος οὐδὲν διάλειμμα ποιῶν ἅπασιν ἐξήρκει, καὶ τοὺς τέσσαρας πότους συνδιέφερε. τῶν δὲ Δρούσῳ τῷ Τιβερίου Καίσαρος

ὑφ' συμβιούντων, ὁ πάντας ἐν τῷ πίνειν προσεπόμενος ἰατρὸς ἑάλω τῶν πικρῶν ἀμυγδάλων πέντε ἢ ἓξ ἑκάστοτε προλαμβάνων, ἕνεκα τοῦ μὴ μεθύσκεσθαι· κωλυθεὶς δὲ καὶ παραφυλαχθεὶς, οὐδ' ἐπὶ μικρὸν ἀντέσχεν. οἴονται μὲν οὖν ὤφελειν τὰς ἀμυγδαλίδας δηκτικόν τε καὶ ῥυπτικὸν ἔχειν τῆς σαρκὸς, ὥστε καὶ τῶν προσώπων τὰς ἐφηλίδας ἐξαίρειν· ὅταν οὖν προληφθῶσι τῇ πικρότητι τοὺς πόρους ἀμύσσειν, καὶ δηγμὸν ἐμποιεῖν, ὑφ' οὗ τὸ ὑγρὸν κατασπῶσιν ἀπὸ τῆς κεφαλῆς διατμιζόμενον. ἡμῖν δὲ μᾶλλον ἡ τῆς πικρότητος ἐδόκει δύναμις ἀναξηραντικὴ καὶ δαπανητικὴ ὑγρῶν εἶναι. διὸ τῇ γεύσει πάντων ἐστὶ τῶν χυλῶν ὁ πικρὸς ἀηδέστατος. τὰ γὰρ φλεβία τῆς γλώττης, ὥς ὁ Πλάτων φησὶ, μαλακὰ καὶ μανότερα ὄντα συντείνειν παρὰ φύσιν· ἡ τῆς ξηρότητος ἐκτηκομένων τῶν ὑγρῶν. αὐτὰ δὲ καὶ τὰ ἕλκη τοῖς πικροῖς ἐπισχναίνουσι φαρμάκοις, ὡς ὁ ποιητής φησιν. ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν χερσὶ διατρίψας ὀδυνήφατον, ἥ οἱ ἁπάσας ἔσχ' ὀδύνας. τὸ μὲν ἕλκος ἐτέρσετο, παύσατο δ' αἷμα. τὸ δὲ τῇ γεύσει πικρὸν, τῇ δυνάμει ξηραντικὸν, ὀρθῶς προσηγόρευσε. φαίνεται δὲ καὶ τὰ διαπάσματα τῶν γυναικῶν, οἷς ἀναρπάζουσι τοὺς ἱδρῶτας πικρὰ τῇ φύσει, καὶ στυπτικὰ ὄντα σφοδρότητι τοῦ στρυφνοῦ τὸ πικρόν. οὕτως οὖν ἔφην τοῦ πνεύματος ἀπὸ τοῦ ἀκράτου ἐχόντων εἰκότως ἡ τῶν ἀμυγδάλων πικρότης βοηθεῖ πρὸς τὸν ἄκρατον, ἀναξηραίνουσα τοῦ σώματος τὰ ἐντὸς οὐκ ἐῶσα πίμπλασθαι τὰς φλέβας· ὧν διατάσει φασὶ καὶ ταραχῇ συμβαίνει τὸ μεθύειν. τεκμήριον δὲ τοῦ λόγου μέγα τὸ συμβαῖνον περὶ τὰς ἀλώπεκας· αἱ γὰρ ἀμυγδάλας πικρὰς φαγοῦσαι ἐπιπίωσι

τῶν ὑγρῶν ἀθρο — πόντων.

ζ'

Διατί μᾶλλον ἀκράτῳ χαίρουσιν οἱ γέροντες.

E Ζητεῖτο περὶ τῶν γερόντων, διατί μᾶλλον ἀκρατοτέρῳ τῷ ποτῷ χαίρουσιν. οἱ μὲν οὖν κατεψυγμένην τὴν ἕξιν αὐτῶν καὶ δυσεκθέρμαντον οὖσαν οἰόμενοι, διὰ τοῦτο τῇ σφοδρότητι τῆς κράσεως ἐναρμόττειν ἐφαίνοντο, καινὸν τι καὶ πρόχειρον, οὐχ ἱκανὸν δὲ πρὸς τὴν αἰτίαν, οὐδ' ἀληθὲς λέγοντες. καὶ γὰρ ἐπὶ τῶν ἄλλων αἰσθήσεων τὸ αὐτὸ συμβέβηκε. δυσκίνητοι γάρ εἰσι καὶ δυσμετάβλητοι πρὸς τὰς ἀντιλήψεις τῶν ποιοτήτων· ἂν μὴ κατάκοροι καὶ σφόδρα προσπέσωσιν. αἰτία δὲ ἡ τῆς ἕξεως ἄνεσις. ἐκλυομένη γὰρ καὶ ἀτονοῦσα πλήττεσθαι φιλεῖ. διὸ τῇ γεύσει μάλιστα τοὺς δηκτικοὺς προσίενται χυμοὺς, ἥ τε ὄσφρησις αὐτῶν ὅμοια πέπονθε πρὸς τὰς ὀσμάς. κινεῖται γὰρ ἀπὸ τῶν ἀκράτων

ἥδιον, λαμβά

ἡ δὲ ἁφὴ τὰ ἕλκη λυποῦσα — ζουσα — θαύματα γὰρ

νοντες — ἀπονοῦσιν ἐ — τα τὸ δὲ γίνεται τῆς ἀκοῆς, οἱ μουσικοὶ γηρῶντες, ὀξύτερον ἁρμόζονται, καὶ σκληρότερον, οἷον ὑπὸ πληγῆς, καὶ τῆς συντόνου φωνῆς ἐγείροντες τὸ αἰσθητήριον. ἔτι γὰρ σιδήρῳ πρὸς ἀκμὴν στόμωμα τῷ σώματι πνεῦμα παρέχει πρὸς αἴσθησιν. ἐνδόντος δὲ τούτου καὶ χαλάσαντος, ἀργὸν ἀπολείπεται καὶ γεῶδες τὸ αἰσθητήριον, καὶ σφοδροῦ τοῦ νύττοντος, οἷον ὁ ἄκρατός ἐστι δεόμενον.

η'

Διατί τὰ γράμματα πόρρωθεν οἱ πρεσβύτεροι μᾶλλον ἀναγινώσκουσιν.

T αὐτὰ δὲ ἡμῶν εἰς τὸ προκείμενον εὑρεσιλογούντων, ἐδόκει τὸ τῆς ὄψεως ἀντιπίπτειν. οἱ γὰρ πρεσβύτεροι πόρρω τὰ γράμματα τῶν ὀμμάτων ἀπάγοντες ἀναγινώσκουσιν, ἐγγύθεν δὲ οὐ δύνανται, καὶ τοῦτο παραδηλῶν ὁ Αἰσχύλος φησιν, οὐδὲ

ἀπο — αὐτὸν. οὐ γὰρ ἐγγύθεν — γέρων δὲ γραμματεὺς

γένου σαφής. ἐνδηλότερον Σοφοκλῆς τὸ αὐτὸ περὶ τῶν γερόντων. βραδεῖα μὲν γὰρ ἐν λόγοισι προσβολή. μόλις δ' ἰωτὸς ἔρχεται ξυπωμένου, πόρρω δὲ λεύσσων,

ἐγγύθεν δὲ πᾶς τυφλός εἴπερ οὖν πρὸς τὴν ἐπίτασιν, καὶ σφοδρότητα μᾶλλον ὑπακούει τῶν γερόντων αἰσθητήρια. πῶς ἐν τῷ ἀναγινώσκειν τὸν ἐγγύθεν ἀντιφωτισμὸν, οὐ φέρουσιν, ἀλλὰ παράγοντες ἀποτέρω τὸ βιβλίον ἐκλύουσι τὴν λαμπρότητα τῷ ἀέρι καθάπερ οἶνον ὕδατι κατακεραννυμένην. ἦσαν μὲν οὖν οἱ πρὸς τοῦτο λέγοντες, ὡς ἀπάγουσι τῆς ὄψεως τὸ βιβλίον οὐ μαλακώτερον τὸ φῶς ποιοῦντες. ἀλλ' οἷον ἐπιδραττόμενοι, καὶ περιλαμβάνοντες αὐγὴν πλείονα, καὶ πληροῦντες ἀέρος λαμπροῦ τὴν μεταξὺ τῶν ὀμμάτων, καὶ τῶν γραμμάτων χώραν. ἕτεροι δὲ τοῖς συμβάλλουσι τὰς αὐγὰς μετεῖχον. ἐπεὶ γὰρ ἀποτείνεται τῶν ὀφθαλμῶν ἑκατέρου κῶνος πρὸς τῷ ὄμματι τὴν κορυφὴν ἔχων, ἕδραν δὲ καὶ βάσιν ἢ περιλαμβάνει τὸ ὁρώμενον. ἄχρι μέν τινος εἰκός ἐστιν ἰδίᾳ τῶν κώνων ἑκάτερον φέρεσθαι. γενόμενοι δὲ ἀποτέρω, καὶ συμπεσόντες ἀλλήλοις, ἓν τὸ φῶς ποιοῦσι. διὸ καὶ τῶν ὁρωμένων ἕκαστον, ἓν οὐ δύο φαίνεται, καίπερ ἀμφοτέροις ἅμα τοῖς ὄμμασι καταφαινόμενον. αἰτία γὰρ ἡ τῶν κώνων συναφὴς, εἰς ταυτὸ τὰς συλλάμψεις ἐκδυεῖν μίαν ὄψιν ἀπειργασμένην. τούτων δὲ οὕτως ἐχόντων οἱ μὲν ἐγγὺς προσάγοντες τὰ γράμματα πρεσβῦται μηδέ πω τῶν αὐτῶν συγκεχυμένων, ἀλλ' ἑκάτερα χωρὶς ἐπιθιγγάνοντες ἀσθενέστερον ἐπιλαμβάνονται. οἱ δ' ἀνωτέρω προθέμενοι μεμιγμένου τοῦ φωτὸς ἤδη πολλοῦ γεγονότος μᾶλλον ἐξακριβοῦσιν, ὥσπερ οἱ ταῖς δυσὶν ὁμοῦ χερσὶν κατέχοντες, ὃ τῇ ἑτέρᾳ μὴ δύνανται. λαμπρί

ας δὲ ὁ — τὴν ἱδρώνυμον — οὐκ ἀνέγνωκεν

εὐφυΐαν ἐμπεσὼν ὅτι τοῖς προσπίπτουσιν ἀπὸ τῶν ὁρατῶν

πρὸς τὴν ὄψιν ὁρώμενα, πρῶτον μὲν ἀπέρχεται μεγάλα καὶ παχυμερῆ. διὸ τοὺς γέροντας ἐγγύθεν ἐπιταράττει βραδύπορον, καὶ χληρὰν ἔχοντας τὴν ὅρασιν, στο ἀνεχθέντων δὲ εἰς τὸν ἀέρα, καὶ λαβόντων διαστήματα μὲν γεώδη περιθραύεται, καὶ ἀποπίπτει. τὰ δὲ λεπτὰ προσπελάζοντα ταῖς ὄψεσιν, ἀλύπως καὶ ὁμαλῶς ἐναρμόττει τοῖς πόροις. ὥστε ἧττον ταραττομένους, μᾶλλον ἀντιλαμβάνεσθαι. καὶ γὰρ αἱ τῶν ἀνθῶν ὀσμαὶ, πόρρωθεν εὐωδέστεραι προσπίπτουσιν, ἂν δὲ ἐγγύθεν ἄγαν προσάγῃς οὐχ οὕτω καθαρὸν οὐδὲ ἄκρατον ὄζουσιν. αἴτιον δὲ ὅτι πολλὰ τῶν γεωδῶν καὶ θολερῶν συναποφέρεται τῇ ὀσμῇ, καὶ διαφθείρει τὴν εὐωδίαν ἐγγύθεν λαμβανομένην, ἂν δὲ ἀπὸ μὲν θολερὰ καὶ γεώδη περιρρεῖ, καὶ τὸ δὲ εἰλικρινὲς καὶ θερμὸν αὐτοῦ ὑπὸ λεπτότητος διασώζεται πρὸς τὴν αἴσθησιν. ἡμεῖς δὲ τὴν Πλατωνικὴν φυλάττοντες ἀρχὴν λέγομεν. ὅτι πνεῦμα τῶν ὀμμάτων αὐγοειδὲς ἐκπίπτον ἀνακιρνᾶται τῷ περὶ τὰ σώματα φωτὶ, καὶ λαμβάνει σύμπηξιν, ὥστε ἐν ἐξ ἀμφοῖν σῶμα διόλου συμπαθὲς γενέσθαι. κεραννύται δὲ ἕτερον ἑτέρῳ συμμετρίας λόγῳ τε καὶ ποσότητος. οὐ γὰρ ἀναιρεθῆναι δεῖ θάτερον ἀπὸ θατέρου κρατηθὲν, ἀλλ' ἀπ' ἀμφοῖν ἔστι μέσον, ἁρμονία καὶ κοινωνία συναχθέντων μίαν δύναμιν ἀποτελεσθῆναι. ὄντος οὖν τούτων παρηλίκων, εἴτε ῥεῦμα χρὴ προσαγορεύειν, τὸ διὰ τῆς κόρης φερόμενον, εἴτε πνεῦμα φωτοειδὲς, εἴτε αὐγὴν ἀσθενοῦς καὶ ἀδρανοῦς ἐπιγίνεται κρᾶσις πρὸς τὸ ἐκτὸς οὐδὲ μίξις, ἀλλὰ φθορὰ καὶ σύγκρισις ἂν μὴ μακρὰν τὰ γράμματα τῶν ὀμμάτων ἀπάγοντες, ἐκλύωσι τὴν ἄγαν λαμπρότητα τοῦ φωτὸς, ὥστε μὴ πολλὴν, μὴ δὲ ἄκρατον, ἀλλ' ὁμοιοπαθῆ καὶ σύμμετρον ἀπαντῆσαι πρὸς τὴν ὄψιν. ὃ δὴ καὶ τοῦ περὶ τὰ νυκτίνομα τῶν ζώων παθήματος αἴτιόν ἐστι. ἡ γὰρ ὄψις αὐτῶν, ὑπὸ τοῦ μεθημερινοῦ φωτὸς ἀδρανὴς οὖσα, κατακλύζεται, καὶ κρατεῖται, μὴ δυναμένη πρὸς πολὺ καὶ ἰσχυρὸν ἀσθενὴς, καὶ ὀλίγης ἀρχῆς κεραννυσθαι. πρὸς δὲ τὸ ἀμαυρὸν καὶ λεπτὸν, οἷον ἀστέρος φῶς αὐγὴν διαρκῆ καὶ σύμμετρον ἴσχουσιν, ὥστε κοινωνεῖν, καὶ συνεργεῖσθαι τὴν αἴσθησιν.

φύσις .l.

παπάσματα .l.

ἀπωτέρω .l.

οὐ

δὲ

ὁμοιοπαθῆ .l.

Διατί τῷ ποτίμῳ μᾶλλον ἢ τῷ θαλαττίῳ πλύνεται τὰ ἱμάτια. θ.

Θέων ὁ γραμματικὸς ἑστιωμένων ἡμῶν παρὰ Μεστρίῳ Φλώρῳ πρὸς Θεμιστοκλέα τὸν
στωικὸν διηπόρησε. τί δή ποτε Χρύσιππος ἐν πολλοῖς τῶν παραλόγων ἀτόπων ἐ-
πιμνησθείς, οἷόν ἐστι τὸ τάριχος ἂν ἅλμῃ βρέχηται, γλυκύτερον γίνεσθαι, καὶ τὸ
τῶν ἐρίων τοὺς πόκους ἧττον ὑπακούειν τοῖς βίᾳ διασπῶσιν, ἢ τοῖς ἀτρέμα διαλύ-
ουσι, καὶ τὸ νηστεύσαντας ἀργότερον ἐσθίειν, ἢ προφαγόντας, οὐδενὸς αὐτῶν αἰ-
τίαν ἀπέδωκεν. ὁ δὲ Θεμιστοκλῆς εἰπὼν ὅτι ταῦτα Χρύσιππος ἄλλως ἐν παρα-
δείγματος λόγῳ προὔθετο, ῥᾳδίως ἡμῶν καὶ ἀλόγως, ὑπὸ τοῦ εἰκότος ἁλισκο-
μένων, καὶ πάλιν ἀπιστούντων τὸ παρὰ τὸ εἰκὸς ἐπιστρέφων. σοὶ δ᾽ ἔφη βέλτιστε,
τί πρᾶγμα περὶ τούτων διαπορεῖν. εἰ γοῦν ἡμῖν αἰτιῶν ζητητικός, καὶ θεωρητι-
κὸς γέγονας, μὴ μακρὰν οὕτως ἀποσκήνου τῶν ἰδίων. ἀλλ᾽ εἰπὲ δι᾽ ἣν αἰτίαν Ὅ-
μηρος ἐν ποταμῷ πλύνουσαν οὐκ ἐν τῇ θαλάττῃ, καίπερ ἐγγὺς οὔσης τὴν Ναυσικά-
αν πεποίηκε. καίτοι θερμοτέραν γε καὶ διαφανεστέραν εἰκός, ἢ ῥυπτικωτέραν
εἶναι. καὶ ὁ Θέων, ἀλλὰ τοῦτό γ᾽ εἶπε τῶν γεωδῶν Ἀριστοτέλης πάλαι διαλέλυ-
κε. βέβληκας ἡμῖν … τῇ θαλάττῃ τὸ τραχύ, καὶ γεῶδες
ἐνδιέσπαρται, καὶ τοῦτο ποιεῖ τὴν ἁλυκότητα, μεμιγμένον, ᾗ καὶ μᾶλλον ἡ θά-
λαττα τούς τε νηχομένους ἐξαναφορεῖ, καὶ στέγει τὰ βάρη, τοῦ γλυκέος ἐνδιδόν-
τος διὰ κουφότητα, καὶ ἀσθένειαν. ἔστι γὰρ ἄμικτον, καὶ καθαρὸν ὅθεν ἐνδύεται
διὰ λεπτότητα, καὶ διεξιὸν τοῦ θαλαττίου μᾶλλον ἐκτήκει τὰς κηλῖδας, ἢ οὐ δο-
κεῖ σοι τοῦτο πιθανῶς λέγειν Ἀριστοτέλης. πιθανῶς ἔφην ἐγώ, οὐ μὴν ἀληθῶς. ὁρῶ
γὰρ ὅτι καὶ τέφρα καὶ λίθοι, κἂν μὴ παρῇ δὲ ταῦτα κονιορτῷ πολλάκις πα-
χύνουσι τὸ ὕδωρ, ὡς μᾶλλον τῶν γεωδῶν τῇ τραχύτητι κατὰ πλύνειν δυναμέ-
νων τὸν ῥύπον. αὐτοῦ δὲ τοῦ ὕδατος διὰ λεπτότητα καὶ ἀσθένειαν οὐχ ὁμοίως τοῦ-
το δρῶντος. τὸ μὲν οὖν παχυμερὲς τῆς θαλάττης οὐ … πετου
τό ποτε … πρὸς τὴν κα … τὴν δριμύτη-
τα. καὶ γὰρ αὕτη τοὺς … ἀνασομοῦσα καὶ
κατασύρει τὸν ῥύπον. ἐπεὶ πᾶν τὸ λιπαρὸν δυσέκπλυτόν ἐστι, καὶ
κηλῖδα ποιεῖ. λιπαρὰ δ᾽ ἡ θάλασσα, τοῦτο δ᾽ ἂν αἴτιον εἴη μάλιστα τοῦ μὴ καλῶς πλύ-
νειν. ὅτι δ᾽ ἐστὶ λιπαρὰ καὶ αὐτὸς εἴρηκεν Ἀριστοτέλης. οἵ τε γὰρ ἅλες, λίπος
ἔχουσι καὶ τοὺς λύχνους βέλτιον παρέχουσι καιομένους, αὕτη τε ἡ θάλαττα
προσραινομένη ταῖς φλοξὶ συνεκλάμπει καὶ καίεται. μάλιστα τῶν ὑδάτων
τὸ θαλάττιον, ὡς δ᾽ οἶμαι διὰ τοῦτο καὶ θερμότατόν ἐστιν. οὐ μὴν ἀλλὰ καὶ κατ᾽
ἄλλον λόγον. ἐπεὶ τῆς πλύσεως τέλος ἡ ψῦξίς ἐστι, καὶ μάλιστα φαίνεται κα-
θαρὸν τὸ μάλιστα ξηρὸν γινόμενον. δεῖ δὲ τὸ πλυνόμενον ὑγρὸν τῷ
ὡς συνεξελθεῖν ὥσπερ τῷ νοσήματι τὸν ἐλλέβορον. τὸ μὲν οὖν γλυκὺ ῥᾳδίως ὁ ἥ-
λιος ἐξάγει διὰ κουφότητα. τὸ δὲ ἁλμυρὸν ἐνισχόμενον τοῖς πόροις διὰ τραχύτη-
τα δυσξήραντόν ἐστι. καὶ ὁ Θέων ὑπολαβών, οὐδὲν ἔφη λέγεις. Ἀριστοτέλης γὰρ
ἐν τῷ αὐτῷ βιβλίῳ φησί, τοὺς ἐν θαλάττῃ λουσαμένους τάχιον ἀποξηραίνεσθαι
τῶν γλυκέων χρησαμένων, ἂν ἐν ἡλίῳ στῶσι. λέγει γάρ, εἶπον. ἀλλ᾽ ᾤμην σε μᾶλ-
λον Ὁμήρῳ τἀναντία λέγοντι πιστεύσειν. ὁ δ᾽ ὁ Ὀδυσσεὺς μετὰ τὸ ναυάγιον ἐντυγ-
χάνει τῇ Ναυσικάᾳ σμερδαλέος ὀφθῆναι κεκακωμένος ἅλμῃ καὶ πρὸς τὰς
θεραπαινίδας φησίν, ἀμφίπολοι στῆθ᾽ οὕτως ἀπόπροθεν ὄφρ᾽ ἂν ἐγὼ αὐτὸς ἅλ-
μην ὤμοιιν ἀπολούσωμαι. καταβὰς δὲ εἰς τὸν ποταμόν, ἐκ κεφαλῆς, ἔσμηχεν ἁ-
λὸς χνόον ὑπερφυῶς τοῦ ποιητοῦ τὸ γινόμενον συνεωρακότος. ὅταν γὰρ ἐκ τῆς
θαλάττης ἀνακλῶντες ἐν τῷ ἡλίῳ στῶσι. τὸ λεπτότατον, καὶ κουφότατον τῆς ὑ-

γρασίας ἡ θερμότης διεφόρησε. τὸ δὲ ἁλμυρὸν αὐτὸ καὶ τραχὺ καταλειφθὲν
ἐφίσταται καὶ παραμένει τοῖς σώμασιν, ἁλώδης ἐπίπαγος, μέχρι ἂν αὐτὸ ποτί-
μῳ καὶ γλυκεῖ κατακλύσωσιν.

Διατί τῆς Αἰαντίδος φυλῆς Ἀθήνησιν οὐδέ ποτε τὸν χορὸν ἔκρινον ὕστατον. ι.

Ἐν τοῖς Σαραπίωνος ἐπινικίοις ὅτε τῇ Λεοντίδι φυλῇ τὸν χορὸν διατάξας ἐνίκησεν
ἑστιωμένοις ἡμῖν. ἅτε δὴ καὶ φυλέταις οὖσι δημοποιήτοις. οἰκεῖοι λόγοι τῆς ἐν χερσὶ
φιλοτιμίας παρῆσαν. ἔσχε γὰρ ὁ ἀγὼν ἐντονωτάτην ἅμιλλαν, ἀγωνοθετοῦντος
ἐνδόξως, καὶ μεγαλοπρεπῶς, Φιλοπάππου τοῦ βασιλέως ταῖς φυλαῖς ὁμοῦ
πάσαις χορηγοῦντος. ἐτύγχανε δὲ συνεστιώμενος ἡμῖν, καὶ τῶν παλαιῶν, τὰ
μὲν λέγων, τὰ δὲ ἀκούων, διὰ φιλανθρωπίαν οὐχ ἧττον, ἢ φιλομάθειαν. προεβλή-
θη δέ τι τοιοῦτον. ὑπὸ Μάρκου τοῦ γραμματικοῦ. Νεάνθη τὸν Κυζικηνὸν ἔφη λέ-
γειν ἐν τοῖς κατὰ πόλιν μυθικοῖς. ὅτι τῇ Αἰαντίδι φυλῇ γέρας ὑπῆρχε τὸ μὴ
κρίνεσθαι τὸν
χορὸν ἔσχατον μὲν
ξιν ἱστορίας ὁ αὐα … οὖν ἔφη προ- … εἰ δὲ τοῦτο γοῦν νοθεύει, προκείσθω
τῆς αἰτίας ἐν κοινῷ πᾶσιν ἡ ζήτησις. εἰπόντος δὲ τοῦ ἑταίρου Μίλωνος. ἂν οὖν
ψεῦδος ᾖ τὸ λεγόμενον, οὐδὲν ἔφη δεινὸν ὁ Φιλόπαππος. εἰ ταὐτὸ πεισόμεθα Δη-
μοκρίτῳ σοφῷ, διὰ φιλολογίαν. καὶ γὰρ ἐκεῖνος, ὡς ἔοικε τρώγων σίκυον, ὡς ἐφά-
νη μελιτώδης ὁ χυμός, ἠρώτησε τὴν διακονοῦσαν, ὁπόθεν πρίαιτο, τῆς δὲ κῆπόν
τινα φραζούσης, ἐκέλευσεν ἐξαναστὰς ἡγεῖσθαι καὶ δεικνύναι τὸν τόπον. θαυμά-
ζοντος δὲ τοῦ γυναίου, καὶ πυνθανομένου τί βούλεται, τὴν αἰτίαν ἔφη δεῖ με τῆς
γλυκύτητος εὑρεῖν. εὑρήσω δὲ τοῦ χωρίου γενόμενος θεατής, κατάκεισο δὴ τὸ γύ-
ναιον εἶπε μειδιῶν. ἐγὼ γὰρ ἀγνοήσασα τὸν σίκυον, εἰς ἀγγεῖον ἐθέμην μεμελιτωμέ-
νον. ὁ δὲ ὥσπερ ἀχθεσθεὶς ἀπέκναισας εἶπε, καὶ οὐδὲν ἧττον ἐπιθήσομαι τῷ λόγῳ,
καὶ ζητήσω τὴν αἰτίαν, ὡς ἂν οἰκείου καὶ συγγενοῦς οὔσης τῷ σικύῳ τῆς γλυκύτη-
τος. οὐκοῦν μηδὲ ἡμεῖς τὴν Νεάνθους ἐν ἐνίοις εὐχέρειαν ἀποδράσεως ποιησόμεθα
πρόφασιν. ἐγγυμνασόμεθα γοῦν εἰ μηδὲν ἄλλο χρήσιμον ὁ λόγος παρέξει. πάντες οὖν
ὁμαλῶς ἐρρύησαν πρὸς τὸ τὴν φυλὴν ἐγκωμιάζειν. εἴ τι καλὸν πρὸς δόξαν αὐ-
τῇ ὑπῆρχεν ἀναλεγόμενοι. καὶ γὰρ ὁ Μαραθὼν εἰς μέσον εἵλκετο, δῆμος ὢν ἐκείνης
τῆς φυλῆς, καὶ τοὺς περὶ Ἁρμόδιον Αἰαντίδας ἀπέφαινον Ἀφνιδαίους γε δὴ τῶν
δήμων γεγονότας. Γλαυκίας δὲ ὁ ῥήτωρ, καὶ τὸ δεξιὸν κέρας Αἰαντίδαις τῆς
ἐν Μαραθῶνι παρατάξεως ἀποδοθῆναι ταῖς Αἰσχύλου τὴν μεθορίαν ἐλεγείαις
πιστούμενος ἠγωνισμένου τὴν μάχην ἐκείνην ἐπιφανῶς. ἔτι δὲ καὶ Καλλίμαχος ἀπε-
δείκνυε τὸν πολέμαρχον ἐξ ἐκείνης ὄντα τῆς φυλῆς. ἐς αὐτόν τε παρέχων ἀρι-
στον ἄνδρα καὶ τῆς μάχης μετά γε Μιλτιάδην αἰτιώτατος κατέστη σύμψηφος ἐ-
κείνοις γενόμενος. ἐγὼ δὲ τῷ Γλαυκίᾳ προσετίθην, ὅτι καὶ τὸ ψήφισμα καθ᾽ ὃ
τοὺς Ἀθηναίους ἐξήγαγε τῆς Αἰαντίδος φυλῆς πρυτανευούσης γραφείη, καὶ ὅτι
περὶ τὴν ἐν Πλαταιαῖς μάχην, εὐδοκιμήσει, ἐν ᾗ φυλὴ μάλιστα. διὸ καὶ ταῖς Σφα-
γίτισι νύμφαις τὴν ἐπινίκιον καὶ πυθόχρηστον ἀπῆγον Αἰαντίδαι θυσίαν εἰς Κιθαι-
ρῶνα τῆς πόλεως τὸ ἱερεῖον, καὶ τὰ ἄλλα παρεχούσης αὐτοῖς. ἀλλ᾽ ὁρᾷς ἔφην
ὅτι πολλὰ καὶ ταῖς ἄλλαις φυλαῖς ὑπάρχει, καὶ πρώτην γε τὴν ἐμήν, ἴστε δὴ τὴν
Λεοντίδα, μηδὲ μιᾷ δόξῃ ὑφιεμένην. σκοπεῖτε δὴ μὴ πιθανώτερον λέγεται τὸ
παραμύθιον τοῦ ἐπωνύμου τῆς φυλῆς καὶ παραίτησιν εἶναι τὸ γινόμενον. οὐ γὰρ
εὔκολος ἐνεγκεῖν ἧτταν ὁ Τελαμώνιος. ἀλλ᾽ οἷος ἀφελεῖν πάντων ὑπ᾽ ὀργῆς καὶ φι-
λονεικίας, ἵνα οὖν μὴ χαλεπὸς ᾖ, μηδὲ ἀπαραμύθητος ἔδοξε τῆς ἥττης ἀφελεῖν τὸ δυ-
σχερέστατον εἰς τὴν ἐσχάτην χώραν. μηδέ ποτε τὴν φυλὴν αὐτοῦ καταβαλόντας.

ΣΥΜΠΟΣΙΑΚΩΝ ΔΕΥΤΕΡΟΝ

Τίνα ἐστὶν ἃ Ξενοφῶν παρὰ πότον ἥδιον ἐρωτᾶσθαί φησι καὶ σκώπτεσθαι, ἢ μή. α'.

ων εἰς τὰ δεῖπνα καὶ τὰ συμπόσια παρασκευαζομένων ὦ Σόσσιε
Σενεκίων, τὰ μὲν ἀναγκαίαν ἔχει τάξιν, ὥσπερ οἶνος, καὶ σιτία
καὶ ὄψα, καὶ στρωμναὶ δηλαδὴ, καὶ τράπεζαι. τὰ δ' ἐπεισόδια
γέγονεν ἡδονῆς ἕνεκεν, χρείας μὴ συναγομένης, ὥσπερ ἀκροάμα
τα, καὶ θεάματα, καὶ γελωτοποιός τις ἐν Καλλίου Φίλιππος
οἷς παροῦσι μὲν ἥδονται, μὴ παρόντα δὲ οὐ πάνυ ποθοῦσιν, οὐδ'
αἰτιῶνται τὴν συνουσίαν, ὡς ἐνδεέστερον ἔχουσαν. οὕτω δὴ καὶ τῶν λόγων, τοὺς
μὲν ἐπὶ χρείᾳ τῇ περὶ τὰ συμπόσια περιλαμβάνουσιν οἱ μέτριοι. τοὺς δὲ ἄλλους
δέχονται θεωρίαν πιθανὴν καὶ τῷ καιρῷ μᾶλλον αὐλοῦ καὶ βαρβίτου πρέπου
σαν ἔχοντας. ὧν καὶ τὸ πρῶτον ἡμῖν βιβλίον εἶχε μεμιγμένα δείγματα, τοῦ
μὲν προτέρου γένους, τὸ περὶ τοῦ φιλοσοφεῖν παρὰ πότον, καὶ περὶ τοῦ διανέ-
αὐτὰ τοῦ
μειν αὐτὸν, ἢ τοῖς δειπνοῦσιν ἐφιέναι τὰς κλίσεις.
δευτέρου περὶ τοῦ τοὺς ἐρῶντας ποιητικοὺς εἶναι, καὶ περὶ τῆς αἰαντίδος φυ
τὰ συμποτικὰ τάδ'
λῆς καλῶ δῆτα καὶ
τέρα κοινῶς συμποσιακὰ, σποράδην δὲ ἀναγέγραπται, καὶ οὐ διακεκριμέ-
νως, ἀλλ' ὡς ἕκαστον εἰς μνήμην ἦλθεν. οὐ δεῖ δὲ θαυμάζειν τοὺς ἀναγινώσκοντας,
εἴ σοι προσφωνοῦντες τινὰ τῶν προρρηθέντων, ἢ ἀπὸ σοῦ συνηγάγομεν. καὶ γὰρ
εἰ αἱ μαθήσεις, ἀναμνήσεις μὴ ποιῶσι, πολλάκις εἰς ταυτὸ τῷ μανθάνειν τὸ ἀνα-
μιμνήσκεσθαι καθίστησι. δέκα δὲ προβλημάτων εἰς ἕκαστον νενεμημένων βι-
βλίον. ἐν τούτῳ πρῶτόν ἐστιν ὃν τρόπον τινὰ Ξενοφῶν ὁ σωκρατικὸς ἡμῖν παραβέ-
βληκε. τὸν γὰρ Γωβρύαν φησὶ συνδειπνοῦντα τῷ Κύρῳ, τά τε ἄλλα θαυμάζειν
τῶν Περσῶν, καὶ ὅτι τοιαῦτα μὲν ἀλλήλους ἠρώτων. ἃ ἥδιον ἦν ἐρωτηθῆναι, ἢ μὴ
εἰ γοῦν ἐπαινοῦντες ἕτεροι
σκωφθῆναι καὶ
πολλάκις, καὶ προσίστανται, πῶς οὐκ ἄξιον ἦν ἄγασθαι τὴν εὐτραπελίαν ἐκείνων
καὶ τὴν σύνεσιν, ὧν καὶ τὰ σκώμματα τοῖς σκωπτομένοις ἡδονὴν καὶ χάριν πα-
ρεῖχε. δεξάμενος οὖν ἡμᾶς ἐν Πάτραις ἡδέως ἂν ἔφη πυθέσθαι τὰ τοιαῦτα ἐρω-
τήματα, ποίου γένους εἴη, καὶ τίς αὐτῶν τύπος. οὐ γάρ τι μικρὸν ἔφησε τῆς ὁ-
μιλητικῆς

μιλητικῆς μόριον, ἡ περὶ τὰς ἐρωτήσεις καὶ τὰς παιδιὰς τοῦ ἐμμελοῦς ἐπι-
στήμη καὶ τήρησις. μέγα μὲν οὖν ἔφην ἐγὼ, ἀλλ' ὅρα μὴ καὶ αὐτὸς ὁ Ξενοφῶν ἔν τε
τῷ σωκρατικῷ, καὶ τοῖς περσικοῖς ἐπιδείκνυσι συμποσίοις τὸ γένος. εἰ δὲ δοκεῖ καὶ
ἡμᾶς ἐπιθέσθαι τινὶ λόγῳ, πρῶτον ἡδέως ἐρωτᾶσθαί μοι δοκοῦσιν, ἃ ῥᾳδίως ἀ-
ποκρίνασθαι δύνανται. ταῦτα δ' ἐστὶν ὧν ἐμπειρίαν ἔχουσιν, ἃ γοῦν ἀγνοοῦσιν οἱ
μὴ λέγοντες, ἄχθονται καθάπερ αἰτηθέντες ὃ δοῦναι μὴ δύνανται, ἢ λέγοντες
ἀπόδειξιν καὶ ἐγκρασίας οὐ βεβαίου, διαταράσσονται, καὶ κινδυνεύουσιν, ἂν δὲ μὴ μό
νον ἔχῃ τὸ ῥᾴδιον, ἀλλὰ καὶ περιττὸν ἡ ἀπόκρισις ἥδιόν ἐστι τῷ ἀποκρινομένῳ. περιτ
τοὶ δ' εἰσὶν αὐτῶν ἐπισταμένων, ἃ μὴ πολλοὶ γινώσκουσιν, μὴ δὲ ἀκηκόασιν, οἷον ἀ-
στρολογικῶν, διαλεκτικῶν, ἄν περ ἕξιν ἐν αὐτοῖς ἔχωσιν. οὐ γὰρ πράττων μόνον
ἕκαστος, οὐδὲ δημηγορῶν, ὡς Εὐριπίδης φησὶν, ἀλλὰ καὶ διαλεγόμενος, ἵνα αὐτὸς
αὑτοῦ τυγχάνῃ κράτιστος ὢν, ἡδέως διατίθεται, καὶ χαίρουσι τοῖς ἐρωτῶσιν, ἃ γι-
νώσκοντες ἀγνοεῖσθαι, καὶ λανθάνειν οὐ θέλουσι. διὸ καὶ περὶ χώρας ἀποίκου
καὶ ξένης θαλάττης ἐθῶν τε βαρβαρικῶν καὶ νόμων, οἱ πεπλανημένοι καὶ πε-
πλευκότες ἥδιον ἐρωτῶνται, καὶ προθύμως διηγοῦνται, καὶ διαγράφουσι
κόλπους, καὶ τόπους οἰόμενοι, καὶ χάριν τινὰ τῶν πόνων ταύτην καὶ παραμυθί-
αν κομίζεσθαι. καθόλου δὲ ὅσα μηδενὸς ἐρωτῶντος αὐτοὶ διηγεῖσθαι, καὶ λέ-
γειν ἀφ' ἑαυτῶν εἰώθαμεν, ἥδιον ἐρωτώμεθα χαρίζεσθαι τούτοις, δοκοῦντες ὧν
ἔργον ἦν ἐνοχλουμένων ἀποσχέσθαι, καὶ τοῦτο μὲν ἐν τοῖς πλωτικοῖς μάλιστα φύ-
εται τὸ γένος τοῦ νοσήματος. οἱ δὲ κομψότεροι τοῦτο ἐρωτᾶσθαι θέλουσιν, ἃ βου-
λόμενοι λέγειν αἰδοῦνται καὶ φείδονται τῶν παρόντων ὅσα τυγχάνουσιν αὐ-
τοὶ διαπεπραγμένοι, καὶ κατωρθωκότες. ὀρθῶς οὖν ὁ Νέστωρ τὴν φιλοτιμίαν
τοῦ Ὀδυσσέως ἐπιστάμενος, εἴπ' ἄγ' ἐμ' ὦ πολύαιν' Ὀδυσσεῦ φησὶ, μέγα κῦδος ἀχαι-
ῶν. ὅπως δὴ τοὺς δ' ἵππους λάβετον. ἄχθονται γὰρ τοῖς αὐτοὺς ἐπαινοῦσι, καὶ
τὰς ἑαυτῶν εὐτυχίας διεξιοῦσιν, ἂν μὴ κελεύσῃ ἄλλος τις τῶν παρόντων
ζόμενοι λέγωσιν
πρεσβειῶν καὶ γοῦν ἐρωτῶνται
πολιτειῶν
μέγα τι καὶ λαμπρὸν εἰρ
γασμένοι τυγχάνουσιν. ὅθεν ἥκιστα περὶ τούτων, ὡς φθονεροὶ καὶ κακοήθεις ἐ-
ρωτῶσι καὶ ἄλλο ται τὰ τοιαῦτα δακρύονται, καὶ παραζέουσι
χώραν τῇ διηγήσει μὴ διδόντες, μὴ δὲ βουλόμενοι λόγου τὸν λέγοντα κοσμοῦ-
τος, ἀφορμὰς προσέσθαι, καὶ ταῦτα οὖν ἐρωτῶντες χαρίζεσθαι τοῖς ἀποκρινο-
μένοις, ἃ τοὺς ἐχθροὺς καὶ δυσμενεῖς αἰσθάνονται, μὴ βουλομένους ἀκούειν. καὶ
μὴν ὅ γε Ὀδυσσεὺς τῷ Ἀλκινόῳ. σοὶ δ' ἐμὰ κήδεα θυμὸς ἐπετράπετο στονόεντα εἴρε-
σθαι, ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω, καὶ πρὸς τὸν χορὸν ὁ Οἰδίπους. δει-
νὸν μὲν τὸ πάλαι κείμενον ἤδη κακὸν ὦ ξεῖνε
γείρειν
ὁ δ' Εὐριπίδης τοὐναντίον, ὡς ἡδύ
πόνων
οὐ τοῖς ἔτι πλανωμένοις καινὰς φέρουσι. τῶν οὖν κα-
κῶν φυλακτέον ἐστὶ τὰς ἐρωτήσεις. ἀνιῶνται γὰρ διηγούμενοι, καταδίκας αὐτῶν,
ἢ ταφὰς παίδων, ἢ τινας κατὰ γῆν οὐκ εὐτυχεῖς, ἢ κατὰ θάλατταν ἐμπορεί-
ας, τὸ δὲ πῶς εὐημέρησαν ἐπὶ βήματος, ἢ προσηγορεύθησαν ἀπὸ τοῦ βασιλέως,
ἢ τῶν ἄλλων περιπεσόντων χειμῶσιν ἢ λῃσταῖς αὐτοὶ διέφυγον τὸν κίνδυνον ἡδέ-
ως ἐρωτῶνται πολλάκις καὶ τρόπον τινὰ τῷ λόγῳ τοῦ πράγματος ἀπολαύον-
τες ἀπλήστως ἔχουσι τοῦ διηγεῖσθαι, καὶ μνημονεύειν. χαίρουσι δὲ καὶ περὶ φίλων εὐτυ-
χούντων ἐρωτώμενοι, καὶ περὶ παίδων προκοπτόντων ἐν μαθήμασι συνηγορίαις
ἢ φιλίαις βασιλέων. ἐχθρῶν δὲ καὶ δυσμενῶν ὀνείδη, καὶ βλάβας, καὶ κα-
ταδίκας ἐξελεγχθέντων, καὶ σφαλέντων ἥδιον ἐρωτώμενοι, καὶ προθυμότερον

ἐξαγγέλλουσιν. αὐτοὶ δὲ ἀφ' αὑτῶν ὀκνοῦσι φυλαττόμενοι δόξαν τῆς χαιρεκακίας,
ἥδιον δὲ, καὶ περὶ κυνῶν αὖ ἄγρα θηρευτὴν ἐρωτᾶν, καὶ φιλαθλητὴν περὶ γυ-
μνικῶν ἀγώνων, καὶ περὶ καλῶν ἐρωτικόν. ὁ δ' εὐσεβὴς καὶ φιλοθύτης διηγη-
ματικὸς ὀνείρων καὶ ὅσα χρησάμενος, ἢ φήμαις, ἢ ἱεροῖς, ἢ θεῶν εὐμενείᾳ, κατώρ-
θωσεν. ἡδέως αὖ καὶ περὶ τούτων ἐρωτῶνται. τοῖς δὲ πρεσβύταις, κἂν μηδὲν
ἡ διήγησις ᾖ προσήκουσα πάντως οἱ ἐρωτῶντες χαρίζονται καὶ κινοῦσιν βου-
» λομένους. ὦ Νέστορ Νηλιάδη, σὺ δ' ἀληθὲς ἐνίσπες, πῶς ἔθαν' Ἀτρείδης, ποῦ Μενέλα-
» ος ἦν; ἢ οὐκ Ἄργεος, ἦ ἐν Ἀχαιικοῦ πολλὰ ἐρωτῶν ἅμα καὶ πολλῶν λόγων ἀφορμὰς
προσιέμενος, οὐχ ὥσπερ ἔνιοι συστέλλοντες εἰς τὸ ἀναγκαῖον αὐτοῦ, καὶ συνελαύ-
νοντες τὰς ἀποκρίσεις ἀφαιροῦνται τῆς γεροντικῆς διατριβῆς τὸ ἥδιστον. ὅλως
δ' οἱ θέλοντες εὐφραίνειν μᾶλλον ἢ λυπεῖν τοιαύτας ἐρωτήσεις προφέρονται.
ὧν ταῖς ἀποκρίσεσιν, οὐ ψόγος, ἀλλ' ἔπαινος, οὐδὲ μῖσος ἢ νέμεσις, ἀλλ' εὔνοια καὶ
χάρις ἕπεται παρὰ τῶν ἀκουσάντων. ταῦτα μὲν οὖν τὰ περὶ τὰς ἐρωτήσεις.
σκώμματος δὲ τὸ μὴ δυνάμενον μετ' εὐλαβείας καὶ τέχνης κατὰ καιρὸν ἅπτε-
σθαι. παντάπασιν ἀφεκτέον, ὥσπερ οἱ ἐν ὀλισθηρῷ τόπῳ κἂν θίγωσιν ἐκ παρα-
δρομῆς μόνον ἀνατρέπουσιν, οὕτως ἐν οἴνῳ πρὸς πᾶσαν ἀφορμὴν λόγου μὴ κατὰ
σχῆμα γιγνομένην ἐπισφαλῶς ἔχομεν. τοῖς δὲ σκώμμασιν ἔστιν ὅτε μᾶλλον, ἢ ταῖς λοι-
δορίαις ἐκκινούμεθα. τὸ μὲν ἀπὸ ὀργῆς πολλάκις ἀβουλήτως ὁρῶντες γινόμε-
νον. τὸ δὲ ὡς οὐκ ἀναγκαῖον, ἀλλ' ἔργον ὕβρεως, καὶ κακοηθείας προβαλλόμενοι,
καὶ καθόλου διαλέγεσθαι, τοῖς νοῖς μᾶλλον, ἢ τοῖς φλυαροῦ- μαστι
σι χαλεπαίνομεν ὅτι δ' ὅλως τὸ εἶναι
προσέσται τὸ σκῶμμα λοιδόρημα δὲ
καὶ πεποιημένον ἐκ παρασκευῆς. ὁ γὰρ εἰπὼν ταριχοπώλην, αὐτόθεν ἐλοιδόρη-
σεν. ὁ δὲ φήσας μεμνήμεθά σε τῷ βραχίονι ἀπομυττόμενον, ἔσκωψε. καὶ Κικέρων
πρὸς Ὀκτάουιον ἐκ Λιβύης εἶναι δοκοῦντα, λέγοντος δ' αὐτοῦ φάσκοντα μὴ ἀ-
κούειν, καὶ μὴν τετρυπημένον ἔφη ἔχει τὸ οὖς. καὶ Μελάνθιος ὑπὸ τοῦ κωμῳ-
δοποιοῦ καταγελώμενος. ἔφη, οὐκ ὀφειλόμενόν μοι ἀποδίδως ἔρανον. μᾶλλον
οὖν τὰ σκώμματα δάκνει. καθάπερ τὰ παρηγκιστρωμένα βέλη πλείονα χρόνον
ἐμμένοντα καὶ λυπεῖ τοὺς σκωφθέντας. ἡ τέρψις τῇ κομψότητι, καὶ ἡδύνει
τοὺς παρόντας. ἡδόμενοι γὰρ αὐτοὶ τῷ λεγομένῳ πιστεύειν ἁμαρ-
διασύρειν λέγοντι σμος γάρ ἐστιν
τίας παρε σκῶμμα κατὰ τὸν Θεόφραστον. ὅθεν ἐξ αὐτοῦ τῇ ὑπο-
νοίᾳ προστίθησιν, ὁ ἀκούσας τὸ ἔλλειπον, ὡς εἰδὼς, καὶ πιστεύων. ὁ γὰρ γελάσας καὶ
ἡσθεὶς τοῦ Θεοκρίτου πρὸς τὸν δοκοῦντα λωποδυτεῖν, ἐρωτῶντα δὲ αὐτὸν εἰ ἐπὶ
δεῖπνον βαδίζει, φήσαντος βαδίζειν. ἐκεῖ μέντοι καθεύδειν βεβαιοῦντι τὴν διαβο-
λὴν ὅμοιός ἐστι. διὸ καὶ πρὸς ἀναπίμπλησι τοὺς παρόντας ὁ σκώπτων παρὰ μέ-
λος κακοηθείας, ὡς ἐφηδομένους, καὶ συνυβριζομένους. ἐν δὲ τῇ καλῇ Λακεδαί-
μονι τῶν μαθημάτων ἐδόκει, τὸ σκώπτειν ἀλύπως, καὶ σκωπτόμενον φέρειν. εἰ δὲ
τις ἀπείποι σκωπτόμενος, εὐθὺς ὁ σκώπτων ἐπέπαυτο. πῶς οὖν οὐ χαλεπὸν εὑρεῖν
σκῶμμα τῷ σκωπτομένῳ κεχαρισμένον, ὅπου καὶ τὸ μὴ λυπεῖν τοῦ σκώμματος. οὐ
τῆς τυχούσης ἐμπειρίας καὶ δεξιότητός ἐστιν. οὐ μὴν ἀλλὰ πρῶτά μοι δοκεῖ τὰ λυ-
ποῦντα τὸν ὑπόχρεων σκώμματα, τοῖς μακρὰν οὖσι τῆς διαβολῆς, ἡδονήν τινα καὶ
χάριν ποιεῖν. οἷον ὁ Ξενοφῶν τὸν ὑπέραισχρον, καὶ ὑπέρδασυν ἐκεῖνον, ὡς παιδικὰ
τοῦ Σαμβαύλα σκωπτόμενον, εἰσάγει μετὰ παιδιᾶς καὶ Κυηνοῦ τοῦ ἡμετέρου μέ-
μνηται ἐν ἀσθενείᾳ τὰς χεῖρας ἔχειν ψυχρὰς λέγοντος αὐτῷ Φιλίνου Μόδεστος. ἀλλὰ
μὴν ἔφη θερμὰς ἀπὸ τῆς ἐπαρχίας κεκόμικας αὐτάς. τοῦτο γὰρ ἐκείνῳ μὲν γέ-
λωτα

λωτα καὶ διάχυσιν παρέσχε. κλέπτῃ δὲ ἀνθυπάτῳ λοιδόρημα καὶ ὄνειδος ἦν. διὸ
καὶ Κριτόβουλον ὁ Σωκράτης εὐπροσωπότατον ὄντα προκαλούμενος εἰς σύγκρισιν
εὐμορφίας ἔπαιζεν, οὐκ ἐχλεύαζεν. καὶ Σωκράτην πάλιν Ἀλκιβιάδης ἔσκω-
πτεν εἰς ζηλοτυπίαν τὴν περὶ Ἀγάθωνος. ἥδονται δὲ καὶ βασιλεῖς τοῖς λεγομέ-
νοις, ὡς εἰς πένητας αὐτοὺς καὶ ἰδιώτας, ὥσπερ ὑπὸ Φιλίππου σκωφθεὶς ὁ
παράσιτος εἶπεν, οὐκ ἐγώ σε τρέφω. τὰ γὰρ οὐ προσόντα φαῦλα λέγοντες, ἐμφαί-
νουσι τὰ προσόντα χρηστά. δεῖ δὲ, ὁμολογουμένως καὶ βεβαίως προσεῖναί τι
χρηστὸν, εἰ δὲ μὴ τὸ λεγόμενον τοὐναντίον ἀμφισβητήσιμον ἔχει τὴν ὑπονοίαν. ὁ
γὰρ τῷ πάνυ πλουσίῳ τοὺς δανειστὰς ἐπάξειν λέγων, ἢ τὸν ὑδροπότην, καὶ σώ-
φρονα παροινεῖν καὶ μεθύειν, ἢ τὸν εὐδάπανον, καὶ μεγαλοπρεπῆ, καὶ χαριστικὸν,
κίμβικα, καὶ κύμινον προσαγορεύων, ἢ τὸν ἐν συνηγορίαις καὶ πολιτείαις μέγαν
ἀπειλῶν ἐν ἀγορᾷ λήψεσθαι, διάχυσιν καὶ μειδίαμα παρέσχεν. οὕτως ὁ Κῦρος ἐν
οἷς ἐλείπετο ἑταίρων εἰς ταῦτα προκαλούμενος ἐγίνετο προσηνὴς, καὶ κεχαρι-
σμένος, καὶ τοῦ Ἰσμηνίου τῇ θυσίᾳ προσαυλοῦντος, ὡς οὐκ ἐκαλλιέρει παρελό-
μενος τοὺς αὐλοὺς ὁ μισθωτὸς ηὔλησε γελοίως. αἰτιωμένων δὲ τῶν παρόντων ἔστιν
ἔφη τὸ κεχαρισμένως αὐλεῖν θεόθεν. ὁ δ' Ἰσμηνίας γελάσας, ἀλλ' ἐμοῦ μὲν αὐ-
λοῦντος ἡδόμενοι διέτριβον οἱ θεοί σοῦ δὲ ἀπαλλαγῆναι σπεύδοντος ἐδέξαντο
τὴν θυσίαν. ἔτι τοίνυν οἱ τὰ χρηστὰ τῶν πραγμάτων τοῖς λοιδορουμένοις ὀνόμασι
μετὰ παιδιᾶς καλοῦντες, ἂν ἐμμελῶς ποιῶσιν. αὐτῶν μᾶλλον εὐφραίνουσι τῶν ἀπ'
εὐθείας ἐπαινούντων. καὶ γὰρ δάκνουσι μᾶλλον οἱ διὰ τῶν εὐφήμων ὀνειδίζον-
τες, ὡς οἱ τοὺς πονηροὺς Ἀριστείδας, καὶ τοὺς δειλοὺς Ἀχιλλεῖς καλοῦντες. ὃ καὶ τὸ
Σοφοκλέους Οἰδίπου τῆς Κρέων ὁ πιστὸς οὐξ ἀρ-
χῆς φίλος. ἀντίστροφον οὖν ἔοικε γένος εἶναι εἰρωνείας τὸ περὶ τοὺς ἐπαίνους. ᾧ
καὶ Σωκράτης ἐχρήσατο τὸν Ἀντισθένους τὸ φιλόφιλον, καὶ συναγωγὸν ἀνθρώπων
εἰς εὔνοιαν, μαστροπείαν, καὶ συναγωγίαν, καὶ ἀγωγίαν ὀνομάσας
φιλόσοφον εἰς πᾶσαν οἰκίαν εἰσιόντα μετὰ τιμῆς καὶ φιλοφροσύνης δεχομένων, κράτητα δὲ τὸν
θυρεπανοίκτην ἐκάλουν. ποιεῖ δ' εὔχαρι σκῶμμα, καὶ μέμψις ἐμφαίνουσα χάριν.
» ὡς Διογένης περὶ Ἀντισθένους ἔλεγεν, ὅς με ῥάκη τ' ἤμπισχε κἀξηνάγκασε πτωχὸν
» γενέσθαι κἀνοδόμων ἀνάστατον. οὐ γὰρ ἂν ὁμοίως πιθανῶς ἦν λέγων, ὅς με σοφὸν
καὶ αὐτάρκη καὶ μακάριον ἐποίησε. καὶ ὁ Λάκων, ἄκαπνα ξύλα τῷ γυμνασιάρ-
χῳ παρασχόντι προσποιούμενος ἐγκαλεῖν ἔλεγε. δι' ὃν οὐδὲ ἀποδακρῦσαι γέγο-
νεν ἡμῖν, καὶ τὸν δειπνίζοντα καθ' ἡμέραν ἀνδραποδιστὴν καλῶν καὶ τύραννον.
δι' ὃν ἐτῶν τοσούτων οὐχ ἑώρακε τὴν ἑαυτοῦ τράπεζαν, καὶ ὁ λέγων ὑπὸ τοῦ βα-
σιλέως ἐπιβεβουλευμένος ἀφῃρῆσθαι τὴν σχολὴν, καὶ τὸν ὕπνον, πλούσιος γεγο-
νὼς ἐκ πένητος, καὶ εἴ τις ἀντιστρέψας αἰτιῷτο τοὺς Αἰσχύλου Καβείρους. ὄξους
σπανίζειν, δῶμα ποιήσαντας, ὥσπερ αὐτοὶ παίζοντες ἠπείλησαν. ἅπτεται γὰρ
ταῦτα μᾶλλον. ἔχοντα δριμυτέραν χάριν, ὥστε μὴ προσίστασθαι μηδὲ λυπεῖν τοὺς
ἐπαινουμένους. δεῖ δὲ τὸν ἐμμελῶς σκώμματι χρησόμενον, εἰδέναι καὶ νοσήματος
διαφορὰν πρὸς ἐπιτήδευμα. λέγω δὲ φιλαργυρίας, καὶ φιλονεικίας πρὸς φι-
λομουσίαν, καὶ φιλοθηρίαν. ἐπ' ἐκείνοις μὲν γὰρ ἄχθονται σκωπτόμενοι, πρὸς
ταῦτα δὲ ἡδέως ἔχουσιν. οὐκ ἀηδῶς γοῦν Δημοσθένης ὁ Μιτυληναῖος, φιλῳδοῦν-
τός τινος καὶ φιλοκιθαριστοῦ θύραν κόψας, ὑπακούσαντος αὐτοῦ καὶ κελεύσαντος εἰσελ-
θεῖν, ἂν πρῶτον ἔφη τὴν κιθάραν δήσῃς. ἀηδῶς δὲ ὁ τοῦ Λυσίου παράσιτος ἐμβα-
λόντος αὐτοῦ σκορπίον ξύλινον εἰς τὸ ἱμάτιον ἐκταραχθεὶς, καὶ ἀναπηδήσας, ὡς
ᾔσθετο τὴν παιδιὰν, κἀγώ σέ φησιν ἐκφοβῆσαι βούλομαι ὦ βασιλεῦ δός μοι τά-

προσόντα .l.

ῥάκη .l.
πιθανὸς .l.

λανθάνει· εἰσὶ δὲ καὶ περὶ τὰ σωματικὰ, τοιαῦται διαφοραὶ τῶν πολλῶν, οἷον εἰς
γρυπότητα, καὶ σιμότητα σκωπτόμενοι, γελῶσιν· ὡς ὁ κασσάνδρου φίλος οὐκ
ἠχθέσθη, τοῦ θεοφράστου πρὸς αὐτὸν εἰπόντος, θαυμάζω σου τοὺς ὀφθαλμοὺς, ὅ
τι οὐκ ᾄδουσι τοῦ μυκτῆρος αὐτοῖς ἐνδεδωκότος. καὶ ὁ κῦρος ἐκέλευσε τὸν γρυ-
πὸν, οὕτω γὰρ ἐφαρμόσειν. εἰς δὲ δυσωδίαν μυκτῆρος ἢ στόματος ἄχθονται σκω-
πτόμενοι, καὶ πάλιν εἰς φαλακρότητα πράως φέρουσιν, εἰς δὲ πήρωσιν ὀφθαλ-
μῶν ἀηδῶς. καὶ γὰρ ἀντίγονος, αὐτὸς μὲν ἑαυτὸν εἰς τὸν ὀφθαλμὸν ἔσκωπτε, καί
ποτε λαβὼν ἀξίωμα μεγάλοις γράμμασι γεγραμμένον, ταυτὶ μὲν ἔφη, καὶ τυ
φλῷ δῆλα. θεόκριτον δὲ τὸν χῖον ἀπέκτεινεν, ὅτι φήσαντος τοὺς ὀφθαλμοὺς αὐ
ῥαγένη σωθῆ ἀλλ᾽ ἅμα εἶπεν ἀδυνάτου τὰ
ὑπὸ τὴν σωτηρίαν ὁ βυζάντιος εἰπόντος πασιάδου πρὸς αὐτὸν, ὀφθαλμιαθῆ-
ναι δὲ αὐτοῦ τοὺς ὀφθαλμοὺς, ἀσθένειαν ἔφη σώματος ὀνειδίζεις νέμεσιν οὐχ ὁρῶν
ἐπὶ τῶν ὤμων βαστάζοντα σου τὸν υἱόν. εἶχε δὲ κυρτὸν ὁ πασιάδης υἱὸν, ἠγανάκτη
σε δὲ καὶ ἄρχιππος ὁ δημαγωγὸς τῶν ἀθηναίων, ὑπὸ μελανθίου σκωφθεὶς εἰς
τὸ κυρτόν. ἔφη γὰρ αὐτὸν ὁ μελάνθιος οὐ προεστάναι τῆς πόλεως, ἀλλὰ κεκυφέ
ναι. τινὲς δὲ ταῦτα πράως, καὶ μετρίως φέρουσιν ὥσπερ ὁ φίλος τοῦ ἀντιγόνου
τάλαντον αἰτήσας, καὶ μὴ λαβὼν, ᾔτησε προπομποὺς καὶ φύλακας, ὅπως ἔφη
μὴ ἐπιβουλευθῶ, προστάξας κατ᾽ ὤμου τὸ τάλαντον φέρειν. οὕτω μὲν περὶ τὰ
ἐκτὸς ἔχουσι διὰ τὴν ἀνωμαλίαν, ἄλλοι γοῦν ἐπ᾽ ἄλλοις, ἐπαμεινώνδας μετὰ τῶν
συναρχόντων ἑστιώμενος ἐπέπινεν ὄξος, καὶ πυνθανομένων εἰ πρὸς ὑγίειαν ἀγα-
θὸν, οὐκ οἶδα εἶπεν, ὅτι μέντοι πρὸς τὸ μεμνῆσθαι τῆς οἴκοι διαίτης ἀγαθὸν ἐπί-
σταμαι. διὸ δεῖ καὶ πρὸς τὰς φύσεις, καὶ τὰ ἤθη σκοποῦντα ταῖς παιδιαῖς χρῆ-
σθαι πειρώμενον ἀλύπως, καὶ κεχαρισμένως ἑκάστοις ὁμιλεῖν. ὁ δ᾽ ἔρως, τά τε
ἄλλα φιλαιτιώτατός ἐστι, καὶ τοῖς σκώμμασιν, οἱ μὲν ἄχθονται καὶ ἀγανακτοῦσιν,
οἱ δὲ χαίρουσι. δεῖ δὲ εἰδέναι τὸν καιρόν. ὡς γὰρ τὸ πῦρ, ἐν ἀρχῇ μὲν ἀποσβέννυσι
τὸ πνεῦμα διὰ τὴν ἀσθένειαν, αὐξηθέντι δὲ τροφὴν παρέχει καὶ ῥώμην, οὕτως φυ-
όμενος ὁ ἔρως ἔτι καὶ λανθάνων δυσκολαίνει, καὶ ἀγανακτεῖ πρὸς τοὺς ἀποκα-
λύπτοντας, ἐκλάμψας δὲ καὶ διαφανεὶς, τρέφεται καὶ προσγελᾷ τοῖς σκώμ-
μασι φυσώμενος. ἥδιστα δὲ σκώπτονται παρόντων τῶν ἐρωμένων εἰς αὐτὸ τὸ ἐρᾶν,
εἰς ἄλλο δὲ οὐδέν. ἐὰν δὲ καὶ γυναικῶν ἐρῶντες ἰδίων τύχωσιν, ἢ νεανίσκων φιλο-
κάλων ἔρωτα γενναῖον, παντάπασι γάννυνται, καὶ καλλωπίζονται τῷ σκώπτε-
σθαι πρὸς αὐτούς. διὸ καὶ ἀρκεσίλαος ἐν τῇ σχολῇ τοιαύτης μεταδόσεως αὐτῷ
γενομένης ὑπό τινος τῶν ἐρωτικῶν· δοκεῖ μοι μηδὲν ἅπτεσθαι μηδενὸς, ὁ δὲ, σὺ τοί-
νυν ἔφη τοῦδε ἅπτῃ, δείξας τινὰ τῶν καλῶν καὶ ὡραίων παρακαθήμενον. ἤδη δὲ
καὶ τῶν παρόντων σκεπτέον. ἃ γοῦν ἐν φίλοις καὶ συνήθεσιν ἀκούοντες γελῶσι,
ταῦτα δυσχεραίνουσιν, ἂν λέγηται πρὸς αὐτοὺς τῆς γαμετῆς παρούσης, ἢ τοῦ
πατρὸς, ἢ τοῦ καθηγητοῦ. πλὴν ἂν μή τι κεχαρισμένον ἢ τῶν λεγομένων ἐκεί-
νοις, οἷον ἂν σκώπτηται τοῦ φιλοσόφου παρόντος εἰς ἀνυποδησίαν, ἢ νυ
κτογραφίαν, ἢ τοῦ πατρὸς ἀκούοντος μικρολογίαν, ἢ τῆς γυναικὸς, εἰς τὸ ἀνέραστον
ἑτέρων, ἐκείνης δὲ δοῦλον, καὶ θεραπευτικὸν, ὡς ὁ τιγράνης ὑπὸ τοῦ κύρου. τί δ᾽
ἂν δὲ ἡ γυνὴ σκευοφοροῦντα ἀκούσῃ, ἀλλ᾽ οὐκ ἀκούσεται, εἶπεν. ὄψεται δὲ αὐτὴ
παροῦσα. ποιεῖ δὲ ἀμφότερα τὰ σκώμματα καὶ τὸ κοινωνεῖν ἀμῶς γέ πως τοὺς
λέγοντας. ὅταν εἰς πενίαν λέγῃ πένης, ἢ δυσγενὴς εἰς δυσγένειαν, ἢ ἐρῶν εἰς ἔρω
τα. δοκεῖ δὲ οὐχ ὕβρει, παιδιᾷ δέ τινι γίνεσθαι μᾶλλον ὑπὸ τῶν ὁμοίων. εἰ δὲ μὴ πα
ροξυνεῖ, καὶ λυπεῖ. τὸν γοῦν ἀπελεύθερον τοῦ βασιλέως, νεόπλουτον ὄντα, φορτι
κῶς δὲ καὶ σοβαρῶς ἐπιπολάζοντα τοῖς συνδειπνοῦσι φιλοσόφοις, καὶ τέλος
ἐρωτῶντα

ἐρωτῶντα πῶς ἔκ τε τῶν λευκῶν καὶ τῶν μελάνων κυάμων, ὁμοίως χλωρὸν
γίνεται τὸ ἔτνος. ἀντερωτήσας ὁ ἀριδίκης πῶς ἐκ τῶν λευκῶν, καὶ λευκῶν ἱ-
μάντων φοινικοῖ γίνονται μώλωπες, ἐποίησεν ἀναστῆναι περίλυπον γενόμενον. ὁ δὲ
ταρσεὺς ἀμφίας ἐκ κηπουροῦ δοκῶν γεγονέναι, σκώψας δὲ τὸν φίλον τοῦ ἡγε-
μόνος εἰς δυσγένειαν. εἶτα ὑπολαβὼν εὐθὺς, ἀλλὰ καὶ ἡμεῖς ἐκ τῶν αὐτῶν σπερ
μάτων γεγόναμεν, γέλωτα ἐποίησε. κομψῶς δὲ καὶ τοῦ φιλίππου τὴν ὀψιμαθί
αν ἅμα καὶ περιεργίαν ὁ ψάλτης ἐπέσχεν. οἰομένου γοῦν αὐτὸν ἐξελέγχειν τοῦ φι
λίππου περὶ κρουμάτων, καὶ ἁρμονιῶν, μὴ γένοιτό σοι εἶπεν ὦ βασιλεῦ κακῶς
οὕτως, ἵνα ἐμοῦ σὺ ταῦτα εἰδῇς βέλτιον. σκώπτειν γὰρ ἑαυτὸν δοκῶν, ἐκεῖνον ἀ-
λύπως ἐνουθέτησε. διὸ καὶ τῶν κωμικῶν ἔνιοι τὴν πικρίαν ἀφαιρεῖν δοκοῦσι τῷ
σκώπτειν ἑαυτοὺς, ὡς ἀριστοφάνης εἰς τὴν φαλακρότητα καὶ τὴν ἀγάθωνος
λίψιν. κρατῖνος δὲ τὴν πυτίνην ἐδίδαξεν, οὐχ ἥκιστα δὲ προσέχειν καὶ φυ
λάττειν, ὅπως ἐκ τοῦ παρατυχόντος ἔσται τὸ σκῶμμα πρός τινος ἐρωτήσεις αὐ
τόθεν, ἢ παιδιᾶς γινόμενον, ἀλλὰ μὴ πόρρωθεν, οἷον ἐκ παρασκευῆς ἐπεισόδιον.
ὡς γὰρ ὀργὰς καὶ μάχας τὰς ἐκ τῶν συμποσίων πρᾳότερον φέρουσιν. ἐὰν δὲ ἐπελ
θών τις ἔξωθεν λοιδορῆται καὶ ταράττῃ, τοῦτον ἐχθρὸν ἡγοῦνται, καὶ μισοῦσιν,
οὕτως μέτεστι συγγνώμης σκώμματι καὶ παρρησίας, ἂν ἐκ τῶν παρόντων ἔχῃ τὴν
γένεσιν, ἀφελῶς καὶ ἀπλήστως φυόμενον. ἂν δὲ ᾖ μὴ πρὸς λόγον, ἀλλ᾽ ἐξ ὧν ἐπιβου
λῇ καὶ ὕβρει προσέοικεν, οἷον τὸ τιμαγένους πρὸς τὸν ἄνδρα τῆς γαμετικῆς, κακῶν
γὰρ ἄρχεις, τὴν δὲ μοῦσαν εἰσάγων, καὶ πρὸς ἀθηνόδωρον τὸν φιλόσοφον. εἰ μου
σικὴ πρὸς τὰ φιλοστοργία. ἡ γὰρ ἀκαιρία, καὶ τὸ μὴ πρὸς λόγον ὕβριν ἐμφαίνει καὶ
δυσμένειαν. οὗτοι μὲν οὖν κατὰ πλάτωνα κουφοτάτου πράγματος λόγων βα-
ρυτάτην ζημίαν ἔτισαν. οἱ δὲ τὸν καιρὸν εἰδότες καὶ φυλάττοντες αὐτῷ τῷ πλά
τωνι μαρτυροῦσιν, ὅτι τοῦ πεπαιδευμένου καλῶς ἔργον ἐστὶ τὸ παίζειν ἐμμελῶς
καὶ κεχαρισμένως.

Διὰ τί βρωτικώτεροι γίνονται περὶ τὸ μετόπωρον. β'.

Ἐν ἐλευσῖνι μετὰ τὰ μυστήρια τῆς πανηγύρεως ἀκμαζούσης, εἱστιώμεθα παρὰ γλαυ
κίᾳ τῷ ῥήτορι. πεπαυμένων δὲ δειπνεῖν τῶν ἄλλων ξενοκλῆς ὁ ἀδελφὸς, ὥσπερ
εἰώθει τὸν ἀδελφὸν ἡμῶν λαμπρίαν εἰς ἀδηφαγίαν βοιώτιον ἐπέσκωπτεν. ἐγὼ
δ᾽ ἀμυνόμενος αὐτοῦ τὸν ξενοκλέα τοῖς ἐπικούρου λόγοις χρώμενον, οὐ γὰρ ἅπαν
τες εἶπον ὦ βέλτιστε ποιοῦνται τὴν τοῦ ἀλγοῦντος ὑπεξαίρεσιν ὅρον ἡδονῆς καὶ πέ-
ρας, λαμπρίᾳ δὲ καὶ ἀνάγκη πρὸ τοῦ κήπου κυδαίνοντι τὸν περίπατον, καὶ τὸ
λύκειον ἔργῳ μαρτυρεῖν ἀριστοτέλει. φησὶ γὰρ ὁ ἀνὴρ βρωτικώτατον ἕκαστον αὐ
τὸν αὐτοῦ περὶ τὸ φθινόπωρον εἶναι, καὶ τὴν αἰτίαν ἐπείρηκεν. ἐγὼ δὲ οὐδὲ μνη
μονεύω. βέλτιον εἶπεν ὁ γλαυκίας, αὐτοὶ γὰρ ἐπιχειρήσομεν ζητεῖν, ὅταν παυ
σώμεθα δειπνοῦντες. ὡς οὖν ἀφῃρέθησαν αἱ τράπεζαι, γλαυκίας καὶ ξενοκλῆς
ᾐτιάσαντο τὴν ὀπώραν διαφόρως, ὁ μὲν εἰς τὴν κοιλίαν ὑπεξάγουσαν, καὶ τῷ κενοῦ
σθαι τὸ σῶμα νεαρὰς ὀρέξεις ἀεὶ παρασκευάζουσαν, ὁ δὲ ξενοκλῆς ἔλεγεν εὔστο-
μόν τι καὶ δηκτικὸν ἔχοντα τῶν ὡραίων τὰ πλεῖστα τὸν στόμαχον ἐπὶ τὴν βρῶσιν ἐκ-
καλεῖσθαι παντὸς μᾶλλον ὄψου καὶ ἡδύσματος. καὶ γὰρ τοῖς ἀποσίτοις τῶν ἀρρώ-
στων ὀπώρας τι προσενεχθὲν ἀναλαμβάνειν τὴν ὄρεξιν. ὁ δὲ λαμπρίας εἶπεν,
ὅτι τὸ οἰκεῖον καὶ τὸ σύμφυτον θερμὸν ἡμῶν ᾧ τρέφεσθαι πεφύκαμεν, ἐν μὲν τῷ
θέρει διέσπαρται, καὶ γέγονεν ἀσθενέστερον καὶ μανὸν, ἐν δὲ τῷ φθίνοντι καιρῷ
συναγείρεται πάλιν καὶ ἰσχύει κατακρυπτόμενον ἐντὸς διὰ τὴν περίψυξιν, καὶ
τὴν πύκνωσιν τοῦ σώματος. ἐγὼ δὲ ὑπὲρ τοῦ μὴ δοκεῖν ἀσύμβολος τοῦ λόγου με-

μελ' .l. — ἀλλ᾽ ἔξω .l. — ὠσ .l.

ταχεῖν εἴσω, ὅτι τοῦ θέρους διψητικώτεροι γινόμεθα, καὶ πλείονι χρώμεθα τῷ ὑ-
γρῷ, διὰ τὸ καῦμα. νῦν οὖν ἡ φύσις ἐν τῇ μεταβολῇ ζητοῦσα τοὐναντίον ὥσπερ
εἴωθεν, πεινητικωτέρους ποιεῖ, καὶ τὴν ξηρὰν τροφὴν τῇ κράσει τοῦ σώματος ἀν-
ταποδίδωσιν. οὐ μὴν, οὐδὲ τὰ σιτία φήσαι τις ἂν αἰτίας ἀμοιρεῖν παντάπα-
σιν, ἀλλ' ἐκ νέων καὶ προσφάτων γενόμενα καρπῶν οὐ μόνον μάζας, καὶ ὄσπρια,
καὶ ἄρτους, καὶ πυροὺς, καὶ κρέα ζώων εὐωχουμένων τὰ ἐπέτεια τοῖς τε χυμοῖς
διαφέρει τῶν παλαιῶν, καὶ μᾶλλον ἐπάγεσθαι τοὺς χρωμένους καὶ ἀπο-
λαύοντας.

πότερον ἡ ὄρνις πρότερον, ἢ τὸ ᾠὸν ἐγένετο. γ'

ἐνυπνίῳ l.

E ξ ὑπνίου τινὸς ἀπε μην ᾠῶν πολὺν ἤδη παρὰ δεῖπνον ποι-
ούμενοι ἐν ᾠῷ, καθάπερ ἐν καρδίᾳ πεῖραν λαβεῖν τῆς ὄψεως ἐναργῶς μοι πολ-
λάκις γενομένης, ὑπόνοιαν μέντοι παρέσχον ἑστιῶντος ἡμᾶς σοσσίου σενεκίωνος, ἐνέ-
χεσθαι δόγμασιν, ὀρφικοῖς, ἢ πυθαγορικοῖς, καὶ τὸ ᾠὸν ὥσπερ ἔνιοι καρδίαν καὶ
ἐγκέφαλον ἀρχὴν ἡγούμενος γενέσεως ἀφοσιοῦσθαι, καὶ προὔφερεν ἀλέξανδρος
ὁ ἐπικούρειος ἐπὶ γέλωτι τὸ ἴσον τι κυάμους ἐσθίειν κεφαλάς τε τοκήων, ὡς δὴ
κυάμους τὰ ᾠὰ διὰ τὴν κύησιν αἰνιττομένων τῶν ἀνδρῶν. διαφέρειν δὲ μηδὲν οἰομέ-
νων τὸ ἐσθίειν ᾠὰ, τοῦ χρῆσθαι τοῖς τίκτουσι τὰ ᾠὰ ζώοις, ἐγίνετο δὴ τὸ τῆς αἰτί-
ας ἀπολόγημα τῆς αἰτίας αὐτῆς ἀλλοκότερον, ἐπικουρείῳ λέγειν ἐνύπνιον. ὅθεν
οὐ παρῃτούμην τὴν δόξαν ἅμα προσπαίζοντι τῷ ἀλεξάνδρῳ. καὶ γὰρ ἦν χαρίεις
καὶ φιλολόγος ἐπιεικῶς. ἐκ δὲ τούτου, τὸ ἄπορον, καὶ πολλὰ πράγματα τοῖς
ζητητικοῖς παρέχον εἰς μέσον εἷλκε πρόβλημα περὶ τῆς τοῦ ᾠοῦ, καὶ τῆς ὄρνι-
θος, ὁπότερον γένοιτο πρότερον αὐτῶν. καὶ σύλλας μὲν ὁ ἑταῖρος εἰπὼν, ὅτι μι-
κρῷ προβλήματι καθάπερ ὀργάνῳ μέγα καὶ βαρὺ σαλεύομεν τὸ περὶ τοῦ κόσμου
τῆς γενέσεως ἀπηγόρευσε. τοῦ δὲ ἀλεξάνδρου τῆς ζητήσεως, ὡς μηδὲν προσφυ-
ἐς φερούσης. καταγελάσαντος ὁ γαμβρὸς ἡμῶν φίρμος ἐμοὶ τοίνυν ἔφη χρῆσον
ἐν τῷ παρόντι τοῖς ἀτόμοις. εἰ γὰρ τὰ μικρὰ δεῖ στοιχεῖα τῶν μεγάλων ἀρχὰς ὑ-
ποτίθεσθαι, πρῶτον εἰκός ἐστι, τὸ ᾠὸν γεγονέναι τῆς ὄρνιθος. ἔστι γὰρ καὶ ἁπλοῦν
ὡς ἐν αἰσθητοῖς. ποικίλον δὲ καὶ μεμιγμένον μᾶλλον ἡ ὄρνις. καθόλου δὲ ἡ μὲν ἀρ-
χὴ πρῶτον, ἀρχὴ δὲ τὸ σπέρμα, τὸ δὲ ᾠὸν, σπέρματος μὲν πλέον, ζώου δὲ μικρό-
τερον. ὡς γὰρ ἡ προκοπὴ μέσον εὐφυΐας εἶναι δοκεῖ, καὶ ἀρετῆς, οὕτω τὸ ᾠὸν,
προκοπή τις ἐστὶ τῆς φύσεως ἐπὶ τὸ ἔμψυχον ἀπὸ τοῦ σπέρματος περαινομένης. ἔ-
τι δὲ ὥσπερ ἐν τῷ ζώῳ πρῶτα γίνεσθαι λέγουσιν ἀρτηρίας, καὶ φλέβας, οὕ-
τω λόγον ἔχει καὶ τοῦ ζώου τὸ ᾠὸν γεγονέναι πρῶτον, ὡς περιέχον ἐν περιεχομένῳ.
καὶ γὰρ αἱ τέχναι πρῶτον ἀτύπωτα καὶ ἄμορφα πλάττουσιν, εἶτα ὕστερον ἕ-
καστα τοῖς εἴδεσι διαρθροῦσιν, ἢ πολύκλειτος ὁ πλάστης εἶπε, χαλεπώτατον εἶναι
τὸ ἔργον, ὅταν ἐν ὄνυχι ὁ πηλὸς γένηται. διὸ καὶ τῇ φύσει τὸ πρῶτον εἰκός ἐστιν ἀ-
τρέμα κινούσῃ τὴν ὕλην ἀργοτέραν ὑπακούειν, τύπους ἀμόρφους, καὶ ἀορίστους
ἐκφέρουσαν, ὥσπερ τὰ ᾠά. μορφουμένων δὲ τούτων καὶ διαχαρασσομένων, ὕστε-
ρον ἐνδημιουργεῖσθαι τὸ ζῶον, ὡς δὲ κάμπη γίνεται τὸ πρῶτον, εἶτα ἐκ παγεῖ-
σα διὰ ξηρότητα, καὶ περιρραγεῖσα, ἕτερον πτερωθὲν δι' αὐτῆς τὴν καλουμέ-

ὑμέσιν l.

νην ψυχὴν μεθίησι. τὸν αὐτὸν τρόπον ἐνταῦθα προϋφίσταται τὸ ᾠὸν, οἷον ὕλη τῆς
γενέσεως. ἀνάγκη γὰρ ἐν πάσῃ μεταβολῇ πρότερον εἶναι τοῦ μεταβάλλοντος, ἐξ
οὗ μετέβαλε. σκόπει δὲ, ὅτι σκνῖπες ἐν δένδρῳ καὶ τερηδόνες ἐμφύονται ξύλῳ
κατὰ σῆψιν ὑγρότητος, ἢ πέψιν, ὧν οὐδεὶς ἂν ἀξιώσειεν μὴ προϋποκεῖσθαι, μηδὲ
πρεσβύτερον εἶναι φύσει τὸ γεννῶν. ἡ γὰρ ὕλη λόγον ἔχει πρὸς τὰ γινόμενα μη-
τρὸς

τρὸς, ὥς φησι πλάτων, καὶ τιθήνη. ὕλη δὲ πᾶν ἐξ οὗ σύστασιν ἔχει τὸ γινόμενον.
τὰ δ' ἐπὶ τούτοις ἔφη γελάσας ἀείσω ξυνετοῖσι τὸν ὀρφικὸν καὶ ἱερὸν λόγον, ὃς
οὐκ ὄρνιθος μόνον τὸ ᾠὸν ἀποφαίνει πρεσβύτερον, ἀλλὰ καὶ συλλαβὼν ἅπασαν
αὐτῷ τὴν ἁπάντων ὁμοῦ πρεσβυγένειαν ἀνατίθησι, καὶ τἆλλα μὲν εὔστομα κεί-
σθω καθ' ἡρόδοτον. ἔστι γὰρ μυστικώτερα, ζώων δὲ πολλὰς φύσεις τοῦ κόσμου περιέ-
χοντος οὐδὲν ὡς εἰπεῖν γένος ἄμοιρόν ἐστι τῆς ἐξ ᾠοῦ γενέσεως, ἀλλὰ καὶ πτηνὰ γεν-
νᾷ, καὶ νηκτὰ μυρία, καὶ χερσαῖα σαύρας καὶ ἀμφίβια, καὶ κροκοδείλους, καὶ
δίποδα τὴν ὄρνιν, καὶ ἄποδα τὸν ὄφιν, καὶ πολύποδα τὸν ἀττέλεβον. ὅθεν οὐκ
ἀπὸ τρόπου τοῖς περὶ τὸν διόνυσον ὀργιασμοῖς, ὡς μίμημα τοῦ τὰ πάντα γεννῶν-
τος, καὶ περιέχοντος ἐν ἑαυτῷ συγκαθωσίωται. ταῦτα τοῦ φίρμου διεξιόντος,
ὁ σενεκίων ἔφη τὴν τελευταίαν τῶν εἰκόνων αὐτῷ πρώτην ἀντιπίπτειν. ἔλαθες
γὰρ εἶπεν ὦ φίρμε τὸν κόσμον ἀντὶ τῆς παροιμιακῆς θύρας ἐπὶ σεαυτὸν ἀνοί-
ξας. ὁ γὰρ κόσμος προὐφέστηκε πάντων τελειότατος ὤν, καὶ λόγον ἔχει τοῦ ἀτε-
λοῦς φύσει πρότερον εἶναι τὸ τέλειον, ὡς τοῦ πεπηρωμένου τὸ ὁλόκληρον, καὶ
τοῦ μέρους τὸ ὅλον. οὐδὲν γὰρ ἔχει λόγον εἶναι μέρος οὗ μέρος ἐστὶ μὴ γεγονότος.
ὅθεν οὐθεὶς λέγει τοῦ σπέρματος εἶναι τὸν ἄνθρωπον, οὐδὲ τοῦ ᾠοῦ τὴν ἀλεκτορί-
δα. τῆς δὲ ἀλεκτορίδος τὸ ᾠὸν εἶναι, καὶ τὸ σπέρμα τοῦ ἀνθρώπου λέγομεν, ὡς
τούτων ἐπιγινομένων ἐκείνοις, καὶ τὴν γένεσιν ἐν ἐκείνοις λαμβανόντων, εἶτα ὥσ-
περ ὄφλημα τῇ φύσει τὴν γένεσιν ἀποδιδόντων. ἐνδεᾶ γάρ ἐστι τοῦ οἰκείου. διὸ καὶ
βούλεσθαι ποιεῖν πέφυκεν ἄλλο τοιοῦτον, οἷον ἦν ἐξ οὗ ἀπεκρίθη, καὶ τὸν σπερ-
ματικὸν λόγον ὁρίζονται, γόνον ἐνδεᾶ γενέσεως. ἐνδεὲς οὐδέν ἐστι τοῦ μὴ γενομένου,
μὴ δὲ ὄντος. τὰ δὲ ᾠὰ καὶ παντάπασι βλέπεται τὴν φύσιν ἔχοντα τῆς ἐν τινι
ζώῳ πήξεως, καὶ συστάσεως, ὀργάνων δὲ τοιούτων καὶ ἀγγείων δεομένην. ὅθεν οὐδὲ
ἱστόρηται γηγενὲς ᾠὸν, ἀλλὰ καὶ τὸ τυνδάρειον οἱ ποιηταὶ λέγουσιν οὐρανοπετὲς
ἀναφῆναι, ζῶα δὲ αὐτοτελῆ, καὶ ὁλόκληρα μέχρι νῦν ἀναδίδωσιν ἡ γῆ. μῦς ἐν αἰ-
γύπτῳ. πολλαχοῦ δὲ ὄφεις καὶ βατράχους, καὶ τέττιγας ἀρχῆς ἔξωθεν ἑτέρας
καὶ δυνάμεως ἐγγενομένης. ἐν δὲ σικελίᾳ περὶ τὸν δουλικὸν πόλεμον αἵματος
πολλοῦ καὶ νεκρῶν ἀτάφων ἐν τῇ γῇ κατασαπέντων, πλῆθος ἀττελέβων ἐξήν-
θησε, καὶ τὸν σῖτον ἔφθειρον πανταχοῦ σκεδασθέντες ἐπὶ τὴν νῆσον. ταῦτα τοί-
νυν ἐκ γῆς φύεται, καὶ τρέφεται, καὶ τροφῆς περὶ σῶμα ποιεῖ γόνιμον. ᾧ καθ' ἡ-
δονὰς πρὸς ἄλληλα τρέπεται, καὶ συνδυαζόμενα τῇ μίξει. τὰ μὲν ᾠοτοκεῖν, τὰ
δὲ ζωοτοκεῖν πέφυκε. καὶ τούτῳ μάλιστα δῆλόν ἐστιν, ὅτι τὴν πρώτην γένεσιν ἐκ
γῆς λαβόντα, καθ' ἕτερον τρόπον ἤδη, καὶ δι' ἀλλήλων ποιεῖται τὰς τεκνώσεις.
καθόλου δὲ ὅμοιόν ἐστι τῷ λέγειν πρὸ τῆς γυναικὸς ἡ μήτρα γέγονεν. ὡς γὰρ ἡ μήτρα
πρὸς τὸ ᾠὸν, οὕτω πάλιν τὸ ᾠὸν πρὸς τὸν νεοσσὸν πέφυκε κυόμενον ἐν αὐτῷ καὶ
λοχευόμενον. ὥστε μηδὲν διαφέρειν τὸν διαποροῦντα. πῶς ὄρνιθες ἐγένοντο μὴ
γεννωμένων ᾠῶν, τοῦ πυνθανομένου, πῶς ἄνδρες ἐγένοντο, καὶ γυναῖκες, πρὶν αἰ-
δοῖα γενέσθαι καὶ μήτρας. καίτοι τῶν μερῶν τὰ πλεῖστα συνυφίσταται τοῖς ὅ-
λοις, αἱ δὲ δυνάμεις ἐπιγίνονται τοῖς μέρεσιν, αἱ δὲ ἐνέργειαι ταῖς δυνάμεσι, τὰ
δὲ ἀποτελέσματα ταῖς ἐνεργείαις. ἀποτέλεσμα δὲ τῆς γεννητικῆς τῶν μορίων
δυνάμεως, τὸ σπέρμα, καὶ τὸ ᾠὸν, ὥστε τῆς τῶν ὅλων καθιστορεῖν γενέσεως. σκό-

κάθυστερεῖν l.

πει δὲ μὴ καθάπερ οὐ δυνατόν ἐστι πέψιν τροφῆς εἶναι πρὶν ἢ γενέσθαι ζῶον. οὐ-
τως οὐδὲ ᾠὸν, οὐδὲ σπέρμα. καὶ γὰρ ταῦτα πέψεσί τισι καὶ μεταβολαῖς ἐπιγενέ-
σθαι ἔοικεν, καὶ οὐχ οἷόν τε πρὶν ἢ γενέσθαι ζῶον ἔχειν ζώου τροφῆς περίττωμα
τὴν φύσιν. οὐ μὴν ἀλλὰ τὸ σπέρμα μὲν ἄλλως γέ πως ἀρχῆς τινος ἀντιποιεῖται.
τὸ δὲ ᾠὸν οὔτε ἀρχῆς ἔχει λόγον. οὐ γὰρ ὑφίσταται πρῶτον, οὔτε ὅλου φύσιν. ἀτε-

λὲς γάρ ἐστιν. ὅθεν ἀρχῆς μὲν αὐτὸ γεγονέναι ζῴων, οὐ λέγομεν, ἀρχὴν δὲ εἶναι ζωογονίας, ὑφ' ἧς πρῶτον ἡ ὕλη μετέβαλε δυνάμεως κρᾶσιν τινὰ καὶ μῖξιν ἐνδεξαμένης γόνιμον. τὸ δὲ ᾠὸν ἐπιγέννημα εἶναι καθάπερ τὸ αἷμα, καὶ τὸ γάλα τοῦ ζῴου μετὰ τροφὴν καὶ πέψιν. οὐ γὰρ ὦπται συνιστάμενον ᾠὸν ἐκ τῆς ἰλύος. ἀλλ' ἐν μόνῳ ζῴῳ τοῦτο τὴν σύστασιν ἔχει καὶ γένεσιν. ζῷα δὲ καθ' αὑτὸν μυρία συνίσταται. καὶ τί δεῖ λέγειν τἆλλα. πολλῶν τῶν ἐγχέλεων ἁλισκομένων οὐδεὶς ἑώρακεν, οὔτε θορὸν, οὔτε ᾠὸν ἔγχελυν ἔχουσαν, ἀλλὰ κἂν τὸ ὕδωρ τις ἐξαρύσῃ καὶ τὴν ἰλὺν ἀναξύσῃ πᾶσαν, εἰς τὸν τόπον ὕδατος συρρυέντος ἐγχέλεις ζωογονοῦνται. δεῖ οὖν ὕστερον ἀνάγκη γεγονέναι τὸ θατέρου δεόμενον πρὸς γένεσιν. ᾧ δὲ καὶ νῦν θατέρου χωρὶς ἄλλως ὑπάρχει συνίστασθαι, τοῦτο προτερεῖν τῇ ἀρχῇ τῆς γενέσεως. περὶ ἐκείνου γάρ ἐστι τῆς πρώτης ὁ λόγος. ἐπεὶ νῦν δὲ καὶ νεοττιὰς συντιθέασι τὰ πτηνὰ πρὸ τῆς ᾠοτοκίας, καὶ σπάργανα παρασκευάζουσιν αἱ γυναῖκες, ἀλλ' οὐκ ἂν εἴποις καὶ νεοττιὰν ᾠοῦ γεγονέναι πρότερον καὶ σπάργανα παίδων. οὐ γὰρ γῆ φησιν ὁ Πλάτων γυναῖκα, γῆν δὲ γυνὴ μιμεῖται, καὶ τῶν ἄλλων θηλέων ἕκαστον. διὸ πρώτην γένεσιν εἰκός ἐστιν ἐκ γῆς τελειότητι καὶ ῥώμῃ τοῦ γεννῶντος αὐτοτελῆ καὶ ἀπροσδεῆ γενέσθαι τοιούτων ὀργάνων καὶ στεγασμάτων, καὶ ἀγγείων μὴ δεομένην. ἃ νῦν ἡ φύσις ἐν τοῖς τίκτουσιν ἐργάζεται, καὶ μηχανᾶται δι' ἀσθένειαν.

δ΄.

Εἰ πρεσβύτατον ἡ πάλη τῶν ἀγωνισμάτων.

Σωσικλέα τὸν Κορωνῆθεν Πυθίοις νενικηκότα ποιητὰς, εἱστιῶμεν τὰ ἐπινίκια. τοῦ δὲ γυμνικοῦ ἀγῶνος ἐγγὺς ὄντος, ὁ πλεῖστος ἦν λόγος περὶ τῶν παλαιστῶν. πολλοὶ γὰρ ἐτύγχανον ἀφιγμένοι καὶ ἔνδοξοι, παρὼν οὖν Λυσίμαχος εἷς τῶν Ἀμφικτυόνων ἐπιμελητὴς ἔναγχος ἔφη γραμματικοῦ τινος ἀκοῦσαι τὴν πάλην ἀρχαιοτέραν ἀθλημάτων πάντων ἀποφαίνοντος, ὡς καὶ τοὔνομα μαρτυρεῖν. ἐπεικὸς γὰρ ἀπολαύειν τὰ νεώτερα πράγματα κειμένων ἐν τοῖς παλαιοτέροις ὀνομάτων, ὥσπου καὶ τὸν αὐλὸν ἡρμόσθαι λέγουσι, καὶ κρούματα αὐλήματα καλοῦσιν ἀπὸ τῆς λύρας λαμβάνοντες τὰς προσηγορίας. τὸν γοῦν τόπον ἐν ᾧ γυμνάζονται πάντες οἱ ἀθληταὶ, παλαίστραν καλοῦσι τῆς πάλης τοὔνομα κτησαμένης τὸ πρῶτον. εἶτα καὶ τοῖς αὖθις ἐφευρεθεῖσιν ἐμπαρασχεῖν. τοῦτο ἔφην ἐγὼ τὸ μαρτύριον οὐκ ἰσχυρὸν εἶναι. κεκλῆσθαι γὰρ ἀπὸ τῆς πάλης τὴν παλαίστραν, οὐχ ὅτι πρεσβύτατόν ἐστι τῶν ἄλλων, ἀλλ' ὅτι μόνον τῶν τῆς ἀγωνίας εἰδῶν πηλοῦ καὶ κονίστρας καὶ κηρώματος τυγχάνει δεόμενον. οὔτε γὰρ δρόμον, οὔτε πυγμὴν ἐν παλαίστραις διαπονοῦσιν, ἀλλὰ πάλης, καὶ παγκρατίου τὰ περὶ τὰς κυλίσεις. ὅτι γὰρ μέμικται τὸ παγκράτιον, ἔκ τε πυγμῆς, καὶ πάλης δῆλον. ἄλλως δέ πως ἔφην λόγον ἔχει τεχνικώτατον, καὶ πανουργότατον τῶν ἀθλημάτων τὴν πάλην οὖσαν ἅμα καὶ πρεσβύτατον εἶναι. τὸ γὰρ ἁπλοῦν, καὶ ἄτεχνον, καὶ βίᾳ μᾶλλον ἢ μεθόδῳ περαινόμενον, αἱ χρεῖαι πρῶτον ἐκφέρουσιν. ἐμοῦ δὲ ταῦτ' εἰπόντος, ὁ Σωσικλῆς ὀρθῶς ἔφη λέγεις, καὶ συμβάλλομαί σοι πίστιν ἀπὸ τοῦ ὀνόματος. ἡ γὰρ πάλη μοι δοκεῖ τῷ παλαίειν, ὅπερ ἐστὶ δόλῳ καὶ καταβάλλειν δι' ἀπάτης κεκλῆσθαι. καὶ ὁ Φίλινος, ἐμοὶ δὲ εἶπεν ἀπὸ τοῦ παλαιστοῦ. τούτῳ γὰρ μάλιστα τῷ μέρει τῶν χειρῶν ἐνεργοῦσιν οἱ παλαίοντες. ὥσπερ οἱ πυκτεύοντες αὖ πάλιν τῇ πυγμῇ. διὸ κἀκεῖνο πυγμή, καὶ τοῦτο πάλη προσηγόρευται τὸ ἔργον. οὐ μὴν ἀλλὰ καὶ τὸ συμπάσαι τῶν ποιητῶν καὶ καταπάσαι παλῦναι λεγόντων, ᾧ μάλιστα χρωμένους τοὺς παλαιστὰς ὁρῶμεν. ἔστι καὶ ταύτῃ προσάγειν τὴν ἐτυμότητα τοῦ ὀνόματος. σκόπει δὲ ἔτι εἶπε, μὴ τοῖς μὲν δρομεῦσιν ἔργον ἐστίν, ὅτι πλεῖ-

στον

στον ἀπολιπεῖν, καὶ πορρωτάτω διαστῆναι. τοὺς δὲ πύκτας, οὐδὲ πάνυ βουλομένους ἐῶσιν οἱ βραβευταὶ συμπλέκεσθαι. μόνους δὲ τοὺς παλαιστὰς ὁρῶμεν ἀλλήλους ἀγκαλιζομένους, καὶ περιλαμβάνοντας, καὶ τὰ πλεῖστα τῶν ἀγωνισμάτων, ἐμβολαί, παρεμβολαί, συστάσεις, παραθέσεις, συνάγουσιν αὐτοὺς, καὶ ἀναμιγνύουσιν ἀλλήλοις. διὸ τῷ πλησιάζειν μάλιστα, καὶ γίνεσθαι πέλας, οὐκ ἄδηλόν ἐστιν ὠνομάσθαι.

Διατί τῶν ἀθλημάτων Ὅμηρος πρῶτον ἀεὶ τάττει τὴν πυγμήν, εἶτα τὴν πάλην, καὶ τελευταῖον τὸν δρόμον.

ε΄.

Ρηθέντων δὲ τούτων καὶ τὸν Φίλινον ἡμῶν ἐπαινεσάντων, αὖθις ὁ Λυσίμαχος ἔφη, ποῖον οὖν φαίη τις ἂν τῶν ἀγωνισμάτων γεγονέναι πρῶτα, ἢ τὸ στάδιον, ὥσπερ Ὀλυμπίασιν, ἐνταῦθα δὲ παρ' ἡμῖν καθ' ἕκαστον ἄθλημα τοὺς ἀγωνιζομένους εἰσάγουσιν. ἐπὶ παισὶ παλαισταῖς ἄνδρας παλαιστάς. καὶ πύκτας ἐπὶ πύκταις. ὁμοίως καὶ παγκρατιαστάς. ἐκεῖ δὲ ὅταν οἱ παῖδες διαγωνίσωνται, τότε τοὺς ἄνδρας καλοῦσι. σκόπει δέ μοι μᾶλλον ἔφη τὴν κατὰ χρόνον τάξιν, Ὅμηρος ἀποδείκνυσι. πρῶτον γὰρ ἀεὶ πυγμὴ παρ' αὐτῷ, δεύτερον πάλη, καὶ τελευταῖον ὁ δρόμος τῶν γυμνικῶν ἀεὶ τέτακται. θαυμάσας οὖν μὲν Κράτης ὁ Θεσσαλὸς, ὦ Ἡράκλεις εἶπεν, ὅσα λανθάνει ἡμᾶς. εἰ δέ τινα τῶν ἐπῶν ἔστι σοι πρόχειρα γνώμης, μὴ φθονήσῃς ἀναμνῆσαι. καὶ ὁ Τίμων, ἀλλ' ὅτι μὲν εἶπεν, αἱ Πατρόκλου ταφαὶ ταύτην ἔχουσι τῶν ἀγωνισμάτων τὴν τάξιν, ἅπασιν ὡς ἔπος εἰπεῖν ἔναυλόν ἐστι, διατηρῶν δὲ τὴν τάξιν ὁμαλῶς ὁ ποιητής, τὸν μὲν Ἀχιλλέα λέγοντα τῷ Νέστορι πεποίηκε. δίδωμι δέ σοι τόδ' ἄεθλον αὔτως. οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις, οὐδ' ἔτ' ἀκοντιστὴν ἐνδύσεαι, οὐδὲ πόδεσσι θεύσεαι. τὸν δὲ πρεσβύτην ἐν τῷ ἀποκρίνεσθαι παραδολεσχοῦντα γεροντικῶς. ὅτι πὺξ μὲν ἐνίκησα Κλυτομήδεα Οἴνοπος υἱόν, Ἀγκαῖον πάλῃ Πλευρώνιον, Ἴφικλον δὲ πόδεσσι παρέδραμον. αὖθις δὲ τὸν μὲν Ὀδυσσέα, τοὺς Φαίακας προκαλούμενον, ἢ πὺξ, ἠὲ πάλῃ, ἢ καὶ ποσίν. τὸν δὲ Ἀλκίνουν ὑποτιμώμενον. οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες, οὐδὲ παλαισταί, ἀλλὰ ποσὶ κραιπνοῖσι θέομεν, ὡς οὐ κατὰ τύχην ἐκ τοῦ παρισταμένου τῇ τάξει χρώμενος ἄλλο τε ἄλλως. ἀλλὰ τοῖς εἰθισμένοις τότε καὶ δρωμένοις κατὰ νόμον ἐπακολουθῶν. ἐδρᾶτο δὲ οὕτως, τὴν παλαιὰν ἔτι τάξιν αὐτῶν διαφυλαττόντων. παυσαμένου δὲ τοῦ ἀδελφοῦ, τἆλλα μὲν ἔφην ἀληθῶς λέγεσθαι. τὴν δ' αἰτίαν τῆς τάξεως οὐκ ἐπινόουν. ἐδόκει δὲ καὶ τῶν ἄλλων τισὶ μὴ πιθανὸν εἶναι τὸ πυκτεύειν, καὶ παλαίειν πρότερον ἐν ἀγῶνι καὶ ἁμίλλῃ τοῦ τροχάζειν, καὶ παρεκάλουν ἐξάγειν εἰς τὸ ἀνώτερον. ἔφην δὲ ἐκ τοῦ παραστάντος, ὅτι ταῦτά μοι πάντα μιμήματα δοκεῖ καὶ γυμνάσματα τῶν πολεμικῶν εἶναι. καὶ γὰρ ὁ ὁπλίτης ἐπὶ πᾶσιν εἰσάγεται μαρτυρούμενος. ὅτι τοῦτο τὸ τέλος ἐστὶ τῆς σωμασκίας, καὶ τῆς ἁμίλλης, καὶ τὸ τοῖς νικηφόροις ἐλαύνουσι τῶν τειχῶν ἐφίεσθαι μέρος διελεῖν καὶ καταβάλλειν. τοιαύτην ἔχει διάνοιαν, ὡς οὐ μέγα πόλει τειχῶν ὄφελος ἄνδρας ἐχούσῃ μάχεσθαι δυναμένους καὶ νικᾶν. ἐν δὲ Λακεδαίμονι τοῖς νενικηκόσι στεφανίτας ἀγῶνας, ἐξαίρετος ἦν ἐν ταῖς παρατάξεσι χώρα, περὶ αὐτὸν τὸν βασιλέα τεταγμένους μάχεσθαι, καὶ τῶν ζώων μόνῳ τῷ ἵππῳ μετουσία στεφάνου καὶ ἀγῶνός ἐστιν, ὅτι μόνος καὶ πέφυκε, καὶ ἤσκηται μαχομένοις παρεῖναι, καὶ συμπολεμεῖν. εἰ δὲ δὴ ταῦτα λέγεται, μὴ κακῶς ἤδη σκοπῶμεν ἔφην, ὅτι τῶν μαχομένων πρῶτον ἔργον ἐστὶ, τὸ πατάξαι καὶ φυλάξασθαι, δεύτερον δὲ συμπεσόντας ἤδη, καὶ γενομένους ἐν χερσίν, ὠθισμοῖς τε χρῆσθαι, καὶ περιτροπαῖς ἀλλήλων. ᾧ δὴ μάλιστά φασιν ἐν Λεύκτροις τοὺς Σπαρ-

πάτας ἀπὸ τῶν ἡμετέρων παλαιστρικῶν ὄντων καταβιβασθῆναι. διὸ καὶ παρ᾽
αἰσχύλῳ τις τῶν πολεμικῶν ὀνομάζεται βριθὺς, ὁπλιτοπάλας, καὶ σοφο-
κλῆς εἴρηκέ που περὶ τῶν τρώων, ὡς φίλιπποι, καὶ κερουλκοί. σὺν σάκει δὲ κω-
δωνοκρότῳ παλαισταί. καὶ μὴν ἐπὶ πᾶσί γε τὸ τεῖχον ἐστὶ, νικωμένους φεύγειν,
ἢ διώκειν νικῶντας. εἰκότως οὖν ἡ πυγμὴ πρόεισί γε, δευτέραν δὲ εἶχεν ἡ πάλη
τάξιν, καὶ τελευταίαν ὁ δρόμος. ὅτι πυγμὴ μέν ἐστι, μίμημα πληγῆς καὶ φυ-
λακῆς, πάλη δὲ συμπλοκῆς, καὶ ὠθισμοῦ, δρόμῳ δὲ μελετῶσι φεύγειν, καὶ διώκειν.

ϛ'.

Διατί πεύκη, καὶ πίτυς, καὶ τὰ ὅμοια τούτοις οὐκ ἐνοφθαλμίζεται.

Σώκλαρος ἑστιῶν ἡμᾶς ἐν κήποις ἀπὸ τοῦ κηφισοῦ ποταμοῦ περιῤῥεομένοις, ἐπε-
δείκνυτο δένδρα παντοδαπῶς πεποικιλμένα τοῖς λεγομένοις ἐνοφθαλμισμοῖς. καὶ
γὰρ ἐκ σχίνων ἐλαίας ἀναβλαστανούσας ἑωρῶμεν, καὶ ῥοιὰς ἐκ μυῤῥίνης. ἦσαν δὲ
καὶ δρύες ἀπίους ἀγαθὰς ἐκφέρουσαι, καὶ πλάτανοι μηλέων δεδεγμέναι, καὶ
συκαῖ μορέων, ἐμβολάδας ἄλλαι τε μίξεις φυτῶν κεκρατημένων ἄχρι καρπο-
γονίας. οἱ μὲν οὖν ἄλλοι πρὸς τὸν σώκλαρον ἔπαιζον, ὡς τῶν ποιητικῶν σφιγ-
γῶν, καὶ χιμαίρων τερατωδέστερα γένη, καὶ θρέμματα βόσκοντα. κράτος δὲ προὔ-
βαλεν ἡμῖν διαπορῆσαι περὶ τῆς αἰτίας, δι᾽ ἣν μόνα τῶν φυτῶν τὰ ἐλαιώδη
δέχεσθαι τὰς τοιαύτας ἐπιμιξίας οὐ πέφυκεν. οὔτε γὰρ κῶνον, οὔτε κυπά-
ριττον, ἢ πίτυν, ἢ πεύκην ἐκτρέφουσάν τι τῶν ἑτερογενῶν ὁρᾶσθαι. ὑπολαβὼν δὲ
φίλων ἔφη. λόγος τίς ἐστιν ὦ κράτων παρὰ τοῖς σοφοῖς, βεβαιούμενος ἀπὸ τῶν
γεωργικῶν, τὸ γὰρ ἔλαιον εἶναί φασι τοῖς φυτοῖς πολέμιον, καὶ τάχιστ᾽ ἂν ἀπο-
λέσθαι φυτὸν ὃ βούλοιο χριόμενον ἐλαίῳ, καθάπερ τὰς μελίτας. τὰ δὲ εἰρημέ-
να δένδρα πίονα, καὶ πιειρὰν ἔχει τὴν φύσιν, ὥστε πίσσαν ἀποδακρύειν, καὶ
ῥητίνην. ὅταν δὲ πληγῇ ταῖς διακοπαῖς, ὥσπερ οἴκοθεν ἰχῶρας συνάγει. ἥ τε
δᾶς αὐτῶν ἐλαιηρὰν ἀφίησιν ἰκμάδα, καὶ περιστίλβει τὸ λιπαρὸν αὐτῇ. διὸ
καὶ πρὸς τὰ ἄλλα γένη δυσμίκτως ἔχει καθάπερ αὐτὸ τὸ ἔλαιον. παυσαμένου
δὲ τοῦ φίλωνος. ὁ μὲν κράτων ᾤετο καὶ τὴν τοῦ φλοιοῦ φύσιν πρὸς τοῦτο συνεργεῖν.
λεπτὸν γὰρ ὄντα καὶ ξηρὸν οὐ παρέχειν ἕδραν οὐδ᾽ ἐμβίωσιν τοῖς ἐντιθεμένοις,
ὥσπερ τὰ φλοιώδη καινότερα καὶ τὰ μαλακὰ τοῖς ἀπὸ τὸν φλοιὸν οὖσι μέρεσι
προσδεχομένοις περιπτύσσεσθαι κολλώμενον. αὐτὸς δὲ σώκλαρος ἔφη, καὶ ταῦ-
τα λέγοντα μὴ κακῶς προσεννοεῖν. ὅτι δεῖ τὸ ἐνδεχόμενον ἑτέραν φύσιν εὔτρεπτον
εἶναι, ἵνα κρατηθὲν ἐξομοιωθῇ, καὶ μεταβάλλῃ τὴν ἐν ἑαυτῷ τροφὴν πρὸς τὸ
ἐμφυτευόμενον. καὶ γὰρ τὴν γῆν προδιαλύομεν, καὶ μαλάσσομεν. ἵνα κοπεῖσα με-
ταβάλλῃ. δι᾽ εὐπάθειαν καὶ ἅπτηται τῶν ἐμφυτευομένων. ἡ γὰρ ἀτενὴς, καὶ σκλη-
ρὰ δυσμετάβλητος. ταῦτα δὲ τὰ δένδρα κοῦφα τοῖς ξύλοις ὄντα, κρᾶσιν οὐ
ποιεῖ, διὰ τὸ μὴ κρατεῖσθαι μηδὲ μεταβάλλειν. ἔτι δὲ εἶπεν οὐκ ἄδηλον, ὅτι δεῖ πρὸς
τὸ ἐμφυτευόμενον χώρας λόγον ἔχειν τὸ δεξόμενον. τὴν δὲ χώραν δεῖ θήλειαν
ἔχειν, καὶ γόνιμον. ὅθεν τὰ πολυκαρπότατα τῶν φυτῶν ἐλεγόμενοι παρατη-
γνῦσιν ὥσπερ γυναιξὶν ——— γαλακτούσαις ἕτερα
——— προσβάλλοντες. πεύκην δὲ καὶ κυπάριττον, καὶ τὰ τοιαῦτα πάν-
τα γλίσχρα καὶ ἀγενῆ τοῖς καρποῖς ὁρῶμεν. ὥσπερ γὰρ οἱ πολυσαρκίᾳ κεχρη-
μένοι, καὶ ὄγκῳ ὡς ἐπὶ τὸ πλεῖστον ἄτεκνοι. τὴν γὰρ τροφὴν εἰς τὸ σῶμα καταναλ-
ίσκοντες, οὐ ποιοῦσιν ἐξ αὐτῆς περίττωμα σπερματικὸν, οὕτω τὰ τοιαῦτα δέν-
δρα τῆς τροφῆς ἀπολαύοντα πάσης. εἰς αὐτὰ δαπανωμένης. εὐσωματεῖ τοῖς
μεγέθεσι, καὶ αὐξάνεται. καρπὸν δὲ τὰ μὲν οὐ φέρει. τὰ δὲ φέρει μικρὸν, καὶ συν-
τελούμενον βραδέως, ὥστε οὐ δεῖ θαυμάζειν, εἰ μὴ φύεται τἀλλότριον, ἐν ᾧ κα-
κῶς τρέφεται καὶ τὸ οἰκεῖον

λαγυλμενοι .Λ.

οιοιῖν

Περὶ τῆς ἐχενηΐδος. ζ'.

Χαιρημονιανὸς ὁ τραλλιανὸς ἰχθυδίων ποτὲ παντοδαπῶν παρατεθέντων ἐπιδεί-
ξας ἡμῖν ὀξὺ τῷ κεφαλίῳ καὶ πρόμηκες, ἔλεγε τούτῳ προσεοικέναι τὴν ἐχε-
νηΐδα. θεάσασθαι γὰρ πλέων ἐν τῷ σικελικῷ, καὶ θαυμάσαι τὴν δύναμιν, οὐκ
ὀλίγην βραδυτῆτα, καὶ διατριβὴν παρὰ τὸν πλοῦν ἀπεργασαμένης τῆς ἐχενηΐ-
δος, ἕως ἀπὸ τοῦ πρωρέως ἑάλω προσισχομένη τῷ τοίχῳ τῆς νεὼς ἔξωθεν. ἦσαν
μὲν οὖν οἱ καταγελῶντες τοῦ χαιρημονιανοῦ, ὡς πλάσμα μυθῶδες παραδεδεγ-
μένου καὶ ἄπιστον. ἦσαν δὲ καὶ οἱ τὰς ἀντιπαθείας θρυλλοῦντες, καὶ ἄλλα πολ-
λὰ παθόντων ἦν ἀκούειν. ὅτι μαινόμενον ἐλέφαντα καταπαύει κριὸς ὀφθείς.
ἔχιδναν δὲ φηγοῦ κλώνιον ἐὰν προσαγάγῃς, καὶ θίγῃς, ἵστησιν. ἄγριος δὲ ταῦρος
ἀτρεμεῖ καὶ πραΰνεται συκῇ προσδεθείς. τὸ δὲ ἤλεκτρον πάντα κινεῖ καὶ προσά-
γεται κοῦφα πλὴν ὠκίμου καὶ τῶν ἐλαίῳ βρεχομένων. ἡ δὲ σιδηρῖτις λίθος οὐκ
ἄγει τὸν σίδηρον, ἂν σκορόδῳ χρισθῇ. τούτων γὰρ ἐμφανῆ τὴν πεῖραν ἐχόντων χαλε-
πὸν εἶναι τὴν αἰτίαν, εἰ μὴ καὶ παντελῶς ἀδύνατον καταμαθεῖν. ἐγὼ δὲ τοῦτο
μὲν ἔφην ἀπόδρασιν εἶναι τῆς ἐρωτήσεως μᾶλλον ἢ τῆς αἰτίας ἀπόδοσιν. σκο-
πῶμεν δὲ εἶπον, ὅτι πολλὰ συμπτώματα ἔχοντα
σιν αἰτιῶν,
l. δὴ λαμβάνει δόξαν οὐκ ὀρθῶς. ὅμοιον ὥς τις οἴοιτο τῇ ἀνθήσει τοῦ ἄγνου πεπαί-
νεσθαι τὸν τῆς ἀμπέλου καρπὸν, ὅτι δεῖ τοῦτο τὸ λεγόμενον ἡ ἄγνος ἀνθεῖ, καὶ ὁ
l. καὶ βότρυς πεπαίνεται, ἢ τοῖς ἐπὶ τῶν λύχνων φαινομένοις μύκησι συγχεῖσθαι,
καὶ συννεφεῖν τὸ περιέχον τὴν γρυπότητα τῶν ὀνύχων αἴτιον. ἀλλὰ μὴν συμβε-
βηκὸς εἶναι τοῦ περὶ σπλάγχνον ἕλκους. ὥσπερ οὖν τούτων ἕκαστον ἐπακολού-
θημα τοῦ πάθους ἐστὶν ἐκ τῶν αὐτῶν γεννώμενον αἰτιῶν. οὕτως ἔφην ἐγὼ μίαν
l. μὴ αἰτίαν εἶναι δι᾽ ἣν βραδέως τε πλεῖ καὶ προσάγεται τὴν ἐχενηΐδα τὸ πλεῖον.
ξηρᾶς μὲν γὰρ οὔσης, καὶ σφόδρα βαρείας ὑγρότητι τῆς νεὼς, εἰκὸς ὑπολι-
σθαίνουσαν ἀπὸ κουφότητος τῇ θαλάττῃ τὴν τρόπιν διαλαβεῖν, καὶ τὸ κῦμα
λῷ καθαρῷ διαι-
ἀφιστάμενον
εὐπετῶς. ὅταν δὲ νοτερὰ σφόδρα καὶ διάβροχος ᾖ, ὅσα φυκία τε πολλὰ, καὶ βρυώ-
δεις ἐπὶ πάγους προσάγηται. τοῦ τε ξύλου τὸν τόμον ἀμβλύτερον ἴσχει, τό, τε
κῦμα τῇ γλισχρότητι προσπίπτον, οὐ ῥᾳδίως ἀπολύεται. διὸ καὶ παρακνήζου-
σι τοὺς τοίχους τὰ βρύα, καὶ τὰ φυκία τῶν ξύλων ἀποκαθαίροντες, οἷς εἰκὸς δὲ
τὴν ἐχενηΐδα προσισχομένην ἀπὸ τῆς γλισχρότητος αἴτιον τῆς βραδυτῆτος. ἀλλ᾽
οὐκ ἐπακολούθημα τοῦ τὴν βραδυτῆτα ποιοῦντος αἰτίου νομισθῆναι.

πλοῖον .Γρ.

οὐχ .Γρ.

Διατί τοὺς λυκοσπάδας ἵππους θυμοειδεῖς εἶναι λέγουσιν. η'.

Ἵππους λυκοσπάδας οἱ μὲν ἀπὸ τῶν χαλινῶν τῶν λύκων ἔφασαν ὠνομάσθαι. διὰ
τὸ θυμοειδὲς, καὶ δυσκάθεκτον, οὕτω σωφρονιζομένους. ὁ δὲ πατὴρ ἡμῶν, ἥκιστα
περὶ τὰς ἱπποτροφίας αὐτοσχέδιος ὤν, καὶ κεχρημένος ἀεὶ κρατιστεύουσιν ἵπποις,
ἔλεγε τοὺς ἀπὸ λύκων ἐπιχειρηθέντας ἐν πώλοις ἂν περ ἐκφύγωσιν. ἀγα-
θοὺς μὲν ἀποβαίνειν καὶ ποδώκεις. καλεῖσθαι δὲ λυκοσπάδας. ταῦτα δὲ πλεό-
νων μαρτυρούντων αὐτῷ ἀπορίαν αἰτίας παρέσχε. δι᾽ ἣν τὸ σύμπτωμα τοῦτο θυ-
μικωτέρους, καὶ γοργοτέρους ποιεῖ τοὺς ἵππους, καὶ ὁ μὲν πλεῖστος ἦν λόγος τῶν
παρόντων, ὅτι φόβον τὸ πάθος οὐ θυμὸν ἐνεργάζεται τοῖς ἵπποις. καὶ γινό-
μενοι ψοφοδεεῖς, καὶ πρὸς ἅπαν εὐπτόητοι τὰς ὁρμὰς ὀξυῤῥόπους καὶ ταχεί-
ας ἴσχουσιν, ὥσπερ τὰ λινόπληκτα τῶν θηρίων. ἐγὼ δὲ σκοπεῖν ἔφην χρῆναι μὴ
τοὐναντίον ἐστὶ τοῦ δοκοῦντος, ὅτι γίνεσθαι δρομικωτέρους τοὺς πώλους ὅταν

ἐκφύγωσι τὰς βλάβας τῶν θηρίων ἐπιχειρηθέντες, ἀλλ' οὐκ αὖ ἐκφυγεῖν, ἐμοὶ
φύσει θυμικοὶ καὶ ταχεῖς ἦσαν· οὔτε γοῦν τὸν ὀδυσσέα γενέσθαι φρόνιμον ὑπὸ
δρᾶναι τοῦ κύκλωπος, ἀλλ' ὅτι τοιοῦτος ἦν ὑπεκδρᾶναι.

Διατί τὰ λυκόβρωτα τῶν προβάτων, τὸ κρέας μὲν γλυκύ-
τερον, τὸ δ' ἔριον φθειροποιὸν ἴσχει. θ.

Μετὰ τοῦτο περὶ τῶν λυκοβρώτων ἐζητεῖτο προβάτων, ἃ λέγεται τὸ μὲν κρέας
γλυκύτατον παρέχειν, τὸ δ' ἔριον φθειροποιόν. οὐ φαύλως οὖν ἐδόκει Πατρο-
κλέας ὁ γαμβρὸς ἐπιχειρεῖν περὶ τῆς γλυκύτητος, ὡς τοῦ θηρίου τῷ δήγματι
τὴν σάρκα τακερὰν ποιοῦντος· καὶ γὰρ εἶναι τὸ πνεῦμα τοῦ λύκου περίθερμον
οὕτω καὶ πυρῶδες, ὥστε τὰ σκληρότατα τῶν ὀστῶν ἐν τῇ κοιλίᾳ τήκειν καὶ δια-
χραίνειν· διὸ καὶ σήπεσθαι τὰ λυκόβρωτα τῶν ἄλλων τάχιον. περὶ δὲ τῶν ἐρί-
ων διηπορούμεν· μήποτε οὐ γεννᾶται τοὺς φθεῖρας, ἀλλ' ἐκκαλεῖται τραχύτητι
τινος ἀμυκτικῆς, ἢ θερμότητος ἰδιότητι διακρίνοντα τὴν σάρκα· ταύτην δὲ τοῖς
ἐρίοις τὴν δύναμιν οὐ γίνεσθαι πρὸς τὸ τοῦ λύκου δῆγμα, καὶ τὸ πνεῦμα μετα-
βάλλοντος ἄχρι τῶν τριχῶν τοῦ σφαττομένου, καὶ συνεβάλλετο τῷ λόγῳ πίστιν
ἡ ἱστορία· τῶν γὰρ κυνηγῶν, καὶ τῶν μαγείρων ἐπιστάμεθα, τοὺς μὲν μιᾷ πληγῇ
καταβάλλοντας, ὥστε ἀπνευστὶ τὰ πληγέντα κεῖσθαι· τοὺς δὲ πολλαῖς μό-
γις καὶ χαλεπῶς ἀναιροῦντας, ὃ δὲ τούτου θαυμασιώτερόν ἐστι, τοὺς μὲν τοιαύ-
την ἐνιέντας μετὰ σιδήρου τῷ τιτρωσκομένῳ δύναμιν, ὥστε ταχὺ σήπεσθαι,
καὶ μὴ δὲ πρὸς μίαν ἡμέραν ἀντέχειν· τοὺς δὲ ἀποκτείναντας μὲν οὐ βράδιον ἐ-
κείνων, οὐδὲν δὲ τοιοῦτο γινόμενον περὶ τὴν σάρκα τῶν σφαγέντων, ἀλλ' ἐπὶ χρό-
νον διαμένουσαν· ὅτι δὲ καὶ κατὰ σφαγάς, καὶ τοὺς θανάτους τῶν ζώων μεταβο-
λαί, μέχρι δερμάτων, καὶ τριχῶν, καὶ ὀνύχων διατείνουσιν· ἀποδηλοῦν ἔοικε τὸ
λέγειν, καὶ ὅμηρος ἐπὶ τῶν δερμάτων καὶ τῶν ἱμάντων, ὅτι φησὶν ἱμάντα βοὸς ἶ-
φι κταμένοιο· τῶν γὰρ μὴ νόσῳ μὴ δὲ γήρᾳ διαλυομένων, ἀλλ' ἀπὸ σφαγῆς εὔ-
τονον τὸ δέρμα καὶ στριφνὸν γίνεσθαι· τὰ δὲ ὑπὸ θηρίων δηχθέντα, καὶ τοὺς ὄ-
νυχας μελαίνεσθαι, καὶ τριχορρυεῖν· καὶ τοῖς δέρμασι φλιδᾶν καὶ ῥακοῦσθαι.

Πότερον οἱ παλαιοὶ βέλτιον ἐποίουν πρὸς μερίδας, ἢ
οἱ νῦν ἐκ κοινοῦ δειπνοῦντες. ι.

Ὅτε τὴν ἐπώνυμον ἀρχὴν ἦρχον οἴκοι, τὰ πλεῖστα τῶν δείπνων δαῖτες ἦσαν ἐν ταῖς
θυσίαις ἑκάστῳ μερίδος ἀποκληρουμένης· ὅ τισι μὲν ἤρεσκε θαυμαστῶς· οἱ δὲ ὡς ἀ-
κοινώνητον, καὶ ἀνελεύθερον ψέγοντες, ᾤοντο δεῖν ἅμα τῷ καταθέσθαι τὸν στέ-
φανον ἐπὶ τὴν συνήθη δίαιταν αὖθις μεθαρμόσασθαι τὰς τραπέζας. οὐ γὰρ
τὸ φαγεῖν ὁ Ἁγίας ἔφη χάριν, οὐδὲ τὸ πιεῖν, ἀλλὰ τοῦ συμπιεῖν καὶ συμφαγεῖν ὡς ἑ-
ῶμαι καλοῦμεν ἀλλήλους. ἡ δὲ εἰς μερίδας αὕτη κρεοδαισία τὴν κοινωνίαν ἀ-
ναιροῦσα πολλὰ δεῖπνα ποιεῖ, καὶ πολλοὺς δειπνοῦντας, οὐδένα δὲ σύνδειπνον
οὐδενός· ὅταν ὥσπερ ἀπὸ κρεωπωλικῆς τραπέζης σταθμῷ λαβὼν ἕκαστος μοῖραν
ἑαυτῷ πρόθηται· καίτοι τίνα ἔχει διαφοράν, ἢ κύλικα κατασταθέντα τῶν κε-
κλημένων ἑκάστῳ, καὶ χοῦν, ἐπιπλησάμενον οἴνου, καὶ τράπεζαν ἰδίαν, ὥσπερ οἱ
Δημοφωντίδαι τῷ Ὀρέστῃ λέγονται, πίνειν κελεῦσαι μὴ προσέχοντα τοῖς ἄλλοις,
ἢ τοῦτο ὅπερ νῦν γίνεται, κρέας προθέμενον καὶ ἄρτον, ὥσπερ ἐκ φάτνης ἰδί-
ας ἕκαστον εὐωχεῖσθαι· πλὴν ὅτι μὴ πρόσκειται σιωπῇ ἡμῖν ἀνάγκη καθάπερ
τοῖς τὸν Ὀρέστην ξενίζουσιν, ἀλλὰ καὶ τοῦτο ἴσως αὐτὸ πρὸς τὴν ἁπάντων κοινω-
νίαν, ἐκκαλεῖται τοὺς συνόντας, ὅτι καὶ λόγῳ κοινῷ πρὸς ἀλλήλους χρώμε-

θα καὶ ᾠδῆς ψαλτρίας τερπούσης, καὶ αὐλητρίδος ὁμοίως μετέχομεν, καὶ
ὁ κρατὴρ οὗτος ὅρον οὐκ ἔχων ἐν μέσῳ, πρόκειται πηγὴ φιλοφροσύνης ἀφθό-
νος καὶ μέτρον ἔχουσα τῆς ἀπολαύσεως τὴν ὄρεξιν· οὐχ ὥσπερ ἡ τοῦ κρέως, καὶ
τοῦ ἄρτου μερὶς ἀδικωτάτῃ μέτρῳ καλλωπίζεται τῷ ἴσῳ πρὸς ἀνίσους· τὸ γὰρ
αὐτὸ τῷ μικρῷ δεομένῳ πλέον ἐστί· τῷ δὲ μείζονος, ἔλαττον· ὥσπερ οὖν ὦ ἑταῖ-
ρε κάμνουσι πολλοῖς ἴσα φάρμακα μέτροις ἀκριβέσι, καὶ σταθμοῖς διανέμων παγ-
γέλοιος, οὕτω τοιοῦτος ἑστιάτωρ, οἷος ἀνθρώπους οὔτε διψῶντας ὡσαύτως οὔτε
πεινῶντας εἰς ταὐτὸ συναγαγών, ἀπὸ τῶν ἴσων θεραπεύειν ἅπαντας, ἀριθμη-
τικῶς, οὐ γεωμετρικῶς, ὁρίζων τὸ μέτριον καὶ δίκαιον, εἰς καπήλου μὲν οὖν φοι-
τῶμεν ἑνὶ χρώμενοι μέτρῳ τῷ δημοσίῳ πάντες· ἐπὶ δείπνῳ δὲ ἕκαστος ἰδίαν ἥκει
γαστέρα κομίζων, ἣν οὐ τὸ ἴσον, ἀλλὰ τὸ ἀρκοῦν ἐμπίπλησι· τὰς δὲ ὀμβρικὰς ἐ-
κείνας δαῖτας οὐ χρὴ μεταφέρειν ἐκ τῶν στρατιωτικῶν, καὶ παρεμβολικῶν ἐν-
ταῦθα δείπνων· ἀλλὰ μᾶλλον τὴν τῶν παλαιῶν φιλανθρωπίαν ζηλοῦν, οὐ μόνον
ὁμεστίους, οὐδὲ ὁμοροφίους, ἀλλὰ καὶ ὁμοχοίνικας, καὶ ὁμοσίτους τῷ πᾶσαν σέ-
βεσθαι κοινωνίαν, ἐν τιμῇ τιθεμένους· τὰ μὲν οὖν ὁμήρου δεῖπνα χαίρειν ἐῶμεν·
ὑπολιμώδη γὰρ ἐστὶ καὶ διψαλέα, καὶ ἐστιάρχας βασιλεῖς ἔχοντα τῶν ἰταλικῶν
δεινοτέρους καπήλων· ὥστε παρὰ τὰς μάχας ἐν χερσὶ τῶν πολεμίων ὄντων ἀ-
πομνημονεύειν ἀκριβῶς πόσον ἕκαστος τῶν δειπνηκότων παρ' αὐτοῖς πέπωκε.
τὰ δὲ πινδαρικὰ βελτίω δήπουθεν, ἐν οἷς ἥρως αἰδοῖαν ἔμιγνυ τὰ ἀμφὶ τράπε-
ζαν θ' ἅμα τῷ κοινωνεῖν ἁπάντων ἀλλήλοις· ἐκεῖνο γὰρ ἦν οἷον ἀνάμιξις ἀληθῶς
καὶ σύγκρισις· τοῦτο διαίρεσις καὶ διαβολὴ τῶν φιλτάτων εἶναι δοκούντων.
ὡς μὴ δὲ ὄψου κοινωνεῖν δυναμένων· ἐπεὶ τούτοις εὐδοκιμήσαντι τῷ Ἁγίᾳ παρω-
ξύναμεν ἐπιθέσθαι· ἔλεγον οὖν ξένον τι πεπονθέναι πάθος Ἁγίαν εἰς τὴν ἴσην
μερίδα λαμβάνων, δυσκολαίνει γαστέρα φορῶν τηλικαύτην· καὶ γοῦν αὐτὸς εἶ-
ναι τῶν ἀδηφαγίᾳ χαιρόντων· ἐν γὰρ ξυνῷ ἰχθύι ἄκανθαι οὐκ ἔνεισιν, ὥς φησιν
ὁ Δημόκριτος· ἀλλὰ τοῦτο αὐτὸ ἔφη, καὶ μάλιστα τὴν μοῖραν ὥσπερ εἱμαρμένην
ἡμῖν ἐπήγαγεν· ἰσότητος γὰρ ἦν, πόλεις τε πόλεσι, συμμάχοις τε συμμάχους ἣ
εὐριπίδου γραῦς φησι συνδεῖν· οὐδὲν οὖν οὕτως, ὡς ἡ περὶ τράπεζαν κοινωνία
δεῖται, φύσει καὶ νόμῳ, καὶ ἀναγκαίαν οὐ καινὴν οὐδ' ἐπείσακτον ὑπὸ δόξης
ἔχουσα χρείαν· τῷ πλέονα δ' ἐκ τῶν κοινῶν ἐσθίοντι πολέμιον καθίσταται τὸ
καθ' ὑστέρους, καὶ ἀπολειπόμενον, ὥσπερ ἐν ῥοθίῳ ταχυναυτούσης τριήρους· οὐ γὰρ
φιλικόν, οὐδὲ συμποτικὸν οἶμαι προοίμιον εὐωχίας ὑφόρασις, καὶ ἁρπασμὸς
καὶ χειρῶν ἅμιλλα, καὶ διαγκωνισμός, ἀλλ' ἄτοπα, καὶ κυνικὰ καὶ τελευτῶν-
τα πολλάκις εἰς λοιδορίας καὶ ὀργάς, οὐ κατ' ἀλλήλων μόνον, ἀλλὰ καὶ κατὰ
τῶν τραπεζοκόμων, καὶ κατὰ τῶν ἑστιώντων· ὅσον δὲ χρόνον ἡ μοῖρα καὶ ἡ λάχε-
σις ἰσότητα τὴν περὶ τὰ δεῖπνα καὶ συμπόσια κοινωνίαν ἐβράβευον, οὐθὲν
ἰδεῖν ἄκοσμον ἦν, οὐδ' ἀνελεύθερον, ἀλλὰ καὶ τὰ δεῖπνα δαῖτας ἐκάλουν, καὶ
τοὺς ἑστιωμένους δαιτυμόνας, δαιτροὺς δὲ τοὺς τραπεζοκόμους ἀπὸ τοῦ διαιρεῖν,
καὶ διανέμειν. Λακεδαιμόνιοι δὲ κρεοδαίτας εἶχον, οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς
πρώτους ἄνδρας, ὥστε καὶ Λύσανδρον ὑπ' Ἀγησιλάου τοῦ βασιλέως ἐν Ἀσίᾳ
κρεοδαίτην ἀποδειχθῆναι· τότε οὖν αἱ νεμήσεις ἐξέπεσον, ὅτ' ἐπεισῆλθον αἱ πολυ-
τέλειαι τοῖς δείπνοις· οὐ γὰρ ἦν οἶμαι πέμματα, καὶ κανδύλους, καὶ καρυκείας, ἄλλας τε
παντοδαπὰς ὑποτριμμάτων καὶ ὄψων παραθέσεις διαιρεῖν, ἀλλ' ἡττώμενοι τῆς
περὶ ταῦτα λιχνείας, καὶ ἡδυπαθείας προήκαντο τὴν ἰσομοιρίαν· τεκμήριον δὲ τοῦ λό-
γου, καὶ νῦν ἔτι τὰς θυσίας καὶ τὰ δημόσια δεῖπνα πρὸς μερίδας γίνεσθαι διὰ τὴν ἀφέ-
λειαν καὶ καθαριότητα τῆς διαίτης, ὥστε ὁ τὴν νέμησιν ἀναλαμβάνων, ἅμα συνανα-

σώζει τὴν εὐτέλειαν. ἀλλ' ὅπου τὸ ἴδιόν ἐστιν, ἀπόλλυται τὸ κοινόν, ὅπου μὲν οὖν μὴ ἴσον ἐστίν, οὐ γὰρ οἰκείου κτῆσις, ἀλλ' ἀφαίρεσις ἀλλοτρίου, καὶ πλεονεξία περὶ τὸ κοινὸν ἀδικίας ἦρξε καὶ διαφορᾶς, ἣν ὅρῳ καὶ μέτρῳ τοῦ ἰδίου καταπαύοντες οἱ νόμοι τῆς ἴσα νεμούσης εἰς τὸ κοινὸν ἀρχῆς καὶ δυνάμεως ἐπώνυμοι γεγόνασιν. ἐπεὶ, μηδὲ στέφανον ἀξίου διανέμειν ἡμᾶς, ἑκάστῳ τὸν ἑστιῶντα. μηδὲ κλισίας καὶ χώρας, ἀλλὰ κἂν ἐρωμένην τις, ἢ ψάλτριαν ἥκει κομίζων. κοινὰ ταῦτα φίλων. ἵνα τὰ πάντα χρήματα γίνηται κατὰ τὸν Ἀναξαγόραν. εἰ δὲ οὐδὲν ἡ τούτων ἰδίωσις ἐπιταράττει τὴν κοινωνίαν τῷ τὰ μέγιστα, καὶ πλείστης ἀξία σπουδῆς εἶναι κοινά, λόγους, προπόσεις, φιλοφροσύνας. παυσώμεθα τὰς μοίρας ἀτιμάζοντες, καὶ τὸν τῆς ψυχῆς παῖδα κλῆρον ὥς Εὐριπίδης φησίν, ὃς οὔτε πλούτῳ νέμων, οὔτε δόξῃ τὸ πρωτεῖον, ἀλλ' ὅπως ἔτυχεν, ἄλλως ἄλλοτε συμφερόμενος. τὸν μὲν πένητα, καὶ ταπεινὸν ἐπιγαυροῖ, καὶ οὐκ ἐξαίρει γενόν τινος αὐτονομίας. τὸν δὲ πλούσιον καὶ μέγαν ἐθίζων ἰσότητι μὴ δυσκολαίνειν ἀλύπως σωφρονίζει.

ΣΥΜΠΟΣΙΑΚΩΝ· ΤΡΙΤΟΝ.

Σιμωνίδης ὁ ποιητὴς ὦ Σόσσιε Σενεκίων ἔν τινι πότῳ ξένον ἰδὼν κατακείμενον σιωπῇ, καὶ μηδενὶ διαλεγόμενον, ὦ ἄνθρωπε εἶπεν, εἰ μὲν ἠλίθιος εἶ, σοφὸν πρᾶγμα ποιεῖς. εἰ δὲ σοφὸς, ἠλίθιος. ἀμαθίην γὰρ ἄμεινον ὥς φησιν Ἡράκλειτος κρύπτειν, ἔργον δὲ ἐν ἀνέσει καὶ παρ' οἶνον. ὅς τ' ἐφέηκε πολύφρονά περ μάλα εἶσαι καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκε, καί τ' ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον. οἰνώσεως ἐνταῦθα τοῦ ποιητοῦ καὶ μέθης, ὡς ἐμοὶ δοκεῖ διαφορὰν ὑποδεικνύντος. ᾠδὴ μὲν γὰρ καὶ γέλως καὶ ὄρχησις οἰνουμένοις μετρίως ἔπεισι. τὸ δὲ λαλεῖν καὶ βλέπειν, ἀβέλτερον, ἢ σιωπᾶν, παροινίας ἤδη τῆς καὶ μέθης ἔργον ἐστί. διὸ καὶ Πλάτων ἐν οἴνῳ μάλιστα καθορᾶσθαι τὰ πάθη δηλὸς ἐστιν εἰπολλῶν νομίζει, καὶ Ὅμηρος εἰπὼν οὐδὲ τραπέζης γνώμην ἀλλήλων δῶς τ' νου τοῦ οἴνου καὶ πολλῶν γόνιμον. οὐ γάρ ἐστι ζωγόντων σιωπῇ καὶ πινόντων γνῶσις, ἀλλ' ὅτι τὸ πίνειν εἰς τὸ λαλεῖν προάγει, τῷ δὲ λαλεῖν ἐμφαίνεται καὶ τὸ ἀπογυμνοῦσθαι πολλὰ τῶν ἄλλως λανθανόντων.

παρέχει τινὰ τὸ συμπίνειν, καὶ κατανόησιν ἀλλήλων, ὥστε μὴ φαύλως ἂν ἐπιτιμῆσαι τῷ Αἰσώπῳ. τί τὰς θυρίδας ὦ μακάριε ζητεῖς ἐκείνας, δι' ὧν ἄλλος ἄλλου κατόψεται τὴν διάνοιαν. ὁ γὰρ οἶνος ἡμᾶς ἀνοίγει, καὶ δείκνυσιν, οὐκ ἐῶν ἡσυχίαν ἄγειν, ἀλλ' ἀφαιρῶν τὸ πλάσμα καὶ τὸν σχηματισμὸν ἀπωτάτω τοῦ νόμου καθάπερ παιδαγωγοῦ γεγονότων. Αἰσώπῳ μὲν οὖν καὶ Πλάτωνι καὶ εἴ τις ἄλλος ἐξετάσεως τόπου δεῖται, πρὸς τοῦτο χρήσιμος ὁ ἄκρατος. οἱ δὲ μηδὲν ἀλλήλους βασανίζειν δεόμενοι, μηδὲ καταφωρᾶν, ἀλλὰ χρῆσθαι φιλοφρόνως τὰ τοιαῦτα προβλήματα, καὶ τοὺς λόγους ἄγουσι συνιόντας. οἷς ἀποκρύπτεται τὰ φαῦλα τῆς τύχης. τὸ δὲ βέλτιστον ἀναθαρρεῖ, καὶ τὸ μουσικώτατον, ὥσπερ εἰς λειμῶνας οἰκείους, καὶ νομὰς ὑπὸ φιλολογίας προσδεχόμενον. ὅθεν καὶ ἡμεῖς, τρίτην δεκάδα ταύτην σοι πεποιήμεθα συμποτικῶν ζητημάτων, τὸ περὶ τῶν στεφάνων πρῶτον ἔχουσαν.

Εἰ χρηστέον ἀνθινοῖς στεφάνοις παρὰ πότον. α'.

Ἐγένοντο γάρ ποτε καὶ περὶ στεφάνων λόγοι, τὸ δὲ συμπόσιον ἦν Ἀθήνησιν, Ἐράτωνος τοῦ ἁρμονικοῦ ταῖς Μούσαις τεθυκότος, καὶ πλείονας ἑστιῶντος. παντοδαπῶν γὰρ μετὰ τὸ δειπνῆσαι στεφάνων περιφερομένων, ὁ Ἀμμώνιος ἐπέσκωψέ πως ἡμᾶς ἀντὶ τοῦ δαφνίνου τοῖς ῥοδίνοις ἀναδησαμένους. ὅλως γὰρ εἶναι τοὺς ἀνθίνους κορασιώδεις, καὶ παιζούσαις μᾶλλον ἐπιτηδείους παρθένοις, καὶ γυναιξὶν, ἢ συνουσίαις φιλοσόφων, καὶ μουσικῶν ἀνδρῶν. θαυμάζω δὲ καὶ Ἐράτωνα τοῦτον, εἰ τὰς μὲν ἐν τοῖς μέλεσι παραχρώσεις βδελυττόμενον, καὶ κατηγοροῦντα τοῦ καλοῦ Ἀγάθωνος. ὃν πρῶτον εἰς τραγῳδίαν φασὶν ἐμβαλεῖν, καὶ ὑπομίξαι τὸ χρωματικὸν, ὅτε τοὺς Μυσοὺς ἐδίδασκεν. αὐτὸς δὲ ἡμῖν ὡς ὁρᾶτε ποικίλων χρωμάτων, καὶ ἀνθηρῶν τὸ συμπόσιον ἐμπέπληκε. καὶ τὴν διὰ τῶν ὤτων ἀποκλείει τρυφὴν, καὶ ἡδυπάθειαν. ταύτην τὴν κατὰ τὰ ὄμματα, καὶ τὰς ῥῖνας, ὥσπερ καθ' ἑτέρας θύρας ἐπεισάγων τῇ ψυχῇ, καὶ τὸν στέφανον ἡδονῆς ποιῶν οὐκ εὐσεβείας. καίτοι τό γε μύρον τοῦτο τῆς ἀνθινῆς ταύτης, καὶ μαραινομένης ἐν ταῖς χερσὶ τῶν στεφανηπλόκων σπουδαιοτέραν ἀναδίδωσιν εὐωδίαν. ἀλλ' οὐκ ἔχει χώραν ἐν συμποσίῳ φιλοσόφων ἀνδρῶν ἡδονὴ πρὸς μηδεμίαν συμπεπλεγμένην χρείαν, μηδὲ ἀκολουθοῦσα φυσικῆς ὀρέξεως ἀρχήν. καθάπερ οἱ μὲν ὑπὸ τῶν κεκλημένων ἀγόμενοι φίλων ἐπὶ τὸ δεῖπνον ἔθει φιλανθρώπῳ, τυγχάνουσι τῶν αὐτῶν. ὥσπερ Ἀριστόδημος ὑπὸ Σωκράτους, καὶ Ἀγάθωνος ἀχθεὶς ἑστιῶντος. εἰ δέ τις ἀφ' αὑτοῦ βαδίζοι τούτῳ, δεῖ τὴν θύραν κεκλεῖσθαι οὕτως. αἱ μὲν περὶ τὴν ἐδωδὴν καὶ πόσιν ἡδοναὶ κεκλημέναι ὑπὸ τῆς φύσεως ταῖς ὀρέξεσιν ἑπόμεναι τόπον ἔχουσι. ταῖς δὲ ἄλλαις ἀκλήτοις, καὶ σὺν οὐδενὶ λόγῳ φιληδονίας ἀπήλλακται. πρὸς ταῦτα οἱ μὲν ἀήθεις τοῦ Ἀμμωνίου νεανίσκοι διαταραχθέντες ἡσυχῇ παρελύοντο τοὺς στεφάνους. ἐγὼ δὲ εἰδὼς ὅτι γυμνασίας ἕνεκα καὶ ζητήσεως καταβέβληκεν ἐν μέσῳ τὸν λόγον ὁ Ἀμμώνιος, προσαγορεύσας Τρύφωνα τὸν ἰατρὸν ὦ τᾶν εἶπον, καταθέσθαι δίκαιος εἶ μεθ' ἡμῶν τουτονὶ τὸν καλὸν φλέγοντα τοῖς ῥοδίνοις στέφανον, ἢ λέγειν, ὥσπερ εἴωθας ἑκάστοτε πρὸς ἡμᾶς, ὅσας ἔχουσιν οἱ ἀνθινοὶ στέφανοι πρὸς τὸ πίνειν βοηθείας. ὑπολαβὼν δ' ὁ Ἐράτων, οὕτω γὰρ εἶπε δέδοκται, μηδεμίαν ἡδονὴν ἀσύμβολον δέχεσθαι, ἀλλ' εὐφραινομένους δυσκολαίνειν. ἂν μὴ μετά τινος μισθοῦ τοῦτο πάσχωμεν, ἢ τὸ μὲν μύρον εἰκότως ὑποδυσωπούμεθα, καὶ τὴν πορφύραν διὰ τὴν ἐπίθετον πολυτέλειαν ὡς δολερὰ εἵματα, καὶ χρώματα, κατὰ τὴν βαρβάρου φωνήν, αἱ δὲ αὐτοφυεῖς χρόαι καὶ ὀσμαί, οὐ τὸ ἀφελὲς ἔχουσι καὶ καθαρὸν, καὶ οὐδὲν ὀπώρας διαφέρουσι. μὴ

γὰρ εὔηθες ἢ τοὺς μὲν χυμοὺς δρέπεσθαι καὶ ἀπολαύειν τῆς φύσεως διδούσης·
ὀσμὰς δὲ καὶ χρόας ἃς ὧραι φέρουσι, διὰ τὴν ἐπανθοῦσαν ἡδονὴν ταῦτα καὶ
χάριν ἀτιμάζειν, ἂν μή τι χρειῶδες ἔξωθεν ἄλλο συνεπιφέρωσιν μά-
ἐμοὶ γὰρ αὖ δοκεῖ τοὐναντίον. εἰ μηδὲν ἡ φύσις, ὡς ὑμεῖς φατὲ
την πεποίηκε ταῦτα τῆς ἡδονῆς πεφυκέναι χάριν. ἃ μηδὲν ἄλλο χρήσιμον ἔχον-
τα μόνον εὐφραίνειν πέφυκε. σκόπει δὲ ὅτι τοῖς φυομένοις καὶ βλαστάνουσι, τὰ μὲν
φύλλα σωτηρίας ἕνεκα τοῦ καρποῦ, καὶ ὅπως ὑπ' αὐτῶν τὰ δένδρα θαλπόμε-
να καὶ ψυχόμενα μετρίως φέρῃ τὰς μεταβολὰς γέγονε. τοῦ δὲ ἄνθους ὄφελος
οὐδὲν ἐπιμένοντος, πλὴν εἴ τι χρωμένοις ἡμῖν ἐπιτερπὲς ὀσφρέσθαι, καὶ ἰδεῖν ἡ-
δὺ παρέχει. θαυμαστὰς μὲν ὀσμὰς ἀφιέντα, ποικιλίαν δὲ ἀμιμήτοις χρώμασι καὶ
βαφαῖς ἀνοιγόμενα. διὸ τῶν μὲν φύλλων ἀποσπωμένων οἷον ἀλγεῖ καὶ δάκνεται
τὰ φυτὰ, καὶ γίνεται περὶ αὐτὰ βλάβη τις ἑλκώδης, καὶ ψίλωσις ἀπρεπής.
καὶ οὐ μόνης, ὡς ἔοικε κατ' Ἐμπεδοκλέα τῆς δάφνης τῶν φύλλων ἀπὸ πάμπαν
ἔχεσθαι χρὴ, ἀλλὰ καὶ τῶν ἄλλων φείδεσθαι δένδρων ἁπάντων, καὶ μὴ κο-
σμεῖν ἑαυτοὺς ταῖς ἐκείνων ἀκοσμίαις βίᾳ καὶ παρὰ φύσιν τὰ φύλλα συλῶν-
τας αὐτῶν, αἱ δὲ τῶν ἀνθῶν ἀφαιρέσεις τρυγήσεσιν ἐοίκασι καὶ βλάπτουσιν οὐ-
δὲν, ἀλλὰ κἂν μὴ λάβῃ τις ἐν ὥρᾳ περιερρύη μαρανθέντα. καθάπερ οὖν οἱ βάρ-
βαροι τῶν θρεμμάτων τοῖς δέρμασιν ἀντὶ τῶν ἐρίων ἀμφιέννυνται, οὕτω μοι δο-
κοῦσιν, οἱ μᾶλλον ἐκ τῶν φύλλων, ἢ τῶν ἀνθῶν ὑφαίνοντες τοὺς στεφάνους οὐ κατὰ
λόγον χρῆσθαι τοῖς φυτοῖς. ἐγὼ μὲν οὖν ταῦτα συμβάλλομαι ταῖς στεφανοπώ-
λισιν. οὐ γὰρ εἰμὶ γραμματικὸς, ὥστε ἀπομνημονεύειν ποιημάτων, ἐν οἷς τοὺς πα-
λαιοὺς ἱερονίκας ἀναγινώσκομεν, ἀνθινοῖς ἀναδουμένοις στεφάνοις. πλὴν ὅτι γε
ταῖς μούσαις ὁ τῶν ῥόδων στέφανος ἐπιπεφήμισται. μεμνῆσθαί μοι δοκῶ Σαπ-
φοῦς λεγούσης, πρός τινα τῶν ἀμούσων καὶ ἀμαθῶν γυναικῶν, κατθανοῖσα δὲ κεί-
σεαι, οὐ γὰρ πεδέχῃς ῥόδων τῶν ἐκ Πιερίης. εἰ δέ τινα καὶ Τρύφων ἀπὸ τῆς ἰατρικῆς
ἐνδίδωσι μαρτυρίαν, ἀκουστέον. ἐκ τούτου δεξάμενος ὁ Τρύφων τὸν λόγον, οὐδενὸς ἔ-
φη τούτων ἀσκέπτους γεγονέναι τοὺς παλαιούς. ἅτε δὴ πλείστῃ κεχρημένους ἀπὸ
φυτῶν ἰατρικῇ. τεκμήρια δέ ἐστί τινα ἔτι νῦν. Τύριοι μὲν Ἀγηνορίδῃ, Μάγνητες δὲ
Χείρωνι τοῖς πρώτοις ἰατρεῦσαι λεγομένοις ἀπαρχὰς κομίζουσι. ῥίζαι γάρ εἰσι
καὶ βοτάναι, δι' ὧν ἰῶντο τοὺς κάμνοντας. ὁ δὲ Διόνυσος οὐ μόνον τῷ τὸν οἶνον εὑρεῖν
ἰσχυρότατον φάρμακον καὶ ἥδιστον ἰατρὸς ἐνομίσθη μέτριος, ἀλλὰ καὶ τῷ τὸν κιτ-
τὸν ἀντιταττόμενον μάλιστα τῇ δυνάμει πρὸς τὸν οἶνον εἰς τιμὴν προαγαγεῖν, καὶ
στεφανοῦσθαι διδάξαι τοὺς βακχεύοντας, ὡς ἧττον ὑπὸ τοῦ οἴνου ἀνιῷντο· τοῦ
κιττοῦ κατασβεννύντος τὴν μέθην τῇ ψυχρότητι. δηλοῖ δὲ καὶ τῶν ὀνομάτων ἔ-
νια, τὴν περὶ ταῦτα πολυπραγμοσύνην τῶν παλαιῶν. τήν τε γὰρ καρύαν οὕ-
τως ὠνόμασαν, ὅτι πνεῦμα βαρὺ καὶ καρωτικὸν ἀφιεῖσα, λυπεῖ τοὺς ὑπ' αὐ-
τὴν παρακεκλιμένους, καὶ τὸν νάρκισσον, ὡς ἀμβλύνοντα τὰ νεῦρα καὶ βαρύ-
τητας ἐμποιοῦντα ναρκώδεις. διὸ καὶ ὁ Σοφοκλῆς αὐτὸν ἀρχαῖον μεγάλων
θεῶν στεφάνωμα, τουτέστι τῶν χθονίων προσηγόρευκε. φασὶ δὲ καὶ τὸ πήγανον ἀπὸ
τῆς δυνάμεως ὠνομάσθαι. πήγνυσι γὰρ ξηρότητι διὰ θερμότητα τὸ σπέρμα,
καὶ ὅλως πολέμιόν ἐστι ταῖς κυούσαις. εἰ δὲ καὶ τὴν ἀμέθυστον οἰόμενοι πρὸς
τὰς οἰνώσεις βοηθεῖν, αὐτήν τε, καὶ τὴν ἐπώνυμον αὐτῆς λίθον οὕτω κεκλῆσθαι, δια-
μαρτάνουσι. κέκληται γὰρ ἀπὸ τῆς χρόας ἑκάτερα   ἔστιν αὐτῆς τὸ φύλλον
ἄκρατ) ἀλλαμίνῳ*, καὶ ὑδαρεῖ τὴν κρᾶσιν οἴνῳ προσέοικεν. ἀλλὰ μέντοι πάμπολ-
λα λαβεῖν ἐστὶν οἷς παρέσχον τὰς κλήσεις αἱ δυνάμεις. ἀρκεῖ δὲ κἀκεῖνα τὴν τῶν
παλαιῶν ἐπιμέλειαν ὑποδηλῶσαι, καὶ πολυπειρίαν, ἀφ' ἧς ἐχρήσαντο τοῖς πα

ῥοίνοις

ῥοίνοις. μάλιστα μὲν γὰρ ὁ ἄκρατος, ὅταν τῆς κεφαλῆς καθάψηται καὶ τὸ νῶσμ
τὰ σώματα πρὸς τῶν αἰσθήσεων ἀρχὰς, ἐπιταράττει τὸν ἄνθρωπον. αἱ δὲ τῶν
ἀνθῶν ἀπόρροιαι πρὸς τοῦτο θαυμασίως βοηθοῦσι, καὶ ἀποτειχίζουσι τῆς κεφαλῆς
ἀπὸ τῆς μέθης ὡς ἀκρόπολιν. τῶν μὲν θερμῶν μαλακῶς ἀναχαλώντων τοὺς πό-
ρους, καὶ ἀναπνοὴν τῷ οἴνῳ διδόντων. ὅσα δὲ ἡσυχῇ ψυχρὰ τῷ μετρίῳ, ἐπιψαύ-
ειν ἀνακρουομένων τὰς ἀναθυμιάσεις ὥσπερ ὁ τῶν ἴων, καὶ ῥόδων στέφανος. στύ-
φει γὰρ ἀμφότερα, καὶ στέλλει τῇ ὀσμῇ τὰς καρηβαρίας. τὸ δὲ τῆς κύπρου ἄν-
θος, καὶ ὁ κρόκος, καὶ ἡ βάκκαρις εἰς ὕπνον ἄλυπον ὑπάγει τοὺς πεπωκότας.
ἔχει γὰρ ἀπορροὴν λείαν καὶ προσηνῆ, καὶ τὰς περὶ τὸ σῶμα τῶν μεθυσκομέ-
νων ἀνωμαλίας καὶ τραχύτητας ἡσυχῇ διαχέουσαν, ὥστε γινομένης γαλήνης
ἀμβλύνεσθαι, καὶ συνεκπέττεσθαι τὸ κραιπαλῶδες. ἐνίων δ' ἀνθῶν ὀσμαῖς
ἄνω σκιδναμέναις περὶ τὸν ἐγκέφαλον. οἵ τε πόροι τῶν αἰσθητηρίων ἐκκαθαί-
ρονται, καὶ λεπτύνονται τὰ ὑγρὰ πράως ἄνευ πληγῆς καὶ σάλου τῇ θερμό-
τητι διακρινόμενα, καὶ φύσει ψυχρὸς ὢν ὁ ἐγκέφαλος ἀναθάλπεται. διὸ μάλι-
στα τοὺς ἀνθινοὺς ἐκ τῶν τραχήλων καθάπτοντες ὑποθυμίδας ἐκάλουν, καὶ τοῖς ἀπὸ
τούτων μύροις ἔχριον τὰ στήθη. μαρτυρεῖ δὲ Ἀλκαῖος κελεύων καταχέαι τὸ μύρον αὐ-
τοῦ κατὰ τὰς πολλαπαθοίσας κεφαλὰς, καὶ τῷ πολιῷ στήθεος. οὕτω καὶ ἐντεῦθεν
αἱ ὀσμαὶ τοξεύουσιν ὑπὸ θερμότητος εἰς τὸν ἐγκέφαλον ἁρπαζόμεναι ταῖς
ὀσφρήσεσι. οὐ γὰρ ὅτι τῇ καρδίᾳ τὸν θυμὸν ἐνστρατοπεδεύειν ᾤοντο τοὺς περι-
δεραίους τῶν στεφάνων ὑποθυμίδας ἐκάλουν. ἐπιθυμίαις γὰρ αὐτοὺς διά γε τοῦτο
μᾶλλον ἦν καλεῖσθαι προσῆκον. ἄλλως λέγω διὰ τὴν ἀποφορὰν καὶ ἀποθυμίασιν.
μὴ θαυμάζωμεν δὲ εἰς τοσαύτην αἱ τῶν στεφάνων ἀποφοραὶ δύναμιν ἔχουσιν.
ἱστοροῦσι γὰρ ὅτι καὶ σκιὰ σμίλακος ἀποκτείνουσιν ἀνθρώπους ἐγκαταδαρθέντας,
ὅταν ὀργᾷ μάλιστα πρὸς τὴν ἄνθησιν, καὶ τὸ τῆς μήκωνος ἀπορρέον πνεῦμα μὴ
φυλαξαμένοις τοῖς τὸν ὀπὸν τρυγῶσι, συνέβη καταπεσεῖν. τὴν δὲ ἄλυσσον καλου-
μένην βοτάνην, καὶ λαβόντες εἰς τὴν χεῖρα μόνον. οἱ δὲ καὶ προσβλέψαντες ἀ-
παλάττονται λυγμοῦ. λέγεται δὲ καὶ ποιμνίοις ἀγαθὴ καὶ αἰπολίοις, πα-
ραφυτευομένη ταῖς μάνδραις. τὸ δὲ ῥόδον ὠνόμασται δήπουθεν, ὅτι ῥεῦμα πολὺ τῆς
ὀδωδῆς ἀφίησι. διὸ καὶ τάχιστα μαραίνεται. ψυκτικὸν δέ ἐστι δυνάμει. τῇ δὲ ὄ-
ψει πυρωπὸν οὐκ ἀλόγως. λεπτὸν γὰρ αὐτῷ περιανθεῖ τὸ θερμὸν ἐπιπολῆς ἐξω-
θούμενον ὑπὸ τῆς θερμότητος.

Περὶ τοῦ κιττοῦ, πότερον τῇ φύσει θερμὸς, ἢ ψυχρός ἐστιν. β'.

E Παινεσάντων δὲ ἡμῶν τὸν Τρύφωνα, μειδιῶν ὁ Ἀμμώνιος, οὐκ ἄξιον ἔφη ποικίλον
οὕτω καὶ ἀνθηρὸν λόγον ὥσπερ στέφανον ἀντιλέγοντα διαλακτίζειν. πλὴν ὅ τε
κιττὸς, οὐκ οἶδ' ὅπως συγκαταπέπλεκται ψυχρότητι συγκατασβεννύναι λε-
γόμενος τὸν ἄκρατον. ἔστι γὰρ ἔμπυρος, καὶ θερμότερος, καὶ ὅ γε καρπὸς αὐτοῦ
μιγνύμενος εἰς τὸν οἶνον μεθυστικὸν ποιεῖ καὶ ταρακτικὸν τῷ πυροῦσθαι. τὸ δὲ κλῆ-
μα λέγουσιν αὐτὸ τὸ ἀπτόμενον, ὥσπερ τὰ πυρὶ ξύλα συνδιαστρέφεσθαι. χιὼν δὲ
πολλάκις ἡμέρας συχνὰς ἐπιμένουσα τοῖς ἄλλοις φυτοῖς φεύγει τάχιστα τὸν
κιττόν. μᾶλλον δὲ ὅλως εὐθὺς ἀπόλλυται, καὶ περιτήκεται περὶ αὐτὸν ὑπὸ
θερμότητος. ὃ δὲ μέγιστόν ἐστιν, ὑπὸ Θεοφράστου δ' ἱστόρηται. Ἀλεξάνδρου κελεύ-
σαντος Ἑλληνικὰ δένδρα τοῖς ἐν Βαβυλῶσι παραδείσοις ἐμβαλεῖν Ἅρπαλον.
μάλιστα δὲ τῶν τόπων ἐμπύρων ὄντων καὶ περιφλεγόντων τὰ ἀλσώδη καὶ εὐπέ-
ταλα καὶ σκιερὰ καταμῖξαι τοῖς φυτοῖς, μόνον οὐκ ἐδέξατο τὸν κιττὸν ἡ χώρα,
καίτοι πολλὰ τοῦ Ἁρπάλου πραγματευομένου, καὶ προσφιλονεικοῦντος. ἀλλ' ἀ-

πώλυτο καὶ κατεξηραίνετο, τῷ πυρώδης μὲν αὐτὸς εἶναι, πρὸς πυρώδη δὲ μί-
γνυσθαι γῆν, οὐ λαμβάνων κρᾶσιν, ἀλλ' ἐξιστάμενος. αἱ γὰρ ὑπερβολαὶ φθείρουσι
τὰς δυνάμεις. διὸ τῶν ἐναντίων μᾶλλον ὀρέγονται, καὶ φιλόθερμόν ἐστι τὸ ψυ-
χρὸν, καὶ φιλόψυχρον τὸ θερμὸν, ὅθεν οἱ ὄρειοι καὶ πνευματώδεις, καὶ νιφόμενοι
τόποι, τὰ δαδώδη καὶ πισσοτρόφα τῶν φυτῶν μάλιστα πεύκας, καὶ στροβίλους ἐκ-
φέρουσιν. ἄνευ δὲ τούτων, ὦ φίλε τρύφων τὰ δύσριγα, καὶ ψυχρὰ φυλλορροεῖ, μι-
κρότητι τοῦ θερμοῦ, καὶ ἀσθενείᾳ συστελλομένου, καὶ προλιπόντος τὸ φυτόν. ἐλαί-
αν δὲ, καὶ δάφνην καὶ κυπάριττον ἀειθαλῆ διαφυλάττει τὸ λιπαρὸν καὶ τὸ θερ-
μὸν, ὥσπερ ὁ κιττός. ὅθεν ὁ φίλτατος διόνυσος, οὐχ ὡς βοηθὸν ἐπὶ τὴν μέθην,
οὐδ' εἰς πολέμιον τῷ οἴνῳ τὸν κιττὸν ἐπήγαγεν. ὅς γε τὸν ἄκρατον ἄντικρυς μέθυ,
καὶ μεθυμναῖον αὐτὸς αὑτὸν ὠνόμασεν. ἀλλά μοι δοκεῖ καθάπερ οἱ φίλοινοι μὴ
παρόντος ἀμπελίνου κριθίνῳ χρῶνται πόματι. καὶ μηλίτας τινὰς, οἱ δὲ φοινι-
κίνους οἴνους ποιοῦσιν. οὕτω καὶ ὁ ποθῶν μιμούμενος ὥρας, τὸν ἀπὸ τῆς ἀμπέλου
στέφανον ὡς ἐκείνην ἑώρα γυμνὴν, καὶ ἄφυλλον ἀγαπῆσαι τὴν ὁμοιότητα τοῦ κιτ-
τοῦ, καὶ γὰρ τοῦ κλήματος τὸ ἑλικῶδες, ὥσπερ καὶ σφαλλόμενον ἐν τῇ πορείᾳ, καὶ
τοῦ πετάλου τὸ ὑγρὸν, καὶ περικεχυμένον ἀτάκτως. μάλιστα δὲ αὐτὸς ὁ κόρυμ-
βος ὄμφακι πυκνῷ καὶ περκάζοντι προσεοικὼς ἐκμεμίμηται τὴν τῆς ἀμπέλου
διάθεσιν. οὐ μὴν ἀλλὰ κἂν βοηθῇ τι πρὸς μέθην ὁ κιττὸς, θερμότητι τοῦτο ποιεῖν
φήσομεν αὐτὸν ἀνοίγοντα τοὺς πόρους, ἢ συνεκπέττοντα μᾶλλον τὸν ἄκρατον ἵνα
καὶ μένῃ σὴν χάριν ὦ τρύφων ἰατρὸς ὁ διόνυσος. πρὸς ταῦτα, ὁ μὲν τρύφων ἀφω-
νος ἦν, ὅπως ἀντείποι σκεπτόμενος. ὁ δὲ ἐράτων, ἕκαστον ἡμῶν τῶν νέων ἀνακαλού-
μενος, ἐκέλευε βοηθεῖν τῷ τρύφωνι τῶν στεφάνων, ἢ τοὺς στεφάνους ἀποτίθεσθαι.
καὶ ἀμμώνιος ἔφη, παρέχειν ἄδειαν. οὐ γὰρ ἀντερεῖν οἷς ἂν ἡμεῖς εἴπωμεν. οὕτω
δὴ καὶ τοῦ τρύφωνος ἐπικελεύοντος εἰπεῖν. τί ταῖς μὲν ἀποδείξεσι, ψυχρὸν εἶναι
τὸν κιττὸν οὐκ ἐμὸν ἦν ἔργον, ἀλλὰ τρύφωνος. οὗτος γὰρ αὐτῷ ψύχοντι καὶ στύ-
φοντι πολλὰ χρῆται. τῶν δ' εἰρημένων ἔφην. τὸ μὲν μεθύσκειν κιττὸν οἴνῳ μιγνύ-
μενον, οὐκ ἀληθές ἐστι. τὸ γὰρ ἐμποιεῖν τοῖς ποιοῦσι πάθος, οὐ μέθην ἄν τις εἴποι,
ταραχὴν δὲ καὶ παραφροσύνην. οἷον κύαμος ἐμποιεῖ, καὶ πολλὰ τοιαῦτα κινοῦν-
τα μανικῶς τὴν διάνοιαν. ὁ δὲ τοῦ κλήματος σπασμὸς, ἄλογός ἐστι. ταῦτα γὰρ
παρὰ φύσιν ἔργα τῶν κατὰ φύσιν δυναμένων, οὐκ ἔστιν, ἀλλὰ καὶ τὰ ξύλα δια-
στρέφεται τοῦ πυρὸς τὸ ὑγρὸν ἕλκοντος, ἐξ αὐτοῦ βίᾳ κυρτότητας ἴσχοντα καὶ
παραβάσεις. τὸ δὲ συγγενὲς θερμὸν αὔξειν, καὶ τρέφειν πέφυκε. σκόπει δὲ, μὴ
μᾶλλον ἀρρωστία τις καὶ ψυχρότης σώματος τὸ πολυκαμπὲς, καὶ χαμαιπετὲς πέ-
φυκε   σεις, πυκνὰς ἀντικοπὰς λαμβάνον-
τος, ὥσπερ ὁδοιπόρου δι' ἀσθένειαν πολλάκις ἀποκαθίζοντος, εἶτα πάλιν ἐρχο-
μένου, διὸ καὶ περιπλοκῆς δεῖται καὶ στηρίγματος αὐτὸς ἑαυτὸν ἀνέχειν καὶ πο-
δηγεῖν ἀδυνατοῦν δι' ἔλλειψιν θερμότητος, ἧς τὸ ἀνωφελὲς δύναμίς ἐστιν. ἡ δὲ χιὼν
ἀπορρεῖ καὶ περιτήκεται δι' ὑγρότητα τοῦ φύλλου. τὸ γὰρ ὕδωρ σβεννύουσιν αὐ-
τῆς, καὶ κόπτει τὴν χαυνότητα, ἅτε μικρῶν εἶναι καὶ πυκνῶν, ἄθροισμα πομ-
φολύγων. ὅθεν ἐν τοῖς περιψύκτοις σφόδρα καὶ νοτεροῖς τόποις, ἢ τοῖς προσή-
λοις, αἱ χιόνες ῥέουσι. τὸ δ' ἀειθαλὲς ὥσπερ, καὶ ὥς φησιν ἐμπεδοκλῆς ἐμπεδόφυλ-
λον, οὐκ ἔστι θερμότητος. οὐδὲ γὰρ ψυχρότητος τὸ φυλλορροεῖν. ἡ οὖν μυρρίνη, καὶ
τὸ ἀδίαντον οὐκ ὄντα τῶν θερμῶν, ἀλλὰ τῶν ψυχρῶν ἀεὶ τέθηλεν. ἔνιοι μὲν
τῷ ὁμαλότητι κράσεως, οἴονται παραμένειν τὸ φύλλον. ἐμπεδοκλῆς δὲ πρὸς
τούτῳ καὶ πόρων τινὰ συμμετρίαν αἰτιᾶται τεταγμένως καὶ ὁμαλῶς τὴν τρο-
φὴν διιέντων, ὥστε ἀρκούντως ἐπιρρεῖν. τοῖς δὲ φυλλορροοῦσιν, οὐκ ἔστι διὰ μανό-
τητα

τητα τῶν ἄνω, καὶ στενότητα τῶν κάτω πόρων, ὅταν οἱ μὲν μὴ ἐπιπέμπωσιν, οἱ
δὲ φυλάττωσιν, ἀλλ' ὀλίγον ἄθρουν λαβόντες ἐκχέωσιν, ὥσπερ ἐν ἀνδήροις πισὶν οὐχ
ὁμαλοῖς, τὰ δὲ ὑδρευόμενα ἀεὶ τὴν τροφὴν διαρκεῖ, καὶ σύμμετρον ἀντέχει καὶ
παραμένει ἀγήρω καὶ χλωρά. ἀλλ' ἐν βαβυλῶνι φυτευόμενος ἐξίστατο, καὶ ἀ-
πηγόρευεν. οὗ δὲ ποιῶν ὁ γενναῖος οὗτος. ὅτι βο   ωτίου θεοῦ πε-
λάτης, καὶ παράσιτος ὢν οὐκ ἐβούλετο μετοικεῖν ἐν βαρβάροις, οὐδὲ ἀλέξαν-
δρον ἐζήλωσεν ἐξοικειούμενον ἐκείνοις τοῖς ἔθεσιν, ἀλλ' ἔφευγε, καὶ διεμάχετο
πρὸς τὴν ἀποξένωσιν. αἰτία δὲ οὐχ ἡ θερμότης ἦν ἀλλὰ μᾶλλον ἡ ψυχρότης, οὐχ
ὑποφέρουσα τὴν ἐναντίαν κρᾶσιν. οὐ γὰρ φθείρει τὸ οἰκεῖον, ἀλλὰ προσίεται, καὶ
φθείρει καθάπερ τὸ θύμον ἡ ξηρὰ γῆ, καίτοι θερμὸν ὄν, τὴν δὲ βαβυλωνίαν οὕ-
τω φασὶν ἀέρα πνιγώδη καὶ βαρὺν περιέχειν, ὥστε πολλοὺς τῶν εὐπόρων, ὅταν
ἐμπλήσωσιν ἀσκοὺς ὕδατος, ἐπὶ τούτων καθεύδειν ἀναψυχομένους.

Διατί γυναῖκες ἥκιστα μεθύσκονται, τάχιστα δὲ οἱ γέροντες. γ'.

θαύμαζε δὲ φλῶρος εἰ γεγραφὼς ἀριστοτέλης ἐν τῷ περὶ μέθης ὅτι μάλιστα
μὲν οἱ γέροντες, ἥκιστα δὲ αἱ γυναῖκες ὑπὸ μέθης ἁλίσκονται, τὴν αἰτίαν οὐκ
ἐξειργάσατο, μηδὲν εἰωθὼς προΐεσθαι τῶν τοιούτων. εἶτα μέντοι προὔβαλεν ἐν
μέσῳ σκοπεῖν τοῖς παροῦσιν. ἦν δὲ τῶν συνήθων τὸ δεῖπνον. ἔφη τοίνυν ὁ σύλλας,
θατέρῳ θάτερον ἐμφαίνεσθαι, κἂν εἰ περὶ τῶν γυναικῶν ὀρθῶς τὴν αἰτίαν λάβοι-
μεν, οὐκ ἔτι πολλοῦ λόγου δεήσεσθαι περὶ τῶν γερόντων. ἐναντίας γὰρ εἶναι μά-
λιστα τὰς φύσεις, τῇ τε ὑγρότητι, καὶ ξηρότητι, καὶ τραχύτητι, καὶ μαλακότη-
τι, καὶ σκληρότητι, καὶ ὥσπερ ἔφη λαμβάνειν κατὰ τῶν γυναικῶν πρῶτον ὅτι τὴν
κρᾶσιν, ὑγρὰν ἔχουσιν, ἣ καὶ τὴν ἁπαλότητα τῆς σαρκὸς ἐμμεμιγμένην πα-
ρέχει, καὶ τὸ στίλβον ἐπὶ λειότητι, καὶ τὰς καθάρσεις. ὅταν οὖν ὁ οἶνος εἰς ὑγρό-
τητα πολλὴν ἐμπέσῃ, κρατούμενος ἀποβάλλει τὴν βαφὴν, καὶ γίνεται παντά-
πασιν ἀναφὴς, καὶ ὑδατώδης. ἔστι δέ τι καὶ παρ' αὐτοῦ λαβεῖν ἀριστοτέλους.
τοὺς γὰρ ἀθρόως καὶ ἀμπνευστὶ πίνοντας, ὅπερ ἀμυστίζειν ὠνόμαζον οἱ παλαιοὶ
φησὶν ἥκιστα περιπίπτειν μέθαις. οὐ γὰρ ἐνδιατρίβειν τὸν ἄκρατον αὐτοῖς, ἀλλ' ἐ-
ξωθούμενον ῥύμῃ, διαπορεύεσθαι διὰ τοῦ σώματος. ἐπιεικῶς δὲ τὰς γυναῖκας
ὁρῶμεν οὕτω πινούσας. εἰκὸς δὲ αὐτῶν καὶ τὸ σῶμα, διὰ τὸν ἐνδελεχῆ τῶν ὑγρῶν
καταστασμὸν ἐπὶ τὰς ἀπο   πολύπορον γεγονέναι καὶ
τετμῆσθαι. καθάπερ ἀνδήροις καὶ ὀχετοῖς. εἰς οὓς ἐμπίπτοντα τὸν ἄκρατον ὑ-
πάγειν ταχέως, καὶ μὴ προσίστασθαι τοῖς κυρίοις μέρεσιν, ὧν διαταραττομένων
συμβαίνει τὸ μεθύειν. οἱ δὲ γέροντες ὅτι μέν εἰσιν ἐνδεεῖς, ἰκμάδος οἰκείας τοὔνο-
μά μοι δοκεῖ φράζειν πρῶτον. οὐ γὰρ ὡς ῥέοντες εἰς γῆν, ἀλλ' ὡς γεώδεις καὶ γεη-
ροί τινες ἤδη γινόμενοι τὴν ἕξιν, οὕτω προσαγορεύονται. δηλοῖ δὲ, καὶ τὸ δυσκαμ-
πὲς αὐτῶν καὶ σκληρόν. ἔτι δὲ ἡ τραχύτης τὴν ξηρότητα τῆς φύσεως. ὅταν οὖν ἐμπί-
νωσιν. εἰκὸς ἀναλαμβάνεσθαι τὸν οἶνον τοῦ σώματος σπογγώδους διὰ τὸν αὐχμὸν ὄντος εἶ-
τα ἐμμένοντα πληγὰς καὶ βαρύτητας ἐμποιεῖν. ὡς γὰρ τὰ ῥεύματα τῶν μὲν πυκνῶν
ἀποκλύζεται χωρίων, καὶ πηλὸν οὐ ποιεῖ. τοῖς δὲ ἀραιοῖς ἀναμίγνυται μᾶλλον. οὕτως ὁ
οἶνος ἐν τοῖς τῶν γερόντων σώμασιν ἔχει διατριβὴν ἑλκόμενος ὑπὸ τῆς ξηρότητος. ἄνευ
δὲ τούτων ἰδεῖν ἐστι τὰ συμπτώματα τῆς μέθης τὴν τῶν γερόντων φύσιν ἐξ αὐτῆς
ἔχουσαν. ἔστι γὰρ συμπτώματα μέθης ἐπιφανέστατα τρόμοι τῶν ἄρθρων ψελλισμοὶ
τῆς γλώσσης, πλεονασμοὶ δὲ λαλιᾶς, ὀξύτητες δὲ ὀργῆς, λῆθαί τε καὶ παραφοραὶ
διανοίας. ὧν τὰ πολλὰ καὶ περὶ τοὺς ὑγιαίνοντας ὄντα πρεσβύτας ὀλίγης ῥο-
πῆς δεῖται, καὶ σάλου τοῦ τυχόντος. ὥστε μὴ γένεσιν ἰδίων, ἀλλὰ κοινῶν ἐπίτα-

σιν συμπτωμάτων γίνεσθαι, τὴν μέθην τῷ γέροντι, τεκμήριον δὲ τοῦτο τὸ μηδὲν
εἶναι γέροντι νέου μεθυσθέντος ὁμοιότερον.

Πότερον ψυχρότεραι τῇ κράσει τῶν ἀνδρῶν, ἢ θερμότεραί εἰσιν αἱ γυναῖκες. δ'.

Ο μὲν οὖν Σύλλας ταῦτα εἶπεν. ὁ δὲ τακτικὸς Ἀπολλωνίδης ἔφη τὸν μὲν τῶν γερόν-
των ἀποδέχεσθαι λόγον. ἐν δὲ ταῖς γυναιξὶν αὐτῷ δοκεῖ παραλελεῖφθαι τὸ πλῆθος
τῆς ψυχρότητος, ἢ θερμότατον ἄκρατον ἀποσβέννυσθαι καὶ ἀποβάλλειν τὸ πλῆκ-
τικὸν καὶ πυρῶδες. πιθανοῦ δὲ καὶ τούτου δοκοῦντος, Ἀθρυΐλατος ὁ Θάσιος ἰατρὸς ἐμβαλὼν
τινα τῇ ζητήσει διατριβήν, εἶναί τινας ἔφησεν, οἳ τὰς γυναῖκας οὐ ψυχρὰς, ἀλλὰ
θερμοτέρας τῶν ἀνδρῶν ὑπολαμβάνουσιν. ἑτέρους δὲ μᾶλλον, οἳ τὸν οἶνον οὐ θερμὸν
ἀλλὰ καὶ ψυχρὸν ἡγοῦνται. θαυμάσαντος δὲ τοῦ Φλώρου, τὸν μὲν περὶ τοῦ οἴνου
λόγον εἶπεν, ἀφίημι τούτῳ δείξας ἐμέ. καὶ γὰρ ἐτυγχάνομεν ὀλίγαις ἡμέραις
πρότερον εἰς τοῦτο διειλεγμένοι. τῶν δὲ γυναικῶν ἔφη τὴν θερμότητα πρῶτον
ἀπὸ τῆς ψιλότητος, οἴονται δεικνύναι, καταναλισκομένου τοῦ περιττώματος
ὑπὸ τῆς θερμότητος, ὃ πλεονάζον εἰς τρίχας τρέπεται. δεύτερον δὲ τῷ πλήθει
τοῦ αἵματος, ὃ πηγὴ μὲν εἶναι δοκεῖ τῆς ἐν τῷ σώματι θερμότητος. ἔστι δὲ τοσοῦ-
τον ταῖς γυναιξὶν, ὥστε αὐτὰς καταπιμπράναι, καὶ περιφλέγειν. εἰ μὴ πολλαὶ
καὶ ταχεῖαι συμβαίνοιεν καθάρσεις. τρίτον ἐκ τούτου δὲ περὶ τὰς ταφὰς αἱ
ρατὰ θήλεα τῶν ἀρρένων εἶναι. λέγεται γὰρ ὑπὸ τῶν σκευωρου-
μένων, τὰ μὲν συντίθεσθαι. παρὰ δὲ καὶ νεκροὺς ἀνδρῶν ἕνα γυναικὸς, καὶ συ-
νεξάπτειν δᾳδῶδές τι καὶ λιπαρὸν αὐτῶν τῆς σαρκὸς ἐχούσης, ὥστε ὑπέκκαυ-
μα γίνεσθαι τῶν ἄλλων. ἔτι δὲ εἰ θερμότερον τὸ γονιμώτερον. αἱ δὲ παρθένοι τῶν
παίδων ὀργῶσι πρότερον, καὶ σαλεύονται πρὸς τὸ γεννᾶν, οὐδ' αὕτη τις ἀσθενὴς
ἀπόδειξις ἂν εἴη τῆς θερμότητος. ἔτι δὲ καὶ μεῖζον, καὶ πιθανωτέρα, τὸ πρὸς
τὰ κρύη καὶ τοὺς χειμῶνας εὐφόρως ἔχειν. ἧττον γὰρ αἱ πλεῖσται ῥιγοῦσι τῶν
ἀνδρῶν, καὶ παντάπασιν ἱματίων ὀλίγων δέονται. ἀλλ' ἀπ' αὐτῶν οἶμαι τού-
των ὁ Φλῶρος ἔφη τῶν ἐπιχειρημάτων ἐλέγχεσθαι τὸ δόγμα. πρῶτον μὲν γὰρ
ἀντέχουσι τῷ ψύχει μᾶλλον, ὅτε ἀφροδισίοις χρῆσθαι. μήτε ἀραιὸν μετέωρον τὸ σῶ-
μα καὶ κεκλονημένον, αἵ τε τῆς ψυχῆς φροντίδες, αἵ τε περὶ τὰς χρείας πραγ-
ματεῖαι, καὶ κόποι παραλαβόντες, εὐθὺς ἐκ ῥαχιῶσιν, οὐχ ἱκανὸν ἐν μέσῳ τὸ ὑπό-
λειμμα τῆς φύσεως εἰς ἀνάπαυσιν λαβούσης. οὐ γὰρ πάντες ὥσπερ οἱ τὴν Ἐπι-
κούρου σχολὴν, καὶ ῥαστώνην ἀπὸ λόγου, καὶ φιλοσοφίας ἄφθονον ἐσχήκασιν πα-
ρεσκευασμένην ἔχουσι. πολλοὶ δὲ ἕκαστον αἰτῶν ἐκδέχονται δι' ἡμέρας ἐκκλη-
σία δὲ ὡς ἔπος εἰπεῖν ἅπαντας. οἷς οὔτε καλὸν, οὔτε συμφέρον οὔτε
τὸ δὲ μα-
νον τὸ σῶμα παρέχειν λυσσώσῃ συνουσίᾳ διὰ ἡ μὲν ἦν τὸ
κήριον, καὶ ἄφθαρτον ἔσω μόνων οἷον αὐτὸ μὴ φροντίζειν τῶν καθ' ἡμᾶς. ἢ κατὰ
νόμῳ πόλεως εὐεπομένοις, ἐξευλαβητέον ἐστὶν, εἰς θέρος ἐμβαλεῖν, ἢ καταρ-
χεσθαι θυσιῶν. ὀλίγον ἔμπροσθεν διαπεπραγμένοις τι τοιοῦτο. ὅθεν δὲ ἔχει τὸ
τὴν νύκτα καὶ τὸν ὕπνον ἐν μέσῳ θεμένους, καὶ ποιήσαντας ἱκανὸν διάλειμμα
καὶ διάστημα καθαροὺς αὖθις ὥσπερ ἐξ ὑπαρχῆς, καὶ νέα ἐφ' ἡμέρᾳ φρονοῦν-
τας κατὰ Δημόκριτον ἀνίστασθαι.

Εἰ ψυχρότερος τῇ δυνάμει ὁ οἶνος. ε'.

Τὸν δὲ οἶνον ἐπιθυμῶ μαθεῖν ἔφην ἐγὼ,
ὁπόθεν ὑπόνοιαν ἡμῖν, τὸ ψυχρὸς εἶναι παρέσχεν. οἴει γὰρ ἔφη τοῦτον
ἡμέτερον εἶναι τὸν λόγον, ἀλλὰ τίνος εἶπεν ἑτέρου. μέμνημαι μὲν οὖν ἔφην ἐγὼ

καὶ Ἀριστοτέλους ἐντυχὼν οὐ νεωστὶ λόγου περὶ τούτου τοῦ προβλήματος, ἀλλ'
ἱκανῶς πάλαι. διείλεκται δὲ καὶ Ἐπίκουρος ἐν τῷ Συμποσίῳ πολλοὺς λόγους,
ὧν τὸ κεφάλαιόν ἐστιν ὡς ἐγᾦμαι τοιόνδε. φησὶ γὰρ οὐκ εἶναι θερμὸν αὐτοτελῶς
τὸν οἶνον, ἀλλ' ἔχειν τινὰς ἀτόμους ἐν αὐτῷ θερμασίας ἀποτελεστικὰς, ἑτέρας
δὲ αὖ ψυχρότητος, ὧν τὰς μὲν ἀποβάλλειν, ὅταν εἰς τὸ σῶμα παραγένηται. τὰς
δὲ προλαμβάνειν ἐκ τοῦ σώματος, ὡς ἂν ἔχωσι κράσεως ἡμῖν ἢ φύσεως ὁμιλῆσαι.
ὡς τοὺς μὲν ἐκθερμαίνεσθαι, τοὺς δὲ τοὐναντίον πάσχειν μεθυσκομένους. ταῦτα
εἰπὼν ὁ Φλῶρος ἄντικρυς εἰς τὸν Πύρρωνα διὰ τοῦ Πρωταγόρου φέρει ἡμᾶς. δῆ-
λον γὰρ ὅτι καὶ περὶ ἐλαίου, καὶ περὶ γάλακτος, μέλιτός τε, καὶ ὁμοίως τῶν ἄλ-
λων διεξιόντες, ἀποδρασόμεθα τὸ λέγειν περὶ ἑκάστου ὁποῖον τῇ φύσει ἐστὶ, μίξεσι
ταῖς πρὸς ἄλληλα καὶ κράσεσιν ἕκαστον γίνεσθαι φάσκοντες. ἀλλὰ σύ πως ἐπι-
χειρεῖς τὸ ψυχρὸν εἶναι τὸν οἶνον, οὕτως ἔφην ὑπὲρ δυεῖν τε προσηνηγμένος αὐ-
τοσχεδιάσαι. πρῶτον δὲ ὑπείμι τὸ γινόμενον ὑπὸ τῶν ἰατρῶν. τοῖς γὰρ ἐκλελυμέ-
νοις καὶ τόνου τινὸς δεομένοις κατὰ τὰς ἀρρωστίας στομάχου, θερμὸν μὲν οὐδὲν προσ-
φέρουσιν, οἶνον δὲ διδόντες βοηθοῦσιν. ὡς δ' αὔτως καὶ τὰς ῥύσεις, καὶ ἐφιδρώ-
σεις, οἴνῳ καταπαύουσιν, ὡς οὐδὲν ἧττον, ἀλλὰ καὶ μᾶλλον τῆς χιόνος ἱστάντι, καὶ
καὶ κρατύνοντι, τὸ ψύχειν καὶ περιστέλλειν φερομένην τὴν ἕξιν. εἰ δὲ καὶ φύσιν καὶ
δύναμιν εἶχε θερμαντικὴν, ὅμοιον ἦν οἶμαι χιόνι πῦρ, καὶ καρδίᾳ οἶνον προσφέ-
ρειν ἄκρατον. ἔπειτα τὸν μὲν ὕπνον οἱ πλεῖστοι περιψύξει γίνεσθαι λέγουσιν, καὶ
ψυκτικὰ, καὶ τὰ πλεῖστα τῶν ὑπνωτικῶν φαρμάκων ἐστὶν, ὡς ὁ μανδραγόρας,
καὶ τὸ μηκώνιον. ἀλλὰ ταῦτα μὲν σφοδρὰ, καὶ βίᾳ πολλῇ συνωθεῖ, καὶ πήγνυ-
σιν. ὁ δ' οἶνος ἠρέμα καταψύχων, ἵστησι μεθ' ἡδονῆς καὶ ἀναπαύει τὴν κίνησιν, ἐν τῷ
μᾶλλον καὶ ἧττον οὔσης πρὸς ἐκεῖνο τῆς διαφορᾶς. ἔτι δὲ τὸ μὲν θερμὸν, γόνιμον.
εὔροιαν γὰρ ἡ ὑγρότης ἴσχει καὶ τόνον τὸ πνεῦμα καὶ δύναμιν ὑπὸ τῆς θερμότη-
τος ἐξορμῶσαν. οἱ δὲ πίνοντες πολὺν ἄκρατον ἀμβλύτεροι πρὸς τὰς συνουσίας
εἰσὶ, καὶ σπείρουσιν οὐθὲν εἰς γένεσιν ἰσχυρὸν, οὐδὲ κεκρατημένον, ἀλλ' ἐξίτηλοι καὶ
ἀτελεῖς εἰσιν αἱ πρὸς τὰς γυναῖκας ὁμιλίαι αὐτῶν διὰ φαυλότητα καὶ κατά-
ψυξιν τοῦ σπέρματος. καὶ μὴν ὅσα πάσχουσιν ἄνθρωποι ὑπὸ κρύους, πάντα συμ-
βαίνει τοῖς μεθυσκομένοις, τρόμοι, βαρύτητες, ὠχριάσεις, σάλοι τοῦ περὶ τὰ
γυῖα πνεύματος, ἀσάφεια γλώττης, ἔντασις τῶν περὶ τοῖς ἄκροις νεύρων καὶ ἀπο-
νάρκησις. τοῖς δὲ πλείστοις εἰς πάρεσιν αἱ μέθαι τελευτῶσιν. ὅταν ἐκπλήξῃ
παντάπασι, καὶ κατασβέσῃ τὸ θερμὸν ὁ ἄκρατος. ἰῶνταί γε μὴν τὰς περὶ τὸ
σῶμα τῶν μεθυσκομένων, καὶ κραιπαλούντων κακώσεις. εὐθὺς μὲν ὡς ἔοικε περι-
στολῇ καὶ κατακλίσει συνθάλποντες, μεθ' ἡμέραν δὲ λουτρῷ, καὶ ἀλείμματι, καὶ σι-
τίοις ὅσα μὴ ταράττοντα τὸν ὄγκον, ἀλλὰ πράως ἀνακαλεῖται τὸ θερμὸν ὑπὸ
τοῦ οἴνου, διεσπασμένον καὶ πεφυγαδευμένον ἐκ τοῦ σώματος. ὅλως δὲ ἐν τοῖς
φαινομένοις, καὶ ὁμοιότητας ἀδήλους ἐξιχνεύομεν καὶ δυνάμεις. οὐδὲν δὲ περὶ
τῆς μέθης δεῖ διαπορεῖν ὁποῖόν ποτέ ἐστιν. ὡς γὰρ ἔοικε, μάλιστα δὲ ὡς εἰρήκαμεν
ἐοίκασι τοῖς πρεσβύταις οἱ μεθύοντες. διὸ καὶ πρωϊαίτατα γηρῶσιν οἱ φίλοι-
νοι. τοὺς δὲ πολλοὺς αὐτῶν, καὶ φαλακρώσεις ἄωροι, καὶ πολιαὶ πρὸ ἡλικίας ἔ-
χουσι. πάντα δὲ ταῦτα δοκεῖ θερμότητος ἐνδείᾳ καταλαμβάνειν τοὺς ἀνθρώπους.
ἔτι τοίνυν τὸ ὄξος, οἴνου τινός ἐστι φύσις καὶ δύναμις, οὐδὲν δὲ τῶν σβεστηρίων ὄ-
ξους πυρὶ μαχιμώτερον. ἀλλὰ μάλιστα πάντων ἐπικρατεῖ, καὶ συμπιέζει τὴν φλό-
γα δι' ὑπερβολὴν ψυχρότητος, καὶ τῶν ἄλλων δὲ καρπῶν τοῖς οἰνώδεσι μᾶλλον ὡς
ψυκτικοῖς χρωμένους τοὺς ἰατροὺς ὁρῶμεν, ὥσπερ ῥόαις καὶ μήλοις. αὐτὴν δὲ τὴν
τοῦ μέλιτος φύσιν οὐχὶ πρὸς ὄμβριον ὕδωρ καὶ χιόνα συμμιγνύοντες οἰνοποιοῦ-

σι τὸ ψυχροῦ τὸ γλυκὺ, διὰ συγγένειαν εἰς τὸ αὐστηρὸν, ὅτ' ἂν κρατήσῃ φθείροντος.
οἱ παλαιοὶ δὲ οὐχὶ διὰ τοῦτο τῶν ἑρπετῶν τὸν δράκοντα, καὶ τῶν φυτῶν τὸν κιτ-
τὸν ἀνέθεσαν τῷ θεῷ καὶ καθιδρῶσαν ὥς τινος ψυχρᾶς καὶ κρυώδους δυνάμε-
ως. ἐὰν δὲ ὅτι τὸ κώνειον ἐπιπινόμενος ἰᾶσθαι δοκεῖ πολὺς ἄκρατος οἴονταί τι τοῦ
το θερμότητος εἶναι τεκμήριον. ἡμεῖς αὖ φήσομεν ἀναστρέψαντες, ὅτι συγκραθὲν
αὐτὸ τοῦτο, φάρμακον ἀνίατόν ἐστι, καὶ καθάπαξ ἀποκτείνει τοὺς πίνοντας. ὥστε
μηδὲν μᾶλλον εἶναι δοκεῖν τῷ ἀντιπράττειν θερμὸν, ἢ τῷ συνεργεῖν ψυχρόν. εἰ
δὲ μὴ ψυχρότητι τὸ κώνειον, οὐκ ἄλλῃ τινὶ φύσει καὶ δυνάμει μᾶλλον πινόμενον
ἀναιρεῖν τοὺς πιόντας.

ς.

Περὶ καιροῦ συνουσίας.

Νεανίσκοι τινὲς οὐ πάλαι τοῖς παλαιοῖς λόγοις προσπεφοιτηκότες ἐσπάραττον
τὸν ἐπίκουρον, ὡς οὐ καλὸν οὐδ' ἀναγκαῖον, ἐμβεβληκότα λόγον περὶ καιροῦ συ-
νουσίας εἰς τὸ συμπόσιον. μιμνήσκεσθαι γὰρ ἀφροδισίων ἄνδρα πρεσβύτερον ἐν
δείπνῳ μειρακίων παρόντων, καὶ διαπορεῖν, πότερον μετὰ δεῖπνον, ἢ πρὸ δεί-
πνου χρηστέον, ἐσχάτης ἀκολασίας εἶναι. πρὸς ταῦτα, οἱ μὲν τὸν ξενοφῶντα πα-
ρέλαβον ὡς ἀπάγοντα τοὺς συμπότας μετὰ δεῖπνον οὐχὶ ἐφ' ἵπ-
πων ἐπὶ συνουσίας πρὸς τὰς γυναῖκας. ζώπυρος δὲ ὁ ἰατρὸς εὖ μάλα τοῖς ἐπι-
κούρου λόγοις ἐνωμιληκὼς, οὐκ ἔφη προσέχοντας αὐτοὺς ἀνεγνωκέναι τὸ ἐπι-
κούρου συμπόσιον. οὐ γὰρ ὥσπερ ἐξ ἀρχῆς τινὸς καὶ καταστάσεως τοῦτο πρόβλη-
μα ποιησάμενον. εἶτα λόγους ἐπ' αὐτῷ περαίνειν, ἀλλὰ τοὺς νέους ἀνιστάντα μετὰ
δεῖπνον εἰς περίπατον ἐνταῦθα σωφρονισμῷ διαλέγεσθαι καὶ ἀνακρούειν ἀπὸ τῶν
ἐπιθυμιῶν, ὡς ἀεὶ μὲν ἐπισφαλῶς εἰς βλάβην τοῦ πράγματος ὄντος. μάλιστα
δὲ τοὺς περὶ πότον καὶ ἡδονὴν χρωμένους αὐτῷ διατιθέντος. εἰ δὲ δὴ καὶ προηγου-
μένως εἶπεν ἐζητεῖτο περὶ τούτου. πότερον οὐδὲ ὅλως ἐσκέφθαι καλῶς εἶχε τὸν
φιλόσοφον περὶ συνουσίας καιροῦ καὶ ὥρας, ἢ βέλτιον μὲν ἐν καιρῷ καὶ μετὰ
λογισμοῦ, τὰ τοιαῦτα πράττειν. τὸν δὲ καιρὸν ἄλλως μὲν ἐπισκοπεῖν, οὐκ ἄτοπον.
ἐν δὲ συμποσίῳ, καὶ περὶ τράπεζαν αἰσχρόν. ἐμοὶ γὰρ δοκεῖ τοὐναντίον αὖ τις ἐγκα-
λέσαι φιλοσόφῳ μεθ' ἡμέραν ἐν τῇ διατριβῇ πολλῶν καὶ παντοδαπῶν ἀνθρώ-
πων παρόντων περὶ τούτου διαλεγομένῳ. κύλικος δὲ προκειμένης ἐν συνήθεσι
καὶ φίλοις, ἔνθα καὶ τὸ παραλέξαι μῦθον παραμβλύνοντα, καὶ ψυχρὸν ἐν οἴ-
νῳ συμφέρει, πῶς αἰσχρὸν εἰπεῖν τι καὶ ἀκοῦσαι εἰς συνουσίας χρῆσιν ὠφελίμως
λεγόμενον, ὡς ἔγωγε νὴ τὸν κύνα καὶ τοῦ ζήνωνος ἂν ἐβουλόμην ἔφη διαμερισμοὺς
ἐν συμποσίῳ τινὶ καὶ παιδιᾷ μᾶλλον ἢ σπουδῆς τοσαύτης ἐχομένῳ συγγράμματι
τῇ πολιτείᾳ κατατετάχθαι. πρὸς τοῦτο πληγέντες οἱ νεανίσκοι σιωπῇ κατέ-
κειντο, τῶν δὲ ἄλλων τὸν ζώπυρον ἀξιούντων τοὺς περὶ τούτου λόγους ἐπικούρου
διελθεῖν ἔφη. τῶν μὲν κατὰ μέρος ἀκριβῶς μνημονεύειν, οἴεσθαι δὲ τὸν ἄνδρα
τὰς ἐκ τῆς συνουσίας πληγὰς δεδιέναι. διὰ τὸν τῶν σωμάτων παλμὸν εἰς τα-
ραχὴν καὶ σάλον ἐν τῷ τοιούτῳ βαδιζόντων. καθόλου μὲν γὰρ ἐξ ἕδρας τὰ σώ-
ματα μεθιστάναι, πλήκτην ὄντα, καὶ κινητικὸν ταραχῆς, τὸν ἄκρατον. ἂν δὲ οὕ-
τως ἔχοντα τὸν ὄγκον ἡμῶν, γαλήνη παραλάβῃ καὶ ὕπνος, ἀλλ' ἕτεραι διὰ τῶν
ἀφροδισίων κινήσεις ἐκθλιβομένων, καὶ χαλωμένων τῶν μάλιστα συνδεῖν, καὶ
κολλᾶν τὸ σῶμα πεφυκότων κίνδυνός ἐστιν ἀνάστατον γίνεσθαι τὸ οἰκεῖον, ὥσπερ ἐκ
θεμελίων, κινούμενον. οὐδὲ γὰρ εὑρεῖν τηνικαῦτα τὴν γονὴν, σφηνώσεως διὰ τὴν πλη-
σμονὴν οὔσης, ἀλλὰ βίᾳ καὶ συμπεφυρμένον ἀποσπᾶσθαι. διὸ χρῆναι φησὶν ὁ ἀ-
νὴρ, ὅταν ἡσυχία γένηται περὶ τὸ σῶμα, καὶ λωφήσωσιν αἱ τῆς τροφῆς ἀναδόσεις
καὶ

καὶ τὰ ῥεύματα διεξιούσης, καὶ φευγούσης τὰ τοιαῦτα πράττειν, ὑφ' ἑτέρας
αὖ πάλιν τροφῆς ἐνδεὲς γενέσθαι τὸ σῶμα. συμβάλλοιτο δ' ἂν τις τῷ ἐπι-
κούρῳ, καὶ τὸν ἰατρικὸν λόγον. οὐ γὰρ μεθ' ἡμέραν καιρὸς, ἤδη τῆς ὄψεως κένω-
σιν ἐχούσης. ἀσθενέστερόν ἐστιν. ἡ δὲ μετὰ τὸ δεῖπνον ὁρμὴ πρὸς τὴν συνουσίαν οὐκ
ἀκίνδυνος, ἄδηλον γὰρ εἰ τῆς τροφῆς μὴ κρατηθείσης ἀπεψία, δέξαιτο τὸν ἐκ τῆς
ἀπεψίας ἄραβον καὶ παλμὸν, ὥς τε διττὴν τὴν βλάβην γενέσθαι. ὑπολαβὼν
δὲ ὀλύμπικος ἐμοὶ μὲν ἔφη τὸ τοῦ πυθαγορικοῦ κλεινίου λίαν ἀρέσκει. λέγεται
γὰρ ἐρωτηθεὶς ὁπηνίκα δεῖ μάλιστα γυναικὶ προσεῖναι, ὅτ' ἂν μάλιστα τυγχάνῃς
βλαβῆναι βουλόμενος. καὶ γὰρ ὁ ζώπυρος εἴρηκε νῦν ἔχει τινὰ λόγον, καὶ τὸ ἕτε-
ρον καιρὸν ἄλλας ἀκαιρίας ἔχοντα πρὸς τὸ πρᾶγμα, καὶ δυσχερείας ὁρῶ.
καθάπερ οὖν θαλῆς ὁ σοφὸς ὑπὸ τῆς μητρὸς ἐνοχλούμενος γῆμαι κελευούσης, πῶς
ὑπεξέφυγε παρήγαγε λόγῳ. πρὸς τὴν ἐν ἀρχῇ μὲν, οὔπω καιρὸς ὦ μῆτερ, οὕτως
ἄρα καὶ πρὸς ἀφροδίσια κράτιστον ἔσται ἔχειν ἕκαστον, ὥς τε κατακλινόμενον λέ-
γειν, οὔπω καιρός. ἀνιστάμενον δὲ, οὐκέτι καιρός. ἀθλητικὰ ταῦτα εἶπεν ὁ σώκλα-
ρος ὦ ὀλύμπιε παντάπασιν ἔτι τῆς κοτταβίσεως ὄζοντα, καὶ τῶν κρεωφαγι-
ῶν ἐκείνων, οὐκ ἐνδέοντα. νέοι τε γὰρ πάρεισι γεγαμηκότες. ὑφ' ὧν δὴ φιλοτή-
σια ἔργα τελεῖσθαι. καὶ ἡμᾶς οὔπω παντάπασιν ἡ ἀφροδίτη πέφευγεν, ἀλλὰ
καὶ προσερχόμεθα δήπουθεν αὐτῇ λέγοντες ἐν τοῖς τῶν θεῶν ὕμνοις, ἀνάβαλε ἄ-
νω τὸ γῆρας ὦ καλὰ ἀφροδίτη. σκοπῶμεν οὖν εἰ δοκεῖ πότερον ἐμμελῶς, καὶ
προσηκόντως ὁ ἐπίκουρος παρὰ πᾶν δίκαιον ἀφαιρεῖ τὴν ἀφροδίτην τῆς νυ-
κτὸς καὶ τὸ κράτιστον αὐτῇ θεῶν μετεῖναι φησὶν, ἐρωτικὸς ἀνὴρ μένανδρος, ἐνε-
τέθη γὰρ οἶμαι καλῶς παρακάλυμμα τῆς ἡδονῆς τὸ σκότος. προθεμένους ταῦ-
τα πράσσειν, καὶ μὴ διὰ φωτὸς ἐντυγχάνοντας. ἐξελαύνων τῶν ὀμμάτων τὸ αἰ-
δούμενον, καὶ τῷ ἀκολάστῳ θάρσος ἐμποιεῖν, καὶ μνήμας ἐναργεῖς, αἷς τὸ μὴ ἐν-
διατρίβειν αὖθις ἐκκαίει τῆς ἐπιθυμίας. ὄψις γὰρ ἡμῖν ὀξυτάτη τῶν διὰ
τοῦ σώματος ἔρχεται κατὰ τὸν πλάτωνα παθημάτων, καὶ σφόδρα ταῖς ἐγγὺς
φαντασίαις εἰς τὴν ψυχὴν ἐγείρουσα πρὸς τὰ εἴδωλα τῆς ἡδονῆς, καινὴν ἀεὶ καὶ
πρόσφατον ἐπιθυμίαν. ἡ δὲ νὺξ κατὰ τὰ πλεῖστα, καὶ μανιωδέστερα τῶν ἔργων ἀφαιροῦ-
σα, παράγει καὶ κατευνάζει τὴν φύσιν, οὐκ ἐξοκέλλουσα ὑπὸ τῆς ὄψεως εἰς
ὕβριν. ἄλλως δὲ τούτων τίνα ἔχει λόγον. ἀπὸ δείπνου μὲν ἥκοντα γεγανωμένον. ἂν
οὕτω τύχῃ στέφανον κομίζοντα, καὶ μύρῳ κεχριμένον ἀποστραφέντα, καὶ συγ-
καλυψάμενον καθεύδειν. ἡμέρας δὲ καὶ διὰ μέσου τῶν πράξεων, ἐκ τῆς γυναι-
κωνίτιδος τὴν γυναῖκα μεταπέμπεσθαι πρός τι τοιοῦτον, ἢ πρωῒ δίκην ἀλεκ-
τρυόνος συμπλέκεσθαι. τὴν γὰρ ἑσπέραν ὦ ἑταῖρε τῶν πόνων ἀνάπαυσιν, τὸν δὲ
ὄρθρον ἀρχὴν, καὶ τὴν μὲν, ὁ λύσιος ἐπισκοπεῖ διόνυσος, μετὰ τῆς τερψιχόρης,
καὶ θαλίας. ὁ δὲ πρὸς τὴν ἐργάνην ἀθηνᾶν, καὶ τὸν ἀγοραῖον ἑρμῆν ἐπανίστησι.
διὸ τὴν μὲν ᾠδαὶ κατέχουσι καὶ χορεῖαι, καὶ ὑμέναιος κῶμοί τε, εἰλαπίναι, καὶ
ἠχεῖς θρόος αὐλῶν. τὸν δὲ κτύποι ῥαιστήρων καὶ τριγμοὶ πριόνων, καὶ τελω-
νικῶν ἐπορθρισμοὶ κεκραγμῶν, ἢ κηρύγματα καλουμένων ἐνταῦθα δίκας, ἢ θε-
ραπείας τινῶν βασιλέων, ἢ ἀρχόντων ἐν ᾧ καιρῷ φροῦδα τὰ τῆς ἡδονῆς. λήγει
δὲ κύπρις. θάλλ * αἱ τενέων. οὐδέ τι θύρσος φύλλα βακχίου. συντείνουσι τὸ φρον-
τίδες. ἔπειτα δὲ καὶ ὁ ποιητὴς τῶν ἡρώων, οὔτε γαμετῇ τινὰ μεθ' ἡμέραν, οὔτε
παλλακίδι συγκατέκλινε, πλὴν ἢ τὸν πάριν δραπετεύσαντα ποιήσας κατα-
δυόμενον εἰς τοὺς κόλπους τῆς γυναικὸς, ὡς οὐκ ἀνδρὸς, ἀλλὰ μοιχοῦ λυσσῶντος
οὖσαν τὴν μεθημερινὴν ἀκρασίαν, καὶ μὴν οὐδὲ τὸ σῶμα βλάπτοι τ' ἂν ὑπὸ τῆς
συνουσίας. μᾶλλον ὡς ἐπίκουρος οἴεται μετὰ τὸ δεῖπνον ἄν γε μὴ μεθύων τις

ἢ ῥηγνύμενος ὑπὸ πλησμονῆς ἅπτηται βεβαρημένος. ἀμέλει γὰρ οὕτως ἐπι-
σφαλὲς τὸ πρᾶγμα καὶ βλαβερόν. ἂν δὲ ἱκανῶς ἔχων τις αὐτοῦ καὶ μετεί-
ως διακεχυμένος τοῦ τε σώματος αὐτοῦ μαλακοῦ γεγονότος, καὶ τῆς ψυχῆς πα-
ρεστώσης διὰ χρόνου ποιῆται τὴν ἔντευξιν, οὔτε ταραχὴν ἀπεργάζεται μεγάλην
διὰ τὸν ὄγκον τὰ γένη ψύξις, ἢ μετάθεσις ἐξ ἑδρας ἀτόμων,
ἢ φησὶν ἐπίκουρος ἀποδοὺς ἑαυτὸν δέ πως
ἀπογαλ ἀναπληρώσει νέας ἐπιρροῆς, τοῖς κενώ-
μασι γινομένης. ἐκεῖνο δὲ μᾶλλον ἄξιον εὐλαβείας, τὸ συνέστιον ὄντα τὸν πράξεων
τῶν πολιτῶν. φίλον δὲ δεῖ μὴ πικρῶς, μὴ δὲ σοφιστικῶς ἀκούειν ἐκεῖνον τὸν ἁμετά-
πιστον καὶ βέβαιον, ἀλλὰ κοινῶς τὸν εὔνουν, ὥσπερ ᾤετο χρῆναι δικαίαρχος,
εὔνουν μὲν αὐτῷ παρασκευάζειν ἅπαντας, φίλους δὲ ποιεῖσθαι τοὺς ἀγαθούς.
φιλίαν γὰρ ἐν χρόνῳ πολλῷ καὶ δι' ἀρετῆς ἁλώσιμον. εὔνοια δὲ καὶ χρεία, καὶ ὁ-
μιλία, καὶ παιδιὰ πολιτικῶν ἀνδρῶν ἐπάγεται καιρὸν λαβοῦσα πάθους φι-
λανθρώπου καὶ χάριτος συνεργόν. ἀλλ' ὅρα τὸ τῆς παραινέσεως, εἰ μὴ μόνον ἀνά-
κη δεξιῶς πρὸς ἀγοράν, ἀλλὰ καὶ πρὸς συμπόσιον, ὥστε δεῖν μὴ πρότερον ἀνα-
λύειν, ἢ κτήσασθαι τινὰ τῶν συγκατακειμένων, καὶ παρόντων εὔνουν ἑαυτῷ
καὶ φίλον. εἰς ἀγορὰν μὲν γὰρ ἐμβάλλουσι πραγμάτων εἵνεκεν, καὶ χρειῶν ἑτέ-
ρων, εἰς δὲ συμπόσιον οἱ γε νοῦν ἔχοντες ἀφικνοῦνται κτησόμενοι φίλους οὐχ ἧττον
ἢ τοὺς ὄντας εὐφρανοῦντες. διό τι τῶν μὲν ἄλλων ζητεῖν ἐκφορὰν κἂν ἐλευθέ-
ριον ἢ καὶ ἡδὺ καὶ σεμνό-
ρον ἂν εἴη καὶ φορτικόν. τὸ δὲ φίλων πλέον ἔχοντας ἀπεῖναι καὶ ἡδὺ καὶ σεμνὸν
ἐστι, καὶ τοὐναντίον ὁ τοῦτο παραμελῶν ἄχαριν αὐτῷ καὶ ἀτελῆ τὴν συνουσί-
αν ποιεῖ, καὶ ἄπεισι τῇ γαστρὶ σύνδειπνος οὐ τῇ ψυχῇ γεγονώς. ὁ γὰρ σύνδειπνος
οὐκ ὄψου καὶ οἴνου καὶ τραγημάτων μόνον, ἀλλὰ καὶ λόγων κοινωνὸς ἥκει, καὶ παι-
διᾶς, καὶ φιλοφροσύνης, εἰς εὔνοιαν τελευτώσης. αἱ μὲν γὰρ παλαιόντων ἐ-
πιβολαὶ καὶ ἕλξεις, κονιορτοῦ δέονται. ταῖς δὲ φιλικαῖς λαβαῖς ὁ οἶνος ἁφὴν
ἐνδίδωσι, μιγνύμενος λόγῳ. λόγος γὰρ αὐτῷ τὸ φιλάνθρωπον, καὶ ἠθοποιὸν
ἐπάγων τὴν ψυχὴν ἐκ τοῦ σώματος ἐποχετεύει, καὶ συνδίδωσιν, εἰ δὲ μὴ πλανώμε-
νος ἐν τῷ σώματι πλησμονῆς οὐδὲν ἀστειότερον παρέχει. ὅθεν ὥσπερ ὁ μάρ-
μαρος τοῦ διαπύρου σιδήρου τῷ καταψύχειν τὴν ἄγαν ὑγρότητα, καὶ ῥήσιν ἀ-
φαιρῶν, εὔτονον ποιεῖ τὸ μαλασσόμενον αὐτῷ καὶ τυπούμενον, οὕτως ὁ συμποτι-
κὸς λόγος, οὐκ ἐᾷ διαφορεῖσθαι παντάπασιν ὑπὸ τοῦ οἴνου τοὺς πίνοντας, ἀλ-
λὰ ἐφίστησι καὶ ποιεῖ τῇ ἀνέσει τὸ ἱλαρὸν καὶ φιλάνθρωπον ἐγκέρασον καὶ κε-
χαρισμένον, ἄν τις ἐμμελῶς ἅπτηται, καθάπερ σφραγῖδι φιλίας εὔτυπώτα-
τον, καὶ ἁπαλῶν διὰ τὸν οἶνον ὄντων.

ζ'.

Διατί τὸ γλεῦκος ἥκιστα μεθύσκει.

Τοῦ νέου οἴνου ἀθήνησι μὲν ἑνδεκάτῃ μηνὸς κατάρχονται, πιθοιγίαν τὴν ἡμέραν κα-
λοῦντες, καὶ πάλαι γε ὡς ἔοικεν εὔχοντο τοῦ οἴνου πρὶν ἢ πιεῖν ἀποσπένδοντες,
ἀβλαβῆ καὶ σωτήριον αὐτοῖς τοῦ φαρμάκου τὴν χρῆσιν γενέσθαι. παρ' ἡμῖν δ'
ὁ μὲν μήν, καλεῖται προστατήριος. ἕκτῃ δ' ἱσταμένου νομίζεται θύσαντας ἀγα-
θῷ δαίμονι γεύεσθαι τοῦ οἴνου μετὰ ζέφυρον. οὗτος γὰρ μάλιστα τῶν ἀνέμων ἐξί-
στησι, καὶ κινεῖ τὸν οἶνον, καὶ ὁ τοῦτον διαφυγὼν, ἤδη δοκεῖ παραμένειν βέβαιος.
ἔθυσεν οὖν ὁ πατὴρ ὥσπερ εἰώθει τὴν θυσίαν, καὶ μετὰ τοῦ δείπνου ἐπαινουμέ-
νου τοῦ οἴνου τοῖς φιλοσοφοῦσι μειρακίοις μεθ' ἡμῶν προὔβαλε ζητεῖν λόγον, ὡς ἄπιστον,
τὸ γλεῦκος ἥκιστα μεθύσκει. τοῖς μὲν οὖν πολλοῖς παράδοξον ἐφαίνη καὶ ἄπιστον εἶναι. διόη
ὁ δὲ ἅγιας ἔφη. τὸ γλυκὺ πανταχοῦ προσίστασθαι, καὶ πλήσμιον εἶναι.

γλεῦκος οὐκ ἄν τινα πιεῖν ῥαδίως, ὅσον εἰς μέθην ἱκανόν ἐστιν. ἀπαγορεύειν γὰρ
ἀηδίᾳ τὴν ὄρεξιν, ἄχρι τοῦ μὴ διψῆν προσελθοῦσαν. ὅτι δὲ τοῦ γλυκέος διαφέ-
ρει τὸ ἡδὺ, καὶ τὸν ποιητὴν ἐπιστάμενον λέγειν τυρῷ καὶ μέλιτι γλυκερῷ, καὶ ἡδέϊ
οἴνῳ. τὸν γὰρ οἶνον ἐν ἀρχῇ μὲν εἶναι γλυκὺν, γίνεσθαι δὲ ἡδὺν, ὅταν εἰς τὸ αὐ-
στηρὸν τῇ πέψει μεταβάλῃ παλαιούμενος. ἀρισταίνετος δὲ ὁ νικαεὺς ἐν τισιν ἐνίοις
γράμμασιν ἀνεγνωκὼς ἔφη μνημονεύειν, ὅτι γλυκὺς μιχθεὶς οἴνῳ παύει μέθην.
τῶν δὲ ἰατρῶν τινας λέγειν τοὺς πλέον πίοντας κελεύειν, εἶτα ὅταν μέλλωσι καθ-
εύδειν, ἄρτον εἰς μέλι καταβάψαντας ἐμφαγεῖν ἔδοσαν. εἴτε οὖν αἱ γλυκύτη-
τες ἀμβλύνουσιν ἄκρατον, εἰκότως ὁ νέος οἶνος οὐ μεθύσκει, πρὶν ἂν ἡ γλυκύτης
μεταβάλῃ. σφόδρα οὖν ἀπεδεξάμεθα τὴν εὑρεσιλογίαν τῶν νεανίσκων, ὅτι τοῖς
ἐμποδὼν οὐκ ἐπιπεσόντες, ἰδίων ηὐπόρησαν ἐπιχειρημάτων. ἐπεί τά γε πρόχει-
ρα, καὶ ῥᾴδια λαβεῖν ἥ τε βαρύτης ἐστὶ τοῦ γλεύκους, ὡς ἀριστοτέλης φησὶν ἡ δια-
κόπτουσα τὴν κοιλίαν, καὶ τὸ πολὺ συμμένειν πνευματῶδες, καὶ ὑδατῶδες. ὧν
τὸ μὲν εὐθὺς ἐκπίπτει βιαζόμενον. τὸ δὲ πέφυκε τὸ ὑδατῶδες, ἀμβλύτερον ποιεῖ
τὸν οἶνον παλαίωσις ἐπάγει τὰ
ἐκκρινομένου τοῦ ὕδατώ-
δους, καὶ γίνεται μέτρον μὲν ἐλάττων ὁ οἶνος. δυνάμει δὲ σφοδρότερος.

Διατί τῶν ἀκροθωράκων λεγομένων οἱ σφόδρα μεθύοντες ἧττον παρακινητικοί εἰσιν.

η'.

Ἐκοῦν εἶπεν ὁ πατὴρ ἐπεὶ παρακεκινήκαμεν τὸν ἀριστοτέλην καὶ περὶ τῶν ἀ-
κροθωράκων τι καλουμένων ἴδιον ἐπιχειρήσομεν εἰπεῖν. ὁ γὰρ ἱκανῶς μοι δοκεῖ
καίπερ ὀξύτατος ὢν ἐν τοῖς τοιούτοις ζητήμασι διηκριβωκέναι τὴν αἰτίαν.
φησὶ γὰρ οἶμαι, τοῦ μὲν νήφοντος, εὖ καὶ τὰ ὄντα κρίνειν τὸν λογισμὸν, τοῦ
δὲ ἄγαν μεθύοντος ἐκλελυμένην κατέχεσθαι τὴν αἴσθησιν, τοῦ δὲ ἀκροθώ-
ρακος ἔτι μὲν ἰσχύειν τὸ φανταστικὸν, ἤδη δὲ τεταράχθαι τὸ λογιστικόν. διὸ καὶ
κρίνειν, καὶ κακῶς κρίνειν ἐπακολουθοῦντας ταῖς φαντασίαις. ἀλλὰ πῶς εἰ-
πεν ὑμῖν δοκεῖ περὶ τούτων. ἐμοὶ μὲν ἔφη ἐπισκοποῦντι κατ' ἐμαυτὸν ἀρχῶν
οὗτος ἦν πρὸς τὴν αἰτίαν ὁ λόγος. εἰ δὲ κελεύεις ἴδιόν τι κινεῖν, ὅρα πρῶτον, εἰ τὴν
εἰρημένην διαφορὰν ἐπάγει τὸ σῶμα μετοιστέον ἐστί. τῶν γὰρ ἀκροθωράκων ἡ διάνοια
μόνον τετάρακται. τὸ δὲ σῶμα ταῖς ὁρμαῖς ὑπηρετεῖν δύναται, μήπω βεβα-
πτισμένον. ὅταν δὲ κατασεισθῇ, καὶ πιεσθῇ, προδίδωσι τὰς ὁρμὰς, καὶ παρεῖ-
ται. μέχρι γὰρ ἔργων, οὐ πρόεισιν. ἐκεῖνοι δὲ τὸ συνεξαμαρτάνον ἔχοντες, οὐ τῷ
μᾶλλον ἀλογιστεῖν, ἀλλὰ τὸ μᾶλλον ἰσχύειν ἐλέγχονται. ἀπ' ἄλλης δὲ εἶπον ἀρ-
χῆς σκοποῦντι τοῦ οἴνου τὴν δύναμιν, οὐδὲν κωλύει ποικίλην εἶναι καὶ τὴν πο-
σότητι συμμεταβάλλουσαν. ὥσπερ τὸ πῦρ τὸν κέραμον, ἂν μὲν ᾖ μέτριον συγ-
κρατύνει, καὶ πήγνυσιν. ἂν δ' ὑπερβολῆς πλήξῃ συνέτηξε, καὶ ῥεῖν ἐποίησεν. ἀνά-
παλιν δὲ ἡ ὥρα τοὺς πυρετοὺς ἀρχομένη μὲν ἀνακινεῖ, καὶ ἐκκαίει, προϊούσης δὲ μᾶλ-
λον καθίστησι, καὶ ἀπολήγουσι. τί οὖν κωλύει καὶ τὴν διάνοιαν ὑπὸ τοῦ οἴνου φυσι-
κῶς κινουμένην. ὅταν ταραχθῇ, καὶ παροξυνθῇ πάλιν ἀνίεσθαι, καὶ καθίστα-
σθαι πλεονάζοντος. ὁ γοῦν ἐλλέβορος ἀρχὴν τοῦ καθαίρειν ἔχει τὸ ταράττειν
τὸν ὄγκον, ἀλλ' ἢν ἐλάττων τοῦ μετρίου δοθῇ ταράττει μὲν, οὐδὲν δὲ καθαίρει. καὶ
τῶν ὑπνωτικῶν ἔνιοι λαβόντες ἐνδοτέρω τοῦ μετρίου. θορυβωδέστερον διατί-
θενται. πλέον δὲ λαβόντες ἔνιοι καθεύδουσιν. εἰκὸς δέ που, καὶ ταύτην τὴν ἐπὶ τὸ
ἀκροθώρακα ταραχὴν. ὅταν ἀκμὴν λάβῃ, μαραίνεσθαι, καὶ πρὸς τοῦτο συνεργεῖν
τὸν οἶνον. πολὺς γὰρ εἰσελθὼν τὸ σῶμα συνεξέκαυσε, καὶ κατανάλωσε τὸ
μανιῶδες τῆς ψυχῆς, ὥσπερ ἡ θρηνῳδία καὶ ὁ ἐπικήδειος αὐλὸς ἐν ἀρχῇ πά-
θος κινεῖ, καὶ δάκρυον ἐκβάλλει. προάγων δὲ τὴν ψυχὴν εἰς οἶκτον, οὕτω κατα

μικρὸν ἐξαίρει καὶ ἀναλίσκει τὸ λυπητικόν· ὁμοίως ἴδοις ἂν καὶ τὸν οἶνον, ὅτ' ἂν σφόδρα ταράξῃ, παροξυνεῖ τὸ ἀκμαῖον καὶ θυμοειδὲς αὖθις καταδύοντι, καὶ καθίσανται τὴν διάνοιαν, ὡς πορρωτέρω μέθης προϊοῦσαν ἡσυχάζειν. θ'.

Περὶ τοῦ ἢ πέντε πίνειν, ἢ τρία, ἢ μὴ τέσσαρα.

Ἀμοῦ δὲ ταῦτα εἰπόντος, ἀριστίων ἀναβοήσας, ὥσπερ εἰώθει, πέφανται εἶπεν εἰς τὰ συμπόσια τῷ δικαιοτάτῳ, καὶ δημοκρατικωτάτῳ τῶν μετρίων κάθοδος, ὑπὸ δή τινος καιροῦ νήφοντος, ὥσπερ τυράννου πεφυγαδευμένῳ πολὺν χρόνον. καθάπερ γὰρ οἱ περὶ λύραν κανονικοὶ τῶν λόγων φασί, τὸν μὲν ἡμιόλιον, τὴν διὰ πέντε συμφωνίαν παρασχεῖν· τὸν δὲ διπλάσιον τὴν διὰ πασῶν· τὴν δὲ διὰ τεσσάρων ἀμυδροτάτην οὖσαν, ἐν ἐπιτρίτῳ συνίστασθαι. οὕτως οἱ περὶ τὸν διόνυσον ἁρμονικοὶ, τρεῖς κατεῖδεν οἴνου συμφωνίας πρὸς ὕδωρ, διὰ πέντε καὶ διὰ τριῶν, καὶ διὰ τεσσάρων, οὕτω μὲν λέγοντες, καὶ ᾄδοντες πέντε πίνειν, ἢ τρία ἢ μὴ τέσσαρα. πέντε γὰρ ἐν ἡμιολίῳ λόγῳ ὕδατος κεραννύμενον πρὸς δύο οἴνου. τὰ δ' ἐν διπλασίῳ προσμιγνυμένων δυεῖν. τέσσαρα δὲ εἰς ἓν τριῶν ὕδατος ἐπιχεομένων. οὗτός ἐστιν ἐπίτριτος λόγος ἀρχόντων τριῶν ἐν πρυτανείῳ νοῦν ἐχόντων, ἢ διαλεκτικῶν τὰς ὀφρῦς ἀνεσπακότων, ὅτ' ἂν τὰς μεταπτώσεις τῶν λόγων ἀνασκοπῶσι, νηφάλιος, καὶ ἀδρανὴς φάσις. ἐκείνων δὲ τῶν ἄλλων, ἡ μὲν δυεῖν πρὸς ἓν τὸν ταρακτικὸν τοῦτον καὶ ἀκροθώρακα τῆς μέθης ἐπάγει τόνον, κινοῦντα χορδὰς τὰς ἀκινήτους φρενῶν. οὔτε γὰρ ἐᾷ νήφειν, οὔτε καταδύειν παντάπασι τὸν ἀνόητον εἰς τὸν ἄκρατον. ἡ δὲ δυεῖν πρὸς τρία μουσικώτατα, πᾶσα ὑπνοφόρος, καὶ λαθικηδής, καὶ κατὰ τὴν ἡσιόδειον ἐκείνην ἀλεξιαρὴν παίδων εὐκηλήτειραι τῶν ἐν ὑμῖν ἀγερόχων, καὶ ἀκόσμων παθῶν διὰ βάθους ποιοῦσα γαλήνην καὶ ἡσυχίαν. πρὸς ταῦτα τῷ ἀριστίωνι ἀντεῖπεν οὐδείς, δῆλος γὰρ ἦν παίζων. ἐγὼ δὲ ἐκέλευσα λαβόντα τὸ ποτήριον ὥσπερ λύραν ἐκτείνεσθαι τὴν ἐπαινουμένην κρᾶσιν καὶ ἁρμονίαν, καὶ προσελθὼν ὁ παῖς ἐπέχει τὸν ἄκρατον, ὁ δὲ ἀνεδύετο λόγων ἅμα γέλωτι τῶν λογικῶν εἶναι περὶ μουσικήν, οὐ τῶν ὀργανικῶν. ὁ μέντοι πατὴρ τοσοῦτον ἐπεῖπε τοῖς εἰρημένοις ὅτι δοκοῦσιν αὐτῷ καὶ οἱ παλαιοί, τοῦ μὲν διὸς δύο ποιεῖν τιθηνάς, τὴν ἴτην καὶ τὴν ἀδράστειαν, τῆς δὲ ἥρας μίαν τὴν εὔβοιαν. ἀμέλει δὲ καὶ τοῦ ἀπόλλωνος δύο, τὴν ἀλήθειαν, καὶ τὴν κορυθάλειαν. τοῦ δὲ διονύσου πλείονας. ὅτι δεῖ τὸν θεὸν τοῦτον ἐν πλείοσι μέτροις νυμφῶν τιθασευόμενον, καὶ παιδευόμενον ἡμερώτερον ποιεῖν, καὶ φρονιμώτερον. ι'.

Διατί τὰ κρέα σήπεται μᾶλλον ὑπὸ τὴν σελήνην, ἢ τὸν ἥλιον.

Εὐθύδημος ὁ σουνιεὺς ἑστιῶν ἡμᾶς, σῦν ἄγριον εὐμεγέθη παρέθηκεν. ἐπιθαυμασάντων δὲ τῶν παρόντων ἄλλον ἔφη πολὺ μείζονα κομιζόμενον ὑπὸ τῆς σελήνης διαφθαρῆναι, καὶ σφόδρα γε περὶ τῆς αἰτίας διαπορεῖν. οὐ γὰρ εἰκὸς εἶναι μὴ τὸν ἥλιον μᾶλλον τὰ κρέα σήπειν θερμότερον ὄντα τῆς σελήνης. ὁ δὲ σάτυρος οὐ τοῦτ' ἔφη, μάλιστα θαυμάσειεν ἄν τις, ἀλλὰ μᾶλλον τὸ ὑπὸ τῶν κυνηγῶν γινόμενον. ὅταν γὰρ ἢ σῦν ἢ ἔλαφον καταβαλόντες πόρρωθεν εἰς πόλιν ἀποστέλλωσι, χαλκοῦν ἐμπηγνύουσιν ἧλον, ὡς βοηθοῦντα πρὸς τὴν σῆψιν. ὡς οὖν ἐπαυσάμεθα δειπνοῦντες, καὶ πάλιν ὁ εὐθύδημος ἐπιμνησθεὶς τοῦ διαπορηθέντος, μοσχίων ἔφησεν ἰατρὸς τὴν σῆψιν τῆξιν καὶ ῥύσιν σαρκὸς εἰς ὑγρὸν φθορᾶς μεταβαλλούσης, καὶ ὅλως ὑγραίνεσθαι τὰ σηπόμενα. θερμασίαν δὲ πᾶσαν, ἂν μὲν ᾖ μαλακή, καὶ πραεῖα κινεῖν τὰ ὑγρά, καὶ κωλύειν. ἂν δὲ ᾖ πυρώδη, τοὐναντίον ἀ-

πισχναίνειν τὰς σάρκας. ἐκ δὲ τούτων φανερὸν εἶναι τὸ ζητούμενον. τὴν γὰρ σελήνην ἠρέμα χλιαίνουσαν ἀνυγραίνειν τὰ σώματα. τὸν δὲ ἥλιον ἀναρπάζειν μᾶλλον ἐκ τῶν σωμάτων τὸ νοτερὸν διὰ τὴν πύρωσιν. πρὸς ὃ καὶ τὸν ἀρχίλοχον εἰρηκέναι φυσικῶς. ἔλπομαι πολλοὺς μὲν αὐτῶν σείριος καθαναίνει ὀξὺς ἐλλάμπων. ἐν δὲ σαφέστερον ὅμηρον ἐπὶ τοῦ ἕκτορος, ᾧ κειμένῳ νεφέλην τινὰ σκιερὰν ὁ ἀπόλλων ἐπήγαγε. μὴ πρὶν μένος ἠελίοιο σκήλει' ἀμφὶ περὶ χρόα ἴνεσιν ἠδὲ μέλεσσιν. τὴν δὲ σελήνην ἀδρανεστέρας ἀφιέναι τὰς αὐγάς. μέλας γὰρ αὐταῖς οὐ πεπαίνεται βότρυς κατὰ τὸν ἴωνα. λεχθέντων δὲ τούτων ἐγὼ τὰ ἄλλα μὲν ἔφην εἰρῆσθαι καλῶς. τῇ δὲ ποσότητι, καὶ τὸ μᾶλλον κατὰ τὸν τῆς θερμασίας καιρὸν τὸ σύμπαν. οὐδ' ἐπὶ τὸν ἥλιον ὁρῶμεν ἧττον τῷ χειμῶνι θάλποντα, καὶ μᾶλλον ἐν τῷ θέρει σήποντα τὰ σώματα. τοὐναντίον δὲ ὤφειλε ποιεῖν, εἰ μαλακότητι τῆς θερμασίας αἱ σήψεις ἐγίνοντο. νυνὶ δὲ ὅτε μᾶλλον ἐντείνει τὸ καῦμα θᾶσσον ἐνδιαφθείρει τὰς σάρκας. οὐκοῦν οὐδὲ ἡ σελήνη δι' ἔνδειαν ἀλέας καὶ ἀσθένειαν, εἰς σῆψιν ἄγει τὰ νεκρὰ τῶν σωμάτων. ἀλλὰ ἰδιότητα μᾶλλον αἰτιατέον τοῦ φερομένου ῥεύματος ἀπ' αὐτῆς. ὅτι γὰρ οὐ μίαν ἔχει ποιότητα πᾶν τὸ θερμὸν αὐτῷ μόνῳ τῷ μᾶλλον καὶ ἧττον διαφέρουσαν. ἀλλ' εἰσὶ πάμπολλαι τοῦ πυρὸς δυνάμεις οὐθὲν ἀλλήλαις ἐοικυῖαι. δῆλον δ' ἀπὸ τῶν προχειροτάτων. οἱ μὲν γὰρ χρυσοχόοι διὰ τῆς ἀχυρίνης, ὡς λόγος, ἐργάζονται τὸν χρυσόν. οἱ δ' ἰατροὶ μάλιστα τῇ κληματίνῃ τὰ συνεψόμενα τῶν φαρμάκων ὑποχλιαίνουσιν. πρὸς δὲ τὴν τοῦ ὑέλου μάλαξιν καὶ τύπωσιν, εὐάρμοστον εἶναι δοκεῖ τὸ μυρίκινον, τὸ δὲ ἀπὸ τῆς ἐλαίας τὰ μὲν σώματα ταῖς πυρίαις εὖ διατίθησι, τοῖς δὲ βαλανείοις πολέμιόν ἐστι καὶ λυμαίνεται τὴν πινάκωσιν αὐτῶν καὶ τοὺς θεμελίους ὑποκαιόμενον. ὅθεν οἱ χαρίεντες ἀγορανόμοι τοὺς ἐργολαβοῦντας, οὐκ ἐῶσιν λαΐνοις ξύλοις χρῆσθαι. καθάπερ οὐδὲ αἴρας ἐμβαλεῖν εἰς τὴν ὑπόκαυσιν. αἱ γὰρ ἀπὸ τούτων ἀναθυμιάσεις, καρηβαρίας καὶ σκοτώματα τοῖς λουομένοις ἐμποιοῦσιν. οὐδὲν οὖν θαυμαστόν ἐστιν οὐ τὴν σελήνην τοῦ ἡλίου διαφέρειν. τοῦ μὲν ξηραντικά, τῆς δὲ χαλαστικά τοῖς ἐνίοις σώμασιν ὑγρῶν ἐφιείσης ῥεύματα. διὸ τὰ μὲν νήπια παντάπασιν αἱ τίτθαι δεικνύναι τὴν σελήνην φυλάττονται. πλήρη γὰρ ὑγρότητος ὄντα καθάπερ τὰ χλωρὰ τῶν ξύλων, σπᾶται καὶ διαστρέφεται. τοὺς δὲ κατακοιμηθέντας ἐν αὐγῇ σελήνης μόλις ἐξανισταμένους, οἷον ἐμπλήκτους ταῖς αἰσθήσεσι, καὶ ναρκώδεις ὁρῶμεν. ἡ γὰρ ὑγρότης ὑπὸ τῆς σελήνης διαχεομένη βαρύνει τὰ σώματα. λέγεται δὲ καὶ πρὸς εὐτοκίαν συνεργεῖν, ὅταν ᾖ διχόμηνος ἀνέσει τῶν ὑγρῶν μαλθακωτέρας παρέχουσα τὰς ὠδῖνας. ὅθεν οἶμαι καὶ τὴν ἄρτεμιν λοχείαν καὶ εἰλείθυιαν οὐκ οὖσαν ἑτέραν ἢ τὴν σελήνην ὠνομάσθαι. τιμόθεος δὲ ἄντικρυς φησὶ διὰ κυάνεον πόλον ἄστρων, διά τ' ὠκυτόκοιο σελάνας. γίνεται δὲ καὶ περὶ τὰ ἄψυχα τῶν σωμάτων ἐπίδηλος ἡ τῆς σελήνης δύναμις. τῶν τε γὰρ ξύλων τὰ τεμνόμενα ταῖς πανσελήνοις ἀποβάλλουσιν οἱ τέκτονες, ὡς ἁπαλὰ, καὶ μυδῶντα ταχέως δι' ὑγρότητα. τοὺς δὲ πυροὺς οἱ γεωργοῦντες σπεύδουσι φθίνοντος τοῦ μηνὸς ἐκ τῆς ἅλω συναίρειν. ἵνα πάντες τῇ ξηρότητι μᾶλλον πρὸς νον ἀντέχωσιν. οἱ δ' ἀκμῇ τῆς σελήνης διακομιζόμενοι κόπτονται μάλιστα διὰ τὴν ὑγρότητα μαλακώτεροι γινόμενοι. λέγουσι δὲ καὶ τὰ ἄλευρον ἐν ταῖς πανσελήνοις ζυμοῦσθαι βέλτιον. ἡ γὰρ ζύμωσις ὀλίγον ἀποδεῖν εἶναι, κἂν ἀποβάλῃ τὸ μέτρον. ἐπὶ τὴν αὐτὴν φθορὰν ἀραιοῦσα καὶ προβάλλουσα τὸ φύραμα προήγαγεν. αἱ δὲ σηπόμεναι σάρκες οὐδὲν ἄλλο πάσχουσιν, ἢ τοῦ συνεκτικοῦ πνεύματος μεταβάλλοντος εἰς ὑγρὸν ἐξαιροῦνται, καὶ ῥέουσι. τοῦτο δὲ καὶ τὸν ἀέρα πάσχοντα θεωροῦ-

μεν· δροσοβολεῖ γὰρ ταῖς πανσελήνοις μάλιστα διατηκόμενος, ὥσπου καὶ ἀλ-
κμὰν ὁ μελοποιὸς αἰνιττόμενος τὴν δρόσον ἀέρος θυγατέρα καὶ σελήνης, οἷά φησι,
δῖος θυγάτηρ μέγα τρέφει καὶ ἀσελαίνας. οὕτω πανταχόθεν μαρτυρεῖται
τὸ τῆς σελήνης φῶς ἀνυγρόν τι   κὴν καὶ μαλακτικὴν δύναμιν.
ὁ δὲ χαλκοῦς ἧλος εἴγε διελαυνόμενος, ὥς φασιν, ἀσηπτότερον διατηρεῖ τὰ κρέα·
φαίνεται μὲν ἔχων καὶ στυπτικὸν ἐν αὐτῷ. τῷ γοῦν ἰῷ πρὸς τὰ τοιαῦτα χρῶν-
ται τῶν φαρμάκων ἰατροὶ, καὶ τούς γε διατρίβοντας ἐν τοῖς χαλκωρυχείοις
ἱστοροῦσιν ὠφελεῖσθαι τὰ ὄμματα· καὶ βλεφαρίδας ἐκφύειν τοὺς ἀποβεβλη-
κότας· ἡ γοῦν ἀποιοῦσα τῆς χαλκίτιδος ἄχνη καὶ πίπτουσα τοῖς βλεφάροις ἀ-
δήλως, ἀναστέλλει τὰ ῥεύματα, καὶ περιστύφει τὸ δάκρυον· διὸ καὶ φασὶν εὐή-
νορα, καὶ νώροπα χαλκὸν ὑπὸ τοῦ ποιητοῦ προσαγορεύεσθαι. ἀριστοτέλης δὲ
φησι καὶ τὰ τραύματα τὰ ἀπὸ τῶν χαλκῶν ἐπιδορατίδων καὶ μαχαιρῶν· ἧτ-
τον εἶναι δυσαλγῆ, καὶ ῥᾷον ἰᾶσθαι τῶν ἀπὸ τοῦ σιδήρου, διὰ τὸ φαρμακῶδες ἔ-
χειν τι τὸν χαλκὸν ἐν ἑαυτῷ, καὶ τοῦτο ταῖς πληγαῖς εὐθὺς ἐναπολείπειν. ὅτι
καὶ τῷ σήποντι τὸ στῦφον, καὶ τὸ θεραπεῦον τῷ φθείροντι τὴν ἐναντίαν ἔχει
δύναμιν, οὐκ ἄδηλος, εἰ μή τις ἄρα τῇ διελάσει φαίη τὸν ἧλον ἐφ' ἑαυτὸν τὰ ὑ-
γρὰ συνάγειν ἐπιφορᾶς ἀεὶ γινομένης πρὸς τὸ πάσχον· διὸ καὶ περὶ αὐτὸν ἐκεῖ-
νον τὸν τόπον, οἷόν τινα μώλωπα καὶ σπίλον ὁρᾶσθαί φασι, καὶ λόγον ἔχει
τὴν ἄλλην σάρκα διαμένειν ἀπαθῆ τῆς φθορᾶς ἐκεῖ συντρεχούσης.

ΣΥΜΠΟΣΙΑΚΩΝ· ΤΕΤΑΡΤΟΝ.

Σόσσιε σενεκίων τοῦ πολυβίου σκιπίωνι παραινοῦντος ἀφρικα-
νῷ μὴ πρότερον ἐξ ἀγορᾶς ἀπελθεῖν ἢ φίλον τινὰ ποιήσασθαι.
πολλάκις τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου λυπεῖσθαι θεστερόν ἐστι. ἔπει-
ὦ τα μέντοι, καὶ τὸ σπέρμα μὴ προσγεγονέναι τὸ γόνιμον· δῆ· καὶ τὰ
ψυξιν, ἀλλ' ὕλην μόνον, καὶ τροφὴν παρέχειν τῷ ἀπὸ τοῦ ἄρρενος.
ἔπειτα λήγουσι τίκτουσαι πολὺ πρότερον, ἢ γεννῶντες οἱ ἄν-
δρες· καίονται δὲ βέλτιον ὑπὸ πιμελῆς ὃ δοκεῖ ψυχρότερον εἶναι τοῦ σώμα-
τος· ἥκιστα γοῦν οἱ νέοι καὶ γυμναστικοὶ πιμελώδεις· ἡ δὲ ἔμμηνος κάθαρσις οὐ πλή-
θους, ἀλλὰ διαφθορᾶς καὶ φαυλότητός ἐστιν αἵματος· τὸ γὰρ ἄπεπτον αὐτοῦ,
καὶ περιττωματικὸν οὐκ ἔχον ἵδρυσιν, οὐδὲ σύστασιν ἐν τῷ σώματι, δι' ἀσθένειαν ἐκ-

πίπτει πάντα πᾶσιν ἀμβλὺ καὶ θολερὸν, ἀρρωστίᾳ τοῦ θερμοῦ γινόμενον. δηλοῖ
γοῦν καὶ τὸ ῥιγοῦν καὶ τὸ ὑποφρίττειν ὡς ἐπιπολὺ τὰς καθαιρομένας. ὅτι ψυ-
χρόν ἐστι καὶ ἄπεπτον τὸ κεκινημένον, καὶ ἀποχωροῦν ἐκ τοῦ σώματος. τὴν δὲ ψι-
λότητα, τίς ἂν εἴποι θερμότητος, οὐχὶ μᾶλλον ψυχρότητός ἐστι τὸ πάθος, ὁρῶν
τὰ θερμότατα τοῦ σώματος μέρη δασυνόμενα. πάντα γοῦν ἐξωθεῖται τὰ τοι-
αῦτα τῷ θερμῷ, χαράσσοντι καὶ ἀναστομοῦντι τὴν ἐπιφάνειαν. ἡ δὲ λειότης,
πυκνότητι γίνεται ὑπὸ ψυχρότητος. ὅτι δέ εἰσι πυκνότεροι τῶν ἀνδρῶν ὦ φίλε
λούκιε, πύθου παρὰ τῶν ἔτι συναναπαυομένων γυναιξὶν, ἢ μύρον ἀληλιμμέ-
ναις, ἢ ἔλαιον. ἀναπίμπλανται γὰρ αὐτοῦ τοῦ χρίσματος ἐν τῷ συγκαθεύδειν
κἂν μὴ θίγωσι μηδὲ προσάψωνται τῶν γυναικῶν, διὰ θερμότητα καὶ μανότη-
τα τοῦ σώματος ἕλκοντος. οὐ μὴν ἀλλὰ ταῦτα μὲν περὶ τῶν γυναικῶν ἔφην, καὶ πρὸς
τοὐναντίον ἀνδρικῶς ἐπικεχείρηται,

Εἰ ἡ ποικίλη τροφὴ τῆς ἁπλῆς εὐπεπτοτέρα. α΄.

Τῆς οὖν τετάρτης τῶν συμποτικῶν ζητημάτων δεκάδος ἡμῖν πρῶτον ἔσται τὸ περὶ
τῆς ποικίλης τροφῆς ζητηθέν. ἐλαφηβολίων γὰρ ὄντων εἰς ὑάμπολιν, ἐπὶ τὴν
ἑορτὴν ἀφικνουμένους ἡμᾶς εἱστία φίλων ὁ ἰατρὸς, ἐκ παρασκευῆς τινος, ὡς ἐφαί-
νετο νεανικῶς. ἰδὼν δὲ τὸ παιδίον ἅμα τῷ φίλωνι τὸν νέον ἄρτῳ χρώμενον, ἄλλου
δὲ μηδενὸς δεόμενον, ὦ ἡράκλεις ἔφη τοῦτ' ἄρα ἦν τὸ λεγόμενον, ἐν δὲ λίθοις ἐμάρ-
χοντο, λίθον δ' οὐκ ἦν ἀνελέσθαι, καὶ ἀνεπήδησεν οἰσόμενός τι τῶν χρησίμων
ἐκείνοις. εἶτα ἧκε μετὰ χρόνον συχνὸν, ἰσχάδας αὐτοῖς τινας καὶ τυρὸν κομί-
ζων. ἐμοῦ δὲ εἰπόντος, ὅτι τοῦτο συμβαίνει τοῖς τὰ περιττὰ καὶ πολυτελῆ παρα-
σκευαζομένοις, ἀμελεῖν καὶ σπανίζειν τῶν ἀναγκαίων, καὶ χρησίμων. οὐ γὰρ
ἐμεμνήμην εἶπεν ὁ φίλων, ὅτι σώστρατον ἡμῖν ὑποτρέφει ὁ φιλῖνος, ὅν φασι μήτε
ποτῷ χρησάμενον ἄλλῳ, μήτ' ἐδέσματι, πλὴν ἢ γάλακτος διαβιῶσαι πάντα τὸν
βίον. ἀλλ' ἐκείνῳ μὲν ἐκ μεταβολῆς ἀρχὴν γενέσθαι τῆς τοιαύτης διαίτης εἰκός.
τὸν δὲ ἡμέτερον ἀντιστρόφως τῷ ἀχιλλεῖ τρέφων ὁ χείρων οὗτος, εὐθὺς ἀπὸ τῆς γε-
νέσεως ἀναιμάτοις   ρις τροφαῖς οὐκ ἄκραν ἀπόδειξιν ἔχει ἐν ἀ-
έρι καὶ δρόσῳ λέγοιτ' ἂν καθάπερ οἱ τέττιγες σιτούμενον. ἡμεῖς μὲν οὖν ὁ φιλῖνος
εἶπεν ἠγνοοῦμεν ἑκατὸν φόνια δειπνήσαντες, ὥσπερ ἐπαισουμένους. ἐπεὶ παρ'
ἡμῖν αὔοψα τῶν λιτῶν καὶ ὑγιαινόντων, ὥσπερ ἀλεξιφάρμακα, πρὸς οὕτω πολυτε-
λεῖς, καὶ φλεγμαινούσας τραπέζας περιαψάμενοι, καὶ ταῦτα πολλάκις ἀκηκο-
ότες ὅτι τῶν ποικίλων τὰ ἁπλᾶ μᾶλλον εὔπεπτά εἰσιν ἢ εὐπόριστα, καὶ ὁ μαρ-
κίων πρὸς τὸν φίλωνα, διαφθείρει σου φιλῖνος ἔφη τὴν παρασκευὴν, ἀποτρέπων
καὶ δεδιττόμενος τοὺς δαιτυμόνας. ἀλλ' ἂν ἐμοῦ δεηθῇς, ἐγγυήσομαι πρὸς αὐ-
τοὺς ὑπὲρ σοῦ τὴν ποικίλην τροφὴν εὐπεπτοτέραν εἶναι τῆς ἁπλῆς, ὥστε θαρ-
ροῦντας ἀπολαύειν τῶν παρακειμένων. ὁ μὲν οὖν φίλων ἐδεῖτο τοῦ μαρκίωνος οὕ-
τω ποιεῖν. ἐπεὶ δὲ ἡμεῖς παυσάμενοι τοῦ δειπνεῖν προσεκαλούμεθα τὸν φιλῖνον
ἐπιθέσθαι τῇ κατηγορίᾳ τῆς ποικίλης τροφῆς. οὐκ ἐμὸς εἶπεν ὁ μῦθος, ἀλλ' ὁ τουδὶ
φίλων ἑκάστοτε λέγει πρὸς ἡμᾶς, ὅτι πρῶτον μὲν τὰ θηρία τροφαῖς μονοειδέσι
καὶ ἁπλαῖς χρώμενα μᾶλλον ὑγιαίνει τῶν ἀνθρώπων. ὅσα δὲ σιτεύουσι καθείρξαν-
τες, ἐπισφαλῆ πρὸς τὰς νόσους ἐστὶ, καὶ ῥᾳδίως ταῖς ὠμότησιν ἁλίσκεται διὰ
τὸ μικτήν τινα καὶ συνηδυσμένην τροφὴν προσφέρεσθαι. δεύτερον οὐδεὶς γέγο-
νεν οὕτω τῶν ἰατρῶν παράτολμος ἐν καινοτομίᾳ καὶ ἀνδρεῖος, ὥστε ποικίλην
τροφὴν πυρέττοντι προσενεγκεῖν. ἀλλὰ τὴν ἁπλῆν καὶ ἄκνισσον, ὡς ὑπήκοον μά-
λιστα τῇ πέψει προσφέρουσι. δεῖ γὰρ παθεῖν τὴν τροφὴν καὶ μεταβαλεῖν κρα-

ἡμῖν δυναμένων· l.

τηθεῖσαν ὑπὸ τῶν ἐν ὑμῖν δυναμένων. κρατεῖ δὲ καὶ βαφὴ τῶν ἁπλῶν χρωμάτων
μᾶλλον, καὶ μυρεψικοῖς φαρμάκοις τρέπεται τάχιστα τὸ εὐωδέστατον ἔλαιον, καὶ
τροφῆς εὐπαθέστατον ὑπὸ πέψεως μεταβάλλει τὸ ἀφελὲς καὶ μονοειδές. αἱ δὲ πολ-
λαὶ καὶ ποικίλαι ποιότητες ὑπεναντιώσεις ἔχουσαι καὶ δυσμαχοῦσαι φθείρον-
ται πρότερον προσαπίπτουσαι, καθάπερ ἐν πόλει μιγάδων καὶ συγκλύδων ἀν-
θρώπων πλῆθος οὐ ῥᾳδίως μίαν, οὐδὲ ὁμοπαθοῦσαν ἴσχουσι κατάστασιν, ἀλλ'
ἑκάστη πρὸς τὸ οἰκεῖον ἀντιτείνουσα, καὶ δυσύμβατος οὖσα πρὸς τὸ ἀλλόφυλον.
ἐμφανὲς δὲ τεκμήριον τὸ περὶ τὸν οἶνον. αἱ γὰρ ἀλλοινίαι λεγόμεναι τάχιστα με-
θύσκουσιν. ἀπεψίᾳ δὲ οἴνου προσέοικεν ἡ μέθη. διὸ φεύγουσι τὸν μεμιγμένον οἶνον
οἱ πίνοντες. οἱ δὲ μιγνύοντες, πειρῶνται λανθάνειν, ὡς ἐπιβουλεύοντες. ἐκστατι-
κὸν γὰρ ἡ μεταβολὴ καὶ ἀνώμαλον. ὅθεν που καὶ τὰς πολυχορδίας μετὰ πολ-
λῆς οἱ μουσικοὶ κινοῦσιν εὐλαβείας. οὐδὲν ἄλλο κακὸν, ἢ τὸ μικτόν ἐστι καὶ ποικί-
λον. ἐγὼ δ' ἐκεῖνο ἔχω εἰπεῖν. ὅτι μᾶλλον ἂν ἐκ λόγων ὑπεναντίων γένοιτο ἂν πί-
στις καὶ κατάθεσις, ἢ πέψις ἐκ διαφόρων ποιοτήτων. εἰ δὲ μὴ δοκῶ παίζειν ταῦ-
τα ἐάσας, ἐπὶ τὰ Φίλωνος ἄνειμι. πολλάκις γὰρ ἀκούομεν αὐτοῦ λέγοντος, ὡς
ἐπὶ ποιότητι τροφῆς γίνεται τὸ δύσπεπτον. ἡ πολυμιγία, βλαβερὸν καὶ γόνιμον
ἀλλοκότων ποιοτήτων. καὶ δεῖ τὸ σύμφυλον ἐκ πείρας λαβόντα χρῆσθαι καὶ
στέργειν. εἰ δὲ φύσει δύσπεπτον οὐδέν. ἀλλὰ πλῆθός ἐστι τὸ ταράσσον καὶ φθεῖρον,
ἔτι μᾶλλον οἶμαι τὰ παντοδαπὰ ταῦτα καὶ ποικίλα φευκτέον. οἷς ἀρτίως ἡ-
μᾶς ὁ Φίλωνος ὀψοποιὸς ὥσπερ ἀντίτεχνος αὐτοῦ κατεφαρμάττεν ἐξαλλάττων
τῇ καινότητι καὶ μεταβολῇ τὴν ὄρεξιν οὐκ ἀπαγορεύουσαν. ἀλλ' ἀγομένην ἐπ'
ἄλλα, καὶ παρεκβαίνουσαν ἐν τῷ ποικίλῳ καὶ αὖ ταρχεῖς,
ὥσπερ πύλης τρόφιμος νος ἕτερον ἀφ' ἑτέρου ἰώμενος ἀγρυ-
μα ἂν συνηδόμεναι ψυχαὶ μὴ πίον ἄπληστος ἐὼν ἐπιπλέ-
σον ἐξανθίζεται τοῦ λειμῶνος. ἐνταῦθα δὲ καὶ τοῦ Σωκράτους ἅμα μνημονευτέ-
ον, παρακελευομένου φυλάττεσθαι τῶν βρωμάτων, ὅσα τοὺς μὴ πεινῶντας ἐσθί-
ειν ἀναπείθει, ὡς οὐδὲν ἀλλ' ἢ τὸ παντοδαπὸν, καὶ ποικίλον εὐλαβεῖσθαι καὶ δε-
δίεναι τῶν σιτίων παραινοῦντος. τοῦτο γὰρ πορρωτέρω ἐξάγει τῆς χρείας τὴν ἀ-
πόλαυσιν, ἐν θεάμασιν ἐν ἀκροάμασιν ἐν ἀφροδισίοις ἐν παιδιαῖς ἁπάσαις καὶ
διατριβαῖς. ἀναλαμβανομένη ὥσπερ τοῦ περιττοῦ πολλὰς ἀρχὰς ἔχοντος. ἐν δὲ
ταῖς ἁπλαῖς, καὶ μονοτρόποις ἡδοναῖς οὐ παρεκβαίνει τὴν φύσιν ἡ θέλξις.
ὅλως δέ μοι δοκεῖ μᾶλλον ἄν τις ὑπομεῖναι πολυχορδίαν μουσικὸν ἐπαινοῦντα,
καὶ μυραλειφίαν ἀλείπτην, ἢ πολυοψίαν ἰατρόν. αἱ γὰρ ἐκτροπαὶ καὶ μεταβολαὶ τῆς
εἰς ὑγείαν εὐθείας ἐκβιάζουσι. τοῦ δὲ Φιλίνου ταῦτα εἰπόντος ὁ Μαρ-
κίων ἔφη δοκεῖν αὐτῷ τῇ Σωκράτους ἐνέχεσθαι κατάρᾳ, μὴ μόνον τοὺς τὸ λυσι-
τελὲς ἀπὸ τοῦ καλοῦ χωρίζοντας, ἀλλὰ καὶ τοὺς ἡδονὴν διϊστάντας ἀπὸ τῆς ὑ-
γείας, ὡς ἀντιταττομένην αὐτῇ καὶ πολεμοῦσαν, οὐχὶ μᾶλλον συνεργοῦσαν.
σμικρὰ γὰρ ἔφη καὶ ἄκοντες, ὡς βιαιοτάτῳ τῶν ὀργάνων ἀλγηδόνι προσχρώμε-
θα. τῶν δὲ ἄλλων οὐδεὶς ἂν οὐδὲ βουλόμενος ἀπώσαιτο τὴν ἡδονήν. ἀλλὰ καὶ τρο-
φαῖς καὶ ὕπνοις, καὶ περὶ λουτρὰ, καὶ ἀλείμματα καὶ κατακλίσεις ἀεὶ πά-
ρεστι καὶ συνεκδέχεται καὶ συνεκτιθηνεῖται τὸ κάμνοντα πολλῷ τῷ οἰκεί-
ῳ καὶ κατὰ φύσιν ἐξαμαυροῦντα τὸ ἀλλότριον. ποία γὰρ ἀλγηδών, τίς ἔνδεια, ποῖον
δηλητήριον οὕτω ῥᾳδίως, καὶ ἀφελῶς νόσον ἔλυσεν ὡς λουτρὸν ἐν καιρῷ γενόμε-
νον, καὶ οἶνος δοθεὶς δεομένοις, καὶ τροφὴ παρελθοῦσα μεθ' ἡδονῆς εὐθὺς ἔλυσε τὰ
δυσχερῆ πάντα, καὶ κατέστησεν εἰς τὸ οἰκεῖον τὴν φύσιν, ὥσπερ εὐδίας καὶ γαλή-
νης γενομένης. αἱ δὲ διὰ τῶν ἐπιπόνων βοήθειαι, μόγις καὶ κατὰ μικρὸν ἀνύουσι

χαλεπῶς ἐκμοχλεύουσαι, καὶ προσβιαζόμεναι τὴν φύσιν. οὐκ ἂν οὖν ἡμᾶς δια-
βάλλοι Φιλῖνος. εἰ μὴ τὰ ἱστία ἑκάτερα ἐπαράμενοι τὴν ἡδονὴν φεύγοιμεν. ἀλλὰ
πειρώμεθα τὸ ἡδέως, καὶ ὑγιεινῶς ἐμμελέστερον, ἢ ὡς ἔνιοι φιλόσοφοι,
καλῶς συνοικειοῦν. εὐθὺς οὖν περὶ τὸ πρῶτον ὦ Φιλῖνε τῶν ἐπιχειρημάτων δο-
κεῖς μοι διεψεῦσθαι τὰ θηρία τῶν ἀνθρώπων ἁπλουστέραις τροφαῖς χρῆσθαι,
καὶ μᾶλλον ὑγιαίνειν ὑποτιθέμενος. οὐδέτερον γὰρ ἀληθές ἐστιν. ἀλλὰ τῷ μὲν αἱ
παρ' Εὐπόλιδος αἶγες ἀντιμαρτυροῦσιν ὑμνοῦσαι τὴν τροφὴν, ὡς παμμιγῆ, καὶ
ποικίλην οὖσαν, οὕτω πως λέγουσαι. βοσκόμεθ' ἅλις ἀπὸ παντοδαπῆς ἐλάτης,
πρίνου, κομάρου τε πόρθους ἁπαλοὺς ἀποτρώγουσαι. καὶ πρὸς τούτοισιν ἔ-
κυτισόν τ' ἠδὲ σφα εὐώδη, καὶ σμίλακα πο-
λύφυλλον. κότινον, σχῖνον, μελίαν, δρῦν, κιττὸν, μυρίκην πρόμαλον, ῥάμνον,
φλόμον ἀνθέρικον, κισθὸν, φηγὸν, θύμβραν. τὰ γὰρ καταριθμημένα μυρίας
δή που διαφορὰς ἔχει χυμῶν, καὶ ὀσμῶν, καὶ δυνάμεων. πλείονα δὲ τῶν εἰρημέ-
νων παραλέλειπται. τὸ δὲ δεύτερον Ὅμηρος ἀθετεῖ μᾶλλον ἐμπείρως, τὰ λοιμι-
κὰ πάθη πρῶτον ἅπτεσθαι τῶν ἀλόγων ἀποφαινόμενος. κατηγορεῖ δὲ αὐτῶν καὶ
ἡ βραχύτης τοῦ βίου, τὸ ἐπίκηρον καὶ νοσῶδες. οὐδὲν γὰρ, ὡς εἰπεῖν πολυχρόνιόν
ἐστι. πλὴν εἰ φαίη τις κόρακα καὶ κορώνην —— ἃ δὴ παμφάγα τε ὄντα,
καὶ πάσης ἁπτόμενα τροφῆς ὁρῶμεν. καὶ μὴν, καὶ τῇ τῶν νοσούντων διαίτῃ κα-
λῶς ἐποίεις τὰ εὔπεπτα, καὶ δύσπεπτα τεκμαιρόμενος. καὶ γὰρ πόνος καὶ γυ-
μνασία, καὶ τὸ διαιρεῖν τὴν τροφὴν, εὔπεπτα μέν ἐστιν, οὐχ ἁρμόζει δὲ τοῖς πυρέ-
ττουσι. τὴν δὲ μάχην καὶ τὴν διαφορὰν τῆς ποικίλης τροφῆς, ἀλόγως ἐδεδίεις. εἴτε
γὰρ ἐξ ὁμοίων ἀναλαμβάνει τὸ οἰκεῖον ἡ φύσις, καὶ εἰς τὸν ὄγκον αὐτόθεν ἡ ποικί-
λη τροφὴ πολλὰς μεθιεῖσα ποιότητας ἐξ ἑαυτῆς ἑκάστῳ μορίῳ τὸ πρόσφορον
ἀναδίδωσιν, ὥς τε γίνεσθαι τὸ τοῦ Ἐμπεδοκλέους, ὡς γλυκὺ μὲν ἐπὶ γλυκὺ μάρπτε,
πικρὸν δ' ἐπὶ πικρὸν ὄρουσεν, ὀξὺ δ' ἐπ' ὀξὺ, δαλερὸν δαλεροῦ λαβέτω. δὲ καὶ
ἄλλο δ' ἐπὶ πρόσφορον μένοντος τῇ θερμότητι ἐν τῷ πνεύματι τοῦ μίγματος. σκε-
δασθέντος τὰ οἰκεῖα τοῖς συγγενέσιν ἕπεται. τὸ γὰρ οὕτως παμμιγὲς σῶμα καὶ
πανηγυρικὸν, ὡς τὸ ἡμέτερον ἐκ ποικίλης ὕλης λόγον ἔχει μᾶλλον, ἢ ἁπλῆ συ-
κερανίζεσθαι, καὶ ἀναπληροῦν τὴν κρᾶσιν. εἴ γε μὴ τοῦτό ἐστιν, ἀλλ' ἡ καλουμένη
πέψις ἀλλοιοῦν πέφυκε, καὶ μεταβάλλειν τὴν τροφὴν ἐν τῷ ποικίλῳ τοῦτο συμβή-
σεται θᾶττον καὶ κάλλιον. ἀπαθὲς γὰρ ὑπὸ τοῦ ὁμοίου. ἡ δὲ ἀντίταξις, καὶ δια-
φορὰ μᾶλλον ἐξίστησι τῇ πρὸς τὸ ἐναντίον μίξει τὰς ποιότητας ἀπομαραινομέ-
νας. εἰ δὲ ὅλως τὸ μικτὸν ἀθετεῖς, καὶ ποικίλον ὦ Φιλῖνε, μὴ δειπνίζοντα μὴ δὲ ὀ-
ψοποιοῦντα μόνον λοιδόρει Φίλωνα τοῦτον, ἀλλὰ πολὺ μᾶλλον ὅτ' ἂν μιγνύῃ τὰς
βασιλικὰς, καὶ ἀλεξιφαρμάκους ἐκείνας δυνάμεις, ἃς θεῶν χεῖρας ὠνόμαζεν
Ἐρασίστρατος δ' ἐλέγχει τὴν ἀτοπίαν καὶ περιεργίαν, ὁμοῦ μεταλλικὰ καὶ βοτα-
νικὰ καὶ θηριακὰ, καὶ τὰ ἀπὸ γῆς, καὶ θαλάττης εἰς τὸ αὐτὸ συγκεραννύντας.
καλὸν γὰρ ταῦτα ἐάσαντας, ἐν πτισάνῃ, καὶ σικύᾳ καὶ ἐν ὑδρελαίῳ τὴν ἰατρικὴν ἀ-
πολιπεῖν. ἀλλὰ νὴ Δία τὸ ποικίλον ἐξάγει καὶ γοητεύει τὴν ὄρεξιν, οὐ κρατοῦσαν ἑαυ-
τῆς. καὶ γὰρ τὸ καθάριον ὦ δαιμόνιε καὶ τὸ εὐστόμαχον, καὶ τὸ εὐῶδες, καὶ ὅλως τὸ ἡ-
δὺ ἐφέλκεται καὶ ποιεῖ βρωτικωτέρους ἡμᾶς, καὶ ποτικωτέρους. τί οὖν οὐχὶ κρίμνα
μὲν ἡμεῖς ἀντὶ πάλτου μάττομεν. ἀντὶ δὲ ἀσπαράγου, γήτεια, καὶ σκολύμους πα-
ρασκευάζομεν. τὸν δὲ ἀνθοσμίαν ἀπωσάμενοι τουτονὶ καὶ ἡμερίδην, ἀγριώτερον
πίνομεν ἐκ πίθου, κωνώπων χορῷ περιαδόμενον. ὅτι φαίης ἂν οὐ φυγὴν, οὐ δὲ ἀπό-
δρασιν ἡδονῆς εἶναι τὴν ὑγιεινὴν δίαιταν. ἀλλὰ περὶ ἡδονὰς μετριότητα καὶ τάξιν ὑπη-
κόῳ χρωμένην ὀρέξει τοῦ συμφέροντος, ὡς γὰρ λάβρον πνεῦμα κυβερνῆται πολ-
λοῖς μη-

σχῖνον l.

οἰκεῖον

χαὶ ὑποφθάσωσι, παυσάμεναι δὲ καὶ μαρανθεῖσαι· οὐδεὶς πάλιν ἐκριπίσαι, καὶ διασεῖ-
σαι δυνατός ἐστιν, οὕτως πρὸς ὄρεξιν ἐκστῆναι μὲν, καὶ κολάσαι τὸ πλεονάζον αὐτῆς οὐ
μέγα ἔργον· ἤδη δὲ κάμνουσαν πρὸ καιροῦ, καὶ μαλθακιζομένην καὶ ἀπολείπουσαν τὸ οἰ-
κεῖον ἐντεῖναι, καὶ ἀναζωπυρῆσαι παγχάλεπον ὦ ἑταῖρε καὶ δύσεργον· ὅθεν ἡ ποικί-
λη τροφὴ βελτίων τῆς ἁπλῆς, καὶ τὸ μονοειδὲς ἐχούσης πλησίον ἔσω ῥᾷον ἱστάναι φε-
ρομένην τὴν φύσιν, ἢ κινεῖν ἀπειποῦσαν· καὶ μὴν ὅγε λέγουσί τινες, ὡς πλησμονὴ
φευκτότερον ἐνδείας, οὐκ ἀληθές ἐστι, ἀλλὰ τοὐναντίον, εἴγε πλησμονὴ μὲν ὅταν
εἰς φθοράν τινα τελευτήσῃ καὶ νόσον ἔβλαψεν· ἔνδεια δὲ κἂν ἄλλο μηδὲν ἐ-
ξεργάσηται κακὸν αὐτὴ καθ' αὑτὴν παρὰ φύσιν ἐστὶ, καὶ ταῦτα μὲν ὡς ἀντιχορ-
δῆς κείσθω τοῖς ὑπὸ σοῦ πεφιλοσοφημένοις, ἐκεῖνο δέ πως ὑμᾶς λέληθε τοὺς
περὶ ἅλα καὶ κύμινον· ὅτι τὸ μὲν ποικίλον ἐστὶ, τὸ δὲ ἥδιον δυο-
τερον αὖ τὴν ὑπὲρ   ἀναφέλης, προσφύεται γὰρ ἐρῶντι καὶ δε-
χομένῳ τῷ σώματι τῆς ὄψεως προσοδοποιούσης· τὸ δὲ ἀνόρεκτον καὶ
ῥεμβόμενον, ἢ παντάπασιν ἐξέβαλεν ἡ φύσις, ἢ μόλις ὑπ' ἐνδείας ἔστρεξεν· ἐ-
κεῖνό μοι μόνον φύλαττε καὶ μέμνησο τὸ ποικίλον, ὡς οὐκ ἐν ἀμυρτάκις καὶ καν-
δύλοις, καὶ καρύκαις ἐστὶν, ἀλλὰ ταῦτα μὲν περίεργα, καὶ σπερμολογικά, ποικι-
λίαν δὲ καὶ Πλάτων παρέχει τοῖς καλοῖς καὶ γενναίοις ἐκείνοις πολίταις πα-
ρατιθεὶς βολβοὺς ἐλαίας, λάχανα, τυρὸν, ὀψήματα παντοδαπὰ, πρὸς δὲ τού-
τοις, οὐδὲ τραγημάτων ἀμοίρους περιγράφει δειπνοῦντας·

Διατί τὰ ὕδνα δοκεῖ τῇ βροντῇ γίνεσθαι, καὶ διατὶ τοὺς καθεύδοντας οἴονται μὴ κεραυνοῦσθαι. β'.

Ὕδνα παμμεγέθη δειπνοῦσιν ἡμῖν Ἀγέμαχος παρέθηκεν ἐν Ἤλιδι· θαυμαζόντων
δὲ τῶν παρόντων, ἔφη τις ὑπομειδιάσας, ἄξιά γε τῶν βροντῶν τῶν ἔναγχος γε-
νομένων, ὡς δὴ καταγελῶν τῶν λεγόντων τὰ ὕδνα τὴν γένεσιν ἐκ βροντῆς λαμ-
βάνειν. ἦσαν οὖν οἱ φάσκοντες ὑπὸ βροντῆς τὴν γῆν διΐστασθαι, καθάπερ ἥλῳ
τῷ ἀέρι χρωμένην· εἶτα ταῖς ῥωγμαῖς τεκμαίρεσθαι τοὺς τὰ ὕδνα μετιόντας,
ἐκ δὲ τούτου δόξαν ἐγγενέσθαι τοῖς πολλοῖς, ὅτι τὸ ὕδνον, αἱ βρονταὶ γεννῶσιν, οὐ-
δεικνύουσιν· ὥσπερ εἴ τις οἴοιτο τοὺς κοχλίας ποιεῖν τὸν ὄμβρον, ἀλλὰ μὴ προά-
γειν, μὴ δὲ ἀναφαίνειν· ὁ δὲ Ἀγέμαχος ἰσχυρίζετο τῇ ἱστορίᾳ, καὶ τὸ θαυμαστὸν ἠ-
ξίου μὴ ἄπιστον ἡγεῖσθαι· καὶ γὰρ ἄλλα πολλὰ θαυμάσια βροντῆς ἔργα καὶ κε-
ραυνοῦ, καὶ τῶν περὶ ταῦτα διοσημείων εἶναι, χαλεπὰς καταμαθεῖν, ἢ παν-
τελῶς ἀδυνάτους τὰς αἰτίας ἔχοντα, καὶ γοῦν ὁ γελώμενος οὗτος καὶ παροιμι-
ώδης ἔφη βολβὸς, οὐ μικρότητι διαφεύγει τὸν κεραυνὸν, ἀλλ' ἔχων δύναμιν ἀν-
τιπαθῆ καθάπερ ἡ συκῆ καὶ τὸ δέρμα τῆς φώκης ὥς φασι καὶ τὸ τῆς ὑαίνης· οἷς τὰ
ἄκρα τῶν ἱστίων οἱ ναύκληροι καταδιφθεροῦσι· τὰ δὲ ἀστραπαῖα τῶν ὑδάτων, εὐ-
αλδῆ καλοῦσιν οἱ γεωργοί, καὶ νομίζουσι, καὶ ὅλως εὐηθές ἐστι ταῦτα θαυμάζειν,
τὸ πάντων ἀπιστότατον ἐν τοῖς πάθεσι τούτοις καθορῶντας· ἐκ μὲν ὑγρῶν φλό-
γας, ἐκ δὲ μαλακῶν   ψόφους σκληροὺς ἀναδιδομένους· ταῦτα δὲ εἶπε
ἀδολεσχῶ παρακαλῶν ὑμᾶς ἐπὶ τὴν ζήτησιν τῆς αἰτίας· ἵνα μὴ πικρὸς γένω-
μαι συμβολὰς τῶν ὕδνων πραττόμενος· ἀλλὰ τὸ μὲν οὖν ἐγὼ ἔφην τρόπον τινὰ τῷ
λόγῳ δεξιὰν ὀρέγειν τὸν Ἀγέμαχον· οὐδὲν γὰρ ἔν γε τῷ παρόντι φαίνεσθαι πιθανώ-
τερον, ὅτι ταῖς βρονταῖς πολλάκις ὕδωρ συνεκπίπτει γόνιμον· αἰτία δὲ ἡ τῆς
θερμότητος ἀνάμιξις· τὸ μὲν γὰρ ὀξὺ καὶ καθαρὸν τοῦ πυρὸς ἄπεισιν ἀστραπὴ
γενόμενον· τὸ δὲ ἐμβριθὲς, καὶ πνευματῶδες ἐνειλούμενον τῷ νέφει καὶ συμμε-
ταβάλλον ἐξαίρει τὴν ψυχρότητα, καὶ συνεκπίνει τὸ ὑγρὸν, ὥστε μάλιστα τὸ
προσηνὲς

προσηνὲς ἐνδύεσθαι τοῖς βλαστάνουσι καὶ ταχὺ παχύνειν, ἐπεὶ δὲ καὶ κράσεων
ἰδιότητα, καὶ χυμοῦ διαφορὰν ἐμποιεῖν τὰ τοιαῦτα τοῖς ἀρδομένοις· ὥσπερ αἵ
τε δρόσοι γλυκυτέραν ποιοῦσι τοῖς θρέμμασι τὴν πόαν, καὶ τὴν ἶριν ἐξανθοῦ
τὰ νέφη καθ' ὧν ἂν ἐπερείσῃ ξύλων εὐωδίας ἀναπίμπλησι, καὶ ταύτῃ γνωρίζον-
τες οἱ παρ' ἡμῖν ἱερεῖς αὐτὰ καλοῦσι τὴν ἶριν ὑπολαμβάνοντες ἐπισκήπτειν· πολ-
λῷ δὲ μᾶλλον εἰκός ἐστι τοῖς ἀστραπαίοις, καὶ κεραυνίοις ὕδασι καὶ πνεύμασι, καὶ
θερμότησιν εἰς βάθος ἐλαυνομέναις τὴν γῆν στρέφεσθαι, καὶ συστροφὰς ἴσχειν
τοιαύτας καὶ χαυνότητας, ὥσπερ ἐν τοῖς σώμασι τὰ χοιραδώδη καὶ ἀδενώδη
φύματα θερμότητές τινες καὶ ὑγρότητες αἱματώδεις ἐνδημιουργοῦσιν· οὐ γὰρ
ἔοικε   τῷ τὸ ὕδνον οὐδὲ ἄνευ ὕδατος ἔχει τὴν γένεσιν, ἀλλὰ ἄριζον καὶ
          τος ἔτι καὶ ἀπολελυμένον τῷ καθ' ἑαυτὸ τὴν στάσιν ἐκ τῆς γῆς ἔχειν
παθούσης τι καὶ μεταβαλούσης· εἰ δέ γε γλίσχρος ἔφην ὁ λόγος ὑμῖν δοκεῖ, τοιαῦ-
τά τοι τὰ πλεῖστα τῶν βρονταῖς καὶ κεραυνοῖς συνεπομένων· διὸ καὶ μάλιστα
τοῖς πάθεσι τούτοις δόξα θειότης πρόσεστι· παρὼν δὲ ὁ ῥήτωρ Δωρόθεος ὀρθῶς
ἔφη λέγεις· οὐ γὰρ μόνον οἱ πολλοὶ καὶ ἰδιῶται τοῦτο πεπόνθασιν, ἀλλὰ καὶ τῶν
φιλοσόφων τινές· ἐγὼ γοῦν οἶδα κεραυνοῦ παρ' ἡμῖν εἰς οἰκίαν ἐμπεσόντος, καὶ
πολλὰ θαυμαστὰ δράσαντος· οἶνόν τε γὰρ ἐκ πίθων διεφόρησε, τοῦ κεράμου μη-
δὲν παθόντος· ἀνθρώπου τε καθεύδοντος διαπτάμενος, οὔτε αὐτὸν ἠδίκησεν, οὔ-
τε τῆς ἐσθῆτος ἔθιγε· ζώνην δὲ χαλκοῦς ἔχουσαν ὑπεζωσμένου διέτηξε· τὸ νο-
          μα πᾶν καὶ συνέχεεν· φιλοσόφῳ δὲ παρεπιδημοῦντι Πυ-
θαγορικῷ προσελθόντα, καὶ διαπυνθανόμενον· τὸν δὲ ἀφοσιωσάμενον, καὶ κε-
λεύσαντα καθ' ἑαυτὸν ὁρᾶν καὶ προσεύχεσθαι τοῖς θεοῖς· ἀκούω δὲ καὶ στρατιώ-
του φυλάττοντος ἱερὸν ἐν Ῥώμῃ κεραυνὸν ἐγγὺς πεσόντα, διακαῦσαι τῶν ὑποδη-
μάτων τοὺς ἱμάντας, ἄλλο δὲ μηδὲν κακὸν ἐργάσασθαι, καὶ λυχνίων ἀργυρῶν
ξυλίνοις ἐγκειμένοις ἐλύτροις· τὸ μὲν ἄργυρον συντῆξαι τακέντα, τὸ δὲ ξύλον
ἄθικτον καὶ ἀπαθὲς εὑρεθῆναι, καὶ ταῦτα μὲν ἔξεστι πιστεύειν, καὶ μή· πάντων δὲ θαυ-
μασιώτατον, ὃ πάντες ὡς ἔπος εἰπεῖν ἴσμεν· ὅτι τῶν ὑπὸ κεραυνοῦ διαφθαρέν-
των, ἄσηπτα τὰ σώματα διαμένει· πολλοὶ γὰρ, οὔτε καίουσιν, οὔτε κατορύττου-
σιν, ἀλλ' ἐῶσι περιφράξαντες, ὥστε ὁρᾶσθαι τοὺς νεκροὺς ἀσήπτους ἀεὶ τὴν Εὐρι-
πίδου Κλυμένην ἐλέγχοντας, ἐπὶ τοῦ Φαέθοντος εἰποῦσαν· φίλος δέ μοι, ἄλ-
ουτος ἐν φάραγξι σήπεται νέκυς· ὅθεν οἶμαι καὶ τὸ θεῖον ὠνομάσθαι τῇ ὁμοιότητι
τῆς ὀσμῆς, ἣν τὰ παιόμενα τοῖς κεραυνοῖς ἀφίησιν ἐκτριβομένην πυρώδη καὶ
δριμεῖαν· ὑφ' ἧς ἐμοὶ δοκοῦσι καὶ κύνες, καὶ ὄρνιθες ἀπέχεσθαι τῶν διοβλήτων
σωμάτων· ἐμοὶ γοῦν ἄχρι τούτου τῆς αἰτίας ὥσπερ δάφνης παρατετάχθω· τὰ
δὲ λοιπὰ, τοῦτον ἔφη παρακαλῶμεν· ἐπεὶ καὶ τοῖς ὕδνοις ἐνευημέρηκεν, ἵνα μὴ
πάθωμεν τὸ τοῦ Ἀνδροκύδους· ἐκεῖνος γὰρ ὧν ἐποίησε πάντων ἐναργέστερα, καὶ μά-
λιστα τοὺς περὶ τὴν Σκύλλαν ἰχθῦς ζωγραφήσας ἔδοξε τῷ πάθει μᾶλλον ἢ τέχνῃ
χρῆσθαι· φύσει γὰρ ἦν φίλοψος· οὕτω φησί τις καὶ ἡμᾶς ὑπὸ ἡδονῆς φιλοσοφή-
σαντας περὶ τῶν ὕδνων ἀμφισβητήσιμον ἐχόντων τὴν γένεσιν, ὡς ὁρᾷς· ἐν δὲ τού-
τοις ὑποκειμένης τῷ λόγῳ τῆς εὐπειθείας καὶ τὴν αἰτίαν προδήλῳ τῷ εἶναι
πειθούσης· ἐμοῦ δὲ παρακελευομένου, καὶ λέγοντος καιρὸν εἶναι καθάπερ ἡ κω-
μῳδία μηχανὰς αἴροντας καὶ βροντὰς ἐμβάλλοντα παρὰ πότον διαλέγεσθαι περὶ
κεραυνῶν· τὰ μὲν ἄλλα, πάρεισι συνομολογοῦντες· περὶ δὲ τῶν ἐν τοῖς καθεύ-
δουσι μὴ κεραυνουμένων ἀκοῦσαι τί βουλόμενοι λιπαρεῖς ἦσαν· ἐμοὶ δὲ πλεῖον
οὐδὲν ἐγίνετο τῆς αἰτίας ἁψαμένῳ κοινὸν ἐχούσης τὸν λόγον· ὅμως δ' οὖν ἔφην, ὡς
τὸ κεραύνιον πῦρ ἀκριβείᾳ καὶ λεπτότητι θαυμαστόν ἐστιν αὐτόθεν περὶ τὴν γε-

νεσιν ἐκ καθαρᾶς καὶ ἁγνῆς ἔχον οὐσίας, καὶ πᾶν εἴ τι συμμίγνυται νοτερὸν ἢ γεῶδες αὐτῷ τῆς περὶ τὴν κίνησιν ὀξύτητος ἀποσειομένης, καὶ διακαθαιρούσης. διόβλητον μὲν οὐδὲν, ὡς φησὶ δημόκριτος

παραυθείης στέγειν

σέλας τὰ μὲν οὖν πυκνὰ τῶν σωμάτων

χαλκὸς ἄργυρος ἀποστέγει καὶ φθείρεται καὶ τήκεται πάσχοντα τῷ προσμάχεσθαι καὶ ——— ἀντερείδειν. τῶν δὲ ἀραιῶν καὶ πολυπόρων καὶ χαλώντων ὑπὸ μανότητος ἀψαυστὶ διεκθεῖ καθαρίματίων καὶ ξύλων αὔων. τὰ δὲ χλωρὰ καίει τῆς ὑγρότητος ἀντιλαμβανομένης, καὶ συνεξαπτομένης. εἴπερ οὖν τὸ τοὺς καθεύδοντας μὴ ἀποθνήσκειν ὑπὸ κεραυνῶν ἀληθές ἐστιν, ἐνταῦθα δεῖ ζητεῖν, οὐκ ἀλλαχόθι τὴν αἰτίαν. μᾶλλον γὰρ ἔρρωται, καὶ συνέστηκε, καὶ ἀντερείδει τὰ σώματα τῶν ἐγρηγορότων. ἅτε δὴ πᾶσι τοῖς μορίοις πεπληρωμένα πνεύματος. ὑφ' οὗ καὶ τὰς αἰσθήσεις ἐπιστρέφοντος, ὥσπερ ἐν ὀργάνῳ, καὶ σφίγγοντος εὔτονον γέγονε, καὶ συνεχὲς αὐτῷ καὶ πυκνὸν τὸ ζῷον. ἐν δὲ τοῖς ὕπνοις ἐξανεῖται, καὶ μανικὸν, καὶ ἀνώμαλον, καὶ ἄτονον, καὶ διακεχυμένον, καὶ πόρους ἔσχε πολλοὺς, τοῦ πνεύματος ἐνδιδόντος καὶ ἀπολείποντος, δι' ὧν φωναί τε καὶ ὀσμαὶ διεκθέουσι, μηδεμίαν αἴσθησιν ἑαυτῶν παρέχουσαι. τὸ γὰρ ἀντερεῖδον, καὶ τῷ ἀντερείδειν πάσχον, οὐκ ἀπαντᾷ τοῖς προσφερομένοις. ἥκιστα δὲ τοῖς ὑπὸ λεπτότητος καὶ ὠκύτητος τοιαύτης, ὥσπερ ὁ κεραυνὸς διϊσταμένοις. τὰ μὲν γὰρ ἧττον ἰσχυρὰ δυσπαθείαις ἡ φύσις ἀμύνεται, σκληρότητας προβαλλομένη καὶ πυκνότητας. ὧν δὲ ἄμαχος ἡ δύναμίς ἐστιν, ὑπὸ τούτων ἧττον ἀδικεῖται τὰ εἴκοντα τῶν ἀνθισταμένων. προσέλαβε δὲ τούτοις ἔφην ἔτι μικρὰν ἔκπληξιν πρὸς τὰ τοιαῦτα καὶ φόβον, καὶ τάρβος. ὑφ' ὧν πολλοὶ μηδὲν ἄλλο παθόντες αὐτῷ τῷ δεῖσαι ἀποθανεῖν, ἀπέθανον. καὶ γὰρ τὰ θρέμματα διδάσκουσι βροντῆς γενομένης οἱ ποιμένες εἰς ταυτὸ συνθεῖν, καὶ συννεύειν. τὰ γὰρ σποράδην ἀπολειφθέντα διὰ τὸν φόβον ἐκτιτρώσκει, καὶ μυρίους ἤδη τεθνηκότας ἰδεῖν ἐστιν ὑπὸ βροντῆς, οὐδὲν οὔτε πληγῆς ἴχνος, οὔτε καύσεως ἔχοντας. ἀλλ' ὑπὸ φόβου τῆς ψυχῆς, ὡς ἔοικεν, ὄρνιθος δίκην ἀποπταμένης τοῦ σώματος. πολλοὺς γὰρ ὡς ὁ εὐριπίδης φησὶν βροντῆς πνεῦμα ἀναίμον ὤλεσε. καὶ γὰρ ἄλλως τῶν αἰσθητηρίων ἡ ἀκοὴ παθητικώτατόν ἐστι, καὶ μεγίστας οἱ διὰ ψόφου θόρυβοι καὶ φόβοι ταραχὰς ἐπιφέρουσιν, ὧν τῷ καθεύδοντι πρόβλημα, τὸ ἀναίσθητόν ἐστιν. οἱ δὲ ἐγρηγορότες, καὶ ταῖς προπαθείαις ἀναλίσκονται, καὶ τοῦ δέους τὸ σῶμα συνδέοντος, ὡς ἀληθῶς, καὶ συνάγοντος καὶ πυκνοῦντος ἰσχυρὰν, ποιοῦσι τὴν πληγὴν τῷ ἀντερείδειν.

γ'.

Διατί πλείστους ἐν γάμοις ἐπὶ δεῖπνον καλοῦσιν.

Ἐν τοῖς αὐτοβούλου τοῦ υἱοῦ γάμοις συνεώρταζεν ἡμῖν παρὼν ἐκ χαιρωνείας ὁ σόσσιος σενεκίων, καὶ πολλῶν ἄλλων τε τῇ τότε ἑορτῇ μάλα πρεπόντων

ας δι' ὧν πλεῖστοι

ἀφορμὰς καὶ περὶ τῆ

τῶν ἄλλων ἐπὶ τὰ γαμικὰ δεῖπνα παραλαμβάνονται διηπόρησε. καὶ γὰρ τῶν νομοθετῶν τοὺς τῇ πολυτελείᾳ κατακράτος πολεμήσαντας, ὁρίσαι μάλιστα τὸν εἰς τοὺς γάμους καλουμένων τὸ πλῆθος. ὁ γὰρ εἰπὼν ἔφη περὶ τῆς αἰτίας αὐτῆς τῶν παλαιῶν φιλοσόφων. οὐδὲν ἐμοὶ γοῦν δοκεῖ τι πιθανὸν εἴρηκεν ἑκαταῖος ὁ ἀβδηρίτης. λέγει δὲ τοὺς ἀγομένους γυναῖκας πολλοὺς παρακαλεῖν ἐπὶ τὴν ἑστίασιν, ἵνα πολλοὶ συνειδῶσι καὶ μαρτυρῶσιν ἐλευθέροις οὖσι, καὶ παρ' ἐλευθέρων γαμοῦσι. τοὐναντίον γὰρ οἱ κωμικοὶ, τοὺς πολυτελῶς, καὶ σοβαρῶς λαμπρότητι δείπνων, καὶ παρασκευῇ γαμοῦντας, ὡς οὐ βεβαίως οὐδὲ θαρραλέως

λέως ἐπισυνάπτουσιν, ὡς ὁ μένανδρος πρὸς τὸν κελεύοντα ταῖς λοπάσι περιφράττειν.

δεινῶς οὐ πρᾶγμα νύμφης λέγεις. ἀλλ' ἡμᾶς μὴ

σον ἐγκαλεῖν ἑτέροις δοκῶμεν, αὐτοὶ μηδὲν λέγοντες ἀποφαίνου. πρῶτος εἶπον ἐγὼ, οὐδεμίαν ἑστιάσεως πρόφασιν, οὕτως ἔκδηλον εἶναι, καὶ περιβόητον, ὡς τὴν τῶν γαμούντων. καὶ γὰρ θύοντες θεοῖς, καὶ προπέμποντας φίλον, καὶ ξενίζοντας, ἔστι πολλοὺς διαλαθεῖν τῶν ἐπιτηδείων. ἡ δὲ γαμήλιος τράπεζα κατήγορον ἔχει τὸν ὑμέναιον μέγα βοῶντα, καὶ τὴν δᾷδα καὶ τὸν αὐλὸν ἅ φησιν ὅμηρος, καὶ τὰς γυναῖκας ἱσταμένας ἐπὶ ταῖς θύραις θαυμάζειν, καὶ θεᾶσθαι. διὸ μηδενὸς ἀγνοοῦντος τὴν ὑποδοχὴν, καὶ τὴν κλῆσιν αἰσχυνόμενοι παραλιπεῖν, πάντας τοὺς συνήθεις, καὶ οἰκείους, καὶ ἁμωσγέπως

προσήκοντας αὐτοῖς παραλαμβάνουσιν. ἀποδεξαμένων δὲ ἡμῶν, ὑπολαβὼν ὁ θέων καὶ τοῦτο ἔφη κείσθω. οὐκ ἀπίθανον γάρ ἐστι, κἀκεῖνο πρόσθες εἰ βούλει, τὰς τοιαύτας ἑστιάσεις, μὴ μόνον φιλικὰς, ἀλλὰ καὶ συγγενικὰς εἶναι, καταμιγνυμένης εἰς τὸ γένος ἑτέρας οἰκειότητος. ὃ δὲ τούτου μεῖζόν ἐστιν οἴκων εἰς τὸ αὐτὸ συνιόντων δυεῖν, ὅτε λαμβάνων τοὺς τοῦ διδόντος οἰκείους καὶ φίλους, ὅτε διδοὺς τοὺς τοῦ λαμβάνοντος. οἰόμενοι δεῖν φιλοφρονεῖσθαι διπλασιάζουσι τὴν ὑποδοχήν. ἐπεὶ πολλὰ τῶν γαμικῶν, ἢ τὰ πλεῖστα δρᾶται διὰ γυναικῶν. ὅπου δὲ γυναῖκες πάρεισι, καὶ τοὺς ἄνδρας ἀναγκαῖόν ἐστι παραλαμβάνεσθαι.

Εἰ ἡ θάλασσα τῆς γῆς εὐοψοτέρα.

δ'.

Τῆς εὐβοίας ὁ αἰδηψὸς, οὗ τὰ θερμὰ χωρίον ἐστὶν αὐτοφυὲς, πολλὰ πρὸς ἡδονὰς ἔχον ἐλευθερίους καὶ κατεσκευασμένον οἰκήσεσι καὶ διαίταις. κοινὸν οἰκητήριον ἀποδέδεικται τῆς ἑλλάδος. πολλῶν δὲ καὶ πτηνῶν καὶ χερσαίων ἁλισκομένων οὐχ ἧττον ἡ θάλαττα παρέχει τὴν ἀγορὰν εὐτράπεζον. ἐν τόποις καθαροῖς καὶ ἀγχιβαθέσι γενναῖον ἰχθὺν καὶ πολὺν ἐκτρέφουσα. μάλιστα δὲ ἀνθεῖ τὸ χωρίον ἀκμάζοντος ἔαρος. πολλοὶ γὰρ ἀφικνοῦνται τὴν ὥραν αὐτόθι, καὶ συνουσίας ποιοῦνται μετ' ἀλλήλων ἐν ἀφθόνοις πᾶσι, καὶ πλείστας περὶ λόγους ὑπὸ σχολῆς διατριβὰς ἔχουσι. καλλιστράτου δὲ τοῦ σοφιστοῦ παρόντος, ἔργον ἦν ἀλλαχόθι δειπνεῖν. ἄμαχος γὰρ ἡ φιλοφροσύνη, καὶ τὸ πάντας εἰς τὸ αὐτὸ συνάγειν ἐπιεικῶς τοὺς χαρίεντας ἥδιστον παρεῖχε. πολλάκις μὲν ἐμιμεῖτο τῶν παλαιῶν τὸν κίμωνα. πολλοὺς καὶ παντοδαποὺς ἑστιῶν ἡδέως. ἀεὶ ὡς ἔπος εἰπεῖν τὸν κελεὸν, ὃν πρῶτον ἱστοροῦσιν εὐδοκίμων καὶ ἀγαθῶν ἀνδρῶν κατασκευάσαντα σύνοδον καθημερινὴν ὀνομάσαι πρυτανεῖον. ἐγίνοντο δὲ λόγοι τοιοῦτοι συνουσίᾳ πρέποντες ἑκάστοτε. καί ποτε παρέχον αἱ τράπεζαι ποικιλώταται γινόμεναι, ζήτησιν ὑπὲρ ὄψων. πότερον τὰ ἐκ γῆς, ἢ τὰ ἐκ θαλάττης ἐπιτηδειότερα, καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων ὑμνούντων τὰ ἐκ γῆς, πολλὰ καὶ παντοδαπὰ καὶ δυσεξαρίθμητα τοῖς γένεσι, καὶ ταῖς διαφοραῖς, τὸν σύμμαχον ὁ πολυκράτης προσαγορεύσας. σοὶ δ' εἶπεν ἀμφίαλον ὢν ζῷον, καὶ τοσαύταις ἐντεθραμμένος θαλάτταις, αἳ τὴν ἱερὰν περὶ ὑμῶν ἑλίττουσι νικόπολιν, οὐκ ἀμύνεις τῷ ποσειδῶνι. βούλομαι γένη δι' ἃ ὁ σύμμαχος εἶπε. καὶ σὲ παραλαμβάνω, καὶ παρακαλῶ τὰ ἥδιστα τῆς ἀχαϊκῆς καρπούμενον θαλάττης. οὐκοῦν ἔφη πρῶτον ὁ πολυκράτης ἴωμεν ἐπὶ τὴν συνήθειαν, ὡς γὰρ πολλῶν ὄντων ποιητῶν ἕνα τὸν κράτιστον ἐξαιρέτως ποιητὴν καλοῦμεν, οὕτως πολλῶν ὄντων ὄψων, ἐκνενίκηκεν ὁ ἰχθὺς μόνον, ἢ μάλιστά γε ὄψον καλεῖσθαι, διὰ τὸ πολὺ πάντων ἀρετῇ κρατεῖν. καὶ γὰρ ὀψοφάγους, καὶ ὀλιψύχους λέγομεν, οὐχὶ τοὺς βοείοις χαίροντας ὥσπερ ἡρακλῆς, ὃς τοῖς κέρασι χλωρὰ σῦκα ἔχων ἤσθιεν. οὐδὲν τὸν φιλόσοφον, οἷος ἦν πλάτων, οὐ φιλόβοτρυν, οἷος ἀρκεσίλαος, ἀλλὰ τοὺς περὶ τὴν ἰχθυοπωλίαν ἀναδιδόντας ἑκάστοτε, καὶ

τοῦ κόνωνος ὀξέως ἀκούοντας, καὶ ὁ Δημοσθένης τὸν Φιλοκράτην φησὶν ἐκ τοῦ
προδοτικοῦ χρυσίου, πόρνας καὶ ἰχθῦς ἀγοράζειν, ἐπ' ὀψοφαγίᾳ, καὶ ἀσελγείᾳ
τὸν ἄνδρα λοιδορῶν· ὁ δὲ Κτησιφῶν οὐ κακῶς ὀψοφάγου τινὸς ἐν τῇ βουλῇ βοῶν-
τος ῥαγήσεσθαι· μηδαμῶς εἶπεν ὦ ἄνθρωπε ποιήσῃς ἡμᾶς ἰχθυοβρώτους· ὁ δὲ τὸ
στιχίδιον τοῦτο ποιήσας· πρὸς καππάριον ζῆν δυνάμενος πρὸς ἀνθίαν τί ποτε
βάλλεται· τί δ' οἱ πολλοὶ βούλονται πρὸς θεῶν ὅταν ἡδέως γενέσθαι παρα-
καλοῦντες ἀλλήλους λέγωσι, σήμερον ἀκτάσωμεν, οὐχὶ τὸ παρ' ἀκτῇ, δεῖπνον
ἥδιστον ἀποφαίνουσιν, ὥσπερ ἐστίν; οὐ διὰ τὰ κύματα καὶ τὰς ψηφῖδας· τί γὰρ ἐπ'
ἀκτῆς, τίς λέκυθον ὄψεται καὶ κάππαριν, ἀλλ' ὡς ἰχθύος ἀφώνου καὶ νεκροῦ
τὴν παράλιον τράπεζαν εὐποροῦσαν, καὶ μέντοι καὶ πιπράσκεται παρὰ λόγον,
ἁπάντων τιμιώτατον τὸ θαλάττιον ὄψον· ὁ γοῦν Κάτων οὐχ ὑπερβολικῶς, ἀλλ'
ἀληθῶς πρὸς τὴν τρυφὴν καὶ πολυτέλειαν τῆς πόλεως δημηγορῶν εἶπεν, ὅτι πλεί-
ονος πιπράσκεται ἐν Ῥώμῃ ἰχθύς, ἢ βοῦς· κεράμιόν τε γοῦν πωλοῦσι τιμῆς, ὅσον
οὐκ ἂν ἑκατόμβη βούπρωρος ἄλφοι καταπειθής· καίτοι φαρμάκων δυνάμε-
ως, ὁ ἰατρικώτατος ἄριστος κριτής, καὶ μελῶν ἀρετῆς ὁ φιλομουσότατος· ἐκ
οὖν καὶ ἀρετῆς ὄψων, ὁ φιλοψότατος· οὐδὲ γὰρ Πυθαγόρᾳ γε τούτων, οὐδὲ Ξενο-
κράτει διαιτητῇ χρηστέον· Ἀνταγόρᾳ δὲ τῷ ποιητῇ, καὶ Φιλοξένῳ τῷ Ἐρύξιδος,
καὶ τῷ ζωγράφῳ Ἀνδροκύδῃ ὅν φασι τὴν Σκύλλαν ζωγραφοῦντα, τοὺς περὶ
αὐτὴν ἰχθῦς ἐμπαθέστατα, καὶ ζωτικώτατα δι' ὀψοφαγίαν ἐξεργάσασθαι· Ἀν-
ταγόρᾳ δὲ ὁ βασιλεὺς Ἀντίγονος ἐν τῷ στρατοπέδῳ λοπάδα γόγγρων ἕψοντι περι-
εζωσμένῳ παραστάς, ἆρά γε εἶπε τὸν Ὅμηρον οἴει, τὰς τοῦ Ἀγαμέμνονος πράξεις
ἀναγράφειν γόγγρους ἕψοντα; κἀκεῖνος οὐ φαύλως, σὺ δὲ οἴει ἔφησε τὸν Ἀγαμέ-
μνονα τὰς πράξεις ἐκείνας ἐργάσασθαι· πολυπραγμονοῦντα τίς ἐν τῷ στρατο-
πέδῳ, γόγγρον ἕψει; ταῦτα εἶπεν ὁ Πολυκράτης· ἐγὼ δὲ συμβάλλομαι, καὶ νὴ Δία
τοῖς ἰχθυοπώλαις ἀπὸ τῶν μαρτύρων, καὶ τῆς συνηθείας· ἐγὼ δὲ ὁ Σύμμαχος εἶ-
φη, τῷ πράγματι μετὰ σπουδῆς πρόσειμι καὶ διαλεκτικώτερον, εἰ γοῦν ὄψον
ἐστὶ τὸ τὴν τροφὴν ἐφηδῦνον, ἄριστον ἂν ὄψον εἴη τὸ μάλιστα, τὸ τὴν ὄρεξιν ἐπὶ τὸ σι-
τίον κατάγειν δυνάμενον· ὥσπερ οὖν οἱ προσαγορευθέντες ἐλπιστικοὶ φιλόσοφοι
συνεκτικώτατον εἶναι τοῦ βίου τὸ ἐλπίζειν ἀποφαι- νεκτὸν εἶναι τὸν
τῇ πάσης ἐλπίδος οὐχ ἡδυνούσης.
βίον, οὕτως καὶ τῆς ἐπὶ τὴν τροφὴν ὀρέξεως, συνεκτικὸν θετέον, οὗ μὴ παρόντος
ἄχαρις γίνεται τροφὴ πᾶσα, καὶ δύσπρω· τῶν μὲν οὖν ἐκ γῆς τοιοῦτον οὐδὲν εὖ-
ρήσεις· τῶν δὲ θαλαττίων τὸ ἅλας πρῶτον οὐδὲν ὡς ἕτερος εἰπεῖν ἔστιν ἐδώδιμον, ἀλ-
λὰ καὶ τὸν ἄρτον οὗτος ἐμμιγνύμενος συνηδύνει· διὸ καὶ Δήμητρος σύνναος ὁ Πο-
σειδῶν, καὶ τῶν ἄλλων ὄψων οἱ ἅλες ἥδιον ὄψον εἰσίν· οἱ γοῦν ἥρωες εὐτελοῦς καὶ
λιτῆς ἐθάδες ὥσπερ ἀσκηταὶ διαίτης ὄντες, καὶ τῆς τροφῆς πᾶσαν ἡδονὴν ἐπί-
θετον καὶ περίεργον ἀφελόντες, ὡς μηδὲ ἰχθύσι χρῆσθαι, παρὰ τὸν Ἑλλήσπον-
τον στρατοπεδεύοντες, οὐχ ὑπέμειναν· τὰ κρέα χωρὶς ἁλῶν προσφέρεσθαι· μαρ-
τυροῦντες ὅτι τοῦτο τῶν ὄψων μόνον ἀπαραίτητόν ἐστιν, ὡς γὰρ τὰ χρώματα
τος οὕτως οἱ χυμοί.
σαι τὴν αἴσθησιν· εἰ μὴ βα-
λος δέονται πρὸς τὸ
ρεῖς τῇ γεύσει προσαπίπτουσι, καὶ ναυτιώδεις· νέκυες γοῦν κοπρίων ἐκβλητότε-
ροι καθ' Ἡράκλειτον· κρέας δὲ πᾶν νεκρόν ἐστι, καὶ νεκροῦ μέρος· ἡ δὲ τῶν ἁλῶν δύνα-
μις, ὥσπερ ψυχὴ παραγενομένη, χάριν αὐτῷ καὶ ἡδονὴν προστίθησι· διὸ καὶ
προλαμβάνουσι τῆς ἄλλης τροφῆς τὰ δριμέα καὶ τὰ ἁλμυρά, καὶ ὅλως ὅσα
μάλιστα τῶν ἁλῶν μετέσχηκε· γίνεται γὰρ φίλτρα ταῦτα τῇ ὀρέξει, πρὸς τὰ ἄλ-

λα ὄψα, καὶ δελεασθεῖσα διὰ τούτων, ἐπ' ἐκεῖνα πρόσεισι νεαλὴς καὶ πρόθυμος.
ἐὰν δὲ ἀπ' ἐκείνων ἄρξηται ταχέως ἀπαγορεύει· οὐ μόνον τοίνυν πρὸς τὴν τρο-
φήν, ἀλλὰ καὶ πρὸς τὸ ποτὸν ὄψον εἰσὶν οἱ ἅλες· τὸ μὲν γοῦν ὁμηρικὸν ἐκεῖνο κρόμμυον
ποτοῦ ὄψον, ναύταις καὶ κωπηλάταις μᾶλλον ἢ βασιλεῦσιν ἐπιτήδειον ἦν, τὰ
δὲ ὑφαλμυρίζοντα, μετρίως τῶν σιτίων δι' εὐστομίαν· πᾶν μὲν οἴνου γένος ἡδὺ
τῇ γεύσει καὶ λεῖον ἐπάγει, πᾶν δὲ ὕδωρ προσφιλὲς παρέχεσθαι ἄλιμον·
ἀηδίας δὲ καὶ δυσχερείας, ἣν ἐμποιεῖ τὸ κρόμμυον, οὐδὲ ὀλίγον μετέσχηκεν, ἀλλὰ
καὶ διαφορεῖ τὴν ἄλλην τροφήν, καὶ παραδίδωσιν εὐπειθῆ καὶ μαλακωτέραν
τῇ ὄψει· εὔχαριν μὲν γὰρ ὄψου, δύναμιν δὲ φαρμάκου, τῷ σώματι τῶν ἄλλων
προσφερομένων· καὶ μὴν τά γε ἄλλα θαλάττης ὄψα πρὸς τῷ ἡδίστῳ, καὶ τὸ ἀ-
βλαβέστατον ἔχει· κρεώδη μὲν γάρ ἐστιν, οὐ βαρύνει δὲ ὁμοίως· ἀλλὰ καταπέπτε-
ται, καὶ διαφορεῖται ῥᾳδίως· μαρτυρήσει δὲ οὑτοσὶ Ζήνων, καὶ νὴ Δία Κράτων
οἱ τοὺς ἀσθενοῦντας πρὸ τῶν ἄλλων ἁπάντων ἐπὶ τὸν ἰχθὺν ἄγοντες, ὡς κουφό-
τατον ὄψον, καὶ λόγον ἔχει, τὴν θάλατταν ὑγιεινά, καὶ διαπεπονημένα τοῖς σώ-
μασιν ἐκτρέφειν· εἴ γε καὶ ἡμῖν ἀέρα λεπτότητι καὶ καθαρότητι πρόσφορον ἀνα-
δίδωσιν· ὀρθῶς ἔφη λέγεις ὁ Λαμπρίας, ἀλλ' ἔτι τῷ λόγῳ προσφιλοσοφή-
σωμεν· ὁ γὰρ ἐμός σοι πάππος εἰώθει λέγειν ἑκάστοτε τοὺς Ἰουδαίους ἐπισκώ-
πτων, ὅτι τὸ δικαιότατον κρέας οὐκ ἐσθίουσιν· ἡμεῖς δὲ φήσομεν δικαιότατον ὄ-
ψον εἶναι τὸ ἐκ θαλάττης· πρὸς μέν γε ταυτὶ τὰ χερσαῖα, κἂν ἄλλο μηδὲν ἡμῖν
ᾖ δίκαιον, ἀλλὰ τρέφεταί γε τοῖς αὐτοῖς, καὶ λαμβάνει τὸν ἀέρα, καὶ λουτρὰ
καὶ ποτὸν αὐτοῖς ἅπερ ἡμῖν ἐστι· νίκαι σφάττοντες ἐδυσωποῦντο φωνὴν ἀφιέν-
τα γοερὰν, καὶ τὰ πλεῖστα πεποιημένοι συνήθη καὶ σύντροφα ταῖς διαίταις, τὸ
δὲ τῶν ἐναλίων γένος ἔκφυλον ὅλως καὶ ἄποικον ἡμῶν ὥσπερ ἐν ἄλλῳ τινὶ κό-
σμῳ γεγονότων, καὶ ζώντων, οὔτε ὄψις, οὔτε φωνή τις, οὔτε ὑπουργία παραιτεῖ-
ται τῆς προς
οὐδὲν γοῦν αὐτοῖς ἔχει χρήσασθαι ζῶον, ὃ
μὴ δὲ ὅλως ζῇ παρ' ἡμῖν· οὐδὲ δεῖ τινος ἐπ' αὐτὰ στοργῆς, ἀλλ' ὥσπερ ᾅδης αὐ-
τοῖς ἐστιν οὗτος ὁ παρ' ἡμῖν τόπος· ἐλθόντα γὰρ εἰς αὐτὸν εὐθέως τέθνηκεν.

Πότερον οἱ Ἰουδαῖοι σεβόμενοι τὴν ὗν, ἢ δυσχεραί-
νοντες ἀπέχονται τῶν κρεῶν. ε.

Ἐπεὶ δὲ ταῦτα ἐρρήθη, βουλομένων τινῶν ἀντικατατείνειν, τὸν ἕτερον λόγον ἐκκρού-
σαι ὁ Καλλίστρατος ἔφη· πῶς ἡμῖν δοκεῖ λελέχθαι τὸ πρὸς τοὺς Ἰουδαίους, ὅτι τὸ
δικαιότατον κρέας οὐκ ἐσθίουσι· ὑπερφυῶς ἔφη ὁ Πολυκράτης· ἐγὼ δὲ καὶ προσ-
διαπορῶ, πότερον οἱ ἄνδρες τιμῇ τινι τῶν ὑῶν, ἢ μυσαττόμενοι τὸ ζῶον ἀπέχον-
ται τῆς βρώσεως αὐτοῦ· τὰ γοῦν παρ' ἐκείνοις λεγόμενα μύθοις ἔοικεν· εἰ μή τινας
ἄρα λόγους σπουδαίους ἔχοντες οὐκ ἐκφέρουσιν· ἐγὼ μὲν τοίνυν εἶπεν ὁ Καλλί-
στρατος οἶμαί τινα τιμὴν τὸ ζῶον ἔχειν παρὰ τοῖς ἀνδράσιν· εἰ δὲ δύσμορφον ἡ ὗς
καὶ θολερόν
καὶ κανθάρου καὶ γρυ ἐκ κροκοδείλου
υρου τὴν ὄψιν ἀτοπωτάτην ἢ τὴν φύσιν ἀμουσότερον οἷς
ὡς ἁγιωτάτοις ἱερεῖς Αἰγυπτίων ἄλλοι προσφέρονται, τὴν δὲ ὗν ἀποχρῆσθαι,
καὶ τιμᾶσθαι λέγουσι· πρώτη γὰρ σχίσασα τῷ προύχοντι τῆς ἐρυχῆς, ὥς φασιν
τὴν γῆν, ἴχνος ἀρόσεως ἔθηκε, καὶ τὸ τῆς ὕνεως ὑφηγήσατο ἔργον· ὅθεν καὶ τοὔ-
νομα γενέσθαι τῷ ἐργαλείῳ λέγουσιν ἀπὸ τῆς ὕος· οἱ δὲ τὰ μαλθακὰ, καὶ κοῖλα
τῆς χώρας, Αἰγύπτιοι γεωργοῦντες, οὐδὲ ἀρότρου δέονται τοπαράπαν, ἀλλ' ἐ-
πὰν ὁ Νεῖλος ἀπορρυῇ, καταβρέξας τὰς ἀρούρας, ἐπακολουθοῦντες, τὰς ὗς
κατέβαλον· αἱ δὲ χρησάμεναι πάτῳ καὶ ὀρυχῇ, ταχὺ τὴν γῆν ἔστρεψαν ἐκ βάθους,

καὶ τὸν ἀπόξον ἀπέκρυψαν, οὐ δεῖ δὲ θαυμάζειν, εἰ διὰ τοῦτό τινες ὗς οὐκ ἐσθίουσιν, ἑτέρων ζώων μείζονας ἐπ᾽ αἰτίαις γλίσχραις. ἐνίων δὲ καὶ πάνυ γελοίαις, τιμὰς ἐχόντων παρὰ τοῖς βαρβάροις. τὴν μὲν γὰρ μυγαλῆν ἐκτεθειάσθαι λέγουσιν ὑπὸ Αἰγυπτίων τυφλὴν οὖσαν, ὅτι τὸ σκότος τοῦ φωτὸς ἡγοῦντο πρεσβύτερον· τίκτεσθαι δὲ αὐτὴν ἐκ μυῶν πέμπτῃ γενεᾷ νουμηνίας οὔσης. ἔτι δὲ μειοῦσθαι τὸ ἧπαρ ἐν τοῖς ἀφανισμοῖς τῆς σελήνης. τὸν λέοντα τῷ ἡλίῳ συνοικειοῦσιν, ὅτι τῶν γαμψωνύχων τετραπόδων βλέποντα τίκτει μόνος, κοιμᾶται δὲ ἀκαρὲς χρόνου, καὶ ὑπολάμπει τὰ ὄμματα καθεύδοντος. κρῆναι δὲ κατὰ χάσματα τῶν λεοντείων ἐξίασι κρουνούς, ὅτι Νεῖλος ἐπάγει νέον ὕδωρ ταῖς Αἰγυπτίων ἀρούραις, ἡλίου τὸν λέοντα παροδεύοντος. τὴν δ᾽ ἶβιν φασὶν ἐκκολαφθεῖσαν εὐθὺς ἕλκειν δύο δραχμάς, ὅσον ἄρτι παιδίου γεγονότος καρδίαν. ποιεῖ δὲ τῇ τῶν ποδῶν ἀποτάσει πρὸς ἀλλήλους, καὶ πρὸς τὸ ῥύγχος ἰσόπλευρον τρίγωνον, καὶ τί ἄν τις Αἰγυπτίους αἰτιῷτο τῆς τοσαύτης ἀλογίας, ὅπου καὶ τοὺς Πυθαγορικοὺς ἱστοροῦσι, καὶ ἀλεκτρυόνα λευκὸν σέβεσθαι, καὶ τῶν θαλαττίων μάλιστα τρίγλης καὶ ἀκαλήφης ἀπέχεσθαι. τοὺς δὲ ἀπὸ Ζωροάστρου μάγους, τιμᾶν μὲν ἐν τοῖς μάλιστα τὸν χερσαῖον ἐχῖνον, ἐχθαίρειν δὲ τοὺς ἐνύδρους μῦς, καὶ τὸν ἀποκτείνοντα πλείστους θεοφιλῆ καὶ μακάριον νομίζειν. οἶμαι δὲ καὶ τοὺς Ἰουδαίους, εἴπερ ἐβδελύττοντο τὴν ὗν ἀποκτείνειν ἄν, ὥσπερ οἱ μάγοι τοὺς μῦς ἀποκτείνουσι· νῦν δὲ ὁμοίως τῷ φαγεῖν τὸ ἀνελεῖν ἀπόρρητόν ἐστιν αὐτοῖς, καὶ ἴσως ἔχει λόγον, ὡς τὸν ὄνον δὲ ἀναφήναντα πηγὴν αὐτοῖς ὕδατος τιμῶσιν, οὕτως καὶ τὴν ὗν σέβεσθαι σπόρου καὶ ἀρότου διδάσκαλον γενομένην. νὴ Δία καὶ τὸν λαγωὸν φησί τις ἀπέχεσθαι τοὺς ἄνδρας, ὡς μυσαρὸν καὶ ἀκάθαρτον δυσχεραίνοντας τὸ ζῶον. οὐδ᾽ του δή

ὁ Λαμπρίας ὑπολαβών, ἀλλὰ τοῦ μὲν λαγὼ

τὴν πρὸς τὸν μέγαν ὑπ᾽ αὐτῶν μυ

σα θηρίον ἐμφερέστατον. ὁ τ

λαγώς, μεγέθους ἔοικε καὶ τάχους ἐν δεινοῖς εἶναι. καὶ γὰρ ἡ χρόα καὶ τὰ ὦτα, καὶ τῶν ὀμμάτων ἡ λιπαρότης, καὶ τὸ ἁλμυρὸν ἔοικε θαυμασίως, ὥστε μηδὲν οὕτω μηδὲ μικρὸν μεγάλῳ τὴν μορφὴν ὅμοιον γεγονέναι. εἰ μὴ νὴ Δία καὶ πρὸς τὰς ὁμοιότητας αἰγυπτιάζοντες τὴν ὠκύτητα τοῦ ζώου θεῖον ἡγοῦνται, καὶ τὴν ἀκρίβειαν τῶν αἰσθητηρίων. ὅ τε γὰρ ὀφθαλμὸς ἄτρυτός ἐστιν αὐτῶν, ὥστε καὶ καθεύδειν ἀναπεπταμένοις τοῖς ὄμμασιν. ὀξυηκοΐα δὲ δοκεῖ διαφέρειν, ἣν Αἰγύπτιοι θαυμάσαντες, ἐν τοῖς ἱεροῖς γράμμασιν, ἀκοὴν σημαίνουσιν, τοὺς λαγωοὺς γράφοντες, τὸ δὲ ὕειον κρέας, οἱ ἄνδρες ἀφοσιοῦσθαι

κοισὶν ὅτι

μάλιστα

οἱ βάρβαροι τὰς ἐπιλευκίας καὶ λέπρας δυσχεραίνουσι, καὶ τῇ προσβολῇ τὰ τοιαῦτα καταβόσκεσθαι πάθη τοὺς ἀνθρώπους οἴονται. ἐς ἂν δὲ ὗν ὑπὸ τὴν γαστέρα λέπρας ἀνάπλεων καὶ ψωρικῶν ἐξανθησάντων ὁρῶμεν. ἃ δὴ καχεξίας τινὸς ἐγγενομένης τῷ σώματι καὶ φθορᾶς ἐπιτρέχειν δοκεῖ τοῖς σώμασιν, οὐ μὴν ἀλλὰ καὶ τὸ θολερὸν περὶ τὴν δίαιταν τοῦ θρέμματος, ἔχει τινὰ πονηρίαν. οὐδὲν γὰρ ἄλλο βορβόρῳ χαῖρον, οὕτω καὶ τόποις ῥυπαροῖς καὶ ἀκαθάρτοις ὁρῶμεν ἔξω λόγου τιθέμενοι μετὰ τὴν γένεσιν, καὶ τὴν φύσιν ἐν αὐτοῖς ἔχοντα τούτοις. λέγουσι δὲ καὶ τὰ ὄμματα τῶν ὑῶν οὕτως ἐκκεκλάσθαι, καὶ κατεσπάσθαι ταῖς ὄψεσιν, ὥστε μηδενὸς ἀντιλαμβάνεσθαι μηδέποτε τῶν ἄνω, μηδὲ προσορᾶν τὸν οὐρανόν, ἂν μὴ φερομένων ὑπτίων ἀναστροφήν τινα παρὰ φύσιν αἱ κόραι λάβωσι. διὸ καὶ μάλιστα κραυγῇ χρώμενον τὸ ζῶον, ἡσυχάζειν ὅταν οὕτω φέρηται, καὶ σιωπᾶν καταπεθαμβημένον ἀηθίᾳ τὰ οὐράνια καὶ κρείττονι φόβῳ, τοῦ βοᾶν συνεχόμενον. εἰ δὲ δεῖ καὶ τὰ μυθικὰ προσλαβεῖν. λέγεται μὲν ὁ Ἄδωνις ὑπὸ τοῦ συὸς διαφθαρῆναι, τὸν δὲ

Ἄδωνιν, οὐχ ἕτερον, ἀλλὰ Διόνυσον εἶναι νομίζουσι, καὶ πολλὰ τῶν τελουμένων ἑκατέρῳ περὶ τὰς ἑορτὰς βεβαιοῖ τὸν λόγον. οἱ δὲ παιδικὰ τοῦ Διονύσου γεγονέναι, καὶ Φανοκλῆς ἐρωτικὸς ἀνὴρ οὐ δή που πεποίηκεν. εἰδὼς θεῖον Ἄδωνιν ὀρειφοίτης Διόνυσος ἥρπασεν ἠγαθέην Κύπριν ἐποιχόμενος. θαυμάσας δὲ τὸ εὐθὺ πάνυ ῥηθὲν ὁ Σύμμαχος, ἆρα ἔφη σὺ τὸν πατριώτην θεὸν ὦ Λαμπρία εὔιον ὀρσιγύναικα μαινομέναις ἀνθέοντα τιμαῖσι, Διόνυσον ἐγγράφεις καὶ ὑποποιεῖς τοῖς Ἑβραίων ἀπορρήτοις. ἢ τῷ ὄντι λόγος ἐστί τις ὁ τοῦτον ἐκείνῳ τὸν αὐτὸν ἀποφαίνων. ὁ δὲ Μοιραγένης ὑπολαβών, ἔα τοῦτον εἶπεν. ἐγὼ γὰρ Ἀθηναῖος ὢν ἀποκρίνομαί σοι καὶ λέγω, μηδένα ἄλλον εἶναι, καὶ τὰ μὲν πολλὰ τῶν εἰς τοῦτο τεκμηρίων, μόνοις ἐστὶ ῥητὰ καὶ διδακτὰ τοῖς μυουμένοις παρ᾽ ἡμῖν ἐστὶ τελετικὴν παντέλειαν. ἃ δὲ λόγῳ διελθεῖν οὐ κεκώλυται πρὸς φίλους ἄνδρας. ἄλλως τε καὶ παρ᾽ οἶνον ἐπὶ τοῖς τοῦ θεοῦ δώροις ἂν οὗτοι κελεύωσι, λέγειν ἕτοιμος. πάντων δὲ κελευόντων, καὶ δεομένων, πρῶτον μὲν ἔφη τῆς μεγίστης, καὶ τελειοτάτης ἑορτῆς παρ᾽ αὐτοῖς ὁ καιρός ἐστι καὶ ὁ τρόπος Διονύσῳ προσήκων. τὴν γὰρ λεγομένην νηστείαν ἀκμάζοντι τρυγητῷ τραπέζας τε προτίθεντες παντοδαπῆς ὀπώρας, ὑπὸ σκηναῖς, καὶ καλιάσιν ἐκ κλημάτων μάλιστα καὶ κιττοῦ διαπεπλεγμέναις, καὶ τὴν προτέραν τῆς ἑορτῆς σκηνὴν ὀνομάζουσιν. ὀλίγαις δὲ ὕστερον ἡμέραις ἄλλην ἑορτὴν οὐκ ἂν δι᾽ αἰνιγμάτων, ἀλλὰ ἄντικρυς Βάκχου καλουμένου τελοῦσιν. ἔστι δὲ καὶ κρατηροφορία τις ἑορτὴ καὶ θυρσοφορία παρ᾽ αὐτοῖς, ἐν ᾗ θύρσους ἔχοντες εἰς τὸ ἱερὸν εἰσίασιν. εἰσελθόντες δὲ ὅτι δρῶσιν οὐκ ἴσμεν. εἰκὸς δὲ βακχείαν εἶναι τὰ ποιούμενα, καὶ γὰρ σάλπιγξι μικραῖς ὥσπερ Ἀργεῖοι τοῖς Διονυσίοις ἀνακαλούμενοι τὸν θεὸν χρῶνται, καὶ κιθαρίζοντες ἕτεροι προσίασιν οὓς αὐτοὶ Λευίτας προσονομάζουσιν, εἴτε παρὰ τὸν Λύσιον, εἴτε μᾶλλον παρὰ τὸν Εὔιον τῆς ἐπικλήσεως γεγενημένην. οἶμαι δὲ καὶ τὴν τῶν σαββάτων ἑορτὴν μὴ παντάπασιν ἀπροσδιόνυσον εἶναι. σάββους γὰρ καὶ νῦν ὅτι πολλοὶ τοὺς βάκχους καλοῦσι, καὶ ταύτην ἀφιᾶσι τὴν φωνήν, ὅτ᾽ ἂν ὀργιάζωσι τῷ θεῷ

σιν ἐστὶ δήπου καὶ παρὰ Δημοσθένους λαβεῖν καὶ παρὰ Μενάνδρου, καὶ οὐκ ἀπο

πού τις ἂν φαίη, τοῦ ἅμα πεποιῆσθαι πρὸς τὴν ἀσέβησιν, ἣ κατέχει τοὺς βακχεύοντας. αὐτοὶ δὲ τῷ λόγῳ μαρτυροῦσιν, ὅτι σάββατον τιμῶσι, μάλιστα μὲν πίνειν καὶ οἰνοῦσθαι παρακαλοῦντες ἀλλήλους. ὅτ᾽ ἂν δὲ κωλύει τι μεῖζον, ἀπογεύεσθαί γε πάντως ἀκράτου νομίζοντες, καὶ ταῦτα μὲν εἰκότα φαίη τις ἂν εἶναι, κατὰ κράτος ἐν αὐτοῖς. πρῶτον μὲν ὁ ἀρχιερεὺς ἐλέγχει μιτροφόρος τε προϊὼν ἐν ταῖς ἑορταῖς, καὶ νεβρίδα χρυσόπαστον ἐνημμένος, χιτῶνα δὲ ποδήρη φορῶν, καὶ κοθόρνους. κώδωνες δὲ πολλοὶ κατακρέμανται τῆς ἐσθῆτος, ὑποκομποῦντες ἐν τῷ βαδίζειν, ὡς καὶ παρ᾽ ἡμῖν. ψόφοις δὲ χρῶνται περὶ τὰ νυτέλεια, καὶ χαλκοκρότους τοῦ θεοῦ τιθήνας προσαγορεύουσι, καὶ ὁ δεικνύμενος ἐν τοῖς ἐναντίοις τοῦ μετεώρου θύρσος ἐντετυπωμένος καὶ τύμπανα. ταῦτα γὰρ οὐδενὶ δήπουθεν ἄλλῳ θεῷ ἢ Διονύσῳ προσήκειν. ἔτι τοίνυν μέλι μὲν οὐ προσφέρουσι ταῖς ἱερουργίαις. ὅτι δοκεῖ φθείρειν τὸν οἶνον κεραννύμενον. καὶ τοῦτο ἦν σπονδὴ καὶ μέθη πρὶν ἄμπελον φανῆναι. καὶ μέχρι νῦν τῶν τε βαρβάρων οἱ μὴ ποιοῦντες οἶνον μελίτειον πίνουσιν ὑποφαρμάσσοντες τὴν γλυκύτητα, οἰνώδεσι ῥίζαις καὶ αὐστηραῖς. Ἕλληνές τε νηφάλια ταῦτα καὶ μελίσπονδα θύουσιν, ὡς ἀντίθετον φύσιν μάλιστα τοῦ μέλιτος πρὸς τὸν οἶνον ἔχοντος. ὅτι δὲ τοῦτον νομίζουσι κἀκεῖνο σημεῖον οὐ μικρόν ἐστι, τὸ πολλῶν τιμωριῶν οὐσῶν παρ᾽ αὐτοῖς μίαν εἶναι μάλιστα διαβεβλημένην, τὴν οἴνου τοὺς κολαζομένους ἀπείργουσιν, ὅσον ἂν τάξῃ χρόνον ὁ κύριος τῆς κολάσεως. τοὺς δὲ οὕτω κολα

λείπει τὰ λοιπὰ τοῦ τετάρτου.

ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΕΜΠΤΟΝ.

Περὶ τῶν τῆς ψυχῆς καὶ σώματος ἡδονῶν ὦ Σόσσιε Σενεκίων, ἣν σὺ νῦν ἔχεις γνώμην, ἐμοὶ τοῦν ἄδηλόν ἐστιν· ἐπεὶ ἦ μάλα πολλὰ μεταξὺ οὔρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα, πάλαι γε μὴν ἐδόκεις μὴ πάνυ τι συμφέρεσθαι, μηδὲ ἐπαινεῖν τοὺς οὐδὲν ἴδιον τῇ ψυχῇ τερπνὸν οὐδὲ χαρτὸν οὐδὲ αἱρετὸν ὅλως, ἀλλ' ἀτέχνως τῷ σώματι παρὰ ζῶσαν αὐτὴν οἰομένους τοῖς ἐκείνου συνεπιμειδιᾶν πάθεσι, καὶ πάλιν αὖ συνεπισκυθρωπάζειν, ὥσπερ ἐκμαγεῖον ἢ κάτοπτρον εἰκόνας καὶ εἴδωλα τῶν ἐν σαρκὶ γινομένων αἰσθήσεων ἀναδεχομένην. ἄλλοις τε γὰρ πολλοῖς ἁλίσκεται ψεῦδος τὸ ἀφιλόκαλον τοῦ δόγματος, ἐν τούτοις οἱ ἀστεῖοι καὶ χαρίεντες εὐθὺς μετὰ τὸ δεῖπνον ἐπὶ τοὺς λόγους, ὥσπερ δευτέρας τραπέζας φερόμενοι, καὶ διὰ λόγων εὐφραίνοντες ἀλλήλους, ὧν σώματι μέτεστιν οὐδὲν ἢ βραχὺ παντάπασιν, ἴδιόν τι ἐκεῖνο τῇ ψυχῇ ταμιεῖον εὐπαθειῶν ἀποκεῖσθαι μαρτυροῦσι, καὶ τὰς ἡδονὰς μόνας εἶναι τῆς ψυχῆς, ἐκείνας δὲ ἀλλοτρίας προσαναχρωννυμένας τῷ σώματι. ὥσπερ γὰρ αἱ τὰ βρέφη ψωμίζουσαι τροφοὶ μικρὰ μετέχουσι τῆς ἡδονῆς· ὅταν δ' ἐκεῖνα κορεσθῶσι καὶ κοιμίσωσι παυσάμενα κλαυθμυρισμόν, τηνικαῦτα καθ' ἑαυτὰς γινόμεναι, τὰ πρόσφορα σιτία καὶ ποτὰ λαμβάνουσι, καὶ ἀπολαύουσιν· οὕτως ἡ ψυχὴ τῶν περὶ πόσιν καὶ βρῶσιν ἡδονῶν μετέχει ταῖς τοῦ σώματος ὀρέξεσι δίκην τιτθῆς ὑπηρετοῦσα καὶ χαριζομένη δεομένῳ, καὶ πραΰνουσα τὰς ἐπιθυμίας· ὅταν δὲ ἐκεῖνο μετρίως ἔχῃ, καὶ ἡσυχάσῃ, πραγμάτων ἀπαλλαγεῖσα, καὶ λατρείας ἤδη τὸ λοιπὸν ἐπὶ τὰς αὑτῆς ἡδονὰς τρέπεται λόγοις εὐωχουμένη καὶ μαθήμασι, καὶ ἱστορίαις καὶ τῷ ζητεῖν τι ἀκούειν τῶν περιττῶν. καὶ τί ἄν τις λέγοι περὶ τούτων, ὁρῶν ὅτι καὶ οἱ φορτικοί, καὶ ἀφιλόλογοι μετὰ τὸ δεῖπνον ἐφ' ἡδονὰς ἑτέρας τοῦ σώματος ἀπωτάτω τὴν διάνοιαν ἀπαίρουσιν, αἰνίγματα καὶ γρίφους καὶ θέσεις ὀνομάτων ἐν ἀριθμοῖς ὑποσύμβολα προβάλλοντες· ἐκ τούτου δὲ καὶ μίμοις καὶ ἠθολόγοις, καὶ Μενάνδρῳ καὶ τοῖς Με-

νάνδρου ὑποκρινομένοις τὰ συμπόσια χώραν ἔδωκεν, οὐδεμίαν ἀλγηδόνα τοῦ ὄμματος ὑπεξαιρουμένοις· οὐδὲ ποιοῦσι λίαν ἐν σαρκὶ καὶ προσηνῆ κίνησιν, ἀλλ' ὅτι τὸ φύσει φιλόθεαμον ἐν ἑκάστῳ καὶ φιλόσοφον τῆς ψυχῆς ἰδίαν τινὰ χάριν ζητεῖ καὶ τέρψιν, ὅταν ἀπὸ τῆς περὶ τὸ σῶμα θεραπείας καὶ ἀσχολίας ἀπαλλαττῶμεν.

Διὰ τί τῶν μιμουμένων τοὺς ὀργιζομένους, καὶ λυπουμένους ἡδέως ἀκούομεν, αὐτῶν δὲ τῶν ἐν τοῖς πάθεσιν ὄντων ἀηδῶς. α.

Περὶ ὧν ἐγένοντο λόγοι καὶ σοῦ παρόντος ἐν Ἀθήναις ἡμῖν ὅτε Στράτων ὁ κωμῳδὸς εὐημέρησεν, ἦν γὰρ αὐτοῦ πολὺς λόγος, ἑστιωμένων ἡμῶν παρὰ Βοηθῷ τῷ Ἐπικουρείῳ, συνεδείπνουν δὲ οὐκ ὀλίγοι τῶν ἀπὸ διαιρέσεως, εἶτα οἷον ἐν φιλολόγοις περιέστησεν ἡ τῆς κωμῳδίας μνήμη τὸν λόγον εἰς ζήτησιν αἰτίας, δι' ἣν ὀργιζομένων ἢ λυπουμένων, ἢ δεδιότων φωνὰς ἀκούοντες ἀχθόμεθα, καὶ δυσκολαίνομεν· οἱ δὲ ὑποκρινόμενοι ταῦτα τὰ πάθη καὶ μιμούμενοι τὰς φωνὰς αὐτῶν καὶ τὰς διαθέσεις εὐφραίνουσιν ἡμᾶς. ἐκείνων μὲν οὖν ἁπάντων σχεδὸν εἷς ἦν λόγος. ἔφασαν γάρ, ἐπειδὴ κρείττων ὁ μιμούμενός ἐστι τοῦ πάσχοντος ἀληθῶς, καὶ τῷ μὴ πεπονθέναι διαφέρει συνιέντας ἡμᾶς τοῦ τέρπεσθαι καὶ χαίρειν. ἐγὼ δὲ καίπερ ἐν ἀλλοτρίῳ χορῷ πόδα τιθείς, εἶπον ὅτι φύσει λογικοὶ καὶ φιλότεχνοι γεγονότες, πρὸς τὸ λογικῶς καὶ τεχνικῶς πραττόμενον, οἰκείως διακείμεθα καὶ θαυμάζομεν, ἂν ἐπιτυγχάνηται. καθάπερ γὰρ ἡ μέλιττα τῷ φιλόγλυκυς εἶναι πᾶσαν ὕλην ἣ τινι μελιτῶδες ἐγκέκραται, περιέπει καὶ διώκει, οὕτως ὁ ἄνθρωπος γεγονὼς φιλότεχνος, καὶ φιλόκαλος, πᾶν ἀποτέλεσμα καὶ πρᾶγμα νοῦ καὶ λόγου μετέχοι, ἀσπάζεται καὶ ἀγαπᾶν πέφυκεν. εἰ γοῦν παιδίῳ μικρῷ προθείη τις ὁμοῦ μικρὸν μὲν ἄρτον, ὁμοῦ δὲ πεπλασμένον ἐκ τῶν ἀλεύρων κυνίδιον ἢ βοΐδιον, ἐπὶ τοῦτ' ἂν ἴδοις φερόμενον. καὶ ὁμοίως ἀργύριον ἄσημον, εἰ ἕτερος δὲ ζῴδιον ἀργυροῦν, ἢ ἔκπωμα παραστήσειε διδούς, τοῦτ' ἂν λάβοι μᾶλλον ᾧ τὸ τεχνικὸν καὶ λογικὸν ἐνορᾷ καταμεμιγμένον. ὅθεν καὶ τῶν λόγων τοῖς ἠνιγμένοις χαίρουσι μᾶλλον οἱ τηλικοῦτοι, καὶ τῶν παιδιῶν ταῖς περιπλοκήν τινα, καὶ δυσκολίαν ἐχούσαις. ἕλκει γὰρ ὡς οἰκεῖον ἀδιδάκτως τὴν φύσιν τὸ γλαφυρὸν καὶ πανοῦργον. ἐπεὶ τοίνυν ὁ μὲν ἀληθῶς ὀργιζόμενος, ἢ λυπούμενος ἐν τισι κοινοῖς πάθεσι, καὶ κινήμασιν ὁρᾶται· τῇ δὲ μιμήσει πανουργία τις ἐμφαίνεται καὶ πιθανότης, ἄνπερ ἐπιτυγχάνηται, τούτοις μὲν ἥδεσθαι πεφύκαμεν, ἐκείνοις δὲ ἀχθόμεθα. καὶ γὰρ ἐπὶ τῶν θεαμάτων ὅμοια πεπόνθαμεν. ἀνθρώπους μὲν γὰρ ἀποθνήσκοντας καὶ νοσοῦντας, ἀνιαρῶς ὁρῶμεν. τὸν δὲ γεγραμμένον Φιλοκτήτην, καὶ τὴν πεπλασμένην Ἰοκάστην ἧς φασιν εἰς τὸ πρόσωπον ἀργύρου τι συμμίξαι τὸν τεχνίτην, ὅπως ἐκλείποντος ἀνθρώπου καὶ μαραινομένου λάβῃ περιφάνειαν ὁ χαλκός, ἡδόμεθα καὶ θαυμάζομεν. τοῦτο δ' εἶπον ὦ ἄνδρες Ἐπικούρειοι, καὶ τεκμήριόν ἐστι μέγα τοῖς Κυρηναϊκοῖς πρὸς ἡμᾶς τοῦ μὴ περὶ τὴν ὄψιν εἶναι, μηδὲ περὶ τὴν ἀκοήν, ἀλλὰ περὶ τὴν διάνοιαν ἡμῶν τὸ ἡδόμενον ἐπὶ τοῖς ἀκούσμασι καὶ θεάμασιν. ἀλεκτορὶς γοῦν βοῶσα συνεχῶς, καὶ κορώνη, λυπηρὸν ἄκουσμα, καὶ ἀηδές ἐστιν· ὁ δὲ μιμούμενος ἀλεκτορίδα βοῶσαν, καὶ κορώνην εὐφραίνει. καὶ φθισικοὺς μὲν ὁρῶντες, δυσχεραίνομεν· ἀνδριάντας δὲ καὶ γραφὰς φθισικῶν ἡδέως θεώμεθα, τῷ τὴν διάνοιαν ὑπὸ τῶν μιμημάτων ἄγεσθαι κατὰ τὸ οἰκεῖον. ἐπεί τι πάσχοντες ἢ τίνος ἔξωθεν γενομένου πάθους, τὴν Παρμένοντος ὗν οὕτως ἐθαύμασαν, ὥστε παροιμιώδη γενέσθαι; καί τοι φασὶ τοῦ Παρμένοντος εὐδοκιμοῦντος ἐπὶ τῇ μιμήσει ζηλοῦντας ἑτέρους ἀντεπιδείκνυσθαι· προκατειλημμένων δὲ τῶν ἀνθρώπων καὶ λεγόντων εὖ μέν, ἀλλ' οὐδὲν πρὸς τὴν

παρμένοντος ὄν, εἶτα λαβόντα δελφάκιον ὑπὸ μάλης προσελθεῖν. ἐπεὶ δὲ καὶ
τῆς ἀληθινῆς φωνῆς ἀκούοντες ὑπεφθέγγοντο· τί οὖν αὕτη πρὸς τὴν παρμένον-
τος συναφεῖναι τὸ δελφάκιον εἰς τὸ μέσον ἐξελέγχοντα τῆς κρίσεως τὸ πρὸς δό-
ξαν, οὐ πρὸς ἀλήθειαν, ὃ μάλιστα, δῆλόν ἐστιν· ὅτι τὸ αὐτὸ τῆς αἰσθήσεως πάθος
οὐχ ὁμοίως διατίθησι τὴν ψυχήν, ὅταν μὴ προσῇ δόξα τοῦ λογικῶς, ἢ φιλοτί-
μως περαίνεσθαι τὸ γενόμενον.

β.

Ὅτι παλαιὸν ἦν ἀγώνισμα τὸ τῆς ποιητικῆς.

Ἐν πυθίοις ἐγίνοντο λόγοι περὶ τῶν ἐπιθέτων ἀγωνισμάτων, ὡς ἀναιρετέα. παρα-
δεξάμενοι γὰρ ἐπὶ τρισὶ τοῖς καθεστῶσιν ἐξ ἀρχῆς, αὐλητῇ πυθικῷ, καὶ κιθαρι-
στῇ καὶ κιθαρῳδῷ, τὸν τραγῳδὸν ὥσπερ πύλης ἀνοιχθείσης οὐκ ἀντέσχον ἀθρόοις
συνεπιτιθεμένοις, καὶ συνεισιοῦσι παντοδαποῖς ἀκροάμασιν, ὑφ' ὧν ποικιλίαν
μὲν ἔσχεν οὐκ ἀηδῆ καὶ πανηγυρισμὸν ὁ ἀγών· τὸ δὲ αὐστηρὸν, καὶ μουσικὸν οὐ δια-
φύλαξεν, ἀλλὰ καὶ πράγματα τοῖς κρίνουσι παρέσχε· καὶ πολλάς, ὡς εἰκὸς
ἡττωμένων πολλῶν ἀπεχθείας. οὐχ ἥκιστα δὲ τὸ τῶν λογογράφων, καὶ ποιητῶν ἔθνος
ᾤοντο δεῖν ἀποσκευάσασθαι τοῦ ἀγῶνος, οὐχ ὑπὸ μισολογίας, ἀλλὰ πολὺ πάν-
των τῶν ἀγωνιστῶν γνωριμωτάτους ὄντας, ἐδυσωποῦντο τούτους καὶ ἤχθοντο, πάν-
τας ἡγούμενοι χαρίεντας, οὐ πάντων δὲ νικᾶν δυναμένων. ἡμεῖς οὖν ἐν τῷ συνε-
δρίῳ παρεμυθούμεθα τοὺς καθεστῶτα κινεῖν βουλομένους, καὶ τῷ ἀγῶνι καθά-
περ ὀργάνῳ πολυχορδίαν καὶ πολυφωνίαν ἐπικαλοῦντας. καὶ παρὰ τὸ δεῖπνον προσπεσόντων
ἑστιῶντος ἡμᾶς πετραίου τοῦ ἀγωνοθέτου, πάλιν ὁμοίως λόγων ...
μυνόμεν τῇ μουσικῇ· τὴν δὲ ποιητικὴν ἀποφαίνομεν οὐκ ὄψιμον, οὐδὲ νεαρὰν ἐπὶ
τοὺς ἱεροὺς ἀγῶνας ἀφιγμένην· ἀλλὰ πρόπαλαι στεφάνων ἐπινικίων τυγχάνου-
σαν. ἐνίοις μὲν οὖν ἐπίδοξος ἦμην ἕωλα παραθήσειν πράγματα, τὰς οἰολύ-
κου τοῦ θετταλοῦ ταφάς, καὶ τὰς ἀμφιδάμαντος τοῦ χαλκιδέως, ἐν αἷς ὅμη-
ρον, καὶ ἡσίοδον ἱστοροῦσιν ἔπεσι διαγωνίσασθαι. καταβαλὼν δὲ ταῦτα, τῷ δια-
τεθρυλλῆσθαι πάντα ὑπὸ τῶν γραμματικῶν καὶ τοὺς ἐπὶ ταῖς πατρόκλου ταφαῖς
ἀναγινωσκομένους, ὑπὸ πολλῶν οὐ χήμονας ἀλλὰ ῥήμονας, ὡς δὴ καὶ λό-
γων ἄεθλα τοῦ ἀχιλλέως προθέντος, ἀφεὶς εἶπον ὅτι καὶ πελίαις θάπτων ἄκα-
στος ὁ υἱὸς ἀγῶνα ποιήματος παράσχοι καὶ σιβύλλα νικήσειεν. ἐπιφυομένων δὲ πολ-
λῶν, καὶ τὴν βεβαιωτὴν, ὡς ἀπίστου παραλόγου τῆς ἱστορίας ἀπαιτούντων, ἐ-
πιτυχῶς ἀναμνησθεὶς ἀπέφαινον ἀκέσανδρον ἐν τῷ περὶ λιβύης ταῦτα ἱστοροῦν-
τα. καὶ τοῦτο μὲν ἔφην τὸ ἀνάγνωσμα τῶν οὐκ ἐν μέσῳ ἐστί, τοῖς δὲ πολέμωνος τοῦ
ἀθηναίου περὶ τῶν ἐν δελφοῖς θησαυρῶν οἶμαι ὅτι πολλοῖς ὑμῶν ἐντυγχάνειν
ἐπιμελές ἐστι. καὶ χρὴ πολυμαθοῦς, καὶ οὐ νυστάζοντος ἐν τοῖς ἑλληνικοῖς πρά-
γμασιν ἀνδρός. ἐκεῖ τοίνυν εὑρήσετε γεγραμμένον, ὡς ἐν τῷ σικυωνίῳ θησαυρῷ
χρυσοῦν ἀνέκειτο βιβλίον ἀριστομάχης ἀνάθημα τῆς ἐρυ-
θραίας ποιηματίαις, ἴσθμια νενικηκυίας, οὐ μὴν οὐδὲ τὴν ὀλυμπίαν ἔφην ἄξιόν ἐστιν ὥσπερ
εἱμαρμένην ἀμετάστατον, καὶ ἀμετάθετον ἐν τοῖς ἀθλήμασιν ἐκπεπλῆχθαι. τὰ
μέν γε πύθια τῶν μουσικῶν ἔσχε τρεῖς ἢ τέτταρας ἐπεισοδίους ἀγῶνας. ὁ δὲ γυ-
μνικὸς ἀπ' ἀρχῆς, ὡς ἐπὶ τὸ πλεῖστον οὕτως κατέστη. τοῖς δὲ ὀλυμπίοις πάντα
προσθήκη πλὴν τοῦ δρόμου γέγονε. πολλὰ δὲ καὶ θέντες ἔπειτα ἀνεῖλον, ὥσ-
περ τὸν τῆς κάλπης ἀγῶνα, καὶ τὸν τῆς ἀπήνης. ἀνῃρέθη δὲ καὶ παισὶ πεντάθλοις
στέφανος τεθείς, καὶ ὅλως πολλὰ περὶ τὴν πανήγυριν νενεωτέρισται. δέδια δ' εἰ-
πεῖν ὅτι πάλαι καὶ μονομαχίας ἀγὼν περὶ πίσαν ἤγετο μέχρι φόνου καὶ σφα-
γῆς τῶν ἡττωμένων, καὶ ὑποπιπτόντων. μή με πάλιν ἀπαιτῆτε τῆς ἱστορίας

βεβαιωτήν, καὶ διαφύγῃ τὴν μνήμην ἐν οἴνῳ τὸ ὄνομα καταγέλαστος γένωμαι.

Τίς αἰτία δι' ἣν ἡ πίτυς ἱερὰ ποσειδῶνος ἐνομίσθη καὶ διονύσου, καὶ ὅτι τὸ πρῶτον ἐστεφάνουν τῇ πίτυϊ τοὺς ἰσθμιανικῶντας, ἔπειτα σελίνῳ, νυνὶ δὲ πάλιν τῇ πίτυϊ.

γ΄.

Ἡ πίτυς ἐζητεῖτο καθ' ὃν λόγον ἐν ἰσθμοῖς στέμμα γέγονε, καὶ γὰρ ἦν τὸ δεῖπνον ἐν
κορίνθῳ ἰσθμίων ἀγομένων ἑστιῶντος ἡμᾶς λουκανίου τοῦ ἀρχιερέως. πραξιτέλης
μὲν οὖν ὁ περιηγητὴς τὸ μυθῶδες ἐπῆγεν, ὡς λεγόμενον εὑρεθῆναι τὸ σῶμα τοῦ με-
λικέρτου πίτυϊ προσβεβρασμένον ὑπὸ τῆς θαλάττης· καὶ γὰρ οὐ πρόσω μεγά-
ρων εἶναι τόπον ὃς καλῆς δρόμος ἐπονομάζεται. δι' οὗ φάναι μεγαρεῖς τὴν ἐν
ῷ τὸ παιδίον ἔχουσαν δραμεῖν ἐπὶ τὴν θάλασσαν. κοινῶς δὲ ὑπὸ πολλῶν λεγο-
μένων, ὡς ἴδιόν ἐστι στέμμα ποσειδῶνος ἡ πίτυς, λουκανίου δὲ προστιθέντος, ὅτι καὶ
τῷ διονύσῳ καθωσιωμένον τὸ φυτόν, οὐκ ἀπὸ τρόπου ταῖς περὶ τὸν μελικέρτην συ-
νῳκείωται τιμαῖς, αὐτὸ τοῦτο ζήτησιν παρεῖχεν ᾧ τινι λόγῳ ποσειδῶνι καὶ διο-
νύσῳ τὴν πίτυν οἱ παλαιοὶ καθωσίωσαν. ἐδόκει δ' ἡμῖν μηδὲν εἶναι παράλογον.
ἀμφότεροι γὰρ οἱ θεοὶ τῆς ὑγρᾶς καὶ γονίμου κύριοι δοκοῦσιν ἀρχῆς εἶναι, καὶ
ποσειδῶνί γε φυταλμίῳ, διονύσῳ δὲ δενδρίτῃ πάντες, ὡς ἔπος εἰπεῖν, ἕλληνες
θύουσιν. οὐ μὴν ἀλλὰ καὶ ἰδίαν τῷ ποσειδῶνι φαίη τις ἂν τὴν πίτυν προσήκειν.
οὐχ ὡς ἀπολλόδωρος οἴεται παράλιον φυτὸν οὖσαν, οὐδ' ὅτι φιλήνεμός ἐστιν,
ὥσπερ ἡ θάλασσα· καὶ γὰρ τοῦτό τινες λέγουσιν, ἀλλὰ διὰ τὰς ναυπηγίας μά-
λιστα. καὶ γὰρ αὐτὴ καὶ τὰ ἀδελφὰ δένδρα πεῦκαι, καὶ στρόβιλοι, τῶν τε ξύλων
παρέχει τὰ πλοϊμώτατα, πίττης τε καὶ ῥητίνης ἀλοιφήν, ἧς ἄνευ τῶν συμ-
παγέντων ὄφελος οὐδὲν ἐν τῇ θαλάττῃ. τῷ δὲ διονύσῳ τὴν πίτυν ἀνιέρωσαν, ὡς
ἐφηδύνουσαν τὸν οἶνον. τὰ γὰρ πιτυώδη χωρία λέγουσιν ἡδὺν οἶνον τὴν ἄμπελον
φέρειν. καὶ τὴν θερμότητα τῆς γῆς θεόφραστος αἰτιᾶται. καθόλου γὰρ ἐν ἀρ-
γιλώδεσι τόποις φύεσθαι τὴν πίτυν, εἶναι δὲ τὴν ἄργιλον θερμήν. διὸ καὶ συνεκ-
πέττειν τὸν οἶνον, ὥσπερ καὶ τὸ ὕδωρ ἐλαφρότατον καὶ ἥδιστον ἡ ἄργιλος ἀναδί-
δωσιν. ἔτι δὲ καὶ καταμιγνυμένη πρὸς σῖτον ἐπίμεζον ποιεῖ διαψιλὲς ἀδρύνου-
σα καὶ διοικοῦσα τῇ θερμότητι τὸν πυρόν, οὐ μὴν ἀλλὰ καὶ τῆς πίτυος αὐτῆς
εἰκὸς ἀπολαύειν τὴν ἄμπελον ἐχούσης ἐπιτηδειότητα πολλὴν πρὸς σωτηρίαν
οἴνου καὶ διαμονήν. τῇ τε γὰρ πίτυϊ πάντες ἐξαλείφουσι τὰ ἀγγεῖα, καὶ τῆς ῥη-
τίνης ὑπομιγνύουσι πολλοὶ τῷ οἴνῳ, καθάπερ εὐβοεῖς τῶν ἑλλανοδικῶν, καὶ τῶν
ἰταλικῶν οἱ περὶ τὸν πάδον οἰκοῦντες. ἐκ δὲ τῆς περὶ βίενναν γαλατίνας ὁ
πισσίτης οἶνος κατακομίζεται, διαφερόντως τιμώμενος ὑπὸ ῥωμαίων. οὐ γὰρ
μόνον εὐωδίαν τινὰ τὰ τοιαῦτα προσδίδωσιν, ἀλλὰ καὶ τὸν οἶνον ἐμποιεῖ πα-
ρίστησι ταχέως ἐξαίρων τῇ θερμότητι τοῦ οἴνου τὸ νεαρὸν καὶ ὑδατῶδες, ὡς δὲ ταῦ-
τα ῥηθῆ, τῶν ῥητόρων ὁ μάλιστα δοκῶν ἀναγνώσμασιν ἐντυγχάνειν ἐλευθερί-
οις, ὢ πρὸς θεῶν εἶπεν, οὐ γὰρ ἐχθὲς ἡ πίτυς ἐνταῦθα καὶ πρῴην στέμμα γέγονε τῶν
ἰσθμίων πρότερον αὐτοῖς σελίνοις ἐστέφοντο, καὶ τοῦτό ἐστι μὲν ἐν τῇ κωμῳδίᾳ
φιλαργύρου τινὸς ἀκοῦσαι λέγοντος· τὰ δ' ἴσθμια ἀποδοίμην ἂν ἡδέως ὅσου
ὁ τῶν σελίνων στέφανός ἐστιν ὤνιος. ἱστορεῖ δὲ καὶ τίμαιος ὁ συγγραφεύς, ὅτι κορίν-
θιοι ὁπηνίκα μαχούμενοι πρὸς καρχηδονίους ἐβάδιζον ὑπὲρ τῆς σικελίας,
ἐνέβαλόν τινες οὐ σέλινα κομίζοντες, ἰωνισαμένων δὲ τῶν πολλῶν τὸ σύμβολον,
ὡς οὐ χρηστὸν ὅτι δοκεῖ τὸ σέλινον ἀνεπιτήδειον εἶναι καὶ τοὺς ἐπισφαλῶς νοσοῦν-
τας δεῖσθαι τοῦ σελίνου φαμέν, ὡς ὁ τιμολέων ἐθάρρυνεν αὐτούς, καὶ ἀνεμίμνη-
σκε τῶν ἰσθμοῖς σελίνων οἷς ἀναστέφουσι κορίνθιοι τοὺς νικῶντας. ἔτι τοίνυν ἡ ἀν

πηγόνι ναυαρχὶς ἀναφύσασα περὶ πρύμναν αὐτομάτως σέλινον ἴσθμια ἐπω-
νομάσθη, καὶ τοῦτο δὴ τὸ σκολιὸν ἐπίγραμμα δῆλον κεραμέα νομίζει διαβεβι-
σμένην σελίνῳ. σύγκειται δὲ οὕτω χθὼν ἡ παλλὰς γῆ πυρὶ κατηθαλωμένη κοῖλον
κελαινὸν αἷμα διονύσου θεοῦ ἔχουσα κλῶνας ἰσθμικοὺς ἀνὰ στόμα. ἢ ταῦτα εἶ-
πεν οὐκ ἂν ἔγνω* τὴν πίτυν, ὡς οὐκ ἐπίσακτον οὐδὲ νέον, ἀλλὰ πάτριον, καὶ πα-
λαιὸν δὲ στεμμάτων ἰσθμίων σεμνύνοντες, ἐκίνησεν οὐ νέους, ὡς ἂν πολυμαθὴς
ἀνὴρ καὶ πολυγράμματος. ὁ μέντοι λυκάνιος εἰς ἐμὲ βλέψας ἅμα καὶ μειδιῶν,
ὦ ποσειδῶν ἔφη τοῦ πλήθους τῶν γραμμάτων. ἕτεροι δ' ἡμῶν τῆς ἀμαθίας, ὡς
ἔοικε καὶ τῆς ἀργίας ἀπέλαβον ἀναπείθοντες τοὐναντίον, ὡς ἡ μὲν πίτυς, ἣν
στέμμα τῶν ἀγώνων πάτριον. ἐκ δὲ νεμέας κατὰ ζῆλον ὁ τοῦ σελίνου ξένος ὢν ἐ-
πεισῆλθε δι' ἡρακλέα, καὶ κρατήσας ἠμαύρωσεν ἐκεῖνον, ὡς ἱερὸν ἐπιτήδειον.
εἶτα μέντοι χρόνῳ πάλιν ἀνακτησαμένη τὸ πάτριον γέρας ἡ πίτυς ἀνθεῖ τῇ τι-
μῇ. ἐγὼ γοῦν ἀνεπειθόμην, καὶ προσεῖχον, ὥστε καὶ τῶν μαρτυρίων ἐκμαθεῖν
πολλὰ καὶ μνημονεύειν. εὐφορίωνα μὲν οὕτω πως περὶ μελικέρτου λέγοντα
» κλαίοντες δέ τε κοῦρον ἐπ' αἰλίσι πιτύεσσι κάτθεσαν ὁππότε δὴ στεφάνων ἄθλοις
» φορέονται. οὐ γάρ πω σφηκεῖαν λάβη κατατεμήσατο χειρῶν μήνης παῖδα χάρωνα
» παρ' ἀσωποῦ γενετείρῃ ἐξ ὅτε πυκνὰ σέλινα κατὰ κροτάφων ἐβάλοντο. καλλί-
μαχος δὲ μᾶλλον διασαφοῦντα. λέγει δὲ ὁ ἡρακλῆς αὐτῷ περὶ τοῦ σελίνου.
» καί μιν ἀλητίδαι πολὺ γεγαότερον τοῦδε παρὰ γεῶνι θεῷ τελέοντες ἀγῶνα θή-
» σουσι νίκης σύμβολον ἰσθμιάδος ζηλωτῶν ἐμένηθεν πίτυν δ' ἀποτιμήσουσιν ἣ
» πρὶν ἀγωνιστὰς ἔστεφε τοὺς ἐφύρῃ. ἔτι δὲ οἶμαι προκλέους ἐντετυχηκέναι γρα-
φῇ, περὶ τῶν ἰσθμίων ἱστοροῦντος. ὅτι τὸν πρῶτον ἀγῶνα ἔθεσαν περὶ στεφάνου
πιτυίνου. ὕστερον δὲ τοῦ ἀγῶνος ἱεροῦ γενομένου ἐκ τῆς νεμεακῆς πανηγύρεως με-
τήνεγκαν ἐνταῦθα τὸν τοῦ σελίνου στέφανον, ὁ δὲ προκλῆς οὗτος ἦν εἷς τῶν ἐν ἀκα-
δημίᾳ ξενοκράτει συσχολασάντων. δ.

Περὶ τοῦ ζωρότερον δὲ κέραιε.

Γ ελοῖος ἐδόκει τισὶ τῶν συνδειπνούντων ὁ ἀχιλλεὺς ἀκρατότερον ἐγχεῖν τὸν πάτρο-
κλον κελεύων, εἶτα αἰτίαν τοιαύτην ἐπιλέγων, οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑ-
πέασι μελάθρῳ. νικήρατος μὲν οὖν ὁ ἑταῖρος ἡμῶν ὁ μακεδὼν ἄντικρυς ἰσχυ-
ρίζεται μὴ ἄκρατον, ἀλλὰ θερμὸν εἰρῆσθαι τὸ ζωρόν, ἀπὸ τοῦ ζωτικοῦ, καὶ τῆς ζέ-
σεως, ὃ δὴ καὶ λόγον ἔχειν ἀνδρῶν ἑταίρων παρόντων. νέον ἐξ ὑπαρχῆς κεραν-
νύσθαι κρατῆρα. καὶ γὰρ ἡμᾶς ὅτ' ἂν τοῖς θεοῖς ἀποσπένδειν μέλλωμεν νεόκρατον
ποιεῖν. σωσικλῆς δ' ὁ ποιητὴς τοῦ ἐμπεδοκλέους ἐπιμνησθεὶς εἰρηκότος ἐν τῇ καθό-
λου μεταβολῇ, γίνεσθαι ζωρότερα τὰ πρὶν ἄκρατα, μᾶλλον ἔφη τὸ εὔκρατον
ὑπὸ τοῦ ἀνδρὸς ζωρὸν λέγεσθαι, καὶ μηδέν γε κωλύειν ἐπικελεύεσθαι τῷ πα-
τρόκλῳ τὸν ἀχιλλέα παρασκευάζειν εὔκρατον εἰς πόσιν τὸν οἶνον. εἰ δὲ ἀντὶ τοῦ ζω-
ροῦ, ζωρότερον εἶπεν, ὥσπερ δεξιτερὸν ἀντὶ τοῦ δεξιοῦ, καὶ θηλύτερον ἀντὶ τοῦ
θήλεος, οὐκ ἄτοπον εἶναι χρῆσθαι συγκριτικῶς, ἀντὶ τῶν ἁπλῶν τοῖς συγκριτι-
κοῖς. ἀντίπατρος δὲ ὁ ἑταῖρος ἔφη τοὺς μὲν ἐνιαυτοὺς ἀρχαϊκῶς ὥρους λέγε-
σθαι. τὸ ζα μέγεθος εἴωθεν σημαίνειν. ὅθεν τὸν πολυτελῆ καὶ παλαιὸν οἶνον ὑπὸ
τοῦ ἀχιλλέως ζωρὸν ὠνομάσθαι. ἐγὼ δὲ ἀνεμίμνησκον αὐτοὺς ὅτι τὸ ζωρότερον
θερμὸν ἐνίους σημαίνεσθαι λέγουσι. τῷ δὲ θερμοτέρῳ, τὸ τάχιον. ὥσπερ ἡμεῖς
ἐγκελευόμεθα πολλάκις τοῖς διακονοῦσι θερμότερον ἅπτεσθαι τῆς διακονίας,
ἀλλὰ μειρακιώδη τὴν φιλοτιμίαν αὐτῶν ἀπέφαινον. δεδιότων ὁμολογεῖν ἀκρα-
τότερον εἰρῆσθαι τὸ ζωρότερον, ὡς ἐν ἀτόπῳ τινὶ τοῦ ἀχιλλέως ἐσομένου. καθά-

περ ὁ ἀμφιπολίτης ζῆλος ὑπελάμβανεν, ἀγνοῶν ὅτι πρῶτον μὲν ὁ ἀχιλλεὺς
τὸν φοίνικα καὶ τὸν ὀδυσσέα πρεσβυτέρους ὄντας εἰδώς, οὐχ ὑδαρεῖ χαίροντας,
ἀλλ' ἀκρατοτέρῳ καθάπερ οἱ ἄλλοι γέροντες ἐπιτεῖναι κελεύει τὴν κρᾶσιν. ἔπει-
τα χείρωνος ὢν μαθητής, καὶ τῆς περὶ τὸ σῶμα διαίτης, οὐκ ἄπειρος ἐλογίζε-
το δήπουθεν, ὅτι τοῖς ἀργοῦσι, καὶ σχολάζουσι παρὰ τὸ εἰωθὸς σώμασιν ἀνειμέ-
νη καὶ μαλακωτέρα κρᾶσις ἁρμόζει. καὶ γὰρ τοῖς ἵπποις ἐμβάλλει μετὰ τῶν
ἄλλων χορτασμάτων τὸ σέλινον, οὐκ ἀλόγως, ἀλλ' ὅτι βλάπτονται μὲν ὅσοι σχο-
λάζοντες ἀσυνήθως ἵπποι τοὺς πόδας. ἔστι δὲ τούτου μάλιστα ἴαμα τὸ σέλινον.
ἄλλοις γοῦν οὐκ ἂν εὕροις παραβαλλόμενον ἵπποις ἐν ἰλιάδι σέλινον, ἤ τινα τοι-
οῦτον χυλόν. ἀλλ' ἰατρὸς ὢν ἀχιλλεύς, τῶν θ' ἵππων πρὸς τὸν καιρὸν οἰκείως ἐπι-
μελεῖτο, καὶ τῷ σώματι τὴν ἐλαφροτάτην δίαιταν, ὡς ὑγιεινοτάτην ἐν τῷ σχο-
λάζειν παρεσκεύαζεν. ἄνδρας δὲ ἐν μάχῃ καὶ ἀγῶνι δι' ἡμέρας γεγενημένους,
οὐχ ὁμοίως ἀξιῶν διαιτᾶν τοῖς ἀργοῦσιν, ἐπιτεῖναι τὴν κρᾶσιν ἐκέλευσε. καὶ μήν,
οὐδὲ φύσει φαίνεται φίλοινος, ἀλλ' ἀπηνὴς ὁ ἀχιλλεύς. οὐ γάρ τι γλυκύθυμος
ἀνὴρ ἦν, οὐδ' ἀγανόφρων, ἀλλὰ μάλ' ἐμμεμαώς. καί που παρρησιαζόμενος ὑπὲρ
αὐτοῦ πολλάς φησιν ἀΰπνους νύκτας ἰαῦσαι. βραχὺς δὲ ὕπνος οὐκ ἐξαρκεῖ τοῖς
χρωμένοις ἀκράτῳ. λοιδορούμενος δὲ τῷ ἀγαμέμνονι, πρῶτον αὐτὸν οἰνοβαρῆ
προσείρηκεν, ὡς μάλιστα τῶν νοσημάτων τὴν οἰνοφλυγίαν προβαλλόμενος. διὰ
ταῦτα δὴ πάντα λόγον εἶχεν αὐτὸν ἐννοῆσαι τῶν ἀνδρῶν ἐπιφανέντων μήποτε
ἡ συνήθης κρᾶσις αὐτῷ τοῦ οἴνου πρὸς ἐκείνους ἀνειμένη, καὶ ἀνάρμοστός ἐστιν.

Περὶ τῶν πολλοὺς ἐπὶ δεῖπνον καλούντων. ε.

Τ ὸ περὶ τὰς κατακλίσεις φαινόμενον ἄτοπον πλείονα λόγον παρέσχεν ἐν ταῖς
ὑποδοχαῖς, ἃς ἐποιεῖτο τῶν φίλων ἕκαστος ἑστιῶν ἡμᾶς ἥκοντας ἀπὸ τῆς ἀλεξαν-
δρείας. ἐκάλουν γὰρ αἰεὶ πολλοὺς τῶν ὁπωσοῦν προσήκειν δοκούντων, καὶ τὰ
συμπόσια θορυβώδεις εἶχε τὰς συμπεριφοράς, καὶ τὰς διαλύσεις ταχείας.
ἐπεὶ δὲ ὀνησικράτης ὁ ἰατρὸς οὐ πολλούς, ἀλλὰ τοὺς σφόδρα συνήθεις, καὶ οἰ-
κειοτάτους παρέλαβεν ἐπὶ τὸ δεῖπνον. ἐφάνη μοι τὸ λεγόμενον ὑπὸ πλάτω-
νος αὐξομένῃ πόλει, οὐ πόλιν συμπόσια δεδόσθαι, καὶ γὰρ συμποσίου μέγεθος
ἱκανόν ἐστιν, ἄχρι οὗ συμπόσιον ἐθέλει μένειν. ἐὰν δὲ ὑπερβάλῃ διὰ πλῆθος, ὡς μη-
κέτι προσήγορον ἑαυτῷ, μηδὲ συμπαθὲς εἶναι ταῖς φιλοφροσύναις, μηδὲ
γνώριμον, οὐδὲ συμπόσιόν ἐστι. δεῖ γὰρ οὐχ ὥσπερ ἐν στρατοπέδῳ δι' ἀγγέλοις, οὐδ'
ὥσπερ ἐν τριήρει χρῆσθαι κελευσταῖς. αὐτοὺς δὲ δι' ἑαυτῶν, ἐντυγχάνειν ἀλλή-
λοις. ὥσπερ χοροῦ τοῦ συμποσίου, τὸν κρασπεδίτην τῷ κορυφαίῳ συνήκοον ἔχον-
τος. ἐμοῦ δὲ ταῦτα εἰπόντος, εἰς μέσον ἤδη φθεγξάμενος ὁ πάππος ἡμῶν λαμ-
πρίας, ἆρα συνεῖπεν, οὐ περὶ τὰ δεῖπνα μόνον, ἀλλὰ καὶ περὶ τὰς κλήσεις
δεόμεθα τῆς ἐγκρατείας. ἔστι γάρ τις οἶμαι καὶ φιλανθρωπίας ἀκρασία, μηδένα
παρερχομένης τῶν συμποτῶν, ἀλλὰ πάντας ἑλκούσης, ὡς ἐπὶ θέαν ἢ ἀκρόα-
σιν. ἐμοὶ γοῦν οὔτε ἄρτος οὔτε οἶνος ἐπιλείπων τοῖς κεκλημένοις οὕτω δοκεῖ τὸν
κεκληκότα ποιεῖν γέλοιον, ὡς χώρα καὶ τόπος, ὧν καὶ μὴ κεκλημένοις, ἀλλ' ἐπελ-
θοῦσιν αὐτομάτως ξένοις καὶ ἀλλοτρίοις, αἰεὶ παρεσκευασμένην ἀφθονίαν ὑπάρ-
χειν δεῖ. ἔτι δ' ἄρτου μὲν καὶ οἴνου ἐπιλιπόντων, ἔστι καὶ τοὺς οἰκέτας, ὡς κλέπτοντας αἰ-
τιᾶσθαι. τόπου δὲ πενία καὶ κατανάλωσις εἰς πλῆθος ὀλιγωρία τίς ἐστι τοῦ καλοῦντος.
εὐδοκιμεῖ δὲ θαυμαστῶς καὶ ἡσίοδος εἰπών. ἤτοι μὲν πρώτιστα χάος γένετ'. χώραν γὰρ
ἔδει καὶ τόπον προϋποκεῖσθαι τοῖς γινομένοις. οὐχ ὡς χθὲς οὑμὸς υἱὸς ἔφη τὸ
ἀναξαγόρειον. ἦν ὁμοῦ πάντα χρήματα τὸ συνδεῖπνον ἐποίησεν. οὐ μὴν ἀλλὰ κἂν

ψεις τῆς ἐν ὥρᾳ, καὶ τὸ διὰ τῶν ὀμμάτων ἐκπῖπτον εἴτε ἄρα φῶς, εἴτε ῥεῦμα τοὺς ἐρῶντας ἐκτήκει καὶ ἀπόλλυσι μεθ' ἡδονῆς ἀλγηδόνι μεμιγμένης, ἣν αὐτοὶ γλυκύπικρον ὀνομάζουσιν· οὔτε γὰρ ἁπτομένοις, οὔτε ἀκούουσιν οὕτω τιτρώσκεσθαι συμβαίνει καὶ πάσχειν, ὡς προσβλεπομένοις καὶ προσβλέπουσι. τοιαύτη γὰρ γίνεται διάδοσις, καὶ ἀνάφλεξις ἀπὸ τῆς ὄψεως, ὥστε παντελῶς ἀπειράτους ἔρωτος ἡγεῖσθαι τοὺς τὸ μηδικὸν νάφθαν θαυμάζοντας ἐκ διαστήματος ὑπὸ τοῦ πυρὸς ἀναφλεγόμενον. αἱ γὰρ τῶν καλῶν ὄψεις κἂν πάνυ πόρρωθεν ἀντιβλέψωσι, πῦρ ἐν ταῖς τῶν ἐρωτικῶν ψυχαῖς ἀνάπτουσι. καὶ μὴν τό γε τῶν ἰκτερικῶν βοήθημα πολλάκις ἱστοροῦμεν. ἐμβλέποντες γὰρ τῷ χαραδριῷ θεραπεύονται. τοιαύτην ἔοικε τὸ ζῷον φύσιν καὶ κρᾶσιν ἔχειν, ὥστε ἕλκειν καὶ δέχεσθαι τὸ πάθος ἐκπῖπτον, ὥσπερ ῥεῦμα διὰ τῆς ὄψεως. ὅθεν οὐ προσβλέπουσιν οἱ χαραδριοὶ τὸν ἴκτερον ἔχοντας, οὐδὲ καρτεροῦσιν, ἀλλ' ἀποστρέφονται καὶ τὰ ὄμματα συγκλείσαντες ἔχουσιν, οὐ φθονοῦντες, ὡς ἔνιοι νομίζουσι τῆς ἀπ' αὐτῶν ἰάσεως, ἀλλ' ὥσπερ ὑπὸ πληγῆς τιτρωσκόμενοι. τῶν δὲ ἄλλων νοσημάτων, μάλιστα καὶ τάχιστα τὰς ὀφθαλμίας ἀναλαμβάνουσιν οἱ συνόντες· οὕτω δύναμιν ἔχει ὀξεῖαν ἡ ὄψις ἐνδοῦναι, καὶ προσβαλεῖν ἑτέρῳ πάθους ἀρχήν. καὶ μάλ' ἔφη λέγεις ὀρθῶς ὁ Πατροκλέας. ἐπεί γε τῶν σωματικῶν τάδε. τῆς ψυχῆς ὧν ἐστὶ καὶ τὸ βασκαίνειν τινὰ τρόπον, καὶ πῶς διὰ τῆς ὄψεως τὴν βλάβην εἰς τοὺς ὁρωμένους διαδίδωσιν; οὐκ οἶσθα ἔφην, ὅτι πάσχουσα ἡ ψυχὴ τὸ σῶμα διατίθησιν. ἐπίνοιαι γὰρ ἀφροδισίων ἐγείρουσιν αἰδοῖα, καὶ θυμοὶ κυνῶν ἐν ταῖς πρὸς τὰ θηρία γινομέναις ἁμίλλαις, ἀποσβεννύουσι τὰς ὁράσεις πολλάκις καὶ τυφλοῦσι. λῦπαι καὶ φιλαργυρίαι, καὶ ζηλοτυπίαι τὰ χρώματα τρέπουσι, καὶ καταξαίνουσι τὰς ἕξεις, ὧν οὐδενὸς ὁ φθόνος ἧττον ἐνδύεσθαι τῇ ψυχῇ πεφυκὼς ἀναπίμπλησι καὶ τὸ σῶμα πονηρίας, ἣν οἱ ζωγράφοι καλῶς ἐπιχειροῦσιν ἀπομιμεῖσθαι τοῦ φθόνου πρόσωπον ὑπογράφοντες. ὅτ' ἂν οὖν οὕτως ὑπὸ τοῦ φθονεῖν διατιθέντες ἀπερείδωσι τὰς ὄψεις, αἱ δὲ ἔγγιστα τεταγμέναι τῆς ψυχῆς σπάσωσι τὴν κακίαν, ὥσπερ πεφαρμαγμένα βέλη προσπίπτωσιν. οὐδὲν οἶμαι συμβαίνει παράλογον, οὐδὲ ἄπιστον ἐκείνοις ὅ τοὺς προσορωμένους. καὶ γὰρ τὰ δήγματα τῶν κυνῶν χαλεπώτερα γίνεται μετ' ὀργῆς δακνόντων, καὶ τὰ σπέρματα τῶν ἀνθρώπων μᾶλλον ἅπτεσθαί φασιν, ὅτ' ἂν ἐρῶντες πλησιάζωσι, καὶ ὅλως τὰ πάθη τὰ τῆς ψυχῆς ἐπιρρώννυσι, καὶ ποιεῖ σφοδροτέρας τὰς τοῦ σώματος δυνάμεις. διὸ καὶ τὸ τῶν λεγομένων προβασκανίων γένος οἴονται πρὸς τὸν φθόνον ὠφελεῖν, ἑλκομένης διὰ τὴν ἀτοπίαν τῆς ὄψεως, ὥστε ἧττον ἐπερείδειν τοῖς πάσχουσιν. αὗταί σοι εἰσὶν ὦ Φλῶρε συμβολαὶ τῆς εὐωχίας ἀπηριθμήθωσαν. καὶ ὁ Σώκλαρος ἄν γε ἔφη πρότερον ἡμεῖς αὐτὰ δοκιμάσωμεν. ἔστι γὰρ ὅτι τοῦ λόγου καταφαίνεται κίβδηλον. εἰ γὰρ ἃ λέγουσι πολλοὶ περὶ τῶν βασκαινομένων, ὡς ἀληθῆ τίθεμεν. οὐκ ἀγνοεῖς δήπουθεν, ὅτι καὶ φίλους καὶ οἰκείους, ἔνιοι δὲ καὶ πατέρας ἔχειν ὀφθαλμὸν βάσκανον ὑπολαμβάνουσιν, ὥστε μὴ δεικνύναι τὰς γυναῖκας αὐτοῖς τὰ παιδία, μὴ δὲ πολὺν ἐᾶν χρόνον ὑπὸ τῶν τοιούτων καταβλέπεσθαι. πῶς οὖν ἔτι δόξει φθόνου τὸ πάθος εἶναι. τί δὲ ὦ πρὸς τοῦ Διὸς ἐρεῖς περὶ τῶν ἑαυτοὺς καταβασκαίνειν λεγομένων. καὶ γὰρ τοῦτο ἀκήκοας. εἰ δὲ μὴ πάντως ταῦτα ἀνέγνωκας. καλαί μέν ποτ' ἔσαν, καλαὶ φόβαι Εὐτελίδα· ἀλλ' αὐτὸν βασκαίνειν ἰδὼν ὀλοφώιος ἀνὴρ δινήεντι ποταμῷ, τὸν δ' αὐτίκα νοῦσος ἀεικής. ὁ γὰρ Εὐτελίδας λέγεται καλὸς ἑαυτῷ φανεὶς, καὶ παθών τι πρὸς τὴν ὄψιν ἐκ τοῦ νοσῆσαι, καὶ τὴν εὐεξίαν μετὰ τῆς ὥρας ἀποβαλεῖν. ἀλλ' ὅρα πῶς ἔχεις εὐρεσιλογίας πρὸς τὰς τηλικαύτας ἀτοπίας. ἄλλως μὲν ἔφη καὶ μάλα ἱκανῶς. πίνων δὲ ὡς ὁρᾷς ἐκ τῆς τηλικαύτης

λικαύτης κύλικος οὐκ ἀτόλμως λέγω. διότι τὰ μὲν πάθη πάντα τῆς ψυχῆς ἐμμείναντα πολὺν χρόνον ἕξεις ἐνεργάζεται πονηράς, αὗται δὲ ὅταν ἰσχὺν φύσεως λάβωσιν, ὑπὸ τῆς τυχούσης κινούμεναι προφάσεως πολλάκις καὶ ἄκοντας ἐπὶ τὰ οἰκεῖα καὶ συνήθη καταφέρουσι πάθη. σκόπει δὲ τοὺς δειλούς, ὅτι καὶ τὰ σῴζοντα φοβοῦνται, καὶ τοὺς ὀργίλους, ὅτι καὶ τοῖς φιλτάτοις δυσκολαίνουσι, καὶ τοὺς ἐρωτικούς, καὶ ἀκολάστους, ὅτι τελευτῶντες οὐδὲ τῶν ἁγιωτάτων ἀπέχεσθαι δύνανται σωμάτων. ἡ γὰρ συνήθεια δεινὴ πρὸς τὸ οἰκεῖον ἐξάγειν τὴν διάθεσιν, καὶ τὸν ἀκροσφαλῶς ἔχοντα πᾶσι προσπταίειν ἀνάγκη τοῖς ὑποπίπτουσιν, ὥστε οὐκ ἄξιον θαυμάζειν τοὺς τὴν φθονητικὴν, καὶ βασκαντικὴν ἀπειργασμένους ἐν ἑαυτοῖς ἕξιν, εἰ καὶ πρὸς τὰ οἰκεῖα κατὰ τὴν τοῦ πάθους ἰδιότητα κινοῦνται. κινούμενοι δὲ οὕτως, ὃ πεφύκασιν, οὐχ ὃ βούλονται ποιοῦσιν. ὡς γὰρ ἡ σφαῖρα κινεῖσθαι σφαιρικῶς καὶ κυλινδρικῶς ὁ κύλινδρος ἀναγκάζεται κατὰ τὴν τοῦ σχήματος διαφοράν. οὕτως τὸν οὕτω φθονερὸν ἡ διάθεσις φθονητικῶς πρὸς ἅπαντα κινεῖ. οὐ μὴν ἀλλὰ καὶ καταβλάπτειν εἰκός ἐστιν αὐτοὺς τὰ οἰκεῖα, καὶ φθονούμενα μᾶλλον. ὁ δὲ βέλτιστος Εὐτελίδας, ὅ καὶ ὅσοι λέγονται καταβασκαίνειν ἑαυτοὺς οὐκ ἀλόγως μοι δοκοῦσι τοῦτο πάσχειν. σφαλερὸν γὰρ ἡ ἐπ' ἄκρον εὐεξία κατὰ τὸν Ἱπποκράτην καὶ τὰ σώματα προελθόντα μέχρι τῆς ἄκρας ἀκμῆς οὐχ ἕστηκεν, ἀλλὰ εἰ πῆ, καὶ ταλαντεύεται πρὸς τοὐναντίον. ὅτ' αὖ οὖν ἐπίδοσιν ἀθρόαν λάβωσι βέλτιον ἢ προσεδόκων ἔχοντας ἑαυτοὺς ἐπιβλέπωσιν, ὥστε θαυμάζειν καὶ κατασκοπεῖν τὸ σῶμα τῆς μεταβολῆς ἐγγύς ἐστι, καὶ φερόμενοι ταῖς ἕξεσι πρὸς τὸ χεῖρον ἑαυτοὺς καταβασκαίνειν. τοῦτο δὲ γίνεται μᾶλλον ἀπὸ τῆς πρὸς ὕδασιν ἢ τισὶν ἄλλοις ἐσόπτροις ὑφισταμένων ῥευμάτων. ἀναπνεῖν γὰρ ἐπ' αὐτοὺς τοὺς ὁρῶντας, ὥστε οἷς ἑτέρους ἔβλαπτον αὐτοὺς κακοῦσθαι. τοῦτο δὲ ἴσως καὶ περὶ τὰ παιδία γινόμενον καταψεύδεται πολλάκις τὴν αἰτίαν τῶν ἐνορώντων. ἐμοῦ δὲ παυσαμένου, Γάιος ὁ Φλώρου γαμβρός, τῶν δὲ Δημοκρίτου ἔφη εἰδώλων ὥσπερ Αἰγιέων, ἢ Μεγαρέων ἀριθμὸς οὐδείς, οὐδὲ λόγος. ἅ φησιν ἐκεῖνος ἐξιέναι τοὺς φθονοῦντας, οὔτε αἰσθήσεως ἄμοιρα παντάπασιν, οὔτε ὁρμῆς ἀνάπλεά τε τῆς ἀπὸ τῶν προϊεμένων μοχθηρίας, καὶ βασκανίας. μεθ' ἧς ἐμπλασσόμενα, καὶ παραμένοντα καὶ συνοικοῦντα τοῖς βασκαινομένοις ἐπιταράττειν, καὶ κακοῦν αὐτῶν τό τε σῶμα καὶ τὴν διάνοιαν. οὕτως γὰρ οἶμαι πως τὸν ἄνδρα τῇ δόξῃ, τῇ δὲ λέξει δαιμονίως λέγειν, καὶ μεγαλοπρεπῶς. πάνυ μὲν οὖν ἔφην. ἀλλὰ θαυμάζω πῶς ἔλαθον ἡμᾶς, οὐδὲν ἄλλο τῶν ῥευμάτων τούτων, ἢ τὸ ἔμψυχον ἀφελών, καὶ προαιρετικόν, ἵνα μή με δόξητε πόρρω νυκτῶν οὐσῶν ὑμῖν ἐπάγοντα φάσματα, καὶ εἴδωλα πεπνυμένα, καὶ φρονοῦντα μορμολύττεσθαι, καὶ διαταράττειν. ἕωθεν οὖν ἐὰν δοκῇ περὶ τούτων σκεψώμεθα.

Διατί τὴν μηλέαν ἀγλαόκαρπον ὁ ποιητὴς εἶπεν, Ἐμπεδοκλῆς δὲ ὑπέρφυα τὰ μῆλα. η.

Σιτουμένων ἡμῶν ποτὲ ἐν Χαιρωνείᾳ, καὶ παρατεθείσης παντοδαπῆς ὀπώρας, ἐπῆλθέ τινι τῶν κατακειμένων ἀναφθέγξασθαι τὸν στίχον ἐκεῖνον, σῦκαί τε γλυκεραὶ καὶ μηλέαι ἀγλαόκαρποι, καὶ ἐλαῖαι τηλεθόωσαι. ζήτησις οὖν ἦν διατί τὰς μηλέας ὁ ποιητὴς ἀγλαοκάρπους ἐξαιρέτως προσεῖπε. καὶ Τρύφων μὲν ὁ ἰατρὸς ἔλεγε κατὰ τὴν πρὸς τὸ δένδρον εἰρῆσθαι σύγκρισιν. ὅτι μικρὸν ὂν κομιδῆ καὶ τὴν ὄψιν εὐτελές, καλὸν καὶ μέγαν ἐκφέρει τὸν καρπόν. ἄλλος δέ τις ἔφη, τὸν καλὸν ἐκ πάντων συντεθέντα, μόνῳ τούτῳ τῶν ἀκροδρύων ὡραῖον ὑπάρχειν. καὶ γὰρ τὴν ψαῦσιν ἔχει καθάπερ ἴον, ὥστε μὴ μολύνειν, ἀλλ' εὐ-

σκαινεν l.
φωνῇ l. τὸ l.
ποβαλεῖν l. ὅρα l.
ἱπποκράτην l.
πῆ l.
ὑπέρφλοια l.

ωλίας ἀναπιμπλᾶσαι τὸν ἁπτόμενον, καὶ τὴν γεῦσιν ἡδεῖαν, ὀσφραίνεσθαί τε καὶ ἰδεῖν ἐπιτερπέστατόν ἐστι· διὸ καὶ πάσας ὁμοῦ τι τὰς αἰσθήσεις προσαγόμενον, εἰκότως ἐπαινεῖσθαι. ταῦτα μὲν οὖν ἔφαμεν ἡμεῖς μετρίως λέγεσθαι. τοῦ δὲ ἐμπεδοκλέους εἰρηκότος οὕνεκεν ὀψίγονοί τε σίδαι καὶ ὑπέρφλοια μῆλα. τὸ μὲν τῶν σιδῶν ἐπίθετον νοεῖν· ὅτι τοῦ φθινοπώρου λήγοντος ἤδη, καὶ τῶν καυμάτων μαραινομένων, ἐκπέττουσι τὸν καρπόν· ἀσθενῆ γὰρ αὐτῶν τὴν ὑγρότητα, καὶ γλίσχραν οὖσαν οὐκ ἐᾷ λαβεῖν σύστασιν ὁ ἥλιος, ἂν μὴ μεταβάλλειν ὁ ἀὴρ ἤδη τὸ ψυχρότερον ἄρχηται. διὸ καὶ μόνον τοῦτό φησι θεόφραστος τὸ δένδρον ἐν τῇ σκιᾷ βέλτιον ἐκπέττειν τὸν καρπὸν καὶ τάχιον. τὰ δὲ μῆλα καθ' ἥν τινα διάνοιαν ὁ σοφὸς ὑπέρφλοια προσείρηκε διαπορεῖν, καὶ μάλιστα τοῦ ἀνδρός, οὐ καλλιγραφίας ἕνεκα τοῖς εὐπροσωποτάτοις τῶν ἐπιθέτων, ὥσπερ ἀνθηροῖς χρώμασι τὰ πράγματα γανοῦν εἰωθότος· ἀλλ' ἕκαστον οὐσίας τινός, ἢ δυνάμεως δήλωμα ποιοῦντος, οἷον ἀμφιβρότην χθόνα τὸ τὴν ψυχὴν περικείμενον σῶμα, καὶ νεφεληγερέτην τὸν ἀέρα, καὶ πολυαίματον τὸ ἧπαρ. εἰπόντος οὖν ἐμοῦ ταῦτα, γραμματικοί τινες ἔφασαν ὑπέρφλοια λελέχθαι τὰ μῆλα διὰ τὴν ἀκμήν· τὸ γὰρ ἄγαν ἀκμάζειν καὶ τεθηλέναι φλοίειν ὑπὸ τῶν ποιητῶν λέγεσθαι, καὶ τὸν ἀντίμαχον οὕτω πως ἤδη φλοίουσαν ὀπώραις εἰρηκέναι τὴν τῶν καδμείων πόλιν. ὁμοίως τὸν ἄρατον ἐπὶ τοῦ σειρίου λέγοντα, καὶ τὰ μὲν ἔρρωσε, τῶν δὲ φλόον ὤλεσε πάντα, τὴν χλωρότητα, καὶ τὸ ἄνθος τῶν καρπῶν φλόον προσαγορεύειν. εἶναι δὲ καὶ τῶν ἑλλήνων τινάς, οἳ φλοίῳ διονύσῳ θύουσιν. ἐπεὶ τοίνυν μάλιστα τῶν καρπῶν ἡ χλωρότης καὶ τὸ τεθηλέναι τῷ μήλῳ παραμένει, ὑπέρφλοιον αὐτὸ τὸν φιλόσοφον προσαγορεῦσαι. λαμπρίας δὲ ὁ πάππος ἡμῶν ἔφη τὴν ὑπὲρ φωνήν, οὐ μόνον τὸ ἄγαν, καὶ τὸ σφοδρὸν δηλοῦν, ἀλλὰ καὶ τὸ ἔξωθεν, καὶ τὸ ἄνωθεν. οὕτω γὰρ ὑπέρθυρον, καὶ ὑπερῷον καλεῖν ἡμᾶς· τὸν δὲ ποιητὴν καὶ κρέα ὑπέρτερα τὰ ἔξω τοῦ ἱερείου, ὥσπερ ἔγκατα τὰ ἐντός. ὅρα τοίνυν ἔφη μὴ πρὸς τοῦτο μᾶλλον ὁ ἐμπεδοκλῆς πεποίηκε τὸ ἐπίθετον. ὅτι τῶν ἄλλων καρπῶν τὸ ἔξωθεν ἀπὸ τοῦ φλοιοῦ περιεχομένων· καὶ τὰ καλούμενα λεπύχανα καὶ κελύφη, καὶ ὑμένας, καὶ λοβοὺς ἤδη πολλῆς ἐχόντων, ὁ τοῦ μήλου φλοιὸς ἐντός ἐστι κολλώδης χιτών, καὶ λιπαρός, ᾧ προσίσχεται τὸ σπέρμα· τὸ δὲ ἐδώδιμον ἔξωθεν αὐτῷ περικείμενον, εἰκότως ὑπέρφλοιον ὠνομάσθαι.

Τίς ἡ αἰτία δι' ἣν ἡ συκῆ δριμύτατον οὖσα δένδρον, γλυκύτατον παρέχει τὸν καρπόν. θ'.

Μετὰ δὲ ταῦτα περὶ τῶν σύκων διηπορήθη· τί δήποτε πίων καὶ γλυκὺς οὕτως καρπὸς ἀπὸ δένδρου φύεται πικροτάτου. τῆς γὰρ συκῆς καὶ τὸ φύλλον διὰ τὴν τραχύτητα θρῖον ὠνόμασται· καὶ τὸ ξύλον ὀπῶδές ἐστιν, ὥστε καιόμενον μὲν ἐκδιδόναι δριμύτατον καπνόν· κατακαυθεῖσαν δὲ τὴν ἐκ τῆς τέφρας κονίαν ῥυπτικωτάτην παρέχειν ὑπὸ δριμύτητος. ὃ δέ ἐστι θαυμασιώτατον, αἰθούντων ἁπάντων ὅσα βεβλάστηκε καὶ καρπωνεῖ, μόνον ἀνανθές ἐστι τὸ τῆς συκῆς φυτόν. εἰ δὲ ὥσπερ φασὶν οὐ κεραυνοῦται, καὶ τοῦτ' ἄν τις ἀναθείη τῇ πικρότητι, καὶ κακοχυμίᾳ τοῦ στελέχους. τῶν γὰρ τοιούτων οὐ δοκοῦσιν ἐπιθιγγάνειν οἱ κεραυνοί, καθάπερ οὐδὲ τῆς φώκης τοῦ δέρματος, οὐδὲ τῆς ὑαίνης. ὑπολαβὼν δὲ ὁ πρεσβύτης ἔφη τῷ φυτῷ γλυκύτητος ἅπαν τοῦτο συνθλιβόμενον εἰκότως δριμὺ ποιεῖ, καὶ ἄκρατον τὸ λειπόμενον. ὥσπερ γὰρ τὸ ἧπαρ εἰς ἕνα τόπον τοῦ χολώδους ἀποκριθέντος αὐτὸ γίνεται γλυκύτατον· οὕτω τὴν συκῆν εἰς τὸ σῦκον ἅπαν τὸ λιπαρὸν καὶ νόστιμον ἀφιεῖσαν αὐτὴν ἄμοιρον εἶναι γλυκύτητος. ἐπεὶ ὅτι γε μετέχει τινὸς εὐχυμίας τὸ ξύλον ἐκεῖνο

ἔφην

ἔφην ποιοῦμαι σημεῖον, ὃ λέγουσι δὲ τοῦ πηγάνου τὸ φυόμενον ὑπ' αὐτῇ, καὶ παραφυόμενον ἥδιον εἶναι, καὶ τῷ χυμῷ μαλακώτερον, ὡς ἀναπαῦον τινὸς γλυκύτητος, ᾗ κατασβέννυται τὸ ἄγαν βαρὺ, καὶ κατάκορον. εἰ μὴ νὴ Δία τοὐναντίον ἡ συκῆ περισπῶσα τὴν τροφὴν ἐξαιρεῖ τὸ τῆς δριμύτητος.

Τίνες οἱ περὶ ἅλα καὶ κύμινον, ἐν ᾧ καὶ διατί τὸν ἅλα θεῖον ὁ ποιητὴς εἶπεν. ι'.

Ζήτει φλῶρος ἑστιωμένων ἡμῶν παρ' αὐτῷ, τίνες ἂν εἶεν οἱ περὶ ἅλα καὶ κύμινον ἐν τῇ παροιμίᾳ λεγόμενοι. καὶ τοῦτο μὲν ἐκ προχείρου διέλυσεν ἀπολλοφάνης ὁ γραμματικός. οἱ γὰρ οὕτω συνήθεις ἔφη τῶν φίλων, ὥστε καὶ πρὸς ἅλα δειπνεῖν καὶ κύμινον ἀπὸ τῆς παροιμίας προβάλλονται. τὴν δὲ τῶν ἁλῶν τιμὴν ἀφ' ὅτου γένοιτο διηποροῦμεν. ὁμήρου μὲν ἄντικρυς λέγοντος, πάσσε δ' ἁλὸς θείοιο· πλάτωνος δὲ τῶν ἁλῶν σῶμα κατὰ νόμον ἀνθρώπων θεοφιλέστατον εἶναι φάσκοντος. ἐπέτεινε δὲ τὴν ἀπορίαν τὸ τοὺς αἰγυπτίους ἱερέας ἁγνοὺς ὄντας ἀπέχεσθαι τοπάμπαν ἁλῶν, ὥστε καὶ τὸν ἄρτον ἄναλον προσφέρεσθαι. πῶς γὰρ εἰ θεοφιλὲς καὶ θεῖον ἀφωσίωσαν. φλῶρος μὲν οὖν ἐᾶν ἐκέλευε τοὺς αἰγυπτίους, ἑλληνιστὶ δὲ αὐτοὺς εἰπεῖν τι πρὸς τὸ ὑποκείμενον, ἐγὼ δὲ ἔφην οὐδὲ τοὺς αἰγυπτίους μάχεσθαι τοῖς ἕλλησιν. αἱ γὰρ ἁγνεῖαι καὶ παιδοποιίαν καὶ γέλωτα καὶ οἶνον, καὶ πολλὰ τῶν ἄλλως ἀξίων σπουδῆς ἀφαιροῦσι. τοὺς δὲ ἅλας τάχα μὲν ὡς ἤδη συνουσίαν ἄγοντας ἀπὸ θερμότητος ὡς ἔνιοι λέγουσι φυλάττονται καθαρεύοντες. εἰκὸς δὲ καὶ ὡς ὄψον ἥδιστον παραιτεῖσθαι. κινδυνεύουσι γὰρ οἱ ἅλες τῶν ἄλλων ὄψων, ὄψον εἶναι καὶ ἥδυσμα. διὸ καὶ χάριτας ἔνιοι προσαγορεύουσιν αὐτούς, ὅτι τῆς τροφῆς τὸ ἀναγκαῖον ἡδὺ ποιοῦσιν. ἆρ' οὖν ὁ φλῶρος ἔφη διὰ τοῦτο θεῖον εἰρῆσθαι τὸν ἅλα φῶμεν; ἔστι μὲν δεῖπνον οὐδὲ τοῦτο ἐλάχιστον. οἱ γὰρ ἄνθρωποι τὰ κοινὰ καὶ διήκοντα ταῖς χρείαις, ἐπεὶ τὸ πλεῖστον ἐκθειάζουσιν, ὡς τὸ ὕδωρ, ὡς τὸ φῶς, τὰς ὥρας, τὴν δὲ γῆν, οὐ μόνον θεῖον, ἀλλὰ καὶ θεὸν ὑπολαμβάνουσιν. ὧν οὐδενὸς λείπεται χρείᾳ, τὸ τῶν ἁλῶν θείκωμα τῆς τροφῆς γινόμενον εἰς τὸ σῶμα, καὶ παρέχον εὐαρμοστίαν αὐτῇ πρὸς τὴν ὄρεξιν. οὐ μὴν ἀλλὰ καὶ σκόπει μὴ κἀκεῖνο θεῖον αὐτῷ συμβέβηκεν. ὅτι τῶν σωμάτων τὰ νεκρά, διατηροῦν ἄσηπτα καὶ μόνιμα, πολὺν χρόνον ἀντιτάττεται τῷ θανάτῳ, καὶ οὐκ ἐᾷ παντελῶς ἐξολέσθαι, καὶ ἀφανισθῆναι τὸ θνητόν. ἀλλ' ὥσπερ ἡ ψυχὴ θειότατον οὖσα τῶν ἡμετέρων τὰ ζῷα συνέχει καὶ ῥεῖν οὐκ ἐᾷ τὸν ὄγκον, οὕτως ἡ τῶν ἁλῶν φύσις τὰ νεκρὰ παραλαμβάνουσα, καὶ μιμουμένη τὸ τῆς ψυχῆς ἔργον ἀντιλαμβάνεται, φερομένων ἤδη τὴν φθοράν, καὶ κρατεῖ, καὶ ἵστησιν, ἁρμονίαν παρέχουσα, καὶ φιλίαν πρὸς ἄλληλα τοῖς μέρεσι. διὸ καὶ τῶν στωϊκῶν ἔνιοι τὴν ὗν σάρκα νεκρὰν γεγονέναι λέγουσι τῆς ψυχῆς, ὥσπερ ἁλῶν παρεσπαρμένης ἀπὸ τοῦ διαμένειν. ὁρᾷς δὲ ὅτι καὶ τὸ κεραύνιον πῦρ ἱερὸν ἡγούμεθα, καὶ θεῖον, ὅτι τὰ σώματα τῶν διοβλήτων ἄσηπτα πρὸς πολὺν ἀντέχοντα χρόνον ὁρῶμεν. τί οὖν θαυμαστόν, εἰ καὶ τὸν ἅλα τὴν αὐτὴν ἔχοντα τῷ θείῳ δύναμιν, θεῖον ὑπέλαβον οἱ παλαιοί. σιωπήσαντος δέ μου φιλῖνος ὑπολαβών, τὸ δὲ γόνιμον οὐ δοκεῖ σοι ἔφη θεῖον εἶναι, εἴπερ ἀρχὴ ὁ θεὸς πάντων; ὁμολογήσαντος δέ μου, καὶ μὴν ἔφη τὸν ἅλα οὐκ ὀλίγον πρὸς γένεσιν συνεργεῖν οἴονται, καθάπερ αὐτὸς ἐμνήσθης τῶν αἰγυπτίων. οἱ γοῦν τὰς κύνας φιλοσοφοῦντες, ὅταν ἀργότεραι πρὸς συνουσίαν ὦσιν, ἄλλοις τε βρώμασιν ἁλμυροῖς καὶ ταριχηροῖς κρέασι κινοῦσι, καὶ παροξύνουσι τὸ σπερματικὸν αὐτῶν ἡσυχάζον. τὰ δὲ ἁλιγὰ πλοῖα, πλῆθος ἐκφύει μυῶν ἄπλετον, ὡς μὲν ἔνιοι λέγουσι τῶν θηλειῶν καὶ δίχα συνουσίας κυουσῶν. ὅτ' ἂν τὸν ἅλα

λείχωσιν. εἰκὸς δὲ μᾶλλον ἐμποιεῖν τὴν ἁλμυρίδα τοῖς μυείοις, ὀδαξισμὸς, καὶ συνεξορμᾶν τὰ ζῶα πρὸς τοὺς συνδυασμούς. διὰ τοῦτο δὲ ἴσως, καὶ κάλλος γυναικὸς, τὸ μήτε ἀργὸν, μήτε ἀπίθανον, ἀλλὰ μεμιγμένον χάριτι, καὶ κινητικὸν, ἁλμυρὸν, καὶ δριμὺ καλοῦσιν. οἶμαι δὲ καὶ τὴν ἀφροδίτην ἁλιγενῆ τοὺς ποιητὰς προσαγορεύειν, καὶ μῦθον ἐπ' αὐτῇ πεπλασμένον ἐξενεγκεῖν, ὡς ἀπὸ θαλάττης ἐχούσης τὴν γένεσιν, εἰς τὸ τῶν ἁλῶν γόνιμον αἰνιττομένους. ἀλλὰ καὶ ὅλως τοὺς πελαγικοὺς θεοὺς πολυτέκνους, καὶ πολυγόνους ἀποφαίνουσιν. αὐτῶν δὲ τῶν ζώων οὐδὲν ἂν χερσαῖον, ἢ πτηνὸν εἰπεῖν ἔχοις οὕτω γόνιμον, ὡς πάντα θαλάττια. πρὸς ὃ καὶ πεποίηκεν ὁ ἐμπεδοκλῆς· φῦλον ἄμουσον ἄγουσα πολυσπερέων καμασήνων.

μυείοις γρ. μορίοις

ΣΥΜΠΟΣΙΑΚΩΝ ΕΚΤΟΝ.

Τιμόθεον τὸν κόνωνος ὦ σόσσιε σενεκίων, ὡς ἐκ τῶν πολυτελῶν καὶ στρατιωτικῶν δείπνων ἀναλαβὼν ὁ πλάτων ἐδείπνισεν ἐν ἀκαδημίᾳ, μουσικῶς καὶ ἀφελῶς ταῖς ἀφλεγμάντοις ὥς φησιν ὁ ἴων θαλίαις, αἷς ὕπνοι τε καθαροὶ, καὶ βραχυόνειροι φαντασίαι τοῦ σώματος εὐδίαν καὶ γαλήνην ἔχοντες ἕπονται. μεθημέραν οὕτω ὁ τιμόθεος αἰσθόμενος τῆς διαφορᾶς ἔφη τοὺς παρὰ πλάτωνι δειπνήσαντας, καὶ τῇ ὑστεραίᾳ καλῶς γίνεσθαι. μέγα γὰρ ὡς ἀληθῶς εὐημερίας ἐφόδιον εὐκρασίαν σώματος ἀβαπτίστου καὶ ἐλαφροῦ, καὶ παρεστῶτος ἀνυπόπτως ἐπὶ πᾶσαν ἐνέργειαν. ἀλλ' ἕτερον οὐκ ἔλαττον ὑπῆρχε τοῦτο τοῖς παρὰ πλάτωνι δειπνίσασιν, ἡ τῶν λαληθέντων παρὰ πότον ἀναθεώρησις, καὶ ἄλλως. αἱ μὲν γὰρ τῶν ποθέντων ἡδοναὶ, τὴν ἀνάμνησιν ἀνελεύθερον ἔχουσι, καὶ ἐξίτηλον ὥσπερ ὀσμὴν ἕωλον ἢ κνίσαν ἐναπολειπομένην. προβλημάτων δὲ καὶ λόγων φιλοσόφων ὑποθέσεις, αὐτούς τε τοὺς μεμνημένους εὐφραίνουσιν· ἀεὶ πρόσφατοι παροῦσαι, καὶ τοὺς ἀπολειφθέντας, οὐχ ἧττον εἰς αἰτίαν παρέχουσι τῶν αὐτῶν συμποσίων ἀκούοντας, καὶ μεταλαμβάνοντας. ὅπου καὶ νῦν τῶν σωκρατικῶν συμποσίων μετουσία καὶ ἀπόλαυσίς ἐστι τοῖς φιλολόγοις, ὥσπερ αὐτοῖς ἐκείνοις τοῖς τότε δειπνοῦσι, καίτοι τὰ σωματικὰ τὰς ἡδονὰς παρεῖχεν. ἔδει καὶ ξενοφῶντα καὶ πλάτωνα μὴ τῶν λαληθέντων, ἀλλὰ τῶν παρατεθέντων ἐν καλλίου καὶ ἀγάθωνος

νος ὄψων καὶ πεμμάτων καὶ τραγημάτων ἀπογραφὴν ἀπολιπεῖν. νῦν δὲ ἐκεῖνα μὲν οὐδέποτε, καίπερ ὡς εἰκὸς ἐκ παρασκευῆς γινόμενα καὶ δαπάνης λόγου τινὸς ἠξιώθη. τὰ δὲ φιλοσοφηθέντα μετὰ παιδιᾶς σπουδάζοντες εἰς γραφὴν ἀπετίθεντο, καὶ κατέλιπον παραδείγματα τοῦ μὴ μόνον συνεῖναι διαλεγομένους ἀλλήλοις παρὰ πότον, ἀλλὰ καὶ μεμνῆσθαι τῶν λαληθέντων.

Τίς ἡ αἰτία δι' ἣν οἱ νηστεύοντες διψῶσι μᾶλλον, ἢ πεινῶσιν. α'.

Ἔκτον οὖν τοῦτό σοι πέμπω τῶν συμποσιακῶν· ἐν ᾧ πρῶτόν ἐστι τὸ περὶ τοῦ διψῆν μᾶλλον, ἢ πεινῆν τοὺς νηστεύοντας. ἄλογον γὰρ ἐφαίνετο διψῆν μᾶλλον ἢ πεινῆν, τοὺς ἐκνηστεύσαντας. ἡ γὰρ ἔνδεια τῆς ξηρᾶς τροφῆς ἀναπλήρωσιν οἰκείαν ἐδόκει κατὰ φύσιν ἐπιζητεῖν. ἔλεγον οὖν ἐγὼ τοῖς παροῦσιν ὅτι τῶν ἐν ἡμῖν ἢ μόνον, ἢ μάλιστα δεῖται τροφῆς τὸ θερμόν, ὥσπερ ἀμέλει βλέπομεν, ἐξ ὧν μήτε ἀέρα μήτε ὕδωρ μήτε γῆν ἐφιέμενα τοῦ τρέφεσθαι, μήτε ἀναλίσκοντα τὸ πλησιάζον, ἀλλὰ μόνον τὸ πῦρ, ἢ καὶ τὰ νέα βρωτικώτερα τῶν πρεσβυτέρων ὑπὸ θερμότητος. καὶ τοὐναντίον οἱ γέροντες ῥᾷστα νηστείαν φέρουσιν. ἀμβλὺ γὰρ ἐν αὐτοῖς καὶ μικρὸν ἤδη τὸ θερμόν ἐστιν, ὥσπερ ἐν τοῖς ἀναίμοις τῶν ζώων, ἃ δὴ καὶ τροφῆς ἥκιστα προσδεῖται δι' ἔνδειαν θερμότητος. αὐτόν τε ἕκαστον αὐτοῦ γυμνάσια καὶ κραυγαὶ, καὶ ὅσα τῷ κινεῖν αὔξει τὸ θερμόν, ἥδιον φαγεῖν ποιεῖ καὶ προθυμότερον. τροφὴ δὲ τῷ θερμῷ καθάπερ νομίζω, ὃ πρῶτον κατὰ φύσιν μάλιστα τὸ ὑγρόν ἐστιν, ὡς αἵ τε φλόγες αὐξανόμεναι τῷ ἐλαίῳ δηλοῦσι, καὶ τὸ πάντων ξηρότατον εἶναι τέφραν. ἐκκέκαυται γὰρ τονώτερον. τὸ δὲ γεῶδες, ἔρημον ἰκμάδος λέλειπται. καὶ ὅμως δὲ ἵστησι, καὶ διαιρεῖ τὰ σώματα τὸ πῦρ τῷ ἐξαιρεῖν τὴν κολλῶσαν ὑγρότητα καὶ συνδέουσαν. ὅταν οὖν νηστεύσωμεν, ἐκ τῶν ὑπολειμμάτων τῆς ἐν τῷ σώματι τροφῆς ἀποσπᾷ τῇ βίᾳ τὸ ὑγρὸν ὑπὸ τοῦ θερμοῦ πρῶτον. εἶτα ἐπ' αὐτὴν βαδίζει τὴν σύμφυτον λιβάδα τῆς σαρκὸς ἡ πύρωσις διώκουσα τὸ νοτερόν. γενομένης οὖν ὥσπερ ἐν πηλῷ ξηρότητος ποτοῦ μᾶλλον τὸ σῶμα δεῖσθαι πέφυκεν ἄχρις οὗ πινόντων ἀναρρωσθὲν καὶ ἰσχῦσαν τὸ θερμὸν ἐμβριθοῦς τροφῆς ὄρεξιν ἐργάσηται.

Πότερον ἔνδεια ποιεῖ τὸ πεινῆν καὶ διψῆν, ἢ πόρων μετασχηματισμός. β'.

Λεχθέντων δὲ τούτων οἱ περὶ φίλωνα ἰατροὶ, τὴν πρώτην θέσιν ἐκίνουν. ἐνδείᾳ γὰρ οὐ γίνεσθαι τὸ δίψος. ἀλλ' ἀπόρων τινῶν μετασχηματισμῷ. τοῦτο μὲν γὰρ οἱ νύκτωρ διψῶντες, ἂν ἐπικαταδαρθῶσι παύονται τοῦ διψῆν μὴ πιόντες. τοῦτο δ' οἱ πυρέττοντες ἐνδόσεως γενομένης, ἢ παντάπασι τοῦ πυρετοῦ λωφήσαντος, καὶ ἅμα τοῦ διψῆν ἀπαλλάττονται. πολλοῖς δὲ λουσαμένοις καὶ νὴ δία ἐμέσασιν ἑτέροις λήγει τὸ δίψος. ὧν ὑπ' οὐδενὸς αὔξεται τὸ ὑγρὸν, ἀλλὰ μόνον οἱ πόροι παρασχόντες τι τῷ μετασχηματίζεσθαι τάξιν ἑτέραν, καὶ διάθεσιν. ἔτι δηλότερον δὲ τοῦτο γίνεται περὶ τὴν πεῖναν. ἐνδεεῖς γὰρ ἅμα πολὺ γίνονται, καὶ ἀνόρεκτοι τῶν νοσούντων. ἐνίοις δ' ἐμπιπλαμένοις, οὐδὲν αἱ ὀρέξεις χαλῶσιν, ἀλλὰ καὶ κατατείνουσι καὶ παραμένουσιν. ἤδη δὲ πολλοὶ τῶν ἀποσίτων ἐλαίαν ἁλμάδα λαμβάνοντες, ἢ κάππαριν γευσάμενοι ταχέως ἀνέλαβον, καὶ παρεστήσαντο τὴν ὄρεξιν. ᾧ καὶ μάλιστα δῆλόν ἐστιν. ὅτι πάθει τινὶ πόρων οὐχ ὑπ' ἐνδείας ἐγγίνεται τὸ πεινῆν ἡμῖν. τὰ γὰρ τοιαῦτα βρώματα. τὴν μὲν ἔνδειαν ἐλαττοῖ προστιθεμένης τροφῆς, ποιοῦσιν. οὕτως αἱ τῶν ἐφάλμων βρωμάτων εὐστομίαι καὶ δριμύτητες ἐπιστρέφουσαι, καὶ πυκνοῦσαι τὸν στόμαχον, ἢ πάλιν ἀνοίγουσαι καὶ χαλῶσαι δηκτικήν τινα τροφῆς εὐαρμοστίαν περιειργάσαντο τὴν αὐτῶν, ἢ ὄρεξιν

καλοῦμεν. ἐδόκει δή μοι ταῦτα πιθανῶς μὲν ἐπικεχειρῆσθαι. πρὸς δὲ τὸ μέγιστον ἐναντιοῦσθαι τῆς φύσεως τέλος. ἐφ' ὃ πᾶν ἄγει ζῷον ὄρεξις, ἀναπλήρωσιν τοῦ ἐνδεοῦς ποθοῦσα, καὶ τὸ ἐκλεῖπον ἀεὶ τοῦ οἰκείου διώκουσα. τὸ γὰρ ᾧ διαφέρει μάλιστα τὸ ζῷον, τοῦ ἀψύχου τοῦτο μὴ φάναι πρὸς σωτηρίαν, καὶ διαμονὴν ὑπάρχειν ἡμῖν. ὥσπερ ὀμμάτων οἰκείων τῷ σώματι, καὶ δέῃ τῶν ἐγγεγενημένων, ἀλλὰ πάθος εἶναι, καὶ τροπήν τινα πόρων οἴεσθαι μεγέθεσι, καὶ μικρότησι συμβαίνουσαν, εἰς οὐδένα λόγον ἁπλῶς τιθεμένων τὴν φύσιν. ἔπειτα εἰ ῥιγοῦν ἐνδείᾳ τῆς θερμότητος οἰκείας τὸ σῶμα, μηκέτι διψῆν, μὴ δὲ πεινῆν ὑγρότητος ἐνδείᾳ τῆς κατὰ φύσιν, καὶ τροφῆς ἄλογόν ἐστι. τούτου δὲ ἀλογώτερον, εἰ κενώσεως μὲν ἐφίεται διὰ πλήρωσιν ἡ φύσις. πληρώσεως δὲ οὐ διὰ κένωσιν, ἀλλ' ἑτέρου τινὸς πάθους ἐπιγινομένου. καὶ μὴν αἵ γε τοιαῦται περὶ τὰ ζῷα χρεῖαι καὶ ἀναπληρώσεις, οὐθέν τι τῶν περὶ τὰς γεωργίας γινομένων διαφέρουσι. πολλὰ γὰρ ὅμοια πάσχει, καὶ βοηθεῖται. πρὸς μὲν γὰρ τὰς ξηρότητας ἀρδείαις ποτιζόμενα, καὶ ψυχόμενα μετρίως, ὅτ' αὖ φλέγηται. ῥιγοῦντα δὲ αὐτὰ θάλπειν πειρώμεθα, καὶ σκέπειν πολλοστὰ περιβάλλοντες. καὶ ὅσα μὴ παρ' ἡμᾶς ἐστιν, εὐχόμεθα τὸν θεὸν διδόναι δρόσους μαλακάς, καὶ εἱλήσεις ἐν πνεύμασι μετρίως, ὡς ἀεὶ τοῦ ἀπολείποντος ἀναπλήρωσιν ἡ φύσις ἔχει διατηροῦσα τὴν κρᾶσιν. οὕτω τι οἶμαι, καὶ τροφὴν ὠνομάσθαι, τὸ τηροῦν τὴν φύσιν. τηρεῖται δέ, τοῖς μὲν φυτοῖς ἀναισθήτως ἐκ τοῦ περιέχοντος, ὥς φησιν Ἐμπεδοκλῆς, ὑδρευομένοις τὸ πρόσφορον. ἡμᾶς δὲ ἡ ὄρεξις ζητεῖν διδάσκει, καὶ διώκειν, τὸ ἐκλεῖπον τῆς κράσεως. οὐ μὴν ἀλλὰ καὶ τῶν εἰρημένων ἕκαστον ἴδωμεν, ὡς οὐκ ἀληθές ἐστι. τὰ μὲν γὰρ εὐστομίαν ἔχοντα καὶ δριμύτητα. τάχα μὲν οὐκ ὄρεξιν, ἀλλὰ δηγμὸν ἐμποιεῖ τοῖς δεκτικοῖς μέρεσι τῆς τροφῆς. οἷον κνησμοὶ κατὰ θίξιν ἐνίων ἀμυσσόντων. εἰ δὲ καὶ τοῦτο τὸ πάθος ὀρεκτικόν ἐστι, εἰκός ἐστιν ὑπὸ τῶν τοιούτων βρωμάτων λεπτυνόμενα διακρίνεσθαι τὰ πρέποντα καὶ ποιεῖν μὲν ἔνδειαν, οὐ μεταρρυθμιζομένων τῶν πόρων, ἀλλὰ κενουμένων καὶ καθαιρομένων. τὰ γὰρ ὀξέα καὶ δριμέα καὶ ἁλμυρὰ θρύπτοντα τὴν ὕλην διαφθείρει, καὶ σκίδνησιν, ὥστε νεαρὰν ποιεῖν τὴν ὄρεξιν ἐκθλιβομένων οὐ μετασχηματιζόμενοι παύουσιν οἱ πόροι τὸ δίψος, ἀλλ' ἱκμάδα τῆς σαρκὸς ἀναλαμβάνοντες, καὶ ἀναπιμπλάμενοι *πέρας ἁλμυρίδος. οἱ δ' ἔμετοι τὸ ἀλλότριον ἐκβάλλοντες, ἀπόλαυσιν τῇ φύσει τοῦ οἰκείου παρέχον. οὐ γὰρ ἀπλήστου ὑγροῦ τὸ δίψος, ἀλλὰ τοῦ κατὰ φύσιν καὶ οἰκείου. διὸ κἂν πολὺ παρῇ τὸ ἀλλόφυλον ἐνδεὴς ὁ ἄνθρωπός ἐστιν. ἐφίσταται γὰρ τοῖς κατὰ φύσιν ὑγροῖς, ὧν ἡ ὄρεξίς ἐστι, καὶ οὐ δίδωσιν ἀνάμιξιν, ἐὰν κατὰ κρᾶσιν, ἄχρις ἂν ἐκστῇ καὶ ἀποχωρήσῃ. τότε δὲ οἱ πόροι τὸ σύμφυλον ἀναλαμβάνουσιν. οἱ δὲ πυρετοὶ τὸ ὑγρὸν εἰς βάθος ἀπωθοῦσι, καὶ τῶν μέσων φλεγομένων ἐκεῖ πᾶν ἀποκεχώρηκε, καὶ κρατεῖται πεπεισμένον. ὅθεν ἐμεῖν τε πολλοὺς ἅμα συμβαίνει πυκνότητι τῶν ἐντὸς ἀναθλιβόντων τὰ ὑγρά, καὶ δίψαν δι' ἔνδειαν καὶ ξηρότητα τοῦ λοιποῦ σώματος. ὅταν οὖν ἄνεσις γένηται, καὶ τὸ θερμὸν ἐκ τῶν μέσων ἀπίῃ, τὸ σκιδνάμενον αὖθις ὑπονοστεῖν, καὶ ἴδιον ὡς πέφυκε πάντη τὸν ἕτερον ἅμα, τοῖς τε μέσοις ῥᾳστώνην παρέχει, καὶ τὴν σάρκα λείαν καὶ ἁπαλὴν, ἀντὶ τραχείας καὶ αὐχμώδους γενομένην ἐμάλαξε. πολλάκις δὲ καὶ ἱδρῶτας ἐπήγαγεν. ὅθεν ἡ ποιοῦσα δίψαν ἔνδεια λήγει καὶ παύεται, τῆς ὑγρότητος ἀπὸ τοῦ βαρυνομένου καὶ δυσαναβλαστοῦντος ἐπὶ τὸ ἐνδεόμενον, καὶ ποθοῦντα μεθισταμένης τόπον. ὡς γὰρ ἐν κήπῳ φρέατος ἄφθονον ὕδωρ ἔχοντος, εἰ μή τις ἐπαντλοῖ, καὶ ἀρδοῖ αὐτά, διψῆν καὶ ἀτροφεῖν ἀναγκαῖόν ἐστιν, οὕτως ἐν σώματι τῶν ὑγρῶν εἰς ἕνα κατασπωμένων τόπον, οὐ θαυμαστὸν ἔνδειαν εἶναι περὶ τὰ λοιπὰ καὶ

ξηρότητα

ξηρότητα, μέχρις οὗ πάλιν ἐπιρροὴ, καὶ διάχυσις γένηται. καθάπερ καὶ ἐπὶ τῶν πυρεττόντων ὅτ' ἂν ἀνεθῶσι συμβαίνει, καὶ τῶν ἐγκαταδαρθανόντων τῷ διψῆν. καὶ γὰρ τούτοις ὁ ὕπνος ἐκ μέσων, ἐπανάγων τὰ ὑγρὰ καὶ διανέμων πάντη τοῖς μέρεσιν ὁμαλισμὸς ἐμποιεῖ, καὶ ἀναπλήρωσιν. ὁ γὰρ δὴ λεγόμενος τῶν πόρων μετασχηματισμὸς, οὕτως ᾧ τὸ πεινῆν ἢ τὸ διψῆν ἐπιγίνηται ποῖός τίς ἐστιν. ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ περὶ πόρον, ἢ πόρων διαφοράς. ἀλλὰ κατὰ πλῆθος, ἢ τὸ συμπίπτειν καὶ τὸ διΐστασθαι, καὶ συμπίπτοντος μὲν, οὔτε ποτὸν, οὔτε τροφὴν δέχεσθαι δύνανται, διιστάμενοι δὲ κενότητα καὶ χώραν ποιοῦσιν, ἔνδειαν οὖσαν τοῦ κατὰ φύσιν καὶ οἰκείου. καὶ γὰρ αἱ στύψεις ὦ βέλτιστε τῶν βαπτομένων ἔφην τόπον ἔχουσι τὸ δριμὺ καὶ ῥυπτικόν, ὡς τῶν περιττῶν ἐκκρινομένων, καὶ ἀποτηκομένων, οἱ πόροι δέχονται μᾶλλον καὶ στέγουσι, δεξάμενοι τὴν βαφὴν ὑπ' ἐνδείας καὶ κενότητος.

Διατί πεινῶντες μὲν ἐὰν πίωσι παύονται, διψῶντες δὲ ἐὰν φάγωσιν ἐπιτείνονται.

γ'.

Ρηθέντων δὲ τούτων ὁ ἑστιῶν ἡμᾶς, καὶ ταῦτα ἔφη μετρίως λέγεσθαι, καὶ πρὸς ἄλλην ἀπορίαν τὰς τῶν πόρων κενώσεις, καὶ ἀναπληρώσεις ἐν τῷ παραυτίκα. τοῖς δὲ διψῶσιν ἐναντίον, ἐὰν ἐμφάγωσιν ἐπιτείνειν συμβαίνει τὸ δίψος. τοῦτο δὲ τὸ πάθος οἱ τοὺς πόρους ἐπιτιθέμενοι, ῥᾷστα καὶ πιθανώτατά μοι δοκοῦσιν, εἰ καὶ μὴ πολλὰ μόνον πιθανῶς ἀπολογεῖν. πᾶσι γὰρ ὄντων πόρων, ἄλλος πόρος, ἄλλας συμμετρίας ἐχόντων. οἱ μὲν εὐρύτεροι τὴν ξηρὰν ἅμα, καὶ τὴν ὑγρὰν τροφὴν ἀναλαμβάνουσιν. οἱ δ' ἰσχνότεροι, τὸ μὲν ποτὸν παραδέχονται. ποιεῖ δὲ, τὴν μὲν δίψαν ἡ τούτων κένωσις. ἡ δὲ ἐκείνων, τὴν πεῖναν. ὅθεν ἐὰν μὲν φάγωσιν οἱ διψῶντες, οἱ μὲν οὐ βοηθοῦνται, τῶν πόρων διὰ λεπτότητα τὴν ξηρὰν τροφὴν μὴ δεχομένων, ἀλλ' ἐπιδεῶν τοῦ οἰκείου διαμενόντων. οἱ δὲ πεινῶντες, ἐὰν πίνωσιν. ἐνδυόμενα τὰ ὑγρὰ τοῖς μείζοσι πόροις καὶ ἀναπληροῦντα τὰς κενότητας αὐτῶν, ἀνίησι τὸ σφοδρὸν ἄγαν τῆς πείνης. ἐμοὶ δὲ τὸ μὲν συμβαῖνον ἀληθὲς ἐφαίνετο, τῇ δὲ ὑποθέσει τῆς αἰτίας οὐ προσεῖχον. καὶ γὰρ εἰ τοῖς πόροις τούτοις ἔφην, ὧν ἔνιοι περιέχονται, καὶ ἀγαπῶσι κατατήξειέ τις τὴν σάρκα, πλαδαρὰν καὶ σομφώδη καὶ σαθρὰν ποιήσας, τό γε μὴ ταῦτα τοῦ σώματος μόρια, τὸ ποτὸν προσδέχεσθαι, καὶ τὸ σιτίον, ἀλλ' ὥσπερ ἠθμοῖς καταρρεῖσθαι, καὶ ἀποκρίνεσθαι κομιδῇ πλασματῶδες, καὶ ἄλλως ἔχον. αὕτη γὰρ ἡ πρὸς τὸ ὑγρὸν ἀνάμιξις θρύπτουσα τὰ σιτία, καὶ συνεργὰ λαμβάνουσα, τὸ θερμὸν τὸ ἐντὸς, καὶ τὸ πνεῦμα πάντων ὀργάνων, ἀκριβέστατα πάσαις τομαῖς, καὶ διαιρέσεσι λεπτύνει τὴν τροφὴν, ὥστε πᾶν μόριον αὐτῆς παντὶ μορίῳ γίνεσθαι φίλον καὶ οἰκεῖον, οὐκ ἐναρμόττον ὥσπερ ἀξείοις καὶ τρήμασιν, ἀλλ' ἑνούμενον, καὶ προσφυόμενον. ἄνευ δὲ τούτων οὐδὲ λέλυται τῆς ἀπορίας τὸ μέγιστον. οἱ γὰρ ἐμφαγόντες, ἂν μὴ πίωσιν, οὐ μόνον οὐ λύουσιν, ἀλλὰ καὶ προσεπιτείνουσι τὸ δίψος. πρὸς τοῦτο δὲ οὐδὲν εἴρηται. σκόπει δὲ καὶ παρ' ἡμῶν ἔφην εἰ φαινομένας ὑποθέσεις λαμβάνομεν. πρῶτον μὲν λαμβάνοντες τὸ ὑγρὸν ἀπὸ τοῦ ξηροῦ, διαφθείρεσθαι δαπανώμενον. τῷ δὲ ὑγρῷ τὸ ξηρὸν βρεχόμενον καὶ μαλασσόμενον διαχύσεις ἴσχειν, καὶ ἀναθυμιάσεις. δεύτερον δὲ μὴ νομίζοντες ἔκθλιψιν εἶναι παντάπασι, μήτε τῆς ξηρᾶς τροφῆς πεῖναν, μήτε τῆς ὑγρᾶς τὴν δίψαν, ἀλλὰ τοῦ μετρίου καὶ ἀρκοῦντος ἔνδειαν. οἷς γὰρ ὅλως ἂν ἐλλίπῃ θάτερον, οὔτε πεινῶσιν, οὔτε διψῶσιν, ἀλλ' εὐθὺς ἀποθνήσκουσιν. ὑποκειμένων δὲ τούτων, οὐ χαλεπὸν ἤδη μὲν αἰτίαν συνιδεῖν. ἡ μὲν γὰρ δίψα τοῖς φαγοῦσιν ἐπιτείνεται. τῶν σιτίων τῇ ξηρότητι, διεσπαρμένον ὑγρὸν

καὶ ἀπολειπόμενον ἀσθενὲς καὶ ὀλίγον ἐν τῷ σώματι συλλεγόντων, καὶ πρὸς ἐξικμαζόντων, ὥσπερ ἔξω γῆν ὁρῶμεν καὶ κόνιν, καὶ μᾶλλον τὰ μιγνύμενα τῶν ὑγρῶν, ἀναλαμβάνουσαν εἰς ἑαυτὴν καὶ ἀφανίζουσαν. τὴν δὲ πεῖναν αὖ πάλιν ἐπιεικῶς τὸ ποτὸν ἀνίησιν. ἡ γὰρ ὑγρότης τὰ ὑπόντα σιτία περισκελῆ, καὶ γλίσχρα βρέξασα, καὶ διαχέασα χυμῶν ἐγγινομένων καὶ ἀτμῶν ἀναφέρει τούτων εἰς τὸ σῶμα, καὶ προστίθησι τοῖς δεομένοις. ὅθεν οὐ κακῶς ὄχημα τῆς τροφῆς τὸ ὑγρὸν ὁ Ἐρασίστρατος προσεῖπε. τὰ γὰρ ὑπὸ ξηρότητος ἢ πάχους ἀργὰ καὶ βαρέα, μιγνύμενον ἀναπέμπει καὶ συνεξαίρει. πολλοὶ δὲ καὶ μὴ πιόντες, ἀλλὰ λουσάμενοι μόνον, ἐπαύσαντο συντόνως σφόδρα πεινῶντες. ἐνδυομένη γὰρ ἔξωθεν ἡ ὑγρότης, εὐχυμότερα ποιεῖ, καὶ ζοφερώτερα, τῷ ἐγχαλᾶσθαι τὰ ἔνδον, ὥστε τὸ τῆς πείνης τὸ σφόδρα πικρὸν καὶ θηριῶδες, ἐνδιδόναι καὶ παρηγορεῖσθαι. διὸ καὶ πολὺν ζῶσιν ἔνιοι τῶν ἀποκαρτερούντων χρόνον. ἂν ὕδωρ μόνον λαμβάνωσιν. ἄχρι ἂν οὐ πᾶν ἐξικμασθῇ τὸ τρέφειν, καὶ προστίθεσθαι τῷ σώματι δυνάμενον.

Διὰ τίν᾽ αἰτίαν τὸ φρεατιαῖον ὕδωρ ἀρυσθέν, ἐὰν ἐν αὐτῷ τῷ τοῦ φρέατος ἀέρι νυκτερεύσῃ ψυχρότερον γίνεται. δ´.

Ψυχροπότῃ ξένῳ τρυφῶντι παρεσκεύασαν οἱ θεράποντες ἐκ τοῦ φρέατος ὕδωρ ψυχρότερον, ἀρυσάμενοι γὰρ ἀγγείῳ, καὶ κρεμάσαντες τὸ ἀγγεῖον ἐν τῷ φρέατι τῆς πηγῆς μὴ ἁπτόμενον, εἴασαν ἐπινυκτερεῦσαι, καὶ πρὸς τὸ δεῖπνον ἐκόμιζον. τοῦ προσφάτου ψυχρότερον. ἦν δὲ ὁ ξένος φιλόλογος ἐπιεικῶς, καὶ τοῦτο ἔφη λαβεῖν ἐκ τῶν Ἀριστοτέλους μετὰ λόγου κείμενον. εἶναι δὲ τοιόνδε τὸν λόγον. πᾶν ὕδωρ προθερμανθὲν ψύχεται μᾶλλον, ὥσπερ τὸ τοῖς βασιλεῦσι παρασκευαζόμενον. ὅταν ἑψηθῇ μέχρι ζέσεως περισωρεύουσι τῷ ἀγγείῳ χιόνα πολλήν, καὶ γίνεται ψυχρότερον, ὥσπερ ἀμέλει, καὶ τὰ ἡμέτερα σώματα, λουσαμένων ψύχεται μᾶλλον. ἡ γοῦν ἀπὸ τῆς θερμότητος ἄνεσις, πολύπορον τὰ σώματα ποιεῖ, καὶ μανὸν ἀπεργασαμένη, πολὺν δέχεται τὸν ἔξωθεν ἀέρα, καὶ βιαιοτέραν ποιεῖ τὴν μεταβολήν. ὅταν οὖν ὑποπλασθῇ ἀπὸ τῆς πληγῆς τὸ ὕδωρ ἐν τῷ ἀέρι, ὡς αὐτὸ προθερμανθὲν περιψύχεται ταχέως. τὸν μὲν οὖν ξένον ἐπῃνέσαμεν, ὡς ἀκριβῶς καὶ μνημονεύσαντα, περὶ δὲ τοῦ λόγου διηποροῦμεν. ὁ γὰρ ἀὴρ ἐν ᾧ κρέμαται τὸ ἀγγεῖον. εἰ μὲν ψυχρός ἐστι, πῶς θερμαίνει τὸ ὕδωρ. εἰ δὲ θερμός, πῶς περιψύχει πάλιν. ἄλογον γὰρ ὑπὸ τοῦ αὐτοῦ τὸ αὐτὸ πάσχειν τἀναντία, μὴ δὲ μιᾶς διαφορᾶς γενομένης. σιωπῶντος δ᾽ αὐτοῦ καὶ διαποροῦντος. οὐδὲν ἔφη δεῖν περὶ τοῦ ἀέρος διαπορεῖν. ἡ γὰρ αἴσθησις λέγει, ὅτι ψυχρός ἐστι, καὶ μάλιστα τῶν ἐν βάθει φρεάτων, ὥστε ἀμήχανον ὑπ᾽ ἀέρος ψυχροῦ, θερμαίνεσθαι τὸ ὕδωρ. ἀλλὰ μᾶλλον ὁ ψυχρὸς οὗτος ἀήρ, τὴν μὲν πηγὴν διὰ πλῆθος οὐ δύναται μεταβάλλειν. ἂν δέ τις ἀφαιρῇ κατ᾽ ὀλίγον μᾶλλον κρατεῖ τῷ περιψύχειν.

Διὰ τίνα αἰτίαν οἱ χάλικες καὶ αἱ μολυβδίδες ἐμβαλλόμεναι ψυχρότερον τὸ ὕδωρ ποιοῦσιν. ε´.

Ἀλλὰ μὴν περὶ τῶν χαλίκων ἔφην ἢ τῶν ἀκμόνων, οὓς ἐμβάλλοντες εἰς τὸ ὕδωρ, ψύχειν αὐτὸ καὶ στομοῦν δοκοῦσιν εἰρημένον Ἀριστοτέλει. μνημονεύεις αὐτὸ ὅπερ ἔφη μόνον ἐν προβλήμασιν εἴρηκε τὸ γινόμενον, εἰς δὲ τὴν αἰτίαν ἐπιχειρήσομεν ἡμεῖς. ἔστι γὰρ μάλιστα δυσθεώρητος. πάνυ μὲν οὖν ἔφη, καὶ θαυμάσαιμ᾽ ἄν, εἰ μὴ διαφύγοι ὁ λόγος ἡμᾶς. ὁρᾶτε ὅλως. πρῶτον οὐ δοκεῖ σοι περιψύχεσθαι μὲν ὑπὸ τοῦ ἀέρος, τὸ ὕδωρ ἔξωθεν ἐκπίπτοντος. ὁ δ᾽ ἀὴρ μᾶλλον

ἰσχύει πρὸς τοὺς λίθους καὶ τοὺς ἄκμονας ἀπερειδόμενος. οὐ γὰρ ἐῶσιν αὐτόν, ὥσπερ τὰ χάλκεα καὶ τὰ κεράμεα τῶν ἀγγείων διεκπίπτειν, ἀλλὰ τῇ πυκνότητι στέγοντες ἀνακλῶσιν εἰς τὸ ὕδωρ ἀπ᾽ αὐτῶν, ὥστε διόλου καὶ ἴσχυσαν γενέσθαι τὴν περίψυξιν. διὸ καὶ χειμῶνος οἱ ποταμοὶ ψυχρότεροι γίνονται τῆς θαλάττης. ἰσχύει γὰρ ἐν αὐτοῖς ὁ ψυχρὸς ἀὴρ ἀνακλώμενος. ἐν δὲ τῇ θαλάττῃ διὰ βάθος ἐκλύεται, πρὸς μηδὲν ἀντερείδων. κατ᾽ ἄλλον δὲ τρόπον εἰκός ἐστι τὰ λεπτότερα τῶν ὑδάτων περιψύχεσθαι μᾶλλον, ἢ ὑπὸ τοῦ ψυχροῦ. κρατεῖται γοῦν δι᾽ ἀσθένειαν. αἱ δὲ ἀκόναι καὶ οἱ χάλικες λεπτύνουσι τὸ ὕδωρ, ὅτι θολερὸν καὶ γεῶδες ἀναμέμικται ὅπερ συνάγοντες, καὶ καταστῶντες ἀπ᾽ αὐτοῦ, ὥστε λεπτότερον καὶ ἀσθενέστερον τὸ ὕδωρ γενόμενον μᾶλλον ὑπὸ περιψύξεως κρατεῖσθαι. καὶ μὴν ὅ τε μόλιβδος τῶν φύσει ψυχρῶν ἐστιν, ὅς γε τριβόμενος ὄξει τὸ ψυκτικώτατον τῶν θανασίμων φαρμάκων ἐξανίησι ψιμμύθιον. οἵ τε χάλικες πυκνότητι τὸ ψυχρὸν διὰ βάθους ποιοῦσι. πᾶς μὲν γὰρ λίθος, κατεψυγμένης καὶ πεπιλημένης ὑπὸ κρύους γῆς πάγος ἐστί, μᾶλλον δὲ ὁ μᾶλλον πεπυκνωμένος, ὥστ᾽ οὐκ ἄτοπον, εἰ τὴν ψυχρότητα τοῦ ὕδατος ἀντερείδων συνεπιτείνει καὶ ὁ λίθος, καὶ ὁ μόλιβδος.

Διὰ τίνα αἰτίαν ἀχύροις καὶ ἱματίοις τὴν χιόνα διαφυλάττουσιν. ϛ´.

Μικρὸν οὖν ὁ ξένος διαλιπών, οἱ ἐρῶντες ἔφη μάλιστα μὲν αὐτοῖς τοῖς παιδικοῖς, εἰ δὲ μή, περὶ αὐτῶν ἐπιθυμοῦσι διαλέγεσθαι τούτοις, πέπονθα περὶ τῆς χιόνος. ἐπεὶ γοῦν οὐ πάρεστιν, οὐδὲ ἔχομεν, ἐπιθυμίαν μαθεῖν, τίς αἰτία δι᾽ ἣν ὑπὸ τῶν θερμοτάτων φυλάσσεται. καὶ γὰρ ἀχύροις καταργανοῦντες αὐτήν, καὶ περιστέλλοντες ἱματίοις ἀγνάπτοις ἐνθάδε πολὺν χρόνον ἄπταιστον διατηροῦσι. θαυμαστὸν οὖν εἰ συνεκτικὰ τὰ θερμότατα τῶν ψυχροτάτων ἐστί. κομιδῇ γε ἔφην εἴπερ ἀληθές ἐστιν. οὐκ ἔχει δὲ οὕτως. ἀλλ᾽ αὐτοὺς παραλογιζόμεθα, θερμὸν εὐθὺ εἶναι τὸ θερμαῖνον ὑπολαμβάνοντες, καὶ ταῦθ᾽ ὁρῶντες ὅτι ταυτὸ ἱμάτιον ἐν χειμῶνι θερμαίνει, ἐν δὲ ἡλίῳ ψύχειν λέγομεν. ὥσπερ ἡ τραγικὴ τροφὸς ἐκείνη τὰ τῆς Νιόβης τέκνα τιθηνεῖται λεπτὸς πάθη τῶν χλανιδίων ἐν ἐρειπίοις θάλπουσα, καὶ ψύχουσα. Γερμανοὶ μὲν οὖν κρύους πρόβλημα ποιοῦνται τὴν ἐσθῆτα μόνον. Αἰθίοπες δέ, θάλπους μόνον, ἡμεῖς δὲ ἀμφοῖν. ὥστ᾽ ἔτι μᾶλλον εἰ θάλπει θερμήν, ἢ περὶ ψυχρὰ ἀπὸ τοῦ περιψύχειν λεκτέον. εἰ δὲ δὴ τῇ αἰσθήσει τεκμαίρεσθαι μᾶλλον, ἂν ψυχρὰ γένοιτο. καὶ γοῦν ὁ χιτὼν ψυχρὸς ἡμῖν προσάπτει τὸ πρῶτον ἐνδυσαμένοις, καὶ τὰ στρώματα κατακλινεῖσιν. εἶτα μέχρι συναλεαίνει τῆς ὑφ᾽ ἡμῶν πιμπλάμενα θερμασίας, καὶ ἅμα μὲν περιστέλλοντα καὶ κατέχοντα τὸ θερμόν, ἅμα δὲ ἀπείργοντα τὸ κρύος καὶ τὸν ἔξω ἀέρα τοῦ σώματος. οἱ μὲν οὖν πυρέττοντες ἢ καυματιζόμενοι συνεχῶς ἀλλάττουσι τὰ ἱμάτια, τὸ ψυχρὸν εἶναι τὸ ἐπιβαλλόμενον. ἂν δ᾽ ἐπιβληθῇ παραχρῆμα γίνεται θερμὸν ὑπὸ τοῦ σώματος, ὥσπερ οὖν ἡμᾶς θερμαινόμενον, θερμαίνει τὸ ἱμάτιον. οὕτως τὴν χιόνα ψυχόμενον αὐτὴ περιψύχει. ψύχεται δὲ ὑπ᾽ αὐτῆς ἀφείσης πνεῦμα λεπτόν. τοῦτο γὰρ συνέχει τὴν πῆξιν αὐτῆς ἐγκατακείμενον. ἀπελθόντος δὲ τοῦ πνεύματος ὕδωρ οὖσα ῥεῖ καὶ διατήκεται, καὶ ἀπανθεῖ τὸ λευκόν. ὅπερ ἡ τοῦ πνεύματος πρὸς τὸ ὑγρὸν ἀνάμιξις ἀφρώδης γενομένη παρεῖχεν, ἅμα τε οὖν τὸ ψυχρὸν ἐγκατέχεται περισταλμένον τῷ ἱματίῳ, καὶ ὁ ἔξωθεν ἀὴρ ἀπειργόμενος οὐ τέμνει τὸν πάγον, οὐδὲ ἀνίησιν. ἀγνάπτοις δὲ τούτοις πρὸς τοῦτο διὰ τὴν τραχύτητα καὶ ξηρότητα τῆς κροκύδος οὐκ ἐώσης ἐπιπιέσειν βαρὺ τὸ ἱμάτιον, οὐδὲ συνθλίψαι τὴν χαυνότητα τῆς χιόνος, ὥσπερ καὶ τὸ ἄχυρον διὰ κουφότητα μαλακῶς περιπίπτον, οὐ θρί-

πίειν τὸν πάγον. ἄλλως δὲ πυκνόν ἐστι καὶ στεγανὸν, ὥσπερ καὶ θερμότητα τοῦ ἀέρος ἀπείργειν, καὶ τὴν ψυχρότητα κωλύειν ἀπιέναι τῆς χιόνος. ὅτι δὲ ἡ τοῦ πνεύματος διάκρισις ἐμποιεῖ τὴν τῆξιν, ἐμφανές ἐστιν τῇ αἰσθήσει· τηκομένη γὰρ ἡ χιὼν, πνεῦμα ποιεῖ.

ζ΄.

Εἰ δεῖ τὸν οἶνον ἐνδιηθεῖν.

Νίγρος ὁ πολίτης ἡμῶν ἀπὸ σχολῆς ἀφῖκτο συγγεγονὼς ἐνδόξῳ φιλοσόφῳ χρόνον οὐ πολὺν, ἀλλ᾽ ἐν ὅσῳ τὰ τοῦ ἀνδρὸς οὐ καταλαμβάνοντος, ἀεὶ ἐπιπολαίων τῶν ἐπαχθῶν ἀπ᾽ αὐτοῦ μεμουμένου τὸ ἐπιτιμητικὸν, καὶ λέγοντος ἐν παντὶ πόματι τοὺς συνόντας. ἑστιῶντος οὖν ἡμᾶς Ἀρίστωνος, τήν τε ἄλλην χορηγίαν ὡς πολυτελῆ καὶ περίεργον ἐμέμφετο, καὶ τὸν οἶνον οὐκ ἔφη δεῖν ἐλέγχεσθαι ἠθημένον, ἀλλ᾽ ὥσπερ Ἡσίοδος ἐκέλευσεν ἀπὸ τοῦ πίθου πίνεσθαι, τὴν σύμφυτον ἔχοντα ῥώμην καὶ δύναμιν. ἡ δὲ τοιαύτη κάθαρσις αὐτοῦ πρῶτον μὲν ἐκτέμνει τὰ νεῦρα, καὶ τὴν θερμότητα κατασβέννυσιν· ἐξανθεῖ γὰρ καὶ ἀποπνεῖ διηθουμένου πολλάκις. ἔπειτα περιεργίαν καὶ καλλωπισμὸν ἐμφαίνει, καὶ τρυφὴν εἰς τὸ ἡδὺ καταναλίσκουσα τὸ χρήσιμον. ὥσπερ γὰρ τὸ τοὺς ἀλεκτρυόνας ἐκτέμνειν καὶ τοὺς χοίρους ἁπαλὴν αὐτῶν παρὰ φύσιν τὴν σάρκα ποιοῦντας καὶ θήλειαν, οὐχ ὑγιαινόντων ἐστὶν ἀνθρώπων, ἀλλὰ διεφθαρμένων ὑπὸ λιχνείας· οὕτως εἰ δεῖ μεταφορᾷ χρησάμενον ἔχειν, ἐξουνουχίζουσι τὸν ἄκρατον καὶ ἀποθηλύνουσιν οἱ διηθοῦντες, οὔτε φρονεῖν ὑπὸ ἀσθενείας, οὔτε πίνειν τὸν μέτριον δυνάμενοι διὰ τὴν ἀκρασίαν, ἀλλὰ σόφισμα τοῦτό ἐστιν αὐτοῖς, καὶ μηχάνημα πολυποσίας. ἐξαίρουσι δὲ τοῦ οἴνου τὸ ἐμβριθὲς τέλειον ἀπολιπόντες, ὥσπερ οἱ τοῖς ἀκράτως ἔχουσι πρὸς ψυχροποσίαν ἀρρώστοις ἀφηψημένον διδόντες. ὅτι γὰρ στόμωμα τοῦ οἴνου, καὶ ἄκρατός ἐστι, τοῦτο ἐν τῷ διυλίζειν ἐξαίρουσι, καὶ ἀποκρίνουσι. μέγα τεκμήριον ἡ διαφθορὰ καὶ τὸ μὴ διαμένειν, ἀλλὰ ἐξίστασθαι, καὶ μαραίνεσθαι καθάπερ ἀπὸ ῥίζης κοπέντα τῆς τρυγός. οἱ δὲ παλαιοὶ καὶ τρύγα τὸν οἶνον ἄντικρυς ἐκάλουν, ὥσπερ ψυχὴν, καὶ κεφαλὴν τὸν ἄνθρωπον εἰώθαμεν ἀπὸ τῶν κυριωτάτων ὑποκορίζεσθαι, καὶ τρυγᾶν λέγομεν τοὺς δρεπομένους τὴν ἀμπελίνην ὀπώραν, καὶ διατρύγιόν που Ὅμηρος εἴρηκεν. αὐτὸν δὲ τὸν οἶνον αἴθοπα καὶ ἐρυθρὸν εἰώθε καλεῖν· οὐχ ὡς Ἀρίστων ἡμῖν ὠχριῶντα καὶ χλωρὸν ὑπὸ τῆς πολλῆς καθάρσεως παρέχεται. καὶ ὁ Ἀρίστων γελάσας, οὐκ ὠχριῶντα εἶπεν ὦ τᾶν οὐδ᾽ ἀναίμονα, ἀλλὰ μειλίχιον, καὶ ἡμερίδην, ἀπὸ τῆς ὄψεως αὐτῆς προῦχον, σὺ δ᾽ ἀξιοῖς ὥσπερ τοῦ νυκτερινοῦ καὶ μελαναιγίδος ἐμφορεῖσθαι, καὶ ψέγεις τὴν κάθαρσιν, ἐλαφρὲς καὶ αὐτοῦ [illegible] εἰς τὸ βαρὺ, καὶ μεθυστικὸν ἀφαιρεῖ καὶ νοσῶδες, [illegible] γῆς ἀναμίγνυται ἡμῖν· οἷον Ὅμηρος φησὶ πίνειν τοὺς ἥρωας. αἴθοπα γὰρ οὐ καλεῖ τὸν ζοφερὸν, ἀλλὰ τὸν διαυγῆ καὶ λαμπρόν. οὐ γὰρ ἄνω φλέγων εὐήνορα, ἀλλ᾽ ἅμα νώροπα χαλκὸν αἴθοπα προσηγόρευεν. ὥσπερ οὖν ὁ σοφὸς Ἀνάχαρσις ἄλλ᾽ ἄττα τῶν Ἑλλήνων μεμφόμενος ἐπῄνει τὴν ἀνθρακιὰν, ὅτι τὸν καπνὸν ἔξω καταλιπόντες, οἴκαδε πῦρ κομίζουσι. οὕτως ἡμᾶς ἑτέροις ἂν ψέγοιτε μᾶλλον οἱ σοφοὶ ὑμεῖς. εἰ δὲ τοῦ οἴνου τὸ ταρακτικὸν, καὶ ὀχλῶδες ἐξωθούμενοι καὶ ἀποσκεδάσαντες, αὐτὸν δ᾽ εὐφραίνοντες οὐ καλλωπίσαντες· οὐδ᾽ ὥσπερ σιδήρου στόμωμα καὶ ἀκμὴν ἀποκόψαντες, ἀλλὰ μᾶλλον ὥσπερ ἰὸν ἢ ῥύπον ἀποκαθάραντες προσφερόμεθα, τί πλημμελοῦμεν. ὅτι νὴ Δία πλέον ἰσχύει, μὴ διηθούμενος. καὶ γὰρ ἄνθρωπος ὦ φίλε φρενιτίζων καὶ μαινόμενος, ἀλλ᾽ ὅταν ἐλλεβόρῳ χρησάμενος, ἢ διαίτῃ καταστῇ, τὸ μὲν σφοδρὸν ἐκεῖνο καὶ σύντονον οἴχεται, καὶ γέγονεν ἐξίτηλον· ἡ δὲ ἀληθινὴ δύναμις καὶ σωφροσύνη παραγίνεται τῷ σώματι, οὕτω δὴ καὶ ἡ κά-

θαρσις τοῦ οἴνου τὸ πληκτικὸν ἀφαιροῦσα, καὶ μανικὸν, εἰς πραεῖαν ἕξιν καὶ ὑγιαίνουσαν καθίστησι, περιεργίαν δὲ οἶμαι πάμπολυ διαφέρειν καθαρότητος. καὶ γὰρ αἱ γυναῖκες φυκούμεναι καὶ μυριζόμεναι καὶ χρυσὸν φοροῦσαι καὶ πορφύραν, περίεργοι δοκοῦσι· λουτρὸν δὲ καὶ ἄλειμμα, καὶ κόμης θρύψιν οὐδεὶς αἰτιᾶται. χαριέντως δὲ τὴν διαφορὰν ὁ ποιητὴς ἐπιδείκνυσιν ἐπὶ τῆς κοσμουμένης Ἥρας, ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἀθανάτοιο λύματα πάντα κάθηρεν ἀλείψατο δὲ λίπ᾽ ἐλαίῳ· μέχρι τούτων ἐπιμέλεια, καὶ καθαριότης ἐστίν· ὅτ᾽ αὖ δὲ τὰς χρυσᾶς περόνας ἀναλαμβάνῃ, καὶ τὰ διηκριβωμένα τεχνηέντ᾽ ἐλλόβια, καὶ τελευτῶσα τῆς περὶ τὸν κεστὸν ἅπτηται γοητείας, περιεργία τὸ χρῆμα, καὶ λαμυρία μὴ πρέπουσα γαμετῇ γέγονεν. οὐκοῦν καὶ τὸν οἶνον, οἱ μὲν ἀλόαις χρωτίζοντες ἢ κινναμώμοις, καὶ κρόκοις ἐφηδύνοντες ὥσπερ γυναῖκα καλλωπίζουσιν εἰς τὰ συμπόσια, καὶ προαγωγεύουσιν. οἱ δὲ ἀφαιροῦντες τὸ ῥυπαρὸν καὶ ἄχρηστον ἐξ αὐτοῦ θεραπεύουσι καὶ καθαίρουσιν, ἐπεὶ πάντα ἂν εἴποις ταῦτα περιεργίαν ἀρξάμενος ἀπὸ τοῦ οἴκου. τί γὰρ οὕτως κεκονίαται, τί δὲ ἀνέῳγε τοῦ περιέχοντος, ὅθεν ἂν μάλιστα πνεῦμα λαμβάνοι καθαρὸν, καὶ τοῦ φωτὸς ἀπολαύοι περιιόντος ἐπὶ τὰς δύσεις. τί δὲ τῶν ἐκπωμάτων ἕκαστον ἐκτέτριπται, καὶ διέσμηκται πανταχόθεν ὥστε λάμπειν καὶ περιστίλβειν, ἢ τὸ μὲν ἔκπωμα ἔδει μὴ ῥύπου, μὴ δὲ μοχθηρίας ὀδωδὸς εἶναι· τὸ δ᾽ ἐξ αὐτοῦ πινόμενον εὐρῶτος ἢ κηλίδων ἀναπεπλῆσθαι, καὶ τί δεῖ τὰ ἄλλα λέγειν. ἡ γὰρ αὐτοῦ πυροῦ διαπνόησις εἰς τὸν ἄρτον, οὐδὲν ἕτερον, ἢ κάθαρσις οὖσα, θέασαι μεθ᾽ ὅσης γίνεται πραγματείας. οὐ γὰρ μόνον ὑποσκαλισμοὶ καὶ διαττήσεις, καὶ ἀποκρούσεις, καὶ διακρίσεις εἰσὶ τῶν σιτίων, καὶ τῶν ἀλετρείων, ἀλλὰ ἡ τρῖψις ἐκθλίβουσα τοῦ φυράματος τὸ τραχὺ καὶ καθαίρουσι, καὶ συστέλλουσι τὴν ὕλην εἰς αὐτὸ τὸ ἐδώδιμον. τί οὖν ἄτοπον εἰ καὶ τοῦ οἴνου τὸ τρυγῶδες, ὡς [illegible] ἢ σκύβαλον, ἡ διήθησις ἐξαιρεῖ, μὴ τῆς δαπάνης τινὸς τῇ καθάρσει, μήτε ἀσχολίας προσούσης.

η΄.

Τίς αἰτία βουλίμου.

Θυσία τίς ἐστι πάτριος, ἣν ὁ μὲν ἄρχων ἐπὶ τῆς κοινῆς ἑστίας δρᾷ, τῶν δὲ ἄλλων ἕκαστος ἐπ᾽ οἴκου. καλεῖται δὲ βουλίμου ἐξέλασις· καὶ τῶν οἰκετῶν ἕνα τύπτοντες, ἀγνίνοις ῥάβδοις διὰ θυρῶν ἐξελαύνουσιν, ἐπιλέγοντες ἔξω βούλιμον, ἔσω δὲ πλοῦτον, καὶ ὑγίειαν. ἄρχοντος οὖν ἐμοῦ πλείονες ἐκοινώνουν τῆς θυσίας, καὶ ἐπεὶ ἐποιησάμεθα τὰ νενομισμένα, καὶ πάλιν κατεκλίνημεν, ἐζητεῖτο πρῶτον ὑπὲρ αὐτοῦ τοῦ ὀνόματος, ἔπειτα τῆς φωνῆς ἣν ἐπιλέγουσι τῷ διωκομένῳ, μάλιστα δὲ ὑπὲρ τοῦ πάθους, καὶ τῶν κατ᾽ αὐτὸ γινομένων. τὸ μὲν οὖν λιμὸν ἐδόκει μέγαν ἢ δημόσιον ἀποσημαίνειν, καὶ μάλιστα παρ᾽ ἡμῖν τοῖς αἰολεῦσιν, ἀντὶ τοῦ β τῷ π χρωμένοις. οὐ γὰρ βούλιμον, ἀλλὰ πολύλιμον, οἷον πολλὸν πάλιν ὀνομάζομεν. ἐδόκει δὲ ἡ βούβρωστις ἕτερον εἶναι· τὸ δὲ τεκμήριον ἐλαμβάνομεν ἐκ τῶν Μητροδώρου Ἰωνικῶν. ἱστορεῖ γὰρ ὅτι Σμυρναῖοι τὸ παλαιὸν Αἰολεῖς ὄντες θύουσι βουβρώστει ταῦρον μέλανα· καὶ κατακόψαντες, αὐτόδορον ὁλοκαυτοῦσιν. ἐπεὶ δὲ πᾶς μὲν ἔοικεν ὁ λιμὸς νόσῳ, μάλιστα δὲ ὁ βούλιμος ἐπιγίνεσθαι παθόντος παρὰ φύσιν τοῦ σώματος, εἰκότως ἀντιτάττουσιν, ὡς μὲν ἐνδείᾳ, τὸν πλοῦτον, ὡς δὲ νόσῳ τὴν ὑγίειαν, ὡς δὲ ναυτιᾶν ὠνομάσθη μὲν ἐπὶ τῶν ἐν νηὶ καὶ κατὰ πλοῦν τὸν στόμαχον ἐκλυομένων. ἔθει δὲ ἴσχυκεν ἤδη καὶ κατὰ τῶν ὁπωσοῦν τοῦτο πασχόντων τοὔνομα τοῦ πάθους εἶναι. οὕτως ἄρα καὶ τὸ βουλιμιᾶν ἐκεῖθεν ἀρξάμενον ἐνταῦθα διέτεινε. ταῦτα μὲν οὖν ἔρανον κοινὸν ἐκ πάντων συνεπλήρου λέγων. ἐπεὶ δὲ δὴ ἡπτόμεθα τῆς αἰτίας τοῦ πάθους, πρῶτον μὲν ἠπορήθη τὸ μάλιστα

βουλιμιᾶν τοὺς διὰ χιόνος πολλῆς βαδίζοντας, ὥσπερ καὶ Βροῦτος ἐκ Δυρραχίου πρὸς Ἀπολλωνίαν ἐκινδύνευσεν ὑπὸ τοῦ πάθους· ἦν δὲ νιφετὸς πολὺς, καὶ τῶν τὰ σιτία κομιζόντων οὐδεὶς ἐξηκολούθει· λειποθυμοῦντος οὖν αὐτοῦ, καὶ ἀπολιπόντος, ἠναγκάσθησαν οἱ στρατιῶται προσδραμόντες τοῖς τείχεσιν, ἄρτον αἰτῆσαι παρὰ τῶν τειχοφυλάκων πολεμίων, καὶ λαβόντες εὐθὺς, ἀνεκτήσαντο τὸν Βροῦτον, διὸ καὶ φιλανθρώπως ἐχρήσατο πᾶσι κύριος τῆς πόλεως γενόμενος. πάσχουσι δὲ τοῦτο καὶ ἵπποι καὶ ὄνοι, καὶ μάλιστα, ὅταν ἢ ἰσχάδας, ἢ μῆλα κομίζωσιν· ὃ δὲ θαυμασιώτατόν ἐστιν, οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ κτήνη μάλιστα πάντων ἐδωδίμων ἀναρρώννυσιν ἄρτος· ὥστε κἂν ἐλάχιστον, ἐὰν φάγωσιν, ἵστανται καὶ βαδίζουσι. γενομένης δὲ σιωπῆς, ἐγὼ συνορῶν ὅτι τὰ τῶν πρεσβυτέρων ἐπιχειρήματα, τοὺς μὲν ἀργοὺς καὶ ἀφυεῖς, οἷον ἀναπαύει, καὶ ἀναπίμπλησι· τοῖς δὲ φιλοτίμοις καὶ φιλολόγοις, ἀρχὴν ἐνδίδωσιν οἰκείαν, καὶ τόλμαν ἐπὶ τὸ ζητεῖν καὶ ἀνιχνεύειν τὴν ἀλήθειαν, ἐμνήσθην τῶν Ἀριστοτελικῶν, ἐν οἷς λέγεται, ὅτι πολλῆς περιψύξεως γενομένης, ἔξωθεν ἐκθερμαίνεται σφόδρα τὰ ἐντὸς, καὶ πολὺ σύντηγμα ποιεῖ· τοῦτο δὲ ἐὰν μὲν ἐπὶ τὰ σκέλη ῥυῇ, κόπους ἀπεργάζεται καὶ βαρύτητας, ἐὰν δὲ ἐπὶ τὰς τῆς κινήσεως, καὶ τῆς ἀναπνοῆς ἀρχὰς, ἀψυχίαν ἢ καὶ ἀσθένειαν. ὅπερ οὖν εἰκὸς τοῦ λόγου λεχθέντος ἐπεραίνετο, τῶν μὲν ἐπιφυομένων τῷ δόγματι, τῶν δὲ ὑπερδικούντων· Σώκλαρος δὲ τὴν ἀρχὴν ἔφη τοῦ λόγου κάλλιστα κεῖσθαι· περιψύχεσθαι γὰρ ἱκανῶς, καὶ πυκνοῦσθαι τὰ σώματα τῶν βαδιζόντων διὰ χιόνος· τὸ δὲ σύντηγμα τὴν θερμότητα ποιεῖν, καὶ τοῦτο δοκεῖν αὐτῷ καταλαμβάνειν τὰς ἀρχὰς τῆς ἀναπνοῆς· αἱματῶδες μᾶλλον οὖν δοκεῖν αὐτῷ τὴν τροφὴν τὴν θερμότητα συνεσταλμένην, καὶ πλεονάζουσαν ἐντὸς ἀναλίσκειν τὴν τροφήν· εἶτα ἐπιλειπούσης καὶ αὐτῆς, ὥσπερ πῦρ ἀπομαραίνεσθαι· διὸ πεινῶσι σφόδρα, καὶ βραχὺ παντελῶς ἐμφαγόντες, εὐθὺς ἀναλάμπουσι· γίνεται γὰρ ὥσπερ ὑπέκκαυμα τῆς θερμότητος, τὸ προσφερόμενον. Κλεομένης δὲ ὁ ἰατρὸς ἄλλως ἔφη τῷ ὀνόματι τὸν λιμὸν συντετάχθαι, δίχα τοῦ πράγματος, ὥσπερ τοι καταπίνειν, τὸ πίνειν, καὶ τὸ ἀνακύπτειν, τῷ κύπτειν· οὐ γὰρ εἶναι λιμὸν ὥσπερ δοκεῖ τὴν βουλιμίαν, ἀλλὰ πάθος ἐν στομάχῳ διὰ συνδρομὴν λιμοῦ λειποψυχίαν ποιοῦν· ὥσπερ οὖν τὰ ὀσφραντὰ πρὸς τὰς λειποθυμίας βοηθεῖν, καὶ τὸν ἄρτον ἀναλαμβάνειν, καὶ τοὺς βουλιμιῶντας οὐχ ὅτι τροφῆς ἐνδεεῖς εἰσι· μικρὸν γοῦν παντάπασιν ἀναλαβόντες ἀναζωπυροῦσιν, ἀλλ' ὅτι τὸ πνεῦμα καὶ τὴν δύναμιν ἀνακαλεῖται καταφερομένην· ὅτι δ' ἔστι λειποθυμία, καὶ οὐ πεῖνα, μηνύει τὸ τῶν ὑποζυγίων, ἢ τὰ τῶν ἰσχάδων ἀποφορὰ καὶ ἡ τῶν μήλων· ἔνδειαν μὲν οὐ ποιεῖ, καρδιωγμὸν δέ τινα μᾶλλον καὶ δειλιγμόν. ἡμῖν δὲ καὶ ταῦτα μετρίως ἐδόκει λέγεσθαι ἀπὸ τῆς ἐναντίας ἀρχῆς, δυνατὸν εἶναι μὴ πύκνωσιν, ἀλλ' ἀραίωσιν ὑποθεμένοις διασῶσαι τὸ πιθανόν· τὸ γὰρ ἀπορρέον πνεῦμα τῆς χιόνος, ἔστι μὲν οἷον αἰθὴρ τοῦ πάγου, καὶ ψῆγμα λεπτομερέστατον· ἔχει δέ τι τομὸν καὶ διαιρετικὸν, οὐ σαρκὸς μόνον, ἀλλὰ καὶ ἀργυρῶν καὶ χαλκῶν ἀγγείων· ὁρῶμεν γὰρ ταῦτα μὴ στέγοντα τὴν χιόνα· πνεομένη γὰρ ἀναλίσκεται, καὶ τὴν ἐκτὸς ἐπιφάνειαν τοῦ ἀγγείου διὰ τῆς νοτίδος ἀναπίμπλησι λεπτῆς, καὶ κρυσταλλοειδοῦς, ἣν ἀπολείπει τὸ πνεῦμα διὰ τῶν πόρων, ἀδήλως ἀπερχόμενον. τοῦτο δὴ τοῖς βαδίζουσι διὰ χιόνος ὀξὺ καὶ φλογοειδὲς προσπῖπτον ἐπικαίειν δοκεῖ τὰ ἄκρα τῷ τέμνειν καὶ παρελθεῖν τῇ σαρκὶ, καθάπερ τὸ πυρωθὲν ἀραίωσις γίνεται περὶ τὸ σῶμα πολλὴ, καὶ ῥεῖ τὸ θερμὸν ἔξω καὶ τὴν ψυχρότητα τοῦ πνεύματος περὶ τὴν ἐπιφάνειαν σβεννύμενον ἱδρῶτα δροσώδη διατμίζει καὶ λεπτόν· ὥστε τήκεσθαι καὶ ἀναλίσκεσθαι τὴν δύναμιν. ἐὰν μὲν οὖν ἡσυχάζῃ τις, οὐ πολλὴ τοῦ σώματος ἀπέρχεται θερμότης· ὅταν δὲ τὴν μὲν τροφὴν τοῦ σώματος ἡ κίνησις εἰς τὸ θερμὸν ὀξέως μεταβάλλῃ, τὸ δὲ θερμὸν ἔξω φέρηται διακρινομένης τῆς σαρκὸς, ἀθρόαν ἀνάγκη τῆς δυνάμεως, ὡς ἐπίλειψιν γενέσθαι. ὅτι δὲ τὸ ἐκψύχεσθαι οὐ πηγνύσι μόνον, ἀλλὰ καὶ τήκει τὰ σώματα, δῆλόν ἐστιν· ἐν μὲν γὰρ τοῖς μεγάλοις χειμῶσιν ἀκονᾶ μολίβδου διατηκόμεναι· τότε τῆς ἀφιδρώσεως, καὶ τὸ πολλοῖς μὴ πεινῶσι συμπίπτειν τὴν βουλιμίασιν, κατηγορεῖ μᾶλλον καὶ ῥύσιν ἢ πύκνωσιν τοῦ σώματος. ἀραιοῦται δὲ χειμῶνος μὲν ὥσπερ εἴρηται τῇ λεπτότητι· ἄλλως δὲ τοῦ κόπου καὶ τῆς κινήσεως ἀποξυούσης τῆς ἐν τῷ σώματι θερμότητος· λεπτὴ γὰρ γενομένη καὶ κοπιῶσα ῥεῖ πολλὴ καὶ διασπείρεται διὰ τοῦ σώματος. τὰ δὲ μῆλα καὶ τὰς ἰσχάδας, εἰκὸς ἀποπνεῖν τι τοιοῦτον, ὥστε τῶν ὑποζυγίων τὸ θερμὸν ἀπολεπτύνειν, καὶ κατακερματίζειν· ἄλλα γὰρ ἄλλοις ὥσπερ ἀναλαμβάνειν καὶ καταλύεσθαι πέφυκεν.

Διατί ὁ ποιητὴς ἐπὶ μὲν τῶν ἄλλων ὑγρῶν τοῖς ἰδίοις ἐπιθέτοις χρῆται, μόνον δὲ τὸ ἔλαιον ὑγρὸν καλεῖ. θ'.

Ἠρωτήθη ποτὲ, καὶ διατί πολλῶν ὑγρῶν ὄντων τὰ μὲν ἄλλα τοῖς ἰδίοις ἐπιθέτοις ὁ ποιητὴς εἰώθει κοσμεῖν, τὸ γάλα τε λευκὸν, καὶ τὸ μέλι χλωρὸν, καὶ τὸν οἶνον ἐρυθρὸν καλῶν· τὸ δὲ ἔλαιον ἀπὸ κοινοῦ τοῦ πᾶσι συμβεβηκότος, μόνον ἐπιεικῶς ὑγρὸν προσαγορεύει. εἰς τοῦτο ἐλέχθη, ὅτι καὶ γλυκύτατόν ἐστι τὸ δι' ὅλου γλυκὺ, καὶ λευκότατον, τὸ δι' ὅλου λευκὸν, δι' ὅλου δὲ τοιοῦτόν ἐστιν ᾧ μηδὲν ἐμμέμικται τῆς ἐναντίας φύσεως, οὕτω δὲ καὶ τὸ ὑγρὸν μάλιστα ῥητέον, οὗ μηδὲν μόριον ξηρόν ἐστι. τοῦτο δὲ τῷ ἐλαίῳ συμβέβηκε, πρῶτον μὲν ἡ λειότης αὐτοῦ τὴν ὁμαλότητα τῶν μορίων ἐπιδείκνυται· δι' ὅλου γὰρ αὐτῷ συμπαθεῖ πρὸς τὴν ψῆξιν. ἔπειτα τῇ ὄψει παρέχει καθαρώτατον ἐνοπτρίσασθαι· τραχὺ γὰρ οὐδέν ἐστιν, ὥστε διασπᾶν τὴν αὐ ὑγείαν, ἀλλ' ἀπὸ παντὸς μορίου δι' ὑγρότητα, καὶ σμικροτάτου ἀνακλᾷ τὸ φῶς ἐπὶ τὴν ὄψιν, ὥσπερ αὖ τοὐναντίον τὸ γάλα τῶν ὑγρῶν μόνον οὐκ ἐσοπτρίζει, πολλῆς ἀναμεμιγμένης αὐτῷ γεώδους. ἔτι δὲ κινούμενον, ἥκιστα ψοφεῖ τῶν ὑγρῶν· ὑγρὸν γάρ ἐστι δι' ὅλου· τῶν ἄλλων ἐν τῷ ῥεῖν καὶ φέρεσθαι τὰ σκληρὰ καὶ γεώδη μέρη προσκρούσεις λαμβάνοντα καὶ πληγὰς, ψοφεῖ διὰ βραχύτητα. καὶ μὴν μόνον ἀκρότατον διαμένει, καὶ ἄμικτον· ἔστι γὰρ πυκνότατον, οὐ γὰρ ἔχει μεταξὺ τῶν ξηρῶν, καὶ γεωδῶν ἐν αὐτῷ μορίων κενώματα, καὶ πόρους οἷς δέξεται τὸ παρεμπῖπτον ἅμα, δι' ὁμοιότητα τῶν μορίων ἀνάρμοστόν ἐστι καὶ συνεχές. ὅταν δὲ ἀφρίζῃ τὸ ἔλαιον, οὐ δέχεται τὸ πνεῦμα διὰ λεπτότητα, καὶ συνέχειαν, τοῦτο δὲ αἴτιον, καὶ τοῦ τρέφεσθαι τὸ πῦρ ὑπ' αὐτοῦ. τρέφεται μὲν γὰρ οὐδενὶ πλὴν ὑγρῷ· καὶ τοῦτο μόνον καυστόν ἐστιν· ἐκ τοιούτων ξύλων, ὁ μὲν ἀὴρ ἄπεισι καπνὸς γενόμενος, τὸ γεῶδες ἐκτεφρωθὲν ὑπολείπεται. μόνον δὲ ὑπὸ τοῦ πυρὸς τὸ νοτερὸν ἀναλοῦται, τούτῳ γὰρ τρέφεσθαι πέφυκεν. ὕδωρ μὲν οὖν καὶ οἶνος καὶ τὰ λοιπὰ, πολλοῦ μετέχοντα τοῦ θολεροῦ, καὶ γεώδους, ἐμπίπτοντα τὴν φλόγα διασπᾷ, καὶ τῇ βραχύτητι, καὶ τῷ βάρει θλίβει, καὶ κατασβέννυσι. τὸ δὲ ἔλαιον ὅτι μάλιστα εἰλικρινῶς ὑγρόν ἐστι, διὰ λεπτότητα μεταβάλλει, καὶ κρατούμενον ἐκπυροῦται. μέγιστον δὲ αὐτοῦ τῆς ὑγρότητος τεκμήριον, τὸ πλεῖστον ἐξ ὀλιγίστου διανομὴ, καὶ χύσις· οὔτε γὰρ μέλιτος, οὔτε ὕδατος, οὔτε ἄλλου τινὸς ὑγροῦ βραχὺς οὕτως ὄγκος ἐπίδοσιν λαμβάνει τοιαύτην, ἀλλ' εὐθὺς τὸ πλεῖστον, καὶ ἀναλίσκεται διὰ ξηρότητα. τὸ δὲ ἔλαιον ὅλκιμον παντάχῃ, καὶ μαλακὸν ἄγεται περὶ τὸ σῶμα, χριομένοις, καὶ συνεπιρρεῖ πορρωτάτω, δι' ὑγρότητα τῶν μερῶν μιμουμένων, ὥστε καὶ παραμένειν δυσεξίτηλον. ὕδατι μὲν

βρεχθὲν ἱμάτιον, ἀποξηραίνεται ῥαδίως· ἐλαίου δὲ κηλῖδας οὐ τῆς τυχούσης ἐστὶ πραγματείας ἐκκαθᾶραι· μάλιστα γὰρ ἐνδύεται, ὃ μάλιστα λεπτὸν καὶ ὑγρὸν εἶναι· καὶ γὰρ οἶνον κεκραμμένον, δυσχερέστερον ἐξαίρουσι τῶν ἱματίων, ὡς Ἀριστοτέλης φησίν· ὅτι λεπτότερόν ἐστι, καὶ μᾶλλον ἐνδύεται τοῖς πόροις.

Τίς αἰτία δι᾽ ἣν ψαθυρὰ γίνεται ταχὺ τὰ ἐκ συκῆς κρεμανόμενα τῶν ἱερείων. ι.

Α ριστίωνος εὐημερεῖ παρὰ τοῖς δειπνοῦσι μάγειρος, ὡς τά τε ἄλλα χαριέντως ὀψοποιήσας, καὶ τὸν ὄρνιθα τῷ Ἡρακλεῖ τεθυμένον ἀλεκτρυόνα παραθεὶς ἁπαλόν, ὥσπερ χιζὸν νεαρὸν ὄντα καὶ πρόσφατον. εἰπόντος οὖν τοῦ Ἀριστίωνος, ὅτι τοῦτο γίνεται ταχέως, εἰ σφαγεὶς εὐθὺς ἀπὸ συκῆς κρεμασθείη, τὴν αἰτίαν ἐζητοῦμεν. ὅτι μὲν δὴ πνεῦμα τῆς συκῆς ἄπεισιν ἰσχυρὸν καὶ σφοδρόν, ἥ τε ὄψις ἐκμαρτυρεῖ, καὶ τὸ περὶ τῶν ταύρων λεγόμενον, ὡς ἄρα συκῇ προσδεθεὶς ὁ χαλεπώτατος ἡσυχίαν ἄγει, καὶ ψαύσεως ἀνέχεται, καὶ ὅλως ἀφίησι τὸν θυμόν, ὥσπερ ἀπομαραινόμενον. τὴν δὲ πλείστην αἰτίαν καὶ δύναμιν ἡ δριμύτης ἔχει. τὸ γὰρ φυτὸν ἁπάντων ὀπωδέστατον, ὥστε καὶ τὸ σῦκον αὐτὸ καὶ τὸ ξύλον καὶ τὸ [illegible] ἀναπεπλῆσθαι. διὸ καιόμενόν τε τῷ καπνῷ δάκνει μάλιστα, καὶ κατακαυθέντος, ἡ τέφρα ῥυπτικωτάτην παρέχει κόνιν. ταῦτα δὲ πάντα θερμότητος. καὶ τὴν πῆξιν ἐμποιεῖν τῷ γάλακτι τὸν ὀπὸν οἴονταί τινες οὐ σκαληνίᾳ σχημάτων περιπλέκοντα, καὶ κολλῶντα τὰ μόρια τοῦ γάλακτος ἐκθλιβομένων ἐπὶ τὴν ἐπιφάνειαν τῶν λείων καὶ περιφερῶν, ἀλλὰ καὶ ὑπὸ θερμότητος ἐκτήκοντα τὸ ὑγροῦ τὸ ἀσύστατον, καὶ ὑδατῶδες. τεκμήριον δὲ καὶ τὸ ἄχρηστον γλυκὺ εἶναι ὀπόν, ἀλλὰ πομάτων φαυλότατον· οὐ γὰρ τὸ λεῖον ὑπὸ τῶν σκαληνῶν, ἀλλὰ τοῦ συνδρόμου τὸ ψυχρὸν ἔστη, καὶ ἄπεπτον ὑπὸ τῆς θερμότητος, καὶ πρὸς τοῦτο συνδέουσιν οἱ ἅλες, θερμοὶ γάρ εἰσι· πρὸς δὲ τὴν λεγομένην περιπλοκήν, καὶ σύνδεσιν αὐτὸ πράττουσι διάλυσιν, διαλύειν γὰρ μάλιστα πεφύκασι. θερμὸν οὖν πνεῦμα καὶ δριμύ, καὶ τμητικὸν ἀφίησιν ἡ συκῆ· καὶ τοῦτο θρύπτει, καὶ πεπαίνει τὴν σάρκα τοῦ ὄρνιθος. τὸ αὐτὸ δὲ πάσχει καὶ πυρῶν ἐντεθεὶς σωρῷ, καὶ νίτρῳ συνειμένος ὑπὸ θερμότητος. ὅτι δὲ ὁ πυρὸς ἔχει, τεκμαίρονται τοῖς ἀμφορεῦσιν, ὧν ἐν θερμῶν ἐς σῖτον ἐξαναλίσκεται ταχέως ὁ οἶνος.

ΣΥΜΠΟΣΙΑΚΩΝ ΕΥΔΟΜΟΝ.

Χ αρίεντος ἀνδρὸς ὦ Σόσσιε Σενεκίων, καὶ φιλανθρώπου λόγον ἔχουσι Ῥωμαῖοι διὰ στόματος, ὅς τις ἦν ὁ εἰπὼν ἐπὶ μόνος ἐδείπνησε βεβρωκέναι μή, δεδειπνηκέναι σήμερον, ὡς τοῦ δείπνου κοινωνίαν καὶ φιλοφροσύνην ἐφηδυνοῦσαν ἀεὶ ποθοῦντος. Εὔηνος μὲν γὰρ ἔλεγε τὸ πῦρ ἥδιστον εἶναι ἡδυσμάτων, καὶ τὸν ἅλα θεῖον Ὅμηρος. οἱ δὲ πολλοὶ χάριτας καλοῦσιν, ὅτι αὐτοὶ τὰ πλεῖστα μεγνύμενος εὐάρμοστα τῇ γεύσει, καὶ προσφιλῆ ποιεῖ, καὶ κεχαρισμένα. δείπνου δὲ καὶ τραπέζης θεότατον, ὡς ἀληθῶς ἥδυσμα· φίλος ἐστὶ παρὼν καὶ συνήθης καὶ γνώριμος, οὐ τῷ συνεσθίειν, καὶ συμπίνειν, ἀλλ᾽ ὅτι λόγου μεταλαμβάνει, καὶ μεταδίδωσιν. εἴ γε δὴ χρήσιμον ἐνῇ τι καὶ πιθανὸν καὶ οἰκεῖον τοῖς λεγομένοις αὐτοῖς· τούς γε πολλούς, αἱ παρ᾽ οἶνον ἀδολεσχίαι ληροῦντας ἐμβάλλουσι πρὸς τὰ πάθη, καὶ προσδιαστρέφουσιν. ὅθεν ἄξιόν ἐστι, μηδὲν ἧττον λόγους, ἢ φίλους δεδοκιμασμένους παραλαμβάνειν εἰς τὰ δεῖπνα, τοὐναντίον ἢ Λακεδαιμόνιοι φρονοῦντας καὶ λέγοντας. ἐκεῖνοι μὲν γὰρ ὅτι νέον ἢ ξένον εἰς τὸ φιλέσιον παραλάβωσι τὰς θυρίδας δείξαντες, ταύτῃ φασὶν οὐκ ἐξέρχεται λόγος. ἡμεῖς δὲ ἑαυτοὺς χρῆσθαι λόγοις, συνεθιζομένων πᾶσίν ἐστι καὶ πρὸς πάντας ἐξαγωγὴν διὰ τὰς ὑποθέσεις, μηδὲν ἀκόλαστον, μὴ δὲ βλάσφημον, μὴ δὲ κακόηθες ἐχοῦσα, μὴ δὲ ἀνελεύθερον. ἔξεστι δὲ κρίνειν τοῖς παραδείγμασιν, ὧν τὴν ἑβδόμην δεκάδα, τουτὶ περιέχει τὸ βιβλίον.

Πρὸς τοὺς ἐγκαλοῦντας Πλάτωνι τὸ ποτὸν εἰπόντι διὰ τοῦ πλεύμονος διεξιέναι. α.

Ε ἰσῆλθέ τινι τῶν συμποτῶν ὥρα θέρους τουτὶ τὸ πρόχειρον ἅπασιν ἀναφθέγξασθαι· τέγγε πλεύμονας οἴνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται. καὶ Νικίας ὁ Νικοπολίτης ἰατρὸς οὐδὲν ἔφη θαυμαστόν, εἰ ποιητικὸς ἀνὴρ Ἀλκαῖος ἠγνόησεν, ὃ καὶ Πλάτων ὁ φιλόσοφος. καίτοι τὸν μὲν Ἀλκαῖον ἄλλως γέ πως εὐπορήσειν βοηθείας· ἀπολαύειν ἱκμάδος τὸν πλεύμονα, γειτνιῶντα τῷ στομάχῳ, καὶ διὰ τοῦτο τέγγεσθαι πιθανόν ἐστιν. ὁ δὲ φιλόσοφος οὑτωσὶ σαφῶς ἔφη γράψας διεξιέναι τὰ πολλὰ διὰ τοῦ πλεύμονος· οὐδὲ τοῖς προθυμοτάτοις ἀμβλυώψιν, ἐπιχείρησιν ὑπὲρ αὐτοῦ πιθανὴν ἀπολέλοιπε· τὸ γὰρ ἀγνόημα μέγα. πρῶτον μὲν ὅτι τῆς ὑγρᾶς τροφῆς πρὸς τὴν ξηρὰν ἀναγκαίαν ἐχούσης τὴν ἀνάμιξιν εἰκός ἐστι ταύτην ἀμφοτέραις ἀγγεῖον ὑπηρετεῖσθαι τὸν στόμαχον εἰς τὴν κάτω κοιλίαν ἐκδιδόντα μαλακόν, καὶ διάβροχον τὸ σιτίον. ἔπειτα τοῦ πλεύμονος λείου καὶ πυκνοῦ παντάπασι γεγονότος πῶς τὸ σὺν κυκεῶνι πινόμενον, ἄλφιτον διέξεισι καὶ οὐκ ἐνίσχεται. τουτὶ γὰρ Ἐρασίστρατος ὀρθῶς πρὸς αὐτὸν ἠπόρησε. καὶ μὴν ἐπεί γε τῶν πλείστων τοῦ σώματος μορίων τούτου ἕνεκα τῷ λόγῳ μετιών, καὶ πρὸς ὃ ἕκαστον ἡ κρίσις χρείαν πεποίηκε, βουλόμενος, ὥσπερ καὶ προσήκει τῷ φιλοσόφῳ φρονεῖν οὐκ εὐπάρεισον· τὸ τῆς ἐπιγλωττίδος ἔργον οὐ τούτῳ τεταγμένον. ὅπως ἐν τῇ καταπόσει τῆς τροφῆς τὴν ἀρτηρίαν πιέζουσα κωλύει παρεμπεσεῖν ὁτιοῦν εἰς τὸν πλεύμονα. δεινὰς γὰρ ὑπὸ βήχος ἴσχει τραχύτητας καὶ ταραχάς, ὅταν παρολισθῇ τῷ δρόμῳ τοῦ πνεύματος. ἡ δὲ μέταυλος αὕτη κλίσιν ἐπ᾽ ἀμφότερα λαμβάνουσα, φθεγγομένων μὲν ἐπιπίπτει τῷ στομάχῳ, σιτουμένων δὲ καὶ πινόντων τῇ ἀρτηρίᾳ, καθαρὸν τῷ πνεύματι τὸν δρόμον φυλάττουσα, καὶ τὴν ἀναπνοήν. ἔτι τοίνυν ἔφη, καὶ τοὺς

ἀτρέμα πίνοντας ἴσμεν· ὅτι τὰς κοιλίας ὑγροτέρας ἴσχοντας τῶν ἀθρόον ἐφελκομένων τὸ ὑγρόν· ὠθεῖ γὰρ εὐθὺς εἰς κύστιν ὑπὸ ῥύμης διεξιόν. ἐκεῖνο δὲ μᾶλλον ἐνδιατρίβει τοῖς σιτίοις, καὶ μαλάσσει, ὥστ᾽ ἀναμίγνυσθαι, καὶ παραμένειν, οὐκ ἂν δὲ ταῦτα συνέβαινε διακρινομένων εὐθὺς ἐν τῇ καταπόσει τῶν ὑγρῶν, ἀλλὰ συμπλεκομένων ἡμῶν ἅμα καὶ συμπαραπεμπόντων τὸ σιτίον οἷον ὄχημά τι τὸ ὑγρῷ χρώμενον, ὡς ἔλεγεν Ἐρασίστρατος. τοιαῦτα τοῦ Νικίου διεξιόντος, ὁ γραμματικὸς Πρωτογένης συνεωρακέναι πρῶτον Ὅμηρον, ὅτι τῆς μὲν τροφῆς ὁ στόμαχος ἀγγεῖόν ἐστι· τοῦ δὲ πνεύματος βρόγχος, ὃν ἀσφάραγον ἐκάλουν οἱ παλαιοί. διὸ καὶ τοὺς μεγαλοφώνους ἐρισφαράγους ὀνομάζειν εἰώθασιν. εἰπὼν οὖν ὅτι τὸν Ἕκτορος ὁ Ἀχιλλεὺς ἤλασε, λαυκανίην ἵνα τε ψυχῆς ὤκιστος ὄλεθρος, οὐδ᾽ ἄρ᾽ ἀπ᾽ ἀσφάραγον ὄντα φωνῆς ἴδιον ὀχετὴν καὶ πνεύματος, τὴν δὲ λαυκανίην ἐσ[illegible]· γενομένης οὖν αὖθι τῷ λόγῳ σιωπῆς, ὁ Φλῶρος εἶπεν, οὕτως ὑφησόμεθα τοῦ Πλάτωνος ἐρήμην ὀφλισκάνοντος. οὐχ ἡμεῖς γε ἔφην ἐγώ, προησόμεθα γὰρ ἅμα τῷ Πλάτωνι, καὶ τὸν Ὅμηρον, ὃς τοσοῦτον ἀποδεῖ τοῦ τὸ ὑγρὸν ἀπελαύνειν, καὶ ἀποστρέφειν τῆς ἀρτηρίας, ὥστε καὶ τὸ σιτίον ὁμοῦ συνεκβαλεῖν ἐνταῦθα. φάρυγος γάρ φησιν ἐξέσσυτο οἶνος, ψωμοί τ᾽ ἀνδρόμεοι χωρίς, εἰ μὴ τὸν Κύκλωπα φήσει τις, ὥσπερ ὀφθαλμὸν ἔχει ἕνα, καὶ πόρον τροφῆς, καὶ φωνῆς τὸν αὐτόν, ἢ τὸν φάρυγγα φάσει στόμαχον εἰρῆσθαι, καὶ μὴ βρόγχον, ὥσπερ ὑπὸ πάντων, καὶ πάλαι καὶ νῦν ὠνόμασται. ταῦτα δὲ οὐκ ἀπορίᾳ μαρτύρων, ἀλλ᾽ ὑπὸ τῆς ἀληθείας ἐπηγαγόμην. ἐπεὶ μάρτυρές γε τῷ Πλάτωνι πολλοί τε κἀγαθοὶ πάρεισιν. Εὔπολιν μὲν γὰρ εἰ βούλει πάρες ἐν Κόλαξιν εἰπόντα· πίνειν γὰρ ὁ Πρωταγόρας ἐκέλευεν, ἵνα πρὸ τοῦ κυνὸς τὸν πλεύμον᾽ ἔκκλυρον φορῇ. πάρες δὲ, καὶ τὸν κομψὸν Ἐρατοσθένην λέγοντα, καὶ βαθὺν ἀκρήτῳ πνεύμονα τεγγόμενος. Εὐριπίδης δὲ σαφῶς δήπου λέγων οἶνος περάσας πλευμόνων διαρροάς, δῆλός ἐστιν Ἐρασιστράτου βλέπων τι ὀξύτερον, εἶδε γὰρ ὅτι σήραγγας ὁ πλεύμων ἔχει, καὶ πόρους κατατέτρηται, δι᾽ ὧν τὸ ὑγρὸν δίησιν. οὐ γὰρ τὸ πνεῦμα πόρων ἐδεῖτο πρὸς τὴν ἐξαγωγήν, ἀλλ᾽ ἕνεκα τῶν ὑγρῶν, καὶ τῶν τοῖς ὑγροῖς συμπαραλισθαινόντων γέγονεν ἠθμοειδὴς καὶ πολύθυρος, καὶ οὐδὲν ἧττον ὦ μακάριε τῷ πλεύμονι προσῆκόν ἐστιν, ἢ τῷ στομάχῳ συνεκδιδόναι τὸ ἄλφιτον, καὶ τὸ κρίμνον. οὐδὲ γὰρ ὁ στόμαχος ἡμῶν λεῖος, ὥς τινες, οὐδὲ ὀλισθηρός, ἀλλ᾽ ἔχει τραχύτητας, αἷς εἰκός ἐστι τὰ λεπτὰ, καὶ μικρὰ περιπίπτοντα, καὶ προσισχόμενα διαφεύγειν τὴν κατάποσιν. ἀλλ᾽ οὔτε τοῦτο λέγειν, οὔτε ἐκεῖνο καλῶς ἔχον ἐστίν. ἡ γὰρ φύσις οὐκ ἐφικτὸν ἔχει τῷ λόγῳ τὸ περὶ τὰς ἐνεργείας εὐμήχανον. οὐδ᾽ ἔστι τῶν ὀργάνων αὐτῆς τὴν ἀκρίβειαν οἷς χρῆται. λέγω δὲ τὸ πνεῦμα, καὶ τὸ θερμὸν ἀξίως διελθεῖν. ἔτι δὴ τῶν μαρτύρων τῷ Πλάτωνι προσκαλοῦμαι Φιλιστίωνά τε τὸν Λοκρόν, εὖ μάλα παλαιὸν ἄνδρα καὶ λαμπρόν, ἀπὸ τῆς τέχνης ὑμῶν γενόμενον, καὶ Ἱπποκράτειον. οὗτοι γὰρ οὐχ ἑτέραν ὁδόν, ἀλλ᾽ ἣν Πλάτων ὑφηγοῦνται τοῦ πόματος. ἥ γε μὴν πολυτίμητος ἐπιγλωττίς, οὐκ ἔλαθε τὸν Διώξιππον, ἀλλὰ περὶ ταύτην φησὶ τὸ ὑγρὸν ἐν τῇ καταπόσει διακρινόμενον, εἰς τὴν ἀρτηρίαν ἐπιρρεῖν. τὸ δὲ σιτίον εἰς τὸν στόμαχον ἐπικυλινδεῖσθαι, καὶ τῇ μὲν ἀρτηρίᾳ τῶν ἐδωδίμων μηδὲν παρεμπίπτειν. τὸν δὲ στόμαχον ἅμα τῇ ξηρᾷ τροφῇ, καὶ τῆς ὑγρᾶς ἀναμιγνύμενόν τι μέρος ὑποδέχεσθαι. πιθανὸν γάρ ἐστι. τὴν μὲν γὰρ ἐπιγλωττίδα τῆς ἀρτηρίας προκεῖσθαι διάφραγμα, καὶ ταμιεῖον, ὅπως ἀτρέμα καὶ κατ᾽ ὀλίγον διηθῆται τὸ ποτόν, ἀλλὰ μὴ ταχὺ μηδ᾽ ἀθρόον ἐπιρραγὲν ἀποβιάζηται τὸ πνεῦμα καὶ διαταράττῃ. διὸ τοῖς ὄρνισιν οὐ γέγονεν ἐπιγλωττίς, οὐδ᾽ ἔστιν. οὐδὲ γὰρ σπῶντες οὐδὲ λάπτοντες, ἀλλὰ βάπτοντες κατ᾽ ὀλίγον διέντες τὸ ποτόν, ἢ συχνῷ τὴν

τὴν ἀρτηρίαν διαίνουσι καὶ τέγγουσι. μαρτύρων μὲν οὖν ἅλις. ὁ δὲ λόγος τῷ Πλάτωνι πρῶτον ἐκ τῆς αἰσθήσεως ἔχει τὴν πίστιν. τῆς γὰρ ἀρτηρίας τρωθείσης, οὐ καταπίνεται τὸ ὑγρόν. ἀλλ᾽ ὥσπερ ἐκ τοῦ διακοπέντος ἐκπῖπτον ἔξω, καὶ ἀποκρουνίζον ὁρᾶται. καίπερ ὑγιοῦς καὶ ἀκεραίου τοῦ στομάχου μένοντος. ἔπειτα πάντες ἴσμεν, ὅτι τοῖς περιπλευμονικοῖς πάθεσι δίψα ἕπεται περιφλεγέστατον ὑπὸ ξηρότητος ἢ θερμότητος, ἢ τινος ἄλλης αἰτίας ἅμα τῇ φλεγμονῇ τὴν ὄρεξιν ἐμποιούσης. ὃ δὲ τούτου μεῖζόν ἐστι τεκμήριον. ὅσοις πλεύμων οὐκ ἐμπέφυκε τῶν ζώων, ἢ σφόδρα μικρὸς ἐμπέφυκε, ταῦτα οὐ δεῖται ποτοῦ τὸ παράπαν. οὐδὲ ὀρέγεται. ἔστι γὰρ τῶν μερῶν ἑκάστῳ σύμφυτον ὑπάρχειν τὴν πρὸς τὸ ὑγρὸν ἐπιθυμίαν. οἷς δὲ οὐκ ἔστι μόρια, μὴ δὲ χρείαν παρεῖναι, μὴ δὲ προθυμίαν τῆς δι᾽ αὐτῶν ἐνεργείας, ὅλως δὲ δόξει μάτην ἡ κύστις γεγονέναι τοῖς ἔχουσιν. εἰ γὰρ ὁ στόμαχος ἅμα τῷ σιτίῳ τὸ ποτὸν ἀναλαμβάνει, καὶ τῇ κοιλίᾳ παραδίδωσιν, οὐθὲν ἰδίου πόρου δεῖται, τὸ περίττωμα τῆς ὑγρᾶς τροφῆς. ἀλλὰ εἷς ἀρκεῖ καὶ κοινὸς ὥσπερ εὐδιαῖος ἀμφοτέροις εἰς ταὐτὸ διὰ ταὐτοῦ εἰσκομιζομένοις. νῦν δὲ, χωρὶς μὲν ἡ κύστις γέγονε, χωρὶς δὲ τὸ ἔντερον, ὅτι τὸ μὲν ἐκ τοῦ πλεύμονος βαδίζει, τὸ δὲ ἐκ τοῦ στομάχου διακρινόμενον εὐθὺς περὶ τὴν κατάποσιν. ὅθεν οὐδ᾽ ἐπιφαίνεται τῷ ὑγρῷ τοῦ ξηροῦ περιττώματος. οὐδὲν οὔτε χροᾷ προσεοικός, οὔτε ὀσμῇ τὸ παράπαν. καίτοι φύσιν εἶχεν ἀναμιγνύμενον ἐν τῇ κοιλίᾳ καὶ ἀναδευόμενον, ἀναπίμπλασθαι τῶν ἐκείνου ποιοτήτων, καὶ μὴ καθαρὸν οὕτως ἀποθεῖσθαι, καὶ ἄχραντον. ἀλλ᾽ οὐδὲ λίθος ἐν κοιλίᾳ πώποτε συνέστη. καίτοι λόγον εἶχε, μηδὲν ἧττον ἢ ἐν κύστει συνίστασθαι, καὶ πήγνυσθαι τὸ ὑγρόν, εἴπερ εἰς κοιλίαν ἐχώρει διὰ στομάχου πᾶν τὸ πινόμενον. ἀλλὰ ἔοικεν, ὁ μὲν στόμαχος ἐκ τῆς ἀρτηρίας εὐθὺς ἕλκων τοῦ παροδεύοντος ὑγροῦ τὸ ἱκανόν, καὶ τὸ μέτριον ἀποχρῆσθαι πρὸς μάλαξιν, καὶ χύλωσιν τῆς τροφῆς. διὸ μηδὲν ὑγροῦ περίττωμα ποιεῖν. ὁ δὲ πλεύμων, ὥσπερεὶ τὸ πνεῦμα, καὶ τὸ ὑγρὸν ἐξ αὐτοῦ διανέμων τοῖς δεομένοις, τὸ λοιπὸν ἐκκρίνει εἰς τὴν κύστιν, εἰκότα γὰρ μακρῷ ταῦτα μᾶλλον ἐκείνων. τὸ δὲ ἀληθὲς ἴσως ἄληπτον ἔν γε τούτοις, καὶ οὐκ ἔδει πρὸς φιλόσοφον δόξῃ τε καὶ δυνάμει πρῶτον, οὕτως ἀπαυθαδίσασθαι περὶ πράγματος ἀδήλου, καὶ τοσαύτην αἰτιολογίαν ἔχοντος ἐν ταῖς Πλατωνικαῖς συναναγνώσεσι.

Τίς ὁ παρὰ Πλάτωνι κερασβόλος, καὶ διατί τῶν σπερμάτων ἀτεράμονα γίγνεται τὰ προσπίπτοντα τοῖς κέρασι τῶν βοῶν. β΄.

Ὁ λεγόμενος κερασβόλος, καὶ ἀτεράμων ζήτησιν ἀεὶ παρεῖχεν, οὐχ ὅ τι ποτ᾽ εἴη. δῆλον γὰρ ἦν ὅτι τῶν σπερμάτων τὰ προσπίπτοντα τοῖς τῶν βοῶν κέρασιν ἀτεράμονα τὸν καρπὸν ἐκφύειν νομίζοντες, οὕτως τὸν αὐθάδη καὶ σκληρὸν ἄνθρωπον ἐκ μεταφορᾶς κερασβόλον, καὶ ἀτεράμονα προσηγόρευον. ἀλλὰ περὶ αὐτῆς διηπορεῖτο τῆς αἰτίας, καθ᾽ ἣν τοῦτο πάσχει τὰ προσπίπτοντα τοῖς κέρασι τῶν βοῶν σπέρματα. καὶ πολλάκις ἀπειπάμεθα τοῖς φίλοις οὐχ ἥκιστα. Θεοφράστου δὲ αἰνιττομένου τὸν λόγον ἐν οἷς πολλὰ συναγήοχε, καὶ ἱστόρηκε, τῶν τὴν αἰτίαν ἀνεύρετον ἡμῖν ἐχόντων, οἷός ἐστιν ὁ τῶν ἀλεκτορίδων, ὅτ᾽ ἂν τέκωσι περικαρφισμός, μήτε καταπίνουσα φώκη τὴν πίτυν ἀναλισκομένη, καὶ τὸ κατορυσσόμενον ὑπὸ τῶν ἐλάφων κέρας, καὶ τὸ ἠρύγγιον, ὃ μιᾶς αἰγὸς εἰς τὸ στόμα λαβούσης, ἅπαν ἐφίσταται τὸ αἰπόλιον. ἐν τούτοις γὰρ καὶ τὸ κερασβόλῳ τῶν σπερμάτων προστίθεται πρᾶγμα πίστιν ἔχον ἔτι γίγνεται, τὴν δ᾽ αἰτίαν ἔχον ἄπορον, ἢ παγχάλεπον. ἀλλ᾽ ἔν γε Δελφοῖς παρὰ δεῖπνον ἐπίθετό τινος ὑμῶν τῶν ἑτέρων, ὡς οὐ μόνον γαστρὸς ἀπὸ πλέως βουλήν, καὶ μῆτιν ἀ-

μείνω γινομένην, ἀλλὰ καὶ τὰς ζητήσεις, πολυπροθυμοτέρας, καὶ θρασυτέρας τὰς ἀποφάσεις τοῦ οἴνου ποιοῦντος ἀξιοῦντες εἰπεῖν τι περὶ τοῦ προβλήματος. εἶχον μὲν οὖν ἀρνούμενος, οὐ φαύλους συνηγόρους, Εὐθύδημον τὸν σουνιέα, καὶ Πατροκλέα τὸν γαμβρόν, οὐκ ὀλίγα τοιαῦτα τῶν ἀπὸ γεωργίας, καὶ κυνηγίας προφέροντας. οἷον ἐδόκει τὸ περὶ τὴν χάλαζαν εἶναι τὴν ἀπὸ χαλαζοφυλάκων. αἷμά τις παλαιὸς ἠρακέοις γυναικείοις ἀποτρεπομένην, καὶ ὅτι τῶν ἀγρίων ἐρινεῶν, ἃ ταῖς ἡμέροις περιαπτόμενα συκῆς ἀπορρεῖν οὐκ ἐᾷ τὸν καρπόν, ἀλλὰ συνέχει, καὶ συνεκπεπαίνει, καὶ τὸ τὰς ἐλάφους ἁλμυρὸν ἀφιέναι· τοὺς δὲ σῦς, γλυκὺ τὸ δάκρυον ἁλισκομένους. ἀλλ' ἐὰν τοῦτ' ἔφη ζητῇς, ὁ Εὐθύδημος, αὐτίκα δεήσει σε καὶ περὶ τοῦ σελίνου καὶ περὶ τοῦ κυμίνου διδόναι λόγον· ὧν τὸ μὲν ἐν τῷ βλαστάνειν καταπατοῦντες, καὶ συντρίβοντες οἴονται βέλτιον αὐξάνεσθαι· τὸ δὲ καταρώμενοι σπείρωσι καὶ λοιδοροῦντες. ἐπεὶ δὲ τοῦτο μὲν ὁ Φλῶρος ᾤετο παιδιὰν εἶναι, καὶ φλύαρον· ἐκείνων δὲ οὐκ ἄν τινα τῆς αἰτίας, ὡς ἄληπτον προέσθαι τὴν ζήτησιν. ἐξεύρηκα ἔφην φάρμακον, ᾧ πρὸς τὸν λόγον ἐφ' ἡμᾶς προσάξεις τοῦτον, ἵνα καὶ σὺ διαλύσῃς ἓν τῶν ἐκκειμένων. δοκεῖ δή μοι ἡ ψυχρότης, τὸ ἀτεράμονον ἐμποιεῖν, τοῖς τε ἐρύποις, καὶ τοῖς χέδροψι, πιέζουσα, καὶ πηγνύουσα τὴν ἕξιν, ἄχρι σκληρότητος. ἡ δὲ θερμότης, εὐδιάλυτον καὶ μαλακόν. ὅθεν οὐκ ὀρθῶς οἱ λέγοντες, ἔτος φέρει οὐχὶ ἄρουρα· τὰ καθ' ὁμήρου λέγουσι. τὰ γὰρ ἔνθερμα φύσει χωρία κρᾶσιν εὐμενῆ τοῦ ἀέρος ἐκδιδόντος, ἐκφέρει μαλακωτέρους τοὺς καρπούς. ὅσα τοίνυν ἐκ τῆς χειρὸς εὐθὺς εἰς τὴν κρυψίμην γῆν ἀφικμένα ἐμπίπτει τῶν σπερμάτων ἐνδυόμενα, καὶ λοχευόμενα, τῇ κράσει ἀπολαύει τῆς ἐν τῇ γῇ θερμότητος καὶ ὑγρότητος. τὰ δὲ προσκρούοντα τοῖς κέρασι τῶν βοῶν, ὃ τυγχάνει τῆς ἀρίστης καθ' Ἡσίοδον εὐθυμοσύνης, ἀλλὰ σφαλλόμενα, καὶ παρολισθαίνοντα, εἰ πνομένοις μᾶλλον ἢ σπειρομένοις προσέοικεν. ὅθεν, ἢ φθείρουσιν αὐτὰ παντάπασιν αἱ ψυχρότητες, ἢ δύσκητα καὶ ἄχυμα, καὶ ξυλώδη τοῖς χιτῶσι γυμνοῖς ἐπισκήπτουσαι ποιοῦσιν. ὁρᾷς γὰρ ὅτι, καὶ τῶν λίθων τὰ ἔγγεια, καὶ ζώφυτα μόρια, μαλακώτερα τῶν ἐπιπολῆς ἡ ἀλέα φυλάττει. διὸ καὶ κατορύττουσιν οἱ τεχνῖται τοὺς ἐργασίμους λίθους, ὥσπερ ἐκπεπαινομένους ἀπὸ τῆς θερμότητος. οἱ δὲ ὕπαιθροι καὶ γυμνοὶ διὰ ψῦχος ἀντίτυποι καὶ δυσμετάβλητοι, καὶ ἀτεράμνοις ἀπαντῶσι τοῖς ἔργοις. τοὺς δὲ καρποὺς κἂν ἐπὶ τῆς ἅλω διαμένωσι, πλείω χρόνον ὕπαιθροι, καὶ γυμνοὶ, μᾶλλον ἀτεράμονας γίνεσθαι λέγουσι τῶν εὐθὺς αἰρομένων. ἐνιαχοῦ δὲ καὶ πνεῦμα λικμωμένοις ἐπιγινόμενον ἀτεράμονας ποιεῖ διὰ τὸ ψῦχος, ὥσπερ ἐν Φιλίπποις τῆς Μακεδονίας ἱστοροῦσι. τοῖς δὲ ἀποκειμένοις βοηθεῖ τὸ ἄχυρον. οὐ δεῖ δὲ θαυμάζειν ἀκούοντας τῶν γεωργῶν, ὅτι καὶ δυεῖν αὐλάκων παραλλήλων, ἡ μὲν ἀτεράμονας ἐκφέρει τοὺς καρπούς, καὶ ὃ μέγιστόν ἐστι τοῦ κυάμου τῶν λοβῶν, οἱ μὲν τοίους, οἱ δὲ τοίους, δηλονότι τοῖς μὲν ἧττον, τοῖς δὲ μᾶλλον, ἢ πνεύματος ψυχροῦ πεσόντος ὕδατος.

Διατί τοῦ μὲν οἴνου τὸ μέσον, τοῦ δὲ ἐλαίου τὸ ἐπάνω, τοῦ δὲ μέλιτος τὸ κάτω γίνεται βέλτιον. γ΄.

Ἀλεξίων ὁ πενθερὸς κατεγέλα τοῦ Ἡσιόδου παραινοῦντος, ἀρχομένου πίθου καὶ λήγοντος ἐμφορεῖσθαι, μεσσόθι δὲ φείδεσθαι· ὅπου τὸ χρηστότατον οἰνώδειόν ἐστι. τίς γὰρ ἔφη οὐκ οἶδεν, ὅτι τοῦ μὲν οἴνου τὸ μέσον γίνεται βέλτιστον, τοῦ δὲ ἐλαίου τὸ ἀνωτάτω, τὸ δὲ κατωτάτω τοῦ μέλιτος. ὁ δὲ ἐᾶν ἐκέλευε τὸν ἐν μέσῳ οἶνον, καὶ περιμένειν ἄχρι ἂν μεταβάλῃ πρὸς τὸ χεῖρον ἀποδεοῦς τοῦ πίθου γενομένου.

ῥηθέντων

ῥηθέντων δὲ τούτων χαίρειν ἐάσαντες τὸν Ἡσίοδον ἐπὶ τὸ ζητεῖν τῆς αἰτίας τὴν διαφορὰν ὥρμησαν. ὁ μὲν οὖν τοῦ μέλιτος λόγος, οὐ πάνυ πολλὰ πράγματα παρέσχεν ἡμῖν, πάντων, ὡς ἔπος εἰπεῖν ἐπισταμένων. ὅτι τὸ κουφότατον ὑπὸ μανότητος κουφότατόν ἐστι. τὸ δὲ πυκνὸν καὶ συνεχὲς διὰ βάρος ὑφίσταται τῷ λοιπῷ. κἂν περιστρέψῃς τὸ ἀγγεῖον, αὖθις ὀλίγῳ χρόνῳ τὴν προσήκουσαν ἑκάτερον ἀπολαμβάνει χώραν, τοῦ μὲν κάτω φερομένου, τοῦ δ' ἐπιπολάζοντος. οὐ μὴν, οὐδὲ ὁ οἶνος ἀπελείφθη πιθανῶν ἐπιχειρημάτων. πρῶτον μὲν γὰρ ἡ δύναμις αὐτοῦ θερμότης οὖσα, πρὸς τὸ μέσον εὐλόγως δοκεῖ συνῆχθαι μάλιστα, καὶ τοῦτο διατηρεῖν βέλτιστον. ἔπειτα τὸ μὲν κάτω διὰ τὴν τρύγα φαῦλον εἶναι. τὸ δ' ἐξ ἐπιπολῆς τοῦ ἀέρος φθείρεσθαι πλησιάζοντος. ὅτι γὰρ ἐξίστησιν ὁ ἀὴρ τῆς ποιότητος τὸν οἶνον ἐπισφαλέστερον ἴσμεν ὄντα. διὸ καὶ κατορύττουσι τοὺς πίθους, καὶ σκεπάζουσιν, ὅπως ὅτι σμικρότατος ἀὴρ αὐτῶν ἐπιψαύειν. τὸ δὲ μέγιστον, οὐ φθείρει πλῆρες τὸ ἀγγεῖον, οὕτως ῥᾳδίως οἶνον, ὡς ἀποδεὲς γενόμενον. πολὺς γὰρ εἰς τὸ κενούμενον ἐπισρέων ὁ ἀήρ, ἐξίστησι μᾶλλον. ἐν δὲ τοῖς μεστοῖς, ὁ οἶνος αὐτὸς ὑφ' αὑτοῦ συνέχεται πολὺ τοῦ φθείροντος ἔξωθεν μὴ παραδεχόμενος. τὸ δὲ ἔλαιον, οὐ φαύλην διατριβὴν παρέσχεν. ὁ μὲν γάρ τις ἔφη τὸ κάτω τοῦ ἐλαίου γίνεσθαι χεῖρον, ἀπὸ τῆς ἀμόργης ἀναθολούμενον. οὐ τὸ ἄνω βέλτιον, ἀλλὰ δοκοῦν, ὅτι πορρωτάτω τοῦ βλάπτοντός ἐστιν. ἄλλος ᾐτιᾶτο τὴν πυκνότητα, δι' ἣν ἀμικτότατόν ἐστι, καὶ τῶν ἄλλων ὑγρῶν οὐδὲν εἰς αὑτὸ δέχεται, πλὴν βίᾳ, καὶ ὑπὸ πληγῆς ἀνακοπτόμενον. ὅθεν οὐδὲ τῷ ἀέρι δίδωσιν ἀνάμιξιν. ἀλλ' ἀποστατεῖν διὰ λεπτότητα τῶν μορίων, καὶ συνέχειαν. ὥστε ἧττον ὑπ' αὐτοῦ τρέπεσθαι μὴ κρατούμενον. ἐδόκει δὲ πρὸς τοῦτον ὑπεναντιοῦσθαι τὸν λόγον Ἀριστοτέλης τετηρηκώς, ὡς εὐωδέστερόν τε γινόμενον, καὶ βέλτιον ὅλως τὸ ἐν τοῖς ἀποκειμένοις ἀγγείοις ἔλαιον. εἶτα τῷ ἀέρι τὴν αἰτίαν τῆς βελτιώσεως ἀνατίθησιν. πλείων γάρ ἐστι καὶ κρατεῖ μᾶλλον εἰς ἀποδεὲς κατερχόμενον τὸ ἀγγεῖον. μήποτε οὖν ἔφην ἐγώ, καὶ τὸ ἔλαιον ὁ ἀὴρ ὠφελεῖ, καὶ βλάπτει τὸν οἶνον ἀπὸ τῆς αὐτῆς δυνάμεως. οἴνῳ μὲν γὰρ ὠφέλιμον, ἐλαίῳ δὲ ἀσύμφορον παλαίωσις ἦν. ἑκατέρου προσάπτων ὁ ἀὴρ ἀφαιρεῖ. τὸ γὰρ ψυχόμενον νεαρὸν διαφέρει. τὸ δὲ οὐκ ἔχον διαπνοὴν ὑπὸ συνεχείας ταχὺ παλαιοῦται, καὶ ἀπογηράσκει. λελέχθαι πιθανῶς, ὅτι τοῦ ἐπιπολῆς πλησιάζων ὁ ἀήρ, νεαροποιεῖ. διὸ τοῦ μὲν οἴνου τὸ ἄνω φαυλότατον. τοῦ δὲ ἐλαίου βέλτιστον. ἡ γὰρ παλαίωσις τῷ μὲν τὴν ἀρίστην, τῷ δὲ τὴν κακίστην ἐμποιεῖ διάθεσιν.

Διατί τοῖς πάλαι Ῥωμαίοις ἔθος ἦν μὴ τράπεζαν αἰρομένην περιορᾶν κενήν, μήτε λύχνον σβεννύμενον. δ΄.

Φιλάρχαιος ὁ Φλῶρος οὐκ εἴα κενὴν ἀπαίρειν τὴν τράπεζαν, ἀλλ' αἰεί τῶν ἐδωδίμων ἐπ' αὐτῇ ὑπέλειπε. καὶ οὐ τοῦτο μόνον ἔφη, οἶδα τὸν πατέρα καὶ τὸν πάππον οὐ μάλα παραφυλάττοντας, ἀλλὰ μηδὲ λύχνον ἐῶντας ἀποσβεννύναι μετὰ τὸ δεῖπνον, ὅπως μὴ μάτην τοὔλαιον ἀναλίσκωσι. παρὼν δὲ Εὔστροφος ὁ Ἀθηναῖος, εἶτα ἔφη, τί πλέον αὐτοῖς, ἂν μὴ τὸ Πολυχάρμου τοῦ ἡμετέρου σοφὸν ἐκμάθωσιν, ὃς πολὺν ἔφη σκεπτόμενος χρόνον, ὅπως οὐ κλέψωσι τοὔλαιον οἱ παῖδες ἐξεῦρεν μόλις. εὐθὺς γὰρ ἀποπληροῦν τοὺς λύχνους ἀποσβεσθέντας. εἶτα ἐπισκοπεῖν τῇ ὑστεραίᾳ πάλιν εἰ πλήρεις διαμένουσι. γελάσας οὖν ὁ Φλῶρος, οὐκοῦν εἶπεν ἐπεὶ τοῦτο τὸ πρόβλημα λέλυται, σκεψώμεθα τὸν λόγον, ᾧ τοὺς παλαιοὺς εἰκός ἐστι, καὶ περὶ τοὺς λύχνους, καὶ περὶ τὰς τραπέζας οὕτως εὐλαβεῖς γεγονέναι. πρότερον οὖν ἐζήτει περὶ τῶν λύχνων,

καὶ ὁ μὲν γαμβρὸς αὐτοῦ, καὶ σέρνιος ᾤετο τῇ πρὸς τὸ ἄσβεστον, καὶ ἱερὸν πῦρ,
συγγενείᾳ παντὸς φθορὰν πυρὸς ἀφοσιοῦσθαι τοὺς πρεσβυτέρους. δύο γὰρ οἶμαι
φθορᾶς ὥσπερ ἀνθρώπου, τὴν μὲν βίαιον σβεννυμένου, τὴν δὲ ὥσπερ κατὰ φύ-
σιν ἀπομαραινομένου. τῷ μὲν οὖν ἱερῷ πρὸς ἀμφοτέρας ἀρήγειν, αἰεὶ φέρον-
τας, καὶ φυλάττοντας, τὸ δὲ ἄλλο δι' αὐτοῦ περιορᾶν μαραινόμενον αὐτοὺς μὴ
δὲ βιάζεσθαι, μὴ δὲ φθονεῖν, ὥσπερ θρέμματος ἀφαιρουμένους τὸ ζῆν, ἵνα μὴ μά-
την τρέφοιτο. λούκιος δὲ ὁ τοῦ φλώρου υἱὸς τὰ ἄλλα μὲν ἔφη καλῶς λέγεσθαι, τὸ
δὲ ἱερὸν πῦρ οὐ κάμινον αἱρουμένους ἑτέρου πυρὸς, οὐδὲ σεμνότερον οὔπω σέβε-
σθαι, καὶ περιέπειν. ἀλλ' ὥσπερ αἰγυπτίων ἐνίοις, τὸ κυνῶν γένος ἅπαν σέβε-
σθαι, καὶ τιμᾶν, ἐνίοις δὲ τῶν λύκων, κροκοδείλων ἔνια μέν τοι τρέφειν, τοὺς μὲν
κύνα, τοὺς δὲ κροκόδειλον, τοὺς δὲ λύκον. οὐ γὰρ οἷόν τε ἦν ἅπαντας· οὕτως ἐνταῦ-
θα τὴν περὶ ἐκεῖνα θεραπείαν καὶ φυλακὴν τὸ πῦρ τῆς πρὸς ἅπαν εὐλαβείας
εἶναι σύμβολον. οὐδὲν γὰρ ἄλλο μᾶλλον ἐμψύχῳ προσέοικεν, ἢ πῦρ κινούμενόν τε
καὶ τρεφόμενον δι' αὐτοῦ, καὶ τῇ λαμπρότητι δηλοῦν ὥσπερ ἡ ψυχὴ, καὶ σα-
φηνίζον ἅπαντα. μάλιστα δὲ ταῖς σβέσεσιν αὐτοῦ καὶ φθοραῖς ἐμφαίνεται δύ-
ναμις, οὐκ ἀμοιροῦσα ζωτικῆς ἀρχῆς. βοᾷ γὰρ καὶ φθέγγεται, καὶ ἀμύνεται, κα-
θάπερ ἔμψυχον ἀποθνῆσκον βίᾳ, καὶ φονευόμενον. μήτι σὺ λέγεις ἔφη πρὸς
ἐμὲ βλέψας βέλτιον; οὐδὲν εἶπον ἐγὼ τῶν εἰρημένων αἰτιῶμαι, προσθείην δ' αὖ ὅτι,
καὶ φιλανθρωπίας διδασκαλία τὸ ἔθος ἐστίν. οὔτε γὰρ τροφὴν ἀφανίζειν ὅσιον
αὐτοὺς ἄδην ἔχοντας, οὔτε νάματος ἐμφορηθέντας, πηγὴν ἀποτυφλοῦν καὶ
ἀποκρύπτειν, οὔτε πλοῦ σημεῖα καὶ ὁδοῦ διαφθείρειν χρησαμένους, ἀλλ' ἐᾶν καὶ
ἀπολείπειν τὰ χρήσιμα τοῖς δεησομένοις μεθ' ἡμᾶς. ὅθεν οὐδὲ φῶς λύχνου, μὴ δε-
ομένους, ἀπολλύναι διὰ μικρολογίαν καλὸν, ἀλλὰ τηρεῖν καὶ ἀπολείπειν, εἴ τις
ἔλθοι δεόμενος παρόντος ἔτι καὶ λάμποντος. καὶ γὰρ ὄψιν εἰ δυνατὸν ἦν, καὶ ἀ-
κοὴν χρῆσαι καλῶς εἶχεν ἑτέρῳ καὶ νὴ Δία τὴν φρόνησιν, καὶ τὴν ἀνδρείαν, μέλ-
λοντας αὐτοὺς καθεύδειν, καὶ ἡσυχάζειν. ὅρα δὲ εἰ καὶ μελίτης ἕνεκα τῷ δυχα-
εἴσω τὰς τοιαύτας ἐφιέντες ὑπερβολὰς, οὐκ ἀτόπως οἱ παλαιοὶ καὶ δρῦς ἐ-
σέβοντο καρποφόρους, καὶ συκῆν τινα προσηγόρευσαν ἱερὰν ἀθηναῖοι, καὶ μορί-
αν ἐκκόπτειν προσαγορεύουσι. ταῦτα γὰρ οὐ ποιεῖ πρὸς δεισιδαιμονίαν ἐπιφό-
ρους, ὡς ἔνιοι φασὶν, ἀλλὰ προσεθίζει τὸ εὐχάριστον ἡμῶν, καὶ κοινωνικὸν ἐν τοῖς
ἀναισθήτοις καὶ ἀψύχοις πρὸς ἀλλήλους. ὅθεν ὀρθῶς μὲν ἡσίοδος, οὐδ' ἀπὸ χυτρο-
πόδων ἀνεπιρρέκτων, ἐᾷ παρατίθεσθαι σῖτον ἢ ὄψον, ἀλλ' ἀπαρχὰς τῷ πυρὶ καὶ
γέρα τῆς διακονίας ἀποδιδόντας, εὖ τε ῥωμαῖοι χρησάμενοι τοῖς λύχνοις ἐνέ-
δοσαν οὐκ ἀφῃροῦντο τροφὴν, ἀλλὰ χρῆσθαι ζῶν καὶ λάμποντας. ἐμοῦ δὲ ταῦτα
ἐπόντος, ὁ εὔστροφος ἄρ' οὖν ἔφη τοῦτο, καὶ τῷ περὶ τραπέζης λόγῳ πάροδον οἰκείαν
δίδωσιν, οἰομένων δεῖν, ἀεί τι καταλιπεῖν οἰκέταις ἀπὸ δείπνου, καὶ παισὶν οἰκε-
τῶν. χαίρουσι γὰρ, οὐχ οὕτως λαμβάνοντες, ὡς μεταλαμβάνοντες. διὸ καὶ τοὺς περσῶν
βασιλεῖς φασιν, οὐ μόνον φίλοις καὶ ἡγεμόσι, καὶ σωματοφύλαξιν ἀποπέμπειν ἀεὶ
μερίδας, ἀλλὰ καὶ τὸ τῶν δούλων, καὶ τὸ τῶν κυνῶν ἀεὶ δεῖπνον, ἐπὶ τῆς ἐκεί-
νων προτίθεσθαι τραπέζης, ὡς ἂν οἷόν τε ἦν, πάντας οἷς ἐχρῶντο ποιουμένων ὁμο-
τραπέζους, καὶ ὁμοεστίους. ἡμεροῦται γὰρ τῇ τῆς τροφῆς μεταδόσει καὶ τὰ σκυ-
θρωπότατα τῶν θηρίων. ἐγὼ δὲ γελάσας, ἐκεῖνον δὲ εἶπον ὦ ἑταῖρε τὸν ἕνεκ τῆς πα-
ροιμίας ἀποκείμενον ἰχθὺν, οὐχ ἑλκόμενον εἰς μέσον μετὰ τῆς πυθαγορικῆς χοί-
νικος, ἐφ' ἧς ἀπηγόρευε καθῆσθαι διδάσκοντος ἡμᾶς ἀεὶ τὸ τοῦ παρόντος εἰς τὸ
μέλλον ὑπολιπεῖν, καὶ τῆς αὔριον ἐν τῇ σήμερον μνημονεύειν. ἡμῖν μὲν οὖν τοῖς

βοιωτοῖς

βοιωτοῖς τὸ λεῖπέ τι καὶ μήδοις διὰ στόματός ἐστιν, ἐξ οὗ μῆδοι, τήν τε φωκίδα, καὶ
τὰ ἔσχατα τῆς βοιωτίας ἄγοντες, καὶ φέροντες, ἐπέσχον. ἀεὶ δὲ καὶ πάντα-
χοῦ δεῖ πρόχειρον εἶναι, τὸ λεῖπέ τι καὶ ξένοις ἐπελθοῦσιν. ὡς ἔγωγε καὶ τοῦ ἀ-
χιλλέως κενὴν ἀεὶ καὶ λιμώδη καταλαμβανομένην αἰτιῶμαι τὴν τράπεζαν. ὅ-
τε γὰρ περὶ τὸν αἴαντα, καὶ τὸν ὀδυσσέα πρέσβεων ἀφιγμένων, οὐδὲν ἔχων ἕτοι-
μον, ἀναγκάζεται μαγειρεύειν ἐξ ὑπαρχῆς, καὶ ὀψοποιεῖν. τόν τε πρίαμον φι-
λοφρονεῖσθαι βουλόμενος, πάλιν ἀναΐξας ὄιν ἄργυφον σφάττει καὶ διαιρεῖ,
καὶ ὀπτᾷ πολὺ μέρος περὶ ταῦτα ἀναλίσκων τῆς νυκτός. ὁ δὲ εὔμαιος ἅτε δὴ
θρέμμα γεγονὼς σοφοῦ σοφὸν, οὐ πράγματα εἶχε τοῦ τηλεμάχου ἐπιφανέντος.
ἀλλ' εὐθὺς ἐστὰς καθίσαντα πίνακας κρεῶν παρατιθεὶς ὀπταλέων. ἅ ῥα τῇ προ-
τέρῃ κατέλιπον ἔδοντες. εἰ δὲ τοῦτο δόξει μικρὸν, ἐκεῖνό γε οὐ μικρὸν τὸ συστέλλειν,
καὶ ἀνέχειν τὴν ὄρεξιν, ἔτι παρούσης τῆς ἀπολαύσεως. ἧττον γὰρ ἐπιθυμοῦσι τῶν
ἀπόντων, οἱ ἐθισθέντες ἀπέχεσθαι τῶν παρόντων. ὑπολαβὼν δὲ ὁ λούκιος ἔφη
τῆς μάμμης ἀκηκοὼς μνημονεύειν, ὡς ἱερὸν μὲν ἡ τράπεζα. δεῖ δὲ τῶν ἱερῶν, μη-
δὲν εἶναι κενόν. ἐμοὶ δὲ εἶπεν ἐδόκει, καὶ μίμημα τῆς γῆς ἡ τράπεζα εἶναι. πρὸς
γὰρ τῷ τρέφειν ἡμᾶς, καὶ στρογγύλη, καὶ μόνιμός ἐστι, καὶ καλῶς ὑπ' ἐνίων ἑστία
καλεῖται. καθάπερ γὰρ τὴν γῆν ἀεί τι χρήσιμον ἔχειν καὶ φέρειν ἡμῖν ἀξιοῦμεν,
οὕτως οὐδὲ τὴν τράπεζαν οἰόμεθα δεῖν, κενὴν ὁρᾶν, καὶ ἀνερμάτιστον ἀπολειπομένην.

ΟΤΙ δεῖ μάλιστα τὰς διὰ τῆς κακομουσίας ἡδονὰς φυ-
λάττεσθαι, καὶ πῶς φυλακτέον. ε.

Ἐν πυθίοις καλλίστρατος τῶν ἀμφικτυόνων ἐπιμελητὴς, αὐλῳδόν τινα πολίτην,
καὶ φίλον ὑστερήσαντα τῆς ἀπογραφῆς τοῦ ἀγῶνος εἶρξε κατὰ τὸν νόμον. ἑστι-
ῶν δὲ ἡμᾶς παρήγαγεν εἰς τὸ συμπόσιον, ἐσθῆτι καὶ στεφάνοις, ὥσπερ ἐν ἀγῶνι μετὰ
τοῦ χοροῦ κεκοσμημένον ἐκπρεπῶς, καὶ νὴ Δία κομψὸν ἦν ἀκρόαμα τὸ πρῶτον.
ἔπειτα διασείσας, καὶ διακωδωνήσας τὸ συμπόσιον, ὡς ᾐσθάνετο τοὺς πολλοὺς
ἐγκεκλικότας, καὶ παρέχοντας ὑφ' ἡδονῆς ὅτι βούλοιτο χρῆσθαι, καὶ καταυ-
λεῖν καὶ ἀκολασταίνειν ἀποκαλυψάμενος παντάπασιν ἐπεδείξατο τὴν μουσι-
κὴν, παντὸς οἴνου μᾶλλον μεθύσκουσαν, τοὺς ὅπως ἔτυχε καὶ ἀνέδην αὐτῆς ἐμ-
φορουμένους. οὐδὲ γὰρ κατακειμένοις ἔτι βοᾶν ἐξήρκει καὶ κροτεῖν, ἀλλὰ τελευ-
τῶντες ἀνεπήδων οἱ πολλοὶ, καὶ συνεκινοῦντο κινήσεις ἀνελευθέρους, πρεπού-
σας δὲ τοῖς κρούμασιν ἐκείνοις, καὶ τοῖς μέλεσιν. ἐπεὶ δὲ ἐπαύσαντο καὶ κατάστα-
σιν αὖθις ὥσπερ ἐκ μανίας ὁ πότος ἐλάμβανεν. ἐβούλετο μὲν ὁ λαμπρίας εἰ-
πεῖν τι, καὶ παρρησιάσασθαι πρὸς τοὺς νέους, ὀρρωδοῦντι δ' ὅμως μὴ λίαν ἀη-
δὴς γένηται, καὶ λυπηρὸς, ἕως ὁ καλλίστρατος ὥσπερ ἐνδόσιμον παρέχει τοιαῦ-
τά τινα διαλεχθεὶς, ἀκρασίας μὲν ἔφη καὶ αὐτὸς ἀπολύω τὸ φιλήκοον, καὶ φι-
λοθέαμον, οὐ μὴν ἀριστοξένῳ γε συμφέρομαι παντάπασι, ταύταις μόναις φά-
σκοντι ταῖς ἡδοναῖς, τὸ καλῶς ἐπιλέγεσθαι. καὶ γὰρ ὄψα καλὰ καὶ μύρα καλοῦ-
σι, καὶ καλῶς γεγονέναι λέγουσι, δειπνήσαντες ἡδέως καὶ πολυτελῶς. δοκεῖ δέ
μοι μὴ δὲ ἀριστοτέλης αἰτίᾳ δικαίᾳ, τὰς περὶ θέαν, καὶ ἀκρόασιν εὐπαθείας ἀ-
πολύειν ἀκρασίας ὡς μόνας ἀνθρωπικὰς οὔσας. ταῖς δὲ ἄλλαις, καὶ τὰ θηρία φασὶν
ἔχοντα χρῆσθαι καὶ κοινωνεῖν. ὁρῶ μὲν γὰρ ὅτι, καὶ μουσικῇ πολλὰ κηλεῖται τῶν
ἀλόγων, ὥσπερ ἔλαφοι σύριγξιν, ἵπποις δὲ μιγνυμέναις ἐπαυλεῖται νόμος,
ὃν ἱππόθορον ὀνομάζουσιν. ὁ δὲ πίνδαρός φησι κεκινῆσθαι πρὸς ᾠδὴν ἁλίου δελ-
φῖνος ὑπόκρισιν. τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει αὐλῶν ἐκίνησ' ἐρατὸν μέ-
λος. ὀρχούμενοι δὲ τοὺς ὦπας αἴρουσι χαίροντες τῇ ὄψει, καὶ μιμητικῶς ἅμα

δεῦρο κἀκεῖσε τοὺς ὤμους συνδιαφέροντες. οὐδὲν οὖν ὁρῶ τὰς τοιαύτας ἡδονὰς
ἴδιον ἐχούσας, ὅτι μόναι τῆς ψυχῆς εἰσιν. αἱ δὲ ἄλλαι τοῦ σώματος, καὶ περὶ
τὸ σῶμα κεῖται λέγουσι, μέλος δὲ καὶ ῥυθμὸς καὶ ὄρχησις, καὶ ᾠδὴ παραμειψά-
μεναι τὴν αἴσθησιν ἐν τῷ χαίροντι τῆς ψυχῆς, ἀπερείδονται τὸ ἐπιτερπὲς, καὶ
γαργαλίζον. ὅθεν οὐδεμία τῶν τοιούτων ἡδονῶν ἀπόκρυφός ἐστιν, οὐδὲ σκότους δε-
ομένη, καὶ τῶν τοίχων περιθεόντων ὡς αἱ γυναικώδεις λέγουσιν, ἀλλὰ καὶ στάδια
ταύταις καὶ θέατρα ποιεῖται, καὶ τὸ μετὰ πολλῶν θεάσασθαί τι καὶ ἀκοῦσαι,
ἐπιτερπέστερόν ἐστι, καὶ σεμνότερον. οὐκ ἀκρασίας δήπου, καὶ ἡδυπαθείας, ἀλ-
λὰ ἐλευθέρου διατριβῆς, καὶ ἀστείας, μάρτυρας ἡμῶν ὅτι πλείστους λαμβα-
νόντων. ταῦτα τοῦ Καλλιστράτου εἰπόντος, ὁ Λαμπρίας ὁρῶν ἔτι μᾶλλον ἐκείνους
τοὺς τῶν ἀκροαμάτων χορηγοὺς θρασυνομένους, οὐ τοῦτ' ἔφη τὸ αἴτιον ὦ παῖ Λέ-
οντος, ἀλλά μοι δοκοῦσιν οὐκ ὀρθῶς οἱ παλαιοὶ παῖδα λήθης τὸν Διόνυσον. ἔδει
γὰρ πατέρα προσαγορεύειν, ὑφ' οὗ καὶ σὺ νῦν οὖν ἀμνημονεῖν ἔοικας, ὅτι τῶν
περὶ τὰς ἡδονὰς ἁμαρτανομένων, τὰ μὲν ἀκρασία, τὰ δὲ ἄγνοια ποιεῖ καὶ πα-
ρόρασις. ὅπου μὲν γὰρ ἡ βλάβη πρόδηλός ἐστι, ταῦτα ἀκρασία καταβιαζόμενοι
τὸν λογισμὸν ἐξαμαρτάνουσιν. ὅσα δ' οὐκ εὐθὺς, οὐδὲ παραχρῆμα τῆς ἀκολα-
σίας τὸν μισθὸν ἐπιτίθησι. ταῦτα ὑπ' ἀγνοίας τοῦ βλάπτοντος αἱροῦνται καὶ
πράττουσι. διὸ τοὺς μὲν περὶ ἐδωδὰς καὶ ἀφροδίσια, καὶ πότους ἀστοχοῦντας,
οἷς νόσοι τε πολλαὶ καὶ χρημάτων ὄλεθροι συνακολουθοῦσι, καὶ τὸ κακῶς ἀκού-
ειν, ἀκρατεῖς προσαγορεύομεν, ὡς Θεοδέκτην ἐκεῖνον εἰπεῖν τὸ χαῖρε φίλον φῶς,
ὀφθαλμιῶντα τῆς βρωμένης ἐπιφανείσης τὸν Ἀβδηρίτην Ἀνάξαρχον, ὃς ῥα καὶ
εἰδὼς ὡς φάσαν λέλιος ἔσκε, φύσις δέ μιν ἔμπαλιν ἦκεν ἡδονοπλὴξ τῇ πλεῖ-
στοι ὑποζείουσι σοφιστῶν, ὅσαι δὲ τῶν ἡδονῶν τοὺς περὶ γαστέρα, καὶ αἰδοῖα, καὶ γεῦ-
σιν, καὶ ὄσφρησιν ἀντιτεταγμένους αὐταῖς. ὅπως οὐχ ἁλώσονται, καὶ προ-
σέχοντας ἐκπεριελθοῦσαι περὶ τὰ ὄμματα, καὶ τὰ ὦτα λανθάνουσιν, ἐνοικισάμε-
ναι, καὶ λοχῶσαι, τοὺς ἐκείνων οὐδὲν ἧττον ἐμπαθεῖς ὄντας καὶ ἀκολάστους, καὶ
ἀκρατεῖς ὁμοίως οὐ καλοῦμεν. οὐκ εἰδότες, ἀλλὰ δι' ἀπειρίαν ὑποφέρονται,
καὶ νομίζουσι τῶν ἡδονῶν εἶναι κρείττονες, ἂν θεάτροις ἄσιτοι, καὶ ἄποτοι διημε-
ρεύσωσιν, ὥσπερ εἰ τῶν κεραμέων μέγα φρονοίη τὸ τῆς γαστρὸς αἱρόμενον, ἢ τὸ [illegible]
μένος, ἐκ δὲ τῶν ὤτων ῥᾳδίως μεταφερόμενον. ὅθεν Ἀρκεσίλαος οὐδὲν ἔφη δι-
αφέρειν τοῖς ὄπισθεν εἶναι κίναιδον, ἢ τοῖς ἔμπροσθεν. δεῖ δὲ καὶ τὴν ἐν ὄμμασι
καὶ τὴν ἐν ὦσιν γαργαλίζουσαν, μαλακείαν καὶ ἡδυπάθειαν φοβεῖσθαι. καὶ μή-
τε πόλιν ἀνάλωτον νομίζειν, τῆς τὰς ἄλλας πύλας βαλανάγραις, καὶ μο-
χλοῖς, καὶ καταράκταις ὀχυρὰς ἐχούσης, ἂν διὰ μιᾶς οἱ πολέμιοι, παρελθόντες
ἔνδον εἰσίν, μήτε ἑαυτὸν ἀήττητον ὑφ' ἡδονῆς, εἰ μὴ κατὰ τὸ ἀφροδίσιον, ἀλλὰ κατὰ
τὸ μουσεῖον ἑάλωκεν, ἢ τὸ θέατρον. ὁμοίως γὰρ ἐκκέκλικε, καὶ παρέδωκε ταῖς
ἡδοναῖς ἄγειν καὶ φέρειν τὴν ψυχήν. αἱ δὲ παντὸς ὀψοποιοῦ καὶ μυρεψοῦ δριμύ-
τερα καὶ ποικιλώτερα φάρμακα τῶν μελῶν καὶ τῶν ῥυθμῶν καταχεόμεναι. τού-
τοις ἄγουσιν ἡμᾶς, καὶ διαφθείρουσιν, αὐτῶν τρόπον τινὰ καταμαρτυροῦντας.
τῶνδε γὰρ οὔτε τι μεμπτὸν, οὐ τῶν μεταλλάττων ὡς Πίνδαρος ἔφη τῶν ἐπὶ
ταῖς τραπέζαις, ὡς ἀγλαόχθων πόντου τε ῥιπαὶ φέρουσιν ἄρτι παρακειμένων,
ἀλλ' οὔτε ὄψον οὐδὲν, οὔτε σιτίον, οὐθ' ὁ βέλτιστος οὑτοσὶ πινόμενος οἶνος ἐξήγαγεν ὑφ'
ἡδονῆς φωνὴν, οἷον ἄρτι τὰ αὐλήματα, καὶ τὰ κρούματα τὴν οἰκίαν εἰ μὴ καὶ
τὴν πόλιν ἅπασαν ἐμπέπληκε θορύβων, καὶ κρότων, καὶ ἀλαλαγμῶν. διὸ δεῖ
μάλιστα ταύτας εὐλαβεῖσθαι τὰς ἡδονάς. ἰσχυρόταται γάρ εἰσιν. ἅτε δὴ μὴ κα-
θάπερ αἱ περὶ γεῦσιν καὶ ἁφὴν, καὶ ὄσφρησιν εἰς τὸ ἄλογον, καὶ φυσικὸν ἀπο-
τελευτῶσαι

τελευτῶσαι τῆς ψυχῆς, ἀλλὰ τοῦ κρίνοντος ἅπτονται, καὶ τοῦ φρονοῦντος.
ἔπειτα ταῖς μὲν ἄλλαις ἡδυπαθείαις κἂν ὁ λογισμὸς ἐλλίπῃ διαμαχόμενος,
ἀλλὰ τῶν παθῶν ἔνια πολλάκις ἐμποδών ἐστι. καὶ γὰρ ἐν ἰχθύων ἀγορᾷ μικρο-
λογία καθαιρεῖ δάκτυλον ὀψοφάγου, καὶ πολυτελοῦς ἑταίρας ἀπέστρεψε,
φιλαργυρίαν, φιλονεικίαν, ὥσπερ ἀμέλει παρὰ τῷ Μενάνδρῳ. παρὰ τῶν συμ-
ποτῶν ἕκαστος ἐπιβουλευόμενος ὑπὸ τοῦ πορνοβοσκοῦ σοβαρά τινα παιδί-
σκην ἐπάγοντος αὐτοῖς κύψας καθ' ἑαυτὸν τῶν τραγημάτων ἔφλα. χαλεπὸν δὲ
ὁ δανεισμὸς τῆς ἀκρασίας κόλασμα, καὶ τὸ λῦσαι βαλάντιον, οὐ πάνυ ῥᾴδιον.
ταύταις δὲ ταῖς ἐλευθερίαις λεγομέναις. ὦτα καὶ ὄμματα φιλομούσοις, ἢ
φιλαύλοις μουσομανίαις προῖκα καὶ ἀμισθί. τῶν ἡδονῶν γάρ ἐστι πολλαχόθεν
ἀρύτεσθαι καὶ ἀπολαύειν ἐν ἀκοῶσιν, ἐν θεάτροις, ἐν συμποσίοις ἑτέρων χορηγούν-
των. ὅθεν ἕτοιμον τὸ διαφθαρῆναι τοῖς μὴ βοηθοῦντα καὶ παιδαγωγοῦντα
τὸν λογισμὸν ἔχουσι. γενομένης οὖν σιωπῆς, τί οὖν ἔφη τοιοῦτα τὸν λογισμὸν,
ἢ τί λέγοντα, βοηθεῖν ἀξιοῦμεν. οὐ γὰρ ἀμφωτίδας γε περιθήσει τὰς ξενοκρά-
τους ἡμῖν, οὐδὲ ἀναστήσει μεταξὺ δειπνοῦντας, ἐὰν αἰσθώμεθα λύρας ἁρμοζο-
μένης, ἢ κινούμενον αὐλόν. οὐ γὰρ οὖν εἶπεν ὁ Λαμπρίας, ἀλλὰ ὁσάκις ἂν εἰς
τὰς εἰρημένας ἐμπέσωμεν, ἐπικαλεῖσθαι δεῖ τὰς Μούσας, καὶ καταφεύγειν εἰς
τὸν Ἑλικῶνα τὸν τῶν παλαιῶν. ὁρῶντι μὲν τοῦ πολυτελοῦς, οὐκ ἔστι τὴν Πηνελόπην προ-
σαγαγεῖν, οὐδὲ συνοικῆσαι τὴν Πάνθειαν. ἡδόμενον δὲ μίμοις, καὶ μέλεσι, καὶ ᾠ-
δαῖς κακοτέχνοις καὶ κακοζήλοις ἔξεστι μετάγειν ἐπὶ τὸν Εὐριπίδην, καὶ τὸν Πίνδαρον, καὶ
τὸν Μένανδρον, ποτίμῳ λόγῳ ἁλμυρὰν ἀκοὴν, ὡς φησὶν ὁ Πλάτων ἀποκλυζόμε-
νον. ὥσπερ γὰρ οἱ μάγοι τοὺς δαιμονιζομένους κελεύουσι τὰ Ἐφέσια γράμματα
πρὸς αὐτοὺς καταλέγειν καὶ ὀνομάζειν, οὕτως ἡμεῖς ἐν τοῖς τοιούτοις τερετίσμα-
σι, καὶ σκιρτήμασι, μανίαι τ' ἀλαλαί τ' ὀρινομένων ῥιψαύχενι σὺν κλόνῳ τῶν ἱερῶν καὶ
σεμνῶν ἐκείνων γραμμάτων ἀναμιμνησκόμενοι, καὶ παραβάλλοντες ᾠδὰς καὶ
ποιήματα, καὶ λόγους κενοὺς, οὐκ ἐκπλαγησόμεθα παντάπασιν ὑπὸ τούτου,
οὐδὲ πλαγίους παραδώσομεν ἑαυτοὺς, ὥσπερ ὑπὸ ῥεύματος λείου φέρεσθαι.
τὸν Μενέλαον Ὅμηρος πεποίηκε αὐτόματον ἐπιόντι τοὺς ἀριστεῖς τῷ Ἀγαμέμνονι
παραγινόμενον. ᾔδει γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο, καὶ τὴν ἄγνοιαν
οὐ περιεῖδεν αὐτοῦ καταφανῆ γενομένην. οὐδὲ ἤλεγξε τῷ μὴ ἐλθεῖν, ὥσπερ οἱ
φιλομεμφεῖς, καὶ δύσκολοι ταῖς τοιαύταις τῶν φίλων παροράσεσι καὶ ἀ-
νοίαις ἐπιτίθενται, τῷ ἀμελεῖσθαι μᾶλλον ἢ τῷ τιμᾶσθαι χαίροντες ὅ-
πως ἐγκαλεῖν ἔχωσιν.

Περὶ τῶν λεγομένων σκιῶν, καὶ εἰ δεῖ βαδίζειν καλούμε-
νον πρὸς ἑτέρους ὑφ' ἑτέρων ἐπὶ δεῖπνον, καὶ
πότε καὶ παρὰ τίνας.

ς'.

Τὸ δὲ τῶν ἐπικλήτων ἔθος οὓς νῦν σκιὰς καλοῦσιν, οὐ κεκλημένους αὐτοὺς, ἀλλ'
ὑπὸ τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον ἀγομένους, ἐζητεῖτο, πόθεν ἔσχε τὴν ἀρχήν.
ἐδόκει δὲ ἀπὸ Σωκράτους Ἀριστόδημον ἀναπείσαντος οὐ κεκλημένον εἰς Ἀγάθωνος
ἰέναι σὺν αὐτῷ, καὶ παθόντα τι γελοῖον. ἔλαθε γὰρ κατὰ τὴν ὁδὸν ὑπολει-
φθεὶς ὁ Σωκράτης, ὁ δὲ προεισῆλθεν ἀτεχνῶς σκιᾷ προβαδίζουσα σώματος
ἐξόπισθε τὸ φῶς ἔχοντος. ὕστερον μέντοι περὶ τὰς τῶν ξένων ὑποδοχὰς, μά-
λιστα τῶν ἡγεμονικῶν ἀναγκαῖον ἐγίνετο, τοῖς ἀγνοοῦσι τοὺς ἑπομένους καὶ τι-
μωμένους ἐπὶ τῷ ξένῳ ποιεῖσθαι τὴν κλῆσιν. ἀριθμὸν δὲ ὁρίζειν ὅπως μὴ πά-
θωσιν, ὃ παθεῖν συνέπεσε τῷ δεξαμένῳ τὸν βασιλέα Φίλιππον ἐπὶ τῆς χώρας.

ἧκε γὰρ ἄγων πολλούς· τὸ δὲ δεῖπνον, οὐ πολλοῖς ἦν παρεσκευασμένον. ἰδὼν οὖν θορυβούμενον τὸν ξένον περιέπεμπε πρὸς τοὺς φίλους ἀτρέμα χώραν πλακοῦντι καταλιπεῖν κελεύων. οἱ δὲ προσδοκῶντες ὑπεφείδοντο τῶν παρακειμένων, καὶ πᾶσιν οὕτως ἐξήρκεσε τὸ δεῖπνον. ἐμοῦ δὲ ταῦτα πρὸς τοὺς παρόντας ἀδολεσχοῦντος ἔδοξε Φλώρῳ, καὶ σπουδάσαι τι περὶ τῶν σκιῶν λεγομένων διαπορήσαντας. εἰ προσήκει τοῖς καλουμένοις οὕτω βαδίζειν, καὶ συνακολουθεῖν. ὁ μὲν οὖν γαμβρὸς αὐτοῦ, καὶ σέρνιος ὅλως ἀπεδοκίμαζε τὸ πρᾶγμα. μάλιστα μὲν γὰρ τῷ Ἡσιόδῳ πειθομένους ἔφη χρῆναι, τὸν φιλέοντ᾿ ἐπὶ δαῖτα καλεῖν, εἰ δὲ μή, γνωρίμους αὐτῶν καὶ ἐπιτηδείους παρακαλεῖν ἐπὶ κοινωνίαν σπονδῆς, καὶ τραπέζης, καὶ λόγων ἐν οἴνῳ γινομένων, καὶ φιλοφροσύνης. νῦν δὲ ὥσπερ εἶπεν οἱ τὰ πλοῖα ναυλοῦντες· ὅ τι ἂν φορῇ τις ἐμβάλλεσθαι περιέχουσιν. οὕτως ἡμεῖς τὰ συμπόσια παραδόντες ἑτέροις πληροῦν ἀφίεμεν ἐκ τῶν προστυχόντων, ἄν τε χαρίεντες ὦσιν ἄν τε φαῦλοι. θαυμάσαιμι δ᾿ ἂν εἰ χαρίεις ἀνὴρ ἐπίκλητος ἀφίκοιτο, μᾶλλον δὲ ἄκλητος, ὅν γε πολλάκις οὐδὲ γινώσκει τὸ παράπαν ὁ δειπνίζων. εἰ δὲ γινώσκων, καὶ χρώμενος μὴ κέκληκεν. ἔτι δὲ μᾶλλον αἰσχύνη βαδίζειν πρὸς τοῦτον, ὥσπερ ἐξελέγχοντα μετέχειν τῶν ἐκείνου, τρόπον τινὰ βίᾳ, καὶ ἄκοντος ἔτι καὶ προτερεῖν ἢ ἀπολείπεσθαι τοῦ κεκληκότος πρότερον ἔχει τινὰ δυσωπίαν, καὶ οὐκ ἀστεῖόν ἐστι μαρτύρων δεομένων πρὸς τοὺς ὑποδεχομένους βαδίζειν ὡς οὐ κλητὸς ἀλλὰ σκιὰ τοῦ δεῖνος ἐπὶ τὸ δεῖπνον ἥκει, καὶ πάλιν τὸ παρέπεσθαι, καὶ παραφυλάττειν, ἄλειμμα καὶ λουτρὸν ἑτέρου καὶ ὥραν βραδύνοντος ἢ ταχύνοντος ἀνελεύθερον εὖ μάλα καὶ γναθώνειον, εἰ δὴ γνάθων γέγονε δεινότατος ἄνθρωπος ἀλλότρια δειπνεῖν. οἷς γε μὴν οὐκ ἔστιν ὅ τι μᾶλλον ἀνθρώποις ἐφίησιν εἰπεῖν γλῶσσα μέτριον, εἴ τι κομπάσαι θέλεις ἐξεῖπε καὶ παρρησία πλείστη μετὰ παιδιᾶς ἀναμέμικται τοῖς λεγομένοις ἐν οἴνῳ, καὶ πραττομένοις. ἐνταῦθα δήπως ἄν τις ἑαυτὸν μεταχειρίσαιτο, μὴ γνήσιος ὢν μηδὲ αὐτόκλητος, ἀλλὰ τρόπον τινὰ νόθος, καὶ παρεγγεγραμμένος εἰς τὸ συμπόσιον. καὶ γὰρ τὸ χρῆσθαι, καὶ τὸ μὴ χρῆσθαι παρρησίᾳ πρὸς τοὺς παρόντας εὐσυκοφάντητον. οὐ μικρὸν δὲ κακόν, οὐδὲ ἡ τῶν ὀνομάτων εὐχέρεια καὶ βωμολοχία, τοῖς μὴ δυσχεραίνουσιν. ἀλλ᾿ ὑπομένουσι σκιὰς καλεῖσθαι, καὶ ὑπακούειν. προσεθίζει γὰρ εἰς τὰ ἔργα τῷ αἰσχρῷ, τὸ ῥᾳδίως ἀπὸ τῶν ῥημάτων ἄγεσθαι. διὸ καλῶν μὲν ἑτέρους, ἔδωκα ποτὲ σκιάς· ἰσχυρὰ γὰρ ἡ τῆς πόλεως συνήθεια, καὶ δυσπαραίτητος. αὐτὸς δὲ κληθεὶς ὑφ᾿ ἑτέρου πρὸς ἕτερον. ἄχρι γε νῦν ἀντέχω μὴ ὑπακοῦσαι. γενομένης δὲ μετὰ τοὺς λόγους τούτους ἡσυχίας, ὁ Φλῶρος τοῦτ᾿ ἔφη τὸ δεύτερον ἔχει μᾶλλον ἀπορίαν. τὸ δὲ καλεῖν οὕτως ἀναγκαῖόν ἐστιν ἐν ταῖς τῶν ξένων ὑποδοχαῖς, ὥσπερ εἴρηται πρότερον. οὔτε γὰρ αὖ φίλων ἐστὶ δὴ ἐπιεικές, οὔτε γινώσκειν οὓς ἔχων ἥκει ῥᾴδιον. κἀγὼ πρὸς αὐτόν, ὅρα τοῖς καλοῦσιν ἔφην, μὴ οἱ καλεῖν οὕτω δεδωκότες τοῖς ἑστιῶσι καὶ τὸ πείθεσθαι τοῖς καλουμένοις, καὶ βαδίζειν δεδώκασιν. οὔτε γὰρ διδόναι καλόν, οὔτε αἰτεῖν ὃ διδόναι μὴ καθῆκεν, οὔτε ὅλως παρακαλεῖν, ἃ μὴ δεῖ παρακαλεῖσθαι. μὴ δὲ ὁμολογεῖν, μὴ δὲ πράττειν. τὰ μὲν οὖν πρὸς ἡγεμόνας ἢ ξένους οὐκ ἔχει κλῆσιν. οὐδὲ αἵρεσιν. ἀλλὰ δεῖ δέχεσθαι τοὺς μετ᾿ αὐτῶν παραγινομένους. ἄλλως δὲ φίλον ἑστιῶντα. φιλικώτερον μέν ἐστι τὸ καλεῖν αὐτόν, ὡς οὐκ ἀγνοοῦντα τοὺς γνωρίμους αὐτοῦ καὶ συνήθεις ἢ οἰκείους. μείζων γὰρ ἡ τιμὴ καὶ ἡ χάρις, ὡς μὴ λανθάνοντος, ὅτι τούτους ἀσπάζεται μάλιστα, καὶ τούτοις ἥδιστα συνέστι καὶ χαίρει τιμωμένοις, ὁμοίως καὶ παρακαλουμένοις. οὐ μὴν ἀλλὰ ἐστὶν ὅτε ποιητέον ἐπ᾿ αὐτῷ, καὶ καθάπερ οἱ θεῷ θύοντες ἅμα σὺν βωμοῖς, καὶ

σὺν

σὺν ναοῖς κοινῶς συνεπεύχονται, καὶ καθέκαστον ἐκείνων μὴ ὀνομάζοντες. οὔτε γὰρ ὄψον, οὔτε οἶνος, οὔτε μύρον οὕτως ἥδεσθαι διατίθησιν, ὡς σύνδειπνος εὔνους καὶ προσηνής. ἀλλὰ τὸ μὲν ὄψοις, καὶ πέμμασιν, οἷς ὁ μέλλων ἑστιᾶσθαι μάλιστα χαίρει. καὶ τὰς οἴνων διαφοράς, καὶ μύρων ἐρωτᾶν καὶ διαπυνθάνεσθαι, φορτικὸν κομιδῇ, καὶ νεόπλουτον. ᾧ δὲ πολλοὶ φίλοι, καὶ οἰκεῖοι, καὶ συνήθεις εἰσίν, αὐτῶν παρακαλεῖν ἐκείνων, οἷς ἂν ἥδιστα συγγίνοιτο, καὶ μεθ᾿ ὧν εὐφραίνεται παρόντων. μάλιστα τούτους ἄγειν, οὐκ ἀηδὲς οὐδὲ ἄτοπον. οὔτε γὰρ τὸ συμπλεῖν, οὔτε τὸ συνοικεῖν, οὔτε τὸ συνδικάζειν, μεθ᾿ ὧν οὐ βούλεταί τις, οὕτως ἀηδές, ὡς τὸ συνδειπνεῖν, καὶ τοὐναντίον ἡδύ. κοινωνίας γάρ ἐστι καὶ σπουδῆς, καὶ παιδιᾶς καὶ λόγων καὶ πράξεων τὸ συμπόσιον. ὅθεν οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς προσφιλεῖς δεῖ, καὶ συνήθεις ἀλλήλοις, ὡς ἡδέως συνεσομένους. ὄψα μὲν γὰρ οἱ μάγειροι σκευάζουσιν ἐκ χυμῶν διαφόρων αὐστηρὰ καὶ λιπαρά, καὶ γλυκέα, καὶ δριμέα συγκεραννύντες. σύνδειπνον δὲ χρηστόν, οὐκ ἂν γένοιτο καὶ κεχαρισμένον, ἀνθρώπων μὴ ὁμοφύλων, μὴ δὲ ὁμοιοπαθῶν εἰς τὸ αὐτὸ συμφθαρέντων. ἐπεὶ δὲ ὥσπερ οἱ περιπατητικοὶ λέγουσι, τὸ μὲν πρῶτον φύσει κινοῦν μὴ κινούμενον δὲ εἶναι· τὸ δὲ ἔσχατον κινούμενον, μὴ δὲ ἓν δὲ κινοῦν. μεταξὺ δὲ ἀμφοῖν, τὸ καὶ κινοῦν ἕτερα, καὶ κινούμενον ὑφ᾿ ἑτέρων. οὕτως ἔφην ὁ λόγος. τριῶν ὄντων, ὁ μὲν καλῶν μόνον, ὁ δὲ καλούμενος, ὁ δὲ καὶ καλῶν καὶ καλούμενός ἐστιν. εἴρηται μὲν περὶ τοῦ καλοῦντος. οὐ χεῖρον δ᾿ ἐστὶ καὶ περὶ τῶν ἄλλων ἔφην ἅ γε μοι δοκεῖ διελθεῖν. ὁ μὲν οὖν καλούμενος ὑφ᾿ ἑτέρου, καὶ καλῶν ἑτέρους πρῶτον οἶμαι τοῦ πλήθους φείδεσθαι, δίκαιός ἐστι μὴ καθάπερ ἐκ πολεμίας ὁμοῦ πᾶσι τοῖς περὶ αὐτὸν ἐπισιτιζόμενος, μὴ δὲ ὥσπερ οἱ χώρας καταλαμβάνοντες ἐν τῷ περιτεύειν ἀεὶ τοῖς ἰδίοις φίλοις τὸν τοῦ καλέσαντος ἐκκρούων καὶ ἀποκρύων ἅπαντας, ὥστε πάσχειν τοὺς δειπνίζοντας· ἃ πάσχουσιν, οἱ τῇ Ἑκάτῃ καὶ τοῖς ἀποτροπαίοις ἐκφέροντες τὰ δεῖπνα, μὴ γευομένους αὐτοὺς μὴ δὲ τοὺς οἴκοι, πλὴν καπνοῦ, καὶ θορύβου μετέχοντας. ἄλλως γὰρ ἡ μὲν προσπαίζουσιν οἱ λέγοντες δελφοῖσι θύσας αὐτὸς ὀψωνεῖ κρέας. ἀληθῶς δὲ τοῦτο συμβαίνει τοὺς ξένους, ἀγνώμονας, ἢ φίλους δεχομένους μετὰ σκιῶν πολλῶν, ὥσπερ ἁρπυιῶν διαφοροῦντας τὰ δεῖπνα, καὶ προνομεύοντας. ἔπειτα δ᾿ εἰ μὴ μεθ᾿ ὧν ἔτυχε βαδίζειν πρὸς ἑτέρους ἐπὶ δεῖπνον, ἀλλὰ μάλιστα μὲν καλεῖν τοὺς τοῦ δειπνίζοντος οἰκείους καὶ συνήθεις, πρὸς αὐτὸν ἐκεῖνον ἁμιλλώμενον, καὶ προκαταλαμβάνοντα ταῖς κλήσεσιν. εἰ δὲ μὴ τῶν ἰδίων φίλων, οὓς ἂν καὶ ἤθελεν αὐτὸς ἑλέσθαι ὁ δειπνίζων. ἐπιεικὴς ὤν, ἐπιεικεῖς. καὶ φιλόλογος, φιλολόγους ὄντας. ἢ δυνατούς, δυνάμενος πάλαι. καὶ ζητῶν ἀμωσγέπως αὐτοῖς, ἐν προσηγορίᾳ, καὶ κοινωνίᾳ γενέσθαι. τὸ γὰρ οὕτως ἔχοντι παραδοῦναι, καὶ παρασχεῖν ὁμιλίας ἀρχὴν καὶ φιλοφροσύνης, εὔστοχον ἐπιεικῶς καὶ ἀστεῖον. ὁ δὲ ἀσυμφύλους, καὶ ἀσυναρμόστους ἐπάγων οἷον νηπτικῷ πολυπότας, καὶ λιτῷ περιδίαιταν, καὶ ἀκολάστους ἢ πολυτελεῖς, ἢ νέῳ πάλιν ποτικῷ, ἢ φιλοπαίγμονι, πρεσβύτας σκυθρωπούς, ἢ βαρὺ φθεγγομένους, ἐκ πώγωνος σοφιστάς, ἄκαιρός ἐστιν ἡ ἀηδία φιλοφροσύνην ἀμειβόμενος. δεῖ γὰρ οὐκ ἧττον ἡδὺν εἶναι τῷ δειπνίζοντι τὸν κεκλημένον, ἢ τῷ κεκλημένῳ τὸν ὑποδεχόμενον. ἔσται δὲ ἡδύς, ἐὰν μὴ μόνον ἑαυτόν, ἀλλὰ καὶ τοὺς σὺν αὐτῷ, καὶ δι᾿ αὐτὸν ἥκοντας, ἐπιδεξίους παρέχῃ καὶ προσηνεῖς. ὅ γε μὴν λοιπὸς ἔτι τῶν τριῶν οὗτος ὁ καλούμενος ὑφ᾿ ἑτέρου πρὸς ἕτερον, τὸ μὲν τῆς σκιᾶς αἰσχυνόμενος ὄνομα, καὶ δυσχεραίνων, ἀληθῶς σκιὰν δόξει φοβεῖσθαι. δεῖται δὲ πλείστης εὐλαβείας, οὔτε γὰρ τοῖς τυχοῦσιν ἀκολουθεῖν ἑτοίμως καλῶν, οὔτε ὅπως ἔτυχε δεῖ σκοπεῖν, πρῶτόν τις ὁ καλῶν ἐστιν. εἰ μὲν γὰρ ὁ σφόδρα συνή-

θης, ἀλλὰ μὴ τῶν πλουσίων τις ἢ σατραπικῶν, ὡς αὐτῷ σκηνῆς δορυφορήματος
λαμπροῦ δεόμενος, ἢ πάνυ χαρίζεσθαι τῇ κλήσει πεπεισμένος τιμὰς ἐπάγειν,
παραιτητέος εὐθύς, εἰ δὲ φίλος καὶ συνήθης, οὐκ εὐθὺς ὑπακουστέον, ἀλλ' ἐὰν
δοκῇ, δεῖσθαι τινὸς ἀναγκαίας ὁμιλίας, καὶ κοινωνίας καιρὸν ἄλλον οὐκ ἐχού-
σης, ἢ διὰ χρόνου ποθὲν ἀφιγμένος ἢ μέλλων ἀπαίρειν φαίνηται, ἢ δι' εὔνοιαν ἐ-
πιθυμῶν καὶ ποθῶν συμπεριενεχθῆναι, καὶ μήτε πολλούς, μήτε ἀλλοτρίους,
ἀλλ' αὐτόν, ἢ μετ' ὀλίγων ἑταίρων ἐπαγόμενος, ἢ μετὰ ταῦτα πάντα πραγμα-
τευόμενος, ἀρχήν τινα συνηθείας καὶ φιλίας δι' αὐτοῦ γενέσθαι τῷ καλουμέ-
νῳ πρὸς τὸν καλοῦντα χρηστὸν ὄντα, καὶ φιλίας ἄξιον. ἐπεὶ τούς γε μοχθηροὺς
ὅσῳ μᾶλλον ἐπιλαμβάνονται, καὶ συμπλέκονται καθάπερ βάτοις, καὶ ἀφαι-
ρεῖν καὶ ὑπερβατέον ἐστίν. κἂν ἐπιεικεῖς οἱ ἄγοντες ὦσι, πρὸς ἐπιεικῆ δὲ μὴ ἄγωσιν,
οὐ δεῖ συνακολουθεῖν, οὐδὲ ὑπομένειν. ὥσπερ διὰ μέλιτος φάρμακον λαμβάνον-
τες μοχθηρὸν διὰ χρηστοῦ φίλου. ἄτοπον δὲ καὶ τὸ πρὸς ἀγνῶτα κομιδῆ, καὶ ἀ-
συνήθη βαδίζειν, ἂν μή τις ᾖ διαφέρων ἀρετῇ, καθάπερ εἴρηται, καὶ τοῦτο
φιλίας ποιησόμενος ἀρχὴν καὶ ἀγάπης. ὧν δὲ ῥᾳδίως καὶ ἀφελῶς ἀφικέσθαι
σὺν ἑτέρῳ πρὸς αὐτόν, καὶ μὴν τῶν συνήθων πρὸς τούτους μάλιστα βαδιστέον,
ὑφ' ἑτέρου καλούμενον. οἷς ὑφίεται, καὶ μεθ' ἑτέρων, καὶ αὖθις βαδίζειν πρὸς
ἡμᾶς. Φιλίππῳ μὲν γὰρ ἐδόκει τῷ γελωτοποιῷ, τὸ αὐτόκλητον ἐπὶ δεῖπνον ἐλ-
θεῖν, γελοιότερον εἶναι τοῦ κεκλημένου. ἀγαθοῖς δὲ καὶ φίλοις ἀνδράσι παρὰ
φίλους, καὶ ἀγαθοὺς σεμνότερόν ἐστι, καὶ ἥδιον, ἂν μὴ καλέσωσι, μὴ δὲ προσδο-
κῶσιν ἐν καιρῷ παραγίνονται, μετὰ φίλων ἑτέρων εὐφραίνοντες ἅμα καὶ δεχο-
μένους, καὶ τιμῶντες τοὺς ἀγαγόντας. ἥκιστα δὲ πρὸς ἡγεμόνας ἢ πλουσίους,
ἢ δυνάστας μὴ καλουμένους ὑπ' αὐτῶν, ἀλλ' ὑφ' ἑτέρων πρέπει βαδίζειν ἀναι-
δείας καὶ ἀπειροκαλίας καὶ φιλοτιμίας ἀκαίρου δόξαν οὐκ ἄλογον φυ-
λαττομένους.

ζ'.

Εἰ δεῖ παρὰ πότον αὐλητρίσι χρῆσθαι.

Περὶ ἀκροαμάτων ἐν Χαιρωνείᾳ λόγοι παρὰ πότον ἐγένοντο Διογενιανοῦ τοῦ Περ-
γαμηνοῦ παρόντος, καὶ πράγματα εἴχομεν ἀμυνόμενοι, βαθυπώγωνα σοφιστὴν
ἀπὸ τῆς στοᾶς, ὃς ἐπήγαγε τὸν Πλάτωνα κατηγοροῦντα τῶν αὐλητρίσι χρωμέ-
νων παρ' οἶνον, ἀλλήλοις δὲ συγγίνεσθαι διὰ λόγου μὴ δυναμένων. καί τοι πα-
ρὼν ἀπὸ τῆς αὐτῆς παλαίστρας Φίλιππος ὁ Προυσιεὺς ἐᾶν ἐκέλευσε τοὺς παρ'
Ἀγάθωνι δαιτυμόνας ἐκείνους παντὸς αὐλοῦ καὶ πηκτίδων ἐπιτερπέστερα φθεγ-
γομένους. οὐ γὰρ αὐλητρίδα παρόντων ἐκείνων ἐκπεσεῖν, θαυμαστὸν ἦν, ἀλλὰ
εἰ μὴ καὶ πότου, καὶ σίτου λήθη κατελάμβανεν ὑφ' ἡδονῆς καὶ κηλήσεως τὸ συμ-
πόσιον. καί τοι Ξενοφῶν οὐκ ᾐσχύνθη Σωκράτει, καὶ Ἀντισθένους, καὶ ἄλλων πα-
ρόντων τοιούτων τὸν γελωτοποιὸν φέρων Φίλιππον, ὥσπερ Ὅμηρος τὸ κρόμμυον
ποτῷ ὄψον ὑποδεῖξαι τοῖς ἀνδράσι. Πλάτων δὲ τόν τε Ἀριστοφάνους λόγον περὶ
τοῦ ἔρωτος, ὡς κωμῳδίαν ἐμβέβληκεν εἰς τὸ συμπόσιον, καὶ τελευτῶν ἔξωθεν
ἀναπετάσας τὴν αὔλειον ἐπάγει δρᾶμα τῶν ποικιλωτάτων μεθύοντα, καὶ κώ-
μῳ χρώμενον ἐστεφανωμένον Ἀλκιβιάδην. εἶτα οἱ πρὸς Σωκράτην διαπληκτι-
σμοί, περὶ Ἀγάθωνος, καὶ Σωκράτους ἐγκώμιον, ὦ φίλαι Χάριτες. ἆρά γε εἰπεῖν
ὅσιόν ἐστιν, ὅτι τοῦ Ἀπόλλωνος ἥκοντος εἰς τὸ συμπόσιον, ἡρμοσμένην τὴν λύραν ἔ-
χοντος, ἱκέτευσαν οἱ παρόντες, ἐπισχεῖν τὸν θεόν, ἕως ὁ λόγος συμπερανθῇ, καὶ
λάβῃ τέλος. εἶτα ἐκεῖνοι μὲν οἱ ἄνδρες ἔφη τοσαύτην ἐν τῷ διαλέγεσθαι χάριν
ἔχοντες, ὅμως ἐχρῶντο τοῖς ἐπεισοδίοις, καὶ διεποίκιλλον τὰ συμπόσια παιδιαῖς

τοιαύταις. ἡμεῖς δὲ μεμιγμένοι πολιτικοῖς, καὶ ἀγοραίοις ἀνδράσι, πολλοῖς
δὲ ὅταν οὕτω τύχωμεν ἰδιώταις καὶ ὑπαγροικοτέροις ἐκβάλωμεν τὴν τοιαύ-
την χάριν, καὶ διατριβὴν ἐκ τῶν συμποσίων, ἢ ἀπίωμεν ὥσπερ τὰς σειρῆνας
ἐπιούσας φεύγοντες. ἀλλὰ Κλειτόμαχος μὲν ὁ ἀθλητὴς ἐξανιστάμενος καὶ ἀπιών,
εἴ τις ἐμβάλοι λόγον ἐρωτικὸν ἐθαυμάζετο. φιλόσοφος δὲ ἀνὴρ αὐλὸν ἐκ συμπο-
σίου φεύγων, καὶ ψαλτρίας ἁρμοζομένης ὑποδεῖται βοῶν ταχύ, καὶ τὸν λυ-
χνοῦχον ἅπτειν, οὐ καταγέλαστός ἐστι τὰς ἀβλαβεστάτας ἡδονάς, ὥσπερ οἱ κάνθα-
ροι τὰ μύρα βδελυττόμενοι. εἰ γὰρ ἄλλοτε μάλιστα δή που παρὰ πότον προσ-
παιστέον ἐστὶ τούτοις, καὶ δοτέον εἰς ταῦτα τῷ θεῷ τὴν ψυχήν, ὡς τά γε ἄλλα
φίλος ὢν Εὐριπίδης. ἐμὲ γοῦν οὐ πέπεικε περὶ μουσικῆς νομοθετῶν, ὡς δεῖ τὰ
πένθη, καὶ τὰς βαρυφροσύνας μετακομιστέας οὔσης. ἐκεῖ μὲν γὰρ ὥσπερ ἰα-
τρὸν ἐφιστάναι δεῖ νοσοῦσιν, ἐσπουδακότα καὶ νήφοντα τὸν λόγον. τὰς δὲ τοιαύ-
τας ἡδονὰς τῷ Διονύσῳ καταμίξαντες, ἐν παιδιᾶς μέρει τίθεσθαι. χαρίεν γὰρ
τὸ [?] τοῦ Λάκωνος Ἀθήνησι, καινῶν ἀγωνιζομένων τραγῳδῶν, θεώμενος τὰς πα-
ρασκευὰς τῶν χορηγῶν, καὶ τὰς σπουδὰς τῶν διδασκάλων, καὶ τὴν ἅμιλλαν,
οὐκ ἔφη σωφρονεῖν τὴν πόλιν, μετὰ τοσαύτης σπουδῆς παίζουσαν. τῷ γὰρ ὄντι
παίζοντα δεῖ παίζειν, καὶ μήτε δαπάνης πολλῆς, μήτε τῶν πρὸς ἄλλα χρησί-
μων καιρῶν, ὠνεῖσθαι τὸ ῥᾳθυμεῖν, ἀλλ' ἐν πότῳ καὶ ἀνέσει τῶν τοιούτων ἀπολαύε-
σθαι, καὶ σκοπεῖν ἅμα τερπόμενοι εἴ τι χρήσιμον ἐξ αὐτῶν λαβεῖν ἐστιν.

Τίσι μάλιστα χρηστέον ἀκροάμασι παρὰ δεῖπνον.

η'.

Ἐπεὶ δὲ ταῦτα ἐρρέθη, βουλόμενον αὖθις ἀντιλέγειν τὸν σοφιστήν, ἐγὼ διακρουό-
μενος, ἐκεῖνο μᾶλλον ἔφη σκέψαιτ' ἄν τις ὦ Διογενιανέ, πολλῶν ἀκροαμάτων ὄν-
των, ἂν μάλιστα γένος εἰς πότον ἐναρμόσειε, καὶ παρακαλῶμεν ἐπικρῖναι τουτονὶ σο-
φόν. ἀπαθὴς γὰρ ὢν πρὸς ἅπαντα, καὶ ἀκήλητος οὐκ ἂν σφαλείη πρὸ τοῦ βελ-
τίονος ἑλέσθαι τὸ ἥδιον. ὡς οὖν ὅ τε Διογενιανὸς παρεκάλει καὶ ἡμεῖς, οὐδὲ μελ-
λήσας ἐκεῖνος ἔφη· τὰ ἄλλα μὲν αὐτῇ τὴν θυμέλην, καὶ τὴν ὀρχήστραν ἐξελαύνειν.
εἰσάγειν δὲ τὸ νεωστὶ μὲν ἐν Ῥώμῃ παρεισηγμένον εἰς τὰ συμπόσια, μήπω δὲ ἀνα-
λάμπον ἐν τοῖς πολλοῖς. ἴστε γὰρ εἶπεν ὅτι τῶν Πλάτωνος διαλόγων, οἱ μὲν διηγηματι-
κοί τινές εἰσιν, οἱ δὲ δραματικοί. τούτων οὖν τῶν δραματικῶν τοὺς ἐλαφροτά-
τους ἐκδιδάσκουσι παῖδας, ὥστε ἀπὸ στόματος λέγειν. πρόσεστι δὲ ὑπόκρισις πρέ-
πουσα τῷ ἤθει τῶν ὑποκειμένων προσώπων, καὶ φωνῆς πλάσμα καὶ σχῆμα, καὶ
διαθέσεις ἑπόμεναι τοῖς λεγομένοις. ταῦθ' οἱ μὲν αὐστηροὶ καὶ χαρίεντες ἠγάπη-
σαν ὑπερφυῶς. οἱ δὲ ἄνανδροι, καὶ διατεθρυμμένοι τὰ ὦτα δι' ἀμουσίαν καὶ ἀ-
πειροκαλίαν, οὕς φησιν Ἀριστόξενος χολὴν ἐμεῖν, ὅταν ἐναρμονίου ἀκούσωσιν, ἐξέ-
βαλλον. καὶ οὐ θαυμάσαιμ' ἄν, εἰ τὸ πάμπαν ἐκβάλλουσιν. ἐπικρατεῖ γὰρ ἡ θη-
λύτης, καὶ ὁ Φίλιππος ὁρῶν ὑποδυσχεραίνοντας ἐνίους, φείδου εἶπεν ὦ τᾶν, καὶ πα-
ραβάλου λοιδορῶν ἡμᾶς. ἡμεῖς γάρ ἐσμεν οἱ πρῶτοι τοῦ πράγματος, εἰσαγομέ-
νου δυσχεράναντες ἐν Ῥώμῃ, καὶ καθαψάμενοι τῶν ἀξιούντων Πλάτωνα διαγωγὴν
ἐν οἴνῳ ποιεῖσθαι, καὶ τῶν Πλάτωνος διαλόγων ἐπὶ τραγήμασι καὶ μύροις ἀκού-
ειν διατείνοντας. ὅτε καὶ Σαπφοῦς ἀναδεχομένης, καὶ τῶν Ἀνακρέοντος ἐγώ μοι
δοκῶ καταθέσθαι τὸ ποτήριον αἰδούμενος. πολλὰ δὲ εἶπεν ἐπιόντα μοι δέδια,
μὴ μετὰ σπουδῆς τινος οὕτως διαλέγεσθαι πρός σε δόξω. ὅθεν, ὡς ὁρᾷς, ποτίμῳ λό-
γῳ ἁλμυρὰν ἀκοὴν κατακλύσαι, τὸ φίλῳ σοι μετὰ τῆς κύλικος δίδωμι. δεξάμε-
νος οὖν ὁ Διογενιανὸς, ἀλλὰ καὶ τούτους ἔφη νήφοντας ἀκούω λόγους, ὥστε ὁ οἶ-
νος ἡμᾶς εὐδοκεῖν οὐκ ἔοικεν οὐδὲ κρατεῖν, δέδια δὴ μὴ καὶ αὐτὸς εὐθύνας ὑπό-

χῷ. καί τοι τὰ πολλὰ περικοπτέα τῶν ἀκροαμάτων ἐστί. πρώτην τραγῳδίαν,
ὡς οὐ πάνυ τι συμποτικὸν, ἀλλὰ σεμνότερον βοῶσαν, καὶ σκευωρουμένην, πραγ-
μάτων ὑποκρίσεις πάθος ἐχόντων καὶ οἶκτον. ἀποπέμπω δὲ τῆς ὀρχήσεως τὴν
πυλάδειον ὀγκώδη, καὶ παθητικὴν, καὶ πολυπρόσωπον οὖσαν. οἱ δεῖ δὲ τῶν ἐγκω-
μίων ἐκείνων, ἃ Σωκράτης περὶ ὀρχήσεως διῆλθε. δέχομαι τὴν βαθύλλειον αὐ-
τόθεν πέζαν τοῦ κόρδακος ἁπτομένην ἠχοῦς, ἢ τινος Πανὸς, ἢ σατύρου σὺν ἔρω-
τι κωμάζοντος ὑπ' ὀρχήματος αὐτίζ θεμένην. τῶν δὲ κωμῳδιῶν, ἡ μὲν ἀρχαία διὰ
τὴν ἀνωμαλίαν ἀνάρμοστος ἀνθρώποις πίνουσιν. ἥ τε γὰρ ἐν ταῖς λεγομέναις
παραβάσεσιν αὐτῶν, σπουδὴ καὶ παρρησία λίαν ἄκρατός ἐστι καὶ σύντονος. ἥ
τε πρὸς τὰ σκώμματα καὶ βωμολοχίας εὐχέρεια δεινῶς κατάκορος, καὶ ἀ-
ναπεπταμένη καὶ γέμουσα ῥημάτων ἀκόσμων, καὶ ἀκολάστων ὀνομάτων. ἔπειθ' ὥσ-
περ ἐν τοῖς ἡγεμονικοῖς δείπνοις ἑκάστῳ παρέστηκε τῶν κατακειμένων οἰνοχόος,
οὕτω δεήσει γραμματικὸν ἑκάστῳ τὸ καθ' ἕκαστον ἐξηγεῖσθαι, τίς ὁ Λαισποδίας
παρ' Εὐπόλιδι, καὶ ὁ Κινησίας παρὰ Πλάτωνι, καὶ ὁ Λάμπων παρὰ Κρατίνῳ,
καὶ τῶν κωμῳδουμένων ἕκαστος, ὥστε γραμματοδιδασκαλεῖον ἡμῖν γενέσθαι
τὸ συμπόσιον, ἢ κωφὰ καὶ ἄσημα τὰ σκώμματα διαφέρεσθαι. περὶ δὲ τῆς νέ-
ας κωμῳδίας, τί ἂν λέγει τις. οὕτω γὰρ ἐγκέκραται τοῖς συμποσίοις, ὡς
μᾶλλον ἂν οἴνου χωρὶς, ἢ Μενάνδρου διακυβερνῆσαι τὸν πότον. ἥ τε γὰρ λέξις ἡ-
δεῖα καὶ πεζὴ κατέσπαρται τῶν πραγμάτων, ὡς μήτε ὑπὸ νηφόντων κατα-
φρονεῖσθαι, μήτε οἰνωμένους ἀνιᾶν, γνωμολογίαι τε χρησταὶ, καὶ ἀφελεῖς ὑπο-
ρέουσαι, καὶ τὰ σκληρότατα τῶν ἠθῶν, ὥσπερ ἐν πυρὶ τῷ οἴνῳ μαλάττουσι καὶ
κάμπτουσι πρὸς τὸ ἐπιεικέστατον. ἥ τε τῆς σπουδῆς πρὸς τὴν παιδιὰν ἀνάκρασις,
ἐπ' οὐδὲν ἂν πεποιῆσθαι δόξειεν, ἄλλη πεπωκότων, ἢ διακεχυμένων, ἡδονὴν ὁμοῦ
καὶ ὠφέλειαν. ἔχει δὲ καὶ τὰ ἐρωτικὰ παρ' αὐτῷ καιρὸν πεπωκόσιν ἀνθρώποις,
καὶ ἀναπαυσομένοις μετὰ μικρὸν ἀπιοῦσι παρὰ τὰς ἑαυτῶν γυναῖκας, οὔτε παι-
δὸς ἔρως ἄρρενός ἐστιν ἐν τοσούτοις δράμασιν. αἵ τε φθοραὶ τῶν παρθένων εἰς γά-
μον ἐπιεικῶς καταστρέφουσι. τὰ δὲ πρὸς ἑταίρας, ἂν μὲν ὦσιν ἰταμαὶ καὶ θρασεῖαι,
διακόπτεται, σωφρονισμοῖς τισιν ἢ μετανοίαις τῶν νέων. ταῖς δὲ χρησταῖς, καὶ
ἀντερώσαις, ἢ πατήρ τις ἀνευρίσκεται γνήσιος, ἢ χρόνος τις ἐπιμετρῆται τῷ
ἔρωτι, συμπεριφορὰν αἰδοῦς ἔχων φιλάνθρωπον. ταῦτα δὲ ἀνθρώποις ἄλλο
μέν τι πράττουσιν ἴσως, οὐδὲ μιᾶς σπουδῆς ἀξία ἐστίν. ἐν δὲ τῷ πίνειν οὐ θαυμά-
σαιμ' ἂν, εἰ τὸ τερπνὸν αὐτῶν καὶ γλαφυρὸν ἅμα καὶ πλάσιόν τινα καὶ κατα-
κόσμησιν ἐπιφέρει, συνεξομοιοῦσα τὰ ἤθη τοῖς ἐπιεικέσι, καὶ φιλανθρώποις.
ὁ μὲν οὖν Διογενιανὸς, ἢ παυσάμενος ἢ διαλείπων, ἐσιώπησεν. ἐπιφυομένου δὲ
αὐτῷ τοῦ σοφιστοῦ πάλιν, καὶ ῥήσεις τινὰς οἰομένου δεῖν τῶν Ἀριστοφανείων περαί-
νειν, ὁ Φίλιππος ἐμὲ προσαγορεύσας, οὗτος μὲν ἔφη τὴν ἐπιθυμίαν ἐμπέπλη-
κε, τὸν ἥδιστον αὐτῷ Μένανδρον παραινέσας, καὶ τῶν ἄλλων οὐδὲν ἔτι φροντί-
ζειν ἔοικε. λείπεται δὲ πολλὰ τῶν ἀκροαμάτων ἡμῖν ἀνεξέταστα. περὶ ὧν ἂν ἡ-
δέως ἀκούσαιμί σου. τὸν δὲ τῶν ζῳδιογλυφῶν ἀγῶνα βραβεύσομεν αὔριον, ἂν
δοκῇ τῷ ξένῳ, καὶ Διογενιανῷ νήφοντες. ἐκεῖνον ἔφην ἐγὼ μῖμοι τινές εἰσιν, ὧν τοὺς
μὲν ὑποθέσεις, τοὺς δὲ παίγνια καλοῦσιν. ἁρμόζειν δὲ οὐδέτερον οἶμαι συμποσίῳ
γένος. τὰς μὲν ὑποθέσεις διὰ τὰ μήκη τῶν δραμάτων, καὶ τὸ δυσχορήγητον. τὰ
δὲ παίγνια, πολλῆς γέμοντα βωμολοχίας, καὶ σπερμολογίας. οὐδὲ τοῖς τὰ
ὑποδήματα κομίζουσι παιδαρίοις, ἄτε δὴ δεσποτῶν, ἢ σωφρονούντων θεᾶ-
σθαι προσήκει. οἱ δὲ πολλοὶ, καὶ γυναικῶν συγκατακειμένων καὶ παίδων ἀνήβων
ἐπιδείκνυνται μιμήματα πραγμάτων καὶ λόγων ἁπάσης μέθης ταραχωδέ-

στερον τὰς ψυχὰς διατίθησιν. ἀλλ' ἥ γε κιθάρα πάλαι που καὶ καθ' Ὅμηρον ἔτι
τοῖς χρόνοις γνωρίμη ἐστὶ δαιτός. ἔτι καὶ μακρὰν οὕτως φιλίαν καὶ συνήθειαν, οὐ
πρέπει διαλύειν, ἀλλὰ δεῖσθαι τῶν κιθαρῳδῶν μόνον, ὅπως τὸν πολὺν θρῆνον
καὶ γόον ἐξαίρωσι τῶν ᾠδῶν, εὔφημα καὶ πρέποντα θαλιάζουσιν ἀνθρώποις ἄ-
δοντες. τὸν δὲ αὐλὸν οὐδὲ βουλομένοις ἀπώσασθαι, τῆς τραπέζης ἐστίν. αἱ γὰρ
σπονδαὶ ποθοῦσιν αὐτὸν ἅμα τῷ στεφάνῳ, καὶ συνεπιφθέγγεται τῷ παιᾶνι τὸ
θεῖον. εἶτα ἀπελίγανε, καὶ διεξῆλθε τῶν ὤτων καταχεόμενος φωνὴν ἡδεῖαν ἄ-
χρι τῆς ψυχῆς ἐπιοῦσαν γαλήνην. ὥστε εἴ τι τῶν ἀστήρων, καὶ πεφροντισμένων ὁ
ἄκρατος οὐκ ἐξέσεισεν, οὐδὲ διέλυσε τοῦτο τῇ χάριτι καὶ πρᾳότητι τοῦ μέλους
ὑποκατακλειόμενον ἡσυχάζειν. ἄν γε δὴ καὶ αὐτὸς τὸ μέτριον διαφυλάττῃ, μὴ
παθαινόμενος, μηδὲ ἀνασοβῶν, καὶ παρεξιστὰς βόμβυξι καὶ πολυχορδίαις
τὴν διάνοιαν ὑγρὰν ὑπὸ τῆς μέθης, καὶ ἀκρασφαλῆ γεγενημένην. ὡς γὰρ τὰ
θρέμματα λόγου μὲν οὐ συνίησι διάνοιαν ἔχοντος, σιγμοῖς δὲ καὶ ποππυσμοῖς
ἀμελέσιν, ἢ σύριγξι, καὶ στρόμβοις ἐγείρουσι καὶ κατευνάζουσι, καὶ πάλιν οἱ
νέμοντες οὕτως, ὅσον ἔνεστι τῇ ψυχῇ, φορβαδικὸν καὶ ἀγελαῖον, καὶ [illegible]
λόγου, καὶ ἀνήκοον μέλεσι καὶ ῥυθμοῖς ἐπιψάλλοντες, καὶ καταυλοῦντες εὖ τί-
θενται, καὶ καταπραΰνουσιν. οὐ μὴν ἀλλ' εἴ τό γε μοι φαινόμενον εἰπεῖν, οὔτ' ἂν
αὐλοῦ ποτε καθ' αὑτὸν, οὔτε λύρας μέλος χωρὶς λόγου καὶ ᾠδῆς, ἐπιτρέψαι
τὸ συμπόσιον, ὥσπερ ῥεύματι φέρειν ὑπολαμβάνοντι. δεῖ γὰρ οὕτως ἐθίζειν, καὶ
σπουδάζοντας, ὥστε καὶ τὰς ἡδονὰς ἐκ λόγου λαμβάνειν, καὶ τὰς διατριβὰς
ἐν λόγῳ ποιεῖσθαι, τὸ δὲ μέλος καὶ τὸν ῥυθμὸν, ὥσπερ ὄψον ἐπὶ τῷ λόγῳ, καὶ
μὴ καθ' αὑτὰ προσφέρεσθαι, μηδὲ λιχνεύειν. ὡς γὰρ ἡδονὴν ἐν οἴνῳ, καὶ ὄψῳ τῇ
χρείᾳ τῆς τροφῆς συνεισιοῦσαν, οὐδεὶς ἀπωθεῖται. τὴν δ' ἐπὶ τοῖς μύροις, οὐκ ἀ-
ναγκαίαν, καὶ περίεργον οὖσαν, ὁ Σωκράτης ἐπὶ κόρρης ῥαπίζων ἐξέβαλε, οὕτ[ω]
ψαλτηρίου φωνῆς, καὶ αὐλοῦ, καθ' ἑαυτὴν τὰ ὦτα κοπτούσῃ μὴ ὑπακούωμεν.
ἂν δ' ἕπηται μετὰ λόγου καὶ ᾠδῆς ἑστιῶσα καὶ τέρπουσα τὸν ἐν ἡμῖν λόγον, εἰσά-
γωμεν, οἰόμενοι, καὶ τὸν Μαρσύαν ἐκεῖνον ὑπὸ τοῦ θεοῦ κολασθῆναι, ὅτι φορβειᾷ
καὶ αὐλοῖς ἐπιστομίσας ἑαυτὸν ἐτόλμησε ψιλῷ μέλει, διαγωνίζεσθαι πρὸς ᾠ-
δὴν, καὶ κιθάραν. μόνον ἔφη σκοπῶμεν, ὅπως συμπόταις διὰ λόγου, καὶ φιλο-
σοφίας ἀλλήλους εὐφραίνειν δυναμένοις, μηδὲν ἐπάξωμεν τοιοῦτον θύραθεν ὃ
κώλυμα διατριβῆς μᾶλλον, ἢ διαγωγή τις ἔσται. οὐ γὰρ μόνον ὅσοι τὴν σωτηρίαν οἴ-
κοι καὶ παρ' αὑτῶν ἔχοντες, ἄλλην ἐθέλουσιν εἰς ἀγώγιμον λαβεῖν, ὡς Εὐριπί-
δης εἶπεν, ἀβέλτεροί εἰσιν, ἀλλὰ καὶ ὅσοι πολλῆς ἐν αὑτοῖς εὐφροσύνης καὶ θυ-
μηδίας παρούσης ἔξωθεν ἐπάγειν τὰ τέρποντα φιλοτιμοῦνται. καὶ γὰρ ἡ
τοῦ μεγάλου βασιλέως μεγαλοφροσύνη, πρὸς Ἀνταλκίδαν τὸν Λάκωνα, δει-
νῶς ἀπειρόκαλος ἐφάνη καὶ ἄγροικος. ὁπηνίκα ῥόδων καὶ κρόκου μεμιγμέ-
νων, στέφανον εἰς μύρον βάψας ἔπεμψεν αὐτῷ, τὸ σύμφυτον, καὶ ἴδιον καλὸν ἀ-
ποσβέσας, καὶ καθυβρίσας τοῖς ἄνθεσιν. ὅμοιον οὖν ἐστι τὸ συμποσίου χάριν
ἔχοντες ἐν αὐτῷ, καὶ Μοῦσαν ἰδίαν καταυλεῖν, καὶ καταψάλλειν, ἔξωθεν ἀ-
φαιρούμενον τῷ ἀλλοτρίῳ τὸ οἰκεῖον. μάλιστα νοῦν ἀκροαμάτων εἴη καιρὸς ἐν συμ-
ποσίῳ κυμαίνοντι, καὶ κρουσομένῳ, πρὸς ἔριν ἢ φιλονεικίαν. ὥστε λοιδορίαν
τινὰ κατασβέσαι, καὶ ζητήσεως εἰς ἅμιλλαν ἀτερπῆ καὶ ἀγῶνα σοφιστικὸν ἐκ-
φερομένης, ἐπιλαμβάνεσθαι, καὶ πρὸς ἀγῶνας ἐκκλησιαστικοὺς, καὶ ἀγοραίους
ἐπισχεῖν. ἄχρις ἂν αὖθις ἐξ ἀρχῆς ἀθόρυβον, καὶ ἀνήνεμον γένηται τὸ συμπόσιον.

Ὅτι βουλεύεσθαι παρὰ πότον οὐχ ἧττον ἦν Ἑλληνικὸν ἢ Περσικόν. ι΄.

Περὶ ὧν ἔμελλον ἐκκλησιάζειν Ἀθηναῖοι λόγος ἦν παρὰ τὸ δεῖπνον, ἑστιῶντος ἡμᾶς Νικοστράτου, καί τινος εἰπόντος, ὡς Περσικὸν πρᾶγμα ποιοῦμεν ὦ ἄνδρες βουλευόμενοι παρ' οἶνον, τί μᾶλλον ἔφη ὁ Γλαυκίας ὑπολαβὼν ἢ Ἑλληνικόν; Ἕλλην μὲν γὰρ ἦν ὁ εἰπὼν, γαστρὸς ἀποπλέης βουλὴ, καὶ μῆτις ἀμείνων. Ἕλληνες δὲ σὺν Ἀγαμέμνονι Τροίαν ἐπολιόρκουν, οἷς φαγοῦσι καὶ πιοῦσιν ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν, ἐπ' αὐτὸ δὲ τοῦτο τῆς κλήσεως, καὶ τῶν ἀρίστων εἰσηγητὴς τῷ βασιλεῖ γενόμενος, δαίνυ δαῖτα γέρουσι. πολλῶν γάρ τοί φησιν ἀγρομένων τῷ πείσεαι, ὅς κεν ἀρίστην βουλὴν βουλεύσῃ. διὸ καὶ τὰ πλεῖστα χρησάμενα τῆς Ἑλλάδος εὐνομία γένη, καὶ μάλιστα φιλοχωρήσαντα περὶ τοὺς ἀρχαίους ἐθισμοὺς, ἐν οἴνῳ τὰς ἀρχὰς συνεῖχε. τὰ γὰρ παρὰ Κρησὶν ἀνδρεῖα καλούμενα, παρὰ δὲ Σπαρτιάταις φιλίτια, βουλευτηρίων ἀπορρήτων καὶ συνεδρίων ἀριστοκρατικῶν τάξιν εἶχεν. ὥσπερ οἶμαι, καὶ τὸ ἐνθάδε πρυτανεῖον, καὶ θεσμοθέσιον. οὐ πόρρω δὲ τούτων ὁ νυκτερινὸς σύλλογος παρὰ Πλάτωνι τῶν ἀρίστων καὶ πολιτικωτάτων ἀνδρῶν ἐστιν, ἐφ' ὃν ἀναπέμπεται τὰ μέγιστα καὶ πλείστης ἄξια φροντίδος. οἱ δὲ τῷ Ἑρμῇ πυμάτῳ σπένδοντες, ὅτε μνήσαιντο κοίτου, ἆρ' οὐκ εἰς τὸ αὐτὸ συνάπτουσι τῷ οἴνῳ τὸν λόγον, ὡς γοῦν παρόντι καὶ συνεπισκοποῦντι τῷ φρονιμωτάτῳ θεῷ, πρῶτον ἀπαλλαττόμενοι προσεύχονται. οἱ δὲ πάμπαν ἀρχαῖοι ὡς οὐδὲ τοῦ ὅρμου [?] δεόμενοι τὸν Διόνυσον αὐτὸν εὐβουλῆ, καὶ τὴν νύκτα δι' ἐκεῖνον εὐφρόνην προσεῖπον.

ι΄.

Εἰ καλῶς ἐποίουν βουλευόμενοι παρὰ πότον.

Ταῦτα τοῦ Γλαυκίου διεξελθόντος ἔδοξαν ἡμῖν ἐπιεικῶς, οἱ θορυβώδεις ἐκεῖνοι κατακεκοιμῆσθαι λόγοι, καὶ ὅπως ἔτι μᾶλλον αὐτῶν ἀμνηστία γένοιτο, ζήτησιν ἑτέραν ἐπάγων Νικόστρατος ἔφη· πρότερον οὐ πάνυ μέλειν αὐτῷ, περσικοῦ τοῦ πράγματος εἶναι δοκοῦντος· ἐπεὶ δὲ νῦν Ἑλληνικὸν εἶναι πεφώραται, δεῖσθαι λόγου βοηθοῦντος αὐτῷ, πρὸς τὴν αὐτόθεν φαινομένην ἀτοπίαν. ὅτε γὰρ λογισμὸς ὥσπερ ὀφθαλμὸς ἐν ὑγρῷ σάλον ἔχοντι, δυσκίνητον ἡμῖν καὶ δυσεργόν ἐστι. τὰ δ' ἐπαχθῆ πανταχόθεν, ὥσπερ ἑρπετὰ πρὸς ἥλιον σαλευόμενα πρὸς τὸν οἶνον καὶ ἀναδυόμενα, τὴν γνώμην ἐπισφαλῆ ποιεῖ καὶ ἀκατάστατον. ὅθεν ὥσπερ ἡ κλίνη τοῖς πίνουσι τῆς καθέδρας ἀμείνων ὅτι τὸ σῶμα κατέχει καὶ ἀπολύει κινήσεως ἁπάσης, οὕτως ἔχειν ἀτρέμα τὴν ψυχὴν ἄριστον. εἰ δὲ μὴ, δοτέον ὥσπερ παισὶν ἀτρεμεῖν μὴ δυναμένοις, οὐ δόρυ καὶ ξίφος, ἀλλὰ πλαταγὴν καὶ σφαῖραν, ὥσπερ ὁ θεὸς τὸν νάρθηκα τοῖς μεθύουσιν ἐνεχείρισε κουφότατον βέλος, καὶ μαλακώτατον ἀμυντήριον. ὅπως ἐπεὶ τάχιστα παίουσιν, ἥκιστα βλάπτωσι. δεῖ γὰρ γελοῖα τὰ σφάλματα τοῖς μεθύουσι ποιεῖν, οὐκ οἰκτρὰ, καὶ τραγικὰ καὶ μεγάλας ἀποτεύξεις ἔχοντα. καὶ μὴν ὅπερ ἐστὶ μέγιστον ἐν ταῖς περὶ τῶν μεγίστων σκέψεσι, τὸν μὲν ἐνδεᾶ νοῦ καὶ πραγμάτων ἄπειρον, ἕπεσθαι τοῖς φρονοῦσι, καὶ τῶν ἐμπείρων ἀκούειν ἀφαιρεῖται τοὺς μεθύοντας ὁ οἶνος, ὥς τε καὶ τοὔνομά γενέσθαι φησὶν ὁ Πλάτων, ὅτι οἴεσθαι νοῦν ἔχειν ποιεῖ τοὺς πίνοντας. οὔτε γὰρ λογισμὸς, οὔτε κάλλος, οὔτε πλοῦτος οὕτως οἴεται, καίπερ οἰόμενος, ἢ τῶν πινόντων ἕκαστος ὡς φρόνιμος. διὸ καὶ πολύφωνος ὁ οἶνός ἐστι, καὶ λαλιᾶς ἀκαίρου καὶ φρονήματος ἡγεμονικοῦ καταπίμπλησιν, ὡς οὐκ ἀκούειν, ἀλλ' ἀκούεσθαι μᾶλλον ἡμῖν, καὶ ἄγειν, οὐχ ἕπεσθαι προσῆκον. ἀλλὰ γὰρ ἔφη, τὰ μὲν εἰς τοῦτο ῥᾳδίως

ἄν τις συναγάγοι. δῆλα γάρ ἐστι. τῶν δ' ἐναντίων ἀκουστέον, εἴ τις ἢ νέος προσέστηκεν, ἢ πρεσβύτερος. ἐπιβούλως δὴ πάνυ καὶ σοφιστικῶς ὁ ἀδελφὸς ἡμῶν· οἴει γὰρ ἂν ἔφη τινὰ τοὺς ἐνδεχομένους λόγους εὑρεῖν, ἐν τῷ παρόντι καιρῷ πρὸς τὸ πρόβλημα. τοῦ δὲ Νικοστράτου πάνυ φήσαντος οἴεσθαι τοσούτων φιλολόγων καὶ φιλοτικῶν [?] παρόντων, ὑπομειδιάσας ἐκεῖνος, εἶτα ἔφη περὶ τούτων μὲν οἴει καὶ ἱκανῶς ἂν εἰπεῖν πρὸς ἡμᾶς. πρὸς δὲ πραγματικὴν καὶ πολιτικὴν σκέψιν, ἀθέτως ἔχειν δοκεῖ τὸν οἶνον. ἢ τοῦτο ὅμοιόν ἐστι, τῷ νομίζειν ὅτι ταῖς ὄψεσιν ὁ πίνων γοῦν οὐ μεταβλέπει· αὖθις δὲ τοῖς ὠσὶ παρακούει τῶν ἐντυγχανόντων, καὶ διαλεγομένων. τῶν δὲ ᾀδόντων καὶ αὐλούντων ἀκριβῶς ἀκούει. ὡς γὰρ ἐνταῦθα μᾶλλον εἰκός ἐστι τῶν γλαφυρῶν τὰ χρειώδη τὴν αἴσθησιν ἐπιστρέφειν, οὕτως καὶ τὴν διάνοιαν. οὐ θαυμάσαιμι δ' ἂν, εἴ τι τῶν φιλοσόφων καὶ περιττῶν ἐκφύγοι πάροινον. εἰς δὲ πραγματικὰς σκέψεις ἀγομένην, πυκνοῦσθαι, καὶ συνίστασθαι τῷ φρονεῖν εἰκός ἐστιν, ὥσπερ ὁ Φίλιππος ἐν Χαιρωνείᾳ πολλὰ ληρῶν ὑπὸ μέθης καὶ καταγέλαστος ὢν ἅμα τῷ προσπεσεῖν αὐτῷ περὶ σπονδῶν, καὶ εἰρήνης λόγον ἔστησε τὸ πρόσωπον, καὶ συνήγαγε τὰς ὀφρῦς, καὶ τὸ ῥεμβῶδες, καὶ ἀκόλαστον ἐκσοβήσας, εὖ μάλα βεβουλευμένην, καὶ νήφουσαν ἔδωκε τοῖς Ἀθηναίοις ἀπόκρισιν. καίτοι τὸ πίνειν τοῦ μεθύειν διαφέρει, καὶ τοὺς μεθύοντας ὥς τε ληρεῖν οἰόμεθα δεινὰ πίνοντας καθεύδειν. οἴνῳ δὲ χρωμένους ἐπὶ πλέον καὶ διαπίνοντας, ἀλλ' ὡς νοῦν ἔχοντας ἄνδρας, οὐκ ἄξιον δεδιέναι, μὴ σφαλῶσι τῷ λογισμῷ, καὶ τὴν ἐμπειρίαν ἀποβάλωσιν, ὀρχηστάς τε καὶ κιθαριστὰς οὐδέν τι χεῖρον ἢ συμποσίοις ἢ θεάτροις πράττοντας. ἡ γοῦν ἐμπειρία παροῦσα καὶ τὸ σῶμα ταῖς ἐνεργείαις ὀρθούμενον παρέχει, καὶ συγκινούμενον ἀσφαλῶς, πολλοῖς δὲ ἰταμότητα θάρσους συνεργὸν ὁ ἄκρατος, οὐδὲ βδελυρὰν οὐδὲ ἄκαιρον, ἀλλ' εὔχαριν καὶ πιθανὴν προστίθησιν. ὥσπερ καὶ τὸν Αἰσχύλον ἱστοροῦσι τὰς τραγῳδίας ἐμπίνοντα ποιεῖν, καὶ οὐχ ὡς Γοργίας εἶπεν ἓν τῶν δραμάτων αὐτοῦ μεστὸν Ἄρεως εἶναι τοὺς Ἑπτὰ ἐπὶ Θήβας. ἀλλὰ πάντα Διονύσου. θερμοτικὸς γὰρ ὢν κατὰ τὸν Πλάτωνα τῆς ψυχῆς μετὰ τοῦ σώματος, ὁ οἶνος εὔδρομον τὸ σῶμα ποιεῖ, καὶ πόρους ῥήγνυσι φαντασιῶν ἐφελκομένων μετὰ τοῦ θαρρεῖν τὸν λόγον. ἔνιοι γὰρ εὑρετικὴν φύσιν ἔχοντες, ἐν δὲ τῷ νήφειν ἀτολμοτέραν καὶ πεπηγυῖαν, ὅτ' ἂν εἰς τὸ πίνειν ἔλθωσιν, ὥσπερ ὁ λιβανωτὸς ὑπὸ θερμότητος ἀναθυμιῶνται. τὸν δὲ δὴ φόβον οὐδενὸς ἧττον ἐμποδὼν ὄντα βουλευομένοις, ἐξελαύνει, καὶ πολλὰ τῶν ἄλλων παθῶν ἀφιλότιμα καὶ ἀγεννῆ κατασβέννυσι, καὶ κακόηθες, καὶ τὸ ὕπουλον ὥσπερ τινὰς διπλοῦς ἀναπτύσσει τῆς ψυχῆς, καὶ παντὸς ἤθους, καὶ πάθους ποιεῖ καταφάνειαν ἐν τοῖς λόγοις. ἔστι δὲ παρρησίας, καὶ δι' αὐτὴν ἀληθείας γονιμώτατος, ἧς μὴ παρούσης, οὐδὲν ἐμπειρίας οὐδὲ ἀγχινοίας ὄφελος. ἀλλὰ πολλοὶ τῷ ἐπελθόντι χρώμενοι μᾶλλον κατορθοῦσιν, ἢ κρύπτουσιν ἐπιβούλως, καὶ πανούργως τὸ παριστάμενον. οὐδὲν οὖν δεῖ δεδιέναι κινοῦντα τὰ πάθη τὸν οἶνον. κινεῖ γὰρ οὐ τὰ φαυλότατα, πλὴν ἐν τοῖς κακίστοις ὤν, οὐδέ ποτε νήφει τὸ βουλευόμενον. ἀλλ' ὥσπερ τὰ κουρεῖα Θεόφραστος εἰώθει καλεῖ ἄοινος ἀεὶ μέθη, καὶ σκυθρωπὴ ταῖς τῶν ἀπαιδεύτων ἐνοικεῖ ψυχαῖς ἐπιταραττομένη ὑπὸ ὀργῆς τινος ἢ δυσμενείας, ἢ φιλονεικίας, ἢ ἀνελευθερίας. ὧν ὁ οἶνος ἀμβλύνων τὰ πολλὰ μᾶλλον, ἢ παροξύνων, οὐκ ἄφρονας, οὐδὲ ἠλιθίους, ἀλλ' ἁπλοῦς ποιεῖ καὶ πανουργίας [?], οὐδὲ παροραττικοὺς τοῦ συμφέροντος, ἀλλὰ τοῦ καλοῦ προαιρετικούς. οἱ δὲ τὴν πανουργίαν δεινότητα, καὶ φρόνησιν ἡγούμενοι τὴν ψευδοδοξίαν, καὶ ἀνελευθερίαν εἰκότως ἀβελτέρους ἀποφαίνουσι τοὺς ἐν οἴνῳ λέγοντας, ἀφελῶς, καὶ ἀδόλως τὸ φαινόμενον. τοὐναντίον

ἐλευθέριον l.

δὲ οἱ παλαιοὶ τὸν θεόν, ἐλευθέρα καὶ λύσιον ἐκάλουν, καὶ μαντικῆς πολλῆς ἔ-
χειν ἡγοῦντο μοῖραν, οὐ διὰ τὸ βακχεύσιμον, καὶ μανιῶδες ὥσπερ εὐριπίδης εἶ-
πεν· ἀλλ' ὅτι τὸ δουλοπρεπὲς καὶ περιδεὲς καὶ ἄπιστον ἐξαίρων καὶ ἀπολύων
τῆς ψυχῆς, ἀληθείᾳ καὶ παρρησίᾳ χρῆσθαι πρὸς ἀλλήλους δίδωσι.

ΣΥΜΠΟΣΙΑΚΩΝ ΟΓΔΟΟΝ.

Περὶ ἡμερῶν ἐν αἷς γεγόνασί τινες τῶν ἐπιφανῶν, ἐν ᾧ καὶ περὶ τῆς λεγομένης ἐκ θεῶν γενέσεως. α'.

Φιλοσοφίαν ὦ σόσσιε σενεκίων ἐκ τῶν συμποσίων ἐκβάλλοντες
οὐ ταὐτὸ ποιοῦσι τοῖς τὸ φῶς ἀναιροῦσιν, ἀλλὰ χεῖρον· ὅσῳ λύχνου
μὲν ἀρθέντος, οἱ μέτριοι καὶ σώφρονες οὐδὲν ἔσονται κακίους
τὴν αἰδεῖσθαι τοῦ βλέπειν ἀλλήλους μεῖζον ἔχοντες. ἀμαθίᾳ δὲ καὶ
ἀμουσίας συνὼν οἴνῳ παρούσης, οὐδὲ ὁ τῆς ἀθηνᾶς χρυσοῦς λύχνος ἐκεῖ-
νος, εὔχαριν ἂν πότον, καὶ κόσμιον παράσχοι. σιωπῶντας μὲν γὰρ
ἐμπιπλᾶσθαι μετ' ἀλλήλων, κομιδῇ συῶδες, καὶ ἴσως ἀδύνατον. ὁ δὲ λόγον μὲν ἀ-
πολιπὼν ἐν συμποσίῳ, τὸ δὲ τεταγμένον χρῆσθαι λόγῳ, καὶ ὠφελίμως οὐ προ-
σιέμενος, πολὺ γελοιότερός ἐστι, τοῦ πίνειν μὲν οἰομένου δεῖν, καὶ φαγεῖν τοὺς δει-
πνοῦντας, ἄκρατον δὲ τὸν οἶνον αὐτοῖς ἐγχέοντος, καὶ τοὖψον ἀνήδυντον, καὶ ἀ-
κάθαρτον παρατιθέντος· οὔτε γὰρ ποτὸν οὐδὲν, οὔτε ἐδεστόν, οὕτω ἀηδές, καὶ βλα-
βερόν ἐστι μὴ θεραπευθὲν, ὃν προσήκει τρόπον, ὡς λόγος καὶ ἀκαίρως καὶ ἀνεπιτη-
δείως ἐν συμποσίῳ περιφερόμενος. τὴν γοῦν μέθην οἱ λοιδοροῦντες φιλόσοφοι λήρη-
σιν πάροινον ἀποκαλοῦσι. τὸ δὲ ληρεῖν οὐδέν ἐστιν, ἀλλ' ἢ λόγῳ κενῷ χρῆσθαι καὶ
φλυαρώδει. λαλιᾶς δὲ ἀτάκτου καὶ φλυαρίας εἰς ἄκρατον ἐμπεσούσης, ὕβρις
καὶ παροινία τέλος ἀμουσότατον, καὶ ἀχαριστότατον. οὐ φαύλως οὖν καὶ τὰ
ἡ μὲν ἐν τοῖς ἀγρωνίοις τὸν διόνυσον αἱ γυναῖκες, ὡς ἀποδεδρακότα ζητοῦσιν· εἶ-
τα παύονται καὶ λέγουσιν, ὅτι πρὸς τὰς μούσας καταπέφευγε, καὶ κέκρυ-
πται παρ' ἐκείναις. μετ' ὀλίγον δὲ τοῦ δείπνου τέλος ἔχοντος αἰνίγματα καὶ γρί-
φους ἀλλήλους προβάλλουσι τοῦ μυστηρίου διδάσκοντος, ὅτι λόγῳ τε δεῖ χρῆ-

εὐνοίᾳ l.

ἱλαρωτέρῳ l.

σθαι παρὰ πότον θεωρίαν τινὰ καὶ μοῦσαν ἔχοντι, καὶ λόγου τοιούτου τῇ μέθῃ πα-
ρόντος ἀποκρύπτεται τὸ ἄγριον καὶ μανικὸν ὑπὸ τῶν μουσῶν εὐμενῶς κατεχόμενον.
ἃ τοίνυν ἐν τοῖς πλάτωνος γενεθλίοις πέρυσι, καὶ ἀκοῦσαι καὶ εἰπεῖν συνέτυ-
χεν ἡμῖν. πρῶτα τοῦτο περιέχει τὸ βιβλίον. ἔστι δὲ τῶν συμποσιακῶν ὄγδοον
τῇ ἕκτῃ τοῦ θαργηλιῶνος ἱσταμένου, τὴν σωκράτους ἀγαγόντες γενέθλιον, τῇ ἑβ-
δόμῃ τὴν πλάτωνος ἤγομεν, καὶ τοῦτο πρῶτον λόγους ἡμῖν παρεῖχε τῇ συντυ-
χίᾳ πρέποντας ὧν κατῆρξε διογενιανὸς ὁ περγαμηνός. ἔφη γὰρ οὐ φαύλως εἰ-
πεῖν ἴωνα περὶ τῆς τύχης, ὅτι πολλὰ τῆς σοφίας διαφέρουσα, πλεῖστα αὐτῇ ὅ-
μοια ποιεῖ. ταῦτο μέντοι μουσικῶς ἔοικεν ἀπαυτοματίσαι τὸ μὴ μόνον οὕτω σύ-
νεπιῷ, ἀλλὰ καὶ πρότερον τῇ δόξῃ γεγονέναι τὸν πρεσβύτερον, καὶ καθηγητήν.
ἐμοὶ δὲ πολλὰ λέξειν ἐπῄει τοῖς παροῦσι, τὰ εἰς ταὐτὸ καιροῦ συνδραμόντων, οἷον
ὧν τὸ περὶ τῆς εὐριπίδου γενέσεως καὶ τελευτῆς. γενομένου μὲν ἡμέρᾳ καθ' ἣν οἱ
ἕλληνες ἐναυμάχουν ἐν σαλαμῖνι πρὸς τὸν μῆδον. ἀποθανόντος δὲ καθ' ἣν ἐγεν-
νήθη διονύσιος ὁ πρεσβύτερος τῶν ἐν σικελίᾳ τυράννων ἅμα τῆς τύχης ὡς τί-
μαιος ἔφη τὸν μιμητὴν ἐξαγούσης τῶν τραγικῶν παθῶν καὶ τὸν ἀγωνιστὴν ἐπεισαγού-
σης, ἐμνήσθησαν δὲ καὶ τῆς ἀλεξάνδρου τοῦ βασιλέως τελευτῆς, καὶ τῆς διογένους
τοῦ κυνὸς, ἡμέρᾳ μιᾷ γενομένης. καὶ τὸν μὲν ἄτταλον ἐν τοῖς ἑαυτοῦ γενεθλίοις
τὸν βασιλέα τελευτῆσαι συνεφωνεῖτο. πομπήιον δὲ μάγνον, οἱ μὲν ἐν τοῖς γενε-
θλίοις ἔφασαν, οἱ δὲ πρὸ μιᾶς ἡμέρας τῶν γενεθλίων ἀποθανεῖν περὶ αἴγυ-
πτον. ἧκε δὲ καὶ πίνδαρος εἰς μνήμην ἐν πυθίοις γενόμενος. πολλῶν καὶ καλῶν ὕ-
μνων τῷ θεῷ χορηγός. ὁ δὲ φλῶρος, οὐδὲ καρνεάδην ἀπαξιοῦν ἔφη μνήμης ἐν τοῖς
πλάτωνος γενεθλίοις, ἄνδρα τῆς ἀκαδημίας εὐκλεέστατον ὀργεωνα, ἀπόλλω-
νος γὰρ ἀμφοτέρους ἑορτῇ γενέσθαι. τὸν μὲν γὰρ θαργηλίοις ἀθήνησι, τὸν δὲ κάρνεια
κυρηναίων ἀγόντων. ἑβδόμῃ δὲ ἀμφοτέρας ἑορτάζουσι, καὶ τὸν θεὸν, ὡς ταύτῃ
γενόμενον ὑμεῖς εἶπεν οἱ προφῆται καὶ οἱ ἱερεῖς ἑβδομαγένη καλεῖτε. διὸ τοὺς ἀ-
πόλλωνι τὴν πλάτωνος τέκνωσιν ἀνατιθέντας, οὐκ ἂν οἶμαί τινα φάναι καται-
σχύνειν τὸν θεὸν, ἐπεὶ μείζονα πάθη καὶ νοσήματα τοῦτον ἡμῖν διὰ σωκράτους ἰα-
τρὸν ὥσπερ ἑτέρου χείρωνος ἀπειργασμένον, ἅμα δὲ τῆς λεγομένης ἀρίστωνι τῷ
πλάτωνος πατρὶ γενέσθαι καθ' ὕπνον ὄψεως καὶ φωνῆς, ἀπαγορευούσης μὴ συγ-
γενέσθαι τῇ γυναικὶ, μηδὲ ἅψασθαι δέκα μηνῶν ἐμνημόνευσεν. ὑπολαβὼν δὲ τυν-
δάρης ὁ λακεδαιμόνιος ἄξιον μέν ἐστιν ἔφη περὶ πλάτωνος ᾄδειν, καὶ λέγειν τὸ
οὐδὲ ἐῴκει ἀνδρός γε θνητοῦ παῖς ἔμμεναι ἀλλὰ θεοῖο. τοῦ γὰρ θείου δέδια μὴ δόξῃ
τῷ φθαρτῷ μάχεσθαι τὸ γεννῶν οὐχ ἧττον, ἢ τὸ γεννώμενον. μεταβολὴ γάρ τις
καὶ αὐτὴ, καὶ πάθος, ὥς που καὶ ἀλέξανδρος ὑπενόησεν εἰπὼν μάλιστα θνητὸν
φθαρτὸν ἐπιγινώσκειν ἑαυτὸν, ἐν τῷ συγγίνεσθαι γυναιξὶ, καὶ καθεύδειν, ὡς τὸν μὲν
ὕπνον ἐνδόσει γινόμενον ὑπ' ἀσθενείας. γένεσιν δὲ πᾶσαν οἰκείου τινὸς εἰς ἕτερον ἔκ-
στασιν καταφθορὰν οὖσαν, ἀναθαρρῶ δὲ πάλιν αὐτοῦ πλάτωνος ἀκούων πατέ-
ρα καὶ ποιητὴν τοῦ τε κόσμου καὶ τῶν ἄλλων γεννητῶν, τὸν ἀγέννητον, καὶ ἀΐδιον θεὸν,
ὀνομάζοντος οὐ διὰ σπέρματος δή που γενόμενον. ἄλλῃ δὲ δυνάμει τοῦ θεοῦ τῇ ὕ-
λῃ γόνιμον ἀρχὴν ὑφ' ἧς ἔπαθε, καὶ μετέβαλεν ἐντεκόντος. πλήθουσι γάρ τοι καὶ
ἀνέμων διέξοδον θήλειαν ὄρνιν, πλὴν ὅταν παρῇ τόκος καὶ οὐθὲν οἴομαι δεινὸν,
εἰ μὴ πλησιάζων ὁ θεὸς ὥσπερ ἀνθρώποις. ἀλλ' ἑτέραις τισὶν ἁφαῖς δι' ἑτέρων,
καὶ ψαύσεσι τρέπει, καὶ ὑποπίμπλησι θειοτέρας γονῆς τὸ θνητὸν, καὶ οὐκ ἐμὸς
ὁ μῦθος εἶπεν, ἀλλ' αἰγύπτιοι, τόν τε ἆπιν οὕτως λοχεύεσθαί φασιν ἐπαφῇ τῆς
σελήνης, καὶ ὅλως ἄρρενι θεῷ, πρὸς γυναῖκα θνητὴν ἀπολιποῦσιν ὁμιλίαν. ἀ-
νάπαλιν δὲ οὐκ ἂν οἴονται θνητὸν ἄνδρα θηλείᾳ θεῷ τόκου καὶ κυήσεως ἀρχὴν

μῆδον l.

ἑβδομαγένη l.

ἑταῖρον l.

ἄνθρωπος l.

γονῆς l.

ἀπολείπουσιν l.

παραχεῖν δεῖ τὰς θυσίας τῶν θεῶν ἐν ἀέρι καὶ πνεύμασι καὶ ποιᾷ θερμότη-
σι, καὶ ὑγρότησι τίθεσθαι.

β'.

Πῶς πλάτων ἔλεγε τὸν θεὸν ἀεὶ γεωμετρεῖν.

Ἐκ δὲ τούτου γενομένης σιωπῆς, πάλιν ὁ διογενιανὸς ἀρξάμενος βούλεσθαι εἶπεν,
ἐπεὶ λόγοι περὶ θεῶν γεγόνασιν, ἐν τοῖς πλάτωνος γενεθλίοις αὐτὸν πλάτωνα
κοινωνὸν παραλάβωμεν, ἐπισκεψάμενοι, τίνα λαβὼν γνώμην ἀπεφήνατο γεωμε-
τρεῖν τὸν θεόν· εἴ γε δὴ θετέον εἶναι τὴν ἀπόφασιν ταύτην πλάτωνος. ἐμοῦ δὲ ποι-
τα εἰπόντος, ὡς γέγραπται μὲν ἐν οὐδενὶ σαφῶς τῶν ἐκείνου βυβλίων· ἔχει δὲ πί-
στιν ἱκανὴν, καὶ τοῦ πλατωνικοῦ χαρακτῆρός ἐστιν. εὐθὺς ὑπολαβὼν ὁ τυνδάρης,
οἴει γὰρ εἶπεν ὦ διογενιανὲ τῶν περιττῶν τι καὶ δυσθεωρήτων αἰνίττεσθαι τὸν λό-
γον, οὐχ ὅπερ αὐτὸς εἴρηκε καὶ γέγραφε πολλάκις ὑμνῶν γεωμετρίαν· ὡς ἀπο-
σπῶσαν ἡμᾶς προσισχομένους τῇ αἰσθήσει, καὶ ἀποστρέφουσαν ἐπὶ τὴν νοητὴν, καὶ ἀΐ-
διον φύσιν, ἧς θέα, τέλος ἐστὶ φιλοσοφίας, οἷον ἐποπτεία τελετῆς. ὁ γὰρ ἡδονῆς
καὶ ἀλγηδόνος ἧλος ὢν πρὸς τὸ σῶμα τὴν ψυχὴν προσηλοῖ μέγιστον κακὸν ἔχειν ἔ-
οικε, τὸ τὰ αἰσθητὰ ποιεῖν ἐναργέστερα τῶν νοητῶν, καὶ καταβιάζεσθαι, καὶ πά-
θει μᾶλλον ἢ λόγῳ κρίνειν τὴν διάνοιαν· ἐθιζομένη γὰρ ἀπὸ τοῦ σφόδρα πονεῖν
καὶ ἥδεσθαι τῷ περὶ τὰ σώματα πλανητῷ, καὶ μεταβλητῷ προσέχειν ὡς ὄν-
τι τοῦ ἀληθῶς ὄντος τυφλοῦται, καὶ τὸ μυρίων ἀντάξιον ὀμμάτων ὄργανον ψυ-
χῆς καὶ φέγγος ἀπόλλυσιν, ᾧ μόνῳ θεατόν ἐστι τὸ θεῖον. πᾶσι μὲν οὖν τοῖς καλου-
μένοις μαθήμασιν, ὥσπερ ἀστράβεσι καὶ λείοις κατόπτροις ἐμφαίνεται τῆς τῶν
νοητῶν ἀληθείας καὶ ἴχνη, καὶ εἴδωλα. μάλιστα δὲ γεωμετρία κατὰ τὸν φιλό-
λαον ἀρχὴ καὶ μητρόπολις οὖσα τῶν ἄλλων, ἐπανάγει, καὶ στρέφει τὴν διάνοιαν οἷον
ἐκκαθαιρομένην, καὶ ἀπολυομένην ἀτρέμα τῆς αἰσθήσεως. διὸ καὶ πλάτων αὐτὸς
ἐμέμψατο τοὺς περὶ εὔδοξον καὶ ἀρχύταν καὶ μέναιχμον εἰς ὀργανικὰς καὶ μη-
χανικὰς κατασκευὰς τὸν τοῦ στερεοῦ διπλασιασμὸν ἀπάγειν ἐπιχειροῦντας. ὥσ-
περ πειρωμένους διαλόγου δύο μέσας ἀνάλογον μὴ παρείκοι λαβεῖν. ἀπόλλυ-
σθαι γὰρ οὕτω καὶ διαφθείρεσθαι τὸ γεωμετρίας ἀγαθὸν αὖθις ἐπὶ τὰ αἰσθη-
τὰ παλινδρομούσης, καὶ μὴ φερομένης ἄνω, μηδὲ ἀντιλαμβανομένης, τῶν ἀϊ-
δίων καὶ ἀσωμάτων εἰκόνων· πρὸς οἷσπερ ὢν ὁ θεὸς, ἀεὶ θεός ἐστι. μετὰ δὲ τὸν τυν-
δάρην ὁ φλῶρος ἑταῖρος ὢν αὐτοῦ καὶ προσποιούμενος ἀεὶ μετὰ παιδιᾶς ἐρα-
στὴς εἶναι καὶ φάσκων ὤνησας ἔφη τὸν λόγον οὐ σεαυτοῦ ποιησάμενος, ἀλλ' ἡμῖν ἀναγ-
κὸν. ἐλέγξαι γὰρ ἔδωκας αὐτὸν ἀποδεικνύοντα, μὴ θεοῖς οὖσαν, ἀλλ' ἡμῖν ἀναγ-
καίαν τὴν γεωμετρίαν. οὐ γάρ τί που καὶ θεὸς δεῖται μαθήματος, οἷον ὀργάνου
στρέφοντος ἀπὸ τῶν γενητῶν, καὶ περιάγοντος ἐπὶ τὰ ὄντα τὴν διάνοιαν. ἐν αὐτῷ
γάρ ἐστιν ἐκείνῳ, καὶ σὺν αὐτῷ, καὶ περὶ αὐτόν, ἀλλ' ὅρα μή τι σοι προσῆκον ὁ πλά-
των καὶ οἰκεῖον αἰνιττόμενος λέληθεν. ἅτε δὴ τῷ σωκράτει τὸν λυκοῦργον ἀναμι-
γνὺς οὐχ ἧττον ἢ τὸν πυθαγόραν ᾤετο δικαίαρχος. ὁ γὰρ λυκοῦργος, οἶσθα δήπου
θεν, ὅτι τὴν ἀριθμητικὴν ἀναλογίαν, ὡς δημοκρατικὴν, καὶ ὀχλικὴν οὖσαν ἐξέ-
βαλεν ἐκ τῆς λακεδαίμονος· ἐπεισήγαγε δὲ τὴν γεωμετρικὴν, ὀλιγαρχίᾳ σώ-
φρονι καὶ βασιλείᾳ νομίμῃ πρέπουσαν. ἡ μὲν γὰρ ἀριθμῷ τὸ ἴσον, ἡ δὲ λόγῳ τὸ
κατ' ἀξίαν ἀπονέμει, καὶ οὐ πάντα ὁμοῦ μίγνυσιν, ἀλλὰ ἐστὶ χρηστῶν, καὶ πονη-
ρῶν εὔσημος ἐν αὐτῷ διάκρισις, οὐ ζυγοῖς οὐδὲ κλήροις, ἀρετῆς δὲ καὶ κακίας
διαφορᾷ τὸ οἰκεῖον ἀεὶ διαλαγχανόντων, ταύτην ὁ θεὸς ἐπάγει τὴν ἀναλογίαν καὶ δίκην
τοῖς πράγμασι δίκην καὶ νέμεσιν ὦ φίλε τυνδάρη προσαγορευομένην καὶ διδά-
σκουσαν ἡμᾶς τὸ δίκαιον ἴσον, ἀλλὰ μὴ τὸ ἴσον δεῖν ποιεῖσθαι δίκαιον. ἣν γὰρ οἱ
πολλοὶ

πολλοὶ διώκουσιν ἰσότητα, πασῶν ἀδικιῶν οὖσαν μεγίστην, ὁ θεὸς ἐξαίρων, ὡς ἀ-
νυστόν ἐστι τὸ κατ' ἀξίαν διαφυλάττει γεωμετρικῶς τῷ κατὰ λόγον καὶ κατὰ νό-
μον ὁριζόμενος. ταῦτα ἡμεῖς ἐπῃνοῦμεν. ὁ δὲ τυνδάρης φθονεῖν ἔφασκε, καὶ πα-
ρεκάλει τὸν αὐτόβουλον ἅψασθαι φλώρου, καὶ κολάσαι τὸν λόγον. ὁ δὲ τοῦτο μὲν
ἀπεῖπεν, ἰδίαν δέ τινα δόξαν ἀντιπαρήγαγεν. ἔφη γὰρ οὐ τόπον γεωμετρεῖν, ἀλλ'
οὔ τινος ἢ τῶν περὶ τὰ πέρατα συμπτωμάτων καὶ παθῶν εἶναι θεωρητικὴν,
οὔτε θεὸν ἑτέρῳ τινὶ τρόπῳ κοσμοποιεῖν, ἢ περαίνοντα τὴν ὕλην ἄπειρον οὖσαν,
οὐ μεγέθει καὶ πλήθει· διὰ δὲ ἀταξίαν, καὶ πλημμέλειαν αὐτῆς τὸ ἀόριστον καὶ
ἀπεράτωτον ἄπειρον εἰωθότων καλεῖν τῶν παλαιῶν. καὶ γὰρ ἡ μορφὴ καὶ
τὸ σχῆμα πέρας ἐστὶ τοῦ μορφουμένου καὶ ἐσχηματισμένου παντὸς ὧν στερήσει, καθ'
αὑτὴν, ἄμορφος ἦν, καὶ ἀσχημάτιστος. ἀριθμῶν δὲ καὶ λόγων ἐγγινομένων, οἷον
δεθεῖσα καὶ περιληφθεῖσα γραμμαῖς. ἐκ δὲ τῶν γραμμῶν ἐπιπέδοις καὶ βαθέ-
σιν, εἴδη τὰ πρῶτα καὶ διαφορὰς σωμάτων ὥσπερ θεμελίων παρέσχε πρὸς γέ-
νεσιν, ἀέρος, καὶ γῆς, ὕδατός τε καὶ πυρός. ὀκταέδρων γὰρ, καὶ εἰκοσαέδρων. ἔτι
δὲ πυραμίδων, καὶ κύβων ἰσότητας ἐν πλευραῖς, καὶ ὁμοιότητας ἐν γωνίαις,
καὶ ἁρμονίας ἀναχεῖν, ἐξ ὕλης ἀτάκτου, καὶ πλανήτης ἄνευ τοῦ περιορίζον-
τος καὶ διαρθροῦντος ἕκαστα γεωμετρικῶς ἄπορον ἦν καὶ ἀδύνατον. ὅθεν ἀ-
πείρῳ πέρατος ἐγγενομένου, τὸ πᾶν ἡρμοσμένον, καὶ κεκραμένον ἄριστα καὶ πε-
περασμένον, γέγονέ τε καὶ γίνεται. τῆς μὲν ὕλης ἀεὶ βιαζομένης εἰς τὸ ἀόριστον ἀ-
ναδῦναι καὶ φευγούσης, τὸ γεωμετρεῖσθαι. τοῦ δὲ λόγου καταλαμβάνοντος αὐ-
τὴν καὶ περιγράφοντος, καὶ διανέμοντος εἰς ἰδέας καὶ διαφορὰς, ἐξ ὧν τὰ φυό-
μενα πάντα τὴν γένεσιν ἔσχε καὶ σύστασιν, ἐπὶ τούτοις ῥηθεῖσιν ἠξίου, καὶ ἐμὲ συμ-
βαλέσθαι τι πρὸς τὸν λόγον αὐτοῖς. ἐγὼ δὲ τὰς μὲν εἰρημένας δόξας, ὡς ἰδιαγε-
νεῖς, καὶ ἰδίους αὐτῶν ἐκείνων ἐπῄνεσα, καὶ τὸ εἰκὸς ἔφην ἔχειν ἱκανῶς. ὅπως δὲ
εἰδὼν ἑαυτῶν μὴ καταφρονῆτε, μηδ' ἔξω βλέπητε παντάπασιν, ἀκούσατε τὸν
μάλιστα παρὰ τοῖς καθηγηταῖς ἡμῶν εὐδοκιμοῦντα περὶ τούτου λόγον. ἔστι τὸ
ἐν τοῖς γεωμετρικωτάτοις θεωρήμασι· μᾶλλον δὲ προβλήμασι, τὸ δυεῖν εἰδῶν
δοθέντων ἄλλο τρίτον παραβάλλειν. τὸ μὲν ἴσον, τὸ δὲ ὅμοιον, ἐφ' ᾧ καί φασιν ἐξευ-
ρεθέντι, θῦσαι τὸν πυθαγόραν. πολὺ γὰρ ἀμέλει γλαφυρώτερον τοῦτο καὶ μουσι-
κώτερον ἐκείνου τοῦ θεωρήματος, ὃ τὴν ὑποτείνουσαν ἀπέδειξε ταῖς περὶ τὴν ὀρθὴν
ἴσον δυναμένην. εὖ λέγεις εἶπεν ὁ διογενιανὸς, ἀλλὰ τί τοῦτο πρὸς τὸν λόγον, εἴσε-
σθε ῥᾳδίως εἶπον ἀναμνήσαντες αὐτοὺς τῆς ἐν τιμαίῳ διαιρέσεως, ἣ διεῖλε τρι-
χῇ τὰ πρῶτα ὑφ' οὗ τὴν γένεσιν ὁ κόσμος ἔσχεν. ὧν τὸ μὲν θεὸν τῷ δικαιοτάτῳ
τῶν ὀνομάτων, τὸ δὲ ὕλην, τὸ δὲ ἰδέαν. καλουμένη μὲν οὖν ὕλη, τῶν ὑποκειμένων
ἀτακτότατόν ἐστιν. ἡ δὲ ἰδέα τῶν παραδειγμάτων κάλλιστον. ὁ δὲ θεὸς τῶν αἰτίων ἄρι-
στον. ἐβούλετο οὖν μηθὲν ὡς ἀνυστὸν ἦν ὑπολιπεῖν ὁριστὸν, καὶ ἀόριστον, ἀλλὰ κοσμῆσαι
λόγῳ καὶ μέτρῳ, καὶ ἀριθμῷ τὴν φύσιν. ἕν τι ποιῶν ἐκ πάντων ὁμοῦ τῶν ὑποκειμέ-
νων, οἷον ἰδέα καὶ ὅσον ἡ ὕλη γενομένη. διὸ τοῦτο πρόβλημα δοὺς αὐτῷ δυεῖν
ὄντων, τρίτον ἐποίησε, καὶ ποιεῖ, καὶ φυλάττει διαπαντὸς τὸ ἴσον τῇ ὕλῃ, καὶ ὅ-
μοιον τῇ ἰδέᾳ τὸν κόσμον. ἀεὶ γὰρ ὢν διὰ τὴν σύμφυτον ἀνάγκην τοῦ σώματος, ἐν
γενέσει καὶ μεταβολῇ καὶ πάθεσι παντοδαπαῖς ἀπὸ τοῦ πατρὸς, καὶ δημι-
ουργοῦ βοηθεῖσθαι τῷ λόγῳ πρὸς τὸ παράδειγμα τὴν οὐσίαν ὁρίζοντος, ἢ καὶ
κάλλιον τοῦ συμμέτρου τὸ περίμετρον τῶν ὄντων.

Διατί τῆς ἡμέρας ἠχωδεστέρα ἡ νύξ.

γ'.

Ὀξυβός τις ἑστιωμένων ἡμῶν ἀθήνησι παρ' ἀμμωνίῳ τὴν οἰκίαν περιήχησεν, ἔξω

θεν ἐπιβοωμένων τὸν στρατηγόν. ἐστρατήγει δὲ τὸ τρίτον ὁ ἀμμώνιος. ἐπεὶ δὲ πέμ-
ψας τῶν περὶ αὐτόν τινας ἔπαυσε τὴν ταραχὴν, καὶ παρέπεμψαν τοὺς ἀν-
θρώπους, ἐζητοῦμεν ἡμεῖς, διατί τῶν ἔξωθεν ὄντων συνεξακούουσιν οἱ ἐντὸς, οἱ δ' ἔξω
τῶν ἐντὸς οὐχ ὁμοίως. καὶ ὁ ἀμμώνιος ἔφη, τοῦτο μὲν ὑπὸ ἀριστοτέλους λελύ-
σθαι. τὴν γὰρ φωνὴν τῶν ἔνδον ἔξω φερομένην εἰς ἀέρα πολὺν, καὶ ἀναπεπτα-
μένον εὐθὺς ἐξαμαυροῦσθαι, καὶ διασπείρεσθαι. τὴν δὲ ἔξωθεν εἴσω κατιοῦσαν,
οὐδὲν τοιοῦτο πάσχειν, ἀλλὰ συνέχεσθαι, καὶ διαμένειν εὔσημον, ἐκεῖνο δὲ μᾶλ-
λον λόγου δεῖσθαι τὸ νυκτὸς ἠχωδεστέρας εἶναι τὰς φωνὰς, καὶ πρὸς τῷ μεγά-
λῳ τὴν τρανότητα καθαρῶς συνδιαφυλάττειν. ἐμοὶ μὲν οὖν εἶπεν. οὐ φαύλως
ἡ πρόνοια δοκεῖ μεμηχανῆσθαι τῇ ἀκοῇ σαφήνειαν, ὅτε τῆς ὄψεως οὐδὲν ἢ κομι-
δῆ τι μικρὸν ἔργον ἐστί. σκοτεινὸς γὰρ ὢν ὁ ἀὴρ κατ' ἐμπεδοκλέα, νυκτὸς ἐρημαίης
ἀλαώπιδος, ὅσον τῶν ὀμμάτων ἀφαιρεῖται τοῦ προαισθάνεσθαι διὰ τῶν ὤτων
ἀποδίδωσιν. ἐπεὶ δὲ δεῖ καὶ τὰ δι' ἀνάγκης φύσει περαινόμενα τῶν αἰτίων ἀνευ-
ρίσκειν, καὶ τοῦτο τοῦ φυσικοῦ ἴδιόν ἐστιν, ἡ πρὸς τὰς ὑλικὰς, καὶ ὀργανικὰς ἀρ-
χὰς πραγματεία. τίς αὖ ἔφη πρῶτος ἡμῶν εὐπορήσειε λόγου τὸ πιθανὸν ἔχοντος·
ἡσυχίας δὲ γενομένης, βοηθὸς ἔφη, νέος μὲν ὢν ἔτι καὶ σοφιστεύων ἀπὸ γεωμετρι-
ας αἰτήμασι χρῆσθαι, καὶ λαμβάνειν ἀναποδείκτους ὑποθέσεις· νῦν δὲ χρήσε-
σθαί τισι, τῶν προαποδεδειγμένων ὑπὸ ἐπικούρου φέρεται, τὰ ὄντα ἐν τῷ
μὴ ὄντι. πολὺ γοῦν κενὸν ἐνδιέσπαρται, καὶ μέμικται τοῖς τοῦ ἀέρος ἀτόμοις.
ὅταν μὲν οὖν ᾖ διακεχυμένος, καὶ πλάτος ἔχων, καὶ περιδρομὴν ὑπὸ μανό-
τητος μικρὰ καὶ λεπτὰ τὰ μεταξὺ τῶν μορίων κενὰ λείπεται, καὶ πολλὴν
κατεσπαρμένην χώραν ἐπέχουσιν. ὅτ' αὖ δὲ συσταλῇ καὶ πρὸς ἀλλήλας πίλη-
σις εἰς ὀλίγον αὐτῶν γένηται, καὶ συμπέσωσιν ἀποβιασθεῖσαι πρὸς ἀλλήλας·
πολλὴν εὐρυχωρίαν ἔξω καὶ διαστάσεις μεγάλας ποιοῦσι. τοῦτο δὲ γίνεται νυ-
κτὸς ὑπὸ ψυχρότητος. ἡ γὰρ θερμότης χαλᾷ καὶ διΐστησι, καὶ λύει τὰς πυκνώσεις·
διὸ πλείονα τόπον τὰ ζέοντα καὶ μαλασσόμενα καὶ τηκόμενα τῶν σωμάτων ἐπιλαμ-
βάνει. καὶ τοὐναντίον αὖ πάλιν τὰ πηγνύμενα καὶ ψυχόμενα συγχωρεῖ πρὸς ἀλ-
ληλα καὶ συνάγεται, καὶ ἀπολείπει, καὶ κενότητας ἐν τοῖς περιέχουσιν ἀγγείοις, καὶ τό-
ποις. ἐξ ὧν ὑποκεχώρηκεν. ἡ δὲ φωνὴ προσφερομένη, καὶ προστυγχάνουσα σώμασι
πολλοῖς, καὶ ἀθρόοις, ἢ τυφλοῦται παντάπασιν, ἢ διασπάσματα λαμβάνει
μεγάλας καὶ πολλὰς ἀντικρούσεις, καὶ διατριβάς, ἐν δὲ κενῷ καὶ σωμάτων ἐρή-
μῳ διαστήματι, λεῖον δρόμον ἔχουσα καὶ συνεχῆ καὶ ἄπταιστον ἐξικνεῖται πρὸς
τὴν ἀκοὴν, ὑπὸ τάχους ἅμα τῷ λόγῳ διασώζουσα τὴν σαφήνειαν. ὁρᾷς γοῦν ὅτι
καὶ τῶν ἀγγείων τὰ κενὰ πληττόμενα μᾶλλον ὑπακούει πληγαῖς. καὶ τὸν ἦχον, τὸ δὲ
ἀποτείνει μακρὰν, πολλάκις δὲ καὶ κύκλῳ περιφερόμενον, διαδίδωσι πολὺ, κωφὸν
ἀγγεῖον ἐμπλησθὲν, ἢ στερεοῦ σώματος ἢ τινος ὑγροῦ, παντάπασι γίνεται· αὐτῶν δὲ τῶν σω-
καὶ ἄναυδον, ὁδὸν οὐκ ἐχούσης, οὐδὲ χώραν ᾗ δίεισι τῆς φωνῆς. καὶ παχῆ κατὰ
μάτων χρυσὸς μὲν καὶ λίθος ὑπὸ πληρότητος ἰσχνόφωνα, καὶ δυσηχῆ, ἢ πολύκε-
σβέννυσι τοὺς φθόγγους ἐν αὐτοῖς. εὔφωνος δὲ καὶ λάλος ὁ χαλκὸς ἐν ἀλλήλοις συ-
νος, καὶ ὄγκον ἐλαφρὸς καὶ λεπτὸς, οὐ πολλοῖς συντεθλιμμένος ἐν ἀλλήλοις οὐσίας, ἢ
μασιν, ἀλλὰ φθόνον ἔχων τῆς ἐπιπολῆς καὶ ἀναφοῦς μεμιγμένον οὐσίας ὑπολαμβάνει
ταῖς τε ἄλλαις κινήσεσιν εὐπορίαν δίδωσι, τήν τε φωνὴν εὐμενῶς ὑπολαμβάνει, καὶ τυφλό-
σα παραπέμπει μέχρι ἀναψάμενός τις ὥσπερ ἐν ὅλῳ καταλάβῃ, καὶ τὴν ἀντίπρα-
ξιν τὸ κενόν. ἐνταῦθα δὲ ἔστη καὶ ἀπεπαύσατο τοῦ πρόσω χωρεῖν, διὰ τὴν ἀντιβορμότη-
ξιν. ταῦτα ἔφη δοκεῖ μοι τὴν νύκτα ποιεῖν ἠχώδη, τὴν δὲ ἡμέραν ἧττον ποιοῦσαι. μόνον
τι, καὶ διαλύσει τοῦ ἀέρος μακρὰ τὰ διαστήματα τῶν ἀτόμων ποιοῦσι. ἔφη

ἔφη, μηδεὶς ἐνιστάσθω πρὸς τὰς πρώτας ὑποθέσεις. κἀγὼ τοῦ ἀμμωνίου κελεύ-
οντος εἰπεῖν τι πρὸς αὐτόν. αἱ μὲν πρῶταί σου τῶν ὑποθέσεων ἔφην ὦ φίλε βοη-
θὲ περὶ πολὺ τὸ κενὸν ἔχουσαι, μενέτωσαν, τῇ δὲ φωνῇ τὸ κενὸν οὐκ ὀρθῶς πρὸς
σωτηρίαν, καὶ κίνησιν ὑποτίθεσθαι, σιωπῆς γὰρ οἰκεῖον καὶ ἡσυχίας τὸ ἀναφὲς
καὶ ἀπαθὲς καὶ ἄπληκτον. ἡ δὲ φωνὴ, πληγὴ σώματος διηχοῦς. διηχὲς δὲ τὸ
συμπαθὲς αὐτῷ καὶ συμφυὲς, εὐκίνητον δὲ καὶ κοῦφον, καὶ ὁμαλὸν, καὶ ὑπή-
κοον, τοῦ δι' εὐτονίαν καὶ συνέχειαν, οἷός ἐστι παρ' ἡμῖν ὁ ἀήρ. καὶ γὰρ ὕδωρ, καὶ γῆ,
καὶ πῦρ, ἄφωνα καθ' ἑαυτὰ, φθέγγεται δὲ πνεύματος ἐμπεσόντος ἅπαντα, καὶ
ψόφους καὶ πατάγους ἀναδίδωσι. χαλκῷ δὲ κινουμένῳ μὲν οὐδὲν μέτεστιν. ὁμα-
λῷ δὲ πνεύματι, καὶ λείῳ κεκραμένος εὔπληκτός ἐστι, καὶ ἠχώδης. εἰ δὲ δεῖ τῇ ὄ-
ψει τεκμαίρεσθαι, φαίνεται μᾶλλον ὁ σίδηρος ἔχων τι σαθρὸν, καὶ πολύκενον,
καὶ τενθρηνῶδες. ἔστι δὲ κακόφωνος σφόδρα, καὶ τῶν μεταλλικῶν κωφότατος.
οὐδὲν οὖν ἔδει τῇ νυκτὶ παρέχειν πράγματα συσπῶντας αὐτῆς τὸν ἀέρα καὶ
συντείνοντας. ἑτέρωθι δὲ αὖ χώρας, καὶ κενότητας ἀπολιπόντας, ὥσπερ ἐμ-
ποδὼν ὄντα τῇ φωνῇ τὸν ἀέρα καὶ φθείροντα τὴν οὐσίαν, ἧς αὐτὸς οὐσία καὶ
σχῆμα, καὶ δύναμίς ἐστιν. ἄνευ δὲ τούτων ἔδει δή που τὰς ἀνωμάλους νύκτας,
οἷον ὁμιχλώδεις, καὶ δυσχειμέρους ἠχωδεστέρας εἶναι τῶν αἰθρίων, καὶ κεκρα-
μένων ὁμαλῶς, διὰ τὸ δεῦρο μὲν συνωθεῖν τοὺς ἀτόμους ἐκεῖ δὲ ὅθεν μεθίσανται
χώραν ἔρημον ἀπολιπεῖν σωμάτων. καὶ τὸ δὴ προχειρότατον ἡμέραν ψυχρὰν
ἠχωδεστέραν εἶναι νυκτὸς ἀλεεινῆς, καὶ θερινῆς, ὧν οὐδέτερον ἀληθές ἐστιν, ὅθεν
λόγον τοῦτον ἀπολελοιπὼς ἐπιβάλλω τὸν ἀναξαγόραν ὑπὸ τοῦ ἡλίου λέγον-
τα κινεῖσθαι τὸν ἀέρα κίνησιν τρομώδη καὶ παλμοὺς ἔχουσαν, ὡς δῆλόν ἐστι τοῖς
διὰ τοῦ φωτὸς ἀεὶ διάττουσι ψήγμασι μικροῖς, καὶ θραύμασιν, ἃ δή τινες τίλας
καλοῦσιν. ταῦτα οὖν φησιν ὁ ἀὴρ πρὸς τὴν θερμότητα σίζοντα καὶ ψιθυροῦντα
δι' ἡμέρας δυσηκόους τῷ ψόφῳ τὰς φωνὰς ποιεῖν, νυκτὸς δὲ φαίνεσθαι τὸν
σάλον αὐτῶν καὶ τὸν ἦχον. ἐμοῦ δὲ ταῦτα εἰπόντος, ἀμμώνιος ἔφη γελοῖοι μὲν ἴ-
σως φανούμεθα, καὶ δημόκριτον ἐλέγχειν οἰόμενοι, καὶ ἀναξαγόραν ἐπανορθοῦ-
σθαι θέλοντες. οὐ μὴν ἀφαιρετέον γε τῶν ἀναξαγόρου σωμάτων τὸν σιγμὸν, οὔτε
γὰρ πιθανὸς, οὔτε ἀναγκαῖος, ἀλλ' ὁ τρόμος ἀρκεῖ τῶν σωμάτων καὶ ἡ κίνησις
ἐν τῷ φωτὶ κλονουμένων τὰς φωνὰς, διασπᾶν, καὶ διαρρίπτειν πολλάκις. ὁ γὰρ
ἀὴρ ὥσπερ εἴρηται σῶμα τῆς φωνῆς, καὶ οὐσίαν ἐμπαρέχων ἑαυτὸν, ἐὰν μὲν
ᾖ στάθερος εὐθύπορα, καὶ λεῖα, καὶ συνεχῆ, τὰ τῶν ψόφων μόρια καὶ κινήμα-
τα πόρρωθεν διαδίδωσι. νηνεμία γὰρ ἠχῶδες καὶ γαλήνη, καὶ τοὐναντίον, ὡς σι-
μωνίδης φησίν. οὐδὲ γοῦν ἐνοσίφυλλος ἀήτα τότε ὦρτ' ἀνέμων. ἅτις κατεκώλυε
σκιδνάμενα μελιαδέα γᾶρυν ἀραρεῖν ἀκοαῖσι βροτῶν. πολλάκις μὲν γὰρ οὐδὲ τὸ
σχῆμα τῆς φωνῆς τοῦ ἀέρος σάλος ἔναρθρος ἐᾷ πρὸς τὴν αἴσθησιν ἐξικνεῖσθαι,
καὶ διαμεμορφωμένον ἀεὶ μέντοι τι τοῦ πλήθους φθείρει, καὶ τοῦ μεγέθους, ἡ μὲν
οὖν νὺξ αὐτὴ καθ' ἑαυτὴν οὐδὲν ἔχει κινητικὸν ἀέρος. ἡ δὲ ἡμέρα μέγα τὸν ἥλιον
ὥσπερ αὐτὸς ὁ ἀναξαγόρας εἴρηκεν. ὑπολαβὼν δὲ θεράσυλλος ὁ ἀμμωνίου υἱός,
εἶτα ἔφη τί παθόντες ὦ πρὸς διὸς εἴπας τὰ θεωρητὰ κινήματα τοῦ ἀέρος οἰό-
μεθα δεῖ αἰτιᾶσθαι τὸ τί ἐμφανῆ σάλον, καὶ σπαραγμὸν αὐτοῦ παρορῶμεν. ὁ
γὰρ δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ ζεὺς οὗτος, οὐ λανθάνων, οὔτε ἀτρέμα διακινῶν
τὰ σμικρότατα τοῦ ἀέρος, ἀλλ' εὐθὺς ἐκφανεὶς ἀνίστησιν, καὶ κινεῖ πάντα πράγ-
ματα δεξιὰ σημαίνων, λαοὺς δ' ἐπὶ ἔργον ἐγείρων. οἱ δὲ ἕπονται, καθάπερ ἐκ πα-
λιγγενεσίας νέα ἐφημέρῃ φρονέοντες, ὥς φησι δημόκριτος, οὔτε ἀφώνοις, οὔτε
ἀπράκτοις ἐνεργείαις, ἢ καὶ τὸν ὄρθρον ὁ ἴβυκος, οὐ κακῶς κλυτὸν προσεῖπεν

ἐν ᾧ κλύειν, καὶ ἤδη φθέγγεσθαι συμβέβηκε. τῆς δὲ νυκτὸς ἀκύμονα τὰ πολλά, καὶ ἄκλυστος ὢν ὁ ἀήρ, ἀναπαυομένων ἁπάντων, εἰκότως τὴν φωνὴν ἄθραυστον ἀναπέμπει, καὶ ἀκέραιον πρὸς ἡμᾶς. παρὼν οὖν Ἀριστόδημος πρὸς ἡμᾶς ὁ Κύπριος, ἀλλ' ὅρα εἶπεν ὦ Θράσυλλε, μὴ τοῦτο μὲν αἱ νυκτομαχίαι, καὶ νυκτοπορίαι τῶν μεγάλων στρατοπέδων ἐλέγχουσιν, οὐδὲν ἧττον ἠχωδεστέρας ποιοῦσαι τὰς φωνάς, καίπερ ἐν ταραχῇ, καὶ σάλῳ τοῦ ἀέρος ὄντος. ἔχει δέ τι καὶ τὸ παρ' ἡμᾶς μέρος τὸ αἴτιον. αὐτοὶ γὰρ ὧν φθεγγόμεθα νύκτωρ, τὰ πολλὰ θορυβώδη, καὶ μετὰ πάθους ἐπείγοντος ἐγκελευόμεθά τισιν, ἢ διαπυνθανόμενοι, σὺν τόνους ἐρειδόμεθα τὰς γειτονήσεις. ὃ γὰρ ἐν ᾧ μάλιστα καιρῷ πεφύκαμεν ἡσυχίαν ἄγειν ἐξανιστᾶν ἡμᾶς ἐπὶ πράξεις καὶ λόγους, οὐ μικρὸν οὐδὲ ἀζεμαῖόν ἐστιν, ἀλλὰ μέγα, καὶ μεγάλης τινὸς ἀνάγκης χρεῖ' ἐπιταχυνόμενον, ὥστε καὶ τὰς φωνὰς φέρεσθαι σφοδροτέρας.

Διατί τῶν ἱερῶν ἀγώνων ἄλλος ἄλλον ἔχει στέφανον, τὸν δὲ φοίνικα πάντες, ἐν ᾧ καὶ διατί τὰς μεγάλας φοινικοβαλάνους νικολάους καλοῦσιν. δ'.

Ἰσθμίων ἀγομένων ἐν τῇ δευτέρᾳ τῶν Σώσπιδος ἀγωνοθεσιῶν, τὰς μὲν ἄλλας ἑστιάσεις διεφύγομεν. ἑστιῶντος αὐτοῦ, πολλοὺς μὲν ἅμα ξένους, πάντας δὲ πολλάκις τοὺς πολίτας, ἅπαξ δὲ τοὺς μάλιστα φίλους, καὶ φιλολόγους, οἴκοι δεχομένου, καὶ αὐτοῖς παρ' ἡμῖν. ἀπηρμένων δὲ τῶν πρώτων τραπεζῶν, ἧκέ τις Ἡρώδῃ τῷ ῥήτορι παρὰ γνωρίμου νενικηκότος ἐγκωμίῳ φοίνικα, καὶ στέφανόν τινα τῶν πλεκτῶν κομίζων. ὁ δὲ ταῦτα μὲν δεξιωσάμενος, ἀπέπεμψε πάλιν. ἔφη δὲ ἀπορεῖν, τί δήποτε τῶν ἀγώνων στέφανον ἄλλος ἄλλον ἔχει, τὸν δὲ φοίνικα κοινῇ πάντες. οὐ γὰρ ἐμέ γε οὖν ἔφην πείθουσιν οἱ τὴν ἰσότητα τῶν φύλλων, οἷον ἀνταγωνιζομένων ἀεὶ καὶ συνεκτεζευγμένων ἀγῶνι καὶ ἁμίλλῃ παραπλήσιόν τι ποιεῖν φάσκοντες, αὐτήν τε τὴν νίκην παρὰ τὸ μὴ εἴκειν ὠνομάσθαι. καὶ γὰρ ἄλλα πάμπολλα μόνον οὐ μέτροις τισὶ καὶ σταθμοῖς, ἀκριβῶς τὴν τροφὴν διανέμοντα τοῖς ἀντιζύγοις πετάλοις ἰσότητα θαυμαστὴν καὶ τάξιν ἀποδίδωσιν. ἐπεὶ πιθανώτεροι τούτων εἰσίν, οἱ τὸ κάλλος, καὶ τὴν εὐφυΐαν ἀγαπῆσαι τοὺς παλαιούς, ὥς τε Ὅμηρον ἔρνεϊ φοίνικος ἀπεικάσαντα τὴν ὥραν τῆς Φαιακίδος ὑπονοοῦντες. ἀγνοεῖτε δή που θεν, ὅτι καὶ ῥόδοις, καὶ λύχνεσιν, ἔνιοι δὲ καὶ μήλοις, καὶ ῥοαῖς ἐπιφανῶς ἔβαλλον, ὡς καλῶς γεραίροντες ἀεὶ τοὺς νικηφόρους. ἀλλ' οὐδὲν οὕτως ἐκπρεπέστερον ἔχει τῶν ἄλλων ὁ φοῖνιξ, ἅτε μηδὲ καρπὸν ἐν τῇ Ἑλλάδι φορῶν ἐδώδιμον, ἀλλ' ἀτελῆ καὶ ἄπεπτον. εἰ γὰρ ὥσπερ ἐν Συρίᾳ καὶ ἐν Αἰγύπτῳ παρεῖχε τὴν βάλανον, ὄψει τε θεαμάτων, καὶ γλυκύτητα τραγημάτων πάντων ἥδιστον, οὐκ ἂν ἦν ἕτερον αὐτῷ παραλαβεῖν. ὁ γοῦν βασιλεύς, ὥς φασιν, ἀγαπήσας διαφερόντως τὸν περιπατητικὸν φιλόσοφον Νικόλαον γλυκὺν ὄντα τῷ ἤθει, ῥαδινὸν δὲ τῷ μήκει τοῦ σώματος, διάπλεων δὲ τὸ πρόσωπον ἐπιφοινίσσοντος ἐρυθήματος, τὰς μεγίστας καὶ καλλίστας τῶν φοινικοβαλάνων νικολάους ὠνόμασε. καὶ μέχρι νῦν οὕτως ὀνομάζονται. ταῦτα εἰπὼν ὁ Ἡρώδης, οὐκ ἀτερπέστερον ἐμβαλεῖν ἔδοξε τοῦ ζητουμένου περὶ τοῦ Νικολάου. διὸ καὶ μᾶλλον ἔφη προθυμητέον ὡς ἕκαστον αὐτῷ τίς συνέπεισεν ἐνεγκεῖν εἰς τὸ ζητούμενον. ἐγὼ δὲ εἰσφέρω πρῶτος, ὅτι δεῖ τὴν τῶν νικηφόρων δόξαν ἄφθιτον, ὡς ἀνυστόν ἐστιν καὶ ἀγήρω διαμένειν. ὁ δὲ φοῖνιξ μακρόβιον μέν ἐστιν ἐν τοῖς μάλιστα τῶν φυτῶν, ὡς που καὶ τὰ ὀρφικὰ ταῦτα μεμαρτύρηκε. ζῶον δ' ἶσον ἀκροκόμοισι φοινίκων ἔρνεσι. μόνῳ δὲ τοῦτ' ἔστι τί δὲ τουτέστι αὐτὸ σχεδὸν ὑπάρχει τὸ κατὰ πολλῶν, ὡς ἀληθῶς λεγόμενον, ἐμπεδόφυλλον εἶναι, καὶ ἀείφυλλον. οὔτε γὰρ δάφνην, οὔτε ἐλαίαν, οὔτε μυρσίνην, οὔτε ἄλλο τι τῶν μὴ φυλλορροεῖν λεγομένων, ὁρῶμεν ἀεὶ ταῦτα φύλλα διατηροῦν.

ἀλλὰ τὰ πρώτοις ἀποῤῥέουσιν, ἑτέρων ἐπιβλαστανόντων, ὥσπερ πόλεις, ἕκαστον ἀεὶ ζῶον διαμένει, καὶ ἀμείλικτον. ὁ δὲ φοῖνιξ οὐθὲν ἀποβάλλων ἀφ' αὑτοῦ τῶν φυομένων, βεβαίως ἀείφυλλός ἐστι. καὶ τοῦτο δὴ τὸ κράτος αὐτοῦ μάλιστα τῆς νίκης τῷ ἰσχυρῷ συνοικειοῦσι. παυσαμένου δὲ τοῦ Σώσπιδος, προσαγαγὼν ὁ γραμματικὸς ὀνόματι καλέσας Πραξιτέλην τὸν περιηγητήν, οὕτω δὴ τούσδε ἔφη τοὺς ῥήτορας ἐάσομεν περαίνειν τὸ οἰκεῖον, ἐξ εἰκότων καὶ πιθανῶν ἐπιχειροῦντας. αὐτοὶ δὲ ἀφ' ἱστορίας οὐδὲν ἂν ἔχοιμεν τῷ λόγῳ συμβάλλεσθαι. καίτοι δοκῶ μοι μνημονεύειν ἐν τοῖς ἀττικοῖς ἀνεγνωκὼς ἔναγχος, ὅτι πρῶτος ἐν Δήλῳ Θησεὺς ἀγῶνα ποιῶν, ἀπέσπασε κλάδον τοῦ ἱεροῦ φοίνικος, ἢ καὶ σπάδιξ ὠνομάσθη, καὶ ὁ Πραξιτέλης ταῦτα εἶπεν. ἀλλὰ καὶ τοῦ Θησέως αὐτοῦ πυνθάνεσθαι φήσουσιν ᾧ τινι λόγῳ, φοίνικος οὐ δάφνης, οὐδὲ ἐλαίας κλάδον ἀπέσπασεν ἀγωνοθετῶν. σκόπει δὴ μὴ πυθικόν ἐστι τὸ νικητήριον, ὡς Ἀμφικτυόνος. κἀκεῖ πρῶτον ἐπὶ τιμῇ τοῦ θεοῦ, δάφνῃ καὶ φοίνικι τοὺς νικῶντας ἐκόσμησαν, ἅτε δὴ καὶ τῷ θεῷ μὴ δάφνας, μὴ δὲ ἐλαίας, ἀλλὰ φοίνικας ἀνατιθέντας, ὡς ἐν Δήλῳ Νικίας χορηγήσας Ἀθηναίων, καὶ ἐν Δελφοῖς, Ἀθηναῖοι, καὶ Κύψελος πρότερον Κορίνθιος. ἐπεὶ καὶ φίλαθλος, ἀλλ' ὡς φιλόνεικος ἡμῖν ὁ θεὸς αὐτὸς ἐν κιθαρίσει, καὶ ᾠδῇ, καὶ βολαῖς δίσκων, ὡς δ' ἔνιοι φασὶ καὶ πυγμῇ ἁμιλλώμενος. ἀνθρώποις δὲ πρὸς ἀμύνων ἀγωνιζομένοις, ὡς Ὅμηρος ἐμαρτύρησε. τὸν μὲν Ἀχιλλέα λέγοντα ποιήσας, ἄνδρε δύω περὶ τῶνδε κελεύομεν ὥσπερ ἀρίστω, πυγμὰλ' ἀνασχομένω πεπληγέμεν. ᾧ δέ κ' Ἀπόλλων δώῃ καμμονίην. τῶν δὲ τοξοτῶν, τὸν μὲν εὐξάμενον τῷ θεῷ κατορθῶσαι καὶ λαβεῖν τὰ πρωτεῖα, τὸν δὲ γαυρὸν ἀστοχῆσαι τοῦ σκοποῦ μὴ εὐξάμενον. καὶ μὴν οὐδὲ Ἀθηναίους εἰκός ἐστιν Ἀπόλλωνι καθιδρῦσαι τὸ γυμνάσιον ἀλόγως, καὶ αὐτομάτως. ἀλλὰ παρ' οὗ τὴν ὑγίειαν ἔχομεν θεοῦ, τοῦτον εὐεξίαν τε διδόναι, καὶ ῥώμην ἐπὶ τοὺς ἀγῶνας ᾤοντο. κούφων δὲ καὶ βαρέων ἀγωνισμάτων ὄντων. πύκτῃ μὲν Ἀπόλλωνι Δελφούς, δρομαίῳ δὲ Κρῆτας ἱστοροῦσι θύειν, καὶ Λακεδαιμονίους. σκύλων δὲ Πυθοῖ, καὶ ἀκροθινίων, καὶ τροπαίων ἀναθέσεις. ἆρ' οὐ συμμαρτυροῦσιν, ὅτι τῆς εἰς τὸ νικᾶν καὶ κρατεῖν δυνάμεως τῷ θεῷ τούτῳ πλεῖστον μετέστιν. ἔτι δὲ αὐτοῦ λέγοντος ὑπολαβὼν Καφισσὸς ὁ Θέωνος υἱός, ἀλλὰ ταῦτά γε εἶπεν οὐχ ἱστορίας οὔτε περιηγητικῶν, ὄζω δὲ βιβλίων, ἀλλ' ἐκ μέσων ἀνεσπασμένα τῶν περιπατητικῶν τόπων εἰς τὸ πιθανὸν ἐπικεχείρηται, καὶ προσέτι τραγικῶς μηχανὴν ἄραντες ὑποφείλετε δεδίττεσθαι τῷ θεῷ τοὺς ἀντιλέγοντας. ὁ μὲν οὖν θεός, ὥσπερ προσήκει πᾶσιν ἴσος ἐστὶ μετ' εὐμενείας. ἡμεῖς δὲ ἑπόμενοι Σώσπιδι, καλῶς γὰρ ὑφηγεῖται, πάλιν ἐχώμεθα τοῦ φοίνικος ἀμφιλαφεῖς τῷ λόγῳ λαβὰς διδόντες. Βαβυλώνιοι μὲν γὰρ ὑμνοῦσι καὶ ᾄδουσιν, ὡς ἑξήκοντα καὶ τριακόσια χρειῶν γένη παρέχον αὐτοῖς τὸ δένδρον. ἡμῖν δὲ τοῖς Ἕλλησιν ἥκιστα μέν ἐστι χρειώδης, ἀθλητικῇ δὲ φιλοσοφίᾳ, καὶ τὸ ἄκαρπον ἂν εἴη. κάλλιστος γὰρ ὢν καὶ μέγιστος ὑπ' εὐταξίας οὐ γόνιμός ἐστι παρ' ἡμῖν. ἀλλὰ τὴν τροφὴν ὥσπερ ἄθλησιν περὶ τὸ σῶμα τῆς εὐταξίας ἀναλισκούσης σμικρὸν αὐτῷ, καὶ φαῦλον εἰς σπέρμα περίεστιν. ἴδιον δὲ παρὰ ταῦτα πάντα, καὶ μηδενὶ συμβεβηκὸς ἑτέρῳ τὸ μέλλον λέγεσθαι. φοίνικος γὰρ ξύλον ἂν ἄνωθεν ἐπιθεὶς βάρος πιέζῃς, οὐ κάτω θλιβόμενον ἐνδίδωσιν, ἀλλὰ κυρτοῦται πρὸς τοὐναντίον, ὥσπερ ἀνθιστάμενον τῷ βιαζομένῳ. τοῦτο δὴ καὶ περὶ τοὺς ἀθλητικοὺς ἀγῶνάς ἐστι. τοὺς μὲν γὰρ ὑπ' ἀσθενείας, καὶ μαλακίας εἴκοντας αὐτοῖς πιέζουσι κάμπτοντες, οἱ δὲ ἐρρωμένως ὑπομένοντες τὴν ἄσκησιν, οὐ μόνον τοῖς σώμασιν, ἀλλὰ καὶ τοῖς φρονήμασιν, ἐπαίρονται καὶ αὔξονται.

θ´.

Διατί πρὸ ἡμέρας ἐκ τοῦ νείλου οἱ πλέοντες ὑδρεύονται.

Αἰτίαν τις ἐζήτησε, δι' ἣν οἱ ναύκληροι τὰς ὑδρείας ἐκ τοῦ νείλου νυκτὸς οὐχ ἡμέρας ποιοῦνται. καὶ τίσι μὲν ἐδόκουν τὸν ἥλιον δεδιέναι, τῷ προθερμαίνειν τὰ ὑγρὰ μᾶλλον εὔσηπτα ποιοῦντα. πᾶν γὰρ τὸ θερμανθὲν, καὶ χλιανθὲν, ἀεὶ πρὸς μεταβολὴν ἑτοιμότερόν ἐστι, καὶ προπέπονθεν ἀνέσει τῆς ποιότητος. ἡ δὲ ψυχρότης πιέζουσα συνέχειν δοκεῖ καὶ φυλάττειν ἕκαστον, ἐν ᾧ πέφυκεν, ἥκιστα δὲ τὸ ὕδωρ. ὕδατος γὰρ ἡ ψυχρότης φυλακτικόν ἐστι φύσει. δηλοῦσιν αἱ χιόνες, τὰ κρέα δύσσηπτα τηροῦσαι πολὺν χρόνον. ἡ δὲ θερμότης τά γε ἄλλα καὶ τὸ μέλι, καὶ τῆς ἰδίας ποιότητος ἐξίστησι. φθείρεται γὰρ ἑψηθὲν, ἂν δὲ μόνον διαμείνῃ, καὶ τοῖς ἄλλοις πρὸς τὸ μὴ φθείρεσθαι βοηθεῖ. μεγίστην δὲ τῇ αἰτίᾳ πίστιν παρέχει τὰ λιμναῖα τῶν ὑδάτων. χειμῶνος γὰρ οὐδὲν διαφέροντα τῶν ἄλλων ποθῆναι, τοῦ θέρους γίνεται πονηρὰ καὶ νοσώδη. διὸ χειμῶνι μὲν τῆς νυκτὸς ἀναλογεῖν τὸ ἀπαθὲς τὸ κούσης, θέρει δὲ τῆς ἡμέρας μᾶλλον οἴονται, διαμένειν ἄτρεπτον καὶ ἀπαθὲς τὸ ἐπανέκυψε λόγος ὕδωρ, ἂν νυκτὸς λαμβάνηται. τούτοις ἐπιεικῶς οὖσι πιθανοῖς ἐπὶ γὰρ ἔφαγος ὥσπερ ἀτεχνῶς πίστιν ναυτικὴν βεβαιούμενος ἐμπειρίαν. νυκτὸς γὰρ ἔφασαν λαμβάνειν τὸ ὕδωρ. ἔτι τοῦ ποταμοῦ καθεστῶτος καὶ ἡσυχάζοντος, ἡμέρας δὲ πολλῶν ἀνθρώπων ὑδρευομένων καὶ πλεόντων. πολλῶν δὲ θηρίων διαφερομένων, ἀνατεταραγμένον γίνεσθαι παχὺ καὶ γεῶδες. τὸ δὲ τοιοῦτον εὔσηπτον ἐστί. πάντα γὰρ τὰ μεμιγμένα τῶν ἀμιγῶν ἐπισφαλέστερα πρὸς σῆψίν ἐστι. ποιεῖ γὰρ ἡ μίξις μάχην, ἡ δὲ μάχη μεταβολήν. μεταβολὴ δέ τις ἡ σῆψις. διὸ τάς τε μίξεις τῶν χρωμάτων οἱ ζωγράφοι φθορὰς ὀνομάζουσι. καὶ τὸ βάψαι διῆναι κέκληκεν ὁ ποιητής. ἡ δὲ γε κοινὴ συνήθεια τὸ ἄμικτον, καὶ καθαρὸν, ἄφθαρτον καὶ ἀκήρατον. μάλιστα δὲ γῆ μιχθεῖσα πρὸς ὕδωρ ἐξίστησι, καὶ φθείρει τὸ πότιμον, καὶ οἰκεῖον. ὅθεν εὔσηπτα μᾶλλόν ἐστι τὰ στάσιμα καὶ κοῖλα, πολλῆς ἀναπιμπλάμενα γῆς. τὰ δὲ ῥέοντα φεύγει καὶ διακρούεται τὴν προσφερομένην. καὶ καλῶς ὁ Ἡσίοδος ἐπήνεσε. κρήνης ἀενάου, καὶ ἀπορρύτου ἥτ' ἀθόλωτος. ὑγιεινὸν γὰρ τὸ ἀδιάφθορον. ἀδιάφθορον δὲ τὸ ἄμικτον, καὶ καθαρόν. οὐχ ἥκιστα δὲ αἱ τῆς γῆς διαφοραὶ τῷ λόγῳ μαρτυροῦσι. τὰ γὰρ ὀρεινὴν διεξιόντα γῆν. καὶ λιθώδη στερρότερα τῶν ἑλείων καὶ πεδινῶν ἐστί. πολλὴν γὰρ οὐκ ἀναφέρει γῆν. ὁ δὲ νεῖλος ὑπὸ μαλθακῆς χώρας περιερχόμενος, μᾶλλον δὲ ὥσπερ αἷμα σαρκὶ κεκραμένος, γλυκύτητος μὲν ἀπολαύει καὶ χυμῶν εὐτρόφων καὶ δύναμιν ἐμβριθῆ καὶ τρόφιμον ἐχόντων, συμμιγὴς δὲ φέρεται καὶ θολερός. ἂν δὲ ἀνατεταράττηται, καὶ μᾶλλον. ἡ γὰρ κίνησις ἀναμίγνυσι τῷ ὑγρῷ τὸ γεῶδες. ὅταν δὲ ἠρεμήσῃ, καὶ ῥέπον διὰ βάρος ἄπεισιν, ὅθεν ὑδρεύονται καὶ νυκτὸς ἅμα, καὶ τὸν ἥλιον προλαμβάνοντες, ἀφ' οὗ τὸ λεπτότατον, καὶ κουφότατον ἀεὶ τῶν ὑγρῶν αἰρόμενον διαφθείρεται.

ς´.

Περὶ τῶν ὀψὲ παραγινομένων ἐπὶ τὸ δεῖπνον, ἐν ᾧ καὶ πόθεν ἀκράτισμα καὶ ἄριστον καὶ δεῖπνον ὠνομάσθη.

Θέωνος υἱῶν μετὰ τοὺς νεωτέρους ἐν θεάτρῳ προσδιατρίψαντας ἀκροάμασι, καὶ βράδιον ἐπὶ τὸ δεῖπνον ἐλθόντας, οἱ Θέωνος υἱοὶ κωλυσιδείπνους καὶ ζοφοδορπίδας, καὶ τοιαῦτα μετὰ παιδιᾶς ἔσκωπτον. οἱ δὲ ἀμυνόμενοι πάλιν ἐκείνους τρεχεδείπνους ἀπεκάλουν. καί τις εἶπε τῶν πρεσβυτέρων τρεχέδειπνον εἶναι τὸν βραδύνοντα φαίνεσθαι ὑστερίζοντα τοῦ δείπνου. θᾶττον γὰρ ἢ βάδην ἐπειγόμενον, ὅταν βραδύνῃ φαίνεσθαι. καὶ γὰρ Βάττου παρὰ Καίσαρι γελωτοποιοῦ χαίρειν ἀπομνημονεύουσιν. ἐκεῖνος γὰρ ἐπιθυμοδείπνους ἐκάλει τοὺς ὀψὲ παραγινομένους ἐπὶ δεῖπνον.

καλουμένους γὰρ αὐτοὺς ὅμως διὰ τὸ φιλόδειπνον, οὐκ ἀπολέγεσθαι τὰς κλήσεις. ἐγὼ δὲ εἶπον, ὅτι καὶ Πολύχαρμος ἐν Ἀθήναις δημαγωγῶν, καὶ τοῦ βίου διδοὺς ἀπολογισμὸν ἐν ἐκκλησίᾳ ταῦτα εἶπεν. ἄνδρες Ἀθηναῖοι τἄλλα καὶ πρὸς τούτοις οὐδέποτε κληθεὶς ἐπὶ δεῖπνον, ὕστατος ἀφικόμην. δημοτικὸν γὰρ εὖ μάλα δοκεῖ τὸ τοιοῦτο, καὶ τοὐναντίον οἱ ἄνθρωποι τοὺς ὀψὲ παραγινομένους ἀναγκάζομεν, οἱ περιμένειν ὡς ἀηδεῖς καὶ ὀλιγαρχικοὺς βαρύνονται. ὁ δὲ Σώκλαρος ὑπὲρ δικῶν τῶν νεανίσκων. ἀλλ' οὐδὲ τὸν Πιττακὸν ἔφη ζοφοδορπίδαν, ὁ Ἀλκαῖος, ὡς ὀψὲ δειπνοῦντα λέγεται προσειπεῖν. ἀλλ' ὡς ἀδόξοις τὰ πολλὰ καὶ φαύλοις ἡδόμενον συμπόταις. τὸ μέντοι πρότερον δειπνεῖν ὄνειδος ἦν πάλαι, καὶ τὸ ἀκράτισμά φασιν οὕτως λέγεσθαι διὰ τὴν ἀκρασίαν. ὑπολαβὼν δὲ ὁ Θέων ἥκιστα εἶπεν ἔδει τοῖς τὸν ἀρχαῖον βίον διαμνημονεύουσι πιστεύειν. φασὶ γὰρ ἐκείνους ἐργατικοὺς ἅμα καὶ σώφρονας ὄντας, ἕωθεν ἐσθίειν ἄρτον ἐν ἀκράτῳ, καὶ μηδὲν ἄλλο. διὸ τοῦτο μὲν ἀκράτισμα καλεῖν, διὰ τὸν ἄκρατον, τὸ ὄψον δὲ τὸ παρασκευαζόμενον εἰς δεῖπνον αὐτοῖς. ὀψὲ γὰρ δειπνεῖν ἀπὸ τῶν πράξεων γενομένου. ἐκ τούτου καὶ τὸ δεῖπνον καὶ τὸ ἄριστον ἀφ' ὅτου λάβοι τοὔνομα ζήτησιν παρέσχε. καὶ τὸ μὲν ἄριστον ἐδόκει τῷ ἀκρατίσματι ταὐτὸν εἶναι, μαρτυρεῖ τῷ Ὁμήρῳ λέγοντι τοὺς περὶ τὸν Εὔμαιον ἐντύνοντα ἄριστον, ἅμ' ἠοῖ φαινομένῃ, καὶ πιθανὸν ἐδόκει, διὰ τὴν ἑωθινὴν ὥραν ἄριστον ὠνομάσθαι, καθάπερ τὸ αὔριον. τὸ δὲ δεῖπνον ὅτι τῶν πόνων διαναπαύει, πράξαντες γάρ τι δειπνοῦσιν, ἢ μεταξὺ πράττοντες. ἔστι δὲ καὶ τοῦτο παρ' Ὁμήρου λαβεῖν λέγοντος. ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὡπλίσσατο δεῖπνον. εἰ μὴ νὴ Δία τὸ ἄριστον αὐτόθεν ἀπραγμόνως προσφερόμενοι, καὶ ῥᾳδίως ἀπὸ τῶν τυχόντων, τὸ δὲ δεῖπνον ἤδη παρεσκευασμένον. ἐκεῖνο μὲν ῥᾷστον, τοῦτο δὲ ὥσπερ διαπεπονημένον ἐκάλεσαν. ὑβριστὴς δὲ ὢν καὶ φιλόγελως φύσει ὁ ἀδελφὸς ἡμῶν Λαμπρίας ἔφη μυρίῳ τὰ ῥωμαϊκὰ δείξειν οἰκειότερα τῶν ἑλληνικῶν ὀνόματα τοσαύτης ἀδείας τὸ φλυαρεῖν δεδομένης. τὸ μὲν γὰρ δεῖπνον φασὶ κοῖνα διὰ τὴν κοινωνίαν καλεῖσθαι. καθ' ἑαυτοὺς γὰρ οἱ πλεῖστοι ἐπιεικῶς οἱ πάλαι Ῥωμαῖοι συνδειπνοῦντες τοῖς φίλοις. τὸ δὲ ἄριστον ἐκλήθη ἀπὸ τῆς ὥρας. ἔνδιον γὰρ τὸ ἑωδινὸν, ἢ τροφὴν, ἢ χρῶνται, πρὶν ἐνδεεῖς γενέσθαι. καὶ μὴν ἵνα ἄφωνα στρώματα ἔφη τὸν οἶνον τὸ μέλι τοὔλαιον, τὸ γεύσασθαι, τὸ προπιεῖν ἕτερα πάμπολλα τοῖς αὐτοῖς ὀνόμασι καταφανῶς χρώμενα. τίς οὐκ ἂν εἴποι ἐπὶ κωμὸν ἑλληνικῶς κομίσαι τὸ λέγεσθαι, καὶ τὸ κεράσαι μὲ κῆραι καθ' Ὅμηρον. ἡ δ' αὖτ' ἐν κρητῆρι μελίφρονα οἶνον ἔμισγε. καὶ μὴν ἔαμεν τὴν τράπεζαν τῆς ἐν μέσῳ θέσεως πᾶν δὲ τὸν ἄρτον, ὡς ἀνιέντα τὴν πεῖναν, τὸν δὲ στέφανον κορώναν ἀπὸ τῆς κεφαλῆς, ὡς Ὅμηρος τὸ κράνος εἴκασέ που στεφάνην. τὸ δὲ καῖρε δέρε, καὶ δεντῆς τοὺς ὀδόντας, καὶ λαβρατέχια, ἢ ἀπὸ τοῦ λαμβάνειν τὴν βορὰν δι' αὐτῶν. καὶ τούτων οὕτως ἀκουστέον, ἀγελαστεὶ λεγομένων, ἢ μὴ δι' ἐκείνοις δόκῶ πως οὕτως, διὰ τῶν ὀνομάτων ὥσπερ στιχίων. τὰ μὲν ἐκκόπτουσι μόρια, τὰ δὲ καθαίρουσι παραδύσεις δίδομεν.

ζ´.

Περὶ συμβόλων πυθαγορικῶν, ἐν οἷς παρεκελεύοντο χελιδόνα οἰκίᾳ μὴ δέχεσθαι, καὶ τὰ στρώματα συνταράττειν εὐθὺς ἀναστάντας.

Σύλλας ὁ καρχηδόνιος εἰς Ῥώμην ἀφικομένῳ μοι διὰ χρόνου τὸ ὑποδεκτικὸν, ὡς Ῥωμαῖοι καλοῦσι καταγγείλας δεῖπνον, ἄλλους τε τῶν ἑταίρων παρέλαβεν οὐ πολλοὺς, καὶ Μοδεράτου τινὰ τοῦ πυθαγορικοῦ μαθητὴν ὄνομα Λεύκιον ἀπὸ Τυρρηνίας. οὗτος οὖν ὁρῶν Φιλῖνον τὸν ἡμέτερον ἐμψύχων ἀπεχόμενον, οἷον εἰκὸς, εἰς τοὺς πυθαγορικοὺς λόγους προήχθη, καὶ Τυρρηνὸν ἀπέφηνεν, οὐ πατρόθεν ὥσπερ ἕτεροί τινες, ἀλλ

λ' αὐτὸν ἐν Τυῤῥηνίᾳ καὶ γεγονέναι, καὶ τετράφθαι, καὶ πεπαιδεῦσθαι τὸν Πυ-
θαγόραν, ἰσχυριζόμενος οὐχ ἥκιστα τοῖς συμβόλοις, οἷόν ἐστι καὶ τὸ συνταράττειν ἀ-
ναστάντας ἐξ εὐνῆς τὰ στρώματα, καὶ χύτρας τύπον ἀρθείσης ἐν σποδῷ μὴ ἀπο-
λιπεῖν, ἀλλὰ συγχεῖν, καὶ χελιδόνας οἰκίᾳ μὴ δέχεσθαι, μὴ δὲ σάρον ὑπερβαί-
νειν, μὴ δὲ γαμψώνυχον οἴκοι τρέφειν. ταῦτα γοῦν ἔφη τῶν Πυθαγορικῶν λεγόν-
των καὶ γραφόντων, μόνους ἔργῳ Τυῤῥηνοὺς ἐξευλαβεῖσθαι καὶ φυλάττειν. λεχθέν-
των δὲ τούτων ὑπὸ τοῦ Λουκίου μάλιστα τὸ τῶν χελιδόνων ἀτοπίαν ἔχειν ἐδόκει,
ζῶον ἀσινὲς καὶ φιλάνθρωπον εἴργεσθαι τοῖς γαμψώνυξιν ὁμοίως ἀγριωτά-
τοις οὖσι, καὶ φονικωτάτοις. καὶ γὰρ ᾧ μόνῳ τινὲς τῶν παλαιῶν ᾤοντο λύειν τὸ
σύμβολον, ὡς πρὸς τοὺς διαβόλους καὶ ψιθύρους τῶν συνήθων ᾐνιγμένον, οὐ-
δ' αὐτὸς ὁ Λούκιος, ἐδοκίμαζεν. ψιθυρισμοῦ μὲν γοῦν ἥκιστα χελιδόνι μέτεστι λα-
λιᾶς καὶ πολυφωνίας, οὐ μᾶλλον ἢ κίτταις, καὶ πέρδιξι, καὶ ἀλεκτορίσιν. ἆ-
ρα οὖν ὁ Σύλλας ἔφη διὰ τὸν μῦθον τὸν περὶ τὴν παιδοφονίαν ἀφοσιοῦνται τὰς
χελιδόνας ἄποθεν ἡμᾶς πρὸς ἐκεῖνα τὰ πάθη διαβάλλοντες. ἐξ ὧν τὸν Τηρέα
καὶ τὰς γυναῖκας, τὰς μὲν δρᾶσαι, τὰς δὲ παθεῖν ἄθεσμα καὶ σχέτλια λέγου-
σι, καὶ μέχρι νῦν Δαυλίδας ὀνομάζουσι τὰς ὄρνιθας. Γοργίας δὲ ὁ σοφιστὴς χε-
λιδόνος ἀφείσης ἐπ' αὐτὸν ἀπόπατον ἀναβλέψας πρὸς αὐτήν, οὐ καλὰ ταῦ-
τα εἶπεν ὦ Φιλομήλα, ἢ καὶ τοῦτο κοινόν ἐστι, τὴν γὰρ ἀηδόνα ταῖς αὐταῖς τραγῳ-
δίαις ἔνοχον οὖσαν, οὐκ ἀπείργουσιν, οὐδὲ ξενηλατοῦσιν, ἴσως ἔφην ἐγώ, καὶ ταῦ-
τα ἔχει λόγον ὦ Σύλλα. σκόπει δὲ μὴ πρῶτον μὲν ᾧ λόγῳ τὸ γαμψώνυχον οὐ
προσίενται, τούτῳ καὶ ἡ χελιδὼν ἀδοξεῖ παρ' αὐτοῖς. σαρκοφάγος γάρ ἐστι, καὶ
μάλιστα τοὺς τέττιγας ἱεροὺς καὶ μουσικοὺς ὄντας ἀποκτίννυσι καὶ σιτεῖται, ἡ
πρόσγειος αὐτῆς ἡ πτῆσίς ἐστι, τὰ μικρὰ καὶ λεπτὰ τῶν ζώων ἀγρεύουσα, ὥς
φησιν Ἀριστοτέλης. ἔπειτα μόνη τῶν ὁμορόφων, ἀσύμβολος ἐνοικεῖ καὶ ἀτελὴς
ἐνδιαιτᾶται, καίτοι ὅγε πελαργὸς, οὔτε σκέπης μετέχων, οὔτε ἀλέας, οὔτ'
ἀδείας τινὸς, ἢ βοηθείας παρ' ἡμῶν, ἐπίβαθρόν τι γῆς δίδωσι. τὰ γὰρ ἐπίβου-
λα καὶ πολέμια τῶν ἀνθρώπων, φρύνους καὶ ὄφεις ἀναιρεῖ περιιών, ἡ δὲ πάν-
των τυχοῦσα τούτων, ὅταν ἐκθρέψῃ καὶ πτερώσῃ τοὺς νεοσσοὺς, ἄπεισιν ἀχάρι-
στος γενομένη καὶ ἄπιστος. ὃ δὲ δεινότατον, ἐς μόνα τῶν συνοίκων μυῖα καὶ χελι-
δὼν, οὐχ ἡμεροῦται πρὸς ἄνθρωπον, οὐδ' ἀνέχεται ψαύσεως, οὐδ' ὁμιλίαν, οὐδὲ
κοινωνίαν ἔργου τινὸς, ἢ παιδιᾶς. ἡ μὲν μυῖα φοβουμένη τὸ πάσχειν κακῶς, καὶ διὰ τὸ
διασοβεῖσθαι πολλάκις. ἡ δὲ χελιδὼν τῇ φύσει μισάνθρωπος εἶναι, καὶ δι' ἀπι-
στίαν ἀτιθάσευτος ἀεὶ καὶ ὕποπτος. εἴπερ οὖν δεῖ τὰ τοιαῦτα μὴ κατευθυωρί-
αν, ἀλλ' ἀνακλάσαντας, ὥσπερ ἐμφάσεις ἑτέρων ἐν ἑτέροις θεωρεῖν, παράδειγ-
μα, τὰς χελιδόνας τοῦ ἀβεβαίου καὶ ἀχαρίστου θέμενος, οὐκ ἐᾷ τοὺς ἕνεκα και-
ροῦ προσφερομένους, καὶ ὑποδυομένους ποιεῖσθαι συνήθεις ἐπὶ πλέον ἑστίας
καὶ οἴκου, καὶ τῶν ἁγιωτάτων μεταδιδόντας. ταῦτα εἰπὼν, ἐγώ μοι δοκῶ [illegible] ἤδη θαρ-
σαι λόγων ἄδειαν. εὐθαρσῶς γὰρ ἤδη τοῖς ἄλλοις συμβόλοις προσῆγον,
ἐπιεικῶς ποιούμενοι τὰς λύσεις αὐτῶν. τῆς μὲν γὰρ χύτρας τὸν τύπον, ἔφη Φι-
λῖνος, ἀφανίζειν αὐτοὺς διδάσκοντας· ὅτι δεῖ μηδὲν ὀργῆς ἔνδηλον ἀπολιπεῖν
ἴχνος. ἀλλ' ὅταν ἀναζέσασα, παύσηται καὶ κατασῇ πᾶσαν ἐξαλεῖφθαι μνησι-
κακίαν. ἡ δὲ τῶν στρωμάτων συνταράξις ἐνίοις μὲν ἐδόκει μηδὲν ἔχειν ἀποκεκρυμ-
μένον, ἀλλ' αὐτόθεν φαίνεσθαι τὸ μὴ πρέπον ἀνδρὶ συγκεκοιμημένης γαμετῆς, χώ-
ραν ὁρᾶσθαι καὶ τύπον, ὥσπερ ἐκμαγεῖον ἀπολειπόμενον. ὁ δὲ Σύλλας μᾶλλον
εἴκαζε κοιμήσεως μεθημερινῆς ἀποτροπὴν εἶναι τὸ σύμβολον, ἀναιρουμένους ἕω-
θεν εὐθὺς, τῆς πρὸς τὸν ὕπνον παρασκευῆς, ὡς νυκτὸς ἀναπαύεσθαι δεῖν. ἡμέρας

δὲ πράττειν ἀναστάντας, καὶ μὴ περιορᾶν οἷον ἴχνος σώματος. οὐδὲν γὰρ ἄνδρας
ὄφελος καθεύδοντος, ὥσπερ οὐδὲ τεθνηκότος. τούτοις δὲ συμμαρτυρεῖν ἐδόκει, καὶ
τὸ παρεγγυᾶν τοὺς Πυθαγορικοὺς, τοῖς ἑταίροις, μηδενὸς ἀφαιρεῖν βάρος. συνεπι-
τιθέναι δὲ καὶ συνεπιφορτίζειν, ὡς μὴ δὲ μίαν σχολὴν, μὴ δὲ ῥᾳστώνην ἀποδεχομένους.
ἐπεὶ δὲ τούτων λεγομένων ὁ Λούκιος, οὔτε ψέγων, οὔτε ἐπαινῶν, ἀλλ' ἡσυχίαν ἄγων,
σιγῇ δὲ καὶ καθ' ἑαυτὸν ὁρῶν ἤκουεν, ὀνομαστὶ καλέσας τὸν Σύλλαν ὁ Ἐμπεδοκλῆς.

Διατί μάλιστα οἱ Πυθαγορικοὶ ἐμψύχων τοὺς ἰχθῦς παρῃτοῦντο. η'.

Α Λούκιος εἶπεν ὁ ἑταῖρος, εἰ μὲν ἄχθεται τοῖς λεγομένοις ὥρα πεπαῦσθαι καὶ ἡμᾶς,
εἰ δὲ ταῦτα τῶν ὑπὸ τὴν ἐχεμυθίαν ἐστὶν, ἀλλ' ἐκεῖνό γε δοκῶ, μήτε ἄῤῥητον εἶναι,
μήτε ἀνέξοιστον πρὸς ἑτέρους, ὅτι δὴ μάλιστα τῶν ἰχθύων ἀπείχοντο. καὶ γὰρ ἱστορεῖ-
τε τοῦτο περὶ τῶν παλαιῶν Πυθαγορικῶν, καὶ τοῖς καθ' ἡμᾶς Ἀλεξικράτους ἐνέτυ-
χον μαθηταῖς, ἄλλα μὲν ἔστιν ὅτε μετρίοις προσφερομένοις, καὶ νὴ Δία θύουσιν,
ἰχθύος δὲ μὴ γεύσασθαι τὸ παράπαν ὑπομένουσιν. ἦν δὲ Τυνδάρης ὁ Λακεδαι-
μόνιος αἰτίαν, ἔλεγε δὲ τῆς ἐχεμυθίας τοῦτο γέρας εἶναι τοὺς ἰχθῦς καλεῖν,
οἷον ἰλλομένην τὴν ὄπα καὶ καθειργομένην ἔχοντας, καὶ τὸν ὁμώνυμον ἐμοὶ τῷ
παυσαμένῳ Πυθαγορικῶς περαίνειν τὰ δόγματα, στέγουσαι φρενὸς, ἀλλ' ὅπερ
ἐλάσσω, καὶ ὅλως θεὸν ἡγεῖσθαι τὴν σιωπὴν τοὺς ἄνδρας, ἅτε δὴ καὶ τῶν θεῶν
ἔργοις καὶ πράγμασιν ἄνευ φωνῆς ἐπιδεικνυμένων, ἃ βούλονται τοῖς ξυνετοῖς.
τοῦ δὲ Λουκίου πρᾴως καὶ ἀφελῶς εἰπόντος, ὡς ὁ μὲν ἀληθὴς ἴσως λόγος, καὶ
νῦν ἀπόθετος, καὶ ἀπόῤῥητος εἴη. τοῦ δὲ πιθανοῦ καὶ εἰκότος, οὐ φθόνος ἀποπει-
ρᾶσθαι. πρῶτος Θέων ὁ γραμματικὸς εἶπεν, ὅτι Τυῤῥηνὸν μὲν ἀποδεῖξαι Πυθαγό-
ραν μέγα ἔργον εἴη, καὶ οὐ ῥᾴδιον. Αἰγυπτίων δὲ τοῖς σοφοῖς συγγενέσθαι πολὺν
χρόνον, ὁμολογεῖται. ζηλῶσαί τε πολλὰ καὶ δοκιμάσαι μάλιστα, τὰ περὶ τὰς
ἱερατικὰς ἁγιστείας, οἷόν ἐστι καὶ τὸ τῶν κυάμων. οὔτε γὰρ σπείρειν, οὔτε σιτεῖσθαι
κύαμον Αἰγύπτιοι, ἀλλ' οὐδὲ ὁρῶντας ἀνέχεσθαί φησιν ὁ Ἡρόδοτος. ἰχθύων δὲ καὶ
τοὺς ἱερεῖς ἴσμεν ἔτι νῦν ἀπεχομένους. ἁγνεύοντες δὲ καὶ τὸν ἅλα φεύγουσιν, ὡς
μήτε ὄψον προσφέρεσθαι, μήτε ἅλεσι θαλαττίοις μεμιγμένον. ἄλλοι μὲν οὖν ἄλ-
λας αἰτίας φέρουσιν. ἔστι δὲ ἀληθὴς μία τὸ πρὸς τὴν θάλατταν ἔχθος, ὡς ἀ-
σύμφυλον ἡμῖν καὶ ἀλλότριον, μᾶλλον δὲ ὅλως πολέμιον τῇ φύσει τοῦ ἀνθρώ-
που στοιχεῖον. οὐ γοῦν τρέφεσθαι τοὺς θεοὺς ἀπ' αὐτῆς, ὥσπερ οἱ Στωϊκοὶ τοὺς ἀστέ-
ρας ὑπολαμβάνουσιν, ἀλλὰ τοὐναντίον, εἰς ταύτην ἀπόλλυσθαι τὸν πατέρα καὶ
σωτῆρα τῆς χώρας, ὃν Ὀσίριδος ἀποῤῥοὴν ὀνομάζουσι, καὶ θρηνοῦντες τὸν ἐν
τοῖς ἀριστεροῖς μέρεσι γεννώμενον, ἐν τοῖς δεξιοῖς φθειρόμενον αἰνίττονται τὴν τοῦ
Νείλου τελευτὴν καὶ φθορὰν ἐν τῇ θαλάττῃ γινομένην. ὅθεν οὔτε τὸ ὕδωρ πότι-
μον αὐτῆς, οὔτε ὧν τρέφει τι καὶ γεννᾷ, καθαρὸν ἡγοῦνται καὶ οἰκεῖον, οἷς μήτε
πνεύματος κοινοῦ, μήτε συμφύλου νομῆς μέτεστιν, ἀλλ' ὁ σώζων πάντα τἄλλα,
καὶ τρέφων ἀὴρ ἐκείνοις ὀλέθριός ἐστιν, ὡς παρὰ φύσιν καὶ χρείαν γεγονόσι, καὶ
ζῶσιν. οὐ δεῖ δὲ θαυμάζειν, εἰ τὰ ζῶα διὰ τὴν θάλατταν ἀλλότρια, καὶ οὐκ ἐπιτή-
δεια καταμίγνυσθαι εἰς αἷμα καὶ πνεῦμα νομίζουσιν αὐτῶν. οἵ γε μὴ δὲ τοὺς
κυβερνήτας ἀξιοῦσι προσαγορεύειν ἀπαντῶντες, ὅτι τὸν βίον ἀπὸ θαλάττης ἔ-
χουσι. ταῦτα ἐπαινέσας ὁ Σύλλας προσεῖπε περὶ τῶν Πυθαγορικῶν, ὡς μάλι-
στα μὲν ἐγεύοντο τῶν ἱεροθύτων ἀπαρχόμενοι τοῖς θεοῖς. ἰχθύων δὲ θύσιμος οὐ-
δεὶς, οὐδὲ ἱερεύσιμός ἐστιν. ἐγὼ δὲ παυσαμένων ἐκείνων, Αἰγυπτίους μὲν ἔφην
ὑπὲρ τῆς θαλάττης πολλοὺς μαχεῖσθαι, καὶ φιλοσόφους, καὶ ἰδιώτας, ἐκ λογι-
ζομένους, ὅσοις ἀγαθοῖς εὐπορώτερον, καὶ ἥδιον τὸν βίον ἡμῶν πεποίηκεν. ἡ δὲ τῶν

πυθαγορικῶν πρὸς τὸν ἰχθὺν ἐκεχειρία διὰ τὸ μὴ σύμφυλον ἄτοπος καὶ γελοῖ-
ον, μᾶλλον δὲ ἀνήμερος ὅλως καὶ κυκλώπειόν τι τοῖς ἄλλοις γέρας νέμουσα τῆς
συγγενείας, καὶ τῆς οἰκειότητος ὀψοποιουμένης καὶ ἀναλισκομένης ὑπ' αὐτῶν.
καίτοι βόλον ἰχθύων πρίασθαι ποτέ φασι τὸν πυθαγόραν, εἶτα ἀφεῖναι κελεῦ-
σαι τὴν σαγήνην, οὐχ ὡς ἀλλοφύλων καὶ πολεμίων ἀμελήσαντα τῶν ἰχθύων,
ἀλλ' ὡς ὑπὲρ φίλων καὶ οἰκείων γεγονότων αἰχμαλώτων, λύτρα καταβάλλοντα.
διὸ τοὐναντίον ἔφην ὑπονοεῖν τῶν ἀνδρῶν ἐπιείκεια καὶ πραότης δίδωσι, μή πο-
τε ἄρα μελέτης ἕνεκεν τοῦ δικαίου, καὶ συνηθείας ἐφείδοντο μάλιστα τῶν ἐνα-
λίων, ὡς τἆλλα μὲν αἰτίαν ἁμωσγέπως παρέχοντα, τοῦ κακῶς πάσχειν τῷ ἀν-
θρώπῳ· τοὺς δ' ἰχθῦς, οὐδὲν ἀδικοῦντας ἡμᾶς, οὐδ' ἂν πάνυ πεφύκασι δυναμένους.
πάρεστι δὲ τῶν τε λόγων καὶ τῶν ἱερῶν εἰκάζειν τοῖς παλαιοῖς, ὡς οὐ μόνον ἐδω-
δὴν, ἀλλὰ καὶ φθόνον ζώου μὴ βλάπτοντος, ἔργον ἐναργὲς, καὶ θεσμὸν ἐποιοῦν-
το πλήθει δ' ἐπειγόμενοι καθειργόμενοι, καὶ χρησμοῦ τινος ὥς φασιν ἐκ δελφῶν
ἐπικελευσαμένου, τοῖς καρποῖς ἀρήγειν φθειρομένοις· ἤρξαντο μὲν καταθύ-
ειν. ἔτι δὲ ὅμως ταραττόμενοι, καὶ δειμαίνοντες ἔρδειν μὲν ἐκάλουν καὶ ῥέ-
ζειν, ὥς τι μέγα δρῶντες τὸ θύειν ἔμψυχον. ἄχρι δὲ νῦν παραφυλάττουσιν ἰσχυ-
ρῶς τὸ μὴ σφάττειν πρὶν ἐπινεῦσαι κατασπενδόμενον, οὕτως εὐλαβεῖς πρὸς ἅ-
πασαν ἀδικίαν οὖσαν· καίτοι ἵνα τἆλλα ἐάσωμεν, εἰ μόνον ἀλεκτρυόνων ἀπεί-
χοντο πάντες, ἢ δασυπόδων, οὐκ ἂν ἦν χρόνου βραχέος ἀπὸ πάθους, οὔτε πό-
λιν οἰκεῖν, οὔτε καρπῶν ὄνασθαι. διὸ τῆς ἀνάγκης ἐπαγούσης τὸ πρῶτον ἤδη καὶ
δι' ἡδονὴν ἔργον ἐστὶ παῦσαι τὴν σαρκοφαγίαν· τὸ δὲ τῶν θαλαττίων γένος, οὔτ' ἀ-
έρα τὸν αὐτὸν, οὔτε ὕδωρ ἀναλίσκον ἡμῖν, οὔτε καρποῖς προσιὸν, ἀλλ' ὥσπερ
ἑτέρῳ κόσμῳ περιεχόμενον, καὶ χρώμενον ὅροις ἰδίοις, οὓς ὑπερβαίνουσιν αὐτοῖς
ἐπίκειται δίκη ὁ θάνατος, οὔτε μικρὰν, οὔτε μεγάλην τῇ γαστρὶ πρόφασιν κατ'
αὐτῶν δίδωσιν, ἀλλὰ πᾶσα ἰχθύος ἄγρα καὶ σαγηνεία, λαιμαργίας καὶ ὀψο-
φαγίας περιφανῶς ἔργον ἐστὶν, ἐπ' οὐδενὶ δικαίῳ ταραττούσης τὰ πελάγη, καὶ
καταδυομένης εἰς τὸν βυθόν. οὔτε γὰρ τρίγλαν ἔστι δήπου ληιβωτείραν, οὔτε
σκάρον ζυγηφάγον, οὔτε κέστρεις τινὰς, ἢ λάβρακας σπερμολόγους προσειπεῖν,
ὡς τὰ χερσαῖα κατηγοροῦντες, ὀνομάζομεν. ἀλλ' οὐδ' ὅσα γαλῆ, καὶ μῦς, κατοι-
κιδίων μικρολόγως ἐγκαλοῦμεν. ἔχοι τις ἂν αἰτιάσασθαι τὸν μέγιστον ἰχθὺν, ὅ-
θεν αὖ εἴργοντες ἑαυτοὺς οὐ νόμῳ μόνον τῆς πρὸς ἀνθρώπων ἀδικίας, ἀλλὰ καὶ
φύσει τῆς ἅπαντα μὴ βλάπτον, ἥκιστα τῶν ὄψων ἐχρῶντο τοῖς ἰχθύσιν, ἢ τὸ πα-
ράπαν οὐκ ἐχρῶντο. καὶ γὰρ αὖ ἄνευ τῆς ἀδικίας, ἀκρασίαν τινὰ, καὶ λιχνείαν ἐμφαί-
νειν ἔοικε, καὶ περὶ ταῦτα πραγματεία πολυτελὴς οὖσα καὶ περίεργος. ὅθεν
ὅμηρος, οὐ μόνον τοὺς ἕλληνας ἰχθύων ἀπεχομένους πεποίηκε περὶ τὸν ἑλλήσπον-
τον στρατοπεδεύοντας, ἀλλ' οὐδὲ τοῖς ἁβροβίοις Φαίαξιν, οὐδὲ τοῖς ἀσώτοις μνη-
στῆρσιν ἀμφοτέροις οὖσι νησιώταις θαλάττιον παρατέθεικεν ὄψον. οἱ δὲ ὀδυσσέως
ἑταῖροι τοσαύτην πλέοντες θάλατταν οὐδαμοῦ καθῆκαν ἄγκιστρον, οὐδὲ πόρ-
κον, οὐδὲ δίκτυον, ἀλφίτων παρόντων. ἀλλ' ὅτε δὴ νηὸς ἐξέφθιτο ἤια πάντα, μι-
κρὸν ἔμπροσθεν, ἢ ταῖς τοῦ ἡλίου βουσὶν ἐπιχειρεῖν, ἰχθῦς ἀγρεύοντες οὐκ ὄψον,
ἀλλὰ τροφὴν ἀναγκαίαν ἐποιοῦντο. γναμπτοῖς ἀγκίστροισιν, ἔτειρε δὲ γαστέρα λι-
μὸς, ἀπὸ τῆς αὐτῆς ἀνάγκης, ἰχθύσι τε χρωμένων, καὶ τὰς τοῦ ἡλίου βοῦς κα-
τεσθιόντων. ὅθεν οὐ παρ' αἰγυπτίοις μόνον, οὐδὲ σύροις, ἀλλὰ καὶ παρ' ἕλλησι γέ-
γονεν ἁγνείας μέρος ἀποχὴ ἰχθύων μετὰ τοῦ δικαίου καὶ τὸ περίεργον οἶμαι τῆς
βρώσεως ἀποδιοπομπουμένοις. ὑπολαβὼν δὲ ὁ νέστωρ, τῶν δὲ ἐμῶν ἔφη πολιτῶν
ὥσπερ μεγάρων οὐδεὶς λόγος. καίτοι πολλάκις ἀκήκοας ἐμοῦ λέγοντος, ὅτι ἀεὶ οἱ

τοῦ ποσειδῶνος ἱερεῖς, οὓς ἱερομνήμονας καλοῦμεν, ἰχθῦς οὐκ ἐσθίουσιν. ὁ γὰρ
θεὸς λέγεται φυτάλμιος. οἱ δὲ, ἀφ' ἕλληνος τοῦ παλαιοῦ, καὶ πατρογενείῳ πο-
σειδῶνι θύουσιν, ἐκ τῆς ὑγρᾶς τὸν ἄνθρωπον οὐσίας φῦναι δόξαντες, ὡς καὶ σύ-
ροι. διὸ καὶ σέβονται τὸν ἰχθὺν, ὡς ὁμογενῆ καὶ σύντροφον, ἐπιεικέστερον ἀναξι-
μάνδρου φιλοσοφοῦντες. οὐ γὰρ ἐν τοῖς αὐτοῖς ἐκεῖνος ἰχθῦς καὶ ἀνθρώπους, ἀλ-
λ' ἐν ἰχθύσιν ἐγγενέσθαι τὸ πρῶτον ἀνθρώπους ἀποφαίνεται, καὶ τραφέντας ὥσ-
περ οἱ παλαιοὶ καὶ γενομένους ἱκανοὺς, ἑαυτοῖς βοηθεῖν ἐκβιβασθῆναι τηνικαῦτα
καὶ γῆς λαβέσθαι. καθάπερ οὖν τὸ πῦρ τὴν ὕλην ἐξ ἧς ἀνήφθη μητέρα καὶ πα-
τέρα οὖσαν ἤσθιεν, ὡς ὁ τὸν κήϋκος γάμον εἰς τὰ ἡσιόδου παρεμβαλὼν εἴρηκεν,
οὕτως ὁ ἀναξίμανδρος τῶν ἀνθρώπων πατέρα, καὶ μητέρα κοινὸν ἀποφήνας
τὸν ἰχθὺν διέβαλε πρὸς τὴν βρῶσιν.

Εἰ δυνατόν ἐστι συστῆναι νοσήματα καινὰ, καὶ διαιτίας. θ'.

* ίλων ὁ ἰατρὸς διεβεβαιοῦτο τὴν καλουμένην ἐλεφαντίασιν, οὐ πρὸ πολλοῦ πάνυ
χρόνου γνώριμον γεγονέναι. μηδένα γὰρ τῶν παλαιῶν ἰατρῶν τοῦ πάθους [illegible]
πεποιῆσθαι λόγον, εἰς ἕτερα μικρὰ, καὶ γλίσχρα, καὶ δυσθεώρητα τοῖς πολλοῖς
ἐνταθέντας. ἐγὼ δὲ καὶ μάρτυν αὐτῷ παρεῖχον ἐκ φιλοσοφίας ἀθηνόδωρον
ἐν τῷ προτέρῳ τῶν ἐπιδημίων ἱστοροῦντα. πρῶτον ἐν τοῖς κατ' ἀσκληπιάδην
χρόνοις, οὐ μόνον τὴν ἐλεφαντίασιν, ἀλλὰ καὶ τὸν ὑδροφόβαν ἐκφανῆ γενέσθαι.
θαυμάζοντες οὖν οἱ παρόντες εἰ νέα πάθη τότε πρῶτον ἔσχεν ἐν τῇ φύσει γένε-
σιν καὶ στάσιν, οὐχ ἧττον ᾤοντο θαυμάσιον εἶναι τὸ λαθεῖν τηλικαῦτα συμπτώμα-
τα χρόνον τοσοῦτον. ἐρρύησαν δέ πως μᾶλλον οἱ πλείους ἐπὶ τὸ δεύτερον, ὡς ἀν-
θρώπινον μᾶλλον ἥκιστα τὴν φύσιν. ἔν γε τούτοις φιλόκαινον εἶναι, καὶ νέων πραγ-
μάτων, ὥσπερ ἐν πόλει τῷ σώματι δημιουργὸν ἀξιοῦντες. ὁ δὲ διογενιανὸς ἔφη,
καὶ τὰ τῆς ψυχῆς νοσήματα, καὶ πάθη κοινήν τινα καὶ πάτριον ὁδὸν βαδί-
ζειν, καίτοι παντοδαπὸν μὲν εἶπεν ἡ μοχθηρία, καὶ πολύτολμον. αὐτοκρατὴς δὲ
ἡ ψυχὴ, καὶ κύριον ὑπ' αὐτῆς εἰ βούλοιτο μεταβάλλειν, καὶ τρέπεσθαι ῥᾳδίως.
ἔχει δέ τινα τάξιν τὸ ἄτακτον αὐτῆς, καὶ τὰ μέτρα τηρεῖ τοῖς πάθεσιν, ὥσπερ
ἡ θάλαττα ταῖς ὑπὲρ ἐκχύσεσι, καὶ καινὸν οὐδὲν, οὐδὲ τοῖς παλαιοῖς ἀνιστόρητον
ἐξήνθηκε κακίας εἶδος. ἀλλὰ πολλαὶ μὲν ἐπιθυμιῶν διαφοραὶ, μυρία δὲ κινή-
ματα φόβου, καὶ σχήματα τῆς λύπης, καὶ ἡδονῆς μορφὰς ἔργον ἐστὶ μὴ ἀπειπεῖν,
ἐξαριθμούμενον. οὐ μήν τι νῦν γε καὶ χθὲς, ἀλλ' ἀεί ποτε ζῇ ταῦτα, καὶ οὐδεὶς οἶ-
δεν ἐξ ὅτου ἐφάνη. πόθεν γε δὴ σώματι νόσημα καινὸν, ἢ πάθος ὀψίγονον. ἰδίαι μὲν
ὥσπερ ἡ ψυχὴ κινήσεως ἀρχὴν οἴκοθεν οὐκ ἔχοντι. συνημμένῳ δὲ κοιναῖς πρὸς
τὴν φύσιν αἰτίαις, καὶ κεκραμένῳ κρᾶσιν. ἧς καὶ τὸ ἄπειρον ἐντὸς ὅρων πλανᾶται,
καθάπερ πλοῖον ἐν περιδρόμῳ σαλεῦον, οὔτε γὰρ ἀναίτιος νόσου σύστασίς ἐστι, τὴν
ἐκ μὴ ὄντος παρανόμως ἐπεισάγουσαι γένεσιν, δύναμιν τοῖς πράγμασιν, αἰτί-
αν δὲ καινὴν ἔργον ἐξευρεῖν, μὴ καινὸν ἀέρα, καὶ ξένον ὕδωρ καὶ τροφὰς ἀγεύστους,
τοῖς προτέροις ἐξ ἑτέρων τινῶν κόσμων ἢ μετακοσμίων ἀποφήναντι. δεῦρο νῦν
πρῶτον ἐπιρρεούσας. ἐκ τούτων γὰρ νοσοῦμεν οἷς καὶ ζῶμεν. ἴδια δὲ σπέρματα
νόσων οὐκ ἔστιν, ἀλλ' αἱ τούτων μοχθηρίαι πρὸς ἡμᾶς, καὶ ἡμῶν περὶ ταῦ-
τα πλημμέλειαι τὴν φύσιν ἐπιταράττουσιν, αἱ δὲ ταραχαὶ, διαφορὰς
ἀιδίους ἔχουσι πολλάκις νέοις χρωμένας ὀνόμασι. τὰ γὰρ ὀνόματα τῆς
συνηθείας εἰσί, τὰ δὲ πάθη, τῆς φύσεως. ὅθεν ἀφωρισμένοις τού-
τοις, ἐκεῖνα ποικιλλόμενα, τὴν ἀπάτην πεποίηκεν. ὡς δὲ τοῖς τοῦ λόγου
μορίοις, καὶ ταῖς πρὸς ἄλληλα τούτων συντάξεσι, καινὸν ἐγγενέσθαι βαρβα-

εισμὸν, ἢ σολοικισμὸν, ἐξαίφνης ἀδύνατόν ἐστιν· οὕτως αἱ τοῦ σώματος κράσεις ὡρι-
σμένας ἔχουσι τὰς ὀλισθήσεις καὶ παραβάσεις, τρόπον τινὰ τῇ φύσει, καὶ τῶν
παρὰ φύσιν ἐμπειρίαν ἐχομένων, ταύτῃ γε κομψοὶ, καὶ οἱ μυθογράφοι. τὰ γὰρ
παντάπασιν ἔμφυλα, καὶ τεράστια τῶν ζῴων γενέσθαι λέγουσιν ἐν τῇ γιγαντο-
μαχίᾳ τῆς σελήνης ἐκτρεπομένης, καὶ τὰς ἀνατολὰς οὐχ ὅθεν εἴωθεν ποιουμένης.
οἱ δὲ, καὶ τὰ νοσήματα τὴν φύσιν, ὥσπερ τέρατα γεννᾶν ἀξιοῦσι, μήτε πιθανὴν
μήτε ἀπίθανον αἰτίαν τῆς ἐξαλλαγῆς πλάσσοντες. ἀλλὰ τὸ ἄγαν καὶ τὸ μᾶλλον
ἐνίων παθῶν καινότητα, καὶ διαφορὰν ἀποφαίνοντες· οὐκ ὀρθῶς ὦ μακάριε φί-
λων. ἐπίτασις γὰρ καὶ αὔξησις, μέγεθος καὶ πλῆθος προστίθησι. τὸ δὲ γένος
ἐκβιάζει τὸ ὑποκείμενον, ὥσπερ οὐδὲ τὴν ἐλεφαντίασιν οἴομαι σφοδρότητα τῶν
ψωρικῶν τινος τούτων οὖσαν, οὐδὲ τὴν ὑδροφόβαν τῶν στομαχικῶν, ἢ τῶν μελαγ-
χολικῶν. καίτοι τοῦτό γε θαυμαστὸν, εἰ μὴ δὲ Ὅμηρος ἀγνοῶν ἐλάνθανεν ἡμᾶς. τὸ
γὰρ λυσσητῆρα κύνα δῆλός ἐστιν ἀπὸ τοῦ πάθους τούτου προσαγορεύων· ἀφ' οὗ καὶ
ἄνθρωποι λυσσᾶν λέγονται. ταῦτα τοῦ Διογενιανοῦ διελθόντος, ὁ Φίλων αὐ-
τός τε μέτρια διελέχθη πρὸς τὸν λόγον αὐτοῦ, καί με συνειπεῖν παρεκάλει τοῖς
ἀρχαίοις ἰατροῖς, ὡς ἀμελείας ἢ ἀγνοίας τῶν μεγίστων ὀφλισκάνουσιν· εἰ ὄντως
ταῦτα τὰ πάθη νεώτερα φαίνεται τῆς ἐκείνων ἡλικίας. πρῶτον οὖν ὁ Διογε-
νιανὸς οὐκ ὀρθῶς ἀξιοῦν ἔδοξεν ἡμῖν τὰς ἐπιτάσεις, καὶ ἀνέσεις μὴ ποιεῖν δια-
φορὰς, μὴ δὲ τοῦ γένους ἐκβιβάζειν. οὕτω γὰρ, οὔτε ὄξος ὀξίνου φήσομεν διαφέ-
ρειν, οὔτε πικρότητα, στρυφνότητος, οὔτε πυρῶν αἶραν, οὔτε μίνθον, ἡδυόσμου.
καίτοι περιφανῶς ἐκστάσεις αὗται καὶ μεταβολαὶ ποιοτήτων εἰσίν. αἱ μὲν ἀνέ-
σεις μαραινομένων, αἱ δ' ἐπιτάσεις σφοδρυνομένων, ἢ μὴ δὲ φλόγα πνεύματος
λευκοῦ, μὴ δὲ φλογὸς αὐγὴν, μὴ δὲ πάχνην δρόσου, μὴ δὲ χάλαζαν ὄμβρου διαφέ-
ρειν λέγομεν, ἀλλ' ἐπιτάσεις εἶναι ταῦτα πάντα καὶ σφοδρότητας. ὅρα δὲ
καὶ τυφλότητα μηδὲν ἀμβλυωπίας φάναι διαφέρειν. μὴ δὲ ναυτίας χολέ-
ραν, ἀλλὰ τὸ μᾶλλον καὶ ἧττον παραλλάττειν. καίτοι ταῦτα πρὸς λόγον οὐδέν
ἐστι· γὰρ αὐτὴν λέγουσι δεξάμενοι τὴν ἐπίτασιν, καὶ τὴν σφοδρότητα νῦν γε-
γονέναι, πρῶτον ἐν ὑστέρῳ γινομένης τῆς κενότητος οὐκ ἐν ποιωμένῃ τὸ παράδοξον
ὁμοίως. ἔπειτα τοῦ Σοφοκλέους ἐᾶθι τῶν ὅτι μὴ πρότερον ἦν ἀπιστουμένων ἐ-
γονε νῦν, οὐ φαύλως εἰπόντος ἅπαντα τὰ γένη τοῦ πρῶτον ἦλθεν ἅπαξ ἐκδρομὴν
καὶ λόγον ἔχειν τοῦ μὴ δρόμου, καθάπερ ὕσπληγος μιᾶς πεσούσης ἐκδρομὴν, ἅπαντα
τὰ πάθη πρὸς τὴν γένεσιν, ἄλλων δ' ἄλλας ἀεὶ κατόπιν ἐπιγινόμενον ἕκαστον,
χρόνῳ τινὶ λαβεῖν τὴν πρώτην γένεσιν. εἰκάσαι δ' ἄν τις ἐφηνέτω. τὰ μὲν ἀπ' ἐν-
δείας, ὅσα τε καῦμα προσπῖπτον ἢ ψῦχος ἐμποιεῖ. ταῦτα πρῶτον τοῖς σώμασι
παραγενέσθαι. πλησμονὰς δὲ καὶ θρύψεις καὶ ἡδυπαθείας ὕστερον ἐπελθεῖν μετ'
ἀργίας καὶ σχολῆς δι' ἀφθονίαν τῶν ἀναγκαίων πολὺ περίττωμα ποιούσας, καὶ
πονηρὸν, ἐν ᾧ ποικίλα νοσημάτων εἴδη, παντοδαπαῖς τε τούτων ἐπιπλοκαῖς
πρὸς ἀλλήλας καὶ μίξεις, ἀεί τι νεωτερίζειν. τὸ μὲν γὰρ κατὰ φύσιν τέτακται
καὶ διώρισται. τάξις γὰρ, ἢ τάξεως ἔργον ἡ φύσις. ἡ δὲ ἀταξία καθάπερ ἡ Πιν-
δαρικὴ ψάμμος ἀριθμὸν περιπέφευγε, καὶ τὸ παρὰ τὴν φύσιν εὐθὺς ἀόριστον καὶ
ἄπειρόν ἐστιν. ἀληθεύειν μὲν γὰρ ἁπλῶς, ψεύδεσθαι δὲ ἀπειραχῶς παρέχει τὰ
πράγματα, καὶ ῥυθμοὶ, καὶ ἁρμονίαι λόγους ἔχουσιν. ἃ δὲ πλημμελοῦσιν ἄν-
θρωποι περὶ λύραν καὶ ᾠδὴν καὶ ὄρχησιν, οὐκ ἄν τις περιλάβοι. καίτοι καὶ Φρύνιχος
ὁ τῶν τραγῳδιῶν ποιητὴς περὶ αὐτοῦ φησιν, ὅτι σχήματα δ' ὄρχησις τόσα μοι πό-
ρεν ὅσσ' ἐνὶ πόντῳ κύματα ποιεῖται χείματι νὺξ ὀλοή. καὶ Χρύσιππος, τὰς ἐκ δέκα
μόνων ἀξιωμάτων συμπλοκὰς, πλήθει φησὶν ἑκατὸν μυριάδας ὑπερβάλλειν.

ἀλλὰ τοῦτο μὲν, ἤλεγξεν Ἵππαρχος, ἀποδείξας ὅτι τὸ μὲν καταφατικὸν περιέ-
χει συμπεπλεγμένων μυριάδας δέκα, καὶ πρὸς ταύταις χίλια τεσσαρακον-
τα ἐννέα, τὸ δὲ ἀποφατικὸν αὐτοῦ μυριάδας τριάκοντα μίαν, καὶ πρὸς ταύ-
ταις ἐνακόσια πεντηκονταδύο. Ξενοκράτης δὲ τὸν τῶν συλλαβῶν ἀριθμὸν, ὃ τὰ
στοιχεῖα μιγνύμενα πρὸς ἄλληλα παρέχει, μυριάδων ἀπέφηνεν εἰκοσάκις, καὶ
μυριάκις μυρίων. τί δὴ θαυμαστόν ἐστιν, εἰ τοσαύτας μὲν ἐν ἑαυτῷ τοῦ σώματος δυνά-
μεις ἔχοντος. τοσαύτας δὲ διὰ σιτίων, καὶ ποτῶν ἐπεισαγομένου ποιότητας ἑ-
κάστοτε, χρωμένου δὲ κινήσεσι, καὶ μεταβολαῖς, μήτε καιρὸν ἕνα, μήτε τάξιν ἀεὶ
μίαν ἐχούσαις αἱ πρὸς ἀλλήλας συμπλοκαὶ τούτων ἁπάντων ἔστιν ὅτε και-
νὰ καὶ ἀσυνήθη νοσήματα φέρουσιν, οἷον ὁ Θουκυδίδης ἱστορεῖ τὸν Ἀθήνησι λοι-
μὸν γενέσθαι τεκμαιρόμενος αὐτοῦ τὸ μὴ σύντροφον μάλιστα, τῷ τὰ σαρκοφά-
γα μὴ γεύεσθαι τῶν νεκρῶν. οἱ δὲ περὶ τὴν Ἐρυθρὰν θάλασσαν νοσήσαντες, ὡς Ἀ-
γαθαρχίδης ἱστόρηκεν, ἄλλοις τε συμπτώμασιν ἐχρήσαντο καινοῖς, καὶ ἱστορή-
τοις· καὶ δρακόντια μικρὰ, τὰς κνήμας διεσθίοντα, καὶ τοὺς βραχίονας ἐξέ-
κυψεν. ἁπτομένων δὲ αὖθις ἀνεδύετο, καὶ φλεγμονὰς ἀκαρτερήτους ἐνειλούμε-
να τοῖς μυώδεσι παρεῖχεν, καὶ τοῦτο τὸ πάθος, οὔτε πρότερον οἶδεν οὐδεὶς, οὔτε
ὕστερον ἄλλοις, ἀλλ' ἐκείνοις τε μόνοις γενόμενον, ὡς ἕτερα πολλά. καὶ γὰρ ἐν δυ-
σουρίᾳ τις γενόμενος πολλῷ χρόνῳ ἐξέδωκε κριθίνην καλάμην γόνατα ἔχου-
σαν, καὶ τὸν ἡμέτερον ξένον Ἔφηβον Ἀθήνησιν ἴσμεν, ἐκβάλλοντα μετὰ πολλοῦ
σπέρματος, θηρίδιον δασὺ, καὶ πολλοῖς ποσὶ ταχὺ βαδίζον. τὴν δὲ Τίμωνος ἐν
Κιλικίᾳ τιτθὴν Ἀριστοτέλης ἱστόρηκε φωλεύειν τοῦ ἔτους ἑκάστου δύο μῆνας, μη-
δενὶ πλὴν μόνῳ τῷ ἀναπνεῖν, ὅτι ζῇ διάδηλον οὖσαν, καὶ μὴν ἔν γε τοῖς Μενω-
νείοις σημεῖον ἡπατικοῦ πάθους ἀναγέγραπται, τὸ τοὺς κατοικιδίους μῦς ἐπι-
μελῶς παραφυλάττειν καὶ διώκειν, ὃ νῦν οὐδαμοῦ γινόμενον ὁρᾶται. διὸ μὴ θαυ-
μάζωμεν ἂν γένηταί τι τῶν οὐ πρότερον ὄντων, ἢ ὕστερον ἐκλέλοιπεν. αἰτία γὰρ ἡ
τῶν σωμάτων φύσις ἄλλην ἄλλοτε λαμβάνουσα κρᾶσιν. τὸ μὲν οὖν ἀέρα καινὸν
ἐπεισάγειν, ἢ ξένον ὕδωρ, εἰ μὴ βούλεται Διογενιανὸς ἐάσωμεν. καίτοι, τούς γε Δη-
μοκρίτειους ἴσμεν, καὶ λέγοντας καὶ γράφοντας, ὅτι καὶ κόσμων ἐκτὸς φθαρέν-
των, καὶ σωμάτων ἀλλοφύλων ἐκ τῆς ἀπειρίας ἐπιρρεόντων. ἐνταῦθα πολλά-
κις ἀρχαὶ παρεμπίπτουσι, λοιμῶν καὶ παθῶν οὐ συνήθων. ἐάσωμεν δὲ καὶ τὰς
φθορὰς κατὰ μέρος παρ' ἡμῖν ὑπό τε σεισμῶν, καὶ αὐχμῶν, καὶ ὄμβρων, αἷς καὶ
τὰ πνεύματα, καὶ τὰ νάματα γηγενῆ φύσιν ἔχοντα συννοσεῖν ἀνάγκη καὶ συμ-
μεταβάλλειν. ἀλλὰ τὴν περὶ τὰ σιτία καὶ τὰ ὄψα, καὶ τὰς ἄλλας διαίτας
τοῦ σώματος ἐξαλλαγὴν ὅση γέγονεν, οὐ παραλειπτέον. πολλὰ γὰρ τῶν ἀγεύστων,
καὶ ἀβρώτων πρότερον, ἥδιστα νῦν γέγονεν, ὥσπερ οἰνόμελι καὶ μήτρα. λέγουσι
δὲ μὴ δὲ ἐγκέφαλον οὕτως διὰ τὸ ῥίπτειν καὶ ἀποβάλλειν, μυσαττομένους πρὸς
εἰπόντα. σικύου δὲ πέπονος καὶ μήλου μηδικοῦ, καὶ πεπέρεως, πολλοὺς ἴσμεν
ἔτι τῶν πρεσβυτέρων γεύσασθαι μὴ δυναμένους. ὑπό τε δὴ τούτων εἰκός ἐστι ξένα
παθεῖν τὰ σώματα, καὶ παραλλάττειν ταῖς κράσεσιν ἡσυχῇ ποιότητα, καὶ περίττω-
μα ποιούντων ἴδιον, τὴν δὲ τάξιν αὐτῶν τῶν ἐδεστῶν, καὶ μετακόσμησιν, οὐ μικρὰς ἔ-
χειν διαφοράς, αἱ γὰρ καλούμεναι ψυχραὶ τράπεζαι, πρότερον ὀστρέων ἔχειν ὠμῶν
λαχάνων, ὥσπερ ἐλαφρῶν. ὁ Πλάτων ἀπ' ἄκρας τὸ στόμα μεταχθεῖσαι τὴν πρώ-
την ἀντὶ τῆς ἐσχάτης τάξιν ἔχουσι. μέγα δὲ καὶ τὸ τῶν καλουμένων προπομάτων. οὐδὲ τὸ
ὕδωρ οἱ παλαιοὶ πρὶν ἐντραγεῖν ἔπινον. οἱ δὲ νῦν ἄσιτοι προμεθυσθέντες, ἅπτονται τῆς
τροφῆς διαβρόχῳ τῷ σώματι καὶ ζέοντι, λεπτὰ καὶ τομὰ, καὶ ὀξέα προσφέροντες,
ὑπέκκαυμα τῆς ὀρέξεως, εἶτα οὕτως ἐμφορούμενοι τῶν ἄλλων, οὐδενὸς δὲ πρὸς

μεταβολὴν, καὶ τὸ ποιῆσαι νόσημα τῶν καινῶν γένεσιν ἀσθενέστερόν ἐστιν, ἢ περὶ
τὰ λουτρὰ τῆς σαρκὸς πολυπάθεια, καθάπερ σιδήρου πυρὶ μαλασσομένης καὶ
ῥεούσης, εἶτα βαφὴν ἀπὸ ψυχροῦ καὶ στόμωσιν ἀναδεχομένης. ἔνθα μὲν εἰσαχ-
θέντες, πυρὶ φλεγέθων ῥέουσι. ἔστι γὰρ ἄν τις εἰπεῖν μοι δοκεῖ, τῶν ἐλλιπῶν ἡμῶν οὗτος ἀνεμέ-
ἔμπροσθεν γεγονότων. βαλανείου θύρας ἀνοιχθείσης. ἐκεῖνοι γὰρ οὔπω ἐν τῷ λουτρῶ-
νι ἐχρῶντο καὶ μαλακοῖς, ὥστε ἀλέξανδρος μὲν ὁ βασιλεὺς ἐν τῷ πολλοῦ χύδην
πυρέττων, ἐκάθευδεν. αἱ δὲ γαλατῶν γυναῖκες εἰς τὰ βαλανεῖα, πόλτον ἐκφέρουσαι ἔοικε
εἰς φθόρον ὄντες ὁ μετὰ τῶν παίδων ἤσθιον, ὁμοῦ λουόμενον. νῦν δὲ λυττῶσιν αὖθις,
τὰ βαλανεῖα, καὶ ὑλακτοῦσι, καὶ σπαράττουσιν. ὁ δὲ ἑλκόμενος ἀὴρ ἐν αὐτοῖς, ἀλλὰ πᾶν
ὑγροῦ μίγμα, καὶ πυρὸς γεγονὼς, οὐδὲν ἐᾷ τοῦ σώματος ἡσυχίαν ἄγειν, ἀλλὰ πᾶν ἀσβέστω
σαν ἄτομον κλονεῖ καὶ ταράσσει, καὶ μεθίστησιν ἐξ ἕδρας. ἄχρι οὗ καταστέλλει διογενιανὲ δεῖται ὁ
μὲν αὐτοὺς πεπυρωμένους, καὶ ζέοντας. οὐδὲν οὖν ἔφην ὦ διογενιανὲ δεῖται ὁ περὶ τῶν
λόγος αἰτιῶν ἐπεισοδίων ἔξωθεν, οὐδὲ μετακοσμίων, ἀλλ᾽ αὐτόθεν ἡ περὶ τὴν τῶν νοσημάτων,
δίαιταν μεταβολή. τὰ μὲν οὖν γεννᾶν, τὰ δὲ ἀφανίζειν
οὐκ ἀδύνατός ἐστι.

Διατί τοῖς φθινοπωρινοῖς ἐνυπνίοις ἥκιστα πιστεύομεν.

Γ ροβλήμασι ἀριστοτέλους φυσικοῖς ἐντυγχάνων φλῶρος εἰς θερμοπύλας κο-
μισθεῖσιν αὐτός τε πολλῶν ἀπορίων ὅπερ εἰώθασι πάσχειν ἐπιεικῶς αἱ φιλόσο-
φοι φύσεις ὑπεπίμπλατο καὶ τοῖς ἑτέροις μετεδίδου, μαρτυρῶν αὐτῷ τῷ ἀρι-
στοτέλει λέγοντι, τὴν πολυμάθειαν, πολλὰς ἀρχὰς ποιεῖν. τὰ μὲν οὖν ἄλλα μεθ᾽ ἡ-
μέραν, οὐκ ἄχαριν ἡμῖν ἐν τοῖς περιπάτοις διατριβὴν παρεῖχε. τὸ δὲ λεγόμενον
περὶ τῶν ἐνυπνίων, ὡς ἔστιν ἀβέβαια καὶ ψευδῆ, μάλιστα περὶ τοὺς φυλλοχόους
μῆνας, οὐκ οἶδ᾽ ὅπως ἑτέροις λόγοις πραγματευσαμένου τοῦ φαβωρίνου μετὰ τὸ
δεῖπνον ἀνέκυψε. τοῖς μὲν οὖν σοῖς ἑταίροις, ἐμοῖς δ᾽ υἱοῖς ἐδόκει λελυκέναι τὴν
ἀπορίαν ἀριστοτέλης, καὶ οὐδὲν ᾤοντο δεῖν ζητεῖν οὐδὲ λέγειν, ἀλλ᾽ ἢ τοὺς καρποὺς,
ὥσπερ ἐκεῖνος αἰτιᾶσθαι. νέοι γὰρ ὄντες ἔτι καὶ σφριγῶντες, πολὺ πνεῦμα γεν-
νῶσιν ἐν τῷ σώματι καὶ ταραχῶδες. οὐ γὰρ τὸν οἶνον εἰκός ἐστι μόνον ζεῖν καὶ ἀποκυμα-
τοῦν, καὶ τὴν ἀπὸ
γλευκίζειν, οὐδὲ τοὔλαιον αὖ ἢ νεουργὸν ἐν τοῖς λύχνοις ψόφον ἐμποιεῖν, ἀποπνεούσης ἀφ-
ζούσης τὸ πνεῦμα τῆς θερμότητος. ἀλλὰ καὶ τὰ σιτία τὰ πρόσφατα, καὶ τὴν
ὀπώραν ἅπασαν ὁρῶμεν, ἐντεταμένην καὶ οἰδοῦσαν, ἄχρι ἂν ἀποπνεύσῃ τὸ πνευματῶδες καὶ ἄπεπτον. ἔτι δέ ἐστι τῶν βρωμάτων ἔνια δυσόνειρα, καὶ ταρακτικὰ τοῦ
καθ᾽ ὕπνον ὄψεων μαρτυρίοις ἐχρῶντο τοῖς τε κυάμοις καὶ τῇ κεφαλῇ τοῦ πο-
λύποδος, ὧν ἀπέχεσθαι κελεύουσι τοὺς δεομένους τῆς διὰ τῶν ὀνείρων μαντικῆς, καὶ
ὁ δὲ φαβωρῖνος αὐτὸς τὰ μὲν ἄλλα δαιμονιώτατος ἀριστοτέλους ἐραστής ἐστι, καὶ τοῦ
τῷ περιπάτῳ νέμει μερίδα τοῦ πιθανοῦ πλείστην. τότε μέντοι λόγον τινὰ τοῦ δη-
μοκρίτου παλαιὸν, ὥσπερ ἐκ καπνοῦ καθελὼν ἠμαυρωμένον οἷος ἦν ἐκκαθαί-
ρειν, καὶ διαλαμπρύνειν ὑπεθέμενος. τοῦτο δὴ τοὐπίσημον ὅ φησι δημόκριτος,
ἐγκαταβυσσοῦσθαι τὰ εἴδωλα διὰ τῶν πόρων εἰς τὰ σώματα, καὶ ποιεῖν τὰς
κατὰ τὸν ὕπνον ὄψεις ἐπαναφερόμενα. φοιτᾶν δὲ ταῦτα πανταχόθεν ἀπιόν-
τα καὶ σκευῶν, καὶ ἱματίων, καὶ φυτῶν, μάλιστα δὲ ζώων ἀπὸ σάλου πολλοῦ
καὶ θερμότητος, οὐ μόνον ἔχοντα μορφοειδεῖς τοῦ σώματος ἐκμεμαγμένας ὁ-
μοιότητας, ὡς ἐπίκουρος οἴεται. μέχρι τούτου δημοκρίτῳ συνεπόμενος. ἐνταῦ-
θα δὲ προλιπὼν τὸν λόγον, ἀλλὰ καὶ τῶν κατὰ ψυχὴν κινημάτων, καὶ βουλευ-
μάτων ἑκάστῳ, καὶ ἠθῶν, καὶ παθῶν ἐμφάσεις ἀναλαμβάνοντα συνεφέλκεσθαι,
καὶ προσπίπτοντα μετὰ τούτων ὥσπερ ἔμψυχα φράζειν, καὶ διαστέλλειν τοῖς ὑποδεχομένοις,

δεχομένοις τὰς τῶν μεθιέντων αὐτὰ δόξας, καὶ διαλογισμοὺς, καὶ ὁρμάς. ὅτ᾽
ἂν ἐνάρθρους καὶ ἀσυγχύτους φυλάττοντα προσμίξῃ τὰς εἰκόνας. τοῦτο δὲ
μάλιστα ποιεῖ δι᾽ ἀέρος λείου τῆς φορᾶς γινομένης ἀκωλύτου καὶ ταχείας. ὁ δὲ φθι-
νοπωρινὸς, ἐν ᾧ φυλλοχοεῖ τὰ δένδρα, πολλὴν ἀνωμαλίαν ἔχων καὶ τραχύτητα,
διαστρέφει, καὶ παρατρέπει πολλαχῇ τὰ εἴδωλα, καὶ τὸ ἐναργὲς αὐτῶν ἐξίτη-
λον καὶ ἀσθενὲς ποιεῖ τῇ βραδυτῆτι τῆς πορείας ἀμαυρούμενον. ὥσπερ αὖ πά-
λιν πρὸς ὀργώντων καὶ διακαιομένων ἐκθρώσκοντα πολλὰ καὶ ταχὺ κομιζόμε-
να, τὰς ἐμφάσεις νεαρὰς, καὶ σημαντικὰς ἀποδίδωσιν, εἶτα διαβλέψας πρὸς
τοὺς περὶ τὸν αὐτόβουλον, καὶ μειδιάσας, ἀλλ᾽ ὁρῶ εἶπεν ὑμᾶς οἵους τε ὄντας ἤ-
δη σκιαμαχεῖν πρὸς τὰ εἴδωλα. καὶ δόξῃ παλαιᾷ καθάπερ γραφῇ προσφέρον-
τας, ἀφὴν οἴεσθαί τι ποιεῖν. καὶ ὁ αὐτόβουλος, παῦε ποικίλων ἔφη πρὸς ἡμᾶς,
οὐ γὰρ ἀγνοοῦμεν, ὅτι τὴν ἀριστοτέλους δόξαν εὐδοκιμῆσαι βουλόμενος, ὥσπερ
σκιὰν αὐτῇ τὴν δημοκρίτου παραβέβληκας. ἐκείνην οὖν τρεψόμεθα, καὶ ἐκείνην μα-
χούμεθα, καταιτιῶσι τῶν νέων καρπῶν καὶ τῆς φίλης ὀπώρας οὐ προσηκόντως.
τὸ γὰρ θέρος αὐτοῖς μαρτυρεῖ, καὶ τὸ μετόπωρον. ὅτε μάλιστα χλωρὰν καὶ φλοι-
δῶσαν, ὡς ἀντίμαχος ἔφη τὴν ὀπώραν γεννωμένην ἄρτι προσφερόμενοι τοὺς καρ-
ποὺς, ἧττον ἀπατηλοῖς καὶ ψευδέσιν ἐνυπνίοις συνέσμεν. οἱ δὲ φυλλοχόοι μῆ-
νες ἤδη τῷ χειμῶνι παρασκηνοῦντες ἐν πέψει τὰ σιτία, καὶ τὰ περιόντα τῶν ἀ-
κροδρύων ἰχνὰ καὶ ῥυσὰ καὶ πᾶν ἀφεικότα τὸ πληκτίζον ἐκεῖνο καὶ μανικὸν ἔ-
χουσιν, καὶ μὴν οἶνόν γε τὸν νέον οἱ πρωϊαίτατα πίνοντες, ἀνθεστηριῶνι πίνουσι μη-
νὶ μετὰ χειμῶνα, καὶ τὴν ἡμέραν ἐκείνην. ἡμεῖς μὲν ἀγαθοῦ δαίμονος. ἀθηναῖοι
δὲ πιθοιγία προσαγορεύουσιν. γλεύκους δὲ ζέοντος ἀεὶ ἀφεστάναι, καὶ τοὺς ἐρ-
γάτας δεδιότας ὁρῶμεν. ἀφέντες οὖν τὸ συκοφαντεῖν, τὰ τῶν θεῶν δῶρα μετίω-
μεν. ἑτέραν ὁδὸν ἣν ὑφηγεῖται τοὔνομα τοῦ χρόνου, καὶ τῶν ὑπηνεμίων, καὶ ψευ-
δῶν ὀνείρων. φυλλοχόος γὰρ ὀνομάζεται διὰ ψυχρότητα, καὶ ξηρότητα τηνικαῦτα
τῶν φύλλων ἀπορρεόντων, πλὴν εἴ τι θερμόν ἐστιν ἢ λιπαρὸν, ὡς ἐλαῖαι καὶ δά-
φναι, καὶ φοίνικες, ἢ διερὸν, ὡς μυρσίνη καὶ κιττός. τούτοις γὰρ ἡ κρᾶσις βοηθεῖ.
τοῖς δὲ ἄλλοις οὔ. οὐ γὰρ παραμένει τὸ ἐχέκολλον, καὶ συνεκτικὸν, ἢ πυκνουμένης
ψυχρότητι τῆς ἰκμάδος. ἢ ξηραινομένης δι᾽ ἔνδειαν, ἢ δι᾽ ἀσθένειαν. ἔστι μὲν οὖν καὶ
φυτοῖς ὑγρότητι ἢ θερμότητι τεθηλέναι καὶ αὐξάνεσθαι. μᾶλλον δὲ τοῖς ζώ-
οις, καὶ τοὐναντίον ἡ ψυχρότης καὶ ἡ ξηρότης ὀλέθριον. διὸ χαριέντως ὅμηρος εἰ-
ωθεν, διεροὺς βροτοὺς καλεῖν, καὶ τὸ μὲν χαίρειν ἰαίνεσθαι. ἐγχεδανὸν δὲ καὶ κρυ-
ερὸν, τὸ λυπηρὸν καὶ τὸ φοβερόν. ὁ δὲ ἀλίβας καὶ ὁ σκελετὸς. ἐπὶ τοῖς νεκροῖς
γέγονε. λοιδορουμένης τὰ ὀνόματα τῆς ξηρότητος. ἔτι τὸ μὲν αἷμα κυριώτατον
τῶν ἐν ἡμῖν ἔχομεν δυνάμεων, ἅμα καὶ θερμόν ἐστι καὶ ὑγρόν. τὸ δὲ γῆρας ἀμφοῖν
ἐνδεές. ἔοικε δὲ τοῦ ἐνιαυτοῦ περιόντος. οἷον γῆρας εἶναι τὸ φθινόπωρον. οὔπω
γὰρ ἥκει τὸ ὑγρόν. οὐκέτι δὲ τὸ θερμὸν ἔρρωται δεῖγμα δὴ γεγονὸς ἀτεχνῶς ξη-
ρότητος ἅμα καὶ ψυχρότητος ἐπισφαλῆ ποιεῖ τὰ σώματα πρὸς τὰς νόσους.
τοῖς δὲ σώμασι τὰς ψυχὰς συμπαθεῖν ἀνάγκη, καὶ μάλιστα παχυνομένου τοῦ πνεύ-
ματος ἀμαυροῦσθαι τὸ μαντικὸν, ὥσπερ κάτοπτρον ὁμίχλης ἀναπιμπλάμενον,
οὐδὲν οὖν τρανὸν, οὐδὲν ἔναρθρον, οὐδὲ εὔσημον ἐν ταῖς φαντασίαις ἀποδίδωσι,
μέχρι οὗ τραχὺ καὶ ἀλαμπὲς καὶ συνεσταλμένον ἐστίν.

ΣΥΜΠΟΣΙΑΚΩΝ ΕΝΝΑΤΟΝ.

Περὶ στίχων εὐκαίρως ἀναπεφωνημένων καὶ ἀκαίρως.

Τὸ ἔνατον τῶν συμποσιακῶν ὦ Σόσσιε Σενεκίων περιέχει λόγους τοὺς Ἀθήνησιν ἐν τοῖς μουσείοις γενομένους, καὶ μάλιστα τὴν ἐννεάδα ταῖς μούσαις προσήκειν. ὁ δὲ ἀριθμὸς αὐτὸς ὑπερβάλλει τὴν συνήθη δεκάδα τῶν ζητημάτων, οὐ θαυμαστέον. ἔδει τὰ πάντα ταῖς μούσαις ἀποδοῦναι τὰ τῶν μουσῶν, καὶ μηδὲν ἀφελεῖν, ὀφείλοντας αὐτὰς ὥσπερ ἀφ' ἱερῶν πλείονα καὶ κάλλιονα τούτων. Ἀμμώνιος Ἀθήνησι στρατηγῶν ἀπόδειξιν ἔλαβε τῷ Διογενείῳ, τῶν γράμματα καὶ γεωμετρίαν καὶ τὰ ῥητορικὰ καὶ μουσικὴν μανθανόντων ἐφήβων, καὶ τοὺς εὐδοκιμήσαντας τῶν διδασκάλων ἐπὶ δεῖπνον ἐκάλεσε. παρῆσαν δὲ καὶ τῶν ἄλλων φιλολόγων συχνοὶ, καὶ πάντες ἐπιεικῶς οἱ συνήθεις. ὁ μὲν οὖν Ἀχιλλεὺς μόνοις τῶν ἀγωνισαμένων τοῖς μονομαχήσασι δεῖπνον κατήγγειλε, βουλόμενος, ὥς φασιν, εἴ τις ἐν τοῖς ὅπλοις ὀργὴ πρὸς ἀλλήλους καὶ χαλεπότης γένοιτο, ταύτην ἀφεῖναι καὶ καταθέσθαι τοὺς ἄνδρας ἑστιάσεως κοινῆς καὶ τραπέζης μεταλαβόντας. τῷ δὲ Ἀμμωνίῳ συνέβαινε τοὐναντίον. ἡ μὲν γὰρ τῶν διδασκάλων ἅμιλλα, καὶ φιλονεικία σφοδροτέραν ἔλαβεν ἐν ταῖς κύλιξι γενομένη καὶ ἀτακτοῦσι. διὸ πρῶτον ἤδη δὲ καὶ προτάσεις καὶ προκλήσεις ἦσαν ἄκαιροι καὶ ἄτακτοι. τὰ πρῶτα μὲν ἐκέλευσεν ᾆσαι τὸν Ἐράτωνα πρὸς τὴν λύραν. ᾄσαντος δὲ τὰ πρῶτα προτέρου τῶν ἔργων· οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος· ἐπῄνεσά πως τὸ καιρῷ προτέρου χαρίσασθαι μοσσάμενον. ἔπειτα περὶ στίχων εὐκαιρίας ἐνέβαλε λόγον, ὡς μὴ μόνον χάριν, ἀλλὰ καὶ χρείαν ἐστὶν, ὅτε μεγάλην ἐχούσης. καὶ ὁ μὲν ῥαψῳδὸς εὐθὺς ἦν διὰ στόματος

τοῖς πᾶσιν ἀγομένου ἐν τοῖς Πτολεμαίου γάμοις τὴν ἀδελφὴν, καὶ πρᾶγμα δρᾶν ἀλλόκοτον. ὁ μὲν οὐκ ἔα θεσμὸν, ἀρξάμενος ἀπὸ τῶν ἐπῶν ἐκείνων Ζεὺς δ' Ἥρην ἐκάλεσσε κασιγνήτην ἄλοχόν τε. καὶ ὁ παρὰ Δημητρίῳ τῷ βασιλεῖ ᾠ προθύμως ἦν ᾄδειν μετὰ τὸ δεῖπνον, ὥς τε προσέπεμψεν αὐτῷ τὸν υἱὸν ἔτι παιδάριον ὄντα τὸν Φίλιππον. ἐπιβαλὼν εὐθὺς τὸν παῖδά μοι τὸν δ' ἀξίως Ἡρακλέους ἡμῶν τε θρέψαι, καὶ Ἀνάξαρχος ὑπὸ Ἀλεξάνδρου μήλοις βαλλόμενος παρὰ δεῖπνον ἐπαναστάντας καὶ εἰπὼν βεβλήσεταί τις θεῶν βροτησίᾳ χειρί. πάντων δὲ ἄριστος Κορίνθιος παῖς αἰχμάλωτος, ὅτε ἡ πόλις ἀπώλετο. καὶ Μόμμιος ἐκ τῶν ἐλευθέρων τοὺς ἐπισταμένους γράμματα παῖδας ἐξετάζων ἐκέλευσε γράψαι. στίχον ἔγραψε· τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τότ' ὄλοντο. καὶ γὰρ παθεῖν τι τὸν Μόμμιόν φασι καὶ δακρῦσαι, καὶ πάντας ἀφεῖναι ἐλευθέρους τοὺς τῷ παιδὶ προσήκοντας. ἐμνήσθη τε καὶ τῆς Θεοδώρου τραγῳδοῦ γυναικὸς οὐ προσδεξαμένης αὐτὸν ἐν τῷ συγκαθεύδειν ὑπὸ γύου τοῦ ἀγῶνος ὄντος. ἐπεὶ δὲ νικήσας εἰσῆλθε πρὸς αὐτὴν ἀσπασαμένης καὶ εἰπούσης, Ἀγαμέμνονος παῖ νῦν ἐκεῖν' ἔξεστί σοι. ἐκ δὲ τούτου πολλὰ καὶ ἀκαίρως ἐνίοις ἔπεισι λέγειν, ὡς οὐκ ἄχρηστον εἰδέναι καὶ φυλάττεσθαι, οἷον Πομπηΐῳ Μάγνῳ φασὶν ἀπὸ τῆς μεγάλης ἐπανήκοντι στρατιᾶς. τὸν δὲ διδάσκαλον τῆς θυγατρὸς ἀπόδειξιν διδόντα βιβλίου κομισθέντος ἐνδοῦναι τῷ παιδὶ τοιαύτην ἀρχήν. ἤλυθες ἐκ πολέμου ὡς ὤφελες αὐτόθ' ὀλέσθαι. Κασσίῳ δὲ Λογγίνῳ λόγου προσπεσόντος ἀδεσπότου τὸν υἱὸν ἐπὶ ξένης τεθνάναι. καὶ τὸ ἀληθὲς ἔχοντος εἰπεῖν οὐδὲ ἀνελεῖν τὸ ὕποπτον εἰσελθὼν συγκλητικὸς ἀνὴρ πρὸς αὐτὸν ἤδη πρεσβύτερος οὐ κατὰ φρόνησιν ἔφη λογγῖνε λαλιὰς ἀπίστου καὶ κακοήθους φήμης, ὥσπερ οὐκ εἰδὼς οὐδ' ἐπεγνωκὼς τὸ φιλεῖν· μηδ' οὔ τις πάμπαν ἀπόλυται. ὁ δ' ἐν Ῥόδῳ στίχον αἰτήσαντι γραμματικῷ ποιημένῳ δεῖξιν ἐν τῷ θεάτρῳ προτείνας, ἔρρ' ἐκ νήσου θᾶσσον ἐλέγχιστε ζωόντων. ἄδηλον εἴτε παίζων ἐφύβρισεν, εἴτε ἄκων ἠστόχησε. ταῦτα μὲν οὖν παρηγόρησεν ἀστεῖος τὸν θόρυβον.

Τίς αἰτία δι' ἣν τὸ ἄλφα προτέτακται τῶν στοιχείων. β'.

Καὶ κατὰ ποίαν ἀναλογίαν ὁ τῶν φωνηέντων καὶ ἡμιφώνων ἀριθμὸς συντέτακται. γ'.

Ἔθους δὲ ὄντος ἐν τοῖς μουσείοις κλήρους περιφέρεσθαι, καὶ τοὺς συλλαχόντας ἀλλήλοις προτείνειν φιλόλογα ζητήματα. φοβούμενος ὁ Ἀμμώνιος μὴ τῶν ὁμοτέχνων τινὲς ἀλλήλοις συλλαχῶσι προσέταξεν ἄνευ κλήρου γεωμέτρην γραμματικῷ προτεῖναι, καὶ ῥητορικῷ μουσικόν. εἶτα ἔμπαλιν ἀναστρέφειν τὰς ἀνταποδόσεις. προὔτεινεν οὖν ὁ Ἑρμείας ὁ γεωμέτρης Πρωτογένει τῷ γραμματικῷ, εἰπεῖν, δι' ἣν τὸ ἄλφα προτάττεται τῶν γραμμάτων ἁπάντων. ὁ δὲ τὴν ἐν ταῖς σχολαῖς λεγομένην ἀπέδωκε. τὰ μὲν γὰρ φωνήεντα τῶν δικαιοτάτῳ λόγῳ πρωτεύει τῶν ἀφώνων καὶ ἡμιφώνων. ἐν δὲ τούτοις τῶν μὲν μακρῶν ὄντων, τῶν δὲ βραχέων, τῶν δὲ ἀμφοτέρων, καὶ διχρόνων λεγομένων. ταῦτα εἰκότως τῇ δυνάμει διαφέρειν. αὐτῶν δὲ τούτων πάλιν ἡγεμονικωτάτην ἔχειν τάξιν, τὸ προτάττεσθαι τῶν ἄλλων δυεῖν, ὑποτάττεσθαι δὲ μηδ' ἑτέρῳ πεφυκὸς, οἷόν ἐστι τὸ ἄλφα. τουτὶ γὰρ οὔτε τὸ ἰῶτα δεύτερον ὑποταττόμενον ἐθέλει ὁμολογεῖν, οὐδὲ ὁ παθεῖν· ὥς τε συλλαβὴν μίαν ἐξ ἀμφοῖν γενέσθαι, ἀλλ' ὥσπερ ἀγανακτοῦν, καὶ ἀποπηδῶν ἰδίαν ἀρχὴν ζητεῖν ἀεί. ἐκείνων δὲ ὁπότερον βούλει προταττόμενον ἀκολουθοῦντι καὶ συμφωνοῦντι χρῆσθαι, καὶ συλλαβὰς ὀνομάτων ποιεῖν. ὥσπερ τὸ αὔριον καὶ τὸ αὐλεῖν, καὶ τὸ Αἴαντος, καὶ τὸ αἰδεῖσθαι, καὶ μυρίων ἄλλων. διὸ τρισὶν ὥσπερ οἱ πένταθλοι περίεστι καὶ νικᾷ. τὰ μὲν

πολλὰ τῶν φωνηέντων εἶναι· τὰ δὲ αὖ φωνήεντα ἐν τῷ δίχρονον· ταῦτα δὲ αὐτὰ τοῦ
πεφυκέναι καθηγεῖσθαι, δευτερεύειν δὲ μηδέποτε, μὴ δὲ ἀκολουθεῖν. παυσαμένου
δὲ τοῦ πρωτογένους, καλέσας δὲ ὁ ἀμμώνιος, οὐδὲν ἔφη σὺ τῷ κάδμῳ βοηθεῖς ὁ βοι-
ώτιος, ὅν φασι τὸ ἄλφα πάντων προτάξαι διὰ τὸ φοίνικας οὕτω καλεῖν τὸν βοῦν
οὐ δεύτερον, οὐδὲ τρίτον, ὥσπερ ἡσίοδος, ἀλλὰ πρῶτον τίθεσθαι τῶν ἀναγκαίων. οὐδὲν
ἔφην ἐγώ· τῷ γὰρ ἐμῷ πάππῳ βοηθεῖν εἴ τι δύναμαι δίκαιός εἰμι μᾶλλον, ἢ τῷ τοῦ
διονύσου. λαμπρίας γὰρ ὁ ἐμὸς πάππος ἔλεγε πρώτην φύσει φωνὴν τὴν ἀνάρθρων ἐκ-
φέρεσθαι διὰ τὴν τοῦ ἄλφα δύναμιν. ὃ γὰρ ἐν τῷ στόματι πνεῦμα τοῦτ' ἐστι τὰ χείλη μάλι-
στα πλάττεσθαι κινήσεσιν, ὧν πρώτην ἀνοιγομένων τὴν ἄνω διάστασιν ὅταν ἐξιέναι
τοῦτον τὸν ἦχον ἁπλοῦν ὄντα κομιδῇ, καὶ μηδεμιᾶς δεόμενον πραγματείας· μὴ δὲ τὴν
γλῶτταν παρακαλοῦντα· μή δ' ὑπομένον, ἀλλὰ κατὰ χώραν ὑποκειμένης ἐκείνης
ἐκπεμπόμενον, ᾗ καὶ τὰ νήπια ταύτην πρώτην ἀφιέναι φωνὴν ὀνομάσαι· καὶ τὸ ἀΐειν
ἐστὶ τὸ τῆς φωνῆς αἰσθάνεσθαι· καὶ πολλὰ τῶν ὁμοίων ὥσπερ καὶ τὸ ᾄδειν, καὶ τὸ αὐλεῖν,
καὶ τὸ ἀλαλάζειν. οἶμαι δὲ καὶ τὸ αἴρειν καὶ τὸ ἀνοίγειν οὐκ ἀπὸ τρόπου τῇ τῶν χει-
λῶν ἀνοίξει καὶ ἄρσει, καθ' ἣν οὗτος ἐκπίπτει τοῦ στόματος ὁ φθόγγος ὠνομάσθαι.
διὸ καὶ τὰ τῶν ἀφώνων γραμμάτων ὀνόματα, πλὴν ἑνὸς ἅπαντα προσχρῆται
τῷ ἄλφα· καθάπερ φωτὶ τῆς περὶ αὐτὰ τυφλότητος. τοῦ δὲ πῖ μόνον ἄπεστιν. πρὸς
[illegible] αὕτη, τὸ γὰρ φῖ καὶ τὸ χῖ, τὸ μὲν ἐστὶ πῖ, τὸ δὲ κάππα δασυνόμενον. τί οὖν ἔφη
γοῦν τὰ τοῦ ἑρμείου φήσαντος ἀμφοτέρους ἀποδέχεσθαι τοὺς λόγους, ὥς γε μοι δοκεῖ·
αὖ καὶ σὺ δίηλθες ἡμῖν εἴ τις ἐστὶ λόγος τοῦ ἀριθμοῦ τῶν στοιχείων,
τεκμήριον δὲ ποιοῦμαι τὸ μὴ κατὰ τύχην τῶν ἀφώνων καὶ ἡμιφώνων, πρὸς
πρὸς ἄλληλα, καὶ τὰ φωνήεντα γεγονέναι τὸ πλῆθος, ἀλλὰ κατὰ τὴν πρώτην
ἀναλογίαν, ἀριθμητικὴν δὲ καλουμένην ἀφ' ἡμῶν. ἐννέα γὰρ ὄντων καὶ ὀκτὼ, οὕτω
τὸν μέσον ἀριθμὸν ὑπερέχειν καὶ ὑπερέχεσθαι. συμβεβηκότων δὲ ἄκρων ὁ μέγι-
στος πρὸς τὸν ἐλάχιστον ἔχει λόγον· ὁ τῶν μουσῶν πρὸς τὸν τοῦ ἀπόλλωνος. ἡ γὰρ
ἐννεὰς δή που ταῖς μούσαις· ἡ δὲ ἑβδομὰς τῷ μουσηγέτῃ προσεκλήρωται, συν-
τεθέντα δὲ ἀλλήλοις, διπλασιάζειν τὸν μέσον εἰκότως· ἐπεὶ καὶ τὰ ἡμίφωνα λέγεται
τῆς ἀμφοῖν τρόπον τινὰ κοινωνεῖ δυνάμεως καὶ θερμασίας. ἑρμῆς ἔφη τῶν
θεῶν ἐν αἰγύπτῳ γράμματα πρῶτος εὑρεῖν· διὸ καὶ τὸ τῶν γραμμάτων αἰγύ-
πτιοι πρῶτον ἴβιν γράφουσιν, ὡς ἑρμεῖ προσήκουσαν, οὐκ ὀρθῶς κατά γε τὴν
ἐμὴν δόξαν, ἀνάβλῳ καὶ ἀφθόγγῳ προεδρίαν ἐν γράμμασιν ἀποδόντες. ἑρμεῖ
δὲ μάλιστα τῶν ἀριθμῶν ἡ τετρὰς ἀνάκειται· πολλοὶ δὲ καὶ τετράδι μηνὸς ἱσταμέ-
νου γενέσθαι τὸν θεὸν ἱστοροῦσι. τὰ δὲ δὴ πρῶτα, καὶ φοινίκεια διὰ κάδμον ὀνομα-
σθέντα τετράκις ἡ τετρὰς γινομένη παρέχει, καὶ τῶν αὖθις ἐφευρεθέντων δὲ, πα-
λαμήδης τε πρότερος τέτταρα. καὶ σιμωνίδης αὖθις ἄλλα τοσαῦτα προσέ-
θηκε. καὶ μὴν, ὁ πάντων ἀριθμῶν πρῶτος τέλειος, ἡ μὲν τριὰς ὡς ἀρχὴν καὶ μέ-
σην ἔχουσα καὶ τέλος· ἡ δὲ ἑξὰς ὡς ἴση τοῖς αὐτῆς μέρεσι γινομένη δῆλόν ἐστι τοῦ-
τον τοίνυν· ἡ μὲν ἑξὰς ἀπὸ τῆς τετράδος πολλαπλασιασθεῖσα πρῶτον κύβον
πρώτως τέλειος τὸ τῶν τεττάρων καὶ εἴκοσι παρέσχηκε πλῆθος. ἔτι δὲ αὐτοῦ
λέγοντος, ὁ γραμματιστὴς ζωπυρίων δῆλος ἦν καταγελῶν, καὶ παρεφθέγγετο.
παυσαμένου δὲ οὐ κατέσχεν, ἀλλὰ φλυαρίαν τὰ τοιαῦτα πολλὴν ἀπεκάλει. μη-
δενὶ γὰρ λόγῳ, συντυχίᾳ δέ τινι καὶ τὸ πλῆθος τῶν γραμμάτων γεγονέναι το-
σοῦτον, καὶ τὴν τάξιν οὕτως ἔχουσαν. ὥσπερ ἔφη καὶ τὸ τῆς ἰλιάδος τὸν πρῶτον
στίχον τῷ τῆς ὀδυσσείας ἰσοσύλλαβον εἶναι. καὶ πάλιν τὸ τελευταῖον τῷ τελευ-
ταίῳ ἐκ τύχης, καὶ αὐτομάτως ἐπηκολουθηκέναι.

ποτέραν

Ποτέραν χεῖρα τῆς ἀφροδίτης ἔτρωσεν ὁ διομήδης. δ'.

Μετὰ δὲ ταῦτα, τὸν μὲν ἑρμείαν βουλόμενόν τι προλαβεῖν τῷ ζωπυρίωνι, ἀπε-
κωλύσαμεν. ὁ δὲ ῥήτωρ μάξιμος ἄποθεν ἠρώτησεν αὐτὸν ἐκ τῶν ὁμήρου. ποτέ-
ραν χεῖρα τρώσειεν τῆς ἀφροδίτης ὁ διομήδης. ταχὺ δὲ τοῦ ζωπυρίωνος ἀντερομέ-
νου. ποτέρῳ σκέλει χωλὸς ἦν ὁ φίλιππος· οὐχ ὅμοιον εἶπεν ὁ μάξιμος. οὐδὲν γὰρ ὁ δη-
μοσθένης ἀπολογίαν περὶ τούτου δέδωκε. σὺ δὲ ἂν ἀπορεῖν ὁμολογήσῃς, ἕτεροι δεί-
ξουσιν ὅπου τὴν τετρωμένην χεῖρα φράζοι τοῖς νοῦν ἔχουσιν ὁ ποιητής. ἔδοξεν οὖν
ἡμῖν ὁ ζωπυρίων διηπορῆσθαι καὶ τὸν μάξιμον ἐκείνου σιωπῶντος, ἠξιοῦμεν αὐτὸν
ἀφηγῆσαι. πρῶτον οὖν ὁ μάξιμος ἔφη τῶν ἐπῶν οὕτως ἐχόντων, ἔνθεν ὀρεξάμενος
μεγαθύμου τυδέος υἱὸς, ἄκρην οὔτασε χεῖρα μετάλμενος ὀξέϊ δουρί. δῆλόν ἐστιν ὅτι
τὴν πατάξαι βουλόμενος, οὐκ ἐδεῖτο μεταθήσεως. ἐπεὶ κατὰ τὴν ἀριστερὰν τὴν
δεξιὰν εἶχεν ἐξ ἐναντίου προσφερόμενος. καὶ γὰρ εὔλογον ἦν τὴν
χεῖρα καὶ μᾶλλον τοῦ αἰνείου φορουμένου περιεχομένην, ἐκεῖνόν τε ῥᾶσαι, καὶ τὴν ἐρρωμενεστέραν
τρωθεῖσαν προέσθαι τὸ σῶμα. δεύτερον εἰς τὸν οὐρανὸν αὐτῆς ἀνακομισθείσης, καὶ
τὴν ἀθηνᾶν ἀναγελῶσαν λέγουσιν, ἦ μάλα δή τινα κύπρις ἀχαιΐδων ἀνιεῖσα, τρω-
σὶν ἅμα σπέσθαι τοὺς νῦν ἔκπαγλα φίλησε. τῶν τινα καρρέζουσ' ἀχαιΐδων* βα-
θυκόλπων πρὸς χρυσῇ περόνῃ, κατεμύξατο χεῖρα ἀραιήν. οἶμαι δὲ καὶ σὲ εἶπεν
ὦ βέλτιστε διδασκάλων, ὅταν τινὰ τῶν μαθητῶν φιλοφρονούμενος καταψᾷς,
καὶ καταρρέξῃς μὴ τῇ ἀριστερᾷ χειρὶ τοῦτο ποιεῖν, ἀλλὰ τῇ δεξιᾷ. καθάπερ εἰ-
κὸς οὖν καὶ τὴν ἀφροδίτην ἐπιδεξιωτάτην θεῶν οὖσαν, οὕτω φιλοφρονεῖσθαι
τὰς ἡρωΐδας.

Διατί πλάτων εἰκοστὴν ἔφη ψυχὴν τοῦ αἴαντος ἐπὶ τὸν κλῆρον ἐλθεῖν. ε'.

Ταῦτα τοὺς ἄλλους ἅπαντας ἡδίους ἐποίησε. μόνον δὲ τὸν γραμματικὸν ὕλαν ὁ
ῥήτωρ σῶσπις ὁρῶν ἀπὸ σιωπῶν, καὶ βαρυθυμούμενον, οὐ γὰρ εὐημέρησεν ἐν
ταῖς ἐπιδείξεσιν ἀνεφώνησεν. οἴη δ' αἴαντος ψυχὴ τελαμωνιάδαο. τὰ λοιπὰ
μείζονι φθεγγόμενος ἤδη πρὸς ἐκεῖνον ἐπέραινεν. ἀλλ' ἄγε δεῦρο ἄναξ ἵν' ἔπος καὶ
μῦθον ἀκούσῃς ἡμέτερον, δάμασον δὲ μένος καὶ ἀπειρέα θυμόν. ἔτι δὲ ὁμολογῶν
ὑπὸ ὀργῆς ὁ ὕλας ἀπεκρίνατο σκαιῶς. τὴν μὲν αἴαντος ἔφη ψυχὴν, εἰκοστὴν λα-
λοῦσαν ἐν ᾅδου διαμείψασθαι, κατὰ τὸν πλάτωνα φύσιν λέοντος. αὐτῷ δὲ πολ-
λάκις παρείσασθαι καὶ τὰ τοῦ κωμικοῦ γέροντος ὄνον γενέσθαι κρεῖττον ἢ τοὺς
χείρονας ὁρᾶν ἑαυτοῦ ζῶντας ἐπιφανεστέρους. καὶ ὁ σῶσπις γελάσας, ἀλλ' ἕως
μέλλομεν ἐνδύεσθαι τὸ κανθήλιον, ἔτι κήδει πλάτωνος, δίδαξον ἡμᾶς, τῷ τινι
λόγῳ τὴν τοῦ τελαμωνίου ψυχὴν πεποίηκεν ἀπὸ κλήρου βαδίζουσαν εἰκοστὴν ἐπὶ
τὴν αἵρεσιν. ἀποσκορακίσαντος δὲ τοῦ ὕλα, χλευάζεσθαι γὰρ ᾤετο δυσημερῶν. ὑπο-
λαβὼν ὁ ἀδελφὸς ἡμῶν, τί οὖν εἶπεν, οὐ δευτερεῖα μὲν ὁ αἴας κάλλους καὶ μεγά-
λυς καὶ ἀνδρείας ἀεὶ φέρεται μετὰ ἀμύμονα πηλείωνα. τὰ δὲ εἴκοσι δευτέρα δε-
κάς. ἡ δὲ δεκὰς ἐν τοῖς ἀριθμοῖς κράτιστος, ὡς ἐν τοῖς ἀχαιοῖς ὁ ἀχιλλεύς. γελα-
σάντων δὲ ἡμῶν. ταῦτα μὲν ὁ ἀμμώνιος εἶπεν ὦ λαμπρία. κείσθω σοι πεπαισμέ-
να πρὸς ὕλαν. ἡμῖν δὲ μὴ παίζειν, ἀλλ' ἀπὸ σπουδῆς. ἐπεὶ τὸν λόγον ἑκὼν ἐξεδέξω,
δίελθε περὶ τῆς αἰτίας. θορυβηθεὶς οὖν ὁ λαμπρίας, εἶτα χρόνον οὐ πολὺν ἐ-
πισχὼν ἔφη. πολλαχοῦ μὲν ἡμῖν τὸν πλάτωνα προσπαίζειν διὰ τῶν ὀνομάτων.
ὅπου δὲ μῦθόν τινα τῷ περὶ ψυχῆς λόγῳ μίγνυσι χρῆσθαι μάλιστα τῷ νῷ. τοῦ τε
γὰρ οὐρανοῦ τὴν νοητὴν φύσιν ἅρματα καλεῖν πτηνὸν τὴν ἐναρμόνιον τοῦ κόσμου
περιφοράν, ἐνταῦθα δὲ τὸν αὐτάγγελον τῶν ἐν ᾅδου, πάμφυλον γένος ἀρμο-

τίου πατρὸς· ἥρα δὲ αὐτὸν ὀνομάζειν αἰνιττόμενον. ὅτι γεννῶνται μὲν αἱ ψυχαὶ
καθ' ἁρμονίαν, καὶ συναρμόττονται τοῖς σώμασιν· ἀπαλλαγεῖσαι δὲ συμφέ-
ρουσαι πάντα χόθεν εἰς τὸν ἀδρα· κἀκεῖθεν αὖθις ἐπὶ τὰς δευτέρας γενέσεις
τρέπονται. τί δὴ κωλύει καὶ τὸ εἰκοστὸν εἰρῆσθαι πρὸς τὸ μὴ ἀληθές· ἀλλὰ εἰκο-
στοῦ λόγου, καὶ πλαττόμενον, ἢ πρὸς τὸν νεκρὸν ὡς εἰκῇ, καὶ κατὰ ψυχὴν γινόμε-
νον· ἀεὶ μὲν γὰρ ἅπτεται τῶν τριῶν αἰτιῶν, ἅτε δὴ πρῶτος, ἢ μάλιστα συνη-
δῶν, ὅπη τὸ καθ' εἱμαρμένην τὸ κατὰ τύχην· αὖθίς τε τὸ ἐφ' ἡμῖν ἑκατέρῳ καὶ
συναμφοτέροις ἐπιμίγνυσθαι καὶ συμπλέκεσθαι πέφυκε. νῦν δὲ θαυμαστῶς,
ἣν ἔχει δύναμιν τοῖς ἡμετέροις πράγμασιν, ἕκαστον ὑποδεδήλωκε. τὴν μὲν αἵρεσιν
τῷ βίῳ τῷ ἐφ' ἡμῖν ἀποδιδούς· ἀρετὴ γὰρ ἀδέσποτον καὶ κακία. τὸ δὲ εὐσεβοῦν
τοὺς ὀρθῶς ἑλομένους, καὶ τἀναντία τοὺς κακῶς εἱμαρμένης ἀνάγκῃ συνά-
πτων. αἱ δὲ τῶν κλήρων ἀτάκτως διασπειρομένων ἐπιπτώσεις, τὴν τύχην παρει-
σάγουσι καὶ τροφαῖς καὶ πολιτείας, ὧν ἕκαστοι λαγχάνουσι. πολλαὶ τῶν ἡμετέ-
ρων προκαταλαμβάνουσιν. ὅρα δή, μὴ τῶν κατὰ τύχην αἰτίαν ζητεῖν ἄλογόν ἐστιν.
ἂν γὰρ ἔν τινι λόγῳ φαίνηται γεγονὼς ὁ κλῆρος, οὐκέτι γίνεται κατὰ τύχην,
οὐδὲ αὐτομάτως, ἀλλ' ἔκ τινος εἱμαρμένης, καὶ προνοίας. ἔτι δὲ τοῦ λαμπρί-
ου λέγοντος, ὁ γραμματικὸς ἤδη μακρὸς ἐδόκει τι συλλογίζεσθαι καὶ διαριθ-
μεῖν πρὸς αὐτόν. ἔπειτα παυσαμένου τῶν ὁμηρικῶν ὅσας ἐν νεκυίᾳ κατονόμα-
κεν, ἡ μὲν ἐλπήνορος οὔπω καταμεμιγμένη ταῖς ἄδου διὰ τὸ τεθάφθαι τὸν
νεκρόν, ὥσπερ ἐν μεθορίοις πλανᾶται τὴν τειρεσίου ταῖς ἄλλαις οὐκ ἄξιον δή-
που καταριθμεῖν· ᾧ καὶ τεθνειῶτι νόον πόρε περσεφόνεια οἴῳ πεπνῦσθαι, καὶ
διαλέγεσθαι καὶ ξυνιέναι τῶν ζώντων, πρὶν ἢ πιεῖν τοῦ αἵματος. ἂν οὖν ταύ-
τας ὑπεξελόμενος ὦ λαμπρία τοὺς ἄλλους διαριθμῇς· αὐτὸ συμβαίνει τὴν αὐ-
τὸς εἰκοστὴν εἰς ὃ μὲν ἀφῖχθαι τοῦ ὀδυσσέως, καὶ πρὸς τοῦτο παίζειν τὸ πλά-
τωνι τῇ ὁμηρικῇ νεκυίᾳ προσαναχρωννύμενον.

Τί αἰνίττεται ὁ περὶ τῆς ἥττης τοῦ ποσειδῶνος μῦθος, ἐν ᾧ καὶ διατί ς'.
τὴν δευτέραν ἀθηναῖοι τοῦ βοηδρομιῶνος ἐξαιροῦσιν.

Θορυβησάντων δὲ πάντων, μενέφυλλος ὁ περιπατητικὸς προσαγορεύσας τὸν ὕ-
λαν, ὁρᾶτε εἶπεν, ὡς οὐκ ἦν τὸ ἐρώτημα χλευασμός, οὐδὲ ὕβρις· ἀλλ' ἀφεὶς ὦ μα-
κάριε τὸν δυστράπελον αἴαντα, καὶ δυσώνυμον, ὥς φησι σοφοκλῆς, γενοῦ μετὰ τοῦ
ποσειδῶνος, ὃν αὐτὸς εἴωθεν ἱστορεῖν ἡμῖν ἡττώμενον πολλάκις, ἐνταῦθα μὲν ὑπὸ
ἀθηνᾶς, ἐν δελφοῖς δὲ ὑπὸ τοῦ ἀπόλλωνος, ἐν ἄργει δὲ ὑπὸ τῆς ἥρας, ἐν αἰγί-
νῃ δὲ ὑπὸ τοῦ διός, ἐν νάξῳ δὲ ὑπὸ τοῦ διονύσου, πρᾶον δὲ πανταχοῦ καὶ ἀμήνι-
τον ὄντα περὶ τὰς δυσημερίας. ἐνταῦθα γοῦν καὶ νεὼ κοινωνεῖ, καὶ μετὰ τῆς
ἀθηνᾶς ἐν ᾧ καὶ βωμός ἐστι λήθης ἱδρυμένος· καὶ ὁ ὕλας, ὥσπερ ἡλίων γενό-
μενος· ἐκεῖνο δέ σε εἶπεν ὦ μενέφυλλε λέληθεν, ὅτι καὶ τὴν δευτέραν τοῦ βοηδρομιῶ-
νος ἡμέραν ἐξῃρημένου πρὸς τὴν σελήνην. ἀλλ' ὅτι ταύτῃ δοκοῦσιν ἐρίσαι περὶ
τῆς χώρας οἱ θεοί. πάντα εἶπεν ὁ λαμπρίας ὅσῳ τοῦ θρασυβούλου γέγονε ποσει-
δῶν πολιτικώτερος· εἰ μὴ κρατῶν ὡς ἐκεῖνος. ἀλλ' ἡττώ-

λείπει.

ὅρκοις δὲ ἄνδρας ἐξαπατητέον. καὶ ὁ γλαυκίας, ἐγὼ μὲν ἔφη κατὰ πολυκρά-
τους ἀκήκοα τοῦ τυράννου λεγόμενον τὸν λόγον τοῦτον. εἰκὸς δὲ καὶ καθ' ἑτέρων λέγεσθαι.
σὺ δὲ πρὸς τί τοῦτο ἐρωτᾷς; ὅτι νὴ δία ὁ σώσπις ἔφη, τοὺς μὲν παῖδας ἀστρα-
γάλοις ὁρῶν, τοὺς δὲ ἀκαδημαϊκοὺς λόγους ἁρπάζοντας. οὐδὲν γὰρ οἱ τοιοῦτοι

μαχοι

μαχοι διαφέρουσι τῶν ἐρωτώντων· πότερον ἄρτια τῇ χειρὶ συνειληφότες, ἢ πε-
ριττὰ συντείνουσιν. ἐπαναστὰς οὖν ὁ πρωτογένης καί με καλέσας ἐξ ὀνόματος,
τί παθόντες εἶπε, τοὺς ῥήτορας τούτους ξυφανέωμεν, ἑτέρῳ καταγελῶντας,
αὐτοὺς δὲ μηδὲν ἐρωτωμένους, μὴ δὲ συμβολὰς λόγων τιθέντας, εἰ μὴ νὴ δία φή-
σουσι μηδὲν αὐτοῖς μετεῖναι τῆς ἐν οἴνῳ κοινωνίας, δημοσθένους ἐπαινέταις, καὶ
ζηλωταῖς οὖσιν ἀνδρὸς ἐν ἅπαντι τῷ βίῳ, μηδέποτε πιόντος οἶνον. οὐκέτι ὂν ἔ-
φην ἐγὼ τούτων, ἀλλ' ἡμεῖς οὐδὲν αὐτοὺς ἠρωτήκαμεν. εἰ δὲ μή τι σὺ χρησιμώ-
τερον ἔχεις· ἐγώ μοι δοκῶ προβαλεῖν αὐτοῖς ἐκ τῶν ὁμήρου ῥητορικῶν θέσεων
μίαν αὐτὴν νομικήν.

Περὶ τοῦ ἐν τῇ γ' τῇ ῥαψῳδίᾳ τῆς ἰλιάδος αὐτὶ νομικοῦ ζητήματος. ιγ'.

Τίνα ἔφη ταύτην ἐγώ σοι φράσω εἶπον ἅμα καὶ τοῖς προβάλλων, διὸ τὸν νοῦν ἤ-
δη προσεχέτωσαν. ὁ γὰρ ἀλέξανδρος αὐτῷ ῥητοῖς δή που πεποίηται τὴν πρό-
κλησιν οὕτως· αὐτὰρ ἔμ' ἐν μέσῳ καὶ ἀρηΐφιλον μενέλαον, συμβάλετ' ἀμφ' ἑλέ-
νῃ, καὶ κτήμασι πᾶσι μάχεσθαι. ὁππότερος δὲ καὶ νικήσῃ κρείσσων τε γένηται
κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ' ἀγέσθω. καὶ πάλιν ὁ ἕκτωρ, ἀναγο-
ρεύων, καὶ τιθεὶς εἰς μέσον πᾶσι τὴν πρόκλησιν αὐτοῦ μόνου, οὐχὶ τοῖς αὐτοῖς ὀνό-
μασι κέχρηται. ἄλλους μὲν κέλεται τρῶας καὶ πάντας ἀχαιοὺς τεύχεα καλὰ
ἀποθέσθαι ἐπὶ χθονὶ πουλυβοτείρῃ. αὐτὸν δ' ἐν μέσῳ καὶ ἀρηΐφιλον μενέλα-
ον κτήμασι πᾶσι μάχεσθαι. τῷ δὲ καὶ νικήσαντι γυνὴ καὶ κτήμαθ' ἕποιτο. δεξα-
μένου δὲ τοῦ μενελάου, ποιοῦνται τὰς συνθήκας ἐνόρκους. ἐξάρχει δὲ ὁ ἀγαμέ-
μνων· εἰ μέν κεν μενέλαον ἀλέξανδρος καταπέφνῃ αὐτὸς ἔπειθ' ἑλένην ἀγέτω,
καὶ κτήματα πάντα. εἰ δέ κ' ἀλέξανδρον κτείνει ξανθὸς μενέλαος, κτήμαθ' ἑλὼν
εὖ πάντα γυναῖκά τε οἴκαδ' ἀγέσθω. ἐπεὶ τοίνυν ἐνίκησε μὲν, οὐκ ἀνεῖλε δὲ ὁ με-
νέλαος, μεταλαβόντες ἑκάτεροι τὴν ἀξίωσιν ἰσχυρίζονται τοῖς τῶν πολεμίων.
οἱ μὲν, ὡς νενικημένου τοῦ πάριδος ἀπαιτοῦντες. οἱ δέ, ὡς μὴ τεθνηκότος οὐκ ἀπο-
διδόντες. πῶς οὖν ἔφη τὴν δίκην ταύτην ἰθύντατα εἴποι, καὶ διαιτήσειεν τὴν
ἀντινομίαν, οὐ φιλοσόφων, οὐδὲ γραμματικῶν, ἀλλὰ ῥητόρων ἔργον ἐστὶ φιλο-
γραμματούντων, ὥσπερ ἡμεῖς, καὶ φιλοσοφούντων. ὁ μὲν οὖν σώσπις ἔφη κυριώ-
τερον εἶναι τὸν τοῦ προκεκλημένου λόγον, ὥσπερ νόμον. ἐκείνοις γὰρ ἐφ' οἷς δια-
γωνιοῦνται κατήγγελλον. οἱ δὲ δεξάμενοι, καὶ ὑπακούσαντες οὐκέτι κύριοι προσ-
τιθέντες. ἡ δὲ πρόκλησις οὐ περὶ φόνου καὶ θανάτου γέγονεν, ἀλλὰ περὶ νίκης,
καὶ ἥττης. καὶ μάλα δικαίως. ἔδει γὰρ τὴν γυναῖκα τοῦ κρείττονος εἶναι. κρείττων
δὲ ὁ νικῶν. ἀποθνήσκειν δὲ πολλάκις συμβαίνει καὶ ἀγαθοῖς ὑπὸ κακῶν. ὡς ὕστε-
ρον ἀχιλλεὺς ἀπέθανεν τοξευθεὶς ὑπὸ πάριδος. καὶ οὐκ ἂν οἶμαι φαίημεν ἀχιλ-
λεὺς ἧττον γεγονέναι τὸν θάνατον, οὐδὲ νίκην, ἀλλ' ἄδικον εὐτυχίαν τοῦ βάλλοντος.
ἀλλ' ὁ ἕκτωρ ἥττητο καὶ πρὶν ἀποθνήσκειν μὴ δεξάμενος, ἀλλὰ δείσας καὶ φυγὼν
ἐπερχομένου τοῦ ἀχιλλέως. ὁ γὰρ ἀπειπάμενος, καὶ φυγὼν ἧτταν ἀπροφάσιστον
ἥττηται καὶ συγκεχώρηκε κρείττονα τὸν ἀντίπαλον εἶναι δεῖ. πρῶτον μὲν ἡ ἶ-
ρις ἐξαγγέλλουσα τῇ ἑλένῃ φησί. μακροῖς ἐγχείῃσι μαχήσονται περὶ σεῖο τῷ δέ
κε νικήσαντι φίλη κεκλήσῃ ἄκοιτις. ἔπειτα ὁ ζεὺς τῷ μενελάῳ τῇ μάχῃ τὸ βρα-
βεῖον ἀπέδωκεν εἰπών. νίκη μὲν δὴ φαίνετ' ἀρηϊφίλου μενελάου. γελοῖον γὰρ εἰ
τὸν μὲν πόδαρκα ἐνίκησε πόρρωθεν ἀκοντίσας, μὴ προσδοκήσαντα μηδὲ φυλαξόμε-
νον, τοῦ δὲ ἀπειπαμένου καὶ δραπετεύσαντος, καὶ καταδύντος εἰς τοὺς κόλπους τῆς γυ-
ναικός, ἐσκυλευμένου ζῶντος, οὐκ ἄξιον ἦν τὰ νικητήρια φέρεσθαι κατὰ τὴν αὐ-
τοῦ πρόκλησιν ἐκείνου κρείττων φανείς, καὶ περιγενόμενος. ὑπολαβὼν ὁ γλαυ-

κίας ἔφη, πρῶτον μὲν, ἔν τε δόγμασι καὶ νόμοις * ἔν τε συνθήκαις, καὶ ὁμολο-
γίαις κυριώτερα· τὰ δὲ ὕστερα νομίζεσθαι καὶ βεβαιότερα τῶν πρώτων δευτε-
ραῖαι ἦσαν· αἱ δ' Ἀγαμέμνονος ὁμολογίαι τέλος ἔχουσαι θάνατον, οὐχὶ ἧτταν τοῦ
κρατηθέντος· ἔπειτα ἐκείνη μὲν λόγοις· αὗται δὲ καὶ μεθ' ὅρκων εἴποντο καὶ προ-
σθεῖσαι ἀρὰς τοῖς παραβαίνουσιν, οὐχ ἑνὸς ἀνδρὸς, ἀλλὰ πάντων ἀποδεχομένων
καὶ συνομολογούντων, ὥς τε ταῦτα γεγονέναι κυρίως ὁμολογίας· ἐκείνας δὲ καὶ
μόνας προκλήσεις. μαρτυρεῖ δὲ ὁ Πρίαμος μετὰ τὰ ὅρκια τοῦ ἀγῶνος ἀπιὼν, καὶ
» Ζεὺς μέν που τό γε οἶδε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι, ὁπποτέρῳ θανάτοιο τέλος πε-
» πρωμένον ἐστίν. ἤδη γὰρ ὧδε τούτοις τὰς ὁμολογίας γεγενημένας. διὸ καὶ μετὰ
» μικρὸν Ἕκτωρ φησίν. ὅρκια μὲν Κρονίδης ὑψίζυγος οὐκ ἐτέλεσσεν. ἀτελὴς γὰρ ἔ-
μεινεν ὁ ἀγὼν, καὶ πέρας ἀναμφισβήτητον οὐκ εἶχε μὴ δι' ἑτέρου πεσόντος. ὅθεν
ἔμοιγε δοκεῖ μηδέν τι νομικὸν γεγονέναι τὸ ζήτημα ταῖς δευτέραις ὁμολογίαις τῶν
πρώτων ἐμπεριεχομένων· ὁ γὰρ ἀποκτείνας νενίκηκεν· οὐ μὴν ὁ νικήσας ἔκτεινεν.
ἀλλ' ἔχοντι δὲ εἰπεῖν, Ἀγαμέμνων οὐκ ἔλυσε τὴν τοῦ Ἕκτορος πρόσκλησιν· ἀλλ' ἐάσα
φήνισεν. οὐδὲ μετέθηκεν, ἀλλὰ προσέθηκε τὸ κυριώτατον ἐν τῷ κλῖναι τὸ νι-
κῆσαι θέμενος· αὕτη γάρ ἐστι νίκη παντελής· αἱ δὲ ἄλλαι προφάσεις, ὥσπερ ὁμο-
λογίας ἔχουσιν, ὡς ἡ παρὰ Μενελάου, μήτε ζώσαντος μήτε διώξαντος· ἀμφισβητήσιμον ἔχου-
σιν ἐν ταῖς ἀληθιναῖς ἀντινομίαις οἱ δικασταὶ, τῷ μηδὲν ἀμφισβητήσιμον ἀπροφάσιστον
τι προστίθενται τὸ ἀσαφέστερον ἐάσαντες. οὕτως ἐνταῦθα τὴν ἀπροφάσιστον
καὶ γνώριμον τέλους ἄγουσαν ὁμολογίαν βεβαιοτέραν χρὴ καὶ κυριωτέραν νο-
μίζειν. ὃ δὲ μέγιστόν ἐστιν αὐτὸς ὁ δοκῶν κρατεῖν, οὐκ ἀποστὰς φυγόντος οὐδὲ παυ-
σάμενος, ἀλλὰ πάντα χόσε φοιτῶν, ἂν ὅμιλον εἴ που ἐσαθρήσειεν Ἀλέξανδρον θεο-
ειδέα μεμαρτύρηκεν, ἄκυρον εἶναι καὶ ἀτελῆ νίκην ἐκείνου διαπεφευγότος· οὐκ
» ἠμνημόνει τῶν ὑπ' αὐτοῦ εἰρημένων· ἡμέων δ' ὁπποτέρῳ θάνατος καὶ μοῖρα τέτυ-
» κται, τεθναίη· ἄλλοι δὲ διακρινθεῖτε τάχιστα. διὸ ζητεῖν μὲν ἀναγκαῖον ἦν αὐτῷ τὸν
Ἀλέξανδρον, ὅπως ἀποκτείνας συντελέσῃ τὸ τοῦ ἀγῶνος ἔργον· μὴ κτείνας δὲ
μὴ δὲ λαβὼν, οὐ δικαίως ἀπῄτει τὸ νικητήριον· οὐδὲ γὰρ ἐνίκησεν. εἰ δεῖ τεκμαίρε-
σθαι τοῖς ὑπ' αὐτοῦ λεγομένοις ἐγκαλοῦντος τῷ Διὶ καὶ τὰς ἀποτεύξεις ὀδυρομέ-
» νους· Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος, ἦ τ' ἐφάμην τίσασθαι Ἀλέ-
» ξανδρον κακότητος. νῦν δέ μοι ἐν χείρεσσιν ἄγη ξίφος, ἐκ δέ μοι ἔγχος ἠΐχθη πα-
» λάμηφιν ἐτώσιον, οὐδ' ἔβαλόν μιν. αὐτὸς γὰρ ὁμολογεῖ μηδὲν εἶναι τὸ διακόψαι τὸ πολέ-
μιον ἀσπίδιον, ἢ λαβεῖν ἀποῤῥυὲν τὸ κράνος, εἰ μὴ βάλοι, μὴ δ' ἀποκτείνειε τὸν πολέ-
μιον. ἐκ τούτων σπονδὰς ἐποιησάμεθα ταῖς Μούσαις, καὶ τῷ Μουσηγέτῃ Ἀπόλλω-
νι παιανίσαντες, συνῄσαμεν τῷ Ἐράτωνι πρὸς τὴν λύραν ἐκ τῶν Ἡσιόδου τὰ περὶ
τὴν τῶν Μουσῶν γένεσιν. μετὰ δὲ τὴν ᾠδὴν, Ἡρώδης ὁ ῥήτωρ, ἀκούετε ἔφη· ὑμεῖς οἱ τὴν
Καλλιόπην ἀποσπῶντες ἡμῶν σὺν τοῖς βασιλεῦσιν, αὐτὴν παρεῖναί φασιν, οὐκ
ἀναλογοῦσι δή που συλλογισμοὺς, οὐδὲ ἐρωτῶσι μεγάλα εἰπόντας, ἀλλὰ ταῦτα
πράττουσιν, ἃ ῥητόρων ἐστὶ καὶ πολιτικῶν ἔργα. τῶν δὲ ἄλλων ἥ τε Κλειὼ τὸ ἐγκω-
μιαστικὸν προσάγεται· κλέα γὰρ ἐκάλουν τοὺς ἐπαίνους· ἥ τε Πολύμνια τὸ ἱστο-
ρικόν· ἔστι γὰρ μνήμη πολλῶν. ἐνιαχοῦ δὲ καὶ πάσας ὥσπερ ἐν Χίῳ τὰς Μού-
σας Μνείας καλεῖσθαι λέγουσιν. ἐγὼ δὲ μεταποιοῦμαί τι καὶ τῆς Τερψιχόρης,
εἴπερ ὥς φησι Χρύσιππος, αὐτή τι περὶ τὰς ὁμιλίας ἐπιτερπὲς εἴληχε καὶ συμβου-
καὶ κεχαρισμένον ὁμιλητήν. καὶ γὰρ οὐδὲν ἧττον ἢ δικανικὸς ὁ ῥήτωρ καὶ συμβου-
λευτικός· αἱ γὰρ ἕξεις ἔχουσι, τῆς εὐμενείας καὶ συνηγορίας καὶ ἀπολογίας. πλεί-
στῳ δὲ τῷ ἐπαινεῖν χρώμεθα καὶ τῷ ψέγειν. ἐν τούτοις οὖν φαύλων, οὐδὲ μικροῦ
τυγχάνοντες ἂν τεχνικῶς ταῦτα πράττωμεν, ἂν δὲ ἀπείρως καὶ ἀτέχνως, ἀστοχοῦν-
τες

τες. τὸ γὰρ ὢ πόποι ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν ἀνθρώποις ἧ μᾶλλον ὡς
τῷ ἀνδρὶ τὰς ὁμιλίας εὐάρμοστον ἔχουσι. πειθὼ καὶ χάριν οἶμαι προσήκειν. καὶ
ὁ Ἀμμώνιος οὐκ ἄξιον ἔφη σοι νεμεσᾶν ὦ Ἡρώδη. καὶ π[ ] χειρὶ τῶν μου-
σῶν ἐπιδραττομένων· κοινὰ γὰρ τὰ φίλων, καὶ διὰ τοῦτο πολλὰς ἐγέννησε μούσας
ὁ Ζεύς· ὅπως ἡ πᾶσιν ἀρύσασθαι τῶν καλῶν ἀφθόνως. οὔτε γὰρ κυνηγίας πάν-
τες, οὔτε στρατιᾶς, οὔτε ναυτιλίας, οὔτε βαναυσουργίας· παιδείας δὲ καὶ λό-
γου δεόμεθα πάντες εὐρυεδοῦς ὅσοι καρπὸν αἰνύμεθα χθονός. ὅθεν Ἀθηνᾶν μίαν,
καὶ Ἄρτεμιν, καὶ Ἥφαιστον ἕνα, μούσας δὲ πολλὰς ἐποίησεν.

Περὶ τοῦ ἀριθμοῦ τῶν μουσῶν ὅσα λέγεται μὴ κοινῶς. ιδ'.

Ὅτι δ' ἐννέα, καὶ οὐκ ἐλάττους, οὐδὲ πλείους, ἆρα ἡμῖν φράσειας· οἶμαι δέ σε πε-
φροντικέναι φιλόμουσον οὕτω καὶ πολύμουσον ὄντα. τί δὲ τοῦτο σοφὸν εἶπεν ὁ
Ἡρώδης· πᾶσι γὰρ διαστόματός ἐστι, καὶ πάσαις ὑμνούμενος τῆς ἐννεάδος ἀριθμὸς,
ὡς πρῶτος ἀπὸ πρώτου περισσοῦ τετράγωνος ὢν, καὶ περισσάκις περισσός· ἅτε
δὴ τὴν διανομὴν εἰς τρεῖς ἴσους λαμβάνων περισσούς. καὶ ὁ Ἀμμώνιος ἐπιμειδιά-
σας, ἀνδρικῶς τοῦτο διεμνημόνευσας, καὶ πρόσθες αὐτοῖς ἔτι τοσοῦτον τὸν ἀ-
ριθμὸν, ἐκ δυεῖν τῶν πρώτων συνηρμόσθαι μονάδος, καὶ ὀγδοάδος. καὶ καθ' ἑ-
τέραν οὖν αὖ πάλιν σύνθεσιν ἐκ δυεῖν τριγώνων τριάδος, καὶ ἑξάδος ὧν ἑκάτε-
ρος, καὶ τέλειός ἐστιν. ἀλλά τι ταῦτα ταῖς μούσαις μᾶλλον ἢ τοῖς ἄλλοις θεοῖς
προσῆκεν, ὅτι μούσας ἔχομεν ἐννέα· δήμητρας δὲ καὶ ἀθηνᾶς, καὶ ἀρτέμιδας,
οὐκ ἔχομεν. οὐ γὰρ δή που καί σε πείθει τὸ μούσας γεγονέναι τοσαύτας, ὅτι τοὔ-
νομα τῆς μητρὸς αὐτῶν ἐκ τοσούτων γραμμάτων ἐστίν. γελάσαντος δὲ τοῦ Ἡρώδου,
καὶ σιωπῆς γενομένης προὔτεινεν ἡμᾶς ἐπιχειρεῖν ὁ Ἀμμώνιος. εἶπεν οὖν ὁ ἀδελφὸς,
ὅτι τρεῖς ᾔδεσαν οἱ παλαιοὶ μούσας, καὶ τούτου λέγειν ἀπόδειξιν, ὃ ψιμαθές ἐστι
καὶ ἄγροικον ἐν τοσούτοις, καὶ τοιούτοις ἀνδράσιν. αἰτία δ' οὐχ ὡς ἔνιοι λέγουσι τὰ
μελῳδούμενα γένη, τὸ διάτονον, καὶ τὸ χρωματικὸν, καὶ τὸ ἐναρμόνιον· οὐδ' οἱ τὰ
διαστήματα παρέχοντες ὅροι νήτη καὶ μέση καὶ ὑπάτη. καίτοι ἀδελφοί γε τὰς μού-
σας οὕτως ὠνόμαζον, οὐκ ὀρθῶς ἐν μαθήματι, μᾶλλον δὲ μορίῳ μαθήματος ἑνὸς
τοῦ μουσικοῦ. τῷ γὰρ μονικῷ προστιθέντες. ἁπάσας δὲ ὡς ἐγὼ νομίζω τὰς διὰ
λόγου περαινομένας ἐπιστήμας καὶ τέχνας οἱ παλαιοὶ καταμαθόντες ἐν τρισὶ
γενέσεσιν οὔσας τῷ φιλοσόφῳ καὶ τῷ ῥητορικῷ καὶ τῷ μαθηματικῷ· τριῶν ἐποί-
ουν τοῦτο δῶρα καὶ χάριτας θεῶν ‸τὰς μούσας ὠνόμαζον. ὕστερον δὲ καὶ καθ' Ἡσίο-
δον ἤδη μᾶλλον ἐκ καμπτομένων τῶν δυναμένων, διαιροῦντες εἰς μέρη καὶ εἴδη.
δὶς πάλιν ἑκάστην ἔχουσαν ἐν αὐτῇ διαφορὰν ἑώρων. ἐν μὲν τῷ μαθηματικῷ τὰ
περὶ τὴν μουσικήν ἐστι, καὶ τὸ περὶ γραμματικὴν, καὶ τὸ πέρας γεωμετρίαν.
ἐν δὲ τῷ φιλοσόφῳ τὸ λογικὸν, καὶ τὸ ἠθικὸν, καὶ τὸ φυσικόν. ἐν δὲ τῷ ῥητορικῷ
τὸ ἐγκωμιαστικὸν πρῶτον γεγονέναι λέγουσι· δεύτερον δὲ τὸ συμβουλευτικόν· τ-
ρίτον δὲ, τὸ δικανικόν. ὧν μηδὲν ἄθεον μήτε ἄμουσον εἶναι μὴ δὲ ἄμοιρον ἀρχῆς
κρείττονος καὶ ἡγεμονίας ἀξιοῦντες. εἰκότως ἰσαρίθμους τὰς μούσας οὐκ ἐποίη-
σαν, ἀλλὰ οὔσας ἀνεῦρον. ὥσπερ οὖν τὰ ἐννέα διαίρεσιν εἰς τρεῖς λαμβάνει τρι-
άδας. ὧν ἑκάστη πάλιν εἰς μονάδας διαιρεῖται τοσαύτας. οὕτως ἓν μέν ἐστι καὶ
κοινὸν, ἡ τοῦ λόγου περὶ τὸ κύριον ὀρθότης. νενέμηνται δὲ σὺν τρεῖς τῶν τεχνῶν γε-
νῶν ἕκαστον. εἶτα πάλιν αὖ μοναδικῶς ἑκάστη μίαν περιέπει λαχοῦσα, καὶ κο-
σμεῖ δύναμιν. οὐ γὰρ οἶμαι τοὺς ποιητικοὺς, καὶ τοὺς ἀστρολογικοὺς ἐγκαλεῖν
ἡμῖν, ὡς παραλειπούσας τὰς τέχνας αὐτῶν εἰδότας οὐδὲν ἧττον ἡμῶν. ἀστρολογίαν
γεωμετρίᾳ, ποιητικὴν δὲ μουσικῇ συνεμομένην. ὡς δὲ ταῦτα ἐρρέθη· τοῦ ἰατροῦ

ξύφωνος εἰπόντος· τῇ δὲ ἑτέρᾳ τέχνῃ τί παθὼν τὸ μουσεῖον ἀποκέκλεικας· ὑπολαβὼν Διονύσιος ὁ Μελιτεὺς, πολλοὺς ἔφη συμπαρακαλεῖ τῆς τὴν κατηγορίαν· ἡμεῖς γοῦν οἱ γεωργοὶ τὴν Θάλειαν οἰκειούμεθα, φυτῶν καὶ σπερμάτων εὐθαλούντων καὶ βλαστανόντων, ἐπιμέλειαν αὐτῇ καὶ σωτηρίαν ἀποδιδόντες, ἀλλ' οὐ δίκαια ἔφην ἐγὼ ποιεῖτε· καὶ γὰρ ὑμῖν ἔστι Δημήτηρ ἀνησιδώρα, καὶ Διόνυσος δενδρέων νόμον πολυγηθὴς αὐξάνων ἁγνὸν φέγγος ὀπώρας, ὥς Πίνδαρός φησι, καὶ τοὺς ἰατροὺς Ἀσκληπιὸν ἔχοντας ἴσμεν ἡγεμόνα, καὶ Ἀπόλλωνι παιᾶνι χρωμένους, πάντα μουσηγέτῃ μηδέν. πάντες γὰρ ἄνθρωποι θεῶν χατέουσι καθ' Ὅμηρον, οὐ πάντες δὲ πάντων. ἀλλ' ἐκεῖνο θαυμάζω, πῶς ἔλαθε Λαμπρίαν τὸ λεγόμενον ὑπὸ Δελφῶν. λέγουσι γὰρ οὐ φθόγγων οὐδὲ χορδῶν ἐπωνύμους γεγονέναι τὰς μούσας παρ' αὐτοῖς· ἀλλὰ τοῦ κόσμου τριχῇ πάντα νενεμημένους· πρώτην μὲν εἶναι τὴν τῶν ἀπλανῶν μερίδα· δευτέραν δὲ τὴν τῶν πλανωμένων· ἐσχάτην δὲ τὴν ὑπὸ σελήνην· συνηρτῆσθαι δὲ πάσας καὶ συντετάχθαι κατὰ λόγους ἐναρμονίους· ὧν ἑκάστης φύλακα μοῦσαν εἶναι, τῆς μὲν πρώτης ὑπάτην, τῆς δ' ἐσχάτης νεάτην, μέσην δὲ τὴν μεταξὺ συνέχουσαν ἅμα καὶ συνεπιστρέφουσαν, ὡς ἀνυστὸν ἐστὶ τὰ θνητὰ τοῖς θεοῖς, καὶ τὰ περίγεια τοῖς οὐρανίοις, ὡς καὶ Πλάτων ἠνίξατο, τοῖς τῶν μοιρῶν ὀνόμασι· τὴν μὲν Ἄτροπον, τὴν δὲ Λάχεσιν προσαγορεύσας· ἐπεὶ ταῖς γε τῶν ὀκτὼ σφαιρῶν περιφοραῖς, σειρῆνας οὐ μούσας ἰσαρίθμους ἐπέστησεν· ὑπολαβὼν δὲ Μενέφυλος ὁ περιπατητικὸς τὰ μὲν Δελφῶν εἶπεν, ἄλλως γέ πως μετέχει πιθανότητος· ὁ δὲ Πλάτων ἄτοπος, ταῖς μὲν ἀϊδίοις καὶ θείαις περιφοραῖς, ἀντὶ τῶν μουσῶν τὰς σειρῆνας ἐνιδρύων· οὐ πάνυ φιλανθρώπους, οὐδὲ χρηστοὺς δαίμονας· τὰς δὲ μούσας, ἢ παραλείπων παντάπασιν, ἢ τοῖς τῶν μοιρῶν ὀνόμασι προσαγορεύων, καὶ καλῶν θυγατέρας ἀνάγκης· ἄμουσον γὰρ ἡ ἀνάγκη· μουσικὸν δὲ ἡ πειθὼ, καὶ μούσαις φιλοδαμοῦσα πολὺ μᾶλλον οἶμαι τῆς Ἐμπεδοκλέους χάριτος· στυγέει δύστλητον ἀνάγκην. πάνυ μὲν οὖν ὁ Ἀμμώνιος ἔφη τὴν ἐν ἡμῖν ἀκούσιον αἰτίαν καὶ ἀπροαίρετον· ἡ δ' ἐν θεοῖς ἀνάγκη δύστλητος οὐκ ἔσομαι δὲ δυσπειθὴς, οὐδὲ βιαία, πλὴν τοῖς κακοῖς, ὡς ἔστι νόμος ἐν τῇ πόλει τοῖς βελτίστοις τὸ βέλτιστον αὐτοῖς ἀπαράτρεπτον καὶ ἀπαράβατον· οὐ τῷ μὲν ἀδυνάτῳ, τῷ δὲ ἀβουλήτῳ τῆς μεταβουλῆς· ἄγομεν δὲ Ὁμήρου σειρῆνας, ὁ καὶ τὸν λόγον ἡμᾶς τῷ μύθῳ φοβοῦσιν· ἀλλὰ κἀκεῖνος ὀρθῶς ᾐνίξατο τὴν τῆς μουσικῆς αὐτῶν δύναμιν, οὐκ ἀπάνθρωπον οὐδὲ ὀλέθριον οὖσαν, ἀλλὰ ταῖς ἐντεῦθεν ἀπιούσαις ἐκεῖ ψυχαῖς· ὡς ἔοικε, καὶ πλανωμέναις μετὰ τὴν τελευτὴν ἔρωτα πρὸς τὰ οὐράνια, καὶ θεῖα. λήθην δὲ τῶν θνητῶν ἐμποιοῦσα κατέχει καὶ κατάδει θελγομένας· αἱ δὲ ὑπὸ χαρᾶς ἕπονται, καὶ συμπεριπολοῦσιν· ἐνταῦθα δὲ πρὸς ἡμᾶς ἀμυδρά τις οἷον ἠχὼ τῆς μουσικῆς ἐκείνης ἐξικνουμένη· διὰ λόγων ἐκκαλεῖται καὶ ἀναμιμνήσκει τὰς ψυχὰς τῶν τότε· μὲν πλεῖστον περιαλήλιπται, καὶ καταπέπλασται σαρκίνοις ἐμφράγμασι, καὶ πάθεσιν οὐ κηρινοῖς. ἡ δὲ εὐφυὴς αἰσθάνεται, καὶ μνημονεύει, καὶ τῶν ἐμμανεστάτων ἐρώτων, οὐδὲν ἀπολείπει τὸ πάθος αὐτῆς γλιχομένης, καὶ ποθούσης λῦσαί τε μὴ δυναμένης ἑαυτὴν ἀπὸ τοῦ σώματος· οὐ μὴν ἔγωγε παντάπασι συμφέρομαι τούτοις, ἀλλά μοι δοκεῖ Πλάτων, ὡς ἀτράκτους, καὶ ἠλακάτας τοὺς ἄξονας, σφονδύλους δὲ τοὺς ἀστέρας ἐξηλλαγμένως ἐνταῦθα, καὶ τὰς μούσας σειρῆνας ὀνομάζει, ἐρεούσας τὰ θεῖα καὶ λεγούσας ἐν ᾅδου καθάπερ Σοφοκλέους Ὀδυσσεὺς φησὶ σειρῆνας εἰσαφικέσθαι Φόρκου κόρας θροοῦντε τοὺς ᾅδου νόμους· μοῦσαι δέ εἰσιν ὀκτὼ σφαίραις· μία δὲ τὸν περὶ γῆς εἴληχε τόπον. αἱ μὲν οὖν ὀκτὼ περιόδοις ἐφεστῶσαι τὴν τῶν πλανωμένων ἄστρων πρὸς τὰ ἀπλανῆ, καὶ πρὸς ἄλληλα συνέχουσι, καὶ διασώ-

ζουσιν ἁρμονίαν. μία δὲ τὸν μεταξὺ γῆς καὶ σελήνης τόπον ἐπισκοποῦσα, καὶ περιπολοῦσα τοῖς θνητοῖς, ὅσον αἰσθάνεσθαι καὶ δέχεσθαι πέφυκε, χαρίτων καὶ ῥυθμοῦ καὶ ἁρμονίας· ἐνδίδωσι διαλόγου καὶ ᾠδῆς πειθὼ πολιτικῆς, καὶ κοινωνικῆς συνεργὸν, ἐπάγουσα παραμυθουμένην, καὶ κηλοῦσαν ἡμῶν τὸ ταραχῶδες καὶ τὸ πλανώμενον, ὥσπερ ἐξ ἀνοδίας ἀνακαλουμένην ἐπιεικῶς καὶ καθιστᾶσα. ὅσα δὲ μηδὲ πεφίληκε Ζεὺς ἀτύζονται βοὰν Πιερίδων ἀΐοντα, κατὰ Πίνδαρον. τούτοις ἐπιφωνήσαντος τοῦ Ἀμμωνίου τὰ τοῦ Ξενοφάνους ὥσπερ εἰώθει· ταῦτα δὲ δοξάσθαι μὲν ἐοικότα τοῖς ἐτύμοισι, καὶ παρακαλοῦντος ἀποφαίνεσθαι, καὶ λέγειν τὸ δοκοῦν ἕκαστον· ἐγὼ μικρὸν διασιωπήσας ἔφην, ὅτι καὶ Πλάτων αὐτὸς ὥσπερ ἴχνεσι τοῖς ὀνόμασι τῶν θεῶν ἀνευρίσκειν οἴεται τὰς δυνάμεις, καὶ ἡμεῖς ὁμοίως μὲν τιθῶμεν ἐν οὐρανῷ, καὶ περὶ τὰ οὐράνια· μία τῶν μουσῶν ἡ οὐρανία φαίνεται. καὶ εἰκὸς ἐκεῖνα μὴ πολλῆς μηδὲ ποικίλης κυβερνήσεως δεῖσθαι, μίαν ἔχοντα καὶ ἁπλῆν αἴτιον φύσιν· ὅπου δὲ πολλαὶ πλημμέλειαι, πολλαὶ δὲ ἀμετρίαι, καὶ παραβάσεις ἐνταῦθα τὰς ὀκτὼ μετοικιστέον, ἄλλην ἄλλο κακίας καὶ ἀναρμοστίας εἶδος ἐπανορθουμένην· ἐπεὶ δὲ τοῦ βίου τὸ μὲν σπουδῇ, τὸ δὲ παιδιᾷ μέρος ἐστί· καὶ δεῖται τοῦ μουσικῶς καὶ μετρίως· τὸ μὲν σπουδάζον ἡμῶν· ἥ τε Καλλιόπη, καὶ ἡ Κλειὼ, καὶ ἡ Θαλία τῆς περὶ θεοὺς ἐπιστήμης καὶ θεὰς ἡγεμὼν οὖσα· δόξουσιν ἐπιστρέφειν, καὶ συγκατορθοῦν· αἱ δὲ λοιπαὶ τὸ μεταβάλλον ἐφ' ἡδονὴν καὶ παιδιὰν, ὑπὸ ἀσθενείας μὴ περιορᾶν ἀνιέμενον ἀκολάστως καὶ θηριωδῶς, ἀλλὰ ὀρχήσει καὶ ᾠδῇ καὶ χορείᾳ ῥυθμὸν ἐχούσῃ, καὶ ἁρμονίᾳ καὶ λόγῳ κεραννύμενον, εὐσχημόνως καὶ κοσμίως ἐκδέχεσθαι καὶ παραπέμπειν. ἐγὼ μέν τοι τῷ Πλάτωνος ἐν ἑκάστῳ δύο πράξεων ἀπολείποντας ἀρχὰς· τὴν μὲν ἔμφυτον ἐπιθυμίαν ἡδονῶν· τὴν δὲ ἐπίσακτον δόξαν ἐφιεμένην τοῦ ἀρίστου· καὶ τὸ μὲν λόγον, τὸ δὲ πάθος ἔστιν ὅτε καλοῦντος· ἑτέρας δὲ αὖ πάλιν τούτων ἑκατέρου διαφορὰς ἔχοντος· ἑκάστην ὁρῶ μεγάλης καὶ θείας, ὡς ἀληθῶς παιδαγωγίας δεομένην. αὐτίκα τοῦ λόγου τὸ μέν ἐστι πολιτικὸν καὶ βασιλικόν· ἐφ' ᾧ τὴν Καλλιόπην τετάχθαι φησὶν ὁ Ἡσίοδος, τὸ φιλότιμον δὲ ἡ Κλειὼ μάλιστα κυδαίνειν· καὶ συνεπιγαυροῦν εἴληχεν. ἡ δὲ Πολύμνια τοῦ φιλομαθοῦς ἐστὶ καὶ μνημονικοῦ τῆς ψυχῆς· διὸ καὶ Σικυώνιοι τῶν τριῶν μουσῶν μίαν Πολυμάθειαν καλοῦσι. Εὐτέρπῃ δὲ πάσαν· τίς ἀποδοίη τὸ θεωρητικὸν τῆς περὶ φύσιν ἀληθείας· οὔτε καθαρωτέρας οὔτε καλλίους ἑτέρῳ γένει παραλιπὼν εὐπαθείας καὶ τέρψεις· τῆς δὲ ἐπιθυμίας, τὸ μὲν περὶ ἐδωδὴν καὶ πότον ἡ Θαλία κοινωνητικὸν ποιεῖ καὶ συμποτικὸν, ἐξ ἀνθρώπου καὶ θηριώδους· διὸ τοὺς φιλοφρόνως καὶ ἱλαρῶς συνιόντας ἀλλήλοις, ἐν οἴνῳ θαλιάζειν λέγομεν, οὐ τοὺς ὑβρίζοντας καὶ παροινοῦντας. ταῖς δὲ περὶ συνουσίαν σπουδαῖς ἡ Ἐρατὼ παροῦσα μετὰ πειθοῦς ὡς λόγον ἐχούσης, καὶ καιρὸν ἐξαίρει, καὶ κατασβέννυσι τὸ μανικὸν τῆς ἡδονῆς καὶ οἰστρῶδες, εἰς φιλίαν καὶ πίστιν, οὐχ ὕβριν οὐδὲ ἀκολασίαν τελευτώσης. ὃ δὲ καὶ ὀφθαλμῶν ἡδονὴν εἶδος· εἴτε τῷ λόγῳ μᾶλλον, εἴτε τῷ πάθει προσῆκον εἴτε κοινὸν ἀμφοῖν ἐστίν· αἱ λοιπαὶ δύο Μελπομένη καὶ Τερψιχόρη παραλαβοῦσαι κοσμοῦσιν, ὥστε τὴν μὲν εὐφροσύνην, μὴ κήλησιν εἶναι, τὸ δὲ μὴ γοητείαν, ἀλλὰ τέρψιν.

Ὅτι τρία μέρη τῆς ὀρχήσεως φορὰ, καὶ σχῆμα καὶ δεῖξις, καὶ τί ἕκαστον αὐτῶν, καὶ τίνα κοινὰ ποιητικῆς καὶ ὀρχηστικῆς.

ιε'.

Ἐκ τούτου πυραμοῦντος ἐπηραντυτ πᾶσι νικητήριον ὀρχήσεως· ἀπεδείχθη δὲ κριτὴς μετὰ Μενίσκου τοῦ παιδοτρίβου Λαμπρίας ὁ ἀδελφὸς, ὀρχήσατο δὲ

πιθανῶς τὴν πυῤῥίχην, καὶ χειρονόμον ἐν ταῖς παλαίστραις ἐδόκει διαφέρειν τῶν παίδων. ὀρχουμένων δὲ πολλῶν προθυμότερον ἢ μουσικώτερον, δύο τοὺς εὐδοκίμους καὶ βουλομένους ἀνασώζειν τὴν ἐμμέλειαν, ἠξίουν τινὲς ὀρχεῖσθαι φορὰν παρὰ φοράν. ἐπεζήτησεν οὖν ὁ θρασύβουλος ἀμμωνίου, τί βούλεται τοὔνομα τῆς φορᾶς, καὶ παρέσχε τῷ ἀμμωνίῳ περὶ τῶν μερῶν τῆς ὀρχήσεως πλείονα διελθεῖν. ἔφη δὲ τρία εἶναι, τὴν φορὰν, καὶ τὸ σχῆμα, καὶ τὴν δεῖξιν. ἡ γὰρ ὄρχησις ἔκ τε κινήσεων καὶ σχέσεων συνέστηκεν. ὡς τὸ μέλος τῶν φθόγγων καὶ τῶν διαστημάτων. ἐνταῦθα δὲ αἱ μοναὶ πέρα τῶν κινήσεών εἰσι. φορὰς μὲν οὖν τὰς κινήσεις ὀνομάζουσι. σχήματα δὲ σχέσεις καὶ διαθέσεις. εἰς ἃς φερόμεναι τελευτῶσιν αἱ κινήσεις, ὅταν ἀπόλλωνος, ἢ πανὸς ἢ τινος βάκχης σχῆμα διαθέντες ἐπὶ τοῦ σώματος γραφικῶς τοῖς εἴδεσιν ἐπιμένωσι. τὸ δὲ τρίτον ἡ δεῖξις οὐ μιμητικόν ἐστιν, ἀλλὰ δηλωτικὸν ἀληθῶς τῶν ὑποκειμένων. ὡς γὰρ οἱ ποιηταὶ τοῖς κυρίοις ὀνόμασι δεικτικῶς χρῶνται τὸν ἀχιλλέα καὶ τὸν ὀδυσσέα, καὶ τὴν γῆν, καὶ τὸν οὐρανὸν ὀνομάζοντες, ὡς ὑπὸ τῶν πολλῶν λέγονται. πρὸς δὲ τὰς ἐμφάσεις, καὶ τὰς μιμήσεις, καὶ ὀνοματοποιΐαις χρῶνται καὶ μεταφοραῖς, κελαρύζειν καὶ καχλάζειν, τὰ κλώμενα τῶν ῥευμάτων λέγοντες, καὶ τὰ βέλη φέρεσθαι λιλαιόμενα χροὸς, ἆσαι τὴν ἰσόῤῥοπον μάχην, ἴσας ὑσμίνη κεφαλὰς ἔχεν. πολλὰς δὲ καὶ συνθέσεις τῶν ὀνομάτων κατὰ μέλη μιμητικῶς σχηματίζουσιν, ὡς εὐριπίδης. ὁ πετάμενος ἱερὸν ἀνὰ δίσκον αἰθέρα γοργοφόνος. καὶ περὶ τοῦ ἵππου πίνδαρος. ὅτε παρ' ἀλφεῷ σύτο δέμας ἀκέντητον ἐν δρόμοισι παρεχόμενον. καὶ ὁ ὅμηρος ἐπὶ τῆς ἱπποδρομίας, ἅρματα δ' αὖ χαλκῷ πεπυκασμένα κασσιτέρῳ τε, ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον. οὕτω ἐν ὀρχήσει. τὸ μὲν σχῆμα μιμητικόν ἐστι μορφῆς καὶ ἰδέας. καὶ πάλιν ἡ φορὰ πάθους τινὸς ἐμφαντικὸν, ἢ πράξεως, ἢ δυνάμεως. ταῖς δὲ δείξεσι κυρίως αὐτὰ δηλοῦσι τὰ πράγματα, τὴν γῆν, τὸν οὐρανὸν, αὑτοὺς τοὺς πλησίον, ὃ δὴ τάξει μέν τινι καὶ ἀριθμῷ γινόμενον ἔοικε τοῖς ἐν ποιητικῇ κυρίως ὀνόμασι. μετά τινος κόσμου καὶ λειότητος ἐκφερομένοις, ὡς τὰ τοιαῦτα. καὶ θέμιν αἰδοίην ἑλικοβλέφαρον τ' ἀφροδίτην, ἥρην τε χρυσοστέφανον, καλήν τε διώνην. καὶ ἕλληνος δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες. δῶρός τε ξοῦθός τε καὶ αἰόλος ἱππιοχάρμης. εἰ δὲ μὴ τοῖς ἄγαν πεζοῖς καὶ κακομέτροις ὡς τὰ τοιαῦτα ἐγένοντο. τοῦ μὲν ἡρακλῆς, τοῦ δὲ ἴφικλος. τῆς δὲ πατὴρ καὶ ἀνὴρ καὶ παῖς βασιλεῖς, καὶ ἀδελφοὶ καὶ πρόγονοι. κλῄζει δ' ἑλλὰς ὀλυμπιάδα. τοιαῦτα γὰρ ἁμαρτάνεται, καὶ περὶ τὴν ὄρχησιν ἐν ταῖς δείξεσιν, ἂν μὴ πιθανότητα μὴ δὲ χάριν μετ' εὐπρεπείας καὶ ἀφελείας ἔχωσι, καὶ ὅλως ἔφη μεταθετέον τὸ σιμωνίδειον ἀπὸ τῆς ζωγραφίας ἐπὶ τὴν ὄρχησιν σιωπῶσαν καὶ φθεγγομένην. ὄρχησιν δὲ πάλιν τὴν ποίησιν ὅθεν εἶπεν. οὔτε γραφικὴν εἶναι ποιητικῆς, οὔτε ποιητικὴν γραφικῆς. οὐδὲ χρῶνται τὸ παράπαν ἀλλήλαις. ὀρχηστικῇ δὲ καὶ ποιητικῇ κοινωνία πᾶσα καὶ μέθεξις ἀλλήλων ἐστί. καὶ μάλιστα μιμούμεναι περὶ τῶν ὑπορχημάτων γένος ἓν ἔργον ἀμφότεραι τὴν διὰ τῶν σχημάτων, καὶ τῶν ὀνομάτων μίμησιν ἀποτελοῦσι. δόξειε δ' ἂν ὥσπερ ἐν γραφικῇ, τὰ μὲν ποιήματα ταῖς γραμμαῖς, ὑφ' ὧν ὁρίζεται τὰ εἴδη. δηλοῖ δὲ ὁ μάλιστα κατωρθωκέναι δόξας ἐν ὑπορχήμασι, καὶ γεγονέναι πιθανώτατος ἑαυτοῦ τὸ δεῖσθαι τὴν ἑτέραν τῆς ἑτέρας. τὸ γοῦν ἄπλαστον ἵππον, ἢ κύνα ἀμυκλαίαν ἀγωνίῳ ἐλελιζόμενος ποδὶ μίμεο καμπύλον μέλος. διώκων τὸν μὲν οἷος ἀνὰ δώτιον ἀνθεμόεντα πεδίον πέταται θάνατον κεράσσαι εὑρέμεν μανύων ἐλάφῳ. τὰν δ' ἐπ' αὐχένι στρέφοισαν ἕτερον κάρα πάντα ἔτυμον. καὶ τὰ ἑξῆς μόνον οὐ λειόθεν τὴν ἐν ὀρχήσει διάθεσιν τὰ ποιήματα. καὶ παρακαλεῖν τὼ χεῖρε

καὶ τὼ πόδε. μᾶλλον δὲ ὅλον, ὥσπερ τισὶ μηρίνθοις ἕλκειν τὸ σῶμα τοῖς μέλεσι, καὶ ἐντείνειν. τούτων δὲ λεγομένων καὶ ᾀδομένων ἡσυχίαν ἄγειν μὴ δυναμένοις. αὐτὸς γοῦν ἑαυτὸν οὐκ αἰσχύνεται περὶ τὴν ὄρχησιν. οὐχ ἧττον ἢ τὴν ποίησιν ἐγκωμιάζων* ὅταν αὖ δὲ γηρῶσαι νεῦ ἐλαφρὸν ὄρχημα οἶδα ποδῶν μιγνύμεν. κρῆτα μὲν καλέουσι τρόπον. ἀλλ' οὐδὲν οὕτως τὸ νῦν ἀπολέλαυκε τῆς κακομουσίας, ὡς ἡ ὄρχησις. διὸ καὶ πέπονθεν ὃ φοβηθεὶς ἴβυκος ἐποίησε. δέδοικα μή τι παρὰ θεοῖς ἀπλάκων, τιμὰν πρὸς ἀνθρώπων ἀμείψω. καὶ γὰρ αὕτη καὶ πάνδημόν τινα ποιητικὴν προσεταιρισαμένη. τῆς δὲ οὐρανίας ἐμπεσοῦσα ἐκείνης. τῶν μὲν ἐκπληκτικῶν καὶ ἀνοήτων κρατεῖ θεάτρων ὥσπερ τύραννος ὑπήκοον ἑαυτῇ πεποιημένη μουσικὴν ὀλίγην τινὰ πᾶσι. τὴν δὲ παρὰ τοῖς νοῦν ἔχουσι καὶ θείοις ἀνδράσιν, ὡς ἀληθῶς τιμὴν ἀπολώλεκε. ταῦτα σχεδὸν ὦ σόσσιε σενεκίων τελευταῖα τῶν ἐν τοῖς μουσείοις τότε παρὰ ἀμμωνίῳ τῷ ἀγαθῷ φιλολογηθέντων.

ΤΕΛΟΣ ΣΥΜΠΟΣΙΑΚΩΝ.

ΕΡΩΤΙΚΟΣ.

Ν ἑλικῶνι φὴς ὦ αὐτόβουλε τοὺς περὶ ἔρωτος λόγους γενέσθαι, οὓς εἴτε γραψάμενος εἴτε καταμνημονεύσας τῷ πολλάκις ἐπανερέσθαι τὸν πατέρα. νυνὶ μέλλεις ἡμῖν δεηθεῖσιν ἀπαγγέλλειν. ἐν ἑλικῶνι παρὰ ταῖς μούσαις ὦ φλαουιανὲ τὰ ἐρωτικὰ θεσπιέων ἀγόντων, ἄγουσι γὰρ ἀγῶνα πενταετηρικὸν ὥσπερ καὶ ταῖς μούσαις, καὶ τῷ ἔρωτι φιλοτίμως πάνυ καὶ λαμπρῶς. οἶσθα οὖν ὅσον μέλλομεν δεῖσθαι πάντες οἱ πρὸς τὴν ἀκρόασιν ἥκοντες; οὔκ, ἀλλ' εἴσομαι λεγόντων, ἄφελε τοῦ λόγου τὸ νῦν ἔχειν ἐποποιῶν τε λειμῶνας καὶ σκιὰς, καὶ ἅμα κιττοῦ τε καὶ λάκκων διαδρομὰς. καὶ ὅσα ἄλλα τοιούτων τόπων ἐπιλαβόμενοι, γλίχονται τὸν πλάτωνος ἰλισσὸν καὶ τὸν ἄγνον ἐκεῖνον καὶ τὴν ἠρέμα προσάντη πόαν πεφυκυῖαν. προθυμότερον ἢ κάλλιον ἐπιγράφεσθαι. τί δὲ δεῖται τοιούτων ὦ ἄριστε φλαουιανὲ προοιμίων ἡ διήγησις εὐθὺς ἡ πρόφασις ἐξ ἧς ὡρμήθησαν οἱ λόγοι, χορὸν αἰτεῖ τῷ πάθει, καὶ σκηνῆς δεῖται, τά τε ἄλλα δράματος οὐδὲν ἐλλείπει, μόνον εὐχώμεθα τῇ μητρὶ τῶν μουσῶν ἵλεω εἶναι καὶ συνανασώζειν τὸν μῦθον. ὁ γὰρ πατὴρ ἐπεὶ πάλαι πρὶν ἡμᾶς γενέσθαι τὴν μητέρα νεωστὶ κεκομισμένος ἐκ τῆς γενομένης τοῖς γονεῦσιν αὐτῶν διαφορᾶς καὶ στάσεως, ἀφίκετο τῷ ἔρωτι θύσων, ἐπὶ τὴν ἑορτὴν ἦγε τὴν μητέρα, καὶ γὰρ ἦν ἐκείνης ἡ εὐχὴ καὶ θυσία. τῶν δὲ φίλων οἴκοθεν μὲν αὐτῷ παρῆσαν οἱ συνήθεις. ἐν δὲ θεσπιαῖς εὗρε δαφναῖον τὸν ἀρχιδάμου, καὶ λύσανδρον ἐρῶντα τῆς σίμωνος, καὶ μάλιστα τῶν μνωμένων αὐτὴν εὐημεροῦντα, καὶ σώκλαρον ἐκ τιθόρας ἥκοντα τὸν ἀριστίωνος. ἦν δὲ καὶ πρωτογένης ὁ ταρσεὺς καὶ ζεύξιππος ὁ λακεδαιμόνιος ξένοι. βιωτῶν δὲ ὁ πατὴρ ἔφη τῶν γνωρίμων τοὺς πλείστους παρεῖναι. δύο μὲν οὖν ἢ τρεῖς ἡμέρας κατὰ πόλιν ὡς ἔοικεν ἡσυχῇ πως φιλοσοφοῦντες ἐν ταῖς παλαίστραις, καὶ διὰ τῶν θεάτρων ἀλλήλοις συνῆσαν. ἔπειτα φεύγοντες ἀργαλέον ἀγῶνα κιθαρῳδῶν ἐντεύξεσι καὶ σπουδαῖς προειλημμένον, ἀνέζευξαν οἱ πλεῖστοι. ὥσπερ ἐκ πολεμίας εἰς τὸν ἑλικῶνα καὶ κατηυλίσαντο παρὰ ταῖς μούσαις. ἕωθεν οὖν ἀφίκοντο πρὸς αὐτοὺς ἀνθεμίων καὶ πεισίας ἄνδρες ἔνδοξοι. βάκχωνι δὲ τῷ καλῷ λεγομένῳ προσήκοντες, καὶ τρόπον τινὰ δυσνοίας ἀμφότεροι τὴν ἐκείνου διαφερόμενοι πρὸς

ἀλλήλους. ἦν γὰρ ἐν Θεσπιαῖς Ἰσμηνοδώρα γυνή, πλούτῳ καὶ γένει λαμπρά,
καὶ νὴ Δία τὸν ἄλλον εὔτακτος βίον. ἐχήρευσε γὰρ οὐκ ὀλίγον χρόνον ἄνευ ψό-
γου. καίπερ οὖσα νέα καὶ ἱκανὴ τὸ εἶδος. τῷ δὲ Βάκχωνι φίλης οὔσης καὶ συνή-
θους γυναικὸς υἱῷ πράττουσα γάμον, κόρης κατὰ γένος προσηκούσης ἐκ τοῦ συμ-
παρεῖναι καὶ διαλέγεσθαι πολλάκις, ἔπαθέ τι πρὸς τὸ μειράκιον αὐτή. καὶ
λόγους φιλανθρώπους ἀκούουσα καὶ λέγουσα περὶ αὐτοῦ, καὶ πλῆθος ὁ-
ρῶσα γενναίων ἐραστῶν, εἰς τὸ ἐρᾶν προήχθη. καὶ διενοεῖτο μηδὲν ποιεῖν ἀγεννές, ἀλ-
λὰ γημαμένη φανερῶς συγκαταζῆν τῷ Βάκχωνι. παραδόξου δὲ τοῦ πράγματος
αὐτοῦ φανέντος. ἥ τε μήτηρ ὑφεωρᾶτο τὸ βάρος τοῦ οἴκου καὶ τὸν ὄγκον ὡς οὐ κα-
τὰ τὸν ἐραστήν. τινὲς δὲ καὶ συγκυνηγοὶ τῷ μὴ καθ' ἡλικίαν τῆς Ἰσμηνοδώρας δε-
διττόμενοι τὸν Βάκχωνα καὶ σκώπτοντες, ἐργωδέστεροι τῶν ἀπὸ σπουδῆς ἐνισταμέ-
νων ἦσαν ἀνταγωνισταὶ πρὸς τὸν γάμον. ᾐδεῖτο γὰρ ἔφηβος ἔτι ὤν, χήρᾳ συνοι-
κεῖν. οὐ μὴν ἀλλὰ τοὺς ἄλλους ἐάσας, παραχωρῆσαι τῷ Πεισίᾳ καὶ τῷ Ἀνθεμίω-
νι βουλεύσασθαι τὸ συμφέρον. ὧν ὁ μὲν ἀνεψιὸς αὐτοῦ ἦν πρεσβύτερος. ὁ δὲ
Πεισίας αὐστηρότατος τῶν ἐραστῶν. διὸ καὶ πρὸς τὸν γάμον ἀντέπραττε, καὶ κα-
θήπτετο τοῦ Ἀνθεμίωνος ὡς προϊεμένου τῇ Ἰσμηνοδώρᾳ τὸ μειράκιον. ὁ δὲ ἐκεῖ-
νον οὐκ ὀρθῶς ἔλεγε ποιεῖν, ἀλλὰ τὰ ἄλλα χρηστὸν ὄντα μιμεῖσθαι τοὺς φαύλους
ἐραστὰς οἴκου καὶ γάμου καὶ πραγμάτων μεγάλων ἀποστεροῦντα τὸν φίλον. ὅ-
πως ἀθέατος αὐτῶν καὶ νεαρὸς ἀποδύοιτο πλεῖστον χρόνον ἐν ταῖς παλαίστραις.
ἵνα οὖν μὴ παροξύνοντες ἀλλήλους κατὰ μικρὸν εἰς ὀργὴν προαγάγοιεν. ὥσπερ
διαιτητὰς ἑλόμενοι καὶ βραβευτὰς τὸν πατέρα καὶ τοὺς σὺν αὐτῷ, παρεγέ-
νοντο, καὶ τῶν ἄλλων φίλων οἷον ἐκ παρασκευῆς τῷ μὲν ὁ Δαφναῖος παρῆν. τῷ
δὲ ὁ Πρωτογένης. ἀλλ' οὗτος μὲν ἀνέδην ἔλεγε κακῶς τὴν Ἰσμηνοδώραν, ὁ δὲ Δα-
φναῖος ὦ Ἡράκλεις ἔφη, τί οὐκ ἄν τις προσδοκήσειεν, εἰ καὶ Πρωτογένης ἔρωτι
πολεμήσων πάρεστιν, ᾧ καὶ παιδιὰ πᾶσα καὶ σπουδὴ περὶ ἔρωτα καὶ δι' ἔρω-
τα, λήθη δὲ λόγων, λήθη δὲ πάτρας οὐχ ὡς τῷ Λαΐῳ πέντε μόνον ἡμερῶν ἀπέ-
χοντι τῆς πατρίδος. βραδὺς γὰρ ὁ ἐκείνων καὶ χερσαῖος ἔρως. ὁ δὲ σὸς ἐκ Κιλι-
κίας Ἀθήναζε λαιψηρὰ κυκλώσαις πτερὰ διαπόντιος πέταται τοὺς καλοὺς ἐ-
φορῶν καὶ συμπλανώμενος. ἀμέλει γὰρ ἐξ ἀρχῆς ἐγεγόνει τοιαύτη τις αἰτία τῷ
Πρωτογένει τῆς ἀποδημίας. γενομένου δὲ γέλωτος, ὁ Πρωτογένης ἐγὼ δέ σοι δο-
κῶ εἶπεν ἔρωτι νῦν πολεμεῖν, οὐχ ὑπὲρ ἔρωτος διαμάχεσθαι πρὸς ἀκολασίαν
καὶ ὕβριν αἰσχίστοις πράγμασι καὶ πάθεσιν εἰς τὰ κάλλιστα καὶ σεμνότατα
τῶν ὀνομάτων εἰσβιαζομένην; καὶ ὁ Δαφναῖος, αἴσχιστα δὲ καλεῖς ἔφη γά-
μον καὶ σύνοδον ἀνδρὸς καὶ γυναικός, ἧς οὐ γέγονεν οὐδ' ἔστιν ἱερωτέρα
ζεῦξις. ἀλλὰ ταῦτα μὲν εἶπεν ὁ Πρωτογένης ἀναγκαῖα πρὸς γένεσιν ὄντα, σεμνύ-
νουσιν οὐ φαύλως οἱ νομοθέται καὶ κατευλογοῦσι πρὸς τοὺς πολλούς. ἀληθινοῦ
δὲ ἔρωτος οὐδ' ὁπωστιοῦν τῇ γυναικωνίτιδι μέτεστιν. οὐδ' ἐρᾶν ὑμᾶς ἔγωγέ φημι τῶν
γυναιξὶ προσπεπονθότας, ἢ παρθένοις, ὥσπερ οὐδὲ μυῖαι γάλακτος οὐδὲ μέλιτ-
ται κηρίων ἐρῶσιν, οὐδὲ σιτευταὶ καὶ μάγειροι φιλοφρονοῦσι πιαίνοντες ὑπὸ σκό-
τῳ μόσχους καὶ ὄρνιθας. ἀλλ' ὥσπερ ἐπὶ σιτίον ἄγει καὶ ὄψον ἡ φύσις μετρίως
καὶ ἱκανῶς τὴν ὄρεξιν. ἡ δὲ ὑπερβολὴ πάθος ἐνεργασαμένη, λαιμαργία τις ἢ φι-
λοψιχία καλεῖται. οὕτως ἔνεστι τῇ φύσει τὸ δεῖσθαι τῆς ἀπ' ἀλλήλων ἡδονῆς γυ-
ναῖκας καὶ ἄνδρας. τὴν δὲ ἐπὶ τοῦτο κινοῦσαν ὁρμὴν σφοδρότητι καὶ ῥώμῃ γε-
νομένην πολλὴν καὶ δυσκάθεκτον, οὐ προσηκόντως ἔρωτα καλοῦσιν. ἔρως γὰρ εὐφυ-
οῦς καὶ νέας ψυχῆς ἁψάμενος εἰς ἀρετὴν διὰ φιλίας τελευτᾷ. ταῖς δὲ πρὸς
γυναῖκας ἐπιθυμίαις ταύταις ἂν ἄριστα πέσωσιν, ἡδονὴν περίεστι καρποῦσθαι

καὶ ἀπόλαυσιν ὥρας καὶ σώματος, ὡς ἐμαρτύρησεν Ἀρίστιππος τῷ κατηγοροῦν-
τι Λαΐδος πρὸς αὐτὸν ὡς οὐ φιλούσης, ἀποκρινάμενος, ὅτι καὶ τὸν οἶνον οἴεται
καὶ τὸν ἰχθὺν μὴ φιλεῖν αὐτόν, ἀλλ' ἡδέως ἑκατέρῳ χρῆται. τέλος γὰρ ἐπιθυ-
μίας ἡδονὴ καὶ ἀπόλαυσις. ἔρως δὲ προσδοκίαν φιλίας ἀποβαλών, οὐκ ἐθέλει
παραμένειν, οὐδὲ θεραπεύειν ἐφ' ὥρᾳ τὸ λυποῦν καὶ ἀκμάζον, εἰ καρπὸν ἤθους οἰ-
κεῖον εἰς φιλίαν καὶ ἀρετὴν οὐκ ἀποδίδωσιν. ἀκούεις δέ τινος τραγικοῦ γαμέτου
λέγοντος πρὸς τὴν γυναῖκα, μισεῖς, ἐγὼ δὲ ῥᾳδίως μισήσομαι πρὸς κέρδος ἕλκων
τὴν ἐμὴν ἀτιμίαν. τούτου γὰρ οὐδέν ἐστιν ἐρωτικώτερον, ὃ μὴ διὰ κέρδος, ἀλλ' ἀ-
φροδισίων ἕνεκα καὶ συνουσίας ὑπομένων γυναῖκα μοχθηρὰν καὶ ἄστοργον, ὥσ-
περ Στρατοκλεῖ τῷ ῥήτορι Φιλιππίδης ὁ κωμικὸς ἐπιγελῶν ἐποίησεν, ἀποστρε-
φομένης τὴν κορυφὴν φιλεῖς μόλις. εἰ δ' οὖν καὶ τοῦτο τὸ πάθος δεῖ καλεῖν ἔρω-
τα, θῆλυν καὶ νόθον, ὥσπερ εἰς Κυνόσαργες συντελοῦντα τὴν γυναικωνῖτιν.
μᾶλλον δὲ ὥσπερ ἀετόν τινα λέγουσι γνήσιον καὶ ὀρεινόν, ὃν Ὅμηρος μέλανα καὶ
θηρευτὴν προσεῖπεν, ἄλλα δὲ γένη νόθων ἐστίν, ἰχθῦς περὶ ἕλη καὶ ὄρνιθας ἀρ-
γοὺς λαμβανόντων. ἀπορούμενοι δὲ πολλάκις ἀναφθέγγονταί τι λιμῶδες καὶ
ὀδυρτικόν, οὕτως ἔρως ὁ γνήσιος ὁ παιδικός ἐστιν, οὐ πόθῳ στίλβων ὥς ἔφη τὸν παρ-
θένιον Ἀνακρέων, οὐδὲ μύρων ἀνάπλεως καὶ γεγανωμένος, ἀλλὰ λιτὸν αὐτὸν ὄψει
καὶ ἄθρυπτον ἐν σχολαῖς φιλοσόφοις, ἤπου περὶ γυμνάσια καὶ παλαίστρας
περὶ θήραν νέων ὀξὺ μάλα καὶ γενναῖον ἐγκελευόμενον πρὸς ἀρετὴν τοῖς ἀ-
ξίοις ἐπιμελείας. τὸν δὲ ὑγρὸν ἐκεῖνον καὶ οἰκουρὸν ἐν κόλποις διατρίβοντα καὶ
κλινιδίοις γυναικῶν ἀεὶ διώκοντα τὰ μαλθακά, καὶ θρυπτόμενον ἡδοναῖς ἀνάν-
δροις καὶ ἀφίλοις καὶ ἀνενθουσιάστοις, καταβάλλειν ἄξιον. ὡς καὶ Σόλων κατέ-
βαλε, δούλοις μὲν ἐρᾶν ἀρρένων παίδων ἀπεῖπε καὶ ξηραλοιφεῖν. χρῆσθαι δὲ συ-
νουσίαις γυναικῶν οὐκ ἐκώλυσε. καλὸν γὰρ ἡ φιλία καὶ ἀστεῖον. ἡ δὲ ἡδονή, κοινὸν
καὶ ἀνελεύθερον. ὅθεν οὐ δοῦλον ἐρᾶν παίδων ἐλευθέριόν ἐστιν οὐδὲ ἀστεῖον. συνουσία
γὰρ οὗτος ὁ ἔρως καθάπερ τῶν γυναικῶν. ἔτι δὲ πλείονα λέγειν προθυμουμένου
τοῦ Πρωτογένους ἀντικρούσας ὁ Δαφναῖος, εὖ γε νὴ Δία ἔφη τοῦ Σόλωνος ἐμνήσθης.
καὶ χρηστέον αὐτῷ γνώμονι τοῦ ἐρωτικοῦ ἀνδρός. ἔστ' ἂν ἥβης ἐρατοῖσιν ἐπ' ἄνθεσι παι-
δοφιλήσῃ μηρῶν καὶ γλυκεροῦ στόματος. πρόσλαβε δὲ τῷ Σόλωνι καὶ τὸν Αἰσχύ-
λον λέγοντα. σέβας δὲ μηρῶν οὐ κατῃδέσω ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων.
ἕτεροι μὲν γὰρ καταγελῶσιν αὐτῶν, εἰ καθάπερ θύται καὶ μάντεις εἰς τὰ μηρία
καὶ τὴν ὀσφὺν ἀποβλέπειν τοὺς ἐραστὰς κελεύουσιν. ἐγὼ δὲ παμμέγεθες τοῦτο
ποιοῦμαι σημεῖον ὑπὲρ τῶν γυναικῶν. εἰ γὰρ ἡ παρὰ φύσιν ὁμιλία πρὸς ἄρρενας,
οὐκ ἀναιρεῖ τὴν ἐρωτικὴν εὔνοιαν οὐδὲ βλάπτει, πολὺ μᾶλλον εἰκός ἐστι τὸν γυναι-
κῶν ἢ ἀνδρῶν ἔρωτα τῇ φύσει χρώμενον εἰς φιλίαν διὰ χάριτος ἐξικνεῖσθαι.
χάριν γὰρ οὖν ὦ Πρωτόγενες ἡ τοῦ θήλεος ὕπειξις τῷ ἄρρενι κέκληται πρὸς τῶν
παλαιῶν ὡς καὶ Πίνδαρος ἔφη τὸν Ἥφαιστον ἄνευ χαρίτων ἐκ τῆς Ἥρας γενέσθαι,
καὶ τὴν οὔπω γάμων ἔχουσαν ὥραν, ἡ Σαπφὼ προσαγορεύουσά φησιν, ὅτι σμι-
κρά μοι παῖς ἔμμεναι φαίνεαι κἄχαρις. ὁ δὲ Ἡρακλῆς ὑπό τινος ἐρωτᾶται. βία
δὲ πράξας χάριτας ἢ πείσας κόρην, ἡ δὲ ἀπὸ τῶν ἀρρένων ἀκόντων μετὰ βίας
λεγομένη καὶ λεηλασίας. ἂν δὲ ἑκουσίως σὺν μανίᾳ καὶ θηλύτητι βαίνεσθαι κα-
τὰ Πλάτωνα νόμῳ τετράποδος καὶ παιδὸς σπορὰν παρὰ φύσιν ἐνδιδόντων, ἄ-
χαρις παντάπασι καὶ ἀσχήμων καὶ ἀναφρόδιτος. ὅθεν οἶμαι καὶ ὁ Σόλων ἐκεῖνα μὲν ἔγρα-
ψε νέος ὢν ἔτι καὶ σπέρματος πολλοῦ μεστός, ὡς ὁ Πλάτων φησί, ταυτὶ δὲ πρεσβύτης
γενόμενος. ἔργα δὲ Κυπρογενοῦς μοι νῦν φίλα καὶ Διονύσου καὶ Μουσέων, ἃ τίθησιν ἀν-
δράσιν εὐφροσύνας. ὥσπερ ἐκ ζάλης καὶ χειμῶνος καὶ τῶν παιδικῶν ἐρώτων

ἐν πινιγαλήνῃ τὴν περὶ γάμον καὶ φιλοσοφίαν θέμενος τὸν βίον. εἰ μὲν οὖν τὸ ἀληθὲς σκοποῦμεν ὦ Πρωτόγενες, ἓν καὶ ταυτόν ἐστι πρὸς παῖδας καὶ γυναῖκας πάθος τὸ τῶν ἐρώτων. εἰ δὲ βούλοιο φιλονεικῶν διαιρεῖν, οὐ μέτρια δόξειε ποιεῖν ὁ παιδικὸς οὗτος· ἀλλ' ὥσπερ ὀψὲ γεγονὼς καὶ παρ' ὥραν τῷ βίῳ νόθος καὶ σκότιος ἐξελαύνει τὸν γνήσιον ἔρωτα καὶ πρεσβύτερον. χθὲς γὰρ ὦ ἑταῖρε καὶ πρώην μετὰ τὰς ἀποδύσεις καὶ ἀπογυμνώσεις τῶν νέων παραδὺς εἰς τὰ γυμνάσια καὶ προσανατριβόμενος ἡσυχῇ προσεγκαλῶν· εἶτα κατὰ μικρὸν ἐν ταῖς παλαίστραις πτεροφύησας, οὐκέτι καθεκτός ἐστιν, ἀλλὰ λοιδορεῖ καὶ προπηλακίζει τὸν γαμήλιον ἐκεῖνον καὶ συνεργὸν ἀθανασίας τῷ θνητῷ γένει, σβεννυμένην ἡμῶν τὴν φύσιν αὖθις ἐξανάπτοντα διὰ τῶν γενέσεων. οὗτος δὲ ἀρνεῖται τὴν ἡδονήν· αἰσχύνεται γὰρ καὶ φοβεῖται. δεῖ δέ τινος εὐπρεπείας ἁπτομένῳ καλῶν καὶ ὡραίων· πρόφασις οὖν φιλία καὶ ἀρετή. κονίεται δὲ καὶ ψυχρολουτεῖ καὶ τὰς ὀφρῦς αἴρει καὶ φιλοσοφεῖν φησι καὶ σωφρονεῖν ἔξω διὰ τὸν νόμον· εἶτα νύκτωρ καὶ καθ' ἡσυχίαν γλυκεῖα ὀπώρα φύλακος ἐκλελοιπότος. εἰ δὲ ὥς φησι Πρωτογένης, οὐκ ἔστιν ἀφροδισίων παιδικῶν ἡ κοινωνία· πῶς ἔρως ἐστὶν Ἀφροδίτης μὴ παρούσης, ἣν εἴληχε θεραπεύειν ἐκ θεῶν καὶ περιέπειν, τιμῆς τε μετέχειν καὶ δυνάμεως ὅσον ἐκείνη προσήκει δίδωσιν. εἰ δ' ἔστι τις ἔρως χωρὶς Ἀφροδίτης, ὥσπερ μέθη χωρὶς οἴνου πρὸς σύκινον πόμα καὶ κρίθινον, ἄκαρπον αὐτοῦ καὶ ἀτελὲς τὸ ταρακτικόν ἐστι καὶ πλήσμιον καὶ ἀψίκορον. λεγομένων τούτων ὁ Πεισίας ἦν δῆλος ἀγανακτῶν καὶ παροξυνόμενος ἐπὶ τὸν Δαφναῖον. μικρὸν δὲ αὐτοῦ καταλιπόντος, ὦ Ἡράκλεις ἔφη τῆς εὐχερείας καὶ θρασύτητος· ἀνθρώπους ὁμολογοῦντας ὥσπερ οἱ κύνες ἐκ μορίων συνῆφθαι πρὸς τὸ θῆλυ, μεθιστάναι καὶ μετοικίζειν τὸν θεὸν ἐκ γυμνασίων καὶ περιπάτων καὶ τῆς ἐν ἡλίῳ καθαρᾶς καὶ ἀναπεπταμένης διατριβῆς εἰς μακελεῖα καὶ κοπίδας καὶ φάρμακα καὶ μαγεύματα καθειργνύμενον ἀκολάστων γυναικῶν· ἐπεὶ ταῖς γε σώφροσιν, οὔτε ἐρᾶν οὔτε ἐρᾶσθαι δήπου προσῆκόν ἐστιν. ἐνταῦθα μέντοι καὶ ὁ πατὴρ ἔφη τοῦ Πρωτογένους ἐπιλαβέσθαι καὶ εἰπεῖν· τὸ δ' ἐξοπλίζειν τεῦχος ἀργεῖον λεώς. καὶ νὴ Δία Δαφναίῳ συνδικῶ ἡμᾶς προστίθησιν οὐ μετριάζων ὁ Πεισίας, ἀλλὰ τοῖς γάμοις ἀνέραστον ἐπάγων καὶ ἄμοιρον ἐνθέου φιλίας κοινωνίαν, ἣν τῆς ἐρωτικῆς πειθοῦς καὶ χάριτος ἀπολιπούσης, μονονοὺ ζυγοῖς καὶ χαλινοῖς ὑπ' αἰσχύνης καὶ φόβου μάλα μόλις συνεχομένην ὁρῶμεν. καὶ ὁ Πεισίας, ἐμοὶ μὲν εἶπεν ὀλίγου μέλει τοῦ λόγου· Δαφναῖον δὲ ὁρῶ ταυτὸν πάσχοντα τῷ χαλκῷ. καὶ γὰρ ἐκεῖνος οὐχ οὕτως ὑπὸ τοῦ πυρὸς ἢ ἐξ ... ὡς ὑπὸ τοῦ πεπυρωμένου χαλκοῦ καὶ ῥέοντος ἂν ἐπιχέῃ τις ἀνατήκεται. καὶ τοῦτον οὐκ ἐνοχλεῖ τὸ Λυσάνδρας κάλλος· ἀλλὰ συνεξηγραινόμενος καὶ πλησιάζων καὶ ἁπτόμενος διακεκαλυμμένῳ καὶ γέμοντι πυρὸς διὰ πολλοῦ χρόνου ὁ πλησιάζων καὶ συντηκόμενος ἀναπίμπλαται· καὶ δῆλός ἐστιν, εἰ μὴ ταχὺ φύγοι πρὸς ἡμᾶς συντακησόμενος. ἀλλ' ὁρῶ εἶπε γινόμενον, ὅπερ ἂν μάλιστα σπουδάσειεν Ἀνθεμίων, προσκρούοντα τοῖς δικασταῖς καὶ ἐμαυτῷ· ὥστε παύομαι. καὶ ὁ Ἀνθεμίων, ὤνησας ὁ Πεισίας εἶπεν ὡς ἔδει γε ἀπαρχῆς λέγειν τι πρὸς τὴν ὑπόθεσιν. λέγω τοίνυν ἔφη προκηρύξας, ἐμοῦ γε ἕνεκα πάσαις γυναιξὶν ἐραστήν, ὅτι τῆς γυναικὸς ὁ πλοῦτός ἐστι φυλακτέος, τῷ νεανίσκῳ μὴ συμμίξαντες αὐτὸν ὄγκον καὶ βάρει τοσούτῳ, λάθοιμεν ὥσπερ ἐν χαλκῷ καττίτερον ἀφανίσαντες. μέγα γὰρ ἂν δίκην, εἰ κρᾶσις οἴνου ... ἐλαφρᾷ γυναικὶ καὶ λιτῇ μειρακίου συνελθόντος εἰς ταὐτό, ... οὐ γὰρ ἂν ἀπορρί... ἐπικρατήσει. ταύτην δὲ ὁρῶμεν ἄρχειν καὶ κρατεῖν δοκοῦσαν. οὐ γὰρ ἂν ἀπορρίψασα δόξας καὶ γένη τηλικαῦτα καὶ πλοῦτον, ἐμνᾶτο μειράκιον ἐκ χλαμύδος, ἔτι παιδαγωγεῖσθαι δεόμενον. ὅθεν οἱ νοῦν ἔχοντες αὐτοὶ προΐενται καὶ περικόπτουσιν

περικόπτουσιν ὥσπερ ὠκύπτερα τῶν γυναικῶν τὰ περὶ τὰ χρήματα τρυφὰς ἐμποιοῦντα καὶ χαυνότητας ἐκ βεβαίους καὶ κουφίους, ὑφ' ὧν ἐπαιρόμεναι πολλάκις ἀποπέτονται· κἂν μένωσι χρυσαῖς ὥσπερ ἐν Αἰθιοπίᾳ πέδαις δεδέσθαι βέλτιον ἢ πλούτῳ γυναικός. ἐκεῖνα δὲ οὐ λέγει Πρωτογένης εἶπεν, ὅτι κινδυνεύομεν ἀναστρέφειν ἀτόπως καὶ γελοίως, τὸν Ἡσιόδου ἂν ἐκείνου λόγον· μήτε τριήκοντ' ἐτέων μάλα πόλλ' ἀπολείπων, μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος. ἡ δὲ γυνὴ τέτορ' ἡβῴη, πέμπτῳ δὲ γαμοῖτο. σχεδὸν ἡμεῖς οὔτοι τοσούτοις γυναικὶ πρεσβυτέρᾳ καθάπερ οἱ φοίνικες ἢ συκῆ καὶ ἄρρεν αἴ-δρα πειράψωμεν. ἐρᾶται γὰρ αὐτοῦ νὴ Δία καὶ κάεται. τίς οὖν ὁ κωλύων ἐστὶ κωμάζειν ἐπὶ θύρας, ᾄδειν τὸ παρακλαυσίθυρον, ἀναδεῖν τὰ εἰκόνια, παγκρατιάζειν πρὸς τοὺς ἀντεραστάς· ταῦτα γὰρ ἐρωτικὰ καὶ καθελέσθω τὰς ὀφρῦς καὶ παυσάσθω τρυφῶσα καὶ σχῆμα λαβοῦσα τῶν τοῦ πάθους οἰκείων. εἰ δὲ αἰσχύνεται καὶ σωφρονεῖ κοσμίως, οἴκοι καθήσθω περιμένουσα τοὺς μνωμένους καὶ σπουδάζοντας, ἐρᾶν δὲ φάσκουσαν γυναῖκα φυγεῖν τις ἂν ἔχει καὶ βδελυχθείη μή τι γε λάβοι γάμου ποιησάμενος ἀρχὴν τὴν τοιαύτην ἀκρασίαν. παυσαμένου δὲ τοῦ Πρωτογένους, ὁρᾷς εἶπεν ὦ Ἀνθεμίων, ὅτι πάλιν κοινὴν ποιοῦσι τὴν ὑπόθεσιν καὶ τὸν λόγον, ἀναγκαῖον ἡμῖν τοῖς οὐκ ἀρνουμένοις, οὐδὲ φεύγειν τοῦ περὶ γάμων ἔρωτος εἶναι χορευταῖς; καὶ ναὶ μὰ Δία εἶπεν ὁ Ἀνθεμίων ἀμύνου διὰ πλειόνων νῦν αὐτοὺς ἐρᾶν· εἰ δὲ τῷ πλούτῳ βοηθήσων, ᾧ μάλιστα δεδίττεται Πεισίας ἡμᾶς. τί δὲ εἶπεν ὁ πατὴρ οὐκ ἂν ἔγκλημα γένοιτο γυναικὸς εἰ δι' ἔρωτα καὶ πλοῦτον ἀπορρίψομεν Ἰσμηνοδώραν. βαρεῖα γὰρ ἡ πλουσία. τί δὲ ἡ καλὴ καὶ νέα; τί δὲ ἡ γένει σοβαρὰ καὶ ἔνδοξος; αἱ δὲ σώφρονες οὐδὲ αὐστηρὸν καὶ κατεγρυπωμένον ἐπαχθές, καὶ δυσκαρτέρητον ἔχουσι· καὶ Ποινὰς καλοῦσιν αὐτὰς καὶ τοῖς ἀνδράσιν ὀργιζομένας, ὅτι σωφρονοῦσιν. ἆρ' οὖν κράτιστον ἐξ ἀγορᾶς γαμεῖν Ἀβρότονόν τινα Θρῇσσαν ἢ Βακχίδα Μιλησίαν ἔγγυον ἐπαγομένην δι' ὠνῆς καὶ καταχυσμάτων; ἀλλὰ καὶ ταύταις ἴσμεν οὐκ ὀλίγους αἴσχιστα δουλεύσαντας. αὐλητρίδες δὲ Σάμιαι καὶ ὀρχηστρίδες, Ἀριστονίκα καὶ τύμπανον ἔχουσα Οἰνάνθη καὶ Ἀγαθόκλεια διαδήμασι βασιλέων ἐπέβησαν. ἡ δὲ Σύρα Σεμίραμις, οἰκότριβος μὲν ἦν βασιλικοῦ θεράπαινα παλλακευομένη· Νίνου δὲ τοῦ μεγάλου βασιλέως, ἐντυχόντος αὐτῇ καὶ στέρξαντος, οὕτως ἐκράτησε καὶ κατεφρόνησεν, ὥστε ἀξιῶσαι καὶ μίαν ἡμέραν αὐτὴν περιιδεῖν ἐν τῷ θρόνῳ καθεζομένην, ἔχουσαν τὸ διάδημα καὶ χρηματίζουσαν. δόντος δὲ ἐκείνου καὶ κελεύσαντος πάντας ὑπηρετεῖν ὥσπερ αὐτῷ καὶ πείθεσθαι, μετρίως ἐχρῆτο τοῖς πρώτοις ἐπιτάγμασι πειρωμένη τῶν δορυφόρων. ἐπεὶ δὲ ἑώρα μηδὲν ἀντιλέγοντας, μηδὲ ὀκνοῦντας, ἐκέλευσε συλλαβεῖν τὸν Νίνον, εἶτα δῆσαι τέλος δὲ ἀποκτεῖναι. πραχθέντων δὲ πάντων, ἐβασίλευσε τῆς Ἀσίας ἐπιφανῶς πολὺν χρόνον. ἡ δὲ Βελεστίχη πρὸς Διὸς οὐ βάρβαρον ἐξ ἀγορᾶς γύναιον, ἧς ἱερὰ καὶ ναοὺς Ἀλεξανδρεῖς ἔχουσιν, ἐπιγράψαντος δι' ἔρωτα τοῦ βασιλέως ἢ Ἀφροδίτης Βελεστίχης. ἡ δὲ σύνναος μὲν ἐνταυθοῖ καὶ σύνιερος τοῦ Ἔρωτος ἐν Δελφοῖς, κατάχρυσος δὲ ἑστῶσα μετὰ τῶν βασιλέων καὶ βασιλειῶν, ποίᾳ προικὶ τῶν ἐραστῶν ἐκράτησεν; ἀλλ' ὥσπερ ἐκεῖνοι δι' ἀσθένειαν ἑαυτῶν καὶ μαλακίαν ἔλαθον γενόμενοι

λεία γυναικῶν, οὕτω πάλιν ἄδοξοι καὶ πένητες ἕτεροι πλουσίαις γυναιξὶ καὶ λαμπραῖς συνελθόντες, οὐ διεφθάρησαν, οὐδ' ὑφῆκάν τι τοῦ φρονήματος, ἀλλὰ τιμώμενοι καὶ κρατοῦντες μετ' εὐνοίας συγκατεβίωσαν. ὁ δὲ συστέλλων τὴν γυναῖκα καὶ συνάγων εἰς μικρὸν ὥσπερ δακτύλιον ἰσχνὸν ὡς μὴ περιρρυῇ δεδιώς, ὅμοιός ἐστι τοῖς ἀποκείρουσι τὰς ἵππους, εἶτα πρὸς πο-

ταμὸν καὶ λίμνην ἄγουσι, καθορῶσαν γοῦν ἑκάστην τὴν εἰκόνα τῆς ὄψεως ἀγκάλῃ καὶ ἄμορφον ἀξιοῦσαι τὰ φριμάγματα λέγεται καὶ προσδέχεσθαι. τὰς τῶν ὄνων ἐπιβάσεις, πλοῦτον δὲ γυναικὸς αἱρεῖσθαι μὲν πρὸς ἀρετὴν ἢ γένους ἀφιλότιμον καὶ ἀνελεύθερον. ἀρετῇ δὲ καὶ γένει προσόντα φεύγει ἀβέλτερον, ὁ μὲν γὰρ ἀντίγονος, ὠχυρωμένῃ τὴν μουνυχίαν τῷ φρουροῦντι γράφων ἐκέλευε ποιεῖν μὴ μόνον τὸν κλοιὸν ἰσχυρὸν ἀλλὰ καὶ τὸν κύνα λεπτὸν ὅπως ὑφαιρῇ τὰς εὐπορίας τῶν ἀθηναίων, ἀνδρὶ δὲ πλουσίας ἢ καλῆς οὐ προσήκει μὴ δὲ τὴν γυναῖκα ποιεῖν ἄμορφον, ἢ πενιχράν, ἀλλ' ἐᾶν τὸν ἐγκρατείᾳ καὶ φρονήσει, καὶ τῷ μηδὲν ἐκπεπλῆχθαι τῶν περὶ ἐκείνην ἴσον παρέχειν καὶ ἀδούλωτον. ὥσπερ ἐν ζυγοῦ ῥοπὴν τῷ ἤθει προστιθέντα καὶ βάρος, ὑφ' οὗ κρατεῖται καὶ ἄγεται, καὶ ὡς ἅμα συμφρόντως, καὶ μὴν ἡλικία γε πρὸς γάμον καὶ ὥρα τὸ τίκτειν ἔχουσα καὶ τὸ γενναῖον ἐναρμοστός ἐστιν. ἀκμάζειν δὲ τὴν γυναῖκα πυνθάνομαι καὶ ἅμα τῷ πεισίᾳ προσμειδιάσας οὐδενὸς γὰρ ἔφη τῶν ἀντεραστῶν πρεσβυτέρα οὐδ' ἔχει πολιὰς ὥσπερ ἔνιοι τῶν βάκχωνι προσαχρωνυμένων. εἰ δὲ οὗτοι καθ' ὥραν ὁμιλοῦσι, τί κωλύει κἀκείνην ἐπιμεληθῆναι τοῦ νεανίσκου βέλτιον ἤ τις συνοῦσα νέα. δύσμικτα γὰρ τὰ νέα καὶ δυσκέρατα καὶ μόλις ἐν χρόνῳ πολλῷ τὸ φρύαγμα καὶ τὴν ὕβριν ἀφίησιν, ἐν ἀρχῇ δὲ κυμαίνει καὶ ζυγομαχεῖ. καὶ μᾶλλον ἂν ἔρως ἐγγένηται, καὶ καθάπερ πνεῦμα κυβερνήτου μὴ παρόντος ἐτάραξε καὶ συνέχεε τὸν γάμον, οὔτε ἄρχειν δυναμένων οὔτε ἄρχεσθαι βουλομένων, εἰ δὲ ἄρχει βρέφους μὲν ἡ τίτθη, καὶ παιδὸς ὁ διδάσκαλος, ἐφήβου δὲ γυμνασίαρχος, ἐραστὴς δὲ μειρακίου, γενομένου δὲ ἐν ἡλικίᾳ νόμος καὶ στρατηγός. οὐδεὶς δὲ ἄναρκτος, οὐδὲ αὐτοτελής. τί δεινὸν εἰ γυνὴ νοῦν ἔχουσα πρεσβυτέρα, κυβερνήσει νέου βίον ἀνδρός. ὠφέλιμος μὲν οὖσα τῷ φρονεῖν μᾶλλον. ἡδεῖα δὲ τῷ φιλεῖν καὶ προσηνής. τὸ δὲ ὅλον ἔφη καὶ τὸν ἡρακλέα βοιωτοὺς ὄντας ἔδει σέβεσθαι καὶ μὴ δυσχεραίνειν τὴν παρ' ἡλικίαν τοῦ γάμου. γινώσκοντας ὅτι κἀκεῖνος τὴν ἑαυτοῦ γυναῖκα μεγάραν ἰολάῳ συνῴκισεν ἑκκαιδεκαέτει τότε ὄντι, τρία καὶ τριάκοντα ἔτη τότε γεγενημένην. ἐν τοιούτων λόγων ὁ πατὴρ ἔφη παρόντων αὐτοῖς. ἐλθεῖν τοῦ πεισίου ἑταῖρον ἐκ πόλεως ἵππῳ θέοντα. πρᾶγμα θαυμαστὸν ἀπαγγέλλοντα τετολμημένον, ἡ γοῦν ἰσμηνοδώρα αὐτὸν μὲν ὡς ἔοικεν οὐκ ἀηδῶς ἔχειν οἰομένη τὸν βάκχωνα πρὸς τὸν γάμον. αἰσχύνεσθαι δὲ τοὺς ἀποτρέποντας, ἔγνω μὴ προέσθαι τὸ μειράκιον, τῶν δὲ φίλων τοὺς μάλιστα τοῖς βίοις νεαροὺς καὶ συνερῶντας αὐτῇ καὶ τῶν γυναικῶν τὰς συνήθεις μεταπεμψαμένη καὶ συγκροτήσασα παρεφύλαττε τὴν ὥραν ἣν ὁ βάκχων εἶχεν ἀπιὼν εἰς παλαίστραν παρὰ τὴν οἰκίαν αὐτῆς παρεξιέναι κοσμίως, ὡς οὖν τότε προσῄει μετὰ δυοῖν ἢ τριῶν ἀληλιμμένος, αὐτὴ μὲν ἐπὶ τὰς θύρας ἀπήντησεν ἡ ἰσμηνοδώρα, καὶ τῆς χλαμύδος ἔθιγε μόνον, οἱ δὲ φίλοι καλὸν καλῶς ἐν τῇ χλαμύδι καὶ τῇ διβολίᾳ συναρπάσαντες, εἰς τὴν οἰκίαν παρήνεγκαν ἀθρόοι. καὶ τὰς θύρας εὐθὺς ἀπέκλεισαν, ἅμα δὲ αἱ μὲν γυναῖκες ἔνδον αὐτοῦ τὸ χλαμύδιον ἀφαρπάσασαι περιέβαλον ἱμάτιον νυμφικόν, οἰκέται δὲ περὶ κύκλῳ δραμόντες, ἀνέστεφον ἐλαίᾳ καὶ δάφνῃ τὰς θύρας, οὐ μόνον τὰς τῆς ἰσμηνοδώρας, ἀλλὰ καὶ τὰς τοῦ βάκχωνος. ἡ δὲ αὐλητρὶς αὐλοῦσα διεξῆλθε τὸν στενωπόν. τῶν δὲ θεσπιέων καὶ τῶν ξένων οἱ μὲν ἐγέλων, οἱ δὲ ἠγανάκτουν, καὶ τοὺς γυμνασιάρχους παρώξυνον, ἄρχουσι γὰρ ἰσχυρῶς τῶν ἐφήβων καὶ προσέχουσι τὸν νοῦν σφόδρα τοῖς ὑπ' αὐτῶν πραττομένοις. ἦν δὲ λόγος οὐδεὶς τῶν ἀγωνιζομένων ἀλλ' ἀφέντες τὸ θέατρον ἐπὶ τῶν θυρῶν τῆς ἰσμηνοδώρας ἐν λόγοις ἦσαν καὶ φιλονεικίαις πρὸς ἀλλήλους ὡς οὖν ὁ τοῦ πεισίου φίλος ὥσπερ ἐν πολέμῳ προσελάσας τὸν ἵππον αὐτὸ τοῦτο τεταραγμένως εἶπεν, ὅτι

βάκχωνα

βάκχωνα ἥρπασεν ἰσμηνοδώρα, τὸν μὲν ζεύξιππον ὁ πατὴρ ἔφη γελάσαι καὶ εἰπεῖν, ἅτε δὴ καὶ φιλευριπίδην ὄντα, πλούτῳ χλιδῶσα θνητὰ δὴ γύναι φρονεῖς. τὸν δὲ πεισίαν ἀναπηδήσαντα βοᾶν. ὦ θεοί, τί πέρας ἔσται τῆς ἀναστατούσης τὴν πόλιν ἡμῶν ἐλευθερίας; ἤδη γὰρ εἰς ἀνομίαν τὰ πράγματα διὰ τῆς αὐτονομίας βαδίζει καί τοι γελοῖον ἴσως ἀγανακτεῖν περὶ νόμων καὶ δικαίων ἡ γὰρ φύσις παρανομεῖται γυναικοκρατουμένη. τί τοιοῦτον ἡ λῆμνος; ἴωμεν ἡμεῖς ἴωμεν εἶπεν ὅπως καὶ τὸ γυμνάσιον ταῖς γυναιξὶ παραδῶμεν καὶ τὸ βουλευτήριον, εἰ παντάπασιν ἡ πόλις ἐκνενεύρισται. προσάγοντος οὖν τοῦ πεισίου ὁ μὲν πρωτογένης οὐκ ἀπελείπετο τὰ μὲν συναγανακτῶν, τὰ δὲ πραΰνων ἐκεῖνον, ὁ δὲ ἀνθεμίων, νεανικὸν μὲν ἔφη τὸ τόλμημα καὶ λήμνιον ὡς ἀληθῶς. αὐτοὶ γὰρ ἴσμεν σφόδρα ἐρώσης γυναικός, καὶ ὁ σώκλαρος ὑπομειδιῶν, οἴει γὰρ ἁρπαγὴν ἔφη γεγονέναι καὶ βιασμόν, οὐκ ἀπολόγημα καὶ στρατήγημα τοῦ νεανίσκου νοῦν ἔχοντος. ὅτι τὰς τῶν ἐραστῶν ἀγκάλας διαφυγὼν ἐξηυτομόληκεν εἰς χεῖρας καλῆς καὶ πλουσίας γυναικός; μὴ λέγε ταῦτα εἶπεν ὦ σώκλαρε, μὴ δ' ὑπονόει περὶ βάκχωνος ὁ ἀνθεμίων. καὶ εἰ μὴ φύσει τὸν τρόπον ἁπλοῦς ἦν καὶ ἀφελής, ἐμέ γ' οὖν ἀπεκρύψατο τῶν τε ἄλλων μεταδιδοὺς ἁπάντων, οὔτε τούτοις ὁρῶν προθυμότατον ὄντα τῆς ἰσμηνοδώρας βοηθόν. ἔρωτι δὲ μάχεσθαι χαλεπὸν οὐ θυμῷ καθ' ἡράκλειτον. ὅ τι γὰρ ἂν θελήσῃ, καὶ ψυχῆς ὠνεῖται καὶ χρημάτων καὶ δόξης, ἐπεὶ τί κοσμιώτερον ἰσμηνοδώρας ἐν τῇ πόλει; πότε δὲ εἰσῆλθεν ἢ λόγος αἰσχρός, ἢ πράξεως ὑπόνοια φαύλης ἔθιγε τῆς οἰκίας; ἀλλ' ἔοικε θειά τις ὄντως εἰληφέναι τὸν ἄνθρωπον ἐπίνοια καὶ κρείττων ἀνθρωπίνου λογισμοῦ. καὶ ὁ πεμπτίδης ἐπιγελάσας, ἀμέλει καὶ σωματικὴ τις ἔφη νόσος ἐστίν, ἣν ἱερὰν καλοῦσι. οὐδὲν οὖν ἄτοπον, εἰ καὶ ψυχῆς τὸ μανικώτατον πάθος, καὶ μέγιστον, ἱερὸν καὶ θεῖον ἔνιοι προσαγορεύουσιν. εἶτα ὥσπερ ἐν αἰγύπτῳ ποτὲ γείτονας ἑώρων, δύο διαμφισβητοῦντας, ὄφεως προσερπύσαντος εἰς τὴν ὁδόν, ἀμφοτέρων μὲν ἀγαθὸν δαίμονα καλούντων, ἑκατέρου δὲ ἔχειν ἀξιοῦντος ὡς ἴδιον, οὕτως ὁρῶν ὑμῶν ἄρτι τοὺς μὲν, εἰς τὴν ἀνδρωνῖτιν ἕλκοντας τὸν ἔρωτα, τοὺς δὲ εἰς τὴν γυναικωνῖτιν ὑπερφυὲς καὶ θεῖον ἀγαθὸν οὐκ ἐθαύμαζον. ἐπεὶ τηλικαύτην δύναμιν ἔχει καὶ τιμὴν τὸ πάθος, οἷς ἦν προσῆκον ἐξελαύνειν αὐτὸ πανταχόθεν, καὶ κολούειν ὑπὸ τούτων αὐξανόμενον καὶ σεμνυνόμενον. ἄρτι μὲν οὖν ἡσυχίαν ἦγον. ἐν γὰρ ἰδίοις μᾶλλον ἢ κοινοῖς ἑώρων τὴν ἀμφισβήτησιν οὖσαν, νυνὶ δὲ ἀπηλλαγμένος πεισίου ἡδέως ἂν ὑμῶν ἀκούσαιμι, πρὸς τί βλέψαντες ἀπεφήναντο τὸν ἔρωτα θεὸν οἱ πρῶτοι τοῦτο λέξαντες. παυσαμένου δὲ τοῦ πεμπτίδου καὶ τοῦ πατρὸς ἀρξαμένου τι περὶ τούτων λέγειν, ἕτερος ἧκεν ἐκ πόλεως τὸν ἀνθεμίωνα μεταπεμπομένοις τῆς ἰσμηνοδώρας. ἐπέτεινε γὰρ ἡ ταραχή, καὶ τῶν γυμνασιαρχῶν ἦν διαφορά, τοῦ μὲν, οἰομένου δεῖν τὸν βάκχωνα ἀπαιτεῖν, τοῦ δὲ πολυπραγμονεῖν οὐκ ἐῶντος. ὁ μὲν οὖν ἀνθεμίων ἀναστὰς ἐβάδιζεν. ὁ δὲ πατὴρ τὸν πεμπτίδην ὀνομαστὶ προσαγορεύσας, μεγάλου μοι δοκεῖς ἅπτεσθαι καὶ παραβόλου πράγματος ὦ πεμπτίδη, μᾶλλον δὲ ὅλως τὰ ἀκίνητα κινεῖν τῆς περὶ θεῶν δόξης ἣν ἔχομεν, περὶ ἑκάστου λόγον ἀπαιτῶν καὶ ἀπόδειξιν. ἀρκεῖ γὰρ ἡ πάτριος καὶ παλαιὰ πίστις, ἧς οὐκ ἔστιν εἰπεῖν οὐδ' ἀνευρεῖν τεκμήριον ἐναργέστερον. οὐδ' εἰ δι' ἄκρας τὸ σοφὸν ηὕρηται φρενός, ἀλλ' ἕδρα τις, καὶ βάσις ὑφεστῶσα κοινὴ πρὸς εὐσέβειαν, ἐὰν ἐφ' ἑνὸς ταράττηται καὶ σαλεύηται τὸ βέβαιον αὐτῆς καὶ νενομισμένον, ἐπισφαλὴς γίνεται πᾶσι καὶ ὕποπτος, ἀκούεις δή που τὸν εὐριπίδην ὡς ἐθορυβήθη ποιησάμενος ἀρχὴν τῆς μελανίππης. ζεὺς ὅστις ὁ ζεύς, οὐ γὰρ οἶδα πλὴν λόγῳ, μεταλαβὼν δ' ἕτερον χορὸν ἄλλον ἐθάρρει ὡς ἔοικε τῷ δράματι γεγραμμένῳ πανηγυρικῶς καὶ περιττῶς, ἤλλαξε τὸν στίχον ὡς νῦν γέγραπται

ζοὺς ὡς λέγεται τῆς ἀληθείας ὑπό· τί τῶν διαφορὰν τὴν περὶ τοῦ Διὸς δόξαν ἢ τῆς Ἀθηνᾶς ἢ τοῦ Ἔρωτος εἰς ἀμφιβολίαν τῷ λόγῳ θέσθαι, ἢ καὶ ἄδηλον, οὐ γὰρ νῦν αἰτεῖ πρῶτον βωμὸν ὁ Ἔρως καὶ θυσίαν, οὐδὲ ἔπηλυς ἔκ τινος βαρβαρικῆς δεισιδαιμονίας, ὥσπερ Ἄτται τινὲς καὶ Ἀδώναιοι λεγόμενοι δι᾽ ἀνδρογύνων καὶ γυναικῶν παρεισδύεται καὶ κρύφα τιμὰς οὐ προσηκούσας καρπούμενος· ὥστε παρεγγραφῆς δίκην φεύγειν καὶ νοθείας τῆς ἐν θεοῖς, ἀλλ᾽ ὅταν Ἐμπεδοκλέους ἀκούσῃς λέγοντος ὦ ἑταῖρε καὶ φιλότης ἐν τοῖς ἴση* μῆκός τε πλάτος τε τὴν σὺ νόῳ δέρκου, μὴ δ᾽ ὄμμασιν ἧσο τεθηπώς. ταῦτα οἴεσθαι χρὴ λέγεσθαι περὶ Ἔρωτος· οὐ γάρ ἐστιν ὁρατὸς, ἀλλὰ δοξαστὸς ἡμῖν ὁ θεὸς, οὗτος ἐν τοῖς πάνυ παλαιοῖς, ὧν ἂν περὶ ἑκάστου τεκμήριον ἀπαιτῇς πάντως ἁπτόμενος, ἱδρυοῦ καὶ παντὶ βωμῷ σοφιστικὴν ἐπάγων πεῖραν, οὐδὲν ἀσυκοφάντητον οὐδὲ ἀβασάνιστον ἀπολείψεις· πόρρω γὰρ οὐκ ἄπειμι, τὴν δ᾽ Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός; ἡ δ᾽ ἐστὶν ἡ σπείρουσα καὶ διδοῦσ᾽ ἔρον* οὗ πάντες ἐσμὲν οἱ κατὰ χθόν᾽ ἔκγονοι, ζείδωρον μὲν αὐτὴν Ἐμπεδοκλῆς, εὔκαρπον δὲ Σοφοκλῆς ἐμμελῶς πάνυ καὶ πρεπόντως ὠνόμασαν, ἀλλ᾽ ὅμως τὸ μέγα τοῦτο καὶ θαυμαστὸν, Ἀφροδίτης μὲν ἔργον· Ἔρωτος δὲ πάρεργόν ἐστιν Ἀφροδίτῃ συμπαρόντος, μὴ συμπαρόντος δὲ κομιδῇ τὸ γινόμενον ἄζηλον ἀπολείπεται καὶ ἄτιμον καὶ ἄφιλον· ἀνέραστος γὰρ ὁμιλία καθάπερ πεῖνα καὶ δίψα, πλησμονὴν ἔχουσα πέρας εἰς οὐδὲν ἐξικνεῖται καλόν, ἀλλ᾽ ἡ θεὸς Ἔρωτι τὸν κόρον ἀφαιροῦσα τῆς ἡδονῆς, φιλότητα ποιεῖ καὶ σύγκρασιν. διὸ Παρμενίδης μὲν ἀποφαίνει τὸν Ἔρωτα τῶν Ἀφροδίτης ἔργων πρεσβύτατον ἐν τῇ κοσμογονίᾳ γράφων, πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων, Ἡσίοδος δὲ φυσικώτερον ἐμοὶ δοκεῖ ποιεῖν Ἔρωτα πάντων πρεσβύτατον, ἵνα πάντα δι᾽ ἐκεῖνον μετάσχῃ γενέσεως. ἂν οὖν τὸν Ἔρωτα τῶν νενομισμένων τιμῶν ἐκβάλλωμεν, οὐδὲ τὰ τῆς Ἀφροδίτης κατὰ χώραν μενοῦσιν. οὐδὲ γὰρ τοῦτ᾽ ἔστιν εἰπεῖν, ὅτι τῷ μὲν Ἔρωτι λοιδοροῦνταί τινες, ἀλλ᾽ ἀπέχονται ἐκείνης, ἀλλ᾽ ἀπὸ μιᾶς σκηνῆς ἀκούομεν, ἔρως γὰρ ἀργὸν καὶ ἐπὶ τοιούτοις ἔφυ. καὶ πάλιν ὦ παῖδες, ἡ Κύπρις οὐ Κύπρις μόνον, ἀλλ᾽ ἔστι πολλῶν ὀνομάτων ἐπώνυμος· ἔστι μὲν ᾅδης, ἔστι δ᾽ ἄφθιτος βία· ἔστι δὲ λύσσα μανιάς. ὥσπερ οὐδὲ τῶν ἄλλων θεῶν σχεδὸν ἀλοιδόρητος οὐδεὶς ἐκπέφευγε τὴν ἀλοιδόρητον ἀμαθίαν. σκόπει δὲ τὸν Ἄρην καθάπερ ἐν πίνακι χαλκῷ τὴν ἀντικειμένην ἐκ διαμέτρου τῷ Ἔρωτι χώραν ἔχοντι, πηλίκας εἴληχε τιμὰς ὑπ᾽ ἀνθρώπων, καὶ πάλιν ὅσα κακῶς ἀκούει. τυφλὸς γὰρ ὦ γυναῖκες οὐδ᾽ ὁρῶν Ἄρης συὸς προσώπῳ πάντα τυρβάζει κακά, καὶ μιαιφόνον Ὅμηρος αὐτὸν καλεῖ καὶ ἀλλοπρόσαλλον. ὁ δὲ Χρύσιππος ἐξηγούμενος τοὔνομα τοῦ θεοῦ, κατηγορίαν ποιεῖ καὶ διαβολὴν, ἀναιρεῖν γὰρ εἶναι τὸν Ἄρην φησίν· ἀρχὰς διδοὺς τοῖς τὸ μαχητικὸν ἐν ἡμῖν καὶ διάφορον καὶ θυμοειδὲς, Ἄρην κεκλῆσθαι νομίζουσιν. ἕτεροι δ᾽ αὖ φήσουσι τὴν Ἀφροδίτην ἐπιθυμίαν εἶναι· καὶ τὸν Ἑρμῆν λόγον, καὶ τέχνας τὰς μούσας, καὶ φρόνησιν τὴν Ἀθηνᾶν. ὁρᾷς δήπου τὸν ὑπολαμβάνοντα βυθὸν ἡμᾶς ἀθεότητος, ἂν εἰς πάθη καὶ δυνάμεις καὶ ἀρετὰς διαγράφωμεν ἕκαστον τῶν θεῶν; ὁρῶ εἶπεν ὁ Πεμπτίδης. ἀλλ᾽ οὔτε πάθη τοὺς θεοὺς ποιεῖν ὅσιον, οὔτ᾽ αὖ πάλιν τὰ πάθη θεοὺς νομίζειν. καὶ ὁ πατήρ· τί οὖν ἔφη τὸν Ἄρην θεὸν εἶναι νομίζεις; ἢ πάθος ἡμέτερον; ἀποκριναμένου δὲ τοῦ Πεμπτίδου θεὸν ἡγεῖσθαι τὸν Ἄρην κοσμοῦντα τὸ θυμοειδὲς ἡμῶν καὶ ἀνδρῶδες. ἀνακραγὼν ὁ πατήρ, εἶτα ἔφη· τὸ μὲν παθητικὸν ὦ Πεμπτίδη καὶ πολεμικὸν καὶ ἀντίπαλον θεὸν ἔχει· τὸ δὲ φιλητικὸν καὶ κοινωνικὸν καὶ συνελευστικὸν ἄθεόν ἐστι; καὶ κτείνοντας μὲν ἄρα καὶ κτεινομένους ἀνθρώπους, ὅπλα τε καὶ βέλη καὶ τειχομαχίας καὶ λεηλασίας ἔστι τις ἐφορῶν καὶ βραβεύων θεὸς Ἐνυάλιος καὶ Στράτιος· πόθου δὲ γάμου

καὶ

καὶ φιλότητος εἰς ὁμοφροσύνην καὶ κοινωνίαν τελευτώσης, οὐθεὶς θεῶν μάρτυς οὐδ᾽ ἐπίσκοπος, οὐδ᾽ ἡγεμὼν ἢ συνεργὸς ἡμῖν γέγονεν; ἀλλὰ δορκάδας μὲν θηρεύουσι καὶ λαγωοὺς καὶ ἐλάφους ἀγρότερός τις συνεπιθωΰσσει καὶ συνεξορμᾷ θεός· εὔχονται δ᾽ Ἀρισταίῳ δολοῦντες ὀρύγμασι καὶ βρόχοις λύκους καὶ ἄρκτους, ὃς πρῶτος θήρεσσιν ἔπηξε ποδάγρας. ὁ δὲ Ἡρακλῆς ἕτερον θεὸν παρακαλεῖ μέλλων ἐπὶ τὸν ὄρνιν αἴρεσθαι τὸ τόξον ὡς Αἰσχύλος φησίν, ἀγρεὺς δ᾽ Ἀπόλλων ὀρθὸν ἰθύνοι βέλος. ἀνδρὶ δὲ τὸ κάλλιστον ἐπιχειροῦντι θήραμα φιλίαν ἑλεῖν, οὔτε θεὸς οὔτε δαίμων ἀπευθύνει καὶ συνεφάπτεται τῆς ὁρμῆς. ἐγὼ μὲν γὰρ οὐδὲ δρυὸς οὐδὲ μορίας, οὐδ᾽ ἣν Ὅμηρος ἡμερίδα σεμνύνων προσεῖπεν, ἀκαλλέστερον ἔρνος, ὃ δὲ φλαυρότερον ἡγοῦμαι φυτὸν ἄνθρωπον, ὦ φίλε Δαφναῖε, βλαστήσεως ὁρμὴν ἔχοντα διαφαίνουσαν ὥρᾳ καὶ κάλλος ἅμα σώματος καὶ ψυχῆς. καὶ ὁ Δαφναῖος· τίς δὲ ἄλλος εἶπεν ὦ πρὸς τῶν θεῶν; οὗτοι νὴ Δία ἔφη πάντες ὁ πατὴρ οἱ νομίζοντες ἀρότου καὶ σπόρου καὶ φυτείας ἐπιμέλειαν θεοῖς προσήκειν. οὐ γὰρ νύμφαι τινὲς αὐτοῖς δρυάδες εἰσὶν ἶσον δένδρου τέκμαρ αἰῶνος λαχοῦσαι. δενδρέων δὲ νομὸν Διόνυσος, πολύ τε φέγγος αὐξάνει. φέγγος ἁγνὸν ὀπώρας κατὰ Πίνδαρον. μειρακίων δ᾽ ἄρα καὶ παίδων ἐν ὥρᾳ, καὶ ἄνθει πλαττομένων καὶ ῥυθμιζομένων τροφὰς καὶ αὐξήσεις οὐδενὶ θεῶν ἢ δαιμόνων προσήκουσιν; οὐδ᾽ ἔστιν ᾧ μέλει φυόμενον ἄνθρωπον εἰς ἀρετὴν ὀρθὸν ἐλθεῖν καὶ μὴ παρατραπῆναι μηδὲ κλασθῆναι τὸ γενναῖον, ἐρημίᾳ κηδεμόνος ἢ κακίᾳ τῶν προστυγχανόντων, ἢ καὶ τὸ λέγειν ταῦτα, δεινόν ἐστι καὶ ἀχάριστον, ἀπολαύνοντάς τε τοῦ θείου, τοῦ φιλανθρώπου πανταχόσε νενεμημένου καὶ μηδαμοῦ προλείποντος ἐν χρείαις. ὧν ἀναγκαιότερον εἶναι τὸ τέλος ἢ κάλλιον ἔχουσιν. ὥσπερ εὐθὺς περὶ τὴν γένεσιν ἡμῶν· οὐκ ἀπρεπὴς οὖσα δι᾽ αἵματος καὶ ὠδίνων, ὅμως ἔχει θείαν ἐπίσκοπον Εἰλειθυίαν καὶ Λοχείαν, ἣν δέ που μὴ γίνεσθαι κρεῖττον, ἢ γενέσθαι κακὸν ἁμαρτάνοντα κηδεμόνος ἀγαθοῦ καὶ φύλακος, οὐ μὴν οὐδὲ νοσοῦντος ἀνθρώπου θεὸς ἀποστατεῖ τὴν περὶ τοῦτο χρείαν καὶ δύναμιν εἰληχώς, ἀλλ᾽ οὐδὲ ἀποθανόντος· ἔστι δέ τις ἐκεῖ κομιστὸς ἐνθένδε καὶ ἀρωγὸς ἐν τέλει γενομένων κατευναστὴς καὶ ψυχοπομπὸς, ὥσπερ οὗτος. οὐ γάρ με νὺξ ἔτικτε δεσπότην λύρας, οὐ μάντιν οὐδ᾽ ἰατρὸν, ἀλλὰ θνητὸν ἅμα ψυχαῖς. καὶ τὰ τοιαῦτα πολλὰς ἔχει δυσχερείας, ἐκείνου δὲ οὐδ᾽ ἔστιν εἰπεῖν ἔργον ἱερώτερον οὐδὲ ἅμιλλαν ἑτέραν. οὐδ᾽ ἀγῶνα θεῷ πρέπειν μᾶλλον ἐφορᾶν καὶ βραβεύειν, ἢ τὴν περὶ τοὺς καλοὺς καὶ ὡραίους ἐπιμέλειαν τῶν ἐρώντων καὶ δίωξιν. οὐδὲν γάρ ἐστιν αἰσχρὸν, οὐδ᾽ ἀναγκαῖον, ἀλλ᾽ ἀπειθὼ καὶ χάρις ἐνδιδοῦσα πόνον ἡδὺν ὡς ἀληθῶς κάματον ὑφηγεῖται πρὸς ἀρετὴν καὶ φιλίαν, οὔτε ἄνευ θεοῦ τὸ προσῆκον τέλος λαμβάνουσαν, οὔτε ἄλλον ἔχουσαν ἡγεμόνα καὶ δεσπότην θεὸν, ἀλλὰ τῶν Μουσῶν καὶ Χαρίτων καὶ Ἀφροδίτης ἑταῖρον Ἔρωτα. γλυκὺ γὰρ θέρος ἀνδρὸς ὑποσπείρων πραπίδων πόθον κατὰ τὸν Μελανιππίδην, τὰ ἥδιστα μίγνυσι τοῖς καλλίστοις, ἢ πῶς ἔφη λέγομεν ὦ Ζεύξιππε; κἀκεῖνος· οὕτως ἔφη νὴ Δία παντὸς μᾶλλον, ἄτοπον γὰρ ἀμέλει τοὐναντίον. ἐκεῖνο δὲ ὁ πατὴρ οὐκ ἄτοπον εἶπεν, εἰ τέσσαρα γένη τῆς φιλίας ἐχούσης ὥσπερ οἱ παλαιοὶ διώρισαν, τὸ φυσικὸν πρῶτον, εἶτα τὸ συγγενικὸν ἐπὶ τούτῳ, καὶ τρίτον τὸ ἑταιρικὸν, καὶ τελευταῖον τὸ ἐρωτικὸν, ἔχει τούτων ἕκαστον ἐπιστάτην θεὸν, ἢ φίλιον ἢ ξένιον, ἢ ὁμόγνιον καὶ πατρῷον. μόνον δὲ τὸ ἐρωτικὸν ὥσπερ δυσιέρους ἄνοσον καὶ ἀδέσποτον ἀφεῖται, καὶ ταῦτα πλείστης ἐπιμελείας καὶ κυβερνήσεως δεόμενον ἔχει. καὶ ταῦτα ὁ Ζεύξιππος εἶπεν οὐ μὴν ἀλλοτρίαν. ἀλλὰ μὴν ὁ πατὴρ ἔφη τά τε τοῦ Πλάτωνος ἐπιλάβοιτ᾽ ἂν τοῦ λόγου καὶ παρεξιόντα, μανία γὰρ ἡ μὲν ἀπὸ σώματος ἐπὶ ψυχὴν

ἀνεσταλμένη δυσκρασίαις τισὶν ἢ συμμίξεσιν, ἢ πνεύματος βλαβεροῦ περιφε-
ρομένου, τραχεῖα καὶ χαλεπὴ καὶ νοσώδης. ἑτέρα δ' ἐστὶν οὐκ ἀθείαστος οὐδ' οἰκογε-
νής, ἀλλ' ἔπηλυς ἐπίπνοια καὶ παρατροπὴ τοῦ λογιζομένου καὶ φρονοῦντος. ἀρ-
χὴν κρείττονος δυνάμεως ἀρχὴν ἔχουσα καὶ κίνησιν, ἧς τὸ μὲν κοινὸν ἐνθουσια-
στικὸν καλεῖται πάθος. ὡς γὰρ ἔμπνουν τὸ πνεύματος πληρωθὲν, ἔμφρον δὲ τὸ
φρονήσεως, οὕτως ὁ τοιοῦτος σάλος ψυχῆς ἐνθουσιασμὸς ὠνόμασται, μετοχῇ καὶ
κοινωνίᾳ θειοτέρας δυνάμεως. ἐνθουσιασμοῦ δὲ μαντικὸν μὲν ἐξ ἀπόλλωνος ἐπιπνοί-
ας καὶ κατοχῆς. τὸ δὲ βακχεῖον ἐκ διονύσου, κἀπὶ κορυβᾶσι χορεύσατε φησὶ
σοφοκλῆς. τὰ γὰρ μητρῷα καὶ πανικὰ κοινωνεῖ τοῖς βακχικοῖς ὀργιασμοῖς. τρί-
τη δὲ ἀπὸ μουσῶν λαβοῦσα ἁπαλὴν καὶ ἄβατον ψυχὴν, τὸ ποιητικὸν καὶ μου-
σικὸν ἐξώρμησε καὶ ἀνερρίπισεν. ἡ δὲ ἀρειμάνιος αὕτη λεγομένη καὶ πολεμικὴ
παντὶ δῆλον, ὅτι τῷ θεῷ ἀνίεται καὶ βακχεύεται ἄχαριν ἀκίθαριν δα-
γονον ἄρ τά τε δήμου ἐξοπλίζουσαν. λείπεται δὲ τῆς
ἐξαλλαγῆς ἐν ἀνθρώπῳ καὶ παρατροπῆς. οὐκ ἀμαυρὸν οὐδ' ἡσυχαῖον ὦ δαφ-
ναῖε μόριον. ὑπὲρ οὗ βούλομαι τουτονὶ πεμπτίδην ἐρέσθαι τί
καρπὸν θύρσον ἀνασείει θεῶν τὸν φιλητικὸν ἀγῶνα περὶ παῖδας ἀγαθοὺς καὶ σώ-
φρονας γυναῖκας ἐνθουσιασμὸν πολὺ δριμύτατον ὄντα καὶ θερμότατον. ἢ
γὰρ οὐχ ὁρᾷς ὡς ὁ μὲν στρατιώτης τὰ ὅπλα θεὶς πέπαυται τῆς πολεμικῆς μα-
νίας. τοῦ μὲν ἔπειτα γηθόσυνοι θεράποντες ἀπ' ὤμων τεύχε' ἕλοντο. καὶ κά-
θηται τῶν ἄλλων ἀπόλεμος θεατής. ταυτὶ δὲ τὰ βακχικὰ καὶ κορυβαντικὰ
σκιρτήματα τὸν ῥυθμὸν μεταβάλλοντες ἐκ τροχαίου καὶ τὸ μέλος ἐκ φρυγίου
πραΰνουσι καὶ καταπαύουσιν. ὡς δ' αὕτως ἡ πυθία τοῦ τρίποδος ἐκβᾶσα καὶ
τοῦ πνεύματος ἐν γαλήνῃ καὶ ἡσυχίᾳ διατελεῖ. τὴν δὲ ἐρωτικὴν μανίαν τοῦ ἀν-
θρώπου καθαψαμένην ἀληθῶς καὶ διακαύσασαν οὐ μοῦσά τις, οὐκ ἐπῳδὴ θελ-
κτήριος, οὐ τόπου μεταβολὴ καθίστησι, ἀλλὰ καὶ παρόντες ἐρῶσι καὶ ἀπόντες
ποθοῦσι. καὶ μεθ' ἡμέραν διώκουσι. καὶ νύκτωρ θυραυλοῦσι. καὶ νήφοντες κα-
λοῦσι τοὺς καλοὺς. καὶ πίνοντες ᾄδουσι, καὶ οὐχ ὥς τις εἶπεν αἱ ποιητικαὶ φαν-
τασίαι διὰ τὴν ἐνάργειαν ἐγρηγορότων ἐνύπνιά εἰσιν, ἀλλὰ μᾶλλον αἱ τῶν ἐρών-
των διαλεγομένων ὡς πρὸς παρόντας ἀσπαζομένων, ἐγκαλούντων. ἡ γὰρ ὄψις
ἔοικε τὰς μὲν ἄλλας φαντασίας ἐφ' ὑγροῖς ζωγραφεῖν, ταχὺ μαραινομένας
καὶ ἀπολειπούσας τὴν διάνοιαν. αἱ δὲ τῶν ἐρωμένων εἰκόνες, ὑπ' αὐτῆς οἷον ἐν
ἐγκαύμασι γραφόμεναι διὰ πυρὸς, εἴδωλα ταῖς μνήμαις ἐναπολείπουσι κι-
νούμενα καὶ ζῶντα καὶ φθεγγόμενα καὶ παραμένοντα τὸν ἄλλον χρόνον. ὁ μὲν
γὰρ ῥωμαῖος κάτων ἔλεγε τὴν ψυχὴν τοῦ ἐρῶντος ἐνδιαιτᾶσθαι τῇ τοῦ ἐρωμέ-
νου καὶ τὸ εἶδος καὶ τὸ ἦθος, καὶ ὁ βίος καὶ αἱ πράξεις. ὑφ' ὧν ἀγόμενος ταχὺ συ-
ναιρεῖ τὸ πολλὴν ὁδὸν, ὥσπερ οἱ κυνικοὶ λέγουσι, σύντονον ὁμοῦ καὶ σύντομον
εὑρίσκεται πορείαν ἐπ' ἀρετήν. καὶ γὰρ εὐθὺ τὴν φιλίαν
καθάπερ ἐπὶ κύματος τοῦ πάθους ἅμα θεῷ φερομένη. λέγω δὴ κεφά-
λαιον, ὡς οὔτε ἀθείαστος ὁ τῶν ἐρώντων ἐνθουσιασμός ἐστι, οὔτε ἄλλον ἔχει θεὸν ἐπι-
στάτην καὶ ἡνίοχον ἢ τοῦτον ᾧ νῦν ἑορτάζομεν καὶ θύομεν. ὅμως δὲ ἐπεὶ δυ-
νάμει καὶ ὠφελείᾳ μάλιστα θεοῦ καθό τι καὶ τῶν ἀνθρωπίνων ἀγαθῶν,
δύο ταῦτα βασιλείαν καὶ ἀρετὴν θειότατα καὶ νομίζομεν καὶ ὀνομάζομεν, ὥρα
σκοπεῖν πρότερον εἴ τινι θεῶν ὁ ἔρως ὑφίεται δυνάμεως. καίτοι μέγα μὲν σθέ-
νος ἁ κύπρις ἐκφέρεται νίκας ὥς φησι καὶ σοφοκλῆς. μεγάλη δὲ τοῦ ἄρεος ἰσχύς.
καὶ τρόπον τινὰ τῶν ἄλλων θεῶν νενεμημένων δίχα τὴν δύναμιν ἐν τούτοις ὁ-
ρῶμεν. ἡ μὲν γὰρ οἰκειωτικὴ πρὸς τὸ καλὸν. ἡ δ' ἀντιτακτικὴ πρὸς τὸ αἰσχρὸν ἀρ-
χῆθεν

χῆθεν ἐνέζευξε ταῖς ψυχαῖς ὥσπερ καὶ πλάτων,
τὰ εἴδη. σκοπῶμεν οὖν εὐθὺς ὅτι τῆς ἀφροδίτης τὸ ἔργον ἔρωτος ὤνιόν ἐστι δραχ-
μῆς. καὶ οὔτε πόνον οὐδεὶς οὔτε κίνδυνον ἀφροδισίων ἕνεκα μὴ ἐρῶν ὑπέμεινε. καὶ ὅπως
ἐνταῦθα μὴ φρύνην ὀνομάζομεν ὦ ἑταῖρε *λαΐς τι ἢ γναθαίνιον ἐφ' ἑσπέρας δέχεται
λαμπτῆρος σέλας ἐκδεχόμενος καὶ καλοῦσα παρορᾶται πολλάκις. ἐλθὼν
δ' ἐξαπίνης ἄνεμος σὺν ἔρωτι πολλῷ καὶ πόθῳ ταυτὸ τοῦτο τῶν ταντάλου λε-
γομένων ταλάντων καὶ τῆς αὐτοῦ ἀρχῆς ἀντάξιον ἐποίησεν, οὕτως ἀσθενὴς καὶ
ἀψίκορός ἐστιν ἡ τῆς ἀφροδίτης χάρις, ἔρωτος μὴ ἐπιπνεύσαντος. ἔτι δὲ μᾶλλον κἀ-
κεῖθεν ἂν συνίδοις. πολλοὶ γὰρ ἀφροδισίων ἑτέροις ἐκοινώνησαν οὐ μόνον ἑταίρας,
ἀλλὰ καὶ γαμετὰς προαγωγεύοντες, ὥσπερ καὶ ὁ ῥωμαῖος ἐκεῖνος ὦ ἑταῖρε κάβ-
βας εἱστία μαικήναν, ὡς ἔοικεν. εἶτα ὁρῶν διαπληκτιζόμενον ἀπὸ νεύματος πρὸς
τὸ γύναιον, ἀπέκλινεν ἡσυχῆ τὴν κεφαλὴν ὡς δὴ καθεύδων. ἐν τούτῳ δὲ τῶν οἰ-
κετῶν τινος προσερπύσαντος ἔξωθεν τῇ τραπέζῃ καὶ τὸν οἶνον ὑφαιρουμένου διαβλέ-
ψας κακόδαιμον εἶπεν, οὐκ οἶσθα εἶπεν ὅτι μόνῳ μαικήνᾳ καθεύδω. τοῦτο μὲν οὖν
ἴσως δεινόν ἐστιν. ἦν γὰρ ὁ κάββας γελωτοποιός. ἐν δὲ ἄργει νικόστρατος ἀντε-
πολιτεύσατο πρὸς φαύλιον. ἐπιδημήσαντος οὖν φιλίππου τοῦ βασιλέως, ἐπί-
δοξος ἦν διὰ τῆς γυναικὸς ἐκπρεποῦς οὔσης, εἰ συγγένοιτο τῷ φιλίππῳ διαπρά-
ξασθαί τινα δυναστείαν αὑτῷ καὶ ἀρχήν. αἰσθομένων δὲ τῶν περὶ νικόστρατον
τοῦτο καὶ περὶ τὰς θύρας τῆς οἰκίας περιπατούντων. ὁ φαῦλος ὑποδήσας τὴν
γυναῖκα κρηπῖσι καὶ χλαμύδα περιθεὶς καὶ καυσίαν μακεδονικὴν ὡς ἕνα τῶν βα-
σιλικῶν νεανίσκων παρεισέπεμψε λαθοῦσαν. ἆρ' οὖν ἐραστῶν τοσούτων γεγονό-
των καὶ ὄντων οἶσθα ἐπὶ ταῖς τοῦ διὸς τιμαῖς προαγωγὸν ἐρωμένου γενομένου.
ἐγὼ μὲν οὐκ οἶμαι. πόθεν γάρ; ὅπου καὶ τοῖς τυράννοις ἀντιλέγων μὲν οὐδεὶς οὔτε
ἀντιπολιτευόμενός ἐστιν. ἀντερῶντες δὲ πολλοὶ καὶ φιλοτιμούμενοι περὶ τῶν κα-
λῶν καὶ ὡραίων. ἀκούεται γὰρ ὅτι καὶ ἀριστογείτων ἀθηναῖος καὶ ἀντιλέων με-
ταποντῖνος καὶ μενάλιππος ὁ ἀκραγαντῖνος οὐ διεφέροντο τοῖς τυράννοις. πάν-
τα τὰ πράγματα λυμαινομένους καὶ παροινοῦντας ὁρῶντες. ἐπεὶ δὲ τοὺς ἐρω-
μένους αὐτῶν ἐπείρων ὥσπερ ἱερὰ ἀσύλοις καὶ ἀθίκτοις ἀμύνοντες, ἠφείδη-
σαν ἑαυτῶν. λέγεται καὶ ἀλέξανδρος ἐπιστεῖλαι θεοδώρῳ πρωτέου ἀδελφῷ.
πέμψον μοι τὴν μουσουργὸν δέκα τάλαντα λαβὼν, εἰ μὴ ἐρᾷς αὐτῆς. ἑτέρου δὲ
τῶν ἑταίρων ἀντιπατρίδου μετὰ ψαλτρίας ἐπικωμάσαντος, ἡδέως διατεθεὶς
πρὸς τὴν ἄνθρωπον, ἐρέσθαι τὸν ἀντιπατρίδην. οὐ δή που σὺ τυγχάνεις ἐρῶν
ταύτης; τοῦ δὲ, καὶ πάνυ φήσαντος. εἰπὼν ἀπόλοιο τοίνυν κακὸς κακῶς ἀποσχέ-
σθαι καὶ μὴ θιγεῖν τῆς γυναικός. σκόπει τοίνυν αὖθις ἔφη τοῖς ἀρηΐοις ἔρ-
γοις ὅσον ἔρως περίεστιν, οὐκ ἀργὸς ὢν ὡς εὐριπίδης ἔλεγεν, οὐδὲ ἀστράτευτος, οὐδ'
ἐν μαλακαῖσιν.
ων παρειαῖς νεανίδων. ἀνὴρ γὰρ ὑπὸ
πληρωθεὶς ἔρωτος οὐδὲν ἄρεος δεῖται μαχόμενος πολεμίοις. ἀλλὰ τὸν αὑτοῦ
θεὸν ἔχων συνόντα, πῦρ καὶ θάλασσαν καὶ πνοὰς τὰς αἰθέρος περᾶν ἕτοιμος
ὑπὲρ τοῦ φίλου, ὥσπερ ἂν κελεύῃ. τῶν μὲν γὰρ τοῦ σοφοκλέους νιοβιδῶν βαλ-
λομένων καὶ θνησκόντων. ἀνακαλεῖταί τις οὐδένα βοηθὸν ἄλλον οὐδὲ σύμμαχον,
ἢ τὸν ἐραστὴν ὦ
ἀμφ' ἐμοῦ στεῖλαι. κλεόμαχον δὲ τὸν φαρ-
σάλιον ἴστε δήπουθεν ἐξ ἧς αἰτίας ἐτελεύτησεν ἀγωνιζόμενος; οὐχ ἡμεῖς γοῦν οἱ
περὶ πεμπτίδην ἔφασαν, ἀλλ' ἡδέως ἂν πυθοίμεθα. καὶ γὰρ ἄξιον ἔφη ὁ πα-
τὴρ. ἧκεν ἐπίκουρος χαλκιδεῦσι τοῦ θεσσαλικοῦ πολέμου πρὸς ἐρετριεῖς ἀκμά-
ζοντος. καὶ τὸ μὲν πεζὸν ἐδόκει τοῖς χαλκιδεῦσι ἐρρῶσθαι. τοὺς δ' ἱππέας
μέγα ἔργον ἦν ὤσασθαι τῶν πολεμίων. παρεκάλουν δὴ τὸν κλεόμαχον ἄνδρα λαμ-

πρὸν ὄντα τὴν ψυχὴν οἱ σύμμαχοι πρῶτον ἐμβάλλειν εἰς τοὺς ἱππέας. ὁ δὲ ἠρώτησε παρόντα τὸν ἐρώμενον εἰ μέλλοι θεᾶσθαι τὸν ἀγῶνα. φήσαντος δὲ τοῦ νεανίσκου, καὶ φιλοφρόνως αὐτὸν ἀσπασαμένου καὶ τὸ κράνος ἐπιθέντος, ἐπιγαυρωθεὶς ὁ κλεόμαχος, καὶ τοὺς ἀρίστους τῶν θεσσαλῶν συναγαγὼν περὶ αὑτὸν, ἐξήλασε λαμπρῶς καὶ προσέπεσε τοῖς πολεμίοις, ὥστε συνταράξαι καὶ τρέψασθαι τὸ ἱππικόν. ἐκ δὲ τούτου καὶ τῶν ὁπλιτῶν φυγόντων, ἐνίκησαν κατὰ κράτος οἱ χαλκιδεῖς. τὸν μέντοι κλεόμαχον ἀποθανεῖν συνέτυχε. τάφον δ' αὐτοῦ δεικνύουσιν ἐν ἀγορᾷ χαλκιδεῖς, ἐφ' οὗ μέχρι νῦν ὁ μέγας ἐφέστηκε κίων, καὶ τὸ παιδεραστεῖν πρότερον ἐν ψόγῳ τιθέμενοι, τότε μᾶλλον ἑτέρων ἠγάπησαν καὶ ἐτίμησαν. ἀριστοτέλης δὲ τὸν μὲν κλεόμαχον, ἄλλως ἀποθανεῖν φησὶ κρατήσαντα τῶν ἐρετριέων τῇ μάχῃ, τὸν δὲ ὑπὸ τοῦ ἐρωμένου φιληθέντα, τῶν ἀπὸ θρᾴκης χαλκιδέων γενέσθαι πεμφθέντα τοῖς ἐν εὐβοίᾳ χαλκιδεῦσιν ἐπίκουρον, ὅθεν ᾄδεσθαι παρὰ τοῖς χαλκιδεῦσιν· ὦ παῖδες οἳ χαρίτων τε καὶ πατέρων ἐλάχετε ἐσθλῶν· μὴ φθονεῖτε ὥρας ἀγαθοῖσιν ὁμιλίαν. σὺν γὰρ ἀνδρείᾳ καὶ ὁ λυσιμελὴς ἔρως ἐπὶ χαλκιδέων θάλλει πόλεσιν. ἄντων ἦν ὄνομα τῷ ἐραστῇ, τῷ δὲ ἐρωμένῳ φίλιστος, ὡς ἐν τοῖς αἰτίοις διονύσιος ὁ ποιητὴς ἱστόρησε. παρ' ὑμῖν δ' ὦ πεμπτίδη τοῖς θηβαίοις, οὐ πανοπλίαν ὁ ἐραστὴς ἐδωρεῖτο τὸν ἐρώμενον ἄνδρας ἐγγραφόμενον. ἤλλαξε δὲ καὶ μετέθηκε τάξιν τῶν ὁπλιτῶν, ἐρωτικὸς ἀνὴρ παμμένης· ὅμηρον ἐπιμεμψάμενος ὡς ἀνέραστον, ὅτι κατὰ φῦλα καὶ φρήτρας συνελόχιζε τοὺς ἀχαιούς, οὐκ ἐρώμενον ἔταττε πρὸς ἐραστὴν, ἵνα οὕτω γένηται, τὸ ἀσπὶς δ' ἀσπίδ' ἔρειδε, κόρυς δὲ κόρυν, μόνον ἀήττητον ὄντα τῶν στρατηγῶν, καὶ γὰρ φυλέτας καὶ οἰκείους καὶ νὴ δία γονεῖς καὶ παῖδας ἐγκαταλείπουσιν. ἐραστοῦ δ' ἐνθέου καὶ ἐρωμένου μέσος οὐδεὶς πώποτε διεξῆλθε πολέμιος. οὐδὲ διεξήλασεν· ὅπου καὶ μηθὲν δεομένοις ἐπιδεικνῦσαι τὸ φιλοκίνδυνον καὶ φιλόψυχον, ὡς θήρων ὁ θεσσαλὸς προσβαλὼν τὴν χεῖρα τῷ τείχῳ τὴν εὐώνυμον, καὶ σπασάμενος τὴν μάχαιραν, ἀπέκοψε τὸν ἀντίχειρα προκαλούμενος τὸν ἀντεραστήν. ἕτερος δέ τις ἐν μάχῃ πεσὼν ἐπὶ πρόσωπον, ὡς ἔμελλε παίσειν αὐτὸν ὁ πολέμιος, ἐδεήθη περιμεῖναι μικρὸν ὁ ἐρώμενος ἴδῃ κατὰ νώτου τετρωμένον, οὐ μόνον τὰ μαχιμώτατα τῶν ἐθνῶν ἐρωτικώτατα, βοιωτοὶ καὶ λακεδαιμόνιοι καὶ κρῆτες, ἀλλὰ καὶ τῶν παλαιῶν, ὁ μελέαγρος ὁ ἀχιλλεὺς ὁ ἀριστομένης. ὁ κίμων, ὁ ἐπαμεινώνδας καὶ γὰρ οὗτος ἐρωμένους ἔσχεν ἀσωπικὸν καὶ καφισόδωρον, αὐτῷ συναπέθανεν ἐν μαντινείᾳ. καὶ τέθαπται πλησίον τὸν δ' μω φοβερώτερον γενόμενον τοῖς πολεμίοις, καὶ δεινότατον ὁ πρῶτος ὑποστὰς καὶ πατάξας εὔμναμος ἀμφισσεύς· ἡρωϊκὰς ἔχει τιμὰς παρὰ φωκεῦσιν. ἡρακλέους δὲ τοὺς μὲν ἄλλους ἔρωτας ἔργον ἐστὶν εἰπεῖν διὰ πλῆθος. ἰόλαον δὲ νομίζοντες ἐρώμενον αὐτοῦ γεγονέναι μέχρι νῦν σέβονται καὶ τιμῶσιν, ἔρωτος ὅρκους τε καὶ πίστεις ἐπὶ τοῦ τάφου παρὰ τῶν ἐρωμένων λαμβάνοντες. λέγεται δὲ καὶ τὴν ἄλκηστιν ἰατρικὸς ὢν ἀπεγνωσμένην σῶσαι τῷ ἀδμήτῳ χαριζόμενος ἐρῶντι μὲν αὐτῷ τῆς γυναικός· ἐρωμένου δὲ αὐτοῦ γενομένου καὶ γὰρ τὸν ἀπόλλωνα μυθολογοῦσιν ἐραστὴν γενόμενον ἀδμήτῳ παραθητεῦσαι μέγαν εἰς ἐνιαυτόν, εὖ δέ πως εἰς μνήμην ἦλθεν ἡμῖν ἄλκηστις. ἄρεος γὰρ οὐ πάνυ μέτεστι γυναικί, ἡ δ' ἐξ ἔρωτος κατοχὴ προάγεταί τι τολμᾶν παρὰ φύσιν καὶ ἀποθνήσκειν. εἰ δή πού τι καὶ μύθων πρὸς πίστιν ὄφελός ἐστι, δηλοῖ τὰ περὶ τὴν ἄλκηστιν καὶ πρωτεσίλεων, καὶ εὐρυδίκην τὴν ὀρφέως. ὅτι μόνῳ θεῶν ὁ ἅδης ἔρωτι ποιεῖ τὸ προσταττόμενον. καί τοι πρός γε τοὺς ἄλλους ὥς φησι σοφοκλῆς ἅπαντας, οὔτε τὸ ἐπιεικὲς οὔτε τὴν χάριν οἶδε. μόνην δὲ στέρξαι τὴν ἁπλῶς δίκην. αἰδεῖται δὲ τοὺς ἐρῶντας, καὶ μόνοις

τούτοις

τούτοις οὐκ ἔστιν ἀδάμαστος οὐδ' ἀμείλικτος. ὅθεν ἀγαθὸν μὲν ὦ ἑταῖρε τῆς ἐν ἐλευσῖνι τελετῆς μεταχεῖν. ἐγὼ δὲ ὁρῶ τοῖς ἔρωτος ὀργιασταῖς καὶ μύσταις ἐν ᾅδου βελτίονα μοῖραν οὖσαν. οὔτοι τοῖς μύθοις πειθόμενοι οὐ μὴν οὐδὲ ἀπιστῶν παντάπασιν. εὖ γὰρ δὴ λέγουσι καὶ θείᾳ τινὶ τύχῃ ψαύουσι τοῦ

λέγοντες ἐξ ἄλλου τοῖς ἐρωτικοῖς ἄνοδον εἰς φῶς ὑπάρχειν. ὅπῃ δὲ καὶ ὅπερως, ἀγνοοῦσιν ὥσπερ ἀτραποῦ διαμαρτόντες. ἣν πρῶτος ἀνθρώπων διὰ φιλοσοφίας πλάτων κατεῖδε. καί τοι λεπταί τινες ἀπόρροιαι καὶ ἀμυδραὶ τῆς ἀληθείας ἔνεισι ταῖς αἰγυπτίων ἐνδιεσπαρμέναι μυθολογίαις ἀλλὰ ἰχνηλάτου δεινοῦ δέονται. καὶ μεγάλα μικροῖς ἑλεῖν δυναμένου. διὸ ταῦτα μὲν ἐῶμεν, μετὰ δὲ τὴν ἰσχὺν τοῦ ἔρωτος οὖσαν τοσαύτην ἤδη τὴν πρὸς ἀνθρώπους εὐμένειαν καὶ χάριν ἐπισκοπῶμεν· οὐκ εἰ πολλὰ τοῖς χρωμένοις ἀγαθὰ περιποιεῖ. δῆλα γάρ ἐστι ταῦτά γε πᾶσιν. ἀλλ' εἰ πλείονα καὶ μείζονα τοὺς ἐρῶντας αὐτοῦ ὀνίνησιν. ἐπεὶ καίπερ ὢν ἐρωτικὸς ὁ εὐριπίδης. τὸ σμικρότατον ἀπεθαύμασεν, ἐπεὶ ποιητὴν ἄρα ἔρως διδάσκει κἂν ἄμουσον ᾖ τὸ πρᾶγμα, συνετόν τε γὰρ ποιεῖ κἂν ῥᾴθυμος ᾖ τὸ πρὶν. καὶ ἀνδρεῖον ἢ λέλεκται τὸν ἄτολμον, ὥσπερ οἱ τὰ ξύλα πυρακτοῦντες ἐκ μαλακῶν ἰσχυρὰ ποιοῦσι. δωρητικὸς δὲ ἁπλοῦς καὶ μεγαλόφρων γίνεται πᾶς ἐραστὴς κἂν γλίσχρος ᾖ πρότερον, τῆς μικρολογίας καὶ φιλαργυρίας δίκην σιδήρου διὰ πυρὸς ἀνιεμένης. ὥστε χαίρειν τοῖς ἐρωμένοις διδόντας ὡς παρ' ἑτέρων οὐ χαίρουσιν αὐτοὶ λαμβάνοντες, ἴστε γὰρ δήπου ὡς ἄνυτος ὁ ἀνθεμίωνος ἐρῶν τι μὲν ἀλκιβιάδου. ξένους δὲ ἑστιῶντι φιλοτίμως καὶ λαμπρῶς, ἐπεκώμασεν ὁ ἀλκιβιάδης. καὶ λαβὼν ἀπὸ τῆς τραπέζης εἰς ἥμισυ τῶν ἐκπωμάτων ἀπῆλθεν, ἀχθομένων δὲ τῶν ξένων καὶ λεγόντων, ὑβριστικῶς σοι κέχρηται καὶ ὑπερηφάνως τὸ μειράκιον. φιλανθρώπως μὲν οὖν ὁ ἄνυτος εἶπε ταῦτα γὰρ ἐνῆν αὐτῷ λαβεῖν. ὁ δὲ καὶ ἐμοὶ τοσαῦτα καταλέλοιπεν, ἡσθεὶς οὖν ὁ ζεύξιππος, ὦ ἡράκλεις εἶπεν, ὡς ὀλίγου διελύσατε πρὸς ἄνυτον τὴν ἀπὸ σωκράτους καὶ φιλοσοφίας πατρικὴν ἔχθραν, εἰ πρᾶος ἦν οὕτω περὶ ἔρωτα καὶ γενναῖος. εἶεν εἶπεν ὁ πατήρ· ἐκ δὲ δυσκόλων καὶ σκυθρωπῶν τοῖς συνοῦσιν οὐ ποιεῖ φιλανθρωποτέρους καὶ ἡδίους. αἰθομένου γὰρ πυρὸς γεραρώτερον οἶκον ἰδέσθαι, καὶ ἄνθρωπον ὡς ἔοικε φαιδρότερον ὑπὸ τῆς ἐρωτικῆς θερμότητος. ἀλλ' οἱ πολλοὶ παράλογόν τι πεπόνθασιν· ἂν μὲν οὖν ἐν οἰκίᾳ νύκτωρ σέλας ἴδωσιν, θεῖον ἡγοῦνται καὶ θαυμάζουσι. ψυχὴν δὲ μικρὰν καὶ ταπεινὴν καὶ ἀγεννῆ ὁρῶντες ἐξαίφνης ὑποπιμπλαμένην φρονήματος, ἐλευθερίας; φιλοτιμίας, χάριτος· ἀφειδίας, οὐκ ἀναγκάζονται λέγειν ὡς ὁ τηλέμαχος, ἦ μάλα τις θεὸς ἔνδον. ἐκεῖνο δὲ εἶπεν ὁ δαφναῖος πρὸς χαρίτων εὐδαιμόνιον; ὅτι τῶν ἄλλων ὁ ἐρωτικὸς ὀλίγου δεῖν ἁπάντων περιφρονῶν, οὐ μόνον ἑταίρων καὶ οἰκετῶν, ἀλλὰ καὶ νόμων καὶ ἀρχόντων καὶ βασιλέων. φοβούμενος δὲ μηθὲν μηδὲ θαυμάζων μηδὲ θεραπεύων, ἀλλὰ καὶ τὸν αἰχματὰν κεραυνὸν οἷος ὢν ὑπομένειν ἅμα τό τε καλὸν ἰδεῖν. ἔπτηξ' ἀλέκτωρ δοῦλον ὡς κλινίας πτερὸν καὶ τὸ θράσος ἐκκέκλασται καὶ κατακέκοπταί οἱ τὸ τῆς ψυχῆς γαῦρον. ἄξιον δὲ σαφῶς παρὰ ταῖς μούσαις μνημονεῦσαι, τὸν μὲν γάρ, ἡφαίστου παῖδα ῥωμαῖοι κακὸν ἱστοροῦσι πῦρ καὶ φλόγας ἀφιέναι διὰ τοῦ στόματος ἔξω ῥεούσας. αὕτη δ' ἀληθῶς μεμιγμένα πυρὶ φθέγγεται καὶ διὰ τῶν μελῶν ἀναφέρει τὴν ἀπὸ τῆς καρδίας θερμότητα. μούσαις εὐφώνοις ἰωμένη τὸν ἔρωτα κατὰ φιλόξενον. ἀλλ' εἴ τι μὴ λύσανδρον ὦ δαφναῖε τῶν παλαιῶν ἐκλέλησαι παιδίων, ἀνάμνησον ἡμᾶς ἐν οἷς ἡ καλὴ σαπφὼ λέγει τῆς ἐρωμένης ἐπιφανείσης τήν τε φωνὴν ἴσχεσθαι, καὶ φθέγγεσθαι τὸ σῶμα καὶ καταλαμβάνειν ὠχρότητα καὶ πλάνον αὐτὴν καὶ ἴλιγγον. λεχθέντων οὖν ὑπὸ τοῦ δαφναίου

τῶν μελῶν ἐκείνων ὡς

ὑπολαβὼν ὁ πατήρ, ταῦτα εἶπεν ὦ πρὸς τοῦ διὸς θεοληψία καταφανὴς οὗτος
οὐ δαιμόνιος σάλος τῆς ψυχῆς, τί τοσοῦτον ἡ πυθία πέπονθεν ἀψαμένη τοῦ τρίπο-
δος τίνα τῶν ἐνθεαζομένων οὕτως ὁ αὐλὸς καὶ τὰ μητρῷα καὶ τὸ τύμπανον ἐξί-
στασιν ἡμῖν τὸ αὐτὸ σῶμα πολλοὶ καὶ τὸ αὐτὸ κάλλος ὁρῶσιν. εἴληπται δ' εἷς ὁ ἐ-
ρωτικὸς διὰ τὴν αἰτίαν. οὐ γὰρ μανθάνομέν γέ που τοῦ μενάνδρου λέγοντος, οὐδὲ
συνίεμεν καιρός ἐστιν ἡ νόσος ψυχῆς. ὁ πληγεὶς δὲ τιτρώσκε-
ται, ἀλλ' ὁ θεὸς αἴτιος, τοῦ μὲν, καθαψάμενος. τὸν δὲ, ἐάσας. ὃ τοίνυν ἐν ἀρχῇ και-
ρὸν εἶχε ῥηθῆναι μᾶλλον. οὐδὲ νῦν ἐπεὶ νῦν ἦλθεν ἐπὶ τὸ στόμα κατ' αἴσχυλον ἀ-
ειστὸν ἐάσειν μοι δοκῶ. καὶ γάρ ἐστι παμμέγεθες. ἴσως μὲν γὰρ ὦ ἑταῖρε καὶ τῶν
ἄλλων ἁπάντων, ὅσα μὴ δι' αἰσθήσεως ἡμῖν εἰς ἔννοιαν ἥκει τὰ μὲν μύθῳ, τὰ δὲ
νόμῳ, τὰ δὲ λόγῳ, πίστιν ἐξ ἀρχῆς ἔσχηκε. τῆς δ' οὖν περὶ θεῶν δόξης καὶ παν-
τάπασιν ἡγεμόνες καὶ διδάσκαλοι γεγόνασιν ἡμῖν, οἵ τε ποιηταὶ καὶ οἱ νομοθέται,
καὶ τρίτον οἱ φιλόσοφοι. τὸ μὲν οὖν εἶναι θεοὺς ὁμοίως τιθέμενοι, πλήθους δὲ
πέρι καὶ τάξεως αὐτῶν, οὐσίας τε καὶ δυνάμεως μεγάλα διαφερόμενοι πρὸς ἀλλή-
λους. ἐκεῖνοι μὲν γὰρ οἱ τῶν φιλοσόφων, ἄνοσοι καὶ ἀγήραοι, πόνων τε ἄπειροι, βαρυβό-
αν πορθμὸν πεφευγότες ἀχέροντος. ὅθεν οὐ προσίενται ποιητικὰς ἔριδας, οὐ λι-
τάς, οὐ δεῖμον οὐδὲ φόβον ἐθέλουσι θεοὺς εἶναι, παῖδας ἄρεος ὁμολογεῖν, μά-
χονται δὲ περὶ πολλῶν καὶ τοῖς νομοθέταις, ὥσπερ ξενοφάνης αἰγυπτίους ἐ-
κέλευσε τὸν ὄσιριν εἰ θνητὸν νομίζουσιν, μὴ τιμᾶν ὡς θεὸν, εἰ δὲ θεὸν ἡγοῦνται, μὴ
θρηνεῖν. αὖθις δὲ ποιηταὶ καὶ νομοθέται φιλοσόφων ἰδέας τινὰς καὶ ἀριθ-
μοὺς μονάδας τε καὶ πνεύματα θεοὺς ποιουμένων, οὔτε ἀκούειν ὑπομένουσιν, οὔτε
συνιέναι δύνανται. πολλὴν δὲ ὅλως ἀνωμαλίαν ἔχουσιν αἱ δόξαι καὶ διαφοράν.
ὥσπερ οὖν ἦσαν ποτὲ τρεῖς στάσεις ἀθήνησιν, παράλων, ἐπακρίων, πεδιέων, χαλε-
πῶς ἔχουσαι καὶ διαφερόμεναι πρὸς ἀλλήλας. ἐπεὶ δὲ πάντες ἐν ταυτῷ γε-
νόμενοι, καὶ τὰς ψήφους λαβόντες ἤνεγκαν πάσας σόλωνι, καὶ τοῦτον εἵλοντο
κοινῇ διαλλακτὴν καὶ ἄρχοντα, καὶ νομοθέτην. ὃς ἔδοξε τῆς ἀρετῆς ἔχειν ἀδη-
ρίτως τὸ πρωτεῖον, οὕτως αἱ τρεῖς στάσεις αἱ περὶ θεῶν διχοφρονοῦσαι, καὶ ψῆφον ἄλ-
λην ἄλλη φέρουσαι, καὶ μὴ δεχόμεναι ῥᾳδίως τὸν ἐξ ἑτέρας, περὶ ἑνὸς βεβαί-
ως ὁμογνωμονοῦσι. καὶ κοινῇ τὸν ἔρωτα συνεγγράφουσιν εἰς θεοὺς ποιητῶν οἱ κρά-
τιστοι καὶ νομοθετῶν καὶ φιλοσόφων ἀθρόαι φωναὶ μέγα ἐπαινέοντες, ὥσπερ
ἔφη τὸν πιττακὸν ὁ ἀλκαῖος, αἱρεῖσθαι τοὺς μυτιληναίους τύραννον. ὑμῖν δὲ βασι-
λεὺς καὶ ἄρχων καὶ ἁρμοστὴς ὁ ἔρως ἀπὸ ἡσιόδου καὶ πλάτωνος καὶ σόλω-
νος ἀπὸ τοῦ ἑλικῶνος εἰς τὴν ἀκαδημίαν ἐστεφανωμένος κατάγεται καὶ κεκοσμη-
μένος εἰσελαύνει, πολλαῖς συνωρίσι φιλίας καὶ κοινωνίας. οὐχ οἵαν εὐριπίδης φησὶν ἀ-
χαλκεύτοις ἐζεῦχθαι πέδαις. ψυχρὰν δ' αὐτός γε καὶ βαρεῖαν ἐν χρείᾳ περιβαλὼν ὑπ'
αἰσχύνης ἀνάγκην ἀλλ' ὑπόπτερος φερομένοις ἐπὶ τὰ κάλλιστα τῶν ὄντων καὶ θειότερα,
περὶ ὧν ἑτέροις εἴρηται βέλτιον. εἰπόντος δὲ ταῦτα τοῦ πατρὸς, ὁ σώκλαρος, ὁ-
ρᾷς εἶπεν ὅτι δεύτερον ἤδη τοῖς αὐτοῖς περιπεσὼν, οὐκ οἶδα ὅπως βίαις ἀπαίσει, ἱερὸν ὄντα
καὶ ἀποστραφεὶς οὐ δικαίως χρεοκοπῶν, εἴ γε δεῖ φαινόμενον εἰπεῖν ὥσπερ ἄκων ἀψά-
τὸν λόγον. καὶ γὰρ ἄρτι τοῦ πλάτωνος ἅμα καὶ τῶν αἰγυπτίων ὥσπερ ἄκων ἀψά-
μενος, παρῆλθες καὶ νῦν ταῦτα ποιεῖς. τὰ μὲν οὖν ἀριζήλως εἰρημένα πλά-
τωνι, μᾶλλον δὲ ταῖς θεαῖς ταύταις διὰ πλάτωνος ὦ 'γαθὲ, μὴ δ' ἂν κελεύωμεν
εἴπῃς, ἣ δὲ ὑπηνίξω τῶν αἰγυπτίων μῦθον εἰς ταὐτὰ τοῖς πλατωνικοῖς συμφέ-
ρεσθαι περὶ ἔρωτος, οὐκ ἔτι σοι μὴ διακαλύψαι, μὴ δὲ διαφῆναι πρὸς ἡμᾶς. ἀγα-

πήσομεν δὲ, κἂν μικρὰ περὶ μεγάλων ἀκούσωμεν. δεομένων δὲ καὶ τῶν ἄλλων ἔ-
φη ὁ πατήρ, ὡς αἰγύπτιοι, δύο μὲν ἕλλησι παραπλησίως ἔρωτας, τόν τε πάνδη-
μον καὶ τὸν οὐράνιον ἴσασι. τρίτον δὲ νομίζουσιν ἔρωτα τὸν ἥλιον, ἀφροδίτην ἔχου-
σι μάλιστα σεβάσμιον. ἡμεῖς δὲ πολλὴν μὲν ἔρωτος ὁμοιότητα πρὸς τὴν γῆν ὁρῶ-
μεν οὖσαν. πῦρ μὲν γὰρ οὐδέτερόν ἐστιν ὥσπερ οἴονταί τινες. αὐ
δὲ θερμότης γλυκεῖα καὶ γόνιμος, ἡ μὲν ἀπ' ἐκείνου φερομένη, σώματι παρέχει
τροφὴν καὶ φῶς καὶ ἄφεσιν, ἡ δὲ ἀπὸ τούτου ψυχαῖς. ὡς δὲ ἥλιος ἐκ νεφῶν καὶ μετ'
ὁμίχλην θερμότερος, οὕτως ἔρως μετ' ὀργῆς καὶ ζηλοτυπίας ἐρωμένου διαλλα-
γέντος, ἡδίων καὶ δριμύτερος. ὅτι δὲ ὥσπερ ἥλιον ἅπτεσθαι καὶ σβέννυσθαι δο-
κοῦσιν ἔνιοι. ταῦτα καὶ περὶ ἔρωτος ὡς θνητοῦ καὶ ἀβεβαίου διανοοῦνται. καὶ
μὴν οὔτε σώματος ἀγύμναστος ἕξις ἥλιον, οὔτε ἔρωτα δύναται φέρειν ἀλύπως τρό-
πος ἀπαιδεύτου ψυχῆς. ἐξίσταται δ' ὁμοίως ἑκάτερον καὶ νοσεῖ τὴν τοῦ θεοῦ δύνα-
μιν, οὐ τὴν αὐτοῦ μεμφόμενον ἀσθένειαν, πλὴν ἐκείνη γε δόξειεν ἂν διαφέρειν, ᾗ
δείκνυσιν ἥλιος μὲν ἐπὶ γῆς τὰ καλὰ καὶ τὰ αἰσχρὰ τοῖς ὁρῶσιν. ἔρως δὲ μόνων τῶν κα-
λῶν φέγγος ἐστὶ καὶ πρὸς ταῦτα μόνα τοὺς ἐρῶντας ἀναπείθει βλέπειν καὶ στρέ-
φεσθαι, τῶν δ' ἄλλων πάντων περιορᾶν. γῆν δὲ κατ' οὐδὲν ἀφροδίτην καλοῦντες
ἅπτονταί τινος ὁμοιότητος. καὶ γὰρ οἷα καὶ οὐράνια καὶ μίξεως χώρα τῶν ἀθανά-
του πρὸς τὸ θνητὸν, ἀδρανὴς δὲ καθ' ἑαυτὴν ἐστὶ καὶ σκοτώδης ἡλίου μὴ προσλάμπον-
τος, ὥσπερ ἀφροδίτη μὴ παρόντος ἔρωτος. ἐοικέναι μὲν οὖν ἀφροδίτην σελήνην,
ἥλιον δὲ ἔρωτι, τῶν ἄλλων θεῶν. μᾶλλον εἰκός ἐστιν. οὐ μὴν εἶναί γε παντάπασι τοὺς
αὐτούς. οὐ γὰρ ψυχῇ σῶμα ταυτὸν, ἀλλ' ἕτερον ὥσπερ ἥλιον μὲν ὁρατὸν, ἔρωτα δὲ νο-
ητόν. εἰ δὲ μὴ δόξει πικρότερον λέγεσθαι, καὶ τἀναντία φαίη τις ἂν ἥλιον ἔρωτι
ποιεῖν. ἀποστρέφει γὰρ ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ αἰσθητὰ τὴν διάνοιαν χάριτι καὶ
λαμπρότητι τῆς ὄψεως γοητεύων καὶ ἀναπείθων ἐν ἑαυτῷ καὶ περὶ αὐτὸν ζη-
τεῖσθαι τά τε ἄλλα καὶ τὴν ἀλήθειαν, ἑτέρωθι* δὲ μηδέν. δυσέρωτες δὲ φαινόμεθα
ἰόντες
κατὰ γῆν ὡς εὐριπίδης φη-
σὶ δι' ἀπειροσύνην ἄλλου βιότου, μᾶλλον δὲ λήθην, ὧν ἔρως ἀνάμνησίς ἐστιν. ὥσπερ
γὰρ εἰς φῶς πολὺ καὶ λαμπρὸν ἀνεγρομένων, ἐξοίχεται πάντα τῆς ψυχῆς
τὰ καθ' ὕπνους φανέντα καὶ διαπέφευγεν, οὕτω τῶν γενομένων ἐνταῦθα, καὶ με-
ταβαλλόντων ἐκπλήττειν ἔοικε τὴν μνήμην καὶ φαρμάττειν τὴν διάνοιαν ὁ ἥλιος
ὑφ' ἡδονῆς καὶ θαύματος ἐκλανθανομένων ἐκείνων. καί τοι γε ὕπαρ ὡς ἀληθῶς
ἐκεῖ καὶ περὶ ἐκεῖνα ταῖς ψυχαῖς ἐστι. δευρὶ δὲ τῶν ἐνυπνίων
ἀσπάζεται, καὶ τέθηπε τὸ κάλλιστον καὶ θειότατον. ἀμφὶ δέ οἱ δολόεντα φιλό-
φρονα χεῦεν ὄνειρα πάν ἐνταῦθα πειθομένῃ τὸ καλὸν εἶναι καὶ τίμιον, ἂν μὴ τύ-
χῃ θείου καὶ σώφρονος ἔρωτος ἰατροῦ καὶ σωτῆρος διὰ σωμά-
των ἀφικόμενος ἀγωγὸς ἐπὶ τὴν ἀλήθειαν ἐξ ἅδου καὶ τὸ ἀληθείας πεδίον. οὗ
τὸ πολὺ καὶ καθαρὸν καὶ ἀψευδὲς ἵδρυται κάλλος ἀσπάσασθαι. καὶ συγγενέ-
σθαι διὰ χρόνου ποθοῦσι, ἐξαφορῶν καὶ ἀναπέμπων εὐμενὴς οἷον ἐν τελετῇ
παρέστη μυσταγωγὸς, ἐνταῦθα πάλιν πεμπομένων, αὐτὴ μὲν οὐ πλησιάζει ψυ-
χῇ καθ' ἑαυτὴν, ἀλλὰ διὰ σώματος. ὡς δὲ γεωμέτραι παισὶν οὔπω δυναμένοις
ἐφ' ἑαυτῶν τὰ νοητὰ μυηθῆναι τῆς ἀσωμάτου καὶ ἀπαθοῦς οὐσίας εἴδη πλά-
ττοντες ἁπτὰ καὶ ὁρατὰ μιμήματα σφαιρῶν καὶ κύβων καὶ δωδεκαέδρων προ-
τείνουσιν, οὕτως ἡμῖν ὁ οὐράνιος ἔρως ἔσοπτρα καλῶν καλὰ. θνητὰ μέν τοι θεῶν
παθητὰ καὶ νοητῶν μηχανώμενος ἔν τε σχήμασι καὶ χρώμασι καὶ εἴδεσι. νέων ὥ-
ρᾳ στίλβοντα δείκνυσι. καὶ κινεῖ τὴν μνήμην ἀτρέμα διὰ τούτων ἀναφλεγομένην
τὸ πρῶτον. ὅθεν διὰ σκαιότητος ἐνίοι φίλων καὶ οἰκείων σβεννύναι πειρωμένων,

βίᾳ καὶ ἀλόγως τὸ πάθος οὐδὲν ἀπέλαυσαν αὐτοῦ χρηστὸν, ἀλλ' ἢ καπνοῦ καὶ ταραχῆς ἐνέπλησαν ἑαυτοὺς, ἢ πρὸς ἡδονὰς σκότους καὶ παρανόμους ῥυέντες ἀκλεῶς ἐμαράνθησαν· ὅσοι δὲ σώφρονι λογισμῷ μετ' αἰδοῦς οἷον ἀτεχνῶς πυρὸς ἀφεῖλον τὸ μανικὸν, αὐγὴν δὲ καὶ φῶς ἀπέλιπον τῇ ψυχῇ μετὰ θερμότητος οὐ σεισμὸν ὥς τις εἶπε κινούσης ἐπὶ σπέρμα καὶ ὄλισθον ἀτόμων ὑπὸ λειότητος καὶ γαργαλισμοῦ θλιβομένων, διάλυσιν δὲ θαυμαστὴν καὶ γόνιμον ὥσπερ ἐν φυτῷ βλαστάνοντι καὶ τρεφομένῳ, καὶ πόρους ἀνοίγουσαν εὐπειθείας καὶ φιλοφροσύνης οὐκ ἂν ὁ πολὺς χρόνος ἐν ᾧ τό, τε σῶμα τὸ τῶν ἐρωμένων παρελθόντες ἔσω φέρονται καὶ ἅπτονται τοῦ ἤθους ἐκκαλούμενος τὰς ὄψεις, καθορῶσι καὶ συγγίνονται διὰ λόγων πολλὰ καὶ πράξεων ἀλλήλοις, ἂν περίκομμα τοῦ καλοῦ καὶ εἴδωλον ἐν ταῖς διανοίαις ἔχωσιν· εἰ δὲ μή· χαίρειν ἐῶσι καὶ τρέπονται πρὸς ἑτέρους ὥσπερ αἱ μέλιτται πολλὰ τῶν χλωρῶν καὶ ἀνθηρῶν μέλι δὲ οὐκ ἐχόντων ἀπολιπόντες, ὅπου δ' ἄν. ἔχωσιν ἴχνος τι τοῦ θείου καὶ ἀπορροὴν καὶ ὁμοιότητα σαίνουσαν ὑφ' ἡδονῆς καὶ θαύματος ἐνθουσιῶντες καὶ περιέποντες εὐπαθοῦσι πρὸς ἐκεῖνο τὸ ἐράσμιον ἀληθῶς καὶ μακάριον καὶ φίλιον ἅπασι καὶ ἀγαπητόν. τὰ μὲν οὖν πολλὰ ποιηταὶ προσπαίζοντες ἐοίκασι τῷ θεῷ γράφειν περὶ αὐτοῦ καὶ ᾄδειν ἐπικωμάζοντες, ὀλίγα δὲ εἴρηται μετὰ σπουδῆς αὐτοῖς, εἴτε κατὰ νοῦν καὶ λογισμόν· εἴτε σὺν θεῷ τῆς ἀληθείας ἁψαμένοις ὧν ἕν ἐστι καὶ τὸ περὶ τῆς γενέσεως δεινότατον θεῶν γείνατο εὐπέδιλος Ἶρις χρυσοκόμα ζεφύρῳ μιχθεῖσα, εἰ μή τι καὶ ὑμᾶς ἀναπεπείκασιν οἱ γραμματικοὶ λέγοντες πρὸς τὸ ποικίλον τοῦ πάθους καὶ τὸ ἀνθηρὸν γεγονέναι τὴν εἰκασίαν. καὶ ὁ δαφναῖος, πρὸς τί γὰρ ἔφη ἕτερον. ἀκούετε εἶπεν ὁ πατήρ· οὕτω γὰρ βιάζεται τὸ φαινόμενον λέγειν. ἀνάκλασις δή που τὸ περὶ τὴν ἶριν ἐστὶ τῆς ὄψεως πάθος· ὅταν ἡ συχνὴ ἠρέμα νοτερῷ λείῳ δὲ καὶ μέτριον πάθος ἔχοντι προσπεσοῦσα νέφει τοῦ ἡλίου ψαύσῃ κατ' ἀνάκλασιν καὶ τὴν περὶ ἐκεῖνον αὐγὴν ὁρῶσα καὶ τὸ φῶς· δόξαν ἡμῖν ἐνεργάσηται τοῦ φαντάσματος ὡς ἐν τῷ νέφει ὄντος· τοῦτο δὴ τὸ ἐρωτικὸν μηχάνημα καὶ σόφισμα περὶ τὰς εὐφυεῖς καὶ φιλοκάλους ψυχὰς ἀνάκλασιν ποιεῖ, τῆς μνήμης ἀπὸ τῶν ἐνταῦθα φαινομένων καὶ προσαγορευομένων καλῶν· εἰς τὸ θεῖον καὶ ἐράσμιον καὶ μακάριον ὡς ἀληθῶς ἐκεῖνο καὶ θαυμάσιον καλὸν, ἀλλ' οἱ πολλοὶ μὲν ἐν παισὶ καὶ γυναιξὶν ὥσπερ ἐν κατόπτροις εἴδωλον αὐτοῦ φανταζόμενον διώκοντες καὶ ψηλαφῶντες, οὐδὲν ἡδονῆς μεμιγμένης λύπῃ δύνανται λαβεῖν βεβαιότερον. ἀλλ' οὗτος ἔοικεν ὁ τοῦ πλείονος ἴλιγγος εἶναι καὶ πλάνος, ἐν νέφεσι κενὸν ὥσπερ σκιαῖς θηρωμένους τὸ ποθούμενον ὥσπερ οἱ παῖδες προθυμούμενοι τὴν ἶριν ἑλεῖν ταῖν χεροῖν ἑλκόμενοι πρὸς τὸ φαινόμενον. εὐφυοῦς δ' ἐραστοῦ καὶ σώφρονος, ἄλλος τρόπος· ἐκεῖ γὰρ ἀνακλᾶται πρὸς τὸ θεῖον καὶ νοητὸν καλὸν, ὁρατοῦ δὲ σώματος ἐντυχὼν κάλλει, καὶ χρώμενος οἷον ὀργάνῳ τινὶ τῆς κνήμης, ἀσπάζεται καὶ ἀγαπᾷ καὶ συνὼν γεγηθὼς, ἔτι μᾶλλον ἐκφλέγεται τὴν διάνοιαν καὶ οὔτε μετὰ σωμάτων ὄντες ἐνταῦθα τουτὶ τὸ φῶς ἐπιποθοῦντες κάθηνται καὶ θαυμάζοντες, οὔτ' ἐκεῖ γινόμενοι μετὰ τὴν τελευτὴν, δεῦρο πάλιν στρεφόμενοι καὶ δραπετεύοντες περὶ θύρας νεογάμων καὶ δωματίοις κυλινδοῦνται, δύσονειρα φαντάσματα φιληδόνων καὶ φιλοσωμάτων ἀνδρῶν καὶ γυναικῶν οὐ δικαίως ἐρωτικῶν προσαγορευομένων. ὁ γὰρ ὡς ἀληθῶς ἐρωτικὸς ἐκεῖ γενόμενος. καὶ τοῖς καλοῖς ὁμιλήσας ᾗ θέμις ἐπτέρωται καὶ πωργίαται. καὶ διατελεῖ περὶ τὸν αὐτὸν θεὸν ἄνω χορεύων καὶ συμπεριπολῶν· ἄχρις οὗ πάλιν εἰς τοὺς σελήνης καὶ ἀφροδίτης λειμῶνας ἐλθὼν καὶ καταδαρθὼν, ἑτέρας ἄρχηται γενέσεως ἀλλὰ ταῦτα μὲν ἔφη μείζονα ἔχει τῶν παρόντων λόγων ὑποθέσει. τῷ δὲ ἔρωτι καὶ τοῦτο καθάπερ τοῖς

ἄλλοις θεοῖς ἔνεστιν ὡς εὐριπίδης φησί· τιμωμένῳ χαίρειν ἀνθρώπων ὕπο· καὶ τοὐναντίον, εὐμενέστατος γάρ ἐστι τοῖς δεχομένοις ἐμμελῶς αὐτόν. βαρὺς δὲ τοῖς ἀπαυθαδιαζομένοις, οὔτε γὰρ ξένων καὶ ἱκετῶν ἀδικίας ὁ ξένιος· οὔτε γονέων ἀρὰς ὁ γενέθλιος οὕτω διώκει καὶ μέτεισι ταχέως καὶ ἐρασταῖς ἀγνωμονηθεῖσιν ὁ ἔρως ὀξὺς ὑπακούει τῶν ἀπαιδεύτων καὶ ὑπερηφάνων κολαστής· τί γὰρ ἂν λέγοι τις εὐξύνθετον καὶ λευκομαντίδα τὴν ἐν κύπρῳ παρακύπτουσαν ἔτι νῦν προσαγορευομένην, ἀλλὰ τὴν γοργοῦς ἴσως ποινὴν οὐκ ἀκηκόατε τῆς κρήσσης, παραπλήσια τῇ παρακυπτούσῃ παθούσης; πλὴν ἐκείνη μὲν ἀπελιθώθη παρακύψασα τὸν ἐραστὴν ἰδεῖν ἐκκομιζόμενον. τῆς δὲ γοργοῦς, ἄσανδρός τις ἠράσθη. νέος ἐπιεικὴς καὶ γένει λαμπρός. ἐκ δὲ λαμπρῶν, εἰς ταπεινὰ πράγματα καὶ εὐτελῆ ἀφιγμένος, ὅμως αὑτὸν οὐδενὸς ἀπηξίου τοῦ ἀλλὰ τὴν γοργὼ διὰ πλοῦτον ὡς ἔοικε περιμάχητον οὖσαν καὶ πολυμνήστευτον, ᾔτει γυναῖκα συγγενὴς ὤν, πολλοὺς ἔχων καὶ ἀγαθοὺς συνεργοῦντας αὐτῷ, πάντας δὲ τοὺς περὶ τὴν κόρην ἐπιτρόπους καὶ οἰκείους πεπεικώς. ἐπεὶ τοίνυν ἃς λέγουσιν αἰτίας καὶ γενέσεις ἔρωτος, ἴδιαι μὲν οὐδετέρου γένους εἰσί, κοιναὶ δὲ ἀμφοτέρων καὶ γὰρ εἴδωλα δήπουθεν ἐνδυόμενα τοῖς ἐρωτικοῖς καὶ διεξέχοντα. κινεῖν καὶ γαργαλίζειν τὸν ὄγκον, εἰς σπέρμα συνολισθαίνοντα τοῖς ἄλλοις σχηματισμοῖς, οὐ δυνατὸν μὲν ἀπὸ παίδων, ἀδύνατον δὲ ἀπὸ γυναικῶν, καὶ τὰς καλὰς ταύτας καὶ ἱερὰς ἀναμνήσεις καλοῦμεν ἡμεῖς ἐπὶ τὸ θεῖον καὶ ἀληθινὸν καὶ ὀλύμπιον, ἐκεῖνο κάλλος, αἷς ψυχὴ πτεροῦται· τί οὖν κωλύει· γίνεσθαι μὲν ἀπὸ παίδων καὶ ἀπὸ νεανίσκων, γίνεσθαι δὲ ἀπὸ παρθένων καὶ γυναικῶν, ὅταν ἦθος ἁγνὸν καὶ κόσμιον ἐν ὥρᾳ καὶ χάριτι μορφῆς διαφανὲς γένηται· καθάπερ ὄρθιον ὑπόδημα δείκνυσι ποδὸς εὐφυΐαν ὡς ἀρίστων ἔλεγεν· ὅταν ἐν εἴδεσι καλοῖς καὶ καθαροῖς σώμασιν· ἴχνη λαμπρὰ καὶ κείμενα ψυχῆς ὀρθὰ καὶ θρυπτὰ κατίδωσιν οἱ δεινοὶ τῶν τοιούτων αἰσθάνεσθαι. οὐ γὰρ ὁ μὲν φιλήδονος ἐρωτηθεὶς εἰ πρὸς θῆλυ νένευκε μᾶλλον, ἢ ἐπὶ τὰ ἄρρενα, καὶ ἀποκρινάμενος ὅπου προσῇ τὸ κάλλος, ἀμφιδέξιος ἔδοξεν οἰκείως ἀποκρίνασθαι τῆς ἐπιθυμίας, ὁ δὲ φιλόκαλος καὶ γενναῖος, οὐ πρὸς τὸ καλὸν οὐδὲ τὴν εὐφυΐαν, ἀλλὰ μορίων διαφορὰς ποιεῖται τοὺς ἔρωτας, καὶ φίλιππος μὲν ἀνὴρ οὐδὲν ἧττον ἀσπάζεται τὴν ποδάργου τὴν εὐφυΐαν, ἢ αἴθην τὴν ἀγαμεμνονέην, καὶ θηρατικός, οὐ τοῖς ἄρρεσι χαίρει μόνον, ἀλλὰ καὶ κρήσσας τρέφει καὶ λακαίνας σκύλακας, ὁ δὲ φιλόκαλος καὶ φιλάνθρωπος οὐχ ὁμαλός ἐστιν οὐδ' ὅμοιος ἀμφοτέροις τοῖς γένεσιν· ἀλλ' ὥσπερ ἱματίων οἰόμενος εἶναι διαφορὰς ἐρώντων γυναικῶν καὶ ἀνδρῶν, καίτοι τήν γε ὥραν ἄνθος ἀρετῆς εἶναι λέγουσι, μὴ φάναι δὲ ἀνθεῖν τὸ θῆλυ, μὴ δὲ ποιεῖν ἔμφασιν εὐφυΐας πρὸς ἀρετήν, ἄτοπόν ἐστι, καὶ γὰρ αἰσχύλος ὀρθῶς ἐποίησε νέας γυναικός, οὔ με μὴ λάθῃ φλέγων ὀφθαλμὸς ἥτις ἀνδρὸς ᾖ γεγευμένη· πότερον οὖν ἰταμοῦ μὲν ἤθους καὶ ἀκολάστου καὶ διεφθορότος σημεῖα τοῖς εἴδεσι τῶν γυναικῶν ἐπιτρέχει· κοσμίου δὲ καὶ σώφρονος οὐδὲν ἔπεστι τῇ μορφῇ φέγγος, πολλὰ μὲν ἔπεστι καὶ συνεπιφαίνεται. κινεῖ δὲ οὐθὲν οὐδὲ προσκαλεῖται τὸν ἔρωτα, οὐδέτερον γὰρ εὔλογον οὐδὲ ἀληθὲς ἀλλὰ κοινῶς ὥσπερ δέδεικται τοῖς γένεσι πάντων ὑπαρχόντων ὥσπερ κοινοῦ συστάντος.

ὦ δαφναῖε πρὸς ἐκείνους μαχόμεθα τοὺς λόγους οὓς ζεύξιππος ἀρτίως διῆλθεν, ἐπιθυμίᾳ τὸν ἔρωτα ταυτὸ ποιῶν ἀκαταστάτῳ, καὶ πρὸς τὸ ἀκόλαστον ἐκφερούσῃ τὴν ψυχήν· οὐκ αὐτὸς οὕτω πεπεισμένος, ἀκηκοὼς δὲ πολλάκις ἀνδρῶν δυσκόλων καὶ ἀνεράστων· οἱ μέν, ἄθλια γύναια προικιδίοις ἐφελκόμενοι μετὰ χρημάτων εἰς οἰκονομίαν καὶ λογισμοὺς ἐμβάλλοντες ἀνελευθέρους, ζυγομαχοῦντες ὁσημέραι διὰ χειρὸς ἔχουσιν, οἱ δὲ παίδων

δὲ θανάτου κοινωνοῦσα ἡδέως γινομένη. ὁ μὲν οὖν σινόριξ ἐν φορείῳ κομιζόμενος,
μετὰ μικρὸν ἐτελεύτησεν. ἡ δὲ καμμάμα τὴν ἡμέραν ἐπιβιώσασα καὶ τὴν νύκτα
λέγεται μάλα εὐθαρσῶς καὶ ἱλαρῶς ἀποθανεῖν. πολλῶν δὲ τοιούτων γεγονότων, καὶ
παρ' ἡμῖν καὶ παρὰ τοῖς βαρβάροις, τίς ἀνάσχοιτο τῶν τὴν ἀφροδίτην λοιδο-
ρούντων, ὡς ἔρωτι προσθεμένη καὶ παροῦσα, κωλύει φιλίαν γενέσθαι. τὴν
μὲν πρὸς ἄρρενα ἄρρενος ὁμιλίαν, μᾶλλον δὲ ἀκρασίαν καὶ ἐπιπήδησιν εἴποι
τις ἄν, ἐννοήσας, ὕβρις τάδ' οὐχ ἡ κύπρις ἐξεργάζεται. διὸ τοὺς μὲν ἡδομένους
τῷ πάσχειν τὸ χείριστον τιθέμενοι γένος κακίας, οὔτε πίστεως μοῖραν, οὔτε αἰδοῦς
οὔτε φιλίας νέμομεν, ἀλλ' ὡς ἀληθῶς καὶ τὸν σοφοκλέα. φίλων τοιούτων οἱ μὲν
ἐστερημένοι καὶ χαίρουσιν, οἱ δὲ ἔχοντες εὔχονται φυγεῖν. ὅσοι δὲ μὴ κακοὶ πεφυ-
κότες ἐξηπατήθησαν ἢ κατεβιάσθησαν ἐνδοῦναι καὶ παρασχεῖν ἑαυτούς. οὐ-
δένα μᾶλλον ἀνθρώπων ἢ τοὺς διαθέντας ὑφορώμενοι καὶ μισοῦντες διατελοῦσι.
καὶ πικρῶς ἀμύνονται καιροῦ παραδόντος. ἀρχέλαόν τε γὰρ ἀπέκτεινε κρατέας
ἐρώμενος γεγονώς. καὶ τὸν φεραῖον ἀλέξανδρον πυθόλαος. περίανδρος δὲ ὁ ἀμ-
βρακιωτῶν τύραννος, ἠρώτα τὸν ἐρώμενον, εἰ μήπω κύει, κἀκεῖνος παροξυνθεὶς
ἀπέκτεινεν αὐτόν. ἅμα γυναιξί τε γαμεταῖς ἀρχαὶ ταῦτα φιλίας ὥσπερ ἱε-
ρῶν μεγάλων κοινωνήματα. καὶ τὸ τῆς ἡδονῆς μικρόν. ἡ δὲ ἀπὸ ταύτης ἀναβλα-
στάνουσα καθ' ἡμέραν τιμὴ καὶ χάρις καὶ ἀγάπησις ἀλλήλων καὶ πίστις, οὔτε δελ-
φοὺς ἐλέγχει ληροῦντας. ὅτι τὴν ἀφροδίτην ἅρμα καλοῦσιν, οὔτε ὅμηρος φι-
λότητα τὴν τοιαύτην προσαγορεύοντα συνουσίαν. τόν τε σόλωνα μαρτυρεῖ γε-
γονέναι τῶν γαμικῶν ἐμπειρότατον νομοθέτην. κελεύσαντα μὴ ἔλαττον, ἢ τρὶς
κατὰ μῆνα τῇ γαμετῇ πλησιάζειν. οὐχ ἡδονῆς ἕνεκα πόθεν ἀλλ' ὥσπερ αἱ πόλεις
διὰ χρόνου σπονδὰς ἀνανεοῦνται πρὸς ἀλλήλας, οὕτως ἄρα βουλόμενοι ἀνανε-
οῦσθαι τὸν γάμον ἐκ τῶν ἑκάστοτε συλλεγομένων ἐγκλημάτων ἐν τῇ τοιαύτῃ φιλο-
φροσύνῃ, ἀλλὰ πολλὰ φαῦλα καὶ μανικὰ τῶν γυναικῶν ἐρώντων; τί δὲ οὐχὶ πλείο-
να τῶν παιδικῶν οἰκειότητα ἐμβλέπων ὠλίσθανον ἀγένειος ἁπαλὸς καὶ νεανίας κα-
λὸς ἐμφῦντα ἀποθανεῖν καὶ ἐπιγράμματος τυχεῖν, ἀλλ' ὥσπερ ἐκεῖνο παιδομα-
νίας τὸ πάθος οὐδὲ τοῦτον δὲ ἔρως ἐστίν. ἀτὰρ οὖν τὸ γυναιξὶν ἀρετῆς φάναι μη-
δ' ἄλλης μετεῖναι, τί δεῖ λέγειν; περὶ δὲ σωφροσύνης καὶ συνέσεως αὐτῶν. ἔτι δὲ
πίστεως καὶ δικαιοσύνης. ὅπου καὶ τὸ ἀνδρεῖον καὶ τὸ θαρραλέον καὶ τὸ μεγαλόψυ-
χον ἐν πολλαῖς ἐπιφανείαις. γέγονε δὲ πρὸς τὰ ἄλλα κατὰ τὴν φύσιν αὐτῶν, ἀλ-
λ' ἢ ψέγονται εἰς μόνην φιλίαν ἀνάρμοστον ἀποφαίνειν παντάπασι δεινόν. καὶ
γὰρ φιλότεκνοι καὶ φίλανδροι, καὶ τὸ στερκτικὸν ὅλως ἐν αὐταῖς ὥσπερ εὐφυὴς
χώρα καὶ δεκτικὴ φιλίας, οὔτε πειθοῦς οὔτε χαρίτων ἄμοιρον ὑπόκειται. κα-
θάπερ δὲ λόγῳ ποιήσεως ἡδύσματα μέλη καὶ μέτρα καὶ ῥυθμοὺς ἐφαρμόσασα.
καὶ τὸ παιδεῦον αὐτοῦ κινητικώτερον ἐποίησε, καὶ τὸ βλάπτον ἀφυλακτότερον.
οὕτως ἡ φύσις γυναικὶ περιθεῖσα χάριν ὄψεως καὶ φωνῆς πιθανότητα καὶ μορ-
φῆς ἐπαγωγὸν εἶδος. τῇ μὲν ἀκολάστῳ πρὸς ἡδονὴν καὶ ἀπάτην τῇ δὲ σώφρονι
πρὸς εὔνοιαν ἀνδρὸς καὶ φιλίαν μεγάλα συνήργησεν. ὁ μὲν οὖν πλάτων τὸν
ξενοκράτη τἆλλα γενναῖον ὄντα καὶ μέγαν, αὐστηρότατον δὲ τῷ ἤθει, παρεκά-
λει θύειν ταῖς χάρισι. χρηστῇ δὲ ἄν τις γυναικὶ καὶ σώφρονι παραινέσειε τῷ ἔρωτι
θύειν ὅπως εὐμενὴς συνοικουρῇ τῷ γάμῳ καὶ ἡδὺς

ῥυεὶς ὁ ἀνὴρ, γυναικείοις καὶ μὴ πρὸς ἑτέραν ἀπορ-
ἀναγκάζηται τὰς ἐκ τῆς κωμῳδίας λέγειν φωνάς. οἵαν ἀδικῶ
γυναῖκα ὁ δυσδαίμων ἐγώ. τὸ γὰρ ἐρᾶν ἐν γάμῳ, τοῦ ἐρᾶσθαι μεῖζον ἀγαθόν
ἐστι. πολλῶν γὰρ ἁμαρτημάτων ἀπαλλάττει, μᾶλλον δὲ πάντων ὅσα διαφθεί-

ρόμενοι μᾶλλον ἢ γυναικῶν ὥσπερ οἱ τέττιγες εἰς σκίλλαν, ἤ τι τοιοῦτο τὴν γονὴν
ἀφιᾶσιν. οὕτω διὰ τάχους οἷς ἔτυχε σώμασιν ἐναπογεννήσαντες καὶ καρπὸν ἀρά-
μενοι χαίρειν ἐῶσιν ἤδη τὸν γάμον, ἢ μένοντες οὐ φροντίζουσιν. οὐδὲ ἀξιοῦσιν ἐρᾶν
οὐδὲ ἐρᾶσθαι, στέργεσθαι δὲ καὶ στέργειν ἐν ᾧ μοι δοκεῖ γράμματι τοῦ στέγειν πα-
ραλλάττον. εὐθὺς ἐμφαίνει τὴν ὑπὸ χρόνου καὶ συνηθείας ἀνάγκῃ μεμιγμένην
εὔνοιαν. ᾧ δ' ἂν ἔρως ἐπισκήψῃ καὶ ἐπιπνεύσῃ, πρῶτον μὲν ἐκ τῆς πλατωνικῆς
πόλεως τὸ ἐμὸν ἕξει καὶ τὸ οὐκ ἐμόν, οὐ γὰρ ἁπλῶς κοινὰ τὰ φίλων

ἀλλ' ἢ τοῖς σώμασιν ὁριζόμενοι τὰς ψυχὰς βίᾳ συνάγου-
σι καὶ συντήκουσι, μήτε βουλόμενοι δύο εἶναι μήτε νομίζοντες. ἔπειτα σωφρο-
σύνη πρὸς ἀλλήλους ἧς μάλιστα δεῖται γάμος. ἡ μὲν ἔξωθεν καὶ νόμων, πλέον
ἔχουσα τοῦ ἑκουσίου τὸ βεβιασμένον, ὑπ' αἰσχύνης καὶ φόβων. πολλῶν χαλινῶν ἔρ-
γων οἰάκων θ' ἅμα διὰ χειρός ἐστιν ἀεὶ τοῖς συνοῦσιν. ἔρωτι δ' ἐγκρατείας τοσοῦτον
καὶ κόσμου καὶ πίστεως μέτεστιν, ὥστε κἂν ἀκολάστου ποτὲ θίγῃ ψυχῆς, ἀπέστρεψε
τῶν ἄλλων ἐραστῶν ἐκκόψας δὲ τὸ θράσος καὶ κατακλάσας τὸ σοβαρὸν καὶ ἀνά-
γωγον. ἐμβαλὼν αἰδῶ καὶ σιωπὴν, καὶ ἡσυχίαν καὶ σχῆμα περιθεὶς κόσμιον. ἑνὸς
ἐπήκοον ἐποίησεν. ἴστε δήπουθεν ἀκοῇ λαΐδα τὴν ἀοίδιμον ἐκείνην καὶ πολυήρα-
τον, ὡς ἐπέφυγε πόθῳ τὴν ἑλλάδα. μᾶλλον δὲ ταῖς δυσὶν ἦν περιμάχητος θα-
λάσσαις. ἐπεὶ δὲ ἔρως ἔθιγεν αὐτῆς ἱππολόχου τοῦ θεσσαλοῦ, τὸν ὕδατι χλω-
ρῷ κατακλυζόμενον προλιποῦσ' ἀκροκόρινθον. καὶ ἀποδρᾶσα τῶν ἄλλων ἐ-

μέγαν στρατὸν, ᾤχετο κοσμί-

ραστῶν κρύφα.
ως. ἐκεῖ δὲ αὐτὴν αἱ γυναῖκες ὑπὸ φθόνου καὶ ζήλου διὰ τὸ κάλλος εἰς ἱερὸν ἀ-
φροδίτης προαγαγοῦσαι, κατέλευσαν καὶ διέφθειραν, ὅθεν ὡς ἔοικεν ἔτι νῦν τὸ
ἱερὸν ἀφροδίτης ἀνδροφόνου καλοῦσιν. ἴσμεν δὴ καὶ θεραπαινίδια δεσποτῶν
φεύγοντα συνουσίας. καὶ βασιλίδων ὑπερορῶντας ἰδιώτας, ὅταν ἔρωτα δε-
σπότην ἐν ψυχῇ κτήσωνται. καθάπερ γὰρ ἐν ῥώμῃ φασὶ τοῦ καλοῦ δικτάτορος
ἀναγορευθέντος ἀποτίθεσθαι τὰς ἄλλας ἀρχὰς ἔχοντας, οὕτως οἷς ἂν ἔρως
κύριος ἐγγένηται, τῶν ἄλλων δεσποτῶν καὶ ἀρχόντων ἐλεύθεροι καὶ ἄφετοι κα-
θάπερ ἱερόδουλοι διατελοῦσιν. ἡ δὲ γενναία γυνὴ πρὸς ἄνδρα νόμιμον συγκρα-
θεῖσα δι' ἔρωτος, ἄρκτων ἂν ὑπομείνειε καὶ δρακόντων περιβολὰς μᾶλλον, ἢ
ψαῦσιν ἀνδρὸς ἀλλοτρίου καὶ συγκατάκλισιν. ἀφθονίας δὲ παραδειγμάτων
οὔσης πρός γε ὑμᾶς τοὺς ὁμοχόρους τοῦ θεοῦ καὶ θιασώτας. ὅμως τὸ περὶ κά-
μμαν οὐκ ἄξιόν ἐστι τὴν γαλατικὴν παρελθεῖν, ταύτης γὰρ ἐκπρεπεστάτης τὴν
ὄψιν γενομένης. σινάτῳ δὲ τετράρχῳ γαμηθείσης. συνόριξ ἐρασθεὶς, δυνατώτα-
τος γὰρ γαλατῶν, ἀπέκτεινε τὸν σινάτον ὡς οὔτε βιάσασθαι δυνάμενος, οὔτε
πεῖσαι τὴν ἄνθρωπον ἐκείνου ζῶντος. ἦν δὲ τῇ καμμάμῃ καταφυγὴ καὶ παραμυ-
θία τοῦ πάθους, ἱερωσύνη πατρῷος ἀρτέμιδος. καὶ τὰ πολλὰ παρὰ τῇ θεῷ
διέτριβεν οὐδένα προσιεμένη μνωμένων πολλῶν καὶ δυναστῶν αὐτήν. τοῦ μέντοι
σινόριγος τολμήσαντος ἐντυχεῖν περὶ γάμου. τὴν πεῖραν οὐκ ἔφυγεν. οὐδὲ ἐμέμ-
ψατο περὶ τῶν γεγονότων. ὡς δι' εὔνοιαν αὐτῆς καὶ πόθον, οὐκ ἄλλῃ τινὶ μοχθη-
ρίᾳ προαχθέντος τοῦ σινόριγος. ἧκεν οὖν πιστεύσας ἐκεῖνος καὶ ᾔτει τὸν γάμον. ἡ δὲ
ἀπήντησε καὶ δεξιωσαμένη καὶ προσαγαγοῦσα τῷ βωμῷ τῆς θεᾶς, ἔσπεισεν ἐκ
φιάλης μελίκρατον ὡς ἔοικε πεφαρμακωμένον. εἶτα ὅσον ἥμισυ μέρος αὐτὴ
προεκπιοῦσα, παρέδωκε τῷ γαλάτῃ τὸ λοιπόν. ὡς δὲ εἶδεν ἐκπεπωκότα, λαμ-
πρὸν ἀνωλόλυξε. καὶ φθεγξαμένη τοὔνομα τοῦ τεθνεῶτος ταύτην εἶπεν, ἐγὼ τὴν
ἡμέραν ὦ φίλτατε ἄνερ προσμένουσά σου χωρὶς ἔζων ἀνιαρῶς. νῦν δὲ κόμισαί
με χαίρων, ἠμυνάμην γὰρ ὑπὲρ σοῦ τὸν κάκιστον ἀνθρώπων, σοὶ μὲν βίου τούτῳ

ρεῖ καὶ λυμαίνεται τὸν γάμον. τὸ δὲ ἐμπαθὲς ἐν ἀρχῇ καὶ δάκνον, ὦ μακάριε Ζεύξιππε, μὴ φοβηθῇς ὡς ἕλκος ἢ ὀδαξησμόν. καίτοι καὶ μεθ' ἕλκους ἴσως οὐδὲν ἦν δεινὸν ὥσπερ τὰ δένδρα συμφυῆ γενέσθαι πρὸς γυναῖκα χρηστήν. ἕλκωσις δὲ καὶ κυήσεως ἀρχή. μῖξις γὰρ οὐκ ἔστι τῶν μὴ πρὸς ἄλληλα πεπονθότων. ταράττει δὲ καὶ μαθήματα παῖδας ἀρχομένους, καὶ φιλοσοφία νέους, ἀλλ' οὔτε τούτοις ἀεὶ παραμένει τὸ δηκτικόν, οὔτε τοῖς ἐρῶσιν. ἀλλ' ὥσπερ ὑγρῶν πρὸς ἄλληλα συμπεσόντων, ποιεῖν τινα δοκεῖ ζέσιν ἐν ἀρχῇ καὶ τάραξιν ὁ ἔρως, εἶτα χρόνῳ καταστήσας καὶ καθαρθεὶς τὴν βεβαιοτάτην διάθεσιν παρέσχεν. αὕτη γάρ ἐστιν ὡς ἀληθῶς ἡ δι' ὅλων λεγομένη κρᾶσις ἡ τῶν ἐρώντων. ἄλλων συμβιούντων ταῖς κατ' Ἐπίκουρον ἁφαῖς καὶ περιπλοκαῖς, ἔοικε συγκρούσεις λαμβάνουσα καὶ ἀποπηδήσεις. ἑνότητα δὲ οὐ ποιοῦσα τοιαύτην οἵαν ἔρως ποιεῖ, γαμικῆς κοινωνίας ἐπιλαβόμενος, οὔτε γὰρ ἡδοναὶ μείζονες ἀπ' ἄλλων, οὔτε χρεῖαι συνεχέστεραι πρὸς ἄλλους, οὔτε φιλίας τὸ καλὸν ἑτέρας ἔνδοξον οὕτω καὶ ζηλωτόν, ὡς ὅτε ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον ἀνὴρ ἠδὲ γυνή. καὶ γὰρ ὁ νόμος βοηθεῖ. καὶ γενέσεως κοινῆς, καὶ τοὺς θεοὺς ἔρωτος ἡ φύσις ἀποδείκνυσι δεομένους. οὕτω γὰρ ἐρᾶν οἱ ποιηταὶ λέγουσι καὶ γῆς οὐρανόν, ἥλιον δὲ σελήνης ἐρᾶν οἱ φυσικοί, καὶ συγγίνεσθαι καὶ κυεῖσθαι, καὶ γῆν δὲ ἀνθρώπων μητέρα καὶ ζώων καὶ φυτῶν ἁπάντων γένεσιν, οὐκ ἀναγκαῖον ἀπολέσθαι ποτὲ καὶ σβεσθῆναι παντάπασιν, ὅταν ὁ δεινὸς ἔρως ἢ ἵμερος τοῦ θεοῦ τὴν ὕλην ἀπολίπῃ, καὶ παύσηται ποθοῦσα καὶ διώκουσα τὴν ἐκεῖθεν ἀρχὴν καὶ κίνησιν. ἀλλ' ἵνα μὴ μακρὰν ἀποπλανᾶσθαι δοκῶμεν, ἢ κομιδῇ φλυαρεῖν, οἶσθα τοὺς παιδικοὺς ἔρωτας ὡς ἀβεβαιότατα πολλὰ λέγουσι καὶ σκώπτουσι λέγοντες ὥσπερ ᾠὸν αὐτῶν τριχὶ αἱρεῖσθαι τὴν φιλίαν, αὐτοὺς δὲ νομάδων δίκην ἐνεαρίζοντας τοῖς τεθηλόσι καὶ ἀνθηροῖς, εὐθὺς ἐκ τῆς πολεμίας ἀναστρατοπεδεύειν, ἐπεὶ δὲ φορτικώτερον ὁ σοφιστὴς Βίων τὰς τῶν καλῶν τρίχας Ἁρμοδίους ἐκάλει καὶ Ἀριστογείτονας, ὡς ἅμα καλῆς τυραννίδος ἀπαλλαττομένους ὑπ' αὐτῶν τοὺς ἐραστάς, ταῦτα μὲν οὐ δικαίως κατηγορεῖται τῶν γνησίων ἐραστῶν. τὰ δὲ ὑπὸ Εὐριπίδου ῥηθέντα ἐστὶ κομψά, ἔφη γὰρ Ἀγάθωνα τὸν καλὸν ἤδη γενειῶντα περιβάλλων καὶ κατασπαζόμενος ὅτι τῶν καλῶν καὶ τὸ μετόπωρον ἐκδέχεται μόνον

οὐδὲν πολιὰ ἀκμάζων καὶ ῥυτίσιν. ἀλλ' ἄχρι τάφων καὶ μνημάτων παραμένει. καὶ συζυγίας ὀλίγας ἐστὶ παιδικῶν. μυρίας δὲ γυναικείων ἐρώτων καταριθμήσασθαι. πάσης πίστεως κοινωνίαν πιστῶς ἅμα καὶ προθύμως συνδιαφυλαξάσας. βούλομαι δ' ἕν τι τῶν καθ' ἡμᾶς ἐπὶ Καίσαρος Οὐεσπασιανοῦ γεγονότων διελθεῖν. Ἰούλιος γὰρ ὁ τὴν ἐν Γαλατίᾳ κινήσας ἀπόστασιν, ἄλλους τε πολλοὺς ὡς εἰκὸς ἔσχε κοινωνούς, καὶ Σαβῖνον ἄνδρα νέον οὐκ ἀγεννῆ, πλούτῳ δὲ καὶ δόξῃ ἀνθρώπων πάντων ἐπιφανέστατον. ἁψάμενοι δὲ πραγμάτων μεγάλων ἐσφάλησαν, καὶ δίκην δώσειν προσδοκῶντες, οἱ μὲν αὑτοὺς ἀνῄρουν, οἱ δὲ φεύγοντες ἡλίσκοντο. τῷ δὲ Σαβίνῳ τὰ μὲν ἄλλα πράγματα ῥᾳδίως παρεῖχεν ἐκποδὼν γενέσθαι καὶ καταφυγεῖν εἰς τοὺς βαρβάρους. ἦν δὲ γυναῖκα πασῶν ἀρίστην ἠγμένος, ἣν ἐκεῖ μὲν Ἐμπονὴν ἐκάλουν, Ἑλληνιστὶ δ' ἄν τις ἡρωΐδα προσαγορεύσειεν, οὔτε ἀπολιπεῖν δυνατὸς ἦν, οὔτε μεθ' ἑαυτοῦ κομίζειν. ἔχων οὖν κατ' ἀγρὸν ἀποθήκας χρημάτων ὀρυκτὰς ὑπογείους, ἃς δύο μόνοι τῶν ἀπελευθέρων συνῄδεσαν, τοὺς μὲν ἄλλους ἀπήλλαξεν οἰκέτας ὡς μέλλων φαρμάκοις ἀναιρεῖν ἑαυτόν, δύο δὲ πιστοὺς παραλαβὼν εἰς τὰ ὑπόγεια κατέβη, πρὸς δὲ τὴν γυναῖκα Μαρτάλιον ἔπεμψεν ἀπελεύθερον, ἀπαγγελοῦντα τεθνάναι μὲν ὑπὸ φαρμάκων, συμπεφλέχθαι δὲ μετὰ τοῦ σώματος τὴν ἔπαυλιν. ἐβούλετο γὰρ τῷ

τῆς

τῆς γυναικὸς ἀληθινῶς πρὸς πίστιν τῆς λεγομένης τελευτῆς, ὃ καὶ συνέβη. ῥίψασα γὰρ ὅπως ἔτυχε τὸ σῶμα μετὰ κλαυθμῶν καὶ ὀλοφυρμῶν ἡμέρας τρεῖς καὶ νύκτας ἄσιτος διεκαρτέρησε. ταῦτα δὲ ὁ Σαβῖνος πυνθανόμενος καὶ φοβηθεὶς μὴ διαφθείρῃ παντάπασιν ἑαυτήν, ἐκέλευσε φράσαι κρύφα τὸν Μαρτάλιον πρὸς αὐτήν, ὅτι ζῇ καὶ κρύπτεται. δεῖται δὲ αὐτῆς ὀλίγον ἐμμεῖναι τῷ πένθει. καὶ μὴ δὲ πιθανὴν ἐν τῇ προσποιήσει γενέσθαι. τὰ μὲν οὖν ἄλλα παρὰ τῆς γυναικὸς ἐναγωνίως συνετραγῳδεῖτο τῇ δόξῃ τοῦ πάθους, ἐκεῖνον δ' ἰδεῖν ποθοῦσα νυκτὸς ᾤχετο καὶ πάλιν ἐπανῆλθεν. ἐκ δὲ τούτου λανθάνουσα τοὺς ἄλλους, ὀλίγου ἀπέδει συνῆν ἐν ᾅδου τῷ ἀνδρί. πλὴν ἑξῆς ἑπτὰ μηνῶν ἐν οἷς κατασκευάσασα τὸν Σαβῖνον ἐσθῆτι καὶ κουρᾷ καὶ καταδέσει τῆς κεφαλῆς ἄγνωστον, εἰς Ῥώμην ἐκόμισε μεθ' ἑαυτῆς τινῶν ἐνδεδομένων. πράξασα δὲ οὐθέν, αὖθις ἐπανῆλθε, καὶ τὰ μὲν πολλὰ ἐκείνῳ συνῆν ὑπὸ γῆς. διὰ χρόνου δὲ εἰς πόλιν ἐφοίτα ταῖς φίλαις ὁρωμένη καὶ οἰκείαις γυναιξί. τὸ δὲ πάντων ἄπιστον, ἔλαθε κύουσα λουομένη μετὰ τῶν γυναικῶν. τὸ γὰρ φάρμακον ᾧ τὴν κόμην αἱ γυναῖκες ἀναλειφόμεναι ποιοῦσι χρυσοειδῆ καὶ πυρράν, ἔχει λίπος σαρκοποιὸν ἢ χαυνωτικὸν σαρκός, ὥστε οἷον διάχυσίν τινα ἢ διόγκωσιν ἐμποιεῖν. ἀφθόνῳ δὴ χρωμένη τούτῳ πρὸς τὰ λοιπὰ μέρη τοῦ σώματος αἰρόμενα καὶ ἀναπιμπλάμενα, ἀπέκρυπτε τὸν τῆς γαστρὸς ὄγκον. τὰς δὲ ὠδῖνας αὐτὴ καθ' ἑαυτὴν διήνεγκεν ὥσπερ ἐν φωλεῷ λέαινα καταδῦσα πρὸς τὸν ἄνδρα καὶ τοὺς γενομένους ὑπεθρέψατο σκύμνους ἄρρενας. δύο γὰρ ἔτεκε. τῶν δὲ υἱῶν, ὁ μὲν, ἐν Αἰγύπτῳ πεσὼν ἐτελεύτησεν, ὁ δὲ ἕτερος ἄρτι καὶ πρώην γέγονεν ἐν Δελφοῖς παρ' ἡμῖν ὄνομα Σαβῖνος. ἀποκτείνει μὲν οὖν αὐτὴν ὁ Καῖσαρ, ἀποκτείνας δὲ δίδωσι δίκην ἐν ὀλίγῳ χρόνῳ τοῦ γένους παντὸς ἄρδην ἀναιρεθέντος, οὐδὲν γὰρ ἤνεγκε τότε ἡ ἡγεμονία σκυθρωπότερον οὐδὲ μᾶλλον ἑτέραν εἰκὸς ἦν καὶ θεοὺς καὶ δαίμονας ὄψιν ἀποστραφῆναι, καίτοι τὸν οἶκτον ἐξῄρει τῶν θεωμένων τὸ θαρραλέον αὐτῆς καὶ μεγαλήγορον, ᾧ καὶ μάλιστα παρώξυνε τὸν Οὐεσπασιανόν, ὡς ἀπέγνω τῆς σωτηρίας πρὸς αὐτὸν, ἀλλαγὴν κελεύουσα. βεβιωκέναι γὰρ ὑπὸ σκότῳ καὶ κατὰ γῆς ἥδιον, ἢ βασιλεύων ἐκεῖνος. ἐνταῦθα μὲν ὁ πατὴρ ἔφη τὸν περὶ ἔρωτος αὐτοῖς τελευτῆσαι λόγον, τῶν Θεσπιέων ἐγγὺς οὖσι, ὀφθῆναι δὲ προσιόντα θᾶττον ἢ βάδην πρὸς αὐτούς, ἕνα τῶν Πεισίου ἑταίρων Διογένη. τοῦ δὲ Σωκλάρου πρὸς αὐτὸν ἔτι πόρρωθεν εἰπόντος, οὐ πόλεμόν γε ὦ Διόγενες ἀπαγγέλλων ἐκεῖνον, οὐκ εὐφημήσετε φάναι, γάμων ὄντων, καὶ προάξετε θᾶσσον ὡς ὑμᾶς τῆς θυσίας περιμενούσης; πάντας μὲν οὖν ἡσθῆναι, τὸν δὲ Ζεύξιππον ὁρᾶσθαι ὅτι χαλεπός ἐστι. πρῶτος μὲν οὖν ὡς εἶπεν συνεχώρησε τῇ Ἰσμηνοδώρᾳ. καὶ νῦν ἑκὼν
στέφανον καὶ λευκὸν ἱμάτιον λαβὼν, οἷός ἐστιν, ἡγεῖσθαι
δι' ἀγορᾶς πρὸς τὸν θεόν. ἀλλ' ἴωμεν νὴ μὰ Δία
τὸν πατέρα εἰπεῖν ἴωμεν, ὅπως ἐπαγγε-
λάσωμεν τῷ ἀνδρὶ καὶ τὸν θεὸν προσ-
κυνήσωμεν, δῆλος γάρ ἐστι χαί-
ρων καὶ παρὼν εὐμενὴς
τοῖς πραττο-
μένοις.

ΠΕΡΙ ΤΟΥ ΕΜΦΑΙΝΟΜΕΝΟΥ ΠΡΟΣΩΠΟΥ ΤΩ ΚΥΚΛΩ ΤΗΣ ΣΕΛΗΝΗΣ·

Μὲν οὖν ὁ Σύλλας ταῦτα εἶπε· τῷ γὰρ ἐμῷ μύθῳ προσήκει
κἀκεῖθέν ἐστιν, ἀλλὰ δεῖ τι πρὸς τὰς ἀνὰ χεῖρα ταύτας καὶ
διὰ στόματος πᾶσι δόξας περὶ τοῦ προσώπου τῆς σελή-
νης προσαναχρούσασθαι, πρῶτον ἡδέως ἄν μοι δοκῶ πυ-
θέσθαι· τί δὲ οὐκ ἐμέλλομεν εἶπον ἀπὸ τῆς ἐν τούτοις ἀ-
πορίας ἐπ' ἐκείνους ἀπωσθέντες; ὡς γὰρ οἱ ἐν νοσήμασι χρο-
νίοις πρὸς τὰ κοινὰ βοηθήματα καὶ τὰς συνήθεις διαί-
τας, ἀπειπόντες, ἐπὶ καθαρμοὺς, καὶ περίαπτα, καὶ ὀ-
νείρους τρέπονται, οὕτως ἀναγκαῖον ἐν δυσθεωρήτοις, καὶ ἀπόροις σκέψεσιν, ὅταν
οἱ κοινοὶ καὶ ἔνδοξοι καὶ συνήθεις λόγοι μὴ πείθωσι, πειρᾶσθαι τῶν ἀτοπωτέ-
ρων καὶ μὴ καταφρονεῖν, ἀλλ' ἐπάδειν ἀτεχνῶς ἑαυτοῖς τὰ τῶν παλαιῶν· καὶ
διὰ πάντων τἀληθὲς ἐξελέγχειν· ὁρᾷς γὰρ εὐθὺς ὡς ἄτοπος ὁ λέγων τὸ φαι-
νόμενον εἶδος ἐν τῇ σελήνῃ, πάθος εἶναι τῆς ὄψεως ὑπεικούσης τῇ λαμπρότη-
τι· δι' ἀσθένειαν ὃ καλοῦμεν, οὐ συνορῶν ὅτι πρὸς τὸν ἥλιον
ἔδει τοῦτο γίνεσθαι μᾶλλον· ὀξὺν ἀπαντῶντα καὶ πλήττην, ὥς που καὶ ἐμπεδο-
κλῆς τὴν ἑκατέρων ἀποδίδωσιν, οὐκ ἀηδῶς διαφορὰν· ἥλιος ὀξυμελής· ἡ δὲ λαί-
να σελήνη· τὸ ἐπαγωγὸν αὐτῆς καὶ ἱλαρὸν καὶ ἄλυπον, οὕτω προσαγορεύσας,
ἔπειτα λόγον ἀποδιδοὺς καθ' ὃν αἱ ἀμυδραὶ καὶ ἀσθενεῖς ὄψεις οὐδεμίαν διαφο-
ρὰν ἐν τῇ σελήνῃ μορφῆς ἐνορῶσιν, ἀλλὰ λεῖος αὐταῖς ἀντιλάμπει καὶ περί-
πλεως αὐτῆς ὁ κύκλος· οἱ δὲ ὀξὺ καὶ σφοδρὸν ὁρῶντες, ἐξακριβοῦσι μᾶλλον,
καὶ διαστέλλουσιν ἐκτυπούμενα τὰ εἴδη τοῦ προσώπου, καὶ τῆς διαφορᾶς ἅπτον-
ται σαφέστερον. ἔδει γὰρ οἶμαι τοὐναντίον, εἴπερ ἡττωμένου τὰ
ὄμματος ἐποίει τὴν φαντασίαν· ὅπου τὸ πάσχον ἀσθενέστερον εἶναι, τὸ φαινόμε-
νον ἡ δὲ ἀνωμαλία καὶ παντάπασιν ἐλέγχει τὸν λόγον. ὁ γὰρ ἐπὶ συνεχοῦς σκι-
ᾶς, καὶ συγκεχυμένης ὄψις. ἀλλ' οὐ φαύλως ὑπογράφων ὁ Ἀγησιάναξ εἴρηκε,

πᾶσα μὲν ἥδε πέριξ πυρὶ λάμπεται, ἐν δ' ἄρα μέσσῃ γλαυκότερον κυανοῖο φαείνε-
ται ἠΰτε κούρης ὄμμα καὶ ὑγρὰ μέτωπα· τὰ δ' ἐρεύθει αὐτὰ ἔοικεν, ὄντως γὰρ
ὑποδύεται περιόντα τοῖς λαμπροῖς τὰ σκιερὰ· καὶ πιέζει πάλιν ὑπ' αὐτῶν καὶ
ἀποκοπτόμενα. καὶ ὅλως περιπλέκεται δι' ἀλλήλων· καὶ πρὸς κλέαρ
χον τὴν δια
γραφὴν τοῦ σχήματος

χον ὦ Ἀριστότελες, οὐκ ἀπιθάνως ἐδόκει λέγεσθαι τὸν ὑμέτερον. ὑμέτερος γὰρ ἀνὴρ
ὁ Ἀριστοτέλους τοῦ παλαιοῦ γεγονὼς συνήθης· εἰ καὶ πολλὰ τοῦ περιπάτου πα-
ρέτρεψεν. ὑπολαβόντος δὲ τοῦ Ἀπολλωνιάδου τὸν λόγον· καὶ τίς ἦν ἡ δόξα τοῦ Κλεάρ-
χου διαπυθομένου παντὶ μᾶλλον ἔφην ἀγνοεῖν, ἤ σοι προσῆκόν ἐστι λόγον ὥσπερ ἀφ'
ἑστίας τῆς γεωμετρίας ὁρμώμενον. λέγει γὰρ ἀνὴρ εἰκόνας ἐσοπτρικὰς εἶναι
καὶ εἴδωλα τῆς μεγάλης θαλάσσης ἐμφαινόμενα τῇ σελήνῃ τὸ καλούμενον πρό-
σωπον, ἥ τε γὰρ ἶτυς ἀνακλωμένη πολλαχόθεν ἅπτεσθαι τῶν οὐ κατ' εὐθυωρί-
αν ἑρωμένων πέφυκεν, ἥ τε πανσέληνος αὐτὴ πάντων ἐσόπτρων ὁμαλότητι καὶ
στιλπνότητι κάλλιστόν ἐστι καὶ καθαρώτατον. ὥσπερ οὖν τὴν
ἶριν οἴεσθε ὑμεῖς ἀνακλωμένης ἐπὶ τὸν ἥλιον τῆς ὄψεως ἐνορᾶσθαι τῷ νέφει λαβόντι
νοτερὰν ἡσυχῇ λειότητα καὶ ξιν οὕτως ἐκεῖνος ἐνορᾶσθαι τῇ
σελήνῃ τὴν ἔξω θάλασσαν, οὐκ ἐφ' ἧς ἐστι χώρας, ἀλλ' ὅθεν ἡ κλάσις ἐποίησε
τὴν ὄψιν· τὴν ἐπαφὴν αὐτῆς καὶ τὴν ἀνταύγειαν, ὡς που πάλιν ὁ Ἀγησιάναξ εἴ-
ρηκεν,

ρηκεν, ἢ πόντου μέγα κῦμα κατ' ἀντία κυμαίνοντος, δείκελον ἰνδάλλοιτο πυριφλε-
γέθοντος ἐσόπτρου. πεισθεὶς οὖν ὁ Ἀπολλωνίδης, ὡς ἴδιον εἶπε καὶ καινὸν ὅλως τὸ
σκεύωρημα τῆς δόξης. τόλμαν δέ τινα καὶ μοῦσαν ἔχοντος ἀνδρὸς, ἀλλὰ πῇ τὸν
ἔλεγχον αὐτῷ προσῆγε. πρῶτον μὲν εἶπον, εἰ μία φύσις τῆς ἔξω θαλάσσης ἐστὶ
σύρρουν καὶ συνεχὲς πέλαγος, ἡ δὲ ἔμφασις οὐ μία τῶν ἐν τῇ σελήνῃ μελασμά-
των, ἀλλ' οἷον ἰσθμοὺς ἔχουσα τοῦ λαμπροῦ διαιροῦντος καὶ διορίζοντος τὸ σκι-
ερὸν, ὅθεν ἑκάστου τόπου χωρισθέντος, καὶ πέρας ἴδιον ἔχοντος, αἱ τῶν φωτει-
νῶν ἐπιβολαὶ τοῖς σκοτεινοῖς, ὕφους εἰκόνα καὶ βάθους λαμβάνουσαι τὰς περὶ
τὰ ὄμματα καὶ τὰ χείλη εἰκόνας φαινομένας ὁμοιότατα διετύπωσαν, ὥστε
ἢ πλείονας ἔξω θαλάσσας ὑποληπτέον ἰσθμοῖς τισὶ καὶ ἠπείροις ἀπολαμβανο-
μένας, ὅπερ ἐστὶν ἄτοπον καὶ ψεῦδος, ἢ μιᾶς οὔσης, οὐ πιθανὴν εἰκόνα διεσπα-
σμένην οὕτως ἐμφαίνεσθαι. ἐκεῖνο μὲν γὰρ ἐρωτᾶν ἀσφαλέστερόν ἐστιν, ἢ ἀποφαί-
νεσθαί σου παρόντος. εἰ τῆς οἰκουμένης εὖρος ἴσης καὶ μῆκος, ἐνδέχεται πᾶσαν
ὡσαύτως ἀπὸ τῆς σελήνης ὄψιν ἀνακλωμένην ἐπιθιγγάνειν τῆς θαλάσσης καὶ τοῖς
ἐν αὐτῇ μεγάλῃ θαλάττῃ πλέουσι νὴ Δία καὶ οἰκοῦσιν ὥσπερ Βρεττανοῖς. καὶ ταῦ-
τα μὴ δὲ τῆς γῆς ὡς ἔφατε πρὸς τὴν σφαῖραν τῆς σελήνης κέντρου λόγον ἐπεχού-
σης. τουτὶ μὲν οὖν ἔφην, σὸν ἔργον ἐπισκοπεῖν· τὴν δὲ πρὸς τὴν σελήνην ἢ τῆς ὄ-
ψεως κλάσιν, οὐκέτι σόν. οὐδὲ Ἱππάρχου καίτοι γε φίλε Πρίαμ ἀλλὰ
πολλοῖς οὐκ ἀρέσκει φυσιολογῶν περὶ τῆς ὄψεως αὐτὴν ὁμοιοπαθῆ κρᾶσιν ἴσχειν
καὶ σύμπηξιν εἰκός ἐστι μᾶλλον. ἢ πληγάς τινας καὶ ἀποπηδήσεις οἵας ἔπλαττε
τῶν ἀτόμων Ἐπίκουρος. οὐκ ἐθελήσει δὲ οἶμαι τὴν σελήνην ἐμβριθὲς ὑποθέσθαι
σῶμα καὶ στερεὸν ὑμῖν ὁ Κλέαρχος ἀλλὰ ἄστρον αἰθέριον καὶ φωσφόρον ὥς φατε·
τοιαύτῃ τὴν ὄψιν ἢ θραύσιν προσήκει καὶ ἀποστρέφειν. ὥστε οἴχεσθαι τὴν ἀνά-
κλασιν. εἰ δὲ προσδιεῖταί τις ἡμᾶς, χρησόμεθα πῶς μόνον πρόσωπόν ἐστιν· ἐν τῇ σε-
λήνῃ τὸ τῆς θαλάσσης ἔσοπτρον, ἄλλῳ δὲ οὐδενὶ τῶν τοιούτων ἀστέρων ἐνορᾶται·
καίτοι τό γε εἰκὸς ἀπαιτεῖ, πρὸς ἅπαντας ἢ πρὸς μηδένα τούτων πάσχειν τὴν
ὄψιν ἀλλ
πρὸς τὸν Λεύκιον ἐφ' ὧν ἀπο-
βλέψας ὃ πρῶτον ἐλέχθη τῶν ἡμετέρων ὑπόμνησον. καὶ ὁ Λεύκιος ἀλλὰ μὴ δό-
ξωμεν ἔφη κομιδῇ προπηλακίζειν τὸν Φαρνάκην οὕτω τὴν στωϊκὴν δόξαν ἀπρο-
σαύδητον ὑπερβαίνοντες, εἰπὲ δή τι πρὸς τὸν ἄνδρα πάντως ἀέρος μῖγμα καὶ
μαλακοῦ πυρὸς ὑποτιθέμενον τὴν σελήνην, εἶτα οἷον ἐν γαλήνῃ φρίκης ὑποτρε-
χούσης φάσκοντα τοῦ ἀέρος διαμελαίνοντος ἔμφασιν γίνεσθαι μορφοειδῆ
χρηστῶς γε εἶπον ὦ Λεύκιε τὴν ἀτοπίαν εὐφήμοις περιαμπέχεις ὀνό-
μασιν. οὐχ οὕτω δὲ ὁ ἑταῖρος ἡμῶν, ἀλλ' ὥσπερ ἀληθὲς ἦν ἔλεγεν, ὑπωπιάζειν αὐ-
τοὺς τὴν σελήνην. σπίλων καὶ μελασμῶν ἀναπιμπλάντας ὁμοῦ μὲν Ἄρτεμιν καὶ
Ἀθηνᾶν ἀνακαλοῦντας ὁμοῦ δὲ σύμμιγα καὶ φύραμα ποιοῦντας ἀέρος ζοφε-
ροῦ καὶ πυρὸς ἀνθρακώδους, οὐκ ἔχουσαν ἔξαψιν οὐδὲ αὐγὴν οἰκείαν ἀλλὰ δυ-
σκρινές τι σῶμα τυφόμενον ἀεὶ, καὶ πυρίκαυστον, ὥσπερ τῶν κεραυνῶν τοὺς ἀ-
λαμπεῖς, καὶ ψολόεντας ὑπὸ τῶν ποιητῶν προσαγορευομένους, ὅτι μέν τοι
πῦρ ἀνθρακῶδες οἷον οὗτοι τὸ τῆς σελήνης ποιοῦσιν, οὐκ ἔχει διαμονὴν, οὐδὲ σύ-
στασιν ὅλως. ἐὰν μὴ στερεᾶς ὕλης, καὶ στεγούσης ἅμα καὶ τρεφούσης ἐπιλά-
βηται, βέλτιον οἶμαι συνορᾶν ἐνίων φιλοσόφων τοὺς ἐν παιδιᾷ λέγον-
τας τὸν Ἥφαιστον εἰρῆσθαι χωλὸν, ὅτι τὸ πῦρ ξύλου χωρὶς, ὥσπερ οἱ χωλοὶ
βακτηρίας οὐ πρόεισιν. εἰ οὖν ἡ σελήνη πῦρ ἐστι, πόθεν αὐτῇ τοσοῦτος ἐγγέγονεν
ἀήρ; ὁ γὰρ ἄνω, καὶ κύκλῳ φερόμενος οὑτοσὶ τόπος, οὐκ ἀέρος, ἀλλὰ κρείττονος
οὐσίας, καὶ πάντα λεπτύνειν, καὶ συνεξάπτειν φύσιν ἐχούσης ἐστίν. εἰ δὲ γέγο-

τε πῶς, οὐκ οἴχεται μεταβάλλων εἰς ἕτερον εἶδος ὑπὸ τοῦ πυρὸς ἐξαιθερωθείς,
ἀλλὰ σῴζεται, καὶ συνοικεῖ πυρὶ τοσοῦτον χρόνον, ὥσπερ ἧλος ἀραρὼς τοῖς αὐτοῖς
ἀεὶ μέρεσι, καὶ συγγεγομφωμένος. ἀραιῷ μὲν γὰρ ὄντι, καὶ συγκεχυμένῳ μὴ μένειν,
ἀλλὰ σφάλλεσθαι προσήκει. συμπεπηγέναι δὲ οὐ δυνατὸν ἀναμεμιγμένον πυ-
ρί. καὶ μήτε ὑγροῦ μετέχοντα, μήτε γῆς. οἷς μόνοις ἀὴρ συμπήγνυσθαι πέφυκεν,
ἡ δὲ ῥύμη καὶ τὸν ἐν λίθοις ἀέρα, καὶ τὸν ἐν ψυχρῷ μολίβδῳ συνεκκαίει μή τι
γε δὴ τὸν ἐν πυρὶ δινούμενον μετὰ τάχους τοσούτου. καὶ γὰρ Ἐμπεδοκλεῖ δυσκολαί-
νουσι πάγον ἀέρος χαλαζώδη ποιοῦντι τὴν σελήνην, ὑπὸ τῆς τοῦ πυρὸς σφαί-
ρας περιεχόμενον, αὐτοὶ δὲ τὴν σελήνην σφαῖραν οὖσαν πυρός, ἀέρα φασὶν ἄλ-
λον ἄλλῃ διεσπασμένον περιέχειν καὶ ταῦτα μήτε ῥήξεις ἔχουσαν ἐν ἑαυτῇ, ἀλλὰ
μήτε βάθη, καὶ κοιλότητας, ἅπερ οἱ γεώδη ποιοῦντες ἀπολείπουσιν, ἀλλ' ἀ-
ἐπιπολῆς δηλονότι τῇ κυρτότητι ἐπικείμενον. τοῦτο δ' ἐστὶ καὶ πρὸς διαμονὴν ἄ-
λογον, καὶ πρὸς θέαν ἀδύνατον ἐν ταῖς πανσελήνοις. διορίζεσθαι γὰρ οὐκ ἔδει
μέλανα καὶ σκιερόν, ἀλλ' ἀμαυροῦσθαι κρυπτόμενον, ἢ συνεκλάμπειν ὑπὸ τοῦ ἡ-
λίου καταλαμβανομένης τῆς σελήνης. καὶ γὰρ παρ' ἡμῖν ὁ μὲν ἐν βάθεσι καὶ κοιλώμασι
τῆς γῆς, οὗ μὴ δίεισιν αὐγή, διαμένει σκιώδης καὶ ἀφώτιστος. ὁ δὲ ἔξωθεν τῇ
γῇ περικεχυμένος, φέγγος ἴσχει καὶ χρόαν αὐγοειδῆ. πρὸς πᾶσαν μὲν γάρ ἐστι ποι-
ότητα καὶ δύναμιν εὐκέραστος ὑπὸ μανότητος, μάλιστα δὲ φωτός, οὗ ἐπιψαύσῃ
μόνον, ὥς φατε καὶ θίγῃ, δι' ὅλου τρεπόμενος ἐκφωτίζεται, ταὐτὸ οὖν τοῦτο καὶ
τοῖς εἰς βάθη τινά, καὶ φάραγγας συνωθοῦσιν ἐν τῇ σελήνῃ τὸν ἀέρα, κἂν κα-
λῶς ἔοικε βοηθεῖν. ὑμᾶς τε διεξελέγχει τοὺς ἐξ ἀέρος, καὶ πυρὸς οὐκ οἶδα ὅπως
μιγνύντας αὐτῆς, καὶ συναρμόζοντας τὴν σφαῖραν. οὐ γὰρ οἷόν τε λείπεσθαι
σκιὰν αὐτόθι τῆς ἐπιφανείας. ὅταν ὁ ἥλιος ἐπιλάμπῃ τῷ φωτὶ πᾶν, ὁπόσον καὶ
ἡμεῖς ἀποτεμνόμεθα τῇ ὄψει τῆς σελήνης, καὶ ὁ Φαρνάκης ἔτι μου λέγοντος, τοῦτ'
ἐκεῖνο πάλιν εἶπεν ἐφ' ἡμᾶς ἀφῖκται τὸ περίακτον ἐκ τῆς Ἀκαδημίας, ἐν ᾧ πρὸς
ἑτέρους λέγειν διατρίβοντας, ἑκάστοτε μὴ παρέχειν ἔλεγχον ὧν αὐτοὶ λέγουσιν,
ἀλλ' ἀπολογουμένοις δεῖ χρῆσθαι μὴ κατηγοροῦσιν ἂν ἐντυγχάνωσιν, ἐμὲ δ' οὖν
οὐκ ἐξάξετε τήμερον εἰς τὸ διδόναι λόγον ὧν ἐπικαλεῖτε τοῖς Στωικοῖς, πρὶν εὐ-
θύνας λαβεῖν παρ' ὑμῶν, ἄνω τὰ κάτω τοῦ κόσμου ποιούντων. καὶ ὁ Λεύκιος γε-
λάσας μόνον, εἶπεν. ὦ τάν. μὴ κρίσιν ἡμῖν ἀσεβείας ἐπαγγείλῃς, ὥσπερ Ἀρί-
σταρχον ᾤετο δεῖν Κλεάνθης τὸν Σάμιον ἀσεβείας προσκαλεῖσθαι τοὺς Ἕλληνας,
ὡς κινοῦντα τοῦ κόσμου τὴν ἑστίαν, ὅτι φαινόμενα σῴζειν, ἁνὴρ ἐπειρᾶτο μένειν
τὸν οὐρανὸν ὑποτιθέμενος. ἐξελίττεσθαι δὲ κατὰ λοξοῦ κύκλου τὴν γῆν, ἅμα καὶ
περὶ τὸν αὑτῆς ἄξονα δινουμένην. ἡμεῖς μὲν οὖν οὐδὲν αὐτοὶ παρ' αὑτῶν λέγομεν.
οἱ δὲ γῆν ὑποτιθέμενοι τὴν σελήνην ὦ βέλτιστε, τί μᾶλλον ἡμῶν ἄνω τὰ κάτω
ποιοῦσι; τὴν γῆν ἱδρυόντων ἐνταῦθα μετέωρον ἐν τῷ ἀέρι. πολλῷ τινι μείζονα τῆς
σελήνης οὖσαν, ὡς ἐν τοῖς ἐκλειπτικοῖς πάθεσιν οἱ μαθηματικοί, καὶ ταῖς διὰ
τοῦ σκιάσματος παρόδοις τῆς ἐποχῆς τὸ μέγεθος ἀναμετροῦσιν. ἥ τε γὰρ σκιὰ τῆς
γῆς ἐλάττων ὑπὸ μείζονος τοῦ φωτίζοντος ἀνατείνει. καὶ τῆς σκιᾶς αὐτῆς λεπτὸν
ὄντα ἄνω καὶ στενόν, οὐδ' Ὅμηρον, ὥς φησιν, ἔλαθεν, ἀλλὰ τὴν νύκτα θοήν, ὀξύτη-
τι τῆς σκιᾶς προσηγόρευσεν, ὑπὸ τούτου δὲ ὅμως ἁλισκομένη ταῖς ἐκλείψεσιν ἡ
σελήνη τρισὶ μόλις τοῖς αὑτῆς μεγέθεσιν ἀπαλλάττεται. σκόπει δὴ πόσων ἡ γῆ
σεληνῶν ἐστιν, εἰ σκιὰν ἀφίησιν ἧς ἡ βραχυτάτη πλάτος τρισέληνον, ἀλλ' ὅμως ὑπὲρ
τῆς σελήνης μὴ πέσῃ δεδοίκατε, περὶ δὲ τῆς γῆς ἴσως Αἰσχύλος ὑμᾶς πέπεικεν
ὡς ὁ Ἄτλας ἕστηκε κίων οὐρανοῦ τε, καὶ χθονός, ὤμοις ἐρείδων ἄχθος οὐκ εὐάγκα-
λον. εἰ τῇ μὲν σελήνῃ κοῦφος ἀὴρ ὑποτρέχει, καὶ στερεὸν ὄγκον οὐκ ἐχέγγυος ἐνεγ-
κεῖν,

κεῖν, τὴν δὲ γῆν κατὰ Πίνδαρον ἀδαμαντοπέδιλοι κίονες περιέχουσι, καὶ διὰ τοῦ-
το Φαρνάκης αὐτὸς μὲν ἐν ἀδείᾳ τοῦ πεσεῖν τὴν γῆν ἐστιν, οἰκτείρει δὲ τοὺς ὑπο-
κειμένους τῇ μεταφορᾷ τῆς σελήνης Αἰθίοπας ἢ Ταπροβηνούς, μὴ βάρος αὐ-
τοῖς ἐμπέσῃ τοσοῦτον. καίτοι τῇ μὲν σελήνῃ βοήθεια πρὸς τὸ μὴ πεσεῖν, ἡ κίνησις
αὐτὴ καὶ τὸ ῥοιζῶδες τῆς περιαγωγῆς. ὥσπερ ὅσα ταῖς σφενδόναις ἐντεθέντα
τῆς καταφορᾶς κώλυσιν ἴσχει τὴν κύκλῳ περιδίνησιν, ἄγει γὰρ ἕκαστον ἡ κατὰ φύ-
σιν κίνησις, ἂν ὑπ' ἄλλου μηδενὸς ἀποστρέφηται. διὸ τὴν σελήνην οὐκ ἄγει τὸ βάρος
ὑπὸ τῆς περιφορᾶς τὴν ῥοπὴν ἐκκρουόμενον, ἀλλὰ μᾶλλον ἴσως λόγον εἶχε θαυ-
μάζειν, μένουσαν αὐτὴν παντάπασιν, ὥσπερ ἡ γῆ, καὶ ἄτρεπτον. νῦν δὲ σελήνη
μὲν ἔχει μεγάλην αἰτίαν τοῦ δεῦρο μὴ φέρεσθαι, τὴν δὲ γῆν ἑτέρας κινήσεως ἀμοι-
ροῦσαν, εἰκὸς ἦν μόνῳ τῷ βαρύνοντι κινεῖν. βαρυτέρα δέ ἐστι τῆς σελήνης, οὐχ
ὅσῳ μείζων, ἀλλ' ἔτι μᾶλλον, ἅτε δὴ διὰ θερμότητα, καὶ πύρωσιν ἐλαφρᾶς γε-
γενημένης, ὅλως δ' ἔοικεν ἐξ ὧν λέγεις ἡ σελήνη μᾶλλον εἰ πῦρ ἐστι, γῆς δεῖσθαι,
καὶ ὕλης, ἐν ᾗ βέβηκε, καὶ προσπέφυκε, καὶ συνέχει, καὶ ζωπυρεῖ τὴν δύνα-
μιν, οὐ γάρ ἐστι πῦρ χωρὶς ὕλης διανοηθῆναι σῳζόμενον. γῆν δέ φατε ὑμεῖς ἄνευ βά-
σεως, καὶ ῥίζης διαμένειν. πάνυ μὲν οὖν εἶπεν ὁ Φαρνάκης τὸν οἰκεῖον, καὶ κατὰ
φύσιν τόπον ἔχουσαν, ὥσπερ αὐτῇ τὸν μέσον. οὗτος γάρ ἐστι περὶ ὃν ἀντερείδει
πάντα τὰ βάρη ῥέποντα, καὶ φέρεται, καὶ συννεύει πανταχόθεν. ἡ δὲ ἄνω χώ-
ρα πᾶσα κἄν τι δέξηται γεῶδες ὑπὸ βίας ἀναρριφέν, εὐθὺς ἐκθλίβει δεῦρο.
μᾶλλον δ' ἀφίησιν ᾗ πέφυκεν οἰκείᾳ ῥοπῇ καταφερόμενον. πρὸς τοῦτο τῷ Λευ-
κίῳ χρόνον ἐγγενέσθαι βουλόμενος ἀναμιμνησκομένῳ, τὸν Θέωνα καλέσας, τίς ἔφην
ὦ Θέων εἴρηκε τῶν τραγικῶν, ὡς ἰατροὶ πικρὰν πικροῖς κλύζουσι φαρμάκοις χολήν;
ἀποκριναμένου δὲ τοῦ Θέωνος, ὅτι Σοφοκλῆς, καὶ δοτέον εἶπον ὑπ' ἀνάγκης ἐκείνοις.
φιλοσόφων δὲ οὐκ ἀκουστέον, ἂν τὰ παράδοξα παραδόξοις, ἀμύνεσθαι βούλων-
ται, καὶ μαχόμενοι πρὸς τὰ θαυμάσια τῶν δογμάτων, ἀτοπώτερα καὶ θαυμασιώ-
τερα πλάττωσιν. ὥσπερ οὗτοι τὴν ἐπὶ τὸ μέσον φορὰν εἰσάγουσιν. ἢ τί παράδο-
ξον οὐκ ἔνεστιν; οὐχὶ τὴν γῆν σφαῖραν εἶναι, τηλικαῦτα βάθη, καὶ ὕψη, καὶ ἀνω-
μαλίας ἔχουσαν, οὐκ ἀντίποδας οἰκεῖν, ὥσπερ θρῖπας, ἢ γαλεώτας τραπέντα
ἄνω τὰ κάτω τῇ γῇ προϊσχομένους. ἡμᾶς δ' αὐτοὺς μὴ πρὸς ὀρθὰς βεβηκότας, ἀλ-
λὰ πλαγίους ἐπιμένειν ἀπονεύοντας. ὥσπερ οἱ μεθύοντες, οὐ μύδρους χιλιοταλάν-
τους διὰ βάθους τῆς γῆς φερομένους. ὅταν ἐξίκωνται πρὸς τὸ μέσον ἵστασθαι
μηδενὸς ἀπαντῶντος, μηδὲ ὑπερείδοντος, εἰ δὲ ῥύμῃ κάτω φερομένου τὸ μέσον ὑ-
περβάλλοιεν αὖθις ὀπίσω στρέφεσθαι καὶ ἀνακάμπτειν ἀπ' αὐτῶν. οὐ τμήματα δο-
κῶν ἀποπρισθέντα τῆς γῆς ἑκατέρωθεν μὴ φέρεσθαι κάτω διαπαντός, ἀλλὰ
προσπίπτοντα πρὸς τὴν γῆν ἔξωθεν ἴσως διωθεῖσθαι καὶ ἀποκρύπτεσθαι περὶ τὸ
μέσον; οὐ ῥεῦμα λάβρον ὕδατος κάτω φερόμενον εἰ πρὸς τὸ μέσον ἔλθοι σημεῖον, ὅ-
περ αὐτοὶ λέγουσιν ἀσώματον, ἵστασθαι περικρεμάμενον κύκλῳ περὶ πόλον ἄ-
παυστον αἰώραν, καὶ ἀκατάπαυστον αἰωρούμενον, οὐδὲ γὰρ ψευδῶς ἔνια τούτων
βιάσαιτο ἄν τις αὑτὸν εἰς τὸ δυνατὸν τῇ ἐπινοίᾳ καταστῆσαι. τοῦτο γάρ ἐστι τὰ ἄνω,
κάτω καὶ πάντα τετραμμένα πάλιν εἶναι τῶν ἄχρι τοῦ μέσου κάτω. τῶν δὲ ὑπὸ τὸ
μέσον, αὖ πάλιν ἄνω γενομένων. ὥστε εἴ τις συμπαθείᾳ τῆς γῆς τὸ μέσον αὐτοῦ
ἔχων σταίη περὶ τὸν ὀμφαλὸν ἅμα, καὶ τὴν κεφαλὴν ἄνω, καὶ τοὺς πόδας ἄνω
ἔχειν τὸν αὐτόν, κἂν μὴ διασκάπτῃ τὸν ἐπέκεινα τόπον ἀνακύπτοι αὐτοῦ τὸ.
εἶναι καὶ κάτω ἄνωθεν ἕλκεσθαι τὸν ἀνασκαπτό-
μενον. εἰ δὲ δὴ τούτῳ τις ἀντιβεβηκὼς νοοῖτο τοὺς ἀμφοτέρων. ἅμα πόδας ἄνω γί-
νεσθαι καὶ λέγεσθαι. τοιούτων μέντοι καὶ τοσούτων παραδόξων λόγων οὐ μὰ Δία

πεῖραν, ἀλλὰ θαυματοποιοῦ τινος ἀφροσύνην καὶ πυλαίαν καταναπιστάμενοι, καὶ παρέλκοντες ἑτέρους φασὶ πελάζειν ἄνω τὴν σελήνην, γῆν οὖσαν, ἐνιδρύοντες οὐχ ὅπου τὸ μέσον ἐστὶ, καίτοι γε εἰ πᾶν σῶμα ἐμβριθὲς εἰς τὸ αὐτὸ συννεύει, καὶ πρὸς τὸ αὐτοῦ μέσον ἀντερείδει πᾶσι τοῖς μορίοις· οὐχ ὡς μέσον ὄντα τοῦ παντὸς ἡ γῆ μᾶλλον, ἢ ὡς ὅλον, οἰκειώσεται μέρη αὐτῆς ὄντα τὰ βαρή, καὶ τεκμήριον ἔσται τῶν ῥεπόντων· οὐ τῇ τῆς μεσότητος πρὸς τὸν κόσμον, ἀλλὰ πρὸς τὴν γῆν κοινωνίας πρὸς καὶ συμφυΐας τοῖς ἀπωσμένοις αὐτοῖς· εἶτα πάλιν καταφερομένοις· ὡς γὰρ ὁ ἥλιος εἰς ἑαυτὸν ἐπιστρέφει τὰ μέρη, ἐξ ὧν συνέστηκε, καὶ ἡ γῆ τὸν λίθον ὥσπερ

προσήκοντα δέχεται, καὶ φέρει πρὸς ἐκεῖνον· ὅθεν ἑνοῦται τῷ χρόνῳ συμφύεται πρὸς αὐτὴν τῶν τοιούτων ἕκαστον· εἰ δέ τι τυγχάνει σῶμα τῇ γῇ μὴ προσνενεμημένον ἀπ' ἀρχῆς, μηδὲ ἀπεσπασμένον, ἀλλὰ που καθ' αὑτὸ σύστασιν ἔχει ἰδίαν, καὶ φύσιν, ὡς φαῖεν ἂν ἐκεῖνοι τὴν σελήνην, τί κωλύει χωρὶς εἶναι, καὶ μένειν περὶ αὐτὸ, τοῖς αὐτοῦ πεπιεσμένον μέρεσι καὶ συμπεπεδημένον; οὔτε γὰρ ἡ γῆ μέσον οὖσα δείκνυται τοῦ παντὸς, ἥτε πρὸς τὴν γῆν, τῶν ἐνταῦθα συναίρεσις, καὶ σύστασις ὑφηγεῖται τὸν τρόπον, ᾧ μένειν τὰ ἐκεῖ συμπεσόντα πρὸς τὴν σελήνην εἰκός ἐστιν· ὁ δὲ πάντα τὰ γεώδη, καὶ βαρέα συνελαύνων εἰς μίαν χώραν, καὶ μέρη ποιῶν ἑνὸς σώματος, οὐχ ὁρῶ διατί τοῖς κούφοις τὴν αὐτὴν ἀνάγκην οὐκ ἀνταποδίδωσιν, ἀλλ' ἐᾷ χωρὶς εἶναι συστάσεις πυρὸς τοσαύτας, καὶ οὐ πάντας εἰς ταὐτὸ συνάγων τοὺς ἀστέρας σαφῶς οἴεται δεῖν, καὶ σῶμα κοινὸν εἶναι τῶν ἀναφορῶν, τῶν ἄνω καὶ φλογοειδῶν ἁπάντων. ἀλλ' ἥλιον μὲν ἀπέχειν τῆς ἄνω περιφορᾶς μυριάδας ἀπλέτους, καὶ στίλβοντα, φατὲ εἶπεν ὦ φίλε Ἀπολλωνίδη, καὶ φωσφόρον ἐπ' αὐτῷ, καὶ πρὸς ἀνέβοντα, καὶ τοὺς ἄλλους πλανήτας, ὑφειμένους τε τῶν ἀπλανῶν, καὶ πρὸς οὐδεμίαν οἰκειοῖς ἐν διαστάσεσι μεγάλαις φέρεσθαι· τοῖς δὲ βαθέσι, καὶ γεώδεσιν οὐδεμίαν οἴεσθε τὸν κόσμον εὐρυχωρίαν παρέχειν ἐν ἑαυτῷ, καὶ διάστασιν, ὁρᾶτε ὅτι γελοῖόν ἐστιν, εἰ γῆν οὐ φήσομεν εἶναι τὴν σελήνην· ὅτι τῆς κάτω χώρας ἀφέστηκεν· ἄστρον δὲ φήσομεν ὁρῶντες ἀπωσμένην τῆς ἄνω περιφορᾶς μυριάσι σταδίων τοσαύταις, ὅσον ὥσπερ βυθόν τινα καταδεδυκυῖαν τῶν μέν γε ἄστρων κατωτέρω τοσοῦτόν ἐστιν, ὅσον οὐκ ἄν τις εἴποι μεῖζον, ἀλλ' ἐπιλείπουσιν ἡμᾶς τοὺς μαθηματικοὺς ἐκλογιζομένους οἱ ἀριθμοί· τῆς δὲ γῆς τρόπον τινὰ ψαύει καὶ περιφερομένη πλησίον ἅρματος ὡς ἄκρον ἴχνος ἀνελίσσεται φησὶν Ἐμπεδοκλῆς ἥτε περὶ ἄκραν.

οὐδὲ γὰρ τὴν σκιὰν αὐτῆς ὑπερβάλλει πολλάκις ἐπὶ μικρὸν αἰρομένη τῷ παμμέγεθες εἶναι τὸ φωτίζον, ἀλλ' οὕτως ἔοικεν ἐν χρῷ, καὶ σχεδὸν ἐν ἀγκάλαις τῆς γῆς περιπολεῖν, ὥστε ἀντιφράττεσθαι πρὸς τὸν ἥλιον ὑπ' αὐτῆς, μὴ ὑπεραίρουσα τὸν σκιερὸν, καὶ χθόνιον καὶ νυχθέριον τοῦτον τόπον, ὃς γῆς κλῆρός ἐστι· διὸ λεκτέον οἶμαι θαρροῦντας ἐν τοῖς τῆς γῆς ὅροις εἶναι σελήνην ὑπὸ τῶν ἄκρων αὐτῆς ἐπιπροσθουμένην· σκόπει δὲ τοὺς ἄλλους ἀφεὶς ἀπλανεῖς, καὶ πλανήτας, ἃ δείκνυσι Ἀρίσταρχος ἐν τῷ περὶ μεγεθῶν, καὶ ἀποστημάτων, ὅτι τὸ τοῦ ἡλίου ἀπόστημα τοῦ ἀποστήματος τῆς σελήνης, ὃ ἀφέστηκεν ἡμῶν πλέον μὲν ἢ ὀκτωκαιδεκαπλάσιον ἔλαττον δὲ ἢ εἰκοσαπλάσιόν ἐστι. καίτοι ὁ τὴν σελήνην ἐπιμήκιστον αἴρων, ἀπέχει φησὶν ἡμῶν ἓξ καὶ πεντηκονταπλάσιον, τῆς ἐκ τοῦ κέντρου τῆς γῆς· αὕτη δ' ἐστὶ τεσσάρων μυριάδων, καὶ κατὰ τοὺς μέσως ἀναμετροῦντας, καὶ ἀπὸ ταύτης συλλογιζομένους ἀπέχει ὁ ἥλιος τῆς σελήνης πλέον ἢ τετρακισχιλίας τετρακοντα μυριάδας· οὕτως ἀπῴκισται τοῦ ἡλίου διὰ βάρος, καὶ τοσοῦτο τῇ γῇ προσκεχώρηκεν· ὥστε εἰ τόποις τὰς οὐσίας διαιρετέον, ἡ γῆς μοῖρα καὶ ὥρα προσκαλεῖται σελήνην, καὶ τοῖς περὶ γῆν πράγμασι, καὶ σώμασιν

ἐπισπωμένοις .l.

που .l.

ἄνω φορῶν .l.

ἑωσφόρον .l.

βαρέσι .l.

τόπον .l.

μασιν ἐπίδικός ἐστι κατὰ ἀγχιστείαν, καὶ γειτνίασιν, καὶ οὐδὲν οἶμαι πλημμελοῦμεν, ὅτι τοῖς ἄνω προσαγορευομένοις βάθος τοσοῦτον καὶ διάστημα διδόντες ἀπολειπόμενά τινα καὶ τῷ κάτω περιδρομὴν καὶ πλάτος, ὅσον ἐστὶν ἀπὸ γῆς ἐπὶ σελήνην. οὔτε γὰρ ὁ τὴν ἄκραν ἐπιφάνειαν τοῦ οὐρανοῦ μόνην ἄνω τἄλλα δὲ κάτω προσαγορεύων ἅπαντα μέτριός ἐστιν· οὔτε ὁ τῇ γῇ μᾶλλον δὲ ὁ τῷ μέσῳ τὸ κάτω περιγράφων ἀνεκτὸς ἀλλὰ καὶ κινητικὸ ταύτῃ διάστημα τὸ δὲ ἐνεπιχωροῦντος τοῦ κόσμου διὰ μέγεθος. πρὸς δὲ τὸν ἀξιοῦντα πᾶν εὐθὺς ἄνω, καὶ μετέωρον εἶναι τὸ ἀπὸ τῆς γῆς· ἕτερος αὖ τήχει πάλιν· εὐθὺς εἶναι κάτω τὸ ἀπὸ τῆς ἀπλανοῦς περιφορᾶς· ὅλως δὲ πῶς λέγεται, καὶ τίνος ἡ γῆ μέση κεῖται. τὸ γὰρ πᾶν ἄπειρόν ἐστι· τῷ δὲ ἀπείρῳ μήτε ἀρχὴν ἔχοντι, μήτε πέρας, οὐ προσήκει μέσον ἔχειν. πέρας γάρ τι καὶ τὸ μέσον· ἡ δὲ ἀπειρία, περάτων στέρησις· ὁ δὲ μὴ τοῦ παντὸς ἀλλὰ τοῦ κόσμου μέσην εἶναι τὴν γῆν ἀποφαινόμενος ἡδύς ἐστιν, εἰ μὴ καὶ τὸν κόσμον αὐτὸν ἐνέχεσθαι ταῖς αὐταῖς ἀπορίαις νομίζει. τὸ γὰρ πᾶν, οὐδὲ τούτῳ μέσην ἀπέλιπεν. ἀλλ' ἀνέστιος, καὶ ἀνίδρυτός ἐστιν ἐν ἀπείρῳ κενῷ φερόμενος πρὸς οὐδὲν οἰκεῖον, εἰ ἄλλην τινά· τοῦ μένειν αἰτίαν εὑράμενος ἕστηκεν· οὐ κατὰ τὴν τοῦ τόπου φύσιν ὅμοια, καὶ περὶ σελήνης εἰκάζειν τινὶ πάρεστιν· ὡς ἑτέρᾳ τινὶ ψυχῇ καὶ φύσει μᾶλλον.

διαφορᾷ· τῆς μὲν ἀτρεμούσης ἐνταῦθα· τῆς δὲ καὶ φερομένης· ἄνω δὲ τούτων ὅρα μὴ, μέγα τι λέληθεν αὐτούς· εἰ γὰρ ὁποσονοῦν καὶ ὅτι ἂν· ἐκτὸς γένηται τοῦ κέντρου τῆς γῆς ἄνω ἐστὶν, οὐθὲν ἔστι τοῦ κόσμου κάτω μέρος· ἀλλ' ἄνω καὶ ἡ γῆ καὶ τὰ ἐπὶ γῆς, καὶ πᾶν ἁπλῶς σῶμα τὸ κέντρῳ περιεστηκὸς ἢ περικείμενον ἄνω γίνεται κάτω δὲ μόνον ἓν ἐν, τὸ ἀσώματον σημεῖον ἐκεῖνο, ὃ πρὸς πᾶσαν ἀντικεῖσθαι τὴν τοῦ κόσμου φύσιν ἀναγκαῖον· εἴ γε δὴ τὸ κάτω πρὸς τὸ ἄνω κατὰ φύσιν ἀντίκειται, καὶ οὐ τοῦτο μόνον τὸ ἄτοπον, ἀλλὰ καὶ τὴν αἰτίαν ἀπόλλυσι τὰ βαρή, δι' ἣν δεῦρο καταρρέπει καὶ φέρεται· σῶμα μὲν γὰρ οὐθέν ἐστι κάτω πρὸς ὃ κινεῖται· τὸ δὲ ἀσώματον οὔτε εἰκὸς, οὔτε βούλονται τοσαύτην ἔχειν δύναμιν· ὥστε πάντα κατατείνειν ἐφ' ἑαυτὸ, καὶ περὶ αὐτὸ συνέχειν· ἀλλ' ὅμως ἄλογον εὑρίσκεται καὶ μαχόμενον τοῖς πράγμασι· τὸ ἄνω τὸν κόσμον ὅλον εἶναι. τὸ δὲ κάτω μηθὲν, ἀλλ' ἢ πέρας ἀσώματον καὶ ἀδιάστατον· ἐκεῖνο δὲ εὔλογον, ὡς λέγομεν ἡμεῖς, τῷ τε ἄνω χώραν, καὶ τῷ κάτω πολλὴν καὶ πλάτος ἔχουσαν διῃρῆσθαι οἱ μὴν ἀλλὰ θέντες εἰ βούλει παρὰ φύσιν ἐν οὐρανῷ τοῖς γεώδεσι τὰς κινήσεις, ὑπάρχειν ἀτρέμα μὴ τραγικῶς, ἀλλὰ πράως σκοπῶμεν, ὅτι τοῦτο τὴν σελήνην οὐ δείκνυσι· γῆν μὴ οὖσαν, ἀλλὰ γῆν ὅπου μὴ πέφυκεν οὖσαν· ἐπεὶ καὶ τὸ πῦρ τὸ αἰτναῖον ὑπὸ γῆν παρὰ φύσιν ἐστὶν, ἀλλὰ πῦρ ἐστι· καὶ τὸ πνεῦμα τοῖς ἀσκοῖς περιληφθὲν, ἔστι μὲν ἀνωφερὲς φύσει καὶ κοῦφον, ἥκει δὲ ὅπου μὴ πέφυκεν ὑπ' ἀνάγκης· αὐτὴ δὲ ἡ ψυχὴ πρὸς Διὸς εἶπεν οὐ παρὰ φύσιν τῷ σώματι συνεῖρκται βραδεῖ ταχεῖα καὶ ψυχρῷ πυρώδης ὥσπερ ὑμεῖς φατὲ· καὶ ἀόρατος αἰσθητῷ διὰ τοῦτο οὖν σώματι ψυχὴν μὴ λέγομεν εἶναι μηδὲν, ὃ χρῆμα, θεῖον ὑπὸ βρίθοσ ἢ πάχυος· οὐρανόν τε πάντα καὶ γῆν καὶ θάλασσαν ἐν ταὐτῷ περιπολοῦντα, καὶ διιστάμενον εἰς σάρκας ἥκειν καὶ νεῦρα καὶ μυελοὺς καὶ παθέων μυρίων μετὰ ὑγρότητος. ὁ δὲ Ζεὺς ἡμῖν οὗτος, ὃ τῇ μὲν αὐτοῦ φύσει, χρώμενος ἕν ἐστι μέγα πῦρ καὶ συνεχὲς, νυνὶ δὲ ὑφεῖται, καὶ κέκαμπται, καὶ διεσχημάτισται πᾶν χρῶμα γεγονὼς, καὶ γινόμενος ἐν ταῖς μεταβολαῖς. ὥστε ὅρα καὶ σκόπει δαιμόνιε μὴ μεθιστὰς καὶ ἀπάγων ἕκαστον ὅπου πέφυκεν εἶναι, διάλυσίν τινα κόσμου φιλοσοφῇς καὶ τὸ νεῖκος ἐπάγῃς τὸ Ἐμπεδοκλέους τοῖς πράγμασι. μᾶλλον δὲ τοὺς παλαιοὺς κινῇς Τιτᾶνας ἐπὶ τὴν φύσιν, καὶ γίγαντας καὶ τὴν μυθικὴν ἐκείνην καὶ φοβερὰν

ἀπῆσαν .l.

κέντρῳ .l.

πάλιν .l.

τούτῳ .l.

χρῆμα .l.

ἀκοσμίαν καὶ πλημμέλειαν ἐπιλεῖν πονῆς, χωρὶς τὸ βαρὺ πᾶν καὶ χωρὶς τὸ κοῦφον, ἔνθ' οὔτ' ἠελίοιο διείδεται ἀγλαὸν εἶδος οὐδὲ μὲν αἴης λάσιον γένος, οὐδὲ θάλασσα, ὥς φησιν Ἐμπεδοκλῆς, οὐ γῆ θερμότητος μετεῖχεν, οὐχ ὕδωρ πνεύματος, οὐκ ἄνω τι τῶν βαρέων, οὐ κάτω τι τῶν κούφων, ἀλλ' ἄκρατοι καὶ ἄστοργοι, καὶ μονάδες αἱ τῶν ὅλων ἀρχαί, μὴ προσιέμεναι σύγκρισιν ἑτέρου πρὸς ἕτερον μηδὲ κοινωνίαν, ἀλλὰ φεύγουσαι καὶ ἀποστρεφόμεναι καὶ φερόμεναι φορὰς ἰδίας καὶ αὐθάδεις. οὕτως εἶχεν ὡς ἔχει πᾶν, οὗ θεὸς ἄπεστι κατὰ Πλάτωνα, τουτέστιν, ὡς ἔχει τὰ σώματα νοῦ καὶ ψυχῆς ἀπολιπούσης, ἄχρις οὗ τὸ ἱμερτὸν ἧκεν ἐπὶ τὴν φύσιν ἀπρονοίας, φιλότητος ἐγγενομένης, καὶ Ἀφροδίτης, καὶ Ἔρωτος, ὡς Ἐμπεδοκλῆς λέγει καὶ Παρμενίδης, καὶ Ἡσίοδος, ἵνα καὶ τόπους ἀμείψαντα, καὶ δυνάμεις ἀπ' ἀλλήλων μεταλαβόντα, καὶ τὰ μὲν κινήσεως, τὰ δὲ μονῆς ἀνάγκαις ἐνδεθέντα καὶ καταβιασθέντα πρὸς τὸ βέλτιον, ὅθεν οὐ πέφυκεν ἐνδοῦναι, καὶ μεταστῆναι.

ἁρμονίαν καὶ κοινωνίαν ἀπεργάσηται. εἰ μὲν γὰρ οὐδ' ἄλλο τι τῶν τοῦ κόσμου μορίων παρὰ φύσιν ἔσχεν, ἀλλ' ἕκαστον ᾗ πέφυκε κεῖται, μηδὲ μιᾶς μεθιδρύσεως, μηδὲ μετακοσμήσεως δεόμενον, μηδ' ἐν ἀρχῇ δεηθέν, ἀπορῶ τί τῆς προνοίας ἔργον ἐστίν, ἢ τίνος γέγονε ποιητὴς καὶ πατὴρ δημιουργὸς ὁ ἀριστοτέχνας. οὐ γὰρ ἐν στρατοπέδῳ τακτικῶν ὄφελος, εἴπερ εἰδείη τῶν στρατιωτῶν ἕκαστος ἀφ' ἑαυτοῦ, τάξιν δὲ καὶ χώραν καὶ καιρὸν οὗ δεῖ λαβεῖν, καὶ διαφυλάττειν. οὐδὲ κηπουρῶν, οὐδ' οἰκοδόμων, εἰ πῆ μὲν αὐτὸ τὸ ὕδωρ, ἀφ' αὑτοῦ πέφυκεν ἐπεισιέναι τοῖς δεομένοις καὶ κατάρδειν ἐπιρρέον, πῆ δὲ πλίνθοι καὶ ξύλα καὶ λίθοι ταῖς κατὰ φύσιν χρώμενα ῥοπαῖς καὶ νεύσεσιν ἐξ ἑαυτῶν καταλαμβάνειν τὴν προσήκουσαν ἁρμονίαν καὶ χώραν. εἰ δ' οὗτος μὲν ἄντικρυς ἀναιρεῖ τὴν πρόνοιαν ὁ λόγος, τῷ θεῷ δ' ἡ τάξις τῶν ὄντων προσήκει καὶ διαίρεσις, τί θαυμαστὸν οὕτω τετάχθαι καὶ διηρμόσθαι τὴν φύσιν, ὡς ἐνταῦθα μὲν πῦρ, ἐκεῖ δ' ἄστρα, καὶ πάλιν ἐνταῦθα μὲν γῆν, ἄνω δὲ σελήνην ἱδρῦσθαι, βεβαιοτέρῳ τοῦ κατὰ φύσιν, τῷ κατὰ λόγον δεσμωτηρίῳ ληφθεῖσαν. ὡς εἴ γε πάντα δεῖ ταῖς κατὰ φύσιν ῥοπαῖς χρῆσθαι, καὶ φέρεσθαι καθὸ πέφυκε, μήθ' ἥλιος κυκλοφορείσθω, μήτε φωσφόρος, μηδὲ τῶν ἄλλων ἀστέρων μηδείς· ἄνω γὰρ οὐ κύκλῳ τὰ κοῦφα καὶ πυροειδῆ κινεῖσθαι πέφυκεν. εἰ δὲ τοιαύτην ἐξαλλαγὴν ἡ φύσις ἔχει παρὰ τόπον, ὥστε ἐνταῦθα μὲν ἄνω φέρεσθαι φαινόμενον τὸ πῦρ, ὅταν δ' εἰς τὸν οὐρανὸν παραγένηται, τῇ δίνῃ συμπεριφέρεσθαι, τί θαυμαστὸν εἰ καὶ τοῖς βαρέσι καὶ κάτω νεύουσι γενομένοις συμβέβηκεν ὡσαύτως εἰς ἄλλο κινήσεως εἶδος ὑπὸ τοῦ περιέχοντος ἐκνενικῆσθαι; οὐ γὰρ δὴ τῶν μὲν ἐλαφρῶν τὴν ἄνω φορὰν ἀφαιρεῖσθαι τὸν οὐρανὸν κατὰ φύσιν ἐστί, τῶν δὲ βαρέων καὶ κάτω ῥεπόντων οὐ δύναται κρατεῖν, ἀλλ' ἀπό τε ἐκείνων δυνάμει καὶ ταῦτα μετακοσμήσας ἐχρήσατο τῇ φύσει αὐτῶν ἐπὶ τὸ βέλτιον. οὐ μήν, ἀλλ' εἴ γε δεῖ τὰς καταδεδουλωμένας ἕξεις δόξας ἀφέντας ἤδη τὸ φαινόμενον ἀδεῶς λέγειν, οὐδὲν ἔοικεν ὅλου μέρος αὐτὸ καθ' ἑαυτὸ τάξιν, ἢ θέσιν, ἢ κίνησιν ἰδίαν ἔχειν, ἣν ἄν τις ἁπλῶς κατὰ φύσιν προσαγορεύσειεν. ἀλλ' ὅταν ἕκαστον οὗ χάριν γέγονε, καὶ πρὸς ὃ πέφυκεν, ἢ πεποίηται, τούτῳ παρέχῃ χρησίμως, καὶ οἰκείως κινούμενον ἑαυτῷ καὶ πάσχον, ἢ ποιοῦν, ἢ διακείμενον, ὡς ἐκείνῳ πρὸς σωτηρίαν, ἢ κάλλος, ἢ δύναμιν ἐπιτήδειόν ἐστι, τότε δοκεῖ τὴν κατὰ φύσιν χώραν ἔχειν, καὶ κίνησιν καὶ διάθεσιν. ὁ γοῦν ἄνθρωπος, ὡς ἔστι μάλιστα τῶν ὄντων ἕτερον κατὰ φύσιν γεγονώς, ἄνω μὲν ἔχει τὰ ἐμβριθῆ καὶ γεώδη μάλιστα περὶ τὴν κεφαλήν, ἐν δὲ τοῖς μέσοις τὰ θερμὰ καὶ πυρώδη. τῶν δ' ὀδόντων οἱ μὲν ἄνωθεν, οἱ δὲ κάτωθεν ἐμφύονται, καὶ οὐδέτεροι παρὰ φύσιν ἔχουσιν, οὐδὲ τοῦ

πυρὸς τὸ μὲν ἄνω περὶ τὰ ὄμματα ἀποστίλβον κατὰ φύσιν ἐστί, τὸ δ' ἐν κοιλίᾳ καὶ καρδίᾳ παρὰ φύσιν, ἀλλ' ἕκαστον οἰκείως καὶ χρησίμως τέτακται. ναὶ μὴν κηρύκων τε λιθορρίνων, χελωνῶν τε καὶ παντὸς ὀστρέου φύσιν, ὥς φησιν ὁ Ἐμπεδοκλῆς καταμανθάνων, ἔνθ' ὄψει χθόνα χρωτὸς ὑπέρτατα ναιετάουσαν. καὶ οὐ πιέζει τὸ λιθῶδες, οὐδὲ καταθλίβει τὴν ἕξιν ἐπικείμενον, οὐδέ γε πάλιν τὸ θερμὸν ὑπὸ κουφότητος εἰς τὴν ἄνω χώραν ἀποπτάμενον οἴχεται. μέμικται δέ πως πρὸς ἄλληλα καὶ συντέτακται κατὰ τὴν ἑκάστου φύσιν, εἰκὸς ἔχειν καὶ τὸν κόσμον. εἴ γε ζῷόν ἐστι, πολλαχοῦ γῆν ἔχοντα, πολλαχοῦ δὲ πῦρ καὶ ὕδωρ, καὶ πνεῦμα, οὐχ ὑπ' ἀνάγκης ἀποτεθλιμμένον, ἀλλὰ λόγῳ διακεκοσμημένον. οὐδὲ γὰρ ὀφθαλμὸς ἐνταῦθα τοῦ σώματός ἐστιν ὑπὸ κουφότητος ἐκπιεσθείς, οὐδ' ἡ καρδία τῷ βάρει ὀλισθοῦσα πέπτωκεν εἰς τὸ στῆθος, ἀλλ' ὅτι βέλτιον ἦν οὕτως ἑκάτερον τετάχθαι. μὴ τοίνυν μήτε τῶν τοῦ κόσμου μερῶν νομίζωμεν, μήτε γῆν ἐνταῦθα κεῖσθαι συμπεσοῦσαν διὰ βάρος, μήτε τὸν ἥλιον ὡς ᾤετο Μητρόδωρος ὁ Χῖος εἰς τὴν ἄνω χώραν ἀσκοῦ δίκην ὑπὸ κουφότητος ἐκτεθλῖφθαι, μήτε τοὺς ἄλλους ἀστέρας ὥσπερ ἐν ζυγοσταθμοῦ διαφορᾷ ῥέψαντας, ἐν οἷς εἰσι γεγονέναι τόποις. ἀλλὰ τοῦ κατὰ λόγον κρατοῦντος, οἱ μὲν ὥσπερ ὄμματα φωσφόρα τῷ προσώπῳ τοῦ παντὸς ἐνδεδεμένοι περιπολοῦσιν. ἥλιος δὲ καρδίας ἔχων δύναμιν, ὥσπερ αἷμα καὶ πνεῦμα διαπέμπει, καὶ διασκεδάννυσιν ἐξ ἑαυτοῦ θερμότητος καὶ φῶς. γῇ δὲ καὶ θαλάσσῃ χρῆται κατὰ φύσιν ὁ κόσμος, ὅσα κοιλίᾳ καὶ κύστει ζῷον. σελήνη δὲ ἡλίου μεταξὺ καὶ γῆς, ὥσπερ καρδίας καὶ κοιλίας ἧπαρ, ἤ τι μαλθακὸν ἄλλο σπλάγχνον ἐγκειμένη, τήν τε ἄνωθεν ἀλέαν ἐνταῦθα διαπέμπει, καὶ τὰς ἐντεῦθεν ἀναθυμιάσεις, πέψει τινὶ καὶ καθάρσει λεπτύνουσα περὶ ἑαυτὴν ἀναδίδωσιν. εἰ δὲ καὶ πρὸς ἄλλα τὸ γεῶδες αὐτῆς, καὶ στέριμνον ἔχει τινὰ πρόσφορον χρείαν, ἄδηλον ἡμῖν. ἐν παντὶ δὲ κρατείτω τὸ βέλτιον τοῦ κατηναγκασμένου. τί γὰρ οὕτω λάβωμεν ἐξ ἐκείνων λεγομένων τὸ εἰκός; λέγουσι γὰρ τοῦ αἰθέρος τὸ μὲν αὐγοειδὲς καὶ λεπτὸν ὑπὸ μανότητος οὐρανὸν γεγονέναι, τὸ δὲ πυκνωθὲν καὶ συνειληθὲν ἄστρα· τούτων δὲ τὸ νωθρότατον εἶναι τὴν σελήνην καὶ θολερώτατον. ἀλλ' ὅμως ὁρᾶν πάρεστιν οὐκ ἀποκεκριμμένην τοῦ αἰθέρος τὴν σελήνην, ἀλλ' ἔτι πολλῷ μὲν τῷ περὶ αὐτὴν ἐμφερομένην, πολλὴν δ' ὑφ' ἑαυτὴν ἐλαύνουσαν ἀνέμων καὶ κομήτας. οὕτως οὐ ταῖς ῥοπαῖς συνεσήκωται κατὰ βάρος καὶ κουφότητα τῶν σωμάτων ἕκαστον, ἀλλ' ἑτέρῳ λόγῳ κεκόσμηται. λεχθέντων δὲ τούτων, καὶ μου τῷ Λευκίῳ τὸν λόγον παραδιδόντος, ἤδη τὰς ἀποδείξεις βαδίζοντος τοῦ δόγματος, Ἀριστοτέλης μειδιάσας, μαρτύρομαι εἶπεν, ὅτι τὴν πᾶσαν ἀντιλογίαν πεποίησαι πρὸς τοὺς αὐτὴν μὲν ἡμίπυρον εἶναι τὴν σελήνην ὑποτιθεμένους, κοινῇ δὲ τῶν σωμάτων, τὰ μὲν ἄνω, τὰ δὲ κάτω ῥέπειν ἐξ ἑαυτῶν φάσκοντας. εἰ δ' ἔστι τις ὁ λέγων κύκλῳ τε κινεῖσθαι κατὰ φύσιν τὰ ἄστρα καὶ πολὺ παρηλλαγμένης οὐσίας εἶναι τῶν τεττάρων, οὐδ' ἀπὸ τύχης ἦλθεν ἐπὶ μνήμην ἡμῖν, ὥστ' ἐμέ γε πραγμάτων ἀπηλλάχθαι. καὶ ὁ Λεύκιος, ὦ ἀγαθέ εἶπεν, ἀλλὰ τὰ μὲν ἄλλα ἴσως ἄστρα, καὶ τὸν ὅλον οὐρανὸν εἰς τινα φύσιν καθαρὰν καὶ εἰλικρινῆ, καὶ τῆς κατὰ πάθος ἀπηλλαγμένην μεταβολῆς τιθεμένοις ὑμῖν, καὶ κύκλον ἄγουσι δι' ὃ καὶ ἀτελευτήτου περιφορᾶς, οὐκ ἄν τις ἔν γε τῷ νῦν διαμάχοιτο, καίτοι μυρίων οὐσῶν ἀποριῶν. ὅταν δὲ καταβαίνων ὁ λόγος οὕτω θίγῃ τῆς σελήνης, οὐκέτι φυλάττει τὴν ἀπάθειαν ἐν αὐτῇ, καὶ τὸ κάλλος ἐκείνου τοῦ σώματος. ἀλλ' ἵνα τὰς ἄλλας ἀνωμαλίας καὶ διαφορὰς ἀφῶμεν, αὐτὸ τοῦτο τὸ διαφαινό-

ἐκ προνοίας λ.

συμπεριφέρεσθαι

στερέμνιον λ.

μενον πρόσωπον, πάθει τινὶ τῆς οὐσίας, ἢ ἀναμίξει πως ἑτέρας ἐπιγιγνό-
πάσχει δέ τι καὶ τὸ μιγνύμενον· ἀποβάλλει γὰρ τὸ εἰλικρινές· βίᾳ τοῦ χείρονος
ἀναπιμπλάμενον. αὐτῆς δὲ νωθείαν καὶ τάχους ἀμβλύτητα, καὶ τὸ θερμὸν ἀ-
διαφανὲς καὶ ἀμαυρὸν, καὶ κατὰ τὸν Ἴωνα μέλας οὐ πεπαίνεται βότρυς· εἰς τί θή-
σόμεθα πλὴν ἀσθένειαν αὐτοῦ, εἰ πάθος ἀϊδίῳ σώματι, καὶ ὀλυμπίῳ μέτεστιν; ὅλως
γὰρ ὦ φίλε Ἀριστότελες γῆ μὲν οὖσα πάγκαλόν τι χρῆμα καὶ σεμνὸν ἀναφαίνε-
ται, καὶ κεκοσμημένον, ὡς δὲ ἄστρον, ἢ φῶς, ἤ τι σῶμα θεῖον, καὶ οὐράνιον· δέδια
μὴ ἄμορφος ᾖ ἀπρεπὴς, καὶ καταισχύνουσα τὴν καλὴν ἐπωνυμίαν· εἴ γε τῶν
ἐν οὐρανῷ τοσούτων τὸ πλῆθος ὄντων μόνη φωτὸς ἀλλοτρίου δεομένη περίεισι κατὰ
Παρμενίδην· ἀεὶ παπταίνουσα πρὸς αὐγὰς ἠελίοιο· ὁ μὲν οὖν ἑταῖρος ἐν τῇ
διατριβῇ· τοῦτο δὴ τὸ ἀναξαγόρειον ἀποδεικνὺς· ὡς ἥλιος ἐντίθησι τῇ σελήνῃ τὸ
λαμπρὸν ηὐδοκίμησεν· ἐγὼ δὲ ταῦτα μὲν οὐκ ἐρῶ ἃ παρ᾽ ὑμῶν ἢ μεθ᾽ ὑμῶν ἔμαθον·
ἔχων δὲ πρὸς τὰ λοιπὰ βαδιοῦμαι· φωτίζεσθαι τοίνυν τὴν σελήνην, οὐχ ὡς ὕελ-
λον ἢ κρύσταλλον ἐλλάμψει καὶ διαφαύσει τοῦ ἡλίου πιθανόν ἐστιν· οὔτ᾽ αὖ κατὰ
σύλλαμψίν τινα καὶ συναυγασμὸν ὥσπερ αἱ δᾷδες αὐξομένου τοῦ φωτὸς, οὕτω
γὰρ οὐδὲν ἧττον ἐν νουμηνίαις, ἢ διχομηνίαις ἔσται πανσέληνος ἡμῖν, εἰ μὴ στέγει,
μηδὲ ἀντιφράττει τὸν ἥλιον, ἀλλὰ διίησιν ὑπὸ μανότητος, ἢ κατὰ σύγκρα-
σιν εἰσλάμπει καὶ συνεξάπτει περὶ αὐτὴν τὸ φῶς. οὐ γάρ ἐστιν ἐκκλίσεις οὐδὲ
ἀποστροφὰς αὐτῆς· ὥσπερ ὅταν ᾖ διχότομος, καὶ ἀμφίκυρτος ἢ μηνοειδὴς αἰ-
τιᾶσθαι περὶ τὴν σύνοδον· ἀλλὰ κατὰ στάθμην φησὶ Δημόκριτος ἱσταμένη τοῦ
φωτίζοντος ὑπολαμβάνει καὶ δέχεται τὸν ἥλιον· ὥστε αὐτήν τε φαίνεσθαι καὶ
διαφαίνειν ἐκεῖνον εἰκὸς ἦν· ἡ δὲ πολλοῦ δεῖ τοῦτο ποιεῖν· αὐτή τε γὰρ ἄδηλός ἐστι
τηνικαῦτα· κἀκεῖνον ἀπέκρυψε καὶ ἠφάνισε πολλάκις, ἀπεσκέδασε δέ οἱ αὐγὰς
ὥσπερ φησὶν Ἐμπεδοκλῆς ἔστε αἶαν καθύπερθεν, ἀπεσκνίφωσε δὲ γαίης τόσσον,
ὅσσον τ᾽ εὖρος ἔπλετο γλαυκώπιδος μήνης· καθάπερ εἰς νύκτα καὶ σκότος, οὐκ
εἰς ἄστρον ἕτερον——— τοῦ φωτὸς ἐμπεσόντος· ὃ δὲ λέγει Ποσειδώνιος ὡς
ὑπὸ βάθους τῆς σελήνης οὐ περαιοῦται δι᾽ αὐτῆς τὸ τοῦ ἡλίου φῶς πρὸς ἡμᾶς·
ἐλέγχεται καταφανῶς· ὁ γὰρ ἀὴρ ἄπλετος ὢν, καὶ βάθος ἔχων πολλαπλάσιον
τῆς σελήνης· ὅλως ἐξηλιοῦται καὶ καταλάμπεται ταῖς αὐγαῖς· ἀπολείπεται
τοίνυν τὸ τοῦ Ἐμπεδοκλέους, ἀνακλάσει τινὶ τοῦ ἡλίου πρὸς τὴν σελήνην γίνεσθαι
τὸν ἐνταῦθα φωτισμὸν ἀπ᾽ αὐτῆς, ὅθεν οὐδὲ θερμὸν οὐδὲ λαμπρὸν ἀφικνεῖται
πρὸς ἡμᾶς ὥσπερ ἦν εἰκὸς ἐξάψεως καὶ μίξεως φώτων γεγενημένοις·
ἀλλ᾽ οἷον αἵ τε φωναὶ κατὰ τὰς ἀνακλάσεις ἀμαυροτέραν ἀναφαίνουσι τὴν ἠχὼ
τοῦ φθέγματος, αἵ τε πληγαὶ τῶν ἀφαλλομένων βελῶν μαλακώτεραι προσ-
πίπτουσιν· ὡς αὐτῇ τύψασα σεληναίοις κύκλον εὐρὺν, ἀσθενῆ καὶ ἀμυδρὰν ἀνάρ-
ροιαν ἴσχει πρὸς ἡμᾶς διὰ τὴν κλάσιν ἐκλυομένοις τῆς δυνάμεως· ὑπολαβὼν δὲ
ὁ Σύλλας· ἀμέλει ταῦτα εἶπεν ἔχει τινὰς πιθανότητας, ὃ δὲ ἰσχυρότατόν ἐστι τῶν
ἀντιπιπτόντων πότερον ἔτυχέ τινος παραμυθίας, ἢ παρῆλθεν ἡμῶν τὸν ἑταῖ-
ρον· τί τοῦτο λέγεις ἔφη ὁ Λούκιος, ἢ τὸ πρὸς τὴν διχότομον ἀπορούμενον; πάνυ
μὲν οὖν ὁ Σύλλας εἶπεν ἔχει γάρ τινα λόγον τὸ πάσης ἐν ἴσαις γωνίαις γινομέ-
νης ἀνακλάσεως· ὅταν ἡ σελήνη διχοτομοῦσα μεσουρανῇ, μὴ φέρεσθαι τὸ φῶς
ἐπὶ γῆς ἀπ᾽ αὐτῆς, ἀλλὰ ὀλισθαίνειν ἐπέκεινα τῆς γῆς, ὁ γὰρ ἥλιος ἐπὶ τοῦ ὁρίζον-
τος ὢν, ἅπτεται τῇ ἀκτῖνι τῆς σελήνης· διὸ καὶ κλασθεῖσα πρὸς ἴσα, ἐπὶ θάτε-
ρον ἐκπεσεῖται πέρας, καὶ οὐκ ἀφήσει δεῦρο τὴν αὐγὴν, ἢ διαστροφὴ μεγάλη
καὶ παράλλαξις ἔσται τῆς γωνίας· ὅπερ ἀδύνατόν ἐστιν, ἀλλὰ νὴ Δία εἶπεν ὁ Λού-
κιος, καὶ τοῦτο ἐρρήθη, καὶ πρός γε Μενέλαον ἀποβλέψας ἐν τῷ διαλέγεσθαι

τὸν μαθηματικόν· αἰσχύνομαι μὲν ἔφη σοῦ παρόντος ὦ φίλε Μενέλαε, θέσιν ἀναι-
ρεῖν μαθηματικὴν, ὥσπερ θεμέλιον τῆς κατοπτρικῆς ὑποκειμένην πράγμασιν,
ἀνάγκη δὲ εἰπεῖν ὅτι τὸ πρὸς τὰς ἴσας γίνεσθαι γωνίας ἀνάκλασιν πᾶσαν, οὔτε
φαινόμενον αὐτόθεν, οὔτε ὁμολογούμενόν ἐστιν· ἀλλὰ διαβάλλεται μὲν ἐπὶ τῶν
κυρτῶν κατόπτρων, ὅταν ἐμφάσεις ποιῇ μείζονας ἑαυτῶν πρὸς ἓν τὸ τῆς ὄψεως
σημεῖον· διαβάλλεται δὲ τοῖς διπτύχοις κατόπτροις, ὧν ἐπικλιθέντων πρὸς
ἄλληλα καὶ γωνίας ἐντὸς γενομένοις ἑκάτερον τῶν ἐπιπέδων διττὴν ἔμφασιν
ἀποδίδωσι· καὶ ποιεῖ τέτταρας εἰκόνας ἀφ᾽ ἑνὸς προσώπου δύο μὲν ἀντιστρόφους
τοῖς ἔξωθεν, ἀριστεροῖς μέρεσι, δεξιοφανεῖς ἀμαυρὰς ἐν βάθει τῶν κατόπτρων· ὅ-
ταν ἐμφάσεις ποιῇ μείζονας ἑαυτῶν πρὸς ἓν τὸ τῆς ὄψεως σημεῖον· διαβάλλεται
δὲ
ὧν τῆς γενέσεως τὴν αἰτίαν Πλάτων ἀποδίδωσιν· εἴ-
ρηκε γάρ· ὅτι τοῦ κατόπτρου ἔνθεν καὶ ἔνθεν ὕψος λαβόντος ὑπαλλάττουσιν αἱ
ὄψεις τὴν ἀνάκλασιν, ἀπὸ τῶν ἑτέρων ἐπὶ θάτερα μεταπίπτουσαν, εἴπερ οὖν τῶν
ὄψεων εὐθὺς πρὸς ἡμᾶς ἀναστρέφουσιν· αἱ δὲ, ἐπὶ θάτερα μέ-
ρη τῶν κατόπτρων ὀλισθαίνουσαι, πάλιν ἐκεῖθεν ἀναφέρονται πρὸς ἡμᾶς· οὐ δυ-
νατόν ἐστιν ἐν ἴσαις γωνίαις γίνεσθαι πάσας ἀνακλάσεις, ὅσας ὁμόσε χωροῦντες,
ἀξιοῦσιν αὐτοῖς τοῖς ἀπὸ τῆς σελήνης ἐπὶ γῆν φερομένοις ῥεύμασι τὴν ἰσότητα
τῶν γωνιῶν ἀναιρεῖν πολλῷ τοῦτο ἐκείνου πιθανώτερον εἶναι νομίζοντες· οὐ μὴν,
ἀλλὰ εἰ δεῖ τοῦτο χαρίζεσθαι τῇ πολλὰ δὴ φίλῃ γεωμετρίᾳ, καὶ δοῦναι πρῶτον
μὲν ἀπὸ τῶν ἠκριβωμένων ταῖς λειότησι συμπίπτειν ἐσόπτρων εἰκός ἐστιν, ἡ δὲ σε-
λήνη πολλὰς ἀνωμαλίας ἔχει, καὶ τραχύτητας, ὥστε τὰς αὐγὰς ἀπὸ σώμα-
τος μεγάλου προσφερομένας ὕψεσι ἀξιολόγοις, ἀντιλάμψεις καὶ διαδόσεις ἀ-
π᾽ ἀλλήλων λαμβάνουσιν ἀνακλᾶσθαί τε παντοδαπῶς, καὶ περιπλέκεσθαι· καὶ
συνάπτειν αὐτὴν ἑαυτῇ τὴν ἀνταύγειαν· οἷον ἀπὸ πολλῶν φερομένην πρὸς ἡμᾶς
κατόπτρων. ἔπειτα κἂν πρὸς αὐτῇ τῇ σελήνῃ τὰς ἀνακλάσεις ἐν ἴσαις γωνίαις
ποιῶμεν, οὐκ ἀδύνατον φερομένας ἐν διαστήματι τοσούτῳ τὰς αὐγὰς, κλάσεις
ἴσχειν καὶ περιολισθήσεις· ὡς συγχεῖσθαι καὶ λάμπειν τὸ φῶς· ἔνιοι δὲ καὶ δει-
κνύουσι γράφοντες· ὅτι πολλὰ τῶν φώτων ἐπὶ γῆν ἀφίησι κατὰ γραμμὴν ὑπὸ
τὴν κεκλιμένην ὑποταθείσης· σκευωρεῖσθαι δὲ ἅμα λέγοντι διάγραμμα καὶ ταῦτα
πρὸς πολλοὺς οὐκ ἐνῆν· τὸ δ᾽ ὅλον ἔφη θαυμάζω πῶς τὴν διχότομον ἐφ᾽ ἡμᾶς κι-
νοῦσι ἐμπίπτουσαν μετὰ τῆς ἀμφικύρτου καὶ τῆς μηνοειδοῦς· εἰ γὰρ αἰθέριον ὄγκον
ἢ πύρινον ὄντα τὸν τῆς σελήνης ἐφώτιζεν ὁ ἥλιος, οὐκ ἂν ἀπέλειπεν αὐτῇ σκι-
ερὸν ἀεὶ, καὶ ἀλαμπὲς ἡμισφαίριον πρὸς αἴσθησιν. ἀλλ᾽ εἰ καὶ κατὰ μικρὸν ἔψαυε,
περιιὼν πολλὴν ἀναπίμπλασθαι· καὶ δι᾽ ὅλης τρέπεσθαι τῷ φωτὶ πανταχόσε
χωροῦντι δι᾽ εὐπετείας ἦν προσῆκον ὅπου γὰρ οἶνος ὕδατος θιγὼν κατὰ πέρας
καὶ σταγὼν αἵματος εἰς ὑγρὸν ἐμπεσόντος ἀνέχρωσε πᾶν αἷμα
φοινιχθέν· αὐτὸν δὲ τὸν ἀέρα λέγουσιν, οὐκ ἀπορροίαις τισὶν, οὐδὲ ἀκτῖσι με-
μιγμέναις, ἀλλὰ τροπῇ, καὶ μεταβολῇ, κατανύξει ἀπὸ τοῦ φωτὸς ἐξηλλοιοῦσθαι
πῶς ἄστρον ἄστρου· καὶ φῶς φωτὸς ἁψάμενον οἴονται μὴ κεράννυσθαι· μὴ δὲ σύγ-
χυσιν ποιεῖν δι᾽ ὅλου καὶ μεταβολήν· ἀλλ᾽ ἐκεῖνα φωτίζειν μόνον, ὧν ἅπτεται
κατὰ τὴν ἐπιφάνειαν· ὃν γὰρ ὁ ἥλιος περιιὼν κύκλον ἄγει καὶ περιστρέφει πρὸς
τὴν σελήνην, νῦν μὲν ἐπιπίπτοντα τῷ διορίζοντι τὸ ὁρατὸν αὐτῆς καὶ τὸ ἀόρα-
τον· νῦν δὲ ἀνιστάμενον πρὸς ὀρθὰς ὥστε τέμνειν ἐκεῖνον ὑπ᾽ ἐκείνου τὸ τέμνεσθαι
ἄλλας κλίσεσι καὶ σχέσεσι τοῦ λαμπροῦ πρὸς τὸ σκιερὸν, ἀμφικύρτους καὶ μηνοει-
δεῖς· ἀποδιδόντα μορφὰς ἐν αὐτῇ, παντὸς μᾶλλον ἐπιδεικνύουσιν· οὐ σύγκρα-
σιν ἀλλ᾽ ἐπαφὴν οὐδὲ σύλλαμψιν, ἀλλὰ περίλαμψιν αὐτῆς ὄντα τὸν φωτισμόν.

ἐπεὶ δὲ οὐκ αὐτὴ φωτίζεται μόνον ἀλλὰ καὶ δεῦρο τῆς αὐγῆς ἀναπέμπει τὸ εἴ-
δωλον· ἔτι καὶ μᾶλλον ἰσχυρίσασθαι τῷ λόγῳ περὶ τῆς οὐσίας δίδωσιας δί-
δωσιν· αἱ γὰρ ἀνακλάσεις γίνονται πρὸς οὐδὲν ἀραιὸν, οὐδὲ λεπτομερὲς, οὐ-
δέ ἐστι φῶς ἀπὸ φωτὸς, ἢ πῦρ ἀπὸ πυρὸς ἀφαλλόμενον, ἢ νοῆσαι ῥάδιον· ἀλλὰ δεῖ
τὸ ποιῆσον ἀντιτυπίαν τινὰ καὶ κλάσιν, ἐμβριθὲς εἶναι καὶ πυκνόν· ἵνα πρὸς
αὐτὸ πληγὴ, καὶ ἀπ' αὐτοῦ φορὰ γένηται· τὸν γοῦν αὐτὸν ἥλιον ὁ μὲν ἀὴρ δίη-
σιν, οὐ παρέχων ἀνακοπὰς οὐδὲ ἀντερείδων· ἀπὸ δὲ ξύλων καὶ λίθων καὶ ἱμα-
τίων εἰς φῶς τιθεμένων, πολλὰς ἀντιλάμψεις καὶ περιλάμψεις ἀποδίδωσιν.
οὕτω δὲ καὶ τὴν γῆν ὁρῶμεν ὑπ' αὐτοῦ φωτιζομένην· οὐ γὰρ εἰς βάθος ὥσπερ ὕ-
δωρ· οὐδὲ δι' ὅλης ὥσπερ ἀὴρ δίησι τὴν αὐγὴν, ἀλλ' οἷος τὴν σελήνην περιέχει
κύκλος αὐτοῦ· καὶ ἴσον ὑποτέμνεται μέρος ἐκείνης. τοιοῦτος ἕτερος περίεισι τὴν
γῆν· καὶ τοσοῦτο φωτίζων ἀεὶ καὶ ἀπολείπων ἕτερον ἀφώτιστον· ἡμισφαιρίου
γὰρ ὀλίγῳ δοκεῖ μεῖζον τὸ περιλαμπόμενον ἑκατέρας· δότε δή μοι γεωμετρι-
κῶς εἰπεῖν πρὸς ἀναλογίαν ὡς εἰ τριῶν ὄντων, οἷς τὸ ἀφ' ἡλίου φῶς πλησιάζει·
γῆς, σελήνης, ἀέρος, ὁρῶμεν· οὐχ ὡς ὁ ἀὴρ μᾶλλον, ἢ ὡς ἡ γῆ φωτιζομένην τὴν σε-
λήνην, ἀνάγκη φύσιν ἔχειν ὁμοίαν, ἃ τὰ αὐτὰ πάσχειν ὑπὸ τοῦ αὐτοῦ πέφυκε.
ἐπεὶ δὲ πάντες ἐπῄνεσαν τὸν Λεύκιον, εὖγε ἔφην, ὅτι καλῷ λόγῳ καλὴν ἀναλο-
γίαν προσέθηκας, οὐ γὰρ ἀποστερητέον σε τῶν ἰδίων, κἀκεῖνος ἐπιμειδιάσας, οὐκ-
οῦν ἔφη καὶ δεύτερον ἀναλογίᾳ προσχρηστέον· ὅπως μὴ τὰ αὐτὰ πάσχειν ὑπὸ
τοῦ αὐτοῦ μόνον, ἀλλὰ καὶ τὰ αὐτὰ ποιεῖν ταυτὸν, ἀποδείξωμεν τῇ γῇ τὴν σε-
λήνην προσεοικυῖαν, ὅτι μὲν γὰρ οὐδὲν οὕτως τῶν περὶ τὸν ἥλιον γινομένων ὅμοι-
όν ἐστιν, ὡς ἔκλειψις ἡλίου δύσει· δότε μοι· ταύτης ἔναγχος τῆς συνόδου μνη-
σθέντες, ἣ πολλὰ μὲν ἄστρα πολλαχόθεν τοῦ οὐρανοῦ διέφηνεν εὐθὺς ἐκ μεσημβρί-
ας ἀρξαμένη, κρᾶσιν δὲ οἵαν τὸ λυκαυγὲς τῷ ἀέρι παρέχων, εἰ δὲ μὴ Θέων ἡμῖν
οὗτος τὸν Μίμναμον ἐπάξει καὶ τὸν Κυδίαν, καὶ τὸν Ἀρχίλοχον· πρὸς δὲ τούτοις
τὸν Στησίχορον, καὶ τὸν Πίνδαρον ἐν ταῖς ἐκλείψεσιν ὀλοφυρομένους τὸν φανερώ-
τατον κλεπτόμενον, καὶ μέσῳ ἅμα τὴν νύκτα γινόμενον· καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου
σκότους ἀτραπὸν φάσκοντας· ἐπὶ πᾶσι δὲ τὸν Ὅμηρον, νυ-
κτὶ καὶ ζόφῳ τὰ πρόσωπα κατέχεσθαι τῶν ἀνθρώπων λέγοντα· καὶ τὸν ἥλιον ἐξα-
πολωλέναι τοῦ οὐρανοῦ περὶ τὴν σελήνην καὶ ἐστὶ γί-
νεσθαι πέφυκε τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δὲ ἱσταμένου· τὰ λοιπὰ δὲ οἶμαι ταῖς
μαθηματικαῖς ἀκριβείαις εἰς τὸν ἐξῆχθαι καὶ βέβαιον ὡς ἡ γε
νὺξ ἐστι σκιὰ γῆς, ἡ δὲ ἔκλειψις τοῦ ἡλίου σκιὰ σελήνης, ὅταν ἡ ὄψις ἐν ἑαυτῇ γέ-
νηται, δυόμενος γὰρ ὑπὸ τῆς γῆς ἀντιφράττεται πρὸς τὴν ὄψιν· ἐκλιπὼν δὲ
ὑπὸ τῆς σελήνης, ἀμφότεραι δέ εἰσιν ἐπισκοτήσεις· ἀλλ' ἡ μὲν δυτικὴ, τῆς γῆς,
ἡ δὲ ἐκλειπτικὴ τῆς σελήνης τῇ σκιᾷ καταλαμβανούσῃ τὴν ὄψιν· ἐκ δὲ τούτων εὐ-
θεώρητον τὸ γινόμενον· εἰ γοῦν ὅμοιον τὸ πάθος, ὅμοια τὰ ποιοῦντα· τῷ γὰρ αὐ-
τῷ τὰ αὐτὰ συμβαίνειν ὑπὸ τῶν αὐτῶν ἀναγκαῖόν ἐστιν· εἰ δὲ οὐχ οὕτω τὸ περὶ
τὰς ἐκλείψεις σκότος βύθιόν ἐστιν, οὐδὲ ὁμοίως τῇ νυκτὶ πιέζει τὸν ἀέρα μὴ θαυ-
μάζωμεν, οὐσία μὲν γοῦν ἡ αὐτὴ τοῦ τὴν νύκτα ποιοῦντος, καὶ τοῦ τὴν ἔκλειψιν σώμα-
τος· μέγεθος δὲ οὐκ ἴσον, ἀλλ' Αἰγυπτίους μὲν ἑβδομηκοστόδυον οἶμαι φάναι μό-
ριον εἶναι τὴν σελήνην, Ἀναξαγόραν δὲ ὅση Πελοπόννησος, Ἀρίσταρχος δὲ τὴν διάμε-
τρον τῆς σελήνης λόγον ἔχουσαν ἀποδείκνυσιν, ὃς ἐλάττων μὲν ἢ ἑξήκοντα· πρὸς
δὲ καὶ ἐννέα, μείζων δέ πως ἐκ τῶν ἑκατὸν πρὸς τεσσαράκοντα τρία ἐστὶν, ὅθεν ἡ μὲν
γῆ παντάπασι τῆς ὄψεως τὸν ἥλιον ἀφαιρεῖται διὰ μέγεθος, μεγάλη γὰρ ἡ
ἐπιπρόσθησις καὶ χρόνον ἔχουσα τὸν τῆς νυκτὸς, ἡ δὲ σελήνη κἂν ὅλον ποτὲ κρύψῃ τὸν

ἥλιον, οὐκ ἔχει χρόνον οὐδὲ πλάτος ἡ ἔκλειψις, ἀλλὰ περιφαίνεταί τις αὐγὴ
περὶ τὴν ἴτυν, οὐκ ἐῶσα βαθεῖαν γενέσθαι τὴν σκιὰν, καὶ ἄκρατον· Ἀριστοτέλης
δὲ ὁ παλαιὸς αἰτίαν τοῦ πλεονάκις τὴν σελήνην ἐκλείπουσαν ἢ τὸν ἥλιον καθο-
ρᾶσθαι, πρὸς ἄλλαις τισὶ καὶ ταύτην ἀποδίδωσιν· ἥλιον γὰρ ἐκλείπειν σελήνης
ἀντιφράξει· σελήνην δὲ, ὁ δὲ
Ποσειδώνιος ὁρισάμενος οὕτως τὸ δὲ τὸ πάθος ἔκλειψίς ἐστιν ἡλίου σύνοδος σκιᾶς
σελήνης, ἧς τὴν ἔκλειψιν, ἐκείνης γὰρ μόνοις ἔκ-
λειψίς ἐστιν, ὧν ἂν ἡ σκιὰ τῆς σελήνης καταλαβοῦσα τὴν ὄψιν ἀντιφράξαι πρὸς
τὸν ἥλιον, ὁμολογῶν δὲ σκιὰν τῆς σελήνης φέρεσθαι πρὸς ἡμᾶς, οὐκ οἶδα ὅ, τι
λέγειν ἑαυτῷ καταλέλοιπεν· ἄστρου δὲ σκιὰν ἀδύνατον γενέσθαι· τὸ γὰρ ἀφώ-
τιστον σκιὰ λέγεται· τὸ δὲ φῶς οὐ ποιεῖ σκιὰν, ἀλλ' ἀναιρεῖν πέφυκεν· ἀλλὰ τί δὴ ἔφη
μετὰ τοῦτο τῶν τεκμηρίων ἐλέχθη; κἀγὼ τὴν αὐτὴν ἔφην ἐλάμβανεν ἡ σελήνη ἔκ-
λειψιν, ὀρθῶς εἶπεν ὑπέμνησας, ἀλλὰ δὴ πότερον ὡς πεπεισμένων ὑμῶν καὶ τιθέν-
των ἐκλείπειν τὴν σελήνην ὑπὸ τοῦ σκιάσματος ἁλισκομένην ἤδη τρέπωμαι πρὸς
τὸν λόγον, ἢ βούλεσθε, μελέτην ποιήσωμεν ἀπόδειξιν ὑμῖν τῶν ἐπιχειρημάτων ἕ-
καστον ἀπαριθμήσας; νὴ Δία, εἶπεν ὁ Θέων, τούτοις ἐμμελέτησον· ἐγὼ δὲ πειθοῦς
τινος δέομαι, ταύτῃ μόνον ἀκηκοὼς ὡς εἴωθε μίαν μὲν εὐθεῖαν τῶν τριῶν σωμάτων
γινομένων, γῆς, καὶ ἡλίου, καὶ σελήνης αἱ ἐκλείψεις συντυγχάνουσιν· ἡ γὰρ γῆ
τῆς σελήνης, ἢ πάλιν ἡ σελήνη τῆς γῆς ἀφαιρεῖται τὸν ἥλιον· ἐκλείπει γὰρ οὗτος
μὲν σελήνης, σελήνη δὲ γῆς ἐν μέσῳ τῶν τριῶν ἱσταμένης, ὧν γίνεται, τὸ μὲν ἐν συνόδῳ, τὸ
δὲ ἐν διχοτομίᾳ, καὶ ὁ Λεύκιος ἔφη· σχεδὸν μέντοι τῶν λεγομένων κυριώτατα ταῦτ'
ἐστι, πρόλαβε δὲ πρῶτον εἰ βούλει τὸν ἀπὸ τοῦ σχήματος τῆς σκιᾶς λόγον· ἔστι γὰρ
κῶνος, ἅτε καὶ μεγάλου πυρὸς ἢ φωτὸς σφαιροειδοῦς ἐλάττονα· σφαιροειδῆ δὲ
περιβάλλοντος ὄγκον· ὅθεν ἐν ταῖς ἐκλείψεσι τῆς σελήνης αἱ περιγραφαὶ τῶν
μελαινομένων πρὸς τὰ λαμπρὰ τὰς ἀποτομὰς περιφερεῖς ἴσχουσιν, αἱ γὰρ ἀν-
στρογγύλου πρὸς μίξαν, ἢ δέξηται τομὰς ἡ παράχη πανταχόσε χωροῦσαι, δι' ὁμοιό-
τητα γίνονται κυκλοτερεῖς· δεύτερον οἶμαί σε γινώσκειν, ὅτι σελήνης μὲν ἐκλείπει
πρῶτα μέρη τὰ πρὸς ἀπηλιώτην, ἡλίου δὲ τὰ πρὸς δύσιν· κινεῖται δὲ ἡ μὲν σκιὰ
τῆς γῆς ἕωθεν τὴν ἑσπέραν ἀπὸ τῶν ἀνατολῶν, ἥλιος δὲ καὶ σελήνη τοὐναντίον, ἐπὶ
τὰς ἀνατολάς· ταῦτα γὰρ ἰδεῖν τε παρέχει τῇ αἰσθήσει τὰ φαινόμενα κἀκ λόγων
οὐ πάνυ τι μακρῶν μαθεῖν ἐστι, ἐκ δὲ τούτων ἡ αἰτία βεβαιοῦται τῆς ἐκλείψεως, ἐπεὶ
γοῦν ἥλιος μὲν ἐκλείπει καταλαμβανόμενος, σελήνη δὲ ἀπαντῶσα τῷ ποιοῦντι
τὴν ἔκλειψιν εἰκότως, μᾶλλον δὲ ἀναγκαίως· τὸ μὲν, ὄπισθεν ἁλίσκεται πρῶτον ἡ
δὲ ἔμπροσθεν, ἄρχεται γοῦν ἐκεῖθεν ἡ ἐπιπρόσθησις· ὅθεν πρῶτον μὲν ἐπιβάλλει
τὸ ἐπιπροσθοῦν· ἐπιβάλλει δὲ ἐκείνῳ μὲν ἀφ' ἑσπέρας ἡ σελήνη πρὸς αὐτὸν ἀ-
μιλλωμένη· ταύτῃ δὲ ἀπὸ τῶν ἀνατολῶν ὡς πρὸς τοὐναντίον ὑποφερομένη· τρί-
τον τοίνυν ἔτι τοῦ χρόνου καὶ τὸ τοῦ μεγέθους τῶν ἐκλείψεων αὐτῆς, ὑψηλὴ
μὲν ἐκλείπουσα καὶ ἀπόγειος ὀλίγον ἀπολείπεται χρόνον, πρόσγειος δὲ καὶ
ταπεινὴ αὐτὸ τοῦτο παθοῦσα, σφόδρα πιέζεται, καὶ βραδέως ἐκ τῆς σκιᾶς
ἄπεισι, καίτοι ταπεινὴ μὲν οὖσα, τοῖς μεγίστοις χρῆται κινήμασιν, ὑψηλὴ δὲ τοῖς
ἐλαχίστοις· ἀλλὰ τὸ αἴτιον ἐν τῇ σκιᾷ τῆς διαφορᾶς ἐστιν· εὐρυτάτη γὰρ οὖσα περὶ
τὴν βάσιν, ὥσπερ οἱ κῶνοι, συστελλομένη τε κατὰ μικρὸν εἰς ὀξὺ τῇ κορυφῇ, καὶ
λεπτὸν ἀπολήγει πέρας· ὅθεν ἡ σελήνη ταπεινὴ μὲν ἐμπεσοῦσα, τοῖς μεγίστοις
λαμβάνεται κύκλοις ὑπ' αὐτῆς, καὶ διαπερᾷ τὸ βύθιον, καὶ σκοτωδέστατον.
ἄνω δὲ οἷον ἐν τενάγει διὰ λεπτότητα τοῦ σκιεροῦ χρανθεῖσα, ταχέως ἀπαλλάττε-
ται. παρίημι δὲ ὅσα χωρὶς ἰδίους· ὁρῶμεν γὰρ, ὅτι πῦρ ἐκ τόπου σκιεροῦ διαφαίνε-

ἤτε .l.

ται καὶ διαλάμπει μᾶλλον εὐθὺ ταχύτητι τοῦ σκοτώδους ἀέρος. οὐ διὰ χειμερίου
τὰς ἀπορρύσεις καὶ διαχύσεις. ἀλλὰ συνέχοντος ἐν ταυτῷ τὴν οὐσίαν καὶ σφίγ-
γοντος. εἴτε τῆς αἰσθήσεως τοῦτο πάθος ἐστίν. ὡς τὰ θερμὰ παρὰ τὰ ψυχρὰ θερ-
μότερα, καὶ τὰς ἡδονὰς παρὰ τοὺς πόνους σφοδροτέρας, οὕτω τὰ λαμπρὰ φαί-
νεσθαι παρὰ τὰ σκοτεινὰ φαιδρά, τοῖς διαφόροις πάθεσιν ἀντεπιτείνοντα τὴν
φαντασίαν. ἔοικε δὲ πιθανώτερον εἶναι τὸ πρότερον, ἐν γὰρ ἡλίῳ πᾶσα πυρὸς
φύσις, οὐ μόνον τὸ λαμπρὸν ἀπόλλυσιν, ἀλλὰ τῷ εἴκειν γίνεται δύσεργος καὶ ἀμβλυ-
τέρα, σκίδνησι γὰρ ἡ θερμότης καὶ διαχέει τὴν δύναμιν. εἴπερ οὖν ἡ σελήνη πυ-
ρὸς εἴληχε βληχροῦ καὶ ἀσθενοῦς. ἄστρον οὖσα θολερώτερον, ὥσπερ αὐτοί λέγουσιν, οὐ-
δὲν ὧν πάσχουσα φαίνεται νῦν, ἀλλὰ τἀναντία πάντα πάσχειν αὐτὴν προ-
σῆκόν ἐστι. φαίνεσθαι μὲν ὅτε κρύπτεται. κρύπτεσθαι δὲ ἡνίκα φαίνεται, τουτέστι κρύπτε-
σθαι μὲν τὸν ἄλλον χρόνον ὑπὸ τοῦ περιέχοντος αἰθέρος ἀμαυρουμένην, ἐκλάμ-
πειν δὲ καὶ γίνεσθαι καταφανῆ δι᾽ ἓξ μηνῶν, καὶ πάλιν διὰ πέντε τῇ σκιᾷ τῆς γῆς
ὑποδυομένην, αἱ γὰρ πέντε καὶ ἑξήκοντα καὶ τετρακόσιαι περίοδοι τῶν ἐκλειπτι-
κῶν πανσελήνων, τὰς τέσσαρας καὶ τετρακοσίας ἑξαμήνους ἔχουσι, τὰς δὲ ἄλ-
λας πενταμήνους. ἔδει τοίνυν διὰ τοσούτων χρόνων φαίνεσθαι τὴν σελήνην ἐν
τῇ σκιᾷ λαμπρυνομένην, ἡ δὲ ἐν μὲν ἐκλείπει καὶ ἀπόλλυσι
τὸ φῶς. ἀναλαμβάνει δὲ αὖθις ὅταν ἐκφύγῃ τὴν σκιάν, καὶ φαίνεταί γε πολλά-
κις ἡμέρας, ὡς πάντα μᾶλλον, ἢ πύρινον οὖσα σῶμα καὶ ἀστροειδές. εἰπόντος δὲ
τούτου τοῦ Λουκίου, συνεξέδραμον ἅμα πως τῷ ὁ φαρνάκης
ὅτι φαρνάκης καὶ ὁ ἀπολλωνίδης. εἶτα τοῦ ἀπολλωνίδου παρόντος,
εἶπεν ὅτι τοῦτο καὶ μάλιστα τὴν σελήνην δείκνυσιν ἄστρον, ἢ πῦρ οὖσαν, οὐ γάρ ἐστι παν-
τελῶς ἄδηλος ἐν ταῖς ἐκλείψεσιν, ἀλλὰ διαφαίνει τινὰ χρόαν ἀνθρακώδη, καὶ
βλοσυράν, ἥτις ἰδιός ἐστιν αὐτῆς. ὁ δὲ ἀπολλωνίδης ἐνέστη περὶ τῆς σκιᾶς. ἀεὶ
γὰρ οὕτως ὀνομάζειν τοὺς μαθηματικοὺς τὸν ἀλαμπῆ τόπον σκιάν τε μηδὲ
χεσθαι τὸν οὐρανόν, ἐγὼ δὲ τοῦτο μὲν ἔφην πρὸς τοὔνομα μᾶλλον ἐριστικῶς ἢ πρὸς
τὸ πρᾶγμα φυσικῶς καὶ μαθηματικῶς ἐνισταμένους. τὸν γὰρ ἀντιφραττόμενον
ὑπὸ τῆς γῆς τόπον, εἰ μὴ σκιάν τις ἐθέλοι καλεῖν, ἀλλ᾽ ἀφεγγὲς χωρίον, ὅμως ἀναγ-
καῖον ἐν αὐτῷ τὴν σελήνην γενομένην
καὶ ὅλως ἔφην εὔηθές ἐστιν ἐκεῖ μὴ φάναι τῆς γῆς ἐξικνεῖσθαι
τὴν σκιάν ἡ σκιὰ τῆς σελήνης ἐπιπίπτουσα τῇ
ὄψει καὶ πρὸς τὴν γῆν, ἔκλειψιν ἡλίου ποιεῖν.
πρὸς σὲ δὲ ὦ φαρνάκη τρέψομαι. τὸ γὰρ ἀνθρακῶδες ἐκεῖνο καὶ διακαὲς χρῶμα
τῆς σελήνης, ὅ φῂς ἴδιον αὐτῆς εἶναι, σώματός ἐστι πυκνότητα καὶ βάθος ἔχον-
τος. οὐθὲν γὰρ ἐθέλει τοῖς ἀρχαίοις ὑπόλειμμα φλογὸς οὐδ᾽ ἴχνος ἐμμένειν. οὐδ᾽
ἔστιν ἀνθρακογένεσις. οὐ μὴν στερέμνιον σῶμα, δεξάμενον διὰ βάθους τὴν πύρωσιν,
› καὶ σῷζον, ὥς που καὶ ὅμηρος εἴρηκεν. αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσα-
› το δὲ φλὸξ ἀνθρακιὴν στορέσασα. ὁ γὰρ ἄνθραξ ἔοικεν οὐ πῦρ, ἀλλὰ σῶμα πεπυρω-
μένον εἶναι, καὶ πεπονθὸς ὑπὸ πυρὸς στερεῷ καὶ ῥίζαν ἔχοντι προσμένοντος ὄγ-
κῳ, καὶ προσδιατρίβοντος, αἱ δὲ φλόγες, ἀραιᾶς εἰσιν ἔξαψις καὶ ῥεύματα τρο-
φῆς καὶ ὕλης ταχὺ δι᾽ ἀσθένειαν ἀναλυομένης. ὥστε οὐδὲν ἂν ὑπῆρχε γεώδη καὶ
πυκνὴν εἶναι τὴν σελήνην, ἕτερον οὕτως ἐναργὲς τεκμήριον, εἴπερ αὐτῆς ἴδιον ἦν
ὡς χρῶμα τὸ ἀνθρακῶδες, ἀλλ᾽ οὐκ ἔστιν ὦ φίλε φαρνάκη, πολλὰς τὰς ἐκλειπού-
σαι χρόας ἀμείβειν. καὶ διαιροῦσιν αὐτὰς οὕτως οἱ μαθηματικοὶ κατὰ χρόνον καὶ
ὥραν ἀφορίζοντες. ἂν ἀφ᾽ ἑσπέρας ἐκλείπῃ, φαίνεται μέλαινα δεινῶς ἄχρι τρί-
της ὥρας καὶ ἡμισείας, ἂν δὲ μέση, τοῦτο δὴ τὸ ἐπιφοινίσσον ἵησι. καὶ πῦρ καὶ

πυρωπόν, ἀπὸ δὲ ἑβδόμης ὥρας καὶ ἡμισείας, ἀνίσταται τὸ ἐρύθημα, καὶ τέ-
λος ἤδη πρὸς ἕω, λαμβάνειν χρόαν κυανοειδῆ καὶ χαροπήν, ἀφ᾽ ἧς δὴ καὶ μάλι-
στα, γλαυκῶπιν αὐτήν, οἱ ποιηταὶ καὶ ἐμπεδοκλῆς ἀνακαλοῦνται. τοσαύτας
οὖν χρόας ἐν τῇ σκιᾷ τὴν σελήνην λαμβάνουσαν ὁρῶντες, οὐκ ὀρθῶς εὐθὺ μόνον.
καταφέρονται τὸ ἀνθρακῶδες, ὃ μάλιστα φήσαι τις ἂν ἀλλότριον αὐτῆς εἶναι,
καὶ μᾶλλον ὑπόμιγμα καὶ λεῖμμα τοῦ φωτός, διὰ τῆς σκιᾶς περιλάμποντος,
ἴδιον δὲ τὸ μέλαν καὶ γεῶδες, ὅπου δὲ πορφυρεῖ ἐνταῦθα καὶ φοινικίσι λίμναις
τε καὶ ποταμοῖς δεχομένοις ἥλιον, ἐπίσκια χωρία γειτνιῶντα συγχρώζηται
καὶ περιλάμπεται διὰ τὰς ἀνακλάσεις ἀποδιδόντα πολλοὺς καὶ διαφόρους
ἀπαυγασμούς, τί θαυμαστὸν εἰ ῥεῦμα πολὺ σκιᾶς ἐμβάλλον ὥσπερ εἰς πέλαγος
οὐράνιον, οὐ σταθεροῦ φωτός, οὐδὲ ἠρεμοῦντος, ἀλλὰ μυρίοις ἄστροις ἐλαυνομέ-
νου. μίξεις τε παντοδαπάς, καὶ μεταβολὰς λαμβάνοντος, ἄλλην ἄλλοτε χρό-
αν ἐκματτόμενον ἀπὸ τῆς σελήνης ἐνταῦθα ἀποδίδωσιν. ἄστρον μὲν γὰρ, ἢ πῦρ, οὐκ
ἄν, ἐν σκιᾷ διαφανείη μέλαν ἢ γλαυκὸν ἢ κυανοειδές, ὄρεσι δὲ καὶ πεδίοις, καὶ
θαλάσσαις, πολλαὶ μὲν ἀφ᾽ ἡλίου μορφαὶ χρωμάτων ἐπιτρέχουσι, καὶ σκιαῖς καὶ
ὁμίχλαις, ἃς φαρμάκοις γραφικοῖς μιγνύμενον ἐπάγει βαφὰς τὸ λαμπρόν,
ὧν τὰ μὲν τῆς θαλάττης ἐπικεχείρηκεν ἁμωσγέπως ἐξονομάζειν ὅμηρος, ἰοειδέα
καλῶν καὶ οἴνοπα πόντον. αὖθις δὲ πορφύρεον κῦμα, γλαυκήν τε ἄλλως θάλασ-
σαν καὶ λευκὴν γαλήνην, τὰς δὲ περὶ τὴν γῆν διαφορὰς τῶν ἄλλοτε ἄλλως ἐπι-
φαινομένων χρωμάτων, παρῆκεν. ὡς ἀπείρους τὸ πλῆθος οὔσας, τὴν δὲ σελήνην
οὐκ εἰκὸς τὴν θάλασσαν μίαν ἔχειν ἐπιφάνειαν, ἀλλὰ ἐοικέναι μάλιστα τῇ γῇ τὴν
φύσιν, ἣν ἐμυθολόγει σωκράτης ὁ παλαιός. εἴτε δὴ ταύτην αἰνιττόμενος εἴτε δὴ
ἄλλην τινὰ διηγούμενος, οὐ γὰρ ἄπιστον οὐδὲ θαυμαστόν, εἰ μηδὲν ἔχουσα διεφθο-
ρὸς ἑαυτῇ μηδὲ ἰλυῶδες, ἀλλὰ φῶς τε καρπουμένη καθαρὸν ἐξ οὐρανοῦ, καὶ θερ-
μότητος οὐ διακαιοῦς, οὐδὲ μανικοῦ πυρός, ἀλλὰ νοτεροῦ καὶ ἀβλαβοῦς, καὶ κατὰ
φύσιν ἔχοντος οὖσα πλήρης κάλλη τε θαυμαστὰ κέκτηται τόπων, ὄρη τε κατα-
φλογοειδῆ, καὶ ζώνας ἁλουργὰς ἔχει. χρυσόν τε καὶ ἄργυρον, οὐκ ἐν βάθει διε-
σπαρμένον, ἀλλὰ πρὸς τοῖς πεδίοις ἐξανθοῦντα πολύν, ἢ πρὸς ὕψεσι λείοις πε-
ριφερόμενον, εἰ δὲ τούτων ὄψις ἀφικνεῖται διὰ τῆς σκιᾶς, ἄλλοτε ἄλλη πρὸς ἡ-
μᾶς ἐξαλλαγῇ καὶ διαφορᾷ τινὶ τοῦ περιέχοντος τό γε μὴν τίμιον οὐκ ἀπόλλυσι
τῆς δόξης οὐδὲ τὸ θεῖον ἡ σελήνη. ἥτις ἱερὰ πρὸς ἀνθρώπων νο-
μιζομένη, ἢ μᾶλλον πῦρ θολερόν, ὥσπερ οἱ στωϊκοὶ λέγουσι καὶ ζοφῶδες. πῦρ
μέν γε παρὰ μήδοις καὶ ἀσσυρίοις βαρβαρικὰς ἔχει τιμάς, οἳ φόβῳ τὰ βλά-
πτοντα θεραπεύουσι πρὸ τῶν σεμνῶν ἀφοσιούμενοι. τὸ δὲ γῆς ὄνομα παντόπου
φιλοέλληνι καὶ τίμιον καὶ πατρῷον ἡμῖν ὥσπερ ἄλλον τινὰ θεὸν σέβεσθαι, πολ-
λοῦ δεῖ οἱ μὲν ἄνθρωποι τὴν σελήνην γῆν οὖσαν ὀλυμπίαν ἄψυχον ἡγεῖσθαι σῶ-
μα καὶ ἄνουν, καὶ ἄμοιρον. ὧν θεοῖς ἀπάρχεσθαι προσήκει, νόμῳ τε τῶν ἀγα-
θῶν ἀμοιβὰς τίνοντας, καὶ κατὰ φύσιν σεβομένους τὸ κρεῖττον ἀρετῇ καὶ δυ-
νάμει, καὶ τιμιώτερον. ὥστε μηδὲν οἰώμεθα πλημμελεῖν τὴν αὐτὴν θέμενοι. τὸ δὲ
φαινόμενον τουτὶ πρόσωπον αὐτῆς ὥσπερ ἡ παρ᾽ ἡμῖν ἔχει γῆ κόλπους τινὰς
μεγάλους, οὕτως ἐκείνην ἀνεπτύχθαι βάθεσι μεγάλοις καὶ ῥήξεσιν, ὕδωρ, ἢ ζο-
φερὸν ἀέρα περιέχουσιν. ὧν ἐντὸς οὐ καθίησιν, οὐδὲ ἐπιψαύει τὸ τοῦ ἡλίου φῶς,
ἀλλὰ ἐκλείπει, καὶ διεσπασμένην ἐνταῦθα τὴν ἀνάβασιν ἀποδίδωσιν.
ὑπολαβὼν δὲ ὁ ἀπολλωνίδης. εἶτα ὦ πρὸς αὐτῆς ἔφη τῆς σελήνης, δυνατὸν εἶ-
ναι δοκεῖ ἡμῖν, ῥηγμάτων τινῶν ἢ φαράγγων εἶναι σκιάς, κἀκεῖθεν ἀφικνεῖσθαι
δεῦρο πρὸς τὴν ὄψιν, ἢ τὸ συμβαῖνον οὐ λογίζεσθαι. κἀγὼ τουτὶ εἶπω. καίπερ

διακαοῦς .l.

[illegible] .l.

οὐκ ἀγνοοῦντος. ἀκούοιτε δέ. ἡ μὲν διάμετρος τῆς σελήνης, δύο καὶ δέκα δακτύ-
λους ἔχει τὸ φαινόμενον, ἐν τοῖς μέσοις ἀποστήμασι μέγεθος. τῶν δὲ μελάνων καὶ
σκιερῶν ἕκαστον ἡμιδακτυλίου φαίνεται μεῖζον. ὥστε τῆς διαμέτρου μεῖζον ἢ
εἰκοστοτέταρτον εἶναι, καὶ μὴν, εἰ μόνων ὑποθοίμεθα τὴν περίμετρον τῆς σελή-
νης τρισμυρίων σταδίων, μυρίων δὲ τὴν διάμετρον κατὰ τὸ ὑποκείμενον, οὐκ ἔλατ-
τον ἂν, εἶναι πεντακοσίων σταδίων, ἐν αὐτῇ τῶν σκιερῶν ἕκαστον. ὅρα δὴ πρῶτον
ἂν ᾖ δυνατὸν τῇ σελήνῃ τηλικαῦτα βάθη, καὶ τηλικαύτας εἶναι τραχύτητας.
ὥστε σκιὰν ποιεῖν τοσαύτην. ἔπειτα πῶς οὖσαι τηλικαῦται τὸ μέγεθος ὑφ' ἡ-
μῶν οὐχ ὁρῶνται; κἀγὼ μειδιάσας πρὸς αὐτόν, εὖγε ἔφην, ὅτι τοιαύτην ἐξεύρη-
κας ἀπόδειξιν ὦ ἀπολλωνίδη, δι' ἧς κἀμὲ, καὶ σαυτὸν ἀποδείξεις τῶν ἀλωάδων
ἐκείνων μείζονας εἶναι, οὐκ ἐν ἅπαντι μέντοι χρόνῳ τῆς ἡμέρας, ἀλλὰ πρωῒ μάλι-
στα, καὶ δείλης, οἴει τὰς σκιὰς ἡμῶν τοῦ ἡλίου ποιοῦντος ἠλιβάτους τὸ καλὸν τοῦ-
το αἰσθήσει παρέχειν συλλογισμόν, ὡς εἰ μέγα τὸ σκιαζόμενον· ὑπερμέγεθες τὸ
σκιάζον. ἐν λήμνῳ μὲν, οὐδέτερος ἡμῶν εὖ οἶδ' ὅτι γέγονε· τοῦτο μέντοι τὸ θρυλλού-
μενον ἰαμβεῖον· ἀμφότεροι πολλάκις ἀκηκόαμεν, ἄθως καλύψει πλευρὰ λη-
μνίας βοός, ἐπιβάλλει γὰρ ἡ σκιὰ τοῦ ὄρους; ὡς ἔοικε χαλκέῳ τινὶ βοϊδίῳ μῆ-
κος ἀποτείνουσα διὰ τῆς θαλάττης οὐκ ἔλαττον ἑπτακοσίων σταδίων τὸ κατασκιά-
ζον ὕψος εἶναι διὰ τὴν αἰτίαν· ὅτι πολλαπλασίους αἱ τοῦ φωτὸς ἀποστάσεις τῶν
σωμάτων τὰς σκιὰς ποιοῦσι. δεῦρο δὴ θεῶ καὶ τῆς σελήνης, ὅτε πάμμηνός ἐστι
καὶ μάλιστα τὴν ἰδέαν, ἔναρθρον τοῦ προσώπου βαθύτητα τῆς σκιᾶς ἀποδίδωσι.
τὸ μέγιστον ἀπέχουσα διάστημα τὸν ἥλιον. ἡ γὰρ ἀπόστασις τοῦ φωτὸς, αὐτὴ τὴν σκιὰν
μεγάλην, οὐ τὰ μεγέθη τῶν περὶ τὴν σελήνην ἀνωμαλιῶν πεποίηκε, καὶ μὴν,
οὐδὲ τῶν ὀρῶν τὰς ὑπεροχὰς ἐῶσι μεθημβρίαν αἱ περιαυγαὶ τοῦ ἡλίου καθορᾶ-
σθαι, τὰ μέντοι βαθέα καὶ κοῖλα φαίνεται, καὶ σκιώδη πόρρωθεν. οὐδὲν οὖν ἄ-
τοπον, εἰ καὶ τῆς σελήνης τὴν ἀντίληψιν καὶ τὸν ἐπιφωτισμὸν, οὐκ ἔστι καθορᾶν
ἀκριβῶς, αἱ δὲ τῶν σκιερῶν παραθέσεις, παρὰ τὰ λαμπρὰ τῇ διαφορᾷ τὴν
ὄψιν οὐ λανθάνουσιν, ἀλλ' ἐκεῖνο μᾶλλον ἔφην ἐλέγχειν δοκεῖ τὴν λεγομένην ἀνά-
κλασιν ἀπὸ τῆς σελήνης· ὅτι τοὺς ἐν ταῖς ἀνακλωμέναις αὐγαῖς ἑστῶτας, οὐ μό-
νον συμβαίνει τὸ φωτιζόμενον ὁρᾶν, ἀλλὰ καὶ τὸ φωτίζον, ὅταν γὰρ αὐγῆς ἀφ' ὕ-
δατος πρὸς τοῖχον ἀλλομένης, ὄψις ἐν αὐτῷ τῷ πεφωτισμένῳ κατὰ τὴν ἀνά-
κλασιν, τόπῳ γένηται τὰ τρία καθορᾷ· τήν τε ἀνακλωμένην αὐγὴν, καὶ τὸ ποι-
οῦν ὕδωρ τὴν ἀνάκλασιν, καὶ τὸν ἥλιον αὐτὸν ἀφ' οὗ τὸ φῶς τῷ ὕδατι προσπῖπτον
ἀνακέκλασται, τούτων δὲ ὁμολογουμένων καὶ φαινομένων, κελεύουσι τοὺς ἀνακλά-
σει φωτίζεσθαι τὴν γῆν ὑπὸ τῆς σελήνης ἀξιοῦντας, ἐπιδεικνύναι νύκτωρ ἐμφαι-
νόμενον τῇ σελήνῃ τὸν ἥλιον, ὥσπερ ἐμφαίνεται τῷ ὕδατι μεθημέραν, ὅταν ἀνά-
κλασις ὑπ' αὐτῶν γένηται. μὴ φαινομένου δὲ τούτου, κατ' ἄλλον οἴονται τρόπον,
οὐκ ἀνακλάσει γίνεσθαι τὸν φωτισμόν. εἰ δὲ μὴ τοῦτο, μηδὲ γῆν εἶναι τὴν σελή-
νην, τί οὖν ἔφη πρὸς αὐτοὺς λεκτέον ὦ ἀπολλωνίδη; κοινὰ γὰρ ἔοικε, καὶ πρὸς
ἡμᾶς εἶναι τὰ τῆς ἀνακλάσεως. ἀμέλει τρόπον τινὰ ἔφην ἐγὼ κοινά. τρόπον δὲ ἄλλον
οὐδὲ κοινά. πρῶτον δὲ ὅρα τὰ τῆς εἰκόνος, ὡς ἄνω ποταμῶν καὶ στραπὲν πάλιν λαμ-
βάνουσιν ἐπὶ γῆς πάρεστι καὶ κάτω τὸ ὕδωρ. ὑπὲρ γῆς δὲ σελήνη καὶ μετέωρος.
ὅθεν ἀντίστροφον αἱ κεκλασμέναι τὸ σχῆμα τῆς γωνίας ποιοῦσι, τῆς μὲν ἄνω πρὸς
τῇ σελήνῃ, τῆς δὲ κάτω πρὸς τὴν τῇ γῇ κορυφὴν ἐχούσης, μὴ ἅπασαν οὖν ἰδέαν
κατόπτρου, μηδὲ ἐκ πάσης ἀποστάσεως ὁμοίαν ἀνάκλασιν ποιεῖν ἀξιούτωσαν,
ἐπεὶ μάχονται πρὸς τὴν ἐνάργειαν, οἱ δὲ σῶμα μὴ λεπτὸν, μηδὲ λεῖον ὥσπερ
ἐστὶ τὸ ὕδωρ ἀποφαίνοντες τὴν σελήνην, ἀλλ' ἐμβριθὲς καὶ γεῶδες, οὐκ οἶδα ὅπως

ἀπαιτοῦσι

ἀπαιτοῦσι τοῦ ἡλίου τὴν ἔμφασιν ἐν αὐτῇ πρὸς τὴν ὄψιν. οὐδὲ γὰρ τὸ γάλα τοὺς
τοιούτους ἐσοπτρισμοὺς ἀποδίδωσιν, οὐδὲ ποιεῖ τῆς ὄψεως ἀνακλάσεις διὰ τὴν ἀ-
νωμαλίαν καὶ τραχύτητα τῶν μορίων. πόθεν γε τὴν σελήνην δυνατόν ἐστιν ἀνα-
πέμπειν ἀφ' ἑαυτῆς τὴν ὄψιν ὥσπερ ἀναπέμπει τὰ λειότερα τῶν ἐσόπτρων. καί-
τοι καὶ ταῦτα δήπουθεν ἐὰν ἀμυχή τις ἢ ῥύπος ἢ τραχύτης καταλάβῃ, τὸ ση-
μεῖον ἂν ἀφ' οὗ πέφυκεν, ἡ ὄψις ἀνακλᾶσθαι τυφλοῦται· καὶ βλέπεται μὲν αὐτὰ
τὴν δὲ ἀνταύγειαν οὐκ ἀποδίδωσιν. ὁ δὲ ἀξιῶν ἢ καὶ τὴν ὄψιν ἡμῶν ἐπὶ τὸν ἥλιον
ἀξιῶν εἶναι. φῶς δὲ τὴν ὄψιν. οὐρανὸν δὲ τὸν ἄνθρωπον. τοῦ μὲν γὰρ ἡλίου δι' εὐτο-
νίαν καὶ λαμπρότητα πρὸς τῇ σελήνῃ γινομένην μετὰ πληγῆς τὴν ἀνάκλασιν.
φέρεσθαι πρὸς ἡμᾶς εἰκός ἐστιν. ἡ δὲ ὄψις ἀσθενὴς οὖσα καὶ ὀλίγη, τί θαυμαστόν; εἰ
μήτε πληγὴν ἀνακρουστικὴν ποιεῖ, μήτε ἀφαλλομένης τηρεῖ τὴν συνέχειαν, ἀλλὰ
θρύπτεται, καὶ ἀπολείπει, πλῆθος οὐκ ἔχουσα φωτὸς, ὥστε μὴ διασπᾶσθαι
περὶ τὰς ἀνωμαλίας, καὶ τραχύτητας. ἀπὸ μὲν γὰρ ὕδατος καὶ τῶν ἄλλων ἐ-
σόπτρων, ἰσχύουσαν ἔτι τῆς ἀρχῆς ἐγγὺς οὖσαν ἐπὶ τὸν ἥλιον ἅλλεσθαι τὴν ἀνά-
κλασιν, οὐκ ἀδύνατόν ἐστιν. ἀπὸ δὲ τῆς σελήνης, κἂν γίνωνταί τινες ὀλισθήσεις
αὐτῆς ἀσθενεῖς ἔσονται καὶ ἀμυδραὶ καὶ προαπολείπουσαι διὰ τὸ μῆκος τῆς ἀ-
ποστάσεως. καὶ γὰρ ἄλλως τὰ μὲν κοῖλα τῶν ἐσόπτρων εὐτονωτέραν ποιεῖ τῆς προη-
γουμένης αὐγῆς τὴν ἀνακλωμένην, ὥστε καὶ φλόγας ἀναπέμπειν πολλάκις. τὰ
δὲ κυρτὰ καὶ σφαιροειδῆ, τῷ μὴ πανταχόθεν ἀντερείδειν, ἀσθενῆ καὶ ἀμαυράν.
ὁρᾶται δήπουθεν. ὅταν ἴριδες δύο φανῶσι νέφους νέφος ἐμπε-
ριέχοντος, ἀμαυρὰν ποιοῦσαν καὶ ἀσαφῆ τὰ χρώματα τὴν περιέχουσαν, τὸ
γὰρ ἐκτὸς νέφος ἀπωτέρω τῆς ὄψεως κείμενον, οὐκ εὔτονον, οὐδὲ ἰσχυρὰν τὴν ἀνά-
κλασιν ἀποδίδωσι. καὶ τί δεῖ πλείονα λέγειν· ὅπου γὰρ τὸ τοῦ ἡλίου φῶς ἀνακλώ-
μενον ἀπὸ τῆς σελήνης, τὴν μὲν θερμότητα πᾶσαν ἀποβάλλει, τῆς δὲ λαμπρό-
τητος αὐτοῦ λεπτὸν ἀφικνεῖται μόλις πρὸς ἡμᾶς καὶ ἀσθενὲς λείψανον, ἦ που
τῆς ὄψεως τὸν ἴσον φερομένοις δίαυλον. ἐνδέχεται μόριον ὁτιοῦν λείψανον ἐξι-
κέσθαι πρὸς τὸν ἥλιον ἀπὸ τῆς σελήνης. ἐγὼ μὲν οὐκ οἶμαι σκοπεῖτε δὲ εἴ που καὶ
ὑμεῖς. εἰ τὰ αὐτὰ πρὸς τὸ ὕδωρ καὶ τὴν σελήνην ἔπασχεν ἡ ὄψις, ἔδει καὶ γῆς καὶ
φυτῶν καὶ ἀνθρώπων καὶ ἄστρων ἐμφάσεις ποιεῖν τὴν πανσέληνον. οἵας τὰ λοι-
πὰ ποιεῖται τῶν ἐσόπτρων. εἰ δὲ οὐ γίνονται πρὸς ταῦτα τῆς ὄψεως ἀνακλάσεις
δι' ἀσθένειαν αὐτῆς ἢ τραχύτητα τῆς σελήνης, μὴ δὲ πρὸς τὸν ἥλιον ἀπαιτῶμεν.
ἡμεῖς μὲν οὖν ἔφην ὅσα μὴ διαπέφευγε τὴν μνήμην τῶν ἐκεῖ λεχθέντων, ἀπηγγέλ-
καμεν, ὥρα δὲ καὶ σύλλαν παρακαλεῖν, μᾶλλον δὲ ἀπαιτεῖν τὴν διήγησιν, οἷον
ἐπὶ ῥητοῖς ἀκροατὴν γεγενημένον. ὥστε εἰ δοκεῖ καταπαύσαντες τὸν περίπα-
τον, καὶ καθίσαντες ἐπὶ τῶν βάθρων ἑδραῖον αὐτῷ παράσχωμεν ἀκροατήριον.
ἔδοξε δὴ ταῦτα καὶ καθισάντων ἡμῶν, ὁ θέων. ἐγώ τοι ὦ λαμπρία εἶπεν ἐπιθυ-
μῶ μὲν οὐδενὸς ἧττον ὑμῶν ἀκοῦσαι τὰ λεχθησόμενα, πρότερον δὲ ἂν, ἡδέως ἀκού-
σαιμι περὶ τῶν οἰκεῖν λεγομένων ἐπὶ τῆς σελήνης οὐκ εἰ κατοικοῦσί τινες, ἀλλ'
εἰ δυνατὸν ἐκεῖ κατοικεῖν, εἰ γὰρ οὐ δυνατὸν, ἄλογον καὶ τὸ γῆν εἶναι τὴν σελήνην. δόξει
γὰρ πρὸς οὐδὲν, ἀλλὰ μάτην γεγονέναι, μήτε καρποὺς ἐκφέρουσα, μήτε ἀνδράσι τι-
σὶν ἕδραν παρέχουσα καὶ γένεσιν καὶ δίαιταν, ὧν ἕνεκα καὶ ταύτην γεγονέναι φα-
μὲν κατὰ πλάτωνα τροφὸν ἡμετέραν. ἡμέρας τε καὶ νυκτὸς ἀτρεκῆ φύλακα, καὶ
δημιουργόν. ὁρᾷς δὲ ὅτι πολλὰ λέγεται καὶ σὺν γέλωτι καὶ μετὰ σπουδῆς περὶ τού-
των. τοῖς μὲν γὰρ ὑπὸ τὴν σελήνην οἰκοῦσιν ὥσπερ ταντάλοις ἐκ κεφαλῆς ἐκ-
κρέμασθαί φασι. τοὺς δὲ οἰκοῦντας αὖ πάλιν ἐπ' αὐτῆς ὥσπερ ἰξίονας ἐν δε-
δεμένους ῥύμῃ τόσῃ.

καὶ τοῖς

μίαν οὐ κινεῖται κίνησιν, ἀλλ᾽ ὥς που καὶ λέγεται τριοδῖτις ἐστὶν ἅμα μῆκος ἐπὶ τοῦ ζωδιακοῦ καὶ πλάτος ἐπιφερομένη καὶ βάθος, ὧν τὴν μὲν περιδρομὴν, τὴν δὲ ἕλικα, τὴν δὲ οὐκ οἶδα πῶς ἀνωμαλίαν ὀνομάζουσιν οἱ μαθηματικοὶ, καίπερ οὐδεμίαν ὁμαλὴν οὐδὲ τεταγμένην ταῖς ἀποκαταστάσεσιν ὁρῶντες ἔχουσαν, οὐκ εἰ λέων ἴσως ἔπεσεν ἀπὸ ῥύμης εἰς πελοπόννησον ἄξιόν ἐστι θαυμάζειν, ἀλλ᾽ ὅμως οὐ μυρία ὁρῶμεν ἀεὶ πεσήματα ἀνδρῶν καὶ ἀπολακτισμοὺς ἐκεῖθεν οἷον ἐκ κυβιστώντων, καὶ περιτρεπόντων, καὶ γὰρ γελοῖον περὶ μονῆς τῶν ἐκεῖ διαπορεῖν, εἰ μὴ γένεσιν μηδὲ σύστασιν ἔχειν δύναται. ὅπου γοῦν αἰγύπτιοι καὶ τρωγλοδύται, οἷς ἡμέρας μιᾶς ἀκαρὲς ἵσταται κατὰ κορυφὴν ὁ ἥλιος ἐν τροπαῖς, εἶτα ἄπεισιν, ὀλίγον ἀπέχουσι τοῦ κατακεκαῦσθαι ξηρότητι τοῦ περιέχοντος, ἦ πού τοὺς ἐπὶ τῆς σελήνης εἰκός ἐστι δώδεκα θερείας ὑπομένειν ἕκαστου κατὰ μῆνα τοῦ ἡλίου πρὸς κάθετον αὐτοῖς ἐφισταμένου καὶ στηρίζοντος, ὅταν ᾖ πανσέληνος πνεύματά γε μὴν καὶ νέφη καὶ ὄμβρους, ὧν χωρὶς, οὔτε γένεσις φυτῶν ἐστιν, οὔτε σωτηρία γενομένοις, ἀμήχανον ἐκεῖ διανοηθῆναι, συνισταμένα διὰ θερμότητα καὶ λεπτότητα τοῦ περιέχοντος. οὐδὲ γοῦν ἐνταῦθα τῶν ὀρῶν ἤδη τὰ ὑψηλὰ δέχεται τοὺς ἀγρίους καὶ ἐναντίους χειμῶνας. ἀλλ᾽ καὶ σάλον ἔχων ὑπὸ κουφότητος ὁ ἀὴρ, ἐκφεύγει τὴν σύστασιν ταύτην καὶ πύκνωσιν, εἰ μὴ νὴ δία φήσομεν, ὥσπερ ἡ ἀθηνᾶ τῷ ἀχιλλεῖ, νέκταρός τι καὶ ἀμβροσίας ἐνέσταξε μὴ προσιεμένῳ τροφὴν, οὕτω τὴν σελήνην ἀθηνᾶν λεγομένην καὶ οὖσαν τρέφειν τοὺς ἄνδρας ἀμβροσίαν ἀνιεῖσαν αὐτοῖς ἐφημέριον, ὡς φερεκύδης ὁ παλαιὸς οἴεται σιτεῖσθαι αὐτοὺς θεούς. τὴν μὲν γὰρ ἰνδικὴν ῥίζαν, ἥν φησι μεγασθένης, τοὺς μήτε πίνοντας, ἀλλ᾽ ἀστόμους ὄντας ὑποτύφειν καὶ θυμιᾶν καὶ τρέφεσθαι τῇ ὀσμῇ, πόθεν ἄν τις ἐκεῖ φυομένην λάβοι, μὴ βρεχομένης τῆς σελήνης. ταῦτα τοῦ θέωνος εἰπόντος γε ἔφην καὶ
ἀκ θαρσοῦ
ἀρίστα τῇ παιδιᾷ τοῦ λόγου τὰς ὀφρῦς
ἡμῖν ἐγγίνεται πρὸς τὴν ἀπόκρισιν, μὴ πάνυ μικρὰν μηδὲ αὐστηρὰν εὐθύνην περιδεδοικόσι. καὶ γοῦν ὡς ἀληθῶς τῶν σφόδρα πεπεισμένων τὰ τοιαῦτα διαφέρουσιν οἱ σφόδρα δυσκολαίνοντες αὐτοῖς καὶ διαπιστοῦντες, ἀλλὰ μὴ πρᾴως τὸ δυνατὸν καὶ τὸ ἐνδεχόμενον ἐθέλοντες ἐπισκοπεῖν. εὐθὺς οὖν τὸ πρῶτον, οὐκ ἀναγκαῖόν ἐστιν. εἰ μὴ κατοικοῦσιν ἄνθρωποι τὴν σελήνην, μάτην γεγονέναι καὶ πρὸς μηδέν. οὐδὲ γοῦν τὴν δὲ τὴν γῆν δι᾽ ὅλης ἐνεργὸν οὐδὲ προσοικουμένην ὁρῶμεν, ἀλλὰ μικρὸν αὐτῆς μέρος ὥσπερ ἄκρως τισὶν ἢ χερρονήσοις ἀνέχουσιν ἐκ βυθοῦ γόνιμόν ἐστι ζώων καὶ φυτῶν. τῶν δὲ ἄλλων τὰ μὲν ἔρημα καὶ ἄκαρπα χειμῶσι καὶ αὐχμοῖς, τὰ δὲ πλεῖστα κατὰ τῆς μεγάλης δέδυκε θαλάσσης. ἀλλὰ σὺ τὸν ἀρίσταρχον ἀγαπῶν ἀεὶ καὶ θαυμάζων, οὐκ ἀκούεις κράτητος ἀναγινώσκων. ὠκεανὸς ὅσπερ γένεσις πάντεσσι τέτυκται ἀνδράσιν ἠδὲ θεοῖς, πλείστην ἐπὶ γαῖαν ἵησιν, ἀλλὰ πολλοῦ δεῖ μάτην ταῦτα γεγονέναι. καὶ γοῦν ἀναθυμιάσεις ἡ θάλασσα μαλακὰς ἀνίησι καὶ τῶν πνευμάτων τὰ ἥδιστα θέρους ἀκμάζοντος. ἐκ τῆς ἀοικήτου καὶ κατεψυγμένης αἱ χιόνες ἀτρέμα διατηκόμεναι χαλῶσι, καὶ διασπείρουσιν. ἡμέρας τε καὶ νυκτὸς ἕστηκεν ἀτρεκὴς ἐν μέσῳ φύλαξ κατὰ πλάτωνα καὶ δημιουργός. οὐδὲν οὖν κωλύει καὶ τὴν σελήνην. ζώων μὲν ἔρημον εἶναι, παρέχειν δὲ ἀνακλάσεις τῷ φωτὶ περὶ αὐτὴν διαχεομένῳ, καὶ συρροὴν ταῖς τῶν ἀστέρων αὐγαῖς ἐν αὐτῇ καὶ σύγκρασιν ἣ συνεκπέπτει τάς ἀπὸ τῆς γῆς ἀναθυμιάσεις, ἅμα τε καὶ τῷ ἡλίῳ τὸ ἔμπυρον ἄγαν καὶ σκληρὸν ἀφίησι καὶ ἀλύπι, καὶ παλαιᾷ φήμῃ διδόντες, ἄρτεμιν αὐτὴν νομισθῆναι, φήσομεν ὡς παρθένον καὶ ἄγονον. ἄλλως δὲ βοηθητικὴν, καὶ ὠφέλιμον. ἐπεὶ τῶν γε εἰρημένων οὐδὲν ὠφελεῖν θέων

θέων ἀδύνατον δείκνυσι τὴν λεγομένην ἐπ᾽ αὐτῆς οἴκησιν. ἔτι γὰρ δίνη πολλὴν ἔχουσα πρᾳότητα καὶ γαλήνην ἐπιλεαίνει τὸν ἀέρα, καὶ διανέμει συγκατακοσμούμενον. ὥστε μηδὲν εἶναι δέος ἐκπεσεῖν, καὶ ἀποσφαλῆναι τοὺς ἐκεῖ βεβιωκότας, εἰ δὲ μηδὲ αὐτὴ, καὶ τὸ ποικίλον τοῦτο τῆς φορᾶς, καὶ πεπλανημένον, οὐκ ἀνωμαλίας οὐδὲ ταραχῆς ἐστιν, ἀλλὰ θαυμαστὴν ἐπιδείκνυται τάξιν ἐν τούτοις καὶ πορείαν, οἱ ἀστρόλογοι κύκλοις τισὶ περὶ κύκλους ἑτέρους ἐξελιττομένοις συνάγοντες αὐτὴν, οἱ μὲν, ἀτρεμοῦσαν, οἱ δὲ λείως καὶ ὁμαλῶς ἀεὶ τάχεσι τοῖς αὐτοῖς αὐτὴν ὑποφερομένην. αὗται γὰρ αἱ τῶν κύκλων ἐπιβάσεις, καὶ περιαγωγαὶ, καὶ σχέσεις πρὸς ἄλληλα καὶ πρὸς ἡμᾶς τὰ φαινόμενα τῆς κινήσεως ὕψη, καὶ βάθη, καὶ τὰς κατὰ πλάτος παραλλάξεις, ἅμα ταῖς κατὰ μῆκος αὐτῆς περιόδοις ἐμμελέστατα συμπεραίνουσι. τὴν δὲ πολλὴν θερμότητα, καὶ συνεχῆ πύρωσιν ὑπὸ ἡλίου, παύσῃ φοβούμενος, ἂν πρῶτον μὲν ἀντιθεὶς τοῖς ἕνδεκα θεριναῖς συνόδοις τὰς πανσελήνους· εἶτα δὲ τὸ συνεχὲς τῆς μεταβολῆς ταῖς ὑπερβολαῖς χρόνον οὐκ ἐκάστης πολὺν, ἐμποιεῖν κρᾶσιν οἰκείαν, καὶ τὸ ἄγαν ἑκατέρας ἀφαιρεῖν, ἀμέσου δὲ τούτων, ὡς εἰκὸς ὥραν ἔαρι προσφορωτάτην ἔχουσιν. ἔπειτα πρὸς μὲν ἡμᾶς καθίησι δι᾽ ἀέρος θολεροῦ καὶ συνεπερείδων τὴν θερμότητα ταῖς ἀναθυμιάσεσι τρεφομένην, ἐκεῖ δὲ λεπτὸς ὢν καὶ διαυγὴς ὁ ἀὴρ, σκίδνησιν καὶ διαχεῖ τὴν αὐγὴν ὑπέκκαυμα καὶ σῶμα μηδὲν ἔχουσαν. ὕλην δὲ καὶ καρποὺς αὐτοὶ μὲν ὄμβροι τρέφουσιν. ἑτέρως δὲ, ὥσπερ ἄνω περὶ θήβας παρ᾽ ὑμῖν καὶ συήνην. οὐκ ὄμβριον ὕδωρ, ἀλλὰ γηγενὲς, ἥ γε πίνουσα καὶ χρωμένη πνεύμασι καὶ δρόσοις οὐκ ἂν, ἐθελήσειεν οἶμαι τῇ πλεῖστον ὑομένῃ πολυκαρπίᾳ συμφαίνεσθαι δι᾽ ἀρετήν τινα καὶ κρᾶσιν, τὰ δὲ αὐτὰ φυτὰ τῷ γένει παρ᾽ ὑμῖν μὲν εἰ σφόδρα πιεσθῇ χειμῶσιν ἐκφέρει πολὺν καὶ καλὸν καρπὸν, ἐν δὲ λιβύῃ, καὶ παρ᾽ ὑμῖν ἐν αἰγύπτῳ, δύσριγα κομιδῇ, καὶ δειλὰ πρὸς χειμῶνάς ἐστι. τῆς δέ γε δρωσίας καὶ τρωγλοδύτιδος ἡ καθήκει πρὸς τὸν ὠκεανὸν, ἀφόρου διὰ ξηρότητα, καὶ ἀδένδρου παντάπασιν οὔσης, ἐν τῇ παρακειμένῃ καὶ περικεχυμένῃ θαλάττῃ θαυμαστὰ μεγέθη φυτῶν τρέφεται, καὶ κατὰ βυθοῦ τέθηλεν, ὧν τὰ μὲν, ἐλαίας, τὰ δὲ δάφνας, τὰ δὲ, ἴσιδος τρίχας καλοῦσιν οἱ δὲ ἀνακαμψερῶτες οὗτοι προσαγορευόμενοι. τῆς γῆς ἐξαιρεθέντες, οὐ μόνον ζῶσι κρεμάμενοι ὅσον βούλεταί τις, ἀλλὰ βλαστάνουσιν,
σπείρεται δὲ τὰ μὲν ἢ τὸ κενταύρειον ἂν εἰς ἀγαθὴν καὶ πίονα σπαρῇ χώραν καὶ βρέχηται καὶ ἄρδηται τῆς κατὰ φύσιν ἐξίσταται ποιότητος, καὶ ἀποβάλλει τὴν δύναμιν, αὐχμῷ δὲ χαίρει, καὶ πρὸς τὸ οἰκεῖον ἐπιδίδωσιν οἱ δὲ ὥς φασιν, οὐδὲ τὰς δρόσους ἀνέχεται καθάπερ τὰ πλεῖστα τῶν ἀραβικῶν, ἀλλ᾽ ἐξαμαυροῦται λειαινόμενα καὶ φθείρεται, τί δὲ θαυμαστόν ἐστιν, εἰ γίνονται περὶ τὴν σελήνην ῥίζαι καὶ σπέρματα καὶ ὗλαι μηθὲν ὑετῶν δεόμενα, μήτε χειμώνων, ἀλλὰ πρὸς θερινὸν ἀέρα καὶ λεπτὸν εὐφυῶς ἔχουσαι. πῶς δὲ οὐκ εἰκὸς ἀνιέναι τε πνεύματα θαλπόμενα τῇ σελήνῃ, καὶ τῷ σάλῳ τῆς περιφορᾶς αὔρας τε παρομαρτεῖν ἀτρέμα καὶ δρόσους καὶ ὑγρότητας ἐλαφρὰς περιχεούσας καὶ διασπειρομένας ἐπαρκεῖν τοῖς βλαστάνουσιν, αὐτῇ δὲ τῇ κράσει μὴ πυρώδη, μηδὲ αὐχμηρὰν, ἀλλὰ μαλακὴν, καὶ ὑδροποιὸν ξηρότητος μὲν γοῦν οὐδὲν ἀφικνεῖται πάθος ἀπ᾽ αὐτῆς πρὸς ἡμᾶς, ὑγρότητος δὲ πολλὰ καὶ θηλύτητος, αὐξήσεις φυτῶν, σήψεις κρεῶν, τροπαὶ καὶ ἀνέσεις οἴνων, μαλακότητες ξύλων, εὐτοκίαι γυναικῶν. δέδοικα δὲ ἡσυχάζοντα φαρνάκην αὖθις ἐρεθίζειν καὶ κινεῖν. ὥστε καὶ ἀμπώτεις καὶ πλημμύρας, ὡς λέγουσιν αὐτοὶ καὶ πορθμῶν ἐπιδόσεις διαδεχομένων, καὶ αὐξανομένων ὑπὸ τῆς σελήνης τῷ ἀνυγραίνεσθαι παρατιθέμενος, διὸ πρὸς σὲ τρέψομαι μᾶλλον ὦ φίλε θέων, λέγεις

γὰρ ἡμῖν ἐξηγούμενος ταύτῃ τὰ ἀλκμάνος
θυγάτηρ ἔρσα τρέφει καὶ σελάνας, ὅτι νῦν τὸν ἀέρα καλεῖ, καὶ διά φησιν αὐτὸν
ὑπὸ τῆς σελήνης καθυγραινόμενον εἰς δρόσους τρέπεσθαι. κινδυνεύει γοῦν ὦ ἑταῖ-
ρε πρὸς τὸν ἥλιον ἀντιπαθῆ φύσιν ἔχειν, εἴ γε μὴ μόνον ὅσα πυκνοῦν καὶ ξηραί-
νειν ἐκεῖνος, αὐτὴ μαλάσσειν καὶ διαχεῖν πέφυκεν, ἀλλὰ καὶ τὴν ἀπ᾽ ἐκείνου θερ-
μότητα καθυγραίνειν καὶ καταψύχειν προσαπίπτουσαν αὐτῇ καὶ συμμιγνυμέ-
νην, οἵ τε δὴ τὴν σελήνην ἔμπυρον σῶμα καὶ διακαὲς εἶναι νομίζοντες ἁμαρτά-
νουσιν, οἵ τε τοῖς ἐκεῖ ζώοις, ὅσα τοῖς ἐνταῦθα πρὸς γένεσιν καὶ τροφὴν καὶ δίαι-
ταν ἀξιοῦντες ὑπάρχειν, ἐοίκασι καὶ θεαταῖς τῶν περὶ φύσιν ἀνωμαλιῶν, ἐν αἷς
μείζονάς ἐστι καὶ πλείονας πρὸς ἄλληλα τῶν ζώων, ἢ πρὸς τὰ μὴ ζῶα διαφορὰς
καὶ ἀνομοιότητας εὑρεῖν. καὶ σύστομοι μὲν ἄνθρωποι καὶ ὀσμαῖς τρεφόμενοι μὴ
ἔστωσαν εἰ μὴ μὴ δοκοῦσι τήν τε ἄμμονος ἡμῖν αὐτὸς ἐ-
ξηγεῖτο δύναμιν, ἣν ἔξαρχε μὲν ἡσίοδος εἰπὼν, οὐδ᾽ ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέ-
λῳ μέγα ὄνειαρ. ἔργῳ δ᾽ ἐμφανῆ παρέσχεν ἐπιμενίδης, διδάξας, ὅτι μικρῷ παν-
τάπασιν ἡ φύσις ὑπεκκαύματι ζωπυρεῖ καὶ συνέχει τὸ ζῷον, ἂν ὅσον ἐλαίας
μέγεθος λάβῃ, μηδεμιᾶς ἔτι τροφῆς δεόμενον. τοὺς δὲ ἐπὶ τῆς σελήνης εἴπερ εἰ-
σιν, εὐσταλεῖς εἶναι τοῖς σώμασι καὶ διαρκεῖς ἀπὸ τῶν τυχόντων τρέφεσθαι πι-
θανόν ἐστι. καὶ γὰρ αὐτὴν τὴν σελήνην ὥσπερ τὸν ἥλιον ζῷον ὄντα πύρινον, καὶ
τῆς γῆς ὄντα πολλαπλάσιον, ἀπὸ τῶν ὑγρῶν φασι τῶν ἐπὶ τῆς γῆς τρέφεσθαι,
καὶ τοὺς ἄλλους ἀστέρας ἀπείρους ὄντας, οὕτως ἐλαφρὰ καὶ λιτὰ τῶν ἀναγκαί-
ων φέρειν ζῶα τὸν ἄνω τόπον ὑπολαμβάνουσιν, ἀλλ᾽ οὔτε ταῦτα συνορῶμεν, ὅτε
ὅτι καὶ χώρα καὶ φύσις καὶ κρᾶσις ἄλλη πρόσφορός ἐστιν αὐτοῖς. ὥσπερ οὖν εἰ
τῇ θαλάττῃ μὴ δυναμένων ἡμῶν προσελθεῖν μηδὲ ἅψασθαι, μόνον δὲ τὴν θέαν
αὐτῆς πόρρωθεν ἀφορώντων, καὶ πυνθανομένων, ὅτι πικρὸν καὶ ἄποτον καὶ ἁλ-
μυρὸν ὕδωρ ἐστὶν, ἔλεγέ τις, ὡς ζῶα πολλὰ καὶ μεγάλα καὶ παντοδαπὰ ταῖς
μορφαῖς τρέφει κατὰ βάθους. καὶ θηρίων ἐστὶ πλήρης ὕδατι χρωμένων. ὅσα
περ ἡμεῖς ἀέρι. μύθοις ἂν ὅμοια καὶ τέρασιν ἐδόκει περαίνειν, οὕτως ἐοίκαμεν ἔ-
χειν, καὶ ταὐτὸ ἀσκεῖν πρὸς τὴν σελήνην ἀπιστοῦντες ἐκεῖ τινας ἀνθρώπους κα-
τοικεῖν. ἐκείνους δ᾽ ἂν οἴομαι πολὺ μᾶλλον ἀποθαυμάσαι τὴν γῆν ἀφορῶντας οἷον
ὑποστάθμην καὶ ἰλὺν τοῦ παντὸς ἐν ὑγροῖς καὶ ὁμίχλαις καὶ νέφεσι διαφαινομένην
ἀλαμπὲς καὶ ταπεινὸν καὶ ἀκίνητον χωρίον, εἰ ζῶα φύσει καὶ τρέφει μετέχοντα
κινήσεως, ἀναπνοῆς, θερμότητος, κἂν εἴ ποθεν αὐτοῖς ἐγγένοιτο τῶν ὁμηρικῶν
τούτων ἀκοῦσαι, σμερδαλέ᾽ εὐρώεντα, τά τε στυγέουσι θεοί περ καὶ τόσον ἔ-
νερθ᾽ ἀΐδαο ὅσον οὐρανός ἐστ᾽ ἀπὸ γαίης. ταῦτα φήσουσιν ἀτεχνῶς περὶ τοῦ χω-
ρίου τούτου λέγεσθαι, καὶ τὸν ᾅδην ἐνταῦθα καὶ τὸν τάρταρον ἀπῳκίσθαι, γῆν
δὲ μίαν εἶναι τὴν σελήνην, ἴσον ἐκείνων τῶν ἄνω καὶ τῶν κάτω τούτων ἀπέχου-
σαν. ἔτι δέ μου σχεδὸν λέγοντος, ὁ σύλλας ὑπολαβὼν, ἐπίσχες εἶπεν ὦ λαμπρία,
καὶ παραβαλοῦ τὸ θύριον τοῦ λόγου, μὴ λάθῃς τὸν μῦθον, ὥσπερ εἰς γῆν ἐξο-
κείλας, καὶ συγχέῃς τὸ δρᾶμα, τὸ μὲν ἑτέραν ἔχον σκηνὴν καὶ διάθεσιν. ἐγὼ μὲν
οὖν ὑποκριτής εἰμι. πρότερον δ᾽ αὐτοῦ φράσω τὸν ποιητὴν ἡμῖν. εἰ μή τι κωλύοι
καθ᾽ ὅμηρον ἀρξάμενον, ὠγυγίη τις νῆσος ἀποπρόθεν εἰν ἁλὶ κεῖται, δρόμον ἡμε-
ρῶν πέντε βρεττανίας ἀπέχουσα πλέον τι πρὸς ἑσπέραν, ἕτεραι δὲ τρεῖς ἴσον
ἐκείνης ἀφεστῶσαι, καὶ ἀλλήλων, πρόκεινται μάλιστα κατὰ δυσμὰς ἡλίου θε-
ρινάς. ὧν ἐν μιᾷ τὸν κρόνον οἱ βάρβαροι καθεῖρχθαι μυθολογοῦσιν ὑπὸ τοῦ διὸς,
τὸν δὲ ὡς υἱὸν ἔχοντα φρουρὸν τῶν τε νήσων ἐκείνων καὶ τῆς θαλάττης, ἣν κρόνιον
πέλαγος ὀνομάζουσι, παρακάτω κεῖσθαι. τὴν δὲ μεγάλην ἤπειρον, ὑφ᾽ ἧς ἡ μεγά-
λη

λη περιέχεται κύκλῳ θάλαττα, τῶν μὲν ἄλλων ἔλαττον ἀπέχει, τῆς δὲ ὠγυγίας
περὶ πεντακισχιλίους σταδίους κωπήρεσι πλοίοις κομιζομένῳ, βραδύπορον γὰρ
εἶναι καὶ πηλῶδες ὑπὸ πλήθους ῥευμάτων τὸ πέλαγος. τὰ δὲ ῥεύματα τὴν
μεγάλην ἐξιέναι γῆν, καὶ γίνεσθαι προχώσεις ἀπ᾽ αὐτῶν, καὶ βαρεῖαν εἶναι καὶ
γεώδη τὴν θάλατταν. ἢ καὶ πεπηγέναι δόξαν ἔχει. τῆς δὲ ἠπείρου τὰ πρὸς τῇ θα-
λάττῃ κατοικεῖν ἕλληνας περὶ κόλπον οὐκ ἐλάττονα τῆς μαιώτιδος. οὗ τὸ στόμα
τῷ στόματι τοῦ κασπίου πελάγους μάλιστα, κατ᾽ εὐθεῖαν κεῖσθαι. καλεῖν δὲ καὶ νο-
μίζειν ἐκείνους, ἠπειρώτας μὲν αὐτοὺς, ταύτην τὴν γῆν κατοικοῦντας, ὡς καὶ
κύκλῳ περιόρυχον οὖσαν ὑπὸ τῆς θαλάσσης. οἴεσθαι δὲ τοῖς κρόνου λαοῖς ἀνα-
μιχθέντας ὕστερον τοὺς μεθ᾽ ἡρακλέους παραγενομένους καὶ ὑπολειφθέντας, ἤδη
σβεννύμενον τὸ ἑλληνικὸν ἐκεῖ καὶ κρατούμενον, γλώττῃ τε βαρβαρικῇ καὶ νό-
μοις καὶ διαίταις, οἷον ἀναζωπυρῆσαι πάλιν ἰσχυρὸν καὶ πολὺ γενόμενον. διὸ
καὶ ἔχειν πρώτας τὸν ἡρακλέα, δευτέρας δὲ τὸν κρόνον, ὅταν δὲ ὁ τοῦ κρόνου ἀστὴρ,
ὃν φαίνοντα μὲν ἡμεῖς, ἐκεῖνοι δὲ νυκτοῦρον ἔφη καλεῖν, εἰς ταῦρον παραγένηται
δι᾽ ἐτῶν τριάκοντα παρασκευασαμένους ἐν χρόνῳ πολλῷ, τὰ περὶ τὴν θυσίαν
καὶ τὸν ἀ ἐκπέμπειν κλήρῳ λαχόντας πέ-
λαγος τοσοῦτον εἰρεσίᾳ καὶ χρόνον ἐπὶ ξένης βιοτεύειν πολὺν ἐμβαλλόμενον, οὓς
ἀναχθέντας, οὐ χρὴ τύχαις ὡς εἰκὸς ἄλλους ἄλλαις, τοὺς δὲ διασωθέντας ἐκ τῆς
θαλάττης. πρῶτον μὲν ἐπὶ τὰς προκειμένας νήσους, οἰκουμένας δὲ ὑφ᾽ ἑλλήνων
κατέχειν, καὶ τὸν ἥλιον ὁρᾶν κρυπτόμενον ὥρας μιᾶς ἔλαττον ἐφ᾽ ἡμέρας τριά-
κοντα, καὶ νύκτα τοῦτ᾽ εἶναι, σκότος ἔχουσαν ἐλαφρὸν καὶ λυκαυγὲς ἀπὸ δυ-
σμῶν περιλαμπόμενον, ἐκεῖ δὲ διατρίψαντας ἡμέρας ἐνενήκοντα, καὶ μετὰ τιμῆς
καὶ φιλοφροσύνης ἱεροὺς νομιζομένους καὶ προσαγορευομένους, ὑπὸ πνευ-
μάτων ἤδη περαιοῦσθαι, μηδὲ ἄλλους τινὰς ἐνοικεῖν ἢ σφᾶς τε αὐτοὺς, καὶ τοὺς πρὸ
αὐτῶν ἀποπεμφθέντας. ἐξεῖναι μὲν γὰρ ἀποπλεῖν οἴκαδε τοῖς τῷ θεῷ ζισκαιδεκάτῳ
συλλατρεύσαντας, αἱρεῖσθαι δὲ τοὺς πλείστους ἐπιεικῶς αὐτόθι κατοικεῖν, τοὺς μὲν
ὑπὸ συνηθείας, τοὺς δὲ, ὅτι πόνου δίχα καὶ πραγμάτων ἄφθονα πάρεστι πάντα
πρὸς θυσίαις καὶ χορηγίαις. οἱ περὶ λόγους τινὰς αἰεὶ καὶ φιλοσοφίαν διατεί-
βουσι. θαυμαστὸν γοῦν εἶναι τῆς τε νήσου τὴν φύσιν, καὶ τὴν πραότητα τοῦ περιέ-
χοντος ἀέρος. ἐνίοις δὲ καὶ τὸ θεῖον ἐμποδὼν γίνεσθαι διανοηθεῖσιν ἀποπλεῖν, ὥσ-
περ συνήθεσι καὶ φίλοις ἐπιδεικνύμενον. οὐκ ὄναρ μόνον οὐδὲ διὰ συμβόλων,
ἀλλὰ καὶ φανερῶς ἐντυγχάνειν πολλοὺς ὄψεσι δαιμόνων καὶ φωναῖς. αὐτὸν μὲν
γὰρ τὸν κρόνον ἐν ἄντρῳ βαθεῖ περιέχεσθαι πέτρας χρυσοειδοῦς καθεύδοντα. τὸν
γὰρ ὕπνον αὐτῷ μεμηχανῆσθαι δεσμὸν ὑπὸ τοῦ διὸς, ὄρνιθας δὲ τῆς πέτρας κατὰ
κορυφὴν, οὖσα πετομένους ἀμβροσίαν ἐπιφέρειν αὐτῷ, καὶ τὴν νῆσον εὐωδίᾳ κα-
τέχεσθαι πᾶσαν, ὥσπερ ἐκ πηγῆς σκιδναμένῃ τῆς πέτρας, τοὺς δὲ δαίμονας ἐκεί-
νους περιέπειν καὶ θεραπεύειν τὸν κρόνον ἑταίρους αὐτῷ γενομένους, ὅτε δὴ θεῶν
καὶ ἀνθρώπων ἐβασίλευσε. καὶ πολλὰ μὲν ἀφ᾽ ἑαυτῶν μαντικοὺς ὄντας προ-
λέγειν. τὰ δὲ μέγιστα καὶ περὶ τῶν μεγίστων, ὡς ὀνείρατα τοῦ κρόνου κατιόντας ἐξ-
αγγέλλειν. ὅσα γοῦν ὁ ζεὺς προδιανοεῖται, ταῦτα ὀνειροπολεῖν τὸν κρόνον. ἐπὰν δὲ
ἀνάσπασιν τὰ τιτανικὰ πάθη καὶ κινήματα τῆς ψυχῆς ἐν αὐτῷ παντάπασιν ὁ ὕ-
πνος
καὶ γένηται τὸ βασιλικὸν καὶ θεῖον αὐτὸ καθ᾽
ἑαυτὸ καθαρὸν καὶ ἀκήρατον. ἐνταῦθα δὴ κομισθεὶς ὡς ἔλεγεν ὁ ξένος καὶ θε-
ραπεύων τὸν θεὸν ἐπὶ σχολῆς, ἀστρολογίας μὲν ἐφ᾽ ὅσον, γεωμετρή-
σαντι πορρωτάτω προελθεῖν δυνατόν ἐστιν, ἐμπειρίαν ἔχων, φιλοσοφίας δὲ
τῆς ἄλλης τῷ φυσικῷ χρώμενος, ἐπιθυμίαν δέ τινα καὶ πόθον ἔχων γενέσθαι

τῆς μεγάλης νήσου θεατὴς. οὕτω γὰρ ὡς ἔοικε τὴν παρ' ἡμῖν οἰκουμένην ὀνομάζουσιν. ἐπεὶ δὲ τὰ τριάκοντα ἔτη διῆλθεν ἀφικομένων τῶν διαδόχων οἴκοθεν, ἀσπασάμενος τοὺς φίλους ἐξέπλευσε. τὰ μὲν ἄλλα κατεσκευασμένος, εὐσταθῶς. ἐφόδιον δὲ συχνὸν χρυσοῖς ἐκπώμασι κομίζων. ἃ μὲν οὖν ἔπαθε καὶ ὅσοις ἀνθρώποις διῆλθεν, ἱεροῖς τε γράμμασιν ἐντυγχάνων, ἐν τελεταῖς πάσαις τελούμενος, οὐ μιᾶς ἡμέρας ἔργον ἐστὶ διελθεῖν, ὡς ἐκεῖνος ἡμῖν ἀπήγγελλεν. εὖ μάλα καὶ καθ' ἕκαστον ἀπομνημονεύων. ὅσα δὲ οἰκεῖα τῆς ἐνεστώσης διαλέξεως ἐστιν, ἀκούσατε. πλεῖστον γὰρ ἐν Καρχηδόνι χρόνον διέτριψεν. ἅτε δὴ παρ' ἡμῖν μεγάλας ἔχοντος καὶ τινὰς, ὅτε ἡ προτέρα πόλις ἀπώλλυτο διφθέρας ἱερὰς ὑπεκκομισθείσας κρύφα καὶ διαλαθούσας πολὺν χρόνον ἐν γῇ κειμένας ἐξευρεῖν. τῶν τε φαινομένων θεῶν ἔφη χρῆναι καί μοι παρεκελεύετο τιμᾶν διαφερόντως τὴν σελήνην, ὡς τοῦ βίου κυριωτάτην οὖσαν.

ἐχομένην. θαυμάζοντος δέ μου ταῦτα καὶ δεομένου σαφέστερον ἀκοῦσαι, πολλά εἰπεῖν ὦ Σύλλα περὶ θεῶν, οὐ πάντα δὲ καλῶς λέγεται παρ' Ἕλλησιν, οἷον εὐθὺς ὀρθῶς Δήμητραν καὶ Κόρην ὀνομάζοντες, οὐκ ὀρθῶς ὁμοῦ καὶ περὶ τὸν αὐτὸν ἀμφοτέρας εἶναι τόπον νομίζουσιν, ἡ μὲν γὰρ ἐν γῇ καὶ κυρία τῶν περὶ γῆν ἐστιν, ἡ δὲ ἐν σελήνῃ καὶ τῶν περὶ τὴν ἐν τῇ σελήνῃ κόρη τε καὶ Περσεφόνη κέκληται. τὸ μὲν, ὡς φωσφόρος οὖσα. κόρη δὲ, ὅτι καὶ τοῦ ὄμματος, ἐν ᾧ τὸ εἴδωλον ἀντιλάμπει τοῦ βλέποντος ὥσπερ τὸ ἡλίου φέγγος ἐνορᾶται τῇ σελήνῃ, κόρην προσαγορεύομεν. τοῖς τε περὶ τὴν πλάνην, καὶ τὴν ζήτησιν αὐτῶν λεγομένοις ἔνεστι

τὸ ἀληθές. ἀλλήλων γὰρ ἐφίενται χωρὶς οὖσαι. καὶ συμπλέκονται περὶ τὴν σκιὰν πολλάκις. ὃ δὲ νῦν μὲν ἐν οὐρανῷ καὶ φωτὶ, νῦν δ' ἐν σκότῳ καὶ νυκτὶ γενέσθαι περὶ τὴν κόρην, ψεῦδος μὲν οὐκ ἔστιν. οὐδὲ χρόνου τῷ ἀριθμῷ πλάνην παρέσχηκεν. οὐ γὰρ ἓξ μῆνας, ἀλλὰ παρ' ἓξ μῆνας ὁρῶμεν αὐτὴν ὑπὸ τῆς γῆς ὥσπερ ὑπὸ τῆς μητρὸς τῇ σκιᾷ λαμβανομένην. ὀλιγάκις δ' αὐτὸ διὰ πέντε μηνῶν παροῦσαν, ἐπεὶ τόν γε ᾅδην ἀπολιπεῖν ἀδύνατόν ἐστιν αὐτὴν, τὸ ᾅδου πέρας οὖσαν, ὥσπερ καὶ Ὅμηρος ἐπικρυψάμενος, οὐ φαύλως τοῦτο εἶπεν. ἀλλ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης. ὅπου γὰρ ἡ σκιὰ ἐπινεμομένη παύεται, τοῦτο τέρμα τῆς γῆς ἔθετο καὶ πέρας. εἰς δὲ τοῦτο, φαῦλος μὲν οὐδεὶς οὐδὲ ἀκάθαρτος ἄνεισιν. οἱ δὲ χρηστοὶ μετὰ τὴν τελευτὴν κομισθέντες αὐτόθι, ῥᾷστον μὲν οὔπω βίον, οὐ μὴν μακάριον οὐδὲ θεῖον ἔχοντες ἄχρι τοῦ δευτέρου θανάτου διατελοῦσι. τίς δὲ οὗτός ἐστιν ὦ Σύλλα, μὴ περὶ τούτων ἔρῃ, μέλλω γὰρ αὐτὸς διηγεῖσθαι. τὸν ἄνθρωπον οἱ πολλοὶ σύνθετον μὲν ὀρθῶς, ἐκ δυοῖν δὲ μόνον σύνθετον οὐκ ὀρθῶς ἡγοῦνται. μόριον γὰρ εἶναι πως ψυχῆς οἴονται τὸν νοῦν. νοῦς γὰρ ψυχῆς, ὅσῳ ψυχὴ σώματος ἄμεινόν ἐστι καὶ θειότερον. ποιεῖ δὲ ἡ μὲν ψυχῆς σύνοδος λόγον, τριῶν δὲ τούτων τὸ μὲν, ἡδονῆς ἀρχὴ καὶ πόνου, τὸ δὲ ἀρετῆς καὶ κακίας. τριῶν δὲ τούτων συμπαγέντων, τὸ μὲν σῶμα ἡ γῆ, τὴν δὲ ψυχὴν ἡ σελήνη, τὸν δὲ νοῦν ὁ ἥλιος παρέ-

ὥσπερ οὖν τῇ σελήνῃ τὸ φέγγος. ἐν ἐκ-

σχεν εἰς τὴν γένεσιν.

ὃν δὲ ἀποθνήσκομεν θάνατον, ὁ μὲν, ἐκ τριῶν δύο ποιεῖ τὸν ἄνθρωπον, ὁ δὲ,

ἐν αὐτῇ τελεῖν. καὶ

δυοῖν. καὶ ὁ μέν ἐστιν ἐν τῇ τῆς Δήμητρος.

τοὺς νεκροὺς Ἀθηναῖοι Δημητρείους ὠνόμαζον. τὸ παλαιὸν δὲ ἐν τῇ σελήνῃ τῆς Περσεφόνης, καὶ σύνοικός ἐστι, τῆς μὲν χθόνιος ὁ Ἑρμῆς, τῆς δὲ, οὐράνιος. λύει δὲ αὕτη μὲν ταχὺ καὶ μετὰ βίας τὴν ψυχὴν ἀπὸ τοῦ σώματος, ἡ δὲ Περσεφόνη πρᾴως καὶ χρόνῳ πολλῷ τὸν νοῦν ἀπὸ τῆς ψυχῆς. καὶ διὰ τοῦτο μονογενὴς κέκληται. μόνη γὰρ γίνεται τὸ βέλτιον τοῦ ἀνθρώπου διακρινόμενον αὐτῆς. συντυγχάνει δὲ

οὕτως

οὗτος κατὰ φύσιν ἑκάτερον. πᾶσαν ψυχὴν ἄνουν τε καὶ σὺν νῷ σώματος ἐκπεσοῦσαν, εἱμαρμένον ἐστὶ τῷ μεταξὺ γῆς καὶ σελήνης χωρίῳ πλανηθῆναι χρόνον οὐκ ἴσον, ἀλλ' αἱ μὲν ἄδικοι καὶ ἀκόλαστοι δίκας τῶν ἀδικημάτων τίνουσι τὰς δὲ ἐπιεικεῖς, ὅσοι ἀφαγνεῦσαι καὶ ἀποπνεῦσαι ἀπὸ τοῦ σώματος, ὥσπερ αἰτίου πονηροῦ μιασμοὺς, ἐν τῷ πρᾳοτάτῳ τοῦ ἀέρος, ὃν λειμῶνας ᾅδου καλοῦσι, δεῖ γίνεσθαι χρόνον τινὰ τεταγμένον οἷον ἐξ ἀποδημίας ἀνακομιζόμεναι φυγαδικῆς, εἰς πατρίδα γεύονται χαρᾶς οἷον οἱ τελούμενοι μάλιστα θορύβῳ καὶ πτοήσει συγκεκραμένην μετ' ἐλπίδος ἰδίας ἔχουσι. πολλὰς γὰρ ἐξωθεῖ καὶ ἀποκυματίζει γλιχομένας ἤδη τῆς σελήνης. ἐνίας δὲ καὶ τῶν ἐκεῖ περὶ κάτω τρεπομένας, οἷον εἰς βυθὸν αὖθις ὁρῶσι καταγινομένας. αἱ δὲ ἄνω γενόμεναι, καὶ βεβαίως ἱδρύθησαν. πρῶτον μὲν ὥσπερ οἱ νικηφόροι περιΐασιν ἀναδούμενοι στεφάνοις πτερῶν εὐσταθείας λεγομένας, ὅτι τῆς ψυχῆς, τὸ ἄλογον καὶ τὸ παθητικὸν. εὐήνιον ἐπιεικῶς τῷ λόγῳ καὶ κεκοσμημένον ἐν τῷ βίῳ παρέσχοντο. δεύτερον ἀκτῖνι τὴν ὄψιν ἐοικέναι. περὶ δὲ τὴν ψυχὴν ἄνω κουφιζομένην, ὥσπερ ἐνταῦθα τὸ περὶ τὴν σελήνην αἰθέρι, καὶ τόνον ἀφ' αὐτοῦ καὶ δύναμιν οἷον τὰ στομούμενα βαφῇ ἴσχουσι. τὸ γὰρ ἀραιὸν ἔτι καὶ διακεχυμένον, ῥώννυται καὶ γίνεται σταθερὸν καὶ διαυγὲς ὥστε ὑπὸ τῆς τυχούσης ἀναθυμιάσεως τρέφεσθαι. καὶ καλῶς Ἡράκλειτος εἶπεν. ὅτι αἱ ψυχαὶ ὀσμῶνται καθ' ᾅδην. ἐφορῶσι δὲ πρῶτον μὲν αὐτῆς σελήνης τὸ μέγεθος καὶ τὸ κάλλος καὶ τὴν φύσιν οὐχ ἁπλῆν οὐδὲ ἄμικτον, ἀλλ' οἷον ἄστρου σύγκραμα καὶ γῆς οὖσαν. ὡς γὰρ ἡ γῆ πνεύματι μεμιγμένη καὶ ὑγρῷ μαλακὴ γέγονε καὶ τὸ αἷμα τῇ σαρκὶ παρέχει τὴν αἴσθησιν ἐγκεκραμένον. οὕτω τῷ αἰθέρι λέγουσι τὴν σελήνην ἀνακεκραμένην διὰ βάθους. ἅμα μὲν ἔμψυχον εἶναι καὶ γόνιμον, ἅμα δὲ ἰσόρροπον ἔχειν τὴν πρὸς τὸ βαρὺ συμμετρίαν τῆς κουφότητος. καὶ γὰρ αὐτὸν οὕτω τὸν κόσμον ἐν τῷ ἄνω καὶ κάτω φύσει φερομένων συνηρμοσμένον, ἀπηλλάχθαι παντάπασι τῆς κατὰ τόπον κινήσεως. ταῦτα δὲ καὶ Ξενοκράτης ἔοικεν ἐννοῆσαι θείῳ τινὶ λογισμῷ τὴν ἀρχὴν λαβὼν παρὰ Πλάτωνος. Πλάτων γάρ ἐστιν ὁ καὶ τῶν ἀστέρων ἕκαστον ἐκ γῆς καὶ πυρὸς συνηρμόσθαι, διὰ τῶν μεταξὺ φύσεων ἀναλογίᾳ δοθεισῶν ἀποφηνάμενος. οὐδένα γὰρ εἰς αἴσθησιν ἐξικνεῖσθαι, ᾧ μή τι γῆς ἐμμέμικται καὶ φωτός. ὁ δὲ Ξενοκράτης τὰ μὲν ἄστρα καὶ τὸν ἥλιον, ἐκ πυρός φησι καὶ τοῦ πρώτου πυκνοῦ συγκεῖσθαι. τὴν δὲ σελήνην ἐκ τοῦ δευτέρου πυκνοῦ καὶ τοῦ ἰδίου ἀέρος. τὴν δὲ γῆν ἐξ ὕδατος καὶ πυρὸς καὶ τοῦ τρίτου τῶν πυκνῶν. ὅλως δὲ μήτε τὸ πυκνὸν αὐτὸ καθ' αὐτὸ, μήτε τὸ μανὸν εἶναι ψυχῆς δεκτικὸν, καὶ ταῦτα μὲν περὶ οὐσίας σελήνης. εὖρος δὲ καὶ μέγεθος οὐχ ὅσον οἱ γεωμέτραι λέγουσιν. ἀλλὰ μεῖζον πολλάκις ἐστί. καταμετρεῖ δὲ τὴν σκιὰν τῆς γῆς ὀλιγάκις τοῖς ἑαυτοῦ μεγέθεσιν οὐχ ὑπὸ σμικρότητος ἀλλὰ θερμότητα ἐπάγει τὴν κίνησιν. ὅπως ταχὺ διαπορθμεύσῃ τὸν σκοτώδη τόπον ὑπεκφέρουσα τῶν ἀγαθῶν σπευδούσας καὶ βοώσας. οὐκέτι γὰρ ἐξακούουσιν ἐν τῇ σκιᾷ γενόμεναι τῆς περὶ τὸν οὐρανὸν ἁρμονίας. ἅμα δὲ καὶ κάτωθεν αἱ τῶν κολαζομένων ἀρχαὶ τηνικαῦτα διὰ τῆς σκιᾶς ὀδυρόμεναι, ἀλαλάζουσαι προσφερόντας. διὸ καὶ κροτεῖν ἐν ταῖς ἐκλείψεσιν εἰώθασιν οἱ πλεῖστοι χαλκώματα, καὶ ψόφον ποιεῖν καὶ πάταγον ἐπὶ τὰς ψυχάς. ἐκφοβεῖ δὲ αὐτὰς καὶ τὸ καλούμενον πρόσωπον ὅταν ἐγγὺς γένωνται. βλοσυρόν τι καὶ φρικῶδες ὁρώμενον. ἔστι δὲ οὐ τοιοῦτον, ἀλλ' ὥσπερ ἡ παρ' ἡμῖν ἔχει γῆ κόλπους βαθεῖς, καὶ μεγάλους. ἕνα μὲν ἐνταῦθα διὰ στηλῶν Ἡρακλείων ἀναχεόμενον εἴσω πρὸς ἡμᾶς. ἔξω δὲ τὸν Κάσπιον καὶ τοὺς περὶ τὴν Ἐρυθρὰν θάλατταν, οὕτω βάθη ταῦτα τῆς σελήνης ἐστὶ καὶ κοιλώματα. καλοῦσι δὲ αὐτῶν

τὸ μὲν μέγιστον ἑκάτης μυχὸν, ὅπου καὶ δίκας διδόασιν αἱ ψυχαὶ καὶ λαμβάνουσιν, ὧν ἂν ἤδη γεγενημέναι ἢ πάθωσιν ἢ δράσωσιν. τὰς δὲ δύο μακρὰς, περαιοῦνται γὰρ αἱ ψυχαὶ δι' αὐτῶν· νῦν μὲν εἰς τὰ πρὸς οὐρανὸν τῆς σελήνης, νῦν δὲ πάλιν εἰς τὰ πρὸς γῆν· ὀνομάζεσθαι δὲ, τὰ μὲν πρὸς οὐρανὸν τῆς σελήνης ἠλύσιον πεδίον, τὰ δ' ἐνταῦθα περσεφόνης οὐκ ἀντίχθονος. οὐκ ἀεὶ δὲ διατρίβουσιν ἐπ' αὐτῆς οἱ δαίμονες, ἀλλὰ χρηστηρίων δεῦρο κατίασιν ἐπιμελησόμενοι. καὶ ταῖς ἀνωτάτω συμπάρεισι καὶ συνοργιάζουσι τῶν τελετῶν, κολασταί τε γίνονται καὶ φύλακες ἀδικημάτων καὶ σωτῆρες ἔν τε πολέμοις καὶ κατὰ θάλατταν ἐπιλάμπουσιν. ὅτι δ' ἂν μὴ καλῶς περὶ ταῦτα πράξωσιν, ἀλλὰ ὑπ' ὀργῆς ἢ πρὸς ἄδικον χάριν ἢ φθόνῳ, δίκην τίνουσιν· ὠθοῦνται γὰρ αὖθις ἐπὶ γῆν συῤῥηγνύμενοι σώμασιν ἀνθρωπίνοις. ἐκ δὲ τῶν βελτιόνων ἐκείνων οἵ τε περὶ τὸν κρόνον ὄντες ἔφασαν αὐτοὺς εἶναι καὶ πρότερον ἐν τῇ κρήτῃ τοὺς ἰδαίους δακτύλους, ἔν τε φρυγίᾳ τοὺς κορύβαντας γενέσθαι, καὶ τοὺς περὶ βοιωτίαν ἐνουδώσα τροφωνιάδας, καὶ μυρίους ἄλλους πολλαχόθι τῆς οἰκουμένης· ὧν ἱερὰ καὶ τιμαὶ καὶ προσηγορίαι διαμένουσιν. αἱ δὲ δυνάμεις ἐνίων εἰς ἕτερον τόπον τῆς ἀρίστης ἐξαλλαγῆς τυγχανόντων. τυγχάνουσι δὲ οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον, ὅταν ὁ νοῦς ἀποκριθῇ τῆς ψυχῆς· ἀποκρίνεται δὲ ἔρωτι τῆς περὶ τὸν ἥλιον εἰκόνος, δι' ἧς ἐπιλάμπει τὸ ἐφετὸν καὶ καλὸν καὶ θεῖον καὶ μακάριον, οὗ πᾶσα φύσις, ἄλλη δὲ ἄλλως ὀρέγεται. καὶ γὰρ αὐτὴν τὴν σελήνην ἔρωτι τοῦ ἡλίου περιπολεῖν ἀεὶ, καὶ συγγίνεσθαι, ὀρεγομένην ἀπ' αὐτοῦ τὸ γονιμώτατον. λείπεται δὲ ἡ τῆς ψυχῆς φύσις ἐπὶ τὴν σελήνην, οἷον ἴχνη τινὰ βίου καὶ ὀνείρατα διαφυλάττουσα, καὶ περὶ ταύτης ὀρθῶς ἡγοῦ λελέχθαι, τὸ, ψυχὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται. οὐδὲ γὰρ εὐθὺς οὐδὲ τοῦ σώματος ἀπαλλαγεῖσα τοῦτο πέπονθεν, ἀλλὰ ὕστερον, ὅταν ἔρημος καὶ μόνη τοῦ νοῦ ἀπολειπομένη γένηται. καὶ ὅμηρος ὧν εἶπε πάντων, μάλιστα δὴ κατὰ θεὸν εἰπεῖν ἔοικε περὶ τῶν καθ' ᾅδου· τὸν δὲ μετ' εἰσενόησα βίην ἡρακληείην εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσιν. αὐτός τε γὰρ ἕκαστος ἡμῶν οὐ θυμός ἐστιν, οὐδὲ φόβος, οὐδὲ ἐπιθυμία, καθάπερ οὐδὲ σάρκες, οὐδὲ ὑγρότητες, ἀλλ' ᾧ διανοούμεθα καὶ φρονοῦμεν, ἥ τε ψυχὴ τυπουμένη μὲν ὑπὸ τοῦ νοῦ. τυποῦσα δὲ τὸ σῶμα καὶ περιπτύπου πανταχόθεν ἐκμάττεται τὸ εἶδος, ὥστε κἂν πολὺν χρόνον χωρὶς ἑκατέρου γένηται, διατηροῦσα τὴν ὁμοιότητα καὶ τὸν τύπον, εἴδωλον ὀρθῶς ὀνομάζεται. τούτων δὲ ἡ σελήνη καθάπερ εἴρηται στοιχεῖόν ἐστιν, ἀναλύονται γὰρ εἰς ταύτην, ὥσπερ εἰς τὴν γῆν τὰ σώματα τῶν νεκρῶν. ταχὺ μὲν αἱ σώφρονες μεθ' σχολῆς ἀπράγμονα καὶ φιλόσοφον στέρξασαι βίον, ἀφεθεῖσαι γὰρ ὑπὸ τοῦ νοῦ, καὶ πρὸς οὐδὲν ἔτι χρώμεναι τοῖς πάθεσιν ἀπομαραίνονται. τῶν δὲ φιλοτίμων καὶ πρακτικῶν, ἐρωτικῶν τε περὶ σώματα καὶ θυμοειδῶν, αἱ μὲν, οἷον ἐν ὕπνῳ ταῖς τοῦ βίου μνημοσύναις ὀνείρασι χρώμεναι διαφέρονται, καθάπερ ἡ τοῦ ἐνδυμίωνος, ἐπεὶ δ' αὐτὰς τὸ ἄστατον καὶ τὸ ἀπαθὲς ἐξίστησι, καὶ ἀφέλκει τῆς σελήνης πρὸς ἄλλην γένεσιν, οὐκ ἐᾷ, ἀλλ' ἀνακαλεῖται καὶ καταθέλγει, μικρὸν γὰρ οὐδὲν οὐδὲ ἥσυχον, οὐδὲ ὁμολογούμενον ἔργον ἐστὶν, ὅταν ἄνευ νοῦ τῷ παθητικῷ σώματος ἐπιλάβωνται, τιτυοὶ δὲ καὶ τυφῶνες, ὅ, τε δελφοὺς κατασχὼν καὶ συνταράξας τὸ χρηστήριον ὕβρει καὶ βίᾳ τυφὼν, ἐξ ἐκείνων ἄρα τῶν ψυχῶν ἦσαν, ἔρημοι λόγῳ ἢ τύφῳ πλανηθέντι τῷ παθητικῷ χρησάμεναι. χρόνῳ δὲ κἀκείνας κατέλεξεν εἰς αὐτὴν ἡ σελήνη κατεκόσμησεν, εἶτα τὸν νοῦν αὖθις ἐπισπείροντος τοῦ ἡλίου τῷ ζωτικῷ δεξαμένη, νέας ποιεῖ ψυχὰς, ἡ δὲ γῆ τρίτον σῶμα παρέχων. οὐδὲν γὰρ αὕτη δίδωσι μετὰ θάνατον ὅσα λαμβάνει

πρὸς γένεσιν. ἥλιος δὲ λαμβάνει μὲν οὐδὲν, ἀπολαμβάνει δὲ τὸν νοῦν διδοὺς, σελήνης δὲ, καὶ λαμβάνει καὶ δίδωσι καὶ συντίθησι, καὶ διαιρεῖ καὶ κατὰ ἄλλην καὶ ἄλλην δύναμιν, ὧν εἰλήθυια μὲν, ἡ συντίθησιν, ἄρτεμις δὲ ἡ διαιρεῖ, καλεῖται. καὶ τριῶν μοιρῶν, ἡ μὲν ἄτροπος περὶ τὸν ἥλιον ἱδρυμένη, τὴν ἀρχὴν ἐνδίδωσι τῆς γενέσεως· ἡ δὲ κλωθὼ, περὶ τὴν σελήνην φερομένη, συνδεῖ καὶ μίγνυσιν, ἐσχάτη δὲ συνεφάπτεται περὶ γῆν ἡ λάχεσις, ᾗ πλεῖστον τύχης μέτεστι. τὸ γὰρ ἄψυχον, ἄκυρον αὐτὸ καὶ παθητὸν ὑπ' ἄλλων. ὁ δὲ νοῦς, ἀπαθὴς καὶ αὐτοκράτωρ. μικτὸν δὲ καὶ μέσον ἡ ψυχή. καθάπερ ἡ σελήνη ἄνω καὶ κάτω σύμμιγμα καὶ μέγα κέρας ὑπὸ τοῦ θεοῦ γέγονε, τοῦτον ἄρα πρὸς ἥλιον ἔχουσα τὸν λόγον, ὃν ἔχει πρὸς σελήνην. ταῦτ' εἶπεν ὁ σύλλας, ἐγὼ μὲν ἤκουσα τοῦ ξένου διεξιόντος, ἐκείνῳ δὲ οἱ τοῦ κρόνου κατευνασταὶ καὶ θεράποντες, ὡς ἔλεγεν αὐτὸς ἐξήγγειλαν. ὑμῖν δὲ ὦ λαμπρία χρῆσθαι τῷ λόγῳ πάρεστιν ᾗ βούλεσθε.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΧΡΑΝ ΕΜΜΕΤΡΑ ΝΥΝ ΤΗΝ ΠΥΘΙΑΝ.

Σπέραν ἐποιήσατε βαθεῖαν ὦ φιλῖνε διὰ τῶν ἀναθημάτων παραπέμποντες τὸν ξένον, ἐγὼ γοῦν ὑμᾶς ἀναμένων, ἀπηγόρευσα. βραδέως γοῦν ὁδεύομεν ὦ βασιλόκλεις σπείροντες λόγους καὶ θερίζοντες εὐθὺς μετὰ μάχης ὑπούλους καὶ πολεμικοὺς, ὥσπερ οἱ σπαρτοὶ βλαστάνοντας ἡμῖν καὶ ὑποφυομένους κατὰ τὴν ὁδόν. ἕτερον οὖν δεήσει τινὰ παρακαλεῖν τῶν παραγεγονότων, ἢ σὺ βούλει χαριζόμενος ἡμῖν διελθεῖν, τίνες ἦσαν οἱ λόγοι, καὶ τίνες οἱ λέγοντες, ἐμὸν ὡς ἔοικεν ὦ βασιλόκλεις τὸ ἔργον. τῶν γὰρ ἄλλων οὐδενὶ ῥᾳδίως ἂν ἐντύχοις κατὰ πόλιν. τοὺς γοῦν πλείστους ἑώρων αὖθις εἰς τὸ κωρύκιον τῷ ξένῳ καὶ τὴν λυκουρίαν συναναβαίνοντας, ἢ φιλοθεάμων τις ἡμῖν καὶ περιττῶς φιλήκοός ἐστιν ὁ ξένος. φιλόλογος δὲ καὶ φιλομαθής ἐστι μᾶλλον. οὐ μὴν ταῦτα μάλιστα θαυμάζειν ἄξιον ἀλλὰ πρᾳότης τε πολλὴν χάριν ἔχουσα καὶ τὸ μάχιμον καὶ διαπορητικὸν ὑπὸ συνέσεως, οὔτε δύσκολον, οὔτε ἀντίτυπον πρὸς τὰς ἀποκρίσεις. ὥστε καὶ βραχὺ συγγενόμενον εὐθὺς εἰπεῖν τέκος ἀγαθοῦ πατρός. οἶσθα γοῦν διογενιανὸν ἀνδρῶν ἄριστον αὐτὸς μὲν οὐκ εἶδον ὦ φιλῖνε, πολλεῖ δὲ τούτοις. ἕτερα περὶ τοῦ νεανίσκου λέγουσι. ἀλλὰ τίνα ἑτέραν ἀρχὴν ἔσχον οἱ λόγοι καὶ πρόφασιν. ἐπέραινον οἱ περιηγηταὶ τὰ συντεταγμένα, μηδὲν ἡμῶν φροντίσαντες δεηθέντων. ἐπιτεμεῖν τὰς ῥήσεις καὶ τὰ πολλὰ τῶν ἐπιγραμμάτων. τὸν δὲ ξένον ἡ μὲν ἰδέα καὶ τὸ τεχνικὸν τῶν ἀνδριάντων μετρίως προσῆγε πολλῶν καὶ καλῶν ἔργων ὡς ἔοικε θεατὴν γεγενημένον. ἐθαύμαζον δὲ τοῦ χαλκοῦ τὸ ἀνθηρὸν, ὡς οὐ πίνῳ προσεοικὸς, οὐδὲ ἰῷ. βαφῇ δὲ κυανοῦ στίλβοντος. ὥστε καὶ πέμψαι τι πρὸς τοὺς ναυάρχους· ἀπ' ἐκείνων γὰρ ἤρκται τῆς θέας. οἷον ἀτεχνῶς θαλαττίους τῇ χρόᾳ καὶ βυθίους ἑστῶσας. ἆρ' οὖν ἔφη κρᾶσίς τις ἦν καὶ φάρμαξις τῶν πάλαι τεχνιτῶν περὶ τὸν χαλκόν; τὸ μὲν γὰρ κορίνθιον, οὐ τέχνης ἀλλὰ συντυχίᾳ τῆς χρόας λαβεῖν τὸ κάλλος ἐπινεμαμένου πυρὸς οἰκίαν ἔχουσάν τι χρυσοῦ καὶ ἀργύρου. πλεῖστον δὲ χαλκὸν ἀπονείμενον· ὧν συγχυθέντων καὶ συντακέντων, ὄνομα τοῦ χαλκοῦ τῷ μείζονι τὸ πλῆθος παρέχων. ὁ δὲ θέων ὑπολαβὼν, ἄλλον ἔφη λόγον ἡμεῖς ἀκηκόαμεν πανουργέστερον, ὡς ἀνὴρ ἐν κορίνθῳ χαλκοτύπος ἐπιτυχὼν θήκῃ χρυσίον ἐχούσῃ πολὺ καὶ δεδοικὼς φανερὸς γενέσθαι,

κατὰ μικρὸν ἀποκόπτων καὶ ὑπομιγνὺς ἀτρέμα τῷ χαλκῷ, θαυμαστὴν λαμβά-
νοντι κρᾶσιν, ἐπίπρασκε πολλοῦ διὰ τὴν χρόαν καὶ τὸ κάλλος ἀγαπώμενον. ἀλλὰ
καὶ ταῦτα κἀκεῖνα μυθῶδές ἐστιν. ἦν δέ τις ὡς ἔοικε μίξις καὶ ἄρτυσις, ὥσπερ καὶ
νῦν ἀνακεραννύντες ἀργύρῳ χρυσὸν ἰδίαν τινὰ καὶ περιττήν, ἐμοὶ δὲ φαινομέ-
νην νοσώδη χλωρότητα καὶ φθορὰν ἀκαλλῆ παρέχουσι. τίνα οὖν αἰτίαν ἔφη ὁ
διογενιανὸς οἴει τῆς ἐνταῦθα τοῦ χαλκοῦ χροιᾶς γεγονέναι. καὶ ὁ θέων. ὅταν ἔφη
τῶν πρώτων καὶ φυσικωτάτων καὶ ἐσομένων καὶ ὄντων, πυρὸς καὶ γῆς καὶ ἀέ-
ρος καὶ ὕδατος καὶ μηδὲν ἄλλο τῷ χαλκῷ πλησιάζῃ μηδὲ ὁμιλῇ. πλὴν μόνος ὁ
ἀήρ, δῆλός ἐστιν ὑπὸ τούτου πεπονθὼς. καὶ διὰ τοῦτον ἐσχηκὼς ἣν ἔχει διαφορὰν
περὶ
ἀεὶ συνόντα καὶ προσκείμενον, ἢ τοῦτο μὲν
θέογνιν γεγονέναι κατὰ τὸ κωμικόν, ἣν δὲ ἔχων φύσιν ὁ ἀήρ, ἥντε χρώμενος δυ-
νάμει κατὰ τὰς ἐπιψαύσεις ἐπικέχρωκε τὸν χαλκὸν ἐπιθυμεῖς μαθεῖν; φήσαν-
τος δὲ τοῦ διογενιανοῦ. καὶ γοῦν ἐγὼ εἶπεν ὦ παῖ, ζητῶμεν οὖν κοινῇ καὶ πρότερον
εἰ βούλει δι' ἣν αἰτίαν μάλιστα τῶν ὑγρῶν ἀναπίμπλησιν ἰοῦ τοὔλαιον, οὐ γὰρ αὐ-
τό γε δήπου τῷ χαλκῷ προστρίβεσθαι, τὸν ἰόν. ἅτε δὴ καθαρὸν αὐτῷ καὶ ἀμίαν-
τον πλησιάζοντα. οὐδαμῶς εἶπεν ὁ νεανίας, ἄλλο δ' αὐτῷ δοκεῖ τοῦτο τὸ αἴτιον
ὑπάρχει, λεπτῷ γὰρ ὄντι καὶ καθαρῷ καὶ διαυγεῖ προσπίπτων ὁ ἰός, ἐκφα-
νέστατός ἐστιν, ἐν δὲ τοῖς ἄλλοις ὑγροῖς ἀφανίζεται. καὶ ὁ θέων εὖγε εἶπεν ὦ παῖ
καὶ σκόπει δὲ εἰ βούλει καὶ τὴν ὑπὸ ἀριστοτέλους αἰτί-
αν λεγομένην. ἀλλὰ βούλομαι εἰπεῖν. φησὶ τοίνυν τῶν μὲν ἄλλων ὑγρῶν πιόντα
διέχειν. ἀδήλως καὶ διασπείρεσθαι τὸν ἰόν, ἀνωμάλων
καὶ μενόντων τοῦ δὲ ἐλαίου τῇ πυκνότητι στέγεσθαι καὶ διαμένειν ἀθροιζόμενον.
αὖ οὖν καὶ αὐτοί τι τοιοῦτον ὑποθέσθαι δυνηθῶμεν, οὐ παντάπασιν ἀπορήσο-
μεν ἐπῳδῆς καὶ παραμυθίας. πρὸς τὴν ἀπορίαν. ὡς οὖν ἐκελεύομεν καὶ συνε-
χωροῦμεν, ἔφη τὸν ἀέρα τὸν ἐν δελφοῖς πυκνὸν ὄντα καὶ συνεχῆ καὶ τόνον ἔχον-
τα διὰ τὴν ἀπὸ τῶν ὀρῶν ἀνάκλασιν καὶ ἀντέρεισιν. ἔτι καὶ δηκτικὸν ὥσπερ μαρ-
τυρεῖ καὶ τὰ περὶ τὰς πέψεις τροφῆς. ἐνδυόμενον οὖν ὑπὸ λεπτότητος καὶ τέ-
μνοντα τὸν χαλκὸν ἀναχαράσσειν πολὺν ἰὸν ἐξ αὐτοῦ καὶ γεώδη. στέγειν δὲ τοῦτον
μὴ διδούσης τὸν διέ-
αὖ πάλιν καὶ πιέζειν τῆς πυκνότητος
ὑφιστάμενον αὐτὴν διὰ πλῆθος ἐξανθεῖν, καὶ λαμβάνειν αὐγὴν καὶ γάνωμα περὶ
τὴν ἐπιφάνειαν. ἀποδεξαμένων δὲ ἡμῶν, ὁ ξένος ἔφη τὴν ἑτέραν ἀρκεῖν ὑπόθεσιν
πρὸς τὸν λόγον. ἡ δὲ λεπτότης ἔφη δόξειεν ὑπεναντιοῦσθαι καὶ πρὸς τὴν λεγο-
μένην πυκνότητα τοῦ ἀέρος, λαμβάνεται δὲ οὐκ ἀναγκαίως. αὐτὸς γὰρ ὑφ' ἑαυ-
τοῦ παλαιούμενος ὁ χαλκὸς ἀποπνεῖ καὶ μεθίησι τὸν ἰόν, ἣν ἡ πυκνότης συνέχου-
σα καὶ παχύνουσα, ποιεῖ ἐκφανῆ διὰ πλῆθος. ὑπολαβὼν δὲ ὁ θέων, τί γοῦν εἶπεν ὦ
ξένε κωλύει ταὐτὸ εἶναι καὶ λεπτὸν καὶ πυκνόν, ὥσπερ τὰ σηρικὰ καὶ τὰ βύσ-
σινα τῶν ὑφασμάτων, ἐφ' ὧν καὶ ὅμηρος εἶπε καὶ
δ' ὀθονῶν ἀπολείβεται ὑγρὸν ἔλαιον ἐνδεικνύμενος. τὴν ἀκρίβειαν καὶ λε-
πτότητα τοῦ ὕφους τῷ μὴ προσμένειν τὸ ἔλαιον, ἀλλ' ἀπορρεῖν καὶ ἀπολισθαί-
νειν τῆς πυκνότητος, οὐ δίησι. καὶ μὴν οὐ μόνον πρὸς τὴν ἀναχάραξιν τοῦ ἰοῦ. χρή-
σαιτ' ἂν τῇ λεπτότητι τοῦ ἀέρος, ἀλλὰ καὶ τὴν χρόαν αὐτὴν ποιεῖν ἔοικεν ἡδίο-
να καὶ γλαυκοτέραν ἀναμιγνύουσα τῷ κυανῷ φῶς καὶ αὐγήν. ἐκ τούτου γενομέ-
νης σιωπῆς. πάλιν οἱ περιηγηταὶ προσεχείριζοντο ταῖς ῥήσεις. χρησμοῦ δέ τινος
ἐμμέτρου λεχθέντος οἶμαι περὶ τῆς αἴγωνος τοῦ ἀργείου βασιλείας, πολλάκις
ἔφη θαυμάσαι τῶν ἐπῶν ὁ διογενιανὸς ἐν οἷς οἱ χρησμοὶ λέγονται τὴν φαυλό-
τητα καὶ τὴν εὐτέλειαν καίτοι μουσηγέτης ὁ θεὸς. καὶ τῆς λεγομένης λογιότητος

οὐχ ἧττον αὐτῷ τὸ καλόν, ἢ τῆς περὶ μέλη καὶ ᾠδὰς καὶ εὐφωνίας μετεῖναι.
καὶ πολὺ τὸν ἡσίοδον εὐεπείᾳ καὶ τὸν ὅμηρον ὑπερφθέγγεσθαι, τοὺς δὲ πολλοὺς τῶν
χρησμῶν ὁρῶμεν καὶ τοῖς μέτροις καὶ τοῖς ὀνόμασι πλημμελείας καὶ φαυλότητος
ἀναπεπλησμένους. παρὼν οὖν ἀθήνηθεν ὁ ποιητὴς σεραπίων. εἶτα ἔφη ταῦ-
τα τὰ ἔπη τοῦ θεοῦ πιστεύοντες εἶναι. τὸ ἄσωμον οὖν πάλιν ὡς λέγεται κάλλει
τῶν ὁμήρου καὶ ἡσιόδου λέγειν. οὐ χρησόμεθα τούτοις ὡς ἄριστα καὶ κάλλιστα πε-
ποιημένοις ἐπανορθούμενοι τὴν αὐτῶν κρίσιν προκατειλημμένην ὑπὸ φαύλης
συνηθείας. ὑπολαβὼν οὖν βόηθος ὁ γεωμέτρης, οἶσθα γὰρ τὸν ἄνδρα μεταταττό-
μενον ἤδη πρὸς τὸν ἐπίκουρον, ἆρ' οὖν ἔφη τὸ τοῦ ζωγράφου παύσωνος ἀκήκοας;
οὐκ ἔγωγε εἶπεν ὁ σεραπίων, ἀλλὰ μὴν ἄξιον. ἐκλαβὼν γὰρ ὡς ἔοικεν, ἵππον ἀλινδού-
μενον γράψαι, τρέχοντα ἔγραψεν. ἀγανακτοῦντος δὲ τοῦ ἀνθρώπου, γελάσας ὁ
παύσων, κατέστρεψε τὸν πίνακα. καὶ γενομένων ἄνω τῶν κάτω πάλιν ὁ ἵππος
οὐ τρέχων ἀλλ' ἀλινδούμενος ἐφαίνετο. τοῦτό φησιν ὁ βίων ἐνίους τῶν λόγων πά-
σχειν, ὅταν ἀναστρέφωσι. διὸ καὶ τοὺς χρησμοὺς ἔνιοι φήσουσιν οὐ καλῶς ἔχειν, ὅτι
τοῦ θεοῦ εἰσιν. ἀλλὰ τοῦ θεοῦ μὴ εἶναι, ὅτι φαύλως ἔχουσιν, ἐκεῖνο μὲν γὰρ ἐν ἀδή-
λῳ. τὸ δὲ πεποιῆσθαι τὰ περὶ τοὺς χρησμοὺς καίτοι κειτῇ δήπου
θεν ὦ φίλε σεραπίων εἶπεν ἐναργές ἐστι. ποιήματα μὲν γὰρ γράφεις τοῖς μὲν πράγ-
μασι φιλοσόφως καὶ αὐστηρῶς, δυνάμει δὲ καὶ χάριτι καὶ κατασκευῇ περὶ λέ-
ξιν ἐοικότα τοῖς ὁμήρου καὶ ἡσιόδου μᾶλλον, ἢ τοῖς ὑπὸ τῆς πυθίας ἐκφερομέ-
νοις καὶ ὁ σεραπίων. νοσοῦμεν γοῦν ἐν τενῷ βόηθε καὶ τὰ ὦτα καὶ τὰ ὄμματα συ-
νεθισμένοι διὰ τρυφὴν καὶ μαλακίαν τὰ ἡδίω καλὰ νομίζειν καὶ ἀποφαίνεσθαι.
τάχα δὴ μεμψόμεθα τὴν πυθίαν, ὅτι γλαύκης οὐ φθέγγεται τῆς κιθαρῳδοῦ λι-
γυρώτερον, οὐδὲ χριομένη μύροις, οὐδὲ ἁλουργίδας ἀμπεχομένη. καὶ πίσιν εἰς τὸ
οὐδὲ ἐπιθυμιᾷ κασίαν ἢ λήδανον ἢ λιβανωτόν, ἀλλὰ δάφνην καὶ κρίθινον ἄλευ-
ρον. οὐχ ὁρᾷς εἶπεν ὅσην χάριν ἔχει τὰ σαπφικὰ μέλη κηλοῦντα καὶ καταθέλ-
γοντα τοὺς ἀκροωμένους, σίβυλλα δὲ μαινομένῳ στόματι καθ' ἡράκλειτον ἀγέλαστα
καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα φθεγγομένη, χιλίων ἐτῶν ἐξικνεῖται τῇ φωνῇ
διὰ τὸν θεόν. ὁ δὲ πίνδαρος ἀκούσας φησὶ τοῦ θεοῦ τὸν κάδμον οὐ μουσικὰν ὀρθὰν
οὐχ ἡδεῖαν, οὐδὲ τρυφερὰν, οὐδὲ ἐπικεκλασμένην τοῖς μέλεσιν. ἡδονὴν γὰρ οὐ προσί-
εται τὸ ἀπαθὲς καὶ ἁγνόν, ἀλλὰ ἐνταῦθα μετὰ τῆς ἄτης ἐρρίφη καὶ τὸ πλεῖ-
στον αὐτῆς, τὸ ὡς ἔοικεν εἰς τὰ ὦτα τῶν ἀνθρώπων συνερρύηκεν. εἰπόντος δὲ ταῦ-
τα τοῦ σεραπίωνος, ὁ θέων μειδιάσας, ὁ σεραπίων μὲν εἶπε τὸ εἰωθὸς ἀποδέδωκε
τῷ τρόπῳ, λόγου περὶ αὐτῆς τῆς ἡδονῆς παραπεσόντος ἀπολαύσας. ἡμεῖς δὲ ὦ
βόηθε κἂν ᾖ φαυλότερα τῶν ὁμήρου ταῦτα τὰ ἔπη, μὴ νομίζωμεν αὐτὰ πε-
ποιηκέναι τὸν θεόν, ἀλλὰ ἐκείνου τὴν ἀρχὴν τῆς κινήσεως ἐνδιδόντος, ὡς ἑκάστη πέ-
φυκε κινεῖσθαι τῶν προφητίδων. καὶ γὰρ εἰ γράφειν ἔδει μὴ λέγειν τοὺς χρη-
σμούς, οὐκ ἂν οἶμαι τοῦ θεοῦ τὰ γράμματα νομίζοντες ἐψέγομεν, ὅτι λείπεται
καλλιγραφίᾳ τῶν βασιλικῶν. οὐ γάρ ἐστι θεοῦ ἡ γῆρυς, οὐδὲ ὁ φθόγγος, οὐδὲ ἡ λέ-
ξις, οὐδὲ τὸ μέτρον, ἀλλὰ τῆς γυναικός. ἐκεῖνος δὲ μόνας τὰς φαντασίας παρί-
στησι, καὶ φῶς ἐν τῇ ψυχῇ ποιεῖ πρὸς τὸ μέλλον. ὁ γὰρ ἐνθουσιασμὸς τοιοῦτόν ἐστι. καθό-
λου δὲ εἰπεῖν ὑμᾶς τοὺς τοῦ ἐπικούρου προφήτας. δῆλος γὰρ εἶ καὶ αὐτὸς ὑ-
ποφερόμενος, οὐκ ἔστι διαφυγεῖν, ἀλλὰ κακίας αἰτιᾶσθαι τὰς πάλαι προφήτι-
δας, ὡς φαύλοις ποιήμασι χρωμένας. καὶ τὰς νῦν καταλογάδην καὶ διὰ τῶν
ἐπιτυχόντων ὀνομάτων τοὺς χρησμοὺς λεγούσας, ὅπως ὑμῖν ἀκεφάλων καὶ λα-
γαρῶν μέτρων καὶ μειούρων εὐθύνας μὴ ὑπέχωσι, καὶ ὁ διογενιανὸς, μὴ παῖζε εἶ-
πεν. ὦ πρὸς θεῶν. ἀλλὰ διάλυσον ἡμῖν ταύτην τὴν ἀπορίαν κοινὴν οὖσαν. οὐδεὶς

γάρ ἐστιν ἄλλων ὃς οὐκ αἰτίαν ἐπιζητεῖ καὶ λόγον. ὡς πέπαυται τὸ μαντεῖον ἔπε
σι καὶ λόγοις χρώμενον. ὑπολαβὼν οὖν ὁ Θέων, ἀλλὰ καὶ νῦν εἶπεν ὦ παῖ δοκοῦ
μεν ἐπηρείᾳ τινὶ τοὺς περιηγητὰς ἀφαιρεῖσθαι τὸ οἰκεῖον ἔργον. ἔασον οὖν γενέ-
σθαι τὸ τούτων πρότερον, εἶτα περὶ ὧν βούλει καθ' ἡσυχίαν διαπορήσεις. ἤδη δὲ
προϊόντες ἦμεν κατὰ τὸν Ἱέρωνος ἀνδριάντα τοῦ τυράννου. καὶ τῶν μὲν ἄλλων
ὁ ξένος εἰδὼς ἅπαντα, παρεῖχεν ὅμως ὑπὸ εὐκολίας ἀκροατὴν αὐτόν. ἀκού-
σας δὲ ὅτι κίων τις ἑστὼς ἄνω χαλκοῦς Ἱέρωνος, ἔπεσεν αὐτομάτως τῆς ἡμέρας
ἐκείνης, ἧς τὸν Ἱέρωνα συνέβαινεν ἐν Συρακούσαις τελευτᾶν, ἐθαύμασε. κἀγὼ τῶν
ὁμοίων ἅμα συνανεμίμνησκον, οἷα δὴ τοῦ Ἱέρωνος μὲν τοῦ Σπαρτιάτου. ὅτι πρὸ
τῆς ἐν Λεύκτροις αὐτῷ γενομένης τελευτῆς, ἐξέπεσον οἱ ὀφθαλμοὶ τοῦ ἀνδριάν-
τος. οἱ δὲ ἀστέρες ἠφανίσθησαν, οὓς Λύσανδρος ἀνέθηκεν ἀπὸ τῆς ἐν Αἰγὸς ποτα-
μοῖς ναυμαχίας. ὁ δὲ αὐτοῦ Λυσάνδρου λίθινος ἀνδριὰς ἐξήνθησεν ἀγρίαν
λόχμην καὶ πόαν τοσαύτην τὸ πλῆθος, ὥστε κατακρύψαι τὸ πρόσωπον. ἐν δὲ
τοῖς Σικελικοῖς τῶν Ἀθηναίων ἀτυχήμασι, αἵ τε χρυσαῖ τοῦ φοίνικος ἀπέρρεον
βάλανοι. καὶ τὴν ἀσπίδα τοῦ Παλλαδίου κόρακες περιέκοπτον. ὁ δὲ Κνιδίων στέφα
νος ὃν Φαρσαλίᾳ τῇ ὀρχηστρίδι Φιλόμηλος ὁ Φωκέων τύραννος ἐδωρήσατο,
μεταστᾶσαν αὐτὴν ἐκ τῆς Ἑλλάδος εἰς τὴν Ἰταλίαν, ἀπώλεσεν ἐν Μεταποντίῳ
παίζουσαν περὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος, ὁρμήσαντες γὰρ ἐπὶ τὸν στέφανον οἱ νε
ανίσκοι καὶ μαχόμενοι περὶ τοῦ χρυσίου πρὸς ἀλλήλους, διέσπασαν τὴν ἄνθρω-
πον. Ἀριστοτέλης μὲν οὖν μόνον Ὅμηρον ἔλεγε κινούμενα ποιεῖν ὀνόματα, ποιεῖν διὰ
τὴν ἐνέργειαν. ἐγὼ δὲ φαίην ἂν καὶ τῶν ἀναθημάτων τὰ ἐνταῦθοῖ μάλιστα συγ
κινεῖσθαι καὶ συνεπισημαίνειν τῇ τοῦ θεοῦ προνοίᾳ. καὶ τούτων μέρος μηδὲν κε-
νόν, μηδὲ ἀναίσθητον, ἀλλὰ πεπλῆσθαι πάντα θειότητος, καὶ ὁ Βόηθος. ναὶ
εἶπεν. οὐ γὰρ ἀρκεῖ τὸν θεὸν εἰς σῶμα καθειργνύναι θνητὸν ἅπαξ ἑκάστου μηνὸς ἀλλὰ
καὶ λίθῳ παντὶ καὶ χαλκῷ συμφυράσομεν αὐτόν, ὥσπερ οὐκ ἔχοντος ἀξιόχρεω
τῶν τοιούτων συμπτωμάτων τὴν τύχην δημιουργὸν καὶ τὸ αὐτόματον. εἶτα ἔ-
φην ἐγώ. τύχη σοι δοκεῖ καὶ αὐτόματον τῶν τοιούτων ἕκαστον ἐοικέναι, καὶ πιθα-
νόν ἐστι τὰς ἀτόμους ἐξολισθεῖν καὶ διαλυθῆναι καὶ παρεγκλῖναι. μήτε πρότε-
ρον μήτε ὕστερον, ἀλλὰ κατ' ἐκεῖνον τὸν χρόνον ἐν ᾧ τῶν ἀναθέντων ἕκαστος, ἢ χεῖρον
ἔμελλε πράξειν ἢ βέλτιον. καὶ σὲ μὲν Ἐπίκουρος ὠφελεῖ νῦν ὡς ἔοικεν ἀφ' ὧν εἶ-
πεν ἢ ἔγραψε πρὸ ἐτῶν τριακοσίων. ὁ θεὸς δὲ εἰ μὴ συνείρξει φέρων ἑαυτὸν εἰς
ἅπαντα, μηδὲ ἀνακεραθείη πᾶσιν, οὐκ ἄν σοι δοκεῖ κινήσεως ἀρχὴν καὶ πά-
θους αἰτίαν παρασχεῖν οὐδενὶ τῶν ὄντων. τοιαῦτα μὲν ἐγὼ πρὸς τὸν Βόηθον ἀπε-
κρινάμην. ὅμοια δὲ περὶ τῶν σιβυλλείων. ἐπειδὴ γὰρ ἔστημεν κατὰ τὴν πέτραν γε-
νόμενοι τὴν κατὰ τὸ βουλευτήριον, ἐφ' ἧς λέγεται καθίζεσθαι τὴν πρώτην Σιβύλ-
λαν ἐκ τοῦ Ἑλικῶνος παραγενομένην, ὑπὸ τῶν Μουσῶν τραφεῖσαν. ἔνιοι δέ φασιν
εἰς Μαλιέας ἀφικέσθαι, Λαμίας οὖσαν θυγατέρα τῆς Ποσειδῶνος. ὁ μὲν Σεραπί-
ων ἐμνήσθη τῶν ἐπῶν, ἐν οἷς ὕμνησεν ἑαυτήν, ὡς οὐδὲ ἀποθανοῦσα λήξει μαντικῆς,
ἀλλ' αὐτὴ μὲν ἐν τῇ σελήνῃ περίεισι τὸ καλούμενον φαινόμενον γενομένη πρόσω-
πον. τῷ δὲ ἀέρι τὸ πνεῦμα συγκραθέν, ἐν φήμαις ἀεὶ φορήσεται καὶ κληδόσιν, ἐκ
δὲ τοῦ σώματος μεταβαλόντος ἐν τῇ γῇ πόας καὶ ὕλης ἀναφυομένης. βοσκήσε-
ται ταύτην ἱερὰ θρέμματα, χρόας τε παντοδαπὰς ἴσχοντα, καὶ μορφὰς καὶ
ποιότητας ἐπὶ τῶν σπλάγχνων ἀφ' ὧν αἱ προδηλώσεις ἀνθρώποις τοῦ μέλλον-
τος, ὁ δὲ Βόηθος ἔτι μᾶλλον ἦν φανερὸς καταγελῶν, τοῦ δὲ ξένου εἰπόντος, ὡς εἰ
καὶ ταῦτα μύθοις ἔοικεν, ἀλλὰ ταῖς γε μαντείαις ἐπιμαρτυροῦσι. πολλαὶ μὲν
ἀναστάσεις καὶ μετοικισμοὶ πόλεων Ἑλληνίδων, πολλαὶ δὲ βαρβαρικῶν στρατι-

ῶν ἐπιφάνειαι, καὶ ἀναιρέσεις ἡγεμονικῶν. ταυτὶ δὲ τὰ πρόσφατα καὶ νέα πά
θη περί τε Κύμην καὶ Δικαιαρχίαν, οὐχ ὑμνούμενα πάλαι καὶ ᾀδόμενα διὰ τῶν Σι-
βυλλείων ὁ χρόνος, ὥσπερ ὀφείλων ἀποδέδωκεν. ἐκρήξεις πυρὸς ὀρείου, καὶ ζέσεις
θαλασσίας, καὶ πετρῶν καὶ φλεγμονῶν ὑπὸ πνεύματος ἀναρρίψεις, καὶ φθορὰς πό
λεων ἅμα τοσούτων καὶ τηλικούτων ὡς μεθ' ἡμέραν ἐπελθοῦσιν ἄγνοιαν εἶναι καὶ
ἀσάφειαν, ὅπου κατῴκηντο τῆς χώρας συγκεχυμένοις. ταῦτα γὰρ εἰ γέγονε πι-
στοῦσθαι χαλεπόν ἐστι, μή τοι γε προειπεῖν ἄνευ θειότητος, καὶ ὁ Βόηθος. ποῖον γὰρ
εἶπεν ὦ δαιμόνιε τῇ φύσει πάθος ὁ χρόνος οὐκ ὀφείλει. τί δέ ἐστι τῶν ἀτόπων καὶ ἀ-
προσδοκήτων περὶ γῆν ἢ θάλασσαν, ἢ πόλεις, ἢ ἄνδρας; ὅ τις ἂν προειπὼν οὐ τύ
χοι γενομένου. καίτοι τοῦτό γε σχεδὸν οὐδὲ προειπεῖν ἐστιν, ἀλλ' εἰπεῖν, μᾶλλον δὲ
ῥῖψαι καὶ διασπεῖραι λόγους οὐκ ἔχοντας ἀρχὴν εἰς τὸ ἄπειρον, οἷς πλανωμέ-
νοις ἀπήντησε πολλάκις ἡ τύχη καὶ συνέπεσεν αὐτομάτως. διαφέρει γὰρ οἶμαι
γενέσθαι τὸ ῥηθέν, ἢ ῥηθῆναι τὸ γενησόμενον. ὁ γὰρ εἰπὼν τὰ μὴ ὑπάρχοντα λό
γος ἐν ἑαυτῷ τὸ ἡμαρτημένον ἔχων, οὐ δικαίως ἀναμένει τὴν ἐκ τοῦ αὐτομάτου
πίστιν, οὐδὲ ἀληθεῖ τεκμηρίῳ χρῆται τοῦ προειπεῖν ἐπιστάμενος, μετὰ τὸ εἰπεῖν γε
νομένου, πάντα τῆς ἀπειρίας φερούσης καλ   δὲ ὁ μὲν εἰκάζων καλῶς, ὃν
ἄριστον μάντιν ἀνηγόρευκεν ἡ παροιμία, ἰχνοσκοποῦντι καὶ στιβεύοντι διὰ τῶν
εὐλόγων τὸ μέλλον, ὅμοιός ἐστι. Σίβυλλαι δὲ αὗται καὶ Βάκιδες, ὥσπερ εἰς πόν-
τον ἀτεκμάρτως τὸν χρόνον κατέβαλον καὶ διέσπειραν ὡς ἔτυχε παντοδαπῶν
ὀνόματα καὶ ῥήματα παθῶν καὶ συμπτωμάτων. οἷς γινομένων ἐνίων ἀπὸ τύχης,
ὁμοίως ψεῦδός ἐστι τὸ νῦν λεγόμενον καὶ ὕστερον ἀληθῶς ἂν τύχῃ γένηται. τοι-
αῦτα τοῦ Βοήθου διελθόντος, ὁ Σεραπίων δίκαιον ἔφη τὸ ἀξίωμα περὶ τῶν οὕ-
τως λέγει Βόηθος ἀορίστως καὶ ἀνυποθέτως λεγομένων, εἰ νίκη στρατηγῷ προ-
είρηται νενίκηκεν. εἰ πόλεως ἀναίρεσις ἀπόλωλεν. ὅπου δὲ οὐ μόνον λέγεται τὸ γε
νησόμενον, ἀλλὰ καὶ πῶς καὶ πότε καὶ μετὰ τί καὶ μετὰ τίνος, οὐκ ἔστιν εἰκασμὸς
τῶν τάχα γενησομένων, ἀλλὰ τῶν πάντως ἐσομένων προδήλωσις, καὶ ταῦτα
ἔστιν εἰς τὴν Ἀγησιλάου χωλότητα. φράζεο δὴ Σπάρτη καίπερ μεγάλαυχος ἐοῦ
σα. καὶ σέθεν ἀρτίποδος βλάψῃ χωλὴ βασιλεία, δηρὸν γὰρ μόχθοι σε κατα-
σχήσουσιν ἀέλπτοι. φθισίμβροτόν τ' ἐπὶ κῦμα κυλινδομένοιο πολέμοιο, καὶ τὰ
περὶ τῆς νήσου πόλιν, ἣν ἀνῆκεν ἡ πρὸ Θήρας καὶ Θηρασίας θάλασσα, καὶ περὶ
τὸν Φιλίππου, καὶ Ῥωμαίων πόλεμον. ἀλλ' ὁπότε Τρώων γενεὰ καθύπερθε γένη-
ται Φοινίκων ἐν ἀγῶνι, τότ' ἔσσεται ἔργ' ἄπιστα, πόντος μὲν λάμψει πῦρ ἄσπετον
ἐκ δὲ κεραυνῶν, πρηστῆρες μὲν ἄνω διὰ κύματος ἀΐξουσιν, ἄμμιγα σὺν πέτρᾳ, ἡ δὲ
στηρίξεται αὐτοῦ, οὐ φατὸς ἀνθρώποις νῆσος, καὶ χείρονες ἄνδρες χερσὶ βιησάμε-
νοι, τὸν κρείσσονα νικήσουσι. τὸ γὰρ ἐν ὀλίγῳ χρόνῳ Ῥωμαίους τε Καρχηδονίων πε-
ριγενέσθαι καταπολεμήσαντας Ἀννίβαν, καὶ Φίλιππον Αἰτωλοῖς συμβαλόν
τα, καὶ Ῥωμαίοις μάχῃ κρατηθῆναι καὶ τέλος ἐκ βυθοῦ νῆσον ἀναδῦναι μετὰ πυρὸς
πολλοῦ καὶ κλύδωνος ἐπιζέσαντος, οὐκ ἄν εἴποι τις ὡς ἀπήντησεν ἅμα πάντα καὶ
συνέπεσε κατὰ τύχην αὐτομάτως, ἀλλ' ἡ τάξις ἐμφαίνει τὴν πρόγνωσιν, καὶ τὸ
Ῥωμαίοις πρὸ ἐτῶν ὁμοῦ τι πεντακοσίων προειπεῖν τὸν χρόνον, ἐν ᾧ ἅπαντα τὰ
ἔθνη πολεμήσοιεν ἅμα. τοῦτο γὰρ ἦν τὸ πολεμῆσαι τοῖς οἰκέταις ἀποστᾶσιν, ἐν τούτοις
ἢ οὐθὲν ἀτέκμαρτον, οὐδὲ τυφλόν, ἀμφότε τύχην ζητεῖν ἐν ἀπειρίᾳ ὁ λόγος. ἀλλὰ
πολλὰ τῆς πείρας ἐνέχυρα δίδωσι, καὶ δείκνυσι τὴν ὁδὸν ᾗ βαδίζει τὸ πεπρωμένον. οὐ
ἢ οἶμαί τινα ἐρεῖν ὅτι μὲν τοῦτο ὡς προερρήθη συνέπεσε κατὰ τύχην. ἐπεὶ τί κωλύει
ἕτερον, ὡς οὐκ ἔγραψε τὰς κυρίας   μὲν Ἐπίκουρος ὦ Βόηθε δόξας ἀλλ' ἀπὸ
τύχης καὶ αὐτομάτως. οὕτω πρὸς ἄλληλα τῶν πραγμάτων συνεμπεσόντων,

ἀπετελέσθη τὸ βιβλίον. ἅμα δὲ τούτων λεγομένων προσείρημεν. ἐν δὲ τῷ κορινθίων
οἴκῳ τὸν φοίνικα θεωμένοις τὸν χαλκοῦν· ὅσπερ ἔτι λοιπός ἐστι τῶν ἀναθημάτων,
οἱ περὶ τὴν ῥίζαν ἐντορευόμενοι βάτραχοι καὶ ὕδροι. θαῦμα τῷ διογενιανῷ πα-
ρεῖχον, ἀμέλει δὲ καὶ ἡμῖν. οὔτε γὰρ φοῖνιξ ὡς ἕτερα δένδρα λιμναῖόν ἐστι καὶ φι-
λυδρόν ἐστι φυτὸν, οὔτε κορινθίοις τι βάτραχοι προσήκουσιν, ὥστε σύμβολον ἢ
παράσημον εἶναι τῆς πόλεως· ὥσπερ ἀμέλει σελινούσιοι ποτὲ χρυσοῦν σέλι-
νον ἀναθεῖναι λέγονται. καὶ τενέδιοι τὸν πέλεκυν ἀπὸ τῶν καρκίνων τῶν γινομέ-
νων περὶ τὸ καλούμενον ἀστέριον παρ' αὐτοῖς. μόνοι γὰρ, ὡς ἔοικεν ἐν τῷ χελώνιῳ
τύπον πελέκεως ἔχουσι, καὶ μὴν αὐτῷ γε τῷ θεῷ κόρακας καὶ κύκνους καὶ λύ-
κους καὶ ἱέρακας, καὶ πάντα μᾶλλον, ἢ ταῦτα εἶναι προσφιλῆ τὰ θηρία νο-
μίζομεν. εἰπόντος δὲ τοῦ σεραπίωνος, ὅτι τὴν ἐξ ὑγρῶν ᾐνίξατο τροφὴν τοῦ ἡλίου
, καὶ γένεσιν καὶ ἀναθυμίασιν ὁ δημιουργὸς, εἴτε ὁμήρου λέγοντος ἀκηκοὼς, ἠέλιος
, δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην. εἴτε αἰγυπτίους ἑωρακὼς ἀρχῆς ἀνατολῆς
παιδίον νεογνὸν γράφοντας ἐπὶ λωτῷ καθεζόμενον. γελάσας ἐγὼ, ποῦ σὺ
πάλιν εἶπον ὦ χρηστὲ τὴν στοὰν δεῦρο, παρωθεῖς καὶ ὑποβάλλεις ἀτρέμα τῷ λόγῳ τὰς
ἀνάψεις καὶ ἀναθυμιάσεις; οὐχ ὥσπερ αἱ θετταλαὶ καταγόντων τὴν σελήνην καὶ τὸν ἥ-
λιον, ὡς ἐντεῦθεν ἀπὸ γῆς καὶ ὑδάτων βλαστάνοντας καὶ ἀρχομένους. ὁ μὲν γὰρ
πλάτων καὶ τὸν ἄνθρωπον οὐράνιον ὠνόμασε φυτὸν, ὥσπερ ἐκ ῥίζης ἄνω τῆς κε-
φαλῆς ὀρθούμενον. ὑμεῖς δὲ τοῦ μὲν ἐμπεδοκλέους καταγελᾶτε φάσκοντος, τὸν
ἥλιον περὶ γῆν ἀνακλάσει φωτὸς οὐρανίου γενόμενον αὖθις ἀνταυγεῖν πρὸς ὄ-
λυμπον ἀταρβήτοις προσώποις. αὐτοὶ δὲ γηγενὲς ζῶον ἢ φυτὸν ἕλειον ἀποφαί-
νετε τὸν ἥλιον εἰς βατράχων πατρίδα ἢ ὕδωρ ἐγγράφοντες, ἀλλὰ ταῦτα μὲν εἰς
τὴν στωϊκὴν ἀναθώμεθα τραγῳδίαν· τὰ δὲ τῶν χειροτεχνῶν πάρεργα παρέργως
ἐξετάσωμεν. ἐν πολλοῖς γάρ εἰσι κομψοὶ. τὸ δὲ ψυχρὸν οὐ πανταχοῦ καὶ περίερ-
γον ἐκπεφεύγασιν, ὥσπερ οὖν ὁ τὸν ἀλεκτρυόνα ποιήσας ἐπὶ τῆς χειρὸς τοῦ ἀπόλ-
λωνος ἑωθινὴν ὑπεδήλωσεν ὥραν, καὶ καιρὸν ἐπιούσης ἀνατολῆς, οὕτως ἐνταῦθα
τοὺς βατράχους ἐαρινῆς ὥρας φαίη τις ἂν γεγονέναι σύμβολον, ἐν ᾗ κρατεῖν ἄρ-
χεται τοῦ ἀέρος ὁ ἥλιος καὶ τὸν χειμῶνα διαλύειν. εἴγε δεῖ καθ' ὑμᾶς τὸν ἀπόλ-
λω καὶ τὸν ἥλιον, μὴ δύο θεοὺς, ἀλλ' ἕνα νομίζειν καὶ ὁ σεραπίων. σὺ γὰρ εἶπεν οὐχ
οὕτω νομίζεις; ἀλλ' οἴει τὸν ἥλιον διαφέρειν τοῦ ἀπόλλωνος; ἔγω γε εἶπον, ὡς τὸν ἥλιον
ἡλίου τὴν σελήνην, ἀλλ' αὕτη μὲν οὐ πολλάκις οὐδὲ πᾶσιν ἀποκρύπτει τὸν ἥλιον
ὁ δὲ ἥλιος ὁμοῦ τι πάντας ἀγνοεῖν τὸν ἀπόλλωνα πεποίηκεν, ἀποστρέφων τῇ αἰ-
σθήσει τὴν διάνοιαν ἀπὸ τοῦ ὄντος ἐπὶ τὸ φαινόμενον. ἐκ τούτου τοὺς περιηγητὰς
ὁ σεραπίων ἤρετο. τί δὴ τὸν οἶκον οὐ κυψέλου τοῦ ἀναθέντος, ἀλλὰ κορινθίων
ὀνομάζουσιν. ἀπορίᾳ δὲ αἰτίας ἐμοὶ γοῦν δοκεῖ σιωπώντων ἐκείνων. ἐπιγελάσας
ἐγὼ, τί δὲ εἶπον ἔτι τούτους οἰόμεθα γινώσκειν ἢ μνημονεύειν, ἐκπεπληγμένους
παντάπασιν, ὑμῶν μετεωρολεσχούντων. ἐπεὶ πρότερόν γε αὐτῶν ἠκούομεν λε-
γόντων. ὅτι τῆς τυραννίδος καταλυθείσης, ἐβούλοντο κορίνθιοι, καὶ τὸν ἐν
πίσῃ χρυσοῦν ἀνδριάντα, καὶ τὸν ἐνταῦθα τουτονὶ θησαυρὸν ἐπιγράψαι τῆς
πόλεως. δελφοὶ μὲν οὖν ἔδωκαν ὡς δίκαιον καὶ συνεχώρησαν. ἠλείους δὲ φθο-
νήσαντας ἐψηφίσαντο μὴ μετέχειν ἰσθμίων. ὅθεν οὐδεὶς ἐξ ἐκείνου γέγονεν ἰσθ-
μίων ἀγωνιστὴς ἠλεῖος. ὁ δὲ μολιονιδῶν φόνος ὑφ' ἡρακλέους περὶ κλεωνὰς, οὐ-
δέν ἐστι μεταίτιος ὡς ἔνιοι νομίζουσιν ἠλείοις τοῦ εἴργεσθαι, τοὐναντίον γὰρ ἦν αὐ-
τοῖς προσῆκον εἴργειν, εἰ διὰ τοῦτο κορινθίοις προσεκεκρούκεσαν. ἐγὼ μὲν οὖν
ταῦτα εἶπον, ἐπεὶ δὲ τὸν ἀκανθίων καὶ βρασίδου παρελθοῦσιν οἶκον ἡμῖν, ἔδει-
ξεν ὁ περιηγητὴς χωρίον ἐν ᾧ ῥοδώπιδος ἔκειντο ποτὲ τῆς ἑταίρας ὀβελίσκοι

σιδηροῖ. δυσχεράνας ὁ διογενιανὸς, ἦν ἄρα τῆς αὐτῆς ἔφη πόλεως ῥοδώπιδι μὲν
χώραν παρασχεῖν, ὅπου τὰς δεκάτας φέρουσα καταθήσεται τῶν μισθῶν, αἴ-
σωπον δὲ ἀπολέσαι τὸν ὁμόδουλον αὐτῆς. καὶ ὁ σεραπίων τί δὲ ταῦτα ἔφη μα-
κάριε δυσχεραίνεις; ἐκεῖ βλέψον ἄνω καὶ τὴν χρυσῆν ἐν τοῖς στρατηγοῖς καὶ βασι-
λεῦσι θέασαι μνησαρέτην, ἣν κράτης εἶπε τῆς τῶν ἑλλήνων ἀκρασίας ἀνακεῖσθαι
τρόπαιον. ἰδὼν οὖν ὁ νεανίας. εἶτα περὶ φρύνης ἔφη τοῦτο τὸν εἰρημένον τῷ κρά-
τητι; ναὶ εἶπεν ὁ σεραπίων, μνησαρέτη γὰρ ἐκαλεῖτο, τὴν δὲ φρύνην ἐπίκλησιν ἔ-
σχε διὰ τὴν ὠχρότητα. πολλὰ δὲ ὡς ἔοικε τῶν ὀνομάτων ἀποκρύπτουσιν αἱ παρω-
νυμίαι. τὴν γοῦν ἀλεξάνδρου μητέρα πολυξένην, εἶτα μυρτάλην ὀλυμπιάδα τε
καὶ στρατονίκην κληθῆναι λέγουσι. τὴν δὲ κορινθίαν εὔμητιν ἄχρι νῦν κλεοβού-
λην πατρόθεν οἱ πλεῖστοι καλοῦσιν. ἡροφίλην δὲ τὴν ἐρυθραίαν μαντικὴν γενομέ-
νην σίβυλλαν προσηγόρευσαν. τῶν δὲ γραμματικῶν ἀκούσῃ καὶ τὴν λήδαν μνησινόην.
καὶ τὸν ὀρέστην ἀχαιὸν ὀνομάζεσθαι φασκόντων.
ἀλλὰ πῶς ἔφη διανοῇ σὺ βλέψας πρὸς τὸν θέωνα τουτὶ διαλῦσαι τὸ περὶ φρύ-
νης αἰτίαμα; κἀκεῖνος διαμειδιάσας, οὕτως εἶπεν ὥστε καὶ σοὶ προσεγκαλεῖν τὰ
μικρότητα τῶν ἑλληνικῶν πλημμελημάτων ἐλέγχοντι. καθάπερ γὰρ ὁ σωκρά-
της αἰτιώμενος ἐν καλλίου τῷ μύρῳ πολεμεῖν μόνον. ὀρχήσεις δὲ παίδων καὶ κυ-
βιστήσεις, καὶ φιλήματα καὶ γελωτοποιοὺς ὁρῶν ἀνέχεται. καὶ σύ μοι δοκεῖς
ὁμοίως γύναιον εἴργειν τοῦ ἱεροῦ χρησάμενον ὥρᾳ σώματος οὐκ ἐλευθερίως. φό-
νων δὲ καὶ πολέμων καὶ λεηλασιῶν ἀπαρχαῖς καὶ δεκάταις κύκλῳ περιεχόμε-
νον τὸν θεὸν ὁρῶν. καὶ τὸν νεὼν σκύλων ἑλληνικῶν ἀνάπλεω καὶ λαφύρων, οὐ δυσ-
χεραίνεις οὐδὲ οἰκτείρεις τοὺς ἕλληνας ἐπὶ τῶν καλῶν ἀναθημάτων αἰσχίστας ἀ-
ναγινώσκων ἐπιγραφὰς, βρασίδας καὶ ἀκάνθιοι ἀπὸ ἀθηναίων, καὶ ἀθηναῖοι ἀπὸ
κορινθίων, καὶ φωκεῖς ἀπὸ θεσσαλῶν. ὀρνεᾶται δὲ ἀπὸ σικυωνίων. ἀμφικτύονες
δὲ ἀπὸ φωκέων. ἀλλὰ πραξιτέλης ὡς ἔοικε μόνος ἠνίασε κράτητα τῇ ἐρωμένῃ
τυχὼν αὐτόθι δωρεᾶς ὃν ἐπαινεῖν ὤφειλε κράτης, ὅτι τοῖς χρυσοῖς βασιλεῦσι
τούτοις παρέστησε χρυσῆν ἑταίραν. ἐξονειδίζων τὸν πλοῦτον ὡς οὐδὲν ἔχοντα θαυ-
μάσιον οὐδὲ σεμνόν. δικαιοσύνης γὰρ ἀναθήματα καὶ σωφροσύνης καὶ μεγαλο-
νοίας καλῶς ἔχει τίθεσθαι παρὰ τῷ θεῷ. καὶ τοὺς βασιλεῖς καὶ τοὺς ἄρχον-
τας, οὐ χρυσῆς καὶ τρυφώσης εὐπορίας, ἧς μέτεστι καὶ τοῖς αἴσχιστα βεβιωκόσιν.
ἐκεῖνο δὲ οὐ λέγεις εἶπεν ἅτερος τῶν περιηγητῶν. ὅτι κροῖσος ἐνταῦθα καὶ τῆς ἀρ-
τοποιοῦ χρυσῆν εἰκόνα ποιησάμενος ἀνέθηκε.
πολλὴν
οὐκ ἐντρυφῶν τῷ ἱερῷ, καλὴν δὲ λαβὼν αἰτίαν καὶ δικαίαν. λέγεται γὰρ ἀλυάτ-
την τὸν πατέρα τοῦ κροίσου δευτέραν ἀγαγέσθαι γυναῖκα, καὶ παῖδας ἑτέρους
τρέφειν. ἐπιβουλεύουσαν οὖν τῷ κροίσῳ τὴν ἄνθρωπον, φάρμακον δοῦναι τῇ ἀρτο-
ποιῷ, καὶ κελεῦσαι διαπλάσασαν ἄρτον ἐξ αὐτοῦ, τῷ κροίσῳ παραθεῖναι. τὴν
δὲ ἀρτοποιὸν κρύφα τῷ κροίσῳ φράσαι. παραθεῖναι δὲ τοῖς ἐκείνης παισὶ τὸν ἄρ-
τον, ἀνθ' ὧν βασιλεύσαντα τὸν κροῖσον, οἷον ἐπὶ μάρτυσι τῶν θεῶν τὴν χάριν ἀ-
μείψασθαι τῆς γυναικὸς, εὖ γε ποιοῦντα ἐκεῖνον. ὅθεν εἶπεν ἄξιον δὴ καὶ τῶν πόλε-
ων εἴ τι τοιοῦτόν ἐστιν ἀνάθημα τιμᾶν, καὶ ἄγαν οἷον τὸ ὀπουντίων, ἐπεὶ γὰρ οἱ φω-
κέων τύραννοι πολλὰ τῶν χρυσῶν καὶ ἀργυρῶν ἀναθημάτων συγχέαντες ἔκοψαν
νόμισμα καὶ διέσπειραν εἰς τὰς πόλεις. ὀπούντιοι συναγαγόντες ὅσον ἀργύριον, ὑ-
δρίαν ἀνέπεμψαν ἐνθάδε τῷ θεῷ καὶ καθιέρωσαν, ἐγὼ δὲ καὶ μυριναίους ἐπαινῶ καὶ ἀπολ-
λωνιάτας, θέρη χρυσᾶ δεῦρο πέμψαντας. ἔτι δὲ μᾶλλον ἐρετριεῖς καὶ μάγνητας
ἀνθρώπων ἀπαρχῇ δωρησαμένους τὸν θεὸν, ὡς καρπῶν δοτῆρα, καὶ πατρῷον καὶ γενέσιον καὶ
φιλάνθρωπον. αἰτιῶμαι δὲ μεγαρεῖς. ὅτι μόνοι σχεδὸν ἐνταῦθα λόγχην ἔχοντα τὸν θεὸν

ἔστησαν ἀπὸ τῆς μάχης, ἣν ἀθηναίους μετὰ τὴν πόρθησιν τὴν πόλιν ἔχοντας αὐτῶν,
νικήσαντες ἐξέβαλον, ὕστερον μέντοι πλῆκτρον ἀνέθηκαν τῷ θεῷ χρυσοῦν ἐπιστήσαν
τες ὡς ἔοικε σκυθινῷ λέγοντι περὶ τῆς λύρας, ἣν ἁρμόζεται ζηνὸς εὐειδὴς ἀ-
πόλλων, πᾶσαν ἀρχὴν καὶ τέλος συλλαβών· ἔχει δὲ λαμπρὸν πλῆκτρον ἡλίου
φάος. ἐπιβάλλοντος δὲ τοῦ σεραπίωνος εἰπεῖν τι περὶ τούτων, ὁ ξένος ἡδὺ μὲν ἔ-
φη τὸ τοιούτων ἀκροᾶσθαι λόγων. ἐμοὶ δὲ ἀναγκαῖόν ἐστι τὴν πρώτην ὑπόσχεσιν ἀ-
παιτῆσαι περὶ τῆς αἰτίας, ἣ πέπαυκε τὴν πυθίαν ἐν ἔπεσι καὶ μέτροις ἄλ-
λοις θεσπίζουσαν, ὥστε εἰ δοκεῖ τὰ λειπόμενα τῆς θέας ὑπερθέμενοι περὶ τού
των ἀκούσωμεν ἐνταῦθα καθίσαντες. οὗτος γάρ ἐστιν ὁ μάλιστα πρὸς τὴν τοῦ χρηστη
ρίου πίστιν ἀντιβαίνων λόγος, ὡς δυοῖν θάτερον, ἢ τῆς πυθίας τῷ χωρίῳ μὴ πε-
λαζούσης, ἐν ᾧ τὸ θεῖόν ἐστιν, ἢ τοῦ πνεύματος παντάπασιν ἀπεσβεσμένου καὶ τῆς
δυνάμεως ἐκλελοιπυίας. περιελθόντες οὖν ἐπὶ τῶν μεσημβρινῶν καθεζόμε
θα κρηπίδων νεὼ πρὸς τὸ τῆς γῆς ἱερόν. τότε ὕδωρ ἀποβλέποντες
ὥστε εὐθὺς εἰπεῖν τὸν βόηθον· ὅτι καὶ ὁ τόπος τῆς ἀπο
ρίας συνεπιλαμβάνεται τῷ ξένῳ. μουσῶν γὰρ ἦν ἱερὸν ἐνταῦθα περὶ τὴν ἀ-
ναπνοὴν τοῦ νάματος, ὅθεν ἐχρῶντο πρός τε τὰς λοιβὰς τῷ ὕδατι τούτῳ ὥς φη
σι σιμωνίδης· ἔνθα χερνίβεσσιν ἀρύεταί τε μουσᾶν καλλικόμων ὑπένερθεν ἁ-
γνὸν ὕδωρ. μικρῷ δὲ περιεργότερον αὖθις ὁ σιμωνίδης, τὴν κλειὼ προσειπὼν
ἁγνὰν ἐπίσκοπον χερνίβων φησί πολύλιστον ἀραιόν τε ἐστὶν ἀχρυσόπεπλον
εὐῶδες ἀμβροσίων ἐκ μυχῶν. ἐρανὸν ὕδωρ

οὐκ ὀρθῶς οὖν εὔδοξος ἐπίστευσε. τοῖς στυγὸς ὕδωρ τοῦτο καλεῖσθαι πεφήνασι,
τὰς δὲ μούσας ἱδρύσαντο παρέδρους τῆς μαντικῆς καὶ φύλακας αὐτοῦ παρὰ
τὸ νᾶμα καὶ τὸ τῆς γῆς ἱερόν, ἧς λέγεται τὸ μαντεῖον γενέσθαι τὴν ἐν μέτροις καὶ
μέλεσι χρησμῳδίαν. ἔνιοι δὲ καὶ πρῶτόν φασιν ἡρῷον ἐνταῦθα μέτρον ἀκουσθῆναι
συμφορεῖτε πτερά τ' οἰωνοί, κηρόν τε μέλισσαι, ὅτε τῷ θεῷ ἐπιδεᾶ γενομένην ἀπο-
βαλεῖν τὸ σεμνόν, ὁ σεραπίων ἐπιεικέστερα ταῦτα εἶπεν ὦ βόηθε καὶ μουσικώτε-
ρα. δεῖ γὰρ μὴ μάχεσθαι πρὸς τὸν θεὸν, μηδὲ ἀναιρεῖν μετὰ τῆς μαντικῆς ἅμα
τὴν πρόνοιαν καὶ τὸ θεῖον, ἀλλὰ τῶν ὑπεναντιοῦσθαι δοκούντων, λύσεις ἐπιζη-
τεῖν. τὴν δὲ εὐσεβῆ καὶ πάτριον μὴ προΐεσθαι πίστιν. ὀρθῶς ἔφην ἐγὼ λέγεις ἄρι-
στε σεραπίων. οὐδὲ γὰρ φιλοσοφίαν ἀπεγνώκαμεν ὡς ἀνῃρημένην παντάπασι
καὶ διεφθορυῖαν. ὅτι πρότερον μὲν ἐν ποιήμασιν ἐξέφερον οἱ φιλόσοφοι τὰ δόγ-
ματα καὶ τοὺς λόγους ὥσπερ ὀρφεὺς καὶ ἡσίοδος καὶ παρμενίδης καὶ ξενοφά-
νης καὶ ἐμπεδοκλῆς καὶ θαλῆς. ὕστερον δὲ ἐπαύσαντο καὶ πέπαυνται χρώμε-
νοι μέτροις, πλὴν σοῦ. διὰ σοῦ δὲ αὖθις εἰς φιλοσοφίαν ποιητικὴ κάτεισιν. ὄρθι-
ον καὶ γενναῖον ἐγκελευομένη τοῖς νέοις. οὐδὲ ἀστρολογίαν ἀδοξοτέραν ἐποίησαν
οἱ περὶ ἀρίσταρχον καὶ τιμόχαριν, καὶ ἀρίστυλλον καὶ ἵππαρχον καταλογά-
δην γράφοντες, ἐν μέτροις πρότερον εὐδόξου καὶ ἡσιόδου καὶ θαλοῦ γραφόντων,
εἴγε θαλῆς ἐποίησεν ὡς ἀληθῶς εἰπεῖν αὐτὴν ἀναφερομένην ἀστρολογίαν. πίν-
δαρος δὲ καὶ περὶ τρόπου μελῳδίας ἀμελουμένου καθ' αὑτὸν ἀπορεῖν ὁμολογεῖ
καὶ θαυμάζει ὅτι
οὐδὲν γάρ ἐστι δεινὸν οὐ-
δὲ ἄτοπον αἰτίας ζητεῖν τῶν τοιούτων μεταβολῶν. ἀναιρεῖν δὲ τὰς τέχνας καὶ
τὰς δυνάμεις, ἄν τι κινηθῇ καὶ παραλλάξῃ τῶν κατὰ ταύτας οὐ δίκαιον. ὑπο-
λαβὼν δὲ ὁ θέων. ἀλλὰ ταῦτα μὲν εἶπεν μεγάλας ἔσχηκε τῷ ὄντι παραλλαγὰς καὶ
καινοτομίας. τῶν δὲ ἐνταῦθα πολλοὺς καὶ τότε καταλογάδην ἐκφερομένους
καὶ περὶ πραγμάτων οὐ τῶν τυχόντων. λακεδαιμονίοις τε γὰρ ὡς θουκυδί-
δης

δης ἱστόρησε περὶ τοῦ πρὸς ἀθηναίους πολέμου χρωμένοις, ἀνεῖλε νίκην καὶ κρά-
τος, καὶ βοηθήσειν αὐτὸς καὶ παρακαλούμενος καὶ ἀπαράκλητος· καὶ παυσα-
νίαν εἰ μὴ καταγάγοιεν ἀργυρέα συλλέξειν.
ἀθηναίοις περὶ τῆς ἐν σικελίᾳ μαντευομένοις στρατιᾶς προσέταξε τὴν ἐξ ἐρυ-
θρῶν ἱέρειαν ἀνάγειν τῆς ἀθηνᾶς. ἐκαλεῖτο δὲ ἡσυχία τὸ γύναιον. δεινομένους δὲ τοῦ
σικελιώτου μαντευομένου περὶ τῶν υἱέων, ἀνεῖλεν ὡς οἱ τρεῖς τυραννήσοιεν. ὑπο-
τυχόντος δὲ τοῦ δεινομένους, οἰμώξοντές γε ὦ δέσποτα ἄπολλον, καὶ τοῦτό σοι ἔ-
φη διδόναι καὶ προσαναιρεῖν. ἴστε τοίνυν ὅτι γέλων μὲν ὑδρωπιῶν, ἱέρων δὲ λιθι-
ῶν ἐτυράννησεν. ὁ δὲ τρίτος θρασύβουλος ἐν στάσεσι καὶ πολέμοις γενόμενος χρό-
νον οὐ πολὺν ἐξέπεσε τῆς ἀρχῆς. προκλῆς τοίνυν ὁ ἐπιδαύρου τύραννος, ἄλ-
λους τε πολλοὺς ὠμῶς καὶ παρανόμως ἀνεῖλε, καὶ τίμαρχον ἀπ' ἀθηνῶν πα-
ραγενόμενον μετὰ χρημάτων πρὸς αὐτὸν ὑποδεξάμενος καὶ φιλοφρονηθεὶς, ἀπέ-
κτεινε, καὶ τὸ σῶμα κατεπόντισεν ἐμβαλὼν εἰς φορμόν. ἔπραξε δὲ ταῦτα διὰ
κλεάνδρου τοῦ αἰγινήτου, τῶν ἄλλων ἀγνοούντων, ὕστερον δὲ τῶν πραγμάτων αὐ-
τῷ ταραττομένων, ἔπεμψεν ἐνταῦθα κλεότιμον τὸν ἀδελφὸν ἐν ἀπορρήτῳ μαν-
τευσόμενον περὶ φυγῆς αὐτοῦ καὶ μεταστάσεως. ἀνεῖλεν οὖν ὁ θεὸς διδόναι προ-
κλεῖ φυγὴν καὶ μετάστασιν, ὅπου τὸν φορμὸν ἐκέλευσε καταθέσθαι τὸν αἰγινή-
την ξένον, ἢ ὅπου τὸ κέρας ἀποβάλλει ὁ ἔλαφος. συνεὶς οὖν ὁ τύραννος, ὅτι κε-
λεύει καταποντίζειν αὐτὸν ἢ κατορύττειν ὁ θεός· οἱ γὰρ ἔλαφοι κατορύττουσι καὶ
ἀφανίζουσι κατὰ τῆς γῆς, ὅταν ἐκπέσῃ τὸ κέρας. ἐπέσχεν ὀλίγον χρόνον. εἶτα
τῶν πραγμάτων παντάπασι μοχθηρῶν γενομένων, ἐξέπεσε. λαβόντες δὲ αὐ-
τὸν οἱ τοῦ τιμάρχου φίλοι καὶ διαφθείραντες, ἐξέβαλον τὸν νεκρὸν εἰς τὴν θάλασ-
σαν. ὃ δ' ἔστι μέγιστον, αἱ ῥῆτραι δι' ὧν ἐκόσμησε τὴν λακεδαιμονίων πολιτείαν λυ
κοῦργος, ἐδόθησαν αὐτῷ καταλογάδην, ἀλυείου τοίνυν καὶ ἡροδότου καὶ φιλο
χόρου καὶ ἴστρου, τῶν μάλιστα τὰς ἐμμέτρους μαντείας φιλοτιμηθέντων συνα-
γαγεῖν ἄνευ μέτρου χρησμοὺς γεγραφότων, θεόπομπος οὐδενὸς ἧττον ἀνθρώπων
ἐσπουδακὼς περὶ τὸ χρηστήριον, ἰσχυρῶς ἐπιτετίμηκε τοῖς μὴ νομίζουσι κατὰ
τὸν τότε χρόνον ἔμμετρα τὴν πυθίαν θεσπίζειν. εἶτα τοῦτο βουλόμενος ἀποδεῖξαι
παντάπασιν ὀλίγων χρησμῶν ὑπόρηκεν, ὡς τῶν ἄλλων καὶ τότε ἤδη καταλο
γάδην ἐκφερομένων. ἔνιοι δὲ καὶ νῦν κατὰ μέτρων ἐκτρέχουσιν, ὧν ἕνεκα καὶ πρᾶγ
μα περιβόητον πεποίηκε. μισογύνου γὰρ ἡρακλέους ἱερόν ἐστιν ἐν τῇ φωκίδι καὶ νο-
μίζεται τὸν ἱερώμενον ἐν τῷ ἐνιαυτῷ γυναικὶ μὴ ὁμιλεῖν. διὸ καὶ πρεσβύτας
ἐπιεικῶς ἱερεῖς ἀποδεικνύουσι, πλὴν ἔμπροσθεν ὀλίγῳ χρόνῳ. νεανίας οὐ πο-
νηρός, ἀλλὰ φιλότιμος ἐρῶν παιδίσκης ἔλαβε τὴν ἱερωσύνην, καὶ τὸ πρῶτον
ἦν ἐγκρατὴς ἑαυτοῦ καὶ ἔφυγε τὴν ἄνθρωπον, ἀναπαυομένῳ δὲ αὐτῷ ποτε, μετὰ
πότον καὶ χορείαν, προσπεσοῦσαν διεπράξατο. φοβούμενος οὖν καὶ ταραττόμε
νος, ἐπὶ τὸ μαντεῖον κατέφυγε, καὶ περὶ τῆς ἁμαρτίας ἠρώτα τὸν θεόν, εἴ τις
εἴη παράκλησις ἢ λύσις, ἔλαβε τόνδε τὸν χρησμόν. ἅπαντα ἀναγκαῖα συγχωρεῖ
θεός, οὐ μὴν ἀλλὰ δοὺς ἄν τις ὡς οὐδὲν ἄνευ μέτρου θεσπίζεται καθ' ἡμᾶς, μᾶλλον
διαπορήσει καὶ περὶ τῶν παλαιῶν. ποτὲ μὲν μέτροις, ποτὲ δὲ ἄνευ μέτρων διδόν-
τος τὰς ἀποκρίσεις. ἔστι δὲ οὐδέτερον ὦ παῖ παράλογον. μόνον αὖ ὀρθὰς καὶ
καθαρὰς περὶ τοῦ θεοῦ δόξας ἔχωμεν καὶ μὴ νομίζωμεν αὐτὸν ἐκεῖνον εἶναι τὸν τὰ ἔπη
συντιθέντα πρότερον καὶ νῦν ὑποβάλλοντα τῇ πυθίᾳ τοὺς χρησμοὺς ὥσπερ ἐκ
προσωπείων φθεγγόμενον, ἀλλ' αὖθις ἄξιον μέν ἐστι διὰ μακροτέρων εἰπεῖν τι κα
πυθέσθαι περὶ τούτων, τὰ δὲ νῦν ἐν βραχεῖ μαθόντες διαμνημονεύωμεν, ὡς σῶμα
μὲν ὀργάνοις χρῆται πολλοῖς, αὐτῷ δὲ σώματι, ψυχὴ καὶ μέρεσι τοῖς σώματος

χρησμοὺς .l.
ἰσχυρῶς .l.
ὑπόρηκεν .l.
ἀποδεικνύουσι .l.

ψυχὴ δ' ὄργανον θεοῦ γέγονεν· ὀργάνου δὲ ἀρετὴ μάλιστα μιμεῖσθαι τὸ χρώμενον ᾗ πέφυκε δυνάμει, καὶ παρέχειν τὸ ἔργον αὐτοῦ τοῦ νοήματος ἐν αὐτῷ δυναμένη, δεικνύναι δὲ οὐχ οἷον ἦν τῷ δημιουργῷ καθαρὸν καὶ ἀπαθὲς καὶ ἀναμάρτητον, ἀλλὰ μεμιγμένον· καθ' ἑαυτὸ γὰρ ἄδηλον ἡμῖν. ἕτερον δὲ καὶ δι' ἑτέρου φαινόμενον ἀναπίμπλαται τῆς ἐκείνου φύσεως, καὶ κηρὸν μὲν ἐῶ, καὶ χρυσὸν, ἄργυρόν τε καὶ χαλκὸν ὅσα τε ἄλλα πλαττομένης οὐσίας εἴδη· δέχεται μὲν ἰδέαν μίαν ἐκτυπουμένης ὁμοιότητος· ἄλλο δὲ ἄλλην ἀφ' ἑαυτοῦ τῷ μιμήματι, διαφορὰν προστίθησι· καὶ τὰς ἐν κατόπτροις ἐπιπέδοις τε καὶ κοίλοις καὶ περιαυγέσι φασμάτων καὶ εἰδώλων ἀφ' ἑνὸς εἴδους μυρίας παρατυπώσεις, καὶ γάρ εἰσιν· οὐδὲν οὔτε μᾶλλον ἰδέαν ἔοικε, οὔτε ὡς ὄργανον χρῆσθαι φύσει γέγονεν εὐπειθέστερον σελήνης· λαμβάνουσα δὲ παρ' ἡλίου τὸ λαμπρὸν καὶ πυρωπὸν, οὐχ ὅμοιον ἀποπέμπει πρὸς ἡμᾶς, ἀλλὰ μιχθὲν αὐτῇ καὶ χρόαν μετέβαλε καὶ δύναμιν ἔσχεν ἑτέραν. ἡ δὲ θερμότης καὶ παντάπασιν οἴχεται, καὶ προλέλοιπε τὸ φῶς ὑπὸ ἀσθενείας. οἶμαι δὲ γινώσκειν τὸ παρ' Ἡρακλείτῳ λεγόμενον, ὅτι ὁ ἄναξ οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς, οὔτε λέγει, οὔτε κρύπτει, ἀλλὰ σημαίνει. πρόσλαβε δὲ τούτοις εὖ λεγομένοις καὶ νόησον τὸν ἐνταῦθα θεὸν χρώμενον τῇ Πυθίᾳ πρὸς ἀκοήν, καθὼς ἥλιος χρῆται σελήνῃ. δείκνυσι γὰρ σώματος θνητοῦ καὶ ψυχῆς ἡσυχίαν ἄγειν μὴ δυναμένης δὲ τῷ κινοῦντι παρέχειν ἑαυτὴν ἀκίνητον ἐξ αὐτῆς καθεστῶσαν, ἀλλ' ὥσπερ ἐν σάλῳ ψαύουσαν αὐτὴν καὶ συμπεπλεγμένην τοῖς ἐν αὐτῇ κινήμασι καὶ πάθεσιν ἐπιταραττούσης· ὡς γὰρ οἱ δῖνοι τῶν ἅμα κύκλῳ καταφερομένων σωμάτων, οὐκ ἐπικρατοῦσι βεβαίως, ἀλλὰ κύκλῳ μὲν ὑπ' ἀνάγκης φερομένων, κάτω δὲ φύσει ῥεπόντων, γίνεταί τις ἐξ ἀμφοῖν ταραχώδης καὶ παράφορος ἑλιγμὸς, οὕτως ὁ καλούμενος ἐνθουσιασμὸς ἔοικε μίξις εἶναι κινήσεων δυοῖν, τὴν μὲν ὡς πέπονθε τῆς ψυχῆς, ἅμα τὴν δὲ ὡς πέφυκε κινουμένη. ὅπου γὰρ ἀψύχοις σώμασι καὶ κατὰ ταὐτὰ μονίμοις οὐκ ἔστι χρήσασθαι, παρ' ὃ πέφυκε βιαζόμενον, οὐδὲ κινῆσαι, σφαιρικῶς κύλινδρον, ἢ κυβικῶς, ἢ λύραν αὐλητικῶς ἢ σάλπιγγα κιθαριστικῶς, ἀλλ' οὐχ ἕτερον ἢ ὡς ἔοικε τὸ τεχνικῶς ἑκάστῳ χρῆσθαι καὶ ὡς πέφυκεν, ἤ που τὸ ἔμψυχον καὶ αὐτοκίνητον, ὁρμῆς τε καὶ λόγου μετέχον, ἄλλως ἄν τις, ἢ κατὰ τὴν ἑαυτῶν προϋπάρχουσαν ἕξιν ἢ δύναμιν ἢ φύσιν μεταχειρίσαιτο, μουσικῶς κινοῦντι τὸν ἄμουσον, ἢ γραμματικῶς τὸν ἀγράμματον, ἢ λογίως τὸν ἐν λόγοις ἀθεώρητον καὶ ἀνάσκητον, οὐκ ἔστιν εἰπεῖν. μαρτυρεῖ δέ μοι καὶ Ὅμηρος, αἰτίας μὲν ἄνευ θεοῦ, οὐδὲν ὡς ἔπος εἰπεῖν ὑποτιθέμενος περαινόμενον, οὐ μὴν πᾶσι πρὸς πάντα χρώμενον ποιῶν τὸν θεὸν, ἀλλ' ἑκάστῳ καθ' ἣν ἔχει τέχνην ἢ δύναμιν. ἦ γὰρ οὐχ ὁρᾷς, ὦ φίλε Διογενιανὲ, τὴν Ἀθηνᾶν, ὅτε πεῖσαι βούλεται τοὺς Ἀχαιοὺς, τὸν Ὀδυσσέα παρακαλοῦσαν· ὅτε συγχέαι τὰ ὅρκια, τὸν Πάνδαρον ζητοῦσαν, ὅτε τρέψασθαι τοὺς Τρῶας, ἐπὶ τὸν Διομήδην βαδίζουσαν. ὁ μὲν γὰρ εὔρωστος καὶ μάχιμος, ὁ δὲ, τοξικὸς καὶ ἀνόητος, ὁ δὲ, δεινὸς εἰπεῖν καὶ φρόνιμος. οὐ γὰρ εἶχεν Ὅμηρος τὴν αὐτὴν τῷ Πινδάρῳ διάνοιαν, εἴ γε Πίνδαρος ἦν ὁ ποιήσας, θεοῦ θέλοντος, κἂν ἐπὶ ῥιπὸς πλέοις· ἀλλὰ γινώσκει ἄλλας πρὸς ἄλλα δυνάμεις καὶ φύσεις γεγενημένας· ὧν ἑκάστη κινεῖται διαφόρως, κἂν ἓν ᾖ τὸ κινοῦν ἁπάσας. ὥσπερ οὖν τὸ κινοῦν τὸ πεζὸν, οὐ δύναται πτητικῶς, οὐδὲ τραυλὸν τὸν Βάττον, οὐδὲ εὐφώνως τὸν ἰσχνόφωνον, ἀλλὰ καὶ τὸν Βάττον οἶμαι διὰ τοῦτο ἐπὶ τὴν φωνὴν παραγενόμενον εἰς Λιβύην ἔπεμψαν οἰκιστὴν, ὅτι τραυλὸς μὲν ἦν καὶ ἰσχνόφωνος, βασιλικὸς δὲ καὶ πολιτικὸς καὶ φρόνιμος, οὕτως ἀδύνατον διαλέγεσθαι γέγονε μὲν εἴ τις ἄλλος ἐνταῦθα νομίμως καὶ καλῶς· καὶ βε-

βίωκεν

βίωκεν εὐτάκτως· γραφεῖσα δὲ ἐν οἰκίᾳ γεωργῶν πενήτων, οὔτε ἀπὸ τέχνης οὐδὲν, οὔτ' ἀπ' ἄλλης τινὸς ἐμπειρίας καὶ δυνάμεως ἐπιφερομένη κάτεισιν εἰς τὸ χρηστήριον, ἀλλ' ὥσπερ ὁ Ξενοφῶν οἴεται δεῖν ἐλάχιστα τὴν νύμφην ἰδοῦσαν, ἐλάχιστα δὲ ἀκούσασαν εἰς ἀνδρὸς βαδίζειν, οὕτως ἄπειρος καὶ ἀδαὴς ὀλίγου δεῖν ἁπάντων, καὶ παρθένος ὡς ἀληθῶς τὴν ψυχὴν τῷ θεῷ σύνεστιν. ἀλλ' ἡμεῖς ἐρωδιοῖς οἰόμεθα καὶ τροχίλοις καὶ κόραξι χρῆσθαι φθεγγομένοις σημαίνοντα τὸν θεὸν, καὶ οὐκ ἀξιοῦμεν, ᾗ θεῶν ἄγγελοι, καὶ κήρυκές εἰσι, λογικῶς ἕκαστα καὶ σαφῶς φράζειν, τὴν δὲ τῆς Πυθίας φωνὴν καὶ διάλεκτον ὥσπερ ἐκ θυμέλης, οὐκ ἀνήδυντον, οὐδὲ λιτὴν, ἀλλ' ἐν μέτρῳ καὶ ὄγκῳ καὶ πλάσματι καὶ μεταφοραῖς ὀνομάτων, καὶ μετ' αὐλοῦ φθεγγομένην παρέχειν ἀξιοῦμεν. τί οὖν φήσομεν περὶ τῶν παλαιῶν; οὐχ ἓν, ἀλλὰ πλείονα οἶμαι. πρῶτον μὲν γὰρ ὥσπερ εἴρηται, τὰ πλεῖστα κἀκεῖναι καταλογάδην ἀπεφθέγγοντο. δεύτερον δὲ καὶ σωμάτων ἤνεγκε κράσεις καὶ φύσεις ὁ χρόνος ἐκεῖνος, εὔρουν τι καὶ φορὸν ἐχούσας πρὸς ποίησιν, αἷς εὐθὺς ἐπεγίνοντο προθυμίαι καὶ ὁρμαὶ καὶ παρασκευαὶ, ψυχῆς ἑτοιμότητα ποιοῦσαι, μικρᾶς ἔξωθεν ἀρχῆς καὶ παρατροπῆς τοῦ φανταστικοῦ δεομένης, ὡς εὐθὺς ἕλκεσθαι πρὸς τὸ οἰκεῖον· οὐ μόνον ὡς λέγει Φιλῖνος ἀστρολόγους καὶ φιλοσόφους, ἀλλ' ἐν οἴνῳ τε πολλῷ καὶ πάθει γινομένων, οἴκτου τινὸς ὑπορρυέντος, ἢ χαρᾶς προσπεσούσης ὠλίσθανον εἰς εὐῳδὸν γῆρυν ἐρωτικῶν τε κατεπίμπλαντο μέτρων καὶ ᾀσμάτων τὰ συμπόσια καὶ τὰ βιβλία γραμμάτων, ὁ δ' Εὐριπίδης εἰπὼν, διδάσκει ποιητὴν, ὡς ἔρως κἂν ἄμουσος ᾖ τὸ πρὶν ἐννοῆσαι· ὅτι ποιητικὴν καὶ μουσικὴν ἔρως δύναμιν οὐκ ἐντίθησιν. ἐνυπάρχουσαν δὲ κινεῖ καὶ ἀναθερμαίνει λανθάνουσαν καὶ ἀργοῦσαν, ἢ μηδένα νῦν ἐραστὴν ὦ ξένε λέγωμεν, ἀλλὰ φροῦδον οἴχεσθαι τὸν ἔρωτα, ὅτι μέτριος οὐδεὶς οὐδὲ ᾠδαῖς ῥίμφα παιδίοις, ὥσπερ Πίνδαρος ἔφη, τοξεύει μελιγηρέας ὕμνους, ἀλλ' ἄτοπον. ἔρωτες γὰρ ἔτι πολλοὶ τῶν ἀνθρώπων ἐπιστρέφονται, ψυχαῖς ὁμιλοῦντες οὐκ εὐφυῶς, οὐδὲ ἑτοίμως πρὸς μουσικὴν ἐχούσαις, ἄναυλοι, καὶ ἄλυροι· λάλοι δὲ οὐδὲν ἧττόν εἰσι καὶ διάπυροι τῶν παλαιῶν. ὅτι οὐδ' ὅσιον εἰπεῖν ἢ καλὸν, ὡς ἀνέραστος ἦν ἡ Ἀκαδημία, καὶ ὁ Σωκράτους καὶ Πλάτωνος χορὸς, ὧν λόγοις μὲν ἐρωτικοῖς ἐντυχεῖν ἐστι, ποιήματα δὲ οὐ καταλελοίπασι. τί δὲ ἀπολείπει τοῦ λέγοντος ἐρωτικὴν μόνην γεγονέναι Σαπφὼ γυναικῶν, μαντικὴν γεγονέναι Σίβυλλαν, καὶ Ἀριστονίκην, καὶ ὅσαι διὰ μέτρων ἐθεμίστευσαν. ὁ μὲν γὰρ οἶνος ὡς ἔλεγε Χαιρήμων τοῖς τρόποις κεράννυται τῶν πινόντων. ὁ δὲ μαντικὸς ἐνθουσιασμὸς, ὥσπερ ὁ ἐρωτικὸς χρῆται τῇ ὑποκειμένῃ δυνάμει, καὶ κινεῖ τῶν δεξαμένων ἕκαστον καθ' ὃ πέφυκεν, οὐ μὴν ἀλλὰ πρὸς τὸ τοῦ θεοῦ καὶ τῆς προνοίας σκοποῦντες, ὀψόμεθα πρὸς τὸ βέλτιον γεγενημένην τὴν μεταβολήν. ἀμοιβῇ γὰρ ἔοικε νομίσματος ἡ τοῦ λόγου χρεία, καὶ δόκιμον καὶ αὐτὸ τὸ συνήθες ἐστι καὶ γνώριμον, ἄλλην ἐν ἄλλοις χρόνοις ἰσχὺν λαμβάνοντος. ἦν οὖν ὅτε λόγου νομίσμασιν ἐχρῶντο μέτροις καὶ μέλεσι καὶ ᾠδαῖς. πᾶσαν μὲν ἱστορίαν καὶ φιλοσοφίαν, πᾶν δὲ πάθος ὡς ἁπλῶς εἰπεῖν καὶ πρᾶγμα σεμνοτέρας φωνῆς δεόμενον εἰς ποιητικὴν καὶ μουσικὴν ἄγοντες, οὐ γὰρ μόνον νῦν ὀλίγοι μόλις ἐπαΐουσι, τότε δὲ πάντες ἠκροῶντο, καὶ ἔχαιρον ᾀδομένοις ἀρόται τε ὀρνιθολόγοι τε κατὰ Πίνδαρον, ἀλλὰ διὰ τῆς πρὸς ποιητικὴν ἐπιτηδειότητος, οἱ πλεῖστοι διὰ λύρας καὶ ᾠδῆς ἐνουθέτουν, ἐπαρρησιάζοντο, παρεκελεύοντο· μύθοις καὶ παροιμίαις ἐπέραινον. ἔτι δὲ ὕμνους θεῶν, εὐχὰς, παιᾶνας ἐν μέτροις ἐποιοῦντο καὶ μέλεσιν, οἱ μὲν δι' εὐφυΐαν, οἱ δὲ διὰ συνήθειαν. οὔκουν οὐδὲ μαντικὴν κόσμου καὶ χάριτος ἐφθόνει ὁ θεὸς, οὐδ' ἀπήλαυνεν ἐνθένδε τιμωμένην μοῦσαν τοῦ τρίποδος

ἀλλ' ἐπήγειρε μᾶλλον ἐγείρων τὰς ποιητικὰς ἀσπαζόμενος φύσεις, αὐτός τε φαντασίας ἐνεδίδου καὶ συνεξώρμα τὸ σοβαρὸν καὶ λόγιον ὡς ἁρμόττον καὶ θαυμαζόμενον. ἐπεὶ δὲ τοῦ βίου μεταβολὴν ἅμα ταῖς τύχαις καὶ ταῖς φύσεσι λαμβάνοντες, ἐξωθοῦσα τὸ περιττὸν ἡ χρεία κρωβύλους τε χρυσοῦς ἀφῄρει, καὶ ξυστίδας μαλακὰς ἀπημφίαζε· καί που καὶ κόμην σοβαρωτέραν ἀπέκειρε καὶ ὑπέλυσε κόθορνον, οὐ φαύλως ἐθιζομένων ἀντικαλλωπίζεσθαι πρὸς τὴν πολυτέλειαν εὐτελείᾳ· καὶ τὸ ἀφελὲς καὶ λιτὸν ἐν κόσμῳ τίθεσθαι μᾶλλον, ἢ τὸ σοβαρὸν καὶ περίεργον. οὕτω τῷ λόγῳ συμμεταβάλλοντος ἅμα καὶ συναποδυομένου, κατέβη μὲν ἀπὸ τῶν μέτρων ὥσπερ ὀχημάτων ἡ ἱστορία, καὶ τῷ πεζῷ μάλιστα τοῦ μυθώδους ἀπεκρίθη τὸ ἀληθές· φιλοσοφία δὲ τὸ σαφὲς, καὶ διδασκαλικὸν ἀσπασαμένη μᾶλλον, ἢ τὸ ἐκπλῆττον τὴν διὰ λόγων ἐποιεῖτο ζήτησιν. ἀπέπαυσε δὲ τὴν πυθίαν ὁ θεὸς, πυρικάους μὲν ὀνομάζουσαν τοὺς αὐτῆς πολίτας, ὀφιοβόρους δὲ τοὺς σπαρτιάτας, ὀρεάνας δὲ τοὺς ἄνδρας, ὀρεμπότας δὲ τοὺς ποταμούς. ἀφελὼν δὲ τῶν χρησμῶν ἔπη καὶ γλώσσας καὶ περιφράσεις καὶ ἀσάφειαν· οὕτω διαλέγεσθαι παρεσκεύασε τοῖς χρωμένοις ὡς νόμοι τε πόλεσι διαλέγονται καὶ βασιλεῖς ἐντυγχάνουσι δήμοις καὶ καθηγηταὶ διδασκάλων ἀκροῶνται· πρὸς τὸ συνετὸν καὶ πιθανὸν ἁρμοζόμενος. εὖ γ' εἰδέναι χρὴ τὸν θεὸν κἂν ὥς φησι σοφοκλῆς· σοφοῖς μὲν αἰνικτῆρα θεσφάτων αἰεί· σκαιοῖς δὲ φαῦλον κἂν βραχὺ διδάσκαλον. μετὰ δὲ τῆς σαφηνείας καὶ ἡ πίστις οὕτως ἐστρέφετο συμμεταβάλλουσα τοῖς ἄλλοις πράγμασιν, ὥστε πάλαι μὲν τὸ μὴ σύνηθες μηδὲ κοινὸν, ἀλλ' ἄδοξον ἀτεχνῶς καὶ περιπεφρασμένον εἰς ὑπόνοιαν ὁσιότητος ἀνάγοντας ἐκπλήττεσθαι καὶ σέβεσθαι τοὺς πολλούς. ὕστερον δὲ τὸ σαφῶς καὶ ῥᾳδίως ἕκαστα καὶ μὴ σὺν ὄγκῳ μηδὲ πλάσματι μανθάνειν ἀγαπῶντες, ᾐτιῶντο τὴν περικειμένην τοῖς χρησμοῖς ποίησιν. οὐ μόνον ὡς ἀντιπράττουσαν τῇ νοήσει πρὸς τὸ ἀληθὲς, ἀσάφειάν τε καὶ σκιὰν τῷ φραζομένῳ μιγνύουσαν, ἀλλὰ ἤδη καὶ τὰς μεταφορὰς καὶ τὰ αἰνίγματα καὶ τὰς ἀμφιβολίας, ὥσπερ μυχοὺς καὶ καταφυγὰς ἐνδύεσθαι, καὶ ἀναχωρεῖν τῷ πταίοντι πεποιημένα τῆς μαντικῆς ὑφεωρῶντο. πολλῶν δὲ ἦν ἀκούειν· ὅτι ποιητικοί τινες ἄνδρες ἐκδεχόμενοι τὰς φωνὰς καὶ ὑπολαμβάνοντες ἐπικάθηνται περὶ τὸ χρηστήριον· ἔπη καὶ μέτρα καὶ ῥυθμοὺς οἷον ἀγγεῖα τοῖς χρησμοῖς ἐκ τοῦ προστυχόντος περιπλέκοντες. ὀνομάκριτοι δὲ ἐκεῖνοι καὶ πρόδοτοι καὶ κινέσωνες ὅσην αἰτίαν ἠνέγκαντο τῶν χρησμῶν ὡς τραγῳδίαν αὐτοῖς καὶ ὄγκον οὐθὲν δεομένοις προσθέντες, ἐῶ λέγειν. οὐδὲ προσεῖναι τὰς μεταβολάς. πλείστης μέντοι ποιητικὴν ἐνέπλησεν ἀδοξίας, τὸ ἀγυρτικὸν καὶ ἀγοραῖον καὶ περὶ τὰ μητρῷα καὶ σεράπεια βωμολόχον καὶ πλανώμενον γένος οἱ μὲν αὐτόθεν, οἱ δὲ κατὰ κλῆρον ἔκ τινων γραμματίων χρησμοὺς περαίνοντες οἰκέταις καὶ γυναίοις ὑπὸ τῶν μέτρων ἀγομένοις μάλιστα καὶ τοῦ ποιητικοῦ τῶν ὀνομάτων. ὅθεν οὐχ ἥκιστα ποιητικὴ δοκοῦσα κοινὴν ἑαυτὴν ἀπατεῶσι καὶ γόησιν ἀνθρώποις καὶ ψευδομάντεσι παρέχειν, ἐξέπεσε τῆς ἀληθείας καὶ τοῦ τρίποδος. οὐ τοίνυν θαυμάσαιμ' ἄν, εἰ διπλόης τινὸς ἔδει καὶ περιαγωγῆς καὶ ἀσαφείας· ἔστιν ὅτε τοῖς παλαιοῖς. οὐδὲ γὰρ ὁ δεῖνα κατέβαινε μὰ δία περὶ ὠνῆς ἀνδραπόδου χρησόμενος, οὐδὲ ὁ δεῖνα περὶ ἐργασίας. ἀλλὰ πόλεις μέγα δυνάμεναι καὶ βασιλεῖς καὶ τύραννοι μέτριον οὐθὲν φρονοῦντες, ἐνετύγχανον τῷ θεῷ περὶ πραγμάτων· οὓς ἀνιᾶν καὶ παροξύνειν ἀπεχθείᾳ πολλὰ τῶν ἀβουλήτων ἀκούοντας, οὐκ ἐλυσιτέλει τοῖς περὶ τὸ χρηστήριον. οὐ πείθεται γὰρ ὁ θεὸς ὥσπερ τῷ εὐριπίδῃ νομοθετοῦντι καὶ λέγοντι· φοῖβον ἀνθρώποις μόνον χρῆν θεσπιῳδεῖν. χρώμενος δὲ θνητοῖς ὑπηρέταις καὶ προφήταις, ὧν κήδεσθαι προσήκει καὶ φυλάττειν ὅπως

ὑπ' ἀνθρώπων οὐκ ἀπολοῦνται πονηρῶν θεῷ λατρεύοντες· ἀφανίζειν μὲν οὐ θέλει τὸ ἀληθὲς, παρατρέπων δὲ τὴν δήλωσιν αὐτοῦ καθάπερ αὐγὴν ἐν τῇ ποιητικῇ πολλὰς ἀνακλάσεις λαμβάνουσαν καὶ πολλαχοῦ περισχιζομένην, ἀφῄρει τὸ ἀντίτυπον αὐτοῦ καὶ σκληρόν. ἦν δὲ ἄρα καὶ τυράννους ἀγνοῆσαι καὶ πολεμίους μὴ προαισθέσθαι. τούτοις οὖν περιέβαλεν ὑπονοίας καὶ ἀμφιλογίας· αἳ πρὸς ἑτέρους ἀποκρύπτουσαι τὸ φραζόμενον οὐ διέφευγον αὐτοὺς, οὐδὲ παρεκρούοντο τοὺς δεομένους καὶ προσέχοντας. ὅθεν εὐηθέστατός ἐστιν ὁ τῶν πραγμάτων ἑτέρων γεγονότων, εἰ μηκέτι τὸν αὐτὸν ἡμῖν τρόπον, ἀλλ' ἕτερον οἴεται δεῖν βοηθεῖν ὁ θεὸς ἐγκαλῶν καὶ συκοφαντῶν. ἔτι τοίνυν οὐθὲν ἀπὸ ποιητικῆς λόγῳ χρησιμώτερον ὑπάρχει· τοῦ δεθέντα μέτροις τὰ φραζόμενα καὶ συμπλακέντα μᾶλλον μνημονεύεσθαι καὶ κρατεῖσθαι. τοῖς μὲν οὖν τότε πολλὴν ἔτι μνήμην παρεῖναι. πολλὰ γὰρ ἐφράζετο καὶ τόπων σημεῖα καὶ πράξεων καιροὶ καὶ θεῶν ἱερὰ διαποντίων, καὶ ἡρώων ἀπόρρητοι θῆκαι δυσεξεύρετοι μακρὰν ἀπαίρουσι τῆς ἑλλάδος. εἰς γὰρ τὸν χίον καὶ κρήτινον καὶ νήσιχον καὶ φάλανθον, ἄλλους τε πολλοὺς ἡγεμόνας στόλων ὅσους ἔδει τεκμηρίοις ἀνευρεῖν τὴν διδομένην ἑκάστῳ καὶ προσήκουσαν ἵδρυσιν, ὧν ἔνιοι καὶ διημάρτανον, ὥσπερ βάττος. ἔλεξε γὰρ ἐκπεσεῖν οὐ καταλαβὼν ἐφ' ὃν ἐπέμφθη τόπον· εἶτα ἧκε δεύτερον ποτνιώμενος. ὑπειπὼν οὖν ὁ θεὸς μελιβύαν μαλόδοφον· οἶσθα σάφειον μὴ ἐλθὼν· ἐλθόντος, ἄγαν ἄγαμαι σοφίην σεῦ· οὕτω πάλιν αὐτὸν ἐξέπεμψε. λύσανδρος δὲ καὶ παντάπασιν ἀγνοήσας τὸν ἀρχελίδην λόφον καὶ ἀλώπεκον προσαγορευόμενον καὶ τὸν ὁπλίτην ποταμὸν, γῆς τε δράκοντα γίον δόλιον κατόπιθεν ἰόντα, μάχῃ κρατηθεὶς, ἔπεσεν ἐν τοῖς τόποις ἐκείνοις· ὑφ' ὧν ὁ χῶρος ἁλιάρτου ἀνδρὸς ἀσπίδα φοροῦντος ἐπίσημον ὄφιν ἔχουσαν. ἄλλα δὲ τοιαῦτα πολλὰ δυσκάθεκτα καὶ δυσμνημόνευτα τῶν παλαιῶν διεξιέναι πρὸς ὑμᾶς εἰδότας, οὐκ ἀναγκαῖόν ἐστι. τὰ δὲ νῦν πράγματα καθεστῶτα περὶ ὧν ἐρωτῶσι τὸν θεόν. ἀγαπῶ μὲν ἔγωγε καὶ ἀσπάζομαι. πολλὴ γὰρ εἰρήνη καὶ ἡσυχία· πέπαυται δὲ πόλεμος καὶ πλάναι καὶ στάσεις οὐκ εἰσὶν, οὐδὲ τυραννίδες, οὐδὲ ἄλλα νοσήματα, καὶ κακὰ τῆς ἑλλάδος· ὥσπερ πολυφαρμάκων δυνάμεων χρῄζοντα καὶ περιττῶν. ὅπου δὲ ποικίλον, οὐδὲν οὐδὲ ἀπόρρητον, οὐδὲ δεινὸν, ἀλλ' ἐπὶ πράγμασι μικροῖς, καὶ δημοτικοῖς ἐρωτήσεις, οἷον ἐν σχολῇ προτάσεις, εἰ γαμητέον, ἢ πλευστέον, ἢ δανειστέον. τὰ δὲ μέγιστα πόλεων μαντεύματα, φορᾶς καρπῶν πέρι, καὶ βοτῶν ἐπιγονῆς καὶ σωμάτων ὑγιείας, ἐνταῦθα περιβάλλειν μέτρα καὶ πλάττειν περιφράσεις καὶ γλώσσας ἐπάγειν πύσμασιν ἁπλῆς καὶ συντόμου δεομένοις ἀποκρίσεως, ἔργον ἐστὶ φιλοτίμου σοφιστοῦ καλλωπίζοντος ἐπὶ δόξῃ χρηστήριον. ἡ δὲ πυθία καὶ καθ' αὑτὸν μέν ἐστι γενναία τὸ ἦθος· ὅταν δὲ ἐκεῖ κατέλθῃ καὶ γένηται παρὰ τῷ θεῷ, πλέον ἢ ἐκείνη μέλει δόξης· καὶ ἀνθρώπων ἐπαινούντων ἢ ψεγόντων, ἔδει δὲ ἴσως καὶ ἡμᾶς ἔχειν οὕτως. νῦν δὲ ὥσπερ ἀγωνιῶντες καὶ δεδιότες, μὴ τειχισμὸν ἐπῶν ἀποβάλῃ δόξαν ὁ τόπος, καὶ τοῦ χρηστηρίου καθάπερ σοφιστοῦ διατριβῆς ἀποφοιτήσωσιν ἔνιοι, καταφρονήσαντες, ἀπολογούμεθα καὶ πλάσσομεν αἰτίας καὶ λόγους ὑπὲρ ὧν οὔτε ἴσμεν οὔτε εἰδέναι προσῆκον ἡμῖν ἐστι, παραμυθούμενοι τὸν ἐγκαλοῦντα καὶ πείθοντες οὐ χαίρειν ἐῶντες. αὐτῷ γὰρ οἱ πρῶτον ἀνιηρότερον ἔσται, τοιαύτην ἔχοντι περὶ τοῦ θεοῦ δόξαν. ὥστε ταυτὶ μὲν τὰ προγεγραμμένα τῶν σοφῶν· τὸ γνῶθι σαυτόν· καὶ τὸ μηδὲν ἄγαν, ἀποδέχεσθε, καὶ θαυμάζειν οὐχ ἥκιστα διὰ τὴν βραχυλογίαν, ὡς πυκνὸν καὶ σφυρήλατον νοῦν ἐν ὀλίγῳ περιέχουσαν ὄγκῳ· τοὺς δὲ χρησμοὺς ὅτι συντόμως καὶ ἁπλῶς καὶ δι' εὐθείας τὰ πλεῖστα φρά-

ζουσιν αἰτιᾶσθαι, καὶ τὰ τοιαῦτα μὲν ἀποφθέγματα τῶν σοφῶν, ταυτὸν τοῖς
εἰς στενὸν συνθλιβεῖσι πέπονθε ῥεύμασιν, οὐ γὰρ ἔχει τοῦ νοῦ δίοψιν· οὐδὲ
ἀλλ' ἐὰν σκοπῇς τί γέγραπται καὶ λέλεκται
περὶ αὐτῶν, τοῖς ὅπως ἕκαστον ἔχει βουλομένοις καταμαθεῖν, οὐ ῥᾳδίως τούτων
λόγους ἑτέρους εὑρήσεις μακροτέρους· ἡ δὲ τῆς πυθίας διάλεκτος, ὥσπερ οἱ μα
θηματικοὶ γραμμὴν εὐθεῖαν καλοῦσι τὴν ἐλαχίστην τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν
οὕτως οὐ ποιοῦσα καμπὴν, οὐδὲ κύκλον, οὐδὲ διπλόην, οὐδὲ ἀμφιβολίαν, ἀλλὰ
εὐθεῖα πρὸς τὴν ἀλήθειαν οὖσα, πρὸς δὲ πίστιν ἐπισφαλὴς καὶ ὑπεύθυνος, οὐδένα
καθ' αὐτῆς ἔλεγχον ἄχρι νῦν παραδέδωκεν, ἀναθημάτων δὲ καὶ δώρων ἐμπέ-
πληκε βαρβαρικῶν καὶ ἑλληνικῶν τὸ χρηστήριον, οἰκοδομημάτων δὲ κάλλεσι καὶ
κατασκευαῖς ἀμφικτυονικαῖς· ὁρᾶτε δήπουθεν αὐτοὶ πολλὰ μὲν ἐπεκτισμένα
τῶν πρότερον οὐκ ὄντων, πολλὰ δὲ ἀνειλημμένα τῶν συγκεχυμένων, καὶ διεφθαρ
μένων· ὡς δὲ τοῖς εὐθαλέσι τῶν δένδρων ἕτερα παραβλαστάνει, καὶ τοῖς δελφοῖς
ἡ πυλαία συνηβᾷ καὶ συναναβόσκεται διὰ τὰς ἐντεῦθεν εὐπορίας σχῆμα λαμ
βάνουσα καὶ μορφὴν καὶ κόσμον ἱερῶν καὶ συνεδρίων καὶ ὑδάτων, οἷον ἐν χι
λίοις ἔτεσι τοῖς πρότερον οὐκ ἔλαβεν· οἱ μὲν οὖν περὶ τὸ γαλάξιον τῆς βοιωτίας
κατοικοῦντες, ᾔσθοντο τοῦ θεοῦ τὴν ἐπιφάνειαν, ἀφθονίᾳ καὶ περιουσίᾳ γάλα-
κτος. πρὸ πάντων γὰρ ἐκ πάντων κελάρυξεν ὡς ἀπὸ κρηνάων φέρτατον ὕδωρ
θήλεον γάλα· τοὶ δὲ ἐπίμπλων ἐσσύμενοι πίθους, ἀσκὸς δὲ οὔτε τις ἀμφορεὺς ἐ-
λίννυε δόμοις· πέλλαι δὲ ξύλινοι πίθοι πλᾶσθεν ἅπαντες· ἡμῖν δὲ λαμπρότερα
καὶ κρείττονα καὶ σαφέστερα σημεῖα τούτων ἀναδίδωσιν ὥσπερ ἐξ αὐχμοῦ τοῦ πρό
σθεν ἐρημίας καὶ πενίας, εὐπορίαν καὶ λαμπρότητα καὶ τιμὴν πεποιηκώς·
καί τοι φιλῶ μὲν ἐμαυτὸν ἐφ' οἷς ἐγενόμην εἰς τὰ πράγματα ταῦτα πρόθυμος
καὶ χρήσιμος μετὰ πολυκράτους καὶ πετραίου· φιλῶ δὲ τὸν καθηγεμόνα ταύ-
της τῆς πολιτείας γενόμενον ἡμῖν καὶ τὰ πλεῖστα τούτων ἐκφροντίζοντα καὶ
παρασκευάζοντα ἀλλ' οὐκ ἔστιν ἄλλως ὅτι τηλικαύτην
καὶ τοσαύτην μεταβολὴν ἐν ὀλίγῳ χρόνῳ γενέσθαι δι' ἀνθρωπίνης ἐπιμελείας,
μὴ θεοῦ παρόντος ἐνταῦθα καὶ συνεπιθειάζοντος τὸ χρηστήριον, ἀλλ' ὥσπερ ἐν τοῖς
τότε χρόνοις ἦσαν οἱ τὴν λοξότητα τῶν χρησμῶν καὶ ἀσάφειαν αἰτιώμενοι, καὶ
νῦν εἰσιν οἱ τὸ λίαν ἁπλοῦν συκοφαντοῦντες, ὧν καὶ ἄδικόν ἐστι κομιδῇ καὶ ἀβέλ
τερον τὸ πάθος· καὶ γὰρ οἱ παῖδες ἴριδας μᾶλλον καὶ ἅλως καὶ κομή-
τας, ἢ σελήνην καὶ ἥλιον ὁρῶντες γεγήθασι καὶ ἀγαπῶσι, καὶ οὗτοι
τὰ αἰνίγματα καὶ τὰς ἀλληγορίας τῆς μεταφορὰς τῆς
μαντικῆς, ἀνακλάσεις οὔσας πρὸς τὸ θνητὸν καὶ φαν-
ταστικὸν ἐπιποθοῦσι, κἂν τὴν αἰτίαν μὴ ἱκανῶς
πύθωνται τῆς μεταβολῆς ἀπίασι τοῦ θεοῦ
καταγνόντες οὐχ ἡμῶν οὐδὲ αὐτῶν
ὡς ἀδυνάτων ὄντων ἐξικνεῖ-
σθαι τῷ λογισμῷ πρὸς
τὴν τοῦ θεοῦ δι-
άνοιαν.

ΠΡΟΣ ΚΟΛΩΤΗΝ.

κ

Κολώτης ὃν ἐπίκουρος εἰώθει κολωτάραν ὑποκορίζεσθαι
καὶ κολωτάριον ὦ σατορνῖνε, βιβλίον ἐξέδωκεν, ἐπιγρά
ψας περὶ τοῦ ὅτι κατὰ τὰ τῶν ἄλλων φιλοσόφων δόγ-
ματα οὐδὲ ζῆν ἐστιν· ἐκεῖνο μὲν οὖν πτολεμαίῳ τῷ βασιλεῖ
προσπεφώνηται, ἃ δὲ ἡμῖν ἐπῆλθεν εἰπεῖν πρὸς τὸν κολώ
την, ἡδέως ἂν οἶμαί σε γεγραμμένα διελθεῖν φιλόκαλον καὶ
φιλάρχαιον ὄντα, καὶ τὸ μεμνῆσθαι καὶ διὰ χειρῶν ἔχειν
ὡς μάλιστα δυνατόν ἐστι τοὺς λόγους, τῶν παλαιῶν βασιλι-
κωτάτην διατριβὴν ἡγούμενον, ἔναγχος οὖν ἀναγινωσκομένου εἷς τῶν ἑταίρων
ἀριστόδημος ὁ αἰγιεὺς, οἶσθα γὰρ τὸν ἄνδρα, τῶν ἐξ ἀκαδημίας, οὐ ναρθηκο-
φόρον, ἀλλὰ ἐμμανέστατον ὀργιαστὴν πλάτωνος, οὐκ οἶδα ὅπως παρὰ τὸ εἰωθὸς
ἐγκαρτερήσας σιωπῇ καὶ παρασχὼν ἑαυτὸν ἀκροατὴν ἄχρι τέλους κόσμιον· ὡς
τέλος ἔσχεν ἡ ἀνάγνωσις, εἶεν ἔφη· τίνα τούτῳ μαχόμενον ἀνίσταμεν ὑπὲρ τῶν
φιλοσόφων, οὐ γὰρ ἄγαν τοῦ νέστορος ἑλέσθαι δέον ἐκ τῶν ἐννέα τὸν ἄριστον
ἐπὶ τῇ τύχῃ ποιουμένου καὶ διακληροῦντος, ἀλλὰ ὁρᾷς ἔφην ὅτι κἀκεῖνος ἐπὶ
τὸν κλῆρον ἑαυτὸν ἔταξεν· ὥστε τοῦ φρονιμωτάτου βραβεύοντος γενέσθαι τὸν κα-
τάλογον· ἐκ δ' ἔκθορε κλῆρος κυνέης, ὃν ἄρ' ἤθελον αὐτοὶ αἴαντος· οὐ μὴν ἀλλ' εἰ
σὺ προστάττεις ἑλέσθαι, πῶς ἂν· ἔπειτ' ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην· ὅρα δὴ καὶ
σκόπει πῶς ἀμυνῇ τὸν ἄνδρα· καὶ ὁ ἀριστόδημος, ἀλλ' οἶσθα ἔφη τὸ τοῦ πλάτω-
νος, ὅτι τῷ παιδὶ χαλεπήνας οὐκ αὐτὸς ἐνέτεινε πληγὰς, ἀλλὰ σπεύσιππον ἐ-
κέλευσεν· εἰπὼν αὐτὸς ὀργίζεσθαι, καὶ σὺ τοίνυν παραλαβὼν, κόμιζε τὸν ἄνθρω
πον ὅπως βούλει· ἐγὼ γὰρ ὀργίζομαι, τὰ αὐτὰ δὴ καὶ τῶν ἄλλων παρακελευο-
μένων, λεκτέον μὲν ἔφην ἄρα φοβοῦμαι δὲ, μὴ δόξω καὶ αὐτὸς ἐσπουδακέναι μᾶλ
λον, ἢ δεῖ πρὸς τὸ βιβλίον· ὑπὲρ τῆς δι' ἀγροικίαν καὶ βωμολοχίαν καὶ ὕβριν
τοῦ ἀνθρώπου χόρτον τινὰ προβάλλοντος ἥσεως σωκράτει· καὶ πῶς
εἰς τὸ στόμα τὸ σιτίον οὐκ εἰς τὸ οὖς ἐντίθησιν ἐρωτῶντος, ἀλλ' ἴσως ἂν, ἐπὶ τούτοις
καὶ γελάσειέ τις ἐννοήσας· τὴν σωκράτους πρᾳότητα καὶ χάριν· ὑπέρ γε μέν
τοι παντὸς ἑλλήνων στρατοῦ τῶν ἄλλων φιλοσόφων, ἐν οἷς δημόκριτός ἐστι καὶ πλά
των καὶ ἐμπεδοκλῆς, καὶ παρμενίδης, καὶ μέλισσος· οἱ κακῶς ἀκηκοότες, οὐ μό
νον αἰσχρὸν σιωπᾶν, ἀλλ' οὐδὲ ὅσιον ἐνδοῦναί τι καὶ ὑφελέσθαι τῆς ἄκρας ὑπὲρ
αὐτῶν παρρησίας, εἰς τοῦτο δόξης φιλοσοφίαν προαγαγόντων· καί τοι τὸ μὲν
ζῆν οἱ γονεῖς μετὰ τῶν θεῶν ἡμῖν ἔδωκαν· παρὰ δὲ τῶν φιλοσόφων δίκης καὶ νόμου
συνεργὸν οἰόμεθα λόγον, ἐπιθυμιῶν κολαστὴν λαβόντες εὖ ζῆν· τὸ δὲ εὖ ζῆν ἐστι κοι
νωνικῶς ζῆν καὶ φιλικῶς καὶ σωφρόνως καὶ δικαίως· ὧν οὐθὲν ἀπολείπουσιν οἱ
περὶ γαστέρα τἀγαθὸν εἶναι βοῶντες, οὐκ ἂν δὲ τὰς ἀρετὰς ὁμοῦ πάσας τετρη-
μένου χαλκοῦ πριάμενοι δίχα τῆς ἡδονῆς πάσης πανταχόθεν ἐξελαθείσης· ἐν
δέουσι δὲ αὐτοῖς τὸν περὶ θεῶν καὶ ψυχῆς λόγον· ὡς ἡ μὲν, ἀπόλλυται διαλυθεῖ
σα· τοῖς δὲ, οὐδενὸς μέλει τῶν καθ' ἡμᾶς· τοῖς μὲν γὰρ ἄλλοις φιλοσόφοις ἐγκα-
λοῦσιν οὗτοι διὰ τὸ σοφὸν ὡς τὸ ζῆν ἀναιροῦσι· ἐκεῖνοι δὲ τούτοις, ὅτι ζῆν ἀγεννῶς καὶ
θηριωδῶς διδάσκουσι· καί τοι ταῦτα μὲν ἐγκέκραται τοῖς ἐπικούρου λόγοις καὶ
διαπεφοίτηκεν αὐτοῦ τῆς φιλοσοφίας· ὁ δὲ κολώτης, ὅτι φωνάς τινας ἐρήμους
πραγμάτων ἀποσπῶν καὶ μέρη λόγων καὶ σπαράγματα κωφὰ τοῦ βεβαιοῦν
τος καὶ συνεργοῦντος πρὸς νόησιν καὶ πίστιν ἕλκων· ὡς περὶ ἀγορὰν, ἢ πινάκια τερά-
των συντίθησι τὸ βιβλίον, ἴστε δή που παντὸς μᾶλλον ὑμεῖς ἔφην τὰ συγγράμ-

ἀγάμαι .Ι.

ξυνοήσας .Ι.

μάτα τῶν παλαιῶν διὰ χειρὸς ἔχοντες. ἐμοὶ δὲ δοκεῖ καθάπερ ὁ Λυδὸς ἐφ' αὑτοῦ
ἀνοίγειν οὐ θύραν μίαν, ἀλλὰ ταῖς πλείσταις τῶν ἀπορειῶν καὶ μεγίσταις περι-
βάλλειν τὸν Ἐπίκουρον. ἄρχεται γὰρ ἀπὸ Δημοκρίτου καλὰ καὶ πρέποντα διδα-
σκάλια κομιζομένου παρ' αὐτοῦ, καίτοι πολὺν χρόνον αὐτὸς ἑαυτὸν ἀνηγόρευε Δη-
μοκρίτειον ὁ Ἐπίκουρος, ὡς ἄλλοι τε λέγουσι, καὶ Λεοντεὺς εἷς τῶν ἐπ' ἄκρον Ἐπι-
κούρου μαθητῶν πρὸς Λυκόφρονα γράφων τιμᾶσθαί τέ φησι τὸν Δημόκριτον
ὑπὸ Ἐπικούρου διὰ τὸ πρότερον ἅψασθαι τῆς ὀρθῆς γνώσεως, καὶ τὸ σύνολον
τὴν πραγματείαν Δημοκρίτειον προσαγορεύεσθαι διὰ τὸ περιπεσεῖν αὐτὸν πρό-
τερον ταῖς ἀρχαῖς περὶ φύσεως. ὁ δὲ Μητρόδωρος ἄντικρυς περὶ φιλοσοφίας
εἴρηκεν, ὡς εἰ μὴ καθηγήσατο Δημόκριτος, οὐκ ἂν προῆλθεν Ἐπίκουρος ἐπὶ τὴν σο-
φίαν, ἀλλ' εἰ κατὰ τὰ Δημοκρίτου δόγματα ζῆν οὐκ ἔστιν ὡς οἴεται Κολώτης,
γελοῖος ἦν ἐπὶ τὸ μεῖζον ἄγοντι Δημοκρίτῳ κατακολουθῶν ὁ Ἐπίκουρος. ἐγκα-
λεῖ δὲ αὐτῷ πρῶτον, ὅτι τῶν πραγμάτων ἕκαστον εἰπὼν, οὐ μᾶλλον τοῖον, ἢ τοῖον
εἶναι συγκέχυκε τὸν βίον, ἀλλὰ τοσοῦτόν γε Δημόκριτος ἀποδεῖ τοῦ νομίζειν μὴ
μᾶλλον εἶναι τοῖον ἢ τοῖον τῶν πραγμάτων ἕκαστον· ὥστε Πρωταγόρᾳ τῷ σοφι-
στῇ τοῦτ' εἰπόντι μεμαχῆσθαι. καὶ γεγραφέναι πολλὰ καὶ πιθανὰ πρὸς αὐτόν,
οἷς οὐδὲ ὄναρ ἐντυχὼν ὁ Κολώτης. ἐσφάλη περὶ λέξιν τοῦ ἀνδρὸς, ἐν ᾗ διορίζε-
ται μὴ μᾶλλον τὸ δὲν, ἢ τὸ μηδὲν εἶναι, δὲν μὲν ὀνομάζων τὸ σῶμα, μηδὲν δὲ τὸ κε-
νὸν, ὡς καὶ τούτου φύσιν τινὰ καὶ ὑπόστασιν ἰδίαν ἔχοντος, ὁ δ' οὖν δόξας τὸ μη-
δὲν μᾶλλον εἶναι τοῖον ἢ τοῖον, Ἐπικουρείῳ δόγματι κέχρηται τῷ πάσας εἶναι
τὰς δι' αἰσθήσεως φαντασίας ἀληθεῖς. εἰ γὰρ δυοῖν λεγόντων, τοῦ μὲν αὐστηρὸν εἶναι
τὸν οἶνον, τοῦ δὲ, γλυκύν, οὐδέτερος ψεύδεται τῇ αἰσθήσει, τί μᾶλλον ὁ οἶνος αὐστη-
ρὸς ἢ γλυκύς ἐστι; καὶ μὴν λουτρῷ γε τῷ αὐτῷ, τοὺς μὲν ὡς θερμῷ, τοὺς δὲ, ὡς ψυ-
χρῷ χρωμένους ἰδεῖν ἔστιν. οἱ μὲν γὰρ ψυχρὸν, οἱ δὲ θερμὸν ἐπιβάλλειν κελεύουσι.
πρὸς δὲ Βερονίκην τὴν Δηϊοτάρου τῶν Λακεδαιμονίων τινὰ γυναικῶν ἀφικέ-
σθαι λέγουσιν. ὡς δὲ ἐγγὺς ἀλλήλων προσῆλθον εὐθὺς ἀποστραφῆναι, τὴν μὲν, τὸ
μύρον ὡς ἔοικε, τὴν δὲ, τὸ βούτυρον δυσχεράνασαν. εἴπερ οὖν μὴ μᾶλλόν ἐστιν, ἡ ἑ-
τέρα τῆς ἑτέρας ἀληθὴς αἴσθησις, εἰκός ἐστι καὶ τὸ ὕδωρ μὴ μᾶλλον εἶναι ψυχρὸν
ἢ θερμόν. καὶ τὸ μύρον καὶ τὸ βούτυρον μὴ μᾶλλον εὐῶδες ἢ δυσῶδες. εἰ γὰρ αὐ-
τὸ φαινόμενον ἕτερον ἑτέρῳ φάσκει τις ἀμφότερα εἶναι λέγων λέληθεν. αἱ δὲ πο-
λυθρύλλητοι συμμετρείω καὶ ἁρμονίω τῶν περὶ τὰ αἰσθητήρια πόρων, αἵ τε πο-
λυμιξίαι τῶν σπερμάτων, ἃ δὴ πᾶσι χυμοῖς καὶ ὀσμαῖς καὶ χροιαῖς ἐνδιεσπαρ-
μένα λέγουσι τὴν ἑτέραν ἑτέρων ποιότητας κινεῖν αἴσθησιν, οὐκ ἄντικρυς εἰς τὸ μὴ
μᾶλλον τὰ πράγματα συνελαύνουσιν αὐτοῖς. τοὺς γὰρ οἰομένους ψεύδεσθαι τὴν
αἴσθησιν ὅτι τὰ ἐναντία πάθη γινόμενα τοῖς χρωμένοις ἀπὸ τῶν αὐτῶν ὁρῶσι πα-
ραμυθούμενοι, διδάσκουσιν ὡς ἀναπεφυρμένων καὶ συμμιγνυμένων ὁμοῦ τοῖ πάν-
των. ἄλλου δὲ ἄλλῳ πεφυκότος ἐναρμόττειν, οὐκ ἔστι τῆς αὐτῆς ποιότητος ἐπαφὴ
καὶ ἀντίληψις, οὐδὲ πᾶσι τοῖς μορίοις κινεῖ πάντας ὡσαύτως τὸ ὑποκείμενον.
ἀλλ' ἐκείνοις ἕκαστοι μόνοις ἐντυγχάνοντες, πρὸς ἃ σύμμετρον ἔχουσι τὴν αἴσθη-
σιν. οὐκ ὀρθῶς διαμάχονται περὶ τοῦ χρηστὸν, ἢ λευκὸν ἢ μὴ λευκὸν εἶναι τὸ πρᾶγμα, τὰς αὐ-
τῶν οἰόμενοι βεβαιοῦν αἰσθήσεις, τῷ τὰς ἄλλων ἀναιρεῖν. δεῖ δὲ αἰσθήσει μὲν μὴ διαμά-
χεσθαι. πᾶσαι γὰρ ἅπτονταί τινος. οἷον ἐκ πηγῆς τῆς πολυμιξίας ἑκάστη λαμβάνουσα
τὸ πρόσφορον καὶ οἰκεῖον. ὅλου δὲ μὴ κατηγορεῖν ἁπτομένους μερῶν, μὴ δὲ τὸ αὐτὸ οἴ-
εσθαι δεῖν πάσχειν ἅπαντας, ἄλλους κατ' ἄλλην ποιότητα καὶ δύναμιν αὐτοῦ πά-
σχοντας. ἆρα δεῖ σκοπεῖν. τίνες μᾶλλον ἄνθρωποι τὸ μὴ μᾶλλον ἐπάγουσι τοῖς πράγ-
μασιν, ἢ οἱ πᾶν μὲν τὸ αἰσθητὸν κρᾶμα παντοδαπῶν ποιοτήτων ἀποφαίνουσι
σύμ-

μὴ ζῆν l.

συμμετρίαι καὶ ἁρμο-
νίαι l.

μικτον, ὥστε γλεῦκος αὐλητήριον. ἔρρειν δὲ ὁμολογοῦσι τοὺς κανόνας αὐ-
τοῖς καὶ παντάπασιν οἴχεσθαι τὸ κριτήριον, ἄνπερ εἰλικρινὲς αἰσθητὸν ὁτι-
οῦν. καὶ μὴ πολλὰ ἕκαστον ἀπέλιπον. ὅρα δὴ ἃ περὶ τοῦ οἴνου τῆς θερμό-
τητος ἐν τῷ συμποσίῳ, Πολύαινον αὐτῷ διαλεγόμενοι Ἐπίκουρος πεποίηκε, λέ-
γοντος γὰρ, οὐ φῂς, ὦ Ἐπίκουρε, τὰς ὑπὸ τοῦ οἴνου διαθερμασίας, ὑπέλαβε τίς σε
τὸ καθόλου θερμαντικὸν ἀποφαίνεσθαι τὸν οἶνον εἶναι, καὶ μετὰ σμικρόν. φαί-
νεται μὲν γὰρ τὸ καθόλου οὐκ εἶναι θερμαντικὸς ὁ οἶνος. τοῦδε δέ τινος ὁ τοσοῦ-
τος εἶναι θερμαντικὸς ἂν ῥηθείη. καὶ πάλιν αἰτίαν ὑπειπὼν, θλίψεις τε καὶ διασπο-
ρὰς ἀτόμων, ἑτέρων δὲ συμμίξεις καὶ παραζεύξεις αἰτιασάμενος ἐν τῇ πρὸς τὸ
σῶμα καταμίξει τοῦ οἴνου ἐπιλέγει. διὸ δὴ καθόλου μὲν οὐ ῥητέον τὸν οἶνον εἶναι
θερμαντικόν. τῆς δὲ τοιαύτας φύσεως καὶ τῆς οὕτω διακειμένης θερμαντικὸν τοῦ
τοσοῦτον, ἢ τῆς δὲ τὸν τοσοῦτον εἶναι ψυκτικόν, ἔνεισι γὰρ καὶ τοιαῦται ἐν τῷ
τοιούτῳ ἀθροίσματι φύσεις ἐξ ὧν ἂν ψυχρὸν συσταίη. εἰ δέον γε ἑτέραις παραζυ-
γεῖσαι, ψυχρασίας φύσιν ἀποτελέσειαν. ὅθεν ἐξαπατώμενοι. οἱ μὲν, ψυκτικὸν
τὸ καθόλου φασὶν εἶναι τὸν οἶνον, οἱ δὲ, θερμαντικόν. ὁ δὴ λέγων ἐξηπατῆσθαι τοὺς πολ-
λοὺς τὸ θερμαῖνον θερμαντικὸν, ἢ τὸ ψῦχον ψυκτικὸν ὑπολαμβάνονται, εἰ μὴ νο-
μίζοι τὸ μὴ μᾶλλον εἶναι τοῖον ἢ τοῖον ἕκαστον ἀκολουθεῖν οἷς εἴρηκεν, αὐτὸς ἐξη-
πάτηται. προστίθησι δὲ ὅτι πολλάκις οὐδὲ ἦλθεν εἰς τὸ σῶμα θερμαντικὸν ἐπι-
φέρων, ἢ ψυκτικὴν δύναμιν ὁ οἶνος, ἀλλὰ κινηθέντος τοῦ ὄγκου καὶ γενομένης τῶν
σωμάτων μεταστάσεως αἱ ποιοῦσαι τὸ θερμὸν ἄτομοι. νῦν μὲν συνῆλθον εἰς τὸ
αὐτὸ καὶ παρέσχον ὑπὸ πλήθους θερμότητα καὶ πύρωσιν τῷ σώματι, νῦν δὲ
ἐκπεσοῦσαι κατέψυξαν, ἔτι δὲ τούτοις πρὸς πᾶν ἔστι χρῆσθαι τὸ καλούμενον
καὶ νομιζόμενον πικρὸν. γλυκὺ, καθαρτικὸν, ὑπνωτικὸν, φωτεινὸν, ὡς οὐδενὸς ἔχον-
τος αὐτοτελῆ ποιότητα, καὶ δύναμιν οὐδὲ δρῶντος μᾶλλον, ἢ πάσχοντος, ὅταν
ἐγγένωνται τοῖς σώμασιν. ἄλλην δὲ ἐν ἄλλοις διαφορὰν καὶ κρᾶσιν λαμβάνοντος,
οὐκ ἄδηλός ἐστιν. αὐτὸς γὰρ οὖν ὁ Ἐπίκουρος ἐν τῷ δευτέρῳ τῶν πρὸς Θεόφραστον,
οὐκ εἶναι λέγων τὰ χρώματα συμφυῆ τοῖς σώμασιν, ἀλλὰ γεννᾶσθαι κατὰ ποιάς
τινας τάξεις, καὶ θέσεις πρὸς τὴν ὄψιν, οὐ μᾶλλόν φησι κατὰ τοῦτον τὸν λόγον
ἀχρωμάτιστον σῶμα εἶναι ἢ χρῶμα ἔχον. ἀνωτέρω δὲ κατὰ λέξιν ταῦτα γέγρα-
φεν. ἀλλὰ καὶ χωρὶς τούτου τοῦ μέρους, οὐκ οἶδα ὅπως δεῖ τὰ ἐν τῷ σκότει ταῦ-
τα ὄντα φῆσαι χρώματα ἔχειν, καίτοι πολλάκις ἀέρος ὁμοίως σκοτώδους περι-
κεχυμένου. οἱ μὲν αἰσθάνονται χρωμάτων διαφορᾶς, οἱ δὲ, οὐκ αἰσθάνονται δι' ἀμ-
βλυότητα τῆς ὄψεως. ἔτι δὲ εἰσελθόντες εἰς σκοτεινὸν οἶκον, οὐδεμίαν ὄψιν χρώ-
ματος ὁρῶμεν. ἀναμείναντες δὲ μικρὸν, ὁρῶμεν. οὐ μᾶλλον οὖν ἔχειν ἢ μὴ ἔχειν χρῶ-
μα ῥηθήσεται τῶν σωμάτων ἕκαστον. εἰ δὲ τὸ χρῶμα πρός τι καὶ τὸ λευκὸν ἔσται
πρός τι. καὶ τὸ κυανοῦς, εἰ δὲ ταῦτα, καὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν. ὥστε κατὰ πά-
σης ποιότητος ἀληθῶς, τὸ μὴ μᾶλλον εἶναι ἢ μὴ εἶναι κατηγορεῖσθαι. τοῖς γὰρ
οὕτω πάσχουσιν ἔσται τοιοῦτον. οὐκ ἔσται δὲ τοῖς μὴ πάσχουσι. τὸν οὖν βόρβορον καὶ
τὸν τ
ἐν ᾧ φησι γίνεσθαι τοὺς τὸ μηδὲν μᾶλλον ἐπιφθεγγομένους
τοῖς πράγμασιν ἑαυτοῦ κατασκεδάννυσι καὶ τοῦ καθηγεμόνος ὁ Κολώτης. ἆρα
οὖν ἐνταῦθα μόνον ὁ γενναῖος ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων ἀναπέφηνεν,
οὐ μὲν οὖν, ἀλλ' ἔτι μᾶλλον ἐν τῷ δευτέρῳ τῶν ἐπιτιμημάτων λέληθε τῷ Δημο-
κρίτῳ τὸν Ἐπίκουρον ἐκ τοῦ ζῆν συνεξωθῶν. τὸ γὰρ νόμῳ χροιὴν εἶναι καὶ νόμῳ γλυ-
κὺ καὶ νόμῳ σύγκρισιν
τὰς ἀτόμους εἰρη-
μένον φησὶν ὑπὸ Δημοκρίτου ταῖς αἰσθήσεσι. καὶ τὸν ἐμμένοντα τῷ λόγῳ τού-
ἔστιν ἢ ζῆν διανοηθῆ-
τῳ καὶ χρώμενον οὐδ' ἂν αὐτὸν ὡς

θερμαντικὴν l.

ὑπὸ l.

σκοτώδους l.

κυανοῦν l.

τοῖον ἢ τοῖον l.

ναι, πρὸς τοῦτον ἀντειπεῖν μὲν οὐδὲν ἔχω τὸν λόγον. εἰπεῖν δὲ ὅτι ταῦτα τῶν Ἐπι-
κούρου δογμάτων οὕτως ἀχώριστά ἐστιν ὡς τὸ σχῆμα καὶ τὸ βάρος αὐτοὶ τῆς ἀτό-
μου λέγουσι. τί γὰρ λέγει Δημόκριτος; οὐσίας ἀπείρους τὸ πλῆθος, ἀτόμους
τε καὶ διαφόρους, ἔτι δὲ ἀποίους καὶ ἀπαθεῖς ἐν τῷ κενῷ φέρεσθαι διεσπαρμέ-
νας. ὅταν δὲ πελάσωσιν ἀλλήλαις, ἢ συμπέσωσιν, ἢ περιπλακῶσι, φαίνεσθαι
τῶν ἀθροιζομένων, τὸ μὲν ὕδωρ, τὸ δὲ πῦρ, τὸ δὲ φυτὸν, τὸ δὲ ἄνθρωπον. εἶναι δὲ πάν-
τας τὰς ἀτόμους, ἰδέας ὑπ' αὐτοῦ καλουμένας, ἕτερον δὲ μηδέν. ἐκ μὲν γὰρ τοῦ
μὴ ὄντος οὐκ εἶναι γένεσιν. ἐκ δὲ τῶν ὄντων μηδὲν ἂν γενέσθαι, τῷ μήτε πάσχειν
μήτε μεταβάλλειν τὰς ἀτόμους ὑπὸ στερρότητος, ὅθεν οὔτε χρόαν ἐξ ἀχρώστων,
οὔτε φύσιν ἢ ψυχὴν ἐξ ἀποίων καὶ ὑπάρ-
χειν. ἐγκλητέος οὖν ὁ Δημόκριτος, οὐχὶ τὰ συμβαίνοντα ταῖς ἀρχαῖς ὁμολο-
γῶν, ἀλλὰ λαμβάνων ἀρχὰς, αἷς ταῦτα συμβέβηκεν. ἔδει γὰρ ἀμετάβλητα
μὴ θέσθαι τὰ πρῶτα, θέμενον δὲ μὴ συνορᾶν. ὅτι ποιότητος οἴχεται πάσης
γένεσις. ἀρνεῖσθαι δὲ συνορῶντα τὴν ἀτοπίαν, ἀναισχυντότατα ὁ Ἐπίκουρός
φησιν. ἀρχὰς μὲν ὑποτίθεσθαι τὰς αὐτάς. οὐ λέγειν δὲ νόμῳ χροιὴν, καὶ γλυ-
κὺ καὶ λευκὸν καὶ τὰς ἄλλας ποιότητας. εἰ μὲν οὖν τὸ οὐ λέγειν τοιοῦτόν ἐστιν,
οὐχ ὁμολογεῖ τῶν εἰθισμένων τι ποιεῖ, καὶ γὰρ τὴν πρόνοιαν ἀναιρῶν, εὐσέβειαν
ἀπολιπεῖν λέγει. καὶ τῆς ἡδονῆς ἕνεκα τὴν φιλίαν αἱρούμενος, ὑπὲρ τῶν φί-
λων τὰς μεγίστας ἀλγηδόνας ἀναδέχεσθαι, καὶ τὸ μὲν πᾶν ἄπειρον ὑποτίθε-
σθαι, τὸ δὲ ἄνω καὶ κάτω μὴ ἀναιρεῖν. ἔστι δὲ οὐς

κύλικα μὲν λαβόντα. καὶ πιεῖν ὅσον ἂν ἐθέλῃ καὶ ἀποδοῦναι τὸ λεῖπον.
ἐν δὲ τῷ λόγῳ μάλιστα δεῖ τοῦ σοφοῦ τοῦτον μνημονεύειν ἀποφθέγματος, ὧν αἱ
ἀρχαὶ οὐκ ἀναγκαῖαι, τὰ τέλη ἀναγκαῖα. οὐκοῦν ἀναγκαῖον ὑποθέσθαι, μᾶλλον
δὲ ἀφελέσθαι Δημοκρίτου, ἀτόμους εἶναι τῶν ὅλων ἀρχάς, θεμένῳ δὲ τὸ δόγμα
καὶ καλλωπισαμένῳ ταῖς πρώταις πιθανότησιν αὐτοῦ, προσεκποτέον ἐστὶ τὸ δυσ-
χερὲς, ἢ δεικτέον ὅπως ἄποια σώματα παντοδαπὰς ποιότητας αὐτῷ μόνῳ τῷ
συνελθεῖν παρέσχεν. οἷον εὐθὺς τὸ καλούμενον θερμὸν ὑμῖν, πόθεν ἀφῖκται, καὶ
πῶς ἐπιγέγονε ταῖς ἀτόμοις, αἳ μήτε ἦλθον ἔχουσαι θερμότητα, μήτε ἐγέ-
νοντο θερμαὶ συνελθοῦσαι. τὸ μὲν γὰρ ἔχοντος ποιότητα, τὸ δὲ, πάσχειν πεφυκό-
τος. οὐδέτερον δὲ ταῖς ἀτόμοις ὑπάρχειν φατὲ προσῆκον εἶναι διὰ τὴν ἀφθαρ-
σίαν. τί οὖν οὐχὶ καὶ Πλάτωνι συνέβαινε καὶ Ἀριστοτέλει καὶ Ξενοκράτει. χρυ-
σὸν ἐκ μὴ χρυσοῦ, καὶ λίθον ἐκ μὴ λίθου, καὶ τἄλλα γεννᾶν ἐκ τεσσάρων ἁπλῶν καὶ
πρώτων ἁπάντων; πάνυ μὲν οὖν. ἀλλ' ἐκείνοις μὲν εὐθύς τε συνίασιν αἱ ἀρχαὶ πρὸς
τὴν ἑκάστου γένεσιν. ὥσπερ συμβολὰς μεγάλας φέρουσαι τὰς ἐν αὐταῖς ποιότη-
τας, καὶ ὅταν συνέλθωσιν εἰς αὐτὸ καὶ συμπέσωσι ξηροῖς ὑγρὰ, καὶ ψυχρὰ θερ-
μοῖς, καὶ στερεὰ μαλθακοῖς, σώματα κινούμενα παθητικοῖς ἀπ' ἀλλήλων,
καὶ μεταβάλλοντα δι' ὅλων, ἑτέραν ἀφ' ἑτέρας κράσεως συναποτίκτει γένεσιν.
ἡ δὲ ἄτομος, αὐτή τε καθ' ἑαυτὴν ἔρημός ἐστι καὶ γυμνὴ πάσης γονίμου δυνά-
μεως, καὶ πρὸς ἄλλον προσπεσοῦσα, βρασμὸν ὑπὸ σκληρότητος καὶ ἀντιτυ-
πίας, ἄλλο δὲ οὐδὲν ἔσχεν οὐδὲ ἐποίησε πάθος, ἀλλὰ παίονται καὶ παίουσι τὸν
ἅπαντα χρόνον. οὐχ ὅπως ζῷον ἢ ψυχὴν ἢ φύσιν, ἀλλ' οὐδὲ πλῆθος ἐξ ἑαυτῶν
κοινὸν, οὐδὲ σωρὸν ἕνα παλλομένων ἀεὶ καὶ διισταμένων δυνάμεναι παρασχεῖν. ὁ δὲ
Κολώτης ὥσπερ ἀγραμμάτῳ βασιλεῖ προσδιαλεγόμενος, πάλιν ἐξάπτεται τοῦ
Ἐμπεδοκλέους ταῦτα πνέοντος, ἄλλο δέ μοι ἐρέω. φύσις οὐδενός ἐστιν ἑκάστου θνητῶν
οὐδέ τις οὐλομένη θανάτοιο γενέθλη ἀλλὰ μόνον μίξις τε διάλλαξίς τε μιγέντων
ἐστὶ φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισι. ταῦτα ἐγὼ μὲν οὐχ ὁρῶ καθ' ὅτι

πρὸς τὸ ζῆν ὑπεναντιοῦσθαι τοῖς ὑπολαμβάνουσι μήτε γένεσιν τοῦ μὴ ὄντος εἶναι,
μήτε φθορὰν τοῦ ὄντος. ἀλλ' ὄντων τινῶν συνόδῳ πρὸς ἄλληλα, τὴν γένεσιν δια-
λύσει δὲ ἀπ' ἀλλήλων, τὸν θάνατον ἐπονομάζεσθαι, ὅτι γὰρ ἀντὶ τῆς γενέσεως
εἴρηκε τὴν φύσιν ἀντιθεὶς τὸν θάνατον, αὐτὸς δεδήλωκεν ὁ Ἐμπεδοκλῆς, εἰ δὲ οἱ μί-
ξει τὰς γενέσεις τιθέμενοι, τὰς δὲ φθορὰς διαλύσει, οὐ ζῶσιν οὐδὲ δύνανται ζῆν,
τί ποιοῦσιν ἕτερον οὗτοι καίτοι ὁ μὲν Ἐμπεδοκλῆς τὰ στοιχεῖα κολλῶν καὶ συναρ-
μόττων θερμότησι καὶ μαλακότησι, καὶ ὑγρότησι μίξιν αὐτοῖς καὶ συμφυΐαν ἑνωτικὴν
ἁμωσγέπως ἐνδίδωσιν. οἱ δὲ τὰς ἀτρέπτους καὶ ἀσυμπαθεῖς ἀτόμους εἰς τὸ αὐτὸ
συνελαύνοντες. ἐξ αὐτῶν μὲν οὐδὲν, αὐτῶν δὲ πολλὰς ποιοῦσι καὶ συνεχεῖς πλη-
γάς, ἡ γὰρ περιπλοκὴ κωλύουσα, τὴν διάλυσιν, μᾶλλον ἐπιτείνει τὴν σύγκρουσιν,
ὥστε μὴ δὲ μίξιν εἶναι μὴ δὲ κόλλησιν, ἀλλὰ ταραχὴν καὶ μάχην κατ' αὐτοὺς λεγομένην
γένεσιν. οἱ δὲ ἀκαρὲς νῦν μὲν ἀπίασι διὰ τὴν
ἀντίκρουσιν, νῦν δὲ προσίασι τῆς πληγῆς ἐκλυθείσης, πλεῖον ἢ διπλάσιον χω-
ρίς εἰσιν ἀλλήλων χρόνον, οὐ ψαύουσαι καὶ πλησιάζουσαι. ὥστε μηδὲν ἐξ αὐτῶν
ἀποτελεῖσθαι μηδὲ ἄψυχον. αἴσθησις δὲ καὶ ψυχὴ καὶ νοῦς καὶ φρόνησις οὐδὲ βου-
λομένοις ἐπίνοιαν δίδωσιν. ὡς γένοιτ' ἂν ἐν κενῷ καὶ ἀτόμοις, ὧν οὔτε καθ' ἑαυ-
τὰ ποιότης ἐστὶν, οὔτε πάθος ἢ μεταβολὴ συνελθόντων, ἀλλ' οὐδὲ συνέλευσις
ἡ σύγκρασις ποιοῦσα καὶ μίξιν καὶ συμφυΐαν, ἀλλὰ πληγὰς καὶ ἀποδόσεις, ὥστε
τοῖς τούτων δόγμασι τὸ ζῆν ἀναιρεῖται, καὶ τὸ ζῷον εἶναι, κενὰς καὶ ἀπαθεῖς
καὶ ἀθέους. ἔτι δὲ ἀμίκτους καὶ ἀσυγκράτους ἀρχὰς ὑποτιθεμένοις, πῶς
οὖν ἀπολείπουσι φύσιν καὶ ψυχὴν καὶ ζῷον, ὡς ὅρκον, ὡς εὐχὴν, ὡς θυσίαν ὡς προ-
σκύνησιν ῥήματι καὶ λόγῳ, καὶ τὸ φάναι καὶ προσποιεῖσθαι καὶ ὀνομάζειν, ἃ
ταῖς ἀρχαῖς καὶ τοῖς δόγμασιν ἀναιροῦσιν. ὧδε δὴ τὸ πεφυκὸς αὐτὸ φύσιν καὶ τὸ
γεγονὸς γένεσιν ὀνομάζουσιν, ὥσπερ οἱ ξυλίαν τὰ ξύλα καὶ συμφωνίαν καλοῦν-
τες ἐκφορικῶς τὰ συμφωνοῦντα, πόθεν ἐπῆλθεν αὐτῷ τοιαῦτα προβάλλειν
ῥήματα τῷ Ἐμπεδοκλεῖ, τί κόπτομεν φύσιν ἡμᾶς αὐτοὺς σπουδάζοντες ὑπὲρ ἡ-
μῶν αὐτῶν, καὶ ὀρεγόμενοι τινῶν πραγμάτων, καὶ φυλαττόμενοί τινα πράγμα-
τα. οὔτε γὰρ ἡμεῖς ἐσμὲν, οὔτε ἄλλοις χρώμενοι ζῶμεν, ἀλλὰ θάρρει φαίη τις ἄν,
ὦ φίλον Κολωτάριον οὐδείς σε κωλύει σπουδάζειν ὑπὲρ σεαυτοῦ, διδάσκων ὅτι
Κολώτου φύσις αὐτὸς ὁ Κολώτης ἐστὶν, ἄλλο δὲ οὐθὲν, οὐδὲ χρῆσθαι τοῖς πράγ-
μασι. τὰ δὲ πράγματα ὑμῖν ἡδοναί εἰσιν, ὑποδεικνύων, ὡς οὐκ ἔστιν ἀμήτων φύσις.
οὐδὲ ὀσμῶν, οὐδὲ πλησιάσεως. ἄμητες δέ εἰσι καὶ μύρα καὶ γυναῖκες. οὐδὲ γὰρ ὁ
γραμματικὸς λέγων τὸ βίην Ἡρακλείην, αὐτὸν εἶναι τὸν Ἡρακλέα. οὐδὲ οἱ τὰς συμ-
φωνίας καὶ τὰς δοκήσεις ἐκφορὰς μόνον εἶναι φάσκοντες, οὐχὶ καὶ φθόγγους
καὶ δοκοὺς ὑπάρχειν λέγουσιν. ὅπου καὶ ψυχήν τινες ἀναιροῦντες καὶ φρόνησιν,
οὔτε τὸ ζῆν ἀναιρεῖν, οὔτε τὸ φρονεῖν δοκοῦσιν. Ἐπικούρου δὲ λέγοντος, ἡ τῶν ὄντων
φύσις, σώματά ἐστι καὶ τόπος, πότερον οὕτως ἀκούομεν, ὡς ἄλλο τι τὴν φύσιν παρὰ
τὰ ὄντα, βουλομένου λέγειν τὰ ὄντα δηλοῦντι, ἕτερον δὲ μηθὲν, ὥσπερ ἀμέλει
καὶ κενοῦ φύσιν, αὐτὸ τὸ κενὸν, καὶ νὴ Δία τὸ πάντα παντὸς φύσιν ὀνομάζειν εἴω-
θε. κἂν εἴ τις ἔροιτο, τί λέγεις ὦ Ἐπίκουρε, τὸ μέν τοι κενὸν εἶναι, τὰ δὲ, φύσιν
κενοῦ. μὰ Δία φήσει. νενόμισται δέ πως ἡ τοιαύτη τῶν ὀνομάτων ὁμιλία. νόμῳ δὲ,
ἤ τι, φημὶ καὶ αὐτός. τί οὖν ἕτερον ὁ Ἐμπεδοκλῆς πεποίηκεν ἢ διδάξας, ὅτι
φύσις παρὰ τὸ φυόμενον οὐθέν ἐστιν, οὐδὲ θάνατος παρὰ τὸ θνῆσκον, ἀλλ' ὥσπερ οἱ
ποιηταὶ πολλάκις ἀνειδωλοποιοῦντες λέγουσιν, ἐν δ' ἔρις, ἐν δὲ κυδοιμὸς ὁμί-
λεον. ἐν δ' ὀλοὸν κήρ, οὕτω γένεσίν τινα καὶ φθορὰν καλοῦσιν οἱ πολλοὶ, ἐπὶ τοῖς
συνισταμένοις καὶ διαλυομένοις, τοσοῦτον ἐδέησε τοῦ κινεῖν τὰ ὄντα καὶ μάχεσθαι

τοῖς φαινομένοις, ὥστε μὴ τὴν φωνὴν ἐκβαλεῖν ἐκ τῆς συνηθείας, ἀλλ' ὅσον εἰς τὰ πράγματα βλάπτουσαν ἀπάτην παρεῖχεν ἀφελὼν· αὖθις ἀποδοῦναι τοῖς ὀνόμασι τὸ νενομισμένον ἐν τούτοις· οἱ δ' ὅτε κατὰ φῶτα μιγὲν φῶς αἰθέρι

ἢ κατὰ θηρῶν ἀγροτέρων γένος ἢ κατὰ θάμνων· ἠὲ κατ' οἰωνῶν, τότε μὲν τὸ

γενέσθαι, εὖτε δ' ἀποκριθῶσι, τὰ δ' αὖ δυσδαίμονα, πότμον

εἶναι καλέουσιν, ὅμως δ' ἐπίφημι καὶ αὐτός· ὁ κολώτης παραθέμενος οὐ συνεῖδεν· ὅτι φῶτας μὲν καὶ θῆρας καὶ θάμνους καὶ οἰωνοὺς ὁ ἐμπεδοκλῆς οὐκ ἀνήρηκεν· ἅ γέ φησι μιγνυμένων τῶν στοιχείων ἀποτελεῖσθαι· τοὺς δὲ τῇ συγκρίσει ταύτῃ καὶ διακρίσει φύσιν τινὰ καὶ πότμον δυσδαίμονα καὶ θάνατον ἀλοιτὴν ἐπικατηγοροῦντας, ᾗ σφάλλονται διδάξας, οὐκ ἀφεῖλε τὸ χρῆσθαι ταῖς εἰθισμέναις φωναῖς περὶ αὐτῶν. ἐμοὶ μέντοι δοκεῖ μὴ τοῦτο κινεῖν τὸ ἐκφορικὸν ὁ ἐμπεδοκλῆς, ἀλλ' ὡς πρόσθεν εἴρηται πραγματικῶς διαφέρεσθαι περὶ τῆς ἐξ οὐκ ὄντων γενέσεως ἣν φύσιν τινὲς καλοῦσι. δηλοῖ δὲ μάλιστα διὰ τούτων τῶν ἐπῶν· νήπιοι· οὐ γάρ σφιν δολιχόφρονές εἰσι μέριμναι· οἳ δὴ γίνεσθαι πάρος οὐκ ἐὸν ἐλπίζουσιν· ἤ τοι καταθνήσκειν τε καὶ ἐξόλλυσθαι πάντη, ταῦτα γὰρ τὰ ἔπη μέγα βοῶντος ἐστὶ τοῖς ὦτα ἔχουσιν, ὡς οὐκ ἀναιρεῖ γένεσιν, ἀλλὰ τὴν ἐκ μὴ ὄντος, οὐδὲ φθορὰν, ἀλλὰ τὴν πάντη· τουτέστι τὴν εἰς τὸ μὴ ὂν ἀπολύουσαν. ἐπεὶ τῷ γε βουλομένῳ μὴ ἀγρίως οὕτω, μηδὲ ἠλιθίως, ἀλλὰ πρᾳότερον συκοφαντεῖν τὸ μετὰ ταῦτα· ἐστὶ τοὐναντίον ἂν αἰτιάσασθαι παράσχοι, τοῦ ἐμπεδοκλέους λέγοντος· οὐκ ἂν ἀνὴρ φρεσὶ τοιαῦτα σοφὸς φρεσὶ μαντεύσαιτο ὡς ὄφρα μέν τε βιῶσι, τὸ δὴ βίοτον καλέουσι. τόφρα μὲν οὖν εἰσὶ καὶ σφι πάρα δεινὰ καὶ ἐσθλά, πρὶν δὲ πάγεν τε βροτοὶ καὶ λυθέντες οὐδὲν ἄρ' εἰσί· ταῦτα γοῦν οὐκ ἀρνουμένου μὲν τοὺς γεγονότας καὶ ζῶντας εἶναι, εἶναι δὲ μᾶλλον οἰομένου, καὶ τοὺς μηδέπω γεγονότας, καὶ τοὺς ἤδη τεθνηκότας, ἀλλ' ὅλως ὁ κολώτης. τοῦτο μὲν οὐκ ἐγκέκληκε. λέγει δὲ κατὰ αὐτὸν οὐδὲν νοσήσειν ἡμᾶς οὐδὲ τραυματισθήσεσθαι. καὶ πῶς ὁ πρὸ τοῦ βίου, καὶ μετὰ τὸν βίον ἑκάστῳ λέγων παρεῖναι δεινὰ καὶ ἐσθλὰ, περὶ τοὺς ζῶντας, οὐκ ἀπολείπει τὸ πάσχειν, τίσιν οὖν ἀληθῶς ἕπεται τὸ μὴ τραυματίζεσθαι μηδὲ νοσεῖν ὦ κολῶτα; ὑμῖν τοῖς ἐξ ἀτόμου καὶ κενοῦ συμπεπηγόσιν, ὧν οὐδετέρῳ μέτεστιν αἰσθήσεως, καὶ οὐ τοῦτο δεινὸν, ἀλλ' ὅτι μηδὲ ἡδονὴν τὸ ποιῆσον ὑμῖν ὑπ' αὐτῶν ἐστι, τῆς μὲν ἀτόμου μὴ δεχομένης τὰ ποιητικὰ, τοῦ δὲ κενοῦ μὴ πάσχοντος ὑπ' αὐτῶν. ἐπεὶ δὲ ὁ μὲν κολώτης ἐφεξῆς τῷ δημοκρίτῳ τὸν παρμενίδην ἐβούλετο συγκατορύττειν, ἐγὼ δὲ ὑπερβὰς τὰ ἐκείνου, τὰ τοῦ ἐμπεδοκλέους συλλαβὼν, διὰ τὸ μᾶλλον ἀκολουθεῖν τοῖς πρώτοις ἐγκλήμασιν αὐτοῖς, ἀναλάβωμεν τὸν παρμενίδην, ἃ μὲν οὖν αὐτόν φησιν αἰσχρὰ σοφίσματα λέγειν ὁ κολώτης, τούτοις ἐκεῖνος ὁ ἀνὴρ οὐ φιλίαν ἐποίησεν ἀδοξοτέραν· οὐ φιληδονίαν θρασυτέραν· οὐ τοῦ καλοῦ τὸ ἀγωγὸν ἐφ' ἑαυτὸ καὶ δι' ἑαυτὸ τίμιον ἀφεῖλεν, οὐ τὰς περὶ θεῶν δόξας συνετάραξε. τὸ δὲ πᾶν ἓν εἰπὼν, οὐκ οἶδα, ὅπως ζῆν ἡμᾶς κεκώλυκε. καὶ γὰρ ἐπίκουρος ὅταν λέγῃ τὸ πᾶν ἄπειρον εἶναι καὶ ἀγέννητον καὶ ἄφθαρτον, καὶ μήτε αὐξόμενον, μήτε μειούμενον, ὡς περὶ ἑνός τινος διαλέγεται τοῦ παντὸς ἐν ἀρχῇ δὲ τῆς πραγματείας ὑπειπὼν τὴν τῶν ὄντων φύσιν σώματα εἶναι καὶ κενὸν ὡς μιᾶς οὔσης, εἰς δύο πεποίηται τὴν διαίρεσιν, ὧν θάτερον, ὄντως μὲν οὐθέν ἐστιν ὀνομάζεται δὲ ὑφ' ὑμῶν, ἀναφὲς καὶ κενὸν καὶ ἀσώματον, ὥστε καὶ ὑμῖν, ἓν τὸ πᾶν ἐστιν. εἰ μὴ βούλεσθε κεναῖς φωναῖς περὶ κενοῦ χρῆσθαι σκιαμαχοῦντες πρὸς τοὺς ἀρχαίους, ἀλλ' ἄπειρα νὴ δία πλήθει τὰ σώματα κατὰ ἐπίκουρόν ἐστι. καὶ γίνεται τῶν φαινομένων ἕκαστον ἐξ ἐκείνων. ὅρα μὲν οἵας ὑποτίθεσθε πρὸς γένεσιν ἀρχὰς, ἀπειρίαν καὶ κενὸν, ὧν τὸ μὲν, ἄπρακτον, ἀπαθὲς, ἀσώματον· ἡ δὲ ἄ-

τακτος, ἄλογος, ἀπερίληπτος, αὐτὴν ἀναλύουσα καὶ ταράττουσα τῷ μὴ κρατεῖσθαι μηδὲ ὁρίζεσθαι διὰ πλῆθος. ἀλλ' ὅ γε παρμενίδης οὔτε πῦρ ἀνῄρηκεν, οὔτε ὕδωρ, οὔτε κρημνὸν, οὔτε πόλεις ὥς φησι κολώτης, ἐν εὐρώπῃ καὶ ἀσίᾳ κατοικουμένας· ὅς γε καὶ διάκοσμον πεποίηται· καὶ στοιχεῖα μιγνὺς τὸ λαμπρὸν καὶ σκοτεινὸν, ἐκ τούτων τὰ φαινόμενα πάντα, καὶ διὰ τούτων ἀποτελεῖ. καὶ γὰρ περὶ γῆς εἴρηκε πολλὰ· καὶ περὶ οὐρανοῦ καὶ ἡλίου καὶ σελήνης καὶ ἄστρων καὶ γένεσιν ἀνθρώπων ἀφήγηται· καὶ οὐδὲν ἄρρητον ὡς ἀνὴρ ἀρχαῖος ἐν φυσιολογίᾳ, καὶ συνθεὶς γραφὴν ἰδίαν οὐκ ἀλλοτρίαν, διαφορὰν τῶν κυρίων παρῆκεν. ἐπεὶ δὲ καὶ πάντων καὶ σωκράτους ἔτι πρότερος συνεῖδεν, ὡς ἔχει τι δοξαστὸν ἡ φύσις, ἔχει δὲ καὶ νοητόν. ἔστι δὲ τὸ μὲν δοξαστὸν ἀβέβαιον καὶ πλανητὸν ἐν πάθεσι πολλοῖς καὶ μεταβολαῖς τῷ φθίνειν καὶ αὔξεσθαι, καὶ πρὸς ἄλλον ἄλλως ἔχειν, καὶ μηδὲ ἀεὶ πρὸς τὸν αὐτὸν ὡσαύτως τῇ αἰσθήσει, τοῦ νοητοῦ δὲ ἕτερον εἶδος, ἔστι γὰρ οὐλομελές τε καὶ ἀτρεμὲς ἠδ' ἀγέννητον ὡς αὐτὸς εἴρηκε· καὶ ὅμοιον ἑαυτῷ καὶ μόνιμον ἐν τῷ εἶναι. ταῦτα συκοφαντῶν ἐκ τῆς φωνῆς ὁ κολώτης, καὶ τῷ ῥήματι διώκων οὐ τῷ πράγματι τὸν λόγον· ἁπλῶς φησι πάντα ἀναιρεῖν τῷ ἓν ὂν ὑποτίθεσθαι τὸν παρμενίδην. ὁ δὲ ἀναιρεῖ μὲν οὐδετέραν φύσιν, ἑκατέρᾳ δὲ ἀποδιδοὺς τὸ προσῆκον· εἰς μὲν τὴν τοῦ ἑνὸς καὶ ὄντος ἰδέαν τίθεται τὸ νοητὸν, ὂν μὲν ὡς ἀΐδιον καὶ ἄφθαρτον· ἓν δὲ ὁμοιότητι πρὸς αὑτὸ, καὶ τὸ μὴ δέχεσθαι διαφορὰν προσαγορεύσας, εἰς δὲ τὴν ἄτακτον καὶ φερομένην τὸ αἰσθητὸν, ὧν καὶ κριτήριον ἰδεῖν ἐστιν, ἡ μὲν ἀληθείης εὐπειθέος ἀτρεκὲς ἦτορ

τοῦ νοητοῦ καὶ κατὰ ταυτὰ ἔχοντος ὡσαύτως ἁπτόμενον, ἡ δὲ βροτῶν δόξας, αἷς οὐκ ἔνι πίστις ἀληθής. διὰ τὸ παντοδαπὰς μεταβολὰς καὶ πάθη καὶ ἀνομοιότητας δεχομένοις ὁμιλεῖν πράγμασι. καίτοι πῶς ἂν ἀπέλιπεν αἴσθησιν καὶ δόξαν, αἰσθητὸν μὴ ἀπολιπὼν μηδὲ δοξαστὸν, οὐκ ἔστιν εἰπεῖν. ἀλλ' ὅτι τῷ μὲν ὄντως ὄντι προσήκει διαμένειν ἐν τῷ εἶναι. ταῦτα δὲ νῦν μέν ἐστι νῦν δὲ οὐκ ἔστιν· ἐξίσταται δὲ ἀεὶ καὶ μεταλλάσσει τὴν φύσιν· ἑτέρας ᾤετο μᾶλλον, ἢ τῆς ἐκείνου τοῦ ὄντος ἀεὶ δεῖσθαι προσηγορίας· ἦν οὖν ὁ περὶ τοῦ ὄντος ὡς ἓν εἴη λόγος, οὐκ ἀναίρεσις τῶν πολλῶν καὶ αἰσθητῶν, ἀλλὰ δήλωσις αὐτῶν τῆς πρὸς τὸ νοητὸν διαφορᾶς· ἣν ἔτι μᾶλλον ἐνδεικνύμενος πλάτων τῇ περὶ τὰ εἴδη πραγματείᾳ, καὶ αὐτὸς ἀντίληψιν τῷ κολώτῃ παρέσχεν. διὸ καὶ τὰ πρὸς τοῦτον εἰρημένα δοκεῖ μοι λαβεῖν ἐφεξῆς καὶ πρῶτόν γε τὴν ἐπιμέλειαν καὶ πολυμάθειαν τοῦ φιλοσόφου σκεψόμεθα, ὅτι τούτοις τοῖς δόγμασι πλάτωνος ἐπηκολουθήκασιν, ἀριστοτέλης καὶ ξενοκράτης καὶ θεόφραστος, καὶ πάντες οἱ περιπατητικοί· ποῦ γοῦν ἂν τῆς ἀοικήτου τὸ βιβλίον ἔγραφεν, ἵνα ταῦτα συντιθεὶς τὰ ἐγκλήματα μὴ τοῖς ἐκείνων συντάγμασιν ἐντύχῃς, μηδὲ ἀναλάβῃς εἰς χεῖρας ἀριστοτέλους τὰ περὶ οὐρανοῦ καὶ τὰ περὶ ψυχῆς· θεοφράστου δὲ τὰ πρὸς τοὺς φυσικούς· ἡρακλείδου δὲ τὸν ζωροάστρην, τὸ περὶ τῶν ἐν ᾅδου, τὸ περὶ τῶν φυσικῶς ἀπορουμένων· δικαιάρχου δὲ τὰ περὶ ψυχῆς, ἐν οἷς πρὸς τὰ κυριώτατα καὶ μέγιστα τῶν φυσικῶν ὑπεναντιούμενοι τῷ πλάτωνι καὶ μαχόμενοι διατελοῦσι. καὶ μὴν τῶν ἄλλων περιπατητικῶν ὁ κορυφαιότατος στράτων, οὔτε ἀριστοτέλει κατὰ πολλὰ συμφέρεται· καὶ πλάτωνι τὰς ἐναντίας ἔσχηκε δόξας περὶ κινήσεως περὶ νοῦ καὶ περὶ ψυχῆς καὶ περὶ γενέσεως. τελευτῶν τὸν κόσμον αὐτὸν οὐ ζῷον εἶναί φησι· τὸ δὲ κατὰ φύσιν ἕπεσθαι τῷ κατὰ τύχην· ἀρχὴν γοῦν ἐνδιδόναι τὸ αὐτόματον· εἶτα οὕτω περαίνεσθαι τῶν φυσικῶν παθῶν ἕκαστον, τάς γε μὴν ἰδέας, περὶ ὧν ἐγκαλεῖ τῷ πλάτωνι πανταχοῦ κινῶν ὁ ἀριστοτέλης, καὶ πᾶσαν ἐπάγων ἀπορίαν αὐταῖς ἐν τοῖς ἠθικοῖς ὑπομνήμασιν ἐν τοῖς φυσικοῖς· διὰ τῶν ἐξωτερικῶν διαλόγων φιλονεικότερον ἐνίοις ἔδοξεν ἢ φιλοσοφώτερον ἐκ τῶν δογμάτων τούτων, ὡς

προσθέμενος τὴν Πλάτωνος ὑπὲρ ἰδεῶν φιλοσοφίαν, οὕτω μακάριος ἦν τοῦ ἐκλαθεῖν. τίνος οὖν εὐχερείας ἐστὶ τὰ δίκαια τοῖς ἀνδράσι μὴ μαθόντα, καταψεύδεσθαι τὰ μὴ δίκαια, καὶ πεπεισμένον ἐλέγχειν ἑτέρους, αὐτὸν γράφειν ἐξενεγκεῖν ἀμαθίας ἔλεγχον καθ' αὑτοῦ καὶ θρασύτητος ὁμολογεῖν Πλάτωνι φάσκοντα τοὺς διαφερομένους καὶ ἀκολουθεῖν τοὺς ἀντιλέγοντας. ἀλλὰ δὴ Πλάτων φησὶ, τοὺς ἵππους ὑφ' ἡμῶν ματαίως ἵππους εἶναι καὶ τοὺς ἀνθρώπους, καὶ ποῦ τοῦτο τῶν Πλάτωνος συγγραμμάτων ἀποκεκρυμμένον εὗρεν ὁ Κωλώτης, ἡμεῖς γὰρ ἐν πᾶσιν ἀναγινώσκομεν καὶ τὸν ἄνθρωπον ἄνθρωπον, καὶ τὸν ἵππον ἵππον, καὶ τὸ πῦρ πῦρ ὑπ' αὐτοῦ δοξαζόμενον, ἣ καὶ δοξαστὸν ὀνομάζει τούτων ἕκαστον. ὁ δ' οἷα δὴ σοφίας οὐδ' ἀκαρὲς ἀπέχων, ὡς ἓν καὶ ταὐτὸν ἔλαβε τὸ μὴ εἶναι τὸν ἄνθρωπον καὶ τὸ εἶναι μὴ ὂν τὸν ἄνθρωπον. τῷ Πλάτωνι δὲ θαυμαστῶς ἐδόκει διαφέρειν τὸ μὴ εἶναι τοῦ μὴ ὂν εἶναι, τῷ μὲν γὰρ, ἀναίρεσιν οὐσίας πάσης, τῷ δ' ἑτερότητα δηλοῦσθαι τοῦ μεθεκτοῦ καὶ τοῦ μετέχοντος. ἣν οἱ μὲν, ὕστερον εἰς γένους καὶ εἴδους, καὶ κοινῶν τινων καὶ ἰδίων λεγομένων ποιῶν διαφορὰν ἔθεντο μόνον, ἀνωτέρω δὲ οὐ προῆλθον, εἰς λογικωτέρας ἀπορίας ἐμπεσόντες, ἔστι δὲ τοῦ μεθεκτοῦ πρὸς τὸ μετέχον λόγος, ὃν αἰτία τε πρὸς ὕλην ἔχει, ὃν παράδειγμα πρὸς εἰκόνα, καὶ δύναμις πρὸς πάθος. ᾧ γε δὴ μάλιστα, τὸ καθ' αὑτὸ καὶ ταὐτὸν ἀεὶ διαφέρει τοῦ δι' ἕτερον καὶ μηδέποτε ὡσαύτως ἔχοντος. ὅτι τὸ μὲν, οὔτε ἔσται ποτὲ μὴ ὂν, οὔτε γέγονε· καὶ διὰ τοῦτο πάντως καὶ ὄντως ὄν ἐστι, τὸ δὲ, οὐδ' ὅσον ἀπ' ἄλλου συμβέβηκε μετέχειν, τοῦ εἶναι βέβαιόν ἐστιν, ἀλλ' ἐξίσταται δι' ἀσθένειαν, ἅτε τῆς ὕλης περὶ τὸ εἶδος ὀλισθανούσης, καὶ πάθη πολλὰ καὶ μεταβολὰς ἐπὶ τὴν εἰκόνα τῆς οὐσίας, ὥστε κινεῖσθαι καὶ σαλεύεσθαι δεχομένης. ὥσπερ οὖν ὁ λέγων Πλάτωνα μὴ εἶναι τὴν εἰκόνα τοῦ Πλάτωνος οὐκ ἀναιρεῖ τὴν ὡς εἰκόνος αἴσθησιν αὐτῆς καὶ ὕπαρξιν, ἀλλ' ἐνδείκνυται καθ' ἑαυτό τινος ὄντος, καὶ πρὸς ἐκεῖνο ἑτέρου γεγονότος διαφοράν. οὕτως οὔτε φύσιν οὔτε χρῆσιν, οὔτε αἴσθησιν ἀνθρώπων ἀναιροῦσιν οἱ κοινῆς τινος οὐσίας μετοχῇ ἰδίᾳ γινόμενον ἡμῶν ἕκαστον εἰκόνα τοῦ παρασχόντος τὴν ὁμοιότητα τῇ γενέσει προσαγορεύοντες. ὁ δὲ γὰρ ὁ πῦρ μὴ λέγων εἶναι τὸν πεπυρωμένον σίδηρον, ἢ τὴν σελήνην ἥλιον, ἀλλὰ κατὰ Παρμενίδην νυκτὶ φάος περὶ γαῖαν ἀλώμενον ἀλλότριον φῶς, ἀναιρεῖ σιδήρου χρῆσιν, ἢ σελήνης φύσιν, ἀλλ' εἰ μὴ λέγοι σῶμα μὴ δὲ πεφωτισμένον, ἤδη μάχεται ταῖς αἰσθήσεσιν, ὥσπερ ὁ σῶμα καὶ ζῷον καὶ γένεσιν καὶ αἴσθησιν μὴ ἀπολιπών, ὁ δὲ ταῦτα τῷ ὑπάρχειν μετεσχηκέναι, καὶ ὅσον ἀπολείπεται τοῦ ὄντος ἀεὶ καὶ τὸ εἶναι παρέχοντος αὐτοῖς ὑπονοῶν, οὐ παρορᾷ τὸ αἰσθητὸν, ἀλλὰ τὸ νοητόν, ὃ δ' ἀναιρεῖ τούτων ἕτερα καὶ τὰ γινόμενα καὶ φαινόμενα περὶ ἡμᾶς τῶν παθῶν. ἀλλ' ἔτι βεβαιότερα τούτων, τὰ μήτε πάσχειν μονιμώτερα πρὸς οὐσίαν ἐστὶ, τῷ μήτε γίνεσθαι μήτε ἀπόλλυσθαι μήτε πάσχειν μηδὲν ἐνδείκνυται τοῖς ἑπομένοις καὶ διδάσκει καθαρώτερον τῆς διαφορᾶς ἁπτόμενος τοῖς ὀνόμασι, τὰ μὲν ὄντα, τὰ δὲ γινόμενα προσαγορεύειν. τοῦτο δὲ καὶ τοῖς νεωτέροις συμβέβηκε. πολλὰ γὰρ καὶ μεγάλα πράγματα τῆς τοῦ ὄντος ἀποστεροῦσι προσηγορίας, τὸ κενὸν, τὸν χρόνον, τὸν τόπον, ἁπλῶς τὸ τῶν λεκτῶν γένος, ἐν ᾧ καὶ τἀληθῆ πάντα ἔνεστι. ταῦτα γὰρ ὄντα μὲν, μὴ εἶναι. τινὰ δὲ εἶναι λέγουσι. χρώμενοι δὲ αὐτοῖς ὡς ὑφεστῶσι καὶ ὑπάρχουσιν ἐν τῷ βίῳ καὶ τῷ φιλοσοφεῖν διατελοῦσιν. ἀλλ' αὐτὸν ἡδέως ἂν ἐροίμην τὸν κατήγορον, εἰ τοῖς ἑαυτῶν πράγμασι τὴν διαφορὰν οὐκ ἐνορῶσι ταύτην, καθ' ἣν, τὰ μὲν μόνιμα καὶ ἄτρεπτα ταῖς οὐσίαις ἐστὶν, ὡς λέγουσι καὶ τὰς ἀτόμους ἀπαθείᾳ καὶ στερρότητι πάντα χρόνον ὡσαύτως ἔχειν, τὰ δὲ συγκρίματα πάντα, ῥευστὰ καὶ μεταβλητὰ, καὶ γινόμενα, καὶ ἀπολλύμενα εἶναι, μυρίων μὲν εἰδώλων ἀπερχομένων ἀεὶ καὶ ῥεόντων, μυρίων δὲ ὡς

(margin) καὶ .l. — οὐ .l. — εἶναι λέγει .l. — στερρότητι .l.

εἰκὸς ἑτέρων ἐκ τοῦ περιέχοντος ἐπιρρεόντων καὶ ἀναπληρούντων τὸ ἄθροισμα, ποικιλλόμενον ὑπὸ τῆς ἐξαλλαγῆς ταύτης καὶ μετακεραννύμενον. ἅτε δὴ καὶ τῶν ἐν βάθει τοῦ συγκρίματος ἀτόμων οὐδέποτε λῆξαι κινήσεως οὐδὲ παλμῶν πρὸς ἄλληλα δυναμένων, ὥσπερ αὐτοὶ λέγουσιν. ἀλλ' ἔστι μὲν ἐν τοῖς πράγμασιν ἡ τοιαύτη διαφορὰ τῆς οὐσίας, σοφώτερος δὲ τοῦ Πλάτωνος ὁ Ἐπίκουρος, ᾗ πάντα ὁμοίως ὄντα προσαγορεύει, τὸ ἀναφὲς κενὸν τὸ ἀντερεῖδον σῶμα. τὰς ἀρχὰς. τὰ συγκρίματα κοινῆς καὶ μὴ δὲ ἡγούμενος οὐσίας μετέχειν τὸ ἀΐδιον τῷ γινομένῳ τὸ ἀνώλεθρον, τῷ φθειρομένῳ τὰς ἀπαθεῖς, καὶ διαρκεῖς καὶ ἀμεταβλήτους, καὶ μηδέποτε τοῦ εἶναι δυναμένας ἐκπεσεῖν φύσεις ταύταις ὧν ἐν τῷ πάσχειν καὶ μεταβάλλειν τὸ εἶναι, ταῖς μηδένα χρόνον ὡσαύτως ἐχούσαις. εἰ δὲ δικαίως ὡς ἔνια μάλιστα διήμαρτε τούτοις ὁ Πλάτων, ὀνομάτων ὤφειλε συγχύσεως εὐθύνας ὑπέχειν τοῖς ἀκριβέστερον ἑλληνίζουσι τούτοις, καὶ καθαρώτερον διαλεγομένοις, οὐχ ὡς ἀναιρῶν τὰ πράγματα. καὶ τοῦ ζῆν ἐξάγων ἡμᾶς αἰτίαν ἔχειν. ὅτι τὰ γινόμενα, καὶ οὐκ ὄντα καθάπερ οὗτοι προσηγόρευσαν. ἀλλ' ἐπεὶ τὸν Σωκράτην μετὰ τὸν Παρμενίδην ὑπερέβημεν ἀναληπτέος.

εὐθὺς οὖν τὸν ἀφ' ἱστίας κεκίνηκεν ὁ Κωλώτης. καὶ διηγησάμενος ὅτι χρησμὸν ἐκ Δελφῶν περὶ Σωκράτους ἀνήνεγκε Χαιρεφῶν, ὃν ἴσμεν ἅπαντες. ταῦτα ἀπείρηκε. τὸ μὲν οὖν τοῦ Χαιρεφῶντος διὰ τὸ τελέως σοφιστικὸν καὶ φορτικὸν διήγημα εἶναι. παρήσομεν φορτικὸς γὰρ οὖν ὁ Πλάτων ὁ τοῦτον ἀναγράψας τὸν χρησμὸν ἵνα τοὺς ἄλλους ἐάσω. φορτικώτεροι δὲ Λακεδαιμόνιοι τὸν περὶ Λυκούργου χρησμὸν ἐν ταῖς παλαιοτάταις ἀναγραφαῖς ἔχοντες. σοφιστικὸν δὲ ἦν διήγημα τὸ Θεμιστοκλέους, ᾧ πείσας Ἀθηναίους τὴν πόλιν ἐκλιπεῖν κατεναυμάχησε τὸν βάρβαρον. φορτικοὶ δὲ οἱ τῆς Ἑλλάδος νομοθέται τὰ μέγιστα καὶ πλεῖστα τῶν ἱερῶν πυθοχρηστα καταστήσαντες. εἰ τοίνυν ὁ περὶ Σωκράτους ἀνδρὸς εἰς ἀρετὴν θεολήπτου γενομένου χρησμὸς ἀνενεχθεὶς ὡς σοφοῦ, φορτικὸς ἦν καὶ σοφιστικὸς, τίνι προσείπωμεν ἀξίως ὀνόματι τοὺς ὑμετέρους βρόμους καὶ ὀλολυγμοὺς καὶ κροτοθορύβους καὶ σεβάσεις καὶ ἐπιθειάσεις. αἷς προστρέπεσθε καὶ καθυμνεῖτε τὸν ἐφ' ἡδονὰς παρακαλοῦντα συνεχεῖς καὶ πυκνάς. ὃς ἐν τῇ πρὸς Ἀνάξαρχον ἐπιστολῇ ταυτὶ γέγραφεν. ἐγὼ δὲ ἐφ' ἡδονὰς συνεχεῖς παρακαλῶ καὶ οὐκ ἐπ' ἀρετὰς κενὰς καὶ ματαίας, καὶ ταραχώδεις ἐχούσας τῶν καρπῶν τὰς ἐλπίδας. ἀλλ' ὅμως ὁ μὲν Μητρόδωρος τὸν Τίμαρχον παρακαλῶν φησι. ποιήσωμέν τι καλὸν ἐπὶ καλοῖς. μόνον οὐ καταδύντες ταῖς ὁμοιοπαθείαις καὶ ἀπαλλαγέντες ἐκ τοῦ χαμαὶ βίου εἰς τὰ Ἐπικούρου ὡς ἀληθῶς θεόφαντα ὄργια. Κωλώτης δὲ αὐτὸς ἀκροώμενος Ἐπικούρου φυσιολογοῦντος ἄφνω τοῖς γόνασιν αὐτοῦ προσέπεσε, καὶ ταῦτα γράφει σεμνυνόμενος αὐτὸς Ἐπίκουρος. ὡς σεβομένῳ γάρ σοι τὰ τότε ὑφ' ἡμῶν λεγόμενα. προσέπεσεν ἐπιθύμημα ἀφυσιολόγητον τὸ περιπλακῆναι ἡμῖν γονάτων ἐφαπτόμενον. καὶ πάσης τῆς εἰθισμένης ἐπιλήψεως γίνεσθαι, κατὰ τὰς σεβάσεις τινῶν καὶ λιτάς. ἐποίεις οὖν φησι καὶ ἡμᾶς ἀνθιεροῦν σεαυτὸν καὶ ἀντισέβεσθαι. συγγνωστὰ νὴ Δία τοῖς λέγουσιν. ὡς πάντες ἂν, πρίαιντο τῆς ὄψεως ἐκείνης εἰκόνα γεγραμμένην θεάσασθαι. τοῦ μὲν προσπίπτοντος εἰς γόνατα καὶ περιπλεκομένου, τοῦ δὲ ἀντιλιτανεύοντος καὶ ἀντιπροσκυνοῦντος. οὐ μέντοι τὸ θεράπευμα τοῦτο καίπερ εὖ τῷ Κωλώτῃ συντεθὲν, ἔσχε καρπὸν ἄξιον. οὐ γὰρ ἀνηγορεύθη σοφὸς, ἀλλὰ μόνον ἄφθαρτός μοι περιπάτει φησὶ, καὶ ἡμᾶς ἀφθάρτους διανοοῦ. τοιαῦτα μέντοι ῥήματα καὶ κινήματα καὶ πάθη συνειδότες αὐτοῖς, ἑτέρους φορτικοὺς ἀποκαλοῦσι. καὶ δῆτα καὶ προθεὶς ὁ Κωλώτης τὰ σοφὰ ταῦτα καὶ καλὰ περὶ τῶν αἰσθήσεων, ὅτι σιτία προσαγόμεθα, καὶ οὐ χόρτον·

(margin) ὤφλε .l. — τὸ .l. — ὑπὸ .l. — λακεδαιμόνιοι .l. — πυθόχρηστα .l. — πρόσθεν .l.

καὶ τοὺς ποταμοὺς ὅταν ὦσι μεγάλοι πλοίοις διαπεραιῶμεν· ὅταν δὲ εὐδιάβατοι γένωνται τοῖς ποσίν· ἐπιπεφώνηκεν, ἀλλὰ γοῦν ἀλαζόνας ἐπιτηδείως· λόγους ὦ σώκρατες· καὶ ἕτερα μὲν διελέγου τοῖς ἐντυγχάνουσιν· ἕτερα δὲ ἔπραττες· πῶς γοῦν οὐκ ἀλαζόνες οἱ σωκράτους λόγοι, μηδὲν αὐτοῦ εἰδέναι φάσκοντος, ἀλλὰ μανθάνειν ἀεὶ καὶ ζητεῖν τὸ ἀληθές· εἰ δὲ τοιαύταις ὦ κολῶτα σωκράτους φωναῖς περιέπεσες, οἵας ἐπίκουρος γράφει πρὸς ἰδομενέα, πέμπε οὖν ἀπαρχὰς ἡμῖν εἰς τὴν τοῦ ἱεροῦ σώματος θεραπείαν· ὑπέρ τε αὐτοῦ καὶ τέκνων· οὕτω γάρ μοι λέγειν ἐπέρχεται· τίσιν ἂν ῥήμασιν ἀγροικοτέροις ἐχρήσω· καὶ μὴν ὅτι σωκράτης ἄλλα μὲν ἔλεγεν, ἄλλα δὲ ἔπραττε, θαυμαστῶς μαρτυρεῖ σοι τὰ ἐν δηλίῳ, τὰ ἐν ποτιδαίᾳ, τὰ ἐπὶ τῶν τριάκοντα, τὰ πρὸς ἀρχέλαον, τὰ πρὸς τὸν δῆμον, ἡ πενία, ὁ θάνατος· οὐ γὰρ ἄξια ταῦτα τῶν σωκρατικῶν λόγων, ἐκεῖνος ἦν ὦ μακάριε κατὰ σωκράτους ἔλεγχος, ἕτερα μὲν λέγοντος, ἕτερα δὲ πράττοντος, εἰ τὸ ἡδέως ζῆν τέλος ἐκθέμενος οὕτως ἐβίωσε· ταῦτα μὲν οὖν πρὸς τὰς βλασφημίας· ὅτι δὲ οἷς ἐγκαλεῖ περὶ τῶν ἐναντίων ἔνοχος αὐτός ἐστιν· οὐ συνοῖδεν· ἓν γάρ ἐστι τῶν ἐπικούρου δογμάτων, τὸ μηδὲν ἀμεταπείστως πεπεῖσθαι μηδένα· πλὴν τὸν σοφόν· ἐπεὶ τοίνυν ὁ κολώτης οὐκ ἦν σοφός· οὐδὲ μετὰ τὰς συμβάσεις ἐκείνας ἐρωτάτω πρῶτον ἐκεῖνα τὰ ἐρωτήματα· πῶς σιτία προσάγεται καὶ οὐ χόρτον ἐπιτήδειος ὤν, καὶ τὸ ἱμάτιον τῷ σώματι καὶ οὐ τῷ κίονι περιτίθησι, μήτε ἱμάτιον εἶναι τὸ ἱμάτιον, μήτε σιτίον τὸ σιτίον ἀμεταπείστως πεπεισμένος· εἰ δὲ καὶ ταῦτα πράττει· καὶ τοὺς ποταμούς, ὅταν ὦσι μεγάλοι ποσὶν οὐ διέρχεται, καὶ τοὺς ὄφεις φεύγει, καὶ τοὺς λύκους μηδὲν εἶναι τούτων οἷον φαίνεται, πεπεισμένος ἀμεταπείστως ἀλλὰ πράττων ἕκαστα κατὰ τὸ φαινόμενον· οὐδὲ σωκράτει δήπουθεν ἐμποδὼν ἦν ἡ περὶ τῶν αἰσθήσεων δόξα τοῦ χρῆσθαι τοῖς φαινομένοις ὁμοίως· οὐ γὰρ κολώτῃ μὲν ὁ ἄρτος ἄρτος ἐφαίνετο καὶ χόρτος ὁ χόρτος· ὅτι τοὺς διοπετεῖς ἀνέγνωκε κανόνας· ὁ δὲ σωκράτης ὑπὸ ἀλαζονίας· ἄρτου μὲν ὡς χόρτου· χόρτου δὲ ὡς ἄρτου φαντασίαν ἔλαμβανε, δόγμασι γὰρ ἡμῶν καὶ λόγοις οὗτοι χρῶνται βελτίοσιν οἱ σοφοί· τὸ δ' αἰσθάνεσθαι καὶ τυποῦσθαι πρὸς τὰ φαινόμενα· κοινόν ἐστι πάθος ἀλόγοις περαινόμενον αἰτίαις· ὁ δὲ τὰς αἰσθήσεις λόγος ἐπαγόμενος· ὡς οὐκ ἀκριβεῖς οὐδὲ ἀσφαλεῖς πρὸς πίστιν οὔσας, οὐκ ἀναιρεῖ τὸ φαίνεσθαι τῶν πραγμάτων ἡμῖν ἕκαστον· ἀλλὰ χρωμένοις κατὰ τὸ φαινόμενον ἐπὶ τὰς πράξεις ταῖς αἰσθήσεσι, τὸ πιστεύειν ὡς ἀληθέσι πάντη καὶ ἀδιαπτώτως οὐ δίδωσιν αὐταῖς· τὸ γὰρ ἀναγκαῖον ἀρκεῖ, καὶ χρειῶδες ἀπ' αὐτῶν, ὅτι βέλτιον ἕτερον οὐκ ἔστιν· ἣν δὲ ποθεῖ φιλόσοφος ψυχὴ λαβεῖν ἐπιστήμην, περὶ ἑκάστου· καὶ γνῶσιν οὐκ ἔχουσι· περὶ μὲν οὖν τούτων καὶ πάλιν ὁ κολώτης εἰπεῖν παρέξει ταῦτα πολλοῖς ἐγκεκληκώς· ἐν οἷς δὲ κομιδῇ διαγελᾷ καὶ φλαυρίζει τὸν σωκράτην· ζητοῦντα τί ἄνθρωπός ἐστι καὶ νεανιευόμενον ὥς φησιν, ὅτι μηδὲ αὐτὸς εἰδείη, δῆλος μέν ἐστιν αὐτὸς οὐδέποτε πρὸς τούτῳ γενόμενος· ὁ δὲ ἡράκλειτος, ὡς μέγα τι καὶ σεμνὸν διαπεπραγμένος ἐδιζησάμην φησὶν ἐμεωυτόν· καὶ τῶν ἐν δελφοῖς γραμμάτων θειότατον ἐδόκει τό, γνῶθι σαυτόν· ὃ δὴ καὶ σωκράτει τῆς ἀπορίας καὶ ζητήσεως ταύτης, ἀρχὴν ἐνέδωκεν, ὡς ἀριστοτέλης ἐν τοῖς πλατωνικοῖς εἴρηκε· κολώτῃ δὲ γελοῖον δοκεῖ· τί οὖν οὐ καταγελᾷ καὶ τοῦ καθηγεμόνος τοῦ αὐτοῦ πράττοντος, ὁσάκις γράφοι καὶ διαλέγοιτο περὶ οὐσίας ψυχῆς καὶ τοῦ ἀθρόου τῆς καταρχῆς· εἰ γὰρ τὸ ἐξ ἀμφοῖν, ὡς ἀξιοῦσιν αὐτοί σώματος τοιουδὶ καὶ ψυχῆς ἄνθρωπός ἐστιν· ὁ ζητῶν ψυχῆς φύσιν, ἀνθρώπου ζητεῖ φύσιν ἐκ τῆς κυριωτέρας ἀρχῆς· ὅτι δὲ αὕτη λόγῳ δυσθεώρητος, αἰσθήσει δὲ ἄληπτός ἐστι, μὴ παρὰ σωκράτης σοφιστοῦ καὶ ἀλαζόνος ἀνδρός, ἀλλὰ παρὰ τῶν σοφῶν

τούτων λάβωμεν· οἱ μέχρι τῶν περὶ σάρκα τῆς ψυχῆς δυνάμεων, αἷς θερμότητα καὶ μαλακότητα καὶ τόνον παρέχει τῷ σώματι τὴν οὐσίαν συμπηγνύντες αὐτῆς ἔκ τινος θερμοῦ καὶ πνευματικοῦ καὶ ἀερώδους· οὐκ ἐξικνοῦνται πρὸς τὸ κυριώτατον, ἀλλὰ ἀπαγορεύουσι· τὸ γὰρ ᾧ κρίνει καὶ μνημονεύει καὶ φιλεῖ καὶ μισεῖ, καὶ ὅλως τὸ φρόνιμον καὶ λογιστικόν, ἔκ τινός φησιν ἀκατονομάστου ποιότητος ἐπιγίνεσθαι· καὶ ὅτι μὲν αἰσχυνομένης ἐστὶν ἀγνοίας τουτὶ τὸ ἀκατονόμαστον ἐξομολόγησις, οὐκ ἔχει ὀνομάσαι φασκόντων, ὃ μὴ δύνανται καταλαβεῖν. ἴσμεν. ἐχέτω δὲ συγγνώμην καὶ τοῦτο ὡς λέγουσι· φαίνεται γοῦν οὐ φαῦλον οὐδὲ ῥᾴδιον, οὐδὲ τοῦ τυχόντος εἶναι καταμαθεῖν, ἀλλὰ ἐνδεδυκὸς ἀπόρρῳ τινὶ τόπῳ· καὶ δεινῶς ἀποκεκρυμμένον· ᾧ γε ὄνομα μηδὲν ἐν τοσούτοις πρὸς δήλωσιν οἰκεῖόν ἐστιν οὐ σωκράτης οὖν ἀβέλτερος, ὅς τις εἴη ζητῶν ἑαυτόν, ἀλλὰ πάντες, οἷς ἔπεισί τι τῶν ἄλλων πρὸ τούτου ζητεῖν, ὅτι τὴν γνῶσιν ἀναγκαίαν ἔχον, οὕτως εὑρεθῆναι χαλεπόν ἐστιν, οὐ γὰρ ἄν, ἐλπίσειεν ἑτέρου λαβεῖν, ἐπιστήμην· ὃν διαπέφευγε τῶν ἑαυτοῦ τὸ κυριώτατον καταλαβεῖν, ἀλλὰ διδόντες αὐτῷ τὸ μηδὲν οὕτως ἄχρηστον εἶναι μηδὲ φορτικὸν ὡς τὸ ζητεῖν αὐτόν· ἐρώμεθά τις αὕτη τοῦ βίου σύγχυσίς ἐστιν, ἢ πῶς ἐν τῷ ζῆν οὐ δύναται διαμένειν ἀνὴρ ὅτε τύχοι πρὸς ἑαυτὸν ἀναλογιζόμενος· φέρε τίς ὢν οὗτος ὁ ἐγὼ τυγχάνω· πότερον ὡς κρᾶμα τὸ μεμιγμένον ἔκ τε τῆς ψυχῆς καὶ τοῦ σώματος, ἢ μᾶλλον ἡ ψυχὴ τῷ σώματι χρωμένη καθάπερ ἱππεὺς ἀνὴρ ἵππῳ χρώμενος οὐ τὸ ἐξ ἵππου καὶ ἀνδρός, ἢ τῆς ψυχῆς τὸ κυριώτατον, ᾧ φρονοῦμεν καὶ λογιζόμεθα καὶ πράττομεν ἕκαστος ἡμῶν ἐστι· τὰ δὲ λοιπὰ καὶ ψυχῆς μόρια πάντα· καὶ σώματος ὄργανα τῆς τούτου δυνάμεως, ἢ τὸ παράπαν οὐκ ἔστιν οὐσία ψυχῆς· ἀλλ' αὐτὸ τὸ σῶμα κεκραμένον, τὴν τοῦ φρονεῖν καὶ ζῆν ἔσχηκε δύναμιν, ἀλλὰ τούτοις μὲν οὐκ ἀναιρεῖ τὸν βίον ὁ σωκράτης, ἃ δὴ πάντες οἱ φυσικοὶ ζητοῦσιν· ἐκεῖνα δὲ ἦ τὰ ἐν φαίδρῳ δεινὰ καὶ ταρακτικὰ τῶν πραγμάτων· αὑτὸν οἰομένου δεῖν ἀναθεωρεῖν. εἴτε τυφωνός ἐστι θηρίον πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθειμένον εἴτε θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον· ἀλλὰ τούτοις γε τοῖς ἐπιλογισμοῖς οὐ τὸν βίον ἀνῄρει, τὴν δὲ ἐμβροντησίαν ἐκ τοῦ βίου καὶ τὸν τῦφον ἐξήλαυνε, καὶ τὰς ἐπαχθεῖς καὶ ὑπερόγκους κατοικήσεις καὶ μεγαλαυχίας. ταῦτα γὰρ ὁ τυφών ἐστιν, ὃν πολὺν ὑμῖν ἐποίησεν ὁ καθηγεμών, καὶ θεοῖς πολεμῶν καὶ θείοις ἀνδράσι· μετὰ δὲ σωκράτην καὶ πλάτωνα προσμάχεται στίλπων, καὶ τὰ μὲν ἀληθινὰ δόγματα καὶ τοὺς λόγους τοῦ ἀνδρός· οἷς ἑαυτόν τε κατεκόσμει καὶ πατρίδα καὶ φίλους καὶ τῶν βασιλέων τοὺς περὶ αὐτὸν σπουδάσαντας, οὔτε γέγραφε, οὐδὲ ὅσον ἦν φρόνημα τῇ ψυχῇ μετὰ πραότητος καὶ μετριοπαθείας. ὧν δὲ παίζων καὶ χρώμενος πρὸς τοὺς σοφιστὰς λογαρίων προύβαλε γέλωτι αὐτοῖς ἑνὸς μνησθεὶς καὶ μηδὲν εἰπὼν πρὸς τοῦτο, μηδὲ λύσας τὴν πιθανότητα τραγῳδίαν ἐπάγει τῷ στίλπωνι καὶ τὸν βίον ἀναιρεῖσθαί φησιν ὑπ' αὐτοῦ λέγοντος ἕτερον ἑτέρου ἄλλη κατηγορεῖσθαι· πῶς γὰρ βιωσόμεθα, μὴ λέγοντες ἄνθρωπον ἀγαθὸν μηδὲ ἄνθρωπον στρατηγόν, ἀλλὰ ἄνθρωπον ἄνθρωπον καὶ χωρίς· ἀγαθὸν ἀγαθὸν καὶ στρατηγὸν στρατηγόν, μηδὲ ἱππεῖς μυρίους, μηδὲ πόλιν ἐχυράν, ἀλλὰ ἱππεῖς ἱππεῖς· καὶ μυρίους μυρίους, καὶ τἆλλα ὁμοίως· τίς δὲ διὰ ταῦτα χεῖρον ἐβίωσεν ἀνθρώπων· τίς δὲ τὸν λόγον ἀκούσας οὐ συνῆκεν, ὅτι παίζοντός ἐστιν εὐμούσως· ἢ γύμνασμα τοῦτο προβάλλοντος ἑτέροις διαλεκτικόν; οὐκ ἄνθρωπον ὦ κολῶτα μὴ λέγειν ἀγαθὸν οὐδὲ ἱππεῖς μυρίους δεινόν ἐστιν, ἀλλὰ τὸν θεὸν μὴ λέγειν θεὸν μηδὲ νομίζειν ὃ πράττετε ὑμεῖς, μήτε δία γενέθλιαν, μήτε δήμητραν θεσμοφόρον εἶναι, μήτε ποσειδῶνα φοιτάλμιον ὁμολογεῖν ἐθέλοντες, οὗτος ὁ χω

εισμὸς τῶν ὀνομάτων πονηρός ἐστι καὶ τὸν βίον ἐμπίπλησιν ὀλιγωρίας ἀθέου καὶ θρασύτητος ὅταν τὰς συνεζευγμένας τοῖς θεοῖς προσηγορίας ἀποσπῶντες, συναναιρεῖτε θυσίας, μυστήρια, πομπὰς, ἑορτάς· τίνι γοῦν προτέλεια θύσομεν, τίνι σωτήρια; πῶς δὲ φωσφόρια, βακχεῖα, προτέλεια γάμων ἄξομεν, μὴ ἀπολιπόντες μηδὲ βάκχεις καὶ φωσφόρους καὶ προηροσίους καὶ σωτῆρας. ταῦτα γὰρ ἅπτεται τῶν κυριωτάτων καὶ μεγίστων, ἐν πράγμασιν ἔχοντα τὴν ἀπάτην· οὐ περὶ φωνάς τινας, οὐδὲ λεκτῶν σύνταξιν, οὐδὲ ὀνομάτων συνήθειαν. ὡς εἴ γε καὶ ταῦτα τὸν βίον ἀνατρέπει, τίνες μᾶλλον ὑμῶν πλημμελοῦσι περὶ τὴν διάλεκτον οἱ τὸ λεκτῶν γένος οὐσίαν τῷ λόγῳ παρέχοντες ἄρδην ἀναιρεῖτε τὰς φωνάς. καὶ τὰ τυγχάνοντα μόνον ἀπολιπόντες· τὰ δὲ μεταξὺ σημαινόμενα πράγματα, δι' ὧν γίνονται μαθήσεις, διδασκαλίας, προλήψεις, νοήσεις, ὁρμὰς, συγκαταθέσεις· τὸ παράπαν οὐδὲ εἶναι λέγοντες. οὐ μὴν ἀλλὰ τὸ ἐπὶ Στίλπωνος τοιοῦτόν ἐστιν. εἰ περὶ ἵππου τὸ τρέχειν κατηγοροῦμεν, οὔ φησι ταὐτὸν εἶναι τὸ περὶ οὗ κατηγορεῖται τῷ κατηγορουμένῳ. ἀλλ' ἕτερον μὲν ἀνθρώπῳ τοῦ τί ἦν εἶναι τὸν λόγον· ἕτερον δὲ τῷ ἀγαθῷ. καὶ πάλιν τὸ ἵππον εἶναι τοῦ τρέχοντα εἶναι διαφέρειν. ἑκατέρου γὰρ ἀπαιτούμενοι τὸν λόγον, οὐ τὸν αὐτὸν ἀποδίδομεν ὑπὲρ ἀμφοῖν. ὅθεν ἁμαρτάνειν τοὺς ἕτερον ἑτέρου κατηγοροῦντας.

εἰ μὲν γὰρ ταὐτόν ἐστι τῷ ἀνθρώπῳ τὸ ἀγαθὸν, καὶ τῷ ἵππῳ τὸ τρέχειν, πῶς καὶ σιτίου καὶ φαρμάκου τὸ ἀγαθόν. καὶ νὴ Δία πάλιν λέοντος καὶ κυνὸς τὸ τρέχειν κατηγοροῦμεν; εἰ δ' ἕτερον, οὐκ ὀρθῶς ἄνθρωπον ἀγαθὸν καὶ ἵππον τρέχειν λέγομεν. εἴπερ ἐν τούτοις ἐξαμάξει πικρῶς ὁ Στίλπων τῶν ἐν ὑποκειμένῳ καὶ καθ' ὑποκειμένου λεγομένων μηδεμίαν ἀπολιπὼν συμπλοκὴν πρὸς τὸ ὑποκείμενον ἀλλ' ἕκαστον αὐτῶν εἰ μὴ κομιδῇ ταὐτὸν ᾧ συμβέβηκε λέγεται, μηδὲ ὡς συμβεβηκὸς οἰόμενος δεῖν περὶ αὐτοῦ λέγεσθαι, φωναῖς τισὶ δυσκολαίνων. καὶ πρὸς τὴν συνήθειαν ἐνιστάμενος, οὐ τὸν βίον ἀναιρῶν, οὐδὲ τὰ πράγματα δῆλός ἐστι. γενόμενος δ' οὖν ὁ Κολώτης ἀπὸ τῶν παλαιῶν τρέπεται πρὸς τοὺς καθ' ἑαυτοὺς φιλοσόφους. οὐδενὸς τιθεὶς ὄνομα καίτοι καλῶς εἶχεν ἢ καὶ τούτους ἐλέγχειν ἐπ' ὀνόματος, ἢ μηδὲ τοὺς παλαιούς. ὁ δὲ τὸν Σωκράτην καὶ τὸν Πλάτωνα καὶ τὸν Παρμενίδην τοσαυτάκις θέμενος ὑπὸ τὸ γραφεῖον, δῆλός ἐστιν ἀποδειλιάσας πρὸς τοὺς ζῶντας, οὐ μετριάσας ὑπ' αἰδοῦς, ἣν τοῖς κρείττοσιν οὐκ ἀπένειμε. βούλεται δὲ προτέρους μὲν ὡς ὑπονοῶ τοὺς Κυρηναϊκοὺς ἐλέγχειν. δευτέρους δὲ τοὺς περὶ Ἀρκεσίλαον Ἀκαδημαϊκούς. οὗτοι γὰρ ἦσαν οἱ περὶ πάντων ἐπέχοντες. ἐκεῖνοι δὲ τὰ πάθη καὶ τὰς φαντασίας ἐν αὑτοῖς τιθέντες, οὐκ ᾤοντο τὴν ἀπὸ τούτων πίστιν εἶναι διαρκῆ πρὸς τὰς ὑπὲρ τῶν πραγμάτων καταβεβαιώσεις. ἀλλ' ὥσπερ ἐν πολιορκίᾳ τῶν ἐκτὸς ἀποστάντες, εἰς τὰ πάθη κατέκλεισαν αὑτοὺς τὸ φαίνεται τιθέμενοι. τὸ δ' ἐστὶ προσαποφαινόμενοι περὶ τῶν ἐκτός. διό φησιν αὐτοὺς ὁ Κολώτης μὴ δύνασθαι ζῆν, μηδὲ χρῆσθαι τοῖς πράγμασιν. εἶτα κωμῳδῶν, οὗτοί φησιν ἄνθρωπον εἶναι καὶ ἵππον καὶ τοῖχον οὐ λέγουσιν, αὑτοὺς δὲ τοιχοῦσθαι καὶ ἱπποῦσθαι, καὶ ἀνθρωποῦσθαι, πρῶτον αὐτοῖς ὥσπερ οἱ συκοφάνται κακούργως χρώμενος τοῖς ὀνόμασιν, ἕπεται μὲν γοῦν ἀμέλει καὶ ταῦτα τοῖς ἀνδράσιν, ἔδει δὲ ὡς ἐκεῖνοι διδάσκουσι δηλοῦν τὸ γινόμενον. γλυκαίνεσθαι γὰρ λέγουσι καὶ πικραίνεσθαι καὶ φωτίζεσθαι καὶ σκοτίζεσθαι, τῶν παθῶν τούτων ἑκάστου τὴν ἐνάργειαν οἰκείαν ἐν αὑτῷ καὶ ἀπερίσπαστον ἔχοντος. εἰ δὲ γλυκὺ τὸ μέλι, καὶ πικρὸς ὁ θαλλὸς, καὶ ψυχρὰ ἡ χάλαζα, καὶ θερμὸς ὁ ἄκρατος, καὶ σκοτεινὸς ὁ τῆς νυκτὸς ἀὴρ, ὑπὸ πολλῶν ἀντιμαρτυρεῖσθαι, καὶ θηρίων, καὶ πραγμάτων καὶ ἀνθρώπων, τῶν μὲν δυσχεραινόντων

τῶν

τῶν δὲ προσιεμένων τὴν θαλλίαν, καὶ ἀποκαιομένων ὑπὸ τῆς χαλάζης, καὶ καταψυχομένων ὑπὸ οἴνου, καὶ τὸν ἥλιον ἀμβλυωττόντων, καὶ νύκτωρ βλεπόντων, ὅθεν ἐμμένουσα τοῖς πάθεσιν ἡ δόξα διατηρεῖ τὸ ἀναμάρτητον. ἐκβαίνουσα δὲ καὶ πολυπραγμονοῦσα τῷ κρίνειν καὶ ἀποφαίνεσθαι περὶ τῶν ἐκτὸς, αὑτήν τε πολλάκις ταράσσει, καὶ μάχεται πρὸς ἑτέρους ἀπὸ τῶν αὐτῶν ἐναντία πάθη καὶ διαφόρους φαντασίας λαμβάνοντας. ὁ δὲ Κολώτης ἔοικε τὸ αὐτὸ πάσχειν τοῖς νεωστὶ γράμματα μανθάνουσι τῶν παίδων. οἳ τοὺς χαρακτῆρας ἐν τοῖς πυξίοις ἐθιζόμενοι λέγειν ὅταν ἔξω γεγραμμένους ἐν ἑτέροις ἴδωσιν ἀμφιγνοοῦσι καὶ ταράττονται. καὶ γὰρ οὗτος οὓς ἐν τοῖς Ἐπικούρου γράμμασιν ἀσπάζεται καὶ ἀγαπᾷ λόγους, οὐ συνίησιν οὐδὲ γινώσκει λεγομένους ὑφ' ἑτέρων. εἰ γὰρ εἰδώλου προσπίπτοντος ἡμῖν περιφεροῦς, ἑτέρου δὲ κεκλασμένου τὴν μὲν αἴσθησιν ἀληθῶς τυποῦσθαι λέγοντες, προσαποφαίνεσθαι δὲ οὐκ ἐῶντες, ὅτι στρογγύλος ὁ πύργος ἐστὶν, ἡ δὲ κώπη κέκλασται, τὰ πάθη τὰ αὑτῶν φαντάσματα βεβαιοῦσι· τὰ δ' ἐκτὸς οὕτως ἔχειν ὁμολογεῖν οὐκ ἐθέλουσιν, ἀλλ' ὡς ἐκείνοις ἱπποῦσθαι καὶ τὸ τοιχοῦσθαι λεκτέον οὐχ ἵππον οὐδὲ τοῖχον, οὕτως ἄρα τὸ στρογγυλοῦσθαι καὶ τὸ σκαληνοῦσθαι τὴν ὄψιν, οὐ σκαληνὸν οὐδὲ στρογγύλον ἀνάγκη τὸν πύργον λέγειν. τὸ γὰρ εἴδωλον ὑφ' οὗ πέπονθεν, ἡ ὄψις κεκλασμένον ἐστίν. ἡ κώπη δὲ ἀφ' ἧς τὸ εἴδωλον, οὐκ ἔστι κεκλασμένη, διαφορὰν οὖν τοῦ πάθους πρὸς τὸ ὑποκείμενον ἐκτὸς ἔχοντος, ἢ μένειν ἐπὶ τοῦ πάθους δεῖ τὴν πίστιν, ἢ τὸ εἶναι τῷ φαίνεσθαι προσαποφαινομένην ἐλέγχεσθαι. τὸ δὲ δὴ βοᾶν αὐτοὺς καὶ ἀγανακτεῖν ὑπὲρ τῆς αἰσθήσεως, οὐ λέγουσι τὸ ἐκτὸς εἶναι θερμὸν, ἀλλὰ τὸ ἐν αὐτῇ πάθος γέγονε τοιοῦτον. ἆρ' οὖν ταὐτόν ἐστι τῷ λεγομένῳ περὶ τῆς γεύσεως, ὅτι τὸ ἐκτὸς οὔ φησιν εἶναι γλυκύ. πάθος δέ τι καὶ κίνημα περὶ αὐτὴν γεγονέναι τοιοῦτον; ὁ δὲ λέγων ἀνθρωποειδῆ φαντασίαν λαμβάνειν. εἰ δὲ ἄνθρωπός ἐστι μὴ αἰσθάνεσθαι, πόθεν εἴληφε τὰς ἀφορμάς. οὐ παρὰ τῶν λεγόντων καμπυλοειδῆ φαντασίαν λαμβάνειν. εἰ δὲ καμπύλον ἐστὶ, μὴ προσαποφαίνεσθαι τὴν ὄψιν, μηδ' ὅτι στρογγύλον, ἀλλά τι φάντασμα περὶ αὐτὴν καὶ τύπωμα στρογγυλοειδὲς γέγονε. νὴ Δία φήσει τις. ἀλλ' ἐγὼ τῷ πύργῳ προσελθὼν καὶ τῆς κώπης ἁψάμενος ἀποφανοῦμαι, τὴν μὲν εὐθεῖαν εἶναι, τὸν δὲ πολύγωνον. ἐκεῖνος δὲ κἂν ἐγγὺς γένηται, τὸ δοκεῖν καὶ τὸ φαίνεσθαι, πλέον δὲ οὐδὲν ὁμολογήσει, ναὶ μὰ Δία τοῦ γε μᾶλλον, ὦ βέλτιστε τὸ ἀκόλουθον ὁρῶν καὶ φυλάττων τὸ πᾶσαν εἶναι φαντασίαν, ὁμοίως ἀξιόπιστον ὑπὲρ ἑαυτῆς, ὑπὲρ ἄλλου δὲ μηδεμίαν, ἀλλ' ἐπίσης ἔχειν. σοὶ δὲ οἴχεται τὸ πάσας ὑπάρχειν ἀληθεῖς, ἄπιστον δὲ καὶ ψευδῆ μηδεμίαν, εἰ ταύτας μὲν οἴει δεῖν προσαποφαίνεσθαι περὶ τῶν ἐκτὸς, ἐκείνας δὲ τοῦ πάσχειν πλέον οὐδὲν ἐπίστευες. εἰ μὲν γὰρ ἐπίσης ἔχουσιν ἐγγὺς γενόμεναι, καὶ μακρὰν οὖσαι πρὸς πίστιν, ἢ πάσαις δίκαιόν ἐστιν, ἢ μὴ δὲ ταύταις ἕπεσθαι τὴν προσαποφαινομένην τὸ εἶναι κρίσιν. εἰ δὲ γίνεται διαφορὰ τοῦ πάθους ἀποστᾶσι, καὶ ἐλθοῦσι. ψευδός ἐστι τὸ μήτε φαντασίαν μήτε αἴσθησιν ἑτέραν ἐναργεστέραν ὑπάρχειν. καθάπερ ἃς λέγουσιν ἐπιμαρτυρήσεις, οὐθέν εἰσι πρὸς τὴν αἴσθησιν, ἀλλὰ πρὸς τὴν δόξαν. ὥστε ἐπ' αὐταῖς ἑπομένους ἀποφαίνεσθαι περὶ τῶν ἐκτὸς κελεύουσι τῆς δόξης κρίμα τὸ εἶναι. τῆς δὲ αἰσθήσεως πάθος τὸ φαινόμενον ποιοῦντες, ἀπὸ τοῦ πάντως ἀληθοῦς τὴν κρίσιν ἐπὶ τὸ διαπῖπτον πολλάκις μεταφέρουσιν, ἀλλὰ ταῦτα μὲν ὅσης ἐστὶ μεστὰ ταραχῆς καὶ μάχης πρὸς ἑαυτά. τί δεῖ λέγειν ἐν τῷ παρόντι. τοῦ δὲ Ἀρκεσιλάου τὸν Ἐπίκουρον οὐ μετρίως ἔοικεν ἡ δόξα παραλυπεῖν. ἐν τοῖς τότε χρόνοις μάλιστα τῶν φιλοσόφων ἀγαπηθέντος, μηδὲν γοῦν αὐτὸν ἴδιον λέγοντά φησιν. ὑπόληψιν ἐμποιεῖν καὶ δόξαν ἀνθρώποις ἀγραμμάτοις,

ἅτε πολυγράμματος αὐτὸς ὢν καὶ μεμουσωμένος· ὁ δὲ ἀρκεσίλαος τοσοῦτον ἀ-
πέδει τοῦ καινοτομίας τινὰ δόξαν ἀγαπᾶν καὶ ὑποποιεῖσθαι τῶν παλαιῶν, ὥς-
τε ἐγκαλεῖν τοὺς τότε σοφιστὰς, ὅτι προστρίβεται σωκράτει καὶ πλάτωνι καὶ
παρμενίδῃ, καὶ ἡρακλείτῳ τὰ περὶ τῆς ἐποχῆς δόγματα καὶ τῆς ἀκαταλη-
ψίας, οὐδὲν δεομένοις, ἀλλ᾽ οἷον ἀναγωγὴν καὶ βεβαίωσιν αὐτῶν εἰς ἄνδρας ἐν-
δόξους ποιούμενος· ὑπὲρ μὲν οὖν τούτου κολώτῃ χάρις, καὶ παντὶ τῷ τὸν ἀκαδη-
μαϊκὸν λόγον ἄνωθεν ἥκειν εἰς ἀρκεσίλαον ἀποφαίνοντι· τὴν δὲ περὶ πάντων ἐ-
ποχὴν· οὐδ᾽ οἱ πολλὰ πραγματευσάμενοι καὶ κατατείναντες εἰς τοῦτο συγγράμ-
ματα καὶ λόγους ἐκίνησαν, ἀλλ᾽ ἐκ τῆς στοᾶς αὐτῆς τελευτῶντες. ὥσπερ γοργό-
να τὴν ἀπραξίαν ἐπάγοντες ἀπηγόρευσαν· ὡς πάντα πειρῶσι καὶ στρέφουσιν αὐ-
τοῖς. οὐχ ὑπήκουσεν ἡ ὁρμὴ γενέσθαι συγκατάθεσις, οὐδὲ τῆς ῥοπῆς ἀρχὴν ἐδέξα-
το τὴν αἴσθησιν, ἀλλ᾽ ἐξ ἑαυτῆς ἀγωγὸς ἐπὶ τὰς πράξεις ἐφάνη, μὴ δεομένη τοῦ
» προστίθεσθαι· νόμιμοι γὰρ οἱ πρὸς ἐκείνους ἀγῶνές εἰσι· καὶ ὁποῖον κ᾽ εἴπησθα ἔ-
» πος, τοῖον κ᾽ ἐπακούσαις· κολώτῃ δὲ οἶμαι τὰ περὶ ὁρμῆς καὶ συγκαταθέσεως,
ὄνῳ λύρας ἀκρόασιν εἶναι· λέγεται δὲ τοῖς συνεπομένοις καὶ ἀκούουσιν· ὅτι τριῶν
περὶ ψυχῆς κινημάτων ὄντων, φανταστικοῦ καὶ ὁρμητικοῦ καὶ συγκαταθετικοῦ,
τὸ μὲν φανταστικὸν, οὐδὲ βουλομένοις ἀνελεῖν ἐστιν· ἀλλὰ ἀνάγκη προεντυγχάνον-
τας τοῖς πράγμασι, τυποῦσθαι καὶ πάσχειν ὑπ᾽ αὐτῶν· τὸ δὲ ὁρμητικὸν ἐγειρό-
μενον ὑπὸ τοῦ φανταστικοῦ πρὸς τὰ οἰκεῖα, πρακτικῶς κινεῖν τὸν ἄνθρωπον, οἷον
ῥοπῆς ἐν τῷ ἡγεμονικῷ καὶ νεύσεως γινομένης· οὐδὲ τοῦτο οὖν ἀναιροῦσιν οἱ περὶ
πάντων ἐπέχοντες, ἀλλὰ χρῶνται τῇ ὁρμῇ φυσικῶς ἀγούσῃ πρὸς τὸ φαινόμενον
οἰκεῖον· τί οὖν φεύγουσι μόνον, ᾧ μόνῳ ψεῦδος ἐμφύεται καὶ ἀπάτη, τὸ δοξάζειν
καὶ προσπίπτειν τὴν συγκατάθεσιν, εἶξιν οὖσαν ὑπὸ ἀσθενείας τῷ φαινομένῳ·
χρήσιμον δὲ οὐδὲν ἔχουσαν· ἡ γὰρ πρᾶξις δυεῖν δεῖται, φαντασίας τοῦ οἰκείου καὶ
πρὸς τὸ φανὲν οἰκεῖον ὁρμῆς, ὧν οὐδέτερον τῇ ἐποχῇ μάχεται· δόξης γὰρ οὐχ ὁρ-
μῆς οὐδὲ φαντασίας ὁ λόγος ἀφίστησιν, ὅταν οὖν φανῇ τὸ ἡδὺ οἰκεῖον, οὐθὲν δεῖ
πρὸς τὴν ἐπ᾽ αὐτὸ κίνησιν καὶ φορὰν δόξης, ἀλλ᾽ ἦλθεν εὐθὺς ἡ ὁρμὴ, κίνησις οὖ-
σα καὶ φορὰ τῆς ψυχῆς· καὶ μὴν αὐτῶν γε τούτων ὡς αἴσθησιν ἔχειν δεῖ καὶ σάρ-
κινον εἶναι, καὶ φανεῖται ἡδονὴ ἀγαθόν, οὐκοῦν καὶ τῷ ἐπέχοντι ἀγαθὸν φανεῖ-
ται· καὶ γὰρ αἰσθήσεως μετέχει, καὶ σάρκινός ἐστι, καὶ λαβὼν ἀγαθοῦ φαντασίαν·
ὀρέγεται καὶ ὁρμᾷ πάντα πράττων, ὅπως οὐ διαφεύξεται αὐτὸν, ἀλλ᾽ ὡς ἀ-
νυστὸν ἀεὶ συνέσται τῷ οἰκείῳ· φυσικαῖς οὐ γεωμετρικαῖς ἑλκόμενος ἀνάγκαις. ἄ-
νευ διδασκάλου γὰρ αὐτὰ προκαλεῖται τὰ καλὰ ταῦτα καὶ λεῖα καὶ προση-
νῆ κινήματα τῆς σαρκὸς, ὡς αὐτοί φασιν οὗτοι, καὶ τὸν πάνυ μὴ φάσκοντα μηδὲ
ὁμολογοῦντα, κάμπτεσθαι καὶ μαλάσσεσθαι τούτοις· ἀλλὰ πῶς οὐκ εἰς ὄρος ἄ-
πεισι τρέχων ὁ ἐπέχων, ἀλλ᾽ εἰς βαλανεῖον, οὐδὲ πρὸς τὸν τοῖχον, ἀλλὰ πρὸς τὰς
θύρας ἀναστὰς βαδίζει, βουλόμενος εἰς ἀγορὰν προελθεῖν· τοῦτο ἐρωτᾷς ἀκρι-
βῆ τὰ αἰσθητήρια λέγων εἶναι καὶ τὰς φαντασίας ἀληθεῖς, ὅτι φαίνεται δή-
πουθεν αὐτῷ βαλανεῖον, οὐ τὸ ὄρος, ἀλλὰ τὸ βαλανεῖον καὶ θύρα οὐχ ὁ τοῖχος
ἀλλὰ ἡ θύρα, καὶ τῶν ἄλλων ὁμοίως ἕκαστον; ὁ γὰρ τῆς ἐποχῆς λόγος οὐ παρα-
τρέπει τὴν αἴσθησιν, οὐδὲ τοῖς ἀλόγοις πάθεσιν αὐτοῖς καὶ κινήμασιν, ἀλλοίω-
σιν ἐμποιεῖ διαταράττουσαν τὸ φανταστικόν· ἀλλὰ τὰς δόξας μόνον ἀναιρεῖ. χρῆ-
ται δὲ τοῖς ἄλλοις ὡς πέφυκεν, ἀλλ᾽ ἀμήχανον τὸ μὴ συγκατατίθεσθαι τοῖς ἐν-
αργέσι· τὸ γὰρ ἀρνεῖσθαι τὰ πεπιστευμένα, τοῦ μήτε ἀρνεῖσθαι, μήτε τιθέναι πα-
ραλογώτερον· τί οὖν κινεῖ τὰ πεπιστευμένα καὶ μάχεται τοῖς ἐναργέσιν, οἱ μαν-
τικὴν ἀναιροῦντες, καὶ πρόνοιαν ὑπάρχειν θεῶν μὴ φάσκοντες, μηδὲ τὸν ἥλιον
ἔμψυχον

ἔμψυχον εἶναι μηδὲ τὴν σελήνην· οἷς πάντες ἄνθρωποι θύουσι καὶ προσεύχον-
ται καὶ σέβονται. τὸ δὲ φύσει περιέχεσθαι τὰ τεκόντα τῶν γεινομένων, οὐχὶ
πᾶσι φαινόμενον ἀναιρεῖτε; τὸ δὲ πόνου καὶ ἡδονῆς μηδὲν εἶναι μέσον. οὐκ ἀ-
ποφαίνεσθε παρὰ τὴν πάντων αἴσθησιν ἥδεσθαι τὸ μὴ ἀλγεῖν, καὶ πάσχειν τὸ μὴ
λέγοντες· ἀλλ᾽ ἵνα τἄλλα ἐάσω, τί μᾶλλον ἐναργὲς, οὕτως ἐστὶ καὶ πε-
πιστευμένον· ὥστε παρορᾶν καὶ παρακούειν ἐν πάθεσιν ἐκστατικοῖς καὶ μελαγχο-
λικοῖς ὄντα, ὅταν ἡ διάνοια τοιαῦτα πάσχῃ καὶ ταράττηται· αἱ δέ με δαδοφά-
ροι μελανείμονες ὄμμα πυροῦσι καὶ ἀγκάλαις ἐμὴν ἔχουσα.
μητέρα ἀγκάλαις ἐμὴν ἔχουσα· ταῦτα μέντοι καὶ πολλὰ τούτων ἕ-
τερα τραγικώτερα τοῖς ἐμπεδοκλέους ἐοικότα τέρασι, ὧν καταγελῶσιν εἰλίπο-
δα κριτόχειρα καὶ βουγενῆ ἀνδρόπωρα· καὶ τίνα γὰρ οὐκ ὄψιν ἢ φύσιν ἔκφυλον εἰς
τὸ αὐτὸ συνενεγκόντες ἐκ τῶν ἐνυπνίων καὶ τῶν παρακοπῶν. οὐδὲν εἶναί φασι πα-
ρόραμα τούτων· οὐδὲ ψεῦδος οὐδὲ ἀσύστατον, ἀλλὰ φαντασίας ἀληθεῖς ἁπάσας,
καὶ σώματα καὶ μορφὰς ἐκ τοῦ περιέχοντος ἀφικνουμένας· εἶτα ἔστι τι τῶν ὄν-
των ἀδύνατον ἐπισχεῖν· εἰ ταῦτα πιστεύεσθαι δυνατόν ἐστιν. ἃ γὰρ οὐδεὶς σκευο-
ποιὸς ἢ πλάστης θαυμάτων, ἢ γραφεὺς δεινὸς ἐτόλμησε μῖξαι πρὸς ἀπάτην,
εἰκάσματα καὶ παίγνια ταῦτα ὑπάρχειν ἀπὸ σπουδῆς τιθέμενοι· μᾶλλον δὲ
ὅλως εἰ ταῦτα μὴ ὑπάρχοι· πίστιν οἴχεσθαι καὶ βεβαιότητα καὶ κρίσιν ἀληθείας
φάσκοντες, αὐτοὶ καταβάλλουσιν εἰς ἀφασίαν πάντα πράγματα καὶ ταῖς κρί-
σεσι φόβους καὶ ταῖς πράξεσιν ὑποψίας ἐπάγουσιν, εἰ τὰ πραττόμενα καὶ νομι-
ζόμενα καὶ συνήθη καὶ ἀνὰ χεῖρα ἡμῖν ἐπὶ τῆς αὐτῆς φαντασίας καὶ πίστεως
ὀχεῖται, τοῖς μανικοῖς καὶ ἀτόποις καὶ παρανόμοις ἐκείνοις φάσμασιν, ἡ γὰρ ἰσό-
της ἣν ὑποτίθενται πᾶσι τῶν νενομισμένων ἀφίστησι μᾶλλον, ἢ προστίθησι τοῖς
παραλόγοις τὴν πίστιν· ὅθεν ἴσμεν οὐκ ὀλίγους τῶν φιλοσόφων ἥδιον ἂν θεμένους
τὸ μηδεμίαν, ἢ τὸ πάσας ἀληθεῖς εἶναι τὰς φαντασίας. καὶ μᾶλλον ἂν οἷς οὐ
παρατυγχάνουσι διαπιστήσαντας ἀνθρώποις καὶ πράγμασι καὶ λόγοις ἁπλῶς
ἅπασιν· ἢ μίαν ἐκείνων ἀληθῆ καὶ ὑπάρχουσαν εἶναι φαντασίαν πεισθέντας.
λυττῶντες ἢ κορυβαντιῶντες ἢ κοιμώμενοι λαμβάνουσιν, ἃ τοίνυν ἔστι μὲν ἀναιρεῖν,
ἔστι δ᾽ ὡς οὐκ ἔστιν ἐπέχειν περὶ αὐτῶν, εἰ μηδὲν ἄλλο τήν γε διαφωνίαν ταύτην
λαβόντας αἰτίαν ἀπεχρῶσαν ὑπονοίας πρὸς τὰ πράγματα· καὶ οὕτως ὑγιὲς
οὐδὲν· ἀσάφειαν δὲ καὶ ταραχὴν ἔχοντας πᾶσαν, ταῖς μέν γε περὶ κόσμων ἀ-
πειρίαις, καὶ ἀτόμων φύσεως, καὶ ἀμερῶν καὶ παρεγκλίσεων διαφοραῖς, εἰ καὶ
πάνυ πολλοὺς διαταράττουσιν, ἔνεστιν ὅμως παραμυθία· τὸ μηδὲν ἐγγὺς εἶναι.
μᾶλλον δὲ ὅμως ἐπέκεινα τῆς αἰσθήσεως ἀπωκίσθαι τῶν ζητουμένων ἕκαστον· ἡ δ᾽
ἐν ὀφθαλμοῖς αὕτη καὶ ἀκοαῖς καὶ χερσὶν ἀπιστία καὶ ταραχὴ καὶ ἄγνοια περὶ
τὰ αἰσθητὰ καὶ τὰς φαντασίας, εἴτε ἀληθεῖς εἰσιν, εἴτε ψευδεῖς, τίνα δόξαν οὐ
σαλεύει, ποίαν δὲ οὐκ ἄνω καὶ κάτω ποιεῖ συγκατάθεσιν καὶ κρίσιν. εἰ γὰρ οὐ κραι-
παλῶντες, οὐδὲ φαρμακῶντες ἄνθρωποι καὶ παρακόπτοντες, ἀλλὰ νήφοντες
καὶ ὑγιαίνοντες καὶ γράφοντες περὶ ἀληθείας καὶ κανόνων καὶ κριτηρίων ἐν
τοῖς ἐναργεστάτοις πάθεσι καὶ κινήμασι τῆς αἰσθήσεως, ἢ τὸ ἀνύπαρκτον ἀλη-
θὲς, ἢ ψεῦδος, καὶ ἀνύπαρκτον τίθενται, θαυμάζειν ἄξιον· οὐδὲ ἄπιστον, εἰ μηδεμίαν
κρίσιν ἔχουσι περὶ τῶν φαινομένων, ἀλλ᾽ εἰ τὰς ἐναντίας ἔχουσι, τοῦ γὰρ ἐναντία
λέγειν ἀλλήλοις καὶ ἀντικείμενα, τὸ μηδέτερον, ἀλλὰ ἐπέχειν περὶ τῶν ἀντι-
κειμένων ἧττον ἄν τις θαυμάσειεν, ὁ γὰρ μὴ τιθεὶς, μήτε ἀρνούμενος ἀλλὰ ἡσυ-
χάζων, καὶ τῷ τιθέντι τὴν δόξαν ἧττον μάχεται τοῦ ἀρνουμένου, καὶ τῷ ἀρνου-
μένῳ τοῦ τιθέντος· εἰ δὲ περὶ τούτων δυνατόν ἐστιν ἐπέχειν· οὐδὲ περὶ τῶν ἄλλων

ἀδιαφόρως κατά γε ὑμᾶς αἴσθησιν αἰσθήσεως· καὶ φαντασίαν φαντασίας· οὐδ᾽ ὁτιοῦν διαφέρειν ἡγουμένους. οὐ μῦθος οὖν οὐδὲ θήρα μειρακίων λαμυρῶν καὶ προπετῶν ὁ περὶ τῆς ἐποχῆς λόγος ἐστίν, ὡς οἴεται κολώτης· ἀλλ᾽ ἕξις ἀνδρῶν καὶ διάθεσις φυλάττουσα τὸ ἀδιάπτωτον καὶ μὴ προϊεμένη ταῖς διαβεβλημέναις οὕτω καὶ δυστατούσαις αἰσθήσεσι τὴν κρίσιν, μηδὲ συνεξαπατωμένη τούτοις οἳ τὰ φαινόμενα τῶν ἀδήλων πίστιν ἔχειν φάσκουσιν, ἀπιστίαν τοσαύτην καὶ ἀσάφειαν ἐν τοῖς φαινομένοις ὁρῶντες, ἀλλὰ μῦθος μέν ἐστιν ἡ ἀπειρία καὶ τὰ εἴδωλα· προπέτειαν δὲ καὶ λαμυρίαν ἐμποιεῖ νέοις, ὁ περὶ πυθοκλέους οὔπω γεγονότος ὀκτωκαίδεκα ἔτη γράφων οὐκ εἶναι φύσιν ἐν ὅλῃ τῇ ἑλλάδι, ἀμείνω καὶ τερατικῶς αὐτὸν εὖ ἀπαγγέλλειν καὶ πάσχειν αὐτὸ τὸ τῶν γυναικῶν, εὐχόμενος ἀνεμέσητα εἶναι πάντα καὶ ἀνεπίφθονα τῆς ὑπερβολῆς τοῦ νεανίσκου. σοφισταὶ δέ εἰσι καὶ ἀλαζόνες οἱ πρὸς ἄνδρας ἐλλογιμαίους οὕτως ἀσελγῶς καὶ ὑπερηφάνως γράφοντες, καίτοι πλάτων καὶ ἀριστοτέλης καὶ θεόφραστος καὶ δημόκριτος ἀντειρήκασι τοῖς πρὸ αὐτῶν. βιβλίον δὲ τοιαύτην ἐπιγραφὴν ἔχον ὁμοῦ πρὸς ἅπαντας οὐδεὶς ἄλλος ἐξενεγκεῖν ἐτόλμησεν. ὅθεν ὥσπερ οἱ τὸ θεῖον πλημμελήσαντες ἐξαγορεύων τὰ ἑαυτοῦ κακά, τελευτῶντος ἤδη τοῦ βιβλίου φησίν· ὅτι τὸν βίον οἱ νόμους διατάξαντες, καὶ νόμιμα, καὶ τὸ βασιλεύεσθαι τὰς πόλεις καὶ ἄρχεσθαι καταστήσαντες, εἰς πολλὴν ἀσφάλειαν καὶ ἡσυχίαν ἔθεντο, καὶ θορύβων ἀπήλλαξαν. εἰ δέ τις ταῦτα ἀναιρήσει, θηρίων βίον βιωσόμεθα. καὶ ὁ προστυχὼν τὸν ἐντυγχάνοντα, μονονοὺ κατέδεται. τοῦτο γὰρ ὁ κολώτης αὐταῖς λέξεσιν ἐκπεφώνηκεν, οὐ δικαίως, οὐδὲ ἀληθῶς. ἂν γὰρ ἀνελών τις τοὺς νόμους τὰ παρμενίδου καὶ σωκράτους καὶ ἡρακλείτου καὶ πλάτωνος ἀπολίπῃ δόγματα, πολλοῦ δεήσομεν ἀλλήλους κατεσθίειν, καὶ θηρίων βίον ζῆν. φοβησόμεθα γὰρ τὰ αἰσχρὰ καὶ τιμήσομεν διὰ τὸ καλὸν δικαιοσύνην, θεούς, ἄρχοντας ἀγαθούς, καὶ δαίμονας ἔχειν τοῦ βίου φύλακας ἡγούμενοι. καὶ τὸν ὑπὲρ γῆς καὶ ὑπὸ γῆν χρυσὸν ἀρετῆς ἀντάξιον μὴ τιθέμενοι καὶ ποιοῦντες ἑκουσίως διὰ τὸν λόγον ἥ φησι ξενοκράτης, ἃ νῦν ἄκοντες διὰ τὸν νόμον. πότε οὖν ἔσται θηριώδης καὶ ἄγριος καὶ ἄμικτος ἡμῶν ὁ βίος· ὅταν αἱρεθῶσι μὲν οἱ νόμοι· μένωσι δὲ οἱ πρὸς ἡδονὴν παρακαλοῦντες λόγοι· πρόνοια δὲ θεῶν μὴ νομίζηται· σοφοὺς δὲ ἡγῶνται τοὺς τῷ καλῷ προσπτύοντας, ἂν ἡδονὴ μὴ προσῇ· χλευάζωσι δὲ ταῦτα καὶ γελῶσιν· ἔστι δίκης ὀφθαλμὸς· ὃς τὰ πάνθ᾽ ὁρᾷ· καὶ πέλας γὰρ ἑστὼς ὁ θεὸς, ἔγγυθεν βλέπει. καὶ ὁ μὲν θεὸς, ὥσπερ δὴ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν ἔχων τοῦ παντὸς· εὐθείᾳ περαίνει κατὰ φύσιν περιπορευόμενος. τῷ δ᾽ ἕπεται δίκη τῶν ἀπολειπομένων τιμωρὸς τοῦ θείου νόμου. οἱ γὰρ τούτων καταφρονοῦντες ὡς μύθων καὶ περὶ γαστέρα τἀγαθὸν ἡγούμενοι· καὶ τοὺς ἄλλους πόνους δι᾽ ὧν ἡδονὴ παραγίνεται, νόμου δέονται καὶ φόβου καὶ πληγῆς καὶ βασιλέως τινὸς καὶ ἄρχοντος ἐν χειρὶ τὴν δίκην ἔχοντος· ἵνα μὴ τοὺς πλησίον κατεσθίωσιν ὑπὸ λαιμαργίας ἀθεότητι θρασυνομένης. καὶ γὰρ ὁ τῶν θηρίων βίος τοιοῦτός ἐστιν· ὅτι τῆς ἡδονῆς ἐπίσταται κάλλιον, οὐδὲ δίκην θεῶν οἶδεν, οὐδὲ σέβεται τῆς ἀρετῆς τὸ κάλλος, ἀλλ᾽ εἴ τι θαρραλέον αὐτοῖς ἢ πανοῦργον ἢ δραστήριον ἐκ φύσεως ἔνεστι, τούτῳ πρὸς ἡδονὴν σαρκὸς καὶ ἀποπλήρωσιν ὀρέξεως χρῆται δεῖν ὁ σοφὸς μητρόδωρος λέγων, τὰ καλὰ πάντα καὶ σοφὰ καὶ περιττὰ τῆς ψυχῆς ἐξευρήματα τῆς κατὰ σάρκα ἡδονῆς ἕνεκα καὶ τῆς ἐλπίδος τῆς ὑπὲρ ταύτης συνεστάναι. καὶ πᾶν εἶναι κενὸν ἔργον· ὃ μὴ εἰς τοῦτο κατατείνει. τούτοις τοῖς διαλογισμοῖς καὶ φιλοσοφήμασιν ἀρθέντων νόμων· ὄνυχες λύκων ἐνδέουσι καὶ ὀδόντες λεόντων, καὶ γαστέρες βοῶν· καὶ τράχηλοι καμήλων, καὶ ταῦτα τὰ πά-

θη

θη καὶ τὰ δόγματα λόγων καὶ γραμμάτων ἀπορία τὰ θηρία βρυχήμασι καὶ χρεμετισμοῖς καὶ   καὶ πᾶσα φωνὴ γαστρός ἐστιν αὐτοῖς καὶ σαρκὸς ἡδονή, ἀσπαζομένη καὶ σαίνουσα παροῦσαν ἢ μέλλουσαν· εἰ μή τι φύσει φιλόφωνόν ἐστι καὶ κωτίλον. οὐδεὶς οὖν ἔπαινος ἄξιος ἂν γένοιτο τῶν διὰ ταῦτα τὰ πάθη τὰ θηριώδη νόμους θεμένων καὶ πολιτείας καὶ ἀρχὰς καὶ νόμων διάταξιν. ἀλλὰ τίνες εἰσὶν οἱ ταῦτα συγχέοντες καὶ ἄρδην ἀναιροῦντες· οὐχ οἱ τῆς ἀταραξίας στέφανον ἀσύμβλητον εἶναι ταῖς μεγάλαις ἡγεμονίαις λέγοντες· οὐχ οἱ τὸ βασιλεύειν, ἁμαρτίαν δὲ διάπτωσιν ἀποφαίνοντες καὶ γράφοντες αὐταῖς λέξεσιν, ὅτι λέγειν δεῖ πῶς ἄριστα τὸ τῆς φύσεως τέλος συντηρήσει· καὶ πῶς τις ἑκὼν εἶναι μὴ πρόσεισιν ἐξ ἀρχῆς ἐπὶ τὰς τῶν πληθῶν ἀρχάς, καὶ ἔτι ταῦτα πρὸς ἐκείνους. οὐδὲν οὖν ἔτι δεῖ τοὺς ἕλληνας σώζειν. οὐδὲ ἐπὶ σοφίᾳ στεφάνου παρ᾽ αὐτῶν τυγχάνειν, ἀλλ᾽ ἐσθίειν καὶ πίνειν ὦ τιμόκρατες, ἀβλαβῶς τῇ σαρκὶ καὶ κεχαρισμένως. ἀλλὰ μὴν ἧς γε καὶ κολώτης δ᾽ ἐπαινεῖ διατάξεως τῶν νόμων, πρῶτόν ἐστιν ἡ περὶ θεῶν δόξα καὶ μέγιστον ἧ καὶ λυκοῦργος λακεδαιμονίους, καὶ νομᾶς ῥωμαίους, καὶ ἴων ὁ παλαιὸς ἀθηναίους, καὶ δευκαλίων ἕλληνας ὁμοῦ τι πάντας καθωσίωσαν, εὐχαῖς καὶ ὅρκοις καὶ μαντεύμασι καὶ φήμαις, ἐμπαθεῖς πρὸς τὰ θεῖα δι᾽ ἐλπίδων ἅμα καὶ φόβων καταστήσαντες. εὕροις δ᾽ ἂν ἐπιὼν καὶ πόλεις ἀτειχίστους, ἀγραμμάτους, ἀβασιλεύτους, ἀοίκους, ἀχρημάτους, νομίσματος μὴ δεομένας, ἀπείρους θεάτρων καὶ γυμνασίων, ἀνιέρου δὲ πόλεως καὶ ἀθέου μὴ χρωμένης εὐχαῖς, μὴ δὲ ὅρκοις, μὴ δὲ μαντείαις, μὴ δὲ θυσίαις ἐπ᾽ ἀγαθοῖς μηδὲ ἀποτροπαῖς κακῶν, οὐδείς ἐστιν οὐδὲ ἔσται γεγονὼς θεατής. ἀλλὰ πόλις ἄν μοι δοκεῖ μᾶλλον ἐδάφους χωρίς, ἢ πολιτεία τῆς περὶ θεῶν δόξης ἀναιρεθείσης παντάπασι, σύστασιν λαβεῖν, ἢ λαβοῦσα τηρῆσαι, τοῦτο μέντοι συνεκτικὸν ἁπάσης κοινωνίας, καὶ νομοθεσίας ἔρεισμα, καὶ βάθρον οὐ κύκλον περιϊόντες, οὐδὲ κρύφα καὶ δι᾽ αἰνιγμάτων, ἀλλὰ τὴν πρώτην τῶν κυριωτάτων δοξῶν προσλαβόντες εὐθὺς ἀνατρέπουσιν, εἶθ᾽ ὥσπερ ὑπὸ ποινῆς ἐλαυνόμενοι, δεινὰ ποιεῖν ὁμολογοῦσι συγχέοντες τὰ νόμιμα, καὶ τὰς διατάξεις τῶν νόμων ἀναιροῦντες, ἵνα μηδὲ συγγνώμης τύχωσι. τὸ μὲν γὰρ ἁμαρτάνειν περὶ δόξαν, εἰ καὶ μὴ σοφῶν, ὅμως ἀνθρώπινόν ἐστι. τὸ δὲ ἐγκαλεῖν ἑτέροις ἅπερ αὐτοὶ πράττουσι, πῶς ἄν τις εἴποι φειδόμενος τῶν ἀξίων ὀνομάτων. εἰ γὰρ πρὸς ἀντίδωρον ἢ βίωνα τὸν σοφιστὴν γράφων ἐμνήσθη νόμων καὶ πολιτείας καὶ διατάξεως, οὐκ ἄν τις εἶπεν αὐτῷ μένε ὦ ταλαίπωρε ἀτρέμας σοῖς ἐν δεμνίοις περιστέλλων τὸ σαρκίδιον, ἐμοὶ δὲ περὶ τούτων οἰκονομικῶς καὶ πολιτικῶς βεβιωκότες ἐγκαλείτωσαν. εἰσὶ δὲ οὗτοι πάντες οἷς κολώτης λελοιδόρηκεν. ὧν δημόκριτος μὲν παραινεῖ τήν τε πολεμικὴν τέχνην μεγίστην οὖσαν ἐκδιδάσκεσθαι, καὶ τοὺς πόνους διώκειν, ἀφ᾽ ὧν τὰ μεγάλα καὶ λαμπρὰ γίνονται τοῖς ἀνθρώποις. παρμενίδης δὲ τὴν ἑαυτοῦ πατρίδα διεκόσμησε νόμοις ἀρίστοις, ὥστε τὰς ἀρχὰς καθ᾽ ἕκαστον ἐνιαυτὸν ἐξορκοῦσαν τοὺς πολίτας ἐμμένειν τοῖς παρμενίδου νόμοις. ἐμπεδοκλῆς δὲ τούς τε πρώτους τῶν πολιτῶν ὑβρίζοντας καὶ διαφοροῦντας τὰ κοινὰ ἐξελέγξας. τήν τε χώραν ἀπήλλαξεν ἀκαρπίας, καὶ λοιμοῦ διασφάγας ὄρους ἀποτειχίσας, δι᾽ ὧν ὁ νότος εἰς τὸ πεδίον ὑπερέβαλλε. σωκράτης δὲ μετὰ τὴν καταδίκην. φυγῆς αὐτῷ μεμηχανημένης ὑπὸ τῶν φίλων, οὐκ ἐχρήσατο. τοὺς νόμους βεβαιῶν, ἀλλὰ ἀδίκως ἀποθανεῖν εἵλετο μᾶλλον, ἢ σωθῆναι παρανόμως. μέλισσος δὲ τῆς πατρίδος στρατηγῶν, ἀθηναίους κατεναυμάχησε. πλάτων δὲ καλοὺς μὲν ἐν γράμμασι λόγους περὶ νόμων καὶ πολιτείας ἀπέλιπε. πολὺ δὲ κρείττονας ἐνεποίησε τοῖς ἑτέροις, ἀφ᾽ ὧν σικελία διὰ

δίωνος ἠλευθεροῦτο καὶ θρᾷκες διὰ πύθωνος καὶ ἡρακλείδου κότυν ἀνελούντων,
ἀθηναίων δὲ χαβρίαι στρατηγοὶ καὶ φωκίωνες ἐξ ἀκαδημίας ἀνέβαινον, ἐπί-
κουρος μὲν γὰρ εἰς ἀσίαν ἐξέπεμπε τοὺς τιμοκράτει λοιδορησομένους· καὶ τῆς
βασιλικῆς ἐξελῶν αὐλῆς τὸν ἄνθρωπον, ὅτι μητροδώρῳ προσέκρουσεν ἀδελφὸς
ὤν, καὶ ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται τοῖς ἐκείνων· πλάτων δὲ τῶν ἑταί-
ρων, ἐξαπέστειλεν, ἀρκάσι μὲν, ἀριστώνυμον διακοσμήσοντα τὴν πολιτείαν, ἠλεί-
οις δὲ φορμίωνα, μενέδημον δὲ πυῤῥαίοις· εὔδοξος δὲ κνιδίοις, καὶ ἀριστοτέλης
σταγειρίταις, πλάτωνος ὄντες συνήθεις νόμους ἔγραψαν· παρὰ δὲ ξενοκράτους
ἀλέξανδρος ὑποθήκας ᾔτησε περὶ βασιλείας· ὁ δὲ πεμφθεὶς πρὸς ἀλέξανδρον
ὑπὸ τῶν ἐν ἀσίᾳ κατοικούντων ἑλλήνων, καὶ μάλιστα διακαύσας καὶ παροξύ-
νας ἅψασθαι τοῦ πρὸς τοὺς βαρβάρους πολέμου· δήλιος ἦν ἐφέσιος, ἑταῖρος
πλάτωνος· ζήνων τοίνυν ὁ παρμενίδης γνώριμος, ἐπιθέμενος δημύλῳ τῷ τυ-
ράννῳ, καὶ δυστυχήσας περὶ τὴν πρᾶξιν, ἐν πυρὶ τὸν παρμενίδου λόγον, ὥσπερ
χρυσὸν ἀκήρατον καὶ δόκιμον παρέσχε καὶ ἀπέδειξεν ἔργοις· ὅτι τὸ αἰσχρὸν ἀνδρὶ με-
γάλῳ φοβερόν ἐστιν· ἀλγηδόνα δὲ παῖδες, καὶ γύναια, καὶ γυναίων ψυχὰς ἔχοντες ἄν-
δρες δεδίασι· τὴν γὰρ γλῶτταν αὐτοῦ διατρώγων, τῷ τυράννῳ προσέπτυσεν· ἐκ δὲ τῶν ἐ-
πικούρου λόγων καὶ δογμάτων, οὐ λέγω τίς τυραννοκτόνος, ἢ τίς ἀριστεὺς, ἢ τίς νομοθέ-
της, ἢ τίς ἄρχων, ἢ βασιλέως σύμβουλος, ἢ δήμου προστάτης, ἢ βεβασανισμένος·
ὑπὲρ τῶν δικαίων, ἢ τεθνηκὼς, ἀλλὰ τίς τῶν σοφῶν ἔπλευσεν ὑπὲρ τῆς πατρίδος· ἐπρέσ-
βευσεν, ἀνήλωσε· ποῦ γέγραπται πολιτικὴ πρᾶξις ὑμῖν· καίτοι ὅτι μητρόδωρος
εἰς πειραιᾶ κατέβη σταδίους τεσσαράκοντα, μίθρῃ τινὶ σύρῳ τῶν βασιλικῶν συνειλημ-
μένῳ βοηθήσων, πρὸς πάντας ἔγραφέ τε, καὶ πάσαις ἐπιστολαῖς μεγαληγοροῦντος
ἐπικούρου καὶ σεμνύνοντος ἐκείνην τὴν ὁδόν· τί οὖν εἴ τι τοιοῦτον ἐπέπρακτο αὐ-
τοῖς, οἷον ἀριστοτέλει τὴν πατρίδα κτίσαι διεφθαρμένην ὑπὸ φιλίππου· θεο-
φράστῳ δὲ δὶς ἐλευθερῶσαι τυραννουμένην, οὐκ ἐπιλιπεῖν ἔδει πρότερον φέρον-
τα βίβλους τὸν νεῖλον, ἢ τούτους ἀποκαμεῖν γράφοντας περὶ αὐτῶν; καὶ οὐ
τοῦτο δεινόν ἐστιν, ὅτι τοσούτων ὄντων φιλοσόφων, μόνοι σχεδὸν ἀσύμβολοι τῶν ἐν ταῖς
πόλεσιν ἀγαθῶν κοινωνοῦσιν, ἀλλ' ὅτι καὶ τραγῳδιῶν ποιηταὶ, καὶ κωμῳδιῶν, ἀεί
τι πειρῶνται χρήσιμον παρέχεσθαι, καὶ λέγειν ὑπὲρ νόμων καὶ πολιτείας·
οὗτοι δὲ κἂν γράφωσι· γράφουσι περὶ πολιτείας ἵνα μὴ πολιτευώμεθα· καὶ περὶ
ῥητορικῆς ἵνα μὴ ῥητορεύωμεν· καὶ περὶ βασιλείας; ἵνα μὴ φεύγωμεν τὸ συμβι-
οῦν βασιλεῦσι· τοὺς δὲ πολιτικοὺς ἄνδρας ἐπὶ γέλωτι καὶ καταλύσει τῆς δό-
ξης, ὀνόμασι μόνοις τὸν ἐπαμεινώνδην ἐσχηκέναι τι λέγοντες ἀγαθὸν, καὶ τοῦτο δὲ
μίκκον οὑτωσὶ τῷ ῥήματι φράζοντες, αὐτὸν δὲ σιδηροῦν σπλάγχνον ἀποκαλοῦν-
τες καὶ πυνθανόμενοι τί παθὼν ἐβάδιζε διὰ τῆς πελοποννήσου μέσης· καὶ οὐ πιλί-
διον ἔχων οἴκοι καθῆτο δηλαδὴ περὶ τὴν τῆς γαστρὸς ἐπιμέλειαν ὅλως καθεστώς·
ἃ δὲ μητρόδωρος ἐν τῷ περὶ φιλοσοφίας ἐξορχούμενος πολιτείαν γέγραφεν,
οὐκ ᾤμην δεῖν παρεῖναι· λέγει δὲ ὅτι τῶν σοφῶν τινες, ὑπὸ δαψιλείας τύφου,
οὕτω καλῶς ἐνεῖδον τὸ ἔργον αὐτῆς· ὥστε οἴχονται φερόμενοι πρὸς τὰς αὐτὰς
λυκούργῳ καὶ σόλωνι ἐπιθυμίας· κατὰ τοὺς περὶ βίων λόγους καὶ ἀρετῆς·
τύφος οὖν ἦν καὶ δαψίλεια τύφου τὸ ἐλευθέρας εἶναι τὰς ἀθήνας τε τὴν σπάρ-
την εὐνομεῖσθαι· καὶ τοὺς νέους μὴ θρασύνεσθαι μὴ δὲ ἐξ ἑταιρῶν παιδοποιεῖ-
σθαι, μὴ δὲ πλοῦτον καὶ τρυφὴν καὶ ἀσέλγειαν ἄρχειν, ἀλλὰ νόμον καὶ δικαιο-
σύνην ἐν ταῖς πόλεσιν, αὗται γὰρ ἦσαν ἐπιθυμίαι σόλωνος, καὶ λοιδορῶν ὁ
μητρόδωρος, ἐπιλέγει τοῖς εἰρημένοις· διὸ καὶ καλῶς ἔχει τὸν ἐλεύθερον, ὡς ἀ-
ληθῶς γέλωτα γελάσαι· ἐπί τε δὴ πᾶσιν ἀνθρώποις· καὶ ἐπὶ τοῖς λυκούργοις
τούτοις

τούτοις, καὶ σόλωσιν, ἀλλ' οὐκ ἐλεύθερος οὗτος ὦ μητρόδωρέ ἐστιν, ἀλλ' ἀνελεύθερος
καὶ ἀνάγωγος καὶ οὐδὲ μάστιγος ἐλευθέρας δεόμενος· ἀλλὰ τῆς ἀστραγαλωτῆς
ἐκείνης ἣ τοὺς γάλλους πλημμελοῦντας ἐν τοῖς μητρῴοις κολάζουσιν· ὅτι δὲ οὐ νο-
μοθέταις, ἀλλὰ νόμοις ἐπολέμουν, ἔξεστιν ἀκούειν ἐπικούρου· ἐρωτᾷ γὰρ αὐτὸν
ἐν ταῖς διαπορίαις εἰς πρᾶξίν τινα ὁ σοφὸς ὧν οἱ νόμοι ἀπαγορεύουσιν, εἰδὼς ὅτι
λήσει· καὶ ἀποκρίνεται οὐκ εὔοδον τὸ ἁπλοῦν ἐστι κατηγόρημα τουτέστι πράξω
μὲν· οὐ βούλομαι δὲ ὁμολογεῖν· πάλιν δὲ οἶμαι γράφων πρὸς ἰδομενέα, διακε-
λεύεται μὴ νόμοις καὶ δόξαις δουλεύοντα ζῆν· ἐφ' ὅσον ἂν, μὴ τὴν διὰ τοῦ πέλας
ἐκ πληγῆς ὄχλησιν παρασκευάζουσιν· εἴπερ οὖν οἱ νόμους καὶ πολιτείας ἀ-
ναιροῦντες τὸν βίον ἀναιροῦσι τὸν ἀνθρώπινον· ἐπίκοινον δὲ καὶ μητρόδωρος τοῦτο
ποιοῦσι, τοὺς μὲν συνήθεις, ἀποτρέποντες τοῦ τὰ κοινὰ πράττειν· τοῖς δὲ πράττου-
σιν ἀπεχθανόμενοι· τοὺς δὲ πρώτους καὶ σοφωτάτους τῶν νομοθετῶν κακῶς
λέγοντες· τῶν δὲ νόμων παρακελευόμενοι περιφρονεῖν· ἐὰν μὴ προσῇ φόβος
πληγῆς καὶ κολάσεως· οὐκ οἶδα τί τηλικοῦτο κατέψευσται τῶν ἄλλων ὁ κωλώ-
της· ἡλίκον ἀληθῶς τῶν ἐπικούρου λόγων καὶ δογμάτων κατηγόρηκεν·

ΠΕΡΙ ΤΩΝ ΚΟΙΝΩΝ ΕΝΝΟΙΩΝ ΠΡΟΣ ΤΟΥΣ ΣΤΩΙΚΟΥΣ·

σ

Οἱ μὲν εἰκὸς ὦ διαδούμενε μὴ πάνυ μέλλειν εἴ τινι δοκεῖτε
παρὰ τὰς κοινὰς φιλοσοφεῖν ἐννοίας, ὁμολογοῦντί γε
καὶ τῶν αἰσθήσεων περιφρονεῖν, ἀφ' ὧν σχεδὸν αἱ πλεῖσται
γεγόνασιν ἔννοιαι, τήν τε περὶ τὰ φαινόμενα πίστιν ἕδραν ἔ-
χουσαι καὶ ἀσφάλειαν, ἐμὲ δὲ πολλῆς ὥς γε ἐμαυτῷ φαί-
νομαι, καὶ ἀτόπου μεστὸν ἥκοντα ταραχῆς, εἴ τέ τισι λόγοις,
εἴτε ἐπῳδαῖς, εἴτε ἄλλον ἐπίστασαι τρόπον παρηγορίας·
οὐκ ἂν φθάνοις ἰατρεύων· οὕτω σοι διασέσεισμαι, καὶ γέγο-
να μετέωρος ὑπὸ στωϊκῶν ἀνδρῶν τὰ μὲν ἄλλα βελτίστων καὶ νὴ δία συνήθων·
πικρῶς δὲ ἄγαν ἐγκειμένων τῇ ἀκαδημίᾳ καὶ ἀπεχθῶς· οἵ γε πρὸς μικρὰ καὶ μετ'
αἰδοῦς τὰ παρ' ἐμοῦ λεχθέντα σεμνῶς· οὐ γὰρ ψεύσομαι· οὐ πράως ἠπίασαντο·
τοὺς δὲ πρεσβυτέρους μετὰ ὀργῆς σοφιστὰς καὶ λυμεῶνας τῶν ἐν φιλοσοφίᾳ
καὶ δογμάτων ὁδῷ βαδιζόντων ἀνατρόπαις, καὶ πολλὰ τούτων ἀτοπώτερα λέ-
γοντες καὶ νομίζοντες τέλος ἐπὶ τὰς ἐννοίας ἐῤῥύησαν· ὡς δέ τινα σύγχυσιν καὶ
ἀναδασμὸν αὐταῖς ἐπάγοντας τοὺς ἐκ τῆς ἀκαδημίας· εἶτά τις εἶπεν αὐτῶν
ὡς οὐκ ἀπὸ τύχης, ἀλλ' ἐκ προνοίας θεῶν νομίζοι μετ' ἀρκεσίλαον, καὶ πρὸ καρ-
νεάδου γεγονέναι χρύσιππον· οἷον ὁ μὲν ὑπῆρξε τῆς εἰς τὴν συνήθειαν ὕβρεως καὶ
παρανομίας· ὁ δὲ ἤνθησε μάλιστα τῶν ἀκαδημαϊκῶν· χρύσιππος οὖν ἐν μέσῳ γε-
νόμενος, ταῖς πρὸς ἀρκεσίλαον ἀντιγραφαῖς, καὶ τὴν καρνεάδου δεινότητα ἐνέ-
φραξε, πολλὰ μὲν τῇ αἰσθήσει καταλιπὼν, ὥσπερ εἰς πολιορκίαν βοηθήματα· τὸν
δὲ περὶ τὰς προλήψεις, καὶ τὰς ἐννοίας τάραχον ἀφελὼν παντάπασι, καὶ
διορθώσας ἑκάστην, καὶ θέμενος εἰς τὸ οἰκεῖον, ὥστε καὶ τοὺς αὖθις ἐκκρούειν τὰ
πράγματα, καὶ παραβιάζεσθαι βουλομένους, μηδὲν περαίνειν, ἀλλ' ἐλέγχε-
σθαι βουλομένους κακουργοῦντας, καὶ σοφιζομένους· ὑπὸ τούτων ἐγὼ λόγων
διακεκαυμένος ἔωθεν σβεστήρων δέομαι καθάπερ τινὰ φλεγμονὴν ἀφαιρούντων
τὴν ἀπορίαν τῆς ψυχῆς ὅμοια πολλοῖς ἴσως πέπονθας· εἰ δὲ οἱ ποιηταὶ, σε πεί-
θουσι, λέγοντες, ὡς ἐκ θεῶν προνοίας ἀνατροπὴν ἔχων ἡ παλαιὰ σίπυλος τὸν

τάνταλον κολαζόντων, πείθου τοῖς ἀπὸ τῆς στοᾶς ἑταίροις· ὅτι καὶ χρύσιππος
οὐκ ἀπὸ τύχης, ἀλλ' ἐκ προνοίας ἡ φύσις ἤνεγκεν ἄνω τὰ κάτω, καὶ τοὔμπα-
λιν ἀναστρέψαι δεομένη τὸν βίον· ὡς οὐ γέγονε πρὸς τοῦτο τῶν ὄντων οὐδεὶς εὐφυέ-
στερος· ἀλλ' ὥσπερ ὁ κάτων ἔλεγε περὶ καίσαρος ἐκείνου, μηδένα νήφοντα, μηδὲ
φρονοῦντα, ἐπὶ συγχύσει τῆς πολιτείας τοῖς δημοσίοις προσελθεῖν πράγ-
μασιν, οὕτως ἐμοὶ δοκεῖ μετὰ πλείστης ἐπιμελείας, καὶ δεινότητος, οὗτος ὁ ἀνὴρ
ἀνατρέπειν, καὶ καταβάλλειν τὴν συνήθειαν, ὡς ἔνια γοῦν. καί τοι μαρτυροῦσιν,
οἱ τὸν ἄνδρα σεμνύνοντες, ὅταν αὐτῷ περὶ τοῦ ψευδομένου μάχωνται. τὸ γὰρ ὦ
ἄριστε· συμπεπραγμένον τοι δι' ἀντικειμένων, μὴ φάναι ψεῦδος ἀπόρως εἶναι·
λόγους δὲ πάλιν αὖ φάναι, τινὰς ἀληθῆ τὰ λήμματα, καὶ τὰς ἀγωγὰς ἀλη-
θεῖς ἔχοντας, ἔτι καὶ τὰ ἀντικείμενα τῶν συμπερασμάτων ἔχειν ἀληθῆ, ποίαν
ἔννοιαν ἀποδείξεως, ἢ τίνα πίστεως οὐκ ἀναστρέπει πρόληψιν· τὸν μέν γε πολύ-
ποδά φασι τὰς πλεκτάνας αὐτῶν περιβιβρώσκειν ὥρᾳ χειμῶνος· ἡ δὲ χρυσίπ-
που διαλεκτικὴ τὰ κυριώτατα μέρη, καὶ τὰς ἀρχὰς αὐτῆς ἀναιροῦσα, καὶ πε-
ρικόπτουσα· τίνα τῶν ἄλλων ἐννοιῶν ἀπολέλοιπεν ἀνύποπτον· οὐ γὰρ οἴονται δὴ
που καὶ τὰ ἐποικοδομούμενα, μὴ βέβαια κεῖσθαι καὶ πάλαι τῶν πρώτων μὴ με-
νόντων· ἀπορίας δὲ, καὶ ταραχὰς ἐχόντων τηλικαύτας, ἀλλ' ὥσπερ οἱ πηλὸν
ἢ κονιορτὸν ἐπὶ τοῦ σώματος ἔχοντες, τὸν ἁπτόμενον αὐτῶν, καὶ προσαναχρωννύ-
μενον, οὐ κινεῖν ἀλλὰ προσβάλλειν τὸ τραχεῖον δοκοῦσιν, οὕτως ἔνιοι τοὺς ἀκαδη-
μαϊκοὺς αἰτιῶνται, καὶ νομίζουσι τὰς αἰτίας παρέχειν, ὧν ἀναπεπλησμέ-
νους ἀποδεικνύουσιν αὐτούς. ἐπεὶ τάς τε κοινὰς ἐννοίας, τίνες μᾶλλον διαστρέφου-
σιν· εἰ δὲ βούλει τὸ κατηγορεῖν ἐκείνων ἀφεὶς, ὑπὲρ ὧν ἐγκαλοῦσιν ἡμῖν ἀπολο-
γησόμεθα· ἐγὼ μοι δοκῶ τήμερον ὦ διαδούμενε, ποικίλος τις ἄνθρωπος γεγονέναι,
καὶ παντοδαπὸς, ἄρτι μὲν γὰρ ἀπολογίας δεόμενος προσῄειν ταπεινὸς, καὶ
τεθορυβημένος· νῦν δὲ μεταβάλλομαι πρὸς τὴν κατηγορίαν, καὶ βούλομαι
ἀπολαῦσαι τῆς ἀμύνης ἐλεγχομένους εἰς ταυτὸν τοὺς ἄνδρας, ἐπιδὼν τῷ
παρὰ τὰς ἐννοίας, καὶ τὰς προλήψεις τὰς κοινὰς φιλοσοφεῖν, ἀφ' ὧν μάλιστα
τὴν αἵρεσιν, ὥσπερ ἐπὶ τῶν ἀνα　　　　δοκοῦσι καὶ μόνην ὁμολογεῖν
τῇ φύσει λέγουσιν· ἆρα οὖν ἐπὶ τὰ κοινὰ πρῶτα· καὶ περιβόητα βαδιστέων, ἃ
δὴ παράδοξα, καὶ αὐτοὶ μετ' εὐκολίας δεχόμενοι τὴν ἀτοπίαν ἐπονομάζουσιν,
τοὺς μόνους βασιλεῖς, καὶ μόνους πλουσίους, καὶ καλοὺς αὐτῶν, καὶ πολίτας,
καὶ δικαστὰς μόνους, ἢ ταυτὶ μὲν εἰς τὴν τῶν ἑώλων, καὶ ψυχρῶν ἀγορὰν βούλει
παρῶμεν, ἐν δὲ τοῖς ὡς ἔνι μάλιστα πραγματικοῖς, καὶ μετὰ σπουδῆς λεγομέ-
νοις ποιησώμεθα τοῦ λόγου τὸν ἐξετασμὸν, ἐμοὶ γοῦν ἥδιον οὕτως. τῶν γὰρ πρὸς
ἐκεῖνα γενομένων ἐλέγχων τίς οὐκ ἤδη διάπλεώς ἐστιν. ἤδη τοίνυν αὐτὸ τοῦτο σκό-
πει πρῶτον, εἰ κατὰ τὰς κοινάς ἐστιν ἐννοίας ὁμολογεῖν τῇ φύσει, τοὺς κατὰ φύ-
σιν ἀδιάφορα νομίζοντας, καὶ μήτε ὑγίειαν, μήτε εὐεξίαν, μήτε κάλλος, μήτ' ἰ-
σχὺν ἡγουμένους, αἱρετὰ μὴ δὲ ὠφέλιμα μήδε λυσιτελῆ, μὴ δὲ συμπληρωτικὰ τῆς
κατὰ φύσιν τελειότητος, μήτε τἀναντία φευκτὰ, καὶ βλαβερὰ, πηρώσεις, ἀλ-
γηδόνας, αἴσχη, νόσους, ὧν αὐτοὶ λέγουσι, πρὸς ἃ μὲν ἀλλοτριοῦν, πρὸς ἃ δὲ οἰκει-
οῦν ἡμᾶς τὴν φύσιν· εὖ μάλα καὶ τοῦτο παρὰ τὴν κοινὴν ἔννοιαν ὄντος· οἰκειοῦν
πρὸς τὰ μὴ συμφέροντα, μὴ δὲ ἀγαθὰ τὴν φύσιν. καὶ ἀλλοτριοῦν πρὸς τὰ μὴ
κακὰ, μὴ δὲ βλάπτοντα, καὶ ὃ μεῖζόν ἐστιν, οἰκειοῦν ἐπὶ τοσοῦτο, καὶ ἀλλοτρι-
οῦν, ὥστε τῶν μὲν, μὴ τυγχάνοντας· τοῖς δὲ περιπίπτοντας, εὐλόγως ἐξάγειν τοῦ
ζῆν ἑαυτοὺς, καὶ τὸν βίον ἀπολέγεσθαι. νομίζω δὲ ἐγὼ κἀκεῖνα παρὰ τὴν ἔννοιαν
λέγεσθαι, τὸ τὴν μὲν φύσιν αὐτὴν ἀδιάφορον εἶναι, τὸ δὲ τῇ φύσει ὁμολογεῖν

ἀγαθὸν μέτεστιν. οὐδὲ γὰρ τῷ νόμῳ κατακολουθεῖν, οὐδὲ τῷ λόγῳ πείθεσθαι σπου-
δαῖον· εἰ μὴ σπουδαῖος εἴη καὶ ἀστεῖος, ὁ νόμος, καὶ ὁ λόγος. καὶ τοῦτο μὲν ἔλατ-
τον· εἰ δὲ, ὡς χρύσιππος ἐν τῷ πρώτῳ περὶ τοῦ προτρέπεσθαι γέγραφεν, ἐν τῷ
κατὰ ἀρετὴν βιοῦν μόνον ἐστὶ, τὸ εὐδαιμόνως τῶν ἄλλων φησὶν οὐδὲν ὄντων πρὸς
ἡμᾶς, οὐδὲ εἰς τοῦτο συνεργούντων, οὐ μόνον οὐκ ἔστιν ἀδιάφορος ἡ φύσις, ἀλλ' ἀνόη-
τος καὶ ἀπόπληκτος, οἰκειοῦσα ἡμᾶς πρὸς τὰ μηδὲν πρὸς ἡμᾶς· ἀνόητοι δὲ καὶ
ἡμεῖς, εὐδαιμονίαν ἡγούμενοι τὸ τῇ φύσει ὁμολογεῖν ἀγούσῃ πρὸς τὰ μηδὲν συ-
νεργοῦντα πρὸς εὐδαιμονίαν. καίτοι τί μᾶλλον ἢ κατὰ τὴν κοινὴν ἔννοιαν, ἢ
καθάπερ τὰ αἱρετὰ πρὸς τὸ ὠφελίμως, οὕτω τὰ κατὰ φύσιν πρὸς τὸ ζῆν κατὰ
φύσιν. οἱ δὲ οὐχ οὕτω λέγουσιν, ἀλλὰ τὸ ζῆν κατὰ φύσιν τέλος εἶναι τιθέμενοι,
τὰ κατὰ φύσιν ἀδιάφορα εἶναι νομίζουσιν, οὐχ ἧττον δὲ τούτου παρὰ τὴν κοι-
νὴν ἔννοιά ἐστι, τὸ ἔννουν καὶ φρόνιμον ἄνδρα πρὸς τὰ ἴσα τῶν ἀγαθῶν μὴ ἐπίσης
ἔχειν, ἀλλὰ τὰ μὲν ἐν μηδενὶ λόγῳ τίθεσθαι. τῶν δὲ ἕνεκα πᾶν ὁτιοῦν ἂν ὑπο-
μεῖναι, καὶ παθεῖν, μηδὲν ἀλλήλων μικρότητι καὶ μεγέθει διαφερόντων, ταυ-
τὶ δὲ λέγουσιν αὐτοὶ τοῦτο τὸ σωφρόνως δυσθανατῶσαν ἀποτείψασθαι πρεσ-
βύτιν ὁμοίως γὰρ ἀμφότεροι κατορθοῦσιν, ἀλλὰ δι' ἐκεῖνα μὲν ὡς λαμπρὰ, καὶ
μεγάλα κἂν ἀποθάνοιεν· ἐπὶ τούτοις δὲ σεμνύνειν ἑαυτὸν αἰσχύνη, καὶ γέλως. λέ-
γει δὲ καὶ χρύσιππος ἐν τῷ περὶ τοῦ διὸς συγγράμματι καὶ τῷ τρίτῳ περὶ θεῶν,
ψυχρὸν εἶναι, καὶ ἄτοπον, καὶ ἀλλότριον, τὰ τοιαῦτα τῶν ἀπ' ἀρετῆς συμ-
βαινόντων ἐπαινεῖν. ὅτι δῆγμα μυίας ἀνδρείου ὑπέμεινε, καὶ δυσθανατώσης γραὸς
ἀπέσχετο σωφρόνως. ἆρ' οὖν παρὰ τὴν κοινὴν φιλοσοφοῦσιν ἔννοιαν, ἃς αἰσχύνονται
πράξεις ἐπαινεῖν, μηδὲν τούτων κάλλιον ὁμολογοῦντες; ποῦ γὰρ αἱρετὸν; ἢ πῶς
ἀπόδεκτον, ὃ μήτε ἐπαινεῖν, μήτε θαυμάζειν ἄξιόν ἐστιν, ἀλλὰ καὶ τοὺς ἐπαινοῦν-
τας, ἢ θαυμάζοντας, ἀτόπους καὶ ψυχροὺς νομίζουσιν. ἔτι δὲ μᾶλλον οἶμαι φανεῖ-
ταί σοι παρὰ τὴν κοινὴν ἔννοιαν, εἰ τῶν μεγίστων ἀγαθῶν ὁ φρόνιμος, μήτε ἀπόντων,
μήτε εἰ παρεῖσιν αὐτῷ φροντίζων, ἀλλ' οἷός περ ἐν τοῖς ἀδιαφόροις, καὶ τῇ περὶ ταῦ-
τα πραγματείᾳ, καὶ οἰκονομίᾳ, τοιοῦτος ἂν κἀν τούτοις εἴη. πάντες γὰρ δήπου
θεν εὐρυεδοῦς ὅσοι καρπὸν —— ἔδομεν χθονός. οὗ μὲν καὶ παρόντος
ὄνησίς ἐστι, καὶ μὴ παρόντος ὥσπερ ἔνδεια, καὶ ὄρεξις, αἱρετὸν, καὶ ἀγαθὸν, καὶ
ὠφέλιμον νοοῦμεν, ἐφ' ᾧ δὲ οὐδὲν ἄν τις πραγματεύσαιτο, μὴ παιδιᾶς ἕνεκεν,
μὴ δὲ ῥᾳστώνης, τοῦτο ἀδιάφορον. ἄλλῳ γὰρ οὐδενὶ φιλοπόνου τὸν κενόσπουδον ἀφορί-
ζομεν ἐν τοῖς ἔργοις ὄντα πολλάκις, ἢ τῷ τὸν μὲν εἰς ἀνωφελῆ πονεῖν, καὶ ἀδια-
φόρως, τὸν δὲ ἕνεκα τοῦ τῶν συμφερόντων καὶ λυσιτελῶν, ἀλλ' οὗτοί γε τοὐναντίον.
ὁ γὰρ σοφὸς αὐτοῖς καὶ φρόνιμος, ἐν πολλαῖς καταλήψεσι καὶ μνήμαις κατα-
λήψεων γεγονὼς, ὀλίγας πρὸς αὐτὸν ἡγεῖται, τῶν τε ἄλλων οὐ πεφροντικὼς,
οὐδὲ ἔλαττον ἔχειν, οὐδὲ πλέον οἴεται μνημονεύων, ὅτι πέρυσι κατάληψιν ἔλαβε
πταρνυμένου δὲ δίωνος, ἢ σφαιρίζοντος θέωνος, καίτοι πᾶσα κατάληψις ἐν τῷ
σοφῷ καὶ μνήμη τὸ ἀσφαλὲς ἔχουσα, καὶ βέβαιον, εὐθύς ἐστιν ἐπιστήμη, καὶ ἀγα-
θὸν μέγα καὶ μέγιστον. ἆρ' οὖν ὁμοίως ὑγείας ἐπιλιπούσης αἰσθητηρίου καμόν-
τος· οὐσίας ἀπολλυμένης ἀφρόντιστός ἐστι, καὶ πρὸς αὐτὸν οὐδὲν ἡγούμενος τούτων
ὁ σοφὸς ἢ νοσῶν μὲν ἰατροῖς τελεῖ μισθοὺς· χρημάτων δὲ ἕνεκα πρὸς λάκωνα. πλεῖ-
σον ἐν βοσπόρῳ δυνάστην, καὶ πρὸς ἰνδάθυρσον ἀποδημεῖ τὸν σκύθην, ὥς φησι χρύ-
σιππος. τῶν δὲ αἰσθήσεών ἐστιν ἃς ἀποβαλὼν, οὐδὲ ζῆν ὑπομένει. πῶς οὖν οὐχ ὁμο-
λογοῦσι παρὰ τὰς ἐννοίας φιλοσοφεῖν. ἐπὶ τοῖς ἀδιαφόροις τοσαῦτα πραγ-
ματευόμενοι καὶ σπουδάζοντες· ἀγαθῶν δὲ μεγάλων καὶ παρόντων, καὶ μὴ πα-
ρόντων ἀδιαφόρως ἔχοντες, ἀλλὰ κἀκεῖνο παρὰ τὰς κοινὰς ἐννοίας ἐστὶν, ἄνθρω-

ὄντα, μὴ χαίρειν ἐκ τῶν μεγίστων κακῶν ἐν τοῖς μεγίστοις ἀγαθοῖς γενόμενον, ὅπερ
δὲ πέπονθεν ὁ τούτων σοφός. ἐκ γοῦν τῆς ἄκρας κακίας μεταβαλὼν εἰς τὴν ἄκραν
ἀρετὴν καὶ τὸν ἀθλιώτατον βίον διαφυγὼν ἅμα, καὶ κτησάμενος τὸν μακαριώ-
τατον, οὐδὲν ἐπίδηλον εἰς χαρὰν ἔσχεν, οὐδὲ ἐπῆρεν αὐτόν, οὐδὲ ἐκίνησεν ἡ τοσαύ-
τη μεταβολὴ κακοδαιμονίας ἀπαλλαγέντα, καὶ μοχθηρίας ἁπάσης. εἰς δὲ
ἀσφαλῆ τινα, καὶ βεβαίαν παντέλειαν ἀγαθῶν ἐξικόμενον, παρὰ τὴν ἔννοιαν
ἐστιν. ἀγαθῶν μὲν εἶναι μέγιστον τὸ ἀμετάπτωτον ἐν ταῖς κρίσεσι καὶ βεβαίωσιν,
μὴ δεῖσθαι δὲ τούτου τὸν ἐπ' ἄκρον προκόπτοντα, μὴ δὲ φροντίζειν παραγενομέ-
νου. πολλάκις δέ, μὴ δὲ τὸν δάκτυλον προτεῖναι, ταύτης γε ἕνεκα τῆς ἀσφαλεί-
ας, καὶ βεβαιότητος ἣν τέλειον ἀγαθὸν καὶ μέγα νομίζουσιν. οὐ μόνον οὖν ταῦ-
τα λέγουσιν οἱ ἄνδρες, ἀλλὰ κἀκεῖνα πρὸς τούτοις, ὅτι ἀγαθὸν ὁ χρόνος οὐκ αὔξει
προσγινόμενος, ἀλλὰ κἂν ἀκαρές τι ὥρας γένηται φρόνιμος, οὐδενὶ πρὸς εὐδαι-
μονίαν ἀπολειφθήσεται τοῦ τὸν αἰῶνα χρωμένου τῇ ἀρετῇ, καὶ μακαρίως ἐν αὐ-
τῇ καταβιοῦντος. ταῦτα δὲ οὕτω νεανικῶς ἀπισχυρισάμενοι, πάλιν οὐδὲν εἶναι
φασιν ἀρετῆς ὄφελος ὀλιγοχρονίου. τί γὰρ ἂν μέλλοντι ναυαγεῖν εὐθύς, ἢ κατα-
κρημνίζεσθαι φρόνησις ἐπιγένηται; τί δ' ἂν ὁ Λίχας ὑπὸ τοῦ Ἡρακλέους ἀποσφεν-
δονώμενος, εἰς ἀρετὴν ἐκ κακίας μεταβάλῃ. ταῦτα οὖν οὐ μόνον παρὰ τὰς
κοινὰς ἐννοίας ἐστὶ φιλοσοφούντων, ἀλλὰ καὶ τὰς ἰδίας κυκώντων. εἰ τὸ βρα-
χὺν χρόνον κτήσασθαι τὴν ἀρετήν, οὐθὲν ἀπολείπεσθαι τῆς ἄκρας εὐδαιμο-
νίας ἅμα καὶ μηδενὸς ὅλως ἄξιον νομίζουσι. τοῦτο δὲ οὐκ ἂν μάλιστα θαυμάσειας
αὐτῶν, ἀλλ' ὅτι τῆς ἀρετῆς καὶ τῆς εὐδαιμονίας παραγινομένης, πολλάκις οὐ-
δ' αἰσθάνεσθαι τὸν κτησάμενον οἴονται, διαλεληθέναι δὲ αὐτόν, ὅτι μικρῷ πρό-
σθεν ἀθλιώτατος ὤν, καὶ ἀφρονέστατος, νῦν ὁμοῦ φρόνιμος καὶ μακάριος γέγονεν.
οὐ γὰρ μόνον ἔχοντά τινα τὴν φρόνησιν, ἐπὶ τοῦτο μόνον μὴ φρονεῖν, ὅτι φρονεῖ, μὴ δὲ
γινώσκειν, ὅτι ἀγνοεῖν διαπέφυκεν οὐ ζάπελόν ἐστιν, ἀλλὰ καὶ ὅλως εἰπεῖν, τὸ ἀγα-
θὸν ἀρρεπὲς ποιοῦσι καὶ ἀμαυρόν, εἰ μηδὲ αἴσθησιν αὐτοῦ ποιεῖ παραγενόμενον.
φύσει γὰρ ἀνεπαίσθητον οὐκ ἔστι κατ' αὐτούς, ἀλλὰ καὶ λέγειν διαρρήδην Χρύσιπ-
πος ἐν τοῖς περὶ τέλους, αἰσθητὸν εἶναι τὸ ἀγαθόν, ὡς δὲ οἴεται, καὶ ἀποδείκνυσι.
λείπεται τοίνυν ἀσθενείᾳ καὶ μικρότητα διαφεύγειν αὐτὸ τὴν αἴσθησιν, ὁπόταν
παρὸν ἀγνοῆται καὶ διαλανθάνῃ τοὺς ἔχοντας. ἔτι τοίνυν ἄτοπον μέν ἐστι, τὴν
τῶν ἀτρέμας λευκῶν καὶ μέσων αἰσθανομένην ὄψιν ἐκφεύγειν τὰ ἐπ' ἄκρον λευ-
κά, καὶ τὴν τὰ μαλακῶς καὶ ἀνειμένως θερμὰ καταλαμβάνουσαν ἁφὴν ἀναι-
σθητεῖν τῶν σφόδρα θερμῶν, ἀτοπώτερον δέ, εἴ τις τὸ κοινῶς κατὰ φύσιν, οἷόν
ἐστιν ὑγεία καὶ εὐεξία καταλαμβάνων, τὴν ἀρετὴν ἀγνοεῖ παροῦσαν, ἣν μάλιστα
καὶ ἄκρως κατὰ φύσιν εἶναι τίθενται. πῶς γοῦν οὐ παρὰ τὴν ἔννοιάν ἐστιν ὑγείας
καὶ νόσου διαφορὰν καταλαμβάνειν, καὶ ἀφροσύνης, ἀλλὰ τὴν μέν, ἀπηλλαγ-
μένην οἴεσθαι παρεῖναι, τὴν δέ, κεκτημένον ἀγνοεῖν, ὅτι πάρεστιν, ἐπεὶ δὲ ἐκ τῆς
ἄκρας προκοπῆς μεταβάλλουσιν εἰς εὐδαιμονίαν καὶ ἀρετήν, δυοῖν ἀνάγκη θά-
τερον, ἢ τὴν προκοπὴν κακίαν μὴ εἶναι, μὴ δὲ κακοδαιμονίαν, ἢ τὴν ἀρετὴν τῆς
κακίας μὴ πολλῷ παραλλάττειν, μὴ δὲ τῆς κακοδαιμονίας τὴν εὐδαιμονίαν,
ἀλλὰ μικρὰν καὶ ἀνεπαίσθητον εἶναι τὴν πρὸς τὰ κακὰ τῶν ἀγαθῶν διαφοράν,
οὐ γὰρ ἂν ἑαυτοὺς διελάνθανον ἀντ' ἐκείνων ταῦτα ἔχοντες. ὅταν μὲν οὖν μηδε-
νὸς ἐκστῆναι τῶν μαχομένων, ἀλλὰ πάντα ὁμολογεῖν καὶ τιθέναι θέλωσι, τοὺς
προκόπτοντας ἀνοήτους, καὶ κακοὺς εἶναι, τὸ φρονίμους καὶ ἀγαθοὺς γενομένους
διαλανθάνειν ἑαυτούς, τὸ μεγάλην διαφορὰν τῆς φρονήσεως πρὸς τὴν ἀφροσύνην
ὑπάρχειν. ἦ πού σοι δοκοῦσι θαυμασίως ἐν τοῖς δόγμασι τὴν ὁμολογίαν βε-

[margin: ἐστὶ .l. — ἀπέφευγεν .l. — .l. — .l.]

βαιοῦν. ἔτι δὲ μᾶλλον ἐν τοῖς πράγμασιν, ὅταν πάντας ἐπίσης κακοὺς καὶ ἀδί-
κους καὶ ἀπίστους καὶ ἄφρονας τοὺς μὴ σοφοὺς ἀποφαίνοντες εἶτα πάλιν ἐνί-
ων μὲν αὐτῶν ἐκτρέπωνται, καὶ βδελύττωνται, τοὺς δὲ ἀπαντῶντες μὴ δὲ προσα-
γορεύωσι. τοῖς δέ, χρήματα πιστεύωσιν, ἀρχὰς ἐγχειρίζωσιν ἐκδιδῶσι θυγατέ-
ρας. ταῦτα γοῦν εἰ μὲν παίζοντες λέγουσι, καταθέσωσαν τὰς ὀφρῦς, εἰ δὲ ἀπὸ
σπουδῆς, καὶ φιλοσοφοῦντες παρὰ τὰς κοινάς ἐστιν ἐννοίας, ψέγειν μὲν ὁμοίως
καὶ κακίζειν πάντας ἀνθρώπους, χρῆσθαι δὲ τοῖς μέν, ὡς μετρίοις, τοῖς δὲ ὡς
κακίστοις. καὶ Χρύσιππον μὲν ὑπερεκπεπλῆχθαι. καταγελᾶν δὲ Ἀλεξίνου, μη-
δὲν δὲ μᾶλλον οἴεσθαι, μὴ δὲ ἧττον ἀλλήλων ἀφραίνειν τοὺς ἄνδρας; ναί φασιν.
ἀλλ' ὥσπερ ὁ πῆχυν ἀπέχων ἐν θαλάττῃ τῆς ἐπιφανείας, οὐδὲν ἧττον πνίγεται
τοῦ καταδεδυκότος ὀργυιὰς πεντακοσίας, οὕτως οὐδὲ οἱ πελάζοντες ἀρετῇ τῶν
μακρὰν ὄντων, ἧττόν εἰσιν ἐν κακίᾳ, καὶ καθάπερ οἱ τυφλοὶ τυφλοί εἰσι, κἂν
ὀλίγον ὕστερον ἀναβλέπειν μέλλωσιν, οὕτως οἱ προκόπτοντες ἄχρις οὗ τὴν ἀ-
ρετὴν ἀναλάβωσιν, ἀνόητοι, καὶ μοχθηροὶ διαμένουσιν, ὅτι μὲν οὖν οὔτε τυφλοῖς
ἐοίκασιν οἱ προκόπτοντες, ἀλλὰ ἧττον ὀξυδορκοῦσιν, οὔτε πνιγομένοις, ἀλλὰ νη-
χομένοις, καὶ ταῦτα πλησίον λιμένος, αὐτοὶ διὰ τῶν πραγμάτων μαρτυροῦ-
σιν, οὐ γὰρ ἄν, ἐχρῶντο συμβούλοις καὶ στρατηγοῖς καὶ νομοθέταις, ὥσπερ τυ-
φλοὶ χειραγωγοῖς, οὐδ' ἄν, ἐζήλουν ἔργα καὶ πράξεις, καὶ λόγους, καὶ βίους ἐ-
νίων, εἰ πάντας ὡσαύτως πνιγομένους ὑπὸ τῆς ἀφροσύνης καὶ μοχθηρίας
ἑώρων, ἀφεὶς δὲ τοῦτο θαύμασον ἐκείνη τοὺς ἄνδρας, εἰ μὴ δὲ τοῖς ἑαυτῶν διδάσκον-
ται παραδείγμασι προΐεσθαι διαλεληθότας ἐκείνους σοφοὺς καὶ μὴ συνιέντας,
μὴ δ' αἰσθανομένους, ὅτι πνιγόμενοι πέπαυνται καὶ φῶς ὁρῶσι, καὶ τῆς κακίας
ἐπάνω γεγονότες, ἀναπεπνεύμασι, παρὰ τὴν ἔννοιάν ἐστιν, ἄνθρωπον ᾧ πάντα
τἀγαθὰ πάρεστι, καὶ μηδὲν ἐνδεῖ πρὸς εὐδαιμονίαν καὶ τὸ μακάριον τούτῳ κα-
θήκειν, ἐξάγειν ἑαυτόν. ἔτι δὲ μᾶλλον ᾧ μηθὲν ἀγαθόν ἐστι, μηδὲ ἔσται, τὰ δεινὰ δὲ
πάντα, καὶ τὰ δυσχερῆ καὶ κακὰ πάρεστι, καὶ παρέσται διὰ τέλους. τούτῳ μὴ
καθήκειν ἀπολέγεσθαι τὸν βίον, ἂν μή τινι διὰ τῶν ἀδιαφόρων αὐτῷ προσγένη-
ται. ταῦτα τοίνυν ἐν τῇ στοᾷ νομοθετεῖται, καὶ πολλοὺς μὲν ἐξάγουσι τῶν σο-
φῶν, ὡς ἄμεινον εὐδαιμονοῦντας καίτοι ὁ μὲν σοφὸς, ὄλβιος, μακάριος, παν-
ευδαίμων, ἀσφαλής, ἀκίνδυνος, ὁ δὲ φαῦλος καὶ ἀνόητος, οἷος εἰπεῖν γέμων κα-
κουργιῶν, καὶ οὐκ ἔσθ' ὅπη τεθῇ, ἀλλὰ καὶ τούτοις μόνην οἴονται καθήκουσαν ἐ-
κἀκείναις ἐξαγωγήν, εἰκότως δέ φησι Χρύσιππος. οὐ γὰρ ἀγαθοῖς, καὶ κακοῖς δεῖ
παραμετρεῖσθαι τὸν βίον, ἀλλὰ τοῖς κατὰ φύσιν οὕτως ἀνθρώποις σώζουσι τὴν
συνήθειαν, καὶ πρὸς τὰς κοινὰς ἐννοίας φιλοσοφοῦσι. τί λέγεις; οὐ δεῖ σκο-
πεῖν, ὅτι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται τὸν περὶ βίου καὶ θανάτου σκο-
πούμενον. οὐδὲ ὥσπερ ἐπὶ ζυγοῦ τὰ πρὸς εὐδαιμονίαν καὶ κακοδαιμονίαν ἐξε-
τάζειν ἐπίσημα μᾶλλον ὠφελ   ἀλλ' ἐκ τῶν μήτε ὠφε-
λούντων, μήτε βλαπτόντων τοὺς   βιώτερον, ἢ μὴ ποιεῖσθαι
λογισμούς, οὐ μέλλει πρὸς τὰς τοιαύτας ὑποθέσεις καὶ ἀρχὰς καθηκόντως
αἱρεῖσθαί τε τὸν βίον, ᾧ τῶν φευκτῶν οὐδὲν ἄπεστι, καὶ φεύγειν ᾧ πάντα τὰ αἱ-
ρετὰ πάρεστι; καὶ τὶ παράλογον μὲν ὦ ἑταῖρε, καὶ τὸ φεύγειν τὸν βίον ἐν μηδενὶ
κακῷ γενομένους, παραλογώτερον δὲ εἰ μὴ τυγχάνων τις τοῦ ἀδιαφόρου τὸ ἀγα-
θὸν ἀφίησιν, ὅπως οὐχὶ ποιοῦσι τὴν εὐδαιμονίαν προϊέμενοι, καὶ τὴν ἀρετὴν πα-
ροῦσαν ἀνθ' ὑγείας καὶ ὁλοκληρίας ὧν οὐ τυγχάνουσιν. ἔνθ' αὖτε Γλαύκῳ Κρο-
νίδης φρένας ἐξέλετο Ζεύς. ὅτι χρύσεια χαλκείων ἑκατόμβοια ἐννεαβοίων, ἔμελ-
λε διαμείψεσθαι καίτοι τὰ μὲν χάλκεα τῶν ὅπλων, οὐχ ἧττον ἢ τὰ χρυσᾶ πα-

[margin: ἧσον .l. — ἀφελὼ .l. — καί τοι .l.]

ρεῖχε χρείαν μαχομένοις, εὐπρέπεια δὲ σώματος, καὶ ὑγίεια τοῖς στωϊκοῖς. οὔτε χρεί-
αν, οὔτε ὄνησίν τινα φέρει πρὸς εὐδαιμονίαν, ἀλλ᾽ ὅμως οὗτοι τῆς φρονήσεως ἀντι-
καταλλάττονται τὴν ὑγίειαν. καὶ γὰρ ἡρακλείτῳ φασὶ καὶ φερεκύδῃ καθήκειν
ἄν. εἴπερ ἠδύναντο τὴν ἀρετὴν ἀφεῖναι, καὶ τὴν φρόνησιν, ὥστε παύσασθαι φθει-
ριῶντας καὶ ὑδρωπιῶντας. καὶ τῆς κίρκης ἐγχεούσης δύο φάρμακα, τὸ μὲν,
ποιοῦν ἄφρονας ἐκ φρονίμων, τὸ δὲ φρονίμους ἐξ ἀφρόνων. τὸ δὲ, ὁ
τὸν ὀδυσσέα πιεῖν τὸ τῆς ἀφροσύνης μᾶλλον, ἢ μεταβαλεῖν εἰς θηρίου μορφὴν
τὸ εἶδος ἔχοντα τὴν φρόνησιν. καὶ μετὰ τῆς φρονήσεως δηλονότι τὴν εὐδαιμονίαν,
καὶ ταῦτά φασιν αὐτὴν ὑφηγεῖσθαι καὶ παρακελεύεσθαι τὴν φρόνησιν. ἄφες
με καὶ καταφρόνησον ἀπολλυμένης ἐμοῦ, καὶ διαφθειρομένης εἰς ὄνου πρόσωπον,
ἀλλ᾽ ὄνου γε φήσει τίς ἡ τοιαῦτα παραγγέλλουσα φρόνησίς ἐστιν. εἰ τὸ μὲν φρο-
νεῖν καὶ εὐδαιμονεῖν ἀγαθόν ἐστι, τὸ δὲ περιφέρειν πρόσω-
πον ἀδιάφορον ἔθνος εἶναί φασιν αἰθιόπων ὅπου κύων βασιλεύει, καὶ βασιλεὺς
προσαγορεύεται, καὶ ἱερὰ, καὶ τιμὰς ἔχει βασιλέων, ἄνδρες δὲ πράσσουσιν, ἅ-
περ ἡγεμόσι πόλεων προσήκει καὶ ἄρχουσιν. ἆρ᾽ οὖν παρὰ τοῖς στωϊκοῖς ὁμοί-
ως. τὸ μὲν ὄνομα, καὶ τὸ σχῆμα τοῦ ἀγαθοῦ, πάρεστι τῇ ἀρετῇ, καὶ μόνην ταύτην
αἱρετὸν μὲν ὠφέλιμον, καὶ συμφέρον καλοῦσι. πράττουσι δὲ ταῦτα, καὶ φιλο-
σοφοῦσι καὶ ζῶσι, καὶ ἀποθνήσκουσιν, ὥσπερ ἀπὸ προστάγματος τῶν ἀδιαφόρων.
καί τοι τὸν κύνα μὲν ἐκεῖνον, οὐδεὶς αἰθιόπων ἀποκτέννυσιν, ἀλλ᾽ ἀσέμνως κάθη-
ται προσκυνούμενος. ἤτοι δὲ τὴν ἀρετὴν ἀπολλύουσιν ἑαυτῶν, καὶ διαφθείρουσι,
τῆς ὑγιείας περιεχόμενοι καὶ τῆς ἀπορίας. ἔοικε δὲ ἡμᾶς ἀπαλλάττειν τοῦ
περὶ τούτων ἔτι πλείονα λέγειν ὁ κολοφὼν αὐτὸς, ὃν ὁ χρύσιππος τοῖς δόγμα-
σιν ἐπιτέθεικεν. ὄντων γὰρ ἐν τῇ φύσει, τῶν μὲν ἀγαθῶν, τῶν δὲ κακῶν, τῶν δὲ με-
ταξὺ, καὶ καλουμένων ἀδιαφόρων. οὐδείς ἐστιν ἀνθρώπων, ὃς οὐ βούλεται τἀγαθὸν
ἔχειν μᾶλλον, ἢ τὸ ἀδιάφορον, ἢ τὸ κακόν. ἀλλὰ καὶ τοὺς θεοὺς ἤδη ποιούμεθα
μάρτυρας αἰτούμενοι ταῖς εὐχαῖς παρ᾽ αὐτῶν. μάλιστα μὲν κτῆσιν, εἰ δὲ μὴ, κα-
κῶν ἀποφυγὴν, τὸ δὲ μήτε ἀγαθὸν μήτε κακὸν, ἀντὶ μὲν τοῦ ἀγαθοῦ μὴ θέλον-
τες ἔχειν, ἀντὶ δὲ τοῦ κακοῦ θέλοντες, ὁ δὲ τὴν φύσιν ἐναλλάττων, καὶ τὴν τάξιν
ἀναστρέφων ἐκ τῆς μέσης χώρας τὸ μέσον εἰς τὴν ἐσχάτην μετατίθησι. τὸ δὲ ἔ-
σχατον εἰς τὴν μέσην ἐπανάγει καὶ μετοικίζει καθάπερ οἱ τύραννοι τοῖς κακοῖς
προεδρίαν διδοῦσι, καὶ νομοθετῶν πρῶτον διώκειν τὸ ἀγαθὸν, δεύτερον δὲ τὸ κα-
κόν. ἔσχατον δὲ χείριστον ἡγεῖσθαι τὸ μήτε ἀγαθὸν, μήτε κακόν. ὥσπερ εἴ τις μετὰ
τὰ οὐράνια τὰ ἐν ᾅδου τιθείη, τὴν δὲ γῆν, καὶ τὰ περὶ γῆν, εἰς τὸν τάρταρον ἀ-
πώσειε. τῆλε μάλ᾽ ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον, εἰπὼν οὖν ἐν τῷ τρίτῳ
περὶ φύσεως, ὅτι λυσιτελεῖ ζῆν ἄφρονα, ἢ μὴ βιοῦν, κἂν μηδέποτε μέλλῃ φρονή-
σειν ἐπιφέρει κατὰ λέξιν. τοιαῦτα γὰρ τὰ ἀγαθά ἐστι τοῖς ἀνθρώποις, ὥστε τρό-
πον τινὰ καὶ τὰ κακὰ τῶν ἄλλων ἀνὰ μέσον προτερεῖν. ἔστι δὲ οὐ ταῦτα προτε-
ροῦντα, ἀλλ᾽ ὁ λόγος μεθ᾽ οὗ βιοῦν ἐπιβάλλει μᾶλλον εἰ καὶ ἄφρονες ἐσόμεθα. δῆ-
λον οὖν εἰ καὶ ἄδικοι, καὶ παράνομοι, καὶ θεοῖς ἐχθροὶ, καὶ εἰ κακοδαίμονες, οὐδὲν γὰρ ἄπεστι
τούτων τοῖς ἀφρόνως βιοῦσιν, ἐπιβάλλει τοίνυν κακοδαιμονεῖν μᾶλλον, ἢ μὴ κακο-
δαιμονεῖν, καὶ βλάπτεσθαι μᾶλλον, ἢ μὴ βλάπτεσθαι, καὶ ἀδικεῖν, ἢ μὴ ἀδικεῖν, καὶ πα-
ρανομεῖν, ἢ μὴ παρανομεῖν, τουτέστιν ἐπιβάλλει τὰ ἐπιβάλλοντα ποιεῖν. καὶ καθήκει
ζῆν καὶ πράττειν τὸ μὴ καθῆκον; ναί. χεῖρον γάρ ἐστι τὸ ἄλογον, καὶ τὸ ἀναίσθητον εἶναι, τοῦ
ἀφραίνειν. εἶτα παθόντες οὐχ ὁμολογοῦσιν εἶναι κακὸν, ὃ τοῦ κακοῦ χεῖρόν ἐστι, δὲ φεύ-
κτὸν ἀποφαίνουσι μόνον τὴν ἀφροσύνην εἰ οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἐπιβάλ-
λον ἐστὶ φεύγειν τὴν μὴ δεχομένην τὸ ἀφραίνειν διάθεσιν, ἀλλὰ τί ἄν τις ἐπὶ τού-

τοις δυσχεραίνοι, μεμνημένος τῶν ἐν τῷ δευτέρῳ περὶ φύσεως γέγραφεν, ἀπο-
φαίνων οὐκ ἀχρήστως τὴν κακίαν πρὸς τὰ ὅλα γεγενημένην. ἄξιον δὲ ἀναλαβεῖν
τὸ δόγμα ταῖς ἐκείνου λέξεσιν, ἵνα καὶ μάθῃς πῶς ὅπου ξενοκράτους καὶ σπευ-
σίππου κατηγοροῦντες ἐπὶ τῷ μὴ τὴν ὑγίειαν ἀδιάφορον ἡγεῖσθαι, μὴ δὲ τὸν πλοῦ-
τον ἀνωφελὲς, ἐν τίνι τόπῳ τὴν κακίαν αὐτοὶ τίθενται. καὶ τίνας λόγους περὶ
αὐτῆς διεξίασιν, ἡ δὲ κακία πρὸς τὰ λοιπὰ συμπτώματα ἔχει ὅρον, γίνεται καὶ αὐτή
πως κατὰ τὸν τῆς φύσεως λόγον. καὶ ἵνα οὕτως εἴπω, οὐκ ἀχρήστως γίνεται πρὸς
τὰ ὅλα. οὐδὲ γὰρ ἂν τἀγαθὸν ἦν. οὐκοῦν ἐν θεοῖς ἀγαθὸν οὐδέν ἐστιν, ἐπεὶ μηδὲ κα-
κόν. οὐδὲ ὅταν ὁ ζεὺς εἰς ἑαυτὸν ἀναλύσας τὴν ὕλην ἅπασαν, εἷς γένηται καὶ
τὰς ἄλλας ἀνέλῃ διαφοράς. οὐδέν ἐστιν ἀγαθὸν, τηνικαῦτα μηθενός γε κακοῦ πα-
ρόντος. ἀλλὰ χοροῦ μέν ἐστιν ἐμμέλεια μηδενὸς ἀπᾴδοντος ἐν αὐτῷ, καὶ σώματος
ὑγεία, μηδενὸς μορίου νοσοῦντος. ἀρετὴ δὲ ἄνευ κακίας οὐκ ἔχει γένεσιν, ἀλλ᾽ ὥς-
περ ἐνίαις τῶν ἰατρικῶν δυνάμεων, ἰὸς ὄφεως, καὶ χολὴ ὑαίνης, οὕτως ἀναγκαῖόν
ἐστιν ἐπιτηδειότης ἑτέρα. τῇ μελίτου μοχθηρία πρὸς τὴν σωκράτους δικαιοσύ-
νην, καὶ τῇ κλέωνος ἀναγωγίᾳ, πρὸς τὴν περικλέους καλοκαγαθίαν. πῶς δ᾽ ἂν
εὗρεν ὁ ζεὺς τὸν ἡρακλέα φῦσαι, καὶ τὸν λυκοῦργον. εἰ μὴ καὶ σαρδανάπαλον
ἡμῖν ἔφυσε καὶ φάλαριν, ὥρα λέγειν αὐτοῖς. ὅτι καὶ φθίσις γέγονεν ἀνθρώπων πρὸς
εὐεξίαν, καὶ ποδάγρα πρὸς ὠκύτητα. καὶ οὐκ ἂν ἦν ἀχιλλεὺς κομήτης, εἰ μὴ φαλα-
κρὸς θερσίτης. τί γὰρ διαφέρουσι τῶν ταῦτα ληρούντων, καὶ φλυαρούντων, οἱ λέγοντες
μὴ ἀχρήστως γεγονέναι πρὸς τὴν ἐγκράτειαν τὴν ἀκολασίαν, καὶ πρὸς τὴν δικαιοσύ-
νην τὴν ἀδικίαν, ὅπως εὐχώμεθα τοῖς θεοῖς, ἀεὶ μοχθηρίαν εἶναι, ψεύδεά θ᾽, αἱ-
μυλίους τε λόγους, καὶ ἐπίκλοπον ἦθος. εἰ τούτων ἀναιρεθέντων οἴχεται φροῦ-
δος ἡ ἀρετὴ καὶ συναπόλωλεν, ἢ βούλει τὸ ἥδιστον αὐτοῦ τῆς γλαφυρίας, καὶ
πιθανότητος ἱστορῆσαι. ὥσπερ γὰρ αἱ κωμῳδίαι, φησὶν, ἐπιγράμματα γελοῖα
φέρουσιν, ἃ καθ᾽ ἑαυτὰ μέν ἐστι φαῦλα, τῷ δὲ ὅλῳ ποιήματι χάριν τινὰ προστί-
θησιν, οὕτως ψέξειας ἂν αὐτὴν ἐφ᾽ ἑαυτῆς τὴν κακίαν, τοῖς δὲ ἄλλοις, οὐκ ἄχρη-
στός ἐστι. πρῶτον μὲν οὖν τὴν κακίαν γεγονέναι κατὰ τὴν τοῦ θεοῦ πρόνοιαν, ὥσπερ
τὸ φαῦλον ἐπίγραμμα γέγονε, κατὰ τὴν τοῦ ποιητοῦ βούλησιν. πᾶσαν ἐπίνοιαν
ἀτοπίας ὑπερβάλλει. τί γὰρ μᾶλλον ἀγαθῶν, ἢ κακῶν δοτῆρες ἔσονται; πῶς
δ᾽ ἔτι θεοῖς ἐχθρὸν ἡ κακία, καὶ θεομισές; ἢ τί πρὸς τὰ τοιαῦτα δυσφημήματα
λέγειν ἕξομεν, ὡς θεὸς μὲν αἰτίαν φύει βροτοῖς. ὅταν κακῶσαι δῶμα παμπήδην
θέλῃ. καὶ τίς τ᾽ ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι; ἔπειτα δὲ τὸ μὲν φαῦ-
λον ἐπίγραμμα τὴν κωμῳδίαν κοσμεῖ, καὶ συνεργεῖ πρὸς τὸ τέλος αὐτῆς ἐ-
φιεμένης τοῦ γελοίου ἢ κεχαρισμένου τοῖς θεαταῖς. ὁ δὲ πατρῷος καὶ ὕπατος,
καὶ θεμίστιος ζεὺς, καὶ ἀριστοτέχνας, καὶ πίνδαρον, οὐ δρᾶμα δή που μέγα, καὶ
ποικίλον, καὶ πολυμαθὲς δημιουργῶν τὸν κόσμον, ἀλλὰ θεῶν καὶ ἀνθρώπων ἄστυ
κοινὸν συννομησομένων μετὰ δίκης καὶ ἀρετῆς ὁμολογουμένως καὶ μακαρίως.
τί πρὸς τὸ κάλλιστον τοῦτο σεμνότατον τέλος ἐδεῖτο λῃστῶν, καὶ ἀνδροφόνων, καὶ
πατροκτόνων, καὶ τυράννων, οὐ γὰρ ἡδὺ τῷ θείῳ, καὶ κομψὸν ἡ κακία γέγονεν ἐπει-
σόδιον οὐδὲ δι᾽ εὐτραπελίαν, ἢ ἀδικίαν, καὶ γέλωτα καὶ βωμολοχίαν προστέτρι-
πται τοῖς πράγμασιν, ὑφ᾽ ὧν οὐδὲ ὄναρ ἰδεῖν ἐστι τῆς ὑμνουμένης ὁμολογίας. ἔτι
τὸ μὲν φαῦλον ἐπίγραμμα τοῦ ποιήματος πολλοστημόριόν ἐστι, καὶ μικρὸν ἐπέχει
παντάπασιν ἐν τῇ κωμῳδίᾳ χωρίον. καὶ οὔτε πλεονάζει τὰ τοιαῦτα, οὔτε τῶν
εὖ τι πεποιῆσθαι δοκούντων, ἀπόλλυσι, καὶ λυμαίνεται τὴν χάριν, τῆς δὲ κακίας
ἀναπέπλησται πάντα πράγματα. καὶ πᾶς ὁ βίος εὐθὺς ἐκ παρόδου, καὶ ἀρ-
χῆς ἄχρι κορωνίδος ἀσχημονῶν, καὶ ἐκπίπτων, καὶ ταραττόμενος καὶ μηδὲν ἔχων

μβρος καθαρὸν, μὴ δὲ ἀνεπίληπτον, ὡς οὗτοι λέγουσιν· αἴσχιστόν ἐστι δραμά-
των ἁπάντων, καὶ ἀτερπέστατον, ὅθεν ἡδέως ἂν, πυθοίμην, πρὸς τί γέγονε εὔχρη-
στος ἡ κακία τοῖς ὅλοις· οὐ γὰρ δὴ πρὸς τὰ οὐράνια καὶ θεῖα φύσει· γελοῖον γάρ,
εἰ μὴ γενομένης ἐν ἀνθρώποις, μὴ δὲ οὔσης κακίας, καὶ ἀπληστίας, καὶ ψευδο-
λογίας, μὴ δὲ ἀλλήλους ἡμῶν ἀγόντων, καὶ φερόντων, καὶ συκοφαντούντων,
καὶ φονευόντων, οὐκ ἂν ἐβάδιζεν ὁ ἥλιος τὴν τεταγμένην πορείαν, οὐδ' ἂν, ὥρας
ἔχρῆτο, καὶ περιόδοις καιρῶν ὁ κόσμος, οὐδὲ ἡ γῆ τὴν μέσην χώραν ἔχουσα τοῦ παν-
τὸς, ἀρχὰς τῶν πνευμάτων ἐνεδίδου καὶ ὄμβρων, ἀπολείπεται τοίνυν πρὸς ἡ-
μᾶς καὶ τὰ ἡμέτερα τὴν κακίαν εὐχρήστως γεγονέναι, καὶ τοῦτο ἴσως οἱ ἄνδρες
λέγουσιν· ἆρ' οὖν ὑγιαίνομεν μᾶλλον, κακοὶ ὄντες· ἔτι δὲ μᾶλλον εὐποροῦμεν τῶν
ἀναγκαίων· πρὸς δὲ κάλλος ἡμῖν, ἢ πρὸς ἰσχὺν, εὔχρηστος ἡ κακία γέγονεν; οὐ φα-
σιν· ἡ δὲ, τῆς γῆς ἐστιν ὄνομα μόνον, καὶ δόκημα νυκτερωπὸν ἐν νυχῷ σοφιστῶν οὐχ ὥς-
περ ἡ κακία πᾶσιν ὑπερέκειται καὶ πᾶσιν ἐναργὴς, οὐδενὸς ὡς ἀχρήστου με-
ταλαβεῖν· ἥκιστα δὲ ἀρετῆς ὦ θεοὶ δι' ἣν γεγόναμεν; εἶτα οὐ δεινὸν, εἰ γεωργῷ μὲν
καὶ κυβερνήτῃ, καὶ ἡνιόχῳ τὰ εὔχρηστα, φορὰ καὶ συνεργὰ πρὸς τὸ οἰκεῖόν ἐστι
τέλος· τὸ δὲ ὑπὸ τοῦ θεοῦ πρὸς ἀρετὴν γεγονὸς, ἀπολώλεκε τὴν ἀρετὴν καὶ
διέφθαρκεν; ἀλλ' ἴσως ἤδη καιρὸς ἐπ' ἄλλο τρέπεσθαι· τοῦτο δ' ἀφεῖναι. οὐδα-
μῶς ὦ φίλος ἐμὴν χάριν· ἐπιθυμῶ γὰρ πυθέσθαι, τίνα δὴ τρόπον οἱ ἄνδρες τὰ
κακὰ τῶν ἀγαθῶν, καὶ τὴν κακίαν τῆς ἀρετῆς προεισάγουσιν ἀμέλει, καὶ ἄξιον
ὦ ἑταῖρε· πολὺς μὲν ὁ ψελλισμὸς αὐτῶν, τέλος δὲ, τὴν μὲν φρόνησιν· ἐπιστήμην
ἀγαθῶν, καὶ κακῶν οὖσαν,

καὶ παντάπασιν ἀναιρεῖσθαι λέγουσιν, ὡς δὲ ἀληθῶν ὄντων· ἀδύνατον μὴ καὶ
ψευδῆ τινα εἶναι παραπλησίως, οἶον προσήκει ἀγαθῶν ὑπαρχόντων, καὶ κακὰ
ὑπάρχειν ἀλλὰ τοῦτο μὲν οὐ φαύλως λέλεκται, τὸ δ' ἕτερον οἶμαι μηδ' ἐμὲ
λανθάνειν, ὁρῶ γὰρ διαφορὰν, ἣ τὸ μὲν οὐκ ἀληθὲς, εὐθὺς ψευδός ἐστιν· τὸ μὴν εὐθὺς
κακὸν, τὸ μὴ ἀγαθὸν ὅθεν ἀληθῶν μὲν, καὶ ψευδῶν, οὐθέν ἐστι μέσον, ἀγαθῶν δὲ, καὶ
κακῶν· τὸ ἀδιάφορον, καὶ οὐκ ἀνάγκη ταῦτα συνυπάρχειν ἐκείνοις· ἐξήρκει γοῦν τὴν
φύσιν ἔχειν τὸ ἀγαθὸν, τοῦ κακοῦ μὴ δεόμενον). ἀλλὰ τὸ μήτε ἀγαθὸν μήτε κακὸν ἔχου-
σιν τὸ δὲ τὸν πρότερον λόγον εἴ τι λέγεται παρ' ὑμῶν, ἀκουστέον, ἀλλὰ πολλὰ μὲν
λέγεται· τὰ δὲ νῦν τοῖς ἀναγκαίοις χρηστέον. πρῶτον μὲν οὖν εὔηθες οἴεσθαι, φρόνη-
σεως ἕνεκα γένεσιν κακῶν ὑποστῆναι καὶ ἀγαθῶν. ὄντων γοῦν ἀγαθῶν καὶ κακῶν ἐπι-
γίνεται φρόνησις· ὥσπερ ἰατρικὴ νοσερῶν ὑποκειμένων καὶ ὑγιεινῶν· οὐ γὰρ τὸ ἀγα-
θὸν, ὑφίσταται καὶ τὸ κακὸν, ἵνα γένηται φρόνησις, ἀλλ' ἡ τὸ ἀγαθὸν, καὶ τὸ κακὸν ὄν-
τα, καὶ ὑφεστῶτα κρίνομεν, ὠνομάσθη φρόνησις, ὥσπερ ὄψις ἡ λευκῶν, καὶ με-
λαίνων αἴσθησις· οὐ γενομένων ὡς ἔχοιμεν ὄψιν ἡμεῖς, ἀλλὰ μᾶλλον ἡμῶν πρὸς τὰ
τοιαῦτα κρίνειν ὄψεως δεηθέντων. δεύτερον ὅταν ἐκπυρώσωσι τὸν κόσμον οὗ-
τοι κακὸν μὲν οὐδ' ὁπουοῦν ἀπολείπεται. τὸ δ' ὅλον φρόνιμόν ἐστι τηνικαῦτα καὶ
σοφόν. ἔστι τοίνυν φρόνησις οὐκ ὄντος κακοῦ· καὶ οὐκ ἀνάγκη κακὸν ὑπάρχειν, εἰ
φρόνησις ἐστί. εἰ δὲ δὴ πάντως δεῖ τὴν φρόνησιν ἀγαθῶν εἶναι, καὶ κακῶν ἐπιστήμην, τί
δεινὸν, εἰ τῶν κακῶν ἀναιρεθέντων, οὐκ ἔσται φρόνησις; ἑτέραν δὲ ἀντ' ἐκείνης ἀ-
ρετὴν ἕξομεν, οὐκ ἀγαθῶν, καὶ κακῶν, ἀλλὰ ἀγαθῶν μόνον ἐπιστήμην οὖσαν, ὥσπερ
εἰ τῶν χρωμάτων τὸ μέλαν ἐξαπόλοιτο παντάπασιν, εἶτα τίς βιάζοιτο καὶ τὴν
ὄψιν ἀπολωλέναι, λευκῶν γὰρ οὐκ εἶναι, καὶ μελάνων αἴσθησιν, τί κωλύει φά-
ναι πρὸς αὐτόν; ὅτι δεινὸν οὐδὲν, εἰ τὴν μὲν ὑπό σου λεγομένην ὄψιν οὐκ ἔχομεν, ἀλ-
λὰ δὲ παράστασιν ἀντ' ἐκείνης αἴσθησις ἡμῖν, καὶ δύναμις, ἧ λευκῶν ἀντιλαμβά-
νόμεθα καὶ μὴ λευκῶν χρωμάτων. ἐγὼ μὲν γὰρ, οὔτε γεῦσιν οἶμαι φροῦδον ἂν γενέ-
σθαι

ἐμάτερα l. — λάκλαι l. — λὰ δὲ πείθησιν l.

θαι πικρῶν ἐπιλιπόντων, οὔτε ἁφὴν ἀλγηδόνος ἀναιρεθείσης, οὔτε φρόνησιν κα-
κοῦ μὴ παρόντος, ἀλλ' ἐκείνας τε μένειν αἰσθήσεις γλυκέων καὶ ἡδέων, καὶ τῶν
μὴ τοιούτων ἀντιλαμβανομένας· ταύτην δὲ τὴν φρόνησιν ἀγαθῶν καὶ μὴ ἀγα-
θῶν ἐπιστήμην οὖσαν· οἷς δὲ μὴ δοκεῖ τοὔνομα λαβόντες ἀπολιπέτωσαν ἡμῖν τὸ
πρᾶγμα. χωρὶς δὲ τούτων, τί ἐκώλυε τοῦ μὲν κακοῦ νόησιν εἶναι, τοῦ δὲ ἀγαθοῦ
καὶ ὕπαρξιν· ὥσπερ οἶμαι καὶ τοῖς θεοῖς ὑγιείας μέν ἐστι παρουσία, πυρετοῦ δὲ,
καὶ πλευρίτιδος νόησις, ἐπεὶ καὶ ἡμεῖς κακῶν μὲν ἀφθόνως πᾶσι παρόντων, ἀγαθοῦ
δὲ μηδενὸς, ὡς οὗτοι λέγουσιν. ἀλλὰ τοῦ, γένεσιν οὐκ ἀπολελείμμεθα τὴν φρόνησιν
τὸ ἀγαθὸν, τὴν εὐδαιμονίαν. ὃ καὶ θαυμαστόν ἐστιν, εἰ τῆς μὲν ἀρετῆς μὴ παρού-
σης εἰσὶν οἱ διδάσκοντες, ὁποῖόν ἐστι καὶ κατάληψιν, ἐμποιοῦντες δὲ μὴ γενομέ-
νης, οὐ δύναμιν ἣν κτήσασθαι νόησιν· ὅρα γοῦν, οἷα πείθουσιν ἡμᾶς, οἱ κατὰ τὰς ἐν-
νοίας φιλοσοφοῦντες· ὅτι τῇ μὲν ἀφροσύνῃ καταλαμβάνομεν τὴν φρόνησιν, ἡ
δὲ φρόνησις ἄνευ τῆς ἀφροσύνης, οὔτε αὐτὴν ἀφροσύνην καταλαμβάνειν πέ-
φυκεν, εἰ δὲ πάντως ἐδεῖτο κακοῦ γενέσεως ἡ φύσις, ἓν ἦν δήπου παράδειγμα
κακίας ἱκανὸν, ἢ δεύτερον, εἰ δὲ βούλει δέκα φαύλους, ἢ χιλίους, ἢ μυρίους ἔδει
γενέσθαι. καὶ μὴ κακίας μὲν φορὰν τοσαύτην τὸ πλῆθος οὐ ψάμμος, ἢ κόνις,
ἢ πτερὰ ποικιλοτρίχων οἰωνῶν. τόσσον ἂν χεύαιτο ἀριθμὸν, ἀρετῆς δὲ μὴ δὲ ἐνύ-
πνιον. οἱ μὲν γὰρ ἐν σπάρτῃ τῶν φιδιτίων ἐπιμελούμενοι· ἐν ἢ δύο εἵλωτας ἐμ-
πεφορημένους ἀκράτου καὶ μεθύοντας εἰς κοινὸν ἐπιδεικνύνται τοῖς νέοις, ὁποῖόν
ἐστι τὸ μεθύειν, ὅπως φυλάττωνται καὶ σωφρονῶσιν. ἐν δὲ τῷ βίῳ τὰ πολλὰ ταῦ-
τα τῆς κακίας γέγονε παραδείγματα. νήφων γὰρ οὐδὲ εἷς ἐστι πρὸς ἀρετὴν,
ἀλλὰ ῥεμβόμεθα πάντες ἀσχημονοῦντες καὶ κακοδαιμονοῦντες. οὕτως ὁ λόγος
ἡμᾶς μεθύσκει, καὶ τοσαύτης καταπίμπλησι ταραχῆς, καὶ παραφροσύνης, οὐ-
δὲν ἀπολείπονται τῶν κυνῶν, ἅς φησιν αἴσωπος δερμάτων τινῶν ἐμπλεόντων
ἐφιεμένας ὁρμῆσαι μὲν ἐκπίνειν τὴν θάλασσαν, ῥαγῆναι δὲ πρότερον, ἢ τῶν δερ-
μάτων λαβέσθαι. καὶ γοῦν ἡμᾶς ὁ λόγος ἐλπίζοντας εὐδαιμονήσειν δι' αὐτοῦ, καὶ
τῇ ἀρετῇ προσοίσεσθαι πρὶν ἐπ' ἐκείνην ἀφικέσθαι, διέφθαρκε, καὶ ἀπολώ-
λεκε πολλῆς ἀκράτου, καὶ πικρᾶς κακίας προεμφορηθέντας. εἴ γε δὴ καὶ τοῖς ἐπ'
ἄκρον προκόπτουσι, ὡς οὗτοι λέγουσιν, οὔτε κουφισμός, οὔτε ἄνεσίς ἐστιν, οὔτε ἀ-
ναπνοὴ τῆς ἀβελτηρίας, καὶ κακοδαιμονίας. ὁ τοίνυν λέγων οὐκ ἀχρήστως γε-
γονέναι τὴν κακίαν, ὅρα πάλιν οἷον αὐτὴν ἀποδείκνυσι χρῆμα, καὶ κτῆμα τοῖς ἔ-
χουσι. γράφων ἐν τοῖς περὶ κατορθωμάτων, ὡς ὁ φαῦλος οὐδενὸς δεῖται, οὐδὲ-
νὸς ἔχει χρείαν. οὐδέν ἐστιν αὐτῷ χρήσιμον, οὐθὲν οἰκεῖον, οὐδὲν ἁρμόττον. πῶς οὖν
εὔχρηστος ἡ κακία, μεθ' ἧς οὐδὲ ὑγεία χρήσιμον, οὐδὲ πλῆθος χρημάτων, οὐδὲ προ-
κοπὴ, οὐ δεῖται δέ τις, ὧν τὰ μὲν προηγμένα καὶ ληπτὰ, καὶ νὴ δία, εὔχρηστα,
τὰ δὲ κατὰ φύσιν, ὡς αὐτοὶ καλοῦσιν. εἶτα τούτων οὐδεὶς ἔχει χρείαν, ἂν μὴ γένηται
σοφός. οὐδὲ τοῦ σοφὸς οὖν γενέσθαι χρείαν ἔχει ὁ φαῦλος, οὐδὲ διψῶσιν, οὐδὲ πεινῶσιν
ἄνθρωποι, πρὶν σοφοὶ γενέσθαι. διψῶντες οὖν ὕδατος, οὐκ ἔχουσι χρείαν, οὐδὲ ἄρ-
του πεινῶντες; ἔσται ξείνοισι μειλίχιος ἐοικότες στέγης μοῦνον, καὶ πυρὸς κεχρη-
μένοις. οὗτος οὐκ εἶχε χρείαν ὑποδοχῆς, οὐδὲ χλαίνης ἐκεῖνος ὁ λέγων, δὸς χλαῖναν
ἱππώνακτι κάρτα ῥιγῶ. ἀλλὰ βούλει παράδοξον εἰπεῖν τι, καὶ περιττὸν, καὶ ἴ-
διον; λέγε τὸν σοφὸν μηδενὸς ἔχειν χρείαν, μὴ δὲ δεῖσθαί τινος. ἐκεῖνος ὄλβιος,
ἐκεῖνος ἀπροσδεὴς, ἐκεῖνος αὐτάρκης, μακάριος, τέλειος. νυνὶ δὲ τίς ὁ ἴλιγγος οὗ-
τος, τὸν μὲν ἀνενδεῆ δεῖσθαι, ὧν ἔχει ἀγαθῶν, τὸν δὲ φαῦλον ἐνδεῆ μὲν εἶναι πολ-
λῶν, δεῖσθαι δὲ μηδενός. τουτὶ γοῦν λέγει χρύσιππος, ὡς οὐ δέονται μὲν, ἐνδέονται
δὲ οἱ φαῦλοι, πεττῶν δίκην δεῦρο κἀκεῖ τὰς κοινὰς ἐννοίας μετατιθείς, πάντες

ἡμῖν l.

γὰρ ἄνθρωποι τὸ δεῖσθαι πρότερον εἶναι, τοῦ μὴ δεῖσθαι νομίζουσιν, ἡγούμενοι
τὸν οὐχ ἑτοίμων, οὐδὲ εὐπορίστων δεόμενον ἐνδεῖσθαι, κεράτων γοῦν καὶ πτερῶν
ουδεὶς ἐνδεὴς ἄνθρωπός ἐστιν· ὅτι μὴ δὲ δεῖται τούτων, ἀλλὰ ὅπλων ἐνδεεῖς λέγο
μεν, καὶ χρημάτων, καὶ ἱματίων, ὅταν ἐν χρείᾳ γενόμενοι, μὴ τυγχάνωσι, μὴ δὲ ἔ
χωσιν· οἱ δὲ οὕτως ἐπιθυμοῦσιν ἀεί τι παρὰ τὰς κοινὰς ἐννοίας φαίνεσθαι λέ-
γοντες, ὥστε πολλάκις ἐξίστασθαι· καὶ τῶν ἰδίων ἐπιθυμίᾳ κενολογίας, ὥσπερ
ἐν ταῦτα· σκόπει δὲ μικρὸν ἀνωτέρω ἀνάγων ἑαυτὸν ἔν τι τῶν παρὰ τὰς ἐν-
νοίας λεγομένων ἐστί, τὸ μηδένα φαῦλον ὠφελεῖσθαι. καί τοι παιδευόμενοί γε
πολλοί, προκόπτουσι, καὶ δουλεύοντες ἐλευθεροῦνται, καὶ πολιορκούμενοι, σώ-
ζονται, καὶ πληρούμενοι χειραγωγοῦνται, καὶ θεραπευόμενοι νοσοῦντες· ἀλλὰ οὐκ ὠ-
φελοῦνται τούτων τυγχάνοντες, οὐδὲ εὖ πάσχουσιν, οὐδὲ εὐεργέτας ἔχουσιν,
οὐδὲ εὐεργετῶν ἀμελοῦσιν, οὐ τοίνυν οὐδὲ ἀχαριστοῦσιν οἱ φαῦλοι, καὶ μὴν, οὐδὲ
οἱ νοῦν ἔχοντες· ἀνύπαρκτον οὖν ἐστι τὸ ἀχάριστον· οἱ μὲν γὰρ, ἃ ἀποστεροῦσι χάριν
λαμβάνοντες· οἱ δὲ χάριν λαμβάνειν οὐ πεφύκασιν· ὅρα δὴ τί πρὸς ταῦτα λέγου-
σιν, ὅτι ἡ χάρις εἰς τὰ μέσα διατείνει, καὶ τὸ μὲν ὠφελεῖν καὶ ὠφελεῖσθαι, σο-
φῶν ἐστι· χάριτος δὲ καὶ οἱ φαῦλοι τυγχάνουσι· εἶτα οἷς χάριτος μέτεστι, τούτοις
οὐ μέτεστι χρείας. ὅπου δὲ διατείνει χάρις, ἐκεῖ χρήσιμον οὐδέν ἐστιν, οὐδὲ οἰκεῖον·
ἄλλο δὲ τί ποιεῖ τὴν ὑπουργίαν χάριν, ἢ τὸ πρός τι χρήσιμον ὑπάρξαι τῷ δεο-
μένῳ τὸν παρασχόντα· ταῦτα μὲν οὖν ἀφῶ, ἡ δὲ πολυτίμητος ὠφέλεια τίς ἐστιν,
ἣν ὡς μέγα τι τοῖς σοφοῖς ἐξαίρετον φυλάσσοντες, οὐδὲ ὄνομα λείπουσιν αὐτοῖς
τοῖς σοφοῖς· ἂν εἷς σοφὸς ὁπουδή ποτε προτείνῃ τὸν δάκτυλον φρονίμως οἱ κατὰ
τὴν οἰκουμένην σοφοὶ πάντες ὠφελοῦνται, τοῦτο τῆς φιλίας ἔργον αὐτῶν,
εἰς τοῦτο τοῖς κοινοῖς ὠφελήμασι τῶν σοφῶν αἱ ἀρεταὶ τελευτῶσιν· ἐλήρει δὲ ἀ
ριστοτέλης, ἐλήρει δὲ ξενοκράτης, ὠφελεῖσθαι μὲν ἀνθρώπους ὑπὸ θεῶν, ὠφελεῖσθαι
δὲ ὑπὸ γονέων, ὠφελεῖσθαι δὲ ὑπὸ καθηγητῶν ἀποφαινόμενοι· τὴν δὲ θαυμαστὴν ἀγνοοῦ
τες ὠφέλειαν, ἣν οἱ σοφοὶ κινουμένων κατ' ἀρετὴν ἀλλήλων ὠφελοῦνται, κἂν μὴ
συνῶσι, μὴ δὲ γινώσκοντες τυγχάνωσιν· καὶ μὲν πάντες ἄνθρωποι τὰς ἐκλογὰς καὶ
τὰς τηρήσεις, καὶ τὰς οἰκονομίας, ὅταν χρήσιμοι ὦσι καὶ ὠφέλιμοι, τότε χρησι-
μους, καὶ ὠφελίμους ὑπολαμβάνουσι, καὶ κλεῖδας ὠνεῖται, καὶ ἀποθήκας φυλάτ
τει χρηματικὸς ἀνὴρ πλούτου διοίγων θάλαμον ἥδιστον χερί, τὸ δὲ ἐκλέγεσθαι
τὰ πρὸς μηδὲν ὠφέλιμα, καὶ τηρεῖν ἐπιμελῶς, καὶ πολυπόνως, οὐ σεμνόν, οὐδὲ
καλόν, καὶ καταγέλαστόν ἐστιν· ὁ οὖν ὀδυσσεὺς εἰς τὸν δεσμὸν ἐκεῖνον ἐκμαθὼν παρὰ
τῆς κίρκης κατεσημαίνετο δι' αὐτοῦ· μὴ τὰ παρὰ λυκήθου δῶρα, τρίποδας καὶ
λέβητας, καὶ εἵματα, καὶ χρυσόν, ἀλλὰ συρφετόν τινα καὶ λίθους καὶ
συναγαγὼν τὴν περὶ ταῦτα πραγματείαν, καὶ κτῆσιν αὐτῶν, καὶ τὴν ἀνόητον
τήρησιν, εὐδαιμονικὸν ἔργον ἡγεῖτο, καὶ μακάριον; τίς ἂν ἐζήλωσε τὴν στωϊκῆς ὁ-
ταύτην πρόνοιαν, καὶ κενόσπουδον ἐπιμέλειαν, ἀλλὰ μὴν τοῦτο τῆς στωϊκῆς, καὶ
μολογίας τὸ καλόν ἐστι, καὶ σεμνόν, καὶ μακάριον, ἕτερον δὲ οὐθέν, ἀλλ' ἐκλογή, καὶ
τήρησις ἀνωφελῶν πραγμάτων καὶ διαφόρων· τοιαῦτα γὰρ τὰ κατὰ φύσιν, καὶ
τὰ ἐκτός ἐστι μᾶλλον· εἴ γε κρασπέδοις, καὶ ἀμίσι χρυσαῖς, καὶ νὴ δία λυκήθους,
ὅταν τύχωσι, παραβάλλουσι τὸν μέγιστον πλοῦτον, εἶτα ὥσπερ οἱ θεῶν τινων ἢ
δαιμόνων ἱερὰ δόξαντες ὑπερηφάνως καθυβρίσαι, καὶ λοιδορῆσαι μετὰ κροῦ
σαντες εὐθὺς ὑποπίπτουσι, καὶ κάθηνται ταπεινοί, κατευλογοῦντες, καὶ μεγα
λωόντες τὸ θεῖον, οὕτως ἐκεῖνοι νεμέσει τινὶ τῆς μεγαλαυχίας ταύτης, καὶ κε-
νολογίας περιπεσόντες, αὖθις ἐν τούτοις ἐξετάζονται τοῖς ἀδιαφόροις, καὶ μη-
δὲν πρὸς αὐτοὺς μέγα βοῶντες, ὡς ἔνεστιν ἀγαθόν, καὶ καλόν, καὶ σεμνὸν ἡ τούτων
ἐκλογή,

λλὰ .Ι.

παφόρων .Ι.

ἐκλογή, καὶ περὶ ταῦτα ἡ κοινωνία. καὶ τούτων μὴ τυγχάνουσα οὐκ ἄξιόν ἐστι
βιοῦν, ἀλλὰ ἀποσφάττειν ἑαυτούς, ἢ ἀποκαρτερεῖν, πολλὰ τῇ ἀρετῇ χαίρειν φά
σκοντας· τὸν τοίνυν θέογνιν αὐτοὶ παντελῶς ἀγεννῆ, καὶ μικρὸν ἡγοῦνται λε
γόντα· χρὴ πενίην φεύγοντα, καὶ ἐς μεγακήτεα πόντον εἰπεῖν, καὶ πετρῶν κύρνε
κατ' ἠλιβάτων, οὕτως ἀποδειλιῶντα πεζῷ λόγῳ παρακελεύονται, καὶ λέ-
γουσιν, ὅτι χρὴ νόσον φεύγοντα μεγάλην, καὶ ἀλγηδόνα σύντονον, ἐὰν μὴ παρῇ
ξίφος, ἢ κώνειον, εἰς θάλατταν ἀφεῖναι, καὶ κατὰ πετρῶν εἰπεῖν ἑαυτόν, ὧν οὐ-
δέτερον βλαβερόν, οὐδὲ κακόν, οὐδὲ ἀσύμφορόν ἐστιν, οὐδὲ κακοδαίμονας ποιεῖ
τοὺς περιπίπτοντας, πόθεν οὖν φησιν ἄρξομαι, καὶ τίνα λάβω τοῦ καθήκοντος
ἀρχήν, καὶ ὕλην τῆς ἀρετῆς, ἀφεὶς τὴν φύσιν, καὶ τὸ παρὰ φύσιν· πόθεν δὲ ἀ
ριστοτέλης ὦ μακάριε, καὶ θεόφραστος ἄρχονται; τίνας δὲ ξενοκράτης, καὶ πο
λέμων λαμβάνουσιν ἀρχάς; οὐχὶ καὶ ζήνων τούτοις ἠκολούθησεν, ὑποτιθεμέ-
νοις στοιχεῖα τῆς εὐδαιμονίας τὴν φύσιν, καὶ τὸ κατὰ φύσιν, ἀλλ' ἐκεῖνοι μὲν αὐτοὶ
τούτων ἔμειναν ὡς αἱρετῶν, καὶ ἀγαθῶν, καὶ ὠφελίμων, καὶ τὴν ἀρετὴν προσ-
λαβόντες αὐτοῖς ἐνεργοῦσαν, οἰκείως χρωμένην ἑκάστῳ τέλειον ἐκ τούτων, καὶ
ὁλόκληρον ᾤοντο συμπληροῦν βίον, καὶ συμπεραίνειν, τὴν ἀληθῶς τῇ φύσει πρόσ-
φορον, καὶ συνῳδὸν ὁμολογίαν ἀποδιδόντες· οὐ γὰρ ὥσπερ οἱ τῆς γῆς ἀφαλλό-
μενοι, καὶ καταφερόμενοι πάλιν ἐπ' αὐτήν, ἐταράττοντο, τὰ αὐτὰ πράγμα
τα ληπτὰ καὶ οὐχ αἱρετά, καὶ οἰκεῖα, καὶ οὐκ ἀγαθά, καὶ ἀνωφελῆ μέν, εὔχρη-
στα δέ, καὶ οὐδὲν μὲν πρὸς ἡμᾶς, ἀρχὰς δὲ τῶν καθηκόντων ὀνομάζοντες· ἀλ-
λὰ οἷος ὁ λόγος, τοιοῦτος ἦν ὁ βίος τῶν ἀνδρῶν ἐκείνων, ἃ ἐτάραττον, οἷς ἔλεγον,
οἰκεῖα, καὶ σύμφωνα παρεχόντων. ἡ δὲ τούτων αἵρεσις, ὥσπερ ἡ παρὰ ἀρχιλό
χῳ γυνή· τῇ μέν, ὕδωρ δολοφρονέουσα χειρὶ δέ, πῦρ. τοῖς μὲν προσάγεται τὴν
φύσιν, τοῖς δέ, ἀπωθεῖται δόγμασι· μᾶλλον δὲ τοῖς μέν, ἔργοις καὶ τοῖς πράγμα
σιν, ὡς αἱρετῶν, καὶ ἀγαθῶν ἔχονται τῶν κατὰ φύσιν, τοῖς δὲ ὀνόμασι, καὶ τοῖς
ῥήμασιν, ἀδιάφορα, καὶ ἄχρηστα, καὶ ἀρετῇ πρὸς εὐδαιμονίαν ἀναίνονται, καὶ
προπηλακίζουσιν· ἐπεὶ δὲ καθόλου τἀγαθὸν ἅπαντες ἄνθρωποι, χαρτὸν νοοῦσιν·
εὐκταῖον, εὐτυχές, ἀξίαν ἔχον τὴν μεγίστην, αὔταρκες, ἀπροσδεές, ὅρα τὸ τούτων
παρατιθεὶς ἀγαθόν, ἆρά γε χαρτὸν ποιεῖ τὸ φρονίμως τὸν δάκτυλον προτεῖ-
ναι; τί δ' εὐκταῖόν ἐστι φρονίμη στρέβλωσις; εὐτυχεῖ δὲ ὁ κατακρημνίζων ἑαυτὸν
εὐλόγως; ἀξίαν δὲ ἔχει τὴν μεγίστην, ὃ πολλάκις αἱρεῖ λόγος ἀντὶ τοῦ μὴ ἀγαθοῦ
προέσθαι, τέλειον δὲ καὶ αὔταρκές ἐστιν, οὗ μὴ παρόντος ἂν μὴ τυγχάνωσι τῶν
ἀδιαφόρων, οὐχ ὑπομένουσιν, οὐδὲ βούλονται ζῆν; γέγονε δὲ ἕτερος λόγος· ὑφ' οὗ
μᾶλλον ἡ συνήθεια παρανενόμηται· τὰς μὲν γνησίας ὑφαιροῦντος αὐτοῦ καὶ ἀπο
σπῶντος ἐννοίας ὥσπερ τέκνα, νόθας δὲ προσβαλόντος ἑταίρας θηριώδεις, καὶ
ἀλλοκότους, καὶ ταύτας ἀντ' ἐκείνων ἐκτιθηνεῖσθαι καὶ στέργειν ἀναγκάζοντος·
καὶ ταῦτα ἐν τοῖς περὶ ἀγαθῶν, καὶ κακῶν, αἱρετῶν δέ, καὶ φευκτῶν, οἰκείων
τε, καὶ ἀλλοτρίων, ἃ μᾶλλον ἔδει θερμῶν τε, καὶ ψυχρῶν· λευκῶν τε, καὶ μελά-
νων σαφεστέραν ἔχειν τὴν ἐνάργειαν, ἐκείνων μὲν γὰρ ἔξωθεν εἰσιν αἱ φαντασίαι
τοῖς αἰσθήσεσιν ἐπεισόδιον, ταῦτα δ' ἐκ τῶν ἀγαθῶν τῶν ἐν ἡμῖν σύμφυτον ἔχει
τὴν γένεσιν· οἱ δὲ ὥσπερ εἰς τὸν ψευδόμενον, ἢ τὸν κυριεύοντα μετὰ τῆς διαλε-
κτικῆς ἐμβάλλοντες εἰς τὸν περὶ εὐδαιμονίας τόπον ἔλυσαν μὲν οὐδεμίαν ἀμ-
φιβολίαν ἐν αὐτῷ, μυρίας δὲ ἐποίησαν· καὶ μὴν ὅτι δυοῖν ἀγαθῶν, τοῦ μέν,
τέλους, τοῦ δὲ πρὸς τὸ τέλος, μεῖζόν ἐστιν τὸ τέλος, καὶ τελειότερον, ὃ ἐπ' οὐδενὸς
ἀγνοεῖται. γινώσκει δὲ καὶ χρύσιππος τὴν διαφοράν, ὡς δῆλόν ἐστιν ἐν τῷ τρίτῳ
τῷ περὶ ἀγαθῶν, τοῖς γὰρ τέλος ἡγουμένοις τὴν ἐπιστήμην, ἀνομολογεῖ καὶ τίθη

ἑτέρας .Ι.

ἡμῖν .Δ.

σιν ἔν γε τοῖς περὶ δικαιοσύνης. εἰ μέν τις ὑπόθοιτο τὴν ἡδονὴν τέλος, οὐκ οἴεται σώζεσθαι τὸ δίκαιον. εἰ δὲ μὴ τέλος, ἀλλὰ ἁπλῶς ἀγαθὸν οἴεται. τὰς δὲ λέξεις οὐκ οἴομαί σε νῦν ἀκούειν ἐμοῦ καταλέγοντος· τὸ γὰρ τρίτον περὶ δικαιοσύνης βιβλίον ἐστὶ πανταχόθεν λαβεῖν. ὅταν οὖν αὖθις ὦ φίλε μηδὲν ἀγαθὸν λέγουσι, μηδενὸς ἀγαθοῦ μεῖζον εἶναι, μὴ δὲ ἔλαττον, ἀλλὰ ἴσον τῷ τέλει τὸ μὴ τέλος, οὐ ταῖς κοιναῖς μόνον ἐννοίαις, ἀλλὰ καὶ τοῖς αὐτῶν λόγοις φαίνονται μαχόμενοι. καὶ πάλιν εἰ δυοῖν, καὶ κοινῶς ὑφ᾽ οὗ μὲν γινόμεθα χείρονες, ὅταν παραγένηται· τὸ δὲ βλάπτειν μὲν, οὐ ποιεῖ δὲ χείρονας, μὴ δὲ κακίονα βλάβην, τὴν κακίονας ἡμᾶς ἀποτελοῦσαν. ἀλλ᾽ ὁμολογεῖ μὲν Χρύσιππος εἶναι τινὰς φόβους, καὶ λύπας, καὶ ἀπάτας. αἳ βλάπτουσι μὲν ἡμᾶς, χείρονας δὲ οὐ ποιοῦσιν. ἔντυχε δὲ τῷ πρώτῳ τῶν πρὸς Πλάτωνα γεγραμμένων περὶ δικαιοσύνης. καὶ γὰρ ἄλλων ἕνεκα, τὴν ἐκεῖ τοῦ ἀνδρὸς εὑρεσιολογίαν ἄξιον ἱστορῆσαι, πάντων ἁπλῶς πραγμάτων, καὶ δογμάτων οἰκείων ὁμοῦ, καὶ ἀλλοτρίων ἀπιδοῦσαν παρὰ τὴν ἔννοιαν. ἔστι δύο τέλη καὶ σκοποὺς προκεῖσθαι τοῦ βίου, καὶ μὴ πάντων ὅσα πράττομεν ἐφ᾽ ἕν τινι γίνεσθαι τὴν ἀναφοράν. ἔτι δὲ μᾶλλόν ἐστι παρὰ τὴν ἔννοιαν, ἄλλο μὲν εἶναι τέλος. ἐπ᾽ ἄλλο δὲ τῶν πραττομένων ἕκαστον ἀναφέρεσθαι. τούτων δὲ αὐτοὺς ὑπομένειν ἀνάγκη θάτερον. εἰ γὰρ αὐτὰ μὲν τὰ πρῶτα κατὰ φύσιν

ἀγαθὰ μή ἐστιν, ἡ δὲ εὐλόγιστος ἐκλογὴ καὶ λῆψις αὐτῶν, καὶ τὸ πάντα τὰ παρ᾽ ἑαυτὸν ποιεῖν ἕκαστον, ἕνεκα τοῦ τυγχάνειν τῶν πρώτων κατὰ φύσιν, ἐπ᾽ ἐκεῖνο δὲ πάντα ἔχειν τὰ πραττόμενα τὴν ἀναφοράν, τὸ τυγχάνειν τῶν πρώτων κατὰ φύσιν. εἴπερ γὰρ οἴονται μὴ στοχαζομένους μὴ δὲ ἐφιεμένους τοῦ τυχεῖν ἐκείνων τὸ τέλος ἔχειν, ἄλλο οὗ δεῖ ἕνεκα ἀναφέρεσθαι τὴν τούτων ἐκλογήν, καὶ μὴ ταῦτα. τέλος μὲν γὰρ, τὸ ἐκλέγεσθαι, καὶ λαμβάνειν ἐκεῖνα φρονίμως. ἐκεῖνα δὲ αὐτὰ, καὶ τὸ τυγχάνειν αὐτῶν, οὐ τέλος, ἀλλ᾽ ὥσπερ ὕλη τις ὑπόκειται τὴν ἐκλεκτικὴν ἀξίαν ἔχουσα, τοῦτο γὰρ οἶμαι καὶ τοὔνομα λέγειν, καὶ γράφειν αὐτοὺς ἐνδεικνυμένους τὴν διαφοράν, ἀνδρικῶς μὲν ἀπομεμνημόνευκας. καὶ ὃ λέγουσι καὶ ὡς λέγουσι. σκόπει δὲ ὅτι ταὐτὸ πάσχουσι. τοῖς τὴν σκιὰν ὑπεράλλεσθαι τὴν ἑαυτῶν ἐφιεμένοις. οὐ γὰρ ἀπολείπουσιν, ἀλλὰ συμμεταφέρουσι τὴν ἀτοπίαν τῷ λόγῳ πορρωτάτω τῶν ἐννοιῶν ἀφισταμένην. ὡς γὰρ εἰ τοξεύοντα φαίη τις οὐχὶ πάντα ποιεῖν τὰ παρ᾽ αὐτὸν ἕνεκα τοῦ βαλεῖν τὸν σκοπόν, ἀλλ᾽ ἕνεκα τοῦ πάντα ποιῆσαι τὰ παρ᾽ αὐτόν, αἰνίγμασιν ὅμοια, καὶ τεράστια δόξειεν ἂν περαίνειν. οὕτως οἱ τριπέμπελοι βιαζόμενοι μὴ τὸ τυγχάνειν τῶν κατὰ φύσιν τοῦ στοχάζεσθαι τῶν κατὰ φύσιν εἶναι τέλος. ἀλλὰ τὸ λαμβάνειν τὸ ἐκλέγεσθαι, μὴ δὲ τὴν ἔφεσιν τῆς ὑγείας καὶ δίωξιν εἰς τὸ ὑγιαίνειν ἑκάστῳ τελευτᾶν, ἀλλὰ τοὐναντίον τὸ ὑγιαίνειν αὐθὶ τὴν ἔφεσιν αὐτοῦ καὶ δίωξιν ἀναφέρεσθαι περιπάτους τινάς, καὶ ἀναφωνήσεις· καὶ τομὰς νὴ Δία, καὶ φαρμακίας εὐλογίστους, τέλη ποιούμενοι τῆς ὑγείας· οὐχὶ τούτων ἐκείνην, ὅμοια ληροῦσι τῷ λέγοντι· δειπνῶμεν ἵνα θύωμεν, ἵνα λουώμεθα. μᾶλλον δὲ ἐκεῖνο εἰωθός τι, καὶ νενομισμένον ἀλλάττον, καὶ πάντα τὴν τάξιν, ἃ οὗτοι λέγουσι, τὴν πᾶσαν ἔχει τῶν πραγμάτων ἀνατροπὴν καὶ σύγχυσιν. οὐ σπουδάζομεν εὐκαίρως περιπατεῖν ἕνεκα τοῦ πέττειν τὴν τροφήν, ἀλλ᾽ ἕνεκα τοῦ περιπατεῖν εὐκαίρως, ἢ που καὶ τὴν ὑγείαν ἡ φύσις, τοῦ ἐλλεβόρου χάριν πεποίηκεν, οὐ τῆς ὑγείας τὸν ἐλλέβορον. τί γὰρ ἄλλο καταλείπεται αὐτοῖς εἰς ὑπερβολὴν παραδοξολογίας, ἢ τοιαῦτα λαβεῖν; τί γὰρ διαφέρει τοῦ λέγοντος γεγονέναι τὴν ὑγείαν τῶν φαρμάκων ἕνεκα, μὴ τὰ φάρμακα τῆς ὑγείας; ὁ τὴν ἐκλογὴν τὴν περὶ τὰ φάρμακα καὶ σύνθεσιν καὶ χρῆσιν αὐτῶν, αἱρετωτέραν ποιῶν τῆς ὑγείας, μᾶλλον δὲ τὴν μὲν, οὐδ᾽ ὅλως αἱρετὸν ἡγούμενος, ἐν δὲ τῇ περὶ

ἐκεῖνα

φιεμενοισ. l.

ἐκεῖνα πραγματείᾳ τὸ τέλος τιθέμενος, καὶ τὴν ἔφεσιν ἀποφαίνων τῆς τεύξεως, οὐ τῆς ἐφέσεως τὴν τεῦξιν. τῇ γὰρ ἐφέσει νὴ Δία τὸ εὐλογίστως, καὶ τὸ φρονίμως πρόσεστι. πάνυ μὲν οὖν φήσομεν ἂν πρὸς τέλος ὁρᾶν τὴν τεῦξιν, ὧν διώκει καὶ τὴν κτῆσιν, εἰ δὲ μή, τὸ εὐλόγιστον αὐτῆς ἀφαιρεῖται, πάντα ποιήσης ἕνεκα τοῦ τυχεῖν οὗ τυχεῖν, οὐ σεμνὸν οὐδὲ μακάριόν ἐστι

ἐνταῦθα λόγου γεγόναμεν, πᾶν φαίης μᾶλλον εἶναι παρὰ τὴν ἔννοιαν, ἢ τὸ μὴ λαβόντας ἔννοιαν ἀγαθοῦ δὲ μὴ ἔχοντας, ἐφίεσθαι τοῦ ἀγαθοῦ, καὶ διώκειν. ὁρᾷς γὰρ, ὅτι καὶ Χρύσιππος εἰς ταύτην μᾶλλον συνελαύνει τὸν Ἀρίστωνα τὴν ἀπορίαν, ὡς τῶν πραγμάτων τὴν πρὸς τὸ μήτε ἀγαθόν, μήτε κακὸν ἀδιαφορίαν ἐπινοῆσαι, τοῦ ἀγαθοῦ, καὶ τοῦ κακοῦ μὴ προεπινοηθέντων, οὕτως γὰρ αὐτῆς φανεῖσθαι τὴν ἀδιαφορίαν προϋφισταμένην, εἰ νόησιν μὲν αὐτῆς οὐκ ἔστι λαβεῖν, μὴ πρότερον τοῦ ἀγαθοῦ νοηθέντος ἄλλο δὲ οὐδέν, ἀλλ᾽ αὐτὸ μόνον τὸ ἀγαθόν ἐστιν. ἴθι δέ, καὶ σκόπει τὴν ἐκ τῆς στοᾶς ταύτην ἀρνουμένην ἀδιαφορίαν, καλουμένην δὲ ὁμολογίαν, ὅπως δὴ καὶ ὁπόθεν παρέσχεν αὐτὸν ἀγαθὸν νοηθῆναι. εἰ γὰρ τοῦ ἀγαθοῦ χωρὶς οὐκ ἔστι νοῆσαι τὴν πρὸς τὸ μὴ ἀγαθὸν ἀδιαφορίαν, ἔτι μᾶλλον ἡ τῶν ἀγαθῶν φρόνησις ἐπίνοιαν αὐτοῖς οὐ δίδωσι τοῖς ἀγαθὸν προεννοήσασιν, ἀλλ᾽ ὥσπερ ὑγιεινῶν, καὶ νοσερῶν τέχνης οὐ γίνεται νόησις, οἷς μὴ πρότερον αὐτῶν ἐκείνων γέγονεν, οὕτως ἀγαθῶν, καὶ κακῶν ἐπιστήμης οὐκ ἔστιν ἔννοιαν λαβεῖν. μὴ τἀγαθὰ, καὶ τὰ κακὰ προεννοήσαντας. τί οὖν ἀγαθόν ἐστιν οὐδέν, ἀλλ᾽ ἡ φρόνησις. τί δὲ ἡ φρόνησις οὐδέν, ἀλλ᾽ ἢ ἀγαθῶν ἐπιστήμη, πολὺς οὖν, ὁ Διὸς Κόρινθος ἐνταῦθα τὸν λόγον αὐτῶν ἀφιᾶται, τὴν γὰρ ὑπέρου περιτροπήν, ἵνα μὴ σκώπτειν δοκῇς, ἔασον καίτοι τόν γε λόγον αὐτῶν, ὅμοιον ἐκείνῳ πάθος κατείληφε. φαίνεται γὰρ εἰς τὴν τοῦ ἀγαθοῦ νόησιν, αὐτὴν νοῆσαι δεόμενος. φρόνησιν ἐν τῇ περὶ τἀγαθὸν ζητῶν νοήσει, καὶ παρὰ τῆς ἑτέρας ἀναγκαζόμενος ἀεὶ τὴν ἑτέραν διώκειν, ἀναλειπόμενος δὲ ἑκατέρᾳ τῷ πρὸ αὐτῆς νοουμένῳ δεῖσθαι, τοῦ χωρὶς νοηθῆναι μὴ δυναμένου, καὶ κατ᾽ ἄλλον δὲ τρόπον ἐστί, τὴν οὐκ ἔτι διαστροφήν, ἀλλὰ ἐκστροφὴν αὐτῶν τοῦ λόγου, καὶ ἀπαγωγὴν τελέως εἰς τὸ μηδὲν καταμαθεῖν. οὐσίαν τἀγαθοῦ τίθενται τὴν εὐλόγιστον ἐκλογὴν κατὰ φύσιν. ἐκλογὴ δὲ οὐκ ἔστιν εὐλόγιστος ἡ πρός τι γενομένη τέλος, ὡς προείρηται. τί οὖν τοῦτό ἐστιν; οὐδὲν ἄλλο φασίν, ἢ τὸ εὐλογιστεῖν ἐν ταῖς τῶν κατὰ φύσιν ἐκλογαῖς. πρῶτον μὲν οὖν οἴχεται, καὶ διαπέφευγεν ἡ ἔννοια τοῦ ἀγαθοῦ. τὸ γὰρ εὐλογιστεῖν ἐν ταῖς ἐκλογαῖς, σύμπτωμα δήπουθέν ἐστι γινόμενον, ἀπὸ ἕξεως τῆς εὐλογιστίας. διὸ ταύτην μὲν ἀπὸ τοῦ τέλους. τὸ τέλος δὲ οὐκ ἄνευ ταύτης ἀναγκαζόμενοι νοεῖν. ἀπολειπόμεθα τῆς ἀμφοῖν νοήσεως, ἔπειτα ὃ μεῖζόν ἐστι τῷ δικαιοτάτῳ λόγῳ, τὴν εὐλόγιστον ἐκλογήν, ἀγαθῶν ἔδει καὶ ὠφελίμων, καὶ συνεργῶν πρὸς τὸ τέλος ἐκλογὴν εἶναι. τὸ γὰρ ἐκλέγεσθαι τὰ μήτε συμφέροντα, μήτε τίμια, μήτε ὅλως αἱρετά, πῶς εὐλόγιστόν ἐστιν; ἔστω γάρ, ὡς αὐτοὶ λέγουσιν εὐλόγιστος ἐκλογὴ τῶν ἀξίαν ἐχόντων, πρὸς τὸ εὐδαιμονεῖν, ὅρα τοίνυν, ὡς εἰς πάγκαλόν τι, καὶ σεμνὸν αὐτοῖς ὁ λόγος ἐξήκει κεφάλαιον, ἔστι γὰρ ὡς ἔοικε τέλος κατ᾽ αὐτοὺς τὸ εὐλογιστεῖν ἐν τῇ ἐκλογῇ τῶν ἀξίαν ἐχόντων πρὸς τὸ εὐλογιστεῖν, ἀλλ᾽ οὕτω σοὶ μὲν ἀκούοντι τῶν ὀνομάτων, ἀλλόκοτόν τι φαίνεται δεινῶς ὦ ἑταῖρε τὸ φραζόμενον. ἔτι δὲ δέομαι μαθεῖν, πῶς τοῦτο συμβαίνει, προσεκτέον οὖν σοι μᾶλλον. οὐ γὰρ τοῦ τυχόντος ἐστὶν αἴνιγμα συνιέναι. ἄκουε δή, καὶ ἀποκρίνου. ἆρ᾽ οὖν τέλος ἐστὶ κατὰ τοὺς εὐλογιστεῖν ἐν ταῖς ἐκλογαῖς κατὰ φύσιν; λέγοντας οὕτως, τὰ δὲ κατὰ φύσιν τὸ πρότερον ὡς ἀγαθὰ ἐκλέγονται, ἢ ὡς ἀξίας τινὰς ἔχοντα ἢ προαγωγὰς

τοῦτο πρὸς τὸ τέλος, ἢ πρὸς ἕτερόν τι τῶν ὄντων, οὐ νομίζω, ἀλλὰ πρὸς τέλος, ἤδη τοίνυν ἀποκαλύψας, ὅρα

δὲ l.

τὸ συμβαῖνον αὐτοῖς. ὅτι τέλος ἐστὶ τὸ εὐλογιστεῖν καὶ τῆς εὐδαιμονίας οὔτε ἔ-
χειν φασὶν, οὔτε νοεῖν οἱ ἄνδρες, ἢ τὴν πολυτίμητον εὐλογιστίαν ταύτην περὶ τὰς
ἐκλογὰς τῶν ἀξίαν ἐχόντων, ἀλλὰ τοῦτο μέν εἰσιν οἱ πρὸς Ἀντίπατρον οἰόμενοι
λέγεσθαι μὴ πρὸς τὴν αἵρεσιν. ἐκεῖνον δ' ὑπὸ Καρνεάδου πιεζόμενον, εἰς ταύ-
τας καταδύεσθαι τὰς εὑρεσιολογίας. τῶν δὲ περὶ ἔρωτος φιλοσοφουμένων
ἐν τῇ στοᾷ παρὰ τὰς κοινὰς ἐννοίας, τῆς ἀτοπίας πᾶσιν αὐτοῖς μέτεστιν. αἰσχροὺς
μὲν γὰρ εἶναι τοὺς νέους, φαύλους γε ὄντας καὶ ἀνοήτους, καλοὺς δὲ τοὺς σοφούς.
ἐκείνων δὲ τῶν καλῶν μηδένα μήτε ἐρᾶσθαι μήτε ἀξιέραστον εἶναι. καὶ οὐ τοῦτό πω δεινόν.
ἀλλὰ καὶ τοὺς ἐρασθέντας αἰσχρῶν, παύεσθαι λέγουσι καλῶν γενομένων. καὶ τίς
ἔρωτα γινώσκει τοιοῦτον, ὃς ἅμα σώματος μοχθηρίᾳ, ψυχῆς βλεπομένῃ συνέ-
χεται, καὶ γίνεται. κάλλους δὲ ἅμα φρονήσει μετὰ δικαιοσύνης, καὶ σωφροσύ-
νης ἐγγινομένου, κατασβέννυται καὶ ἀπομαραίνεται, οὓς μηδὲν οἴομαι τῶν κωνώ-
πων διαφέρειν. χαίρουσι γὰρ λάμπῃ καὶ ὄξει. τὸν δὲ πότιμον καὶ χρηστὸν οἶνον ἀ-
ποπετόμενοι φεύγουσιν, ἣν δὲ λέγοντες καὶ ὀνομάζοντες ἔμφασιν κάλλους ἐπα-
γωγὸν εἶναι τοῦ ἔρωτος λέγουσι. πρῶτον μὲν οὐκ ἔχει τὸ πιθανόν. ἐν γὰρ αἰσχίστοις
καὶ κακίστοις, οὐκ ἂν ἔμφασις γένοιτο κάλλους. εἴπερ ὡς λέγουσιν ἡ μοχθηρία
τοῦ ἤθους ἀναπίμπλησι τὸ εἶδος, ἔπειτα κομιδῇ παρά τινων οἷόν ἐστιν ἀξιέραστον
εἶναι τὸν αἰσχρόν. ὅτι μέλλει καὶ προσδοκᾶταί ποτε, κάλλος ἐστὶν ἕξειν, κτησάμε-
νον δὲ τοῦτο, καὶ γενόμενον καλὸν, καὶ ἀγαθὸν, ὑπὸ μηδενὸς ἐρᾶσθαι, θήρα γάρ τι-
φασιν ἐστὶν ὁ ἔρως, ἀτελοῦς μὲν, εὐφυοῦς δὲ μειρακίου πρὸς ἀρετήν, εἶτα ὦ βέλ-
τιστε πράττομεν ἄλλο νῦν, ἢ τὴν αἵρεσιν αὐτῶν ἐλέγχομεν. οὔτε πιθανοῖς πράγ-
μασιν, οὔτε ὡμιλημένοις ὀνόμασι τὰς κοινὰς ἐκστρέφουσαν ἡμῶν, καὶ παραβι-
αζομένην ἐννοίας. οὐδεὶς γὰρ ἦν ὁ κωλύων τὴν περὶ τοὺς νέους τῶν σοφῶν σπου-
δὴν, εἰ πάθος αὐτῇ καὶ πᾶσαι νοοῦσι καὶ ὀνομάζουσι ἔρως οὐ

λεχέεσσι κληθῆναι

ῆ γυναικός· ἐν στήθεσσι περιπροχυθεὶς ἐδάμασεν, εἰς τοι-
αὖτα μέν τοι πράγματα τὸν ἠθικὸν λόγον ἐκβάλλον ἑλικτά, καὶ οὐδὲν ὑγιὲς
ἀλλὰ πᾶν πέριξ, εὐτελίζουσι καὶ διασύρουσιν ὡς δὴ μόνοι τὴν φύσιν, καὶ συνή-
θειαν ὀρθοῦντες· ᾗ χρὴ, καὶ καθίστανται τὸν λόγον· ἀλλὰ ἀποστρέφει καὶ ἐπά-
γει ταῖς ἐφέσεσι, καὶ διώξεσι, καὶ ὁρμαῖς πρὸς τὸ οἰκεῖον ἕκαστον. ἡ δὲ συνήθεια
τῆς διαλεκτικῆς ἱερὰ μὲν γινομένη, χρηστὸν μὲν οὐδὲν οὐδὲ ὑγιὲς ἀπολέλαυκεν,
ἀλλ' ὥσπερ ἡ ἀκοὴ νοσώδης ὑπὸ κενῶν ἤχων δυσηκοΐας καὶ ἀσαφείας ἐμπέ-
πλησται, περὶ ἧς αὖθις ἑτέραν ἀρχὴν λαβόντες εἰ βούλει διαλεξόμεθα, νυνὶ
δὲ τὸν φυσικὸν αὐτῶν λόγον οὐχ ἧττον τοῦ περὶ τελῶν διαταράττοντα τὰς κοινὰς προ-
λήψεις ἐν τοῖς κυριωτάτοις καὶ πρώτοις ἐπιδράμωμεν. καθόλου μὲν ἄτοπον, καὶ
παρὰ τὴν ἔννοιά ἐστιν εἶναι μέν τοι μὴ ὂν δὲ, εἶναι μὲν οὐκ ὄντα δὲ, εἶναι λεγόντων ἀτοπώτα-
τόν ἐστι, τὸ δ' ἐπὶ τοῦ παντὸς λεγόμενον. κενὸν γὰρ ἄπειρον ἔξωθεν τῷ κόσμῳ πε-
ριθέντες οὔτε σῶμα τὸ πᾶν, οὔτε ἀσώματον εἶναι λέγουσι. ἕπεται δὲ τούτῳ τὸ
μὴ ὂν εἶναι τὸ πᾶν, ὄντα γὰρ μόνα τὰ σώματα καλοῦσιν, ἐπειδὴ ὄντος ἐστὶ ποιεῖν
τί καὶ πάσχειν. τὸ δὲ πᾶν οὐκ ὄν ἐστιν. ὥστε οὔτε τι ποιήσει, οὐδέ τι πείσεται τὸ πᾶν. καὶ
ἀλλ' οὐδὲ ἐν τόπῳ ἔσται. σῶμα γὰρ δή που τὸ ἐπέχον τόπον, οὐ σῶμα δὲ τὸ πᾶν. οὐ
μὴν τὸν αὐτὸν ἐπέχειν τόπον συμβέβηκε τοῦτο τὸ μόνον, ὥστε οὐ μένει τὸ πᾶν, καὶ χώ-
γὰρ ἐπέχει τόπον, ἀλλ' οὐδὲ κινεῖται. πρῶτον, ὅτι καὶ κινουμένῳ τόπον δεῖ, καὶ χώ-
ραν ὑποκειμένην, ἔπειτα ὅτι τὸ μὴ κινούμενον, ἢ αὐτὸ κινεῖν, ἢ ὑφ' ἑτέρου πάσχειν
πέφυκε. τὸ μὲν οὖν ὑφ' ἑαυτοῦ κινούμενον, ἔχει τινὰς νεύσεις ἐξ ἑαυτοῦ, καὶ ῥοπὰς
κατὰ βάρος ἢ κουφότητα. κουφότητος δὲ καὶ βάρους, ἤτοι σχέσεις τινὲς, ἢ δυ-
νάμεις

νάμεις εἰσὶν, ἢ διαφοραὶ παντὸς σώματος, τὸ δ' ἅπαν οὐ σῶμά ἐστιν. ὥστε ἀνάγκη
μήτε βαρὺ, μήτε κοῦφον εἶναι τὸ πᾶν, μὴ δὲ ἔχειν ἐξ ἑαυτοῦ κινήσεως ἀρχήν,
ἀλλὰ μὴν, οὐδὲ ὑφ' ἑτέρου κινήσεται τὸ πᾶν. ἕτερον γὰρ οὐδέν ἐστι τοῦ παντὸς, ὥσ-
τε ἀνάγκη λέγειν αὐτοῖς ὅπερ λέγουσι μήτε μένον εἶναι τὸ πᾶν, μήτε κινούμενον.
ὅλως δὲ ἐπεὶ τὸ λέγειν σῶμα τὸ πᾶν, μὴ δέον ἐστὶ κατὰ αὐτούς. σῶμα δὲ οὐρανὸς,
καὶ γῆ καὶ ζῷα, καὶ φυτὰ, καὶ ἄνθρωποι, καὶ λίθοι. τὸ μὴ ὂν σῶμα, σώματα μέρη ἕξει.
καὶ τοῦ μὴ ὄντος μέρη ἔσται ὄντα, καὶ τὸ μὴ βαρὺ, χρήσεται βαρέσιν μέρεσι καὶ
κούφοις τὸ μὴ κοῦφον. ὧν οὐδὲ ὀνείρατα λαβεῖν μᾶλλόν ἐστι παρὰ τὰς κοινὰς ἐννοί-
ας, καὶ μὴν οὕτως οὐδὲν ἐναργές ἐστι, καὶ τῶν κοινῶν ἐχόμενον ἐννοιῶν, ὡς τὸ εἴ τι
μὴ ἔμψυχόν ἐστιν, ἐκεῖνο ἄψυχον εἶναι, καὶ πάλιν εἴ τι μὴ ἄψυχον, ἐκεῖνο ἔμψυ-
χον εἶναι, καὶ ταύτην οὖν ἀνατρέπουσι τὴν ἐνάργειαν. οὕτω τὸ πᾶν ὁμολογοῦν-
τες μήτε ἔμψυχον εἶναι, μήτε ἄψυχον. ἄνευ δὲ τούτων, ἀτελὲς μὲν οὐδεὶς νοεῖ τὸ
πᾶν, ὅ γε δὴ μηδὲν μέρος ἄπεστιν, οὗτοι δὲ τέλειον οὔ φασιν εἶναι τὸ πᾶν. ὡρισμέ-
νον γάρ τι τὸ τέλειον. τὸ δὲ πᾶν, ὑπὸ ἀπειρίας ἀόριστον. οὐκοῦν ἔστι τι κατ' αὐ-
τοὺς, ὃ μήτε ἀτελὲς, μήτε τέλειόν ἐστιν, ἀλλὰ μὴν οὔτε μέρος ἐστὶ τὸ πᾶν. οὐθενὸς γὰρ
αὐτοῦ μεῖζον, οὔτε ὅλον, ὡς αὐτοὶ λέγουσι. τεταγμένου γὰρ τὸ ὅλον κατηγορεῖ-
σθαι. τὸ δὲ πᾶν δι' ἀπειρίαν, καὶ ἀόριστον εἶναι, καὶ ἄτακτον. αἴτιον τοίνυν οὔτε τοῦ
παντὸς ἕτερόν ἐστι, τῷ μηθὲν εἶναι παρὰ τὸ πᾶν ἕτερον, οὔτε ἄλλου τὸ πᾶν, ἀλλ' οὐ-
δὲ αὐτοῦ, ποιεῖν γὰρ οὐ πέφυκε, τῷ δὲ ποιεῖν, τὸ αἴτιον νοεῖται. φέρε τοίνυν πάν-
τας ἀνθρώπους ἐρωτᾶσθαι, τί νοοῦσι τὸ μηθὲν καὶ τίνα τοῦ μηθενὸς ἐπίνοιαν λαμβάνου-
σιν, ἆρ' οὐκ ἂν εἴποιεν, ὡς τὸ μήτε αἴτιον ὑπάρχον, μήτε αἴτιον ἔχον, μήτε ὅλον,
μήτε μέρος, μήτε τέλειον, μήτε ἀτελὲς, μήτε ἔμψυχον, μήτε ἄψυχον, μήτε κινού-
μενον, μήτε μένον που, μήτε ὑπάρχον, μήτε σῶμα, μήτε ἀσώματον, τοῦτο καὶ οὐκ
ἄλλο τι τὸ οὐθέν ἐστιν; ὅταν οὖν ὅσα πάντες οἱ λοιποὶ τοῦ μηθενὸς οὗτοι μόνοι τοῦ
παντὸς κατηγοροῦσι, ταὐτὸν ὡς ἔοικε φαίνονται τῷ μηδενὶ τὸ πᾶν ποιοῦντες.
οὐθὲν οὖν ἔτι δεῖ λέγειν τὸν χρόνον, τὸ κατηγόρημα, τὸ ἀξίωμα, τὸ συνημμένον,
τὸ συμπεπλεγμένον, οἷς χρῶνται μὲν μάλιστα τῶν φιλοσόφων, ὄντα δὲ οὐ λέ-
γουσιν εἶναι, καί τοι τό γε ἀληθὲς, ὂν μὴ εἶναι, μήτε ὑπάρχειν. ἀλλὰ καταλαμ-
βάνεσθαι, καὶ καταληπτὸν εἶναι, καὶ πιστὸν, ᾧ τῆς οὐσίας τοῦ ὄντος μὴ μέτεστι. πῶς
οὖν οὐ πᾶσαν ἀτυχίαν ὑπερβέβληκεν, ἀλλὰ μὴ δοκῇ ταῦτα λογικωτέραν ἔχειν
τὴν ἀπορίαν, ἁψώμεθα τῶν φυσικωτέρων. ἐπεὶ τοίνυν Ζεὺς ἀρχὴ Ζεὺς μέσσα. Διὸς
δ' ἐκ πάντα τέτυκται ὡς αὐτοὶ λέγουσι. μάλιστα μὲν ἔδει τὰς περὶ θεῶν ἐν-
νοίας, εἰ ταραχῶδες, εἰ πλανητὸν ἐγέγονεν αὐταῖς, ἰωμένους, ἀπευθύνειν, καὶ
κατορθοῦν. εἴ πῃ τὸ βέλτιστον, εἰ δὲ μὴ, θέντας τε ἐᾶν, ὡς ἔχουσιν, ὑπὸ τοῦ νόμου
ἕκαστοι, καὶ τῆς συνηθείας πρὸς τὸ θεῖον. οὐ γάρ τι νῦν καὶ χθὲς, ἀλλ' ἀεί ποτε ζῇ
ταῦτα, καὶ οὐδεὶς οἶδεν ἐξ ὅτου φανῆ. οἱ δὲ ὥσπερ ἀφ' ἑστίας ἀρξάμενοι τὰ καθε-
στῶτα κινεῖν καὶ πάτρια τῆς περὶ θεῶν δόξης οὐδεμίαν ὡς ἁπλῶς εἰπεῖν ἔννοιαν
ὑγιῆ καὶ ἀκέραιον ἀπολελοίπασι. τίς γάρ ἐστιν ἄλλος ἀνθρώπων ἢ γέγονεν, ὃς οὐκ
ἄφθαρτον νοεῖ, καὶ ἀΐδιον τὸ θεῖον, ἐν ταῖς κοιναῖς προλήψεσιν, περὶ θεῶν ὁμο-
λογουμένως ἀναπεφώνηται μᾶλλον, ἢ τὰ τοιαῦτα, τῷ ἔνι τέρπονται, μάκα-
ρες θεοὶ ἤματα πάντα, ἀθανάτων τε θεῶν. χαμαὶ ἐρχομένων τ' ἀνθρώπων καὶ
τὸ κεῖνοι γάρ τ' ἄνοσοι καὶ ἀγήραοι. πόνων δὲ ἄπειροι. βαρυβόαν πορθμὸν πεφευ-
γότες Ἀχέροντος. καὶ ἴσως ἐντύχοι τις ἂν, ἔθνεσι βαρβάροις καὶ ἀγρίοις θεὸν
μὴ νοοῦσι θεὸν δὲ νοῶν. μὴ νοῶν δὲ ἄφθαρτον. μὴ δὲ ἀΐδιον. ἄνθρωπος οὐδὲ εἷς γέ-
γονεν, οἱ γοῦν ἄθεοι προσαγορευθέντες οὗτοι Θεόδωροι, καὶ Διαγόραι καὶ Ἵππω-
νες, οὐκ ἐτόλμησαν εἰπεῖν τὸ θεῖον ὅτι φθαρτόν ἐστιν, ἀλλ' οὐκ ἐπίστευσαν ὡς ἔστι τι

ἄφθαρτον. τοῦ μὲν ἀφθάρτου τὴν ὕπαρξιν μὴ ἀπολείποντες, τοῦ θεοῦ δὲ τὴν πρό-
ληψιν φυλάττοντες, ἀλλὰ Χρύσιππος, καὶ Κλεάνθης ἐμπεπληκότες ὡς ἔπος εἰ-
πεῖν τῷ λόγῳ θεῶν τὸν οὐρανὸν, τὴν γῆν, τὸν ἀέρα, τὴν θάλατταν οὐδένα τῶν το-
σούτων ἄφθαρτον· οὐδὲ ἀΐδιον ἀπολελοίπασι, πλὴν μόνου τοῦ Διὸς, εἰς ὃν πάν-
τας καταναλίσκουσι τοὺς ἄλλους, ὥστε καὶ τούτῳ τὸ φθείρειν προσεῖναι τοῦ
φθείρεσθαι, μὴ ἐπιεικέστερον· ἀσθενείᾳ γάρ τινι καὶ τὸ μεταβάλλον εἰς ἕτερον φθεί-
ρεται. καὶ τὸ τοῖς ἄλλοις εἰς ἑαυτὸ φθειρομένοις, τρεφόμενον σώζεται. ταῦτα δὲ,
οὐχ ὡς ἄλλα πολλὰ τῶν ἀτόπων συλλογιζόμενα ἔχειν ταῖς ὑποθέσεις αὐτῶν, καὶ
τοῖς δόγμασι ἕπεσθαι, ἀλλὰ αὐτοὶ μέγα βοῶντες ἐν τοῖς περὶ θεῶν, καὶ προ-
νοίας εἱμαρμένης τέ, καὶ φύσεως γράμμασι, διαῤῥήδην λέγουσι τοὺς θεοὺς ἅπαν-
τας εἶναι γεγονότας καὶ φθαρσομένους ὑπὸ πυρὸς τηκτοὺς κατὰ αὐτοὺς ὥσ-
περ κηρίνους, ἢ καττιτερίνους ὄντας. ἔστιν οὖν παρὰ τὴν ἔννοιαν ὡς τὸ ἄνθρωπον ἀθά-
νατον εἶναι, καὶ τὸ θεὸν θνητὸν εἶναι, μᾶλλον δὲ οὐχ ὁρῶ τίς ἔσται θεοῦ πρὸς ἄν-
θρωπον διαφορὰ εἰ καὶ ὁ θεὸς ζῶον λογικὸν, καὶ φθαρτόν ἐστιν, ἂν γ' αὖ τὸ σοφ-
ὸν τοῦτο, καὶ καλὸν ἀντιθῶσι, θνητὸν εἶναι τὸν ἄνθρωπον· οὐ θνητὸν δὲ τὸν θεὸν, ἀλλ' ἄφθαρ-
τον, ὅρα τὸ συμβαῖνον αὐτοῖς, ἢ γ' ἀθάνατον φήσουσιν ἅμα τὸν θεὸν, καὶ φθαρτὸν,
ἢ μήτε θνητὸν εἶναι, μήτε ἀθάνατον· ὧν οὐκ ἔστι, οὐδὲ πλάττοντας ἐξεπίτηδες
ἕτερα, παρὰ τὴν κοινὴν ἔννοιαν ὑπερβάλλειν τὴν ἀτοπίαν. λέγω δὲ τοὺς ἄλλους·
ἐπεὶ τούτοις γε τῶν ἀτοπωτάτων οὐδὲν ἄῤῥητον οὐδὲ ἀνεπιχείρητόν ἐστι παρει-
μένον. ἔτι τοίνυν ἐπαγωνιζόμενος ὁ Κλεάνθης τῇ ἐκπυρώσει λέγει τὴν σελήνην,
καὶ τὰ λοιπὰ ἄστρα τὸν ἥλιον ἐξομοιῶσαι
πάντα ἑαυτῷ, καὶ μεταβαλεῖν εἰς ἑαυτὸν, ἀλλ' ὅτι·
οἱ ἀστέρες θεοὶ ὄντες πρὸς τὴν ἑαυτῶν φθορὰν συνεργοῦσι τῷ ἡλίῳ συνεργοῦν-
τές τι πρὸς τὴν ἐκπύρωσιν πολὺς ἂν εἴη γέλως ἡμᾶς περὶ σωτηρίας αὐτοῖς
προσεύχεσθαι, καὶ σωτῆρας ἀνθρώπων νομίζειν· οἷς κατὰ φύσιν ἐστὶ τὸ σπεύ-
δειν ἐπὶ τὴν αὐτῶν φθορὰν καὶ ἀναίρεσιν. καὶ μὴν αὐτοί τε πρὸς τὸν Ἐπίκου-
ρον οὐδὲν ἀπολείπουσι τῶν πραγμάτων, ἰοὺ ἰού. φεῦ φεῦ βοῶντες, ὡς συγχέον-
τα τὴν τῶν θεῶν πρόληψιν, ἀναιρουμένοις τῆς προνοίας, οὐ γὰρ ἀθάνατον, καὶ μακά-
ριον μόνον, ἀλλὰ καὶ φιλάνθρωπον, καὶ κηδεμονικὸν, καὶ ὠφέλιμον προλαμβά-
νεσθαι, καὶ νοεῖσθαι τὸν θεόν. ὅπερ ἀληθές ἐστιν, εἰ δὲ ἀναιροῦσι τὴν περὶ θεοῦ πρό-
ληψιν οἱ μὴ ἀπολείποντες πρόνοιαν, τί ποιοῦσιν; οἱ προνοεῖν μὲν τοὺς θεοὺς ἡμῶν
λέγοντες, μὴ ὠφελεῖν δὲ ἡμᾶς, μὴ δὲ ἀγαθῶν εἶναι δοτῆρας. ἀλλ' ἀδιαφόρων ἀρε-
τὴν μὲν μὴ διδόντας. πλοῦτον δὲ καὶ ὑγίειαν καὶ τέκνων γενέσεις, καὶ τὰ τοιαῦτα δι-
δόντας ὧν οὐδὲν ὠφέλιμον, οὐδὲ λυσιτελὲς, οὐδὲ αἱρετὸν, οὐδὲ συμφέρον ἐστὶν, ἢ ἐκεῖ-
νοι μὲν οὐκ ἀναιροῦσι τὰς περὶ θεῶν ἐννοίας. οὗτοι δὲ καὶ προσυβρίζουσι καὶ χλευά-
ζουσιν, ἐπικάρπιόν τινα θεὸν εἶναι λέγοντες, καὶ γενέθλιον καὶ παιᾶνα, καὶ μειλίχιον,
οὐκ ὄντος ἀγαθοῦ τῆς ὑγιείας, καὶ τῆς γενέσεως οὐδὲ τῆς πολυκαρπίας, ἀλλ' ἀδια-
φόρων, καὶ ἀνωφελῶν τοῖς λαμβάνουσι. τὸ τρίτον τοίνυν τῆς περὶ θεῶν ἐννοίας
ἐστὶ, μηδενὶ τοσοῦτον τοὺς θεοὺς τῶν ἀνθρώπων διαφέρειν, ὅσον εὐδαιμονίᾳ καὶ ἀρε-
τῇ διαφέρουσιν, ἀλλὰ κατὰ Χρύσιππον οὐδὲ τοῦτο περίεστιν αὐτοῖς. ἀρετῇ τε γὰρ
οὐχ ὑπερέχειν τὸν Δία τοῦ Δίωνος ὠφελεῖσθαί τε ὁμοίως ὑπὸ ἀλλήλων τὸν Δία,
καὶ τὸν Δίωνα, σοφοὺς ὄντας. ὅταν ἕτερος θατέρου τυγχάνῃ κινουμένου. τοῦτο γάρ
ἐστιν, ὃ καὶ παρὰ θεῶν ἀγαθὸν ἀνθρώποις ὑπάρχει, καὶ θεοῖς παρὰ ἀνθρώπων σοφῶν γενο-
μένων, ἄλλο δὲ οὐ. ἀρετῇ δὲ μὴ ἀπολειπόμενον ἄνθρωπον. οὐδὲν ἀποδεῖν εὐδαιμονίας
λέγουσιν, ἀλλ' ἐπίσης εἶναι μακάριον τῷ Διὶ τῷ σωτῆρι. τὸν ἀτυχῆ διὰ νόσους, καὶ πη-
ρώσεις σώματος, ἐξάγοντα τοῦ ζῆν ἑαυτὸν εἴπερ εἴη σοφός. ἔστι γοῦν οὐδαμοῦ γῆς,
οὐδὲ

οὐδὲ γέγονεν, ἀπέραντοι δὲ μυριάδες ἀνθρώπων κακοδαιμονοῦντες ἐπ' ἄκρον, ἐν τῇ τοῦ
Διὸς πολιτείᾳ καὶ ἀρχῇ τὴν ἀρίστην ἐχούσῃ διοίκησιν, καί τοι τί μᾶλλον ἂν γένοιτο
παρὰ τὴν ἔννοιαν τὴν τοῦ Διὸς ὡς ἐν ἄριστα διοικουμένου τὰ ἡμᾶς ὡς ἐν χείριστα πράσ-
σειν; εἰ γοῦν, ὃ μηδὲ θέμις ἐστὶν εἰπεῖν ἐθελήσειε. μὴ δὲ σωτὴρ μὴ δὲ λύκειος εἶναι
μὴ δὲ ἀλεξίκακος μηδὲ τἀναντία τῶν καλῶν τούτων προσηγοριῶν οὐθέν ἐστι προσ-
θεῖναι τοῖς οὖσι κακὸν, οὔτε εἰς πλῆθος, οὔτε εἰς μέγεθος, ὡς οὗτοι λέγουσι πάντων
ἀνθρώπων ἐπ' ἄκρον ἀθλίως μοχθηρῶς βιούντων, καὶ μὴ δὲ τῆς κακίας ἐπίδο-
σιν, μὴ δὲ ὑπερβολὴν τῆς κακοδαιμονίας δεχομένης. οὐ μὴν ἐνταῦθα τὸ δεινότα-
τόν ἐστιν, ἀλλὰ Μενάνδρῳ μὲν εἰπόντι θεατρικῶς, ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κα-
κῶν τὰ λίαν ἀγαθὰ δυσκολαίνουσι. τοῦτο γὰρ εἶναι παρὰ τὴν ἔννοιαν. αὐτοὶ δὲ
τῶν κακῶν ἀρχὴν ἀγαθὸν ὄντα τὸν θεὸν ποιοῦσι. οὐ γὰρ ἥ γε ὕλη τὸ κακὸν ἐξ ἑαυτῆς
παρέσχηκεν, ἄποιος γάρ ἐστι, καὶ πάσας ὅσας δέχεται διαφορὰς ὑπὸ τοῦ κινοῦν-
τος αὐτὴν καὶ σχηματίζοντος ἔσχηκεν. εἰ δὲ αὐτὴν ὁ λόγος ἐνυπάρχων, καὶ σχη-
ματίζει, μήτε κινεῖν ἑαυτὴν μήτε σχηματίζειν πεφυκυῖαν. ὥστε ἀνάγκη τὸ κακὸν·
εἰ μὲν δι' οὐδὲν ἐκ τοῦ μὴ ὄντος εἰ δὲ διὰ τὴν κινοῦσαν ἀρχὴν ἐκ τοῦ θεοῦ γεγονὸς ὑπάρ-
χειν. καὶ γὰρ εἰ μὲν οἴονται τὸν Δία μὴ κρατεῖν τῶν ἑαυτοῦ μορῶν, μὴ δὲ χρῆσθαι
κατὰ τὸν αὐτοῦ λόγον, ἑκάστῳ παρὰ τὴν ἐπίνοιαν λέγουσι καὶ πλάττουσι. ζῷον οὗ
πολλὰ τῶν μορίων ἐκφεύγει τὴν βούλησιν· ἰδίαις ἐνεργείαις χρώμενα, καὶ πρά-
ξεσιν, αἷς τὸ ὅλον ὁρμὴν οὐ δίδωσιν, οὐδὲ κατάρχει κινήσεως. οὕτω γὰρ κακῶς συν-
τέτακται τῶν ψυχὴν ἐχόντων, ὥστε ἀβουλοῦντος αὐτοῦ προϊέναι πόδας ἢ φθέγ-
γεσθαι γλῶτταν, ἢ κέρας κυρίττειν, ἢ δάκνειν ὀδόντας ὧν ἀνάγκη τὰ πλεῖστα πά-
σχειν τὸν θεὸν εἰ παρὰ τὴν βούλησιν αὐτοῦ μέρη ὄντες οἱ φαῦλοι. ψεύδονται καὶ
ῥᾳδιουργοῦσι, καὶ τοιχωρυχοῦσι, καὶ ἀποκτιννύουσιν ἀλλήλους, εἰ δὲ, ὡς φησι Χρύ-
σιππος, οὐδὲ τοὐλάχιστόν ἐστι τῶν μερῶν ἔχειν ἄλλως, ἀλλ' ἢ κατὰ τὴν τοῦ Διὸς βού-
λησιν, ἀλλὰ πᾶν μὲν ἔμψυχον οὕτως ἵσχεσθαι καὶ οὕτω κινεῖσθαι πέφυκεν ὡς ἐ-
κεῖνος ἄγει, κἀκεῖνος ἐπιστρέφει καὶ ἴσχει καὶ διατίθησιν, ὁ δ' αὖ τ' ἐκείνου φθόγ-
γος ἐξωλέστερος· μυρία γὰρ ἦν ἐπιεικέστερον ἀσθένεια, καὶ ἀδυναμία τοῦ Διὸς ἐκβια-
ζόμενα τὰ μέρη. πολλὰ δρᾷν ἄτοπα παρὰ τὴν ἐκείνου φύσιν καὶ βούλησιν, ἢ μή-
τε ἀκρασίαν εἶναι, μήτε κακουργίαν, ἧς οὐκ ἔστιν ὁ Ζεὺς αἴτιος. ἀλλὰ μὴν τὸ νεῖκος
μὲν εἶναι πόλιν καὶ πολίτας τοὺς ἀστέρας. εἰ δὲ τοῦτο καὶ φυλέτας, καὶ ἄρ-
χοντας, δῆλον ὅτι καὶ βουλευτὴν τὸν ἥλιον, καὶ τὸν ἕσπερον πρύτανιν ἢ ἀστυνό-
μον, οὐκ οἶδα μὴ τοὺς ἐλέγχοντας τὰ τοιαῦτα τῶν λεγόντων, καὶ ἀποφαινομέ-
νων ἀποδείκνυσιν ἀτοπωτέρους, ἀλλὰ τῶν φυσικωτέρων λεγομένων. ἆρ' οὐ παρὰ
τὴν ἔννοιάν ἐστι· σπέρμα πλέον εἶναι, καὶ μεῖζον, ἢ τὸ γεννώμενον ἐξ αὐτοῦ; τὴν
γοῦν φύσιν ὁρῶμεν πᾶσι ζῴοις, καὶ φυτοῖς, καὶ ἀγρίοις ἀρχὰς τὰ μικρὰ, καὶ γλί-
σχρα, καὶ μόλις ὁρατὰ τῆς τῶν μεγίστων γενέσεως λαμβάνουσαν, οὐ γὰρ ἐκ πυροῦ
στάχυν, οὐδὲ ἄμπελον ἐκ γιγάρτου μόνον, ἀλλὰ ἐκ πυρῆνος, ἢ βαλάνου τινὸς [illegible]
διαφυγούσης. ὥσπερ ἐκ μικροῦ τινος σπινθῆρος ἐξάψασα, καὶ ῥιπίσασα τὴν γένε-
σιν, ὄρνος, ἢ βάτου, ἢ δρυὸς, ἢ φοίνικος ἢ πεύκης περιμήκιστον ἀνακλίδωσιν. ἢ καὶ
τὸ μὲν σπέρμα τὴν ἐπὶ μικρὸν ὄγκον ἐκ πολλοῦ
φασιν
σπείρασιν ὠνομάσθαι, τὴν δὲ φύσιν ἐν φύσεσιν οὖσαν, καὶ διάχυσιν τῶν ὑπ' αὐτοῦ
ἀνοιγομένων καὶ λυομένων λόγων, καὶ ἀριθμῶν, ἀλλὰ τοῦ τε κόσμου πάλιν τὸ
πῦρ ὃ σπέρμα λέγουσιν εἶναι, καὶ μετὰ τὴν ἐκπύρωσιν, εἰς σπέρμα μετέβαλε τὸν
κόσμον ἐκ βραχυτέρου σώματος, καὶ ὄγκου φύσιν ἔχοντα πολλὴν, καὶ τοῦ κενοῦ
προσεπιλαμβάνοντα χώραν ἄπλετόν ἐστι νεμομένην τῇ αὐξήσει, γεννωμένου δὲ
αὖθις ὑποχωρεῖν τὸ μέγεθος, καὶ συνολισθαίνειν. λυομένης καὶ συναγομένης

λύσιος .l.
κάκων .l.
κάκον .l.
ἐμφύσησιν .l.

περὶ τὴν γένεσιν εἰς ἑαυτὴν τῆς ὕλης. ἀκοῦσαι τοίνυν ἐστὶν αὐτῶν, καὶ γράμμασιν
ἐντυχεῖν πολλοῖς. πρὸς τοὺς ἀκαδημαϊκοὺς διαφερομένων, καὶ βοώντων, ὡς πάν-
τα πράγματα συγχέουσι ταῖς ἀπαραλλαξίαις, ἐπὶ δυοῖν οὐσιῶν ἓν ποιὸν εἶ-
ναι βιαζόμενοι. καίτοι τοῦτο μὲν οὐκ ἔστιν ὅστις ἀνθρώπων οὐ διανοεῖται. καὶ τοὐ-
ναντίον οἴεται, θαυμαστὸν εἶναι, καὶ παράδοξον, εἰ μήτε φάττα φάττῃ, μήτε με-
λίττῃ μέλιττα, μήτε πυρῷ πυρὸς, ἢ σύκῳ τὸ τοῦ λόγου σῦκον ἐν τῷ παντὶ χρόνῳ
γέγονεν ἀπαράλλακτον. ἐκεῖνα δὲ ὄντως παρὰ τὴν ἔννοιάν ἐστιν, ἃ λέγουσιν οὗτοι καὶ
πλάττουσιν, ἐπὶ μιᾶς οὐσίας δύο ἰδίως γενέσθαι ποιοὺς, καὶ τὴν αὐτὴν οὐσίαν
ἕνα ποιὸν ἰδίως ἔχουσαν, ἐπιόντος ἑτέρου δέχεσθαι καὶ διαφυλάττειν ὁμοίως ἀμ-
φοτέρους. εἰ γὰρ δύο καὶ τρεῖς, καὶ τέτταρες ἔσονται, καὶ πέντε, καὶ ὅσους οὐκ
ἄν τις εἴποι περὶ μίαν οὐσίαν, λέγω δὲ οὐκ ἐν μέρεσι διαφόροις, ἀλλὰ πάντας ὁ-
μοίως περὶ ὅλην τοὺς ἀπείρους. λέγει γοῦν χρύσιππος ἐοικέναι τῷ μὲν ἀνθρώ-
πῳ τὸν δία, καὶ τὸν κόσμον. τῇ δὲ ψυχῇ τὴν πρόνοιαν. ὅταν οὖν ἐκπύρωσις γένη-
ται, μόνον ἄφθαρτον ὄντα τὸν δία τῶν θεῶν, ἀναχωρεῖν ἐπὶ τὴν πρόνοιαν, εἶτα
ὁμοῦ γενομένους ἐπὶ μιᾶς τῆς τοῦ αἰθέρος οὐσίας διατελεῖν ἀμφοτέρους. ἀφέν-
τες οὖν ἤδη τοὺς θεοὺς καὶ προσευξάμενοι κοινὰς φρένας διδόναι, καὶ κοινὸν νοῦν,
τὰ περὶ στοιχείων πῶς ἔχει αὐτοῖς, ἴδωμεν. παρὰ τὴν ἔννοιάν ἐστι, σῶμα σώμα-
τος εἶναι τόπον, καὶ σῶμα χωρεῖν διὰ σώματος, κενὸν μηδετέρου περιέχοντος, ἀλ-
λὰ τοῦ πλήρους εἰς τὸ πλῆρες ἐνδυομένου καὶ δεχομένου τὸ ἐπιμιγνύμενον· τοῦ
διάστασιν οὐκ ἔχοντος, ἀλλὰ τοῦ πλήρους οὐδὲ χώραν ἐν αὐτῷ διὰ τὴν συνέχειαν.
οἱ δὲ οὐχ ἓν εἰς ἕν, οὐδὲ δύο, οὐδὲ τρία καὶ δέκα συνωθοῦντες, ἀλλὰ πάντα μέρη τοῦ
κόσμου κατακερματισθέντος ἐμβάλλοντες εἰς ἕν, ὅτι ἂν τύχωσι. καὶ τοὐλάχιστον
αἰσθητὸν ἐπιφάσκοντες ἐπιλήψειν ἐπιόντι τῷ μεγίστῳ νεανιεύονται. δόγμα ποιού-
μενοι τὸν ἔλεγχον ὡς ἐν ἄλλοις πολλοῖς, ἅτε δὴ μαχομένας ὑποθέσεις ταῖς ἐννοί-
αις λαμβάνοντες. αὐτίκα γοῦν τῷ λόγῳ τούτῳ πολλὰ τερατώδη καὶ ἀλλόκοτα
προσδέχεσθαι τοὺς τὰ σώματα τοῖς σώμασιν ὅλοις ὅλα κεραννύντας. ὧν ἐστι καὶ
τὸ τὰ τρία τέσσαρα εἶναι. τοῦτο γὰρ οἱ μὲν ἄλλοι λέγουσιν ἐν ὑπερβολῇ παράδειγ-
μα τῶν ἀδιανοήτων. τούτοις δὲ συμβαίνει τὸν ἕνα κύαθον τοῦ οἴνου πρὸς δύο κερα-
νύμενον ὕδατος, εἰ μέλλει μὴ ἀπολείπειν ἀλλ' ἐξισοῦσθαι, παράγοντας, ἐπὶ πᾶν
καὶ διασυγχέοντας. ἕνα ὄντα δύο ποιεῖν τῇ πρὸς δύο τῆς κράσεως ἐξισώσει. τὸ
γὰρ μένειν ἕνα καὶ δυοῖν παρεκτείνειν, καὶ ποιεῖν ἴσον τῷ διπλασίῳ, εἰ δὲ ὅπως
ἐξίκηται τῇ κράσει πρὸς τοὺς δύο, δυοῖν λαμβάνειν μέτρον ἐν τῇ διαχύσει, τοῦτο
μέτρον ἅμα, καὶ τριῶν ἐστι καὶ τεσσάρων. τριῶν μὲν, ὅτι τοῖς δύο εἷς μέμικται. τοῦτο δὲ
τεσσάρων δὲ, ὅτι δυσὶ μεμιγμένος ἴσον ἔσχηκε πλῆθος οἷς μίγνυται. τὸ τῆς περιοχῆς
συμβαίνει τὸ καλὸν αὐτοῖς. ἐμβάλλουσιν εἰς σῶμα σώματα. καὶ τὸ τῆς περιοχῆς
ἀδιανόητον. ἀνάγκη γὰρ εἰς ἄλληλα χωρούντων τῷ κεράννυσθαι μὴ θάτερον μὲν
περιέχειν. περιέχεσθαι δὲ θάτερον. καὶ τὸ μὲν, δέχεσθαι. τὸ δὲ, ἐνυπάρχειν, οὕτω
γὰρ οὐ κρᾶσις. ἁφὴ δὲ καὶ ψαῦσις ἔσται τῶν ἐπιφανειῶν. τῆς μὲν ἐντὸς ὑποδυομέ-
νης, τῆς δὲ ἐκτὸς περιεχούσης. τῶν δὲ ἄλλων μερῶν, ἀμίκτων καὶ καθαρῶν, ἐν
οἷς δὲ διαφερομένων, ἀλλὰ ἀνάγκης γινομένης. ὥσπερ ἀξιοῦσι τῆς ἀνακράσεως ἐν
ἀλλήλοις τὰ μιγνύμενα μίγνυσθαι. καὶ ταυτὸν ὁμοῦ τῷ ἐνυπάρχειν περιέχε-
σθαι καὶ τῷ δέχεσθαι περιέχειν θάτερον καὶ μηδέτερον αὖ πάλιν δυνα-
τὸν εἶναι συμβαίνῃ ἀμφότερα τῆς κράσεως δι' ἀλλήλων διιέναι. καὶ μηδὲν ἐπιλεί-
πεσθαι μηδενὸς μόριον, ἀλλὰ παντὸς ἀναπίμπλασθαι βιαζομένοις. ἐνταῦθα δὴ
τὸ θρυλλούμενον ἐν ταῖς διατριβαῖς ἀρκεσιλάου σκέλος ἥκει ταῖς ἀτοπίαις ἐπεμ-
βαῖνον αὐτῶν μετὰ γέλωτος. εἰ γάρ εἰσιν αἱ κράσεις δι' ὅλων. τί κωλύει τοῦ σκέ-

λους ἀποκοπέντος καὶ κατασαπέντος καὶ ῥιφέντος εἰς τὴν θάλατταν καὶ διαχυ-
θέντος οὐ τὸν ἀντιγόνου μόνον στόλον διεκπλεῖν, ὡς ἔλεγεν ἀρκεσίλαος, ἀλλὰ τὰς
ξέρξου χιλίας καὶ διακοσίας καὶ τὰς ἑλληνικὰς ὁμοῦ τριακοσίας τριήρεις ἐν τῷ
σκέλει ναυμαχούσας. οὐ γὰρ ἐπιλείψει δήπουθεν προϊόν. οὐδὲ παύσεται ἐν τῷ
μείζονι τοὔλαττον, ἢ πέρας ἡ κρᾶσις ἕξει. καὶ τὸ τελευταῖον αὐτῆς ἁφὴν ὅπου
λήξει ποιησάμενον, εἰς ὅλον οὐ δίεισιν, ἀλλ' ἀπαγορεύει μιγνύμενον. εἰ δὲ μεμίξε-
ται δι' ὅλων, οὐ μὰ δία τὸ σκέλος ἐν ναυμαχῆσαι παρέξει τοῖς ἕλλησιν, ἀλλὰ τοῦτο
μὲν δεῖται σήψεως καὶ μεταβολῆς, εἰ δέ τις κύαθος ἢ μία σταγὼν αὐτόθεν εἰς τὸ
αἰγαῖον ἐμπεσοῦσα πέλαγος, ἢ τὸ κρητικὸν ἀφίξεται τοῦ ὠκεανοῦ καὶ τῆς ἀτλαν-
τικῆς θαλάσσης, οὐκ ἐπιπολῆς ψαύουσα τῆς ἐπιφανείας, ἀλλὰ πάντη διὰ βάθους
εἰς πλάτος ὁμοῦ, καὶ μῆκος ἀναχεομένη καὶ ταῦτα προσδέχεται χρύσιππος εὐ-
θὺς ἐν τῷ πρώτῳ τῶν φυσικῶν ζητημάτων, οὐδὲν ἀπέχειν φάμενος οἴνου σταλαγ-
μὸν ἕνα κεράσαι τὴν θάλατταν. καὶ ἵνα δὴ μὴ τοῦτο θαυμάζωμεν, εἰς ὅλον φησὶ τὸν
κόσμον διατενεῖν τῇ κράσει τὸν σταλαγμόν, ὧν οὐκ οἶδα, τί ἂν ἀτοπώτερον φα-
νείη. καὶ μὴν παρὰ τὴν ἔννοιαν, μήτε ἄκρον ἐν τῇ φύσει τῶν σωμάτων, μήτε πρῶ-
τον, μήτε ἔσχατον μηδὲν εἶναι, εἰς ὃ λήγει τὸ μέγεθος τοῦ σώματος ἀλλ' ἀεὶ τοῦ ληφθέντος
ἐπέκεινα φαινόμενον εἰς ἄπειρον καὶ ἀόριστον ἐμβάλλειν τὸ ὑποκείμενον. οὔτε γὰρ μεῖ-
ζον, οὔτε ἔλαττον ἔσται νοεῖν ἕτερον ἑτέρου μέγεθος, εἰ τὸ προϊέναι τοῖς μέρεσιν
ἐπ' ἄπειρον ἀμφοτέροις, ὡς συμβέβηκεν, ἀλλ' ἀνισότητος αἴρεται φύσις, ἀνί-
σων γὰρ νοουμένων τὸ μὲν, προαπολείπεται τοῖς ἐσχάτοις μέρεσι, τὸ δὲ, παραλ-
λάττει καὶ περίεστι, μὴ οὔσης δὲ ἀνισότητος, ἕπεται μὴ ἀνωμαλίαν εἶναι, μηδὲ τραχύ-
τητα σώματος. ἀνωμαλία μὲν γάρ ἐστι μιᾶς ἐπιφανείας ἀνισότης πρὸς ἑαυτήν,
τραχύτης δὲ ἀνωμαλία μετὰ σκληρότητος. ὧν οὐθὲν ἀπολείπουσιν οἱ σῶμα μη-
θὲν εἰς ἔσχατον μέρος περαίνοντες, ἀλλὰ πάντα πλήθει μερῶν ἐπ' ἄπειρον ἐξά-
γοντες. καίτοι πῶς οὐκ ἐναργές ἐστι τὸν ἄνθρωπον ἐκ πλειόνων συνεστηκέναι μο-
ρίων, ἢ τὸν δάκτυλον τοῦ ἀνθρώπου, καὶ πάλιν τὸν κόσμον ἢ τὸν ἄνθρωπον. ταῦτα
γὰρ ἐπίστανται καὶ διανοοῦνται πάντες, ἂν μὴ στωϊκοὶ γένωνται, γενόμενοι δὲ στωϊ-
κοὶ, τἀναντία λέγουσι καὶ δοξάζουσιν, ὡς οὐκ ἔστιν ἐκ πλειόνων μορίων ὁ ἄνθρω-
πος ἢ ὁ δάκτυλος, οὐδὲ ὁ κόσμος ἢ ὁ ἄνθρωπος. ἐπ' ἄπειρον γὰρ ἡ τομὴ πράττει
τὰ σώματα, τῶν δὲ ἀπείρων, οὐθέν ἐστι πλέον οὐδὲ ἔλαττον, οὐδὲ ὅλως ὑπερβάλ-
λει πλῆθος, ἢ παύσεται τὰ μέρη τοῦ ὑπολειπομένου μεριζόμενα καὶ παρέχον-
τα πλῆθος ἐξ αὐτῶν, ὅτι οὖν οὐκ ἀμύνονται ταύτας τὰς ἀπορίας εὐμηχάνως
κομιδῇ καὶ ἀνδρείως. λέγει γὰρ ὁ χρύσιππος, ἐρωτωμένους ἡμᾶς, εἴ τινα ἔχο-
μεν μέρη, καὶ πόσα, καὶ ἐκ τίνων συγκείμενα μερῶν καὶ πόσων, διαστολῇ χρήσε-
σθαι. τὸ μὲν ὁλοσχερὲς τιθέντας, ὡς ἐκ κεφαλῆς, καὶ θώρακος καὶ σκελῶν συγ-
κείμενα. τοῦτο γὰρ ἦν πᾶν τὸ ζητούμενον καὶ ἀπορούμενον, ἐὰν δὲ ἐπὶ τὰ ἔσχατα
μέρη τοῦ ἐρωτᾶν προάγωσιν, οὐδέν φησι τῶν τοιούτων ἐστὶν ὑποληπτέον, ἀλλὰ ῥη-
τέον, οὔτε ἐκ τίνων συνεστάναι, καὶ ὁμοίως οὔτε ἐξ ὁπόσων, οὔτε ἀπείρων, οὔτε ἐκ
πεπερασμένων. καί μοι δοκῶ, ταῖς ἐκείνου κεχρῆσθαι λέξεσιν αὐταῖς, ὅπως συ-
νίδῃς ὃν τρόπον διεφύλαττε τὰς κοινὰς ἐννοίας κελεύων ἡμᾶς νοεῖν τῶν σωμάτων
ἕκαστον, οὔτε ἐκ τινῶν, οὔτε ἐξ ὁποσωνοῦν μερῶν, οὔτε ἐξ ἀπείρων, οὔτε ἐκ πεπερα-
σμένων συγκείμενον. εἰ μὲν γὰρ ὡς ἀγαθοῦ, καὶ κακοῦ τὸ ἀδιάφορον, οὕτω πεπερα-
σμένου τέ, καὶ ἀπείρου μέσον ἐστίν, εἰπόντα τί τοῦτό ἐστιν, ἔδει λῦσαι τὴν ἀπορί-
αν, εἰ δὲ ὡς τὸ μὴ ἴσον εὐθὺς ἄνισον. καὶ τὸ μὴ φθαρτὸν ἄφθαρτον. οὕτω τὸ μὴ πε-
περασμένον ἄπειρον νοοῦμεν. ὅμοιόν ἐστιν οἶμαι, τῷ τὸ σῶμα εἶναι μήτε ἐκ πεπερα-
σμένων, μήτε ἐξ ἀπείρων, καὶ λόγον εἶναι μήτε ἐξ ἀληθῶν λημμάτων, μήτε ἐκ

εὐθὺ δὲ κύριος ἐπινεανιευόμενος·
ψευδῶν, μή τε
φησὶ τῆς πυραμίδος ἐκ τριγώνων συνισταμένης, τὰς πλευρὰς κατὰ τὴν συναφὴν
ἐγκεκλιμένας, ἀνίσους μὲν εἶναι μὴ ὑπάρχειν δὲ ᾗ μείζονές εἰσιν, οὕτως ἐτήρει τὰς
ἐννοίας· εἰ γάρ ἐστί τι μεῖζον καὶ μὴ ὑπερέχον ἔσται τί μικρότερον καὶ μὴ ἐλλεῖπον·
ὥστε καὶ ἄνισον μήτε ὑπερέχον, μήτε ἐλλεῖπον· τουτέστιν, ἴσον τὸ ἄνισον· καὶ τὸ μεῖ-
ζον τοῦ μείζονος, οὐδὲ μικρότερον τὸ μικρότερον ἔτι τοίνυν ὅρα τίνα τρόπον ἀπήντη-
σε δημοκρίτῳ διαπορούντι φυσικῶς καὶ ἐμψύχως, εἰ κῶνος τέμνοιτο παρὰ τὴν
βάσιν ἐπιπέδῳ· τί χρὴ διανοεῖσθαι τὰς τῶν τμημάτων ἐπιφανείας, ἴσας ἢ ἀνί-
σους γινομένας· ἄνισοι μὲν γὰρ οὖσαι, τὸν κῶνον ἀνώμαλον παρέξουσι· πολλὰς ἀ-
ποχαράξεις λαμβάνοντα βαθμοειδεῖς καὶ τραχύτητας, ἴσων δὲ οὐσῶν, ἴσα τμή-
ματα ἔσται, καὶ φανεῖται τὸ τοῦ κυλίνδρου πεπονθὼς ὁ κῶνος, ἐξ ἴσων συγκεί-
μενος καὶ οὐκ ἀνίσων κύκλων, ὅπερ ἐστὶν ἀτοπώτατον· ἐνταῦθα δὴ τὸν δημόκρι-
τον ἀποφαίνων ἀγνοοῦντα τὰς μὲν ἐπιφανείας φησὶ μήτε ἴσας εἶναι, μήτε ἀνί-
σους· ἄνισα δὲ τὰ σώματα· τῷ μήτ' ἴσας εἶναι μήτε ἀνίσους τὰς ἐπιφανείας·
τὸ μὲν δὴ νομοθετεῖν τῶν ἐπιφανειῶν μὴ ἴσων οὐσῶν, τὰ σώματα συμβαίνειν ἄνισα
εἶναι, θαυμαστὸν ἐξουσίαν αὐτὰ τοῦ γράφειν, ὅτι ἂν ἐπίῃ διδόντος ἐστὶ, τοὐναντίον
γὰρ ὁ λόγος μετὰ τῆς ἐναργείας νοεῖν δίδωσι τῶν ἀνίσων σωμάτων· ἀνίσους εἶναι
τὰς ἐπιφανείας, καὶ μείζονα τὴν τοῦ μείζονος, εἴγε μὴ μέλλει τὴν ὑπεροχὴν ᾗ μεῖ-
ζόν ἐστιν ἀπεστερημένην ἐπιφανείας ἕξειν· εἰ γὰρ οὐχ ὑπερβάλλουσι τὰς τῶν ἐλατ-
τόνων ἐπιφανείας αἱ τῶν μειζόνων, ἀλλὰ προαπολείπουσιν, ἔσω σώματος πέρας οὔ-
ἔχοντος μέρος αὐτοῦ πέρατος, καὶ ἀπεράτωτον, εἰ γὰρ λέγει ὅτι βιαζόμενος περὶ τ
ὰς γὰρ ὑφορᾶται περὶ τῶν ἐπιφανειῶν ἀ-
τω
κώνου ἀναχαράξεις, ἡ τῶν σωμάτων ἀνισότης δήπουθεν οὐχ ἡ τῶν ἐπιφανειῶν ἐλεγ-
κώνου ἀναχαράξεις, ἐν τοῖς σώμασιν ἐλεγ
περγάζεται· γελοῖον οὖν τὸ τὰς ἐπιφανείας ἐξαιρούμενον ἐν τοῖς σώμασι· τί μᾶλλον
χομένην ἀπολιπεῖν ἀνωμαλίαν, ἀλλ' ἂν μένωμεν εὐθὺ τῆς ὑποθέσεως· τί μᾶλλον
ἐστι παρὰ τὴν ἔννοιαν ἢ τὰ τοιαῦτα πλάττειν; εἰ γὰρ ἐπιφάνειαν ἐπιφανείᾳ θήσο-
μεν, μήτ' ἴσην εἶναι, μήτε ἄνισον, καὶ τὸ μέγεθος ἔσται μεγέθει φάναι καὶ ἀριθμὸν
ἀριθμῷ μήτε ἴσον εἶναι μήτε ἄνισον· καὶ ταῦτα οὐκ ἀνίσου μέσον· τὸ μηδέτε-
ρόν ἐστιν οὐκ ἔχοντες εἰπεῖν, οὐδὲ νοῆσαι δυνάμενοι· ἔτι δὲ οὐσῶν ἐπιφανειῶν μήτε ἴ-
σων μήτε ἀνίσων, τί κωλύει καὶ κύκλους νοεῖσθαι, μήτε ἴσους, μήτε ἀνίσους, αὐ-
τὰ γὰρ δήπουθεν ὄντων κωνικῶν τμημάτων ἐπιφάνειαι κύκλοι εἰσίν· εἰ δὲ κύκλους,
καὶ διαμέτρους κύκλων θετέον, μήτε ἴσους μήτε ἀνίσους· εἰ δὲ τοῦτο, καὶ γωνίας
καὶ τρίγωνα καὶ παραλληλόγραμμα, καὶ παραλληλεπίπεδα καὶ σώματα, καὶ
γὰρ εἰ μήκη ἐστὶ μήτε ἴσα μήτε ἄνισα ἀλλήλοις, καὶ βάρος ἔσται καὶ πληγὴ καὶ
σώματα, εἶτα πῶς τολμῶσιν ἐπιτιμᾶν τοῖς τὰς κοινότητας εἰσάγουσι, καὶ ἀμε-
ρῆ τινα καὶ μαχόμενον, μήτε κινεῖσθαι, μήτε μένειν ὑποτιθεμένοις, αὐτοὶ τὰ τοι-
αῦτα ἀξιώματα ψευδῆ λέγοντες εἶναι, εἴ τινα μὴ ἔστιν ἴσα ἀλλήλοις· ἐκεῖνα ἄνισά
ἐστιν ἀλλήλοις· καὶ οὐκ ἔστι μὲν ἴσα ταῦτα ἀλλήλοις, οὐκ ἄνισα δέ ἐστι ταῦτα ἀλ-
λήλοις ἐπειδή φησιν εἶναί τι μεῖζον, οὐ μὴν ὑπερέχον· ἄξιον ἀπορῆσαι, πότερον
ταῦτα ἐφαρμόσει ἀλλήλοις· εἰ μὲν γὰρ ἐφαρμόσει, πῶς μεῖζόν ἐστι θάτερον· εἰ
δ' οὐκ ἐφαρμόσει, πῶς οὐκ ἀνάγκη· τὸ μὲν ὑπάρχειν, τὸ δὲ ἐλλείπειν τῷ μὴ δ' ἔτε-
ρον ὑπάρχειν καὶ οὐκ ἐφαρμόσει τῷ μείζονι, ἢ καὶ ἐφαρμόσει τὸ μεῖζον εἶναι
θάτερον, ἀνάγκη γὰρ ἐν τοιαύταις ἀπορίαις γίνεσθαι, τοὺς τὰς κοινὰς ἐννοίας
μὴ φυλάττοντας, καὶ μὴν, τὸ μηδενὸς ἅπτεσθαι μηδέν, παρὰ τὴν ἔννοιάν ἐστιν· οὐχ
ἧττον δὲ τοῦτο, ἅπτεσθαι μὲν ἀλλήλων τὰ σώματα, μηδενὶ δὲ ἅπτεσθαι· τοῦτο δὲ ἀνάγ-
κη προσδέχεσθαι τοῖς μὴ ἀπολείπουσιν ἐλάχιστα μέρη σώματος· ἀλλὰ ἔτι τοῦ σώ-

κοινῶς ἅπτεσθαι πρότερον λαμβάνουσι, καὶ μηδέποτε τοὺς προάγειν ἐπέκεινα
παυομένους· ὃ γοῦν αὐτοὶ μάλιστα προφέρουσι τοῖς τῶν ἀμερῶν προϊσταμένοις,
τοῦτό ἐστι τὸ μήτε ὅλων ἁφὴν εἶναι, μήτε μέρεσι μερῶν, τὸ μὲν γὰρ οὐχ ἁφὴν ἀλ-
λὰ κρᾶσιν ποιεῖν, τὸ δὲ, οὐκ εἶναι δυνατὸν, μέρη τῶν ἀμερῶν οὐκ ἐχόντων, πῶς οὖν
οὐκ αὐτοὶ τούτῳ περιπίπτουσι μηδὲν μέρος ἔσχατον, μηδὲ πρῶτον ἀπολιπόντες
ὅτι μὴ διαψαύειν κατὰ πέρας τὰ σώματα ὅλα ὅλων οὐκ κατὰ μέρος λέγουσι·
τὸ δὲ πέρας σῶμα οὐκ ἔστιν· ἅψεται τοίνυν σῶμα σώματος ἀσωμάτῳ, καὶ οὐκ ἅψεται
πάλιν, ἀσωμάτου μεταξὺ ὄντος· εἰ δὲ ἅψεται, καὶ ποιήσει τι, καὶ πείσεται τῷ
ἀσωμάτῳ τὸ σῶμα, ποιεῖν γάρ τι καὶ πάσχειν ὑπ' ἀλλήλων, καὶ ἅπτεσθαι τὰ σώ-
ματα πέφυκεν· εἰ δὲ ἁφὴν ἴσχει τῷ ἀσωμάτῳ τὸ σῶμα, καὶ συναφὴν ἕξει, καὶ κρᾶ-
σιν, καὶ συμφυΐαν· ἔτι γὰρ ἐν ταῖς συναφαῖς καὶ κράσεσιν, ἢ μένειν ἀναγκαῖον, ἢ
μὴ μένειν ἀλλ' ἐφθάρθαι τὰ πέρατα τῶν σωμάτων, ἑκάτερον δὲ παρὰ τὴν ἔννοιαν
ἐστί· φθορὰς μὲν γὰρ ἀσωμάτων καὶ γενέσεις οὐδὲ αὐτοὶ καταλείπουσι· κρᾶσις δὲ
καὶ συναφὴ σωμάτων ἰδίοις χρωμένων πέρασιν, οὐκ ἂν γένοιτο· τὸ γὰρ πέρας ὁ-
ρίζει καὶ ἵστησι τὴν τοῦ σώματος φύσιν· αἱ δὲ κράσεις εἰ μὴ μερῶν παρὰ μέρη πα-
ραθέσεις εἰσὶν ἀλλήλοις ὅλα τὰ κιρνάμενα συγχέουσιν· ὥσπερ οὗτοι λέγουσι· φθο-
ρὰς ἀπολειπτέον περάτων ἐν ταῖς μίξεσιν· εἶτα γενέσεις ἐν ταῖς διαστάσεσι· ταῦτα
δὲ, οὐδεὶς ἂν ῥᾳδίως νοήσειεν, ἀλλὰ μήτον καθό γε ἅπτεται τὰ σώματα ἀλλή-
λων, κατὰ τοῦτο καὶ πιέζεται καὶ θλίβεται καὶ συντρίβεται ὑπ' ἀλλήλων
ἀσώματον δὲ ταῦτα πάσχειν ἢ ποιεῖν, οὐ δυνατὸν, ἀλλ' οὐδὲ διανοητέον τοῦτο δὲ
βιάζονται νοεῖν ἡμᾶς· εἰ γὰρ ἡ σφαῖρα τοῦ ἐπιπέδου κατὰ σημεῖον ἅπτεται δῆ-
λον ὅτι καὶ σύρεται κατὰ σημεῖον διὰ τοῦ ἐπιπέδου, κἂν ἡ μίλτῳ τὴν ἐπιφά-
νειαν ἀληλιμμένην μιλτίνην ἐναπομόρξεται τῷ ἐπιπέδῳ γραμμὴν, πεπυρωμέ-
νην πυρώσει τὸ ἐπίπεδον ἀσώματον δὲ χρώζεσθαι, καὶ ἀσωμάτῳ πυροῦσθαι σῶ-
μα, παρὰ τὴν ἔννοιάν ἐστιν, ἂν δὲ δὴ κεραμέαν ἢ κρυσταλλίνην σφαῖραν εἰς ἐπίπε-
δον φερομένην πίθινον ἀφ' ὕψους νοήσωμεν, ἄλογον εἰ μὴ συντρίβησεται πλη-
γῆς πρὸς ἀντίτυπον γενομένης, ἀτοπώτερον δὲ τὸ συντριβῆναι κατὰ πέρας καὶ
σημεῖον ἀσώματον προσπεσοῦσαν, ὥστε πάντη τὰς περὶ τῶν ἀσωμάτων καὶ σω-
μάτων αὐτοῖς ταράττεσθαι προλήψεις μᾶλλον δὲ ἀναιρεῖσθαι πολλὰ τῶν ἀδυ-
νάτων παρατιθεμένοις, παρὰ τὴν ἔννοιάν ἐστι, χρόνον εἶναι μέλλοντα καὶ πα-
ρῳχημένον ἐνεστῶτα δὲ μὴ εἶναι χρόνον, ἀλλὰ τὸ μὲν ἄρτι καὶ τὸ πρώην ὑφεστάναι,
τὸ δὲ νῦν ὅλως μηδὲν εἶναι· καὶ μὴν τοῦτο συμβαίνει τοῖς στωϊκοῖς ἐλάχιστον χρό-
νον μὴ ἀπολείπουσι· μὴ δὲ τὸ νῦν ἀμερὲς εἶναι βουλομένοις, ἀλλ' ὅτι ἄν τις ὡς ἐνε-
στὼς οἴηται λαβὼν διανοεῖσθαι· τούτου τὸ μὲν μέλλον, τὸ δὲ παρῳχημένον εἶναι
φάσκουσιν· ὥστε μηδὲν κατὰ τὸ νῦν ὑπομένειν μηδὲ λείπεσθαι μόριον χρόνου
παρόντος ἂν, ὡς λέγεται παρεῖναι τούτου, τὰ μὲν εἰς τὰ μέλλοντα, τὰ δὲ, εἰς
τὰ παρῳχημένα διανέμηται· δυοῖν οὖν συμβαίνει θάτερον, ἢ τὸ ἦν χρόνος, καὶ
ἔσται χρόνος τιθέντας ἀναιρεῖν τὸ ἐστὶ χρόνος, ἢ οὐκ ἔστι χρόνος ἐνεστηκώς· οὗ τὸ μὲν, ἐνε-
στηκὸς, τὸ δὲ, ἐνστήσεται, καὶ λέγειν ὅτι τοῦ ὑπάρχοντος· τὸ μὲν μέλλον ἐστὶ, τὸ δὲ,
παρῳχημένον, καὶ τοῦ νῦν, τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον· ὥστε νῦν εἶναι τὸ μηδέπω
νῦν, καὶ τὸ μηκέτι νῦν· οὐκ ἔστι γὰρ νῦν τὸ παρῳχημένον, καὶ οὐδέ πω νῦν τὸ μέλ-
λον.
διαιροῦσι λέγειν αὐτοῖς, ὅτι καὶ τὸ
καὶ τοῦ φωτὸς τὸ μὲν, πέρυσι τὸ δὲ εἰς νέωτα. καὶ τοῦ ἅμα
καὶ τοῦ φωτὸς τὸ μὲν, πέρυσι· ἐπεὶ ἑκάτερα τούτων κινοῦσι ταῦτα πον-
τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον οὐθὲν γὰρ ἐπιεικέστερα τούτων κινοῦσι ταῦτα· οἱ δὲ ἄλλοι
ὄντες, τὸ μηδέπω καὶ τὸ ἤδη, καὶ τὸ μηκέτι, καὶ τὸ νῦν, καὶ τὸ μὴ νῦν· οἱ δὲ ἄλλοι
πάντες ἄνοι, καὶ τὸ ἄρτι, καὶ τὸ μετὰ μικρὸν, ὡς ἕτερα τοῦ νῦν μόρια, καὶ τὸ μὲν, μετὰ

τὸ νῦν. τὸ δέ, πρὸ τοῦ νῦν τίθενται καὶ νοοῦσι καὶ νομίζουσι. τούτων ἀρχέδημος
μὲν, ἀρχήν τινα καὶ συμβολὴν εἶναι λέγων, τοῦ παρῳχημένου καὶ τοῦ ἐπιφερομέ
νου τὸ νῦν, λέληθεν αὑτὸν ὡς ἔοικε τὸν πάντα χρόνον ἀναιρῶν, εἰ γὰρ τὸ νῦν ὁ χρό
νος ἐστὶν, ἀλλὰ πέρας χρόνου, πᾶν δὲ μόριον χρόνου τοιοῦτον ἦν τὸ νῦν ἐστιν, οὐδὲν
φαίνεται μέρος ἔχων ὁ σύμπας χρόνος, ἀλλ᾽ εἰ πέρατα διόλου καὶ συμβολὰς,
καὶ ὁρμὰς ἀναλυόμενος. χρύσιππος δὲ βουλόμενος φιλοτεχνεῖν περὶ τὴν διαί
ρεσιν, ἐν μὲν τῷ περὶ τοῦ κενοῦ καὶ ἄλλοις τισὶ τὸ μὲν παρῳχημένον τοῦ χρόνου, καὶ
τὸ μέλλον, οὐχ ὑπάρχειν ἀλλ᾽ ὑφεστηκέναι φησὶ, μόνον δὲ ὑπάρχειν τὸ ἐνεστὸς, ἐν δὲ
τῷ τρίτῳ καὶ τετάρτῳ καὶ πέμπτῳ, περὶ τῶν μερῶν τίθησι τοῦ ἐνεστηκότος χρό
νου, τὸ μὲν, μέλλον εἶναι, τὸ δὲ, παρεληλυθός. ὥστε συμβαίνει τὸ ὑπάρχον αὐ
τῷ τοῦ χρόνου διαιρεῖν εἰς τὰ μὴ ὑπάρχοντα τοῦ ὑπάρχοντος. μᾶλλον δὲ ὅλως τοῦ
χρόνου μηδὲν ἀπολιπεῖν ὑπάρχον. εἰ τὸ ἐνεστηκὸς οὐδὲν ἔχει μέρος, ὃ μὴ μέλλον ἐστὶν
ἢ παρῳχημένον. ἡ μὲν οὖν τοῦ χρόνου νόησις αὐτοῖς οἷον ὕδατος περίδραξις, ὅσῳ
μᾶλλον πιέζεται, διαρρέοντος, καὶ διολισθαίνοντος. τὰ δὲ τῶν πράξεων καὶ κι
νήσεων, τὴν πᾶσαν ἔχει σύγχυσιν τῆς ἐναργείας. ἀνάγκη γὰρ, εἰ τοῦ νῦν τὸ μὲν,
εἰς τὸ παρῳχημένον, τὸ δὲ, εἰς τὸ μέλλον διαιρεῖται, καὶ τοῦ κινουμένου κατὰ τὸ
νῦν. τὸ μὲν κεκινῆσθαι, τὸ δὲ, κινήσεσθαι. πέρας δὲ κινήσεως ἀνῃρῆσθαι καὶ ἀρ
χὴν, μηδενὸς ἔργου πρῶτον γεγονέναι μηδὲ ἔσχατον ἔσεσθαι μηδὲν, τῷ χρόνῳ τῶν
πράξεων συνδιανεμομένων. ὡς γὰρ τοῦ ἐνεστῶτος χρόνου τὸ μὲν παρῳχῆσθαι, τὸ
δὲ μέλλειν λέγουσιν, οὕτω τοῦ πραττομένου, τὸ μὲν πεπρᾶχθαι, τὸ δὲ πραχθήσεσθαι.
πότε τοίνυν ἔχων ἀρχὴν, πότε δ᾽ ἕξει τελευτὴν, τὸ ἀριστᾶν, τὸ γράφειν, τὸ βαδί
ζειν. εἰ πᾶς μὲν ὁ ἀριστῶν ἠρίστησε καὶ ἀριστήσει, πᾶς δὲ ὁ βαδίζων ἐβάδισε καὶ
βαδιεῖται. τὸ δὲ δεινῶν φασι, δεινότατον, εἰ τῷ ζῶντι τὸ ἐζηκέναι καὶ ζήσεσθαι συμ
βέβηκεν, οὔτε ἀρχὴν ἔχει τὸ ζῆν, οὔτε ἕξει πέρας, ἀλλ᾽ ἕκαστος ἡμῶν, ὡς ἔοικε, γέ
γονε μὴ ἀρξάμενος τοῦ ζῆν, καὶ τεθνήξεται μὴ παυσόμενος, εἰ γὰρ οὐθέν ἐστιν ἔσχα
τον μέρος, ἀλλ᾽ ἔτι τῷ ζῶντι τοῦ παρόντος εἰς τὸ μέλλον περίεστιν, οὐδέ ποτε γίνε
ται ψεῦδος τὸ ζήσεσθαι σωκράτη, ὁσάκις ἀληθὲς, τὸ ζῆν
σωκράτην ἐστὶ τοσοῦτον ψεῦδος τὸ τέθνηκε σωκράτης. ὥστε εἰ τὸ ζήσεται σωκρά
της ἀληθές ἐστιν ἐν ἀπείροις χρόνου μέρεσιν, ἐν οὐδενὶ χρόνου μέρει τὸ τέθνηκε σω
κράτης ἀληθὲς ἔσται. καίτοι τί πέρας ἂν ἔργου γένοιτο. ποῦ δὲ λήξεις τὸ πραττό
μενον ἂν ὁσάκις ἀληθές ἐστι τὸ πράττεται, τοσαυτάκις ἀληθὲς ἢ καὶ τὸ πρασ
χθήσεται. ψεύσεται γὰρ ὁ λέγων πέρας τοῦ γράφοντος καὶ διαλεγομένου πλά
τωνος, ὅτι παύσεταί ποτε πλάτων διαλεγόμενος, εἰ μηδέποτε ψεῦδός ἐστι τὸ δι
αλεχθήσεται περὶ τοῦ διαλεγομένου, καὶ τὸ γράψει περὶ τοῦ γράφοντος. ἔτι τοί
νυν τοῦ γενομένου μέρος οὐδέν ἐστιν, ὅπερ οὐκ ἤτοι γεγονός ἐστιν ἢ γενησόμενον, καὶ
παρεληλυθὸς, ἢ μέλλον, γεγονότος δὲ καὶ γεγενημένου καὶ παρῳχημένου μέλλον
τος αἴσθησις οὐκ ἔστιν οὐδενὸς ἁπλῶς αἴσθησίς ἐστιν. οὔτε γὰρ ὁρῶμεν τὸ παρῳχη
μένον ἢ τὸ μέλλον, οὔτε ἀκούομεν, οὔτε ἄλλην τινὰ λαμβάνομεν αἴσθησιν τῶν γεγο
νότων ἢ γενησομένων οὐδὲν οὐδ᾽ ἂν παρῇ τι αἰσθητόν ἐστιν, εἰ τοῦ παρόντος ἀεὶ τὸ μὲν
μέλλει, τὸ δὲ παρῴχηκε. καὶ τὸ μὲν γεγονός ἐστι, τὸ δὲ γενησόμενον. καὶ μὴν αὐτοὶ
σχέτλια ποιεῖν τὸν ἐπίκουρον λέγουσι καὶ βιάζεσθαι τὰς ἐννοίας, ἰσοταχῶς
τὰ σώματα κινοῦντα, καὶ μηδὲν ἀπολείποντα μηδενὸς ταχύτερον. πολλῷ δὲ
τούτου σχετλιώτερόν ἐστι καὶ μᾶλλον ἀπήρτηται τῶν ἐννοιῶν τὸ μηδὲν ὑπὸ μηδε
νὸς περικαταλαμβάνεσθαι, μηδ᾽ εἰ χελώνην, τὸ τοῦ λόγου φασὶ μετόπισθε διώκοι
ἀδράστου ταχὺς ἵππος, ἀνάγκη δὲ τοῦτο συμβαίνειν τῶν μὲν κινουμένων κατὰ τὸ
πρότερον, τῶν δὲ διαστημάτων ἃ διεξίασιν εἰς ἄπειρον ὄντων μεριστῶν ὥσπερ ἀξι

οῦσιν οὗτοι, εἰ γάρ. πλέθρῳ μόνον ἡ χελώνη τὸν ἵππον οἱ προ
μὲν εἰς ἄπειρον τέμνοντες ἑκάτερα δὲ κινοῦντες κατὰ τὸ πρότερον, καὶ τὸ ὕστερον),
οὐδέποτε τῷ βραδυτάτῳ προσάξουσι τὸν τάχιστον, ἀεί τι διάστημα τοῦ βραδυτέ
ρου προσλαμβάνοντος εἰς ἄπειρα διαστήματα μεριζομένου. τὸ δ᾽ ἔκ τινος φιάλης
ἢ κύλικος ὕδατος ἐκχεομένου μηδέποτε πᾶν ἐκχυθήσεσθαι, πῶς οὐ παρὰ τὴν ἐν
νοιάν ἐστιν, ἢ πῶς οὐχ ἑπόμενον οἷα οὗτοι λέγουσι. τὴν γὰρ κατὰ τὸ πρότερον τῶν
ὡς ἄπειρον μεριστῶν κίνησιν οὐκ ἄν τις νοήσειε τὸ πᾶν διεξανύουσαν, ἀλλ᾽ ἔτι μερι
στὸν ὑπολείπουσα ποιήσει πᾶσαν μὲν ἔκχυσιν, πᾶσαν δὲ ὀλίσθησιν καὶ ῥύσιν ὑ
γροῦ, καὶ φορὰν στερεοῦ, καὶ βάρους μεθειμένου πτῶσιν ἀσυντέλεστον. παρίημι δὲ
πολλὰς ἀτοπίας αὐτῶν τὰς παρὰ τὴν ἔννοιαν ἐφαπτόμενος. ὁ τοίνυν περὶ αὐ
ξήσεως λόγος ἐστὶ μὲν ἀρχαῖος. ἠρώτηται γὰρ, ὥς φησι χρύσιππος, ὑπὸ ἐπιχάρ
μου τῶν δ᾽ ἐν ἀκαδημίᾳ οἰομένων. μὴ πάνυ ῥᾴδιον, μηδ᾽ αὐτόθεν ἕτοιμον εἶναι
τὴν ἀπορίαν, πολλὰ καταιτιᾶσθαι καταβοήσαντες ὡς τὰς προλήψεις ἀναιρούντων
καὶ παρὰ τὰς ἐννοίας φυλάττουσιν, ἀλλὰ καὶ τὴν αἴσθησιν προσδιαστρέφουσιν. ὁ
μὲν γὰρ λόγος ἁπλοῦς ἐστι, καὶ τὰ λήμματα συγχωροῦσιν οὗτοι, τὰς μὲν ἐν μέρει
πάσας οὐσίας, ῥεῖν καὶ φέρεσθαι, τὰς μὲν, ἐξ αὑτῶν μεθιείσας, τὰς δὲ, ποθὲν
ἐπιόντα προσδεχομένας. οἷς δὲ πρόσεισι καὶ ἄπεισιν ἀριθμοῖς ἢ πλήθεσι, ταῦ
τα μὴ διαμένειν. ἀλλ᾽ ἕτερα γίνεσθαι ταῖς εἰρημέναις προσόδοις. ἐξαλλαγὴν τῆς οὐ
σίας λαμβανούσης, αὐξήσεις δὲ καὶ φθίσεις, οὐ κατὰ δίκην ὑπὸ συνηθείας
ἐκνενικῆσθαι τὰς μεταβολὰς ταύτας λέγεσθαι. γενέσεις δὲ καὶ φθορὰς, μᾶλλον
αὐτὰς ὀνομάζεσθαι προσήκειν. ὅτι τοῦ καθεστῶτος εἰς ἕτερον ἐκβιάζουσι. τὸ δὲ αὐ
ξεσθαι καὶ τὸ μειοῦσθαι πάθη σώματός ἐστιν ὑποκειμένου καὶ διαμένοντος, οὕτω δέ πως
τούτων λεγομένων, καὶ τιθεμένων, τί ἀξιοῦσιν οἱ πρόδικοι τῆς ἐναργείας οὗτοι
καὶ κανόνες τῶν ἐννοιῶν ἕκαστον ἡμῶν, δίδυμον εἶναι, καὶ διφυῆ, καὶ διττόν. οὐχ
ὥσπερ οἱ ποιηταὶ τοὺς μολιονίδας, οἰόμενοι ἡνωμένους μέρεσι, τοῖς δὲ ἀποκρινομέ
νους. ἀλλὰ δύο σώματα ταυτὸν ἔχοντα χρῶμα, ταυτὸν δὲ σχῆμα, ταυτὸν δὲ βάρος
καὶ τόπον. ὑπὸ μηδενὸς ἀνθρώπων
ὁρώμενα πρότερον, ἀλλὰ οὗτοι μόνοι εἶδον τὴν σύνθεσιν ταύτην καὶ διπλόην καὶ
ἀμφιβολίαν. ὡς δύο ἡμῶν ἕκαστός ἐστιν ὑποκείμενα, τὸ μὲν οὐσία, τὸ δὲ
καὶ τὸ μὲν, ἀεὶ ῥεῖ καὶ φέρεται μήτε αὐξόμενον, μήτε μειούμενον, μή
τε ὅλως οἷόν ἐστι διαμένον, τὸ δὲ διαμένει καὶ αὐξάνεται καὶ μειοῦται, καὶ πάν
τα πάσχει τἀναντία θατέρῳ συμπεφυκὸς. καὶ συνηρμοσμένον καὶ συγκεχυμέ
νον, καὶ τῆς διαφορᾶς τῇ αἰσθήσει μηδαμοῦ παρέχον ἅψασθαι, καίτοι λέγε
ται μὲν ὁ λυγκεὺς ἐκεῖνος, διὰ πέτρας καὶ διὰ δρυὸς ὁρᾶν. ἑώρα δέ τις ἀπὸ σκο
πῆς ἐν σικελίᾳ καθεζόμενος τὰς καρχηδονίων ἐκ τοῦ λιμένος ναῦς ἐκπλεούσας,
ἡμέρας καὶ νυκτὸς ἀπεχούσας δρόμον. οἱ δὲ περὶ καλλικράτη καὶ μυρμηκίδη
λέγονται δημιουργεῖν ἅρματα, μυίας πτεροῖς καλυπτόμενα, καὶ διατορεύειν ἐν
σησάμῳ γράμμασιν ἔπη τῶν ὁμήρου. ταύτην δὲ τὴν ἐν ἡμῖν ἑτερότητα καὶ φο
ρὰν, οὐδεὶς διεῖλεν οὐδὲ διέστησεν, οὔτε ἡμεῖς ᾐσθόμεθα διττοὶ γεγονότες, καὶ τῷ
μὲν, ἀεὶ ῥέοντες μέρει, τῷ δὲ ἀπὸ γενέσεως ἄχρι τελευτῆς οἱ αὐτοὶ διαμένοντες
ἀπλοῦστερ) δ᾽ ἀριθμοῦ τὸν λόγον, ἐπεὶ τέσσαρά γε ποιοῦσιν ὑποκείμενα, τὸ ἕκαστον, μᾶλ
λον δὲ τέτταρα ἕκαστον ἡμῶν. ἀρκεῖ δὲ καὶ τὰ δύο πρὸς τὴν ἀτοπίαν, εἴ γε τοῦ μὲν πενθέως
ἀκούοντες ἐν τῇ τραγῳδίᾳ λέγοντος, ὡς δύο μὲν ἡλίους ὁρᾷ, διττὰς δὲ θήβας, οὐχ ὁρᾶν
αὐτὸν, ἀλλὰ παρορᾶν λέγομεν, ἐκτρεπόμενον καὶ παρακινοῦντα τοῖς λογισμοῖς. τούτοις δὲ
οὐ μίαν πόλιν, ἀλλὰ πάντας ἀνθρώπους καὶ ζῷα καὶ δένδρα πάντα καὶ σκεύη
καὶ ὄργανα, καὶ ἱμάτια διττὰ, καὶ διφυῆ τιθεμένους οὐ χαίρειν ἐῶμεν, ὡς παρανο

μεῖν ἡμᾶς μᾶλλον ἢ νοεῖν ἀναγκάζοντας. ἐνταῦθα μὲν οὖν ἴσως αὖθις συγγνω-
στὰ πλάττουσιν ἑτέρας φύσεις ὑποκειμένων, ἄλλη γὰρ οὐδεμία φαίνεται μηχανὴ
φιλονεικουμένοις σῶσαι καὶ διαφυλάξαι τὰς αὐξήσεις. ἐν δὲ τῇ ψυχῇ, τί πα-
θόντες, ἢ τίνας πάλιν ἄλλας ὑποθέσεις κοσμοῦντες, ἐνδημιουργοῦσι σωμά-
των διαφορὰς, καὶ ἰδέας ὀλίγου δέω εἰπεῖν ἀπείρους τὸ πλῆθος. οὐκ ἂν ἔχοι
τὶς εἰπεῖν. ἀλλ᾽ ὅτι τὰς κοινὰς καὶ συνήθεις ἐξοικίζοντες ἐννοίας, μᾶλλον δὲ ὅ-
λως ἀναιροῦντες καὶ διαφθείροντες ἑτέρας ἐπεισάγουσιν ἀλλοκότους, καὶ ξέ-
νας. ἄτοπον γὰρ δὴ μάλα τὰς ἀρετὰς, καὶ τὰς κακίας, πρὸς δὲ ταύταις τὰς τέ-
χνας, καὶ τὰς μνήμας πάσας, ἔτι δὲ φαντασίας, καὶ πάθη, καὶ ὁρμὰς, καὶ συγκα-
ταθέσεις σώματα ποιουμένους, ἐν μηδενὶ φάναι κεῖσθαι μηδὲ ὑπάρχειν τόπῳ
τούτοις ἕνα τὸν ἐν τῇ καρδίᾳ πόρον στιγμιαῖον ἀπολιπεῖν, ὅπου τὸ ἡγεμονικὸν, συ-
στέλλουσι τῆς ψυχῆς, ὑπὸ τοσούτων σωμάτων κατεχόμενον, ὅσον τοὺς πάνυ δο-
κοῦντας ἀφορίζειν καὶ ἀποκρίνειν ἕτερον ἑτέρου πολὺ πλῆθος διαπέφυγε.
τὸ δὲ μὴ μόνον σώματα ταῦτα ποιεῖν, ἀλλὰ καὶ ζῷα λογικὰ, καὶ ζώων τοσούτων
σμῆνος, οὐ φίλον, οὐδὲ ἥμερον, ἀλλὰ ὄχλον ἀντίστατον κακίαις εἰς τὴν ἐνδρύσαι,
καὶ τὴν συνήθειαν. οἱ δὲ, οὐ μόνον τὰς ἀρετὰς, καὶ τὰς κακίας, ζῷα εἶναι λέ-
γουσιν, οὐδὲ τὰ πάθη μόνον ὀργὰς, καὶ φθόνους, καὶ λύπας, καὶ ἐπιχαιρεκα-
κίας, οὐδὲ καταλήψεις, καὶ φαντασίας, καὶ ἀγνοίας, οὐδὲ τὰς τέχνας ζῷα
τὴν σκυτοτομικὴν τὴν χαλκοτυπικὴν, ἀλλὰ πρὸς τούτοις ἔτι καὶ τὰς ἐνεργεί-
ας σώματα καὶ ζῷα ποιοῦσι. τὸν περίπατον ζῷον, τὴν ὄρχησιν, τὴν ὑπόθεσιν, τὴν
προσαγόρευσιν, τὴν λοιδορίαν. ἕπεται δὲ τούτοις καὶ γέλωτα ζῷον εἶναι, καὶ
κλαυθμόν. εἰ δὲ ταῦτα καὶ βῆχα καὶ πταρμὸν, καὶ στεναγμὸν, πτύσιν τε πάν-
τως καὶ ἀπόμυξιν, καὶ τὰ λοιπὰ, ἔνδηλα γάρ ἐστι, καὶ μὴ δυσχεραινέτωσαν ἐπὶ
ταῦτα ἀγόμενοι τῷ κατὰ μικρὸν λόγῳ χρυσίππου μνημονεύοντες ἐν τῷ πρώ-
τῳ τῶν φυσικῶν ζητημάτων. οὕτω προσάγοντος· οὐχ ἡ μὲν νὺξ σῶμά ἐστιν, ἡ δ᾽ ἑ-
σπέρα καὶ ὁ ὄρθρος καὶ τὸ μέσον, τῆς νυκτὸς σώματα, οὐκ ἔστιν. οὐδὲ ἡ μὲν ἡμέρα
σῶμά ἐστιν. οὐχὶ δὲ καὶ ἡ νουμηνία σῶμα. καὶ ἡ δεκάτη καὶ πεντεκαιδεκάτη, καὶ ἡ
τριακὰς, καὶ ὁ μὴν, σῶμά ἐστι, καὶ τὸ θέρος, καὶ φθινόπωρον, καὶ ὁ ἐνιαυτὸς. ἀλ-
λὰ ταῦτα μὲν παρὰ τὰς κοινὰς βιάζονται προλήψεις. ἐκεῖνα δὲ ἤδη καὶ παρὰ
τὰς ἰδίας. τὸ θερμότατον περιψύξει, καὶ πυκνώσει τὸ λεπτομερέστερον γεννῶν-
τες. ἡ γὰρ ψυχὴ θερμότατόν ἐστι δήπου καὶ λεπτομερέστατον. ποιοῦσι δὲ αὐτὴν
τῇ περιψύξει, καὶ πυκνώσει τοῦ σώματος. οἷον στομώσει τὸ πνεῦμα μεταβάλλον-
τος ἐκ φυτικοῦ ψυχικὸν γενόμενον. γεγονέναι δὲ καὶ τὸν ἥλιον ἔμψυχον λέγουσι,
τοῦ ὑγροῦ μεταβάλλοντος εἰς πῦρ νοερόν. ὅρα καὶ τὸν ἥλιον διανοεῖσθαι περιψύ-
ξει γεννώμενον. ὁ μὲν οὖν ξενοφάνης διηγουμένου τινὸς ἐγχέλεις ἑωρακέναι ἐν
ὕδατι θερμῷ ζώσας. οὐκοῦν εἶπεν ἐν ψυχρῷ αὐτὰς ἑψήσομεν. τούτοις δ᾽ ἕποι-
τ᾽ ἂν, εἰ περιψύξει τὰς θερμότητας γεννῶσι, καὶ πυκνώσει κουφότητα, πάλιν
αὖ τὰς ψυχρὰς καὶ συγχύσει τὰ πυκνὰ, καὶ διακρίσει τὰ βαρέα γεννᾶν, ἀλο-
γίας τινὸς φυλάττουσιν ἀναλογίαν καὶ ——— ἐννοίας δὲ οὐσίαν αὐ-
τῆς καὶ γένεσιν, οὐ παρὰ τὰς ἐννοίας ὑποτίθενται; φαντασία γάρ τις ἡ ἔννοιά
ἐστι, φαντασία δὲ, τύπωσις ἐν ψυχῇ. ψυχῆς δὲ φύσις, ἀναθυμίασις, ἣν τυπωθῆναι
μὲν δρυπτῶδες διὰ μανότητα, δεξαμένην δὲ τηρῆσαι τύπωσιν, ἀδύνατον, ἥτε γὰρ
τροφὴ καὶ ἡ γένεσις αὐτῆς ἐξ ὑγρῶν οὖσα, συνεχῆ τὴν ἐπιφορὰν ἔχει, καὶ τὴν
ἀνάλωσιν. ἥτε πρὸς τὸν ἀέρα τῆς ἀναπνοῆς ἐπιμιξία, καινὴν ἀεὶ ποιεῖ τὴν ἀνα-
θυμίασιν ἐξισταμένην καὶ τρεπομένην, ὑπὸ τοῦ θύραθεν ἐμβάλλοντος ὀχετοῦ καὶ
πάλιν ἐξιόντος ῥεῦμα γοῦν ἄν τις μᾶλλον ὕδατος φερομένου διανοηθείη. σχήματα,
καὶ τύπους

ἑρμαῖο .l.

θερμότητι .l.

καὶ τύπους καὶ εἴδη διαφυλάττον, ἢ πνεῦμα φερόμενον ἐν τοῖς ἀτμοῖς καὶ ὑ-
γρότησιν. ἑτέρῳ δὲ ἔξωθεν ἐνδελεχῶς, οἷον ἀργῷ καὶ ἀλλοτρίῳ πνεύματι κιρνά-
μενον, ἀλλ᾽ οὕτω παρακούοντες ἑαυτῶν, ὥστε τὰς ἐννοίας ἀποκειμένας τινὰς ὁρι-
ζόμενοι νοήσεις. μνήμας δὲ νομίμους καὶ σχετικὰς τυπώσεις, τὰς δὲ ἐπιστήμας
καὶ παντάπασι πηγνύντες, ὡς τὸ ἀμετάπτωτον καὶ βέβαιον ἐχούσας. εἶτα
τούτοις ὑποτίθεσθαι βάσιν, καὶ ἕδραν, οὐσίας ὀλισθηρᾶς καὶ σκεδαστῆς, καὶ φε-
ρομένης ἀεὶ, καὶ ῥεούσης. στοιχείου γε μὴν ἔννοια καὶ ἀρχῆς, κοινὴ πᾶσιν ὡς ἔπος εἰ-
πεῖν ἀνθρώποις ἐμπέφυκεν, ὡς ἁπλοῦν, καὶ ἄκρατον εἶναι, καὶ ἀσύνθετον.
οὐ γὰρ στοιχεῖον, οὐδὲ ἀρχὴ τὸ μεμιγμένον, ἀλλ᾽ ἐξ ὧν μέμικται, καὶ μὴν οὗτοι τὸν
θεὸν ἀρχὴν ὄντα, σῶμα νοερὸν, καὶ νοῦν ἐν ὕλῃ ποιοῦντες, οὐ καθαρὸν, οὐδὲ ἁπλοῦν,
οὐδὲ ἀσύνθετον, ἀλλ᾽ ἐξ ἑτέρου, καὶ δι᾽ ἑτέρου ἀποφαίνουσι. ἡ δὲ ὕλη καθ᾽ αὑτὴν ἄ-
λογος οὖσα, καὶ ἄποιος, τὸ ἁπλοῦν ἔχει, καὶ τὸ ἀρχοειδές. ὁ θεὸς δὲ εἴπερ οὐκ ἔστιν
ἀσώματος, οὐδὲ ἄυλος, ὡς ἀρχῆς μετέσχηκε τῆς ὕλης. εἰ μὲν γὰρ ἓν, καὶ ταὐτὸν
ἡ ὕλη, καὶ ὁ λόγος, οὐκ εὖ τὴν ὕλην ἄλογον ἀποδεδώκασιν, εἰ δ᾽ ἕτερα, καὶ ἀμφοτέ-
ρων ἄν τις ὁ θεὸς εἴη ταμίας, καὶ οὐχ ἁπλοῦν, ἀλλὰ σύνθετον πρᾶγμα τῷ νοε-
ρῷ τὸ σωματικὸν ἐκ τῆς ὕλης προσειληφώς. τά γε μὴν τέσσαρα σώματα, γῆν, καὶ
ὕδωρ ἀέρα τε, καὶ πῦρ, πρῶτα στοιχεῖα προσαγορεύοντες, οὐκ οἶδα ὅπως τὰ μὲν
ἁπλᾶ, καὶ καθαρὰ, τὰ δὲ σύνθετα, καὶ μεμιγμένα ποιοῦσι. γῆν μὲν γὰρ φα-
σι, καὶ ὕδωρ, οὔτε αὐτὰ συνέχειν, οὔτε ἕτερα, πνευματικῆς δὲ μετοχῆς, καὶ πυ-
ρώδους δυνάμεως τὴν ἑνότητα διαφυλάττειν, ἀέρα δὲ καὶ πῦρ, αὑτῶν τε εἶναι δι᾽
εὐτονίαν ἑκτικά. καὶ τοῖς δυσὶν ἐκείνοις ἐγκεκραμένα, τόνον παρέχειν καὶ τὸ μό-
νιμον καὶ οὐσιῶδες. πῶς οὖν ἔτι γῆ στοιχεῖον, ἢ ὕδωρ, εἰ μήτε ἁπλοῦν, μήτε πρῶ-
τον, μήτε αὐτῷ διαρκὲς, ἀλλὰ ἐνδεὲς ἔξωθεν εἰς ἀεὶ τοῦ συνέχοντος ἐν τῷ εἶναι,
καὶ σῴζοντος. οὐδὲ γὰρ οὐσίας αὐτῶν ἐπίνοιαν ἀπολελοίπασιν, ἀλλὰ πολλὴν ἔ-
χει ταραχὴν, καὶ ἀσάφειαν οὕτως ὁ λόγος λεγόμενος τῆς γῆς.
τινὸς καθ᾽ ἑαυτὴν, εἶτα πῶς οὖσα γῆ καθ᾽ ἑαυτὴν ἀέρος δεῖται συνιστάν-
τος αὐτὴν καὶ συνέχοντος ἀλλ᾽ οὐκ ἔτι γῆ καθ᾽ ἑαυτὴν, οὐδὲ ὕδωρ, ἀλλὰ τὴν ὕλην
ὁ ἀὴρ. ὧδε μὲν συναγαγὼν, καὶ πυκνώσας, γῆν ἐποίησεν. ὧδε πάλιν δὲ διαλυθεῖ-
σαν, καὶ μαλαχθεῖσαν, ὕδωρ. οὐδέτερον οὖν τούτων στοιχεῖον, οἷς ἕτερον ἀμφοτέ-
ροις οὐσίαν καὶ γένεσιν παρέσχηκεν. ἔτι τὴν μὲν οὐσίαν, καὶ τὴν ὕλην ὑφεστάναι ταῖς
ποιότησί τι λέγουσι. καὶ σχεδὸν οὕτω τὸν ὅρον ἀποδιδόναι. τὰς δὲ ποιότητας αὖ πά-
λιν, οὕτως καὶ σώματα ποιοῦσι, ταῦτα δὲ πολλὴν ἔχει ταραχήν. εἰ μὲν γὰρ ἰδίαν
οὐσίαν αἱ ποιότητες ἔχουσι, καθ᾽ ἣν σώματα λέγονται, καὶ εἰσὶν, οὐχ ἑτέρας οὐ-
σίας δέονται, τὴν γὰρ αὐτῶν ἔχουσιν, εἰ δὲ τοῦτο μόνον αὐταῖς ὑφέστηκε τὸ κοι-
νὸν, ὅπερ οὐσίαν, οὗτοι καὶ ὕλην καλοῦσι, δῆλον ὅτι σώματος μετέχουσι, σώματα
γοῦν οὐκ εἰσί, τὸ δὲ ὑφεστὼς, καὶ δεχόμενον, διαφέρειν ἀνάγκη τῶν ἃ δέχεται, καὶ οἷς ὑ-
φέστηκεν. οἱ δὲ, τὸ ἥμισυ βλέπουσι. τὴν γὰρ ὕλην ἄποιον ὀνομάζουσι. τὰς δὲ ποιότη-
τας οὐκ ἔτι βούλονται καλεῖν ἀΰλους. καίτοι πῶς οἷόν τε σῶμα ποιότητος ἄνευ
ποιῆσαι. ποιότητα σώματος ἄνευ μὴ νοοῦντας. ὁ γὰρ συμπλέκων σῶμα πάσῃ ποι-
ότητι λόγος, οὐδενὸς ἐᾷ μὴ σύν τινι ποιότητι σώματος ἅψασθαι τὴν διάνοιαν ἢ τοί-
νυν πρὸς τὸ ἀσώματον τῆς ποιότητος μαχόμενον, μάχεσθαι καὶ πρὸς τὸ ἄποιον
τῆς ὕλης ἔοικεν ἢ θάτερον θατέρου ἀποκρίνων, ἢ ἀμφότερα χωρίζει ἀλλήλων,
ὃν δὲ τινὲς αὐτῶν προβάλλονται λόγον, ὡς ἄποιον τὴν οὐσίαν ὀνομάζοντες ⌈οὐχ
ὅτι πάσης αὐτῶν προβάλλονται λόγον, ὡς ἄποιον τὴν οὐσίαν ὀνομάζοντες⌋, οὐχ
ὅτι πάσης ἐστέρηται ποιότητος, ἀλλ᾽ ὅτι πάσας ἔχει τὰς ποιότητας μάλιστα
παρὰ τὴν ἔννοιά ἐστιν. οὐδεὶς γὰρ ἄποιον νοεῖ τὸ μηδεμιᾶς ποιότητος ἄμοιρον, οὐδὲ

μονίμοις .l.

ὑλικὸς .l.

οὗτος .l.

οὗτοι .l.

ἀπαθὲς τὸ πάντα πάσχειν ἀεὶ πεφυκός· οὐδὲ ἀκίνητον τὸ πάντη κινητόν, ἐκεῖνο δὲ
οὐ λέλυται κἂν ἀεὶ μετὰ ποιότητος ἡ ὕλη νοῆται, τὸ ἑτέραν αὐτὴν νοεῖσθαι, καὶ
διαφέρουσαν τῆς ποιότητος.

ΠΕΡΙ ΤΟΥ ΣΩΚΡΑΤΟΥΣ ΔΑΙΜΟΝΙΟΥ.

ζ ωγράφου τινὸς ὦ καφεισία
περὶ τῶν θεωμένων τοὺς γεγραμμένους πί-
νακας λόγον οὐ φαῦλον ἀκούσας ἐν εἰκόνι λελεγμένον,
ἔφη γοῦν ἐοικέναι τοὺς μὲν ἰδιώτας, καὶ ἀτέχνους θεατὰς
ὄχλον ὁμοῦ πολλοῦ ἀσπαζομένους, τοὺς δὲ κομψοὺς, καὶ
φιλοτέχνους, καθ᾽ ἕκαστον ἰδίᾳ τῶν ἐντυγχανόντων προ-
σαγορεύουσι· τοῖς μὲν γοῦν οὐκ ἀκριβὴς, ἀλλὰ τύπῳ τινὶ
γίνεται μόνον ἡ τῶν ἀποτελεσμάτων συνόψις· τοὺς δὲ,
τῇ κρίσει κατὰ μέρος τὸ ἔργον διαλαμβάνοντας, οὐδὲν ἀθέατον, οὐδὲ ἀπροσ-
φώνητον ἐκφεύγει τῶν καλῶς, ἢ τοὐναντίον γεγονότων, οἶμαι δὴ, καὶ περὶ τὰς
ἀληθινὰς πράξεις ὁμοίως τῶν μὲν ἀργοτέρων τὴν διάνοιαν ἐξαρκεῖν πρὸς ἱστο-
ρίαν· εἰ τὸ κεφάλαιον αὐτὸ, καὶ τὸ πέρας πύθοιτο τοῦ πράγματος· τῶν δὲ φιλο-
τίμων, καὶ φιλοκάλων τὸν περὶ ἀρετῆς ὥσπερ τέχνης μεγάλης ἀπεργασ-
μένον θεατὴν, τὰ καθέκαστα μᾶλλον εὐφραίνειν, τὸ μὲν τέλος πολλὰ κοινὰ πρὸς
τὴν τύχην ἔχοντος, τοῦ δὲ ταῖς αἰτίαις, καὶ τῆς
μέρους ἀγῶνας ἀρετῇ πρὸς τὰ συντυγχάνοντα, καὶ τόλμας ἐμφρο-
νας παρὰ τὰ δεινὰ καθορῶντα· καιρῷ καὶ πάθει μεμιγμένου λογισμοῦ· τού-
του δὴ τοῦ γένους τῶν θεατῶν, καὶ ὑμᾶς ὑπολαμβάνων εἶναι, δίελθέ τε τὴν πρᾶ-
ξιν ἥτις ἀπ᾽ ἀρχῆς ὡς ἐπράχθη, καὶ τοῦ λόγου.
γενέσθαι
παρόντος, ὡς ἐμοῦ μὴ δι᾽ αὖ εἰς θήβας ἐπὶ τοῦτο καταοκνήσαντος ἐλθεῖν, εἰ μὴ
καὶ νῦν ἀθηναίοις πέρα τοῦ δέοντος ἐδόκουν βοιωτίζειν· ἀλλὰ ἔδει μὲν ὦ ἀρχίδα-
με σοῦ δι᾽ εὔνοιαν οὕτω προθύμως τὰ πεπραγμένα μαθεῖν σπουδάζοντος, ἐμὲ
καὶ ἀσχολίας ὑπέρτερον θέσθαι κατὰ πίνδαρον· τὸ δεῦρο ἐλθεῖν ἐπὶ τὴν διήγη-
σιν, τὸ δὲ πρεσβείας ἀφιγμένους ἕνεκα, καὶ σχολὴν ἄγοντας ἄχρις οὗ τὰς ἀπο-
κρίσεις τοῦ δήμου λάβωμεν, ἀντιτείνειν καὶ ἀγροικίζεσθαι πρὸς εὐγνώμονα καὶ
φιλέταιρον δοκεῖν ἀνεγείρειν τὸ κατὰ βοιωτῶν ἀρχαῖον εἰς μισολογίαν ὄνει-
δος ἤδη μαραινόμενον παρὰ σωκράτη τὸν ὑμέτερον, ἡμεῖς δὲ παρὰ δυσὶ τῶν ἱε-
ρῶν σπουδάζοντες, οὔπω διεφάνημεν, ἀλλ᾽ ὅρα τοὺς παρόντας εἰ πρὸς ἀκρόασιν
τῶν πράξεων καὶ λόγων τοσούτων εὐκαίρως ἔχουσιν· οὐ γὰρ βραχὺ μῆκός ἐστι τῆς διη-
γήσεως· ἐπεὶ σὺ καὶ τοὺς λόγους προσπεριβαλέσθαι κελεύεις· ἀγνοεῖς ὦ καφι-
σία τοὺς ἄνδρας ἣ μὴν ἄξιον· εἰδέναι πατέρων ὄντων, ἀγαθῶν, καὶ πρὸς ὑμᾶς οἰ-
κείως ἐχόντων· ὁδὶ μὲν ἐστὶν ἀδελφιδοῦς θρασυβούλου λυσιθείδης· ὁδὶ δὲ τιμό-
θεος κόνωνος υἱός· οὗτοι δὲ ἀρχίνου παῖδες, οἱ δὲ ἄλλοι τῆς ἑταιρείας
τῆς ἡμετέρας πάντες, ὥστε σοι θέατρον εὔνουν καὶ οἰκείαν ἔχειν τὴν διή-
γησιν· εὖ λέγεις, ἀλλὰ τίς ἂν ὑμῖν μέτριος ἀρχὴ γένοιτο τῆς διηγήσεως, πρὸς ἃς ἴσε
πράξεις, ἡμεῖς ὦ καφεισία σχεδὸν, ὡς εἶχον αἱ θῆβαι πρὸ τῆς καθόδου τῶν φυγάδων
ἐπιστάμεθα· καὶ γοῦν, ὡς οἱ περὶ ἀρχίαν, καὶ λεοντίδην φοιβίδαν πείσαντες ἐν σπον-
δαῖς καταλαβεῖν τὴν καδμίαν· τοὺς μὲν, ἐξέβαλον, τῶν πολιτῶν, τοὺς δὲ φό-
βῳ κατεῖργον ἄρχοντες αὐτοὶ παρανόμως, καὶ βιαίως, ἔγνωμεν ἐνταῦθα τῶν
περὶ

περὶ μέλωνα καὶ πελοπίδαν, ὡς οἶσθα ἰδιόξενοι γενόμενοι, καὶ παρ᾽ ὃν χρόνον
ἔφευγον ἀεὶ συνδιατρίβοντες αὐτοῖς, καὶ πάλιν ὡς λακεδαιμόνιοι φοιβίδαν μὲν
ἐζημίωσαν, ἐπὶ τῷ τὴν καδμίαν καταλαβεῖν, καὶ τῆς εἰς ὄλυνθον στρατηγίας
ἀπέστησαν, λυσανορίδαν δὲ τρίτον αὐτὸν ἀντ᾽ ἐκείνου πέμψαντες, ἐγκρατέστερον
ἐφρούρουν τὴν ἄκραν, ἠκούσαμεν· ἔγνωμεν δὲ καὶ τὸν ἰσμηνίαν, οὐ τοῦ βελτίστου
θανάτου τυχόντα εὐθὺς ἀπὸ τῆς δίκης περὶ αὐτοῦ γενομένης· γοργίδου πάντα
τοῖς φυγάσι δεῦρο διὰ γραμμάτων ἐξαγγείλαντος, ὥστε σοι λείπεται τὰ περὶ
τὴν κάθοδον αὐτῶν τῶν φίλων, καὶ τὴν ἅλωσιν τῶν τυράννων διηγεῖσθαι, καὶ
μὴν ἐκείναις γε ταῖς ἡμέραις ὦ ἀρχίδαμε πάντες οἱ τῶν πραττομένων μετέχον-
τες, εἰώθειμεν εἰς τὴν σιμμίου συνιόντες οἰκίαν ἔκ τινος πληγῆς περὶ τὸ σκέλος
ἀναλαμβάνοντος αὐτὸν ἐντυγχάνειν μὲν ἀλλήλοις εἶχον δεήσεις, φανερῶς δὲ δια-
τρίβειν ἐπὶ λόγοις, καὶ φιλοσοφίᾳ πολλάκις ἐφελκόμενοι τὸν ἀρχίαν, καὶ τὸν
λεοντίδαν τὸν ἀνύποπτον· οὐκ ὄντα ἀλλοτρίας πανταπάσι τῆς τοιαύτης διατρι-
βῆς, καὶ γοῦν ὁ σιμμίας πολὺν χρόνον ἐπὶ τῆς ξένης γεγονὼς, καὶ πεπλανημέ-
νος ἐν ἀλλοδαποῖς ἀνθρώποις, ὀλίγῳ πρόσθεν εἰς θήβας ἀφῖκτο· μύθων δὲ παν-
τοδαπῶν, καὶ λόγων βαρβαρικῶν ὑπόπλεως ὤν· ὁπότε τυγχάνοι σχολὴν ἄγων
ὁ ἀρχίας, ἡδέως ἠκροᾶτο συγκαθεὶς μετὰ τῶν νέων, καὶ βουλόμενος ἡμᾶς ἐν λό-
γοις διάγειν μᾶλλον, ἢ προσέχειν τὸν νοῦν, οἷς ἔπραττον ἐκεῖνοι· τῆς δὲ ἡμέρας, ἐ-
κείνης ἐν ᾗ σκότους ἔδει γενομένου τοὺς φυγάδας ἥκειν κρύφα πρὸς τὸ τεῖχος,
ἀφικνεῖταί τις ἐνθένδε φερενίκου πέμψαντος ἄνθρωπος, οὐδενὶ ἢ χάρωνι τῶν
παρ᾽ ἡμῖν γνώριμος, ἐδήλου δὲ τῶν φυγάδων ὄντας δώδεκα τοὺς νεωτάτους μετὰ
κυνῶν περὶ τὸν κιθαιρῶνα θηρεύσαι ὡς πρὸς ἑσπέραν ἀφικομένους αὐτὸς δὲ
πεμφθῆναι ταῦτα προερῶν, καὶ τὴν οἰκίαν, ἐν ᾗ κρυβήσονται παρελθόντες,
ὃς παρέξειν γνωσόμενος, ὡς ἂν εἰδότες εὐθὺς ἐκεῖ βαδίζοιεν, ἀπορουμένων δὲ ἡ-
μῶν, καὶ σκοπούντων αὐτὸς ὡμολόγησεν ὁ χάρων παρέξειν· ὁ μὲν οὖν ἄνθρω-
πος ἔγνω πάλιν ἀπελθεῖν σπουδῇ πρὸς τοὺς φυγάδας· ἐμοῦ δὲ ὁ μάντις θεό-
κριτος τὴν χεῖρα πιέσας σφόδρα, καὶ πρὸς τὸν χάρωνα βλέψας προσερχόμε-
νον, οὗτος εἶπεν ὦ καφεισία φιλόσοφος οὐκ ἔστιν, οὐδὲ μετείληφε παιδείας δια-
φόρου καὶ περιττῆς ὥσπερ ἐπαμεινώνδας ὁ σὸς ἀδελφός· ἀλλ᾽ ὁρᾷς ὅτι φύσει
πρὸς τὸ καλὸν ὑπὸ τῶν νόμων ἀγόμενος, τὸ μέγιστον ὑποδύεται κίνδυνον ἑκου-
σίως ὑπὲρ τῆς πατρίδος· ἐπαμεινώνδας δὲ βοιωτῶν ἁπάντων τῶν πεπαιδευ-
σθαι πρὸς ἀρετὴν ἀξιῶν διαφέρειν, ἀμβλύς ἐστι, καὶ ἀπρόθυμος.

καὶ παρεσκευασμένῳ κα-
τοσοῦτον ἅτινα βελτίονα καιρὸν αὐτῷ πεφυκότι καὶ ... εἶπον θεόκριτε,
λῶς οὕτω χρησόμενος, κἀγὼ πρὸς αὐτὸν ὦ προθυμότατε ... ὡς οἴεται βέλ-
τὰ δεδογμένα πράττομεν ἡμεῖς, ἐπαμεινώνδας δὲ μὴ πείθων, πρὸς ἃ μὴ πέφυκε, μὴ δὲ δο-
τιον εἶναι, ταῦτα μὴ πράσσειν, εἰκότως ἀντιτείνει, καὶ πυρὸς ὑπισχνούμε-
κιμάζει παρακαλούμενος, οὐδὲ γὰρ ἰατρὸν ἄνευ σιδήρου, ἢ ἀποκαίειν βιαζόμενος
νος τὸ νόσημα παύσειν, εὐγνωμονοίης ἄν· οἶμαι τέμνειν
οὐκ οὖν καὶ οὗτος
δή που μὴ δὲ διὰ τῶν πολιτῶν
ἄκριτον, ἀλλὰ καὶ αἵματος ἐμφυλίου, καὶ
σφαγῆς τὴν πόλιν ἐλευθεροῦσι συναγωνιεῖσθαι προθύμως, ἐπεὶ δὲ οὐ πείθει τοὺς
πολλοὺς, ἀλλὰ ταύτην ὡρμήκαμεν τὴν ὁδὸν ἐᾷ αὐτὸν κελεύει φόνου καθαρὸν ὄν-
τα καὶ ἀναίτιον ἐφεστάναι τοῖς καιροῖς μετὰ τοῦ δικαίου, καὶ τοῦ συμφέροντι προσοισό-
μενον. οὐδὲ γὰρ ὅρον ἕξει τὸ ἔργον, ἀλλὰ φερένικον μὲν ἴσως, καὶ πελοπίδαν, ἐπὶ τοὺς

αἰτίους μάλιστα γένεσθαι, καὶ πονηρούς· εὐμολπίδαν δέ, καὶ σαμμιάδαν, ἀνθρώπους
διαπύρους πρὸς ὀργήν, καὶ θυμοειδεῖς ἐν νυκτὶ λαβόντας ἐξουσίαν, οὐκ ἀποθή-
σεσθαι τὰ ξίφη, πρὶν ἐμπλῆσαι τὴν πόλιν ὅλην φόνων, καὶ διαφθεῖραι πολλοὺς
τῶν διαφερόντων· ταῦτά μου διαλεγομένου πρὸς τὸν θεόκριτον διακούσαν ὁ ἀνα-
ξίδωρος ἐγγὺς γάρ.   καὶ λυσανορίδαν τὸν
σπαρτιάτην ἀπὸ τῆς καδμείας, ὥσπερ εἰς ταυτὸν ἡμῖν σπεύδοντας, ἡμεῖς μὲν
οὖν ἐπέσχομεν, ὁ δ᾽ ἀρχίας καλέσας τὸν θεόκριτον, καὶ τῷ λυσανορίδα προσα-
γαγὼν ἰδίᾳ, λαλεῖ πολὺν χρόνον ἐκνεύσας τῆς ὁδοῦ μικρὸν ὑπὸ τὸ ἀμφεῖον, ὥστε
ἡμᾶς ἀγωνιᾶν μή τις ὑπόνοια προσπέπτωκεν, ἢ μήνυσις αὐτοῖς, περὶ ἧς ἀνακρίνου-
σι τὸν θεόκριτον. ἐν τούτῳ φυλλίδας, ὃν οἶσθας ὦ ἀρχίδαμε, τότε τοῖς περὶ τὸν
ἀρχίαν πολεμαρχοῦσι γραμματεύων.   ἥξειν καὶ τῆς πράξε-
ως μετέχων· λαβόμενός μου τῆς χειρός, ὥσπερ εἰώθει, φανερῶς ἔσκωπτεν τὰ γυ-
μνάσια, καὶ τὴν πάλην· εἶτα πόρρω τῶν ἄλλων ἀπαγαγὼν ἐπυνθάνετο περὶ τῶν
φυγάδων, εἰ τὴν ἡμέραν φυλάττουσιν· ἐμοῦ δὲ φήσαντος, οὐκοῦν εἶπεν ὀρθῶς ἐγὼ
τὴν ὑποδοχὴν παρεσκεύακα σήμερον, ὡς δεξόμενος ἀρχίαν, καὶ παρέξων ἐν οἴ-
νῳ, καὶ μέθῃ τοῖς ἀνδράσιν εὐχείρωτον. ἄριστα μὲν οὖν εἶπον ὦ φυλλίδα, καὶ πει-
ράθητι πάντας, ἢ πλείους εἰς ταυτὸ τῶν ἐχθρῶν συναγαγεῖν, ἀλλ᾽ οὐ ῥᾴδιον ἔ-
φη, μᾶλλον δὲ ἀδύνατον· ὁ γὰρ ἀρχίας ἐλπίζων τινὰ τῶν ἐν ἀξιώματι γυναικῶν ἀ-
φίξεσθαι τηνικαῦτα πρὸς αὐτόν, οὐ βούλεται παρεῖναι τὸν λεοντίδην, ὥστε ἡμῖν
δίχα διαιρετέον αὐτοὺς ἐπὶ τὰς οἰκίας. ἀρχίου γὰρ ἅμα καὶ λεοντίδου προκα-
ταληφθέντων, οἶμαι τοὺς ἄλλους ἐκποδὼν ἔσεσθαι φεύγοντας, ἢ μένοντας μεθ᾽ ἡσυ-
χίας ἀγαπώντας ἄν τις διδῷ τὴν ἀσφάλειαν, οὕτω ἔφην ποιήσομεν, ἀλλά τι πρᾶγ-
μα τούτοις πρὸς θεόκριτόν ἐστιν, ὑπὲρ οὗ διαλέγονται; καὶ ὁ φυλλίδας οὐ σαφῶς
εἶπεν, οὐδὲ ὡς ἐπιστάμενος· ἤκουον δὲ σημεῖα καὶ μαντεύματα δυσχερῆ καὶ χαλε-
πὰ προστίθεσθαι τῇ σπάρτῃ.

φειδώλαος ὁ τῖος ἀπαντήσας, μικρὸν εἶ-
πεν ὑμᾶς ἐνταῦθα περιμεῖναι σιμμίας· ἐντυγχάνει γὰρ διὰ λεοντίδην περὶ ἀμ-
φιθέου παραιτούμενος μεῖναι τὸ διαπράξασθαι φυγὴν ἀντὶ θανάτου τῷ ἀνθρώ-
πῳ, καὶ θεόκριτος· εἰς καιρὸν ἔφη καὶ ὥσπερ ἐπίτηδες· καὶ γὰρ ἐβουλόμην πυθέ-
σθαι τίνα ἦν τὰ εὑρεθέντα, καὶ τίς ὅλως ἡ ὄψις τοῦ ἀλκμήνης τάφου παρ᾽ ὑμῖν
ἀνοιχθέντος· ἤδη παρεγένου καὶ αὐτός· ὅτε πέμψας ἀγησίλαος εἰς σπάρτην τὰ
λείψανα μετεκόμιζε; καὶ ὁ φειδώλαος· οὐ γὰρ ἔφη παρέτυχον καὶ πολλὰ δυσανα-
σχετῶν καὶ ἀγανακτῶν πρὸς τοὺς πολίτας ἐγκατελείφθην ὑπ᾽ αὐτῶν. εὑρέθη
σώματος
δ᾽ οὖν.
ψέλλιον δὲ χαλκοῦν οὐ μέγα, καὶ δύο ἀμφορεῖς κεράμεοι· γῆν ἔχοντες ἐντὸς ὑπὸ
χρόνου λελιθωμένων ἤδη καὶ συμπεπηγυῖαν,
πίναξ χάλκεος
τοῦ μνήματος
ἔχων· γράμματα πολλὰ θαυμαστὰ ὡς παμπάλαια· γνῶναι γὰρ ἐξ αὐτῶν οὐδὲ
παρεῖχε καίπερ ἐκφανέντα τοῦ χαλκοῦ καταπλυθέντος, ἀλλ᾽ ἴδιός τις ὁ τύ-
πος καὶ βαρβαρικὸς τῶν χαρακτήρων ἐμφερέστατος αἰγυπτίοις· διὸ καὶ ἀγησί-
λαος ὡς ἔφασαν ἐξέπεμψε ἀντίγραφα τῷ βασιλεῖ, δεόμενος δεῖξαι τοῖς ἱερεῦσιν
εἰ ξυνήσουσιν, ἀλλὰ περὶ τούτων μέν, ἴσως ἄν, ἔχοι τι καὶ σιμμίας ἡμῖν ἀπαγγεῖ-
λαι· κατ᾽ ἐκεῖνον τὸν χρόνον, πολλὰ τοῖς ἱερεῦσι διὰ φιλοσοφίαν συγγενόμενος,
ἁλιάρτιοι δὲ τὴν μεγάλην ἀφορίαν καὶ τὴν ἐπίβασιν τῆς λίμνης, οὐκ ἀπὸ ταὐτο-
μάτου γενέσθαι νομίζουσιν, ἀλλὰ μήνιμα τοῦ τάφου τοῦτον περιελθεῖν ἀνασχομένους
ὀρυττόμενον

ὀρυττόμενον, καὶ ὁ θεόκριτος μικρὸν διαλιπών· ἀλλ᾽ οὐδὲ αὐτοῖς ἔφη λακεδαιμο-
νίοις ἀμήνιτον ἔοικεν εἶναι τὸ δαιμόνιον, ὡς προδείκνυσι τὰ σημεῖα, περὶ ὧν ἀρ-
τίως λυσανορίδας ἡμῖν ἐκοινοῦτο· καὶ νῦν ἄπεισιν εἰς ἁλίαρτον ἐπιχώσων αὖθις
τὸ σῆμα, καὶ χοὰς ποιησόμενος ἀλκμήνης, καὶ ἀλέαν κατά δή τινα χρησμόν, ἀγνοῶν
τὸν ἀλέον ὅς τις ἦν ἐπανελθὼν δὲ ἐκεῖθεν, οἷός ἐστι τὸν δίρκης ἀναζητεῖν τάφον ἄ-
γνωστον ὄντα τοῖς θηβαίοις, πλὴν τῶν ἱππαρχηκότων· ὁ γὰρ ἀπαλλαττόμενος
τὸν παραλαμβάνοντα τὴν ἀρχὴν μόνος ἄγων μόνον ἐπιδείκνυσι νύκτωρ, καί τινες ἐπ᾽
αὐτῷ δράσαντες ἀπύρους ἱερουργίας ὧν τὰ σημεῖα συγχέουσι καὶ ἀφανίζουσιν
ὑπὸ σκότῳ ἀποχωροῦσι χωρισθέντες· ἐγὼ δὲ τ   μὲν ὦ φειδώλαε.

καλῶς ἐξευρήσειν αὐτοὺς νομίζων; φεύγουσι γὰρ οἱ
πλεῖστοι τῶν ἱππαρχηκότων νομίμως μᾶλλον δὲ πάντες πλὴν γοργίδου καὶ πλά-
τωνος· ὧν οὐδ᾽ ἂν ἐπιχειρήσειαν ἐκπυνθάνεσθαι δεδιότες τοὺς ἄνδρας· οἱ δὲ νῦν ἄρ-
χοντες ἐν τῇ καδμίᾳ τὸ δόρυ καὶ τὴν σφραγίδα παραλαμβάνουσιν, οὔτε εἰδότες
οὐδέν, οὔτε   ταῦτα τοῦ θεοκρί-
του λέγοντος, ὁ λεοντίδης ἐξῄει μετὰ τῶν φίλων· ἡμεῖς δὲ εἰσελθόντες ἠσπαζόμε-
θα τὸν σιμμίαν ἐπὶ τῆς κλίνης καθεζόμενον· οὐ κατατετυχότα τῆς δεήσεως οἶμαι· μά-
λα συννοῦν καὶ διαλυπησόμενον· ἀποβλέψας δὲ πρὸς ἅπαντας ἡμᾶς, ὦ ἡράκλεις
εἶπεν, ἀγρίων καὶ βαρβάρων ἠθῶν· εἶτα οὐχ ὑπὸ εὐθαλὴς ὁ παλαιὸς ἀπὸ ξέ-
νης ἐλθὼν διὰ χρόνου, τῶν φίλων ἐρωτώντων, ὅ, τι καινότατον ἱστορήκοι, τύραν-
νον ἔφη γέροντα, καὶ γὰρ ὦ μηδενὶ ἰδίᾳ συμβέβηκεν ἀδικεῖσθαι· τοῦ βαρόσ αὐτὸ
καὶ τὴν σκληρότητα τῆς ὁμιλίας δυσχεραίνων, ἐχθρός ἐστι τῶν ἀνόμων, καὶ ἀνυ-
πευθύνων δυναστειῶν· ἀλλὰ ταῦτα μὲν ἴσως θεῷ μελήσει. τὸν δὲ ξένον ἴστε τὸν ἀ-
φιγμένον ὦ καφεισία πρὸς ὑμᾶς ὅς τις ἐστίν, οὐκ οἶδα ἔφην ἐγὼ τίνα λέγεις, καὶ
μὴν ἔφη λεοντίδης ἄνθρωπον ὦφθαι παρὰ τοῦ λύσιδος μνημεῖον ἐκ νυκτῶν ἀνιστά-
μενον, ἀκολουθίας πλήθει καὶ κατασκευῇ, σοβαρόν. αὐτόθι κατηυλισμένον
ἐπὶ στιβάδων· φαίνεσθαι γὰρ ἄγνου, καὶ μυρίκης χαμεύνας. ἔτι δ᾽ ἐμπύρων λεί-
ψανα καὶ χοὰς γάλακτος ἕωθεν δὲ πυνθάνεσθαι τῶν ἀπαντώντων, εἰ τοὺς πολύμνι-
ος παῖδας ἐνδημοῦντας εὑρήσει· καὶ τί ἄν, εἶπον ὁ ξένος εἴη· περιττῷ γὰρ ἀφ᾽
ὧν λέγεις τινὶ καὶ οὐκ ἰδιώτῃ προσέοικεν· οὐ γὰρ οὖν εἶπεν ὁ φειδώλαος, ἀλλὰ τοῦτον
μὲν ὅταν ἥκῃ πρὸς ἡμᾶς δεξόμεθα· νυνὶ δὲ ὑπὲρ ὧν ἀρτίως ἠπορήμεν ὦ σιμμία
γραμμάτων, εἴ τι γινώσκεις πλέον, ἐξάγγελλον ἡμῖν· λέγονται γὰρ οἱ κατ᾽ αἴγυ-
πτον ἱερέες τὰ γράμματα συμβαλεῖν τοῦ πίνακος, ἃ παρ᾽ ἡμῶν ἔλαβεν ἀγησί-
λαος τὸν ἀλκμήνης τάφον ἀνασκευασάμενος, καὶ ὁ σιμμίας εὐθὺς ἀναμνησθεὶς;
οὐκ οἶδα, ἔφη τοῦ πίνακος τοῦτον ὦ φειδώλαε· γράμματα δὲ πολλὰ παρὰ ἀγησιλάου
κομίζων ἀγητορίδας ὁ σπαρτιάτης, ἧκεν εἰς μέμφιν ὡς χόνουφιν τὸν προφή-
την.   ᾧ τότε συμφιλοσοφοῦντες διετρίβομεν ἐγὼ καὶ πλά-
των καὶ ἐλλοπίων ὁ πεπαρήθιος· ἧκε δὲ πέμψαντος βασιλέως καὶ κελεύσαν-
τος τὸν χόνουφιν εἴ τι συμβάλλοι τῶν γεγραμμένων, ἑρμηνεύσαντα ταχέως ἀπο-
στεῖλαι πρὸς ἑαυτὸν δὲ τρεῖς ἡμέρας ἀναλεξάμενος, βιβλίων τῶν παλαιῶν παν-
τοδαποὺς χαρακτῆρας, ἀντέγραψε τῷ βασιλεῖ καὶ πρὸς ἡμᾶς ἔφρασεν, ὡς μοῦ-
σαις ἀγῶνα κελεύει συντελεῖσθαι τὰ γράμματα· τοὺς δὲ τύπους εἶναι τῆς ἐπὶ
πρωτεῖ βασιλεύοντι γραμματικῆς ἡρακλέα τὸν ἀμφιτρύωνος ἐκμαθεῖν· ὑφηγεῖ-
σθαι μέντοι καὶ παραινεῖν τοῖς ἕλλησι διὰ τῶν γραμμάτων, τὸν θεὸν ἄγειν σχολὴν
καὶ εἰρήνην διὰ φιλοσοφίας ἀγωνιζομένους ἀεί, μούσαις, καὶ λόγῳ διακρινομέ-

νους περὶ τῶν δικαίων τὰ ὅπλα καταθέντας. ἡμεῖς δὲ, καὶ τί τε λέγειν καλῶς
ἡγούμεθα τὸν χρησμὸν, ἢ μᾶλλον ὁπηνίκα κομιζομένοις ἡμῖν ἀπ' αἰγύπτου περὶ
καρίαν δηλίων τινὸς ἀπήντησαν δεόμενοι πλάτωνος ὡς γεωμετρικοῦ, λῦσαι χρη-
σμὸν αὐτοῖς ἄτοπον ὑπὸ τοῦ θεοῦ προβεβλημένον. ἦν δὲ χρησμὸς δηλίοις καὶ
τοῖς ἄλλοις ἕλλησι παῦλαν τῶν παρόντων κακῶν ἔσεσθαι διπλασιάσασι τὸν ἐν
δήλῳ βωμὸν, οὔτε δὲ τὴν διάνοιαν ἐκεῖνοι συμβάλλειν δυνάμενοι καὶ περὶ τὴν τοῦ
βωμοῦ κατασκευὴν γελοῖα πάσχοντες. ἑκάστης γὰρ τῶν τεττάρων πλευρῶν δι-
πλασιαζομένης ἔλαθον τῇ αὐξήσει, τόπον στερεὸν ὀκταπλάσιον ἀπεργασάμενοι
δι' ἀπειρίαν ἀναλογίας, ἣ τῷ μήκει, διπλάσιον παρέχεται. πλάτωνα τῆς ἀπο-
ρίας ἐπεκαλοῦντο βοηθόν. ὁ δὲ, τοῦ αἰγυπτίου μνησθεὶς, προσπαίζειν ἔφη τὸν
θεὸν ἕλλησιν, ὀλιγωροῦσι παιδείας. οἷον ἐφυβρίζοντα τὴν ἀμαθίαν ἡμῶν, καὶ
κελεύοντα γεωμετρίας ἅπτεσθαι μὴ παρέργως. οὐ γάρ τοι φαύλης οὐδ' ἀμβλὺ
διανοίας ὁρώσης, ἄκρως δὲ τὰς γραμμὰς ἠσκημένης ἔργον εἶναι, καὶ δυοῖν μέ-
σον ἀνάλογον λῆψιν, ᾗ μόνῃ διπλασιάζεται σχῆμα κυβικοῦ σώματος, ἐκ πάσης ὁ-
μοίως αὐξόμενον διαστάσεως. τοῦτο μὲν οὖν εὔδοξον αὐτοῖς τὸν κνίδιον, ἢ τὸν κυζι-
κηνὸν ἑλικῶνα συντελέσειν, μὴ τοῦτο δὲ οἴεσθαι χρῆναι ποθεῖν τὸν θεὸν, ἀλλὰ προσ-
τάσσειν ἕλλησι πᾶσι πολέμου, καὶ κακῶν μεθεμένους. μούσαις ὁμιλεῖν καὶ διὰ
λόγων, καὶ διὰ μαθημάτων τὰ πάθη καταπραΰνοντας, ἀβλαβῶς καὶ ὠφελί-
μως ἀλλήλοις συμφέρεσθαι. μεταξὺ δὲ τοῦ σιμμίου λέγοντος, ὁ πατὴρ ἡμῶν πο-
λύμνις ἐπεισῆλθε, καὶ καθίσας παρὰ τὸν σιμμίαν, ἐπαμινώνδας ἔφη, καὶ σὲ καὶ
τούτους παρακαλεῖ, πάντας, εἰ μή τις ἀσχολία μείζων, ἐνταῦθα περιμεῖναι. βου-
λόμενος ἡμῖν γνωρίσαι τὸν ξένον, ἄνδρα γενναῖον μὲν αὐτόν.
μετὰ γενναίας καὶ καλῆς ἀφιγμένον τῆς προαιρέσεως.
ἐξ ἰταλίας τῶν πυθαγορικῶν ἀφῖκται δὲ λύσιδι τῷ γέροντι χοὰς χέασθαι
περὶ τὸν τάφον, ἔκ τινων ἐνυπνίων ὥς φησι καὶ φασμάτων ἐναργῶν. συχνὸν δὲ κο-
μίζων χρυσίον, οἴεται δεῖν ἐπαμεινώνδᾳ τὰς λύσιδος γηροτροφίας ἀποτίνειν, καὶ
προθυμεῖται τὸν οὐδὲν δεομένων, οὐδὲ βουλομένων ἡμῶν τῇ πενίᾳ βοηθεῖν, καὶ ὁ σιμ-
μίας ἡσθεὶς πάνυ θαυμαστόν γε λέγεις εἶπεν ἄνδρα καὶ φιλοσοφίας ἄξιον. ἀλ-
λὰ τίς ἡ αἰτία. δι' ἣν οὐκ εὐθὺς ἥκει πρὸς ἡμᾶς. ἐκεῖνον ἔφη νυκτερεύσαντα περὶ τὸν
τάφον ἐμοὶ δοκεῖ τὸν λύσιδος ἦγεν ἐπαμινώνδας πρὸς τὸν ἰσμηνίαν ἀπολούσοντα τῷ πο-
μενον. εἶτ' ἀφίξονται δεῦρο πρὸς ἡμᾶς. πρὶν δ' ἐντυχεῖν ἡμῖν ἐγκυλίσαντο τῷ τά-
φῳ διανοούμενος ἀνελέσθαι τὰ λείψανα τοῦ σώματος, καὶ κομίζειν εἰς ἰταλίαν,
εἰ μή τις νύκτωρ ὑπεναντιωθείη δαιμόνιον. ὁ μὲν οὖν πατὴρ, ταῦτ' εἰπὼν ἐσιώπη-
σεν. ὁ δὲ γαλαξίδωρος, ὦ ἡράκλεις εἶπεν, ὡς ἔργον ἐστὶν εὑρεῖν ἄνδρα καθαρεύοντα
τύφου, καὶ δεισιδαιμονίας. οἱ μὲν γὰρ, ἄκοντες ὑπὸ τῶν παθῶν τούτων ἁλίσκον-
ται δι' ἀπειρίαν, ἢ δι' ἀσθένειαν, οἱ δὲ, ὡς θεοφιλεῖς καὶ περιττοί τινες εἶναι δο-
κοῖεν, ἐπιθειάζουσι τὰς πράξεις ὀνείρατα, καὶ φάσματα, καὶ τοιοῦτον ἄλ-
λον ὄγκον προϊστάμενοι τῶν ἐπὶ νοῦν ἰόντων. ὃ πολιτικοῖς μὲν ἀνδράσι, καὶ πρὸς
αὐθάδη, καὶ ἀκόλαστον ὄχλον ἠναγκασμένοις ζῆν, οὐκ ἄχρηστον ἴσως ἐστὶν, ὥσπερ ἐκ
χαλινοῦ τῆς δεισιδαιμονίας πρὸς τὸ συμφέρον ἀντισπάσαι, καὶ μεταστῆσαι τοὺς
πολλοὺς φιλοσοφίας δὲ, οὐ μόνον ἔοικεν ἀσχήμων ὁ τοιοῦτος εἶναι σχηματισμὸς,
ἀλλὰ καὶ πρὸς τὴν ἐπαγγελίαν ἐναντίον, ἢ πᾶν ἐπηγγελμένη λόγῳ τἀγαθὸν
καὶ τὸ συμφέρον διδάσκειν, εἰς θεοὺς ἐπαναχωρεῖν τῆς τῶν πράξεων ἀρχῆς,
ὡς τοῦ λόγου καταφρονοῦσα, καὶ τὴν ἀπόδειξιν ᾗ δοκεῖ διαφέρειν ἀτιμάσασα,
πρὸς μαντεύματα τρέπεται καὶ ὀνειράτων ὄψεις. ἐν οἷς ὁ φαυλότατος οὐχ ἧττον
τῷ κατατυγχάνειν πολλάκις φέρεται τοῦ κρατίστου. διὸ καὶ σωκράτης ὁ ὑμέτε-
ρος,

ρος, ὦ σιμμία δοκεῖ μοι φιλοσοφώτερον χαρακτῆρα παιδείας καὶ λόγου περιε-
βάλλεσθαι τὸ ἀφελὲς τοῦτο, καὶ ἄπλαστον, ὡς ἐλευθέριον, καὶ μάλιστα φίλον ἀ-
ληθείας ἑλόμενος. τὸν δὲ τύφον ὥσπερ τινὰ καπνὸν φιλοσοφίας, εἰς τοὺς σοφι-
στὰς ἀποσκεδάσας. ὑπολαβὼν δὲ ὁ θεόκριτος, τί γὰρ εἶπεν, ὦ γαλαξίδωρε, καὶ σὺ
μέλιτος πέπεικεν, ὅτι σωκράτης ὑπερεώρα τὰ θεῖα; τοῦτο γοῦν αὐτοῦ καὶ πρὸς ἀ-
θηναίους κατηγόρησεν, οὐδαμῶς ἔφη τά γε θεῖα. φασμάτων δὲ, καὶ μύθων, καὶ δει-
σιδαιμονίας ἀνάπλεω φιλοσοφίαν ἀπὸ πυθαγόρου
ἐμπεδοκλέους δεξάμενος, εὖ μάλα βεβακχευμένην εἴθισεν ὥσπερ
τὰ πράγματα πεπνῦσθαι, καὶ λόγῳ νήφοντι μετεῖναι τὴν ἀλήθειαν. εἶεν εἶπεν
ὁ θεόκριτος. τὸ δὲ δαιμόνιον ὦ βέλτιστε τὸ σωκράτους, ψεῦδος, ἢ τί φαμέν. ἐμοὶ γὰρ
οὐδὲν ὧν ὅμηρος ὁ λυσσεῖ πεποίηκε τὴν ἀθηνᾶν ἐν πάντεσσι πόνοισι παρισταμένου, τοι-
αύτην ἔοικε τῷ σωκράτει τοῦ βίου προποδηγὸν ἐξ ἀρχῆς τινα συνάψαι τὸ δαι-
μόνιον ὃ ἣ μὲν ἡ μόνη τοι πρόσθεν ἰοῦσα, τίθει φάος ἐν πράγμασιν ἀδήλοις, καὶ πρὸς
ἀνθρωπίνην ἀσυλλογίστοις φρόνησιν. οἷα αὐτῷ συνεφθέγγετο πολλάκις τὸ δαιμό-
νιον ἐπιθειάζον ταῖς αὐτοῦ προαιρέσεσι. τὰ μὲν οὖν πλείονα, καὶ μείζονα σιμμίου
χρὴ καὶ τῶν ἄλλων ἐκπυνθάνεσθαι σωκράτους ἑταίρων. ἐμοῦ δὲ παρόντος, ὅτε
πρὸς εὐθύφρονα τὸν μάντιν ἧκεν. ἔτυχε μὲν ὦ σιμμία, μέμνησαι γοῦν, ἄνω πρὸς τὸ
σύμβολον σωκράτους καὶ τὴν οἰκίαν τὴν ἀνδοκίδου βαδίζων, ἅμα τι διερωτῶν,
καὶ διασείων τὸν εὐθύφρονα μετὰ παιδιᾶς. ἄφνω δὲ ἐπιστὰς, καὶ συμπείσας προ-
σέχων οὕτω συχνὸν χρόνον, εἶτ' ἀναστρέψας ἐπορεύετο τὴν διὰ τῶν κιβωτοποιῶν.
καὶ τοὺς προκεχωρηκότας ἤδη τῶν ἑταίρων
γεγονέναι τὸ δαιμόνιον. οἱ μὲν οὖν πολλοὶ συνα-
νέστρεφον, ἐν οἷς κἀγὼ τοῦ εὐθύφρονος ἐχόμενος. νεανίσκοι δέ τινες τὴν εὐθεῖαν βα-
δίζοντες, ὡς δὴ τὸ σωκράτους ἐλέγξοντες δαιμόνιον, ἐπεσπάσαντο χάριλλον τὸν
αὐλητὴν, ἥκοντα καὶ αὐτὸν μετ' ἐμοῦ εἰς ἀθήνας πρὸς κέβητα. πορευομένοις
δὲ αὐτοῖς διὰ τῶν ἑρμογλυφιῶν παρὰ τὰ δικαστήρια, σύες ἀπαντῶσιν ἀθρόοι
βορβόρου περίπλεοι, καὶ κατ' ἀλλήλων ὠθούμεναι διὰ πλῆθος, ἐκτροπῆς δὲ μὴ
παρούσης τοὺς μὲν, ἀνέτρεψαν ἐμβαλοῦσαι, τοὺς δὲ ἀνεμόλυναν. ἧκεν οὖν καὶ ὁ
χάριλλος οἴκαδε τά τε σκέλη καὶ ἱμάτια βορβόρου μεστὸς, ὥστ' ἀεὶ τοῦ σωκράτους
θαυμάζον-
δαιμονίου μεμνῆσθαι μετὰ γέλωτος.
τας. εἰ μηδαμοῦ προλείποι τὸν ἄνδρα, μηδ' ἀμελεῖ τὸ θεῖον αὐτοῦ, καὶ ὁ γαλα-
ξίδωρος οἴει γὰρ ἔφη θεόκριτε τὸ σωκράτους δαιμόνιον ἰδίαν καὶ περιττὴν ἐσχη-
κέναι δύναμιν. οὐχὶ τῆς κοινῆς μόριόν τι ἀνάγκης τὸν ἄνδρα πείρᾳ βεβαιωσά-
μενον ἐν τοῖς ἀδήλοις καὶ ἀτεκμάρτοις τῷ λογισμῷ ῥοπὴν ἐπάγειν; ὡς γὰρ ὁλ-
κὴ μία καθ' ἑαυτὴν οὐκ ἄγει τὸ ζυγὸν, ἰσορροποῦντι δὲ βάρει προστιθεμένη κλί-
νει τὸ σύμπαν ἐφ' ἑαυτὴν, οὕτως ἐφαρμόσει κληδὼν ἤ τι τοιοῦτον σύμβολον.
καὶ κοῦφον, ἐμβριθῆ διάνοιαν ἐπισπάσασθαι
πρὸς πρᾶξιν. δυοῖν δ' ἐναντίων λογισμῶν θατέρῳ προσελθὸν, ἔλυσε τὴν ἀπο-
ρίαν τῆς ἰσότητος ἀναιρεθείσης, ὥς τε κίνησιν γίνεσθαι καὶ ὁρμήν, ὑπολαβὼν δὲ
ὁ πατὴρ, ἀλλὰ μὴν ἔφη καὶ αὐτὸς ὦ γαλαξίδωρε μεγαρικοῦ τινος ἤκουσα τερ-
ψίωνος δὲ ἐκεῖνος, ὅτι τὸ σωκράτους δαιμόνιον, πταρμὸς ἦν ὅ τε παρ' αὐτοῦ καὶ
ὁ παρ' ἄλλων ἑτέρου μὲν παρόντος ἐκ δεξιᾶς εἴτ' ὄπισθεν εἴτ' ἔμπροσθεν, ὁρμᾶν
αὐτὸν ἐπὶ τὴν πρᾶξιν, εἰ δ' ἐξ ἀριστερᾶς ἀποτρέπεσθαι. τῶν δὲ αὐτοῦ πταρμῶν,
τὸν μὲν ἔτι μέλλοντος βεβαιοῦν, τὸν δὲ ἤδη πράσσοντος ἐπέχειν, καὶ κωλύειν τὴν
ὁρμὴν, ἀλλ' ἐκεῖνό μοι δοκεῖ θαυμαστὸν, εἰ πταρμῷ χρώμενος οὐ τοῦτο τοῖς ἑται-
ροις, ἀλλὰ δαιμόνιον εἶναι τὸ κωλύειν, ἢ κελεῦον ἔλεγε. τύφον γοῦν αὖ τινος ὦ

φίλε κενοῦ, καὶ κόμπου τὸν βίον, οὐκ ἀληθείας, καὶ ἁπλότητος, οἷς τὸν ἄν-
δρα μέγαν, ὡς ἀληθῶς, καὶ διαφέροντα τῶν πολλῶν γεγονέναι δοκοῦμεν ὑπὸ
φωνῆς ἔξωθεν ἢ πταρμοῦ τινος ὁπηνίκα τύχοι θορυβούμενον ἐκ τῶν πράξεων
ἀναστρέφεσθαι, καὶ προΐεσθαι τὸ δεδογμένον, αἱ δὲ σωκράτους ἀφορμαὶ τὸ
ἔχουσαι καὶ σφοδρότητα
φαίνονται πρὸς ἅπαν· ὡς ἂν ἀπὸ ὀρθῆς καὶ ἰσχυρᾶς ἀφιέμεναι κρίσεως καὶ ἀρ-
χῆς· πενίᾳ γὰρ ἐμμεῖναι παρὰ πάντα τὸν βίον ἑκουσίως, ἣν ἡδονῇ καὶ χάριτι
τῶν διδόντων ἔχειν δυνάμενον, καὶ φιλοσοφίας μὴ ἐκστῆναι πρὸς τοσαῦτα κω-
λύματα καὶ τέλος εἰς σωτηρίαν καὶ φυγὴν αὐτῷ σπουδῆς ἑταίρων καὶ παρα-
σκευῆς εὐμηχάνου γενομένου μήτε καμφθῆναι λιπαροῦσι, μήτε ὑποχωρῆσαι τῷ
θανάτῳ παίζοντι· χρῆσθαι δ' ἀτρέπτῳ τῷ λογισμῷ πρὸς τὸ δεινόν, οὐκ ἔστιν ἀν-
δρὸς ἐκ κληδόνων ἢ πταρμῶν μεταβαλλομένην ὅτε τύχοι γνώμην ἔχοντος, ἀλλ'
ὑπὸ μείζονος ἐπιστασίας καὶ ἀρχῆς ἀγομένου πρὸς τὸ καλόν, ἀκούω δὲ καὶ
τὴν ἐν σικελίᾳ τῆς ἀθηναίων δυνάμεως φθορὰν προειπεῖν αὐτὸν ἐνίοις τῶν φί-
λων, καὶ πρότερον ἔτι τούτων πυριλάμπης ὁ ἀντιφῶντος ἁλοὺς ἐν τῇ διώξει
περὶ δήλιον ὑφ' ἡμῶν δορατίῳ τετρωμένος, ὡς ἤκουσε τῶν ἐπὶ τὰς σπονδὰς ἀ-
φικομένων ἀθήνηθεν ὅτι σωκράτης μετὰ ἀλκιβιάδου, καὶ λάχητος ἐπὶ ῥηγί-
στης καταβὰς ἀπονενόστηκε, πολλὰ μὲν αὐτὸν ἀνεκαλέσατο, πολλὰ δὲ φίλου τι-
νὰς καὶ λοχίτας, οἷς συνέβη μετ' αὐτοῦ παρὰ τὴν πάρνηθα φυγοῦσι παρὰ τῶν
ἡμετέρων ἵππων ἀποθανεῖν· ὡς τοῦ σωκράτους δαιμονίου παρακούσαντας ἑτέ-
ραν ὁδόν, οὐχ ἣν ἐκεῖνος ἦγε, τρεπομένους ἀπὸ τῆς μάχης ταῦτα δ' οἶμαι καὶ σιμ-
μίαν ἀκηκοέναι· πολλάκις ὁ σιμμίας ἔφη καὶ πολλῶν. διεβοήθη γὰρ οὐκ ἠρέμα
τὸ σωκράτους ἀθήνησιν ἐκ τούτων δαιμόνιον· τί οὖν ὁ φειδόλαος εἶπεν ὦ σιμμία
γαλαξίδωρον ἐάσωμεν παίζοντα καταβάλλειν τοσοῦτο μαντείας ἔργον εἰς πταρ-
μοὺς καὶ κληδόνας· οἷς καὶ οἱ πολλοὶ καὶ ἰδιῶται περὶ μικρὰ προσχρῶνται
καὶ παίζοντες· ὅταν δὲ κίνδυνοι βαρύτεροι καὶ μείζονες καταλάβωσι πράξεις,
ἐκεῖνο γίνεται τὸ εὐριπίδειον, οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας· καὶ ὁ γα-
λαξίδωρος, σιμμίου μὲν ἔφη φειδόλαε, περὶ τούτων εἴ τι σωκράτους αὐτὸς λέ-
γοντος ἤκουσεν ἕτοιμος ἀκροᾶσθαι καὶ φείδεσθαι μεθ' ὑμῶν. τὰ δ' ὑπὸ σοῦ
λελεγμένα καὶ πολύμνιος, οὐ χαλεπὸν ἀνελεῖν· ὡς γὰρ ἐν ἰατρικῇ σφυγμός, ἢ
φλύκταινα μικρόν, οὐ μικροῦ δὲ σημεῖον ἐστὶ καὶ κυβερνήτῃ πελάγιος φθόγ-
γος ὄρνιθος, ἢ διαδρομὴ κνηκίδος ἀραιᾶς, πνεῦμα σημαίνει καὶ κίνησιν τραχυτέ-
ραν θαλάσσης, οὕτω μαντικῇ ψυχῇ πταρμὸς ἢ κληδών, οὐ μέγα καθ' αὑτό.
συμπτώματος οὐδεμιᾶς γὰρ τέχνης καταφρονεῖται τὸ
μικροῖς μεγάλα καὶ δι' ὀλίγων πολλά, προμηνύειν· ἀλλ' ὥσπερ εἴ τις ἄπειρος
γραμμάτων δυνάμεως ὁρῶν ὀλίγα πλήθει καὶ φαῦλα τὴν μορφήν, ἀπιστοίη ἀν-
δρα γραμματικὸν ἐκ τούτων ἀναλέγεσθαι πολέμους μεγάλους· οἷς πάλαι
συνέτυχον, καὶ κτίσεις πόλεων, πράξεις τε καὶ παθήματα βασιλέων, εἶτα φα-
νῆναι ὁμοῦ ὄντι μηνύειν καὶ καταλέγειν ἐκείνῳ τῷ ἱστορικῷ τούτων ἕκαστα) ἡδὺς ἄν, ὦ φίλε
γέλως σοὶ τῆς αὐτοῦ τῆς ἀπειρίας ἐπέλθοι· οὕτω σκόπει μὴ καὶ ἡμεῖς τῆς μαντικῆς ἑκάστῳ
τὴν δύναμιν ἀγνοοῦντες, ᾗ συμβάλλει πρὸς τὸ μέλλον, εὐήθως ἀγανακτῶμεν, εἰ νοῦν
ἔχων ἀνὴρ ἐκ τούτων ἀποφαίνεταί τι περὶ τῶν ἀδήλων, καὶ ταῦτα φάσκων αὐτό, οὐ
πταρμόν, οὐδὲ φωνήν, ἀλλὰ δαιμόνιον αὐτῷ τῶν πράξεων ὑφηγεῖσθαι, μέτειμι δ' ἤδη
πρὸς σὲ ὦ πολύμνι θαυμάζοντα σωκράτους, ἀνδρὸς ἀτυφίᾳ καὶ ἀφελείᾳ, μάλι-
στα δὴ φιλόσοφον ἐξανθρωπίσαντος, εἰ μὴ πταρμὸν μηδὲ κληδόνα τὸ σημεῖον, ἀλ-
λὰ τραγικῶς πάνυ τὸ δαιμόνιον ὠνόμαζεν. ἐγὼ γὰρ αὖ τοὐναντίον ἐθαύμαζον, ἄν-
δρὸς

δρὸς ἄκρου διαλέγεσθαι, καὶ κρατεῖν ὀνομάτων ὥσπερ σωκράτης, εἰ μὴ τὸν πταρ-
μὸν ἀλλὰ τὸ δαιμόνιον αὐτῷ σημαίνειν ἔλεγεν, ὥσπερ εἴ τι ὑπὸ τοῦ βέλους φαίη
τετρῶσθαι μὴ τῷ βέλει ὑπὸ τοῦ βαλόντος, μεμετρεῖσθαι δὲ αὖ τὸ βάρος ὑπὸ
τοῦ ζυγοῦ, μὴ τῷ ζυγῷ ὑπὸ τοῦ ἱστάντος, οὐ γὰρ τοῦ ὀργάνου τὸ ἔργον, ἀλλ' οὗ καὶ τὸ
ὄργανον, ᾧ χρῆται πρὸς τὸ ἔργον, ὄργανον δέ τι καὶ τὸ σημεῖον, ᾧ χρῆται τὸ σημαί-
νον, ἀλλ' ὅπερ εἶπον εἴ τι σιμμίας ἔχει λέγειν ἀκουστέον, ὡς εἰδότος ἀκριβέστερον,
καὶ ὁ θεόκριτος πρότερον ἔφη τοὺς εἰσιόντας εἴ τινές εἰσιν ἀποσκεψαμένοις, μᾶλ-
λον δὲ τὸν ξένον ἔοικεν ἡμῖν ἐπαμεινώνδας ὁ διακομίζειν. ἀποβλέψαντες οὖν
πρὸς τὰς θύρας, ἑωρῶμεν ἡγούμενον μὲν τὸν ἐπαμεινώνδαν καὶ συνεστώτων φί-
λων ἰσμηνόδωρον καὶ βακχυλίδαν καὶ μέλισσον τὸν αὐλητήν ἑπόμενον δὲ τὸν
ξένον, οὐκ ἀγεννῆ τὸ εἶδος, ἀλλὰ πρᾳότητα καὶ φιλοφροσύνην τοῦ ἤθους ὑποφαί-
νοντα, καὶ σεμνῶς ἀπεχόμενον τὸ σῶμα, καθίσαντος οὖν ὑπ' ἐκείνου μὲν αὐτοῦ
παρὰ τὸν σιμμίαν, τοῦ δὲ ἀδελφοῦ, παρ' ἐμέ τῶν δὲ ἄλλων ὡς ἕκαστος ἔτυχε, καὶ
γενομένης σιωπῆς, ὁ σιμμίας τὸν ἀδελφὸν ἡμῶν καλέσας, εἶεν εἶπεν ὦ ἐπαμει-
νώνδα, τίνα χρὴ τὸν ξένον, καὶ πῶς καὶ πόθεν προσαγορεύειν, ἀρχὴ γάρ πως εὐ-
τυχίας καὶ γνώσεως αὕτη συνήθης, καὶ ὁ ἐπαμεινώνδας, θεάνωρ εἶπεν ὦ σιμ-
μία ὄνομα μέν, γένος δὲ κροτωνιάτης τῶν ἐκεῖ φιλοσόφων, οὐ καταισχύνων τὸ μέ-
γα πυθαγόρου κλέος, ἀλλὰ καὶ νῦν ἥκει δεῦρο μακρὰν ὁδὸν ἐξ ἰταλίας, ἔργοις
καλοῖς καλὰ δόγματα βεβαιῶν. ὑπολαβὼν δὲ ὁ ξένος, οὐκοῦν ἔφη σὺ κωλύ-
εις ὦ ἐπαμεινώνδα τῶν ἔργων τὸ κάλλιστον. εἰ γὰρ εὖ ποιεῖν φίλους καλόν, οὐκ αἰ-
σχρὸν εὖ πάσχειν ὑπὸ φίλων· ἡ γοῦν χάρις οὐχ ἧττον δεομένη τοῦ λαμβάνοντος ἢ
τοῦ διδόντος, ἐξ ἀμφοῖν τελειοῦται πρὸς τὸ καλόν· ὁ δὲ μὴ δεξάμενος ὥσπερ σφαῖραν
εὖ φερομένην κατῄσχυνεν ἀτελῆ πεσοῦσαν· ποίου γὰρ οὕτω σκοποῦ βάλλοντα, καὶ
τυχεῖν ἡδύ, καὶ διαμαρτάνειν ἀνιαρόν, ὡς ἀνδρὸς εὖ παθεῖν ἀξίου διὰ χάριτος ἐ-
φιέμενον· ἀλλ' ἐκεῖ μὲν ὁ τοῦ σκοποῦ μένοντος ἀτυχήσας, σφάλλεται δι' αὐτόν,
ἐνταυθοῖ δὲ ὁ παραιτούμενος, καὶ ὑποφεύγων ἀδικεῖ τὴν χάριν, εἰς ὃ ἐπέδωκε μὴ
περαίνουσαν· σοὶ μὲν οὖν τὰς αἰτίας ἤδη διῆλθον ὑφ' ὧν ἔπλευσα δεῦρο. βού-
λομαι δὲ καὶ τούτους διελθὼν χρήσασθαι πρὸς σὲ δικασταῖς, ἐπεὶ γοῦν ἐξέπεσον αἱ
κατὰ πόλεις ἑταιρίαι τῶν πυθαγορικῶν στάσει κρατηθέντων, τοῖς δ' ἔτι συνε-
στῶσιν, ἐν μεταποντίῳ συνεδρεύουσιν ἐν οἰκίᾳ πῦρ οἱ κυλώνειοι περιένησαν καὶ
διέφθειραν ἐν τούτῳ πάντας πλὴν φιλολάου καὶ λύσιδος νέων ὄντων ἔτι ῥώ-
μῃ, καὶ κουφότητι διωσαμένων τὸ πῦρ· φιλόλαος μὲν εἰς λευκανοὺς φυγών, ἐκεῖ-
θεν ἐσώθη πρὸς τοὺς ἄλλους φίλους ἤδη πάλιν ἀθροιζομένους καὶ κρατοῦντας
τῶν κυλωνείων· λύσις δ' ὅπου γέγονεν, ἠγνοεῖτο πολὺν χρόνον πλήν γε δὴ γορ-
γίας ὁ λεοντῖνος ἐκ τῆς ἑλλάδος ἀναπλέων εἰς σικελίαν, ἀπήγγειλε τοῖς περὶ
ἄρκεσον βεβαίως λύσιδι συγγεγονέναι διαζῶντι περὶ θήβας, ὥρμησε δὲ ὁ
ἄρκεσος πόθῳ τοῦ ἀνδρὸς αὐτός, ὡς εἶχε, πλεῦσαι· κωλυθεὶς δὲ διὰ γῆρας καὶ ἀ-
σθένειαν ἐλλείπων ἐπέσκηψε· μάλιστα μὲν ζῶντα κομίσαι τὸν λύσιν εἰς ἰταλίαν,
εἰ τὰ λείψανα τεθνηκότος· οἱ δ' ἐν μέσῳ πόλεμοι, καὶ στάσεις, καὶ τυραννίδες,
ἐκώλυσαν αὐτῷ ζῶντι συντελέσαι τοὺς φίλους τὸν ἆθλον. ἐπεὶ δὲ ἡμῖν τὸ λύ-
σιδος δαιμόνιον ἤδη τεθνηκότος ἐναργῶς προὐπέφαινε τὴν τελευτήν, καὶ τὰς
παρ' ὑμῖν ὦ πολύμνι θεραπείας, καὶ διαίτας τοῦ ἀνδρὸς οἱ σαφῶς εἰδότες ἀπήγ-
γελλον, ὅτι πλουσίας ἐν οἴκῳ πένητι γηροκομίας τυχών, καὶ τῶν υἱέων ἐπιγρα-
φείς, οἷ χαίρων μακαριστὸς ἀπεστάλην ἐγὼ νέος, καὶ εἰς ὑπὸ πολλῶν καὶ πρεσβυ-
τέρων ἐχόντων, οὐκ ἔχουσι γράμματα διδόντων πολὺν χάριν καὶ φιλίαν ἀντι-
λαμβανόντων. λύσις δὲ καὶ κεῖται καλῶς ὑφ' ὑμῶν καὶ τάφου καλοῦ κρείττων

αὐτῷ χάριν ἐκτινομένη φίλοις ἀπὸ φίλων καὶ οἰκείων ταῦτα τοῦ ξένου λέγοντος, ὁ μὲν πατὴρ ἐπεδάκρυσε τῇ μνήμῃ τοῦ λύσιδος πολὺν χρόνον· ὁ δὲ ἀδελφὸς ὑπομειδιῶν ὥσπερ εἰώθει πρὸς ἐμὲ, πῶς ἔφη ποιοῦμεν ὦ καφεισία; προϊέμεθα τὴν πενίαν τοῖς χρήμασι καὶ σιωπῶμεν; ἥκιστ' ἔφην ἐγὼ, τὴν φίλην καὶ ἀγαθὴν κουροτρόφον, ἀλλ' ἄμυνε· σὸς γὰρ ὁ λόγος. καὶ μὴν ἐγὼ εἶπεν ὦ πάτερ ταύτῃ μόνῃ τὴν οἰκίαν ἐδεδίειν, ἁλώσιμον ὑπὸ χρημάτων εἶναι, κατὰ τὸ καφεισίου σῶμα, καλῆς μὲν ἐσθῆτος δεόμενον, ἵνα τοῖς ἐρασταῖς ἐγκαλλωπίσηται τοσούτοις οὖσιν, ἀφθόνου δὲ καὶ πολλῆς τροφῆς, ἵν' ἀντέχῃ πρὸς τὰ γυμνάσια καὶ πρὸς τοὺς ἐν ταῖς παλαίστραις ἀγῶνας. ὁπηνίκα δὲ οὗτος οὐ προδίδωσι τὴν πενίαν, οὐδὲ ὡς βαφὴν ἀνίησι τὴν πάτριον πενίαν, ἀλλὰ καίπερ ὢν μειράκιον εὐτελείᾳ καλλωπίζεται καὶ στέργει τὰ παρόντα, τίς ἂν ἡμῖν γένοιτο τῶν χρημάτων διάθεσις καὶ χρῆσις; ἢ που καταχρυσώσομεν τὰ ὅπλα, καὶ τὴν ἀσπίδα πορφύρᾳ συμμεμιγμένῃ πρὸς χρυσίον, ὥσπερ νικίας ὁ ἀθηναῖος διαποικιλοῦμεν; σοὶ δὲ ὦ πάτερ μιλησίαν χλαμύδα· τῇ δὲ μητρὶ παραλουργὸν ὠνησόμεθα χιτώνιον; οὐ γὰρ εἰς γαστέρα δή που καταχρησόμεθα τὴν δωρεὰν, εὐωχοῦντες αὐτοὺς πολυτελέστερον ὥσπερ ξένον ὑποδεδεγμένοι βαρύτερον τὸν πλοῦτον. ἄπαγε εἶπεν ὁ πατὴρ ὦ παῖ, μηδέποτε τοιαύτην ἐπίδοιμι μετακόσμησιν τοῦ βίου ἡμῶν. καὶ μὴν οὐδὲ ἀργὸν ἔφη καθησόμεθα φρουροῦντες οἴκοι τὸν πλοῦτον, ἄχαρις γὰρ ἂν, οὕτως ἡ χάρις, καὶ ἄτιμος ἡ κτῆσις. ἐπί τι μὴν εἶπεν ὁ πατήρ; οὐκ οἶδα ἔφη ὁ ἐπαμεινώνδας· ἰάσονι μὲν τῷ θετταλῷ ταγῷ πέμψαντι δεῦρο πολὺ χρυσίον ἔναγχος πρὸς ἡμᾶς καὶ δεομένῳ λαβεῖν, ἀγροικότερος ἐφάνην ἀποκρινόμενος, ἀδίκων χειρῶν αὐτὸν κατάρχειν· ὅτι μοναρχίας ὢν ἐραστὴς, ἄνδρα δημότην ἐλευθέρας καὶ αὐτονόμου πόλεως ἐπειρᾷ διὰ χρημάτων. σοῦ δ' ὦ ξένε τὴν μὲν προθυμίαν, καλὴ γὰρ καὶ φιλόσοφος, δέχομαι, καὶ ἀγαπῶ διαφερόντως, ἥκεις δὲ φάρμακα φίλοις μὴ νοσοῦσι κομίζων. ὥσπερ οὖν εἰ πολεμεῖσθαι πυθόμενος ἡμᾶς, ἔπλευσας ὅπλοις καὶ βέλεσιν ἡμᾶς ὠφελήσων· εἶτα φιλίαν καὶ εἰρήνην εὗρες, οὐκ ἂν ᾤου δεῖν ἐκεῖνα διδόναι καὶ ἀπολείπειν μὴ δεομένοις, οὕτω σύμμαχος ἀφῖξαι πρὸς πενίαν ὡς ἐνοχλουμένοις ὑπ' αὐτῆς, ἣ δ' ἐστὶ ῥάστη φορεῖν ἡμῖν, καὶ φίλη σύνοικος· οὐκοῦν δεῖ χρημάτων, οὐδὲ ὅπλων ἐπ' αὐτὴν, μηδὲν ἀνιῶσαν, ἀλλ' ἀπάγγελλε τοῖς ἐκεῖ γνωρίμοις, ὅτι κάλλιστα μὲν αὐτοὶ πλούτῳ χρῶνται, καλῶς δὲ πενίᾳ χρωμένους αὐτόθι φίλους ἔχουσι. τὰς δὲ λύσιδος ἡμῖν τροφὰς, καὶ ταφὰς, αὐτὸς ὑπὲρ αὐτοῦ λύσις ἀπέδωκε, τά τε ἄλλα καὶ πενίαν διδάξας μὴ δυσχεραίνειν. ὑπολαβὼν δὲ ὁ θεάνωρ, ἆρ' οὖν ἔφη τὸ πενίαν δυσχεραίνειν ἀγεννές ἐστι; τὸ δὲ πλοῦτον δεδιέναι καὶ φεύγειν οὐκ ἄτοπον; εἰ μὴ λόγῳ τις αὐτὸν ἀλλὰ σχηματιζόμενος ἢ δι' ἀπειροκαλίαν, ἢ τῦφον τινὰ διωθεῖται; καὶ τίς ἂν ἔφη λόγος ἀπείργοι τὴν ἐκ καλῶν καὶ δικαίων κτῆσιν ὦ ἐπαμεινώνδα; μᾶλλον δὲ πρότερον γὰρ ἢ τῷ θετταλῷ πρὸς τὰς ἀποκρίσεις ἐνδίδου σαυτὸν ὑπὲρ τούτων, εἰπέ μοι πρότερον ἡγῇ δόσιν μὲν εἶναί τινα χρημάτων ὀρθὴν, λῆψιν δὲ μηδεμίαν, ἢ καὶ τοὺς διδόντας ἁμαρτάνειν πάντως καὶ τοὺς λαμβάνοντας. οὐδαμῶς εἶπεν ὁ ἐπαμεινώνδας, ἀλλ' ὥσπερ ἄλλου τινὸς ἐγὼ καὶ πλούτου χάριν τε καὶ κτῆσιν εἶναι νομίζω, τὴν μὲν αἰσχρὰν τὴν δὲ ἀστείαν. ἆρ' οὖν ἔφη ὁ θεάνωρ, ὁ δ' ἄν τις ὀφείλων διδοὺς ἑκουσίως καὶ προθύμως, οὐ καλῶς δίδωσιν; ὡμολόγησεν. ὁ δ' ἄν τις καλῶς δίδωσι δεξάμενος οὐ καλῶς εἴληφεν; ἢ γένοιτ' ἂν δικαιοτέρα χρημάτων λῆψις τῆς παρὰ τοῦ δικαίως διδόντος; οὐκ ἂν ἔφη γένοιτο. δυοῖν ἄρα φίλων εἶπεν ὦ ἐπαμεινώνδα, εἰ θατέρῳ δοτέον, θάτερον δή που ληπτέον, ἐν μὲν γὰρ ταῖς μάχαις τὸν εὖ θάτερον τῶν πολεμίων ἐκκλιτέον, ἐν δὲ ταῖς χάρισι τὸν καλῶς διδόντα τῶν φίλων οὔτε φεύγειν οὔτε ἀπωθεῖσθαι

δίκαιον, εἰ γὰρ ἡ πενία μὴ δυσχερὴς, οὐδ' αὖ πάλιν ὁ πλοῦτος οὕτως ἄτιμος καὶ ἀπόβλητος. οὐ γὰρ οὖν εἶπεν ὁ ἐπαμεινώνδας· ἀλλ' ἔστιν ἐπισκέψαι μεθ' ἡμῶν. εἰσὶ δήπουθεν ἐπιθυμίαι πολλαὶ, καὶ περὶ πολλῶν, ἔνιαι μὲν ἔμφυτοι λεγόμεναι, καὶ περὶ τὸ σῶμα βλαστάνουσαι, πρὸς τὰς ἀναγκαίας ἡδονὰς, αἱ δὲ ἐπήλυδες, αἱ ἐκ κενῶν δοξῶν· ἰσχὺν δὲ καὶ βίαν, ἀπὸ χρόνου καὶ συνηθείας ἐν τροφῇ μοχθηρᾷ λαβοῦσαι, πολλάκις ἕλκουσι καὶ ταπεινοῦσι τὴν ψυχὴν ἐρρωμενέστερον τῶν ἀναγκαίων, ἔθει δὲ καὶ μελέτῃ πολὺ μέν τις, ἤδη καὶ τῶν ἐμφύτων ἀπαρύσαι παθῶν τῷ λόγῳ παρέσχε, τὸ δὲ πᾶν τῆς ἀσκήσεως κράτος ὦ φίλε ταῖς ἐπεισοδίοις καὶ περιτταῖς προσαγαγόντας ἐπιθυμίαις ἐκπονεῖν χρὴ καὶ ἀποκόπτειν αὐτὰς, ἀνείρξεσι καὶ κατοχαῖς ἀπὸ τοῦ λόγου κολαζομένας. εἰ γὰρ δίψαν ἐκβιάζεται καὶ πεῖναν, ἡ πρὸς τροφὴν καὶ ποτὸν ἀντίβασις τοῦ λογισμοῦ, μακρῷ δήπου ῥᾷόν ἐστι φιλοπλουτίαν κολοῦσαι, καὶ φιλοδοξίαν, ἀποχαῖς ὧν ἐφίενται καὶ ἀνείρξεσιν εἰς τέλος καταλυθείσας, ἢ οὐ δοκεῖ σοι; ὡμολόγησεν ὁ ξένος. ἆρ' οὖν ἔφη διαφορὰν ὁρᾷς ἀσκήσεως, καὶ τοῦ πρὸς ὃ ἡ ἄσκησις ἔργου, καὶ καθάπερ ἀθλητικῆς ἔργον μὲν ἂν εἴποις τὴν τοῦ στεφάνου πρὸς τὸν ἀντίπαλον ἅμιλλαν, ἄσκησιν δὲ τὴν εὐθὺ τούτου διὰ τῶν γυμνασίων παρασκευὴν τοῦ σώματος, οὕτω καὶ ἀρετῆς ὁμολογεῖς τὸ μὲν ἔργον εἶναι, τὸ δ' ἄσκησιν; ὁμιλήσαντος δὲ τοῦ ξένου· φέρε τοίνυν πρῶτον εἰπὲ τῆς ἐγκρατείας τὸ τῶν αἰσχρῶν καὶ παρανόμων ἡδονῶν ἀπέχεσθαι πότερον ἄσκησιν, ἢ μᾶλλον ἔργον καὶ ἀπόδειξιν ἀσκήσεως εἶναι νομίζειν; ἔργον εἶπον ἐγὼ καὶ ἀπόδειξιν. ἄσκησιν δὲ καὶ μελέτην μὲν ἐγκρατείας, οὐχ ἥπερ ἔτι νῦν ἐφέλκυσθε πάντες ὑμεῖς· ὅταν γυμναζόμενοι, καὶ κινήσαντες, ὥσπερ ζῷα τὰς ὀρέξεις ἐπιστῆτε λαμπραῖς τραπέζαις καὶ ποικίλοις ἐδέσμασι πολὺν χρόνον· εἶτα ταῦτα τοῖς οἰκέταις ὑμῶν εὐωχεῖσθαι παραδόντες, αὐτοὶ τὰ λιτὰ καὶ ἁπλᾶ προσφέρησθε κεκολασμέναις ἤδη ταῖς ἐπιθυμίαις; ἡ γὰρ ἐν οἷς ἔξεστιν ἀποχὴ τῶν ἡδονῶν ἄσκησίς ἐστι πρὸς ἃ κεκώλυται. πάνυ μὲν οὖν εἶπεν. ἔστιν οὖν τις ὦ φίλε καὶ δικαιοσύνης πρὸς φιλοπλουτίαν καὶ φιλαργυρίαν ἄσκησις, οὐ τὸ μὴ κλέπτειν ἐπιόντα νύκτωρ τὰ τῶν πέλας, μηδὲ λωποδυτεῖν. οὐδ' εἰ μὴ προδίδωσί τις πατρίδα, καὶ φίλους δι' ἀργύριον, οὗτος ἀσκεῖ πρὸς φιλαργυρίαν, καὶ γὰρ ὁ νόμος ἴσως ἐνταῦθα, καὶ ὁ φόβος ἀπείργει τὴν πλεονεξίαν τοῦ ἀδικεῖν. ἀλλὰ ὁ τῶν δικαίων καὶ συγκεχωρημένων ἀπὸ τοῦ νόμου κερδῶν πολλάκις ἀφιστὰς ἑαυτὸν ἑκουσίως ἀσκεῖ, καὶ προσεθίζεται μακρὰν εἶναι παντὸς ἀδίκου, καὶ παρανόμου λήμματος. οὔτε γὰρ ἐν ἡδοναῖς μεγάλαις μὲν, ἀτόποις δὲ καὶ βλαβεραῖς· οἷόν τε τὴν διάνοιαν ἠρεμεῖν μὴ πολλάκις ἐν ἐξουσίᾳ τοῦ ἀπολαύειν καταφρονήσασαν, οὔτε λήμματα μοχθηρὰ καὶ πλεονεξίας μεγάλας ἐφεστὸν ἠκούσας ὑπερβῆναι ῥᾴδιον ᾧ τινι μὴ πόρρωθεν εἴθισται, ἀνέδην εἰς τὸ κερδαίνειν ἀνατεθραμμένον καὶ κεκόλασται τὸ φιλοκερδὲς, ἄλλαις ἔξεσιν μάλα μόλις καὶ χαλεπῶς τοῦ πλεονεκτεῖν ἀπεχόμενον. ὁ γὰρ σπαργῶν τῆς ἀδικίας, μὴ βασιλέων δωρεαῖς αὐτοῦ, ἀνδρὶ δὲ μὴ φίλων προϊεμένῳ χάρισι, ἀλλὰ καὶ τύχης κλῆρον ἀπειπαμένῳ, καὶ θησαυροῦ φανέντος ἐπιπηδῆσαν ἀποστήσαντι τὴν φιλοπλουτίαν, οὐκ ἐπανίσταται πρὸς τὰς ἀδικίας, οὐδὲ θορυβεῖ τὴν διάνοιαν, ἀλλὰ εὐκόλως χρῆται πρὸς τὸ καλὸν αὑτῷ μέγα φρονῶν, καὶ τὰ κάλλιστα τῇ ψυχῇ συνειδὼς, τούτων ἐγὼ καὶ καφεισίας ἐρασταὶ τῶν ἀνθρώπων ὄντες ὦ φίλε σιμμία παραιτούμεθα τὸν ξένον ἐᾶν ἡμᾶς ἱκανῶς ἐγγυμνάσασθαι τῇ πενίᾳ πρὸς τὴν ἀρετὴν ἐκείνην. ταῦτα τοῦ ἀδελφοῦ διελθόντος, ὅσον ὁ σιμμίας δὶς ἢ τρὶς ἐπινεύσας τῇ κεφαλῇ, μέγας ἔφη, μέγας ἀνήρ ἐστιν ἐπαμεινώνδας. τούτου δ' αἴτιος ἐξ ἀρχῆς οὑτοσὶ πολυμνίας τὴν ἀρίστην τροφὴν ἐν φιλοσοφίᾳ

τοῖς παισὶ παρασκευασάμενος, ἀλλὰ περὶ μὲν τούτων αὐτὸς διαλύσεται πρὸς αὐτοὺς ὦ ξένε, τὴν δὲ λύσιν ὑμῖν εἰ θέμις ἀκοῦσαι, πότερον ἄρα κινεῖς ἐκ τοῦ τάφου καὶ μετοικίζεις εἰς ἰταλίαν, ἢ καταμένειν ἐνταῦθα παρ' ἡμῖν ἐάσεις, εὐμενέσι καὶ φίλοις· ὅταν ἐκεῖ γενώμεθα συνοίκοις χρησόμενον, καὶ ὁ θεάνωρ ἐπιμειδιάσας, ἔοικεν ἔφη λύσις ὦ σιμμία φιλοχωρεῖν· οὐδενὸς τῶν καλῶν ἐνδεὴς γεγονὼς δι' ἐπαμεινώνδαν· ἔστι γάρ τι γενόμενον ἰδίᾳ περὶ τὰς ταφὰς τῶν πυθαγορικῶν, ὅσιον, οὗ μὴ τυχόντες, οὐ δοκοῦμεν ἀπέχειν τὸ μακαριστὸν καὶ οἰκεῖον τέλος, ὡς οὖν ἔγνωμεν ἐκ τῶν ὀνείρων τὴν λύσιδος τελευτὴν, διαγινώσκομεν δὲ σημείῳ τινὶ φαινομένῳ κατὰ τοὺς ὕπνους εἴτε τεθνηκότος, εἴτε ζῶντος εἴδωλόν ἐστιν, ἔννοια πολλοῖς ἐπεισῆλθεν, ὡς ἐπὶ ξένης ἡ λύσις ἄλλως κεκήδευται, καὶ κινητέον ἐστὶν ἡμῖν, ὅπως ἐκεῖ μεταλάχῃ τῶν νομιζομένων, τοιαύτῃ δὲ διανοίᾳ παραγενόμενος, καὶ πρὸς τὸν τάφον εὐθὺς ὑπὸ τῶν ἐγχωρίων ὁδηγηθεὶς, ἑσπέρας ἤδη χοὰς ἐχεόμην, ἀνακαλούμενος τὴν λύσιδος ψυχὴν κατελθεῖν, ἀποθεσπίσουσαν ὡς χρὴ ταῦτα πράσσειν. προϊούσης δὲ τῆς νυκτὸς, εἶδον μὲν οὐδὲν, ἀκοῦσαι δὲ φωνῆς ἔδοξα τὰ ἀκίνητα μὴ κινεῖν. ὁσίως γὰρ ὑπὸ τῶν φίλων κεκηδεῦσθαι τὸ λύσιδος σῶμα, τὴν δὲ ψυχὴν ἤδη κεκριμένην, ἀφεῖσθαι πρὸς ἄλλην γένεσιν, ἄλλῳ δαίμονι συλλαχοῦσαν, καὶ μέντοι καὶ συμβαλὼν ἕωθεν ἐπαμεινώνδᾳ, καὶ τὸν τρόπον ἀκούσας ᾧ θάψειε λύσιν, ἐπέγνων ὅτι καλῶς ἄχρι τῶν ἀπορρήτων πεπαιδευμένος ὑπ' ἐκείνου τ' ἀνδρὸς εἴη, καὶ χρώμενον τῷ δαίμονι πρὸς τὸν βίον εἰ μὴ κακὸς ἐγὼ τεκμήρασθαι τῷ πλῷ τὸν κυβερνήτην, εὐρεῖαι μὲν γὰρ ἀτραποὶ βίων, ὀλίγαι δὲ ἃς δαίμονες ἀνθρώπους ἄγουσιν. ὁ μὲν οὖν θεάνωρ ταῦτ' εἰπὼν τῷ ἐπαμεινώνδᾳ προσέβλεψεν, οἷον ἐξ ὑπαρχῆς ἀναθέμενος αὐτοῦ τὴν φύσιν τὸ εἶδος. ἐν τούτῳ δὲ ὁ μὲν ἰατρὸς προσελθὼν, περιέλυσε τοῦ σιμμίου τὸν ἐπίδεσμον ὡς θεραπεύσων τὸ σῶμα, φυλλίδας δὲ ἐπεισελθὼν μεθ' ἱπποσθενείδου, καὶ κελεύσας ἐμὲ, καὶ χάρωνα, καὶ θεόκριτον ἐξαναστῆναι, προσῆγεν εἴς τινα γωνίαν τοῦ περιστύλου σφόδρα τεταραγμένος ὡς διεφαίνετο τῷ προσώπῳ, κἀμοῦ, μή τι καινότερον ὦ φυλλίδα προσπέπτωκεν εἰπόντος, ἐμοὶ μὲν οὐδὲν ἔφη καινὸν ὦ καφεισία, καὶ γὰρ προῄδειν, καὶ προὔλεγον ὑμῖν τὴν ἱπποσθενείδου μαλακίαν· ἐκπλαγέν δεόμενος μὴν ἀνακοινοῦσθαι, μὴ δὲ παραλαμβάνειν εἰς τὴν πρᾶξιν, μὴ λέγε πρὸς θεῶν ἔφη φυλλίδα ταῦτα, μὴ δὲ τὴν προπέτειαν εὐτολμίαν οἰόμενος ἀναστρέψῃς καὶ ἡμᾶς καὶ τὴν πόλιν, ἀλλ' ἔασον ἀσφαλῶς εἰ πέπρωται εἵμαρται κατελθεῖν τοὺς ἄνδρας, καὶ ὁ φυλλίδας παροξυνόμενος, εἰπέ μοι φησὶν ὦ ἱπποσθενείδα, πόσους οἴει μετέχειν τῶν ἀπορρήτων εἰς τὴν πρᾶξιν ἡμῖν; ἐγὼ μὲν εἶπεν οὐκ ἐλάσσους ἢ τριάκοντα γινώσκω. τί οὖν ἔφη; τοσούτων τὸ πλῆθος ὄντων τὰ πᾶσι δόξαντα, μόνος ἀνήρηκας καὶ διακεκώλυκας ἐκπέμψας ἱππέα πρὸς τοὺς ἄνδρας ἤδη καθ' ὁδὸν ὄντας, ἀναστρέφειν κελεύσας καὶ μὴ κατατείνειν σήμερον, ὅτε τῶν πρὸς τὴν κάθοδον τὰ πλεῖστα καὶ τὸ αὐτόματον συμπαρεσκεύασεν. εἰπόντος δὲ ταῦτα τοῦ φυλλίδου, πάντες μὲν διεταράχθημεν, ὁ δὲ χάρων τῷ ἱπποσθενείδᾳ πάνυ σκληρῶς τὴν ὄψιν ἐνερείσας, ὦ μοχθηρὲ εἶπεν ἄνθρωπε, τί δέδρακας ἡμᾶς; οὐδὲν ἔφη δεινὸν ὁ ἱπποσθενείδας, ἐὰν εἰς τὴν τραχύτητα τῆς φωνῆς, ἀνδρὸς ἡλικιώτου καὶ πολιᾶς παραπλησίως ἔχοντος λογισμῶν μετάσχῃς. εἰ μὲν γὰρ εὐψυχίαν φιλοκίνδυνον ἀποδείξασθαι τοῖς πολίταις καὶ θυμὸν ὀλιγοροῦντα τοῦ βίου προῃρήμεθα φυλλίδα, πολὺ τὸ τῆς ἡμέρας μῆκος ἔτι, καὶ τὴν ἑσπέραν μὴ περιμένωμεν. ἀλλ' ἤδη βαδίζωμεν ἐπὶ τοὺς τυράννους τὰ ξίφη λαβόντες, ἀποκτείνωμεν, ἀποθνήσκωμεν, ἀφειδῶμεν ἑαυτῶν. εἰ δὲ ταῦτα μὲν οὔτε δρᾶσαι

Marginal note: ἀναθεώμενος .l.

χαλεπὸν οὔτε παθεῖν, ἐξελέσθαι δὲ τὰς θήβας ὅπλων τοσούτων πολεμίων περιεχόντων, καὶ τὴν σπαρτιατῶν φρουρὰν ἀπώσασθαι δυσὶ νεκροῖς ἢ τρισὶν, οὐ ῥᾴδιον, οὐδὲ γὰρ τοσοῦτον εἰς τὰ συμπόσια καὶ τὰς ὑποδοχὰς παρεσκεύακε φυλλίδας ἄκρατον, ὥστε τοὺς χιλίους καὶ πεντακοσίους ἀρχίᾳ μεθυσθῆναι δορυφόρους· ἀλλὰ κἂν ἐκεῖνον ἀνέλωμεν, ἐφεδρεύει τῇ νυκτὶ νήφων κριπίδας καὶ ἀρκεσος. τί σπεύδομεν κατάγειν φίλους καὶ οἰκείους ἄνδρας ἐπὶ προῦπτον ὄλεθρον, καὶ τοῦτο μὴ δὲ ἀγνοούντων τῶν ἐχθρῶν παντάπασι τὴν κάθοδον. διατί γὰρ θεσπιεῦσι μὲν παρήγγελται τρίτην ἡμέραν ταύτην ἐν τοῖς ὅπλοις εἶναι, καὶ προσέχειν ὅταν οἱ σπαρτιατῶν ἡγεμόνες καλῶσιν, ἀμφίθεον δὲ σήμερον ὡς πυνθάνομαι μέλλουσιν ἀνακρίναντες ὅταν ἀρχίας ἐπανέλθῃ, διαφθείρειν. οὐ μεγάλα ταῦτα σημεῖα τοῦ μὴ λανθάνειν τὴν πρᾶξιν; οὐ κράτιστον ἐπισχεῖν χρόνον οὐ πολὺν, ἀλλ' ὅσον ἐξοσιώσασθαι τὰ θεῖα; καὶ γὰρ οἱ μάντεις τῇ δήμητρι τὸν βοῦν θύοντες, πολὺν θόρυβον καὶ κίνδυνον λέγουσι δημόσιον ἀποσημαίνειν τὰ ἔμπυρα καὶ τὸ σοὶ μάλιστα δεόμενον ὦ χάρων εὐλαβείας. ἐχθὲς ἐξ ἀγροῦ μοι συνοδεύων ὑπατόδωρος ὁ βριάνθους, χρηστὸς μὲν ἄλλως καὶ οἰκεῖος ἀνὴρ, οὐδὲν δὲ τῶν πρασσομένων συνειδὼς, ἔστι σοί φησιν ὦ ἱπποσθενείδα χάρων ἑταῖρος, ἐμοὶ δ' οὐ πάνυ συνήθης· ἐὰν οὖν δοκῇ σοι, φράσον αὐτῷ φυλάττεσθαί τινα κίνδυνον ἐξ ἐνυπνίου μάλα δυσχεροῦς καὶ ἀτόπου. τῆς γὰρ ἄλλης νυκτὸς ᾤμην αὐτοῦ τὴν οἰκίαν ὠδίνειν ὥσπερ κύουσαν· αὐτὸν δὲ καὶ τοὺς φίλους συναγωνιῶντας, εὔχεσθαι καὶ κύκλῳ παρεῖναι, τὴν δὲ μυκᾶσθαι καὶ ἀφιέναι φωνάς τινας ἀνάρθρους, τέλος δὲ πῦρ λάμψαι πολὺ καὶ δεινὸν, ἐξ αὐτῆς ἔνδοθεν, ὡς τὰ πλεῖστα τῆς πόλεως φλέγεσθαι. τὴν δὲ καδμείαν καπνῷ μόνῳ περιέχεσθαι. τὸ δὲ πῦρ ἄνω μὴ περιπολάζειν. ἡ μὲν οὖν ὄψις ὦ χάρων, ἣν ὁ ἄνθρωπος διεξῆλθε, τοιαύτη τις ἦν. ἐγὼ δὲ καὶ παραχρῆμα κατέδεισα, καὶ πολὺ μᾶλλον ἀκούω σήμερον, ὡς εἰς τὴν σὴν οἰκίαν οἱ φυγάδες καταίρειν μέλλουσιν, ἀγωνιῶ μὴ μεγάλων κακῶν ἐμπλήσωμεν ἡμᾶς αὐτοὺς, οὐδὲν ἀξιόλογον τοὺς πολεμίους δράσαντες, ἀλλ' ὅσον διαταράξαντες, τὴν γὰρ πόλιν πρὸς ἡμῶν τίθεμαι, τὴν δὲ καδμείαν ὥσπερ ἐστὶ πρὸς ἐκείνων. ὑπολαβὼν δὲ ὁ θεόκριτος, καὶ κατασχὼν τὸν χάρωνα βουλόμενον εἰπεῖν τι πρὸς τὸν ἱπποσθενείδαν. ἀλλ' ἔμοιγε εἶπεν ἀπ' οὐδενός οὕτως οὐδέποτε θαρρῆσαι πρὸς τὴν πρᾶξιν ὦ ἱπποσθενείδα πάρεστι, καίπερ ἱεροῖς ἀεὶ χρησαμένῳ καλοῖς ὑπὲρ τῶν φυγάδων, ὡς ἀπὸ τῆς ὄψεως ταύτης. εἴ γε φῶς μὲν πολὺ, καὶ λαμπρὸν ἐν τῇ πόλει λέγεις ἐξ οἰκίας φίλης ἀναχεῖν, καπνῷ δὲ συμμελανθῆναι τὸ τῶν πολεμίων οἰκητήριον, οὐδὲν οὐδέποτε δακρύων καὶ ταραχῆς φέρον τι κρεῖττον. ἀσήμους δὲ φωνὰς ἐκφέρεσθαι παρ' ἡμῶν. ὥστε κἂν εἴ τις ἐπιχειρῇ κατηγορεῖν περὶ φωνῆς, ἵν' ἀσαφῆ καὶ τυφλὴν ὑπόνοιαν ἡ πρᾶξις λαβοῦσα μόνον ἅμα καὶ φανήσεται καὶ κρατήσει· δυσιερεῖν οὐ δημόσιον, ἀλλὰ τῶν κρατούντων ἐστὶν, ἔτι δὲ τοῦ θεοκρίτου λέγοντος, ἐγὼ πρὸς τὸν ἱπποσθενείδαν, τίνα πρὸς τοὺς ἄνδρας ἐξαπέστειλας. εἰ γὰρ οὐ πολὺ προείληφας, διωξόμεθα. καὶ ὁ ἱπποσθενείδας, οὐκ οἶδ' εἶπεν ὦ καφεισία, δεῖ γὰρ ὑμῖν τἀληθῆ λέγειν, εἰ καταλάβοις ἄν, τὸν ἄνθρωπον. ἵππῳ χρώμενον τῶν ἐν θήβαις κρατίστων· γνώριμος δ' ὑμῖν ὁ ἄνθρωπός ἐστι· τῶν μέλωνος ἁρματηλατῶν ἐπιστάτης καὶ δι' ἐμὲ μέλωνα τὴν πρᾶξιν ἀπαρχῆς συνειδώς. κἀγὼ κατιδὼν τὸν ἄνθρωπον· ἆρ' οὐ χλίδωνα λέγεις ὦ ἱπποσθενείδα, τὸν κέλητι τὰ ἡραῖα νικῶντα πέρυσιν; ἐκεῖνον μὲν οὖν αὐτὸν ἔφη. καὶ τίς οὗτος ἔφην ἐστὶν, ὁ πρὸς ταῖς αὐλείοις θύραις ἐφεστὼς πάλαι καὶ προσβλέπων ἡμῖν; ἐπιστρέψας οὖν ὁ ἱπποσθενείδας· χλίδων ἔφη νὴ τὸν ἡρακλέα· φεῦ, μή τι χαλεπώτερον συμβέβηκε, κἀκεῖνος ὡς εἶδεν ἡμᾶς προσέχον-

Marginal notes: τὴν .l. — ἱπποσθενείδα .l. — ἐπιστρέψας .l.

ταις αὐτῷ, ἀπὸ τῆς θύρας ἡσυχῇ προσῆγε τοῦ δ' Ἱπποσθενείδου νεύσαντος αὐτῷ
καὶ λέγειν κελεύσαντος εἰς ἅπαντας.

οὐδ' ἔφη τοὺς ἄνδρας ἀκριβῶς Ἱπποσθενείδα, καὶ σὲ
μήτε κατ' οἶκον εὑρὼν, μήτε ἐπ' ἀγορᾶς· δεῦρο πρὸς τούτους ἐτεκμαιρόμην ἥκειν,
καὶ συνέτεινον εὐθὺς, ἵνα μηδὲν ἀγνοῇς τι τῶν γεγονότων. ὡς γὰρ ἐκέλευσας τά-
χει παντὶ χρησάμενον ἐλθεῖν τοῦ ὄρους ἀπαντῆσαι τοῖς ἀνδράσιν, εἰσῆλθον οἴκαδε
ληψόμενος τὸν ἵππον, αἰτοῦντι δέ μοι τὸν χαλινὸν οὐκ εἶχεν ἡ γυνὴ δοῦναι, ἀλλὰ
διέτριβεν ἐν τῷ ταμείῳ πολὺν χρόνον, ὡς δὲ ζητοῦσα καὶ σκαιωρουμένη τὰ ἔν-
δον, ἱκανῶς ἀπολαύσασά μου, τέλος ὁμολόγησε κεχρημένας τῷ γείτονι τὸν
χαλινὸν, ἑσπέρας αἰτησαμένης αὐτοῦ γυναικός. ἀγανακτοῦντος δὲ ἐμοῦ καὶ κα-
κῶς αὐτὴν λέγοντος, τρέπεται πρὸς δυσθυμίας ἀφροπαίζς, ἐπαρωμένη κα-
κὰς ὁδοὺς, κακὰς δ' ἐπανόδους ἃ νὴ Δία πάντα τρέψειαν εἰς αὐτὴν ἐκείνην θεοί.
τέλος δὲ μέχρι πληγῶν προαχθεὶς ὑπὸ ὀργῆς, εἶτα ὄχλου γειτόνων καὶ γυναι-
κῶν συνδραμόντος αἴσχιστα ποιήσας καὶ παθὼν, μόλις ἀφῖγμαι πρὸς ὑμᾶς. ὅ-
πως ἄλλον ἐκπέμπητε πρὸς τοὺς ἄνδρας, ὡς ἐμοῦ παντάπασιν ἐκστατικῶς
ἐν τῷ παρόντι καὶ κακῶς ἔχοντος. ἡμᾶς δέ τις εἶχεν ἄτοπος μεταβολὴ τοῦ πά-
θους. μικρὸν γὰρ ἔμπροσθεν τῷ κεκωλῦσθαι δυσχεραίνοντες, πάλιν διὰ τὴν ὀ-
ξύτητα τοῦ καιροῦ καὶ τὸ τάχος ὡς οὐκ οὔσης ἀναβολῆς εἰς ἀγωνίαν ὑπηγόμεθα
καὶ φόβον. οὐ μὴν ἀλλ' ἐγὼ προσαγορεύσας τὸν Ἱπποσθενείδαν καὶ δεξιωσάμε-
νος ἐθάρρυνον, ὡς καὶ τῶν θεῶν παρακαλούντων ἐπὶ τὴν πρᾶξιν. ἐκ δὲ τούτου,
Φυλλίδας μὲν ᾤχετο τῆς ὑποδοχῆς ἐπιμελησόμενος καὶ τὸν Ἀρχίαν εὐθὺς ἐν-
σείσων εἰς τὸν τόπον. Χάρων δὲ τῆς οἰκίας.

ἐγὼ δὲ καὶ Θεόκριτος πάλιν πρὸς τὸν Σιμμίαν ἐπανήλ-
θομεν, ὅπως τῷ Ἐπαμεινώνδᾳ καιρὸν λαβόντες ἐντύχοιμεν. οἱ δ' ἦσαν πρόσω
ζητήσεως οὐκ ἀγεννοῦς ἤδη, ἀλλ' ἧς ὀλίγον ἔμπροσθεν οἱ περὶ Γαλαξίδωρον καὶ
Φειδόλαον ἥψαντο διαποροῦντες, τίς οὐσίας καὶ δυνάμεως εἴη τὸ Σωκράτους λε-
γόμενον δαιμόνιον. ἃ μὲν οὖν πρὸς τὸν Γαλαξιδώρου λόγον ἀντεῖπεν ὁ Σιμμίας,
οὐκ ἠκούσαμεν. αὐτὸς δὲ Σωκράτης μὲν ἔφη περὶ τούτων ἐρόμενός ποτε, μὴ τυ-
χεῖν ἀποκρίσεως. διὸ μηδ' αὖθις ἐρέσθαι. πολλάκις δ' αὐτῷ παραγενέσθαι, τοὺς
μὲν δι' ὄψεως ἐντυχεῖν θείῳ τινὶ λέγοντας, ἀλαζόνας ἡγούμενον, τοῖς δ' ἀκοῦ-
σαί τινος φωνῆς φασκούσης προσέχοντι τὸν νοῦν, καὶ διαπυνθανομένῳ μετὰ σπου-
δῆς ὅθεν ἡμῖν παρείσατο σκοπουμένοις ἰδίᾳ πρὸς ἀλλήλους ὑπονοεῖν· μή ποτε τὸ
Σωκράτους δαιμόνιον, οὐκ ὄψις, ἀλλὰ φωνῆς τινος αἴσθησις ἀλόγου νόησις εἴη. συ-
νάπτοντος ἀτόπῳ τινὶ τρόπῳ πρὸς αὐτὸν, ὥσπερ καὶ καθ' ὕπνον οὐκ ἔστι φωνή.
λόγων δέ τινων δόξας καὶ νοήσεις λαμβάνοντες, οἴονται φθεγγομένων ἀκούειν,
ἀλλὰ τοῖς μὲν ὡς ἀληθῶς ὄναρ ἡ τοιαύτη σύνεσις γίνεται. δι' ἡσυχίαν καὶ γα-
λήνην τοῦ σώματος ὅταν καθεύδωσι. μόλις ἐπή-
κοον ἔχουσι τὴν ψυχὴν τῶν κρειττόνων. καὶ πεπνιγμένοι γε θορύβῳ τῶν παθῶν,
καὶ περιαγωγῇ τῶν χρειῶν, εἰσακοῦσαι καὶ παρασχεῖν τὴν διάνοιαν, οὐ δύνανται τοῖς
δηλουμένοις. Σωκράτει δὲ ὁ νοῦς καθαρὸς ὢν καὶ ἀπαθὴς τῷ σώματι μὴ μικρὰ τῶν
ἀναγκαίων χάριν καταμιγνὺς αὑτὸν, εὐαφὴς ἦν καὶ λεπτὸς ὑπὸ τοῦ προσπε-
σόντος ἀξίως μεταβαλεῖν. τὸ δὲ προσπίπτον, οὐ φθόγγον, ἀλλὰ λόγον ἄν τις εἰκά-
σειε δαίμονος ἄνευ φωνῆς ἐφαπτόμενον αὐτῷ τῷ δηλουμένῳ τοῦ νοοῦντος. πλη-
γῇ γὰρ ἡ φωνὴ προσέοικε τῆς ψυχῆς δι' ὤτων βίᾳ τὸν λόγον εἰσδεχομένοις, ὅταν ἀλ-
λήλοις ἐντυγχάνωμεν. ὁ δὲ τοῦ κρείττονος νοῦς, ἄγει τὴν εὐφυᾶ ψυχὴν ἐπιθιγγά-
νων τῷ νοηθέντι πληγῆς μὴ δεομένην. ἡ δ' ἐνδίδωσιν αὐτῷ χαλῶντι καὶ συντεί-

νοντι τὰς ὁρμὰς, οὐ βιαίως ὑπὸ παθῶν ἀντιτεινόντων ἀλλ' εὐστρόφους καὶ μα-
λακὰς ὥσπερ ἡνίας ἐνδούσας. οὐ δεῖ δὲ θαυμάζειν ὁρῶντας, ὅτι μὲν ὑπὸ
μικροῖς οἴαξι μεγάλων περιαγωγὰς ὁλκάδων, ὅτι δὲ τροχῶν κεραμικῶν δίνη-
σιν ἄκρα παραψαύσει χειρὸς ὁμαλῶς περιφερομένων. ἄψυχα μὲν γὰρ, ἀλλ' ὅ-
μως ὀχαλὰ ταῖς κατασκευαῖς ὑπὸ λειότητος ἐνδίδωσι πρὸς τὸ κινοῦν ῥο-
πῆς γενομένης. ψυχὴ δὲ ἀνθρώπου μυρίαις ὁρμαῖς οἷον ὑπόπληξιν ἐντεταμένη μα-
κρῷ πάντων ὀργάνων εὐστροφώτατόν ἐστιν, ἄν τις κατὰ λόγον ἅπτηται. ῥοπὴν
λαβοῦσα πρὸς τὸ νοηθὲν κινεῖσθαι. ἐνταῦθα γὰρ εἰς τὸ νοοῦν, αἱ τῶν παθῶν καὶ
ὁρμῶν κατατείνουσιν ἀρχαί. τούτου δὲ σεισθέντος, ἑλκόμεναι σπῶσι καὶ συντεί-
νουσι τὸν ἄνθρωπον ᾗ καὶ μάλιστα τὸ νοηθὲν, ἡλίκην ἔχει ῥώμην καταμαθεῖν δίδω-
σιν, ὀστᾶ γὰρ ἀναίσθητα καὶ νεῦρα καὶ σάρκες ὑγρῶν περίπλεαι καὶ βαρὺς ὁ ἐκ
τούτων ὄγκος ἡσυχάζων καὶ κείμενος ἅμα τῷ τὴν ψυχὴν ἐν νοήσει βαλέσθαι, καὶ
πρὸς αὐτὸ κινῆσαι τὴν ὁρμὴν, ὅλος ἀναστὰς καὶ συνταθεὶς, πᾶσι τοῖς μορίοισιν
οἷον ἐπτερωμένος φέρεται πρὸς τὴν πρᾶξιν. ὁ δ' ὁ τῆς κινήσεως καὶ συντάσεως καὶ
παραστάσεως τρόπος χαλεπὸς, ἢ παντελῶς ἄπορος συνοφθῆναι. καθ' ὃν ἡ ψυχὴ
νοήσασα ἐφέλκεται ταῖς ὁρμαῖς τὸν ὄγκον, ἀλλ' ἐν ἴσῳ μάλα δίχα φωνῆς ἐνο-
ηθεὶς κινεῖ λόγος ἀπραγμόνως, οὕτως οὐκ ἂν οἶμαι δυσέκως ἔχει μὴ ὑπὸ νοῦ κρείσ-
σονος νοῦ καὶ ψυχῆς θειοτέρας ἄγεσθαι θύραθεν ἐφαπτομένης ἣ πέφυκεν ἐπα-
φὴν ὁ λόγος ἴσχειν πρὸς λόγον. ὥσπερ φῶς ἀνταύγειαν. τῷ γὰρ ὄντι τὰς μὲν ἀλ-
λήλων νοήσεις. οἷον ὑπὸ σκότῳ διὰ φωνῆς ψηλαφῶντες γνωρίζομεν. αἱ δὲ τῶν
δαιμόνων φέγγος ἔχουσαι, τοῖς δυναμένοις ἐλλάμπουσι, οὐ δεόμεναι ῥημάτων, οὐ-
δὲ ὀνομάτων, οἷς χρώμενοι πρὸς ἀλλήλους οἱ ἄνθρωποι συμβόλοις εἴδωλα τῶν
νοουμένων, καὶ εἰκόνας ὁρῶσιν, αὐτὰ δὲ οὐ γινώσκουσι, πλὴν οἷς ἔπεστιν ἴδιόν τι καὶ
δαιμόνιον ὥσπερ εἴρηται φέγγος, καίτοι τὸ περὶ τὴν φωνὴν γινόμενον, ἔστιν ἣ πα-
ραμυθεῖται τοὺς ἀπιστοῦντας, ὁ γὰρ ἀὴρ φθόγγοις ἐνάρθροις τυπωθεὶς καὶ γενό-
μενος δι' ὅλου λόγος καὶ φωνὴ, πρὸς τὴν ψυχὴν τοῦ ἀκροωμένου περαίνει τὴν νόη-
σιν, ὥστε θαυμάζειν ἄξιον, εἰ καὶ κατὰ τοῦτο τὸ νοηθὲν ὑπὸ τῶν ἀμει-

ὁ ἀὴρ τρεπόμενος δι' εὐπάθειαν, ἐσημαίνεται τοῖς θείοις καὶ περιττ-
τοῖς ἀνδράσι τὸν τοῦ νοήσαντος λόγον. ὥσπερ γὰρ αἱ πληγαὶ τῶν

ὄντων ἀσπίδι χαλκαῖς ἁλίσκονται διὰ τὴν ἀντήχησιν, ὅταν ἐκ βά-
θους ἀναφερόμεναι προσπέσωσι τῶν δ' ἄλλων ἀδήλως διεκθέουσαι λανθάνου-
σιν, οὕτως οἱ τῶν δαιμόνων λόγοι διὰ πάντων φερόμενοι, μόνοις ἐνηχοῦσι τοῖς ἀ-
θόρυβον ἦθος καὶ νήνεμον ἔχουσι τὴν ψυχὴν, οὓς καὶ δὴ καὶ ἱεροὺς καὶ δαιμονί-
ους ἀνθρώπους καλοῦμεν. οἱ δὲ πολλοὶ καταδαρθοῦσιν οἴονται τὸ δαιμόνιον ἀν-
θρώποις ἐπιθειάζειν, εἰ δ' ἐγρηγορότας, καὶ καθεστῶτας, ἐν τῷ φρονεῖν ὁμοίως
κινοῦσι, θαυμαστὸν ἡγοῦνται καὶ ἄπιστον, ὥσπερ ἂν εἴ τις οἴοιτο τὸν μουσικὸν ἀνειμένῃ
τῇ λύρᾳ χρώμενον, ὅταν συστῇ τοῖς τόνοις ἢ καθαρμοσθῇ, μὴ ἅπτεσθαι μηδὲ χρῆσθαι.
τὸ γὰρ αἴτιον οὐ συνορῶσι τὴν ἐν αὐτοῖς ἀναρμοστίαν καὶ ταραχὴν, ἧς ἀπήλλακτο σω-
κράτης ὁ ἑταῖρος ἡμῶν. ὥσπερ ὁ δοθεὶς ἔτι παιδὸς ὄντος αὐτῷ τῷ πατρὶ χρησμὸς
ἀπεθέσπισεν, ἐᾶν ὅ τι αὐτὸν ἐκέλευσεν ὅ τι ἂν ἐπὶ νοῦν ἴῃ πράττειν, καὶ μηδὲ βιά-
ζεσθαι, μηδὲ παράγειν, ἀλλ' ἐφιέναι τὴν ὁρμὴν τοῦ παιδός. εὐχόμενον ὑπὲρ
αὐτοῦ Διὶ Ἀγοραίῳ, καὶ Μούσαις, τὰ δ' ἄλλα μὴ πολυπραγμονεῖν περὶ Σωκρά-
τους, ὡς κρείττονα δήπουθεν ἔχοντος ἐν αὐτῷ μυρίων διδασκάλων, καὶ παιδαγω-
γῶν ἡγεμόνα πρὸς τὸν βίον. ἡμῖν μὲν ὦ Φειδόλαε καὶ ζῶντος Σωκράτους καὶ τε-
θνηκότος, οὕτως ἐννοεῖν περὶ τοῦ δαιμονίου παρείσταται, τῶν κληδόνας, ἢ πταρ-
μοὺς, ἤ τι τοιοῦτον ἄλλο καταφρονοῦσιν. ἃ δὲ Τιμάρχου τοῦ Χαιρωνέως, ἠκούσα

μεν ὑπὲρ τούτου διεξιόντος, οὐκ οἶδα μὴ μυθώδη.
λογίσονται σιωπᾶν ἄμεινον, μηδαμῶς εἶπεν ὁ Θεόκριτος· ἀλλὰ δί-
ελθε αὐτά. καὶ γὰρ εἰ μὴ λίαν ἀκριβῶς, ἀλλ᾿ ἔστιν ὅπῃ ψαύει τῆς ἀληθείας καὶ
τὸ μυθῶδες. πρότερον δὲ τίς ἦν οὗτος ὁ Τίμαρχος, φράσον. εἰκότως γὰρ ἔγνων τὸν ἄνθρω-
πον. εἰκότως γε εἶπεν ὁ Σιμμίας ὦ Θεόκριτε. νέος γὰρ ὢν κομιδῇ καὶ τοῦ Σωκράτους
δεηθεὶς ταφῆναι παρὰ Λαμπροκλέα τὸν Σωκράτους υἱὸν, ὀλίγαις πρότερον ἡμέραις
αὐτοῦ τεθνηκότα φίλον, καὶ ἡλικιώτην γενόμενον. οὗτος οὖν ποθῶν γνῶναι τὸ
Σωκράτους δαιμόνιον, ἣν ἔχει δύναμιν, ἅτε δὴ νέος οὐκ ἀγεννὴς ἄρτι γευσάμενος
φιλοσοφίας, ἐμοὶ καὶ Κέβητι κοινωσάμενος μόνοις, εἰς Τροφωνίου κατῆλθε δρά-
σας τὰ νομιζόμενα περὶ τὸ μαντεῖον. ἐμμείνας δὲ δύο νύκτας κάτω, καὶ μίαν
ἡμέραν τῶν πολλῶν ἀπεγνωκότων αὐτὸν ἤδη καὶ τῶν οἰκείων ὀδυρομένων, πρωῒ
μάλα φαιδρὸς ἀνῆλθε, προσκυνήσας δὲ τὸν θεὸν, ὡς πρῶτον διέφυγε τὸν ὄχλον,
διηγεῖτο ἡμῖν θαυμάσια πολλὰ καὶ ἰδεῖν καὶ ἀκοῦσαι. ἔφη δὲ καταβὰς εἰς τὸ μαν-
τεῖον, περιτυχεῖν σκότῳ πολλῷ τὸ πρῶτον, εἶτα ἐπευξάμενος κεῖσθαι πολὺν χρό-
νον. οὐ μάλα συμφρονῶν ἐναργῶς εἴτ᾿ ἐγρήγορεν εἴτε ὠνειροπόλει. πλὴν δόξαι γε
τῆς κεφαλῆς ἅμα ψόφῳ προσπεσόντι πληγείσης, τὰς ῥαφὰς διαστάσας, μεθιέ-
ναι τὴν ψυχὴν, ὡς δ᾿ ἀναχωροῦσα κατεμίγνυτο πρὸς ἀέρα διαυγῆ καὶ καθαρὸν
ἀσμένη, πρῶτον μὲν ἀναπνεῦσαι τότε δοκεῖν διὰ χρόνου συχνοῦ τεινομένην τέ-
ως, καὶ πλείονα γίνεσθαι τῆς πρότερον, ὥσπερ ἱστίον ἐκπεταννυμένην, ἔπειτα
κατακούειν ἀμαυρῶς ῥοίζου τινὸς ὑπὲρ κεφαλῆς περιελαυνομένου φωνὴν ἡ-
δεῖαν ἱέντος. ἀναβλέψας δὲ, τὴν μὲν γῆν οὐδαμοῦ καθορᾶν, νήσους δὲ λαμπομέ-
νας μαλακῷ πυρὶ κατ᾿ ἀλλήλων ἐξαμειβούσας ἄλλην ἄλλοτε χρόαν ὥσπερ βα-
φὴν ἄγειν τῷ φωτὶ ποικιλλομένῳ, κατὰ τὰς μεταβολάς, φαίνεσθαι δὲ, πλή-
θει μὲν ἀναριθμους, μεγέθει δὲ ὑπερφυεῖς, οὐκ ἴσας δὲ πάσας, ἀλλ᾿ ὁμοίως κυκλο-
τερεῖς, οἴεσθαι δὲ ταύτας τὸν αἰθέρα κύκλῳ φερομένας ὑπορροιζεῖν
εἶναι γὰρ ὁμολογουμένην τῇ τῆς κινήσεως λειότητι τὴν
πραότητα τῆς φωνῆς ἐκείνης ἐκ πασῶν συνηρμοσμένης. διὰ μέσου δὲ αὐτῶν θά-
λασσαν ἢ λίμνην ὑπερκεχύσθαι τοῖς χρώμασι διαλάμπουσαν διὰ τῆς γλαυκό-
τητος ἐπιμιγνυμένοις, καὶ τῶν νήσων ὀλίγας μὲν ἐκπλεῖν κατὰ πόρον, καὶ δια-
κομίζεσθαι πέραν τοῦ ῥεύματος, ἄλλας δὲ πολλὰς
ἐφέλκεσθαι τῇ
σχεδὸν ὑποφερομένοις,
εἶναι δὲ τῆς θαλάσσης, πῇ μὲν πολὺ βάθος κατὰ νότον. μάλιστα δὲ ἀραιὰ τενά-
γη καὶ βραχέα, πολλαχῆ δὲ καὶ ὑπερχεῖσθαι, καὶ ἀπολιπεῖν αὖθις οὐ μεγάλας
ἐκβολὰς λαμβάνουσαν, καὶ τὰς χρόας. τὸ μὲν, ἄκρατον καὶ πελάγιον, τὸ δὲ οὐ
καθαρὸν, ἀλλὰ συγκεχυμένον καὶ λιμνῶδες. τῶν δὲ ῥοθίων τὰς νήσους ἅμα περα-
νομένας ἐπανάγειν, οὐδὲν εἰς ταυτὸ συνάπτειν τὸ πέρας τῇ ἀρχῇ, οὐδὲ ποιεῖν κύ-
κλον, ἀλλ᾿ ἡσυχῆ παραλλάσσειν τὰς ἐπιβολὰς ἕλικα ποιούσας μίαν ἐν τῷ πε-
ριστρέφεσθαι. τούτων δὲ πρὸς τὸ μέσον μάλιστα τοῦ περιέχοντος καὶ μέγιστον ἐγ-
κεκλίσθαι τὴν θάλασσαν ὀλίγῳ τῶν ὀκτὼ μερῶν τοῦ παντὸς ἔλαττον ὡς αὐτὸς
καταφαίνεται. δύο δὲ αὐτὴν ἔχειν ἀνεστομώσεις πυρὸς ἐμβαλόντος ἐναντίους πο-
ταμοὺς δεχομένας. ὡς ἐπὶ πλεῖστον ἀνακοπτομένην κολάζειν καὶ ἀπολευκαί-
νεσθαι τὴν γλαυκότητα. ταῦτα μὲν οὖν ὁρᾶν τερπόμενος τῇ θέᾳ. κάτω δ᾿ ἀπι-
δόντι φαίνεσθαι χάσμα μέγα στρογγύλον. οἷον ἐκτετμημένης σφαίρας. φοβε-
ρὸν δὲ δεινῶς καὶ βαθὺ, πολλοῦ σκότους πλῆρες οὐχ ἡσυχάζοντος, ἀλλ᾿ ἐκ τα-
ραττομένου καὶ ἀνακλύζοντος πολλάκις, ὅθεν ἀκούεσθαι μυρίας μὲν ὠρυγὰς καὶ
στεναγμοὺς ζώων, μυρίων δὲ κλαυθμὸν βρεφῶν, καὶ μεμιγμένους ἀνδρῶν καὶ γυ-
ναικῶν

ναικῶν ὀδυρμοὺς, ψόφους δὲ παντοδαποὺς, καὶ θορύβους ἐκ βάθους πόρρω-
θεν ἀμυδροὺς ἀναπεμπομένους. οἷς οὐ μετρίως αὐτὸς ἐκπεπλῆχθαι. χρόνου δὲ
προϊόντος εἰπεῖν τινα πρὸς αὐτὸν οὐχ ὁρώμενον, ὦ Τίμαρχε τί ποθεῖς πυθέσθαι;
φράσαι δὲ πρὸς αὐτὸν, ὅτι πάντα. τί γὰρ οὐ θαυμάσιον, ἀλλ᾿ ἡμῖν φάναι τῶν ἄνω
μέτεστι μικρὸν, ἄλλων γὰρ θεῶν ἐκεῖνα. τὴν δὲ Φερσεφόνης μοῖραν ἣν ἡμεῖς διέπο-
μεν τῶν τεττάρων μίαν οὖσαν ὡς ἡ Στὺξ ὁρίζει βουλομένῳ σοι σκοπεῖν πάρεστιν,
ερομένου δὲ αὐτοῦ τίς ἡ Στύξ ἐστιν, ὁδὸς εἰς ᾅδου φάναι, καὶ πρόεισιν ἐναντίας αὐ-
τῇ σχίζουσα, τῇ κορυφῇ τὸ φῶς, ἀνατείνουσα δ᾿ ὡς ὁρᾷς ἐκ τοῦ ᾅδου κάτωθεν ᾗ
ψαύει περιφερομένη, καὶ τοῦ φωτὸς ἀφορίζει τὴν ἐσχάτην μερίδα τῶν ὅλων.
τέσσαρες δέ εἰσιν ἀρχαὶ πάντων. ζωῆς μὲν ἡ πρώτη, κινήσεως δὲ ἡ δευτέρα, γενέ-
σεως δὲ ἡ τρίτη, φθορᾶς δὲ ἡ τελευταία. συνδεῖ δὲ τῇ μὲν δευτέρᾳ τὴν πρώτην,
μονὰς κατὰ τὸ ἀόρατον. τὴν δὲ δευτέραν τῇ τρίτῃ, νοῦς καθ᾿ ἥλιον, τὴν δὲ τρίτην
πρὸς τετάρτην, φύσις κατὰ σελήνην. τῶν δὲ συνδέσμων ἑκάστου μοῖρα κλειδοῦ-
χος ἀνάγκης θυγάτηρ κάθηται. τοῦ μὲν πρώτου, Ἄτροπος, τοῦ δὲ δευτέρου, Κλω-
θὼ, τοῦ δὲ πρὸς σελήνην Λάχεσις. περὶ ἣν ἡ καμπὴ τῆς γενέσεως. αἱ μὲν γὰρ ἄλ-
λαι νῆσοι, θεοὺς ἔχουσι. σελήνη δὲ, δαιμόνων ἐπιχθονίων οὖσα, φεύγει τὴν Στύγα
μικρὸν ὑπερφέρουσα. λαμβάνεται δὲ ἅπαξ ἐν μέτροις δευτέροις ἑκατὸν ἑβδο-
μήκοντα ἑπτά, καὶ τῆς Στυγὸς ἐπιφερομένης αἱ ψυχαὶ βοῶσι δειμαίνουσαι. πολ-
λὰς γὰρ ὁ ᾅδης ἀφαρπάζει περιολισθανούσας, ἄλλας δ᾿ ἀνακομίζεται κάτω-
θεν ἡ σελήνη προσνηχομένας. αἷς εἰς καιρὸν ἡ τῆς γενέσεως τελευτὴ ἐνέπεσε,
πλὴν ὅσαι μιαραὶ καὶ ἀκάθαρτοι. ταύτας δ᾿ ἀστράπτουσα καὶ μυκωμένη φοβε-
ρὸν, οὐκ ἐᾷ πελάζειν. ἀλλὰ θρηνοῦσαι τὸν ἑαυτῶν πότμον, ἀποσφαλλόμεναι φέ-
ρονται κάτω πάλιν ἐπ᾿ ἄλλην γένεσιν ὡς ὁρᾷς, ἀλλ᾿ οὐδὲν ὁρῶ τὸν Τίμαρχον εἰπεῖν,
ἢ πολλοὺς ἀστέρας περὶ τὸ χάσμα παλλομένους, ἑτέρους δὲ καταδυομένους εἰς
αὐτὸ, τοὺς δὲ ἀπῄττοντας αὖ κάτωθεν, αὐτοὺς ἄρα φάναι τοὺς δαίμονας ὁρῶν ἀ-
γνοεῖς. ἔχει γὰρ ὧδε, ψυχὴ πᾶσα νοῦ μετέσχεν. ἄλογος δὲ καὶ ἀνθρώπῳ οὐκ ἔστιν.
ἀλλ᾿ ὅσον ἂν αὐτῆς σαρκὶ μιχθῇ καὶ πάθεσιν, ἀλλοιούμενον τρέπεται καθ᾿ ἡδο-
νὰς, καὶ ἀλγηδόνας εἰς τὸ ἄλογον. μίγνυται δ᾿ οὐ πᾶσα τὸν αὐτὸν τρόπον, ἀλλ᾿
αἱ μὲν ὅλαι κατέδυσαν εἰς σῶμα, καὶ δι᾿ ὅλων ἀναταραχθεῖσαι τοσύμπαν ὑπὸ πα-
θῶν διαφέρονται κατὰ τὸν βίον. αἱ δὲ, πῇ μὲν ἀνεκράθησαν, πῇ δὲ ἔλιπον ἔξω
τὸ καθαρώτατον οὐκ ἐπισπώμενον, ἀλλ᾿ οἷον ἀκρόπλουν ἐπιψαῦον ἐκ κεφαλῆς
τοῦ ἀνθρώπου, καθάπερ ἐν βυθῷ δεδυκότος ἀρτήμα κορυφαῖον ὀρθουμένοις περὶ
αὐτὸ τῆς ψυχῆς ἀνέχον ὅσον ὑπακούει καὶ οὐ κρατεῖται τοῖς πάθεσι. τὸ μὲν οὖν
ὑποβρύχιον ἐν τῷ σώματι φερόμενον, ψυχὴ λέγεται. τὸ δὲ φθορᾶς λειφθὲν, οἱ
πολλοὶ νοῦν καλοῦντες, ἐντὸς εἶναι νομίζουσιν αὐτῶν. ὥσπερ ἐν τοῖς ἐσόπτροις
τὰ φαινόμενα κατ᾿ ἀνταύγειαν. οἱ δὲ ὀρθῶς ὑπονοοῦντες ὡς ἐκτὸς ὄντα, δαίμο-
να προσαγορεύουσι. τοὺς μὲν οὖν ἀποσβέννυσθαι δοκοῦντας ἀστέρας φάναι, τὰς
εἰς σῶμα καταδυομένας ὅλας ψυχὰς ὁρᾶν νόμιζε. τοὺς δὲ οἷον ἀναλάμποντας
πάλιν καὶ ἀναφαινομένους κάτωθεν, ἀχλύν τινα καὶ ζόφον ὥσπερ πηλὸν ἀποσειο-
μένους, τὰς ἐκ τῶν σωμάτων ἐπαναπλεούσας μετὰ τὸν θάνατον. οἱ δὲ ἄνω δια-
φερόμενοι δαίμονές εἰσι τῶν νοῦν ἔχειν λεγομένων ἀνθρώπων, πειράθητι δὲ κατι-
δεῖν ἑκάστου τὸν σύνδεσμον ᾗ τῇ ψυχῇ συμπέφυκε. ταῦτα ἀκούσας αὐτὸς, ἀκρι-
βέστερον προσέχειν καὶ θεᾶσθαι τῶν ἀστέρων ἀποσαλεύοντας, τοὺς μὲν ἧττον, τοὺς
δὲ μᾶλλον, ὥσπερ τοὺς τὰ δίκτυα διασημαίνοντας ἐν τῇ θαλάσσῃ φελλοὺς, ἐρῶ-
μεν ἐπιφερομένους. ἐνίας δὲ τοῖς κλωθομένοις ἀτράκτοις ὁμοίως ἔσχατα τεταραγ-
μένην καὶ ἀνώμαλον ἕλκοντας, οὐ δυναμένους κατασῆσαι τὴν κίνησιν, ἐπ᾿ εὐθείας

λέγειν δὲ τὴν φωνὴν, τοὺς μὲν εὐθεῖαν καὶ τεταγμένην κίνησιν ἔχοντας. εὐηνίοις
ψυχαῖς χρῆσθαι διὰ τροφὴν, καὶ παίδευσιν ἀστείαν, οὐ κατὰ γαῖαν πηλινὸν καὶ
ἄγριον παρεχομέναις τὸ ἄλογον. τοὺς δὲ ἄνω καὶ κάτω πολλάκις ἀνωμάλως, καὶ
τεταραγμένως ἐγκλίνοντας. οἷον ἐκ δεσμοῦ σπαραττομένους, δυσπειθέσι καὶ ἀ-
ναγώγοις δι' ἀπαιδευσίαν ζυγομαχεῖν ἤθεσι. πῆ μὲν κρατοῦντας, καὶ περιάγον-
τας ἐπὶ δεξιὰ, πῆ μὲν καμπτομένους ὑπὸ τῶν παθῶν, καὶ συνεφελκομέ-
νους τοῖς ἁμαρτήμασιν εἶτα πάλιν ἀντιτείνοντας καὶ βιαζομένους. τὸν μὲν γὰρ
σύνδεσμον οἷα χαλινὸν τῷ ἀλόγῳ τῆς ψυχῆς ἐμβεβλημένον. ὅταν ἀντισπάσῃ,
τὴν λεγομένην μεταμέλειαν ἐπάγειν ταῖς ἁμαρτίαις, καὶ τὴν ἐπὶ ταῖς ἡδο-
ναῖς ὅσαι παράνομοι καὶ ἀκρατεῖς αἰσχύνην, ἀλγηδόνας καὶ πληγὴν οὖσαν ἐν-
θένδε τῆς ψυχῆς ὑπὸ τοῦ κρατοῦντος καὶ ἄρχοντος ἐπιστομιζομένοις. μέχρις
αὖ, οὕτω κολαζομένη πειθήνιος γένηται καὶ συνήθης ὥσπερ θρέμμα πρᾶον ἄνευ
πληγῆς καὶ ἀλγηδόνος ὑπὸ συμβόλων ὀξέων καὶ σημείων αἰσθανομένη τοῦ δαί-
μονος. αὗται μὲν οὖν ὀψέ ποτε καὶ βραδέως ἄγονται, καὶ καθίστανται πρὸς
τὸ δέον. ἐκ δὲ τῶν εὐηνίων ἐκείνων κατηκόων εὐθὺς ἐξ ἀρχῆς καὶ γενέσεως τοῦ οἰκείου
δαίμονος, καὶ τὸ μαντικόν ἐστι καὶ θεοκλυτούμενον γένος. ὧν τὴν ἑρμοδώρου τοῦ
κλαζομενίου ψυχὴν ἀκήκοας δήπουθεν, ὡς ἀπολείπουσα παντάπασι τὸ σῶμα
νύκτωρ καὶ μεθ' ἡμέραν ἐπλανᾶτο πολλὸν τόπον, εἶτ' αὖθις ἐπανήει. πολλοῖς
τῶν μακρὰν λεγομένων καὶ πραττομένων ἐντυχοῦσα καὶ παραγενομένη. μέχρις
οὗ τὸ σῶμα τῆς γυναικὸς προδούσης, λαβόντες, οἱ ἐχθροὶ ψυχῆς ἔρημον οἴκοι κα-
τέπρησαν. τοῦτο μὲν οὖν οὐκ ἀληθές ἐστιν, οὐ γὰρ ἐξέβαινεν ἡ ψυχὴ τοῦ σώματος,
ὑπήκουσα δὲ ἀεὶ καὶ χαλῶσα τῷ δαίμονι τὸν σύνδεσμον ἐδίδου περιδρομὴν καὶ
περιφοίτησιν, ὥστε πολλὰ συνορῶντα καὶ κατακούοντα τῶν ἐκτὸς εἰσαγγέλ-
λειν. οἱ δὲ ἀφανίσαντες τὸ σῶμα κοιμωμένου. μέχρι νῦν δίκην ἐν τῷ ταρτάρῳ τί-
νουσι. ταῦτα δὲ εἴσῃ φάναι σαφέστερον ὦ νεανία τρίτῳ μηνί. νῦν δ' ἄπιθι. παυσα-
μένης δὲ τῆς φωνῆς βούλεσθαι μὲν αὐτὸν ὁ τίμαρχος ἔφη θεάσασθαι περιστρέφον-
τα, τίς ὁ φθεγγόμενος εἴη. σφόδρα δὲ τὴν κεφαλὴν αὖθις ἀλγήσας καθάπερ βία
συμπιεσθεῖσαν, οὐδὲν ἔτι γινώσκειν οὐδ' αἰσθάνεσθαι τῶν καθ' ἑαυτόν. εἶτα μέντοι
μετὰ μικρὸν ἀνενεγκὼν, ὁρᾶν αὑτὸν ἐν τροφωνίου παρὰ τὴν εἴσοδον. οὗπερ ἐξ ἀρ-
χῆς κατεκλίθη κείμενον. ὁ μὲν οὖν τιμάρχου μῦθος, οὗτος, ἐπεὶ δὲ ἐλθὼν ἀθή-
ναζε τρίτῳ μηνὶ κατὰ τὴν γενομένην φωνὴν ἐτελεύτησεν, ἡμεῖς δὲ σωκράτει θαυ-
μάζοντες ἀπηγγέλλομεν, ἐμέμψατο σωκράτης ἡμᾶς, ὅτι μὴ ζῶντος ἔτι τοῦ τιμάρ-
χου διήλθομεν, αὐτοῦ γὰρ ἂν ἡδέως ἐκείνου πυθέσθαι καὶ προσανακρῖναι σαφέ-
στερον, ἀπέχεις ὦ θεόκριτε μετὰ τοῦ λόγου τὸν μῦθον, ἀλλ' ὅρα μὴ καὶ τὸν ξένον ἡμῖν
παρακλητέον ἐπὶ τὴν ζήτησιν. οἰκεία γὰρ πάνυ καὶ προσήκουσα θείοις ἀνδράσι.
τί δ' εἶπεν ἐπαμεινώνδας οὐ συμβάλλεται γνώμην ἀπὸ τῶν αὐτῶν ἀναγόμενος
ἡμῖν, καὶ ὁ πατὴρ μειδιάσας, τοιοῦτον ἔφη τὸ ἦθος ὦ ξένε τὸ τούτου σιωπηλὸν, καὶ
πρὸς τοὺς λόγους εὐλαβές. ἄπληστον δὲ τοῦ μανθάνειν καὶ ἀκροᾶσθαι, διὸ καὶ σπίν-
θαρος ὁ ταραντῖνος οὐκ ὀλίγον αὐτῷ συνδιατρίψας ἐνταῦθα χρόνον, ἀεὶ δή που
λέγει, μηδενί που τῶν καθ' ἑαυτὸν ἀνθρώπων ἐντετυχέναι, μήτε πλείονα γι-
νώσκοντι, μήτε ἐλάττονα φθεγγομένῳ. σὺ οὖν, ἃ φρονεῖς αὐτὸς δίελθε περὶ τῶν
εἰρημένων. ἐγὼ τοίνυν ἔφη, τὸν μὲν τιμάρχου λόγον, ὥσπερ ἱερὸν, καὶ ἄσυ-
λον ἀνακεῖσθαι τῷ θεῷ φημι χρῆναι, θαυμάζω δ' εἰ τοῖς ὑπὸ σιμμίου λεγομένοις
αὐτοῦ δυσπιστήσουσί τινες. κύκνους μὲν γὰρ ἱεροὺς, καὶ δράκοντας, καὶ κύνας,
καὶ ἵππους ὀνομάζοντες, ἀνθρώπους δὲ θείους εἶναι, καὶ θεοφιλεῖς ἀπιστοῦντες,
καὶ ταῦτα τὸν θεὸν οὐ φιλόρνιν, ἀλλὰ φιλάνθρωπον ἡγούμενοι. καθάπερ οὖν ἀνὴρ

φίλιππος

φίλιππος, οὐ πάντων ὁμοίως ἐπιμελεῖται τῶν ὑπ' αὐτὸ τὸ γένος, ἀλλ' ἀεί τινα
ἄριστον ἐξαίρων, καὶ ἀποκρίνων, καθ' αὑτὸν ἀσκεῖ, καὶ τρέφει, καὶ ἀγαπᾷ διαφε-
ρόντως, καὶ ἡμῶν, οἱ ὑπὲρ ἡμᾶς τοὺς βελτίστους οἷον ἐξ ἀγέλης χαράξαντες, ἰδί-
ας τινὸς, καὶ περιττῆς παιδαγωγίας ἀξιοῦσιν, οὐχ ὑφ' ἡνίας, οὐδὲ ῥυτήρων,
ἀλλὰ λόγῳ διὰ συμβόλων εὐθύνοντες, ὧν οἱ πολλοὶ, καὶ ἀγελαῖοι παντάπασιν
ἀπείρως ἔχουσιν, οὐδὲ γὰρ οἱ πολλοὶ κυνῶν τῶν θηρατικῶν σημείων, οὐδὲ οἱ πολ-
λοὶ ἵπποι τῶν ἱππικῶν συνίασιν, ἀλλ' οἱ μεμαθηκότες εὐθὺς ἀπὸ σιγμοῦ τοῦ τυχόν-
τος, ἢ ποππυσμοῦ, τὸ προσταττόμενον αἰσθανόμενοι, ῥαδίως εἰς ὃ δεῖ καθίστανται.
φαίνεται δὲ γινώσκων, καὶ ὅμηρος, ἣν λέγομεν, διαφορὰν ἡμεῖς. τῶν γὰρ μάντεων
οἰωνοπόλους τινὰς καλεῖ, καὶ ἱερεῖς, ἑτέρους δὲ τῶν θεῶν αὐτῶν διαλεγομέ-
νων συνιέντας, καὶ σωφρονοῦντας ἀποσημαίνειν οἴεται τὸ μέλλον, ἐν οἷς λέγει
τῶν δ' ἕλενος πριάμοιο φίλος παῖς. ξυνθέτο θυμῷ βουλὴν, ἥ ῥα θεοῖσιν ἐφήνδα-
νε μητιόωσι, καὶ, ὡς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν γενετάων. ὥσπερ γὰρ τῶν βασιλέων,
καὶ τῶν στρατηγῶν τὴν διάνοιαν, οἱ μὲν ἐκτὸς αἰσθάνονται, καὶ γινώσκουσι πυρ-
σοῖς τισι, καὶ κηρύγμασι, καὶ ὑπὸ σαλπίγγων, τοῖς δὲ πιστοῖς, καὶ συνήθεσιν αὐ-
τοὶ φράζουσιν, οὕτω τὸ θεῖον ὀλίγοις ἐντυγχάνει δι' αὑτοῦ καὶ σπανίως, τοῖς δὲ πολ-
λοῖς, σημεῖα δίδωσιν, ἐξ ὧν ἡ λεγομένη μαντικὴ συνέστηκε. θεοὶ μὲν γὰρ οὖν ὀλί-
γων ἀνθρώπων κοσμοῦσι βίον, οὓς ἂν ἄκρως μακαρίους τε, καὶ θείους ὡς ἀ-
ληθῶς ἀπεργάσασθαι βούλωνται, αἱ δὲ ἀπηλλαγμέναι γενέσεως ψυχαὶ, καὶ σχολά-
ζουσαι τὸ λοιπὸν ἀπὸ σώματος. οἷον ἐλεύθεραι πάμπαν ἀφειμέναι, δαίμονές
εἰσιν ἀνθρώπων ἐπιμελεῖς καθ' ἡσίοδον. ὡς γὰρ ἀθλητὰς καταλύσαντας ἄσκησιν
ὑπὸ γήρως, οὐ τελέως ἀπολείπει τὸ φιλότιμον, καὶ φιλοσώματον, ἀλλ' ἑτέρους
ἀσκοῦντας, ὁρῶντες ἥδονται, καὶ παρακαλοῦσι, καὶ συμπαραθέουσιν, οὕτως
οἱ πεπαυμένοι τῶν περὶ τὸν βίον ἀγώνων δι' ἀρετὴν ψυχῆς γενόμενοι δαίμονες,
οὐ παντελῶς ἀτιμάζουσι τὰ ἐνταῦθα, καὶ λόγους, καὶ σπουδὰς, ἀλλὰ τοῖς ἐπὶ ταὐ-
τὸ γυμναζομένοις. τέλος εὐμενεῖς ὄντες, καὶ συμφιλοτιμούμενοι πρὸς τὴν ἀρετὴν
ἐγκελεύονται, καὶ συνεξορμῶσιν. ὅταν ἐγγὺς ἤδη τῆς ἐλπίδος ἁμιλλωμένους,
καὶ ψαύοντας ὁρῶσιν. οὐ γὰρ οἷς ἔτυχε συμφέρεται τὸ δαιμόνιον, ἀλλ' οἷον ἐπὶ
τῶν νηχομένων ἐν θαλάττῃ. τοὺς μὲν πελαγίους ἔτι καὶ πόρρω τῆς γῆς φερομέ-
νους. οἱ δ' ἐπὶ γῆς ἑστῶτες σιωπῇ θέωνται μόνον. τοὺς δ' ἐγγὺς ἤδη παραθέοντες,
καὶ παρεμβαίνοντες. ἅμα δὲ χειρὶ καὶ φωνῇ βοηθοῦντες ἀνασώζουσιν, οὕτως ὦ
τοῦ δαιμονίου τρόπος. ἡμᾶς
βαπτιζομένους ὑπὸ τῶν πραγμάτων, καὶ σώματα πολλὰ καθάπερ ὀχήματα με-
ταλαμβάνοντας, αὐτοὺς ἐξαμιλλᾶσθαι, καὶ μακροθυμεῖν δι' οἰκείας πειρωμέ-
νους ἀρετῆς σώζεσθαι, καὶ τυγχάνειν λιμένος, ἢ τις δ' αὖ ἤδη διὰ μυρίων γενέσε-
ων ἠγωνισμένη μακροὺς ἀγῶνας, εὖ καὶ προθύμως ψυχὴ τῆς περιόδου συμπεραινομέ-
νης κινδυνεύουσα καὶ φιλοτιμουμένη περὶ τὴν ἔμβασιν ἱδρῶτι πολλῷ ἄνω προσ-
φέρηται. ταύτῃ τὸν οἰκεῖον οὐ νεμεσᾷ δαίμονα βοηθεῖν ὁ θεὸς, ἀλλ' ἀφίησι τῷ προ-
θυμουμένῳ. προθυμεῖται δ' ἄλλος ἄλλην ἀνασώζειν ἐγκελευόμενος. ἡ δὲ, συνα-
κούει διὰ τὸ πλησιάζειν καὶ σώζεται. μὴ πειθομένη δ' ἀπολιπόντος τοῦ δαίμονος, οὐκ εὐ-
τυχῶς ἀπαλλάσσει. τοῦτ' εἰπόντων ὁ ἐπαμεινώνδας, ἀποβλέψας εἰς ἐμὲ, σοὶ μὲν εἶ-
πεν ὦ καφισία σχεδὸν ὥρα βαδίζειν εἰς τὸ γυμνάσιον ἤδη, καὶ μὴ ἀπολείπειν τῆς συνή-
θους. ἡμεῖς δὲ θεάνορος ἐπιμελησόμεθα. διαλύσαντες, ὅταν δοκῇ τὴν συνουσίαν. κἀγὼ
ἔφην πράττομεν ταῦτα. ἀλλὰ μικρόν. οἶμαί τι μετ' ἐμοῦ καὶ γαλαξιδώρου βούλεται
σοι διαλεχθῆναι οὑτοσὶ ὁ θεόκριτος. ἀγαθῇ τύχῃ εἶπε διαλεγέσθω, καὶ προσῆγε
ἀναστὰς εἰς τὸ ἐπικάμπιον τῆς στοᾶς, καὶ ἡμεῖς περισχόντες αὐτὸν, ἐπιχειροῦ-

μεν παρακαλεῖν ἐπὶ τὴν πρᾶξιν. ὁ δὲ, καὶ τὴν ἡμέραν ἔφη πάνυ σαφῶς εἰδέναι
τῆς καθόδου τῶν φυγάδων, καὶ συντετάχθαι μετὰ γοργίδου τοὺς φίλους πρὸς
τὸν καιρὸν, ἀποκτενεῖν δὲ τῶν πολιτῶν ἄκριτον οὐδένα μὴ μετὰ μεγάλης ἀνάγκης
γενομένης, ἄλλως δὲ καὶ πρὸς τὸ πλῆθος ἁρμόζειν τὸ θηβαίων εἶναί τινας ἀ-
ναιτίους, καὶ καθαροὺς τῶν πεπραγμένων, μᾶλλον ἕξουσιν ἀνυπόπτως τὸν δῆμον
ὡς ἀπὸ τοῦ βελτίστου παραινοῦντες. ἐδόκει ταῦτα ἡμῖν, κἀκεῖνος μὲν ἀνεχώρη-
σεν αὖθις, ὡς τοὺς περὶ τὸν σιμμίαν, ἡμεῖς δὲ καταβάντες εἰς τὸ γυμνάσιον ἐνετυγ-
χάνομεν τοῖς φίλοις. καὶ διαλαμβάνων ἄλλος ἄλλον ἐν τῷ συμπαλαίειν, τὰ μὲν
ἐπυνθάνετο, τὰ δὲ ἔφραζε, καὶ συνετάττετο πρὸς τὴν πρᾶξιν. ἑωρῶμεν δὲ καὶ
τοὺς περὶ ἀρχίαν, καὶ φίλιππον, ἀληλιμμένους ἀπιόντας ἐπὶ τὸ δεῖπνον, ὁ γὰρ
φυλλίδας δεδιὼς, μὴ τὸν ἀμφίθεον προανέλωσιν, εὐθὺς ἀπὸ τῆς λυσανορίδου
προπομπῆς τὸν ἀρχίαν δεξάμενος, καὶ περὶ τῆς γυναικὸς ἧς ἐπεθύμει ἐτύγχα-
νεν εἰς ἐλπίδας ἐμβαλὼν, ὡς ἀφιξομένοις εἰς τὸν πότον, ἔπεισε πρὸς ῥαθυμίαν,
καὶ ἄνεσιν τρέπεσθαι μετὰ τῶν εἰωθότων αὐτῷ συνακολασταίνειν. ὀψὲ δὲ ἤδη τὸ
τε ψῦχος ἐπέτεινε πνεύματος γενομένου, καὶ διὰ τοῦτο τῶν πολλῶν τάχιον εἰς
τὰς οἰκίας ἀνακεχωρηκότων, ἡμεῖς μὲν τοὺς περὶ δαμοκλείδαν καὶ πελοπίδαν
καὶ θεόπομπον ἐντυχόντες, ἀνελαμβάνομεν. ἄλλοι δὲ ἄλλους. ἐσχίσθησαν γὰρ εὐ-
θὺς ὑπερβάλλοντες τὸν κιθαιρῶνα, καὶ παρέχων αὐτοῖς ὁ χειμὼν τὰ πρόσω-
πα συγκεκαλυμμένοις ἀδεῶς διελθεῖν τὴν πόλιν, ἐνίοις δὲ ἐπέστραψε δεξιὸν ἄνω
βροντῆς εἰσιοῦσι διὰ τῶν πυλῶν, καὶ τὸ σημεῖον ἐδόκει καλὸν πρὸς ἀσφάλειαν,
καὶ δόξαν, ὡς λαμπρῶν ἀκινδύνων δὲ τῶν πράξεων ἐσομένων, ὡς οὖν ἅπαντες
ἔνδον ἦμεν, πεντήκοντα δυοῖν δέοντες, ἤδη τοῦ θεοκρίτου καθ' ἑαυτὸν ἐν οἰκίσκῳ
τινὶ σφαγιαζομένου, πολὺς ἦν τῆς θύρας ἀραγμὸς, καὶ μετὰ μικρὸν ἧκέ τις ἀγ-
γέλλων ὑπηρέτας τοῦ ἀρχείου δύο κόπτειν τὴν αὔλειον ἀπεσταλμένους σπουδῇ
πρὸς χάρωνα, καὶ κελεύειν ἀνοίγειν, καὶ ἀγανακτεῖν βράδιον ὑπακουόντων. θορυ-
βηθεὶς οὖν ὁ χάρων, ἐκείνοις μὲν εὐθὺς ἀνοιγνύναι προσέταξεν, αὐτὸς δὲ ἀπαντή-
σας, ἔχων στέφανον, ὡς τεθυκὼς, καὶ πίνων, ἐπυνθάνετο τῶν ὑπηρετῶν, ὅτι βούλοιν-
το, λέγει δὲ ἅτερος, ἀρχίας, καὶ φίλιππος ἔπεμψαν ἡμᾶς κελεύοντες, ὡς τά-
χιστα ἥκειν πρὸς αὐτοὺς, δεομένου δὲ τοῦ χάρωνος, τίς ἡ σπουδὴ τῆς τηνικαῦτα με-
ταπέμψεως αὐτῆς, καὶ μή τι καινότερον; οὐδὲν ἴσμεν ὁ ὑπηρέτης ἔφη πλέον,
ἀλλὰ τί λέγωμεν αὐτοῖς; ὅτι νὴ δία εἶπεν ὁ χάρων, θεὶς τὸν στέφανον ἤδη, καὶ λα-
βὼν τὸ ἱμάτιον, ἕπομαι, μεθ' ὑμῶν γὰρ τηνικαῦτα βαδίζων διαταράξω τινὰς,
ὡς ἀγόμενος, οὕτως ἔφησαν ποίει, καὶ γὰρ ἡμᾶς δεῖ τοῖς ὑπὸ πόλιν φρουροῖς κο-
μίσαι τι πρόσταγμα παρὰ τῶν ἀρχόντων. ἐκεῖνοι μὲν οὖν ᾤχοντο, τοῦ δὲ χά-
ρωνος εἰσελθόντος, πρὸς ἡμᾶς, καὶ ταῦτα φράσαντος, ἐκπλήξις ἅπαντας ἐ-
σχὼν, οἰομένους μεμηνύσθαι, καὶ τὸν ἱπποσθενίδαν ὑπενόουν οἱ πλεῖστοι. κωλῦσαι
μὲν ἐπιχειρήσαντα τὴν κάθοδον διὰ τοῦ χλιδῶνος. ἐπεὶ δὲ ἀπέτυχε, καὶ συνῆπται
τῷ καιρῷ τὸ δεινὸν ἐξενηνοχέναι πιθανὸν ὄντα τὴν πρᾶξιν ὑπὸ δέους. οὐ γὰρ ἀ-
φίκετο μετὰ τῶν ἄλλων εἰς τὴν οἰκίαν, ἀλλ' ὅλως ἐδόκει πονηρὸς γεγονέναι, καὶ
παλίμβολος. οὐ μὴν ἀλλὰ τόν γε χάρωνα πάντες ᾠόμεθα χρῆναι βαδίζειν, καὶ
ὑπακούειν τοῖς ἄρχουσι καλούμενον, ὁ δὲ κελεύσας τὸν υἱὸν ἐλθεῖν κάλλιστον ὄντα
θηβαίων ὦ ἀρχέδαμε παῖδα καὶ φιλοπονώτατον τῶν περὶ τὰ γυμνάσια πεντεκαι-
δεκέτη μὲν σχεδὸν πολὺ δὲ ῥώμῃ καὶ μεγέθει διαφέροντα τῶν ὁμηλίκων. οὗτος
εἶπεν ὦ ἄνδρες ἐμοὶ μόνος ἐστὶ, καὶ ἀγαπητὸς ὥσπερ ἴστε πάντων ὑμῖν παραδί-
δωμι. πρὸς θεῶν ἅπασι πρὸς δαιμόνων ἐπισκήπτων εἰ φανείην ἐγὼ πονηρὸς π-
ὑμᾶς, ἀποκτείνατε. μὴ φείσησθε ἡμῶν. τὸ δὲ λοιπὸν ὦ ἄνδρες ἀγαθοὶ πρὸς τὸ συμβ-
σιον

σιον αὐτίκα τάξασθε, μὴ πρόησθε τὰ σώματα διαφθεῖραι τοῖς αἰσχίστοις ἀνάνδρως,
καὶ ἀκλεῶς. ἀλλ' ἀμύνασθε τὰς ψυχὰς ἀηττήτους τῇ πατρίδι φυλάττοντες.
ταῦτα τοῦ χάρωνος λέγοντος. τὸ μὲν φρόνημα, καὶ τὴν καλοκαγαθίαν ἐθαυμά-
ζομεν. πρὸς δὲ τὴν ὑποψίαν ἀγανακτοῦμεν, καὶ ἀπάγειν ἐκελεύομεν τὸν παῖδα.
τὸ δ' ὅλον εἶπεν ὁ πελοπίδας, οὐδ' εὖ βεβουλεῦσθαι δοκεῖς ἡμῖν ὦ χάρων. μὴ με-
ταστησάμενος εἰς οἰκίαν ἑτέραν τὸν υἱόν. τί γὰρ αὐτὸν δεῖ κινδυνεύειν μεθ' ἡμῶν ἤ
καταλαμβανόμενον, καὶ νῦν ἐκπεμπτέος. ἵν' ἡμῖν ἐάν τι πάσχωμεν, εὐγενὴς ὑ-
ποστρέφηται τιμωρὸς ἐπὶ τοὺς τυράννους. οὐκ ἔστιν εἶπεν ὁ χάρων, ἀλλ' αὐτοῦ
παραμενεῖ, καὶ κινδυνεύσει μεθ' ὑμῶν, οὐδὲ γὰρ τοῦτο καλὸν ὑποχείριον γενέ-
σθαι τοῖς ἐχθροῖς, ἀλλὰ τόλμα παρ' ἡλικίαν ὦ παῖ γευόμενος ἄθλων ἀναγκαί-
ων, καὶ κινδύνευε μετὰ πολλῶν, καὶ ἀγαθῶν πολιτῶν ὑπὲρ ἐλευθερίας, καὶ
ἀρετῆς. πολλὴ δ' ἐλπὶς ἔτι λείπεται, καί που τις ἐφορᾷ θεῶν ἡμᾶς ἀγωνιζομέ-
νους περὶ τῶν δικαίων. δάκρυα πολλοῖς ἐπῆλθεν ὦ ἀρχέδαμε πρὸς τοὺς λό-
γους τοῦ ἀνδρὸς. οὗτος δὲ ἄδακρυς, καὶ ἄτρεπτος ἐγχειρίσας πελοπίδᾳ τὸν υἱὸν,
ἐχώρει διὰ θυρῶν δεξιούμενος ἕκαστον ἡμῶν, καὶ παραθαρρύνων. ἔτι δὲ μᾶλλον ἄν
ἠγάσω τοῦ παιδὸς αὐτοῦ τὴν φαιδρότητα, καὶ τὸ ἀδεὲς πρὸς τὸν κίνδυνον ὡς
περ τοῦ νεοπτολέμου, μήτε ὠχριάσαντος, μήτε ἐκπλαγέντος ἀλλ' ἕλκοντος τὸ
ξίφος τοῦ πελοπίδου, καὶ καταμανθάνοντος, ἐν τούτῳ κηφισόδωρος διότιμος εἷς
τῶν φίλων παρῆν πρὸς ἡμᾶς ξίφος ἔχων, καὶ θώρακα σιδηροῦν ὑπενδεδυμένος,
καὶ πυθόμενος τὴν χάρωνος ὑπ' ἀρχίου μετάπεμψιν, ᾐτιᾶτο τὴν μέλλησιν, ἡμῶν,
καὶ παρώξυνεν ἐπὶ τὰς οἰκίας βαδίζειν. φθήσεσθαι γὰρ ἐμπεσόντας αὐτοῖς,
εἰ δὲ μὴ, βέλτιον εἶναι προσελθόντας ἐν ὑπαίθρῳ. συμπλέκεσθαι πρὸς ἀλ-
λήλους ἀσυντάκτους, καὶ σποράδας, ἢ μένειν ἐν οἰκίσκῳ καθείρξαντας αὐ-
τοὺς, ὥσπερ σμῆνος ἐξαιρεθησομένους ὑπὸ τῶν πολεμίων. ἐνῆγε δὲ, καὶ ὁ μάν-
τις θεόκριτος, ὡς τῶν ἱερῶν σωτηρίων, καὶ καλῶν, καὶ πρὸς ἀσφάλειαν ἐχυ-
ρῶν αὐτῷ γεγονότων. ὁπλιζομένων δὲ ἡμῶν, καὶ συντασσομένων αὐτοῖς ἀφι-
κνεῖται χάρων ἱλαρῷ τῷ προσώπῳ, καὶ μειδιῶν, καὶ προσβλέπων εἰς ἡμᾶς, θαρ-
ρεῖν ἐκέλευεν ὡς δεινοῦ μηδενὸς ὄντος, ἀλλὰ τῆς πράξεως ὁδῷ βαδιζούσης. ὁ γοῦν
ἀρχίας ἔφη, καὶ ὁ φίλιππος ὡς ἤκουσαν ἥκειν ἐμὲ κεκλημένον, ἤδη βαρεῖς ὑπὸ
τῆς μέθης ὄντες, καὶ συνεκλελυμένοι τοῖς σώμασι τὰς ψυχὰς, μόλις διαναστάν-
τες, ἔξω προῆλθον ἐπὶ τὰς θύρας, εἰπόντος δὲ τοῦ ἀρχίου. φυγάδας ὦ χάρων
ἀκούομεν ἐν τῇ πόλει κρύπτεσθαι παρεισελθόντας. οὐ μετρίως ἐγὼ διαταραχ-
θεὶς ποῦ δ' εἶπεν εἶναι λέγονται, καὶ τίνες, ἀγνοοῦμεν ὁ ἀρχίας εἶπε, καί σε τού-
του χάριν ἐλθὼν ἐκελεύσαμεν, εἴ δή τι τυγχάνοις σαφέστερον ἀκηκοὼς. κἀγὼ μι-
κρὸν ὥσπερ ἐκπλαγεὶς ἀναφέρων τὴν διάνοιαν, ἐλογιζόμην λόγον εἶναι τὴν μή-
νυσιν, οὐ βέβαιον, οὐδὲ ὑπὸ τῶν συνειδότων ἐξενηνέχθαι τὴν πρᾶξιν οὐδενὸς. οὐ
γὰρ ἀγνοεῖν τὴν οἰκίαν αὐτοὺς εἴ τις εἰδὼς ἀκριβῶς ἐμήνυεν, ἄλλως δὲ ὑποψίαν
ἢ λόγον ἄσημον ἐν τῇ πόλει περιφερόμενον ἥκειν εἰς ἐκείνους. εἶπον οὖν πρὸς αὐ-
τὸν, ὅτι ζῶντος μὲν ἀνδροκλείδου, πολλάκις ἐπίσταμαι φήμας τοιαύτας ῥυεί-
σας διακενῆς καὶ λόγους ψευδεῖς ἐνοχλήσαντας ἡμῖν. νυνὶ δὲ ἔφη οὐδὲν ἀκήκοα
τοιοῦτον ὦ ἀρχία, σκέψομαι δὲ τὸν λόγον εἰ κελεύεις κἄν πύθωμαί τι φροντίδος
ἄξιον οὐ λήσεται ὑμᾶς. πάνυ μὲν οὖν ὁ φυλλίδας εἶπεν, μηδὲν ὦ χάρων ἀδιε-
ρεύνητον, μὴ δὲ ἄπιστον ὑπὸ τούτων ἀπολίπης. τί γὰρ κωλύει μηδενὸς κατα-
φρονεῖν. ἀλλὰ πάντα φυλάττεσθαι, καὶ προσέχειν. καλὸν δὲ ἡ πρόνοια, καὶ τὸ
ἀσφαλές. ἅμα δὲ τὸν ἀρχίαν ὑπολαβὼν, ἀπῆγεν εἰς τὸν οἶκον, ἐν ᾧ πίνοντες τυγ-
χάνουσιν. ἀλλὰ μὴ μέλλωμεν ἄνδρες ἔφη προσευξάμενοι δὲ τοῖς θεοῖς ἐξίωμεν.

ταῦτα τοῦ χάρωνος εἰπόντος, ἐχόμεθα τοῖς θεοῖς, καὶ παρακαλοῦμεν ἀλλήλους·
ὥρα μὲν οὖν ἦν, καθ' ἣν ἄνθρωποι μάλιστα περὶ δεῖπνόν εἰσι, τὸ δὲ πνεῦμα μᾶλ-
λον ἐπιτεῖνον ἤδη νιφετὸν ὑπεκίνει ψακάδι λεπτῇ μεμιγμένον, ὥστε πολλὴν ἐ-
ρημίαν εἶναι διὰ τῶν στενωπῶν διεξιοῦσιν· οἱ μὲν οὖν ἐπὶ λεοντίδην, καὶ τὸν ὑπάτην
ταχθέντες ἐγγὺς ἀλλήλων οἰκοῦντες, ἐν ἱματίοις ἐξῄεσαν ἔχοντες, οὐδὲν ἕτερον
τῶν ὅπλων, ἢ μάχαιραν ἕκαστος, ἐν δὲ τούτοις ἦν καὶ πελοπίδας, καὶ δαμο-
κλείδας, καὶ κηφισόδωρος· χάρων δέ, καὶ μέλων, καὶ οἱ μετ' αὐτὸν ἐπιτίθε-
σθαι τοῖς περὶ ἀρχίαν μέλλοντες ἡμιθωράκια ἐνδεδυμένοι, καὶ στεφάνους δα-
σεῖς ἔχοντες, οἱ μὲν ἐλάτης, οἱ δέ, πεύκης· ἔνιοι δὲ καὶ χιτώνια τῶν γυναικῶν ἀμ-
πεχόμενοι, μεθύοντας ἀπομιμούμενοι κώμῳ χρωμένους μετὰ γυναικῶν· ὁ δὲ χεί-
ρων ὦ ἀρχέδαμε τύχη καὶ τὰς τῶν πολεμίων μαλακίας, καὶ ἀγνοίας, ταῖς
ἡμετέραις ἐπανισοῦσα τόλμαις, καὶ παρασκευαῖς, καὶ καθάπερ δρᾶμα τὴν
πρᾶξιν ἡμῶν ἀπ' ἀρχῆς διαποικίλλουσα κινδυνώδεσιν ἐπεισοδίοις εἰς αὐτὸ
συνέδραμε τὸ ἔργον ὀξὺν ἐπιφέρουσα, καὶ δεινὸν ἀνελπίστου περιπετείας ἀ-
γῶνα· τοῦ γὰρ χάρωνος, ὡς ἐνέπεσε τοῖς περὶ ἀρχίαν, καὶ φίλιππον ἀναχωρή-
σαντος οἴκαδε, καὶ διασκευάζοντος ἡμᾶς ἐπὶ τὴν πρᾶξιν, ἧκεν ἐνθένδε παρ' ὑ-
μῶν ἐπιστολὴ παρ' ἀρχίου τοῦ ἱεροφάντου πρὸς ἀρχίαν ἐκεῖνον, ὄντα φίλον
αὐτῷ, καὶ ξένον, ὡς ἔοικεν, ἐξαγγέλλουσα τὴν κάθοδον, καὶ τὴν ἐπιβουλὴν τῶν
φυγάδων, καὶ τὴν οἰκίαν, εἰς ἣν παρεληλύθεισαν, καὶ τοὺς συμπράττοντας
αὐτοῖς, ἤδη δὲ καὶ τῇ μέθῃ κατακεκλασμένος ὁ ἀρχίας, καὶ τῇ προσδοκίᾳ τῶν
γυναικῶν ἀνεπτοημένος ἐδέξατο μὲν τὴν ἐπιστολήν, τοῦ δὲ γραμματοφόρου φή-
σαντος περὶ τῶν σπουδαίων αὐτῷ γεγράφθαι, τὰ σπουδαῖα τοίνυν εἰς αὔ-
ριον ἔφη, καὶ τὴν μὲν ἐπιστολὴν ὑπέθηκεν ὑπὸ τὸ προσκεφάλαιον· αἰτήσας
δὲ ποτήριον, ἐκέλευσεν ἐγχεῖν, καὶ τὸν φυλλίδαν ἐξέπεμπε συνεχῶς ἐπὶ θύ-
ρας σκεψάμενον, εἰ τὰ γύναια πρέπει τε· τοιαύτης δὲ τὸν πότον ἐλπίδος δια-
παιδαγωγησάσης, προσμίξαντες ἡμεῖς, καὶ διὰ τῶν οἰκετῶν εὐθὺς ὠσάμενοι
πρὸς τὸν ἀνδρῶνα, μικρὸν ἐπὶ ταῖς θύραις ἔστημεν· ἐφορῶντες τῶν κατακει-
μένων ἕκαστον, ἡ μὲν οὖν τῶν στεφάνων, καὶ τῆς ἐσθῆτος ὄψις παραλογιζομένη, τὴν
ἐπιδημίαν ἡμῶν, σιγὴν ἐποίησεν. ἐπεὶ δὲ πρῶτος ὁ μέλων ὥρμησε διὰ μέσου, τὴν
χεῖρα τῇ λαβῇ τοῦ ξίφους ἐπιβεβληκώς, καβίειρος ὁ κυάμιστος ἄρχων τοῦ βρα-
χίονος αὐτὸν παρατρεχόμενον ἀντισπάσας, ἀνεβόησεν· οὐ μέλων οὗτος τῷ φυλ-
λίδᾳ; τούτου μὲν οὖν ἐξέκρουσε τὴν ἐπιβουλὴν ἅμα τὸ ξίφος ἀνέλκων, διανι-
στάμενον δὲ χαλεπῶς τὸν ἀρχίαν ἐπιδραμὼν οὐκ ἀνῆκε παίων, ἕως ἀπέκτεινε·
τὸν δὲ φίλιππον ἔτρωσε μὲν χάρων παρὰ τὸν τράχηλον· ἀμυνόμενον δὲ τοῖς πα-
ρακειμένοις ἐκπώμασιν, ὁ λυσίθεος ἀπὸ τῆς κλίνης χαμαὶ καταβαλών, ἀνεῖλε.
τὸν δὲ καβίειρον ἡμεῖς κατεπραΰνομεν, ἀξιοῦντες μὴ τοῖς τυράννοις βοηθεῖν,
ἀλλὰ τὴν πατρίδα συνελευθεροῦν, ἱερὸν ὄντα, καὶ τοῖς θεοῖς καθωσιωμένον
ὑπὲρ αὐτῆς, ὡς δὲ καὶ διὰ τὸν οἶνον οὐκ ἦν εὐπαρακόμιστος τῷ λογισμῷ πρὸς
τὸ συμφέρον, ἀλλὰ μετέωρος, καὶ τεταραγμένος ἀνίστατο, καὶ τὸ δόρυ προε-
βάλλετο κατ' αἰχμήν· ὅπερ ἐξ ἔθους ἀεὶ φοροῦσιν οἱ παρ' ἡμῖν ἄρχοντες. ἐγὼ μὲν
ἐκ μέσου διαλαβὼν τὸ δόρυ, καὶ μετεωρίσας ὑπὲρ κεφαλῆς, ἐβόων ἀφεῖναι, καὶ
σώζειν ἑαυτόν, εἰ δὲ μή, πεπλήξεσθαι· θεόπομπος δὲ παραστὰς ἐκ δεξιῶν, καὶ τῷ ξί-
φει παταξάς αὐτόν, ἐνταῦθα ἔφη κεῖσο μετὰ τούτων, οὓς ἐκολάκευες, μὴ γὰρ
ἐλευθέραις στεφανώσαιο ταῖς θήβαις, μὴ δὲ θύσειας ἔτι τοῖς θεοῖς, ἐφ' ὧν κα-
τηράσω πολλὰ τῇ πατρίδι πολλάκις ὑπὲρ τῶν πολεμίων εὐχόμενος· πεσόν-
τος δὲ τοῦ καβιείρου, τὸ μὲν ἱερὸν δόρυ θεόκριτος παρών, ἀνήρπασεν ἐκ τοῦ φό-
νου·

νου· τῶν δὲ θεραπόντων ὀλίγους τολμήσαντας ἀμύνασθαι, διεφθείραμεν ἡμεῖς,
τοὺς δὲ ἡσυχίαν ἄγοντας, εἰς τὸν ἀνδρῶνα κατεκλείσαμεν, οὐ βουλόμενοι διαπε-
σόντας ἐξαγγεῖλαι τὰ πεπραγμένα, πρὶν εἰδέναι, καὶ τὰ τῶν ἑτέρων εἰ καλῶς
κεχώρηκεν. ἐπράχθη δὲ κἀκεῖνα τοῦτον τὸν τρόπον· ἔκοψαν οἱ περὶ πελοπίδαν τοῦ
λεοντίδου τὴν αὔλειον ἡσυχῇ προσελθόντες, καὶ πρὸς τὸν ὑπακούσαντα τῶν
οἰκετῶν, ἔφασαν ἥκειν ἀθήνηθεν γράμματα, λεοντίδῃ παρὰ καλλιστράτου κο-
μίζοντες, ὡς δὲ ἀπήγγειλας, καὶ κελευσθεὶς ἀνοῖξαι τὸν μοχλὸν ἀφεῖλε, καὶ μι-
κρὸν ἐνέδωκε τὴν θύραν, ἐμπεσόντες ἀθρόοι, καὶ ἀνατρέψαντες τὸν ἄνθρωπον,
ἵεντο δρόμῳ διὰ τῆς αὐλῆς ἐπὶ τὸν θάλαμον· ὁ δέ, εὐθὺς ἐπὶ τὴν ἀλήθειαν ἐξε-
νεχθεὶς τῇ ὑπονοίᾳ, καὶ σπασάμενος τὸ ἐγχειρίδιον ὥρμησε πρὸς ἄμυναν, ἄδι-
κος μὲν ἀνήρ, καὶ τυραννικός, εὔρωστος δὲ τῇ ψυχῇ, καὶ κατὰ χεῖρα ῥωμαλέος.
οὐ μὴν ἔγνω γε τὸν λύχνον καταβαλεῖν· καὶ διὰ σκότους συμμῖξαι τοῖς ἐπιφερο-
μένοις, ἀλλ' ἐν φωτὶ καθορώμενος ὑπὸ τούτων ἅμα τῆς θύρας ἀνοιγομένης, παί-
ει τὸν κηφισόδωρον εἰς τὸν λαγόνα, καὶ δευτέρῳ τῷ πελοπίδᾳ συμπεσὼν μέγα βοῶν
ἀνεκαλεῖτο τοὺς θεράποντας, ἀλλ' ἐκείνους μὲν οἱ περὶ τὸν σαμίδαν ἀνεῖργον,
οὐ παρακινδυνεύοντας εἰς χεῖρας ἐλθεῖν ἀνδράσιν ἐπιφανεστάτοις τῶν πολι-
τῶν, καὶ κατὰ ἀλκὴν διαφέρουσιν· ἀγὼν δὲ ἦν τῷ πελοπίδᾳ πρὸς τὸν λεοντίδην,
καὶ διαξιφισμὸς ἐν ταῖς θύραις τοῦ θαλάμου στεναῖς οὔσαις καὶ τοῦ κηφισοδώ-
ρου πεπτωκότος ἐν μέσοις αὐτοῖς, καὶ θνήσκοντος ὥστε μὴ δύνασθαι τοὺς ἄλλους
προσβοηθεῖν, τέλος δ' ὁ ἡμέτερος λαβὼν μὲν εἰς τὴν κεφαλὴν οὐ μέγα τραῦμα,
δοὺς δὲ πολλά, καὶ καταβαλὼν τὸν λεοντίδην, ἐπέσφαξε θερμῷ κηφισοδώρῳ,
καὶ γὰρ εἶδε πίπτοντα τὸν ἐχθρόν, ὁ ἀνήρ, καὶ τῷ πελοπίδᾳ τὴν δεξιὰν ἐνέβαλε,
καὶ τοὺς ἄλλους ἀσπασάμενος, ἅμα ἵλεως ἐξέπνευσε, γενόμενοι δὲ ἀπὸ τούτων,
ἐπὶ τὸν ὑπάτην τρέπονται, καὶ τῶν θυρῶν ὁμοίως αὐτοῖς ἀνοιχθεισῶν, φεύγον-
τα ὑπάτην ὑπὲρ τέγους τινὸς ἐς τοὺς γείτονας ἀποσφάττουσιν, ἐκεῖθεν δὲ
πρὸς ἡμᾶς ἠπείγοντο, καὶ συμβάλλουσιν ἡμῖν ἔξωθεν παρὰ τὸν πολύστυλον, ἀ-
σπασάμενοι δὲ ἀλλήλους, καὶ συλλαλήσαντες, ἐχωροῦμεν ἐπὶ τὸ δεσμωτήριον
ἐκκαλέσας ἐπὶ τῆς εἱρκτῆς ὁ φυλλίδας, ἀρ-
χίας ἔφη, καὶ φίλιππος κελεύουσί σε ταχέως ἄγειν ἐπ' αὐτοὺς ἀμφίθεον. ὁ
δ', ὁρῶν καὶ τῆς ὥρας τὴν ἀτοπίαν, καὶ τὸ μὴ καθεστηκότα λαλεῖν αὐτῷ τὸν φυλ-
λίδαν, ἀλλὰ θερμὸν ὄντα τῷ ἀγῶνι καὶ μετέωρον ὑπειδόμενος τὸ πάλαισμα
πότε ἔλεγεν ὦ φυλλίδα τηνικαῦτα μετεπέμψαντο δεσμώτην οἱ πολέμαρχοι,
πότε δὲ διὰ σοῦ, τί δὲ κομίζεις παράσημον, ἅμα δὲ τῷ λόγῳ ξυστὸν ἱππικὸν ἔ-
χων διῆκε τῶν πλευρῶν, καὶ κατέβαλε πονηρὸν ἄνθρωπον, ᾧ καὶ μεθημβρίαν ἐ-
πενέβησαν καὶ προσέπτυσαν οὐκ ὀλίγαι γυναῖκες. ἡμεῖς δὲ τὰς θύρας τῆς εἱρ-
κτῆς καταγνύσαντες ἐκαλοῦμεν ὀνομαστί, πρῶτον μὲν τὸν ἀμφίθεον, εἶτα τῶν ἄλ-
λων πρὸς ὃν ἕκαστος ἐπιτηδείως εἶχεν. οἱ δὲ τὴν φωνὴν γνωρίζοντες ἀπεπήδων
ἐκ τῶν χαμευνῶν ἄσμενοι τὰς ἁλύσεις ἐφέλκοντες. οἱ δὲ τοὺς πόδας ἐν τῷ ξύλῳ
δεδεμένοι, τὰς χεῖρας ὀρέγοντες ἐβόων δεόμενοι, μὴ ἀπολειφθῆναι. λυομένων δὲ
τούτων, ἤδη πολλοὶ προσέφερον τῶν ἐγγὺς οἰκούντων αἰσθανόμενοι πραττό-
μενα καὶ χαίροντες. αἱ δὲ γυναῖκες ὡς ἑκάστη περὶ τοῦ προσήκοντος ἤκουσεν οὐκ
ἐμμένουσαι τοῖς βοιωτῶν ἤθεσιν, ἐξέτρεχον πρὸς ἀλλήλας, καὶ διεπυνθάνοντο
παρὰ τῶν ἀπαντώντων. αἱ δέ, ἀνευροῦσαι πατρίδας, ἢ ἄνδρας αὐτῶν ἠκολού-
θουν. οὐδεὶς δὲ ἐκώλυε, ῥοπὴ γὰρ ἦν μεγάλη πρὸς τοὺς ἐντυγχάνοντας, ὁ παρ'
αὐτῶν ἔλεος καὶ δάκρυα, καὶ δεήσεις σωφρόνων γυναικῶν. ἐν δὲ τούτῳ τῶν πραγ-
μάτων ὄντων, πυθόμενος τὸν ἐπαμεινώνδαν ἐγώ, καὶ τὸν γοργίδαν ἤδη μετὰ τῶν

φίλων συναθροίζεσθαι περὶ τὸ τῆς Ἀθηνᾶς ἱερόν, ἐπορευόμην πρὸς αὐτούς.
ἧκον δὲ πολλοί, καὶ ἀγαθοὶ τῶν πολιτῶν ὁμοῦ, καὶ συνέρρεον ἀεὶ πλείονες. ὡς
δὲ ἀπήγγειλα καθ' ἕκαστον αὐτοῖς τὰ πεπραγμένα, καὶ παρεκάλουν βοηθεῖν ἐλ
θόντας εἰς τὴν ἀγοράν, ἅμα πάντες εὐθὺς αὐτοῦ τὴν ἐλευθερίαν ἐκήρυττον τοὺς πο
λίτας, τοῖς δὲ τότε ὄχλοις τῶν συνισταμένων ὅπλα παρεῖχον, αἵ τ' ἐστίαι πλήρεις
οὖσαι παντοδαπῶν λαφύρων, καὶ τὰ τῶν ἐγγὺς οἰκούντων ἐργαστήρια μαχαι-
ροποιῶν. ἧκε δὲ καὶ Ἱπποσθενείδας μετὰ τῶν φίλων, καὶ οἰκετῶν, τοὺς ἐπιδεδη
μηκότας κατὰ τύχην πρὸς τὰ Ἡράκλεια σαλπικτὰς παραλαμβάνων, εὐθέως
δέ, οἱ μὲν αὐτοῦ τῆς ἀγορᾶς ἐσήμαινον, οἱ δέ, κατ' ἄλλους τόπους πανταχόθεν ἐκ
ταράττοντες τοὺς ὑπεναντίους, ὡς πάντων ἀφεστώτων, οἱ μὲν καὶ καπνίζον-
τες τὴν Καδμείαν ἔφευγον ἐπισπασάμενοι καὶ
τοὺς κρείττους λεγομένους, εἰωθότας δὲ περὶ τὴν ἄκραν, καὶ τῷ νυκτερεύειν· οἱ
δὲ ἄνω, τούτων μὲν ἀτάκτως, καὶ τεθορυβημένως ἐπεισχεομένων, ἡμᾶς δὲ περὶ τὴν
ἀγορὰν ἀφορῶντες οὐδενὸς μέρους ἡσυχάζοντας, ἀλλὰ πανταχόθεν ψόφων, καὶ
θορύβων ἀναφερομένων, καταβαίνειν μὲν οὐ διενοοῦντο, καίπερ περὶ πεντα-
κισχιλίους τὸ πλῆθος ὄντες· ἐκπεπληγμένοι δὲ τὸν κίνδυνον, ἄλλως προυφα-
ἢ τῆς ἡμέ
σίζοντο Λυσανορίδαν, παραμένειν γὰρ
ρας ἐκείνης. διὸ καὶ τοῦτον μὲν ὕστερον ὡς πυνθανόμεθα χρήμασιν ἀπέκτειναν οἱ
θὺς ἐν Κορίνθῳ λαβόντες, τὴν δὲ Καδμείαν ὑπόσπονδον παραδόντες ἡμῖν, ἀπῆλ
λαττον μετὰ τῶν στρατιωτῶν.

ΠΕΡΙ ΤΗΣ ΗΡΟΔΟΤΟΥ ΚΑΚΟΗΘΕΙΑΣ.

πολλοὺς μὲν
τ οὖ Ἡροδότου,
ὦ Ἀλέξανδρε, καὶ ἡ λέξις, ὡς ἀφελὴς, καὶ δίχα πόνου,
καὶ ῥᾳδίως ἐπιτρέχουσα τοῖς πράγμασιν ἐξηπάτηκε.
πλείονες δὲ ταὐτὸ πρὸς τὸ ἦθος αὐτοῦ πεπόνθασιν. οὐ γὰρ
μόνον, ὥς φησιν ὁ Πλάτων τῆς ἐσχάτης ἀδικίας μὴ ὄντα
δοκεῖν εἶναι δίκαιον, ἀλλὰ κακοηθείας ἄκρας ἔργον,
εὐκολίαν μιμούμενοι, καὶ ἁπλότητα, δυσφορώτατον
εἶναι.

μάλιστα πρός τε Βοιωτούς, καὶ
Κορινθίους κέχρηται· μηδὲ τῶν ἄλλων τινὸς ἀπεσχημένος, οἶμαι προσήκειν ἡμῖν
ἀμυνομένης, ὑπὲρ τῶν προγόνων ἅμα, καὶ τῆς ἀληθείας κατ' αὐτὸ τοῦτο τῆς
γραφῆς τὸ μέρος. ἐπεὶ τά γε ἄλλα ψεύσματα καὶ πλάσματα βουλομένοις ἐ-
πιδεξιοῦσθαι, πολλῶν ἂν βιβλίων δεήσειεν, ἀλλὰ δεινὸν τὸ τᾶς πειθοῦς πρόσω-
πον, ὥς φησιν ὁ Σοφοκλῆς· μάλιστα δὲ ὅταν εὐλόγῳ χάριν ἔχοντι, καὶ δύναμιν
τοσαύτην ἐγγένηται, τάς τε ἄλλας ἀτοπίας, καὶ τὸ ἦθος ἀποκρύπτειν τοῦ συγγρα
φέως. ὁ μὲν γὰρ Φίλιππος ἔλεγε πρὸς τοὺς ἀφισταμένους Ἕλληνας αὐτοῦ, καὶ Τί
τῳ προστιθεμένους, ὅτι λειότερον μὲν μακρότερον δὲ κλοιὸν μεταλαμβάνουσιν,
ἡ δὲ Ἡροδότου κακοήθεια, λειοτέρα μὲν ἐστὶν ἀμέλει καὶ μαλακωτέρα τῆς Θεοπόμ-
που, καθάπτεται δέ, καὶ λυπεῖ μᾶλλον· ὥσπερ οἱ κρύφα διὰ στενοῦ παραπνέον-
τες ἄνεμοι τῶν διακεχυμένων. δοκεῖ δέ μοι βέλτιον εἶναι τύπῳ τινὶ λαβόντας
ὅσα κοινῇ μὴ καθαρᾶς μηδ' εὐμενοῦς ἐστιν, ἀλλὰ κακοήθους οἷον ἴχνη, καὶ γνωρί-
σματα

σματα διηγήσεως· εἰς ταῦτα τῶν ἐξεταζομένων ἕκαστον ἂν ἐναρμόττῃ τίθεσθαι.
πρῶτον μὲν οὖν ὁ τοῖς δυσχερεστάτοις ὀνόμασι, καὶ ῥήμασιν ἐπιεικεστέρων παρόν-
των ἐν τῷ λέγειν τὰ πεπραγμένα χρώμενον, ὥσπερ εἰ θειασμῷ· προσκείμενον ἄ-
γαν ἐξὸν εἰπεῖν τὸν Νικίαν ὁ δὲ θεόληπτον προσείποι ἢ θρασύτητα, καὶ μανίαν
Κλέωνος μᾶλλον, ἢ κουφολογίαν οὐκ εὐμενής ἐστιν, ἀλλ' οἷον ἀπολαύων τῷ σαφῶς
διηγεῖσθαι τοῦ πράγματος. δεύτερον ὅτῳ κακὸν πρόσεστιν ἄλλως. τῇ δ' ἱστορίᾳ
μὴ προσῆκον ὁ δὲ συγγραφεὺς ἐπιδράττεται τούτου καὶ παρεμβάλλει τοῖς πράγ-
μασιν οὐδὲν δεομένοις, ἀλλὰ τὴν διήγησιν ἐπεξάγων, καὶ κυκλούμενος· ὅπως ἐμπε-
ριλάβῃ ἀτύχημά τινος, ἢ πρᾶξιν ἄτοπον, καὶ οὐ χρηστόν, δῆλός ἐστιν ἡδόμενος τῷ
κακολογεῖν. ὅθεν ὁ Θουκυδίδης, οὐδὲ τῶν Κλέωνος ἁμαρτημάτων ἀφθόνων ὄντων
ἐποιήσατο σαφῆ τὴν διήγησιν Ὑπερβόλου τε τοῦ δημαγωγοῦ θίγων ἐν ῥήματι, καὶ
μοχθηρὸν ἄνθρωπον προσειπών, ἀφῆκε. Φιλίστου δέ, καὶ Διονυσίου τῶν πρὸς τοὺς
βαρβάρους ἀδικιῶν, ὅσαι μὴ συνεπλέκοντο τοῖς Ἑλληνικοῖς πράγμασιν ἁπά-
σας παρέλιπεν. αἱ γὰρ ἐκβολαί, καὶ παρατροπαὶ τῆς ἱστορίας, μάλιστα τοῖς μύ
θοις δίδονται καὶ ταῖς ἀρχαιολογίαις. ἔτι δὲ πρὸς τοὺς ἐπαίνους, ὁ δὲ παρα
θήκην λόγου τὸ βλασφημεῖν, καὶ ψέγειν ποιούμενος, ἔοικεν εἰς τὴν τραγικὴν ἐμπί
πτειν κατάραν θνητῶν ἐκλέγων τὰς συμφοράς, καὶ μὴν τό γε ἀντίστροφον τούτῳ
παντὶ δῆλον, ὡς καλοῦ τινος, καὶ ἀγαθοῦ παράλειψίς ἐστιν ἀνυπεύθυνον δοκοῦ
πρᾶγμα εἶναι, γινόμενον δὲ κακοήθως, ἄνπερ ἐμπίπτῃ τὸ παραλειφθὲν εἰς τό-
πον προσήκοντα τῇ ἱστορίᾳ. τὸ γὰρ ἀπροθύμως ἐπαινεῖν, τοῦ ψέγοντα χαίρειν, οὐκ
ἐπιεικέστερον, ἀλλὰ πρὸς τῷ μὴ ἐπιεικέστερον ἴσως καὶ χεῖρον. τέταρτον τοίνυν
τίθεμαι σημεῖον οὐκ εὐμενοῦς ἐν ἱστορίᾳ τρόπου, τὸ δυοῖν ἢ πλειόνων περὶ ταὐτοῦ
λόγων ὄντων, τῷ χείρονι προστίθεσθαι. τοῖς γὰρ σοφισταῖς ἐφεῖται πρὸς ἐργα-
σίαν, ἢ δόξαν ἔστιν. ὅτε τῶν λόγων κοσμεῖν τὸν ἥττονα παραλαμβάνοντας. οὐ γὰρ
ἐμποιοῦσι πίστιν ἰσχυρὰν περὶ τοῦ πράγματος, οὐδὲ ἀρνοῦνται πολλάκις εἰς τὸ
παράδοξον ἐπιχειρεῖν ὑπὲρ τῶν ἀπίστων. ὁ δὲ ἱστορίαν γράφων, ἃ μὲν οἶδεν ἀλη
θῆ λέγων, δίκαιός ἐστι, τῶν δὲ ἀδήλων τὰ βελτίονα δοκεῖ ἀληθῶς λέγεσθαι μᾶλ
λον ἢ τὰ χείρονα. πολλοὶ δὲ ὅλως τὰ χείρονα παραλείπουσιν· ὥσπερ ἀμέλει περὶ
Θεμιστοκλέους. Ἔφορος μὲν εἰπών, ὅτι τὴν Παυσανίου προδοσίαν ἀνέγνω, καὶ τὰ
πραττόμενα πρὸς τοὺς βασιλέως στρατηγούς, ἀλλ' οὐκ ἐπείσθη φησίν, οὐδὲ προσε-
δέξατο κοινουμένου καὶ παρακαλοῦντος αὐτὸν ἐπὶ τὰς ἐλπίδας. Θουκυδίδης
δέ, καὶ τὸ παράπαν τὸν λόγον, ὥσπερ ὡς κατεγνωκώς, παρῆκεν. ἔτι τοίνυν ἐπὶ
τῶν ὁμολογουμένων πεπρᾶχθαι, τὴν δ' αἰτίαν ἀφ' ἧς πέπρακται, καὶ τὴν διάνοι
αν ἐχόντων ἄδηλον, ὁ πρὸς τὸ χεῖρον εἰκάζων, δυσμενής ἐστι, καὶ κακοήθης. ὡς
περ οἱ κωμικοὶ τὸν πόλεμον ὑπὸ τοῦ Περικλέους ἐκκεκαῦσθαι δι' Ἀσπασίαν, ἢ
διὰ Φειδίαν ἀποφαίνοντες, οὐ φιλοτιμίᾳ τινί, καὶ φιλονεικίᾳ μᾶλλον ἱστορῆ-
σαι τὸ φρόνημα Πελοποννησίων, καὶ μηδενὸς ὑφεῖσθαι Λακεδαιμονίων ἐθελήσαντος.
εἰ μὲν γὰρ τοῖς εὐδοκιμοῦσιν ἔργοις, καὶ πράγμασιν ἐπαινουμένοις αἰτίαν φαύ-
λην ὑποτίθησι καὶ κατάγεται ταῖς διαβολαῖς εἰς ὑποψίας ἀτόπους περὶ τῆς
ἐν ἀφανεῖ προαιρέσεως τοῦ πράξαντος αὐτοῦ τὸ πεπραγμένον ἐμφανῶς οὐ δυ-
νάμενος ψέγειν. ὥσπερ οἱ τὸν ὑπὸ Θήβας Ἀλεξάνδρου τοῦ τυράννου φόνον οὐ
μεγαλονοίας, οὐδὲ μισοπονηρίας ζήλου δέ τινος ἔργον καὶ πάθους γυναικείου τι-
θέμενοι, καὶ Κάτωνα λέγοντες ἑαυτὸν ἀνελεῖν, δείσαντα τὸν μετ' αἰκίας θάνα-
τον ὑπὸ Καίσαρος. εὔδηλον ὅτι φθόνου, καὶ κακοηθείας ὑπερβολὴν οὐ λέλοιπε.
δέχεται καὶ παρὰ τὸν τρόπον τοῦ ἔργου διήγησις ἱστορικὴ κακοήθειαν, ἂν χρήμασι
φάσκῃ μὴ δι' ἀρετῆς κατειργάσθαι τὴν πρᾶξιν, ὡς Φίλιππον ἔνιοι φάσκουσιν. ἂν

ζῆν οὐδενὶ πόνῳ, καὶ ῥᾳδίως ὡς Ἀλέξανδρον ἂν μὴ φρονίμως, ἀλλ' εὐτυχῶς ὡς
Τιμόθεον οἱ ἐχθροί· γράφοντες πίναξιν εἰς κύρτον τινὰ, τὰς πόλεις αὐτὰς ἐκείνου
καθεύδοντος ὑποδυομένας· δῆλον γὰρ ὅτι τῶν πράξεων ἐλαττοῦσι τὸ μέγεθος,
καὶ τὸ κάλλος, οἱ τὸ γενναίως, καὶ φιλοπόνως, καὶ κατ' ἀρετὴν καὶ δι' αὐτῶν ἀ-
φαιροῦντες. ἔτι τοίνυν τοῖς ἀπ' εὐθείας οὓς βούλονται κακῶς λέγουσι, δυσκολί-
αν ἐπικαλεῖν, καὶ θρασύτητα, καὶ μανίαν· ἐὰν μὴ μετριάζωσιν· οἱ δὲ πλαγίως οἷον
ἐξ ἀφανοῦς βέλεσι χρώμενοι ταῖς διαβολαῖς, εἶτα περιιόντες ὀπίσω καὶ ἀνα-
δυόμενοι τῷ φάσκειν ἀπιστεῖν, ἃ πάνυ πιστεύεσθαι θέλουσιν, ἀρνούμενοι κακοή-
θειαν, ἀνελευθερίαν τῇ κακοηθείᾳ προσοφλισκάνουσιν. ἐγγὺς δὲ τούτων εἰσὶν, οἱ τοῖς
ψόγοις ἐπαίνους τινὰς παρατιθέντες. ὡς ἐπὶ Σωκράτους Ἀριστόξενος ἀπαίδευ-
τον, καὶ ἀμαθῆ, καὶ ἀκόλαστον εἰπὼν, ἐπήνεγκεν, ἀδικία δὲ οὐ προσῆν. ὥσπερ γὰρ
οἱ σύν τινι τέχνῃ, καὶ δεινότητι κολακεύοντες, ἔστιν ὅτε πολλοῖς, καὶ μακροῖς ἐ-
παίνοις ψόγους παρακαταμιγνύουσιν ἐλαφρούς, οἷον ἥδυσμα τῇ κολακείᾳ τὴν παρ-
ρησίαν ἐμβάλλοντες, οὕτω τὸ κακόηθες εἰς πίστιν, ὧν ψέγει προσαποτίθεται τὸν ἔ-
παινον. ἦν δὲ καὶ πλείονας καταριθμεῖσθαι τῶν χαρακτήρων· ἀρκοῦσι δὲ οὗτοι κα-
τανόησιν τοῦ ἀνθρώπου τῆς προαιρέσεως, καὶ τοῦ τρόπου παρασχεῖν. πρῶτα δὴ
ὥσπερ ἀφ' ἑστίας ἀρξάμενος Ἰοῦς τῆς Ἰνάχου θυγατρός, ἣν πάντες Ἕλ-
ληνες ἐκτεθειῶσθαι νομίζουσι ταῖς τιμαῖς ὑπὸ τῶν βαρβάρων, καὶ καταλιπεῖν
ὄνομα πολλαῖς μὲν θαλάτταις, πορθμῶν δὲ τοῖς μεγίστοις ἀφ' αὐτῆς διὰ τὴν δό-
ξαν· ἀρχὴν δὲ καὶ πηγὴν τῶν ἐπιφανεστάτων, καὶ βασιλικωτάτων γενῶν παρα-
σχεῖν, ταύτην ὁ γενναῖος ἐπιδοῦναί φησιν ἑαυτὴν Φοίνιξι φορτηγοῖς, ὑπὸ τοῦ ναυ-
κλήρου διαφθαρεῖσαν ἑκουσίως, καὶ φοβουμένην μὴ κύουσα φανερὰ γένηται, καὶ
καταψεύδεται Φοινίκων, ὡς ταῦτα περὶ αὐτῆς λεγόντων, Περσῶν δὲ τοὺς λο-
γίους μαρτυρεῖν, φήσας, ὅτι   μετ' ἄλλων γυναικῶν οἱ Φοίνικες ἀφαρπά-
σειαν. εὐθὺς ἀποφαίνεται γνώμην τὸ κάλλιστον ἔργον, καὶ μέγιστον τῆς Ἑλλάδος
ἀβελτηρίᾳ τὸν Τρωϊκὸν πόλεμον γενέσθαι διὰ γυναῖκα φαύλην. δῆλον γάρ φη-
σιν ὅτι εἰ μὴ αὗται ἐβούλοντο, οὐκ ἂν ἡρπάζοντο. καὶ τοὺς θεοὺς τοίνυν ἀβέλ-
τερα ποιεῖν λέγομεν ὑπὲρ τῶν Λεύκτρου θυγατέρων βιασθεισῶν, μηνίοντας Λακε-
δαιμονίοις, καὶ κολάζοντας Αἴαντα διὰ τὴν Κασάνδρας ὕβριν. δῆλα γὰρ δὴ καθ'
Ἡρόδοτον, ὅτι εἰ μὴ αὗται ἐβούλοντο, οὐκ ἂν ὑβρίζοντο, καίτοι καὶ Ἀριστομένη φη-
σὶν αὐτὸς ὑπὸ Λακεδαιμονίων ζῶντα συναρπασθῆναι, καὶ Φιλοποίμην ὕστερον
ὁ τῶν Ἀχαιῶν στρατηγὸς τὸ αὐτὸ τοῦτο ἔπαθε. καὶ Ῥηγοῦλον ἐχειρώσαντο τὸν Ῥω-
μαίων ὕπατον ὧν ἔργον εὑρεῖν μαχιμωτέρους καὶ πολεμικωτέρους ἄνδρας, ἀλλὰ
θαυμάζειν οὐκ ἄξιον· ὅπου καὶ παρδάλεις ζώσας, καὶ τίγρις συναρπάζουσιν
ἄνθρωποι. Ἡρόδοτος δὲ κατηγορεῖ τῶν βιασθεισῶν γυναικῶν, ἀπολογούμενος ὑπὲρ
τῶν ἀρπασάντων. οὕτω δὲ φιλοβάρβαρός ἐστιν, ὥστε Βούσιριν ἀπολύσας τῆς
λεγομένης ἀνθρωποθυσίας, καὶ ξενοκτονίας καὶ πᾶσιν Αἰγυπτίοις θεότητα πολ-
λὴν, καὶ δικαιοσύνην μαρτυρήσας, ἐφ' Ἕλληνας ἀναστρέφει τὸ μύσος τοῦτο, καὶ
τὴν μιαιφονίαν. ἐν γὰρ τῇ δευτέρᾳ βίβλῳ, Μενέλαόν φησι παρὰ Πρωτέως ἀπο-
λαβόντα τὴν Ἑλένην, καὶ τιμηθέντα δωρεαῖς μεγάλαις, ἀδικώτατον ἀνθρώπων
γενέσθαι, καὶ κάκιστον ὑπὸ γὰρ ἀπλοίας συνεχόμενον, ἐπιτεχνήσασθαι πρᾶγ-
μα οὐχ ὅσιον, καὶ λαβόντα δύο παιδία ἀνδρῶν ἐπιχωρίων ἔντομα ποιῆσαι,
μισηθέντα δὲ ἐπὶ τούτῳ, καὶ διωκόμενον, οἴχεσθαι φεύγοντα νηυσὶν ἰθὺ ἐπὶ Λι-
βύης. τοῦτον δὲ τὸν λόγον, οὐκ οἶδα, ὅστις Αἰγυπτίων εἴρηκεν, ἀλλὰ τἀναντία, πολ-
λαὶ μὲν Ἑλένης, πολλαὶ δὲ Μενελάου τιμαὶ διαφυλάττονται παρ' αὐτοῖς. ὁ δὲ
συγγραφεὺς ἐπιμένων, Πέρσας μέν φησι μίσγεσθαι παρ' Ἑλλήνων μαθόντας, καὶ

τοι πῶς Ἕλλησι Πέρσαι διδασκάλια ταύτης ὀφείλουσι τῆς ἀκολασίας, παρ'
οἷς ὀλίγου δεῖν ὑπὸ πάντων ὁμολογεῖσθαι παῖδας ἐκτετμῆσθαι, πρὶν Ἑλλη-
νικὴν ἰδεῖν θάλασσαν. Ἕλληνας δὲ μαθεῖν παρ' Αἰγυπτίων πομπὰς, καὶ πανηγύ-
ρεις, καὶ τούτους δώδεκα θεοὺς σέβεσθαι. Διονύσου δὲ καὶ τοὔνομα παρ' Αἰγυ-
πτίων Μελάμποδα μαθεῖν, καὶ διδάξαι τοὺς ἄλλους Ἕλληνας· μυστήρια δὲ, καὶ
τὰς περὶ Δήμητραν τελετὰς ὑπὸ τῶν Δαναοῦ θυγατέρων, ἐξ Αἰγύπτου κομι-
σθῆναι, καὶ τύπτεσθαι μὲν Αἰγυπτίους φησὶ, καὶ πενθεῖν, οὐ βούλεσθαι αὐτὸς ὀνο-
μάζειν. ἀλλ' εὐστόμως κεῖσθαι περὶ τῶν θείων. Ἡρακλέα δὲ, καὶ Διόνυσον, οὓς μὲν Αἰ-
γύπτιοι ἀποφαίνονται θεοὺς, Ἕλληνας δὲ ἀνθρώπους καταγεγηρακότας, οὐδαμοῦ
ταύτην προὔθετο τὴν εὐλάβειαν, καίτοι καὶ τὸν Αἰγύπτιον Ἡρακλέα τῶν δευτέ-
ρων θεῶν γενέσθαι λέγει. καὶ τὸν Διόνυσον τῶν τρίτων, ὡς ἀρχὴν ἐσχηκότας γενέσε-
ως, καὶ οὐκ ὄντας ἀϊδίους. ἀλλ' ὅμως ἐκείνους μὲν ἀποφαίνει θεοὺς, τούτοις δὲ ὡς
φθαρτοῖς καὶ ἥρωσιν ἐναγίζειν δεῖν οἴεται, ἀλλὰ μὴ θύειν ὡς θεοῖς. τὰ αὐτὰ καὶ
περὶ Πανὸς εἴρηκε ταῖς Αἰγυπτίων ἀλαζονείαις, καὶ μυθολογίαις τὰ σεμνότα-
τα, καὶ ἁγνότατα τῶν Ἑλληνικῶν ἱερῶν ἀνατρέπων, καὶ οὐ τοῦτο δεινὸν, ἀλλ' ἀνα-
γαγὼν εἰς Περσέα τὸ Ἡρακλέους γένος. Περσέα μὲν Ἀσσύριον γεγονέναι λέγει κατὰ
τὸν Περσῶν λόγον. οἱ δὲ Δωριέων φησὶν ἡγεμόνες φαίνοιντ' ἂν Αἰγύπτιοι ἰθαγενέ-
ες ἐόντες καταλέγοντες τοὺς ἄνω Δανάης, καὶ Ἀκρισίου πατέρας. τὸν γὰρ Ἔπα-
φον, καὶ τὴν Ἰὼ, καὶ τὸν Ἴασον. καὶ τὸν Ἄργον ὅλως ἀφῆκε φιλοτιμούμενος μὴ
μόνον ἄλλους Ἡρακλέας Αἰγυπτίους, καὶ Φοίνικας ἀποφαίνειν, ἀλλὰ καὶ τοῦτον ὃν
αὐτὸς τρίτον γεγονέναι φησὶν εἰς βαρβάρους ἀποξενῶσαι τῆς Ἑλλάδος. καίτοι
τῶν παλαιῶν, καὶ λογίων ἀνδρῶν, οὐχ Ὅμηρος οὐχ Ἡσίοδος, οὐκ Ἀρχίλοχος, οὐ Πεί-
σανδρος, οὐ Στησίχορος, οὐκ Ἀλκμὰν, οὐ Πίνδαρος Αἰγυπτίου ἔσχον λόγον Ἡρακλέ-
ους, ἢ Φοίνικος, ἀλλ' ἕνα τοῦτον ἴσασι πάντες Ἡρακλέα τὸν Βοιώτιον ἡμῖν, καὶ Ἀρ-
γεῖον, καὶ μὴν τῶν ἑπτὰ σοφῶν, οὓς αὐτὸς σοφιστὰς προσεῖπε τὸν μὲν Θάλητα, Φοί-
νικα τῷ γένει τὸ ἀνέκαθεν ἀποφαίνεται βάρβαρον. τοῖς δὲ θεοῖς λοιδορούμενος ἐν τῷ
Σόλωνος προσωπείῳ ταῦτα εἴρηκεν, ὦ Κροῖσε. ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν
φθονερόν τε, καὶ ταραχῶδες ἐπειρωτᾷς ἀνθρωπηΐων περὶ πραγμάτων. ἃ γὰρ
αὐτὸς ἐφρόνει περὶ τῶν θεῶν τῷ Σόλωνι προστριβόμενος, κακοηθείᾳ τῇ βλασφη-
μίᾳ προστίθησι. Πιττακῷ τοίνυν εἰς μικρὰ, καὶ οὐκ ἄξια λόγου χρησάμενος, ὃ μέγι-
στόν ἐστι τῶν πεπραγμένων, τῷ ἀνδρὶ, καὶ κάλλιστον ἐν ταῖς πράξεσι γενόμενον παρ-
ῆκε. πολεμούντων γὰρ Ἀθηναίων καὶ Μιτυληναίων περὶ Σιγείου Φρύνωνος
τοῦ στρατηγοῦ τῶν Ἀθηναίων προσκαλεσαμένου τὸν βουλόμενον εἰς μονομαχίαν,
ἀπήντησεν ὁ Πιττακὸς, καὶ δικτύῳ περιβαλὼν τὸν ἄνδρα ῥωμαλέον ὄντα, καὶ μέ-
γαν, ἀπέκτεινε, τῶν δὲ Μιτυληναίων δωρεὰς αὐτῷ μεγάλας διδόντων ἀκοντί-
σας τὸ δόρυ, τοῦτο μόνον τὸ χωρίον ἠξίωσεν ὅσον ἐπέσχεν ἡ αἰχμὴ, καὶ καλεῖται
μέχρι νῦν Πιττάκειον. τί οὖν ὁ Ἡρόδοτος, κατὰ τὸν τόπον γενόμενος τοῦτον, ἀντὶ τῆς
Πιττακοῦ ἀριστείας τὴν Ἀλκαίου διηγήσατο τοῦ ποιητοῦ φύσιν, ἐκ τῆς μάχης τὰ ὅ-
πλα ῥίψαντος, τῷ τὰ μὲν χρηστὰ μὴ γράψαι, τὰ δ' αἰσχρὰ μὴ παραλιπεῖν, μαρ-
τυρήσας τοῖς ἀπὸ μιᾶς κακίας, καὶ τὸν φθόνον φύεσθαι, καὶ τὴν ἐπιχαιρεκακίαν
λέγουσι. μετὰ ταῦτα τοὺς Ἀλκμαιωνίδας ἄνδρας γενομένους, καὶ τὴν πατρίδα
τῆς τυραννίδος ἐλευθερώσαντας εἰς αἰτίαν ἐμβαλὼν προδοσίας δέξασθαί φη-
σι τὸν Πεισίστρατον ἐκ τῆς φυγῆς, καὶ συγκαταγαγεῖν ἐπὶ τῷ γάμῳ τῆς Μεγα-
κλέους θυγατρὸς, τὴν δὲ παῖδα πρὸς τὴν μητέρα φράσαι τὴν ἑαυτῆς, ὅτι ὦ μαμ-
μίδιον ὁρᾷς, οὐ μίγνυταί μοι κατὰ νόμον Πεισίστρατος, ἐπὶ τούτῳ δὲ τοὺς Ἀλκ-
μαιωνίδας τῷ παρανομήματι σχετλιάσαντας ἐξελάσαι τὸν τύραννον. ἵνα τοί-

νου μὴ δ' οἱ λακεδαιμόνιοι τῶν ἀθηναίων ἔλαττον ἔχωσι τῆς κακοηθείας τὸν ἐν αὐτοῖς μάλιστα θαυμαζόμενον καὶ τιμώμενον, ὅρα πῶς διαλελύμανται τὸν ὀθρυάδαν, τὸν δὲ ἕνα φησὶ τὸν περιλειφθέντα τῶν τριηκοσίων αἰσχυνόμενον ἀπονοστέειν ἐς σπάρτην τῶν συλλοχιτέων διεφθαρμένων· αὐτοῦ μιν ἐν τοῖσι θυρέῃσι καταχρήσασθαι ἑωυτόν· ἄνω μὲν γὰρ ἀμφοτέροις ἐπίδικον εἶναι τὸ νίκημά φησιν· ἐνταῦθα δὲ τῇ αἰσχύνῃ τοῦ ὀθρυάδου ἧτταν τῶν λακεδαιμονίων κατεμαρτύρησεν· ἡττηθέντα μὲν γὰρ, ζῆν αἰσχρὸν ἦν· περιγενέσθαι δὲ νικῶντι, κάλλιστον. ἐῶ τοίνυν ὅτι τὸν κροῖσον ἀμαθῆ, καὶ ἀλαζονίαν, καὶ γελοῖον φήσας ἐν πᾶσιν, ὑπὸ τούτου φησὶν αἰχμαλώτου γενομένου καὶ παιδαγωγεῖσθαι, καὶ νουθετεῖσθαι τὸν κῦρον, ὃς φρονήσει, καὶ ἀρετῇ, καὶ μεγαλονοίᾳ πολὺ πάντων δοκεῖ πεπρωτευκέναι τῶν βασιλέων· τῷ κροίσῳ μηδὲν ἄλλο καλὸν, ἢ τὸ τιμῆσαι τοὺς θεοὺς ἀναθήμασι πολλοῖς, καὶ μεγάλοις μαρτυρήσας αὐτὸ τοῦτο πάντων ἀσεβέστατον, ἀποδείκνυσιν ἔργον, ἀδελφὸν γὰρ αὐτῷ πανταλέοντα περὶ τῆς βασιλείας ἀντιδιαφέρεσθαι ζῶντος ἔτι τοῦ πατρός· τὸν οὖν κροῖσον, ὡς εἰς τὴν βασιλείαν κατέστη, τῶν ἑταίρων, καὶ φίλων τοῦ πανταλέοντος ἕνα τῶν γνωρίμων ἐπὶ κνάφου διαφθεῖραι καταξαινόμενον, ἐκ δὲ τῶν χρημάτων αὐτοῦ ποιησάμενον ἀναθήματα τοῖς θεοῖς ἀποστεῖλαι· δηιόκην δὲ τὸν μῆδον ἀρετῇ, καὶ δικαιοσύνῃ κτησάμενον τὴν ἡγεμονίαν, οὐ φύσει γενέσθαι προσποιήματι δικαιοσύνης. ἀλλ' ἀφίημι τὰ τῶν βαρβάρων· ἀφθονίαν γὰρ αὐτοῖς ἐν τοῖς ἑλληνικοῖς πεποίηκεν. ἀθηναίους τοίνυν, καὶ τοὺς πολλοὺς τῶν ἄλλων ἰώνων, ἐπαισχύνεσθαι τῷ ὀνόματι τούτῳ μὴ βουλομένους, ἀλλὰ φεύγοντας ἴωνας κεκλῆσθαι, τοὺς δὲ νομίζοντας αὐτῶν γενναιοτάτους εἶναι, καὶ ὁρμηθέντας ἀπὸ τοῦ πρυτανηίου τῶν ἀθηναίων ἐκ βαρβάρων παιδοποιήσασθαι γυναικῶν πατέρας αὐτῶν, καὶ παῖδας φονεύσαντας διὸ τὰς γυναῖκας νόμον θέσθαι, ὅρκους ἐπελάσαι, καὶ παραδοῦναι ταῖς θυγατράσι μή ποτε ὁμοσιτῆσαι τοῖς γε ἀνδράσι μηδ' ὀνόματι βοῆσαι τὸν αὐτῆς ἄνδρα, καὶ τοὺς νῦν ὄντας μιλησίους ἐξ ἐκείνων γεγονέναι τῶν γυναικῶν· ὑπειπὼν δὲ καθαρῶς ἴωνας γεγονέναι τοὺς ἀπατούρια ἄγοντας ἑορτήν· ἄγουσι δὲ πάντες φησὶ πλὴν ἐφεσίων, καὶ κολοφωνίων. τούτους μὲν οὕτως ἐκκέκλεικε τῆς εὐγενείας. πακτύην δὲ ἀποστάντα κύρου φησὶ κυμαίους, καὶ μιτυληναίους ἐκδιδόναι παρασκευάζεσθαι τὸν ἄνθρωπον ἐπὶ μισθῷ· οὐ γὰρ ἔχω γε εἰπεῖν ἀτρεκέως· εὖ τὸ μὴ διαβεβαιοῦσθαι πόσος ἦν ὁ μισθὸς τηλικοῦτο δὲ ἑλληνίδι πόλει προσβαλεῖν ὄνειδος ὡς δὴ σαφῶς εἰδότα. χίους μέν τοι τὸν πακτύην κομισθέντα πρὸς αὐτοὺς ἐξ ἱεροῦ ἀθηναίης, πολιούχου ἐκδοῦναι καὶ ταῦτα ποιῆσαι τοὺς χίους, τὸν ἀταρνέα μισθὸν λαβόντας, καίτοι χάρων ὁ λαμψακηνὸς ἀνὴρ πρεσβύτερος ἐν τοῖς περὶ πακτύην λόγοις γενόμενος, τοιοῦτον οὐδὲν οὔτε μιτυληναίοις, οὔτε χίοις ἄγος προστέτριπται· ταυτὶ δὲ κατὰ λέξιν γέγραφε. πακτύης δὲ ὡς ἐπύθετο προσελαύνοντα τὸν στρατὸν τὸν περσικὸν, ᾤχετο φεύγων ἄρτι μὲν εἰς μιτυλήνην, ἔπειτα δὲ εἰς χίον, καὶ αὐτοῦ ἐκράτησε κῦρος. ἐν δὲ τῇ τρίτῃ τῶν κύκλων διηγούμενος τὴν λακεδαιμονίων ἐπὶ πολυκράτην, τὸν τύραννον στρατείαν, αὐτοὺς μὲν οἴεσθαί φησι, καὶ λέγειν σαμίους, ὡς χάριν ἐκτίνοντες αὐτοῖς τῆς ἐπὶ μεσσηνίους βοηθείας στρατεύσειαν τούς τε φεύγοντας κατάγοντες τῶν πολιτῶν, καὶ τῷ τυράννῳ πολεμοῦντες· ἀρνεῖσθαι δὲ τὴν αἰτίαν ταύτην λακεδαιμονίους, καὶ λέγειν, ὡς οὐ βοηθοῦντες, οὐδ' ἐλευθεροῦντες, ἀλλὰ τιμωρούμενοι σαμίους στρατεύσαντο κρατῆρά τινα πεμπόμενον κροίσῳ παρ' αὐτῶν, καὶ θώρακα πάλιν παρ' ἀμάσιδος κομιζόμενον ἀφελομένους· καίτοι πόλιν ἐν τοῖς τότε χρόνοις, οὔτε φιλότιμον οὕτως, οὔτε μισοτύραννον ἴσμεν, ὡς τὴν λακεδαιμονίων γενομένην, ποίου γοῦν ἕνεκα θώρακος, ἢ τίνος κρατῆρος ἑτέρου, κυ-

ψελίδας μὲν ἐξέβαλον ἐκ κορίνθου, καὶ ἀμπρακίας· ἐκ δὲ ξενάγου λύγδαμιν· ἐξ ἀθηναίων δὲ τοὺς πεισιστράτου παῖδας, ἐκ δὲ σικυῶνος αἰσχίνην, ἐκ θάσου δὲ σύμμαχον, ἐκ δὲ φωκέων αὖλιν, ἐκ μιλήτου δὲ ἀριστογένη, τὴν δὲ ἐν θετταλοῖς δυναστείαν ἔπαυσαν ἀριστομήδη καὶ ἄγγελον· καταλύσαντες διὰ λεωτυχίδου τοῦ βασιλέως, περὶ ὧν ἐν ἄλλοις ἀκριβέστερον γέγραπται· κατὰ δὲ ἡρόδοτον, οὔτε κακίας, οὔτε ἀβελτερίας ὑπερβολὴν λελοίπασιν εἰ τὴν καλλίστην, καὶ δικαιοτάτην τῆς στρατείας ἀρνούμενοι πρόφασιν ὡμολόγουν διὰ μνησικακίαν, καὶ μικρολογίαν ἐπιτίθεσθαι δυστυχοῦσιν ἀνθρώποις, καὶ κακῶς πράττουσιν, οὐ μὴν ἀλλὰ λακεδαιμονίους μὲν ἄλλως γέ πως ὑποπεσόντας αὐτοῦ τῷ γραφείῳ προσέχρωσε, τὴν δὲ κορινθίων πόλιν ἐκ τοῦ δρόμου κατὰ τοῦτον οὖσαν τὸν τόπον, ὅμως προσπεριλαβὼν ὁδοῦ φησι πάρεργον ἐνέπλησεν αἰτίας δεινῆς καὶ μοχθηροτάτης διαβολῆς, συνεπελάβοντο γάρ φησι τοῦ στρατεύματος ἐπὶ σάμον ὥστε γενέσθαι κορινθίοις προθύμοις βρίσματος εἰς αὐτοὺς ὑπὸ σαμίων πρότερον ὑπάρξαντος, ἦν δὲ τοιοῦτο· κορκυραίων παῖδας τριακοσίους τῶν πρώτων περίανδρος ὁ κορίνθου τύραννος ἐπ' ἐκτομῇ παρ' ἀλυάττην ἔπεμπε· τούτους ἀποβάντας εἰς τὴν νῆσον οἱ σάμιοι διδάξαντες ἐν ἱερῷ ἀρτέμιδος ἱκέτας καθίζεσθαι καὶ τρωκτὰ περιτιθέντες αὐτοῖς σησάμου, καὶ μέλιτος περιεποίησαν. τοῦτο ὕβρισμα σαμίων εἰς κορινθίους ὁ συγγραφεὺς προσαγορεύει, καὶ διὰ τοῦτό φησι συμπαροξῦναι λακεδαιμονίους, παῖδας ἑλλήνων ἐφύλαξαν ἄνδρας· ὁ δὲ τοῦτο κορινθίοις προστριβόμενος τοὔνειδος, ἀποφαίνει τοῦ τυράννου μοχθηροτέραν τὴν πόλιν, ἐκεῖνος μέν γε τὸν υἱὸν αὐτοῦ κερκυραίους ἀνελόντας ἠμύνατο· κορίνθιοι δὲ τί παθόντες ἐτιμωροῦντο σαμίους ἐμποδὼν στάντας, ὠμότητι καὶ παρανομίᾳ τοσαύτῃ, καὶ ταῦτα μετὰ τρεῖς γενεὰς ὀργὴν, καὶ μνησικακίαν ἀναφέροντες ὑπὲρ τυραννίδος, ἧς καταλυθείσης, πᾶν τὸ μνῆμα, καὶ πᾶν ἴχνος ἐξαλείφοντες, καὶ ἀφανίζοντες, οὐκ ἐπαύοντο χαλεπῆς, καὶ βαρείας αὐτοῖς γενομένης· ἀλλὰ δὴ τὸ μὲν ὕβρισμα τοιοῦτον ἦν τὸ σαμίων εἰς κορινθίους, τὸ δὲ τιμώρημα, ποῖόν τι τὸ κορινθίων εἰς σαμίους· εἰ γὰρ ὄντως ὠργίζοντο σαμίοις, οὐ παροξύνειν, ἀποτρέπειν δὲ μᾶλλον αὐτοῖς ἦν προσῆκον λακεδαιμονίους ἐπὶ πολυκράτη στρατευομένους· ὅπως μὴ διὰ τοῦ τυράννου καταλυθέντος ἐλεύθεροι σάμιοι γένοιντο, καὶ παύσαιντο δουλεύοντες· ὁ δὲ μέγιστόν ἐστι, τί δή ποτε κορίνθιοι σαμίοις μὲν ὠργίζοντο βουληθεῖσι, καὶ μὴ δυνηθεῖσι κερκυραίων παῖδας· κνιδίοις δὲ τοῖς σώσασι καὶ ἀποδοῦσιν οὐκ ἐνεκάλουν· καίτοι κερκυραῖοι σαμίων μὲν ἐπὶ τούτῳ λόγον οὐ πολὺν ἔχουσι· κνιδίων δὲ μέμνηνται, καὶ κνιδίοις εἰσὶ τιμαὶ, καὶ ἀτέλειαι, καὶ ψηφίσματα παρ' αὐτοῖς· οὗτοι γὰρ ἐπιπλεύσαντες ἐξήλασαν ἐκ τοῦ ἱεροῦ τοὺς περιάνδρου φύλακας· αὐτοὶ δὲ ἀναλαβόντες τοὺς παῖδας, εἰς κέρκυραν διεκόμισαν, ὡς ἀντήνωρ τε ὁ κρητικὸς ἱστόρηκε, καὶ διονύσιος ὁ χαλκιδεὺς ἐν ταῖς κτίσεσιν· ὅτι δὲ οὐ τιμωρούμενοι σαμίους, ἀλλ' ἐλευθεροῦντες ἀπὸ τοῦ τυράννου, καὶ σώζοντες ἐστράτευσαν οἱ λακεδαιμόνιοι, σαμίοις αὐτοῖς ἐστι χρήσασθαι μάρτυσιν. ἀρχίᾳ γὰρ ἀνδρὶ σπαρτιάτῃ λαμπρῶς ἀγωνισαμένῳ τότε, καὶ πεσόντι, τάφον εἶναι δημοσίᾳ κατεσκευασμένον ἐν σάμῳ, καὶ τιμώμενον ὑπ' αὐτῶν λέγουσι· διὸ καὶ τοὺς ἀπογόνους τοῦ ἀνδρὸς ἀεὶ διατελεῖν σαμίοις οἰκείως, καὶ φιλανθρώπως προσφερομένους, ὡς αὐτὸς ἡρόδοτος ταῦτα γοῦν ἀπομεμαρτύρηκεν· ἐν δὲ τῇ πέμπτῃ, τῶν ἀρίστων ἀθήνῃσι καὶ πρώτων ἀνδρῶν, κλεισθένη μὲν ἀναπεῖσαί φησι τὴν πυθίαν ψευδόμαντιν γενέσθαι προφέρουσαν ἀεὶ λακεδαιμονίοις ἐλευθεροῦν ἀπὸ τῶν τυράννων τὰς ἀθήνας· καλλίστῳ μὲν ἔργῳ, καὶ δικαιοτάτῳ προσάπτων ἀσεβήματος διαβολὴν τηλικούτου, καὶ ῥᾳδιουργήμα-

τος ἀφαιρούμενοι δὲ τοῦ θεοῦ μαντείαν καλήν, καὶ ἀγαθήν, καὶ τῆς λεγομένης συμ-
προφητεύειν θέμιδος ἀξίαν. ἰσαγόραν δὲ τῆς γαμετῆς ὑφίεσθαι κλεομένει φοι-
τῶντι παρ' αὐτήν. ὡς δὲ εἰώθει παραμιγνὺς πίστεως ἕνεκα τοῖς ψόγοις ἐπαί-
νους τινάς· ἰσαγόρας δέ φησιν ὁ τισάνδρου οἰκίης μὲν ἦν δοκίμου· ἀτὰρ τὰ ἀνέ-
καθεν οὐκ ἔχω φράσαι. θύουσι δὲ οἱ συγγενεῖς αὐτοῦ διῒ καρίῳ. εὔρυθμός γε, καὶ
πολιτικὸς ὁ μυκτὴρ τοῦ συγγραφέως εἰς κᾶρας ὥσπερ εἰς κόρακας ἀποδιοπομ-
πουμένου τὸν ἰσαγόραν. ἀριστογείτονα μέντοι οὐκέτι κύκλῳ καὶ κακῶς, ἀλλ' ἄντι-
κρυς διὰ πυλῶν εἰς φοινίκην ἐξελαύνει· γεφυραῖον γεγονέναι λέγων ἀνέκαθεν,
τοὺς δὲ γεφυραίους οὐκ ἀπ' εὐβοίας, οὐδ' ἐρετριεῖς ὥσπερ οἴονταί τινες, ἀλλὰ
φοίνικας εἶναί φησιν αὐτὸς οὕτω πεπεισμένος. ἀφελέσθαι τοίνυν λακεδαιμο-
νίους μὴ δυνάμενος τὴν ἀθηναίων ἐλευθέρωσιν ἀπὸ τῶν τυράννων, αἰσχίστῳ πάθει
κάλλιστον ἔργον οἷός τ' ἐστὶν ἀφανίζειν, καὶ καταισχύνειν. ταχὺ γὰρ μετανοῆσαί
φησιν αὐτοὺς ὡς οὐ ποιήσαντας ὀρθῶς· ὅτι κιβδήλοισι μαντηΐοισιν ἐπαρθέντες
ἄνδρας ξείνους ἄνδρας ἐόντας αὐτοῖσι, καὶ ἐπαγομένους ὑποχειρίας πράξειν,
τὰς ἀθήνας, ἐξήλασαν ἐκ τῆς πατρίδος τοὺς τυράννους, καὶ δήμῳ ἀχαρίστῳ
παρέδωκαν τὴν πόλιν· εἶτα μεταπεμψομένους ἱππίαν ἀπὸ σιγείου κατάγειν
εἰς τὰς ἀθήνας· ἀντιστῆναι δὲ κορινθίους αὐτοῖς, καὶ ἀποστρέψαι σωκλέους δι-
ελθόντος ὅσα κύψελος, καὶ περίανδρος κατὰ τὴν κορινθίων πόλιν εἰργάσαντο
τυραννοῦντες· καίτοι περιάνδρου σχετλιώτερον οὐδὲ ὠμότερον ἔργον ἐστὶν ἢ τὰ
τῆς ἐκπομπῆς τῶν τριακοσίων ἐκείνων, οὓς ἐξαρπάσασι, καὶ διακωλύσασι πα-
θεῖν ταῦτα σαμίοις ὀργίζεσθαί φησι, καὶ μνησικακεῖν κορινθίους ὥσπερ ὑβρι-
σθέντας, τοσαύτης ἀναπίμπλησι ταραχῆς καὶ διαφωνίας τὸ κακόηθες αὐτοῦ τῶν
λόγων ἐξ ἁπάσης διηγήσει προφάσεως ὑποδυόμενον· ἐν δὲ τοῖς ἐφεξῆς τὰ περὶ
σάρδεις διηγούμενος ὡς ἐνῆν μάλιστα διέλυσε, καὶ διελυμήνατο τὴν πρᾶξιν· ἃς
μὲν ἀθηναῖοι ναῦς ἐξέπεμψαν ἴωσι τιμωροὺς ἀποστᾶσι βασιλέως, ἀρχεκάκους τολ-
μήσας προσειπεῖν· ὅτι τοσαύτας πόλεις, καὶ τηλικαύτας ἑλληνίδας ἐλευθε-
ροῦν ἐπεχείρησαν ἀπὸ τῶν βαρβάρων· ἐρετριέων δὲ κομιδῇ μνησθεὶς ἐν παρέρ-
γῳ, καὶ παρασιωπήσας μέγα κατόρθωμα, καὶ ἀοίδιμον ἤδη γὰρ ὡς

περὶ τὴν ἰωνίαν συγκεχυμένην καὶ στόλου βασιλικοῦ προσπλέοντος ἀπαν-
τήσαντες ἔξω κυπρίους ἐν τῷ παμφυλίῳ πελάγει κατεναυμάχησαν, εἶτα ἀ-
ναστρέψαντες ὀπίσω, καὶ τὰς ναῦς ἐν ἐφέσῳ καταλιπόντες, ἐπέθεντο σάρδεσι
καὶ ἀρταφέρνην ἐπολιόρκουν, εἰς τὴν ἀκρόπολιν καταφυγόντα, βουλόμενοι τὴν
μιλήτου λῦσαι πολιορκίαν, καὶ τοῦτο μὲν ἔπραξαν, καὶ τοὺς πολεμίους ἀνέ-
στησαν ἐκεῖθεν ἐν φόβῳ θαυμαστῷ γενομένους· πλήθους δὲ ἐπιχυθέντος αὐτοῖς
ἀπεχώρησαν· ταῦτα δὲ ἄλλοι τε καὶ λυσανίας ὁ μαλλώτης ἐν τοῖς περὶ ἐρε-
τρίας εἴρηκε, καὶ καλῶς εἶχε, καὶ διὰ μηδὲν ἄλλο, τῇ γοῦν ἁλώσει καὶ φθορᾷ
τῆς πόλεως ἐπειπεῖν τὸ ἀνδραγάθημα τοῦτο, καὶ τὴν ἀριστείαν· ὁ δὲ καὶ κρατη-
θέντας αὐτοὺς ὑπὸ τῶν βαρβάρων φησὶν εἰς τὰς ναῦς καταδιωχθῆναι, μηδὲν
τοιοῦτο τοῦ λαμψακηνοῦ χάρωνος ἱστοροῦντος, ἀλλὰ ταυτὶ γράφοντος κατὰ λέ-
ξιν, ἀθηναῖοι δὲ εἴκοσι τριήρεσιν ἔπλευσαν ἐπικουρήσοντες τοῖς ἴωσι, καὶ εἰς σάρ-
δεις ἐστρατεύσαντο, καὶ εἷλον τὰ περὶ σάρδεις ἅπαντα χωρὶς τοῦ τείχεος τοῦ
βασιληΐου· ταῦτα δὲ ποιήσαντες ἐπαναχωροῦσιν εἰς μίλητον. ἐν δὲ τῇ ἕκτῃ διη-
γησάμενος περὶ πλαταιέων, ὡς σφᾶς αὐτοὺς ἐδίδοσαν σπαρτιάταις· οἱ δὲ
μᾶλλον ἐκέλευσαν πρὸς ἀθηναίους τρέπεσθαι πλησιοχώρους ὄντας ἑαυτοῖς
καὶ τιμωρέειν οὐ κακούς, προστίθησιν οὐ καθ' ὑπόνοιαν, οὐδὲ δόξαν, ἀλλ' ὡς ἀκρι-
βῶς ἐπιστάμενος, ὅτι ταῦτα συνεβούλευον οἱ λακεδαιμόνιοι οὐ κατ' εὔνοιαν τῶν

πλαταιέων, ὡς βουλόμενοι τοὺς ἀθηναίους ἔχειν πόνον συνεστῶτα βοιωτοῖς [illegible]
εἰ μὴ κακοήθης ἡρόδοτος, ἐπίβουλοι μέν, καὶ κακοήθεις λακεδαιμόνιοι, ἀναίσθη-
τοι δὲ ἀθηναῖοι παρακρουσθέντες· πλαταιεῖς δὲ οὐ κατ' εὔνοιαν, οὐδὲ τιμήν, ἀλλὰ πο-
λέμου πρόφασις εἰς μέσον ἐρρίφησαν, καὶ μὴν τὴν πανσέληνον ἤδη σαφῶς ἐξε-
λήλεγκται λακεδαιμονίων καταψευδόμενος, ἥν φησι περιμένοντας αὐτοὺς εἰς
μαραθῶνα, μὴ βοηθῆσαι τοῖς ἀθηναίοις· οὐ γὰρ μόνον ἄλλας μυρίας ἐξόδους, καὶ
μάχας πεποίηνται μηνὸς ἱσταμένου, μὴ περιμείναντες τὴν πανσέληνον, ἀλλὰ καὶ
ταύτην τῆς μάχης ἕκτης βοηδρομιῶνος ἱσταμένου γενομένης ὀλίγον ἀπελείφθη-
σαν, ὥστε καὶ θεάσασθαι τοὺς νεκροὺς ἐπελθόντας ἐπὶ τὸν τόπον, ἀλλ' ὅμως ταῦ-
τα περὶ τῆς πανσελήνου γέγραφεν· ἀδύνατα δέ σφιν τὸ παραυτίκα ποιέειν
ταῦτα οὐ βουλομένοισιν λύειν τὸν νόμον, ἦν γὰρ ἱσταμένου τοῦ μηνὸς ἐνάτη· ἐνάτῃ δὲ οὐκ
ἐξελεύσεσθαι ἔφασαν, οὐ πλήρεος ἐόντος τοῦ κύκλου. οὗτοι μὲν οὖν τὴν πανσέ-
ληνον ἔμενον· σὺ δὲ μεταφέρεις τὴν πανσέληνον εἰς ἀρχὴν μηνὸς διχομηνίας, καὶ
τὸν οὐρανὸν ὁμοῦ, καὶ τὰς ἡμέρας, καὶ πάντα πράγματα συνταράσσεις· καὶ
τὰ τῆς ἑλλάδος ἐπαγγελλόμενος γράφειν. ἐσπουδα-
κῶς δὲ περὶ τὰς ἀθήνας διαφερόντως, οὐδὲ τὴν πρὸς ἄγρας πομπὴν ἱστόρη-
κας, ἣν πέμπουσιν ἔτι νῦν τῇ ἑκάτῃ χαριστήρια τῆς νίκης ἑορτάζοντες. ἀλλὰ τοῦ-
τό γε βοηθεῖ τῷ ἡροδότῳ πρὸς ἐκείνην τὴν διαβολήν, ἣν ἔχει κολακεύσας τοὺς ἀ-
θηναίους, ἀργύριον πολὺ λαβεῖν παρ' αὐτῶν. εἰ γὰρ ἀνέγνω ταῦτα ἀθηναίοις,
οὐκ ἂν εἴασαν οὐδὲ περιεῖδον ἐναγῆ τὸν φιλιππίδην παρακαλοῦντα λακεδαι-
μονίους ἐπὶ τὴν μάχην ἐκ τῆς μάχης γεγενημένον, καὶ ταῦτα δευτεραῖον εἰς σπάρ-
την ἐξ ἀθηνῶν ὡς αὐτός φησιν ἀφιγμένον· εἰ μὴ μετὰ τὸ νικῆσαι τοὺς πολεμί-
ους ἀθηναῖοι μετεπέμποντο τοὺς συμμάχους. ὅτι μέντοι δέκα τάλαντα δωρεὰν
ἔλαβεν ἐξ ἀθηνῶν ἀνύτου τὸ ψήφισμα γράψαντος· ἀνὴρ ἀθηναῖος οὐ τῶν πα-
ρημελημένων ἐν ἱστορίᾳ δίυλλος εἴρηκεν, ἀπαγγείλας δὲ τὴν ἐν μαραθῶνι μάχην ὁ
ἡρόδοτος ὡς μὲν οἱ πλεῖστοι λέγουσι, καὶ τῶν νεκρῶν τῷ ἀριθμῷ καθεῖλε τὸ ἔργον.
εὐξαμένους γάρ φησι τοὺς ἀθηναίους τῇ ἀγροτέρᾳ θύσειν χιμάρους ὅσους ἂν τῶν
βαρβάρων καταβάλωσιν, εἶτα μετὰ τὴν μάχην ἀναρίθμου πλήθους τῶν νεκρῶν
ἀναφανέντος, παραιτεῖσθαι ψηφίσματι τὴν θεόν, ὅπως καθ' ἕκαστον ἐνιαυτὸν
ἀποθύωσι πεντακοσίας τῶν χιμάρων, οὐ μὴν ἀλλὰ τοῦτο ἐάσαντες· ἴδωμεν μετὰ
τὴν μάχην, τῇσι δὲ λοιπῇσιν οἱ βάρβαροι ἐξανακρουσάμενοι, καὶ ἀναλαβόντες
ἐκ τῆς νήσου, ἐν αὐτῇ ἔλιπον τὰ ἐξ ἐρετρίης ἀνδράποδα περιέπλεον σούνιον
βουλόμενοι φθῆναι τοὺς ἀθηναίους ἀφικομένους εἰς τὸ ἄστυ. αἰτίην δὲ ἔσχον ἀθη-
ναίοισιν ἐξ ἀλκμαιωνιδέων μηχανῆς αὐτοὺς ταῦτα ἐπινοηθῆναι· τούτους γὰρ συν-
θεμένους τοῖσι πέρσῃσιν ἀναδέξαι ἀσπίδα ἐοῦσιν ἤδη ἐν τῇσι νηυσί. οὗτοι μὲν δὴ
περιέπλεον σούνιον, ἐνταῦθα τὸ μὲν τοὺς ἐρετριέας ἀνδράποδα προσειπεῖν,
οὔτε τόλμαν ἑλλήνων οὐδενός, οὔτε φιλοτιμίαν ἐνδεεστέραν παρασχομένους, καὶ
παθόντας ἀνάξια τῆς ἀρετῆς, ἀφείσθω· διαβεβλημένων δὲ τῶν ἀλκμαιωνιδῶν,
ἐν οἷς οἱ μέγιστοί τε τῶν οἴκων, καὶ δοκιμώτατοι τῶν ἀνδρῶν ἦσαν, ἐλάττων λόγος,
ἀνατέτραπται δὲ τῆς νίκης τὸ μέγεθος, καὶ τὸ τέλος εἰς οὐδὲν ἥκει τοῦ βοητοῦ
κατορθώματος, οὐδὲ ἀγών τις ἔοικεν, οὐδὲ ἔργον γεγονέναι τοσοῦτον, ἀλλὰ πρό-
σκρουσμα βραχὺ τοῖς βαρβάροις ἀποβᾶσιν, ὥσπερ οἱ διασύροντες, καὶ βασκαίνον-
τες λέγουσιν, εἰ μετὰ τὴν μάχην οὐ φεύγουσι κόψαντες τὰ πείσματα τῶν νεῶν τῷ φέροντι
πρὸς τὴν ἀττικὴν ἀνέμῳ παραδόντες αὐτούς, ἀλλ' αἱρεθείσης ἀσπίδος αὐτοῖς προδο-
σίας σημεῖον ἐπιπλέουσι ταῖς ἀθήναις ἐλπίζοντες αἱρήσειν, καὶ καθ' ἡσυχίαν σούνιον
κάμψαντες ὑπεραιωροῦνται φαλήρου· οἱ δὲ πρῶτοι, καὶ δοκιμώτατοι τῶν ἀνδρῶν,

ἀπεγνωκότες τὴν πόλιν, καὶ γὰρ ἀπολύων ὕστερον ἀλκμαιωνίδας,
ἑτέροις τὴν προδοσίαν ἀνατίθησιν· ἀνεδείχθη μὲν γὰρ ἀσπὶς, καὶ τοῦτο οὐκ ἔστιν,
ἀλλ' ὥς εἰπεῖν φησιν, αὐτὸς ἰδών· τοῦτο δὲ, ἀμήχανον μὲν ἦν γενέσθαι νενικότων καὶ
τὰ κράτος τῶν ἀθηναίων γενόμενον δ' οὐκ ἂν, ὑπὸ τῶν βαρβάρων συνωφθῆς
φυγῇ, καὶ πόνῳ πολλῷ, καὶ τραύμασι, καὶ βέλεσιν εἰς τὰς ναῦς ἐλαυνομένων, καὶ
ἀπολιπόντων τὸ χωρίον ὡς ἕκαστος τάχους εἶχεν· ἀλλ' ὅταν γε πάλιν ὑπὲρ τῶν
ἀλκμαιωνιδῶν ἀπολογεῖσθαι προσποιώμεθα, ἃ πρῶτος ἀνθρώπων ἐπενίνοχεν
ἐγκλήματα εἴη. καὶ οὐκ ἐνδέχουσαι τὸν λόγον, ἀλκμαιωνίδαι
αὖ ποτε ἀναδεῖξαι πέρσησιν ἐκ συνθήματος ἀσπίδα, βουλομένους δὲ εἶναι ἀθη-
ναίους ὑπὸ ἱππίῃ· κόμματός τινος ἀναμνήσομαι καταλαβεῖν, ἢ καταλαβὼν
μεθιέναι μέλλεις, καὶ σὺ κατηγορεῖς, εἶτα ἀπολογῇ, καὶ γράφεις κατὰ ἐπιφα-
νῶν ἀνδρῶν διαβολὰς, ἃς πάλιν ἀναιρεῖς, ἀπιστῶν δὲ σεαυτῷ δηλονότι· σεαυτοῦ
γὰρ ἀκήκοας λέγοντος, ἀλκμαιωνίδας ἀναχεῖν ἀσπίδα νενικημένας, καὶ φεύ-
γουσι τοῖς βαρβάροις, καὶ μὴν ἐν οἷς περὶ ἀλκμαιωνιδῶν ἀπολογῇ, σεαυτὸν ἀποφαίνεις
συκοφάντην· εἰ γὰρ μᾶλλον, ἢ ὁμοίως καλλίῃ τῷ φαινίππου, ἱππονίκου δὲ πατρὶ φαί-
νονται μισοτύραννοι ἐόντες, ὡς ἐνταῦθα γράφεις ἀλκμαιωνίδαι, ποῦ θήσεις
αὐτῶν ἐκείνου συνωμοσίαν, ἣν ἐν τοῖς πρώτοις γέγραφας, ὡς ἐπιγαμίαν ποιη-
σάμενοι πεισιστράτῳ κατήγαγον αὐτὸν ἀπὸ τῆς φυγῆς ἐπὶ τὴν τυραννίδα, καὶ
οὐκ ἂν ἐξήλασαν αὖθις ἕως διεβλήθη παρανόμως τῇ γυναικὶ μιγνύμενος. ταῦ-
τα μὲν οὖν τοιαύτας ἔχει ταραχὰς, τῆς ἀλκμαιωνιδῶν διαβολῆς, καὶ ὑπονοί-
ας, τοῖς καλλίου τοῦ φαινίππου χρησάμενος ἐπαίνοις καὶ προσάψας αὐτῷ τὸν
υἱὸν ἱππόνικον, ὃς ἦν καθ' ἡρόδοτον ἐν τοῖς πλουσιωτάτοις ἀθηναίων, ὡμολόγησεν,
ὅτι μηδὲν τῶν πραγμάτων δεομένων, ἀλλὰ θεραπείᾳ, καὶ χάριτι τοῦ ἱππονίκου
τὸν καλλίαν παρέβαλεν. ἐπεὶ δὲ ἀργείους ἅπαντες ἴσασιν οὐκ ἀπειπαμένους
τοῖς ἕλλησι τὴν συμμαχίαν ἀξιώσαντα ὡς μὴ λακεδαιμονίοις ἀχθέσης, καὶ τὸ
μισητοῖς οὖσι ποιοῦντες ἀεὶ τὸ προσταττόμενον ἕπωνται. καὶ τοῦτο ἄλλως οὐκ
ἦν, αἰτίαν κακοηθεστάτην ὑποβάλλεται γράφων. ἐπεὶ δὲ σφέας καταλαμβάνει
τοὺς ἕλληνας αὐτῷ δὴ ἐπισταμένους, ὅτι οὐ μεταδώσουσι τῆς ἀρχῆς λακεδαιμό-
νιοι μεταιτέειν· ἵν' ἐπὶ προφάσεως ἡσυχίαν ἄγωσι. τούτων δὲ ὕστερον ἀναμνῆσαι
φησιν ἀρταξέρξην ἀναβάντας εἰς σοῦσα πρέσβεις ἀργείων. κἀκεῖνον εἰπεῖν, ὡς
οὐδεμίαν νομίζοι πόλιν, ἄργεος φιλιωτέρην, εἶτα ὑπειπὼν ὥσπερ εἴωθε καὶ
ἀναδυόμενος, οὐκ εἰδέναι φησὶ περὶ τούτων ἀτρεκέως· εἰδέναι δ' ὅτι πᾶσιν ἀνθρώ-
ποις ἐστὶν ἐγκλήματα, καὶ οὐκ ἀργείοισιν αἴσχιστα πεποίηνται, ἐγὼ δὲ λέγειν ὀφεί-
λω, καί μοι τὸ ἔπος τοῦτο ἐχέτω ἐς πάντα τὸν λόγον. ἐπεὶ καὶ ταῦτα λέγεται,
ὡς ἄρα ἀργεῖοι ἦσαν οἱ ἐπικαλεσάμενοι τὸν πέρσην ἐπὶ τὴν ἑλλάδα ἐπειδὴ
φησιν πρὸς τοὺς λακεδαιμονίους κακῶς ἡ αἰχμὴ ἑστήκει εἰ
βουλόμενοι σφίσι προσεῖναι τῆς παρούσης λύπης. ἆρ' οὖν οὐχ ὅπερ αὐτὸς τὸν
αἰθίοπά φησι πρὸς τὰ μύρα, καὶ τὴν πορφύραν εἰπεῖν, ὡς δολερὰ μὲν τὰ χρίμα-
τα, δολερὰ δὲ τὰ εἵματα τῶν περσέων ἐστί, τοῦτο ἄν τις εἴποι πρὸς αὐτὸν, ὡς δο-
λερὰ μὲν τὰ ῥήματα· δολερὰ δὲ τὰ σχήματα τῶν ἡροδότου λόγων, ἑλικτὰ καὶ οὐ-
δὲν ὑγιὲς, ἀλλὰ πᾶν περίεξ, ὥσπερ οἱ ζωγράφοι τὰ λαμπρὰ τῇ σκιᾷ τρανότερα
ποιοῦσιν, οὕτω ταῖς ἀρνήσεσι τὰς διαβολὰς ἐπιτείνοντος αὐτοῦ, καὶ τὰς ὑπονοί-
ας ταῖς ἀμφιβολίαις βαθυτέρας ποιοῦντος ἀργεῖοι δ' ὅτι μετ' οὐ συναράμενοι
τοῖς ἕλλησιν, ἀλλὰ διὰ τὴν ἡγεμονίαν, καὶ τῆς ἀρετῆς λακεδαιμόνιοι ἐκστάντες.
οὐδ' ἔστιν ἀντειπεῖν, κατῄσχυναν ἂν τὸν ἡρακλέα, καὶ τὴν εὐγένειαν, σιφνίοις γοῦν ἦν
καὶ κυθνίοις ἄμεινον ἐλευθεροῦν τοὺς ἕλληνας, ἢ σπαρτιάταις φιλονεικοῦντας
ὑπὲρ

ὑπὲρ ἀρχῆς ἐγκαταλιπεῖν τοσούτους, καὶ τοιούτους ἀγῶνας. εἰ δὲ αὐτοὶ εἴσαν
οἱ ἐπικαλεσάμενοι τὸν πέρσην ἐπὶ τὴν ἑλλάδα, διὰ τὴν κακῶς ἑστῶσαν αὐτοῖς
αἰχμὴν πρὸς λακεδαιμονίους, πῶς οὐκ ἐμήδιζον ἀναφανδὸν ἥκοντος· οὐδ' εἰ μὴ συ-
στρατεύειν ἐβούλοντο βασιλεῖ· τὴν γοῦν λακωνικὴν ὑπολειπόμενοι κακῶς ἐπιούσ-
η θυρέας ἥπτοντο πάλιν, ἢ τρόπον ἄλλον ἀντελαμβάνοντο, καὶ παρηνώχλουν
λακεδαιμονίοις μέγα βλάψαι δυνάμενοι τοὺς ἕλληνας, ἢ μὴ παρῆκας εἰς πλα-
ταιὰς ἐκείνους ἐκστρατεῦσαι τοσούτοις ὁπλίταις, ἀλλ' ἀθηναίους γε μεγάλους
ἐνταῦθα τῷ λόγῳ πεποίηκε, καὶ σωτῆρας ἀνηγόρευκε τῆς ἑλλάδος ὀρθῶς γε ποι-
ῶν, καὶ δικαίως, εἰ μὴ πολλὰ καὶ βλάσφημα προσῆν τοῖς ἐπαίνοις. νῦν δὲ προδο-
θῆναι μὲν ἂν λέγων ὑπὸ τῶν ἄλλων ἑλλήνων λακεδαιμονίους· μονωθέντας δὲ ἂν,
καὶ ὑποδεξαμένους ἔργα μεγάλα ἀποθανεῖν γενναίως ἢ πρὸ τούτου ὁρῶντας, καὶ
τοὺς ἕλληνας μηδίζοντας, ὁμολογίῃ ἂν χρήσασθαι πρὸς ξέρξεα, δῆλός ἐστιν, οὐ
τούτους λέγων εἰς τὸν ἀθηναίων ἔπαινον, ἀλλ' ἀθηναίους ἐπαινῶν, ἵνα κακῶς εἴπῃ
τοὺς ἄλλους ἅπαντας. τί γὰρ ἄν τις ἐπιδυσχεραίνῃ, θηβαίους ἀεὶ καὶ φωκέας πι-
κρῶς αὐτοῦ, καὶ κατακόρως ἐξονειδίζοντος. ὅπου καὶ τῶν προκινδυνευσάντων
ὑπὲρ τῆς ἑλλάδος, τὴν οὐ γενομένην δ' ἂν, ὡς αὐτὸς εἰκάζοι καταψηφίζεται
προδοσίαν. αὐτοὺς δὲ λακεδαιμονίους ἐν ἀδήλῳ θέμενος ἐπηπόρησεν, εἴτε ἔπε-
σον ἂν, μαχόμενοι τοῖς πολεμίοις, εἴτε παρέδωκαν ἑαυτοὺς, μικροῖς γε νὴ δία
τεκμηρίοις αὐτῶν ἀπιστήσας τοῖς περὶ θερμοπύλας. διηγούμενος δὲ συμπεσοῦ-
σαν ναυαγίαν ταῖς βασιλικαῖς ναυσὶ, καὶ ὅτι πολλῶν χρημάτων ἐκπεσόντων ἀ-
μεινοκλῆς ὁ κρητίνεω μάγνης ἀνὴρ ὠφελήθη μεγάλως· χρυσέα, ἄφατα, καὶ χρή-
ματα περιβαλόμενος, οὐδὲ τοῦτο ἄδηκτον παρῆκεν, ἀλλ' ὁ μὲν τἄλλά φησιν οὐκ
εὐτυχέων εὑρήμασι μέγα πλούσιος ἐγένετο· τὴν γὰρ αἰτίαν, καὶ τοῦτον ἄχαρις
τοῦτο μὲν οὖν πάντῃ δῆλον. ὅτι τὰ χρυσᾶ
συμ
ῥήματα, καὶ τὰ εὑρήματα, καὶ τὸν ἐκβρασσόμενον ὑπὸ τῆς θαλάσσης πλοῦτον
ἐπεισήγαγε τῇ ἱστορίᾳ, χώραν καὶ τόπον ποιῶν, ἐν ᾧ θήσεται τὴν ἀμεινοκλέους
παιδοφονίαν· ἀριστοφάνους δὲ τοῦ βοιωτοῦ γράψαντος, ὅτι χρήματα μὲν αἰτή-
σας οὐκ ἔλαβε παρ' ἀθηναίων, ἐπιχειρῶν δὲ τοῖς νέοις διαλέγεσθαι, καὶ συσχο-
λάζειν, ὑπὸ τῶν ἀρχόντων ἐκωλύθη δι' ἀγροικίαν αὐτῶν, καὶ μισολογίαν· ἄλ-
λο μὲν οὐδὲν ἐστὶ τεκμήριον· ὁ δὲ ἡρόδοτος τῷ ἀριστοφάνει μεμαρτύρηκε, δι' ὧν τὰ
μὲν ψευδῶς τὰ δὲ διὰ τὰ δὲ ὡς μισῶν, καὶ διαφε-
ρόμενος τοῖς θηβαίοις ἐγκέκληκε. θετταλοὺς μὲν γὰρ ὑπὸ ἀνάγκης ἀποφαί-
νεται μηδίσαι τὸ πρῶτον, ἀληθῆ λέγων, καὶ περὶ τῶν ἄλλων ἑλλήνων μαντευό-
μενος ὡς προδόντων ἂν λακεδαιμονίους, ὑπεῖπεν ὡς οὐχ ἑκόντων, ἀλλ' ὑπ' ἀνάγ-
κης ἁλισκομένων κατὰ πόλεις. θηβαίοις δὲ τῆς αὐτῆς ἀνάγκης οὐ δίδωσι τὴν
αὐτὴν συγγνώμην, καίτοι πεντακοσίους μὲν εἰς τὰ τέμπη καὶ μνασίαν στρατη-
γὸν ἔπεμψαν, εἰς δὲ θερμοπύλας, ὅσους ᾔτησε λεωνίδας, οἱ καὶ μόνοι σὺν θεσπι-
εῦσι παρέμειναν αὐτῷ τῶν ἄλλων ἀπολιπόντων μετὰ τὴν κύκλωσιν, ἐπεὶ δὲ τῶν
παρόδων κρατήσας ὁ βάρβαρος ἐν τοῖς ὅροις ἦν, καὶ δημάρατος ὁ σπαρτιάτης
διὰ ξενίας εὔνους ὢν ἀτταγίνῳ τῷ προεστῶτι τῆς ὀλιγαρχίας διεπράξατο φίλον
βασιλέως γενέσθαι καὶ ξένον, οἱ δὲ ἕλληνες ἐν ταῖς ναυσὶν ἦσαν, πεζῇ δὲ οὐδεὶς
προσήλαυνεν, οὕτω προσεδέξαντο τὰς διαλύσεις, ὑπὸ τῆς μεγάλης ἀνάγκης
ἐγκαταλειφθέντες. οὔτε γὰρ θάλασσα, καὶ νῆες αὐτοῖς παρῆσαν ὡς ἀθη-
ναίοις, οὔτε ἀπωτάτω κατῴκουν ὡς σπαρτιᾶται τῆς ἑλλάδος ἐν μυχῷ· μιᾶς δ' ἡμέ-
ρας ὁδῷ, καὶ ἡμισείας ἀπέχοντι τῷ μήδῳ συστάντες ἐπὶ τῶν στενῶν καὶ διαγωνισάμενοι
μετὰ μόνων σπαρτιατῶν, καὶ θεσπιέων ἠτύχησαν. ὁ δὲ συγγραφεὺς οὕτως ἐστὶ δί-
ttt

καῖος, ὥστε λακεδαιμονίους μὲν μονωθέντας, καὶ γενομένους συμμάχων ἐρήμους, τυχὸν ἂν φησὶν ὁμολογίῃ χρήσασθαι. τὸ δὲ μέγιστον, καὶ κάλλιστον ἔργον ἀνελεῖν μὴ δυνηθεὶς, ὡς οὐ πραχθὲν αὐτοῖς, αἰτίῃ φαύλῃ, καὶ ὑπονοίᾳ διαλυμαινόμενος, ταῦτ' ἔγραφεν. οἱ μέν νυν ξύμμαχοι ἀποπεμπόμενοι, ᾤχοντό τε ἀπιόντες, καὶ ἐπείθοντο λεωνίδῃ, θεσπιεῖς δὲ, καὶ θηβαῖοι κατέμειναν μοῦνοι παρὰ λακεδαιμονίοισι. τούτων δὲ θηβαῖοι μὲν ἀέκοντες ἔμενον, καὶ οὐ βουλόμενοι. κατεῖχε γάρ σφεας λεωνίδης ἐν ὁμήρου λόγῳ ποιεύμενος. θεσπιέες δὲ ἑκόντες μάλιστα, οἳ οὐδαμὰ ἔφασαν ἀπολιπόντες λεωνίδην, καὶ τοὺς μετὰ τούτου ἀπαλλάξασθαι. εἶτα οὐ δῆλός ἐστιν ἰδίαν τινὰ πρὸς θηβαίους ἔχων ὀργὴν, καὶ δυσμένειαν, ὑφ' ἧς, οὐ μόνον διέβαλε ψευδῶς, καὶ ἀδίκως τὴν πόλιν, ἀλλ' οὐδὲ τοῦ πιθανοῦ τῆς διαβολῆς ἐφρόντισεν, οὐδὲ ὅπως αὐτὸς ἑαυτῷ τἀναντία λέγων παρ' ὀλίγους ἀνθρώπους οὐ φανεῖται συνειδὼς, προειπὼν γὰρ ὡς ὁ λεωνίδης, ἐπεὶ ᾔσθετο τοὺς συμμάχους ἐόντας ἀπροθύμους, καὶ οὐκ ἐθέλοντας συγκινδυνεύειν, κελεύσας σφέας ἀπαλλάττεσθαι. πάλιν, μετ' ὀλίγον λέγει, τοὺς θηβαίους ἄκοντας αὐτὸν κατασχεῖν, οὓς εἰκὸς ἦν ἀπελᾶσθαι, καὶ μὴ βουλομένους παραμένειν, εἰ μηδίζειν αἰτίαν εἶχον. ὅπου γὰρ οὐκ ἐδεῖτο τῶν μὴ προθύμων, τί χρήσιμον ἦν; ἀναμεμίχθαι μαχομένοις ἀνθρώπους ὑπόπτους. οὐ γὰρ δὴ φρένας εἶχεν τοιαύτας ὁ τῶν σπαρτιατῶν βασιλεὺς, καὶ τῆς ἑλλάδος ἡγεμὼν, ὥστε κατέχειν ἐν ὁμήρου λόγῳ τοῖς τριακοσίοις τοὺς τετρακοσίους ὅπλα ἔχοντας, καὶ προσκειμένων ἔμπροσθεν ἤδη καὶ ὄπισθεν ἅμα τῶν πολεμίων. καὶ γὰρ εἰ πρότερον ἐν ὁμήρου λόγῳ ποιούμενος ἦγεν αὐτοὺς, ἔν γε τοῖς ἐσχάτοις εἰκὸς ἦν καιροῖς ἐκείνους τε λεωνίδου μηδὲν φροντίσαντας ἀπαλλαγῆναι, καὶ λεωνίδην δεῖσαι τὴν ὑπ' ἐκείνων μᾶλλον ἢ τῶν βαρβάρων κύκλωσιν. αὐτόθι δὲ τούτων πῶς οὐ γελοῖος ὁ λεωνίδας, τοὺς μὲν ἄλλους ἕλληνας ἀπιέναι κελεύων, ὡς αὐτίκα μάλα τεθνηξομένους, θηβαίους δὲ κωλύων, ὡς ὑπ' αὐτοῦ φυλάττοιντο τοῖς ἕλλησιν ἀποθνήσκειν μέλλοντας. εἰ γὰρ, ὡς ἀληθῶς ἐν ὁμήρου λόγῳ μᾶλλον δὲ ἀνδραπόδων περιῆγε τοὺς ἄνδρας, οὐ κατέχειν ὤφειλεν αὐτοὺς μετὰ τῶν ἀπολλυμένων, ἀλλὰ παραδοῦναι τοῖς ἀπιοῦσι τῶν ἑλλήνων, ὃ δὲ λοιπὸν ἦν τῶν αἰτίων εἰπεῖν, ἴσως δὲ ἀπολουμένων κατεῖχε καὶ τοῦτο ἀνῄρηκε ὁ συγγραφεὺς, οἷς περὶ τῆς φιλοτιμίας τοῦ λεωνίδου κατὰ λέξιν. ταῦτα δὲ δὴ ἐπιλεγόμενον λεωνίδαν, καὶ βουλόμενον καταθέσθαι κλέος μούνων σπαρτιατέων, ἀποπέμψαι τοὺς συμμάχους μᾶλλον, ἢ τῇσι γνώμῃσι διενεχθέντας, ὑπερβολὴ γὰρ εὐηθείας ἦν, ἧς ἀπήλαυε δόξης τοὺς συμμάχους κατέχειν μεθέξοντας τοὺς πολεμίους. ὅτι τοίνυν οὐ διεβέβληντο τοῖς θηβαίοις ὁ λεωνίδας, ἀλλὰ καὶ φίλους ἐνόμιζε βεβαίους ἐκ τῶν πεπραγμένων δῆλόν ἐστι, καὶ γὰρ παρῆλθεν εἰς θήβας ἄγων τὸ στράτευμα, καὶ δεηθεὶς ἔτυχεν, οὗ μὴ δὲ εἷς ἄλλος, ἐν τῷ ἱερῷ κατακοιμηθῆναι τοῦ ἡρακλέους, καὶ τὴν ὄψιν ἣν εἶδεν ὄναρ διήγγειλε τοῖς θηβαίοις. ἔδοξε γὰρ ἐν θαλάσσῃ πολὺν ἐχούσῃ καὶ τραχὺν κλύδωνα, τὰς ἐπιφανεστάτας καὶ μεγίστας πόλεις τῆς ἑλλάδος, ἀνωμάλως διαφέρεσθαι, καὶ σαλεύειν, τὴν δὲ θηβαίων ὑπερέχειν τε πασῶν, καὶ μετέωρον ἀρθῆναι πρὸς τὸν οὐρανόν. εἶτα ἐξαίφνης ἀφανῆ γενέσθαι, καὶ ταῦτα μὲν ἦν ὅμοια τοῖς ὕστερον χρόνῳ πολλῷ συμπεσοῦσι περὶ τὴν πόλιν. ὁ δὲ ἡρόδοτος ἐν τῇ διηγήσει τῆς μάχης, καὶ τοῦ λεωνίδου τὴν μεγίστην ἀμαύρωκε πρᾶξιν αὐτοῦ, πεσεῖν πάντας εἰπὼν ἐν τοῖς στενοῖς περὶ τὸν κολωνόν. ἐπράχθη δὲ ἄλλως, ἐπεὶ γὰρ ἐπύθοντο νύκτωρ τὴν περίοδον τῶν πολεμίων, ἀναστάντες ἐβάδιζον ἐπὶ τὸ στρατόπεδον, καὶ τὴν σκηνὴν ὀλίγου δεῖν βασιλέως, ὡς ἐκεῖνον αὐτὸν ἀποκτενοῦντες, καὶ περὶ ἐκείνῳ τεθνηξόμενοι. μέχρι

μὲν

μὲν οὖν τῆς σκηνῆς ἀεὶ τὸν ἐμποδὼν φονεύοντες, τοὺς δὲ ἄλλους τρεπόμενοι προῆλθον. ἐπεὶ δὲ οὐχ ηὑρίσκετο ξέρξης, ζητοῦντες ἐν μεγάλῳ, καὶ ἀχανεῖ στρατεύματι, καὶ πλανώμενοι, μόλις ὑπὸ τῶν βαρβάρων πανταχόθεν περιχυθέντων διεφθάρησαν, ὅσα δὲ ἄλλα πρὸς τούτῳ τολμήματα, καὶ ῥήματα τῶν σπαρτιατῶν καταλέλοιπεν, ἐν δὲ τῷ λεωνίδου βίῳ γραφήσεται. μικρὰ δὲ οὐ χεῖρόν ἐστι καὶ νῦν διελθεῖν, ἀγῶνα μὲν γὰρ ἐπιτάφιον αὑτῶν ἠγωνίσαντο πρὸ τῆς ἐξόδου, καὶ τοῦτον ἐθεῶντο πατέρες αὐτῶν καὶ μητέρες. αὐτὸς δὲ ὁ λεωνίδας πρὸς μὲν τὸν εἰπόντα παντελῶς ὀλίγους ἐξάγειν αὐτὸν ἐπὶ τὴν μάχην, πολλοὺς μὲν ἔφη τεθνηξομένους. πρὸς δὲ τὴν γυναῖκα πυνθανομένην ἐξιόντος εἴ τι λέγοι, μεταστραφεὶς, εἶπεν, ἀγαθοῖς γαμεῖσθαι, καὶ ἀγαθὰ τίκτειν. ἐν δὲ θερμοπύλαις, μετὰ τὴν κύκλωσιν, δύο τῶν ἀπὸ γένους ὑπεξελέσθαι βουλόμενος, ἐπιστολὴν ἐδίδου ἑτέρῳ, καὶ ἔπεμπεν. ὁ δὲ οὐκ ἐδέξατο, φήσας μετ' ὀργῆς μαχατάς τοι οὐκ ἀγγελιαφόρος ἑπόμαν, τὸν δὲ ἕτερον ἐκέλευεν εἰπεῖν τι πρὸς τὰ τέλη τῶν σπαρτιατῶν. ὁ δὲ, ἀπεκρίνατο τὰ πράγματα, καὶ τὴν ἀσπίδα λαβὼν, εἰς τάξιν κατέστη. ταῦτα οὐκ ἄν τις ἐπετίμησεν ἄλλου παραλιπόντος. ὁ δὲ τὴν ἀμάσιδος ἀποψόφησιν, καὶ τὴν τῶν ὄνων τοῦ κλέπτου προσέλευσιν, καὶ τὴν τῶν ἀσκῶν ἐπίδοσιν, καὶ πολλὰ τοιαῦτα συναγαγὼν, καὶ διαμνημονεύων, οὐκ ἀμελείᾳ δόξειεν ἂν, καὶ ὑπεροψίᾳ προΐεσθαι, καλὰ μὲν ἔργα, καλὰς δὲ φωνὰς, ἀλλ' οὐκ εὐμενὴς ὢν πρὸς ἐνίους, οὐδὲ δίκαιος. τοὺς δὲ θηβαίους πρῶτον μέν φησι μετὰ τῶν ἑλλήνων ἐόντας μάχεσθαι ὑπὸ ἀνάγκης ἐχομένους. οὐ γὰρ μόνον ξέρξης, ὡς ἔοικεν, ἀλλὰ καὶ λεωνίδας μαστιγοφόρους εἶχεν ἑπομένους, ὑφ' ὧν οἱ θηβαῖοι παρὰ γνώμην ἠναγκάζοντο μαστιγούμενοι μάχεσθαι, μὲν ὑπὸ ἀνάγκης φησὶ τοὺς ἀπελθεῖν καὶ φεύγειν δυναμένους. μηδίσαι δὲ ἑκόντας, οἷς οὐδεὶς παρῆν βοηθῶν, ἑξῆς δὲ τούτοις γέγραφεν, ὅτι τῶν ἄλλων ἐπειγομένων, ἐπὶ τὸν κολωνὸν, ἀποσχισθέντες οἱ θηβαῖοι, χεῖράς τε προέτειναν, καὶ ἦσαν ἆσσον τῶν βαρβάρων, λέγοντες τὸν ἀληθέστατον τῶν λόγων, ὡς μηδίσειαν, καὶ γῆν τε, καὶ ὕδωρ ἔδοσαν βασιλεῖ, ὑπὸ δὲ ἀνάγκης ἐχόμενοι, εἰς θερμοπύλας, ἀπικέατο, καὶ ἀναίτιοι εἶεν τοῦ τρώματος τοῦ γενομένου βασιλεῖ. ταῦτα λέγοντες περιεγένοντο, εἶχον γὰρ καὶ θεσσαλοὺς τούτων τῶν λόγων, ὅρα δὴ τοσούτων ἐν βαρβάροις κραυγαῖς, καὶ παμμιγέσι θορύβοις, καὶ φυγαῖς, καὶ διώξεσιν ἀκουομένην δικαιολογίαν, καὶ μαρτύρων ἀνάκρισιν, καὶ θεσσαλοὺς μεταξὺ τῶν φονευομένων, καὶ πατουμένων ὑπὸ ἀλλήλων. πάντα γὰρ στενὰ, θηβαίοις συνδικοῦντας. ὅτι τῆς ἑλλάδος αὐτοὺς κρατοῦντας ἄχρι θεσπιέων ἔναγχος ἐξήλασαν μάχῃ παραγενόμενοι καὶ τὸν ἄρχοντα λαττάμιαν ἀποκτείνοντες. ταῦτα γὰρ ὑπῆρχε βοιωτοῖς τότε, καὶ θετταλοῖς πρὸς ἀλλήλους, ἐπιεικὲς δὲ, καὶ φιλάνθρωπον οὐδέν, ἀλλὰ δὴ τῶν θεσσαλῶν μαρτυρούντων πῶς περιεγένοντο θηβαῖοι, τοὺς μὲν αὐτῶν ἀπέκτειναν οἱ βάρβαροι προσιόντας ὡς αὐτὸς εἴρηκε, τοὺς δ' ἔτι πλεῦνας κελεύσαντος ξέρξεω, ἔστιξαν στίγματα βασιλήϊα ἀρξάμενοι ἀπὸ στρατηγοῦ λεοντιάδεω. οὔτε λεοντιάδης ἐν θερμοπύλαις ἦν στρατηγὸς, ἀλλὰ ἀνάξανδρος, ὡς ἀριστοφάνης ἐκ τῶν κατὰ ἄρχοντας ὑπομνημάτων ἱστόρησε καὶ νίκανδρος ὁ κολοφώνιος, οὔτε γινώσκει τις ἀνθρώπους πρὸ ἡροδότου στιχθέντας ὑπὸ ξέρξου θηβαίους, ἐπεὶ μέγιστον ἦν ἀπολόγημα τῆς διαβολῆς, καὶ καλῶς εἶχε τὴν πόλιν ἀγάλλεσθαι τοῖς στίγμασιν ἐκείνοις ὡς ξέρξου δικάσαντος, ἐχθίστοις χρήσασθαι λεωνίδῃ, καὶ λεοντιάδῃ τοῦ μὲν γὰρ ᾐκίσατο πεπτωκότος τὸ σῶμα, τοῦ δὲ, ζῶντος ἔστιξεν. ὁ δὲ τὴν μὲν εἰς λεωνίδαν ὠμότητα δήλωμα ποιούμενος ὅτι μάλιστα δὴ ἀνδρῶν ὁ βάρβαρος ἐθυμώθη ζῶντι λεωνίδῃ, θηβαίους δὲ, καὶ μηδίζοντας λέγων ἐν

Θερμοπύλαις στιχθῆναι, καὶ στιχθέντας αὖθις ἐν Πλαταιαῖς μηδίζειν προθύμως, δοκεῖ μοι καθάπερ Ἱπποκλείδης, ὁ τοῖς σκέλεσι χειρονομῶν, ἐπὶ τῆς τραπέζης εἰπεῖν ἄν, ἐξορχούμενος τὴν ἀλήθειαν, οὐ φροντὶς Ἱπποκλείδῃ. ἐν δὲ τῇ ὀγδόῃ τοὺς Ἕλληνάς φησι καταδειλιάσαντας ἀπὸ τοῦ Ἀρτεμισίου, δρησμὸν βουλεύεσθαι εἰς τὴν Ἑλλάδα, καὶ τῶν Εὐβοέων δεομένων ὀλίγον ἐπιμεῖναι χρόνον, ὅπως ὑπεκθοῖντο γενεὰς καὶ τὸ οἰκετικόν, ὀλιγωρεῖν, ἄχρις οὗ Θεμιστοκλῆς ἀργύριον λαβὼν Εὐρυβιάδῃ τε μετέδωκε, καὶ Ἀδειμάντῳ τῷ Κορινθίων στρατηγῷ, τότε δὲ μεῖναι καὶ διαναυμαχῆσαι πρὸς τοὺς βαρβάρους. ὁ μὲν Πίνδαρος, οὐκ ὢν συμμάχου πόλεως, ἀλλὰ μηδίζειν αἰτίαν ἐχούσης, ὅμως τοῦ Ἀρτεμισίου μνησθεὶς ἐπιπεφώνηκεν· ὅτι παῖδες Ἀθηναίων ἐβάλοντο φαεννὰν κρηπῖδ' ἐλευθερίας. Ἡρόδοτος δέ, ὑφ' οὗ κεκοσμῆσθαί τινες ἀξιοῦσι τὴν Ἑλλάδα, δωροδοκίας καὶ κλοπῆς ἔργον ἀποφαίνει τὴν νίκην ἐκείνην γενομένην, καὶ τοὺς Ἕλληνας ἀκουσίως ἀγωνισαμένους ὑπὸ τῶν στρατηγῶν ἐξαπατηθέντας ἀργύριον λαβόντων. καὶ τοῦτο πέρας οὐ γέγονεν αὐτῷ τῆς κακοηθείας, ἀλλὰ πάντες μὲν ἄνθρωποι σχεδὸν ὁμολογοῦσι ταῖς ναυμαχίαις αὐτόθι κρατοῦντας τοὺς Ἕλληνας, ὅμως ὑφέσθαι τοῦ Ἀρτεμισίου τοῖς βαρβάροις τὰ περὶ Θερμοπύλας ἀκούσαντας· οὐδὲ γὰρ ἦν ὄφελος ἐνταῦθα καθημένους φρουρεῖν τὴν θάλασσαν, ἐντὸς Πυλῶν τοῦ πολέμου γεγονότος, καὶ Ξέρξου τῶν παρόδων κρατοῦντος. Ἡρόδοτος δὲ πρὶν ἀπαγγελῆναι τὸν Λεωνίδου θάνατον, ἤδη ποιεῖ τοὺς Ἕλληνας βουλευομένους ἀποδιδράσκειν, λέγει δὲ οὕτως· τρηχέως δὲ περιενεχθέντες, καὶ οὐχ ἥκιστα Ἀθηναῖοι, τῶν αἱ ἡμίσειαι τῶν νεῶν τετρωμέναι ἦσαν, δρησμὸν ἐβουλεύοντο εἰς τὴν Ἑλλάδα. καίτοι τὴν πρὸ τοῦ ἀγῶνος ἀναχώρησιν οὕτως ὀνομάσαι, μᾶλλον δὲ ὀνειδίσαι δεδόσθω· ὁ δὲ καὶ πρότερον δρασμὸν εἶπεν, καὶ νῦν δρασμὸν ὀνομάζει, καὶ μετ' ὀλίγον πάλιν ἐρεῖ δρασμόν· οὕτω πικρῶς τῷ ῥήματι προσπέφυκε. τοῖσι δὲ βαρβάροισιν αὐτίκα μετὰ ταῦτα πλοίῳ ἦλθεν ἀνὴρ Ἱστιαιεὺς ἀγγέλλων τὸν δρησμὸν τὸν ἀπ' Ἀρτεμισίου τῶν Ἑλλήνων. οἱ δὲ ὑπὸ ἀπιστίης τὸν μὲν ἀγγέλλοντα εἶχον ἐν φυλακῇ, νέας δὲ ταχείας ἀπέστειλαν προκατοψομένας. τί σὺ λέγεις; ἀποδιδράσκειν ὡς κεκρατημένους, οὓς οἱ πολέμιοι μετὰ τὴν μάχην ἀπιστοῦσι φεύγειν, ὡς πολὺ κρατοῦντας. εἶτα πιστεύειν ἄξιον τούτῳ γράφοντι περὶ ἀνδρός, ἢ πόλεως μιᾶς, ὃς ἑνὶ ῥήματι τὸ νίκημα τῆς Ἑλλάδος ἀφαιρεῖται, καὶ τὸ τρόπαιον καθαιρεῖ, καὶ τὰς ἐπιγραφάς, ἃς ἔθεντο παρὰ τῇ Ἀρτέμιδι τῇ Προσ[ηῴᾳ], κόμπον ἀποφαίνει, καὶ ἀλαζονείαν; ἔχει δὲ οὕτω τὸ ἐπίγραμμα·

» Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίας ἀπὸ χώρας,
» Παῖδες Ἀθηναίων, τῷδέ ποτ' ἐν πελάγει Ναυμαχίᾳ δαμάσαντες, ἐπεὶ
» στρατὸς ὤλετο Μήδων, Σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

ἐν μὲν οὖν ταῖς μάχαις οὐκ ἔταξε τοὺς Ἕλληνας, οὐδὲ ἐδήλωσεν ἣν ἑκάστη πόλις ἔχουσα χώραν ἐναυμάχησε, κατὰ δὲ τὸν ἀπόπλουν, ὃν αὐτὸς δρασμὸν προσαγορεύει, πρώτους φησὶ Κορινθίους πλεῖν, ὑστάτους δὲ Ἀθηναίους. ἔδει μὲν οὖν μηδὲ τοῖς μηδίσασι τῶν Ἑλλήνων ἄγαν ἐπεμβαίνειν, καὶ ταῦτα Θούριον μὲν ὑπὸ τῶν ἄλλων νομιζόμενον, αὐτὸν δὲ Ἁλικαρνασέων περιεχόμενον, οἳ Δωριεῖς ὄντες μετὰ τῆς γυναικωνίτιδος ἐπὶ τοὺς Ἕλληνας ἐστράτευσαν. ὁ δὲ τοσοῦτον ἀποδεῖ τοῦ πρότερον ὀνομάζειν τὰς τῶν μηδισάντων ἀνάγκας, ὥστε περὶ Θετταλῶν διηγησάμενος ὅτι Φωκεῦσιν ἐχθροῖς καὶ πολεμίοις οὖσι προσέπεμψαν ἐπαγγελλόμενοι τὴν χώραν αὐτῶν ἀβλαβῆ διαφυλάξειν, εἰ πεντήκοντα τάλαντα μισθὸν λάβοιεν, ταῦτα περὶ Φωκέων γέγραφεν αὐτοῖς ὀνόμασιν· οἱ γὰρ Φωκεῖς μοῦνοι τῶν ταύτῃ ἀνθρώπων οὐκ ἐμήδιζον, ὡς ἐγὼ συμβαλλόμενος εὑρίσκω, κατὰ δὲ τὸ ἔχθος τὸ Θεσσαλῶν· εἰ δὲ Θεσσαλοὶ τὰ Ἑλλήνων ηὖξον, ὡς ἐμοὶ δοκεῖ,

γυναῖκας .l.

ἔθος .l.

ἐμήδιζον ἂν οἱ Φωκεῖς. καίτοι μετὰ μικρὸν αὐτὸς ἐρεῖ τρισκαίδεκα πόλεις τῶν Φωκέων ὑπὸ τοῦ βαρβάρου κατακεκαῦσθαι, διεφθάρθαι τὴν χώραν, ἐμπεπρῆσθαι τὸ ἐν Ἄβαις ἱερόν, ἄνδρας ἀπολωλέναι, καὶ γυναῖκας, ὅσοι μὴ διαφυγόντες ἔφθησαν εἰς τὸν Παρνασσόν, ἀλλ' ὅμως τοὺς τὰ ἔσχατα παθεῖν ὑπὲρ τοῦ μὴ προέσθαι τὸ καλὸν ὑπομείναντας, εἰς τὴν αὐτὴν ἔθετο κακίαν τοῖς προθυμότητα μηδίσασι· καὶ τὰ ἔργα τῶν ἀνδρῶν ψέξαι μὴ δυνηθείς, αἰτίας ἐκάθητο φαύλας, καὶ ὑπονοίας ἐπὶ τοῦ γραφείου συντιθεὶς κατ' αὐτῶν, καὶ κελεύων, οὐκ ἀφ' ὧν ἔπραξαν, εἰ μὴ ταῦτα Θεσσαλοῖς ἔδοξε κρίνεσθαι τὴν διάνοιαν αὐτῶν, ὥσπερ τῆς προδοσίας ἀπολειφθέντας, ὑφ' ἑτέρων προειλημμένοις χώρας. εἰ τοίνυν Θεσσαλοὺς τις ἐπιχειρεῖ τοῦ μηδισμοῦ παραιτεῖσθαι, λέγων ὡς οὐ ταῦτα ἐβούλοντο, τῇ δὲ πρὸς Φωκέας διαφορᾷ τοῖς Ἕλλησι προστιθεμένους ὁρῶντες αὐτοὶ παρὰ γνώμην ἐμήδισαν, ἆρα οὐκ ἄν, αἴσχιστα κολακεύειν ἔδοξε καὶ πρὸς ἑτέρων χάριν αἰτίας χρηστὰς ἐπὶ πράγμασι φαύλοις πορίζων διαστρέφειν τὴν ἀλήθειαν; ἐγὼ μὲν οἶμαι. πῶς οὖν οὐ περιφανέστατα δόξει συκοφαντεῖν, ὁ μὴ δι' ἀρετὴν τὰ βέλτιστα Φωκεῖς ἑλομένους ἀποφαινόμενος, ἀλλ' ὅτι τἀναντία Θεσσαλοὺς ἔγνωσαν φρονοῦντας; οὐδὲ γὰρ εἰς ἑτέρους ὥσπερ εἴωθεν ἀνάγει τὴν διαβολὴν ἀκηκοέναι λέγων, ἀλλ' αὐτὸς εὑρίσκειν συμβαλλόμενος. εἰπεῖν οὖν ἔδει τὰ τεκμήρια, δι' ὧν ἐπείσθη τοὺς ὅμοια πράττοντας τοῖς ἀρίστοις, τὰ αὐτὰ τοῖς φαυλοτάτοις διανοηθῆναι. τὸ γὰρ τῆς ἔχθρας γελοῖόν ἐστιν· οὔτε γὰρ Αἰγινήτας ἐκώλυσεν ἡ πρὸς Ἀθηναίους διαφορὰ καὶ Χαλκιδεῖς, ἡ πρὸς Ἐρετριέας καὶ Κορινθίους, ἡ πρὸς Μεγαρέας τῇ Ἑλλάδι συμμαχεῖν· οὐδ' αὖ πάλιν Θεσσαλοὺς κολάζοντες οἱ πολεμιώτατοι Μακεδόνες, τῆς πρὸς τὸν βάρβαρον φιλίας ἀπέστρεψαν. τὰς γὰρ ἰδίας ἀπεχθείας ὁ κοινὸς ἀπέκρυψε κίνδυνος· ὥστε τῶν ἄλλων παθῶν ἐκπεσόντας, ἢ τῷ καλῷ δι' ἀρετὴν ἢ τῷ συμφέροντι δι' ἀνάγκην προστίθεσθαι τὴν γνώμην, οὐ μὴν ἀλλὰ καὶ μετὰ τὴν ἀνάγκην ἐκείνην ᾗ κατελήφθησαν ὑπὸ Μήδοις γενέσθαι, πάλιν μετεβάλοντο πρὸς τοὺς Ἕλληνας οἱ ἄνδρες, καὶ Λακράτης μὲν αὐτοῖς ὁ Σπαρτιάτης ἄντικρυς ἐμαρτύρησεν. αὐτὸς δὲ ὁ Ἡρόδοτος ὥσπερ ἐκβιασθεὶς ἐν τοῖς Πλαταϊκοῖς, ὁμολογεῖ καὶ Φωκέας παραγενέσθαι τοῖς Ἕλλησιν, οὐ δεῖ δὲ θαυμάζειν εἰ τοῖς ἀτυχήσασιν ἔγκειται πικρῶς· ὅπου καὶ τοὺς παραγενομένους καὶ συγκινδυνεύσαντας εἰς τὴν τῶν πολεμίων μερίδα, καὶ προδοτῶν μετατίθησι, Νάξιοι γὰρ τρεῖς ἔπεμψαν τριήρεις συμμάχους τοῖς βαρβάροις, εἷς δὲ τῶν τριηράρχων Δημόκριτος ἔπεισε τοὺς ἄλλους ἑλέσθαι τὰ τῶν Ἑλλήνων. οὕτως οὐδὲ ἐπαινεῖν ἄνευ τοῦ ψέγειν οἶδεν, ἀλλ' εἰ εἷς ἀνὴρ ἐγκωμιασθῇ, πόλιν ὅλην δεῖ κακῶς ἀκοῦσαι καὶ δῆμον, μαρτυρεῖ δὲ αὐτῷ τῶν μὲν πρεσβυτέρων Ἑλλάνικος, τῶν δὲ νεωτέρων Ἔφορος, ὁ μὲν ἕξ, ὁ δὲ πέντε ναυσίν, αὐτοὺς Ναξίους ἐλθεῖν τοῖς Ἕλλησι βοηθοῦντας ἱστορήσας. αὐτὸς δὲ καὶ παντάπασιν ἑαυτὸν ὁ Ἡρόδοτος ἐξελέγχει ταῦτα πλαττόμενον, οἱ μὲν γὰρ Ναξίων ὡρογράφοι λέγουσι καὶ πρότερον Μεγαβάτην ἀπώσασθαι ναυσὶ διακοσίαις ἐπιπλεύσαντα τῇ νήσῳ, καὶ Δᾶτιν αὖθις τὸν στρατηγὸν ἐξελάσαι καταπρήσαντα ποιῆσαι κακόν. εἰ δὲ ὡς Ἡρόδοτος εἴρηκεν ἀλλαχόθι, τὴν μὲν πόλιν αὐτῶν ἐμπρήσαντες διέφθειραν, οἱ δὲ ἄνθρωποι καταφυγόντες εἰς τὰ ὄρη διεσώθησαν, ἦπου καλὴν αἰτίαν εἶχον τοῖς ἀπολέσασι τὴν πατρίδα πέμπειν βοήθειαν, ἀλλὰ μὴ τοῖς ἀμυνομένοις ὑπὲρ τῆς κοινῆς ἐλευθερίας ἀμύνειν. ὅτι δὲ οὐκ ἐπαινέσαι βουληθεὶς Δημόκριτον, ἀλλ' ἐπ' αἰσχύνῃ Ναξίων συνέθηκε τὸ ψεῦδος, δῆλός ἐστι τῷ παραλιπεῖν ὅλως, καὶ παρασιωπῆσαι τὸ Δημοκρίτου κατόρθωμα καὶ τὴν ἀριστείαν, ἣν ἐπιγράμματι Σιμωνίδης ἐδήλωσε,

» Δημόκριτος τρίτος ἦρξε μάχης, ὅτε πὰρ Σα-

μὴ

ἀνειλημμένης .l.

ναξίων .l.

λαμῖνα Ἕλληνες μήδοις σύμβαλον ἐν πελάγει. Γέν τε δὲ νῆας ἕλεν δηΐων, ἐκ-
την δ᾽ ὑπὸ χεῖρα ῥύσατο βαρβαρικὴν δωρίδ᾽ ἁλισκομένην. ἀλλὰ τί ἄν τις ἀγα-
νακτοίη περὶ ναξίων; εἰ γάρ εἰσιν ἀντίποδες ἡμῶν ὥσπερ ἔνιοι λέγουσι τῆς γῆς κα-
κάτω περιοικοῦντες, οἶμαι μηδ᾽ ἐκείνους ἀνοίκους εἶναι Θεμιστοκλέους, καὶ τοῦ Θεμιστοκλέ-
ους βουλεύματος. ὁ βουλεύσας τῇ Ἑλλάδι ναυμαχῆσαι πρὸ τῆς Σαλαμῖνος· ἱδρύσατο
ναὸν Βουλῆς Ἀρτέμιδος ἐν Μελίτῃ, τοῦ βαρβάρου καταπολεμηθέντος. τούτου μὲν τὸ Θε-
μιστοκλέους ὁ χαρίεις συγγραφεὺς ὅσον ἐφ᾽ ἑαυτῷ παραιτούμενος, καὶ τὴν δόξαν εἰς ἕ-
τερον μεταφέρων. ταῦτα γράφει κατὰ λέξιν. ἐνταῦθα δὲ Θεμιστοκλέα ἀφικόμενον
ἐπὶ τὴν νέα εἴρετο Μνησίφιλος ἀνὴρ Ἀθηναῖος· ὅ τι σφιν εἴη βεβουλευμένον. πυθόμενος
δὲ πρὸς αὐτοῦ ὡς ἐπιδεδογμένον ἀνάγειν τὰς νέας πρὸς τὸν Ἰσθμὸν, καὶ πρὸ τῆς
Πελοποννήσου ναυμαχέειν, οὐκ ἄρα ἢν ἀπαίρωσι τὰς νέας ἀπὸ Σαλαμῖνος, οὐδὲ
περὶ μιᾶς ἔτι πατρίδος ναυμαχήσεις· κατὰ γὰρ πόλεις ἕκαστοι τρέψονται καὶ
μετ᾽ ὀλίγον, ἀλλ᾽ εἴ τις ἐστὶ μηχανὴ, ἴθι τε καὶ πειρῶ διαχέαι τὰ βεβουλευμένα, ἤ-
λίκως δύνῃ ἀναγνῶσαι Εὐρυβιάδεα μεταβουλεύσασθαι ὥστε αὐτοῦ μένειν. εἶτα ἀ-
ὑπειπὼν ὅτι κάρτα τῷ Θεμιστοκλεῖ ἤρεσεν ἡ ὑποθήκη καὶ οὐδὲν πρὸς ταῦτα ἀ-
μειψάμενος, ἀφίκετο πρὸς τὴν Εὐρυβιάδην, πάλιν αὐταῖς λέξεσι γέγραφεν, ἐν-
ταῦθα δὲ Θεμιστοκλῆς. ζόμενος κατὰ λέγει, κεῖνά τε ἃ ἤκουσε Μνησι-
φίλου ἑωυτοῦ ποιούμενος καὶ ἄλλα προστιθείς. ὁρᾷς ὅτι κακοηθείας προστρίβε-
ται τῷ ἀνδρὶ δόξαν. ἴδιον αὐτοῦ βούλευμα ποιεῖσθαι τὸ τοῦ Μνησιφίλου λέγων;
ἔτι δὲ μᾶλλον τῶν Ἑλλήνων καταγελῶν Θεμιστοκλέα μὲν, οὔ τε φησὶ φρονῆσαι τὸ
συμφέρον, ἀλλὰ παριδεῖν ὃς Ὀδυσσεὺς ἐπωνομάσθη διὰ τὴν φρόνησιν. Ἀρτεμισί-
αν δὲ τὴν Ἡροδότου πολῖτιν μηδενὸς διδάξαντος αὐτὴν ἀφ᾽ ἑαυτῆς ἐπινοήσασαν
Ξέρξῃ προσειπεῖν, ὡς οὐχ οἷοί τε πολλὸν χρόνον ἔσονταί τοι ἀντέχειν οἱ Ἕλληνες,
ἀλλὰ σφέας διασκεδᾷς, κατὰ πόλεις δὲ ἕκαστοι φεύξονται, καὶ οὐκ εἰκὸς αὐτοὺς
ἢν σὺ ἐπὶ τὴν Πελοπόννησον ἐλαύνῃς τὸν πεζὸν στρατὸν ἀτρεμήσειν. οὐδέ σφιν μελή-
σειν πρὸ τῶν Ἀθηναίων ναυμαχέειν. ἢν δὲ αὐτίκα ἐπειχθῇς ναυμαχῆσαι, δειμαί-
νω μὴ ὁ ναυτικὸς στρατὸς κακωθεὶς καὶ τὸν πεζὸν προσδηλήσηται. ταῦτα μὲν οὖν μέ-
τρων ἐνδεῖ τῷ Ἡροδότῳ, Σίβυλλαν ἀποφῆναι τὴν Ἀρτεμισίαν τὰ μέλλοντα προ-
θεσπίζουσαν οὕτως ἀκριβῶς. διὸ καὶ Ξέρξης αὐτῇ παρέδωκε τοὺς ἑαυτοῦ παῖ-
δας ἀπάγειν εἰς Ἔφεσον, ἐπελέληστο γὰρ ἐκ Σούσων ὡς ἔοικεν ἄγειν γυναῖκας εἰ γυ-
ναικείας ἐδέοντο παραπομπῆς οἱ παῖδες. ἀλλ᾽ ὦ μὲν ἔψευσται, λόγος ἡμῖν οὐδείς. ὡς ἀ-
ἀδετ ψεῦσται μόνον ἐξετάζομεν. φησὶ τοίνυν Ἀθηναίους λέγειν, ὡς Ἀ-
δείμαντος ὁ Κορινθίων στρατηγὸς, ἐν χερσὶ τῶν πολεμίων γενομένων, ὑπερεκπλα-
γεὶς καὶ καταδείσας ἔφυγεν· οὐ πρύμναν κρουσάμενος, οὐδὲ διαδὺς ἀτρέμα διὰ
τῶν μαχομένων, ἀλλὰ λαμπρῶς ἐπαιρόμενος τὰ ἱστία, καὶ τὰς ναῦς ἁπάσας ἀ-
ποστρέψας. εἶτα μέντοι κέλης ἐλαυνόμενος αὐτῷ συνέτυχε περὶ τὰ λήγοντα
τῆς Σαλαμινίας. ἐκ δὲ τοῦ κέλητος, ἐφθέγξατό τις· σὺ μὲν ὦ Ἀδείμαντε φεύγεις
καταπροδοὺς τοὺς Ἕλληνας, οἱ δὲ, καὶ δὴ νικῶσι καθάπερ ἠρῶντο ἐπικρατῆσαι
τῶν ἐχθρῶν. ὁ δὲ κέλης οὗτος ἦν ὡς ἔοικεν οὐρανοπετής. τί γὰρ ἔδει τίθεσθαι μηχα-
νῆς τραγικῆς ἐν πᾶσι τοῖς ἄλλοις ὑπερπαίοντα τοὺς τραγῳδοὺς ἀλαζονείᾳ. πιστεύ-
σας οὖν ὁ Ἀδείμαντος ἐπανῆλθεν εἰς τὸ στρατόπεδον ἐπεξειργασμένος. αὕτη φά-
τις ἔχει ὑπὸ Ἀθηναίων. οὐ μέντοι Κορίνθιοι ὁμολογέουσιν, ἀλλὰ ἐν πρώτοισι σφέας
αὐτοὺς τῆς ναυμαχίης νομίζουσι γενέσθαι, μαρτυρεῖ δέ σφι καὶ ἡ ἄλλη Ἑλλάς. τοιοῦτός
ἐστιν ἐν πολλοῖς ὁ ἄνθρωπος ἑτέρας καθ᾽ ἑτέρων διαβολὰς, καὶ κατηγορίας κατατίθησιν
οὕτως μὴ διαμαρτεῖν τοῦ φανῆναί τινα πάντως πονηρὸν, ὥσπερ ἐνταῦθα περίεστιν
αὐτῷ. πιστευομένης δὲ τῆς διαβολῆς, Κορινθίους ἀδοξεῖν, ἀπιστουμένης Ἀθηναίους, ἢ οἱ μὲν
δὲ

δὲ Κορινθίων Ἀθηναίους, ἀλλὰ τοῦτο, ἀμφοτέρων ὁμοῦ καταψεύδεσθαι, Θουκυδίδης
γοῦν ἀντιλέγοντα ποιῶν τῷ Κορινθίῳ τὸν Ἀθηναῖον ἐν Λακεδαίμονι, καὶ πολλὰ
περὶ τῶν Μηδικῶν λαμπρυνόμενον ἔργων, καὶ περὶ τῆς ἐν Σαλαμῖνι ναυμα-
χίας, οὐδεμίαν αἰτίαν προδοσίας ἢ λειποταξίας ἐπενήνοχε Κορινθίοις. οὐδὲ
γὰρ εἰκὸς ἦν Ἀθηναίοις ταῦτα βλασφημεῖν περὶ τῆς Κορινθίων πόλεως, ἣν τρί-
την μὲν ἑώρα μετὰ Λακεδαιμονίους, καὶ μετ᾽ αὐτῶν ἐγχαραττομένην τοῖς ἀπὸ
τῶν βαρβάρων ἀναθήμασιν. ἐν δὲ Σαλαμῖνι παρὰ τὴν πόλιν ἔδωκαν αὐτοῖς θά-
ψαι τε τοὺς ἀποθανόντας ὡς ἄνδρας ἀγαθοὺς γενομένους. ἐπιγράψαι τόδε τὸ
ἐλεγεῖον. Ὦ ξένε, εὔυδρόν ποτ᾽ ἐναίομεν ἄστυ Κορίνθου. Νῦν δ᾽ ἀιάμαντος νᾶ-
σος ἔχει Σαλαμίς. Ἐνθάδε Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες. Καὶ Μήδους ἱε-
ρὰν Ἑλλάδα ῥυόμεθα. τὸ δ᾽ ἐν Ἰσθμῷ κενοτάφιον ἐπιγραφὴν ἔχει ταύτην.
Ἡμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν. Ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμε-
νοι. Διοδώρου δέ τινος τῶν Κορινθίων τριηράρχων ἐν ἱερῷ Λητοῦς ἀναθήμασι
κειμένοις, καὶ τοῦτο ἐπιγέγραπται. Ταῦτ᾽ ἀπὸ δυσμενέων Μήδων αὐτοὶ Διοδώ-
ρου ὅπλ᾽ ἀνέθεν Λατοῖ μνάματα ναυμαχίας. αὐτός γε μὴν ὁ Ἀδείμαντος,
ᾧ πλεῖστα λοιδορούμενος Ἡρόδοτος διατελεῖ, καὶ λέγων μοῦνον ἀπαίρειν τῶν στρα-
τηγῶν ὡς φευξόμενον ἀπ᾽ Ἀρτεμισίου, καὶ μὴ περιμενοῦντα. σκόπει τίνα δόξαν
εἶχεν. Οὗτος Ἀδειμάντου τάφος, ὃν διὰ πᾶσα Ἑλλὰς ἐλευθερίας ἀμφέθεν
το στέφανον. οὔτε γὰρ τελευτήσαντι τοιαύτην εἰκὸς ἦν ἀνδρὶ δειλῷ καὶ προ-
δότῃ γενέσθαι τιμήν. οὔτ᾽ ἂν ἐτόλμησε τῶν θυγατέρων ὄνομα θέσθαι, τῇ μὲν, Ναυ-
σινίκην, τῇ δὲ Ἀκροθίνιον, τῇ δὲ Ἀλεξιβίαν. Ἀριστέα δὲ καλέσαι τὸν υἱόν. εἰ μή τις
ἦν ἐπιφάνεια καὶ λαμπρότης περὶ αὐτὸν ἀπὸ τῶν ἔργων ἐκείνων. καὶ μὴν ὅτι
μόναι τῶν Ἑλληνίδων αἱ Κορίνθιαι γυναῖκες εὔξαντο τὴν καλὴν ἐκείνην καὶ δαι-
μονίαν εὐχὴν, ἔρωτα τοῖς ἀνδράσι τῆς πρὸς τοὺς βαρβάρους μάχης ἐμβαλεῖν
τὴν θεὸν, οὐχ ὅπως περὶ τὸν Ἡρόδοτον ἀγνοῆσαι πιθανὸν ἦν, ἀλλ᾽ οὐδὲ τὸν ἔσχατον
Καρῶν. διεβοήθη γὰρ τὸ πρᾶγμα, καὶ Σιμωνίδης ἐποίησεν ἐπίγραμμα χαλκῶν εἰ-
κόνων ἀνασταθεισῶν ἐν τῷ ναῷ τῆς Ἀφροδίτης, ὃν ἱδρύσασθαι Μήδειαν λέγουσιν.
οἱ μὲν, αὐτὴν παυσαμένην τοῦ ἀνδρὸς, οἱ δ᾽ ἐπὶ τῷ τὸν Ἰάσονα τῆς Θέτιδος ἐρῶν-
τα παῦσαι τὴν θεόν. τὸ δὲ ἐπίγραμμα τοῦτό ἐστιν. Αἵδ᾽ ὑπὲρ Ἑλλάδος τε καὶ
ἰθυμάχων πολιτᾶν. Ἔσταθεν εὐξάμεναι Κύπριδι δαιμόνιαι. Οὐ γὰρ τοξοφό-
ροισιν ἐμήδετο δῖ᾽ Ἀφροδίτα. Μήδοις Ἑλλάνων ἀκρόπολιν προδόμεν. ταῦτα
ἔδει γράφειν καὶ τούτων μεμνῆσθαι μᾶλλον, ἢ τὴν Ἀμεινοκλέους ἐμβαλεῖν παι-
δοφονίαν. τῶν τοίνυν αἰτιῶν τῶν κατὰ Θεμιστοκλέους ἀναίδην ἐμφορηθεὶς, ἐν
οἷς κλέπτοντα καὶ πλεονεκτοῦντα λάθρα τῶν ἄλλων στρατηγῶν, οὔ φησι παύ-
σασθαι περὶ τὰς νήσους. τέλος αὐτῶν Ἀθηναίων τὸν στέφανον ἀφελόμενος, Αἰ-
γινήταις ἐπιτίθησιν γράφων ταῦτα, πέμψαντες ἀκροθίνια οἱ Ἕλληνες εἰς Δελ-
φοὺς, ἐπηρώτων τὸν θεὸν κοινῇ· εἰ λελάβηκε πλήρεα καὶ ἀρεστὰ ἀκροθίνια; ὁ δὲ,
παρ᾽ Ἑλλήνων μὲν τῶν ἄλλων ἔφησεν ἔχειν, παρ᾽ Αἰγινητέων δ᾽ οὔ, ἀλλ᾽ ἀπαίτεεν αὐ-
τοὺς τὰ ἀριστεῖα τῆς ἐν Σαλαμῖνι ναυμαχίας. οὐκ ἔτι Σκύθαις, οὐδὲ Πέρσαις, ἀλλ᾽
Αἰγυπτίοις, τοὺς ἑαυτοῦ λόγους ἀνατίθησι. πλάττων ὥσπερ Αἴσωπος κόραξι καὶ
πιθήκοις, ἀλλὰ τῷ τοῦ Πυθίου προσώπῳ χρώμενος, ἀπωθεῖ τῶν Σαλαμῖνι πρω-
τείων τοὺς Ἀθηναίους, Θεμιστοκλεῖ δὲ τῶν δευτερείων ἐν Ἰσθμῷ γενομένων διὰ τὸ τῶν
στρατηγῶν ἕκαστον αὐτῷ μὲν τὸ πρωτεῖον, ἐκείνῳ δὲ τὸ δευτερεῖον ἀποδοῦναι, καὶ
τέλος τῆς κρίσεως μὴ λαβούσης, δέον αἰτιάσασθαι τὴν φιλοτιμίαν τῶν στρα-
τηγῶν, πάντας ἀποπλεῦσαί φησι τοὺς Ἕλληνας ὑπὸ φθόνου μὴ βουληθέντας
ἀναγορεῦσαι τὸν ἄνδρα πρῶτον. ἐν δὲ τῇ ἐνάτῃ καὶ τελευταίᾳ τῶν βίβλων· ἔσου

ἦν ὑπόλοιπον ἐν τῇ πρὸς λακεδαιμονίους καὶ τὸ περιβόητον πλαταιᾶσι κα-
τόρθωμα τῆς πόλεως. γέγραφε γὰρ ὡς πρότερον μὲν ὀρρωδοῦντας ἀθηναίους μὴ
πεισθέντες ὑπὸ μαρδονίου τοὺς ἕλληνας ἐγκαταλίπωσι, τοῦ δὲ ἰσθμοῦ τειχι-
σθέντος ἐν ἀσφαλεῖ θέμενοι τὴν πελοπόννησον ἠμέλουν ἤδη τῶν ἄλλων καὶ περιεώ-
ρων ἑορτάζοντες οἴκοι, καὶ τοὺς πρέσβεις τῶν ἀθηναίων κατειρωνευόμενοι, καὶ
διατρίβοντες. πῶς οὖν ἐξῆλθον ἐκ πλαταιὰς πέντε καὶ χίλιοι σπαρτιᾶται·
περὶ αὐτὸν ἔχων ἀνὴρ ἕκαστος ἑπτὰ εἵλωτας, ἢ πῶς κίνδυνον ἀράμενοι τοσοῦτον,
ἐκράτησαν, καὶ κατέβαλον μυριάδας τοσαύτας; ἄκουσον αἰτίαν πιθανῆς. ἔτυ-
χέ φησιν ἐν σπάρτῃ παρεπιδημῶν ἐκ τεγέας ἀνὴρ ὄνομα χίλεως· ᾧ φίλοι
τινὲς καὶ ξένοι τῶν ἐφόρων ἦσαν. οὗτος οὖν ἔπεισεν αὐτοὺς ἐκπέμψαι τὸ στράτευ-
μα. λέγων ὅτι τοῦ διατειχίσματος οὐδὲν ὄφελός ἐστι πελοποννήσου ἂν ἀθηναῖοι
μαρδονίῳ προσγένωνται, τοῦτο παυσανίαν ἐξήγαγεν εἰς πλαταιὰς μετὰ τῆς
δυνάμεως. εἰ δέ τι κατέσχεν οἰκεῖον ἐν τεγέᾳ πρᾶγμα τὸν χίλεων ἐκεῖνον οὐκ ἂν
ἡ ἑλλὰς περιεγένετο. πάλιν δὲ τοῖς ἀθηναίοις οὐκ ἔχων, ὅτι χρήσαιτό ποτε δὴ
καταβάλλει τὴν πόλιν ἄνω, καὶ κάτω μεταφέρων, οὓς τεγεάταις μὲν εἰς ἀγῶνα
λέγει περὶ τῶν δευτερείων καταστάντας. ἡρακλειδῶν τε μεμνῆσθαι, καὶ τὰ
πρὸς ἀμαζόνας πραχθέντα προφέρειν, ταφάς τε πελοποννησίων τῶν ὑπὸ
τῇ καδμείᾳ πεσόντων, καὶ τέλος εἰς τὸν μαραθῶνα καταβαίνειν τῷ λόγῳ φιλο-
τιμουμένους, καὶ ἀγαπῶντας ἡγεμονίας τυχεῖν τοῦ ἀριστεροῦ κέρως. ὀλίγον δὲ
ὕστερον αὐτοῖς παυσανίαν, καὶ σπαρτιάτας τῆς ἡγεμονίας ὑφίεσθαι, καὶ πα-
ρακαλεῖν, ὅπως κατὰ πέρσας ἀντιταχθῶσι τὸ δεξιὸν κέρας παραλαβόντες αὐ-
τοῖς δὲ παραδόντες τὸ εὐώνυμον ὡς ἀηθείᾳ τὴν πρὸς τοὺς βαρβάρους μάχην ἀ-
πολογουμένους, καίτοι γελοῖον εἰ μὴ συνήθεις εἶεν οἱ πολέμιοι μάχεσθαι μὴ θέ-
λειν, ἀλλὰ τούς γε ἄλλους ἕλληνας εἰς ἕτερον ὑπὸ τῶν στρατηγῶν ἀγομένους
στρατόπεδον, ὡς ἐκινήθησάν φησι φεύγειν ἀσμένως τὴν ἵππον πρὸς τὴν τῶν πλα-
ταιέων πόλιν. φεύγοντας δὲ ἀφικέσθαι πρὸς τὸ ἡραῖον· ἐν ᾧ καὶ ἀπείθειαν καὶ λιπο-
ταξίαν, καὶ προδοσίαν ὁμοῦ τι πάντων κατηγόρησε. τέλος δὲ μόνους φησὶ τοῖς
μὲν βαρβάροις λακεδαιμονίους καὶ τεγεάτας τοῖς δὲ θηβαίοις ἀθηναίους συμ-
πεσόντας διαγωνίσασθαι. τὰς δ᾽ ἄλλας πόλεις ὁμαλῶς ἁπάσας τοῦ κατορθώ-
ματος ἀπεστέρηκε. οὐδένα συνεφάψασθαι τοῦ ἀγῶνος, ἀλλὰ καθημένους πάντας
ἐωθὶ τῶν ὅπλων ἐγγὺς καταλιπεῖν, καὶ προδοῦναι τοὺς ὑπὲρ αὐτῶν μαχομέ-
νους. ὀψὲ δὲ φλιασίους, καὶ μεγαρέας πυθομένους νικῶντα παυσανίαν προσ-
φερομένους, καὶ ἐμπεσόντας εἰς τὸ θηβαίων ἱππικόν, οὐδενὶ λόγῳ διαφθαρῆ-
ναι, κορινθίους δὲ τῇ μὲν μάχῃ μὴ παραγενέσθαι, μετὰ δὲ τὴν νίκην ἐπειγομένους
διὰ τῶν λόφων, μὴ περιπεσεῖν τοῖς ἱππεῦσι τῶν θηβαίων. οἱ γὰρ θηβαῖοι τῆς
τροπῆς γενομένης προϊππεύοντες τῶν βαρβάρων προθύμως παρεβοήθουν φεύ-
γουσιν. αὐτοῖς δηλονότι τῶν ἐν θερμοπύλαις στιγμάτων χάριν ἀποδιδόντες, ἀλ-
λὰ κορινθίοις τε, καὶ τάξιν, ἣν ἐμάχοντο τοῖς βαρβάροις, καὶ τέλος ἡλίκον
ὑπῆρξεν αὐτοῖς ἀπὸ τοῦ πλαταιᾶσιν ἀγῶνος. ἔξεστι σιμωνίδου πυθέσθαι γράφον-
τος. ἐν τούτοις μέσσοισι δ᾽ οἱ γέφυραν πολυπίδακα ναιετάοντες Παντοίης ἀρε-
τῆς ἴδριες ἐν πολέμῳ. Οἵ τε πόλιν γλαύκοιο κορίνθιον ἄστυ νέμοντες, οἳ κάλλι-
στον μάρτυν ἔθεντο πόνων χρυσοῦ τιμήεντος ἐν αἰθέρι. καί σφιν ἀέξει αὐτῶν τ᾽ εὐ-
ρεῖαν κληδόνα καὶ πατέρων. ταῦτα γάρ, οὐχ οἷον ἐν κορίνθῳ διδάσκων, οὐδὲ ᾆσμα
ποιῶν εἰς τὴν πόλιν. ἄλλως δὲ τὰς πράξεις ἐκείνας ἐλεγεῖα γράφων ἱστόρηκεν.
ὁ δέ, προλαμβάνειν τὸν ἔλεγχον τοῦ ψεύσματος τῶν ἐρησομένων. πόθεν οὖν πο-
λυάνδρια καὶ θῆκαι τοσαῦται καὶ μνήματα νεκρῶν, ἐν οἷς ἐναγίζουσιν ἄχρι νῦν

αἴσχιον ὡς
πλαταιεῦσι τῶν ἑλλήνων συμπαρόντων
οἴομαι τῆς προδοσίας τῶν γενεῶν κατηγόρηκεν ἐν τούτοις. τῶν δὲ ἄλλων ὅσοι καὶ
φαίνονται ἐν πλαταιῇσιν ἐόντες τάφοι. τούτους δὲ ὡς ἐγὼ πυνθάνομαι αἰσχυνο-
μένους τῇ ἀπο   τῆς μάχης, ἑκάστους χώματα χῶσαι κεινὰ τῶν
ἐπιγινομένων εἵνεκ᾽ ἀνθρώπων.   ταύτην ἀπο   τῆς μάχης προδο-
σίαν οὖσαν. ἡρόδοτος ἀνθρώπων μόνος ἁπάντων ἤκουσε. παυσανίαν δὲ καὶ ἀρι-
στείδην, καὶ λακεδαιμονίους καὶ ἀθηναίους ἔλαθον οἱ ἕλληνες ἐγκαταλιπόντες
τὸν κίνδυνον, καὶ οὔτε αἰγινήτας ἀθηναῖοι διαφόρους ὄντας εἶρξαι τῆς ἐπι-
γραφῆς, οὔτε κορινθίους ἤλεγξαν, οὓς πρότερον νικῶντες φεύγειν ἀπὸ σαλα-
μῖνος, ἀντιμαρτυρούσης αὐτοῖς τῆς ἑλλάδος. καίτοι κλεάδας ὁ πλαταιεὺς
ἔτεσι δέκα τῶν μηδικῶν αἰγινήταις χαριζόμενος, ὥς φησιν ἡρόδοτος ἐπώνυ-
μον ἔχωσεν αὐτῶν πολυάνδριον. ἀθηναῖοι δέ, καὶ λακεδαιμόνιοι τί παθόντες
εὐθὺς τότε πρὸς μὲν ἀλλήλους ὀλίγον ἐδέησαν εἰς χεῖρας ἐλθεῖν περὶ τοῦ τρο-
παίου τῆς ἀναστάσεως, τοὺς δὲ ἕλληνας ἀποδειλιάσαντας καὶ ἀποδράσαντας
οὐκ ἀπήλαυνον τῶν ἀριστείων, ἀλλὰ ἐνέγραφον τοῖς τροπαίοις, καὶ τοῖς κολοσ-
σοῖς, καὶ μετεδίδοσαν τῶν λαφύρων. τέλος δὲ τῷ βωμῷ τὸ ἐπίγραμμα τοῦτο
γράφοντες ἐνεχάραξαν. Τόνδε ποθ᾽ ἕλληνες νίκη κράτει ἔργῳ ἄρηος Πέρσας
ἐξελάσαντες ἐλεύθερα ἑλλάδι κοινὸν ἱδρύσαντο διὸς βωμὸν ἐλευθερίου. μὴ
καὶ τοῦτο κλεάδας, ἢ τίς ἄλλος ὦ ἡρόδοτε κολακεύων τὰς πόλεις ἐπέγραψε;
τί οὖν ἐδέοντο τὴν γῆν ὀρύσσοντες διακενῆς ἔχειν τὰ πράγματα καὶ δυσεργεῖν
χώματα, καὶ μνήματα τῶν ἐπιγινομένων εἵνεκ᾽ ἀνθρώπων κατασκευάζοντες, ἐν
τοῖς ἐπιφανεστάτοις καὶ μεγίστοις ἀναθήμασι τὴν δόξαν αὐτῶν καθιδρουμένην
ὁρῶντες, καὶ μὴν παυσανίας ὡς λέγουσιν ἤδη τυραννικὰ φρονῶν, ἐπέγραψεν ἐν
δελφοῖς. Ἑλλήνων ἀρχηγὸς ἐπεὶ στρατὸν ὤλεσε μήδων Παυσανίας φοίβῳ
μνῆμ᾽ ἀνέθηκε τόδε. ἄλλως τε πῶς τοῖς ἕλλησι τὴν δόξαν ὧν ἑαυτὸν ἀνηγόρευσεν
ἡγεμόνα, τῶν δὲ ἑλλήνων, οὐκ ἀνασχομένων, ἀλλ᾽ ἐγκαλούντων, πέμψαντες εἰς δελ-
φοὺς λακεδαιμόνιοι τοῦτο μὲν ἐξεκόλαψαν. τὰ δὲ ὀνόματα τῶν πόλεων ὥσπερ
ἦν δίκαιον ἐνεχάραξαν. καίτοι, πῶς εἰκός ἐστιν, ἢ τοὺς ἕλληνας ἀγανακτεῖν τῆς
ἐπιγραφῆς μὴ μετασχόντας, εἰ συνῄδεσαν ἑαυτοῖς τὴν ἀπόλειψιν τῆς μάχης,
ἢ λακεδαιμονίους τὸν ἡγεμόνα καὶ στρατηγὸν ἐγχαράξαντας, ἐπιγράψαι τοὺς
ἐγκαταλιπόντας, καὶ περιϊδόντας τὸν κίνδυνον, ὡς δεινότατόν ἐστιν. εἰ σωχάρης
μέν, καὶ δείπνιστος, καὶ πάντες οἱ διαπρεπῶς ἀγωνισάμενοι τὴν μάχην ἐκείνην,
οὐδὲ κυθνίων ἐπιγραφομένων τοῖς τροπαίοις οὐδὲ μηλίων ἠχθέσθησαν. ἡρόδοτος
δὲ τρισὶ μόναις πόλεσιν ἀναθεὶς τὸν ἀγῶνα, τὰς ἄλλας πάσας ἐκ χαράττων τῶν
τροπαίων, καὶ τῶν ἱερῶν. τεσσάρων δὲ ἀγώνων τότε πρὸς τοὺς βαρβάρους γενο-
μένων. ἐκ μὲν γὰρ ἀρτεμισίου τοὺς ἕλληνας ἀποδρᾶναί φησιν, ἐν δὲ θερμοπύλαις
τοῦ στρατηγοῦ καὶ βασιλέως προκινδυνεύοντος, οἰκουρεῖν καὶ ἀμελεῖν ὀλύμπια,
καὶ κάρνεια πανηγυρίζοντας. τὰ δὲ ἐν σαλαμῖνι διηγούμενος, τοσούτους περὶ
ἀρτεμισίου λόγους γέγραφεν. ὅσοις ὅλην τὴν ναυμαχίαν οὐκ ἀπήγγελκε. τέ-
λος δὲ καθημένους ἐν πλαταιαῖς, ἀγνοῆσαι μέχρι τέλους τὸν ἀγῶνα τοὺς ἕλληνας
ὥσπερ βατραχομυομαχίας γινομένης πίγρης ὁ ἀρτεμισίας ἐν ἔπεσι παίζων, καὶ φλυαρῶν.
ἔγραψε σιωπῇ διαγωνίσασθαι συνθεμένων, ἵνα λάθωσι τοὺς ἄλλους. αὐτοὺς δὲ λακε-
δαιμονίους, ἀνδρείᾳ μὲν οὐδὲν κρείττονας γενέσθαι τῶν βαρβάρων ἀνόπλοις δὲ καὶ
γυμνοῖς μαχομένους κρατῆσαι, ξέρξου μὲν γὰρ αὐτοῦ παρόντος ὑπὸ μαστίγων μόλις
ὄπισθεν ὠθούμενοι προσεφέροντο τοῖς ἕλλησιν, ἐν δὲ πλαταιαῖς, ὡς ἔοικεν ἑτέρας
ψυχὰς μεταλαβόντες, λήματι μὲν καὶ ῥώμῃ οὐχ ἥσσονες ἦσαν, ἡ δὲ ἐσθὴς ἔρημος

οὖσα ὅπλων ἐθηλύσατο σφέας. πρὸς γὰρ ὁπλίτας ἐόντες γυμνῆται ἀγῶνα ἐποιέοντο. τί οὖν περίεστι ἔνδοξον ἢ μέγα τοῖς Ἕλλησιν ἀπ' ἐκείνων τῶν ἀγώνων, εἰ λακεδαιμόνιοι μὲν ἀόπλοις ἐμάχοντο, τοὺς δὲ ἄλλους ἡ μάχη παρόντας ἔλαθε, κενὰ δὲ πολυάνδρια τιμώμενα τοῖς ἑκάστου, ψευστῶν δὲ γραμμάτων μεστοὶ τρίποδες, ἑστᾶσι καὶ βωμοὶ παρὰ τοῖς θεοῖς, μόνος δὲ τἀληθὲς ἡρόδοτος ἔγνω. τοὺς δὲ ἄλλους ἅπαντας ἀνθρώπους, ὅσοι λόγον ἑλλήνων ἔχουσιν ἐξηπάτηκεν ἡ φήμη τῶν τότε κατορθωμάτων, ὡς ὑπερφυῶν γενομένων. τί δῆτα γραφικὸς ἀνήρ, καὶ ἡδὺς ὁ λόγος, καὶ χάρις ἔπεστι καὶ δεινότης, καὶ ὥρα τοῖς διηγήμασι; μῦθον δ' ὡς ὅτ' ἀοιδὸς ἐπισταμένως μὲν οὔ, λιγυρῶς δὲ καὶ γλαφυρῶς ἠγόρευκεν, ἀμέλει ταῦτα, καὶ κηλεῖ, καὶ προσάγεται πάντας, ἀλλ' ὥσπερ ἐν ῥόδοις δεῖ κανθαρίδα φυλάττεσθαι τὴν βλασφημίαν αὐτοῦ, καὶ μικρολογίαν λείοις, καὶ ἁπαλοῖς σχήμασιν ὑποδεδυκυῖαν, ἵνα μὴ λάθωμεν ἀτόπους καὶ ψευδεῖς, περὶ τῶν ἀρίστων καὶ μεγίστων τῆς ἑλλάδος πόλεων, καὶ ἀνδρῶν δόξας λαβόντες.

ψευδῶν l.

ΤΕΛΟΣ.

a b c d e f g h i k l m n o p q r ſ t u x y z & aa bb cc dd ee ff gg hh ii kk ll mm nn oo pp qq rr ſſ tt uu xx yy zz aaa bbb ccc ddd eee fff ggg hhh iii kkk lll mmm nnn ooo ppp qqq rrr ſſſ ttt.

Omnes quaterniones, præter ultimum ternionem.

Venetiis In ædibus Aldi & Andreæ Aſulani Soceri. menſe Martio. M.D. IX.

Contuli cum codice, quem Nicolaus Leonicus vir morum probitate et doctrina praestans diligentissime castigarat. Hic codex in hoc nostro litera .L. significatur.

Litera .R. significant antiquissimi codices tum ex Ill.mi D.ni Nicolai Rodulphi Card.lis tum ex Vaticana bibliotheca: cum quibus ipsius Card.lis Rodulfi iussu codicem hunc [illegible]

Contuli item cum codice Donati Poli, qui [illegible] hoc [illegible] significat litera Δ. Sed castigationes omnes quae [illegible] in hoc Poli codice fere [illegible] Leonici [illegible]